5.

Digitized by Google

Digitized by Google

Digitized by Google

μδ'. Πρὸς τοὺς ἀκροατάς, ὥστε προσέχειν τοῖς λεγομένοις, καὶ προκόπτειν ἐν τῇ κατὰ Θεὸν ἀγάπῃ.

με'. Περὶ ἐλεημοσύνης, περὶ φιλοξενίας, καὶ ὅτι ὁ τοὺς ἐλαχίστους τῶν ἀδελφῶν δεχόμενος διὰ τὸν Χριστόν, πλείονα μισθὸν ἔχει.

μϛ'. Ὅτι οὐ δεῖ ἀλγεῖν διὰ τὸ εἶναι αἱρέσεις, καὶ περὶ τῶν σκανδάλων.

μζ'. Ὅτι δεῖ ἡμᾶς μάρτυρας εἶναι Χριστοῦ διὰ ὀρθότητος βίου.

μη'. Περὶ ἐπιεικείας καὶ ἀνδρείας, καὶ ὅτι ἀντίκειται τούτοις θρασύτης καὶ ἀνανδρία.

μθ'. Ὅτι δι' ὧν δοκοῦμεν βλάπτεσθαι, διὰ τούτων ὠφελούμεθα· τὸ ὑπόδειγμα ἐκ τοῦ Ἰωσὴφ, καὶ Ἰακώβ, καὶ ὅτι οὐ δεῖ γυναῖκας πλουσίας ἄγεσθαι.

ν'. Περὶ τοῦ μὴ δεῖν ἀνθυβρίζειν, ἀλλὰ φέρειν τοὺς ὑβρίζοντας, καὶ προσδιαλαμβάνειν τὰς καταλλαγάς.

να'. Ὅτι οὐδεὶς ἡμᾶς βλάψαι δύναται, ἐὰν μὴ ἑαυτοὺς βλάψωμεν.

νβ'. Ὅτι ὁ κρατηθεὶς τῷ θείῳ ἔρωτι, οὐδενὸς τῶν ἐπὶ γῆς λόγον ποιεῖται.

νγ'. Ὅτι χρήσιμον τὸ ἔχειν ἐν οἰκίᾳ ἅγιον ἄνδρα, καὶ πείθεσθαι τούτῳ, καὶ ὅτι δεῖ καὶ νῦν ὥσπερ πρότερον πείθεσθαι τῷ Παύλῳ συμβουλεύοντι, πρὶν ἐν πείρᾳ γενώμεθα τῶν κακῶν.

νδ'. Ὅτι χρήσιμοι οἱ πειρασμοί, καὶ ὅτι οὐκ ἀεὶ ὁ δαίμων ἡμῖν τῆς κακίας αἴτιος ἐστί.

νε'. Εἰς Παῦλον τὸν ἀπόστολον.

BIBLIOTECA NAZ. ROMA

# ΠΙΝΑΞ ΤΩΝ ΗΘΙΚΩΝ


ι'. Περὶ τοῦ μὴ ὀμνύναι.

ια'. Ὅτι καλὸν ἡ ἀκτημοσύνη, καὶ περὶ τοῦ μὴ ὀμνύναι.

ιβ'. Περὶ τοῦ μὴ ὀμνύναι.

ιγ'. Ὅτι ἐν ἡδονῇ μᾶλλον διάγουσι τῶν πλουτούντων οἱ πένητες, καὶ περὶ τοῦ μὴ ὀμνύναι.

ιδ'. Ὅτι δεῖ μακροθυμεῖν, καὶ μὴ μνησικακεῖν τοῖς ἐπηρεάζουσι, καὶ περὶ ἐλεημοσύνης.

ιε'. Ὅτι θλίψιν δεῖ προσδοκᾶν ἐν τῷ αἰῶνι τούτῳ τοὺς δουλεύοντας Θεῷ, καὶ κατὰ θυμοῦ καὶ ὀργῆς.

ις'. Ὅτι οὐκ ἔστι τὸν κατὰ κόσμον χαίροντα ὁμοῦ καὶ κατὰ Θεὸν χαίρειν, καὶ κατὰ τρυφώντων.

ιζ'. Κατὰ ὀργιζομένων.

ιη'. Ὅτι δεῖ τοὺς κεκτημένους ἐν τοῖς ἑαυτῶν ἀγροῖς οἰκοδομεῖν ἐκκλησίας.

ιθ'. Ὅτι δεῖ συνεχῶς καὶ ἐπιμελῶς ἀναγινώσκειν τὰς θείας γραφάς.

κ'. Ὅτι ὁ χριστιανὸς οὐχ ἑαυτῷ μόνῳ, ἀλλὰ καὶ ἑτέροις ἔσται χρήσιμος.

κα'. Περὶ τοῦ μὴ δεῖν τοὺς ἀποθανόντας πενθεῖν· καὶ ὅτι μεγάλα εὐεργετοῦσι τοὺς πλουτήσαντας αἱ ὑπὲρ αὐτῶν γινόμεναι ἐλεημοσύναι, καὶ προσευχαί, καὶ προσφοραί.

κβ'. Περὶ ἐλεημοσύνης.

κγ'. Περὶ τοῦ μὴ ἀναβάλλεσθαι τὸ φώτισμα, καὶ προτροπὴ πρὸς τὸν ὀρθὸν βίον, καὶ ὅτι προνοίᾳ Θεοῦ τὰ πάντα διοικεῖται, τὰ μὲν συγχωροῦντος δι' ὃν οἶδε λόγον, τὰ δὲ ἐνεργοῦντος.

κδ'. Περὶ μετανοίας, καὶ ὅτι διωγμὸς ἡ ἄνεσις, καὶ ὅτι μάλιστα ἐν ἐκκλησίᾳ δεῖ ἡμᾶς γέλωτος καὶ φλυαρίας ἀπέχεσθαι.

κε'. Περὶ ἐλεημοσύνης, καὶ περὶ γυμνότητος ψυχῆς.

κς'. Προτροπὴ πρὸς προσευχὴν ἐκτενῆ.

κζ'. Κατὰ μεθυόντων καὶ τρυφώντων.

κη'. Κατὰ κενοδόξων.

κθ'. Πόθεν δεῖ ἐκκλησίαν δοκιμάζειν, καὶ ὅτι ἄχρηστον τὸ συνεχῶς ταῖς συνάξεσι προσιέναι, τῶν τρόπων μὴ κατορθουμένων.

λ'. Περὶ ταπεινοφροσύνης, καὶ περὶ τοῦ μὴ κροτεῖν ἐν ἐκκλησίᾳ.

λα'. Περὶ τοῦ κατὰ Θεὸν ζήλου, καὶ προθυμίας, μακροθυμίας τε, καὶ πραότητος, καὶ ὀργῆς.

λβ'. Ὅτι δεῖ τῶν παθῶν κρατεῖν τῶν ἡμετέρων, καὶ περὶ ἐπιεικείας καὶ ἀλαζονείας, καὶ τί ἐστι, Γνῶθι σεαυτόν, καὶ ὅτι ἀπὸ τῆς προαιρέσεως ἢ ἄγγελοι γινόμεθα, ἢ θηρία.

λγ'. Ὅτι τὸν σωφρονοῦντα λογισμὸν οὐδὲν βλάπτουσιν αἱ ἀντιλογίαι αἱρετικῶν.

λδ'. Περὶ τοῦ πῶς δεῖ ἐπιμέλειαν τῆς ψυχῆς ποιεῖσθαι.

λε'. Ὅτι πανταχοῦ ἡ ἄνεσις βλάπτει καὶ ἀργία.

λς'. Πρὸς ἕλληνας ὅτι θαυμαστὴ ἡ τῆς περὶ Χριστοῦ διδαχῆς εἰσαγωγή, καὶ περὶ σπουδαίας προσευχῆς καὶ ἐκτενοῦς, καὶ περὶ ἀμνησικακίας.

λζ'. Περὶ ἀγάπης καὶ εἰρήνης πνευματικῆς τῆς ψυχῆς πρὸς τὸ σῶμα.

λη'. Περὶ μετανοίας, καὶ πῶς δεῖ ἀγαπᾶν τὸν Θεόν, καὶ αὐτοῦ εὐεργεσιῶν συνεχῶς μνημονεύειν, καὶ περὶ τοῦ βιβλίου τοῦ μαγικοῦ.

λθ'. Περὶ ἐπιεικείας καὶ ἀνεξικακίας, καὶ κατὰ ὑβριστῶν.

μ'. Περὶ ἀγάπης.

μα'. Ὅτι ὁ ὀργίλος ἀεὶ πρῶτον πλέον ἑαυτὸν τιμωρεῖται, καὶ προτροπὴ τοῦ παύσασθαι τοῦ τοιούτου πάθους.

μβ'. Ὅτι χρήσιμοι οἱ πειρασμοὶ καὶ σύμμετροι πρὸς πάντα.

μγ'. Περὶ συμπαθείας, καὶ ὅτι δεῖ μιμεῖσθαι τοὺς ἁγίους, καὶ ἑαυτοὺς ῥίπτειν εἰς κινδύνους διὰ τοὺς ἀδελφούς.




Digitized by Google

μένην ἐσμὲν ἄξιοι· καὶ οὐκ ἔστιν ἑτέρα προτροπὴ πρὸς ἀρετήν, ὡς ἡ τῶν ἡμαρτημένων ὑπόμνησις.

κδ'. Ὅτι ἀρκεῖ βίος ἐνάρετος πρὸς σωτηρίαν, ὅπου δὲ μὴ παρῇ, κἂν σημεῖα γένηται, οὐδέν ἐστιν ὄφελος· καὶ ὅτι καὶ δι' ἀναξίων ἱερέων ἐνεργεῖ ἡ χάρις, καὶ ὅτι κατὰ βαθμὸν δεῖ ἡμᾶς μιᾶς ἐπιλαβομένους ἀρετῆς καὶ κατορθοῦντας, οὕτως ἐφ' ἑτέραν ἔρχεσθαι.

κε'. Ὅτι ἐὰν ἴδῃ ἡμᾶς ὁ Θεὸς καταφρονοῦντας χρημάτων καὶ δόξης καὶ ἀναπαύσεως, τότε ἡμῖν ταῦτα παρέχει· καὶ ὅτι οὐ τὸ πάσχειν κακῶς, ἀλλὰ ποιεῖν, ἐστὶ χαλεπόν· καὶ ὅτι δεῖ φεύγειν τοὺς φαύλους, καὶ τὰ παρ' αὐτῶν προσφερόμενα, καὶ συνεσθίειν μᾶλλον ἐλεήμοσιν ἢ πλεονέκταις· καὶ ὅτι ἀπρόσδεκτος ἡ τῶν πλεονεκτῶν ἐλεημοσύνη.

κς'. Περὶ τοῦ μνημονεύειν Θεοῦ διηνεκῶς, καὶ καταμέμφεσθαι ἑαυτῶν, καὶ περὶ τοῦ Δανιὴλ καὶ τῶν τριῶν παίδων.

κζ'. Περὶ τοῦ μὴ φρονεῖν τὰ κοσμικά, καὶ περὶ τοῦ Ἰησοῦ τοῦ Ναυῆ· καὶ ὅτι σφαιροειδὴς ὁ οὐρανός· καὶ ὅτι ὁ Χριστὸς οὐχ ὡς δεόμενος ηὔχετο, ἀλλ' ἡμᾶς διδάξαι βουλόμενος ἐκτενῶς προσεύχεσθαι, καὶ κατὰ κενοδοξίας καὶ τῶν φθεγγομένων τοὺς ἐπαίνους οὐ διὰ ταπείνωσιν, ἀλλὰ διὰ μείζονας ἐπαίνους· καὶ ὅτι ἀληθὴς ταπείνωσίς ἐστιν, οὐ τὸ ἑαυτὸν ὑβρίζειν, ἀλλ' ὑβριζόμενον παρ' ἑτέρου ἀνέχεσθαι.

κη'. Ὅτι εἰς Χριστὸν ἀφορῶντας, καὶ εἰς τὰ τῶν μαθητῶν αὐτοῦ, γενναίως ἡμᾶς χρὴ πᾶσαν φέρειν θλῖψιν· καὶ κατὰ φιλοκόσμων γυναικῶν· καὶ τίς ἐστι κόσμος ἀληθινὸς γυναικῶν.

κθ'. Ὅτι οἱ ἅγιοι πάντες διὰ θλίψεων ὥδευσαν· καὶ ὅτι ἑτέρως οὐκ ἔνι σωτηρίας τυχεῖν, ἢ διὰ θλίψεως· καὶ ὅτι πρός τε ψυχὴν καὶ τὸ σῶμα ἡ τρυφὴ λυμαίνεται.

λ'. Ὅτι οὐ δεῖ πάντα ἐπὶ τοὺς διδασκάλους ἐπιρρίπτειν, ἀλλὰ πάντας σπεύδειν ἀλλήλους οἰκοδομεῖν· καὶ ὅτι ὁ τὸ ἓν τάλαντον ἔχων ἐστὶν ὁ λαϊκός, καὶ ἐν ποίοις δεῖ τῷ ἀδελφῷ παραινεῖν.

λα'. Περὶ μετανοίας, καὶ ὅτι μέγα ὄφελος πρὸς μετάνοιαν ταπείνωσις ψυχῆς, καὶ ἀσφάλεια εἰς τὸ μὴ πταίειν ἡ διηνεκὴς τῶν ἡμαρτημένων μνήμη.

λβ'. Ὅτι πρόσκαιρος ὁ παρὼν βίος καὶ ἀβέβαιος, καὶ ἐγκώμιον ἐλεημοσύνης.

λγ'. Ὅτι τῆς ἀνέσεως ὠφελιμωτέρα ἡ θλῖψις, καὶ ἡ πενία τοῦ πλούτου, ὅθεν καὶ ταύτην τῷ βουλομένῳ τέλειος γενέσθαι ὁ Κύριος ἐπέταξε.

λδ'. Ὅτι οὐδὲν ἀλλ' ἐν ἡμῖν ποιεῖ τὴν χάριν τοῦ ἁγίου πνεύματος, πλὴν τῶν ἀγαθῶν πράξεων, καὶ τοῦ τείνειν πρὸς τὸν οὐρανὸν τὴν διάνοιαν.

## ΤΩΝ ΕΙΣ ΤΑΣ ΠΡΑΞΕΙΣ ΗΘΙΚΩΝ ΠΙΝΑΞ.

α'. Ὅτι οὐ δεῖ ἀναβάλλεσθαι τὸ βάπτισμα.

β'. Κατὰ Ἑλλήνων περὶ ἀναστάσεως.

γ'. Περὶ ἐπισκόπων ἐκλογῆς, καὶ ὅτι πολλῆς δυσκολίας γέμει ἡ ἐπισκοπή.

δ'. Κατὰ Ἑλλήνων, καὶ σύγκρισις τοῦ Πλάτωνος πρὸς τὸν Πέτρον.

ε'. Κατὰ αἱρέσεων, καὶ περὶ τοῦ ὀρθῶς βιοῦν, καὶ περὶ τοῦ ἐπιεικῶς φέρειν τὰς τῶν ἱερέων ἐπιτιμήσεις.

ς'. Κατὰ ὀργιζομένων.

ζ'. Περὶ ἀφελείας.

η'. Ὅτι δεῖ ἐκ μακροῦ ἄρχεσθαι ἡμᾶς τῆς ἀρετῆς, καὶ περὶ τοῦ μὴ ὀμνύναι.

θ'. Κατὰ μνησικακίας, καὶ περὶ τοῦ μήτε ὅρκον ἀπαιτεῖν, μήτε ὀμνύναι.

ι'. Περὶ

Digitized by Google

ϛʹ. Περὶ τῆς μελλούσης καταπαύσεως, καὶ περὶ τῶν ἐν αὐτῇ ἀνεκδιηγήτων ἀγαθῶν.

ζʹ. Ὅτι οὐ δεῖ ἐν γήρᾳ ἐλθόντας χαυνοῦν τὴν ἄσκησιν, ἀλλ' ἐπιτείνειν τότε μᾶλλον αὐτήν· καὶ ὅτι πάντα ἐξίσης τῷ μονάζοντι τὸν κοσμικὸν δεῖ πράττειν, πλὴν τοῦ γυναῖκα ἔχειν, καὶ ὅτι τῷ συμμέτρως χρῆσθαι γάμῳ σεμνῷ, καὶ οἴνῳ καὶ τοῖς ὁμοίοις οὐδὲν παραβλάπτει πρὸς τὴν εὐσέβειαν.

ηʹ. Περὶ μελέτης τῶν θείων γραφῶν, καὶ ὅτι τὸ συνεχέστερον αὐτὰς μετιόντες πολλὴν καρποῦνται ὠφέλειαν, καὶ ὅτι Ἔσδρας, μετὰ τὸ καυθῆναι τὰς βίβλους, τὰς θείας ἀπεγράψατο γραφάς.

θʹ. Ὅτι οὐ δεῖ ἀπογινώσκειν ἑαυτοῦ τὸν μετὰ τὸ βάπτισμα ἁμαρτήσαντα, καὶ δι' ὅσων κατορθοῦται τρόπων ἡ ἀληθὴς μετάνοια, καὶ ὅτι μάταια καὶ πλοῦτος, καὶ δυναστεία, καὶ τιμή.

ιʹ. Περὶ τοῦ διακονεῖν τοῖς ἁγίοις, καὶ ὅτι δεῖ πρὸς πάντας ἀδιακρίτως τὴν ἐλεημοσύνην ἐργάζεσθαι, εἴτε μοναχοί, εἴτε κοσμικοὶ εἶεν, ἢ ἕλληνες, ἢ χριστιανοί, ἢ αἱρετικοί, καὶ μὴ πολυπραγμονεῖν τίς ἄξιος, καὶ περὶ μὴ ἀπογινώσκειν ἄχρι τέλους.

ιαʹ. Περὶ λογικῆς θυσίας, ἥτις ἐστὶν ἡ κατὰ ψυχὴν ἀρετή, καὶ περὶ τοῦ ἀδιακρίτως πάντας τοὺς προσιόντας ἐλεεῖν.

ιβʹ. Περὶ μετανοίας καὶ τοῦ μὴ ἀπογινώσκειν, κἂν εἰς ἐσχάτην ἔλθωμεν κακίαν, καὶ ὅτι ἐφ' ἡμῖν ἐστιν ἡ τῆς μετανοίας ἀρχή, ἐπὶ δὲ Θεῷ ἡ τελείωσις.

ιγʹ. Περὶ τρόπου μετανοίας, καὶ ὅτι οὐ δεῖ προφάσει τοῦ πλείονα ἁμαρτάνειν ὑπερτίθεσθαι τὸ βάπτισμα· δεῖ γὰρ ἡμῖν καὶ μετὰ τοῦ βαπτίσματος πολλῆς ἐργασίας εἰς τὸ διαφυγεῖν τὴν αἰσχύνην· καὶ ὅτι οὐδὲν βαρὺ ἐπιτέτακται ὁ χριστιανός.

ιδʹ. Περὶ μετανοίας καὶ προσευχῆς τῆς ἐν νυκτὶ καθ' ἡσυχίαν· καὶ ὅτι καὶ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ ἄγγελοι ἡμῖν παρεδρεύουσι.

ιεʹ. Κατὰ τῶν νεκρῶν ἔργων, καὶ ὅτι λοιμός ἐστιν ἡ ἁμαρτία· καὶ κατὰ φιλαργυρίας, καὶ μὴ γελᾶν, μάλιστα ἐν ἐκκλησίᾳ.

ιϛʹ. Περὶ τρόπου πολιτείας ἐπουρανίου· καὶ ὅτι οὐ δεῖ ἀρκεῖσθαι μόνον τῷ θέλειν ἀρετήν, ἀλλὰ καὶ τῶν πόνων ἅπτεσθαι· καὶ ὅτι τὰ σχεδὸν ἀμήχανα διὰ ἐπιμελείας πολλῆς κατόρθωσαν πολλοί, ὡς ἐν τοῖς θεάτροις σχοινοβάται· καὶ ὅτι ὁ Θεὸς ἐν οὐρανῷ λέγεται εἶναι, οὐχ ὡς μὴ παρὼν ἐν τῇ γῇ, ἀλλ' ὡς διὰ τὴν σχέσιν καὶ τὴν οἰκείωσιν τὴν πρὸς τοὺς ἀγγέλους.

ιζʹ. Ὅτι δεῖ μετὰ καθαρότητος ἑαυτοὺς δοκιμάζοντας προσιέναι τοῖς φρικτοῖς μυστηρίοις· καὶ πρὸς τοὺς διὰ χρόνου πολλοῦ μεταλαμβάνοντας τῶν θείων μυστηρίων.

ιηʹ. Περὶ τρόπου εἰς τὸ αἱρεῖσθαι τὴν πενίαν· τοῦτο γάρ ἐστι Χριστοῦ μιμητὴν εἶναι καὶ τῶν ἀποστόλων, καὶ ὅτι τέλειός ἐστιν ὁ κατὰ Θεὸν πτωχεύων.

ιθʹ. Ὅτι ἀγαπῶντες τοὺς πλησίον οὐκ ἐκείνοις τοσοῦτον, ὅσον ἑαυτοῖς χαριζόμεθα.

κʹ. Κατὰ φιλοκόσμων γυναικῶν, καὶ κατὰ πλεονεξίας, καὶ παραμυθία πρὸς τοὺς πλεονεκτουμένους, καὶ ὅτι οὐ στεφάνων ὁ παρὼν καιρός, ἀλλὰ τῶν ἀγώνων καὶ ἱδρώτων.

καʹ. Ὅτι ἐπὶ θύραις ἐστὶ τὸ τέλος, καὶ ὅτι μετὰ τῶν ἄλλων κακῶν, καὶ γλώσσης γινόμεθα ἀκρατεῖς διαπορθμεύοντες ἐν σχήματι εὐλαβείας τὰ τοῦ πλησίον ἐλαττώματα τοῖς κωμῳδεῖν εἰδόσιν· ὅπερ ἱκανὸν χωρὶς ἄλλου τινὸς τῇ αἰωνίᾳ κολάσει παραπέμψαι ἡμᾶς.

κβʹ. Ὅτι οὕτω δεῖ διηνεκῶς ζητεῖν τὸν Θεόν, ὃν τρόπον ζητεῖ τις υἱὸν ἀπολωλότα· καὶ περὶ ἐκτενοῦς προσευχῆς· καὶ ὅτι οὕτω δεῖ μακροθυμεῖν καὶ γελᾶν ἐν ἑαυτοῖς τοὺς ὑβρίζοντας, ὃν τρόπον γελῶμεν ὑπὸ παίδων ὑβριζόμενοι.

κγʹ. Ὅτι οὐ παρ' ἑτέρων ἀποστερούμεθα τῶν μελλόντων ἀγαθῶν, ἀλλ' ἑαυτοῖς αἴτιοι τῆς τούτων ἐκπτώσεως γινόμεθα, καὶ περὶ τῆς εἰς ἡμᾶς ἀγάπης Θεοῦ, καὶ ὅτι θρηνεῖν καὶ ὀδυρ-


μεθα

## ΤΩΝ ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΤΙΤΟΝ ΕΠΙΣΤ.

ἠθικῶν πίναξ.


α'. Περὶ διδασκάλων ὁποίους χρὴ εἶναι, καὶ ὅπως δεῖ τούτοις τοὺς ἀρχομένους ὑποτάσσεσθαι, καὶ μὴ καταχρίνειν, εἰ σωματικὴν ἴδοιεν ἄνεσιν ἐπ' αὐτῶν.

β'. Περὶ τοῦ μὴ ἐπιθυμεῖν δόξης ἀνθρωπίνης, καὶ ὅτι ὁ τῷ ἔρωτι ταύτης ἁλοὺς, τῆς δόξης ἐκπίπτει τοῦ Θεοῦ, καὶ ἀνδραπόδων ἐστὶ δουλικώτερος.

γ'. Ὅτι οὐδὲν ἄλλο ἀκάθαρτον, εἰ μὴ ἡ ἁμαρτία, ἡ πλεονεξία, καὶ τὰ ὅμοια· τὰ δὲ δοκοῦντα ἀκάθαρτα, ὀνόματι μόνῳ, ἀλλ' οὐκ ἀληθείᾳ εἰσί.

δ'. Περὶ δούλων, ὅτι οὐδὲν αὐτοὺς βλάπτει πρὸς ἀρετὴν, ἐὰν πρὸς αὐτὴν βλέπωσι, καὶ μαρτυρία σαφὴς ὁ ἐνάρετος Ἰωσὴφ βληθεὶς εἰς φυλακήν.

ε'. Περὶ εὐεργεσίας καὶ τῆς πρὸς τοὺς ἀδελφοὺς συμβουλῆς καὶ φροντίδος, καὶ ὅτι οὐ χρὴ ἑαυτῶν, καὶ τῶν ὁμοδούλων ἀμελεῖν ἐννοοῦντας τὴν τοῦ Θεοῦ χάριν πρὸς ἡμᾶς.

ϛ'. Περὶ ἐλεημοσύνης, καὶ τίνος χάριν παρὰ γυναικῶν ἐτρέφετο ὁ δεσπότης ἡμῶν καὶ οἱ ἀπόστολοι, καὶ ὅτι οἱ πολυτελοῦντες ἀχείρωτοι, καὶ δέησις ἀξία, ὅτι δεῖ ἐλπίζειν ἐπὶ Θεόν.


## ΤΩΝ ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ ΕΠΙΣΤ.

ἠθικῶν πίναξ.


α'. Περὶ τοῦ συγγινώσκειν τοῖς ἁμαρτάνουσι, καὶ προσδοκᾶν παρὰ Θεοῦ τὴν ἰδίων κακῶν συγχώρησιν, καὶ μὴ προτιμᾶν ἀνθρώπους τοῦ Θεοῦ, καὶ ὁμολογεῖν τὰ ἁμαρτήματα.

β'. Περὶ τοῦ συγχωρεῖν τοῖς οἰκέταις τὰ ἁμαρτήματα, καὶ μὴ ἀπογινώσκειν αὐτῶν, καὶ περὶ ταπεινοφροσύνης, καὶ τῶν τριῶν παίδων καὶ Δανιὴλ τοῦ προφήτου.

γ'. Περὶ εὐχῆς, ὅτι μέγα ἀγαθὸν αὕτη, καὶ ὅτι χρὴ τὰς παρὰ τῶν ἱερέων εὐχὰς αἰτεῖν, καὶ ποιεῖν τὰ τῆς εὐλογίας ἄξια, καὶ πῶς ἀγαθὸς ὁ Θεὸς, πῶς δὲ φιλάνθρωπος.


## ΤΩΝ ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ ΗΘΙΚΩΝ

πίναξ.


α'. Περὶ τοῦ δεῖν καθαροὺς εἶναι ἀπὸ ἁμαρτίας· καὶ ὅτι καὶ τὰ δοκοῦντα μικρὰ τῶν ἁμαρτημάτων σφόδρα μεγάλα τυγχάνει· καὶ ὅτι οὐδὲν ἄλλο ἡμῶν προστήσεται ἐν τῇ κρίσει, πλὴν τῆς εὐποιΐας καὶ ἐλεημοσύνης.

β'. Κατὰ ἀπονοίας, καὶ ὅτι πρὸς μὲν κακίαν μᾶλλον ἐπιτήδειος ὁ πλοῦτος, πρὸς δὲ ἀρετὴν ἡ πενία· καὶ ὅτι ἡδίων μᾶλλον ὁ τῶν πενήτων βίος, ἢ τῶν πλουσίων.

γ'. Ὅτι μόνοι λύπης ἄξιοι οἱ ἁμαρτάνοντες· καὶ τί δήποτε πολλάκις καὶ καθαρὸν ἔχοντες βίον οὐ λαμβάνουσι χαρίσματα· καὶ ὅτι μᾶλλον τοῖς ἀφελεστέροις καὶ ἁπλουστέροις δίδοται πρὸς τὸ συμφέρον· καὶ περὶ τοῦ μὴ δεῖν χαρισμάτων ἐπιθυμεῖν, καὶ ὅτι μεῖζον πάντων ἡ ἀγάπη.

δ'. Περὶ τοῦ μὴ πενθεῖν ἐπὶ τοῖς κοιμωμένοις, καὶ ὅτι οὐ δεῖ καλεῖν ἐπ' αὐτοῖς θρηνητρίας, καὶ ὅτι ἐστὶν ἀνάστασις, καὶ αἰωνίων ἀπόλαυσις ἀγαθῶν.

ε'. Περὶ τοῦ μὴ χρῆναι θορυβεῖσθαι βλέποντας πονηροὺς μὲν εὐπραγοῦντας, ἀγαθοὺς δὲ κακοπραγοῦντας, ἀφορῶντας πρὸς τὴν μέλλουσαν ἔσεσθαι κρίσιν· καὶ ὅτι δεῖ τὸν χριστιανὸν ἐν ἀγωνίαις ἀεὶ ζῆν· καὶ περὶ τοῦ μὴ ἐπιπηδᾶν τοῖς πειρασμοῖς, ἀλλ' ἐμπεσόντας ὑπομένειν γενναίως.


ϛ'. Περί

Digitized by Google

ια'. Περὶ τῆς τῶν παρόντων εὐτελείας, καὶ τῆς τῶν μελλόντων ἀπολαύσεως.

ιβ'. Ὅτι πόνων δεῖται ἡ ἀρετή, καὶ ὅτι κατὰ ἀλήθειαν ἀγαθὸν ἀρετή, οὐχ ὁ πλοῦτος.

ιγ'. Κατὰ τρυφῆς καὶ σπατάλης διὰ πλειόνων.

ιδ'. Περὶ τοῦ τὰς εὐποιΐας δι' ἑαυτῶν καὶ λανθανόντως ποιεῖσθαι, καὶ περὶ βίου μοναχῶν.

ιε'. Περὶ τῆς τῶν παρόντων ματαιότητος, καὶ τῆς τῶν μελλόντων ἀπολαύσεως, καὶ πῶς δυνάμεθα μιμεῖσθαι τὸν Θεόν, καὶ περὶ τῆς ἀγάπης τοῦ Χριστοῦ τῆς εἰς ἡμᾶς, ἥτις δείκνυται μάλιστα ἐκ τῆς θείας μεταλήψεως.

ιϛ'. Ἔλεγχος πρὸς τοὺς μὴ δουλεύοντας τῷ Θεῷ, ὅσοι ἀπαιτοῦσι δουλεύεσθαι ὑπὸ τῶν ἰδίων οἰκετῶν.

ιζ'. Κατὰ φιλαργυρίας, καὶ ὅτι ἀληθὴς ἐλευθερία ἐστὶ τὸ κρείττω εἶναι παθῶν.

ιη'. Ὅτι πέτρα ἀρραγὴς ἡ πίστις, καὶ ἀληθὴς ἐλευθερία ἐστὶ τὸ κρείττω εἶναι παθῶν, καὶ κατὰ φιλαργυρίας.

## ΤΩΝ ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΤΙΜ. β. ΕΠΙΣΤ. ΗΘΙΚΩΝ ΠΙΝΑΞ.

α'. Ὅτι ὥσπερ οὐκ ἔστιν εὑρεῖν ἄνθρωπον ἀθάνατον, οὕτως οὐδὲ χωρὶς λύπης ζῶντα ἐν τῷ βίῳ, καὶ ὅτι μία λύπη ἐπωφελής, ἡ διὰ ἁμαρτίας, καὶ περὶ ἐλεημοσύνης.

β'. Ὅτι δεῖ ὑπακούειν τοῖς διδασκάλοις καὶ ἱερεῦσι, καὶ μὴ κρίνειν αὐτούς, κἂν βίον ἔχωσι φαῦλον· ἐὰν μέντοι περὶ τὴν πίστιν σφάλωσι, τότε οὐ δεῖ πείθεσθαι, ἀλλὰ καὶ ἀποφεύγειν καὶ κρίνειν αὐτούς. καὶ ὅτι πάντας μὲν οὐ χειροτονεῖ ὁ Θεός, διὰ πάντων δὲ αὐτὸς ἐνεργεῖ διὰ τὸ σωθῆναι τὸν λαόν, καὶ ὅτι ἡ αὐτή ἐστι προσφορά, κἂν ἀκάθαρτον βίον ἔχῃ ὁ προσφέρων.

γ'. Περὶ κρίσεως, καὶ ὅτι ἡ πλεονεξία οὐκ ἀπὸ τοῦ μεγέθους, ἀλλ' ἀπὸ προαιρέσεως κρίνεται, καὶ περὶ τοῦ μὴ σκοπεῖν τὰ ἑτέρων ἁμαρτήματα, ἀλλὰ τὰ καθ' ἑαυτούς.

δ'. Ὅτι ἀληθινὴν δόξαν καὶ ἐν τῷ παρόντι, καὶ ἐν τῷ μέλλοντι αἰῶνι οἱ ἅγιοι ἔχουσι, καὶ περὶ τῆς δόξης τοῦ ἀποστόλου καὶ Νέρωνος.

ε'. Κατὰ πλεονεξίας, καὶ ὅτι μεγάλη ἐστὶ τῷ πλεονέκτῃ καὶ διηνεκὴς βάσανος ἡ ἀπὸ τοῦ συνειδότος.

ϛ'. Περὶ ἐλεημοσύνης, καὶ κατὰ πλεονεξίας.

ζ'. Ὅτι ὁ μαθὼν καταφρονεῖν τῶν ἀνθρώπων, καὶ τοῦ Θεοῦ εὐχερῶς καταφρονήσει, καὶ κατὰ φιλαργύρων, καὶ ὅτι δεῖ παραινεῖν ἀλλήλοις, καὶ περὶ χηρῶν γυναικῶν πῶς ὀφείλουσι καὶ ἑαυτὰς καὶ τὰ ἑαυτῶν τέκνα μετὰ Θεὸν διοικεῖν.

η'. Ὅτι πάντα ὁ Θεὸς οἰκονομεῖ, καὶ πάντων προΐσταται, καὶ τὰ μὲν ἐνεργεῖ, τὰ δὲ συγχωρεῖ. καὶ ὅτι οἱ μὲν δίκαιοι ὡς ἐπιτοπολὺ ἐνταῦθα ἐν θλίψει, οἱ δὲ ἁμαρτωλοὶ ἐν εὐφροσύνῃ εἰσίν. εἰ δέ ποτε καὶ εὑρεθεῖεν δίκαιοι μὲν ἐν ἀνέσει, ἁμαρτωλοὶ δὲ ἐν θλίψει, ὥστε μηδὲ τὴν ἀρετὴν εἶναι φευκτήν, μηδὲ τὴν μέλλουσαν ἀπόλαυσιν ἄπιστον, τοῦτο συμβαίνει· καὶ περὶ τοῦ μὴ πολυπραγμονεῖν πάντα τὰ περὶ Θεοῦ γινόμενα διὰ τὸ ἀκατάληπτον, καὶ ὅτι οὐ δεῖ προσέχειν μαντείαις.

θ'. Ὅτι δεῖ καταφρονεῖν τῶν προσκαίρων, καὶ ὅτι κἂν μὴ διὰ Χριστὸν ἐπηρεασθῶμεν, ὅμως μακροθύμως ἐνέγκωμεν, διὰ Θεὸν ἡμῖν ὑπομονὴ λογίζεται.

ι'. Ὅτι ὁ τῶν ἰδίων καταφρονῶν διὰ τὸν Θεόν, τὰ τοῦ Θεοῦ λαμβάνει, καὶ ὅτι βίας ὄντως χρεία πρὸς τὴν κτῆσιν τῆς ἀρετῆς. πολλὰ γὰρ τὰ κωλύματα, οἷον γυνή, παῖδες, φροντίδες βιωτικαί, ὧν δεῖ πάντων καταφρονεῖν καὶ προτιμᾶν τὸν Θεόν, εἴγε καὶ ἑαυτοὺς καὶ τοὺς ἡμῖν προσήκοντας ὠφελῆσαι σπουδάζομεν.

τοὺς ἑαυτῶν παῖδας ταχέως ὑπὸ γάμον ἄγειν, καὶ περὶ τοῦ φεύγειν τὰ θέατρα ὡς αἴτια πολλῶν κακῶν.

ϛ'. Ὅτι οὐ δεῖ θρηνεῖν τὸν ἀπελθόντα, καὶ ὅτι ἐκ τοῦ μὴ ἀγαπᾶν τὸν Θεὸν, μηδὲ τὴν ἐλπίδα ἔχειν ἐπ' αὐτὸν, αἱ θλίψεις τοῖς πενθοῦσι βαρύτεραι γίνονται, καὶ πῶς ὀφείλουσιν αἱ χῆραι διάγειν, καὶ ἀνατρέφειν τὰ τέκνα.

ζ'. Περὶ ἀναστάσεως, καὶ ὅτι οὐ δεῖ τὰ ἀκατάληπτα τοῦ Θεοῦ πολυπραγμονεῖν, μάλιστα δὲ τὴν ἄφραστον αὐτοῦ γέννησιν.

η'. Περὶ ἀναστάσεως, καὶ κρίσεως, καὶ ἀνταποδόσεως, καὶ ταύτης σαφὴς ἀπόδειξις, καὶ ὅτι καὶ Ἰουδαῖοι καὶ Ἕλληνες ὁμολογοῦσιν ἔσεσθαι ἀνταπόδοσιν ἀγαθῶν καὶ κακῶν.

θ'. Περὶ ἐπιτομῆς πρὸς ἀρετὴν, καὶ ὅτι ἀδύνατον τὸν ἐνταῦθα ἐν τρυφῇ καὶ ἀνέσει διάγοντα, τῶν μελλόντων ἀπολαῦσαι ἀγαθῶν, καὶ περὶ ἀναστάσεως, καὶ κρίσεως.

ι'. Ὅτι οὐχ ἡ τῶν παίδων ἀνάγκη πρὸς τὴν τῶν χρημάτων βιάζεται συλλογὴν, ἀλλ' ἡ φιλαργυρεία, καὶ ὅτι τοῦ εὐποιεῖν τὸ φέρειν μακροθύμως ἁρπαζόμενον διὰ τὸν Θεὸν πολλῷ μεῖζόν ἐστι, καὶ ὅτι ἡ πλεονεξία οὐκ ἀπὸ τοῦ μεγέθους, ἀλλ' ἀπὸ προαιρέσεως κρίνεται.

## ΤΩΝ ΕΙΣ ΤΗΝ β. ΠΡΟΣ ΘΕΣΣ. ΕΠΙΣΤ.

ἠθικῶν πίναξ.

α'. Περὶ τύφου, καὶ ὑπερηφανίας.

β'. Ὅτι δεῖ μνημονεύειν ἀεὶ τῆς κρίσεως, καὶ τῆς γεέννης. Εἰ μὴ γὰρ μέγα ἔφερεν ἡμῖν ὄφελος ἡ γέεννα, οὐκ ἂν αὐτὴν ἠπείλησεν ὁ Θεός. διὸ ὁ ταύτην ἔχων διαπαντὸς τὴν μνήμην, οὐκ ἂν αὐτῆς πεῖραν λάβοι, ἀλλ' οὐδὲ ἁμαρτήσεται εὐχερῶς.

γ'. Κατὰ πλουτούντων, καὶ ὅτι ἐν ταῖς ἐκκλησίαις μετὰ σεμνότητος δεῖ εἰσιέναι, καὶ ἀκριβῶς προσέχειν τοῖς ἀναγινωσκομένοις.

δ'. Αἴτησις εὐχῆς ὑπὲρ αὐτοῦ παρὰ τοῦ λαοῦ, ὡς μεγάλα ταύτης ὠφελῆσαι δυναμένης, καὶ περὶ τοῦ μὴ λυπεῖσθαι κατὰ ψυχὴν, καὶ ἀποκρύπτειν, μηδὲ κατὰ ἑαυτοῦ, μηδὲ κατὰ ἑτέρου, ἀλλὰ μᾶλλον ἐλέγχειν. δείκνυται δὲ ὅτι ἐπίσκοπος ὢν εἶπε τὸν λόγον τοῦτον.

ε'. Περὶ τοῦ ἕκαστον διδάσκειν τοὺς ἐν τῇ οἰκίᾳ καὶ ἔργῳ καὶ λόγῳ τὴν ἀρετήν.

## ΤΩΝ ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΤΙΜΟΘ. α. ΕΠΙΣΤ.

ἠθικῶν πίναξ.

α'. Περὶ τοῦ πίστιν ἔχειν, καὶ μὴ πολυπραγμονεῖν, καὶ κατὰ τῶν λεγόντων γένεσιν καὶ εἱμαρμένην.

β'. Ὅτι δόξα καὶ ἡδονὴ ἀληθὴς ἐν τοῖς πνευματικοῖς ἐστιν, οὐκ ἐν τοῖς σαρκικοῖς.

γ'. Ὅτι δεῖ τὸν Χριστὸν ὡς φίλον γνήσιον ἀγαπᾶν, νῦν δὲ ὡς ἐχθρὸν μισοῦμεν καὶ ἀποστρεφόμεθα, καὶ ὅτι δεῖ ἡμᾶς τοὺς ἐχθροὺς ἀγαπᾶν καὶ εὐεργετεῖν.

δ'. Τὸ ὀρθῶς βιοῦν ἡμᾶς δόξαν προξενεῖ Θεῷ, καὶ κατὰ καλλωπιζομένων γυναικῶν.

ε'. Κατὰ τῶν ἀναξίως προσιόντων τοῖς ἁγίοις μυστηρίοις.

ϛ'. Περὶ τοῦ μὴ ἀρᾶσθαι καὶ κατεύχεσθαι τῶν ἐχθρῶν, ἀλλὰ μᾶλλον ὑπερεύχεσθαι· τούτῳ γὰρ ἑαυτοὺς τι εὐεργετοῦμεν, καὶ Θεὸν μιμούμεθα.

ζ'. Κατὰ πλουτούντων, καὶ καλλωπιζομένων γυναικῶν.

η'. Κατὰ καλλωπιζομένων γυναικῶν, καὶ ἐκκλησιαστικῶν παρθένων.

θ'. Παραίνεσις πρὸς γονεῖς περὶ ἀναγωγῆς τέκνων.

ι'. Περὶ ἀρίστης πολιτείας, καὶ τῆς μελλούσης κρίσεως.

β′. Περὶ τοῦ ἀεὶ μεμνῆσθαι τῆς τοῦ Θεοῦ εὐεργεσίας, καὶ μὴ ἀποπηδᾶν, καὶ περὶ κρίσεως καὶ κολάσεως, καὶ ὅτι δακρύων δεῖ καὶ πένθους πρὸς τὸ ταύτης ἀπαλλαγῆναι.

γ′. Ὅτι ἕκαστος τῶν πιστῶν ἄγγελον ἔχει παρὰ Θεοῦ εἰς φυλακὴν, καὶ περὶ τῆς τοῦ Θεοῦ εἰρήνης, καὶ ὅτι τοῖς ἱερεῦσιν ὡς Θεῷ, πείθεσθαι δεῖ.

δ′. Περὶ τοῦ εὐγνωμόνως δέχεσθαι τὰ παρὰ Θεοῦ, καὶ μὴ πολυπραγμονεῖν φιλονείκως τὰς θείας οἰκονομίας, ἀλλ᾽ εὐχαριστεῖν ὑπὲρ πάντων, καὶ μὴ ἀποδυσπετεῖν, καὶ περὶ τῆς κατὰ τοὺς Ἰουδαίους ἀπιστίας.

ε′. Ὅτι πανταχοῦ ὁ Θεὸς, καὶ ὅτι ἀπερίγραπτος, καὶ περὶ θείας ἐνεργείας καὶ κτίσεως, καὶ ὅτι ἀπὸ τῶν ἐν τύπῳ γινομένων δυνάμεθα ταῖς γραφαῖς ἀκολουθοῦντες μὴ ἀπιστεῖν.

ϛ′. Περὶ τοῦ πάθους, καὶ τῆς ταφῆς τοῦ δεσπότου Χριστοῦ, καὶ περὶ ὧν ἐν τῷ ἁγίῳ βαπτίσματι συνταφόμεθα, καὶ περὶ τῆς ἑνώσεως τοῦ θείου σώματος.

ζ′. Περὶ τῆς μενούσης ἐν Θεῷ τιμῆς, καὶ ἀπολαύσεως, καὶ ὅτι τὰ παρόντα, ἀδοξία σαφὴς, καὶ κατὰ τρυφώντων, καὶ παραχρωμένων τῷ πλούτῳ, καὶ περὶ κολακευόντων, καὶ περὶ ἐλεημοσύνης.

η′. Περὶ τῆς ἐν πάσῃ εὐχαριστίας, καὶ ἐν τοῖς λυπηροῖς, καὶ ὅτι πρὸς τὸν Θεὸν δεῖ καταφεύγειν, καὶ τὴν ἐκεῖθεν ἐκκαλεῖσθαι βοήθειαν, καὶ μὴ πρὸς μάντεις καὶ γραΐδια.

θ′. Περὶ εὐχῶν, καὶ ψαλμῳδιῶν, καὶ ἐν ὀνόματι Κυρίου ποιεῖν πάντα τὰ ἐπιβάλλοντα, καὶ ἔχειν σύμμαχον αὐτὸν, καὶ εὐχαριστεῖν αὐτῷ καὶ εὐαρεστεῖν.

ι′. Ἐγκώμιον τῶν τοῦ Παύλου δεσμῶν, καὶ ὅτι μᾶλλον ἡ φιλοκοσμία, δεσμὰ, καὶ περὶ ἐλεημοσύνης καὶ σωφροσύνης, καὶ κατὰ καλλωπιζομένων γυναικῶν.

ια′. Περὶ ἀγάπης καὶ συμπαθείας, καὶ τοῦ συγχαίρειν καὶ συλλυπεῖσθαι τοῖς ἀδελφοῖς, καὶ περὶ τοῦ μὴ φθονεῖν εὐδοκιμοῦσι, καὶ ἑαυτοὺς ὠφελεῖν.

ιβ′. Περὶ τοῦ μὴ ἀσχάλλειν ἐν ταῖς διὰ Χριστὸν θλίψεσιν, ἀλλὰ μνημονεύειν τῶν δεσμῶν Παύλου, καὶ ἀπέχεσθαι τῶν βλαβερῶν, καὶ περὶ δακρύων ψυχικῶν, καὶ περὶ γάμων εὐπρεπῶν καὶ ἀσέμνων, καὶ ὅτι κόσμος τῇ νύμφῃ σωφροσύνη καὶ αἰδὼς, οὐχὶ θόρυβος, καὶ μέθη, καὶ κρότοι, καὶ αὐλοί.

## ΤΩΝ ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΤΟΥΣ ΘΕΣΣ. α′. ΕΠΙΣΤ. ἠθικῶν πίναξ.

α′. Ὅτι οὐ δεῖ ἀπογινώσκειν καὶ καταφρονεῖν τῶν εὐχῶν τῶν ἁγίων, ἀλλὰ καὶ σφόδρα ταύτας ἐπιζητεῖν, πλὴν τότε ἡμᾶς ὠφελοῦσιν, ὅταν καὶ ἡμεῖς τῆς ἀρετῆς ἀντεχώμεθα.

β′. Ὅτι οὐδὲν μεῖζον φιλίας πνευματικῆς, ἀλλὰ κἂν αὐτὴν εἴποις τὴν ζωὴν, τὰ δεύτερα ταύτης κέκτηται.

γ′. Περὶ τοῦ μακροθυμεῖν ἐν ταῖς θλίψεσι, καὶ εὐχαριστεῖν κἂν ζημία ᾖ χρημάτων, ἢ ἀποβολὴ παιδίων συμβῇ, λέγειν δεῖ, Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο. ὁ γὰρ τὰ τοιαῦτα γενναίως φέρων, ὅμοιός ἐστιν Ἀβραὰμ, καὶ Ἰώβ· καὶ ὅτι οἱ τῶν δαίμονες λέγουσι περὶ τῶν ἀπολλυμένων, ὡς συνεργοὶ τῶν κλεπτῶν, ἴσασι πολλάκις τοὺς τόπους ποῦ τὰ κλαπέντα ἀπετέθη.

δ′. Ὅτι μέγα ἀγαθὸν ἡ εἰς τὸν πλησίον ἀγάπη, καὶ περὶ τῆς Ἄβελ, καὶ Παύλου, καὶ Ἰωσὴφ ἀγάπης, καὶ περὶ ἀμνησικακίας.

ε′. Κατὰ πορνῶν, καὶ μοιχῶν, καὶ ὅτι δεῖ τοὺς πατέρας καὶ βουλομένους κοσμικὸν ἔχειν βίον,

τοὺς

Ἡ Πρὸς Γαλάτας ἐπιστολὴ ἀδιακόπως ἐξηγηθεῖσα, οὐκ ἰδίως ἔχει τὰ ἠθικά, καθὼς καὶ αἱ ἕτεραι.

## ΤΩΝ ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΦΙΛΙΠΠ. ΗΘΙΚΩΝ ΠΙΝΑΞ.


α'. Ὅτι διὰ παντὸς τοῦ βίου χρὴ ἡμᾶς ἐλεεῖν, καὶ περὶ τοῦ καταφρονεῖν χρημάτων, καὶ ὅτι πάντα τὰ κακὰ δι' αὐτὰ γίνονται, καὶ ὅτι ὁ ἑαυτὸν μὴ διατιθεὶς οὕτως ὡς λαμβάνων, ἢ μυρία εὐεργετούμενος, μὴ δότω ἐλεημοσύνην.

β'. Ὅτι εὐχαριστεῖν ὀφείλομεν τῷ Θεῷ συμμέτρως ἡμῖν ἀγωνίας διαρπαζομένῳ, καὶ φορτικὸν καὶ ἐπαχθὲς οὐδὲν ἡμῖν ἐπιτάξαντι.

γ'. Ὅτι τοὺς ἁμαρτωλοὺς καὶ ζῶντας καὶ ἀποθνήσκοντας θρηνεῖν δεῖ, μάλιστα τοὺς χωρὶς φωτίσματος, καὶ τοὺς ἐν πλούτῳ, καὶ ὅτι μεγάλα ὠφελοῦσι τοὺς κοιμηθέντας αἱ ὑπὲρ αὐτῶν γινόμεναι ἐλεημοσύναι καὶ αἱ λειτουργίαι.

δ'. Ὅτι πολλὰς ἡμῖν ὁδοὺς ὁ Θεὸς κατεσκεύασε πρὸς τὸ μὴ ἁμαρτάνειν, καὶ ὅτι τοῦ ἐλέους τοῦ Θεοῦ πάντες δεόμεθα. οὐδὲν γὰρ οὕτω προξενεῖ τῷ Θεῷ, ὡς τὸ ἐλεήμονα εἶναι.

ε'. Περὶ ταπεινοφροσύνης, καὶ μαρτυρία περὶ ταύτης, ἔκ τε τοῦ Δαβὶδ, καὶ τοῦ Δανιὴλ, καὶ περὶ τοῦ μὴ κόλακας εἶναι.

ϛ'. Περὶ τοῦ εὐχαριστεῖν τῷ Θεῷ, καὶ εἰς δόξαν αὐτοῦ ζῆν ἐκ τοῦ βίον ἄξιον δεικνύειν, καὶ κατὰ φιλαργυρίας, καὶ τοῦ προσόδου.

ζ'. Περὶ τοῦ πιστεύειν εἰς δόξαν Θεοῦ, καὶ βιοῦν εἰς δόξαν αὐτοῦ, καὶ περὶ ταπεινοφροσύνης· καὶ ὅτι χείρους ἐσμὲν καὶ τῶν ἀλόγων ἀρετῆς ὄντες χωρίς.

η'. Κατὰ γογγυσμοῦ.

θ'. Ὅτι χρὴ τοῖς διδασκάλοις τὰ πρὸς τὴν χρείαν χορηγεῖν, καὶ παράδειγμα τὰ Ἰουδαϊκὰ, αἱ ἀποδεκατώσεις, καὶ τὰ ἕτερα, καὶ περὶ τοῦ, Μὴ κτήσησθε χρυσὸν, καὶ ὅτι οἱ ἀπόστολοι δυσὶ χιτῶσιν ἐχρῶντο.

ι'. Ὅτι πάντα καὶ ἡ παράχρησις τὴν ἀρίστην πολιτείαν λυμαίνεται, καὶ τῆς βασιλείας ἀποστερεῖ, αὕτη δὲ προαιρέσεως σφαλερᾶς.

ια'. Ὅτι ὅταν ἁμαρτάνωμεν, φεύγομεν ἀπὸ τοῦ Θεοῦ, καὶ χρὴ πιστεύειν καὶ ἐπιστρέφεσθαι, καὶ ἐπανέρχεσθαι πρὸς τὴν προτέραν εὐγένειαν.

ιβ'. Ὅτι τύπον ἔχοντες τοὺς ἀποστόλους, καὶ ἀρχέτυπον, ὡσαύτως καὶ τοὺς ἐν ἀρετῇ διαλάμψαντας, ἕξομεν καὶ πάντα εὑρεῖν.

ιγ'. Περὶ τῆς φιλανθρωπίας τοῦ Θεοῦ, καὶ ὅτι ἀφόρητος ἡ τῆς βασιλείας ἔκπτωσις, ὁ μὴ παθεῖν ἡμᾶς κύριοι, καὶ ὅτι θλίβεσθαι δεῖ ἢ ἐνταῦθα, ἢ ἐκεῖ.

ιδ'. Ὅτι ἐχθρὸν ἡμῖν ἡ κακία, καὶ φίλον ἡ ἀρετή, καὶ ὅτι οὐδεὶς ἡμᾶς ἀδικεῖ, μόνον ἐὰν μὴ τὸν τῆς ψυχῆς πλοῦτον ἁρπάσῃ.

ιε'. Ὅτι δεσμός ἐστιν ἡ θλίψις ἀρραγὴς, καὶ περὶ ἀγάπης καὶ συμπαθείας, καὶ ὅτι ἡ ὄψις τοῦ ἐκεῖσε κόλασιν προξενεῖ.


## ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΚΟΛΑΣΣ. ΕΠΙΣΤ. ΗΘΙΚΩΝ ΠΙΝΑΞ.


α'. Περὶ φιλίας σαρκικῆς, καὶ πνευματικῆς, καὶ ὅτι ἡ πνευματικὴ πολλῷ βεβαιοτέρα, καὶ περὶ εὐγνωμοσύνης καὶ ἀγνωμοσύνης, καὶ περὶ κακίας, καὶ ἀρετῆς, καὶ ἐλεημοσύνης.




Digitized by Google

β'. Ὅτι τὰ καλὰ κατὰ φύσιν ἐστί, τὰ δὲ ἁμαρτήματα παρὰ φύσιν· καὶ ὅτι οὐκ ἐξ ἀνάγκης τινός, ἀλλ' ἐκ φαύλης προαιρέσεως ἁμαρτάνομεν.

γ'. Περὶ τῆς δωρεᾶς τοῦ δεσποτικοῦ σώματος, καὶ ὅτι τὸν μὴ μετέχοντα τούτου οὐ δεῖ οὐδὲ ἐπὶ τὴν εὐχὴν τὴν ἐν τῇ προσφορᾷ παρεῖναι.

δ'. Ὅτι δεῖ πάσας κατορθῶσαι τὰς ἀρετὰς τὸν μέλλοντα βασιλείας ἀξιοῦσθαι, τὸ δὲ τινὰ μὲν κατορθοῦν, τινὰ δὲ παραβαίνειν, ἐκβάλλει τῆς βασιλείας.

ε'. Ὅτι τὰ ἁμαρτήματα, εἰ καὶ σαρκικὰ λέγεται, ἀλλ' οὐ σώματος μόνου, ἀλλὰ καὶ τῆς ψυχῆς, καὶ ποῖά ἐστιν ἁμαρτήματα ψυχῆς χωρὶς τοῦ σώματος.

ϛ'. Ὅτι δεῖ τὸν διδάσκαλον ζέειν ἐν τῷ πνεύματι, βίον ἄληπτον ἔχειν, οἰκονομικὸν εἶναι· νυνὶ δὲ ἐν ταῖς ἐκκλησίαις πάντα ἐναντία.

ζ'. Ὅτι ὥσπερ διαπύρως τις ἀγαπᾷ τὴν ἑαυτοῦ ἐρωμένην, οὕτω δεῖ διαπύρως ἀγαπᾶν τὸν Θεόν, καὶ τὸν ἀδελφὸν αὐτοῦ.

η'. Περὶ τῶν Παύλου δεσμῶν καὶ Πέτρου, καὶ τῶν τριῶν παίδων, καὶ Ἰωάννου, καὶ Ἱερεμίου, καὶ Ἰωσήφ, καὶ αὐτοῦ τοῦ Κυρίου.

θ'. Ὅτι διὰ τῆς πρὸς ἀλλήλους ἀγάπης καὶ ὁ τῆς εἰρήνης σύνδεσμος σώζεται.

ι'. Περὶ τοῦ μὴ κατεξανίστασθαι ἀλλήλων, καὶ ὅσα κακὰ ἡ φιλαρχία τῇ ἐκκλησίᾳ εἰργάσατο.

ια'. Κατὰ σχισματικῶν ἀποσχιζόντων ἑαυτοὺς τῆς ἐκκλησίας ἐπὶ τῇ αὐτῇ πίστει, διὰ τὸ ὄνομα καὶ ἀσχήμονα ποιεῖν.

ιβ'. Περὶ τῆς τῶν παρόντων ματαιότητος, καὶ τίνα εἰσὶ μάταια, καὶ κατὰ Ἑλλήνων λατρευόντων τῇ κτίσει.

ιγ'. Προτροπὴ εἰς ἀρετήν, καὶ διήγησις περὶ γυναικῶν τῶν τὴν ἄσκησιν ἑλομένων.

ιδ'. Ὅτι οὐ δεῖ ὑβρίζειν καὶ αἰσχρολογεῖν.

ιε'. Περὶ τοῦ μὴ ὀργίζεσθαι, μηδὲ τύπτειν ἀσχημόνως δεσποίνας τὰς ἑαυτῶν θεραπαινίδας.

ιϛ'. Ὅτι δεῖ τὰ ἐναντία, τῆς κακίας ἐκκοπτομένης, ἐργάζεσθαι, ἐπεὶ οὐδὲν ὄφελος ὀργῆς ἐκριζωθείσης τυχεῖν, ἂν μὴ ἀγάπη ἐπιδαψιλευθῇ.

ιζ'. Περὶ τοῦ μὴ ἀργολογεῖν, καὶ κατὰ γελωτοποιῶν καὶ μίμων καὶ εὐτραπέλων, καὶ ὅτι ἡ εὐλάβεια πάντων τούτων περιοῦσα περιγίνεται.

ιη'. Ὅτι δεῖ ἀφεμένους τῶν πονηρῶν ἔργων, τῷ φωτὶ τῆς ἀρετῆς προσελθεῖν, καὶ μὴ περιορᾶν ἁμαρτάνοντας τοὺς ἀδελφούς.

ιθ'. Περὶ τοῦ μὴ περιεργάζεσθαι τὰ ἑτέρων ἐλαττώματα, ἀλλ' ὑποτάσσεσθαι ἀλλήλοις ἐν φόβῳ Θεοῦ, καὶ τοῦτο ὑπὲρ ἁπάντων διαφέρειν.

κ'. Περὶ τοῦ ποιεῖσθαι πολλὴν πρόνοιαν καὶ γυναικῶν, καὶ παίδων, καὶ δούλων, καὶ τῆς πρὸς τὸν ἄνδρα ὑποταγῆς καὶ τιμῆς τῆς γυναικός, καὶ τοῦ σεμνοῦ βίου καὶ ἀπεριέργου.

κα'. Περὶ τοῦ ἐκτρέφειν τὰ ἴδια τέκνα ἐν φόβῳ Θεοῦ, καὶ περὶ ἐπιεικείας, καὶ πόσην καρποῦται καὶ ἐνταῦθα τὴν ἀμοιβήν· καὶ περὶ τοῦ καταφρονεῖν δόξης καὶ πλούτου, καὶ περὶ τοῦ Ἀβραάμ, καὶ ὅτι τὸ, Καθ' ὁμοίωσιν, ἡ τῆς ψυχῆς ἐστιν ἀρετή.

κβ'. Περὶ βίου ἐπιμελοῦς καὶ μεμεριμνημένου, ἵνα μὴ ἡττώμεθα πρὸς τοῦ πονηροῦ καθ' ἑκάστην ἐν πᾶσιν ἐπιβουλεύοντος, καὶ περὶ τῆς τῶν παρόντων ὑπεροψίας, καὶ τῆς τῶν μελλόντων σπουδῆς.

κγ'. Περὶ τοῦ ἑτοίμους εἶναι καὶ εὐσταλεῖς πρὸς ἀρετήν, καὶ τί τὸ πάσχα ἑορτάζομεν, καὶ τίς ἡ Αἴγυπτος, καὶ ὅτι ἐξουθενεῖ τὸν οὐρανὸν ὁ τὰ τῆς γῆς θαυμάζων.

κδ'. Περὶ τοῦ δεδιέναι τὰς ἀπειλάς, ὥστε φυγεῖν τὰ πράγματα, ὅτι ἡ ἀπόλαυσις παρέρχεται, ἡ δὲ ἁμαρτία μένει· καὶ ὅτι τῆς ἐλεημοσύνης ἀκαρπία καὶ ἡ ἄλλη ἁμαρτία ἀγνωρίστους ἡμᾶς καθίστησιν ἐπὶ τῷ Θεῷ, τῷ πάντα γινώσκοντι, καὶ τὰ εἰς σωτηρίαν συντείνοντα ἐντεταλμένῳ ἡμῖν.

φελεῖ ὁ εὐχόμενος, καὶ πιστοῦται τοῦτο ἀπὸ τῆς εὐχῆς τῆς γινομένης ὑπὲρ τῶν κατηχουμένων ἐν τῇ θείᾳ λειτουργίᾳ.
γ'. Ὅτι βασιλεὺς ὁ κρατῶν τῶν ἀτόπων λογισμῶν, καὶ περὶ τῆς Ἀβραὰμ μαρτυρίας.
δ'. Περὶ μετανοίας, καὶ τοῦ μὴ καταφρονεῖν τινος.
ε'. Περὶ φόβου Θεοῦ, καὶ τοῦ μηδένα ἄλλον δεδοικέναι, καὶ πρὸς ἐπίδειξίν τι ποιεῖν.
ς'. Περὶ τῆς ἐν Χριστῷ ζωῆς, καὶ ὅτι νεκρὰν ἔχει ψυχὴν ὁ τρυφῶν καὶ αἰσχρὰ φθεγγόμενος, καὶ ἀσελγαίνων, καὶ περὶ τοῦ Ἰωσὴφ καὶ τῆς Αἰγυπτίας.
ζ'. Κατὰ Ἀρειανῶν περὶ τοῦ πνεύματος, καὶ τῆς λαμπρότητος τοῦ σώματος τῶν ἁγίων, καὶ τὸ μὴ ἐρευνᾶν ἀσέμνως, ἀλλὰ θαυμάζειν τὸν δημιουργόν.
η'. Περὶ τῶν ἀποστόλων, καὶ τῆς ἐν αὐτοῖς θείας δυνάμεως.
θ'. Περὶ τῆς τῶν μελλόντων ἀνταποδόσεως, καὶ τοῦ κριτηρίου τοῦ φοβεροῦ.
ι'. Περὶ τῆς φοβερᾶς κρίσεως.
ια'. Ὅτι χεῖρόν ἐστι κολάσεως, τὸ προσκροῦσαι Θεῷ, καὶ ὅτι κόλασις ἡ ἁμαρτία.
ιβ'. Περὶ πλούτου καὶ πενίας, καὶ ὅτι οὐχ ἡ τῶν πραγμάτων φύσις, ἀλλ' ἡ τῆς ψυχῆς ἀσθένεια τὰς ἀποπλώσεις ἐργάζεται.
ιγ'. Ὅτι ἡ καθαρότης διὰ πασῶν συνίσταται τῶν ἀρετῶν, καὶ περὶ πλουτούντων, καὶ πενομένων, ὅτι διαφέρουσιν ἐν πᾶσιν οἱ πένητες.
ιδ'. Περὶ ἐπιτιμίων.
ιε'. Περὶ ἀρχῆς πνευματικῆς, καὶ κοσμικῆς, καὶ τῆς τῶν ἀρχομένων ὑποταγῆς, καὶ τῆς τούτων ἐπιμελείας.
ις'. Περὶ ἐλεημοσύνης.
ιζ'. Ὅτι φυσικὰ τὰ καλὰ, καὶ περὶ τοῦ μὴ δεδοικέναι πενίαν, καὶ συνέχειν πλοῦτον.
ιη'. Περὶ τοῦ ἀναγκαίου τῆς εὐχῆς, καὶ τοῦ μὴ διασχίζεσθαι ἀπ' ἀλλήλων.
ιθ'. Περὶ τοῦ μὴ ἀκριβολογεῖσθαι περὶ τὴν δόσιν.
κ'. Περὶ ἐλεημοσύνης.
κα'. Ἐγκώμιον τοῦ ἁγίου Παύλου, καὶ ὅτι κακῶς τοῖς τούτου λόγοις αἱρετικοὶ ἐχρήσαντο.
κβ'. Περὶ τοῦ μεμνῆσθαι τῶν προτέρων ἁμαρτιῶν, καὶ καθ' ἑκάστην ἀπροφασίστως μετανοεῖν, καὶ συγγνώμην αἰτεῖν.
κγ'. Περὶ τοῦ μὴ ἐπαίρεσθαι καὶ τυφοῦσθαι, καὶ μὴ ταῖς ἀλλοτρίαις ἐφήδεσθαι συμφοραῖς, καὶ περὶ τοῦ Δαβὶδ καὶ τοῦ Σολομῶντος.
κδ'. Περὶ φθόνου.
κε'. Ἐγκώμιον εἰς τὸν ἅγιον Παῦλον, καὶ περὶ ταπεινοφροσύνης.
κς'. Ὅτι ἡ θλῖψις καθαίρει τὴν ψυχὴν ἐκ τῶν παθῶν, καὶ τὸν Θεὸν ἐπισπᾶται, καὶ περὶ Ἀλεξάνδρου, καὶ τῆς δόξης τῶν ἁγίων.
κζ'. Περὶ φθόνου.
κη'. Ὅτι πᾶσα ἁμαρτία, ἀκαθαρσία λέγεται, καὶ περὶ Ἰωάννου τοῦ Βαπτιστοῦ, καὶ Ἡρώδου.
κθ'. Περὶ τοῦ προτιμᾶν τὴν τῶν μαθητῶν σωτηρίαν τῆς οἰκείας εὐδοκιμήσεως, καὶ τοῦ μὴ ἐπτοῆσθαι πρὸς ἀνθρωπίνας δόξας.
λ'. Περὶ τοῦ ἀγαπᾶν τὸν Θεὸν μὴ ῥήμασι μόνοις, ἀλλ' ἐκ τοῦ ποιεῖν κατὰ δύναμιν ἀπροφασίστως ἃ προσέταξεν.

## ΤΩΝ ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΕΦΕΣ. ΕΠΙΣΤ. ΗΘΙΚΩΝ ΠΙΝΑΞ.

α'. Τί λέγεται ἀνακεφαλαίωσις, καὶ ὅτι δεῖ ἡμᾶς τὰ πάντα ἀνάγειν, ὡς εἰς κεφαλὴν, τὸν Χριστὸν, καὶ ἄξιον βίον ἐπιδείκνυσθαι τῆς μεγίστης δωρεᾶς.



Digitized by Google

# ΠΙΝΑΞ ΤΩΝ ΗΘΙΚΩΝ


κϛʹ. Περὶ τοῦ φέρειν τὰ ἐλαττώματα τῶν γυναικῶν, καὶ μὴ τύπτειν αὐτάς.

κζʹ. Περὶ τοῦ μὴ τρυφᾶν ἐν ἑορταῖς, ἀλλὰ περὶ πτωχοὺς δαπανᾶν.

κηʹ. Περὶ τῆς ὑπομονῆς Ἰώβ, καὶ περὶ τοῦ μὴ πενθεῖν πικρῶς τοὺς τελευτῶντας, ἢ δυσχεραίνειν ἐπὶ ἀρρωστίαις ἢ ζημίαις, καὶ ἐγκώμιον εἰς τὸν δίκαιον Ἰώβ.

κθʹ. Ὅτι οὐ δεῖ ἐπιζητεῖν τίνος ἕνεκεν οἱ μὲν πλουτοῦσιν, οἱ δὲ πένονται, ἀλλ' ἀποδιδόναι τὰ τοιαῦτα τῷ ἀκαταλήπτῳ τῇ κρίσει τοῦ Θεοῦ, καὶ ἐπιλέγειν ἐπὶ πᾶσι, Τὰ κρίματα τοῦ Θεοῦ, ἄβυσσος πολλή.

λʹ. Ἐγκώμιον εἰς τὰς πενιχρὰς χήρας τὰς προσεδρευούσας ἐν ταῖς ἐκκλησίαις, καὶ ὅτι οὐ δεῖ ἡμᾶς πενίαν δεδοικότας, ἀρετῆς καταφρονεῖν.

λαʹ. Κατὰ φθονούντων.

λβʹ. Ἐγκώμιον διὰ πλειόνων εἰς τὴν ἀγάπην, καὶ εἰς τὸν Ἰωσήφ, καὶ ὅτι διὰ τὸ ἀγαπᾶν ἡμᾶς ἀλλήλους, ἐκέλευσεν ὁ Θεὸς γενέσθαι τὴν ἐλεημοσύνην.

λγʹ. Ἐγκώμιον εἰς τὴν ἀγάπην διὰ πλειόνων, καὶ ὅτι οὐ δεῖ ἡμᾶς, οὐδὲ ἀσεβεῖς, οὐδὲ ἁμαρτωλοὺς μισεῖν, ἀλλ' εὔχεσθαι ὑπὲρ αὐτῶν, καὶ μετὰ πρᾳότητος νουθετεῖν.

λδʹ. Ἐγκώμιον εἰς τὴν ἀγάπην, καὶ ὅτι οὐ πάντα πλοῦτον, οὐδὲ πᾶσαν πενίαν ὁ Θεὸς δίδωσιν.

λεʹ. Ὅτι δεῖ κατασκευάζειν ἡμᾶς αὐτοὺς πενίαν φέρειν γενναίως, ἵνα συμβάσης ἡμῖν πενίας, μὴ θορυβώμεθα, καὶ κατὰ πλουτούντων.

λϛʹ. Ὅτι τύποις νῦν μόνον σώζομεν τῆς ἐπὶ τῶν ἀποστόλων ἐκκλησίας, καὶ ὅτι μεθ' ἡσυχίας καὶ θορύβου παντὸς ἄνευ δεῖ ἡμᾶς συνέρχεσθαι ἐν τῇ ἐκκλησίᾳ.

λζʹ. Ὅτι ὁ μὲν σώφρων ἐν ἡδονῇ καὶ εὐφροσύνῃ ἐστὶ διηνεκεῖ, ὁ δὲ ἀσελγαίνων καὶ περὶ τῆς μίξεως, καὶ μετὰ τὴν μίξιν, ὑπὸ ἀθυμίας κατέχεται.

ληʹ. Ὅτι οὔτε ὁ πλοῦτος ἡδονῆς, οὔτε πενία ἀθυμίας ὑπόθεσις, καὶ ὅτι ἂν πρὸς τὴν μέλλουσαν ζωὴν ἀφορῶμεν, εὐχερῶς πενίαν φέρομεν, καὶ ὅτι διηνεκῶς δεῖ εὐθυμεῖν, καὶ μὴ λυπεῖσθαι, εἰ μὴ μόνον ἐφ' ἁμαρτίαις.

λθʹ. Ὅτι πρὸς τὴν μέλλουσαν ζωὴν ἀφορῶντας οὐ δεῖ πλοῦτον ἀγαπᾶν, ἢ πενίαν δεδοικέναι, καὶ κατὰ τρυφωσῶν γυναικῶν.

μʹ. Περὶ τοῦ μὴ κτᾶσθαι πολλοὺς οἰκέτας, ἀλλ' ἕνα ἢ δύο, καὶ κατὰ ὑπερηφάνων.

μαʹ. Περὶ τοῦ μὴ πενθεῖν πικρῶς τοὺς τελευτῶντας, ἀλλὰ μνήμας, καὶ προσευχάς, καὶ ἐλεημοσύνας ὑπὲρ αὐτῶν ποιεῖσθαι, εἴγε βουλόμεθα τούτους ὠφελῆσαι.

μβʹ. Ὅτι δεῖ ἡμᾶς τοῦ βίου ἐπιμελεῖσθαι ἑαυτῶν ἐνταῦθα, ὡς ἐκεῖ μηδὲν ἡμῶν ὠφεληθῆναι δυναμένων, μηδὲ ἀπὸ φίλων, μηδὲ ἀπὸ συγγενῶν, κἂν ὦσι μεγάλοι παρὰ Θεῷ.

μγʹ. Ὅτι οὐ δεῖ θαυμάζειν ἡμᾶς ὁρῶντας τοὺς ἐν ἀρεταῖς ζῶντας, δυσπραγοῦντας, ἀφορῶντας πρὸς τὴν μέλλουσαν ἀντίδοσιν, καὶ ὅτι δεῖ τοὺς ἔχοντας προσόδους, καὶ τοὺς ἄλλους μέντοι πάντας τι περιέχοντας, καὶ ἐργάζοντας, ἀπονέμειν εἰς ἐλεημοσύνην δεκάτην μοῖραν. τὰ γὰρ ἀπὸ τόκων, ἢ ἀπὸ δασμοῦ στρατιωτῶν προσαγόμενα οὐ προσδέχεται ὁ τῆς εὐσεβείας λόγος.

μδʹ. Ὅτι δεῖ ἡμᾶς παραινεῖν τοῖς ἀδελφοῖς μετὰ πρᾳότητος καὶ ἀγάπης, ἐπειδὰν βλέπωμεν αὐτοὺς ἄτοπόν τι πράττοντας, ὡς τό γε μὴ τοῦτο ποιεῖν, ἁμαρτία καὶ ἀπανθρωπία ἐστίν.


## ΤΩΝ ΕΙΣ ΤΗΝ β. ΠΡΟΣ ΚΟΡΙΝΘ. ΗΘΙΚΩΝ ΠΙΝΑΞ.


αʹ. Περὶ τοῦ μὴ καταπίπτειν ἐν ταῖς συμφοραῖς, περισσοτέρως δὲ ἐπὶ τοῖς νεκροῖς.

βʹ. Περὶ τοῦ εὔχεσθαι ὑπὲρ ἀλλήλων, ἐξαιρέτως δὲ τῶν πόρρω, καὶ ὅτι ἑαυτὸν ὠφελεῖ




Digitized by Google

δ'. Περὶ τῆς τῶν ἀποστόλων διδαχῆς, καὶ τῆς τῶν ἑλλήνων ἐν σοφίᾳ μωρίας.

ε'. Κατὰ ἑλλήνων, καὶ ὅτι οὐκ ἐν σοφίᾳ, οὐ πλούτῳ, ἀλλ' ἐν τῷ Θεῷ δεῖ καυχᾶσθαι. καὶ ὅτι τοὺς ἐνταῦθα ἐν ἀνέσει ζῶντας, ἐκεῖ κακουχηθῆναι δεῖ, καὶ ὅτι οὐδὲ τύχη, οὐδὲ στρατεία ἐμποδίζειν ἡμῖν ὀφείλει εἰς τὴν τῶν θείων μηγέτην.

ς'. Ὅτι θείᾳ δυνάμει ἠδυνήθησαν οἱ ἀπόστολοι τῶν ἑλλήνων περιγενέσθαι, καὶ ὅτι πάντας δεῖ πρὸς ἀρετὴν σπουδάζειν βίον καθαρὸν ἐπιδεικνυμένους μᾶλλον ἢ σημεῖα.

ζ'. Κατὰ ἑλλήνων, καὶ ὅτι θείας δυνάμεως ἦν τὸ κήρυγμα· δείκνυται δὲ τοῦτο, ἐκ τοῦ ὀλίγους, καὶ ἰδιώτας ὄντας τοὺς ἀποστόλους, πάντων περιγενέσθαι, καὶ ὅτι ὀρθῶς βιοῦντες καὶ ἕλληνας ἕλκομεν εἰς θεοσέβειαν.

η'. Περὶ μετανοίας.

θ'. Ὅπως ἀζήμιον ἡ ἁμαρτία, καὶ τίνι ἔοικε, καὶ περὶ πλεονεκτῶν.

ι'. Ὅτι τὰ παρὰ τοῦ Θεοῦ δοθέντα ἡμῖν οὐ δεῖ παρ' ἑαυτοῖς παρακατέχειν ἡμᾶς, ἀλλὰ καὶ ἑτέροις μεταδιδόναι, καὶ ὅτι ὁ ἐλεήμων, τοῖς τοῦ Θεοῦ ὀνόμασι καλεῖται σωτὴρ καὶ εὐεργέτης.

ια'. Περὶ τοῦ φοβεῖσθαι Θεόν, καὶ ποιεῖν πάντα ὅσα πρὸς σωτηρίαν ἡμῶν ἀφορᾷ, καὶ κατὰ πλεονεκτῶν.

ιβ'. Περὶ τοῦ μὴ ζητεῖν παρὰ ἀνθρώπων ἔπαινον.

ιγ'. Ἐγκώμιον τοῦ ἁγίου Παύλου τοῦ ἀποστόλου, καὶ ὅτι οὐχ ὁ πλοῦτος κακός, ἀλλὰ τὸ μὴ εἰς δέον τούτῳ κεχρῆσθαι, καὶ ὅτι καὶ τῶν πενήτων κατὰ τοῦτο χείρους οἱ πλούσιοι, ὅτι οἱ μὲν παρὰ ἐχόντων, οἱ δὲ παρὰ ἀκόντων λαμβάνουσιν.

ιδ'. Ὅτι οὐ δεῖ θέλειν ἡμᾶς μόνον σωθῆναι, ἀλλὰ καὶ τῶν ἔργων ἀπέχεσθαι τῶν εἰς τοῦτο φερόντων, καὶ ὅτι ἂν προθυμίαν ἐρρωμένην ἔχωμεν, καὶ τὰ δοκοῦντα εἶναι δυσχερῆ, μετ' εὐκολίας κατορθώσομεν.

ιε'. Κατὰ πλεονεξίας, καὶ τοκιστῶν, καὶ πῶς εὖ πράττουσιν οἱ πονηροί· οἱ δὲ δίκαιοι πένονται· καὶ ὅτι ἐν τῷ μέλλοντι οἱ ἀληθεῖς καὶ βέβαιοι μισθοί· καὶ ἐγκώμιον ἐλεημοσύνης.

ις'. Περὶ τοῦ μὴ δικάζεσθαι, ἀλλὰ φέρειν ἡμᾶς γενναίως τοὺς ἀδικοῦντας. τοῦτο γὰρ ἡμᾶς τῷ Θεοῦ ὁμοίους ποιεῖ.

ιζ'. Περὶ ἀναστάσεως, καὶ ὅτι οὐκ ἔστιν ἡμῖν αἴτιον τοῦ ἁμαρτάνειν τὸ σῶμα, ἀλλ' ἡ κακὴ προαίρεσις.

ιη'. Ὅτι καθαρὸς βίος πολλὴν παρασκευάζει προσφέρεσθαι δόξαν τῷ Θεῷ.

ιθ'. Περὶ τοῦ Ἰωσὴφ τοῦ σώφρονος.

κ'. Ὅτι δεῖ προνοεῖσθαι τοῦ μὴ σκανδαλίζειν τινά, καὶ ὅτι οἱ πτωχοὶ μᾶλλον τὴν εἰκόνα τοῦ Κυρίου καὶ τῶν ἀποστόλων διασώζουσιν.

κα'. Ὅτι οὐ δεῖ καταφρονεῖν τῶν σκανδαλιζομένων, ἀλλὰ πολυτρόπως αὐτοὺς ἀνακτᾶσθαι, καὶ περὶ ἐλεημοσύνης.

κβ'. Ὅτι εὔκολος ἡ ἀρετή, καὶ κατὰ φύσιν ἡμῖν ἐστι, διὸ καὶ ψευδὴς ὁ τῆς ῥᾳθυμίας λόγος· καὶ ὅτι ἀληθινὴν ἐκεῖνοι μόνοι ἡδονὴν καρποῦνται, οἱ ἀρετὴν μεταδιώκοντες.

κγ'. Περὶ τοῦ μηδὲ τοὺς ἑστῶτας θαρρεῖν, μηδὲ ἀπογινώσκειν τοὺς πεπτωκότας, ὡς εὐχερεῖς καὶ πολυτρόπου οὔσης τῆς πρὸς τὴν ἀρετὴν ἐπανόδου, καὶ κατὰ φιλαργυρίας.

κδ'. Περὶ ἀγάπης τῆς εἰς τὸν πλησίον, καὶ ἐγκώμιον εἰς τὸ τοῦ Κυρίου σῶμα, καὶ ὅτι δεῖ ἐπιμελεῖσθαι καθαρότητος, καὶ οὕτω προσιέναι τῇ ἁγίᾳ Κυρίου μεταλήψει.

κε'. Ὅτι δεῖ πάντα ποιεῖν ἡμᾶς, οὐ πρὸς τὸ ἑαυτῶν, ἀλλὰ πρὸς τὸ κοινῇ συμφέρον, καὶ τούτου τύπος ἐστὶ Μωϋσῆς καὶ Δαβὶδ καὶ Παῦλος ὁ ἀπόστολος.




Digitized by Google

ιε'. Περὶ τῆς εἰς Χριστὸν ἀγάπης, καὶ περὶ ἐλεημοσύνης, καὶ ὅτι πάντα ὁ Χριστὸς ὑπὲρ τῆς εἰς ἡμᾶς ἀγάπης ποιεῖ.

ιϛ'. Ἰστέον ὅτι διὰ τὸ μὴ λυμαίνεσθαι τὴν σαφήνειαν τῶν λεγομένων πολλάκις ὅπου δεῖ, τοῦτο οὐδὲν περὶ τῶν ἠθικωτέρων διελέχθη ὁ ἅγιος.

ιζ'. Περὶ κενοδοξίας, καὶ πῶς δυνατὸν ταύτην φυγεῖν, εἰ τὴν τοῦ Θεοῦ μᾶλλον ζητοῦμεν δόξαν, καὶ μὴ τὴν τῶν ἀνθρώπων.

ιη'. Περὶ εὐχαριστίας.

ιθ'. Περὶ τοῦ δεῖν δοξάζειν τὸν Θεόν, ἀρετῆς ἐπιμελουμένους καὶ ὀρθῶς ζῶντας, καὶ ὅτι οὐ δεῖ τοῖς τῶν προγόνων κατορθώμασι θαρρεῖν, ἀλλὰ τοῖς ἰδίοις· καὶ τίνες οἱ ἀληθεῖς συγγενεῖς κατὰ πνεῦμα· καὶ ὅτι δεῖ κατὰ πάντα μιμεῖσθαι τὸν Θεόν· καὶ περὶ ἐπιεικείας· καὶ ὅτι οὐδὲν βλάπτει πρὸς ἐλεημοσύνην πενία.

κ'. Περὶ ἀπονοίας, καὶ τῶν ἐπὶ σοφίᾳ μέγα φρονούντων· καὶ περὶ μωρίας, καὶ ὑπερηφανίας, ἐκ τοῦ μὴ εἰδέναι τὸν Κύριον, καὶ περὶ ταπεινοφροσύνης.

κα'. Περὶ φιλοξενίας, καὶ ἐλεημοσύνης· καὶ ὅτι οὐ δεῖ περιεργάζεσθαι τοὺς προσιόντας, οὐδὲ ὑβρίζειν, καὶ μιαίνειν τὴν γλῶτταν, τὴν τῶν ἁγίων ἀπολαύουσαν μυστηρίων.

κβ'. Ὅτι οὐ δεῖ κακὸν ἀντὶ κακοῦ ἀποδιδόναι.

κγ'. Περὶ ἀρίστης καὶ τελείας φιλίας.

κδ'. Κατὰ πορνευόντων, καὶ γαστριμάργων, καὶ ὅτι πάντα ἐντεῦθεν τίκτεται τὰ κακά.

κε'. Περὶ τῶν διαπιστούντων τῇ γεέννῃ, καὶ λεγόντων μὴ εἶναι γέενναν, σαφὴς ἀπόδειξις.

κϛ'. Περὶ τοῦ δεῖν ὀρθῶς βιοῦν, καὶ προσέχειν ἀκριβῶς ἐν τῷ παρόντι βίῳ, καὶ μὴ νομίζειν ἀρκεῖν εἰς ἀπολογίαν, τὴν ἄγνοιαν, καὶ ποία βλάπτει ἄγνοια, καὶ ποία οὔ· καὶ ὅτι οὐδὲν ἡμᾶς ἁπλότης βλάπτει καὶ ἀφέλεια πρὸς τὸ γνῶναι τὴν ἀλήθειαν, καὶ τοῦτο δείκνυται ἀπὸ τοῦ Ἀβραὰμ καὶ Μελχισεδίκ.

κζ'. Περὶ ἀγάπης, καὶ τοῦ δεῖν φιλεῖν καὶ ἀγαπᾶν τοὺς ἐχθρούς.

κη'. Περὶ τοῦ δεῖν ἔργα ἔχειν ἀγαθά. τούτων γὰρ ὄντων, καὶ πνεῦμα ἅγιον ἕξομεν, καὶ ἐλπίδα ἀγαθήν. δεῖ οὖν καὶ ψάλλειν συνεχῶς, καὶ τὰς ἄλλας κατὰ νοῦν ἔχειν γραφάς· οὕτω γὰρ πάντα εἰσόμεθα, καὶ περὶ δογμάτων, καὶ περὶ ἠθικῶν, καὶ τῶν ἄλλων.

κθ'. Ὁποῖον χρὴ εἶναι τὸν διδάσκαλον.

λ'. Ὅτι οἱ ἀπὸ τῶν χειρῶν ζῶντες, καὶ ἐργαστηρίου προεστῶτες, πολλὴν ἐπιδείξαντο δαψίλειαν, γενόμενοι χρήσιμοι ταῖς ἐκκλησίαις· οἱ δὲ πλουτοῦντες, καὶ τοὺς πεινωμένους περιορῶντες, τίνα ἕξουσι συγγνώμην; καὶ περὶ φιλοξενίας.

λα'. Περὶ γεέννης, καὶ δικαιοκρισίας Θεοῦ.

λβ'. Περὶ τῆς ἀγάπης καὶ προσευχῆς Παύλου, καὶ τῶν ἀρετῶν αὐτοῦ καὶ κατορθωμάτων, καὶ περὶ τοῦ δεῖν μιμεῖσθαι Παῦλον, ἐπὶ τῷ καταξιωθῆναι καὶ ἡμᾶς ἰδεῖν αὐτὸν ἀπελθόντας ἐκεῖ· καὶ ὅτι τούτῳ μάλιστα ὑπὲρ τὰ ἄλλα κοσμεῖται ἡ Ῥώμη καὶ τειχίζεται, τὸν Παύλου τάφον ἔχουσα, καὶ Πέτρου, καὶ περὶ τῶν κατὰ μέρος διδασκαλιῶν Παύλου, καὶ πράξεων.

## ΤΩΝ ΕΙΣ ΤΗΝ α. ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ἠθικῶν πίναξ.

α'. Περὶ ταπεινοφροσύνης.

β'. Ὅτι οὐκ ἀνάγκη οὔτε τὰ καλά, οὔτε τὰ κακά, ἀλλὰ προαιρέσει.

γ'. Ὅτι βίου ἐπιμελούμενοι ἀκριβοῦς, δυνάμεθα καὶ Ἕλληνας ἐφελκύσαι.



Digitized by Google

πγ'. Περὶ τοῦ γενναίως φέρειν τὰς ὕβρεις.
πδ'. Περὶ τῆς αὐτῆς πραγματείας, καὶ ὅτι εἰσὶν ἕλληνες τοὺς χριστιανοὺς ἐν πολλοῖς ὑπερακοντίζουσι, καὶ περὶ τοῦ μὴ προσέχειν τοῖς βιωτικοῖς.
πε'. Κατὰ τῆς ἐν ταῖς ταφαῖς πολυτελείας.
πϛ'. Περὶ τῆς τῶν ἱερέων ἀξίας, καὶ ὅτι δεῖ τοὺς ἱερεῖς, κἂν ἀνάξιοι ὦσι καὶ τὸν βίον διαβεβλημένοι, θεραπεύειν καὶ ἀποδέχεσθαι.
πζ'. Ὅτι ἡ τῶν οὐρανίων μέριμνα καὶ ἡ εἰς τὸν Χριστὸν ἀγάπη τὰ λυπηρὰ ἡμῖν κοῦφα κατασκευάζει, καὶ κατὰ φιλοχρηματίας.
πη'. Ὅτι κοῦφα τὰ πνευματικὰ καὶ χρηστῶν ἐλπίδων ἀνάμεστα, ἡ δὲ ἁμαρτία βαρὺ καὶ φορτικόν.

## ΤΩΝ ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ ΗΘΙΚΩΝ ΠΙΝΑΞ.

Περὶ τοῦ διδάσκειν τήν τε γυναῖκα, καὶ τὰ παιδία, καὶ τοὺς ἐν τῇ οἰκίᾳ πάντας, καὶ φίλους, καὶ συγγενεῖς, καὶ γείτονας, καὶ μὴ προφασίζεσθαι ἰδιωτείαν.
α'. Περὶ ἀγάπης Θεοῦ, καὶ υἱοθεσίας, καὶ ὅτι τὰ παρὰ τοῦ Θεοῦ δωρούμενα ἀξιώματα, βέβαια καὶ μετὰ θάνατον μένει, τὰ δὲ τῶν ἀνθρώπων οὐχ οὕτω, καὶ ὅτι δεῖ φεύγειν πονηρίαν.
β'. Πρὸς αἱρετικοὺς περὶ ἀκαταλήπτου, καὶ ὅτι δεῖ πάντα πίστει δέχεσθαι, καὶ μὴ λογισμοῖς, μηδὲ λόγον ζητεῖν τῶν ἐπιταγμάτων τοῦ Θεοῦ, ἀλλὰ πείθεσθαι μόνον.
γ'. Περὶ ἀνεξικακίας καὶ μακροθυμίας, καὶ ὅτι δεῖ πάντων κρατεῖν τῶν παθῶν.
δ'. Περὶ παιδεραστῶν, μαλακῶν, καὶ πόσων ἄξιοι κακῶν, καὶ περὶ τῶν κακῶς βιούντων ἀνδρῶν τε καὶ γυναικῶν, καὶ περὶ γεέννης, καὶ κρίσεως, καὶ ἀπόδειξις ἐκ τῶν ἐν Σοδόμοις, καὶ ὅτι δεῖ μὴ τρυφᾶν, ἀλλὰ κατὰ νοῦν ἔχειν ἀεὶ τὸν τοῦ Θεοῦ φόβον.
ε'. Περὶ κρίσεως καὶ κολάσεως, καὶ περὶ τῆς τούτων ἀπαλλαγῆς, καὶ περὶ τῆς εἰς τὸν Θεὸν ἀγάπης.
ϛ'. Περὶ διδασκάλων, ὅτι δεῖ μετὰ τοῦ λόγου καὶ ἀρετῆς ἐπιμελεῖσθαι.
ζ'. Περὶ ἀγάπης, καὶ ὅτι οὐ δεῖ βασκαίνειν καὶ φθονεῖν εὐδοκιμοῦντι τῷ ἀδελφῷ, καὶ περὶ ἐλεημοσύνης.
η'. Περὶ τοῦ δεῖν δοξάζειν τὸν Θεὸν δι' ἔργων, καὶ πίστεως, καὶ ὅτι δεῖ πᾶσαν φεύγειν ἁμαρτίαν δι' ἧς ὁ Θεὸς βλασφημεῖται, καὶ ὅτι ὁ Θεὸς οὐ δεόμενος, οὐδὲ δοξάζεσθαι βουλόμενος, ἐπιζητεῖ τὰ παρ' ἡμῶν, ἀλλὰ διὰ τὴν ἡμετέραν σωτηρίαν, καὶ ὅτι ἐὰν μὴ ἑαυτοὺς ἐκδῶμεν τῇ ἁμαρτίᾳ, οὐ τολμᾷ προσελθεῖν ἡμῖν ὁ διάβολος, καὶ ὅτι δεῖ τὴν ἁγίαν αἰδεῖσθαι τράπεζαν, ἧς κοινῇ πάντες μετέχομεν.
θ'. Περὶ τοῦ μὴ πενθεῖν ἐπὶ τῇ ἀποβολῇ τῶν προσόντων, ἀλλ' ἐπὶ τῷ Κυρίῳ ἐλπίζειν.
ι'. Περὶ ἀρίστου βίου, καὶ ὅτι οἱ ἐν ἁμαρτίᾳ ζῶντες, εὐρίπιστοί τε εἰσί, καὶ εὐεπηρέαστοι, καὶ ὅτι ὁ ἐπηρεαζόμενος, καὶ ἀποστερούμενος τῶν ἰδίων, ἂν εὐχαρίστως φέρῃ, τοῖς εἰς πένητας αὐτὰ ἀναλώσασι τὸν αὐτὸν τεύξεται μισθόν.
ια'. Περὶ διαφόρων νεκρότητος τρόπων, καὶ κατὰ φιλαργύρων καὶ πλεονεκτῶν.
ιβ'. Περὶ ἀρετῆς, καὶ κακίας, καὶ πόσα μὲν ἀγαθὰ τῇ ἀρετῇ παρέπεται, πόσα δὲ κακὰ τῇ κακίᾳ, καὶ ὅτι καὶ ἐν τῷ παρόντι πλείονα ἡδονὴν ἔχει ἡ ἀρετὴ κατορθουμένη, καὶ ἡ κακία θορύβους, ἐπικίνδυνος οὖσα καὶ ἐπώδυνος· ἀποστῆναι δὲ δυνάμεθα τῆς κακίας, εἰ καὶ τὰ μικρὰ τῶν πλαισμάτων ἡμῶν μὴ παρορῶμεν.
ιγ'. Περὶ τῶν ἐν ἀρετῇ καὶ ἀσκήσει βιούντων, καὶ ὅτι οὗτοι μόνοι ζῶσιν· οἱ δὲ ἐν ἡδοναῖς, ἤδη νενέκρωνται, καὶ περὶ τρυφῆς, καὶ φιλαργυρίας, καὶ πλεονεξίας.
ιδ'. Περὶ ἐλεημοσύνης, καὶ περὶ τῶν ἐν τοῖς οὐρανοῖς ἀποκειμένων ἀγαθῶν τοῖς κατὰ Θεὸν πολιτευομένοις.



Digitized by Google

μζʹ. Περὶ φιλαργυρίας, καὶ τῆς τοῦ πλούτου ματαιότητος.
μηʹ. Περὶ ταπεινοφροσύνης, καὶ κατὰ ὀργῆς.
μθʹ. Ὅτι δεῖ τὸ δίκαιον πανταχοῦ ἀκέραιον φυλάττειν, καὶ ὅτι ἡμᾶς τῶν ἄλλων ἡ ἀρετὴ οὐδὲν ὠφελήσει ἀπὸ τῶν οἰκείων ἔργων προδεδωκότας.
νʹ. Ὅτι οὐκ ἔστιν ἀπελθεῖν ὅπου Χριστός ἐστι τὸν ἁμαρτημάτων γέμοντα, καὶ πῶς τὸ πνεῦμα σβέννυται.
ναʹ. Ὅτι οὐ δεῖ τὸν ἐχθρὸν ἀμύνασθαι.
νβʹ. Ὅτι δεῖ τὸν υἱὸν δοξάζειν, καὶ ὅτι χρὴ καὶ φῶς καλεῖν ἄλλους εἰς τὸν χριστιανισμόν.
νγʹ. Ὅτι τὸ ταῖς θείαις γραφαῖς ἀκριβῶς προσέχειν, μέγα ὄφελος, καὶ ὅτι ὁ τοῦτο ποιῶν ἀδεῶς τὰ βιωτικὰ διαπλεύσει.
νδʹ. Ὅτι καλὸν ἁρπάζειν, ἀλλ' οὐκ ἀπολλύμενα, ἀλλὰ τὰ αἰώνια, καὶ πῶς δεῖ τοῦτο ποιεῖν.
νεʹ. Κατὰ βασκανίας.
νϛʹ. Ὅτι μέγα φῶς ὁ βίος ὀρθός, καὶ ὅτι οὐ δεῖ ἐπὶ γῆς, ἀλλ' ἐν οὐρανοῖς οἰκοδομεῖν.
νζʹ. Ὅτι δεῖ τὴν τῶν πονηρῶν ἀνδρῶν συνουσίαν φεύγειν.
νηʹ. Περὶ τῆς τῶν θείων γραφῶν ἀναγνώσεως, καὶ κατὰ θεάτρων καὶ ἱπποδρομιῶν, καὶ ὅτι πλούτου μᾶλλον ἀφειδεῖν χρή, ἢ χρόνου.
νθʹ. Κατὰ φιλοχρηματίας, καὶ περὶ τῆς εἰς πένητας φιλανθρωπίας.
ξʹ. Ὅτι δεῖ συνεχῶς τὰ ἁμαρτήματα πενθεῖν, καὶ ὅτι τοῦτο ἡμᾶς ἐλεήμονας καὶ φιλανθρώπους ποιεῖ, καὶ ὅτι οὐ δεῖ τὰ τῶν ἄλλων ἐξετάζειν.
ξαʹ. Ὅτι γυνὴ σωφρονοῦσα μάλιστα τὸν ἄνδρα ῥυθμίζει, καὶ περὶ τοῦ μὴ χρυσοφορεῖν, μηδὲ πολυτελῆ ἱμάτια ἐπιζητεῖν.
ξβʹ. Κατὰ γυναικῶν ἀμέτρως πενθουσῶν τοὺς τεθνηκότας.
ξγʹ. Περὶ πίστεως, καὶ κατὰ μοιχείας.
ξδʹ. Κατὰ βασκανίας, καὶ ὅτι θηρίων ὁ φθονερὸς χείρων.
ξεʹ. Κατὰ φιλαργυρίας.
ξϛʹ. Περὶ ἀναστάσεως κατὰ αἱρετικῶν καὶ φιλοσόφων.
ξζʹ. Ὅτι πάντα δεῖ ποιεῖν, ὥστε ὄνομα Θεοῦ μὴ βλασφημεῖσθαι.
ξηʹ. Ὅτι δεῖ τοὺς ἀδελφούς, ὅσῳ ἂν κακῶς διακειμένους ἴδωμεν, θεραπεύειν μᾶλλον.
ξθʹ. Κατὰ κενοδοξίας, καὶ περὶ τῆς ἐλεημοσύνης.
οʹ. Περὶ τῆς τῶν χηρῶν προστασίας.
οαʹ. Περὶ μνησικακίας καὶ μακροθυμίας, καὶ περὶ τοῦ Ἰωσήφ.
οβʹ. Περὶ τῆς ἀγάπης καὶ βίου ὀρθοῦ, καὶ ὅτι τοῦτο μάλιστα τοὺς Ἕλληνας ἐπιστρέφει.
ογʹ. Περὶ καθαρότητος καὶ ὅτι ἀπὸ τῆς ἁρπαγῆς καὶ πλεονεξίας οὐ χρὴ τὴν ἐλεημοσύνην ποιεῖν.
οδʹ. Κατὰ φιλαργυρίας.
οεʹ. Περὶ τῆς τοῦ πνεύματος ἐνεργείας, καὶ ὅτι αὕτη τοὺς ἐν γῇ ὄντας τοῖς ἀγγέλοις ἴσους ἀπεργάζεται.
οϛʹ. Περὶ τῆς τοῦ Χριστοῦ εἰς ἡμᾶς ἀγάπης, καὶ τῆς τῶν παρόντων καταφρονήσεως.
οζʹ. Ὅτι ἡ εἰς τὸν Χριστὸν ἀγάπη πάντα φορητὰ ποιεῖ· καὶ περὶ ἐλεημοσύνης.
οηʹ. Περὶ ὁμονοίας καὶ ἀγάπης.
οθʹ. Περὶ τοῦ ὅπως δεῖ τὸν κόσμον νικᾶν, καὶ ὅτι χρὴ γενναίως τὴν ὕβριν φέρειν.
πʹ. Ὅτι χρὴ διὰ τὴν τῶν οὐρανῶν βασιλείαν τῶν παρόντων καταφρονῆσαι, καὶ ὅτι τὸ μηδενὸς δεῖσθαι, τοῖς ἀγγέλοις ἴσους ἡμᾶς ποιεῖ.
παʹ. Ὅτι δεῖ τῶν παρόντων καταφρονεῖν, καὶ προτροπὴ πρὸς τὴν ἐλεημοσύνην.
πβʹ. Περὶ τῆς εὐποιΐας καὶ ἐλεημοσύνης.

ιγ'. Περὶ ἐλεημοσύνης, καὶ τοῦ μὴ δεῖν γίνεσθαι τὸν πλοῦτον ἐκ πλεονεξίας.
ιδ'. Περὶ σπουδῆς πρὸς τὸν ἐνάρετον βίον, καὶ διαφορᾶς τῶν δεδομένων ἡμῖν καὶ Ἰουδαίοις χαρισμάτων.
ιε'. Περὶ τῆς εἰς ἀλλήλους ἀγάπης καὶ ἄλλως, ὅτι οὐ δεῖ τὰ ἑαυτοῦ μόνον ζητεῖν, ἀλλὰ καὶ τὰ τῶν πλησίον.
ις'. Περὶ [illegible]φιλίας καὶ [illegible] καὶ ἐλεημοσύνης.
ιζ'. Ὅτι δεῖ εἰδέναι ἀκριβῶς τὰ περὶ πίστεως, ὥστε δύνασθαι καὶ πρὸς τοὺς ἐρωτῶντας ἀποκρίνασθαι.
ιη'. Ὅτι πᾶς χριστιανὸς ἐπιτήδειος πρὸς θείαν ἀκρόασιν, καὶ ὅτι δεῖ φεύγειν τὰς βλαβερὰς συντυχίας.
ιθ'. Ὅτι δεῖ χρῆσθαι εἰς δέον τῷ πλούτῳ, καὶ μὴ κατορύττειν αὐτόν.
κ'. Ὅτι οὐ δεῖ λόγῳ μόνον, ἀλλὰ καὶ ἔργῳ ἀρέσκειν τῷ Θεῷ.
κα'. Ὅτι δεῖ πρὸς σωτηρίαν καὶ πίστεως καὶ ὀρθοῦ βίου, καὶ ὅτι οὐκ ἀρκεῖ τοιούτους ἐσχηκέναι γονεῖς.
κβ'. Κατὰ γαστριμαργίας.
κγ'. Περὶ ἐλεημοσύνης.
κδ'. Περὶ τοῦ μὴ λογισμῷ ζητεῖν τὰ τοῦ Θεοῦ, ἀλλὰ τῇ πίστει.
κε'. Πρὸς τοὺς κατηχουμένους, καὶ περὶ ἐλεημοσύνης.
κς'. Κατὰ ὀργιζομένων, καὶ ὅτι οὐ δεῖ μετὰ κραυγῆς, ἀλλὰ μεθ' ἡσυχίας διαλέγεσθαι.
κζ'. Περὶ φιλαρχίας.
κη'. Κατὰ κενοδόξων.
κθ'. Κατὰ κενοδόξων.
λ'. Ὅτι δεῖ τὰς θείας γραφὰς μετ' ἀκριβείας ἐρευνᾶσθαι, καὶ μὴ προσηλῶσθαι τοῖς βιωτικοῖς.
λα'. Περὶ ὀρθοῦ βίου.
λβ'. Περὶ σπουδῆς πρὸς τὴν τῶν θείων γραφῶν ἀνάγνωσιν.
λγ'. Ὅτι μεγάλα ἡμᾶς ὠφελεῖ ἡ πραότης, καὶ ὅτι αὐτὴν ἔχων ὁ εὐαγγελιστὴς Ἰωάννης ἠγαπᾶτο παρὰ Χριστοῦ.
λδ'. Ὅτι δεῖ τοὺς μετανοοῦντας μὴ μόνον ἐν τῇ πράξει μετανοεῖσθαι, καὶ ἀφίστασθαι, ἀλλὰ καὶ ἐν τῇ γνώμῃ τὰ ἐναντία ποιεῖν ὧν ἥμαρτον.
λε'. Ὅτι ὑπὲρ πάντων τῶν συμβαινόντων ἡμῖν δεῖ εὐχαριστεῖν.
λς'. Περὶ τοῦ μὴ δεῖν ἐκκακεῖν ἐν ταῖς εὐχαῖς, καὶ διατί ὁ Θεὸς ἐπίπονον ἡμῖν ἔδωκε βίον.
λζ'. Περὶ βασκανίας, καὶ ὅτι χεῖρόν ἐστι πάντων τῶν ἁμαρτημάτων.
λη'. Περὶ τοῦ μὴ προεδρίας ἐρᾶν, καὶ κατὰ κενοδοξίας.
λθ'. Περὶ ἀμνησικακίας καὶ ἐλεημοσύνης, καὶ ὅτι οὐ δεῖ μόνον ἡμᾶς ἁπλοῦς, ἀλλὰ καὶ φρονίμους εἶναι ἐν τοῖς δόγμασι καὶ ἐν τῷ βίῳ.
μ'. Ὅτι τέλειός ἐστιν ὁ πάσας τὰς ἐντολὰς ποιῶν, καὶ κατὰ φιλαργυρίας, καὶ περὶ ἐλεημοσύνης.
μα'. Ὅτι οὐδὲν οὕτω φρονίμους ποιεῖ ὡς ἀρετή, καὶ ὅτι πᾶσα πονηρία ἐξ ἀνοίας ἔχει τὴν ἀρχήν.
μβ'. Περὶ τοῦ μηδὲν εἶναι τὴν βιωτικὴν δόξαν, καὶ περὶ τῶν κακῶς συναγόντων, καὶ κακῶς δαπανώντων.
μγ'. Ὅτι χρὴ τὰ πνευματικὰ μᾶλλον, ἀλλ' οὐ τὰ βιωτικὰ παρὰ τοῦ Θεοῦ αἰτεῖν· καὶ ὅτι ἡ δεσποτικὴ εὐχή, τὸ, ΠΑΤΕΡ ΗΜΩΝ, πνευματική ἐστι, καὶ ὅτι οἱ ἄδικοι οὐκ ἐκ τοῦ Θεοῦ πλουτοῦσι.
μδ'. Περὶ τοῦ μηδὲν εἶναι τὰ δοκοῦντα λαμπρὰ τοῦ παρόντος βίου.
με'. Ὅτι ἡ τῆς ἀναστάσεως καὶ κρίσεως μνήμη τὰς ἀτόπους ὁρμὰς ἐκκόπτει, καὶ περὶ εἱμαρμένης, καὶ ὅτι ἔχει τὸ τέλος (κόλασις.
μς'. Περὶ τῆς τῶν ἁγίων μυστηρίων μεταλήψεως, καὶ ὅτι τοῖς ἀξίοις σωτηρία ἐστίν, ὥσπερ τοῖς ἀναξίοις

μζ'. Περὶ

Digitized by Google

οδ'. Περὶ τοῦ μὴ ἀμελεῖν τῶν τῆς ψυχῆς νόσων· καὶ ὅτι ἰατροὶ τῶν περὶ ψυχὰς νοσημάτων κάλλιστοί εἰσιν οἱ ἀπόστολοι καὶ προφῆται.

οε'. Περὶ τῆς προνοίας, κατὰ τῶν τὴν φύσιν ἐπαιτιωμένων, καὶ ὅτι τῶν ἁμαρτημάτων πολλαί εἰσι καὶ διάφοροι κολάσεις.

ος'. Περὶ τῆς μελλούσης κρίσεως, καὶ ὅτι κοῦφα τὰ τοῦ Χριστοῦ προστάγματα, καὶ περὶ τῆς τῶν πλούτων ματαιότητος.

οζ'. Ὅτι δεῖ οὐ τὴν ἑαυτῶν μόνον, ἀλλὰ καὶ τὴν τῶν πλησίον σωτηρίαν μεριμνᾶν.

οη'. Περὶ τῆς αὐτῆς πραγματείας, καὶ ὅπως δυνατὸν τὴν γλῶτταν καὶ στόμα τῇ τοῦ Χριστοῦ γλώττῃ καὶ στόματι ἐοικότα ἔχειν.

οθ'. Πῶς δεῖ τὸν Χριστὸν μιμεῖσθαι, καὶ κατὰ τῆς μνησικακίας.

π'. Ὅτι δεῖ τοὺς ἁμαρτάνοντας συνεχῶς νουθετεῖν, καὶ κατὰ φιλαργυρείας.

πα'. Ὅτι οἱ φιλάργυροι τῶν δαιμονώντων χαλεπώτεροι.

πβ'. Ὅτι δεῖ μετὰ πάσης εὐσεβείας καὶ καθαρότητος τοῖς φρικτοῖς μυστηρίοις προσέρχεσθαι.

πγ'. Κατὰ πλεονεξίας καὶ φιλαργυρίας.

πδ'. Ὅτι οὐ πανταχοῦ καλὸν τὸ νικᾶν, ἀλλ' ἔστιν ὅτε τὸ ἡττᾶσθαι βέλτιον, καὶ περὶ τοῦ Ἰωσήφ.

πε'. Περὶ τοῦ μὴ ἐκ πλεονεξίας ἐλεημοσύνην ποιεῖν, καὶ διὰ τί οἱ ἱερεῖς τὰ βιωτικὰ μεταχειρίζονται.

πς'. Ὅτι δεῖ ταῖς πονηραῖς ἐπιθυμίαις καὶ πλημμελήμασι τὴν εἴσοδον ἀποτειχίζειν.

πζ'. Ὅτι δεῖ ἡμᾶς τοὺς ὑβρίζοντας γενναίως φέρειν.

πη'. Περὶ ἐλεημοσύνης καὶ φιλανθρωπίας, καὶ ἐπιτίμησις κατὰ τῶν περὶ βιωτικῶν ἐν τῇ ἐκκλησίᾳ φθεγγομένων.

πθ'. Κατὰ τῶν γυναικῶν χρυσοφορουσῶν.

ϙ'. Ὅτι οὐδὲν τῶν Χριστοῦ ἐπιταγμάτων δύσκολον, καὶ κατὰ φιλαργυρείας, καὶ ἔπαινος τῆς πενίας.

## ΤΩΝ ΕΙΣ ΤΟΝ ΙΩΑΝΝΗΝ ΗΘΙΚΩΝ ΠΙΝΑΞ.

α'. Περὶ τοῦ Ἰωάννου, καὶ τῆς αὐτοῦ γραφῆς, καὶ ὅτι τὰ θεῖα λόγια πολλῆς δεῖ τιμιότητος· καὶ ὅτι εὔκολος, ἐὰν βουλώμεθα, ἡ ἀπὸ τῶν ἁμαρτημάτων μεταβολή, καὶ ὅτι δεῖ εὐσεβῶς τοῖς ἁγίοις προσέρχεσθαι μυστηρίοις.

β'. Ὅτι δεῖ τοὺς ἐν ἐκκλησίᾳ εἰσιόντας ἀκριβῶς προσέχειν τοῖς λεγομένοις, καὶ ἀπέχεσθαι μερίμνης πάσης βιωτικῆς.

γ'. Κατὰ κενοδόξων.

δ'. Περὶ τοῦ δεῖν ἡμᾶς εὐχαριστεῖν ἐπὶ τῇ φιλανθρωπίᾳ τοῦ Κυρίου, καὶ περὶ ὀργῆς.

ε'. Ὅτι καὶ ἡ ἁμαρτία σκότος ἐστί, καὶ περὶ τῆς αἰωνίου κολάσεως.

ς'. Ὅτι οὐδὲν ἡμῖν ὄφελος δόγματα ἔχειν ὀρθά, ἐὰν ἔργα ἔχωμεν διεστραμμένα.

ζ'. Περὶ τοῦ μὴ περιεργάζεσθαι, ἀλλὰ πιστεύειν τοῖς ὑπὸ τῆς γραφῆς εἰρημένοις, καὶ μνημονεύειν τῶν οἰκείων ἁμαρτιῶν.

η'. Περὶ φιλοχρηματίας, καὶ ὅτι οἱ τοιοῦτοι οὐ τῷ Θεῷ, ἀλλὰ τῷ μαμμωνᾷ δουλεύουσι.

θ'. Κατὰ ὑπερηφάνων.

ι'. Περὶ τοῦ μηδὲν ἐκ τοῦ ἁγίου βαπτίσματος ὠφελεῖσθαι τοὺς μὴ ὀρθῶς βιοῦντας.

ια'. Ὅτι ὀρθῶς βιοῦντες οὐχὶ τῷ Θεῷ, ἀλλ' ἑαυτοῖς χαριζόμεθα.

ιβ'. Περὶ τοῦ καλοῦ βίου, καὶ τῆς αἰωνίου κολάσεως· καὶ ἄλλως, ὅτι ὀρθοῦ ἡμῖν βίου χρεία, ὡς μηδενὸς ἑτέρου δυναμένου ἡμᾶς ἐξελέσθαι τῆς κολάσεως.



Digitized by Google

μδ'. Κατὰ πλούτου καὶ τρυφῆς.
με'. Ὅτι δεῖ μετὰ τῶν δεόντων τὰ ὑπάρχοντα μερίζειν.
μς'. Ὅτι βίος ὁ ἐνάρετος τῶν θαυμάτων κρείττων ἐστί.
μζ'. Περὶ ταπεινοφροσύνης, καὶ ὅτι αὕτη πασῶν ἀρετῶν κεφαλή· καὶ περὶ ἐλεημοσύνης.
μη'. Κατὰ συμποσίων καὶ δείπνων πολυτελῶν, καὶ ὅτι δεῖ Χριστὸν καὶ πένητας συνδαίτους ποιεῖν.
μθ'. Ὅτι τῷ πλούτῳ εἰς δέον χρῆσθαι, τέχνη πασῶν καλλίστη, καὶ κατὰ τῆς ἐν ἱματίοις καὶ ὑποδήμασιν ἀσωτίας.
ν'. Ὅτι μετ' ἀκριβείας καὶ μετὰ φόβου καὶ πίστεως τοῖς θείοις μυστηρίοις προσέρχεσθαι, καὶ ὅτι μᾶλλον δεῖ τοὺς πένητας θεραπεύειν, ἢ ταῖς ἐκκλησίαις χρυσᾶ καὶ ἀργυρᾶ κειμήλια δοῦναι.
να'. Ὅτι οὐχ ὁ ἔξω ῥύπος, ἀλλ' ὁ ἔσω τὸν ἄνθρωπον κοινοῖ, καὶ ὅτι ὁ ἀδικῶν μάλιστα ἑαυτὸν ἀδικεῖ.
νβ'. Ὅτι τέχνη, καὶ ἀμείνων πασῶν τεχνῶν ἡ ἐλεημοσύνη.
νγ'. Ὅτι οὐδὲ τὰ λυπηρὰ, οὐδὲ χρηστὰ μόνιμα εἶναι ἀφίησιν ὁ Θεός, καὶ ταῦτα χρησίμως.
νδ'. Ὅτι οὐ δεῖ τὸν ὕμνον φανερὸν αἰσχύνεσθαι, καὶ περὶ τῆς εἰς πένητας φιλανθρωπίας, καὶ εἰς τὸ ῥητὸν τοῦ προφήτου, Τότε ῥαγήσεται πρώϊμον τὸ φῶς σου.
νε'. Ἔπαινος τῶν μοναχῶν, ἐν ᾧ καὶ τοῦ αὐτῶν μετὰ δεῖπνον λόγου εὐχαριστικοῦ μέμνηται, ὃν καὶ διὰ πλάτους ἐξηγεῖται.
νς'. Περὶ τῆς δευτέρας τοῦ Χριστοῦ παρουσίας, καὶ ὅτι δύσκολον μὲν ἡ ἀρετὴ, βαρὺ δὲ ἡ κακία· καὶ κατὰ τοῦ τόκου.
νζ'. Περὶ εὐχῆς καὶ νηστείας, καὶ κατὰ τρυφῆς καὶ μέθης.
νη'. Περὶ ἀπονοίας, καὶ ὅτι ὁ τοῖς βιωτικοῖς ἐμπεπλησμένος, πάντων ἐστὶ δουλικώτατος.
νθ'. Ὅτι οὐ τῆς ἑαυτῶν μόνον, ἀλλὰ καὶ τῆς τῶν πλησίον σωτηρίας ἐπιμελεῖσθαι χρὴ, καὶ κατὰ πονηρῶν ἐπιθυμιῶν, καὶ πρὸς τούτοις πρὸς τοὺς πατέρας περὶ τοῦ ῥυθμίζειν τοὺς ἑαυτῶν παῖδας, καὶ κατὰ φιλαργυρίας.
ξ'. Περὶ τῆς διὰ τὸν Χριστὸν ἀγάπης, καὶ ὅτι αὕτη πάσης ἄλλης βεβαιοτέρα.
ξα'. Περὶ μνησικακίας.
ξβ'. Ὅτι δεῖ ἡμᾶς τὴν τῶν παιδίων ἁπλότητα μιμεῖσθαι, καὶ περὶ τοῦ Δαβὶδ, καὶ κατὰ κενοδοξίας καὶ φιλοκερδείας.
ξγ'. Περὶ τοῦ τῶν χρημάτων ἔρωτος.
ξδ'. Ὅτι οὐ τὴν πίστιν μόνον, ἀλλὰ καὶ βίον ὀρθὸν ἐπιδείκνυσθαι χρή· καὶ ὅτι πᾶσαν ἀρετὴν ἔχειν δεῖ, καὶ ὅτι τὰ ἑαυτῶν βλέπειν, καὶ οὐ τὰ τῶν ἄλλων μεριμνᾶν χρή.
ξε'. Περὶ ταπεινοφροσύνης, καὶ ἀλαζονείας.
ξς'. Περὶ ἐλεημοσύνης.
ξζ'. Ὅτι οὐ χρὴ ἀπογινώσκειν τὸν πεπτωκότα, οὐδὲ θαρρεῖν τὸν ἑστῶτα.
ξη'. Ὅτι ὁ τῶν μοναχῶν βίος, τοῦ δοκοῦντος εἶναι προσηνοῦς καὶ ἁπαλωτέρου ἡδιότερός ἐστι.
ξθ'. Ὅτι ψυχὴν μᾶλλον ἢ σῶμα καλλωπίζειν χρὴ, καὶ τί ἐστι τὸ ἔνδυμα γάμου, καὶ περὶ τῶν μοναχῶν.
ο'. Πάλιν περὶ τῆς τῶν μοναχῶν θαυμαστῆς ἀσκήσεως.
οα'. Περὶ κενοδοξίας.
οβ'. Περὶ τῆς τῶν μοναχῶν ταπεινοφροσύνης.
ογ'. Ὅτι ὁ τὴν ψυχὴν ῥυπωθεὶς μᾶλλον τοῦ νεκροῦ δυσώδης ἐστὶ, καὶ ἐπιτίμησις κατὰ τῶν ἐν ὠναῖς τὰ γυναικῶν κάλλη περιεργαζομένων, καὶ τῶν ἐν τοῖς γάμοις χρήματα μᾶλλον, ἢ τρόπων ἐπιείκειαν ἐπιζητούντων.



Digitized by Google

τος βίου τὰ ἡμέτερα ἕστηκεν, ἀλλ' ὅτι μετὰ τὴν ἐντεῦθεν ἄφιξίν ἐστι καὶ δικαστήριον καὶ κρίσις, καὶ γέεννα, καὶ οὐρανός.

ιδ'. Περὶ τοῦ μὴ τὰ τῆς ψυχῆς νοσήματα ἀμελεῖν, καὶ ὅτι μὴ ἐνταῦθα διαλυσαμένους τὰ ἁμαρτήματα, οὐ δυνατὸν ἐκεῖ εὐθύνας διαφυγεῖν.

ιε'. Ὅτι οὐ δεῖ ἡμᾶς κακῶς ἀκούοντας ἀνθυβρίζειν, καὶ περὶ τῆς τῶν προσόντων καταφρονήσεως, καὶ ὅτι οὐ δεῖ τοὺς ἁμαρτάνοντας ἀμελεῖν, ἀλλὰ, τὸ ἐν ἡμῖν, διορθοῦσθαι.

ις'. Ὅτι ὡς τὰ θεῖα μηδὲ ποιοῦντι οὐ φορτικὸν ἡ ἀρετή.

ιζ'. Ὅτι δεῖ ἡμᾶς πλέον ἢ τῶν παλαιῶν ἐπιδείξασθαι ἐπιταγμάτων, καὶ ὅτι τοῦτο τοῖς βουλομένοις εὔκολον.

ιη'. Περὶ τῆς πρὸς τοὺς ἐχθροὺς ἀγάπης, καὶ περὶ τοῦ μὴ ἀναμένειν τοὺς ἀπαντῶντας πρώτους προσειπεῖν.

ιθ'. Περὶ τοῦ μὴ δεῖν κατὰ τῶν ἐχθρῶν Θεῷ ἐντυγχάνειν.

κ'. Κατὰ τῆς ἀτάκτου τῶν χρημάτων ἐπιθυμίας.

κα'. Ὅτι τὰ ἐπιτάγματα οὐκ ἔστιν ἀδύνατα τοῖς βουλομένοις, καὶ ὅτι πολλοί εἰσιν οἱ κατορθοῦντες αὐτά.

κβ'. Περὶ τῆς μετανοίας, καὶ τῆς ἐν εὐχαῖς προσεδρίας.

κγ'. Ὅτι τῆς γεέννης πικροτέρα ἡ τῆς μελλούσης δόξης ἔκπτωσις.

κδ'. Οὗτος ὁ λόγος οὐκ ἔχει κατ' ἔθος ἠθικόν τι.

κε'. Περὶ τῆς εὐεργεσίας, καὶ πρὸς τὸ τέλος περὶ τοῦ μὴ δεῖν ἡμᾶς ἑαυτοὺς ἀγνοεῖν.

κς'. Ὅτι οὐ δεῖ μέχρι τέλους θαρρεῖν τὸν ἑστῶτα, οὔτε ἀπογινώσκειν ἑαυτοῦ τὸν πεπτωκότα.

κζ'. Ὅτι χρὴ πάντων τῶν ἀναγκαιοτάτων τὰ πνευματικὰ προτιθέναι, καὶ ὅτι παντὸς νεκροῦ ὁ πονηρῶς ζῶν μᾶλλον τέθνηκε.

κη'. Ὅτι οἱ ἀκόλαστοι καὶ φιλάργυροι οὐδὲν τῶν δαιμονώντων διεστήκασι.

κθ'. Προτροπὴ πρὸς τὴν ἐπιείκειαν ἐν ταῖς ἐπιτιμήσεσι.

λ'. Περὶ τοῦ, ὅτι δεῖ τοὺς ἄνδρας μετὰ πάσης μακροθυμίας γυναῖκας τὰς ἀνοήτους διορθοῦσθαι.

λα'. Περὶ τοῦ μὴ σφοδρῶς θαυμάζειν τοὺς πλουτοῦντας.

λβ'. Ὅτι δεῖ τοὺς ἁγίους καὶ τοὺς ἱεροὺς εὐσεβῶς ὑποδέχεσθαι, καὶ ὅτι τὸν ἐναρέτως ζῶντα οἱ Ἕλληνες μᾶλλον τοῦ θαυματουργοῦντος θαυμάζουσι.

λγ'. Ὅτι δεῖ ἡμᾶς πρὸς θλίψεις γενναίως ἑστάναι, καὶ περὶ τοῦ Ἰώβ, καὶ Ἰωσήφ, καὶ τῶν τριῶν παίδων.

λδ'. Ὅτι οὐκ ἔστι δεινὸν θάνατος, καὶ ὅτι χρησίμως τὰ νεκρῶν σώματα σήπονται.

λε'. Προτροπὴ πρὸς τὴν ἐλεημοσύνην, καὶ ὅτι οὐ δεῖ τὸν τῶν πενήτων βίον περιεργάζεσθαι.

λς'. Κατὰ τῶν τῇ γεέννῃ διαπιστούντων· καὶ ὅτι ὁ ἐνταῦθα ἁμαρτὼν, καὶ ἐνταῦθα καὶ ἐκεῖ δικαίως κολάζεται.

λζ'. Περὶ τοῦ μὴ δεῖν εἰς τὰ ὀπίσω ἀναβλέψαι, καὶ ὅτι πάντα ἐντεῦθεν τὰ κακὰ ἀναφύονται.

λη'. Ὅτι κοῦφος ὁ τῆς ἀρετῆς ζυγὸς, ὁ δὲ τῆς ἁμαρτίας φορτικώτατος.

λθ'. Κατὰ πλεονεξίας, καὶ ὅτι οὐ δύσκολα τὰ τοῦ Χριστοῦ προστάγματα.

μ'. Κατὰ βασκανίας, καὶ ὅπως δεῖ ἀπαλλάττεσθαι τῆς πονηρίας ταύτης, καὶ ὅτι αἱ τιμαὶ τοῖς μὴ προσέχουσι μεγάλα φέρουσι κακά, καὶ κατὰ κενοδοξίας.

μα'. Ὅτι δεῖ ἡμᾶς ἑαυτοὺς ἐνταῦθα δίκην ἀπαιτεῖν τῶν ἡμαρτημένων.

μβ'. Ὅτι δεῖ τοὺς κακηγοροῦντας καὶ ἀδικοῦντας γενναίως φέρειν· καὶ περὶ Δαβὶδ καὶ Σαούλ, καὶ ὅτι δεῖ τὰ ἡμέτερα, οὐ τὰ τῶν ἄλλων ἁμαρτήματα ἐξετάζειν.

μγ'. Περὶ τῶν τῆς γεέννης κολάσεων, καὶ ὅτι ὠφέλιμον τὸ περὶ γεέννης ἀκοῦσαι· καὶ προτροπὴ πρὸς τὴν ὀρθὴν πολιτείαν.


μδ'. Κατὰ

Digitized by Google

μζ'. Περὶ προσευχῆς.
μη'. Κατὰ τῆς ἀσέμνου ἐν τοῖς γάμοις πόμπης.
μθ'. Περὶ εὐχῆς.
ν'. Κατὰ φιλαργυρίας.
να'. Ὅτι δεῖ τῆς ἀρετῆς ἐπιμελεῖν, καὶ φεύγειν τὴν κακίαν.
νβ'. Ὅτι δεῖ καὶ τοὺς ἐχθροὺς ἡμῶν ἀγαπᾶν.
νγ'. Κατὰ ὀργῆς καὶ θυμοῦ.
νδ'. Περὶ τῆς τῶν παρόντων καταφρονήσεως, καὶ τῆς οὐρανίων ἐπιμελείας.
νε'. Κατὰ ῥαθυμίας, καὶ εἰς τὸν ἅγιον Παῦλον· καὶ περὶ τῆς εἰς Θεὸν ἀγάπης, καὶ περὶ τῆς πρὸς τὸν πλησίον φιλοτιμίας· καὶ περὶ ἐλεημοσύνης.
νϛ'. Ὅτι πάντων ἀσφαλέστατον ἡ τοῦ Θεοῦ προστασία.
νζ'. Ὅτι τοῖς τὴν αἴσθησιν εὔνοιαν ἐπιδειξαμένοις πάντα εὔκολα καὶ εὐμαρῆ.
νη'. Περὶ ἐπιεικείας καὶ ταπεινοφροσύνης.
νθ'. Ὅτι πολλὴν δεῖ ποιεῖσθαι ἐπιμέλειαν περὶ τῆς τῶν νέων σωφροσύνης.
ξ'. Περὶ ἀρίστης πολιτείας, καὶ ὅτι δεῖ ἡμᾶς ἑαυτοὺς ἐν ταῦθα κατακρίνειν.
ξα'. Περὶ τῆς ἀρετῆς, καὶ ὅτι οὐ δεῖ φεύγειν τὸ κακῶς πάσχειν, ἀλλὰ τὸ κακῶς ποιεῖν.
ξβ'. Περὶ τῆς ἄνωθεν ῥοπῆς, καὶ πῶς δυνατὸν μεθ' ἑαυτῶν ἔχειν τὸν Κύριον.
ξγ'. Περὶ ὑπομονῆς.
ξδ'. Περὶ τῆς τοῦ Ἰωσὴφ ἀγάπης εἰς τοὺς ἀδελφούς.
ξε'. Περὶ ὑπομονῆς, καὶ ὅτι οὐ δεῖ πρὸς πειρασμοὺς ἀγάλλειν.
ξϛ'. Περὶ τοῦ ποίας δεῖ τοῖς παισὶ κληρονομίας καταλιμπάνειν, καὶ περὶ ἀρετῆς καὶ πλούτου.
ξζ'. Ὅτι δεῖ τὴν τῶν παλαιῶν ἀρετὴν ζηλοῦν, καὶ πολλὴν αὐτῆς ποιεῖσθαι λόγον.

## ΤΩΝ ΕΙΣ ΤΟΝ ΜΑΤΘΑΙΟΝ ΗΘΙΚΩΝ ΠΙΝΑΞ.

α'. Ὅτι δεῖ ταῖς θείαις γραφαῖς ἀναγινωσκομέναις ἀκριβῶς προσέχειν.
β'. Ὅτι δεῖ τὰ θεῖα μεριμνᾶν, καὶ τοῖς βιωτικοῖς μὴ προσαπλᾶσθαι, καὶ ταῖς θείαις γραφαῖς προσέχειν.
γ'. Προτροπὴ πρὸς ταπεινοφροσύνην, καὶ πρὸς τὸ μὴ τὰ ἡμῶν κατορθώματα συνεχῶς περιστρέφειν.
δ'. Προτροπὴ πρὸς τὴν ὀρθὴν πολιτείαν, καὶ κατὰ θυμοῦ καὶ κενοδοξίας· καὶ περὶ τελώνιον παίδων, καὶ ὅτι δεῖ ἡμᾶς κατ' ἐκείνους τῷ χρυσῷ τοῦ μαμωνᾶ εἴκειν μὴ προσκυνεῖν.
ε'. Ὅτι τὸν ἐν τῇ οἰκείᾳ ἀρετῇ μὴ βεβαιωκότα, ἀπὸ τῶν ἄλλων ἀνθρώπων ἐναρέτων οὐδὲν ἀπώναμεν· καὶ περὶ τῆς ἐλεημοσύνης.
ϛ'. Ὅτι δεῖ ἡμᾶς ὅλως ἑαυτοὺς ἀνατιθέναι τῷ Θεῷ, καὶ περὶ τῆς κατανύξεως καὶ μετανοίας.
ζ'. Κατὰ τῶν αἱρετικῶν καὶ Ἰουδαίων, καὶ περὶ τοῦ μὴ τῆς πρὸς τὸν Χριστὸν ἀφίξεως τὰ θέατρα προτιμᾶν.
η'. Περὶ τῆς Αἰγυπτίων μοναχῶν εὐσεβείας, καὶ ὅτι δεῖ ἡμᾶς μιμεῖσθαι αὐτούς.
θ'. Ὅτι ἡμᾶς ἀσεβεῖς ὄντας οὐδὲν ἡ τῶν προγόνων ἀρετὴ ὠφελεῖ, καὶ ὅτι οὐ δεῖ ἐπὶ πλούτῳ μέγα φρονεῖν.
ι'. Προτροπὴ πρὸς τὴν μετάνοιαν, καὶ πρὸς τὸ γενναίως φέρειν τοὺς πειρασμούς.
ια'. Περὶ τοῦ ἀσβέστου τῆς γεέννης πυρός, καὶ ὅτι ἡμᾶς δεῖ πᾶσαν τὴν ἀρετὴν μετελθεῖν.
ιβ'. Περὶ τοῦ μὴ δεῖν τὰ γήϊνα, ἀλλ' οὐράνια λογίζεσθαι.
ιγ'. Ὅτι δεῖ γενναίως ταῖς τοῦ διαβόλου μηχαναῖς ἀντιπαλαίειν, καὶ ὅτι οὐ μέχρι τοῦ παρόντος

περὶ ἡμῶν ὑποβληθησόμεθα.

ιθʹ. Ὅτι οὐ δεῖ φεύγειν τὸ κακῶς παθεῖν, ἀλλὰ τὸ κακῶς ποιεῖν· καὶ ὅτι ὁ τὸν πλησίον κακοποιῶν αὐτὸς μᾶλλον πάσχει δεινά, ἢ ἐκεῖνος.

κʹ. Ὅτι εἰ βουλόμεθα τῇ διδασκαλίᾳ προσέχειν, εἰς τὸ ἄκρον τῆς ἀρετῆς ἐλευσόμεθα· καὶ ὅτι ῥίζα τῶν κακῶν ἡ φιλαργυρία, καὶ περὶ ἐλεημοσύνης.

καʹ. Ὅτι οὐδὲν ὄφελος τῆς συνεχοῦς διδασκαλίας, μὴ πρὸς τὴν ἀρετὴν ἐπιδιδόντων, καὶ ὅτι δεῖ τὴν τῆς ψυχῆς θεραπείαν προτιμᾶν τῆς τοῦ σώματος.

κβʹ. Ὅτι δεῖ πρὸς τὸ τοῦ Θεοῦ δόκιμον ἀφορᾶν, καὶ κατὰ κενοδοξίας.

κγʹ. Ὅτι οὐ χρὴ τὸν διάβολον αἰτιᾶσθαι, ἀλλὰ τὴν ῥᾴθυμον γνώμην.

κδʹ. Ὅτι πλείονα τὴν ἀρετὴν ἀπαιτούμεθα ἡμεῖς, ἢ οἱ παλαιοί, καὶ ὅτι δυνάμεθα καὶ ἐν βραχεῖ χρόνου καιρῷ τὸν Θεὸν εἰς οἶκτον ἐπισπάσασθαι ἀξίως μετανοοῦντες.

κεʹ. Ὅτι οὐ χρὴ πρὸς τοὺς τῆς ἀρετῆς πόνους σκοποῦντας ῥᾳθυμεῖν, ἀλλὰ τὸ ἐξ αὐτῆς κέρδος λογιζομένους σπουδάζειν.

κϛʹ. Ὅτι δεῖ ἡμᾶς ἀδιαλείπτως καὶ καθ' ἑκάστην εὐχαριστεῖν τῷ Θεῷ.

κζʹ. Ὅτι δυνάμεθα, ἐὰν βουλώμεθα, καὶ ἐν βραχεῖ χρόνῳ τὰ ἁμαρτήματα ἡμῶν ἀποτρίψασθαι, καὶ περὶ τοῦ μὴ μνησικακεῖν.

κηʹ. Ὅτι οὐδέν ἐστι τὸ ἀντιπαταττόμενον τῷ τοῦ Θεοῦ προστάγματι, καὶ τούτου ἀπόδειξις τὸ τῶν ἀποστόλων κήρυγμα, ὅπως δι' εὐτελῶν καὶ ὀλίγων ἐπλατύνθη εἰς πᾶσαν τὴν γῆν.

κθʹ. Ὅτι οὐ κακία προσγινομένη ἡμᾶς λυμαίνεται, οὔτε ἀρετὴ ὠφελεῖ, ἐὰν ῥᾳθυμῶμεν.

λʹ. Ὅτι χρὴ μετὰ τῆς νηστείας καὶ ἀδιαλείπτως εὔχεσθαι.

λαʹ. Ὅτι δεῖ ἡμᾶς τὴν τοῦ Ἀβραὰμ προθυμίαν μιμήσασθαι, καὶ ὅτι οὐ δεῖ τὰ γήϊνα τῆς σωτηρίας τῆς ψυχῆς προτιμᾶν.

λβʹ. Περὶ τοῦ γενναίως φέρειν τοὺς πειρασμούς.

λγʹ. Περὶ ταπεινοφροσύνης.

λδʹ. Ὅτι βέβαιαι αἱ περὶ τῶν μελλόντων ὑποσχέσεις τοῦ Θεοῦ, καὶ περὶ τῆς τοῦ Θεοῦ εἰς ἡμᾶς ἀγάπης, καὶ ὅτι δεῖ οὐχ ἑαυτοῖς ζῆν, ἀλλὰ τῷ Θεῷ.

λεʹ. Ὅτι πασῶν ἀρετῶν θεμέλιος ἡ ταπεινοφροσύνη, καὶ περὶ τῆς τῶν παρόντων ματαιότητος, καὶ ὅτι δεῖ τὸν πλοῦτον εἰς τοὺς πένητας ἀναλίσκειν μᾶλλον ἢ σωρεύειν.

λϛʹ Ὁποῖα εἰσὶν ἃ Θεὸς ἡμῖν ὑπέσχετο, καὶ ὅτι οὐ δεῖ πρὸς τοὺς τῆς ἀρετῆς ἀγῶνας ἀλύειν.

λζʹ. Περὶ τῆς τῶν παρόντων καταφρονήσεως, καὶ κατὰ ἀμετρίας, καὶ ὅτι δεῖ τὰ ἀναγκαῖα μόνον ζητεῖν.

ληʹ. Περὶ τῆς ὁμονοίας καὶ ἀγάπης μετὰ γυναικὸς καὶ ἀνδρός.

λθʹ. Περὶ τῆς περιτομῆς κατὰ τῶν Ἰουδαίων.

μʹ. Περὶ ὑπομονῆς, καὶ ὅτι χρησίμως παρὰ Θεοῦ τὰ λυπηρὰ καὶ τὰ χρηστὰ ἐπιμὶξ τίθεται· καὶ ὅτι δεῖ τὸν Ἀβραὰμ μιμήσασθαι, καὶ τὰ θεῖα προστάγματα οὐ περιεργάζεσθαι· καὶ περὶ βαπτίσματος καὶ περιτομῆς· καὶ χρησίμως ἀναμεμίχθαι τοὺς πονηροὺς καὶ τοὺς ἀγαθούς.

μαʹ. Περὶ φιλοξενίας.

μβʹ. Περὶ φιλοξενίας, καὶ περὶ Ἠλία καὶ τῆς χήρας.

μγʹ. Περὶ φιλοξενίας..

μδʹ. Ὅτι οἱ ἐνάρετοι καὶ ἐνταῦθα ὄντες, καὶ μετὰ τὴν ἐντεῦθεν μετάστασιν, ὠφελείας ἡμῖν ὑποθέσεις γίνονται, καὶ περὶ τοῦ Ἰωσήφ.

μεʹ. Ὅτι τοῖς τὰ οὐράνια μελετῶσιν εὔκολα τὰ τοῦ βίου δύσκολα.

μϛʹ. Κατὰ φθόνου.



Digitized by Google

# ΕΠΕΙΔΗ ΕΘΟΣ ΗΝ ΤΩ

ΜΑΚΑΡΙΩΤΑΤΩ ΙΩΑΝΝΗ ΤΩ ΧΡΥΣΟΣΤΟΜΩ μετὰ τὸ ἑρμηνεῦσαι τὸ παρ' αὐτοῦ προτεθὲν ῥητὸν, εἰς ἠθικὰ καταπαύειν τὸν λόγον, ἅπερ καὶ ἐν τοῖς ἡμετέροις ἀντιγράφοις, οὐ τοῖς αὐτοῖς δὲ ἐν πᾶσι ῥήμασιν ἐκτεθέντα εὑρίσκομεν· ἀναγκαῖον ἐνόμισα καὶ τὰ παρ' αὐτοῦ ἐν τοῖς ἠθικοῖς κατὰ πλάτος εἰρημένα, ἐν συντόμῳ προτάξαι, ἵνα ἔχῃ ὁ βουλόμενος τὴν δύναμιν τοῦ πόνου τοῦ ἠθικοῦ ἀπόνως καὶ ἐν συντόμῳ εὑρίσκειν. Εἰσὶ δὲ τῶν ἠθικῶν ἀριθμοὶ κατὰ τὸν τῶν λόγων.

## ΤΩΝ ΕΙΣ ΤΗΝ ΓΕΝΕΣΙΝ ΗΘΙΚΩΝ ΠΙΝΑΞ.


α'. Ὁ πρῶτος λόγος ὅλος ἠθικὸς περὶ νηστείας.

β'. Ὅτι δεῖ μεμνῆσθαι τῶν εἰρημένων, καὶ τῇ τῶν δογμάτων ὀρθότητι ἀκόλουθα τὰ ἔργα κεκτῆσθαι. ἑκάτερον γὰρ τούτων χωρὶς τοῦ ἑτέρου νεκρόν.

γ'. Περὶ τοῦ διηνεκῶς νήφειν διὰ τὸ πρὸς ἀσωμάτους ἔχειν ἡμᾶς τὸν πόλεμον, καὶ περὶ ἐλεημοσύνης.

δ'. Ὅτι οὐδὲν ἡμᾶς ὀνίνησιν ἡ νηστεία χωρὶς τῶν ἄλλων κατορθωμάτων, καὶ περὶ τοῦ εὔχεσθαι ὑπὲρ τῶν ἐχθρῶν.

ε'. Περὶ τοῦ μὴ δεῖν ἀφορᾷν εἰς τὴν τῶν ἀνθρώπων δόξαν ποιοῦντάς τι ἀγαθόν.

ϛ'. Καθ' ἑλλήνων, καὶ περὶ τοῦ μὴ καταγινώσκειν τῶν ἱερέων ἐν τοῖς ἀρχιέροις συλλόγοις.

ζ'. Ὅτι οὐ χρὴ ἀπογινώσκειν τῆς τῶν ἀπίστων σωτηρίας, καὶ διδόναι λαβὴν αὐτοῖς βλασφημίας ἐκ τοῦ μὴ καλῶς οἰκονομεῖν τὸν ἑαυτῶν βίον.

η'. Ὅτι οὐ τὸ ἀπέχεσθαι μόνον βρωμάτων ἀληθὴς νηστεία, ἀλλὰ τῶν κακῶν ἀποχή, καὶ ὅτι οὐ χρὴ πρὸς ἐπίδειξιν ἐλεεῖν, καὶ ὅτι οὐδὲν ἴσον τῆς κατὰ Θεὸν ἀρετῆς.

θ'. Ὅτι μεγίστη θυσία τὸ ἀναλογίζεσθαι τὰς παρὰ τοῦ Θεοῦ εὐεργεσίας.

ι'. Ὅτι χρὴ ἀδιαλείπτως καὶ ἐν πᾶσι μνημονεύειν τοῦ Θεοῦ.

ια'. Ὅλος ὁ λόγος ἠθικὸς, καὶ προτρεπτικὸς πρὸς τὴν ἀρετήν, καὶ τὴν μίμησιν τῶν ἁγίων.

ιβ'. Ὅτι τῆς ψυχῆς ἐχούσης τὸ κράτος κατὰ τοῦ σώματος, ἐγγίνεται ἡμῖν τοῖς ἀγγέλοις ἁμιλλᾶσθαι.

ιγ'. Ὅτι δεῖ κοσμεῖσθαι καὶ δογμάτων ὀρθότητι καὶ βίου ἀκριβείᾳ. ἑκάτερον γὰρ χωρὶς ἑτέρου οὐδὲν ὀνίνησι τὸν κεκτημένον.

ιδ'. Ὅτι δεῖ ἀδιαλείπτως μνημονεύειν τῶν θείων διδαγμάτων. μέγα γὰρ τοῦτο κέρδος.

ιε'. Ὅτι δεῖ συνεχῶς μνημονεύειν τῶν τοῦ Θεοῦ εὐεργεσιῶν, καὶ μὴ σκοπεῖν εἰ τὸ ἥμισυ τῆς ἁγίας τεσσαρακοστῆς διῆλθεν, ἀλλ' εἴ τι διωρθώσαμεν τῶν ἐν ἡμῖν παθῶν, καὶ ὅτι χρὴ τοῖς μέλεσι χρῆσθαι πρὸς ἀγαθὰς πράξεις, οὐ πρὸς τὰς ἐναντίας.

ιϛ'. Περὶ τοῦ σταυροῦ, καὶ οἷα ἀγαθὰ ἐδωρήσατο τῷ ἀνθρώπῳ.

ιζ'. Ὅτι δεῖ ἐκ τῆς ἐκκλησίας ἐξερχομένους ἡμᾶς μνημονεύειν τῶν εἰρημένων.

ιη'. Ὅτι εἰ μετὰ τοσαῦτα παραδείγματα τῆς ἀρετῆς ἀμελήσομεν, μείζονι κολάσει, ἢ οἱ

Digitized by Google

ἂν μέλλωμεν πλεῖν τὸ πέλαγος τοῦτο, εὔζωνοι γενώμεθα. Οὐκ ἠδυνήθην ὑμῖν, φησί, λαλῆσαι ὡς πνευματικοῖς, ἀλλ' ὡς σαρκικοῖς. (α. Κορ. γ. α.) μηδεὶς ἀκαρτέρητος τοῦτο πλεύτω τὸ πέλαγος. κατασκευάσωμεν ἑαυτοῖς πλοῖα, τουτέστι, σπουδὴν, προθυμίαν, εὐχὰς, ὥστε διαπλεῦσαι τὸ πέλαγος ἐν ἡσυχίᾳ. καὶ γὰρ τὸ ὕδωρ τοῦτο ζῶν ἐστι. καθάπερ εἴ τις πυρὸς λάβοι στόμα, οὕτως ὁ Παῦλος εἴσοδος στομοῦται. καθάπερ εἴ τις μάχαιραν ὀξεῖαν ἔχῃ, οὕτως ὁ τοιοῦτος πάλιν ἀκαταμάχητος ἐστί. καὶ πρὸς τὸ νοῆσαι δὲ τὰ Παύλου, βίου καθαροῦ δεῖται. διὰ τοῦτο καὶ ἔλεγε· Γάλακτος ἐν χρείᾳ κατέστητε, ἐπεὶ νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς. (Εβρ. ε. ια.) ἔστι γὰρ, ἔστιν ἀσθένεια καὶ ἀκοῆς. καθάπερ γὰρ στόμαχος οὐκ ἂν δέξαιτο ὑγιεινὰ σιτία καὶ δυσκατέργαστα ἀσθενὴς ὤν, οὕτω καὶ ψυχὴ ὀγκωθεῖσα, φλεγμαίνουσα, ἄτονος γενομένη καὶ ἔκλυτος, οὐκ ἂν δυνηθείη δέξασθαι τὸν πνευματικὸν λόγον. ἄκουε τῶν μαθητῶν λεγόντων· Σκληρός ἐστιν ὁ λόγος οὗτος· τίς δύναται αὐτοῦ ἀκούειν; (Ιωαν. ϛ. ξ.) ἂν δὲ ἰσχυρὰ ᾖ καὶ ὑγιεινὴ, πάντα ῥᾷστα, πάντα εὔκολα· ὑψηλοτέρα γίνεται καὶ κουφοτέρα, μᾶλλον μετεωρίζεται, καὶ εἰς ὕψος αἴρεται. Ταῦτα οὖν εἰδότες, ὑγιεινὴν ἡμῶν κατασκευάσωμεν τὴν ψυχὴν, καὶ ζηλώσωμεν τὸν Παῦλον, καὶ μιμησώμεθα τὴν γενναίαν ἐκείνην καὶ ἀδαμαντίνην ψυχὴν, ἵνα κατ' ἴχνος τῶν ἐκείνῳ βεβιωμένων πορευόμενοι, δυνηθῶμεν τὸ πέλαγος τοῦ παρόντος βίου διαπλεῦσαι, καὶ εἰς τὸν ἀκύμαντον λιμένα καταντῆσαι, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ETONÆ

Excuſum in Collegio Regali

MDCXII

Digitized by Google

ποιοῦσι. τὸ γὰρ πάντα εἰδέναι, τοῦτο ποιεῖ τὸν ἐκλελυμένον. τοῦτο δὲ ποιεῖ, καὶ οἷα τὰ μετὰ ταῦτα οὐ λέγει, περιττὸν ὅσοι πρὸς τοὺς ἐντυγχάνοντας τοῖς συγγραφεῦσιν ἡγούμενος καὶ ἀπὸ τούτων μανθάνοντας, τὸ προστιθέναι τῷ λόγῳ. πάντως γὰρ οἷα τὰ πρότερα, τοιαῦτα εἶχε καὶ τὰ μετὰ τοῦτο. ἄκουε δὲ καὶ οἷα μετὰ ταῦτα γράφων πρὸς Ῥωμαίους φησίν, [Ρωμ. ιε. κδ.] Ὡς ἂν πορεύωμαι εἰς τὴν Σπανίαν, ἐλεύσομαι πρὸς ὑμᾶς. ὁρᾷς πῶς πάντα περιεώρα ἡ ἁγία καὶ θεία κεφαλή; ὁ τῶν οὐρανῶν ὑψηλότερος πάντων; ὁ ψυχὴν ἔχων πάντα ὁμοῦ περιλαβεῖν δυναμένην; ὁ τὰ πέρατα κατίσχων Παῦλος; οὗ τοῖς εἴδεσι καὶ τὸ ὄνομα μόνον ἀρκεῖ πρὸς διέγερσιν ψυχῆς, πρὸς νῆψιν, πρὸς τὸ πάντα ὕπνον ἀποτινάξασθαι; ἐδέξατο αὐτὸν Ῥώμη δεδεμένον, ἀπὸ θαλάσσης ἀναβάντα, ἐκ ναυαγίου διασωθέντα, καὶ ἀπηλλαγμένον τοῦ ναυαγίου τῆς πλάνης. καθάπερ γάρ τις βασιλεὺς ναυμαχήσας καὶ νικήσας, ἐπέβαινε τῆς βασιλικωτάτης ἐκείνης πόλεως. περὶ τούτων ἔγραφεν, [Ρωμ. ιε. κθ. κε.] Ἐλεύσομαι, καὶ συναναπαύσομαι ὑμῖν ἐν πληρώματι εὐλογίας τοῦ εὐαγγελίου. καὶ πάλιν, Πορεύομαι διακονήσων εἰς Ἱερουσαλήμ. [Πρξ. κδ. ιζ.] τοῦτο ἐστιν ὅπερ ἔλεγεν, ἐλεημοσύνας ποιήσων εἰς τὸ ἔθνος μου παρεγενόμην. ἐγγύτερος ἦν λοιπὸν τοῦ στεφάνου· ἐδέξατο αὐτὸν ἡ Ῥώμη δεδεμένον, καὶ εἶδε στεφανωθέντα καὶ ἀνακηρυχθέντα. [χ. ὑγιῶ] ἐκεῖ συναναπαύσομαι ὑμῖν, ἔφη· ἐν ταύτῃ πορεύομαι διακονήσων εἰς Ἱερουσαλήμ. τοῦτο δὲ ἀρχὴ τοῦ δρόμου πάλιν ἦν, καὶ τρόπαια τροπαίοις συνῆπτεν, ἀκατάπληκτος ὤν. [χ. τῶν] Κόρινθος αὐτὸν κατεῖχε δύο ἔτη, καὶ Ἀσία τρία, καὶ αὕτη δύο πως, ὥστε δεύτερον ἐπέβη ὅτε καὶ ἐτελειώθη. [Β. Τιμ. δ. ιϛ.] Ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ, φησίν, οὐδείς μοι συμπαρεγένετο. οὕτω διέφυγε τότε, καὶ πᾶσαν ἐμπλήσας τὴν οἰκουμένην τοῦ κηρύγματος, κατέλυσεν οὕτω τὸν βίον. τί βούλει μαθεῖν τὰ μετὰ ταῦτα; τοιαῦτά ἐστι κἀκεῖνα, δεσμά, βάσανοι, μάχαι, φυλακαί, ἐπιβουλαί, συκοφαντίαι, θάνατοι καθημερινοί. εἶδες αὐτοῦ μικρὸν μέρος; τοιοῦτον νόει καὶ τὸ λοιπόν. ὥσπερ ἐπὶ τοῦ οὐρανοῦ ὅσον ἂν ἴδῃς αὐτοῦ, τοσοῦτόν ἐστι καὶ τὸ ἄλλο. οὐρανοῦ γὰρ ἂν μέρος θεάσῃ ἕν, ὅπου ἂν ἀπέλθῃς, τοιοῦτον ὄψει καὶ τὸ λοιπόν· ἢ καθάπερ ἡλίου τὰς ἀκτῖνας, κἂν ἐκ μέρους ἴδῃς, στοχάζῃ ἐκ τούτων οἷος ὁ ἥλιος· οὕτω καὶ ἐπὶ Παύλου. τὰς πράξεις εἶδες ἐκ μέρους αὐτοῦ, πᾶσαι τοιαῦται τυγχάνουσι, κινδύνων γέμουσαι. οὐρανὸς ἦν ἐκεῖνος ἥλιον δικαιοσύνης ἔχων, οὐ τοιοῦτον, ὥστε καὶ οὐρανοῦ βελτίων ὁ ἀνήρ. ἢ μικρὸν οἴει τοῦτο εἶναι; οὐκ ἔγωγε οἶμαι. ὅταν ἀπόστολον εἴπῃς, εὐθέως πάντες αὐτὸν ἐννοοῦσιν, ὥσπερ ὅταν Βαπτιστήν, εὐθέως τὸν Ἰωάννην. τίνι ἄν τις παραβάλῃ τὰ ἐκείνου ῥήματα; θαλάσσῃ, ἢ καὶ Ὠκεανῷ; ἀλλ' οὐδὲν ἴσον. πολλῷ ταύτης δαψιλέστερα τὰ ῥεύματα τὰ τούτου, καθαρώτερα καὶ βαθύτερα, ὥστε καὶ θάλασσαν καὶ οὐρανὸν οὐκ ἄν τις ἁμάρτοι τὴν Παύλου καρδίαν εἰπών· τὸ μέν, διὰ τὸ καθαρόν· τὸ δέ, διὰ τὸ βαθύ. θάλασσά ἐστιν, οὐκ ἀπὸ πόλεως εἰς πόλιν ἄγουσα τοὺς ἐμπλέοντας, ἀλλ' ἀπὸ γῆς εἰς οὐρανόν. εἴ τις ταύτην πλέοι τὴν θάλασσαν, εὐδείας πλεύσεται. ἐν ταύτῃ τῇ θαλάσσῃ οὐκ ἄνεμοι, ἀλλ' ἀντὶ ἀνέμων, πνεῦμα θεῖον ἅγιον τὰς ἐμπλεούσας παραπέμπει ψυχάς. οὐκ ἔστιν ἐνταῦθα κύματα, οὐκ ἔστι σκόπελος, οὐκ ἔστι θηρία· πάντα γαλήνη. θάλασσά ἐστι λιμένος γαληνοτέρα καὶ ἀσφαλεστέρα, οὐδὲν ἁλμυρὸν ἔχουσα, ἀλλὰ πηγῆς καθαρᾶς καὶ ἥδιστα ῥέουσα νάματα, ἡλίου λαμπρότερα καὶ διαυγέστερα. θάλασσά ἐστιν, οὐ λίθους ἔχουσα τιμίους, οὐδ' ἁλουργίδα τοιαύτην, ἀλλὰ ῥήματα πολλῷ τούτων βελτίω. [χ. τὰ] ὁ βουλόμενος εἰς τοῦτο καθεῖναι τὸ πέλαγος ἑαυτόν, οὐ κολυμβητῶν δεῖται, οὐκ ἐλαίου, ἀλλὰ φιλοσοφίας πολλῆς. εὑρήσει δὲ ἐν αὐτῷ πάντα τὰ ἀγαθὰ τὰ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. [χ. φιλανθρωπίας] ὁ τοιοῦτος καὶ δυνήσεται γενέσθαι βασιλεύς, καὶ πάντα τὸν κόσμον λαβεῖν, καὶ ἐν τιμῇ εἶναι μεγίστῃ. ὁ ταύτην πλέων τὴν θάλασσαν, οὐδέποτε ναυάγιον ὑποστήσεται, ἀλλὰ πάντα εἴσεται καλῶς. ἀλλ' ὥσπερ ὁ ταύτης ἄπειρος τῆς θαλάσσης ἀποπνίγεται, οὕτω δὴ καὶ ἐνταῦθα· ὅπερ δὴ πάσχουσι καὶ οἱ αἱρετικοὶ τοῖς ὑπὲρ δύναμιν ἐγχειροῦντες. δεῖ δὴ τὸ βάθος τούτου εἰδέναι, ἢ μὴ κατατολμᾶν.

δεῖ

τι; οὐδὲν τοιοῦτον εἶπεν ἁπλῶς. ὤφθη, καὶ πάντας παρώξυνεν. Εἰκότως ἄρα τοῖς ἔθνεσιν ἀπενεμήθη [ἡ σωτηρία.] Εἰκότως μακρὰν ἐπέμφθη. κἀκεῖ μέλλων τοῖς ἔθνεσι διαλέγεσθαι, [σκόπει δέ,] πρότερον Ἰουδαίους καλεῖ, ἔπειτα δείξας αὐτοῖς τὰ πράγματα, τότε ἐπὶ τὰ ἔθνη ἔρχεται. τὸ δὲ οὕτως εἰπεῖν, ὅτι εἶπε τὸ πνεῦμα, οὐδὲν θαυμαστόν. καὶ γὰρ ἄγγελος λέγεται λέγειν, ἅπερ ἂν ὁ Κύριος εἴπῃ. καλῶς εἶπε, φησὶ, τὸ πνεῦμα τὸ ἅγιον· ἀλλ' ἐνταῦθα μὲν οὕτως, ἐκεῖ δὲ οὐχί. ἄλλως δὲ, καὶ ὅταν διηγῆταί τις περὶ τῶν ὑπὸ τοῦ ἀγγέλου λεχθέντων, οὐ λέγει, καλῶς εἶπεν ὁ ἄγγελος, ἀλλὰ, καλῶς εἶπεν ὁ Κύριος, καλῶς εἶπε τὸ πνεῦμα· ὥστε εἰ ἐλέγχειν, οὐκ ἐμοὶ ἀπιστεῖτε, ἀλλὰ τῷ πνεύματι. ὥστε ἄνωθεν τοῦτο προῄδει ὁ Θεός. οἵτινες ἀνακρίναντές με, φησὶν, ἐβούλοντο ἀπολῦσαι· τουτέστιν, οὐδὲν εὑρόντες ἄξιον καταδίκης ἐν ἐμοὶ, ἀπολύειν ἤθελον. καὶ δέον ἐκείνους ἐξελέσθαι, παρέδωκαν εἰς χεῖρας Ῥωμαίων, καὶ τοσαύτη ἡ περιουσία τῆς ἀληθείας, ὅτι οὐδὲ ἐχθροὶ ἴσχυσαν κατακρῖναι, ἀλλὰ δέσμιον παρέδωκαν. ἠναγκάσθην, φησὶν, ἐπικαλέσασθαι Καίσαρα, οὐχ ὡς τοῦ ἔθνους μου ἔχων τι κατηγορῆσαι· τουτέστιν, οὐχ ἵνα κακοῖς ἑτέροις περιβάλω, ἀλλ' ἵνα κακῶν ἐμαυτὸν ἀπαλλάξω, τοῦτο ἐποίησα, καὶ οὐχ ἑκὼν, ἀλλ' ἀναγκασθείς. ὅρα οἰκειότητα ῥημάτων·

ιϛ. πδ

οὐκ ἀλλοτριοῦται αὐτοὺς, ἀλλ' οἰκειοῦται, τὸ εἰπεῖν τοῦ ἔθνους μου. πάλιν δὲ κατασπείρει τὸ δόγμα. καὶ οὐκ εἶπεν, οὐ κατηγορῶ· ἀλλ', οὐκ ἔχω τι κατηγορῆσαι, καίτοι τοιαῦτα παθὼν, οὕτω δεινά. οὐδὲν οὖν τούτων φησὶν, ἵνα μὴ φορτικὸν ποιήσῃ τὸν λόγον, οὐδὲ χαρίζεσθαι αὐτοῖς δοκεῖ. [καὶ διὰ τοῦτο οὐ λέγει, ἀλλ' αἰνίττεται μόνον καὶ παρατρέχει.] τοῦτο γὰρ ἦν πῶς τὸ σπουδαζόμενον, τὸ δεῖξαι ὅτι Ῥωμαίοις παρέδωκαν δέσμιον, οὐ δὲ, καταδικάσαι δέον ἐκείνους, δέον κατηγορῆσαι, μᾶλλον ἀπολογοῦνται. δι' ὧν δὲ συκοφαντοῦσι τὴν ἀπολογίαν, κατηγοροῦσιν αὐτῶν. γνωστὸν ἐστιν ἡμῖν ὅτι πανταχοῦ, φησὶν, ἀντιλέγεται. ἀλλ' εἰ καὶ τοῦτο συμβαίνει, ὅμως καὶ πιστεύεται πανταχοῦ. οἷς ἐξετίθετο, φησὶν, ἀπό τε νόμου καὶ προφητῶν. ὅρα πάλιν οὐκ ἀπὸ σημείων, ἀλλ' ἀπὸ νόμου καὶ προφητῶν ἐπιστομίζοντα αὐτοὺς, καὶ πανταχοῦ τοῦτο ποιοῦντα. καίτοιγε ἐνῆν καὶ σημεῖα ποιῆσαι, ἀλλὰ λοιπὸν οὐκ ἔτι πιστὸν τὸ πρᾶγμα ἦν. μέγα γὰρ τοῦτο σημεῖον, τὸ ἀπὸ νόμου καὶ τῶν προφητῶν διαλέγεσθαι. εἶτα ἵνα μὴ νομίσῃς παράδοξον εἶναι, τὸ μένειν αὐτοὺς ἀπειθοῦντας, ἐπάγει καὶ προφητείαν τὴν λέγουσαν· ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε· μᾶλλον, φησὶ, νῦν, ἢ τότε. καὶ ὄψεσθε, καὶ οὐ μὴ ἴδητε· μᾶλλον νῦν, ἢ τότε. πρὸς ἐκείνους εἴρηται ταῦτα τοὺς ἀπιστήσαντας, ἃ καὶ οὐχ ὑβρίζοντος ἦν, ἀλλὰ τὸ σκάνδαλον ἀναιροῦντος. γνωστὸν οὖν ἔστω ὑμῖν, φησὶν, ὅτι ἔθνεσιν ἀπεστάλη τὸ σωτήριον τοῦ Θεοῦ, αὐτοὶ καὶ ἀκούσονται. τί οὖν ἡμῖν διαλέγῃ; ταῦτα οὐκ ᾔδεις; ναί· ἀλλ' ὥστε πεισθῆναι· ἀπολογοῦμαι καὶ μηδενὶ δοῦναι λαβήν. (χ. ἢ ἀπολογήσασθαί με) ἔμεινε δὲ ὁ Παῦλος διετίαν ὅλην, φησὶ, διδάσκων μετὰ πάσης παρρησίας ἀκωλύτως. καλῶς τοῦτο προσέθηκεν. ἔνι γὰρ μετὰ παρρησίας λέγειν, ἀλλὰ κεκωλυμένως. τὴν οὖν παρρησίαν Παύλου οὐδεὶς ἐνέκοψεν, ἀλλὰ καὶ ἀκωλύτως ἔλεγεν. ἔμεινε δὲ ὁ Παῦλος διετίαν ὅλην, φησὶν, ἐν ἰδίῳ μισθώματι. οὕτως ἦν ἀπέριττος· μᾶλλον δὲ οὕτω τὸν διδάσκαλον αὐτοῦ ἐμιμεῖτο ἐν πᾶσιν, ὅτι καὶ τὴν οἴκησιν εἶχεν, οὐκ ἐξ ἀλλοτρίων πόνων, ἀλλ' ἀφ' ὧν αὐτὸς εἰργάζετο. τοῦτο γὰρ σημαίνει τὸ, ἐν ἰδίῳ μισθώματι. ὅτι δὲ καὶ ὁ δεσπότης οἰκίαν οὐκ ἐκέκτητο, ἄκουε αὐτοῦ λέγοντος πρὸς τὸν οὐκ ὀρθῶς εἰπόντα, Ἀκολουθήσω σοι ὅπου ἂν ἀπέρχῃ, Αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι,

Ματθ. η. κ.

καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις· ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ. οὕτως ἐξ ἑαυτοῦ τὸ μηδὲν κεκτῆσθαι ἐπαίδευσε, μηδὲ σφόδρα τοῖς βιωτικοῖς προσηλῶσθαι. καὶ ἀπεδέχετο πάντας τοὺς εἰσπορευομένους, φησὶ, πρὸς αὐτὸν, κηρύσσων τὴν βασιλείαν τοῦ Θεοῦ. ὅρα· οὐδὲν αἰσθητὸν, οὐδὲν περὶ τῶν παρόντων, ἀλλὰ περὶ τῆς τοῦ Θεοῦ βασιλείας πάντα φθεγγόμενον. ὁρᾷς οἰκονομίαν Θεοῦ; μέχρι τούτων τὸν λόγον ἵστησιν ὁ συγγραφεὺς, καὶ ἀφίησι διψῶντα τὸν ἀκροατὴν, ὥστε λοιπὸν ἀφ' ἑαυτοῦ συλλογίζεσθαι. τοῦτο καὶ οἱ ἔξω ποιοῦσι.

Digitized by Google

24 Καὶ οἱ μὲν ἐπείθοντο τοῖς λεγομένοις, οἱ δὲ ἠπίστουν.

Εἶδες πῶς οὐκ εὐθέως ἀποκρίνεται, ἀλλὰ δίδωσιν αὐτοῖς ἡμέραν τοῦ ἐλθεῖν καὶ ἀκοῦσαι; οἷς καὶ διαλεγόμενος διελέγετο ἀπό τε τοῦ νόμου Μωϋσέως, καὶ τῶν προφητῶν· καὶ οἱ μὲν ἐπείθοντο, οἱ δὲ ἠπίστουν.

25 Ἀσύμφωνοι δὲ ὄντες πρὸς ἀλλήλους ἀπελύοντο, εἰπόντος τοῦ Παύλου ῥῆμα ἕν· καλῶς τὸ πνεῦμα τὸ ἅγιον ἐλάλησε διὰ Ἡσαΐου τοῦ προφήτου πρὸς τοὺς πατέρας ἡμῶν,

Ησ. ϛ. θ. 26 Λέγον· Πορεύθητι πρὸς τὸν λαὸν τοῦτον, καὶ εἰπέ· ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε. 27 Ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς.

Ὅτι ἀνεχώρουν ἀντιτασσόμενοι αὐτῷ, τότε τὸν Ἡσαΐαν ἐφίστησιν, οὐκ ἐκείνους ὑβρίσαι βουλόμενος, ἀλλὰ τούτους στηρίξαι. Τί λέγοντα; ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε. ὁρᾷς πῶς αὐτοὺς ἐξέβαλε πάσης συγγνώμης, εἴπερ καὶ τὸν προφήτην ἔχοντες προαναφωνήσαντα πόρρωθεν ταῦτα, οὐκ ἀπεστράφησαν; τῷ δὲ εἰπεῖν, καλῶς, δείκνυσι καὶ δικαίως ἐκβεβλημένους, ὥστε τοῖς ἔθνεσι δίδοται γνῶναι τὸ μυστήριον τοῦτο. οὐδὲν οὖν θαυμαστὸν εἰ ἀντέλεγον. ἄνωθεν τοῦτο προελέγετο. εἶτα πάλιν τὸν ζῆλον κατ᾽ αὐτῶν κινεῖ τὸν ἐξ ἐθνῶν, ἐπάγων καὶ λέγων·

28 Γνωστὸν οὖν ἔστω ὑμῖν, ὅτι τοῖς ἔθνεσιν ἀπεστάλη τοῦτο τὸ σωτήριον τοῦ Θεοῦ, αὐτοὶ καὶ ἀκούσονται.

29 Καὶ ταῦτα αὐτοῦ εἰπόντος, ἀπῆλθον οἱ Ἰουδαῖοι, πολλὴν ἔχοντες ἐν ἑαυτοῖς συζήτησιν. χ. πάλιν

30 Ἔμεινε δὲ ὁ Παῦλος διετίαν ὅλην ἐν ἰδίῳ μισθώματι, καὶ ἀπεδέχετο πάντας τοὺς εἰσπορευομένους πρὸς αὐτόν,

31 Κηρύσσων τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ διδάσκων τὰ περὶ τοῦ Χριστοῦ Ἰησοῦ μετὰ πάσης παρρησίας ἀκωλύτως *. Ἐνταῦθα δείκνυσι τὴν αὐτοῦ ἐλευθερίαν λοιπόν. ἐκήρυττε γὰρ ἀκωλύτως ἐν Ῥώμῃ ὁ ἐν Ἰουδαίᾳ κωλυθείς, καὶ ἔμεινεν ἐπὶ δύο ἔτη διδάσκων ἐκεῖ. ἀλλ᾽ ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. διὰ ταύτην οὖν τὴν αἰτίαν παρεκάλεσα ὑμᾶς ἰδεῖν· τουτέστι, διὰ τοῦτο ἠβουλήθην, ὥστε μὴ δόξαι τινὶ κατηγορεῖν, καὶ τὰ παρεισάμενα λέγει, ὅτι διὰ τὰς χεῖρας αὐτῶν διαφυγών, ἐπὶ τοῦτο ἦλθον. οὐ γὰρ ἑτέροις δώσων κακά, ἀλλ᾽ αὐτὸς φεύγων κακά, ἦλθον. οἱ δὲ πρὸς αὐτόν· ἀξιοῦμεν ἀκοῦσαι παρὰ σοῦ ἃ φρονεῖς. ὅρα καὶ αὐτοὺς ἡμερωτέρους διαλεγομένους· ἀξιοῦμεν φησί. καὶ βούλονται ἀπολογήσασθαι καὶ ὑπὲρ ἐκείνων. διὸ καὶ ἥκουσι ταξάμενοι αὐτῷ ἡμέραν. τοῦτο δὲ αὐτοῦ τοῦ σφόδρα ἑαυτῶν καταγνῶναι τεκμήριον, καὶ τοῦ μὴ θαρρεῖν. εἰ γὰρ ἐθάρρουν, κἂν τοῦτο ἐποίησαν καὶ συνῆλθον, ὥστε αὐτὸν συναρπάσαι· νῦν δὲ μὴ θαρροῦντες, καὶ ἐλθεῖν ὤκνησαν. ἄλλως τε καὶ τῷ πολλάκις ἐπιχειρῆσαι ἔδειξαν ὅτι οὐκ ἐθάρρουν. καὶ οἱ μὲν ἐπείθοντο τοῖς λεγομένοις, φησίν· οἱ δὲ ἠπίστουν. καὶ ἀσύμφωνοι ὄντες ἀπελύοντο· τουτέστι, μὴ πιστεύοντες ἀνεχώρουν. ὅρα πῶς οὐ ῥᾳδίως ἐπιβουλὰς νῦν κατ᾽ αὐτοῦ, ἀλλ᾽ ἐν τῇ Ἰουδαίᾳ, ἔνθα ὡς ἐν τυραννίδι ἦσαν.

* Αμήν.

Πραξ. κβ. ιη. τίνος οὖν ἕνεκεν συγχωρήσει ὁ Θεὸς ἐκεῖ αὐτὸν ἀπελθεῖν, καίτοι εἰπών, Σπεῦσον, ἔξελθε ἐξ Ἱερουσαλήμ; ἵνα δειχθῇ καὶ αὐτῶν ἡ κακία, καὶ ἡ προφητεία τοῦ Χριστοῦ ἀληθής, ὅτι οὐκ αἰσχύνονται· καὶ ὥστε μαθεῖν πάντας, ὅτι πάντα ἕτοιμός ἐστι παθεῖν, καὶ ὥστε εἰς παράκλησιν τῶν ἐν Ἰουδαίᾳ γενέσθαι τὸ οἰκονομούμενον. καὶ γὰρ κἀκεῖ πολλὰ ἔπαθε δεινά. εἰ δὲ κηρύττων τὰ Ἰουδαϊκὰ ταῦτα ἔπασχεν, εἰ ἐκήρυττε τὰ τῆς δόξης τοῦ Χριστοῦ, πῶς ἂν ἠνέσχοντο; ἀγωνιζόμενος οὐκ ἐγένετο φορτικός, καὶ πῶς κηρύσσων φορτικὸς ἦν; τί ἐγκαλεῖτε ὑμεῖς; τί ἠκούσατε;

Digitized by Google

Λογ. νε. 17 ΕΓΕΝΕΤΟ ΔΕ ΜΕΤΑ ΤΡΕΙΣ ΗΜΕΡΑΣ συγκαλέσασθαι τὸν Παῦλον τοὺς ὄντας τῶν Ἰουδαίων πρώτους. συνελθόντων δὲ αὐτῶν, ἔλεγε πρὸς αὐτούς· ἄνδρες ἀδελφοί, ἐγὼ οὐδὲν ἐναντίον ποιήσας τῷ λαῷ, ἢ τοῖς ἔθεσι τοῖς πατρῴοις, δέσμιος ἐξ Ἱεροσολύμων παρεδόθην εἰς τὰς χεῖρας τῶν Ῥωμαίων. 18 Οἵτινες ἀνακρίναντές με, ἐβούλοντο ἀπολῦσαι διὰ τὸ μηδεμίαν αἰτίαν θανάτου ὑπάρχειν ἐν ἐμοί.

19 Ἀντιλεγόντων δὲ τῶν Ἰουδαίων, ἠναγκάσθην ἐπικαλέσασθαι Καίσαρα, οὐχ ὡς τοῦ ἔθνους μου ἔχων τι κατηγορῆσαι.

20 Διὰ ταύτην οὖν τὴν αἰτίαν παρεκάλεσα ὑμᾶς ἰδεῖν καὶ προσλαλῆσαι. ἕνεκεν γὰρ τῆς ἐλπίδος τοῦ Ἰσραὴλ τὴν ἅλυσιν ταύτην περίκειμαι.

Καλῶς τοῦτο καὶ συμφερόντως ποιεῖ, τοὺς πρώτους τῶν Ἰουδαίων εἰς διάλεξιν συγκαλεῖ. ἐβούλετο γὰρ καὶ ἑαυτὸν ἀπαλλάξαι αἰτίας, καὶ ἑτέρους· ἑαυτὸν μὲν, ἵνα μὴ κατηγορῶσιν αὐτοῦ, καὶ τοῦτο αὐτοὺς βλάπτῃ· ἐκείνους δὲ, ἵνα μὴ δόξῃ αὐτῶν εἶναι τὸ πᾶν. Εἰκὸς γὰρ κατηχῆσαι φήμην, ὅτι ὑπὸ Ἰουδαίων παρεδόθη· τοῦτο δὲ ἱκανὸν ἦν αὐτοὺς πλῆξαι. ἀθρόως οὖν πρὸς τοῦτο ἵσταται, καὶ τὰ καθ᾽ ἑαυτὸν οὕτω πως πράως
κ. τὸ ἀπολογεῖται. ὅρα δὲ πῶς καὶ τὴν ἀπολογίαν ὑφαίνει, λέγων· ἄνδρες ἀδελφοί, ἐγὼ οὐδὲν ἐναντίον ποιήσας τῷ λαῷ, ἢ τοῖς ἔθεσι τοῖς πατρῴοις, δέσμιος ἐξ Ἱεροσολύμων παρεδόθην εἰς τὰς χεῖρας τῶν Ῥωμαίων. Εἶτα οὕτως εἰπὼν, ἐπειδὴ εἰκὸς ἦν τινας ἀκούοντας εἰπεῖν, πῶς ἔχει λόγον ἁπλῶς σε παραδοῦναι, ἐπήγαγεν· οἵτινες ἀνακρίναντές με ἐβούλοντο ἀπολῦσαι. ὥστε ἔλεγε· μαρτυροῦσι τῶν Ῥωμαίων ἄρχοντες, οἳ καὶ ἀνέκριναν, καὶ ἤθελον ἀπολῦσαι. πῶς οὖν οὐκ ἀπέλυσαν; ἀντιλεγόντων Ἰουδαίων, φησίν. ὁρᾷς πῶς καθαιρεῖ αὐτῶν τὰ ἐγκλήματα; εἰ γὰρ ἐβούλετο αὐξῆσαι, ἐνῆν καὶ καταφορικώτερον χρήσασθαι. διὸ καὶ οὕτως εἰπὼν, ἐπήγαγεν· ἠναγκάσθην ἐπικαλέσασθαι Καίσαρα· ὥστε συγγνώμης τὸ πᾶν ἐστιν. Εἶτα ἵνα μηδεὶς εἴπῃ, τί οὖν; καὶ ἵνα αὐτῶν κατηγορήσῃς τοῦτο πεποίηκας; διὰ τῆς ἐπαγωγῆς διορθοῦται τὸ ὕφορμον, καὶ λέγει· οὐχ ὡς τοῦ ἔθνους μου ἔχων τι κατηγορῆσαι, ἀλλ᾽ ὥστε διαφυγεῖν τὸν κίνδυνον. ἕνεκεν γὰρ ὑμῶν τὴν ἅλυσιν ταύτην περίκειμαι. τοσοῦτον ἀπέχω, φησὶν, ἐχθρωδῶς πρὸς ὑμᾶς διακεῖσθαι, ὅτι καὶ τὴν ἅλυσιν περίκειμαι. τί οὖν ἐκεῖνοι; οὕτως ἐχειρώθησαν τῷ λόγῳ, ὡς μὴ μόνον ὑπὲρ ἑαυτῶν, ἀλλὰ καὶ ὑπὲρ τῶν συνειδότων ἀπολογήσασθαι. ὅθεν τοῦτο δῆλον; ἐπάγει,

21 Οἱ δὲ εἶπον πρὸς αὐτόν· Ἡμεῖς οὔτε γράμματα περὶ σοῦ ἐδεξάμεθα ἀπὸ τῆς Ἰουδαίας, οὔτε παραγενόμενός τις τῶν ἀδελφῶν ἀπήγγειλεν ἢ ἐλάλησέ τι περὶ σοῦ πονηρόν.

22 Ἀξιοῦμεν δὲ παρὰ σοῦ ἀκοῦσαι ἃ φρονεῖς. περὶ μὲν γὰρ τῆς αἱρέσεως ταύτης γνωστόν ἐστιν ἡμῖν, ὅτι πανταχοῦ ἀντιλέγεται. Ὥστε ἔλεγον· οὔτε διὰ γραμμάτων, οὔτε δι᾽ ἀνθρώπων ἐγνωρίσαμέν τι πονηρὸν περὶ σοῦ· πλὴν ἀλλ᾽ ἀκοῦσαι βουλόμεθα παρὰ σοῦ.
κ. ἐπὶ Εἶτα προκατέβαλον τὴν οἰκείαν γνώμην δεικνῦντες, καί φασι· περὶ μὲν γὰρ τῆς αἱρέσεως ταύτης γνωστόν ἐστιν ἡμῖν ὅτι ἀντιλέγεται πανταχοῦ. Οὐκ εἶπον, ὅτι ἀντιλέγομεν, ἀλλ᾽, ἀντιλέγεται, κατηγορίας ἑαυτοὺς ἀπολύοντες.

23 Ταξάμενοι δὲ αὐτῷ ἡμέραν, ἧκον πρὸς αὐτὸν εἰς τὴν ξενίαν πλείονες, οἷς ἐξετίθετο διαμαρτυρόμενος τὴν βασιλείαν τοῦ Θεοῦ, πείθων τε αὐτοὺς τὰ περὶ τοῦ Ἰησοῦ ἀπό τε τοῦ νόμου Μωϋσέως καὶ τῶν προφητῶν, ἀπὸ πρωῒ ἕως ἑσπέρας.

ἐστὶν ἡμῖν ὁ διάβολος αἴτιος, ἐὰν νήφωμεν· ἐκεῖνος ἡμᾶς μᾶλλον ἀφυπνίζει, ἐκεῖνος ἡμᾶς διεγείρει. Εἰπὲ γάρ μοι (τέως ταῦτα ἐξετάσωμεν) μὴ ἔστω θηρεία, μὴ ἔστω ἀνωμαλία ἀέρων, μὴ νόσος, μὴ λύπαι, μὴ ἀθυμίαι, μὴ ἕτερόν τι τῶν τοιούτων. Οὐκ ἂν ἐγένετο ὁ ἄνθρωπος; χοῖρος μᾶλλον ἢ ἄνθρωπος, δοκῶ μοι, γέγονεν ἄν, γαστριζόμενος καὶ μεθύων, καὶ ὑπὸ μηδενὸς τούτων ἐνοχλούμενος. νῦν δὲ αἱ φροντίδες καὶ αἱ μέριμναι, γυμνάσιόν εἰσι φιλοσοφίας καὶ διδασκαλεῖον, καὶ ἀγωγὴ παιδείας ἀρίστης. σκόπει δὲ ἄλλως· τρεφέσθω τις ἐν βασιλείοις, μήτε λυπούμενος, μήτε φροντίζων, μήτε μεριμνῶν, καὶ μήτε ὀργῆς ἔχων πρόφασιν, μήτε ἀποτυχίας· ἀλλὰ πάντα, ἅπερ ἂν ἐπιθυμήσῃ, ποιείτω, καὶ ἐπιτυγχανέτω, καὶ πάντας ἐχέτω ὑπακούοντας· ἂν μὴ πάντως θηρίου ἀλογώτερος γένηται ὁ τοιοῦτος; νῦν δὲ ὥσπερ ἀκόνη ἐστὶν ἐκτρίβουσα ἡμᾶς τὰ τῶν περιστάσεων, τὰ τῶν θλίψεων. διὰ τοῦτο τῶν πλουτούντων οἱ πένητες ὡς ἐπὶ τὸ πλεῖστον εἰσὶ συνετώτεροι, καθάπερ πολλοῖς προσκρουόμενοι καὶ περιαντλούμενοι κύμασι. καὶ γὰρ σῶμα τὸ μὲν ἀργὸν καὶ ἀκίνητον, νοσῶδες καὶ ἀηδές· τὸ δὲ καμνόμενον καὶ κάμνον καὶ ταλαιπωρούμενον, ὡραιότερον καὶ ὑγιεινότερον. τοῦτο δὲ ἐπὶ ψυχῆς εὕροις ἄν. καὶ σίδηρος κείμενος μὲν διαφθείρεται, ἐργαζόμενος δὲ λάμπει· καὶ ψυχὴ ὡσαύτως κινουμένη. κίνησις δὲ ψυχῆς, αἱ περιστάσεις αὗται. καὶ τέχναι ἀπόλλυνται, μὴ κινουμένης ψυχῆς· κινεῖται δὲ, ὅταν μὴ πάντα εὔθετα ᾖ. κινεῖται γὰρ ὑπὸ τῶν ἐναντίων. εἰ μὴ εἴη ἐναντία, οὐδὲν ἂν εἴη τὸ κινοῦν· οἷον, εἰ πάντα ἦν εἰργασμένα καλῶς, οὐκ ἂν εὗρεν ἡ τέχνη κινηθῆναι· οὕτω καὶ εἰ πάντα ἦν κατὰ νοῦν ἡμῖν, οὐκ ἂν εὗρεν ἡ ψυχὴ κινεῖσθαι. εἰ πανταχοῦ διεβάσταζεν, ἀηδὴς ἦν. οὐχ ὁρᾷς ὅτι καὶ σοφοῖς παρακελευόμεθα μὴ διαπαντὸς βαστάζειν τὰ παιδία, ὥστε μὴ εἰς ἔθος αὐτὰ καταστῆσαι, μήτε ἐξίτηλα αὐτὰ ποιεῖν; διὰ τοῦτο τὰ ὑπ' ὄψιν ἀνατρεφόμενα τῶν γονέων, ἀσθενέστερα γίνεται, τῆς φειδοῦς τῆς ἀκαίρου τι καὶ ἀμέτρου λυμαινομένης αὐτῶν τὴν ὑγείαν. καλὸν καὶ λύπη σύμμετρος· καλὸν καὶ φροντίς· καλὸν καὶ ἔνδεια. ἰσχυροὺς γὰρ ἡμᾶς ποιεῖ καὶ ἡ ἔνδεια. ἕκαστον γὰρ αὐτῶν ἀμέτρως γινόμενον ἀπόλλυσι· καὶ τὸ μὲν χαυνοῖ, τὸ δὲ διαρρήγνυσιν. οὐχ ὁρᾷς ὅτι καὶ τοὺς αὐτοῦ μαθητὰς ὁ Χριστὸς οὕτως ἀνῆγε; εἰ ἐκεῖνοι δὲ τούτων ἐδέοντο, πολλῷ μᾶλλον ἡμεῖς. εἰ δὲ δεόμεθα, μὴ ἀγανακτῶμεν, ἀλλὰ καὶ χαίρωμεν ἐπὶ ταῖς θλίψεσι. φάρμακα γὰρ ταῦτά ἐστι κατάλληλα τοῖς ἡμετέροις τραύμασι· τὰ μὲν πικρά, τὰ δὲ ἡδέα. ἑκάτερον δὲ αὐτῶν καθ' ἑαυτὸ ἂν εἴη ἄχρηστον. χάριν τοίνυν ἔχωμεν τῷ Θεῷ ὑπὲρ τούτων ἁπάντων. οὐ γὰρ ἁπλῶς ταῦτα συγχωρεῖ γίνεσθαι, ἀλλ' ὑπὲρ τοῦ συμφέροντος τῶν ἡμετέρων ψυχῶν. τὴν ἡμετέραν τοίνυν εὐγνωμοσύνην ἐπιδεικνύμενοι, εὐχαριστῶμεν, δοξάζωμεν, γενναίως ἀντέχωμεν, τὸ συμφέρον αὐτῶν λογιζόμενοι, καὶ πρὸς τὰ μέλλοντα τείνοντες ἑαυτῶν τὴν διάνοιαν, ἵνα καὶ τὰ παρόντα γενναίως ἐνέγκωμεν, καὶ τῶν μελλόντων ἐπιτυχεῖν ἀγαθῶν καταξιωθῶμεν, χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ιε.

Digitized by Google

ποίησαν. ἐντεῦθεν γὰρ αὐτῷ καὶ τὸ ἱερατικὸν ποικίλλεται ἔνδυμα, καὶ ἡ κίδαρις περιτίθεται, καὶ ὁ λοιπὸς τῆς στολῆς κόσμος, ὥστε ἀναμφισβήτητον εἶναι τὴν χειροτονίαν· ὥστε καὶ εἰς τὸ ἑξῆς θαυμάζεσθαι ἀπὸ τῶν πετάλων τοῦ χαλκοῦ. ἴστε πάντως τὴν ἱστορίαν· διὸ καὶ παρατρέχω τὸ διήγημα. καί, εἰ βούλεσθε, πάλιν ἄνωθεν ταῦτα ἐπέλθωμεν. ὁ Κάϊν τὸν ἀδελφὸν ἀνεῖλεν, ἀλλὰ ταύτῃ μᾶλλον ὠφέλησεν. ἀκούσατε γὰρ τί φησι· Φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με. καὶ πάλιν ἀλλαχοῦ· Αἵματι, φησι, κρεῖττον λαλοῦντι παρὰ τὸν Ἄβελ. ἀπήλλαξεν αὐτὸν τῆς ἀδηλίας τοῦ μέλλοντος, τὸν μισθὸν ηὔξησε. τὴν ἀγάπην ἐμάθομεν πάντες, ἣν ὁ Θεὸς εἶχε πρὸς αὐτόν. τί γὰρ ἠδίκηται, δεξάμενος τάχιον τὴν τελευτήν; οὐδέν. τί γάρ, εἰπέ μοι, οἱ βραδέως τελευτῶντες κερδαίνουσιν; οὐδέν. οὐδὲ γὰρ παρὰ τὸ πολλὰ ζῆν ἔτη, ἢ ὀλίγα, ἡ εὐημερία· ἀλλὰ παρὰ τὸ εἰς δέον κεχρῆσθαι τῇ ζωῇ. οἱ τρεῖς παῖδες ἐνεβλήθησαν εἰς κάμινον, καὶ διὰ τοῦτο γεγόνασι λαμπρότεροι. ὁ Δανιὴλ εἰς λάκκον, καὶ ἐντεῦθεν περιφανέστερος κατέστη. ὁρᾷς πανταχοῦ τοὺς πειρασμοὺς μεγάλα τίκτοντας ἀγαθά, καὶ ἐνταῦθα, μήποτε ἐκεῖ; ἐπὶ δὲ τῆς κακίας τοὐναντίον ἐστίν, ὥσπερ ἂν εἴ τις κάλαμον ἔχων παρατείνοιτο πρὸς πῦρ. ὁ γὰρ τοιοῦτος δοκεῖ μὲν πλήττειν τὸ πῦρ, αὐτὸ δὲ λαμπρότερον ποιεῖ, καὶ ἑαυτὸν ἀναλίσκει. τροφὴ γάρ ἐστιν ἡ κακία καὶ ὑπόθεσις λαμπρότητος τῇ ἀρετῇ. τῇ γὰρ ἀδικίᾳ εἰς δέον τοῦ Θεοῦ χρωμένου, τὰ ἡμέτερα λάμπει μᾶλλον. πάλιν, ὁ διάβολος ὅταν ἐργάζηταί τι τοιοῦτον, λαμπροτέρους ποιεῖ τοὺς ὑπομένοντας. τί οὖν, φησιν, ἐπὶ τοῦ Ἀδὰμ οὐ γέγονέ τι τοιοῦτον, ἀλλ' ἀτιμότερος γέγονε; μάλιστα μὲν κἀκείνῳ ὁ Θεὸς εἰς δέον ἐχρήσατο. εἰ δέ πού τι ἔπαθεν, αὐτὸς ἑαυτὸν ἠδίκησε. τὰ μὲν γὰρ παρ' ἑτέρων εἰς ἡμᾶς γινόμενα, μεγάλων ἡμῖν ἀγαθῶν αἴτια ἐστί· τὰ δὲ παρ' ἡμῶν αὐτῶν, οὐκέτι. ἐπεὶ γὰρ ἀδικούμενοι μὲν ὑφ' ἑτέρων ἀληθῶς, ὑπὸ δὲ ἡμῶν αὐτῶν οὐκέτι, δείκνυσιν ὁ Θεός, ὅτι ὁ μὲν παρ' ἑτέρου ἀδίκως πάσχων, εὐδοκιμεῖ· ὁ δὲ ἑαυτὸν ἀδικῶν, βλάπτεται· καὶ μάλα εἰκότως, ἵνα ἐκεῖνο μὲν γενναίως φέρωμεν, τοῦτο δὲ μηκέτι· ἄλλως τε τὸ πᾶν ἐκεῖ τοῦ Ἀδὰμ γέγονε. διὰ τί γὰρ ἐπείθου τῇ γυναικί; διὰ τί γὰρ ἐνεδρεύουσαν συμβουλεύουσαν οὐκ ἀπεκρούσω; σὺ πάντως αἴτιος γέγονας· ἐπεὶ εἰ ὁ διάβολος ἦν, ἔδει κατὰ τοῦτο τοὺς πειραζομένους πάντας ἀπόλλυσθαι· εἰ δὲ μὴ ἀπόλλυνται, παρ' ἡμᾶς ἡ αἰτία. ἀλλ' ἔδει, φησί, πάντας τοὺς πειραζομένους κατορθοῦν· ἢ εἰ παρ' ἡμᾶς ἡ αἰτία, ἔδει καὶ χωρὶς τοῦ διαβόλου ἀπόλλυσθαι. τοῦτο καὶ ἐστί. καὶ γὰρ πολλοὶ καὶ χωρὶς τοῦ διαβόλου ἀπόλλυνται. οὐ γὰρ δὴ πάντα αὐτὸς κατασκευάζει, ἀλλὰ πολλὰ καὶ ἀπὸ μόνης ἐστὶ τῆς ῥᾳθυμίας τῆς ἡμετέρας. εἰ δέ που κἀκεῖνος αἴτιος, ἡμῶν τὴν ἀρχὴν παρεχόντων. εἰπὲ γάρ μοι, πότε ὁ διάβολος ἴσχυσεν ἐπὶ τοῦ Ἰούδα; ὅτε εἰσῆλθε, φησιν, εἰς αὐτὸν ὁ Σατανᾶς. ἀλλ' ἄκουσον τὴν αἰτίαν, ὅτι κλέπτης ἦν, καὶ τὰ βαλλόμενα ἐβάσταζεν. αὐτὸς ἔδωκεν αὐτῷ εὐρυχωρίαν τῆς εἰσόδου. ὥστε οὐχ ὁ διάβολος τὴν ἀρχὴν ἐντίθησιν, ἀλλ' ἡμεῖς αὐτὸν δεχόμεθα καὶ καλοῦμεν. ἀλλ' εἰ μὴ ἐκεῖνος, φησιν, ἦν, οὐκ ἂν μεγάλα ἐγίνετο τὰ δεινά. ἀλλ' ἀπαραίτητος ἡμῖν ἔμελλεν εἶναι ἡ κόλασις. νῦν μὲν γάρ, ἀγαπητέ, τὰ τῆς κολάσεως ἡμῖν ἡμερώτερα· εἰ δὲ δι' ἑαυτῶν εἰργαζόμεθα τὰ δεινά, ἀφόρητος ἂν ἦν ἡ τιμωρία. εἰπὲ γάρ μοι, εἰ ταῦτα, ἃ ἥμαρτεν ὁ Ἀδάμ, χωρὶς συμβουλῆς ἥμαρτε, τίς αὐτὸν ἂν ἐξήρπασε τῶν κινδύνων; ἀλλ' οὐκ ἂν ἥμαρτε, φησι. πόθεν μοι τοῦτο λέγεις; ὁ γὰρ οὕτω χαῦνος καὶ ῥᾴθυμος καὶ πρὸς ἄνοιαν ἕτοιμος, ὥστε δέξασθαι τοιαύτην συμβουλήν, πολλῷ μᾶλλον καὶ χωρὶς τούτου τοῦτο γένοιτο ἄν. ποῖος διάβολος τοὺς τοῦ Ἰωσὴφ ἀδελφοὺς εἰς φθόνον ἐνέβαλεν; ἂν νήφωμεν τοίνυν, ἀγαπητοί, καὶ εὐδοκιμήσεως ἡμῖν αἴτιος ὁ διάβολος ἐστί. τί γὰρ ἔβλαψε τὸν Ἰὼβ ἡ τοσαύτη αὐτοῦ μηχανή; μὴ εἴπῃς, φησί, τοῦτο, ἀλλ' ὁ ἀσθενὴς βλάπτεται. ἀλλ' ὁ ἀσθενής, κἂν μὴ διάβολος ᾖ, βλάπτεται. ἀλλὰ μειζόνως, φησί, μετὰ τῆς ἐκείνου ἐνεργείας. ἀλλ' ἔλαττον, ὅταν μετὰ τῆς ἐκείνου ἐνεργείας ἁμάρτῃ, κολάζεται. οὐ γὰρ πάντων τῶν ἁμαρτημάτων αἱ αὐταὶ τιμωρίαι. μὴ ἀπατῶμεν ἑαυτούς· οὐκ

χ. τοιαῦτα

χ. ἀρετῇ

χ. -των

χ. -δοῦν. ἢ παρ' ἡμᾶς ἡ αἰτία ἔδει, φησί, καὶ

χ. τί

χ. ὅτι

Γεν. δ. ι.

Εβρ. ιβ. κδ.

Ιωαν. ιβ. ς.

τὴν χεῖρα ἔδειξε πάθουσαν μηδέν. τοῦτο ἰδόντες καὶ ἐξεπλάγησαν καὶ ἐθαύμασαν. οὐκ ἐγένετο δὲ τὸ σημεῖον εὐθέως, ἀλλὰ τῷ χρόνῳ ἐνδιέτριψαν οἱ ἄνθρωποι, ὥστε μὴ δόξαι φαντασίας εἶναι. οὕτως οὐκ ἦν ἀπάτη, οὐκ ἦν συναρπαγή. ἐν δὲ τοῖς περὶ τὸν τόπον ἐκεῖνον ὑπῆρχε χωρία τῷ πρώτῳ τῆς νήσου, ὀνόματι Ποπλίῳ· ὃς ἀναδεξάμενος ἡμᾶς φιλοφρόνως ἐξένισε. καλῶς οὕτως εἶπε. φιλοφροσύνης γὰρ μεγάλης, διακοσίας ἑβδομήκοντα τὸ ξενίσαι ψυχάς. ἐννόησον τῆς φιλοξενίας ὅσον τὸ κέρδος. οὐχ ὡς ἀνάγκης οὔσης, οὐδὲ ὡς ἄκων, ἀλλ' ὡς κέρδος τιθέμενος, τρεῖς ἡμέρας ἐξένισεν αὐτούς. εἶτα καὶ ἀμοιβὴν τῆς τοιαύτης φιλοξενίας εἰκότως λαμβάνει, καὶ πολλῷ μείζονα ἢ ἔδωκε. τὸν γὰρ πατέρα αὐτοῦ θεραπεύει ὑπὸ δυσεντερίας κακῶς πάσχοντα· οὐ μόνον δὲ αὐτόν, ἀλλὰ καὶ πολλοὺς ἔχοντας ἀσθενείας τῶν αὐτῶν ἀξιοῖ· οἱ καὶ ἀμειβόμενοι, τιμαῖς αὐτὸν καὶ χορηγίαις δωροῦνται. τοῦτο δὲ δῆλον ποιῶν ἐπάγει· οἳ καὶ πολλαῖς τιμαῖς ἐτίμησαν ἡμᾶς, καὶ ἀναγομένοις ἐπέθεντο τὰ πρὸς τὴν χρείαν. οὐχὶ μισθὸν ἔλαβε; μὴ γένοιτο· ἀλλὰ τὸ γεγραμμένον πληροῦται, Ἄξιος ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ ἐστιν. οἱ δὲ οὕτως αὐτὸν ὑποδεξάμενοι, εὔδηλον ὅτι καὶ τὸν λόγον ἐδέξαντο τοῦ κηρύγματος. οὐ γὰρ ἂν ἐν τριμήνῳ τοσαῦτα διελέχθη, μὴ σφόδρα αὐτῶν πιστευσάντων, καὶ καρποὺς ἐπιδειξαμένων· ὥστε ἀπὸ τούτου τεκμήριον μέγα τοῦ πλήθους τῶν πιστευσάντων ἐστὶν ἰδεῖν. καὶ ἀνήχθημεν, φησιν, ἐν πλοίῳ Ἀλεξανδρίνῳ, παρακεχειμακότι ἐν τῇ νήσῳ, παρασήμῳ Διοσκούροις. ἴσως τοῦτο ἦν γεγραμμένον ἐν αὐτῷ· οὕτως ἦσαν κατείδωλοι. ὅρα ἐνδιατρίβοντας*. τῷ δὲ Παύλῳ ἐπετράπη μένειν καθ' ἑαυτόν. λοιπὸν αἰδέσιμος οὕτως ἦν ὁ Παῦλος, ὡς καὶ συγχωρεῖσθαι καθ' ἑαυτὸν εἶναι, καὶ ξένον οὐδέν. εἰ γὰρ καὶ περὶ τοῦτο φιλανθρώπως ἐχρήσαντο αὐτῷ, πολλῷ μᾶλλον νῦν. καὶ ἐπιγενομένου, φησί, νότου, δευτεραῖοι ἤλθομεν εἰς Ποτιόλους, οὗ εὑρόντες ἀδελφοὺς παρεκλήθημεν ἐπ' αὐτοῖς ἐπιμεῖναι ἡμέρας ἑπτά. καὶ οὕτως εἰς τὴν Ῥώμην ἤλθομεν. κἀκεῖθεν οἱ ἀδελφοὶ ἀκούσαντες τὰ περὶ ἡμῶν, ἐξῆλθον εἰς ἀπάντησιν ἡμῖν, ἄχρις Ἀππίου φόρου καὶ τριῶν ταβερνῶν. οὐ φοβηθέντες τὸν κίνδυνον ἐξῆλθον, καὶ ταῦτα ἱκανὰ ἐκείνους πιστώσασθαι. ὅρα πῶς οὐδαμοῦ πόλει προσέβαλον ἐν τοσούτῳ πλῷ· ἀλλὰ νήσῳ, καὶ τὸν χειμῶνα ὁλόκληρον διήγαγον πλέοντες, ἐκείνων ῥυθμιζομένων εἰς τὴν πίστιν, τῶν συμπλευσάντων λέγω. ἐπετράπη, φησί, μένειν καθ' ἑαυτὸν σὺν τῷ φυλάσσοντι αὐτὸν στρατιώτῃ. καὶ μάλα εἰκότως, ὥστε μὴ ἐξεῖναι, μηδὲ ἐκεῖ ἐπιβουλὴν ἵνα αὐτὸν ὑποστῆναι. οὐ γὰρ ἐνῆν στασιάσαι λοιπόν· ὥστε οὐκ ἐκεῖνον ἐφύλαττον, ἀλλ' ὥστε μὴ γενέσθαι τι τῶν ἀηδῶν. οὐ γὰρ ἐξῆν λοιπόν, καὶ πόλεως οὔσης τοσαύτης, καὶ βασιλέως ὄντος, καὶ ἐφέσεως οὔσης, γενέσθαι τι παρὰ τὴν ἀκολουθίαν. οὕτως ἀεὶ διὰ τῶν δοκούντων εἶναι καθ' ἡμῶν ὑπὲρ ἡμῶν πάντα γίνεται. φύλαξ γὰρ ἦν τοῦ Παύλου. καὶ συγκαλέσας τοὺς πρώτους τῶν Ἰουδαίων, διαλέγεται αὐτοῖς· οἱ καὶ ἀντιλέγοντες ἀναχωροῦσι, καὶ ὑβρίζονται παρ' αὐτοῦ, καὶ οὐδὲν τολμῶσιν εἰπεῖν. οὐ γὰρ τῇ ἐξουσίᾳ αὐτῶν ἐπετέτραπτο λοιπὸν τὰ κατ' αὐτόν.

ΗΘΙΚΟΝ

Τὸ γὰρ θαυμαστὸν τοῦτό ἐστιν, ὅτι οὐ διὰ τῶν δοκούντων εἶναι πρὸς ἀσφάλειαν, ἀλλὰ καὶ διὰ τῶν ἐναντίων, πάντα ὑπὲρ ἡμῶν γίνεται. καὶ ἵνα μάθῃς, σκόπει ἐντεῦθεν. ἐκέλευσεν ὁ Φαραὼ ῥίπτεσθαι εἰς τὸν ποταμὸν τὰ βρέφη. εἰ μὴ ἐρρίφη τὰ βρέφη, εἰ μὴ ἡ πρόσταξις τοῦ Φαραὼ ἐγένετο, οὐκ ἂν ἐσώθη Μωϋσῆς, οὐκ ἂν ἐν βασιλείοις ἐτράφη. ὅτε ἐσώζετο, οὐκ ἦν ἐν τιμῇ· ὅτε ἐξετέθη, τότε ἐγένετο ἐν τιμῇ. τοῦτο δὲ ἐποίει ὁ Θεός, τὸ εὔπορον αὐτοῦ δεικνὺς καὶ εὐμήχανον. ἠπείλησεν ὁ Ἰουδαῖος αὐτῷ λέγων, Μὴ ἀνελεῖν με σὺ θέλεις; καὶ τοῦτο αὐτὸν ὤνησεν. ἄρα οἰκονομικῶς γέγονεν, ὥστε τὴν ὄψιν αὐτὸν ἐκείνην ἰδεῖν τὴν ἐν τῇ ἐρήμῳ· ὥστε τὸν τεσσαράκοντα χρόνον πληρωθῆναι· ὥστε αὐτὸν ἐμφιλοσοφῆσαι τῇ ἐρήμῳ, καὶ ἐν ἀσφαλείᾳ ζῆν. καὶ ἐν πάσαις ταῖς κατ' αὐτοῦ τῶν Ἰουδαίων ἐπιβουλαῖς τοῦτο γίνεται. τότε λαμπρότερος καθίσταται· ὅτε καὶ ἐπὶ τοῦ Ἀαρὼν ἐπανέστησαν αὐτῷ, καὶ λαμπρότερον αὐτὸν ἐποίησαν.

Ματθ. ι. ι.

Ἐξοδ. β. 18.

χ. διακόσια ἑξήκοντα ἐννέα

* καὶ πάλιν ἐπιδόντας

χ. οὐ

χ. ἀεί

χ. λέγοντες

χ. ὠφέλησεν

λόπιμον γενομένην δι' αὐτόν. τρεῖς γὰρ μῆνας ἦσαν ἐκεῖ τρεφόμενοι πάντες. καὶ ὅτι τοσοῦτον χρόνον ἐποίησαν, ἄκουε πῶς τοῦτο ἑρμηνεύων, ἐπάγει.

11 Μετὰ δὲ τρεῖς μῆνας ἀνήχθημεν ἐν πλοίῳ παρακεχειμακότι ἐν τῇ νήσῳ Ἀλεξανδρίνῳ, παρασήμῳ Διοσκούροις.

12 Καὶ καταχθέντες εἰς Συρακούσας, ἐπεμείναμεν ἡμέρας τρεῖς.

13 Ὅθεν περιελθόντες κατηντήσαμεν εἰς Ῥήγιον, καὶ μετὰ μίαν ἡμέραν ἐπιγενομένου νότου, δευτεραῖοι ἤλθομεν εἰς Ποτιόλους·

14 Οὗ εὑρόντες ἀδελφούς, παρεκλήθημεν ἐπ' αὐτοῖς ἐπιμεῖναι ἡμέρας ἑπτά· καὶ οὕτως εἰς τὴν Ῥώμην ἤλθομεν.

15 Κἀκεῖθεν οἱ ἀδελφοὶ ἀκούσαντες τὰ περὶ ἡμῶν, ἐξῆλθον εἰς ἀπάντησιν ἡμῖν ἄχρις Ἀππίου φόρου καὶ τριῶν ταβερνῶν· οὓς ἰδὼν ὁ Παῦλος εὐχαριστήσας τῷ Θεῷ, ἔλαβε θάρσος. Ὅρα διὰ Παῦλον πάντα γινόμενα ταῦτα, ὥστε πιστεῦσαι τοὺς δεσμώτας, τοὺς στρατιώτας, τὸν ἑκατόνταρχον. εἰ γὰρ καὶ αὐτολίθινοι ἦσαν, καὶ δι' ὧν συμβουλεύσαντος ἤκουσαν, καὶ δι' ὧν προειπόντος, καὶ δι' ὧν θαυματουργήσαντος, καὶ δι' ὧν θρέψαντος ἀπήλαυσαν, μεγάλα ἂν ἐφαντάσθησαν περὶ αὐτοῦ. ὅρα ὅταν ὀρθὴ κρίσις ᾖ, καὶ μὴ προκατειλημμένη πρός τινι, πῶς εὐθέως λαμβάνουσι τὰς κρίσεις τὰς ὀρθάς, καὶ τὰς ψήφους διεγνωσμένας. ἤδη καὶ τῆς Σικελίας τὸ κήρυγμα ἥψατο. οὕτω διέδραμε καὶ ἐν Ποτιόλοις, ἔνθα καὶ ἀδελφούς τινας εὑρόντες ἐπιμένουσι παρ' αὐτοῖς. εἶτα καὶ ἄλλοι κατὰ Ῥώμην αὐτοῖς ἀπαντῶσι. τοσαύτη καὶ ἡ προθυμία τῶν ἀδελφῶν, ὅτι οὐκ ἐθορύβησεν αὐτοὺς τὸ ἐν δεσμοῖς εἶναι τὸν Παῦλον, ἀλλ' ἐξῆλθον εἰς ἀπάντησιν. ὅρα δέ μοι αὐτὸν καὶ ἀνθρώπινόν τι παθόντα. θάρσος γάρ, φησιν, ἔλαβεν ἰδὼν τοὺς ἀδελφούς. καίτοι τοσαῦτα σημεῖα ἐργασάμενος, ἀλλ' ὅμως ἔλαβε καὶ ἀπὸ τῆς ὄψεως προσθήκην. ἀπὸ τούτου μανθάνομεν ὅτι καὶ ἀνθρωπίνως παρεκαλεῖτο, καὶ τοὐναντίον.

γρ. αὐτοὶ λίθινοι

16 Ὅτε δὲ ἤλθομεν εἰς Ῥώμην, ἐπετράπη τῷ Παύλῳ μένειν καθ' ἑαυτὸν σὺν τῷ φυλάσσοντι αὐτὸν στρατιώτῃ. Ὁρᾷς; συνεχωρήθη αὐτῷ καθ' ἑαυτὸν μένειν. οὐ μικρὸν καὶ τοῦτο τεκμήριον τοῦ πάνυ θαυμασθῆναι αὐτόν. οὐ γὰρ δὴ μετὰ τῶν ἄλλων ἠρίθμουν αὐτόν.

17 Ἐγένετο δὲ μετὰ τρεῖς ἡμέρας συγκαλέσασθαι αὐτὸν τοὺς ὄντας τῶν Ἰουδαίων πρώτους. Μετὰ τρεῖς ἡμέρας ἐκάλεσε τοὺς πρώτους τῶν Ἰουδαίων, ὥστε μὴ προληφθῆναι αὐτῶν τὰς ἀκοάς. καὶ τί κοινὸν πρὸς ἐκείνους εἶχεν; οὐ γὰρ ἂν αὐτοὶ ἔμελλον κατηγορήσειν αὐτοῦ; ἀλλ' ὅμως οὐ τοῦτο ἐφρόντιζεν, ἀλλὰ τὸ διδάξαι, καὶ μὴ προσστῆναι αὐτοῖς τὰ λεγόμενα. οἱ μὲν οὖν Ἰουδαῖοι τοσαῦτα ὁρῶντες θαύματα ἐδίωκον, ἤλαυνον· οἱ δὲ βάρβαροι οὐδὲν θεασάμενοι, ἀπὸ μόνης τῆς συμφορᾶς φιλάνθρωποι ἦσαν. πάντως, φησί, φονεύς ἐστιν ὁ ἄνθρωπος οὗτος. οὐχ ἁπλῶς ἀποφαίνονται, ἀλλὰ πάντως, φασί· τουτέστιν, ὡς ἔνεστιν ἰδεῖν. καὶ ἡ δίκη, φησί, ζῆν οὐκ εἴασεν αὐτόν. ἄρα καὶ τὸν περὶ προνοίας λόγον εἶχον, καὶ πολλῷ τῶν φιλοσόφων οὗτοι οἱ βάρβαροι φιλοσοφώτεροι ἐτύγχανον. αὐτοὶ μὲν γὰρ οὐκ ἀφιᾶσι προνοίας ἀπολαύειν τὰ ὑπὸ σελήνην· οἱ δὲ καὶ πανταχοῦ νομίζουσι παρεῖναι τὸν Θεόν· καὶ ὅτι κἂν πολλά τις διαφύγῃ, οὐ διαφεύξεται εἰς τέλος. καὶ ὅρα πῶς οὐκ ἐπιπηδῶσι τῷ δούλῳ, ἀλλ' αἰδοῦνται τέως διὰ τὴν συμφοράν· οὐδὲ ἐκπομπεύουσιν, ἀλλὰ πρὸς ἀλλήλους λέγουσι. τὰ γὰρ δεσμὰ τοῦτο ἐδίδασκεν ὑποπτεύειν. [καίτοι δεσμῶται ἦσαν.] ἠρεμιάζουσιν οἱ λέγοντες, μή που τοὺς ἐν ταῖς φυλακαῖς αἰχμαλωτίζουσι τοὺς βαρβάρους. οὐ γὰρ ᾔδεσαν τίνες ἦσαν ἐκεῖνοι. ἀλλ' ἀπὸ τῆς συμφορᾶς τέως, ὅτι ἄνθρωποι ἦσαν, ἐμάνθανον. διὸ καὶ φιλανθρωπίας ἠξίωσαν αὐτούς. ἐπὶ πολὺ δέ, φησι, προσδοκώντων αὐτῶν, τουτέστιν, ὡς πολὺν χρόνον ἀνέμενον ἀποθανεῖσθαι. ὁ δὲ τὸ θηρίον ἐξετίναξεν εἰς τὸ πῦρ, καὶ

ἐν τῷ τὸ διδά. καὶ μὴ προσ. εἶναι

γρ. κἂν εἰ τ. εἰς τέλος, ἀλ.

τὴν

Λογ. ιη. 2 ΟΙ ΔΕ ΒΑΡΒΑΡΟΙ ΠΑΡΕΙΧΟΝ ΟΥ ΤΗΝ τυχοῦσαν φιλανθρωπίαν ἡμῖν. ἀνάψαντες γὰρ πυρὰν, προσελάβοντο πάντας ἡμᾶς, διὰ τὸν ὑετὸν τὸν ἐφεστῶτα καὶ διὰ τὸ ψύχος.

3 Συστρέψαντος δὲ τοῦ Παύλου φρυγάνων πλῆθος, καὶ ἐπιθέντος ἐπὶ τὴν πυρὰν, ἔχιδνα ἐκ τῆς θέρμης διεξελθοῦσα, καθῆψατο τῆς χειρὸς αὐτοῦ. χ. -ῆψε

Ὡς παρέσχον τὴν φιλανθρωπίαν οἱ βάρβαροι, ἑρμηνεύει. ἀνάψαντες γὰρ, φησὶ, πυρὰν, προσελάβοντο πάντας ἡμᾶς· ἐπεὶ οὐδὲν ὄφελος ἀλλαχόθεν τῆς σωτηρίας ἦν, τοῦ χειμῶνος μέλλοντος αὐτοὺς διαφθείρειν. ἀνάπτουσι τὴν πυράν. Εἶτα ὁ Παῦλος λαβὼν φρύγανα, ἐπιτίθησιν ἐπὶ τὴν πυράν· ὃ καὶ ἐπάγει λέγων, συστρέψαντος δὲ τοῦ Παύλου φρυγάνων πλῆθος. ὅρα αὐτὸν ἐνεργοῦντα, καὶ οὐδαμοῦ θαυματουργοῦντα ἁπλῶς, ἀλλ' ἀπὸ χρείας. καὶ ἐν τῷ χειμῶνι γὰρ αἰτίας οὔσης προεφήτευσεν. ἀλλ' οὐχ ἁπλῶς, καὶ ἐνταῦθα πάλιν φρύγανα συλλέγει καὶ ἐπιτίθησιν. ὅρα οὐδὲν τετυφωμένοι ποιοῦντα, οὐδὲ περιττόν· ἀλλ' ὥστε διασωθῆναι αὐτοὺς, καὶ θέρμης τινὸς ἀπολαῦσαι. Εἶτα ἔχιδνα ἐκ τῆς θέρμης ἐξελθοῦσα, τῆς χειρὸς αὐτοῦ ἅπτεται. καὶ ὅτι ἥψατο, δηλοῖ ποιῶν τοῦτο ἐκ τῆς ἐπαγωγῆς λέγων·

4 Ὡς δὲ εἶδον οἱ βάρβαροι τὸ θηρίον κρεμάμενον ἐκ τῆς χειρὸς αὐτοῦ, ἔλεγον πρὸς ἀλλήλους· πάντως φονεύς ἐστιν ὁ ἄνθρωπος οὗτος, ὃν διασωθέντα ἐκ τῆς θαλάσσης ἡ δίκη ζῆν οὐκ εἴασε. Καλῶς καὶ τοῦτο συνεχωρήθη, ὥστε καὶ ἰδεῖν αὐτοὺς καὶ φθέγξασθαι ταῦτα, ἵνα ὅταν γένηται, μὴ ἀπιστῆται τὸ θαῦμα. ὅρα τὴν φυσικὴν κρίσιν διηρθρωμένην καὶ παρὰ βαρβάροις, καὶ αἰδεσίμως αὐτοὺς πρὸς ἀλλήλους λέγοντας, καὶ μηδὲ καταγινώσκοντας ἁπλῶς. οὕτω καὶ οὗτοι περιττοῖ βλέπουσιν, ἵνα μᾶλλον θαυμάσωσιν. χ. ἀπὸ τοῦ δαίμονος

5 Ὁ μὲν οὖν ἀποτινάξαμενος τὸ θηρίον εἰς τὸ πῦρ, ἔπαθεν οὐδὲν κακόν. χ. -τάξας

6 Οἱ δὲ προσεδόκων αὐτὸν μέλλειν πίμπρασθαι, ἢ καταπίπτειν ἄφνω νεκρόν. ἐπὶ πολὺ δὲ αὐτῶν προσδοκώντων καὶ θεωρούντων μηδὲν ἄτοπον εἰς αὐτὸν γινόμενον, μεταβαλλόμενοι ἔλεγον Θεὸν αὐτὸν εἶναι. Προσεδόκων αὐτὸν, φησὶ, πίπτειν νεκρόν· καὶ πάλιν θεασάμενοι ὅτι οὐδὲν κακὸν ἔπαθε, λέγουσιν ὅτι Θεός ἐστι. πάλιν ἄλλη τούτων ὑπερβολὴ τιμῆς, ὥσπερ καὶ τῶν ὄχλων τῶν ἐν Λυκαονίᾳ. χ. οἱ ἐνόμιζον αὐτὸν πίμπρασθαι· τουτέστι, διαῤῥήγνυσθαι·

7 Ἐν δὲ τοῖς περὶ τὸν τόπον ἐκεῖνον χωρία ὑπῆρχε τῷ πρώτῳ τῆς νήσου ὀνόματι Ποπλίῳ· ὃς ἀναδεξάμενος ἡμᾶς ἡμέρας τρεῖς, φιλοφρόνως ἐξένισεν. Ἰδοὺ πάλιν ἄλλος φιλόξενος ὁ Πόπλιος, καὶ πλούσιος καὶ εὐπορώτατος. οὐδὲν ἰδὼν, ἀλλ' ἀπὸ τῆς συμφορᾶς μόνης ἐλεήσας αὐτοὺς, ὑπεδέξατο καὶ ἐθεράπευσεν.

8 Ἐγένετο δὲ τὸν πατέρα τοῦ Ποπλίου πυρετοῖς καὶ δυσεντερίᾳ συνεχόμενον κατακεῖσθαι, πρὸς ὃν ὁ Παῦλος εἰσελθὼν, καὶ προσευξάμενος, ἐπιθεὶς τὰς χεῖρας αὐτῷ, ἰάσατο αὐτόν.

Ὥστε ἄξιος ἦν τοῦ παθεῖν καλῶς. διὸ καὶ ἀμοιβὴν αὐτῷ ἀποδιδοὺς τῆς ὑποδοχῆς, ἰάσατο αὐτόν. χ. ἀπο-

9 Τούτου δὲ γενομένου, καὶ οἱ λοιποὶ οἱ ἔχοντες ἀσθενείας ἐν τῇ νήσῳ, προσήρχοντο καὶ ἐθεραπεύοντο· χ. ἀσθενεῖς

10 Οἳ καὶ πολλαῖς τιμαῖς ἐτίμησαν ἡμᾶς, καὶ ἀναγομένοις ἐπέθεντο τὰ πρὸς τὴν χρείαν·

Τουτέστι, καὶ ἡμῖν ἔδωκαν ἀναγομένοις τὰ πρὸς τὴν χρείαν, καὶ τοῖς ἄλλοις. ὅρα αὐτοὺς οὐδὲ τοῦ χειμῶνος ἀπαλλαγέντας, μένοντας ἀτημελήτους, ἀλλὰ καὶ τὴν ὑποδοχὴν φι- χ. ἀμελεστέρους γινομένους

λότιμον

τινές, φησιν, ἐναυάγησαν περὶ τὴν πίστιν· σὺ δὲ μένε ἐν οἷς ἔμαθες καὶ ἐπιστώθης. πειθώμεθα Παύλῳ· κἂν ἐν μέσῳ ὦμεν χειμῶνι, πάντως ἀπαλλαγησόμεθα τῶν κινδύνων· κἂν τεσσαρεσκαίδεκα ἡμέρας ἄσιτοι διαμένωμεν· κἂν ἡ ἐλπὶς τῆς σωτηρίας ἐκπέσῃ· κἂν ἐν σκότῳ ὦμεν καὶ γνόφῳ, πεισθέντες αὐτῷ, ἀπαλλαγησόμεθα τῶν κινδύνων. πλοῖον εἶναι νομίζωμεν τὴν οἰκουμένην πᾶσαν, κἂν τούτῳ τοὺς κακούργους, καὶ μυρία ἔχοντας δεινά· τοὺς μὲν, ἄρχοντας· τοὺς δὲ, φύλακας· τοὺς δὲ, δικαίους, οἷος Παῦλος· τοὺς δὲ, δεσμίους, ταῖς ἁμαρτίαις δεδεμένους. ἂν μὲν οὖν Παύλῳ πειθώμεθα, οὐ δεδεμένοι ἀπολλύμεθα, ἀλλὰ καὶ λυόμεθα. χαρίζεται καὶ ἡμᾶς αὐτῷ ὁ Θεός. ἢ οὐκ οἴει δεσμὸν εἶναι χαλεπὸν τὰ ἁμαρτήματα καὶ τὰ πάθη; οὐ γὰρ δὴ χεῖρες μόνον εἰσὶ δεδεμέναι, ἀλλ᾽ ὁ πᾶς ἄνθρωπος. εἰπὲ γάρ μοι, ὅταν τις χρήματα πολλὰ κεκτημένος μὴ ἀναλίσκῃ, μηδὲ δαπανᾷ, ἀλλὰ κατέχῃ, οὐχὶ παντὸς δεσμίου χαλεπώτερον τῇ φειδωλίᾳ δεσμεῖται δεσμῷ ἀρραγεῖ; τί δαί, ὅταν τις εἰς ἁμαρτίαν ἑαυτὸν ἐμβάλλῃ; οὐχὶ πάλιν ἄλλοις τοῖς δεσμοῖς δέδεται; τί δαὶ ὅταν παρατηρήσῃ; τί δαὶ ὅταν συμβόλοις; οὐχὶ παντὸς δεσμοῦ ταῦτα χαλεπώτερα; τί δαὶ ὅταν ἐπιθυμίᾳ ἀλόγῳ καὶ ἔρωτι; τίς διαρρήξει τούτους ἡμῖν τοὺς δεσμούς; τοῦ Θεοῦ χρεία, ὥστε λυθῆναι. καὶ εἰ μὲν τούτων ἀρκεῖ κίνδυνον ἐμποιῆσαι· ὅταν δὲ καὶ δεσμὰ καὶ χειμὼν, ἐννόησον ὅσον ἐστὶ τῶν κινδύνων. τί γὰρ οὐχ ἱκανὸν διαφθεῖραι; οὐχ ὁ λιμός; ὁ χειμών; ἡ κακία τῶν ἐμπλεόντων; καὶ τὸ τοῦ καιροῦ ἀνεπιτήδειον; ἀλλὰ πρὸς ταῦτα πάντα ἐστὶν ἡ λαμπρότης Παύλου. οὕτω δὴ καὶ νῦν κατέχωμεν παρ᾽ ἑαυτοῖς τοὺς ἁγίους, καὶ οὐκ ἔσται χειμών· μᾶλλον δὲ κἂν ᾖ χειμὼν, ἔσται εὐδία καὶ γαλήνη πολλὴ, καὶ ἀπαλλαγὴ τῶν κινδύνων. ἐπειδὴ τὸν ἅγιον εἶχε φίλον ἡ χήρα ἐκείνη, καὶ ὁ θάνατος ἐλύθη τοῦ παιδίου, καὶ τὸν παῖδα πάλιν ζῶντα ἀπελάμβανεν. ἔνθα πόδες ἁγίων ἐπιβαίνουσιν, οὐδὲν ἔσται λυπηρόν· κἂν γένηται, πρὸς δοκιμὴν καὶ πρὸς μείζονα δόξαν τοῦ Θεοῦ. ἐννόησον δὲ ἔδαφος τῆς οἰκίας ὑπὸ τοιούτων πατεῖσθαι ποδῶν· καὶ οὐ πατήσει δαίμων ἐκεῖ· καὶ μάλα εἰκότως. ὥσπερ γὰρ ἔνθα ἂν εὐωδία ᾖ, οὐκ ἔχει χώραν δυσωδία, οὕτω καὶ ἔνθα μύρον ἐστὶ τὸ ἅγιον, ἀποπνίγεται δαίμων, εὐφραίνει τοὺς συνόντας, διαχέει ψυχὴν καὶ ἀνίησι. ἔνθα ἄκανθαι, ἐκεῖ θηρία· ἔνθα φιλοξενία, οὐκ εἰσὶν ἄκανθαι. ἡ γὰρ ἐλεημοσύνη εἰσελθοῦσα παντὸς δρεπάνου τομώτερον αἱρεῖ τὰς ἀκάνθας, παντὸς πυρὸς σφοδρότερον. μὴ φοβηθῇς. αἰδοῦνται τὰ ἴχνη τῶν ἁγίων, καθάπερ λέοντας ἀλώπεκες. Δίκαιος γὰρ, φησιν, ὡς λέων πέποιθεν. εἰσαγάγωμεν τούτους τοὺς λέοντας εἰς τὴν οἰκίαν, καὶ πάντα φυγαδεύεται τὰ θηρία, οὐ βοώντων αὐτῶν μεγάλα, ἀλλ᾽ ἁπλῶς φθεγγομένων. οὐ γὰρ βρυχηθμὸς λέοντος οὕτω φυγαδεύει τὰ θηρία, ὡς εὐχὴ δικαίου φυγαδεύει δαίμονας· ἂν φθέγξηται μόνον, καταπεπλήχασι. καὶ ποῦ τοιοῦτοι, φησίν, εἰσί; πανταχοῦ, ἂν πιστεύωμεν ἡμεῖς, ἂν ζητῶμεν, ἂν περιεργαζώμεθα. ποῦ ἐζήτησας, εἰπέ μοι; πότε τοῦτο ἔργον ἔσχες; πότε πρᾶγμα τοῦτο ἔθου; εἰ δὲ οὐ ζητεῖς, μὴ θαυμάσῃς ὅτι οὐχ εὑρίσκεις. ὁ γὰρ ζητῶν εὑρίσκει, οὐχ ὁ μὴ ζητῶν. ἄκουσον τοὺς ἐν ταῖς ἐρημίαις ὄντας· ἀπάγαγε χρυσίον καὶ ἀργύριον. πανταχοῦ τῆς οἰκουμένης εἰσί. κἂν μὴ ἐν τῇ οἰκίᾳ δέξῃ, ἄπελθε σὺ πρὸς αὐτόν· συγγενοῦ τῷ ἀνδρί· πρὸς δὲ οἴκημα ἐλθοῦ δὲ ἐκείνου, ἵνα δυνηθῇς ἐπιτυχεῖν καὶ τῆς παρ᾽ αὐτοῦ εὐλογίας ἀπολαῦσαι. μεγάλη γὰρ ἡ παρὰ τῶν ἁγίων εὐλογία, ἧς ἐπιτυγχάνειν σπουδάζωμεν, ἵνα διὰ τῶν εὐχῶν τούτων βοηθούμενοι, τῆς παρὰ τοῦ αὐτοὺς ἐνδυναμοῦντος Θεοῦ φιλανθρωπίας ἀπολαύσωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ, μεθ᾽ οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

χ. τεσσαρεσκαίδεκα ἡμέρας

Παροιμ. κη. α

τοῦτο γὰρ πρὸς τῆς ὑμετέρας σωτηρίας ὑπάρχει· τουτέστι, μήποτε τῷ λιμῷ διαφθαρῆτε, τροφῆς μεταλάβετε. λαβὼν δὲ ἄρτον, φησὶν, εὐχαρίστησε τῷ Θεῷ. ὅρα, τὸ εὐχαριστῆσαι αὐτὸν ἐπὶ τοῖς γεγενημένοις, οὐ μόνον αὐτοὺς ἐπέρρωσεν, ἀλλὰ καὶ εὐθύμους ποιεῖ. ἦμεν δὲ, φησὶ, πᾶσαι αἱ ψυχαὶ ἐν τῷ πλοίῳ διακόσιαι ἑβδομηκονταέξ. περὶ τούτων ἔλεγεν· ἀποβολὴ ψυχῆς οὐδεμία ἔσται ἐξ ὑμῶν. τοῦτο πεπληροφορημένης ψυχῆς, τὸ εἰπεῖν ὅτι "σωθήσονται. κορεσθέντες δὲ τῆς τροφῆς, ἐκούφιζον τὸ πλοῖον ἐκβαλλόμενοι τὸν σῖτον. "ὅρα, μετὰ τὸ κορεσθῆναι τροφῆς ἐπίστευσαν· καὶ οὐ τοῦτο μόνον, ἀλλ᾽ οὕτω λοιπὸν τὸ πᾶν ἔρριψαν ἐπὶ τὸν Παῦλον, ὡς καὶ τὸν σῖτον ἐκβαλεῖν*. ὅρα αὐτοὺς καὶ τὰ ἀνθρώπινα ποιοῦντας, καὶ οὐ κωλύοντα τὸν Παῦλον. ὅτε δὲ, φησὶν, ἡμέρα ἐγένετο, ἀνῆκαν τὰς ζευκτηρίας. διαλύεται τὸ πλοῖον ἐν ἡμέρα, ἵνα μὴ τῷ φόβῳ διαλυθῶσιν, ἵνα ἴδῃς ἔργῳ τὴν προφητείαν. τῶν δὲ στρατιωτῶν βουλὴ ἐγένετο, ἵνα τοὺς δεσμώτας ἀποκτείνωσιν. ὁρᾷς ὅτι καὶ κατὰ τοῦτο τῷ Παύλῳ ἐχαρίσθησαν; διὰ γὰρ αὐτὸν οὐκ εἴασεν αὐτοὺς ἀναιρεθῆναι ὁ ἑκατόνταρχος. οὕτω μοι δοκοῦσιν ὡμολογημένοι εἶναι κακοὶ ἐκεῖνοι, ὥστε ἐλέσθαι αὐτοὺς καὶ ἀνελεῖν· ἀλλ᾽ οὐδὲν πλέον γέγονε τοῦ βουλήματος κωλυθέντος. ἀλλ᾽ οἱ μὲν διεκολύμβησαν, οἱ δὲ ἐπὶ σανίδων ἐφέροντο, καὶ πάντες οὕτως ἐσώθησαν, καὶ ἡ προφητεία τέλος ἐλάμβανεν, εἰ καὶ μὴ τῷ χρόνῳ σμικρή τις οὖσα. οὐ γὰρ πρὸ πολλῶν ἐτῶν αὐτὴν προεῖπεν, ἀλλὰ τῇ φύσει τῶν πραγμάτων ἑπόμενος. ἀνέλπιστα γὰρ ἦν πάντα, καὶ διὰ τῆς οἰκείας σωτηρίας ἐμάνθανον τίς ὁ Παῦλος ἦν. ἀλλ᾽ εἴποι ἄν τις· διατί μὴ καὶ τὸ πλοῖον διέσωσεν; ἵνα μάθωσιν οἷον κίνδυνον διέφυγον· ὅτι οὐκ ἀνθρωπίνης βοηθείας ἦν τὸ πᾶν, ἀλλὰ τῆς τοῦ Θεοῦ χειρὸς χωρὶς πλοίου σωζούσης.

ΗΘΙΚΟΝ

Ὥστε οἱ δίκαιοι, κἂν ἐν χειμῶνι ὦσι, κἂν ἐν θαλάσσῃ, κἂν ἐν πελάγει, οὐδὲν πάσχουσι δεινὸν, ἀλλὰ καὶ ἑτέρους συνδιασώζουσιν. εἰ πλοῖον κινδυνεῦον καὶ ναυάγιον ὑπομένον, καὶ δεσμῶται διὰ Παῦλον ἐσώθησαν, ἐννόησον τί ἐστιν ἅγιον ἄνδρα εἶναι ἐν οἰκίᾳ. πολλοὶ γὰρ οἱ χειμῶνες καὶ ἡμῖν ἐφίστανται, καὶ πολλῷ τούτων χαλεπώτεροι· ἀλλὰ δύναται καὶ ἡμᾶς ὁ Θεὸς χαρίσασθαι, μόνον ἐὰν πειθώμεθα τοῖς ἁγίοις, καθάπερ ἐκεῖνοι, ἂν ποιῶμεν ἃ προστάττουσιν. οὐ γὰρ ἁπλῶς σώζονται, ἀλλὰ καὶ αὐτοὶ πίστιν εἰσηνέγκαν. κἂν δέσμιος ᾖ ὁ ἅγιος, τῶν λελυμένων μείζονα ἐργάζεται. καὶ σκόπει τοῦτο ἐνταῦθα γεγενημένον. ὁ λελυμένος ἑκατόνταρχος αὐτοῦ ἐδεῖτο τοῦ δεδεμένου· ὁ ἐπιστήμων κυβερνήτης τοῦ μὴ κυβερνῶντος ἔχρῃζε, μᾶλλον δὲ τοῦ ὄντως κυβερνῶντος. οὐ γὰρ τοιοῦτον ἐκυβέρνα σκάφος, ἀλλὰ τῆς οἰκουμένης τὴν ἐκκλησίαν, παρ᾽ ἐκείνου μαθὼν τοῦ καὶ θαλάσσης δεσπότου, οὐκ ἀνθρωπίνῃ τέχνῃ, ἀλλὰ πνευματικῇ σοφίᾳ. ἐν τῷ σκάφει τούτῳ πολλὰ ναυάγια, πολλὰ κύματα, πνεύματα πονηρίας, ἔσωθεν μάχαι, ἔξωθεν φόβοι· ὥστε ὁ ὄντως κυβερνήτης ἐκεῖνος ἦν. ὅρα δὴ τὸν βίον ἡμῶν ἅπαντα πῶς τοιοῦτός ἐστι. ποτὲ μὲν γὰρ φιλανθρωπίας ἀπολαύομεν, ποτὲ δὲ χειμῶνος, ποτὲ καὶ παρ᾽ οἰκείαν ἀβουλίαν, καὶ παρὰ τὸ ῥᾳθυμεῖν μυρίοις ἐμπίπτομεν κακοῖς· μᾶλλον δὲ τοῦτο γίνεται παρὰ τὸ μὴ ἀκούειν Παύλου, ὅταν ἐπειγώμεθα που ἀπελθεῖν, ἔνθα μὴ κελεύει. συμπλεῖ γὰρ καὶ νῦν ἡμῖν· ἀλλ᾽ οὐ δεδεμένος καθάπερ τότε· παραινεῖ καὶ νῦν, καὶ λέγει τοῖς ἐν τῇ θαλάττῃ ταύτῃ, Προσέχετε ἑαυτοῖς· εἰσελεύσονται γὰρ μετὰ τὴν ἄφιξίν μου λύκοι βαρεῖς εἰς ὑμᾶς· καὶ πάλιν· Ἐν ὑστέροις καιροῖς ἐνστήσονται καιροὶ χαλεποί. ἔσονται γὰρ οἱ ἄνθρωποι φίλαυτοι, φιλάργυροι, ἀλαζόνες. τοῦτο πάντων χαλεπώτερον τῶν πνευμάτων. μένωμεν οὖν ἔνθα κελεύει ἐπὶ τῆς πίστεως, ἐπὶ τοῦ λιμένος τοῦ ἀσφαλοῦς· αὐτοῦ μᾶλλον ἀκούωμεν, ἢ τοῦ κυβερνήτου τοῦ ἐν ἡμῖν· τουτέστι, τοῦ λογισμοῦ. μὴ, ἅπερ ἂν ὑποβάλλῃ οὗτος, ποιῶμεν· μὴ ἅπερ ὁ ναύκληρος· ἀλλ᾽ ἅπερ ἂν ὁ Παῦλος· μυρίους τοιούτους διῆλθε χειμῶνας. μὴ τῇ πείρᾳ μανθάνωμεν, ἀλλὰ πρὸ τῆς πείρας κερδαίνωμεν καὶ ὕβριν καὶ ζημίαν. ἄκουσον τί φησιν· Οἱ βουλόμενοι πλουτεῖν, ἐμπίπτουσιν εἰς πειρασμόν. πειθώμεθα τοίνυν αὐτῷ, ἐπεὶ καὶ ἐκεῖνοι μὴ πεισθέντες, ὁρᾶτε τί ἔπαθον. καὶ πάλιν ἑτέρωθι λέγει περὶ ναυάγια· Οἵ-

τινές,

Margin notes (right): γρ. σῖτον. γρ. ὁρᾷς; περὶ τὸ λαβεῖν τροφὴν πείθονται αὐτῷ· ἀλλ᾽ ὅτε * ποιοῦντες ὄντας

Margin notes (left): β. Κορ. ζ. ε. — Πράξ. κ. κθ. — β. Τιμ. γ. β. — α. Τιμ. ϛ. θ. — α. Τιμ. α. ιθ.

Ὁρᾷς ὅσον γέγονεν ἀγαθὸν ἀπὸ τοῦ χειμῶνος; οὐκ ἄρα ἐγκαταλείψεως ἦν ὁ χειμών. Καὶ πῶς, φησιν, ἔφερον ἄσιτοι ὄντες καὶ μηδενὸς μεταλαβόμενοι; ὁ φόβος κατεῖχεν αὐτοὺς, καὶ οὐκ εἴα εἰς ἐπιθυμίαν τροφῆς ἐμπεσεῖν, μέλλοντας ὑπὲρ τὸν ἔσχατον κινδυνεύειν. Τὸ μὲν οὖν γινόμενον, ἀπὸ τοῦ καιροῦ ἐγένετο· τὸ δὲ θαῦμα μεῖζον, ὅτι ἐν καιρῷ τοιούτῳ ἐκ μέσων ἐσώθησαν τῶν κινδύνων, αὐτός τε καὶ δι' αὐτὸν οἱ λοιποί. "Καὶ ἐπάραντες τὸν ἀρτέμονα τῇ πνεούσῃ, κατεῖχον εἰς τὸν αἰγιαλόν." Τοῦτο εἶπε, τὴν βίαν δεῖξαι βουλόμενος, ἣν ὑπέμενον χειμαζόμενοι. Πολλάκις γὰρ οὐχ οὕτω ποιοῦσι. Διὸ καὶ "κατήγαγον τὴν ὀθόνην·" τουτέστι, τὰ ἱστία. Ὅταν γὰρ σφοδρὸς ἄνεμος ᾖ, τοῦτο γίνεται, "ἐγκόπτοντος τοῦ πνεύματος τὴν ῥύμην. Ταῦτα δὲ πάσχουσιν ἐν τῷ Ἀδρίᾳ," ἔνθα τὸ σώζεσθαι χαλεπόν. Ἦσαν δὲ ἐν τῷ πλοίῳ αἱ πᾶσαι ψυχαὶ διακόσιαι ἑβδομηκονταέξ. Καὶ πόθεν δῆλον ὅτι τοσοῦτοι ἦσαν οἱ συμπλέοντες; Εἰκὸς ἦν αὐτοὺς ἐρωτᾷν τὴν αἰτίαν δι' ἣν πλέουσι, καὶ μαθεῖν πάντα. Οἱ καὶ οὐδενὸς μετέλαβον ὅτι οὐκ ἦν αὐτοῖς φροντὶς τροφῆς, ἅτε οὐ περὶ τὴν τυχόντων ὄντες τοῦ κινδύνου. Καὶ ὅρα πῶς οὐχ ἁπλῶς, οὐδὲ ἡ παρολκὴ τοῦ πλοὸς γέγονε τῷ Παύλῳ, οὐδὲ ἄκαιρος ὁ πλοῦς, ἀλλὰ ποιεῖται αὐτοὺς διδασκαλίας καιρόν. Οὐ μικρὸν δὲ τοῦτο, εἴγε πάντες οὗτοι ἐπίστευσαν. Ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. Ἱκανοῦ δὲ χρόνου διαγενομένου, καὶ ὄντος ἤδη ἐπισφαλοῦς τοῦ πλοὸς, παρῄνει ὁ Παῦλος λέγων αὐτοῖς· ἄνδρες, θεωρῶ ὅτι μετὰ ὕβρεως καὶ ζημίας μέλλει ἔσεσθαι τὸν πλοῦν. Ὅρα δὲ ἄτυφον. Ἵνα μὴ δόξῃ προφητεύειν, ἀλλ' ὡς ἀπὸ [τοῦ] στοχασμοῦ λέγει, θεωρῶ φησιν. Οὐ γὰρ ἂν ἐδέξαντο εὐθέως, εἰ τοῦτο εἶπε. Πρότερον γοῦν προφητεύει καὶ λέγει, ὁ Θεὸς ᾧ λατρεύω· ἐνάγων αὐτούς. Πῶς οὖν οὐκ ἐγένετο μετὰ ζημίας ψυχῶν; ἐγένετο ἄν, εἰ μὴ ὁ Θεὸς διέσωσεν. Ὅσον γὰρ κατὰ τὴν φύσιν τοῦ πράγματος, ἀπώλοντο ἄν· ἀλλ' ὁ Θεὸς ἐκώλυσεν. Ὁ δὲ ἑκατοντάρχης, φησὶ, τῷ κυβερνήτῃ μᾶλλον ἐπείθετο ἢ τοῖς ὑπὸ τοῦ Παύλου λεγομένοις. Ἵνα δειχθῇ ὅτι οὐκ ἀπὸ στοχασμοῦ ταῦτα ἔλεγεν, ὁ κυβερνήτης τὰ ἐναντία λέγει, καὶ ταῦτα ἔμπειρος ὤν. Οὕτως οὐκ ἀπὸ στοχασμοῦ ἦν τὰ λεγόμενα. Ἀνευθέτου δὲ τοῦ λιμένος, φησὶν, ὑπάρχοντος. Ὅρα καὶ ὁ τόπος διδάσκει μὴ ἀπὸ στοχασμοῦ εἶναι, ἀνεύθετος ὤν· μᾶλλον δὲ ἀπὸ στοχασμοῦ φαίνεται λέγοντες ἐκεῖνοι οἱ πλείους, οἱ καὶ βουλόμενοι ἦσαν ἀναχθῆναι ἐκεῖθεν. Ἀλλ' οὐδὲν αὐτοῖς πλέον ἐκ τούτου γίνεται. Περιπίπτουσι γὰρ κλύδωνι, καὶ ἐκβολὴν ὧν ἐπεφέροντο, ποιοῦνται. Διὸ καὶ τοῦτο δηλῶν ἐπήγαγε· σφοδρῶς δὲ χειμαζομένων ἡμῶν, αὐτόχειρες τὴν σκευὴν τοῦ πλοίου ἐρρίψαμεν. Ἵνα μὴ ἔχωσι μετὰ ταῦτα ἀντειπεῖν, ταῦτα συγχωρεῖται, καὶ χαλεπὸς χειμὼν ἐγείρεται, καὶ πολὺ τὸ σκότος γίνεται. Εἶτα ἵνα μὴ ἀπόλωνται, καὶ ὁ σῖτος ῥίπτεται, καὶ πάντα. Τοῦτο γάρ ἐστι, τὴν σκευὴν τοῦ πλοίου ἐρρίψαμεν. Πολλῆς δὲ ἀσιτίας ὑπαρχούσης, εἶπεν ὁ Παῦλος· ἔδει πειθαρχήσαντάς μοι κερδῆσαι τὴν ζημίαν. Εἶδες πῶς οὐ μικρὰ πρὸς τὴν ἀκρόασιν συνεβάλετο καὶ ὁ χειμὼν καὶ τὸ σκότος; καὶ ὅρα πῶς πείθεται ὁ ἑκατόνταρχος, ὥστε καὶ τὴν σκάφην ἀφεῖναι καὶ ἀπολέσαι. Εἰ δὲ οἱ ναῦται οὐδέπω ἐπείσθησαν, ἀλλ' ὕστερον πείθονται, μὴ θαυμάσῃς. Καὶ γὰρ τὸ γένος τὸ τούτων ἱταμόν πως ἐστὶ καὶ σκληρὸν πρὸς τὸ πείθεσθαι. Σὺ δέ μοι σκόπει τὴν σύνεσιν καὶ ἐπιείκειαν τοῦ Παύλου. Οὐ γὰρ ἐπιτιμᾷ καὶ τραχύνεται ἀλλ' ἡμέρως, οὕτως ἔδει, φησίν. Ἤδει γὰρ ὅτι οὐκ ἔστιν εὐπαράδεκτος ἐγκαλῶν τις ἐν συμφορᾷ· ἀλλ' ὅταν καὶ τὰ πλείονα παρατρέχῃ τῆς συμφορᾶς, τότε εὐπαράδεκτος γίνεται. Τότε τοίνυν ἐπιτίθεται, ὅτε πᾶσα ἡ ἐλπὶς τοῦ σωθῆναι περιῃρέθη· τότε καὶ τὰ χρηστὰ προλέγει. Ὡς δὲ τεσσαρεσκαιδεκάτη νὺξ ἐγένετο, φησὶ, φοβούμενοι ηὔχοντο ἡμέραν γενέσθαι. Ἵνα μή τις εἴπῃ ὅτι οὐδὲν γέγονε, τοῦτο ἐπήγαγε, δεικνὺς πάντα γεγονότα. Ὅτι δὲ γέγονε, καὶ ὁ φόβος μαρτυρεῖ. Ηὔχοντο γὰρ, φησὶν, ἡμέραν γενέσθαι φοβούμενοι. Καὶ ὁ τόπος χαλεπός· κατὰ γὰρ τὸν Ἀδρίαν ταῦτα συμβαίνει· καὶ ἡ ἀσιτία ἡ πολλή· τεσσαρεσκαιδεκάτην γὰρ σήμερον ἡμέραν προσδοκῶντες ἄσιτοι διατελεῖτε. Ὥστε ἐξ ἁπάντων ἐν μέσῳ ἦσαν θανάτου. Διὸ καὶ ἐπάγει· παρακαλῶ ὑμᾶς προσλαβεῖν τροφῆς.

τοῦτο

γρ. κατεῖχον τῷ οἴακι τῇ πνεούσῃ ὄντες ἐπὶ

γρ. κατέπεσον τὸ σκεῦος.

γρ. ἐγκοπτομένης τῆς ῥύμης.

γρ. ὅπου σώζεσθαι χαλεπώτατον.

γρ. τὰς ψυχὰς αὐτοὺς ὄντας τοὺς λέγει

γρ. παρῄνει τῷ Παύλῳ διὰ.

γρ. -ντα καὶ τῷ ναυκλήρῳ ἐπείθετο μᾶλλον

28 Καὶ βολίσαντες εὗρον ὀργυιὰς εἴκοσι· βραχὺ δὲ διαστήσαντες καὶ πάλιν βολίσαντες, εὗρον ὀργυιὰς δεκαπέντε·

29 Φοβούμενοί τε μήπως εἰς τραχεῖς τόπους ἐκπέσωμεν, ἐκ πρύμνης ῥίψαντες ἀγκύρας τέσσαρας, ηὔχοντο ἡμέραν γενέσθαι.

30 Τῶν δὲ ναυτῶν ζητούντων φυγεῖν ἐκ τοῦ πλοίου, καὶ χαλασάντων τὴν σκάφην εἰς τὴν θάλασσαν, προφάσει ὡς ἐκ πρώρας μελλόντων ἀγκύρας ἐκτείνειν,

31 Εἶπεν ὁ Παῦλος τῷ ἑκατοντάρχῃ καὶ τοῖς στρατιώταις· ἐὰν μὴ οὗτοι μείνωσιν ἐν τῷ πλοίῳ, ὑμεῖς σωθῆναι οὐ δύνασθε.

32 Τότε οἱ στρατιῶται ἀπέκοψαν τὰ σχοινία τῆς σκάφης, καὶ εἴασαν αὐτὴν ἐκπεσεῖν.

Ἐνταῦθα δείκνυσιν ὅτι ἔμελλον οἱ ναῦται φεύγειν ἀπιστοῦντες τῷ λεγομένῳ. ὁ δὲ ἑκατόνταρχος πιστεύει σὺν τοῖς στρατιώταις. διὸ καί φησιν· ἐὰν οὗτοι φύγωσιν, ὑμεῖς σωθῆναι οὐ δύνασθε· οὐ διὰ τοῦτο εἰπὼν, ἀλλ' ἵνα κατάσχῃ αὐτοὺς, καὶ ἡ προφητεία μὴ διαπέσῃ. ὅρα καθάπερ ἐν ἐκκλησίᾳ παιδευομένους αὐτοὺς τὴν Παύλου φιλοσοφίαν, ὃς καὶ ἐκ μέσων αὐτῶν σώζει τῶν κινδύνων. καὶ οἰκονομικῶς ἀπιστεῖται ὁ Παῦλος, ἵνα μετὰ τὴν πεῖραν τῶν πραγμάτων πιστευθῇ, ὅπερ οὖν καὶ γέγονε. καὶ παραινεῖ πάλιν μεταλαβεῖν τροφῆς, καὶ πείθονται. καὶ αὐτὸς πρῶτος μεταλαμβάνει, οὐ λόγῳ, ἀλλ' ἔργῳ πείθων, ὡς οὐδὲν ἔβλαψεν ὁ χειμὼν, ἀλλὰ μᾶλλον αὐτῶν τὰς ψυχὰς ὠφέλησεν. γ. πῶς ἐκ μέσων αὐτῶν

33 Ἄχρι δὲ οὗ ἔμελλεν ἡμέρα γίνεσθαι, παρεκάλει ὁ Παῦλος ἅπαντας μεταλαβεῖν τροφῆς, λέγων, τεσσαρεσκαιδεκάτην σήμερον ἡμέραν προσδοκῶντες, ἄσιτοι διατελεῖτε μηδὲν προσλαβόμενοι·

34 Διὸ παρακαλῶ ὑμᾶς " μεταλαβεῖν τροφῆς. τοῦτο γὰρ πρὸς τῆς ὑμετέρας σωτηρίας ὑπάρχει. οὐδενὸς γὰρ ὑμῶν θρὶξ* τῆς κεφαλῆς πεσεῖται. γ. παρακαλ. * ἐκ

35 Εἰπὼν δὲ ταῦτα καὶ λαβὼν ἄρτον, εὐχαρίστησε τῷ Θεῷ ἐνώπιον πάντων, καὶ κλάσας ἤρξατο ἐσθίειν.

35 Εὔθυμοι δὲ γενόμενοι πάντες, καὶ αὐτοὶ προσελάβοντο τροφῆς.

37 Ἦμεν δὲ ἐν τῷ πλοίῳ αἱ πᾶσαι ψυχαὶ, διακόσιαι ἑβδομηκονταέξ.

38 Κορεσθέντες δὲ τῆς τροφῆς, ἐκούφιζον τὸ πλοῖον ἐκβαλλόμενοι τὸν σῖτον εἰς τὴν θάλασσαν.

39 Ὅτε δὲ ἡμέρα ἐγένετο, τὴν γῆν οὐκ ἐπεγίνωσκον· κόλπον δέ τινα κατενόουν ἔχοντα αἰγιαλὸν, εἰς ὃν ἐβουλεύσαντο, εἰ " δυνατὸν, ἐξῶσαι τὸ πλοῖον. γ. δύναιντο

40 Καὶ τὰς ἀγκύρας περιελόντες εἴων εἰς τὴν θάλασσαν, ἅμα ἀνέντες τὰς ζευκτηρίας τῶν πηδαλίων, καὶ ἐπάραντες τὸν ἀρτέμονα τῇ πνεούσῃ, κατεῖχον εἰς τὸν αἰγιαλόν.

41 Περιπεσόντες δὲ εἰς τόπον διθάλασσον, ἐπώκειλαν τὴν ναῦν. καὶ ἡ μὲν πρῴρα ἐρείσασα, ἔμεινεν ἀσάλευτος· ἡ δὲ πρύμνα ἐλύετο ὑπὸ τῆς βίας τῶν κυμάτων.

Πάλιν πειρᾶται ὁ διάβολος ἐμποδίσαι τῇ προφητείᾳ, καὶ " ἐβουλεύοντο τινὰς ἀνελεῖν. ἀλλ' οὐκ εἴασεν ὁ ἑκατόνταρχος, ἵνα τὸν Παῦλον σώσῃ. οὕτως ἤδη οἰκειούμενος ἦν αὐτῷ. γ. ἐβούλοντο

42 Τῶν δὲ στρατιωτῶν βουλὴ ἐγένετο, ἵνα τοὺς δεσμώτας ἀποκτείνωσι, μή τις ἐκκολυμβήσας διαφύγῃ.

43 Ὁ δὲ ἑκατόνταρχος βουλόμενος διασῶσαι τὸν Παῦλον, ἐκώλυσεν αὐτοὺς τοῦ βουλήματος, ἐκέλευσέ τε τοὺς δυναμένους κολυμβᾶν, ἀπορρίψαντας πρώτους ἐπὶ τὴν γῆν ἐξιέναι·

44 Καὶ τοὺς λοιποὺς οὓς μὲν ἐπὶ σανίσιν, οὓς δὲ ἐπί τινων τῶν ἀπὸ τοῦ πλοίου. καὶ οὕτως ἐγένετο πάντας διασωθῆναι ἐπὶ τὴν γῆν.

κεφ. κη. 1 Καὶ διασωθέντες, τότε ἐπέγνωσαν ὅτι Μελίτη ἡ νῆσος καλεῖται.

Ὁρᾷς

θεωρῶ ὅτι μετὰ ὕβρεως καὶ πολλῆς ζημίας, φησὶν, οὐ μόνον τοῦ φορτίου καὶ τοῦ πλοίου, ἀλλὰ καὶ τῶν ψυχῶν ἡμῶν μέλλειν ἔσεσθαι τὸν πλοῦν. ὁ μὲν οὖν Παῦλος ἐκέλευσε μένειν, καὶ τὰ μέλλοντα προλέγει· ἐκεῖνοι δὲ ἐπειγόμενοι, καὶ ὑπὸ τοῦ τόπου κωλυόμενοι, ἤθελον εἰς Φοίνικα παραχειμάσαι. καὶ σκόπει τὴν οἰκονομίαν. πρῶτον μὲν ἦραν τὸ σκάφος καὶ ἐξήρχοντο· ἔπειτα, ὡς ἐνέπεσεν ἄνεμος, ἐδίδουν τῷ φέροντι, καὶ μόλις ἐσώζοντο.

12 Ἀνευθέτου δὲ τοῦ λιμένος ὑπάρχοντος πρὸς παραχειμασίαν, οἱ πλείους ἔθεντο βουλὴν ἀναχθῆναι ἐκεῖθεν, εἴ πως δύναιντο καταντήσαντες εἰς Φοίνικα παραχειμάσαι, λιμένα τῆς Κρήτης, βλέποντα κατὰ Λίβα καὶ κατὰ Χῶρον.

13 Ὑποπνεύσαντος δὲ νότου, δόξαντες τῆς προθέσεως κεκρατηκέναι, ἄραντες ἆσσον, παρελέγοντο τὴν Κρήτην.

χ. αὐτὴν 14 Μετ᾽ οὐ πολὺ δὲ ἔβαλε κατ᾽ αὐτῆς ἄνεμος Τυφωνικὸς, ὁ καλούμενος Εὐροκλύδων.

15 Συναρπασθέντος δὲ τοῦ πλοίου, καὶ μὴ δυναμένου ἀντοφθαλμεῖν τῷ ἀνέμῳ, ἐπιδόντες ἐφερόμεθα.

16 Νησίον δέ τι ὑποδραμόντες καλούμενον Κλαύδην, μόλις ἰσχύσαμεν περικρατεῖς γενέσθαι τῆς σκάφης.

17 Ἣν ἄραντες, βοηθείαις ἐχρῶντο ὑποζωννύντες τὸ πλοῖον· φοβούμενοί τε μὴ εἰς τὴν Σύρτιν ἐκπέσωσι, χαλάσαντες τὰ ἱστία, οὕτως ἐφέροντο.

χ. τὸ σκεῦος

18 Σφοδρῶς δὲ χειμαζομένων ἡμῶν, τῇ ἑξῆς ἐκβολὴν ἐποιοῦντο,

19 Καὶ τῇ τρίτῃ αὐτόχειρες τὴν σκευὴν τοῦ πλοίου ἐρρίψαμεν.

χ. νότιον 20 Μήτε δὲ ἡλίου, μήτε ἄστρων ἐπιφαινομένων ἐπὶ πλείονας ἡμέρας, χειμῶνός τε οὐκ ὀλίγου ἐπικειμένου, λοιπὸν περιῃρεῖτο πᾶσα ἐλπὶς τοῦ σώζεσθαι ἡμᾶς.

21 Πολλῆς δὲ ἀσιτίας ὑπαρχούσης, τότε σταθεὶς ὁ Παῦλος ἐν μέσῳ αὐτῶν, εἶπεν.

Ὅρα· μετὰ τὸ τοσοῦτον χειμῶνα οὐκ ἐπεμβαίνων αὐτοῖς διαλέγεται, ἀλλὰ βουλόμενος καὶ εἰς τὸ μέλλον πιστευθῆναι. ὅθεν καὶ τὰ γεγενημένα παραλαμβάνει εἰς μαρτυρίαν τῆς τῶν ῥηθησομένων ἀληθείας. καὶ δύο προλέγει, ὅτι τε εἰς νῆσον ἐκπεσεῖν δεῖ, καὶ ὅτι τὸ μὲν πλοῖον ἀπόλλυται, οἱ δὲ ἐνόντες σωθήσονται (ὅπερ οὐκ ἦν στοχασμοῦ, ἀλλὰ προφητείας) καὶ ὅτι αὐτὸν Καίσαρι δεῖ παραστῆναι. τὸ δὲ, κεχάρισταί σοι ὁ Θεὸς ἅπαντας, ὅπερ εἶπεν, οὐκ ἀλαζονείας ἐστὶν, ἀλλὰ βουλομένου προσαγαγέσθαι τοὺς ἐμπλέοντας. οὐχ ἵνα γὰρ αὐτῷ χάριν ἔχωσιν, ἀλλ᾽ ἵνα πείθωνται τοῖς ὑπ᾽ αὐτοῦ λεγομένοις, οὕτως εἶπε. τὸ δὲ, κεχάρισταί σοι ὁ Θεὸς, τῷ Παύλῳ εἴρηται. τοῦτο μονονουχὶ λέγων αὐτῷ· ἄξιοι μέν εἰσιν ἀποθανεῖν, ἐπειδὴ παρήκουσαν· πλὴν εἰς τὴν χάριν τὴν σὴν τοῦτο γίνεται. πολλῆς δέ, φησιν, ἀσιτίας ὑπαρχούσης, τότε σταθεὶς ὁ Παῦλος ἐν μέσῳ αὐτῶν εἶπεν· Ἔδει μὲν, ὦ ἄνδρες, πειθαρχήσαντάς μοι, μὴ ἀνάγεσθαι ἀπὸ τῆς Κρήτης, κερδῆσαί τε τὴν ὕβριν ταύτην καὶ τὴν ζημίαν.

22 Καὶ τανῦν παραινῶ ὑμᾶς εὐθυμεῖν. ἀποβολὴ γὰρ ψυχῆς οὐδεμία ἔσται ἐξ ὑμῶν, πλὴν τοῦ πλοίου.

23 Παρέστη γάρ μοι ταύτῃ τῇ νυκτὶ ἄγγελος τοῦ Θεοῦ, οὗ εἰμι, ᾧ καὶ λατρεύω,

24 Λέγων, μὴ φοβοῦ, Παῦλε· Καίσαρί σε δεῖ παραστῆναι. καὶ ἰδοὺ κεχάρισταί σοι ὁ Θεὸς πάντας τοὺς πλέοντας μετὰ σοῦ.

25 Διὸ εὐθυμεῖτε, ἄνδρες. πιστεύω γὰρ τῷ Θεῷ ὅτι οὕτως ἔσται, καθ᾽ ὃν τρόπον λελάληταί μοι.

26 Εἰς νῆσον δέ τινα δεῖ ἡμᾶς ἐκπεσεῖν.

27 Ὡς δὲ τεσσαρεσκαιδεκάτη νὺξ ἐγένετο, διαφερομένων ἡμῶν ἐν τῷ Ἀδρίᾳ, κατὰ μέσον τῆς νυκτὸς, ὑπενόουν οἱ ναῦται προσάγειν τινὰ αὐτοῖς χώραν·

Ορα πῶς καὶ πάλιν ὑπὲρ αὐτοῦ ψηφίζονται, καὶ μετὰ τὸ εἰπεῖν, μηδὲν, ἀφιᾶσιν αὐτὸν, οὐ τοῦ θανάτου, ἀλλὰ καὶ τῶν δεσμῶν· καὶ πάλιν ἂν ἀφῆκαν αὐτὸν, εἰ μὴ Καίσαρα ἐπικέκλητο. ἀλλὰ τοῦτο οἰκονομικῶς γέγονεν. οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ τὸ μετὰ δεσμῶν ἀπελθεῖν. διὰ τοῦτο ἔλεγε, μέχρι δεσμῶν, ὡς κακοῦργος. εἰ γὰρ ὁ Κύριος αὐτοῦ μετὰ ἀνόμων ἐλογίσθη, πολλῷ μᾶλλον οὗτος. ἀλλ᾽ ὥσπερ ἐκεῖνος οὐκ ἐκενώθη τῆς δόξης, οὕτως οὐδὲ οὗτος. τὸ γὰρ θαυμαστὸν τότε φαίνεται, τὸ ἀναμεμιγμένον τούτοις μηδὲν παρ᾽ αὐτὸν βλάπτεσθαι.

β Τιμ. β. θ. Μαρ. ιε. κη.

κεφ. κζ.

1 Ὡς δὲ ἐκρίθη τοῦ ἀποπλεῖν ἡμᾶς εἰς τὴν Ἰταλίαν, παρεδίδουν τόν τε Παῦλον καί τινας ἑτέρους δεσμώτας ἑκατοντάρχῃ ὀνόματι Ἰουλίῳ σπείρας Σεβαστῆς.

2 Ἐπιβάντες δὲ πλοίῳ Ἀδραμυττηνῷ, μέλλοντες πλεῖν τοὺς κατὰ τὴν Ἀσίαν τόπους, ἀνήχθημεν, ὄντος σὺν ἡμῖν Ἀριστάρχου Μακεδόνος Θεσσαλονικέως.

3 Τῇ δὲ ἑτέρᾳ κατήχθημεν εἰς Σιδῶνα. Ὅρα μέχρι ποῦ συνέρχεται τῷ Παύλῳ καὶ Ἀρίσταρχος. καλῶς καὶ χρησίμως πάρεστιν ὁ Ἀρίσταρχος, μέλλων ἅπαντα ἀπαγγέλλειν εἰς Μακεδονίαν. Φιλανθρώπως τε ὁ Ἰούλιος τῷ Παύλῳ χρησάμενος, ἐπέτρεψε πρὸς τοὺς φίλους πορευθέντα ἐπιμελείας τυχεῖν.

4 Κἀκεῖθεν ἀναχθέντες ὑπεπλεύσαμεν τὴν Κύπρον διὰ τὸ τοὺς ἀνέμους εἶναι ἐναντίους. Ἐπέτρεψε, φησιν, Ἰούλιος, φιλανθρώπως τῷ Παύλῳ χρησάμενος. καλῶς ποιῶν τοῦτο ἐπιτρέπει, ὥστε ἐπιμελείας τυχεῖν ἀπελθόντα παρὰ τοὺς γνωρίμους. εἰκὸς γὰρ ἦν αὐτὸν ἀπὸ πολλῆς κακώσεως εἶναι τῶν δεσμῶν, τοῦ φόβου, τοῦ ἄγεσθαι καὶ φέρεσθαι. ὅρα πῶς οὐδὲ τοῦτο κρύπτει, ὅτι ἐβούλετο ἐπιμελείας τυχεῖν. πάλιν πειρασμοί, πάλιν ἄνεμοι ἐναντίοι. ὅρα διὰ παντὸς οὕτω τὸν βίον τῶν ἁγίων ὑφαινόμενον. διέφυγε τὸ δικαστήριον, καὶ περιπίπτουσι ναυαγίῳ καὶ χειμῶνι, ὃ καὶ δηλοῖ ἐπάγων. χ. φίλους

5 Τό τε πέλαγος τὸ κατὰ τὴν Κιλικίαν καὶ Παμφυλίαν διαπλεύσαντες, κατήλθομεν εἰς Μύρα τῆς Λυκίας.

6 Κἀκεῖ εὑρὼν ὁ ἑκατόνταρχος πλοῖον Ἀλεξανδρῖνον πλέον εἰς τὴν Ἰταλίαν, ἐνεβίβασεν ἡμᾶς εἰς αὐτό. Εὑρὼν πλοῖον, φησιν, Ἀλεξανδρῖνον. εἰκότως εὑρίσκεται, ὥστε κἀκείνοις ἀπαγγεῖλαι εἰς τὴν Ἀσίαν τὰ κατὰ τὸν Παῦλον, καὶ τούτους εἰς τὴν Λυκίαν. ὅρα τὸν Θεὸν οὐδὲν χαρίζοντα, οὐδὲ μεταβάλλοντα, ἀλλὰ ἀφιέντα αὐτοὺς εἰς τοὺς ἀνέμους τοὺς ἀνεπιτηδείους πλεῖν. [ἀλλὰ καὶ οὕτω θαῦμα ἐργάζεται. ὥστε γὰρ ἀσφαλῶς πλεῖν,] οὐκ ἀφῆκεν αὐτοὺς εἰς πέλαγος, ἀλλ᾽ ἀεὶ παρὰ γῆν ἔπλεον.

7 Ἐν ἱκαναῖς δὲ ἡμέραις βραδυπλοοῦντες, καὶ μόλις γενόμενοι κατὰ τὴν Κνίδον, μὴ προσεῶντος ἡμᾶς τοῦ ἀνέμου, ὑπεπλεύσαμεν τὴν Κρήτην κατὰ Σαλμώνην,

8 Μόλις τε παραλεγόμενοι αὐτὴν, ἤλθομεν εἰς τόπον τινὰ καλούμενον Καλοὺς λιμένας, ᾧ ἐγγὺς ἦν πόλις Λασαία.

9 Ἱκανοῦ δὲ χρόνου διαγενομένου, καὶ ὄντος ἤδη τοῦ πλοὸς ἐπισφαλοῦς διὰ τὸ καὶ τὴν νηστείαν ἤδη παρεληλυθέναι, παρῄνει ὁ Παῦλος,

10 Λέγων αὐτοῖς ἄνδρες, θεωρῶ ὅτι μετὰ ὕβρεως καὶ πολλῆς ζημίας, οὐ μόνον τοῦ φορτίου καὶ τοῦ πλοίου, ἀλλὰ καὶ τῶν ψυχῶν ἡμῶν μέλλειν ἔσεσθαι τὸν πλοῦν. χ. φόρτου 11 Ὁ δὲ ἑκατόνταρχος τῷ κυβερνήτῃ καὶ τῷ ναυκλήρῳ ἐπείθετο μᾶλλον, ἢ τοῖς ὑπὸ τοῦ Παύλου λεγομένοις.

Τὴν νηστείαν ἐνταῦθα, τὴν τῶν Ἰουδαίων λέγειν ἡγοῦμαι. μετὰ γὰρ τὴν πεντηκοστὴν ἐξῆλθον ἐκεῖθεν μετὰ πολὺν χρόνον, ὡς ἐν αὐτῷ σχεδὸν τῷ χειμῶνι παραπλεῦσαι εἰς τὰ μέρη τῆς Κρήτης. χ. ἐξέπλευσαν καὶ τοῦτο δὲ οὐ μικρὸν θαῦμα, τὸ διασωθῆναι δι᾽ αὐτὸν καὶ ἐκείνους. ἄνδρες,

θεωρῶ

Digitized by Google

γρ. οἰκία

τοίνυν τὸν μέλλοντα ἐπιστήσεσθαι οἰκίας καὶ καλῶς αὐτὴν οἰκοδομήσειν, πρότερον τὴν ψυχὴν τὴν ἑαυτοῦ ῥυθμίζειν. οἰκία γάρ αὐτή ἐστιν. εἰ δὲ τὴν ἑαυτοῦ μὴ δύναιτο, ἔνθα μία ψυχὴ, ἔνθα κύριος αὐτὸς, ἔνθα ἀεὶ σύνεστιν ἑαυτῷ, πῶς τοῖς ἄλλοις οἰκοδομήσει; ὁ τὴν ψυχὴν τὴν ἑαυτοῦ ῥυθμίσαι δυνάμενος, καὶ τὸ μὲν ποιεῖν ἄρχειν, τὸ δὲ ἄρχεσθαι, οὗτος καὶ οἰκίαν δυνήσεται· ὁ δὲ οἰκίαν, καὶ πόλιν· ὁ δὲ πόλιν, καὶ οἰκουμένην. εἰ δὲ ψυχὴν οὐκ ἂν δύναιτο, πῶς οἰκουμένην δυνήσεται; ταῦτά μοι εἴρηται, ἵνα μὴ ὦμεν ἐπτοημένοι πρὸς ἀρχάς· ἵνα εἰδῶμεν τί ποτέ ἐστιν ἀρχή. τοῦτο γὰρ οὐκ ἀρχὴ, ἀλλὰ κατάγνωσις καὶ δουλεία, καὶ μυρία ἐπέχει αἰτίας χαλεπάς. εἰπέ μοι, τί ἐστιν ἄρχοντος ἴδιον; ἆρα οὐχὶ τὸ ὠφελεῖν τοὺς ἀρχομένους καὶ εὐεργετεῖν; τί οὖν ἂν τοῦτο μὴ γίνηται; πῶς ἑτέρους ὠφελήσει, ὁ ἑαυτὸν μὴ ὠφελήσας; ὁ μυρίας ἔχων τυραννίδας ἐν τῇ ψυχῇ τῶν παθῶν, πῶς τὰς ἑτέρων ἐκκόψει; οὕτω καὶ τρυφὴ οὐκ αὐτή ἐστι τρυφὴ, ἀλλ' ἑτέρα. ὥσπερ γὰρ ὁ ἄρχων ἐδείχθη, οὐχ οὗτος, ἀλλ' ἕτερος· οὕτω καὶ ὁ τρυφῶν ἕτερός ἐστι. δοκεῖ μὲν γὰρ εἶναι τρυφὴ, τὸ τῆς ἡδονῆς ἀπολαύειν καὶ γαστρίζεσθαι· οὐκ ἔστι δὲ τοῦτο, ἀλλὰ τοὐναντίον, τὸ ψυχὴν ἔχειν θαυμαστὴν καὶ ἐν ἡδονῇ εἶναι. ἔστω γάρ τις ἐσθίων, πίνων, σπαταλῶν· ἔπειτα φροντιζέτω καὶ ἀθυμείτω· μὴ δύναται οὗτος εἶναι ἐν τρυφῇ; οὐκ ἄρα τὸ ἐσθίειν καὶ πίνειν τρυφὴ, ἀλλὰ τὸ ἐν ἡδονῇ εἶναι. ἔστω τις ξηρὸν λαμβάνων ἄρτον, καὶ ἐμπιπλάσθω μετ' εὐφροσύνης· ἆρα τοῦτο ἡδονή; οὐκοῦν καὶ τρυφή. ἴδωμεν οὖν τίσι περιγίνεται αὕτη, τοῖς πλουτοῦσιν, ἢ τοῖς μὴ πλουτοῦσιν; οὔτε τούτοις ἁπλῶς, οὔτε ἐκείνοις· ἀλλὰ τοῖς οὕτω κατασκευάζουσι τὴν ψυχὴν τὴν ἑαυτῶν, ὥστε μὴ πολλὰς ἔχειν ἀθυμιῶν ὑποθέσεις. καὶ ποῖός ἐστιν οὗτος ὁ βίος; ἴσως ἐρεῖ τις· ὁρῶ γὰρ κεχηνότας ἅπαντας καὶ βουλομένους ἀκοῦσαι, τίς ἐστιν ὁ βίος οὗτος ὁ μὴ ἔχων ἀθυμίας. οὐκοῦν ὁμολογείσθω παρ' ὑμῶν πρότερον, ὅτι τοῦτο ἡδονὴ, τοῦτο τρυφὴ, ὅταν ἀθυμία μὴ ἐνοχλῇ, καὶ μὴ ἀπαιτῆτε παρ' ἐμοῦ κρέα καὶ οἶνον καὶ καρυκεύματα, καὶ ἱμάτια σηρικὰ, καὶ πλῆθος τραπέζης· ἀλλ' ἂν δείξω τούτων χωρὶς παρέχοντα τὸν βίον τὸν τοιοῦτον, ταύτην τὴν ἡδονὴν ἀγαπήσατε, τοῦτον τὸν βίον. τὰ γὰρ πολλὰ ἐκ τοῦ μὴ λογίζεσθαι δεόντως περιγίνεται ἡμῖν τῶν λυπηρῶν. τίς οὖν πλέον λυπήσεται· ὁ μηδένος αὐτῶν φροντίζων, ἢ ὁ φροντίζων; ὁ φοβούμενος τὰς μεταβολὰς, ἢ ὁ μὴ φοβούμενος; ὁ βασκαίνων, ὁ φθονῶν, ὁ συκοφαντίας, ὁ ἐπιβουλὰς, ὁ ἀπωλείας δεδοικὼς, ἢ ὁ τούτων ἐκτός; ὁ πλειόνων δεόμενος, ἢ ὁ μηδενός; ὁ μυρίοις δουλεύων, ἢ ὁ μηδενί; ὁ μυρίων χρείαν ἔχων, ἢ ὁ ἐλεύθερος; ὁ ἕνα δεσπότην δεδοικὼς, ἢ ὁ μυρίους; οὐκοῦν μείζων ἡ ἡδονὴ ἐνταῦθα. ταύτην τοίνυν διώκωμεν, καὶ μὴ περὶ τὰ παρόντα ὦμεν ἐπτοημένοι· ἀλλὰ καταγελῶμεν πάσης τῆς τοῦ βίου φαντασίας, καὶ πανταχοῦ τῆς συμμετρίας ὦμεν, ἵνα δυνηθῶμεν ἄλυπον τὸν βίον τοῦτον διαγαγεῖν, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γρ. ἡμῶν

γρ. ἐρῶμεν

Λογ. νγ. 30 ΑΝΕΣΤΗ ΔΕ Ο ΒΑΣΙΛΕΥΣ ΚΑΙ Ο ΗΓΕΜΩΝ, ἥ τε Βερνίκη, καὶ οἱ συγκαθήμενοι αὐτοῖς,
31 Καὶ ἀναχωρήσαντες ἐλάλουν πρὸς ἀλλήλους λέγοντες· ὅτι οὐδὲν θανάτου ἄξιον ἢ δεσμῶν πράσσει ὁ ἄνθρωπος οὗτος.
32 Ἀγρίππας δὲ τῷ Φήστῳ ἔφη· ἀπολελύσθαι ἐδύνατο ὁ ἄνθρωπος οὗτος, εἰ μὴ ἐπικέκλητο Καίσαρα.

μενα. τί λέγεις; καὶ μὴν τοὐναντίον οὗ λέγεις ἐστί. τὰ μὲν γὰρ ἀόρατα οὐ βλέπομεν, τὰ δὲ ὁρατὰ βλέπομεν. ὁποίους ἔχεις ὀφθαλμούς, τοιοῦτοί εἰσι καὶ οἱ παρὰ τοῦ Χριστοῦ διδόμενοι. [χ. πάλιν] καθάπερ γὰρ οὗτοι τὰ μὲν ὁρώμενα ὁρῶσι, τὰ δὲ οὐχ ὁρώμενα οὐχ ὁρῶσιν· οὕτως ἐκεῖνοι τοὐναντίον. οὐδεὶς τὰ ἀόρατα βλέπων, τὰ ὁρατὰ βλέπει· οὐδεὶς τὰ ὁρώμενα βλέπων, τὰ ἀόρατα βλέπει. ἢ οὐχὶ καὶ παρ' ἡμῖν τοῦτο γίνεται; ὅταν γὰρ τὸν νοῦν συστρέψαντες λογιζώμεθά τι τῶν ἀοράτων, μετέωροι τῶν ἐνεργειῶν ἡμῖν γίνονται αἱ ὄψεις. καταφρονήσωμεν δόξης· γελᾶσθαι βουλώμεθα μᾶλλον, ἢ ἐπαινεῖσθαι. ὁ μὲν γὰρ γελώμενος, οὐδὲν βλάπτεται· ὁ δὲ ἐπαινούμενος, μεγάλα. μὴ μέγα φρονῶμεν ἐπὶ τοῖς ἐκφοβοῦσι τοὺς ἀνθρώπους, ἀλλ' ὡς ἐπὶ τῶν παίδων τοῦτο πράττωμεν. οὐδὲ γὰρ εἴ τινα ἴδοιμεν ἐκφοβοῦντα παιδία, θαυμάζομεν τοῦτον. εἰ γάρ τις φοβεῖ, παιδία φοβεῖ· ἄνδρα γὰρ οὐκ ἂν δύναιτο φοβεῖν. καὶ καθάπερ οἱ ἐκφοβοῦντες, ἢ τὰς βλεφαρίδας ἕλκοντες ἄνω, ἢ ἄλλως τὸ πρόσωπον διαστρέφοντες, τοῦτο ποιοῦσιν, ὑγιεινὸν δὲ ἔχοντες καὶ ἥμερον τὸ ὄμμα οὐκ ἂν δύναιντο τοῦτο ποιῆσαι· οὕτω δὴ καὶ οὗτοι, τὸ διορατικὸν τῆς διανοίας διαστρέφοντες τοῦτο ποιοῦσιν· ὡς εἴ γε ἥμεροι ἄνθρωποι καὶ καλοὶ τῇ ψυχῇ, οὐδεὶς ἂν φοβηθείη, ἀλλ' αἰδούμεθα πάντες, τιμῶμεν, ἐντρεπόμεθα. οὐχ ὁρᾶτε πῶς ὁ φοβερὸς καὶ μισητός ἐστι καὶ πᾶσιν ἡμῖν ἀπευκτός; τί γὰρ τῶν δυναμένων φοβεῖν μόνον οὐκ ἀποστρεφόμεθα; οὐχὶ θηρία; οὐχὶ φωνάς; οὐχὶ ὄψεις; οὐχὶ τόπους; οὐχὶ ἀέρα, οἷον τὸ σκότος; μὴ δὴ μέγα νομίζωμεν, εἰ ἄνθρωποι φοβοῦνται ἡμᾶς. πρῶτον μὲν γὰρ οὐδεὶς * ἄνθρωπος πλουτεῖ· δεύτερον, τὸ καὶ πλουσίους ἡμᾶς μὴ μέγα τοῦτο εἶναι. [* ἡμᾶς] [χ. ποιεῖται] μέγα ἀγαθὸν ἡ ἀρετή. καὶ ὅρα πῶς μέγα. ἄθλια τὰ πράγματα νομίζοντες, δι' ὧν συνέστηκεν, αὐτὴν θαυμάζομεν καὶ μακαρίζομεν. [χ. ·περι[?]] [[?] ...] τίς γὰρ οὐκ ἂν μακαρίσειε τὸν φιλόσοφον, καίτοι πενία, καὶ ὅσα τοιαῦτα ἄθλια εἶναι δοκεῖ; ὅταν οὖν διὰ τῶν ἀθλίων εἶναι δοκούντων λάμπῃ, ὅρα τὴν ὑπερβολήν. [μέγα· μέγα] μέγα φρονεῖς ἐπὶ δυναστείᾳ, ἄνθρωπε; καὶ ποία δυναστεία, εἰπέ μοι, ἡ χειροτονητή; παρὰ ἀνθρώπων ἐξ ἴσου δυνατός, ἔνδοθεν χειροτόνησον σεαυτόν. ἄρχων γὰρ οὐχ ὁ καλούμενός ἐστιν, ἀλλ' ὁ ὤν. ὥσπερ γὰρ ἰατρὸν οὐκ ἂν ποιήσειε βασιλεύς, οὐδὲ ῥήτορα, οὕτως οὐδὲ ἄρχοντα. οὐ γὰρ τὰ γράμματα ποιεῖ ἄρχοντα, οὐδὲ τὸ ὄνομα. ἐπεί, εἰ βούλει, οἰκοδομείτω τις ἰατρεῖον, ἐχέτω καὶ μαθητάς, ἐχέτω καὶ ὄργανα καὶ φάρμακα, καὶ εἰσίτω πρὸς τοὺς κάμνοντας· ἆρα ἀρκεῖ ταῦτα ποιῆσαι ἰατρόν; οὐδαμῶς· ἀλλὰ δεῖ τῆς τέχνης, καὶ ταύτης ἄνευ οὐ μόνον ταῦτα οὐδὲν ὠφελεῖ, ἀλλὰ καὶ βλάπτει. τοῦ γὰρ οὐκ ἰατροῦ βέλτιον μηδὲ ἔχειν φάρμακα. ὁ μὲν οὖν μὴ ἔχων οὔτε σώζει, οὔτε ἀπόλλυσιν· ὁ δὲ ἔχων ἀπόλλυσιν, οὐκ εἰδὼς ὅπως χρήσηται· ἐπειδὴ οὐκ ἐν τῇ φύσει τῶν φαρμάκων ἐστὶν ἡ σωτηρία μόνον, ἀλλὰ καὶ ἐν τῇ τέχνῃ τοῦ προσάγοντος. τούτου γὰρ μὴ ὄντος, πάντα διέφθαρται. τοιοῦτος καὶ ὁ ἄρχων ἐστίν· ἔχει ὄργανα, τὴν φωνήν, τὸν θυμόν, τοὺς δημίους, τὰς ὑπηρεσίας, τὰς τιμάς, τὰς δωρεάς, τοὺς ἐπαίνους· ἔχει καὶ φάρμακα, τοὺς νόμους· ἔχει καὶ κάμνοντας, τοὺς ἀνθρώπους· ἔχει ἐργαστήριον, τὸ δικαστήριον· ἔχει μαθητάς, τοὺς στρατιώτας. ἂν οὖν μὴ εἰδῇ τὴν ἐπιστήμην τὴν ἰατρικήν, οὐδὲν τούτων ὄφελος. ὁ δικαστὴς ἰατρὸς ψυχῶν ἐστιν, οὐχὶ σωμάτων. εἰ δὲ αὕτη ἡ σωμάτων τοσαύτης δεῖται ἐπιμελείας, πολλῷ μᾶλλον ἡ τῆς ψυχῆς, ἐπειδὴ καὶ μείζων ψυχὴ σωμάτων. οὐκ ἄρα τὸ ὄνομα ἔχειν ἄρχοντος ἄρχοντά ἐστιν εἶναι. ἐπεὶ καὶ ἄλλοι καλοῦνται μεγάλα ὀνόματα· οἷον Παῦλος, Πέτρος, Ἰάκωβος, Ἰωάννης· ἀλλ' οὐκ ἀπὸ τῶν ὀνομάτων εἰσὶν ἅπερ καλοῦνται, καθάπερ οὐδὲ ἐγώ. ἀλλ' εἰμὶ τοῦ μακαρίου μὲν ἐκείνου ὁμώνυμος, οὐ μὴν συνώνυμος· οὐκ εἰμὶ Ἰωάννης, ἀλλὰ καλοῦμαι. οὕτω κἀκεῖνοι, οὐκ εἰσὶν ἄρχοντες, ἀλλὰ καλοῦνται· εἰσὶ δὲ ἐκεῖνοι ἄρχοντες χωρὶς τούτων. ὥσπερ καὶ ἰατρός, κἂν μὴ χρῆται τῇ ἐπιστήμῃ, ἔχῃ δὲ αὐτὴν ἐν τῇ ψυχῇ, ἰατρός ἐστιν. εἰσὶν ἄρχοντες ἑαυτῶν ἄρχοντες. τρία γὰρ ταῦτά ἐστι· ψυχή, οἰκία, πόλις, οἰκουμένη· καὶ ὅλως τὰ πράγματα προβαίνει. δεῖ [χ. ψυχῆς]

τοίνυν

τέμνοσι παρῄνει, ἀλλὰ καὶ βίον ἐπιδείκνυσθαι θαυμαστόν. καὶ ὅρα πανταχοῦ τὰ ἔθνη συμπλεκόμενα τῷ λόγῳ. διὰ γὰρ παρόντας ἐξ ἐθνῶν ποιεῖ. μαρτυρούμενος, φησί, μικρῷ τε καὶ μεγάλῳ*. καὶ διὰ τοὺς στρατιώτας οὕτως εἶπεν. εἶτα ἀφεὶς τὴν τάξιν τοῦ ἀπολογουμένου, τὴν τοῦ διδασκάλου ἔλαβε. διὸ καὶ ὁ Φῆστός φησι πρὸς αὐτόν, μαίνῃ. εἶτα ἵνα μὴ δόξῃ αὐτὸς διδάσκαλος εἶναι, ἐπάγει τοὺς προφήτας, καὶ Μωϋσέα. Εἰ παθητός, φησιν, ὁ Χριστός, εἰ πρῶτος ἐξ ἀναστάσεως νεκρῶν, φῶς μέλλει καταγγέλλειν ἐν τῷ τε λαῷ καὶ τοῖς ἔθνεσιν. ὁ Φῆστος μεγάλῃ τῇ φωνῇ ἔφη. οὕτω θυμοῦ ἦν καὶ ὀργῆς ἡ φωνή. τί οὖν ὁ Παῦλος; οὐ γάρ ἐστι, φησιν, ἐν γωνίᾳ πεπραγμένον τοῦτο. ἐνταῦθα περὶ τοῦ σταυροῦ λέγει τοῦτο, περὶ τῆς ἀναστάσεως, καὶ ὅτι πανταχοῦ τῆς οἰκουμένης γέγονε τὸ δόγμα. πιστεύεις, βασιλεῦ, φησιν, Ἀγρίππα; οὐκ εἶπε, τῇ ἀναστάσει, ἀλλά, τοῖς προφήταις. εἶτα προκαταλαμβάνει αὐτὸν καί φησιν· οἶδα ὅτι πιστεύεις. πρὸς ὃν καὶ ὁ Ἀγρίππας, ἐν ὀλίγῳ με πείθεις χριστιανὸν γενέσθαι. οὐκ ἐνόησεν ὁ Παῦλος, τί ἐστιν ἐν ὀλίγῳ, ἀλλ' ἐνόμισεν ὅτι ἐξ ὀλίγου. διὸ καὶ πρὸς τοῦτο ἀποκρίνεται. οὕτως ἰδιώτης ἦν. καὶ οὐκ εἶπεν, οὐ βούλομαι, ἀλλ', εὔχομαι, οὐ μόνον σε, ἀλλὰ καὶ πάντας τοὺς ἀκούοντας. ὅρα κολακείας ἀπηλλαγμένον τὸν λόγον. εὔχομαι, φησι, σήμερον γενέσθαι πάντας τοιούτους, ὁποῖος καὶ ἐγώ εἰμι, παρεκτὸς τῶν δεσμῶν τούτων. ὅρα ὁ καυχώμενος ἐπὶ τοῖς δεσμοῖς, ὁ περιφέρων αὐτοὺς καθάπερ ἅλυσιν χρυσῆν, τούτοις ἀπεύχεται νῦν. καὶ μὴ θαυμάσῃς. ἔτι γὰρ ἀσθενέστεροι διέκειντο, καὶ συγκαταβατικώτερος ἦν ὁ λόγος αὐτοῦ. ἐπεὶ ὅτι τὰ δεσμὰ βέλτιον ἡγεῖτο, ἄκουε πῶς ἀεὶ ἐν ταῖς ἐπιστολαῖς πάντων προτίθησι τῶν ἄλλων λέγων· Παῦλος δέσμιος Ἰησοῦ Χριστοῦ· καὶ πάλιν, Τούτου χάριν τὴν ἅλυσιν περίκειμαι, ἀλλ' ὁ λόγος τοῦ Θεοῦ οὐ δέδεται· καί, Ἄχρι δεσμῶν ὡς κακοῦργος. Ἐφεσ. γ. α. β. Τιμ. α. η. β. Τιμ. β. θ. ὅρα· οὐχὶ δεσμῶν μόνον, ἀλλὰ καὶ ὡς κακοῦργος προσέθηκεν, αὔξων τὴν ἀπὸ τῶν δεσμῶν δόξαν. διπλῆ γὰρ ἡ τιμωρία, καὶ ὅτι ἐδέδετο, καὶ ὅτι ὡς κακοῦργος. εἰ μὲν γὰρ οὕτως ἐδέδετο ὡς ἐπ' ἀγαθῷ, ἔφερέ τινα ἂν παραμυθίαν τὸ πρᾶγμα· νῦν δὲ καὶ ὡς κακοῦργος, καὶ ὡς ἐπὶ τοῖς ἀξίοις ἁλούς· καὶ ὅμως οὐδενὸς τούτων ἐφρόντιζε.

*τουτ. ἐπισήμῳ καὶ ἀσήμῳ.

ΗΘΙΚΟΝ

Τοιοῦτον ψυχὴ πτερωθεῖσα τῷ οὐρανίῳ ἔρωτι. εἰ γὰρ οἱ τῶν αἰσχρῶν τούτων ἐρῶντες ἐρώτων, οὐδὲν ἡγοῦνται οὔτε ἔνδοξον, οὔτε τίμιον, ἀλλ' ἐκεῖνα ὅσα ἂν αὐτοῖς πρὸς τὴν ἐπιθυμίαν συντείνῃ, ταῦτα κρίνεται καὶ ἔνδοξα καὶ ἔντιμα, καὶ τοῦτο πάντα αὐτοῖς ἐστιν ἡ ἐρωμένη· πολλῷ μᾶλλον οἱ τούτῳ ἁλόντες τῷ ἔρωτι οὐδὲν ἡγοῦνται τὰ ἐπίτιμα. εἰ δὲ οὐ νοοῦμεν τὰ λεγόμενα, οὐ θαυμαστόν. ἄπειροι γάρ ἐσμεν τῆς φιλοσοφίας ταύτης. εἰ γάρ τις ἁλῷ τῷ πυρὶ τοῦ Χριστοῦ, τοιοῦτος ἔσται, οἷος ἂν γένηται ἄνθρωπος μόνος ἐπὶ τῆς γῆς οἰκῶν. οὕτως οὐδενὸς αὐτῷ μέλει δόξης καὶ ἀτιμίας· ἀλλ' ὥσπερ ἂν εἰ μόνος οἰκῶν οὐδενὸς ἂν ἐφρόντισεν, οὕτως οὐδὲ τότε ὁ τοιοῦτος φροντίζει. πειρασμῶν δὲ οὕτω καταφρονεῖ καὶ μαστίγων καὶ δεσμωτηρίων, ὥσπερ ἂν εἰ ἐν ἀλλοτρίῳ σώματι ταῦτα ἔπασχεν, ἢ ὥσπερ ἂν εἰ ἀδαμάντινον ἐκέκτητο σῶμα· τῶν δὲ ἡδέων τῶν ἐν τῷ βίῳ οὕτω καταγελᾷ καὶ ἀνεπαίσθητος αὐτῶν ἐστιν, ὥσπερ τῶν νεκρῶν σωμάτων ἡμεῖς αὐτοὶ ὄντες νεκροί. τοσοῦτον δὲ ἀπέχει ἁλῶναι πάθει τινί, ὅσον χρυσὸς πυρούμενος ὁ καθαρὸς ἂν ἀπέχοιτο κηλῖδος. ὥσπερ γὰρ μυῖαι εἰς μέσην τὴν φλόγα οὐκ ἂν ἐμπέσοιεν, ἀλλὰ φεύγουσιν, οὕτω τὰ πάθη οὐδὲ ἐγγὺς γενέσθαι τούτου τολμᾷ. Καὶ τοῦτον ἐβουλόμην μὲν ἀφ' ἡμῶν τὰ παραδείγματα παραγαγεῖν δυνάσθαι· ἐπεὶ δὲ ἀποροῦμεν, ἀνάγκη πρὸς αὐτὸν τοῦτον καταφυγεῖν. ὅρα γοῦν αὐτὸν πρὸς πάντα τὸν κόσμον πῶς διέκειτο. Ἐμοὶ κόσμος ἐσταύρωται, φησι, κἀγὼ τῷ κόσμῳ· τουτέστι, νεκρός εἰμι τῷ κόσμῳ, Γαλ. ϛ. ιδ. κἀκεῖνος ἐμοὶ νεκρός. καὶ πάλιν, Ζῶ δὲ οὐκέτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός. Γαλ. β. κ. τοῦτο μόνου Παύλου λέγειν ἐστίν· ἡμῶν δὲ τῶν ἐκείνου τοσοῦτον ἀπολειπομένων, ὅσον τῆς γῆς ὁ οὐρανός, ἐγκαλύπτεσθαι ὡς μηδὲ τὸ στόμα διᾶραι τολμᾶν. ὅτι δὲ ὡς ἐν ἐρημίᾳ ἦν, καὶ οὕτως ἑώρα τὰ παρόντα, ἄκουε αὐτοῦ λέγοντος· Μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα. β. Κορ. δ. ιη.

ἢ εἰ χωρὶς δεσμῶν ἀπῆλθεν. οὐκέτι γὰρ ὡς πλάνος καὶ γόης, τοσούτων αὐτὸν ἀφιέντων δικαστῶν, ἀπήγετο. πάντα τοίνυν ἀποδυσάμενος περὶ οἷς ἐτίζετο καὶ ἐγράφη, οὐχ ἁπλῶς, ἀλλ' οὕτω καθαρὸς ὑποψίας ἐπιβαίνει τῆς Ῥώμης. καὶ οὐκ εἶπε, τί δὴ τοῦτο; ἅπαξ ἐπικαλεσάμενον Καίσαρα· μυριάκις ἐκεῖθεν· μέχρι πότε; ἀλλὰ τί; πάλιν ἕτοιμος ἐγένετο δοῦναι εὐθύνας, καὶ ἐπὶ τοῦ μάλιστα εἰδότος τὰ κατὰ Ἰουδαίους. διὸ καὶ μετὰ πολλῆς τῆς παρρησίας ἀπολογεῖται· ὅτι οὐκ ὄντων κυρίων τῶν καταδικαζόντων αὐτόν· ὅς, καίπερ οὐκ ὄντων κυρίων, ἀλλὰ τῆς ἀποφάσεως ἐκείνης κρατούσης, ὅτι πρὸς Καίσαρα πορεύσεται, δίδωσι λόγον ὅμως, καὶ πολλὰς τὰς εὐθύνας περὶ πάντων· οὐ περὶ τῶν μὲν, περὶ τῶν δὲ οὔ. μονονουχὶ δὲ τοῦτο λέγει, δι' ὧν ἀποκρίνεται· ἐγκαλοῦσιν ὑπὲρ στάσεως, ἐγκαλοῦσιν ὑπὲρ αἱρέσεως, καὶ ὅτι τὸν ναὸν ἐβεβήλωσα. περὶ πάντων ἀπολογοῦμαι. τὴν μὲν οὖν βίωσίν μου τὴν ἐκ νεότητος ἴσασι πάντες οἱ Ἰουδαῖοι. ὅτι μὲν οὖν οὐ τοῦ ἐμοῦ τρόπου τὸ στάσεις ποιεῖν, αὐτοὶ μάρτυρες οἱ κατήγοροι. ὃ καὶ περὶ τούτου λέγει, ζηλωτὴς ὑπάρχων τῶν πατρικῶν μου παραδόσεων, τοῦτο καὶ ἐνταῦθα αἰνίττεται διὰ τοῦ εἰπεῖν, τὴν ἐκ νεότητός μου βίωσιν. [τὴν ἀπ' ἀρχῆς γενομένην ἐν τῷ ἔθνει μου ἐν Ἱεροσολύμοις ἴσασι πάντες οἱ Ἰουδαῖοι] καὶ ὅτι ὅλος ὁ δῆμος παρῆν, τότε καλεῖ αὐτὸν τὴν μαρτυρίαν· οὐκ ἐπὶ τοῦ δικαστηρίου δὲ τοῦ Λυσίου τοῦτο ποιεῖ μόνον, ἀλλὰ καὶ ἐπὶ τοῦ Φήστου. καὶ πάλιν ἐνταῦθα ὅτι πλείους παρῆσαν· ἐκεῖ δὲ οὐ πολλῆς ἀπολογίας ἔδει, τῶν γραμμάτων τοῦ Λυσίου ἀφιέντων αὐτόν. ἴσασι, φησὶ, πάντες Ἰουδαῖοι προγινώσκοντές με ἄνωθεν. καὶ οὐ λέγει ποταπὸς αὐτοῦ ὁ βίος· ἀλλ' ἀφίησιν αὐτὸν τῷ συνειδότι, καὶ τὸ πᾶν ἐν τῇ αἱρέσει τίθησι, δεικνὺς ἐντεῦθεν οὐκ ἂν ἑλόμενος αὐτὴν, εἰ πονηρὸς ἦν καὶ μοχθηρός. ὑπὲρ τῆς αἱρέσεως τοίνυν ταύτης, ἧς, φησιν, ἕστηκα κρινόμενος. αὕτη καὶ παρ' αὐτοῖς πρεσβεύεται. διὰ ταύτην εὔχοντο, διὰ ταύτην λατρεύουσιν, ἵνα ταύτης τύχωσι· ταύτην ἐγὼ καταγγέλλω, καὶ περὶ τῆς ἐλπίδος ταύτης ἐγκαλοῦμαι. ἆρα μαινομένων οὐκ ἔστι πάντα μὲν ὑπὲρ τοῦ τυχεῖν ταύτης ποιεῖν· τὸν δὲ εἰς ταύτην πιστεύοντα ἐλαύνειν; ἐγὼ μὲν οὖν ἔδοξα ἐμαυτῷ πρὸς τὸ ὄνομα Ἰησοῦ Χριστοῦ Ναζωραίου, φησὶ, δεῖν πολλὰ ἐναντία πρᾶξαι· τουτέστιν, ἐκεῖνα ταῦτα ποιεῖν· ὅτι οὐκ ἤμην τῶν μαθητῶν τοῦ Χριστοῦ, ἀλλὰ τῶν πολεμούντων αὐτῷ ὑπῆρχον. ὅθεν καὶ ἀξιόπιστος γέγονε μάρτυς, ὅτι ὁ μυρία ποιῶν καὶ πολεμῶν τοὺς πιστεύοντας, καὶ πείθων βλασφημεῖν, καὶ πάντα κινῶν, πόλεις, ἄρχοντας, καὶ δι' ἑαυτοῦ ταῦτα πράττων, οὕτως ἐξαίφνης μεταβέβληται. εἶτα πάλιν μάρτυρες οἱ συνόντες; εἶτα δείκνυσιν ἑαυτὸν δικαίως πεισθέντα, ἀπό τε τοῦ φωτὸς, ἀπό τε τῶν προφητῶν, ἀπό τε τῶν ἐκβάσεων, ἀπό τε τῶν νῦν γεγενημένων. ἐπήγαγε γὰρ, ἡμέρας μέσης κατὰ τὴν ὁδὸν, καὶ εἶδον περιλάμψαν με φῶς καὶ τοὺς σὺν ἐμοὶ πορευομένους. ὅρα γοῦν πῶς καὶ ἀπὸ τῶν προφητῶν, καὶ ἀπὸ τούτων αὐτοὺς πιστοῦται. ἵνα γὰρ μὴ δόξῃ καινοτομεῖν, καίτοι ἔχων μεγάλα εἰπεῖν, πάλιν ἐπὶ τοὺς προφήτας καταφεύγει, καὶ τὰ αὐτὸν μέσον τίθησι. τοῦτο μὲν οὖν ἀξιοπιστότερον ἅτε νῦν γενόμενον· ἀλλ' ἐπειδὴ μόνος εἶδε, πάλιν αὐτὸ ἀπὸ προφητῶν πιστοῦται. καὶ ὅρα αὐτὸν οὐχ ὁμοίως διαλεγόμενον ἐν δικαστηρίῳ καὶ ἐν ἐκκλησίᾳ. ἐκεῖ μὲν οὖν λέγει, ὅτι καὶ ἀνείλετε· ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον, ὥστε μὴ πλέον ἐκκαῦσαι τὸν θυμόν· ἀλλὰ τὸ αὐτὸ δείκνυσιν εἰπὼν, εἰ παθητὸς ὁ Χριστός. οὕτως ἀφίησιν αὐτοὺς ἐγκλημάτων. ὅταν οὖν ἐγὼ καταγγέλλω, εἰ ἀνέστη πρῶτος ἐκ τῶν νεκρῶν, ἐκ τῶν προφητῶν δείκνυμι. καὶ γὰρ καὶ οἱ προφῆται τοῦτο καταγγέλλουσιν. οὐκοῦν δέξασθε τὸν λόγον, ὡς τὸν αὐτὸν ὄντα τῶν προφητῶν. ἐπειδὴ δὲ εἶπε τὴν ὄψιν, λοιπὸν καὶ μετ' ἀδείας καὶ τὰ κατορθώματα λέγει. ποῖα ταῦτα; τοῦ ἀνοῖξαι αὐτῶν, φησὶν, ὀφθαλμοὺς, καὶ ἀποστρέψαι ἀπὸ σκότους εἰς φῶς, καὶ ἀπὸ τῆς ἐξουσίας τοῦ Σατανᾶ ἐπὶ τὸν Θεόν. εἰς τοῦτο γὰρ ὤφθην σοι· τουτέστιν, οὐχ ὥστε κολάσαι, ἀλλ' ὥστε ἀπόστολον ποιῆσαι. ὅρα· τὰ συνέχοντα κακὰ τοὺς ἀπίστους δείκνυσι, τὸν Σατανᾶν, τὸ σκότος· ὥσπερ καὶ τὰ ἀγαθὰ τῶν πιστῶν, τὸ φῶς, τὸν Θεὸν, τὸν κλῆρον τῶν ἁγίων. καὶ οὐχ ἁπλῶς με-

τανοεῖν

χρὴ νῦν ἐπ' ἐλπίδι τῆς πρὸς τοὺς πατέρας ἐπαγγελίας γενομένης ὑπὸ τοῦ Θεοῦ ἕστηκα

χ. [illegible]

22 Επικουρίας οὖν τυχὼν τῆς παρὰ τοῦ Θεοῦ, ἄχρι τῆς ἡμέρας ταύτης ἕστηκα μαρτυρούμενος μικρῷ τε καὶ μεγάλῳ, οὐδὲν ἐκτὸς λέγων, ὧν τε οἱ προφῆται ἐλάλησαν μελλόντων γίνεσθαι, καὶ Μωϋσῆς·

χ. [illegible]

23 Εἰ παθητὸς ὁ Χριστὸς, εἰ πρῶτος ἐξ ἀναστάσεως νεκρῶν, φῶς μέλλει καταγγέλλειν τῷ τε λαῷ καὶ τοῖς ἔθνεσιν. Ὅρα πῶς ἐκτὸς κολακείας ἐστὶν ὁ λόγος αὐτοῦ, καὶ τὸ πᾶν ἐπιγράφει τῷ Θεῷ. Εἶτα ἡ παῤῥησία· ἀλλ' οὐδέπω ἀφίσταμαι. καὶ τὸ ἀσφαλές. ἀπὸ γὰρ προφητῶν ἰσχυρίζομαι. Εἰ παθητὸς ὁ Χριστὸς, εἰ πρῶτος ἐξ ἀναστάσεως νεκρῶν, φῶς μέλλει καταγγέλλειν. ὥστε ἔλεγεν· ὅτι πρῶτος ὁ Χριστὸς ἀναστὰς οὐκέτι ἀποθνήσκει, δῆλον ἐκ τοῦ πᾶσι καταγγεῖλαι τοῦτο, καὶ εἰς ἑαυτὸν προσδοκᾶν. Εἶτα τὴν παῤῥησίαν ὁ Φῆστος ἰδὼν (ἐπεὶ πρὸς τὸν βασιλέα διελέγετο) μὴ μεθιστάμενος τοῦ πρὸς αὐτὸν ἀποβλέπειν, ὥσπερ ἔπαθέ τι καί φησι· μαίνῃ, Παῦλε. ὅτι δὲ παθών τι τὸ λέγει, ἄκουε τῶν ἑξῆς.

χ. ἀπολογουμένου

24 Ταῦτα δὲ αὐτοῦ διαλεγομένου, ὁ Φῆστος μεγάλῃ τῇ φωνῇ ἔφη· μαίνῃ, Παῦλε· τὰ πολλά σε γράμματα εἰς μανίαν περιτρέπει. Τί οὖν ὁ Παῦλος; μετ' ἐπιεικείας ἀποκρινόμενος·

25 Οὐ μαίνομαι, φησι, κράτιστε Φῆστε, ἀλλὰ ἀληθείας καὶ σωφροσύνης ῥήματα ἀποφθέγγομαι. Εἶτα καὶ τὴν αἰτίαν διδάσκει, δι' ἣν πρὸς τὸν βασιλέα τὸν λόγον ἀπέστρεψεν.

26 Ἐπίσταται γὰρ περὶ τούτων ὁ βασιλεύς, πρὸς ὃν καὶ παῤῥησιαζόμενος λαλῶ. λανθάνειν γὰρ αὐτόν τι τούτων οὐ πείθομαι οὐδέν. οὐ γάρ ἐστιν ἐν γωνίᾳ πεπραγμένον τοῦτο.

27 Πιστεύεις, βασιλεῦ Ἀγρίππα, τοῖς προφήταις; οἶδα ὅτι πιστεύεις. Τοῦτο οὕτως εἶπε μονονουχὶ διασύρων καὶ λέγων πρὸς αὐτούς· οἶδα ὅτι πάντα οἶδεν ἀκριβῶς. καὶ ἔδει μὲν πρῶτους ὑμᾶς ταῦτα εἰδέναι (τὸ γὰρ ἐπαγόμενον τοῦτο δηλοῖ. τό, οὐ γάρ ἐστιν ἐν γωνίᾳ πεπραγμένον τοῦτο) ἀλλ' οὐκ ἠθελήσατε. πιστεύεις, βασιλεῦ Ἀγρίππα, τοῖς προφήταις; οἶδα ὅτι πιστεύεις.

χ. ἡμᾶς

28 Ὁ δὲ Ἀγρίππας πρὸς τὸν Παῦλον ἔφη· ἐν ὀλίγῳ με πείθεις χριστιανὸν γενέσθαι.

29 Ὁ δὲ Παῦλος εἶπεν· εὐξαίμην ἂν τῷ Θεῷ καὶ ἐν ὀλίγῳ καὶ ἐν πολλῷ οὐ μόνον σε, ἀλλὰ καὶ πάντας τοὺς ἀκούοντάς μου σήμερον γενέσθαι τοιούτους, ὁποῖος κἀγώ εἰμι, παρεκτὸς τῶν δεσμῶν τούτων. Ὅρα πῶς εὔχεται, λέγων· εὐξαίμην ἂν ἔγωγε τῷ Θεῷ οὐκ ἐν ὀλίγῳ· τουτέστι, παραμικρόν. καὶ οὐχ ἁπλῶς εὔχεται, ἀλλὰ καὶ ἐπιτεταμένως. τοιούτους, φησί, γενέσθαι πάντας οὐ μόνον σε, ἀλλὰ καὶ πάντας· ὁποῖος κἀγώ εἰμι. εἶτα καὶ προστίθησι, παρεκτὸς τῶν δεσμῶν τούτων, οὐκ ἀποδυσπετῶν διὰ τὰ δεσμά, οὐδὲ αἰσχυνόμενος ἐπεὶ ἐδίδου (τοῦτο γὰρ ἦν αὐτῷ, εἴπερ τι ἄλλο, ἄξιον δόξης) ἀλλὰ πρὸς τὴν ἐκείνων ὑπόληψιν ἀφορῶν, οὕτως εἶπε. διὰ τοῦτο προσέθηκε τό, παρεκτὸς τῶν δεσμῶν τούτων. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα.

χ. εἰρημένα

τῇ οὖν ἐπαύριον εἰσελθόντων εἰς τὸ ἀκροατήριον, κελεύσαντος τοῦ Φήστου, φησίν, ἤχθη ὁ Παῦλος. ἀπέστησαν λοιπὸν οἱ Ἰουδαῖοι, τῇ ἐφέσει χρησαμένου ἐκείνου, καὶ τότε αὐτῷ τὸ λαμπρὸν τὸ θέατρον γέγονε. μετὰ πολλῆς γὰρ τῆς φαντασίας ὁ βασιλεὺς καὶ πᾶν τὸ πλῆθος τῶν Ἰουδαίων παρῆσαν· οὐχ οἱ μὲν, οἱ δὲ οὔ. τὸ πλῆθος τῶν Ἰουδαίων, φησί, συνέτυχέ μοι, ἔν τε Ἱεροσολύμοις καὶ ἐνθάδε, ἐπιβοῶντες μὴ δεῖν αὐτὸν ζῆν μηκέτι. ὅρα τὴν μανίαν, ἐβόων δεῖν αὐτὸν ἀποθανεῖν λέγοντες. ἐντεῦθεν δείκνυσιν ὅτι δικαίως ἐπεκαλέσατο Καίσαρα. εἰ γὰρ οὐδὲν μὲν εἶχον δεινὸν εἰπεῖν, ἐκεῖνοι δὲ ἐμεμήνεσαν, εἰκότως ἐπ' ἐκεῖνον ἔρχεται. ὅπως τῆς ἀνακρίσεως ὑφ' ὑμῶν γενομένης, σχῶ τι γράψαι, φησίν. ὁρᾷς πῶς βασανίζεται πολλάκις τὸ πρᾶγμα; καὶ τῆς ἀπολογίας τοίνυν ταύτης Ἰουδαῖοι αἴτιοι, ἣν ἔμελλον μανθάνειν καὶ οἱ ἐν τῇ Ῥώμῃ. περὶ πάντων ὧν ἐγκαλοῦμαι, βασιλεῦ Ἀγρίππα, ἥγημαι, φησιν, ἐμαυτὸν μακάριον, μέλλων ἐπὶ σοῦ ἀπολογεῖσθαι. ὅρα πῶς κήρυκες ἄκοντες καὶ τῆς οἰκείας γίνονται κακίας καὶ τῆς Παύλου ἀρετῆς καὶ αὐτῷ τῷ κρατοῦντι· ὥστε λαμπρότερον ἀπήγετο Παῦλος, ἢ εἰ

Ἰουδαίων τὴν δόξαν· ἄλλοι δὲ τὸν καὶ ἰσχυρότεροι τὸν ἀπὸ πραγμάτων. ποῖον δὲ τοῦτον; ὅτι διελέχθη αὐτῷ ὁ Χριστὸς ἀναστὰς ἐκ νεκρῶν. καὶ κατασκευάζει καὶ τοῦτον ἀπὸ λογισμῶν, τὴν προτέραν αὐτοῦ μανίαν διηγούμενος ἀκριβῶς. Εἶτα καὶ μετ' ἐγκωμίου τῶν Ἰουδαίων· νύκτα καὶ ἡμέραν λατρεῦον ἐλπίζει, φησί, καταντῆσαι. ὥστε εἰ καὶ μὴ ἀλλοτρίου βίου ἦμεν, ὑπὲρ τούτων οὐκ ἔδει κρίνεσθαι, βασιλεῦ Ἀγρίππα. Εἶτα καὶ ἄλλος λογισμός· τί ἄπιστον κρίνεται παρ' ὑμῖν, εἰ ὁ Θεὸς νεκροὺς ἐγείρει; εἰ γὰρ μὴ τοιαύτη δόξα ἦν, εἰ γὰρ μὴ ἀνατεθραμμένοι ἦσαν ἐν τούτοις τοῖς δόγμασι, πῶς δὲ εἰσεφέρετο, ἴσως οὐκ ἂν ἐδέξατό τις τὸν λόγον. Εἶτα λέγει πῶς ἐδίωκε (καὶ τοῦτο κατασκευαστικόν) καὶ τοὺς ἀρχιερέας παράγει μάρτυρας, καὶ τὰς ἔξω πόλεις, καὶ ὅτι ἤκουσε λέγοντος αὐτῷ, Σκληρόν σοι πρὸς κέντρα λακτίζειν. ἔπειτα δείκνυσι καὶ τοῦ Θεοῦ τὴν φιλανθρωπίαν, ὅτι καὶ διωκόμενος ὤφθη, καὶ ὅτι οὐκ ἐμὲ μόνον εὐηργέτησεν, ἀλλὰ καὶ ἑτέροις ἔπεμψε διδάσκαλον. δείκνυσι δὲ καὶ τὴν προφητείαν, ἣν ἤκουσεν. Εἰς τοῦτο ὤφθην σοι, ἐξαιρούμενός σε ἐκ τοῦ λαοῦ καὶ τῶν ἐθνῶν, εἰς οὓς ἐγώ σε ἀποστέλλω. Ταῦτα πάντα δεικνὺς ἔλεγεν· γρ. στελῶ

9 Ἐγὼ μὲν οὖν ἔδοξα ἐμαυτῷ πρὸς τὸ ὄνομα Ἰησοῦ τοῦ Ναζωραίου δεῖν πολλὰ ἐναντία πρᾶξαι,

10 Ὃ καὶ ἐποίησα ἐν Ἱεροσολύμοις, καὶ πολλοὺς τῶν ἁγίων ἐγὼ φυλακαῖς κατέκλεισα, τὴν παρὰ τῶν ἀρχιερέων ἐξουσίαν λαβών· ἀναιρουμένων τε αὐτῶν κατήνεγκα ψῆφον.

11 Καὶ κατὰ πάσας τὰς συναγωγὰς πολλάκις τιμωρῶν αὐτούς, ἠνάγκαζον βλασφημεῖν, περισσῶς τε ἐμμαινόμενος αὐτοῖς, ἐδίωκον ἕως καὶ εἰς τὰς ἔξω πόλεις.

12 Ἐν οἷς καὶ πορευόμενος εἰς τὴν Δαμασκὸν μετ' ἐξουσίας καὶ ἐπιτροπῆς τῆς παρὰ τῶν ἀρχιερέων,

13 Ἡμέρας μέσης κατὰ τὴν ὁδὸν εἶδον, βασιλεῦ, οὐρανόθεν ὑπὲρ τὴν λαμπρότητα τοῦ ἡλίου περιλάμψαν με φῶς καὶ τοὺς σὺν ἐμοὶ πορευομένους.

14 Πάντων δὲ καταπεσόντων ἡμῶν εἰς τὴν γῆν, ἤκουσα φωνὴν λαλοῦσαν πρός με καὶ λέγουσαν τῇ Ἑβραΐδι διαλέκτῳ· Σαούλ, Σαούλ, τί με διώκεις; σκληρόν σοι πρὸς κέντρα λακτίζειν.

15 Ἐγὼ δὲ εἶπον, τίς εἶ, Κύριε; ὁ δὲ εἶπεν· ἐγώ εἰμι Ἰησοῦς, ὃν σὺ διώκεις.

16 Ἀλλὰ ἀνάστηθι, καὶ στῆθι ἐπὶ τοὺς πόδας σου. εἰς τοῦτο γὰρ ὤφθην σοι, προχειρίσασθαί σε ὑπηρέτην καὶ μάρτυρα ὧν τε εἶδες, ὧν τε ὀφθήσομαί σοι,

17 Ἐξαιρούμενός σε ἐκ τοῦ λαοῦ καὶ τῶν ἐθνῶν, εἰς οὓς ἐγώ σε ἀποστέλλω, γρ. σοῦ

18 Ἀνοῖξαι ὀφθαλμοὺς αὐτῶν, τοῦ ἀποστρέψαι ἀπὸ σκότους εἰς φῶς, καὶ τῆς ἐξουσίας τοῦ Σατανᾶ ἐπὶ τὸν Θεόν, τοῦ λαβεῖν αὐτοὺς ἄφεσιν ἁμαρτιῶν, καὶ κλῆρον ἐν τοῖς ἡγιασμένοις πίστει τῇ εἰς ἐμέ. γρ. ὑποστρ. ἀλλ. ἐπιστρ. Σκόπει πῶς ἡμέρως διαλέγεται. ὁ Θεός, φησιν, εἶπε πρός με, ὅτι ὤφθην σοι προχειρίσασθαί σε ὑπηρέτην καὶ μάρτυρα, ὧν τε εἶδες, ὧν τε ὀφθήσομαί σοι, ἐξαιρούμενός σε ἐκ τοῦ λαοῦ καὶ τῶν ἐθνῶν, εἰς οὓς ἐγώ σε ἀποστέλλω, ἀνοῖξαι ὀφθαλμοὺς αὐτῶν, τοῦ ἀποστρέψαι ἀπὸ σκότους εἰς φῶς, καὶ τῆς ἐξουσίας τοῦ Σατανᾶ ἐπὶ τὸν Θεόν, τοῦ λαβεῖν αὐτοὺς ἄφεσιν ἁμαρτιῶν. ὡσεὶ ἔλεγε· τούτοις ἐπείσθην, ταύτῃ τῇ ὀπτασίᾳ με ἐπηγάγετο, καὶ οὕτως ἔπεισεν, ὥστε μὴ διαβάλλεσθαι.

19 Ὅθεν, βασιλεῦ Ἀγρίππα, οὐκ ἐγενόμην ἀπειθὴς τῇ οὐρανίῳ ὀπτασίᾳ·

20 Ἀλλὰ τοῖς ἐν Δαμασκῷ πρῶτον καὶ Ἱεροσολύμοις εἰς πᾶσάν τε τὴν χώραν τῆς Ἰουδαίας, καὶ τοῖς ἔθνεσιν ἀπαγγέλλω μετανοεῖν, καὶ ἐπιστρέφειν ἐπὶ τὸν Θεόν, ἄξια τῆς μετανοίας ἔργα πράσσοντας. γρ. -γέλλων Ὁ τοίνυν καὶ τοὺς ἄλλους παιδεύων περὶ βίου ἀρίστου, πῶς ἂν αὐτὸς στάσεως καὶ φιλονεικίας, φησίν, ἀρχηγὸς γέγονα;

21 Ἕνεκα τούτων με οἱ Ἰουδαῖοί με συλλαβόμενοι ἐν τῷ ἱερῷ, ἐπειρῶντο διαχειρίσασθαι.

22 Ἐπικουρίας

25 Ἐγὼ δὲ καταλαβόμενος μηδὲν ἄξιον θανάτου αὐτὸν πεπραχέναι, καὶ αὐτοῦ δὲ τούτου ἐπικαλεσαμένου τὸν Σεβαστόν, ἔκρινα πέμπειν αὐτόν·

κ. περιγ.

26 Περὶ οὗ ἀσφαλές τι γράψαι τῷ κυρίῳ οὐκ ἔχω. διὸ προήγαγον αὐτὸν ἐφ' ὑμῶν, καὶ μάλιστα ἐπὶ σοῦ, βασιλεῦ Ἀγρίππα· ὅπως τῆς ἀνακρίσεως γενομένης, σχῶ τι γράψαι.

27 Ἄλογον γάρ μοι δοκεῖ πέμποντα δέσμιον, μὴ καὶ τὰς κατ' αὐτοῦ αἰτίας σημᾶναι.

Σκόπει πῶς ἐκείνων μὲν κατηγορεῖ, τοῦτον δὲ ἀφίησιν. ὢ τῆς τῶν δικαιωμάτων ἀξιοπιστίας. ὅπως καταδικάσῃ οὐχ εὑρίσκει ὁ ἄρχων, μυρίας γενομένης ἐξετάσεως· ἐκεῖνοι δὲ τοῦτον ἄξιον θανάτου ἔφασκον εἶναι. διὰ τοῦτο καὶ ἐλέγχων· ἐγὼ δὲ καταλαβόμενος, φησί, μηδὲν ἄξιον θανάτου πεπραχέναι αὐτόν· εἶτα ἐπήγαγε λέγων, περὶ οὗ ἀσφαλές τι γράψαι τῷ κυρίῳ οὐκ ἔχω. καὶ τοῦτο τῆς τοῦ Παύλου καθαρότητος, ὃ μηδὲν ἔχει τὸν δικαστὴν ὅ,τι εἴπῃ περὶ αὐτοῦ. διὸ προήγαγον αὐτόν, φησιν, ἐφ' ὑμῶν. ἄλογον γάρ μοι δοκεῖ εἶναι, πέμποντα δέσμιον, μὴ καὶ τὰς κατ' αὐτοῦ αἰτίας σημᾶναι. ὅρα εἰς οἵας ἐνέβαλον οἱ Ἰουδαῖοι τοὺς ἄρχοντας αὐτῶν ἀπορίας μεγάλας. τί οὖν ὁ Ἀγρίππας; ἐπὶ τούτοις βουλόμενός τι μαθεῖν πρὸς τὸν Παῦλον ἔφη·

ἰσ. - ποιεῖ ἐπὶ τύποις;

1 Ἐπιτρέπεταί σοι ὑπὲρ σεαυτοῦ λέγειν. Τῇ πολλῇ περὶ τὸ ἀκοῦσαι ἐπιθυμίᾳ ἐπιτρέπει αὐτῷ λέγειν ὁ βασιλεύς. ὁ δὲ Παῦλος μετὰ παρρησίας φθέγγεται λοιπόν, οὐ κολακεύων, ἀλλὰ διὰ τοῦτο μακάριον ἑαυτὸν φάσκων εἶναι, ἐπεὶ πρὸς πάντα εἰδότα τὸν λόγον ποιεῖται. καὶ ὅτι διὰ τοῦτο, ἄκουε, ἀλλὰ καὶ προστίθεται λέγων. Τότε ὁ Παῦλος ἀπελογεῖτο ἐκτείνας τὴν χεῖρα, κεφ. κϛ.

2 Περὶ πάντων ὧν ἐγκαλοῦμαι ὑπὸ Ἰουδαίων, βασιλεῦ Ἀγρίππα, ἥγημαι ἐμαυτὸν μακάριον, ἐπὶ σοῦ μέλλων ἀπολογεῖσθαι σήμερον,

3 Μάλιστα γνώστην ὄντα σε πάντων τῶν κατὰ Ἰουδαίους ἐθῶν τε καὶ ζητημάτων. διὸ δέομαί σου μακροθύμως ἀκοῦσαί μου. Καίτοιγε εἰ συνῄδει ἑαυτῷ, φοβηθῆναι ἐχρῆν παρὰ τῷ πάντα εἰδότι δικαζόμενον· ἀλλὰ καθαροῦ συνειδότος τοῦτό ἐστι, ὃ μὴ παραιτεῖσθαι δικαστὴν τὸν ἀκριβῶς εἰδότα τὰ γενόμενα, ἀλλὰ καὶ χαίρειν. ὅθεν καὶ μακάριον ἑαυτὸν ἡγεῖται καὶ λέγει· δέομαί σου μακροθύμως ἀκοῦσαί μου. ἐπεὶ μέλλει λέγειν ἐκτενῶς καὶ λέγειν τι περὶ ἑαυτοῦ, διὰ τοῦτο προλαβὼν παρακαλεῖ καί φησι·

κ. τὰ

4 Τὴν μὲν οὖν βίωσίν μου τὴν ἐκ νεότητος, τὴν ἀπ' ἀρχῆς γενομένην ἐν τῷ ἔθνει μου ἐν Ἱεροσολύμοις, ἴσασι πάντες οἱ Ἰουδαῖοι,

5 Προγινώσκοντές με ἄνωθεν, ἐὰν θέλωσι μαρτυρεῖν, ὅτι κατὰ τὴν ἀκριβεστάτην αἵρεσιν τῆς ἡμετέρας θρησκείας ἔζησα Φαρισαῖος. Ὃ λέγει τοῦτό ἐστι· πῶς ἂν στασιαστὴς ἐγενόμην, ὁ νέος τοιοῦτος ὢν καὶ μαρτυρούμενος ὑπὸ πάντων; εἶτα καὶ ἀπὸ τῆς αἱρέσεως ἡ πίστις οὐ εἶπεν. ἐπάγει γάρ, κατὰ τὴν ἀκριβεστάτην αἵρεσιν τῆς θρησκείας ἔζησα. καὶ ἐπεὶ πάλιν εἰκὸς ἦν τινας εἰπεῖν· τί οὖν εἰ ἡ μὲν αἵρεσις θαυμαστή, σὺ δὲ πονηρός; ὅρα πῶς τὴν ὑφορμὴν ἀνατρέπει. μάρτυρας γὰρ καλεῖ πάντας τοὺς Ἰουδαίους τοὺς γινώσκοντας τὸν αὐτοῦ βίον καὶ τὴν ἀναστροφήν. ἴσασι γάρ, φησι, πάντες Ἰουδαῖοι, προγινώσκοντές με ἄνωθεν, ἐὰν θέλωσι μαρτυρεῖν.

6 Καὶ νῦν ἐπ' ἐλπίδι τῆς πρὸς τοὺς πατέρας ἡμῶν γενομένης ἐπαγγελίας ὑπὸ τοῦ Θεοῦ, ἕστηκα κρινόμενος,

7 Εἰς ἣν τὸ δωδεκάφυλον ἡμῶν ἐν ἐκτενείᾳ νύκτα καὶ ἡμέραν λατρεῦον, ἐλπίζει καταντῆσαι, περὶ ἧς ἐλπίδος ἐγκαλοῦμαι, βασιλεῦ Ἀγρίππα, ὑπὸ Ἰουδαίων.

8 Τί ἄπιστον κρίνεται παρ' ὑμῖν, εἰ ὁ Θεὸς νεκροὺς ἐγείρει; Δύο τίθησι περὶ ἀναστάσεως λογισμούς· ἕνα μέν, τὸν ἀπὸ προφητῶν, καὶ οὐ παράγει προφήτην, ἀλλ' αὐτὴν τῶν

Ἰουδαίων

ται ὁ ἠδικηκώς, τῆς δόξης ἀντὶ πάντων κατηγόρου καταδικαζούσης αὐτόν. Ἀλλ' οὐχ ὁ ἀδικούμενος οὕτως· ἀλλὰ πάντας ἔχει προστάτας, συναλγοῦντας, χεῖρα ὀρέγοντας· ἐπ' ἀσφαλείας ἕστηκεν. Εἰ καλὸν τὸ ἀδικεῖν καὶ ἀσφαλές, ὁμολογείτω τις εἶναι ἄδικος· εἰ δὲ οὐ τολμᾷ, τί δήποτε ὡς ἀγαθὸν μετέρχεται; ἴδωμεν δὲ πῶς καὶ ἐν ἡμῖν αὐτοῖς ἂν γίνηται τοῦτο, πόσα τίκτει κακά. Εἰπὲ γάρ μοι, ἄν τι τῶν ἐν ἡμῖν τὸ οἰκεῖον ὑπερβὰν μέτρον τοῦ ἑτέρου ἐφίηται, καὶ βουληθῇ ἀφεὶς ὁ πλέον τὸν οἰκεῖον τόπον λαβεῖν τὸν ἀλλότριον μετὰ τοῦ οἰκείου, οὐχὶ νόσος τοῦτό ἐστι; τὸ ὑγρὸν πάλιν τὸ ἐν ἡμῖν [ὁ χυμὸς] εἰ πάντα πληρώσειεν, οὐχὶ ὕδερος τοῦτό ἐστι; [οὐχὶ ποδαλγίαι; οὐχὶ ἑαυτὸν συνδιέφθειρε μετ' ἐκείνου;] ἡ χολὴ πάλιν εὐρυχωρίαν ζητείτω, καὶ πανταχοῦ διαχείσθω τὸ αἷμα. Τί δὲ ἐν τῇ ψυχῇ ὁ θυμός, ἡ ἐπιθυμία, καὶ τὰ ἄλλα πάντα, ἐὰν ὑπερβῇ τὸ μέτρον; οὕτω καὶ ἡ τροφὴ ἐὰν ὑπὲρ ὃ δύναται πέττεσθαι προσληφθῇ, νόσοις τὸ σῶμα περιέβαλε. πόθεν γὰρ αἱ ποδαλγίαι; πόθεν αἱ παρέσεις καὶ ὁ χλόος τοῦ σώματος; ἆρα οὐκ ἀπὸ τῆς τῶν τροφῶν ἀμετρίας; πάλιν ἐν τῷ σώματι ἐὰν πλεῖον βουληθῇ λαβεῖν ὁ ὀφθαλμὸς, ἢ πλέον ἰδεῖν τοῦ ὡρισμένου θελήσειεν, ἢ μεῖζον ἀναλάβοι φῶς, ἔβλαψε μᾶλλον ἢ ὠφέλησε τὸ ὑπὲρ μέτρον. Εἰ δὲ ἔνθα ἀγαθόν τι τὸ φῶς ἐστιν, ὁ ὀφθαλμὸς εἰ πλέον ἰδεῖν θελήσειεν, ἀπόλλυται, ὅταν λαμπρότερον ἴδῃ, ὁπόσον ἐπὶ τοῦ κακοῦ. ἡ ἀκοὴ ἐὰν μεγάλην δέξηται φωνήν, ἀπόπληκτος ἡ διάνοια γίνεται. ὁ νοῦς ἐπειδὰν τὰ ὑπὲρ ἑαυτὸν λογίσηται, ἐκπλήττεται, καὶ ὅπερ ἂν πλέον τοῦ δέοντος γίνηται, παραπόλλυσι. τοῦτο γὰρ πλεονεξία, πλέον ἔχειν τοῦ ὡρισμένου. οὕτω δὴ καὶ ἐπὶ χρημάτων· ὅταν βουλώμεθα ἐπιτιθέναι φορτία πλείονα, εἰ καὶ μὴ αἰσθανόμεθα, χαλεπὸν ἐν ἑαυτοῖς τρέφομεν τὸ θηρίον, πολλὰ ἔχοντες, πολλαῖς δεδεμένοι φροντίσι, μυρίαις περιβάλλοντες ἑαυτοὺς, πολλὰς τῷ διαβόλῳ παρέχοντες λαβάς. διὰ τοῦτο οὐδὲ χρεία καμάτου ἐπὶ τῶν πλουτούντων τῷ διαβόλῳ. ἕτοιμοι γὰρ αὐτῷ πρὸς καταφορὰν ἀπὸ τοῦ πλούτου μάλιστα γίνονται. Ἀλλ' οὐκ ἐπὶ τῶν πενίᾳ συζώντων, ἀλλὰ πᾶν τὸ ἐναντίον. οὕτως αὐτὰ καθ' ἑαυτὰ ἀπόλλυσι τὰ πράγματα. (χ.-σι αὐτὰ τὰ) διὸ παρακαλῶ ἀπέχεσθαι τῆς τούτων ἐπιθυμίας, ἵνα δυνηθῶμεν διαδρᾶναι τὰς τοῦ πονηροῦ παγίδας, καὶ ἀρετῆς ἐπιλαβόμενοι, τῶν αἰωνίων ἀγαθῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. νβ. 23 ΤΗ ΟΥΝ ΕΠΑΥΡΙΟΝ ΕΛΘΟΝΤΟΣ ΤΟΥ Ἀγρίππα καὶ τῆς Βερνίκης μετὰ πολλῆς φαντασίας, καὶ εἰσελθόντων εἰς τὸ ἀκροατήριον σύν τε τοῖς χιλιάρχοις καὶ ἀνδράσι τοῖς κατ' ἐξοχὴν οὖσι τῆς πόλεως, καὶ κελεύσαντος τοῦ Φήστου, ἤχθη ὁ Παῦλος.

Ὅρα οἷον συλλέγεται ἀκροατήριον τῷ Παύλῳ. τοῖς κατ' ἐξοχήν, φησί, τῆς πόλεως. τοὺς δορυφόρους γὰρ πάντας συναγαγὼν ὁ ἄρχων καὶ ὁ βασιλεὺς, οὕτως ἀπαντῶσι· σὺν αὐτοῖς δὲ καὶ οἱ χιλίαρχοι καὶ οἱ πρῶτοι τῆς πόλεως παραγεγόνασι. τούτους γὰρ κατ' ἐξοχὴν καλεῖ. καὶ ὅρα πῶς, αὐτοῦ ἀχθέντος, ἀνακηρύττεται ὑπὸ τοῦ Φήστου. οὐ μόνον γὰρ αὐτὸν ἀφίησι τῶν ἐγκλημάτων, ἀλλὰ καὶ ὑπεραπολογεῖται· τί λέγων;

24 Ἀγρίππα βασιλεῦ, καὶ πάντες οἱ συμπαρόντες ἡμῖν ἄνδρες, θεωρεῖτε τοῦτον περὶ οὗ πᾶν τὸ πλῆθος τῶν Ἰουδαίων ἐνέτυχόν μοι ἔν τε Ἱεροσολύμοις καὶ ἐνθάδε, ἐπιβοῶντες μὴ δεῖν ζῆν αὐτὸν μηκέτι.

πάντη που δῆλον. τὰ μὲν γὰρ εἰς χρήματα ἡ ζημία· αὐτῷ δὲ εἰς ψυχήν. καὶ γὰρ εἰς ἀπώλειαν καὶ εἰς κόλασιν παραδίδοται τοῦ τοιούτου ἡ ψυχή. πάλιν φθονείτω ἕτερος. τίνα οὖν ὁ τοιοῦτος ἠδίκησεν; οὐχ ἑαυτόν, εἰπέ μοι; τοιαύτη γὰρ ἡ τῆς ἀδικίας φύσις, τὸν τίκτοντα πρῶτον βλάπτει μυρία, μικρὰ δὲ ἕτερον· μᾶλλον δὲ οὐδὲ μικρὸν βλάπτει, ἀλλὰ καὶ ὠφελεῖ. ἀλλ' οὐδὲν ἀξιόπιστον εἴρηκα. ἔστω τοίνυν (μάλιστα γὰρ ἐν τούτοις ἐστὶ τὸ πολὺ) πένης χρήματα ἔχων ὀλίγα καὶ τῆς ἀναγκαίας μόλις εὐπορῶν τροφῆς· ἕτερος δὲ πλούσιος καὶ εὔπορος καὶ πολλὴν ἔχων δύναμιν, καὶ λαμβανέτω τὰ τοῦ πένητος λοιπὸν καὶ γυμνὸν ποιείτω, καὶ παραδιδότω λιμῷ· αὐτὸς δὲ ἐντρυφάτω τοῖς ἐξ ἐκείνου ληφθεῖσιν ἀδίκως. ὁ τοιοῦτος οὐ μόνον οὐδὲν αὐτὸν ἔβλαψεν, ἀλλὰ καὶ ὠφέλησεν· ἑαυτὸν δὲ οὐ μόνον οὐκ ὠφέλησεν, ἀλλὰ καὶ ἔβλαψε. πῶς; πρῶτον μὲν ὑπὸ τοῦ συνειδότος μαστιζόμενος τοῦ πονηροῦ, καὶ καθ' ἑκάστην ἡμέραν κεντούμενος, καὶ παρὰ πάντων καταγινωσκόμενος, ἔπειτα ἐν τῷ μέλλοντι κρίματι.

κ. καταδικάζων ἑαυτόν

ἀλλ' ὅτι μὲν οὗτος βλάπτεται, δῆλον ἐντεῦθεν κατέστη. πῶς δὲ ὠφελεῖται ἐκεῖνος, εἰπέ. ὅτι τὸ κακῶς παθεῖν καὶ φέρειν γενναίως, μέγα κέρδος ἔχει. ἔστι γὰρ ἁμαρτημάτων λύσις, τὸ παθεῖν κακῶς· ἔστι φιλοσοφίας γυμνάσιον· ἔστιν ἀρετῆς διδασκαλία. ἴδωμεν οὖν τίς ἐν κακοῖς, οὗτος, ἢ ἐκεῖνος; ἐκεῖνος μὲν γὰρ ἂν ἦ φιλόσοφος, γενναίως οἴσει· οὗτος δὲ καθ' ἑκάστην ἡμέραν ἐν τρόμῳ ἔσται καὶ ὑποψίᾳ. τίς οὖν ἀδικεῖται, οὗτος, ἢ ἐκεῖνος; μύθους λέγεις, φησίν. ὅταν γάρ τις μὴ ἔχῃ φαγεῖν, καὶ ἀναγκάζηται ἀποδύρεσθαι καὶ ἀποδυσπετεῖν, ἢ προσελθὼν ἐπαιτεῖν, καὶ μὴ λάβῃ, οὐχὶ καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα προσαπολλύει; μύθους σὺ λέγεις· ἐγὼ γὰρ ἐπιδείκνυμι πράγματα. εἰπὲ γάρ μοι, οὐδεὶς τῶν πλουτούντων ἀποδυσπετεῖ; τί οὖν; μὴ ἡ πενία αἰτία τούτου; ἀλλ' ὁ λιμώττει; καὶ τί τοῦτο; μείζων ἡ δίκη, ὅταν μετὰ πλούτου τοῦτο ποιῇ. οὔτε γὰρ πλοῦτος γενναῖον ποιεῖ, οὔτε ἀσθενῆ πενία· ἐπεὶ οὐδεὶς ἂν τῶν ἐν πλούτῳ ζώντων μαλθακὸν ἔζη βίον, οὐδ' ἂν ἑαυτῷ κατηράσατο οὐδεὶς τῶν ἐν πενίᾳ.

κ. ὁ δ'

ὅτι δὲ ὄντως μῦθοι τὰ παρ' ὑμῶν, ἐντεῦθεν ὑμῖν ποιήσω φανερά. εἰπέ μοι, ὁ Παῦλος ἐν πενίᾳ ἦν, ἢ ἐν πλούτῳ; ἐλίμωττεν, ἢ οὐχί; αὐτοῦ ἐστιν ἀκοῦσαι λέγοντος· Ἐν λιμῷ καὶ δίψει. τί δὲ οἱ προφῆται; ἐλίμωττον, ἢ οὐχί; καὶ ἐκεῖνοι ἀπεδυσπέτουν. β. Κορ. ια. κζ.

πάλιν Παῦλόν μοι φέρεις, πάλιν τοὺς προφήτας, δύο καὶ εἴκοσιν ἀνθρώπους. ἀλλὰ πόθεν βούλει; ἀπὸ τῶν πολλῶν, φησί, δεῖξόν μοι τινὰς φέροντας γενναίως. ἀλλὰ τὸ σπάνιον ἀεὶ τοιοῦτον, καὶ ὀλίγοι οἱ καλοί. εἰ βούλει δὲ, καὶ καθ' ἑαυτὸ τὸ πρᾶγμα ἐξετάσωμεν· ἴδωμεν τίνος ἡ φροντὶς μείζων καὶ δριμυτέρα, καὶ τίνος εὐφορωτέρα. οὐχ ὁ μὲν ὑπὲρ τῆς ἀναγκαίας μεριμνᾷ τροφῆς· ὁ δὲ ὑπὲρ μυρίων πραγμάτων, ταύτης ἀφέμενος; οὐ δέδοικεν ὑπὲρ λιμοῦ ὁ πλούσιος, ἀλλ' ὑπὲρ ἑτέρων δέδοικε πολλάκις ὑπὲρ σωτηρίας αὐτῆς. οὐκ ἔχει τὴν ἀμεριμνίαν τῆς τροφῆς ὁ πένης, ἀλλ' ἔχει τὴν ἑτέραν ἀμεριμνίαν, τὴν ἀσφάλειαν, τὴν ἡσυχίαν, τὴν ἄδειαν. ἄλλως δὲ, εἰ μὴ κακὸν τὸ ἀδικεῖν, ἀλλὰ καλόν, διὰ τί αἰσχυνόμεθα; διὰ τί ἐγκαλυπτόμεθα; διὰ τί ὀνειδιζόμενοι ἀγανακτοῦμεν καὶ δυσχεραίνομεν; εἰ μὴ καλὸν τὸ ἀδικεῖσθαι, διὰ τί ἐναβρυνόμεθα καὶ ἐγκαλλωπιζόμεθα τῷ πράγματι, καὶ δικαιολογούμεθα ἐν τούτῳ; θέλεις μαθεῖν πῶς οὗτος ἐκείνου βέλτιον; ὅρα τοὺς ἐν τούτῳ· ὅρα τοὺς ἐν ἐκείνῳ. διὰ τί νόμοι; διὰ τί δικαστήρια; διὰ τί τιμωρίαι; οὐχὶ διὰ ἐκείνους ὡς νοσοῦντας καὶ κάμνοντας; ἀλλ' ἡ ἡδονὴ πολλή, φησί. μὴ εἴπωμεν τὰ μέλλοντα, τὰ παρόντα ἐξετάσωμεν. τί χεῖρον ἀνδρὸς τοιαύτην ἔχοντος ὑποψίαν; τί σφαλερώτερον; τί σαθρότερον; οὐκ ἐν ναυαγίῳ διηνεκῶς ἐστι; κἂν δίκαιόν τι πράττῃ, οὐ πιστεύεται, ἀπὸ τῆς δυνάμεως καταδικαζόμενος παρὰ πάντων (φθάνουσι γὰρ τοὺς συνοικοῦντας κατηγόρους ἔχει) οὐ φιλίᾳ χρήσασθαι δύναται. οὐδεὶς γὰρ ἂν ἕλοιτο ταχέως τοιαύτην δόξαν ἔχοντος ἀνθρώπου γενέσθαι φίλος, ὥστε μὴ κοινωνῆσαι αὐτῷ τῆς ὑπολήψεως. καθάπερ θηρίον, οὕτω πάντες ἀποστρέφονται, καθάπερ λυμεῶνα καὶ ἐχθρὸν καὶ ἀνδροφόνον καὶ τῆς φύσεως πολέμιον, οἱ ἄδικοι ἄνθρωποι. αἱ εἰς δικαστήριον ἐμπίπτει, οὐδὲ κατηγόρου δεῖ-

ται

γρίππας δὲ οὗτος ὁ βασιλεὺς καὶ Βερνίκη κατηντήκασιν εἰς Καισάρειαν. οὗτος ὁ Ἀγρίππας ὁ τοῦ Ἡρώδης, ἕτερος ἦν μετ' ἐκεῖνον τὸν ἐπὶ Ἰακώβου· ὡς εἶναι τέταρτον τοῦτον. ὅρα τοὺς ἐχθροὺς συμπεριάπτοντας ἄκοντας, ὥστε δὲ μέγα γενέσθαι τὸ ἀκροατήριον. εἰς ἐπιθυμίαν ἐνέπεσεν ὁ Ἀγρίππας τῆς ἀκροάσεως· καὶ οὐχ ἁπλῶς ἀκούει, ἀλλὰ μετὰ παρασκευῆς. καὶ ἰδὲ τὴν ἀπολογίαν, ἣν ὁ ἄρχων φησί. καὶ αὐτοῦ δὲ τούτου ἐπικαλεσαμένου τὸν Σεβαστὸν, ἔκρινα πέμπειν αὐτὸν, περὶ οὗ ἀσφαλές τι τῷ κυρίῳ γράψαι οὐκ ἔχω. οὕτω γράφει ὁ Φῆστος· καὶ ἐκπομπεύεται ἡ ὠμότης ἡ Ἰουδαϊκή. ὅταν γὰρ ταῦτα ὁ ἄρχων λέγῃ, ἀνύποπτός ἐστι. διὰ τοῦτο δὲ λέγει, ὥστε καὶ πρὸ αὐτοῦ καταγνωσθῆναι τοὺς Ἰουδαίους, μετὰ δὲ τὸ πάντας αὐτοῦ καταψηφίσασθαι, τότε ἐπάγει τὴν κόλασιν ὁ Θεός. σκόπει δέ· κατέγνω Λυσίας, κατέγνω Φῆλιξ, κατέγνω Φῆστος καὶ οἱ χαριζόμενοι αὐτοῖς, κατέγνω Ἀγρίππας. τί λοιπόν; κατέγνωσαν αὐτῶν καὶ οἱ Φαρισαῖοι. καὶ ὅτι κατέγνω, ἄκουε αὐτοῦ λέγοντος· οὐδεμίαν αἰτίαν ἐπέφερον ὧν ὑπενόουν ἐγώ. καὶ μὴν ἐνεκάλουν, ἀλλ' οὐκ ἤλεγχον. ἡ μὲν γὰρ ἐπιβουλὴ καὶ τὸ τόλμημα τοῦτο ὑποπτεύειν ἐδίδου· ἡ δὲ ἐξέτασις οὐδὲν τοιοῦτον. καὶ περί τινος, φησιν, Ἰησοῦ τεθνηκότος. εἰκότως περί τινος λέγει, ἅτε ἄνθρωπος ἐν ἀρχῇ ὤν, καὶ τούτων οὐ φροντίζων. ἀπὸ ταύτης τῆς αἰτίας καὶ τὸ, ἀπορούμενος ἐγὼ, εἶπεν, εἰς τὴν περὶ τούτων ἐξέτασιν. καὶ γὰρ ὄντως τοιούτου δικαστοῦ ὑπερέβαινεν ἀκοὰς ἡ τῶν τοιούτων ζήτησις. καὶ εἰ ἐν ἀπορίᾳ εἶ, τί εἰς Ἱεροσόλυμα ἕλκεις; διὰ τοῦτο καὶ Παῦλος οὐκ ἀξιοῖ ὑπ' αὐτοῦ κρίνεσθαι, Καίσαρα ἐπικαλεῖται λέγων· ἐπὶ τοῦ βήματος Καίσαρος ἑστώς εἰμι, οὗ με δεῖ κρίνεσθαι. ὁ γὰρ περὶ τούτου ἐνεκάλουν. ἀκούεις ἔφεσιν; ἀκούεις ἐπιβουλὴν Ἰουδαίων; ἀκούεις στάσιν; ταῦτα πάντα τὸν Ἀγρίππαν εἰς ἐπιθυμίαν διήγειρεν ἀκούοντα. καὶ δίδωσιν ὁ Φῆστος τὴν χάριν, καὶ γίνεται λοιπὸν λαμπρότερος ὁ Παῦλος. τοιαῦτα, ὅπερ ἔφην, αἱ ἐπιβουλαὶ προεξένησαν. εἰ μὴ ταῦτα ἦν, οὐδεὶς ἂν τούτων κατηξίωσεν ἀκοῦσαι αὐτοῦ τῶν ἀρχόντων, οὐδεὶς ἂν μετὰ τοσαύτης ἡσυχίας καὶ σιγῆς. καὶ δεῖ μὲν διδάσκειν καὶ ἀπολογεῖσθαι, δημηγορεῖ δὲ μᾶλλον μετὰ πολλῆς τῆς εὐταξίας.

ΗΘΙΚΟΝ

Μὴ δὴ χαλεπόν τι πρᾶγμα νομίσωμεν τὰς ἐπιβουλάς. ἕως ἂν ἑαυτοῖς μὴ ἐπιβουλεύωμεν, οὐδεὶς ἡμῖν ἐπιβουλεῦσαι δυνήσεται· μᾶλλον δὲ ἐπιβουλεύουσι μὲν, οὐδὲν δὲ βλάπτουσιν· ἀλλὰ καὶ ὠφελοῦσιν ἡμᾶς τὰ μέγιστα. ὥστε ἡμεῖς ἑαυτῶν κύριοι καὶ τοῦ παθεῖν κακῶς, καὶ τοῦ μὴ παθεῖν. ἰδοὺ διαμαρτύρομαι καὶ μεγάλῃ λέγω τῇ φωνῇ, καὶ σάλπιγγος τρανότερον, καὶ εἰ ἦν ἐφ' ὑψηλοῦ ἀναβάντα βοῆσαι, οὐκ ἂν παρῃτησάμην, ὅτι τὸν χριστιανὸν οὐδεὶς ἀνθρώπων τῶν οἰκούντων τὴν γῆν βλάψαι δυνήσεται. καὶ τί λέγω ἀνθρώπων, οὐδὲ αὐτὸς ὁ δαίμων, ὁ τύραννος, ὁ διάβολος, ἂν μὴ αὐτὸς ἑαυτὸν ἀδικήσῃ. κἂν ὁποιονοῦν τις ἡμᾶς κακὸν ἐργάσασθαι βουληθῇ, μάτην πειράσεται. ὥσπερ γὰρ ἀγγέλους οὐδεὶς ἂν βλάψειεν ἐπὶ γῆς ὄντας ἄνθρωπος, οὕτως οὐδὲ ἄνθρωπος ἄνθρωπον. ἀλλ' οὐδὲ αὐτὸς ἕτερον βλάψαι δυνήσεται, ἕως ἂν ᾖ ἀγαθός. τί οὖν ἂν τούτου γένοιτο ἴσον, ὅταν μήτε βλαβῆναι δύνηται, μήτε βλάψαι ἕτερον; τοῦτο γὰρ ἐκείνου οὐκ ἔλαττον, τὸ μὴ βούλεσθαι βλάπτειν ἕτερον. ἄρα ἄγγελός τις ἐστὶ καὶ Θεῷ ὅμοιος. τοιοῦτος γὰρ ὁ Θεός· ἀλλ' ἐκεῖνος μὲν φύσει, οὗτος δὲ προαιρέσει. οὔτε [οὖν] βλαβῆναι δύναται, οὔτε βλάψαι ἕτερον. τὸ δὲ, οὐ δύναται, μὴ ἀδυναμίας νομίσῃς (πνόλυπιον γὰρ ἀδυναμία) ἀλλὰ τὸ ἀνένδεκτον λέγω. ἡ γὰρ φύσις ἐκείνη, οὔτε βλάβης ἐστὶ δεκτική, οὔτε τοῦ ἀδικεῖν ἕτερον· ἐπεὶ καὶ τοῦτο ἑτέρα βλάβη. ἄλλως γὰρ ἑαυτοὺς οὐ βλάπτομεν, ἢ τῷ βλάπτειν ἕτερον, καὶ τὰ μείζονα τῶν ἁμαρτημάτων ἡμῶν, ἐκ τῆς εἰς ἡμᾶς ἀδικίας οὕτω γίνεται. ὥστε καὶ διὰ τοῦτο ὁ χριστιανὸς οὐ δύναται βλάπτεσθαι, ὅτι οὐδὲ βλάπτειν δύναται. πῶς δὲ ἑτέρους βλάπτοντες, ἑαυτοὺς βλάπτομεν; φέρε καθ' ἕκαστον τῶν πραγμάτων περιχλεισάμενοι τῷ λόγῳ γυμνάσωμεν τὸ λεγόμενον. ἀδικείτω τις, ὑβριζέτω, πλεονεκτείτω· τίνα ἄρα ἔβλαψεν οὗτος; οὐχ ἑαυτὸν πρότερον;

πάντη που

γρ. ἐπεὶ μὴ δικαιῶς, ὡς εἶναι τέταρτον ὅτι Ἰακώβου. ὅρα

γρ. καταψηφίσασθαι

γρ. κ.

γρ. τοῦτο

καταλαβεῖν παρ᾽ αὐτοῦ ταῦτα διαλεγομένου. καὶ αἰτῆσαι μὲν οὐκ ἐτόλμα (τοιοῦτον γὰρ ἡ κακία, δειλὸν καὶ πάντα ὑποπτεῦον) ἤλπιζε δέ· ὥστε εἰκότως αὐτοῖς ἐχαρίζετο, ἅτε τοσοῦτον ἄρξας χρόνον. Φῆστος οὖν ἐπιβὰς τῇ ἐπαρχίᾳ, μετὰ τρεῖς ἡμέρας ἀνέβη εἰς Ἱεροσόλυμα, ἐνεφάνισαν δὲ αὐτῷ ὅ τε ἀρχιερεὺς, καὶ οἱ πρῶτοι τῶν Ἰουδαίων κατὰ τοῦ Παύλου, φησίν. εὐθέως καὶ ἐν ἀρχῇ προσιόντι αὐτῷ οἱ ἱερεῖς, οὐκ ἂν ὀκνήσαντες καὶ εἰς Καισάρειαν ἐλθεῖν, εἰ μὴ ἔφθη ἀνελθών· ὅπου γε εὐθέως ἐπιβάντι προσέρχονται. καὶ καταβὰς εἰς Καισάρειαν, διατρίβει δέκα ἡμέρας [τάχα δοκῶ] ὥστε ἐγγενέσθαι τοῖς βουλομένοις αὐτὸν διαφθεῖραι· Παῦλος δὲ ἦν ἐν τῷ δεσμωτηρίῳ. καὶ παρεκάλουν αὐτὸν, φησὶν, ὅπως μεταπέμψηται αὐτὸν εἰς Ἱερουσαλήμ. καὶ διὰ τί χάριν ᾔτησαν, εἰ δίκαιός ἐστιν ἀποθανεῖν; ἀλλ᾽ οὕτω κἀκείνῳ δήλη ἐγένετο ἡ ἐπιβουλὴ, ὡς διαλεγόμενον εἰπεῖν· ἄνδρες οἱ συμπαρόντες, θεωρεῖτε τοῦτον, περὶ οὗ τὸ πλῆθος ἐνέτυχόν μοι τῶν Ἰουδαίων. διὰ γὰρ τοῦ, ἐνέτυχον, τὸ, αἰτούμενοι κατ᾽ αὐτοῦ χάριν, δηλοῖ. ὥστε ἤδη ἐβούλοντο αὐτὸν εἰς ἀπόφασιν ἐξενεγκεῖν, φοβούμενοι τὴν Παύλου γλῶτταν. τί φοβεῖσθε; τί ἐπείγεσθε; τοῦτο γὰρ ἐμφαίνει, τὸ φυλάττεσθαι αὐτόν. μὴ γὰρ φεύγει; οἱ οὖν ἐν ὑμῖν, φησὶ, δυνατοὶ, κατηγορείτωσαν αὐτοῦ. πάλιν κατήγοροι ἐν Καισαρείᾳ, καὶ πάλιν ἐξάγεται Παῦλος. τῇ δὲ ἐπαύριον καθίσας, φησὶν, ἐπὶ τοῦ βήματος. ὅρα, εὐθέως ἐλθὼν ἐκάθισεν ἐπὶ τοῦ βήματος, οὕτως αὐτὸν ᾔτουν μετὰ τοσαύτης σπουδῆς· οὕτως ἐπείγοντο. ἕως μὲν οὖν οὐδέπω πεῖραν ἦν λαβὼν τῶν Ἰουδαίων καὶ τῆς τιμῆς τῆς παρ᾽ αὐτῶν, ὀρθῶς ἀπεκρίνατο· ἐπειδὴ δὲ ἔμεινεν ἐν τοῖς Ἱεροσολύμοις δέκα ἡμέρας, καὶ ἐπιχαρίζεται αὐτοῖς, ἀλλὰ μετὰ ἀπάτης τοῦτο ποιεῖ. καὶ ὅπως, ἄκουε. ἐπάγει γάρ· θέλεις εἰς Ἱεροσόλυμα ἀναβὰς, ἐκεῖ περὶ τούτων κρίνεσθαι ἐπ᾽ ἐμοῦ; ὡσεὶ ἔλεγεν· οὐχὶ αὐτοῖς δίδωμί σε· ἀλλ᾽ αὐτὸς κριτὴς ἔσομαι. τοῦτο δὲ λέγει, καὶ αὐτὸν ποιεῖ κύριον, ἵνα τῇ τιμῇ αὐτὸν χαλάσῃ· ἐπειδὴ ἦν ἡ ἀπόφασις, καὶ πολὺ ἀναίσχυντον ἐδόκει, μηδὲν ἐνταῦθα ἐλεγχθέντα ἐκεῖ θέλειν ἀπάγειν. ὁ δὲ Παῦλος οὐκ εἶπεν, οὐ βούλομαι, μήποτε καὶ σφοδρότερον ποιήσῃ τὸν δικαστήν· ἀλλὰ πάλιν παῤῥησιάζεται καί φησιν· ἐπὶ τοῦ βήματος Καίσαρος ἑστώς εἰμι, οὗ με δεῖ κρίνεσθαι. μεγάλη ἡ παῤῥησία. καὶ ὅρα πῶς αὐτοὺς συλλογίζεται. μονονουχὶ γὰρ τοῦτο λέγει δι᾽ ὧν ἀπολογεῖται· ἐξέβαλόν με ἅπαξ αὐτοί· καὶ τούτῳ νομίζουσί με κατακρίνειν, τῷ φεύγειν ὅτι εἰς Καίσαρα ἤμελλον· ἐπ᾽ αὐτοῦ βούλομαι κριθῆναι τοῦ ἠδικημένου. οὕτως εἰπὼν, ἐπάγει· Ἰουδαίους οὐδὲν ἠδίκησα, ὡς καὶ σὺ κάλλιον ἐπιγινώσκεις. καθήψατο αὐτοῦ λοιπὸν, ὡς καὶ χαριζομένου. εἶτα ἐπεὶ καθήψατο, πάλιν ἐκλύει τῷ λόγῳ ἐπάγων· εἰ μὲν οὖν ἀδικῶ, ἢ ἄξιόν τι θανάτου πέπραχα, οὐ παραιτοῦμαι τὸ ἀποθανεῖν. κατ᾽ ἐμαυτοῦ τὴν ψῆφον ἐκφέρω, φησί. τοῦτο οὐ θανατῶντος, ἀλλὰ σφόδρα θαῤῥοῦντός ἐστιν οἷς ἐλάλει. μετὰ γὰρ τῆς παῤῥησίας καὶ τὴν δικαιολογίαν εἶναι δεῖ, ὥστε ἐντρέψαι. εἰ δὲ οὐδέν ἐστιν ὧν κατηγοροῦσί μου, οὐδείς με δύναται χαρίσασθαι· κἂν θέλῃ, φησὶν, οὐ δυνήσεται. οὐκ εἶπεν, οὐκ ἄξιός εἰμι ἀποθανεῖν, οὐδὲ ἀπολυθῆναι, ἀλλ᾽, ἕτοιμος κρίνεσθαι ἐπὶ Καίσαρος· ἅμα τοῦ ὀνείρατος μνησθεὶς, μᾶλλον ἐθάῤῥησεν ἐπικαλέσασθαι. καὶ οὐκ εἶπε, σύ, ἀλλ᾽, οὐδείς· καὶ προσέθηκε, Καίσαρα ἐπικαλοῦμαι, ὥστε μὴ εἶναι εἰς ἐκεῖνον τὴν ὕβριν. τότε ὁ Φῆστος συλλαλήσας μετὰ τοῦ συμβουλίου, ἀπεκρίθη· Καίσαρα ἐπικέκλησαι, ἐπὶ Καίσαρα πορεύσῃ. εἶδες πῶς χαρίζεται; τοῦτο γὰρ χάρις ἐστὶ, τὸ συλλαλεῖν μετὰ τῶν κατηγόρων, ὃ διεφθαρμένης γνώμης ἐστὶ καὶ συγχεούσης τὴν τάξιν. ὅρα πάλιν ἐκτεινομένην αὐτοῦ τὴν δίκην, καὶ τὴν ἐπιβουλὴν ἀφορμὴν τοῦ κηρύγματος γινομένην. ταῦτα γὰρ οἰκονομεῖται, ὥστε μετὰ ἀσφαλείας καὶ φυλακῆς ἀπενεχθῆναι [αὐτὸν] εἰς τὰ Ἱεροσόλυμα ὑπὸ μηδενὸς ἐπιβουλευόμενον. οὐ γὰρ ἦν ἴσον ἁπλῶς παραγενέσθαι, καὶ ἐπὶ αἰτίᾳ τοιαύτῃ. τοῦτο καὶ συνελθεῖν ἐποίησεν Ἰουδαίους ἐκεῖ. εἶτα πάλιν χρόνος γίνεται ἐνδιατρίβοντος αὐτοῦ τοῖς Ἱεροσολύμοις, ἵνα μάθῃς ὅτι καὶ χρόνου γινομένου, οὐδὲν τὰ τῆς ἐπιβουλῆς αὐτῷ ἴσχυσε, τοῦ Θεοῦ μὴ συγχωροῦντος. Α-

γρ. μὴ εὐθέως ἔφθη αἰτ.

γρ. οὕτω νομίζουσι κατα.

13 Ἡμερῶν δὲ διαγενομένων τινῶν, Ἀγρίππας ὁ βασιλεὺς καὶ Βερνίκη κατήντησαν εἰς Καισάρειαν ἀσπασόμενοι τὸν Φῆστον.

14 Ὡς δὲ πλείους ἡμέρας διέτριβον ἐκεῖ, ὁ Φῆστος τῷ βασιλεῖ ἀνέθετο τὰ κατὰ τὸν Παῦλον, λέγων· ἀνήρ τίς ἐστι καταλελειμμένος ὑπὸ Φήλικος δέσμιος,

15 Περὶ οὗ, γενομένου μου εἰς Ἱεροσόλυμα, ἐνεφάνισαν οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τῶν Ἰουδαίων, αἰτούμενοι κατ' αὐτοῦ δίκην.

15 Πρὸς οὓς ἀπεκρίθην· ὅτι οὐκ ἔστιν ἔθος Ῥωμαίοις χαρίζεσθαί τινα ἄνθρωπον εἰς ἀπώλειαν, πρὶν ἢ ὁ κατηγορούμενος κατὰ πρόσωπον ἔχοι τοὺς κατηγόρους, τόπον τε ἀπολογίας λάβοι περὶ τοῦ ἐγκλήματος.

17 Συνελθόντων οὖν αὐτῶν ἐνθάδε, ἀναβολὴν μηδεμίαν ποιησάμενος, τῇ ἑξῆς καθίσας ἐπὶ τοῦ βήματος, ἐκέλευσα ἀχθῆναι τὸν ἄνδρα.

18 Περὶ οὗ σταθέντες οἱ κατήγοροι, οὐδεμίαν αἰτίαν ἐπέφερον ὧν ὑπενόουν ἐγώ·

19 Ζητήματα δέ τινα περὶ τῆς ἰδίας δεισιδαιμονίας εἶχον πρὸς αὐτόν, καὶ περί τινος Ἰησοῦ τεθνηκότος, ὃν ἔφασκεν ὁ Παῦλος ζῆν.

20 Ἀπορούμενος δὲ ἐγὼ περὶ τὴν τούτου ζήτησιν, ἔλεγον, εἰ βούλοιτο πορεύεσθαι εἰς Ἱερουσαλὴμ, κἀκεῖ κρίνεσθαι περὶ τούτων.

χ. εἰς τὴν περὶ τούτου ζήτ.

21 Τοῦ δὲ Παύλου ἐπικαλεσαμένου τηρηθῆναι αὐτὸν εἰς τὴν τοῦ Σεβαστοῦ διάγνωσιν, ἐκέλευσα τηρεῖσθαι αὐτὸν ἕως οὗ πέμψω αὐτὸν πρὸς Καίσαρα.

χ. ε

22 Ἀγρίππας δὲ πρὸς τὸν Φῆστον ἔφη· ἐβουλόμην καὶ αὐτὸς τοῦ ἀνθρώπου ἀκοῦσαι. ὁ δὲ, αὔριον, φησὶν, ἀκούσῃ αὐτοῦ. Ὅρα κατηγορίαν Ἰουδαίων πάλιν, οὐ παρὰ τοῦ Παύλου, ἀλλὰ παρὰ τοῦ ἄρχοντος. ἐνεφάνισαν, φησὶν, οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τῶν Ἰουδαίων, αἰτούμενοι κατ' αὐτοῦ δίκην, πρὸς οὓς ἐγὼ ἀπεκρίθην (ὅρα καὶ τί ἀποκρίνεται εἰς αἰσχύνην αὐτῶν) ὅτι οὐκ ἔστιν ἔθος Ῥωμαίοις χαρίζεσθαί τινα ἄνθρωπον εἰς ἀπώλειαν· τουτέστι, πρὶν ἢ λόγου αὐτῷ μεταδοῦναι, ἀδύνατον τὸ χαρίζεσθαι ἁπλῶς. κατὰ τὸ εἰωθὸς δὲ ποιήσας, οὐχ εὗρεν αἰτίαν· ὅθεν καὶ ἀπορεῖται ἐπὶ τούτῳ. καὶ δῆλον τοῦτο δι' ὧν ἐπήγαγε λέγων· ἀπορούμενος δὲ ἐγὼ περὶ τὴν τούτων ζήτησιν. οὕτως εἶπε, συσκιάζων τὸ οἰκεῖον ἁμάρτημα. καὶ ἐκεῖνος μὲν συσκιάζει. Ἀγρίππας δὲ ἐπιθυμεῖ ἰδεῖν αὐτόν. ὅρα ἀεὶ τοὺς ἄρχοντας διακρουομένους τὴν ἐπαχθείαν τὴν Ἰουδαϊκὴν, καὶ παρὰ τὸ δίκαιον ἀναγκαζομένους πολλάκις ποιεῖν καὶ προφάσεις ἐπιζητοῦντας τῆς διαβολῆς. οὐ γὰρ δι' ἄγνοιαν ἀνεβάλετο, ἀλλ' εἰδώς. ὁ δὲ Ἀγρίππας οὐ μόνον οὐ διακρούεται, ἀλλὰ καὶ ἀκοῦσαι βούλεται· ὃ καὶ θαυμάσαι ἄξιον, πόθεν εἰς ἐπιθυμίαν κατέστη τοῦ βούλεσθαι ἰδεῖν ἄνθρωπον, εἰ καὶ ἀδίκως, ὅμως κατηγορούμενον. οὕτως ἦν καὶ τοῦτο οἰκονομίας. διὸ καὶ ἡ γυνὴ αὐτοῦ συνακούει, καὶ τῆς ἀκροάσεως οὐκ ἀπολιμπάνεται. καὶ οὐδὲ ἁπλῶς ἀκροᾶται, ἀλλὰ μετὰ πολλῆς τῆς τιμῆς. τοσαύτην εἶχε τὴν ἐπιθυμίαν. οὐ γὰρ ἂν, εἰ μὴ ἐπεθύμησεν, ἐζήτησεν ἂν ἀκοῦσαι, οὐδ' ἂν καὶ τὴν γυναῖκα κοινωνὸν ἐποιήσατο τῆς ἀκροάσεως, εἰ μὴ μεγάλα περὶ αὐτοῦ ἐφαντάζετο. ἐμοὶ δὲ δοκεῖ κἀκεῖνον τοῦτο ποθῆσαι. καὶ ὅρα τὸν Παῦλον διθέως οὐ περὶ πίστεως μόνον, οὐδὲ περὶ ἀφέσεως ἁμαρτημάτων, ἀλλὰ καὶ περὶ τῶν πρακτέων διαλεγόμενον. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. τὸ νῦν ἔχον, φησὶ, πορεύου· καιρὸν δὲ λαβὼν μετακαλέσομαί σε. ὅρα τὴν πώρωσιν. τοιαῦτα ἀκούων, χρήματα προσεδόκα λήψεσθαι παρ' αὐτοῦ. καὶ οὐ τοῦτο μόνον δείκνυσιν, ἀλλὰ καὶ διαλεχθεὶς, οὐκ ἀφῆκεν αὐτόν. ἀλλ' ἐπειδὴ πρὸς τῷ τέλει τῆς ἀρχῆς ἦν, κατέλιπεν αὐτὸν δέσμιον, ἵνα χαρίσηται τοῖς Ἰουδαίοις, ὥστε οὐ χρημάτων ἐρᾷ μόνον, ἀλλὰ καὶ δόξης. πῶς χρήματα, μιαρὲ, παρὰ ἀνθρώπου τὸ ἐναντίον κηρύττοντος ἐπιζητεῖς; ὅτι δὲ οὐκ ἔλαβε, δῆλον ἐξ ὧν εἴασε δεδεμένον, λύσας ἂν, εἴπερ ἔλαβε. περὶ ἐγκρατείας αὐτῷ διελέγετο, ἐκεῖνος δὲ χρήματα προσεδό-

χ. μετὰ δὲ τὸ ... ἀπορούμενος

χ. πρακτικῶν

θελῆσαι χαρίσασθαι· ἀλλ' οὐκ ἀφίησιν ὁ Θεός. ἐπεὶ δὲ κατῆλθον, λοιπὸν ἀναισχύντως, καὶ μειζόνως ἐποιοῦντο τὰς κατηγορίας. καὶ οὐκ ἰσχύσαντες ἀπὸ τῶν νομικῶν ἑλεῖν, πάλιν ἐπὶ τὸ εἰωθὸς αὐτοῖς ἔθος, τὰ κατὰ Καίσαρα ἐκίνουν, ὅπερ καὶ ἐπὶ τοῦ Χριστοῦ ἐποίουν. τῷ γὰρ τὸν Παῦλον ἀπολογεῖσθαι περὶ τῶν εἰς Καίσαρα ἁμαρτημάτων, δῆλον τοῦτο ἦν. ὅθεν καὶ αὐτὸ ἑρμηνεύων ἐπάγει·

27 Διετίας δὲ πληρωθείσης, ἔλαβε διάδοχον ὁ Φῆλιξ Πόρκιον Φῆστον. θέλων τε χάριτα καταθέσθαι τοῖς Ἰουδαίοις ὁ Φῆλιξ, κατέλιπε τὸν Παῦλον δεδεμένον. (γ. χάριτας)

1 Φῆστος οὖν ἐπιβὰς τῇ ἐπαρχίᾳ, μετὰ τρεῖς ἡμέρας ἀνέβη εἰς Ἱεροσόλυμα ἀπὸ Καισαρείας. κεφ. κε.

(γ. ὁ ἀρχιερεὺς καὶ οἱ πρ.) 2 Ἐνεφάνισαν δὲ αὐτῷ οἱ ἀρχιερεῖς καὶ οἱ πρῶτοι τῶν Ἰουδαίων κατὰ τοῦ Παύλου, καὶ παρεκάλουν αὐτόν,

(γ. κατ' / γ. ἐνέδραν) 3 Αἰτούμενοι χάριν παρ' αὐτοῦ, ὅπως μεταπέμψηται αὐτὸν εἰς Ἱερουσαλήμ, ἔνεδρον ποιοῦντες ἀνελεῖν αὐτὸν κατὰ τὴν ὁδόν.

4 Ὁ μὲν οὖν Φῆστος ἀπεκρίθη τηρεῖσθαι τὸν Παῦλον ἐν Καισαρείᾳ, ἑαυτὸν δὲ μέλλειν ἐν τάχει ἐκπορεύεσθαι.

5 Οἱ οὖν δυνατοὶ ἐν ὑμῖν, φησί, συγκαταβάντες, εἴ τι ἐστὶν ἐν τῷ ἀνδρὶ τούτῳ, κατηγορείτωσαν αὐτοῦ.

6 Διατρίψας δὲ ἐν αὐτοῖς ἡμέρας πλείους ἢ δέκα, καταβὰς εἰς Καισάρειαν, τῇ ἐπαύριον καθίσας ἐπὶ τοῦ βήματος, ἐκέλευσε τὸν Παῦλον ἀχθῆναι.

(γ. -ώματα) 7 Παραγενομένου δὲ αὐτοῦ, περιέστησαν οἱ ἀπὸ Ἱεροσολύμων καταβεβηκότες Ἰουδαῖοι, πολλὰ καὶ βαρέα αἰτιάματα φέροντες κατὰ τοῦ Παύλου, ἃ οὐκ ἴσχυον ἀποδεῖξαι,

8 Ἀπολογουμένου αὐτοῦ, ὅτι οὔτε εἰς τὸν νόμον τῶν Ἰουδαίων, οὔτε εἰς τὸ ἱερόν, οὔτε εἰς Καίσαρά τι ἥμαρτον.

9 Ὁ Φῆστος δὲ τοῖς Ἰουδαίοις θέλων χάριν καταθέσθαι, ἀποκριθεὶς τῷ Παύλῳ εἶπε· θέλεις εἰς Ἱεροσόλυμα ἀναβὰς ἐκεῖ περὶ τούτων κρίνεσθαι ἐπ' ἐμοῦ;

Ὅρα πῶς καὶ αὐτὸς τοῖς Ἰουδαίοις χαρίζεται, δήμῳ ὁλοκλήρῳ καὶ πόλει. Διὰ τοῦτο πάλιν καὶ αὐτὸν ἐκφοβεῖ, ἀνθρωπίνῳ χρησάμενος ὅπλῳ. καὶ ἄκουε πῶς.

10 Εἶπε δὲ ὁ Παῦλος· ἐπὶ τοῦ βήματος Καίσαρος ἑστώς εἰμι, οὗ με δεῖ κρίνεσθαι. Ἰουδαίους οὐδὲν ἠδίκησα, ὡς καὶ σὺ κάλλιον ἐπιγινώσκεις.

11 Εἰ μὲν γὰρ ἀδικῶ, καὶ ἄξιον θανάτου πέπραχά τι, οὐ παραιτοῦμαι τὸ ἀποθανεῖν· εἰ δὲ οὐδέν ἐστιν ὧν οὗτοι κατηγοροῦσί μου, οὐδείς με δύναται αὐτοῖς χαρίσασθαι. Καίσαρα ἐπικαλοῦμαι. Ἀλλ' εἴποι ἄν τις ἐνταῦθα, καὶ τίνος ἕνεκεν ἀκούσας ὅτι καὶ ἐν Ῥώμῃ σε δεῖ μαρτυρῆσαι τὰ περὶ ἐμοῦ, ὡς ἀπιστῶν ταῦτα ἐποίει; μὴ γένοιτο, ἀλλὰ καὶ σφόδρα πιστεύων. μᾶλλον οὖν πειράζοντος ἦν τὸ θαρρεῖν ἐκείνῃ τῇ ἀποφάσει, καὶ εἰς μυρίους ἑαυτὸν ἐμβάλλειν κινδύνους καὶ λέγειν, ἴδωμεν εἰ δύναται ὁ Θεὸς καὶ οὕτως ἐξελέσθαι με. Ἀλλ' οὐ ποιεῖ τοῦτο Παῦλος, ἀλλὰ τὰ καθ' ἑαυτὸν πάντα εἰσφέρει, τὸ πᾶν ἐπιτρέπων τῷ Θεῷ· ἠρέμα δὲ καὶ καθάπτεται τοῦ ἄρχοντος οὕτως ἀπολογούμενος. μονονουχὶ γὰρ τοῦτο λέγει· εἰ μὲν ἀδικῶ, καλῶς· εἰ δὲ οὐκ ἀδικῶ, τί με ἐκδίδως; οὐδείς δύναταί με, φησί, χαρίσασθαι. εἰς φόβον αὐτὸν ἐνέβαλεν, ὥστε μηδὲ ἑκόντα χαρίσασθαι, ἀλλὰ καὶ πρὸς ἐκείνους ἔχειν ἀπολογίαν τὴν ἔφεσιν.

12 Τότε ὁ Φῆστος συλλαλήσας μετὰ τοῦ συμβουλίου, ἀπεκρίθη· Καίσαρα ἐπικέκλησαι, ἐπὶ Καίσαρα πορεύσῃ. (γ. αἰσχυνθῇ) Ὅρα πῶς αἰσχύνονται τὸν Ἀγρίππα, ὥστε καὶ ἑτέρους γενέσθαι πάλιν ἀκροατάς, καὶ τὸν βασιλέα, καὶ τὸν στρατόν, καὶ τὴν Βερνίκην. Εἶτα δὲ πάλιν ἀπολογία.

ξα, κράτος, τιμὴ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ια. 22 ΑΝΕΒΑΛΕ ΤΟ ΔΕ Ο ΦΗΛΙΞ ΑΥΤΟΥΣ, ἀκριβέστερον εἰδὼς τὰ περὶ τῆς ὁδοῦ, εἰπὼν, ὅταν Λυσίας ὁ χιλίαρχος καταβῇ, διαγνώσομαι τὰ καθʼ ὑμᾶς. 23 Διαταξάμενός τε τῷ ἑκατοντάρχῃ τηρεῖσθαι τὸν Παῦλον, ἔχειν τε ἄνεσιν, καὶ μηδένα κωλύειν τῶν ἰδίων αὐτοῦ ὑπηρετεῖν ἢ προσέρχεσθαι αὐτῷ.

Ὅρα πόσην ἔχει βάσανον, πρῶτον μὲν ὑπὸ πολλῶν, εἶτα καὶ ἐν χρόνῳ μακρῷ, ὥστε μὴ εἰπεῖν ὅτι συνηρπάγη τὸ δικαστήριον. ἐπειδὴ γὰρ ἐμνημόνευσε Λυσίου ὁ ῥήτωρ, εἰπὼν ὅτι μετὰ βίας ἀφείλετο αὐτὸν, ἐπήγαγεν εὐκαίρως τὰ περὶ Φήλικος, καί φησιν· ἀνεβάλετο δὲ ὁ Φῆλιξ αὐτοὺς, ἀκριβέστερον εἰδὼς τὰ περὶ τῆς ὁδοῦ· τουτέστιν, ἐπίτηδες ὑπερέθετο· οὐ δεόμενος μαθεῖν, ἀλλὰ διακρούσασθαι βουλόμενος τοὺς Ἰουδαίους. ἀφεῖναι οὐκ ἤθελε διʼ ἐκείνους, κολάσαι πάλιν οὐκ ἦν δυνατόν. αἰσχρὸν γὰρ ἦν. διὸ καὶ ὑπερτίθεται εἰπὼν, ὅταν Λυσίας ὁ χιλίαρχος καταβῇ, διαγνώσομαι τὰ καθʼ ὑμᾶς. διαταξάμενός τε τῷ ἑκατοντάρχῃ τηρεῖσθαι τὸν Παῦλον, ἔχειν τε ἄνεσιν, καὶ μηδένα κωλύειν τῶν ἰδίων ὑπηρετεῖν, ἢ προσέρχεσθαι αὐτῷ. ἔχειν τι, φησὶν, ἄνεσιν. οὕτως αὐτὸν καὶ αὐτὸς ἀφῆκεν ἐγκλημάτων. τί οὖν κατεῖχεν ἀφείς; ἐκείνοις χαριζόμενος, ἢ καὶ ἔτι προσδοκῶν χρήματα λήψεσθαι. διὸ καὶ μετακαλεῖται τὸν Παῦλον. καὶ ὅτι ἐπὶ τούτῳ μετεκαλέσατο, δηλοῖ ἡμῖν τοῦτο ποιῶν ὁ συγγραφεὺς ἐπάγων καὶ λέγων·

24 Μετὰ δέ τινας ἡμέρας παραγενόμενος ὁ Φῆλιξ σὺν Δρουσίλλῃ τῇ γυναικὶ αὐτοῦ οὔσῃ Ἰουδαίᾳ, μετεπέμψατο τὸν Παῦλον, καὶ ἤκουσεν αὐτοῦ περὶ τῆς εἰς Χριστὸν Ἰησοῦν πίστεως.

25 Διαλεγομένου δὲ αὐτοῦ περὶ δικαιοσύνης καὶ ἐγκρατείας καὶ τοῦ κρίματος τοῦ μέλλοντος ἔσεσθαι, ἔμφοβος γενόμενος ὁ Φῆλιξ ἀπεκρίθη· τὸ νῦν ἔχον πορεύου· καιρὸν δὲ μεταλαβὼν μετακαλέσομαί σε, γρ. λαβὼν

26 Ἅμα δὲ καὶ ἐλπίζων ὅτι χρήματα δοθήσεται αὐτῷ ὑπὸ τοῦ Παύλου, ὅπως λύσῃ αὐτόν. διὸ καὶ πυκνότερον αὐτὸν μεταπεμπόμενος, ὡμίλει αὐτῷ. Ὅρα πῶς τῆς ἀληθείας ἔχεται τὰ γραφόμενα. μετεπέμπετο δὲ αὐτὸν συνεχῶς, οὐχὶ θαυμάζων αὐτὸν, οὐδὲ ἐπαινῶν τὰ λεγόμενα, οὐδὲ πιστεῦσαι βουλόμενος· ἀλλὰ τί; προσδοκῶν, φησὶ, χρήματα δοθήσεσθαι αὐτῷ. σκόπει πῶς οὐ κρύπτει ἐνταῦθα τοῦ δικαστοῦ τὴν γνώμην· καίτοι εἰ κατεγνώκει, οὐκ ἂν τοῦτο ἐποίησεν, οὐδʼ ἂν ἠθέλησεν ἀκοῦσαι παρὰ κακοδίκου καὶ πονηροῦ. καὶ ὅρα τὸν Παῦλον, καίτοι πρὸς ἄρχοντα διαλεγόμενον, μηδὲν τούτων λέγοντα ὧν εἰκὸς ἀρέσαι αὐτοῦ τὴν ψυχὴν, ἀλλὰ τοιαῦτα, ἐξ ὧν καὶ φοβεῖται καὶ καταστέλλεται τὴν διάνοιαν. διαλεγόμενος γὰρ, φησὶ, περὶ δικαιοσύνης καὶ ἐγκρατείας, καὶ τοῦ μέλλοντος κρίματος ἔσεσθαι, ἔμφοβος ὁ Φῆλιξ ἐγένετο. τοσαύτη ἦν ἡ ἰσχὺς τῶν Παύλου ῥημάτων, ὅτι καὶ φοβοῦσι τὸν ἄρχοντα. καὶ οὕτω μὲν λαμβάνει διάδοχον, καὶ ἀφίησι τοῦτον δέσμιον, καίτοι γε οὐκ ἔδει, ἀλλὰ τέλος ἐπιθεῖναι· ἀλλὰ χαριζόμενος ἐκείνοις κατέλιπεν αὐτόν. οὗτοι δὲ οὕτως ἐνέκειντο, ὡς πάλιν ἐντυχεῖν. καίτοι οὐδενὶ τῶν ἀποστόλων οὕτως ἐπετέθησαν, ἀλλʼ ἐπιθέμενοι, πάλιν ἀφίεσαν. οὕτως * οἰκονομικῶς ἀφίσταται τῶν Ἱεροσολύμων πρὸς τοιαῦτα θηρία ἔχων, καὶ ὅμως ἀξιοῦσιν αὐτὸν πάλιν ἀγαγεῖν ἐκεῖ δικασόμενοι. ἀλλὰ καὶ ἐνταῦθα λοιπὸν ᾠκονόμησεν ὁ Θεὸς, οὐκ ἐπιτρέπων τῷ ἄρχοντι. εἰκὸς γὰρ αὐτὸν νεωστὶ τῆς ἀρχῆς ἐπιβάντα, καὶ

γρ. ἀπωσάμενοι
* ἐπ
γρ. -σάμενοι

θελῆσαι

τοῦτο μάλιστα βαδίζουσιν, ὅταν ἴδωσι μὴ δυνηθέντα ἐλθεῖν. τῶν μὲν γὰρ δυναμένων καὶ ἐλάττονα φροντίζουσιν, ὡς οὐ νοσούντων σφόδρα· τῶν δὲ κατακειμένων οὐκέτι. ἢ οὐ δοκεῖ σοι ἀρρωστίας εἶναι χαλεπώτερον ἀπόνοια καὶ θυμός; οὐχ ὁ μὲν πυρετῷ τινι ἔοικε σφοδρῷ· ὁ δὲ φλεγμαίνοντι σώματι καὶ οἰδαίνοντι; ἐννόησον ὅσον ἐστὶ πυρετὸν ἔχειν καὶ οἴδημα· ἄπελθε, σβέσον τὸ πῦρ. δυνάσαι γὰρ τῇ χάριτι τοῦ Θεοῦ, ὥσπερ ὕδατι κατάστειλον τὴν φλεγμονήν. Τί οὖν ἂν αὐτῷ τούτῳ πλέον ἐπαίρηται, φησίν; οὐδὲν παρὰ σέ. σὺ μὲν γὰρ τὸ σαυτοῦ ἐποίησας. ἐκεῖνος δὲ ἑαυτῷ λογιζέσθω· μὴ καταγινωσκέτω ἡμῶν τὸ συνειδὸς, ὅτι ἡμῶν ἐλλείποιτό τι τῶν δεόντων τούτου χάριν. Ψώμιζε, φησὶ, τὸν ἐχθρόν σου· τοῦτο γὰρ ποιῶν ἄνθρακας [Ρωμ. ιβ. κα.] πυρὸς σωρεύεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. καὶ ὅμως καὶ τούτου ὄντος, κελεύει ἀπελθεῖν καὶ καταλλαγῆναι τῷ εὐεργέτῃ· οὐχ ἵνα ἄνθρακας πυρὸς σωρεύωμεν, ἀλλ᾽ ἵνα εἰδὼς ἐκεῖνος τοῦτο καταστέλληται, ἵνα τρέμῃ, ἵνα φοβῆται τὰς εὐεργεσίας μᾶλλον τῶν ἐχθρῶν καὶ τὰς φιλίας ἢ τὰς ἐπιβουλάς. οὐ γὰρ οὕτως ἐχθρὸς μνησικακῶν βλάπτει τὸν μισοῦντα, ὡς ὁ ὠφελῶν καὶ εὐεργετῶν. μνησικακῶν γὰρ καὶ ἑαυτὸν κἀκεῖνον ἔβλαψεν ἴσως μικρόν τι· εὐεργετῶν δὲ ἄνθρακας πυρὸς ἐσώρευσεν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. Οὐκοῦν οὐ δεῖ ποιεῖν, φησὶν, ἵνα μὴ σωρεύωμεν ἄνθρακας; ἀλλ᾽ ἑτέρως ἐπὶ τὴν κεφαλὴν τὴν σὴν ἄνθρακας σωρεύειν θέλεις; καὶ γὰρ τοῦτο ποιεῖ μνησικακία. ἀλλ᾽ ἐπὶ πλεῖον ἐκτείνει; οὐδαμῶς. οὐ γὰρ σὺ τοῦτο ποιεῖς, ἀλλ᾽ ἐκεῖνος ὁ θηριώδης. Εἰ γὰρ εὐεργετοῦντός σου καὶ τιμῶντος καὶ καταλλάττοντος, μένει φυλάττων ἐκεῖνος τὴν ἀπέχθειαν, ἑαυτῷ τὸ πῦρ ἀνῆψεν· αὐτὸς ἔφλεξεν αὐτοῦ τὴν κεφαλήν, σὺ δὲ ἀναίτιος εἶ. μὴ γίνου τοῦ Θεοῦ φιλανθρωπότερος, ἐπεὶ μυρία πείσῃ δεινά· μᾶλλον δὲ οὐδὲ, ἂν θέλῃς, δυνήσῃ οὐδὲ κατὰ μικρόν. πῶς γάρ; Ὅσον ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς [Ησ. νε. θ.] γῆς, φησὶ, τοσοῦτον ἀπέχουσιν αἱ βουλαί μου ἀπὸ τῶν βουλῶν ὑμῶν. καὶ πάλιν, Εἰ ὑμεῖς, φησὶ, [Ματθ. ζ. ια.] πονηροὶ ὄντες οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος δώσει ὑμῖν; ἀλλὰ σκήψεις ταῦτα καὶ προφάσεις. μὴ δὴ σοφιζώμεθα τὰ προστάγματα τοῦ Θεοῦ. καὶ πῶς σοφιζόμεθα, φησίν; Εἰπὲ τοῦτο ποιῶν, ἄνθρακας πυρὸς σωρεύεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, σὺ δὲ λέγεις, φοβοῦμαι τὸν ἐχθρὸν, ὅτι μεγάλα με ἠδίκησεν. οὐ ταῦτα λέγεις; πῶς δὲ ὅλως ἔχεις ἐχθρόν; ἀδικήσαντα φοβῇ, σαυτὸν δὲ οὐ φοβῇ; Εἴθε σαυτοῦ ἐφρόντιζες, μὴ ποίει σκοπῷ τοιούτῳ· μᾶλλον δὲ καὶ τοιούτῳ ποίησον σκοπῷ. ἀλλ᾽ οὐ πείθεις; οὐ λέγω σοι, ὅτι ἄνθρακας πυρὸς σωρεύεις, ἀλλὰ καὶ ἕτερόν τι πλέον λέγω· μόνον ποίησον. Ταῦτα γὰρ πάντα, ἵνα σε ἐκκαλέσηται, φησὶν ὁ Παῦλος, ἐλπίδι τῆς τιμωρίας λῦσαι τὴν ἔχθραν. ἐπειδὴ θηριώδεις ἐσμὲν, καὶ οὐκ ἂν ἄλλως ἀνασχοίμεθα τὸν ἐχθρὸν φιλῆσαι, εἰ μή τινα προσδοκῶμεν τιμωρίαν, καθάπερ τινὶ θηρίῳ δίδωσι ταύτην τὴν μάζαν· ἐπεὶ τοῖς ἀποστόλοις οὐ τοῦτό φησιν ὁ Χριστός· ἀλλὰ τί; Ὅπως γένησθε ὅμοιοι τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς. [Ματθ. ε. με.] ἄλλως δὲ, οὐκ ἔστιν εὐεργετοῦντα καὶ εὐεργετούμενον μεῖναι ἐχθρόν. διὰ τοῦτο ταῦτα ἔθηκα. Τί ἐν τοῖς λόγοις φιλοσοφεῖς, ἐν τοῖς ἔργοις οὐδὲ τὸ μέτρον φυλάττεις; καλῶς, οὐ ψωμίζεις αὐτὸν, ἵνα μὴ ἄνθρακας πυρὸς σωρεύσῃς. Οὐκοῦν φείδῃ; οὐκοῦν φιλεῖς, καὶ σκοπῷ τοιούτῳ ποιεῖς; οἶδεν ὁ Θεὸς, εἰ σκοπῷ τοιούτῳ λέγεις. καὶ μὴν πρὸς ἡμᾶς σοφίζῃ καὶ σκήπτῃ τὸν λόγον. προνοεῖς τοῦ ἐχθροῦ, καὶ φοβῇ μὴ κολασθῇ; οὐκοῦν ἔσβεσας τὴν ὀργήν. ὁ γὰρ οὕτω φιλῶν, ὡς τὴν οἰκείαν ὠφέλειαν παριδεῖν ὑπὲρ τῶν ἐκείνῳ συμφερόντων, οὐκ ἔχει ἐχθρόν. ἔχοις ἂν τοῦτο εἰπεῖν, μέχρι τίνος παίζομεν ἐν οὐ παικτοῖς, οὐδὲ ἔχουσι συγγνώμην; διὸ παρακαλῶ [τὴν ὑμετέραν ἀδελφότητα, ἠγαπημένοι ὑπὸ τοῦ Κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ δέομαι ὑμῶν, καὶ ἀντιβολῶ] τὰς προφάσεις ταύτας περικόψαντες, μὴ καταφρονῶμεν τῶν τοῦ Θεοῦ νόμων, μηδὲ τὰς αὐτοῦ ἐντολὰς προψώμεθα, ἵνα δυνηθῶμεν εὐαρέστως τῷ Κυρίῳ τὴν παροῦσαν ζωὴν διαγαγεῖν, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν ἐπιτυχεῖν· χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ πατρὶ δό-

τιον, τὸ μείζονα φέρειν, ὁμοτίμων δὲ ἢ τὸ ἐλάττονα μὴ φέρειν; πολλάκις εἶπον, ῥοπή τίς ἐστι καὶ συναρπαγὴ τὸ πρᾶγμα· καρτερήσωμεν μικρὸν, καὶ τὸ πᾶν ἐνικήσαμεν. ὅσῳ ἂν ὑβρίζῃ μείζονα, τοσούτῳ μᾶλλόν ἐστιν ἀσθενής. [χ. οἶμαι.] οἶδας πότε ἀλγεῖν χρή; ὅταν ὑβρισάντων ἡμῶν ἐκεῖνος σιγήσῃ. τότε γὰρ αὐτὸς μὲν ἰσχυρὸς, ἡμεῖς δὲ ἀσθενεῖς· ἂν δὲ τοὐναντίον γένηται, καὶ χαίρειν δεῖ· ἐστεφανώθης, ἀνεκηρύχθης. οὐκ εἰς ἀγῶνα κατέβης, οὐδὲ ἡλίου καὶ ἀκτῖνος καὶ κόνεως ἐπαχθεῖς ἐνεγκεῖν, οὐδὲ συμπλακεὶς καὶ λαβὰς δοὺς, ἀλλὰ θελήσας μόνον, τὸ καθήμενος, ἢ ἑστὼς, ἔλαβες μέγαν τὸν στέφανον· καὶ οὐχ ἁπλῶς μέγαν, ἀλλὰ πολλῷ μείζονα ἐκείνου. οὐ γάρ ἐστιν ἴσον ἐχθρὸν βαλεῖν ἀντίπαλον, καὶ τῶν τῆς ὀργῆς περιγενέσθαι βελῶν. ἐνίκησας οὐδὲ λαβὴν δοὺς· κατέβαλες τὸ πάθος τὸ ἐν σοί· ἀπέσφαξας τὸ θηρίον κεκινημένον, καὶ λυττῶντα τὸν θυμὸν ἐπεστόμισας, καθάπερ τις ἄριστος νομεύς. ἐμφύλιος ἔνδον ἡ μάχη ἐστὶν, οἰκεῖος ὁ πόλεμος. καθάπερ γὰρ τὰ τείχη περισκαπτόμενοι καὶ πολιορκοῦντες ἔξωθεν, ἐμφυλίοις περιβάλλουσι πολέμοις, καὶ τότε περιγίνονται· οὕτω δὴ καὶ ὁ ἐνυβρίζων, ἂν μὴ τὸ ἐν ἡμῖν ἐγείρῃ πάθος, οὐ δυνήσεται περιγενέσθαι. ἐὰν μὴ ἡμεῖς ἑαυτοὺς ἐμπρήσωμεν, ἐκεῖνος οὐδεμίαν ἰσχὺν ἔχει. ἔστω παρ' ἡμῖν ὁ τῆς ὀργῆς σπινθὴρ, ὥστε εὐκαίρως ἀνάπτεσθαι, μὴ καθ' ἡμῶν αὐτῶν, μηδὲ εἰς ἡμᾶς μυρίοις περιβάλλῃ κακοῖς. οὐχ ὁρᾶτε ἐν ταῖς οἰκίαις τὸ πῦρ ἀποτεταμιευμένον, καὶ οὐ πανταχοῦ ἐρριμμένον, οὔτε ἐν χόρτῳ, οὔτε ἐν ἱματίοις, οὔτε ἁπλῶς, ὥστε μὴ ἀνέμου ἐμπνέοντος ἐξάπτεσθαι· ἀλλὰ κἂν θεράπαινα λύχνον ἔχῃ, κἂν ὁ μάγειρος ἀνακαίῃ, παραγγελία πολλὴ, μὴ παρ' ἄνεμον, μηδὲ σανίδας ἐγγὺς, μηδὲ ἐν τειχίῳ τοῦτο ποιεῖν· ἀλλ' ὅταν καταλάβῃ ἡ νὺξ, ἐκοιμίσαμεν αὐτὸ, δεδιότες μή ποτε, καθευδόντων ἡμῶν καὶ οὐδενὸς ὄντος τοῦ ἐπικουρήσοντος, ἀναφθῇ καὶ πάντας ἐμπρήσῃ; τοῦτο καὶ ἐπὶ τοῦ θυμοῦ γινέσθω. μὴ πανταχοῦ διεσπάρθω * τῶν ἡμετέρων λογισμῶν, ἀλλ' ἔν τινι βάθει τῆς διανοίας, ὥστε μὴ τὸν ἄνεμον τὸν ἀπὸ τῶν ῥημάτων τῆς ἐναντίας εὐκόλως ἐφικνεῖσθαι· [* τὸ] ἀλλὰ παρ' ἡμῶν δέχεσθαι τὸν ἄνεμον, τῶν εἰδότων συμμέτρως αὐτὸν κινεῖν τὸ ἀσφαλῶς. [χ. πα] ἂν ἔξωθεν ἄνεμον δέχηται, οὐκ οἶδε τὸ μέτρον, ἀλλὰ πάντα ἐμπρήσει. πολλάκις καὶ καθευδόντων ἡμῶν ὁ ἄνεμος οὗτος ἐμπεσεῖται, καὶ τὰ πάντα κατακαύσει. ἔστω οὕτω ἡμῖν, ὥστε φῶς ἀνάπτειν μόνον (ἀνάπτει γὰρ φῶς ὁ θυμὸς, ὅταν προσηκόντως γίνηται) καὶ λαμπάδας ἔχωμεν κατὰ τῶν ἀδικούντων ἑτέρους, κατὰ τοῦ διαβόλου. μὴ πανταχοῦ καιέσθω, μηδὲ ἐρρίφθω σπινθήρ· ἀλλ' ἐν τέφρᾳ φυλάττωμεν· ἐν τοῖς λογισμοῖς τοῖς ταπεινοῖς κοιμίζωμεν αὐτόν. [χ. κοιμ.] οὐ πάντοτε αὐτοῦ δεόμεθα, ἀλλ' ὅταν κατεργάσασθαί τι δέῃ καὶ ποιῆσαι ἁπαλὸν, ὅταν πύρωσιν μαλάξαι δέῃ, ὅταν τῆς ψυχῆς καταγνῶναι. πόσα θυμοὶ καὶ ὀργαὶ δεινὰ κατειργάσαντο; καὶ τὸ δὴ χαλεπὸν, ὅταν διαστῶμεν, οὐκ ἔτι τῆς συνηθείας ἐσμὲν κύριοι, ἀλλ' ἑτέρους ἀναμένομεν. [χ. διαναστῶμεν.] ἕκαστος αἰσχύνεται καὶ ἐρυθριᾷ ἐπανελθεῖν καὶ καταλλάξαι τὸν ἕτερον. ὅρα, διαστῆναι μὲν καὶ διαχωρισθῆναι οὐκ αἰσχύνεται, ἀλλὰ τοῦ κακοῦ γίνεται ἀρχηγός· προσελθεῖν δὲ, καὶ τὸ ἐσχισμένον ῥάψαι, αἰσχύνεται. καὶ ταὐτὸν συμβαίνει, οἷον ἂν εἴ τις ἀποκόψαι μὲν τὸ μέλος μὴ ὀκνοίη, συναγαγεῖν δὲ αἰσχύνοιτο. τί λέγεις, ἄνθρωπε; ἠδίκησας μεγάλα, καὶ αὐτὸς αἴτιος ἐγένου τῆς μάχης; οὐκοῦν δίκαιος ἂν εἴης πρότερος ἀπελθεῖν καὶ καταλλαγῆναι, ἅτε τὴν αἰτίαν αὐτὸς παρασχών. ἀλλ' ἠδίκησαι· καὶ ἐκεῖνος αἴτιός ἐστιν; οὐκοῦν καὶ διὰ τοῦτο, ἵνα μᾶλλόν σε θαυμάσωσιν, ἵνα πρὸς τῷ προτέρῳ καὶ ἐν τῷ δευτέρῳ τὰ πρωτεῖα ἔχῃς. ὥσπερ οὐκ ἐγένου τῆς ἔχθρας αἴτιος, οὕτως οὐδὲ τοῦ ἐκταθῆναι ἐπὶ πλεῖον τὴν ἔχθραν. [χ. ἐν τῷ φι- δια τῆς] ἴσως καὶ ἐκεῖνος μυρία συνειδὼς ἑαυτῷ αἰσχύνεται, καὶ ἐρυθριᾷ. ἀλλ' ἀπονενόηται; ταύτῃ μάλιστα μὴ ὀκνήσῃς προσδραμεῖν. καὶ γὰρ διπλοῦν παρ' αὐτῷ τὸ πάθος, καὶ ἀπόνοια, καὶ ὀργή. σὺ τὴν αἰτίαν εἶπας, δι' ἣν ὀφείλεις πρότερος ἀπελθεῖν, ὁ ὑγιαίνων, ὁ δυνάμενος βλέπειν. ἐκεῖνος γὰρ ἐν σκότῳ ἐστί. τοιοῦτον γὰρ ἡ ὀργὴ καὶ ἡ ἀλαζονεία. σὺ δὲ ὁ τούτων ἀπηλλαγμένος καὶ ὑγιαίνων πρόσελθε, πρὸς τὸν κάμνοντα οἷα ἰατρός. μή τις ἐρεῖ τὸν ἰατρὸν, ἐπειδὴ ἀσθενεῖ, οὐκ ἀπέρχομαι; ἀλλὰ διὰ [χ. λέγει]

τοῦτο

τὸν Χριστὸν εἰσήγαγεν, ἀλλὰ πῶς τῷ τῆς ἀναστάσεως ἐνδιατρίβει λόγῳ· ὃ κοινὸν ἦν αὐτοῖς δόγμα, καὶ πάσης στάσεως ὑποψίαν λύηρει. Εἶτα καὶ ἡ αἰτία τῆς ἀνόδου· ἐλεημοσύνας, φησὶ, καὶ προσφορὰς ποιήσων εἰς τὸ ἔθνος μου παρεγενόμην, καὶ τοῦτο δι᾽ ἐτῶν πλειόνων. πῶς ἂν οὖν ἐτάραξεν, ὃς ὥστε ἐλεημοσύνην ποιῆσαι τοσαύτην ἦλθεν ὁδόν; οὐ μετὰ ὄχλου, φησὶν, οὐδὲ μετὰ θορύβου. πανταχοῦ τὴν στάσιν ἀναιρεῖ. καλῶς δὲ καὶ προσκαλεῖται τοὺς κατηγόρους, τοὺς ἀπὸ τῆς Ἀσίας λέγων· οὓς ἔδει ἐπὶ σοῦ κατηγορεῖν, εἴ τι ἔχοιεν πρὸς με. οὕτως ἐθάρρει καθαρὸς εἶναι πρὸς ἃ κατηγορεῖτο, ὅτι καὶ προσκαλεῖται αὐτούς. οὐ τοὺς ἀπὸ τῆς Ἀσίας δὲ μόνον, ἀλλὰ καὶ τοὺς ἐξ Ἱερουσαλὴμ οὐκ ἐκβάλλει κατηγόρους. ἀλλὰ καὶ τούτους προσκαλεῖται πάλιν, ἐπάγων· ἢ αὐτοὶ οὗτοι εἰπάτωσαν. καὶ γὰρ διὰ τοῦτο ἐξ ἀρχῆς διεπονοῦντο, ὅτι τὴν ἀνάστασιν ἐκήρυττε. καὶ καλῶς οὕτως ἐποίει. τούτου γὰρ διερθέντος, εὐκόλως καὶ τὰ τοῦ Χριστοῦ ἐπεισήγετο, ὅτι ἀνέστη. τί εὗρον, φησὶν, ἐν ἐμοὶ ἀδίκημα, στάντος μου ἐπὶ τοῦ συνεδρίου; ἐν τῷ συνεδρίῳ, εἶπε, δεικνὺς ὅτι οὐδὲν εὗρον, οὐχὶ κατ᾽ ἰδίαν τῆς ἐξετάσεως γενομένης, ἀλλὰ παρόντος τοῦ πλήθους καὶ ἀκριβῶς ἀνακρίνοντος. ὅτι δὲ ταῦτα ἀληθῆ λέγω, μαρτυροῦσιν οἱ περὶ τούτου ἐγκαλοῦντες. διὰ τοῦτο καὶ ἔλεγεν· ἐν τούτῳ δὲ αὐτὸς ἀσκῶ, ἀπρόσκοπον συνείδησιν ἔχων πρός τε τὸν Θεὸν καὶ τοὺς ἀνθρώπους. ἡ τελεία γὰρ αὕτη ἀρετὴ, ὅταν μηδὲ ἀνθρώποις διδῶμεν λαβὰς, καὶ παρὰ Θεῷ σπουδάζωμεν εἶναι ἀπρόσκοποι. ἧς ἔκραξα, φησὶν, ἐν τῷ συνεδρίῳ. καὶ τὴν βίαν αὐτῶν δηλοῖ ἐκ τοῦ εἰπεῖν, ἔκραξα, ὡσανεὶ ἔλεγεν· οὐκ ἔχουσιν εἰπεῖν, ὅτι προφάσει ἐλεημοσύνης ταῦτα ἐποίεις. οὐ γὰρ μετὰ ὄχλου, οὐδὲ μετὰ θορύβου τοῦτο ἐποίουν. ἄλλως τε, καὶ ἐξετάσεως γενομένης περὶ τούτου, οὐδὲν πλέον εὑρίσκετο. εἶδες ἐπιείκειαν, κινδύνων ὄντων; εἶδες εὔφημον γλῶτταν, καὶ πῶς ἐζήτει μόνον, ἀπολύσασθαι τὰ ἑαυτοῦ, οὐχὶ κἀκείνους ἐγκλήμασι περιβαλεῖν; πλὴν εἴ που ἀναγκάζοιτο ἀπολογούμενος, ὥσπερ καὶ ὁ Χριστὸς ἔλεγεν· Ἐγὼ δαιμόνιον οὐκ ἔχω, ἀλλὰ τιμῶ τὸν πατέρα μου· ὑμεῖς δὲ ἀτιμάζετέ με. Ιωαν. η. μθ.

Τοῦτον μιμώμεθα καὶ ἡμεῖς, ἐπεὶ καὶ αὐτὸς Χριστοῦ μιμητὴς ἦν. Εἰ τοὺς μέχρι φόνου καὶ σφαγῆς χωρήσαντας οὐδὲν εἶπεν ἐκεῖνος ἐπαχθὲς, τίνος ἂν εἴημεν ἡμεῖς συγγνώμης ἄξιοι, ἐν λοιδορίᾳ καὶ ὕβρεσιν ἐκθηλυνόμενοι, μιαροὺς καὶ παμμιάρους ἀποκαλοῦντες τοὺς ἐχθροὺς τοὺς ἡμετέρους; ἵνα δὲ ἀπολογίαν ἔχωμεν, ἐχθροὺς ὅλως ἔχοντες; οὐκ ἀκούεις ὅτι ὁ τιμῶν, ἑαυτὸν τιμᾷ; οὕτως ἔχει. ἡμεῖς δὲ ἑαυτοὺς ὑβρίζομεν. ἐγκαλεῖς οὖν ὑβρισθείς· τί οὖν περιπίπτεις τῷ ἐγκλήματι; τί σαυτὸν πληγῇ περιβάλλεις; μεῖνον ἄπληκτος, μένον ἄτρωτος, μὴ βουλόμενος ἕτερον πλῆξαι, σαυτὸν περιβάλῃς τῷ κακῷ. οὐ γὰρ ἀρκεῖ ἡμῖν ὁ ἔνδοθεν θόρυβος τῆς ψυχῆς ὁ μηδένος κινοῦντος κινούμενος, οἷον αἱ ἐπιθυμίαι αἱ ἄτοποι, αἱ λῦπαι καὶ αἱ ἀθυμίαι, καὶ ὅσα τοιαῦτα, ἀλλὰ καὶ ἑτέρας ἐπισωρεύομεν; καὶ πῶς δυνατὸν ὑβριζόμενον φέρειν, φησί; πῶς δὲ οὐ δυνατὸν, εἰπέ μοι; τραῦμα ἡμῖν τίκτεται ἀπὸ τῶν ῥημάτων; μὴ λωποῦσι περὶ τὰ σώματα; ποία τοίνυν γίγνεται ἡμῖν βλάβη; ὥστε, ἂν βουλώμεθα, δυνάμεθα ἐγκρίνειν. πείθωμεν ἑαυτοὺς ὁμοῦ μὴ ἀλγεῖν, καὶ οἴσομεν· εἴπωμεν πρὸς ἡμᾶς αὐτοὺς, οὐκ ἔστιν ἔχθρας, ἀσθενείας ἐστίν. ἐπεὶ ὅτι ἔχθρας οὐκ ἔστιν, οὐδὲ κακοηθείας, ἐβούλετο κἀκεῖνος καταχεῖν, εἰ καὶ μυρία ἠδικημένος ἦν. ἂν τοῦτο ἐννοήσωμεν μόνον, ὅτι ἀσθενείας ἐστὶν, οἴσομεν· καὶ συγγνωσόμεθα μετ᾽ ἐκείνῳ, πειρασόμεθα δὲ μὴ περιπίπτειν καὶ αὐτοί. ἐπεὶ ἐρωτῶ πάντας τοὺς παρόντας· ἆρα, ἂν ἐθελήσητε, οὕτω φιλοσοφεῖν δύνασθε, ὥστε φέρειν τοὺς ὑβρίζοντας; ἔγωγε οἶμαι. οὐκοῦν ἄκων σε ὑβρίζει, καὶ οὐ βουλόμενος, ἀλλὰ ἀναγκαζόμενος ὑπὸ τοῦ πάθους. ἐπίσχες. οὐχ ὁρᾷς τοὺς δαιμονῶντας; ὥσπερ ἐκεῖνος οὐκ ἀπὸ ἔχθρας τοσοῦτον, ὅσον ἀπὸ ἀσθενείας τοῦτο ὑπομένει· οὕτω καὶ ἡμεῖς οὐκ ἀπὸ τῆς φύσεως τῶν ὕβρεων κινούμεθα, ὅσον ἀφ᾽ ἡμῶν αὐτῶν. ἐπεὶ πῶς τῶν μαινομένων τὰ αὐτὰ ὑβριζόντων φέρομεν; πάλιν, εἰ φίλοι εἶεν οἱ ὑβρίζοντες, ἢ καὶ μείζους, καὶ οὕτω φέρομεν. πῶς οὖν οὐκ ἄτοπον, τελῶν μὲν τούτων ὄντων, καὶ φίλων, καὶ μαινομένων

Marginal notes: χ. ποιῆσαι — χ. αἰτίας — χ. ἐγκρίνειν — χ. αὐτῷ τοῦτο διαλογισάμενοι δυνατόν.

ΗΘΙΚΟΝ

18 Ἐν οἷς εὗρόν με ἡγνισμένον ἐν τῷ ἱερῷ, οὐ μετὰ ὄχλου, οὐδὲ μετὰ θορύβου τινός.

Τί οὖν ἀσεβὴς; τί ἦλθες; προσκυνῆσαι, ἐλεημοσύνας, φησὶ, ποιῆσαι· ὥστε τοῦτο οὐκ ἦν στασιῶδες. εἶτα καὶ ἐκβάλλει αὐτὴν τὸ πρόσωπον λέγων ἀδεῶς·

19 Τινὲς δὲ ἀπὸ τῆς Ἀσίας Ἰουδαῖοι, οὓς ἔδει ἐπὶ σοῦ παρεῖναι καὶ κατηγορεῖν εἴ τι ἔχοιεν πρός με· — χ. ἐν οἷς εὗρόν με τινὲς δὲ ἀπὸ

20 Ἢ αὐτοὶ οὗτοι εἰπάτωσαν, τί εὗρον ἐν ἐμοὶ ἀδίκημα, στάντος μου ἐπὶ τοῦ συνεδρίου· — χ. εἴ τι

21 Ἢ περὶ μιᾶς ταύτης φωνῆς, ἧς ἔκραξα ἑστὼς ἐν αὐτοῖς, ὅτι περὶ ἀναστάσεως νεκρῶν ἐγὼ σήμερον κρίνομαι ὑφ' ὑμῶν. Τοῦτο περιουσία δικαιωμάτων, μὴ φεύγειν οὐδὲ κατηγόρους, ἀλλ' ἕτοιμον εἶναι πᾶσι διδόναι λόγον. περὶ ἀναστάσεως νεκρῶν ἐγὼ σήμερον, φησὶ, κρίνομαι. καὶ οὐδὲν εἶπεν ὧν εἶχεν εἰκότως εἰπεῖν, ὅτι ἐπεβούλευσαν, ὅτι κατεῖχον αὐτὸν, ὅτι ἐνέδρον ἐποίησαν (ταῦτα γὰρ παρ' ἐκείνων λέγει) γενέσθαι· περὶ δὲ τούτου, καὶ κινδύνου ὄντος, οὐκ ἔτι) ἀλλὰ σιγᾷ καὶ μόνον ἀπολογεῖται, καίτοι μνείαν ἔχων εἰπεῖν. τοῦτο αὐτὸν καὶ ἐν Καισαρείᾳ ἐποίει λαμπρὸν, τὸ μετὰ τοσαύτης ἐλθεῖν παρατάξεως. ἐν οἷς εὗρόν με, φησιν, ἡγνισμένον ἐν τῷ ἱερῷ. πῶς οὖν ἐβεβήλωσεν; οὐ γὰρ ἦν τοῦ αὐτοῦ καὶ ἁγνίζεσθαι καὶ προσκυνεῖν, καὶ διὰ τοῦτο ἔρχεσθαι, καὶ βεβηλοῦν. τοῦτο καὶ δικαιολογίας ὑπερψίαν ἔχει, τὸ μὴ εἰς μακρὸν ἐμπίπτειν τὸν λόγον [ἐᾶν,] καὶ χαρίζεσθαι τῷ δικαστῇ. ἐμοὶ δὲ δοκεῖ κἀκεῖνον συστέλλειν τὴν ἀπολογίαν. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. ἐπὶ πολὺ τούτου μακρὰ ἐδημηγόρησεν ὁ Τέρτυλλος, δεικνὺς ὅτι ἐγκόπτεται), οὐκ εἶπεν, ἀκούσον τοῦ πράγματος· ἀλλ', ἵνα σε μὴ ἐπὶ πλεῖον ἐγκόπτω, παρακαλῶ ἀκοῦσαί σε ἡμῶν τῇ σῇ ἐπιεικείᾳ. τάχα θεραπεύων τοῦτο τῶν λόγων κατασκευάζει· ἢ καὶ ἀληθῶς τοῦτο ἐπιεικείας τεκμήριον, εἰ παρὸν πολλὰ εἰπεῖν, ὑπὲρ τοῦ μὴ ἐνοχλεῖν ὀλίγα τις λέγοι. εὑρόντες γὰρ τὸν ἄνδρα τοῦτον λοιμὸν, ὃς, φησὶ, καὶ τὸ ἱερὸν ἐπείρασε βεβηλῶσαι. οὐκοῦν οὐκ ἐβεβήλωσεν. τί οὖν εἰ ἀλλαχοῦ τοῦτο ἐποίησεν; οὐδαμῶς. ἢ γὰρ ἂν καὶ εἶπε· νῦν δὲ ἐπείρασε μόνον λέγει, καὶ δὲ πῶς οὐ προστίθησι. καὶ τὰ μὲν κατὰ Παύλου οὕτως ἐπῆρεν· ὅρα δὲ τὰ αὐτῶν πῶς ἐλαττοῖ. ὃν καὶ ἐκρατήσαμεν, φησι, καὶ ἠθελήσαμεν κρῖναι κατὰ τὸν ἡμέτερον νόμον. παρελθὼν δὲ Λυσίας ὁ χιλίαρχος, μετὰ πολλῆς βίας ἐκ τῶν χειρῶν ἡμῶν ἀπήγαγεν. ἐνταῦθα δείκνυσιν ὅτι καὶ ἐπηρεάζονται εἰς δικαστήρια ἐρχόμενοι ξένα, καὶ ὅτι οὐκ ἂν ἠνώχλησαν αὐτοὶ, εἰ μὴ ἐκεῖνος ἠνάγκασε, καὶ ὡς οὐ προσήκον αὐτῷ ἥρπασε τὸν ἄνδρα. καὶ γὰρ τὰ ἀδικήματα πρὸς ἡμᾶς ἦν, καὶ τὸ δικαστήριον παρ' ἡμῖν ἔδει γενέσθαι. ὅτι γὰρ τοῦτό ἐστιν, ὅρα τὸ ἑξῆς· μετὰ πολλῆς, φησι, βίας. βία γὰρ τοῦτό ἐστι. παρ' οὗ δυνήσῃ, φησι, γνῶναι. οὐδὲ κατηγορῆσαι τολμᾷ (συκοφαντικὸς γὰρ ἀνὴρ ἦν) οὐδὲ ἁπλῶς παρέρχεται. εἶτα πάλιν, ἵνα μὴ δόξῃ ψεύδεσθαι, αὐτὸν ἐφίστησιν ἑαυτοῦ κατήγορον τὸν Παῦλον. παρ' οὗ, φησι, δυνήσῃ ἀνακρίνας περὶ πάντων τούτων ἐπιγνῶναι. εἶτα καὶ μάρτυρες τῶν εἰρημένων οἱ κατήγοροι· συνεπέθεντο δὲ καὶ οἱ Ἰουδαῖοι φάσκοντες ταῦτα οὕτως ἔχειν. οἱ κατήγοροι, αὐτοὶ καὶ μάρτυρες καὶ κατήγοροι. ἀλλ' ὁ Παῦλος, ἐκ πολλῶν ἐτῶν ὄντα σε κριτὴν ἐπιστάμενος δίκαιον, ἀποκρίνεται. οὐκ ἄρα ξένος τίς ἐστιν, οὐδὲ ἀλλότριος, οὐδὲ νεωτεροποιὸς, εἴγε ἐκ πολλῶν ἐτῶν οἶδε τῶν δικαστὴν. καὶ καλῶς ἐπήγαγε τὸ, δίκαιον· ἵνα μὴ πρὸς τὸν ἀρχιερέα ἴδῃ, μηδὲ πρὸς τὸν δῆμον, μηδὲ πρὸς τὸν κατήγορον. ὅρα πῶς οὐ προσήχθη εἰς ὕβριν, καίτοι γε καὶ ἀνάγκης οὔσης. πιστεύων, φησὶν, ἀνάστασιν ἔσεσθαι. τοῦτο εἶπε, δεικνὺς ὅτι οὐκ ἂν ἄνθρωπος πιστεύων ἀνάστασιν ἔσεσθαι, τοιαῦτα πράξειέ ποτε, ἣν καὶ αὐτοὶ οὗτοι, φησιν, ἐκδέχονται. οὐκ εἶπε περὶ τούτων, ὅτι πιστεύουσι πᾶσι τοῖς ἐν τοῖς προφήταις γεγραμμένοις (οὐδὲ γὰρ ἐπίστευον) ἀλλ' ὅτι πᾶσιν ἐπίστευεν, οὐκ ἐκεῖνοι. πῶς δὲ πᾶσι, μακροῦ ἂν εἴη λόγου τὰ νῦν λέγειν. τοσαῦτα εἶπε, καὶ οὐδαμοῦ τοῦ Χριστοῦ μέμνηται· ἐνταῦθα δὲ τὸ, πιστεύων, εἰπὼν, καὶ τὰ κατὰ

χ. κόπτω — χ. ὃν ἐκρατ. — χ. πᾶσι τοῖς κατὰ τὸν νόμον·

τὸν

περὶ πάντων τούτων ἐπιγνῶναι, ὧν ἡμεῖς κατηγοροῦμεν αὐτοῦ.

Τοῖς κατὰ τὴν οἰκουμένην, φησίν, Ἰουδαίοις στάσεις κινοῦντα. ὡς λυμεῶνα λοιπὸν καὶ κοινοῦ ἐχθρὸν τοῦ ἔθνους διαβάλλουσι, πρωτοστάτην τε τῆς τῶν Ναζωραίων. ἐδόκει τοῦτο ἐπονείδιστον εἶναι τὸ τῶν Ναζωραίων· διὸ καὶ τοῦτο προσέθηκεν, καὶ ἀπὸ τούτου πάλιν διέβαλλον αὐτόν. ἡ γὰρ Ναζαρὲθ εὐτελὴς ἦν. καὶ ἐγερτής, φησίν. ὅρα πῶς κακούργως ὡς διαφυγόντα συκοφαντοῦσι, καὶ μόλις ἐπιτυχόντες, καίτοι ἑπτὰ ἡμέρας εἶχεν ἐν τῷ ἱερῷ. ὃν καὶ ἐκρατήσαμεν, καὶ κατὰ τὸν ἡμέτερον νόμον ἠθελήσαμεν κρῖναι. ὅρα πῶς καὶ τὸν νόμον ὑβρίζουσιν. εἴγε μὴ τοῦτο νόμος ἦν, τὸ τύπτειν, τὸ ἀναιρεῖν, τὸ ἔνεδρα ποιεῖν. εἶτα καὶ τοῦ Λυσίου κατηγορία· παρελθὼν δὲ Λυσίας ὁ χιλίαρχος, μετὰ πολλῆς βίας ἐκ τῶν χειρῶν ἡμῶν ἀπήγαγεν. οὐ προσῆκεν αὐτῷ, φησι, πρᾶγμα ποιῶν, ὅμως ἐποίησε *. παρ' οὗ δυνήσῃ αὐτὸς ἀνακρίνας περὶ τούτων πάντων γνῶναι, ὧν ἡμεῖς κατηγοροῦμεν αὐτοῦ.

* μετὰ πολλῆς παῤῥησίας ἀπίστασι

9 Συνεπέθεντο δὲ καὶ οἱ Ἰουδαῖοι φάσκοντες ταῦτα οὕτως ἔχειν.

Τί οὖν ὁ Παῦλος; ἆρα ἐπὶ τούτοις σιγᾷ; οὐδαμῶς· ἀλλὰ παῤῥησιάζεται πάλιν καὶ ἀποκρίνεται, καὶ τοῦτο τοῦ ἡγεμόνος βουληθέντος. ἐπήγαγε γάρ·

10 Ἀπεκρίθη δὲ ὁ Παῦλος, νεύσαντος αὐτῷ τοῦ ἡγεμόνος λέγειν· ἐκ πολλῶν ἐτῶν ὄντα σε κριτὴν δίκαιον [ἐν] τῷ ἔθνει τούτῳ ἐπιστάμενος, εὐθυμότερον τὰ περὶ ἐμαυτοῦ ἀπολογοῦμαι,

11 Δυναμένου σου γνῶναι, ὅτι οὐ πλείους εἰσί μοι ἡμέραι, ἢ δεκαδύο ἀφ' ἧς ἀνέβην προσκυνήσων ἐν Ἱερουσαλήμ.

12 Καὶ οὔτε ἐν τῷ ἱερῷ εὗρόν με πρός τινα διαλεγόμενον, ἢ ἐπισύστασιν ποιοῦντα ὄχλων, οὔτε ἐν ταῖς συναγωγαῖς, οὔτε κατὰ τὴν πόλιν,

γ. μοι

13 Οὔτε παραστῆσαι με δύνανται περὶ ὧν νῦν κατηγοροῦσί μου. Οὐκ ἔστι ταῦτα κολακείας τὰ ῥήματα, τὸ μαρτυρῆσαι τῷ δικαστῇ δικαιοσύνην· ἀλλ' ἐκεῖνα μᾶλλον, τὸ εἰπεῖν, πολλῆς εἰρήνης τυγχάνοντες διὰ σοῦ. τί οὖν ἀδίκως στασιάζετε; σκόπει δέ· ἐκεῖνοι πρὸς ἀδικίαν παρώρμων· οὗτος τὸ δίκαιον ἐζήτει. διὸ καὶ ἔλεγεν· εὐθυμότερον τὰ περὶ ἐμαυτοῦ ἀπολογοῦμαι. εἶτα καὶ ἀπὸ τοῦ χρόνου ἰσχυρίζεται· ἐκ πολλῶν ἐτῶν γάρ, φησιν, ὄντα σε κριτὴν ἐπιστάμενος. καὶ τί τοῦτο πρὸς ἀπόδειξιν συντελεῖ; μέγα. δείκνυσι γὰρ ὅτι καὶ αὐτὸς οἶδε μηδὲν ὧν κατηγορεῖται πεποιηκότα. εἰ δὲ ἐπισύστασίν ποτε ἐκίνησεν, ἐγίνωσκεν ἂν κριτὴς ὤν, καὶ τὸ τοιοῦτον αὐτὸν οὐκ ἐλάνθανεν. εἶτα ἐπειδὴ ὁ κατήγορος οὐδὲν εἶχε δεῖξαι ἐν Ἱεροσολύμοις, ὅρα τί φησι· τοῖς κατὰ τὴν οἰκουμένην πᾶσιν Ἰουδαίοις, ψεῦδος ἐπὶ ψεύδει συνυφείς. διὰ τοῦτο ὁ Παῦλος ἐντεῦθεν αὐτὸν ἀφέλκων, προσκυνήσων ἀνέβην, λέγει· μονονουχὶ ἀπολογούμενος διὰ τούτου, ὅτι τοσοῦτον ἀπέχω τοῦ στάσεις κινεῖν, καὶ τούτῳ ἐνδιατρίβει τῷ δικαίῳ, ὅπερ ἦν ἰσχυρόν. ἐπάγει γάρ· καὶ οὔτε ἐν τῷ ἱερῷ, οὔτε ἐν τῇ πόλει, οὔτε ἐν τῇ συναγωγῇ εὗρόν με πρός τινα διαλεγόμενον, ὅπερ ἦν καὶ ἀληθές. κἀκεῖνος μὲν πρωτοστάτην φησί, καθάπερ ἐπὶ μάχης καὶ στάσεως· οὗτος δὲ ὅρα πῶς ἐπιεικῶς ἀποκρίνεται.

14 Ὁμολογῶ δὲ τοῦτό σοι, ὅτι κατὰ τὴν ὁδόν, ἣν λέγουσιν αἵρεσιν, οὕτω λατρεύω τῷ πατρῴῳ Θεῷ, πιστεύων πᾶσι τοῖς κατὰ τὸν νόμον καὶ ἐν τοῖς προφήταις γεγραμμένοις,

15 Ἐλπίδα ἔχων εἰς τὸν Θεόν, ἣν καὶ αὐτοὶ οὗτοι προσδέχονται, ἀνάστασιν μέλλειν ἔσεσθαι νεκρῶν, δικαίων τε, καὶ ἀδίκων. Ὅρα· ἐχθρίζοντα αὐτὸν ἐκεῖνοι· οὗτος συνεισάγει, καὶ οἰκειοῖ ἑαυτὸν τῷ νόμῳ, δι' ὧν ἀπολογεῖται. καὶ βεβαιῶν ὃ εἶπε, πάλιν ἐπάγει·

γ. ἔχων

16 Ἐν τούτῳ δὲ καὶ αὐτὸς ἀσκῶ, ἀπρόσκοπον συνείδησιν ἔχειν πρός τε τὸν Θεόν, καὶ πρὸς τοὺς ἀνθρώπους διαπαντός.

17 Δι' ἐτῶν δὲ πλειόνων παρεγενόμην ἐλεημοσύνας ποιήσων εἰς τὸ ἔθνος μου καὶ προσφοράς.



Digitized by Google

παρεῖναι τῇ βασιλείᾳ· ἔδει φανερὰν αὐτοῦ γενέσθαι τὴν σοφίαν. διὰ τοῦτο ἐπιλανθάνεται αὐτοῦ ὁ οἰνοχόος, ἵνα μὴ λάθῃ Αἴγυπτος, ἵνα μὴ ἀγνοήσῃ αὐτὸν ὁ βασιλεύς. εἰ τότε ἐξενέχθη, ἴσως ἂν καὶ ἐπιθυμήσειεν ἀπελθεῖν εἰς τὴν αὐτοῦ. διὰ τοῦτο μυρίαις ἀνάγκαις κατέχεται· πρῶτον μὲν δεσποτείᾳ· δεύτερον τῷ δεσμωτηρίῳ· τρίτον ἐν τῇ βασιλείᾳ, ἵνα ταῦτα οἰκονομηθῇ. καθάπερ οὖν τινα γενναῖον πῶλον ἐκπηδῆσαι βουλόμενον πρὸς τὸν αὐτοῦ, κατέχει ὁ Θεὸς ἐκεῖ δι' αἰτίαν ἔνδοξον. ὅτι γὰρ ἐπεθύμει τὸν πατέρα ἰδεῖν καὶ ἀπαλλάξαι τῆς ὀδύνης, δῆλον ἐκ τοῦ καλέσαι αὐτὸν ἐκεῖ. βούλεσθε καὶ ἑτέρας ἴδωμεν ἐπιβουλάς, ὅτι ὑπὲρ ἡμῶν γίνονται, οὐ μόνον τὸν μισθὸν ἔχειν, ἀλλὰ καὶ τῷ ἐν αὐτῷ τῷ καιρῷ τὰ ὑπὲρ ἡμῶν ποιεῖν; ἐπεβούλευσε τῷ τούτου πατρὶ ὁ ἀδελφὸς ὁ τούτου, καὶ τῆς πατρίδος ἐξήλασε. τί οὖν; καὶ αὐτὸς μακρὰν τοῦ κινδύνου αὐτὸν κατέστησεν. ἐν ἀσφαλείᾳ γὰρ καὶ αὐτὸς γέγονεν. ἐποίησε φιλοσοφώτερον, ἐποίησεν ἰδεῖν τὸ ὄναρ. ἀλλ' ἐδούλευσεν ἐν ἀλλοτρίᾳ; ἀλλὰ παρὰ τοῖς αὐτοῦ ἀπελθὼν λαμβάνει νυμφίον, καὶ ἄξιος φαίνεται τῷ κηδεστῇ. ἀλλ' ἠπάτησε κακῶς; ἀλλὰ καὶ τοῦτο εἰς ἀγαθὸν γέγονεν, ἵνα πολλῶν παίδων γένηται πατήρ. ἀλλ' ἐβουλήθη ἐπιβουλεῦσαι; ἀλλὰ καὶ τοῦτο εἰς ἀγαθόν, ἵνα εἰς τὴν αὐτοῦ λοιπὸν ἐπανέλθῃ. εἰ γὰρ ἦν ἐν εὐπραγίᾳ, οὐκ ἂν οὕτως ἐπεθύμει τῆς ἰδίας. ἀλλ' ἀφεῖλε τὸν μισθόν; διπλάσιον γέγονεν. οὕτω πανταχοῦ ὅσῳ ἐπεβουλεύετο, τοσούτῳ τὰ τούτων ηὔξει. εἰ μὴ τὴν πρεσβυτέραν ἔλαβεν, οὐκ ἂν ταχέως ἐγένετο τοσούτων παίδων πατήρ, ἀλλ' ἐν ἀπαιδίᾳ πολὺν ἂν εἵλκυσε χρόνον, καὶ ἐπεθύμησεν ἄν, καθάπερ καὶ ἡ γυνή. ἐκείνη μὲν γὰρ εἰκότως ἐπόθει, ἅτε μὴ γενομένη μήτηρ· οὗτος δὲ εἶχε παραμυθίαν, ὅθεν αὐτὴν καὶ διαχρύεται. πάλιν εἰ μὴ αὐτὸν ἀπεστέρησε τὸν μισθόν, οὐκ ἂν ἐπεθύμησεν ἰδεῖν τὴν αὐτοῦ, οὐκ ἂν ἐφάνη ἡ φιλοσοφία τοῦ ἀνδρός, οὐκ ἂν μᾶλλον ᾠκειώθησαν αὐτῷ. ὅρα γὰρ τί φασι· Καταβρώσει κατέφαγεν ἡμᾶς καὶ τὸ ἀργύριον ἡμῶν. ὥστε τοῦ φιλτέρου τοῦτο γέγονεν αἴτιον. δούλας εἶχε λοιπὸν ἀντὶ γυναικῶν, καὶ ἐφιλεῖτο παρ' αὐτῶν, οὗ οὐδὲν ἴσον κτῆμα γένοιτο ἄν. οὐδὲν γάρ, οὐδὲν ὄντως τοῦ οὕτω φιλεῖσθαι παρὰ γυναικὸς καὶ φιλεῖν τιμιώτερον. Καὶ γυνή, φησίν, ἀνδρὶ συμπεριφερομένη, ἐν τούτῳ τῶν μακαρισμῶν τίθησιν ὁ σοφός. τούτου γὰρ ὄντος πᾶς πλοῦτος, πᾶσα εὐπραγία περίεστιν· ὥσπερ οὖν μὴ ὄντος, τῶν ἄλλων οὐδὲν ὄφελος, ἀλλὰ πάντα ἀνατέτραπται καὶ ἀηδίας ἐστὶ μεστὰ καὶ συγχύσεως. οὐκοῦν καὶ ἡμεῖς τοῦτο πρὸ πάντων ζητῶμεν. ὁ χρήματα ζητῶν, οὐ ζητεῖ τοῦτο. ταῦτα ζητῶμεν, ἃ δύναται πάγια εἶναι. μὴ γάμον ζητῶμεν ἀπὸ εὐπόρων, ἵνα μὴ τῆς οὐσίας ἡ ἀμετρία φρόνημα τίκτῃ τῇ γυναικί, ἵνα μὴ τὸ φρόνημα διαφθορᾶς αἴτιον ᾖ. οὐχ ὁρᾷς τί ἐποίησεν ὁ Θεός, πῶς αὐτὴν ὑπέταξε; διὰ τί ἀγνώμων εἶ; διὰ τί ἀναίσθητος; ὅπερ ἐχαρίσατό σοι ἀπὸ τῆς φύσεως, τοῦτο σὺ μὴ διαφθείρῃς τὴν βοήθειαν. ὥστε οὐκ εὔπορον δεῖ ζητεῖν, ἀλλ' ὥστε κοινωνὸν βίου λάβωμεν εἰς κατάστασιν παιδοποιΐας. οὐχ ἵνα χρήματα εἰσφέρῃ γυνή, διὰ τοῦτο αὐτὴν ἔδωκεν ὁ Θεός, ἀλλ' ἵνα ᾖ βοηθός. ἡ δὲ χρήματα εἰσφέρουσα, καὶ ἐπίβουλος καὶ δέσποινα ἀντὶ γυναικὸς γίνεται, ἣ τάχα θηρίον ἀντὶ γυναικός, ἀξιοῦσα μεγάλα διὰ τὸν πλοῦτον φρονεῖν. οὐδὲν αἴσχιον ἀνδρὸς οὕτω βουλομένου πλουτεῖν. εἰ γὰρ αὐτὸ τὸ πλουτεῖν πειρασμὸν γέμει, τὸ οὕτω πλουτεῖν ποῦ θήσομεν; μὴ γὰρ εἰ τις πολλάκις καὶ παρὰ τὸ συμβαῖνον καὶ παρὰ λόγον ἐπέτυχε, τοῦτο ἴδῃς (οὐδὲ γὰρ ἐν τοῖς ἄλλοις πράγμασιν οἷς ἀπολαύουσί τινες καὶ ἐκ παραδόξου ἐπιτυγχάνουσι, προσέχειν δεῖ) ἀλλ' αὐτὸ τὸ κατὰ λόγον ἴδωμεν, εἰ μὴ μυρίας ἀηδίας γέμει τὸ πρᾶγμα. οὐκ αὐτὸς μόνος ἐν ἀδοξίᾳ γίνῃ, ἀλλὰ καὶ παῖδας καταισχύνεις, πένητας ἀφείς, εἰ συμβαίη προαπελθεῖν, καὶ αὐτῇ πολλὰς δίδως ἀφορμὰς τῷ δευτέρῳ πάλιν προσομιλῆσαι νυμφίῳ. ἢ οὐχ ὁρᾷς ὅτι πολλαῖς αὕτη γέγονεν ἡ πρόφασις δευτέρου γάμου, τὸ μὴ καταφρονεῖσθαι, τὸ ζητεῖν τοὺς ἐφισταμένους τοῖς ὑπάρχουσι; μὴ δὴ τοσαῦτα ἐργαζώμεθα κακὰ διὰ χρήματα· ἀλλὰ πάντα ἀφῶμεν, καὶ ψυχὴν

χὴν

γρ. λανθάνει ὁ οἰν.

γρ. ... ἰωῆ τὴν

γρ. ἀποδημία

Γεν. λα. ιε.

Σειρ. κε. β.

γρ. τούτῳ γὰρ ὄντως

γρ. π

χος, ὅτι αὐτὸν ἀπήλλαξαν ἐγκλημάτων οἱ Φαρισαῖοι, καὶ ἐψηφίσαντο ὑπὲρ αὐτοῦ, καὶ μετὰ πλείονος παρρησίας ἁρπάζει αὐτόν. καὶ αὕτη δὲ εἰρημένη Παύλῳ φιλοσοφίας ἐγκώμιον. τῇ δὲ ἐπιούσῃ νυκτὶ ἐπιστὰς αὐτῷ ὁ Κύριος εἶπε· θάρσει, Παῦλε· ὡς γὰρ διεμαρτύρω τὰ περὶ ἐμοῦ εἰς Ἱερουσαλήμ, οὕτω σε δεῖ καὶ εἰς Ῥώμην μαρτυρῆσαι. ὅρα πόση ἡ παράκλησις. πρῶτον αὐτὸν ἐπαινεῖ, εἶτα οὐκ ἀφίησιν οὐδὲ τὸ ἄδηλον τῆς ἀποδημίας φοβηθῆναι τῆς ἐπὶ Ῥώμην. ὥσπερ εἰ ἔλεγεν· οὐκ ἀπολεῖσθαι μόνον κακῶς, ἀλλὰ καὶ τοσαύτῃ χρήσῃ παρρησίᾳ. ἐντεῦθεν οὐχ ὅτι σωθήσεται μόνον ἐδηλοῦτο, ἀλλ' ὅτι καὶ ἐπὶ μεγάλοις [μαρτυρήσει] στεφάνοις ἐν τῇ μεγάλῃ πόλει. διατί δὲ οὐ πρὶν ἢ ἐμπεσεῖν εἰς τὸν κίνδυνον ἐφάνη αὐτῷ; ὅτι ἀεὶ ἐν ταῖς θλίψεσι παρακαλεῖ ὁ Θεός. τότε γὰρ ποθεινότερος φαίνεται, καὶ ἐν τοῖς κινδύνοις ἐγυμνάζει ἡμᾶς. ἄλλως δὲ, τότε μὲν ἐν ἀνέσει ἦν ἀφεθεὶς τῶν δεσμῶν· νῦν δὲ ἔμελλεν αὐτὸν διαδέχεσθαι δεινά. ὅτι ἀνεθεμάτισαν ἑαυτούς, φησι, μὴ φαγεῖν, μηδὲ πιεῖν. βαβαί, πόση μανία; ἑαυτοὺς τῷ ἀναθέματι ὑποβάλλουσιν ἀλογίστως. ὅπως καταγάγῃ αὐτόν, φησι, πρὸς ὑμᾶς, ὡς μέλλοντας ἀκριβέστερον διαγινώσκειν τὰ περὶ αὐτοῦ. τί λέγεις; οὐχὶ δεύτερον πρὸς ὑμᾶς ἐδημηγόρησεν; οὐχὶ Φαρισαῖον ἑαυτὸν εἶπε; τί οὖν τὸ περιττόν; οὕτως οὐδὲν ἐφοβοῦντο, οὐ δικαστήρια, οὐ νόμους. οὕτως οὐδὲν αὐτοῖς ἀτόλμητον ἦν. καὶ τὴν γνώμην εἰσηγοῦνται, καὶ τὴν πρᾶξιν ἐπαγγέλλονται. ἀκούσας δὲ ὁ υἱὸς τῆς ἀδελφῆς Παύλου τὸ ἔνεδρον. τοῦτο τῆς τοῦ Θεοῦ οἰκονομίας ἦν λοιπόν, τὸ μὴ συνιδεῖν αὐτοὺς ὅτι ἀκούσεται. τί οὖν ὁ Παῦλος; οὐκ ἐθορυβήθη, ἀλλὰ συνειδὼς ὅτι Θεοῦ ἐστιν ἔργον τοῦτο· καὶ τὸ πᾶν ἐπ' αὐτὸν ῥίψας, "οὕτως ἑαυτὸν ἀφίησι. σκόπει πῶς εἰς ἀγαθὸν πάντα ὁ Θεὸς ᾠκονόμησεν. εἶπεν ὁ νεανίας τὴν ἐπιβουλήν· ἐπιστεύθη, καὶ οὕτω λοιπὸν διασώζεται Παῦλος. καὶ εἰ ἀφέθη, φησί, τῆς αἰτίας, διατί οὐ τοὺς κατηγόρους ἔπεμψεν; ὥστε ἀκριβεστέραν γενέσθαι τὴν ἐξέτασιν, ὥστε μᾶλλον "καθαρθῆναι τὸν ἄνδρα.

γρ. εἶχεν ἐξ ἔργου τὴν πεῖραν. καί.

χ. θηριῶσαι

ΗΘΙΚΟΝ

Γεν. λθ. ια.

Τοιαῦται αἱ τοῦ Θεοῦ οἰκονομίαι· δι' ὧν βλαπτόμεθα, διὰ τούτων ὠφελούμεθα. οὕτω καὶ Ἰωσὴφ ἐπεβουλεύετο ὑπὸ τῆς δεσποίνης. καὶ ἐδόκει μὲν ἐπιβουλεύειν, ἐπιβουλεύουσα δὲ ἐν ἀσφαλείᾳ κατέστησεν αὐτόν. τῆς γὰρ οἰκίας, ἔνθα τὸ θηρίον ἐκεῖνο ἐτρέφετο, πολλῷ τὸ δεσμωτήριον ἡμερώτερον ἦν. ἐκεῖ μὲν γὰρ ὤν, εἰ καὶ ἐν θεραπείᾳ ἦν, ἀλλ' ἐν φόβῳ διηνεκεῖ μήποτε ἐπιθῆται ἡ δέσποινα, καὶ δεσμωτηρίου χαλεπώτερον αὐτῷ ὁ φόβος ἐπέκειτο· μετὰ δὲ τὴν κατηγορίαν ἐν ἀδείᾳ λοιπὸν καὶ ἡσυχίᾳ ἦν, ἀπαλλαγεὶς ἐκείνου τοῦ θηρίου καὶ τῆς ἀσχημοσύνης καὶ τῆς ἐπιβουλῆς. βέλτιον γὰρ αὐτῷ ἦν τοῖς ταλαιπωρημένοις ἀνθρώποις συνεῖναι, ἢ μαινομένῃ δεσποίνῃ. ἐνταῦθα μὲν οὖν παρεμυθεῖτο ἑαυτόν, ὅτι διὰ σωφροσύνην ἐνέπεσεν· ἐκεῖ δὲ ἐδεδοίκει, μὴ περὶ τὴν ψυχὴν λάβῃ τὴν πληγήν. οὐδὲν γὰρ ἐπαχθέστερον ἐρωμένης νέῳ μὴ βουλομένῳ, οὐδὲν ἐναγέστερον, οὐδὲν βαρύτερον· πάντων δεσμῶν τοῦτο χαλεπώτερον. ὥστε οὐκ εἰς δεσμωτήριον ἐνέπεσεν, ἀλλὰ δεσμωτηρίου ἀπηλλάγη· ἐξεπολέμωσεν αὐτῷ τὸν δεσπότην, ἀλλὰ κατήλλαξε τὸν Θεόν, οἰκειότερον αὐτὸν κατέστησε τῷ ὄντως δεσπότῃ, τῷ ἀληθινῷ· ἐξέβαλε τῆς ἐπιστασίας τῆς ἐν τῇ οἰκίᾳ· ἀλλ' ᾠκείωσε τῷ δεσπότῃ. πάλιν οἱ ἀδελφοὶ ἐπώλησαν, ἀλλ' ἀπήλλαξαν αὐτὸν συνοικούντων ἐχθρῶν, φθόνου καὶ βασκανίας πολλῆς, ἐπιβουλῆς καθημερινῆς, μακρὰν κατέστησαν αὐτὸν τῶν μισούντων. τί γὰρ τούτου χεῖρον, ὅταν τις ἀδελφοῖς φθονοῦσι συνοικεῖν ἀναγκάζηται; ὅταν δι' ὑποψίας ᾖ; ὅταν ἐπιβουλεύηται; ὥστε ἕτερα μὲν ἐποίουν καὶ οὗτοι, κἀκείνη, ἕτερα δὲ ᾠκονομεῖτο ὑπὲρ τοῦ δικαίου μεγάλα. ὅτε ἦν ἐν τιμῇ, τότε ἦν ἐν κινδύνῳ· ὅτε ἦν ἐν "ἀτιμίᾳ, τότε ἦν ἐν ἀσφαλείᾳ. οὐκ ἐμνημόνευσαν αὐτοῦ οἱ εὐνοῦχοι· καὶ καλῶς, ἵνα λαμπροτέρα γένηται τῆς ἐξόδου ἡ ὑπόθεσις· ἵνα μὴ χάριτι ἀνθρωπίνῃ, ἀλλ' οἰκονομίᾳ θείᾳ τὸ πᾶν λογίζηται· ἵνα εὐκαίρως εἰς χρείαν καταστὰς ἐξαγάγῃ· ἵνα μὴ εὐεργέτην, ἀλλ' εὐεργετούμενος αὐτὸν ἐκβάλῃ τοῦ δεσμωτηρίου ὁ Φαραώ. οὐκ ἔδει δοῦλον γενέσθαι τὸ δῶρον, ἀλλ' εἰς ἀνάγκην κα-

γρ. ἀθυμίᾳ

ταστῆναι

νων. καὶ ὅρα κακίας ὑπερβολήν. οὐ μόνον ἀλλήλους διαφθείραντες ἀρνοῦνται, ἀλλὰ καὶ τὸν ἄρχοντα συνδιαφθεῖραι ἐπιχειροῦσι. διὰ τοῦτο ᾠκονομήθη, ὥστε κἀκεῖνον μαθεῖν αὐτῶν τὴν ἐπιβουλήν· αὐτοὶ δὲ οὐ μόνον ἐκ τοῦ μηδὲν ἔχειν εἰπεῖν, ἀλλὰ καὶ ἐκ τοῦ λάθρα ἐπιχειρεῖν, ἤλεγξαν ἑαυτοὺς οὐδὲν ὄντας. εἰκὸς δὲ καὶ μετὰ τὸ ἀποστεῖλαι αὐτὸν, προσελθεῖν τοὺς ἀρχιερεῖς αἰτοῦντας, καὶ καταισχυνθῆναι ἀπράκτους ἀπολυθέντας. εἰκότως δὲ τοῦτο ποιεῖ ὁ χιλίαρχος. οὐ γὰρ δὴ ἐβούλετο οὔτε ″ἀρνήσασθαι, οὔτε ἐπινεῦσαι. καὶ πῶς, φησιν, ἐπίστευσεν ἀληθῆ εἶναι τὰ ἀπαγγελθέντα παρὰ τοῦ νεανίου; ἐκ τῶν ἤδη γενομένων ἐστοχάσατο, ὅτι καὶ τοῦτο εἰκὸς ἦν αὐτοὺς ποιῆσαι. καὶ ὅρα τὴν κακουργίαν, ὥσπερ ἀνάγκην καὶ τοῖς ἀρχιερεῦσιν ἐπέστησαν, καὶ μὴ θαυμάσῃς. εἰ γὰρ τοσοῦτον εἵλοντο αὐτοὶ, καὶ τὸν κίνδυνον διεδέξαντο πάντα· πολλῷ μᾶλλον καὶ ἐκείνους τοῦτο ποιῆσαι εἰκὸς ἦν. ὁρᾷς πῶς διὰ τῆς ψήφου τῶν ἔξω ἀθῷος γίνεται ὁ Παῦλος, ὡς καὶ ὁ Χριστὸς παρὰ Πιλάτου; ἀλλ᾽ ὅρα καὶ τὴν κακίαν ὑφ᾽ ἑαυτῆς αἱρουμένην. παρέδωκαν μὲν γὰρ αὐτὸν, ὥστε καὶ ἀνελεῖν καὶ καταδικάσαι· γίνεται δὲ τοὐναντίον, καὶ σώζεται, καὶ ἀθῷος εὑρίσκεται. εἰ γὰρ μὴ οὕτω, κἂν διεσπάσθη· εἰ μὴ οὕτω, κἂν ἀπώλετο, κἂν κατεδικάσθη. οὐ μόνον δὲ ἐκείνης αὐτὸν τῆς ὁρμῆς ἐξαιρεῖται ὁ χιλίαρχος, ἀλλὰ καὶ ὑπηρέτης αὐτῷ γίνεται, ὥστε ἀκινδύνως διασωθῆναι μετὰ τοσαύτης παρατάξεως. καὶ ὅπως, ἄκουε. ἐπάγει γάρ·

χ. χαρίσασθαι

23 Καὶ προσκαλεσάμενος δύο τινὰς τῶν ἑκατοντάρχων, εἶπεν· ἑτοιμάσατέ μοι στρατιώτας διακοσίους, ὅπως πορευθῶσιν εἰς Καισάρειαν, καὶ ἱππεῖς ἑβδομήκοντα, καὶ δεξιολάβους διακοσίους ἀπὸ τρίτης ὥρας τῆς νυκτός,

24 Κτήνη τε παραστῆσαι, ἵνα ἐπιβιβάσαντες τὸν Παῦλον, ″ἀγάγωσι πρὸς Φήλικα τὸν ἡγεμόνα,

χ. διασώσωσι πρὸς Φήλικα

25 Γράψας ἐπιστολὴν περιέχουσαν τὸν τύπον τοῦτον·

26 Κλαύδιος Λυσίας τῷ κρατίστῳ ἡγεμόνι Φήλικι χαίρειν.

27 Τὸν ἄνδρα τοῦτον συλληφθέντα ὑπὸ τῶν Ἰουδαίων, καὶ μέλλοντα ἀναιρεῖσθαι ὑπ᾽ αὐτῶν, ἐπιστὰς σὺν τῷ στρατεύματι ἐξειλόμην, μαθὼν ὅτι Ῥωμαῖός ἐστι.

28 Βουλόμενος δὲ ″γνῶναι τὴν αἰτίαν δι᾽ ἣν ἐνεκάλουν αὐτῷ, κατήγαγον αὐτὸν εἰς τὸ συνέδριον αὐτῶν.

χ. ἐπιγνῶναι

29 Ὃν εὗρον ἐγκαλούμενον περὶ ζητημάτων τοῦ νόμου αὐτῶν, μηδὲν δὲ ἄξιον θανάτου, ἢ δεσμῶν ἔγκλημα ἔχοντα.

30 Μηνυθείσης δέ μοι ἐπιβουλῆς μέλλειν ἔσεσθαι εἰς τὸν ἄνδρα ὑπὸ τῶν ″Ἰουδαίων, ἐξαυτῆς ἔπεμψα πρὸς σέ, παραγγείλας καὶ τοῖς κατηγόροις λέγειν τὰ πρὸς αὐτὸν ἐπὶ σοῦ. ἔρρωσο.

χ. -δαίων, ἐξ αὐτῶν ἐπεμ-

Ὅρα καὶ τὴν ἐπιστολὴν ἀπολογίαν ἔχουσαν μὲν ὑπὲρ αὐτοῦ (οὐδὲν γὰρ, φησιν, εὗρον ἄξιον θανάτου ἔγκλημα ἔχοντα) κατηγορίαν δὲ κατ᾽ ἐκείνων νῦν κατὰ τοῦτο· οὕτως ἐθανάτων. καὶ προστίθησι, φησιν, ὅτι μέλλοντα ἀναιρεῖσθαι ὑπὸ τῶν Ἰουδαίων ἐξειλόμην· εἶτα προστίθησιν ὅτι καὶ κατήγαγον αὐτὸν πρὸς αὐτοὺς, καὶ οὐδ᾽ οὕτως εὗρόν τι ἐγκαλέσαι ἐκεῖνοι. καὶ δέον ὑπὸ τοῦ προτέρου καταπλαγῆναι καὶ καταισχυνθῆναι, πάλιν ἐπιχειροῦσιν ἀνελεῖν· ὥστε πάλιν λαμπρότερον γενέσθαι τὸν ὑπὲρ αὐτοῦ λόγον. καὶ τί δή ποτε τοὺς κατηγόρους πέμπει; ἵνα ἐν τῷ δικαστηρίῳ, ἔνθα ταῦτα ἀκριβέστερον γυμνάζεται, ἀθῷος φανῇ. ἴδωμεν τοίνυν ἄνωθεν τὰ εἰρημένα. ἐγώ, φησι, Φαρισαῖός εἰμι. τοῦτο εἶπεν, ὥστε αὐτοὺς ἐπισπάσασθαι. εἶτα ἵνα μὴ δόξῃ κολακεύειν, ἐπάγει· περὶ ἐλπίδος καὶ ἀναστάσεως νεκρῶν ἐγὼ κρίνομαι. ἀπὸ τῆς κατηγορίας αὐτῶν καὶ τῆς διαβολῆς συνίστησιν ἑαυτόν. Σαδδουκαῖοι μὲν γὰρ λέγουσι μὴ εἶναι ἄγγελον, μήτε πνεῦμα. οὐδὲν ἀσώματον ἴσασι Σαδδουκαῖοι, τάχα οὐδὲ τὸν Θεόν, παχεῖς τινες ὄντες. ὅθεν οὐδὲ ἀνάστασιν βούλονται εἶναι πιστεύειν. καὶ ἀναστάντες, φησὶ, γραμματεῖς τοῦ μέρους τῶν Φαρισαίων, διεμάχοντο λέγοντες· οὐδὲν κακὸν εὑρίσκομεν ἐν τῷ ἀνθρώπῳ τούτῳ. ὅρα, ἀκούει καὶ ὁ χιλίαρ-

13 Ἦσαν δὲ πλείους τεσσαράκοντα οἱ ταύτην τὴν συνωμοσίαν πεποιηκότες.

Ἀνεθεμάτισαν ἑαυτούς, φησίν. ὁρᾷς πῶς εἰσι σφοδροὶ καὶ ἀμυντικοὶ περὶ τὴν κακίαν; τί ἐστιν, ἀνεθεμάτισαν; ἀντὶ τοῦ, ἔξω εἶναι τῆς εἰς Θεὸν πίστεως εἶπον, εἰ μὴ τὸ δόξαν κατὰ Παύλου ποιήσαιεν. ἄρα διαπαντὸς εἰσὶν ἀνατεθεματισμένοι ἐκεῖνοι. οὐ γὰρ ἀπέκτειναν τὸν Παῦλον. καὶ τεσσαράκοντα ὁμοῦ συνέρχονται. τοιοῦτον γάρ τὸ ἔθνος, ὅταν μὲν ἐπὶ ἀγαθῷ δέῃ συμφωνῆσαι, οὐδὲ δύο συντρέχουσιν· ὅταν δὲ ἐπὶ κακῷ, δῆμος ὁλόκληρος. καὶ λαμβάνουσι κοινωνοὺς καὶ τοὺς ἄρχοντας. διὸ καὶ τοῦτο δηλῶν ἐπήγαγεν·

14 Οἵτινες προσελθόντες τοῖς ἀρχιερεῦσι καὶ τοῖς πρεσβυτέροις, εἶπον· ἀναθέματι ἀνεθεματίσαμεν ἑαυτοὺς μηδενὸς γεύσασθαι, ἕως οὗ ἀποκτείνωμεν τὸν Παῦλον.

15 Νῦν οὖν ὑμεῖς ἐμφανίσατε τῷ χιλιάρχῳ σὺν τῷ συνεδρίῳ ὅπως αὔριον αὐτὸν καταγάγῃ πρὸς ὑμᾶς, ὡς μέλλοντας διαγινώσκειν ἀκριβέστερον τὰ περὶ αὐτοῦ. ἡμεῖς δὲ πρὸ τοῦ ἐγγίσαι αὐτόν, ἕτοιμοί ἐσμεν τοῦ ἀνελεῖν αὐτόν. χ. σὺν

16 Ἀκούσας δὲ ὁ υἱὸς τῆς ἀδελφῆς Παύλου τὸ ἔνεδρον, παραγενόμενος καὶ εἰσελθὼν εἰς τὴν παρεμβολήν, ἀπήγγειλε τῷ Παύλῳ.

17 Προσκαλεσάμενος δὲ ὁ Παῦλος ἕνα τῶν ἑκατοντάρχων, ἔφη· τὸν νεανίαν τοῦτον ἀπάγαγε πρὸς τὸν χιλίαρχον. ἔχει γάρ τι ἀπαγγεῖλαι αὐτῷ.

18 Ὁ μὲν οὖν παραλαβὼν αὐτόν, ἤγαγε πρὸς τὸν χιλίαρχον. Πάλιν δὲ ἀνθρωπίνης σύνεσιν προμηθείας. καὶ ὅρα· ὁ Παῦλος οὐδένα ἀφίησι μαθεῖν, οὐδὲ τὸν ἑκατόνταρχον, ὥστε μὴ τὸ πρᾶγμα γενέσθαι διάδηλον. καὶ ἐλθὼν ὁ ἑκατόνταρχος, ἀπήγγειλε τῷ χιλιάρχῳ, λέγων· Ὁ δέσμιος Παῦλος προσκαλεσάμενός με, ἠρώτησε τοῦτον τὸν νεανίαν ἀγαγεῖν πρὸς σέ, ἔχοντά τι λαλῆσαί σοι. χ. καὶ φησιν ὁ δέσμ.

19 Ἐπιλαβόμενος δὲ τῆς χειρὸς αὐτοῦ ὁ χιλίαρχος καὶ ἀναχωρήσας κατ᾽ ἰδίαν, ἐπυνθάνετο, τί ἐστιν ὃ ἔχεις ἀπαγγεῖλαί μοι;

20 Εἶπε δέ, ὅτι Ἰουδαῖοι συνέθεντο τοῦ ἐρωτῆσαί σε ὅπως αὔριον τὸν Παῦλον καταγάγῃς εἰς τὸ συνέδριον ὡς μέλλοντές τι ἀκριβέστερον πυνθάνεσθαι περὶ αὐτοῦ. χ. μελλόντων

21 Σὺ οὖν μὴ πεισθῇς αὐτοῖς. ἐνεδρεύουσι γὰρ αὐτὸν ἄνδρες ἐξ αὐτῶν πλείους τεσσαράκοντα, οἵτινες ἀνεθεμάτισαν ἑαυτοὺς μήτε φαγεῖν, μήτε πιεῖν, ἕως οὗ ἀνέλωσι τὸν Παῦλον. καὶ νῦν ἕτοιμοί εἰσι προσδεχόμενοι τὴν παρὰ σοῦ ἐπαγγελίαν. χ. πεῖν

22 Ὁ μὲν οὖν χιλίαρχος ἀπέλυσε τὸν νεανίαν, παραγγείλας μηδενὶ ἐκλαλῆσαι, ὅτι ἐνεφάνισας ταῦτα πρός με. Καλῶς ὁ χιλίαρχος κελεύει κρύψαι, ὥστε μὴ γενέσθαι δῆλον· καὶ τότε λέγει τοῖς ἑκατοντάρχοις, ὅτι καὶ γενέσθαι ἐχρῆν, καὶ πέμπεται λοιπὸν ἐν Καισαρείᾳ, ἵνα κἀκεῖ διαλεχθῇ ἐπὶ μείζονος θεάτρου καὶ λαμπροτέρου τοῦ ἀκροατηρίου· ἵνα μὴ ἔχωσι λέγειν οἱ Ἰουδαῖοι, ὅτι εἰ εἴδομεν Παῦλον, ἐπιστεύσαμεν ἄν, εἰ ἠκούσαμεν αὐτοῦ διδάσκοντος. καὶ αὕτη οὖν αὐτοῖς ἐντεῦθεν ἡ ἀπολογία ἐκκόπτεται. καὶ ἐπιστάς, φησίν, ὁ Κύριος εἶπεν αὐτῷ· θάρσει· ὡς γὰρ διεμαρτύρω τὰ περὶ ἐμοῦ εἰς Ἱερουσαλήμ, οὕτω σε δεῖ καὶ εἰς Ῥώμην μαρτυρῆσαι. ὅρα, καὶ μετὰ τὸ φανῆναι πάλιν ἀφίησιν αὐτὸν ἀνθρωπίνως σωθῆναι. καὶ ἄξιον ἐκπλαγῆναι τὸν Παῦλον, πῶς οὐκ ἐθορυβήθη, οὐδὲ εἶπε, τί δή τοῦτό ἐστιν; ἆρα μὴ ἠπάτημαι παρὰ τοῦ Χριστοῦ; ἀλλ᾽ οὐδὲν τοιοῦτον ἐνενόησεν, οὐδὲ ἔπαθεν, ἀλλὰ μόνον ἐπίστευσεν. οὐ μὴν ἐπειδὴ ἐπίστευσεν, ὕπνωσεν· ἀλλὰ τὰ ἐνόντα ἐξ ἀνθρωπίνης σοφίας συνεισέφερε. καὶ σκόπει πῶς ἀνάγκην τινὰ ἑαυτοῖς ἐκεῖνοι περιέθηκαν διὰ τοῦ ἀναθεματισμοῦ. ἰδοὺ νηστεία ἀνδροφονίας μήτηρ. καθάπερ ὁ Ἡρώδης ἀνάγκην τὴν ἀπὸ τοῦ ὅρκου ἑαυτῷ ἐπέθηκεν, οὕτω δὴ καὶ οὗτοι. τοιαῦτα γὰρ τὰ διαβολικὰ θηράματα· προσχήματι δῆθεν εὐλαβείας τὰς παγίδας τίθησι. καὶ μὴν ἐχρῆν προσελθεῖν, ἐχρῆν αἰτιάσασθαι, δικαστήριον συγκροτῆσαι. ταῦτα γὰρ οὐχ ἱερέων, ἀλλὰ λῃστάρχων· ταῦτα οὐκ ἀρχόντων, ἀλλὰ λυμεώνων. χ. σοφίας

Λογ. μθ. 6 ΓΝΟΥΣ ΔΕ Ο ΠΑΥΛΟΣ ΟΤΙ ΤΟ ΕΝ ΜΕ-
ρος ἐστὶ Σαδδουκαίων, τὸ δὲ ἕτερον Φαρισαίων, ἔκραξεν ἐν τῷ συνεδρίῳ·
ἄνδρες ἀδελφοί, ἐγὼ Φαρισαῖός εἰμι, υἱὸς Φαρισαίου· περὶ ἐλπίδος καὶ ἀ-
ναστάσεως νεκρῶν ἐγὼ κρίνομαι. 7 Ταῦτα δὲ αὐτοῦ λαλήσαντος, ἐγέ-
νετο στάσις τῶν Σαδδουκαίων καὶ Φαρισαίων, καὶ ἐσχίσθη τὸ πλῆθος.
8 Σαδδουκαῖοι μὲν γὰρ λέγουσι μὴ εἶναι ἀνάστασιν, μηδὲ ἄγγελον, μήτε
πνεῦμα· Φαρισαῖοι δὲ ὁμολογοῦσι τὰ ἀμφότερα.

Πάλιν ἀνθρωπίνως διαλέγεται, καὶ οὐ πανταχοῦ τῆς χάριτος ἀπολαύει, ἀλλὰ καὶ παρ' ἑαυτοῦ τι συγχωρεῖται εἰσφέρειν. ὃ δὴ καὶ ποιεῖ καὶ ἐν τούτῳ, καὶ ἐν τῷ μετὰ ταῦτα ἀπολογεῖται, βουλόμενος σχίσαι τὸ πλῆθος τὸ κακῶς ὁμονοοῦν κατ' αὐτοῦ. καὶ οὐ ψεύδεται οὐδὲ ἐνταῦθα, Φαρισαῖον ἑαυτὸν λέγων. Φαρισαῖος γὰρ ἦν ἐκ προγόνων. διὰ τοῦτο καὶ οὕτως ἀπολογεῖται· Φαρισαῖος ἐγώ εἰμι, υἱὸς Φαρισαίου, καὶ περὶ ἐλπίδος καὶ ἀναστάσεως νεκρῶν ἐγὼ κρίνομαι. ἐπειδὴ γὰρ ἐκεῖνοι οὐκ ἐβούλοντο εἰπεῖν, διατί κρίνουσιν αὐτὸν, ἀναγκάζεται λοιπὸν αὐτοὺς ἐξειπεῖν. Φαρισαῖοι δέ, φησιν, ὁμολογοῦσι τὰ ἀμφότερα. καίτοι τρία ἐστί· πῶς οὖν λέγει ἀμφότερα; ἢ ὅτι πνεῦμα καὶ ἄγγελος ἕν ἐστιν, ἢ ὅτι οὐ μόνον ἡ λέξις περὶ δύο, ἀλλὰ καὶ περὶ τριῶν λαμβάνεται. καταχρηστικῶς οὖν οὕτως εἶπε, καὶ οὐ κυριολογῶν. καὶ ὅρα, ὅτε μετ' αὐτῶν ἦν, τότε ἀπολογοῦνται ὑπὲρ αὐτοῦ.

χ. πνεῦμα καὶ ἄγγελος ἕν φησι. καὶ ὅρα ὅτι

9 Ἐγένετο γάρ, φησι, κραυγὴ μεγάλη· καὶ ἀναστάντες τινὲς τῶν γραμματέων τοῦ μέρους τῶν Φαρισαίων, διεμάχοντο λέγοντες· οὐδὲν κακὸν εὑρίσκομεν ἐν τῷ ἀνθρώπῳ τούτῳ. εἰ δὲ πνεῦμα ἐλάλησεν αὐτῷ ἢ ἄγγελος, μὴ θεομαχῶμεν. Καὶ διατί μὴ πρὸ τούτου ὑπὲρ αὐτοῦ ἀπελογήσαντο; ὅτι αὐτοῖς οὔπω συνεμίγνυτο, οὐδὲ δῆλον ἦν, πρὶν ἀπολογήσεται, Φαρισαῖος ἄνωθεν ὤν. ὁρᾷς ὅταν τὰ πάθη ὑποχωρήσῃ, πῶς ἡ ἀλήθεια εὑρίσκεται; ὃ δὲ λέγουσι, τοῦτό ἐστι· ποῖον ἔγκλημα, εἰ ἄγγελος αὐτῷ ἐλάλησεν, εἰ πνεῦμα, καὶ ὑπ' αὐτοῦ κατηχηθεὶς, οὕτω τὰ περὶ ἀναστάσεως ἐκδιδάσκει; οὐκοῦν αὐτοῦ ἀποστῶμεν, μὴ αὐτῷ πολεμοῦντες καὶ θεομάχοι εὑρεθῶμεν. ὅρα συνετῶς αὐτοὺς ὑπεραπολογουμένους, καὶ τὸν Παῦλον οὐδεμίαν αὐτοῖς διδόντα λαβήν.

ἴσ. δῆλος χ. πρὶν δῆλα... ται λόγον Φαρισαῖος ὤν.

10 Πολλῆς δὲ γινομένης στάσεως, φοβηθεὶς ὁ χιλίαρχος μὴ διασπασθῇ ὁ Παῦλος ὑπ' αὐτῶν, ἐκέλευσε τὸ στράτευμα καταβὰν ἁρπάσαι αὐτὸν ἐκ μέσου αὐτῶν, ἄγειν τε εἰς τὴν παρεμβολήν. Φοβεῖται λοιπὸν ὁ χιλίαρχος μὴ διασπασθῇ, ἐπειδὴ εἶπεν ὅτι Ῥωμαῖός ἐστιν· ὅθεν καὶ οὐκ ἀκίνδυνον ἦν τὸ πρᾶγμα. ὁρᾷς ὅτι δικαίως ὡμολόγησεν ἑαυτὸν Ῥωμαῖον εἶναι; εἰ γὰρ μὴ, οὐδὲ νῦν ἐφοβήθη. καὶ τὸ μὲν στράτευμα λοιπὸν ἁρπάζει αὐτόν. ὡς δὲ εἶδον οἱ μιαροὶ πάντα λύοντα, δι' ἑαυτῶν τὸ πᾶν ποιοῦσι, βουληθέντες μὲν καὶ πρὸ τούτου, κωλυθέντες δέ. οὕτως οὐδαμοῦ ἵσταται ἡ κακία τοσούτοις ἐγκοπτομένη. καίτοι πόσα ᾠκονομήθη, ὥστε καὶ τοῦ θυμοῦ καθυφεῖναι, καὶ μαθεῖν δι' ὧν ἐδύναντο ἀνενεγκεῖν; ἀλλ' οὐδὲν πλέον ἐφίσταται. ἰσχυρὰ γοῦν ἐκείνη ἡ ἀπολογία, τὸ μέλλοντα διασπᾶσθαι τὸν ἄνθρωπον ἁρπάζεσθαι, καὶ τοσούτους κινδύνους διαφυγεῖν.

χ. εὐλαβηθεὶς

χ. εἰ γὰρ αὖ μὴ, οὐδὲ νῦν ἔφοβος.

χ. ὡς ἴδιον οἶμαι· διὰ ταῦτα

11 Τῇ δὲ ἐπιούσῃ νυκτὶ ἐπιστὰς αὐτῷ ὁ Κύριος, εἶπε· θάρσει, Παῦλε· ὡς γὰρ διεμαρτύρω τὰ περὶ ἐμοῦ εἰς Ἱερουσαλήμ, οὕτω σε δεῖ καὶ εἰς Ῥώμην μαρτυρῆσαι.

12 Γενομένης δὲ ἡμέρας, ποιήσαντες οἱ Ἰουδαῖοι συστροφήν, ἀνεθεμάτισαν ἑαυτοὺς λέγοντες μὴ φαγεῖν, μηδὲ πιεῖν, ἕως οὗ ἀνέλωσι τὸν Παῦλον.

χ. -τὶς τινες τῶν Ἰουδαίων

εἰς δέον ἀναλίσκων τὰ χρήματα, οὗτός ἐστι μεγαλόψυχος. μεγάλη γὰρ ὄντως ψυχὴ ἡ μὴ πάθει δουλεύουσα, ἡ μηδὲν ἡγουμένη τὰ χρήματα εἶναι. πάλιν, ἡ οἰκονομία καλόν· οὕτω καὶ ὁ οἰκονομικὸς ἂν εἴη ἄριστος, ὁ εἰς δέον ἀναλίσκων, καὶ μὴ ἁπλῶς ἀνοικονομήτως. ἡ δὲ φειδωλία οὐκ ἔστι τοῦτο. ἐκεῖνος μὲν γὰρ πάντα εἰς τὸ δέον ἀναλίσκει· οὗτος δὲ οὐδὲ ἀναγκαίας ἀπαιτούσης χρείας, τῆς οὐσίας ἅπτεται τῶν χρημάτων. ὁ οἰκονομικὸς τοίνυν τοῦ μεγαλοψύχου γένοιτο ἂν ἀδελφός. οὐκοῦν ὁμοῦ τὸν μεγαλόψυχον θήσομεν καὶ τὸν οἰκονομικόν, καὶ τὸν ἄσωτον, καὶ τὸν μικρολόγον. ἀμφότεροι γὰρ ἀπὸ μικροψυχίας τοῦτο πάσχουσιν, ὥσπερ οὖν κἀκεῖνοι ἀπὸ μεγαλοψυχίας. μὴ δὴ μεγαλοψύχους καλῶμεν τοὺς ἀναλίσκοντας ἁπλῶς, ἀλλὰ τοὺς εἰς δέον ἀναλίσκοντας· μηδὲ τοὺς οἰκονομικοὺς μικρολόγους καὶ φειδωλούς, ἀλλὰ τοὺς ἀκαίρως φειδομένους τῶν χρημάτων. πόσα ὁ πλούσιος ἐκεῖνος ἀνάλωσεν, ὁ ἐνδιδυσκόμενος πορφύραν καὶ βύσσον; ἀλλ᾽ οὐκ ἦν μεγαλόψυχος. ὑπὸ γὰρ ὠμότητος κατείχετο ἡ ψυχὴ αὐτοῦ καὶ ὑπὸ μυρίων ἡδονῶν. ἡ δὲ τοιαύτη πῶς ἂν εἴη μεγάλη; μεγαλόψυχος ἦν ὁ Ἀβραάμ, εἰς ὑποδοχὴν ἀναλίσκων τῶν ξένων, καὶ μόσχον κατασφάττων, καὶ ἔνθα ἐχρῆν οὐ μόνον χρημάτων, ἀλλ᾽ οὐδὲ τῆς ψυχῆς τῆς αὐτοῦ φειδόμενος. ἂν τοίνυν ἴδωμέν τινα τράπεζαν παρατιθέντα πολυτελῆ, πόρνας τρέφοντα καὶ παρασίτους, μὴ μεγαλόψυχον καλέσωμεν τοῦτον, ἀλλὰ σφόδρα μικρόψυχον. ὅρα γὰρ ὅσοις δουλεύει καὶ ὑπόκειται πάθεσι, γαστριμαργίᾳ, ἡδονῇ ἀτόπῳ, κολακείᾳ· ὁ δὲ τοσούτοις κατεχόμενος, καὶ μηδὲν τούτων δυνάμενος διαφυγεῖν, πῶς ἄν τις μεγαλόψυχον καλέσειεν; ὥστε αὐτὸν τότε μάλιστα καλέσομεν μικρόψυχον, ὅταν μάλιστα ἀναλίσκῃ. ὅσῳ γὰρ ἂν μειζόνως ἀναλίσκῃ, τοσούτῳ δηλοῖ τὴν τυραννίδα τῶν παθῶν ἐκείνων. εἰ γὰρ μὴ σφόδρα αὐτοῦ ἐκράτουν, οὐκ ἂν σφόδρα ἀνάλωσε. πάλιν, ἂν ἴδωμέν τινα τύπον μὲν μηδενὶ μηδὲν παρέχοντα, πένητας δὲ τρέφοντα, καὶ τοῖς δεομένοις ἐπικουροῦντα, αὐτὸν δὲ τράπεζαν ἔχοντα εὐτελῆ, τοῦτον σφόδρα καλῶμεν μεγαλόψυχον. μεγάλης γὰρ ὄντως ψυχῆς, τῆς μὲν οἰκείας καταφρονεῖν ἀναπαύσεως, τῆς δὲ ἑτέρων φροντίζειν. εἰπὲ γάρ μοι· εἴ τινα ἴδοις τῶν μὲν τυράννων καταφρονοῦντα πάντων, καὶ οὐδὲν ἡγούμενον τὰ ἐκείνων ἐπιτάγματα, τοὺς δὲ ὑπ᾽ ἐκείνων τυραννουμένους ἐξέλκοντα, καὶ τοὺς κακῶς πάσχοντας, ἆρα οὐκ ἂν μέγαν ἡγήσαιο τοῦτον; οὕτω δὴ κἀνταῦθα λογιζώμεθα. τύραννός ἐστι τὰ πάθη. ἐὰν οὖν καταφρονήσωμεν αὐτῶν, μεγάλοι ἐσόμεθα· ἂν δὲ καὶ ἑτέρους ἐξελκύσωμεν, πολλῷ μείζους· εἰκότως. οἱ μὲν γὰρ οὐχ ἑαυτοῖς ἀρκοῦντες μόνον, ἀλλὰ καὶ ἑτέροις, μείζους τῶν μηδετέρῳ ποιούντων. ἂν δὲ ἐπιταττόμενός τις ὑπὸ τυράννου, τὸν μὲν τῶν ὑπηκόων τύπτῃ, τὸν δὲ ἕλκῃ, ἄλλον δὲ ὑβρίζῃ, ἆρα τοῦτο μεγαλοψυχίας ἐροῦμεν; οὐ δῆτα· καὶ τοσούτῳ πλέον, ὅσῳ ἂν μέγας ᾖ. οὕτω καὶ ἐφ᾽ ἡμῶν. νῦν μὲν γὰρ πρόκειται ἡ ψυχὴ εὐγενής τις οὖσα καὶ ἐλευθέρα· ταύτην δὲ ὁ ἄσωτος τύπτεσθαι κελεύει ὑπὸ τῶν παθῶν. τὸν οὖν ἑαυτὸν τύπτοντα, τοῦτον μεγαλόψυχον φήσομεν; οὐδαμῶς. οὐκοῦν μάθωμεν τίς μὲν ἡ μεγαλοψυχία, τίς δὲ ἡ ἀσωτία· τίς ἡ οἰκονομία, καὶ τίς ἡ μικρολογία· τίς ἡ ἐπιείκεια, * καὶ ἀνανδρία· τίς παρρησία, καὶ τίς θρασύτης· ἵνα ταῦτα ἀπ᾽ ἀλλήλων διελόντες, δυνηθῶμεν εὐαρέστως τῷ Κυρίῳ τὸν παρόντα βίον διαγαγεῖν, καὶ τῶν μελλόντων ἐπιτυχεῖν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γ. ἔχοντα

γ. μέγαν ἡγήσαιο τοῦτον;

γ. ἀλλὰ καὶ σφοδροτάτης δουλείας, ὅτε

γ. ταύτῃ

* καὶ τίς ... γ. -εἰς ἀνανδρίαν, καὶ

Λογ. μθ.

Digitized by Google

ξαινατῶντα, καὶ οὐχ ὑπομένειν. οὐκ ᾔδειν, φησὶν, ὅτι ἀρχιερεύς ἐστιν. ἄρα ἀγνοίας ἡ ἐπιτίμησις ἦν. Εἰ γὰρ μὴ τοῦτο ἦν, καὶ λαβὼν αὐτὸν ἀπῆλθε καὶ οὐκ ἐσίγησεν, καὶ διέδωκεν αὐτοῖς αὐτὸν ὁ χιλίαρχος. ἐνταῦθα δείκνυσιν, ὅτι εἶχεν πάλιν ἃ πάσχει, καὶ οὕτως ἀπολογεῖται περὶ αὐτῶν τῷ νόμῳ πειθόμενος, οὐχὶ αὐτοῖς ἐνδείξασθαι βουλόμενος· ἐπεὶ ἐκείνων καὶ κατηγορικὸς σφόδρα. διὰ τὸν νόμον τοίνυν ἀπολογεῖται, ἀλλ' οὐ διὰ τὸν δῆμον· εἰκότως. ὃ γὰρ τὸν οὐδὲν ἠδικηκότα ἀναιρεῖν, καὶ ταῦτα ἀθρόον ὄντα, παραγομούντων. οὐκοῦν οὐδὲ ὕβρις ὃ παρ' αὐτοῦ εἰρημένον, εἰ μὴ καὶ τὰ τοῦ Χριστοῦ ὕβριν εἴποι τις ἄν, ὅταν λέγῃ· Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι, ὅτι παρομοιάζετε τοίχοις κεκονιαμένοις. ναί, φησιν. ἀλλ' εἰ περὶ τοῦ τυπτηθῆναι εἶπεν, οὐκ ἦν θυμοῦ, ἀλλὰ παρρησίας. ἀλλ' εἶπον τὴν αἰτίαν, ὅτι οὐκ ἐβούλετο καταφρονηθῆναι. καὶ μὴν ὁ Χριστὸς πολλαχοῦ ὕβρισεν Ἰουδαίους αὐτὸς ὑβρισθείς, ὡς ὅταν λέγῃ· Μὴ δοκεῖτε ὅτι ἐγὼ κατηγορήσω ὑμῶν. ἀλλ' οὐκ ἔστι τοῦτο ὕβρις, μὴ γένοιτο. ὅρα γοῦν πρὸς ἐκείνους μεθ' ὅσης ἐπιεικείας διαλέγεται. οὐκ ᾔδειν ὅτι ἀρχιερεύς ἐστι, φησι, τοῦ Θεοῦ. [τοῦτο εἶπε, καὶ οὐκ ἔστιν] ἀλλὰ δεικνὺς ὅτι οὐκ εἰρωνεύεται, ἐπάγει· ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς. βλέπεις πῶς καὶ ἄρχοντα αὐτὸν ἔτι ὁμολογεῖ;

χ. τάφοις

Ματθ. κγ. κζ.

Ιωαν. ε. με.

ΗΘΙΚΟΝ

Μάθωμεν τοίνυν καὶ ἡμεῖς τὴν ἐπιείκειαν καὶ τὴν παρρησίαν, ἵνα ἐν ἑκατέροις ὦμεν ἀπηρτισμένοι. πολλῆς γὰρ ἀκριβείας δεῖ, ὥστε μαθεῖν τί μὲν τοῦτο, τί δὲ ἐκεῖνο. ἀκριβείας δὲ δεῖ, ὅτι παρυφεστᾶσιν αὐταῖς αἱ κακίαι· τῇ μὲν παρρησίᾳ θρασύτης, τῇ δὲ ἐπιεικείᾳ ἀνανδρία. καὶ δέον περισκοπεῖν, μὴ τὴν κακίαν τις κατέχων, δόξῃ τὴν ἀρετὴν ἔχειν· ὥσπερ ἂν εἴ τις δοκῶν τῇ δεσποίνῃ συγγίνεσθαι, ἀγνοῶν τῇ θεραπαινίδι συνών. τί οὖν ἐστιν ἐπιείκεια, καὶ τί ἀνανδρία; ὅταν ἑτέρους μὲν ἀδικουμένους μὴ ἀμύνωμεν, ἀλλὰ σιγῶμεν· αὐτοί, τοῦτο ἀνανδρίας ἐστίν· ὅταν δὲ κακῶς πάσχοντες φέρωμεν, τοῦτο ἐπιείκεια. τί παρρησία; πάλιν δὲ αὐτό, ὅταν ὑπὲρ ἑτέρων ἀγωνιζώμεθα. τί δαὶ θρασύτης; ὅταν ὑπὲρ ἡμῶν αὐτῶν ἀμύνεσθαι βουλώμεθα. ὥστε μεγαλοψυχία ὁμοῦ καὶ παρρησία, καὶ θρασύτης πάλιν καὶ ἀνανδρία. ὁ γὰρ ὑπὲρ ἑαυτοῦ μὴ ἀλγῶν, δυσχερῶς ὑπὲρ ἑτέρων ἀλγήσει· ὁ δὲ ἑαυτῷ μὴ ἀμύνων, δυσχερῶς ἑτέροις οὐκ ἀμυνεῖται. ὅταν γὰρ καθαρὸν ᾖ τὸ ἦθος ἡμῶν πάθους, δέχεται καὶ ἀρετήν. καθάπερ καθαρὸν ὂν τὸ σῶμα πυρετοῦ δέχεται ἰσχύν, οὕτω δὴ καὶ ἡ ψυχή, ἂν μὴ τοῖς πάθεσι περιδιαφθαρῇ, δέχεται ἰσχύν. μεγάλης ἰσχύος γνώρισμά ἐστιν ἐπιείκεια, γενναίας καὶ τελειικῆς ψυχῆς καὶ ὑψηλῆς σφόδρα τῇ ἐπιεικείᾳ δεῖ. ἢ μικρὸν οἴει τὸ παθεῖν κακῶς, καὶ μὴ ἀγανακτεῖν; καὶ οὐκ ἄν τις ἁμάρτοι τὴν [illegible] ὑπὲρ τῶν πλησίον ἀνδρείαν εἰπών. ὁ γὰρ τοσοῦτον ἰσχύσας, ὡς δυνηθῆναι τοσούτου περιγενέσθαι πάθους, ἰσχύσει καὶ ἑτέρου κατατολμῆσαι. οἷον, δύο πάθη ἐστὶ ταῦτα, δειλία καὶ θυμός. ἂν τοῦ θυμοῦ κατάσχῃς, εὔδηλον ὅτι καὶ δειλίας· τοῦ θυμοῦ δὲ κρατεῖς, ἐπιεικὴς ὤν· οὐκοῦν καὶ τῆς δειλίας [ἂν κρατήσῃς], καὶ ἔσῃ ἀνδρεῖος. πάλιν ἂν μὴ περιγένῃ τοῦ θυμοῦ, γέγονας θρασύς. τούτου δὲ μὴ περιγινόμενος, οὐδὲ φόβου περιγενέσθαι δυνάσαι. οὐκοῦν καὶ δειλὸς ἔσῃ, καὶ ταὐτὸν γίνεται, οἷον ἂν εἰ σῶμα ἀσθενὲς οὕτως εἴη καὶ δύσκρατον, ὡς περὶ οὐδένα πόνον ἀντέχειν. τοῦτο ταχέως καὶ ὑπὸ ψυχροῦ ἁλίσκεται καὶ ὑπὸ θερμοῦ (τὸ γὰρ δύσκρατον τοιοῦτον) τὸ δὲ εὔκρατον πάντα ταῦτα ὑφίσταται. πάλιν, ἐστὶ μεγαλοψυχία ἀρετὴ καὶ παρυφέστηκεν αὐτῇ ἀσωτία. ἔστιν οἰκονομία ἀρετὴ καὶ τὸ οἰκονομικὸν εἶναι, παρυφέστηκεν ἡ φειδωλία καὶ ἡ μικρολογία. φέρε οὖν πάλιν ταῖς ἀρεταῖς συναγάγωμεν. οὐκοῦν οὐ μεγαλόψυχος ὁ ἄσωτος. πῶς; ὁ γὰρ ὑπὸ μυρίων ἁλισκόμενος παθῶν, πῶς ἂν εἴη μέγας τὴν ψυχήν; οὐ γὰρ χρημάτων ἐστὶ τοῦτον καταφρονεῖν, ἀλλ' ὑφ' ἑτέρων ἐπιπέπτεσθαι παθῶν. ὥσπερ ἂν εἴ τις ὑπὸ λῃστῶν ἐπιτάττοιτο ἐκείνοις ὑπακούειν, οὐκ ἂν εἴη ἐλεύθερος. οὐ γὰρ ἐκ τοῦ χρημάτων καταφρονεῖν γίνεται τὸ ἀναλίσκειν· ἀλλ' ἐκ τοῦ μὴ δεόντως εἰδέναι δαπανᾶν. ἐπεὶ εἴγε οὕτως ἔχει καὶ ἀπολαύειν ἐκείνων, οὕτως ἂν ἠθέλησεν· ὁ δὲ

χ. ἀνδρείαν

χ. ἑαυτοῖς δὲ ἀμύνωμεν. τοῦτο αὐτὸ ἀνδρ.

χ. ἐκ ἀλγ.

χ. περιδιαφθ.

χ. ἡ ἐπιείκεια

χ. τοῦτο

δὲ δοκεῖ, ὅτι οὐδὲ ὅλως ᾔδει ὅτι ἐστὶν ἀρχιερεύς· ἢ γὰρ ἄν, καὶ ἐτίμησεν. διὸ καὶ ἀπολογεῖται ὡς κακηγορίας οὔσης, καὶ ἐπάγει, ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς. τί οὖν, φησίν; εἰ γὰρ μὴ ἄρχων ἦν, ἄλλον ἁπλῶς ὑβρίζειν ἔδει; οὐδαμῶς· ἀλλὰ καὶ ὑβριζόμενοι μᾶλλον εὐλογεῖν. ἄξιον δὲ ζητῆσαι, πῶς ἀλλαχοῦ ὁ αὐτὸς λέγων· Λοιδορούμενοι εὐλογοῦμεν, διωκόμενοι ἀνεχόμεθα, (α. Κορ. δ. ιβ.) ἐνταῦθα τοὐναντίον ποιεῖ; καὶ οὐ λοιδορεῖται μόνον, ἀλλὰ καὶ ἐπαρᾶται. ἅπαπ. οὐδὲ περὶ τούτων φαίνεται πεποιηκώς· ἀλλὰ τῷ ἀκριβῶς σκοποῦντι, παρρησίας μᾶλλόν ἐστι τὰ ῥήματα, ἢ θυμοῦ. ἄλλως δέ, οὐκ ἐβούλετο εὐκαταφρόνητος φανῆναι τῷ χιλιάρχῳ. εἰ γὰρ αὐτὸς μὲν ἐφείσατο μαστίξαι, ὡς δὴ τοῖς Ἰουδαίοις ἐκδίδοσθαι μέλλοντα, τὸ ὑπὸ τῶν οἰκετῶν τύπτεσθαι, μᾶλλον ἂν ἐκείνους θρασυτέρους εἰργάσατο. διὰ τοῦτο οὐδὲ πρὸς τὸν παῖδα ἀποτείνεται, ἀλλὰ πρὸς αὐτὸν τὸν ἐπιτάξαντα, [τοῦτο κατασκευάζων.] τὸ δὲ, τοῖχε κεκονιαμένε, καὶ σὺ κάθῃ κρίνων με κατὰ τὸν νόμον, εἶπε, μονονουχὶ τοῦτο αὐτῷ λέγων· ὑπεύθυνος ὢν καὶ μυρίων πληγῶν ἄξιος. ὅρα γοῦν πῶς αὐτοῦ κατεπλάγησαν τὴν παρρησίαν [ὁ δῆμος]. δέον γὰρ ἀνατρέψαι τὸ πᾶν, περιποιοῦσι μᾶλλον. αὐτὸς δὲ καὶ τὸν νόμον ἀναγινώσκει, ἐπειδὴ βούλεται δεῖξαι ὅτι οὐ διὰ τὸ φοβηθῆναι, οὐδὲ διὰ τὸ μὴ ἄξιον εἶναι ἀκοῦσαι ταῦτα, οὕτως εἶπεν, ἀλλὰ τῷ νόμῳ καὶ ἐνταῦθα πειθόμενος. καὶ σφόδρα πείθομαι μὴ εἰδέναι αὐτόν, ὅτι ἀρχιερεύς ἐστι, διὰ μακροῦ μετὰ ἐπανελθόντα χρόνου, μὴ συγγινόμενον δὲ συνεχῶς Ἰουδαίοις, ὁρῶντα δὲ καὶ ἐκεῖνον ἐν τῷ μέσῳ μετὰ πολλῶν καὶ ἑτέρων. οὐκ ἔτι γὰρ δῆλος ἦν ὁ ἀρχιερεύς, πολλῶν ὄντων καὶ διαφόρων. οὕτω μοι καὶ τοῦτο πρὸς αὐτοὺς ἀποτείνασθαι δοκεῖ, δεικνὺς ὅτι νόμῳ πείθεται, καὶ διὰ τοῦτο ἀπολογεῖται. ἴδωμεν δὲ ἄνωθεν τὰ εἰρημένα. προσευχομένου μου, φησίν, ἐν τῷ ἱερῷ, ἐγένετο γενέσθαι με ἐν ἐκστάσει. ἵνα δηλώσῃ ὅτι οὐχ ἁπλῶς φαντασία ἦν, διὰ τοῦτο προσέθηκε τό, προσευχομένου μου. σπεῦσον καὶ ἔξελθε ἐν τάχει, φησί, διότι οὐ παραδέξονταί σου τὴν μαρτυρίαν. ἐνταῦθα δείκνυσιν ὅτι οὐχὶ φοβούμενος αὐτὸς τοὺς κινδύνους ἔφυγεν, ἀλλ' ὅτι οὐκ ἐδέχοντο τὴν μαρτυρίαν αὐτοῦ. διατί δὲ εἶπεν, ὅτι αὐτοὶ ἐπίστανται, ὅτι ἐγὼ ἤμην δεσμεύων; οὐκ ἀντιλέγων τῷ Χριστῷ (μὴ γένοιτο) ἀλλὰ βουλόμενος μαθεῖν τὸ οὕτω παράδοξον. πορεύου, φησίν, ὅτι ἐγὼ εἰς ἔθνη μακρὰν ἐξαποστελῶ σε. ὅρα, οὐκ ἐδίδαξεν αὐτὸν ὁ Χριστὸς τί δεῖ ποιεῖν· ἀλλ' εἶπε μόνον ἀπελθεῖν, καὶ πείθεται· τοσοῦτον ἦν καταπειθής. καὶ ἐπῆραν τὴν φωνὴν αὐτῶν, φησί, λέγοντες· αἶρε αὐτόν· οὐ γὰρ καθῆκεν αὐτὸν ζῆν. ὢ τῆς θρασύτητος. καὶ μὴν ὑμᾶς οὐ καθῆκε ζῆν, οὐχὶ τοῦτον τὸν πάντα πειθόμενον τῷ Θεῷ. ὦ μιαροὶ καὶ ἀνδροφόνοι. καὶ τὰ ἱμάτια ἐκτινάσσοντες, φησί, κονιορτὸν ἔβαλλον. ὥστε χαλεπωτέραν γενέσθαι τὴν στάσιν τοῦτο ποιοῦσιν, ἢ καὶ φοβῆσαι βουλόμενοι τὸν ἄρχοντα. καὶ ὅρα· οὐ λέγουσι τὴν αἰτίαν, ἐπειδὴ μηδὲν εἶχον εἰπεῖν, ἀλλὰ τῇ βοῇ καταπλήξειν οἴονται, καὶ μὴν παρὰ τῶν κατηγόρων ἐχρῆν μαθεῖν. καὶ ὁ χιλίαρχος ἐφοβήθη, φησίν, ἐπιγνοὺς ὅτι Ῥωμαῖός ἐστιν. οὐκ ἄρα ψεῦδος ἦν τὸ Ῥωμαῖον ἑαυτὸν εἶναι τὸν Παῦλον εἰπεῖν. καὶ ἔλυσεν αὐτὸν ἀπὸ τῶν δεσμῶν, φησί, καὶ καταγαγὼν ἔστησεν εἰς τὸ συνέδριον. τοῦτο ἔδει ποιῆσαι*, μήτε βουληθῆναι μαστίξαι, ἀλλὰ καταλιπεῖν, μηδὲν τοιοῦτόν τι ποιήσαντα ὥστε καὶ δεσμεῖσθαι. καὶ ἔλυσεν αὐτόν, φησί, καὶ καταγαγὼν εἰς αὐτοὺς ἔστησε. τοῦτο μάλιστα ἠπόρησαν οἱ Ἰουδαῖοι. ἀτενίσας δὲ Παῦλος τῷ συνεδρίῳ, φησίν, εἶπεν· ἄνδρες ἀδελφοί. ἐνταῦθα τὴν παρρησίαν αὐτοῦ δείκνυσι" καὶ τὸ ἐντρεπτικόν. ἀλλ' ὅρα καὶ ἐκείνων τὸ ἰταμόν. ἐπήγαγε γάρ, ὁ δὲ ἀρχιερεὺς Ἀνανίας τύπτειν αὐτοῦ τὸ στόμα ἐπέταξε. διατί τύπτεις; τί γὰρ εἶπεν ὑβριστικόν; ὢ τῆς ἰταμότητος, ὢ τῆς ἀναισχυντίας, ὢ τῆς θρασύτητος. τότε ὁ Παῦλος πρὸς αὐτόν, φησίν, εἶπε· τύπτειν σε μέλλει ὁ Θεός, τοῖχε κεκονιαμένε. βαβαὶ τῆς παρρησίας. εἰς ἀντίκρισιν αὐτὸν καὶ παρανομίαν διασύρει. διὰ τοῦτο γοῦν καὶ καταστέλλεται. καὶ αὐτὸς μὲν ἀπορῶν οὐδὲν τολμᾷ εἰπεῖν, ἀλλ' οἱ περὶ αὐτόν, οὐκ ἐνεγκόντες αὐτοῦ τὴν παρρησίαν. οὕτως εἶδον οἱ ἄνθρωποι θανατῶντα,

* ἀπὸ τῆς ἀρχῆς καὶ

" γρ. τὸ ἀ[illegible] ... ἀλλ'

Digitized by Google

περὶ πάντων τούτων ἐπιγνῶναι, ὧν ἡμεῖς κατηγοροῦμεν αὐτοῦ.

Τοῖς κατὰ τὴν οἰκουμένην, φησίν, Ἰουδαίοις στάσεις κινοῦντα. ὡς λυμεῶνα λοιπὸν καὶ κοινὸν ἐχθρὸν τοῦ ἔθνους διαβάλλουσι, πρωτοστάτην τε τῆς τῶν Ναζωραίων. ἐδόκει τοῦτο ἐπονείδιστον εἶναι τὸ τῶν Ναζωραίων· διὸ καὶ τοῦτο παρῆγον, καὶ ἀπὸ τούτου πάλιν διέβαλλον αὐτόν. ἡ γὰρ Ναζαρὲθ εὐτελὴς ἦν. καὶ εὑρόντες, φησίν. ὅρα πῶς κακούργως ὡς διαφυγόντα συκοφαντοῦσι, καὶ μόλις ἐπιτυχόντες, καίτοι ἑπτὰ ἡμέρας εἶχεν ἐν τῷ ἱερῷ. ὃν καὶ ἐκρατήσαμεν, καὶ κατὰ τὸν ἡμέτερον νόμον ἠθελήσαμεν κρῖναι. ὅρα πῶς καὶ τὸν νόμον ὑβρίζουσιν. εἴγε μὴ τοῦτο νόμου ἦν, τὸ τύπτειν, τὸ ἀναιρεῖν, τὸ ἔνεδρα ποιεῖν. εἶτα καὶ τοῦ Λυσίου κατηγορία· παρελθὼν δὲ Λυσίας ὁ χιλίαρχος, μετὰ πολλῆς βίας ἐκ τῶν χειρῶν ἡμῶν ἀπήγαγεν. οὐ προσῆκον αὐτῷ, φησι, πρᾶγμα ποιῶν, ὅμως ἐποίησε*. παρ' οὗ δυνήσῃ αὐτὸς ἀνακρίνας περὶ πάντων τούτων γνῶναι, ὧν ἡμεῖς κατηγοροῦμεν αὐτοῦ.

* μετὰ πολλῆς παρρησίας ἀπαιτοῦντι

9 Συνεπέθεντο δὲ καὶ οἱ Ἰουδαῖοι φάσκοντες ταῦτα οὕτως ἔχειν.

Τί οὖν ὁ Παῦλος; ἆρα ἐπὶ τούτοις σιγᾷ; οὐδαμῶς· ἀλλὰ παρρησιάζεται πάλιν καὶ ἀποκρίνεται, καὶ τοῦτο τοῦ ἡγεμόνος βουληθέντος. ἐπήγαγε γάρ·

10 Ἀπεκρίθη δὲ ὁ Παῦλος, νεύσαντος αὐτῷ τοῦ ἡγεμόνος λέγειν· ἐκ πολλῶν ἐτῶν ὄντα σε κριτὴν δίκαιον [ἐν] τῷ ἔθνει τούτῳ ἐπιστάμενος, εὐθυμότερον τὰ περὶ ἐμαυτοῦ ἀπολογοῦμαι,

11 Δυναμένου σου γνῶναι, ὅτι οὐ πλείους εἰσί μοι ἡμέραι, ἢ δεκαδύο ἀφ' ἧς ἀνέβην προσκυνήσων ἐν Ἱερουσαλήμ.

12 Καὶ οὔτε ἐν τῷ ἱερῷ εὗρόν με πρός τινα διαλεγόμενον, ἢ ἐπισύστασιν ποιοῦντα ὄχλων, οὔτε ἐν ταῖς συναγωγαῖς, οὔτε κατὰ τὴν πόλιν,

γρ. με

13 Οὔτε παραστῆσαι νῦν δύνανται περὶ ὧν νῦν κατηγοροῦσί μου. Οὐκ ἔστι ταῦτα κολακείας τὰ ῥήματα, τὸ μαρτυρῆσαι τῷ δικαστῇ δικαιοσύνην; ἀλλ' ἐκεῖνα μᾶλλον, τὸ εἰπεῖν, πολλῆς εἰρήνης τυγχάνοντες διὰ σοῦ. τί οὖν ἀδίκως στασιάζετε; σκόπει δὲ ἐκεῖνοι πρὸς ἀδικίαν παρώρμων· οὗτος τὸ δίκαιον ἐζήτει. διὸ καὶ ἔλεγεν· εὐθυμότερον τὰ περὶ ἐμαυτοῦ ἀπολογοῦμαι. Εἶτα καὶ ἀπὸ τοῦ χρόνου ἰσχυρίζεται· ἐκ πολλῶν ἐτῶν γάρ, φησιν, ὄντα σε κριτὴν ἐπιστάμενος. καὶ τί τοῦτο πρὸς ἀπόδειξιν συντελεῖ; μέγα. δείκνυσι γὰρ ὅτι καὶ αὐτὸς οἶδε μηδὲν ὧν κατηγορεῖται πεποιηκότα. εἰ δὲ ἐπισύστασίν ποτε ἐκίνησεν, ἐγίνωσκεν ἂν κριτὴς ὤν, καὶ τὸ τοιοῦτον αὐτὸν οὐκ ἐλάνθανεν. Εἶτα ἐπειδὴ ὁ κατήγορος οὐδὲν εἶχε δεῖξαι ἐν Ἱεροσολύμοις, ὅρα τί φησι· τοῖς κατὰ τὴν οἰκουμένην πᾶσιν Ἰουδαίοις, ψεῦδος ἐπὶ ψεύδει συντιθείς. διὰ τοῦτο ὁ Παῦλος ἐντεῦθεν αὐτὸν ἀφέλκων, προσκυνήσων ἀνέβην, λέγει· μονονουχὶ ἀπολογούμενος διὰ τούτου, ὅτι τοσοῦτον ἀπέχω τοῦ στάσεις κινεῖν, καὶ τούτῳ ἐνδιατρίβειν τῷ δικαίῳ, ὅπερ ἦν ἰσχυρόν. ἐπάγει γάρ· καὶ οὔτε ἐν τῷ ἱερῷ, οὔτε ἐν τῇ πόλει, οὔτε ἐν τῇ συναγωγῇ εὗρόν με πρός τινα διαλεγόμενον, ὅπερ ἦν καὶ ἀληθές. κἀκεῖνος μὲν πρωτοστάτην φησί, καθάπερ ἐπὶ μάχης καὶ συστάσεως· οὗτος δὲ ὅρα πῶς ἐπιεικῶς ἀποκρίνεται.

14 Ὁμολογῶ δὲ τοῦτό σοι, ὅτι κατὰ τὴν ὁδόν, ἣν λέγουσιν αἵρεσιν, οὕτω λατρεύω τῷ πατρῴῳ Θεῷ, πιστεύων πᾶσι τοῖς κατὰ τὸν νόμον καὶ ἐν τοῖς προφήταις γεγραμμένοις,

15 Ἐλπίδα ἔχων εἰς τὸν Θεόν, ἣν καὶ αὐτοὶ οὗτοι προσδέχονται, ἀνάστασιν μέλλειν ἔσεσθαι νεκρῶν, δικαίων τε, καὶ ἀδίκων. Ὅρα· ἐχώριζον αὐτὸν ἐκεῖνοι· οὗτος συνεισάγει, καὶ οἰκειοῖ ἑαυτὸν τῷ νόμῳ, δι' ὧν ἀπολογεῖται. καὶ βεβαιῶν ὃ εἶπε, πάλιν ἐπάγει·

γρ. ἔχων

16 Ἐν τούτῳ δὲ καὶ αὐτὸς ἀσκῶ, ἀπρόσκοπον συνείδησιν ἔχειν πρός τε τὸν Θεόν, καὶ πρὸς τοὺς ἀνθρώπους διαπαντός.

17 Δι' ἐτῶν δὲ πλειόνων παρεγενόμην ἐλεημοσύνας ποιήσων εἰς τὸ ἔθνος μου καὶ προσφοράς.

18 Ἐν

χὴν ζητῶμεν καλήν, ἵνα καὶ ἀγάπης ἐπιτύχωμεν. αὕτη ὁ πλοῦτος ὁ πολύς, αὕτη ὁ μέγας θησαυρός, ταῦτα τὰ μυρία ἀγαθά· ὧν γένοιτο πάντας ἡμᾶς ἀπολαῦσαι δεόντως, καὶ κατὰ τοὺς νόμους τοῦ Θεοῦ ζῆσαι, ἵνα καὶ τῶν μελλόντων ἀγαθῶν δυνηθῶμεν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ι. 31 ΟΙ ΜΕΝ ΟΥΝ ΣΤΡΑΤΙΩΤΑΙ ΚΑΤΑ ΤΟ διατεταγμένον αὐτοῖς ἀναλαβόντες τὸν Παῦλον, ἤγαγον διὰ νυκτὸς εἰς τὴν Ἀντιπατρίδα. 32 Τῇ δὲ ἐπαύριον ἐάσαντες τοὺς ἱππεῖς πορεύεσθαι σὺν αὐτῷ, ὑπέστρεψαν εἰς τὴν παρεμβολήν.

33 Οἵτινες ἐλθόντες εἰς τὴν Καισάρειαν, καὶ ἀναδόντες τὴν ἐπιστολὴν τῷ ἡγεμόνι, παρέστησαν καὶ τὸν Παῦλον.

Καθάπερ βασιλέα τινὰ δορυφόροι παρέπεμπον μετὰ τοσούτου πλήθους καὶ ἐν νυκτί, φοβούμενοι τοῦ δήμου τὴν ὀργὴν τῆς ὁρμῆς. ἐπειδὴ δὲ τῆς πόλεως αὐτὸν ἐξέβαλον, τότε ἀφίστανται. οὐκ ἂν δὲ ὁ χιλίαρχος μετὰ τοσαύτης αὐτὸν ἀσφαλείας διέπεμψεν, εἰ μὴ καὶ αὐτὸς οὐδὲν ἦν αὐτοῦ κατεγνωκώς, καὶ ἐκεῖνοι ἦσαν οἱ φονικοί.

34 Ἀναγνοὺς δὲ ὁ ἡγεμὼν καὶ ἐπερωτήσας ἐκ ποίας ἐπαρχίας ἐστί, καὶ πυθόμενος ὅτι ἀπὸ Κιλικίας,

35 Διακούσομαί σου, ἔφη, ὅταν καὶ οἱ κατήγοροί σου παραγένωνται. ἐκέλευσέ τε αὐτὸν ἐν τῷ πραιτωρίῳ Ἡρώδου φυλάσσεσθαι. Ἤδη ἀπολογήσατο ὑπὲρ αὐτοῦ ὁ Λυσίας· ἀλλ' ὅμως καὶ ἔτι οἱ Ἰουδαῖοι ἐπιτίθενται, καὶ προκαταλαμβάνουσι τὸν ἀκροατήν, καὶ πάλιν εἰς δεσμὰ βάλλεται. καὶ ἄκουε πῶς. ἐπάγει γάρ·

κεφ. κδ. 1 Μετὰ δὲ πέντε ἡμέρας κατέβη ὁ ἀρχιερεὺς Ἀνανίας μετὰ τῶν πρεσβυτέρων καὶ ῥήτορος Τερτύλλου τινός· οἵτινες ἐνεφάνισαν τῷ ἡγεμόνι κατὰ τοῦ Παύλου. Ὅρα πῶς οὐδὲ οὕτως ἀπέστησαν, ἀλλ' ἔρχονται μυρίοις κωλύμασι καίτοι κωλυόμενοι, ὥστε καὶ καταισχυνθῆναι. [γρ. τινος] 2 Κληθέντος δὲ αὐτοῦ, ἤρξατο κατηγορεῖν ὁ Τέρτυλλος λέγων· 3 Πολλῆς εἰρήνης τυγχάνοντες διὰ σοῦ, καὶ κατορθωμάτων γινομένων τῷ ἔθνει τούτῳ διὰ τῆς σῆς προνοίας, πάντῃ τε καὶ πανταχοῦ ἀποδεχόμεθα, κράτιστε Φῆλιξ, μετὰ πάσης εὐχαριστίας. [γρ. διορθωμάτων]

Ἵνα δὲ μὴ ἐπὶ πλεῖόν σε ἐγκόπτω, παρακαλῶ ἀκοῦσαί σε συντόμως ἡμῶν τῇ σῇ ἐπιεικείᾳ. Καὶ μὴν ὑμεῖς τοῦτο πεποιήκατε. ῥήτορος ἰδοὺ τί ἐστι; ὅρα πῶς καὶ αὐτὸς εὐθέως ἐκ προοιμίων ὡς νεωτεροποιὸν καὶ στασιαστὴν βούλεται παραδοῦναι. καὶ τοῖς ἐπαίνοις προκαταλαμβάνει τὸν δικαστήν. Εἶτα ὡς πολλὰ ἔχων εἰπεῖν, παραιτεῖται, καὶ μόνον τοῦτο λέγει· ἵνα δὲ μὴ ἐπὶ πλεῖόν σε ἐγκόπτω. ὅρα πῶς εἰς ἐπιθυμίαν ἐμβάλλει κολάσεως τὸν δικαστήν· εἴγε ἔμελλε τὸν τὴν οἰκουμένην ἀνατρέποντα καθέξειν, καὶ ὡς ἐπὶ κατορθώματι φρονοῦσι μεγάλῳ.

5 Εὑρόντες γὰρ τὸν ἄνδρα τοῦτον λοιμόν, καὶ κινοῦντα στάσεις πᾶσι τοῖς Ἰουδαίοις τοῖς κατὰ τὴν οἰκουμένην, πρωτοστάτην τε τῆς τῶν Ναζωραίων αἱρέσεως, [γρ. στάσιν]

6 Ὃς καὶ τὸ ἱερὸν ἐπείρασε βεβηλῶσαι, ὃν καὶ ἐκρατήσαμεν, καὶ κατὰ τὸν ἡμέτερον νόμον ἠθελήσαμεν κρῖναι·

7 Παρελθὼν δὲ Λυσίας ὁ χιλίαρχος, μετὰ πολλῆς βίας ἐκ τῶν χειρῶν ἡμῶν ἀπήγαγε,

8 Κελεύσας τοὺς κατηγόρους αὐτοῦ ἔρχεσθαι ἐπὶ σέ· παρ' οὗ δυνήσῃ αὐτὸς ἀνακρίνας [γρ. σοῦ·]

περὶ

κ. λανθάνει ὁ εὐν.

παραστῆναι τῷ βασιλεῖ· ἔδει φανερὰν αὐτοῦ γενέσθαι τὴν σοφίαν. διὰ τοῦτο ἐπιλανθάνεται αὐτοῦ ὁ εὐνοῦχος, ἵνα μὴ λάθῃ Αἰγύπτιος, ἵνα μὴ ἀγνοήσῃ αὐτὸν ὁ βασιλεύς. εἰ τότε ἐξηνέχθη, ἴσως ἂν καὶ ἐπιθυμήσειν ἀπελθεῖν εἰς τὴν αὐτοῦ. διὰ τοῦτο μυρίαις ἀνάγκαις κατέχεται· πρότερον ἡ δεσποτεία· δεύτερον τὸ δεσμωτήριον· τρίτον ἐν τῇ βασιλείᾳ, ἵνα ταῦτα οἰκονομηθῇ. καθάπερ οὖν τινα γενναῖον πῶλον ἐκπηδῆσαι βουλόμενον πρὸς τὸν αὐτοῦ, κατεῖχεν ὁ Θεὸς ἐκεῖ δι' αἰτίαν ἔνδοξον. ὅτι γὰρ ἐπεθύμει τὸν πατέρα ἰδεῖν καὶ ἀπαλλάξαι τῆς ὀδύνης, δῆλον ἐκ τοῦ καλέσαι αὐτὸν ἐκεῖ. βούλεσθε καὶ ἑτέρας ἴδωμεν ἐπιβουλάς, ὅτι ὑπὲρ ἡμῶν γίνονται, οὐ μόνον τῷ μισθὸν ἔχειν, ἀλλὰ καὶ τῷ ἐν αὐτῷ τῷ καιρῷ τὰ ὑπὲρ ἡμῶν ποιεῖν; ἐπεβούλευσε τῷ τούτου πατρὶ ὁ θεῖος ὁ τούτου, καὶ τῆς πατρίδος ἐξήλασε. τί οὖν; καὶ αὐτὸς μακρὰν τοῦ κινδύνου αὐτὸν κατέστησεν. ἐν ἀσφαλείᾳ γὰρ καὶ αὐτὸς γέγονεν. ἐποίησε φιλοσοφώτερον, ἐποίησεν ἰδεῖν τὸ ὄναρ. ἀλλ' ἐδούλευσεν ἐν ἀλλοτρίᾳ; ἀλλὰ παρὰ τοῖς αὐτοῦ ἀπελθὼν λαμβάνει νύμφην, καὶ ἄξιος φαίνεται τῷ κηδεστῇ. ἀλλ' ἠπάτησε κακῶς; ἀλλὰ καὶ τοῦτο εἰς ἀγαθὸν γέγονεν, ἵνα πολλῶν παίδων γένηται πατήρ. ἀλλ' ἐβουλήθη ἐπιβουλεῦσαι; ἀλλὰ καὶ τοῦτο εἰς ἀγαθόν, ἵνα εἰς τὴν αὐτοῦ λοιπὸν ἐπανέλθῃ. εἰ γὰρ ἦν ἐν εὐπραγίᾳ, οὐκ ἂν οὕτως ἐπεθύμει τῆς ἑαυτοῦ. ἀλλ' ἀφεῖλε τὸν μισθόν; ἀλλὰ πλείων γέγονεν. οὕτω πανταχοῦ ὅσῳ ἐπεβουλεύετο, τοσούτῳ τὰ τούτων ηὔξει. εἰ μὴ τὴν πρεσβυτέραν ἔλαβεν, οὐκ ἂν ταχέως ἐγένετο τοσούτων παίδων πατήρ, ἀλλ' ἐν ἀπαιδίᾳ πολὺν ἂν εἵλκυσε χρόνον, καὶ ἐπένθησεν ἄν, καθάπερ καὶ ἡ γυνή. ἐκείνη μὲν γὰρ εἰκότως ἐπένθει, ἅτε μὴ γενομένη μήτηρ· οὐκ εἶχε παραμυθίαν, ὅθεν αὐτὴν καὶ διακρίνεται. πάλιν εἰ μὴ αὐτὸν ἀπεστέρησε τὸν μισθόν, οὐκ ἂν ἐπεθύμησεν ἰδεῖν τὴν αὐτοῦ, οὐκ ἂν ἐφάνη ἡ φιλοσοφία τοῦ ἀνδρός, οὐκ ἂν μᾶλλον ᾠκειώθησαν αὐτῷ. ὅρα γὰρ τί φασι· Καταβρώσει καὶ κατέφαγεν ἡμᾶς καὶ τὸ ἀργύριον ἡμῶν. ὥστε τοῦ φίλτρου τοῦτο γέγονεν αἴτιον. δούλας εἶχε λοιπὸν ἀντὶ γυναικῶν, καὶ ἐφιλεῖτο παρ' αὐτῶν, οὗ οὐδὲν ἴσον κτῆμα γένοιτο ἄν. οὐδὲν γάρ, οὐδὲν ὄντως τοῦ οὕτω φιλεῖσθαι παρὰ γυναικὸς καὶ φιλεῖν τιμιώτερον. Καὶ γυνή, φησίν, ἀνδρὶ συμπεριφερομένη, ἐν τούτῳ τῶν μακαρισμῶν τίθησιν ὁ σοφός. τούτου γὰρ ὄντος πᾶς πλοῦτος, πᾶσα εὐπραγία πάρεστιν· ὥσπερ οὖν μὴ ὄντος, τῶν ἄλλων οὐδὲν ὄφελος, ἀλλὰ πάντα ἀνατέτραπται καὶ ἀηδίας ἐστὶ μεστὰ καὶ συγχύσεως. οὐκοῦν καὶ ἡμεῖς τοῦτο πρὸ πάντων ζητῶμεν. ὁ χρήματα ζητῶν, οὐ ζητεῖ τοῦτο. ταῦτα ζητῶμεν, ἃ δύναται πάγια εἶναι. μὴ γάμον ζητῶμεν ἀπὸ εὐπόρων, ἵνα μὴ τῆς οὐσίας ἡ ἀμετρία φρόνημα τίκτῃ τῇ γυναικί, ἵνα μὴ τὸ φρόνημα διαφθορᾶς αἴτιον ᾖ. οὐχ ὁρᾷς τί ἐποίησεν ὁ Θεός, πῶς αὐτὴν ὑπέταξε; διὰ τί ἀγνώμων εἶ; διὰ τί ἀναίσθητος; ὅπερ ἐχαρίσατό σοι ἀπὸ τῆς φύσεως, τοῦτο σὺ μὴ διαφθείρῃς τὴν βοήθειαν. ὥστε οὐκ εὔπορον δεῖ ζητεῖν, ἀλλ' ὥστε κοινωνὸν βίου λάβωμεν εἰς κατάστασιν παιδοποιίας. οὐχ ἵνα χρήματα εἰσφέρῃ γυνή, διὰ τοῦτο αὐτὴν ἔδωκεν ὁ Θεός, ἀλλ' ἵνα ᾖ βοηθός. ἡ δὲ χρήματα εἰσφέρουσα, καὶ ἐπίβουλος καὶ δέσποινα ἀντὶ γυναικὸς γίνεται, ἢ τάχα θηρίον ἀντὶ γυναικός, ἀξιοῦσα μεγάλα διὰ τὸν πλοῦτον φρονεῖν. οὐδὲν αἴσχιον ἀνδρὸς οὕτω βουλομένου πλουτεῖν. εἰ γὰρ αὐτὸ τὸ πλουτεῖν πειρασμῶν γέμει, τὸ οὕτω πλουτεῖν ποῦ θήσομεν; μὴ γὰρ εἴ τις σπανιάκις καὶ παρὰ τὸ συμβαῖνον καὶ παρὰ λόγον ἐπέτυχε, τοῦτο ἴδῃς (οὐδὲ γὰρ ἐν τοῖς ἄλλοις πράγμασιν οἷς ἀπολαύουσί τινες καὶ ἐκ παραδόξου ἐπιτυγχάνουσι, προσέχειν δεῖ) ἀλλ' αὐτὸ τὸ κατὰ λόγον ἴδωμεν, εἰ μὴ μυρίας ἀηδίας γέμει τὸ πρᾶγμα. οὐκ αὐτὸς μόνος ἐν ἀδοξίᾳ γίνῃ, ἀλλὰ καὶ παῖδας καταισχύνεις, πένητας ἀφείς, εἰ συμβαίη προαπελθεῖν, καὶ αὐτῇ πολλὰς δίδως ἀφορμὰς τῷ δευτέρῳ πάλιν προσομιλῆσαι νυμφίῳ. ἢ οὐχ ὁρᾷς ὅτι πολλαῖς αὕτη γέγονεν ἡ πρόφασις δευτέρου γάμου, τὸ μὴ καταφρονεῖσθαι, καὶ ζητεῖν τὸν ἐφιστάμενον τοῖς ὑπάρχουσι; μὴ δὴ τοσαῦτα ἐργαζώμεθα κακὰ διὰ χρήματα· ἀλλὰ πάντα ἀφῶμεν, καὶ ψυχὴν

Margin notes:

γρ. ...λεν ἑαυτοῦ τὴν

γρ. ἀποδημίᾳ

Γεν. λα. ιε.

Σειρ. κε. β.

γρ. τούτου γὰρ ὄντος

γρ. π

Digitized by Google

χος, ὅτι αὐτὸν ἀπήλλαξαν ἐγκλημάτων οἱ Φαρισαῖοι, καὶ ἐψηφίσαντο ὑπὲρ αὐτοῦ, καὶ μετὰ πλείονος παῤῥησίας ἁρπάζει αὐτόν. καὶ αὕτη δὲ εἰρημένα Παύλῳ φιλοσοφίας ἔγκλημα. τῇ δὲ ἐπιούσῃ νυκτὶ ἐπιστὰς αὐτῷ ὁ Κύριος εἶπε· θάρσει, Παῦλε· ὡς γὰρ διεμαρτύρω τὰ περὶ ἐμοῦ εἰς Ἱερουσαλήμ, οὕτω σε δεῖ καὶ εἰς Ῥώμην μαρτυρῆσαι. ὅρα πόση ἡ παράκλησις. πρότερον αὐτὸν ἐπαινεῖ, εἶτα οὐκ ἀφίησιν οὐδὲ τὸ ἄδηλον τῆς ἀποδημίας φοβηθῆναι τῆς ἐπὶ Ῥώμην. ὡσεὶ ἔλεγεν· οὐκ ἀπελεύσῃ μόνον κακῶς, ἀλλὰ καὶ τοσαύτῃ χρήσῃ παῤῥησίᾳ. ἐντεῦθεν οὐχ ὅτι σωθήσεται μόνον ἐδηλοῦτο, ἀλλ' ὅτι καὶ ἐπὶ μεγάλοις [μαρτυρήσει] στεφάνοις ἐν τῇ μεγάλῃ πόλει. διατί δὲ οὐ πρὶν ἢ ἐμπεσεῖν εἰς τὸν κίνδυνον ἐφάνη αὐτῷ; ὅτι ἀεὶ ἐν ταῖς θλίψεσι παρακαλεῖ ὁ Θεός. τότε γὰρ ποθεινότερος φαίνεται, καὶ ἐν τοῖς κινδύνοις ἐγγυμνάζει ἡμᾶς. ἄλλως δὲ, τότε μὲν ἐν ἀνέσει ἦν ἀφεθεὶς τῶν δεσμῶν· νῦν δὲ ἔμελλεν αὐτὸν διαδέχεσθαι δεινά. ὅτι ἀνεθεματίσαμεν ἑαυτούς, φησι, μὴ φαγεῖν, μηδὲ πιεῖν. βαβαί, πόση μανία; ἑαυτοὺς τῷ ἀναθέματι ὑποβάλλουσιν ἀλογίστως. ὅπως καταγάγῃ αὐτόν, φησι, πρὸς ὑμᾶς, ὡς μέλλοντας ἀκριβέστερον διαγινώσκειν τὰ περὶ αὐτοῦ. τί λέγεις; οὐχὶ δεύτερον πρὸς ὑμᾶς ἐδημηγόρησεν; οὐχὶ Φαρισαῖον ἑαυτὸν εἶπε; τί οὖν τὸ περιττόν; οὕτως οὐδεὶς ἐφοβεῖτο, οὐ δικαστήρια, οὐ νόμους. οὕτως οὐδὲν αὐτοῖς ἀτόλμητον ἦν. καὶ τὴν γνώμην εἰσηγοῦνται, καὶ τὴν πρᾶξιν ἐπαγγέλλονται. ἀκούσας δὲ ὁ υἱὸς τῆς ἀδελφῆς Παύλου τὸ ἔνεδρον. τοῦτο τῆς τοῦ Θεοῦ οἰκονομίας ἦν λοιπόν, τὸ μὴ συνιδεῖν αὐτοὺς ὅτι ἀκούσεται. τί οὖν ὁ Παῦλος; οὐκ ἐθορυβήθη, ἀλλὰ συνειδὼς ὅτι Θεοῦ ἐστιν ἔργον τοῦτο, καὶ τὸ πᾶν ἐπ' αὐτὸν ῥίψας, "οὕτως ἑαυτὸν ἀφίησι. σκόπει πῶς εἰς ἀγαθὸν πάντα ὁ Θεὸς ᾠκονόμησεν. εἶπεν ὁ νεανίας τὴν ἐπιβουλήν· ἐπιστεύθη, καὶ οὕτω λοιπὸν διασώζεται Παῦλος. καὶ εἰ ἀφέθη, φησί, τῆς αἰτίας, διατί τοὺς κατηγόρους ἔπεμψεν; ὥστε ἀκριβεστέραν γενέσθαι τὴν ἐξέτασιν, ὥστε μᾶλλον "καθαρθῆναι τὸν ἄνδρα.

γρ. οὐχὶ εἰς ἔργον τὴν προνοίαν. καὶ

γρ. -θαρῆναι

ΗΘΙΚΟΝ
Γεν. λθ. κα.

Τοιαῦται αἱ τοῦ Θεοῦ οἰκονομίαι· δι' ὧν βλαπτόμεθα, διὰ τούτων ὠφελούμεθα. οὕτω καὶ Ἰωσὴφ ἐπεβουλεύετο ὑπὸ τῆς δεσποίνης. καὶ ἐδόκει μὲν ἐπιβουλεύειν, ἐπιβουλεύουσα δὲ ἐν ἀσφαλείᾳ κατέστησεν αὐτόν. τῆς γὰρ οἰκίας, ἔνθα τὸ θηρίον ἐκεῖνο ἐπεφέρετο, πολλῷ τὸ δεσμωτήριον ἡμερώτερον ἦν. οὐκ ἀδεὴς γὰρ ὤν, εἰ καὶ ἐν θεραπείᾳ ἦν, ἀλλ' ἐν φόβῳ διηνεκεῖ μήποτε ἐπιθῆται ἡ δέσποινα, καὶ δεσμωτηρίου χαλεπώτερον αὐτῷ ὁ φόβος ἐπέκειτο· μετὰ δὲ τὴν κατηγορίαν ἐν ἀδείᾳ λοιπὸν καὶ ἡσυχίᾳ ἦν, ἀπαλλαγεὶς ἐκείνου τοῦ θηρίου καὶ τῆς ἀσχημοσύνης καὶ τῆς ἐπιβουλῆς. βέλτιον γὰρ αὐτῷ ἦν τοῖς τεταλαιπωρημένοις ἀνθρώποις συνεῖναι, ἢ μαινομένῃ δεσποίνῃ. ἐνταῦθα μὲν οὖν παρεμυθεῖτο ἑαυτόν, ὅτι διὰ σωφροσύνην ἐνέπεσεν· ἐκεῖ δὲ ἐδεδοίκει, μὴ περὶ τὴν ψυχὴν λάβῃ τὴν πληγήν. οὐδὲν γὰρ ἐπαχθέστερον ἐρωμένης νέῳ μὴ βουλομένῳ, οὐδὲν ἐναγέστερον, οὐδὲν βαρύτερον· πάντων δεσμῶν τοῦτο χαλεπώτερον. ὥστε οὐκ εἰς δεσμωτήριον ἐνέπεσεν, ἀλλὰ δεσμωτηρίου ἀπηλλάγη· ἐξεπολέμωσεν αὐτῷ τὸν δεσπότην, ἀλλὰ κατήλλαξε τὸν Θεόν, οἰκειότερον αὐτὸν κατέστησε τῷ ὄντως δεσπότῃ, τῷ ἀληθινῷ· ἐξέβαλε τῆς ἐπιστασίας τῆς ἐν τῇ οἰκίᾳ· ἀλλ' ᾠκείωσε τῷ δεσπότῃ. πάλιν οἱ ἀδελφοὶ ἐπώλησαν, ἀλλ' ἀπήλλαξαν αὐτὸν συνοικούντων ἐχθρῶν, φθόνου καὶ βασκανίας πολλῆς, ἐπιβουλῆς καθημερινῆς, μακρὰν κατέστησαν αὐτὸν τῶν μισούντων. τί γὰρ τούτου χεῖρον, ὅταν τις ἀδελφοῖς φθονοῦσι συνοικεῖν ἀναγκάζηται; ὅταν δι' ὑποψίας ᾖ; ὅταν ἐπιβουλεύηται; ὥστε ἕτερα μὲν ἐποίουν καὶ οὗτοι, κἀκείνη, ἕτερα δὲ ᾠκονομεῖτο ὑπὲρ τοῦ δικαίου μεγάλα. ὅτε ἦν ἐν τιμῇ, τότε ἦν ἐν κινδύνῳ· ὅτε ἦν ἐν "ἀτιμίᾳ, τότε ἦν ἐν ἀσφαλείᾳ. οὐκ ἐμνημόνευον αὐτοῦ οἱ εὐνοῦχοι· καὶ καλῶς, ἵνα λαμπροτέρα γένηται τῆς ἐξόδου ἡ ὑπόθεσις· ἵνα μὴ χάριτι ἀνθρωπίνῃ, ἀλλ' οἰκονομίᾳ θείᾳ τὸ πᾶν λογίζηται· ἵνα εὐκαίρως εἰς χρείαν καταστὰς ἐξαγάγῃ· ἵνα μὴ εὐεργέτην, ἀλλ' εὐεργετούμενος αὐτὸν ἐκβάλῃ τοῦ δεσμωτηρίου ὁ Φαραώ. οὐκ ἔδει δοῦλον γενέσθαι τὸ δῶρον, ἀλλ' εἰς ἀνάγκην κα-

γρ. ἐν δυσμε.



Digitized by Google

ιων. καὶ ὅρα κακίας ὑπερβολήν. οὐ μόνον ἀλλήλους διαφθείραντες ἀρνοῦνται, ἀλλὰ καὶ τὸν ἄρχοντα συνδιαφθεῖραι ἐπιχειροῦσι. διὰ τοῦτο οἰκονομεῖται, ὥστε κἀκεῖνον μαθεῖν αὐτῶν τὴν ἐπιβουλήν· αὐτοὶ δὲ οὐ μόνον ἐκ τοῦ μηδὲν ἔχειν εἰπεῖν, ἀλλὰ καὶ ἐκ τοῦ λάθρα ἐπιχειρεῖν, ἤλεγξαν ἑαυτοὺς οὐδὲν ὄντας. εἰκὸς δὲ καὶ μετὰ τὸ ἀποσταλῆναι αὐτὸν, προσελθεῖν τοὺς ἀρχιερεῖς αἰτοῦντας, καὶ καταισχυνθῆναι ἀπράκτους ἀπολυθέντας. εἰκότως δὲ τοῦτο ποιεῖ ὁ χιλίαρχος. οὐ γὰρ δὴ ἐβούλετο οὔτε ἀρνήσασθαι, οὔτε ἐπινεῦσαι. καὶ πῶς, φησὶν, ἐπίστευσεν ἀληθῆ εἶναι τὰ ἀπαγγελθέντα παρὰ τοῦ νεανίου; ἐκ τῶν ἤδη γενομένων ἐστοχάσατο, ὅτι καὶ τοῦτο εἰκὸς ἦν αὐτοὺς ποιῆσαι. καὶ ὅρα τὴν κακουργίαν, ὥσπερ ἀνάγκην καὶ τοῖς ἀρχιερεῦσιν ἐπέστησαν, καὶ μὴ θαυμάσῃς. εἰ γὰρ τοσοῦτον εἵλοντο αὐτοὶ, καὶ τὸν κίνδυνον ἀνεδέξαντο πάντα· πολλῷ μᾶλλον καὶ ἐκείνους τοῦτο ποιῆσαι εἰκὸς ἦν. ὁρᾷς πῶς διὰ τῆς ψήφου τῶν ἔξω ἀθῷος γίνεται ὁ Παῦλος, ὡς καὶ ὁ Χριστὸς παρὰ Πιλάτου; ἀλλ' ὅρα καὶ τὴν κακίαν ὑφ' ἑαυτῆς ἀναιρουμένην. παρεδόθη μὲν γὰρ αὐτὸν, ὥστε καὶ ἀνελεῖν καὶ καταδικάσαι· γίνεται δὲ τοὐναντίον, καὶ σώζεται, καὶ ἀθῷος εὑρίσκεται. εἰ γὰρ μὴ οὕτω, κἂν διεσπάσθη· εἰ μὴ οὕτω, κἂν ἀπώλετο, κἂν κατεδικάσθη. οὐ μόνον δὲ ἐκείνης αὐτὸν τῆς ὁρμῆς ἐξαιρεῖται ὁ χιλίαρχος, ἀλλὰ καὶ ὑπηρέτης αὐτῷ γίνεται, ὥστε ἀκινδύνως διασωθῆναι μετὰ τοσαύτης παρατάξεως. καὶ ὅπως, ἄκουε. ἐπάγει γάρ·

χ. χαίροντες

23 Καὶ προσκαλεσάμενος δύο τινὰς τῶν ἑκατοντάρχων, εἶπεν· ἑτοιμάσατέ μοι στρατιώτας διακοσίους, ὅπως πορευθῶσιν εἰς Καισάρειαν, καὶ ἱππεῖς ἑβδομήκοντα, καὶ δεξιολάβους διακοσίους ἀπὸ τρίτης ὥρας τῆς νυκτός,

χ. διασώσωσι πρὸς Φήλικα

24 Κτήνη τε παραστῆσαι, ἵνα ἐπιβιβάσαντες τὸν Παῦλον, ἀγάγωσι πρὸς Φήλικα τὸν ἡγεμόνα,

25 Γράψας ἐπιστολὴν περιέχουσαν τὸν τύπον τοῦτον·

26 Κλαύδιος Λυσίας τῷ κρατίστῳ ἡγεμόνι Φήλικι χαίρειν.

27 Τὸν ἄνδρα τοῦτον συλληφθέντα ὑπὸ τῶν Ἰουδαίων, καὶ μέλλοντα ἀναιρεῖσθαι ὑπ' αὐτῶν, ἐπιστὰς σὺν τῷ στρατεύματι ἐξειλόμην, μαθὼν ὅτι Ῥωμαῖός ἐστι.

χ. ἐπιγνῶναι

28 Βουλόμενος δὲ γνῶναι τὴν αἰτίαν δι' ἣν ἐνεκάλουν αὐτῷ, κατήγαγον αὐτὸν εἰς τὸ συνέδριον αὐτῶν.

29 Ὃν εὗρον ἐγκαλούμενον περὶ ζητημάτων τοῦ νόμου αὐτῶν, μηδὲν δὲ ἄξιον θανάτου, ἢ δεσμῶν ἔγκλημα ἔχοντα.

χ. -σθαι, ἐξ αὐτῶν ἐπεμ-

30 Μηνυθείσης δέ μοι ἐπιβουλῆς μέλλειν ἔσεσθαι εἰς τὸν ἄνδρα ὑπὸ τῶν Ἰουδαίων, ἐξαυτῆς ἔπεμψα πρὸς σὲ, παραγγείλας καὶ τοῖς κατηγόροις λέγειν τὰ πρὸς αὐτὸν ἐπὶ σοῦ. ἔρρωσο.

Ὅρα καὶ τὴν ἐπιστολὴν ἀπολογίαν ἔχουσαν μὲν ὑπὲρ αὐτοῦ (οὐδὲν γάρ, φησιν, εὗρον ἄξιον θανάτου ἔγκλημα ἔχοντα) κατηγορίαν δὲ κατ' ἐκείνων οὐ κατὰ τούτου· οὕτως ἐθανάτων. καὶ πρὸ τούτου μέν φησιν ὅτι μέλλοντα ἀναιρεῖσθαι ὑπὸ τῶν Ἰουδαίων ἐξειλόμην· εἶτα προστίθησιν ὅτι καὶ κατήγαγον αὐτὸν πρὸς αὐτοὺς, καὶ οὐδ' οὕτως εὗρόν τι ἐγκαλέσαι ἐκεῖνοι. καὶ δέον ὑπὸ τοῦ προτέρου καταπλαγῆναι καὶ καταισχυνθῆναι, πάλιν ἐπιχειροῦσιν ἀνελεῖν· ὥστε πάλιν λαμπρότερον γενέσθαι τὸν ὑπὲρ αὐτοῦ λόγον. καὶ τί δήποτε τοὺς κατηγόρους πέμπει; ἵνα ἐν τῷ δικαστηρίῳ, ἔνθα ταῦτα ἀκριβέστερον γυμνάζεται, ἀθῷος γένηται. ἴδωμεν τοίνυν ἄνωθεν τὰ εἰρημένα. ἐγώ, φησι, Φαρισαῖός εἰμι. τοῦτο εἶπεν, ὥστε αὐτοὺς ἐπισπάσασθαι. εἶτα ἵνα μὴ δόξῃ κολακεύειν, ἐπάγει· περὶ ἐλπίδος καὶ ἀναστάσεως νεκρῶν ἐγὼ κρίνομαι. ἀπὸ τῆς κατηγορίας αὐτῆς καὶ τῆς διαβολῆς συνίστησιν ἑαυτόν. Σαδδουκαῖοι μὲν γὰρ λέγουσι μὴ εἶναι ἄγγελον, μήτε πνεῦμα. οὐδὲν ἀσώματον ἴσασι Σαδδουκαῖοι, τάχα οὐδὲ τὸν Θεὸν, παχεῖς τινες ὄντες. ὅθεν οὐδὲ ἀνάστασιν βούλονται εἶναι πιστεύειν. καὶ ἀναστάντες, φησὶ, γραμματεῖς τοῦ μέρους τῶν Φαρισαίων, διεμάχοντο λέγοντες· οὐδὲν κακὸν εὑρίσκομεν ἐν τῷ ἀνθρώπῳ τούτῳ. ὅρα, ἀκούει καὶ ὁ χιλίαρ-

13 Ἦσαν δὲ πλείους τεσσαράκοντα οἱ ταύτην τὴν συνωμοσίαν πεποιηκότες.

Ἀνεθεμάτισαν ἑαυτούς, φησίν. ὁρᾷς πῶς εἰσι σφοδροὶ καὶ ἀμυντικοὶ περὶ τὴν κακίαν; τί ἐστιν, ἀνεθεμάτισαν; δηλονότι τοῦ ἔξω εἶναι τῆς εἰς Θεὸν πίστεως εἶπον, εἰ μὴ τὸ δόξαν κατὰ Παύλου ποιήσαιεν. ἄρα διαπαντὸς εἰσὶν ἀναθεματισμένοι ἐκεῖνοι. οὐ γὰρ ἀπέκτειναν τὸν Παῦλον. καὶ τεσσαράκοντα ὁμοῦ συνέρχονται. τοιοῦτον γὰρ τὸ ἔθνος, ὅταν μὲν ἐπὶ ἀγαθῷ δέῃ συμφωνῆσαι, οὐδὲ δύο συντρέχουσιν· ὅταν δὲ ἐπὶ κακῷ, δῆμος ὁλόκληρος. καὶ λαμβάνουσι κοινωνοὺς καὶ τοὺς ἄρχοντας. διὸ καὶ τοῦτο δηλῶν ἐπήγαγεν·

14 Οἵτινες προσελθόντες τοῖς ἀρχιερεῦσι καὶ τοῖς πρεσβυτέροις, εἶπον· ἀναθέματι ἀνεθεματίσαμεν ἑαυτοὺς μηδενὸς γεύσασθαι, ἕως οὗ ἀποκτείνωμεν τὸν Παῦλον.

15 Νῦν οὖν ὑμεῖς ἐμφανίσατε τῷ χιλιάρχῳ ἐν τῷ συνεδρίῳ ὅπως αὔριον αὐτὸν χ. σὺν
καταγάγῃ πρὸς ὑμᾶς, ὡς μέλλοντας διαγινώσκειν ἀκριβέστερον τὰ περὶ αὐτοῦ. ἡμεῖς δὲ πρὸ τοῦ ἐγγίσαι αὐτόν, ἕτοιμοί ἐσμεν τοῦ ἀνελεῖν αὐτόν.

16 Ἀκούσας δὲ ὁ υἱὸς τῆς ἀδελφῆς Παύλου τὸ ἔνεδρον, παραγενόμενος καὶ εἰσελθὼν εἰς τὴν παρεμβολήν, ἀπήγγειλε τῷ Παύλῳ.

17 Προσκαλεσάμενος δὲ ὁ Παῦλος ἕνα τῶν ἑκατοντάρχων, ἔφη· τὸν νεανίαν τοῦτον ἀπάγαγε πρὸς τὸν χιλίαρχον. ἔχει γάρ τι ἀπαγγεῖλαι αὐτῷ.

18 Ὁ μὲν οὖν παραλαβὼν αὐτόν, ἤγαγε πρὸς τὸν χιλίαρχον. Πάλιν δὲ ἀνθρωπίνης ἐστὶ προμηθείας. καὶ ὅρα· ὁ Παῦλος οὐδένα ἀφίησι μαθεῖν, οὐδὲ τὸν ἑκατόνταρχον, ὥστε μὴ τὸ πρᾶγμα γενέσθαι διάδηλον. καὶ ἐλθὼν ὁ ἑκατόνταρχος, ἀνήγγειλε τῷ χ. καί φησιν
χιλιάρχῳ, λέγων· Ὁ δέσμιος Παῦλος προσκαλεσάμενός με, ἠρώτησε τοῦτον τὸν νεανίαν ἀγαγεῖν πρὸς σέ, ἔχοντά τι λαλῆσαί σοι. ὁ δέσμ.

19 Ἐπιλαβόμενος δὲ τῆς χειρὸς αὐτοῦ ὁ χιλίαρχος καὶ ἀναχωρήσας κατ' ἰδίαν, ἐπυνθάνετο, τί ἐστιν ὃ ἔχεις ἀπαγγεῖλαί μοι;

20 Εἶπε δέ, ὅτι Ἰουδαῖοι συνέθεντο τοῦ ἐρωτῆσαί σε ὅπως αὔριον τὸν Παῦλον καταγάγῃς εἰς τὸ συνέδριον ὡς μέλλοντές τι ἀκριβέστερον πυνθάνεσθαι περὶ αὐτοῦ. χ. μελλόντων
τι

21 Σὺ οὖν μὴ πεισθῇς αὐτοῖς. ἐνεδρεύουσι γὰρ αὐτὸν ἄνδρες ἐξ αὐτῶν πλείους τεσσαράκοντα, οἵτινες ἀνεθεμάτισαν ἑαυτοὺς μήτε φαγεῖν, μήτε πιεῖν, ἕως οὗ ἀνέλωσι τὸν Παῦλον. καὶ νῦν ἕτοιμοί εἰσι προσδεχόμενοι τὴν παρὰ σοῦ ἐπαγγελίαν. χ. παρ

22 Ὁ μὲν οὖν χιλίαρχος ἀπέλυσε τὸν νεανίαν, παραγγείλας μηδενὶ ἐκλαλῆσαι, ὅτι ἐνεφάνισας ταῦτα πρός με. Καλῶς ὁ χιλίαρχος κελεύει κρύψαι, ὥστε μὴ γενέσθαι δῆλον· καὶ τότε λέγει τοῖς ἑκατοντάρχοις, ὅτι καὶ γενέσθαι ἐχρῆν, καὶ πέμπεται λοιπὸν ἐν Καισαρείᾳ, ἵνα κἀκεῖ διαλεχθῇ ἐπὶ μείζονος θεάτρου καὶ λαμπροτέρου τοῦ ἀκροατηρίου· ἵνα μὴ ἔχωσι λέγειν οἱ Ἰουδαῖοι, ὅτι εἰ εἴδομεν Παῦλον, ἐπιστεύσαμεν ἄν, εἰ ἠκούσαμεν αὐτοῦ διδάσκοντος. καὶ αὕτη οὖν αὐτοῖς ἐντεῦθεν ἡ ἀπολογία ἐκκόπτεται. καὶ ἐπιστάς, φησιν, ὁ Κύριος εἶπεν αὐτῷ· θάρσει· ὡς γὰρ διεμαρτύρω τὰ περὶ ἐμοῦ εἰς Ἱερουσαλήμ, οὕτω σε δεῖ καὶ εἰς Ῥώμην μαρτυρῆσαι. ὅρα, καὶ μετὰ τὸ φανῆναι πάλιν ἀφίησιν αὐτὸν ἀνθρωπίνως σωθῆναι. καὶ ἄξιον ἐκπλαγῆναι τὸν Παῦλον, πῶς οὐκ ἐθορυβήθη, οὐδὲ εἶπε, τί δὴ τοῦτό ἐστι; ἆρα μὴ ἠπατήμεθα παρὰ τοῦ Χριστοῦ; ἀλλ' οὐδὲν τοιοῦτον ἐνενόησεν, οὐδὲ ἔπαθεν, ἀλλὰ μόνον ἐπίστευσεν. οὐ μὴν ἐπειδὴ ἐπίστευσεν, ὑπνώσσει· ἀλλὰ τὰ ἐνόντα ἐξ ἀνθρωπίνης σοφίας συνεισφέρειν οὐ παρῆκε. καὶ σκόπει πῶς ἀνάγκην τινὰ ἑαυτοῖς ἐκεῖνοι περιέθηκαν διὰ τοῦ ἀναθεματισμοῦ. χ. [illegible]
ἰδοὺ νηστεία ἀνδροφονίας μήτηρ. καθάπερ ὁ Ἡρῴδης ἀνάγκην τὴν ἀπὸ τοῦ ὅρκου ἑαυτῷ ἐπέθηκεν, οὕτω δὴ καὶ οὗτοι. τοιαῦτα γὰρ τὰ διαβολικὰ θηράματα· προσχήματί τινι δῆθεν εὐλαβείας τὰς παγίδας τίθησι. καὶ μὴν ἐχρῆν προσελθεῖν, ἐχρῆν αἰτιάσασθαι, δικαστήριον συγκροτῆσαι. ταῦτα γὰρ οὐχ ἱερέων, ἀλλὰ λῃστάρχων· ταῦτα οὐκ ἀρχόντων, ἀλλὰ λυμεώνων.

Λογ. μθ. 6 ΓΝΟΥΣ ΔΕ Ο ΠΑΥΛΟΣ ΟΤΙ ΤΟ ΕΝ ΜΕΡΟΣ ἐστὶ Σαδδουκαίων, τὸ δὲ ἕτερον Φαρισαίων, ἔκραξεν ἐν τῷ συνεδρίῳ· ἄνδρες ἀδελφοὶ, ἐγὼ Φαρισαῖός εἰμι, υἱὸς Φαρισαίου· περὶ ἐλπίδος καὶ ἀναστάσεως νεκρῶν ἐγὼ κρίνομαι. 7 Ταῦτα δὲ αὐτοῦ λαλήσαντος, ἐγένετο στάσις τῶν Σαδδουκαίων καὶ Φαρισαίων, καὶ ἐσχίσθη τὸ πλῆθος.
8 Σαδδουκαῖοι μὲν γὰρ λέγουσι μὴ εἶναι ἀνάστασιν, μηδὲ ἄγγελον, μήτε πνεῦμα· Φαρισαῖοι δὲ ὁμολογοῦσι τὰ ἀμφότερα.

Πάλιν ἀνθρωπίνως διαλέγεται, καὶ οὐ πανταχοῦ τῆς χάριτος ἀπολαύει, ἀλλὰ καὶ παρ' ἑαυτοῦ τι συγχωρεῖται εἰσφέρειν. ὃ δὴ καὶ ποιεῖ καὶ ἐν τούτῳ, καὶ ἐν τῷ μετὰ ταῦτα ἀπολογεῖται, βουλόμενος σχίσαι τὸ πλῆθος τὸ κακῶς ὁμονοοῦν κατ' αὐτοῦ. καὶ οὐ ψεύδεται οὐδὲ ἐνταῦθα, Φαρισαῖον ἑαυτὸν λέγων. Φαρισαῖος γὰρ ἦν ἐκ προγόνων. διὰ τοῦτο καὶ οὕτω ἀπολογεῖται· Φαρισαῖος ἐγώ εἰμι, υἱὸς Φαρισαίου, καὶ περὶ ἐλπίδος καὶ ἀναστάσεως νεκρῶν ἐγὼ κρίνομαι. ἐπειδὴ γὰρ ἐκεῖνοι οὐκ ἐβούλοντο εἰπεῖν, διὰ τί κρίνουσιν αὐτὸν, ἀναγκάζεται λοιπὸν αὐτὸς ἐξειπεῖν. Φαρισαῖοι δέ, φησιν, ὁμολογοῦσι τὰ ἀμφότερα. καίτοι τρία ἐστί· πῶς οὖν λέγει ἀμφότερα; ἢ ὅτι πνεῦμα καὶ ἄγγελος ἕν ἐστιν, ἢ ὅτι οὐ μόνον ἡ λέξις περὶ δύο, ἀλλὰ καὶ περὶ τριῶν λαμβάνεται. καταχρηστικῶς οὖν οὕτως εἶπε, καὶ οὐ κυριολογῶν. καὶ ὅρα, ὅτι μετ' αὐτῶν ἐστι, τότε ἀπολογοῦνται ὑπὲρ αὐτοῦ.

*χ. ἓν πνεῦμα καὶ ἄγγελος ἐν φησι. καὶ ὅρα ὅτι*

9 Ἐγένετο γάρ, φησι, κραυγὴ μεγάλη· καὶ ἀναστάντες τινὲς τῶν γραμματέων τοῦ μέρους τῶν Φαρισαίων, διεμάχοντο λέγοντες· οὐδὲν κακὸν εὑρίσκομεν ἐν τῷ ἀνθρώπῳ τούτῳ. εἰ δὲ πνεῦμα ἐλάλησεν αὐτῷ ἢ ἄγγελος, μὴ θεομαχῶμεν. Καὶ διὰ τί μὴ πρὸ τούτου ὑπὲρ αὐτοῦ ἀπελογήσαντο; ὅτι αὐτοῖς οὔπω συνεμίγνυτο, οὐδὲ δῆλος ἦν, πρὶν ἀπολογήσεται, Φαρισαῖος ἄνωθεν ὤν. ὁρᾷς ὅταν τὰ πάθη ὑποχωρήσῃ, πῶς ἡ ἀλήθεια εὑρίσκεται; ὃ δὲ λέγουσι, τοῦτό ἐστι· ποῖον ἔγκλημα, εἰ ἄγγελος αὐτῷ ἐλάλησεν, εἰ πνεῦμα, καὶ ὑπ' αὐτοῦ κατηχηθεὶς, οὕτω τὰ περὶ ἀναστάσεως ἐκδιδάσκει; οὐκοῦν αὐτοῦ ἀποστῶμεν, μὴ αὐτῷ πολεμοῦντες καὶ θεομάχοι εὑρεθῶμεν. ὅρα συνετοὺς αὐτοὺς ὑπεραπολογουμένους, καὶ τὸν Παῦλον οὐδεμίαν αὐτοῖς διδόντα λαβήν.

*ἴσ. δῆλος χ. πρὶν ἀπολέγεται λόγον Φαρισαῖος ὤν.*

10 Πολλῆς δὲ γενομένης στάσεως, φοβηθεὶς ὁ χιλίαρχος μὴ διασπασθῇ ὁ Παῦλος ὑπ' αὐτῶν, ἐκέλευσε τὸ στράτευμα καταβὰν ἁρπάσαι αὐτὸν ἐκ μέσου αὐτῶν, ἄγειν τε εἰς τὴν παρεμβολήν. Φοβεῖται λοιπὸν ὁ χιλίαρχος μὴ διασπασθῇ, ἐπειδὴ εἶπεν ὅτι Ῥωμαῖός ἐστιν· ὅθεν καὶ οὐκ ἀκίνδυνον ἦν τὸ πρᾶγμα. ὁρᾷς ὅτι δικαίως ὡμολόγησεν ἑαυτὸν Ῥωμαῖον εἶναι; εἰ γὰρ μὴ, οὐδὲ νῦν ἐφοβήθη. καὶ τὸ μὲν στράτευμα λοιπὸν ἁρπάζει αὐτόν. ὡς δὲ εἶδον οἱ μιαροὶ πάντα ἀνιοῦντα, δι' ἑαυτῶν τὸ πᾶν ποιοῦσι, βουληθέντες μὲν καὶ πρὸ τούτου, κωλυθέντες δέ. οὕτως οὐδαμοῦ ἵσταται ἡ κακία τοσούτοις ἐγκοπτομένη. καίτοι πόσα ἐνενομίσθη, ὥστε καὶ τοῦ θυμοῦ καθυφεῖναι, καὶ μαθεῖν δι' ὧν ἐδύναντο ἀνενεγκεῖν; ἀλλ' οὐδὲν πλέον ἐφίσανται. ἱκανὴ γοῦν ἐκείνη ἡ ἀπολογία, τὸ μέλλοντα διασπᾶσθαι τὸν ἄνθρωπον ἁρπάζεσθαι, καὶ τοσούτους κινδύνους διαφυγεῖν.

*χ. εὐλαβηθεὶς*

*χ. εἰ γὰρ αὐτοὶ μὴ, οὐδὲ νῦν ἐφοβ.*

*χ. ὡς ἴδιον οἶμαι· ὅρα παίζει*

11 Τῇ δὲ ἐπιούσῃ νυκτὶ ἐπιστὰς αὐτῷ ὁ Κύριος, εἶπε· θάρσει, Παῦλε· ὡς γὰρ διεμαρτύρω τὰ περὶ ἐμοῦ εἰς Ἱερουσαλήμ, οὕτω σε δεῖ καὶ εἰς Ῥώμην μαρτυρῆσαι.

12 Γενομένης δὲ ἡμέρας, ποιήσαντες οἱ Ἰουδαῖοι συστροφὴν, ἀνεθεμάτισαν ἑαυτοὺς λέγοντες μὴ φαγεῖν, μηδὲ πιεῖν, ἕως οὗ ἀνέλωσι τὸν Παῦλον.

*χ. τινες τῶν Ἰουδαίων*

εἰς δέον ἀναλίσκων τὰ χρήματα, οὗτός ἐστι μεγαλόψυχος. μεγάλη γὰρ ὄντως ψυχὴ ἡ μὴ πάθει δουλεύουσα, ἡ μηδὲν ἡγουμένη τὰ χρήματα εἶναι. πάλιν, ἡ οἰκονομία καλόν· οὕτω καὶ ὁ οἰκονομικὸς ἂν εἴη ἄριστος, ὁ εἰς δέον ἀναλίσκων, καὶ μὴ ἁπλῶς ἀνοικονομήτως. ἡ δὲ φειδωλία οὐκ ἔστι ταὐτόν. ἐκεῖνος μὲν γὰρ πάντα εἰς τὸ δέον ἀναλίσκει· οὗτος δὲ οὐδὲ ἀναγκαίας ἀπαντώσης χρείας, τῆς οὐσίας ἅπτεται τῶν χρημάτων. ὁ οἰκονομικὸς τοίνυν τοῦ μεγαλοψύχου γένοιτ' ἂν ἀδελφός. οὐκοῦν ὁμοῦ τὸν μεγαλόψυχον φήσομεν καὶ τὸν οἰκονομικόν, καὶ τοὺς ἀσώτους καὶ τοὺς μικρολόγους. ἀμφότεροι γὰρ ἀπὸ μικροψυχίας τοῦτο πάσχουσιν, ὥσπερ οὖν κἀκεῖνοι ἀπὸ μεγαλοψυχίας. μὴ δὴ μεγαλοψύχους καλῶμεν τοὺς ἀναλίσκοντας ἁπλῶς, ἀλλὰ τοὺς εἰς δέον ἀναλίσκοντας· μηδὲ τὸν οἰκονομικὸν μικρολόγον καὶ φειδωλόν, ἀλλὰ τοὺς ἀκαίρως φειδομένους τῶν χρημάτων. πόσα ὁ πλούσιος ἐκεῖνος ἀνάλωσεν, ἐνδιδυσκόμενος πορφύραν καὶ βύσσον; ἀλλ' οὐκ ἦν μεγαλόψυχος. ὑπὸ γὰρ ὠμότητος κατείχετο ἡ ψυχὴ αὐτοῦ καὶ ὑπὸ μυρίων ἡδονῶν. ἡ δὲ τοιαύτη πῶς ἂν εἴη μεγάλη; μεγαλόψυχος ἦν ὁ Ἀβραάμ, εἰς ὑποδοχὴν ἀναλίσκων τῶν ξένων, καὶ μόσχον κατασφάττων, καὶ ἔνθα ἐχρῆν οὐ μόνον χρημάτων, ἀλλ' οὐδὲ τῆς ψυχῆς τῆς αὐτοῦ φειδόμενος. ἂν τοίνυν ἴδωμέν τινα τράπεζαν παρατιθέντα πολυτελῆ, πόρνας τρέφοντα καὶ παρασίτους, μὴ μεγαλοψύχους καλέσωμεν τούτους, ἀλλὰ σφόδρα μικροψύχους. ὅρα γὰρ ὅσοις δουλεύει καὶ ὑπόκειται πάθεσι, γαστριμαργίᾳ, ἡδονῇ ἀτόπῳ, κολακείᾳ· τοὺς δὲ τοσούτοις κατεχομένους, καὶ μηδὲν τούτων δυναμένους διαφυγεῖν, πῶς ἂν τις μεγαλοψύχους καλοίη; ὥστε αὐτοὺς τότε μάλιστα καλέσομεν μικροψύχους, ὅταν μάλιστα ἀναλίσκῃ. ὅσῳ γὰρ ἂν μειζόνως ἀναλίσκῃ, τοσούτῳ δηλοῖ τὴν τυραννίδα τῶν παθῶν ἐκείνων. εἰ γὰρ μὴ σφόδρα αὐτοῦ ἐκράτουν, οὐκ ἂν σφόδρα ἀνάλωσε. πάλιν, ἂν ἴδωμέν τινα τούτων μὲν μηδενὶ μηδὲν παρέχοντα, πένητας δὲ τρέφοντα, καὶ τοῖς δεομένοις ἐπικουροῦντα, αὐτὸν δὲ τράπεζαν ἔχοντα εὐτελῆ, τοῦτον σφόδρα καλῶμεν μεγαλόψυχον. μεγάλης γὰρ ὄντως ψυχῆς, τῆς μὲν οἰκείας καταφρονεῖν ἀναπαύσεως, τῆς δὲ ἑτέρων φροντίζειν. εἰπὲ γάρ μοι· εἴ τινα ἴδοις τῶν μὲν τυράννων καταφρονοῦντα πάντων, καὶ οὐδὲν ἡγούμενον τὰ ἐκείνων ἐπιτάγματα, τοὺς δὲ ὑπ' ἐκείνων τυραννουμένους ἐξέλκοντα, καὶ τοὺς κακῶς πάσχοντας, ἆρα οὐκ ἂν μέγαν ἡγήσαιο τοῦτον; οὕτω δὴ καὶ ἐνταῦθα λογιζώμεθα. τύραννός ἐστι τὰ πάθη. ἐὰν οὖν καταφρονήσωμεν αὐτῶν, μεγάλοι ἐσόμεθα· ἂν δὲ καὶ ἑτέρους ἐξελκύσωμεν, πολλῷ μείζους εἰκότως. οἱ γὰρ οὐχ ἑαυτοῖς ἀρκοῦντες μόνον, ἀλλὰ καὶ ἑτέροις, μείζους τῶν μηδέτερον ποιούντων. ἂν δὲ ἐπιταττόμενός τις ὑπὸ τυράννου, τὸν μὲν τῶν ὑπηκόων τύπτῃ, τὸν δὲ ἕλκῃ, ἄλλον δὲ ὑβρίζῃ, ἆρα τοῦτο μεγαλοψυχίας ἐροῦμεν; οὐ δῆτα· καὶ τοσούτῳ πλέον, ὅσῳ ἂν μέγας ᾖ. οὕτω καὶ ἐφ' ἡμῶν. τινῶν μὲν γὰρ παράκειται ἡ ψυχὴ εὐγενὴς ὡς οὖσα ἐλευθέρα· ταύτην δὲ ὁ ἄσωτος τύπτεσθαι ἐκέλευσεν ὑπὸ τῶν παθῶν. τὸν οὖν ἑαυτὸν τύπτοντα, τοῦτον μεγαλόψυχον φήσομεν; οὐδαμῶς. οὐκοῦν μάθωμεν τίς μὲν ἡ μεγαλοψυχία, τίς δὲ ἡ ἀσωτία· τίς ἡ οἰκονομία, καὶ τίς ἡ μικρολογία· τίς ἡ ἐπιείκεια, * καὶ ἀνανδρία· τίς παρρησία, καὶ τίς θρασύτης· ἵνα ταῦτα ἀπ' ἀλλήλων διελόντες, δυνηθῶμεν εὐαρέστως τῷ Κυρίῳ τὸν παρόντα βίον διαγαγεῖν, καὶ τῶν μελλόντων ἐπιτυχεῖν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γ. ἔχοντα

χ. μέγα ἐγένου τότε;

χ. ἀλλὰ καὶ σφοδροτέρας δουλείας, ὅσῳ

χ. ταύτῃ

* καὶ ῥᾳθυμία χ. εἰρ... λάσει, καὶ τ

Λογ. μθ.

θανατῶντα, καὶ οὐχ ὑπεμψίαν. Οὐκ ᾔδειν, φησὶν, ὅτι ἀρχιερεύς ἐστιν. ἆρα ἀγνοίας ἡ ἐπιτίμησις ἦν. Εἰ γὰρ μὴ τοῦτο ἦν, κἂν λαβὼν αὐτὸν ἀπῆλθε καὶ οὐκ ἐσίγησε, κἂν ἐξέδωκεν αὐτοῖς αὐτὸν ὁ χιλίαρχος. Ἐνταῦθα δείκνυσιν, ὅτι ἑκὼν πάσχει ἃ πάσχει, καὶ οὕτως ἀπολογεῖται πρὸς αὐτοὺς τῷ νόμῳ πειθόμενος, οὐχὶ αὐτοῖς ἐνδείξασθαι βουλόμενος· ἐπεὶ ἐκεῖνον καὶ κατηγόρησε σφόδρα. Διὰ τὸν νόμον τοίνυν ἀπολογεῖται, ἀλλ' οὐ διὰ τὸν δῆμον· εἰκότως. ὁ γὰρ τὸν οὐδὲν ἠδικηκότα ἀναιρῶν, καὶ ταῦτα ἀθῷον ὄντα, παρανομῶν ἦν. Οὐκοῦν οὐδὲ ὕβρις τὸ παρ' αὐτοῦ εἰρημένον, εἰ μὴ καὶ τὰ τοῦ Χριστοῦ ὕβριν εἴποι τις ἄν, ὅταν λέγῃ· Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι, ὅτι παρομοιάζετε τοίχοις κεκονιαμένοις. Ναί, φησιν. ἀλλ' εἰ περὶ τοῦ τυπτηθῆναι εἶπεν, οὐκ ἦν θυμοῦ, ἀλλὰ παρρησίας. Ἀλλ' εἶπον τὴν αἰτίαν, ὅτι οὐκ ἐβούλετο καταφρονηθῆναι. Καὶ μὴν ὁ Χριστὸς πολλαχοῦ ὕβρισεν Ἰουδαίους αὐτὸς ὑβρισθείς, ὡς ὅταν λέγῃ· Μὴ δοκεῖτε ὅτι ἐγὼ κατηγορήσω ὑμῶν. Ἀλλ' οὐκ ἔστι τοῦτο ὕβρις, μὴ γένοιτο. Ὅρα γοῦν πρὸς ἐκείνους μεθ' ὅσης ἐπιεικείας διαλέγεται. Οὐκ ᾔδειν ὅτι ἀρχιερεύς ἐστι, φησι, τοῦ Θεοῦ. [τοῦτο εἶπε, καὶ οὐκ ἔστη] ἀλλὰ δεικνὺς ὅτι οὐκ εἰρωνεύεται), ἐπάγει· ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς. Βλέπετε πῶς καὶ ἄρχοντα αὐτὸν ἔτι ὁμολογεῖ;

Ματθ. κγ'.
χ. τάφοις
Ἰωάν. ε'. με'.

ΗΘΙΚΟΝ

Μάθωμεν τοίνυν καὶ ἡμεῖς τὴν ἐπιείκειαν καὶ τὴν παρρησίαν, ἵνα ἐν ἑκατέροις ὦμεν ἀπηρτισμένοι. Πολλῆς γὰρ ἀκριβείας δεῖ, ὥστε μαθεῖν τί μὲν τοῦτο, τί δὲ ἐκεῖνο. Ἀκριβείας δὲ δεῖ, ὅτι παρυφεστᾶσιν αὐταῖς αἱ κακίαι· τῇ μὲν παρρησίᾳ θρασύτης, τῇ δὲ ἐπιεικείᾳ ἀνανδρία. Καὶ δέον περισκοπεῖν, μὴ τὴν κακίαν τις κατέχων, δόξῃ τὴν ἀρετὴν ἔχειν· ὥσπερ ἂν εἴ τις δοκοίη τῇ δεσποίνῃ συγγίνεσθαι, ἀγνοῶν τῇ θεραπαινίδι συνών. Τί οὖν ἐστιν ἐπιείκεια, καὶ τί ἀνανδρία; Ὅταν ἑτέρους μὲν ἀδικουμένους μὴ ἀμύνωμεν, ἀλλὰ σιγῶμεν αὐτοί, τοῦτο ἀνανδρίας ἐστίν· ὅταν δὲ κακῶς πάσχοντες φέρωμεν, τοῦτο ἐπιείκεια. Τί παρρησία; πάλιν τὸ αὐτό, ὅταν ὑπὲρ ἑτέρων ἀγωνιζώμεθα. Τί δαὶ θρασύτης; ὅταν ὑπὲρ ἡμῶν αὐτῶν ἀμύνεσθαι βουλώμεθα. Ὥστε μεγαλοψυχία ὁμοῦ καὶ παρρησία, καὶ θρασύτης πάλιν καὶ ἀνανδρία. Ὁ γὰρ ὑπὲρ ἑαυτοῦ μὴ ἀλγῶν, δυσκόλως ὑπὲρ ἑτέρων ἀλγήσει· ὁ δὲ ἑαυτῷ μὴ ἀμύνων, δυσκόλως ἑτέροις οὐκ ἀμυνεῖται. Ὅταν γὰρ καθαρεύῃ τὸ ἦθος ἡμῖν πάθους, δέχεται καὶ ἀρετήν. Καθάπερ καθαρὸν ὂν σῶμα πυρετοῦ δέχεται ἰσχύν, οὕτω δὴ καὶ ἡ ψυχή, ἂν μὴ τοῖς πάθεσι περιδιαφθαρῇ, δέχεται ἰσχύν. Μεγάλης ἰσχύος γνώρισμά ἐστιν ἐπιείκεια, γενναίας καὶ νεανικῆς ψυχῆς καὶ ὑψηλῆς σφόδρα· τῇ ἐπιεικείᾳ δεῖ. Ἢ μικρὸν οἴει τὸ παθεῖν κακῶς, καὶ μὴ ἀγριαίνειν; καὶ οὐκ ἄν τις ἁμάρτοι τὴν κηδεμονίαν τὴν ὑπὲρ τῶν πλησίον ἀνδρείαν εἰπών. Ὁ γὰρ τοσοῦτον ἰσχύσας, ὡς δυνηθῆναι τοσούτων περιγενέσθαι πάθους, ἰσχύσει καὶ ἑτέρου κατατολμῆσαι. Οἷον, δύο πάθη ἐστὶ ταῦτα, δειλία καὶ θυμός. Ἂν τοῦ θυμοῦ κατάσχῃς, εὔδηλον ὅτι καὶ δειλίας· τοῦ θυμοῦ δὲ κρατεῖς, ἐπιεικὴς ὤν· οὐκοῦν καὶ τῆς δειλίας [ἂν κρατήσῃς], καὶ ἔσῃ ἀνδρεῖος. Πάλιν ἂν μὴ περιγένῃ τοῦ θυμοῦ, γέγονας θρασύς. Τούτου δὲ μὴ περιγινόμενος, οὐδὲ φόβου περιγενέσθαι δυνήσῃ. Οὐκοῦν καὶ δειλὸς ἔσῃ, καὶ ταὐτὸν γίνεται, οἷον ἂν εἰ σῶμα ἀσθενὲς οὕτως εἴη καὶ δύσκρατον, ὡς πρὸς οὐδένα πόνον ἀντέχειν. Τοῦτο ταχέως καὶ ὑπὸ ψυχροῦ ἁλίσκεται καὶ ὑπὸ θερμοῦ (τὸ γὰρ δύσκρατον τοιοῦτον) τὸ δὲ εὔκρατον πάντα ὑφίσταται. Πάλιν, ἐστὶ μεγαλοψυχία ἀρετὴ καὶ παρυφέστηκεν αὐτῇ ἀσωτία. Ἔστιν οἰκονομία ἀρετὴ καὶ τὸ οἰκονομικὸν εἶναι, παρυφέστηκεν ἡ φειδωλία καὶ ἡ μικρολογία. Φέρε οὖν πάλιν ταῖς ἀρεταῖς συναγάγωμεν. Οὐκοῦν οὐ μεγαλόψυχος ὁ ἄσωτος. Πῶς; ὁ γὰρ ὑπὸ μυρίων ἁλισκόμενος παθῶν, πῶς ἂν εἴη μέγας τὴν ψυχήν; οὐ γὰρ χρημάτων ἐστὶ τοῦτον καταφρονεῖν, ἀλλ' ὑφ' ἑτέρων ἐπιτάττεσθαι παθῶν. Ὥσπερ ἂν εἴ τις ὑπὸ λῃστῶν ἐπιτάττοιτο ἐκείνοις ὑπακούειν, οὐκ ἂν εἴη ἐλεύθερος. Οὐ γὰρ ἐκ τοῦ χρημάτων καταφρονεῖν γίνεται τὸ ἀναλίσκειν, ἀλλ' ἐκ τοῦ μὴ δεόντως εἰδέναι διοικεῖν. ἐπεὶ εἴγε οὕτω καὶ ἔχειν καὶ ἀπολαύειν ἐκείνων, οὕτως ἂν ἠθέλησεν· ὁ δὲ

χ. ἀγνοεῖν
χ. ἑαυτοῖς δὲ ἀμυνώμεθα. τοῦτο αὐτὸ ἀνανδρ.
χ. οὐκ ἀλγ.
χ. περιδιαφ.
χ. ἡ ἐπιείκεια
χ. τοῦτο

δὲ δοκεῖ, ὅτι οὐδὲ ὅλως ᾔδει ὅτι ἐστὶν ἀρχιερεύς· ἢ γὰρ ἂν, καὶ ἐτίμησεν. διὸ καὶ ἀπολογεῖται ὡς κακηγορίας οὔσης, καὶ ἐπάγει, ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς. τί οὖν, φησίν; εἰ γὰρ μὴ ἄρχων ἦν, ἄλλον ἁπλῶς ὑβρίζειν ἔδει; οὐδαμῶς· ἀλλὰ καὶ ὑβριζόμενοι μᾶλλον ἐλεεῖν. ἄξιον δὲ ζητῆσαι, πῶς ἀλλαχοῦ ὁ αὐτὸς λέγει· Λοιδορούμενοι εὐλογοῦμεν, διωκόμενοι ἀνεχόμεθα, (α. Κορ. δ. ιβ.) ἐνταῦθα τοὐναντίον ποιεῖ; καὶ οὐ λοιδορεῖται μόνον, ἀλλὰ καὶ ἐπαρᾶται. ἅπαντα. οὐδὲ περὶ τούτων φαίνεται πεποιηκώς· ἀλλὰ τῷ ἀκριβῶς σκοποῦντι, παρρησίας μᾶλλόν ἐστι τὰ ῥήματα, ἢ θυμοῦ. ἄλλως δέ, οὐκ ἐβούλετο δοκεῖν καταφρονητὴς φανῆναι τῷ χιλιάρχῳ. εἰ γὰρ αὐτὸς μὲν ἐφείσατο μαστίξαι, ὡς δὴ τοῖς Ἰουδαίοις ἐκδίδοσθαι μέλλοντα, τὸ ὑπὸ τῶν οἰκετῶν τύπτεσθαι, μᾶλλον ἂν ἐκείνους θρασυτέρους εἰργάσατο. διὰ τοῦτο οὐδὲ πρὸς τὸν παῖδα ἀποτείνεται, ἀλλὰ πρὸς αὐτὸν τὸν ἐπιτάξαντα, [τοῦτο κατασκευάζων.] τὸ δέ, τοῖχε κεκονιαμένε, καὶ σὺ κάθῃ κρίνων με κατὰ τὸν νόμον, εἶπε, μονονουχὶ τοῦτο αὐτῷ λέγων· ὑπεύθυνος ὢν καὶ μυρίων πληγῶν ἄξιος. ὅρα γοῦν πῶς αὐτοῦ κατεπλάγησαν τὴν παρρησίαν [ὁ δῆμος]. δέον γὰρ ἀνατρέψαι τὸ πᾶν, παραινοῦσι μᾶλλον. αὐτὸς δὲ καὶ τὸν νόμον ὑπαναγινώσκει, ἐπειδὴ βούλεται δεῖξαι ὅτι οὐ διὰ τὸ φοβηθῆναι, οὐδὲ διὰ τὸ μὴ ἄξιον εἶναι ἀκοῦσαι ταῦτα, οὕτως εἶπεν, ἀλλὰ τῷ νόμῳ καὶ ἐνταῦθα πειθόμενος. καὶ σφόδρα πείθομαι μὴ εἰδέναι αὐτόν, ὅτι ἀρχιερεύς ἐστι, διὰ τὸ μακροῦ μετὰ ἐπανελθόντα χρόνου, μὴ συγγινόμενον δὲ συνεχῶς Ἰουδαίοις, ὁρῶντα δὲ καὶ ἐκεῖνον ἐν τῷ μέσῳ μετὰ πολλῶν τῶν ἑτέρων. οὐκέτι γὰρ δῆλος ἦν ὁ ἀρχιερεύς, πολλῶν ὄντων καὶ διαφόρων. οὕτω μοι καὶ τοῦτο πρὸς αὐτοὺς ἀποτείνασθαι δοκεῖ, δεικνὺς ὅτι νόμῳ πείθεται, καὶ διὰ τοῦτο ἀπολογεῖται. ἴδωμεν δὲ ἄνωθεν τὰ εἰρημένα. προσευχομένου μου, φησίν, ἐν τῷ ἱερῷ, ἐγένετο γενέσθαι με ἐν ἐκστάσει. ἵνα δηλώσῃ ὅτι οὐχ ἁπλῶς φαντασία ἦν, διὰ τοῦτο προσέθηκε τό, προσευχομένου μου. σπεῦσον καὶ ἔξελθε ἐν τάχει, φησί, διότι οὐ παραδέξονταί σου τὴν μαρτυρίαν. ἐνταῦθα δείκνυσιν ὅτι οὐχὶ φοβούμενος αὐτὸς τοὺς κινδύνους ἔφυγεν, ἀλλ' ὅτι οὐκ ἐδέχοντο τὴν μαρτυρίαν αὐτοῦ. διὰ τί δὲ εἶπεν, ὅτι αὐτοὶ ἐπίστανται, ὅτι ἐγὼ ἤμην δεσμεύων; οὐκ ἀντιλέγων τῷ Χριστῷ (μὴ γένοιτο) ἀλλὰ βουλόμενος μαθεῖν τὸ οὕτω παράδοξον. πορεύου, φησίν, ὅτι ἐγὼ εἰς ἔθνη μακρὰν ἐξαποστελῶ σε. ὅρα, οὐκ ἐδίδαξεν αὐτὸν ὁ Χριστὸς τί δεῖ ποιεῖν· ἀλλ' εἶπε μόνον ἀπελθεῖν, καὶ πείθεται· τοσοῦτον ἦν καταπειθής. καὶ ἐπῆραν τὴν φωνὴν αὐτῶν, φησί, λέγοντες· αἶρε αὐτόν· οὐ γὰρ καθῆκεν αὐτὸν ζῆν. ὢ τῆς θρασύτητος. καὶ μὴν ὑμᾶς οὐ καθῆκε ζῆν, οὐχὶ τοῦτον τὸν πάντα πειθόμενον τῷ Θεῷ. ὢ μιαροὶ καὶ ἀνδροφόνοι. καὶ τὰ ἱμάτια ἐκτινάσσοντες, φησί, κονιορτὸν ἔβαλλον. ὥστε χαλεπωτέραν γενέσθαι τὴν στάσιν τοῦτο ποιοῦσιν, ἢ καὶ φοβῆσαι βουλόμενοι τὸν ἄρχοντα. καὶ ὅρα· οὐ λέγουσι τὴν αἰτίαν, ἐπειδὴ μηδὲν εἶχον εἰπεῖν, ἀλλὰ τῇ βοῇ καταπλήξειν οἴονται, καὶ μὴν παρὰ τῶν κατηγόρων ἐχρῆν μαθεῖν. καὶ ὁ χιλίαρχος ἐφοβήθη, φησίν, ἐπιγνοὺς ὅτι Ῥωμαῖός ἐστιν. οὐκ ἄρα ψεῦδος ἦν τὸ Ῥωμαῖον ἑαυτὸν εἶναι τὸν Παῦλον εἰπεῖν. καὶ ἔλυσεν αὐτὸν ἀπὸ τῶν δεσμῶν, φησί, καὶ καταγαγὼν ἔστησεν εἰς τὸ συνέδριον. τοῦτο ἔδει ποιῆσαι*, μήτε βουληθῆναι μαστίξαι, ἀλλὰ καταλιπεῖν, μηδὲν τοιοῦτόν τι ποιήσαντα ὥστε καὶ δεσμεῖσθαι. καὶ ἔλυσεν αὐτόν, φησί, καὶ καταγαγὼν εἰς αὐτοὺς ἔστησε. τοῦτο μάλιστα ἠπόρησαν οἱ Ἰουδαῖοι. ἀτενίσας δὲ Παῦλος τῷ συνεδρίῳ, φησίν, εἶπεν· ἄνδρες ἀδελφοί. ἐνταῦθα τὴν παρρησίαν αὐτοῦ δείκνυσι" καὶ τὸ ἐντρεπτικόν. ἀλλ' ὅρα καὶ ἐκείνων τὸ ἰταμόν. ἐπήγαγε γάρ, ὁ δὲ ἀρχιερεὺς Ἀνανίας τύπτειν αὐτοῦ τὸ στόμα ἐπέταξε. διὰ τί τύπτεις; τί γὰρ εἶπεν ὑβριστικόν; ὢ τῆς ἰταμότητος, ὢ τῆς ἀναισχυντίας, ὢ τῆς θρασύτητος. τότε ὁ Παῦλος πρὸς αὐτόν, φησίν, εἶπε· τύπτειν σε μέλλει ὁ Θεός, τοῖχε κεκονιαμένε. βαβαὶ τῆς παρρησίας. εἰς ὑπόκρισιν αὐτὸν καὶ παρανομίαν διασύρει. διὰ τοῦτο γοῦν καὶ καταστέλλεται. καὶ αὐτοὶ μὲν ἀποροῦντες οὐδὲν τολμᾷ εἰπεῖν, ἀλλ' οἱ παρ' αὐτόν, οὐκ ἐνεγκόντες αὐτοῦ τὴν παρρησίαν. οὕτως εἰσὶν ἄνθρωποι

θανατῶντα,

* παρὰ τὴν ἀρχὴν καὶ

" κ. τὸ ἀνεπίπληκτον. ἀλλ'

χ. χαρίζεται

ἀλλ᾽ ἁπλῶς τῇ ἐξουσίᾳ χρῆται. καὶ ἐκείνοις πρὸς χάριν ποιεῖ. οὐ γὰρ τοῦτο ἐζήτει, ὅπως δικαίως τι πράξειεν· ἀλλ᾽ ὅπως παύσῃ τὸν ἐκείνων θυμὸν ἄδικον ὄντα.

χ. παρεστῶτα

χ. ἑκατόνταρχον

25 Ὡς δὲ προέτεινεν αὐτὸν τοῖς ἱμᾶσιν, εἶπε πρὸς τὸν ἑστῶτα ἑκατόνταρχον· εἰ ἄνθρωπον Ῥωμαῖον καὶ ἀκατάκριτον ἔξεστιν ὑμῖν μαστίζειν; Οὐκ ἐψεύσατο Παῦλος (μὴ γένοιτο) Ῥωμαῖον ἑαυτὸν εἰπών. Ῥωμαῖος γὰρ ἦν. διὸ καὶ ὁ χιλίαρχος ἀκούσας φοβεῖται. καὶ τίνος, φησὶν, ἕνεκεν ἐφοβήθη; εἰ καὶ μηδὲν ἔπραξεν, ἔδεισεν δὲ, μὴ ἄλλην καὶ μείζονα δίκην δῷ. καὶ ὅρα· οὐχ ἁπλῶς φησίν· ἀλλ᾽, εἰ ἔξεστιν ὑμῖν. δύο τὰ ἐγκλήματα, καὶ τὸ ἀκατάκριτον, καὶ τὸ Ῥωμαῖον ὄντα. μεγάλην εἶχον ταύτην τότε προνομίαν τὸ ἀξιοῦσθαι οὕτω καλεῖσθαι, καὶ οὐ πάντες τούτου ἐτύγχανον. ἀπὸ γὰρ Ἀδριανοῦ, φασὶ, πάντας Ῥωμαίους ὀνομασθῆναι· τὸ δὲ παλαιὸν, οὐχ οὕτως ἦν. ἢ καὶ Ῥωμαῖον ἑαυτὸν εἶπεν, ἵνα διαφύγῃ τὴν τιμωρίαν. διακαταφρόνητος γὰρ ἂν ἐγένετο μαστιχθείς· νῦν δὲ τοῦτο εἰπὼν, εἰς πλείονα αὐτοὺς ἐμβάλλει φόβον. εἰ δὲ ἐμάστιξαν, καὶ παρέπεμψαν ἂν τὸ πρᾶγμα, ἢ καὶ ἀπέκτειναν αὐτόν· νῦν δὲ οὐχ

χ. παρέπεμψαν

οὕτω γέγονε. ὅρα πῶς ὁ Θεὸς συγχωρεῖ καὶ ἀνθρωπίνως πολλὰ γίνεσθαι, καὶ ἐπ᾽ αὐτῶν, καὶ τῶν λοιπῶν. ὁ δὲ χιλίαρχος ἀποκριθεὶς, ὅτι πολλοῦ κεφαλαίου τὴν πολιτείαν ταύτην ἐκτησάμην, δείκνυσιν ὑποπτεύσαι πρόφασιν εἶναι τὸ εἰπεῖν ἑαυτὸν Ῥωμαῖον τὸν Παῦλον· καὶ ἴσως τοῦτο ὑπέλαβεν ἀπὸ τῆς λιτότητος Παύλου τῆς φαινομένης.

26 Ἀκούσας δὲ ὁ ἑκατόνταρχος, προσελθὼν τῷ χιλιάρχῳ ἀπήγγειλε λέγων· ὅρα τί μέλλεις ποιεῖν· ὁ γὰρ ἄνθρωπος οὗτος Ῥωμαῖός ἐστι.

27 Προσελθὼν δὲ ὁ χιλίαρχος εἶπεν αὐτῷ· λέγε μοι, εἰ σὺ Ῥωμαῖος εἶ. ὁ δὲ ἔφη, ναί.

28 Ἀπεκρίθη ὁ χιλίαρχος· ἐγὼ πολλοῦ κεφαλαίου τὴν πολιτείαν ταύτην ἐκτησάμην. ὁ δὲ Παῦλός φησιν· ἐγὼ δὲ καὶ γεγέννημαι.

29 Εὐθέως δὲ ἀπέστησαν ἀπ᾽ αὐτοῦ οἱ μέλλοντες αὐτὸν ἀνετάζειν. καὶ ὁ χιλίαρχος δὲ ἐφοβήθη ἐπιγνοὺς, ὅτι Ῥωμαῖός ἐστι, καὶ ὅτι ἦν αὐτὸν δεδεκώς. Ἐγὼ δὲ, φησὶ, καὶ γεγέννημαι. ἄρα καὶ πατρὸς ἦν Ῥωμαίου. τί οὖν ἀπὸ τούτου γέγονε; λύσας κατήγαγεν αὐτὸν πρὸς τοὺς Ἰουδαίους. [οὕτως οὐκ ἦν ψεῦδος τὸ εἰπεῖν ἑαυτὸν Ῥωμαῖον, ὅτι καὶ ἀπέστησαν ἀπ᾽ αὐτοῦ λυθεὶς τοῦ δεσμοῦ. καὶ πῶς, ἄκουε.]

30 Τῇ δὲ ἐπαύριον βουλόμενος γνῶναι τὸ ἀσφαλὲς, τὸ τί κατηγορεῖται ὑπὸ τῶν Ἰουδαίων, ἔλυσεν αὐτὸν ἀπὸ τῶν δεσμῶν, καὶ ἐκέλευσε συνελθεῖν τοὺς ἀρχιερεῖς καὶ ὅλον τὸ συνέδριον αὐτῶν· καὶ καταγαγὼν τὸν Παῦλον, ἔστησεν εἰς αὐτούς.

1 Ἀτενίσας δὲ ὁ Παῦλος τῷ συνεδρίῳ εἶπεν. Οὐκέτι πρὸς τὸν χιλίαρχον, ἀλλὰ πρὸς τὸ πλῆθος καὶ τὸν δῆμον πάντα διαλέγεται. καὶ τί φησιν; Ἄνδρες ἀδελφοὶ, ἐγὼ πάσῃ συνειδήσει ἀγαθῇ πεπολίτευμαι τῷ Θεῷ ἄχρι ταύτης τῆς ἡμέρας. κεφ. κγ.

χ. ποίου δικαίως καὶ ἀρχιερατικῶς καὶ ὁπισμικῶς ἐζ

Ὃ δὲ λέγει, τοῦτό ἐστιν· οὐ συνοίδα ἐμαυτῷ τι ἠδικηκὼς ὑμᾶς, οὐδὲ ἄξιον τῶν δεσμῶν τούτων πεπραχώς. τί οὖν ὁ ἀρχιερεύς; δέον κατανυγῆναι ἐφ᾽ οἷς εἰς χεῖρας αὐτῶν ἀδίκως ἐδίδετο· ὁ δὲ καὶ προσεπιτίθησι, καὶ κελεύει τύπτεσθαι αὐτόν. ὃ καὶ δῆλον ἐξ ὧν ὑπήγαγεν·

χ. αὐτῷ

2 Ὁ δὲ ἀρχιερεὺς Ἀνανίας τοῖς παρεστῶσιν αὐτῷ ἐπέταξε τύπτειν αὐτοῦ τὸ στόμα. [Καὶ μάλα γε ἐπιεικὴς ὁ ἀρχιερεύς.]

3 Τότε ὁ Παῦλος πρὸς αὐτὸν εἶπε· τύπτειν σε μέλλει ὁ Θεὸς, τοῖχε κεκονιαμένε. καὶ σὺ κάθῃ κρίνων με κατὰ τὸν νόμον, καὶ παρανομῶν κελεύεις με τύπτεσθαι;

4 Οἱ δὲ παρεστῶτες εἶπον· τὸν ἀρχιερέα τοῦ Θεοῦ λοιδορεῖς;

χ. ἤδειν ὅτι ἐστὶν ἀρχιερεὺς τί οὖν ἀπολογεῖται

5 Ἔφη τε ὁ Παῦλος· οὐκ ᾔδειν, ἀδελφοὶ, ὅτι ἐστὶν ἀρχιερεύς. γέγραπται γάρ· Ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς. Τινὲς μὲν οὖν φασιν, ὅτι εἰδὼς εἰρωνεύεται· ἐμοὶ Ἐξοδ. κβ.

δὲ

Λογ. μη. 17 ΕΓΕΝΕΤΟ ΔΕ ΜΟΙ ΥΠΟΣΤΡΕΦΟΝΤΙ ΕΙΣ
Ἱερουσαλὴμ, προσευχομένου ἐν τῷ ἱερῷ, γενέσθαι με ἐν ἐκστάσει, χ. καὶ προσευχομένου μου ἐν
18 Καὶ ἰδεῖν λέγοντά μοι αὐτόν· σπεῦσον καὶ ἔξελθε ἐν τάχει ἐξ Ἱερουσα-
λὴμ, διότι οὐ παραδέξονταί σου τὴν μαρτυρίαν περὶ ἐμοῦ.
19 Κἀγὼ εἶπον· Κύριε, αὐτοὶ ἐπίστανται ὅτι ἐγὼ ἤμην φυλακίζων καὶ
δέρων κατὰ τὰς συναγωγὰς τοὺς πιστεύοντας ἐπὶ σέ· 20 Καὶ ὅτε ἐ-
ξεχεῖτο τὸ αἷμα Στεφάνου τοῦ μάρτυρός σου, καὶ αὐτὸς ἤμην ἐφεστὼς καὶ χ. παρεστὼς
συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ, καὶ φυλάσσων τὰ ἱμάτια τῶν ἀναιρούν-
των αὐτόν.

Ὅρα πῶς ἑαυτὸν εἰσωθεῖ εἰς τοὺς κινδύνους. ἐπειδὴ γάρ· ἐγένετο δέ μοι ὑποστρέφοντι εἰς Ἱερουσαλήμ· τουτέστιν, ἦλθον μετὰ τὴν ὄψιν ἐκείνην εἰς Ἱερουσαλὴμ πάλιν. καὶ προσευχομένου μου ἐν τῷ ἱερῷ, γενέσθαι με ἐν ἐκστάσει, καὶ ἰδεῖν λέγοντά μοι· σπεῦσον καὶ ἔξελθε ἐν τάχει, διότι οὐ παραδέξονταί σου τὴν μαρτυρίαν περὶ ἐμοῦ. ὅρα· οὐδὲ τοῦτο ἀμάρτυρον, ἀλλ' ἀπὸ τῆς ἐκστάσεως ἡ μαρτυρία. εἶπεν, ὅτι οὐ δέξονταί σου τὴν μαρτυρίαν, καὶ οὐκ ἐδέξαντο. καὶ μὴν ἀπὸ λογισμῶν εἰκὸς ἦν ὑποπτεῦσαι, ὅτι πάντως δέξονται. ἐγὼ γὰρ ἤμην ὁ φυλακίζων καὶ δέρων, φησίν. ὥστε διὰ τοῦτο ἔδει αὐτοὺς δέξασθαι· [καὶ ὅμως οὐκ ἐδέξαντο. διὸ καὶ τοῦτο ἐν τῇ ἐκστάσει μανθάνει τὸ μὴ παραδεχθῆναι.] ἐνταῦθα δύο κατασκευάζει, ὅτι τε ἀναπολόγητα αὐτοῖς ἐστι (οὐ γὰρ κατὰ τὸ εἰκὸς αὐτὸν ἐδίωκον, οὐδὲ κατὰ λόγον) καὶ ὅτι Θεὸς ἦν ὁ Χριστὸς τὰ παρὰ προσδοκίαν προφητεύων, καὶ οὐχ ὁρῶν εἰς τὰ γινόμενα, ἀλλὰ τὰ μέλλοντα προειδώς. πῶς οὖν λέγει, ἐνώπιον ἐθνῶν καὶ βασιλέων υἱῶν τε Ἰσραὴλ βαστάσει τὸ ὄνομά μου; βαστάσει, εἶπεν, οὐ πάντως πείσει. ἄλλως δὲ Ἰουδαῖοι ἀλλαχοῦ μὲν ἐπείθοντο· ἐνταῦθα δὲ οὐχί. ὅπου μάλιστα ἔδει πιστευθῆναι, εἰδότας αὐτοῦ τὴν προτέραν προθυμίαν, ἐνταῦθα οὐκ ἐπείθοντο. καὶ ὅτι ἐξεχεῖτο τὸ αἷμα Στεφάνου τοῦ μάρτυρός σου, καὶ αὐτὸς ἤμην ἐφεστὼς καὶ συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ. ὅρα πόθεν πάλιν ὁ λόγος τελευτᾷ εἰς τὸ ἰσχυρὸν κεφάλαιον. δείκνυσι γὰρ ὅτι αὐτὸς ἦν ὁ ἐλαύνων, καὶ οὐκ ἐλαύνων μόνον, ἀλλὰ καὶ μυρίαις χερσὶν αἴρων τὸν Στέφανον. ὑπέμνησεν αὐτοὺς μιαιφονίας χαλεπῆς. τότε δὴ μάλιστα οὐκ ἤνεγκαν, ἐπειδὴ τοῦτο ἤλεγχεν αὐτούς, καὶ ἤδη ἡ προφητεία ἐπληροῦτο. ὁ ζῆλος τοίνυν πολύς, καὶ ἡ κατηγορία σφοδρά, καὶ οἱ μάρτυρες τῆς ἀληθείας τοῦ Χριστοῦ παρρησίᾳ διαλεγόμενοι· ἀλλ' οἱ Ἰουδαῖοι οὐκ ἠνέσχοντο λοιπὸν πάσης ἀκοῦσαι τῆς δημηγορίας, ἀλλ' ὑπὸ τοῦ θυμοῦ σφόδρα ἐμπρησθέντες ἐβόων.

χ. πάλιν τοῦτο ἀμάρτυρον, ἀλλ' ὅρα ἀπὸ
χ. ὁ πολλοὺς χειρωσάμενος καὶ εἰς φυλακὰς ἐμβάλλων αὐτούς. ὅτι
χ. λογισμῶν.

21 Καὶ εἶπε πρός με, πορεύου, ὅτι ἐγὼ εἰς ἔθνη μακρὰν ἀποστελῶ σε. χ. ἐξαποστ.
22 Ἤκουον δὲ αὐτοῦ ἄχρι τούτου τοῦ λόγου, καὶ ἐπῆραν τὴν φωνὴν αὐτῶν λέγοντες· αἶρε ἀπὸ τῆς γῆς τὸν τοιοῦτον. οὐ γὰρ καθῆκεν αὐτὸν ζῆν.
23 Κραζόντων δὲ αὐτῶν καὶ ῥιπτούντων τὰ ἱμάτια, καὶ κονιορτὸν βαλλόντων εἰς τὸν ἀέρα, χ. κραυγαζόντων
24 Ἐκέλευσεν ὁ χιλίαρχος εἰσάγεσθαι αὐτὸν εἰς τὴν παρεμβολήν, εἰπὼν μάστιξιν ἀνετάζεσθαι αὐτόν, ἵνα γνῷ δι' ἣν αἰτίαν οὕτω κατεβόων αὐτοῦ. Καὶ ὁ χιλίαρχος δέον ἐξετάσαι, εἰ ταῦτα οὕτως ἔχει, ἢ καὶ αὐτοὺς ἐκείνους, ὁ δὲ μηδὲν πλέον ποιήσας μάστιξιν ἀνετάζειν αὐτὸν ἐπαγγέλλεται. ἐκέλευσε γὰρ αὐτόν, φησιν, εἰσάγεσθαι εἰς τὴν παρεμβολήν, εἰπὼν μάστιξιν ἀνετάζεσθαι αὐτόν, ἵνα γνῷ δι' ἣν αἰτίαν οὕτω κατεβόων αὐτοῦ. καὶ μὴν παρ' ἐκείνων ἔδει μαθεῖν τῶν καταβοώντων, καὶ ἐρωτῆσαι εἰ ἴσως τὴν εἰρημένην ἐπιλαμβάνοιντο· ἀλλ'

χ. ἐπηγορ.
χ. οὕτως ἐπεφώνουν αὐτῷ
χ. καὶ αὐτοὺς δὴ ἐκείνους, ἢ εἰ μὴ ἔχει,

Digitized by Google

μα, ἀλλ' ἀποδέχεται λάθρα, ἀλλ' ἐπαινέσεται, ἀλλὰ θαυμάσεται. καὶ πόθεν, φησὶν, ἂν γένοιτο βίος ἄριστος; οὐδαμόθεν, ἀλλ' ἢ ἀπὸ θείας ἐνεργείας. τί οὖν, ὅταν καὶ Ἕλληνες ὦσι τοιοῦτοι; ἐκεῖνοι (εἴ που καὶ εἶεν τοιοῦτοι) οἱ μὲν φύσει, οἱ δὲ διὰ κενοδοξίαν. βούλει μαθεῖν ὅσον ἡ τοῦ βίου λαμπρότης; ὅσον ἔχει τὴν πειθώ; πολλοὶ τῶν αἱρετικῶν οὕτως ἴσχυσαν, καὶ τὰ δόγματα καίτοι αὐτοῖς ὄντα διεφθαρμένα, οἱ πολλοὶ τῶν ἀνθρώπων αἰδοῖ τῇ περὶ τὸν βίον οὐκ ἔτι τὸ δόγμα ἐξήτασαν· ἄλλοι δὲ καὶ καταγινώσκοντες αὐτῶν διὰ τὸ δόγμα, ᾐδέσθησαν διὰ τὸν βίον· οὐ καλῶς μὲν, πλὴν ὅμως τοῦτο ἔπαθον. τοῦτο τὰ σεμνὰ τῆς πίστεως τῆς ἡμετέρας διέβαλε. τοῦτο τὰ πάντα ἀνέτρεψε, τὸ μηδένα λόγον εἶναι βίου μηδενί, τοῦτο τῇ πίστει λυμαίνεται. λέγομεν ὅτι Θεός ἐστιν ὁ Χριστός· μυρία καὶ ἕτερα παράγομεν· μετὰ δὲ τῶν ἄλλων καὶ τοῦτο, ὅτι ἔπεισεν ἅπαντας ὀρθῶς ζῆν. ἀλλ' αὐτὸ ἐν ὀλίγοις ἐστί. τὸ τῆς ἀναστάσεως δόγμα λυμαίνεται ἡ τοῦ βίου φαυλότης, τὸ τῆς ἀθανασίας τῆς ψυχῆς, τὸ τῆς κρίσεως. πολλὰ καὶ ἕτερα ἐπισπᾶται, εἱμαρμένην, ἀνάγκην, τὸ ἀπρονόητον. ψυχὴ γὰρ βαπτισθεῖσα μυρίοις κακοῖς, ὥσπερ τινὰς παραμυθίας ταύτας ἐπινοεῖν ἑαυτῇ πειρᾶται, ἵνα μὴ λυπῆται λογιζομένη ὅτι χείρων ἐστί, καὶ ὅτι ἐφ' ἡμῖν κεῖται τὰ τῆς ἀρετῆς, καὶ τὰ τῆς κακίας. μυρία ὁ βίος ἐργάζεται κακά· θηρία τοὺς ἀνθρώπους ποιεῖ, καὶ θηρίων ἀλογωτέρους. ἅπερ γὰρ ἐν ἑκάστῃ φύσει τῶν θηρίων ἐστί, ταῦτα πολλάκις εἰς ἕνα ἄνθρωποι συνήγαγον, καὶ τὸ πᾶν ἀνέτρεψε. διὰ τοῦτο τὴν εἱμαρμένην εἰσήγαγεν ὁ διάβολος, διὰ τοῦτο ἀπρονόητον ἔφησεν εἶναι τὸν κόσμον, διὰ τοῦτο φύσεις ἀγαθὰς καὶ κακὰς, διὰ τοῦτο κακὸν ἄναρχον καὶ ὑλικὸν ὑποτίθεται, διὰ τοῦτο πάντα, ἵνα διαφθείρῃ τὸν βίον ἡμῶν. οὔτε γὰρ ἀπὸ διεφθαρμένων δογμάτων δυνατὸν ἀνενεγκεῖν βίου ὄντα τοιοῦτον, οὔτε μένειν ἐν ὑγιαινούσῃ πίστει· ἀλλ' ἀνάγκη πολλὴ ταῦτα παραδέξασθαι. οὐ γὰρ οἶμαι ἔγωγε ταχέως τινὰ τῶν οὐκ ὀρθῶς ζώντων εὑρίσκεσθαι, μὴ μυρία σατανικὰ βουλευόμενον, ὅτι γένεσίς ἐστιν, ὅτι ἁπλῶς τὰ πράγματα ἄγεται, ὅτι φύρδην καὶ κεχυμένως πάντα διοικεῖται. διὸ, παρακαλῶ, φροντίζωμεν βίου καλοῦ, ἵνα μὴ παραδεχώμεθα δόγματα πονηρά. ὁ Κάϊν ἔλαβε τιμωρίαν στένειν καὶ τρέμειν. τοιοῦτοί εἰσιν οἱ πονηροὶ καὶ συνειδότες ἑαυτοῖς μυρία κακά. πολλάκις ἐξ ὕπνου ἐξάλλονται, θορυβώδεις αὐτῶν οἱ λογισμοὶ, τεταραγμένοι οἱ ὀφθαλμοὶ, ὑποψίας γέμει πάντα, πληθύει πάντα· χαλεπῆς προσδοκίας, δειλίας ἀνάμεστος αὐτῶν ἡ ψυχὴ, φόβῳ συστρεφομένη καὶ τρόμῳ ἀδρανής ἐστι. οὐδὲν τῆς τοιαύτης ψυχῆς μαλακώτερον γένοιτο ἂν, οὐδὲν ἀνοητότερον. καθάπερ οἱ μαινόμενοι οὐχ ἑστήκασιν ἐν ἑαυτοῖς· οὕτως οὐδὲ ἡ τοιαύτη ἐν ἑαυτῇ ἕστηκε. πότε οὖν αὕτη εἰς συναίσθησιν ἔλθῃ τοσαύτην ἔχουσα σκοτοδινίαν, ἣν ἀγαπητὸν γαλήνης ἀπολαυούσαις καὶ εὐδίας δυνηθῆναι ἐπιγνῶναι τὴν οἰκείαν εὐγένειαν; ὅταν δὲ πάντα αὐτὴν ἐκφοβῇ καὶ ταράττῃ, καὶ ὄνειροι καὶ ῥήματα, καὶ σχήματα καὶ ὑποψίαι ἁπλῶς, πότε δυνήσεται εἰς ἑαυτὴν ἰδεῖν, οὕτως ἐκτεταραγμένη καὶ τεθορυβημένη; λύσωμεν τοίνυν αὐτῆς τὸ δέος, διαρρήξωμεν τὰ δεσμά. εἰ γὰρ μὴ κόλασις ἦν, ποίας ταῦτα κολάσεως οὐ χείρω, ὑπὸ φόβῳ ζῆν ἀεὶ, μηδέποτε θαρρεῖν, μηδέποτε ἀνιέναι; ταῦτα δὴ πάντα μετ' ἀκριβείας εἰδότες, ἐν γαλήνῃ ἑαυτοὺς διατηρῶμεν, καὶ ἀρετῆς ἐπιμελώμεθα, ἵνα καὶ ὑγιῆ δόγματα ἔχοντες καὶ βίον ὀρθὸν, ἀπροσκόπως τὴν παροῦσαν ζωὴν διανύσωμεν, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν ἐπιτυχεῖν δυνηθῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς αὐτοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ αὐτοῦ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γρ. αἰδοῦνται

γρ. καταπίπτει

γρ. ἐξηχότερον.

γρ. τὸν Θεὸν.



Digitized by Google

ἑαυτὸν οὐκ ἀναγκασθέντα δι' ὧν λέγει· ὁ δὲ Κύριος εἶπε πρός με, πορεύου εἰς Δαμασκὸν, κἀκεῖ σοι λαληθήσεται τί σε δεῖ ποιῆσαι. οὐδεὶς ἀμάρτυρος· ἀλλὰ πόλεως ὁλοκλήρου μαρτυρίαν παρέχει, οἵγε καὶ εἶδον αὐτὸν χειραγωγούμενον. ὅρα δὲ καὶ τὴν προφητείαν ἐξελθοῦσαν. ὃ ἤκουσε μάρτυρα αὐτὸν ἔσεσθαι τοῦ Κυρίου*. μάρτυς γὰρ οὕτως αὐτοῦ γέγονε, καὶ μάρτυς ὡς χρὴ, καὶ δι' ὧν ἔπραξε, καὶ δι' ὧν εἶπε. τοιούτους καὶ ἡμᾶς εἶναι χρὴ μάρτυρας, καὶ μὴ προδιδόναι ἃ ἐπιστεύθημεν. οὐ περὶ δογμάτων λέγω μόνον, ἀλλὰ καὶ περὶ βίου. ὅρα γάρ· ὅτι εἶδεν, ὅτι ἤκουσε, μαρτυρεῖ πᾶσιν ἀνθρώποις, καὶ οὐδὲν αὐτὸν ἐκώλυσε. καὶ ἡμεῖς ἠκούσαμεν ὅτι ἔστιν ἀνάστασις καὶ μυρία ἀγαθά· οὐκοῦν ὀφείλομεν τοῦτο μαρτυρῆσαι πᾶσιν ἀνθρώποις. καὶ μὴν μαρτυροῦμεν, φησὶ, καὶ πιστεύομεν. πῶς, τἀναντία πράττοντες; εἰπὲ δή μοι, εἴ τις ἑαυτὸν ἔλεγε χριστιανὸν, εἶτα ἀποστὰς τὰ Ἰουδαϊκὰ ἐφρόνει, ἆρα ἤρκεσεν ἂν ἡ μαρτυρία αὕτη; οὐδαμῶς. ἀπὸ γὰρ τῶν ἔργων τὴν μαρτυρίαν ἐζήτουν ἄν. οὕτω δὴ καὶ ἡμεῖς· εἰ λέγομεν ὅτι ἀνάστασίς ἐστι καὶ μυρία ἀγαθὰ, εἶτα καταφρονοῦμεν αὐτῶν, καὶ τὰ ἐνταῦθα προτιμῶμεν, τίς ἡμῖν πιστεύσει; οὐ γὰρ οἷς λέγομεν, ἀλλ' οἷς πράττομεν προσέχουσιν ἅπαντες. μάρτυς ἔσῃ, φησὶ, πρὸς πάντας ἀνθρώπους, οὐχὶ πρὸς τοὺς οἰκείους μόνον, ἀλλὰ καὶ πρὸς τοὺς ἀπίστους. οἱ γὰρ μάρτυρες τοῦτό εἰσιν· οὐχὶ τοὺς εἰδότας πείθουσιν, ἀλλὰ τοὺς οὐκ εἰδότας.

* πρὸς πάντας, φησὶν, ἀνθρώπους· γρ. δι' ὧν ἴδε, δι' ὧν ἔπραξε

γρ. τιμῶμεν,

ΗΘΙΚΟΝ

Γενώμεθα ἀξιόπιστοι μάρτυρες. πῶς δὲ ἐσόμεθα ἀξιόπιστοι; ἀπὸ τοῦ βίου. ἐπέθεντο ἐκείνῳ Ἰουδαῖοι· ἐπιτίθενται ἡμῖν τὰ πάθη κελεύοντα ἐξομόσασθαι τὴν μαρτυρίαν. ἀλλὰ μὴ πειθώμεθα· μάρτυρές ἐσμεν παρὰ τοῦ Θεοῦ πεμφθέντες. κελεύεται παρὰ ἀνθρώποις πιστὸν [ὁ Θεὸς] ὅτι οὐκ ἔστι Θεός· ἔπεμψεν ἡμᾶς μαρτυρήσοντας αὐτῷ. μαρτυρήσωμεν καὶ πείσωμεν τοὺς δικάζοντας. ἂν μὴ μαρτυρήσωμεν, καὶ τῆς ἐκείνων πλάνης ἡμεῖς ἐσμεν αἴτιοι. εἰ δὲ ἐν δικαστηρίῳ ἔνθα βιωτικὰ πράγματα, οὐκ ἄν τις δέξαιτο μάρτυρα μυρίων γέμοντα κακῶν, πολλῷ μᾶλλον ἐνταῦθα ἔνθα περὶ τοιούτων πραγμάτων ἡ σκέψις ἐστίν. ἡμεῖς λέγομεν· ὅτι ἠκούσαμεν τοῦ Χριστοῦ, καὶ πιστεύομεν οἷς ἐπηγγείλατο· λέγουσιν ἐκεῖνοι, δείξατε τοῦτο διὰ τῶν ἔργων. ὁ γὰρ βίος ὑμῶν τὰ ἐναντία μαρτυρεῖ, ὅτι οὐ πιστεύετε. τοὺς χρηματιζομένους, τοὺς ἁρπάζοντας, τοὺς πλεονεκτοῦντας βούλεσθε ἴδωμεν; τοὺς πενθοῦντας, τοὺς κοπτομένους, τοὺς οἰκοδομοῦντας, τοὺς πάντα πραγματευομένους, ὡς οὐκ ἀποθανουμένους; εἰ τοίνυν ὅτι ἀποθανεῖσθε, οὐ πιστεύετε, πράγματι οὕτω δήλῳ καὶ φανερῷ, πῶς ὑμῖν πιστεύσομεν μαρτυροῦσιν; εἰσὶ γὰρ, εἰσὶ πολλοὶ τῶν ἀνθρώπων, οἳ οὕτω διάκεινται, ὡς οὐκ ἀποθανούμενοι. ὅταν γὰρ ἐν γήρᾳ μακρῷ ἄρχωνται οἰκοδομεῖν καὶ γεωργεῖν, πότε λογισμὸν λήψονται θανάτου; οὐ μικρὰ ἡ κόλασις ἡμῖν κληθεῖσι μὲν εἰς μαρτυρίαν, μὴ δυνηθεῖσι δὲ μαρτυρῆσαι, ἃ εἴδομεν. εἴδομεν καὶ ἡμεῖς ὀφθαλμοῖς τοὺς ἀγγέλους, καὶ σαφέστερον τῶν ἑωρακότων. οὐκοῦν μαρτυρήσωμεν τῷ Χριστῷ. οὐ γὰρ δὴ ἐκεῖνοι μάρτυρες μόνον, ἀλλὰ καὶ ἡμεῖς. διὰ τοῦτο ἐκεῖνοι λέγονται μάρτυρες, ὅτι κελευόμενοι ἐξομόσασθαι πάντα ὑπομένουσιν, ἵνα τὴν ἀλήθειαν εἴπωσι· καὶ ἡμεῖς, ὅταν ὑπὸ τῶν παθῶν κελευώμεθα ἐξομόσασθαι, μὴ πειθώμεθα. ὁ χρυσὸς λέγει, εἰπὲ ὅτι ὁ Χριστὸς οὐκ ἔστι Χριστός. μὴ οὖν ἄκουε σὺ ὡς Θεοῦ, ἀλλὰ καταφρόνησον τῶν ἐκείνου προσταγμάτων. αἱ ἐπιθυμίαι αἱ πονηραὶ τὸ αὐτὸ λέγουσιν· ἀλλὰ σὺ μὴ παραπεισθῇς, ἀλλὰ στῆθι γενναίως, ἵνα μὴ καὶ περὶ ἡμῶν λαληθῇ· Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται. τοῦτο γὰρ οὐ μαρτύρων ἀλλὰ τὸ ἐναντίον. καὶ τὸ μὲν τοὺς ἄλλους ἀρνήσασθαι, οὐδὲν θαυμαστόν· τὸ δὲ ἡμᾶς τοὺς εἰς μαρτυρίαν κληθέντας ἐξάρνους γενέσθαι, βαρὺ καὶ φορτικόν. τοῦτο μάλιστα βλάπτει τὰ ἡμέτερα. εἰς μαρτύριον αὐτοῖς ἀποβήσεται, φησίν. ἀλλ' ὅταν οὐκ ἀποπηδήσωμεν, ὅταν ἐνστῶμεν, εἰ πάντες ἐβουλόμεθα μαρτυρεῖν τῷ Χριστῷ, ταχέως ἂν ἐπείσαμεν τῶν Ἑλλήνων τοὺς πολλούς. μέγα βίος, ἀγαπητοί. κἂν σφόδρα θηριώδης ᾖ τις, κἂν φανερῶς οὐ καταγινώσκῃ διὰ τὸ δόγμα,

γρ. δείξατε, φασὶν ἐκεῖνοι, διὰ

Τιτ. α. ις.

γρ. [illegible] καὶ [illegible], ἵνα

φωναὶ γὰρ δύο ἦσαν, ἡ Παύλου, καὶ ἡ τοῦ Κυρίου. τὴν φωνὴν τοίνυν ἐκεῖ τοῦ Παύλου λέγει· ἐνταῦθα δὲ καὶ προσέθηκεν, εἰπών, τὴν φωνὴν οὐκ ἤκουσαν τοῦ λαλοῦντός μοι. ἐκεῖνο, τὸ, μηδένα θεωροῦντες, οὐ τοῦ ἰδεῖν, ἀλλὰ τοῦ μὴ ἀκοῦσαι δηλωτικόν ἐστιν. οὐ γὰρ εἶπεν, ὅτι τὸ φῶς οὐκ ἔβλεπον· ἀλλὰ μηδένα θεωροῦντες εἱστήκεισαν, τουτέστι, λαλοῦντα. εἰκότως δὲ τοῦτο ἐγένετο. αὐτοὶ γὰρ ἔδει τῆς φωνῆς καταξιωθῆναι ἐκείνης. εἰ γὰρ ἤκουσαν κἀκεῖνοι, οὐκ ἂν τοσοῦτον ἐγένετο τὸ θαῦμα. ἐπεὶ τοίνυν οἱ παχύτεροι ὄψει πείθονται μᾶλλον, διὰ τοῦτο καὶ ἐκεῖνοι τὸ φῶς εἶδον μόνον, ὅπερ ἱκανὸν ἦν αὐτοὺς πεῖσαι. ὅθεν καὶ ἔμφοβοι γίνονται· ἄλλως δὲ, οὐ περὶ αὐτοὺς τὸ φῶς τοσοῦτον εἰργάσατο, ὅσον περὶ τοῦτον. καὶ γὰρ ἐπήρωσεν αὐτοῦ τὰς ὄψεις, διὰ τὴν εἰς τοῦτον συμβαίνουσαν κἀκείνοις διδοὺς ἀναβλέψαι. εἴγε ἤθελον. ἐμοὶ γοῦν δοκεῖ καὶ οἰκονομικῶς ἐκείνους μὴ πιστεῦσαι, ὥστε εἶναι μάρτυρας ἀξιοπίστους.

Εἶπέ τε, φησὶ, πρὸς ἐμέ· ἐγώ εἰμι Ἰησοῦς ὁ Ναζωραῖος, ὃν σὺ διώκεις. Καλῶς καὶ ἡ πόλις προσκεῖται, ὥστε ἐπιγνῶναι αὐτούς. καὶ οἱ ἀπόστολοι οὕτως ἔλεγον· Ἰησοῦν τὸν ἀπὸ Ναζαρέθ. ὅρα καὶ αὐτὸς μαρτυρεῖ, ὅτι ἐδίωκεν. οἱ δὲ σὺν ἐμοὶ ὄντες τὸ μὲν φῶς ἐθεάσαντο, καὶ ἔμφοβοι ἐγένοντο, τὴν δὲ φωνὴν οὐκ ἤκουσαν τοῦ λαλοῦντός μοι.

10 Εἶπον δέ· τί ποιήσω, Κύριε; ὁ δὲ Κύριος εἶπε πρός με· ἀναστὰς πορεύου εἰς Δαμασκόν, κἀκεῖ σοι λαληθήσεται περὶ πάντων ὧν τέτακταί σοι ποιῆσαι.

11 Ὡς δὲ οὐκ ἐνέβλεπον ἀπὸ τῆς δόξης τοῦ φωτὸς ἐκείνου, χειραγωγούμενος ὑπὸ τῶν συνόντων μοι, ἦλθον εἰς Δαμασκόν.

12 Ἀνανίας δέ τις ἀνὴρ εὐλαβὴς κατὰ τὸν νόμον, μαρτυρούμενος ὑπὸ πάντων τῶν * ἐν Δαμασκῷ Ἰουδαίων,

13 Ἐλθὼν πρός με καὶ ἐπιστὰς, εἶπέ μοι· Σαοὺλ ἀδελφέ, ἀνάβλεψον· κἀγὼ αὐτῇ τῇ ὥρᾳ ἀνέβλεψα εἰς αὐτόν. Εἴσελθε, φησὶν, εἰς τὴν πόλιν, κἀκεῖ σοι λαληθήσεται, τί σε δεῖ ποιῆσαι. ἰδοὺ πάλιν ἄλλος μάρτυς, καὶ ὅρα πῶς αὐτὸν καὶ ἀξιόπιστον ποιεῖ. Ἀνανίας δέ τις, φησὶν, ἀνὴρ εὐλαβὴς κατὰ τὸν νόμον, μαρτυρούμενος ὑπὸ πάντων τῶν Ἰουδαίων, εἰσελθὼν πρός με καὶ ἐπιστὰς, εἶπέ μοι· ἀνάβλεψον. οὗτος οὐδὲν ἀλλότριόν ἐστι. κἀγὼ αὐτῇ τῇ ὥρᾳ ἀνέβλεψα. εἶτα ἡ διὰ τῶν πραγμάτων μαρτυρία. καὶ ὅρα διὰ προσώπων καὶ πραγμάτων αὐτὴν πλεκομένην, προσώπων οἰκείων τε καὶ ἀλλοτρίων. πρόσωπα, οἱ ἱερεῖς, οἱ πρεσβύτεροι, οἱ συνοδεύοντες· τὰ πράγματα, ἃ ἐποίει, ἃ ἔπαθε. καὶ πράγματα πράγμασι μαρτυρεῖ, οὐχὶ πρόσωπα μόνον. ἢ καὶ ἑτέρως· ἀλλότριος ὁ Ἀνανίας· εἶτα τὸ πρᾶγμα αὐτό, ἡ ἀνάβλεψις· εἶτα προφητεία μεγάλη.

14 Ὁ δὲ εἶπε, φησίν· ὁ Θεὸς τῶν πατέρων ἡμῶν προεχειρίσατό σε γνῶναι τὸ θέλημα αὐτοῦ, καὶ ἰδεῖν τὸν δίκαιον. Καλῶς εἶπε, τῶν πατέρων, ἵνα δείξῃ αὐτοὺς οὐκ ὄντας Ἰουδαίους, ἀλλὰ ἀλλοτρίους τοῦ νόμου, καὶ φθόνῳ, οὐχὶ ζήλῳ ποιοῦντας. γνῶναι, φησὶ, τὸ θέλημα αὐτοῦ, καὶ ἰδεῖν τὸν δίκαιον. ἐκεῖνο αὐτοῦ θέλημα τοῦτο. ὅρα πῶς ἐν τάξει διηγήσεως διδασκαλία ἐστί. Καὶ ἀκοῦσαι φωνὴν ἐκ τοῦ στόματος αὐτοῦ,

15 Ὅτι ἔσῃ μάρτυς αὐτοῦ πρὸς πάντας ἀνθρώπους, ὧν ἑώρακας καὶ ἤκουσας.

Καὶ ἰδεῖν, φησὶ, τὸν δίκαιον. πῶς τοῦτο λέγει. εἰ δὲ δίκαιος ἐκεῖνος, οὗτοι ὑπεύθυνοι. καὶ ἀκοῦσαι φωνὴν ἐκ τοῦ στόματος αὐτοῦ. ὅρα πῶς τὸ πρᾶγμα ἐπαίρει. ὅτι ἔσῃ, φησὶ, μάρτυς αὐτοῦ. ἐκεῖνο διὰ τοῦτο οὐ προσδώσεις τὴν ὄψιν καὶ τὴν ἀκρόασιν. ὧν τε ἑώρακας, ὧν τε ἤκουσας. δι᾽ ἑκατέρων τῶν αἰσθήσεων αὐτοῦ πιστοῦται.

16 Καὶ νῦν τί μέλλεις; ἀναστὰς βάπτισαι, καὶ ἀπόλουσαι τὰς ἁμαρτίας σου ἐπικαλεσάμενος τὸ ὄνομα αὐτοῦ. Ἐνταῦθα μέγα ἐφθέγξατο. οὐ γὰρ εἶπεν, εἰς τὸ ὄνομα αὐτοῦ βάπτισαι· ἀλλ᾽, ἐπικαλεσάμενος τὸ ὄνομα τοῦ Χριστοῦ. τοῦτο δὲ δεικνύντος ἐστὶν αὐτὸν Θεὸν ὄντα. οὐ γὰρ ἔνι ἕτερόν τινα ἐπικαλέσασθαι, εἰ μὴ τὸν Θεόν. εἶτα δείκνυσι καὶ

ἑαυτὸν

γρ. τὰ περὶ πάντων ὧν τέτακταί σοι ποιῆσαι
γρ. εὐσεβὴς
*κατοικούντων
γρ. τοῦ
γρ. τοῦ Κυρίου
γρ. γὰρ ἄλλον τινά, ἢ Θεὸν ἐπικαλέσασθαι. Δημοσθένης εἶπε

τοῦ νόμου, οὐκ ἦν εἰκὸς ἁπλῶς καὶ οὐδεμιᾶς ἀνάγκης ἰσχυρᾶς οὔσης μεταθέσθαι αὐτόν. ἀλλ' ἴσως εἴποι τις ἄν· οὐδὲν τοῦτο πρὸς, ὅτι ἐνταῦθα ἀνετράφη. ἰδοὺ γὰρ, εἰ καὶ ἐμπορείας, ἢ καὶ ἄλλην τινὰ αἰτίαν ἐνταῦθα γέγονας; ἵνα τοίνυν μὴ τοῦτο νομισθῇ, διὰ τοῦτο ἐπήγαγε· παρὰ τοὺς πόδας Γαμαλιήλ· καὶ οὐχ ἁπλῶς εἶπε, παρὰ Γαμαλιήλ, ἀλλὰ, παρὰ τοὺς πόδας, τὴν καρτερίαν, τὴν προσεδρείαν, τὴν σπουδὴν τὴν περὶ τὴν ἀκρόασιν, τὴν πολλὴν πρὸς τὸν ἄνδρα αἰδῶ δεικνύς. πεπαιδευμένος κατὰ ἀκρίβειαν τοῦ πατρῴου νόμου. οὐχ ἁπλῶς τὸν νόμον, ἀλλὰ τοῦ πατρῴου προστίθησι· δεικνὺς ὅτι ἄνωθεν τοιοῦτος ἦν, καὶ οὐχ ἁπλῶς εἰδὼς τὸν νόμον. ταῦτα δὲ δοκεῖ μὲν ὑπὲρ ἐκείνων λέγεσθαι, πρὸς ἐκείνους δὲ ἦν, εἴγε καὶ εἰδὼς αὐτὸν εἴασεν. εἶτα ἵνα μὴ πάλιν τις ἐπενέγκῃ, τί οὖν, εἰ οἶδας μὲν ἀκριβῶς τὸν νόμον, οὐκ ἐνδείκνυσαι δὲ, οὐδὲ φιλεῖς; ζηλωτὴς, φησὶν, ὑπάρχων· τουτέστιν, οὐχ ἁπλῶς εἰδὼς, ἀλλὰ καὶ σφόδρα ζηλῶν ὑπὲρ αὐτοῦ. εἶτα ἐπειδὴ μεγάλα περὶ αὐτοῦ ἐγκώμια εἶπε, κοινοῖ τὸν λόγον λοιπὸν, ἐπάγων, καθὼς πάντες ὑμεῖς ἐστε σήμερον. δείκνυσι γὰρ αὐτοὺς οὐκ ἀνθρωπίνῳ σκοπῷ ποιοῦντας, ἀλλὰ ζήλῳ θείῳ. τοῦτο δὲ λέγει, χαριζόμενος αὐτοῖς, καὶ προκαταλαμβάνων αὐτὴν τὴν διάνοιαν, καὶ κατέχων, ἐν οἷς βλάβος οὐδὲν ἦν. εἶτα καὶ τεκμήρια παρέχει, λέγων·

4 Ὃς ταύτην τὴν ὁδὸν ἐδίωξα ἄχρι θανάτου, δεσμεύων καὶ παραδιδοὺς εἰς φυλακὰς ἄνδρας τε καὶ γυναῖκας,

5 Ὡς καὶ ὁ ἀρχιερεὺς μαρτυρεῖ μοι καὶ πᾶν τὸ πρεσβυτέριον. Ἵνα μηδεὶς εἴπῃ, καὶ πόθεν τοῦτο δῆλον, μάρτυρας παράγει αὐτὸν τὸν ἀρχιερέα καὶ τοὺς πρεσβυτέρους. καὶ λέγει μὲν λοιπὸν, ζηλωτὴς ὑπάρχων καθὼς ὑμεῖς. τουτέστιν, ἴσος ὑμῖν· δείκνυσι δὲ διὰ τῶν ἔργων ὅτι ὑπὲρ αὐτοὺς ἦν. οὐ γὰρ δὴ περιέμενον ὥστε συλλαβεῖν, ἀλλὰ καὶ τοὺς ἱερέας διήγειρε, καὶ ἀποδημίας ἐστελλόμην· καὶ οὐδὲ μέχρις ἀνδρῶν ἐχώρουν καθάπερ ὑμεῖς, ἀλλὰ καὶ γυναικῶν· καὶ δεσμεύων πάντας, καὶ εἰς δεσμωτήρια ἐμβάλλων. ἀναμφισβήτητος ἡ μαρτυρία, ἀναπολόγητα τὰ τῶν Ἰουδαίων. ὅρα πόσους παράγει μάρτυρας, τὸ πρεσβυτέριον, τὸν ἀρχιερέα, τοὺς ἐν τῇ πόλει. βλέπε δὲ αὐτοῦ καὶ τὴν ἀπολογίαν οὐ δειλίας οὖσαν, ἀλλὰ διδασκαλίας μᾶλλον καὶ κατηχήσεως. εἰ γὰρ μὴ λίθοι ἦσαν οἱ ἀκούοντες, προσεῖχον ἂν τοῖς λεγομένοις. μέχρι γὰρ τούτου μάρτυρας εἶχεν αὐτοὺς, τὰ δὲ λοιπὰ ἀμάρτυρα. Παρ' ὧν καὶ ἐπιστολὰς δεξάμενος πρὸς τοὺς ἀδελφοὺς, εἰς Δαμασκὸν ἐπορευόμην, ἄξων καὶ τοὺς ἐκεῖσε ὄντας δεδεμένους εἰς Ἱερουσαλὴμ, ἵνα τιμωρηθῶσιν.

6 Ἐγένετο δέ μοι πορευομένῳ καὶ ἐγγίζοντι τῇ Δαμασκῷ περὶ μεσημβρίαν, ἐξαίφνης ἐκ τοῦ οὐρανοῦ περιαστράψαι φῶς ἱκανὸν περὶ ἐμέ,

7 Ἔπεσόν τε εἰς τὸ ἔδαφος, καὶ ἤκουσα φωνῆς λεγούσης μοι· Σαοὺλ, Σαοὺλ, τί με διώκεις;

8 Ἐγὼ δὲ ἀπεκρίθην· τίς εἶ, Κύριε; εἶπέ τε πρός με· ἐγώ εἰμι Ἰησοῦς ὁ Ναζωραῖος, ὃν σὺ διώκεις. Μάλιστα μὲν οὖν καὶ ταῦτα ἀξιόπιστα ἐδόκει εἶναι ἀπὸ τῶν προλαβόντων. οὐ γὰρ ἂν μετεστράφη. τί οὖν, εἰ κομπάζει, φησίν; οὐδαμῶς. διὰ τί γὰρ τοσοῦτον ἐξαίφνης ἔρριψε ζῆλον, εἰπέ μοι; τιμὴν προσεδέχετο; καὶ μὴν τοὐναντίον ὑπέμεινεν. ἀλλ' ἀνάπαυσιν; οὐδὲ τοῦτο. ἀλλὰ τί ἕτερον; ἀλλ' οὐδὲν ἀπὸ λογισμῶν εὑρεῖν δυνατόν. ταῦτα τοίνυν ἀφεὶς αὐτοῖς συλλέγειν, τὰ πράγματα διηγεῖται. ἐγγίζοντί μοι, φησὶ, τῇ Δαμασκῷ περὶ μεσημβρίαν, ἐξαίφνης ἐκ τοῦ οὐρανοῦ περιαστράψαι φῶς ἱκανὸν περὶ ἐμὲ, ἔπεσόν τε εἰς τὸ ἔδαφος. ὅρα πόση ἡ ὑπερβολὴ τοῦ φωτός. καὶ ὅτι οὐ κομπάζω, οἱ συνόντες μαρτυροῦσιν, οἱ χειραγωγοῦντες, οἱ τὸ φῶς θεασάμενοι.

9 Οἱ δὲ σὺν ἐμοὶ ὄντες τὸ μὲν φῶς ἐθεάσαντο, καὶ ἔμφοβοι ἐγένοντο· τὴν δὲ φωνὴν οὐκ ἤκουσαν τοῦ λαλοῦντός μοι. Μηδεὶς ξενιζέσθω, εἰ ἐνταῦθα μὲν οὕτως, ἑτέρωθι δὲ λέγει· ὅτι εἱστήκεισαν τὴν μὲν φωνὴν ἀκούοντες, μηδένα δὲ θεωροῦντες. οὐκ ἔστι τοῦτο ἐναντίον.

φωναὶ

Ὅρα αὐτόν, ὅταν πρὸς τοὺς ἔξω διαλέγηται, οὐ παραιτούμενον καὶ τοῖς ἀπὸ τῶν νόμων κεχρῆσθαι βοηθήμασιν. ἐνταῦθα αὐτὸν ἀπὸ τῆς πόλεως συνίστησιν. οὕτω καὶ ἔμπροσθεν ἔλεγε· Δείραντες ἡμᾶς δημοσίᾳ ἀκατακρίτους, ἀνθρώπους Ῥωμαίους ὑπάρχοντας, ἔβαλον εἰς φυλακήν. Πραξ. ις. λζ. ἐπειδὴ γὰρ ἐπυνθάνετο, σὺ εἶ ὁ Αἰγύπτιος; ἐγώ εἰμι, φησίν, ἄνθρωπος Ἰουδαῖος. οὕτως εἰπών, ἀθῴως αὐτὸν ταύτης ἀπήλλαξε τῆς ὑποψίας. εἶτα ἵνα μὴ νομισθῇ τὸ ἔθνος Ἰουδαῖος, λέγει τὴν θρησκείαν. καὶ γὰρ καὶ ἀλλαχοῦ ἔννομον ἑαυτὸν Χριστοῦ καλεῖ. τί τοῦτό ἐστι; Παῦλος ψεύδεται; ἄπαγε. τί οὖν; οὐκ ἠρνήσατο; μὴ γένοιτο. Ἰουδαῖος γὰρ ἦν, καὶ χριστιανός, ὅσα ἔδει, φυλάττων· ἐπεὶ καὶ τῷ νόμῳ α. Κορ. θ. κα. μάλιστα πάντων αὐτὸς ἐπείθετο τῷ Χριστῷ πιστεύων, καὶ πρὸς Πέτρον διαλεγόμενός φησιν· Ἡμεῖς φύσει Ἰουδαῖοι. Γαλ. β. ιε. δέομαι δέ σου, ἐπίτρεψόν μοι λαλῆσαι πρὸς τὸν λαόν. καὶ τοῦτο τεκμήριον, ὅτι οὐ ψεύδεται, εἴγε πάντας ἐπήγετο μάρτυρας. σκόπει αὐτὸν πάλιν μετ' ἐπιεικείας διαλεγόμενον. καὶ τοῦτο δὲ τεκμήριον πάλιν μέγιστον τοῦ μηδενὸς εἶναι ὑπεύθυνον, τὸ οὕτως ἕτοιμον εἶναι πρὸς ἀπολογίαν, καὶ βούλεσθαι εἰς λόγον καταστῆναι τῷ δήμῳ τῶν Ἰουδαίων. ὅρα τεταγμένον ἄνδρα, ὅρα οἰκονομίαν. εἰ μὴ χιλίαρχος ἦλθεν, εἰ μὴ ἔδησεν, οὐκ ἂν ἐδεήθη λόγου πρὸς ἀπολογίαν, οὐκ ἂν τοσαύτης ἀπέλαυσε σιγῆς. ἐπιτρέψαντος δὲ αὐτοῦ, ὁ Παῦλος ἑστὼς ἐπὶ τῶν ἀναβαθμῶν. καὶ ἀπὸ τοῦ τόπου πολλὴ ἡ εὐκολία, τὸ καὶ ὑψηλὸν εἶναι δημηγορεῖν καὶ δεδεμένον. τί τούτου ἴσον τοῦ θεάματος, δεσμοῖς ἁλύσεσι δεδεμένον ἰδεῖν Παῦλον δημηγοροῦντα; πῶς οὐκ ἐταράχθη; πῶς οὐ συνεχύθη, τοσοῦτον δῆμον ἐκπεπολεμωμένον ὁρῶν, τοῦ ἄρχοντος ἐφεστῶτος; πρότερον ἀπέσβεσεν αὐτῶν τὸν θυμόν, εἶτα διαλέγεται. (χ. διηγεῖται) καὶ ὅρα πῶς φρονίμως. ὅπερ γὰρ ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ ἐποίησε, τοῦτο καὶ ἐνταῦθα. πρῶτον τῇ συγγενείᾳ τῆς φωνῆς αὐτοὺς ἐπισπᾶται· εἶτα αὐτοὺς τῷ ἡμέρῳ. διὸ καὶ τοῦτο δηλῶν ἐπάγει· πολλῆς δὲ σιγῆς γενομένης προσεφώνησε, φησί, τῇ Ἑβραΐδι διαλέκτῳ λέγων·

1 Ἄνδρες ἀδελφοὶ καὶ πατέρες, ἀκούσατέ μου τῆς πρὸς ὑμᾶς νῦν ἀπολογίας. κεφ. κβ.

Ὅρα καὶ κολακείας ἀπηλλαγμένον τὸν λόγον, καὶ τὸ ἐπιεικὲς ἔχοντα. οὐ γὰρ εἶπε, δέσποται, οὐδέ, κύριοι, ἀλλά, ἀδελφοί, ὃ μάλιστα ἐπόθουν· ὥστε ἔλεγεν, οὐκ ἀλλότριος ὑμῶν ἐγώ, οὐδὲ καθ' ὑμῶν. ἄνδρες ἀδελφοὶ καὶ πατέρες, φησί. τοῦτο τιμῆς, ἐκεῖνο γνησιότητος. ἀκούσατέ μου τῆς πρὸς ὑμᾶς νῦν ἀπολογίας. οὐκ εἶπε, διδασκαλίας, οὐδὲ δημηγορίας· ἀλλά, ἀπολογίας. ἐν τάξει ἱκέτου ἑαυτὸν καθίστησιν.

(2 Ἀκούσαντες δὲ ὅτι τῇ Ἑβραΐδι διαλέκτῳ προσεφώνει αὐτοῖς, μᾶλλον παρέσχον ἡσυχίαν.)

Ὁρᾷς πῶς αὐτοὺς εἷλε τὸ ὁμόφωνον; εἶχον γάρ τινα αἰδῶ πρὸς τὴν γλῶτταν ἐκείνην. ὅρα δὲ καὶ πῶς προοδοποιεῖ τῷ λόγῳ, οὕτως ἀρχόμενος καὶ λέγων·

3 Ἐγὼ μέν εἰμι ἀνὴρ Ἰουδαῖος, γεγεννημένος ἐν Ταρσῷ τῆς Κιλικίας, ἀνατεθραμμένος δὲ ἐν τῇ πόλει ταύτῃ παρὰ τοὺς πόδας Γαμαλιήλ, πεπαιδευμένος κατὰ ἀκρίβειαν τοῦ πατρῴου νόμου, ζηλωτὴς ὑπάρχων τοῦ Θεοῦ, καθὼς πάντες ὑμεῖς ἐστε σήμερον.

Ἐγὼ μέν εἰμι, φησίν, ἀνὴρ Ἰουδαῖος· ὃ μάλιστα πάντων ἐπόθουν ἀκοῦσαι. γεγεννημένος ἐν Ταρσῷ τῆς Κιλικίας. ἵνα μὴ πάλιν νομίσωσι τὸ ἔθνος ἄλλο, τὴν θρησκείαν ἐπήγαγεν, ἀνατεθραμμένος δὲ ἐν τῇ πόλει ταύτῃ. τὴν πολλὴν αὐτοῦ δείκνυσι σπουδὴν τὴν περὶ τὴν λατρείαν, ὅπουγε καὶ πατρίδα τηλικαύτην ἀφεὶς τοσοῦτον ἀφεστῶσαν, ἐνταῦθα εἵλετο τραφῆναι διὰ τὸν νόμον. ὅρα πῶς ἄνωθεν προσεῖχε τῷ νόμῳ. ταῦτα δὲ οὐ πρὸς ἐκείνους ἀπολογούμενος μόνον φησίν· ἀλλὰ δεικνὺς ὅτι οὐκ ἀνθρωπίνῳ σκοπῷ πρὸς τὸ κήρυγμα ἦλθεν, ἀλλὰ θείᾳ δυνάμει. οὐ γὰρ ἂν οὕτω πεπαιδευμένος ἀθρόον μετέστη. εἰ μὲν γὰρ ἦν τις τῶν πολλῶν, εἰκὸς ἦν τοῦτο ὑποπτεῦσαι· εἰ δὲ τῶν μάλιστα πάντων κατεχομένων ὑπὸ

φορτίζει, ἀλλ' ἁπλῶς ἐποίησε φωτισθῆναι ἀθρόον ἐν μιᾷ νυκτὶ μυριάδας πολλάς, καὶ ἁπλῶς ἐβαπτίζοντο πάντες οὐδὲν εἰδότες. τούτους ἕκαστος λαβὼν κατ' ἰδίαν ὁμοῦ εἰκοσι καὶ διακοσίους, διηγεῖτο, ἄλλο μὲν οὐδέν, τὰ δὲ τῶν μυστηρίων μόνον, ὡς μηδὲ τοῖς ἀμυήτοις συγχωρεῖν παρεῖναι. τοῦτο αὐτὸν ποιοῦντα ἐνόμισαν πολλοὶ τῆς ἀρχῆς ἐρῶντα τοῦτο ποιεῖν· ἀλλ' οὐκ ἐφρόντισεν ἕκαστος τῶν νομιζόντων. οὐκ ἐξέτεινε μέντοι ἐπὶ χρόνον τὸ πρᾶγμα, ἀλλ' εὐθέως ἐπαύσατο. τί οὖν; ἕκαστος τοῦ σκανδάλου αἴτιος; οὐκ ἔγωγε οἶμαι. εἰ μὲν γάρ, οὐκ οὔσης αἰτίας, τοῦτο ἐποίει, εἰκότως ἐκείνῳ τὴν αἰτίαν ἐπέγραφον, καὶ εἰ πάλιν ἐπεξέτεινεν. ὅταν γάρ τι τῶν τῷ Θεῷ δοκούντων κωλύηται διὰ τὸ ἑτέρου σκάνδαλον, καταφρονεῖν δεῖ· τότε δὲ φροντίζειν, χ. δ [illegible] ὅταν μηδὲν ἀναγκαζώμεθα δι' ἐκεῖνον προσκρούειν Θεῷ. ἐπεί, εἰπέ μοι, ἂν μεταξὺ διαλεγομένων ἡμῶν καὶ τοὺς μεθύοντας σκωπτόντων, σκανδαλίζηταί τις, ἐγὼ παύσομαι λέγων; ἄκουσον τοῦ Χριστοῦ λέγοντος· Ἰωαν. ς. ξζ. Μὴ καὶ ὑμεῖς βούλεσθε ὑπάγειν; οὕτως οὔτε καταφρονεῖν, οὔτε σφόδρα ἀντιποιεῖσθαι τῆς τῶν πολλῶν ἀσθενείας χρή. ἢ οὐχ ὁρῶμεν καὶ τοὺς ἰατροὺς τοῦτο ποιοῦντας· καὶ ὅταν μὲν ἐγχωρῇ χαριζομένους τοῖς κάμνουσιν· ὅταν δὲ ἡ χάρις ἡ ἐκείνων βλάβην ἐργάζηται, οὐκ ἔτι φειδομένους; πανταχοῦ τὸ μέτρον τιμᾶν, καλόν. χ. εἰδέναι ἐβλασφήμησαν πολλοί, κόρης τινὸς εὐμόρφου παρθένου μενούσης, καὶ τοὺς κατηχοῦντας ἐλοιδόρησαν. τί οὖν; ἀποστῆναι ἐκείνους ἔδει διὰ τοῦτο; οὐδαμῶς. οὐδὲν γὰρ εἰργάζοντο ἐναντίον, ἀλλὰ καὶ σφόδρα δοκοῦν πρᾶγμα Θεῷ. μὴ τοίνυν, εἰ σκανδαλίζονταί τινες, ἴδωμεν· ἀλλ' εἰ δικαίως, καὶ εἰ μὴ μετὰ τῆς ἡμετέρας βλάβης. α. Κορ. η. ιγ. Εἰ βρῶμα σκανδαλίζει, φησί, τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα. εἰκότως. οὐδὲν γὰρ ἔβλαπτε τὸ μὴ φαγεῖν. εἰ μέντοι σκανδαλίζει αὐτόν, ὅτι βούλομαι ἀποτάξασθαι, οὐκ ἔτι φροντίζειν δεῖ. καὶ τίνα, φησί, τοῦτο σκανδαλίζει; πολλούς, ἔγωγε οἶδα. ὅταν τοίνυν ἀδιάφορον ᾖ τὸ κώλυμα, γινέσθω· ἐπεὶ εἰ μέλλοιμεν πρὸς τοῦτο μόνον ὁρᾶν, πολλῶν ἔχομεν ἀποστῆναι· ὥσπερ οὖν καὶ τοὐναντίον, εἰ μέλλοιμεν καταφρονεῖν, πολλοὺς ἀπολλύναι· ἐπεὶ καὶ Παῦλος προενόησε σκανδάλου. καὶ πῶς, ἄκουε. β. Κορ. η. κ. Ἵνα μὴ τῇ ἁδρότητι, φησί, ταύτῃ τῇ διακονουμένῃ ὑφ' ἡμῶν. οὐδὲν γὰρ ἔβλαπτε τὸ τὴν ὑπόνοιαν ἐξελεῖν· ὅταν δὲ εἰς τοιαύτην ἐμπίπτωμεν ἀνάγκην, ὥστε μεγάλα γίνεσθαι κακὰ διὰ τὸ ἑτέρου σκάνδαλον, καταφρονῶμεν ἐκείνου. ἐκεῖνος μὲν γὰρ ἑαυτῷ αἴτιος· ἡμεῖς δὲ οὐκ ἔτι ὑπεύθυνοι. οὐ γὰρ ἐστὶν ἀβλαβῶς αὐτοῦ φείσασθαι. ἐσκανδαλίσθησαν πολλοί, ὅτι εἰς ἱερὰ κατέκειντό τινες πιστοί, ἐπειδὴ οὐκ ἔδει κατακεῖσθαι· ἀλλὰ κακῶς. οὐδεμία γὰρ ἀπὸ τούτου βλάβη. ἐσκανδαλίζοντο ὅτι ἤσθιε μετὰ τῶν ἐθνικῶν ὁ Πέτρος· ἀλλ' ἐκεῖνος μὲν ἐφείσατο, αὐτὸς δὲ οὐκ ἔτι. πανταχοῦ προσῆκεν ἡμᾶς τοῖς τοῦ Θεοῦ νόμοις κατακολουθοῦντας, πολλὴν σπουδὴν ποιεῖσθαι, ὥστε μηδεμίαν ἀφορμὴν παρέχειν σκανδάλου, ἵνα καὶ αὐτοὶ ἀνεύθυνοι ὦμεν, καὶ τῆς παρὰ τοῦ Θεοῦ φιλανθρωπίας ἀξιωθῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς αὐτοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. μζ. 39 ΕΙΠΕ ΔΕ Ο ΠΑΥΛΟΣ· ΕΓΩ ΕΙΜΙ ΑΝθρωπος Ἰουδαῖος Ταρσεὺς τῆς Κιλικίας, οὐκ ἀσήμου πόλεως πολίτης. δέομαί σου, ἐπίτρεψόν μοι λαλῆσαι πρὸς τὸν λαόν. 40 Ἐπιτρέψαντος δὲ αὐτοῦ, ὁ Παῦλος ἑστὼς ἐπὶ τῶν ἀναβαθμῶν, κατέσεισε τῇ χειρὶ τῷ λαῷ. χ. τὸν λαὸ[illegible] πολλῆς δὲ σιγῆς γενομένης, προσεφώνει τῇ Ἑβραΐδι διαλέκτῳ λέγων.

Ὁρα

Digitized by Google

ἐκράτουν, τάχα ἄν τις ἐπελάβετο· ὅτι δὲ καὶ ἐκεῖνοι ἐφάνησαν, οὗτοι κρατοῦσι, τοῦτό ἐστι τὸ θαυμαστόν. διὸ καὶ φανῆναι οὐ κωλύονται, ἵνα καὶ οὕτω μᾶλλον λάμψωσιν. ὥσπερ οὖν καὶ ἀλλαχοῦ λέγει· Ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται. τοιοῦτό τι ἦν ὃ καὶ Γαμαλιὴλ ἔλεγεν· Ὅτι πρὸ τούτων τῶν ἡμερῶν ἀνέστη Θευδᾶς. τοὺς δὲ Σικαρίους, οἱ μὲν γένος τι λῃστῶν φασιν αὐτοὺς εἶναι, οὕτω καλουμένους ἀφ' ὧν ἐπεφέροντο ξιφῶν, σικῶν λεγομένων παρὰ Ῥωμαίοις· οἱ δὲ τῆς μιᾶς αἱρέσεως τῆς παρ' Ἑβραίοις. τρεῖς γάρ εἰσι παρ' αὐτοῖς αἱρέσεις αἱ γνωμικαί· Φαρισαῖοι, Σαδδουκαῖοι, καὶ Ἐσσαῖοι, οἳ καὶ Ὅσιοι λέγονται (τοῦτο γάρ ἐστι τὸ, Ἐσσαῖοι ὄνομα, διὰ τὸ τοῦ βίου σεμνόν) οἱ αὐτοὶ δὲ καὶ Σικάριοι, διὰ τὸ εἶναι ζηλωταί.

α Κορ. ια. ιθ.
Πραξ. ε. λϛ.

ΗΘΙΚΟΝ

Μὴ τοίνυν ἀλγῶμεν, ὅτι αἱρέσεις εἰσὶν, ὅπου καὶ ψευδόχριστοι καὶ τῷ Χριστῷ ἐπιθέσθαι ἠθέλησαν καὶ πρὸ τούτου καὶ μετὰ τοῦτο, ὥστε συσκιάσαι. ἀλλ' ἡ ἀλήθεια λάμπει καὶ διάδηλός ἐστι πανταχοῦ. τοῦτο καὶ ἐπὶ τῶν προφητῶν γέγονε. γεγόνασι ψευδοπροφῆται, καὶ ἀπὸ συγκρίσεως μᾶλλον ἔλαμψαν. καὶ γὰρ ἡ νόσος τὴν ὑγείαν φανερὰν δείκνυσι· καὶ τὸ σκότος, τὸ φῶς· καὶ τὴν γαλήνην, ὁ χειμών. οὐκ ἔτι εἶχέ τις τοὺς Ἕλληνας, ὅτι πλάνοι καὶ γόητες ἦσαν. ἐκεῖνοι γὰρ ἠλέγχθησαν. τοῦτο καὶ ἐπὶ Μωϋσέως γέγονε. συνεχώρησεν ὁ Θεὸς τοῖς μάγοις, ἵνα μὴ μάγος ὑποληφθῇ Μωϋσῆς· εἴασεν αὐτοὺς διδάξαι πάντας (μέχρι πόσου μαγεία φαντάσαι δύναται)· περαιτέρω δὲ οὐκ ἠπάτησαν, ἀλλ' αὐτοὶ τὴν ἧτταν ὡμολόγησαν. οὐδὲν ἡμᾶς βλάπτουσιν οἱ ἐπιθέμενοι· μᾶλλον δὲ καὶ ποιοῦσι βελτίους, ἄν τις θέλῃ προσέχειν τῷ νοΐ. τί οὖν, φησὶν, ὅταν κοινωνῶμεν αὐτοῖς τῆς δόξης; οὐ παρ' ἡμᾶς, ἀλλὰ παρὰ τοὺς οὐκ ἔχοντας κρίσιν. μὴ σφόδρα μελέτω τῆς δόξης ἡμῖν τῆς τῶν πολλῶν, μηδὲ πέρα τοῦ δέοντος αὐτῆς φροντίζωμεν. Θεῷ ζῶμεν, οὐκ ἀνθρώποις· ἐν οὐρανῷ πολιτευόμεθα, οὐκ ἐπὶ τῆς γῆς· ἐκεῖ τὰ βραβεῖα καὶ τὰ ἔπαθλα κεῖται τῶν ἡμετέρων πόνων· ἐκεῖθεν προσδοκῶμεν τοὺς ἐπαίνους· ἐκεῖθεν τοὺς στεφάνους. μέχρι τοσούτου φροντίζωμεν τῶν ἀνθρώπων, μέχρι τοῦ μὴ διδόναι καὶ παρέχειν αὐτοῖς λαβήν. ἂν δὲ ἡμῶν μὴ παρεχόντων ἐκεῖνοι θέλωσιν ἁπλῶς καὶ εἰκῆ κατηγορεῖν, γελῶμεν, δακρύωμεν. σὺ προνόει καλὰ ἐνώπιον Κυρίου καὶ ἀνθρώπων. ἂν σοῦ προνοοῦντος καλὰ, ἐκεῖνος σκώπτῃ, μηκέτι φρόντιζε. ἔχεις τὰ ὑποδείγματα ἐν ταῖς γραφαῖς. Ἄρτι γὰρ ἀνθρώπους πείθω, ἢ τὸν Θεόν, φησί; καὶ πάλιν, Ἀνθρώπους πείθομεν, Θεῷ δὲ πεφανερώμεθα. καὶ ὁ Χριστὸς οὕτως ἐπὶ τῶν σκανδαλιζομένων ἔλεγεν· Ἄφες αὐτοὺς, ὁδηγοί εἰσι τυφλοὶ τυφλῶν· καὶ πάλιν, * Λαμψάτω τὰ ἔργα ὑμῶν, ὅπως ἴδωσιν οἱ ἄνθρωποι, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. εἰ δὲ ἀλλαχοῦ λέγει· Ὃς ἐὰν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων, συμφέρει αὐτῷ ἵνα κρεμασθῇ μύλος ὀνικὸς περὶ τὸν τράχηλον αὐτοῦ, καὶ καταποντισθῇ ἐν τῷ πελάγει τῆς θαλάσσης, μὴ θαυμάσῃς. οὐ γάρ ἐστι ταῦτα ἐναντία, ἀλλὰ καὶ σφόδρα συνᾴδοντα. ὅταν μὲν γὰρ παρ' ἡμᾶς γίνηται, οὐαὶ ἡμῖν· ὅταν δὲ μὴ παρ' ἡμᾶς, οὐκέτι. καὶ πάλιν, Οὐαὶ ὑμῖν δι' οὓς τὸ ὄνομα τοῦ Θεοῦ βλασφημεῖται. τί οὖν; ἂν ἐγὼ μὲν ποιῶ τι τῶν δεόντων, ἕτερος δὲ βλασφημῇ, οὐδὲν πρὸς ἐμέ, ἀλλὰ πρὸς ἐκεῖνον. δι' ἐκεῖνον γὰρ ἐβλασφημήθη. καὶ πῶς ἔνι πρᾶξαί τι τῶν δεόντων, καὶ δοῦναι τοῖς ἄλλοις λαβήν; πόθεν βούλεσθε, ἀπὸ τῶν νῦν ὄντων, ἢ ἀπὸ τῶν παλαιῶν τὰ παραδείγματα ὑμῖν ἀγάγω; ἵνα μὴ φορτικοὶ ὦμεν, βούλεσθε αὐτὸ διὰ τοῦτο τὸ νῦν μετὰ χεῖρας εἴπωμεν; Ἰουδάϊζεν ὁ Παῦλος ἐν Ἱεροσολύμοις· ἀλλ' ἐν Ἀντιοχείᾳ οὐκ ἔτι. Ἰουδάϊζε, καὶ ἐσκανδαλίζοντο, ἀλλ' οὐ δικαίως ἐσκανδαλίζοντο ἐκεῖνοι. λέγεται δὲ Νέρωνος καὶ οἰνοχόον καὶ παλλακίδα ἀποσπάσαι. πόσα οἴεσθε κατ' αὐτοῦ εἰρηκέναι αὐτοὺς διὰ τοῦτο; ἀλλ' οὐ δικαίως. εἰ μὲν γὰρ ἐπὶ ἀσελγείᾳ ἐπεσπάσατο, ἢ ἐπὶ πονηροῖς πράγμασιν, εἰκότως· εἰ δὲ ἐπὶ βίῳ ὀρθῷ, τίνος ἕνεκεν; εἴπω τι καὶ τῶν ἐμοὶ συνήθων συμβάν. ἐπέπεσεν ὀργή ποτε τοῦ Θεοῦ, καὶ σφόδρα νέος ὢν ἐκεῖνος καὶ ἐν τῇ τοῦ διακόνου τάξει τυγχάνων, ἐπεὶ τότε ὁ ἐπίσκοπος ἔτυχεν ἀπὼν κατ' ἐκεῖνον τὸν καιρὸν, καὶ τῶν πρεσβυτέρων οὐδεὶς ἐ-

γρ. ὅτι ἡμᾶς λάμπειν αὖ

Γαλ. α. ι.
β Κορ. ε. ια.
Ματθ. ιε. ιδ.
Λυκ. ϛ. κϛ.
Ματθ. ε. ιϛ.
Ματθ. ιη. ϛ.
Ρωμ. β. κδ.

* καὶ ὑμῖν ὅταν καλῶς ὑμᾶς εἴπωσιν οἱ ἄνθρωποι. καὶ πάλιν

γρ. οὖν

36 Ἠκολούθει γὰρ τὸ πλῆθος τοῦ λαοῦ κράζον, αἶρε αὐτόν.

Τί ἐστιν, αἶρε αὐτόν; ἔθος ἦν Ἰουδαίοις, καθ' ὧν ἂν ἀπεφαίνοντο, τοῦτο λέγειν· ὡς καὶ ἐπὶ τοῦ Χριστοῦ τὸ αὐτὸ φαίνονται ποιοῦντες καὶ λέγοντες, ἆρον αὐτόν· τουτέστιν, ἐκ τῶν ζώντων ποίησον ἀφανῆ. τινὲς δὲ, ὅ περ ἡμῖν λέγουσι κατὰ τὴν Ῥωμαϊκὴν συνήθειαν, ἐν τοῖς σίγνοις αὐτὸν ἔμβαλε, τοῦτο εἶναι τὸ, αἶρε αὐτόν.

37 Μέλλων δὲ εἰς τὴν παρεμβολὴν εἰσάγεσθαι ὁ Παῦλος λέγει τῷ χιλιάρχῳ, εἰ ἔξεστί μοι εἰπεῖν τι πρός σε; Ἐπὶ τῶν ἀναβαθμοὺς φερόμενος, ἀξιοῖ πρὸς τὸν χιλίαρχον εἰπεῖν τι. καὶ ὅρα πῶς ἐπιεικῶς· Εἰ ἔξεστί μοι εἰπεῖν τι πρός σε, φησίν. ὁ δὲ ἔφη· Ἑλληνιστὶ γινώσκεις;

38 Οὐκ ἄρα σὺ εἶ ὁ Αἰγύπτιος, ὁ πρὸ τούτων τῶν ἡμερῶν ἀναστατώσας καὶ ἐξαγαγὼν εἰς τὴν ἔρημον τοὺς τετρακισχιλίους ἄνδρας τῶν σικαρίων; Οὗτος ὁ Αἰγύπτιος ἄνθρωπός τις νεωτεροποιὸς γέγονε καὶ στασιαστής. πρὸς δὲ τοῦτο ἀπολογεῖται ὁ Παῦλος, καὶ δι' ὧν ἀπαλλάττει τῆς ὑποψίας αὐτόν. ἴδωμεν δὲ ἄνωθεν τὰ ἀνεγνωσμένα. Εἰσὶν ἡμῖν ἄνδρες, φησὶ, τέσσαρες εὐχὴν ἔχοντες ἐφ' ἑαυτῶν, τούτους παραλαβὼν ἁγνίσθητι σὺν αὐτοῖς. πρὸς δὲ τοῦτο οὐκ ἀντιπίπτει ὁ Παῦλος, ἀλλὰ πείθεται. ὅθεν δῆλον, ὅτι οὐ προηγουμένως ἔδει τοῦτο ποιεῖν (διὸ καὶ πείθουσιν αὐτόν) ἀλλ' ὅτι οἰκονομία τὸ πρᾶγμα καὶ συγκατάβασις ἦν. οὐκ ἄρα ἐγκοπὴ τοῦ κηρύγματος τοῦτο ἦν, ὅπου γε καὶ αὐτοὶ ἐνομοθέτουν ἐκείνοις τὰ τοιαῦτα. τοῦτο τοίνυν οἰκονομῶν καὶ αὐτὸς Πέτρῳ ἐγκαλεῖ ὕστερον· καὶ οὐχ ἁπλῶς αὐτὸ ποιεῖ. ὅπερ γὰρ ἐνταῦθα ἐποίησεν αὐτὸς, τοῦτο Πέτρος ἐκεῖ, σιγῶν καὶ ἱστῶν αὐτοῦ τὸ δόγμα. καὶ οὐκ εἶπον, ὅτι οὐ χρὴ τὰ κατὰ τὰ ἔθνη διδάσκειν, οὐδὲ ἀρκεῖ τὸ μὴ κηρύξαι ἐκεῖ· ἀλλὰ δεῖ καὶ πλέον τι ποιῆσαι, ἵνα πεισθῶσιν ἐκεῖνοι ὅτι φυλάττεις τὸν νόμον. συγκατάβασις τὸ πρᾶγμά ἐστι, μηδὲν φοβηθῇς. καὶ ὅρα, οὐ προσέπεσε πείθουσιν αὐτὸν, ἕως τοῦ εἰπεῖν τὴν οἰκονομίαν προφέροντες καὶ τὸ κέρδος. καὶ τὸ ἐν Ἱεροσολύμοις δὲ τοῦτο ποιεῖν, φορτικόν. πείθουσι τοίνυν τοῦτο ἐνταῦθα, ἵνα δόξῃ σοι ἔξω ποιεῖν ἐκεῖνο. τότε παραλαβὼν, φησὶν, ὁ Παῦλος τοὺς ἄνδρας τῇ ἐχομένῃ ἡμέρᾳ. οὐκ ἀνεβάλετο, ἀλλ' ἔργῳ δείκνυσι τὴν πειθώ, παραλαμβάνει μεθ' ὧν ἔμελλεν ἁγνίζεσθαι. τοιοῦτόν τι ἐστι θερμὸν ἡ οἰκονομία. καὶ πῶς, φησὶν, οἱ ἀπὸ τῆς Ἀσίας Ἰουδαῖοι εἶδον αὐτὸν ἐν τῷ ἱερῷ; εἰκὸς ἦν αὐτοὺς ἡμέρας τινὰς ἐκεῖ διατρίβειν. ὅρα δὲ πῶς καὶ οἰκονομία τὸ γενόμενον ἦν. μετὰ γὰρ τὸ πεισθῆναι τοὺς Ἰουδαίους, τότε ἐπιτίθενται ἐκεῖνοι· εἰκότως· ἵνα μὴ κἀκεῖνοι συνεπιθῶνται. βοηθεῖτε, φησὶν, ἄνδρες Ἰσραηλῖται. ὡς τινος δυσαθεράτου καὶ δυσαιρέτου ταῖς ἐκείνων ἐμπεσόντος χερσὶ, βοηθεῖτε, λέγουσιν. πάντας πανταχοῦ τοῦτο ἐστιν ὁ διδάσκων. οὐκ ἐνταῦθα μόνον, φησὶν, ἀλλὰ πανταχοῦ. εἶτα καὶ ἡ κατηγορία μείζων ἀπὸ τῶν παρόντων. ἔτι δὲ, φησὶ, καὶ κεκοίνωκε τὸ ἱερὸν, ἄνδρας Ἕλληνας εἰσαγαγών. καὶ μὴν καὶ ἐπὶ τοῦ Χριστοῦ ἀνέβησαν προσκυνήσοντες· ἀλλὰ τοὺς οὐκ ἂν ἐλθόντας προσκυνῆσαι οὗτοι λέγουσι. καὶ ἐπιλαβόμενοι τοῦ Παύλου, φησὶν, εἷλκον αὐτὸν ἔξω. σκόπει· ἀπὸ τοῦ ἱεροῦ ἐκβάλλουσιν αὐτόν. οὐκέτι γὰρ νόμων ἐδέοντο, οὐδὲ δικαστηρίων [διὸ] καὶ ἔτυπτον αὐτὸν*. οὕτω διὰ πάντων φαίνονται θρασεῖς ὄντες καὶ ἰταμοί. ὁ δὲ τότε μὲν οὐκ ἀπελογήσατο, ὕστερον δὲ εἰκότως· τότε γὰρ οὐδ' ἂν ἤκουσε. καὶ τί δήποτε ἔκραζον, αἶρε αὐτόν; ἐφοβοῦντο μὴ διαφύγῃ. ἀλλ' ὅρα μεθ' ὅσης ὑποστολῆς διαλέγεται ὁ Παῦλος τῷ χιλιάρχῳ. τί γάρ φησιν; εἰ ἔξεστί μοι εἰπεῖν τι πρός σε; τοσοῦτον ἦν ταπεινὸς, ὅτι καὶ μετριάζων ἦν δ' πανταχοῦ*. οὐκ ἄρα σὺ εἶ, φησὶν, ὁ Αἰγύπτιος; ὅρα κακουργίαν. διαβόλου ἀπάτη ὢν ἦν ἐκεῖνος ὁ γόης ὁ Αἰγύπτιος, καὶ προσεδόκησεν ὁ διάβολος συσκιάζειν διὰ τούτου καὶ κοινωνοὺς ποιεῖν τῶν ἐκείνῳ προσηκόντων ἐγκλημάτων καὶ τὸν Χριστὸν καὶ τοὺς ἀποστόλους. ἀλλ' οὐδὲν ἴσχυσεν, ἀλλ' ὅμως ἔτι λαμπροτέρα γέγονεν ἡ ἀλήθεια, οὐδὲν παραβλαβεῖσα τοῖς τοῦ διαβόλου μηχανήμασιν, ἀλλὰ καὶ μᾶλλον λάμψασα. εἰ μὲν γὰρ μὴ ἦσαν γόητες, εἶτα οὗτοι ἐκράτουν,

χ. προσέπεσεν αὐτῷ

χ. ἐσιδόντες αὐτὸν ἐν τῷ ἱερῷ.

χ. ὑπὸ τῆς βίας. ἐδ. ἀλλ.

* ἐν πᾶσιν.

ὅτι στοιχεῖς· τουτέστιν, ἐκ περιουσίας καὶ αὐτὸς φυλάττεις. οὐ γὰρ δὴ τοῦτο μόνον ἦν τὸ σπουδαζόμενον, εἰ μὴ ἑτέρους διδάσκει, ἀλλ' ὅτι καὶ αὐτὸς τηρεῖ. τί οὖν, ἂν τὰ ἔθνη μάθωσιν, οὐ σκανδαλισθήσονται, φησί; πῶς; φησίν, ὥσπερ καὶ ἡμεῖς τῶν Ἰουδαίων διδάσκαλοι ἐπέμψαμεν πρὸς αὐτούς;

25 Περὶ δὲ τῶν πεπιστευκότων ἐθνῶν ἡμεῖς ἐπεστείλαμεν, κρίναντες μηδὲν τοιοῦτον τηρεῖν αὐτούς, εἰ μὴ φυλάσσεσθαι αὐτοὺς τό τε εἰδωλόθυτον, καὶ τὸ αἷμα, καὶ τὸ πνικτόν, καὶ πορνείαν. Ἐνταῦθα ἐντρεπτικῶς. ὃ δὲ λέγει τοῦτό ἐστιν· ὥσπερ ἡμεῖς ἐκείνοις ἐπετάξαμεν, καίτοιγε Ἰουδαίοις κηρύττοντες· οὕτω καὶ σὺ καίτοι ἔθνεσι κηρύττων, σύμπραξον ἡμῖν. ὅρα τὸν Παῦλον· οὐ λέγει, καὶ μὴν δυνάμενος Τιμόθεον παραγαγεῖν, ὃν περιέτεμον· καὶ μὴν δυνάμενος πεῖσαι τῷ λόγῳ· ἀλλ' ἐπείσθη αὐτοῖς, καὶ πάντα ἐποίησε. καὶ γὰρ οὕτω συνέφερεν. οὐ γὰρ ἦν ἴσον εἰς ἀπολογίαν καταστῆναι, καὶ οὐδενὸς εἰδότος ποιῆσαι ταῦτα. αἰσχυντηλὸν ἦν τὸ καὶ δαπανᾶσθαι.

26 Τότε παραλαβὼν ὁ Παῦλος τοὺς ἄνδρας, καὶ τῇ ἐχομένῃ ἡμέρᾳ σὺν αὐτοῖς ἁγνισθεὶς εἰσῄει εἰς τὸ ἱερόν, διαγγέλλων τὴν ἐκπλήρωσιν τῶν ἡμερῶν τοῦ ἁγνισμοῦ, ἕως οὗ προσπέζη ὑπὲρ ἑνὸς ἑκάστου αὐτῶν ἡ προσφορά. Διαγγέλλων· τουτέστι, καταγγέλλων· ὥστε αὐτὸς ἦν ὁ δῆλον ἑαυτὸν ποιῶν.

ν. πληρῶσθαι (*μάλιστα γὰρ ἐκείνοις προσεχρίζη) 27 Ὡς δὲ ἔμελλον αἱ ἑπτὰ ἡμέραι "συντελεῖσθαι, οἱ ἀπὸ τῆς Ἀσίας Ἰουδαῖοι, *θεασάμενοι αὐτὸν ἐν τῷ ἱερῷ, συνέχεον πάντα τὸν ὄχλον, καὶ ἐπέβαλον ἐπ' αὐτὸν τὰς χεῖρας,

28 Κράζοντες, Ἄνδρες Ἰσραηλῖται, βοηθεῖτε· οὗτός ἐστιν ὁ ἄνθρωπος ὁ κατὰ τοῦ λαοῦ καὶ τοῦ νόμου καὶ τοῦ τόπου τούτου πάντας πανταχοῦ διδάσκων· ἔτι τε καὶ Ἕλληνας εἰσήγαγεν εἰς τὸ ἱερόν, καὶ κεκοίνωκε τὸν ἅγιον τόπον τοῦτον. Ὅρα τὸ ἦθος αὐτῶν πανταχοῦ ταραχῶδες, καὶ ἁπλῶς βοώντων ἐν τῷ μέσῳ.

29 Ἦσαν γὰρ "ἑωρακότες Τρόφιμον τὸν Ἐφέσιον ἐν τῇ πόλει σὺν αὐτῷ, ὃν ἐνόμιζον ὅτι
χ. [illegible] εἰς τὸ ἱερὸν εἰσήγαγεν ὁ Παῦλος.

30 Ἐκινήθη τε ἡ πόλις ὅλη, καὶ ἐγένετο συνδρομὴ τοῦ λαοῦ, καὶ ἐπιλαβόμενοι τοῦ Παύλου, εἷλκον αὐτὸν ἔξω τοῦ ἱεροῦ, καὶ εὐθέως ἐκλείσθησαν αἱ θύραι.

Ἄνδρες Ἰσραηλῖται, βοηθεῖτε, φησίν· οὗτός ἐστιν ὁ ἄνθρωπος ὁ κατὰ τοῦ λαοῦ καὶ τοῦ νόμου καὶ τοῦ τόπου τούτου. ἃ μάλιστα αὐτοὺς ἐθορύβει, ὁ ναὸς καὶ ὁ νόμος, ταῦτα περιφέρουσιν ἐκεῖνοι. καὶ οὐδὲν ἐνεκάλεσε τοῖς ἀποστόλοις ὁ Παῦλος, παθὼν καίτοι τοσαῦτα, ὅτι αὐτοὶ αἴτιοι τούτων γεγόνασιν αὐτῷ· [οὕτως ἦν μεγαλόψυχος.] Καὶ εἷλκον αὐτόν, φησίν, ἔξω τοῦ ἱεροῦ. καὶ ἐκλείσθησαν αἱ θύραι. ἐβούλοντο γὰρ αὐτὸν ἀνελεῖν, καὶ διὰ τοῦτο ἔξω εἷλκον, ὥστε μετὰ πλείονος ἀδείας τοῦτο ποιῆσαι.

31 Ζητούντων δὲ αὐτὸν ἀποκτεῖναι, ἀνέβη φάσις τῷ χιλιάρχῳ τῆς "σπείρας, ὅτι ὅλη
χ. [illegible] συγκέχυται Ἱερουσαλήμ·

32 Ὃς ἐξαυτῆς παραλαβὼν στρατιώτας καὶ ἑκατοντάρχους, κατέδραμεν ἐπ' αὐτούς. οἱ δὲ ἰδόντες τὸν χιλίαρχον καὶ τοὺς στρατιώτας, ἐπαύσαντο τύπτοντες τὸν Παῦλον.

33 Τότε ἐγγίσας ὁ χιλίαρχος, ἐπελάβετο αὐτοῦ, καὶ ἐκέλευσε δεθῆναι ἁλύσεσι δυσί· καὶ ἐπυνθάνετο τίς ἂν εἴη, καὶ τί ἐστι πεποιηκώς.

χ. ἄλλο τι ἐβόων 34 Ἄλλοι δὲ "ἄλλα ἐβόων ἐν τῷ ὄχλῳ. Καὶ τίνος ἕνεκεν μέλλων αὐτὸν ἐξετάζειν, ἐκέλευσε δεθῆναι ἁλύσεσι δυσί; παραμυθούμενος τὸν θυμὸν τοῦ δήμου. Μὴ δυνάμενος δὲ γνῶναι τὸ ἀσφαλὲς διὰ τὸν θόρυβον, ἐκέλευσεν ἄγεσθαι αὐτὸν εἰς τὴν παρεμβολήν.

35 Ὅτε δὲ ἐγένετο ἐπὶ τοὺς ἀναβαθμούς, συνέβη βαστάζεσθαι αὐτὸν ὑπὸ τῶν στρατιωτῶν διὰ τὴν βίαν τοῦ ὄχλου.



Digitized by Google

μένου Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. μϛ'. 18 ΤΗ ΔΕ ΕΠΙΟΥΣΗ ΗΜΕΡΑ ΕΙΣΗΕΙ Ο ΠΑΥλος σὺν ἡμῖν πρὸς Ἰάκωβον, πάντες τε παρεγένοντο οἱ πρεσβύτεροι.

19 Καὶ ἀσπασάμενος αὐτούς, ἐξηγεῖτο καθ' ἓν ἕκαστον ὧν ἐποίησεν ὁ Θεὸς ἐν τοῖς ἔθνεσι διὰ τῆς διακονίας αὐτοῦ.

Οὗτος ἀδελφὸς ἦν τοῦ Κυρίου, καὶ ἐπίσκοπος τῶν Ἱεροσολύμων, ἀνὴρ μέγας καὶ θαυμαστός. πρὸς τοῦτον εἰσέρχεται Παῦλος, ὥσπερ καὶ πρὸ τούτου καὶ πρὸς αὐτὸν πέμπεται. καὶ ὅπως, ἄκουε. τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ, φησίν, εἰσῄει ὁ Παῦλος σὺν ἡμῖν πρὸς Ἰάκωβον. ὅρα τὸ ἄτυφον. πάντες τε παρεγένοντο οἱ πρεσβύτεροι· καὶ ἀσπασάμενος αὐτούς, ἐξηγεῖτο καθ' ἓν ἕκαστον ὧν ἐποίησεν ὁ Θεὸς ἐν τοῖς ἔθνεσι διὰ τῆς διακονίας αὐτοῦ. πάλιν αὐτοῖς τὰ τῶν ἐθνῶν διηγεῖται, οὐ κενοδοξῶν (μὴ γένοιτο) ἀλλὰ τοῦ Θεοῦ θέλων τὴν φιλανθρωπίαν ἐνδείξασθαι, καὶ πολλῆς αὐτοὺς ἐμπλῆσαι χαρᾶς. ὅρα γοῦν πῶς

20 Ἀκούσαντες καὶ ἐδόξαζον τὸν Θεόν. Οὐκ ἐκεῖνον ἐπῄνουν, οὐδὲ ἐθαύμαζον, ἀλλὰ τὸν Θεὸν ἐδόξαζον. οὕτω γὰρ διηγήσατο, ὡς ἀνατιθέμενος αὐτῷ.

Οἱ δὲ ἀκούσαντες ἐδόξαζον τὸν Θεόν, εἰπόντες αὐτῷ· θεωρεῖς, ἀδελφέ, πόσαι μυριάδες εἰσὶν Ἰουδαίων τῶν πεπιστευκότων; καὶ πάντες ζηλωταὶ τοῦ νόμου ὑπάρχουσι.

21 Κατηχήθησαν δὲ περὶ σοῦ, ὅτι ἀποστασίαν διδάσκεις ἀπὸ Μωϋσέως τοὺς κατὰ τὰ ἔθνη πάντας Ἰουδαίους, λέγων μὴ περιτέμνειν αὐτοὺς τὰ τέκνα, μηδὲ τοῖς ἔθεσι περιπατεῖν.

Ὅρα καὶ αὐτοὶ μεθ' ὅσης ὑποστολῆς φασιν· οὐχ ὡς ἐπίσκοπος αὐθεντικῶς διαλέγεται, ἀλλ' αὐτὸν παραλαμβάνουσι κοινωνὸν τῆς γνώμης, ὥσπερ δὴ εὐθέως καὶ ἀπὸ προοιμίων ἀπολογούμενοι, ὅτι οὐκ ἐβουλόμεθα. ὁρᾷς τοῦ πράγματος τὴν ἀνάγκην; θεωρεῖς πόσαι, φησί, μυριάδες εἰσὶν Ἰουδαίων τῶν πεπιστευκότων; καὶ οὐκ εἶπον, πόσας μυριάδας κατηχήσαμεν, ἀλλ' εἰσί. καὶ οὗτοι, φησι, πάντες ζηλωταὶ τοῦ νόμου ὑπάρχουσι. δύο αἰτίαι· καὶ τὸ πλῆθος, καὶ ἡ γνώμη. οὔτε γάρ, εἰ ὀλίγοι ἦσαν, καταφρονῆσαι ἐχρῆν· οὔτε, εἰ πολλοὶ καὶ μὴ πάντες τοῦ νόμου ἀντείχοντο, περὶ πολλοῦ ποιεῖσθαι. εἶτα καὶ τρίτη αἰτία· καὶ αὐτοὶ πάντες κατηχήθησαν, φησι, περὶ σοῦ ὅτι ἀποστασίαν διδάσκεις ἀπὸ Μωϋσέως τοὺς κατὰ τὰ ἔθνη πάντας Ἰουδαίους, λέγων μὴ περιτέμνειν αὐτοὺς τὰ τέκνα, μηδὲ τοῖς ἔθεσι περιπατεῖν. οὐκ εἶπον, ἤκουσαν· ἀλλά, κατηχήθησαν, τουτέστιν, ἐδιδάχθησαν καὶ ἐπίστευσαν. ὅτι ἀποστασίαν ἀπὸ Μωϋσέως διδάσκεις, λέγων μὴ περιτέμνειν αὐτοὺς τὰ τέκνα, μηδὲ τοῖς ἔθεσι περιπατεῖν. τοῦτο εἰπών, ἐπήγαγε· χ. μὴν

22 Τί οὖν ἐστι; πάντως δεῖ πλῆθος συνελθεῖν. ἀκούσονται γὰρ ὅτι ἐλήλυθας.

23 Τοῦτο οὖν ποίησον, ὅ σοι λέγομεν. Ὡς συμβουλεύοντες ταῦτα λέγουσιν, οὐχ ὡς ἐπιτάττοντες. Εἰσὶν ἡμῖν ἄνδρες τέσσαρες, εὐχὴν ἔχοντες ἐφ' ἑαυτῶν.

24 Τούτους παραλαβὼν ἁγνίσθητι σὺν αὐτοῖς, καὶ δαπάνησον ἐπ' αὐτοῖς, ἵνα ξυρήσωνται τὴν κεφαλήν, καὶ γνῶσι πάντες ὅτι, ὧν κατήχηνται περὶ σοῦ, οὐδέν ἐστιν, ἀλλὰ στοιχεῖς καὶ αὐτὸς φυλάσσων τὸν νόμον. Ἔργῳ τὴν ἀπολογίαν ποιῆσαι αὐτῷ συμβουλεύουσιν, οὐ λόγῳ, ἵνα ξυρήσωνται, φησι, καὶ γνῶσι πάντες, ὅτι, ὧν κατήχηνται περὶ σοῦ, οὐδέν ἐστιν. οὐκ εἶπον, ὅτι διδάσκεις· ἀλλά, κατήχηνται. πάλιν δέ, ἐδιδάχθησαν, διὰ τοῦτο δηλοῖ, καὶ ὅτι χ. ὅτι οὐ διδ. ἀλλ' ἐκ περισ.

Digitized by Google

ἔχειν αὐτοῖς, ἐπεὶ τὸν πόλεμον ὑμῖν ἀμυνοῦσι τοῦτον τὸν αἰσθητόν· τοὺς δὲ ξένους μὴ ἔχειν ὅπου" καταμεῖναι; νίκησον τὴν ἐκκλησίαν. Βούλει ἐκπλῆξαι ἡμᾶς; τοῦτο ποίησον· ὑπερβαλοῦ τῇ φιλοτιμίᾳ, ἔχε οἴκημα ἔνθα Χριστὸς παραγίνεται· εἰπέ, τοῦτο τὸ κελλίον τοῦ Χριστοῦ· ἡ οἰκία αὕτη αὐτῷ ἀφώρισται. κἂν" καταγεῖον ᾖ καὶ εὐτελές, οὐκ ἀπαξιοῖ. γυμνὸς καὶ ξένος ὁ Χριστὸς περίεισι, μόνον σκέπης δεόμενος· κἂν τοῦτο παράσχε· μὴ ὠμὸς ἴσο, μηδὲ ἀπάνθρωπος, μηδὲ ἐν μὲν τοῖς βιωτικοῖς οὕτω" σφοδρὸς ἴσο, ἐν δὲ τοῖς πνευματικοῖς ψυχρός. ἔστω καὶ τῶν οἰκετῶν ὁ πιστότερος τοῦτο ἐγκεχειρισμένος, καὶ τοὺς ἀναπήρους, τοὺς πτωχούς, τοὺς ἀστέγους εἰσαγέτω. Ταῦτα λέγω πρὸς ἐντροπήν. ἔδει μὲν γὰρ δεῖν ἐπὶ τῆς οἰκίας αὐτοὺς δέχεσθαι· εἰ δὲ μὴ βούλει, κἂν κάτω, [κἂν ἔνθα αἱ ἡμίονοι,] κἂν ἔνθα οἱ οἰκέται, δέξαι τὸν Χριστόν. τάχα φρίττετε ἀκούοντες. τί οὖν, ὅταν μηδὲ ταῦτα ποιῆτε; ἰδοὺ παραινῶ, ἰδοὺ λέγω· ἔστω ὑμῖν τοῦτο περισπούδαστον. Ἀλλ' οὐ βούλεσθε οὕτως; οὐκοῦν ἑτέρως ποιήσατε. Εἰσὶ πολλοὶ πένητες καὶ πτωχοί· ἀφορίσατέ τι δι' ὅλου μένειν ἐκεῖ" ἵνα· ἔστω καὶ φύλαξ τῆς οἰκίας ὁ πένης· ἔστω σοι τεῖχος καὶ περίφραγμα, ἀσπὶς καὶ δόρυ. ἔνθα ἐλεημοσύνη, οὐ τολμᾷ προσελθεῖν ὁ διάβολος, οὐδὲ ἄλλο τι τῶν δεινῶν. μὴ δὴ περιίδωμεν τοσοῦτον κέρδος. νῦν δὲ ὀχήματος μὲν τόπος ἐστὶν ἀφωρισμένος, καὶ βαστερίοις ἕτερος*, τῷ δὲ Χριστῷ πλανωμένῳ οὐδὲ εἷς. Ὁ Ἀβραὰμ ἔνθα αὐτὸς ἔμενε, τοὺς ξένους ὑπεδέχετο· καὶ ἡ μὲν γυνὴ ἐν τάξει θεραπαινίδος εἱστήκει, ἐκεῖνοι δὲ ἐν τάξει δεσποτῶν. οὐκ ᾔδει ὅτι τὸν Χριστὸν ἐδέχετο, οὐκ ᾔδει ὅτι ἀγγέλους· ὡς εἴγε ᾔδει, πάντα ἂν ἐκένωσεν· ἡμεῖς δὲ καίπερ εἰδότες ὅτι τὸν Χριστὸν δεχόμεθα, οὐδὲ τοσαύτην ἐπιδεικνύμεθα τὴν σπουδήν, ὅσην ἐκεῖνος ὁ νομίζων ἀνθρώπους δέχεσθαι. Ἀλλ' ἐπιθέται εἰσί, φησι, πολλοὶ καὶ ἀγνώμονες. καὶ τούτου σοι μείζων ὁ μισθός, ὅταν διὰ τὸ ὄνομα τοῦ Χριστοῦ δέχῃ. Εἰ μὲν γὰρ οἶδας ὅτι ἐπιθέτας, μὴ δέχου εἰς τὴν οἰκίαν· εἰ δὲ οὐκ οἶδας, τί ἁπλῶς κατηγορεῖς; διὰ τοῦτο λέγω εἰς τὸ ξενοδοχεῖον ἀπιέναι. ποία δὲ ἀπολογία, ὅταν μηδὲ οὓς ἴσμεν, μηδὲ τούτους δεχώμεθα, ἀλλ' ἀποκλείωμεν πᾶσι τὰς θύρας; ἔστω τοῦ Χριστοῦ πανδοχεῖον ἡ μὲν ἡ οἰκία· ἀπαιτῶμεν αὐτοὺς τὸν μισθόν, μὴ ἀργύριον, ἀλλὰ τὸ ποιῆσαι ἡμῖν δοχεῖον τοῦ Χριστοῦ τὴν οἰκίαν· περιτρέχωμεν πανταχοῦ, ἕλκωμεν, ἁρπάζωμεν τὴν θήραν· μείζονα εὐεργετούμεθα ἢ εὐεργετοῦμεν. οὐ κελεύω καταθῦσαι μόσχον· ἄρτον δὸς πεινῶντι, ἱμάτιον γυμνῷ, σκέπην τῷ ξένῳ. ἵνα δὲ μὴ ταῦτα προφασίζῃ, ἔστιν οἴκημα κοινὸν τῆς ἐκκλησίας, ἐκεῖ καταβάλε, καὶ σὺ ὑπεδέξω· ἐπεὶ καὶ τῶν διὰ τῶν οἰκετῶν γινομένων ἐκεῖνος εἶχε τὸν μισθόν. οὕτως ἦσαν πεπαιδευμένοι καὶ οἱ παῖδες αὐτοῦ· ἔτρεχον, καὶ οὐκ ἐγόγγυζον, καθάπερ ἡμέτεροι. εὐλαβεῖς γὰρ αὐτοὺς ἦν πεποιηκώς. Εἰς πόλεμον εἷλκε, καὶ οὐκ ἐγόγγυζον· οὕτως ἦσαν φιλόσοφοι. πάντων γὰρ ὁμοίως ἐπεμελεῖτο, ὥσπερ ἑαυτοῦ. μονονουχὶ γὰρ κατὰ τὸν Ἰὼβ ἔλεγεν· Ὅτι ὁμοίως ἐπλάσθημεν ἐν τῇ αὐτῇ γαστρί. Ἰωβ. λα. τοίνυν καὶ ἡμεῖς φροντίζωμεν ἑαυτῶν τῆς σωτηρίας, καὶ πολλὴν ποιώμεθα τῶν οἰκετῶν τὴν ἐπιμέλειαν, ὅπως ἔσονται χρηστοὶ [καὶ ἐπιμελεῖς·] καὶ ἔστω καὶ ὁ οἰκέτης ἡμῶν πεπαιδευμένος τὰ τοῦ Θεοῦ. Οὐκ ἔσται δύσκολος ἡμῖν ἡ ἀρετὴ λοιπόν, ἐὰν ἐκείνους ῥυθμίσωμεν· καθάπερ ἐν πολέμῳ στρατιωτῶν ὄντων εὐτάκτων, ὁ στρατηγὸς ῥᾳδίως πολεμεῖ, τοὐναντίον δὲ, ὅταν μὴ τοῦτο ᾖ· καὶ ναυτῶν δὲ ὁμονοούντων, ὁ κυβερνήτης εὐκόλως τοὺς οἴακας μεταχειρίζεται· οὕτω καὶ ἐνταῦθα, ἐὰν οὕτως ὦσι πεπαιδευμένοι οἱ οἰκέται, οὐ παροξυνθήσῃ ῥᾳδίως, οὐκ ἐγκαλέσεις, οὐκ ὀργισθήσῃ, οὐ λοιδορήσεις. ἔστιν ὅπου καὶ ἐντραπήσῃ τοὺς οἰκέτας, ἐὰν ὦσι θαυμαστοί, καὶ συναντιλήψονταί σοι, καὶ παραινοῦσι τὰ χρηστά. Ἀπὸ δὲ τούτων πάντων πάντα ἔσται τὰ τῷ Θεῷ δοκοῦντα, καὶ οὕτω πᾶσα ἡ οἰκία εὐλογίας πληρωθήσεται, καὶ τὰ τῷ Θεῷ ἀρέσκοντα διαπραττόμενοι, πολλῆς ἀπολαύσομεν τῆς ἄνωθεν συμμαχίας· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν

χ. μένειν

χ. γωνία. ἀλ. καταγεῖον

χ. φαῦλος

χ. τινας·

* καὶ ἀλόγοις ἕτερος.

Digitized by Google

ἐδέξω με, φησὶν, εἰς τὸ σὸν καταγώγιον, δέξομαί σε εἰς τὴν βασιλείαν τοῦ πατρός μου· ἔλυσάς μοι τὸν λιμὸν, λύσω σοι τὰ ἁμαρτήματα· εἶδές με δεδεμένον, ὄψεσθαί σε ποιῶ λελυμένον· εἶδές με ξένον, ποιῶ σε πολίτην τῶν οὐρανῶν· ἔδωκάς μοι ἄρτον, δίδωμί σοι βασιλείαν ὁλόκληρον, ὥστε κληρονομῆσαι καὶ κατασχεῖν. Ματθ. κε. λδ. Δεῦτε γὰρ, φησὶ, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν. Οὐκ εἶπε, λάβετε, ἀλλὰ, κληρονομήσατε· ὅπερ ἐπὶ τῶν κυρίως κτωμένων λέγεται, ὡς ὅταν λέγωμεν, τόδε ἐκληρονόμησε. ἐποίησας εἰς ἐμὲ ἐν κρυπτῷ, ἐγὼ κηρύξω ἐν φανερῷ. καὶ τὰ μὲν σὰ λέγω, ὅτι χρεώστης ἦν· τὰ δὲ ἐμὰ, ὀφειλῆς. ἐπεὶ γὰρ σύ, φησιν, ἦρξω, ἐγὼ ἕπομαι καὶ ἀκολουθῶ. Οὐκ αἰσχύνομαι ὁμολογῆσαι τὰς εἰς ἐμὲ γενομένας εὐεργεσίας, οὐδὲ τίνων με ἀπήλλαξας, λιμοῦ καὶ γυμνότητος καὶ πλάνης. εἶδές με δεδεμένον· οὐκ ὄψει τὸ τῆς γεέννης πῦρ· εἶδές με ἀρρωστοῦντα· οὐκ ὄψει τὰ βασανιστήρια, οὐδὲ τὰς τιμωρίας. ὦ χεῖρες οὕτως εὐλογημέναι, αἱ τοιαύταις οἰκονομίαις διακονούμεναι, αἱ καταξιούμεναι ὑπηρετεῖν τῷ Χριστῷ. πόδες εἰς δεσμωτήρια βαδίζοντες διὰ τὸν Χριστὸν, εὐκόλως καταπατήσουσι τοῦ πυρός· οὐ λαμβάνουσι πέδας τῶν δεσμῶν· χεῖρες αἱ δεδεμένον αὐτὸν ἐνδύσασαι. ἐνέδυσας ἱμάτιον, καὶ ἐνδύσῃ ἱμάτιον σωτηρίου· ἔμεινας ἐν δεσμωτηρίῳ μετ' αὐτοῦ, καὶ γίνῃ ἐν βασιλείᾳ μετ' αὐτοῦ. γρ. ἐνδύσῃ Ταῦτα ὁμολογεῖ οὐκ αἰσχυνόμενος, ἀλλ' Γεν. ιη. γ. εἰδὼς ὅτι αὐτὸν ἐπισκέψω. Οὐκ ᾔδει ἀγγέλους ξενίζων ὁ πατριάρχης, καὶ ἐξένιζεν. αἰσχυνθῶμεν, παρακαλῶ. ἐν μεσημβρίᾳ ἐκάθητο ἐπ' ἀλλοτρίας ὤν, ὅπου οὐδὲ βῆμα ποδὸς εἶχε· ξένος ἦν, καὶ ξένους ἐξένιζεν ὁ ξένος. πολίτης γὰρ ἦν τῶν οὐρανῶν. διὰ τοῦτο οὐδὲ ἐπὶ γῆς ὤν, ξένος ἦν. ἡμεῖς ἐκείνου τοῦ ξένου μᾶλλον ξένοι, μὴ δεχόμενοι ξένους. Οὐκ εἶχεν οἰκίαν, καὶ καταγώγιον ἦν αὐτῷ ἡ σκηνή. καὶ ὅρα τὸ δαψιλές. μόσχον ἔθυε, καὶ ἄλευρα ἔφυρεν. ἄκουε καὶ τὸ πρόθυμον. δι' ἑαυτοῦ καὶ τῆς γυναικὸς τοῦτο ποιεῖ. σκόπει καὶ τὸ ἄτυφον· προσκυνεῖ καὶ παρακαλεῖ. πάντα γὰρ ταῦτα δεῖ τὸν ξενίζοντα ἔχειν, τὸ πρόθυμον, τὸ φαιδρὸν, τὸ ἄφθονον. γρ. ἐφύρασε ἡ γὰρ τοῦ ξένου ψυχὴ ἐρυθριᾷ καὶ αἰσχύνεται· κἂν μὴ μεθ' ὑπερβολῆς ἐπιδείξῃ χαράν, ὡς ἀλογηθεὶς ἀπαλλάττεται, καὶ λοιπὸν χεῖρον τίθησι τοῦ μὴ ὑποδέξασθαι τὸ οὕτως ὑποδεχθῆναι. διὰ τοῦτο προσκυνεῖ, διὰ τοῦτο τῷ λόγῳ δέχεται, διὰ τοῦτο τῇ καθέδρᾳ. τίς γὰρ ἂν ἠπορήθη, εἰδὼς ὅτι τοῦτο ἔργον αὐτῷ ἦν; ἀλλ' οὐκ ἐπὶ ξένης ἐσμὲν ἡμεῖς; ἀλλ', ἐὰν θέλωμεν, δυνησόμεθα αὐτὸν μιμήσασθαι. πόσοι ξένοι εἰσὶ τῶν ἀδελφῶν; ἔστιν οἴκημα κοινὸν ἡ ἐκκλησία, ὃ ξενῶνα καλοῦμεν. περιεργάζεσθε καὶ ὑμεῖς· καθέζεσθε παρὰ τὰς θύρας· τοὺς ἐρχομένους ὑποδέχεσθε· κἂν μὴ εἰς τὰς οἰκίας ὑμῶν βούλησθε, ἀλλ' ἑτέρως τὰς πρὸς τὰς χρείας αὐτοῖς χορηγοῦντες. τί γάρ; ἡ ἐκκλησία οὐκ ἔχει, φησίν; ἔχει· ἀλλὰ τί τοῦτο πρὸς ὑμᾶς; μὴ τὸ ἀπὸ τῶν κοινῶν τῆς ἐκκλησίας τρέφεσθαι χρημάτων αὐτοὺς, τοῦτο ὑμᾶς ὠφελῆσαι δύναται; μὴ γὰρ ἂν ἕτερος εὔχηται, σὺ οὐκ ὀφείλεις εὔχεσθαι; διατί μὴ λέγεις, τί γάρ; οὐκ εὔχονται οἱ ἱερεῖς; ἐγὼ τί εὔχομαι; ἀλλ' ἐγώ, φησι, δίδωμι τῷ μὴ δυναμένῳ καταδεχθῆναι ἐκεῖ. δὸς κἀκείνῳ. ὃ γὰρ σπουδάζομεν ἡμεῖς τοῦτό ἐστι, τὸ ὅλως δοῦναι. α. Τιμ. ε. ις. ἄκουσον τί φησιν ὁ Παῦλος· Ἵνα ταῖς ὄντως χήραις ἐπαρκέσῃ, καὶ μὴ βαρῆται ἡ ἐκκλησία. ὅπως βούλει, ποίησον· μόνον ποίησον. ἐγὼ δὲ οὐ λέγω, ἵνα μὴ βαρῆται ἡ ἐκκλησία, ἀλλ' ἵνα σὺ μὴ βαρῇ. τῷ γὰρ λογισμῷ τούτῳ οὐδὲν ἐργάσῃ πάντα ἐπιτρέπων αὐτῇ. διὰ τοῦτο κοινὸν οἴκημά ἐστιν ὑπὸ τῆς ἐκκλησίας ἀφωρισμένον, ἵνα μὴ ταῦτα λέγῃς. ἀλλ' ἔχει δαπανήματα ἡ ἐκκλησία, φησί. χρήματα ἔχει καὶ προσόδους, εἰπέ μοι· ἀναλώματα δὲ οὐκ ἔχει; δαπάνην δὲ οὐκ ἔχει καθημερινήν; ναί, φησι. τί οὖν οὐ βοηθεῖς τῇ μητρί; αἰσχύνομαι μὲν ταῦτα λέγων· πλὴν ἀλλ' οὐδὲν ἀναγκάζω. εἰ δὲ νομίζεις χρηματισμὸν εἶναι τὰ λεγόμενα, ποίησον ἑαυτῷ ξενοδοχεῖον ἐπὶ τῆς οἰκίας· στῆσον ἐκεῖ κλίνην· στῆσον ἐκεῖ τράπεζαν καὶ λυχνίαν. πῶς γὰρ οὐκ ἄτοπον, εἰ μὲν στρατιῶται ἔλθοιεν, ἔχειν ὑμᾶς ἀποτεταγμένα οἰκήματα, καὶ πολλὴν ποιεῖσθαι τὴν ἐπιμέλειαν, καὶ πάντα παρ-

ἔχειν

ποιεῖ. ὅρα αὐτὸν ὅτι τὸ πνεῦμα οὐκ ἐκώλυε, πειθόμενον. εἶπον, μὴ δῷς σαυτὸν εἰς τὸ θέατρον, καὶ οὐκ ἔδωκε· πολλάκις αὐτὸν ἐξήγαγον, καὶ ἐπείσθη· διὰ θυρίδος πάλιν ἔφυγε· καὶ νῦν, ὡς εἶπον, μυρίων παρακαλούντων, καὶ τῶν ἐν Τύρῳ, καὶ τῶν ἐν Καισαρείᾳ, καὶ κλαιόντων καὶ μυρία προλεγόντων δεινά, οὐκ ἀνέχεται· καὶ μὴν οὐχ ἁπλῶς τὰ δεινὰ προέλεγον, ἀλλὰ διὰ τοῦ πνεύματος προέλεγον. εἰ τοίνυν τὸ πνεῦμα ἐκέλευε, διὰ τί ἀντεῖπον; ὅτι οὐκ ᾔδεισαν [illegible] τῷ πνεύματι. καὶ ἄλλως δέ, οὐδὲ τὴν παραίνεσιν διὰ τοῦ πνεύματος ἐποιοῦντο. οὐ γὰρ ἁπλῶς αὐτῷ τὰ δεινὰ προύλεγον, ἀλλ' ὅτι ἀναβῆναι οὐ χρή, φειδόμενοι αὐτοῦ. μετὰ δὲ τὸ ἐξαρτίσαι τὰς ἡμέρας, φησί· τουτέστι, πληρῶσαι. ἡμέρας δὲ λέγει τὰς τεταγμένας. προπεμπόντων ἡμᾶς πάντων σὺν γυναιξὶ καὶ τέκνοις. ὅρα πόση ἡ παράκλησις ἦν· καὶ πάλιν εὐξάμενοι διελύοντο. καὶ ἐν Πτολεμαΐδι μίαν μένουσιν ἡμέραν· ἐν δὲ Καισαρείᾳ πλείους. καὶ ὅτε ἤκουσεν ὅτι μυρία δεινὰ ἔχει παθεῖν, τότε ἐπείγεται· οὐκ ἐπὶ τοὺς κινδύνους ῥίπτων ἑαυτόν, ἀλλ' ἡγούμενος τοῦ πνεύματος εἶναι τὸ πρόσταγμα.

γρ. τουτέστι, διὰ τοῦ πνεύματος εἰδότες ὃ μέλλει παθ.

15 Μετὰ δὲ τὰς ἡμέρας ταύτας ἐπισκευασάμενοι, φησίν, ἀνεβαίνομεν εἰς Ἱεροσόλυμα· Τουτέστι, τὰ πρὸς τὴν ὁδοιπορίαν λαβόντες.

γρ. ἀποταξάμενοι. ἄλλ. παρασκευασάμενοι. γρ. ἀνεβαίνομεν

16 Συνῆλθον δὲ καὶ τῶν μαθητῶν ἀπὸ Καισαρείας σὺν ἡμῖν, ἄγοντες παρ' ᾧ ξενισθῶμεν, Μνάσωνί τινι Κυπρίῳ ἀρχαίῳ μαθητῇ.

17 Γενομένων δὲ ἡμῶν εἰς Ἱεροσόλυμα, ἀσμένως ἐδέξαντο ἡμᾶς οἱ ἀδελφοί.

Καὶ ὅρα. οὐκ εἶπεν Ἄγαβος, ὅτι Παῦλον δήσουσιν· ἵνα μὴ δόξῃ ἐκ συνηθείας λέγειν· ἀλλά, τὸν ἄνδρα, οὗ ἐστιν ἡ ζώνη αὕτη. καὶ ἄρα καὶ ζώνην εἶχεν. ἐπεὶ δὲ οὐκ ἴσχυον πεῖσαι, διὰ τοῦτο ἔκλαιον, εἶτα ἡσύχασαν. ὁρᾷς φιλοσοφίαν; ὁρᾷς φιλοστοργίαν; ἡσυχάσαμεν, φησίν, εἰπόντες· τὸ θέλημα τοῦ Κυρίου γενέσθω. ἄγοντες, φησί, παρ' ᾧ ξενισθῶμεν. ἄρα οὐκ εἰς τὴν ἐκκλησίαν. τότε μὲν γάρ, ὅτε ὑπὲρ δογμάτων ἀνῄεσαν, ἐν τῇ ἐκκλησίᾳ ἐξενίζοντο· νῦν δὲ παρὰ μαθητῇ τινι ἀρχαίῳ. διήκεσι πολὺν τοῦ κηρύγματος τὸν χρόνον λοιπόν. ὅθεν μοι δοκεῖ πολλὰ ἔτι ἐπιτέμνειν ἐν ταῖς πράξεσιν οὗτος, τὰ κατεπείγοντα μόνον λέγων. τί ἐστι, τὸ θέλημα τοῦ Κυρίου γενέσθω; Κύριός, φησιν, αὐτὸς τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ ποιήσει. ἡσυχάζουσι δὲ ἐκεῖνοι, καὶ οὐκ ἀναγκάζουσιν, ἴσως συνειδότες ὅτι θέλημα ἦν Θεοῦ, ἀπὸ τῆς Παύλου προθυμίας τοῦτο στοχασάμενοι. οὐ γὰρ ἂν οὕτω Παῦλος προεθυμήθη, οὔτε Θεὸς ἂν εἴασεν ὁ ἀεὶ κινδύνων ἐξαρπάζων αὐτόν. οὕτως οὐκ ἐβούλετο βαρεῖν τὴν ἐκκλησίαν, ὅπως ἑτέρου τοῦ ξενίζοντος αὐτούς, οὐδὲ ἀξίωμα ἀπῄτουν. ἀσμένως ἡμᾶς, φησιν, ἀπεδέξαντο οἱ ἀδελφοί. λοιπὸν εἰρήνης ἦν μεστὰ τὰ πράγματα τὰ ἐν Ἰουδαίοις, καὶ οὐχ ὡς πρότερον πόλεμος ἦν. ἄγοντες, φησι, παρ' ᾧ ξενισθῶμεν. Παῦλον ἐξένιζεν ἐκεῖνος.

γρ. προεθυμήθη, ὁ ἀεὶ κινδ. ἐξάγων ἑαυτόν.

ΗΘΙΚΟΝ

Τάχα τις ὑμῶν ἐρεῖ· εἴ τις καὶ ἐμοὶ Παῦλον ἔδωκε ξενίσαι, ἑτοίμως ἂν καὶ μετὰ πολλῆς τῆς προθυμίας τοῦτο ἐποίησα. ἰδοὺ τὸν Παύλου δεσπότην ἔξεστί σοι ξενίσαι, καὶ οὐ βούλει. Ὁ γὰρ δεχόμενός, φησιν, ἕνα τῶν ἐλαχίστων, ἐμὲ δέχεται. ὅσῳ ἂν ἐλάχιστος ᾖ ὁ ἀδελφός, τοσούτῳ μᾶλλον ὁ Χριστὸς δι' αὐτοῦ παραγίνεται. ὁ μὲν γὰρ τὸν μέγαν δεχόμενος, πολλάκις καὶ διὰ κενοδοξίαν ποιεῖ· ὁ δὲ τὸν μικρόν, καθαρῶς διὰ τὸν Χριστόν. ἔξεστί σοι καὶ τὸν πατέρα ξενίσαι τοῦ Χριστοῦ, καὶ οὐ βούλει. Ξένος γὰρ ἤμην, φησί, καὶ συνηγάγετέ με· καὶ πάλιν, Ἐφ' ὅσον ἑνὶ τούτων τῶν ἐλαχίστων ἐποιήσατε, ἐμοὶ ἐποιήσατε. κἂν μὴ Παῦλος ᾖ, πιστὸς δὲ ᾖ καὶ ἀδελφός, κἂν ἐλάχιστος ᾖ, ὁ Χριστὸς δι' αὐτοῦ παραγίνεται. ἄνοιξον τὴν οἰκίαν, ὑπόδεξαι. Ὁ δεχόμενος προφήτην, φησί, μισθὸν προφήτου λήψεται. οὐκοῦν καὶ ὁ Χριστὸν δεχόμενος, λήψεται μισθὸν τοῦ Χριστὸν ξενίζοντος. μὴ ἀπίστει τοῖς ῥήμασιν αὐτοῦ, ἀλλὰ γενοῦ πιστός. αὐτὸς εἶπεν, ὅτι δι' αὐτῶν ἐγὼ παραγίνομαι. καὶ ἵνα μὴ ἀπιστῇς, καὶ τιμωρίας ὁρίζει τοῖς μὴ δεχομένοις, καὶ τιμὰς τοῖς δεχομένοις· οὐκ ἂν τοῦτο ποιήσας, εἰ μὴ καὶ ὁ τιμηθείς, καὶ ὁ ὑβρισθεὶς αὐτὸς ἦν.

Ματθ. ιη. ε. Μαρκ. θ. λζ. Λουκ. θ. μη. Ματθ. κε. λε. Ματθ. ι. μα.

γρ. ἐπαίνεσε

ἐδέξω

ἴδωμεν δὲ ἄνωθεν τὰ εἰρημένα. Ἀργυρίου ἢ χρυσίου ἢ ἱματισμοῦ, φησίν, οὐδενὸς ἐπεθύμησα· αὐτοὶ γινώσκετε ὅτι ταῖς χρείαις μου, καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται. οὐκ ἄρα ἐν Κορίνθῳ τοῦτο εἰργάσατο μόνον διὰ τοὺς διαφθείροντας τοὺς μαθητάς, ἀλλὰ καὶ ἐν Ἀσίᾳ. ἀλλ' οὐδαμοῦ τοῦτο ὀνειδίζει τοῖς Ἐφεσίοις γράφων. τί δήποτε; ὅτι οὐκ ἐνέπεσον εἰς ἀνάγκην. ἀλλὰ καὶ Κορινθίοις λέγει·
β. Κορ. ια. ι.
Οὐκ ἐφραγήσεται τὸ καύχημά μου ἐν τοῖς κλίμασι τῆς Ἀχαΐας. καὶ οὐκ εἶπεν, οὐκ ἐδώκατέ μοι· ἀλλ', Ἀργυρίου ἢ χρυσίου ἢ ἱματισμοῦ οὐκ ἐπεθύμησα, ἵνα μὴ δόξῃ ἐκείνων εἶναι τὸ μὴ δεδωκέναι. καὶ οὐκ εἶπεν, οὐδενὸς ἐπεθύμησα τῶν ἀναγκαίων, ἵνα μὴ δόξῃ πάλιν κατηγορία εἶναι ἐκείνων· ἀλλὰ τοῦτο αἰνίττεται, ὅτι εἰκότως οὐκ ἔλαβεν ὁπότε καὶ ἑτέρους ἔτρεφεν. ὅρα πῶς εἰργάζετο μετὰ σπουδῆς ἄνθρωπος νύκτα καὶ ἡμέραν διαλεγόμενος μετὰ δακρύων, ἕνα ἕκαστον νουθετῶν. πάντα ὑπέδειξα ὑμῖν, ὅτι οὕτω κοπιῶντας δεῖ ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων. τοῦτο εἰπών, πάλιν ἐφόβησεν. ὃ δὲ λέγει τοῦτό ἐστιν· οὐκ ἔχετε εἰς ἄγνοιαν καταφυγεῖν· ὑπέδειξα διὰ τῶν ἔργων ὅτι οὕτω κοπιῶντας δεῖ ἐργάζεσθαι. καὶ οὐκ εἶπεν, ὅτι κακὸν τὸ λαβεῖν· ἀλλά, βέλτιον τὸ μὴ λαβεῖν. μνημονεύειν τε τῶν λόγων, φησί, τοῦ Κυρίου, ὃν εἶπε· μακάριόν ἐστι μᾶλλον διδόναι ἢ λαμβάνειν. καὶ ποῦ εἶπεν; ἴσως ἀγράφως παρέδωκαν οἱ ἀπόστολοι· ἤ, ἐξ ὧν ἄν τις συλλογίσαιτο, δῆλον. καὶ γὰρ ἔδειξε τὴν παρρησίαν τὴν πρὸς τοὺς κινδύνους, τὴν συμπάθειαν τὴν πρὸς τοὺς ἀρχομένους, τὴν διδασκαλίαν τὴν μετὰ παρρησίας, τὴν ταπεινοφροσύνην, τὴν ἀκτημοσύνην· τοῦτο δὲ καὶ ἀκτημοσύνης μεῖζον.
Ματθ. ιθ. κα.
εἰ γὰρ ἐκεῖ, Πώλησόν σου, φησί, τὰ ὑπάρχοντα, εἰ θέλεις τέλειος εἶναι, ὅταν πρὸς τῷ μηδὲν λαμβάνειν καὶ ἑτέρους τρέφῃ, τί τούτου ἴσον; εἷς βαθμὸς τοίνυν, ῥῖψαι τὰ αὐτοῦ· δεύτερος, ἑαυτῷ ἐπαρκεῖν· τρίτος, καὶ ἑτέροις· τέταρτος, τό, κηρύττοντα καὶ ἐξουσίαν ἔχοντα λαμβάνειν, μὴ λαμβάνειν. ὥστε πολὺ τῶν ἀκτημόνων οὗτος βελτίων ἦν. καὶ καλῶς εἶπεν, οὕτω δεῖ ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων. τοῦτο μὲν γὰρ συμπαθείας τῆς πρὸς τοὺς ἀσθενεῖς, τὸ ἐκ τῶν ἰδίων κόπων διδόναι· τὸ δὲ ἐκ τῶν ἀλλοτρίων, οὐ μόνον οὐ καλόν, ἀλλὰ καὶ ἐπισφαλές. καὶ ἐπιπεσόντες τῷ τραχήλῳ, φησίν, αὐτοῦ ἔκλαιον. τοῦτο τὴν διάθεσιν τὴν πρὸς αὐτὸν δείκνυσιν. ἐπέπεσον δὲ ἐπὶ τὸν τράχηλον, ἅτε ὑστέρας περιπλοκὰς περιπλεκόμενοι, καὶ πολλὴν ἀπὸ τῆς δημηγορίας λαβόντες τὴν ἀγάπην καὶ τὸ φίλτρον. εἰ γὰρ ἁπλῶς ἡμεῖς ἀπ' ἀλλήλων διαλυόμενοι γινόμεθα, καίτοι εἰδότες ὅτι ἀποληψόμεθα ἀλλήλους· πῶς ἂν ἐκεῖνοι τότε Παύλου ἀπαθῶς ἀπεσπάσθησαν; ἐγὼ καὶ τὸν Παῦλον οἶμαι κλαίειν.
χ. οἱ μοὶ τοῦτο ὁ Ἀπ. πῶς ἂν ἀπεσπάσθησαν
ἀποσπασθέντες, φησί. δείκνυσι καὶ τὴν βίαν, τῷ εἰπεῖν, ἀποσπασθέντες ἀπ' αὐτῶν. καὶ εἰκότως. εἰς γὰρ τὴν θάλασσαν λοιπὸν ἐμβῆναι αὐτῶν οὐκ ἐνῆν. τί ἐστιν, εὐθυδρομήσαντες ἤλθομεν εἰς τὴν Κῶν; ἀντὶ τοῦ, οὐ περιήλθομεν, οὐδὲ διετρίψαμεν ἐν ἑτέροις τόποις. τῇ δὲ ἑξῆς, φησίν, εἰς Ῥόδον. ὅρα αὐτοὺς ἐπειγομένους. καὶ εὑρόντες πλοῖον διαπερῶν εἰς Φοινίκην. ἴσως ἐκεῖνο αὐτόθι διέτριβε· διὸ ἐν αὐτῷ ἐπιβαίνουσιν, οὐχ εὑρόντες ἄλλο εἰς Καισάρειαν ἀναγόμενον. ἀναφάναντες δὲ τὴν Κύπρον καὶ καταλιπόντες αὐτὴν εὐώνυμον. τοῦτο οὐχ ἁπλῶς εἴρηται, ἀλλ' ἵνα δείξῃ, ὅτι οὐδὲ ἐγγὺς αὐτῆς γενέσθαι ἠξίωσε. κατευθὺ πλέοντες τῆς Συρίας. οὕτως ἔσπευδεν. εἶτα καὶ κατήχθημεν εἰς Τύρον, φησί, καὶ εὑρόντες μαθητὰς ἐμείναμεν παρ' αὐτοῖς. ὅτε πλησίον ἦσαν Ἱεροσολύμων, οὐκ ἔτι τρέχουσιν, ἀλλὰ καὶ ἐμμένουσι παρὰ τοῖς ἀδελφοῖς ἑπτὰ ἡμέρας. ἰδού μοι λοιπὸν καὶ τὰς ἡμέρας. μετὰ τὰ ἄζυμα εἰς Τρωάδα ἦλθον δι' ἡμερῶν πέντε· εἶτα ἐκεῖ ἑπτά· τὰς πάσας δώδεκα· εἶτα εἰς τὴν Ἄσσον, εἰς Μιτυλήνην, ἀντικρὺ Χίου εἰς Τρωγύλλιον, εἰς Σάμον, καὶ εἰς Μίλητον· δεκαοκτὼ ἡμέραι αἱ πᾶσαι· εἶτα εἰς Κῶν, εἰς Ῥόδον, εἰς Πάταρα, εἴκοσι καὶ μία· εἶτα ἐκεῖθεν δι' ἡμερῶν πέντε εἰς Τύρον, ἓξ καὶ εἴκοσι· λοιπὸν ἐκεῖ ἑπτά, τριάκοντα καὶ τρεῖς· εἶτα εἰς Πτολεμαΐδα μίαν, τριάκοντα τέσσαρες· εἶτα εἰς Καισάρειαν πλείους μὲν τῶν ἄλλων· καὶ πέντε λοιπὸν ἐκεῖθεν αὐτοῖς ἀνάγει ὁ προφήτης. οὕτως ἡ πεντηκοστὴ πληροῦται, καὶ ἐκεῖ αὐτὴν ποιεῖ.

χ. ἀναφάναν-τες. ἀναφάναντες

3 Ἀναφανέντες δὲ τὴν Κύπρον, καὶ καταλιπόντες αὐτὴν εὐώνυμον, ἐπλέομεν εἰς Συρίαν, καὶ κατήχθημεν εἰς Τύρον. Ὅρα, ἦλθεν εἰς Λυκίαν καὶ [διαπερῶν εἰς Φοινίκην,] τὴν Κύπρον ἀφεὶς, εἰς Τύρον κατέπλευσεν.

Ἐκεῖσε γὰρ ἦν τὸ πλοῖον ἀποφορτιζόμενον τὸν γόμον. Τοῦτο αἰτία τοῦ ἀπελθεῖν εἰς Τύρον.

χ. ἀνευρόντες τοὺς μαθ. ἐπεμ. αὐτοῦ ἡμ.

4 Καὶ ἀνευρόντες μαθητὰς ἐπεμείναμεν αὐτοῦ ἡμέρας ἑπτά· οἵτινες τῷ Παύλῳ ἔλεγον διὰ τοῦ πνεύματος μὴ ἀναβαίνειν εἰς Ἱερουσαλήμ.

Ὅρα, προφητεύουσι κἀκεῖνοι τὰς θλίψεις· οἰκονομεῖται καὶ δι' ἐκείνων λεχθῆναι, ἵνα μὴ νομίσῃ ἁπλῶς ταῦτα λέγειν τὸν Παῦλον καὶ κομπάζειν. πάλιν δὲ ἐκεῖ προσευξάμενοι διαλύονται ἀπ' ἀλλήλων.

5 Ὅτε δὲ ἐγένετο ἡμᾶς ἐξαρτίσαι τὰς ἡμέρας, ἐξελθόντες ἐπορευόμεθα, προπεμπόντων ἡμᾶς πάντων σὺν γυναιξὶ καὶ τέκνοις ἕως ἔξω τῆς πόλεως, καὶ θέντες τὰ γόνατα ἐπὶ τὸν αἰγιαλὸν, προσευξάμεθα,

χ. ἐπέβημεν

6 Καὶ ἀσπασάμενοι ἀλλήλους ἐνέβημεν εἰς τὸ πλοῖον. ἐκεῖνοι δὲ ὑπέστρεψαν εἰς τὰ ἴδια.

7 Ἡμεῖς δὲ τὸν πλοῦν διανύσαντες ἀπὸ Τύρου, κατηντήσαμεν εἰς Πτολεμαΐδα· καὶ ἀσπασάμενοι τοὺς ἀδελφοὺς, ἐμείναμεν ἡμέραν μίαν παρ' αὐτοῖς.

χ. οἱ περὶ τὸν Παῦλον ἦλθον εἰς

8 Τῇ δὲ ἐπαύριον ἐξελθόντες, ἤλθομεν εἰς Καισάρειαν· καὶ εἰσελθόντες εἰς τὸν οἶκον Φιλίππου τοῦ εὐαγγελιστοῦ τοῦ ὄντος ἐκ τῶν ἑπτὰ, ἐμείναμεν παρ' αὐτῷ.

Εἰς Καισάρειαν, φησὶν, ἐλθόντες, παρὰ Φιλίππῳ τῷ ἐκ τῶν ἑπτὰ ἐμείναμεν.

9 Τούτῳ δὲ ἦσαν θυγατέρες παρθένοι τέσσαρες προφητεύουσαι. Ἀλλ' οὐχ αὗται προλέγουσι τῷ Παύλῳ, καίτοι προφητεύουσαι, ἀλλ' Ἄγαβος· καὶ ὅπως, ἄκουε.

χ. κατῆλθέ τις ἀπ.

10 Ἐπιμενόντων δὲ ἡμῶν ἡμέρας πλείους, ἦλθεν ἀπὸ τῆς Ἰουδαίας προφήτης ὀνόματι Ἄγαβος,

χ. ἑαυτοῦ. ἀλλ. τε αὐτ.

11 Καὶ ἐλθὼν πρὸς ἡμᾶς, καὶ ἄρας τὴν ζώνην τοῦ Παύλου, δήσας τε αὐτοῦ χεῖρας καὶ πόδας, εἶπε· τάδε λέγει τὸ πνεῦμα τὸ ἅγιον, τὸν ἄνδρα, οὗ ἐστιν ἡ ζώνη αὕτη, οὕτω δήσουσιν εἰς Ἱερουσαλὴμ Ἰουδαῖοι, καὶ παραδώσουσιν εἰς χεῖρας ἐθνῶν.

χ. ἐν

Ὁ πάλαι τὸν λιμὸν μηνύσας, οὗτος τὸν ἄνδρα, φησὶ, τοῦτον, οὗ ἐστιν ἡ ζώνη αὕτη, οὕτω δήσουσιν. ὅπερ καὶ οἱ προφῆται ἐποίουν, ὄψει τὰ γενησόμενα ὑπογράφοντες, ὅτε περὶ αἰχμαλωσίας ἔλεγον, ὡς ὁ Ἰεζεκιὴλ, τοῦτο καὶ οὗτος ἐποίησε. καὶ τὸ δὲ χαλεπὸν, ὅτι καὶ εἰς χεῖρας ἐθνῶν παραδώσουσιν. Ἰεζεκ. ιβ.

χ. γενόμενα

12 Ὡς δὲ ἠκούσαμεν ταῦτα, παρεκαλοῦμεν ἡμεῖς τε καὶ οἱ ἐντόπιοι, τοῦ μὴ ἀναβαίνειν αὐτὸν εἰς Ἱερουσαλήμ. Καὶ πολλοὶ παρεκάλουν ἀπελθεῖν. καὶ οὐδ' οὕτως ὑπήκουσεν.

χ. μὴ μεταγενέσθαι

13 Ἀπεκρίθη δὲ ὁ Παῦλος· τί ποιεῖτε κλαίοντες καὶ συνθρύπτοντές μου τὴν καρδίαν; ἐγὼ γὰρ οὐ μόνον δεθῆναι, ἀλλὰ καὶ ἀποθανεῖν εἰς Ἱερουσαλὴμ ἑτοίμως ἔχω ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου Ἰησοῦ.

14 Μὴ πειθομένου δὲ αὐτοῦ, ἡσυχάσαμεν εἰπόντες· τὸ θέλημα τοῦ Κυρίου γενέσθω.

Ὁρᾷς; ἵνα μὴ ἀκούσας νομίσῃς ἀνάγκης εἶναι τὸ, δεδεμένος τῷ πνεύματι πορεύομαι, μηδὲ ἀγνοοῦντα αὐτὸν ἐμπεσεῖν, διὰ τοῦτο ταῦτα προλέγεται. ἀλλ' οἱ μὲν ἔκλαιον· αὐτὸς δὲ παρεκάλει, ἀλγῶν ἐπὶ τοῖς δάκρυσι τοῖς ἐκείνων. τί ποιεῖτε γὰρ, φησὶ, κλαίοντες καὶ συνθρύπτοντές μου τὴν καρδίαν; οὐδὲν Παύλου φιλοστοργότερον· ὅτι ἑώρα δακρύοντας, ἤλγει ὁ μὴ πάσχων ἐπὶ τοῖς οἰκείοις πειρασμοῖς. ἐμὲ ἀδικεῖτε τοῦτο, φησὶ, ποιοῦντες. μὴ γὰρ ἐγὼ ἀλγῶ; τότε ἐπαύσαντο, ὅτε εἶπε, τί ποιεῖτε συνθρύπτοντές μου τὴν καρδίαν; ἐφ' ὑμῖν κλαίω, φησὶν, οὐκ ἐπὶ τοῖς παθήμασιν. ὑπὲρ γὰρ ἐκείνων καὶ ἀποθανεῖν βούλομαι.

ἴδωμεν

Digitized by Google

Λογ. με. 32 ΚΑΙ ΤΑΝΥΝ ΠΑΡΑΤΙΘΕΜΑΙ ΥΜΑΣ, ΑΔΕΛΦΟΙ, τῷ Θεῷ καὶ τῷ λόγῳ τῆς χάριτος αὐτοῦ, τῷ δυναμένῳ ἐποικοδομῆσαι καὶ δοῦναι κληρονομίαν ὑμῖν, ἐν πᾶσι τοῖς ἡγιασμένοις.

Ὅπερ ἐπιστέλλων ποιεῖ, τοῦτο καὶ συμβουλεύων· ἀπὸ παραινέσεως εἰς εὐχὴν τελευτᾷ. ἐπειδὴ γὰρ αὐτοὺς σφόδρα ἐφόβησε, λέγων ὅτι λύκοι βαρεῖς εἰς ὑμᾶς εἰσελεύσονται, ἵνα μὴ καταπλήξῃ τῇ διανοίᾳ καὶ ἀπολέσῃ, ὅρα τὴν παραμυθίαν. καὶ τανῦν, φησιν. οὕτως εἶπε, δηλῶν διὰ τούτου, ὅτι ὥσπερ ἀεὶ, παρατίθεμαι ὑμᾶς, ἀδελφοί, τῷ Θεῷ καὶ τῷ λόγῳ τῆς χάριτος αὐτοῦ· τουτέστι, τῇ χάριτι αὐτοῦ. καὶ καλῶς οὕτως εἶπεν. οἶδε γὰρ ὅτι ἡ χάρις σώζει. συνεχῶς αὐτοὺς ἀναμιμνήσκει τῆς χάριτος, σπουδαιοτέρους ποιῶν ὡς ὀφειλέτας, καὶ πείθων θαῤῥεῖν. τῷ δυναμένῳ ὑμᾶς ἐποικοδομῆσαι. οὐκ εἶπεν, οἰκοδομῆσαι, ἀλλ', ἐποικοδομῆσαι, δεικνὺς ὅτι ἤδη ᾠκοδομήθησαν. εἶτα τῆς ἐλπίδος ἀνέμνησε τῆς μελλούσης, εἰπών· καὶ δοῦναι ὑμῖν κληρονομίαν ἐν πᾶσι τοῖς ἡγιασμένοις. εἶτα πάλιν παραίνεσις·

33 Ἀργυρίου, φησὶν, ἢ χρυσίου ἢ ἱματισμοῦ οὐδενὸς ἐπεθύμησα.

Τὴν ῥίζαν ἀναιρεῖ τῶν κακῶν, τὴν φιλαργυρίαν. ἀργυρίου, φησὶν, ἢ χρυσίου. οὐκ εἶπεν, οὐκ ἔλαβον· ἀλλ', οὐδὲ ἐπεθύμησα. οὔπω μέγα τοῦτο· τὸ δὲ μετὰ τοῦτο, μέγα.

34 Ὑμεῖς ἐπίστασθε ὅτι ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται·

35 Πάντα ὑπέδειξα ὑμῖν, ὅτι οὕτω κοπιῶντας δεῖ ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων. Ὅρα αὐτὸν τῷ ἔργῳ κεχρημένον· καὶ οὐχ ἁπλῶς, ἀλλὰ κοπιῶντα. ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται. τοῦτο ἐντρεπτικῶς. καὶ ὅρα πῶς ἀξίως*. οὐ γὰρ εἶπε χρημάτων γενέσθαι κρείττους· ἀλλὰ τί; ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων. οὐχ ἁπλῶς πάντων, ἀλλὰ τῶν ἀσθενῶν. Μνημονεύειν τε τῶν λόγων τοῦ Κυρίου, ὃν εἶπεν· ὅτι μακάριόν ἐστι μᾶλλον διδόναι, ἢ λαμβάνειν. * αὐτὸς (?) χ. ἀκούειν τι (?) τῶν λόγων τοῦ (?) χ. ὅτι αὐτὸς εἶπε

Ἵνα μή τις νομίσῃ πρὸς ἐκείνους εἰρῆσθαι, καὶ τὸ μὴ διδόναι αὐτὸν, ὅπερ ἀλλαχοῦ φησι, Τύπον διδόντες ὑμῖν, ἐπήγαγε τὴν ἀπόφασιν τοῦ Χριστοῦ λέγοντος· μακάριόν ἐστι διδόναι μᾶλλον ἢ λαμβάνειν. ἐπεύξατο αὐτοῖς παραινῶν, δείκνυσιν αὐτὸ καὶ ἔργῳ.

Φιλιπ. γ. ιζ.

36 Καὶ ταῦτα εἰπὼν, θεὶς τὰ γόνατα αὐτοῦ σὺν πᾶσιν αὐτοῖς, προσηύξατο·

Οὐχ ἁπλῶς, ἀλλὰ μετὰ πολλῆς τῆς κατανύξεως. πολλὴ ἡ παράκλησις. καὶ τὸ εἰπεῖν δὲ, παρατίθεμαι ὑμᾶς τῷ Κυρίῳ, παρακαλεῖ.

37 Ἐγένετο δὲ κλαυθμὸς ἱκανὸς πάντων, καὶ ἐπιπεσόντες ἐπὶ τὸν τράχηλον τοῦ Παύλου, κατεφίλουν αὐτὸν,

38 Ὀδυνώμενοι μάλιστα ἐπὶ τῷ λόγῳ ᾧ εἰρήκει ὅτι οὐκέτι μέλλουσι τὸ πρόσωπον αὐτοῦ θεωρεῖν. προέπεμπον δὲ αὐτὸν εἰς τὸ πλοῖον. χ. ὡς ὁρᾶν, (?) ἐκεῖνον (?) Εἶπεν, ὅτι εἰσελεύσονται λύκοι βαρεῖς· εἶπεν, ὅτι καθαρὸς ἐγὼ ἀπὸ τοῦ αἵματος πάντων· ταῦτα ἑκάτερα φοβερὰ καὶ ἱκανὰ λυπῆσαι· μάλιστα δὲ [πλέον] πάντων τοῦτο αὐτοὺς ὠδύνησε, τὸ μηκέτι ὁρᾶν ἀκοῦσαι αὐτόν· καὶ τοῦτο ἐποίει τὸν πόλεμον χαλεπόν. προέπεμπον δέ, φησιν, αὐτὸν εἰς τὸ πλοῖον. οὕτως ἐφίλουν αὐτόν· οὕτω διέκειντο περὶ αὐτόν.

κεφ. κα. 1 Ὡς δὲ ἐγένετο ἀναχθῆναι ἡμᾶς ἀποσπασθέντας ἀπ' αὐτῶν, εὐθυδρομήσαντες ἤλθομεν εἰς τὴν Κων· τῇ δὲ ἑξῆς εἰς Ῥόδον· κἀκεῖθεν εἰς Πάταρα· χ. Κῶ

2 Καὶ εὑρόντες πλοῖον διαπερῶν εἰς Φοινίκην, ἐπιβάντες ἀνήχθημεν.

3 Ἀναφανέντες

ἆρα παρὰ ἢ εἰς ταύτην ἐξενήνοχεν. Εἰ μή με τις ἔκρινε φιλοτιμίας ἐραστὴν, εἶδες ἂν καθ' ἑκάστην ἡμέραν πηγὰς δακρύων ἀφιέντα. Ταῦτα δέ μοι συνοίδεν ὁ οἰκίσκος, καὶ ἡ ἐρημία. πιστεύσατε γάρ μοι, τῆς μὲν ἐμαυτοῦ σωτηρίας ἀπέγνων· τὰ δὲ ὑμέτερα θρηνῶ, οὐδὲ σχολὴν ἔχω τὰ ἐμαυτοῦ κακὰ πενθεῖν. οὕτω μοι πάντα ὑμεῖς ἐστε. κἂν αἴσθωμαι ἐπιδιδόντας ὑμᾶς, οὐκ αἰσθάνομαι τῶν ἐμαυτοῦ κακῶν ὑπὸ τῆς ἡδονῆς· κἂν ἴδω μὴ ἐπιδιδόντας, ὑπὸ τῆς ἀθυμίας πάλιν παραπέμπομαι τὰ ἐμά· φαιδρὸς μὲν ὢν ἐπὶ τοῖς ὑμετέροις ἀγαθοῖς, κἂν μυρία ἔχω δεινά· σκυθρωπὸς δὲ ἐπὶ τοῖς ὑμετέροις λυπηροῖς, κἂν μυρία μοι κατορθώματα ᾖ. Τίς γὰρ ἐλπὶς διδασκάλῳ, τοῦ ποιμνίου διεφθαρμένου; ποία ζωή; ποία προσδοκία; μετὰ ποίας στήσεται παρρησίας πρὸς τὸν Θεόν; τί ἐρεῖ; θαυμάζω γὰρ ὅτι οὐδὲ ἐγκαλεῖται, οὐδὲ δίδωσι δίκην, ἀλλ' ἔστι καθαρὸς ἀπὸ τοῦ αἵματος πάντων· καὶ οὕτως ὀδύνας πείσεται. ἐπεὶ καὶ πατέρες ὑπὲρ παίδων οὐ μέλλοντες ἐγκληθῆναι, ὅμως ἀλγοῦσι καὶ δακρύουσι. καὶ οὐδὲν αὐτὸν τοῦτο, φησὶν, ὠφελεῖ, οὐδὲ παρίσταται, ὅτι αὐτοὶ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν, ὡς λόγον ἀποδώσοντες. καὶ δοκεῖ μὲν τισι τοῦτο εἶναι φοβερόν· ἐμοὶ δὲ οὐδεὶς τούτου λόγος μετὰ τὴν ὑμετέραν ἀπώλειαν. εἴτε γὰρ δῶ λόγον, εἴτε μὴ δῶ, οὐδέν μοι τὸ ὄφελος. γένοιτο σωθῆναι ὑμᾶς, καὶ δοῦναι λόγον ἐμὲ δι' ὑμᾶς, ὑμᾶς σωθῆναι καὶ ἐμὲ ἐγκαλεῖσθαι ὡς μὴ πληρώσαντα τὰ παρ' ἐμαυτοῦ. οὐ γὰρ τοῦ δι' ἐμοῦ σωθῆναι ὑμᾶς φροντίζω· ἀλλὰ τοῦ σωθῆναι μόνον δι' ὅτου δήποτε. οὐκ ἴστε τὴν τυραννίδα τῶν ὠδίνων τῶν πνευματικῶν, πῶς μυριάκις ἕλοιτο ἂν κατακοπῆναι ὁ τὸν τόκον ὠδίνων, ἢ τῶν τεχθέντων ἕνα ἀπολλύμενον ἰδεῖν καὶ διεφθαρμένον; πόθεν ὑμᾶς πείσομεν; ἑτέρωθεν μὲν οὐδαμόθεν, ἀπὸ δὲ τῶν γινομένων τὰ καθ' ὑμᾶς πάντα ἀπολυσόμεθα. δυνάμεθα καὶ ἡμεῖς λέγειν, ὅτι οὐδὲν ὑπεστειλάμεθα· ἀλλ' ὅμως ἀλγοῦμεν. καὶ ὅτι ἀλγοῦμεν, δῆλον ἐξ ὧν μυρία κατασκευάζομεν καὶ μηχανώμεθα. καίτοιγε ἐξὸν πρὸς ἡμᾶς αὐτοὺς εἰπεῖν· τί μοι μέλει; ἐγὼ τὸ ἐμαυτοῦ πεποίηκα· ἐγὼ καθαρός εἰμι ἀπὸ τοῦ αἵματος. ἀλλ' οὐκ ἀρκεῖ τοῦτο εἰς παραμυθίαν. εἴθε ἐξῆν τὴν καρδίαν ἡμῶν ἀναρρῆξαι καὶ ἐπιδεῖξαι, εἴδετε ἂν μετὰ πολλῆς ἔνδον οὔσας τῆς εὐρυχωρίας πάντας ὑμᾶς, καὶ γυναῖκας καὶ παῖδας καὶ ἄνδρας. τοιαύτη γὰρ ἡ τῆς ἀγάπης δύναμις, τοῦ οὐρανοῦ εὐρυχωροτέραν ποιεῖ τὴν ψυχήν. Χωρήσατε ἡμᾶς, ἔλεγεν ὁ Παῦλος, οὐδένα ἠδικήσαμεν, οὐ στενοχωρεῖσθε ἐν ἡμῖν. τοῦτο λέγομεν νῦν καὶ ἡμεῖς· χωρήσατε ἡμᾶς. πᾶσαν τὴν Κόρινθον εἶχεν ἐκεῖνος ἐν τῇ καρδίᾳ ἑαυτοῦ, καὶ ἔλεγε· Πλατύνθητε καὶ ὑμεῖς, οὐ στενοχωρεῖσθε. ἀλλ' αὐτὸς οὐκ ἂν ἔχοιμι τοῦτο λέγειν. εὖ γὰρ οἶδα, ὅτι καὶ ὑμεῖς ἡμᾶς ἀγαπᾶτε καὶ χωρεῖτε. ἀλλὰ τί τὸ κέρδος ἢ τῆς ἐμῆς ἀγάπης, ἢ τῆς ὑμῶν, ὅταν τὰ κατὰ Θεὸν ἡμῖν μὴ προχωρῇ; μείζονος ἀθυμίας ὑπόθεσις, πλείονος λύπης ἀφορμή. οὐδὲν ἔχω ἐγκαλεῖν ὑμῖν· Μαρτυρῶ γὰρ ὑμῖν, ὅτι, εἰ δυνατὸν, τοὺς ὀφθαλμοὺς ὑμῶν ἐξορύξαντες ἂν ἐδώκατέ μοι. ὁμφρόμεθα οὐ μόνον τὸ εὐαγγέλιον, ἀλλὰ καὶ τὰς ἑαυτῶν ψυχὰς δοῦναι ὑμῖν. φιλούμεθα καὶ φιλοῦμεν· ἀλλ' οὐ τοῦτό ἐστι τὸ ζητούμενον. φιλήσωμεν οὖν τὸν Χριστὸν πρεπόντως. Πρώτη γὰρ ἐντολὴ, ἀγαπήσεις Κύριον τὸν Θεόν σου· δευτέρα δὲ ὁμοία αὐτῇ, καὶ τὸν πλησίον σου ὡς σεαυτόν. τὴν δευτέραν ἔχομεν, τῆς πρώτης ἡμῖν δεῖ· τῆς πρώτης δὲ μετὰ πολλῆς τῆς ὑπερβολῆς καὶ ἐμοὶ καὶ ὑμῖν. ἔχομεν αὐτὴν, ἀλλ' οὐχ ὡς χρή. φιλήσωμεν αὐτόν. ἴστε πόσος ἀπόκειται μισθὸς τοῖς φιλήσασι τὸν Χριστόν. φιλήσωμεν αὐτὸν θερμότητι ψυχῆς, ἵνα τῆς παρ' αὐτοῦ εὐνοίας ἀπολαύοντες, διαφύγωμεν τὸν κλύδωνα τοῦ παρόντος βίου, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν ἐπιτυχεῖν καταξιωθῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς αὐτοῦ παιδὸς, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Margin notes: γ. παῦ... — Ἑβρ. ιγ. ιζ. — β. Κορ. ζ. β. — β. Κορ. ς. ιβ. — Γαλ. δ. ιε. — γ. μεταδοῦναι — Ματθ. κβ. λζ.

μὴ μόνον μὴ φθέγξῃ, ἀλλὰ καὶ γενναίως φέρειν. διὰ τοῦ δρόμου καὶ διακονίας τὸ πρᾶγμα καλεῖ· τὸ μὲν, δηλῶν τὸ λαμπρὸν ἀπὸ τοῦ δρόμου, τὸ δὲ, τὸ ὀφειλόμενον ἀπὸ τῆς διακονίας. διάκονός εἰμι, φησὶν, οὐδὲν πλέον ἔχω. παραμυθησάμενος δὲ αὐτοὺς, ἵνα μὴ ἀλγῶσιν ἐφ᾽ οἷς πάσχει κακῶς, καὶ εἰπὼν ὅτι μετὰ χαρᾶς ταῦτα ὑπομένει, καὶ τὸν καρπὸν δείξας, τότε τὸ λυπηρὸν ἐπάγει. τοῦτο δὲ ποιεῖ, ἵνα μὴ καταχώσῃ αὐτῶν τὴν διάνοιαν. ποῖον δὲ τοῦτό ἐστι; τὸ, καὶ ἐξ ὑμῶν αὐτῶν ἀναστήσονται ἄνδρες λαλοῦντες διεστραμμένα. τί οὖν εἴποι τις ἄν; τοσοῦτον σκότος ἦν, ὅτι, ἂν ἀπέλθῃς, ἀποθνήσκομεν; οὐ τοῦτό τι λέγω, φησὶν, ὅτι ἡ ἐμὴ ἀπουσία τοῦτο ποιεῖ· ἀλλὰ τί; ὅτι ἐπαναστήσονταί τινες ὑμῖν. οὐκ εἶπε, διὰ τὴν ἄφιξίν μου· ἀλλὰ, μετὰ τὴν ἄφιξιν· τουτέστι, τὴν ἀποδημίαν, καίτοι καὶ ἤδη γέγονε τοῦτο. εἰ δὲ γέγονε, πολλῷ μᾶλλον μετὰ ταῦτα γενήσεται. εἶτα καὶ ἡ αἰτία· τοῦ ἀποσπᾶν τοὺς μαθητὰς ὀπίσω αὐτῶν. ὥστε δὴ οὐδὲν ἕτεραι αἱ αἱρέσεις, ἢ διὰ τοῦτο. εἶτα καὶ παραμυθία, ἣν περιεποιήσατο, φησὶ, διὰ τοῦ ἰδίου αἵματος. εἰ δὲ τῷ ἰδίῳ αἵματι περιεποιήσατο, προστήσεται πάντως. νύκτα, φησὶ, καὶ ἡμέραν οὐκ ἐπαυσάμην μετὰ δακρύων νουθετῶν. γρ. ἢ

ΗΘΙΚΟΝ Ταῦτα πρὸς ἡμᾶς εἰκότως ἂν λέγοιτο. καὶ δοκεῖ μὲν εἶναι ἰδικῶς πρὸς τοὺς διδασκάλους ὁ λόγος, ἔστι δὲ κοινὸς καὶ πρὸς τοὺς μαθητάς. τί γὰρ ἂν ἐγὼ μὲν λέγω καὶ παρακαλῶ, καὶ δακρύω νύκτα καὶ ἡμέραν· ὁ δὲ μαθητὴς μὴ πείθηται; ἵνα γὰρ μὴ νομίσῃ τις τοῦτο ἀρκεῖν εἰς ἀπολογίαν, τὸ εἶναι μαθητὴν, καὶ μὴ ὑπείκειν, διὰ τοῦτο διαμαρτύρομαι εἰπὼν, ἐπήγαγεν· οὐ γὰρ ὑπεστειλάμην τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν. ἄρα τοῦτο διδασκάλου μόνον, ἀναγγεῖλαι, κηρύξαι, διδάξαι, μὴ ὑποστείλασθαι, νύκτα καὶ ἡμέραν παρακαλεῖν· ὅταν δὲ τούτων γινομένων μηδὲν πλέον γίνηται, ἴστε τὸ λειπόμενον. εἶτα καὶ ἑτέρα ἀπολογία· ὅτι καθαρὸς ἐγὼ ἀπὸ τοῦ αἵματος πάντων. μὴ δὴ νομίσητε πρὸς ἡμᾶς ταῦτα λέγεσθαι μόνον. καὶ γὰρ καὶ πρὸς ὑμᾶς ὁ λόγος οὗτός ἐστιν, ὥστε προσέχειν τοῖς λεγομένοις, ὥστε μὴ ἀποπηδᾶν τῆς ἀκροάσεως. τί ποιήσω; ἰδοὺ καθ᾽ ἑκάστην ἡμέραν διαρρήγνυμαι βοῶν, ἀπόστητε τῶν θεάτρων, καὶ πολλοὶ γελῶσιν ἡμᾶς· ἀπόστητε τοῦ ὀμνύειν, τοῦ πλεονεκτεῖν. μυρία παραινοῦμεν, καὶ οὐδεὶς ὁ ἀκούων. ἀλλ᾽ ἐν νυκτὶ οὐ διαλέγομαι; ἐβουλόμην καὶ ἐν νυκτὶ τοῦτο ποιεῖν, καὶ ἐν ταῖς τραπέζαις ταῖς ὑμετέραις, εἴπερ ἐνῆν, καὶ εἰς μυρία σχισθέντα παραγίνεσθαι ὑμῖν καὶ διαλέγεσθαι. ἀλλ᾽ εἰ τῆς ἑβδομάδος ἅπαξ καλούμενοι ὑμᾶς, καὶ ὀκνεῖτε· καὶ τινὲς μὲν οὐδὲ παραγίνεσθε, τινὲς δὲ παραγινόμενοι οὐδὲν πλέον κερδαίνοντες ἄπιτε, τί οὐκ ἂν ἐποιήσατε, εἰ συνεχῶς τοῦτο ἐπράττομεν; τί ποιήσομεν; πολλοὶ, οἶδα, ὅτι καὶ διασύρουσιν ἡμᾶς, διὰ τὸ περὶ τῶν αὐτῶν ἀεὶ διαλέγεσθαι· οὕτω γεγόνασι προσκορεῖς. αἴτιοι δὲ τούτου οὐχ ἡμεῖς, ἀλλ᾽ αὐτοὶ τινὲς ἀκούοντες. ὁ μὲν γὰρ κατορθῶν, ἀεὶ χαίρει ταὐτὰ ἀκούων, ὥσπερ ἐγκωμίων αὐτοῦ λεγομένων· ὁ δὲ μὴ βουλόμενος κατορθοῦν, καὶ ἐνοχλεῖσθαι δοκεῖ· κἂν δεύτερον ἀκούσῃ μόνον, πολλάκις δοκεῖ ἀκούειν. καθαρὸς ἐγὼ ἀπὸ τοῦ αἵματος πάντων, φησί. τοῦτο Παύλῳ μὲν ἥρμοττεν εἰπεῖν, ἡμεῖς δὲ οὐ τολμῶμεν τοῦτο εἰπεῖν, μυρία συνειδότες ἑαυτοῖς. διόπερ ἐκείνῳ τῷ διαπαντὸς ἀγρυπνοῦντι καὶ ἐφεστῶτι, τῷ πάντα ὑπὲρ τῆς σωτηρίας τῶν μαθητευομένων ὑπομένοντι ἥρμοττε λέγειν· ἡμεῖς δὲ τὸ τοῦ Μωϋσέως ἐροῦμεν, Ὅτι ὠργίσθη μοι Κύριος δι᾽ ὑμᾶς, ὅτι εἰς πολλὰ ἁμαρτήματα περιάγετε καὶ ἡμᾶς. ὅταν γὰρ ἀθυμῶμεν ὁρῶντες ὑμᾶς οὐ προκόπτοντας, οὐ τὸ πλέον ἡμῖν τῆς ἰσχύος καταπίνει; τί γὰρ, εἰπέ μοι, γέγονε πλέον; ἰδοὺ τῇ χάριτι τοῦ Θεοῦ καὶ ἡμεῖς λοιπὸν τελείαν ἔχομεν· νύκτα μὲν καὶ ἡμέραν οὐ παρακαλοῦντες, διὰ τελοῦς δὲ πολλάκις ἡμερῶν, ἢ δὶς ἐπὶ τοῦτο ποιοῦντες. τί γέγονε πλέον; ἐγκαλοῦμεν, ἐπιτιμῶμεν, δακρύομεν, ὀδυνώμεθα, εἰ καὶ μὴ φανερῶς, ἀλλὰ κατὰ καρδίαν. ἐκεῖνα δὲ πολὺ τούτων τὰ δάκρυα πικρότερα. ταῦτα γὰρ φέρει τινὰ τοῖς ἀθυμοῦσι παραμυθίαν· ἐκεῖνα δὲ αἱ τὴν ἐπιτείνει καὶ συσφίγγει. οὕτω καὶ ὅταν ἐν ἀθυμίᾳ τις ᾖ, καὶ μὴ δύνηται ἐξενεγκεῖν τὴν ἀλγηδόνα, ὥστε μὴ δόξαι κενόδοξος εἶναι, μείζονα

Δευτ. γ. κϛ.

γρ. κουφότερα
γρ. ἐπὶ ὅτ.

ἄρα

λέγων, ὑπεύθυνός ἐστι τοῦ αἵματος· τουτέστι, τῆς σφαγῆς. οὐδὲν τούτου φοβερώτερον. δείκνυσιν ὅτι κἀκεῖνοι, ἂν μὴ ποιῶσιν, ὑπεύθυνοί εἰσι τοῦ αἵματος. καὶ δοκεῖ μὲν ἀπολογεῖσθαι, ἐκείνοις δὲ φοβεῖ.

28 Προσέχετε οὖν ἑαυτοῖς καὶ παντὶ τῷ ποιμνίῳ, ἐν ᾧ ὑμᾶς τὸ πνεῦμα τὸ ἅγιον ἔθετο ἐπισκόπους ποιμαίνειν τὴν ἐκκλησίαν τοῦ Θεοῦ, ἣν περιεποιήσατο διὰ τοῦ ἰδίου αἵματος.

Ὁρᾷς; δύο προσέταξεν. οὔτε οὖν τὸ ἑτέρους κατορθοῦν μόνον ἔχει τι κέρδος (φοβοῦμαι γάρ, φησι, μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι) οὔτε τὸ ἑαυτοῦ μόνον ἐπιμελεῖσθαι. ὁ γὰρ τοιοῦτος φίλαυτος, καὶ τὸ ἑαυτοῦ ζητεῖ μόνον, καὶ τῷ τὸ τάλαντον καταχώσαντι ἴσος ἐστί. ταῦτα λέγει, οὐκ ἐπεὶ προτιμοτέρα ἡ ἡμετέρα σωτηρία τοῦ ποιμνίου· ἀλλ' ἐπειδὴ ὅταν ἑαυτοῖς προσέχωμεν, τότε καὶ τὸ ποίμνιον κερδαίνει. ἐν ᾧ ὑμᾶς τὸ πνεῦμα τὸ ἅγιον ἔθετο ἐπισκόπους, ποιμαίνειν τὴν ἐκκλησίαν τοῦ Θεοῦ. ὅρα πόση ἀνάγκη. παρὰ τοῦ πνεύματος τὴν χειροτονίαν ἔχετε, φησί· τοῦτο γάρ ἐστι τό, ἔθετο. μία αὕτη ἀνάγκη. εἶτα, ποιμαίνειν τὴν ἐκκλησίαν τοῦ Θεοῦ. ἰδοὺ καὶ δευτέρα· καὶ τρίτη, ἥν, φησι, περιεποιήσατο διὰ τοῦ ἰδίου αἵματος. [πολὺ] δείκνυσι δι' ὧν εἶπε τίμιον τὸ πρᾶγμα, καὶ ὅτι οὐχ ὑπὲρ μικρῶν ὁ κίνδυνος, εἴγε ὁ δεσπότης ὑπὲρ τῆς ἐκκλησίας οὐδὲ τοῦ αἵματος ἐφείσατο τοῦ ἑαυτοῦ· ἡμεῖς δὲ τῆς τῶν ἀδελφῶν σωτηρίας καταφρονοῦμεν. καὶ ἐκεῖνος μὲν ἵνα ἐχθροὺς καταλλάξῃ, καὶ τὸ αἷμα ἐξέχεε· σὺ δὲ οὐδὲ φίλους γενομένους ἰσχύεις κατασχεῖν.

29 Ἐγὼ γὰρ οἶδα τοῦτο, ὅτι εἰσελεύσονται μετὰ τὴν ἄφιξίν μου λύκοι βαρεῖς εἰς ὑμᾶς, μὴ φειδόμενοι τοῦ ποιμνίου. Πάλιν ἄλλοθεν αὐτοὺς ἐπιστρέφει ἀπὸ τῶν ἐσομένων· ὥσπερ ὅταν ἀλλαχοῦ λέγῃ· Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα. ὅτι εἰσελεύσονται, φησι, μετὰ τὴν ἄφιξίν μου λύκοι βαρεῖς εἰς ὑμᾶς. διπλοῦν τὸ κακόν· ὅτι τε αὐτὸς οὐ πάρεστι, καὶ ὅτι ἕτεροι ἐπιθήσονται. τί οὖν ἀπέρχῃ, εἰ τοῦτο προοίδας; τὸ πνεῦμά με ἕλκει, φησί. καὶ ὅρα· οὐχ ἁπλῶς εἶπε, λύκοι, ἀλλὰ προσέθηκε, βαρεῖς, τὸ σφοδρὸν αὐτῶν καὶ ἰταμὸν αἰνιττόμενος, καὶ τὸ χαλεπώτερον, ὅτι αὐτοὺς τούτους ἐξ αὐτῶν ἀναστήσεσθαι λέγει· ὃ καὶ σφόδρα ἐστὶ βαρύ, ὅταν καὶ ἐμφύλιος ὁ πόλεμος ᾖ. καὶ καλῶς εἶπε, προσέχετε, δεικνὺς περισπούδαστον σφόδρα τὸ πρᾶγμα (ἐκκλησία γάρ ἐστι) καὶ ὅτι μέγας ὁ κίνδυνος (αἵματι γὰρ αὐτὴν ἐλυτρώσατο) καὶ ὅτι πολὺς ὁ πόλεμος καὶ διπλοῦς. ταῦτα τοίνυν ἐδήλωσεν εἰπών,

30 Καὶ ἐξ ὑμῶν αὐτῶν ἀναστήσονται ἄνδρες λαλοῦντες διεστραμμένα, τοῦ ἀποσπᾶν τοὺς μαθητὰς ὀπίσω αὐτῶν. Εἶτα ἐπειδὴ σφόδρα αὐτοὺς ἐφόβησε τῷ εἰπεῖν λύκους βαρεῖς, καὶ ἐξ αὐτῶν ἀναστῆναι τοὺς τὰ διεστραμμένα λαλοῦντας, ὥσπερ ὑπό τινος διαπορηθείς, πῶς οὖν, εἰπόντος, καὶ τίς ἔσται φυλακή; ἐπάγει λέγων·

31 Γρηγορεῖτε, μνημονεύοντες ὅτι τριετίαν νύκτα καὶ ἡμέραν οὐκ ἐπαυσάμην μετὰ δακρύων νουθετῶν ἕνα ἕκαστον. Ὅρα πόση ὑπερβολή· μετὰ δακρύων, καὶ νύκτα καὶ ἡμέραν, καὶ ἕνα ἕκαστον. οὐ γάρ, εἰ πολλοὺς εἶδε, τότε ἐφείδετο· ἀλλ' ἤδει καὶ ὑπὲρ μιᾶς ψυχῆς πάντα ποιεῖν. οὕτω γοῦν αὐτοὺς καὶ συνεκρότησεν. ὃ δὲ λέγει, τοῦτό ἐστιν· ἀρκεῖ τὰ παρ' ἐμοῦ τριετίαν ἔμεινα, ἱκανῶς ἐστερεώθησαν, ἱκανῶς ἐρριζώθησαν. μετὰ δακρύων, φησίν. ὁρᾷς ὅτι τὰ δάκρυα διὰ τοῦτο; ταῦτα ποιῶμεν καὶ ἡμεῖς. οὐκ ἀλγεῖ ὁ κακός, ἀλγήσον σύ· ἴσως ἀλγήσει κἀκεῖνος. καθάπερ ὅταν ἴδῃ ὁ κάμνων τὸν ἰατρὸν λαμβάνοντα σιτίου, καὶ αὐτὸς προτρέπεται· οὕτω δὴ καὶ ἐν τούτοις ἔσται· ἂν ἴδῃ σε ὀδυρόμενον, μαλαχθήσεται, χρηστὸς ἀνὴρ καὶ πρᾶος γενήσεται. οὐκ εἰδώς, φησι, τὰ συναντήσοντά μοι. τί οὖν; διὰ τοῦτο ἀπέρχῃ; οὐδαμῶς· ἀλλὰ καὶ σφόδρα γινώσκω, ὅτι δεσμὰ καὶ θλίψεις με μένουσιν. ὅτι μὲν οὖν πειρασμοὶ ἐκδέχονταί με, οἶδα· ὁποῖοι δέ, οὐκ οἶδα· ὅπερ ἦν χαλεπώτερον. μὴ τοίνυν νομίσητέ με ἀποδυρόμενον ταῦτα λέγειν. οὐκ ἔχω τιμίαν τὴν ἐμαυτοῦ ψυχήν. ἵνα ἀναστήσῃ αὐτῶν τὴν διάνοιαν ταῦτά φησι, καὶ πείσῃ

α. Κορ. θ. κζ.

Ἐφεσ. ς. ιϛ.

κ. ἰδοὺ καὶ ἄλλη, τοῦ Κυρίου ἐστὶν ἡ ἐκκλησία· καὶ τί.

κ. τὴν ἀπότητα ἐκείνων καὶ αἰσχυντίαν αὐτ.

κ. ἐμ.

τὸ ἄοκνον. καὶ τῶν συμφερόντων. καλῶς οὕτως εἶπεν. ἦν γὰρ ἃ οὐκ ἔδει μαθεῖν. ὥσπερ γὰρ τό τινα ἀποκρύπτεσθαι, φθόνου· οὕτω τὸ πάντα λέγειν, αἰδίας. διὰ τοῦτο προσέθηκε τὸ συμφερόντων, δηλῶν ὅτι οὐκ εἶπον μόνον, ἀλλὰ καὶ ἐδίδαξα· οὐχ ὡς αὐτὸς τοῦτο ἀφοσιούμενος, φησίν. ὅτι δὲ τοῦτο δηλοῖ, ἄκουε τὸ ἑξῆς. ἐπήγαγε γὰρ· δημοσίᾳ καὶ κατ' οἴκους, τὴν μακρὰν ταλαιπωρίαν, καὶ τὴν πολλὴν σπουδὴν καὶ τὴν καρτερίαν ἐπιδεικνύμενος. διαμαρτυρόμενος Ἰουδαίοις τε καὶ Ἕλλησιν. οὐχὶ πρὸς ὑμᾶς, φησί, μόνον, ἀλλὰ καὶ πρὸς Ἕλληνας. ἐν τούτῳ ἡ παῤῥησία· καὶ ὅτι κἂν μηδὲν ὠφελῶμεν, λέγειν δεῖ. τὸ γὰρ διαμαρτύρεσθαι, τοῦτό ἐστιν, ὅταν πρὸς τοὺς μὴ προσέχοντας λέγωμεν. τὸ γὰρ διαμαρτύρεσθαι, ὡς ἐπὶ τὸ πολὺ τοῦτο ἐστί. Διαμαρτύρομαι, φησὶ Μωϋσῆς, τὸν οὐρανὸν καὶ τὴν γῆν· καὶ νῦν αὐτὸς διαμαρτυρόμενος Ἰουδαίοις τε καὶ Ἕλλησι τὴν εἰς τὸν Θεὸν μετάνοιαν. τί διαμαρτύρῃ; ὥστε βίου ἐπιμεληθῆναι, ὥστε μετανοῆσαι καὶ προσελθεῖν τῷ Θεῷ. οὐδὲ γὰρ Ἰουδαῖοι ἤδεισαν αὐτόν, διὰ τὸ τὸν υἱὸν ἀγνοεῖν, διά τε τὰ ἔργα καὶ πίστιν μὴ ἔχειν τὴν εἰς τὸν Κύριον Ἰησοῦν. τίνος οὖν ἕνεκεν ταῦτα λέγεις; τίνος ἕνεκεν ταῦτα ὑπομιμνήσκεις; τί γέγονε; μή τι ἔχεις ἐγκαλεῖν; προτέρον κατασείσας αὐτῶν τὴν διάνοιαν, τότε ἐπάγει·

22 Καὶ νῦν ἰδοὺ ἐγὼ δεδεμένος τῷ πνεύματι πορεύομαι εἰς Ἱερουσαλὴμ, τὰ ἐν αὐτῇ συναντήσοντά μοι μὴ εἰδώς·

23 Πλὴν ὅτι τὸ πνεῦμά μοι τὸ ἅγιον κατὰ πόλιν διαμαρτύρεται λέγον, ὅτι δεσμά με καὶ θλίψεις μένουσιν.

24 Ἀλλ' οὐδενὸς λόγον ποιοῦμαι, οὐδὲ ἔχω τὴν ψυχὴν τιμίαν ἐμαυτῷ, ὡς τελειῶσαι τὸν δρόμον μου μετὰ χαρᾶς, καὶ τὴν διακονίαν, ἣν ἔλαβον παρὰ τοῦ Κυρίου Ἰησοῦ, διαμαρτύρεσθαι τὸ εὐαγγέλιον τῆς χάριτος τοῦ Θεοῦ. Διὰ τί ταῦτα λέγει; παρασκευάζων αὐτοὺς ἀεὶ ἑτοίμους εἶναι πρὸς κινδύνους καὶ δήλους καὶ ἀδήλους, καὶ πάντα τῷ πνεύματι πείθεσθαι. δείκνυσι δὲ, ὅτι ἐπὶ μεγάλοις ἀπάγεται. πλὴν ὅτι τὸ πνεῦμά μοι, φησί, τὸ ἅγιον κατὰ πόλιν διαμαρτύρεται λέγον. ἵνα δείξῃ ὅτι ἑκὼν ἀπέρχεται, καὶ ἵνα μὴ δεσμὸν ἢ ἀνάγκην νομίσῃς, τὸ κατὰ πόλιν, εἶπεν. εἶτα ἐπάγει, ὅτι οὐκ ἔχω τιμίαν τὴν ἐμαυτοῦ ψυχὴν, ὡς τελειῶσαι τὸν δρόμον μου μετὰ χαρᾶς, καὶ τὴν διακονίαν, ἣν ἔλαβον παρὰ τοῦ Κυρίου. ὁρᾷς ὅτι οὐκ ἀποδυρομένου ἦν τὰ ῥήματα, ἀλλὰ μετεωρίζοντος, καὶ παιδεύοντος ἐκείνους, καὶ συμπάσχοντος τοῖς γινομένοις; οὐκ εἶπεν, ὅτι ἀλγῶ μὲν, ἀνάγκη δὲ φέρειν· ἀλλ', οὐδὲ ἡγοῦμαι. τοῦτο πάλιν λέγει, οὐκ ἐπαίρων ἑαυτὸν, ἀλλ' ἐκείνους διδάσκων, διὰ μὲν τῶν προτέρων τὴν ταπεινοφροσύνην, διὰ δὲ τούτων τὴν ἀνδρείαν, τὴν παῤῥησίαν. ὥστε ἔλεγχον οὐ φιλῶ αὐτὴν πρὸ ταύτης· προτιμότερον ἡγοῦμαι τὸ τελέσαι τὸν δρόμον, τὸ διαμαρτύρασθαι. καὶ οὐκ εἶπε, κηρύξαι, διδάξαι· ἀλλὰ τί; διαμαρτύρασθαι τὸ εὐαγγέλιον τῆς χάριτος τοῦ Θεοῦ. μέλλει τι φορτικώτερον λέγειν, ὅτι καθαρός ἐγὼ ἀπὸ τοῦ αἵματος πάντων· διὰ τοῦτο προκατασκευάζει καὶ δείκνυσιν, ὅτι οὐδὲν ἐλλείπεται. ἐπειδὴ οὖν ἔμελλεν αὐτοῖς ἐπιθεῖναι τὸ βάρος ἅπαν καὶ τὸ φορτίον, περιττότερον κατεμάλαξεν αὐτῶν τὴν διάνοιαν, λέγων

25 Καὶ νῦν ἰδοὺ ἐγὼ οἶδα, ὅτι οὐκ ἔτι ὄψεσθε τὸ πρόσωπόν μου. [Εἶτα τότε ἐπήγαγε τὸ, καθαρὸς ἐγὼ ἀπὸ τοῦ αἵματος πάντων]. διπλῆ ἡ λύπη· τό τε, τὸ πρόσωπον αὐτοῦ οὐκ ἔτι ὄψεσθε, καὶ τὸ, αὐτοὺς πάντας. οὐκ ἔτι γάρ, φησιν, ὄψεσθε τὸ πρόσωπόν μου

Ὑμεῖς πάντες, ἐν οἷς διῆλθον κηρύσσων τὴν βασιλείαν. Ὥστε εἰκότως.

26 Διαμαρτύρομαι ὑμῖν, Ἀπὸ μηκέτι παραγινόμενος, Ὅτι καθαρὸς ἐγὼ ἀπὸ τοῦ αἵματος πάντων.

27 Οὐ γὰρ ὑπεστειλάμην τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν πᾶσαν τὴν βουλὴν τοῦ Θεοῦ.

Ὁρᾷς πῶς φοβεῖ, καὶ πεποιημένας αὐτῶν τὰς ψυχὰς καὶ τεθλιμμένας ἐπιτρίβει; καλῶς, ὅτι ἀναγκαῖον ἦν. οὐ γὰρ ὑπεστειλάμην τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν, φησι, πᾶσαν τὴν βουλὴν τοῦ Θεοῦ. ἄρα ὁ μὴ λέγων,

Δευτ. δ. κϛ.

γρ. ἐ

γρ. φιλίας

γρ. ἀλγῶ μὲν

γρ. ἡ διηγ... διὰ τὸ τὸ πρόσωπόν μου ὄψεσθαι ... πάντας ... ἐμοῦ εἶμι καὶ τὸ μὴ ... μένους ...

Ὅρα αὐτὸν καὶ ἐπειγόμενον παραπλεῦσαι, καὶ μὴ παρορῶντα, ἀλλὰ τὸ πᾶν οἰκονομοῦντα. τοὺς ἄρχοντας μεταπεμψάμενος, δι' ἐκείνων αὐτοῖς διαλέγεται. καὶ ἄξιον θαυμάσαι πῶς εἰς ἀνάγκην ἐμπεσὼν τοῦ μεγάλα τινὰ περὶ ἑαυτοῦ εἰπεῖν, πειρᾶται μετριάζειν. καθάπερ γὰρ ὁ Σαμουὴλ μέλλων παραδιδόναι τῷ Σαοὺλ τὴν ἀρχήν, ἐπ' αὐτῶν λέγει· Μή τι παρ' ὑμῶν εἴληφα; ὑμεῖς μάρτυρες καὶ ὁ Θεός. καὶ ὁ Δαβὶδ ἀπιστηθεὶς λέγει· Ἐν τῷ ποιμνίῳ ἤμην ποιμαίνων τὰ πρόβατα τοῦ πατρός μου· καὶ ὅτε ἦλθεν ἡ ἄρκτος, ἐκ τῶν χειρῶν αὐτῆς ἀπέσπων. καὶ αὐτὸς δὲ ὁ Παῦλος πρὸς Κορινθίους φησίν· Ἄφρων γέγονα· ὑμεῖς με ἠναγκάσατε. καὶ ὁ Θεὸς δὲ αὐτὸ τοῦτο ποιεῖ, οὐχ ἁπλῶς περὶ ἑαυτοῦ λέγων· ἀλλ' ὅταν ἀπιστῆται, καὶ τὰς εὐεργεσίας προφέρει. ὅρα γοῦν καὶ ἐν ταύτῃ τί ποιεῖ. πρῶτον αὐτῶν τὴν μαρτυρίαν παράγει, ἵνα μὴ νομίσῃς κόμπον εἶναι τὰ ῥήματα, καὶ τοὺς ἀκροατὰς αὐτοὺς μάρτυρας καλεῖ τῶν λεγομένων, ὡς οὐκ ἂν ψευσάμενος ἐπ' αὐτῶν. αὕτη διδασκάλου ἀρετή, ὅταν τῶν οἰκείων κατορθωμάτων μάρτυρας ἔχῃ τοὺς μαθητευομένους. καὶ τὸ θαυμαστόν, ὅτι οὐ μίαν ἡμέραν, οὐδὲ δευτέραν τοῦτο ποιῶν διετέλεσεν, ἀλλὰ πλῆθος ἐτῶν. ὑμεῖς γάρ, φησιν, ἐπίστασθε πῶς μεθ' ὑμῶν πάντα τὸν χρόνον ἐγενόμην. βούλεται τοίνυν αὐτοὺς παρακαλέσαι, ὥστε γενναίως φέρειν ἅπαντα, καὶ τὸν αὐτοῦ χωρισμόν, καὶ τοὺς πειρασμοὺς τοὺς μέλλοντας συμβαίνειν· καθάπερ οὖν καὶ ἐπὶ Μωϋσέως καὶ Ἰησοῦ γέγονε. καὶ ὅρα τί ἐπήγαγεν, εἰπὼν πῶς μεθ' ὑμῶν ἐγενόμην πάντα τὸν χρόνον, δουλεύων τῷ Κυρίῳ μετὰ πάσης ταπεινοφροσύνης. ὅρα τί μάλιστα ἄρχουσι προσήκει· μισοῦντας, φησιν, ὑπερηφανίαν· ὃ μάλιστα ἄρχουσιν ἁρμόζει· ἔπρεπε διὰ τὸ ἀνάγκην εἶναι πρὸς ἀπόνοιαν αὐτοὺς αἴρεσθαι. τοῦτο ἡ ὑπόθεσις τῶν ἀγαθῶν, ὥσπερ οὖν καὶ ὁ Χριστὸς ἔλεγε· Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι. οὐχ ἁπλῶς δὲ ταπεινοφροσύνης εἶπεν, ἀλλά, μετὰ πάσης. πολλὰ γὰρ εἴδη τῆς ταπεινοφροσύνης. καὶ ἔστι ταπεινοφροσύνην ἰδεῖν ἐν λόγῳ, ἐν ἔργῳ, πρὸς ἄρχοντας, πρὸς ἀρχομένους. βούλεσθε ὑμῖν τρόπους εἴπω ταπεινοφροσύνης; εἰσί τινες οἳ πρὸς μὲν τοὺς ταπεινοὺς ταπεινοὶ τυγχάνοντές εἰσι· πρὸς δὲ τοὺς ὑψηλοὺς ὑψηλοί. τοῦτο δὲ οὐ ταπεινοφροσύνης. εἰσὶ δὲ πάλιν ἕτεροι οὐ τοιοῦτοι· ἀλλ' ἐφ' ἑκατέρων τῶν προσώπων εἰς χαμαὶ καὶ τὸ ταπεινὸν τηροῦντες καὶ τὸ ὑψηλόν, ὃ καὶ μάλιστά ἐστι ταπεινοφροσύνης. μέλλων τοίνυν διδάσκειν αὐτοὺς τὰ τοιαῦτα, ἵνα μὴ δόξῃ ἀπονοεῖσθαι, προκαταβάλλει θεμέλιον, τὴν ὑποψίαν ἀναιρῶν. εἰ γὰρ μετὰ πάσης ταπεινοφροσύνης γέγονα, φησίν, οὐκ ἐξ ἀπονοίας λέγω ἃ λέγω. εἶτα τὸ ἥμερον· μεθ' ὑμῶν, φησιν, ἐγενόμην δουλεύων τῷ Κυρίῳ, κοινωνοὺς τοῦ κατορθώματος δεικνὺς αὐτούς. οὕτω πανταχοῦ ἡ κοινωνία καλόν. κοινὰ ποιεῖται τοίνυν τὰ κατορθώματα, καὶ οὐδὲν αὐτοῦ τίθησιν ἐξαίρετον. τί γάρ φησι; κατὰ τοῦ Θεοῦ ἀπονοηθῆναι εἶχε; τὸ μὲν πολλοί εἰσιν οἱ ἀπονοοῦνται κατ' αὐτοῦ· οὗτος δὲ οὐδὲ κατὰ τῶν μαθητῶν ἑαυτοῦ ἀπενοήθη. τοῦτο κατόρθωμα διδασκάλου, ἀπὸ τῶν οἰκείων κατορθωμάτων τοὺς μαθητὰς ῥυθμίζειν. εἶτα τῆς ἀνδρείας φησί, καὶ ὅσα αὐτὸς ὑπέμεινε· μετὰ πολλῶν δακρύων καὶ πειρασμῶν τῶν συμβάντων μοι ἐν ταῖς ἐπιβουλαῖς τῶν Ἰουδαίων. ὁρᾷς ὅτι ἀλγεῖ τοῖς γινομένοις; ἐν ταύτῃ δὲ αὐτοῦ καὶ τὸ συμπαθὲς δοκεῖ δηλοῦν. ἔπασχε γὰρ ὑπὲρ τῶν ἀπολλυμένων, ὑπὲρ αὐτῶν τῶν ποιούντων τὴν ἁμαρτίαν· ἐπεὶ ὑπὲρ τῶν εἰς αὐτὸν γινομένων καὶ ἔχαιρεν. ἐκείνου γὰρ ἦν τοῦ χοροῦ τοῦ χαίροντος, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ ἀτιμασθῆναι. καὶ πάλιν ἀλλαχοῦ λέγει· Νῦν χαίρω ἐν τοῖς παθήμασί μου ὑπὲρ ὑμῶν. καὶ πάλιν, Τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως, καθ' ὑπερβολὴν αἰώνιον βάρος δόξης κατεργάζεται ἡμῖν. ἀλλὰ ταῦτα λέγει μετριάζων. ἐνταῦθα δὲ δείκνυσιν αὐτοῦ τὴν ἀνδρείαν· καὶ οὐ τοσοῦτον τὴν ἀνδρείαν, ὅσον τὴν ὑπομονήν. ὡσεὶ ἔλεγεν· ἔπασχον ἐγὼ κακῶς, ἀλλὰ μεθ' ὑμῶν· καὶ τὸ δεινόν, ὅτι ὑπὸ Ἰουδαίων. ἰδέ μοι ἐνταῦθα χαρακτῆρα διδασκαλίας· καὶ τὴν ἀγάπην τίθησι καὶ τὴν ἀνδρείαν. ὡς οὐδὲν ὑπεστειλάμην, φησί. τὸ ἄφθονον δείκνυσι διὰ τούτων ὁμοῦ καὶ

[Left margin:] γρ. ἐπ' αὐτῷ τὰ εἰρημένα δείξειν.

[Left margin:] γρ. πράγματος τοῦ ταπεινοφρονεῖν τοῖς μαθηταῖς, ὃ μάλιστα ἄρχοντι ἁρμόζει, διὰ τὸ ἀνάγκην εἶναι ἀπόνοιαν αὐτοῖς. τοῦτο ἡ

[Right margin:] α. Βασ. ιβ. γ. — α. Βασ. ιζ. λδ. — β. Κορ. ιβ. ια. — Ματθ. ε. γ. — Πράξ. ε. μα. — Κολ. α. κδ. — β. Κορ. δ. ιζ.

τὸν ἔλεγχον· Οἴμοι Κύριε, ἐξαλείφεις σὺ τὸ κατάλοιπον τοῦ Ἰσραήλ; ἀνδροφόνους ὁρῶμεν,
Ἰεζ. θ. α. μιαροὺς ἄνδρας, κολαζομένους πολλάκις, καὶ δακρύομεν καὶ ἀλγοῦμεν. μὴ τοίνυν τὸ μὲν ἐπὶ
φιλόσοφοι ὦμεν· ἐλεήμονες γινώμεθα, ἵνα ἐλεηθῶμεν. οὐδὲν ἴσον τούτου τοῦ καλοῦ· οὐδὲν
οὕτω τοὺς φιλανθρώπους ἡμῖν ὑποδείκνυσι χαρακτῆρας ὡς τὸ ἐλεεῖν, ὡς τὸ φιλάνθρωπον εἶναι.
διὰ τοῦτο καὶ οἱ νόμοι τοῖς δημίοις τὸ πᾶν ἐπιτρέπουσι, τοὺς δικαστὰς δὲ μέχρι τῆς ἀποφάσεως
ἀναγκάσαντες ἐμφορεῖσθαι, εἰς δὲ τὸ ἔργον ἐκείνους ἐξήγαγον. οὕτω καὶ δικαίως γίνεται, οὐ-
χὶ ψυχῆς φιλοσόφου τὸ κολάζειν, ἀλλὰ πρὸς ἑτέρους δεῖται τούτου; ἐπεὶ καὶ ὁ Θεὸς οὐ δι᾽ ἑαυτοῦ κο- (χ. τιμωρήσασθαι)
λάζει, ἀλλὰ διὰ τῶν ἀγγέλων. δήμιοι οὖν εἰσιν οἱ ἄγγελοι; μὴ γένοιτο· οὐ τοῦτό φημι,
ἀλλὰ τιμωρητικαὶ δυνάμεις εἰσίν. ὅτε τὰ Σόδομα κατεστρέφετο, δι᾽ ἐκείνων ἅπαντα ἐγί-
νετο· ὅτε τὰ κατ᾽ Αἴγυπτον, δι᾽ ἐκείνων. Ἀποστολὴν γάρ, φησι, δι᾽ ἀγγέλων πονηρῶν. ὅτε
Ψαλ. οζ. μθ. μὲν σῶσαι χρή, δι᾽ ἑαυτοῦ τοῦτο ποιεῖ. οὕτω τὸν υἱὸν ἔπεμψεν ἐπὶ σωτηρίᾳ τοῦ γένους. καὶ
πάλιν· Τότε, φησίν, ἐρῶ τοῖς ἀγγέλοις, συλλέξατε τοὺς ποιοῦντας τὴν ἀνομίαν, καὶ βάλετε
Ματθ. ιγ. μβ. Ματθ. ι. μ. εἰς τὴν κάμινον· ἐπὶ δὲ τῶν δικαίων οὐχ οὕτως, ἀλλ᾽, Ὁ δεχόμενος ὑμᾶς, ἐμὲ δέχεται· καὶ πά-
λιν, Δήσατε αὐτοῦ χεῖρας καὶ πόδας, καὶ βάλετε εἰς τὸ σκότος τὸ ἐξώτερον. ὁρᾷς ἐκεῖ τοὺς
Ματθ. κβ. ιγ. Ματθ. κε. λδ. δούλους διακονουμένους· ὅταν δὲ εὐεργετεῖν δέῃ, αὐτὸν εὐεργετοῦντα, αὐτὸν καλοῦντα. Δεῦτε
Γεν. ιη. οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν. ὅταν
Γεν. ιθ. α. διαλέγεσθαι δέῃ τῷ Ἀβραάμ, αὐτὸς παραγίνεται· ὅταν εἰς Σόδομα ἀπελθεῖν, τοὺς δού-
Ματθ. κε. κγ. λους πέμπει, καθάπερ τις δικαστὴς ἀνίστας τοὺς μέλλοντας κολάζειν. καὶ πάλιν· Εὖ δοῦλε ἀ-
Ματθ. κε. κγ. γαθὲ καὶ πιστέ, ἐπὶ ὀλίγα ἦς πιστός, ἐπὶ πολλῶν σε καταστήσω. καὶ τοῦτον μὲν αὐτὸς εὐλογεῖ,
ἐκεῖνον δὲ τὸν πονηρὸν οὐκ αὐτός, ἀλλὰ δοῦλοι δεσμεύουσι. Ταῦτα εἰδότες, μὴ χαίρωμεν
ἐπὶ τοῖς κολαζομένοις, ἀλλὰ καὶ ἀλγῶμεν· τούτους πενθῶμεν, τούτους δακρύωμεν, ἵνα καὶ
τούτου μισθὸν λάβωμεν. νῦν δὲ πολλοὶ καὶ ἐπὶ τοῖς κακοῖς πάσχουσιν ἀδίκως χαίρουσιν· ἀλλὰ (ἑτ. κακοῖς)
μὴ ἡμεῖς οὕτω ποιῶμεν· ἀλλὰ πᾶσαν συμπάθειαν ἐπιδεικνυώμεθα· συμπάσχωμεν καὶ συναλ-
γῶμεν αὐτοῖς, ἵνα καὶ αὐτοὶ τῆς παρὰ τοῦ Θεοῦ φιλανθρωπίας ἀξιωθῶμεν, χάριτι καὶ
φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι
δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. μϛ. 17 ΑΠΟ ΔΕ ΤΗΣ ΜΙΛΗΤΟΥ ΠΕΜΨΑΣ ΕΙΣ
Ἔφεσον, μετεκαλέσατο τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας.
18 Ὡς δὲ παρεγένοντο πρὸς αὐτόν, εἶπεν αὐτοῖς· ὑμεῖς ἐπίστασθε ἀπὸ
πρώτης ἡμέρας, ἀφ᾽ ἧς ἐπέβην εἰς τὴν Ἀσίαν, πῶς μεθ᾽ ὑμῶν πάντα
τὸν χρόνον ἐγενόμην, 19 Δουλεύων τῷ Κυρίῳ [μεθ᾽ ὑμῶν,] μετὰ
πάσης ταπεινοφροσύνης καὶ πολλῶν δακρύων καὶ πειρασμῶν τῶν συμβάν-
των μοι ἐν ταῖς ἐπιβουλαῖς τῶν Ἰουδαίων· 20 Ὡς οὐδὲν ὑπεστει-
λάμην τῶν συμφερόντων, τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν, καὶ διδάξαι ὑμᾶς δη-
μοσίᾳ καὶ κατ᾽ οἴκους, 21 Διαμαρτυρόμενος Ἰουδαίοις τε καὶ Ἕλ-
λησι τὴν εἰς Θεὸν μετάνοιαν, καὶ πίστιν τὴν εἰς τὸν Κύριον ἡμῶν Ἰη-
σοῦν Χριστόν.

Ὁρᾷ

νοντα πολλάκις. διὰ τοῦτο δὲ ταῦτα γέγονεν, ἵνα μὴ νομίσωμεν ὅτι ὑπὲρ φύσιν ἦν τὴν ἀνθρωπίνην. Οἱ γὰρ ἅγιοι καὶ μεγάλοι ἄνδρες ἐκεῖνοι τῆς μὲν φύσεως τῆς αὐτῆς ἡμῖν ἐκοινώνουν, τῆς δὲ προαιρέσεως οὐκέτι. διὸ καὶ πολλὴν ἐπεσπῶντο τὴν χάριν. ὅρα γοῦν πόσα καὶ ἀφ' ἑαυτῶν οἰκονομοῦσι. διὰ τοῦτο καὶ ἔλεγεν· Ἵνα μὴ δῶμεν προσκοπὴν τοῖς βουλομένοις· (β. Κορ. ς. γ.) καὶ πάλιν, Ἵνα μὴ μωμηθῇ ἡ διακονία ἡμῶν. ἰδοὺ καὶ βίος ἄληπτος, καὶ πολλὴ ἡ συγκατάβασις. τοῦτο οἰκονομία λέγεται, ὃ εἰς ἀκρότητα ἤγαγε τὸ ὕψος ἀρετῆς, καὶ ταπεινοφροσύνης (γ. ὕψος) συγκαταβάσεως. καὶ ἄκουε πῶς ὁ ὑπερβαίνων τὰ ἐπαγγέλματα τοῦ Χριστοῦ, ἐστὶ πάλιν πάντων ταπεινότερος ἦν. Πᾶσι πάντα γέγονα, φησὶν, ἵνα πάντας κερδήσω. (α. Κορ. θ κβ.) ὁ αὐτὸς καὶ εἰς κινδύνους ἑαυτὸν ἐνέβαλε, καθὼς ἑτέρωθί φησιν· Ἐν ὑπομονῇ πολλῇ, ἐν θλίψεσιν, ἐν ἀνάγκαις, (β. Κορ. ς δ.) ἐν στενοχωρίαις, ἐν πληγαῖς, ἐν φυλακαῖς· καὶ πολὺς ἦν αὐτῷ ὁ πόθος ὁ περὶ τὸν Χριστόν· ἂν γὰρ τοῦτο μὴ ᾖ, πάντα περιττὰ, καὶ τὰ τῆς οἰκονομίας, καὶ τοῦ ἀλήπτου βίου, καὶ τοῦ παρακεκινδυνευμένου. Τίς ἀσθενεῖ, φησὶ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; (β. Κορ. ια κθ.)

ΗΘΙΚΟΝ

Ταῦτα, παρακαλῶ, καὶ ἡμεῖς μιμώμεθα τὰ ῥήματα, καὶ εἰς κινδύνους ῥίπτωμεν ἑαυτοὺς διὰ τοὺς ἀδελφοὺς τοὺς ἡμετέρους. κἂν πῦρ ᾖ, κἂν σίδηρος, ῥίψον σεαυτὸν, ἀγαπητέ, ἵνα σὺ τὸ μέλλον ἐξέλῃς· ῥίψον, μὴ φοβηθῇς. μαθητὴς εἶ τοῦ Χριστοῦ τοῦ διὰ τοὺς ἀδελφοὺς τὴν ψυχὴν θέντος· συμμαθητὴς Παύλου, τοῦ μυρία ἑλομένου παθεῖν δεινὰ διὰ τοὺς ἐχθροὺς, διὰ τοὺς πολεμοῦντας αὐτῷ· ἐμπλήσθητι ζήλου· μίμησαι τὸν Μωϋσέα. εἶδεν ἀδικούμενον, καὶ ἤμυνε· κατεφρόνησε τρυφῆς βασιλικῆς, καὶ γέγονε διὰ τοὺς καταπονουμένους φυγὰς, πλανήτης, ἔρημος συγγενῶν καὶ οἰκίας. ἐν ἀλλοτρίᾳ διετέλεσε τοσοῦτον χρόνον, καὶ οὐκ ἐμέμψατο ἑαυτῷ, οὐδὲ εἶπε, τί τοῦτο; βασιλείας κατεφρόνησα, τιμῆς τοσαύτης καὶ δόξης· εἱλόμην ἀμῦναι τοῖς ἀδικουμένοις, καὶ περιεῖδέ με ὁ Θεός· καὶ οὐ μόνον οὐκ ἐπανήγαγέ με ἐπὶ τὴν προτέραν τιμὴν, ἀλλὰ καὶ τεσσαράκοντα ἔτη ἐν ἀλλοτρίᾳ διάγω. καλῶς γε. οὐ γὰρ τοὺς μισθοὺς ἀπέλαβεν. ἀλλ' οὐδὲν τούτων εἶπεν, οὐδὲ ἐνενόησεν· οὕτω καὶ σὺ κἂν κακόν τι πάθῃς ἀγαθοποιῶν, κἂν ἐπὶ πολὺν χρόνον, μὴ σκανδαλίζου, μηδὲ θορυβοῦ· πάντως ἀποδώσει σοι τὴν ἀμοιβὴν ὁ Θεός· (ὅσῳ ἂν χρονίζῃ ἡ ἀντίδοσις*, τοσούτῳ τὸν τόκον ἐπιτείνει). ἔλεον ἔχωμεν ψυχὴν συμπαθητικὴν, ἔχωμεν διάνοιαν εἰδυῖαν συναλγεῖν. μηδὲν ἔσω παρ' ἡμῖν ὠμὸν, μηδὲν ἀπάνθρωπον. κἂν μηδὲν δυνηθῇς εἰσενεγκεῖν, δάκρυσον, στέναξον, ἄλγησον ἐπὶ τοῖς γινομένοις. οὐδὲ ταῦτά σοι ἔσται εἰκῆ. εἰ τοῖς ὑπὸ τοῦ Θεοῦ κολαζομένοις δικαίως συναλγεῖν χρὴ, πολλῷ μᾶλλον τοῖς ὑπὸ ἀνθρώπων ἀδίκως πάσχουσιν. Οὐκ ἐξῆλθε, φησὶ, Σεννὰν κόψασθαι οἶκον ἐχόμενον αὐτῆς. λήψονται (Μιχ. α ια.) ὀδύνην αἳ θ' ὧν ᾠκοδόμησαν εἰς καταγέλωτα. τοῦτο ἐγκαλεῖ ὁ Ἰεζεκιὴλ, ὅτι οὐ συνήλγησαν. (Ιε, κα. ις. β.) τί λέγεις, ὦ προφῆτα; ὁ Θεὸς κολάζει, κἀγὼ συναλγήσω τοῖς κολαζομένοις; ναί· τοῦτο γὰρ αὐτὸς ὁ κολάζων βούλεται. οὐδὲ γὰρ αὐτὸς ἥδεται κολάζων, ἀλλὰ μάλιστα καὶ ἀλγεῖ. ἐπειδὴ οὖν οὐδὲ αὐτὸς εὐφραίνεται ὁ κολάζων, μὴ τοίνυν μηδὲ σὺ εὐφραίνου. ἀλλ' εἰ δικαίως, φησὶ, κολάζονται, οὐ δεῖ ἀλγεῖν. καὶ μὴν διὰ τοῦτο δεῖ ἀλγεῖν, ὅτι ἄξιοι κολάσεως ἐφάνησαν. εἰπὲ δή μοι, ὅταν ἴδῃς τὸν υἱὸν τὸν σὸν καιόμενον ἢ τεμνόμενον, οὐκ ἀλγεῖς, εὔδηλον ὅτι· καὶ οὐ λέγεις πρὸς σεαυτὸν· τί τοῦτο; πρὸς ὑγείαν ἡ τομὴ βλέπει· ὑπὲρ ἀπαλλαγῆς ἐστιν ἡ καῦσις· ἀλλ' ὅμως ὅταν ἀκούσῃς ὀλολύζοντος, οὐ φέροντος τὰς ὀδύνας, ἀλγεῖς· καὶ οὐχ ἱκανὴ ἡ τῆς ὑγείας ἐλπὶς ἀφελεῖν τὴν σύγχυσιν τῆς φύσεως. οὕτω καὶ ἐπὶ τούτων· κἂν εἰς ὑγείαν κολάζων*), ὅμως ἀδελφικὴν ἐπιδεικνύωμεν ἡμεῖς προαίρεσιν ἐπ' αὐτοὺς, πατρικὴν διάθεσιν. τομαὶ καὶ καύσεις εἰσὶν αἱ τιμωρίαι τοῦ Θεοῦ. ἀλλὰ διὰ τοῦτο ὀφείλομεν κλαίειν, ὅτι ἐνόσησαν, ὅτι τοιαύτης ἐδεήθησαν ἰατρείας. ἐὰν τις ἐπὶ στεφάνοις ταῦτα πάσχῃ, τότε μὴ ἄλγει, οἷον ὡς Παῦλος, ὡς Πέτρος· ὅταν δὲ ἐπὶ τιμωρίᾳ ὑπὸ δίκην, τότε δάκρυσον, τότε στέναξον. τοιοῦτοι ἦσαν οἱ προφῆται. διὸ καί τις αὐ-

τῶν

Marginal notes: γ. ὕψος — * ἢ ὁ ἀντίδοσις — γρ. ἐξῆλθεν κατοικοῦσα Αἰνὰν κοψ. — γρ. ἄλγει τό

14 Ὡς δὲ συνέβαλεν ἡμῖν εἰς τὴν Ἄσσον, ἀναλαβόντες αὐτὸν ἤλθομεν εἰς Μιτυλήνην.

Πολλαχοῦ τῶν μαθητῶν ὁ Παῦλος χωρίζεται. ἰδοὺ γὰρ πάλιν αὐτὸς μὲν πεζεύει, ἐκεῖνοι δὲ τῷ πλοίῳ ἀνάγονται. τὸ μὲν κουφότερον ἐκείνοις ἐπιτρέπων, τὸ δὲ ἐπιπονώτερον αὐτὸς αἱρούμενος. ἐπέζευεν, ἅμα καὶ πολλὰ οἰκονομῶν, ἅμα καὶ παιδεύων [μηδὲ] αὐτοὺς χωρίζεσθαι αὐτοῦ.

15 Κἀκεῖθεν ἀποπλεύσαντες τῇ ἐπιούσῃ, κατηντήσαμεν ἄντικρυ Χίου· τῇ δὲ ἑτέρᾳ παρεβάλομεν εἰς Σάμον, καὶ μείναντες ἐν Τρωγυλίῳ, τῇ ἐχομένῃ ἤλθομεν εἰς Μίλητον. χ. ὀπίσω

Ὅρα πῶς ἐπειγομένου τοῦ Παύλου ἀνάγονται, καὶ οὐ χρονοτριβοῦσιν, ἀλλὰ παρέρχονται τὰς νήσους.

16 Ἔκρινε γὰρ ὁ Παῦλος παραπλεῦσαι τὴν Ἔφεσον, ὅπως μὴ γένηται αὐτῷ χρονοτριβῆσαι ἐν τῇ Ἀσίᾳ. ἔσπευδε γάρ, εἰ δυνατὸν ἦν αὐτῷ, τὴν ἡμέραν τῆς πεντηκοστῆς γενέσθαι εἰς Ἱεροσόλυμα. Τίς ἡ ἔπειξις αὕτη; οὐ διὰ τὴν ἑορτήν, ἀλλὰ διὰ τὸ πλῆθος· ἅμα καὶ τούτῳ Ἰουδαίους ἐπήγετο, ὡς δὴ τιμῶν τὰς ἑορτάς· καὶ τοὺς ἐχθροὺς ἐλθεῖν βουλόμενος ἅμα, ἔσπευδε τὸν λόγον καταθεῖναι. ὅρα γοῦν ὅσον γέγονε κέρδος, πάντων παρόντων. ἄλλως δέ, ἵνα μὴ διὰ τοῦτο ἀμεληθῇ τὰ κατὰ τὴν Ἔφεσον, οἰκονόμησεν ἑτέρως. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. καὶ ἀσπασάμενος, φησί, τοὺς μαθητάς, ἐξῆλθε πορευθῆναι εἰς Μακεδονίαν, καὶ παρακαλέσας αὐτοὺς λόγῳ πολλῷ, ἦλθεν εἰς τὴν Ἑλλάδα. καὶ τούτῳ πάλιν ἀνεκτήσατο, ἱκανὴν διδοὺς παραμυθίαν. ὅρα πανταχοῦ διὰ λόγων τὸ πλέον κατορθοῦντα, οὐ διὰ σημείων. μέλλοντι δέ, χ. τοῦ φησίν, ἀνάγεσθαι εἰς τὴν Συρίαν. συνεχῶς ἡμῖν αὐτὸν δείκνυσιν ἐπειγόμενον εἰς τὴν Συρίαν. τὸ δὲ αἴτιον, ἡ ἐκκλησία ἦν καὶ τὰ Ἱεροσόλυμα. οὕτως εἶχε πόθον καὶ τὰ ἐκεῖ κατορθοῦν. καίτοι οὐ μεγάλη ἡ Τρῳὰς ἐστί. τί οὖν ἡμερῶν ἀριθμὸν ἑπτὰ ἐν αὐτῇ ποιοῦσι; μεγάλη ἴσως ἦν κατὰ τοὺς πιστούς. καὶ ἡμέρας δὲ διατρίψας ἑπτά, τῇ ἐπιούσῃ τὴν νύκτα ἀνάλωσεν εἰς τὴν διδασκαλίαν. οὕτω δυσαποσπάστως καὶ αὐτὸς αὐτῶν εἶχε, καὶ αὐτοὶ αὐτοῦ. συνηγμένων δέ, φησίν, ἡμῶν κλάσαι ἄρτον. παρ' αὐτοῖς τὸν καιρόν, ὃ ἐνεδείκνυτο πεινῆν, καὶ οὐκ ἦν ἄκαιρον, ἤρχετο ὁ λόγος λαβὼν παρετάθη· ὥστε οὐ συνηγμένους εἰς διδασκαλίαν καθῆσθαι, ἀλλὰ συνῆλθον μὲν κλάσαι ἄρτον, ἐμπεσόντος δὲ λόγου, παρέτεινε τὴν διδασκαλίαν. ὅρα πῶς καὶ τῇ τραπέζῃ τοῦ Παύλου πάντες ἐκοινώνουν. ἐμοὶ δοκεῖ καὶ παρὰ τὴν τράπεζαν αὐτὸν καθημένους διαλέγεσθαι, παιδεύοντα ἡμᾶς πάντα τὰ λοιπὰ πάρεργα ἡγεῖσθαι. ἐναντιτυπώσατέ μοι τὸν οἶκον ἐκεῖνον, ἔνθα λαμπάδες ἦσαν, ἔνθα ὄχλος, ἔνθα Παῦλος μέσος ὢν διελέγετο, ἔνθα καὶ τὰς θυρίδας πολλοὶ κατελάμβανον. τί ἦν ἰδεῖν, καὶ τῆς σάλπιγγος ἀκοῦσαι ἐκείνης, καὶ τὸ πρόσωπον τὸ χαρίεν θεάσασθαι; τί εἰκὸς εἶναι τοὺς διδασκομένους, καὶ πόσην καρποῦσθαι τὴν ἡδονήν; τίνος δὲ ἕνεκεν ἐν νυκτὶ διελέγετο; ἐπειδὴ ἔμελλεν ἐξιέναι, καὶ οὐκ ἔτι ὁρᾶν αὐτοὺς λοιπόν. ἀλλὰ τοῦτο μὲν αὐτοῖς οὐ λέγει, ἅτε ἀσθενεστέροις οὖσι· τοῖς δὲ ἄλλοις ἔλεγεν. ἅμα δὲ αὐτοὺς καὶ τὸ γενόμενον σημεῖον διαπαντὸς ἐποίει μεμνῆσθαι τῆς ἑσπέρας ἐκείνης. πολλὴ ἡ ἡδονὴ τῶν ἀκροατῶν, [ὅτι] καὶ ἐγκοπεῖσα ἐπετάθη μᾶλλον· ὥστε ὑπὲρ τοῦ διδασκάλου ἡ τελείωσις γέγονεν. ἄλλως τε, καὶ πᾶσιν ἔμελλεν ἐκεῖνος ἐπιτιμᾶν τοῖς ῥαθύμοις, ὁ διὰ τοῦτο ἀποθανών, ἵνα Παύλου ἀκούσῃ. καὶ τίνος ἕνεκεν, φησί, καταλέγει ἕκαστα, καὶ ποῦ ἦλθον, καὶ ποῦ ἀπῆλθον, καὶ ποῦ μὲν ἐνδιέτριβε, τίνα δὲ καὶ παρέπλευσε μέρη; ἵνα δείξῃ τέως σχολαιότερον αὐτὸν πλέοντα, καὶ τοῦτο ἀνθρωπίνως, καὶ παραπλέοντα. ἔκρινε γὰρ παραπλεῦσαι τὴν Ἔφεσον, ἵνα μὴ γένηται αὐτῷ, φησί, χρονοτριβῆσαι ἐν τῇ Ἀσίᾳ. καλῶς. οὐ γὰρ ἠδύνατο γενόμενος ἐκεῖ παραπλεῦσαι, ἐπειδὴ οὐκ ἐβούλετο λυπῆσαι τοὺς μένειν ἀξιοῦντας αὐτόν. ἢ τοίνυν τοῦτό ἐστιν εἰπεῖν, ἢ καὶ ὅτι ἔσπευδεν. ἔσπευδε γάρ, φησίν, εἰ δυνατὸν ἦν αὐτῷ τὴν ἡμέραν τῆς πεντηκοστῆς ποιῆσαι ἐν Ἱεροσολύμοις. ὥστε καὶ διὰ τοῦτο μένειν οὐκ ἦν δυνατόν. ὅρα καὶ ἀνθρωπίνως αὐτὸν κινούμενον, καὶ ἐπιθυμοῦντα καὶ σπεύδοντα, καὶ οὐκ ἐπιτυγχά-

χ. [illegible]ζειν
χ. καὶ οὐκ ἦν δυνατ.

καὶ ἔρχεται εἰς Μακεδονίαν. πῶς δὲ τὸν Τιμόθεον Θεσσαλονικέα φησίν; οὐ τοῦτο λέγει· ἀλλὰ προσλαβὼν, φησὶν, οὗτοι εἰς τὴν Τρωάδα πρόοδον ποιοῦντες αὐτοῦ.

6 Ἡμεῖς δὲ ἐξεπλεύσαμεν μετὰ τὰς ἡμέρας τῶν ἀζύμων ἀπὸ Φιλίππων, καὶ ἤλθομεν πρὸς αὐτοὺς εἰς τὴν Τρωάδα ἄχρις ἡμερῶν πέντε, οὗ διετρίψαμεν ἡμέρας ἑπτά.

Καὶ γὰρ τὰς ἑορτὰς ἐμοὶ δοκεῖ σπουδάζειν αὐτὸν ποιεῖν ἐν ταῖς μεγάλαις πόλεσιν. ἀπὸ Φιλίππων ἐκπλεῖ, ἔνθα τὰ κατὰ τὸ δεσμωτήριον ἐγένετο. τρίτον δὲ τοῦτο εἰς Μακεδονίαν ἐπανῆλθε, καὶ πολλὰ μαρτυρεῖ τοῖς Φιλιππησίοις· διὸ καὶ ἐνδιατρίβει ἐκεῖ.

7 Ἐν δὲ τῇ μιᾷ τῶν σαββάτων, συνηγμένων ἡμῶν τοῦ κλάσαι ἄρτον, ὁ Παῦλος διελέγετο αὐτοῖς μέλλων ἐξιέναι,* παρέτεινέ τε τὸν λόγον μέχρι μεσονυκτίου. Ὅρα πῶς πάντα πάρεργα ἦν τοῦ κηρύγματος. πεντηκοστὴ τότε ἦν, καὶ κυριακὴ ἦν, ὁ δὲ καὶ μέχρι μεσονυκτίου τὴν διδασκαλίαν ἐκτείνει. οὕτω τῆς τῶν μαθητῶν σωτηρίας ἐφίετο, ὅτι οὐδὲ τὴν νύκτα ἐσίγα· ἀλλὰ τότε μᾶλλον διελέγετο, ἅτε ἡσυχίας οὔσης. ὅρα πῶς καὶ πολλὰ διελέγετο, καὶ παρ' αὐτὸν τοῦ δείπνου τὸν καιρόν. ἀλλὰ συνετάραξε τὴν ἑορτὴν ὁ διάβολος, οὐ μὴν ἴσχυσε, βαρυνόμενον τὸν ἀκροατὴν ὕπνῳ, καὶ κατενεχθέντα. καὶ ὅπως συνέβη, ἡρμήνευσεν ἐπαγαγών·

* τῇ ἐπαύριον

χ. ἴ

8 Ἦσαν δὲ λαμπάδες ἱκαναὶ ἐν τῷ ὑπερῴῳ, οὗ ἦμεν συνηγμένοι.

9 Καθήμενος δέ τις νεανίας, ὀνόματι Εὔτυχος, ἐπὶ τῆς θυρίδος, καταφερόμενος ὕπνῳ βαθεῖ, διαλεγομένου τοῦ Παύλου ἐπὶ πλεῖον, κατενεχθεὶς ἀπὸ τοῦ ὕπνου ἔπεσεν ἀπὸ τοῦ τριστέγου κάτω, καὶ ἤρθη νεκρός.

10 Καταβὰς δὲ ὁ Παῦλος ἐπέπεσεν [ἐπ'] αὐτῷ, καὶ συμπεριλαβὼν αὐτὸν εἶπε· μὴ θορυβεῖσθε. ἡ γὰρ ψυχὴ αὐτοῦ ἐν αὐτῷ ἐστιν.

11 Ἀναβὰς δὲ καὶ κλάσας ἄρτον καὶ γευσάμενος, ἐφ' ἱκανόν τε ὁμιλήσας ἄχρις αὐγῆς, οὕτως ἐξῆλθεν.

12 Ἤγαγον δὲ τὸν παῖδα ζῶντα, καὶ παρεκλήθησαν οὐ μετρίως. Θέα δέ μοι τὸ θέατρον ὅπως ἦν συγκεκροτημένον (συνηγμένων γὰρ τῶν μαθητῶν, φησὶ) καὶ τὸ σημεῖον δέ. ἐπὶ θυρίδος γὰρ, φησὶν, ἐκάθητο, καὶ ἀωρὶ τῶν νυκτῶν. τοσοῦτος ἦν ὁ πόθος τῆς ἀκροάσεως. αἰσχυνθῶμεν ἡμεῖς, μηδὲ ἐν ἡμέρᾳ τοῦτο ποιοῦντες. ἀλλὰ Παῦλος διελέγετο, φησὶ, τότε. τί λέγεις; καὶ νῦν Παῦλος διαλέγεται· μᾶλλον δὲ οὐδὲ τότε Παῦλος, οὐδὲ νῦν, ἀλλ' ὁ Χριστός, καὶ οὐδεὶς ἀκούει. οὐχὶ θυρίς ἐστι νῦν, οὐ πάντα, οὐχ ὕπνος ἐνοχλεῖ· καὶ ὅμως οὐκ ἀκούομεν· οὐ στενοχωρία τόπου, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν. καὶ τὸ δὴ θαυμαστὸν, ὅτι καίτοι νεανίας ἐκεῖνος ὤν, οὐκ ἦν ῥᾴθυμος, καὶ ὕπνῳ καταφερόμενος οὐκ ἀπέστη, οὐδὲ ἔδεισε τὸν κίνδυνον, μὴ κατενεχθῇ. εἰ δὲ καὶ νυστάξας κατέπεσε, μὴ θαυμάσῃς. οὐ γὰρ ἀπὸ ῥᾳθυμίας ἐνύσταξεν, ἀλλ' ἀπὸ ἀνάγκης φύσεως. σὺ δέ μοι θέα, ὅτι οὕτως ἔζεσαν τῇ προθυμίᾳ, ὅτι καὶ ἐν τριστέγῳ ἦσαν. οὔπω γὰρ ἦν ἡ ἐκκλησία. μὴ θορυβεῖσθε, φησίν. ἡ γὰρ ψυχὴ αὐτοῦ ἐν αὐτῷ ἐστιν. οὐκ εἶπεν, ἀναστήσεται· ἐγερῶ γὰρ αὐτόν· ἀλλὰ τί; μὴ θορυβεῖσθε. ὅρα τὸ ἄτυφον καὶ παρακλητικόν. ἀναβὰς καὶ κλάσας; φησὶν, ἄρτον καὶ γευσάμενος. τοῦτο διέκοψε τὸν λόγον, οὐ μὴν ἔβλαψεν. ὁρᾷς τοῦ δείπνου τὸ ἀπέριττον; καὶ γευσάμενος, φησὶν, ἐφ' ἱκανόν τε ὁμιλήσας ἄχρις αὐγῆς, οὕτως ἐξῆλθεν. ὁρᾷς πῶς διενυκτέρευον; τοιαῦται αἱ τράπεζαι ἦσαν, ὡς νήφοντας πάλιν ἀπιέναι ὄντας ἀκροατὰς, καὶ πρὸς ἀκρόασιν εἶναι ἐπιτηδείους. τί κινοῦν διαφέρομεν ἡμεῖς; ὁρᾶτε πόσον τὸ διάφορον; ἤγαγον δὲ τὸν παῖδα ζῶντα, καὶ παρεκλήθησαν οὐ μετρίως. σφόδρα παρακαλοῦνται, ὅτι τε ζῶντα ἀπέλαβον, ὅτι τε σημεῖον γέγονεν.

13 Ἡμεῖς δὲ "προσελθόντες ἐπὶ τὸ πλοῖον, ἀνήχθημεν εἰς τὴν Ἄσσον, ἐκεῖθεν μέλλοντες ἀναλαμβάνειν τὸν Παῦλον. οὕτω γὰρ ἦν διατεταγμένος μέλλων αὐτὸς πεζεύειν.

χ. προελ. ἀλλ ἐμβαίνειν

14 Ὡς

μεγάλα. Εἰ δὲ οὐκ ἀπικάμετε, ἐξετάσωμεν καὶ τοὺς τοῦ γέλωτος τόπους, τὰ συμπόσια λέγω, ἔνθα παράσιτοι καὶ κόλακες, καὶ πολλὴ ἡ τρυφή, καὶ τοὺς ἑτέρους, ἔνθα χωλοὶ καὶ ἀνάπηροι. πάλιν ἐκεῖ μὲν μέθη, καὶ τρυφή, καὶ διάχυσις· ἐνταῦθα δὲ τοὐναντίον. ἔστι καὶ ἐπὶ τοῦ σώματος, ὅταν μὲν φλεγμαίνῃ, ὅταν εὐπαθῇ, ταχίστην ἔχει πρὸς νόσον μετάπτωσιν· ὅταν δὲ κατεσταλμένον ᾖ, οὐχ οὕτως. ἵνα δὲ σαφέστερον ὑμῖν ὃ λέγω ποιήσω, ἔστω σῶμα ἔχον πολὺ αἷμα καὶ σάρκας πολλὰς καὶ σφριγῶν· τοῦτο καὶ ἀπὸ τῆς τυχούσης ῥοπῆς πυρετὸν δυνήσεται τεκεῖν, ἂν ἁπλῶς ἀργήσῃ· ἔστω δὲ ἕτερον λιμῷ μᾶλλον παλαῖον καὶ θλίψει· τοῦτο δυσάλωτον καὶ δυσκαταγώνιστον πρὸς ἀρρωστίαν. αἷμα κἂν ὑγιὲς ᾖ ἐν ἡμῖν, τῷ πλήθει πολλάκις νόσον ἔτεκεν· ἂν δὲ ὀλίγον ᾖ, κἂν μὴ ὑγιές, εὐκόλως κατεργασθῆναι δύναται. οὕτω δὴ καὶ ἐπὶ ψυχῆς· ἡ μὲν ἐν ἀνέσει καὶ τρυφῇ ὀξυρρόπους ἔχει πρὸς ἁμαρτίαν τὰς ὁρμάς. καὶ γὰρ ἀπονοίας ἐγγὺς ἡ τοιαύτη ἔτεκε, καὶ ἡδονῆς, καὶ κενοδοξίας, καὶ φθόνου, καὶ ἐπιβουλῶν, καὶ συκοφαντιῶν. ἀλλ' οὐχ ἡ ἐν θλίψει καὶ αὐταρκείᾳ· ἀλλὰ πάντων τούτων ἀπήλλακται. ἰδοὺ ἡλίκη πόλις ἡμῖν ἐστιν ἡ μεγάλη αὕτη. πόθεν οὖν τίκτεται τὰ κακά; οὐκ ἀπὸ τῶν πλουτούντων; οὐκ ἀπὸ τῶν χαιρόντων; τίνες εἰς δικαστήρια ἕλκουσι; τίνες οὐσίας διαρπάζουσι; οἱ ταλαίπωροι καὶ ἀπερριμμένοι, ἢ οἱ μεγάλα φυσῶντες καὶ χαίροντες; οὐκ ἔστιν ἀπὸ ψυχῆς τεθλιμμένης γενέσθαι τι κακόν. οἶδεν αὐτῆς τὸ κέρδος ὁ Παῦλος. διὰ τοῦτό φησιν· Ἡ θλίψις ὑπομονὴν κατεργάζεται· ἡ δὲ ὑπομονὴ δοκιμήν· ἡ δὲ δοκιμὴ ἐλπίδα· ἡ δὲ ἐλπὶς οὐ καταισχύνει. μὴ δὴ καταπίπτωμεν ἐν ταῖς θλίψεσιν, ἀλλ' ἐν ἅπασιν εὐχαριστῶμεν. ἵνα τί κερδάνωμεν μέγα; ἵνα εὐδοκιμήσωμεν παρὰ τῷ Θεῷ τῷ τὰς θλίψεις συγχωροῦντι. μέγα θλίψις ἀγαθόν· καὶ τοῦτο ἀπὸ τῶν παίδων τῶν ἡμετέρων μανθάνομεν. χωρὶς γὰρ θλίψεως οὐδὲν ἂν μάθοι τι χρήσιμον. ἡμεῖς δὲ μᾶλλον αὐτῶν δεόμεθα θλίψεως. εἰ γὰρ ἐκεῖνα τῶν παθῶν ἠρεμούντων αὐτοῖς θάλλει, πολλῷ μᾶλλον ἡμεῖς, καὶ μάλιστα τοσούτοις συνεχόμενοι. ἀλλ' ἡμᾶς μᾶλλον παιδαγωγεῖν ἔχει ἐγχειρῶν. παρὰ μὲν γὰρ τῶν παίδων τὰ ἁμαρτήματα οὐκ ἂν μεγάλα γένοιτο· παρὰ δὲ ἡμῶν σφόδρα μεγάλα. παιδαγωγὸς δὲ ἡμῶν ἡ θλίψις. μὴ τοίνυν ἐπισπώμεθα αὐτήν, καὶ προσοῦσαν γενναίως φέρωμεν, ἀεὶ μυρίων οὖσαν ἀγαθῶν αἰτίαν, ἵνα καὶ τῆς παρὰ τοῦ Θεοῦ ῥοπῆς ἀπολαύσωμεν, καὶ τῶν ἀποκειμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτόν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[Margin: χ. τρυφῆς] [Margin: χ. ... αὐτῶν;] [Margin: Ρωμ. ε γ.]

κεφ. κ. Λογ. μγ.

1 ΜΕΤΑ ΔΕ ΤΟ ΠΑΥΣΑΣΘΑΙ ΤΟΝ ΘΟΡΥΒΟΝ, προσκαλεσάμενος ὁ Παῦλος τοὺς μαθητάς, καὶ ἀσπασάμενος, ἐξῆλθε πορευθῆναι εἰς τὴν Μακεδονίαν.

Ἔδει πολλῆς παρακλήσεως ἀπὸ τῆς ταραχῆς ἐκείνης. τοῦτο δὴ καὶ ποιεῖ, καὶ ἵνα παρακαλέσῃ τοὺς μαθητάς, ἔρχεται εἰς Μακεδονίαν, εἶτα εἰς τὴν Ἑλλάδα. καὶ ὅτι σφόδρα αὐτοὺς παρεκάλεσεν, ἄκουε.

[Margin: χ. ἦ ποιήσας ἦλθεν εἰς Μακεδ.]

2 Διελθὼν δὲ τὰ μέρη ἐκεῖνα καὶ παρακαλέσας αὐτοὺς λόγῳ πολλῷ, ἦλθεν εἰς τὴν Ἑλλάδα,

3 Ποιήσας τε μῆνας τρεῖς, γενομένης αὐτῷ ἐπιβουλῆς ὑπὸ τῶν Ἰουδαίων μέλλοντι ἀνάγεσθαι εἰς τὴν Συρίαν, ἐγένετο γνώμη τοῦ ὑποστρέφειν διὰ Μακεδονίας.

4 Συνείπετο δὲ αὐτῷ ἄχρι τῆς Ἀσίας Σώπατρος Βεροιαῖος, Θεσσαλονικέων δέ, Ἀρίσταρχος καὶ Σεκοῦνδος, καὶ Γάϊος Δερβαῖος, καὶ Τιμόθεος· Ἀσιανοὶ δέ, Τυχικὸς καὶ Τρόφιμος.

5 Οὗτοι προελθόντες ἔμενον ἡμᾶς ἐν Τρωάδι. Πάλιν διώκεται ὑπὸ Ἰουδαίων,

καὶ

Digitized by Google

σα, σχήματα πολλῆς ἀνοίας καὶ μωρίας, καὶ ὅλως οὐδὲν ἕτερον, ἢ πάντα γέλως καὶ καταγέλως τὰ ἐκεῖ. οὐχ ὁ γάμος, λέγω (μὴ γένοιτο) ἀλλὰ τὰ περὶ τὸν γάμον. ἐκβακχεύεται τότε ἡ φύσις, ἄλογα ἀντὶ ἀνθρώπων οἱ παρόντες τότε γίνονται. οἱ μὲν ὡς ἵπποι χρεμετίζουσιν, οἱ δὲ ὡς ὄνοι λακτίζουσι. πολλὴ ἡ διάχυσις, πολλὴ ἡ διάλυσις· οὐδὲν σπουδαῖον, οὐδὲν γενναῖον. πολλὴ ἐκεῖ τοῦ διαβόλου ἡ πομπή, κύμβαλα, αὐλοί, καὶ ᾄσματα πορνείας γέμοντα καὶ μοιχείας. ἀλλ' οὐκ ἐκεῖ, ἔνθα τὸ πένθος· ἀλλὰ πάντα εὔτακτα. πολλὴ γὰρ ἡ σιγή, πολλὴ ἡ ἡσυχία, πολλὴ ἡ καταστολή· οὐδὲν ἄτακτον, οὐδὲν ἄρρυθμον. εἴ τις τι καὶ ἐφθέγξατο, πάντα φιλοσοφίας γέμοντα ῥήματα ἐφθέγξατο. καὶ τὸ δὴ θαυμαστόν, ὅτι παρ' ἐκεῖνον τὸν καιρὸν οὐκ ἄνδρες μόνον, ἀλλὰ καὶ οἰκέται, καὶ γυναῖκες φιλοσοφοῦσι. τοιαύτη γὰρ ἡ τοῦ πένθους φύσις. καὶ δοκοῦσι μὲν παρακαλεῖν τὸν πενθοῦντα, μυρία δὲ φθέγγονται δόγματα φιλοσοφίας μεστά. εὐχαὶ εὐθέως, ὥστε μέχρι τούτου στῆναι, καὶ ἰχθυμοὶ τῷ τὸν πεποιηκότα παραμυθούμενοι, καὶ ἀπαριθμήσεις τῶν τοιαῦτα πενθούντων μυρίαι. τί γάρ ἐστιν ἄνθρωπος; τῆς φύσεως ἐξέτασις τῆς ἡμετέρας. τί τοίνυν ἐστὶν ἄνθρωπος; τοῦ βίου καὶ τῆς εὐτελείας αὐτοῦ κατηγορία, ἀνάμνησις τῶν ἐν τῷ μέλλοντι πραγμάτων, τῆς κρίσεως*. ἕκαστος οἴκαδε ἀναχωρεῖ, ἀπὸ μὲν γάμου λυπούμενος, ὅτι δὴ αὐτὸς μὴ ἐν εὐπραγίᾳ ἐστίν· ἀπὸ δὲ πένθους ἀνειμένος, ὅτι δὴ μὴ τοιαῦτα ἔπαθε, καὶ τὴν φλεγμονὴν σβέσας ἅπασαν ἀπῆλθεν. ἀλλὰ τί; θέλεις τὰ δεσμωτήρια καὶ τὰ θέατρα ἀντεξετάσωμεν; ὁ μὲν γὰρ θλίψεως, ὁ δὲ ἡδονῆς τόπος. φέρε οὖν ἴδωμεν τὰ ἐξ ἑκατέρων συμβαίνοντα· ἐκεῖ φιλοσοφία πολλή. ἔνθα γὰρ ἀθυμία, καὶ φιλοσοφία πάντως. ὁ πρὸ τούτου πλουτῶν, ὁ μεγάλα φυσῶν, καὶ τοῦ τυχόντος ἀνέξεται διαλεγομένου πρὸς αὐτόν, τοῦ φόβου καὶ τῆς ἀθυμίας καθάπερ τινὸς πυρὸς σφοδροτέρου ἐπιπεσόντος αὐτοῦ τῇ ψυχῇ καὶ μαλάττοντος τὸ σκληρόν. τότε ταπεινὸς γίνεται, τότε σκυθρωπός, τότε τῆς μεταβολῆς αἰσθάνεται τῆς βιωτικῆς, τότε καρτερεῖ πρὸς πάντα. ἐν δὲ θεάτρῳ πάντα τὰ ἐναντία, γέλως, αἰσχρότης, πομπὴ διαβολική, διάχυσις, ἀνάλωμα χρόνου, καὶ δαπάνη ἡμερῶν περιττή, ἐπιθυμίας ἀτόπου κατασκευή, μοιχείας μελέτη, πορνείας γυμνάσιον, ἀκολασίας διδασκαλεῖον, προτροπὴ αἰσχρότητος, γέλωτος ὑπόθεσις, ἀσχημοσύνης παραδείγματα. ἀλλ' οὐ τὸ δεσμωτήριον τοιοῦτον· ἀλλ' ἐκεῖ ταπεινοφροσύνη, παράκλησις, φιλοσοφίας προτροπή, ὑπεροψία τῶν βιωτικῶν· πάντα πεπάτηται καὶ καταπεφρόνηται, καὶ καθάπερ παιδίῳ παιδαγωγὸς ὁ φόβος ἐφέστηκε, πρὸς πάντα τὰ δέοντα ῥυθμίζων αὐτόν. ἀλλ', εἰ βούλει, πάλιν ἑτέρως ἐξετάσωμεν τοὺς αὐτοὺς τόπους. ἐβουλόμην συντυχεῖν ἀνθρώπῳ ἀπὸ θεάτρου κατιόντι, καὶ ἄλλῳ ἀπὸ δεσμωτηρίου ἐξιόντι, καὶ εἶδες ἂν τοῦ μὲν τὴν ψυχὴν ἐπτοημένην, τεθορυβημένην, δεδεμένην ὄντως· τοῦ δὲ ἀνειμένην, λελυμένην, ἐπτερωμένην. ὁ μὲν γὰρ ἀπὸ τοῦ θεάτρου ἀναχωρεῖ, ταῖς ὄψεσι τῶν ἐκεῖ γυναικῶν προσδεθείς, πάσης σιδήρου χαλεπώτερα φέρων δεσμά, τοὺς τύπους τοὺς ἐκεῖ, τὰ ῥήματα, τὰ σχήματα· ὁ δὲ ἀπὸ δεσμωτηρίου πάντων ἀνεθείς, οὐκ ἔτι ἡγήσεται πάσχειν τι δεινόν, τοῖς τῶν ἑτέρων τὰ αὐτοῦ παραβάλλων. ὅτι οὐ δέδεται, χάριν εἴσεται λοιπόν· καταφρονήσει τῶν ἀνθρωπίνων πραγμάτων, πολλοὺς πλουτοῦντας ὁρῶν ἐν συμφοραῖς, πολλὰ καὶ μεγάλα δυναμένους καὶ δεδεμένους ἐκεῖ. κἂν ἀδίκως τι πάθῃ, καὶ πρὸς τοῦτο καρτερήσει. καὶ γὰρ καὶ τούτου πολλὰ ἐκεῖ τὰ ὑποδείγματα. εἰς ἔννοιαν ἐλεύσεται τῆς μελλούσης κρίσεως, καὶ φρίξει τοὺς τύπους ἐνταῦθα ὁρῶν. καθάπερ γὰρ ἐνταῦθα ἐν δεσμωτηρίῳ συγκεκλεισμένος, ἐπιεικὴς πρὸς πάντας ἐστίν· οὕτω κἀκεῖνοι περὶ τῆς κρίσεως, περὶ τῆς μελλούσης ἡμέρας, πρὸς γυναῖκα, πρὸς παιδία, πρὸς τοὺς οἰκέτας ἔσονται ἐπιεικέστεροι. ἀλλ' ἀπὸ τοῦ θεάτρου οὐχ οὕτως· ἀλλ' ἀηδέστερον ὄψεται τὴν γυναῖκα, καὶ δυσχερὴς πρὸς τοὺς οἰκέτας ἔσται, παροξυνθήσεται πρὸς τὰ παιδία, ἐκθηριωθήσεται πρὸς πάντας. μεγάλα κακὰ τὰ θέατρα παρασκευάζει ταῖς πόλεσι, μεγάλα, καὶ οὐδὲ τοῦτο ἴσμεν ὅτι μεγάλα.

* ἢ αἰχμαλώσεως.

κ. διδασκάλιον,
κ. -σύνης ὑπόδειγμα, φι.

κ. τύπους

κ. τύπος

καλοῦσιν· οὕτω πάντες αὐτὸν ἐφίλουν οἱ πιστοί. καὶ τίνος ἕνεκεν, φησίν, ὁ Ἀλέξανδρος ἐβούλετο ἀπολογεῖσθαι; μὴ γὰρ αὐτὸς ἐνεκλήθη; * ὥστε καιρὸν εὕρῃ καὶ τὸ πᾶν καταστρέψαι, καὶ ἐκκαῦσαι τοῦ δήμου τὸν θυμόν. (* ἀλλ' κ. ἐλκύσαι) Εἶδες θυμὸν ἄτακτον; καλῶς καὶ ἐπιτιμητικῶς ὁ γραμματεύς, τίς ἐστι, φησίν, ὃς οὐ γινώσκει τὴν Ἐφεσίων πόλιν; οὕτως εἰπὼν περὶ οὗ ἐφοβοῦντο. ὥστε ἔλεγον· ἢ θεραπεύετε αὐτήν; καὶ οὐκ εἶπε, τίς γάρ ἐστιν ὃς οὐ γινώσκει τὴν Ἄρτεμιν, ἀλλά, τὴν πόλιν τὴν ἡμετέραν, θεραπεύειν αὐτούς. ἀναντιρρήτων οὖν τούτων ὄντων, δέον ἐστὶν ὑμᾶς κατεσταλμένους ὑπάρχειν. ταῦτα δῆθεν ἐγκαλεῖ, μονονουχὶ λέγων· τί τοίνυν ζητεῖτε, ὡς ἀδήλων ὄντων; φανερὸν ὡς ἡ ὕβρις εἰς τὸν Θεὸν διαβαίνει. πρόσχημα τὴν εὐσέβειαν ἐβούλοντο ποιεῖν τοῦ χρηματισμοῦ. εἶτα ἠρέμα καθάπτεται αὐτῶν, δεικνὺς ὅτι ἀλογίστως συνῆλθον. καὶ μηδὲν, φησί, προπετὲς πράττειν· δεικνὺς ὅτι προπετῶς ἔπραξαν. τοῦτο εἶπεν, εἰ μὲν οὖν Δημήτριος καὶ οἱ σὺν αὐτῷ ἔχουσί τινα λόγον, ἀνθύπατοί εἰσι. καὶ τοῦτο λέγει ἐγκαλῶν καὶ δεικνὺς ὅτι οὐκ ἔδει ἰδιωτικῶν ἐγκλημάτων ἕνεκεν κοινὴν ἐκκλησίαν ποιεῖσθαι. καὶ γὰρ κινδυνεύομεν, φησίν, ἐγκαλεῖσθαι. τοῦτο σφόδρα αὐτοὺς διηπόρησεν. οὐδενὸς αἰτίου, φησίν, ὑπάρχοντος περὶ οὗ δυνησόμεθα λόγον δοῦναι τῆς συστροφῆς ταύτης. ὁρᾶτε πῶς οἱ ἄπιστοι φρονίμως ἀπολογοῦνται, πῶς συνετῶς. οὕτως ἔσβεσε τὸν θυμόν. ὥσπερ γὰρ ῥᾳδίως ἐξάπτεται, οὕτω καὶ ῥᾳδίως σβέννυται. καὶ ταῦτα εἰπὼν, ἀπέλυσε τὴν ἐκκλησίαν. φησίν, ὁρᾷς τὸν Θεὸν συγχωροῦντα ἐν πειρασμοῖς καὶ διεγείροντα, καὶ ἀφυπνίζοντα τοὺς μαθητὰς τούτοις καὶ σφοδροτέρους ἐργαζόμενοι;

ΗΘΙΚΟΝ

Μὴ δὴ καταπίπτωμεν ἐν τοῖς πειρασμοῖς. αὐτὸς γὰρ ποιήσει καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν. οὐδὲν οὕτω φίλους ποιεῖ καὶ συγκροτεῖ, ὡς θλίψις· οὐδὲν οὕτω συνδεῖ καὶ ἐπισφίγγει τῶν πιστῶν τὰς ψυχάς· οὐδὲν ἡμῖν τοῖς διδασκάλοις οὕτως ἐπιτήδειον πρὸς τὸ τὰ παρ' ἡμῶν λεγόμενα ἀκοῦσαι. ὁ μὲν γὰρ ἀδεὴς τυγχάνων ἀκροατὴς, χαῦνός τίς ἐστι καὶ ῥᾴθυμος, καὶ ἐνοχλεῖσθαι δοκεῖ παρὰ τοῦ λέγοντος· ὁ δὲ θλίψει καὶ στενοχωρίᾳ εἰς πολλὴν ἐπιθυμίαν ἀκροάσεως ἐμπίπτει. στενοχωρούμενος γὰρ τὴν ψυχὴν, πανταχόθεν ζητεῖ παραμυθίαν τῆς θλίψεως εὑρεῖν. οὐ μικρὰν δὲ φέρει λόγος παραμυθίαν. τί οὖν, φησίν, οἱ Ἰουδαῖοι; πῶς θλιβόμενοι ἀπὸ τῆς ὀλιγοψυχίας οὐκ ἤκουον; ὅτι Ἰουδαῖοι ἦσαν, οἱ ἀεὶ ἀσθενεῖς καὶ ταλαίπωροι· ἄλλως τε, καὶ ὅτι καὶ ἐκεῖ πολλὴ ἡ θλίψις ἦν· ἡμῖν δὲ περὶ συμμέτρου ὁ λόγος. (κ. 5) ὅρα γὰρ· προσεδόκησαν ἀπαλλάττεσθαι τῶν κατεχόντων αὐτοὺς κακῶν ἐκεῖνοι, καὶ μυρίοις περιέπεσον [μᾶλλον] δεινοῖς. τοῦτο δὲ οὐχ ὡς ἔτυχεν ἀπορεῖ ψυχήν. αἱ θλίψεις ἀποσχίζουσιν ἡμᾶς τῆς συμπαθείας τῆς πρὸς τὸν παρόντα κόσμον. εὐθέως γοῦν τὸν θάνατον αἰτοῦμεν, καὶ οὐκ ἐσμὲν φιλοσώματοι· ὅπερ μέγιστον φιλοσοφίας μέρος ἐστὶ, μὴ κεχηνέναι, μηδὲ προσδεδέσθαι τῇ παρούσῃ ζωῇ. ἡ θλιβομένη ψυχὴ οὐ βούλεται περὶ πολλὰ εἶναι· ἀλλ' ἀναπαύσεώς τινος μόνον καὶ ἡσυχίας ἐρᾷ. ἀγαπητὸν αὐτῇ τῶν παρόντων ἀπαλλαγῆναι, κἂν μηδὲν ἕτερον ᾖ. καθάπερ σῶμα πεπονηκὸς καὶ ταλαιπωρηθὲν, οὐκ ἐρᾶν βούλεται, οὐ γαστρίζεσθαι, ἀλλ' ἀναπαύεσθαι καὶ ἡσυχῇ κεῖσθαι· οὕτω καὶ ψυχὴ μυρίοις ταραχθεῖσα κακοῖς, πρὸς ἀνάπαυσιν καὶ ἡσυχίαν ἐπείγεται [εἶναι]· ἡ δὲ ἐν ἀνέσει οὖσα, ἐκλύεται, τεθορύβηται, μετέωρός ἐστιν· αὕτη δὲ οὐδὲν κεχηνὸς ἔχουσα, οὐδὲ διάρροιον, ὅλη συνέσφιγκται καὶ μένει ἀμετεώριστος· καὶ ἡ μὲν ἀνδρειοτέρα, ἡ δὲ παιδικωτέρα ἐστί· καὶ ἡ μὲν βαρυτέρα, ἡ δὲ κουφοτέρα. καὶ καθάπερ ἐν πολλῷ ὕδατι ἐμπεσόν τι κοῦφον σαλεύεται· οὕτω καὶ εἰς πολλὴν χαρὰν ἐμπεσοῦσα ψυχή. καὶ τὰ μέγιστα δὲ ἡμῖν ἁμαρτήματα ἀπὸ πολλῆς ἡδονῆς γεγενημένα ἴδοι τις ἄν. καὶ, εἰ βούλεσθε, οἰκίας ὑπογράψωμεν δύο, τὴν μὲν γαμούντων, τὴν δὲ πενθούντων. εἰσέλθωμεν τῷ λόγῳ πρὸς ἑκατέρους, ἴδωμεν τίς τίνος βελτίων. εὑρεθήσεται γὰρ ἡ τοῦ πενθοῦντος φιλοσοφίας γέμουσα· ἡ δὲ τοῦ γαμοῦντος ἀσχημοσύνης. ὅρα γάρ· αἰσχρὰ ἐκεῖ ῥήματα, γέλως ἄτακτος, βήματα ἀτακτότερα, στολὴ καὶ βάδισις ἀσχημοσύνης γέμουσα,

οὐχ ὑπὸ ἀνθρώπου γινόμενον: [ἢ ἔπεσεν ἄγαλμα παρ' αὐτοῖς οὕτως ἔλεγον.]

36 Ἀναντιρρήτων οὖν ὄντων τούτων, δέον ἐστὶν ὑμᾶς κατεσταλμένους ὑπάρχειν, καὶ μηδὲν προπετὲς πράσσειν.

37 Ἠγάγετε γὰρ τοὺς ἄνδρας τούτους, οὔτε ἱεροσύλους, οὔτε βλασφημοῦντας τὴν θεὸν ὑμῶν. Ἄρα τὸ πᾶν ψεῦδος· ταῦτα δὲ πρὸς τὸν δῆμον, ὥστε κἀκείνους ἐπιεικεστέρους γενέσθαι, φησίν.

38 Εἰ μὲν οὖν Δημήτριος καὶ οἱ σὺν αὐτῷ τεχνῖται ἔχουσι πρός τινα λόγον, ἀγοραῖοι ἄγονται, καὶ ἀνθύπατοί εἰσιν, ἐγκαλείτωσαν ἀλλήλοις.

39 Εἰ δέ τι περὶ ἑτέρων ἐπιζητεῖτε, ἐν τῇ ἐννόμῳ ἐκκλησίᾳ ἐπιλυθήσεται.

40 Καὶ γὰρ κινδυνεύομεν ἐγκαλεῖσθαι στάσεως περὶ τῆς σήμερον, μηδενὸς αἰτίου ὑπάρχοντος περὶ οὗ [οὐ] δυνησόμεθα ἀποδοῦναι λόγον τῆς συστροφῆς ταύτης. καὶ ταῦτα εἰπὼν, ἀπέλυσε τὴν ἐκκλησίαν. Ἔννομον ἐκκλησίαν φησί, διότι τρεῖς ἐκκλησίαι ἐγίνοντο κατὰ νόμον καθ' ἕκαστον μῆνα· αὕτη δὲ ἦν παράνομος. εἶτα καὶ ἐφόβησεν αὐτοὺς, εἰπὼν, κινδυνεύομεν ἐγκαλεῖσθαι στάσεως. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. ὡς δὲ ἐπληρώθη ταῦτα, φησίν, ἔθετο ὁ Παῦλος ἐν τῷ πνεύματι διελθὼν τὴν Μακεδονίαν καὶ Ἀχαΐαν, πορεύεσθαι εἰς Ἱεροσόλυμα. οὐκ ἔτι ἀνθρωπίνως ἐνταῦθα ποιεῖ, ἀλλὰ πνεύματι, ᾧ καὶ προείλετο διελθεῖν. τοῦτο γάρ ἐστι τὸ, ἔθετο, καὶ τοιαύτην ὁ λόγος ἔννοιαν ἔχει. τίνος δὲ ἕνεκεν ἀποστέλλει Τιμόθεον καὶ Ἔραστον, οὐ λέγει. ἐμοὶ [δὲ] δοκεῖ καὶ περὶ τούτου εἰπεῖν [τὸ, ἐν πνεύματι] διὸ μηκέτι στέγοντες, εὐδοκήσαμεν καταλειφθῆναι ἐν Ἀθήναις μόνοι. καὶ ὅρα· δύο τῶν διακονούντων αὐτῷ ἀπέστειλε, τήν τε παρουσίαν ἀπαγγεῖλαι, καὶ προθυμοτέρους ποιῆσαι. μάλιστα πάντων τῇ Ἀσίᾳ ἐνδιατρίβει εἰκότως. ἐκεῖ γὰρ ἦν ἡ πολλὴ φατρία τῶν φιλοσόφων. καὶ ἐλθὼν πάλιν αὐτοῖς διελέγετο. καὶ γὰρ πολλὴ ἦν ἐκεῖ δεισιδαιμονία. Δημήτριος γάρ τις, φησίν, ἀργυροκόπος, συναθροίσας τοὺς περὶ τὰ τοιαῦτα ἐργάτας, εἶπεν· ἄνδρες, ἐπίστασθε καὶ θεωρεῖτε καὶ ἀκούετε. οὕτω κατάδηλον ἦν τὸ γενόμενον. [ὅτι] οὗτος, φησίν, ὁ Παῦλος πείσας, μετέστησεν ἱκανὸν ὄχλον. ὥστε οὐ βιαίως, [εἰ ἔπεισεν.] οὕτω δεῖ πείθειν [πόλιν.] εἶτα ἐπάγει ὅθεν αὐτὸν κατεβάλετο, ὅτι οὐκ εἰσὶ θεοὶ οἱ διὰ χειρῶν γινόμενοι. τί ἐστι τοῦτο; ἀνατρέπεται, φησί, τὴν τέχνην τὴν ἡμετέραν. καὶ ἵνα μὴ ἐννοήσωσι καὶ εἴπωσιν, ὅτι μόνος ἄνθρωπος τοιαῦτα ἰσχύει· καὶ [εἰ τοσοῦτον ἰσχύει,] αὐτῷ δεῖ πείθεσθαι, ἐπήγαγεν· ἣν ὅλη ἡ Ἀσία καὶ ἡ οἰκουμένη σέβεται. τὴν φωνὴν αὐτῶν ᾤοντο ἐπιτειχίζειν τῷ πνεύματι τῷ θείῳ. οὕτως παῖδες Ἕλληνες. ἐκ ταύτης τῆς ἐργασίας, φησίν, ἡ εὐπορία ἡμῶν ἐστι. καὶ εἰ ἀπὸ ταύτης τῆς ἐργασίας εὐπορία ὑμῖν περιγίνεται, πῶς ἔπεισεν ἄνθρωπος εὐτελής; πῶς τοσαύτης ἐκράτησε συνηθείας; τί ποιῶν, ἢ τί λέγων; οὐκ ἔστι Παύλου, οὐκ ἔστιν ἀνδρός. καὶ τοῦτο ἀρκεῖ τὸ εἰπεῖν, ὅτι οὐκ εἰσὶ θεοί. εἰ μὲν οὖν οὕτως εὐφώρατον τὸ τῆς ἀσεβείας, πάλαι καταγνωσθῆναι ἔδει· εἰ δὲ ἰσχυρὸν, οὐχ οὕτως ἀναιρεθῆναι ταχέως. οὐ μόνον δέ, φησι, τοῦτο κινδυνεύει ἡμῖν τὸ μέρος. ὡς δή τι ποτε μεῖζον λέγων, τοῦτο ἐπήγαγεν. ἀκούσαντες δὲ καὶ γενόμενοι πλήρεις θυμοῦ ἔκραζον· μεγάλη ἡ Ἄρτεμις Ἐφεσίων (κατὰ πόλιν γὰρ αὐτοῖς ἦσαν θεοί) καὶ οὕτω διέκειντο, ὡς διὰ τῆς φωνῆς ἀνακτώμενοι τὸ σέβας αὐτῆς, καὶ τὰ γεγενημένα ἀναλύοντες. ὅρα ἄτακτον πλῆθος. τοῦ δὲ Παύλου, φησί, βουλομένου εἰσελθεῖν εἰς τὸν δῆμον, οὐκ εἴων αὐτὸν οἱ μαθηταί. ὁ μὲν οὖν Παῦλος ἐβούλετο εἰσελθεῖν δημηγορῆσαι (τοὺς γὰρ διωγμοὺς ἐλάμβανεν εἰς διδασκαλίαν) ἀλλ' οἱ μαθηταὶ οὐκ εἴων αὐτόν. σκόπει πόση περὶ αὐτὸν προνοίᾳ κέχρηνται πανταχοῦ, καὶ ἐξ ἀρχῆς αὐτὸν ἐξήγαγον, ὥστε μὴ περὶ τὰ καίρια λαβεῖν τὴν πληγήν. καίτοι ἤκουε, ὅτι δεῖ καὶ Ῥώμην ἰδεῖν, ὅμως κωλύουσιν. οἰκονομικῶς δὲ προαγορεύει, ἵνα μὴ τῷ γενομένῳ θορυβηθῶσιν. οὕτως οὐδὲ πάσχειν τι αὐτὸν ἐβούλοντο. καὶ τῶν Ἀσιαρχῶν δέ τινες παρεκάλουν αὐτὸν, φησὶ, μὴ εἰσελθεῖν εἰς τὸ θέατρον. εἰδότες αὐτοῦ τὴν προθυμίαν, παρε-

γρ. ταῦτα φθέγγεται, εἰ προείλετο διελθεῖν ἐκεῖ ἐγχρονίσαντος ἕνεκεν

γρ. τυραννίς

καὶ ὅτι πολλῷ μᾶλλον ἐκεῖνα ἡμῖν δώσει, ὑπὲρ ὧν φοβούμεθα. ἤδη προκατέλαβεν αὐτῶν τὰς ψυχὰς, λέγων· ὅτι οὐκ εἰσὶ θεοὶ οἱ διὰ χειρῶν ἀνθρώπων γινόμενοι. ὅρα γὰρ πῶς ἐξήγαγε τοὺς Ἕλληνας, ἐπεὶ εἶπεν, ὅτι οἱ διὰ ἀνθρώπων γινόμενοι οὐκ εἰσὶ θεοί. πανταχοῦ εἰς τὴν τέχνην αὐτοῦ τὸν λόγον. εἶτα τὸ μάλιστα αὐτοὺς λυπῆσαι ὕστερον τίθησι λέγων· οὐ μόνον δὲ τοῦτο τὸ μέρος κινδυνεύει· τουτέστι, τῶν μὲν ἄλλων οὐδεὶς λόγος, ἀλλ' ὅτι καὶ τὸ τῆς μεγάλης θεᾶς ἱερὸν Ἀρτέμιδος κινδυνεύει καθαιρεθῆναι. εἶτα ἵνα μὴ δόξῃ χρηματισμοῦ ἕνεκεν λέγειν ταῦτα, ὅρα τί προστίθησιν· ἣν ἡ οἰκουμένη σέβεται. ὁρᾷς πῶς ἔδειξε μείζω τὴν τοῦ Παύλου δύναμιν, πάντας ἀθλίους καὶ ταλαιπώρους αὐτοὺς ἀποφαίνων, εἴγε ἄνθρωπος ἐλαυνόμενος καὶ σκηνοποιὸς τοσαῦτα δύναται; ὅρα τῶν ἐχθρῶν τὰς μαρτυρίας τοῖς
Πράξ. ε. ε. ἀποστόλοις γινομένας. ἐκεῖ μὲν ἔλεγον, Ἰδοὺ πεπληρώκατε τὴν Ἱερουσαλὴμ τῆς διδαχῆς ὑμῶν· ἐνταῦθα, ὅτι μέλλει καθαιρεῖσθαι τῆς Ἀρτέμιδος ἡ μεγαλειότης. τότε οἱ τὴν οἰκουμένην ἀναστατώσαντες ἥκουσιν, ὅτι οὗτοι καὶ ἐνθάδε πάρεισι, νῦν ὅτι κινδυνεύει ἡμῖν τοῦτο τὸ μέρος
Ἰωαν. ιβ. ιθ. εἰς ἀπελεγμὸν ἐλθεῖν. οὕτω καὶ Ἰουδαῖοι ἐπὶ τοῦ Χριστοῦ ἔλεγον· Ὁρᾶτε ὅτι ὁ κόσμος
Ἰωαν. ια. μη. ὀπίσω αὐτοῦ ἀπῆλθε; καὶ, Ἐλεύσονται οἱ Ῥωμαῖοι καὶ ἀροῦσιν ἡμῶν τὴν πόλιν.

28 Ἀκούσαντες δὲ ταῦτα, ἐπλήσθησαν θυμοῦ. Πόθεν ὁ θυμὸς γέγονεν; ὅτι περὶ τῆς Ἀρτέμιδος ἤκουσαν, ὅτι περὶ τοῦ πορισμοῦ. τοιαῦτα γὰρ τὰ τῶν ἀγοραίων ἤθη, ἀπὸ τοῦ τυχόντος συναρπάζεσθαι καὶ ἐκκαίεσθαι. διὰ ταῦτα μετ' ἐξετάσεως δεῖ ποιεῖν πάντα. ὅρα δὲ πῶς καὶ ἦσαν διακαταφέροντες, ὡς πᾶσι προχεῖται. χ. πόθεν

Ἀκούσαντες δὲ καὶ γενόμενοι πλήρεις θυμοῦ, φησὶν, ἔκραζον λέγοντες· μεγάλη ἡ Ἄρτεμις Ἐφεσίων.

29 Καὶ ἐπλήσθη ἡ πόλις ὅλη τῆς συγχύσεως· ὥρμησάν τε ὁμοθυμαδὸν εἰς τὸ θέατρον. συναρπάσαντες [δὲ] Γάϊον καὶ Ἀρίσταρχον Μακεδόνας, συνεκδήμους Παύλου.

Εἵλκυσαν αὐτούς. ἁπλῶς πάλιν ἐπιάσιν, ὡς ἐπὶ Ἰάσονος Ἰουδαῖοι, καὶ πανταχοῦ αὐτοῖς (παρέσχεν). οὕτως οὐδὲν εἶχον κόμπου γέμον, οὐδὲ δόξης. χ. πείσαντ

30. Τοῦ δὲ Παύλου βουλομένου εἰσελθεῖν εἰς τὸν δῆμον, οὐκ εἴων αὐτὸν οἱ μαθηταί.

31 Τινὲς δὲ τῶν Ἀσιαρχῶν ὄντες αὐτῷ φίλοι, πέμψαντες πρὸς αὐτὸν, παρεκάλουν μὴ δοῦναι ἑαυτὸν εἰς τὸ θέατρον. Παρακαλοῦσιν, ὅτι ἄτακτος ἦσαν δῆμος ἀλογίστῳ ῥύμῃ πάντα τολμῶντες. καὶ ὁ Παῦλος πείθεται. οὐ γὰρ ἦν κενόδοξος, οὐδὲ φιλότιμος.

32 Ἄλλοι μὲν οὖν ἄλλο τι ἔκραζον. ἦν γὰρ ἡ ἐκκλησία συγκεχυμένη. Τοιοῦτον γὰρ τὸ πλῆθος· ἁπλῶς ἕπεται καθάπερ πῦρ εἰς ὕλην ἐμπεσόν. Καὶ οἱ πλείους οὐκ ᾔδεισαν τίνος ἕνεκεν συνεληλύθεισαν.

33 Ἐκ δὲ τοῦ ὄχλου προεβίβασαν Ἀλέξανδρον, προβαλόντων αὐτὸν τῶν Ἰουδαίων.

Προεβάλοντο Ἰουδαῖοι οἰκονομικῶς, ἵνα μηδὲν ἔχωσιν ὕστερον αἰτιᾶσθαι. (οὗτοι καὶ προέβαλλε) καὶ φθέγγεται οὔ τι, ἄκουε. Ὁ δὲ Ἀλέξανδρος κατασείσας τῇ χειρὶ, ἤθελεν ἀπολογεῖσθαι τῷ δήμῳ. χ. ὅπις ἐσίγησαν. ὅσῃ ἄν

34 Ἐπιγνόντες δὲ ὅτι Ἰουδαῖός ἐστι, φωνὴ ἐγένετο μία ἐκ πάντων ὡς ἐπὶ ὥρας δύο κραζόντων· μεγάλη ἡ Ἄρτεμις Ἐφεσίων. Παιδικὴ ὄντως ἡ διάνοια. καθάπερ φοβούμενοι μὴ σβεσθῇ τὸ σέβας αὐτῶν, συνεχῶς ἐβόων. δύο ἔτη ἐκάθισεν ἐκεῖ, καὶ ὅρα πόσοι ἔτι Ἕλληνες ἦσαν.

35 Καταστείλας δὲ ὁ γραμματεὺς τὸν ὄχλον, φησίν· ἄνδρες Ἐφέσιοι, τίς γάρ ἐστιν ἄνθρωπος, ὃς οὐ γινώσκει τὴν Ἐφεσίων πόλιν νεωκόρον οὖσαν τῆς μεγάλης θεᾶς Ἀρτέμιδος καὶ τοῦ Διοπετοῦς; Τούτῳ τῷ τρόπῳ τὸν θυμὸν αὐτῶν ἔσβεσε. καὶ τοῦ Διοπετοῦς. τοῦτο λέγει, ὡς οὐκ ὄντος δήλου τοῦ πράγματος. ἱερὸν δὲ ἕτερον οὕτως ἐκάλουν Διοπετές. ἤτοι τὸ εἴδωλον τοίνυν τῆς Ἀρτέμιδος Διοπετὲς ἔλεγον, ὡς ἐκ τοῦ Διὸς τὸ ὄστρακον ἐκεῖνο πεπτωκὸς, καὶ

οὐχ

Digitized by Google

Λογ. μβ. 21 ΩΣ ΔΕ ΕΠΛΗΡΩΘΗ ΤΑΥΤΑ, ΕΘΕΤΟ Ο Παῦλος ἐν τῷ πνεύματι, διελθὼν τὴν Μακεδονίαν καὶ Ἀχαΐαν, πορεύεσθαι εἰς Ἱερουσαλὴμ εἰπών, ὅτι μετὰ τὸ γενέσθαι με ἐκεῖ, δεῖ με καὶ Ῥώμην ἰδεῖν. 22 Ἀποστείλας δὲ εἰς τὴν Μακεδονίαν δύο τῶν διακονούντων αὐτῷ, Τιμόθεον καὶ Ἔραστον, αὐτὸς ἐπέσχε χρόνον εἰς τὴν Ἀσίαν.

23 Ἐγένετο δὲ κατὰ τὸν καιρὸν ἐκεῖνον τάραχος οὐκ ὀλίγος περὶ τῆς ὁδοῦ.

Ἱκανῶς ἐνδιατρίψας τῇ πόλει, βούλεται μεταστῆναι πάλιν. διὸ καὶ πέμπει τὸν Τιμόθεον καὶ τὸν Ἔραστον εἰς Μακεδονίαν, αὐτὸς δὲ μένει εἰς Ἔφεσον. πῶς δὲ ἐξ ἀρχῆς ἑλόμενος εἰς Συρίαν ἀπελθεῖν, πάλιν εἰς Μακεδονίαν ὑποστρέφει; δηλονότι ὅτι πάντα οὐκ οἰκεία δυνάμει ἐπορεύετο. ἤδη προφητεύει λέγων, δεῖ με καὶ Ῥώμην ἰδεῖν. τοῦτο δὲ εἶπεν, ἴσως παραμυθούμενος αὐτούς, ὡς οὐκ ἀποθανούμενος, ἀλλ' ὡς πάλιν ἐπίτιμος γινόμενος αὐτῶν, καὶ διεγείρων τὰς ψυχὰς τῶν μαθητῶν τῇ προφητείᾳ. ἐντεῦθεν μοι δοκεῖ γράφειν Κορινθίοις ἀπὸ Ἐφέσου καὶ λέγει· Ὅτι οὐ θέλω ὑμᾶς ἀγνοεῖν ὑπὲρ τῆς θλίψεως τῆς γενομένης ἡμῖν ἐν τῇ Ἀσίᾳ. ὅθεν γὰρ ἐπαγγέλλεται εἰς Κόρινθον ἀπελθεῖν, ἀπολογεῖται ἀπὸ βραδυτῆτος, καὶ λέγει τὸν πειρασμὸν λοιπόν, τὸν κατὰ Δημήτριον διηγούμενος. [τοῦτο γὰρ αἰνίττεται, τάραχον οὐκ ὀλίγον εἰπὼν περὶ τῆς ὁδοῦ γεγενῆσθαι. πάλιν κίνδυνος, πάλιν τάραχος.] ὁρᾷς τὴν εὐδοκίμησιν; ἐγένετο σημεῖα· διὰ τοῦτο δὲ ἀντιλέγουσι. * οὕτω διὰ πάντων ὑφαίνεται τὰ πράγματα.

χ. πάλιν. χ. πολλά· * πάλιν κίνδυνος.

24 Δημήτριος γάρ τις ὀνόματι, ἀργυροκόπος, ποιῶν ναοὺς ἀργυροῦς Ἀρτέμιδος, παρείχετο τοῖς τεχνίταις ἐργασίαν οὐκ ὀλίγην.

25 Οὓς [καὶ] συναθροίσας καὶ [ἐπισυναγαγὼν] τοὺς περὶ τὰ τοιαῦτα ἐργάτας, εἶπεν· ἄνδρες, ἐπίστασθε ὅτι ἐκ ταύτης τῆς ἐργασίας ἡ εὐπορία ἡμῶν ἐστί.

χ. ἐμπορία. χ. -μῖν

26 Καὶ θεωρεῖτε καὶ ἀκούετε, ὅτι οὐ μόνον Ἐφέσου, ἀλλὰ καὶ σχεδὸν πάσης τῆς Ἀσίας ὁ Παῦλος οὗτος πείσας μετέστησεν ὄχλον ἱκανόν, λέγων ὅτι οὐκ εἰσὶ θεοὶ οἱ διὰ χειρῶν [ἀνθρώπων] γινόμενοι.

27 Οὐ μόνον δὲ τοῦτο κινδυνεύει ἡμῖν τὸ μέρος εἰς ἀπελεγμὸν ἐλθεῖν, ἀλλὰ καὶ τὸ τῆς μεγάλης θεᾶς ἱερὸν Ἀρτέμιδος εἰς οὐδὲν λογισθῆναι· μέλλειν δὲ καὶ καθαιρεῖσθαι τὴν μεγαλειότητα αὐτῆς, ἣν ὅλη ἡ Ἀσία καὶ ἡ οἰκουμένη σέβεται. Ποιῶν, φησι, ναοὺς ἀργυροῦς Ἀρτέμιδος. καὶ πῶς ἔνι ναοὺς ἀργυροῦς γενέσθαι; ἴσως ὡς κιβώρια μικρά. πολλὴ γὰρ ταύτης ἡ τιμὴ ἐν Ἐφέσῳ· ὅπου καὶ τὸ ἱερὸν αὐτῆς ἐμπρησθὲν οὕτως ἐλύπησεν αὐτούς, ὡς τὸν ἐμπρήσαντα κελεύειν μηδὲ ὀνόματι λέγεσθαι. ὅρα πανταχοῦ τὴν εἰδωλολατρείαν ἀπὸ χρημάτων γινομένην. κἀκεῖνοι διὰ χρήματα, καὶ οὗτοι διὰ χρήματα· οὐχ ὡς τῆς ἀσεβείας κινδυνευούσης αὐτοῖς, ἀλλ' ὡς τοῦ πορισμοῦ τὴν ὑπόθεσιν οὐκ ἔχοντος. * καὶ σκόπει κακίαν ἀνδρός. εὐπορίας ἦν αὐτοῖς, καὶ αὐτοῖς μὲν οὐ τοσαύτη ἔμελλε βλάβη γενέσθαι ἐκ τούτου· ἐκείνοις δὲ ἦν πολλή, ἅτε πένησιν οὖσι, καὶ ἀπὸ τῆς καθημερινῆς ἐργασίας τρεφομένοις· καὶ ὅμως οὕτω μὲν οὐδὲν λέγουσιν, αὐτὸς δέ. κοινωνοὺς δὲ οὕτω αὐτοὺς τῆς τέχνης, κοινωνοὺς λαμβάνει καὶ τοῦ θορύβου. εἶτα καὶ τὸν κίνδυνον αὔξησεν, ἐπαγαγὼν ὅτι κινδυνεύει ἡμῖν τοῦτο τὸ μέρος εἰς ἀπελεγμὸν ἐλθεῖν. τοῦτο γὰρ σχεδὸν διὰ τούτου δηλοῖ, ὅτι ἀπὸ τῆς τέχνης ταύτης κινδυνεύομεν εἰς λιμὸν ἐμπεσεῖν. καίτοι τὰ εἰρημένα ἱκανὰ εἰς εὐσέβειαν αὐτοὺς ἀγαγεῖν· ἀλλὰ ταλαίπωροί τινες ὄντες καὶ ψυχροί, ἐπισυνίστανται μᾶλλον καὶ οὐκ ἐννοοῦσιν, ὅτι εἰ ὁ ἄνθρωπος οὗτος τοσαῦτα ἰσχύει, ὡς μεταστῆσαι πάντας, καὶ κινδυνεύειν τὰ τῶν θεῶν, ἡλίκος ὁ τούτου Θεός·

* καὶ ὅρα πῶς Σεβαστὸν αὐτὸν δείκνυσι τοῦ μείζονα ἀπάντων ἔχοντος



Digitized by Google

ποτε, ἐλαττώσωσιν ἡμῖν τὸν μισθόν. ὅταν γὰρ μηδὲν παρὰ ἀνθρώπων λάβωμεν, τότε μείζονα παρὰ τοῦ Θεοῦ ληψόμεθα. τί δὲ καταγελαστότερον, τί δὲ ψυχρότερον ψυχῆς ὀργιζομένης διαπαντός, καὶ βουλομένης ἐπεξελθεῖν; γυναικώδης αὕτη ἡ προαίρεσις καὶ παιδική. καθάπερ γὰρ ἐκεῖνα καὶ πρὸς τὰ ἄψυχα ὀργίζεται, κἂν μὴ πλήξῃ τὸ ἔδαφος ἡ μήτηρ, οὐκ ἀφίησι τὴν ὀργήν· οὕτω δὴ καὶ οὗτοι τοὺς λυπήσαντας ἀμύνασθαι βούλονται. ἆρα αὐτοὶ γέλωτος ἄξιοι. τὸ γὰρ ὑπὸ θυμοῦ κρατεῖσθαι, παιδικῆς διανοίας· τὸ δὲ κρατεῖν, ἀνδρειότητος. ἆρα οὐχ ἡμεῖς καταγελώμεθα ὅταν φιλοσοφῶμεν, ἀλλ᾽ ἐκεῖνοι. οὐκ ἔστι τοῦτο εὐ-καταφρόνητον ἀνθρώπων, τὸ μὴ ἡττᾶσθαι πάθει· εὐκαταφρόνητον δέ ἐστι, τὸ οὕτω τρέμειν τὴν ἔξωθεν γνώμην, ὡς διὰ τοῦτο αἱρεῖσθαι καὶ πάθη ὑποπίπτειν οἰκεῖα, καὶ Θεῷ προσκρούειν, καὶ ἑαυτὸν ἀμύνασθαι. ταῦτα ὄντως γέλωτος ἄξια. οὐκοῦν ταῦτα φεύγωμεν. λεγέτω ὅτι μυρία ἡμᾶς ἐργασάμενος κακά, οὐδὲν αὐτὸς ἔπαθε· λεγέτω, ὅτι καὶ πάλιν ἡμῖν εἰ ἐπικωμάσειεν, οὐδὲν πείσεται. οὐκ ἂν ἑτέρως ἡμῶν ἐκήρυξε τὴν ἀρετήν, οὐκ ἂν ἄλλα ἐξήτησε ῥήματα, εἰ ἐπαινέσαι ἡμᾶς ἐβούλετο, ἀλλ᾽ ἢ ταῦτα, ἃ δοκεῖ κακίζων λέγειν. εἴθε πάντες περὶ ἐμοῦ ταῦτα ἔλεγον, ὅτι ψυχρὸς ἄνθρωπος καὶ ταλαίπωρός ἐστι. πάντες εἰς αὐτὸν ὑβρίζουσιν, αὐτὸς δὲ φέρει· πάντες ἐνάλλονται, αὐτὸς δὲ οὐκ ἀμύνεται. εἴθε προσετίθεσαν, ὅτι οὐδέ, ἐὰν θέλῃ, δύναται, ἵνα μοι ὁ ἔπαινος ᾖ ἐκ τοῦ Θεοῦ, καὶ μὴ ἐξ ἀνθρώπων. λεγέτω, ὅτι διὰ ψυχρότητα οὐκ ἀμυνόμεθα. οὐδὲν ἡμᾶς βλάπτει τοῦτο, ὅταν ὁ Θεὸς εἰδῇ, ἀλλ᾽ ἐν μείζονι καθίστησιν ἡμῶν τὸν θησαυρὸν φυλακῇ. εἰ μέλλοιμεν πρὸς ἐκείνους ὁρᾶν, πάντων ἀποπεσούμεθα. μὴ τί λέγουσιν, ἀλλὰ τί ἡμῖν πρέπει, ἴδωμεν. τὸ δέ· μὴ γάρ μου καταγελάσῃ, φασί, καὶ καυχῶνταί τινες. ὢ τῆς ἀνοίας. οὐδείς με ἀδικήσας καταγελᾷ σέ μου, φησί· τουτέστιν, ἐπεξῆλθον· καὶ μὴν τούτῳ καταγελᾶσθαι ὀφείλεις, ὅτι ἐπεξῆλθες. πόθεν ταῦτα τὰ ῥήματα ἐπεισῆλθεν, αἰσχύνη καὶ ὄλεθρος ὄντα καὶ ἀνατροπὴ τῆς ζωῆς τῆς ἡμετέρας καὶ τῆς πολιτείας; ἆρα οὐκ ἀπὸ τοῦ ἀπαιδευσίας τὸ Θεῷ ἀντιφθέγγεσθαι; ὃ γὰρ ποιεῖ Θεοῦ ἴσον, τὸ μὴ ἀμύνασθαι, τοῦτο γέλωτα νομίζεις. οὐ διὰ ταῦτα γελᾶσθαί ἐσμεν ἄξιοι, καὶ παρὰ ἡμῶν αὐτῶν, καὶ παρὰ Ἑλλήνων, οὕτως ἀντιφθεγγόμενοι τῷ Θεῷ; βούλομαί τι διηγήσασθαι γενόμενον ἐπὶ τῶν παλαιῶν, οὐ περὶ ὀργῆς, ἀλλὰ περὶ χρημάτων. κέκτηταί τις χωρίον θησαυρὸν ἔχον ἐγκεκρυμμένον οὐκ εἰδότος τοῦ δεσπότου. τοῦτο ἐκεῖνος τὸ χωρίον ἀπέδοτο. ὁ πριάμενος διασκάπτων ὥστε φυτεῦσαι καὶ ἐπιμελήσασθαι, εὗρε τὸν θησαυρὸν ἐναποκείμενον. μαθὼν ὁ ἀποδόμενος τοῦτο, ἐλθὼν ἐβιάζετο τὸν ἠγορακότα ἀπολαβεῖν τὸν θησαυρόν. χωρίον γὰρ ἔλεγε πεπρακέναι, οὐ θησαυρόν. πάλιν ἐκεῖνος διωθεῖτο αὐτόν, λέγων τὸ χωρίον ἠγορακέναι μετὰ τοῦ θησαυροῦ, καὶ οὐδένα λόγον ποιεῖσθαι ὑπὲρ τούτου. εἰς ἀμφισβήτησιν κατέστησαν ἀμφότεροι, ὁ μὲν λαβεῖν βουλόμενος, ὁ δὲ φιλονεικῶν μὴ δοῦναι, καὶ ἐπιτυχόντες ἀνθρώπου τινὸς διελέγοντο. εἶπε πρῶτον αὐτοῖς, τίνι δεῖ προσγενέσθαι τὸν θησαυρόν. ὁ δὲ οὐκ ἀπεφήνατο· ἔφησε δὲ καταλύσειν αὐτῶν τὴν ἀμφισβήτησιν· αὐτὸς γὰρ ἔσεσθαι κύριος. καὶ λαβὼν τὸν θησαυρόν, ἑκόντων παραχωρησάντων ἐκείνων, μυρία ὕστερον ὑπέστη κακά, καὶ ἔργῳ ἐμάνθανεν, ὅτι εἰκότως ἐκεῖνοι τούτου ἀπέστησαν. τοῦτο καὶ περὶ τῆς ὀργῆς δεῖ γίνεσθαι, καὶ ἡμᾶς φιλονεικεῖν μὴ ἀμύνασθαι, καὶ τοὺς λελυπηκότας φιλονεικεῖν δοῦναι δίκην. ἀλλὰ τάχα ταῦτα καὶ γέλως τις εἶναι δοκεῖ. ὅταν γὰρ ἐπιπλέον ἡ μανία κατάσχῃ, τὸ σωφρονοῦν γέλως ἐστί, καὶ ἐν πολλοῖς μαινομένοις ὁ μὴ μαινόμενος δοκεῖ μαίνεσθαι. διὸ παρακαλῶ αἰνεῖν, καὶ ἡμῶν αὐτῶν γενέσθαι, ἵνα δυνηθῶμεν τοῦ ὀλεθρίου τούτου πάθους καθαρεύοντες, τῆς τῶν οὐρανῶν βασιλείας ἀξιωθῆναι, χάριτι καὶ οἰκτιρμοῖς τοῦ μονογενοῦς αὐτοῦ παιδός, μεθ᾽ οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

χ. τὸ

χ. ὑμῖν κωμάσαι ἐπίωσιν, ἐκ. ἄλλ. ἡμ. ἐπικωμάσαι ἕτερος

χ. μὴ ἔπαινος ᾖ ἐκ τοῦ

χ. ἀπαιδευσίας τὸ Θεῷ φθέγγεσθαι

χ. προσγενέσθαι

γρ. ἀλλ' ἐν ἑαυτοῖς διάκεινται.

φοιεν, " οὐδὲ ἐχθροὶ δώσουσι δίκην. οὐ μικρὰ δὲ καὶ τοῦτο. καθάπερ γὰρ οἱ μωροὶ, καθάπερ γὰρ οἱ μαινόμενοι, καθάπερ οἱ παῖδες οὐκ ἀπαιτοῦνται εὐθύνας· οὕτως οὐδὲ οὗτοι. τῶν γὰρ οὐκ ἐν γνώσει πραττομένων, οὐδεὶς οὕτως ὠμὸς, ὥστε ἀπαιτῆσαι δίκην ποτέ. ἆρα πολλῷ τῶν δαιμονώντων χεῖρον διακείμεθα οἱ ἁμαρτάνοντες. ἀλλ' ὅτι οὐκ ἀφρίζομεν, οὐδὲ διαστρέφομεν τὰς κόρας, οὐδὲ τὰς χεῖρας; εἴθε ἐν τῷ σώματι τοῦτο ἐπάσχομεν, καὶ μὴ ἐν τῇ ψυχῇ. βούλει σοι δείξω ψυχὴν ἀφρίζουσαν, ἀκάθαρτον, καὶ διαστροφὴν ὀμμάτων διανοίας; ἐννόησον τοὺς ὀργιζομένους καὶ μεθύοντας ὑπὸ τοῦ θυμοῦ, πόσον ἀφρὸν οὐκ ἀκαθαρτότερον ἐκβάλλουσι ῥήματα; οὕτως ὥσπερ δυσώδη σίελον ἀποβλύζουσι. καὶ καθάπερ ἐκεῖνοι οὐδὲν ἴσασι τῶν παρόντων, οὕτως οὐδὲ οὗτοι. σκοτισθείσης γὰρ αὐτοῖς τῆς διανοίας καὶ διαστραφέντων τῶν ὀφθαλμῶν, οὐ φίλον, οὐκ ἐχθρὸν, οὐκ αἰδέσιμον, οὐκ εὐκαταφρόνητον, ἀλλὰ πάντας ἁπλῶς ὁρῶσιν. οὐχ ὁρᾷς αὐτοὺς καὶ τρέμοντας καθάπερ ἐκείνους; ἀλλ' οὐ πίπτουσι χαμαί; ἀλλ' ἡ ψυχὴ αὐτῶν χαμαὶ πίπτει καὶ κεῖται ἀσπαίρουσα. εἰ γὰρ ὀρθὴ εἱστήκει, οὐκ ἂν ἔπαθεν ἐκεῖνα ἅπερ ἔπαθεν. ἢ οὐ δοκεῖ σοι καταβεβλημένης εἶναι ψυχῆς καὶ τὴν οἰκείαν νῆψιν " ἀπολωλεκυίας, καὶ ἃ ποιοῦσι καὶ λέγουσι μεθύοντες τῷ θυμῷ; ἔστι τι καὶ

γρ. -λωλυίας

ἕτερον μανίας εἶδος τούτου χαλεπώτερον. ποῖον δὴ τοῦτο; ὅταν μηδὲ ἀφεῖναι τὴν ὀργὴν ἀνέχωνται, ἀλλὰ τρέφωσι παρ' ἑαυτοῖς οἰκεῖον κακὸν, καθάπερ τινὰ δήμιον, τὴν μνησικακίαν. αὐτοὺς γὰρ πρότερους ἀπόλλυσι τὸ μνησικακεῖν, ἐντεῦθεν ἤδη, ἵνα τὰ μέλλοντα παρῶ. πόσην γὰρ οἴει βάσανον εἶναι ἀνθρώπῳ πεπληγμένῳ τὴν ψυχὴν, καθ' ἑκάστην ἡμέραν σκοποῦντι ὅπως ἀμύνηται τὸν ἐχθρόν; πρότερον ἑαυτὸν κολάζει ὁ τοιοῦτος καὶ τιμωρεῖται οἰδαίνων, πρὸς ἑαυτὸν μαχόμενος, ἐμπυριζόμενος. ἀνάγκη γὰρ διαπαντὸς καίεσθαι παρὰ σοὶ τὸ πῦρ· καὶ τὸν πυρετὸν ἐπὶ τοσοῦτον ἐκτείνων, οὐκ ἀφίης παρακμάσαι. καὶ νομίζεις ἐκείνῳ διδόναι τι κακὸν, αὐτὸς δὲ σεαυτὸν τήκεις, διαπαντὸς τὴν φλόγα ἀκμάζουσαν φέρων, καὶ διαναπαύσασθαι τὴν ψυχὴν οὐκ ἐῶν, ἀλλ' ἐκθηριούμενος ἀεὶ, καὶ ἐν ταραχῇ καὶ ἐν χειμῶνι τῶν λογισμῶν ἔχων. τί ταύτης χαλεπώτερον τῆς μανίας, διαπαντὸς λυπεῖσθαι καὶ οἰδεῖν καὶ φλεγμαίνειν; τοιαῦται γὰρ αἱ τῶν μνησικάκων ψυχαί· εἴθε ἂν ἴδωσιν οὓς βούλονται ἀμύνασθαι, εὐθέως ἐπλήγησαν· ἂν φωνῆς ἀκούσωσι, καταπίπτουσι, τρέμουσιν· ἂν ἐπὶ κλίνης ὦσι, μυρίας ἑαυτοῖς ὑπογράφουσι τιμωρίας, ἀναρτῶντες, βασανίζοντες ἐκεῖνον τὸν ἐχθρόν· πρὸς δὲ τούτοις, ἂν καὶ εὐδοκιμοῦντα ἴδωσι, βαβαὶ τῆς τιμωρίας. ἄφες αὐτῷ τὸ ἁμάρτημα, καὶ ἀπάλλαξον σαυτὸν τῆς βασάνου. τί μένεις διαπαντὸς κολαζόμενος, ἵνα ἐκεῖνον ἅπαξ κολάσῃς καὶ τιμωρήσῃ; τί κατασκευάζεις " ἐκτικὸν σαυτῷ νόσημα; τί βουλόμενον ἀπαλλαγῆναί σου τὸν θυμὸν κατέχεις; μηδὲ μέχρις ἑσπέρας μενέτω, φησὶν ὁ Παῦλος. καθάπερ γὰρ τηκεδὼν τις καὶ σὴς, οὕτω τὴν ῥίζαν τῆς ἡμετέρας διαστρώννυσι διανοίας. τί δή ποτε ἐναποκλείεις εἰς τὰ σπλάγχνα τὰ σά; βέλτιον ὄφιν ἔχειν ἐγκεῖσθαι τῇ καρδίᾳ, ἢ θυμὸν καὶ μνησικακίαν. ἐκεῖνα μὲν γὰρ εὐθέως ἂν ἡμᾶς ἀπήλλαξεν· οὗτος δὲ ὥσπερ διαπαντὸς τοὺς ὀδόντας ἐμπηγνὺς, τὸν ἰὸν ἐντίθησι, τοὺς χαλεποὺς ἐπισπείρων λογισμούς. ἀλλὰ ταῦτα ποιῶ, φησὶν, ἵνα " μὴ καταγελάσῃ, ἵνα μὴ καταφρονήσῃ. ἄθλιε ἄνθρωπε καὶ ταλαίπωρε, οὐ βούλει καταγελασθῆναι παρὰ τοῦ συνδούλου, ἀλλὰ μισηθῆναι παρὰ τοῦ δεσπότου; οὐ βούλει καταφρονηθῆναι παρὰ τοῦ ὁμοδούλου, ἀλλὰ καταφρονεῖς τοῦ δεσπότου; καταφρονηθῆναι παρ' αὐτοῦ οὐκ ἀνέχῃ· τὸν δὲ Θεὸν ἀγανακτεῖν οὐκ οἴει, ὅτι αὐτοῦ καταγελᾷς, ὅτι αὐτοῦ καταφρονεῖς, οὐ βουλόμενος αὐτῷ πείθεσθαι; ὅτι δὲ οὐδὲ καταγελάσεταί σου, δῆλον ἐκεῖθεν. ἂν μὲν σὺ ἐπεξέλθῃς, πολὺς ὁ γέλως, πολλὴ ἡ καταφρόνησις (μικροψυχίας γὰρ τὸ πρᾶγμα)· ἂν δὲ ἀφῇς, πολὺ τὸ θαῦμα. μεγαλοψυχίας γὰρ τοῦτο. ἀλλ' ἐκεῖνος οὐκ οἶδε, φησίν. ἴστω ὁ Θεός, ἵνα μείζονα ἔχῃς τὸν μισθόν. " Δανείζετε γάρ, φησι, παρ' ὧν οὐκ ἐλπίζετε ἀπολαβεῖν. οὕτω καὶ εὐεργετῶμεν τοὺς μηδὲ αἰσθανομένους ὅτι εὐεργετοῦνται, ἵνα μὴ ἀντιδιδόντες ἡμῖν τὸν ἔπαινον, ἢ ὁτιδήποτε,

γρ. ἐκτικὸν

Ἐφεσ. δ. κϛ.

γρ. μή μου καταγ.

γρ. ποιεῖτε γάρ, φησι, τοῖς μὴ δυναμένοις ὑμῖν ἀνταποδοῦναι. οὕτω

Λουκ. ϛ. λε.

δαίμων,] καὶ οὐ τολμήσαντας ἀντειπεῖν, οὐδὲ κατηγορῆσαι τῶν ἀποστόλων, οὐδὲ τοῦ Χριστοῦ. ἐκεῖ λέγουσιν οἱ δαίμονες, Οἴδαμέν σε τίς εἶ· καί, Τί ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς; καὶ πάλιν, [Marc. α. κδ. Matth. η. κθ. Πραξ. ιθ. ιε.] Οἶδά σε τίς εἶ, ὁ υἱὸς τοῦ Θεοῦ· ἐνταῦθα δέ, Οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου εἰσί· καὶ πάλιν, Τὸν μὲν Ἰησοῦν γινώσκω, καὶ τὸν Παῦλον ἐπίσταμαι. πάνυ γὰρ ἐδεδοίκεσαν, καὶ ἔτρεμον τοὺς ἁγίους ἐκείνους. Τάχα τις ὑμῶν ἀκούσας, ποθεῖ ἐπὶ ταύτης γενέσθαι τῆς ἐξουσίας, ὥστε μὴ δύνασθαι δαίμονας ἀντιβλέπειν αὐτῷ, καὶ μακαρίζει τοὺς ἁγίους ἐκείνους διὰ τοῦτο, ὅτι τοσαύτην εἶχον ἰσχύν. [Λουκ. ι. κ.] ἀλλ' ἀκουέτω τοῦ Χριστοῦ λέγοντος· Μὴ χαίρετε ὅτι τὰ δαιμόνια ὑμῖν ὑποτάσσεται, ἐπειδὴ οἱ πάντες οἱ ἄνθρωποι μάλιστα τούτῳ χαίρουσι διὰ κενοδοξίαν. Εἰ γὰρ τὸ τῷ Θεῷ ἀρέσκον ζητεῖς, καὶ τὸ κοινῇ συμφέρον, ἑτέρα μείζων ἐστὶν ὁδός. οὐκ ἔστιν οὕτω μέγα δαίμονος ἀπαλλάξαι, ὡς ἁμαρτίας ἐξελέσθαι. δαίμων οὐ κωλύει βασιλείας οὐρανῶν ἐπιτυχεῖν, ἀλλὰ καὶ συμπράττει· ἄκων μέν, συμπράττει δέ, σωφρονέστερον τὸν ἔχοντα ποιῶν· ἁμαρτία δὲ ἐκβάλλει. ἀλλ' ἴσως ἐρεῖ τις, μὴ γένοιτό μοι τοιούτου τυχεῖν σωφρονισμοῦ. * οὐδ' ἐγὼ βούλομαι, ἀλλ' ἑτέρου, ἀπὸ τοῦ πόθου τοῦ Χριστοῦ πάντα ποιεῖν· εἰ δέ, ὃ μὴ γένοιτο, συμβαίη, καὶ ὑπὲρ τούτου παρακαλεῖ. [* μηδὲ γένοιτο.] Εἰ τοίνυν οὗτος μὲν οὐκ ἐκβάλλει, ἐκείνη δὲ ἐκβάλλει, τὸ ἐκείνης ἀπαλλάξαι, μείζονος εὐεργεσίας. οὐκοῦν ταύτης σπουδάζωμεν ἀπαλλάττειν τοὺς πλησίον, καὶ πρὸ τῶν πλησίον, ἡμᾶς αὐτούς. ἴδωμεν μὴ δαίμονα ἔχωμεν· ἐξετάσωμεν ἑαυτοὺς ἀκριβῶς. δαίμονος χαλεπώτερον ἁμαρτία. ἐκεῖνος μὲν γὰρ ταπεινοὺς ποιεῖ. ἢ οὐχ ὁρᾶτε τοὺς δαιμονῶντας, ὅταν ἀνενέγκωσιν ἀπὸ τῆς νόσου, πῶς εἰσι κατηφεῖς; πῶς σκυθρωποί; πῶς αἰσχύνης τὰ πρόσωπα αὐτῶν γέμει; πῶς οὐδὲ ἀντιβλέψαι τολμῶσιν; ὅρα τὴν ἀτοπίαν. ἐκεῖνοι μὲν ὑπὲρ ὧν πάσχουσιν αἰσχύνονται· ἡμεῖς δὲ ὑπὲρ ὧν πράττομεν οὐκ αἰσχυνόμεθα· ἐκεῖνοι ἀδικούμενοι αἰδοῦνται, ἡμεῖς ἀδικοῦντες οὐκ αἰδούμεθα. καίτοι τὰ ἐκείνων οὐκ αἰσχύνης ἄξια, ἀλλ' ἐλέου καὶ φιλανθρωπίας καὶ συγγνώμης, καὶ πολλοῦ τοῦ θαύματος, καὶ μυρίων τῶν ἐπαίνων, ὅταν καὶ τοιούτῳ προσπαλαίοντες δαίμονι, πάντα εὐχαρίστως φέρωσι· τὰ δὲ ἡμέτερα γέλωτος ὄντως, αἰσχύνης, κατηγορίας, κολάσεως, τιμωρίας, τῆς ἐσχάτου κακοῦ καὶ γεέννης, ἀλλ' οὐδεμιᾶς ἄξια συγγνώμης. ὁρᾷς ὅτι χαλεπώτερον δαίμονος ἁμαρτία; καὶ ἐκεῖνοι μὲν ἐξ ὧν πάσχουσι κακῶς, κερδαίνουσι κέρδος διπλοῦν· ἓν μέν, τὸ σωφρονίζεσθαι καὶ φιλοσοφώτεροι εἶναι· δεύτερον δέ, τὸ τὴν κόλασιν ἐνταῦθα τῶν οἰκείων ἁμαρτημάτων δόντας, καθαροὺς πρὸς τὸν δεσπότην ἀπελθεῖν. καὶ γὰρ ὑπὲρ τούτου διελέχθημεν πολλάκις καὶ ἐδείξαμεν, ὅτι τοὺς ἐνταῦθα κολαζομένους, ἂν εὐχαριστοῦντες φέρωσι, πολλὰ τῶν ἁμαρτημάτων ἀποτίθεσθαι εἰκός· ἀπὸ δὲ τῶν ἁμαρτημάτων διπλᾶ τὰ δεινά· ἓν μέν, ὅτι προσκρούομεν· ἕτερον δέ, ὅτι χείρους γινόμεθα. προσέχετε ὃ λέγω. οὐ τοῦτο μόνον ἀδικούμεθα παρὰ τῆς ἁμαρτίας, ὅτι ἁμαρτάνομεν· ἀλλὰ καὶ ἕτερον, ὅτι ἕξιν λαμβάνει ἡ ψυχή, ὥσπερ ἐπὶ σώματος. [γρ. ὑπὸ] σαφέστερον γὰρ ἔσται ἐπὶ ὑποδείγματος λεγόμενον. καθάπερ γὰρ ὁ πυρέξας, οὐ τοῦτο μόνον ἠδίκηται ὅτι νοσεῖ, ἀλλ' ὅτι καὶ μετὰ τὴν νόσον ἀσθενέστερος γίνεται λοιπόν, κἂν εἰς ὑγείαν ἐπανέλθῃ ἀπὸ νόσου μακρᾶς· οὕτω δὴ καὶ ἐπὶ τῆς ἁμαρτίας, κἂν ὑγιάνωμεν, ἔτι πολλῆς δεόμεθα τῆς ἰσχύος. ἰδὲ γάρ μοι ὑβρίσαντά τινα, καὶ μὴ τιμωρηθέντα· οὐ διὰ τοῦτο μόνον δακρύειν, ὅτι οὐ τῆς ὕβρεως δίκην δίδωσιν, ἀλλὰ καὶ δι' ἕτερον πενθεῖν ἄξιον. ποῖον δὴ τοῦτο; ὅτι ἀναισχυντοτέρα γέγονε λοιπὸν ἡ ψυχή. ἑκάστου γὰρ τῶν ἁμαρτημάτων, καὶ τῆς ἁμαρτίας ἐργασθείσης καὶ παυσαμένης, ἐναποτίθεταί τις ἡμῖν ἰὸς τῇ ψυχῇ. [γρ. ἡμῶν] οὐκ ἀκούεις λεγόντων τινῶν, ὅταν ἐκ νόσου ὑγιάνωσιν, ὅτι οὐκ ἔτι τολμῶ ὕδωρ πιεῖν; καίτοιγε ὑγίανας· ἀλλ' ἡ νόσος καὶ τοῦτο ἠδίκησε. κἀκεῖνοι μὲν κακῶς πάσχοντες, εὐχαριστοῦσιν· ἡμεῖς δὲ εὖ πράττοντες βλασφημοῦμεν τὸν Θεόν, καὶ ἀποδυσπετοῦμεν. πλείονας γὰρ εὕροις ἂν ἐν ὑγιείᾳ καὶ πλούτῳ τοῦτο ποιοῦντας, ἢ ἐν πενίᾳ καὶ ἀρρωστίᾳ. ἐφέστηκε γὰρ ὁ δαίμων, ὡς δήμιος ὄντως σφοδρός, ἀπειλῶν πολλά, καθάπερ τις παιδαγωγὸς τὸν ἱμάντα ἀνατείνων, καὶ οὐδαμόθεν ἀναχυθῆναι ἀφιείς. [γρ. διαχυθῆναι ἀφείς.] Εἰ δέ τινες μηδὲ οὕτω σω-

φοιεν,

οὗτος ἦν; οὐχὶ ἐν ὄψεσι βλέπομεν ἐρημίαν τοσαύτην χαλεπὸς ἦν; μὴ δὴ θαυμάζωμεν πῶς οὐκ ἐπίστευσαν, τούτων γινομένων, ὅπου γε αὐτὴ ἡ πίστις πολλάκις εἰς τουναντίον αὐτοῖς περιετρέπετο εἰς κακίαν, οἷον ὡς ὅταν δαιμονῶντα λέγωσι τὸν υἱὸν τοῦ Θεοῦ. ἢ οὐχ ὁρᾶτε καὶ νῦν ταῦτα γινόμενα, καὶ ἀφικνουμένους ἐν θεραπείαις πολλούς, ἀπίστους τε καὶ ἀγνώμονας, οἳ καὶ κατὰ τὰς εὐχὰς ὅταν ἀπολαύσωσιν εὐεργεσίας, καὶ θλιφθῶσιν ὑπό τινων, τότε λυποῦσι τοὺς εὐεργέτας; ταῦτα ἡμῖν εἴρηται, ἵνα μή τις θαυμάζῃ, πῶς τοιούτων σημείων γινομένων οὐ πάντες ἐπέστρεψαν. ἰδοὺ γὰρ ἐπὶ τῶν καιρῶν τῶν ἡμετέρων τὰ κατὰ τὸν μακάριον Βαβύλαν γέγονε, τὰ κατὰ τὰ Ἱεροσόλυμα, τὰ κατὰ τὴν καθαίρεσιν τῶν ἱερῶν· καὶ οὐ πάντες ἐπέστρεψαν. τότε τὰ σημεῖα ἐγίνοντο ἐπὶ τῶν ἱματίων, καὶ οὐ πάντες ἐπέστρεψαν. τί δεῖ τὰ παλαιὰ λέγειν; πρώην εἶπον ὑμῖν οἷα γέγονε, καὶ οὐδεὶς προσέσχεν· ἀλλὰ πάλιν κατὰ μικρὸν ὑπορρύησαν καὶ κατέπεσον. ἕστηκε διηνεκῶς ὁ οὐρανὸς βοῶν ὅτι δεσπότην ἔχει, καὶ τεχνίτου τινός ἐστι τόδε τὸ πᾶν (τὸν κόσμον λέγω) καὶ λέγουσί τινες, ὅτι οὐχί. τὰ κατὰ Θεόδωρον ἐκεῖνον γεγυμνωμένα πέρυσι τίνα οὐκ ἂν ἐξέπληξε; καὶ ὅμως οὐδὲν πλέον γέγονεν· ἀλλὰ πρὸς καιρὸν γινόμενοι εὐλαβεῖς, πάλιν ἐπελάθοντο ὅθεν γεγόνασιν εὐλαβεῖς. τοῦτο καὶ ἐπὶ τῶν Ἑβραίων τότε συνέβη. διὸ καὶ ἔλεγεν ὁ προφήτης· Ὅταν ἀπέκτεινεν αὐτούς, τότε ἐξεζήτουν αὐτόν, καὶ ἐπέστρεφον, καὶ ὤρθριζον πρὸς τὸν Θεόν. καὶ τί δεῖ λέγειν τὰ καθολικά; πόσοι νόσοις περιέπεσον; πόσοι ἐπηγγείλαντο ἀναστάντες πολλὴν τὴν μεταβολὴν ἐργάσασθαι, καὶ πάλιν οἱ αὐτοὶ γεγόνασι; τοῦτο μάλιστα δείκνυσιν ἡμῖν τὴν προαίρεσιν καὶ τὴν ἐλευθερίαν τῆς ἡμετέρας φύσεως, ἡ ἀθρόα μεταβολή. εἰ γὰρ φυσικὰ ἦν τὰ κακά, οὐδ' ἂν αὕτη γέγονε. τὴν γὰρ κατὰ φύσιν καὶ ἀνάγκην οὐ δυνάμεθα μεθίστασθαι. καὶ μὴν μεθιστάμεθα, φησίν. οὐ βλέπομεν γάρ τινας φύσιν μὴ ἔχοντας βλέπειν, ὑπὸ τοῦ φόβου δὲ τυφλουμένους; ἐπεὶ καὶ τοῦτο φύσεώς ἐστι συστέλλεσθαι, ὅταν φύσις ἑτέρα προσέλθῃ. ὥστε κατὰ φύσιν ἡμῖν ἐστι τὸ πεφοβημένους μὴ βλέπειν· κατὰ φύσιν δὲ καὶ τὸ, μείζονος παραγινομένου φόβου, τὸν ἕτερον ὑπεξίστασθαι. τί οὖν, ἂν καὶ ἡ σωφροσύνη, φησί, κατὰ μὴ φύσιν ᾖ, ὁ δὲ φόβος κρατήσας ταύτην ἐκβάλῃ; τί οὖν, ἂν δείξω τινὰς μηδὲ τότε σωφρονιζομένους, ἀλλὰ καὶ ἐν τούτοις τοῖς φόβοις ὄντας ἰταμούς; οὐ φυσικὸν τοῦτό ἐστι; εἴπω τὰ παλαιά; ἀλλὰ τὰ νέα; πόσοι δὴ ἐν αὐτοῖς ἐκείνοις τοῖς φόβοις ἐναπέμειναν γελῶντες, χλευάζοντες, καὶ οὐδὲν ἔπαθον τοιοῦτον; εἰπέ μοι, ὁ Φαραὼ οὐκ εὐθέως μεθίστατο, καὶ ἐπὶ τὴν προτέραν κακίαν ἐπανέτρεχεν; ἐνταῦθα δὲ, ἐπὶ τῶν τὰ δαιμόνια ἐχόντων, καίτοι οὐκ ἀγνοούντων αὐτῶν, προσεστήκεσαν ἁπλῶς οἱ λέγοντες, Τὸν Ἰησοῦν ὁρκίζομεν ὑμᾶς, ὃν Παῦλος κηρύσσει. δι' ὧν γὰρ ἀπολογοῦνται, δείκνυται ὅτι ἴσασι. τὸν Ἰησοῦν δὲ λέγουσιν ἐκεῖνοι ἁπλῶς, δέον εἰπεῖν τὸν τῆς οἰκουμένης σωτῆρα, τὸν ἀναστάντα. ἀλλ' οὐκ ἤθελον ὁμολογῆσαι τὴν δόξαν αὐτοῦ. διὸ καὶ ἐλέγχει αὐτοὺς ὁ δαίμων ἐπιπηδήσας αὐτοῖς, καὶ εἰπών, Τὸν Ἰησοῦν γινώσκω, καὶ τὸν Παῦλον ἐπίσταμαι. ὡσεὶ ἔλεγεν· ὑμεῖς οὐ πιστεύετε· ἀλλ' ἀποκεχρημένοι τῷ ὀνόματι ταῦτά φατε. οὐκοῦν ἔρημος ὁ ναός, εὐκαταγώνιστον τὸ σκεῦος. ὥστε οὐκ ἐστὲ κήρυκες· ἀλλ' ἐμοί, φησίν, ἐστέ. πολὺς ὁ θυμὸς τοῦ δαίμονος. ἠδύναντο ταῦτα αὐτοὺς ἐργάσασθαι οἱ ἀπόστολοι, ἀλλ' οὐκ ἐποίουν τέως. οἱ γὰρ τῶν ἐργαζομένων αὐτοὺς ταῦτα κρατοῦντες, πολλῷ μᾶλλον αὐτῶν. ὅρα πῶς δείκνυται αὐτῶν ἡ ἐπιείκεια, ὅτι οἱ μὲν ἐλαυνόμενοι τοιαῦτα ποιοῦσιν· οἱ δὲ θεραπευόμενοι δαίμονες τἀναντία. τὸν Ἰησοῦν, φησί, γινώσκω. οὐκοῦν αἰσχύνθητε οἱ ἀγνοοῦντες ὑμεῖς. καὶ τὸν Παῦλον ἐπίσταμαι. καλῶς καὶ τοῦτο. ᾔδει γὰρ Θεοῦ ὄντα κήρυκα. εἶτα ἐφάλλεται ἐπ' αὐτούς, καὶ διαρρήγνυσι τὰ ἱμάτια, δι' ὧν ἐποίει αὐτοῖς, τοῦτο μονονουχὶ λέγει· μὴ νομίσητε ὅτι κατὰ φειδὼ ἐκείνων ταῦτα ποιῶ. πολὺς ὁ φόβος τοῦ δαίμονος. καὶ διὰ τί χωρὶς τῶν ῥημάτων τούτων οὐ διέρρηξεν αὐτῶν τὰ ἱμάτια; οὕτω γὰρ ἂν καὶ τὸν θυμὸν ἐπλήρωσε, καὶ τὴν πλάνην ἔστησεν. ἐφοβεῖτο, ὅπερ ἔφην, τὴν ἀπόρρητον δύναμιν, καὶ οὐκ ἂν τοσοῦτον ἴσχυσεν, εἰ μὴ τοῦτο εἶπεν. ὅρα δὲ πανταχοῦ τοὺς δαίμονας εὐγνωμονεστέρους [ τῶν Ἰουδαίων,

χ. Ἰουδαίων

Ψαλμ. οζ. λδ.

χ. δεῖν. αὐ μὴ φύσει

βαβαί, πόση τῶν πιστευσάντων ἡ δύναμις, ὅτι καὶ ἑτέροις τὰ τοιαῦτα ποιεῖν ἐγένετο; πόση δὲ πώρωσις τῶν δὲ μετὰ τὴν ἀπόδειξιν τῆς δυνάμεως ἔτι μενόντων τῇ ἀπιστίᾳ; ὥσπερ οὖν Σίμων ἐμπορίας ἕνεκεν ἐζήτει τοῦ πνεύματος τὴν χάριν· οὕτω καὶ οὗτοι τοῦ αὐτοῦ τούτου ἕνεκεν τοῦτο ἐποίουν. πόση πώρωσις; καὶ τί δήποτε ὁ Παῦλος οὐκ ἐπιτιμᾷ; ὅτι ἔδοξεν ἂν βασκανίας εἶναι τὸ πρᾶγμα, διὰ τοῦτο οἰκονομεῖται οὕτω. τοῦτο δὲ ἐπὶ τοῦ Χριστοῦ γέγονεν. ἀλλὰ τότε μὲν οὐ κωλύεται (ἀρχὴ γὰρ τῶν πραγμάτων ἦν) ἐπεὶ καὶ Ἰούδας κλέπτων οὐκ ἐκωλύετο· Ἀνανίας δὲ καὶ Σαπφείρα καὶ ἀνῃρέθησαν. καὶ πολλοὶ Ἰουδαῖοι μὲν καὶ ἀπιστήσαντες οὐδὲν ἔπαθον,
ἰωαν. γ. ιζ. Ἐλύμας δὲ ἐτυφλώθη. Οὐ γὰρ ἦλθον, φησὶν, ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος. ὅρα μανίαν. Ἰουδαῖοι μένοντες ἔτι, ἀπὸ τοῦ ὀνόματος χρηματίζειν ἤθελον, ὥστε πάντα πρὸς δόξαν ἐποίουν καὶ πορισμόν. ἴδε πανταχοῦ οὐχ οὕτω τοὺς ἀνθρώπους ἐπιστρεφομένους ἀπὸ τῶν χρηστῶν, ὡς ἀπὸ τῶν φοβερῶν. ἐπὶ Σαπφείρας φόβος ἐπέπεσεν ἐπὶ τὴν ἐκκλησίαν, καὶ οὐκ ἐτόλμων κολλᾶσθαι αὐτοῖς. ἐνταῦθα σουδάρια καὶ σιμικίνθια ἐλάμβανον, καὶ ἰῶντο, καὶ μετὰ τοῦτο τότε ἦλθον ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν. ἀπὸ τοῦ ἐφάλλεσθαι δείκνυται τῶν δαιμόνων ἡ δύναμις μεγάλη τις οὖσα, ὅταν πρὸς ἀπίστους ἔχῃ. καὶ διὰ τί μὴ εἶπε, τίς ἐστιν ὁ Ἰησοῦς, τὸ πνεῦμα τὸ πονηρὸν [ἀλλ' εἶπε μᾶλλον τὰ ἀνόητα ῥήματα;] ἐφοβεῖτο μὴ καὶ αὐτὸς δίκην δῷ. ᾔδει γὰρ ὅτι τὸ συγχωρηθῆναι αὐτῷ ἐκείνους ἀμύνασθαι τοὺς καταπαίζοντας αὐτοῦ, τοῦτο [τὸ ὄνομα] πεποίηκε. διὰ τί δὲ καὶ οἱ ἄθλιοι μὴ εἶπον αὐτῷ, πιστεύομεν; ἐδεδοίκεσαν Παῦλον. καίτοι πόσῳ μᾶλλον λαμπρότεροι ἂν ἦσαν τοῦτο εἰπόντες, εἴτε ᾠκειώσαντο αὐτοῦ τὴν δεσποτείαν; ἄλλως τε, καὶ τὸ ἐν Φιλίπποις γενόμενον καὶ τούτους ἐσωφρόνισεν. σὺ δέ μοι σκόπει τοῦ συγγραφέως ἐνταῦθα τὸ ἀνεπαχθὲς, πῶς ἱστορίαν μόνον γράφει, καὶ οὐ διαβάλλει. τοῦτο τοὺς ἀποστόλους ἐποίει θαυμαστούς. [ἀλλὰ τίνος ἦσαν υἱοί,]* τὸ ὄνομα λέγει καὶ τὸν ἀριθμὸν, διδοὺς τοῖς τότε τεκμήριον ἀξιόπιστον ὧν ἔγραφε. τίνος δὲ ἕνεκεν καὶ περιήρχοντο; ἐμπορείας χάριν· οὐ γὰρ δὴ τὸν λόγον καταγγέλλοντες. πῶς γάρ; καλῶς δὲ ἔπρεχον λοιπὸν, κηρύττοντες δι' ὧν ἔπαθον. ὅθεν τοῦτο δηλοῖ, καὶ ἐγένετο, φησὶ, γνωστὸν πᾶσιν Ἰουδαίοις τε καὶ Ἕλλησι τοῖς κατοικοῦσι τὴν Ἔφεσον. τοῦτο οὐχὶ καὶ τοὺς σκληρυνομένους ἐπιστρέψαι ὤφειλεν, εἰπέ μοι; ἀλλ' οὐκ ἐπέστρεψε. καὶ μὴ θαυμάσῃς. τὴν γὰρ κακίαν οὐδὲν πείθει. φέρε δὲ καὶ αὐτὸ τὸ τῶν ἐξορκιστῶν ἴδωμεν ὅσης ἐστὶ κακίας. τίνος δὲ ἕνεκεν ἐπὶ τοῦ Χριστοῦ τοῦτο μὴ γέγονεν, ἑτέρου καιροῦ, καὶ οὐ τοῦ παρόντος ζητῆσαι· πλὴν ὅτι καλῶς τοῦτο ἐνταῦθα γέγονε καὶ χρησίμως. ἐμοὶ γὰρ δοκεῖ χλευάζοντας αὐτοὺς τοῦτο ποιεῖν ὅθεν τιμωροῦνται, ὥστε καὶ ἀπὸ τούτου μηδένα τολμᾶν μηδὲ ὡς ἔτυχε τὸ ὄνομα ὀνομάζειν λοιπόν. τοῦτο πολλοὺς τῶν πιστευσάντων εἰς ἐξομολόγησιν ἤγαγεν· οὕτω καὶ φόβον αὐτοῖς ἐνέβαλε, καὶ τὸ πάντα εἰδέναι τὸν Θεὸν μέγιστον τοῦτο τεκμήριον γέγονε· πρὶν ἢ ὑπὸ τῶν δαιμόνων ἐλεγχθῆναι, ἑαυτῶν κατηγόρουν, φοβούμενοι μὴ τὰ αὐτὰ πάθωσιν. εἰκότως. ὅταν γὰρ οἱ βοηθοῦντες δαίμονες κατήγοροι αὐτῶν ὦσι, καὶ οὐ σύμμαχοι, ποία λοιπὸν ἐλπίς, ἢ διὰ τῶν ἔργων ἐξομολόγησις;

γρ. ἀλλ' ὅτι συγχωρ.

* καὶ

ΗΘΙΚΟΝ

Ὅρα δὲ οἷα μετὰ μικρὸν γίνεται κακὰ, τοσούτων σημείων γινομένων. τοιαύτη γὰρ ἡ ἀνθρωπίνη φύσις· ταχέως ἐπιλανθάνεται ὧν εὐεργετεῖται. ἢ οὐ μέμνησθε, ὅτι καὶ ἐπὶ τῶν καθ' ἡμᾶς γενομένων τὸ αὐτὸ τοῦτο γέγονεν; εἰπὲ γάρ μοι, οὐ πέρυσιν ἐτίναξεν ὁ Θεὸς τὴν πόλιν πᾶσαν; τί δαί· οὐχὶ πάντες ἐπὶ τὸ φώτισμα ἔδραμον; οὐχὶ πόρνοι καὶ μαλακοὶ καὶ διεφθαρμένοι οἰκήματα ἀφέντες καὶ τοὺς τόπους ἐν οἷς διέτριβον, μετετέθησαν καὶ γεγόνασιν εὐλαβεῖς; οὔπω δὲ τρεῖς ἡμέρας παρῆλθον, πάλιν ἐπὶ τὴν οἰκείαν ἐπανῆλθον κακίαν. πόθεν δὲ τοῦτο γίνεται; ἀπὸ τῆς πολλῆς ῥᾳθυμίας. καὶ τί θαυμαστὸν, εἰ τῶν πραγμάτων παρελθόντων, ὅπου γε τῶν εἰκόνων διηνεκῶς μενουσῶν, τὸ αὐτὸ γίνεται; τὰ ἐν Σοδόμοις, εἰπέ μοι, οὐχὶ διηνεκῆ τυγχάνει; τί οὖν; οἱ προσοικοῦντες ἀπὸ τούτων γεγόνασι βελτίους; οὐδαμῶς. τί δαὶ ὁ τοῦ Νῶε υἱός; οὐχὶ τοιοῦτος

ἴσ. ἡμέραι

οὗτος

15 Ἀποκριθὲν δὲ τὸ πνεῦμα τὸ πονηρὸν, εἶπεν αὐτοῖς· τὸν Ἰησοῦν γινώσκω, καὶ τὸν Παῦλον ἐπίσταμαι· ὑμεῖς δὲ τίνες ἐστέ;

16 Καὶ ἐφαλλόμενος ἐπ' αὐτοὺς ὁ ἄνθρωπος, ἐν ᾧ ἦν τὸ πνεῦμα τὸ πονηρὸν, καὶ κατακυριεύσας αὐτῶν, ἴσχυσε κατ' αὐτῶν, ὥστε γυμνοὺς καὶ τετραυματισμένους ἐκφυγεῖν ἐκ τοῦ οἴκου ἐκείνου.

17 Τοῦτο δὲ ἐγένετο γνωστὸν πᾶσιν Ἰουδαίοις τε καὶ Ἕλλησι τοῖς κατοικοῦσι τὴν Ἔφεσον.
Οὐχ οὕτω λανθανόντως ἐποίουν· εἶτα ἐκπομπεύεται αὐτῶν ἡ ἀσθένεια.
Καὶ ἐπέπεσε φόβος ἐπὶ πάντας αὐτοὺς, καὶ ἐμεγαλύνετο τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ·

18 Πολλοί τε τῶν πεπιστευκότων ἤρχοντο, ἐξομολογούμενοι καὶ ἀναγγέλλοντες τὰς πράξεις αὐτῶν. Ἐπειδὴ γὰρ τοσαύτην ἰσχὺν εἶχον, ὥστε διὰ τῶν δαιμονίων τοιαῦτα ποιεῖν, εἰκότως ταῦτα γίνεται.

19 Ἱκανοί τε τῶν τὰ περίεργα πραξάντων "συνενέγκαντες τὰς βίβλους, κατέκαιον ἐνώπιον πάντων, καὶ συνεψήφισαν τὰς τιμὰς αὐτῶν, καὶ εὗρον ἀργυρίου μυριάδας πέντε.

γρ. συνεπιτιθέντες

20 Οὕτω κατὰ κράτος ὁ λόγος τοῦ Κυρίου ηὔξανε καὶ ἴσχυεν. Ἰδόντες ὅτι οὐδὲν αὐτῶν ὄφελος λοιπὸν ἦν, κατακαίουσι τὰς βίβλους· ὅτε καὶ αὐτοὶ οἱ δαίμονες ταῦτα ποιοῦσιν. Οὐκ ἄρα τὸ ὄνομά τι ποιεῖ, ἂν μὴ μετὰ πίστεως λέγηται. καλῶς ἄρα ἔλεγεν, Ὁ πιστεύων εἰς ἐμὲ μείζονα "ποιήσει, τοῦτο τὴν σκιὰν αἰνιττόμενος. (Ἰωαν. ιδ. ιβ.) ὅρα πῶς τοῖς ὅπλοις καθ' ἑαυτῶν ἐχρήσαντο. καὶ διελέγετο, φησὶν, ἐν τῇ σχολῇ Τυράννου τινὸς ἐπὶ ἔτη δύο. ἔνθα πιστοὶ ἦσαν, καὶ σφόδρα πιστοί. *οὕτως οὐδὲν μέγα ἐνόμιζον τὸν Ἰησοῦν, ὅτι καὶ τὸν Παῦλον προσετίθεσαν, ὡς αὐτοὶ ταύτῃ μέγα τι νομίζοντες εἶναι. ἄξιον ἐνταῦθα θαυμάσαι, πῶς ὁ δαίμων οὐ συνετάραξεν ἐκεῖνος τῇ τῶν ἐξορκιστῶν πλάνῃ, ἀλλὰ διήλεγξεν αὐτοὺς, καὶ τὴν σκηνὴν αὐτῶν φανερὰν ἐποίησεν. ἐμοὶ δοκεῖ σφόδρα θυμωθεὶς, ὥσπερ ἂν εἴ τις παρὰ τῶν ἐσχάτων κινδυνεύων, ὑπό τινος οἰκέτου καὶ ταλαιπώρου διελέγχοιτο, καὶ πάντα εἰς ἐκείνους ἀφεῖναι "βούλοιτο τὸν θυμόν. ἵνα γὰρ μὴ δόξῃ καταφρονεῖσθαι τὸ ὄνομα τοῦ Ἰησοῦ, πρότερον ὁμολογεῖ, πόθεν ἔλαβεν ἐξουσίαν. ὅτι γὰρ οὐ τοῦ ὀνόματος ἦν ἀσθένεια, ἀλλὰ τῆς ἐκείνων ἀπάτης τὸ πᾶν, ἐπὶ Παύλου διὰ τί μὴ ταῦτα γέγονεν; καὶ ἐφαλλόμενος, φησὶν, ὁ ἄνθρωπος ἐπ' αὐτούς. ἴσως διέρρηξεν αὐτῶν τὰ ἱμάτια, καὶ προσέρρηξεν αὐτῶν τὰς κεφαλάς. τοῦτο γὰρ ἐδήλωσε τῷ εἰπεῖν, ἐφαλλόμενος· τουτέστι, μετὰ ῥύμης ἐπιπηδήσας· ὥστε ἱκανὸν ἦν τοῦτο ἐργάσασθαι. τί δέ ἐστιν, ἀποστὰς ἀπ' αὐτῶν ἀφώρισε τοὺς μαθητάς; ἐνέκοψεν αὐτῶν, φησὶ, τὴν κακολογίαν. τοῦτο δὲ ποιεῖ καὶ ἀφίσταται, ἐπεὶ οὐκ ἠβούλετο ἐκκαῦσαι αὐτῶν τὸν φθόνον, οὐδὲ εἰς ἔριν ἐμβαλεῖν πλείονα. τὸ δὲ, ἐπαρρησιάζετο, λέγει, δηλῶν ὅτι καὶ πρὸς κινδύνους ἦν παρατεταγμένος, καὶ φανερώτερον διελέγετο οὐ συσκιάζων τὰ δόγματα. ἐντεῦθεν μανθάνομεν, μὴ ὁμόσε χωρεῖν τοῖς κακολογοῦσιν, ἀλλ' ἀφίστασθαι αὐτῶν. οὐκ ἐκακολόγησε καὶ κακῶς ἀκούων καὶ αὐτός, ἀλλὰ μᾶλλον διελέγετο καθ' ἡμέραν, καὶ ταύτῃ μάλιστα οἰκειούμενος τοὺς πολλοὺς τῷ "κακῶς παθεῖν καὶ ἀκούσας μὴ ἀποπηδῆσαι, μηδὲ χωρισθῆναι. καὶ σκόπει ἐπειδὴ ὁ τῶν ἔξω πειρασμοὺς ἐπαύσατο, ἀπὸ τῶν δαιμόνων ἤρξατο. ὁρᾷς πώρωσιν Ἰουδαϊκήν; τὰ ἱμάτια αὐτοῦ ἰδόντες ἐνεργοῦντα, οὐ προσεῖχον. τί τούτου μεῖζον ἂν γένοιτο; τοῖς δὲ μᾶλλον εἰς τοὐναντίον περιέστη. εἴ τις Ἑλλήνων ἀπιστεῖ, τὴν "σκιὰν ὁρῶν ταῦτα ἐργαζομένην, πιστευέτω· οὕτω τῶν ἐξ αὐτῶν ἀποστῆναι, τῶν μὲν κακολογούντων καὶ διαβαλλόντων τὸ δόγμα ἡττῶνται (τοῦτο γὰρ ἐκάλεσεν ὁδόν) αὐτὸς δὲ ἀφίσταται, ὡς μήτε τοὺς μαθητὰς ἀναχωρῆσαι, μήτε ἐκείνους εἰς θυμὸν ἐγεῖραι, δεικνὺς πανταχοῦ διωθουμένους τὴν σωτηρίαν. καὶ λοιπὸν ἐνταῦθα οὐδὲ ἀπολογεῖται αὐτοῖς, ἅτε πανταχοῦ τῶν ἐθνῶν πιστευσάντων· καὶ διαλέγεται, "οὐχ ἁπλῶς τὸν τόπον ζητήσας, ἀλλ' ἔνθα σχολὴ ἦν [ὡς ἐπιτηδειότερος διὰ τὸ ἐκεῖ συνάγεσθαι.]

βαβαί,

γρ. ποιήσετε, τοῦτο ἐπὶ τῆς σκιᾶς ἐστιν, ὅπερ εἶπεν
* ἢ ὡς ἂν μεγάλου τινὸς χρήζοντες
γρ. βούλεται
γρ. κακῶς πάσχειν καὶ ἀκ.
γρ. κινεῖ
γρ. οὐ τὸν τόπον ἐπιζητήσας, ἀλλ' ἐκεῖ ὅπου ἐσχόλαζε.

ταύτῃ ἡ εἰκών. εὐπροσήγοροι ὦμεν, μὴ περιορῶμεν τὸν πλησίον. μὴ εἴπῃς, ἐὰν ἴδω τινὰ περιορῶντα, χείρων αὐτοῦ γίνομαι, ἀλλὰ μᾶλλον ὅταν ἴδῃς, περίλαβε καὶ σβέσον αὐτοῦ τὸ πάθος. ὁρᾷς κάμνοντα, καὶ ἐπιτείνεις τὴν νόσον; τοῦτο μάλιστα πρὸ πάντων κατορθώσωμεν, τὸ προηγεῖσθαι τῇ τιμῇ ἀλλήλοις, τὸ ἡγεῖσθαι ἀλλήλους ὑπερέχοντας ἑαυτῶν. μὴ νομίσῃς ἐλαττοῦσθαι. ἂν ἄρα προηγήσῃ τῇ τιμῇ, σαυτὸν ἐτίμησας πλέον, εἰς τὸ πλέον τιμηθῆναι ἐπισπώμενος. πανταχοῦ τῶν πρωτείων ἑτέροις παραχωρῶμεν. μηδὲν τῶν εἰς ἡμᾶς εἰργασμένων δεινῶν μνημονεύωμεν, ἀλλ' εἴ τι ἀγαθόν. οὐδὲν οὕτω ποιεῖ φίλον, ὡς γλῶσσα εὐχάριστος, στόμα εὔφημον, ψυχὴ ἄτυφος, κενοδοξίας ὑπεροψία, τιμῆς καταφρόνησις. ἂν ταῦτα κατορθώσωμεν, δυνησόμεθα γενέσθαι ἀχείρωτοι ταῖς παγίσι τοῦ διαβόλου, καὶ μετὰ ἀκριβείας τὴν ἀρετὴν διανύσαντες, τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ρωμ. ιβ. ι.

Λογ. μα. 8 ΕΙΣΕΛΘΩΝ ΔΕ ΕΙΣ ΤΗΝ ΣΥΝΑΓΩΓΗΝ, ἐπαρρησιάζετο ἐπὶ μῆνας τρεῖς διαλεγόμενος καὶ πείθων τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ.

Ὅρα πανταχοῦ ἑαυτὸν εἰσωθοῦντα εἰς τὰς συναγωγὰς, καὶ οὕτως ἐξιόντα. πανταχοῦ γὰρ παρ' αὐτῶν ἐβούλετο λαβεῖν ἀφορμὴν, ὅπερ ἔφην. τά τε γὰρ ἔθνη παρεζήλου λοιπὸν, καὶ προθύμως ἀπεδέχοντο αὐτὸν, οἵ τε Ἰουδαῖοι, τῶν ἐθνῶν δεχομένων, μετετίθεσαν. ἐβούλετο ἀποστῆσαι τοὺς μαθητὰς ἐκεῖθεν, καὶ παρ' αὐτῶν λαβεῖν τὴν ἀρχὴν, ὥστε μὴ συναγαγεῖν. καὶ οὐχ ἁπλῶς τοῦτο ἐποίει. διὰ τοῦτο ἠνώχλει αὐτοῖς συνεχῶς μεταπείθων. μὴ οὖν ἐπειδὴ παρρησίαν ἤκουσας, τραχύτητα νομίσῃς. περὶ χρηστῶν πραγμάτων διελέγετο, περὶ βασιλείας· τίς οὐκ ἂν ἤκουσεν;

χ. ἀποστῆσαι

χ. διελέγετο αὐτοῖς συνεχῶς, ὅτι ἐπείθη.

9 Ὡς δέ τινες ἐσκληρύνοντο καὶ ἠπείθουν, κακολογοῦντες τὴν ὁδὸν ἐνώπιον τοῦ πλήθους, ἀποστὰς ἀπ' αὐτῶν, ἀφώρισε τοὺς μαθητὰς, καθ' ἡμέραν διαλεγόμενος ἐν τῇ σχολῇ Τυράννου τινός.

10 Τοῦτο δὲ ἐγένετο ἐπὶ ἔτη δύο, ὥστε πάντας τοὺς κατοικοῦντας τὴν Ἀσίαν ἀκοῦσαι τὸν λόγον τοῦ Κυρίου Ἰησοῦ, Ἰουδαίους τε καὶ Ἕλληνας. Ὁδὸν τὸ κήρυγμα εἰκότως ἐκάλουν. ὄντως γὰρ αὕτη ἡ ὁδός ἐστιν ἡ ἀπάγουσα εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. ἐν τῇ σχολῇ, φησὶ, Τυράννου τινὸς διελέγετο, καὶ τοῦτο ἐγένετο ἐπὶ ἔτη δύο, ὥστε πάντας ἀκοῦσαι τὸν λόγον, Ἰουδαίους τε καὶ Ἕλληνας. ὁρᾷς πόσον ἀνύει ἡ ἐπιστασία; καὶ Ἰουδαῖοι καὶ Ἕλληνες ἤκουον.

11 Δυνάμεις τε οὐ τὰς τυχούσας ἐποίει ὁ Θεὸς διὰ τῶν χειρῶν Παύλου,

12 Ὥστε καὶ ἐπὶ τοὺς ἀσθενοῦντας ἐπιφέρεσθαι ἀπὸ τοῦ χρωτὸς αὐτοῦ σουδάρια ἢ σιμικίνθια, καὶ ἀπαλλάσσεσθαι ἀπ' αὐτῶν τὰς νόσους, τά τε πνεύματα τὰ πονηρὰ ἐξέρχεσθαι ἀπ' αὐτῶν. Οὐχὶ φοροῦντες ἤλαυνον μόνον, ἀλλὰ καὶ λαμβάνοντες ἐπετίθεσαν. διὰ τοῦτο οὐκ εἴα ὁ Χριστὸς ἀπελθεῖν αὐτὸν εἰς τὴν Ἀσίαν, τηρῶν τοῦτον τὸν καιρὸν, ὡς ἔγωγε οἶμαι.

13 Ἐπεχείρησαν δέ τινες ἀπὸ τῶν περιερχομένων Ἰουδαίων ἐξορκιστῶν ὀνομάζειν ἐπὶ τοὺς ἔχοντας τὰ πνεύματα τὰ πονηρὰ τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ, λέγοντες· ὁρκίζομεν ὑμᾶς τὸν Ἰησοῦν, ὃν Παῦλος κηρύσσει. Οὕτω πάντα ἐποίουν πραγματείας ἕνεκεν. ὅρα, πιστεῦσαι μὲν οὐκ ἤθελον· διὰ δὲ τοῦ ὀνόματος ἤθελον ἐκβάλλειν τοὺς δαίμονας. βαβαὶ, τὸ ὄνομα τοῦ Παύλου πόσον ἦν;

14 Ἦσαν δέ τινες υἱοὶ Σκευᾶ Ἰουδαίου ἀρχιερέως ἑπτὰ οἱ τοῦτο ποιοῦντες.

ρυγξ γλυκὺς πληθύνει φίλους αὐτοῦ, καὶ γλῶσσα εὔχαρις. στόμα εὔφημον κτησώμεθα, καὶ τρόπους καθαρούς. οὐκ ἔνι λαθεῖν τῶν οὕτω διακειμένων. ὅρα πόσα οἱ ἔξωθεν ἐπινενόηνται φιλικά, συντεχνίαν, γειτονίαν, συγγενείας. ἀλλὰ τούτων πάντων τὰ παρ' ἡμῖν μείζονα· ἡ τράπεζα αὕτη αἰδεσιμωτέρα. πολλοὶ δὲ τοὺς προσιόντας οὐδὲ ἴσμεν ἀλλήλους. τὸ πλῆθος τοῦτο ποιεῖ, φησίν. οὐδαμῶς· ἀλλ' ἡ ἡμετέρα ῥᾳθυμία. τρισχίλιοι ἦσαν καὶ πεντακισχίλιοι, καὶ πάντες εἶχον ψυχὴν μίαν· νῦν δὲ ἕκαστος τὸν ἀδελφὸν ἀγνοεῖ, καὶ οὐκ αἰσχύνεται τὸ πλῆθος αἰτιώμενος. ὁ μέντοι πολλοὺς φίλους ἔχων, ἀνάλωτος ἅπασίν ἐστι, τυράννου πάντως οὗτος ἰσχυρότερος. οὐχ οὕτως ἐκεῖνον οἱ δορυφόροι φυλάττουσιν, ὡς τοῦτον οἱ φίλοι· καὶ λαμπρότερος οὗτος ἐκείνου. ὁ μὲν γὰρ παρὰ τῶν αὐτοῦ δούλων φυλάττεται, ὁ δὲ παρὰ τῶν ὁμοτίμων· καὶ ὁ μὲν παρὰ ἀκόντων καὶ δεδοικότων, οὗτος δὲ παρὰ ἑκόντων καὶ οὐ δεδοικότων. καὶ ἔστιν ἰδεῖν πρᾶγμα θαυμαστόν, ἐν πολλοῖς ἕνα, καὶ ἐν ἑνὶ πολλούς. καὶ καθάπερ ἐπὶ κιθάρας, διάφοροι μὲν οἱ φθόγγοι, μία δὲ ἡ συμφωνία, εἷς δὲ ὁ μουσικὸς ὁ τὴν κιθάραν μεταχειρίζων· οὕτως ἐνταῦθα, κιθάρα μέν ἐστιν αὕτη ἡ ἀγάπη, φθόγγοι δὲ ἠχοῦντες, τὰ δι' ἀγάπης προφερόμενα ῥήματα φιλικά, μίαν καὶ τὴν αὐτὴν ἅπαντες ἀφιέντες ἁρμονίαν καὶ συμφωνίαν· ὁ δὲ μουσικός, ἡ τῆς ἀγάπης δύναμις. αὕτη κρούει τὸ μέλος τὸ ἡδύ. ἐβουλόμην ὑμᾶς ἀγαγεῖν εἰς πόλιν τοιαύτην, εἴγε δυνατόν, ἔνθα μία ψυχὴ ἦν, καὶ εἶδες ἂν ὅπως πάσης κιθάρας καὶ παντὸς αὐλοῦ ἁρμοδιωτέρα ἡ ἐκεῖ συμφωνία, οὐδὲν ἀπηχὲς ᾄδουσα μέλος. τοῦτο καὶ ἀγγέλους καὶ τὸν τῶν ἀγγέλων δεσπότην Θεὸν εὐφραίνει τὸ μέλος· τοῦτο ὅλον τὸ ἐν τῷ οὐρανῷ θέατρον διανίστησι· τοῦτο καὶ δαιμόνων κηλεῖ θυμόν, παθῶν καταθέλγει ὁρμάς. τοῦτο τὸ μέλος οὐ μόνον πάθη κηλεῖ, ἀλλ' οὐδὲ διαναστῆναι ἀφίησι, καὶ πολλὴν τὴν σιγὴν ἐργάζεται. καθάπερ γὰρ ἐν θεάτρῳ χοροῦ μουσικῶν πάντες μετὰ σιγῆς ἐπακούουσι, καὶ οὐδεὶς ἐκεῖ θόρυβος· οὕτω καὶ ἐν τοῖς φίλοις, τῆς ἀγάπης κρουούσης, πάντα ἠρεμεῖ τὰ πάθη καὶ κατακοιμίζεται. καθάπερ θηρία κηλούμενα καὶ θελγόμενα· ὥσπερ οὖν ἔνθα ἔχθρα, πάντα τὰ ἐναντία. ἀλλὰ μηδὲν περὶ ἔχθρας τέως εἴπωμεν· περὶ φιλίας λέγωμεν μόνον. ἂν εἴπῃς τι προπετές, οὐδεὶς ὁ ἐπιλαμβανόμενος, ἀλλὰ πάντες συγγινώσκουσιν· ἂν πράξῃς, οὐδεὶς ὑποπτεύει, ἀλλὰ πολλὴ ἡ συγγνώμη. πάντες οἱ χεῖρα ὀρέγοντες πίπτοντι [πρόχειροι] πάντες οἱ βουλόμενοι στῆσαι [πρόθυμοι]. τεῖχος οὕτως ἀρραγὲς ἡ φιλία, καὶ οὐδὲ τῷ διαβόλῳ ἁλώσιμον, μήτοιγε ἀνθρώποις· οὐκ ἔνι κινδύνῳ περιπεσεῖν τὸν φίλους κεκτημένον πολλούς· οὐκ ἔνι ὀργῆς ὑπόθεσιν σχεῖν, ἀλλὰ θυμηδίας· ἐν γέλωτι ἀεί ἐστι καὶ τρυφῇ· οὐκ ἔνι βασκανίας ὑπόθεσιν σχεῖν, οὐκ ἔνι μνησικακίας ἀφορμήν. ὅρα τὸν τοιοῦτον καὶ τὰ πνευματικά, καὶ τὰ σαρκικὰ κατορθοῦντα μετ' εὐκολίας. τί δὴ οὖν τούτου ἴσον γένοιτ' ἄν; ὥσπερ πόλις τετειχισμένη πάντοθεν οὗτός ἐστιν· ἐκεῖνος δὲ ὥσπερ πόλις ἀτείχιστος. μεγάλης σοφίας, τὸ δύνασθαι φιλίας εἶναι δημιουργόν. ἄνελε τὴν φιλίαν, καὶ πάντα ἀνεῖλες, πάντα συνέχεες. εἰ δὲ εἰκὼν φιλίας τοσαύτην ἔχει τὴν ἰσχύν, αὐτὴ ἡ ἀλήθεια πόση τις ἂν εἴη; κατασκευάσωμεν τοίνυν ἡμῖν φίλους, παρακαλῶ, καὶ ταύτην ἕκαστος ἐχέτω τὴν τέχνην. ἀλλ' ἰδού, φησιν, ἐγὼ σπουδάζω· ἐκεῖνος δὲ οὐ σπουδάζει. πλείων ὁ μισθὸς οὕτως ἔσται σοι. ναί, φησιν· ἀλλὰ τὸ πρᾶγμα δυσκολώτερον. πῶς, εἰπέ μοι; ἰδοὺ διαμαρτύρομαι καὶ λέγω· ὅτι δέκα μόνον ἐὰν συμφράξητε ἑαυτούς, καὶ ἔργον τοῦτο θῆτε, καθάπερ οἱ ἀπόστολοι τὸ κηρύττειν, καθάπερ οἱ προφῆται τὸ διδάσκειν, οὕτω καὶ ἡμεῖς τὸ φίλους ποιεῖν, μισθὸς ἔσται μέγας. βασιλικὰς εἰκόνας ἡμῖν αὐτοῖς κατασκευάζωμεν. τοῦτο γνώρισμα μαθητῶν. καὶ πῶς οὐ μεῖζον ἐργαζόμεθα, ἢ εἰ δύναμιν αὐτοῖς ἐνετίθεμεν νεκροὺς ἀναστῆσαι; τὸ διάδημα καὶ ἡ ἁλουργὶς δείκνυσι τὸν βασιλέα· καὶ τούτων οὐκ ὄντων, κἂν χρυσᾶ ἔχῃ ἱμάτια, οὔπω ὁ βασιλεὺς δῆλος· οὕτω δὴ καὶ νῦν, τὸ γνώρισμα σὺ ἐργάζου, καὶ ποιήσεις σεαυτῷ φίλους, καὶ ἄλλοις. οὐδείς ἐστιν, ὅστις φιλούμενος θελήσει μισεῖν. μάθωμεν τὰ χρώματα δι' ὧν χαράττεται, δι' ὧν αὕτη συντίθε-

ται

Πραξ. δ. λβ.

ἴσ. ἐστὶ

χ. οὐδ' ἀναστῆναι

χ. οἱ γὰρ τὸ γνώρ. μαθ. μεῖζ. ἐργ.

δίκι μοι σφόδρα ἐφιλήσατε, οὐδ' ἂν ἐμακαρίσθησαν οἱ τὴν πίστιν ἁπλῶς παραδεξάμενοι. Ιωαν. κ. ὥσπερ οὖν οἱ μὴ ἰδόντες καὶ πιστεύσαντες, μακάριοι, οὕτως οἱ χωρὶς σημείων πιστεύοντες. Ιωαν. δ. μη. Εἰπὲ δή μοι· οὐκ ὀνειδίζων Ἰουδαίοις ἔλεγεν ὁ Χριστός· Ἐὰν μὴ σημεῖα ἴδητε, οὐ μὴ πιστεύσετε; οὐκοῦν οὐδὲν παραβλαβησόμεθα, εἰ θέλοιμεν προσέχειν ἑαυτοῖς. τὸ κεφάλαιον ἔχομεν τῶν ἀγαθῶν· διὰ τοῦ βαπτίσματος ἄφεσιν ἁμαρτημάτων ἐλάβομεν, ἁγιασμόν, πνεύματος μετάληψιν, υἱοθεσίαν, ζωὴν αἰώνιον· τί βούλεσθε πλέον; σημεῖα; ἀλλὰ καταργεῖται. * πίστιν ἔχεις; ἐλπίδα; ἀγάπην; τὰ μένοντα ταῦτα ζήτει, ταῦτα σημείων μείζω. οὐδὲν ἀγάπης ἴσον· α Κορ. ιγ. ιγ. Μείζων πάντων ἡ ἀγάπη, φησί. νῦν δὲ ἡ ἀγάπη κινδυνεύει. ὄνομα γὰρ αὐτῆς ἀπολέλειπται μόνον, τὸ δὲ ἔργον οὐδαμοῦ, ἀλλὰ διῃρήμεθα ἀπ' ἀλλήλων. τί οὖν ἄν τις ἐργάσαιτο, ὥστε συνάψαι; τὸ μὲν γὰρ ἐγκαλέσαι, εὔκολον· [ἀλλὰ τοῦτο ἥμισύ ἐστιν.] οὐκοῦν δεικνύναι δεῖ πῶς ἂν ἐργασθείη φιλία. τοῦτο γάρ ἐστι τὸ σπουδαζόμενον, πῶς τὰ μέλη τὰ διεσπασμένα συναγάγωμεν. οὐ γὰρ τοῦτό ἐστι τὸ ζητούμενον ἁπλῶς, εἰ μιᾶς ἐκκλησίας ἐσμέν, ἢ ἓν δόγμα· ἀλλὰ τὸ δεινὸν τοῦτό ἐστιν, ὅτι ἐν τοῖς ἄλλοις κοινωνοῦντες ἀλλήλοις, ἐν τοῖς ἀναγκαίοις οὐ κοινωνοῦμεν, καὶ μετὰ πάντων εἰρηνεύοντες, ἐν ἀλλήλοις στασιάζομεν. μὴ γὰρ εἰ μὴ μάχας καθ' ἑκάστην ποιοῦμεν σκόπει· ἀλλ' ὅτι οὐδὲ ἀγάπην γνησίαν ἔχομεν καὶ ἀκλινῆ. ἐπιδέσμων χρεία καὶ ἐλαίου. ἐννοήσωμεν, ὅτι γνώρισμά ἐστιν ἡ ἀγάπη τῶν μαθητῶν τοῦ Χριστοῦ· ὅτι ταύτης χωρὶς οὐδὲν ἰσχύει τὰ ἄλλα· ὅτι ἄπονόν ἐστι πρᾶγμα, ἐὰν θέλωμεν. ναί, φησιν, οἴδαμεν ταῦτα· ἀλλὰ πῶς ἵνα κατορθωθῇ; τί ἵνα γένηται; πῶς ἵνα φιλῶμεν ἀλλήλους; πρότερον τὰ ἀναιρετικὰ τῆς ἀγάπης ἐξέλωμεν, καὶ τότε στήσωμεν ταύτην. μηδεὶς ἔστω μνησίκακος, μηδεὶς ἔστω βάσκανος, μηδεὶς χαιρέκακος. ταῦτά ἐστι τὰ κωλυτικά· τὰ δὲ ποιητικὰ ἕτερα. οὐκ ἀρκεῖ τὰ κωλύοντα ἀνελεῖν, ἀλλὰ καὶ τὰ ἰσχύοντα χρὴ ὑποδεικνύναι. Σειρ. κβ. κβ. ὁ μὲν οὖν Σειρὰχ λέγει τὰ ἀναιρετικά, καὶ οὐκ ἔτι τὰ συνάπτοντα, ὀνειδισμοὶ φάσκων, καὶ μυστηρίου ἀποκάλυψιν, καὶ πληγὴν δολίαν. ἀλλ' ἐπ' ἐκείνων μὲν εἰκότως ταῦτα, ἅτε σαρκικῶν ὄντων· ἐφ' ἡμῶν δὲ μὴ γένοιτο. οὐκ ἀπὸ τούτων ὑμᾶς ἐνάγομεν, ἀλλ' ἀπὸ τῶν ἄλλων. οὐδὲν ἡμῖν ἐστι χρηστὸν φιλίας χωρίς. ἔστω μυρία ἀγαθά· ἀλλὰ τί τὸ ὄφελος; ἔστω πλοῦτος, ἔστω τρυφὴ φίλων χωρίς. ἀλλὰ τί τὸ κέρδος; οὐδὲν κτῆμα τούτου κάλλιον καὶ ἐν τοῖς βιωτικοῖς πράγμασιν, ὥσπερ οὖν τῆς ἔχθρας ἁπάντων οὐδὲν χαλεπώτερον. α. Πετ. δ. η. Ἀγάπη καλύπτει πλῆθος ἁμαρτημάτων· ἡ δὲ ἔχθρα καὶ τὰ οὐκ ὄντα ὑποπτεύει. οὐκ ἀρκεῖ μὴ εἶναι ἐχθρόν, ἀλλὰ δεῖ καὶ φιλεῖν. ἐννόησον ὅτι ὁ Χριστὸς ἐκέλευσε, καὶ ἀρκεῖ τοῦτο. καὶ θλίψις πολλάκις φιλίας καὶ συνάγει. πόθεν οὖν φησι νῦν; ὅτι θλίψις οὐκ ἔστιν. Εἰπὲ πῶς ἵνα γενώμεθα φίλοι; οὐκ ἔχετε φίλους ἄλλους, εἰπέ μοι; πῶς αὐτῶν ἐστε φίλοι; πῶς διαμένετε; πρώτως μηδεὶς μηδένα ἐχθρὸν ἐχέτω· οὐκ ἔστι τοῦτο μικρόν. μηδεὶς φθονείτω. οὐκ ἔνι τὸν μὴ φθονοῦντα κατηγορεῖν. μίαν οἰκοῦμεν οἰκουμένην ἅπαντες, τοῖς αὐτοῖς τρεφόμεθα καρποῖς. ἀλλὰ ταῦτα μικρά· τοῖς αὐτοῖς μυστηρίοις, τῆς αὐτῆς πνευματικῆς τροφῆς ἀπολαύομεν. ταῦτα πάντα ἐστὶ δικαιώματα τοῦ φιλεῖν. πῶς οὖν θερμῶς διακεισόμεθα, φησί; τί ποιεῖ σωμάτων ἔρωτα; λαμπρότης σώματος. οὐκοῦν καὶ τὰς ψυχὰς καλὰς ἐργασώμεθα, καὶ ἐσόμεθα ἀλλήλοις ἐπέραστοι. οὐ γὰρ δὴ φιλεῖν δεῖ μόνον, ἀλλὰ καὶ φιλεῖσθαι. πρότερον τοῦτο κατορθώσωμεν, ὥστε φιλεῖσθαι, καὶ ἐκεῖνο εὔκολον ἔσται. πῶς οὖν ἔσται ἵνα φιλώμεθα; γενώμεθα καλοί. καὶ τοῦτο ἐργαζώμεθα, ὥστε ἐραστὰς ἔχειν ἀεί. μηδεὶς σπουδαζέτω χρήματα κτᾶσθαι, Παροιμ. κβ. α. μὴ ἀνδράποδα, μὴ οἰκίας, ὡς τὸ φιλεῖσθαι, ὡς ὄνομα χρηστὸν ἔχειν. Κρεῖττον ὄνομα, ἢ πλοῦτος πολύς. τὸ μὲν γὰρ μένει, ὁ δὲ ἀπόλλυται· καὶ τὸ μὲν δυνατὸν κτήσασθαι, ἐκεῖνο δὲ ἀδύνατον. ἐὰν μὲν γὰρ πονηρὰν δόξαν λαβών, δυσκόλως αὐτὴν ἀποθήσεται· ὁ δὲ πένης, ταχέως ἀπὸ τοῦ ὀνόματος ἔσται πλούσιος. ἔστω τις μυρία τάλαντα ἔχων, ὁ δὲ φίλους ἑκατόν· οὗτος ἐκείνου εὐπορώτερος. μὴ τοίνυν ἁπλῶς τοῦτο ποιῶμεν· ἀλλ' ἐργαζώμεθα ὡς ἐμποιεῖν τινα. καὶ πῶς δυνάμεθα, φησί; λάρυγξ

* ἔδει γὰρ διὰ τὰ σημεῖα * προσέχειν τὸ κεφάλαιον τῶν ἀγαθῶν τούτων.

χ. δεῖ προσεῖναι

χ. εὔνοιαν

τορῆ, καὶ Ῥωμαίοις ἐπιστέλλων προσαγορεύει αὐτούς. ὅθεν μοὶ δοκεῖ μετὰ ταῦτα αὐτοὺς εἰς Ῥώμην ἀπελθεῖν, ἅτε ἐμφιλοχωρεῖν ταῖς τόποις ἐκείνοις, ὅθεν ἐξέπεσον ἐπὶ Νέρωνος. καὶ καταβάς, φησιν, εἰς Καισάρειαν, ἀναβὰς καὶ ἀσπασάμενος τὴν ἐκκλησίαν, κατέβη εἰς Ἀντιόχειαν, καὶ ποιήσας χρόνον τινά, ἐξῆλθε, διερχόμενος τὴν Γαλατικὴν καθεξῆς χώραν καὶ Φρυγίαν. ἐμοὶ δοκοῦσι καὶ οἱ πιστοὶ ἔτι ἐκεῖ συνάγεσθαι. (χ. ἔτι) οὐ γὰρ εὐθέως αὐτοὺς ἀπίασιν· ὅρα δὲ πῶς αὐτοὺς ἐπισκέπτεται, καὶ ταύτας τὰς χώρας πάλιν διέρχεται, ὥστε τῇ παρουσίᾳ βεβαιῶσαι τοὺς μαθητάς. Ἰουδαῖος δέ τις, φησιν, Ἀπολλὼς ὀνόματι, κατήντησεν εἰς Ἔφεσον δυνατὸς ὢν ἐν ταῖς γραφαῖς. διεγηγερμένος ἦν ὁ ἄνθρωπος, διὸ καὶ ἀποδημίας στέλλεται παρὰ τούτου αὐτοῦ. ὃς παραγενόμενος, φησιν, εἰς Ἀχαΐαν, εὐτόνως διακατηλέγχετο τοῖς Ἰουδαίοις δημοσίᾳ. περὶ τούτου γράφων ἔλεγε· Περὶ δὲ Ἀπολλὼ τοῦ ἀδελφοῦ. τὸ μὲν οὖν δημοσίᾳ ἐλέγχειν, ἡ παρρησία ἐδείκνυτο· τὸ δὲ εὐτόνως, ἡ δύναμις ἐδηλοῦτο· τὸ δὲ ἐκ τῶν θείων γραφῶν ἐπιδεικνύειν, ἡ ἐμπειρία. (α. Κορ. ις. ιϛ.) οὔτε γὰρ ἡ παρρησία τι συντελεῖ καθ᾽ ἑαυτήν, οὐκ οὔσης δυνάμεως· οὔτε ἡ δύναμις, οὐκ οὔσης παρρησίας. ἆρα οὐκ εἰκῇ Ἀκύλαν κατέλιπεν εἰς Ἔφεσον· ἀλλὰ διὰ τὸν Ἀπολλὼ τάχα τὸ πνεῦμα τοῦτο ᾠκονόμησεν, ὥστε ἰσχυρότερον ἐπιβῆναι τῇ Κορίνθῳ. καὶ τί δήποτε τούτῳ μὲν οὐδὲν ἐποίησαν, Παύλῳ δὲ ἐπετίθεντο; ἤδεσαν ὅτι ἐκεῖνος ὁ κορυφαῖος ἦν· [ἢ] καὶ [ὅτι] πολὺ τὸ ὄνομα τοῦ ἀνδρὸς ἦν. προσλαβόμενοι δέ, φησιν, αὐτὸν Ἀκύλας καὶ Πρίσκιλλα, ἀκριβέστερον αὐτῷ ἐξέθεντο τὴν τοῦ Θεοῦ ὁδόν. ὅρα πῶς πάντα πιστοὶ ἐγίνετο, καὶ οὐδαμοῦ φθόνος, οὐδαμοῦ βασκανία· Ἀκύλας διδάσκει· μᾶλλον δὲ καὶ οὗτος διδάσκεται. καὶ γὰρ χρόνον αὐτῷ συγγενόμενοι οὕτως ἐδιδάχθησαν, ὡς καὶ ἄλλους ἱκανοὺς εἶναι διδάσκειν. βουλομένου δὲ αὐτοῦ διελθεῖν, φησιν, εἰς τὴν Ἀχαΐαν, ἔγραψαν τοῖς μαθηταῖς ἀποδέξασθαι αὐτόν. τίνος ἕνεκεν γράμματα πέμπουσιν ἑρμηνεύει· ἵνα, φησίν, αὐτὸν ἀποδέξωνται. καὶ πόθεν δῆλον ἐκείνους ἐν Ἐφέσῳ ὅτι τὰ τὸ βάπτισμα εἶχον Ἰωάννου; ὅτι ἐρωτώμενοι, Εἰς τί ἐβαπτίσθητε; εἰς τὸ Ἰωάννου λέγουσι βάπτισμα. ἴσως ἐπιδήμησαν τοῖς Ἱεροσολύμοις τότε, καὶ ἀπῆλθον καὶ ἐβαπτίσαντο· ἀλλὰ καὶ βαπτισθέντες, τὸν Ἰησοῦν οὐκ ἠπίσταντο. καὶ οὐ λέγει αὐτοῖς, πιστεύετε εἰς τὸν Ἰησοῦν· ἀλλὰ τί; εἰ πνεῦμα ἅγιον ἐλάβετε; ᾔδει γὰρ ὅτι οὐκ εἶχον, καὶ βούλεται αὐτοὺς εἰπεῖν, ἵνα μαθόντες ὧν ἀπεστέρηνται, αἰτήσωσι. καὶ ἐπιθέντος αὐτοῖς, φησι, τὰς χεῖρας τοῦ Παύλου, ἦλθε τὸ πνεῦμα τὸ ἅγιον ἐπ᾽ αὐτούς, καὶ ἐλάλουν γλώσσαις καὶ προεφήτευον. ἀπ᾽ αὐτοῦ τοῦ βαπτίσματος προφητεύουσι. τοῦτο δὲ τὸ Ἰωάννου βάπτισμα οὐκ εἶχε· διὸ καὶ ἀτελὲς ἦν. ἵνα δὲ τῶν τοιούτων ἀξιωθῶσι, παρεσκεύαζε μᾶλλον αὐτούς. ὥστε τοῦτο ἐβούλετο Ἰωάννης βαπτίζων, πιστεῦσαι εἰς τὸν ἐρχόμενον μετ᾽ αὐτόν. ἐντεῦθεν δείκνυται δόγμα μέγα, ὅτι τελείως καθαίρονται τῶν ἁμαρτημάτων οἱ βαπτιζόμενοι. εἰ μὴ γὰρ ἐκαθαίροντο, οὐκ ἂν τὸ πνεῦμα ἐδέχοντο οὗτοι, οὐκ ἂν χαρισμάτων εὐθὺς ἠξιοῦντο. καὶ ὅρα ὅτι διπλοῦν τὸ χάρισμα ἦν, καὶ γλώσσαι, καὶ προφητεῖαι. καλῶς δὲ εἶπε βάπτισμα μετανοίας τὸ Ἰωάννου, καὶ οὐκ ἀφέσεως, ἀνάγων αὐτοὺς καὶ πείθων, ὅτι τούτου ἔρημον ἦν ἐκεῖνο. τοῦ γὰρ ὕστερον δοθέντος ἔργον ἡ ἄφεσις γέγονε. καὶ πῶς οἱ λαβόντες τὸ πνεῦμα οὐκ ἐδίδασκον, ὁ δὲ Ἀπολλὼς μήπω τὸ πνεῦμα λαβών; ὅτι οὐκ ἦσαν οὕτω ζέοντες, οὐδὲ κατηχημένοι· ἐκεῖνος δὲ καὶ κατηχημένος ἦν, καὶ σφόδρα ζέων. ἐμοὶ δὲ δοκεῖ ὅτι καὶ πολλὴ ἦν ἡ παρρησία τοῦ ἀνδρός. ἀλλ᾽ εἰ καὶ ἀκριβῶς ἐλάλει τὰ περὶ τοῦ Ἰησοῦ, ὅμως ἐδεῖτο ἔτι ἀκριβεστέρας διδασκαλίας. οὕτω καίτοι οὐκ εἰδὼς πάντα, ἀπὸ τῆς προθυμίας ἐπεσπάσατο τὸ πνεῦμα τὸ ἅγιον, καθάπερ ὁ περὶ Κορνήλιον.

ΗΘΙΚΟΝ

Τάχα πολλοὶ ποθοῦσιν, εἰ καὶ νῦν ἦν τὸ τοῦ Ἰωάννου βάπτισμα. ἀλλὰ πολλοὶ ἂν ἠμέλησαν βίου ἀρίστου, ἢ καὶ ἐνομίσθη ἂν ἕκαστος διὰ τοῦτο, καὶ οὐ διὰ βασιλείαν οὐρανῶν ἐφίεσθαι τῆς ἀρετῆς. ἄλλως δέ, πολλοὶ ἂν ἐγένοντο ψευδοπροφῆται, καὶ οὐκ ἂν λοιπὸν οἱ

χ. ἐ γὰρ ἂν λοιπ. οὐδαμοῦ ...

μᾶλλον δὲ οὐκ ἐδεήθη αὐτῶν. τί οὖν ἐστιν εἰπεῖν; οὐδὲ γὰρ ἁπλῶς ἐφεξῆς ἔθηκεν ἀμφότερα ὁ συγγραφεύς. ἐμοὶ δοκεῖ εἰς οὐκ εἶναι τῶν ἑκατὸν εἴκοσι τῶν μετὰ τῶν ἀποστόλων βαπτισθέντων· ἢ εἰ μὴ τοῦτο, ὅπερ ἐπὶ τοῦ Κορνηλίου γέγονε, γεγένηται καὶ ἐπὶ τούτου. ἀλλ' οὐ βαπτίζει, ἀλλ' ὅτι ἀκριβέστερον αὐτῷ ἐξέθεντο. τοῦτο δὲ εἶναι μοι ἀληθὲς φαίνεται, ὅτι οὐ βαπτισθῆναι αὐτὸν ἔδει· ἐπεὶ οἱ δώδεκα οἱ ἄλλοι, οὐδὲν ἤδεσαν ἀκριβές, οὐδὲ τὰ περὶ τοῦ Ἰησοῦ. εἰκὸς δὲ αὐτὸν καὶ βαπτισθῆναι. πλὴν, εἰ καὶ αὐτοὶ οἱ Ἰωάννου μετὰ τὸ βάπτισμα πάλιν ἐβαπτίζοντο, ἔδει καὶ τούτους μαθητὰς τοῦτο ποιῆσαι. | γ. τὸ ἐν ἀκριβέστερον ἐξέθεντο. ἐμοὶ δοκεῖ τοῦτο εἶναι, ὅτι καὶ βα.

27 Βουλομένου δὲ αὐτοῦ διελθεῖν εἰς τὴν Ἀχαΐαν, προτρεψάμενοι οἱ ἀδελφοὶ ἔγραψαν τοῖς μαθηταῖς ἀποδέξασθαι αὐτόν· ὃς παραγενόμενος συνεβάλετο πολὺ τοῖς πεπιστευκόσι διὰ τῆς χάριτος.

28 Εὐτόνως γὰρ τοῖς Ἰουδαίοις διακατηλέγχετο δημοσίᾳ, ἐπιδεικνὺς διὰ τῶν γραφῶν εἶναι τὸν Χριστὸν Ἰησοῦν.

κεφ. ιθ. 1 Ἐγένετο δὲ ἐν τῷ τὸν Ἀπολλὼ εἶναι ἐν Κορίνθῳ, Παῦλον διελθόντα τὰ ἀνωτερικὰ μέρη, ἐλθεῖν εἰς Ἔφεσον· καὶ εὑρών τινας μαθητάς,

2 Εἶπε πρὸς αὐτούς· εἰ πνεῦμα ἅγιον ἐλάβετε πιστεύσαντες; οἱ δὲ εἶπον πρὸς αὐτόν· ἀλλ' οὐδὲ εἰ πνεῦμα ἅγιόν ἐστιν ἠκούσαμεν.

3 Εἶπέ τε πρὸς αὐτούς· εἰς τί οὖν ἐβαπτίσθητε; οἱ δὲ εἶπον, εἰς τὸ Ἰωάννου βάπτισμα.

4 Εἶπε δὲ Παῦλος, Ἰωάννης μὲν ἐβάπτισε βάπτισμα μετανοίας τῷ λαῷ λέγων, εἰς τὸν ἐρχόμενον μετ' αὐτὸν ἵνα πιστεύσωσι· τουτέστιν, εἰς τὸν Χριστὸν Ἰησοῦν.

5 Ἀκούσαντες δὲ ἐβαπτίσθησαν εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ.

6 Καὶ ἐπιθέντος αὐτοῖς τοῦ Παύλου τὰς χεῖρας, ἦλθε τὸ πνεῦμα τὸ ἅγιον ἐπ' αὐτούς, ἐλάλουν τε γλώσσαις καὶ προεφήτευον.

7 Ἦσαν δὲ οἱ πάντες ἄνδρες ὡσεὶ δεκαδύο. Πολλῷ οὗτοι ἐκείνου διεστήκασιν, οἱ μηδὲ εἰ πνεῦμα ἅγιόν ἐστιν εἰδότες. οὗτοι οὖν, οἱ καὶ ἀκριβέστερον αὐτῷ ἐξέθεντο τὴν ὁδὸν τοῦ Κυρίου, καὶ προπέμπουσι καὶ γράμματα ἐπιδιδόασιν. ἐβούλετο μὲν οὖν καὶ [αὐτὸς] ἀπελθεῖν εἰς Ἀχαΐαν· περὶ δὲ τοῦ προτρέψαι τὰ γράμματα δοῦναι αὐτῷ τοὺς ἀδελφούς, οὐκ ἀναχωρεῖ. ὃς παραγενόμενος συνεβάλετό, φησι, τοῖς πεπιστευκόσιν. εὐτόνως γὰρ διακατηλέγχετο δημοσίᾳ, ἐπιδεικνύων διὰ τῶν γραφῶν εἶναι τὸν Χριστὸν Ἰησοῦν. ἐπειδὴ γὰρ δυνατὸς ἐν ταῖς γραφαῖς Ἀπολλὼς δείκνυσι. τοὺς μὲν γὰρ Ἰουδαίους σφόδρα ἐπεστόμιζε· τοῦτο γάρ ἐστι τὸ, διακατηλέγχετο· τοὺς δὲ πιστεύοντας θαρρεῖν μᾶλλον ἐποίει καὶ ἵστασθαι πρὸς τὴν πίστιν. ἐγένετο δέ, φησι, Παῦλον διελθόντα τὰ ἀνωτερικὰ μέρη (ταῦτα δὲ τὰ κατὰ Καισάρειαν καὶ τὰ λοιπὰ) ἐλθεῖν εἰς Ἔφεσον· καὶ εὑρών τινας μαθητάς, εἶπε πρὸς αὐτούς· εἰ πνεῦμα ἅγιον ἐλάβετε πιστεύσαντες; ὅτι γὰρ οὐδὲ εἰς Χριστὸν ἐπίστευον οὗτοι, δῆλον ἐκ τοῦ εἰπεῖν, εἰς τὸν ἐρχόμενον μετ' αὐτὸν ἵνα πιστεύσωσι. καὶ οὐκ εἶπεν, οὐδέν ἐστι τὸ βάπτισμα Ἰωάννου· ἀλλ' ὅτι ἀτελές. καὶ οὐδὲ τοῦτο προσέθηκεν ἁπλῶς· ἀλλ' ἵνα διδάξῃ καὶ πείσῃ αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Ἰησοῦ βαπτισθῆναι, ὃ καὶ ποιοῦσι, καὶ τὸ πνεῦμα λαμβάνουσι τῇ ἐπιθέσει τῶν χειρῶν Παύλου. ἐπιθέντος γάρ, φησιν, αὐτοῖς τοῦ Παύλου τὰς χεῖρας, ἦλθε τὸ πνεῦμα τὸ ἅγιον ἐπ' αὐτούς. ὥστε οἷς ἐπετίθει τὰς χεῖρας, τὸ πνεῦμα ἐλάμβανον. εἰκὸς τοίνυν ἦν πνεῦμα μὲν αὐτοὺς ἔχειν, μὴ φαίνεσθαι δέ· ἀλλ' ἐκ τῆς ἐνεργείας, καὶ τὰ ἀφ' ὧν γλώσσαις ἐλάλουν, τοῦτο ἐνέφαινον. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ ἀναγνωσμένα. ὁ δὲ Παῦλος ἐξέπλει εἰς τὴν Συρίαν, φησί, καὶ σὺν αὐτῷ Πρίσκιλλα καὶ Ἀκύλας, οὓς καὶ καταντήσας εἰς Ἔφεσον κατέλιπεν αὐτοῦ. ἢ ὅτι οὐκ ἐβούλετο περιάγειν αὐτούς, καὶ διὰ τοῦτο κατέλιπεν· ἢ μᾶλλον ἵνα διδάσκαλοι μένωσι τοῖς ἐν Ἐφέσῳ. αὐτοὶ δὲ μετὰ ταῦτα τὴν Κόρινθον ᾤκησαν, οἷς καὶ μεγάλα μαρτυρεῖ,

γ. δύναμιν

γ. προπέμψαντο δὲ καὶ ἔπεμψαν, καὶ γράμματα δόντες αὐτῷ ἀλλ. προτρέψαντο δὲ καὶ εἶπε

γ. κατ'

χεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. μ. 18 Ο ΔΕ ΠΑΥΛΟΣ ΕΤΙ ΠΡΟΣΜΕΙΝΑΣ ΗΜΕρας ἱκανὰς τοῖς ἀδελφοῖς, ἀποταξάμενος ἐξέπλει εἰς τὴν Συρίαν (καὶ σὺν αὐτῷ Πρίσκιλλα καὶ Ἀκύλας) κειράμενος τὴν κεφαλὴν ἐν Κεγχρεαῖς· εἶχε γὰρ εὐχήν.

ΟΡα πῶς ὁ νόμος κατελύετο, ὅρα πῶς τῇ συνηθείᾳ κατείχοντο. τοῦτο Ἰουδαϊκὸν ἦν, τὸ κείρασθαι τὰς κεφαλὰς κατ' εὐχήν. πλὴν ἔδει καὶ θυσίαν γενέσθαι, ὅπερ οὐκ ἐγένετο μετὰ τὸ τυπωθῆναι τῶν Σωτήριον. ἔδει γὰρ ἀπελθεῖν αὐτόν, διὸ καὶ ἐπείγετο. καὶ παρακαλούμενος μεῖναι παρ' αὐτοῖς ἐν Ἐφέσῳ, οὐκ ἀνέχεται. τίνος οὖν ἕνεκεν πάλιν τὴν Ἀντιόχειαν καταλαμβάνει; Ἀναβὰς γάρ, φησι, καὶ ἀσπασάμενος τὴν ἐκκλησίαν, κατέβη εἰς Ἀντιόχειαν. ἐπιθυμίαν εἶχε τῆς πόλεως, πάθος τι εἶχε θερμὸν πρὸς αὐτήν. ἐνταῦθα γὰρ ἐχρημάτισαν οἱ μαθηταὶ λέγεσθαι χριστιανοί· ἐνταῦθα παρεδόθη τῇ χάριτι τοῦ Θεοῦ· ἐνταῦθα *λύουσι πράγματα [τὰ] κατὰ τὸ δόγμα. καὶ ὁ μὲν εἰς Συρίαν ἐξέπλει· τούτους δὲ ἀφίκει εἰς Ἔφεσον, εἰκότως, ὡς διδάξοντας. τοσοῦτον γὰρ αὐτῷ συγγενόμενοι χρόνον, πολλὰ ἔμαθον· καὶ ὅμως τῆς συνηθείας αὐτοὺς οὐκ ἀπήγαγεν οὐδέπω τῆς Ἰουδαϊκῆς. ἰδοὺ καὶ γυνὴ τὸ ἴσον ἀνδράσι ποιοῦσα καὶ διδάσκουσα. διὰ τοῦτο ἐκωλύετο εἰς τὴν Ἀσίαν ἐλθεῖν, πρὸς τὰ κατεπείγοντα οἶμαι ἐλαυνόμενος. ὅρα γοῦν ἐνταῦθα καὶ παρακαλούμενον αὐτὸν μεῖναι, καὶ οὐκ ἀνεχόμενον, ἐπειδὴ ἠπείγετο ἀπελθεῖν. οὐ μὴν ἁπλῶς αὐτοὺς εἴασεν, ἀλλὰ μετὰ ὑποσχέσεως. καὶ ὅπως, ἄκουε.

γρ. ἔδει γὰρ αὐτὸν ἅπαξ μόνον καὶ παρακληθῆναι (ἀλλ. παρεκάλεσαν) ἐκεῖ τέως. τί πάλιν ἀπεθύμει τὴν Συρίαν καταλαβεῖν; ἐνταῦθα ἐχρημάτισαν οἱ μαθηταί. * τοιαῦτα

19 Κατήντησε δέ, φησιν, εἰς Ἔφεσον, καὶ ἐκείνους κατέλιπεν αὐτοῦ· αὐτὸς δὲ εἰσελθὼν εἰς τὴν συναγωγήν, διελέχθη τοῖς Ἰουδαίοις.

20 Ἐρωτώντων δὲ αὐτῶν ἐπὶ πλείονα χρόνον μεῖναι παρ' αὐτοῖς, οὐκ ἐπένευσεν,

21 Ἀλλ' ἀπετάξατο αὐτοῖς εἰπών· δεῖ με πάντως τὴν ἑορτὴν τὴν ἐρχομένην ποιῆσαι εἰς Ἱεροσόλυμα· πάλιν δὲ ἀνακάμψω πρὸς ὑμᾶς, τοῦ Θεοῦ θέλοντος. καὶ ἀνήχθη ἀπὸ τῆς Ἐφέσου·

22 Καὶ κατελθὼν εἰς Καισάρειαν, ἀναβὰς καὶ ἀσπασάμενος τὴν ἐκκλησίαν, κατέβη εἰς Ἀντιόχειαν,

23 Καὶ ποιήσας χρόνον τινά, ἐξῆλθε διερχόμενος καθεξῆς τὴν Γαλατικὴν χώραν καὶ Φρυγίαν, ἐπιστηρίζων πάντας τοὺς μαθητάς. Καὶ ὅρα ἐκείνους τοὺς τόπους καταλαμβάνει, οἷς ἐπέβη πρὸ τούτου.

24 Ἰουδαῖος δέ τις Ἀπολλὼς ὀνόματι, Ἀλεξανδρεὺς τῷ γένει, ἀνὴρ λόγιος, κατήντησεν εἰς Ἔφεσον δυνατὸς ὢν ἐν ταῖς γραφαῖς. Ἰδοὺ καὶ λόγιοι ἠπείγοντο κηρύττειν, καὶ ἀποδημοῦσι λοιπὸν οἱ μαθηταί. ὁρᾷς ἐπίδοσιν τοῦ κηρύγματος;

γρ. ἐπείγοντο

25 Οὗτος ἦν κατηχημένος τὴν ὁδὸν τοῦ Κυρίου, καὶ ζέων τῷ πνεύματι ἐλάλει, καὶ ἐδίδασκεν ἀκριβῶς τὰ περὶ τοῦ Κυρίου, ἐπιστάμενος μόνον τὸ βάπτισμα Ἰωάννου.

26 Οὗτός τε ἤρξατο παρρησιάζεσθαι ἐν τῇ συναγωγῇ. ἀκούσαντες δὲ αὐτοῦ Ἀκύλας καὶ Πρίσκιλλα, προσελάβοντο αὐτόν, καὶ ἀκριβέστερον αὐτῷ ἐξέθεντο τὴν τοῦ Θεοῦ ὁδόν.

Εἰ τὸ βάπτισμα Ἰωάννου μόνον ἠπίσταντο οὗτοι, πῶς τῷ πνεύματι ἔζει; τὸ γὰρ πνεῦμα οὐχ οὕτως ἐδίδοτο. Εἰ δὲ καὶ οἱ μετὰ τοῦτον ἐδεήθησαν τοῦ βαπτίσματος τοῦ Χριστοῦ· πολλῷ



Digitized by Google

λεῖ; τοῦτο πρὸς ὑμᾶς ἔστω παραμυθία τοὺς ὀνειδιζομένους. ὀνειδίζεσθε; ὀνειδίζεται καὶ Θεός. ὀνειδίζεσθε; ὀνειδίζεται καὶ Θεός. διαβάλλεσθε; καὶ γὰρ καὶ ὁ δεσπότης ὁ ἡμέτερος. ἐν μὲν οὖν τούτοις ἡμῖν κοινωνεῖ· ἐν δὲ τοῖς ἐναντίοις οὐκέτι. οὐ γὰρ ὀνειδίζει ἀδίκως ποτὲ (μὴ γένοιτο) οὐδὲ ὠνείδισεν ἁπλῶς, οὐδὲ ἠδίκησεν, ὥστε ἡμεῖς ἐσμὲν οἱ κοινωνοῦντες, οὐχ ὑμεῖς. τὸ μὲν γὰρ ὀνειδιζομένους φέρειν, Θεοῦ· τὸ δὲ ὀνειδίζειν ἁπλῶς, δαιμόνων. ἴδετε τὰς δύο μερίδας. Δαιμόνιον ἔχεις, ἤκουσεν ὁ Χριστός· ἐρραπίσθη ἀπὸ τοῦ δούλου τοῦ ἀρχιερέως. οἱ ὀνειδίζοντες τοίνυν ἀδίκως, μετ' ἐκείνων ἑστήκασιν. Εἰκότως. εἰ γὰρ ὁ Πέτρος καὶ Σατανᾶς ἤκουσε δι' ἓν ῥῆμα, πολλῷ μᾶλλον οὗτοι Ἰουδαῖοι ἀκούσονται, ὅταν τὰ Ἰουδαίων ποιῶσιν· ὥσπερ κἀκεῖνοι διαβόλου τέκνα, ἐπειδὴ τὰ τοῦ διαβόλου εἰργάζοντο. ὀνειδίζεις τίς ὤν, εἰπέ μοι; μᾶλλον δὲ διὰ τοῦτο ὀνειδίζεις, ἐπειδὴ οὐδέν εἶ. οὐδεὶς γὰρ ἄνθρωπος ὢν ὀνειδίζει. ὥστε ὃ λέγεται ἐν ταῖς μάχαις, σὺ τίς εἶ; ἐξ ἐναντίας ἔδει λέγεσθαι· ὀνείδιζε· οὐδὲν γὰρ εἶ, ἐπεὶ ὀνειδίζεις. νῦν δὲ λεγόντων ἡμῶν, σὺ τίς ὀνειδίζεις; ὡς βελτίων σου διὰ πάντων, ἀκούειν ἐστί. καὶ μὴν τὸ ἐναντίον ἔδει λέγειν. ἀλλ' ἐπειδὴ ἡμεῖς κακῶς ἐρωτῶμεν, διὰ τοῦτο κἀκεῖνοι κακῶς ἀποκρίνονται. ὥστε ἡμεῖς αἴτιοι. ὡς μεγάλων γὰρ ἀνδρῶν ὄντων τῶν ὀνειδιζόντων, οὕτω λέγομεν, ὡς τίς ὀνειδίζεις; διὰ τοῦτο κἀκεῖνοι οὕτως ἀποκρίνονται. τοὐναντίον δὲ ἐχρῆν λέγειν· ὀνειδίζεις; ὀνείδιζε· οὐδεὶς γὰρ εἶ. πρὸς δὲ τοὺς οὐχ ὀνειδίζοντας τοῦτο μᾶλλον ἔδει λέγεσθαι· ὡς τίς οὐχ ὀνειδίζεις; ὑπερέβης τὴν ἀνθρωπίνην φύσιν. τοῦτο δὴ λέγω, τὴν ἐλευθερίαν, μηδὲν ἀνελεύθερον φθέγγεσθαι, κἂν ἄξιός ᾖ τις ἀκούειν. εἰπὲ δή μοι, πόσοι οὐχὶ ἄξιοί εἰσιν ἀναιρεῖσθαι; ἀλλ' ὅμως οὐ ποιεῖ τοῦτο δι' ἑαυτοῦ ὁ δικαστής, ἀλλ' ἐρωτᾷ· καὶ οὐδὲ τοῦτο δι' ἑαυτοῦ. εἰ δὲ διαλέγεσθαι ἀνθρώπῳ πονηρῷ οὐκ ἀνεκτὸν δικάζοντα, ἀλλὰ μέσῳ τινὶ κέχρηται, πολλῷ μᾶλλον ἡμᾶς τοὺς ὁμοτίμους ὀνειδίζειν οὐ χρή. οὐ γὰρ οὕτω τῷ ὑβρίσαι πλεονεκτήσομεν αὐτόν, ὡς τῷ διαλεχθῆναι ὑβρίσαμεν ἑαυτούς. τοὺς μὲν οὖν πονηροὺς διὰ τοῦτο οὔ τι ὑβρίζειν χρή· τοὺς δὲ ἀγαθούς, καὶ δι' ἕτερον, ὅτι οὐκ ἄξιοι· καὶ τρίτον, ὅτι ὑβριστὴν εἶναι οὐ χρή. νῦν δὲ ὅρα ὅσα γίνεται. ὑβρίζεται καὶ ἐπηρεάζεται ἄνθρωπος, καὶ ὁ ἐπηρεάζων ἄνθρωπος, καὶ οἱ θεωροῦντες ἄνθρωποι. τί οὖν; τὰ θηρία δεῖ εἰς μέσον ἐλθεῖν καὶ διαλῦσαι; τοῦτο γὰρ λείπεται. ὅταν γὰρ οἵ τε ἀδικοῦντες, οἵ τε τερπόμενοι τῇ ἀδικίᾳ ἄνθρωποι ὦσι, τοῖς θηρίοις ἡ καταλλαγὴ λείπεται. ὥσπερ οὖν δεσποτῶν μαχομένων ἐν οἰκίᾳ, λείπεται τοὺς οἰκέτας καταλλάττειν (τοῦτο γὰρ ἡ τοῦ πράγματος φύσις ἀπαιτεῖ, εἰ καὶ ταύτῃ τάχα μὴ γίνεται) οὕτω καὶ ἐνταῦθα. ὑβρίζεις; εἰκότως· οὐδὲ γὰρ ἄνθρωπος εἶ. διὰ τοῦτο ἔδοξε μέγα τι εἶναι ἡ ὕβρις, καὶ ἔδοξε τοῖς μεγάλοις προσήκειν· τοῖς δὲ ἀνδραπόδοις μᾶλλον προσήκει, ὥσπερ τὸ εὐφημεῖν, ἐλευθέροις ἐμπρέπει. ὥσπερ γὰρ τὸ κακῶς ποιεῖν, ἐκείνων, οὕτω τὸ κακῶς πάσχειν, τούτων. οἷόν ἐστι κλέπτρια δούλη τὰ τοῦ δεσπότου λαθραίως ὑφαιροῦσα, τοιοῦτόν τί ἐστι καὶ ὁ ὑβριστής. καὶ ὡς ἄν εἴποι τις, καθάπερ ὁ κλέπτης σπουδῇ εἰσιών, πανταχοῦ περιβλέπεται ὠφελεῖσθαί τι σπουδάζων· οὕτω καὶ οὗτος πάντα περισκοπεῖ, ἐκβάλλειν τι θέλων. τάχα ἑτέρῳ τινὶ παραδείγματι αὐτοὺς διαγράψωμεν. ὥσπερ ἂν εἴ τις σκεύη ἀκάθαρτα κλέπτων ἐξ οἰκίας, καὶ ἐξάγων πάντων ἔμπροσθεν, οὐχὶ τὰ ὑφαιρεθέντα ἠχρείωσε τοσοῦτον, ὅσον αὐτὸς ἑαυτόν, ταῦτα ὑφελόμενος καὶ ἐξάγων· οὕτω δὴ καὶ οὗτος, ἐκβαλὼν ἔμπροσθεν πάντων ἀκάθαρτα ῥήματα, οὐχὶ ἑτέρους ἠχρείωσεν, ἀλλ' ἑαυτὸν διὰ τῶν ῥημάτων, προσαγαγὼν ταῦτα, καὶ καταρρυπάνας αὐτοῦ καὶ τὴν γλῶτταν, καὶ τὴν διάνοιαν. ταὐτὸν γὰρ γίνεται ὅταν πρὸς τοὺς πονηροὺς μαχώμεθα, ὥσπερ ἂν εἴ τις ἄνθρωπον τὸν ἐν στιπείοις ὄντα θέλων πλῆξαι, μολύνῃ ἑαυτόν, καὶ τὰς ἑαυτοῦ χεῖρας εἰς τὸν βόρβορον τῆς δυσωδίας. ταῦτα δή, παρακαλῶ, πάντα ἀναλογιζόμενοι, φεύγωμεν τὴν ἐντεῦθεν βλάβην, καὶ εὔφημον ἔχωμεν γλῶτταν, ἵνα καθαρεύοντες πάσης ὕβρεως, δυνηθῶμεν μετὰ ἀκριβείας τὸν παρόντα βίον διανύσαι, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσι τὸν Θεὸν ἐπιτυχεῖν,

Λυκ. ζ. κγ. Ματθ. κς. ξζ. Λυκ. κ. λγ. Ιωαν. η. μδ.

χ. οἷον ὀνειδίζεις· ἐγὼ χλεύη εἰμὶ σοί
χ. τὸ
χ. τὸ διαλεχθῆναι ὑποβεβλημένον
χ. οἱ πρ.
χ. τὸ
χ. ὁ ὑβριστ.
χ. προσαγαγὼν ταῦτα
χ. πᾶσιν αὐτῶν

ΗΘΙΚΟΝ

Τοῦτον καὶ ἡμεῖς μιμώμεθα. ἀντιπλήσσωμεν τοὺς τύπτοντας τῇ ἐπιεικείᾳ, τῇ σιγῇ, τῇ μακροθυμίᾳ. χαλεπώτερα ταῦτα τὰ τραύματα· μείζων ἡ πληγὴ καὶ φορτικωτέρα. οὐ γὰρ τὸ πλήττεσθαι τὸ σῶμα, ἀλλὰ τὸ τὴν διάνοιαν, χαλεπόν. πολλοὺς πλήττομεν· ἀλλ' ἐπεὶ ἐν τάξει φιλίας, καὶ ἥδονται. ἂν δὲ τὸν τυχόντα πλήξῃς ὑβριστικῶς, ἐπεὶ τῆς καρδίας ἥψω, σφόδρα ἐλύπησας. οὕτω μᾶλλον τὴν καρδίαν αὐτῶν πλήττομεν. ὅτι δὲ μειζόνως ἐπιείκεια πλήττει θρασύτητος, φέρε ἀποδείξωμεν, ὡς δυνατὸν, τῷ λόγῳ. ἡ μὲν γὰρ σαφὴς ἀπόδειξις διὰ τῶν ἔργων καὶ τῆς πείρας ἐστίν. εἰ δὲ δοκεῖ, καὶ τῷ λόγῳ τὴν ἐξέτασιν ποιησώμεθα, [καίτοι πολλάκις καὶ ἤδη ἐποιησάμεθα.] ἐν γὰρ ταῖς ὕβρεσιν οὐδὲν οὕτως ἡμᾶς λυπεῖ, ὡς ἡ παρὰ τῶν ὁρώντων ψῆφος. οὐ γὰρ ἴσον δημοσίᾳ τι ὑβρίζεσθαι, καὶ ἰδίᾳ· ἀλλ' ἐκείνας μὲν καὶ φέρομεν εὐκόλως τὰς ὕβρεις, ὅταν ἐπ' ἐρημίας, ὅταν μηδενὸς ὄντος τοῦ μαρτυροῦντος τοῦτο πάθωμεν, μηδὲ τοῦ συνειδότος. οὕτως οὐχ ἡ τῆς ὕβρεως φύσις ἐστὶν ἡ δάκνουσα, ἀλλὰ τὸ ἐπὶ πάντων τοῦτο παθεῖν· ὡς εἴ γέ τις ἡμῶν ἐπὶ πάντων ὑβρίζοι κατ' ἰδίαν, καὶ χάριν εἰσόμεθα. οὐκοῦν οὐκ ἐν τῇ τῆς ὕβρεως φύσει τὸ λυπηρόν ἐστιν, ἀλλ' ἐν τῇ ψήφῳ τῶν ὁρώντων, ὥστε μὴ δόξαι εὐκαταφρόνητον εἶναι. τί οὖν, ἂν αὐτὴ ὑπὲρ ἡμῶν ᾖ, οὐχὶ μᾶλλον ὁ ὑβρίζων ὕβρισται, ὅταν ὑπὲρ ἡμῶν τὰς ψήφους φέρωσιν; εἰπέ μοι, τίνος καταφρονοῦσιν οἱ παρόντες; τοῦ ὑβρίζοντος, ἢ τοῦ ὑβρισθέντος καὶ σιγῶντος; ὁ μὲν γὰρ θυμὸς ὑπερβάλλει, ὅτι τοῦ ὑβριζομένου· νικῶ δὲ, ὅτι καθαροὶ τοῦ πάθους ἐσμέν. ἴδωμεν, ἵνα μὴ τότε συναρπασθῶμεν. τίνος οὖν καταγινώσκομεν ἅπαντες; δῆλον ὅτι τοῦ ὑβρίζοντος. κἂν μὲν ἐλάττων ᾖ, καὶ μαίνεσθαι αὐτόν φαμεν· ἂν δὲ ὁμότιμος, ἀνόητον· ἂν δὲ μείζων, οὐδὲ οὕτως ἀποδεξόμεθα. τίς γὰρ, εἰπέ μοι, ἀποδοχῆς ἄξιος; ὁ ταραττόμενος, ὁ χειμαζόμενος, ὁ ἐκθηλυνόμενος, ὁ παρὰ τὴν κοινὴν φύσιν οὕτω διακείμενος· ἢ ὁ ἐν γαλήνῃ καὶ λιμένι καὶ φιλοσοφίᾳ πολλῇ; οὐχ ὁ μὲν ἀγγέλῳ προσέοικεν, ὁ δὲ οὐδὲ ἀνθρώπῳ; ὁ μὲν γὰρ οὐδὲ τὰ οἰκεῖα δύναται βαστάσαι κακά, ἐκεῖνος δὲ καὶ τὰ ἀλλότρια· οὗτος οὐδὲ ἑαυτὸν ἐνεγκεῖν ἐδυνήθη, ἐκεῖνος δὲ καὶ ἕτερον· ὁ μὲν ἐν ναυαγίῳ ἐστὶν, οὗτος δὲ ἐν ἀσφαλείᾳ πλεῖ, ἐξ οὐρίων αὐτῷ τῆς πνοῆς φερομένης. οὐ γὰρ εἴασε τὸ τοῦ θυμοῦ πνεῦμα τοῖς ἱστίοις ἐμπεσὸν, ἀνατρέψαι τῆς διανοίας τὸ σκάφος· ἀλλὰ λεπτή τις αὔρα, καὶ ἡδεῖα παραπέμπουσα τῆς ἀνεξικακίας ἡ πνοὴ, μετὰ πολλῆς αὐτῷ τῆς ἡσυχίας ἐπὶ τὸν τῆς φιλοσοφίας ἄγει λιμένα. καὶ καθάπερ ἐν πλοίῳ ναυαγοῦντι οἱ ναῦται οὐκ ἴσασιν ἃ ῥίπτουσιν, ἀντὶ τῶν οἰκείων, ἀντὶ τῶν ἀλλοτρίων λάβωσι παρὰ ταῖς θήκαις, ἀλλὰ πάντων ὁμοίως ἐκβολὴν ποιοῦνται τῶν ἐγκειμένων, τῶν τε τιμίων, τῶν τε οὐ τοιούτων· ἐπειδὰν δὲ ὁ χειμὼν παύσηται, τότε ἀναλογιζόμενοι ὅσα ἐξέβαλον, δακρύουσι, καὶ τῆς γαλήνης οὐκ αἰσθάνονται διὰ τὴν ζημίαν τῆς ἐκβολῆς· οὕτω δὴ καὶ ἐνταῦθα, ὅταν ὁ θυμὸς πνεύσῃ, καὶ ὁ χειμὼν αἴρηται, οὐκ ἴσασιν ἐν τάξει ἐκβάλλειν τὰ δέοντα· ὅταν δὲ παύσηται ὁ θυμὸς, τότε ἀναλογιζόμενοι ποῖα ἐξέβαλον, ἐννοοῦσι τὴν ζημίαν, καὶ οὐκ αἰσθάνονται τῆς ἀναπαύσεως, τῶν ῥημάτων μεμνημένοι, δι' ὧν κατῄσχυναν ἑαυτοὺς, καὶ τὰ μέγιστα ἐζημιώθησαν, οὐ περὶ χρήματα, ἀλλὰ περὶ δόξαν ἐπιεικείας καὶ πραότητος. ὄντως σκότος ἐστὶν ὁ θυμός. Εἶπεν ἄφρων, φησὶν, ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι Θεός. τάχα καὶ περὶ τοῦ θυμουμένου τοῦτο εἴποις οὐχ ἕτερον, ὅτι εἶπεν ὁ θυμούμενος, οὐκ ἔστι Θεός. Κατὰ γὰρ τὸ πλῆθος, φησὶ, τῆς ὀργῆς αὐτοῦ οὐκ ἐκζητήσει. ὃς γὰρ ἂν ἐπεισέλθῃ λογισμὸς ἀσεβὴς, πάντας διωθεῖται καὶ διακρούεται, πάντας ῥίπτει πλαγίως. Εἰ μὴ σὺ μᾶλλον ἀλγεῖς τοῦ ὑβρισθέντος, ὕβρισε. καὶ μηδεὶς ὁ ἐγκαλῶν ᾖ, τὸ τοῦ συνειδότος δικαστήριον ἰδίᾳ σε λαβὸν, μαστίζει μυρία. ὅταν οὖν ἀκούσῃς ὅτι ὁ ὑβριζόμενος οὐδὲν ἐξέβαλε ῥῆμα πικρὸν, οὐχὶ ταύτῃ μᾶλλον ἀλγεῖς; εἰπέ μοι, πῶς ἀνθρώπους πράους καὶ ταπεινοὺς καὶ ἐπιεικεῖς μυρίαις ἔπλυνας λοιδορίαις; ταῦτα λέγομεν συνεχῶς, οὐχ ὁρῶμεν δὲ ἐπιδεικνύμενοι διὰ τῶν ἔργων. ἄνθρωπος ὢν, ἀνθρώπους ὑβρίζεις; δοῦλος ὢν, τὸν ὁμόδουλον; ἀλλὰ τί τοῦτο θαυμάζω, ὅπου γε καὶ Θεὸν ὑβρίζουσι πολλοί;

χ. ἢ τῶ
χ. ἐμ.
χ. ἐξουσίαν
χ. ῥήματα
Ψαλ. ιγ. α.
Ψαλ. θ. κε.

συναγωγῇ, φησι, κατὰ πᾶν σάββατον ἔπειθε Ἰουδαίους τε, καὶ Ἕλληνας. ἀντιτασσομένων δὲ αὐτῶν καὶ βλασφημούντων, ἀπέστη. ταύτῃ προσδοκῶν αὐτοὺς ἐλέγξειν μᾶλλον, ἀφίσταται. (γ. ἐλέγξειν μᾶλλον. διὰ τί) διὰ τί γὰρ ἀφεὶς ἐκείνην τὴν οἰκίαν, ἦλθε πλησίον τῆς συναγωγῆς; ἆρ' οὐχὶ διὰ τοῦτο; οὐδὲ γὰρ κίνδυνον ἑώρα ἐνταῦθα. διαμαρτυρόμενος αὐτοῖς, φησι. οὐκ ἔτι διδάσκει, ἀλλὰ διαμαρτύρεται. ἀντιτασσομένων δὲ αὐτῶν, φησι, καὶ βλασφημούντων, ἐκτιναξάμενος τὰ ἱμάτια εἶπε· τὸ αἷμα ὑμῶν ἐπὶ τὴν κεφαλὴν ὑμῶν. τοῦτο ποιεῖ, ὥστε μὴ ῥήματι μόνον, ἀλλὰ καὶ πράγματι φοβῆσαι· καὶ σφοδρότερον διαλέγεται, ἅτε καὶ πολλοὺς πεπεικώς. καθαρὸς εἰμί, φησιν, ἐγώ. ἀπὸ τοῦ νῦν εἰς τὰ ἔθνη πορεύομαι.

Ιεζ. κ. ζ.

ἄρα καὶ ἡμεῖς ὑπεύθυνοι ἐσμὲν τοῦ αἵματος τῶν ἡμῖν ἐγκεχειρισμένων, ἀμελοῦντες αὐτῶν. ὥσπερ καὶ ὅταν λέγῃ, Τὸ λοιπὸν κόπους μοι μηδεὶς παρεχέτω, φοβῶν φησιν. οὐ γὰρ οὕτως αὐτοὺς ἔφερεν ἡ τιμωρία, ὡς ἔδακνε τοῦτο. καὶ μεταβὰς ἐκεῖθεν, ἦλθεν εἰς οἰκίαν Ἰούστου. (γ. κ. ἦμεν ἐκεῖ, τοῦτο ἐκεῖ.) μεταβαίνει βουλόμενος αὐτοὺς πεῖσαι, διὰ τὸ πρὸς τὰ ἔθνη ἀπιέναι. Κρίσπος δὲ ὁ ἀρχισυνάγωγος, φησιν, ἐπίστευσε τῷ Κυρίῳ σὺν ὅλῳ τῷ οἴκῳ αὐτοῦ. ὅρα γοῦν πιστεύει τότε μετὰ τῆς οἰκίας τοῦτο ποιοῦντος ὁλοκλήρου. (γ. ὅρα γοῦν ἐνδίκως τὸν ἀρχισυνάγωγον πιστεύοντα καὶ ἑτέρους πολλοὺς, τότε γεγονότα, καὶ βαπτίζοντα, τίνες) τούτου δὲ γενομένου, εὐθέως καὶ ἕτεροι πολλοὶ πιστεύσαντες ἐβαπτίσθησαν. τοῦτον Κρίσπον λέγει τὸν ἀρχισυνάγωγον, περὶ οὗ φησι γράφων· Οὐδένα ἄλλον ἐβάπτισα, εἰ μὴ Κρίσπον καὶ Γάϊον.

α. Κορ. α. ιδ.

οἶμαι δὲ τοῦτον καὶ Σωσθένην λέγεσθαι, ὃς τοσοῦτον ἀνὴρ πιστὸς ἦν, ὥστε καὶ τύπτεσθαι καὶ παρέχεσθαι ἀεὶ τῷ Παύλῳ. μὴ φοβοῦ, ἀλλὰ λάλει. διὰ τοῦτο πολὺν χρόνον μένει ἐκεῖ. ἐπειδὴ μὲν γὰρ αὐτὸν καὶ τὸ πλῆθος· ἡ δὲ οἰκείωσις τοῦ Χριστοῦ, πλέον. μείζων γὰρ ὁ κίνδυνος ἐγένετο λοιπὸν καὶ τῶν πλειόνων πιστευόντων, καὶ τοῦ ἀρχισυναγώγου. μὴ φοβοῦ, φησι. τοῦτο ἱκανὸν αὐτὸν διεγεῖραι, ὅτι οὐκ ἐλέγχθη φοβούμενος [μὲν,] ἀλλ' ὥστε μηδὲ τοῦτο παθεῖν, παραθαρρύνει. οὐ γὰρ ἀεὶ αὐτοὺς πάσχειν εἴα κακῶς, ὥστε μὴ ἀσθενεστέρους γενέσθαι. οὐδὲν δὲ οὕτως ἐλύπει τὸν Παῦλον, ὡς τῶν ἀπειθούντων, ὡς τῶν ἀντιτασσομένων. τοῦτο καὶ τῶν κινδύνων αὐτῷ χαλεπώτερον ἦν. καὶ μὴ σιωπήσῃς, φησι, διότι λαός ἐστί μοι πολὺς ἐν τῇ πόλει ταύτῃ. τάχα διὰ τοῦτο αὐτῷ καὶ φαίνεται * ὁ Χριστός. Γαλλίωνος δέ, φησιν, ἀνθυπατεύοντος τῆς Ἀχαΐας, κατεπέστησαν ὁμοθυμαδὸν οἱ Ἰουδαῖοι τῷ Παύλῳ. ὅρα, μετὰ τὸν ἐνιαυτὸν καὶ τοὺς ἓξ μῆνας ἐπιτίθενται, ὅτι οὐκ ἔτι ἴσχυον νόμοις χρῆσθαι ἰδίοις. τοῦτο μάλιστα ἐπῆρε Κορινθίους, τὸ μάλιστα πεισθῆναι, διὰ οὐδὲν καθῆσαν ἑαυτὸν ὁ ἄρχων. οὐ γὰρ ἦν ἴσον ἐξ ἀντιλογίας νικῆσαι, καὶ μαθεῖν ἐκείνους, ὅτι οὐδὲν μέλει αὐτῷ τοῦ πράγματος. καὶ σκόπει ἐκεῖνος πῶς ἦν συνετός. οὐ γὰρ εἶπεν εὐθέως ἀποκρινόμενος, οὐ μέλει μοι· ἀλλὰ τί; εἰ μὲν ἦν τι ἀδίκημα, ἢ ῥᾳδιούργημα πονηρόν, ὦ Ἰουδαῖοι, κατὰ λόγον ἂν ἠνεσχόμην ὑμῶν· εἰ δὲ ζήτημά ἐστι περὶ λόγου καὶ ὀνομάτων καὶ νόμου τοῦ καθ' ὑμᾶς, ὄψεσθε αὐτοί· κριτὴς γὰρ ἐγὼ τούτων οὐ βούλομαι εἶναι. ἀπετείχισεν αὐτοὺς τὸ δικαστήριον. λαμπρὰ γέγονεν ἡ νίκη. ἐπιλαβόμενοι δὲ Σωσθένην τὸν ἀρχισυνάγωγον, ἔτυπτον ἔμπροσθεν τοῦ βήματος, καὶ οὐδὲν τούτων τῷ Γαλλίωνι ἔμελεν. ὢ τῆς αἰσχύνης, ἣν ἀνῃσχύντησαν. καὶ οὐδὲν τούτων, φησί, τῷ Γαλλίωνι ἔμελε· καίτοι εἰς τὴν ἑαυτοῦ ὕβριν τὸ πᾶν ἦν. ἀλλ' ὡς δῆθεν ἐξουσίαν λαβόντες αὐτοὶ τύπτουσιν, καὶ τῆς ἀναισχυντίας ταύτης μανίας ἔργον πληροῦσι. διὰ τί μὴ ἐκεῖνος ἀντιτύπτει, καίτοι καὶ αὐτὸς ἐξουσίαν εἶχεν; ἀλλ' ἐπαιδεύοντο φιλοσοφεῖν. οὐκ ἀντιτύπτει δέ, ὥστε καὶ τὸν δικαστὴν μαθεῖν, τίς ἦν ὁ ἐπιεικέστερος. οὐ μικρὰ τοῦτο ὤνησεν αὐτοὺς παρόντας. ἐδίδαξε γὰρ ἥ τε τούτων ἐπιείκεια, καὶ ἡ ἐκείνων θρασύτης, διὰ τὰ τοιαῦτα δικαστικῆς ψήφου * δεῖται. ἀλλ' οὗτοι πάντα ἀτάκτως ποιοῦσι. καὶ οὐκ εἶπεν, οὐ δεῖ, ἵνα μὴ πάλιν κόπτωσιν αὐτόν· ἀλλ', οὐ θέλω. κριτὴς γάρ, φησιν, ἐγὼ τούτων εἶναι οὐ βούλομαι· οὕτως ἐπιεικὴς ἦν ὁ ἀνήρ. τοῦτο καὶ Πιλάτος ἔλεγεν ἐπὶ τοῦ Χριστοῦ· Λάβετε αὐτὸν ὑμεῖς, καὶ κατὰ τὸν νόμον ὑμῶν κρίνατε. ὁ μὲν κατὰ τὸν νόμον ἠξίου κρίνειν αὐτούς· οἱ δέ, ὥσπερ οἱ μεθύοντες καὶ οἱ μαινόμενοι, οὕτω διέκειντο. διὰ τοῦτο ἐχωρίζετο τῶν Ἀθηνῶν, ἐπειδὴ λαὸς ἦν ἐκεῖ πολύς. ἐτύπτετο, καὶ οὐδὲν ἔλεγε.

Ιωαν. ιη. λα.

(γ. ἡγεμόνες) (γ. ἔργον ἀκαίτοι διὰ τὴν αἰχμὴν ταύτης. καὶ διὰ τί) * τοῦ * ὁ

Τοῦτο

* ἀπὸ τότε

Ἰούστου, οὗ ἡ οἰκία ὁμοροῦσα τῇ συναγωγῇ. ἐγγειτνίαζεν, ὥστε καὶ * ζῆλον ἔχειν ἀπὸ τῆς γειτνιάσεως, εἴπερ ἤθελον. Κρίσπος δέ, φησίν, ὁ ἀρχισυνάγωγος ἐπίστευσε τῷ Κυρίῳ σὺν ὅλῳ τῷ οἴκῳ αὐτοῦ. καὶ τοῦτο μάλιστα ἱκανὸν πρὸς τὸ ἐπαγαγέσθαι.

9 Εἶπε δὲ ὁ Κύριος δι' ὁράματος ἐν νυκτὶ τῷ Παύλῳ· μὴ φοβοῦ, ἀλλὰ λάλει, καὶ μὴ σιωπήσῃς,

10 Διότι ἐγώ εἰμι μετὰ σοῦ, καὶ οὐδεὶς ἐπιθήσεταί σοι τοῦ κακῶσαί σε, διότι λαός ἐστί μοι πολὺς ἐν τῇ πόλει ταύτῃ. Ὅρα διὰ πόσων αὐτὸν πείθει, καὶ πῶς ὃ μάλιστα αὐτὸν ἤρει, τοῦτο ὕστερον αὐτῷ λέγει· ὅτι λαός ἐστί μοι πολὺς ἐν τῇ πόλει ταύτῃ. πῶς οὖν συνεπέθεντο αὐτῷ, εἴποι τις ἄν; καὶ μὴν οὐδὲν ἴσχυσαν, ἀλλ' ἤγαγον αὐτὸν μόνον πρὸς τὸν ἀνθύπατον.

11 Ἐκάθισέ τε ἐνιαυτὸν καὶ μῆνας ἕξ, διδάσκων ἐν αὐτοῖς τὸν λόγον τοῦ Θεοῦ.

12 Γαλλίωνος δὲ ἀνθυπατεύοντος τῆς Ἀχαΐας, κατεπέστησαν ὁμοθυμαδὸν οἱ Ἰουδαῖοι τῷ Παύλῳ, καὶ ἤγαγον αὐτὸν ἐπὶ τὸ βῆμα,

13 Λέγοντες ὅτι παρὰ τὸν νόμον οὗτος ἀναπείθει τοὺς ἀνθρώπους σέβεσθαι τὸν Θεόν.

Ὁρᾷς διὰ τί ἐκεῖνοι ἀεὶ δημοσίᾳ ἕλκουσι κατηγορήματα; ὅρα γοῦν ἐνταῦθα. εἰπόντων τούτων, ὅτι παρὰ τὸν νόμον ἀναπείθει τοὺς ἀνθρώπους σέβεσθαι τὸν Θεόν, οὐδὲν τούτων ἐμέλησε τῷ ἀνθυπάτῳ· ἀλλ' ὑπὲρ Παύλου μᾶλλον ἀπολογεῖται. καὶ ἄκουε πῶς ἀποκρίνεται.

Εἰ μὲν οὖν ἦν [τὸν τῆς πόλεως ἀπολλύμενον] ἀδίκημά τι ἢ ῥᾳδιούργημα πονηρόν, ὦ Ἰουδαῖοι, κατὰ λόγον ἂν ἠνεσχόμην ὑμῶν. Ἐπιεικής τις ὁ ἄνθρωπος οὗτος εἶναί μοι δοκεῖ· καὶ δῆλον ἐξ ὧν ἀποκρίνεται συνετῶς.

14 Μέλλοντος δὲ τοῦ Παύλου, φησίν, ἀνοίγειν τὸ στόμα, εἶπεν ὁ Γαλλίων πρὸς τοὺς Ἰουδαίους· εἰ μὲν ἦν ἀδίκημά τι ἢ ῥᾳδιούργημα πονηρόν, ὦ Ἰουδαῖοι, κατὰ λόγον ἂν ἠνεσχόμην ὑμῶν.

15 Εἰ δὲ ζήτημά ἐστι περὶ λόγου καὶ ὀνομάτων καὶ νόμου τοῦ καθ' ὑμᾶς, ὄψεσθε αὐτοί. κριτὴς γὰρ ἐγὼ τούτων οὐ βούλομαι εἶναι.

κ. τ. τοιούτων

16 Καὶ ἀπήλασεν αὐτοὺς ἀπὸ τοῦ βήματος.

17 Ἐπιλαβόμενοι δὲ πάντες οἱ Ἕλληνες Σωσθένην τὸν ἀρχισυνάγωγον, ἔτυπτον ἔμπροσθεν τοῦ βήματος, καὶ οὐδὲν τούτων τῷ Γαλλίωνι ἔμελε. [Καὶ ἐντεῦθεν πάλιν τὸ ἐπιεικὲς τοῦ ἀνδρὸς δείκνυται.] τυπτόμενον γὰρ αὐτόν, οὐχ ἡγήσατο ἰδίαν ὕβριν εἶναι. οὕτως ἦσαν ἰταμοὶ οἱ Ἰουδαῖοι. ἴδωμεν δὲ ἄνωθεν τὰ ἀνεγνωσμένα. ἀκούσαντες δὲ ἀνάστασιν νεκρῶν, οἱ μὲν ἐχλεύαζον, οἱ δὲ εἶπον· ἀκουσόμεθά σου πάλιν. πῶς μεγάλα καὶ ὑψηλὰ ἀκούσαντες, οὐδὲ προσεῖχον, ἀλλ' ἐχλεύαζον; τὴν ἀνάστασιν δὲ ἐχλεύαζον. Ψυχικὸς γὰρ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος. α Κορ. β ιδ. καὶ οὕτω, φησίν, ἐξῆλθεν ὁ Παῦλος ἐκ μέσου αὐτῶν. οὕτω πῶς; τοὺς μὲν πείσας, τοὺς δὲ … χωρισθεὶς δὲ ἀπὸ Ἀθηνῶν, φησίν, ἦλθεν εἰς Κόρινθον· καὶ εὑρών τινα Ἰουδαῖον ὀνόματι Ἀκύλαν, Ποντικὸν τῷ γένει, προσφάτως ἐληλυθότα ἀπὸ τῆς Ἰταλίας, ἔμενε παρ' αὐτοῖς καὶ εἰργάζετο. [ὅρα πῶς ὁ νόμος ἄρχεται καταλύεσθαι λοιπόν. κειράμενος γὰρ Ἰουδαῖος ὢν οὗτος ἐν Κεγχρεαῖς μετὰ Πρισκίλλης, εἰς Συρίαν συναπῆρε τῷ Παύλῳ.] Ποντικὸς ὤν, οὐκ ἐν Ἱεροσολύμοις, οὐδὲ πλησίον ἐπαυθάδιον ἐλθεῖν, ἀλλὰ μακρότερον. παρ' αὐτῷ γοῦν μένει, καὶ οὐκ αἰσχύνεται μένων· ἀλλὰ καὶ δι' αὐτὸ τοῦτο μένει, ὡς ἐπιτήδειον εὑρὼν καταγώγιον. πολλῷ γὰρ αὐτῷ τὴν βασιλείαν ἐπιτηδειοτέραν ᾤετο. καὶ μὴ γελάσῃς ἀκούων, ἀγαπητέ. καθάπερ γὰρ ἀθλητῇ ἡ παλαίστρα τῶν ἁπαλῶν στρωμάτων μᾶλλον χρήσιμον· οὕτω καὶ τῷ πολεμιστῇ τὸ ξίφος τὸ σιδηροῦν, ἀλλ' οὐ τὸ χρυσοῦν. καὶ εἰργάζετο κηρύττων. αἰσχυνθῶμεν ἡμεῖς, οἱ καὶ χωρὶς τοῦ κηρύττειν ἀργοὶ ζῶντες. διελέγετο δὲ ἐν τῇ συναγωγῇ,

γρ. μὴ ὄντος ἐν Ἱεροσολύμοις, ὡς αὐτὸν μένει

Λογ. λθ. 32 ΑΚΟΥΣΑΝΤΕΣ ΔΕ ΑΝΑΣΤΑΣΙΝ ΝΕΚΡΩΝ, οἱ μὲν ἐχλεύαζον, οἱ δὲ εἶπον· ἀκουσόμεθά σου πάλιν περὶ τούτου.
33 Καὶ οὕτως ὁ Παῦλος ἐξῆλθεν ἐκ μέσου αὐτῶν.

Τί δήποτε πείσαντος οὕτως αὐτοῦ, ὡς καὶ εἰπεῖν Ἀθηναίους, ἀκουσόμεθά σου πάλιν περὶ τούτου, καὶ κινδύνων οὐκ ὄντων, ἐπείγεται τὰς Ἀθήνας ἀφεῖναι ὁ Παῦλος; ἴσως ᾔδει οὐ μέγα ἀνύσων· ἄλλως τε, καὶ ὑπὸ τοῦ πνεύματος εἰς Κόρινθον ἤγετο.
34 Τινὲς δὲ ἄνδρες κολληθέντες αὐτῷ, ἐπίστευσαν, ἐν οἷς καὶ Διονύσιος ὁ Ἀρεοπαγίτης, καὶ γυνὴ ὀνόματι Δάμαρις, καὶ ἕτεροι σὺν αὐτοῖς.

κεφ. ιη. 1 Μετὰ δὲ ταῦτα χωρισθεὶς ὁ Παῦλος ἐκ τῶν Ἀθηνῶν, ἦλθεν εἰς Κόρινθον,

2 Καὶ εὑρών τινα Ἰουδαῖον ὀνόματι Ἀκύλαν, Ποντικὸν τῷ γένει, προσφάτως ἐληλυθότα ἀπὸ τῆς Ἰταλίας, καὶ Πρίσκιλλαν γυναῖκα αὐτοῦ (διὰ τὸ διατεταχέναι Κλαύδιον χωρίζεσθαι πάντας τοὺς Ἰουδαίους ἐκ τῆς Ῥώμης) προσῆλθεν αὐτοῖς·

3 Καὶ διὰ τὸ ὁμότεχνον εἶναι, ἔμενε παρ᾽ αὐτοῖς καὶ εἰργάζετο. ἦσαν γὰρ σκηνοποιοὶ τὴν τέχνην. Εἰκότως εἰς Κόρινθον, ὡς ἔφην, ὑπὸ τοῦ πνεύματος ἤγετο, ἐν ᾗ μάλιστα ἔδει. οἱ γὰρ Ἀθηναῖοι καίτοι ξένης ὄντες ἀκροάσεως ἐρασταί, ὅμως οὐ προσεῖχον. οὐ γὰρ τοῦτο ἐσπούδαζον, ἀλλ᾽ ὥστε ἀεί τι ἔχειν εἰπεῖν, ὅπερ αὐτοὺς καὶ ἀπαγγέλλεσθαι ἐποίησεν. εἰ δὲ τοῦτο ἦν αὐτοῖς ἔθος, πῶς ἐγκαλοῦσιν, ὅτι ξένων δαιμονίων δοκεῖ καταγγελεὺς εἶναι; ἀλλὰ ταῦτα σφόδρα ἦν ἄπορα. ἀλλ᾽ ὅμως ἐπίστευσε καὶ Διονύσιος ὁ Ἀρεοπαγίτης, καὶ ἕτεροί τινες. οἱ μὲν γὰρ ἐπιμελούμενοι βίου ταχέως ἐδέξαντο τὸν λόγον· οἱ δὲ λοιποὶ οὐκ ἔτι. ἱκανῶς οὖν ἔχειν ἔδοξε τῷ Παύλῳ τὸ καταβαλεῖν τέως τὰ σπέρματα. τὸ γὰρ πλέον αὐτοῦ τῆς ζωῆς ἐνταῦθα προσκεχωρήκει. ἐπὶ μὲν γὰρ Νέρωνος ἐπελειώθη· ἀπὸ δὲ Κλαυδίου ἀνερριπίζετο λοιπὸν ὁ πρὸς Ἰουδαίους πόλεμος, μακρόθεν μέν, [οὐκ ἀπτικὸς δέ,] ὥστε καὶ οὕτω σωφρονῆσαι, καὶ ἀπὸ Ῥώμης ὡς λυμεῶνες ἠλαύνοντο. διὰ τοῦτο οἰκονομεῖται τούτοις ὡς δέσμιοι ἀπαχθῆναι ἐκεῖ, ἵνα μὴ ὡς Ἰουδαῖος ἀπελαύνηται, ἀλλ᾽ ὡς ὑπὸ τῇ τάξει περιέπηται καὶ φυλάττηται ἐκεῖ. καὶ ἔμενε, φησί, παρ᾽ αὐτοῖς. βαβαί, ποῖον δικαίωμα τοῦ συνοικῆσαι εὗρεν;
2. Κορ. 12. 16. ἐπειδὴ γὰρ ἐνταῦθα μάλιστα ἔδει αὐτὸν μὴ λαβεῖν, καθώς φησιν· ἵνα ἐν ᾧ καυχῶνται εὑρεθῶσι καθὼς καὶ ἡμεῖς, οἰκονομεῖται αὐτὸν μένειν ἐκεῖ.

4 Διελέγετο δὲ ἐν τῇ συναγωγῇ κατὰ πᾶν σάββατον, ἔπειθέ τε Ἰουδαίους καὶ Ἕλληνας·

5 Ὡς δὲ κατῆλθεν ἀπὸ τῆς Μακεδονίας ὅ τε Σίλας καὶ ὁ Τιμόθεος, συνείχετο τῷ πνεύματι ὁ Παῦλος διαμαρτυρόμενος τοῖς Ἰουδαίοις τὸν Χριστὸν Ἰησοῦν. Τουτέστιν, ἐπηρέαζον αὐτῷ, ἐφίσταντο αὐτῷ. ἀλλ᾽ οἱ μὲν οὕτω· τί δὲ ὁ Παῦλος; ἀφίσταται αὐτῶν, καὶ μετὰ πολλοῦ τοῦ φόβου. οὐκ ἔτι γὰρ ὑμῖν, φησίν, ἦν ἀναγκαῖον λαληθῆναι τὸν λόγον, ἀλλὰ καὶ ἀπελέγχεται αὐτούς.

6 Ἀντιτασσομένων δὲ αὐτῶν καὶ βλασφημούντων, ἐκτιναξάμενος τὰ ἱμάτια εἶπε πρὸς αὐτούς· τὸ αἷμα ὑμῶν ἐπὶ τὴν κεφαλὴν ὑμῶν· [καθαρὸς ἐγώ,] ἀπὸ τοῦ νῦν εἰς τὰ ἔθνη πορεύομαι.

7 Καὶ μεταβὰς ἐκεῖθεν, ἦλθεν εἰς οἰκίαν τινὸς ὀνόματι Ἰούστου, σεβομένου τὸν Θεόν, οὗ ἡ οἰκία ἦν συνομοροῦσα τῇ συναγωγῇ.

8 Κρίσπος δὲ ὁ ἀρχισυνάγωγος ἐπίστευσε τῷ Κυρίῳ σὺν ὅλῳ τῷ οἴκῳ αὐτοῦ, καὶ πολλοὶ τῶν Κορινθίων ἀκούοντες, ἐπίστευον καὶ ἐβαπτίζοντο. Ὅρα πῶς πάλιν εἶπεν, ἀπὸ τοῦ νῦν, οὐδὲ οὕτως αὐτῶν ἀμελεῖ. ὥστε τοῦ διεγεῖραι ἕνεκεν εἶπε τοῦτο. καὶ λοιπὸν ἦλθε πρὸς Ἰοῦστον,

γ. τῇ τέχνῃ
γ. ἢ
γ. λόγῳ
γ. -ρεύσομαι

τηρ μεστή· καὶ πολλὰ μὲν ἐπειρῶντο ἰατροί, πολλὰ δὲ ἄλλα πολλοί· ἴσχυε δὲ οὐδείς, ἕως ὅτε ὁ φιλάνθρωπος Θεὸς ἰάσατο τὸν τῆς γλώττης δεσμόν, καὶ τότε διήνεγκε, καὶ εἰς τὴν προτέραν ἐπανήγαγεν εὐγλωττίαν αὐτὸν καὶ τρανότητα. διηγήσατο δὲ αὐτῷ ἡ μήτηρ, καὶ ὅτι δὴ παιδίον ὂν σφόδρα μικρόν, περὶ τὴν ῥῖνα πάθος ἔσχε, ὃ καλοῦσι πολύποδα. καὶ πάλιν ἰατροὶ ἀπεγνώκεισαν, καὶ πλευτῆσαι ηὔχετο ἡ μήτηρ, καὶ ὁ πατὴρ αὐτοῦ κατηρᾶτο (ἔτι γὰρ ἔτυχε ζῶν) καὶ πάλιν πάντα ἐν ἀπορίᾳ ἦν. ὁ δὲ εὐθέως βήξας, ἀπὸ μύγματος τοῦ θηρίου ἐκ φιλοτῇ ῥύμῃ τοῦ πνεύματος ἐξέωσεν ἀπὸ τῆς ῥινός, καὶ πάντα λέλυτο τὰ δεινά. τούτου δὲ σβεσθέντος, ῥεῦμα κατὰ τῶν ὀφθαλμῶν δριμὺ καὶ γλίσχρον ἐπιρρέον ἀεὶ λευκὰς ἐποίει τὰς λήμας καὶ οὕτω παχείας, ὡς αὐτὶ διαφράγματος γενέσθαι τῇ κόρῃ, καὶ τὸ δεινόν, πήρωσιν ἐμελέτα, καὶ πάντως ἔμελλεν τοῦτο συμβήσεσθαι. ἀλλὰ καὶ τούτου χάριτι τοῦ Θεοῦ ταχέως ἀπηλλάγη τοῦ πάθους. καὶ ταῦτα μὲν ἀπὸ ἤκουσα· ἃ δὲ αὐτὸς ἐπίσταμαι, ἐρῶ πρὸς ὑμᾶς. ἐκινήθη ποτὲ τυραννικὴ ὑποψία ἐν τῇ πόλει τῇ ἡμετέρᾳ (τότε δὲ ἔτι μειράκιον ἦμεν) καὶ πάντων ἔξωθεν τὴν πόλιν περιεκαθημένων τῶν στρατιωτῶν, τυχὼν ἁπλῶς βιβλία ἐζήτουν γοητικὰ καὶ μαγικά. καὶ ὁ γράψας τὸ βιβλίον ῥίψας ἀκατασκεύαστον εἰς ποταμὸν ἑάλω, καὶ ἀπαγόμενος οὐκ εἶχε δοῦναι, ἀλλὰ περιήγετο τὴν πόλιν ἅπασαν δέσμιος. ὡς δὲ τῶν ἐλέγχων ἐπιτεινομένων δίδωκε δίκην, τότε ἐγὼ εἰς μαρτύριον ἀπιέναι βουλόμενος, ἐπορευόμην διὰ τῶν κήπων παρὰ ποταμὸν μετὰ καὶ ἑτέρου τινός. ἰδὼν δὲ ἐκεῖνος τὸ βιβλίον ἄνω ἐπιπλέον, τὸ μὲν πρῶτον ἐνόμιζεν ὀθόνην εἶναι· γενόμενος δὲ ἐγγύς, ἔγνω ὅτι βιβλίον ἦν, καὶ καταβὰς ἀνείλετο. ἐγὼ δὲ φιλονείκουν, ὥστε κοινὸν εἶναι τὴν εὕρεσιν, καὶ εἷλκον. ἀλλ᾿ ἴδωμεν, φησί, ὅ, τι ποτὲ καὶ ἔστιν. ἀνακλᾷ μέρος τῆς σελίδος, καὶ εὑρίσκει ἐγγεγραμμένα μαγικά. συνέβη δὲ κατὰ ταὐτὸν στρατιώτην παριέναι. εἶτα ἔνδοθεν λαβὼν ἀπῄει, καὶ ἐπεπήγει τῷ δέει. τίς γὰρ ἂν καὶ ἐπίστευσεν ὅτι ἀπὸ τοῦ ποταμοῦ λαβόντες ἀνειλόμεθα, πάντων τότε καὶ τῶν ἀνυπόπτων κατεχομένων; καὶ ῥῖψαι οὐκ ἐτολμῶμεν, μὴ ὀφθῶμεν, καὶ κατασπαράξαι αὐτὸ πάλιν ὅμοιον δέος ἦν. ἔδωκε γοῦν ὁ Θεός, καὶ ἐρρίψαμεν, καὶ ἔσχατον ἀπηλλάγημεν τότε τῶν κινδύνων. καὶ μυρία ἂν ἔχοιμι λέγειν, εἰ πάντα καταλέγειν ἐθέλοιμι. καὶ ταῦτα δὲ ὑμῶν ἕνεκεν εἶπον, ὥστε εἴ τις κἂν μὴ τοιαῦτα, ἀλλ᾿ ἕτερά τινα ἔχοι, ταῦτα μεμνήσθω διηνεκῶς. εἰ ποτε λίθος τις ἐνεχθεὶς μέλλων ἐπὶ σὲ ἔρχεσθαι, οὐκ ἐπὶ σὲ ἦλθε, τοῦτο ἀείμνηστον ἔχε. μεγάλην ταῦτα ποιεῖ πρὸς Θεὸν φιλίαν ἡμῖν. εἰ γὰρ ἀνθρώπων ἀναμνησθέντες τῶν διασωσάντων ἡμᾶς, πάνυ δακνόμεθα ὅταν αὐτοὺς ἀμείψασθαι μὴ δυνηθῶμεν· πολλῷ μᾶλλον ἐπὶ Θεοῦ. τοῦτο καὶ ἀλλαχοῦ χρήσιμον. ὅταν [οὖν] βουλώμεθα μὴ ἀλύειν, λέγωμεν δή· Εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα παρὰ Κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν; καὶ Παῦλος διὰ τοῦτο ἔλεγεν ὅθεν ἐρρύσθη, ἵνα κἀκεῖνος ἀναμνήσῃ. ὅρα καὶ ὁ Ἰακὼβ πῶς πάντα ταῦτα ἐν νῷ εἶχε. διὸ καὶ ἔλεγεν· Ὁ ἄγγελος ὁ ῥυόμενός με ἐκ νεότητός μου. καὶ μὴ μόνον ὅτι ἐρρύσατο, ἀλλὰ καὶ πῶς, καὶ ἐπὶ τίνι ἐνοούμεν. ὅρα γοῦν κἀκεῖνον ἰδικῶς μνημονεύοντα τῶν εὐεργεσιῶν. Ἐν τῇ ῥάβδῳ μου, φησί, διῆλθον τὸν Ἰορδάνην. οἱ δὲ Ἰουδαῖοι καὶ τῶν ἐπὶ τῶν προγόνων μέμνηνται) ἀεὶ, τὰ κατὰ τὴν Αἴγυπτον στρέφοντες· οὐκοῦν πολλῷ μᾶλλον ἡμεῖς τῶν οἰκείων καὶ εἰς ἡμᾶς συμβεβηκότων, ποσάκις εἰς ἐπηρείας καὶ συμφορὰς ἐμπεπτώκαμεν· καὶ εἰ μὴ ὁ Θεὸς χεῖρα ὑπώρεξε, πάλαι ἂν ἀπολώλειμεν. ταῦτα ἐννοοῦντες ἅπαντες, καὶ ἀναλεγόμενοι καθ᾿ ἑκάστην, χάριν εἰδῶμεν διηνεκῶς τῷ Θεῷ, καὶ πάντες κοινῇ δόξαν αὐτῷ ἀναπέμψωμεν, καὶ δοξάζοντες αὐτὸν μὴ διαλιμπάνωμεν, ἵνα τῆς εὐγνωμοσύνης πολλὴν τὴν ἀμοιβὴν κομισώμεθα, χάριτι καὶ οἰκτιρμοῖς τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ, μεθ᾿ οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

κ. ὅσ ᾗ ἰουδ.

βήξ. ἀπ.

κ. λέλυται

κ. πέραν

κ. ἐκεῖνον

γρ. καὶ τοιαῦτα

Ἰωβ. β. ι.

Γεν. μη. ις.

Γεν. λβ. ι.

νας ἦναι αὐτὸν ἐκ νεκρῶν τὰ εἰρημένα. μετὰ μονῆς ὤμεν οὖν. πάντως γὰρ κριθῆναι δεῖ. εἰ μὴ ἀνέστη ὁ Χριστός, οὐ κρινόμεθα· εἰ δὲ ἀνέστη, πάντως κρινόμεθα. (Ρωμ. ιδ. θ.) Εἰς τοῦτο γὰρ καὶ ἀπέθανεν, καὶ ἔζησεν, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ, φησί. καὶ πάλιν· Πάντες γὰρ παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ, ἵνα ἕκαστος κομίσηται πρὸς ἃ ἔπραξε. μὴ δὴ νομίσητε ῥήματα μόνον εἶναι ταῦτα. ἰδοὺ καὶ περὶ τῆς ἀναστάσεως τὴν πάντων εἰσήγαγε λόγον. οὐ γὰρ ἄλλως κρίνεται ἡ οἰκουμένη. τὸ δέ, ἀναστήσας δὲ αὐτὸν ἐκ νεκρῶν, περὶ σώματός ἐστιν εἰρημένον. τοῦτο γὰρ καὶ νεκρόν, τοῦτο καὶ πέπτωκε. παρὰ δὲ Ἕλλησιν ὥσπερ τὰ τῆς δημιουργίας, οὕτω καὶ τὰ τῆς κρίσεως ἀπήρτηται. ταῦτα δὲ παίδων εὑρήματα καὶ μεθυόντων ἀνθρώπων ἐστίν. ἀλλ' ἡμεῖς περὶ τούτων ἀκριβῶς εἰδότες, πράττωμέν τι τῶν χρησίμων, καὶ σπουδάζωμεν οἰκειωθῆναι τῷ Χριστῷ. μέχρι πότε ἐχθραίνομεν πρὸς αὐτόν; μέχρι πότε πρὸς αὐτὸν ἀηδῶς ἔχομεν; μὴ γένοιτο, φησί. τί ταῦτα λέγεις; οὐκ ἐβουλόμην ταῦτα λέγειν, εἰ μὴ ταῦτα ἐπράττετε ὑμεῖς. νυνὶ δὲ τί τὸ κέρδος τῆς τῶν λόγων σιγῆς, τῶν πραγμάτων οὕτω βοώντων μετὰ πάσης περιφανείας; πῶς οὖν αὐτὸν φιλήσομεν; εἶπον μὲν μυριάκις μυρία, ἐροῦμεν δὲ καὶ νῦν· τοῦτον ἕνα εὑρηκέναι μοι δοκῶ πολὺ μέγαν καὶ θαυμαστόν· μετὰ τοῦ τὰ κοινῇ γινόμενα λογίζεσθαι ὑπὸ τοῦ Θεοῦ τοσαῦτα ὄντα, ὅσα οὐδὲ ἀριθμῆσαί τις δύναται, τὸ ὑπὲρ τούτων ἁπάντων χάριτας εἰδέναι αὐτῷ, καὶ τὰ ἑκάστῳ ἡμῶν γεγενημένα εἴπωμεν πάντες, καὶ καθ' ἑκάστην ἀναλογιζώμεθα τὴν ἡμέραν. ἐπεὶ τοίνυν μεγάλην ἔχει τὴν ἰσχὺν ταῦτα, ἕκαστος ἡμῶν ἀναλογιζέσθω παρ' ἑαυτῷ, καὶ μετὰ ἀκριβείας ἀνερευνάτω, εἴ ποτε εἰς κινδύνους περιπεσὼν διέφυγε τὰς τῶν ἐναντίων χεῖρας, καὶ καθάπερ ἐν βιβλίῳ τὰς εὐεργεσίας ἀναγράπτους ἐχέτω τοῦ Θεοῦ· οἷον, εἴ ποτε ἐξελθὼν εἰς ὁδὸν ἀωρίᾳ, διέφυγε κίνδυνον· εἴ ποτε πονηροῖς ἀνθρώποις συμβαλών, ἀνώτερος αὐτῶν γέγονεν· εἴ ποτε νόσῳ περιπεσών, πάντων ἀπεγνωκότων, ἀνήνεγκε. μέγα γὰρ τοῦτο δύναται πρὸς τὸ οἰκειοῦν ἡμᾶς τῷ Θεῷ. εἰ γὰρ δὴ Μαρδοχαῖος ἐκεῖνος τὰ ὑπ' αὐτοῦ γεγενημένα ἀγαθὰ ἔργα εἰς μνήμην ἐλθόντα τοῦ βασιλέως οὕτως ἔχε περιϊστάμενα, ὡς πάλιν ἐπὶ τὴν λαμπρότητα ἐκείνην ἐλθεῖν· πολλῷ μᾶλλον ἡμεῖς ἂν ἀναμνησθῶμεν, καὶ δύο τούτων ἀκριβῆ ποιησώμεθα ἐξέτασιν τῶν πραγμάτων, τί μὲν ἡμάρτομεν ἡμεῖς εἰς Θεόν, τί δαὶ αὐτὸς εἰς ἡμᾶς ἀγαθὸν εἴργασται. οὕτω καὶ εὐχάριστοι ἐσόμεθα, καὶ πάντα προσησόμεθα. ἀλλ' οὐδεὶς τούτων οὐδενὸς ποιεῖται μνήμην· ἀλλ' ὥσπερ περὶ ἁμαρτημάτων λέγομεν, ὅτι ἁμαρτωλοί ἐσμεν, οὐ κατ' εἶδος αὐτὰ ἐξετάζοντες, οὕτω καὶ περὶ τῶν εὐεργεσιῶν τοῦ Θεοῦ, ὅτι εὐηργέτησεν ἡμᾶς, λέγοντες, ὁ Θεός, οὐ κατ' εἶδος αὐτὰ ἐξετάζομεν. οὐ λέγομεν, ποῦ, καὶ πόσα, καὶ ἐν ποίῳ καιρῷ. ἀλλ' ἀπὸ τοῦ νῦν πολλὴν ποιησώμεθα τὴν ἀκρίβειαν. εἰ μὲν γάρ τις τὰ πάλαι ἀναλαβεῖν δύναται, πάντα ἀναλογιζέσθω ἀκριβῶς, ὡς μέγαν εὑρήσων θησαυρόν. τοῦτο καὶ πρὸς τὸ μὴ ἀπογινώσκειν χρήσιμον ἡμῖν. ὅταν γὰρ ἴδωμεν ὅτι περιέστη πολλάκις ἡμῶν, οὐκ ἀπογνωσόμεθα, οὐδὲ ἡγησόμεθα ἀπερρίφθαι· ἀλλ' ἐνέχυρον αὐτοῦ μέγα ληψόμεθα τῆς περὶ ἡμῶν κηδεμονίας, ὅταν ἐννοήσωμεν, ὅτι ἁμαρτάνοντες οὐ κολαζόμεθα, ἀλλὰ καὶ προστασίας ἀπολαύομεν. (χ. ἡμᾶς) εἴπω δή τι κἀγώ, ὅπερ ἀκήκοα παρά τινος. γέγονέ που τις παῖς, καί ποτε συνέβη αὐτὸν εἶναι ἐν ἀγρῷ μετὰ τῆς μητρός, οὔπω πεντεκαίδεκα ἔτη γεγονότα. τότε δὴ χαλεποῦ τινος ἀέρος συμβάντος, πυρετὸς ἐπέπεσεν ἀμφοτέροις. καὶ γὰρ ὁ μετόπωρον ἦν. τότε δὴ ἡ μὲν μήτηρ ἔφθασεν εἰσελθεῖν ἐπὶ τῆς πόλεως· ὁ δὲ παῖς, τῶν ἰατρῶν * ἐκεῖ κελευόντων μένειν, καὶ τοῦ πυρετοῦ καίοντος, ἀνακογχυλίζειν ἤρξατο ὕδωρ φιλοσοφῶν, μᾶλλον δὲ πῦρ σβεννύναι οἰόμενος, εἰ μηδὲ ὁποιονοῦν λάβοι. ἅτε δὴ οὖν παῖς, ὑπὸ φιλονεικίας ἀκαίρου οὐ προσήκατο. ὡς δὲ ἐπέβη τῆς πόλεως, περιῃρέθη τὰ τῆς γλώττης, καὶ ἄλαλος ἦν ἐπὶ πολύ, οὐδὲν ἔναρθρον φθεγγόμενος· ἀλλὰ ἀνεγίνωσκε μέν, καὶ εἰς διδασκάλους ἐφοίτα ἐπὶ πολὺν χρόνον, ἁπλῶς δὲ καὶ ἄσημα. πάντα οὖν αὐτῷ τὰ τῆς ἐλπίδος ἐκκέκοπτο, καὶ ὀδυνῶσα ἦν ἡ μήτηρ

χ. περιπεσὼν

χ. μετοπωρινὸν

* ὕδωρ

χ. περιῄρεθη

χ. ἐξεκέκοπτο

χζ'. ιζ'.

αὐτὸν, ἀλλ' ὁ ἐσώτερον ἦν, ἐν αὐτῷ. οὐδὲν ἴσον εἶπεν ὁ ποιητὴς ἐκεῖνος· τοῦ γὰρ καὶ γένος εἰπὼν ἐσμέν· ἀλλ' ἐκεῖνος μὲν περὶ τοῦ Διὸς εἶπεν· οὗτος δὲ περὶ τοῦ δημιουργοῦ αὐτὸ λαμβάνει, οὐ τὸν αὐτὸν ἐκείνῳ λέγων (μὴ γένοιτο) ἀλλὰ τὰ κυρίως ἐπ' αὐτῷ εἰρημένα ἁρμόζων. ἐπεὶ καὶ βωμὸν τούτῳ εἶπεν, οὐκ ἐκείνου, ὃν ἐσέβοντο. εἴρηται μὲν γάρ τινα καὶ παραιτεῖται εἰς τοῦτον· ἀλλ' οὐκ ἴσασιν Ἕλληνες ὅτι εἰς αὐτὸν, ἀλλ' εἰς ἕτερον αὐτὰ νενοήκασιν. εἰπὲ γάρ μοι, περὶ τίνος ἂν λεχθείη κυρίως, Ἀγνώστῳ Θεῷ· περὶ τοῦ δημιουργοῦ, ἢ περὶ τοῦ δαίμονος; δῆλον ὅτι περὶ τοῦ δημιουργοῦ· εἰ καὶ τὸν μὲν ἠγνόουν, τὸν δὲ ᾔδεισαν. ὁμοίως καὶ ὅτι πάντα πεποίηκε, περὶ τοῦ Θεοῦ ἂν εἰρῆσθαι κυρίως ἁρμόσειεν, ἢ τοῦ Διὸς, μιαροῦ τινος ἀνθρώπου καὶ καταπτύστου καὶ γόητος; οὕτως οὐχ ὁμοίως ἐκείνῳ Παῦλος εἶπε (μὴ γένοιτο) καὶ τό, --- Τοῦ γὰρ καὶ γένος ἐσμέν·

Ἀλλ' ἑτέρῳ νῷ. γένος γὰρ Θεοῦ εἶπεν ἡμᾶς εἶναι, τουτέστιν, οἰκείους, ἐγγυτάτους. ἢ ὥς αὖ τις εἴποι, περιοίκους καὶ γείτονας. ἵνα γὰρ μὴ πάλιν λέγωσι· ξενίζοντα εἰσφέρεις εἰς τὰς ἀκοὰς ἡμῶν (οὐδὲν γὰρ οὕτως ἀνθρώποις ἐναντίον) ἄγει τὸν ποιητὴν εἰς μέσον. καὶ οὐκ εἶπεν, οὐκ ὀφείλετε νομίζειν, χρυσῷ, ἢ ἀργύρῳ τὸ θεῖον εἶναι ὅμοιον, ὦ μιαροὶ καὶ παμμίαροι· ἀλλὰ ταπεινότερον, τοῦτο οὐκ ὀφείλομεν νομίζειν, φησὶν, ἀλλ' ὑπὲρ τοῦτο. τί δαὶ τὸ ὑπὲρ τοῦτο; Θεός· ἀλλ' οὐδὲ τοῦτο (ἐνεργείας γὰρ τοῦτο ὄνομα) ἀλλὰ πῶς τοῦτο. πλὴν οὐ λέγομεν τούτῳ τὸ θεῖον εἶναι ὅμοιον. τίς γὰρ ἂν εἴποι; ὅρα πῶς τὸ ἀσώματον εἰσήγαγεν. ἡ γὰρ διάνοια ὅταν ὑποπλάσῃ σῶμα, καὶ διάστημα ὑπονοεῖ. γένος οὖν ὑπάρχοντες τοῦ Θεοῦ, οὐκ ὀφείλομεν νομίζειν, φησὶ, χρυσῷ, ἢ ἀργύρῳ, ἢ λίθῳ, χαράγματι τέχνης καὶ ἐνθυμήσεως ἀνθρώπου τὸ θεῖον εἶναι ὅμοιον. ἀλλ' εἴποι αὖ τις· οὐ τοῦτο νομίζομεν. τί οὖν ταῦτα λέγει; ἀλλὰ πρὸς τοὺς πολλοὺς ὁ λόγος ἦν αὐτῷ. καλῶς οὕτως εἶπεν. εἰ γὰρ ἡμεῖς οὐκ ἐσμὲν ὅμοιοι ἐκείνοις τὸ κατὰ ψυχὴν, πολλῷ μᾶλλον ὁ Θεός. πῶς ἀπάγει αὐτοὺς τῆς ὑπονοίας. οὐ μόνον δὲ χαράγματι τέχνης τὸ θεῖον οὐκ ἔστιν ὅμοιον, ἀλλ' οὐδὲ ἄλλῃ τινὶ ἀνθρωπίνῃ ὑπονοίᾳ ὑποβάλλεται. ἡ γὰρ τέχνη, ἡ διάνοια εὗρε. διὰ τοῦτο οὕτως εἶπεν· ὅπερ οὖν τέχνη ἀνθρωπίνη ἢ διάνοια εὗρε, τοῦτο ὁ Θεός, καὶ ἐν λίθῳ οὐσία Θεοῦ. πῶς οὖν, εἰ ἐν αὐτῷ ζῶμεν, οὐχ εὑρίσκομεν αὐτόν; διπλοῦν τὸ ἔγκλημα· ὅτι τε ἐκεῖνον οὐχ εὗρον, καὶ ὅτι τοιούτους εὗρον. οὐδαμοῦ ἡ διάνοια ἀξιόπιστος καθ' ἑαυτήν. ἀλλ' ὅπερ καταπίστευσεν αὐτῇ τὴν ψυχὴν, δείξας ἀναπολογήτους, ὅρα τί ἐπάγει. τοὺς μὲν χρόνους τῆς ἀγνοίας ὑπεριδὼν, τανῦν παραγγέλλει τοῖς ἀνθρώποις πᾶσι πανταχοῦ μετανοεῖν. τί οὖν; οὐδεὶς κολάζεται τότε; οὐδεὶς τῶν θελόντων μετανοεῖν. περὶ τούτων λέγει, οὐ περὶ τῶν ἀπελθόντων, ἀλλ' οἷς παραγγέλλει. οὐκ ἀπαιτεῖ λόγον ὑμᾶς, φησίν· οὐκ εἶπεν, ἐκεῖνος παρεῖδεν· οὐκ εἶπεν, εἴασεν· ἀλλ', ὑμεῖς ἠγνοήσατε. ὑπερεῖδε· τουτέστιν, οὐκ ἀπαιτεῖ κόλασιν ὡς ἀξίους ὄντας κολάσεως. ἠγνοήσατε. καὶ οὐ λέγει, ἑκόντες ἐκακουργήσατε· ἀλλὰ τοῦτο διὰ τῆς ἄνω ἔδειξε, πανταχοῦ μετανοεῖν εἰπών. ἐνταῦθα πᾶσαν τὴν οἰκουμένην αἰνίττεται. ὅρα πῶς αὐτοὺς ἀπάγει τῆς μαλακίας. διότι ἔστησεν ἡμέραν, φησὶν, ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ. ὅρα πάλιν τὴν οἰκουμένην εἶπεν, οὕτω τοὺς ἀνθρώπους καλῶν. ἐν ἀνδρὶ ᾧ ὥρισεν, ἀναστήσας αὐτὸν ἐκ νεκρῶν. ὅρα πῶς πάλιν τὸ πάθος ἐδήλωσεν, ἀναστάσεως μνημονεύσας. ὅτι δὲ ἀληθὴς ἡ κρίσις, δῆλον ἐκ τῆς ἀναστάσεως. συγκατασκευάζεται γάρ. καὶ ὅτι πάντα ἀληθείᾳ εἶπε, δῆλον δὲ ἐξ ὧν ἀνέστη. ὅτι δὲ καὶ πᾶσι ταύτην παρέχει πίστιν, τὸ ἀναστῆσαι αὐτὸν ἐκ νεκρῶν, καὶ τοῦτο λοιπὸν δῆλον.

κ. πᾶσι γὰρ ταύτην παρέχει πίστιν, τὸ ἀναστῆσαι

ΗΘΙΚΟΝ

Ταῦτα εἴρηται μὲν πρὸς Ἀθηναίους· καιρὸς δὲ ἂν ἔχοι καὶ πρὸς ἡμᾶς λέγεσθαι, ὅτι πάντας πανταχοῦ μετανοεῖν δεῖ, ὅτι ὥρισεν ἡμέραν, ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην. ὅρα καὶ πῶς καὶ δίκαιος ἦν αὐτὸν εἰσάγει, καὶ προνοοῦντα τοῦ κόσμου, καὶ φιλάνθρωπον, καὶ συγγνωμονικὸν, καὶ δυνατὸν, καὶ σοφὸν, καὶ πάντα ἁπλῶς δημιουργοῦ ἔχοντα. * ἀπόδειξιν ἔδωκε τοῦ ἀ-

* τοτίαν,

πςῶαι

ἀλλ' ἐν ἀνθρωπίνῃ ψυχῇ. ὅρα, τὴν σωματικὴν ἀνεῖλε λατρείαν. τί οὖν; οὐ κατῴκει ἐν τῷ ναῷ τῷ ἐν Ἱεροσολύμοις; οὐ δῆτα, ἀλλ' ἐνήργει. πῶς οὖν ἐθεραπεύετο ὑπὸ χειρῶν ἀνθρώπων παρὰ Ἰουδαίοις; οὐχ ὑπὸ χειρῶν, ἀλλ' ὑπὸ διανοίας. ἐπεὶ ἐκεῖνά γε οὐκ ἐζήτει οὕτως, ὡς προσδεόμενος. ψαλ. μθ. ιγ. Μὴ φάγομαι γάρ, φησι, κρέα ταύρων, ἢ αἷμα τράγων πίομαι; [Εἶτα εἰπών, οὐδὲ ὑπὸ χειρῶν ἀνθρώπων θεραπεύεται προσδεόμενός τινος·] ἐπεὶ οὐδὲ τοῦτο ἤρκει τὸ μηδενὸς δεῖσθαι, ὅπερ ἀπεφήνατο (θεῖον μὲν γὰρ καὶ τοῦτο) ἀλλὰ δεῖ καὶ ἕτερα προσεῖναι, ἐπάγει τό, αὐτὸς διδοὺς πᾶσι ζωὴν καὶ πνοὴν καὶ τὰ πάντα. δύο τεκμήρια θεότητος δείκνυσι, τὸ αὐτόν τε μηδενὸς δεῖσθαι, καὶ πᾶσι πάντα παρέχειν. πάραγε ἐνταῦθα, ὅσα περὶ Θεοῦ Πλάτων ἐφιλοσόφησεν, ὅσα Ἐπίκουρος, καὶ τὰ πάντα λῆρος πρὸς ταῦτα. διδούς, φησι, ζωὴν καὶ πνοήν. ἰδοὺ καὶ τῆς ψυχῆς δημιουργὸν αὐτὸν ποιεῖ, οὐ γεννήτορα. ὅρα πάλιν πῶς καθαιρεῖ τὸν περὶ τῆς ὕλης λόγον. ἐποίησέ τε εἰπὼν ἐξ ἑνὸς αἵματος πᾶν ἔθνος ἀνθρώπων κατοικεῖν ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς. ταῦτα βελτίω ἐκείνων, καὶ κατηγορία τῶν τε ἀτόμων καὶ τῆς ὕλης. ἐνταῦθα δείκνυσιν, ὅτι οὐκ ἔστι μερικὴ οὐδὲ ἡ ψυχὴ τοῦ ἀνθρώπου. ὅπερ δὲ ἐκεῖνοί φασιν, οὐκ ἔστι τοῦτο δημιουργὸν εἶναι. λέγων δέ, μὴ ὑπὸ χειρῶν ἀνθρώπων θεραπεύεσθαι τὸν Θεόν, αἰνίττεται ὅτι διανοίᾳ καὶ νῷ θεραπεύεται. [Οὗτος, φησιν, οὐρανοῦ καὶ γῆς Κύριος.] Οὐκοῦν οὐχ οἱ μερικοὶ δαίμονες. ὁ Θεὸς ὁ ποιήσας τὸν κόσμον καὶ πάντα τὰ ἐν αὐτῷ. πῶς οὐρανὸς γέγονε πρότερον δείξας, τότε ἀπεφήνατο, ὅτι οὐκ ἐν χειροποιήτοις κατοικεῖ. κ. οὐχ ὡς εἰ ὥσπερ ἔλεγον· εἰ Θεός, πάντα ἐποίησε δηλονότι· εἰ δὲ μὴ ἐποίησεν, οὐ Θεός. Θεοί, οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν, φησιν, οὐκ ἐποίησαν, ἀπολέσθωσαν. πολλῷ μείζονα ἐκείνων δόγματα εἰσάγει (καίτοι οὐδέπω τὰ μεγάλα εἶπεν· οὔπω γὰρ καιρός, ἀλλ' ὡς παισὶ διελέγετο) τὴν δημιουργίαν, τὴν κυριότητα, τὸ ἀνενδεές. εἰπὼν δέ, ὅτι πᾶν ἔθνος ἀνθρώπων ἐξ ἑνὸς αἵματος ἐποίησε, τὸ πάντων αἴτιον τῶν ἀγαθῶν ἐδήλωσε. τί τούτου τοῦ ὑψηλοῦ ἴσον; θαυμαστὸν μὲν γὰρ καὶ τὸ ἐξ ἑνὸς ποιῆσαι τοσούτους· τὸ δὲ πάντας αὐτὸν συγκροτεῖν, ἔτι πολλῷ θαυμαστότερον. διδοὺς γάρ, φησι, πᾶσι πνοὴν καὶ ζωήν. τί ἐστιν ὁρίσας προστεταγμένους καιροὺς καὶ τὰς ὁροθεσίας τῆς κατοικίας αὐτῶν ζητεῖν τὸν Θεόν, εἰ ἄρα γε ψηλαφήσειαν αὐτὸν καὶ εὕροιεν; ὅτι οὐκ ἠνάγκαζεν ὁ τόπος, φησι, περιιέναι καὶ ζητεῖν τὸν Θεόν· ἢ εἰ μὴ τοῦτο, ὅτι ὥρισε ζητῆσαι τὸν Θεόν. ἀλλ' οὐ διαπαντὸς τοῦτο ὥρισεν, ἀλλὰ προστεταγμένους καιρούς. τοῦτο δὲ λέγει, δεικνὺς ὅτι οὐδὲ νῦν ζητήσαντες εὗρον· καίτοι οὕτως ἦν φανερὸς πρὸς τὸ εὑρίσκεσθαι, ὥσπερ ἂν εἰς μέσον τι ψηλαφώμενον. οὐδὲ γὰρ ἐνταῦθα μὲν ἦν [οὐρανός,] ἀλλαχοῦ δὲ οὔ· οὐδὲ ἐν τούτῳ τῷ χρόνῳ ἦν, ἐν ἄλλῳ δὲ οὔ. ὥστε καὶ κατὰ πάντα καιρόν, καὶ κατὰ πᾶσαν ὁροθεσίαν δυνατὸν αὐτὸν εὑρεῖν. οὕτως ᾠκονόμησε [τὸ ζητεῖσθαι,] ὥστε μήτε τόπῳ κωλύεσθαι, μήτε χρόνῳ· καὶ αὐτὸ δὴ τοῦτο μάλιστα αὐτοῖς συνεβάλλετο, εἴγε ἠβούλοντο, τὸ πανταχοῦ εἶναι τὸν οὐρανόν, τὸ ἐν παντὶ χρόνῳ ἵστασθαι. διὸ καὶ οὕτως εἶπε· καίτοιγε οὐ μακρὰν ἀπὸ ἑνὸς ἑκάστου ἡμῶν ὑπάρχοντα, ἀλλ' ἐγγύς ἐστι πᾶσιν. ὃ δὲ λέγει τοῦτό ἐστιν· οὐ μόνον τὴν ζωὴν ἔδωκε καὶ τὴν πνοὴν καὶ τὰ πάντα· ἀλλὰ καὶ τὸ κεφάλαιον ἁπάντων, εἰς γνῶσιν ἤγαγεν αὐτοῦ, δοὺς ταῦτα δι' ὧν δυνάμεθα εὑρεῖν αὐτὸν καὶ καταλαβεῖν. ἀλλ' οὐκ ἠθελήσαμεν ζητῆσαι, καίτοι παρὰ πόδας ὄντα. οὐ μακράν, φησιν, ἀπὸ ἑνὸς ἑκάστου ἡμῶν ὑπάρχοντα. βαβαί· πᾶσιν ἐγγύς ἐστι, λέγει, τοῖς πανταχοῦ τῆς οἰκουμένης οὖσι. τί τούτου μεῖζον; ὅρα πῶς καὶ καθαιρεῖ τοὺς μερικούς. τί λέγω μακράν; οὕτως ἐγγύς ἐστιν, ὡς χωρὶς αὐτοῦ μὴ ζῆν. ἐν αὐτῷ γὰρ ζῶμεν καὶ κινούμεθα καί ἐσμεν. ὡς ἐν σωματικῷ ὑποδείγματι τοιοῦτόν τι λέγει. ὥσπερ ἀδύνατον ἀγνοῆσαι τὸν ἀέρα πανταχοῦ κεχυμένον, καὶ οὐ μακρὰν ἀφ' ἑνὸς ἑκάστου ἡμῶν ὑπάρχοντα, μᾶλλον δὲ καὶ ἐν ἡμῖν ὄντα· οὕτω δὴ καὶ τὸν τῶν ὅλων δημιουργόν. ὅρα πῶς [πάντα αὐτῷ λέγει εἶναι] τὴν πρόνοιαν αὐτοῦ φησι, καὶ τὴν συγκρότησιν· τὸ εἶναι παρ' αὐτοῦ· τὸ ἐνεργεῖν· τὸ μὴ ἀπολέσθαι. καὶ οὐκ εἶπε, δι' αὐτοῦ,

αἱ ἡμέτεραι. τί δήποτε οὐκ εἶπε πρὸς φιλοσόφους εὐθὺς, καὶ εἶπεν· ὁ Θεὸς ἀσώματος φύσις, ἀόρατος καὶ ἀσχημάτιστος; ὅτι περιττὸν πῶς ἐδόκει ταῦτα λέγειν πρὸς ἀνθρώπους μήπω μαθόντας ὅτι ἐστὶ μόνος Θεός. διὰ τοῦτο ἐκεῖνα εἰπεῖν ἀφεὶς, πρὸς τὸ ζητούμενον ἵσταται, καί φησι·

30 Τοὺς μὲν οὖν χρόνους τῆς ἀγνοίας ὑπεριδὼν ὁ Θεὸς, τανῦν παραγγέλλει τοῖς ἀνθρώποις πᾶσι πανταχοῦ μετανοεῖν,

31 Διότι ἔστησεν ἡμέραν, ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, ἐν ἀνδρὶ ᾧ ὥρισε, πίστιν παρασχὼν πᾶσιν, ἀναστήσας αὐτὸν ἐκ νεκρῶν. Ὅρα, κατασείσας αὐτῶν τὴν διάνοιαν, τῷ εἰπεῖν, ἔστησεν ἡμέραν, καὶ φοβήσας, τότε εὐκαίρως ἐπάγει τοῦτο, τὸ, ἀναστήσας αὐτὸν C ἐκ νεκρῶν. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. ἐν δὲ ταῖς Ἀθήναις ἐκδεχομένου αὐτοὺς τοῦ Παύλου, παρωξύνετο, φησὶ, τὸ πνεῦμα αὐτοῦ ἐν αὐτῷ. οὐκ ὀργὴν ἐνταῦθα, οὐδὲ ἀγανάκτησιν ὁ παροξυσμὸς, ἀλλ' ἀνάστασιν καὶ ζῆλον δηλοῖ, καθάπερ καὶ ἀλλαχοῦ· ἐγένετο, φησὶ, παροξυσμὸς μεταξὺ αὐτῶν. (Πραξ. ιε. λθ.) ὅρα δὲ πῶς οἰκονομεῖται καὶ ἄκοντα μεῖναι ἐκεῖ ἐκδεχόμενον ἐκείνους. τί οὖν ἐστι, παρωξύνετο; ἀντὶ τοῦ, διηγείρετο. ὀργῆς γὰρ καὶ ἀγανακτήσεως πόρρω τὸ χάρισμα· οὐκ ἔφερεν, ἀλλ' ἐτήκετο. διελέγετο μὲν οὖν ἐν τῇ συναγωγῇ τοῖς Ἰουδαίοις, φησὶ, καὶ τοῖς σεβομένοις. ὅρα πάλιν αὐτὸν πρὸς Ἰουδαίους διαλεγόμενον. σεβομένους δὲ, τοὺς προσηλύτους λέγει. (γ. τοῦ.) διεσπάρησαν γὰρ οἱ Ἰουδαῖοι πανταχοῦ ἀπὸ τῆς τοῦ Χριστοῦ παρουσίας· ἅμα μὲν [ἐξ ἐκείνου] τοῦ νόμου λυομένου, ἅμα δὲ διδάσκοντες εὐσέβειαν τοὺς ἀνθρώπους. ἀλλ' οὐδὲν ἐκέρδαναν ἐκεῖνοι, ἀλλ' ἢ μόνον μάρτυρες ἔσονται τῶν οἰκείων συμφορῶν. (γ. μάρτυρας) τινὲς δὲ, φησὶ, τῶν Ἐπικουρείων καὶ τῶν Στωϊκῶν φιλοσόφων συνέβαλλον αὐτῷ. οὐκέτι Ἀθηναῖοι τοῖς οἰκείοις νόμοις ἐχρῶντο, ἅτε ὑποπεσόντες ἤδη τοῖς Ῥωμαίοις. καὶ πόθεν ἠθέλησαν οὗτοι συμβαλεῖν; ἐπειδὴ ἄλλους ἑώρων διαλεγομένους, καὶ δόξαν ἔχοντα τὸν ἄνθρωπον. καὶ ὅρα, εὐθέως ὑβριστικῶς. Ψυχικὸς γὰρ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος. (α. Κορ. β. ιδ.) ξένων δαιμονίων, φησὶ, δοκεῖ καταγγελεὺς εἶναι. δαιμόνια τοὺς θεοὺς αὐτῶν ἐκάλουν. ἦσαν γὰρ αἱ πόλεις εἰδώλων πλήρεις. (δαιμόνων) ἐπιλαβόμενοί τε αὐτοῦ ἐπὶ τὸν Ἄρειον πάγον ἤγαγον λέγοντες. διὰ τί εἰς Ἄρειον πάγον αὐτὸν ἕλκουσιν; ὡς καταπλήξοντες, ἔνθα τὰς φονικὰς δίκας ἐδίκαζον. δυνάμεθα γνῶναι τίς ἡ καινὴ αὕτη ἡ ὑπὸ σοῦ λαλουμένη διδαχή; ξενίζοντα γάρ τινα εἰσφέρεις εἰς τὰς ἀκοὰς ἡμῶν. Ἀθηναῖοι δὲ πάντες καὶ οἱ ἐπιδημοῦντες ξένοι, εἰς οὐδὲν ἕτερον εὐκαίρουν, ἢ λέγειν τι καὶ ἀκούειν καινότερον. ἐνταῦθα ἐκεῖνο ἐπισημαίνεται, ὅτι καίτοι ἀεὶ ἐν τούτῳ ἀσχολούμενοι, τῷ λαλεῖν καὶ ἀκούειν, ὅμως ξενίζοντα ἐνόμιζον εἶναι ἐκεῖνα, ἅπερ οὐδέποτε ἤκουσαν. σταθεὶς δὲ ὁ Παῦλος ἐν μέσῳ τοῦ Ἀρείου πάγου ἔφη· ἄνδρες Ἀθηναῖοι, κατὰ πάντα ὡς δεισιδαιμονεστέρους ὑμᾶς θεωρῶ. διερχόμενος γὰρ καὶ ἀναθεωρῶν τὰ σεβάσματα ὑμῶν. οὐκ εἶπε τοὺς δαίμονας ἁπλῶς, ἀλλὰ προσοδοποιεῖ τῷ λόγῳ. διὰ τοῦτο εἶπε, δεισιδαιμονεστέρους ὑμᾶς θεωρῶ, διὰ τοὺς βωμούς. ὁ Θεὸς, φησὶν, ὁ ποιήσας τὸν κόσμον καὶ πάντα τὰ ἐν αὐτῷ. ἐφθέγξατο φωνὴν μίαν, δι' ἧς πάντα κατέστρεψε τὰ τῶν φιλοσόφων. οἱ μὲν γὰρ Ἐπικούρειοι αὐτόματά φασιν εἶναι τὰ πάντα καὶ ἀπὸ ἀτόμων συνεστάναι· οἱ δὲ Στωϊκοὶ, σῶμα καὶ ἐκπύρωσιν· ὁ δὲ ἔργον Θεοῦ λέγει τὸν κόσμον καὶ πάντα τὰ ἐν αὐτῷ. ὁρᾷς συντομίαν, καὶ ἐν συντομίᾳ σαφήνειαν; καὶ σκόπει τίνα ἦν τὰ ξενίζοντα αὐτούς· ὅτι ὁ Θεὸς τὸν κόσμον ἐποίησεν. ἃ καὶ τῶν τυχόντων ἴσασί τινες νῦν, ταῦτα οὐκ ᾔδεισαν Ἀθηναῖοι, καὶ Ἀθηναίων οἱ σοφοί. (γ. φιλόσοφοι) εἰ γὰρ ἐποίησε, δῆλον ὅτι καὶ Κύριος. ὅρα τί φησι θεότητος εἶναι γνώρισμα· τὸ δημιουργικὸν· ὅπερ ἔχει καὶ ὁ υἱός. (γ. Χριστός.) καὶ γὰρ οἱ προφῆται πανταχοῦ τοῦτο λέγουσι, Θεοῦ εἶναι τὸ δημιουργεῖν· οὐχ ὥσπερ ἐκεῖνοι, ἄλλον μὲν εἶναι τὸν ποιητὴν, οὐ Κύριον δὲ, τὴν δὲ ἀγέννητον ὕλην ὑποτιθέντες. ἐνταῦθα λοιπὸν αἰνιγματωδῶς εἶπε τὸ αὐτοῦ, καὶ ἔστησε, καὶ καθαιρεῖ τὸ ἐκείνων. οὐκ ἐν χειροποιήτοις, φησὶ, κατοικεῖ. οἰκεῖ μὲν γὰρ ἐν ναοῖς ἀλλ' οὐκ ἐν τοιούτοις,

19 Ἐπιλαβόμενοί τε αὐτοῦ, ἐπὶ τὸν Ἄρειον πάγον ἤγαγον λέγοντες· δυνάμεθα γνῶναι τίς ἡ καινὴ αὕτη ἡ ὑπὸ σοῦ λαλουμένη διδαχή;

20 Ξενίζοντα γάρ τινα εἰσφέρεις εἰς τὰς ἀκοὰς ἡμῶν. βουλόμεθα οὖν γνῶναι τί ἂν θέλοι ταῦτα εἶναι. Ἦγον αὐτὸν ἐπὶ τὸν Ἄρειον πάγον, οὐχ ὥστε μαθεῖν, ἀλλ' ὥστε κολάσαι, ἔνθα αἱ φονικαὶ δίκαι. ὅρα γοῦν πῶς καὶ ἐν ἐλπίδι τοῦ μαθεῖν [καὶ] πανταχοῦ τὴν καινοτομίαν ἐγκαλοῦσι. ἄλλων πόλις ἡ πόλις ἐκείνων ἦν.

(21 Ἀθηναῖοι δὲ πάντες καὶ οἱ ἐπιδημοῦντες ξένοι εἰς ἕτερον οὐδὲν εὐκαίρουν, ἢ λέγειν τι καὶ ἀκούειν καινότερον.)

22 Σταθεὶς δὲ ὁ Παῦλος ἐν μέσῳ τοῦ Ἀρείου πάγου, ἔφη· ἄνδρες Ἀθηναῖοι, κατὰ πάντα ὡς δεισιδαιμονεστέρους ὑμᾶς θεωρῶ.

23 Διερχόμενος γὰρ καὶ ἀναθεωρῶν τὰ σεβάσματα ὑμῶν, εὗρον καὶ βωμὸν, ἐν ᾧ ἐπεγέγραπτο, ΑΓΝΩΣΤΩ ΘΕΩ.

24 Ὃν οὖν ἀγνοοῦντες εὐσεβεῖτε, τοῦτον ἐγὼ καταγγέλλω ὑμῖν. Ὥσπερ ἐγκωμιάζων αὐτοὺς, δοκεῖ οὐδὲν λέγειν βαρύ. ὡς δεισιδαιμονεστέρους ὑμᾶς, φησι, θεωρῶ· τουτέστιν, εὐλαβεστέρους. ἐν ᾧ ἐπεγέγραπτο, ΑΓΝΩΣΤΩ ΘΕΩ. τί ἐστι τοῦτο; οἱ Ἀθηναῖοι ἐπειδὴ κατὰ καιροὺς πολλοὺς ἐδέξαντο θεοὺς καὶ ἀπὸ τῆς ὑπερορίας, οἷον τὸν τῆς Ἀθηνᾶς ἱερὸν, τὸν Πᾶνα, καὶ ἄλλους ἀλλαχόθεν, δεδοικότες μή ποτε καὶ ἄλλος τις ᾖ αὐτοῖς μὲν οὐδέπω γνώριμος, θεραπευόμενος δὲ ἀλλαχοῦ, ὑπὲρ πλείονος δῆθεν ἀσφαλείας καὶ τούτῳ βωμὸν ἔστησαν· καὶ ἐπειδὴ οὐκ ἦν δῆλος ὁ Θεὸς, ἐπεγέγραπτο, ΑΓΝΩΣΤΩ ΘΕΩ. τοῦτον οὖν Χριστὸν Ἰησοῦν εἶναι Παῦλος λέγει, μᾶλλον δὲ τὸν πάντων Θεόν. ὃν οὖν ἀγνοοῦντες, φησιν, εὐσεβεῖτε, τοῦτον ἐγὼ καταγγέλλω ὑμῖν. ὅρα πῶς δείκνυσι προειληφότας αὐτούς. οὐδὲν ξένον, φησὶν, οὐδὲν καινὸν εἰσφέρω. ἄνω καὶ κάτω τοῦτο ἔλεγον ἐκεῖνοι· τίς ἡ καινὴ αὕτη ἡ λαλουμένη ὑπὸ σοῦ διδαχή; ξενίζοντα γάρ τινα εἰσφέρεις εἰς τὰς ἀκοὰς ἡμῶν. εὐθέως οὖν ἀναιρεῖ αὐτῶν τὴν ὑπόληψιν, καί φησιν·

χ. καιρὸν

χ. χριστὸν τὸν Ἰησοῦν. οἱ. φησι μᾶλλον δὲ τὸν π.

24 Ὁ Θεὸς ὁ ποιήσας τὸν κόσμον καὶ πάντα τὰ ἐν αὐτῷ, οὗτος οὐρανοῦ καὶ γῆς Κύριος ὑπάρχων. Εἶτα ἵνα μὴ νομίσωσιν ἕνα τῶν πολλῶν εἶναι, διορθοῦται λοιπὸν ἐπάγων· οὐκ ἐν χειροποιήτοις ναοῖς κατοικεῖ,

25 Οὐδὲ ὑπὸ χειρῶν ἀνθρώπων θεραπεύεται προσδεόμενός τινος.

Ὁρᾷς ὅπως κατὰ μικρὸν εἰσάγει τὴν φιλοσοφίαν; πῶς καταγελᾷ τῆς ἑλληνικῆς πλάνης; Δοὺς ζωὴν καὶ πνοὴν καὶ τὰ πάντα.

χ. αὐτὸς διδοὺς πᾶσι ζω.

26 Ἐποίησέ τε ἐξ ἑνὸς αἵματος πᾶν ἔθνος ἀνθρώπων κατοικεῖν ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς. Τοῦτο Θεοῦ ἴδιον. ὅρα τοίνυν εἰ μὴ καὶ ἐπὶ τοῦ υἱοῦ ταῦτα λέγεσθαι δύναται. οὐρανοῦ, φησι, καὶ γῆς Κύριος ὑπάρχων, ἅπερ ἐνόμιζον εἶναι θεούς. καὶ τὴν δημιουργίαν ἐδήλωσε, καὶ τοὺς ἀνθρώπους. Ὁρίσας προστεταγμένους καιροὺς καὶ τὰς ὁροθεσίας τῆς κατοικίας αὐτῶν,

χ. κατὰ

27 Ζητεῖν τὸν Θεόν, εἰ ἄρα γε ψηλαφήσειαν αὐτὸν καὶ εὕροιεν· καί τοι γε οὐ μακρὰν ἀπὸ ἑνὸς ἑκάστου ἡμῶν ὑπάρχοντα.

χ. κεῖται

28 Ἐν αὐτῷ γὰρ ζῶμεν καὶ κινούμεθα καί ἐσμεν, ὡς καί τινες τῶν καθ' ὑμᾶς ποιητῶν εἰρήκασι·

--- Τοῦ γὰρ καὶ γένος ἐσμέν.

Τοῦτο Ἄρατος εἶπεν ὁ ποιητής. ὅρα καὶ ἀπὸ τῶν ὑπ' αὐτῶν γινομένων, καὶ ἀπὸ τῶν εἰρημένων τὰς ἀποδείξεις παρέχοντα.

χ. αὐτοῦ

29 Γένος οὖν ὑπάρχοντες τοῦ Θεοῦ, οὐκ ὀφείλομεν νομίζειν χρυσῷ, ἢ ἀργύρῳ, ἢ λίθῳ, χαράγματι τέχνης καὶ ἐνθυμήσεως ἀνθρώπου τὸ θεῖον εἶναι ὅμοιον.

Καὶ μὴν διὰ τοῦτό, φησιν, ὀφείλομεν. οὐδαμῶς. οὐ γὰρ δὴ ἡμεῖς ὅμοιοι, οὐδὲ αἱ ψυχαὶ

αἱ

βασάνοις εὐθέως προσαγάγῃς, τὸ χρυσίον τὸ κιβδηλευόμενον ἔδειξας· οὕτω καὶ ἐνταῦθα, βασάνισον μυριάκις τὸν τοιοῦτον λογισμὸν, καὶ ταχέως ὄψει τὸ βαρβαρικὸν φρόνημα. ἵνα δὲ καὶ ἐπὶ ὑποδείγματος ὑμῖν δείξω τῶν τοιούτους κατασκόπους, οὓς παρεισήνεγκεν ὁ διάβολος ἰδεῖν τὰ ἐν ἡμῖν, φέρε, ἵνα ἀποδύσωμεν, καὶ ἐπὶ τοῦ δικαστηρίου ἐξετάσωμεν μετ' ἀκριβείας. καὶ, εἰ βούλεσθε, τὴν ὑπὸ Παύλου φωραθεῖσαν τινὰς παραγάγωμεν. Ἅτινά ἐστί, φησι, λόγον μὲν ἔχοντα σοφίας, ἐν ἐθελοθρησκείᾳ καὶ ταπεινοφροσύνῃ καὶ ἀφειδίᾳ σώματος, οὐκ ἐν τιμῇ τινι πρὸς πλησμονὴν τῆς σαρκός. οἷον, ἐβούλετο Ἰουδαϊσμὸν εἰσαγαγεῖν ὁ διάβολος. εἰ μὲν οὖν αὐτόθεν αὐτὸν εἰσήγαγεν, οὐκ ἂν ἔπεισεν. ὅρα τοίνυν πῶς αὐτὸν κατεσκεύασε. δεῖ τοῦ σώματος ἀφειδεῖν, φησι. φιλοσοφία τοῦτό ἐστι, τὸ μὴ προσίεσθαι βρῶμα, ἀλλὰ παρατηρεῖν. ταπεινοφροσύνη τοῦτό ἐστι. καὶ νῦν δὲ πάλιν ἐπὶ τῶν αἱρετικῶν ἐβούλετο ἡμᾶς εἰς τὴν κτίσιν καταγαγεῖν. ὅρα γοῦν πῶς κατεσκεύασε τὸν δόλον. εἰ εἶπεν, ὅτι κτίσιν προσκυνεῖ, ἑάλω ἄν· ἀλλὰ τί; ὁ Θεὸς, φησι, κτιστός ἐστιν. ἀλλ' ἀποδύσωμεν παρὰ τῇ ψήφῳ τῶν δικαζόντων τὸν νοῦν τῶν γραφῶν τῶν ἀποστολικῶν· ἐκεῖ αὐτὸν ἀγάγωμεν. αὐτοὶ ἐπιγνώσονται καὶ τὸ κήρυγμα, καὶ τὴν κακίαν. πολλοὶ κέρδη κερδαίνουσιν, ἵνα ἔχωσι διδόναι πένησι, κέρδη ἄδικα· καὶ οὗτος χαλεπὸς ὁ λογισμός. ἀλλ' ἀποσκευασώμεθα αὐτὸν ἐλέγξωμεν, ἵνα μὴ ἁλῶμεν, ἀλλὰ πάσας διαφυγόντες τὰς μηχανὰς τοῦ διαβόλου, δυνηθῶμεν μετ' ἀκριβείας τὰ ὑγιῆ δόγματα κατέχοντες, μετ' ἀσφαλείας καὶ τὸν παρόντα βίον διανύσαι, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν τυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

χ. ἀφειδεῖν

χ. ἀποδυσώμεθα

Λογ. λη. 16 ΕΝ ΔΕ ΤΑΙΣ ΑΘΗΝΑΙΣ ΕΚΔΕΧΟΜΕΝΟΥ αὐτοὺς τοῦ Παύλου, παρωξύνετο τὸ πνεῦμα αὐτοῦ ἐν αὐτῷ, θεωροῦντι κατείδωλον οὖσαν τὴν πόλιν. 17 Διελέγετο μὲν οὖν ἐν τῇ συναγωγῇ τοῖς Ἰουδαίοις καὶ τοῖς σεβομένοις, καὶ ἐν τῇ ἀγορᾷ κατὰ πᾶσαν ἡμέραν πρὸς τοὺς παρατυγχάνοντας.

Ορα αὐτὸν μείζους ἔχοντα πειρασμοὺς παρὰ Ἰουδαίοις, ἢ παρ' Ἕλλησιν. οὐ γοῦν Ἀθήναις οὐδὲν πάσχει τοιοῦτον, ἀλλὰ μέχρι γέλωτος τὸ πᾶν προεχώρησε, καίτοιγε ἔπεισεν· ἐν δὲ Ἰουδαίοις πολλὰ τὰ δεινά. οὕτως ἦσαν ἐκπεπολεμωμένοι μᾶλλον. διὸ καί φησιν· ἐν δὲ ταῖς Ἀθήναις ἐκδεχομένου αὐτοὺς τοῦ Παύλου, παρωξύνετο τὸ πνεῦμα αὐτοῦ ἐν αὐτῷ, θεωροῦντι κατείδωλον οὖσαν τὴν πόλιν. Εἰκότως παρωξύνεται. οὐ γὰρ ἦν ἀλλαχοῦ τοσαῦτα ἰδεῖν εἴδωλα. διελέγετο μὲν οὖν ἐν τῇ συναγωγῇ, καὶ ἐν τῇ ἀγορᾷ κατὰ πᾶσαν ἡμέραν πρὸς τοὺς παρατυγχάνοντας. ὅρα, πάλιν Ἰουδαίοις διαλέγεται, πάντα γὰρ ἐπιστομίζων τοὺς καταλιπεῖν αὐτοὺς λέγοντας διὰ τὸ πρὸς τὰ ἔθνη ἐπιστραφῆναι. θαυμαστὸν, πῶς οὐ κατεγέλασαν οἱ φιλόσοφοι οὕτως αὐτοῦ φθεγγομένου ὑβριστικῶς λίθοις, οὐδὲ ἀπεπήδησαν ἀπὸ τοῦ κηρύγματος εἰπόντες· μακρὰν τοῦτο φιλοσοφίας, ὅτι οὐδένα τῦφον εἶχεν. ἄλλως δὲ, ὅτι οὐκ ἐνόουν, οὐδὲ συνίεσάν τι τῶν λεγομένων. πῶς γὰρ οἱ μὲν σῶμα τὸν Θεὸν λέγοντες, οἱ δὲ ἡδονὴν τὴν μακαριότητα;

χ. τοσούτους πειρασμοὺς ἰδεῖν· πάλιν δὲ Ἰουδαίοις διαλέγετο ἐν τῇ

χ. μακρὸν

χ. ἐνενόουν

18 Τινὲς δὲ καὶ τῶν Ἐπικουρείων καὶ τῶν Στωϊκῶν φιλοσόφων συνέβαλον αὐτῷ· καί τινες ἔλεγον· τί ἂν θέλοι ὁ σπερμολόγος οὗτος λέγειν; οἱ δέ· ξένων δαιμονίων [δοκεῖ] καταγγελεὺς εἶναι· ὅτι τὸν Ἰησοῦν καὶ τὴν ἀνάστασιν αὐτοῖς εὐηγγελίζετο. Καὶ γὰρ τὴν ἀνάστασιν, Θεόν τινα εἶναι ἐνόμιζον, ἅτε εἰωθότες καὶ θηλείας σέβειν.

μένων ὄντων καὶ τῶν ἀρχομένων, οὐδ' ἂν ἐπιδείξαιντο τὰ αὐτῶν. οὐ γὰρ ἂν δύναιντο. καθάπερ ἡ γῆ τοῦ γεωργοῦ, καὶ ὁ γεωργὸς δεῖται τῆς γῆς· οὕτω καὶ ἐνταῦθα. ποῖον γὰρ ἔχει μαθόντα διδάσκαλος, οὐκ ἔχων ἐπιδεῖξαι τοὺς διδαχθέντας; ποῖον δὲ οἱ διδασκόμενοι, μὴ ἀπολαύσαντες διδασκαλίας ἀρίστης; ὥστε ὁμοίως ἀλλήλων χρήζομεν πάλιν, καὶ ἄρχοντες ἀρχομένων, καὶ ὑπήκοοι ἀρχόντων. ἄρχοντες μὲν γὰρ πολλῶν εἵνεκεν. οὐδεὶς γὰρ ἀρκεῖ καθ' ἑαυτόν τι πρᾶξαι, αὐτὴ χειροτονῆσαι δέῃ, αὐτὴ βουλὰς σκέψασθαι καὶ γνώμας, ἀλλὰ τιμιώτεροι γίνονται ἀπὸ τῆς συνόδου καὶ τοῦ πλήθους. ὁρᾷς, οἱ πάντες τῶν διδόντων χρήζουσι· οἱ διδόντες τῶν λαμβανόντων πάλιν. ἀλλήλους, φησί, κατανοοῦντες εἰς παροξυσμὸν ἀγάπης καὶ καλῶν ἔργων. διὰ τοῦτο μείζονα δύναται τὰ κοινὰ τῆς ἐκκλησίας καὶ ἅπερ καθ' ἑαυτὸν οὐ δύναταί τις, μετὰ τῶν ἄλλων γινόμενος ἰσχύει. διὰ τοῦτο μάλιστα ἀναγκαῖαι αἱ εὐχαὶ ἐνταῦθα γίνονται ὑπὲρ τῆς οἰκουμένης, ὑπὲρ τῆς ἐκκλησίας τῆς ἀπὸ περάτων ἕως περάτων, ὑπὲρ τῆς εἰρήνης, ὑπὲρ τῶν ἐν συμφοραῖς. καὶ τοῦτο ὁ Παῦλος δηλοῖ λέγων· Ἵνα τὸ εἰς ἡμᾶς χάρισμα ἐκ πολλῶν προσώπων διὰ πολλῶν εὐχαριστηθῇ ὑπὲρ ἡμῶν· τουτέστιν, ἵνα πολλοῖς χαρίσηται. καὶ πολλάκις αὐτῶν τὰς εὐχὰς ἐπιζητεῖ. ὅρα καὶ ἐπὶ τῶν Νινευϊτῶν τί φησιν ὁ Θεός· Ἐγὼ δὲ οὐ φείσομαι τῆς πόλεως, ἐν ᾗ κατοικοῦσι πλείους ἢ δώδεκα μυριάδες; Ὅπου δύο, ἢ τρεῖς εἰσι συνηγμένοι, φησίν, εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν. Εἰ δὲ δύο μέγα ἰσχύουσι, πόσῳ μᾶλλον πλείους; ἃ δὲ καὶ εἷς ὢν ἰσχύσεις, ἀλλ' οὐχ ὁμοίως. διὰ τί δὲ καὶ εἷς εἶ; διὰ τί οὐκ ἐργάζῃ πολλούς; διὰ τί μὴ γίνῃ δημιουργὸς ἀγάπης; διὰ τί μὴ κατασκευάζεις φιλίαν; ὃ μέγιστόν τῆς ἀρετῆς ἐγκώμιον οὐκ ἔχεις. ὥσπερ γὰρ τὸ ἐκ συνθήκης εἶναι κακοὺς μᾶλλον παροξύνει τὸν Θεόν· οὕτω καὶ τὸ ἐν ὁμονοίᾳ εἶναι ἀγαθούς, μᾶλλον εὐφραίνει. Οὐκ ἔσῃ, φησί, μετὰ πολλῶν ἐπὶ κακίᾳ. Πάντες ἐξέκλιναν ἅμα, ἠχρειώθησαν, καὶ ἐγένοντο ὡς ᾄδοντες ἐν ταῖς κακίαις αὐτῶν. κατασκεύασον σοι φίλους παρὰ τῶν οἰκείων, παρὰ τῶν ἄλλων ἁπάντων. Εἰ ὁ εἰρηνοποιὸς υἱὸς Θεοῦ· ὁ καὶ φίλους κατασκευάζων, πόσῳ μᾶλλον; Εἰ ὁ καταλλάττων μόνον, υἱὸς Θεοῦ καλεῖται· ὁ τοὺς [καταλλαττομένους.] φίλους ποιῶν, τίνος οὐκ ἔσται ἄξιος; ταύτην ποιώμεθα τὴν ἐμπορίαν. φίλους ποιῶμεν ἀλλήλοις τοὺς ἐχθρούς, καὶ τοὺς οὐκ ἐχθροὺς μέν, οὐ φίλους δέ, καὶ τούτους συναγάγωμεν, καὶ παρὰ πάντων ἡμᾶς αὐτούς. καθάπερ γὰρ ὁ ἐν τῇ οἰκίᾳ ἐχθρὸν ἔχων, καὶ πρὸς τὴν γυναῖκα τὴν ἑαυτοῦ διεστηκώς, οὐκ ἔστιν ἀξιόπιστος ἑτέρους καταλλάττων, ἀλλ' ἀκούσεται, Ἰατρέ, θεράπευσον σεαυτόν· οὕτω δὴ καὶ ἐνταῦθα ἀκούσεται. τίς οὖν ἐστιν ἡμῖν ἡ ἔχθρα; ἡ τῆς ψυχῆς πρὸς τὸ σῶμα, ἡ τῆς κακίας πρὸς τὴν ἀρετήν. ταύτην καταλύσωμεν, τοῦτον ἀνέλωμεν τὸν πόλεμον· καὶ τότε μετ' εἰρήνης καὶ τοῖς ἄλλοις διαλεξόμεθα, μετὰ πολλῆς τῆς παρρησίας, οὐ κατηγοροῦντος ἡμῶν τοῦ συνειδότος. μάχεται θυμὸς ἐπιεικείᾳ, μάχεται χρημάτων ἔρως ὑπεροψίᾳ χρημάτων, μάχεται βασκανία χρηστότητι. τούτων λύσωμεν τὸν πόλεμον, τούτους καταπείσωμεν τοὺς ἐχθρούς, ταῦτα στήσωμεν τὰ τρόπαια ἐν τῇ πόλει τῇ ἡμετέρᾳ, κατασκευάσωμεν εἰρήνην. πόλις γὰρ ἡμῖν ἐστι καὶ πολιτεία, καὶ πολῖται καὶ ξένοι πολλοί. ἀλλὰ ξενηλασίαν ποιήσωμεν, ὥστε μὴ τοὺς οἰκείους φθείρεσθαι. μηδὲν ἀλλότριον, μηδὲ νόθον εἰσφοιτάτω δόγμα, μηδὲ φρόνημα σαρκικόν. οὐχ ὁρῶμεν ὅτι τῶν πολεμίων τις ἐν ταῖς πόλεσιν ἂν ἁλῷ, ὡς κατάσκοπος κρίνεται; οὐκοῦν ξενηλασίαν ποιώμεθα, μᾶλλον δὲ μὴ ξενηλασίαν μόνον, ἀλλὰ καὶ τοὺς πολεμίους ἀποπολεμώσωμεν. ἂν ἴδωμεν ἕνα, παραδῶμεν τῷ ἄρχοντι τῷ νῷ, τὸν λογισμὸν ἐκεῖνον, τὸν βεβαρβαρωμένον μέν, κατεσκευασμένον δὲ ἐσθῆτι πολιτικῇ. πολλοὶ γὰρ παρ' ἡμῖν λογισμοὶ τοιοῦτοι, φύσει μὲν ἐχθροί, περιβεβλημένοι δὲ δορὰν προβάτων. καθάπερ οἱ Πέρσαι τὴν τιάραν περιελόντες, καὶ τὰς ἀναξυρίδας, καὶ τὰ ὑποδήματα τὰ βαρβαρικά, καὶ τὴν ἄλλην στολὴν τὴν ἡμῖν ἐπιχώριον ὑπεισελθόντες, καὶ κεχρημένοι ἐγχωρίως, καὶ τῇ συνήθει γλώττῃ διαλεγόμενοι, κρύπτουσι τῷ σχήματι τὸν πόλεμον· ἂν δὲ

βασάνοις

β. Κορ. α. ια. — Ἰων. δ. — Ματθ. ιη. ιθ. — Ψαλ. ιδ. γ.

χ. ὑγιαίνει ἐπεικῶν. — χ. ἐπὶ περάτων; — χ. ἐν πολλῷ προσώπῳ — χ. μι — χ. ὅλως παῖς — χ. ἐξετάζ. — χ. ἐν χρ.

δίδου. ἄξιον δὲ τῆς ἀταξίας αὐτῶν εἰπεῖν· ὅτι ἦλθον κἀκεῖ σαλεύοντες τοὺς ὄχλους, τὴν ἀκάθεκτον μανίαν αὐτῶν ἀποπληρούμενοι. εὐθέως δὲ ἐξαποστέλλουσι τὸν Παῦλον οἱ ἀδελφοὶ πορεύεσθαι, φησίν, ὡς ἐπὶ τὴν θάλασσαν. ἐνταῦθα λοιπὸν τὸν Παῦλον πέμπουσι μόνον. περὶ γὰρ αὐτοῦ ἐδεδοίκεισαν, μή τι πάθῃ, τὸ κεφάλαιον αὐτῶν αὐτὸς ὤν. οὕτως οὐ πανταχοῦ ἡ χάρις ἐνήργει· ἀλλ' εἴα αὐτοὺς καὶ ἀνθρώπινα ποιεῖν, διαγινώσκουσα αὐτοὺς καὶ διυπνίζουσα, καὶ εἰς μέριμναν ἐμβάλλουσα. ὅρα γοῦν, ἕως Φιλίππων ἔσωσαν μόνον, ἐντεῦθεν δὲ οὐκ ἔτι. καὶ λαβόντες ἐντολήν, φησι, πρὸς τὸν Σίλαν καὶ τὸν Τιμόθεον, ἵνα ὡς τάχιστα ἔλθωσι πρὸς αὐτόν, ἐξῄεσαν. καὶ τοῦτο εἰκότως. εἰ γὰρ καὶ Παῦλος ἦν, ὅμως ἐδεῖτο ἐκείνων. ἄρα καλῶς ἠπείγετο εἰς Μακεδονίαν ὑπὸ τοῦ Θεοῦ. λαμπρὰ γὰρ ἦν καὶ ἡ Ἑλλὰς λοιπόν. ἐπεὶ καὶ ἄλλα περιττὰ ἐποίει. ὁ Χριστὸς * διέταξεν ἐκ τοῦ εὐαγγελίου ζῆν· οὗτος δὲ αὐτὸ οὐκ ἐποίει. ὁ Χριστὸς οὐκ ἀπέστειλεν αὐτὸν βαπτίζειν· οὗτος δὲ ἐβάπτιζεν. ὅρα πῶς ἀντίρροπος πάντων ἦν. Πέτρος εἰς τὴν περιτομήν· οὗτος εἰς τὰ ἔθνη, εἰς τὸ πλεῖον μέρος. καὶ λαβόντες τὸ ἱκανόν, φησι, παρὰ τοῦ Ἰάσονος, ἀπέλυσαν αὐτούς. ὅρα πῶς ἱκανὰ δοὺς Ἰάσων ἐξέπεμψε Παῦλον, ὥστε τὴν ψυχὴν αὐτοῦ ἔδωκεν ὑπὲρ αὐτοῦ. [οὗτοι, φησιν, ἦσαν εὐγενέστεροι τῶν ἐν Θεσσαλονίκῃ· τουτέστι, κατὰ τὴν ἀρετὴν ὄντες τοῦτο, καὶ τὴν πρὸς τὸν Θεὸν πίστιν. οἵτινες ἐδέξαντο τὸν λόγον μετὰ πάσης προθυμίας, φησί, τὸ] καθ' ἡμέραν ἀνακρίνοντες τὰς γραφάς, εἰ ἔχοι ταῦτα οὕτως· οὐχ ἁπλῶς ῥύμῃ, οὐδὲ ζήλῳ. καίτοι μείζων ἡ πόλις ἦν, ἀγοραῖοι ἄνθρωποι ἦσαν ἐν αὐτῇ. θαυμαστὸν δὲ οὐδέν, καὶ εἰ ἐν μείζονι χείρους εἰσί. μάλιστα μὲν οὖν εἰς τὴν μείζονα χείρους εἶναι εἰκός, ἔνθα πολλαὶ τῶν ταραχῶν αἱ ἀφορμαί. καθάπερ γὰρ ἐν σώματι ὅταν ἡ νόσος χαλεπωτέρα ᾖ, πλείονα ἔχει τὴν ὕλην καὶ τὴν τροφήν· οὕτω δὴ καὶ ἐνταῦθα, ὅπερ ἐν Ἰκονίῳ γέγονε, καὶ νῦν γίνεται. [καὶ ἐξέρχεται ὁ Παῦλος] ἵνα καὶ τῆς ἑτέρων ἀπωλείας δίκην δῶσι. διὰ τοῦτο καὶ Παῦλος ἔλεγε· Κωλυόντων ἡμᾶς τοῖς ἔθνεσι λαλῆσαι. καὶ διὰ τί μὴ ἐνέμειναν, φησιν, ἐνταῦθα; διὰ τί μὴ σημεῖα ἐποίησαν; εἰ γὰρ ἐκεῖ, ἔνθα ἐλιθάζετο, ἔμεινεν ἱκανὸν χρόνον· πολλῷ μᾶλλον ἐνταῦθα. διὰ τί; οὐκ ἀεὶ ἐβούλετο τούτους σημεῖα ποιεῖν ὁ Θεός. τοῦ γὰρ σημεῖα ποιεῖν οὐχ ἧττον σημεῖον τὸ διωκομένους περιγίνεσθαι χωρὶς σημείων. ὥστε καθάπερ νῦν χωρὶς σημείων κρατεῖ· οὕτω καὶ τότε πολλαχοῦ ἐβούλετο κρατεῖν. οὐ τοίνυν οὐδὲ οἱ ἀπόστολοι ἐπέτρεχον τοῖς σημείοις, ὅπερ οὖν καὶ αὐτός φησιν· Ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν ἐσταυρωμένον τοῖς σημεῖα ζητοῦσι, τοῖς σοφίαν. ταῦτα διδάσκομεν, ἃ μηδὲ μετὰ σημείων δυνατὸν πεῖσαι, καὶ πείθομεν. ὥστε μέγα τοῦτο σημεῖον ἦν. ὅρα γοῦν. ἐπιταθέντος τοῦ κηρύγματος, πῶς οὐ ταχέως ἐπιτρέχουσι τοῖς σημείοις. ἔδει γὰρ λοιπὸν οὐδὲν πιστεύσαντας μείζονα εἶναι σημεῖα τῶν λοιπῶν. διὸ καὶ γόνοι)· ἀλλὰ τῷ ὑποχωρεῖν καὶ ἐπιέναι ταῦτα ἐποίουν. ἐξαποστέλλουσιν αὐτόν, φησιν, ὡς ἐπὶ τὴν θάλασσαν. τί δήποτε; ὥστε μὴ γενέσθαι αὐτοῖς εὔκολον τὴν κατάληψιν. οὔπω γὰρ καθ' ἑαυτὸν μέγα πεπραχὼς ἦν, καὶ μετ' ἐκείνου πολλὰ * ἰοῦσαι καὶ κατώρθωσαν. τέως ἐκφυγεῖν, φησιν, ἐξαρπάσαι ἐβούλοντο. ὅρα πόση καὶ οἱ * λοιποὶ μαθηταὶ περὶ τοὺς κορυφαίους ἐχρῶντο τῇ σπουδῇ.

Ἀλλ' οὐχ ὥσπερ νῦν κεχωρίσμεθα. διῃρήμεθα μεγάλοι καὶ μικροί· οἱ μὲν ἐπαιρόμεθα, οἱ δὲ φθονούμεθα. διὰ τοῦτο γὰρ κἀκεῖνοι φθονοῦσιν, ὅτι ἡμεῖς τετυφώμεθα, οὐκ ἀνεχόμεθα ἰσηγορεῖσθαι μετ' αὐτῶν. διὰ τοῦτο ἐν τῷ σώματι ἡ συμφωνία ἐστίν, ἐπειδὴ οὐκ ἔστι φυσίωσις. οὐκ ἔστι δὲ φυσίωσις, ἐπειδὴ εἰς ἀνάγκην τοῦ χρείαν ἀλλήλων ἔχειν τὰ μέλη καθέστηκε. καὶ ἡ κεφαλὴ τῶν ποδῶν δεῖται, καὶ οἱ πόδες τῆς κεφαλῆς. καὶ ἡμῖν τοῦτο ἐποίησεν ὁ Θεός, καὶ οὐδὲ οὕτως ἀνεχόμεθα. ἴσμεν μὲν γὰρ καὶ χωρὶς τούτου ἀγάπην εἶναι. ἢ οὐκ αἰσχύνεται αὐτῶν τῶν ἔξω διαβαλλόντων ἡμᾶς, ὅταν λέγωσιν· αἱ χρεῖαι φιλίαι, οἱ λαϊκοὶ δέονται ἡμῶν *· ἡμεῖς δὲ πάλιν δι' αὐτούς ἐσμεν; οὕτω καὶ διδάσκαλος καὶ ἄρχων οὐκ ἂν εἴη, μὴ τῶν διδασκο-

ΗΘΙΚΟΝ

α. Κορ. θ. ιδ.
α. Κορ. α. ιζ.
α. Θεσ. β. ιϛ.
α. Κορ. α. κγ.

χ. ἰωσῆ
χ. αὐτὸ ὄν.
χ. ἀλλ' αὐτοὺς καὶ αὐτῷ. παρέχειν ἐποίει ἵνα πεῖραν λάβωσι, διαπιστῶσι αὐ. καὶ διυδεῖ, νοῦ καὶ εἰς.
α. Ἀθηνῶν
* γρ. φησὶ
γρ. καὶ ποιοῦσιν ζων ἡ πόλις ἦν ἀλλ' οὐδὲν θαυμαστὸν ἐν μείζ. χείρ. εἶναι.
γρ. τί
χ. μέγα εἶναι σημεῖον τῶν
χ. οὔπω
* αὖ
χ. λοιποὶ περὶ τ. κορ. ἦσαν μαθηταὶ τῇ σπουδ.
* ἡμεῖς ἐκείνων

13 Ὡς δὲ ἔγνωσαν οἱ ἀπὸ τῆς Θεσσαλονίκης Ἰουδαῖοι, ὅτι καὶ ἐν τῇ Βεροίᾳ κατηγγέλη
ὑπὸ τοῦ Παύλου ὁ λόγος τοῦ Θεοῦ, ἦλθον κἀκεῖ σαλεύοντες τοὺς ὄχλους.
14 Εὐθέως δὲ τότε τὸν Παῦλον ἐξαπέστειλαν οἱ ἀδελφοὶ πορεύεσθαι, ὡς ἐπὶ τὴν θάλασσαν. ὑπέμενον δὲ ὅ τε Σίλας, καὶ ὁ Τιμόθεος ἐκεῖ. Ὅρα αὐτὸν καὶ ὑποχωροῦντα καὶ ἐνιστάμενον, καὶ πολλὰ ἀνθρωπίνως ποιοῦντα.
15 Οἱ δὲ καθιστῶντες τὸν Παῦλον, ἤγαγον αὐτὸν ἕως Ἀθηνῶν, καὶ λαβόντες ἐντολὴν πρὸς τὸν Σίλαν καὶ Τιμόθεον, ἵνα ὡς τάχιστα ἔλθωσι πρὸς αὐτόν, ἐξῄεσαν.

Ἐδεῖτο γὰρ αὐτῶν. ἴδωμεν δὲ ἄνωθεν τὰ εἰρημένα. ἐπὶ σάββατα τρία, φησί, διελέχθη αὐτοῖς, διανοίγων ἀπὸ τῶν γραφῶν. καλῶς, ὅτι ἤρξατο. τοῦτο γὰρ καὶ ὁ Χριστὸς ἐποίει, ἄνω καὶ κάτω ἀπὸ τῶν γραφῶν διαλεγόμενος, καὶ οὐ πανταχοῦ ἀπὸ τῶν σημείων. ἐπειδὴ [γὰρ] πρὸς τούτους ἐναντίως εἶχον, καὶ ὡς πλάνοι καὶ γόητες διεβάλλοντο, διὰ τοῦτο καὶ αὐτὸς ἀπὸ τῶν γραφῶν διαλέγεται. ὁ μὲν γὰρ ἀπὸ τῶν σημείων ἐπιχειρῶν μόνον πείθειν, εἰκότως ὑποπτεύεται· ὁ δὲ ἀπὸ τῶν γραφῶν πείθων, οὐκ ἔχει ταύτην τὴν ὑπόνοιαν. καὶ πολλαχοῦ εὑρίσκομεν ἀπὸ διδασκαλίας αὐτὸν πείσαντα· καὶ ἐν Ἀντιοχείᾳ δὲ πᾶσα [διδάσκοντι αὐτῷ] συνήχθη ἡ πόλις. οὕτω μέγα τι καὶ τοῦτό ἐστι, καὶ οὐ μικρὸν σημεῖον, ἀλλὰ καὶ σφόδρα ἐστὶ μέγα τοῦτο. καὶ ἵνα μὴ νομίσωσιν ὅτι αὐτοὶ ἴσχυσαν τὸ πᾶν, συγχωρεῖ αὐτοὺς ὁ Θεὸς ἐλαύνεσθαι. δύο γὰρ ἐκ τούτου συνέβαινεν· οὔτε μέγα ἐφρόνουν, ὡς αὐτοὶ καθελόντες· οὔτε πάλιν ἐφοβοῦντο, ὡς ὑπεύθυνοι. οὕτως οἰκονομίας ἦν καὶ τὸ ἐλαύνεσθαι. τῶν τε σεβομένων Ἑλλήνων, φησί, πολὺ πλῆθος, καὶ τῶν Ἑλληνίδων γυναικῶν τῶν εὐσχημόνων ἐπίστευσαν, καὶ ἀνδρῶν οὐκ ὀλίγοι· ἐκεῖνοι δὲ τοὐναντίον. πῶς δὲ λέγων, Ἵνα ἡμεῖς εἰς τὰ ἔθνη, αὐτοὶ δὲ εἰς τὴν περιτομήν, διελέγετο τοῖς Ἰουδαίοις; ἐκ περιουσίας τοῦτο ποιῶν. ἐπεὶ εἰ Ἰουδαίοις διαλέγεσθαι ἐχρῆν, πῶς ἔλεγε πάλιν· Ὁ γὰρ ἐνεργήσας ἐκείνῳ εἰς τὴν περιτομήν, ἐνήργησε καὶ ἐμοὶ εἰς τὰ ἔθνη; ὥσπερ ἐκεῖνοι καὶ ἔθνεσιν ὡμίλησαν, καίτοιγε εἰς τὴν περιτομὴν ἀφωρισμένοι· οὕτω καὶ οὗτος. τὸ μὲν οὖν πλέον ἐν αὐτοῖς· πλὴν οὐδὲ ἐκείνων ἠμέλησεν, ἵνα μὴ δόξωσι διεσχίσθαι. καὶ πῶς, φησί, προηγουμένως εἰς τὰς συναγωγὰς εἰσῄει; ἀλλ' Ἕλληνας ἔπειθε διὰ τῶν Ἰουδαίων, δι' ὧν Ἰουδαίοις διελέγετο. ᾔδει δὲ ὅτι τοῦτο μάλιστα ἔθνεσιν ἁρμόζον ἦν πρὸς πίστιν καὶ προσαγωγήν. διὰ τοῦτο ἔλεγεν, Ἐφ' ὅσον εἰμὶ ἐγὼ ἐθνῶν ἀπόστολος. καὶ αἱ ἐπιστολαὶ δὲ αὐτοῦ πρὸς Ἰουδαίους πᾶσαί εἰσιν ἀπομαχόμεναι. ὅτι τὸν Χριστόν, φησίν, ἔδει παθεῖν*. εἰ παθεῖν ἔδει, πάντως καὶ ἀναστῆναι. πολλῷ γὰρ ἐκείνου θαυμασιώτερον τοῦτο. εἰ γὰρ τὸν οὐδὲν ἠδικηκότα εἰς θάνατον ἐξέδωκε, πολλῷ μᾶλλον ἀνέστησεν αὐτόν. προσλαβόμενοι δέ τινας τῶν ἀγοραίων οἱ ἀπειθοῦντες Ἰουδαῖοι, ἐθορύβουν τὴν πόλιν, φησίν· ὥστε πλείους ἦσαν οἱ Ἕλληνες. καὶ προσλαμβάνουσί τινας, ἐπειδὴ οὐκ ἐνόμισαν ἑαυτοὺς ἀρκεῖν πρὸς τὴν στάσιν οἱ Ἰουδαῖοι· καὶ ἐπειδὴ οὐκ εἶχον αἰτίαν εὔλογον, θορύβῳ ἀεὶ τὰ τοιαῦτα ἀνύουσι, καὶ προσλήψει ἀνδρῶν πονηρῶν. μὴ εὑρόντες δὲ αὐτούς, φησίν, ἔσυρον τὸν Ἰάσονα. ὢ τῆς τυραννίδος. ἀπὸ τῶν οἰκιῶν εἷλκον αὐτοὺς ἁπλῶς. οὗτοι πάντες ἀπέναντι τῶν τοῦ Καίσαρος δογμάτων πράσσουσι, βασιλέα, φησί, λέγοντες ἕτερον εἶναι Ἰησοῦν. ἐπειδὴ οὐδὲν ἐναντίον ἔλεγον τοῖς δεδογμένοις, οὐδὲ περιέκοπτον τὴν πόλιν, ἐφ' ἕτερον ἔγκλημα αὐτοὺς ἄγουσι, καὶ εἰς καθοσίωσιν διαβάλλουσι. καὶ τί φοβεῖσθε, εἴγε τέθνηκεν; ὅρα τοὺς διωγμοὺς πανταχοῦ τὸ κήρυγμα ἐκτείνοντας. οὗτοι μὲν οὖν, φησίν, εὐγενέστεροι ἦσαν τῶν ἐν Θεσσαλονίκῃ· τουτέστιν, οὐδὲν πονηρὸν πράττοντες· ἀλλ' οἱ μὲν ἐπίστευσαν, οὗτοι δὲ καὶ τὸ ἐναντίον ποιοῦσι θορυβοῦντες αὐτούς. πολλοὶ μὲν οὖν ἐξ αὐτῶν ἐπίστευσαν καὶ τῶν Ἑλληνίδων, φησί, γυναικῶν εὐσχημόνων, καὶ ἀνδρῶν οὐκ ὀλίγοι. πάλιν ἐνταῦθα πιστεύουσιν Ἕλληνες. σὺ δέ μοι θέα, ὅτι οἰκονομικῶς ἔφυγον, οὐ δειλιῶντες. ἢ γὰρ ἂν ἐπαύσαντο κηρύττοντες, καὶ οὐχὶ μᾶλλον [illegible]. ἀλλ' ἐκ τούτου δύο ἐγίνετο· καὶ ἐκείνων ὁ θυμὸς ἐσβέννυτο, καὶ τὸ κήρυγμα ἐπεδίδου.

Γαλ. β. θ.

Ρωμ. ια. ιγ.

γρ. τοῦτο εἰ. ὡς πλάνοι καὶ γόητες διαβαλλόμενοι· γρ. ὅτι

γρ. τοῦ τὴν οἰκονομίαν ἰδ, καὶ τοῦ ἐλαύνεσθαι ἐκεῖνο

γρ. Πέτρῳ εἰς ἀποστολὴν τῆς περιτομῆς, καὶ ἐνήργησεν ἐν ἐμοί

γρ. τούτους ἦν.

* καὶ ἀναστῆναι ἐκ νεκρῶν.

γρ. -κεν ὁ Θεός, πολλῷ μᾶλλον ἀνέστησε

γρ. οἱ δὲ οὐδὲν εἰργάσαντο

Digitized by Google

Λογ. λζ. 1 ΔΙΟΔΕΥΣΑΝΤΕΣ ΔΕ ΤΗΝ ΑΜΦΙΠΟΛΙΝ κεφ. ιζ.
καὶ Ἀπολλωνίαν, ἦλθον εἰς Θεσσαλονίκην, ὅπου ἦν ἡ συναγωγὴ τῶν
Ἰουδαίων. 2 Κατὰ δὲ τὸ εἰωθὸς τῷ Παύλῳ, εἰσῆλθε πρὸς αὐτούς,
καὶ ἐπὶ σάββατα τρία διελέγετο αὐτοῖς ἀπὸ τῶν γραφῶν,
3 Διανοίγων καὶ παρατιθέμενος, ὅτι τὸν Χριστὸν ἔδει παθεῖν καὶ ἀναστῆναι
ἐκ νεκρῶν· καὶ ὅτι οὗτός ἐστιν ὁ Χριστὸς Ἰησοῦς, ὃν ἐγὼ καταγγέλλω ὑμῖν.

Ἀλλὰ τὰς μὲν μικρὰς παρατρέχουσι πόλεις· ἐπὶ δὲ τὰς μείζους ἐπείγονται, ὅσπερ καθάπερ ἐκ τινος πηγῆς μέλλοντος τοῦ λόγου διαρρέειν εἰς τὰς πλησίον. κατὰ δὲ τὸ εἰωθὸς τῷ Παύλῳ, εἰσῆλθεν εἰς τὴν συναγωγὴν τῶν Ἰουδαίων. καίτοι εἰπών, Ὅτι στρεφόμεθα εἰς τὰ ἔθνη, οὐκ ἠφίει τούτους. πολὺν γὰρ πρὸς αὐτοὺς εἶχε πόθον. ἄκουε γὰρ αὐτοῦ λέγοντος· Ἀδελφοί, ἡ μὲν εὐδοκία τῆς ἐμῆς καρδίας, καὶ ἡ δέησις ἡ πρὸς τὸν Θεόν, ὑπὲρ τοῦ Ἰσραήλ ἐστιν εἰς σωτηρίαν· καί, Εὐχόμην ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου. ἐποίει δὲ τοῦτο διὰ τὴν ἐπαγγελίαν τοῦ Θεοῦ καὶ τὴν δόξαν, καὶ ἵνα μὴ σκάνδαλον ᾖ τοῦτο τοῖς ἕλλησι. καὶ ἐπὶ σάββατα τρία διελέγετο αὐτοῖς ἀπὸ τῶν γραφῶν, διανοίγων καὶ παρατιθέμενος, ὅτι τὸν Χριστὸν ἔδει παθεῖν καὶ ἀναστῆναι ἐκ νεκρῶν, καὶ ὅτι οὗτός ἐστιν Ἰησοῦς ὁ Χριστός, ὃν ἐγὼ καταγγέλλω ὑμῖν. ὁρᾷς ὅτι πρὸ πάντων τὸ πάθος κηρύττει; οὕτως οὐκ ᾐσχύνοντο, ἀλλ᾽ ᾔδεσαν τοῦτο σωτήριον ὄν. Πραξ. ιγ. μς. Ρωμ. ι. α. Ρωμ. θ. γ.

4 Καί τινες ἐξ αὐτῶν ἐπείσθησαν, καὶ προσεκληρώθησαν τῷ Παύλῳ καὶ τῷ Σίλᾳ, τῶν τε σεβομένων ἑλλήνων πλῆθος πολύ, γυναικῶν τε τῶν πρώτων οὐκ ὀλίγαι. Τὸ κεφάλαιον εἶπε τῆς διαλέξεως. οὕτως ἀπέριττός ἐστιν, οὐ πανταχοῦ τὰς δημηγορίας αὐτοῦ λέγων.

5 Ζηλώσαντες δὲ οἱ ἀπειθοῦντες Ἰουδαῖοι, καὶ προσλαβόμενοι τῶν ἀγοραίων τινὰς ἄνδρας πονηρούς, καὶ ὀχλοποιήσαντες, ἐθορύβουν τὴν πόλιν· ἐπιστάντες τε τῇ οἰκίᾳ Ἰάσονος, ἐζήτουν αὐτοὺς ἀγαγεῖν εἰς τὸν δῆμον.

6 Μὴ εὑρόντες δὲ αὐτούς, ἔσυρον τὸν Ἰάσονα καί τινας ἀδελφοὺς ἐπὶ τοὺς πολιτάρχας βοῶντες· ὅτι οἱ τὴν οἰκουμένην ἀναστατώσαντες, οὗτοι καὶ ἐνθάδε πάρεισιν,

7 Οὓς ὑποδέδεκται Ἰάσων. καὶ οὗτοι πάντες ἀπέναντι τῶν δογμάτων Καίσαρος πράσσουσι, βασιλέα ἕτερον λέγοντες εἶναι Ἰησοῦν. Ὢ τῆς κατηγορίας. πάλιν εἰς καθοσίωσιν διέβαλον αὐτούς, λέγοντες εἶναι, φησίν, ἕτερον βασιλέα Ἰησοῦν.

8 Ἐτάραξαν δὲ τὸν ὄχλον καὶ τοὺς πολιτάρχας ἀκούοντας ταῦτα,

9 Καὶ λαβόντες τὸ ἱκανὸν παρὰ τοῦ Ἰάσονος καὶ τῶν λοιπῶν, ἀπέλυσαν αὐτούς.

Θαυμαστὸς ὁ ἀνὴρ εἰς κίνδυνον ἑαυτὸν ἐκδοὺς καὶ ἐκπέμψας αὐτούς.

10 Οἱ δὲ ἀδελφοὶ εὐθέως διὰ τῆς νυκτὸς ἐξέπεμψαν τόν τε Παῦλον καὶ τὸν Σίλαν εἰς Βέροιαν. οἵτινες παραγενόμενοι, εἰς τὴν συναγωγὴν ἀπῄεσαν τῶν Ἰουδαίων.

* τῶν ἄλλων 11 Οὗτοι δὲ ἦσαν εὐγενέστεροι* τῶν ἐν Θεσσαλονίκῃ, οἵτινες ἐδέξαντο τὸν λόγον μετὰ πάσης προθυμίας, [τὸ] καθ᾽ ἡμέραν ἀνακρίνοντες τὰς γραφάς, εἰ ἔχοι ταῦτα οὕτως. Εὐγενέστεροι, φησί· τουτέστιν, ἐπιεικέστεροι. καὶ ὅρα, οὐχ ἁπλῶς, ἀλλὰ μετὰ ἀκριβείας διηρεύνων τὰς γραφάς. τοῦτο γάρ ἐστι τό, ἀνακρίνοντες, βουλόμενοι ἀπ᾽ αὐτῶν πληροφορεῖσθαι μᾶλλον περὶ τοῦ πάθους λαβεῖν. ἤδη γὰρ ἦσαν πιστεύσαντες.

12 Πολλοὶ μὲν οὖν ἐξ αὐτῶν ἐπίστευσαν, καὶ τῶν ἑλληνίδων γυναικῶν τῶν εὐσχημόνων, καὶ ἀνδρῶν οὐκ ὀλίγοι.

13 Ὡς

τὴν ὀργὴν ὡς· ἀλλ' ἀμείψαι τῶν διαφορῶν ἀμοιβὴν ταύτην· μᾶλλον δὲ καὶ αὐτὴ εἰς σὲ περιέρχεται. Εἰπὲ δή μοι, εἰ πράγματι περιπέσοιμεν χαλεπῷ, τίνα οὐκ ἀξιοῦμεν; καὶ ταχέως τῆς αἰτήσεως τυχόντες, ἀναπνέομεν. τίς σοι δὲ ὢν ἕτοιμός ἐστι τῶν ἀξιουμένων χάριν σοι ἔχειν, ὅτι ἀξιοῖς; τίς σοι δὲ ὢν μὴ περιΐεται καὶ ζητεῖ τινα ἀξιώσεως, ἀλλ' εὑρεῖν ἕτοιμον; μὴ ἑτέρων δεῖσθαι, ἵνα δι' ἐκείνων ἀξιώσῃς; τί τούτου μεῖζον; οὐδὲν γὰρ τότε μάλιστα ποιεῖ, ὅταν μὴ ἑτέρων δεηθῶμεν. καθάπερ φίλος γνήσιος, τότε μάλιστα ἡμῖν ἐγκαλεῖ, ὡς οὐ θαρροῦσιν αὐτοῦ τῇ φιλίᾳ, ὅταν ἑτέρων πρὸς αὐτὸν δεηθῶμεν τῶν ἀξιούντων· οὕτω καὶ ἡμεῖς ποιοῦμεν ἐπὶ τῶν ἡμᾶς ἀξιούντων. τότε μάλιστα αὐτοῖς χαριζόμεθα, ὅταν δι' ἑαυτῶν ἡμῖν, καὶ οὐ δι' ἑτέρων προσίωσι. τί οὖν, φησὶν, ἂν προσκεκρουκὼς ὦ; παῦσαι προσκρούων, καὶ δάκρυσον, καὶ οὕτω πρόσελθε, καὶ ταχέως ἐπὶ τοῖς προτέροις αὐτὸν ἵλεων ποιήσεις. Εἰπὲ μόνον, ὅτι προσέκρουσα· εἰπὲ ἐκ ψυχῆς καὶ γνησίας διανοίας, καὶ πάντα λέλυται. Οὐκ ἐπιθυμεῖς οὕτως ἀφεθῆναί σου τὰς ἁμαρτίας [σου] ὡς αὐτὸς ἐπιθυμεῖ ἀφεῖναί σου τὰ ἁμαρτήματα. ὅτι γὰρ οὐκ ἐπιθυμεῖς σὺ, ἐννόησον ὅτι οὐδὲ ἀγρυπνεῖν καταδέχῃ, οὐδὲ χρήματα προΐεσαι· αὐτὸς δὲ ἵνα ἀφῇ ἡμῶν τὰς ἁμαρτίας, τοῦ μονογενοῦς οὐκ ἐφείσατο, τοῦ γνησίου παιδὸς, τοῦ συνθρόνου. ὁρᾷς ὅτι αὐτὸς μᾶλλον ἐπιθυμεῖ ἀφεῖναί σοι τὰ ἁμαρτήματα; μὴ δὴ ὀκνῶμεν, μηδὲ ἀναβαλλώμεθα. Φιλάνθρωπός ἐστι καὶ ἀγαθός· μόνον ἀφορμὴν αὐτῷ δῶμεν, καὶ τοῦτο, ἵνα ἡμεῖς μὴ ἀχάριστοι φανῶμεν· ἐπεὶ καὶ χωρὶς τούτου ἀπέλυσεν ἄν. ἀλλ' ὥσπερ ἡμεῖς ἐπὶ τῶν οἰκετῶν τῶν ἡμετέρων μυρία πλάττομεν καὶ συντίθεμεν· οὕτω καὶ αὐτὸς ἐπὶ τῆς ἡμετέρας σωτηρίας ποιεῖ. Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, ὅτι [ὁ] χρηστός ἐστι καὶ ἐπιεικής. ἐὰν δὲ μὴ ἐπικαλῇ ἐν ἀληθείᾳ, μηδὲ θέλῃς εἰπεῖν ἐκ καρδίας, ὅτι ἄφες, ἀλλ' ἀπὸ στόματος, τί ποιήσει αὐτός; τί ἐστιν ἐν ἀληθείᾳ καλεῖν; μετὰ προαιρέσεως, μετὰ προθυμίας, μετὰ διανοίας εἰλικρινοῦς. οἷον ἐπὶ τῶν μύρων λέγεται, ἀληθινόν ἐστιν, οὐδὲν ἔχει νόθον· οὕτω καὶ ἐκεῖ ὁ ὄντως αὐτὸν καλῶν, καὶ ὁ ὄντως αὐτοῦ δεόμενος, προσεδρεύει διαπαντὸς, [καὶ] οὐκ ἀφίσταται, ἕως ἂν λάβῃ· ὁ δὲ ἁπλῶς ἀφοσιούμενος, καὶ αὐτῷ τούτῳ νόμον πληρῶν, οὐκ ἐν ἀληθείᾳ καλεῖ. πᾶς ὅστις ἂν ᾖς, μὴ λέγε ὅτι ἁμαρτωλός εἰμι μόνον, ἀλλὰ καὶ σπούδαζε ἀπαλλάξαι σαυτὸν ταύτης τῆς δόξης· μὴ λέγε, ἀλλὰ καὶ ἄλγει. Εἰ ἀλγεῖς, σπουδάζεις· εἰ μὴ σπουδάζεις, οὐκ ἀλγεῖς· εἰ μὴ ἀλγεῖς, χλευάζεις. τίς λέγων ὅτι νοσῶ, οὐ πάντα ποιεῖ ὥστε ἀπαλλαγῆναι; μέγα ὅπλον εὐχή. Λυκ. ια. ιγ. Εἰ ὑμεῖς οἴδατε, φησὶ, δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ πατὴρ ὑμῶν; διατί οὐ θέλεις προσελθεῖν; φιλεῖ σε, δύναται πάντων πλέον· καὶ βούλεται καὶ δύναται, τί τὸ κωλῦον; οὐδέν. Οὐκοῦν προσίωμεν μετὰ πίστεως, προσίωμεν τὰ δῶρα προσφέροντες ἃ βούλεται, ἀμνησικακίαν, χρηστότητα, πραότητα. κἂν ἁμαρτωλὸς ᾖς, μετὰ παρρησίας αὐτὸν ἀπαιτήσεις τὴν συγχώρησιν τῶν ἁμαρτημάτων, ἔχων δεῖξαι παρὰ σαυτῷ τοῦτο γεγενημένον· ἂν δὲ δίκαιος ᾖς, καὶ τοῦτο μὴ ἔχῃς τὸ ἀμνησικακεῖν, οὐδὲν ὤνησας. Οὐκ ἔστιν ἄνθρωπον ἀφέντα τῷ πλησίον, μὴ ἀκριβῶς τυχεῖν τῆς ἀφέσεως. Φιλανθρωπότερος γὰρ ἡμῶν ἀσυγκρίτως ἐστὶν ὁ Θεός. τοῦτο παντί δῆλον. τί λέγεις; ἐὰν εἴπῃς, ἠδικήθην, ὀργῆς ἐκράτησα, θυμοῦ ἐπήρθην, ἔπαθον διὰ τὸ σὸν πρόσταγμα, οὐκ ἀφήσει καὶ αὐτός; πάντως δήπου ἀφήσει. ὥστε καθαρίσωμεν τὴν ψυχὴν τῆς μνησικακίας (ἀρκεῖ τοῦτο ἡμῖν πρὸς τὸ ἀκουσθῆναι) καὶ μετὰ νήψεως προσευχώμεθα καὶ πολλῆς τῆς προσεδρίας, ἵνα δαψιλοῦς τῆς παρ' αὐτοῦ φιλανθρωπίας ἀπολαύσαντες, καταξιωθῶμεν τῶν ἐπηγγελμένων ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

χ. αὐτὴ ἡ περιτρέπ.
χ. σοι
χ. σοι
χ. παρ' αὐτῷ
χ. θυμοῦ ἐπαυσάμην διὰ τὸ σὸν πρ. καὶ οὐκ ἀφίησι; πάντως

Λογ. λζ.

Digitized by Google

ἀνθρώποις καὶ ταλαιπώροις καὶ οὐκ ἔχοντα νοῦν,* μυρίων γέμοντα κακῶν τὸ ὑποπαραγαγεῖν; ἔτι καὶ ταῦτα προσφέρεσιν· τίς γὰρ ἢ βυρσεύς, πορφυρόπωλις, εὐνοῦχος, δεσμοφύλακες, δοῦλοι καὶ γυναῖκες ἐπίστευσαν. τί οὖν εἰπεῖν δυνήσονται, ὅταν καὶ τοὺς ἐν ἀξιώμασι παραγαγόμενοι, τὸν ἑκατόνταρχον, τὸν ἀνθύπατον, τοὺς ἐξ ἐκείνου μέχρι τοῦ νῦν, αὐτοὺς τοὺς κρατοῦντας, τοὺς βασιλεῖς; ἐγὼ δὲ ἕτερον λέγω τούτου μεῖζον· αὐτοὺς τοὺς εὐτελεῖς ἴδωμεν. καὶ ποῦ τὸ θαυμαστόν, φησί; τοῦτο μὲν οὖν θαυμαστόν. ἂν μὲν γὰρ πεισθῇ τις περὶ τῶν τυχόντων, οὐδὲν θαυμαστόν· ὅταν δὲ περὶ ἀναστάσεως, περὶ βασιλείας οὐρανῶν, περὶ βίου φιλοσόφου ἀνδράσιν εὐτελέσι διαλέγηται καὶ πείθῃ, θαυμαστότερός ἐστιν, ἢ εἰ σοφοὺς ἔπειθεν. ἐπὰν γὰρ μὴ ᾖ κίνδυνος, καὶ πείθῃ τις, καλῶς τὴν ἄνοιαν εἰς μέσον φέρεσιν· ὅταν δὲ λέγῃ τῷ δούλῳ κατὰ σέ, ὅτι ἂν πεισθῇς ἐμοί, κινδυνεύσεις, πάντας ἕξεις πολεμίους, δεῖ σε ἀποθανεῖν, μυρία παθεῖν κακά· εἶτα οὕτως ἕλῃ τὴν ψυχὴν ἐκείνου, οὐκ ἔτι τοῦτο ἀνοίας. εἰ μὲν γὰρ τὰ δόγματα ἡδονὴν εἶχεν, εἰκότως ἄν τις τοῦτο εἴποι. εἰ δέ, ὅπερ οὐκ ἂν εἵλοντο φιλόσοφοι μαθεῖν, τοῦτο ὁ δοῦλος μανθάνει, μεῖζον τὸ θαῦμα. καί, εἰ βούλεσθε, τὸν βυρσοδέψην αὐτὸν εἰς μέσον ἀγάγωμεν, καὶ ἴδωμεν τί αὐτῷ διελέγετο ὁ Πέτρος· ἤ, εἰ θέλεις, αὐτὸν τοῦτον τὸν δεσμοφύλακα. τί οὖν αὐτῷ εἶπεν ὁ Παῦλος; ὅτι ὁ Χριστὸς ἀνέστη, φησίν· ὅτι ἀνάστασίς ἐστι νεκρῶν, ὅτι βασιλεία· καὶ ἔπεισεν εὐκόλως ὑποπαραγαγεῖν ὄντα. τί οὖν; περὶ βίου οὐδὲν εἶπεν, ὅτι σωφρονεῖν δεῖ; ὅτι χρημάτων κρατεῖν; ὅτι μὴ εἶναι ὠμόν; ὅτι τὰ αὐτοῦ διδόναι ἑτέροις; οὐ γὰρ δὴ καὶ τὸ ταῦτα πεισθῆναι ἀνοίας ἦν, ἀλλὰ [καὶ] μεγάλης ψυχῆς. ἔσω γὰρ τὰ δόγματα ὑπὸ ἀνοίας μᾶλλον ἄν τις τὸ παραδέχεσθαι· τὸ βίον οὕτω φιλόσοφον καταδέχεσθαι, ποίας ἀνοίας ἦν; ὥστε ὅσῳ ἂν ἀνόητος ᾖ ὁ πειθόμενος, πείθηται δὲ ταῦτα ἃ μηδὲ φιλόσοφοι πεῖσαι ἴσχυσαν τοὺς φιλοσόφους, μεῖζον τὸ θαῦμα γίνεται· μάλιστα δέ, ὅταν καὶ γυναῖκες καὶ δοῦλοι πείθωνται, καὶ διὰ τῶν ἔργων ταῦτα ἐπιδεικνύωνται, ἅπερ Πλάτωνες καὶ πάντες ἐκεῖνοι οὐδένα πεῖσαι ἴσχυσαν. καὶ τί λέγω ἕνα οὐδένα; οὐδὲ ἑαυτούς. ὅτι γὰρ χρημάτων οὐ δεῖ καταφρονεῖν, Πλάτων ἔπεισε, τοσαύτην περιουσίαν, καὶ πλῆθος χρημάτων, καὶ δακτυλίους χρυσοῦς καὶ φιάλας περιποιησάμενος. ὅτι δὲ δόξης οὐ χρὴ καταφρονεῖν τῆς παρὰ τῶν πολλῶν, Σωκράτης αὐτός, καὶ μυρία φιλοσοφῶν περὶ τούτου, δείκνυσι. πάντα γὰρ πρὸς δόξαν ὁρῶν ἐποίει. καὶ εἴγε τῶν ἐκείνου λόγων ἔμπειροι ἦτε, πολλὴν ἂν τὸν ὑπὲρ τούτων ἐκίνησα λόγον, καὶ ἔδειξα πολλὴν παρ᾽ αὐτοῖς τὴν εἰρωνείαν (εἴγε οἷς ὁ μαθητὴς αὐτοῦ λέγει πείθεσθαι χρή) καὶ πῶς ἀπὸ κενοδοξίας πάντα αὐτῷ τὰ γράμματα τὴν ὑπόθεσιν ἔχει. ἀλλ᾽ ἐκείνους ἀφέντες, πρὸς ἡμᾶς αὐτοὺς διαλεχθῶμεν. μετὰ γὰρ τῆς εἰρήνης, καὶ τοῦτό ἐστιν εἰπεῖν ὅτι καὶ μετὰ κινδύνων ταῦτα ἐπείθοντο. μὴ οὖν ἀναισχυντῶμεν, ἀλλ᾽ ἐννόησον ἐκείνην τὴν νύκτα, τὸ ξύλον, τοὺς ὕμνους· καὶ τοῦτο ποιεῖν σπουδάζωμεν καὶ ἡμεῖς, καὶ ἀνοίξομεν ἡμῖν οὐχὶ δεσμωτήριον, ἀλλ᾽ οὐρανόν. ἂν εὐχώμεθα, καὶ τὸν οὐρανὸν ἀνοῖξαι δυνησόμεθα. Ηλίας καὶ ἔκλεισε, καὶ ἤνοιξε τὸν οὐρανὸν τῇ εὐχῇ. ἔστι καὶ ἐν οὐρανῷ δεσμωτήριον. Οσα ἄν, φησί, δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ. εὐχώμεθα κατὰ νύκτα, καὶ λύσομεν ταῦτα τὰ δεσμά. ὅτι γὰρ εὐχαὶ ἁμαρτήματα λύουσι, πειθέτω ἡμᾶς ἡ χήρα, πειθέτω ἡμᾶς ἐκεῖνος ὁ φίλος, ὁ ἀωρὶ τῶν νυκτῶν ἐπιμένων καὶ κρούων, πειθέτω ἡμᾶς Κορνήλιος· Αἱ προσευχαί σου γάρ, φησί, καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν ἐνώπιον τοῦ Θεοῦ· πειθέτω ἡμᾶς Παῦλος, λέγων· Η δὲ ὄντως χήρα καὶ μεμονωμένη ἤλπικεν ἐπὶ τὸν Θεόν, καὶ προσμένει ταῖς δεήσεσι νυκτὸς καὶ ἡμέρας. Εἰ περὶ χήρας, [ἐκεῖνος δὲ] ταῦτα λέγει ἀσθενοῦς γυναικός, πολλῷ μᾶλλον περὶ ἀνδρῶν. καὶ ἤδη διελέχθην ὑμῖν, καὶ νῦν ἐρῶ· διεγειρώμεθα τὴν νύκτα. κἂν μὴ πολλὰς εὐχὰς ποιῇς, μίαν ποίησον μετὰ νήψεως, καὶ ἀρκεῖ. οὐδὲν πλέον ἀπαιτῶ. κἂν μὴ μεσονύκτιον, πρὸς αὐτὴν γοῦν τὸν ὄρθρον. δεῖξον ὅτι οὐ τοῦ σώματος μόνον ἐστὶν ἡ νύξ, ἀλλὰ καὶ τῆς ψυχῆς. μὴ ἀνάσχῃ παρελθεῖν αὐτὴν

τὴν

* ἀλλὰ
χ. πιθῇ
χ. ἔφερες
χ. ἕλοιτο
χ. ὅ, τι; ὅτι μὴ εἶναι ὠμὸν, δεῖ. ὅτι
χ. αὐτοῖς
χ. αὐτῶν
χ. ἀωρί
Ματθ. ις. δ. Λουκ. ια. β.
Πραξ. ι. δ.
α. Τιμ. ε. α.

χρεὼν ἰδεῖν τὰ γινόμενα· καὶ τοῦτο πάλιν καλῶς, ἵνα κωλυθῇ ὁ δεσμοφύλαξ ἀνελεῖν ἑαυτόν. καὶ διὰ τί μὴ ἄλλο σημεῖον γέγονεν; ὅτι τοῦτο μάλιστα αὐτὸν ἐφελκύσασθαι καὶ πεῖσαι ἱκανὸν ἦν, ἐπεί γε καὶ αὐτὸς ἐκινδύνευσεν [ἄν, εἰ μὴ γέγονεν.] οὐ γὰρ οὕτω τὰ θαύματα ἡμᾶς αἱρεῖ, ὡς τὰ εἰς σωτηρίαν ἡμετέραν ἥκοντα. ἵνα μὴ δόξῃ ἀπὸ ταὐτομάτου γεγενῆσθαι ὁ σεισμός, ἐπηκολούθησε καὶ τοῦτο ἐκείνου μαρτυροῦν, καὶ ἐν νυκτὶ φαίνεται). οὐδὲν γὰρ πρὸς ἐπίδειξιν, ἀλλὰ πρὸς σωτηρίαν ἐποίουν. οὐκ ἦν πονηρὸς ὁ δεσμοφύλαξ. ἔβαλεν αὐτοὺς εἰς τὴν ἐσωτέραν φυλακήν, παραγγελίαν τοιαύτην λαβών, οὐκ ἀφ' ἑαυτοῦ. καὶ διὰ τί μὴ πρὸ τούτου ἐβόησεν ὁ Παῦλος; θορύβου μεστὸς ὁ ἄνθρωπος ἦν καὶ ταραχῆς, καὶ οὐκ ἂν παρεδέξατο. διὰ τοῦτο ὅτε εἶδεν ἑαυτὸν μέλλοντα ἀναιρεῖν, προσκαταλαμβάνει καὶ βοᾷ λέγων· πάντες ἐσμὲν ἐνθάδε. διὰ τοῦτο καὶ αἰτήσας φῶτα εἰσεπήδησε, καὶ προσέπεσε τῷ Παύλῳ, φησί, καὶ τῷ Σίλᾳ. εἰς τοὺς πόδας προσέπεσεν αὐτῶν τῶν δεσμωτῶν ὁ φύλαξ. καὶ προάγει αὐτοὺς ἔξω, καὶ λέγει· κύριοι, τί με δεῖ ποιεῖν, ἵνα σωθῶ; τί γὰρ εἶπον; ὅρα αὐτὸν οὐκ ἐπειδὴ διεσώθη ἐπὶ τούτῳ στέργοντα, ἀλλὰ τὴν δύναμιν ἐκπλαγέντα. εἶδες τί ἐκεῖ γέγονε, καὶ τί ἐνταῦθα; ἐκεῖ παιδίσκη ἀπηλλάγη πνεύματος πονηροῦ, καὶ εἰς δεσμωτήριον ἐνέβαλεν αὐτούς, ὅτι ἠλευθέρωσαν αὐτὴν τοῦ δαίμονος· ἐνταῦθα μόνον ἔδειξαν θύρας ἀνεῳγμένας, καὶ ἤνοιξεν αὐτοῦ τῆς καρδίας τὰς θύρας, ἔλυσε δεσμὰ διπλᾶ, ἧψεν ἐκεῖνος τὸ φῶς. τὸ γὰρ ἐν τῇ καρδίᾳ αὐτοῦ φῶς ἔλαμπε. καὶ εἰσεπήδησε καὶ προσέπεσε, καὶ οὐκ ἐρωτᾷ, πῶς τοῦτο γέγονε; τί γέγονεν; ἀλλ' εὐθέως φησί· τί με δεῖ ποιεῖν, ἵνα σωθῶ; τί οὖν ὁ Παῦλος; πίστευσον ἐπὶ τὸν Κύριον Ἰησοῦν Χριστόν, καὶ σωθήσῃ, φησί, σὺ καὶ ὁ οἶκός σου. μάλιστα γὰρ καὶ τοῦτο τοὺς ἀνθρώπους ἐφέλκεται), τὸ καὶ τὸν οἶκον αὐτῶν σωθῆναι. καὶ ἐλάλησαν αὐτῷ τὸν λόγον, καὶ πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ αὐτοῦ. ἔλουσεν αὐτούς, καὶ ἐλούσθη· ἐκείνους μὲν ἀπὸ τῶν πληγῶν ἔλουσεν, αὐτὸς δὲ ἀπὸ τῶν ἁμαρτιῶν ἐλούσθη. ἔθρεψε, καὶ ἐτράφη. καὶ ἠγαλλιάσατο, φησί· καίτοι οὐδὲν ἦν, ἀλλὰ ῥήματα μόνον καὶ ἐλπίδες χρησταί. τοῦτο σημεῖον ἦν τοῦ πεπιστευκέναι αὐτόν, ὅτι πάντων ἀφέθη. τί δεσμοφύλακος χεῖρον; τί δὲ ὠμότερον; τί δὲ ἀγριώτερον; ἀλλ' ὅμως μετὰ πολλῆς αὐτοὺς ἀπεδέξατο τῆς τιμῆς. οὐκ ἐπειδὴ ἐσώθη, εὐφράνθη· ἀλλὰ πεπιστευκὼς τῷ Θεῷ. πίστευσον, φησιν, ἐπὶ τὸν Κύριον. διὰ τοῦτο εἶπε, πεπιστευκὼς τῷ Θεῷ, ἵνα μὴ δόξῃ ὡς κατάδικος ἀπολύεσθαι καὶ ὡς ἡμαρτηκώς. διὰ τοῦτο λέγουσι· δείραντες ἡμᾶς δημοσίᾳ ἀκατακρίτους ἀνθρώπους ἔβαλον εἰς φυλακήν, ἵνα μὴ μόνον τῆς χάριτος, ἀλλὰ καὶ αὐτῶν ᾖ τὸ πρᾶγμα. ὅρα διάφορα τὴν χάριν οἰκονομοῦσαν· πῶς ἐκεῖνος ἐξῆλθε, πῶς οὗτοι. καίτοι ἀμφότεροι ἀπέστελλον. ἐφοβήθησαν, φησί. φοβοῦνται ὅτι Ῥωμαῖοί εἰσιν, οὐχ ὅτι ἀδίκως ἐνέβαλον. καὶ ἠρώτησαν αὐτοὺς ἐξελθεῖν ἀπὸ τῆς πόλεως. χάριν ᾔτησαν ταύτην. οἱ δὲ ἐλθόντες πρὸς τὴν Λυδίαν, καὶ βεβαιώσαντες αὐτήν, οὕτως ἐξῆλθον. οὐ γὰρ ἔδει τὴν ξενοδόχον ἀφεῖναι ἐν ἀγῶνι καὶ μερίμνῃ. ἐξῆλθον δὲ οὐκ ἐκείνοις πειθόμενοι, ἀλλ' ἐπὶ τὸ κήρυγμα σπεύδοντες, τῆς πόλεως διὰ τοῦ θαύματος ἱκανῶς ὠφεληθείσης. ἔδει γὰρ μὴ παραμένειν λοιπόν. τὸ γὰρ θαῦμα μεῖζον φαίνεται), τῶν ἐργασαμένων ἀποδημησάντων αὐτὸ μᾶλλον βοῶν. ἡ γὰρ τοῦ δεσμοφύλακος πίστις ἀντὶ φωνῆς ἦν. τί τούτου ἴσον; δεσμεῖται, καὶ λύει δεδεμένους, λύει διπλοῦν δεσμόν· τὸν δήσαντα ἔλυσε διὰ τοῦ δεθῆναι. οὕτως ταῦτα χάριτος ἔργα. νῦν οὖν, φησιν, ἐξελθόντες, πορεύεσθε ἐν εἰρήνῃ· τουτέστι, μετὰ ἀσφαλείας, μηδὲν δεδοικότες. ἄλλως δέ, καὶ τοὺς ἔξω κινδύνου βούλονται γενέσθαι, ἵνα μὴ μετὰ ταῦτα ἐγκαλῆται. καὶ οὐ λέγουσι, δείραντες ἡμᾶς ἔβαλον εἰς φυλακήν, θαύματα ἐργασαμένους (οὐδὲ γὰρ τούτοις προσεῖχον) ἀλλ' ὃ μάλιστα αὐτῶν σεῖσαι τὴν διάνοιαν ἐδύνατο, ἀκατακρίτους, φησί, καὶ Ῥωμαίους ὑπάρχοντας.

χ. ἀνεῳγ. — χ. ἐκεῖνο — χ. αὐτοῦ — χ. μὴ τῆς χάριτος αὐτῶν — χ. τοῦτο — χ. ἔλυσε διὰ τοῦ λυθῆναι. — χ. τοῦτο

ΗΘΙΚΟΝ

Τούτου μνημονεύωμεν τοῦ δεσμώτου διαπαντός, μὴ τοῦ θαύματος. τί ἐροῦσιν Ἕλληνες; πῶς δεσμώτης ὢν τὸν δεσμοφύλακα ἔπεισε; καὶ τίνα, φησί, παθεῖν ἐχρῆν, ἢ μιαρὸν

ἄνθρωπον

χ. δεσμοφύλακος — χ. δεῖ τὸν φ. τ. ὁ. μιαρ.

τον γὰρ ἐδόκει εἶναι καὶ παράδοξον. ἄφνω δὲ σεισμὸς ἐγένετο μέγας, ὥστε σαλευθῆναι τὰ θεμέλια τοῦ δεσμωτηρίου, ἀνεῴχθησάν τε παραχρῆμα πᾶσαι αἱ θύραι, καὶ πάντων τὰ δεσμὰ ἀνέθη. σεισμὸς ἐγένετο, ὥστε ἀφυπνισθῆναι ἐκεῖνον· αἱ θύραι ἀνεῴχθησαν, ὥστε θαυμάσαι τὸ γεγονός. ταῦτα οἱ δεσμῶται οὐχ ἑώρων· ἢ γὰρ ἂν ἔφυγον ἅπαντες.

27 Ἔξυπνος δὲ γενόμενος ὁ δεσμοφύλαξ, καὶ ἰδὼν ἀνεῳγμένας τὰς θύρας τῆς φυλακῆς, σπασάμενος μάχαιραν ἔμελλεν ἑαυτὸν ἀναιρεῖν, "νομίζων ἐκπεφευγέναι τοὺς δεσμίους.

χ. νομίσας

28 Ἐφώνησε δὲ φωνῇ μεγάλῃ ὁ Παῦλος, λέγων· μηδὲν πράξῃς σεαυτῷ κακόν· ἅπαντες γάρ ἐσμεν ἐνθάδε. Ἐθαύμασα μᾶλλον τὴν φιλανθρωπίαν Παύλου, ἐξεπλάγην τὴν ἀνδρείαν, ὅτι καὶ φυγεῖν δυνάμενος οὐκ ἔφυγε· καὶ ὅτι αὐτὸν ἐκώλυσε τῆς σφαγῆς.

χ. γενόμενος

29 Αἰτήσας δὲ φῶτα εἰσεπήδησε, καὶ ἔντρομος "ὑπάρχων, προσέπεσε τῷ Παύλῳ καὶ τῷ Σίλᾳ,

30 Καὶ προαγαγὼν αὐτοὺς ἔξω, ἔφη· κύριοι, τί με δεῖ ποιεῖν, ἵνα σωθῶ;

Εἶδες πῶς αὐτὸν εἷλε τὸ θαῦμα;

31 Οἱ δὲ εἶπον, πίστευσον ἐπὶ τὸν Κύριον Ἰησοῦν Χριστὸν, καὶ σωθήσῃ σὺ, καὶ ὁ οἶκός σου.

32 Καὶ ἐλάλησαν αὐτῷ τὸν λόγον τοῦ Κυρίου, καὶ πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ αὐτοῦ.

Ἐκ τοῦ εὐθέως λαλῆσαι αὐτῷ, ἐπεδείξαντο τὴν περὶ αὐτὸν φιλανθρωπίαν.

33 Καὶ παραλαβὼν αὐτοὺς ἐν ἐκείνῃ τῇ ὥρᾳ τῆς νυκτὸς, ἔλουσεν ἀπὸ τῶν πληγῶν. καὶ ἐβαπτίσθη αὐτὸς, καὶ οἱ αὐτοῦ πάντες παραχρῆμα.

34 Ἀναγαγών τε αὐτοὺς εἰς τὸν οἶκον αὐτοῦ, παρέθηκε τράπεζαν, καὶ ἠγαλλιᾶτο πανοικὶ πεπιστευκὼς τῷ Θεῷ. Ἔλουσεν αὐτοὺς ὥσπερ ἀμειβόμενος τὴν χάριν, καὶ πλύνων αὐτοὺς δι' ὧν ἐποίει.

35 Ἡμέρας δὲ γενομένης, ἀπέστειλαν οἱ στρατηγοὶ τοὺς ῥαβδούχους, λέγοντες· ἀπόλυσον τοὺς ἀνθρώπους ἐκείνους. Ἐγνωσαν ἴσως τὸ γεγονὸς οἱ στρατηγοὶ, καὶ οὐκ ἐτόλμων ἀφ' ἑαυτῶν ἀφεῖναι.

36 Ἀπήγγειλε δὲ ὁ δεσμοφύλαξ τοὺς λόγους τούτους πρὸς τὸν Παῦλον [φήσας.] ὅτι ἀπεστάλκασιν οἱ στρατηγοὶ, ἵνα ἀπολυθῆτε. νῦν οὖν ἐξελθόντες "πορεύεσθε ἐν εἰρήνῃ.

χ. ἀπέλθετε

37 Ὁ δὲ Παῦλος ἔφη πρὸς αὐτούς· δείραντες ἡμᾶς δημοσίᾳ, ἀκατακρίτους ἀνθρώπους, Ῥωμαίους ὑπάρχοντας, ἔβαλον εἰς φυλακήν· καὶ νῦν λάθρα ἡμᾶς ἐκβάλλουσιν; οὐ γάρ· ἀλλὰ ἐλθόντες αὐτοὶ ἡμᾶς ἐξαγαγέτωσαν.

χ. ἀπήγγ.

38 "Ἀνήγγειλαν δὲ τοῖς στρατηγοῖς οἱ ῥαβδοῦχοι τὰ ῥήματα ταῦτα. καὶ ἐφοβήθησαν ἀκούσαντες, ὅτι Ῥωμαῖοί εἰσι.

χ. ἐξελθόντες

39 Καὶ "ἐλθόντες παρεκάλεσαν αὐτοὺς, καὶ ἐξαγαγόντες ἠρώτων ἐξελθεῖν τῆς πόλεως.

χ. εἰς

40 Ἐξελθόντες δὲ ἐκ τῆς φυλακῆς, εἰσῆλθον "πρὸς τὴν Λυδίαν, καὶ ἰδόντες τοὺς ἀδελφοὺς, παρεκάλεσαν αὐτοὺς καὶ ἐξῆλθον. Καὶ τῶν στρατηγῶν δηλωσάντων, ὁ Παῦλος οὐκ ἐξέρχεται· "τάχα διὰ τὴν Λυδίαν καὶ τοὺς ἄλλους [ἀδελφοὺς· ἢ καὶ] "φοβῶν αὐτοὺς, ἵνα μὴ νομισθῶσιν ἠξιωκότες ἀπολελύσθαι· ἵνα καὶ τοὺς ἄλλους ἐν παρρησίᾳ καταστήσωσι. τελευτῶ, ἀγαπητοὶ, τὸ ἔγκλημα ἦν ὅτι καὶ Ῥωμαίους, καὶ ἀκατακρίτους, καὶ δημοσίᾳ ἔβαλον εἰς φυλακήν. ὁρᾷς ὅτι καὶ ἀνθρώπινα κατεσκεύαζον πολλά; ἐξετάσωμεν πρὸς ἐκείνην τὴν νύκτα ταύτας τὰς νύκτας, ἔνθα κῶμοι, καὶ μέθαι, καὶ ἀσέλγειαι· ἔνθα ὕπνος θανάτου οὐδὲν διεστηκώς· ἔνθα ἀγρυπνίαι ὕπνου χαλεπώτεραι. οἱ μὲν γὰρ καθεύδουσιν ἀναισθητοῦντες· οἱ δὲ ἐγρηγόρασιν ἐλεεινῶς καὶ ἀθλίως, δόλους ῥάπτοντες, ὑπὲρ χρημάτων φροντίζοντες, ὅπως ἀμύνωνται τοὺς ἀδικοῦντας σπουδάζοντες, ἔχθραν μελετῶντες, ῥήματα ὑβριστικὰ μεθ' ἡμέραν ἀναλεγόμενοι. οὕτω τὸ πῦρ ἀνακαλύπτουσι τῆς ὀργῆς, τὰ ἀφόρητα ἐργαζόμενοι. σκόπει πῶς Πέτρος ἐκάθευδεν· οἰκονομικῶς "καὶ τοῦτο γέγονεν. ὁ ἄγγελος γὰρ παρεγένετο, καὶ οὐδένα ἐ-

χ. ἀλλὰ καὶ διὰ
χ. ἐπιδεῖ
χ. ἐκεῖνο

χρῆν

τες κολακεύουσι, πάντες θεραπεύουσι, μαλακώτεροι δέ εἰσιν ἐργαζόμενοι τὴν ψυχήν, καὶ καθ' ἑκάστην ἡμέραν τρέφουσι, πολύ τι τῆς νόσου προσλαμβάνουσιν. ἂν εἰς πραγμάτων ἐμπέσῃ περίστασιν, τέφρα καὶ κόνις ἐστί, καὶ οὐδὲν αὐτῷ τὰ σηρικὰ ἱμάτια συμβάλλεται. ταῦτα ἡμῖν οὐχ ἁπλῶς εἴρηται, ἀλλ' ἵνα παιδεύσωμεν μηδένα ἀργῶς ζῆν, μηδὲ εἰκῆ. ἡ γὰρ ἀργία καὶ ἡ τρυφὴ πρὸς ἐργασίαν ἀνεπιτήδειον, πρὸς δόξαν [μόνον,] πρὸς ἡδονήν. τοὺς πάντας γὰρ τοιούτους οὐ καταγελῶσι, καὶ οἰκέται καὶ φίλοι καὶ συγγενεῖς; "τί δὲ οὐ ἀχρεῖος ἐστὶ ἄχθος τῆς ἀρούρας; εἰκῆ παρῆλθεν εἰς τὸν κόσμον ὁ τοιοῦτος· μᾶλλον δὲ οὐκ εἰκῆ, ἀλλὰ καὶ ἐπὶ κακῷ τῆς ἑαυτοῦ κεφαλῆς, ἐπὶ λύμῃ ἰδίᾳ, ἐπὶ βλάβῃ ἑτέρων. "τί οὖν ἥδιον αὐτῇ, ἴδωμεν. τοῦτο γάρ ἐστι τὸ ζητούμενον [σχολὴ καὶ ἀπραξία. καὶ] τί ἀηδέστερον γένοιτ' ἂν ἀνθρώπου οὐδὲν ἔχοντος ποιεῖν; τί μοχθηρότερον; τί ταλαιπωρότερον; μυρίων οὐ χεῖρον τοῦτο δεσμῶν, χασμᾶσθαι καὶ κεχηνέναι διαπαντὸς ἐπὶ τῆς ἀγορᾶς καθήμενον, ὁρῶντα τοὺς "παριόντας; ἡ γὰρ ψυχὴ φύσιν ἔχουσα τοῦ κινεῖσθαι διαπαντὸς οὐκ ἀνέχεται ἠρεμεῖν. ἔμπρακτον τὸ ζῶον τοῦτο ἐποίησεν ὁ Θεός, καὶ κατὰ φύσιν αὐτῷ ἐστι τὸ ἐργάζεσθαι, παρὰ φύσιν δὲ τὸ ἀργεῖν. μὴ ἀπὸ τῶν νοσούντων τὰ πράγματα δοκιμάζωμεν, ἀλλὰ τοῦ πράγματος πεῖραν λάβωμεν. οὐδὲν σχολῆς μοχθηρότερον, οὐδὲν ἀργίας. διὰ τοῦτο εἰς ἀνάγκην ἡμᾶς κατέστησεν ἐργασίας ὁ Θεός. πάντα γὰρ ἡ ἀργία βλάπτει, καὶ τὰ μέλη τοῦ σώματος αὐτὰ βλάπτει πως ἡ ἀργία. καὶ γὰρ καὶ ὀφθαλμὸς εἰ μὴ ἐργάζοιτο τὸ αὐτοῦ, καὶ στόμα, καὶ γαστήρ, καὶ πᾶν ὅ,τι ἂν εἴποι τις τῶν μελῶν, εἰς νόσον ἐμπίπτει τὴν ἐσχάτην. οὐδὲν δὲ οὕτως, ὡς ψυχή. ὥσπερ δὲ ἀργία κακόν, οὕτω καὶ ἐργασία ἡ μὴ προσήκουσα. καθάπερ γὰρ εἴ τις μὴ ἐσθίει, εἰς τοὺς ὀδόντας βλάπτεται, κἂν ἐσθίῃ τὰ μὴ προσήκοντα, ποιεῖ αὐτοὺς * αἱμωδιᾶν· οὕτω δὴ καὶ ἐνταῦθα, ἄν τε μὴ ἐργάζηται, ἄν τε ἐργάζηται τὰ μὴ προσήκοντα, τὴν οἰκείαν ἀπόλλυσιν ἰσχύν. ἐκεῖνο ἀμφότερα φθάνει σπουδάζωμεν, καὶ ἀργίαν, καὶ ἐργασίαν ἀργίας χαλεπωτέραν. ποία δὲ αὕτη ἐστί; πλεονεξία, θυμός, βασκανία, ἔριδες, φόνοι, ζῆλοι, καὶ τὰ λοιπὰ τῶν ἀκαθέκτων παθῶν. ἐν τούτοις ὀφείλομεν τὴν ἀργίαν μεταδιώκειν, καὶ τὴν τῶν ἀρετῶν ἐργασίαν μετὰ πάσης σπουδῆς ἐργάζεσθαι, ἵνα καὶ τῶν ἐπηγγελμένων ἡμῖν ἀγαθῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρί, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

χ. ἄχθος ὄντως ἀρούρας. εἰκῆ

χ. ἀλλ' ἐπὶ ὅσον αὐτῇ ἐπ ἴδωμεν

χ. παριόντας;

* βρύχειν καὶ

Λογ. λς. 25 ΚΑΤΑ ΔΕ ΤΟ ΜΕΣΟΝΥΚΤΙΟΝ ΠΑΥΛΟΣ καὶ Σίλας προσευχόμενοι ὕμνουν τὸν Θεόν, ἐπηκροῶντο δὲ αὐτῶν οἱ δέσμιοι. 26 Ἄφνω δὲ σεισμὸς ἐγένετο μέγας, ὥστε σαλευθῆναι τὰ θεμέλια τοῦ δεσμωτηρίου· ἀνεῴχθησάν τε παραχρῆμα αἱ θύραι πᾶσαι, καὶ πάντων τὰ δεσμὰ ἀνέθη.

ΤΙ τούτων ἴσον γένοιτ' ἂν τῶν ψυχῶν; ἐμαστίχθησαν πολλὰς πληγὰς λαβόντες, ὑβρίσθησαν, περὶ τῶν ἐσχάτων ἐκινδύνευσαν· εἰς τὸ ξύλον ἦσαν ἐμβεβλημένοι, εἰς τὴν ἐσωτέραν φυλακήν. καὶ οὐδὲ οὕτω καθεύδειν ἠνείχοντο, ἀλλ' ἐπαννύχιζον. ὁρᾶτε ὅσον ἡ θλίψις ἀγαθόν; ἡμεῖς δὲ ἐν ἁπαλοῖς ὄντες στρώμασιν, οὐδὲν δεδοικότες, ὅλην τὴν νύκτα καθεύδομεν. τάχα δὲ διὰ τοῦτο ἐπαννύχιζον, ἐπειδὴ ἐν τούτοις ἦσαν· οὐχ ἡ τοῦ ὕπνου τυραννὶς αὐτοὺς εἷλεν, οὐχ ἡ ἀλγηδὼν ἔκαμψεν, οὐχ ὁ φόβος εἰς ἀπορίαν ἐνέβαλεν, ἀλλ' αὐτὰ δὴ ταῦτα πολλῷ μᾶλλον ἦν τὰ διεγείροντα αὐτούς, καὶ ἡδονῆς πληρώσαντα πολλῆς. κατὰ δὲ τὸ μεσονύκτιον ὕμνουν τὸν Θεόν, φησίν· ἐπηκροῶντο δὲ αὐτῶν οἱ δέσμιοι. ξέ-

ἐθορυβοῦντο, πῶς οὐκ ἐσκανδαλίζοντο. ὅτι τοῦ Θεοῦ ἔργον ἐποίουν, καὶ ταῦτα [illegible]. ὁ λέγων, τί τοῦτο κηρύττομεν, καὶ οὐ παρίσταται ἡμῖν ὁ Θεός; ἀλλὰ καὶ τοῦτο αὐτὸ ὠφελεῖ, καὶ χωρὶς τῆς βοηθείας ἐν αὐτῷ τῷ πράγματι εὐτονωτέρους ἐποίει, ἰσχυροτέρους, ἀκαταπλήκτους. Ἡ θλίψις, φησὶν, ὑπομονὴν κατεργάζεται. μὴ δὴ τὸν ὑγρὸν καὶ διακεχυμένον ζητῶμεν βίον. ὥσπερ γὰρ ἐν ταύτῃ διπλοῦν τὸ καλὸν, ὅτι τε ἰσχυρότεροι γίνονται, καὶ ὅτι μεγάλοι οἱ μισθοί, οὕτως ἐκεῖ διπλοῦν τὸ κακὸν, ὅτι τε μαλακώτεροι καθίστανται, καὶ ὅτι ἐπ' οὐδενὶ χρηστῷ, ἀλλὰ καὶ ἐπὶ κακῷ. οὐδὲν γὰρ ἀχρηστότεροι ἀνθρώπων γένοιντ' ἂν ἐν ἀνέσει καὶ τρυφῇ τὸν ἅπαντα διαπλέοντες χρόνον. Ἀνὴρ γὰρ, φησὶν, ἀπείραστος, καὶ ἀδόκιμος. ἀδόκιμος, οὐκ ἐν τοῖς ἀγῶσι τούτοις, ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις ἅπασιν. ἄχρηστον πρᾶγμα ἡ ἄνεσις, καὶ ἐν αὐτῇ δὲ τρυφῇ οὐδὲν οὕτως ἀνεπιτήδειοι, ὡς οἱ τρυφῶντες. προσκορὲς γάρ ἐστιν. ὅτι συνεχὴς ἡδονὴ τοσαύτη, οὔτε ἀνέσεως· ἀλλὰ πάντα ἐξίτηλα γίνεται καὶ διαρρεῖ. μὴ δὴ ταύτην ἐπιζητῶμεν τὴν ἄνεσιν. Εἰ γὰρ σκοπεῖν θελήσομεν τίς ἥδιον διάγει, ὁ πονούμενος καὶ ταλαιπωρούμενος, ἢ ὁ τρυφῶν, ἐκεῖνον μὲν εὑρήσομεν. πρῶτον μὲν γὰρ τοῦ πίνοντος τὸ σῶμα αὐτὸ ἔκλυτον καὶ πεπλαδηκός· ἔπειτα καὶ αἱ τοῦ σώματος αἰσθήσεις οὐκ εἰσὶν εἰλικρινεῖς, οὐδὲ ὑγιεῖς, ἀλλὰ χαῦναι καὶ μαλακαί. τούτων δὲ οὐκ οὐσῶν, οὐδὲ τῆς ὑγιείας ἡδονὴ φαίνεται. ποῖος ἵππος χρήσιμος, ὁ τρυφῶν, ἢ ὁ γυμναζόμενος; ποία ναῦς, ἡ πλέουσα, ἢ ἡ ἀργοῦσα; ποῖον ὕδωρ, τὸ τρέχον, ἢ τὸ ἑστώς; ποῖος σίδηρος, ὁ κινούμενος, ἢ ὁ μὴ ἐργαζόμενος; οὐχ ὁ μὲν ἀπολάμπει καὶ ἀργύρῳ προσέοικεν· ὁ δὲ κατιοῦται πάντως ἄχρηστος ὤν, καὶ τῆς ὕλης ἀπόλλυσι τι τῆς οἰκείας; τοιοῦτόν τι γίνεται καὶ ἐπὶ τῆς ἀργούσης ψυχῆς. ἰός τις αὐτῆς καταχεῖται καὶ τρώγει τὴν λαμπρότητα, καὶ τὰ ἄλλα πάντα. τίνι οὖν ἄν τις τοῦτον ἀποσμήξειε τὸν ἰόν; τῇ τῶν θλίψεων ἀκόνῃ. αὗται χρησίμην ἐργάσονται τὴν ψυχὴν καὶ ἐν πᾶσιν ἐπιτηδείαν. πῶς γὰρ, εἰπέ μοι, δυνήσεται τὰ πάθη τέμνειν, τῆς ἀκμῆς ἀμβλυνθείσης καὶ μολίβδου δίκην ἐπικαμπτομένης; πῶς τὸν διάβολον τρώσει; πῶς δὲ οὐκ ἔστιν ἀηδὴς ἄνθρωπος πολυσαρκίαν ἀσκῶν, φώκης δίκην συρόμενος; οὐ περὶ τῶν φύσει οὕτως τοῦτο λέγω· ἀλλὰ περὶ τῶν ἐκ τῆς τρυφῆς τοιαῦτα κατασκευασάντων τὰ σώματα, περὶ τῶν λεπτῶν κατὰ φύσιν. ἀνέτειλεν ὁ ἥλιος, λαμπρὰς ἀφῆκε πανταχοῦ τὰς ἀκτῖνας, ἤγειρεν ἕκαστον ἐπὶ τὰ ἔργα· ὁ γεωργὸς, τὴν δίκελλαν λαβὼν, ἔξεισιν· ὁ χαλκοτύπος τὴν σφῦραν, καὶ τὸ κατάλληλον ἕκαστος τῶν δημιουργῶν, καὶ εὑρήσεις ἕκαστον τὰ οἰκεῖα ὄργανα μεταχειριζόμενον· ἡ γυνὴ ἠλακάτην, ἢ τὰ ὑφάσματα. αὐτὸς δὲ καθάπερ οἱ χοῖροι εὐθέως ἀπὸ πρωΐ ἐπὶ βοσκὴν ἔξεισι τῆς γαστρὸς, ζητῶν πῶς τράπεζαν πολυτελῆ κατασκευάσῃ. καίτοι τῶν ἀλόγων ἐστὶ μόνον ἀπὸ πρωΐ τρέφεσθαι, ἐπεὶ πρὸς οὐδὲν ἐστὶ χρήσιμα, ἀλλὰ πρὸς τὸ σφάζεσθαι. τὰ δὲ νωτοφόρα αὐτῶν καὶ ἐργασίαν ἀναδεχόμενα, καὶ αὐτὰ ἀπὸ νυκτῶν ἐπὶ τὸ ἔργον ἔξεισιν. οὗτος δὲ ἀπὸ τῆς εὐνῆς ἀναστὰς, τοῦ ἡλίου τὴν ἀγορὰν ἐμπλήσαντος, καὶ πάντων χορεσθέντων τῆς οἰκείας ἐργασίας, ἀνίσταται διατεινόμενος, καθάπερ ὄντως ὗς πιαινόμενος, τὸ κάλλιστον τῆς ἡμέρας ἐν σκότει καταναλώσας. Εἶτα κάθηται πολὺν ἐπὶ τῆς εὐνῆς καιρὸν, πολλάκις οὐδὲ διενεγκεῖν δυνάμενος ἀπὸ τῆς ἑσπερινῆς μέθης· καταναλώσας τὸν πλείονα καιρὸν ἐν τούτοις. Εἶτα καλλωπίζει ἑαυτὸν, καὶ πρόεισιν ἀσχημοσύνης θέατρον, οὐδὲν ἔχων ἀνθρώπου, ἀλλὰ πάντα θηρίου ἀνθρωπομόρφου· οἱ ὀφθαλμοὶ διύγροι, οἴνου τὸ στόμα ἀπόζον, ἡ ταλαίπωρος ψυχὴ καθάπερ ἐπὶ κλίνης βεβλημένη ὑπὸ τῆς ἀμέτρως ἐγχεομένης ἑωλοκρασίας, τὸ μέγεθος τῶν σαρκῶν περιφέρουσα καθάπερ ἐλέφας. Εἶτα ἐλθὼν κάθηται ἐν τόποις, καὶ λέγει ταῦτα καὶ ποιεῖ, ὡς βέλτιον εἶναι ἔτι καθεύδειν αὐτὸν, ἢ ἐγρηγορέναι. ἂν δεινὰ ἐπαγγελθῇ, παντὸς κορασίου μαλακώτερος γίνεται· ἂν χρηστὰ, παντὸς παιδίου χαυνότερος. χάσμης αὐτοῦ ἡ ὄψις γέμει· πᾶσι πρόκειται τοῖς βουλομένοις κακῶς ποιεῖν, εἰ καὶ μὴ τοῖς ἀνθρώποις, ἀλλὰ τοῖς πάθεσι· καὶ θυμὸς τὸν τοιοῦτον ἐγχειρεῖ ῥᾳδίως, καὶ ἐπιθυμία καὶ βασκανία καὶ πάντα πάν-

Ῥωμ. ε. δ.

κ. τοῦ [illegible] κ. μ. ὅτι τὸ σῶμα αὐτὸ [illegible] ὅτι καὶ αἱ [illegible] ἢ ὁ ἐργ.

κ. [illegible] λεπτῶν, [illegible] τρυφώντων

κ. [illegible] ἡ ταλαίπ. ψυχ. καὶ οἱ χοῖροι [illegible] δύνανται τὸ μέγεθ.

καὶ τοὺς πόδας αὐτῶν ἠσφαλίσατο εἰς τὸ ξύλον. Ὅρα, κἀκεῖνος πάλιν εἰς τὴν ἐσωτέραν φυλακὴν αὐτοὺς ἐνέβαλε· καὶ τοῦτο οἰκονομικῶς. ἐπειδὴ γὰρ θαῦμα ἔμελλε γίνεσθαι μέγα, ἐπιτήδειος ὁ τόπος πρὸς τὴν ἀκρόασιν ὁ ἔξω τῆς πόλεως κρίνεται, πειρασμῶν ἀπηλλαγμένος καὶ κινδύνων. ὅρα πῶς οὐκ αἰσχύνεται τὰ ἐπιτηδεύματα καταλέγειν ὁ τὴν ἱστορίαν γράφων. ἅτε δὴ καὶ ἐργασίας οὔσης, μᾶλλον προσεῖχον τοῖς λεγομένοις· καὶ οὐδὲ ἡ πόλις αὕτη μεγάλη ἡ τῶν Φιλιππησίων. Ταῦτα δὴ μαθόντες καὶ ἡμεῖς, μηδένα ἐπαισχυνώμεθα. παρὰ βυρσεῖ μένει Πέτρος, παρὰ πορφυροπώλιδι Παῦλος καὶ ξένῃ. ποῦ ὁ τῦφος; ἄρα τοῦ Θεοῦ δεόμεθα, ὥστε διανοῖξαι καρδίαν. ὁ Θεὸς δὲ ἀνοίγει καρδίας τὰς βουλομένας. ἔστι γὰρ καὶ πεπηρωμένας ἰσχύειν. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. γυνή, φησι, πορφυρόπωλις, ἧς ὁ Κύριος ἤνοιξε τὴν καρδίαν προσέχειν τοῖς λαλουμένοις ὑπὸ τοῦ Παύλου. τὸ μὲν οὖν ἀνοῖξαι, τοῦ Θεοῦ· τὸ δὲ προσέχειν, αὐτῆς. ὥστε καὶ θεῖον καὶ ἀνθρώπινον ἦν. ὡς δὲ ἐβαπτίσθη, φησί, παρεκάλεσε λέγουσα· Εἰ κεκρίκατέ με. ὅρα· καὶ βαπτίζεται, καὶ δέχεται τοὺς ἀποστόλους μετὰ τοσαύτης ἱκετηρίας, μετὰ πλείονος ἢ ὁ Ἀβραάμ. καὶ οὐκ εἶπεν οὐδὲν ἄλλο τεκμήριον, ἀλλ' ἐκεῖνο, ἐφ' οὗ ἐσώθη. οὐκ εἶπεν, εἰ μεγάλην γυναῖκα, εἰ θεοσεβῆ κεκρίκατέ με· ἀλλὰ τί; πιστὴν τῷ Κυρίῳ. εἰ τῷ Κυρίῳ, πολλῷ μᾶλλον ὑμῖν, εἰ μὴ ἀμφισβητεῖτε. καὶ οὐκ εἶπε, παρ' ἐμοί, ἀλλ', εἰς τὸν οἶκόν μου μείνατε, ὥστε δεῖξαι ὅτι μετὰ πολλῆς τοῦτο ἐποίει προθυμίας. οὕτως πιστὴ ἡ γυνή. Εἰπὲ δή μοι, τίς οὗτος ἐστὶν ὁ δαίμων; Θεός, φησι, Πύθων. ἀπὸ τοῦ τόπου οὕτω λέγεται. ὁρᾷς ὅτι καὶ ὁ Ἀπόλλων δαίμων ἐστί; καὶ [ἐπεὶ] ἐβούλετο εἰς πειρασμοὺς αὐτοὺς ἐμβαλεῖν, ὥστε [μᾶλλον] προξενῆσαι, [παρ' ὥρμησε λέγειν] ὦ μιαρὲ καὶ παμμίαρε. εἰ γὰρ ᾔδεις ὅτι ὁδὸν σωτηρίας καταγγέλλουσι, τί μὴ ἐξίστασαι ἔχων; ἀλλ' ὥσπερ Σίμων ἐβούλετο λέγων· Δότε μοι, ἵν', ᾧ ἐὰν ἐπιθῶ τὰς χεῖρας, λαμβάνῃ πνεῦμα ἅγιον, τοῦτο καὶ οὗτος ἐποίει. ἐπειδὴ εἶδεν εὐδοκιμοῦντας, καὶ ὡς ὑποκρίνεται ταύτῃ προσεδόκησεν ἑαυτὸν ἀφίεσθαι ἐν τῷ σώματι, εἰ τὰ αὐτὰ κηρύξειεν. εἰ δὲ περὶ ἀνθρώπου λέγεται, ὅτι Οὐχ ὡραῖος ὁ αἶνος ἐν στόματι ἁμαρτωλοῦ· πολλῷ μᾶλλον περὶ δαιμόνων. εἰ παρὰ ἀνθρώπων τὴν μαρτυρίαν οὐ λαμβάνει ὁ Χριστός, οὐδὲ παρὰ Ἰωάννου, πολλῷ μᾶλλον παρὰ δαίμονος. τὸ γὰρ κηρύττειν, οὐκ ἀνθρώπων, ἀλλὰ πνεύματος ἁγίου. ἐπεὶ οὖν ἀλαζονικῶς ἐποίουν βοῶντες, τῇ κραυγῇ καταπλῆξαι ἐνόμισαν, λέγοντες οὗτοι οἱ ἄνθρωποι ἐκταράσσουσιν ἡμῶν τὴν πόλιν. τί λέγεις; πείθῃ τῷ δαίμονι; διὰ τί οὖν οὐχὶ καὶ ἐνταῦθα; ἐκεῖνος λέγει, ὅτι δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου· σὺ λέγεις, ὅτι ἐκταράσσουσιν ἡμῶν τὴν πόλιν. ἐκεῖνος λέγει, ὅτι καταγγέλλουσιν ἡμῖν ὁδὸν σωτηρίας· σὺ λέγεις, παραδιδόασιν ἡμῖν ἔθη, ἃ οὐκ ἔξεστι παραδέχεσθαι. ὅρα, οὐδὲ τῷ δαίμονι αὐτοὺς προσέσχον, ἀλλὰ πρὸς ἓν ὁρῶντες, τὴν φιλαργυρίαν. Εἵλκυσάν τε αὐτούς, φησιν, εἰς τὴν ἀγορὰν ἐπὶ τοὺς ἄρχοντας, καὶ συνεπέστη ὁ ὄχλος κατ' αὐτῶν. ὅρα αὐτοὺς οὐκ ἀποκρινομένους, οὐδὲ ἀπολογουμένους, ἵνα μείζονος ἄξιοι θαύματος γένωνται. ὅταν γάρ, φησιν, ἀσθενῶ, τότε δυνατός εἰμι. Ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. ὥστε καὶ ἀπὸ τῆς ἐπιεικείας θαυμασθῆναι αὐτοὺς ἔδει. ὅσῳ ἀκριβεστέρα ἡ φυλακὴ γέγονε, τοσούτῳ τὸ θαῦμα λαμπρότερον. ἴσως τὴν στάσιν ἐκκόψαι βουλόμενοι τοῦτο ἐποίουν ἐκεῖνοι, ἐπειδὴ εἶδον τῶν ὄχλων ἐφεστῶτα, ταῖς μὲν πληγαῖς τὸν θυμὸν τέως σβέσαι ἐβούλοντο· τῷ δὲ εἰς δεσμωτήριον ἐμβαλεῖν καὶ παραγγεῖλαι ἀσφαλῶς τηρεῖν, ἀκοῦσαι τὸ τέλος τοῦ πράγματος. καὶ ἠσφαλίσατο, φησιν, εἰς τὸ ξύλον, ὡς ἂν εἴποι τις, εἰς τὸν νέρβον.

ΗΘΙΚΟΝ

Πόσων δακρύων ταῦτα ἄξια; ἐκεῖνοι μὲν ἔπαθον ὅσα καὶ ἔπαθον· ἡμεῖς δὲ ἐν τρυφῇ, ἡμεῖς δὲ ἐν σπατάλαις. ὅθεν καὶ ἀπολλύμεθα καὶ καταποντιζόμεθα, ἄνεσιν ζητοῦντες πανταχοῦ, καὶ οὐδὲ μέχρις ὀφθαλμοῦ διὰ τὸν Χριστὸν αἰσχυνόμενοι λυπηθῆναι, οὐδὲ μέχρι λόγου. τούτοις συνεχῶς ἀναμιμνήσκωμεν ἑαυτούς, παρακαλῶ, ὅσα ἔπαθον, ὅσα ὑπέμειναν· πῶς οὐκ ἐθορυβοῦντο,

Margin: Πράξ. η. — Σειρ. ιε. θ. — Παροιμ. κϛ. ζ. — β. Κορ. ιβ. θ.

Margin: γρ. πεπηρ. — γρ. παρὰ ἀνθρώπου. Οὐχ — γρ. παρὰ δαιμόνων — γρ. αὐτοὶ — γρ. στάσιν — γρ. οἷα μὲν ἔπαθον ἐκεῖνοι, ἡμεῖς δὲ — γρ. μέχρι ῥημάτων — γρ. ταῦτα

ἐτόλμησε περὶ τούτου καλέσαι, ἀλλ' ὅτι ἐβιάσθη· δηλοῖ ἐντεῦθεν ποιοῦσα, ὅτι οὐκ ἂν ἄλλως ἔπεισε. διὰ τί δὲ οὐκ ἐβούλοντο οἱ περὶ Παῦλον, ἀλλ' ᾐδοῦντο, ὥστε καὶ βιασθῆναι αὐτούς; ἤτοι ἐκείνην ἐκκαλούμενοι εἰς μείζονα προθυμίαν· ἢ ἐπειδὴ εἶπεν ὁ Χριστὸς, Εἰς ἣν ἂν πόλιν εἰσέλθητε, τίς ἐστιν ἄξιος, ἐρωτήσατε, κἀκεῖ μείνατε. ὥστε πάντα δι' οἰκονομίας ἐποίουν. Λουκ. ι. ζ.

16 Ἐγένετο δὲ πορευομένων ἡμῶν εἰς προσευχὴν, παιδίσκην τινὰ ἔχουσαν πνεῦμα Πύθωνος ἀπαντῆσαι ἡμῖν, ἥτις ἐργασίαν πολλὴν παρεῖχε τοῖς κυρίοις αὐτῆς μαντευομένη·

17 Αὕτη κατακολουθήσασα τῷ Παύλῳ καὶ ἡμῖν, ἔκραζε λέγουσα· οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου εἰσὶν, οἵτινες καταγγέλλουσιν ἡμῖν ὁδὸν σωτηρίας.

Τί δήποτε καὶ ὁ δαίμων ταῦτα ἐφθέγγετο, καὶ ὁ Παῦλος ἐκώλυσε; κἀκεῖνος κακούργως ἐποίει, καὶ οὗτος συνετῶς. ἐβούλετο γὰρ μὴ ἀξιοπίστους αὐτοὺς ποιεῖν. Εἰ γὰρ προσήκατο αὐτοῦ τὴν μαρτυρίαν ὁ Παῦλος, πολλοὺς ἂν καὶ τῶν πιστῶν ἠπάτησεν, ἅτε ὑπ' ἐκείνου δεχθείς. διὰ τοῦτο ἀνέχεται τὰ καθ' ἑαυτοῦ εἰπεῖν, ἵνα στήσῃ τὰ ὑπὲρ αὐτοῦ, καὶ αὐτοὺς συγκαταβάσει χρῆται πρὸς τὴν ἀπώλειαν. ὁ μὲν οὖν πρότερον οὐ προσήκατο Παῦλος, ἀλλὰ διέπτυσεν, οὐ βουλόμενος ἑαυτὸν ἐπιρρίπτειν ἁπλῶς τοῖς σημείοις. ὡς δὲ ἐπέμενε τοῦτο ποιοῦν [ἐπὶ πολλὰς ἡμέρας] καὶ τὸ ἔργον ἐδείκνυ, [οὗτοι οἱ ἄνθρωποι, λέγων, δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου εἰσὶν,] οἵτινες καταγγέλλουσιν ἡμῖν ὁδὸν σωτηρίας, τότε ἐκέλευσεν αὐτῷ ἐξελθεῖν.

κ. ποῦ
κ. ἑαυτοῦ

18 Διαπονηθεὶς δὲ ὁ Παῦλος καὶ ἐπιστρέψας τῷ πνεύματι εἶπε· παραγγέλλω σοι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ ἐξελθεῖν ἀπ' αὐτῆς. καὶ ἐξῆλθεν αὐτῇ τῇ ὥρᾳ.

19 Ἰδόντες δὲ οἱ κύριοι αὐτῆς ὅτι ἐξῆλθεν ἡ ἐλπὶς τῆς ἐργασίας αὐτῶν, ἐπιλαβόμενοι τὸν Παῦλον καὶ τὸν Σίλαν, εἵλκυσαν εἰς τὴν ἀγορὰν ἐπὶ τοὺς ἄρχοντας,

20 Καὶ προσαγαγόντες αὐτοὺς τοῖς στρατηγοῖς εἶπον· οὗτοι οἱ ἄνθρωποι ἐκταράσσουσιν ἡμῶν τὴν πόλιν Ἰουδαῖοι ὑπάρχοντες,

21 Καὶ καταγγέλλουσιν ἔθη, ἃ οὐκ ἔξεστιν ἡμῖν παραδέχεσθαι, οὐδὲ ποιεῖν Ῥωμαίοις οὖσι. Πανταχοῦ τὰ χρήματα αἴτια τῶν κακῶν. ὢ τῆς ὠμότητος τῆς ἑλληνικῆς. ἐβούλοντο δαιμονᾷν τὸ κοράσιον, ὥστε χρηματίζεσθαι. ἐπιλαβόμενοί, φησι, τὸν Παῦλον καὶ τὸν Σίλαν ἔλεγον· οὗτοι οἱ ἄνθρωποι ἐκταράσσουσιν ἡμῶν τὴν πόλιν. τί ποιήσαντες; διὰ τί οὖν [μὴ] περὶ τούτου εἱλκύσατε; Ἰουδαῖοι, φησιν, ὑπάρχοντες. οὕτω τὸ ὄνομα διεβέβλητο. καὶ καταγγέλλουσιν ἔθη, ἃ οὐκ ἔξεστιν ἡμῖν παραδέχεσθαι, οὐδὲ ποιεῖν Ῥωμαίοις οὖσιν. εἰς καθοσίωσιν τὸ πρᾶγμα ἤγαγον.

22 Καὶ συνεπέστη ὁ ὄχλος κατ' αὐτῶν. Ὢ τῆς ἀνοίας. οὐκ ἐξήτασαν, οὐ μετέδωκαν λόγου· καίτοι, τοιούτου θαύματος γενομένου, δέον προσκυνῆσαι, δέον ὡς σωτῆρας καὶ εὐεργέτας ἔχειν. Εἰ γὰρ χρήματα ἐβούλεσθε, διὰ τί τοιοῦτον πλοῦτον εὑρόντες, μὴ ἐπεδράμετε; τοῦτο λαμπροτέρους ποιεῖ, τὸ δύνασθαι δαίμονας ἀπελαύνειν, ἢ τὸ αὐτοῖς πείθεσθαι. ἰδοὺ καὶ σημεῖα, καὶ ἡ φιλοχρηματία πλέον ἴσχυσε. Καὶ οἱ στρατηγοὶ περιρρήξαντες τὰ ἱμάτια αὐτῶν, ἐκέλευον ῥαβδίζειν,

κ. ὑμᾶς ἐποίει
κ. διαρρήξ.

23 Πολλάς τε ἐπιθέντες αὐτοῖς πληγὰς, ἔβαλον εἰς φυλακὴν, παραγγείλαντες τῷ δεσμοφύλακι ἀσφαλῶς τηρεῖν αὐτούς. Ὁ μὲν οὖν Παῦλος τὸ πᾶν εἰργάσατο, καὶ τὰ θαύματα, καὶ τὴν διδασκαλίαν· τῶν δὲ κινδύνων καὶ ὁ Σίλας κοινωνεῖ. τί ἐστι, διαπονηθεὶς δὲ ὁ Παῦλος; τὴν κακουργίαν, φησὶν, ἰδὼν τοῦ δαίμονος, καθὼς αὐτὸς ἀλλαχοῦ λέγει· Οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν. διὰ τί μὴ εἶπον, ὅτι τὰ δαιμόνια ἐξέβαλον; ὅτι εἰς Θεὸν ἠσέβησαν; ἀλλ' ἐπὶ καθοσίωσιν τρέπονται; ὅπλα αὐτοῖς τοῦτο ἦν. οὕτω καὶ ἐπὶ τοῦ Χριστοῦ τοῦτο ἔλεγον· Οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα. Πᾶς ὁ ἑαυτὸν ποιῶν βασιλέα, ἀντιλέγει τῷ Καίσαρι. καὶ ἔβαλον αὐτοὺς, φησιν, εἰς φυλακήν. πολὺς ὁ θυμός.

β. Κορ. β.
Ιωαν. ιθ.

24 Ὃς παραγγελίαν τοιαύτην εἰληφὼς, ἔβαλεν αὐτοὺς εἰς τὴν ἐσωτέραν φυλακὴν,

φανείη· ἀπὸ δὲ τούτων ὡραιοτέρα ἂν γένοιτο) οὕτω δὴ καὶ ψυχὴ, ὅταν ᾖ καλὴ, οὐ μόνον οὐδενὸς δεῖται τούτων, ἀλλὰ καὶ συσκιάζει τὸ κάλλος αὐτῆς. τὸν γὰρ φιλόσοφον οὐχ οὕτως ἐν πλούτῳ, ὡς ἐν πενίᾳ ὀψόμεθα λάμποντα. ἐκεῖ μὲν γὰρ τοῖς χρήμασιν οὗτοι πολλοὶ λογίζονται, καὶ τῷ μὴ εἰδέναι χρημάτων εἶναι· ὅταν δὲ πενίᾳ συζῇ, καὶ διὰ πάντων λάμπῃ, καὶ μηδὲν αἰσχρὸν ἀναγκάζηται ποιεῖν, οὐκ ἔτι ἄλλος τις διαφαίνεται πρὸς αὐτὸν τῶν ἐπὶ τῇ φιλοσοφίᾳ στεφανουμένων. Ταύτην οὖν καλλωπίζωμεν, εἴ γε βουλοίμεθα πλουτεῖν. τί δὲ ὄφελος, ὅταν αἱ μὲν ἡμίονοι λευκαὶ ὦσι καὶ σφριγῶσαι καὶ εὐσωματοῦσαι· σὺ δὲ ὁ καθήμενος λεπτὸς καὶ ψωραλέος καὶ δυσειδής; τί δαὶ τὸ κέρδος, ὅταν τὰ μὲν στρώματα ἁπαλὰ καὶ καλὰ ᾖ, καὶ πολλῆς ποικιλίας γέμοντα καὶ τέχνης, ἡ δὲ ψυχὴ ῥάκια περιβεβλημένη ᾖ καὶ γυμνὴ καὶ αἰσχρά; τί δὲ κέρδος, ὅταν ὁ μὲν ἵππος διάτακτα βαδίζῃ καὶ χορεύοντι μᾶλλον ἐοικὼς ἢ βαδίζοντι, "καὶ μετὰ τῆς χορείας κόσμῳ κεκοσμημένος ᾖ νυμφικῷ· ὁ δὲ ἐπικαθήμενος τῶν χωλῶν μᾶλλον ἀσκωλιάζῃ, καὶ τῶν μεθυόντων καὶ τῶν μεμηνότων μᾶλλον διεστραμμένος ᾖ καὶ χεῖρας καὶ πόδας; εἰπὲ δή μοι, εἴ τίς σοι ἵππον ἐδίδου καλὸν, καὶ τὸ σῶμα διέστρεφε, τί τὸ ὄφελος; νῦν δὲ ψυχὴν διεστραμμένην ἔχεις, καὶ οὐδέν σοι μέλει; φροντίσωμεν ἡμῶν αὐτῶν ποτὲ, παρακαλῶ. μὴ δὴ πάντων ἀτιμοτέρους ἡμᾶς αὐτοὺς καταστήσωμεν. κἂν μὲν ῥήμασί τις ὑβρίζῃ, δακνόμεθα καὶ ἀλγοῦμεν· πράγμασι δὲ ἑαυτοὺς ὑβρίζοντες, οὐκ ἐπιστρεφόμεθα. ἀνανήψωμεν ὀψέ γοῦν ποτε, ἵνα δυνηθῶμεν καὶ τῆς ψυχῆς πολλὴν τὴν ἐπιμέλειαν ποιούμενοι, καὶ τῆς ἀρετῆς ἐπιλαβόμενοι, τῶν αἰωνίων τυχεῖν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γ. χρημάτων | γ. μᾶλλον μετὰ τῆς πορείας καὶ κόσμ.

Λογ. λε. 13 ΤΗ "ΔΕ ΗΜΕΡΑ ΤΩΝ ΣΑΒΒΑΤΩΝ ἘΞήλθομεν ἔξω τῆς πόλεως παρὰ ποταμὸν, οὗ ἐνομίζετο προσευχὴ εἶναι, καὶ καθίσαντες ἐλαλοῦμεν ταῖς συνελθούσαις γυναιξί. 14 Καί τις γυνὴ ὀνόματι Λυδία, πορφυρόπωλις, πόλεως Θυατείρων, σεβομένη τὸν Θεὸν ἤκουεν· ἧς ὁ Κύριος "διήνοιξε τὴν καρδίαν προσέχειν τοῖς λαλουμένοις ὑπὸ τοῦ Παύλου.

γ. τῇ | γ. διήνοιξε

ΟΡα πάλιν Ἰουδαΐζοντα τὸν Παῦλον, καὶ ἀπὸ τοῦ καιροῦ, καὶ ἀπὸ τοῦ τόπου. οὗ ἐνομίζετο, φησὶ, προσευχὴ εἶναι. οὐ γὰρ δὴ ἔνθα συναγωγὴ ἦν μόνον, ἀλλὰ καὶ ἔξω ηὔχοντο, ὥσπερ τόπον τινὰ ἀφορίζοντες, ἅτε σωματικώτεροι ὄντες Ἰουδαῖοι. τῇ ἡμέρᾳ δὲ τῶν σαββάτων, ὅτε καὶ ὄχλον εἰκὸς ἦν συνελθεῖν. καὶ καθίσαντες ἐλαλοῦμεν ταῖς συνελθούσαις γυναιξί. καί τις γυνὴ ὀνόματι Λυδία, πορφυρόπωλις, πόλεως Θυατείρων, σεβομένη τὸν Θεὸν, ἤκουσεν, ἧς ὁ Κύριος διήνοιξε τὴν καρδίαν προσέχειν τοῖς λαλουμένοις ὑπὸ τοῦ Παύλου. ὅρα δὲ ἄτυφον πάλιν. γυνὴ καὶ ταπεινὴ αὕτη, καὶ δῆλον ἀπὸ τῆς τέχνης. ἀλλ' ὅρα τὸ φιλόσοφον αὐτῆς. πρῶτον μὲν γὰρ αὐτῇ ἐμαρτύρησεν οὗτος, τὸ σέβεσθαι τὸν Θεόν· ἔπειτα τὸ καλέσαι τοὺς ἀποστόλους αὐτήν.

15 Ὡς δὲ ἐβαπτίσθη [αὐτὴ] καὶ ὁ οἶκος αὐτῆς, παρεκάλεσε* λέγουσα· [κύριοί μου,] εἰ κεκρίκατέ με πιστὴν τῷ Κυρίῳ εἶναι, εἰσελθόντες εἰς τὸν οἶκόν μου μείνατε. καὶ παρεβιάσατο ἡμᾶς. Ὡς δὲ ἐβαπτίσθη, φησὶν, αὐτὴ καὶ ἡ οἰκία αὐτῆς. σκόπει πῶς ἀπήλλαξεν ἔπεισεν. εἶτα βλέπε τὴν σύνεσιν, πῶς δυσωπεῖ τοὺς ἀποστόλους, πόσης ταπεινότητος γέμει τὰ ῥήματα, πόσης σοφίας. εἰ κεκρίκατέ με, φησὶ, πιστὴν τῷ Κυρίῳ. οὐδὲν "ἐντρεπτικώτερον. τίνα οὐκ ἂν ἐμάλαξε ταῦτα τὰ ῥήματα; οὐκ ἠξίωσεν, οὐ παρεκάλεσεν ἁπλῶς, οὐκ ἀφῆκε κυρίους εἶναι, ἀλλὰ καὶ ἠνάγκασε σφοδρῶς. ὅτι γὰρ ἐπὶ τὸ, παρεβιάσατο ἡμᾶς· τουτέστι, τούτοις τοῖς ῥήμασιν. ὅρα πῶς εὐθέως καρποφορεῖ καὶ κέρδος ἡγεῖται μέγα τὴν κλῆσιν. ὅτι δὲ πιστὴν ἐκρίνατε, δῆλον ἐκ τοῦ ἐγχειρίσαι μοι τοιαῦτα μυστήρια, οὐκ ἂν ἐγχειρίσαντες, εἰ μὴ τοιαύτην ἐκρίνατε. καὶ οὐκ ἐτόλμησεν,

* αὐτοῖς | γ. ἐντρεπτικόν.

ἀδίνη αἰσχύνεται καταγόμενοι. αἴνιγμα δὲ πρᾶγμά ἐστι. καὶ πῶς τὰ ἄλογα φιλόσοφα, φησίν; ἔστιν; οὐ δοκεῖ σοι φιλοσοφίας εἶναι μεγάλης, ὅταν κύων δακνόμενος ὑπὸ τοῦ λιμοῦ, μετὰ τὸ λαβεῖν καὶ θηρεῦσαι, παρούσης ἀπέχηται τῆς τροφῆς, καὶ τράπεζαν ὁρᾷ παρακειμένην, καὶ τοῦ λιμοῦ κατεπείγοντος, ἀναμένοι τὸν δεσπότην; αἰσχύνθητε ἑαυτούς· παιδεύσατε τὰς ὑμετέρας γαστέρας οὕτως εἶναι φιλοσόφους. οὐκ ἔστιν ὑμῖν ἀπολογία. ἀλόγῳ φύσει δυνηθεὶς ἐνθεῖναι, οὔτε φθεγγομένῃ, οὔτε λογισμὸν ἐχούσῃ τοσαύτην φιλοσοφίαν, πολλῷ μᾶλλον δυνήσῃ σαυτῷ. ὅτι γὰρ ἐπιμελείας ἡ θεραπεία ἐστὶ, καὶ οὐ φύσεως, ἐγχωρίων ἀπαιδεύτων τοῦτο οὐκ ἂν κύνας ἴδοι. ἀνέχεσθε οὖν κατὰ τοὺς κύνας. ὑμεῖς γάρ με ἀναγκάζετε ἐκεῖθεν τὰ παραδείγματα φέρειν. ἐδεήθην γὰρ ἀπὸ τῶν οὐρανίων. ἐπειδὴ δὲ ἂν εἴπω τι τοιοῦτον, λέγετε ὅτι ἐκεῖνα μεγάλα εἰσί· διὰ τοῦτο οὐδὲ λέγω τῶν οὐρανίων. κἂν εἴπω τὸν Παῦλον, λέγετε ὅτι ἐκεῖνος ἀπόστολος ἦν· διὰ τοῦτο οὐδὲ Παῦλον λέγω. ἂν εἴπω ἀνθρώπους, λέγετε ὅτι ἐκεῖνος ἠδύνατο· διὰ τοῦτο οὐδὲ ἀνθρώπους λέγω, ἀλλὰ θηρία, καὶ θηρία οὐ φύσει τοῦτο ἔχοντα, ἵνα μὴ εἴπητε ὅτι φύσει, καὶ οὐ προαιρέσει τὸ κατόρθωμα· καὶ τὸ δὴ θαυμαστὸν, προαιρέσει οὐκ οἰκείᾳ, ἀλλὰ τῇ σῇ ἐπιμελείᾳ. οὐχ ὅτι κατεκόπη, οὐχ ὅτι διεσπάσθη τῷ δρόμῳ, οὐχ ὅτι τοῖς οἰκείοις αὐτοῦ πόνοις ἔλαβεν, ἐσθίει· ἀλλὰ πάντα ταῦτα ῥίψας ἔξω, καὶ τοῦ δεσπότου πρόσταγμα φυλάττει, καὶ γαστρὸς ἀνώτερος γίνεται. ναὶ, φησί· προσδοκᾷ γὰρ ἐπαινεθήσεσθαι· προσδοκᾷ πλείονος ἀπολαύσεσθαι τραπέζης. εἰπὲ οὖν καὶ σαυτῷ, ὅτι ὁ κύων ἐλπίδι μελλούσης ἡδονῆς τῆς παρούσης καταφρονεῖ· σὺ δὲ οὐ βούλει ἐλπίδι τῶν μελλόντων ἀγαθῶν τῶν παρόντων καταφρονῆσαι. ἀλλ' ἐκεῖνος μὲν οἶδεν ὅτι ἂν ἀχαρίστως καὶ παρὰ τὸ τῷ δεσπότῃ δοκοῦν τῆς τροφῆς ἀπογεύσηται, κἀκείνης ἀποστερηθήσεται, καὶ οὐδὲ τὴν ὡρισμένην ἕξει, πληγὰς λαβὼν αἰτίαν τῆς τροφῆς· σὺ δὲ οὐδὲ τοῦτο δύνασαι ἰδεῖν, καὶ ὅπερ ἀπὸ τῆς συνηθείας ἔμαθεν ἐκεῖνος, τοῦτο σὺ ἀπὸ λόγων οὐ κατορθοῖς. μιμησώμεθα τοὺς κύνας. τοῦτο λέγεται καὶ ἱέρακες ποιεῖν καὶ ἀετοί. ὅπερ ἐπὶ τῶν λαγωῶν καὶ τῶν δορκάδων ἐκεῖνοι, τοῦτο ἐπὶ τῶν ὀρνίθων οὗτοι· καὶ οὗτοι δὲ πάλιν ἀπὸ φιλοσοφίας ἀνθρωπίνης. ταῦτα ἡμᾶς καταδικάσαι ἔχει. ταῦτα ἡμᾶς ἐλέγξει. εἴπω καὶ ἑτέρους; ἵππους ἀγρίους καὶ ἀνημέρους λαβόντες, λακτίζοντας καὶ δάκνοντας, ἐν βραχεῖ χρόνῳ οὕτω παιδεύουσιν οἱ ἔμπειροι, ὡς τὸν ἐπιβάτην τρυφᾶν τὸν ἐπικαθήμενον διὰ τὸ τῆς βαδίσεως εὔτακτον· τῆς δὲ ψυχῆς ἄτακτα βαδιζούσης, οὐδεὶς ἐπιμελεῖται, ἀλλὰ καὶ πηδᾷ καὶ λακτίζει καὶ σύρεται χαμαὶ, καθάπερ πωλίον, καὶ ἀσχημονεῖ μυρία, καὶ οὐδεὶς αὐτῇ ψαλίδας περιτίθησιν, οὐδὲ ποδόστροφα, οὐδὲ χαλινοὺς, οὐδ' ἐπικαθίζει τὸν ἔμπειρον ἐπιβάτην, τὸν Χριστὸν λέγω. διὰ τοι τοῦτο πάντα ἄνω καὶ κάτω γέγονεν. ὅταν γὰρ καὶ γαστρὸς κρατεῖν κύνας παιδεύῃς, καὶ θυμὸν ἐν λέοντι δαμάζῃς, καὶ ἀταξίαν ἐν ἵπποις, καὶ εὐγλωττίαν ἐν ὄρνισι, πῶς οὐκ ἄτοπον ἐν μὲν ἀλόγοις φύσεσι λογικὰ ἐντιθέναι κατορθώματα· ἐν δὲ λογικαῖς τὰ τῶν ἀλόγων εἰσάγειν πάθη; οὐκ ἔστιν ἡμῖν, οὐκ ἔστι συγγνώμη· πάντες ἡμῶν κατηγορήσουσιν οἱ κατωρθωκότες, καὶ πιστοὶ καὶ ἄπιστοι. καὶ γὰρ καὶ ἄπιστοι κατώρθωσαν, καὶ θηρία καὶ κύνες, οὐκ ἄνθρωποι μόνοι· καὶ ἡμεῖς ἡμῶν αὐτῶν κατηγορήσομεν, ὅταν μὲν βουλώμεθα κατορθοῦντες, ὅταν δὲ ῥᾳθυμῶμεν, ὑποσυρόμενοι. καὶ γὰρ καὶ τῶν ἐν σφοδρᾷ κακίᾳ ὄντων πολλοὶ πολλάκις θελήσαντες μετεβάλοντο. τὸ δὲ αἴτιον, ὅπερ ἔφην, ὅτι περιεργαζόμεθα τὰ ἑτέρων συμφέροντα ζητοῦντες, οὐ τὰ ἡμέτερα. ἂν οἰκίαν οἰκοδομήσῃς λαμπρὰν, τὸ τῆς οἰκίας συμφέρον εἶδες, οὐ τὸ σόν· ἂν ἵππους καλοὺς, ὡσαύτως. οὐδεὶς ὅπως ἔσται ψυχὴ καλὴ σκοπεῖ· καίτοι ταύτης οὔσης καλῆς, οὐδενὸς ἐκείνων δεῖ· οὐκ οὔσης δὲ, οὐδὲν ἐξ ἐκείνων ὄφελος. καθάπερ γὰρ ἐπὶ νύμφης, κἂν παστάδες ὦσιν ἐκ παραπετασμάτων χρυσῶν, κἂν χοροὶ ὦσι γυναικῶν εὐειδεστάτων καὶ καλῶν, καὶ ῥόδα, καὶ στέμματα, κἂν ὁ νυμφίος καλὸς ᾖ, καὶ αἱ θεράπαιναι, κἂν αἱ φίλαι, καὶ πάντες εὐπρεπεῖς ὦσιν, ἐκείνη δὲ ἀμορφίας ᾖ μεστὴ, ὄφελος οὐδέν· ὥσπερ οὖν οὐδὲ, καλῆς οὔσης, βλάβος τι γένοιτ' ἂν ἀπὸ τούτων, ἀλλὰ καὶ τοὐναντίον (ἀπὸ μὲν γὰρ ἐκείνων, ἀμόρφου οὔσης, ἀμορφοτέρα ἂν

χ. ἀνεῖσα χ. οὐ δυνησῶ-τῷ

χ. ἐκεῖνοι μεγάλοι ἦσαν

χ. ἀλόγων

χ. εὐρύθμως ὄντος τοῦ διδασκοντος, πῶς

χ. μᾶλλον

μηδείς· ἀλλ' ὅμως ἐπειδὴ μέγα ἦν ἐκεῖνο τὸ κατόρθωμα τὸ ἐν τοῖς ἔθνεσιν, οὐκ ἐφρόντιζε τούτου. ἔμελλε γὰρ λοιπὸν ἔδει καταστρέφεσθαι. διὰ τοῦτο καὶ αὐτὸς αὐτὸν περιέτεμεν. ὅρα καὶ ἐνταῦθα ἀπὸ ἐναντιώσεως μέγα τι γινόμενον ἀγαθόν. καὶ ἐπερίσσευον τῷ ἀριθμῷ, φησίν. ὁρᾷς ὅτι οὐ μόνον οὐδὲν ἔβλαψε περιτομὴ, ἀλλὰ καὶ τὰ μέγιστα ὠφέλησεν; ὡς δὲ τὸ ὅραμα εἶδεν, εὐθέως, φησὶν, ἐζητήσαμεν ἐξελθεῖν εἰς τὴν Μακεδονίαν, συμβιβάζοντες ὅτι προσκέκληται ἡμᾶς ὁ Κύριος. ὅρα, οὐκέτι δι' ἀγγέλου, καθάπερ Φιλίππῳ, καθάπερ Κορνηλίῳ· ἀλλὰ τί; δι' ὁράματος φαίνεται αὐτῷ· λοιπὸν ἀνθρωπινώτερον, οὐκέτι θειότερον. ἔνθα μὲν γὰρ εὐκολώτερον τὸ πεισθῆναι, ἀνθρωπινώτερον· ἔνθα δὲ πολλὴ ἡ βία, θειότερον. ὅτε μὲν γὰρ κηρύξαι ἢ πείθειν μόνον, εἰς τοῦτο ὄναρ φαίνεται αὐτῷ· ὅπου δὲ μὴ κηρύξαι οὐκ ἠνείχετο, εἰς τοῦτο πνεῦμα ἅγιον ἀποκαλύπτει. οὕτω καὶ ἐκεῖ τῷ Πέτρῳ· ἀναστὰς κατάβηθι. οὐ γὰρ δὴ καὶ τὰ εὔκολα εἰργάζετο τὸ πνεῦμα, ἀλλ' ἤρκει καὶ ὄναρ αὐτῷ. καὶ τῷ Ἰωσὴφ δὲ ῥᾳδίως πειθομένῳ ὄναρ φαίνεται, τοῖς δὲ ἄλλοις ὕπαρ. οὕτω καὶ Κορνηλίῳ, καὶ αὐτῷ τούτῳ. καὶ ἰδού, φησιν, ἀνὴρ Μακεδὼν ἑστὼς, παρακαλῶν καὶ λέγων. οὐκ εἶπεν, ἐπιτάττων, ἀλλὰ, παρακαλῶν· τουτέστιν, ὑπὲρ αὐτῶν τῶν δεομένων τῆς θεραπείας. τί ἐστι συμβιβάζοντες; στοχαζόμενοι, φησί. τῷ τε γὰρ Παῦλον ἰδεῖν καὶ μηδένα ἕτερον, καὶ τῷ κωλυθῆναι ὑπὸ τοῦ πνεύματος, καὶ τῷ πρὸς τοῖς ὅροις εἶναι, ἀπὸ τούτων ἁπάντων ταῦτα συνῆγον. ἄλλως δὲ καὶ ὁ πλοῦς τοῦτο ἐνέφαινεν. οὐ γὰρ ἐγένετο χρόνος πολὺς, ὅθεν εἰς αὐτὴν τὴν ῥίζαν τῆς Μακεδονίας παραγίνονται. ὥστε ὁ παροξυσμὸς συμφερόντως οἰκονομεῖται γενέσθαι. οὐκ ἂν γὰρ ἐνήργησε τὸ πνεῦμα τὸ ἅγιον, οὐκ ἂν ἡ Μακεδονία ἐδέξατο. ἡ δὲ τοσαύτη προσκοπὴ, σημεῖον τοῦ μὴ εἶναί τι ἀνθρώπινον τὸ γινόμενον. καίτοι οὐκ ἔφη ὅτι Βαρνάβας παρωξύνθη· ἀλλὰ, μεταξὺ αὐτῶν παροξυσμὸς ἐγένετο. εἰ δὲ οὗτος οὐ παρωξύνθη, οὐδὲ ἐκεῖνος.

ΗΘΙΚΟΝ

Ταῦτα εἰδότες, μὴ ἁπλῶς δὴ αὐτὰ ἐκλεγώμεθα, ἀλλὰ μανθάνωμεν καὶ παιδευώμεθα (οὐ γὰρ εἰκῆ γέγραπται) μέγα κακὸν ἀγνοεῖν γραφάς. ἀφ' ὧν ὠφελεῖσθαι δεῖ, ἀπὸ τούτων βλαπτόμεθα. οὕτω καὶ φάρμακα πολλάκις φύσιν ἔχοντα θεραπευτικὴν, οὐκ εἰδότων τῶν χρωμένων καλῶς χρῆσθαι αὐτοῖς, διαφθείρει καὶ ἀπόλλυσι· καὶ ὅπλα δυνάμενα φυλάξαι, ἂν μηδεὶς αὐτὰ εἰδῇ περιθεῖναι, τὸν αὐτὸν διαφθείρει. τὸ δὲ αἴτιον, ὅτι πάντα μᾶλλον ζητοῦμεν, ἢ τὸ τῆς ψυχῆς ὄφελος· καὶ τὰ ἀλλότρια μᾶλλον σκοποῦμεν, ἢ τὸ ἡμέτερον συμφέρον. καὶ οἰκίας μὲν σύστασιν πολλάκις ζητοῦμεν, καὶ οὐκ ἂν ἀνασχοίμεθα παλαιουμένην αὐτὴν ἰδεῖν, οὐδὲ καταπίπτουσαν, οὐδὲ ὑπὸ χειμῶνος ἐπηρεαζομένην· περὶ δὲ τῆς ψυχῆς οὐδεμία φροντίς· ἀλλὰ κἂν τοὺς θεμελίους αὐτῆς ἴδωμεν σηπομένους, κἂν τὴν οἰκοδομὴν καὶ τὸν ὄροφον, οὐδεὶς ἡμῖν ὁ λόγος ἐστί. πάλιν ἄλογα ἂν ἔχωμεν, τὸ συμφέρον αὐτῶν ζητοῦμεν, καὶ ἱπποφορβοὺς καὶ ἱππιατροὺς, καὶ πάντα καλῶς κηδόμεθα· καὶ οἰκίας ἐπιμελούμεθα, καὶ τοῖς ἐμπεπιστευμένοις παραινοῦμεν, ὥστε μὴ ἁπλῶς, μηδὲ ὡς ἔτυχεν ἐλαύνειν, μηδὲ βάρος ἐπιτιθέναι, μηδὲ ἀωρὶ τὴν νύκτα ἐξάγειν, μηδὲ τὰς τροφὰς ἀπεμπολεῖν, καὶ πολλοὶ νόμοι περὶ τοῦ συμφέροντος τῶν ἀλόγων κεῖνται παρ' ἡμῖν· τῆς δὲ ψυχῆς λόγος οὐδείς. πάλιν τί λέγω περὶ ἀλόγων τῶν χρησίμων ἡμῖν; εἰσὶ πολλοὶ, οἳ στρουθοὺς ἔχουσιν οὐδὲν ἔχοντας χρήσιμον, ἀλλ' ἢ ἁπλῶς τέρποντας, καὶ πολλοὶ καὶ περὶ ἐκείνων νόμοι, καὶ οὐδὲν ἠμελημένον, οὐδὲ ἄτακτόν ἐστι· καὶ πάντων μᾶλλον ἐπιμελούμεθα, ἢ ἡμῶν αὐτῶν. οὕτω πάντων ἐσμὲν ἀτιμότεροι. κἂν μέν τις ὑμᾶς ὑβρίζων εἴπῃ, κύων, ἀλγοῦμεν· ἡμεῖς δὲ ἡμᾶς αὐτοὺς ὑβρίζοντες, οὐ λόγῳ, ἀλλ' ἔργῳ, καὶ μηδὲ τοσαύτης μεταδιδόντες ἐπιμελείας τῇ ψυχῇ, ὅσης τοῖς κυσὶν, οὐδὲν ἡγούμεθα πάσχειν δεινόν. ὁρᾶτε ὅσα σκότους τὰ πάντα ἐμπέπλησται; πόσην φροντίζουσι τῶν κυνῶν, ὥστε μὴ πλέον τοῦ δέοντος ἐμπλησθῆναι, ὥστε ὀξεῖς εἶναι καὶ θηρατικοὺς ὑπὸ τοῦ λιμοῦ καὶ τῆς πείνης ὠθουμένους· ἑαυτῶν δὲ οὐκ ἐπιμελοῦνται, οὐδὲ ἐπιτάττουσιν ὥστε μὴ τρυφᾶν; καὶ τὰ μὲν ἄλογα φιλοσοφεῖν διδάσκουσιν· αὐτοὶ δὲ εἰς τὴν τῶν ἀλόγων ἀπει-

ωδίαν

γρ. συμφέρον τὸ ἡμέτερον· γρ. καὶ ἐπιμέλ. τὸ συμφέρον ζητ.

γρ. ἀσιτ.

θαι. ἐπεὶ καὶ τοῖς ἁγίοις ὄναρ ἐφαίνετο, καὶ ἐξ ἀρχῆς αὐτὸς ὅραμα εἶδεν, ἄνδρα εἰσελθόντα
καὶ ἐπιθέντα αὐτῷ χεῖρας. εἶτα καὶ διὰ τοῦτο αὐτὸν ἐκεῖ ἕλκει, ἵνα ἐκτείνηται τὸ κήρυγμα·
ἄλλως δὲ, καὶ διὰ τοῦτο "κωλύεται ἐνδιατρῖψαι ταῖς ἄλλαις πόλεσιν, ἐπείγοντος αὐτὸν — γ. ἐκωλύθη
τοῦ Χριστοῦ. οὗτοι μὲν γὰρ ἔμελλον ἀπολαύσεσθαι Ἰωάννου καὶ χρόνον πολὺν, καὶ ἴσως οὐδὲ πάνυ
ἐδέοντο· ἐκεῖνοι δὲ ἀπελθεῖν ἔδει. καὶ ἀντιπεράσας λοιπὸν ἔξεισιν.

10 Ὡς δὲ τὸ ὅραμα εἶδεν, εὐθέως ἐζητήσαμεν ἐξελθεῖν εἰς Μακεδονίαν, συμβιβάζοντες ὅτι προσκέκληται ἡμᾶς ὁ Κύριος εὐαγγελίσασθαι αὐτούς.

11 Ἀναχθέντες "δὲ ἀπὸ Τρωάδος, εὐθυδρομήσαμεν εἰς Σαμοθρᾴκην, τῇ τε ἐπιούσῃ εἰς Νεάπολιν, — γ. ἐν

12 Ἐκεῖθέν τε εἰς Φιλίππους, ἥτις ἐστὶ πρώτη * τῆς Μακεδονίας, πόλις κολώνια. ἦμεν — * τῆς μερίδος γ. ταύτῃ
δὲ ἐν "αὐτῇ τῇ πόλει διατρίβοντες ἡμέρας τινάς. Οὕτως αὐτῷ καὶ ὁ Χριστὸς φαίνεται λέγων·
Ὅτι Καίσαρί σε δεῖ παραστῆναι. εἶτα λέγει καὶ τῶν τόπων, ἅτε ἱστορίαν διηγούμενος, καὶ — Πραξ. κζ. κδ.
δεικνὺς τοῦ εὐαγγελιστοῦ· καὶ δείκνυσιν ὅτι ἐν ταῖς μείζοσι, τὰς δὲ ἄλλας παρῄει. ἀξίωμά ἐστι πό-
λεως ἡ κολώνια. ἀλλ' αἰσθάνεσθαι ἔδει μὲν τὰ εἰρημένα. ἀναγκαίως προστίθησι τὴν Βαρνάβα
τῆς ἀποδημίας, λέγων· ἐπισκεψώμεθα τὰς πόλεις, ἐν αἷς κατηγγείλαμεν τὸν λόγον. καίτοι
οὐκ ἔδει ἀξιοῦν αὐτὸν "μέλλοντα κατηγορεῖν μετὰ ταῦτα. τοῦτο καὶ ἐπὶ τοῦ Θεοῦ γέγονε καὶ "τοῦ Μωϋσέως· — γ. ἴσχυε γ. τὸν αἰσθόμενον·
ὁ μὲν ἀξιοῖ, ὁ δὲ ὀργίζεται. ὅταν ὡς ὅταν λέγῃ· Εἰ ὁ πατὴρ αὐτῆς ἐνέπτυσεν εἰς τὸ πρόσωπον αὐτῆς· — Λευϊτ. ιβ. ιδ.
καὶ πάλιν, Ἄφες με, καὶ θυμωθεὶς ἐξαλείψω τὸν λαὸν τοῦτον· καὶ ὁ Σαμουὴλ ὅταν πενθῇ τὸν — Ἐξ. λβ. λβ.
Σαούλ. δι' ἑκατέρων [γὰρ] μεγάλα γέγονεν ἀγαθά. οὕτω δὴ καὶ ἐνταῦθα, ὁ μὲν ὀργίζεται, ὁ — α. Βασ. ιε. λε.
δὲ οὐκ ἔτι. τοῦτο καὶ ἐφ' ἡμῶν γίνεται. καὶ ὁ παροξυσμὸς εἰκότως, ἵνα ἐκεῖνος παιδευθῇ, καὶ μὴ
δόξῃ σκηνὴ τὸ πρᾶγμα εἶναι. οὐ γὰρ ἂν * ὁ πανταχοῦ εἴκων, ἐνταῦθα οὐκ εἶξεν, οὐδ' ὁ οὕτω — * ὁ καλέσας [illegible]
Παῦλον φιλῶν, ὥστε καὶ περὶ τούτου ζητῆσαι αὐτὸν ἐν Ταρσῷ, καὶ πρὸς τοὺς ἀποστόλους αὐτὸν
ἀπενεγκεῖν, καὶ τὴν ἐλεημοσύνην κοινὴν ἐργάσασθαι, καὶ τὰ κατὰ τὸ δόγμα κοινῇ καταδέξασθαι.
"οὐκ ἂν οὖν διὰ τοιοῦτον πρᾶγμα ὠργίσθη· ἀλλ' "χωρίζονται ἀπ' ἀλλήλων, ὥστε παι- — γ. κἂν διὰ
δεῦσαι, καὶ ἀπαρτίσαι διὰ τοῦ χωρισμοῦ τοὺς πολλοὺς τῆς περὶ αὐτὸν διδασκαλίας. ὥσπερ — γ. λαμβάνοντι ἑαυτοῦ, ἢ
οὖν καὶ ἑκατέρου ποιεῖ, λέγων· Ὑμεῖς δὲ μὴ ἐκκακεῖτε τὸ καλὸν ποιοῦντες. καὶ ἐπιτιμᾷ μὲν ἑτέ- — β. Θεσ. γ. ιγ.
ροις, καὶ κελεύει δὲ τὸ καλὸν ποιεῖν πρὸς πάντας. τοῦτο καὶ ἐν τῇ συνηθείᾳ ποιοῦμεν. ἐνταῦθα — γ. καλοποιοῦντες
μοι δοκοῦσι καὶ ἄλλοι συναγανακτῆσαι τῷ Παύλῳ. καὶ λοιπὸν κατιδὼν κἀκείνους λαβὼν
πάντα ποιεῖ, καὶ παραινεῖ, καὶ νουθετεῖ. πολλὰ ἡ ὁμόνοια δύναται, πολλὰ ἡ ἀγάπη. κἂν ὑπὸ
μεγάλου ἀξιωθῇς, κἂν "ἀνάξιος ᾖς, ἀπὸ τῆς προαιρέσεως ἀκουσθήσῃ, μὴ φοβοῦ. διήρχετο, — γ. ἄξιος
φησι, τὰς πόλεις· καὶ ἰδοὺ ἦν μαθητής ὀνόματι Τιμόθεος, ὃς ἐμαρτυρεῖτο ὑπὸ τῶν ἐν Λύστροις
καὶ Ἰκονίῳ ἀδελφῶν. μεγάλη ἡ "πίστις Τιμοθέου, ὅτι ὑπὸ πάντων μαρτυρεῖται. ἔτι ἀπέ- — γ. χάρις
στη Βαρνάβας, ἕτερον ἀντίρροπον εὑρίσκει. περὶ τούτου φησί, Μεμνημένος σου τῶν δακρύων, καὶ — β. Τιμ. α. δ.
τῆς ἀνυποκρίτου σου πίστεως, ἥτις ἐνῴκησε πρῶτον ἐν τῇ μάμμῃ σου Λωΐδι, καὶ τῇ μητρί σου
Εὐνίκῃ. "καὶ λαβών, φησι, περιέτεμεν αὐτόν. τίνος δὲ ἕνεκεν αὐτὸς ἐπάγει, λέγων· Διὰ τοὺς Ἰου- — γ. Ἕλλην ὑπῆρχεν ὁ πατήρ. καὶ διὰ τοῦτο διὰ τοὺς Ἰουδαίους φησὶ τοὺς ὄντας ἐν τῷ τόπῳ ἐκείνῳ περιέτεμεν αὐτὸν
δαίους τοὺς ὄντας ἐν τοῖς τόποις ἐκείνοις; διὰ τοῦτο τοίνυν περιτέμνεται [ὁ] ἐκ δύο τῶν πα-
τέρων. Ἕλληνα γὰρ ᾔδεισαν. ἆρα οὐκ ἦν ἐμπερίτομος. ὅρα ἤδη τοὺς νόμους λυομένους. πι-
στὸν δὲ δοκεῖ μετὰ τὸ κήρυγμα αὐτὸν περιθεῖναι· ἀλλ' οὐκ ἔστι ταχὺ τοῦτο. ἀπὸ βρέφους γάρ, φησι,
τὰ ἱερὰ γράμματα οἶδας. ἐκεῖνο τοίνυν ἐστὶν εἰπεῖν, ἢ εἰ μὴ τοῦτο, ὅτι ἔμελλεν αὐ-
τὸν ἐπίσκοπον ποιεῖν, καὶ οὐκ ἔδει ἀκρόβυστον εἶναι. τέως δὲ ἔδει τὰ ἔθη μηδὲν τέως οὐχὶ φυ-
λάττειν. οὐ μικρὸν καὶ τοῦτο ἦν, ὅτι γε μετὰ τοσοῦτον χρόνον καὶ τοῦτο αὐτοὺς ἐσκανδάλιζεν. ἀρ-
χὴ καταλύσεως ἦν, τὸ τὰ ἔθη μὴ τηρεῖν ταῦτα καὶ μηδὲν βλάπτεσθαι, μηδὲ ἔλαττον ἔχειν κατὰ
τὴν πίστιν. ἑκόντες λοιπὸν ἀφίσταντο. ἐπεὶ οὖν ἔμελλε κηρύττειν, ἵνα μὴ διπλῆ πλήξῃ τοὺς
Ἰουδαίους, περιέτεμεν αὐτόν. καίτοι ἐξ ἡμισείας ἦν. ἀπὸ πατρὸς Ἕλληνος γὰρ ἦν, καὶ πιστῆς
μητρός;

Digitized by Google

περὶ τὰς δεξαμένας τὸν λόγον ἐπισκέψασθαι.

41 Διήρχετο δὲ τὴν Συρίαν καὶ Κιλικίαν ἐπιστηρίζων τὰς ἐκκλησίας.

κεφ. ιε. 1 Κατήντησε δὲ εἰς Δέρβην καὶ Λύστραν. Καὶ γὰρ ἀνοίας ἐστὶν εἰκῇ τρέχειν. Τοῦτο δὲ ἡμεῖς ποιῶμεν· τοὺς προσόντας πρότερον παιδεύωμεν, ἵνα μὴ οὗτοι ἐμπόδιον γένωνται τοῖς μετὰ ταῦτα. ἐπισκεψώμεθα, φησὶ, τοὺς ἀδελφοὺς πῶς ἔχουσι. καὶ τοῦτο ἠνόει; εἰκότως, ἵνα ἐλθὼν τοὺς ἀδελφοὺς ἐπισκέψηται. ὅρα αὐτὸν ἀεὶ διεγηγερμένον, μεριμνῶντα, οὐκ ἀνεχόμενον καθῆσθαι, καίτοι μυρίους ὑπέμενε κινδύνους. ὁρᾷς ὅτι οὐ δειλίας ἦν τὸ εἰς Ἀντιόχειαν ἐλθεῖν; καθάπερ γὰρ ἰατρὸς ἐπὶ τοὺς κάμνοντας ἄπεισι. καὶ τὴν ἀνάγκην τῆς ἐπισκέψεως ἐδήλωσεν εἰπών· ἐν αἷς κατηγγείλαμεν τὸν λόγον. ἀπέστη ὁ Βαρνάβας, καὶ οὐκέτι συνῆλθεν. ἐπιλεξάμενος, φησὶ, τὸν Σίλαν καὶ παραδοθεὶς τῇ χάριτι τοῦ Θεοῦ. τί τοῦτο ἐστιν; ηὔξαντο, φησὶν, ἐδεήθησαν τοῦ Θεοῦ. ὅρα πανταχοῦ μεγάλα δυναμένην τὴν εὐχὴν τῶν ἀδελφῶν. καὶ λοιπὸν πεζῇ ὥδευε, καὶ διὰ τῆς ὁδοιπορείας ὠφελῆσαι τοὺς ὁρῶντας βουλόμενος. Εἰκότως. τότε μὲν γὰρ ἔσπευδεν, ἔπλευσε· νῦν δὲ οὐκέτι. Καὶ ἰδοὺ μαθητής τις ἦν ἐκεῖ ὀνόματι Τιμόθεος, υἱὸς γυναικὸς Ἰουδαίας πιστῆς, πατρὸς δὲ Ἕλληνος·

2 Ὃς ἐμαρτυρεῖτο ὑπὸ τῶν ἐν Λύστροις καὶ Ἰκονίῳ ἀδελφῶν.

3 Τοῦτον ἠθέλησεν ὁ Παῦλος σὺν αὐτῷ ἐξελθεῖν, καὶ λαβὼν περιέτεμεν αὐτὸν διὰ τοὺς Ἰουδαίους τοὺς ὄντας ἐν τοῖς τόποις ἐκείνοις. ᾔδεισαν γὰρ ἅπαντες τὸν πατέρα αὐτοῦ, ὅτι Ἕλλην ὑπῆρχεν. Ὄντως ἄξιον ἐκπλαγῆναι τὴν Παύλου σύνεσιν. ὁ τοσαῦτα μαχεσάμενος περὶ τῆς περιτομῆς, ὁ πάντα κινήσας, καὶ μὴ πρότερον ἀποστὰς, ἕως ὅτε κατώρθωσε, τοῦ δόγματος κυρωθέντος, περιτέμνει τὸν μαθητήν. οὐ μόνον ἑτέρους οὐ κωλύει, ἀλλὰ καὶ αὐτὸς τοῦτο ἐργάζεται. οὐδὲν Παύλου συνετώτερον· ὥστε πάντα πρὸς τὸ συμφέρον ἑώρα, οὐδὲν ἁπλῶς ἐποίει προλήψει. τοῦτον ἠθέλησε, φησὶν, ἐξελθεῖν σὺν αὐτῷ. τὸ θαυμαστὸν τοῦτο, ὅτι καὶ ἐπήγαγεν αὐτόν. διὰ τοὺς Ἰουδαίους, φησὶ, τοὺς ὄντας ἐν τοῖς τόποις ἐκείνοις. αὕτη ἡ αἰτία τοῦ περιτεμεῖν. οὐ γὰρ ἂν ἠνέσχοντο παρὰ ἀκροβύστου τὸν λόγον ἀκοῦσαι. καὶ τί; ὅρα τὸ κατόρθωμα. περιέτεμεν, ἵνα περιτομὴν καθέλῃ. τὰ δόγματα γὰρ ἐκήρυττε τὰ τῶν ἀποστόλων. ὁρᾷς μάχην, καὶ διὰ μάχης οἰκοδομήν; οὐ πρὸς ἑτέρους πολεμούμενοι, ἀλλὰ καὶ αὐτοὶ ἐναντία ποιοῦντες, οὕτω τὴν ἐκκλησίαν ᾠκοδόμουν. δόγμα εἰσήνεγκεν μὴ περιτέμνεσθαι, καὶ περιτέμνει. Καὶ ἐπερίσσευον, φησὶ, τῷ ἀριθμῷ καθ᾽ ἡμέραν*. Εἶδες τὸ κέρδος τῆς περιτομῆς; Εἶτα λοιπὸν οὐκ ἐνδιατρίβει τούτοις, ἅτε ἐπισκέψασθαι ἐλθών· ἀλλὰ τί; πόρρω πρόεισιν.

*τῇ πίστει, καὶ τῷ ἀριθμῷ;

4 Ὡς δὲ διεπορεύοντο τὰς πόλεις, παρεδίδουν αὐτοῖς φυλάσσειν τὰ δόγματα τὰ κεκριμένα ὑπὸ τῶν ἀποστόλων καὶ τῶν πρεσβυτέρων τῶν ἐν Ἱερουσαλήμ.

5 Αἱ μὲν οὖν ἐκκλησίαι ἐστερεοῦντο τῇ πίστει, καὶ ἐπερίσσευον τῷ ἀριθμῷ καθ᾽ ἡμέραν.

9 "Διελθόντες δὲ τὴν Φρυγίαν καὶ τὴν Γαλατικὴν χώραν, κωλυθέντες ὑπὸ τοῦ ἁγίου πνεύματος λαλῆσαι τὸν λόγον ἐν τῇ Ἀσίᾳ. Τὴν Φρυγίαν καὶ τὴν Γαλατίαν" ἀφέντες, εἰς τὴν μεσόγαιον ἔσπευδον.

γρ. διελθόντες. γρ. κατελθόντες. γρ. κατὰ

7 Ἐλθόντες κατὰ τὴν Μυσίαν ἐπείραζον "εἰς τὴν Βιθυνίαν πορεύεσθαι, καὶ οὐκ εἴασεν αὐτοὺς τὸ πνεῦμα. Διὰ τί μὲν οὖν ἐκωλύθησαν, οὐ λέγει· ὅτι δὲ ἐκωλύθησαν, εἶπε, παιδεύων ἡμᾶς πείθεσθαι μόνον, καὶ μὴ ζητεῖν τὰς αἰτίας· καὶ δεικνὺς, ὅτι πολλὰ καὶ ἀνθρωπίνως ἐποίουν.

8 Παρελθόντες δὲ τὴν Μυσίαν, κατέβησαν εἰς Τρωάδα.

9 Καὶ ὅραμα διὰ τῆς νυκτὸς ὤφθη τῷ Παύλῳ. ἀνήρ τις ἦν Μακεδὼν ἑστὼς παρακαλῶν αὐτὸν, καὶ λέγων· διαβὰς εἰς Μακεδονίαν, βοήθησον ἡμῖν.

Διὰ τί ὅραμα, καὶ μὴ τὸ πνεῦμα τὸ "ἅγιον ἐκέλευσεν; ἐβούλετο αὐτοὺς καὶ οὕτως ἐφέλκεσθαι.

γρ. ἔχει· ὅτι ἐκεῖνο ἐκέλευσεν, ἐβούλετο

40 Παῦλος δὲ ἐπιλεξάμενος Σίλαν, ἐξῆλθε παραδοθεὶς τῇ χάριτι τοῦ Θεοῦ ὑπὸ τῶν ἀδελφῶν. Οὕτω καὶ ἐν τοῖς προφήταις εὑρίσκομεν διαφόρους γνώμας, καὶ διάφορα ἤθη· οἷον ὁ Ἠλίας αὐστηρὸς, ὁ Μωϋσῆς πρᾶος. καὶ ἐνταῦθα πάνυ σφοδρότερός ἐστιν ὁ Παῦλος. ἀλλ' ὅρα καὶ οὕτω τὸ ἐπιεικὲς αὐτοῦ. ἠξίου, φησὶ, τὸν ἀποστάντα ἀπ' αὐτῶν ἀπὸ Παμφυλίας μὴ συμπαραλαβεῖν. καθάπερ γάρ τις στρατηγὸς οὐκ ἂν ἕλοιτο τὸν σκευοφόρον ἔχειν ἀεὶ βλάπτοντα· οὕτως οὐδὲ ὁ ἀπόστολος. τοῦτο καὶ τοὺς ἄλλους ἐπαίδευε, καὶ αὐτὸν ἐῤῥύθμιζεν ἐκεῖνον. οὐκοῦν, φησὶ, κακὸς ὁ Βαρνάβας; οὐδαμῶς· ἀλλὰ καὶ σφόδρα ἄτοπον τὸ νομίζειν τοῦτο. πῶς δὲ οὐκ ἄτοπον ὑπὲρ οὕτω πράγματος μικροῦ τοῦτον λέγειν γενέσθαι κακόν; ἀλλ' ὅρα ὅτι πρῶτον μὲν κακὸν οὐδὲν γέγονεν, εἰ ὅλως κληρώσεις ἔθνεσιν ἀρχομένοις ἀπεσχίσθησαν ἀπ' ἀλλήλων, ἀλλὰ καὶ μέγα ἀγαθόν. ἔπειτα εἰ μὴ τοῦτο ἦν, οὐκ ἂν εἵλοντο εὐκόλως ἀφεῖναι ἀλλήλους. σὺ δέ μοι θαύμασον τοῦτο μηδὲ τοῦτο κρύψαντα. ἀλλ' εἰ καὶ χωρισθῆναι ἔδει, φησὶ, χωρὶς παροξυσμοῦ. μάλιστα μὲν οὖν καὶ ἐντεῦθεν δείκνυται τὰ ἀνθρώπινα. εἰ γὰρ ἐπὶ τοῦ Χριστοῦ τοῦτο ἔδει γενέσθαι, πολλῷ μᾶλλον ἐνταῦθα. ἄλλως δὲ, ὁ παροξυσμὸς οὐκ ἂν εἴη φαῦλος, ὅταν ὑπὲρ τοιούτων ἕκαστος ἀμφισβητῇ, καὶ μετὰ δικαίου λόγου. εἰ μὲν οὖν τις αὐτῶν τὸ ἑαυτοῦ ζητῶν παρωξύνετο, καὶ τὴν εἰς αὐτὸν τιμὴν, καλῶς· εἰ δὲ παιδεῦσαι καὶ διδάξαι ἑκάτερος βουλόμενος, ὁ μὲν ταύτην, ὁ δὲ ἐκείνην ὁδὸν, τοῦτο ποῖον ἔγκλημα; πολλὰ καὶ ἀνθρωπίνῃ διανοίᾳ ἐποίουν. οὐ γὰρ ἦσαν λίθοι, ἢ ξύλα. καὶ ὅρα Παῦλον καὶ κατηγοροῦντα, καὶ τὴν αἰτίαν λέγοντα. ᾐδεῖτο γὰρ τὸν Βαρνάβαν ἀπὸ ταπεινοφροσύνης πολλῆς, ἅτε κεκοινωνηκότα ἐν τοσούτοις αὐτῷ καὶ μετ' αὐτοῦ ὄντα. ἀλλ' οὐχ οὕτως ᾐδεῖτο, ὥστε καὶ παριδεῖν τὸ δέον. τίς μὲν οὖν ἄμεινον ἐβουλεύσατο, οὐχ ἡμῶν ἀποφήνασθαι· πῶς δὲ ὅτι μεγάλη γέγονεν οἰκονομία, εἴγε οὗτοι μὲν ἔμελλον δεύτερον ἐπισκέψεως ἀξιοῦσθαι, ἐκεῖνοι δὲ οὐδὲ ἅπαξ. οὐχ ἁπλῶς διετέλουν ἐν Ἀντιοχείᾳ, ἀλλ' ἐδίδασκον. τί ἐδίδασκον; τί δὲ εὐηγγελίζοντο; τοὺς τε ἤδη πιστοὺς, τούς τε οὐδέπω. ἐπειδὴ γὰρ μυρία σκάνδαλα ἦν, ἔδει τῆς αὐτῶν παρουσίας. τὸ ζητούμενον, οὐχ ὅτι διηνέχθησαν ἐν ταῖς γνώμαις, ἀλλ' ὅτι συγκατέβησαν ἀλλήλοις [ἰδεῖν.] οὕτω μεῖζον ἀγαθὸν γέγονε τὸ χωρισθῆναι, καὶ πρόφασιν ἐκ τούτου τὸ πρᾶγμα ἔλαβε. τί οὖν; ἐχθροὶ ἀνεχώρησαν; μὴ γένοιτο. ὁρᾷς γὰρ μετὰ τοῦτο Βαρνάβαν πολλῶν ἐγκωμίων ἀπολαύοντα παρὰ Παύλου ἐν ταῖς ἀποστολαῖς. παροξυσμὸς, φησὶν, ἐγένετο, οὐκ ἔχθρα, οὐδὲ φιλονεικία. τοσοῦτον ἴσχυσεν ὁ παροξυσμὸς, ὥστε χωρίσαι· καὶ εἰκότως. ὅπερ γὰρ ἕκαστος ὑπέλαβεν εἶναι λυσιτελὲς, τοῦτο μετὰ ταῦτα οὐ προσέθηκαν διὰ τὴν πρὸς ἐκεῖνον κοινωνίαν. ἐμοὶ δοκεῖ καὶ κατὰ σύνεσιν γεγενῆσθαι τὸν χωρισμὸν, καὶ πρὸς ἀλλήλους εἰπεῖν· ὅτι ἐπειδὴ ἐγὼ οὐ βούλομαι, σὺ δὲ βούλει, ἵνα μὴ μαχώμεθα, διανειμώμεθα τοὺς τόπους. ὥστε πάνυ εἴκοντες ἀλλήλοις τοῦτο ἐποίουν. ἐβούλετο γὰρ εἶναι τὸν Παύλου Βαρνάβας, διὰ τοῦτο καὶ ἀνεχώρησεν· ἐβούλετο καὶ Παῦλος ὁμοίως τὸ ἐκείνου, διὰ τοῦτο καὶ αὐτὸς τὸ ἴσον ποιεῖ καὶ ἀναχωρεῖ. εἴθε καὶ ἡμεῖς τοιούτους ἐχωριζόμεθα χωρισμοὺς, ὥστε ἐπὶ κήρυγμα ἀπιέναι. Παῦλος δὲ, φησὶν, ἐπιλεξάμενος τὸν Σίλαν, ἐξῆλθε παραδοθεὶς τῇ χάριτι τοῦ Θεοῦ ὑπὸ τῶν ἀδελφῶν. θαυμαστὸς ἐστιν οὗτος ὁ ἀνὴρ καὶ σφόδρα μέγας. πάνυ δὲ ὠφέλει τὸν Μάρκον ἡ μάχη αὕτη. τὸ μὲν γὰρ Παύλου φοβερὸν, ἐπέστρεψεν αὐτόν· τὸ δὲ Βαρνάβα χρηστὸν, ἐποίει μηκέτι ἀπολειφθῆναι. ὥστε μάχονται μὲν, πρὸς ἓν δὲ τέλος ἀπαντᾷ τὸ κέρδος. καὶ γὰρ Παῦλον ὁρῶν αἱρούμενον ἀποστῆναι, πάνυ ἂν ἐφοβήθη καὶ κατέγνω ἑαυτοῦ· καὶ πάλιν Βαρνάβαν ὁρῶν οὕτως αὐτοῦ ἀντεχόμενον, πάνυ ἂν αὐτὸν ἐφίλησε, καὶ διωρθοῦτο ὁ μαθητὴς διὰ τῆς μάχης τῶν διδασκάλων· τοσοῦτον ἀπεῖχε τοῦ σκανδαλισθῆναι. εἰ μὲν γὰρ διὰ τὴν εἰς ἑαυτοὺς τιμὴν τοῦτο ἔπραττον, εἰκότως· εἰ δὲ διὰ τὴν αὐτοῦ σωτηρίαν, καὶ δι' ἓν φιλονεικοῦσιν, ὥστε δεῖξαι τὸν τιμήσαντα αὐτὸν καλῶς βεβουλευμένον, τί ἄτοπον; ὅρα τὴν σύνεσιν Παύλου. οὐ πρότερον ἐπ' ἄλλας ἔρχεται πόλεις,

πειν

γ. τοσοῦτον γίνεται κακόν;

φοβούμενος αὐτὸν, καὶ ἐργαζόμενος δικαιοσύνην, δεκτὸς αὐτῷ ἐστι. Οὐκ ἔστι τὸν χωρὶς προλήψεως ἀκούοντα μὴ πείθεσθαι. ὥσπερ γὰρ εἰ χρυσίον τις ἦν, πρὸς ὃ πάντα ἀποτύπεσθαι ἐχρῆν, οὐ πολλῆς ἔδει σκέψεως, ἀλλὰ τὸν παραμεξοῦντα εὔκολον ἦν λαβεῖν· οὕτω καὶ νῦν. πῶς οὖν οὐ συνορῶσι; πολλὰ ποιεῖ καὶ πρόληψις, καὶ ἀνθρώπιναι αἰτίαι. Τοῦτο δὲ παρ᾽ ἡμῖν, φησὶ, καὶ ἐκεῖνοι λέγουσι. πῶς; μὴ γὰρ ἀπεσχίσμεθα τῆς ἐκκλησίας; μὴ γὰρ αἱρεσιάρχας ἔχομεν; μὴ γὰρ ἀπ᾽ ἀνθρώπων καλούμεθα; μὴ γὰρ προηγούμενος ἡμῶν τίς ἐστιν, ὥσπερ τῷ μὲν Μαρκίων, * τῷ δὲ Μανιχαῖος, τῷ δὲ Ἄρειος, τῷ δὲ ἄλλος τις αἱρέσεως ἀρχηγός; Εἰ δὲ καὶ ἡμεῖς προσηγορίαν τινὸς ἔχομεν, ἀλλ᾽ οὐ τοὺς τῆς αἱρέσεως ἄρξαντας· ἀλλὰ τοὺς προστάντας ἡμῶν καὶ κυβερνήσαντας τὴν ἐκκλησίαν. Οὐκ ἔχομεν διδασκάλους ἐπὶ τῆς γῆς (μὴ γένοιτο) ἵνα ἔχωμεν τὸν ἐν τοῖς οὐρανοῖς. κἀκεῖνοι, φησὶ, τὰ αὐτὰ προβάλλονται. Ἀλλ᾽ ἐφέστηκε τὸ ὄνομα κατηγοροῦν αὐτῶν, καὶ ἐμφράττον τὰ στόματα. πολλοὶ γεγόνασιν Ἕλληνες, καὶ οὐδεὶς ταῦτα ἠρώτησε, καὶ παρὰ φιλοσόφοις ἦν ταῦτα, καὶ οὐδεὶς ἐκωλύθη τῶν τὴν ὀρθὴν αἵρεσιν ἐχόντων. διὰ τί μὴ εἶπον, ὅτι ταῦτα ἐκεῖνοι, ὅτι καὶ οὗτοι κἀκεῖνοι Ἰουδαῖοι· τίνι δεῖ ἡμᾶς πείθεσθαι; ἀλλ᾽ ἐπείσθησαν ὡς ἔδει. Οὐκοῦν καὶ ἡμεῖς πειθώμεθα τοῖς τοῦ Θεοῦ νόμοις, καὶ πάντα πράττωμεν κατὰ τὸ αὐτῷ δοκοῦν, καὶ κατὰ τὴν αὐτοῦ βούλησιν πολιτευσώμεθα, ὡς ἔτι ἐσμὲν ἐν τῷ παρόντι βίῳ, ἵνα μετὰ ἀρετῆς τὸν ἐπίλοιπον χρόνον τῆς ζωῆς ἡμῶν διανύσαντες, τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν ἐπιτυχεῖν δυνησώμεθα, καὶ σὺν τοῖς εὐαρεστήσασιν αὐτῷ τιμῆς ἀξιωθῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ αὐτοῦ τοῦ μονογενοῦς υἱοῦ αὐτοῦ, καὶ τοῦ παναγίου καὶ ζωοποιοῦ πνεύματος, τῆς μιᾶς καὶ ἀληθοῦς θεότητος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

* τῷ δὲ Παῦλος Σαμοσατεύς, χ. σαμοσατεύς

Λογ. λδ. 35 ΠΑΥΛΟΣ ΔΕ ΚΑΙ ΒΑΡΝΑΒΑΣ ΔΙΕΤΡΙΒΟΝ ἐν Ἀντιοχείᾳ, διδάσκοντες καὶ εὐαγγελιζόμενοι μετὰ καὶ ἑτέρων πολλῶν τὸν λόγον τοῦ Κυρίου. 36 Μετὰ δέ τινας ἡμέρας, εἶπε Παῦλος πρὸς Βαρνάβαν, ἐπιστρέψαντες δὴ ἐπισκεψώμεθα τοὺς ἀδελφοὺς ἡμῶν κατὰ πᾶσαν πόλιν, ἐν αἷς κατηγγείλαμεν τὸν λόγον τοῦ Κυρίου, πῶς ἔχουσιν.

ΟΡα πάλιν αὐτῶν τὸ ταπεινὸν, πῶς καὶ ἑτέροις μεταδιδόασι τοῦ λόγου. καὶ ἤδη μὲν τῶν ἀποστόλων τῶν λοιπῶν τὸ ἦθος ἀνέγραψεν ἡμῖν ὁ Λουκᾶς, δεικνὺς ὅτι ὁ μὲν ἁπαλώτερος ἦν καὶ μᾶλλον συγγνωμονικὸς, οὗτος δὲ ἀκριβέστερος καὶ αὐστηρότερος. διάφορα γάρ ἐστι τὰ χαρίσματα. ὅτι δὲ καὶ τοῦτο χάρισμα, δῆλον. ἀλλ᾽ ἐκεῖνο μὲν ἑτέροις ἤθεσιν ἀνθρώπων ἁρμόζει, τοῦτο δὲ ἑτέροις. κἂν μετασκευάσωνται, γέγονεν ἄχρηστον λοιπόν. καὶ δοκεῖ μὲν εἶναι παροξυσμὸς· τὸ δὲ πρᾶγμα οἰκονομία ἐστί. ὥστε γὰρ τοὺς προεστῶτας ἕκαστον τόπους ἀπολαβεῖν, τοῦτο γίνεται. ἄλλως δὲ, καὶ ἔδει πάντας οὐχ ὁμοτίμους εἶναι, ἀλλὰ τὸν μὲν ἄρχειν, τὸν δὲ ἄρχεσθαι· καὶ τοῦτο οἰκονομικόν. Κύπριοι μὲν γὰρ οὐδὲν τοιοῦτον ἐπεδείξαντο, οἱ δὲ ἐν Ἀντιοχείᾳ καὶ οἱ λοιποὶ καὶ ἐκεῖνοι μᾶλλον ἐδέοντο τοῦ ἤθους τοῦ ἁπαλωτέρου· οὗτοι δὲ τούτου.*

37 ° Βαρνάβας δὲ ἐβουλεύσατο συμπαραλαβεῖν καὶ Ἰωάννην τὸν καλούμενον Μάρκον.

38 Παῦλος δὲ ἠξίου τὸν ἀποστάντα ἀπ᾽ αὐτῶν ἀπὸ Παμφυλίας, καὶ μὴ συνελθόντα αὐτοῖς εἰς τὸ ἔργον, μὴ συμπαραλαβεῖν τοῦτον.

39 Ἐγένετο οὖν παροξυσμὸς, ὥστε χωρισθῆναι αὐτοὺς ἀπ᾽ ἀλλήλων, τόν τε Βαρνάβαν παραλαβόντα τὸν Μάρκον ἐκπλεῦσαι εἰς Κύπρον.

* τὸ δὲ πρᾶγμα ... λῶς ἐπιλοφ... φοιτῆς ... χ. ἀποχωρ...

40 Παῦλος

σπουδαῖον εἶναι τὸ δόγμα, τὸ πολλοὺς ὑποκρίνεσθαι καὶ μιμεῖσθαι. οὐ γὰρ ἄν, εἰ μὴ καλὸν ἦν, ὑπεκρίνοντο. καὶ τοῦτο ἤδη ποιήσωμεν φανερόν. τὰ μύρα τὰ εὐώδη ταῦτα ἔχει τοὺς νοθεύοντας αὐτά· οἷον, φύλλον ἄμωμον. ἐπειδὴ γὰρ σπάνιά ἐστι καὶ ἀναγκαῖα, πολλὰ καὶ νόθα ἐστί. οὐδεὶς οὖν ἂν ἕλοιτο ἄλλο τι τῶν εὐτελῶν νοθεῦσαι. ὁ βίος ὁ καθαρὸς πολλοὺς ἔχει τοὺς νοθεύοντας· οὐδεὶς δὲ ἂν ἕλοιτο ὑποκρίνεσθαι τῶν ἐν φαυλότητι, ἀλλὰ τῶν ἐν μοναδικῷ βίῳ.

χ. μοναχῶν

τί οὖν ἂν εἴποιμεν πρὸς τοὺς Ἕλληνας; ἔρχεται Ἕλλην καὶ λέγει, ὅτι βούλομαι γενέσθαι χριστιανός· ἀλλ' οὐκ οἶδα τίνι προσθῶμαι· μάχη παρ' ὑμῖν πολλὴ καὶ στάσις, πολὺς θόρυβος. ποῖον ἕλωμαι δόγμα; τί αἱρήσομαι; ἕκαστος λέγει, ὅτι ἐγὼ ἀληθεύω. τίνι πεισθῶ, μηδὲν ὅλως εἰδὼς ἐν ταῖς γραφαῖς, κἀκεῖνοι τὸ αὐτὸ προβάλλονται; *πάνυ γε τοῦτο ὑπὲρ ἡμῶν.

* τί οὖν

εἰ μὲν γὰρ λογισμοῖς ἐλέγομεν πείθεσθαι, εἰκότως ἐθορυβοῦ· εἰ δὲ ταῖς γραφαῖς λέγομεν πιστεύειν, αὗται δὲ ἁπλαῖ καὶ ἀληθεῖς, εὔκολόν σοι τὸ κρινόμενον. εἴ τις ἐκείναις συμφωνεῖ, οὗτος χριστιανός· εἴ τις μάχεται, οὗτος πόρρω τοῦ κανόνος τούτου. τί οὖν ἂν ἐκεῖνος ἐλθὼν εἴπῃ τοῦτο ἔχειν τὴν γραφήν, σὺ δὲ ἑτέρως λέγῃς, καὶ ἄλλως παρεξηγῆσθε τὰς γραφάς, τὰς διανοίας αὐτῶν ἕλκοντες; σὺ οὖν, εἰπέ μοι, νοῦν οὐκ ἔχεις, οὐδὲ κρίσιν; καὶ πῶς ἂν δυναίμην, φησί, μηδὲ εἰδὼς κρίνειν τὰ ὑμέτερα; μαθητὴς βούλομαι γενέσθαι· σὺ δέ με ἤδη διδάσκαλον ποιεῖς;

χ. μη τί πο μηδὲν

ἂν ταῦτα λέγῃ, τί, φησίν, ἀποκρινώμεθα; πῶς αὐτὸν πείσομεν;

χ. -νώμεθα;

ἐρωτήσωμεν εἰ μὴ σκῆψις ταῦτα καὶ πρόφασις· ἐρωτήσωμεν εἰ κατέγνω τῶν Ἑλλήνων. πάντως ναὶ ἐρεῖ. οὐ γὰρ δὴ μὴ καταγνοὺς ἐπὶ τὰ ἡμέτερα ἥξει. ἐρωτήσωμεν τὰς αἰτίας, δι' ἃς κατέγνω. οὐ γὰρ δὴ ἁπλῶς κατέγνω. εὔδηλον ὅτι ἐρεῖ διὰ τὸ κτίσματα εἶναι, καὶ μὴ εἶναι ἄκτιστον Θεόν.

χ. ὅτι

καλῶς. ἂν οὖν τοῦτο μὲν εὕρῃ παρὰ ταῖς ἄλλαις αἱρέσεσι, τὸ δὲ ἐναντίον παρ' ἡμῖν, ποίου λόγου χρεία; πάντες ὁμολογοῦμεν ὅτι ὁ Χριστὸς Θεός. ἀλλ' ἴδωμεν τίνες μάχονται, καὶ τίνες οὐ μάχονται. ἡμεῖς λέγοντες Θεόν, ἄξια Θεοῦ καὶ φθεγγόμεθα, ὅτι ἐξουσίαν ἔχει, ὅτι οὐκ ἔστι δοῦλος, ὅτι ἐλεύθερος, ὅτι ἀφ' ἑαυτοῦ πάντα ποιεῖ· ἐκεῖνος δὲ τοὐναντίον. πάλιν ἐρωτῶ· εἰ ἰατρὸς μέλλοις μανθάνειν, ἆρα ἁπλῶς καὶ ὡς ἔτυχεν, εἰπέ μοι, τὰ λεγόμενα καταδέχῃ; καίτοι πολλὰ παρ' ἐκείνοις δόγματα. εἰ μὲν οὖν ἁπλῶς ἅπερ ἂν ἀκούσῃς καταδέχῃ, οὐκ ἔστι τοῦτο ἀνδρός· εἰ δὲ κρίσιν ἔχεις καὶ νοῦν, πάντως εἴσῃ τὸ καλόν. υἱὸν λέγομεν ἡμεῖς, καὶ ἐπαληθεύομεν ὃ λέγομεν· ἐκεῖνοι δὲ λέγουσι μέν, οὐχ ὁμολογοῦσι δέ. ἵνα δὲ καὶ σαφέστερον εἴπω, ἐκεῖνοι ἔχουσί τινας ἀφ' ὧν καλοῦνται, αὐτοῦ τοῦ αἱρεσιάρχου δηλονότι τὸ ὄνομα, καὶ ἑκάστη αἵρεσις ὁμοίως· παρ' ἡμῖν δὲ ἀνὴρ μὲν οὐδεὶς ἔδωκεν ἡμῖν ὄνομα, ἡ δὲ πίστις αὐτή.

χ. δηλοῦντες

ἀλλὰ σκῆψις τοῦτο καὶ πρόφασις. διὰ τί γάρ, εἰπέ μοι, ἂν μὲν ἱμάτιον μέλλῃς πρίασθαι, καίτοι ὑφαντικῆς ἄπειρος ὢν τέχνης, οὐ λέγεις ταῦτα τὰ ῥήματα, ὅτι οὐκ οἶδα ἀγοράσαι, ἐμπαίζουσί μοι· ἀλλὰ πάντα ποιεῖς, ὥστε μαθεῖν; κἂν ἄλλο ὁτιοῦν βουληθῇς ὠνήσασθαι, πάντα ποιεῖς πολυπραγμονῶν, ἐνταῦθα δὲ ταῦτα λέγεις· ὥστε ἐπὶ τῷ λόγῳ τούτῳ οὐδὲν ὅλως καταδέξῃ. ἔστω γάρ τις μηδὲν ὅλως δόγμα ἔχων· ἂν κἀκεῖνος λέγῃ, ὃ περὶ τῶν χριστιανῶν σύ, τοσοῦτον πλῆθος ἀνθρώπων ἐστί, καὶ δόγματα ἔχουσι διάφορα, ὁ μὲν Ἕλλην ἐστίν, ὁ δὲ Ἰουδαῖος, ὁ δὲ χριστιανός· οὐδὲ ἓν δεῖ δόγμα καταδέξασθαι (ἀλλήλοις γὰρ πολεμοῦσιν) ἐγὼ μαθητής εἰμι, καὶ κριτὴς οὐ βούλομαι εἶναι. οὐδὲ ἔξω καταγινώσκειν ἑνὸς δόγματος· οὐκέτι σοι αὕτη λοιπὸν ἡ πρόφασις χώραν ἔχει. καθάπερ γὰρ ἴσχυσας τὸ νόθον ἐκβαλεῖν, οὕτως ἰσχύσεις καὶ ἐνταῦθα ἐθέλων δοκιμάσαι τὸ ὑγιές. ὁ μὲν γὰρ μηδενὸς ὅλως δόγματος καταγνούς, εὐκόλως ταῦτα ἐρεῖ· ὁ δὲ καταγνούς, κἂν μηδὲν ἡρημένος ᾖ, ὁδῷ προβαίνων δυνήσεται συνιδεῖν τὸ δέον. μὴ δὴ σκηπτώμεθα, μηδὲ προφασιζώμεθα. πάντα γὰρ ῥᾴδια. βούλει σοι δείξω, ὅτι πρόφασίς ἐστι ταῦτα; τὰ πρακτέα, καὶ τὰ μὴ πρακτέα οἶδας; διὰ τί οὖν τὰ πρακτέα μὴ πράττεις, ἀλλὰ τὰ μὴ πρακτέα; πρᾶξον ἐκεῖνα, καὶ ὀρθῷ λογισμῷ ζήτησον παρὰ τοῦ Θεοῦ, καὶ αὐτός σοι πάντως ἀποκαλύψει. Οὐκ ἔστι προσωπολήπτης, φησίν, ὁ Θεός· ἀλλ' ἐν παντὶ ἔθνει ὁ Πραξ. ι. λε.

φοβούμενος

Digitized by Google

ποι, οἱ καταφρονήσουσιν αὐτῶν· εἰ παραδεδώκασι τὰς ψυχάς, καὶ αὐτοὶ ἀξιόπιστοί εἰσιν. ἀπεστάλκαμεν οὖν, φησί, Ἰούδαν καὶ Σίλαν καὶ αὐτοὺς διὰ λόγου ἀπαγγέλλοντας τὰ αὐτά. ἔδει γὰρ μὴ τὴν ἐπιστολὴν πεμφθῆναι μόνον, ἵνα μὴ λέγωσιν ὅτι συνήρπασαν, ὅτι ἄλλα ἀντ' ἄλλων εἴπομεν. τὸ ἐγκώμιον τὸ περὶ Παῦλον, ἐνέφραξεν αὐτῶν τὰ στόματα. διὰ γὰρ τοῦτο οὔτε Παῦλος ἔρχεται μόνος, οὔτε Βαρνάβας, ἀλλὰ καὶ ἄλλοι ἀπὸ τῆς ἐκκλησίας, ἵνα μὴ ὕποπτος ᾖ, ἐπειδὴ αὐτοὺς ἀντιλαμβάνεσθαι τοῦ δόγματος, οὔτε οἱ ἀπὸ Ἱεροσολύμων μόνοι. δείκνυσι πῶς ἀξιόπιστοί εἰσιν· οὐκ ἐξίστησιν ἑαυτούς, φησίν· οὐχ οὕτω μαγγανεύουσι. διὰ τοῦτο καὶ τό, ἀνθρώποις παραδεδωκόσι τὰς ψυχὰς αὐτῶν ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, προσέθηκε. καὶ τίνος ἕνεκεν εἶπεν, ἔδοξε τῷ ἁγίῳ πνεύματι καὶ ἡμῖν, καίτοι ἤρκει εἰπεῖν τῷ ἁγίῳ πνεύματι; τὸ μὲν [τῷ] ἁγίῳ πνεύματι, ἵνα μὴ νομίσωσιν ἀνθρώπινον εἶναι· τὸ δὲ, ἡμῖν, ἵνα διδαχθῶσιν ὅτι καὶ αὐτοὶ [καὶ] ἀποδέχονται, καίτοι ἐν περιτομῇ ὄντες. μηδὲν πλέον, φησίν, ἐπιτίθεσθαι βάρος ὑμῖν. ταῦτα λέγουσιν, ἐπειδὴ πρὸς ἀνθρώπους ἀσθενεῖς ἔτι ὁ λόγος ἦν καὶ πεφοβημένους αὐτούς. διὰ τοῦτο καὶ τοῦτο πρόσκειται. δείκνυσι δὲ οὐχὶ συγκαταβάσεως ὄντα τὸν λόγον· οὐδὲ ἐπειδὴ ἐφείδοντο αὐτῶν, οὐδὲ ὡς ἀσθενῶν· ἀλλὰ τοὐναντίον. πολλὴ γὰρ καὶ τῶν διδασκάλων αἰδὼς ἦν. ἐκεῖνο γὰρ περιττὸν βάρος ἦν. ὅρα βραχεῖαν ἐπιστολὴν οὐδὲν πλέον ἔχουσαν, οὐδὲ κατασκευάς, οὐδὲ συλλογισμούς, ἀλλ' ἐπίταγμα. πνεύματος γὰρ ἦν νομοθεσία. ἄνω καὶ κάτω βάρος καλοῦσι. καὶ πάλιν, συναγαγόντες τὸ πλῆθος, ἐπέδωκαν τὴν ἐπιστολήν· μετὰ τὴν ἐπιστολὴν καὶ αὐτοὶ παρακαλοῦσι τῷ λόγῳ. ἔδει γὰρ καὶ τοῦτο, ὥστε πάσης ὑποψίας ἀπαλλαγῆναι. καὶ αὐτοί, φησί, προφῆται ὄντες, διὰ λόγου πολλοῦ παρεκάλεσαν τοὺς ἀδελφούς. τὸ ἀξιόπιστον ἐνταῦθα δείκνυσιν. ἐδύνατο μὲν γὰρ καὶ Παῦλος· ἀλλὰ τούτους ἔδει. ποιήσαντες δὲ χρόνον, ἀπελύθησαν μετ' εἰρήνης. οὐκ ἔτι στάσις, οὐκ ἔτι ἀποστροφή. ἐνταῦθά μοι δοκεῖ τὴν δεξιὰν αὐτοὺς εἰληφέναι, καθὼς αὐτός φησι. Δεξιὰς ἔδωκαν ἐμοὶ καὶ Βαρνάβᾳ κοινωνίας. εἶτα λέγει, ὅτι οὐδέν μοι προσανέθεντο. (Γαλ. β. θ.) (χ. ἐνταῦθα) τὴν γὰρ αὐτοῦ γνώμην ἐκύρωσαν, ἐπῄνεσαν αὐτὴν καὶ ἐθαύμασαν. δείκνυσιν ὅτι καὶ ἀπὸ ἀνθρωπίνων λογισμῶν τοῦτο δυνατὸν συνιδεῖν, μήτιγε ἀπὸ πνεύματος μόνον, ὅτι ἡ αὐτὴ ἁμαρτίαν οὐκ εὔκολον διορθωθῆναι. τὰ γὰρ τοιαῦτα οὐ πνεύματος δεῖται. δείκνυσιν ὅτι τὰ ἄλλα οὐκ ἀναγκαῖα, ἀλλὰ περιττά, εἰ ταῦτα ἀναγκαῖα. ἐξ ὧν διατηροῦντες ἑαυτούς, φησιν, εὖ πράξετε. δείκνυσιν, ὅτι οὐδὲν αὐτοῖς λείπει, ἀλλ' ἀρκεῖ τοῦτο. ἠδύνατο μὲν γὰρ καὶ χωρὶς γραμμάτων· ἀλλ' ὥστε νόμον εἶναι ἔγγραφον, ἐπιστέλλουσι. καὶ πάλιν, ὥστε πεισθῆναι τῷ νόμῳ, καὶ ἐκείνοις ἔλεγον. καὶ ἐκεῖνοι τοῦτο ἐποίουν, καὶ μετ' εἰρήνης. μὴ δὴ σκανδαλιζώμεθα ἐπὶ τοῖς αἱρετικοῖς. ὅρα γὰρ ἐν προοιμίοις τοῦ κηρύγματος πόσα σκάνδαλα. οὐ λέγω τὰ παρὰ τῶν ἔξωθεν (ταῦτα γὰρ οὐδὲν ἦν) ἀλλὰ τὰ ἔνδον. οἷον, πρῶτον ὁ Ἀνανίας· ἔπειτα ὁ γογγυσμός· ἔπειτα Σίμων ὁ μάγος· εἶτα οἱ ἐγκαλοῦντες Πέτρῳ διὰ Κορνήλιον· ἔπειτα ὁ λιμός· ἔπειτα αὐτὸ τοῦτο τὸ κεφάλαιον τῶν κακῶν. οὐδὲ γὰρ ἔνι καλοῦ τινος γινομένου μὴ συνυφεστάναι καὶ πονηρόν. μὴ δὴ θορυβώμεθα, εἴ τινες σκανδαλίζονται· ἀλλὰ καὶ ὑπὲρ τούτων εὐχαριστῶμεν τῷ Θεῷ, ὅτι δοκιμωτέρους ἡμᾶς ποιεῖ. οὐ γὰρ δὴ αἱ θλίψεις μόνον, ἀλλὰ καὶ αὐτοὶ οἱ πειρασμοὶ λαμπροτέρους ἡμᾶς ἐργάζονται. ὁ μὲν γὰρ μηδενὸς ὄντος τοῦ πλανῶντος, τῆς ἀληθείας ἐχόμενος, οὐκ ἂν εἴη σφοδρὸς ἐραστὴς τῆς ἀληθείας· ὁ δὲ πολλῶν ἀφελκόντων, οὗτος εὐδόκιμος. τί οὖν; διὰ τοῦτο γίνεται τὰ σκάνδαλα; οὐ λέγω, ὡς τοῦ Θεοῦ ταῦτα ποιοῦντος (μὴ γένοιτο) ἀλλὰ καὶ ὡς ἀπὸ τῆς ἐκείνων πονηρίας εὐεργετοῦντος ἡμᾶς· (χ. τοῦτο) ἐπεὶ αὐτοὺς οὐδέποτε ἐβούλετο γενέσθαι. (Ιωαν. ιζ. κα.) Δὸς αὐτοῖς, φησίν, ἵνα ἓν ὦσιν. ἐπειδὴ δὲ γίνεται τὰ σκάνδαλα, οὐδὲν τούτους βλάπτει, ἀλλὰ καὶ ὠφελεῖ. ὥσπερ οὖν καὶ τοὺς μάρτυρας ἄκοντες ὠφελοῦσιν οἱ ἐπὶ τὸ μαρτύριον ἕλκοντες, οὐ μὴν ὑπὸ τοῦ Θεοῦ ὠθούμενοι πρὸς τοῦτο· οὕτω δὴ καὶ ἐνταῦθα, μὴ ἴδωμεν ὅτι σκανδαλίζονται. τοῦτο αὐτὸ τεκμήριον τοῦ

σπουδαίου

ποι τῶν ἀνθρώπων τὸν Κύριον. εἰ τοίνυν διὰ τοῦτο ἐλύθη ἡ πάλιν, διὰ τὸ ἐξ αὐτῶν, γ. αὐτὸν
δῆλον ὅτι τῆς οἰκοδομῆς τῆς πόλεως αἴτιοι γέγονε, τὸ τὰ ἔθνη κληθῆναι. τίνες εἰσὶν οἱ κατάλοιποι; οἱ ὑπολειπόμενοι τότε. ἀλλ' ὅρα αὐτὸν καὶ τὴν τάξιν φυλάττοντα, καὶ δευτέρους αὐτοὺς εἰσάγοντα. λέγει Κύριος ὁ ποιῶν, φησι, ταῦτα πάντα. οὐ λέγει μόνον, ἀλλὰ καὶ ποιεῖ. ἄρα Θεοῦ ἔργον ἡ κλῆσις τῶν ἐθνῶν. ἄλλο ἦν τὸ ζητούμενον (ὅπερ σαφέστερον καὶ Πέτρος ἔλεγεν) εἰ δεῖ αὐτοὺς περιτέμνεσθαι. τί τοίνυν ταῦτα δημηγορεῖς; οὐ γὰρ διὰ τοῦτο γ. ὃ
ἔλεγον, ὅτι οὐ δεῖ αὐτοὺς δέχεσθαι πιστεύοντας, ἀλλ' ὅτι μετὰ νόμου. καὶ τοῦτο ὁ Πέτρος καλῶς ἐδημηγόρησεν. ἀλλ' ἐπειδὴ τοῦτο ἐθορύβει μάλιστα πάντων τοὺς ἀκροατὰς, καὶ τοῦτο κρατύνει πάλιν. καὶ ὅρα. ὅπερ ἐχρῆν νομοθετηθῆναι ὅτι οὐ δεῖ φυλάττειν τὸν νόμον, ὁ Πέτρος εἰσάγει· τὸ δὲ ἡμερώτερον καὶ παλαιὸν παραδεχθὲν, τοῦτο οὗτός φησι, καὶ ἐνδιατρίβει ἐκείνῳ, ὑπὲρ οὗ οὐδὲν γέγραπται, ἵνα αὐτὴν κρατύνας τὴν διάνοιαν τῶν συγκεχωρημένων, ἀλύπως εἰσαγάγῃ καὶ τοῦτο. διὸ ἐγὼ κρίνω μὴ παρενοχλεῖν τοῖς ἀπὸ τῶν ἐθνῶν ἐπιστρέφουσι· τουτέστι, μὴ ἀνατρέπειν. εἰ γὰρ ὁ Θεὸς ἐκάλεσεν, αὗται δὲ αἱ παρατηρήσεις ἀνατρέπουσι, τῷ Θεῷ πολεμοῦμεν. καὶ καλῶς εἶπε, τοῖς ἀπὸ τῶν ἐθνῶν ἐπιστρέφουσι, δηλῶν καὶ τὴν τοῦ Θεοῦ ἄνωθεν περὶ αὐτοὺς οἰκονομίαν, καὶ τὸ τούτων καταπειθὲς καὶ ἕτοιμον εἰς τὴν κλῆσιν. τί ἐστι, κρίνω ἐγώ; ἀντὶ τοῦ, μετ' ἐξουσίας λέγω τοῦτο εἶναι. ἀλλ' ἐπιστεῖλαι αὐτοῖς τοῦ ἀπέχεσθαί, φησιν, ἀπὸ τῶν ἀλισγημάτων τῶν εἰδώλων, καὶ τῆς πορνείας, καὶ τοῦ πνικτοῦ, καὶ τοῦ αἵματος. αὗται γὰρ εἰ καὶ σωματικαὶ, ἀλλ' ἀναγκαῖαι φυλάττεσθαι, ἐπειδὴ μεγάλα εἰργάζοντο κακά. καὶ ἵνα μή τις ἀντιπενέγκῃ, διὰ τί μὴ καὶ Ἰουδαίοις ταῦτα ἐπιστέλλομεν; ἐπήγαγε λέγων· Μωϋσῆς ἐκ γενεῶν ἀρχαίων κατὰ πόλιν τοὺς κηρύσσοντας ἑαυτὸν ἔχει· τουτέστι, Μωϋσῆς αὐτοῖς διαλέγεται συνεχῶς. τοῦτο γάρ ἐστι τὸ, κατὰ πᾶν σάββατον ἀναγινωσκόμενος. ὅρα πόση ἡ συγκατάβασις. ἔνθα οὐδὲν ἔβλαπτεν, ἐπίστησιν αὐτοῖς διδάσκαλον, καὶ ἐχαρίσατο χάριν οὐδὲν ἐμποδίζουσαν, ἐπιτρέψας Ἰουδαίοις ἀκούειν αὐτοῦ κατὰ πάντα, καὶ ἀπάγων τοὺς ἐξ ἐθνῶν. εἶτα δι' ὧν ἔδοξεν αὐτὸν τιμᾶν καὶ ἐφιστάναι τοῖς ἑαυτοῦ, διὰ τούτων ἀπήγαγε τὰ ἔθνη ἐξ αὐτοῦ. διὰ τί οὖν μὴ παρ' αὐτοῦ μανθάνουσι; διὰ τὴν οἰκείαν ἀπείθειαν. ἐντεῦθεν δείκνυσιν, ὅτι καὶ τούτους οὐδὲν πλέον δεῖ φυλάττειν. εἰ δὲ οὐκ ἐπιστέλλομεν, οὐχ ὡς ὀφειλόντων αὐτῶν πλέον τι φυλάττειν, ἀλλ' ὡς ἐχόντων τὸν λέγοντα. καὶ οὐκ εἶπε, μὴ σκανδαλίζειν αὐτοὺς, μηδὲ καταστρέφειν (ὅπερ Παῦλος λέγει Γαλάταις) ἀλλὰ μὴ παρενοχλεῖν. ὅπερ οὐδὲν δείκνυσιν ὂν τὸ κατόρθωμα, ἀλλ' ἢ μόνον ἐνόχλησιν. οὕτως ἐξέλυσε τὸ πᾶν. καὶ δοκεῖ μὲν καὶ τὸν νόμον τηρεῖν, τὰ ἐξ αὐτοῦ ταῦτα λαβών· ἔλυσε δὲ αὐτὸν τὰ μόνα λαβών. καίτοιγε πολλάκις αὐτοῖς ὑπὲρ τούτων διελέχθη· ἀλλ' ἵνα δόξῃ καὶ τὸν νόμον τιμᾶν, καὶ ταῦτα οὐχ ὡς ἀπὸ Μωϋσέως λέγων, ἀλλ' ὡς ἀπὸ τῶν ἀποστόλων, καὶ ἵνα πολλὰς ποιήσῃ τὰς ἐντολὰς, τὴν μίαν διεῖλε. τοῦτο μάλιστα αὐτοὺς ἀνέπαυσεν. οἰκονομικῶς δὲ γέγονε καὶ ἡ ἀντιλογία, ἵνα μετὰ τὴν ἀντιλογίαν βεβαιότερον ᾖ τὸ δόγμα. τότε ἔδοξε τοῖς ἀποστόλοις, φησὶν, ἄνδρας ἡγουμένους ἐν τοῖς ἀδελφοῖς πέμψαι. οὐ τοὺς τυχόντας, ἀλλὰ τοὺς ἡγουμένους πέμπουσιν ἐκλεξάμενοι. τοῖς κατὰ Ἀντιόχειαν, φησὶ, καὶ Συρίαν καὶ Κιλικίαν, ἔνθα τὸ νόσημα ἐτέχθη. ὅρα μηδὲν φορτικὸν κατ' ἐκείνων λέγοντας, ἀλλ' εἰς ἓν ὁρῶντας μόνον, ὥστε ἀνατρέψαι τὸ γεγενημένον. τοῦτο γὰρ καὶ τοὺς ἐκεῖ στασιάζοντας ὁμολογῆσαι ἐποίει. οὐκ εἶπον, ὅτι οἱ ἀπατεῶνες, οἱ λυμεῶνες, καὶ ὅσα τοιαῦτα· καίτοι ἔνθα ἐχρῆν, ποιεῖ αὐτὸ Παῦλος, ὡς ὅταν λέγῃ· Ω πλήρης παντὸς δόλου· ἐνταῦθα δὲ κατορθωθέντος, οὐκ ἔτι χρεία ἦν. καὶ ὅρα, οὐ τιθέασιν, ὅτι τινὲς ἐξ ἡμῶν ἐκέλευσαν ὑμᾶς τὸν νόμον τηρεῖν· ἀλλ' ἐτάραξαν ὑμᾶς λόγοις ἀνασκευάζοντες. οὐδὲν κυριώτερον τῆς λέξεως. οὐδεὶς οὕτως εἶπε. τὰς ἤδη βεβαιωθείσας ψυχὰς, φησιν, ἀνασκευάζοντες, καθάπερ ἐπὶ οἰκοδομῆς τὰ ὑπ' ἐκείνων γεγενημένα μετατιθέντες. οἷς, φησιν, οὐ διεστειλάμεθα. ἔδοξεν οὖν ἡμῖν γενομένοις ὁμοθυμαδὸν σὺν τοῖς ἀγαπητοῖς. εἰ ἀγαπη-

γ. καὶ Θεοῦ περὶ ἑαυτοὺς κηδεμονίαν τε καὶ φιλανθρωπίαν, καὶ τούτων ἐν τῇ παλαιᾷ προθυμίαν καὶ συλλαβὴν δηλοῖ· καί φησι καλῶς μετ' ἐξουσίας τὸ κρίνω ἐγώ· διὰ τὸ τί φησι καλόν ἐστι·
γ. αὐτὸν
γ. ταῦτα
γ. τοῦτον ἀποτίων·
γ. ἀλλ' ἔδει·
Γαλ. ε.
Πραξ. ιγ.

ζοντες τὰς ψυχὰς ὑμῶν, λέγοντες περιτέμνεσθαι καὶ τηρεῖν τὸν νόμον, οἷς ἡμεῖς οὐ διεστειλάμεθα. Ἀρκοῦσα αὕτη κατηγορία τῆς ἐκείνων περιπετείας, καὶ ἀξία τῆς τῶν ἀποστόλων ἐπιεικείας οὐδὲν μακρότερον εἰρηκότων. [κ. περιτέμνεσθαι καὶ τηρεῖν]

25 Ἔδοξεν ἡμῖν γενομένοις ὁμοθυμαδὸν ἐκλεξαμένους ἄνδρας πέμψαι πρὸς ὑμᾶς, σὺν τοῖς ἀγαπητοῖς ἡμῶν Βαρνάβᾳ καὶ Παύλῳ·

26 Ἀνθρώποις παραδεδωκόσι τὰς ψυχὰς αὐτῶν ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ὥστε δεῖξαι, ὅτι οὐ τυραννικῶς, ὅτι πᾶσι ταῦτα δοκεῖ, ὅτι μετὰ ἐπισκέψεως ταῦτα γράφουσιν, ἐκλεξάμενοι, εἶπεν, ἄνδρας ἐξ ἡμῶν. Εἶτα ἵνα μὴ δόξῃ διαβολὴ εἶναι Παύλου καὶ Βαρνάβα τὸ ἐκείνους ἀποστεῖλαι, ὅρα τὰ ἐγκώμια αὐτῶν. ἀνθρώποις, φησί, παραδεδωκόσι τὰς ψυχὰς αὐτῶν ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. [κ. ἀνδράσι]

27 Ἀπεστάλκαμεν οὖν Ἰούδαν καὶ Σίλαν, καὶ αὐτοὺς διὰ λόγου ἀπαγγέλλοντας τὰ αὐτά.

28 Ἔδοξε γὰρ τῷ ἁγίῳ πνεύματι καὶ ἡμῖν. Ἄρα οὐδὲν ἀνθρώπινον, εἰ πνεύματι ταῦτα δοκεῖ. Μηδὲν πλέον ἐπιτίθεσθαι ὑμῖν βάρος. Πάλιν βάρος τὸν νόμον καλεῖ· εἶτα καὶ ὑπὲρ αὐτῶν τούτων ἀπολογεῖται. Πλὴν τῶν ἐπάναγκες τούτων,

29 Ἀπέχεσθαι εἰδωλοθύτων καὶ πνικτοῦ καὶ πορνείας καὶ αἵματος, ἐξ ὧν διατηροῦντες ἑαυτοὺς, εὖ πράξετε. Ταῦτα ἡ καινὴ οὐ διετάττετο (οὐδαμοῦ γὰρ περὶ τούτων διελέχθη ὁ Χριστός) ἀλλ' ἀπὸ τοῦ νόμου ταῦτα λαμβάνουσι. καὶ πνικτοῦ, φησίν. ἐνταῦθα τοὺς φόνους ἀνεῖργει.

30 Οἱ μὲν οὖν ἀπολυθέντες, ἦλθον εἰς Ἀντιόχειαν, καὶ συναγαγόντες τὸ πλῆθος, ἐπέδωκαν τὴν ἐπιστολήν.

31 Ἀναγνόντες δὲ, ἐχάρησαν ἐπὶ τῇ παρακλήσει. Εἶτα δηλῶν ὅτι κἀκεῖνοι αὐτοὺς παρεκάλεσαν, ἐπήγαγεν·

32 Ἰούδας τε καὶ Σίλας καὶ αὐτοὶ προφῆται ὄντες, διὰ λόγου πολλοῦ παρεκάλεσαν τοὺς ἀδελφοὺς καὶ ἐπεστήριξαν·

33 Ποιήσαντες δὲ χρόνον, ἀπελύθησαν μετ' εἰρήνης ἀπὸ τῶν ἀδελφῶν πρὸς τοὺς ἀποστόλους. Οὐκέτι στάσεις καὶ μάχαι· διὰ καὶ βεβαιώσαντες αὐτοὺς, ἀπῆλθον μετ' εἰρήνης. πρὸς γὰρ Παῦλον φιλονεικότερον διέκειντο. καὶ λοιπὸν Παῦλος διδάσκει. οὕτως οὐδεὶς τῦφος ἦν ἐν τῇ ἐκκλησίᾳ, ἀλλὰ πολλὴ ἡ εὐταξία. καὶ ὅρα, μετὰ Πέτρον Παῦλος φθέγγεται, καὶ οὐδεὶς ἐπιστομίζει· Ἰάκωβος ἀνέχεται, καὶ οὐκ ἀποπηδᾷ. ἐκεῖνος γὰρ ἦν τὴν ἀρχὴν ἐγκεχειρισμένος. οὐδὲν Ἰωάννης ἐνταῦθα, οὐδὲ οἱ ἄλλοι ἀπόστολοι φθέγγονται· ἀλλὰ σιγῶσι, καὶ οὐκ ἀγανακτοῦσιν. οὕτω καθαρὰ δόξης ἦν αὐτῶν ἡ ψυχή. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. μετὰ δὲ τὸ σιγῆσαι αὐτοὺς, φησιν, ἀπεκρίθη Ἰάκωβος, λέγων· Συμεὼν ἐξηγήσατο καθὼς πρῶτον ἐπεσκέψατο ὁ Θεός. ἐξ ἀρχῆς σφοδρότερον μὲν ὁ Πέτρος διελέγετο· οὗτος δὲ ἡμερώτερον. οὕτως ἀεὶ χρὴ τὸν ἐν μεγάλῃ δυναστείᾳ [ποιεῖν] τὰ μὲν φορτικὰ ἑτέροις παραχωρεῖν, αὐτὸν δὲ ἀπὸ τῶν ἡμερωτέρων διαλέγεσθαι. καλῶς εἶπε, Συμεὼν ἐξηγήσατο, ὡς κἀκείνου ἑτέρων λέγειν γνώμην. ὅρα πῶς δείκνυσι παλαιὸν ὂν τοῦτο. λαβεῖν ἐξ ἐθνῶν λαόν, φησι, τῷ ὀνόματι αὐτοῦ. οὐχ ἁπλῶς ἐξελέξατο, ἀλλὰ τῷ ὀνόματι αὐτοῦ, τουτέστι, τῇ δόξῃ αὐτοῦ. οὐκ αἰσχύνεται τὸ ὄνομα αὐτοῦ τῇ προσλήψει τῶν ἐθνῶν, ἀλλὰ δόξαν καλῶν. οὐδὲν γὰρ μείζων δόξα. ἐνταῦθά τι καὶ μέγα αἰνίττεται. ποῖον τοῦτο; ὅτι, φησὶ, περὶ πάντων οὗτοι. μετὰ ταῦτα ἀναστρέψω καὶ ἀνοικοδομήσω, φησί, τὴν σκηνὴν Δαβὶδ τὴν πεπτωκυῖαν. εἴ τις ἀκριβῶς σκοποίη, νῦν τὴν βασιλείαν ἰσταμένην τοῦ Δαβὶδ εὑρήσει. τοῦ ἐκγόνου γὰρ αὐτοῦ βασιλεύοντος, πανταχοῦ ἕστηκεν αὕτη. τί γὰρ ὄφελος τῶν οἰκημάτων καὶ τῆς πόλεως, τῶν ὑπακουόντων οὐκ ὄντων; ποῖον δὲ βλάβος ἐκ τῆς καθαιρέσεως τῆς πόλεως, πάντων καὶ τὰς ψυχὰς βουλομένων ἐπιδοῦναι; ὥστε οὐ μόνον ἕστηκεν, ἀλλὰ καὶ λαμπροτέρα πάντων γέγονε. πανταχοῦ γὰρ νῦν τῆς οἰκουμένης ᾄδεται. ἐκεῖνο διέβη· οὐκοῦν καὶ τοῦτο ἐκβῆναι δεῖ. εἰπὼν δὲ, καὶ ἀνοικοδομήσω, ἐπάγει καὶ τὴν αἰτίαν τοῦ διὰ τί, λέγων· ὅπως ἐκζητήσωσιν οἱ κατάλοι-

[κ. ἵνα] [κ. ὑποπηδᾷ] [κ. ἐγκεχειρισμένος] [κ. γὰρ] [κ. φαίνεσθαι καὶ γνώμην] [κ. ἀλλὰ καὶ μείζων ἡ δόξα]

ποι

Λογ. λγ. 13 ΜΕΤΑ ΔΕ ΤΟ ΣΙΓΗΣΑΙ ΑΥΤΟΥΣ, ΑΠΕ-
κρίθη Ἰάκωβος, λέγων· ἄνδρες ἀδελφοὶ, ἀκούσατέ μου· 14 Συμεὼν
ἐξηγήσατο καθὼς πρῶτον ὁ Θεὸς ἐπεσκέψατο λαβεῖν ἐξ ἐθνῶν λαὸν τῷ
ὀνόματι αὐτοῦ· 15 Καὶ τούτῳ συμφωνοῦσιν οἱ λόγοι τῶν προφητῶν.

Ἐπίσκοπος ἦν τῆς ἐν Ἱεροσολύμοις ἐκκλησίας * οὗτος. διὸ καὶ ὕστερος λέγει, καὶ τὸ, Ἐπὶ στόματος δύο ἢ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα, ἐν τούτῳ πληροῦται. (Δευτ. ιζ. ς.) ὅρα δὲ καὶ τούτου τὴν σύνεσιν, ἀπὸ τοῦ νέου, ἀπὸ τῶν παλαιῶν προφητῶν βεβαιουμένου τὸν λόγον. οὐ γὰρ εἶχέ τι πρᾶγμα δεῖξαι, καθάπερ Πέτρος, καθάπερ Παῦλος. καὶ καλῶς οἰκονομεῖται δι' ἐκείνων ταῦτα λεχθῆναι, τῶν οὐ μελλόντων ἐγχωριάζειν τοῖς Ἱεροσολύμοις, τουτέστι τὸν διδάσκοντα αὐτοὺς μὴ εἶναι ὑπευθύνους, μηδὲ μὴν ἀπέχεσθαι τῆς γνώμης. καὶ τί φησιν; ἄνδρες ἀδελφοὶ, ἀκούσατέ μου· Συμεὼν ἐξηγήσατο. τινὲς τοῦτον εἶναί φασι τὸν ὑπὸ τοῦ Λουκᾶ εἰρημένον· ἄλλοι δὲ ἕτερον ὁμώνυμον τούτῳ. εἴτε δὲ οὗτος, εἴτε ἐκεῖνός ἐστιν, οὐκ ἀκριβολογεῖσθαι χρή· ἀλλὰ μόνον ὡς ἀναγκαῖα δέξασθαι ἃ ἐξηγήσατο. ἄνδρες, φησὶν, ἀδελφοί. πολλὴ ἡ ἐπιείκεια τοῦ ἀνδρὸς, καὶ τελειοτέρα αὐτὴ ἡ δημηγορία, ὅπου γε καὶ τέλος ἐπιτίθησι τοῖς πράγμασι. καθὼς πρῶτον ὁ Θεὸς ἐπεσκέψατο λαβεῖν ἐξ ἐθνῶν λαὸν τῷ ὀνόματι αὐτοῦ, καὶ τούτῳ συμφωνοῦσιν οἱ λόγοι τῶν προφητῶν. ἐπειδὴ ἐκεῖνος ἀπὸ μὲν τοῦ χρόνου δῆλος ἦν, τὸ δὲ ἀξιόπιστον οὐκ εἶχε διὰ τὸ μὴ παλαιὸς εἶναι, ἐπάγει καὶ παλαιὰν προφητείαν, λέγων· Καθὼς γέγραπται.

16 Μετὰ ταῦτα ἀναστρέψω καὶ ἀνοικοδομήσω τὴν σκηνὴν Δαβὶδ τὴν πεπτωκυῖαν, Αμ. θ. ια.
καὶ τὰ κατεσκαμμένα αὐτῆς ἀνοικοδομήσω, καὶ ἀνορθώσω αὐτήν,
17 Ὅπως ἂν ἐκζητήσωσιν οἱ κατάλοιποι τῶν ἀνθρώπων τὸν Κύριον, καὶ πάντα τὰ ἔθνη, ἐφ'
οὓς ἐπικέκληται τὸ ὄνομά μου ἐπ' αὐτοὺς, λέγει Κύριος ὁ ποιῶν ταῦτα πάντα. Τί οὖν; ἠ-
γέρθη τὰ Ἱεροσόλυμα, ἀλλ' οὐχὶ κατεσκάφη μᾶλλον; ἀλλ' οὐ περὶ τούτων αὐτῷ εἴρηται ταῦ-
τα. καὶ ποίαν, φησὶ, λέγει ἔγερσιν; τὴν μετὰ Βαβυλῶνα.
18 Γνωστὰ ἀπ' αἰῶνός ἐστι τῷ Θεῷ πάντα τὰ ἔργα αὐτοῦ. Εἶτα τὸ ἀξιόπιστον τοῦ λό-
γου, ὅτι οὐδὲν καινὸν, ἀλλ' ἐξ ἀρχῆς ταῦτα προετετύπωτο. καὶ τὸ ἀξίωμα πάλιν.
19 Διὸ ἐγὼ κρίνω μὴ παρενοχλεῖν * τοῖς ἀπὸ τῶν ἐθνῶν ἐπιστρέφουσιν ἐπὶ τὸν Θεὸν,
20 Ἀλλ' ἐπιστεῖλαι αὐτοῖς τοῦ ἀπέχεσθαι ἀπὸ τῶν ἀλισγημάτων τῶν εἰδώλων, καὶ τῆς πορ-
νείας, καὶ τοῦ πνικτοῦ, καὶ τοῦ αἵματος.
21 Μωϋσῆς γὰρ ἐκ γενεῶν ἀρχαίων κατὰ πόλιν τοὺς κηρύσσοντας αὐτὸν ἔχει, ἐν ταῖς συναγωγαῖς
κατὰ πᾶν σάββατον ἀναγινωσκόμενος. Ἐπειδὴ οὐκ ἦσαν ἀκηκοότες τοῦ νόμου, εἰκότως ταῦ-
τα ἐπιτάττει ἀπὸ τοῦ νόμου, ἵνα μὴ δόξῃ ἀκυροῦν αὐτόν. καὶ ὅρα πῶς οὐκ ἀφίησιν αὐτοὺς ἀπὸ
τοῦ νόμου ταῦτα ἀκούειν, ἀλλὰ παρ' ἑαυτοῦ, εἰπών· κρίνω ἐγώ· τουτέστιν, ἐξ ἐμαυτοῦ, οὐχὶ παρὰ
τοῦ νόμου ἀκούσας. Εἶτα λοιπὸν κοινὸν τὸ δόγμα γίνεται.
22 Τότε δὲ ἔδοξε τοῖς ἀποστόλοις καὶ πρεσβυτέροις σὺν ὅλῃ τῇ ἐκκλησίᾳ ἐκλεξαμένους
ἄνδρας ἐξ αὐτῶν πέμψαι εἰς Ἀντιόχειαν σὺν Παύλῳ καὶ Βαρνάβᾳ, Ἰούδαν τὸν ἐπικαλού-
μενον Βαρσαββᾶν καὶ Σίλαν, ἄνδρας ἡγουμένους ἐν τοῖς ἀδελφοῖς, 23 Γράψαντες διὰ
χειρὸς αὐτῶν τάδε. Ὅρα αὐτοὺς οὐχ ἁπλῶς ταῦτα νομοθετοῦντας. ὥστε δὲ ἀξιόπιστον γε-
νέσθαι τὸ δόγμα, πέμπουσι τοὺς παρ' αὐτῶν, καὶ ἵνα ἀνύποπτοι ὦσιν οἱ περὶ Παῦλον λοιπόν. καὶ ὅρα
πῶς φορτικῶς ἐκείνους διαβάλλοντες ἐπιστέλλουσιν. Οἱ ἀπόστολοι καὶ οἱ πρεσβύτεροι καὶ οἱ
ἀδελφοὶ, τοῖς κατὰ τὴν Ἀντιόχειαν καὶ Συρίαν καὶ Κιλικίαν ἀδελφοῖς τοῖς ἐξ ἐθνῶν χαίρειν.
24 Ἐπειδὴ ἠκούσαμεν ὅτι τινὲς ἐξ ἡμῶν ἐξελθόντες ἐτάραξαν ὑμᾶς λόγοις, ἀνασκευά-

* πάλιν



Digitized by Google

μεθόδῳ διαλεγώμεθα νῦν, οὐχ ὑγιεινῇ πραγματείᾳ. πῶς οὖν ἄν τις τὸ κακὸν τοῦτο ἐκκόψειε πάθος; πῶς τὸν σφοδρὸν ἀποσβέσειε πυρετόν; ἴδωμεν πόθεν ἐτέχθη, (χ. ἀποσκε-λίσειε) καὶ τὴν αἰτίαν ἀνέλωμεν. πόθεν τίκτεσθαι εἴωθεν; ἐξ ἀλαζονείας καὶ ἀπονοίας πολλῆς. ταύτην οὖν ἀνέλωμεν τὴν αἰτίαν, καὶ συνανῄρηται καὶ τὸ νόσημα. τί δὲ ἡ ἀλαζονεία; πόθεν τίκτεται; τάχα γὰρ πάλιν ἐφ' ἑτέραν ἀρχὴν κινδυνεύομεν ἀνελθεῖν. οὐκοῦν (ἵν' ὁ λόγος ἐφηγῆται), ταύτην βαδίζωμεν, ὅπως κάτωθεν καὶ πρόῤῥιζον διασπάσωμεν τὸ κακόν. πόθεν οὖν ἡ ἀλαζονεία; ἐκ τοῦ μὴ ἐπισκέπτεσθαι τὰ ἡμέτερα· ἀλλ' ὑπὲρ μὲν φύσεως γῆς, καίτοι οὐκ ὄντες γεωργοί, πολυπραγμονοῦμεν, καὶ ὑπὲρ φύσεως φυτῶν, καὶ ὑπὲρ φύσεως χρυσοῦ, καίτοι οὐκ ὄντες ἔμποροι, καὶ ὑπὲρ ἱματίων, καὶ ὑπὲρ πάντων· ὑπὲρ δὲ ἡμῶν καὶ τῆς ἡμετέρας φύσεως μηδέποτε ἀνέχεσθαι τοῦτο ποιεῖν. καὶ τίς ἀγνοεῖ, φησί, τὴν οἰκείαν φύσιν; πολλοί, τάχα δὲ πάντες, πλὴν ὀλίγων. καὶ εἰ βούλεσθε, αὐτόθεν ποιήσω τὸν ἔλεγχον. εἰπὲ γάρ μοι, τί ποτέ ἐστιν ἄνθρωπος; εἴ τις ἐρωτηθείη, πῇ τῶν ἀλόγων διέστηκε; (χ. τίνι) πῶς συγγενής ἐστι τῶν ἐν οὐρανῷ; τί δύναται ἐξ ἀνθρώπου γενέσθαι; μὴ δυνήσεται ἐξ εὐθείας ἀποκρίνασθαι; οὐκ ἔγωγε οἶμαι. καθάπερ γὰρ ἐπὶ ὕλης τινός, οὕτω καὶ ἐπὶ ἀνθρώπου, τὸ μὲν ὑποκείμενον, ἄνθρωπος· δύναται δὲ γενέσθαι καὶ ἄγγελος καὶ θηρίον. ἆρα οὐ δοκεῖ ξένος εἶναι ὁ λόγος οὗτος; καίτοι πολλάκις αὐτὸν ἐν ταῖς γραφαῖς ἠκούσατε. περὶ μὲν γάρ τινων ἀνθρώπων ἐλέγετο, (Μαλ. β. ζ.) Ὁ ἄγγελος Κυρίου ἐστί· καί, Ἐκ χειλέων αὐτοῦ, φησί, ζητήσουσι κρίσιν· καὶ (Μαλ. γ. α.) πάλιν, Ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου· περὶ δέ τινων, (Ματθ. ις. λγ.) Ὄφεις, γεννήματα ἐχιδνῶν. λοιπὸν δὴ παρὰ σοῦ γεννηθέντος τὸ πᾶν· δύναται γενέσθαι καὶ ἄγγελος, καὶ ἄνθρωπος. τί (χ. θεὸς) (χ. ἄνθρωπος;) λέγω ἀγγέλους; καὶ Θεοῦ τέκνα. (Ψαλ. πα. ς.) Ἐγὼ γὰρ εἶπα, φησί, θεοί ἐστε καὶ υἱοὶ ὑψίστου πάντες. καὶ τὸ δὴ μεῖζον, ὅτι τὸ γενέσθαι καὶ θεοὺς καὶ ἀγγέλους καὶ Θεοῦ τέκνα τὴν ἐξουσίαν αὐτὸς ἐγκεχείρισται, καὶ ἔστιν ἄνθρωπος ἀγγέλου δημιουργός. τάχα ὑμᾶς ἐθορύβησε τὸ ῥῆμα; (Λουκ. κ. λε.) ἀλλ' ἀκούετε τοῦ Χριστοῦ λέγοντος· Ἐν τῇ ἀναστάσει οὔτε γαμοῦσιν, οὔτε γαμίσκονται, ἀλλ' (Ματθ. ιθ. ιγ.) εἰσὶν ὡς ἄγγελοι· καὶ πάλιν, Ὁ δυνάμενος χωρεῖν, χωρείτω. ὅλως δὲ ἡ ἀρετὴ ἀγγέλους ποιεῖ. ταύτης δὲ ἡμεῖς κύριοι. ἄρα ἀγγέλους δυνάμεθα δημιουργεῖν, κἂν μὴ τῇ φύσει, ἀλλὰ τῇ προαιρέσει. ταύτης μὲν γὰρ ἀπούσης, οὐδὲν ὄφελος ἀγγέλοις εἶναι τὴν φύσιν. καὶ δηλοῖ ὁ διάβολος τοῦτο ὢν πρὸ τούτου· ταύτης δὲ παρούσης, οὐδὲν βλάβος ἀνθρώποις εἶναι τὴν φύσιν. καὶ δηλοῖ Ἰωάννης ἄνθρωπος ὤν, καὶ Ἠλίας εἰς τὸν οὐρανὸν ἀνελθών, καὶ πάντες οἱ μέλλοντες ἀπιέναι ἐκεῖ. οὗτοι μὲν γὰρ μετὰ σώματος οὐκ ἐκωλύθησαν τὸν οὐρανὸν οἰκεῖν· ἐκεῖνοι δὲ ἀσώματοι ὄντες, οὐκ ἠδυνήθησαν μεῖναι ἐν οὐρανῷ. μηδεὶς τοίνυν ἀλγείτω, μηδὲ ἀγανακτείτω πρὸς τὴν φύσιν ὡς ἐμποδίζουσαν, ἀλλὰ πρὸς τὴν προαίρεσιν. λέων ἐκεῖνος (α. Πετ. ε. η.) ἐγένετο ἐξ ἀσωμάτου· Ἰδοὺ γάρ, φησίν, ὁ ἐχθρὸς ἡμῶν ὡς λέων ὠρυόμενος περιέρχεται ζητῶν (χ. ὑμῶν) τινα καταπιεῖν· ἡμεῖς ἄγγελοι ἀπὸ σωμάτων. καθάπερ γὰρ εἴ τις ὕλην εὑρὼν πολυτίμων, οὐκ ὢν τεχνίτης, ἂν καταφρονήσῃ ταύτης, μεγάλως ζημιωθήσεται, οἷον ἢ μαργαρίτας, ἢ κόχλον, ἢ ἕτερόν τι τοιοῦτον· οὕτω δὴ καὶ ἡμεῖς, ἐὰν ἀγνοήσωμεν τὴν ἡμετέραν φύσιν, σφόδρα αὐτῆς καταφρονήσομεν· ἂν δὲ γνῶμεν, πολλὴν ἐπιδειξόμεθα σπουδήν, καὶ τὰ μέγιστα καρπωσόμεθα. ἀπὸ γὰρ ταύτης ἱμάτιον γίνεται βασιλικόν, ἀπὸ ταύτης οἰκία γίνεται βασιλική, (Ψαλ. η. ς.) ἀπὸ ταύτης μέλη γίνεται βασιλικά. * μὴ δὴ καταχρησώμεθα εἰς βλάβην τῇ οἰκείᾳ φύσει. (* τοῦτο [illegible]) βραχύ τι παρ' ἀγγέλους ἡμᾶς ἠλάττωσε, τῷ θανάτῳ λέγω· ἀλλὰ καὶ τοῦτο ἀπειλήφαμεν τὸ βραχύ. οὐδὲν οὖν τὸ κωλῦον ἡμᾶς ἀγγέλους γενέσθαι ἐκείνους, ἂν θέλωμεν. θελήσωμεν τοίνυν, θελήσωμεν, καὶ ἐξασκήσαντες ἑαυτοὺς δόξαν ἀναπέμψωμεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.



Digitized by Google

τὴν φιλαρχίαν, καὶ βουλόμενοι περὶ αὐτοὺς ἔχειν τοὺς ἐξ ἐθνῶν. καίτοι καὶ Παῦλος νομομαθὴς ἦν, ἀλλ' οὐκ ἔπασχε τοῦτο. ἐπεὶ δὲ ἐκεῖθεν ἦλθε, καὶ τὸ δόγμα ἀκριβέστερον ἐγένετο. Εἰ γὰρ οἱ ἐν Ἱεροσολύμοις ὄντες οὐδὲν τοιοῦτον ἐπιτάττουσι, πολλῷ μᾶλλον οὗτοι. ὁρᾷς, ὅσοι μὴ φιλαρχοῦσι, χαίρουσιν ἐν τῇ πίστει; οὐ φιλοτιμίας τοίνυν τὰ διηγήματα, οὐδὲ ἐπιδείξεως ἦν, ἀλλὰ ἀπολογίας τοῦ εἰς τὰ ἔθνη κηρύγματος. διὸ καὶ οὐδὲν λέγουσι τῶν εἰς τοὺς Ἰουδαίους συμβεβηκότων. πολλὴ ἡ ἐπιτειχεία τῶν Φαρισαίων, καὶ μετὰ τὴν πίστιν ἔτι νομοθετούντων, καὶ οὐ πειθομένων τοῖς ἀποστόλοις· ἀλλ' ὅρα ἐκείνους, πῶς ἐπιεικῶς καὶ οὐ μετ' αὐθεντίας διαλέγονται. τὰ γὰρ τοιαῦτα ἐπιθυμητὰ καὶ πείθει μᾶλλον. ὁρᾷς οὐδαμοῦ λόγων ἐπίδειξιν, ἀλλὰ τὴν διὰ τῶν πραγμάτων, τὴν διὰ τοῦ πνεύματος; ἀλλ' ὅμως καὶ τοιαῦτα ἔχοντες τεκμήρια, ἔτι ἐπιεικῶς διαλέγονται. καὶ ὅρα· οὐκ ἀπέρχονται διαβάλλοντες τοὺς ἐν Ἀντιοχείᾳ, ἀλλ' ἐκεῖθεν πάλιν λαμβάνουσιν ἀφορμήν. οὕτως ἐμάχετο τὸ φίλαρχον, [ἵν'] καὶ οὐκ εἰδότων τῶν ἀποστόλων ἐμέμφθησαν. ἀλλ' ὅμως οὐδὲν τούτων οὗτοι περιήνεγκαν· ἀλλ' ὅτε ἀπέδειξαν, τότε σφοδρότερον γράφουσι. μέγα γὰρ ἡ ἐπιείκεια πανταχοῦ καλόν. ἐπιείκειαν λέγω, οὐ ψυχρότητα· ἐπιείκειαν, οὐ κολακείαν. πολὺ γὰρ ταῦτα διέστηκεν ἀπ' ἀλλήλων. οὐδὲν ἐτράχυνε Παῦλον, οὐδὲν Πέτρον. ὅταν ἔχῃς ἀποδείξεις, τί ὀργίζῃ; ἢ ἵνα καὶ ταύτας ἀχρήστους ποιήσῃς; οὐκ ἔστι γὰρ ὀργιζόμενον πεῖσαί ποτε.

ΗΘΙΚΟΝ

Καὶ χθὲς περὶ ὀργῆς διελέχθημεν· οὐδὲν δὲ κωλύει καὶ τήμερον. ἡ γὰρ συνέχεια ἴσως ἐργάσεταί τι. καὶ γὰρ φάρμακον τὴν δύναμιν ἔχον ἀφανίσαι τραῦμα, ἂν μὴ συνεχῶς ἐπιτεθῇ, τὸ πᾶν ἀπώλεσε. μὴ δὴ νομιζέτω κατάγνωσιν ὑμῶν εἶναι, τὸ συνεχῶς περὶ τῶν αὐτῶν διαλέγεσθαι. Εἰ γὰρ κατεγνώκειμεν, οὐκ ἂν διελέχθημεν· νῦν δὲ ἐλπίζοντες μεγάλα ἡμᾶς κερδαίνειν, ταῦτα φθεγγόμεθα. Εἴθε γὰρ συνεχῶς περὶ τῶν αὐτῶν ἐλέγομεν· εἴθε μὴ [δὲ] ἦν ἄλλη τις λόγων ὑπόθεσις ἢ φροντίς, ἀλλ' ὅπως τῶν παθῶν κρατήσωμεν τῶν ἡμετέρων. πῶς γὰρ οὐκ ἄτοπον, βασιλεῦσι μὲν ἐν τρυφῇ ζῶσι καὶ τοσαύτῃ τιμῇ μηδένα εἶναι λόγον, μήτε ἐπὶ τραπέζης, μηδὲ ἐν ἄλλῳ μηδενὶ καιρῷ, ἀλλὰ πῶς μόνον τῶν πολεμίων κρατήσαι δεῖ, καὶ διὰ τοῦτο καθ' ἑκάστην ἡμέραν συλλόγους ποιεῖν, καὶ στρατηγοὺς καὶ στρατιώτας καταλέγειν καὶ φόρους ἀπαιτεῖν, καὶ τῶν πολιτικῶν πραγμάτων ταύτας δύο αἰτίας ἀναγκαίας εἶναι ἡγεῖσθαι, ὅπως καὶ τῶν πολεμούντων κρατήσωσι, καὶ τοὺς οἰκείους ἐν εἰρήνῃ καταστήσωσιν· ἡμᾶς δὲ μηδὲ ὄναρ θέλειν τὰ τοιαῦτα διαλέγεσθαι· ἀλλ' ὅπως μὲν ἀγροὺς ὠνησώμεθα, καὶ ὅπως ἀνδράποδα, καὶ ὅπως πλείω τὴν οὐσίαν ποιήσωμεν, καθ' ἑκάστην ἡμέραν διαλεγόμενοι οὐ λαμβάνομεν κόρον· περὶ δὲ τῶν ἐν ἡμῖν πραγμάτων, καὶ τοῦ ὅπως ἡμῶν, οὔτε αὐτοὶ λέγειν βουλόμεθα, οὐδὲ ἑτέρων λεγόντων ἀνεχόμεθα ἀκούειν; περὶ τίνος οὖν, εἰπέ μοι, διαλέγεσθαι βούλει; περὶ ἀέρος; ἀλλὰ ταῦτα μαγείρων* τὰ ῥήματα. ἀλλὰ περὶ χρημάτων; ἀλλὰ ταῦτα καπήλων καὶ ἐμπόρων. ἀλλὰ περὶ κτισμάτων; ἀλλὰ ταῦτα τεκτόνων καὶ οἰκοδόμων. ἀλλὰ περὶ γῆς; ἀλλὰ ταῦτα γεωργῶν. ἡμῖν δὲ οὐδὲν ἕτερόν ἐστιν ἔργον, ἀλλ' ἢ πῶς πλοῦτον περιποιησόμεθα τῇ ψυχῇ. μὴ τοίνυν προσκορὴς ὁ λόγος γινέσθω. διὰ τί γὰρ μηδεὶς ἐγκαλεῖ τῷ ἰατρῷ περὶ ἰατρικῆς ἀεὶ διαλεγομένῳ, μηδὲ τοῖς ἄλλοις τοῖς δημιουργοῖς περὶ τῶν οἰκείων τεχνῶν λέγουσιν; εἰ μὲν γὰρ οὕτως ἡμῖν ἦν κατωρθωμένα τὰ τῶν παθῶν, ὡς μὴ δεῖσθαι ὑπομνήσεως, εἰκότως ἄν τις ἡμῖν ἐνεκάλεσε φιλοτιμίαν καὶ ἐπίδειξιν· μᾶλλον δὲ οὐδὲ οὕτως. Εἰ γὰρ καὶ κατώρθωτο, καὶ οὕτως ἐχρῆν διαλέγεσθαι, ὥστε μὴ διαπεσεῖν*. ἐπεὶ καὶ οἱ ἰατροὶ οὐχὶ νοσοῦσι, ἀλλὰ καὶ ὑγιαίνουσι διαλέγονται, καὶ ἔστιν αὐτοῖς βιβλία τοιαύτης πραγματείας, τοῖς μὲν, ἵνα τῆς νόσου ἀπαλλάξωσι, τοῖς δὲ, ἵνα τὴν ὑγείαν διαφυλάξωσιν. ὥστε εἰ καὶ ὑγιαίνομεν, οὐδὲ οὕτως ἀποστῆναι ἐχρῆν, ἀλλὰ πάντα ποιεῖν ὥστε διατηρηθῆναι τὴν ὑγείαν ἡμῖν. ὅταν δὲ καὶ νοσῶμεν, διπλῆ τῶν λόγων ἡ χρεία, μία μὲν, ἀπαλλαγῆναι τῆς νόσου, ἑτέρα δὲ, ἀπαλλαγέντας μὴ περιπεσεῖν πάλιν. οὐκοῦν τῇ θεραπευτικῇ

χ. ἀπεγνώκειμεν

χ. ὑμῖν

* καὶ καπήλων

χ. ἦν πως

* καὶ μόνον [illegible]

χ. ἀπαλλαγῶσι

Ἀπὸ τῆς πίστεως μόνης, φησί, τὴν αὐτὴν ἔτυχον. κἀκείνων ταῦτα ἐντρεπτικὰ μᾶλλον δὲ καὶ ἐκείνους διδάξαι δυνάμενα, ὅτι πίστεως δεῖ μόνης, καὶ οὐκ ἔργων, οὐδὲ περιτομῆς. οὐ γὰρ δὴ ὑπὲρ τῶν ἐθνῶν ἀπολογούμενοι ταῦτα λέγουσι μόνον, ἀλλὰ κἀκείνους παιδεύοντες ἀποστῆναι τοῦ νόμου. ἀλλὰ πῶς οὔπω λέγουσι τοῦτο.

γρ. παιδευτικά.

10 Νῦν οὖν τί πειράζετε τὸν Θεὸν ἐπιθεῖναι ζυγὸν ἐπὶ τὸν τράχηλον τῶν μαθητῶν, ὃν οὔτε οἱ πατέρες ἡμῶν, οὔτε ἡμεῖς ἰσχύσαμεν βαστάσαι;

11 Ἀλλὰ διὰ τῆς χάριτος τοῦ Κυρίου Ἰησοῦ* πιστεύομεν σωθῆναι, καθ' ὃν τρόπον κἀκεῖνοι.

* Χριστοῦ

Τί ἐστι τό, πειράζετε τὸν Θεόν; τουτέστι, τί ἀπιστεῖτε τῷ Θεῷ, ὡς οὐχ ἰσχύσαντι σῶσαι τῇ πίστει [τοὺς προσερχομένους αὐτῷ;] ἄρα ἀπιστίας ἐστὶ τὸ τὸν νόμον εἰσφέρειν. εἶτα δείκνυσι καὶ αὐτοὺς οὐδὲν ὠφελουμένους, καὶ τὸ πᾶν ἐπὶ τὸν νόμον στρέφει, οὐκ ἐπ' αὐτούς, καὶ τὴν κατηγορίαν ὑποτέμνει). ὃν οὐκ ἰσχύσαμεν ἡμεῖς καὶ οἱ πατέρες ἡμῶν, φησί, βαστάσαι· ἀλλὰ διὰ τῆς χάριτος τοῦ Κυρίου Ἰησοῦ πιστεύομεν σωθῆναι, ὃν τρόπον κἀκεῖνοι. πόσης δυνάμεως γέμει ταῦτα τὰ ῥήματα; ἅπερ ὁ Παῦλος διὰ πολλῶν ἐν τῇ πρὸς Ῥωμαίους εἶπε, ταῦτα

Ῥωμ. δ. β.

καὶ οὗτος. Εἰ γὰρ Ἀβραάμ, φησίν, ἐξ ἔργων ἐδικαιώθη, ἔχει καύχημα, ἀλλ' οὐ πρὸς τὸν Θεόν. ὁρᾷς ὅτι τούτων μᾶλλόν ἐστι τοῦτο παιδευτικόν, ἢ ἀπολογία ὑπὲρ τῶν ἐθνῶν; ἀλλ' εἰ μὲν χωρὶς προφάσεως ταῦτα ἔλεγεν, [ἴσως οὐδαμῶς] ὕποπτος ἦν· ἀρχῆς δὲ λαβόμενος, ἐντεῦθεν λοιπὸν ἀδεῶς φθέγγεται. καὶ ὅρα πανταχοῦ τὰ παρὰ τῶν ἐχθρῶν μετ' αὐτῶν γινόμενα. εἰ μὴ γὰρ ἐκίνησαν ἐκεῖνοι, οὐκ ἂν ταῦτα ἐλέχθη, οὐδ' ἂν τὰ μετὰ ταῦτα. ἐντεῦθεν μανθάνομεν ὅτι εἰ καὶ [μὴ] προσάγεσθαι ἤθελον τὰ ἔθνη, οὐ δεῖ αὐτοὺς περιορᾶν. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. ἐν ὑμῖν, φησίν, ἐξελέξατο, καὶ ἀφ' ἡμερῶν ἀρχαίων. τοῦτο εἶπε, δεικνὺς ὅτι πάλαι, οὐ νῦν. οὐ μικρὸν δὲ τὸ καὶ Ἰουδαίων πιστευόντων τοῦτο ἀποσφαλῆναι. δύο τούτοις ἔλεγε πιστοῦσθαι, τῷ καιρῷ καὶ τῷ τόπῳ. καὶ τό, ἐξελέξατο, καλῶς· ὥσπερ ἐπ' αὐτῶν οὐκ εἶπεν, ἠθέλησεν, ἀλλ', ἐξελέξατο. πόθεν τοῦτο δῆλον; ἀπὸ τοῦ πνεύματος, φησίν. εἶτα δείκνυσιν οὐχὶ χάριτος ἁπλῶς, ἀλλ' ἀρετῆς μαρτύριον αὐτοῖς τοῦτο γινόμενον, [καὶ] οὐδὲν ἔλαττον αὐτοῖς παρέχον. οὐδὲν γάρ, φησί, διέκρινε μεταξὺ ἡμῶν τε καὶ αὐτῶν. ἄρα καρδίας δεῖ πανταχοῦ ζητεῖν. καὶ εὐκαίρως εἶπεν, ὁ καρδιογνώστης Θεὸς ἐμαρτύρησεν αὐτοῖς· ὡς καὶ ἐ-

γρ. παιδευτικὸν ταῦτα ἢ ἀπολογία.

γρ. καὶ τοῦτο οὐ μικρὸν Ἰουδαίων πιστευόντων καὶ τούτων οὐκ ἀποφερόντων, ἐπὶ τῶν τόπων, ἐπὶ τῶν καιρῶν. καὶ τό, ἐξελέξατο, ὥσπερ ἐπ' αὐτῶν οὐκ

γρ. χάριν.

Πραξ. α. κδ.

κεῖ, Σὺ Κύριε καρδιογνῶστα πάντων, ἀνάδειξον. ὅτι γὰρ τοῦτο βούλεται, ὅρα τί ἐπάγει· ὅτι οὐδὲν διέκρινε μεταξὺ ἡμῶν τε καὶ αὐτῶν. ὅτε εἶπεν αὐτῶν τὴν μαρτυρίαν, τότε τὸ μέγα τοῦτο

α. Κορ. ζ. ιθ.

ἐφθέγξατο, ὅπερ Παῦλός φησιν· Οὔτε περιτομή τι ἰσχύει, οὔτε ἀκροβυστία· καί, Ἵνα τοὺς δύο κτίσῃ ἐν ἑαυτῷ. πάντων τούτων τὰ σπέρματα ἐν τῇ Πέτρου δημηγορίᾳ κεῖται. καὶ οὐκ εἶπε τῶν ἐκ περιτομῆς, ἀλλὰ μεταξὺ ἡμῶν, τουτέστι, τῶν ἀποστόλων. εἶτα ἵνα μὴ δόξῃ οὐδεὶς εἶναι τό, οὐδέν, ἐπάγει· πίστει καθαρίσας τὰς καρδίας αὐτῶν, καὶ ἀφαιρεῖ τὴν ὑπόνοιαν διὰ τούτου. ἐξεκάθηρε πρότερον τὸν λόγον, καὶ τότε δείκνυσιν οὐχὶ πονηρὸν τὸν νόμον, ἀλλ' αὐτοὺς ἀσθενεῖς. ὅρα πῶς εἰς φοβερὸν κατέληξεν. οὐδὲν ἀπὸ προφητῶν αὐτοῖς διαλέγεται, ἀλλ' ἀπὸ τῶν παρόντων πραγμάτων, ὧν αὐτοὶ μάρτυρες ἦσαν. εἰκότως καὶ αὐτοὶ λοιπὸν ἐπιμαρτυροῦσι, καὶ τὸν λόγον ἰσχυρότερον ποιοῦσι τοῖς ἤδη γινομένοις. καὶ ὅρα, ἐν τῇ ἐκκλησίᾳ συγχωρεῖ πρότερον ζήτησιν γενέσθαι, καὶ τότε λέγει. ἐπεὶ οὖν οὐκ εἶπε, τῶν ἐκ περιτομῆς, ἀλλά, τῶν ἐθνῶν (τοῦτο γὰρ κατὰ μικρὸν ἐπαγόμενον ἐγίνετο ἰσχυρότερον· ἐκεῖνο δὲ ἦν πειράζοντος, εἰ δυνάμενα καὶ μετὰ νόμον σῶσαι) ὅρα τί ποιεῖ· δείκνυσιν αὐτοὺς ἐν κινδύνῳ, εἴγε ὅπερ οὐκ ἴσχυσεν ὁ νόμος, ἴσχυσεν ἡ πίστις. ταύτης δὲ ἐκπιπτούσης ἀνάγκη αὐτοὺς ἐν ἀπωλείᾳ εἶναι. καὶ οὐκ εἶπεν, ἀπιστεῖτε, ὅπερ ἦν φορτικώτερον, καὶ ταῦτα ἐληλεγμένου τοῦ πράγματος. καί τινες κατελθόντες ἀπὸ τῆς Ἰουδαίας ἐδίδασκον τοὺς ἀδελφούς. ἐν μὲν οὖν τοῖς Ἱεροσολύμοις οὐκ ἦσαν ἐξ ἐθνῶν τινες· ἐν δὲ Ἀντιοχείᾳ εἰκὸς εἶναι. διὰ τοῦτο καὶ ἀπέρχονται καὶ διατρίβουσι χρόνον οὐκ ὀλίγον ἐκεῖ. ἐξανέστησαν δέ τινες τῶν Φαρισαίων, ἐπιτοσοῦτος

γρ. πειράζετε τὸν ἐπὶ ὁδοῦ; ἐξεκάθηρε πρ.

γρ. καὶ ἐκ

γρ. χ.

γρ. διὰ τοῦ κατιέναι ἐπὶ τοσοῦτον

αὐτοῦ υἱοῦ· μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος [illegible] νῦν καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. λϛ. 28 ΔΙΕΤΡΙΒΟΝ ΔΕ ΕΚΕΙ, ΦΗΣΙ, ΧΡΟΝ[ΟΝ ΟΥΚ] ὀλίγον σὺν τοῖς μαθηταῖς.

1 Καί τινες κατελθόντες ἀπὸ τῆς Ἰουδαίας, ἐδίδασκον τοὺς ἀδελφοὺς [illegible] ἐὰν μὴ περιτέμνησθε τῷ ἔθει Μωϋσέως, οὐ δύνασθε σωθῆναι.

χ. διορθώσεως

Ὅρα πανταχοῦ τῆς εἰς τὰ ἔθνη μεταβάσεως ἀναγκαίαν τὴν [illegible] [ἀφ' αὐτῶν] εἰσαγομένην. περὶ τούτου ἐγκαλούμενος ἀπελογήσατο, ἐν τάξει ἀπολογίας τὸ πᾶν εἰπὼν ὅπερ [illegible] λόγοις ἐποίει· ἔπειτα τῶν Ἰουδαίων ἀποσπασθέντων, οὕτω [illegible] ἔθνη. ἐνταῦθα πάλιν ἄλλην ἀμοιβὴν ὁρᾷς φερομένην, οὕτως ἵστησι τὸν νόμον. ἐπεὶ γὰρ ἀπὸ παρὰ τοῦ Θεοῦ διδαχθέντες ἀδιαφόρως διελέγοντο πᾶσι, τοῦτο εἰς ζῆλον ἤγαγε τοὺς ἀπὸ Ἰουδαίων. καὶ οὐκ ἐδίδασκον ἁπλῶς περιτομήν, ἀλλ' ὅτι οὐδὲ σωθῆναι δύνασθε· οὗ τοὐναντίον εὑρήσει τὸν λέγει, ὅτι περιτεμνόμενοι σωθῆναι οὐ δύνασθε. ὁρᾷς συνεχεῖς τοὺς πειρασμούς; ἔνδοθεν, ἔξωθεν. καλῶς δὲ οἰκονομεῖται τοῦτο, Παύλου παρόντος, ἵνα αὐτὸς ᾖ. καὶ οὐκ εἶπεν ὁ Παῦλος· τί γάρ; οὐκ εἰμὶ ἀξιόπιστος ἀπὸ τοσούτων σημείων; ἀλλ' ἐπείσθη δι' ἐκείνους. καὶ ὅρα· μανθάνουσι λοιπὸν πάντες τὰ εἰς τὰ ἔθνη γεγενημένα, καὶ σαλεύονται, καὶ χαίρουσι.

χ. ἔτος
χ. ὁ παραγενόμενος.
χ. γὰρ οἱ κοινὴν αὐτοὶ ἀπὸ π. τ. θ. διδαχθέντες ἀδ. διελέγοντο πᾶσι

2 Γενομένης οὖν στάσεως καὶ ζητήσεως οὐκ ὀλίγης τῷ Παύλῳ καὶ τῷ Βαρνάβᾳ πρὸς αὐτούς, ἔταξαν ἀναβαίνειν τὸν Παῦλον καὶ Βαρνάβαν καί τινας ἄλλους ἐξ αὐτῶν πρὸς τοὺς ἀποστόλους καὶ πρεσβυτέρους εἰς Ἱερουσαλὴμ περὶ τοῦ ζητήματος τούτου.

χ. συζητήσεως

3 Οἱ μὲν οὖν προπεμφθέντες ὑπὸ τῆς ἐκκλησίας, διήρχοντο τὴν Φοινίκην καὶ Σαμάρειαν ἐκδιηγούμενοι τὴν ἐπιστροφὴν τῶν ἐθνῶν, καὶ ἐποίουν χαρὰν μεγάλην πᾶσι τοῖς ἀδελφοῖς.

4 Παραγενόμενοι δὲ εἰς Ἱερουσαλήμ, ἀπεδέχθησαν ὑπὸ τῆς ἐκκλησίας καὶ τῶν ἀποστόλων καὶ τῶν πρεσβυτέρων, ἀνήγγειλάν τε ὅσα ὁ Θεὸς ἐποίησε μετ' αὐτῶν.

Ὅρα πόση οἰκονομία γίνεται.

χ. [illegible]κότων

5 Ἐξανέστησαν δέ τινες τῶν ἀπὸ τῆς αἱρέσεως τῶν Φαρισαίων πεπιστευκότες, λέγοντες ὅτι δεῖ περιτέμνειν αὐτούς, παραγγέλλειν τε τηρεῖν τὸν νόμον Μωϋσέως.

6 Συνήχθησαν δὲ οἱ ἀπόστολοι καὶ οἱ πρεσβύτεροι ἰδεῖν περὶ τοῦ λόγου τούτου.

7 Πολλῆς δὲ συζητήσεως γενομένης, ἀναστὰς Πέτρος εἶπε πρὸς αὐτούς· ἄνδρες ἀδελφοί, ὑμεῖς ἐπίστασθε ὅτι ἀφ' ἡμερῶν ἀρχαίων ὁ Θεὸς ἐν ὑμῖν ἐξελέξατο διὰ τοῦ στόματός μου ἀκοῦσαι τὰ ἔθνη τὸν λόγον τοῦ εὐαγγελίου, καὶ πιστεῦσαι.

χ. ἡμ.

Ὅρα τὸν Πέτρον ἄνωθεν κεχωρισμένον τοῦ πράγματος, καὶ μέχρι τοῦ νῦν Ἰουδαΐζοντα. ὑμεῖς ἐπίστασθε, φησί. [illegible] ἴσως καὶ οἱ ἐγκαλέσαντες αὐτῷ ἐπὶ Κορνηλίῳ πάλαι καὶ εἰσελθόντες μετ' αὐτοῦ. διὰ τοῦτο αὐτοὺς παραγγέλλει μάρτυρας. ἀφ' ἡμερῶν ἀρχαίων ἐν ὑμῖν ὁ Θεὸς ἐξελέξατο. τί ἐστιν, ἐν ὑμῖν; ἤτοι ἐν Παλαιστίνῃ, φησίν, ἢ παρόντων ὑμῶν, διὰ τοῦ στόματός μου. ὅρα πῶς δείκνυσι τὸν Θεὸν δι' αὐτοῦ φθεγγόμενον, καὶ οὐδὲν ἀνθρώπινον.

8 Καὶ ὁ καρδιογνώστης Θεὸς ἐμαρτύρησεν αὐτοῖς. Ἐπὶ τὴν πνευματικὴν ἀνάγει μαρτυρίαν αὐτούς. Δοὺς αὐτοῖς τὸ πνεῦμα τὸ ἅγιον, καθὼς καὶ ἡμῖν.

Ὅρα πῶς πανταχοῦ ἐξισοῖ τὰ ἔθνη.

9 Καὶ οὐδὲν διέκρινε μεταξὺ ἡμῶν τε καὶ αὐτῶν, τῇ πίστει καθαρίσας τὰς καρδίας αὐτῶν.

Ἀπὸ

Digitized by Google

γόμεν· οὕτω καὶ ἀπὸ τῶν ὀργιζομένων. τί ποιοῦντες; κἂν ἐπιβαλώμεθα αὐτῶν τῷ ἐμέτῳ, σιγῶντες τοὺς κύνας καλῶμεν, ὥστε αὐτὰ καταφαγεῖν τὰ ἐμεθέντα. οἶδα ὅτι ναυτιᾶτε ἀκούοντες· ἀλλ' ὅταν ὁρᾶτε ταῦτα γινόμενα, βούλομαι τοῦτο παθεῖν ὑμᾶς, ἀλλὰ μὴ ἥδεσθαι τῷ πράγματι. ἀκαθαρτότερος ὁ ὑβριστὴς τοῦ κυνὸς τοῦ ἐπιστρέφοντος ἐπὶ τὸν ἴδιον ἔμετον. εἰ μὲν γὰρ ἅπαξ ἐμέσας ἐπαύετο, οὐκ ἦν κατ' ἐκεῖνον· εἰ δὲ πάλιν τὰ αὐτὰ ἐμεῖ, δῆλον ὅτι ταῦτα καὶ φαγών. τί οὖν βδελυκτότερον τοῦ τοιούτου; τί δὲ ἀκαθαρτότερον ἐκείνου τοῦ στόματος, τοῦ τοιαύτας διαμασωμένου τροφάς; καίτοιγε τοῦτο φύσεως ἔργον ἐστίν, ἐκεῖνο δὲ οὐχί· μᾶλλον δὲ καὶ τοῦτο παρὰ φύσιν, κἀκεῖνο. πῶς; οὐ γὰρ κατὰ φύσιν τὸ ὑβρίζειν εἰκῇ, ἀλλὰ παρὰ φύσιν. οὐδεὶς γοῦν ὡς ἄνθρωπος φθέγγεται, ἀλλὰ τὰ μὲν ὡς θηρίον, τὰ δὲ ὡς μαινόμενος. ὥσπερ οὖν ἡ τῶν σωμάτων νόσος παρὰ φύσιν, οὕτω καὶ τοῦτο. καὶ ὅτι παρὰ φύσιν ἐστίν, εἰ ἐγχρονίσει ἐν αὐτῷ, ἀπόλλυται κατὰ μικρόν· ἐν δὲ τῷ κατὰ φύσιν ἐγχρονίζων, οὐκ ἀπόλλυται. ἑλοίμην ἂν ἀνθρώπῳ βορβόρῳ σιτουμένῳ κοινωνῆσαι τραπέζης, ἢ φθεγγομένῳ τοιαῦτα. οὐχ ὁρᾶτε τοὺς χοίρους κόπρον διαμασωμένους; οὕτω καὶ οὗτοι. τί γὰρ δυσωδέστερον τῶν ῥημάτων, ὧν οἱ ὑβρισταὶ φθέγγονται; σπουδὴ τούτοις ἐστὶ μηδὲν εἰπεῖν ὑγιές, μηδὲν καθαρόν· ἀλλ' εἴ τι αἰσχρόν, εἴ τι ἄσημον, τοῦτο καὶ ποιῆσαι καὶ φθέγξασθαι. τὸ δὲ δὴ χαλεπώτερον, ὅτι ἑαυτοὺς μᾶλλον αἰσχύνοντες, ἑτέρους αἰσχύνειν οἴονται. ὅτι γὰρ ἑαυτοὺς αἰσχύνουσι, δῆλον ἐκεῖθεν. μὴ γάρ μοι τοὺς ψευδῆ λέγοντας εἴπῃς· ἀλλ' ἔστω τις πόρνη περιφανής, ἢ καὶ ἀπὸ τῆς σκηνῆς ἑτέρα, καὶ ποιείτω μετά τινος μάχην· εἶτα ἐκεῖνος αὐτῇ ταῦτα προφερέτω, κἀκεῖνος πάλιν ὁμοίως· τίς μᾶλλόν ἐστιν ὁ ὑβρισθεὶς τοῖς ῥήμασιν; ἐκεῖνος μὲν γὰρ ἅπερ εἶχεν ἤκουσεν· οὗτος δέ, ἅπερ οὐκ εἶχεν. ὥστε ἐκείνῳ μὲν οὐδὲν πλέον γέγονεν εἰς αἰσχύνης λόγον· τούτῳ δὲ πολλὴ τῆς ἀσχημοσύνης ἡ προσθήκη. ἀλλ' ἔστω τινὰ πάλιν εἰργασμένα πράγματα, καὶ μόνος ὁ ὑβρίζων αὐτὰ γινωσκέτω· εἶτα περὶ τούτου σιγῶν, ἐκπομπευέτω τὴν ὕβριν· καὶ οὕτως οὗτος ὑβρισθήσεται μᾶλλον. πῶς; κῆρυξ γινόμενος κακίας, ἀσυνειδησίας, ἀπίστου δόξαν λαβών· καὶ πάντας εὐθέως ἐγκαλοῦντας ὄψει, καὶ τοιαῦτα πανταχοῦ λέγοντας. εἰ γὰρ δὴ φίλον συνῄδει, φησί, πάντα κενῶσαι ἐχρῆν· καὶ τὸν μὲν ὡς οὐδὲ ἀνθρώπων ὄντα ἀποστρέφονται, μισοῦσι, θηρίον εἶναί φασιν ὠμὸν καὶ ἀπηνές· τούτῳ δὲ συγγινώσκουσι μᾶλλον ἢ ἐκείνῳ. οὐχ οὕτω γὰρ τοὺς τραύματα ἔχοντας μισοῦμεν, ὡς τοὺς ἐκκαλύπτειν αὐτὰ βιαζομένους καὶ δεικνύναι. οὕτω καὶ οὗτοι ὑβρίζουσιν οὐκ ἐκεῖνον μόνον, ἀλλὰ καὶ ἑαυτόν, καὶ τοὺς ἀκούοντας, καὶ τὴν κοινὴν φύσιν τῶν ἀνθρώπων, ἔπληξε τὸν ἀκροατήν, οὐδὲν ἀγαθὸν εἰργάσατο. διὰ τοῦτό φησιν ὁ Παῦλος· Εἴ τις ἀγαθὸς λόγος πρὸς οἰκοδομήν, ἵνα δῷ χάριν τοῖς ἀκούουσιν. εὔφημον κτησώμεθα γλῶτταν, ἵνα ὦμεν ποθεινοὶ καὶ ἐπέραστοι. ἀλλὰ γὰρ εἰς τοῦτο προῆλθε κακίας ἅπαντα, ὥστε ἐφ' οἷς ἐγκαλύπτεσθαι ἔδει, ἐπὶ τούτοις πολλοὺς γαυριᾶν. ἃ γὰρ ἀπειλοῦσιν οἱ πολλοί, τοιαῦτά ἐστιν· οὐ δύνασαι ἐνεγκεῖν τὴν γλωσσαλγίαν μου, φησι. γυναικὸς τὰ ῥήματα, γραὸς μεθυούσης, ἀσχημονούσης, τῶν ὑπ' ἀγορᾶς συρομένων, προαγωγοῦ. οὐδὲν αἰσχρότερον τούτων τῶν ῥημάτων, οὐδὲν ἀνανδρότερον, οὐδὲν γυναικωδέστερον τοῦ ἐν τῇ γλώττῃ τὴν ἰσχὺν ἔχειν, ἐπὶ τῷ λοιδορεῖν μέγα φρονεῖν. καθάπερ οἱ ἐν πομπαῖς, καθάπερ οἱ μῖμοι καὶ παράσιτοι καὶ κόλακες. χοῖροι μᾶλλόν εἰσιν ἢ ἄνθρωποι, ὅσοι ἐπὶ τούτῳ σεμνύνονται. δέον κατορύξαι σαυτόν, δέον, εἰ καί τις ἕτερός σοι ταῦτα ἐμαρτύρει, φεύγειν τὴν μαρτυρίαν ὡς ἐχθρὰν καὶ ἄνανδρον· σὺ δὲ κῆρυξ ὕβρεων γέγονας. ἀλλ' οὐδεὶς τὸν κακῶς ἀκούοντα βλάψαι δυνήσῃ. διό, παρακαλῶ, ἐννοήσαντες ὅση ἡ κακία ἔτι καὶ ἐγκαυχῶνται πολλοί, ἀνανήψωμεν, διορθωσώμεθα τοὺς οὕτω μαινομένους, ἀνέλωμεν ταῦτα ἐκ τῆς πόλεως τὰ συνέδρια, χαλινώσωμεν ἡμῶν τὴν γλῶτταν, πάσης κακηγορίας ἀπαλλάξωμεν, ἵνα δυνηθῶμεν καθαρεύοντες τῶν ἁμαρτημάτων, τὴν ἄνωθεν εὔνοιαν ἐπισπάσασθαι, καὶ τῆς παρὰ τοῦ Θεοῦ φιλανθρωπίας ἀξιωθῆναι, χάριτι καὶ οἰκτιρμοῖς τοῦ μονογενοῦς αὐτοῦ

γ. κεκρυμμένα

Ἐφ. δ. κθ.

κέναι, φησί, πλεῖστα μᾶλλον ἐπιπηδῶσι. διὰ τοῦτο σὺ ἀλγεῖς, ὅτι μᾶλλόν σοι τοὺς μισθοὺς αὔξει; ἀλλ' ἄχρηστος γέγονε, φησί. τοῦτο σημεῖον τῆς ἰδίας μικροψυχίας. ἑτέρους ἄχρηστος γέγονε, ἂν ἀμύνῃ. εἰ ᾔδει ὁ Θεὸς, ὅτι διὰ τὸ μὴ ἀμύνεσθαι ἄχρηστοι γίνονται τῶν ἀδίκων, οὐκ ἂν τοῦτο ἐπέταξεν, ἀλλ' εἶπεν ἄν, ἄμυνον σεαυτόν. ἀλλ' οἶδεν ὅτι οὕτω μᾶλλον ὠφελεῖται. μὴ ἀντινομοθέτει τῷ Θεῷ· ἐκείνῳ πείθου. οὐκ εἶ σὺ ἀγαθώτερος τοῦ ποιήσαντος ἡμᾶς. Εἶπεν, ὑβριζόμενος φέρε· σὺ λέγεις, ἀνθυβρίσω, ἵνα μὴ ἄχρηστος γένωμαι. σὺ δὲ μᾶλλον αὐτοῦ φροντίζεις; πάθους ταῦτα καὶ τραχύτητος τὰ ῥήματα καὶ ἀλαζονείας, καὶ τοῦ ἀντινομοθετεῖν τῷ Θεῷ. Εἰ γὰρ καὶ ἐβλάπτετο, οὐχὶ πείθεσθαι ἐχρῆν; ὅτε ὁ Θεὸς ἢ προσέταξε, μὴ ἀντινομοθετώμεθα ἡμεῖς. Ἀπόκρισις, φησίν, ὑποπίπτουσα, ἀποστρέφει ὀργάς. ἄρα τοῦτο ποιεῖ ὑποπίπτουσα, οὐκ ἐπανισταμένη. Εἰ σὲ ὠφελεῖ, κἀκεῖνον ὠφελεῖ· εἰ δὲ σε βλάπτει τὸν μέλλοντα διορθοῦσθαι ἐκεῖνον, πολλῷ μᾶλλον ἐκεῖνον. Ἰατρὲ, θεράπευσον σεαυτόν. Εἶπε κακῶς; ἐπαίνεσον σύ. ἐλοιδόρησεν; ἐγκωμίασον. ἐπεβούλευσεν; εὐεργέτησον. τοῖς ἐναντίοις αὐτὸν ἀμείβου, εἴ γε ὅλως τῆς ἐκείνου σωτηρίας προνοεῖς, καὶ μὴ σαυτοῦ τὸ πάθος ἐκδικῆσαι θέλεις. καὶ μὴν πολλάκις, φησίν, ἀπολαύσας μακροθυμίας, χείρων γέγονε. τοῦτο οὐ παρὰ σέ, ἀλλὰ παρ' αὐτόν. Βούλει μαθεῖν οἷα ἔπαθεν ὁ Θεός; τὰ θυσιαστήρια αὐτοῦ κατέσκαψαν, τοὺς προφήτας ἀπέκτειναν, καὶ πάντα ἔφερεν. οὐκ ἠδύνατο σκηπτὸν ἀφεῖναι καὶ καταφλέξαι; ἀλλ' ὅτε τοὺς προφήτας ἀπέστειλε καὶ ἀνεῖλον αὐτούς, τότε τὸν υἱὸν ἔπεμψεν· ὅτε μείζονα ἠσέβησαν, τότε μειζόνως εὐηργέτησε. καὶ σὺ ἂν ἴδῃς τραχυνόμενον, τότε μειζόνως εἶξον. μείζονος γὰρ ἡ μανία αὕτη δεῖται παραμυθίας. ὅσῳ ἂν χαλεπώτερον ὑβρίζῃ, τοσούτῳ πλείονος ἐπιεικείας δεῖται· καὶ καθάπερ πυρετὸς ὅταν σφοδρὸν πνεύσῃ, τότε δεῖται τοῦ εἴκοντος· οὕτω καὶ ὁ θυμούμενος. τὸ θηρίον ὅταν μάλιστα ἀγριαίνῃ, τότε φεύγομεν ἅπαντες· οὕτω καὶ τὸν ὀργιζόμενον. μὴ τοιαύτης τῆς τιμῆς ᾖ· ἐπειδὴ δὲ τὸ θηρίον ὑπεξάγομεν, καὶ τοὺς μεγιστᾶνας γοῦν τιμῶμεν, ὅταν ἐκκλίνωμεν; οὐδαμῶς. ἀτιμία τοῦτό ἐστι καὶ ὕβρις· μᾶλλον δὲ οὐκ ἀτιμία, οὐδὲ ὕβρις, ἀλλ' ἔλεος καὶ φιλανθρωπία. οὐχ ὁρᾷς τοὺς ναύτας, ὅταν σφοδρὸν ἐμπνεύσῃ τὸ πνεῦμα, καθαιροῦντας τὰ ἱστία, ὥστε μὴ καταδῦσαι τὸ σκάφος; τοὺς ἵππους ὅταν σπαράττωσι τὸν ἐπιβάτην, συνενδιδόντα καὶ οὐ καθέλκοντα, ἵνα μὴ αὐτομάτως κενώσῃ τὴν δύναμιν; τοῦτο καὶ σὺ ποίησον. πῦρ ἐστιν ὁ θυμός· φλόξ ἐστιν ὀξεῖα δεομένη ὕλης. μὴ παράσχῃς τὴν τροφὴν τῷ πυρί, καὶ ταχέως ἐσβέσθη τὸ κακόν. οὐκ ἰσχύει καθ' ἑαυτὴν ἰσχυρὰ ἡ ὀργή, ἂν μὴ ἕτερος ὁ τρέφων αὐτὴν ᾖ. οὐδεμία σοί ἐστιν ἀπολογία. ἐκεῖνος κατέχεται τῇ μανίᾳ, καὶ οὐκ οἶδε τί ποιεῖ· σὺ θεωρῶν αὐτόν, ὅταν τοῖς αὐτοῖς περιπέσῃς, καὶ μηδὲ ἐξ ἐκείνου σωφρονισθῇς, ποία συγγνώμη; εἰ ἐν συμποσίῳ τις γενόμενος τινὰ ἐν προθύροις ἴδοι μεθύοντα καὶ ἀσχημονοῦντα, εἶτα καὶ αὐτὸς τοῖς ὁμοίοις περιπέσῃ, οὐ πολλῷ μᾶλλον μὲν ἐκείνου μεθύων ἀσυγγνωστος ἂν εἴη; οὕτω καὶ ἐνταῦθα. μὴ νομίζωμεν εἶναι ἀπολογίαν τὸ λέγειν, ὅτι οὐκ ἐγὼ κατῆρξάμην. τοῦτο καθ' ἡμῶν ἐστιν, ὅτι μηδὲ ἐκεῖνον ἰδόντες ἐσωφρονίσθημεν. ὥσπερ ἂν εἴποι τις, οὐκ ἐγὼ ἐφόνευσα πρῶτος. διὰ γὰρ τοῦτο κολάσεως εἶ ἄξιος, ὅτι μηδὲ εἰς τὸ παράδειγμα ἰδὼν ἐπέσχες σαυτόν. Εἰ ἴδοις ἐμμανοῦντα τὸν μεθύοντα, διασπώμενον, διαρρηγνύμενον, τοὺς ὀφθαλμοὺς ἔχοντα διατεταμένους, ἀκαθαρσίας τὴν τράπεζαν πληροῦντα, πάντας αὐτὸν ἀποφεύγοντας· εἶτα τοῖς αὐτοῖς περιπέσῃς, οὐχὶ μᾶλλον ἴσον μισητός; τοιοῦτός ἐστι καὶ ὁ ὀργιζόμενος· μᾶλλον τοῦ ἐμοῦντος διατείνει τὰς φλέβας, πυροῖ τοὺς ὀφθαλμούς, διασπαράττει τὰ σπλάγχνα, ἐμεῖ πολλὰ ῥήματα τῆς τροφῆς ἐκείνης ἀκαθαρτότερα, ἀδιαλείπτως πάντα φθέγγεται, οὐδὲν κατεργασάμενος (οὐ γὰρ ἀφίησιν ὁ θυμός)· ἀλλ' ὥσπερ ἐκεῖ πολλάκις ἀμετρία χυμῶν διενοχλήσασα τὸν στόμαχον, πάντα ἐκένωσεν· οὕτω καὶ ἐνταῦθα ἀμετρία θερμότητος διενοχλήσασα τὴν ψυχήν, οὐκ ἀφίησι σιγᾷν καλόν, ἀλλὰ ῥητὰ καὶ ἄρρητα λέγει, οὐχὶ τοὺς ἀκούοντας, ἀλλ' ἑαυτὸν αἰσχύνων. ὥσπερ οὖν ἀπὸ τῶν ἐμούντων φεύγομεν·

Παροιμ. ιε. α.

Λουκ. δ. κγ.

χ. ἐπίρης

χ. γένωμαι.

χ. δήλη.

χ. στρέφει

χ. εἰς πεδίον ἀγαγόντας καὶ ἐκ αὐτὴν ἕλκοντα τὸν ἐπιβάτην, ἵνα

χ. ὀργιζομένους

χ. κατῆρξα.

χ. ἐξέμεσεν

σαι καὶ πάντα τὰ ἐν αὐτοῖς. μάρτυρας αὐτοὺς λέγει, τοὺς ἐπισταμένους. ὢ τῆς μανίας τῆς Ἰουδαϊκῆς. οὓς δῆμον οὕτω τιμήσαντα τοὺς ἀποστόλους ἐτόλμησαν ἐμβιβάσαι καὶ λιθάσαι Παῦλον. ἔξω δὲ τῆς πόλεως ἔσυρον, τάχα δεδοικότες ἐκείνους. καὶ προσευξάμενοι, φησί, μετὰ νηστειῶν, παρέθεντο αὐτοὺς τῷ Κυρίῳ. καὶ νηστεύειν ἐδίδασκον ἐν τοῖς πειρασμοῖς. οὐκ εἶπον ὅσα αὐτοὶ ἐποίησαν, ἀλλ' ὅσα ὁ Θεὸς μετ' αὐτῶν. ἐμοὶ δοκοῦσι τοὺς πειρασμοὺς λέγειν. οὐχ ἁπλῶς ἦλθον ἐνταῦθα, οὐδὲ διαναπαυσόμενοι· ἀλλ' οἰκονομικῶς ὑπὸ τοῦ πνεύματος ὁδηγούμενοι, ὥστε τὸ κήρυγμα τῶν ἐθνῶν βεβαιωθῆναι. καὶ διὰ τί, φησιν, ἐν Κύπρῳ οὐκ ἐποίησαν πρεσβυτέρους, οὐδὲ ἐν Ἀντιοχείᾳ; ὅτι ἐκείνη μὲν ἔργον ἦν τῶν ἀποστόλων· αὕτη δὲ τῆς Ἀντιοχείας. καὶ ὁ λόγος ἐκράτει. ἐνταῦθα δὲ πολλῆς ἐδέοντο παραμυθίας, καὶ μάλιστα οἱ ἐξ ἐθνῶν, ὀφείλοντες πολλὰ διδάσκεσθαι. ἦλθον διδάσκοντες, ὅτι εἰκότως ἐχειροτονήθησαν ὑπὸ τοῦ πνεύματος. καὶ ὅρα τὸ θερμὸν Παύλου. οὐ σιωπᾶται, εἰ δεῖ λαλῆσαι ἔθνεσιν· ἀλλ' εὐθέως λαλεῖ. διὰ τοῦτο ἔλεγεν· Οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι.

χ. -κῶς ἐπὶ τοῦ

χ. Σαυρέ.

Γαλ. α. ις.

ΗΘΙΚΟΝ. Μέγα ὄντως ἀγαθὸν ἡ θλῖψις, καὶ μεγάλης ψυχῆς ἐστὶ καὶ γενναίας κατόρθωμα. πόσοι μετὰ τοῦτο ἐπίστευσαν, καὶ οὐδεὶς οὕτως ἔλαμψεν; οὕτω προθυμίας ἡμῖν δεῖ πανταχοῦ, πυρώσεως πολλῆς, ψυχῆς πρὸς θάνατον παρατεταγμένης. ἄλλως γὰρ οὐκ ἔνι τῆς βασιλείας τυχεῖν, μὴ σταυρωθέντα. μὴ ἀπατῶμεν ἑαυτούς. εἰ γὰρ ἐν πολέμῳ σωθῆναι οὐ δυνατὸν τρυφῶντα καὶ χρηματιζόμενον καὶ καπηλεύοντα καὶ ῥαθυμοῦντα· πολλῷ μᾶλλον ἐν τῷ πολέμῳ τούτῳ. ἢ οὐκ οἴδατε πόλεμον εἶναι τὸν πάντων πολέμων χαλεπώτατον; Οὐκ ἔστιν ἡμῖν, φησιν, ἡ πάλη πρὸς αἷμα καὶ σάρκα. καὶ ἀριστῶσι, καὶ βαδίζουσι, καὶ λουομένοις πάρεστιν ὁ ἐχθρός. οὐ γὰρ οἶδε καιρὸν ἀνακωχῆς, εἰ μὴ τὸν τοῦ ὕπνου μόνον· πολλάκις δὲ καὶ τότε πολεμεῖ, καὶ λογισμοὺς ἐμβάλλων ἀκαθάρτους, καὶ ἀσελγεστέρους ἀπὸ τῶν ὀνειράτων ἐργαζόμενος. ἡμεῖς δὲ ὡς περὶ μικροῦ τοῦ πράγματος ὄντος, ὑφ' οὗ ἐκεῖνος πολεμεῖ, οὐ νήφομεν, οὐδὲ διανιστάμεθα, οὐδὲ βλέπομεν εἰς τὸ πλῆθος τῶν ἀντικειμένων ἡμῖν δυνάμεων· οὐκ ἐννοοῦμεν, ὅτι τοῦτο αὐτὸ τῆς μεγίστης * δυσπραγίας ἐστίν· ἀλλ' ὑπὸ τοσούτων κυκλούμενοι πολέμων, ὡς ἐν εἰρήνῃ τρυφῶμεν. πῶς εἰπέ μοι, ὧν Παῦλος ἔπαθε, χαλεπώτερά ἐστι παθεῖν νῦν. ἐβάλλοντο αὐτὸν τότε λίθοις ἐκεῖνοι· ἐσὺ ῥήμασι βάλλεσθαι καὶ νῦν λίθων χαλεπωτέροις. τί οὖν δεῖ ποιεῖν; ὅπερ ἐκεῖνος ἐποίησε. τοὺς βάλλοντας γὰρ οὐκ ἐμίσησεν, ἀλλὰ συρέντων αὐτὸν εἰσῆλθε πάλιν εἰς τὴν πόλιν, εὐεργετήσων τοὺς τὰ τοιαῦτα ἠδικηκότας. ἂν ἐνέγκῃς καὶ σὺ τὸν ὑβρίζοντα, τὸν τραχύν, τὸν ἀδίκως σε ἐργασάμενον ταῦτα, ἐλιθάσθης καὶ σύ. μὴ γὰρ εἴπῃς, ὅτι οὐδὲν ἠδίκησα. τί γὰρ Παῦλος ἠδίκησεν, ἵνα λιθασθῇ; βασιλείαν κατήγγελλε, πλάνης ἀπῆγε, τῷ Θεῷ προσῆγε. ταῦτα στεφάνων ἄξια, ταῦτα ἀνακηρύξεως, ταῦτα μυρίων ἀγαθῶν, οὐ λίθων. ἀλλ' ὅμως τἀναντία ἔπασχεν. αὕτη γὰρ ἡ λαμπρὰ νίκη. καὶ ἔσυρον αὐτόν, φησί. καὶ σὲ πολλάκις σύρουσιν· ἀλλὰ μὴ ὀργισθῇς, ἀλλὰ κήρυξον τὸν λόγον διὰ τῆς ἐπιεικείας. ὑβρίζει σε; σίγησον, καὶ εὐλόγησον, εἰ δύνασαι, καὶ οὕτως ἐκήρυξας καὶ σὺ τὸν λόγον. ἐπαίδευσας ἐπιείκειαν, ἐπαίδευσας πραότητα. οἶδα πολλοὺς οὐχ οὕτω τραύμασιν ἀλγοῦντας, ὡς πληγῇ τῇ διὰ ῥημάτων. τοῦτο μὲν γὰρ τὸ τραῦμα τὸ σῶμα δέχεται, ἐκεῖνο δὲ ἡ ψυχή. ἀλλὰ μὴ ἀλγήσωμεν· μᾶλλον δὲ ἀλγήσαντες ἐνέγκωμεν. οὐχ ὁρᾶτε τοὺς πυκτεύοντας, οἳ διαπτερωμένοι τὰς κεφαλάς, τοὺς ὀδόντας ἐνδακόντες, οὕτως ἡμέρως φέρουσι τὰς ἀλγηδόνας; ἐνταῦθα δὲ οὐ χρεία βρύξαι τοὺς ὀδόντας, οὐ χρεία δακεῖν. ἀναμνήσθητι τοῦ δεσπότου τοῦ σοῦ, καὶ τὸ φάρμακον εὐθέως ἐπέθηκας τῇ μνήμῃ. ἀναμνήσθητι Παύλου· ἐννόησον, ὅτι σὺ ἐνίκησας ὁ πληττόμενος, ἐκεῖνος δὲ ἥττηται ὁ πλήξας, καὶ τὸ πᾶν ἴασαι διὰ τούτου. ῥοπή ἐστι, μὴ συναρπαγῇς, καὶ τὸ πᾶν κατώρθωσας εὐθέως· μὴ κινηθῇς, καὶ τὸ πᾶν ἔσβεσας. μεγάλη παραμυθία, τὸ διὰ Χριστὸν τι παθεῖν. οὐ κηρύττεις τὸν λόγον τῆς πίστεως; ἀλλὰ κηρύττεις τὸν λόγον τῆς φιλοσοφίας. ἀλλ' ἴσως ἂν ἴδῃ τὴν ἐπιείκειαν,

Εφ. ς. ιβ.

χ. δὲ (εἰς τοῦτο γὰρ ἥκομεν τῆς ῥαθυμίας καὶ νωθείας) ὡς περὶ μικροῦ πράγματος μαχόμενοι ἐκεῖνος καὶ πολεμοῦντος.

ὑ το ἡμῶν

χ. μὴ συναρπαγῇς, μὴ κινηθῇς

ριμμένοι ἦσαν· μᾶλλον δὲ προσεπίθεντο. προὔλεγον τοίνυν, ἵνα μὴ σκανδαλισθῶσιν. ὥσπερ ἐπίτηδες δὲ τὸ αὐτὸ γίνεται, οὐ παρὰ τῶν ἀποστόλων μόνον, ἀλλὰ καὶ παρὰ τῶν μαθητῶν· ἵνα μάθωσιν ἐκ προοιμίων εὐθέως καὶ τοῦ κηρύγματος τὴν δύναμιν, καὶ ὅτι καὶ αὐτοὺς δεῖ τοιαῦτα πάσχειν, καὶ ἵνα γενναίως στῶσι, μὴ μόνον πρὸς τὰ σημεῖα κεχηνότες, ἀλλὰ πολλῷ μᾶλλον πρὸς τοὺς πειρασμούς. διὰ τοῦτο καὶ αὐτὸς ἔλεγε· Τὸν αὐτὸν ἀγῶνα ἔχοντες, οἷον εἴδετε ἐν ἐμοὶ καὶ ἠκούσατε. (Φιλιπ. α. λ.) διωγμοὶ διωγμοὺς διεδέχοντο· πανταχοῦ πόλεμοι, μάχαι, λιθοβολίαι. ποία προτροπή; πῶς ἔπειθον ἐν προοιμίοις θλίψεις λέγοντες; εἶτα καὶ ἄλλη παραμυθία.

23 Χειροτονήσαντες δὲ αὐτοῖς πρεσβυτέρους κατ' ἐκκλησίαν, προσευξάμενοι μετὰ νηστειῶν, παρέθεντο αὐτοὺς τῷ Κυρίῳ, εἰς ὃν πεπιστεύκεισαν.

Εἶδες θερμότητα Παύλου; προσευξάμενοι, φησὶ, μετὰ νηστειῶν, παρέθεντο αὐτοὺς τῷ Κυρίῳ. ὅρα· μετὰ νηστειῶν αἱ χειροτονίαι. πάλιν νηστεία, τὸ καθάρσιον τῶν ἡμετέρων ψυχῶν.

24 Καὶ διελθόντες τὴν Πισιδίαν, ἦλθον εἰς Παμφυλίαν.

25 Καὶ λαλήσαντες ἐν Πέργῃ τὸν λόγον, κατέβησαν εἰς Ἀττάλειαν.

Ἵνα γὰρ μὴ καταπίπτῃ τὰ φρονήματα τῶν μαθητῶν, ὅτι οἱ νομιζόμενοι θεοὶ τοιαῦτα πάσχουσιν, εἰσῆλθον πρὸς αὐτοὺς καὶ διελέχθησαν. καὶ ὅρα· πρότερον εἰς Δέρβην ἐξέρχεται, διδοὺς αὐτοῖς ἀναπνεῦσαι τοῦ θυμοῦ, καὶ τότε πάλιν εἰς Λύστραν καὶ Ἰκόνιον καὶ Ἀντιόχειαν· θυμουμένοις μὲν αὐτοῖς εἴκων, πεπαυμένοις δὲ ἐπιτιθέμενος. ὁρᾷς ὅτι οὐ πάντα χάριτι, ἀλλὰ καὶ οἰκείᾳ σπουδῇ ἐδιώκουν;

26 Κἀκεῖθεν ἀπέπλευσαν εἰς Ἀντιόχειαν, ὅθεν ἦσαν παραδεδομένοι τῇ χάριτι τοῦ Θεοῦ εἰς τὸ ἔργον, ὃ ἐπλήρωσαν. Διατί πάλιν ἔρχονται εἰς Ἀντιόχειαν; ἵνα ἀπαγγείλωσι τὰ ἐκεῖ γενόμενα. ἄλλως δὲ, καὶ οἰκονομεῖται μέγα πρᾶγμα ἐντεῦθεν. ἔδει γὰρ λοιπὸν μετὰ παρρησίας τοῖς ἔθνεσι κηρύττειν. ἔρχονται οὖν ταῦτα ἀπαγγέλλοντες, ἵνα εἰδέναι ἔχωσι. καὶ οἰκονομεῖται τότε κατελθεῖν τοὺς κωλύοντας τοῖς ἔθνεσιν ὁμιλεῖν, ἵνα λοιπὸν ἀπὸ Ἱεροσολύμων πολλὴν λαβόντες ἄδειαν μετὰ παρρησίας ἀπίωσιν· ἢ καὶ ἄλλως, δείκνυσιν αὐτῶν τὸ ἦθος οὐκ αὔθαδες. ἔργῳ μὲν γὰρ τήν τε παρρησίαν ἐνδεικνύμενοι, ὅτι καὶ χωρὶς ἐκείνων τοῖς ἔθνεσιν ἐκήρυξαν, καὶ τὴν ὑπακοὴν, ὅτι αὐτοῖς ἀναφέρουσιν. οὐ γὰρ ὡς τοσαῦτα κατορθωκότες ἀπενοήθησαν. ὅθεν ἦσαν παραδεδομένοι, φησὶ, τῇ χάριτι τοῦ Θεοῦ. καὶ μὴν τὸ πνεῦμα εἶπεν· [ἀλλὰ τὰ τοῦ πνεύματος οἶδεν ὄντα τοῦ υἱοῦ. μία γὰρ ἐξουσία, ὥσπερ ἡ φύσις καὶ υἱοῦ καὶ πνεύματος μία.]

27 Παραγενόμενοι δὲ καὶ συναγαγόντες τὴν ἐκκλησίαν, ἀπήγγειλαν ὅσα ἐποίησεν ὁ Θεὸς μετ' αὐτῶν, καὶ ὅτι ἤνοιξεν ὁ Θεὸς τοῖς ἔθνεσι θύραν πίστεως.

28 Διέτριβον δὲ ἐκεῖ χρόνον οὐκ ὀλίγον σὺν τοῖς μαθηταῖς. Εἰκότως. μεγάλη γὰρ οὖσα ἡ πόλις ἐδεῖτο διδασκάλων. ἴδωμεν δὲ λοιπὸν ἄνωθεν τὰ εἰρημένα. αὐτῇ τῇ ὄψει κατέπληξαν αὐτοὺς διαρρήξαντες τὰ ἱμάτια. τοῦτο καὶ Ἰησοῦς ὁ τοῦ Ναυῆ ἐποίει ἐπὶ τῇ ἥττῃ τοῦ λαοῦ. (Ιησ. ζ. ς.) μὴ τοίνυν νομίσῃς ἀνάξιον αὐτῶν εἶναι τοῦτο καὶ τῆς εὐσταθείας αὐτῶν. οὐκ ἂν γὰρ ἄλλως ἐπέσχον τὴν τοσαύτην ὁρμὴν, οὐκ ἂν ἄλλως τὴν πυρὰν ἔσβεσαν. ὅταν οὖν τι δέῃ τῶν δεόντων γενέσθαι, μηδὲ ἡμεῖς παραιτώμεθα. εἰ τοίνυν καὶ μετὰ ταῦτα μόλις ἔπεισαν, εἰ μὴ οὕτως εἰργάσαντο, τί οὐκ ἂν ἐγένετο; εἰ γὰρ μὴ οὕτως ἐποίησαν, ἐνομίσθησαν ἄν πως ὑψηλοφρονεῖν καὶ μᾶλλον ἐφίεσθαι τῆς τιμῆς. καὶ ὅρα τὸν λόγον μεμετρημένον ἐν τῇ ἐπιπλήξει, καὶ θαύματος ὁμοῦ γέμοντα καὶ ἐπιπλήξεως. τοῦτο μάλιστα αὐτοὺς ἐκώλυσε, τὸ εἰπεῖν, καὶ ἡμεῖς ὁμοιοπαθεῖς ἐσμεν ὑμῖν ἄνθρωποι, εὐαγγελιζόμενοι ὑμᾶς ἀπὸ τῶν ματαίων τούτων ἐπιστρέφειν ἐπὶ τὸν Θεόν. ὥστε ἔλεγον· ἄνθρωποι μέν ἐσμεν, φησὶ, τούτων δὲ μείζους. ταῦτα γὰρ νεκρά. ὅρα αὐτοὺς οὐκ ἀνατρέποντας μόνον, ἀλλὰ καὶ διδάσκοντας, καὶ οὐδὲν περὶ ἀοράτων φθεγγομένους. ὃς ἐποίησε, φησὶ, τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασ-

σαν

16 Ὃς ἐν ταῖς παρῳχημέναις γενεαῖς εἴασε πάντα τὰ ἔθνη πορεύεσθαι ταῖς ὁδοῖς αὐτῶν. Ὅτι μὲν εἴασε, λέγει· διὰ τί δὲ εἴασεν, οὐκ ἔτι. πῶς γὰρ πρὸς τὸ κατεπεῖγον ἵσταντο, οὐδαμοῦ τοῦ Χριστοῦ τὸ ὄνομα τιθείς.

17 Καίτοιγε οὐκ ἀμάρτυρον ἑαυτὸν ἀφῆκεν ἀγαθοποιῶν, οὐρανόθεν ἡμῖν ὑετοὺς διδοὺς [καὶ καιροὺς] καρποφόρους, ἐμπιπλῶν τροφῆς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν.

Ὅρα, οὐ βούλεται τὴν κατηγορίαν αὐτῶν αὐξῆσαι, ἀλλὰ μᾶλλον ἐπὶ τὸν Θεὸν τὸ πᾶν ἄγει· αὐτοὺς παιδεύει. ἔμαθον γὰρ ὅτι οὐχ οὕτω σπουδάζειν δεῖ ἀξίαν τινὰ εἰπεῖν περὶ Θεοῦ, ὡς τὸ τοῖς ἀκούουσιν ὠφέλιμον. ὅρα πῶς λανθανόντως τὴν κατηγορίαν τίθησι. καὶ μὴν εἰ τοῦτο ἐποίει,* ἔδει κολασθῆναι αὐτοὺς τοσούτων ἀπολαύοντας ἀγαθῶν, καὶ μηδὲ ὡς τροφέα γνωρίσαντας. ἀλλ' οὐ λέγει τοῦτο φανερῶς, ἀλλ' αἰνίττεται, οὐρανόθεν ἡμῖν λέγων, ὑετοὺς διδούς. ὅπερ καὶ ὁ Δαβὶδ ἔλεγεν· Ἀπὸ καρποῦ σίτου καὶ οἴνου καὶ ἐλαίου αὐτῶν ἐπληθύνθησαν. καὶ πολλαχοῦ περὶ δημιουργίας διαλεγόμενος, ταῦτα τίθησιν εἰς μέσον. ἀλλὰ καὶ ὁ Ἱερεμίας δὲ τὴν δημιουργίαν προτίθησιν, εἶτα τὴν πρόνοιαν τὴν διὰ τῶν ὑετῶν φησιν, ὥστε ἐκ πάντων πεπαιδευμένος διαλέγεται. ἐμπιπλῶν, φησι, τροφῆς καὶ εὐφροσύνης. μετὰ φιλοτιμίας ἡ τροφή· οὐ μόνον πρὸς αὐτάρκειαν, οὐδὲ πρὸς τὴν χρείαν.

Ψαλμ. δ' — Ἱερ. ε'. — γρ. ἐκείνους. — * γρ. καὶ εἴασαν. ἄλλ. ...

18 Καὶ ταῦτα λέγοντες, μόλις κατέπαυσαν τοὺς ὄχλους τοῦ μὴ θύειν αὐτοῖς.

Καὶ τοῦτο μάλιστα ἐθαυμάσθησαν. ὁρᾷς ὅτι πρὸς τοῦτο ἵσταντο, ὥστε διατρέψαι τὴν μανίαν ἐκείνην;

19 Ἐπῆλθον δὲ ἀπὸ Ἀντιοχείας καὶ Ἰκονίου Ἰουδαῖοι, καὶ πείσαντες τοὺς ὄχλους, καὶ λιθάσαντες τὸν Παῦλον, ἔσυρον ἔξω τῆς πόλεως, νομίσαντες αὐτὸν τεθνάναι. Οἱ τοῦ διαβόλου τέκνα, οὐκ ἐν ταῖς πόλεσιν [αὐτῶν] μόνον, ἀλλὰ καὶ ἔξω τοῦτο ταῦτα ποιοῦντες, καὶ τοσαύτην ποιούμενοι σπουδὴν καθελεῖν τὸ κήρυγμα, ὅσην οἱ ἀπόστολοι στῆσαι ἐπειγόμενοι. καὶ πείσαντες, φησι, τοὺς ὄχλους, καὶ λιθάσαντες τὸν Παῦλον, ἔσυρον ἔξω τῆς πόλεως. ἐνταῦθα πληροῦται τό, Ἀρκεῖ σοι ἡ χάρις μου. ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. μεῖζον τοῦτο τοῦ τὸν χωλὸν ἐγεῖραι. οἱ μὲν οὖν ἐθνικοί, ὡς θεοὺς ἐνόμιζον· οὗτοι δὲ ἔσυραν πείσαντες τοὺς ὄχλους. οὐδὲ γὰρ πάντας εἰκὸς ἦν θαυμάζειν αὐτούς. καὶ ὅρα, ἐν αὐτῇ τῇ πόλει, ἐν ᾗ οὕτως ἐθαυμάσθησαν, ἐν αὐτῇ τὰ δεινὰ πάσχουσι. καὶ τοῦτο δὲ τοὺς ὁρῶντας ὠφελεῖ. ὅτι δὲ καὶ διὰ τοῦτο συνεχωρεῖτο πάσχειν, ἄκουε τοῦτο αὐτὸ δηλοῦντος καὶ λέγοντος· Ἵνα μὴ εἰς ἐμὲ λογίσηταί τις ὑπὲρ ὃ βλέπει με, ἢ ἀκούει τι ἐξ ἐμοῦ.

β' Κορ. ιβ'. — β' Κορ. ιβ'. — γρ. -ων — γρ. συνεχώρησεν ὁ Θεὸς ταῦτα αὐτὸν πάσχειν, ἄκουε αὐτοῦ φανερῶς

20 Κυκλωσάντων δὲ τῶν μαθητῶν αὐτόν, ἀναστὰς εἰσῆλθεν εἰς τὴν πόλιν.

Ὁρᾷς προθυμίαν; ὁρᾷς πόθον ζέοντα καὶ πεπυρωμένον; εἰς αὐτὴν πάλιν τὴν πόλιν εἰσῆλθεν, ὥστε δειχθῆναι, ὅτι εἴ που καὶ ὑπεχώρει, διὰ τὸ τὸν λόγον βούλεσθαι σπεῖραι, καὶ διὰ τὸ μηδὲ ἐκκαίειν αὐτῶν τὸν θυμόν. ταῦτα τῶν σημείων οὐχ ἧττον καὶ λαμπροτέρους ἐποίει, καὶ μᾶλλον χαίρειν παρεσκεύαζεν. οὐδαμοῦ δὲ λέγει, ὅτι ὑπέστρεψαν χαίροντες, ὅτι σημεῖα ἐποίησαν· ἀλλ', ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ ἀτιμασθῆναι. καὶ τοῦτο γὰρ παρὰ τοῦ Χριστοῦ ἐδιδάχθησαν λέγοντος· Μὴ χαίρετε ὅτι τὰ δαιμόνια ὑμῖν ὑποτάσσεται. ἡ γὰρ ὄντως χαρὰ καὶ εἰλικρινὴς αὕτη ἐστί, τὸ πάσχειν τι διὰ Χριστόν. εἶτα τὰς πόλεις πάσας ἐπήεσαν ἐν αἷς ἐκινδύνευσαν. Καὶ τῇ ἐπαύριον ἐξῆλθε σὺν τῷ Βαρνάβᾳ εἰς Δέρβην·

γρ. κατεπαυσαν καὶ — Λουκ. ι'.

21 Εὐαγγελισάμενοί τε τὴν πόλιν ἐκείνην, καὶ μαθητεύσαντες ἱκανούς, ὑπέστρεψαν εἰς τὴν Λύστραν καὶ Ἰκόνιον καὶ Ἀντιόχειαν,

22 Ἐπιστηρίζοντες τὰς ψυχὰς τῶν μαθητῶν, παρακαλοῦντες ἐμμένειν τῇ πίστει, καὶ ὅτι διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ.

Τοῦτο ἔλεγον, τοῦτο ἐδείκνυον. ἐπιστηρίζοντες, φησι, τὰς ψυχὰς τῶν μαθητῶν· ὥστε ἐστηριγμένοι

ἔνθα δὲ οὐ μέλους ἐπίδειξίς ἐστιν, οὐδὲ φωνῆς, ἀλλὰ νοημάτων καὶ φιλοσοφίας δύναμις, καὶ πάντη ῥᾴδιον εἰπεῖν καὶ ἀπαγγεῖλαι, πῶς οὐκ ἄξιος κατηγορίας ὁ μὴ δυνηθεὶς εἰπεῖν τὴν αἰτίαν, δι᾽ ἣν ἐπῄνεσε τὸν λέγοντα; οὐδὲν οὕτω πρέπον ἐκκλησίᾳ, ὡς σιγὴ, ὡς εὐταξία. θέατροις ἐπιτήδειος ὁ θόρυβος, καὶ βαλανείοις, καὶ πομπαῖς, καὶ ἀγοραῖς· ἔνθα δὲ περὶ τοιούτων δογμάτων ἡ διδασκαλία, γαλήνη καὶ ἡσυχία καὶ φιλοσοφία, καὶ πολὺς ὁ λιμὴν εἶναι ὀφείλει. ταῦτα δέομαι καὶ ἀντιβολῶ πάντας εἰδέναι. περίειμι γὰρ καὶ αὐτὸς τρόπους παντοίους ἐπιζητῶν, δι᾽ ὧν ὠφελῆσαι δυνήσομαι τὰς ὑμετέρας ψυχάς. οὐ μικρὸς δὲ οὗτος ὁ τρόπος εἶναί μοι δοκεῖ· οὐχ ὑμᾶς ὠφελήσει μόνους, ἀλλὰ καὶ ἡμᾶς. οὐκ ἀφήσει ἐκτραχηλίζεσθαι, οὐδὲ ἐπαίνων καὶ δόξης ἐρᾶν, οὐδὲ τὰ τέρποντα λέγειν, ἀλλὰ τὰ ὠφελοῦντα· οὐδὲ περὶ συνθήκας καὶ κάλλη λέξεων, ἀλλὰ περὶ νοημάτων δύναμιν πᾶσαν ἀπασχολεῖν τὴν χρείαν τοῦ ῥήτορος. εἴσελθε εἰς ζωγράφου, καὶ ὄψει πολλὴν ἐκεῖ τὴν σιγήν. οὐκοῦν καὶ ἐνταῦθα. καὶ γὰρ καὶ ἐνταῦθα εἰκόνας γράφομεν βασιλικάς, καὶ οὐδεμίαν ἰδιωτικὴν διὰ τῶν χρωμάτων τῆς ἀρετῆς. τί μοι τοῦτο; πάλιν κροτεῖτε; οὐκ εὔκολον τὸ πρᾶγμα δοκεῖ; καὶ τοῦτο οὐ φύσει ἀλλὰ τῷ συνηθείᾳ πολλῇ μήπω κατορθοῦν αὐτὸ μεμαθηκέναι. γραφὶς τοίνυν ἐστὶν ἡμῖν, γλῶττα· τεχνίτης δὲ τὸ πνεῦμα τὸ ἅγιον. εἰπέ μοι, ἐν τοῖς μυστηρίοις μή τις θόρυβος; μή τις ταραχή; ὅταν βαπτιζώμεθα, ὅταν τὰ ἄλλα πάντα ποιῶμεν, οὐχ ἡσυχία καὶ σιγὴ τὰ πάντα κατεῖχε; τοῦτο ἐν τῷ οὐρανῷ κατέσπαρται τὸ κάλλος. διὰ τοῦτο διαβεβλήμεθα καὶ παρ᾽ Ἕλλησιν, ὡς πρὸς ἐπίδειξιν πάντα ποιοῦντες καὶ πρὸς φιλοτιμίαν. ἀλλ᾽ ἐὰν τοῦτο κωλυθῇ, καὶ τῶν προεδριῶν ὁ ἔρως σβεσθήσεται. ἀρκεῖ, εἴ τις ἐπαίνων ἐρᾷ, τὸ μετὰ τὴν ἀκρόασιν τούτων τυγχάνειν, ὅταν τοὺς καρποὺς συλλέγῃ. ναὶ, παρακαλῶ, κυρώσωμεν τοῦτον τὸν νόμον, ἵνα πάντα κατὰ τὸ τῷ Θεῷ δοκοῦν πράττοντες, τῆς παρ᾽ αὐτοῦ φιλανθρωπίας ἀξιωθῶμεν, χάριτι καὶ οἰκτιρμοῖς τοῦ μονογενοῦς αὐτοῦ, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

χ. πάντες γινωσκέτωσαν.

χ. ἢ δὲ χ. ἰσ. ἡμ. ἡ γλ.

χ. -χὴ καὶ σιγὴ τὰ πάντα κατέχουσι.

χ. ὅταν πάντα συλλ.

Λογ. λα. 14 ΑΚΟΥΣΑΝΤΕΣ ΔΕ ΟΙ ΑΠΟΣΤΟΛΟΙ Βαρνάβας καὶ Παῦλος, διαρρήξαντες τὰ ἱμάτια αὐτῶν, εἰσεπήδησαν εἰς τὸν ὄχλον κράζοντες, 15 Καὶ λέγοντες· ἄνδρες, τί ταῦτα ποιεῖτε; καὶ ἡμεῖς ὁμοιοπαθεῖς ὑμῖν ἐσμεν ἄνθρωποι, εὐαγγελιζόμενοι ὑμᾶς ἀπὸ τούτων τῶν ματαίων ἐπιστρέφειν ἐπὶ τὸν Θεὸν τὸν ζῶντα, ὃς ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς.

χ. ἐξεπ.

Ὅρα πάντα μετὰ σφοδρότητος τοὺς ἀποστόλους ποιοῦντας. διέρρηξαν τὰ ἱμάτια, ἐπήδησαν, ἔκραξαν, πάντα ἀπὸ διαθέσεως ψυχῆς, ἀποστρεφόμενοι τὰ γινόμενα, καὶ πένθους σημεῖα ποιοῦντες. πένθος γὰρ ἦν ὄντως, πένθος ἀπαραμύθητον, εἴ γε ἔμελλον θεοὶ νομίζεσθαι, καὶ εἰδωλολατρείαν εἰσάγειν, ἣν ἦλθον καταλύσοντες. καὶ τοῦτο τοῦ διαβόλου ἦν κατασκεύασμα. τί δὲ οὐχ ἡσυχάζουσιν, ἀλλὰ τί; καὶ ἡμεῖς ὁμοιοπαθεῖς ὑμῖν ἐσμεν, φασὶν, ἄνθρωποι. εὐθέως ἐκ προοιμίων ἀνέτρεψαν τὸ κακόν. οὐκ εἶπον ἁπλῶς, ἄνθρωποι, ἀλλὰ, καθ᾽ ὑμᾶς. εἶτα ἵνα μὴ δόξωσι τιμᾶν τοὺς θεοὺς, ἄκουσον τί ἐπάγουσιν· εὐαγγελιζόμενοι ὑμᾶς ἀπὸ τούτων τῶν ματαίων ἐπιστρέφειν ἐπὶ τὸν Θεὸν τὸν ζῶντα, ὃς ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς. ὅρα οὐδαμοῦ τῶν προφητῶν μνημονεύοντας αὐτούς, οὐδὲ λέγοντας τίνος ἕνεκεν πάντων δημιουργὸς ὢν, τὰ ἔθνη ἀφῆκεν αὐτόνομα;

χ. -φόμενοι τὰ γινόμενα· πένθος

χ. τί οὖν; εἰ πάντων ἐστὶ δημιουργὸς, διὰ τί μὴ καὶ εἰς ταῦτα προνοεῖ; ὃς

διὰ ῥημάτων, διὰ τῶν ἔργων πολεμεῖ τῇ διδασκαλίᾳ. τοῦτο πολλῶν αἴτιον γέγονε κακῶν ἐν ταῖς ἐκκλησίαις. διὰ τοῦτο καὶ σύγγνωτε, παρακαλῶ, τοῦ λόγου χρονίζοντος ἡμῖν ἐν τούτῳ τῷ πάθει. πολλὰ πολλοὶ περιαθλοῦσιν ὑπὲρ τοῦ εἰς μέσον στάντες μακρὸν ἀποτείνειν λόγον. κἂν μὲν κρότου τύχωσι τοῦ ἀπὸ τοῦ πλήθους, γέγονεν αὐτοῖς τοῦτο βασιλείας ἴσον· ἂν δὲ μετὰ σιγῆς τὸν λόγον καταπαύσωσι, γεέννης δήπου μᾶλλον αὐτοῖς χαλεπωτέρα κατέστη τῆς σιγῆς ἡ ἀθυμία. τοῦτο τὰς ἐκκλησίας ἀνέτρεψεν, ὅτι καὶ ὑμεῖς οὐ ζητεῖτε λόγον ἀκοῦσαι κατανυκτικόν, ἀλλὰ τέρψαι δυνάμενον, καὶ τῷ ψόφῳ, καὶ τῇ συνθέσει τῶν ῥημάτων, καθάπερ μελῳδῶν καὶ κιθαριστῶν ἀκούοντες· καὶ ἡμεῖς ψυχρῶς καὶ ταλαιπώρως ποιοῦντες, ταῖς ὑμετέραις ἐπιθυμίαις ἑπόμεθα, δέον ἐκκόπτειν αὐτάς. καὶ ταὐτὸν γίνεται, οἷον ἂν εἴ τις πατὴρ [ψυχροῦ καὶ] πέρα τοῦ δέοντος μαλθακοῦ παιδίου καίτοι ἀρρωστοῦντος, πλακοῦντα ἐπιδῷ, καὶ ψυχρόν, καὶ ὅσα τέρπει μόνον· τῶν δὲ χρησίμων μηδεμίαν ἐπιμέλειαν ποιοῖτο. εἶτα ἐγκαλούμενος παρὰ τῶν ἰατρῶν, ἀπολογοῖτο λέγων· τί πάθω; οὐκ ἀνέχομαι κλαῖον τὸ παιδίον ἰδεῖν. ἄθλιε καὶ ταλαίπωρε καὶ προδότα· οὐ γὰρ ἂν πατέρα τὸν τοιοῦτον εἴποιμι. καὶ πόσῳ βέλτιον ἐν βραχεῖ λυπήσαντα διὰ παντὸς ὑγείᾳ παραδοῦναι, ἢ τὴν πρόσκαιρον ταύτην χάριν διηνεκοῦς ἀθυμίας ὑπόθεσιν ποιήσασθαι; τοῦτο πάσχομεν καὶ ἡμεῖς, κάλλη λέξεων περιεργαζόμενοι, καὶ συνθήκας, καὶ ἁρμονίας, ὅπως ἥσωμεν, οὐχ ὅπως ὠφελήσωμεν*· ὅπως θαυμασθῶμεν, οὐχ ὅπως διδάξωμεν· ὅπως τέρψωμεν, οὐχ ὅπως κατανύξωμεν· ὅπως κροτηθῶμεν, καὶ ἐπαίνου τυχόντες ἀπέλθωμεν, οὐχ ὅπως τὰ ἤθη ῥυθμίσωμεν. πιστεύσατέ μοι, οὐκ ἄλλως λέγω. ἐπειδὰν λέγων κροτῶμαι, τότε αὐτίκα μὲν τὸ χαίρειν ἀνθρώπινόν τι πάσχω (τί γὰρ οὐκ ἂν τις εἴποι τὸ ἀληθές;) καὶ γάνυμαι, καὶ διαχέομαι· ἐπειδὰν δὲ ἀπέλθω οἴκαδε, ἐννοήσω τοὺς κροτήσαντας οὐδὲν ὠφεληθέντας, ἀλλ' εἴ τι καὶ ὠφεληθῆναι ἔδει, ὑπὸ τοῦ κρότου καὶ τῶν ἐπαίνων ἀπολωλεκότας, ὀδυνῶμαι καὶ στένω καὶ δακρύω, καὶ ὡς εἰκῆ πάντα εἰρηκὼς οὕτω διάκειμαι, καὶ πρὸς ἐμαυτὸν λέγω· τί μοι τὸ ὄφελος τῶν ἱδρώτων, τῶν ἀκουόντων οὐκ ἐθελόντων καρπώσασθαί τι παρὰ τῶν λόγων τῶν παρ' ἡμῶν; καὶ πολλάκις ἐνενόησα θεῖναι νόμον τὸν κωλύοντα τοὺς κρότους, καὶ πεῖσαι μετὰ σιγῆς ὑμᾶς ἀκροᾶσθαι, καὶ τῆς προσηκούσης εὐταξίας. ἀλλ' ἀνάσχεσθε, παρακαλῶ, καὶ πείσθητέ μοι· καί, εἰ δοκεῖ, τοῦτον κυρώσωμεν τὸν νόμον ἤδη, μηδενὶ τῶν ἀκουόντων ἐξεῖναι κροτεῖν μεταξὺ λέγοντός τινος· ἀλλ' εἰ βούλοιτο θαυμάζειν, θαυμαζέτω σιγῇ· οὐδεὶς ὁ κωλύων· πᾶσα δὲ ἡ σπουδὴ καὶ ἡ προθυμία περὶ τὸ δέχεσθαι τὰ λεγόμενα γινέσθω. διὰ τί ἐκροτήσατε; περὶ τούτου τὸν νόμον τίθημι. ὑμεῖς δὲ οὐδὲ ἀκοῦσαι ἀνέχεσθε. πολλῶν τοῦτο ἀγαθῶν αἴτιον ἔσται, καὶ διδασκάλιον φιλοσοφίας. καὶ οἱ τῶν ἔξω φιλόσοφοι διελέγοντο, καὶ οὐδεὶς οὐδαμοῦ κρότος αὐτοῖς εἵπετο· καὶ οἱ ἀπόστολοι ἐδημηγόρουν, καὶ οὐδαμοῦ τοῦτο προσέκειτο), ὅτι μεταξὺ λεγόντων ἐκείνων τοῖς κρότοις διέκοπτον οἱ ἀκούοντες τὸν λέγοντα. μέγα τοῦτο κέρδος ἡμῖν. ἀλλὰ κυρώσωμεν τοῦτο, καὶ μεθ' ἡσυχίας πάντες ἀκούωμεν καὶ λέγωμεν ἅπαντα. εἰ μὲν γὰρ μετὰ τοὺς κρότους ἀπῄειμεν ἔχοντες ἅπερ ἠκούσαμεν, μάλιστα μὲν οὐδὲ οὕτω χρήσιμος ὁ ἔπαινος (ἀλλ' οὐκ ἂν ἠκριβολογησάμην· μή με τις ἀγροικίας γραφέτω) ἐπεὶ δὲ μηδὲν τὸ πλέον, ἀλλὰ καὶ βλάβη, λύσωμεν τὸ κώλυμα· ἀνέλωμεν τὰ σκιρτήματα· ἐκκόψωμεν τὰ πηδήματα τῆς ψυχῆς. ὁ Χριστὸς ἐδημηγόρησεν ἐπὶ τοῦ ὄρους· ἀλλ' οὐδεὶς οὐδὲν εἶπεν ἕως ὅτε τὸν λόγον ἐτέλεσεν. οὐκ ἀποστερῶ τοὺς βουλομένους κροτεῖσθαι, ἀλλὰ μᾶλλον θαυμάζεσθαι ποιῶ. πολλῷ βέλτιον μετὰ σιγῆς ἀκούσαντα, διὰ τῆς μνήμης ἐν παντὶ τῷ χρόνῳ κροτεῖν, καὶ ἐν οἰκίᾳ, καὶ ἐν ἀγορᾷ, ἢ πάντα ἀπολέσαντα ἀπέρχεσθαι οἴκαδε κενόν, οὐκ ἔχοντα τῶν κρότων τὴν ὑπόθεσιν. πῶς γὰρ οὐ καταγέλαστος ὁ ἀκροατής; πῶς οὐ κόλαξ καὶ εἴρων νομισθήσεται μᾶλλον, ὅτι μὲν καλῶς εἶπεν ὁ διδάσκαλος ἀποφαινόμενος, τί δὲ εἶπεν οὐκ ἔχων δεῖξαι; τοῦτο κολακείας ἐστίν. ὁ μὲν γὰρ κιθαρῳδῶν ἀκούσας καὶ τραγῳδῶν, εἰκότως ἂν τοῦτο πάθοι, ἅτε οὐκ εἰδὼς ὁμοίως τὴν ῥῆσιν εἰπεῖν·

εἴθε

χ. πονοῦσιν ἐπίσης

χ. κιθαρῳδῶν καὶ κιθαριστῶν

χ. ἡμεῖς τραπ.

χ. ὑπὲρ τὸ δέοντος

χ. ...γίαν

* σκοποῦμεν

χ. διδασκάλιον

χ. τῶν ἔξω ἀκούομεν φιλοσόφων διαλεγομένων, καὶ

το τὸν διδάσκαλον, καὶ αὐτοὶ ἔχαιρον. Εἶδες φύσιν εὐαγγελίου δύναμιν ἔχοντος πολλήν; ἐκάκωσαν, φησί, τὰς ψυχὰς τῶν ἐθνῶν κατὰ τῶν ἀδελφῶν· τουτέστι, διέβαλον τοὺς ἀποστόλους· μυρία αὐτῶν κατηγόρησαν, ἀπλάστους ὡς κακούργους διέθηκαν. καὶ ὅρα πῶς πανταχοῦ τῷ Θεῷ ἀνατίθησι τὸ πᾶν. ἱκανὸν χρόνον, φησί, διέτριψαν παρρησιαζόμενοι [ἐπὶ] τῷ Κυρίῳ τῷ μαρτυροῦντι τῷ λόγῳ τῆς χάριτος αὐτοῦ. μὴ τοῦτο ἐλαττώσεως εἶναι νομίσῃς. ὅτι γὰρ ἔλεγον; τοῦ μαρτυρήσαντος, φησίν, ἐπὶ Ποντίου Πιλάτου, τότε ἡ παρρησία ἐδείκνυτο. ἐνταῦθα δὲ περὶ τοῦ λαοῦ φησιν. οὐ περιέμειναν τοίνυν, ἀλλ' εἶδον τὴν ὁρμήν, καὶ κατέφυγον εἰς τὰς πόλεις τῆς Λυκαονίας, Λύστραν καὶ Δέρβην καὶ τὴν περίχωρον, ἔνθα οὐδαμοῦ τὸν θυμὸν αὐτῶν ἐκκαίειν ἦν· ὥστε καὶ ἐν ταῖς χώραις ἀπῄεσαν, οὐκ ἐν πόλεσι μόνον. ὅρα καὶ τῶν ἐθνῶν τὴν ἀφέλειαν, καὶ τῶν Ἰουδαίων τὴν κακουργίαν. δι' ἔργων ἐπεδείκνυντο ὅτι ἄξιοι ἦσαν ἀκούειν. οὕτως ἐτίμων αὐτοὺς ἀπὸ σημείων μόνον. οἱ μὲν ὡς θεοὺς ἐτίμων· οἱ δὲ ὡς λυμεῶνας ἐδίωκον. καὶ οἱ μὲν οὐ μόνον οὐ προσέκοπτον τῷ κηρύγματι, ἀλλὰ καὶ ἔλεγον· οἱ θεοὶ ἀνθρώποις ὁμοιωθέντες κατέβησαν πρὸς ἡμᾶς· Ἰουδαῖοι δὲ ἐσκανδαλίζοντο. ἐκάλουν τε, φησί, τὸν μὲν Βαρνάβαν Δία, τὸν δὲ Παῦλον Ἑρμῆν. ἐμοὶ δοκεῖ καὶ ἀπὸ τῆς ὄψεως ἀξιοπρεπὴς εἶναι ὁ Βαρνάβας. οὐ μικρὸς καὶ οὗτος* πειρασμὸς δ' ἐξ ἀμετρίας ἔφυ πολλῆς. ἀλλὰ καὶ ἐντεῦθεν τῶν ἀποστόλων ἡ ἀρετὴ δείκνυται. καὶ ὅρα πῶς πανταχοῦ πάντα ἀνατιθέασι τῷ Θεῷ.

γρ. ἀείμνηστ. ἐδαμοῦ τὸν θυμὸν αὐτῶν ἐκκαίοντες ἐν τῇ χώρᾳ ἀστείων, ἐκ ἐν πόλ.

* ἤπειγε

ΗΘΙΚΟΝ

Τούτους καὶ ἡμεῖς ζηλώσωμεν· μηδὲν ἡμέτερον εἶναι νομίζωμεν, ὅπουγε καὶ αὐτὴ ἡ πίστις οὐχ ἡμέτερον. ὅτι δὲ οὐχ ἡμέτερον, ἀλλὰ τὸ πλέον τοῦ Θεοῦ, ἄκουε Παύλου λέγοντος· Καὶ τοῦτο οὐκ ἐξ ἡμῶν, Θεοῦ τὸ δῶρον· (Ἐφ. β. η.) μὴ τοίνυν μέγα φρονῶμεν, μηδὲ φυσιώμεθα, ἄνθρωποι γῆ καὶ σποδὸς ὄντες, καπνὸς καὶ σκιά. εἰπὲ γάρ μοι, διὰ τί μέγα φρονεῖς; ἐλεημοσύνην ἔδωκας, καὶ τὰ χρήματα ἐκένωσας; καὶ τί τοῦτο; ἐννόησον, εἰ μὴ ἠθέλησέ σε ποιῆσαι ὁ Θεὸς πλούσιον. ἐννόησον τοὺς πενομένους· μᾶλλον δὲ ἐννόησον ὅσοι καὶ τὰ σώματα ἐπέδωκαν, καὶ μετὰ τὸ ἐπιδοῦναι μυρία ἑαυτοὺς ἐταλάνισαν. σὺ διὰ σαυτὸν ἔδωκας, ὁ Χριστὸς διὰ σέ· σὺ ἀπέδωκας τὸ ὀφειλόμενον, ὁ Χριστὸς οὐκ ὠφείλετο. ὅρα τοῦ μέλλοντος τὸ ἄδηλον, καὶ μὴ ὑψηλοφρόνει, ἀλλὰ φοβοῦ. μὴ ἐλαττώσῃς τὴν ἀρετὴν τῇ ἀλαζονείᾳ. βούλει ὄντως μέγα τι ἐργάσασθαι; μηδέποτε ὑποπτεύσῃς ὡς περὶ μεγάλων τῶν κατορθωμάτων. ἀλλὰ παρθένος εἶ; ἀλλὰ κἀκεῖναι παρθένοι ἦσαν· ἀλλ' οὐδὲν ἀπώναντο τῆς παρθενίας διὰ τὴν ὠμότητα καὶ τὴν ἀπανθρωπίαν. οὐδὲν ταπεινοφροσύνης ἴσον· αὕτη μήτηρ καὶ ῥίζα, καὶ τροφός, καὶ ὑπόθεσις, καὶ σύνδεσμος τῶν ἀγαθῶν· ταύτης ἄνευ βδελυκτοὶ καὶ μιαροὶ καὶ ἀκάθαρτοί ἐσμεν. ἔστω γάρ τις, εἰ βούλει, νεκροὺς ἀνιστῶν, καὶ χωλοὺς ἰώμενος, καὶ λεπροὺς καθαίρων μετὰ ἀπονοίας· οὐδὲν τούτου μιαρώτερον, οὐδὲν ἀσεβέστερον, οὐδὲν ἐναγέστερον. μηδὲν εἶναι νομίσῃς σαυτοῦ. λόγον ἔχεις καὶ διδασκαλικὴν χάριν; μὴ διὰ τοῦτο νομίσῃς πλέον τι τῶν ἄλλων ἔχειν. διὰ τοῦτο μάλιστα ταπεινοῦσθαι ὀφείλεις, ὅτι πλειόνων ἠξιώθης δωρεῶν. Ὧ γὰρ πλεῖον ἀφέθη, πλεῖον ἀγαπήσει. (Λουκ. ζ. μζ.) οὐκοῦν καὶ ταπεινοῦσθαι χρή, ὅτι τοὺς ἄλλους παρελθών, εἰς σὲ ἐπέβλυσεν ὁ Θεός. φοβοῦ διὰ τοῦτο. πολλάκις γάρ σοι καὶ ἀπωλείας τοῦτο γίνεται αἴτιον, ἂν μὴ νήφῃς. τί μέγα φρονεῖς; ὅτι διδάσκεις διὰ λόγων; ἀλλ' εὔκολον τοῦτο τὸ φιλοσοφεῖν ἐν ῥήμασι· δίδαξόν με διὰ τοῦ βίου τοῦ σοῦ. αὕτη ἡ διδασκαλία ἀρίστη. λέγεις ὅτι δεῖ μετριάζειν, καὶ μακρὸν ὑπὲρ τούτου λόγον ἀποτείνεις, καὶ ῥητορεύεις ῥέων ἀκωλύτως; ἀλλὰ σοῦ βελτίων ἐκεῖνος, φησίν, ὁ δι' ἔργων τοῦτο παιδεύων ἐμέ. οὐ γὰρ οὕτως εἴωθεν ἐντίθεσθαι τῇ ψυχῇ τὰ μαθήματα ἀπὸ ῥημάτων, ὡς ἀπὸ πραγμάτων. ἐπεὶ καὶ ἐὰν μὴ τὸ ἔργον ἔχῃς, οὐ μόνον οὐκ ὠφέλησας εἰπών, ἀλλὰ καὶ μειζόνως ἔβλαψας. βέλτιον σιγᾶν. διὰ τί; ὅτι ἀδύνατόν μοι τὸ πρᾶγμα καθιστᾷς. ἐννοῶ γάρ, ὅτι εἰ σὺ ὁ ταῦτα λέγων οὐ κατορθοῖς, πολλῷ μᾶλλον ἐγὼ συγγνώμης ἄξιος. διὰ τοῦτό φησιν ὁ προφήτης· Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ Θεός· ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου; (Ψαλ. μθ. ιϛ.) μείζων γὰρ αὕτη ἡ βλάβη, ὅταν καλῶς διδάσκων τις

γρ. φυσιώμεθα

γρ. χαλεπόν.

γὰρ ἰώμενοι τὰ σώματα, τότε τὰς ψυχὰς ἐθεράπευον. ἐνταῦθα δὲ οὐχ οὕτως. ἐμοὶ δοκεῖ εἰς τὴν ψυχὴν ἰδεῖν τὴν αὐτοῦ ὁ Παῦλος. ὃ ἥλλετο, φησὶ, καὶ περιεπάτει. τεκμήριον τῆς ἀκριβοῦς ὑγείας τὸ ἅλλεσθαι.

11 Οἱ δὲ ὄχλοι ἰδόντες ὃ ἐποίησε Παῦλος, ἐπῆραν αὐτῶν τὴν φωνὴν Λυκαονιστὶ λέγοντες· οἱ θεοὶ ὁμοιωθέντες ἀνθρώποις, κατέβησαν πρὸς ἡμᾶς,

12 Ἐκάλουν δὲ τὸν μὲν Βαρνάβαν Δία, τὸν δὲ Παῦλον Ἑρμῆν, ἐπειδὴ αὐτὸς ἦν ὁ ἡγούμενος τοῦ λόγου.

13 Ὁ δὲ ἱερεὺς τοῦ Διὸς τοῦ ὄντος πρὸ τῆς πόλεως αὐτῶν, ταύρους καὶ στέμματα ἐπὶ τοὺς πυλῶνας ἐνέγκας, σὺν τοῖς ὄχλοις ἤθελε θύειν. Ἀλλ' οὐκ ἦν τοῦτο οὐδέπω δῆλον. τῇ γὰρ οἰκείᾳ φωνῇ ἐφθέγγοντο λέγοντες, ὅτι οἱ θεοὶ ὁμοιωθέντες ἀνθρώποις, κατέβησαν πρὸς ἡμᾶς. διὰ τοῦτο οὐδὲν αὐτοῖς ἔλεγον. ἐπειδὴ δὲ εἶδον τὰ στέμματα, τότε ἐξελθόντες, διέρρηξαν τὰ ἱμάτια αὐτῶν.

14 Ἀκούσαντες δὲ οἱ ἀπόστολοι Βαρνάβας καὶ Παῦλος, διαρρήξαντες τὰ ἱμάτια αὐτῶν, εἰσεπήδησαν εἰς τὸν ὄχλον κράζοντες,

15 Καὶ λέγοντες· ἄνδρες τί ταῦτα ποιεῖτε; καὶ ἡμεῖς ὁμοιοπαθεῖς ἐσμεν ὑμῖν ἄνθρωποι. Ὅρα αὐτοὺς πανταχοῦ δόξης καθαρεύοντας· οὐ μόνον οὐκ ἐφιεμένους, ἀλλὰ καὶ διδομένην διακρουομένους· ὥσπερ καὶ Πέτρος ἔλεγε· Τί ἡμῖν ἀτενίζετε, ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν; καὶ οὗτοι τὸ αὐτό φασι. καὶ Ἰωσὴφ δὲ ἔλεγεν ἐπὶ τῶν ἐνυπνίων· Οὐχὶ διὰ τοῦ Θεοῦ ἡ διασάφησις αὐτῶν; καὶ ὁ Δανιὴλ ὁμοίως· Καὶ ἐμοὶ δὲ οὐκ ἐν σοφίᾳ τῇ οὔσῃ ἐν ἐμοὶ ἀπεκαλύφθη. καὶ Παῦλος πανταχοῦ τοῦτό φησιν, ὡς ὅταν λέγῃ· Καὶ πρὸς ταῦτα τίς ἱκανός; καὶ πάλιν, Οὐχ ὅτι ἱκανοί ἐσμεν ἀφ' ἑαυτῶν λογίσασθαί τι ὡς ἐξ ἑαυτῶν· ἀλλ' ἡ ἱκανότης ἡμῶν ἐκ τοῦ Θεοῦ. ἀλλ' ἴδωμεν αὐτόθεν τὰ εἰρημένα. οὐχ ἁπλῶς αὐτοῖς προσετίθησαν οἱ ὄχλοι· ἀλλὰ πῶς; ἠξίουν διαλεχθῆναι αὐτοῖς τὰ αὐτὰ πάλιν, καὶ διὰ τῶν ἔργων ἐπεδείξαντο τὴν σπουδήν. ὅρα πανταχοῦ παρακαλοῦντας, οὐκ ἀποδεχομένους ἁπλῶς, οὐδὲ κολακεύοντας. διὰ τοῦτο ἔλεγον· οἵτινες προσλαλοῦντες αὐτοῖς ἔπειθον προσμένειν τῇ χάριτι τοῦ Θεοῦ. διατί πρὸ τούτου μὴ ἀντέλεγον; ὅτι τέως οἱ ἀναπείθοντες ἡσύχαζον. ὁρᾷς ὅτι πανταχοῦ πάθη ἐκινοῦντο; καὶ οὐκ ἀντέλεγον μόνον, ἀλλὰ καὶ ἐβλασφήμουν. καὶ γὰρ ἡ κακία οὐδαμοῦ ἵσταται. ἀλλ' ὅρα παρρησίαν. ὑμῖν ἦν, φησιν, ἀναγκαῖον πρῶτον λαληθῆναι τὸν λόγον· ἐπεὶ δὲ ἀπωθεῖσθε αὐτόν. οὐδὲν ὑβριστικόν. ὃ δὴ καὶ ἐπὶ τῶν προφητῶν ἐποίει· Μὴ λαλεῖτε ἡμῖν, φησι, λαλιάν. ἐπεὶ δὲ ἀπωθεῖσθε αὐτὸν, φησιν, οὐχ ἡμᾶς. οὐ γὰρ εἰς ἡμᾶς ἡ ὕβρις ἡ παρ' ὑμῶν. ἵνα γὰρ μή τις εὐλαβείας εἶναι νομίσῃ,* τὸ, οὐκ ἀξίους κρίνετε ἑαυτοὺς, διὰ τοῦτο προέτρεψεν εἰπεῖν, ἀπωθεῖσθε αὐτόν· καὶ τότε, στρεφόμεθα εἰς τὰ ἔθνη. πολλῆς ἐπιεικείας γέμει τὸ ῥῆμα. οὐκ εἶπεν, ἐγκαταλιμπάνομεν ὑμᾶς,* δεικνὺς ὅτι δυνατὸν καὶ ἐνταῦθα πάλιν στραφῆναι· καὶ τοῦτο οὐκ ἀπὸ τῆς ὑμετέρας ὕβρεως γέγονεν. οὕτω γὰρ ἐντέταλται ἡμῖν. * ἔδει μὲν οὖν ἀκοῦσαι τὰ ἔθνη· πλὴν τοῦτο οὐ παρ' ἡμῶν, παρ' ὑμῶν δὲ γέγονε τὸ περὶ ὑμᾶς [ὀφεῖλον.] οὕτω γὰρ ἐντέταλται ἡμῖν ὁ Κύριος. Τέθεικά σε εἰς φῶς ἐθνῶν, τοῦ εἶναί σε εἰς σωτηρίαν· τουτέστιν, εἰς γνῶσιν τὴν ἐπὶ σωτηρίᾳ· καὶ οὐχ ἁπλῶς ἐθνῶν, ἀλλὰ πάντων. τοῦτο γὰρ δηλοῖ τὸ εἰπεῖν, ὅσοι ἦσαν τεταγμένοι εἰς ζωὴν αἰώνιον. καὶ τοῦτο τεκμήριον τοῦ κατὰ Θεοῦ γνώμην αὐτοὺς προσλαβέσθαι· τεταγμένοι δὲ [εἶπεν, ἵνα δείξῃ, ὡς] οὐ κατ' ἀνάγκην. Οὓς γὰρ προέγνω, φησὶ, καὶ προώρισεν. οὐκ ἔτι ἐν τῇ πόλει διεσπάρη, ἀλλὰ καὶ ἐν τῇ χώρᾳ. ἀκούσαντες γὰρ οἱ ἐξ ἐθνῶν, καὶ αὐτοὶ μετ' ὀλίγον προσῆλθον. οἱ δὲ Ἰουδαῖοι, φησὶ, παρώτρυναν τὰς σεβομένας γυναῖκας, καὶ ἐπήγειραν διωγμόν. ὅρα, καὶ τὸ παρὰ τῶν γυναικῶν γινομένων αὐτοὶ λοιπὸν αἴτιοι καθίστανται. καὶ ἐξέβαλον αὐτοὺς, φησιν, ἀπὸ τῶν ὁρίων αὐτῶν· οὐχὶ τῆς πόλεως μόνης, [ἀλλὰ τῆς χώρας ἁπάσης.] Εἶτα τὸ φοβερώτερον· οἱ δὲ μαθηταί, φησιν, ἐπληροῦντο χαρᾶς καὶ πνεύματος ἁγίου. ἐδιώκοντο

Margin notes (left): Πραξ. γ. ιβ. — Γεν. μ. η. — Δαν. β. λ. — β Κορ. γ. ε. — Ρωμ. η. κθ.

Margin notes (right): γ. ποιῶ — γ. προσπλέκεσθαι — * ἰατρεῖα — * ἀλλὰ φέρομεν εἰς τὰ ἔθνη. — * τί οὖν ὑπομείναντα τούτου



Digitized by Google

51 Οἱ δὲ ἐκτιναξάμενοι τὸν κονιορτὸν [ἀπὸ] τῶν ποδῶν αὐτῶν ἐπ' αὐτούς, ἦλθον εἰς Ἰκόνιον. . . . Ἐνταῦθα τὸ φοβερὸν ἐποίουν λοιπόν, ὃ προσέταξεν ὁ Χριστός, λέγων· Καὶ ἐὰν μή τις ὑμᾶς δέξηται, ἐξερχόμενοι ἐκτινάξατε τὸν κονιορτὸν ἀπὸ τῶν ποδῶν ὑμῶν. αὐτοὶ δὲ οὐδὲ ἁπλῶς τοῦτο ἐποίησαν, ἀλλ' ἐπειδὴ ἀπηλάθησαν παρ' αὐτῶν. πλὴν οὐδὲ τοῦτο τοὺς μαθητὰς ἔβλαψεν, ἀλλὰ μᾶλλον ἐπέμενον τῷ λόγῳ. διὸ καὶ τοῦτο δηλῶν ἐπάγει· Ματθ. ι. ιδ. Μαρ. ς. ια.

52 Οἱ δὲ μαθηταὶ ἐπληροῦντο χαρᾶς καὶ πνεύματος ἁγίου. Πάθος γὰρ διδασκάλου παρρησίαν οὐκ ἐγκόπτει, ἀλλὰ προθυμοτέρους ποιεῖ τοὺς μαθητάς. γρ. ἐκκόπτει

1 Ἐγένετο δὲ ἐν Ἰκονίῳ κατὰ τὸ αὐτὸ εἰσελθεῖν αὐτοὺς εἰς τὴν συναγωγὴν τῶν Ἰουδαίων καὶ λαλῆσαι οὕτως, ὥστε πιστεῦσαι Ἰουδαίων τε καὶ Ἑλλήνων πλῆθος πολύ. κεφ. ιδ.

Πάλιν εἰς τὰς συναγωγὰς εἰσέρχονται. ὅρα πῶς οὐκ ἐγένοντο δειλότεροι, εἰπόντες ὅτι στρεφόμεθα εἰς τὰ ἔθνη. ἐκ πολλῆς τῆς περιουσίας ὅμως ἀναιροῦσιν αὐτῶν τὴν ἀπολογίαν. ὥστε πιστεῦσαι, φησίν, Ἰουδαίων τε καὶ Ἑλλήνων πολὺ πλῆθος. Εἰκὸς γὰρ αὐτοὺς ὡς καὶ πρὸς Ἕλληνας διαλέγεσθαι.

2 Οἱ δὲ ἀπειθοῦντες Ἰουδαῖοι, ἐπήγειραν καὶ ἐκάκωσαν τὰς ψυχὰς τῶν ἐθνῶν κατὰ τῶν ἀδελφῶν. Κατὰ τὸ αὐτὸ λοιπὸν καὶ τὰ ἔθνη ἐπήγειραν, ὡς οὐκ ἀρκοῦντες αὐτοί. τί οὖν ἐκεῖθεν οὐκ ἐξῆλθον; οὐ γὰρ ἐδιώκοντο, ἀλλ' ἐπολεμοῦντο μόνον.

3 Ἱκανὸν μὲν οὖν χρόνον ἐποίουν παρρησιαζόμενοι ἐπὶ τῷ Κυρίῳ τῷ μαρτυροῦντι τῷ λόγῳ τῆς χάριτος αὐτοῦ, καὶ διδόντι σημεῖα καὶ τέρατα γίνεσθαι διὰ τῶν χειρῶν αὐτῶν. γρ. διέτριψαν
Τοῦτο ἐποίει τὴν παρρησίαν· μᾶλλον δὲ τὴν μὲν παρρησίαν ἐποίει ἡ αὐτῶν προθυμία. διὰ γὰρ τοῦτο μέχρι πολλοῦ οὐδαμῶς σημεῖα ποιοῦσι· τὸ δὲ πιστεῦσαι τοὺς ἀκούοντας, τῶν σημείων ἦν. συνετέλει γοῦν τι καὶ ἡ παρρησία.

4 Ἐσχίσθη δὲ τὸ πλῆθος τῆς πόλεως· καὶ οἱ μὲν ἦσαν σὺν τοῖς Ἰουδαίοις· οἱ δὲ σὺν τοῖς ἀποστόλοις. Οὐ μικρὸν [εἰς κατηγορίαν] καὶ αὐτὸ τὸ σχισθῆναι. τοῦτο ἦν ὃ ἔλεγεν ὁ Χριστός· Οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν. Ματθ. ι. λδ.

5 Ὡς δὲ ἐγένετο ὁρμὴ τῶν ἐθνῶν καὶ Ἰουδαίων σὺν τοῖς ἄρχουσιν αὐτῶν ὑβρίσαι καὶ λιθοβολῆσαι αὐτούς,

6 Συνιδόντες κατέφυγον εἰς τὰς [κύκλῳ] πόλεις τῆς Λυκαονίας, Λύστραν καὶ Δέρβην, καὶ τὴν περίχωρον,

7 Κἀκεῖ ἦσαν εὐαγγελιζόμενοι. Πάλιν ὥσπερ ἐπίτηδες ἐκτεῖναι βουλόμενοι τὸ κήρυγμα, μετὰ τὸ αὐξηθῆναι πάλιν αὐτοὺς ἐξάγουσιν. ὅρα πανταχοῦ τοὺς διωγμοὺς μεγάλα ἐργαζομένους ἀγαθά· καὶ τοὺς μὲν διώκοντας, ἡττωμένους· τοὺς δὲ διωκομένους, λαμπροὺς ἀποφαίνοντας. ἐλθὼν γὰρ ἐν Λύστροις, ποιεῖται θαῦμα μέγα, τὸν χωλὸν ἀναστήσας, καὶ μεγάλῃ τῇ φωνῇ. καὶ πῶς; ἄκουε.

8 Καί τις, φησίν, ἀνὴρ ἐν Λύστροις ἀδύνατος τοῖς ποσίν, ἐκάθητο, χωλὸς ἐκ κοιλίας μητρὸς αὐτοῦ ὑπάρχων, ὃς οὐδέποτε περιπεπατήκει,

9 Οὗτος ἤκουσε τοῦ Παύλου λαλοῦντος· ὃς ἀτενίσας αὐτῷ, καὶ ἰδὼν ὅτι πίστιν ἔχει τοῦ σωθῆναι,

10 Εἶπε μεγάλῃ τῇ φωνῇ· ἀνάστηθι ἐπὶ τοὺς πόδας σου ὀρθός· καὶ ἥλλετο καὶ περιεπάτει. Διὰ τί μεγάλῃ τῇ φωνῇ; ὥστε τοὺς ὄχλους πιστεῦσαι. ὅρα δὲ προσεῖχεν ἀκριβῶς τοῖς λεγομένοις ὑπὸ τοῦ Παύλου. τοῦτο γάρ ἐστι τό, ἤκουσεν. εἶδες φιλοσοφίας; οὐδὲν ὑπὸ τῆς χωλείας πρὸς τὴν σπουδὴν τῆς ἀκροάσεως παρεβλάβη. ὃς ἀτενίσας αὐτῷ καὶ ἰδὼν ὅτι πίστιν ἔχει τοῦ σωθῆναι. ἤδη ἐδείκνυτο τὴν προαίρεσιν· καίτοι ἐπὶ τῶν ἄλλων τοὐναντίον ἐγένετο. περίπερ

σι. μετὰ ταῦτα λοιπὸν αὐτοὺς ἑαυτοῦ μνημονεύει περὶ τοῦ. ὁρᾷς τὴν προθυμίαν ὅση; ἠκολούθησαν αὐτοῖς, φησί. διὰ τί αὐτοὺς οὐκ ἐβάπτισαν εὐθέως; οὐκ ἦν καιρός· πεῖσαι ἔδει ὥστε βεβαίως ἐμμένειν.

43 Λυθείσης δὲ τῆς συναγωγῆς, ἠκολούθησαν πολλοὶ τῶν Ἰουδαίων καὶ τῶν σεβομένων προσηλύτων τῷ Παύλῳ καὶ τῷ Βαρνάβᾳ· οἵτινες προσλαλοῦντες αὐτοῖς, ἔπειθον ''προσμένειν αὐτοὺς τῇ χάριτι τοῦ Θεοῦ.

44 Τῷ τε ἐρχομένῳ σαββάτῳ σχεδὸν πᾶσα ἡ πόλις συνήχθη ἀκοῦσαι τὸν λόγον τοῦ Θεοῦ.

γ. καὶ προσμένειν τῇ

45 Ἰδόντες δὲ οἱ Ἰουδαῖοι τοὺς ὄχλους, ἐπλήσθησαν ζήλου, καὶ ἀντέλεγον τοῖς ὑπὸ τοῦ Παύλου λεγομένοις, ἀντιλέγοντες καὶ βλασφημοῦντες.

Ὅρα τὴν κακίαν πληττομένην ἐν τῷ πλήττειν ἑτέρους. τοῦτο μᾶλλον αὐτοὺς ἐποίει λαμπρούς, τὸ ἀντιλέγειν ἐκείνους. ὃ μὲν οὖν προσῆν, αὐτόματοι παρεκάλεσαν. ἀντιλέγοντές, φησι, καὶ βλασφημοῦντες. ὢ τῆς ἰταμότητος· ''ἐφ' οἷς αὐτοὺς ἀποδέχεσθαι ἔδει, οἱ δὲ ἀντιλέγουσι.

γρ. καὶ δὴ ἃ θαυμάσαι ἔχειν, διὰ ταῦτα αἰτιῶ.

46 Παρρησιασάμενοι δὲ ὁ Παῦλος καὶ ὁ Βαρνάβας εἶπον· ὑμῖν ἦν ἀναγκαῖον πρῶτον λαληθῆναι τὸν λόγον τοῦ Θεοῦ. ἐπειδὴ δὲ ἀπωθεῖσθε αὐτόν, καὶ οὐκ ἀξίους κρίνετε ἑαυτοὺς τῆς αἰωνίου ζωῆς, ἰδοὺ στρεφόμεθα εἰς τὰ ἔθνη. Ὁρᾷς πῶς φιλονεικήσαντες μᾶλλον ἐξέτειναν τὸ κήρυγμα, καὶ μᾶλλον ἔδωκαν ἑαυτοὺς εἰς τὰ ἔθνη ἀπολογησάμενοι, καὶ αἰτίους ἑαυτοὺς ἐγκλημάτων ποιήσαντες παρὰ τοῖς οἰκείοις; καὶ οὐκ εἶπεν, ἀνάξιοί ἐστε, ἀλλ', ἐκεῖνοί τε ἑαυτοὺς ἀναξίους, ἀνεπαχθῆ τὸν λόγον ποιῶν. ἰδοὺ στρεφόμεθα εἰς τὰ ἔθνη.

Ησ. μθ. ς.

47 Οὕτω γὰρ ἐντέταλται ἡμῖν ὁ Κύριος· τέθεικά σε εἰς φῶς ἐθνῶν, τοῦ εἶναί σε εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς. Ἵνα γὰρ μὴ ἀκούοντα τὰ ἔθνη λυπῆται, ὡς ἐκ τῆς ἐκείνων σπουδῆς μὴ τυγχάνοντα τῶν ἀγαθῶν, ἐπάγει τὴν προφητείαν λέγων· τέθεικά σε εἰς φῶς ἐθνῶν, τοῦ εἶναί σε εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς.

48 Ἀκούοντα δὲ τὰ ἔθνη, φησί. Τοῦτο καὶ αὐτοὺς προθυμοτέρους ἐποίει, ὅτι ὧν ἐκεῖνοι ὤφειλον ἀκούσαντες ἀπολαῦσαι, αὐτοὶ τούτων ἀπολαύουσι, κἀκείνους μᾶλλον ἔδακνεν.

Ἀκούοντα δὲ τὰ ἔθνη, φησίν, ἔχαιρον καὶ ἐδόξαζον τὸν λόγον τοῦ Κυρίου, καὶ ἐπίστευσαν ὅσοι ἦσαν τεταγμένοι εἰς ζωὴν αἰώνιον. Τουτέστιν, ἀφωρισμένοι τῷ Θεῷ. ὅρα πῶς δείκνυσι τὸ τάχος τῆς ὠφελείας.

49 Διεφέρετο δὲ ὁ λόγος τοῦ Κυρίου δι' ὅλης τῆς χώρας·

Τουτέστι, διεκομίζετο. ὥστε ἔλεγον· οὐκ ἔστησαν μέχρι τοῦ ζήλου, ἀλλὰ καὶ ἔργα προσέθηκαν. ὅρα πάλιν πῶς διωκόμενοι ἕτερα κατασκευάζουσι μεγάλα διὰ τοῦ ζήλου. κατεσκεύασαν γὰρ τὸ παρρησιάσασθαι αὐτοὺς καὶ εἰς τὰ ἔθνη ἐλθεῖν. ''καὶ ἄκουε πῶς. παρρησιασάμενος δὲ ὁ Παῦλος καὶ ὁ Βαρνάβας εἶπον· ὑμῖν, φησιν, ἦν ἀναγκαῖον πρῶτον λαληθῆναι τὸν λόγον. ἐπειδὴ δὲ ἀπωθεῖσθε αὐτόν, ἰδοὺ στρεφόμεθα εἰς τὰ ἔθνη. * ἀλλ' ὅρα καὶ τῆς παρρησίας μέτρῳ γινομένην καὶ εἰκότως. εἰ γὰρ Πέτρος ἀπελογεῖτο, πολλῷ μᾶλλον οὗτοι ἀπολογίας ἐδέοντο, οὐδενὸς αὐτοὺς καλέσαντος ἐκεῖ. εἰπὼν δέ, πρῶτον, [ἔδειξεν ὅτι κἀκείνοις ἔδει· καὶ εἰπών, ἀναγκαῖον,] ἔδειξεν ὅτι κἀκείνοις ἀναγκαῖον. ἐπειδὴ δὲ ἀποστρέφεσθε. οὐκ εἶπεν, οὐαὶ ὑμῖν, καὶ ὅτι κολάζεσθε· ἀλλ' ἰδοὺ στρεφόμεθα εἰς τὰ ἔθνη. εἶδες πῶς πολλῆς ἐπιεικείας ἡ παρρησία γέμει;

γρ. διὰ γὰρ τοῦτο εἶπε·

* ἔμελλον ἐξιέναι εἰς τὰ ἔθνη·

50 Οἱ δὲ Ἰουδαῖοι παρώτρυναν τὰς σεβομένας γυναῖκας, καὶ τὰς εὐσχήμονας, καὶ τοὺς πρώτους τῆς πόλεως, καὶ ἐπήγειραν διωγμὸν ἐπὶ τὸν Παῦλον καὶ Βαρνάβαν, καὶ ἐκβάλλουσιν αὐτοὺς ἀπὸ τῶν ὁρίων αὐτῶν. Ὁρᾷς ὅσον ἴσχυσαν οἱ ἐναντιούμενοι τῷ κηρύγματι; εἰς ὅσην ἀσχημοσύνην αὐτὰς ἤγαγον;

51 Οἱ

ἐπιτηδεύματα ἀχείρωτα γίνεσθαι, καὶ χαλεπωτέραν ἡμῖν τὴν πρὸς αὐτὰ πάλην καταστῆναι. πόσης οὐκ ἂν εἴη ῥᾳθυμίας, μηδὲ διηρηκότων δυνάσθαι κρατεῖν τῶν παθῶν, ἀλλὰ καθ' ἕκαστον ἡττᾶσθαι καιρόν, καὶ μέγα φρονεῖν ἐπὶ τούτοις τοῖς οὐκ ἐκ τῆς ἡμετέρας σπουδῆς, ἀλλ' ἐξ αὐτῆς τῆς ἡλικίας κομιζομένοις; οὐχ ὁρᾶτε τοὺς ἡνιόχους, πόση ἀκρίβεια καὶ γυμνασία καὶ πόνοις κέχρηνται, καὶ σιτίοις, καὶ τοῖς ἄλλοις ἅπασιν, ὥστε μὴ καταβληθέντας ἀπὸ τῶν ἁρμάτων σύρεσθαι; ὅρα ὅσον ἐστὶ τέχνη. ἀνὴρ μὲν γὰρ ἀνδρεῖος, οὐκ ἂν ἑνὸς ἵππου πολλάκις περιγένοιτο· μειρακίσκος δὲ τῇ τέχνῃ πολλάκις τοὺς δύο ἀναδεξάμενος, ἄγει εὐκόλως καὶ φέρει. καὶ ἐν Ἰνδοῖς δὲ τὸ μέγα θηρίον καὶ φοβερὸν τὸν ἐλέφαντα λέγεται καὶ δεκαπενταετεῖ παιδὶ γεγονότι μετὰ πολλῆς εἴκειν τῆς προθυμίας. τί δὴ ταῦτά μοι εἴρηται; ὅτι εἰ ἐλέφαντας καὶ ἵππους ἀγρίους ἄγχομεν σπουδάζοντες, πολλῷ μᾶλλον τὰ πάθη τὰ ἐν ἡμῖν. πόθεν ἐκλυόμεθα διὰ παντὸς τοῦ βίου, οὐδέποτε τὴν τέχνην ἐμελετήσαμεν ταύτην· οὐδέποτε ἐν καιρῷ σχολῆς, οὐκ ὄντος τοῦ ἀγῶνος, διελέχθημεν πρὸς ἑαυτούς τι τῶν χρησίμων. τότε ἡμᾶς ἐπὶ τοῦ ἅρματος ἱστῶσιν, ἴδοι τις ἂν, ὅτι ὁ ἀγὼν παραγίνεται. διά τοι τοῦτο καὶ καταγέλαστοί ἐσμεν. οὐκ εἶπον, πολλάκις γυμναζώμεθα πρὸς τοὺς οἰκείους πρὸ τοῦ πειρασμοῦ; πρὸς τοὺς παῖδας ἐπὶ τῆς οἰκίας πολλάκις παροξυνόμεθα· κατέχωμεν ἐκεῖ τὸν θυμὸν, ἵνα εὐκόλως αὐτοῦ ἐπὶ τῶν φίλων κεκρατηκότες φανώμεθα. καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων εἰ ἐγυμναζόμεθα, οὐκ ἂν ἐν τοῖς ἀγῶσιν ἦμεν καταγέλαστοι. νῦν δὲ ὅπλα μὲν τῶν ἄλλων καὶ γυμνάσια καὶ μελέται εἰσὶ καὶ τεχνῶν καὶ παλαισμάτων· ἀρετῆς δὲ οὐδαμοῦ. οὐκ ἂν τολμήσειεν ὁ γεωργὸς ἀμπέλου ἅψασθαι, μὴ πρότερον καλῶς γυμνασθεὶς τὰ γεωργικά· οὐδὲ ὁ κυβερνήτης ἐπὶ τῶν οἰάκων καθίσαι, μὴ πρότερον ἐγγυμνασάμενος καλῶς. ἡμεῖς δὲ ἀμελέτητοι πάντη τυγχάνοντες, τὰ πρωτεῖα ἔχειν βουλόμεθα. ἐχρῆν σιγᾶν, ἐχρῆν μηδενὶ κοινωνεῖν πράγματος, μηδὲ ῥήματος, ἕως ἂν ἠδυνήθημεν τὸ θηρίον ἡμερῶσαι τὸ ἐν ἡμῖν. ἢ οὐχὶ θηρίου παντὸς χαλεπώτερον ἐπιστρατεύεται ἡμῖν καὶ θυμὸς καὶ ἐπιθυμία; μὴ ἐμβάλῃς εἰς ἀγορὰν μετὰ τούτων τῶν θηρίων, ἕως ἂν αὐτοῖς περιθῇς καλῶς τοὺς χαλινούς, ἕως ἂν αὐτὰ τιθασεύσῃς καὶ χειροήθη κατασκευάσῃς. οὐχ ὁρᾷς τούτους τοὺς περιάγοντας τοὺς ἡμέρους λέοντας ἐπὶ τῆς ἀγορᾶς, πῶς κερδαίνουσι καὶ θαυμάζονται, ὅτι ἐν τῷ ἀλόγῳ θηρίῳ τοιαύτην ἡμερότητα κατώρθωσαν; ἂν δὲ ἐξαίφνης ἀγριωθῇ ἐκεῖνος, πάντας σοβεῖ τοὺς ἐπὶ τῆς ἀγορᾶς, καὶ ἐκινδύνευσε λοιπὸν ὁ περιάγων αὐτὸν ἄνθρωπος, καὶ τῆς τῶν ἄλλων ἀπωλείας γίνεται αἴτιος. καὶ σὺ τοίνυν τὸν λέοντα πρότερον ἡμέρωσον, καὶ τότε περίαγε· οὐχ ὥστε ἀργύριον λαβεῖν, ἀλλ' ὥστε κερδᾶναι κέρδος, οὗ μηδέν ἐστιν ἴσον. οὐδὲν γὰρ ἴσον ἐπιεικείας, ἣ καὶ τοῖς κεκτημένοις καὶ τοῖς χρωμένοις σφόδρα ἐστὶ χρησίμη. ταύτην οὖν διώκωμεν, ἵνα δυνηθῶμεν τὴν ἀρετῆς ὁδὸν μετὰ ἀκριβείας διανύσαντες τῶν αἰωνίων ἀγαθῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

χ. τ̃ θυμοῦ

χ. κατεπτ- [illegible]

Λογ. λ. 42 ΕΞΙΟΝΤΩΝ ΔΕ ΑΥΤΩΝ, ΠΑΡΕΚΑΛΟΥΝ * εἰς τὸ μεταξὺ σάββατον λαληθῆναι αὐτοῖς τὰ ῥήματα ταῦτα.

χ. ἐκ τ̃ συναγωγῆς τῶν Ἰουδαίων
* τὰ ἔθνη

Εἶδες τοῦ Παύλου τὴν σύνεσιν; οὐχὶ τότε ἐθαυμάσθη μόνον, ἀλλὰ καὶ ἐπιθυμίαν αὐτοῖς δευτέρας ἐνέβαλεν ἀκροάσεως, εἰπὼν τινὰ σπέρματα, καὶ μὴ ἐπιλύσας, μηδὲ ἐπεξελθὼν τῷ λόγῳ, ὥστε αὐτοὺς ἀπαρτίσαι καὶ οἰκειῶσαι ἑαυτῷ, καὶ μὴ χαυνοτέρους ἐργάσασθαι τῷ πάντα ἀθρόον εἰς τὰς ἐκείνων ῥῖψαι ψυχάς. εἶπεν, ὅτι ἄφεσις ἁμαρτιῶν διὰ τούτου ὑμῖν καταγγέλλεται· τὸ δὲ πῶς, οὐκ ἐδήλω-

σεν.

Digitized by Google

βουλοίμην ἂν τοῦτο εἶναι, καὶ τοῦ ἐμοῦ πάθους εἶναι τοῦτο, ἀλλὰ μὴ τῆς ὑμετέρας ῥᾳθυμίας· δέδοικα δὲ μή ποτε καλῶς στοχαζώμεθα. πεπεῖσθαι γὰρ ὀφείλετε, ὅτι εἴ τις ἐγίνετο ὠφέλεια ἐν τοσούτῳ χρόνῳ, παύσασθαι λοιπὸν ἡμᾶς λέγοντας ἔδει. οὕτως οὐκ ἔδει ῥημάτων ὑμῖν, τῶν ἤδη λεχθέντων οὕτως ἱκανῶς εἰρημένων, ὡς καὶ ἄλλους δύνασθαι ῥυθμίζειν, εἴ τι ἀπὸ τῶν ὠφέλειά τις ὑμῖν προσεγίνετο. τὸ δὲ ἀναγκάζειν ἡμᾶς ἔχειν συνεχοῦς διαλέξεως, οὐδενὸς ἄλλου τεκμήριόν ἐστιν, ἢ τοῦ τὰ ὑμέτερα μὴ σφόδρα διακεῖσθαι ἀκριβῶς. τί οὖν ἂν γένοιτο; οὐ γὰρ ἐγκαλεῖν δεῖ μόνον. παρακαλῶ καὶ δέομαι, μὴ τοῦτο μόνον ὁρᾶν, ὅπως εἰς ἐκκλησίαν ἐμβάλλητε, ἀλλ' ὅπως τι καὶ λαβόντες οἴκαδε ἀναχωρῆτε τῶν οἰκείων φάρμακον παθῶν. καὶ μὴ παρ' ἡμῶν, ἀλλὰ παρὰ τῶν γραφῶν ἔχητε τὰ κατάλληλα φάρμακα. οἷον, ἔστι τις θυμικός; προσεχέτω ταῖς τῶν γραφῶν ἀναγνώσεσι, καὶ πάντως εὑρήσει ἢ ἐν ἱστορίᾳ, ἢ παραινέσει· ἐν παραινέσει μὲν, ὅταν λέγηται, Ἡ ῥοπὴ τοῦ θυμοῦ αὐτοῦ πτῶσις αὐτῷ· καὶ, Ἀνὴρ θυμώδης οὐκ εὐσχήμων· καὶ ὅσα τοιαῦτα· καὶ πάλιν, Ἀνὴρ γλωσσώδης οὐ κατευθυνθήσεται· καὶ ὁ Χριστὸς πάλιν, Ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῆ· καὶ πάλιν ὁ προφήτης· Ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε· καὶ, Ἐπικατάρατος ὁ θυμὸς αὐτῶν, ὅτι αὐθάδης. ἐν δὲ ἱστορίαις, οἷον ὅταν ἀκούσῃς τὸν Φαραὼ πολλῆς ἐμπεπλησμένον ὀργῆς καὶ τὸν Ἀσσύριον, καὶ διὰ τοῦτο ἀπολλυμένους. πάλιν ἔστι τις ἡττώμενος χρημάτων, ἀκουέτω ὅτι φιλαργύρου οὐδὲν ἀνομώτερον (οὗτος γὰρ καὶ τὴν ψυχὴν αὐτοῦ ἔμπρακτον ποιεῖ) καὶ τοῦ Χριστοῦ λέγοντος, Οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμωνᾷ· καὶ τοῦ ἀποστόλου, ὅτι Ῥίζα πάντων τῶν κακῶν ἐστιν ἡ φιλαργυρία· καὶ τοῦ προφήτου λέγοντος, Πλοῦτος ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίαν· καὶ πολλὰ ἕτερα τοιαῦτα. καὶ ἀπὸ ἱστοριῶν, τὸν Γιεζῆ, τὸν Ἰούδαν, τοὺς ἄρχοντας τῶν γραμματέων, καὶ ὅτι Δῶρα ἐκτυφλοῖ ὀφθαλμοὺς σοφῶν. ἄλλος ἐστὶν ὑπερήφανος; ἀκουέτω ὅτι Ὑπερηφάνοις ἀντιτάσσεται ὁ Θεός, καὶ, Ἀρχὴ ὑπερηφανίας ἁμαρτία, καὶ, Πᾶς ὑψηλοκάρδιος ἀκάθαρτος παρὰ Κυρίῳ. καὶ ἐν ἱστορίαις τὸν διάβολον, τοὺς ἄλλους ἅπαντας· καὶ ὅλως (οὐ γὰρ ἔνι πάντα καταλέγειν) ἕκαστος τῶν οἰκείων τραυμάτων τὰ φάρμακα ἀπὸ τῶν θείων γραφῶν ἐκλεγέτω. κἂν μὴ τὸ ὅλον, μέρος σήμερον, καὶ μέρος αὔριον, εἶτα τὸ ὅλον ἀπειλήψασθε. καὶ περὶ μετανοίας δὲ, καὶ περὶ ἐξομολογήσεως, καὶ περὶ ἐλεημοσύνης, καὶ περὶ ἐπιεικείας, καὶ περὶ σωφροσύνης, καὶ περὶ πάντων εὑρήσει πολλὰ παραδείγματα. Ταῦτα γὰρ πάντα ἐγράφη πρὸς νουθεσίαν ἡμῶν, φησίν. εἰ τοίνυν πρὸς νουθεσίαν ἡμῶν περὶ πάντων διαλέγεται, προσέχωμεν ὡς δεῖ προσέχειν. τί μάτην ἑαυτοὺς ἀπατῶμεν; φοβοῦμαι μὴ καὶ περὶ ἡμῶν εἴπῃ τις· Ὅτι ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι ἡμῶν, καὶ τὰ ἔτη ἡμῶν μετὰ σπουδῆς. τίς ἀκούων ἡμῶν ἀπέστη θεάτρων; τίς ἀπέστη πλεονεξίας; τίς προθυμότερος γέγονε περὶ ἐλεημοσύνην; ἐβουλόμην μαθεῖν, οὐχὶ κενοδοξίας ἕνεκεν, ἀλλ' ὥστε γενέσθαι προθυμότερος, λαμπρὸν ὄντα τὸν καρπὸν τῶν πόνων ὁρᾶν. νῦν δὲ πῶς ἅψομαι τῆς ἐργασίας, τοσούτους μὲν ὑετοὺς ὁρῶν καταφερομένους τῆς διδασκαλίας, τὰ δὲ λήϊα ἡμῖν ἐπὶ τοῦ αὐτοῦ μένοντα, καὶ οὐδὲν ὑψηλότερα τὰ γεννήματα γινόμενα; λοιπὸν ὁ τῆς ἅλω καιρὸς ἐφέστηκεν, ἐγὼ δὲ πτύον ἔχων. δέδοικα μὴ τὸ πᾶν χόρτος ᾖ· δέδοικα μὴ πρὸς τὴν κάμινον ἀπενεχθῶμεν ἅπαντες. παρῆλθε θέρος· ἦλθε χειμὼν· καθήμεθα καὶ νέοι καὶ γέροντες τοῖς οἰκείοις ἁλισκόμενοι πάθεσι. μή μοι εἴπῃς, ὅτι οὐ πορνεύω. τί γὰρ ὄφελος, ἂν μὴ πορνεύῃς μὲν, φιλοχρήματος δὲ ᾖς; στρουθὸς κἂν μὴ ἐκ παντὸς μέρους, ἀλλ' ἀπὸ τοῦ ποδὸς κατέχεται μόνον, καὶ οὕτως ἀπόλωλε, καὶ ἐν τῇ παγίδι ἕστηκε, καὶ τῶν πτερῶν ὄφελος οὐδὲν, τοῦ ποδὸς κατεχομένου· οὕτω καὶ σύ. οὐχ ἑάλως διὰ πορνείας, ἀλλ' ἑάλως διὰ φιλαργυρίας· ἑάλως μέντοι. τὸ δὲ ζητούμενον, οὐ πῶς ἑάλως, ἀλλ' ὅτι ἑάλως. μὴ λεγέτω ὁ νέος, ὅτι οὐκ εἰμὶ φιλοχρήματος· ἀλλ' ἴσως πορνεύεις. καὶ τί τὸ ὄφελος πάλιν; οὐδὲ γὰρ δυνατὸν πάντα τὰ πάθη κατὰ μίαν ἡμῖν ἡλικίαν ἐπιστῆναι, ἀλλὰ διώρισται, καὶ ὑπὸ διὰ τὸ τοῦ Θεοῦ φιλάνθρωπον, ὥστε μὴ ἀθρόως ἐπιτεθέντα

Σειρ. α. ιθ. Παροιμ. ια. κε. Ψαλ. λϛ. ιϛ. Ματθ. ε. κβ. Ψαλ. δ. δ. Γεν. μθ. ζ. Ματθ. ϛ. κδ. α Τιμ. ϛ. ι. Ψαλ. ξα. ι. Ἐξοδ. κγ. η. Παροιμ. ιδ. λδ. Σειρ. ι. ιε. Παροιμ. ιϛ. ε. Ρωμ. ιε. δ. Ψαλ. οζ. λγ.

γ. ὑμῶν γ. τῶν τι λεχθ. ὑμῖν [ἄλλ. ὑμῖν] ἱκανῶς εἰρημ. ὑμῖν ἢ τῶν ἄλλους ῥυθμ. δυναμένων τὸ δὲ γ. ἄλλον γ. ἔμπρακτον γ. καρδίᾳ

Digitized by Google

εἰρήνη ἐστὶ τὰ πράγματα. τὸ γὰρ δεινὸν τοῦτό ἐστιν, ὅτι ἐν πολλοῖς ὄντες κακοῖς, οὐδὲ ὅτι ἐσμὲν ἐν κακοῖς, ἴσμεν. τί λέγεις; τὰς ἐκκλησίας κατέχομεν, τὰ κτήματα, τὰ ἄλλα πάντα· αἱ συνάξεις γίνονται, καθ' ἑκάστην ἡμέραν προσέρχεται ὁ λαός [ἐν τῷ καταφρονεῖσθαι;] ἀλλ' οὐκ ἀπὸ τούτου ἐκκλησίαν ἄν τις δοκιμάσειεν. ἀλλὰ πόθεν, φησί; εἰ εὐλάβειά ἐστιν, εἰ κερδαίνοντες ἀναχωροῦμεν οἴκαδε καθ' ἑκάστην ἡμέραν, εἰ καρπούμενοι μέγα τι, ἢ μικρόν, εἰ μὴ νόμον ἁπλῶς πληροῦντες καὶ ἀφοσιούμενοι. τίς βελτίων γέγονεν, * ὁλόκληρον μῆνα * συλλεγόμενος*; τοῦτό ἐστι τὸ ζητούμενον. ἐπεὶ καὶ αὐτὸ τοῦτο, ὃ δοκεῖ εὐπραγίας εἶναι, τοῦτο δυσπραγία ἐστίν, ὅταν τούτων γινομένων μηδὲν πλέον γίνηται. εἴθε μὲν οὕτω μηδὲν πλέον· νῦν δὲ καὶ ἐπὶ τὸ χεῖρον. τί καρποῦσθε ἀπὸ τῆς συνάξεως; καίτοι εἴ γέ τι ὄφελος ὑμῖν ἐγίνετο, πάλαι πάντας ἔδει τὸν τῆς φιλοσοφίας βίον ζῆν· τοσούτων μὲν προφητῶν δὶς τῆς ἑβδομάδος ὑμῖν διαλεγομένων· τοσούτων δὲ ἀποστόλων εὐαγγελιστῶν· πάντων τὰ σωτήρια δόγματα προτιθέντων, καὶ τὰ δυνάμενα ἦθος ῥυθμίσαι μετὰ πολλῆς ἀκριβείας παριστώντων ὑμῖν. ὁ στρατιώτης ἐπὶ τὸ γυμνάσιον ἰὼν, ἀκριβέστερος γίνεται ἀεὶ τὰ τακτικά· ὁ ἀθλητὴς εἰς παλαίστραν βαδίζων, ἐμπειρότερος γίνεται ἀεὶ τὴν πάλην· ὁ ἰατρὸς πρὸς τὸν διδάσκαλον ἐρχόμενος ἀκριβέστερος γίνεται, καὶ πλείονα οἶδε, καὶ πλείονα μανθάνει· σὺ τί κεκέρδηκας; οὐ λέγω πρὸς τοὺς ἐνιαυτὸν ἔχοντας, ἀλλὰ πρὸς τοὺς ἐκ πρώτης ἡλικίας συναγομένους. ἢ τοῦτο νομίζετε εὐλάβειαν εἶναι, τὸ συνεχῶς παραβάλλειν τῇ συνάξει; τοῦτο οὐδέν ἐστιν, ἂν μή τι καρπωσώμεθα· ἂν μή τι συναγάγωμεν, βέλτιον οἴκοι μένειν. καὶ γὰρ οἱ πρόγονοι τὰς ἐκκλησίας ἡμῖν ᾠκοδόμησαν, οὐχ ἵνα ἐκ τῶν ἰδίων οἴκων συνάγοντες ἡμᾶς ἀλλήλοις δεικνύωσι (τοῦτο γὰρ καὶ ἐν ἀγορᾷ, καὶ ἐν βαλανείοις, καὶ ἐν πομπῇ γένοιτο ἄν) ἀλλ' ἵνα μαθητὰς ὁμοῦ καὶ διδασκάλους συναγαγόντες, βελτίους τούτους δι' ἐκείνων ἐργάσωνται. νόμος ἁπλῶς καὶ ἀφοσίωσις γέγονε τὰ ἡμέτερα· συνήθεια τὸ πρᾶγμα λοιπόν ἐστιν. ἦλθε τὸ πάσχα, πολὺς ὁ θόρυβος, πολλὴ ἡ ταραχή. οὐ γὰρ ἂν εἴποιμι, πολλοὶ οἱ ἄνθρωποι. τοῦτο γὰρ οὐκ ἀνθρώπων. ἀπῆλθεν ἡ ἑορτή, ὁ μὲν θόρυβος ὑποτέμνεται, ἡσυχία δὲ πάλιν ἄκαρπος. παννυχίδες πόσαι καὶ ὑμνῳδίαι ἱεραί; καὶ τί τὸ πλέον; χεῖρον μὲν οὖν. πολλοὶ καὶ διὰ κενοδοξίαν τοῦτο ἐργάζονται. πῶς οἴεσθε κόπτομαι τὰ σπλάγχνα, καθάπερ εἰς πίθον τετρημένον πάντα παραχωροῦντα ὁρῶν; ἀλλὰ πάντως ἐρεῖτέ μοι, ὅτι τὰς γραφὰς ἴσμεν. καὶ τί τοῦτο; ἂν διὰ τῶν ἔργων αὐτὰς ἐπιδεικνύητε, τοῦτό ἐστι τὸ κέρδος, αὕτη ἡ ὠφέλεια. βαφεῖον ἡ ἐκκλησία ἐστίν. ἂν διαπαντὸς ἀπίητε μηδεμίαν δεχόμενοι βαφήν, τί τὸ ὄφελος τοῦ συνεχῶς ἐνταῦθα ἰέναι; μείζων μὲν γὰρ ἡ βλάβη. τίς τοῖς νόμοις προσέθηκεν, οἷς ἀπὸ τῶν πατέρων ἐδέξατο; οἷόν τι λέγω· ἔθος ὁ δεῖνα ἔχει ποιεῖν τὴν ἀνάμνησιν τῆς μητρός, ἢ τῆς γυναικός, ἢ τοῦ παιδίου. τοῦτο ποιεῖ κἄν τι ἀκούῃ, κἄν τι μὴ ἀκούῃ παρ' ἡμῶν, ὑπὸ τῆς συνηθείας καὶ τοῦ συνειδότος ἑλκόμενος. διὰ τοῦτο οὖν ἀγανακτεῖς, φησί; μὴ γένοιτο· ἀλλὰ καὶ πάνυ χαίρω. ἐβουλόμην δὲ αὐτόν τι καὶ ἀπὸ τῆς ἡμετέρας καρποῦσθαι διαλέξεως· καὶ ὅπερ ἡ συνήθεια ἐποίησε, τοῦτο καὶ ἐφ' ἡμῶν γίνεσθαι καὶ ἑτέρους ἐπείσαμεν εἶναι συνήθεις. ἐπεὶ τί κοπτόμεθα εἰκῆ καὶ λῆρος, εἰ μέλλοιτε ἐπὶ τῶν αὐτῶν μένειν, εἰ μηδὲν αἱ συνάξεις εἰς ὑμᾶς ἐργάζονται ἀγαθόν; ναί, φησιν, εὐχόμεθα. καὶ τί τοῦτο, ἂν ἦτε χωρὶς ἔργων; ἄκουε τοῦ Χριστοῦ λέγοντος· Οὐ πᾶς ὁ λέγων μοι, Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς. Matth. 7. κα. πολλάκις ἔγνων ἐγὼ σιγῆσαι, μηδεμίαν ἀπὸ τῶν ἡμετέρων λόγων προσθήκην ὑμῖν ἐπιγινομένην ὁρῶν· ἢ τάχα γίνεται μέν, ἐγὼ δὲ ὑπὸ ἀπληστίας καὶ πολλῆς ἐπιθυμίας ταὐτὸν πάσχω τοῖς περὶ τὰ χρήματα μαινομένοις. καθάπερ γὰρ ἐκεῖνοι, ὅσα ἂν περιβάλωνται, οὐδὲν ἡγοῦνται ἔχειν· οὕτω καὶ αὐτός, ἐπειδὴ σφόδρα τῆς ὑμετέρας ἐφίεμαι σωτηρίας, ἕως ἂν ἴδω προκεκοφότας ὑμᾶς, οὐδὲν ἡγοῦμαι εἰργάσθαι, διὰ τὸ σφόδρα ἐπιθυμεῖν πρὸς αὐτὴν τὴν κορυφὴν ὑμᾶς ἐλθεῖν.

βουλοίμην

γ. ἴσμεν· τὰς ἐκκλησίας, φησί, κατέ.

*;

* ἀπὸ χθὲς καὶ ἐκείνης ἡμέρας;

γ. πάντων

γ. συναγαγόντες

γ. ἐφ'

γ. προκεκοφότας. ἄλλ. προσεσχηκότας.

Digitized by Google

Ψαλ. ιε. ι. Οὐ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν. οὔτε γὰρ τὰ παλαιὰ ἰσχυρὰ καθ' ἑαυτὰ ἐδόκει εἶναι οὕτως, οὔτε ταῦτα δίχα ἐκείνων· ὥστε δι' ἑκατέρων πιστοῦται τὸν λόγον. ἐπειδὴ γὰρ τῷ Δαβὶδ κατείχοντο ὡς ἀνῃρηκότες αὐτὸν, καὶ τὸ συγγενὲς αὐτῶν ἠλλοτρίου, οὐχ ὡς πρὸς χριστοκτόνους διαλέγεται, οὐδὲ ὡς ἀλλότριον ἀγαθὸν αὐτοῖς ἐγχειρίζοντες, ἀλλὰ τὸ οἰκεῖον. πάνυ ποθεινὸν ἦν αὐτοῖς τὸ ὄνομα τοῦ Δαβίδ· διὸ καὶ τίθησιν αὐτὸ, ἵνα καὶ οὕτως αὐτὸν δέξωνται, ὥσπερ ἔλεγον ἀπὸ τοῦ παιδὸς αὐτοῦ βασιλεύεσθαι. οὐκοῦν ἀπ' αὐτοῦ μὴ ἀφηνιάζετε. τί ἐστι, δώσω ὑμῖν τὰ ὅσια Δαβὶδ τὰ πιστά; τὰ βέβαια, φησι, τὰ οὐδέποτε ἀπολλύμενα. καὶ οὐκ ἐγχρονίζει τούτοις, ἅτε τοῦ λόγου λοιπὸν πιστευθέντος· ἀλλ' ἐπιτείνει τὴν κόλασιν, καὶ μετέρχεται τὸ αὐτοῖς ποθεινὸν, δεικνὺς τὸν νόμον ἐκβαλλόμενον, καὶ τῷ συμφέροντι ἐνδιατρίβει, ὅτι τὰ μεγάλα κακὰ παρακούουσιν ἔσται. εἶτα περὶ τοῦ Δαβὶδ πάλιν λέγει, καὶ τοῦτο μετ' ἐγκωμίου. Δαβὶδ μὲν γὰρ, φησιν, ἰδίᾳ γενεᾷ ὑπηρετήσας τῇ τοῦ Θεοῦ βουλῇ, προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ. καθὼς καὶ Πέτρος μνημονεύων αὐτοῦ ἔλεγεν· Ἐξὸν εἰπεῖν μετὰ παρρησίας περὶ τοῦ πατριάρχου Δαβίδ. καὶ οὐ λέγει, ὅτι ἐτελεύτησεν, ἀλλὰ, προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ, ὅπερ ἦν εὐφημότερον. καὶ ὅρα πῶς οὐδαμοῦ κατορθώματα αὐτῶν τίθησιν, ἀλλ' ἅπερ εἶχε κατηγορίας. τὸ γὰρ, ᾐτήσαντο καὶ ἔλαβον, μεγίστη κατηγορία αὐτῶν. εἶτα τὰς εὐεργεσίας τοῦ Θεοῦ καταλέγει, ἐξελέξατο, εἶπεν, ὕψωσεν, ἐτροποφόρησεν. ταῦτα δὲ οὐκ ἐκείνων ἐγκώμια, ἀλλὰ τοῦ Θεοῦ. τὸν δὲ Δαβὶδ ἐγκωμιάζει μόνον, ἐπειδὴ ἐξ αὐτοῦ ὁ Χριστός. εἴσοδον δὲ ὁ Ἰωάννης καλεῖ λέγων, πρὸ προσώπου τῆς εἰσόδου αὐτοῦ, τὴν σάρκωσιν τοῦ Χριστοῦ, τὴν μετὰ σαρκὸς αὐτοῦ φανέρωσιν. οὕτω καὶ ὁ Ἰωάννης τὸ εὐαγγέλιον γράφων, ἐπὶ τοῦτον καταφεύγει συνεχῶς. ὄνομα γὰρ ἦν αὐτοῦ πολὺ κατὰ τὴν οἰκουμένην ἅπασαν. καὶ ὅρα· οὐ λέγει αὐτὸς ἐξ ἑαυτοῦ, ἀλλὰ τὴν ἐκείνου φέρει μαρτυρίαν. εἶδες πῶς σπουδαίως ἔδειξεν οἰκονομίας τὸ πρᾶγμα ὄν; ἀλλ' ἀκούσωμεν τί καὶ λέγοντες οἱ ἀπόστολοι ἔπεισαν, ὅτι ἐσταυρώθη. (χ. μία) τί τούτου ἀπιθανώτερον, ὅτι ἐτάφη παρ' αὐτῶν, οἷς ἐπηγγέλλετο σωτηρίαν ἔσεσθαι, ἢ ὅτι ὁ ταφεὶς ἀφίησιν ἁμαρτήματα, καὶ τοῦ νόμου μᾶλλον; διὸ καὶ οὐκ εἶπεν, ὧν οὐκ ἠβουλήθητε· ἀλλ' ὧν οὐκ ἠδυνήθητε ἐν τῷ νόμῳ Μωϋσέως δικαιωθῆναι, ἐν τούτῳ πᾶς ὁ πιστεύων δικαιοῦται, τὸ ἀσθενὲς τοῦ νόμου δεικνύς. καλῶς δὲ προσέθηκε καὶ τὸ, πᾶς, ἵνα δείξῃ ὅτι ὅστις ἂν ᾖ ὁ πιστεύων. οὐδὲν γὰρ ὄφελος ἐκείνων, ἐὰν μή τις εὐεργεσία ᾖ. διὰ τοῦτο ὕστερον τίθησι τὴν ἄφεσιν, ἐντεῦθεν τὸ μεῖζον συνάγων, καὶ δεικνὺς ὅτι ὃ ἀδυνάτως εἶχεν ὁ νόμος ποιεῖν, τοῦτο ἐργασάμενος διὰ τοῦ θανάτου ὁ παθὼν φαίνεται. ὥστε καλῶς ἔλεγον· οἵτινές εἰσι μάρτυρες αὐτοῦ πρὸς τὸν λαὸν, τὸν ἀνελόντα φησίν· οὐκ ἂν ὄντες, εἰ μὴ θείᾳ δυνάμει ἐβεβαιοῦντο. (χ. ἐβεβαιοῦτο) οὐκ ἂν γὰρ πρὸς ἀνθρώπους φονῶντας τοιαῦτα ἐμαρτύρησαν· οὐκ ἂν πρὸς αὐτοὺς τοὺς ἀνελόντας. τὸ δὲ, ἐγὼ σήμερον γεγέννηκά σε, εἶπεν, ὡς τούτῳ λοιπὸν εἰδὼς, ὅτι καὶ τὰ ἄλλα ἕπεται. καὶ διατί μὴ ἐπήγαγε μαρτυρίαν, δι' ἧς ἔμελλον πεῖσαι, ὅτι ἄφεσις ἁμαρτιῶν δι' αὐτοῦ γέγονε; ὅτι τὸ σπουδαζόμενον τοῦτο ἦν, δεῖξαι πῶς ὅτι ἀνέστη. τούτου δὲ ὡμολογημένου, ἐκεῖνο ἀναμφισβήτητον ἦν διὰ τοῦτο, τὸ καὶ ὅτι ἄφεσις ἁμαρτιῶν γέγονε. ἄλλως δὲ, ἐβούλετο εἰς πόθον αὐτοὺς ἀγαγεῖν τοῦ μεγάλου τούτου. οὐκ ἄρα ἐγκατάλειψις ἦν ὁ θάνατος αὐτοῦ, ἀλλὰ προφητείας πλήρωσις. ἀναμιμνήσκει ἱστοριῶν, ἃς (χ. ἐν αἷς) ἀγνοήσαντες μυρία ἔπαθον δεινά. καὶ τοῦτο αἰνίττεται διὰ τοῦ τέλους, λέγων· ἴδετε οἱ καταφρονηταὶ καὶ ἐπιβλέψατε. καὶ ὅρα πῶς [αὐτὸ] ταχὺ ἂν ὑποτέμνεται. μὴ ἐπέλθῃ, φησὶν, ἐφ' ὑμᾶς τὸ πρὸς τοὺς ἄλλους εἰρημένον, ὅτι ἔργον ἐγὼ ἐργάζομαι, ὃ οὐ μὴ πιστεύσητε, ἐάν τις ἐκδιηγῆται ὑμῖν. μὴ θαυμάζητε ὅτι ἄπιστον δοκεῖ εἶναι· καὶ αὐτὸ προείρηται ἄνωθεν.

ΗΘΙΚΟΝ

Τοῦτο καὶ πρὸς ἡμᾶς εἰκότως ἂν λεχθείη, βλέποντες οἱ καταφρονηταὶ, περὶ τὴν τῇ ἀναστάσει διαπιστούντων. καὶ γὰρ σφόδρα κακῶς τὰ τῆς ἐκκλησίας διάκειται, καίτοιγε νομίζετε ἐν

εἰρήνῃ

φησιν, οὕτως εἴρηκεν· Ὅτι δώσω ὑμῖν τὰ ὅσια Δαβὶδ τὰ πιστά. Ἡσ. νε γ. Ψαλ. ιε ι.
35 Διὸ καὶ ἐν ἑτέρῳ λέγει· Οὐ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν.
36 Δαβὶδ μὲν γὰρ ἰδίᾳ γενεᾷ ὑπηρετήσας τῇ τοῦ Θεοῦ βουλῇ ἐκοιμήθη καὶ προσ-
ετέθη πρὸς τοὺς πατέρας αὐτοῦ, καὶ εἶδε διαφθοράν·
37 Ὃν δὲ ὁ Θεὸς ἤγειρεν, οὐκ εἶδε διαφθοράν. Ὅρα τοῦτον σφοδρότερον διαλε-
γόμενον. τοῦτο οὐδαμοῦ Πέτρος εἶπε.
κ. ἡμῖν κ. ἐπαγγέλλεται, 38 Γνωστὸν οὖν ἔστω ὑμῖν, ἄνδρες ἀδελφοί, ὅτι διὰ τούτου "ὑμῖν ἄφεσις ἁμαρτιῶν" κα-
ταγγέλλεται,
39 Καὶ ἀπὸ πάντων, ὧν οὐκ ἠδυνήθητε ἐν νόμῳ Μωϋσέως δικαιωθῆναι, ἐν τούτῳ πᾶς
ὁ πιστεύων δικαιοῦται. Εἶτα καὶ τὸ φοβερόν·
40 Βλέπετε οὖν μὴ ἐπέλθῃ ἐφ᾽ ὑμᾶς τὸ εἰρημένον ἐν τοῖς προφήταις·
41 Ἴδετε οἱ καταφρονηταί, [καὶ ἐμβλέψατε,] καὶ θαυμάσατε, καὶ ἀφανίσθητε, ὅτι ἔργον ἐγὼ
ἐργάζομαι ἐν ταῖς ἡμέραις ὑμῶν, ἔργον ὃ οὐ μὴ πιστεύσητε, ἐάν τις ἐκδιηγῆται ὑμῖν. Ἀμβακ. α ε.

Ὅρα πῶς πλέκει τὸν λόγον, ἀπὸ τῶν παρόντων, ἀπὸ τῶν προφητῶν, ἀπὸ τοῦ σπέρματος τοῦ κατ᾽ ἐπαγγελίαν. ἀλλ᾽ ἄνωθεν ἴδωμεν τὰ εἰρημένα. ἄνδρες ἀδελφοί, υἱοὶ γένους Ἀβραάμ. καὶ ἀπὸ τοῦ πατρὸς αὐτοὺς καλεῖ. ὑμῖν ὁ λόγος τῆς σωτηρίας ταύτης ἐξαπεστάλη. Ἐνταῦθα τό, ὑμῖν, οὐκ Ἰουδαίοις ἀφωρισμένως λέγει· ἀλλὰ δίδωσιν αὐτοῖς ἐξουσίαν ἀπολογηθῆναι τῶν τὸν φόνον τετολμηκότων. καὶ τοῦτο ἀπὸ τοῦ ἐπαγομένου δῆλον. οἱ γὰρ κατοικοῦντές, φησιν, Ἱερουσαλήμ, τοῦτον ἀγνοήσαντες, καὶ τὰς φωνὰς τῶν προφητῶν τὰς κατὰ πᾶν σάββατον ἀναγινωσκομένας, κρίναντες ἐπλήρωσαν. μεγάλη ἡ κατηγορία, εἰ συνεχῶς ἀκούοντες οὐ προσεῖχον. ἀλλ᾽ οὐδὲν θαυμαστόν. τὰ γὰρ εἰρημένα ἐκεῖνα τὰ κατ᾽ Αἴγυπτον καὶ τὴν ἔρημον, ἱκανὰ δεῖξαι αὐτῶν τὴν ἀγνωμοσύνην. καὶ πῶς ἠγνόησαν, φησιν, Ἰωάννου λέγοντος; τί θαυμαστόν, ὅπουγε καὶ τῶν προφητῶν συνεχῶς βοώντων; εἶτα καὶ ἄλλη κατηγορία, καὶ μηδεμίαν αἰτίαν θανάτου εὑρόντες· ὅπερ οὐκ ἦν ἀγνοίας. θῶμεν γὰρ ὅτι οὐχ ὡς Χριστὸν αὐτὸν εἶχον· τίνος ἕνεκεν καὶ ἀνῄρουν; καὶ ᾐτήσαντο, φησι, Πιλάτον ἀναιρεθῆναι αὐτόν. ὡς δὲ ἐτέλεσαν πάντα τὰ περὶ αὐτοῦ γεγραμμένα, καθελόντες αὐτὸν ἀπὸ τοῦ ξύλου, ἔθηκαν εἰς μνημεῖον. ὅρα πῶς αὐτοῖς περιεσπούδαστον ἦν τοῦτο. τὸν τρόπον εἶπε τὸν τοῦ θανάτου, καὶ Πιλάτον εἰς μέσον φέρει, ἅμα μὲν ἵνα δῆλον τὸ πάθος γένηται ἀπὸ τοῦ κριτηρίου· ἅμα δὲ ἵνα ἐκεῖνοι μειζόνως κατηγορῶνται, ἀνδρὶ παραδόντες ἀλλοφύλῳ. καὶ οὐκ εἶπεν, ἀνεῖλον· ἀλλ᾽, ᾐτήσαντο, μηδεμίαν αἰτίαν θανάτου εὑρόντες, ἀναιρεθῆναι αὐτόν· ὥστε δηλῶσαι, ὅτι χάριν ἔλαβον, ἐκείνου μὴ θέλοντος. ὅπερ σαφέστερον ὁ Πέτρος λέγει, Κρίναντος ἐκείνου ἀπολύειν. Πραξ. γ. ιγ. πλὴν ὑφεῖλε αὐτοὺς ὁ Παῦλος. καὶ ὅρα· οὐκ ἐνδιατρίβει τῇ ἀγνωμοσύνῃ τῶν πατέρων, ἀλλ᾽ αὐτοῖς ἐφίστησι τὸν φόβον. ὁ μὲν γὰρ Στέφανος εἰκότως τοῦτο ποιεῖ, ἅτε ἀναιρεῖσθαι μέλλων, καὶ οὐχὶ διδάσκων, καὶ δεικνὺς ὅτι ὁ νόμος ἤδη καταλύεται· οὗτος δὲ οὐκέτι, ἀλλ᾽ ἀπειλεῖ καὶ φοβεῖ μόνον. ὁ δὲ Θεὸς ἤγειρεν αὐτὸν ἐκ νεκρῶν. ὃς ὤφθη, φησίν, ἐπὶ ἡμέρας πλείους τοῖς συναναβᾶσιν αὐτῷ ἀπὸ τῆς Γαλιλαίας ἐπὶ Ἱερουσαλήμ. ὅρα καὶ τοῦτον, ἅτε ἀπ᾽ αὐτοῦ κεκινημένον τοῦ πνεύματος, ἄνω καὶ κάτω τὸ πάθος καὶ τὸν τάφον κηρύττοντα. καὶ ἡμεῖς ὑμᾶς εὐαγγελιζόμεθα, φησι, τὴν πρὸς τοὺς πατέρας ἐπαγγελίαν γενομένην· τουτέστι, τὴν μὲν ἐπαγγελίαν οἱ πατέρες ἐδέξαντο· τὸ δὲ ἔργον ὑμεῖς. Εἶτα μάρτυρα τὸν Ἰωάννην ἐπάγων ὅτι ἔλεγεν, ὅτι ἀπὸ τοῦ σπέρματος τούτου κατ᾽ ἐπαγγελίαν ἤγαγε τῷ Ἰσραὴλ σωτηρίαν, προκηρύξαντος Ἰωάννου πρὸ προσώπου τῆς εἰσόδου αὐτοῦ βάπτισμα μετανοίας Ἰσραήλ, ἑξῆς ἐπάγει πάλιν αὐτὸν λέγοντα· Τίνα με ὑπονοεῖτε; οὐκ εἰμὶ ἐγώ. Εἶτα παράγει καὶ τοὺς ἀποστόλους μάρτυρας τῆς ἀναστάσεως, λέγων· οἵτινές εἰσι μάρτυρες αὐτοῦ πρὸς τὸν λαόν· Εἶτα τὸν Δαβὶδ τοῦτο αὐτὸ μαρτυροῦντα, τῷ λέγειν,

Οὐ

Digitized by Google

ὅρα πῶς ἐδὲ χαιρετὴ συμφορὰν παρατρέχει, καὶ οὐδαμοῦ τὰ ἐγκλήματα παράγει εἰς μέσον, ἀλλὰ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, ἐκεῖνα ἀφεὶς αὐτοῖς λογίζεσθαι.

18 Καὶ ὡς τεσσαρακονταετῆ χρόνον ἐτροποφόρησεν αὐτοὺς ἐν τῇ ἐρήμῳ. Εἶτα τὴν κατορθώματα λέγει·

19 Καὶ καθελὼν, φησὶν, ἔθνη ἑπτὰ ἐν γῇ Χαναὰν, κατεκληρονόμησεν αὐτοῖς τὴν γῆν αὐτῶν. Καὶ ὁ χρόνος πολύς· τετρακόσια γὰρ πεντήκοντα ἔτη. χ. κατεκληρονόμησεν

20 Καὶ μετὰ ταῦτα ὡς ἔτεσι τετρακοσίοις καὶ πεντήκοντα ἔδωκεν αὐτοῖς κριτὰς ἕως Σαμουὴλ τοῦ προφήτου. Ἐνταῦθα ὅτι διαφόρως οἰκονόμει τὰ κατ' αὐτοὺς ἐδήλωσε, χ. εἰκονομῆ

21 Κἀκεῖθεν ᾐτήσαντο βασιλέα. Καὶ οὐ λέγει τὴν ἀγνωμοσύνην αὐτῶν· ἀλλὰ πανταχοῦ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν. Καὶ ἔδωκεν αὐτοῖς ὁ Θεὸς τὸν Σαοὺλ υἱὸν Κὶς, ἄνδρα ἐκ φυλῆς Βενιαμὶμ ἔτη τεσσαράκοντα,

22 Καὶ μεταστήσας αὐτὸν ἤγειρεν αὐτοῖς τὸν Δαβὶδ εἰς βασιλέα· ᾧ καὶ εἶπε μαρτυρήσας· εὗρον Δαβὶδ τὸν τοῦ Ἰεσσαὶ, ἄνδρα κατὰ τὴν καρδίαν μου, ὃς ποιήσει πάντα τὰ θελήματά μου. Οὐ μικρὸν τοῦτο δὲ ἀπὸ Δαβὶδ εἶναι τὸν Χριστόν. Εἶτα καὶ Ἰωάννην εἰσάγει μαρτυροῦντα, λέγων·

23 Τούτου ὁ Θεὸς ἀπὸ τοῦ σπέρματος κατ' ἐπαγγελίαν ἤγειρε τῷ Ἰσραὴλ σωτῆρα Ἰησοῦν, χ. σωτηρίαν

24 Προκηρύξαντος Ἰωάννου πρὸ προσώπου τῆς εἰσόδου αὐτοῦ βάπτισμα μετανοίας παντὶ τῷ λαῷ τοῦ Ἰσραήλ.

Ἰωάν. α. κ. 25 Ὡς δὲ ἐπλήρου ὁ Ἰωάννης τὸν δρόμον, ἔλεγε· Τίνα με ὑπονοεῖτε εἶναι; οὐκ εἰμὶ ἐγώ, ἀλλ' ἰδοὺ ἔρχεται μετ' ἐμὲ, οὗ οὐκ εἰμὶ ἱκανὸς τὸ ὑπόδημα τῶν ποδῶν λῦσαι. χ. ἄξιος

Καὶ Ἰωάννης δὲ μαρτυρεῖ, οὐχ ἁπλῶς, ἀλλὰ τὴν δόξαν ἐξ ἑαυτοῦ ἀποκρουόμενος, καίτοι πάντων ἐπ' αὐτὸν ταύτην ἀγόντων. Οὐκ ἔστι δὲ ἴσον μηδενὸς διδόντος, καὶ πολλῶν περιεχόντων ταύτην τὴν τιμὴν διωθεῖσθαι· καὶ μηδὲ ἁπλῶς, ἀλλὰ μετὰ τοσαύτης ὑποστολῆς.

26 Ἄνδρες ἀδελφοὶ, υἱοὶ γένους Ἀβραὰμ, καὶ οἱ ἐν ὑμῖν φοβούμενοι τὸν Θεὸν, ὑμῖν ὁ λόγος τῆς σωτηρίας ταύτης ἐξαπεστάλη.

27 Οἱ γὰρ κατοικοῦντες ἐν Ἱερουσαλὴμ, καὶ οἱ ἄρχοντες αὐτῶν τοῦτον ἀγνοήσαντες, καὶ τὰς φωνὰς τῶν προφητῶν τὰς κατὰ πᾶν σάββατον ἀναγινωσκομένας, κρίναντες ἐπλήρωσαν, χ. ἐσταύρωσαν,

28 Καὶ μηδεμίαν αἰτίαν θανάτου εὑρόντες, ᾐτήσαντο Πιλάτον ἀναιρεθῆναι αὐτόν.

Πανταχοῦ τοῦτο σπουδάζουσι δεῖξαι οἰκεῖον αὐτῶν ὄντα τὸ ἀγαθὸν, ἵνα μὴ ὡς ἀλλοτρίῳ προσέχοντες φθέγγωνται, ἐπεὶ ἐσταύρωσαν αὐτόν. τοῦτον, φησὶν, ἀγνοήσαντες. ὥστε ἀγνοίας ἦν τὸ ἁμάρτημα. ὅρα πῶς καὶ ὑπὲρ ἐκείνων ἀπολογεῖται ἠρέμα· καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὅτι καὶ οὕτως ἔδει γενέσθαι, προστίθησι. καὶ ἵνα μή τις εἴπῃ, πόθεν δῆλον ὅτι ἀνέστη; φησὶ [τὸ,] καὶ μάρτυρές αὐτοῦ εἰσιν. Εἶτα πάλιν ἀπὸ τῶν γραφῶν ἰσχυρίζεται.

29 Ὡς δὲ ἐτέλεσαν πάντα τὰ περὶ αὐτοῦ γεγραμμένα, καθελόντες ἀπὸ τοῦ ξύλου, ἔθηκαν εἰς μνημεῖον.

30 Ὁ δὲ Θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν,

31 Ὃς ὤφθη ἐπὶ ἡμέρας πλείους τοῖς συναναβᾶσιν αὐτῷ ἀπὸ τῆς Γαλιλαίας εἰς Ἱερουσαλὴμ, οἵτινές εἰσι μάρτυρες αὐτοῦ πρὸς τὸν λαόν· χ. Ὃς

32 Καὶ ἡμεῖς ὑμᾶς εὐαγγελιζόμεθα τὴν πρὸς τοὺς πατέρας ἐπαγγελίαν γενομένην, ὅτι ταύτην ὁ Θεὸς ἐκπεπλήρωκε τοῖς τέκνοις αὐτῶν ἡμῖν, ἀναστήσας Ἰησοῦν,

Ψαλ. β. ζ. 33 Καθὼς καὶ ἐν τῷ ψαλμῷ τῷ δευτέρῳ γέγραπται· Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε.

34 Ὅτι δὲ ἀνέστησεν αὐτὸν ἐκ νεκρῶν μηκέτι μέλλοντα αὐτὸν εἰς διαφθορὰν ὑποστρέφειν,

Digitized by Google

νόησον ὅτι ὄνομα μόνον ἐστί, πρᾶγμα δὲ οὐκ ἔχει. ἐπεὶ τί ἐστι δόξα, εἰπέ μοι· δὸς ὅρον τινά. ὃ θαυμάζεσθαι παρὰ πάντων, φησί. δικαίως, ἢ ἀδίκως; εἰ μὲν γὰρ ἀδίκως, οὐκ ἂν εἴη τοῦτο θαῦμα, ἀλλὰ κατηγορία, καὶ κολακεία, καὶ διαβολή. εἰ δὲ δικαίως, τοῦτο οὐ δυνατόν. οὐ γὰρ ἔχει κρίσεις ὀρθὰς ὁ δῆμος, ἀλλὰ τοὺς ταῖς ἐπιθυμίαις αὐτῶν ὑπηρετοῦντας τούτους θαυμάζουσι. καὶ, εἰ βούλεσθε, καταμάθετε τοὺς ταῖς πόρναις τὰ αὐτῶν δωρουμένους, τοὺς τοῖς ἡνιόχοις, τοὺς τοῖς ὀρχησταῖς. ἀλλ' οὐ τούτους, φησί, φαμὲν, ἀλλὰ τοὺς δικαίους καὶ τοὺς ὀρθούς, καὶ μεγάλα δυναμένους ποιεῖν καλά. εἰ δὲ ἠβούλοντο, καὶ ταχέως ἐποίουν ἂν τὰ ἀγαθά· νῦν δὲ οὐδὲν τούτων ποιοῦσι, πῶς, εἰπέ μοι, τὸν δίκαιον ἐπαινεῖ νῦν καὶ τὸν ὀρθόν; τοὐναντίον μὲν οὖν. τί δὲ ψυχρότερον δικαίου, εἰ πρᾶγμα ποιοῦντι κατορθῶν, τῆς παρὰ τῶν πολλῶν δόξης ἐφίεται; τοιοῦτον γὰρ ποιεῖ, οἷον ἂν εἴ τις ζωγράφος ἄριστος ὢν καὶ εἰκόνα γράφων βασιλικὴν, τῶν οὐκ ἐμπείρων ἀποδέχοιτο τοὺς ἐπαίνους. ἄλλως δὲ, ταχέως ἀποστήσεται ὁ ἄνθρωπος ὁ πρὸς δόξαν ὁρῶν ἀνθρωπίνην τῶν κατ' ἀρετὴν πραγμάτων. εἰ γὰρ μέλλοι πρὸς ἐπαίνους κεχηνέναι, ἅπερ ἂν ἐκεῖνοι θέλωσι, ταῦτα ἐργάσεται, οὐχ ἅπερ ἂν αὐτός. τί οὖν ἂν ὑμῖν συμβουλεύσαιμι λοιπὸν ποιεῖν; τῷ Θεῷ προσέχειν, τοῖς ἑταίροις ἀρκεῖσθαι τοῖς παρ' αὐτοῦ, πάντα τὰ ἐκείνῳ δοκοῦντα ἐργάζεσθαι, καὶ τὰ ἀγαθὰ πράττειν, πρὸς μηδὲν τῶν ἀνθρωπίνων κεχηνέναι. τοῦτο γὰρ καὶ νηστείαν καὶ εὐχὴν καὶ ἐλεημοσύνην λυμαίνεται, καὶ πάντα τὰ ἡμέτερα ἀγαθὰ κενοῖ. ὅπερ ἵνα μὴ πάθωμεν, φύγωμεν τοῦτο τὸ πάθος, πρὸς ἓν μόνον ὁρῶμεν, τὸν παρὰ τοῦ Θεοῦ ἔπαινον, τὴν ἐκεῖθεν ἀποδοχὴν, τὴν παρὰ τοῦ κοινοῦ δεσπότου εὐφημίαν· ἵνα μετ' ἀρετῆς τὸν παρόντα βίον διανύσαντες, τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

χ. ἰδίλοι

χ. μεμῆναι

Λογ. κθ. 16 ΑΝΑΣΤΑΣ ΔΕ ΠΑΥΛΟΣ, ΚΑΙ ΚΑΤΑΣΕΙΣΑΣ τῇ χειρὶ, εἶπεν· ἄνδρες Ἰσραηλῖται, καὶ οἱ [ἐν ὑμῖν] φοβούμενοι τὸν Θεὸν, ἀκούσατε. 17 Ὁ Θεὸς τοῦ λαοῦ τούτου * ἐξελέξατο τοὺς πατέρας ἡμῶν, καὶ τὸν λαὸν ὕψωσεν ἐν τῇ παροικίᾳ [αὐτοῦ] ἐν γῇ Αἰγύπτῳ, καὶ μετὰ βραχίονος ὑψηλοῦ ἐξήγαγεν αὐτοὺς ἐξ αὐτῆς.

* Ἰσραὴλ χ. γῆ

ΟΡα τὸν Βαρνάβαν παραχωροῦντα τῷ Παύλῳ, * ὥσπερ καὶ Πέτρῳ Ἰωάννης πανταχοῦ. αὐτοὺς ἤγαγον αὐτοὶ ἀπὸ Δαμασκοῦ· κἀκεῖνοι * αὐτοῦ αἰδεσιμώτεροι ἦσαν· ἀλλὰ πρὸς τὸ κοινῇ συμφέρον ἑώρων. καὶ ἀναστάς, φησι, καὶ κατασείσας τῇ χειρί. ἔθος τοῦτο Ἰουδαίοις ἦν· δεῖ καὶ αὐτοὺς κατὰ τοῦτο αὐτοῖς διαλέγεται. ὅρα πῶς προοδοποιεῖ τῷ λόγῳ. πρότερον ἐγκωμιάσας αὐτοὺς, καὶ δείξας πολλὴν περὶ αὐτοὺς τὴν κηδεμονίαν, διὰ τοῦ εἰπεῖν, οἱ φοβούμενοι τὸν Θεὸν, οὕτως ἄρχεται τοῦ λόγου. καὶ οὐκ εἶπεν, οἱ προσήλυτοι, ὅπερ ἦν συμφορᾶς ὄνομα. ὁ Θεὸς, φησι, τοῦ λαοῦ τούτου ἐξελέξατο τοὺς πατέρας ἡμῶν, καὶ τὸν λαόν. ὅρα πῶς καὶ αὐτὸς τὸν κοινὸν τῶν ἀνθρώπων Θεὸν αὐτῶν ἰδίως καλεῖ, καὶ δείκνυσιν ἄνωθεν τὰς εὐεργεσίας αὐτοῦ μεγάλας οὔσας, καθάπερ καὶ Στέφανος. ταῦτα δὲ ποιοῦσιν, ἵνα παιδεύσωσιν αὐτοὺς, ὅτι καὶ νῦν κατὰ τὸ αὐτὸ ἔθος τὸν υἱὸν αὐτοῦ ἀπέστειλε. καθάπερ καὶ ὁ Χριστὸς εἶπεν ἐν τῷ ἀμπελῶνι, οὕτω καὶ αὐτός φησιν· ὕψωσεν ἐν τῇ παροικίᾳ ἐν τῇ Αἰγύπτῳ, καὶ μετὰ βραχίονος ὑψηλοῦ ἐξήγαγεν αὐτοὺς ἐξ αὐτῆς. καίτοι μὲν τοὐναντίον γίνεται· ἀλλ' εἰς πλῆθος ἐπίδοσιν, ἀλλὰ τὰ θαύματα δι' αὐτοὺς γίνεται. τούτων καὶ ὁ προφήτης μνημονεύουσιν ἀεὶ τῶν κατ' Αἴγυπτον. καὶ ὅρα

* (τοῦ Σαύλου; οἱ ἤγαγον ἀπὸ Ταρσοῦ) * ἐπ

Ῥωμ. ιε. κ. Οὕτω δὲ φιλοτιμούμενος εὐαγγελίζεσθαι, οὐχ ὅπου ὠνομάσθη Χριστός. ἀνδρείας δὲ ἦν καὶ τοῦτο πολλῆς. οὕτως ἐκ προοιμίων θαυμαστὸς ὁ ἀνήρ, ἐσταυρωμένος, παρατεταγμένος· ᾔδει πόσης ἀπήλαυσε χάριτος· διὸ πρόροπον εἰσήγαγε τὴν σπουδήν· οὐκ ὠργίσθη πρὸς Ἰωάννην (οὐ γὰρ τούτου ἦν) ἀλλὰ τοῦ ἔργου εἴχετο· οὐκ ἐδειλίασεν, οὐκ ἐφοβήθη ἐν μέσῳ πλήθει ἀπειλημμένος. ὅρα πῶς οἰκονομεῖται Παῦλον μὴ κηρύττειν ἐν Ἱεροσολύμοις. ἀρκεῖ καὶ τοῦτο μόνον τὸ ἀκοῦσαι, ὅτι ἐπίστευσεν. κηρύττοντος δὲ οὐκ ἂν ἠνέσχοντο διὰ τὸ μῖσος· καὶ πόρρω ἀπιστία, ἔνθα γνώριμος οὐκ ἦν. περιττῶς ἤλεγξε τὸν μάγον, ἐχθρὸς ἦν· καὶ ὅτι τοιοῦτος ἦν, τὸ σημεῖον ἐδείκνυ. τῆς ἐν [τῇ] ψυχῇ τυφλότητος τοῦτο σημεῖον ἦν. ἄχρι δὲ καιροῦ πάλιν, ὥστε μετανοῆσαι. καλῶς δὲ τῷ σαββάτῳ εἰσῆλθον εἰς τὴν συναγωγήν, ὅτε πάντες ἦσαν συνειλεγμένοι. καὶ μετὰ τὴν ἀνάγνωσιν τοῦ νόμου καὶ τῶν προφητῶν, φησίν, ἀπέστειλαν οἱ ἀρχισυνάγωγοι λέγοντες· ἄνδρες ἀδελφοί, εἰ ἔστι λόγος ἐν ὑμῖν παρακλήσεως πρὸς τὸν λαόν, λέγετε. ὅρα αὐτοὺς ἀφθόνως τότε τοῦτο ποιοῦντας, μετὰ δὲ τοῦτο οὐκ ἔτι. εἰ τοῦτο ἐβούλεσθε, μᾶλλον ἔδει παρακαλέσαι.

ΗΘΙΚΟΝ Ἀλλ᾽ ὢ τῆς φιλαρχίας, ὢ τῆς κενοδοξίας· πῶς πάντα διατρέπει καὶ ἀπόλλυσι· κατὰ τῆς οἰκείας, κατὰ τῆς ἀλλήλων σωτηρίας ἑστάναι παρασκευάζει. πηροὺς οὕτω καὶ τυφλοὺς ἐργάζεται, ὥστε καὶ χειραγωγοὺς ζητεῖν (εἴθε καὶ τοῦτο· εἴθε καὶ χειραγωγοὺς ἐζήτουν· ἀλλ᾽ οὐκ ἔστι τούτου ἀνέχονται, ἀλλ᾽ ἑαυτοῖς ἐπιτρέπουσι τὸ πᾶν) οὐδένα ἀφίησιν ἰδεῖν· καθάπερ ἀχλὺς ἐπίκειται καὶ ζόφος, οὐκ ἀφιεὶς διαβλέψαι. ποίαν ἕξομεν ἀπολογίαν διὰ πάθος πάθους κρατοῦντες, διὰ δὲ τὸν τοῦ Θεοῦ φόβον οὐκέτι; πολλοὶ ἀσελγεῖς ὄντες καὶ φιλοχρήματοι διὰ τὴν τῶν χρημάτων φειδωλίαν ἐχαλίνωσαν τὴν ἡδονήν· ἄλλοι τοὐναντίον, διὰ τὴν ἡδονὴν ὑπερεῖδον χρημάτων· πάλιν οἱ ἡττώμενοι δόξης κενῆς ἀμφοτέρων περιεγένοντο, χρήματα ἀναλίσκοντες ἀφειδῶς, καὶ σωφρονοῦντες εἰκῇ· ἄλλοι πάλιν κενόδοξοι σφόδρα ὄντες, κατεφρόνησαν τοῦ πάθους, πολλὰ ὑπομείναντες αἰσχρὰ καὶ δι᾽ ἔρωτας, καὶ διὰ χρήματα· ἕτεροι πάλιν, ἵνα τὸν θυμὸν ἐμπλήσωσι τὸν αὐτῶν, εἵλοντο ζημιωθῆναι μυρία, καὶ οὐδένες αὐτοὺς τούτων ἐμέλησεν, ἵνα μόνον τὸ θέλημα ποιήσωσι τὸ αὐτῶν. καὶ ὅπερ ἰσχύει πάθος, οὐκ ἰσχύει παρ᾽ ἡμῖν ὁ τοῦ Θεοῦ φόβος. καὶ τί λέγω πάθος; ὅπερ αἰδὼς ἀνθρώπων ἰσχύει, οὐκ ἰσχύει ὁ τοῦ Θεοῦ φόβος. πολλὰ καὶ κατορθοῦμεν καὶ ἁμαρτάνομεν, ἀνθρώπους αἰδούμενοι· τὸν δὲ Θεὸν οὐ δεδοίκαμεν. πόσοι δι᾽ αἰσχύνην προήκαντο χρήματα; πόσοι ἐφιλοτιμήσαντο, εἰκῇ ὑπηρετούμενοι τοῖς αὐτῶν φίλοις ἐπὶ κακῷ; πόσοι φιλίας αἰδεσθέντες μυρία ἥμαρτον; εἰ τοίνυν καὶ πάθος καὶ αἰδὼς ἀνθρωπίνη δύναται ἐμβαλεῖν ἡμᾶς καὶ εἰς ἁμαρτήματα, καὶ εἰς κατορθώματα, εἰκῇ λέγομεν ὅτι οὐ δυνάμεθα. δυνάμεθα γάρ, ἂν θέλωμεν· θελῆσαι δὲ πάντως χρή. εἰπὲ δή μοι, διὰ τί οὐ δύνασαι δόξης κρατεῖν, ὅταν ἕτεροι ὦσι κρατοῦντες, τὴν αὐτὴν ἔχοντες ψυχήν, τὸ αὐτὸ σῶμα, τὴν αὐτὴν μορφήν, τὴν αὐτὴν ζῶντες ζωήν; ἐννόησον τὸν Θεόν, ἐννόησον τὴν ἄνωθεν δόξαν· ἀντίστησον αὐτῇ τὰ παρόντα, καὶ ταχέως ταύτης ἀποπηδήσεις. ὅλως εἰ δόξης ἐπιθυμεῖς, τῆς ὄντως δόξης ἐπιθύμει. ποία δόξα, ὅταν ἀτιμίας ποιῇ; ποία δόξα, ὅταν τῶν ἐλαττόνων ἀναγκάζῃ τιμῆς ἐφίεσθαι, κἀκείνης χρείαν ἔχῃ; τί μή ἐστι, τὸ τῆς παρὰ τῶν μειζόνων ἀπολαύειν δόξης. ὅλως εἰ δόξης ἐρᾷς, μᾶλλον ἐρασθήσῃ τῆς παρὰ τοῦ Θεοῦ. ἂν ἐρασθεὶς ἐκείνης, ταύτης καταφρονήσῃς, ὄψει ταύτην ἄτιμον· ἕως ἂν ἐκείνην μὴ ἴδῃς, οὐδὲ ταύτην ἰδεῖν δυνήσῃ πῶς ἐστιν αἰσχρά, πῶς καταγέλαστος. καθάπερ γὰρ οἱ πόρνῃ τινὶ γυναικὶ προσκατειλημμένοι εἰδέναι καὶ αἰσχρᾶς, ἕως ἂν φιλῶσιν αὐτήν, οὐ δύνανται τὴν δυσείδειαν ἰδεῖν, τοῦ πάθους ἐπισκοτοῦντος τῇ κρίσει· οὕτω δὴ καὶ ἐν ταῦτα, ἕως ἂν κατεχώμεθα τῷ πάθει, οὐ δυνάμεθα συνιδεῖν οἷόν ἐστι κακόν. πῶς οὖν ἀπαλλαγείημεν ἄν, φησίν, αὐτοῦ; ἐννόει τοὺς χρήματα ἀναλώσαντας μυρία, καὶ οὐδὲν ἀπ᾽ αὐτῶν καρπωσαμένους· ἐννόει τοὺς ἀποθανόντας ὅσης ἀπήλαυσαν δόξης, καὶ οὐδαμοῦ αὕτη βεβαία, ἀλλ᾽ ἀπόλωλε καὶ διέφθαρται· ἐν-

νόησον

γ. ἀξίαν

γ. πάλιν ἀμφότερα ταῦτα οἱ ὑπὸ δόξης ὄντες κενῆς ἀμφ.

γ. ἀλλ᾽ οἱ κεν.

γ. προΐενται τὰ χ.

γ. τῶν ἐλαττόνων

φυλίας· Ἰωάννης δὲ ἀποχωρήσας ἀπ' αὐτῶν ὑπέστρεψεν εἰς Ἱεροσόλυμα.

14 Αὐτοὶ δὲ διελθόντες ἀπὸ τῆς Πέργης, παρεγένοντο εἰς Ἀντιόχειαν τῆς Πισιδίας· καὶ εἰσελθόντες εἰς τὴν συναγωγὴν τῇ ἡμέρᾳ τῶν σαββάτων ἐκάθισαν. Πάλιν εἰς τὰς συναγωγὰς ἐν σχήματι Ἰουδαίων εἰσίασιν, ὥστε μὴ πολεμεῖσθαι, μηδὲ ἐλαύνεσθαι· καὶ οὕτω τὸ πᾶν κατώρθουν.

15 Μετὰ δὲ τὴν ἀνάγνωσιν τοῦ νόμου καὶ τῶν προφητῶν ἀπέστειλαν οἱ ἀρχισυνάγωγοι πρὸς αὐτοὺς λέγοντες· ἄνδρες ἀδελφοί, εἰ ἔστι λόγος ἐν ὑμῖν παρακλήσεως πρὸς τὸν λαόν, λέγετε. Λοιπὸν ἐντεῦθεν τὰ κατὰ Παῦλον μανθάνομεν, οὐ μικρὰ περὶ τοῦ Πέτρου μαθόντες ἐν τοῖς προλαβοῦσιν εἰρημένοις. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. καὶ γενόμενοι, φησίν, ἐν Σαλαμῖνι, κατήγγελλον τὸν λόγον τοῦ Θεοῦ τῇ μητροπόλει τῆς Κύπρου. ἐποίησαν ἐκεῖ χρόνον ἐν Ἀντιοχείᾳ. ἔδει καὶ ἐκεῖ ἀπελθεῖν, καὶ μὴ διατρίβοντας ἐνταῦθα καθῆσθαι· ἔδει μειζόνων αὐτοῖς διδασκάλων. ὅρα πῶς καὶ ἐν Σελευκείᾳ οὐ διατρίβουσιν, εἰδότες ὅτι ἀπὸ τῆς γείτονος πόλεως ἐκαρπώσαντο ἂν πολλὴν τὴν ὠφέλειαν· ἀλλὰ πρὸς τὰ κατεπείγοντα σπεύδουσι καὶ ἐκεῖ. πρὸς γὰρ τὴν μητρόπολιν ἐλθόντες τῆς νήσου, τὸν ἀνθύπατον ἔσπευδον διορθῶσαι. ὅτι δὲ οὐ κολακείας ἦν τὸ λέγειν, συνῆν τῷ ἀνθυπάτῳ ἀνδρὶ συνετῷ, ἀπὸ τοῦ πράγματος μάνθανε, πῶς οὐκ ἐδεήθη λόγων πολλῶν, πῶς ἠθέλησεν αὐτῶν ἀκοῦσαι. καὶ τὰ ὀνόματα δὲ καταλέγει τῆς πόλεως· δεικνύς, ὅτι ἐπειδὴ προσφάτως τὸν λόγον ἐδέξαντο, χρεία ἦν ἐπιστηρίξασθαι τῇ πίστει ἐμμένειν. διὸ καὶ συνεχῶς αὐταῖς ἐφίσταντο. ὅρα ὅτι οὐδὲν πρὸς τὸν μάγον εἶπεν, ἕως ἐκεῖνος ἀφορμὴν ἔδωκεν· ἀλλὰ τὸν λόγον τοῦ Κυρίου μόνον κατήγγελλον. ἐπειδὴ [γὰρ] τοὺς ἄλλους ἑώρα περιέχοντα, αὐτὸς πρὸς ἓν τοῦτο ἐσκόπει, ὥστε ἐκεῖνον μὴ πεισθῆναι. καὶ διὰ τί μὴ ἕτερον σημεῖον ἐποίησεν; ὅτι οὐκ ἦν τούτου ἴσον, τοῦ τὸν ἐχθρὸν ἑλεῖν. καὶ ὅρα· πρότερον ἐγκαλεῖ, καὶ τότε τιμωρεῖται. δείκνυσι δὲ δικαίως αὐτὸν παθόντα τι· λέγει· ὦ πλήρης παντὸς δόλου· τουτέστιν, οὐδὲν ἔχων ἐλλιπές, φησί. καὶ καλῶς εἶπε, παντὸς δόλου. ὑπεκρίνετο γάρ. υἱὲ διαβόλου. τὸ γὰρ ἔργον ἐκείνου ὑπέπραττεν. ἐχθρὲ πάσης δικαιοσύνης. ἡ γὰρ πᾶσα δικαιοσύνη οὕτως αὕτη ἦν. ἐμοὶ δοκεῖ καὶ τὸν βίον ἐλέγχειν τὸν αὐτοῦ ταῦτα λέγων. καὶ ἵνα δείξῃ ὅτι οὐκ ἦν θυμοῦ τὰ ῥήματα, διὰ τοῦτο προλαβὼν εἶπε, πλησθεὶς πνεύματος ἁγίου, τουτέστιν, ἐνεργείας. καὶ νῦν ἰδοὺ χεὶρ Κυρίου ἐπὶ σέ. οὐκ ἄρα τιμωρία ἦν, ἀλλ' ἴασις. μονονουχὶ γὰρ ἔλεγεν, οὐκ ἐγὼ ποιῶ, ἀλλ' ἡ τοῦ Θεοῦ χείρ. ὅρα τὸ ἄτυφον. [οὐκέτι φῶς, ὡς ἐπὶ Παύλου, περιήστραψεν αὐτόν.] ἔσῃ, φησί, τυφλὸς μὴ βλέπων τὸν ἥλιον ἄχρι καιροῦ. τοῦτο λέγει, ἵνα δῷ αὐτῷ μετανοῆσαι. οὐδαμοῦ γὰρ ἐβούλοντο ἀπὸ τῶν σκυθρωποτέρων φαίνεσθαι, εἰ καὶ εἰς ἐχθροὺς ταῦτα ἐγίνετο. ἀλλ' ἐπὶ μὲν τῶν οἰκείων εἰκότως· ἐπὶ δὲ τῶν ἀλλοτρίων οὐχί, ἵνα μὴ νομισθῇ τὸ πρᾶγμα ἀνάγκης εἶναι λοιπὸν καὶ δέους. τεκμήριον δὲ τῆς τυφλότητος, τὸ χειραγωγοὺς ζητεῖν. εἶτα ὁρᾷ τὴν πήρωσιν ὁ ἀνθύπατος, καὶ εὐθέως πιστεύει· καὶ οὐχ ἁπλῶς, ἀλλ' ἐκπληττόμενος. εἶδε γὰρ ὅτι οὐ λόγοι, οὐδὲ ἀπάτη ταῦτα. ὅρα πόσον ἔρωτα εἶχε διδασκαλίας ἐν ἀρχῇ ὢν τοσαύτῃ. καὶ οὐκ εἶπε πρὸς αὐτόν, οὐ παύσῃ διαστρέφων τὸν ἀνθύπατον· ἀλλὰ τὰς ὁδοὺς Κυρίου, ὃ πλεῖον ἦν, ἵνα μὴ δόξῃ κολακεύειν. τί δήποτε δὲ ὁ Ἰωάννης ἀναχωρεῖ ἀπ' αὐτῶν; Ἰωάννης γάρ, φησιν, ἀποχωρήσας ἀπ' αὐτῶν, ὑπέστρεψεν εἰς Ἱεροσόλυμα· ἅτε ἐπὶ μακροτέραν λοιπὸν στελλομένων ὁδόν. καίτοιγε ὑπηρέτης ἐκεῖνος ἦν, αὐτοὶ δὲ τὸν κίνδυνον εἶχον. πάλιν ἐλθόντες εἰς Πέργην, παρατρέχουσι τὰς ἄλλας πόλεις. ἐπὶ τὴν μητρόπολιν γὰρ ἠπείγοντο τὴν Ἀντιόχειαν. καὶ ὅρα πῶς ὑποτέμνεται ὁ συγγραφεύς· ἐκάθισαν ἐν τῇ συναγωγῇ, φησί, καὶ τῇ ἡμέρᾳ τῶν σαββάτων, ὥστε προοδοποιῆσαι τῷ λόγῳ. καὶ οὐ πρότεροι λέγουσιν, ἀλλ' ἐπιτραπέντες ἅτε ὡς ξένοις προσκαλοῦντο. εἰ μὴ παρεκάλεσαν δέ, οὐκ ἂν ἐγένετο λόγος· ἐνταῦθα πρῶτον κηρύττει Παῦλος. καὶ ὅρα αὐτοῦ τὴν σύνεσιν. ἔνθα μὲν ἦν καταπαραμύθιος ὁ λόγος, παρατείνει· ἔνθα δὲ οὐδεὶς ἦν, ἐνδιατρίβει. καθὼς καὶ αὐτός φησι γράφων·

γρ. μητρόπολιν ἐλθόντες τῆς νήσου

γρ. ἢ λέγει, ἐπειδὴ προσφάτως ἐγεγόνει. ὅρα ὅτι

γρ. καὶ ὅρα τὴν πήρωσιν. ὁ ἀνθύ. καὶ αὐτὸς πιστεύει καὶ

γρ. ἐπιτέμνεται

γρ. προσκαλοῦντο.

ΑΜα χειροτονηθέντες ἐξῆλθον, καὶ εἰς Κύπρον ἀπέπλευσαν, ἅτε οὐκ οὔσης ἐπιβουλῆς ἐκεῖ, καὶ τοῦ λόγου κατασπαρέντος ἤδη. ἐν Ἀντιοχείᾳ μὲν γὰρ ἦσαν ἱκανοί· καὶ ἡ Φοινίκη δὲ πλησίον τῆς Παλαιστίνης ἦν· Κύπρος δὲ οὐχί. λοιπὸν μὴ ζήτει, διὰ τί; ὅταν πνεύματι κινῶνται. οὐ γὰρ δὴ ἐχειροτονήθησαν πνεύματι μόνον, ἀλλὰ καὶ ἐξεπέμφθησαν. καὶ γενόμενοι ἐν Σαλαμῖνι κατήγγελλον τὸν λόγον τοῦ Θεοῦ ἐν ταῖς συναγωγαῖς τῶν Ἰουδαίων. ὁρᾷς πᾶσαν σπουδὴν ποιουμένους αὐτοὺς ἐκείνοις καταγγέλλειν τὸν λόγον πρώτοις, ἵνα μὴ φιλονεικοτέρους ἐργάσωνται; καὶ ἐκεῖνοι οὐκ ἐλάλουν, εἰ μὴ Ἰουδαίοις μόνοις· καὶ οὗτοι εἰς τὰς συναγωγὰς ἀπῄεσαν.

6 Διελθόντες δὲ τὴν νῆσον [ὅλην] ἄχρι Πάφου, εὗρον ἄνδρα τινὰ μάγον ψευδοπροφήτην Ἰουδαῖον, ᾧ ὄνομα Βαριησοῦς.

7 Ὃς ἦν σὺν τῷ ἀνθυπάτῳ Σεργίῳ Παύλῳ ἀνδρὶ συνετῷ· ὃς προσκαλεσάμενος Βαρνάβαν καὶ Σαῦλον ἐπεζήτησεν ἀκοῦσαι τὸν λόγον τοῦ Θεοῦ.

8 Ἀνθίστατο δὲ αὐτοῖς Ἐλύμας ὁ μάγος (οὕτω γὰρ μεθερμηνεύεται τὸ ὄνομα αὐτοῦ) ζητῶν διαστρέψαι τὸν ἀνθύπατον ἀπὸ τῆς πίστεως. Πάλιν μάγος Ἰουδαῖος, καθάπερ Σίμων. καὶ ὅρα τοῦτον, ὅτε μὲν τοῖς ἄλλοις ἐκήρυττον, οὐ σφόδρα ἀγανακτοῦντα· ἐπεὶ δὲ τῷ ἀνθυπάτῳ προσῄεσαν, τότε. τὸ δὲ θαυμαστὸν τοῦ ἀνθυπάτου, ὅτι καὶ προκατειλημμένος τῇ μαγείᾳ ἐκείνου, ἤθελεν ἀκοῦσαι τῶν ἀποστόλων. οὕτω καὶ οἱ Σαμαρεῖται ἐπίστευσαν, καὶ ἀπὸ συγκρίσεως ἡ νίκη φαίνεται, τῆς μαγείας ἁλισκομένης. πανταχοῦ ἡ κενοδοξία καὶ φιλαρχία αἴτιαι τῶν κακῶν.

9 Σαῦλος δὲ, ὁ καὶ Παῦλος, πλησθεὶς πνεύματος ἁγίου, ἀτενίσας εἰς αὐτὸν,

10 Εἶπεν, ὦ πλήρης παντὸς δόλου καὶ πάσης ῥᾳδιουργίας, υἱὲ διαβόλου, ἐχθρὲ πάσης δικαιοσύνης· οὐ παύσῃ διαστρέφων τὰς ὁδοὺς Κυρίου τὰς εὐθείας;

11 Καὶ νῦν ἰδοὺ χεὶρ τοῦ Κυρίου ἐπὶ σὲ, καὶ ἔσῃ τυφλὸς μὴ βλέπων τὸν ἥλιον ἄχρι καιροῦ.

Ἐνταῦθα τὸ ὄνομα αὐτοῦ ἀμείβεται μετὰ τῆς χειροτονίας, ὅπερ καὶ ἐπὶ τοῦ Πέτρου γέγονε. καὶ ὅρα· οὐχ ὕβρις τὸ πρᾶγμά ἐστιν, ἀλλὰ "κατάπληξις. οὐδὲ γὰρ ἰταμοὺς καὶ ἀναισχύντους οὕτω δεῖ καταπλήττεσθαι. ὦ πλήρης παντὸς δόλου, φησὶ, καὶ πάσης ῥᾳδιουργίας, υἱὲ διαβόλου, ἐχθρὲ πάσης δικαιοσύνης. ἐνταῦθα αὐτοῦ ἀποκαλύπτει τὰ ἐν τῇ διανοίᾳ, προσχήματι σωτηρίας ἀπολλύοντι τὸν ἀνθύπατον. οὐ παύσῃ, φησὶ, διαστρέφων τὰς ὁδοὺς Κυρίου; καὶ ἀξιοπίστως. οὐχ ἡμῖν πολεμεῖς, φησὶν, οὐδὲ μάχῃ, ἀλλὰ τὰς ὁδοὺς Κυρίου διαστρέφεις τὰς εὐθείας· καὶ μετ᾽ ἐγκωμίου. καὶ νῦν ἰδοὺ χεὶρ Κυρίου ἐπὶ σὲ, καὶ ἔσῃ τυφλός. ᾧ αὐτὸς προσήχθη σημείῳ, τούτῳ καὶ τοῦτον ἐβουλήθη προσαγαγεῖν. καὶ τὸ, ἄχρι καιροῦ δὲ, οὐ κολάζοντος ἦν τὸ ῥῆμα, ἀλλ᾽ ἐπιστρέφοντος. εἰ γὰρ κολάζοντος ἦν, διαπαντὸς ἂν αὐτὸν ἐποίησε τυφλόν· νῦν δὲ οὐ τοῦτο, ἀλλὰ πρὸς καιρὸν, ἵνα τὸν ἀνθύπατον κερδήσῃ.

γ. ἐπηρεία

Παραχρῆμα δὲ ἐπέπεσεν ἐπ᾽ αὐτὸν ἀχλὺς καὶ σκότος, καὶ περιάγων ἐζήτει χειραγωγούς.

12 Τότε ἰδὼν ὁ ἀνθύπατος τὸ γεγονὸς ἐπίστευσεν, ἐκπληττόμενος ἐπὶ τῇ διδαχῇ τοῦ Κυρίου. Εἰκότως. τὸν γὰρ προκατειλημμένον τῇ μαγείᾳ ταύτῃ τῇ τιμωρίᾳ παιδεῦσαι ἐχρῆν. οὕτω καὶ οἱ ἐν Αἰγύπτῳ μάγοι ἀπὸ τῶν φλυκτίδων τὸ πρὶν ἐπαιδεύοντο. ὅρα δὲ αὐτοὺς οὐκ ἐγχρονίζοντας αὐτόθι, ἅτε τοῦ ἀνθυπάτου λοιπὸν πιστεύσαντος, οὐδὲ μαλακισθέντας τῇ "κολακείᾳ καὶ τῇ τιμῇ, ἀλλ᾽ εὐθέως τοῦ ἔργου ἐχομένους καὶ εἰς τὴν ἀντιπέραν χώραν ὁρμῶντας.

γ. μαλακίᾳ

13 Ἀναχθέντες δὲ ἀπὸ τῆς "Πάφου οἱ περὶ Παῦλον ἦλθον εἰς Πέργην τῆς Παμφυλίας·

γ. Κύπρου

Digitized by Google

σοντες. Ἡ χήρα, φησίν, ἡ σπαταλῶσα ζῶσα τέθνηκε. καὶ πάλιν· Ἐλιπάνθη, ἐπαχύνθη, καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος· καὶ [πάλιν] ὁ ἀπόστολος· Τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας. α. Τιμ. ε. ς. Δετ. λβ. ιε. Ρωμ. ιγ. ιδ. οὐ νομοθετῶν νηστείαν (οὐδὲ γὰρ ὁ ἀκούων ἐστὶν) ἀλλ' ἀναιρῶν σπατάλην, ἐκκόπτων τρυφὴν διὰ τὸ χρήσιμον τὸ ὑμέτερον. καθάπερ γὰρ χείμαρρος, οὕτω πάντα ἀνατρέπει ἡ τρυφή. οὐδὲν αὐτὴν τὸ κωλῦον ἐστὶ βασιλείας ἐκβάλλει. τί δὲ πλέον; βούλει τρυφᾶν; δὸς πένησι· κάλεσον τὸν Χριστόν, ἵνα καὶ μετὰ τὴν τράπεζαν ἐνθυμεῖσθαι ἔχῃς τρυφᾶν. νῦν μὲν γὰρ [ἂν] οὐκ ἔχεις. εἰκότως (οὐδὲ γὰρ ἔστηκε τὰ ἐν ταύτῃ) τότε δὲ ἕξεις. βούλει τρυφῆσαι; θρέψον τὴν ψυχήν· μετάδος αὐτῇ σιτίων, ὧν ἔθος ἔχει· μὴ λιμοκτονήσῃς αὐτήν. καιρὸς πολέμου, καιρὸς ἀγῶνος· σὺ δὲ κάθησαι τρυφῶν; οὐχ ὁρᾷς καὶ τοὺς τὰ σκῆπτρα (χ. βασίλεια) ἐγκεχειρισμένους ἐν ταῖς ἔξω στρατείαις εὐτελῶς ζῶντας; Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα· (Εφεσ. ς. ιβ.) σὺ δὲ λιπαίνεις σεαυτὸν μέλλων παλαίειν; ἕστηκε τρίζων τοὺς ὀδόντας αὐτοῦ ὁ ἀντίπαλος· σὺ δὲ διακεχυμένος τυγχάνεις, καὶ τραπέζῃ προσέχεις; οἶδα εἰκῆ ταῦτα λέγων· ἀλλ' οὐχ ἅπασιν. Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω. (Λυκ. η. η.) ὁ Χριστὸς ὑπὸ λιμοῦ τήκεται, σὺ δὲ ὑπὸ γαστριμαργίας διασπᾷς σεαυτόν. δύο ἀμετρίαι. τί γὰρ οὐ ποιεῖ κακὸν ἡ τρυφή; * ὅθεν οὐκ οἶδα πῶς καὶ τὸ ὄνομα τοῦτο ἔχει. (* πρὸς ἑαυτῆς ἐναντία ἐστίν.) ἀλλ' ὥσπερ ἡ δόξα ἀτιμία οὖσα, καὶ ὁ πλοῦτος πενία ὤν, τοῦτο κέκληται· οὕτω καὶ ἡ τρυφὴ ἀηδία οὖσα. μὴ γὰρ τυθῆναι ἔχομεν, ὅτι λιπαινόμεν ἑαυτούς; τί περιέχεις τῷ σκώληκι λαμπροτέραν τὴν τράπεζαν; τί πλείονας ποιεῖς τοὺς ἰχῶρας; τί πηγὰς ἱδρώτων καὶ δυσωδίας ἐναποτίθεσαι; (χ. πηγὰς ἱδρ. κ. δυσ. ἐναποτίθ.) τί πρὸς πάντα σεαυτὸν ἄχρηστον κατασκευάζεις; βούλει γενέσθαι ἰσχυρὸν τὸν ὀφθαλμόν; τὸ σῶμα ποίησον εὔτονον. καὶ γὰρ ἐν ταῖς χορδαῖς, ἡ μὲν παχεῖα (χ. ἡ) καὶ ἀδιακάθαρτος, ἄχρηστος πρὸς τὰς μελῳδίας· ἡ δὲ πάντοθεν ἐπεξεσμένη, εὔτονός ἐστι καὶ παναρμόνιος. τί καταχωννύεις τὴν ψυχήν; τί τοὺς τοίχους παχυτέρους ποιεῖς; τί πολὺν τὸν καπνὸν καὶ τὴν νεφέλην, ὅταν ἀτμοὶ καθάπερ τις ἀχλὺς πάντοθεν ὦσιν ἀναδιδόμενοι; εἰ γὰρ μηδὲν ἕτερον, οἱ ἀθληταί σε παιδευέτωσαν, ὅτι τὸ ἰσχνότερον σῶμα ἰσχυρότερον. οὐκοῦν καὶ ἡ [φιλοσοφοῦσα] ψυχή, εὐτονωτέρα. ἡνιόχῳ γὰρ καὶ ἵππῳ ἔοικε. καὶ ἔξεστιν ὁρᾷν, καθάπερ ἐπὶ τῶν τρυφῇ προσεχόντων ἀνθρώπων καὶ εὐσαρκούντων, οὕτω καὶ τοὺς εὐσαρκοῦντας τῶν ἵππων δυσκινήτους ὄντας, καὶ πολλὰ τῷ ἡνιόχῳ πράγματα παρέχοντας. ἀγαπητοὶ εὐήνιοι ἵπποι ἔχοντα καὶ εὐσκελῆ δυνηθῆναι τὸ βραβεῖον λαβεῖν. ὅταν δὲ ἀναγκάζῃ) ὁ ἡνίοχος ἕλκειν αὐτόν, καὶ καταπεσόντα μυριάκις ὕστερον μὴ διανιστᾶν, κἂν σφόδρα αὐτὸς ἔμπειρος ᾖ, τῆς νίκης ἀποστερηθήσεται. μὴ δὴ περιίδωμεν ἡμῶν τὴν ψυχὴν ἐπηρεαζομένην διὰ τὸ σῶμα, ἀλλὰ καὶ ἐκείνην θεραπευτικωτέραν ἐργασώμεθα· τὸ τεῖχος αὐτῇ κοῦφον ποιήσωμεν, χαυνότερα τὰ δεσμά· λόγοις αὐτὴν τρέφωμεν, αὐταρκείᾳ, ὅσον ὑγιαίνειν μόνον τὸ σῶμα, ὅσον εὔρωστον εἶναι, ὅσον χαίρειν καὶ μὴ ἀλγεῖν· ἵνα οὕτω τὰ καθ' ἑαυτοὺς εὖ διαθέντες, δυνηθῶμεν τῆς ἄκρας ἀρετῆς ἐπιλαβέσθαι, καὶ τῶν αἰωνίων ἀγαθῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρί, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. κη. 4 ΟΥΤΟΙ ΜΕΝ ΟΥΝ ΕΚΠΕΜΦΘΕΝΤΕΣ ΥΠΟ τοῦ πνεύματος τοῦ ἁγίου, κατῆλθον εἰς Σελεύκειαν, ἐκεῖθέν τε ἀπέπλευσαν εἰς τὴν Κύπρον.
5 Καὶ γενόμενοι ἐν Σαλαμῖνι, κατήγγελλον τὸν λόγον τοῦ Θεοῦ ἐν ταῖς συναγωγαῖς τῶν Ἰουδαίων. Εἶχον δὲ καὶ Ἰωάννην ὑπηρέτην.

μεν τὸ πάθος. καὶ πρῶτον μὲν πρὸς τὰς γυναῖκας ἡμῖν ἔστω ὁ λόγος. οὐδὲν αἴσχιόν ἐστι γυναικὸς τρυφώσης· οὐδὲν αἴσχιόν ἐστι μεθυούσης. ἀμαυροῦται αὐτῆς τὸ τῆς ὄψεως ἄνθος· θολοῦται δὲ γαλήνη καὶ ἥμερον τῶν ὀφθαλμῶν, οἱονεὶ νεφέλης τινὸς ἀκτῖνας ὑποδραμούσης ἡλιακάς. ἀνελεύθερον δὲ πρᾶγμα καὶ δουλικόν, καὶ πάσης δυσγενείας ἀνάμεστον. πῶς ἐστιν ἀηδὴς οἴνου ἀποπνέουσα [γυνὴ] ὀδωδότος, σεσηπότος, ἐρευγομένη κρεῶν διεφθορότων χυμόν, βεβαρημένη καὶ διαναστῆναι μὴ δυναμένη, ἐρυθρὰ οὖσα τοῦ δέοντος πλέον, χάσμης γέμουσα καὶ ἀχλύος πολλῆς; ἀλλ' οὐκ ἐκείνη ἡ τρυφῆς ἀπεχομένη τοιαύτη· ἀλλὰ σεμνὴ καὶ σώφρων καὶ εὔμορφος. καὶ γὰρ τῷ σώματι πολὺ προστίθησι κάλλος τῆς ψυχῆς ἡ κατάστασις. μὴ γὰρ δὴ νομίσῃς ἀπὸ τῶν σωματικῶν τύπων τοῦτο γίνεσθαι μόνον. δὸς εὔμορφον κόρην τεταραγμένην, λάλον, λοιδοροῦσαν, μεθύουσαν, πολυτελῆ· εἰ μὴ πάσης αἰσχρᾶς δυσειδεστέρα καθέστηκεν; εἰ δὲ αἰσχύνοιτο, εἰ δὲ σιγῴη, εἰ δὲ ἐρυθριᾷν μανθάνῃ, εἰ δὲ φθέγγεσθαι συμμέτρως, εἰ δὲ νηστείαις ἐγκολακεύει· διπλοῦν τὸ κάλλος, πλείων ἡ ὥρα, ποθεινοτέρα ἡ ὄψις, σωφροσύνης γέμουσα καὶ κοσμιότητος. βούλει λοιπὸν καὶ περὶ ἀνδρῶν εἴπωμεν; τί τοῦ μεθύοντος αἴσχιόν ἐστι; καταγέλαστος οἰκέταις, καταγέλαστος ἐχθροῖς, ἐλεεινὸς παρὰ φίλοις, μυρίας καταγνώσεως ἄξιος, θηρίον ἐστὶ μᾶλλον ἢ ἄνθρωπος. ὁ γὰρ πολλὰ σιτιζόμενος, παρδάλεως, καὶ λέοντος, καὶ ἄρκτου ἐστίν. εἰκότως. οὐ γὰρ ἔχουσιν ἐκεῖνα ψυχὴν λογικήν. καὶ μὴν κἀκεῖνα πλέον τοῦ δέοντος καὶ τοῦ μέτρου τοῦ παρὰ τῆς φύσεως αὐτοῖς ὡρισμένου σιτισθέντα, διέφθειρε τὸ πᾶν σῶμα· πόσῳ οὖν μᾶλλον ἡμᾶς; διὰ τοῦτο ἡμῖν εἰς μικρὸν συνέστειλε τὴν γαστέρα ὁ Θεός, διὰ τοῦτο ὀλίγον μέτρον ὥρισε τροφῆς, ἵνα παιδεύσῃ ψυχῆς ἐπιμελεῖσθαι. καταμάθωμεν αὐτὴν τὴν κατασκευὴν τὴν ἡμετέραν, καὶ ὀψόμεθα ἓν μόριον ἐν ἡμῖν ταύτην ἔχον τὴν ἐνέργειαν. τὸ στόμα γὰρ ἡμῶν καὶ ἡ γλῶττα πρὸς ὕμνους ἀφώρισται· ὁ φάρυγξ πρὸς φωνήν. διὰ τοῦτο καὶ ἀνάγκην τῆς φύσεως ἡμᾶς ἐγκατέδησεν, ἵνα μηδὲ ἄκοντες ἐμπίπτωμεν εἰς πολλὴν πραγματείαν. ὡς εἴγε ἡ τρυφὴ πόνους μὴ εἶχε, μηδὲ νόσους καὶ ἀρρωστίας, "φορητὸν ἦν· νῦν δέ σοι τέθεικεν ὁροθέσια τῆς φύσεως, ἵνα μηδὲ βουλόμενος ὑπερβαίνῃς. οὐχ ἡδονὴν ζητεῖς, ἀγαπητέ; τοῦτο παρὰ τῆς αὐταρκείας εὑρήσεις. οὐχ ὑγείαν; καὶ τοῦτο. οὐχὶ ἀμεριμνίαν; καὶ τοῦτο. οὐχὶ ἐλευθερίαν; οὐχὶ ῥῶσιν σώματος; οὐχὶ εὐεξίαν; οὐχὶ νῆψιν ψυχῆς; οὐχὶ διέγερσιν; οὕτω πάντα τὰ καλὰ ἐν ταύτῃ· ἐν ἐκείνῃ δὲ τὰ ἐναντία, ἀηδία, καχεξία, νόσος, ἀνελευθερία, δαπάνη. πόθεν οὖν, φησίν, ἐπὶ ταύτην τρέχομεν ἅπαντες; ἀπὸ νόσου. εἰπὲ γάρ μοι, διὰ τί τὸ βλάπτον ὁ νοσῶν ἐπιζητεῖ; οὐχὶ καὶ αὐτὸ τοῦτο τοῦ νοσεῖν σημεῖόν ἐστι; διὰ τί ὁ χωλὸς μὴ ὀρθὰ βαδίζει; αὐτὸ δὲ τοῦτο οὐκ ἀπὸ ῥᾳθυμίας καὶ τοῦ μὴ βούλεσθαι παρὰ Ⓒ ἰατροῖς ἰᾶται; τῶν γὰρ πραγμάτων τὰ μὲν πρόσκαιρον ἡδονὴν ἔχει, διηνεκῆ δὲ τὴν κόλασιν· τὰ δὲ τοὐναντίον, τὴν μὲν καρτερίαν πρόσκαιρον, διηνεκῆ δὲ τὴν ἀπόλαυσιν. ὁ τοίνυν οὕτω χαῦνος καὶ ῥᾴθυμος, ὡς μὴ ὑπεριδεῖν τῶν παρόντων ἡδέων ὑπὲρ τῶν μελλόντων, ταχέως ἁλίσκεται. εἰπέ μοι, ὁ Ἡσαῦ πόθεν ἑάλω; πόθεν τὴν παροῦσαν ἡδονὴν τῆς μελλούσης προετίμησε τιμῆς; ἀπὸ χαυνότητος καὶ μαλακίας. τοῦτο δὲ αὐτὸ πόθεν, φησίν; ἐξ ἡμῶν αὐτῶν. καὶ δῆλον ἐκεῖθεν. ὅταν γὰρ θέλωμεν, διανιστῶμεν ἑαυτούς, καὶ καρτερικοὶ γινόμεθα· ἐὰν γοῦν ἀνάγκη ποτὲ ἐπέλθοι, πολλάκις δὲ καὶ φιλονεικήσαντες μόνον, τὸ χρήσιμον συνείδομεν. ὅταν τοίνυν μέλλῃς τρυφᾶν, ἐννόησον τὸ πρόσκαιρον τῆς ἡδονῆς, τὴν ζημίαν (ζημία γὰρ ὄντως ἐστὶ μετὰ τῆς οἰκείας λύμης τοσαῦτα χρήματα δαπανᾶν) τὰς νόσους, τὰς ἀρρωστίας, καὶ καταφρόνησον τρυφῆς. πόσους σοὶ βούλει ἀριθμήσω κακὰ παθόντας ἀπὸ τῆς τρυφῆς; ὁ Νῶε ἐμεθύσθη καὶ ἐγυμνώθη, καὶ ὅρα πόσα γέγονε κακὰ ἀπὸ τούτου. ὁ Ἡσαῦ ἀπὸ λαιμαργίας "προέδωκε τὰ πρωτοτόκια, καὶ εἰς ἀδελφοκτονίαν ὥρμησεν. ὁ λαὸς ὁ τοῦ Ἰσραὴλ ἐκάθισε φαγεῖν καὶ πιεῖν, καὶ ἀνέστησαν παίζειν. διὰ τοῦτό φησι, Φαγὼν καὶ πιὼν μνήσθητι Κυρίου τοῦ Θεοῦ σου. εἰς γὰρ κρημνὸν ἐνέπεσον [Ⓓ] εἰς τὴν τρυφὴν ἐμπεσόντες.

γ. ῥᾷστον

Ἐξ. λβ. ϛ.

γ. ἔδωκε

Δευτ. ϛ. ια.

γεῖ. διὰ τί αὐτοὺς καταδικάζεις; εἰ ἤθελον ἀπολῦσαι, πρὸ τούτου ἀπέλυσαν ἄν, ἢ συνεξῆλθον. ἀλλὰ χρήματα ἔλαβον; πόθεν, οἱ μηδὲ πένητι δοῦναι ἔχοντες, τούτοις ἐδίδου; οὐδὲ γὰρ διεθρύβησαν αἱ ἁλύσεις, οὐδὲ λελυμέναι ἦσαν. ἔδει ἰδεῖν ὅτι θεῖον τὸ πρᾶγμα ἦν, καὶ οὐκ ἀνθρώπινον. Εἶτα ἐπὶ ἱστορίας ἔμελλε μνημονεύεσθαι λοιπόν, διὰ τοῦτο καὶ τὰ ὀνόματα τίθησιν, ἵνα δειχθῇ πάντα ἐπαληθεύων. καὶ πείσαντες Βλάστον, φησὶ, τὸν ἐπὶ τοῦ κοιτῶνος τοῦ βασιλέως, ᾐτοῦντο εἰρήνην. τοῦτο ποιοῦσιν, ἐπειδὴ λιμὸς ἦν. τακτῇ δὲ ἡμέρᾳ καθίσας ὁ Ἡρώδης ἐπὶ τοῦ βήματος ἐδημηγόρει, φησί· παραχρῆμα δὲ ἐπάταξεν αὐτὸν ἄγγελος Κυρίου, καὶ γενόμενος σκωληκόβρωτος ἐξέψυξε. Τοῦτο καὶ Ἰώσηπος λέγει, ὅτι μακρᾷ περιέπεσε νόσῳ. τὸ μὲν οὖν πολλοὶ τοῦτο οὐκ ᾔδεσαν· ὁ δὲ ἀπόστολος αὐτὸ τίθησι. πλὴν ἀλλὰ καὶ ἡ ἄγνοια ὠφέλει, λογιζομένων αὐτῶν τῷ Ἰακώβου θανάτῳ καὶ τῷ τῶν στρατιωτῶν φόνῳ τὰ συμβεβηκότα. ὅρα· ὅτε μὲν τὸν ἀπόστολον ἔσφαξεν, οὐδὲν τοιοῦτον εἰργάσατο· ὅτε δὲ τούτους, λοιπὸν ἐν ἀφασίᾳ ἦν. ἅτε οὖν ἠπορηκὼς καὶ αἰσχυνόμενος κατῆλθεν ἀπὸ τῆς Ἰουδαίας εἰς τὴν Καισάρειαν. ἐμοὶ δοκεῖ καὶ ἐκείνοις ἀπαγαγεῖν βουλόμενος, πρὸς ἀπολογίαν ἦλθε τούτων. ὠργίζετο γὰρ ἐκείνοις, τούτους οὕτω θεραπεύων. ὅρα πῶς κενόδοξος ὁ ἄνθρωπός ἐστι. μέλλων αὐτοῖς διδόναι τὴν δωρεὰν, ἐδημηγόρησεν. ὁ δὲ Ἰώσηπός φησιν, ὅτι καὶ ἐσθῆτα λαμπρὰν ἐξ ἀργύρου πεποιημένην περιέκειτο. ὅρα καὶ ἐκεῖνοι πῶς κόλακες ἦσαν, καὶ τὸ τῶν ἀποστόλων φρόνημα. οἱ γὰρ ἔθνος ὁλόκληρον* ἐθεράπευσε, τούτων οὗτοι διέπτυον. πάλιν δὲ γέγονεν ἀνάπνευσις αὐτῶν μεγάλη, καὶ μυρία ἀγαθὰ ἐκ τῆς ἐκείνου τιμωρίας. Εἰ δὲ οὗτος ἀκούσας, ὅτι φωνὴ Θεοῦ, καὶ οὐκ ἀνθρώπου, καίτοιγε μηδὲν εἰπὼν, τοιαῦτα ἔπαθε· πολλῷ μᾶλλον ἂν ὁ Χριστὸς, εἰ μὴ Θεὸς ἦν αὐτὸς, ἀεὶ λέγων ὅτι Τὰ ῥήματα τὰ ἐμὰ οὐκ ἔστιν ἐμά, καὶ, Οἱ ὑπηρέται ἂν ἠγωνίζοντο, καὶ ὅσα τοιαῦτα. ἐκεῖνος δὲ αἰσχρῶς καὶ ἐλεεινῶς τὸν βίον κατέλυσεν, καὶ οὐδὲ φαίνεται λοιπόν. ὅρα δὲ αὐτοὺς καὶ ὑπὸ τοῦ Βλάστου ἀναπειθομένους, καὶ ἅτε δὴ ταλαιπώρους ὄντας εὐκόλως ὀργιζομένους, καὶ πάλιν καταλλαττομένους καὶ πανταχοῦ δούλους τῶν δήμων, καὶ οὐδὲν ἐλεύθερον ἔχοντας. σκόπει δὲ λοιπὸν καὶ τὴν αὐθεντίαν τοῦ ἁγίου πνεύματος. λειτουργούντων δὲ αὐτῶν, φησι, τῷ Κυρίῳ καὶ νηστευόντων, εἶπε τὸ πνεῦμα τὸ ἅγιον· ἀφορίσατε δή μοι τὸν Βαρνάβαν καὶ Σαῦλον. τίς ἂν ἐτόλμησε, μὴ τῆς αὐτῆς ἐξουσίας ὢν, ταῦτα εἰπεῖν; τοῦτο δὲ γέγονεν, ὥστε μὴ εἶναι αὐτοὺς κοινῇ μεθ᾽ ἑαυτῶν. εἶδεν αὐτοὺς μείζονα δύναμιν ἔχοντας, καὶ πολλοῖς δυναμένους ἀρκέσαι. πῶς δὲ αὐτοῖς εἶπε; διὰ προφητῶν ἴσως. διὰ τοῦτο προλαβὼν εἶπεν, ὅτι καὶ προφῆται ἦσαν, καὶ ἐνήστευον, καὶ ἐλειτούργουν, ἵνα μάθῃς ὅτι πολλῆς νήψεως χρεία ἦν. ἐν Ἀντιοχείᾳ χειροτονοῦνται, ἔνθα ἐκήρυττεν. διὰ τί μὴ εἶπε, τῷ Κυρίῳ ἀφορίσατε, ἀλλ᾽, ἐμοί; δείκνυσιν ὅτι ἕν ἐστι τὸ τῆς ἐξουσίας καὶ τῆς δυνάμεως.

γρ. λιμὸς γὰρ ἴσως ἦν.
γρ. τὰ κατὰ τὸν Ἡρώδην συμβεβηκότα.
γρ. πρὸς τὴν ἀπολογίαν ἀνάγων ὁ παραγαγεῖν. ὀργίζ.
* οὕτως
Ιωαν. ιδ. ι.
Ιωαν. ιη. λϛ.
γρ. ἄγγελοί μοι ὑπηρετοῦσι, καὶ
γρ. εἶδε

## ΗΘΙΚΟΝ

Ὁρᾷς ὅσον ἡ νηστεία μέγα; δείκνυσιν, ὅτι πάντα τὸ πνεῦμα ἐποίει. μέγα τι ἡ νηστεία ἀγαθόν. οὐχ ὅρῳ περιορίζεται. ὅτε χειροτονεῖν ἔδει, τότε νηστεύουσι. καὶ νηστεύουσιν αὐτοῖς εἶπε τὸ πνεῦμα. ἡ νηστεία δὲ οὐ τοῦτο μόνον ἐστὶν, ἀλλὰ καὶ τὸ τρυφῆς ἀπέχεσθαι νηστείας εἶδός ἐστι. τοσοῦτον ἐπιτάττω μόνον ἐγὼ, μὴ νηστεύσητε, ἀλλὰ τρυφῆς ἀπέχεσθε. τροφὰς ζητοῦμεν, μὴ διαφθοράς· τροφὰς ζητῶμεν, μὴ νόσων ὑποθέσεις, νόσων καὶ ψυχικῶν καὶ σωματικῶν· τροφὴν ζητῶμεν ἡδονὴν ἔχουσαν, μὴ τρυφὴν ἀηδίας γέμουσαν. τοῦτο τρυφὴ, ἐκεῖνο λύμη· τοῦτο ἡδονὴ, ἐκεῖνο πόνος· τοῦτο κατὰ φύσιν, ἐκεῖνο παρὰ φύσιν. Εἰπὲ γάρ μοι, εἴ τις ἔδωκέ σοι κώνειον πιεῖν, οὐχὶ παρὰ φύσιν ἦν; εἴ τις ξύλα καὶ λίθους, οὐκ ἂν ἀπεστράφης; Εἰκότως. παρὰ φύσιν γάρ ἐστι. τοιοῦτον καὶ ἡ τρυφή. καθάπερ γὰρ ἐν πόλει πολιορκίας γινομένης πολὺς θόρυβος γίνεται καὶ τάραχος τῶν πολεμίων εἰσελθόντων· οὕτως ἐν τῇ ψυχῇ γίνεται, οἴνου καὶ τρυφῆς ἐπεισελθούσης. Τίνι οὐαί; τίνι θόρυβοι; τίνι ἀηδίαι* καὶ λέσχαι; [τίνι κρίσεις;] οὐχὶ τοῖς ἐγχρονίζουσιν ἐν οἴνοις; τίνος πελιδνοὶ οἱ ὀφθαλμοί; ἀλλὰ γὰρ ὅσα ἂν εἴπωμεν, οὐκ ἀποστήσομεν οὐδὲ περὶ τὴν τρυφὴν ἀπησχολημένους; ἀλλ᾽ οὐ μὴν ἡμεῖς ἀποστησόμεθα

* καὶ μάχαι
Παροι. κγ. κθ.
γρ. μηδὲ τ. αἰτ. πίθ.

βε, καὶ ὅτι μέχρι τῆς νυκτὸς ἐκείνης μετ' αὐτῶν ἦν. ἀλλὰ τί οὖν ἐκρύψατο; διὰ τί οὖν μὴ καὶ αὐτοὶ ἔφυγον; καὶ μὴν αὐτὸν ἔδει θαυμάσαι, ἔδει καταπλαγῆναι τοῦτο. λοιπὸν φανερὸν γέγονε πᾶσι διὰ τοῦ θανάτου τούτου καὶ τοῦ Θεοῦ τὸ θαῦμα, ἥ τε ἐκείνου κακία κατάδηλος. ἀλλ' ὅρα πῶς οὐδὲ ταῦτα οὐ κρύπτει, ἀλλὰ καὶ μέμνηται ἱστορίας, ὥστε διδάξαι ἡμᾶς. Εἶτά φησι· καὶ κατελθὼν ἀπὸ τῆς Ἰουδαίας εἰς τὴν Καισάρειαν διέτριβεν.

20 Ἦν δὲ ὁ Ἡρώδης θυμομαχῶν Τυρίοις καὶ Σιδωνίοις, ὁμοθυμαδόν τε παρῆσαν πρὸς αὐτόν, καὶ πείσαντες Βλάστον τὸν ἐπὶ τοῦ κοιτῶνος τοῦ βασιλέως, ᾐτοῦντο εἰρήνην διὰ τὸ τρέφεσθαι αὐτῶν τὴν χώραν ἀπὸ τῆς βασιλικῆς.

21 Τακτῇ δὲ ἡμέρᾳ ὁ Ἡρώδης ἐνδυσάμενος ἐσθῆτα βασιλικήν, καὶ καθίσας ἐπὶ τοῦ βήματος, ἐδημηγόρει πρὸς αὐτούς.

22 Ὁ δὲ δῆμος ἐπεφώνει· Θεοῦ φωνή, καὶ οὐκ ἀνθρώπου.

23 Παραχρῆμα δὲ ἐπάταξεν αὐτὸν ἄγγελος Κυρίου, ἀνθ' ὧν οὐκ ἔδωκε δόξαν τῷ Θεῷ· καὶ γενόμενος σκωληκόβρωτος ἐξέψυξεν.

24 Ὁ δὲ λόγος τοῦ Θεοῦ ηὔξανε καὶ ἐπληθύνετο. Οὐ μικρὸν δὲ τοῦτό ἐστιν. εὐθέως ἡ δίκη κατέλαβεν αὐτόν· εἰ καὶ μὴ διὰ Πέτρον, ἀλλὰ διὰ τὴν αὐτοῦ μεγαληγορίαν. καὶ μὴν εἰ ἐκεῖνοί, φησιν, ἐβόησαν, τί πρὸς τοῦτον; ὅτι κατεδέξατο τὴν φωνήν· ὅτι ἄξιον ἑαυτὸν ἐνόμισεν εἶναι τῆς κολακείας. Διὰ τοῦτο ἐκεῖνοι μάλιστα παιδεύονται τὸν κολακεύοντα εἰκῇ. ὅρα πάλιν ἀμφοτέρους μὲν ὄντας ἀξίους τιμωρίας, τοῦτον δὲ κολαζόμενον. οὐ γάρ ἐστι νῦν τῆς κρίσεως ὁ καιρός· ἀλλὰ τὸν μάλιστα ὑπεύθυνον τοῦτον κολάζει, ἐκείνους ἀφεὶς ἀπὸ τούτου κερδᾶναι. καὶ ὁ λόγος τοῦ Θεοῦ ηὔξανε, φησί, καὶ ἐπληθύνετο· τουτέστι, τούτου γενομένου. Εἶδες Θεοῦ οἰκονομίαν;

γ. -κώσαντες

25 Βαρνάβας δὲ καὶ Σαῦλος ὑπέστρεψαν ἐξ Ἱερουσαλὴμ πληρώσαντες τὴν διακονίαν, συμπαραλαβόντες καὶ Ἰωάννην τὸν ἐπικληθέντα Μάρκον.

γ. εἰς

κεφ. ιγ.

1 Ἦσαν δέ τινες ἐν Ἀντιοχείᾳ κατὰ τὴν οὖσαν ἐκκλησίαν προφῆται καὶ διδάσκαλοι, ὅ τε Βαρνάβας καὶ Συμεὼν ὁ καλούμενος Νίγερ, καὶ Λούκιος ὁ Κυρηναῖος, Μαναήν τε Ἡρώδου τοῦ τετράρχου σύντροφος, καὶ Σαῦλος. Ἔτι Βαρνάβα πρώτου μνημονεύει. οὔπω γὰρ Παῦλος ἦν λαμπρός, οὔπω σημεῖον οὐδὲν εἰργάσατο.

2 Λειτουργούντων δὲ αὐτῶν, φησί, τῷ Κυρίῳ καὶ νηστευόντων, εἶπε τὸ πνεῦμα τὸ ἅγιον· ἀφορίσατε δή μοι τὸν Βαρνάβαν καὶ Σαῦλον εἰς τὸ ἔργον ὃ προσκέκλημαι αὐτούς.

3 Τότε νηστεύσαντες καὶ προσευξάμενοι καὶ ἐπιθέντες τὰς χεῖρας αὐτοῖς, ἀπέλυσαν.

Τί ἐστι, λειτουργούντων; τουτέστι, κηρυττόντων. ἀφορίσατέ μοι, φησί, τὸν Βαρνάβαν καὶ Σαῦλον. τί ἐστιν, ἀφορίσατέ μοι εἰς τὸ ἔργον; εἰς τὴν ἀποστολήν. ὅρα πάλιν ὑπὸ τίνων χειροτονεῖται. ὑπὸ Λουκίου τοῦ Κυρηναίου καὶ Μαναήν· μᾶλλον δὲ ὑπὸ τοῦ πνεύματος. ὅσῳ γὰρ τὰ πρόσωπα ἐλάττονά ἐστι, τοσούτῳ γυμνοτέρα ἡ τοῦ Θεοῦ φαίνεται χάρις. Χειροτονεῖται λοιπὸν εἰς ἀποστολήν, ὥστε μετ' ἐξουσίας κηρύττειν. πῶς οὖν αὐτός φησιν, Οὐκ ἀπ' ἀνθρώπων, οὐδὲ δι' ἀνθρώπων; τὸ μέν, οὐκ ἀπ' ἀνθρώπων, εἶπεν ἵνα δηλώσῃ ὅτι οὐκ ἄνθρωπος αὐτὸν ἐκάλεσεν, οὐδὲ προσηγάγετο· τὸ δέ, δι' ἀνθρώπων, ὅτι οὐχ ὑπὸ τούτων ἐπέμφθη, ἀλλ' ὑπὸ τοῦ πνεύματος. διὸ καὶ οὕτως ἐπήγαγεν·

Γαλ. α. α.

4 Οὗτοι μὲν οὖν ἐκπεμφθέντες ὑπὸ τοῦ πνεύματος τοῦ ἁγίου, κατῆλθον εἰς τὴν Σελεύκειαν, ἐκεῖθέν τε ἀπέπλευσαν εἰς τὴν Κύπρον. Ἴδωμεν δὲ ἄνωθεν τὰ εἰρημένα. ἡμέρας δὲ γενομένης, φησίν, ἦν τάραχος οὐκ ὀλίγος διὰ τὸν Πέτρον, καὶ ἀνακρίνας τοὺς φύλακας ἐκέλευσεν ἀπαχθῆναι. οὕτως οὐκ ᾐδεῖτο, ὅτι καὶ κολάζειν ἀδίκως ἐπιχειρεῖ. ἰδοὺ τὸν ὑπὲρ αὐτῶν ἀναλαμβάνω λόγον. τὰ δεσμὰ ἦν, τοὺς φύλακας εἶδον, τὸ δεσμωτήριον κεκλεισμένον, οὐδαμοῦ τοῖχος διορωρυγμένος, πάντες τὰ αὐτὰ ἔλεγον, ἀνάρπαστος ὁ ἄνθρωπος γέγονε;

γ. ὅτι καὶ ἀδίκως αὐτοὺς κολάζειν.
γ. ἀνάρπαστος

πνεύματος. πολλῷ μείζονα τέχνην ἔχεις. οὐ χρυσᾶ σκεύη ῥυθμίζεις, ἀλλὰ τὴν τοῦ πλούτου χρυσίου τιμιωτέραν ψυχήν, καθάπερ ὁ χαλκεὺς τὸ σκεῦος. οὐ γὰρ σωματικὸν σκεῦος ῥυθμίζεις, ἀλλὰ τὴν ψυχὴν ἀπαλλάττεις τῆς φαντασίας πάσης τῆς βιωτικῆς. παρακείσθω σοι λύχνος, οὐχ οὗτος ὁ χειρόμακτος, ἀλλ' ὃν ὁ προφήτης λέγων εἶχε, Λύχνος τοῖς ποσί μου ὁ νόμος σου. πύρωσον διὰ τῆς εὐχῆς τὴν ψυχήν· ἂν ἴδῃς ἱκμάδας ἔχουσαν, ἐξάγαγε, τύπωσον πρὸς ὅπερ ἂν θέλῃς. πίστευσόν μοι, οὐχ οὕτω τὸ πῦρ τὸν ἰὸν ἀποκαθαίρειν εἴωθεν, ὡς ἡ νυκτερινὴ εὐχὴ τὸν ἰὸν τῶν ἁμαρτημάτων τῶν ἡμετέρων. αἰδεσθῶμεν, εἰ μηδὲν ἄλλο, τοὺς νυκτερινοὺς φύλακας. ἐκεῖνοι δι' ἀνθρωπίνους νόμους περιΐασιν ἐν κρυμῷ βοῶντες μεγάλα, καὶ διὰ τῶν στενωπῶν βαδίζοντες, βρεχόμενοι πολλάκις, πεπηγότες διὰ σὲ καὶ τὴν σωτηρίαν τὴν σὴν καὶ τὴν τῶν χρημάτων τῶν σῶν φυλακήν. ἐκεῖνος ὑπὲρ τῶν χρημάτων σου τοσαύτην ποιεῖται πρόνοιαν· σὺ δὲ οὐδὲ ὑπὲρ τῆς σῆς ψυχῆς; καὶ μὴν ἐγὼ οὐκ ἀναγκάζω ὑπαίθριον περιϊέναι καθάπερ ἐκεῖνος, οὐδὲ μεγάλα βοᾶν καὶ διαρρήγνυσθαι· ἀλλ' ἐν αὐτῷ τῷ ταμιείῳ ὤν, ἐν αὐτῷ τῷ κοιτῶνι, κάμψον τὰ γόνατα, παρακάλεσον τὸν δεσπότην. διὰ τί αὐτὸς ὁ Χριστὸς διενυκτέρευσεν ἐν τῷ ὄρει; οὐχ ἵνα τύπος ἡμῖν γένηται; τότε ἀναπνεῖ τὰ φυτά, ἐν τῇ νυκτὶ λέγω· τότε καὶ ψυχὴ μάλιστα μᾶλλον ἐκείνων δρόσον δέχεται. ἅπερ μὲν ἡμέρας ὁ ἥλιος κατέκαυσε, ταῦτα ἐν τῇ νυκτὶ καταψύχεται. πάσης δρόσου μᾶλλον τὰ τῆς νυκτὸς δάκρυα ἐπὶ τῶν ἐπιθυμιῶν, καὶ ἐπὶ πάσης φλεγμονῆς καὶ καύσωνος καθιέμενα, καὶ οὐκ ἀφίησι χαλεπόν τι παθεῖν, ἂν δὲ μὴ τῆς δρόσου ἀπολαύσῃ ἐκείνης, μεθ' ἡμέραν κατακαυθήσεται. ἀλλὰ μὴ γένοιτο μηδένα ὑμῶν ὑπὸ ἐκκαύματος τοῦ πυρὸς ἐκείνου ἀλγύνεσθαι· ἀλλ' ἀναψύξαντας, καὶ τῆς παρὰ τοῦ Θεοῦ φιλανθρωπίας ἀπολαύσαντας, γένοιτο πάντας ἡμᾶς ἐλευθερωθῆναι τοῦ φορτίου τῶν ἁμαρτημάτων, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ψαλ. ριη. ρε.

ἴσ. ἐκεῖνος

χ. τι παθεῖν

## Λογ. κζ.

18 ΓΕΝΟΜΕΝΗΣ ΔΕ ΗΜΕΡΑΣ ΗΝ ΤΑΡΑΧΟΣ οὐκ ὀλίγος ἐν τοῖς στρατιώταις, τί ἄρα ὁ Πέτρος ἐγένετο.

19 Ἡρώδης δὲ ἐπιζητήσας αὐτόν, καὶ μὴ εὑρών, ἀνακρίνας τοὺς φύλακας ἐκέλευσεν ἀπαχθῆναι. καὶ κατελθὼν ἀπὸ τῆς Ἰουδαίας εἰς τὴν Καισάρειαν διέτριβε.

κ. Ἰωσ. ποίας ἀπορίας πῶς ἐξεῖλεν ὁ Θε. ἀθλητὰς ἀπολλυμένους. καὶ νῦν ... τὸν Πέτ.

ΠΟλλοὶ διαποροῦσι πῶς ἐξείλετο ὁ Θεὸς τότε δι' αὐτὸν τοὺς παῖδας ἀναιρουμένους, καὶ νῦν πάλιν τοὺς στρατιώτας διὰ τὸν Πέτρον· καίτοι δυνατὸν ἦν αὐτῷ μετὰ τοῦ Πέτρου κἀκείνους ἐξελέσθαι. ἀλλ' εἰ καὶ τοὺς στρατιώτας ἐξήγαγεν ὁ ἄγγελος μετὰ τοῦ Πέτρου, ἐνομίσθη ἂν φυγῆς εἶναι τὸ πρᾶγμα. τί δὴ οὖν οὐχ ἑτέρως ᾠκονόμησε, φησί; ποία γὰρ βλάβη γέγονε νῦν; ἂν ἴδωμεν ὅτι ὁ ἀδίκως παθὼν τὰ κακὰ οὐδὲν ἐβλάβη, οὐ ζητήσομεν ταῦτα. διὰ τί γὰρ μὴ λέγεις καὶ περὶ Ἰακώβου, διὰ τί αὐτὸν μὴ ἐξείλετο; ἄλλως δέ, οὐκ ἦν οὐδέπω τῆς κρίσεως ὁ καιρός, ὥστε τὸ κατ' ἀξίαν ἀπονέμειν ἑκάστῳ. ἀλλ' οὐδὲ ἐνέβαλεν αὐτοὺς εἰς τὰς χεῖρας αὐτοῦ Πέτρος. μᾶλλον οὖν αὐτὸν ἐλύπει τὸ ἐμπαιχθῆναι, ὥσπερ τὸν πάππον αὐτοῦ ὑπὸ τῶν μάγων ἀπατηθέντα, μᾶλλον ἐποίει διαπορεῖσθαι καὶ καταγέλαστον εἶναι. καλὸν δὲ καὶ αὐτῶν τῶν ῥημάτων ἀκοῦσαι τοῦ συγγραφέως. Γενομένης, φησίν, ἡμέρας ἦν τάραχος οὐκ ὀλίγος ἐν τοῖς στρατιώταις, τί ἄρα ὁ Πέτρος ἐγένετο. Ἡρώδης δὲ ἐπιζητήσας αὐτόν, καὶ μὴ εὑρών, ἀνακρίνας τοὺς φύλακας ἐκέλευσεν ἀπαχθῆναι. καίτοι ἤκουσε παρ' αὐτῶν (ἀνέκρινε γὰρ) καὶ ὅτι αἱ ἁλύσεις ἀφέθησαν, καὶ ὅτι τὰ σανδάλια ἔλαβε,

βε, καὶ

ΗΘΙΚΟΝ

Μιμησώμεθα τούτους, ζηλώσωμεν. οὐ διὰ τοῦτο γέγονεν ἡ νὺξ, ἵνα διαπαντὸς καθεύδωμεν καὶ ἀργῶμεν. καὶ τοῦτο μαρτυροῦσιν οἱ χειροτέχναι, οἱ ὁπλῖται, οἱ ἔμποροι, ἡ ἐκκλησία τοῦ Θεοῦ ἐκ μέσων ἀνισταμένη νυκτῶν. ἀνάστηθι καὶ σὺ, καὶ ἴδε τῶν ἄστρων τὴν χορείαν, τὴν βαθεῖαν σιγὴν, τὴν ἡσυχίαν τὴν πολλήν· ἐκπλάγηθι τοῦ δεσπότου σου τὴν οἰκονομίαν. καθαρωτέρα τότε ἐστὶν ἡ ψυχὴ, κουφοτέρα καὶ λεπτοτέρα μᾶλλόν ἐστι, μετέωρος καὶ κούφη. τὸ σκότος αὐτὸ, ἡ σιγὴ ἡ πολλὴ εἰς κατάνυξιν ἀγαγεῖν ἱκανά. ἂν δὲ καὶ εἰς τὸν οὐρανὸν ἴδῃς τοῖς ἄστροις ὥσπερ μυρίοις ἤδη κατεστιγμένον ὀφθαλμοῖς, πᾶσαν ἡδονὴν καρπώσῃ, ἔννοιαν λαβὼν εὐθὺς τοῦ δημιουργοῦ. ἂν ἐννοήσῃς ὅτι οἱ μεθ' ἡμέραν κράζοντες, γελῶντες, σκιρτῶντες, πηδῶντες, ἀδικοῦντες, πλεονεκτοῦντες, ἀπειλοῦντες, μυρία ἐπιβουλευόμενοι δεινὰ, οὕτω νῦν τῶν νεκρῶν οὐδὲν διαφέρουσι, καταγνώσῃ τῆς ἀνθρωπίνης αὐθαδείας ἁπάσης. ὕπνος ἐπελθὼν, καὶ τὴν φύσιν ἤλεγξεν. εἰκών ἐστι θανάτου, εἰκών ἐστι συντελείας. ἂν διακύψῃς εἰς τὸν στενωπὸν, οὐκ ἀκούσῃ οὐδὲ φωνῆς· ἂν ἴδῃς εἰς τὴν οἰκίαν, πάντας ὄψει καθάπερ ἐν τάφῳ κειμένους. ταῦτα πάντα ἱκανά ἐστι διαναστῆσαι ψυχὴν, καὶ εἰς ἔννοιαν συντελείας ἀγαγεῖν. οὐκ ἔστι δέ μοι καὶ πρὸς ἄνδρας, καὶ πρὸς γυναῖκας ὁ λόγος. κάμψον τὰ γόνατα, στέναξον, παρακάλεσον σου τὸν δεσπότην ἵλεων γενέσθαι. μᾶλλον ἐπικάμπτεται ἐν νυκτεριναῖς εὐχαῖς, ὅταν τὸν καιρὸν τῆς ἀναπαύσεως σὺ θρήνων ποιῇ καιρόν. ἀναμνήσθητι τοῦ βασιλέως, οἷα ῥήματα ἔλεγεν· Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου, λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω. ὅσον ἂν ᾖς τρυφηλὸς, οὐκ εἶ τρυφηλότερος ἐκείνου· ὅσον ἂν ᾖς πλούσιος, οὐκ εἶ πλουσιώτερος τοῦ Δαβίδ. καὶ πάλιν ὁ αὐτός φησι· Μεσονύκτιον ἐξηγειρόμην τοῦ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου. τότε οὐ κενοδοξία παρενοχλεῖ. πῶς γὰρ, πάντων καθευδόντων καὶ οὐχ ὁρώντων; τότε οὐ ῥαθυμία καὶ χάσμη ἐπιτίθεται. πῶς γὰρ, ὑπὸ τοσούτων τῆς ψυχῆς διεγειρομένης; μετὰ τὰς τοιαύτας παννυχίδας καὶ ὕπνοι ἡδεῖς, καὶ ἀποκαλύψεις θαυμασταί. τοῦτο ποίησον καὶ σὺ ὁ ἀνὴρ, μὴ μόνη ἡ γυνή. ἔστω ἐκκλησία ἡ οἰκία ἐξ ἀνδρῶν καὶ γυναικῶν συνεστηκυῖα. μὴ γὰρ ὅτι σὺ μόνος εἶ ὁ ἀνὴρ, μηδ' ὅτι αὕτη μόνη ἐστὶν ἡ γυνὴ, νομίσῃς κώλυμα εἶναι. Ὅπου γὰρ εἰσὶ δύο εἰς τὸ ἐμὸν ὄνομα, φησὶ, συνηγμένοι, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν. ὅπου ὁ Χριστὸς μέσος, πολὺ πλῆθός ἐστιν· ὅπου ὁ Χριστὸς, ἀνάγκη καὶ ἀγγέλους εἶναι, ἀνάγκη καὶ ἀρχαγγέλους καὶ τὰς ἄλλας δυνάμεις. οὐκ ἄρα μόνοι ἐστὲ, τὸν πάντων ἔχοντες δεσπότην. καὶ πάλιν ἄκουε τοῦ προφήτου λέγοντος· Κρείσσων εἷς ποιῶν τὸ θέλημα Κυρίου, ἢ μυρίοι παράνομοι. οὐδὲν ἀσθενέστερον πολλῶν παρανόμων, οὐδὲν ἰσχυρότερον ἑνὸς κατὰ νόμον Θεοῦ ζῶντος. εἴ σοι καὶ παιδία ἐστὶ, διανάστησον καὶ τὰ παιδία, καὶ γενέσθω διαπαντὸς ἡ οἰκία ἐκκλησία διὰ τῆς νυκτός. εἰ δὲ ἁπαλὰ ᾖ, καὶ μὴ φέρῃ τὴν ἀγρυπνίαν, μέχρι μιᾶς εὐχῆς καὶ δευτέρας, καὶ κατάπαυσον· μόνος διανάστηθι, μόνον ἐν συνηθείᾳ κατάστησον σαυτόν. οὐδὲν τοῦ ταμιείου βέλτιον ἐκείνου τοῦ τὰς τοιαύτας εὐχὰς δεχομένου. ἄκουε τοῦ προφήτου λέγοντος· Εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ. ἀλλὰ κέκμηκα, φησὶ, μεθ' ἡμέραν πολλὰ, καὶ οὐ δύναμαι. σκῆψις ταῦτα καὶ πρόφασις. ὅσα γὰρ ἂν κάμῃς, οὐ πονήσεις ὡς ὁ χαλκοτύπος σφῦραν οὕτω βαρεῖαν καταφέρων ἀπὸ πολλοῦ τοῦ ὕψους ἐπὶ τοὺς σπινθῆρας, καὶ τὸν καπνὸν ὅλῳ δεχόμενος τῷ σώματι· καὶ ὅμως τὸ πλέον ἐκεῖνος τῆς νυκτὸς εἰς τοῦτο ἀναλίσκει. ἴστε καὶ γυναῖκες, εἴ ποτε εἰς ἀγρὸν ὑμῖν γέγονεν ἀνάγκη βαδίσαι, ἢ εἰς παννυχίδα προσελθεῖν, πῶς δι' ὅλης τῆς νυκτὸς ἀγρυπνοῦσι. καὶ σὺ τοίνυν χαλκεῖον ἔσω πνευματικὸν, οὐχ ὥστε χύτρας, οὐδὲ λέβητας, ἀλλὰ τὴν ψυχὴν κατασκευάσαι τὴν σὴν, ἢ καὶ χαλκοτύπου καὶ χρυσοχόου πολλῷ βελτίων τὴν παλαιὰν γενομένην τοῖς ἁμαρτήμασιν εἰσάγαγε εἰς τὸ χωνευτήριον τῆς ἐξομολογήσεως, τὴν σφῦραν κατένεγκε ἀπὸ τοῦ πολλοῦ ὕψους, τουτέστι, τῶν ῥημάτων τὴν κατάγνωσιν· ἄναψον τὸ πῦρ τοῦ πνεύματος.

Margin notes:
χ. πῶς ἂν ἐκπλαγείης τὴν τοῦ δημιουργοῦ σοφίαν θαυμασίαν διατεθείς;
χ. ποιῇς
ψαλ. ϛ. ζ.
ψαλ. ριη. ξβ.
Ματθ. ιη. κ.
Σειρ. ιϛ. γ.
ψαλ. ξβ. ζ.
χ. ἡμῖν
χ. ὃ
χ. κάλπον
χ. κατάγαγε

ἤνυσεν, πῶς διεγηγερμένους αὐτοὺς εἰργάσατο. εἶδες τοῦ φόνου Στεφάνου ὅσον τὸ κέρδος; εἶδες τοῦ δεσμωτηρίου τούτου ὅση ἡ ὠφέλεια; οὐ γὰρ δὴ ἐπεξιὼν ὁ Θεὸς τοῖς ἀδικοῦσιν αὐτοὺς μέγα δείκνυσι τὸ εὐαγγέλιον· ἀλλ' ἐν αὐτοῖς τοῖς ἀδικοῦσιν, οὐδὲν ἐκείνων παρόντων δεινόν, αὐτὰς καθ' ἑαυτὰς τὰς θλίψεις δείκνυσι" μέγα οὔσας, ἵνα μὴ τὴν ἀπαλλαγὴν αὐτῶν πάντως ζητῶμεν, μηδὲ τὴν ἐκδίκησιν. σκόπει δὲ πῶς καὶ αἱ παιδίσκαι αὐτῶν λοιπὸν ὁμότιμοι αὐτοῖς ἦσαν. ἀπὸ τῆς χαρᾶς, φησίν, οὐκ ἤνοιξε. καλῶς καὶ τοῦτο γέγονεν, ἵνα μὴ καὶ ἐκεῖνοι ἐκπλαγῶσιν εὐθέως ἰδόντες καὶ ἀπιστήσωσιν, ἀλλ' ἐγγυμνασθῇ αὐτῶν ἡ διάνοια, καὶ ὅπερ ἔθος ἡμῖν ποιεῖν, εὑρεθῇ πράττουσα καὶ αὐτή. ἵνα γὰρ αὐτὴ τὰ εὐαγγέλια κομίσῃ, ἐσπούδαζεν. οὕτως γὰρ εὐαγγέλια ἦν. οἱ δὲ εἶπον πρὸς αὐτήν· μαίνῃ. ἡ δὲ διϊσχυρίζετο οὕτως ἔχειν. οἱ δὲ εἶπον, ὅτι ἄγγελος αὐτοῦ ἐστιν. ἐκ τούτου ἀληθές, ὅτι ἕκαστος ἡμῶν ἄγγελον ἔχει. "καὶ πόθεν ἐπῆλθεν αὐτοῖς ἄγγελον εἶναι τότε ὑποπτεῦσαι; ἀπὸ τοῦ καιροῦ τοῦτο" ὑπώπτευσαν. ὡς δὲ ἐπέμενε κρούων, φησίν, ἀνοίξαντες, εἶδον αὐτόν, καὶ ἐξέστησαν. ὁ δὲ κατασείσας τῇ χειρὶ σιγᾶν, ἡσυχίαν πολλὴν ἐποίησεν ὥστε ἀκοῦσαι τὰ περὶ αὐτοῦ. ποθεινότερος πολλῷ λοιπὸν ἦν τοῖς μαθηταῖς· οὐ τῷ σωθῆναι μόνον, ἀλλὰ καὶ τῷ ἐπιστῆναι καὶ εὐθέως ἀπελθεῖν. μανθάνουσι λοιπὸν καὶ οἱ οἰκεῖοι πάντα σαφῶς· μανθάνουσι καὶ οἱ ἀλλότριοι, εἴγε ἠθέλησαν [πιστεῦσαι.] ἀλλ' οὐκ ἠθέλησαν. τοῦτο καὶ ἐπὶ τοῦ Χριστοῦ γέγονεν. Ἀπαγγείλατε, φησίν, Ἰακώβῳ καὶ τοῖς ἀδελφοῖς ταῦτα. ὅρα πῶς οὐκ ἔστι κενόδοξος. οὐ γὰρ εἶπε, τοῖς ἁπανταχοῦ δῆλα ποιήσατε ταῦτα, ἀλλὰ τοῖς ἀδελφοῖς. καὶ ἀνεχώρησεν εἰς ἕτερον τόπον. οὐ γὰρ ἐπείραζε τὸν Θεόν, οὐδὲ εἰς πειρασμοὺς ἐνέβαλεν ἑαυτόν· ἐπεί, ὅτι καὶ τοῦτο ἐκελεύσθησαν, ἐποίησαν. Εἰσελθόντες γάρ, φησι, λαλεῖτε ἐν τῷ ἱερῷ τῷ λαῷ. ἤκουσαν, καὶ εὐθέως ἐπείσθησαν. τοῦτο δὲ οὐκ εἶπεν ὁ ἄγγελος, ἀλλὰ τῷ σιγῇ ἀποστῆναι καὶ νυκτὸς ἐξαγαγεῖν ἔδωκεν ἐξουσίαν ἀναχωρῆσαι. καὶ τοῦτο δὲ γέγονεν, ἵνα μάθωμεν ὅτι καὶ ἀνθρωπίνως πολλὰ οἰκονομοῦνται, ὥστε μὴ περιπεσεῖν πάλιν αὐτόν. ἵνα γὰρ μὴ εἴπωσιν ὅτι ὁ ἄγγελος αὐτοῦ ἐστι μετὰ τὸ ἀπελθεῖν, πρότερον τοῦτο λέγουσι· καὶ τότε αὐτὸν ὁρῶσιν ἀνατρέποντα τὴν δόξαν ἐκείνην. ὁ ἄγγελος εἰ ἦν, οὐκ ἂν ἔκρουσε τὴν θύραν, οὐκ ἂν ἀνεχώρησεν εἰς ἕτερον τόπον. πιστεῦσαι δὲ αὐτοὺς καὶ τὸ" μὴ ἐν ἡμέρᾳ γενέσθαι. οἱ μὲν λελυμένοι ἐν εὐχαῖς ἦσαν· ὁ δὲ δεδεμένος ἐν ὕπνῳ. εἰ ἐνόμιζεν ἀληθὲς εἶναι τὸ γινόμενον, κἂν ἐξεταράχθη, κἂν οὐκ ἐμνημόνευσε· νῦν δὲ ὡς ἐν ὀνείρῳ ὁρῶν ἀτάραχος ἦν. ἦλθον, φησίν, ἐπὶ τὴν πύλην τὴν σιδηρᾶν. ὅρα καὶ πῶς ἰσχυρὰ ἦν. διελθόντες δέ, φησι, πρώτην φυλακὴν καὶ δευτέραν, ἦλθον ἐπὶ τὴν πύλην τὴν σιδηρᾶν. καὶ διατί μὴ δι' ἑαυτῶν, φησί, τοῦτο γέγονεν; ὅτι καὶ τούτῳ τιμᾷ αὐτοὺς ὁ Θεός, τῷ δι' ἀγγέλων αὐτοὺς ἐξαρπάζειν. τί οὖν; ἐπὶ Παύλου οὐχ οὕτω γέγονεν; ἐκεῖ δικαίως, ὅτι πιστεῦσαι ἔδει τὸν δεσμοφύλακα· ἐνταῦθα δὲ ἀπαλλαγῆναι τὸν ἀπόστολον μόνον. ἄλλως δέ, καὶ διαφόρως ἅπαντα ὁ Θεὸς οἰκονομεῖ. "ἐκεῖ μὲν Παῦλος ὕμνει, ἐνταῦθα δὲ Πέτρος ἐκάθευδε. μὴ τοίνυν κρύπτωμεν τὰ θαύματα τοῦ Θεοῦ, ἀλλὰ καὶ ὑπὲρ τῆς ἡμετέρας ὠφελείας ταῦτα σπουδάζωμεν ἐκπομπεύειν καὶ εἰς τὴν τῶν ἄλλων οἰκοδομήν. ὥσπερ γὰρ ἐστὶ θαυμαστὸς ἑλόμενος δεσμευθῆναι, οὕτω θαυμαστότερος μὴ πρότερον ἀναχωρήσας, ἕως ὅτε τοῖς οἰκείοις πάντα ἀπήγγειλε. καὶ εἶπε, φησίν· εἴπατε Ἰακώβῳ καὶ τοῖς ἀδελφοῖς. τί δήποτε κελεύει εἰπεῖν; ἵνα χαρῶσιν, ἵνα μὴ μεριμνῶσιν, ἵνα διὰ τούτων ἐκεῖνοι μανθάνωσιν, οὐκ" αὐτοὶ δι' ἐκείνων. οὕτω τοῦ ταπεινοτέρου μέρους "ἐφρόντιζον. οὐδὲν ἄρα θλίψεως συμμέτρου βέλτιον. ποίαν οἴει τὴν ἐκείνων εἶναι τότε ψυχήν; πόσης ἡδονῆς γέμειν; ποῦ νῦν αἱ γυναῖκες, αἱ διὰ πάσης καθεύδουσαι νυκτός; ποῦ δὲ οἱ ἄνδρες, οἱ μηδὲ μεταστρεφόμενοι ἐπὶ τῆς κλίνης; ὁρᾷς νήφουσαν ψυχήν; μετὰ γυναικῶν καὶ παίδων καὶ παιδισκῶν πάντες τὸν Θεὸν ὕμνουν, καθαρώτεροι τοῦ οὐρανοῦ τῇ θλίψει γενόμενοι· νῦν δὲ ἂν μικρὸν ἴδωμεν κίνδυνον, ἀναπίπτομεν. οὐδὲν τῆς ἐκκλησίας ἐκείνης λαμπρότερον ἦν.

γρ. μεγάλας

γρ. καὶ τί βούλεται ὁ ἄγγελος;

γρ. ὑπενόησαν.

Πραξ. ιβ.

γρ. ἐν ἡμέρᾳ γινόμενον·

γρ. καλῶς δὲ ἐκράτει Παῦλος

γρ. ἑαυτοὶ διὰ τούτου

γρ. ἐφρόντιζεν

Μιμησώμεθα

Digitized by Google

θυμίαις αὐτῶν ταῖς ἀτόποις ὑπηρετεῖτο. δέον γὰρ τοὐναντίον ποιεῖν καὶ ἐγκόπτειν αὐτῶν τὴν ὁρμήν, ὁ δὲ ἐπέτρεψε, καθάπερ τις δήμιος ὢν τῶν τοσούτων, ἀλλ' οὐκ ἰατρός· καίτοι μυρία παραδείγματα ἔχων καὶ τοῦ πάππου καὶ τοῦ πατρὸς Ἡρώδου· καὶ πῶς ἐκεῖνος μὲν διὰ τὴν αἵρεσιν τῶν παίδων μέγιστα ἔπαθε κακά, οὗτος δὲ Ἰωάννην ἀνελὼν πόλεμον ἤγειρε χαλεπόν. ὃν καὶ πιάσας, φησίν, ἔθετο εἰς φυλακήν. καθὼς δὲ ᾤοντο, ἐφοβεῖτο μὴ διὰ τὸν φόνον τοῦ Ἰακώβου ἀναχωρήσῃ ὁ Πέτρος, καὶ βουλόμενος ἔχειν αὐτὸν ἐν ἀσφαλεῖ, ἐνέβαλε τῷ δεσμωτηρίῳ. ὅσῳ ἀκριβεστέρα ἡ φρουρά, τοσούτῳ θαυμασιωτέρα ἡ ἐπίδειξις. τοῦτο δὲ ἦν ὑπὲρ Πέτρου, δοκιμωτέρου μᾶλλον ἐντεῦθεν γινομένου, καὶ τὴν ἀνδρείαν τὴν οἰκείαν ἐπιδεικνυμένου. προσευχὴ δὲ ἦν, φησίν, ἐκτενὴς γινομένη. φιλοστοργίας δεῖγμα ἡ προσευχή. πατέρα πάντες ἐζήτουν, πατέρα ἥμερον. ἐκτενής, φησίν, ἦν προσευχὴ γινομένη ὑπὲρ αὐτοῦ. ἀκούσατε πῶς διέκειντο περὶ τοὺς διδασκάλους. οὐκ ἐστασίασαν, οὐκ ἐθορυβήθησαν, ἀλλ' ἐπὶ εὐχὴν ἐτράπησαν, τὴν ὄντως συμμαχίαν τὴν ἄμαχον, ἐπ' αὐτὴν κατέφυγον. οὐκ ἔλεγον, ὁ ταπεινὸς ἐγὼ καὶ οὐδαμινὸς ὑπὲρ ἐκείνου εὔχομαι; ἐπειδὴ γὰρ ἀγάπῃ ἐποίουν, οὐδὲν τούτων ἐλογίζοντο. βούλει μαθεῖν πόσα εἰργάσαντο καὶ ἄκοντες; ἐκείνους δοκιμωτέρους ἔδειξαν, τούτους σπουδαιοτέρους ἐποίησαν. καὶ ὅρα ἐν τῇ ἑορτῇ τοὺς πειρασμοὺς ἐπαγομένους, ἵνα δοκιμώτεροι φανῶσιν οὗτοι. ὅτε δὲ ἔμελλεν αὐτὸν προάγειν ὁ Ἡρώδης, φησί, τῇ νυκτὶ ἐκείνῃ ἦν ὁ Πέτρος κοιμώμενος. ὅρα τὸν Πέτρον καθεύδοντα, καὶ οὐκ ὄντα ἐν ἀγωνίᾳ, οὐδὲ ἐν φόβῳ. αὐτῇ τῇ νυκτὶ ᾗ προάγεσθαι ἔμελλεν ἐκάθευδε, τὸ πᾶν ῥίψας ἐπὶ τὸν Θεόν. οὐχ ἁπλῶς δὲ ἐκάθευδεν, ἀλλὰ μέσον στρατιωτῶν, καὶ δεδεμένος. μεταξὺ γὰρ δύο στρατιωτῶν κοιμώμενος ἦν, δεδεμένος ἁλύσεσι δυσίν. ὁρᾷς πῶς ἀκριβὴς ἡ φυλακή; καὶ ἰδοὺ ἄγγελος Κυρίου ἐπέστη, φησί, λέγων· ἀνάστα ἐν τάχει. συγκαθεύδοντες ἦσαν οἱ φύλακες. διὸ καὶ τῶν γινομένων οὐδὲν ἐπαισθάνονται. φῶς δὲ ἔλαμψε. διὰ τί φῶς; ὥστε καὶ ἰδεῖν καὶ ἀκοῦσαι τὸν Πέτρον, καὶ μὴ νομίσαι φαντασίαν εἶναι. ὡς ἂν δὲ μὴ ῥᾳθυμήσῃ, καὶ τὴν πλευρὰν πατάσσεται. καὶ οὐχ ἁπλῶς ἀνεγείρει, ἀνάστα· ἀλλ', ἐν τάχει, μηδὲ παρενθήκης. οὕτω βαθέως ἐκάθευδεν. ἐδόκει δὲ ὅραμα βλέπειν, φησί. διελθόντες δὲ πρώτην καὶ δευτέραν φυλακήν. ποῦ νῦν εἰσὶν οἱ αἱρετικοί; πῶς διῆλθον, εἰπάτωσαν ἡμῖν. ἀλλ' οὐκ ἂν ἔχοιεν. καίτοι διὰ τοῦτο αὐτὸν καὶ ζώσασθαι κελεύει καὶ ὑποδήσασθαι, καὶ τούτῳ πείθων αὐτόν, ὅτι οὐκ ἔστι φάντασμα· καὶ ἵνα ἀποτινάξηται τὸν ὕπνον, καὶ γνῷ ὅτι ἀληθές ἐστι. διὰ τοῦτο καὶ εὐθέως ἀπέπεσον αὐτοῦ αἱ ἁλύσεις ἀπὸ τῶν χειρῶν, καὶ, ἀνάστα ἐν τάχει, ἀκούει. οὐ θορυβοῦντός ἐστι τοῦτο, ἀλλὰ πείθοντος μὴ ἀναβάλλεσθαι. καὶ οὐκ ᾔδει, φησίν, ὅτι ἀληθές ἐστι τὸ γινόμενον διὰ τοῦ ἀγγέλου· ἐδόκει δὲ ὅραμα βλέπειν. εἰκότως, διὰ τὴν ὑπερβολὴν τῶν γινομένων. ὁρᾷς πόσον ἐστὶν ὑπερβολὴ σημείου; πῶς ἐκπλήττει τὸν ὁρῶντα; πῶς οὐκ ἀφίησι πιστεῦσαι; εἰ γὰρ Πέτρος ἐδόκει ὅραμα βλέπειν ἐν τοσούτῳ χρόνῳ, καίτοι αὐτὸς ζωσάμενος καὶ ὑποδησάμενος, τί ἕτερος μὴ ἔπαθεν ἄν; διελθόντες δέ, φησί, πρώτην φυλακὴν καὶ δευτέραν, ἦλθον ἐπὶ τὴν πύλην τὴν σιδηρᾶν· καὶ ἐξελθόντες προῆλθον ῥύμην μίαν, καὶ εὐθέως ἀπέστη ὁ ἄγγελος ἀπ' αὐτοῦ. τὰ μὲν ἔνδον γινόμενα θαυμασιώτερα ἦν, τοῦτο δὲ λοιπὸν ἀνθρωπινώτερον. ὅτε οὐδὲν κώλυμα ἦν, τότε ἀπέστη ὁ ἄγγελος. οὐ γὰρ ἂν προῆλθεν ὁ Πέτρος, τοσούτων ὄντων κωλυμάτων. οὕτως γάρ, οὕτως ἔκπληξις ἦν. νῦν ἔγνων, φησίν, ὅτι ἀληθῶς ἀπέστειλεν ὁ Κύριος τὸν ἄγγελον αὐτοῦ, καὶ ἐξείλετό με ἐκ χειρὸς Ἡρώδου καὶ πάσης τῆς προσδοκίας τοῦ λαοῦ τῶν Ἰουδαίων. νῦν, οὐχὶ τότε, ὅτε ἐν δεσμωτηρίῳ ἤμην. συνιδών τε ἦλθεν ἐπὶ τὴν οἰκίαν Μαρίας τῆς μητρὸς Ἰωάννου, φησί. τί ἐστι, συνιδών; λογισάμενος ὅπου ἐστίν. ἢ τοίνυν τοῦτο συνεῖδεν, ἢ ὅτι οὐχ ἁπλῶς ἀπελθεῖν δεῖ, ἀλλ' ἀμείψασθαι τὸν εὐεργέτην. ὁ καὶ συνιδὼν ἦλθεν ἐπὶ τὴν οἰκίαν Μαρίας. τίς ἐστιν οὗτος ὁ Ἰωάννης; ἴσως ἐκεῖνος ὁ ἀεὶ αὐτοῖς συνών. διὰ γὰρ τοῦτο καὶ τὸ παράσημον αὐτοῦ ἔθηκεν. ὅρα ὅσον ἐστὶν ἀγαθὸν ἡ θλῖψις, πόσοι εὐχόμενοι ἐν νυκτὶ

ἦσαν,

χ. φόνον

χ. ἦν

χ. ἐθορυβήθησαν

Πάλιν ἐνταῦθα δείκνυσιν, ὅτι οὐ κακουργίᾳ γέγονεν. οὐδεὶς γὰρ ἐπειγόμενος καὶ διορύξαι βουλόμενος τοσαύτην ποιεῖται σπουδήν, ὥστε καὶ τὰ σανδάλια αὐτοῦ λαβεῖν, ὥστε καὶ ζώσασθαι. Ἐποίησε δὲ οὕτω, καὶ λέγει αὐτῷ· περιβαλοῦ τὸ ἱμάτιόν σου, καὶ ἀκολούθει μοι.

9 Καὶ ἐξελθὼν ἠκολούθει αὐτῷ, καὶ οὐκ ᾔδει ὅτι ἀληθές ἐστι τὸ γινόμενον ὑπὸ τοῦ ἀγγέλου· ἐδόκει δὲ ὅραμα βλέπειν.

10 Διελθόντες δὲ πρώτην φυλακὴν καὶ δευτέραν, ἦλθον ἐπὶ τὴν πύλην τὴν σιδηρᾶν τὴν φέρουσαν εἰς τὴν πόλιν, ἥτις αὐτομάτη ἠνοίχθη αὐτοῖς.

Ἰδοὺ δεύτερον σημεῖον. ὅτε ἀπέστη ὁ ἄγγελος, τότε ἐνόησεν ὁ Πέτρος.

γρ. προσῆλθον

Καὶ ἐξελθόντες προῆλθον ῥύμην μίαν, καὶ εὐθέως ὁ ἄγγελος ἀπ' αὐτοῦ ἀπέστη.

11 Καὶ ὁ Πέτρος γενόμενος ἐν ἑαυτῷ, εἶπε· νῦν οἶδα ἀληθῶς ὅτι ἐξαπέστειλεν ὁ Κύριος τὸν ἄγγελον αὐτοῦ, καὶ ἐξείλετό με ἐκ χειρὸς Ἡρώδου καὶ πάσης τῆς προσδοκίας τοῦ λαοῦ τῶν Ἰουδαίων. Νῦν ἔγνων, φησίν, οὐ τότε. διὰ τί δὲ γέγονε τοῦτο, καὶ οὐκ ἔστιν ὁ Πέτρος ἐν αἰσθήσει τῶν γινομένων, καίτοι ἤδει καὶ πρότερον τοιαύτης ἀπολαύσας ἀπαλλαγῆς, ὅτε τὸ πρῶτον ἀπελύθησαν; ἀθρόον βούλεται αὐτῷ τὴν ἀπαλλαγὴν γενέσθαι, καὶ μετὰ τὸ ἀπαλλαγῆναι τότε τὴν αἴσθησιν λαβεῖν. τὸ τὰς ἁλύσεις δὲ ἀπὸ τῶν χειρῶν πεσεῖν, μέγα τεκμήριον τοῦ μὴ φυγεῖν.

γρ. ἤδη τοι- / γρ. ἠδυνήθη

12 Συνιδών τε, φησιν, ἦλθεν ἐπὶ τὴν οἰκίαν Μαρίας τῆς μητρὸς Ἰωάννου τοῦ ἐπικαλουμένου Μάρκου, οὗ ἦσαν ἱκανοὶ συνηθροισμένοι* καὶ προσευχόμενοι. κρούσαντος δὲ τοῦ Πέτρου τὴν θύραν τοῦ πυλῶνος, προσῆλθε παιδίσκη ὑπακοῦσαι, ὀνόματι Ῥόδη·

* ἀδελφοί

13 Καὶ ἐπιγνοῦσα τὴν φωνὴν τοῦ Πέτρου, ἀπὸ τῆς χαρᾶς οὐκ ἤνοιξε τὸν πυλῶνα.

Ὅρα τὸν Πέτρον οὐκ εὐθέως ἀναχωροῦντα, ἀλλὰ πρότερον εὐαγγελιζόμενον τοὺς αὐτοῦ. Εἰσδραμοῦσα δὲ ἀπήγγειλεν ἑστάναι τὸν Πέτρον πρὸ τοῦ πυλῶνος.

γρ. εἰσελθοῦσα

14 Οἱ δὲ πρὸς αὐτὴν εἶπον, μαίνῃ. ἡ δὲ διϊσχυρίζετο οὕτως ἔχειν.

Ὅρα καὶ τὰς παιδίσκας εὐλαβείας γεμούσας. ἀπὸ γὰρ τῆς χαρᾶς οὐκ ἤνοιξε τὸν πυλῶνα· ἐκεῖνοι δὲ καὶ τούτου γενομένου ἠπίστευσαν. ἡ δέ, φησι, διϊσχυρίζετο οὕτως ἔχειν·

Οἱ δὲ ἔλεγον, φησιν, ὁ ἄγγελος αὐτοῦ ἐστιν.

16 Ὁ δὲ Πέτρος ἐπέμενε κρούων. ἀνοίξαντες δὲ εἶδον αὐτόν, καὶ ἐξέστησαν.*

* ἰδόντες αὐτόν, φησιν, ἐξεπλάγησαν.

17 Κατασείσας δὲ αὐτοῖς τῇ χειρὶ σιγᾶν, διηγήσατο αὐτοῖς πῶς ὁ Κύριος αὐτὸν ἐξήγαγεν ἐκ τῆς φυλακῆς. Εἶπε δέ, ἀπαγγείλατε Ἰακώβῳ καὶ τοῖς ἀδελφοῖς ταῦτα. καὶ ἐξελθὼν ἐπορεύθη εἰς ἕτερον τόπον.

γρ. πῶς.

Ἴδωμεν οὖν ἄνωθεν τὴν ἀκολουθίαν τῶν εἰρημένων. κατ' ἐκεῖνον τὸν καιρόν, φησιν, ἐπέβαλε τὰς χεῖρας ὁ βασιλεὺς Ἡρώδης κακῶσαί τινας τῶν ἀπὸ τῆς ἐκκλησίας. καθάπερ θηρίον ἁπλῶς καὶ ἀλογίστως πᾶσιν ἐπήει. τοῦτό ἐστιν ὃ ἔλεγεν ὁ Χριστός· Τὸ μὲν ποτήριον, ὃ μέλλω πίνειν, πίεσθε, καὶ τὸ βάπτισμα, ὃ ἐγὼ βαπτίζομαι, βαπτισθήσεσθε. ἀνεῖλε δέ, φησιν, Ἰάκωβον τὸν ἀδελφὸν Ἰωάννου μαχαίρᾳ. καὶ πῶς, φησι, τὸν Πέτρον οὐκ εὐθέως ἀνεῖλεν; Εἶπε τὴν αἰτίαν ὁ συγγραφεύς. ἡμέραι γάρ, φησιν, ἦσαν τῶν ἀζύμων· καὶ μᾶλλον αὐτὸν ἐμπομπεῦσαι ἐβούλετο τῇ σφαγῇ. αὐτοὶ μὲν οὖν ἀπὸ τῆς παραινέσεως τοῦ Γαμαλιὴλ ἐπέσχον λοιπὸν ἑαυτοὺς τῶν φόνων· ἄλλως δὲ οὐδὲ αἰτίας εὕρισκον· δι' ἑτέρων δὲ αὐτὰ κατεσκεύαζον. ἐπειδὴ δὲ καὶ ἕτερος Ἰάκωβος ἦν ὁ ἀδελφὸς τοῦ Κυρίου, διὰ τοῦτο ἐπεσημήνατο εἰπών, τὸν ἀδελφὸν Ἰωάννου. ὁρᾷς ὅτι τὸ κεφάλαιον ἐν τούτοις ἦν τοῖς τρισί, μάλιστα δὲ Πέτρου καὶ Ἰακώβου; τοῦτο μάλιστα κατάκρισις αὐτῶν ἦν. οὐκ ἔτι γὰρ ἀνθρώπινον τὸ κήρυγμα ἐδείκνυτο, καὶ ὄντως ἀξίως ἐπληροῦτο, ὅτι ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς. ἰδὼν δὲ ὅτι ἀρεστόν ἐστι, φησι, τοῖς Ἰουδαίοις, προσέθετο συλλαβεῖν καὶ Πέτρον. ἀρεστὸν φόνος; καὶ φόνος ἄδικος. πολλὴ ἡ ἄνοια τοῦ Ἡρώδου, ταῖς ἐπι-

γρ. ἐποίει / Μαρ. ι. λθ. / γρ. ἐμπομπεῦσαι / γρ. αὐτῷ / γρ. κακία, ἄνοια

Ματθ. γ. α.

Ποῖον ἐκεῖνον λέγει καιρόν; πάντως τὸν ἐφεξῆς. ἀλλ' ἐνταῦθα μὲν οὕτως· ἀλλαχοῦ δὲ ἑτέρως. ὅταν γὰρ ὁ Ματθαῖος λέγῃ· Ἐν ταῖς ἡμέραις ἐκείναις παραγίνεται Ἰωάννης κηρύσσων· οὐ τὰς ἐφεξῆς ἡμέρας δηλῶν λέγει· ἀλλ' ἐκείνας, ἐν αἷς ἔμελλε γίνεσθαι ἃ περὶ διηγεῖται. ἔθος γὰρ τῇ γραφῇ τούτῳ κεχρῆσθαι τῷ τρόπῳ, καὶ ποτὲ μὲν τὰ ἑξῆς συμβαίνοντα ἀκολούθως ἐκτιθέναι, ποτὲ δὲ τὰ ὕστερον συμβαίνειν μέλλοντα, ὡς ἐφεξῆς ἀπαγγέλλειν. καλῶς δὲ λέγει, ὅτι Ἡρώδης ὁ βασιλεύς. οὐκ ἔστι [γὰρ] οὗτος ὁ ἐπὶ τοῦ Χριστοῦ. ἰδοὺ πειρασμὸς ἕτερος. καὶ ὅρα ὅπερ ἐξ ἀρχῆς εἶπον, πῶς τὰ πράγματα πλέκεται, πῶς δι' ἀνέσεως καὶ θλίψεως πάντα ὑφαίνεται. οὐκ ἔτι Ἰουδαῖοι, οὐδὲ τὸ συνέδριον, ἀλλ' ὁ βασιλεὺς ἐπιβάλλει τὰς χεῖρας εἰς τὸ κακῶσαι. μείζων ἡ ἐξουσία, χαλεπώτερος ὁ πόλεμος, ὅσῳ καὶ πρὸς χάριν ἐγίνετο τοῖς Ἰουδαίοις. ἀνεῖλε δὲ Ἰάκωβον τὸν ἀδελφὸν Ἰωάννου μαχαίρᾳ. ἁπλῶς καὶ ὡς ἔτυχεν. Εἰ δέ τις ζητοίη, διατί συνεχώρησεν ὁ Θεός; ἐροῦμεν, ὅτι ὑπὲρ αὐτῶν τοῦτον· πρῶτον μὲν, πείθων αὐτοὺς ὅτι καὶ ἀναιρούμενοι κρατοῦσιν, ὅπερ καὶ ἐπὶ Στεφάνου γέγονε· δεύτερον δὲ, διδοὺς αὐτοῖς μετὰ τὸ ἐμπλῆσαι τὸν θυμὸν ἀνενεγκεῖν ἀπὸ τῆς μανίας· καὶ τρίτον, δεικνὺς ὅτι κατὰ συγχώρησιν αὐτοῦ γέγονε τοῦτο. ἰδὼν δὲ ὅτι ἀρεστόν ἐστι τοῖς Ἰουδαίοις, προσέθετο συλλαβεῖν καὶ Πέτρον. ὢ τῆς * μανίας τῆς πολλῆς. ὑπὲρ τίνων αὐτοῖς ἐχαρίζετο, φόνους ποιῶν ἁπλῶς καὶ εἰκῆ; ἦσαν δὲ ἡμέραι τῶν ἀζύμων. πάλιν ἡ περιττὴ τῶν Ἰουδαίων ἀκριβολογία· ἀνελεῖν μὲν οὐκ ἐκώλυον, ἐν δὲ καιρῷ πάντων τοιαῦτα ἔπραττον.

γ. Κατ' ἐκεῖνον τὸν καιρόν, φησί· ποῖον τὸν ἐφεξῆς... δὲ τὸν τῇ κατῇ... λαοῖς δὲ λέγει

χ. μανίας

4 Ὃν καὶ πιάσας ἔθετο εἰς φυλακὴν, παραδοὺς τέσσαρσι τετραδίοις στρατιωτῶν.

Καὶ τοῦ θυμοῦ τοῦτο ἦν καὶ τοῦ δέους. ἀνεῖλε, φησὶν, Ἰάκωβον τὸν ἀδελφὸν Ἰωάννου μαχαίρᾳ. Εἶδες αὐτῶν τὴν ἀνδρείαν; ἵνα γὰρ μηδεὶς λέγῃ, ὅτι διὰ τοῦτο ἀκινδύνως καὶ ἀδεῶς κατετόλμησαν τοῦ θανάτου, ἅτε ἐξαρπάζοντος αὐτοὺς τοῦ Θεοῦ, διὰ τοῦτο καὶ ἀναιρεθῆναι συγχωρεῖ τοὺς κορυφαίους μάλιστα, * πείθων αὐτοὺς τοὺς ἀναιροῦντας, ὅτι οὐδὲ ταῦτα ἀφίησιν αὐτοὺς καὶ κωλύει.

* Στέφανον καὶ Ἰάκωβον

5 Ὁ μὲν οὖν Πέτρος ἐτηρεῖτο, φησὶν, ἐν τῇ φυλακῇ· προσευχὴ δὲ ἦν ἐκτενὴς γινομένη ὑπὸ τῆς ἐκκλησίας πρὸς τὸν Θεὸν ὑπὲρ αὐτοῦ. Περὶ γὰρ τὰ χείρω λοιπὸν ἦν ὁ ἀγών. καὶ τὸ ἐκεῖνον [γὰρ] ἀναιρεθῆναι, περιδεεῖς ἐποίει, καὶ τὸ τοῦτον ἐμβεβλῆσθαι.

6 Ὅτε καὶ ἔμελλε προάγειν αὐτὸν ὁ Ἡρώδης, τῇ νυκτὶ ἐκείνῃ ἦν ὁ Πέτρος κοιμώμενος μεταξὺ δύο στρατιωτῶν δεδεμένος ἁλύσεσι δυσὶ, φύλακές τε πρὸ τῆς θύρας ἐτήρουν τὴν φυλακήν.

7 Καὶ ἰδοὺ ἄγγελος Κυρίου ἐπέστη, καὶ φῶς ἔλαμψεν ἐν τῷ οἰκήματι. πατάξας δὲ τὴν πλευρὰν τοῦ Πέτρου ἤγειρεν αὐτὸν, λέγων· ἀνάστα ἐν τάχει· καὶ ἐξέπεσον αὐτοῦ αἱ ἁλύσεις ἐκ τῶν χειρῶν. Ὅρα, κατ' ἐκείνην τὴν νύκτα αὐτὸν ἐξήρπασε, καὶ φῶς ἔλαμψε, φησὶν, ἐν τῷ οἰκήματι, ἵνα μὴ νομίσῃ φαντασίαν εἶναι· καὶ τὸ φῶς οὐδεὶς εἶδε πλὴν ἐκείνου. Εἰ γὰρ καὶ τοῦτο γέγονε, καὶ ὅμως ἐνόμιζε φαντασίαν εἶναι διὰ τὸ ἀπροσδόκητον· εἰ μὴ τοῦτο γέγονε, πολλῷ πλέον· οὕτω παρετάττετο πρὸς τὸν θάνατον. τὸ γοῦν πολλὰς ἡμέρας ἐκεῖ μεῖναι τὰ μὴ συνθεῖναι, τοῦτο ἐποίει. καὶ διατί, φησὶν, οὐκ ἀφῆκεν αὐτὸν εἰς τὰς χεῖρας ἐμπεσεῖν Ἡρώδου, καὶ τότε ἐξήρπασεν; ὅτι ἐκεῖνο μὲν εἰς ἔκπληξιν ἤγαγεν ἄν· τοῦτο δὲ ὑπὲρ αὐτῶν ἐγίνετο. οὐκ ἂν γὰρ ἐνομίσθησαν ἄνθρωποι εἶναι, εἰ [illegible] πάντα ἐποίει. ἐπὶ δὲ τοῦ Στεφάνου τί οὐκ ἐποίησεν; οὐχ ὡς ἀγγέλου τὸ πρόσωπον αὐτοῦ ἔδειξε; τί δὲ ὅλως ἐνέλιπε καὶ ἐνταῦθα;

χ. γὰρ

8 Εἶπέ τε ὁ ἄγγελος πρὸς αὐτόν· περίζωσαι καὶ ὑπόδησαι τὰ σανδάλιά σου.

Πάλιν

τὰ ἱμάτια ἐκεῖνα, ἀλλὰ ταῦτα βούλεται; τοῦτο πρότερον ποίησον· εἰς τὴν ἐπιθυμίαν αὐτὰς τῶν ἱματίων ἐκείνων κατάστησον· δεῖξον ὅτι γυμναί εἰσι· διαλέχθητι περὶ τῆς κρίσεως τῆς μελλούσης· εἰπὲ, ἄλλων ἡμῖν δεῖ ἐκεῖ, οὐ τούτων. εἰ δὲ ἀνέχεσθέ μου, καὶ ἐγὼ τὴν γυμνότητα δείξω. ὁ γυμνὸς, ψύχους μὲν ὄντος, πέπηγε καὶ τρέμει καὶ συνεσταλμένος ἕστηκε συναγαγὼν τοὺς βραχίονας· θέρους δὲ ὄντος, οὐκ ἔτι. ἂν τοίνυν δείξω καὶ τοὺς πλουτοῦντας καὶ τὰς πλουτούσας τότε μάλιστα γυμνὰς, ὅσῳ μάλιστα ἂν περιβάλωνται, μὴ ἀπιστήσατε. τί οὖν, εἰπέ μοι; ὅταν τοὺς περὶ γεέννης ἀναγινώσκωμεν λόγους καὶ τῶν βασανιστηρίων ἐκείνων, οὐχὶ μᾶλλον τῶν γυμνῶν ἐκείνων πεπήγασιν οὗτοι καὶ τρέμουσιν; οὐχὶ πικρὰ στενάζουσι καὶ καταδικάζουσιν ἑαυτούς; τί δαὶ, ὅταν τῷ δεῖνι προσέρχωνται καὶ λέγωσιν, εὖξαι ὑπὲρ ἐμοῦ· οὐχὶ τὰ αὐτὰ ῥήματα φθέγγονται ἐκείνοις; ἀλλὰ νῦν μὲν ὅσα ἂν εἴπωμεν, οὔπω δήλη ἡ γυμνότης· ἔσται δὲ ἐκεῖ δήλη. πῶς καὶ τίνι τρόπῳ; ὅταν τῶν σηρικῶν ἱματίων τούτων καὶ τῶν λίθων ἀπολωλότων ἀπὸ μόνων τῶν τῆς ἀρετῆς καὶ τῆς κακίας ἱματίων ἅπαντες φαίνωνται· ὅταν οἱ μὲν πένητες ὦσιν ἠμφιεσμένοι δόξαν πολλὴν, οἱ δὲ πλουτοῦντες γυμνοὶ καὶ ἀσχημονοῦντες πρὸς τὰ κολαστήρια σύρωνται. τί ἀσθενέστερον τοῦ πλουσίου τοῦ τὴν πορφύραν ἐνδεδυμένου; τί δὲ πενέστερον τοῦ Λαζάρου; τίς οὖν τὰ τῶν ἐπαιτῶν ἐφθέγγετο ῥήματα; τίς δὲ ἐν ἀφθονίᾳ ἦν; εἰπέ μοι, εἴ τις τὴν οἰκίαν περιβάλλοι πολλοῖς τοῖς παραπετάσμασιν, αὐτὸς δὲ ἔνδον κάθηται γυμνὸς, τί τὸ κέρδος; οὕτω καὶ ἐπὶ τῶν γυναικῶν γίνεται· τὴν μὲν γὰρ οἰκίαν τῆς ψυχῆς, τὸ σῶμα λέγω, πολλοῖς περιβάλλουσιν· ἡ δὲ οἰκοδέσποινα ἔνδον κάθηται γυμνή. χρίσατέ μοι τοὺς τῆς ψυχῆς ὀφθαλμοὺς, καὶ ὑποδείξω ὑμῖν τῆς ψυχῆς τὴν γυμνότητα. τί [γάρ] ἐστιν ἱμάτιον ψυχῆς; ἀρετὴ δῆλον ὅτι. τί δὲ γυμνότης; κακία. καθάπερ γὰρ εἴ τις ἀποδύσειέ τινα τῶν ἐλευθέρων, αἰσχύνεται καὶ συστέλλεται καὶ φεύγει· οὕτω δὴ καὶ ψυχὴ, ἂν θέλωμεν εἰς αὐτὴν ἰδεῖν, ἡ μὴ ταῦτα ἔχουσα τὰ ἱμάτια ἐρυθριᾷ. πόσας οἴει νῦν αἰσχύνεσθαι καὶ πρὸς αὐτὸ καταδύεσθαι τὸ βάθος, ὥσπερ τι παραπέτασμα καὶ προκάλυμμα ἐπιζητούσας, ἵνα τούτων μὴ ἀκούωσι τῶν λόγων; αἱ δὲ μηδὲν συνειδυῖαι ἑαυταῖς γάννυνται, χαίρουσιν, ἐναβρύνονται καὶ ἐγκαλλωπίζονται τοῖς λεγομένοις. ἄκουσον περὶ τῆς μακαρίας * Θέκλης. ἐκείνη ἵνα Παῦλον ἴδῃ, καὶ τὰ χρυσία ἔδωκεν ἑαυτῆς· σὺ δὲ ἵνα τὸν Χριστὸν ἴδῃς, οὐδὲ ὀβολὸν δίδως, ἀλλὰ θαυμάζεις μὲν τὰ γεγενημένα ὑπ' ἐκείνης, οὐ ζηλοῖς δέ. οὐκ ἀκούεις πῶς τοὺς ἐλεήμονας μακαρίζει ὁ λόγος; Μακάριοι οἱ ἐλεήμονες, φησὶν, ὅτι αὐτοὶ ἐλεηθήσονται. (Ματθ. ε. ζ.) τί τὸ κέρδος ἀπὸ τῶν πολυτελῶν ἱματίων; μέχρι πότε πρὸς ταύτην κεχήναμεν τὴν στολήν; ἀμφιασώμεθα τὴν δόξαν τοῦ Χριστοῦ· περιβαλώμεθα τὸ κάλλος ἐκεῖνο, ἵνα καὶ ἐνταῦθα εὐπρεπεῖς ὦμεν, καὶ ἐκεῖ τῶν αἰωνίων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γ. εἰπέ μοι πόσον ἡμῖν ἐκεῖ δεῖ

γ. γυμνότητα ἐν

* ἐκείνης

Λογ. κϛ. 1 ΚΑΤ' ΕΚΕΙΝΟΝ ΔΕ ΤΟΝ ΚΑΙΡΟΝ ΕΠΕ-βαλεν Ἡρώδης ὁ βασιλεὺς τὰς χεῖρας κακῶσαί τινας τῶν ἀπὸ τῆς ἐκκλησίας. 2 Ἀνεῖλε δὲ Ἰάκωβον τὸν ἀδελφὸν Ἰωάννου μαχαίρᾳ. (κεφ. ιβ.)

3 Καὶ ἰδὼν ὅτι ἀρεστόν ἐστι τοῖς Ἰουδαίοις, προσέθετο συλλαβεῖν καὶ Πέτρον. ἦσαν δὲ [αἱ] ἡμέραι τῶν ἀζύμων.



Digitized by Google

ταύτας ἔξεστιν ἐπαινέσαι. τί λέγω βασκανίας; καὶ ἐπιβουλευόντων ἀπήλλακται, καὶ λῃστῶν, καὶ τοιχωρύχων. οὐ τοῦτο ἔχει μόνον τὸ καλόν, ἀλλ' ἔτι πρὸς τῷ μὴ ἐλαττοῦσθαι καὶ αὔξεται καὶ εἰς πλῆθος ἐπιδίδωσι. τί τοῦ Ναβουχοδονόσορ γέγονεν αἰσχρότερον; [τί δυσσεβέστερον;] τί παρανομώτερον; ἀσεβὴς ὁ ἄνθρωπος ἦν· μυρία τεκμήρια καὶ σημεῖα εἶδε, καὶ οὐκ ἠθέλησεν ἀνενεγκεῖν· ἀλλὰ τοὺς τοῦ Θεοῦ δούλους εἰς κάμινον ἐνέβαλεν, εἰ καὶ μετὰ ταῦτα προσεκύνησε.
Δαν. δ. κδ. τί οὖν ὁ προφήτης; Διό, φησι, Βασιλεῦ, ἡ βουλή μου ἀρεσάτω σοι· τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσαι, καὶ ἀνομίας σου ἐν οἰκτιρμοῖς πενήτων. ἴσως ἔσται συγγνώμη τοῖς παραπτώμασί σου. τοῦτο οὕτως εἶπεν, οὐκ ἀμφιβάλλων (σφόδρα γὰρ ἦν πεπεισμένος) ἀλλὰ βουλόμενος αὐτὸν εἰς μείζονα ἐμβαλεῖν φόβον, καὶ πλείονα ἀνάγκην τοῦ ταῦτα ποιῆσαι. εἰ γὰρ εἶπεν ὡμολογημένως, ὑπτιώτερος ἂν ἐγένετο ἐκεῖνος· καθάπερ καὶ ἡμεῖς τότε (χ. ὅπου καὶ) μάλιστα ὠθοῦμεν τινάς, ὅταν λέγωμεν, παρακάλεσον τὸν θεόν, καὶ μὴ ἐπάγωμεν, ὅτι πάντως ἀκούσεται, ἀλλ' ὅτι ἴσως ἀκούσεται. ὑπὸ γὰρ τῆς ἀμφισβητήσεως μείζων ὁ φόβος γενόμενος μᾶλλον αὐτὸν ὠθεῖ. διὰ τοῦτο δῆλον αὐτὸ οὐκ ἐποίησε. τί λέγεις; τοσούτοις ἀσεβήμασιν ἔσται συγγνώμη; ναί. οὐκ ἔστι γάρ, οὐκ ἔστιν ἁμάρτημα, ὃ μὴ δύναται καθαρίσαι ἐλεημοσύνη, ὃ μὴ δύναται σβέσαι. πᾶσα ἁμαρτία κατωτέρω ταύτης ἕστηκε, φάρμακόν ἐστι πρὸς πᾶν τραῦμα ἐπιτήδειον. τί πλούτου χεῖρον; πάσης ἀδικίας ἐστὶν ὑπόθεσις. ἀλλὰ ταύτην πᾶσαν ἀπενίψατο ὁ Ζακχαῖος. ὅρα πῶς καὶ ὁ Χριστὸς τοῦτο δείκνυσι, δι' ὧν
Ἰωάν. ιβ. ιϛ. ἐσπούδαζε γλωσσόκομον ἔχειν καὶ τὰ βαλλόμενα βαστάζειν.
Γαλ. β. ι. καὶ Παῦλος δέ φησι· Μόνον τῶν πτωχῶν ἵνα μνημονεύωμεν. καὶ πολλαχοῦ τῶν γραφῶν ὑπὲρ τοῦ πράγματος τούτου ὁ
Παροιμ. ιγ. η. λόγος· Λύτρον ψυχῆς ἀνδρός, φησιν, ὁ ἴδιος πλοῦτος. καὶ ὁ Χριστός· Εἰ θέλεις τέλειος εἶναι,
Ματθ. ιθ. κα. πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ δεῦρο ἀκολούθει μοι. τοῦτο τελειότης εἰκότως. ἐλεημοσύνη δὲ οὐκ ἐν χρήμασι γίνεται μόνον, ἀλλὰ καὶ ἐν πράγμασιν. οἷον τί λέγω· ἔστι καὶ προστῆναι, ἔστι καὶ χεῖρα ὀρέξαι· πολλάκις καὶ χρημάτων μειζόνως ἔσωσεν ἡ διὰ πραγμάτων προστασία. οὐκοῦν φέρε, πάντα κινήσωμεν ἐπὶ τοῦ παρόντος τὰ τῆς ἐλεημοσύνης εἴδη. δύνασαι διὰ χρημάτων; μὴ ὄκνει. δύνασαι διὰ προστασίας; μὴ εἴπῃς, ἐπειδὴ χρήματα οὐκ ἔστι, τοῦτο οὐδέν ἐστι. σφόδρα καὶ τοῦτο μέγα. ὥσπερ χρυσίον δεδωκώς, οὕτω διάκεισο. δύνασαι διὰ θεραπείας; καὶ τοῦτο ποίησον. οἷον, ἰατρὸς εἶ τὴν ἐπιστήμην; ἐπιμελήθητι ἀρρωστούντων. καὶ τοῦτο γὰρ μέγα. δύνασαι διὰ συμβουλῆς; πολλῷ τοῦτο πάντων μεῖζον. αὕτη βελτίων πάντων, ἣ καὶ πλείων, ὅσῳ καὶ μεῖζον ἔχει τὸ κέρδος. οὐ γὰρ λιμὸν λύεις, ἀλλὰ θάνατον χαλεπόν. τοιαύτης καὶ οἱ ἀπόστολοι ἐκ περιουσίας ἦσαν ἐμπεπλησμένοι. διὰ τοῦτο τὴν τῶν χρημάτων διανομὴν τοῖς μετ' αὐτοὺς ἐνεχείρισαν, αὐτοὶ δὲ τὴν διὰ τῶν λόγων ἐπιδεικνύμενοι. ἢ μικρὰν ἐλεημοσύνην οἴει εἶναι, ψυχὴν ἀπορουμένην (χ. ἀπερριμμένην), κινδυνεύουσαν περὶ τῶν ἐσχάτων, ὑπὸ πυρώσεως συνεχομένην, δυνηθῆναι ἀπαλλάξαι τῆς νόσου; οἷον, ὁρᾷς φίλον ὑπὸ φιλαργυρίας κατεχόμενον; ἐλέησον τὸν ἄνθρωπον. ἀποπνίγεται; σβέσον αὐτοῦ τὸ πῦρ. τί οὖν ἂν μὴ πείθηται; σὺ τὸ σαυτοῦ (χ. τό) ποίησον, καὶ μὴ κατοκνήσῃς. εἶδες αὐτὸν ἐν δεσμοῖς κατεχόμενον; δεσμὰ γὰρ ὄντως τὰ χρήματα. ἄπελθε πρὸς αὐτόν, ἐπίσκεψαι αὐτόν, παραμύθησαι, πειράθητι τῶν δεσμῶν ἀπολῦσαι. ἂν μὴ βούληται, τὴν αἰτίαν αὐτὸς ὑπομένει. εἶδες γυμνὸν καὶ ξένον; γυμνὸς γὰρ ὄντως καὶ ξένος ἐστὶ τῶν οὐρανῶν ὁ βίου ὀρθοῦ μὴ ἐπιμελούμενος. λάβε εἰς τὸ καταγώγιον τὸ σόν· περίβαλε ἱμάτια τὰ τῆς ἀρετῆς· δὸς πόλιν τὴν ἐν οὐρανῷ. τί οὖν ἂν ἐγὼ γυμνὸς ὦ, φησί; καὶ σαυτὸν ἔνδυσον πρότερον. εἰ οἶδας ὅτι γυμνὸς εἶ, πάντως καὶ ὅτι ἐνδυθῆναι ὀφείλεις, οἶδας. εἰ ταύτης μόνον τῆς γυμνότητος ἐπίστασαι τὸν τρόπον, δυνήσῃ ταχέως ῥᾳδίως καὶ τὴν αὐτῆς καταστολήν. πόσαι γυναῖκες πολυτελῆ ἱμάτια φοροῦσι; (χ. καὶ τὰ τῶν χρυσῶν ἱμάτια ἐπιδεικνύουσι. γ. πόσαι) γυμναὶ δὲ ὄντως εἰσὶ τῶν τῆς ἀρετῆς ἱματίων. ταύτας οἱ ἄνδρες περιβαλλέτωσαν. ἀλλ' οὐ προσίενται

τά

τὴν ἐθνῶν τὴν πρὸς τοὺς ἐν Ἱεροσολύμοις πεμφθεῖσαν. δέχονται γὰρ τὰ περὶ αὐτῶν, καὶ οὐ καθάπερ ἡμεῖς, ἐν θρήνοις τὰς συμφορὰς διηγοῦνται, οὕτω δή που καὶ οὗτοι· ἀλλὰ μετὰ πλείονος ἀδείας διηγοῦνται, ἅτε πόρρω γενόμενοι τῶν κωλυόντων αὐτούς, καὶ ἐν ἀνθρώποις ὄντες οὐ πεφοβημένοις τοὺς Ἰουδαίους. ὃ καὶ αὐτὸ συνεβάλλετο οὐ μικρόν. [ἀλλὰ] καὶ εἰς Κύπρον ἀφίκοντο· οὕτω πολὺ μετὰ τὸ ἀδεές, πλείων δὲ ἡ ἀμεριμνία. οὐδενὶ δὲ τὸν λόγον, φησίν, εἰ μὴ Ἰουδαίοις ἐλάλουν. οὐ διὰ τὸν τῶν ἀνθρώπων φόβον, ὃν οὐδὲν ἡγοῦντο, τοῦτο ἐποίουν· ἀλλὰ τὸν νόμον τηροῦντες, καὶ αὐτοὺς ἔτι διαβαστάζοντες. ἦσαν δέ τινες ἐν Ἀντιοχείᾳ Κύπριοι καὶ Κυρηναῖοι· οὗτοι μάλιστα οὐκ ἐφρόντιζον Ἰουδαίων· οἵτινες ἐλάλουν πρὸς τοὺς Ἑλληνιστὰς εὐαγγελιζόμενοι τὸν Κύριον Ἰησοῦν. ἴσως διὰ τὸ μὴ εἰδέναι Ἑβραϊστί, Ἕλληνας αὐτοὺς ἐκάλουν. παραγενόμενος δέ, φησι, Βαρνάβας, καὶ ἰδὼν τὴν χάριν τοῦ Θεοῦ, οὐχὶ τὴν σπουδὴν τῶν ἀνθρώπων, παρεκάλει αὐτοὺς προσμένειν τῷ Κυρίῳ. τάχα τῷ ἐπαινεῖν τὸν ὄχλον καὶ ἀποδέχεσθαι, τούτῳ πλείονας ἐπέστρεψε. καὶ διὰ τί μὴ Παῦλον γράφουσιν, ἀλλὰ Βαρνάβαν πέμπουσιν; οὔπω τοῦ ἀνδρὸς ᾔδεισαν τὴν ἀρετήν. διὸ καὶ μόνον οἰκονομεῖται Βαρνάβαν παραγενέσθαι. ἐπεὶ δὲ καὶ πλῆθος ἦν, καὶ οὐδεὶς ὁ κωλύων, εἰκότως ἐβλάστησεν ἡ πίστις, καὶ μάλιστα ὅτι οὐδένα ἐνταῦθα ὑπομένουσι πειρασμόν· καὶ ὅτι Παῦλος κηρύττει, καὶ οὐκ ἔτι ἀναγκάζεται φυγεῖν. καλῶς δὲ οὐκ αὐτοὶ περὶ τοῦ λιμοῦ λέγουσιν, ἀλλ' οἱ προφῆται· [ἵνα μὴ φορτικοί τινες δόξωσι.] καὶ θαυμάζειν ἄξιον, πῶς οὐκ ἠγανάκτησαν ὡς ὑπεροφθέντες Ἀντιοχεῖς, ἀλλ' ἀρκοῦνται τοῖς διδασκάλοις. οὕτω πρότερον ἔζεον πρὸς τὸν λόγον. οἱ δὲ οὐδὲ περιέμενον γενέσθαι τὸν λιμόν, ἀλλὰ πρὸ τούτου ἐπέμψαν, καθὼς ηὐπορεῖτό τις. καὶ ὅρα ὅτι ἐν μὲν τοῖς ἀποστόλοις ἑτέροις τοῦτο ἐπιτέτραπται· ἐνταῦθα δὲ Παῦλος καὶ Βαρνάβας. οὐ μικρὰ δὲ καὶ τοῦτο οἰκονομία ἦν. ἄλλως δέ, καὶ ἀρχὴ ἦν, καὶ τέως οὐκ ἔδει σκανδαλισθῆναι.

χ. μετὰ θάλασσαν καὶ πλ. ἡ
χ. ἕλληνας
χ. καὶ προστέθη ὄχλος ἱκανὸς τῷ Κυρίῳ· καὶ τούτῳ

ΗΘΙΚΟΝ

Ἀλλὰ νῦν οὐδεὶς τοῦτο ποιεῖ· καίτοι λιμός ἐστι χαλεπώτερος ἐκείνου. οὐ γάρ ἐστιν ἴσον κοινῇ φέρειν τὴν συμφοράν, καὶ πάντων ἐν ἀφθονίᾳ ὄντων τοὺς πενεστέρους εἶναι ἐν λιμῷ. τότε μόνον λιμὸς ἦν, καὶ οἱ διδωκότες πένητες. καθὼς ηὐπορεῖτο γάρ τις αὐτῶν, φησι. νῦν δὲ λιμὸς διπλοῦς, καθάπερ ἡ ἀφθονία διπλῆ· λιμὸς οὐ τοῦ ἀκοῦσαι λόγον Κυρίου, ἀλλὰ τοῦ τραφῆναι δι' ἐλεημοσύνης. τότε οἱ ἐν Ἰουδαίᾳ πένητες ἀπέλαυσαν, καὶ οἱ ἐν Ἀντιοχείᾳ δόντες τὰ χρήματα· καὶ οὗτοι μᾶλλον ἐκείνων. νυνὶ δὲ καὶ ἡμεῖς καὶ οἱ πένητες ἐν λιμῷ· οἱ μὲν τῆς ἀναγκαίας ἀποροῦντες τροφῆς, ἡμεῖς δὲ ἐν σπάνει τοῦ ἐλέους ὄντες τοῦ Θεοῦ. ταύτης δὲ τῆς τροφῆς οὐδὲν ἀναγκαιότερον γένοιτ' ἄν. οὐκ ἔστιν ὑποστῆναι τὰ ἀπὸ τῆς πλησμονῆς κακά· οὐκ ἔστιν εἰς ἀφεδρῶνα παραχωρῆσαι τὸ πλέον ταύτης τῆς τροφῆς. οὐδὲν ὡραιότερον, οὐδὲν ὑγιεινότερον ψυχῆς οὕτω τρεφομένης· πάσης ἀνωτέρα ἕστηκε νόσου, παντὸς λιμοῦ, πάσης ἀνωμαλίας καὶ δυσκρασίας. οὐδεὶς αὐτὴν δυνήσεται ἑλεῖν· ἀλλὰ καθάπερ ἀδαμάντινον σῶμα οὐ σίδηρος πλῆξαι δύναται, οὐκ ἄλλο οὐδέν· οὕτω καὶ ψυχὴν ἀπὸ ἐλεημοσύνης συμπεπηγυῖαν οὐδὲν ὅλως δυνήσεται ἑλεῖν. τί γάρ, εἰπέ μοι, ταύτην χειρώσεταί ποτε; πενία; οὐκ ἔστιν. ἐν γὰρ τοῖς βασιλικοῖς ἀπόκειται ταμιείοις. ἀλλὰ λῃστὴς καὶ τοιχωρύχος; ἀλλ' ἐκείνους οὐδεὶς διορύξαι τοὺς τοίχους οἷός τε. ἀλλὰ σκώληξ; ἀλλὰ καὶ ταύτης ἀνώτερος τῆς λύμης ἐστὶν ὁ θησαυρός. ἀλλὰ βασκανία καὶ φθόνος; ἀλλ' οὐδὲ τούτοις ἁλίσκεται. ἀλλὰ συκοφαντίαι καὶ ἐπιβουλαί; οὐδὲ τοῦτο. ἄσυλος γὰρ ὁ θησαυρός. ἀλλ' αἰσχρὸν εἰ ταῦτα ἐπιδείξω μόνα τῇ ἐλεημοσύνῃ προσόντα, οὐχὶ δὲ καὶ τἀναντία. οὐ γὰρ δὴ βασκανίας ἀπήλλακται μόνον, ἀλλὰ καὶ εὐλογίας ἀπολαύει πολλῆς καὶ παρὰ τῶν οὐκ εὖ πεπονθότων. ὥσπερ γὰρ οἱ ὠμοὶ καὶ ἀπηνεῖς, οὐ τοὺς ἠδικημένους ἔχουσιν ἐχθροὺς μόνον, ἀλλὰ καὶ τοὺς οὐδὲν παθόντας συναλγοῦντας αὐτοῖς καὶ κατηγοροῦντας· οὕτως οἱ μεγάλα ἐργαζόμενοι καλά, οὐχὶ τοὺς εὖ πεπονθότας μόνον, ἀλλὰ καὶ τοὺς οὐδὲν πα-

χ. καὶ λιμὸς ἦν καὶ οἱ διδόντες πένητες.
χ. αἰσχυνοίμην

αὐτῆς*. ἀλλ' εἰ καὶ δι' αὐτοὺς ἦν, διὰ τοὺς ἄλλους ἔδει καὶ οὕτω παύσασθαι. τί γὰρ ἠδίκησαν ἕλληνες, ἵνα καὶ [μηδὲν ἀδικήσαντες] αὐτοὶ τῶν κακῶν μετάσχωσιν; εἰ δὲ μὴ διὰ τοὺς Ἰουδαίους, καὶ εὐδοκιμῆσαι δι' αὐτοὺς μᾶλλον ἐχρῆν, ὅτι τὸ αὐτῶν ἐποίουν, ὅτι ἀνῄρουν, ἐκόλαζον, ἐπεφέρουν, πάντοθεν ἐδίωκον. καὶ τίνα ποτὲ γέγονεν ὁ λιμός; ὅτε καὶ οἱ ἐθνικοὶ λοιπὸν προσεδέξησαν. ἀλλ' εἰ διὰ τὰ κακά, φησιν, ἔδει τούτους ὑπεξαιρεθῆναι. διὰ τί, εἰπέ μοι; οὐχὶ προλαβὼν εἶπεν αὐτοῖς ὁ Χριστός, Ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε; σὺ δὲ ταῦτα λέγων, τάχα καὶ τοῦτο ἐρεῖς, ὅτι ἔδει μηδὲ μαστίζεσθαι. ἀλλ' ὅρα αὐτοῖς [γινόμενον] τὸν τῶν λιμὸν σωτηρίας αἴτιον, ἐλεημοσύνης ἀφορμήν, πολλῶν πρόξενον ἀγαθῶν· ὡς καὶ ὑμῖν γένοιτ' ἄν, εἴ τι ἐβούλεσθε· ἀλλ' οὐκ ἠθελήσατε. παραλέγεται δέ, ὥστε αὐτοὺς λοιπὸν παρασκευασθῆναι πρὸς τὴν ἐλεημοσύνην, ὅτι δεινὰ ἔπαθον οἱ ἐν Ἱερουσαλήμ. περὶ δὲ τούτους οὐκ ἐν λιμῷ ἦσαν. καὶ πέμπεται Βαρνάβας καὶ Παῦλος διακονήσοντες.

29 Τῶν δὲ μαθητῶν, φησι, καθὼς ηὐπορεῖτό τις. Εἶδες ἅμα πιστεύοντας, καὶ ἅμα καρποφοροῦντας, οὐ τοῖς αὐτῶν μόνον, ἀλλὰ καὶ τοῖς πόρρω; τοῦτο δοκεῖ μοι ἐνταῦθα λέγειν, ὅπερ ἀλλαχοῦ ὁ Παῦλός φησιν, Ὅτι δεξιὰς ἔδωκαν ἐμοὶ καὶ Βαρνάβᾳ κοινωνίας, μόνον ἵνα τῶν πτωχῶν μνημονεύωμεν. τοσοῦτον ὠφέλησεν ὁ λιμός. καὶ ὅρα αὐτοὺς οὐδὲ ἐνταῦθα τῇ θλίψει εἰς θρήνους καὶ δάκρυα καταπίπτοντας, καθάπερ ἡμεῖς· ἀλλ' εἰς ἔργον μέγα καὶ ἀγαθὸν ἑαυτοὺς ἐκδιδόντας. μετὰ πλείονος γὰρ ἀδείας ἐκήρυττον τὸν λόγον. καὶ οὐκ εἶπον ἡμεῖς Κυρηναῖοι καὶ Κύπριοι ὄντες τοιαύτῃ ἐπιθώμεθα πόλει οὕτω λαμπρᾷ καὶ μεγάλῃ· ἀλλὰ τῇ χάριτι τοῦ Θεοῦ πιστεύοντες, [καὶ ἐκεῖνοι] ἐπεχείρησαν τῇ διδασκαλίᾳ, καὶ οὗτοι οὐκ ἀπηξίωσαν παρ' ἐκείνων τι μαθεῖν. ὅρα διὰ τῶν μικρῶν πάντα κατασκευαζόμενα* τὸ κήρυγμα αὐξανόμενον* τοὺς ἐν Ἱεροσολύμοις πάντων ὁμοῦ ὁμοίως φροντίζοντας, ὡς μίαν οἰκίαν τὴν οἰκουμένην ἔχοντας. ἤκουσαν ὅτι Σαμάρεια δέδεκται τὸν λόγον, καὶ ἔπεμψαν Πέτρον καὶ Ἰωάννην· ἤκουσαν τὰ εἰς Ἀντιόχειαν, καὶ πέμπουσι Βαρνάβαν*. πολὺ γὰρ τὸ διάστημα ἦν, καὶ οὐκ ἔδει τοὺς ἀποστόλους πως χωρισθῆναι ἐκεῖθεν, ἵνα μὴ νομισθῶσιν εἶναι φυγάδες, καὶ τοὺς αὐτῶν πεφυλάχθαι. τότε δὲ ἀναγκαίως χωρίζονται, ὅτε λοιπὸν ἀνίατα ἐδόκει τὰ κατ' αὐτούς, ὅτε λοιπὸν ὁ πόλεμος ἐπέστη, καὶ ἀπολέσθαι ἔδει, ὅτε ἡ ἀπόφασις ἐξηνέχθη. ἐπεὶ ἕως Παῦλος εἰς Ῥώμην [μὴ] ἀνέβαινεν, ἐκεῖ ἦσαν. ἐξέρχονται δέ, οὐχὶ τὸν πόλεμον δεδοικότες· πῶς γάρ, οἵ γε πρὸς τοὺς πολεμίους μέλλοντας ἀπῄεσαν; καὶ ὁ πόλεμος δὲ γέγονε λοιπόν, τελευτησάντων τῶν ἀποστόλων, καὶ πέρας τὸ περὶ αὐτῶν ῥηθὲν λαμβάνει· Ἔφθασεν ἐπ' αὐτοὺς ἡ ὀργὴ εἰς τέλος. ὅσῳ ἀσημότεροι οὗτοι ἦσαν, τοσούτῳ μᾶλλον ἔλαμπεν ἡ χάρις, διὰ μικρῶν ἐργαζομένη τὰ μεγάλα. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. παρεκάλει πάντας, φησί, προσμένειν τῷ Κυρίῳ, ὅτι ἦν ἀνὴρ ἀγαθός. ἐμοὶ δοκεῖ ἀγαθὸν νῦν τὸν ἀφελῆ λέγειν, τὸν ἄπλαστον, τὸν σφόδρα τῆς τῶν πλησίον ἐπιθυμοῦντα σωτηρίας. οὐ μόνον δὲ ἦν ἀνὴρ ἀγαθός, ἀλλὰ καὶ πλήρης πνεύματος ἁγίου καὶ πίστεως. διὸ καὶ τῇ προθέσει τῆς καρδίας παρεκάλει πάντας· τουτέστι, μετὰ ἐγκωμίου καὶ ἐπαίνου. καὶ σκόπει πῶς καθάπερ γῆ λιπαρὰ τὸν λόγον ἐδέξατο ἡ πόλις αὕτη, καὶ πολὺν τὸν καρπὸν ἐπεδείξατο. διὰ τί δὲ τῆς Ταρσοῦ αὐτὸν ἀπέστησεν ὁ Βαρνάβας, καὶ ἐνταῦθα ἤγαγεν; οὐχ ἁπλῶς· ἀλλ' ὅτι ἐνταῦθα καὶ ἐλπίδες χρησταί, καὶ μείζων ἡ πόλις, καὶ πολὺ τὸ πλῆθος. Εἶδες πάντα τὴν χάριν ἐργαζομένην, οὐ Παῦλον; καὶ πῶς διὰ τῶν μικρῶν τὸ πρᾶγμα ἀρχὴν ἔλαβεν, ὅτε δὲ ἀσφαλὲς γέγονε, τότε Βαρνάβαν πέμπουσι; καὶ διὰ τί μὴ πρὸ τούτου ἔπεμψαν αὐτόν; πολλὴν τὴν καθ' ἑαυτοὺς πρόνοιαν ἐποιοῦντο, καὶ οὐκ ἐβούλοντο ἐγκαλεῖν αὐτοῖς Ἰουδαίους ὅτι προσελάμβανον τὰ ἔθνη. καίτοι διὰ τὸ ἀπαραιτήτως αὐτοῖς ἐπιμίγνυσθαι, ἐπεὶ ἔμελλέ τις ἀμφισβήτησις γίνεσθαι παρ' αὐτῶν, τὰ κατὰ Κορνήλιον προὔλαβε. τότε γνοῦ καὶ λέγουσιν· Ἵνα ἡμεῖς εἰς τὰ ἔθνη, αὐτοὶ δὲ εἰς τὴν περιτομήν. καὶ σκόπει πῶς εὐκαίρως ἡ ἀνάγκη τοῦ λιμοῦ εἰσήγαγε τὴν κοινωνίαν τὴν ἀπὸ

τῶν

Margin references: Ἰωαν. ιϛ. λγ. — Γαλ. β. θ. — α. Θεσ. β. ιϛ. — Γαλ. β. θ.

Margin variants: * αὐτῆς — χ. πάντες — χ. προσεδέξαντο — χ. ἀσωτεί λέγοις ὅτι ἔδ. — χ. ὑμῖν δέ, φησιν, εἴη — χ. ἐπὶ Ἰακώβου ἤν. ἐπρᾶξεν αὐτοῦ — χ. ἐπεχείρησαν — χ. περιη- — * ὅρα — * ὅρα — * καὶ πέμπουσι πάλιν καὶ προσφέρουσι — χ. χρεία — χ. τὸν χρηστὸν λέγειν — χ. δύσκολον

τέσι, σημεῖα εἰργάζοντο. ὁρᾷς διὰ τί καὶ νῦν ἡ τῶν σημείων ἀνάγκη γέγονεν; ἵνα πιστεύσωσιν.

22 Ἠκούσθη δὲ ὁ λόγος, φησὶν, εἰς τὰ ὦτα τῆς ἐκκλησίας τῆς οὔσης ἐν Ἱεροσολύμοις [τὰ] περὶ αὐτῶν, καὶ ἐξαπέστειλαν Βαρνάβαν διελθεῖν ἕως Ἀντιοχείας. Τί δήποτε, τοιαύτης πόλεως δεχομένης τὸν λόγον, οὐκ ἦλθον αὐτοὶ, ἀλλὰ Βαρνάβαν πέμπουσι; διὰ τοὺς Ἰουδαίους. πλὴν οὐ μικρὸν δή τι οἰκονομεῖται καὶ οὕτω [ὅ] τὸν Παῦλον ἐνταῦθα παραγενέσθαι. οὐδὲ ἁπλῶς, ἀλλὰ καὶ σφόδρα οἰκονομικῶς αὐτὸν ἀποστρέφονται, ἵνα μὴ κατακλεισθῇ ἐν Ἱεροσολύμοις ἡ φωνὴ τοῦ κηρύγματος, ἡ σάλπιγξ τῶν οὐρανῶν. Εἶδες πῶς πανταχοῦ ταῖς κακίαις αὐτῶν εἰς δέον, καὶ ὥσπερ ἐβούλετο, ἄνωθεν ἀπεχρήσατο ὁ Χριστός· καὶ τὸ μῖσος τὸ πρὸς τὸν Παῦλον εἰς οἰκοδομὴν τῆς ἀπὸ τῶν ἐθνῶν ἐκκλησίας; ἀλλ' ἴδε καὶ τοῦτον τὸν ἅγιον, τὸν Βαρνάβαν λέγω, πῶς οὐδὲ αὐτὸς εἶδεν, ἀλλ' ἔδραμεν εἰς Ταρσόν.

γ. μέρος

γ. ὑπὲρ τῆς ἐκκλησίας χάριτι ὁ γ. ἀπεχρήσατο τῆς ἐκκλησ.

23 Ὃς παραγενόμενος, φησὶ, καὶ ἰδὼν τὴν χάριν τοῦ Θεοῦ ἐχάρη, καὶ παρεκάλει πάντας τῇ προθέσει τῆς καρδίας προσμένειν τῷ Κυρίῳ,

24 Ὅτι ἦν ἀνὴρ ἀγαθὸς καὶ πλήρης πνεύματος ἁγίου καὶ πίστεως· καὶ προσετέθη ὄχλος ἱκανὸς τῷ Κυρίῳ.

25 Ἐξῆλθε δὲ εἰς Ταρσὸν ὁ Βαρνάβας ἀναζητῆσαι Παῦλον, καὶ εὑρὼν αὐτὸν, ἤγαγεν αὐτὸν εἰς Ἀντιόχειαν. Πολύχρηστος ἦν ὁ ἀνὴρ καὶ ἀφελὴς καὶ τοῦ Παύλου συνήθης. εἶδε καὶ ἦλθεν ἐπὶ τὸν στρατηγὸν, ἐπὶ τὸν μονομάχον, ἐπὶ τὸν λέοντα. οὐκ ἔχω τί εἴπω. ὅσα γὰρ ἂν εἴπω, ἐλάττονα τῆς ἀξίας τοῦ Παύλου ἐρῶ. ἦλθεν ἐπὶ τὸν κύνα τὸν θηρευτικὸν, τὸν λέοντας ἀναιροῦντα, ἐπὶ τὸν ταῦρον τὸν ἰσχυρὸν, ἐπὶ τὴν λαμπάδα τὴν φαιδρὰν, ἐπὶ τὸ στόμα τὸ τῇ οἰκουμένῃ ἀρκοῦν. οὕτως διὰ τοῦτο ἐν Ἀντιοχείᾳ ἐχρημάτισαν καλεῖσθαι χριστιανοὶ, ὅτι Παῦλος ἐν ταύτῃ τοσοῦτον διέτριψε χρόνον.

γ. Σαῦλον,

γ. συγγραμματικός· ἦλθεν ἐπὶ τὸν ἀθλητὴν, ἐπὶ τὸν

26 Ἐγένετο δὲ αὐτοὺς, φησὶν, ἐνιαυτὸν ὅλον συναχθῆναι ἐν τῇ ἐκκλησίᾳ, καὶ διδάξαι ὄχλον ἱκανὸν, χρηματίσαι τε πρῶτον ἐν Ἀντιοχείᾳ τοὺς μαθητὰς χριστιανούς.

Οὐ μικρὸν τῆς πόλεως τὸ ἐγκώμιον. τοῦτο πρὸς ἁπάσας στῆναι δύναται, ὅτι τοῦ στόματος ἐκείνου τοσοῦτον ἀπέλαυσε χρόνον πρὸ τῶν ἄλλων ἁπασῶν. ὅθεν καὶ πρῶτοι τοῦ ὀνόματος ἠξιώθησαν. ὁρᾷς εἰς ὅσον ὕψος ἐπῆρε τὴν πόλιν καὶ περιφανεστέραν ἐποίησε; τοῦτο Παύλου κατόρθωμα. ἔνθα τρισχίλιοι, ἔνθα πεντακισχίλιοι ἐπίστευσαν, ἔνθα τοσοῦτον πλῆθος, οὐδὲν τοιοῦτον γέγονεν, ἀλλ' ἔτι τῆς ὁδοῦ μόνον ἤκουον· ἐνταῦθα δὲ χριστιανοὶ ὠνομάσθησαν.

γ. ὁρᾷς Παῦλον τί κατώρθωσεν εἰς ὅσον ἐπῆρεν ὕψος, ὥσπερ τι σημεῖον, τὸ ὄνομα; ἔνθα

27 Ἐν ταύταις δὲ ταῖς ἡμέραις κατῆλθον ἀπὸ Ἱεροσολύμων προφῆται εἰς Ἀντιόχειαν. Ἐπειδὴ καὶ τὸν τῆς ἐλεημοσύνης ἐνταῦθα καρπὸν φυτευθῆναι ἔδει, συμφερόντως οἰκονομεῖται τοὺς προφήτας κατελθεῖν. οὐδέ μοι παρατήρει πῶς * οὐδεὶς τῶν περιφανῶν αὐτοῖς γέγονε διδάσκαλος. Κυπρίους γὰρ εἶχον διδασκάλους, καὶ Κυρηναίους, καὶ Παῦλον (εἰ καὶ τοῦτον ὑπερέβαινεν αὐτοὺς) ὥσπερ Παῦλος Βαρνάβαν καὶ Ἀνανίαν. [ἀλλ' οὐδὲν παρὰ τοῦτο ἠλαττοῦτο). εἶχε δὲ ὅμως καὶ τὸν Χριστόν.]

* ἀναξίους

28 Ἀναστὰς δὲ εἷς τις ἐξ αὐτῶν ὀνόματι Ἄγαβος, ἐσήμανε διὰ τοῦ πνεύματος λιμὸν μέγαν μέλλειν ἔσεσθαι ἐφ' ὅλην τὴν οἰκουμένην· ὅστις καὶ ἐγένετο ἐπὶ Κλαυδίου Καίσαρος.

γ. εἷς

Ἀναγκαίως ἐνταῦθα λιμὸν μέγαν ἔσεσθαι σημαίνει, ὃς δὴ καὶ ἐγένετο, καθὰ περὶ αὐτοῦ προειρρήθη. ἵνα γὰρ μὴ νομίσωσί τινες διὰ τοῦτο τὸν λιμὸν γεγονέναι, ὅτι χριστιανισμὸς εἰσῆλθεν, ὅτι δαίμονες ἀπέστησαν, προλέγει τὸ πνεῦμα τὸ ἅγιον, ὃ μέλλει συμβαίνειν· ὥσπερ καὶ ὁ Χριστὸς προεῖπε πολλὰ, καὶ ἐξέβη. οὐ τοίνυν διὰ τοῦτον, ἐπειδὴ ἐξ ἀρχῆς τοῦτο γενέσθαι, ἀλλὰ διὰ τὰ κακὰ τὰ εἰς τοὺς ἀποστόλους γενόμενα· ὧν καὶ γινομένων πέως ἐμακροθύμει ὁ Θεός. ὡς δὲ ἐνέκειντο, λιμὸς μέγας γέγονε, μηνύων τοῖς Ἰουδαίοις τὰ ἐσόμενα κακά.

γ. ὅτι

Digitized by Google

ων γέμοντας καὶ τὴν τῆς ἐκκλησίας ἀπελαύνεσθαι ἔδει; πότε οὗτοι φύσονται γέλωτος, οἱ ἐν ὥρᾳ φρίκης γελῶντες; πότε ἀφέξονται φλυαρίας, οἱ ἐν τῷ καιρῷ τῆς εὐλογίας διαλεγόμενοι; οὐ τοὺς παρόντας αἰδοῦνται; οὐ τὸν Θεὸν δεδοίκασιν; οὐ γὰρ ἀρκεῖ ἡμῖν ἡ κατὰ διάνοιαν ῥαθυμία, οὐδὲ ὅτι εὐχόμενοι ἀλλαχοῦ ῥεμβόμεθα· ἀλλὰ καὶ γέλωτα ἐπεισάγομεν καὶ πολὺν τὸν καγχασμόν. μὴ γὰρ θέατρόν ἐστι τὰ ἐνταῦθα; ἀλλ' οἶμαι τὰ θέατρα τοῦτο ποιεῖ, δυσηνίους τοὺς πολλοὺς ἡμῖν καθίστησιν, ἀρρύθμους. ἅπερ οἰκοδομοῦμεν ἐνταῦθα, ἐκεῖ καταστρέφεται· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἑτέρας ἀκαθαρσίας ἀνάγκη αὐτοὺς ἀναπίμπλασθαι. καὶ ταὐτὸν γίνεται, οἷον ἂν εἴ τις χωρίον ἐθέλοι καθᾶραι, πηγῆς ἄνωθεν ὑπερκειμένης βόρβορον ἀφιείσης. ὅσον γὰρ ἂν καθάρῃς, πάλιν ἕτερον ἐπιρρεῖ. τοῦτο καὶ ἐνταῦθα γίνεται. ὅταν γὰρ καθάρωμεν ἀπὸ τῶν θεάτρων εἰσιόντας, ἀκαθαρσίαν ἐπιφέροντας, ἀπελθόντες πάλιν ἐκεῖ μείζονα δέχονται τὴν ἀκαθαρσίαν, ὡς ἐπίτηδες διὰ τοῦτο ζῶντες, ἵνα κόπους ἡμῖν παρέχωσι, καὶ ἔρχονται πάλιν πολλὴν κόπρον βαστάζοντες, ἐν τοῖς ἤθεσιν, ἐν τοῖς κινήμασιν, ἐν τοῖς ῥήμασιν, ἐν τῷ γέλωτι, ἐν τῇ ῥαθυμίᾳ. εἶτα πάλιν ἡμεῖς σκάπτομεν ἄνωθεν, ὡς ἐπίτηδες διὰ τοῦτο σκάπτοντες, ἵνα καθαροὺς αὐτοὺς πέμψαντες πάλιν ἴδωμεν συναγαγόντας τὸν βόρβορον. διὰ τοῦτο παραδίδωμι ὑμᾶς τῷ Θεῷ. ἐντεῦθεν ἤδη καὶ διαμαρτύρομαι ὑμῖν τοῖς ὑγιαίνουσιν, ὅτι κρίμα ὑμῖν ἔσται καὶ κατάκριμα, εἴ τις ἴδοι ἀτακτοῦντα, εἴ τις διαλεγόμενον μάλιστα ἐν ἐκείνῳ τῷ καιρῷ, μὴ καταμηνύσῃ, μὴ ἀποστρέψῃ· βέλτιον εὐχῆς τοῦτο. ἄφες σὺ τὴν εὐχήν, κἀκεῖνον ἐπιτίμησον· οὕτω κἀκεῖνον ὠφελήσεις, καὶ σὺ κερδανεῖς· οὕτω καὶ δυνησόμεθα ἅπαντες σωθῆναι, καὶ τῆς τῶν οὐρανῶν βασιλείας ἐπιτυχεῖν· ἧς γένοιτο πάντας ἡμᾶς ἀπολαῦσαι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

χ. ἐπ... γὰρ — χ. πα...

χ. καταμηνύσῃ, μηδὲ ἀποστρέψῃ.

Λογ. κε. 19 ΟΙ ΜΕΝ ΟΥΝ ΔΙΑΣΠΑΡΕΝΤΕΣ ΑΠΟ ΤΗΣ θλίψεως τῆς γενομένης ἐπὶ Στεφάνῳ, διῆλθον ἕως Φοινίκης καὶ Κύπρου καὶ Ἀντιοχείας, μηδενὶ λαλοῦντες τὸν λόγον, εἰ μὴ μόνον Ἰουδαίοις.

ΟΥ μικρὸν [ὁ] διωγμὸς κατόρθωσεν εἰς τὸν λόγον. Τοῖς γὰρ ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ, φησίν, εἰς ἀγαθόν. οὐκ ἄν, εἴγε ἐπίτηδες ἐσπούδασαν στῆσαι τὴν ἐκκλησίαν, ἄλλο τι ἐποίησαν, ἢ τοῦτο· λέγω δὲ τὸ διασπεῖραι τοὺς διδασκάλους. καὶ ὅρα πῶς τὸ κήρυγμα δέχεται. διῆλθον, φησίν, ἕως Φοινίκης καὶ Κύπρου καὶ Ἀντιοχείας, μηδενὶ λαλοῦντες τὸν λόγον, εἰ μὴ μόνον Ἰουδαίοις. ὁρᾷς ὅτι οἰκονομικῶς πάντα γέγονε τὰ περὶ Κορνήλιον; τοῦτο δὲ καὶ εἰς ἀπολογίαν τοῦ Χριστοῦ, καὶ εἰς κατηγορίαν τῶν Ἰουδαίων ἐστίν. ὅτε γοῦν Στέφανος ἀνῃρέθη, ὅτε Παῦλος δὶς ἐκινδύνευσεν, ὅτε οἱ ἀπόστολοι ἐμαστιγώθησαν, ὅτε πολλάκις ἠλάθησαν, τότε τὰ ἔθνη ἐδέχθη, τότε Σαμαρεῖται. ὁ καὶ Παῦλος βοᾷ λέγων· Ὑμῖν ἦν ἀναγκαῖον πρῶτον λαληθῆναι τὸν λόγον τοῦ Θεοῦ· ἐπειδὴ δὲ ἀπωθεῖτε αὐτόν, καὶ οὐκ ἀξίους κρίνετε ἑαυτούς, ἰδοὺ στρεφόμεθα εἰς τὰ ἔθνη. παρῄεισαν οὖν καὶ ἔθνεσι διαλεγόμενοι.

χ. μικρ. κατόρθωμα ὁ διωγ. γέγονε. ποῖς γὰρ

χ. τοσαῦτα γέγ. περὶ Κορνηλίου

Πρᾶξ. ιγ. μς.

χ. ἀπωθεῖσθε

20 Ἦσαν δέ τινες ἐξ αὐτῶν ἄνδρες Κύπριοι καὶ Κυρηναῖοι, οἵτινες ἐλθόντες εἰς Ἀντιόχειαν ἐλάλουν πρὸς τοὺς Ἑλληνιστάς, εὐαγγελιζόμενοι τὸν Κύριον Ἰησοῦν.

21 Καὶ ἦν χεὶρ Κυρίου μετ' αὐτῶν, πολύς τε ἀριθμὸς πιστεύσας ἐπέστρεψεν ἐπὶ τὸν Κύριον Ἰησοῦν. Ὅρα, Ἕλλησιν εὐαγγελίζονται. Εἰκὸς γὰρ αὐτοὺς τὸ λοιπὸν εἰδέναι Ἑλληνιστὰς ἐν Ἀντιοχείᾳ τοιούτους εἶναι πολλούς. καὶ ἦν χεὶρ Κυρίου, φησί, μετ' αὐτῶν· τουτέστι,

χ. ἄνδρας.

Digitized by Google

οὐκ ἔστιν ἐν τοσαύταις μυριάσιν ἑκατὸν εὑρεῖν τῶν σωζομένων· ἀλλὰ καὶ περὶ τούτων ἀμφιβάλλω. πόση γάρ, εἰπέ μοι, κακία ἐν τοῖς νέοις; πόση ῥᾳθυμία ἐν τοῖς γεγηρακόσιν; οὐδεὶς ὡς χρὴ τὴν ἐπιμέλειαν ἔχει τοῦ παιδὸς τοῦ ἑαυτοῦ· οὐδεὶς ἔχει ζῆλον πρεσβύτην ἰδὼν μιμήσασθαι· τὰ ἀρχέτυπα ἠφάνισται. διὰ τοῦτο οὐδὲ οἱ νέοι γίνονται θαυμαστοί. μή μοι ἐκεῖνο λέγε, ὅτι πολυοχλοῦμεν. τοῦτο ψυχρὸν ἀνθρώπων ἐστί. καὶ ἐπὶ μὲν ἀνθρώπων εἰκότως ἂν τοῦτο λέγοιτο· ἐπὶ δὲ τοῦ Θεοῦ, τοῦ οὐ δεομένου ἡμῶν, οὐκ ἔτι. ὅτι δὲ καὶ ἐκεῖ ψυχρόν ἐστι τὸ ῥῆμα, ἄκουσον. ὁ πολλοὺς ἔχων οἰκέτας, ἂν διεφθαρμένους αὐτοὺς ἔχῃ, ὅσα πείσεται δεινά; καὶ ἐπὶ μὲν τοῦ μηδένα ἔχοντος τοῦτο δοκεῖ εἶναι τὸ δεινόν, ὅτι οὐχ ὑπηρετεῖται· ἐπὶ

χ. μαθὼν

δὲ τοῦ τοὺς πονηροὺς ἔχοντος, καὶ ἑαυτὸν προσαπόλλυσι μετ' ἐκείνων, καὶ μείζων ἡ ζημία. τοῦ γὰρ ἑαυτῷ διακονεῖν πολλῷ χαλεπώτερον τὸ καὶ ἑτέροις πυκτεύειν καὶ πόλεμον ἀναδέχεσθαι.

χ. ἑτέροις

ταῦτα λέγω, ἵνα μή τις τὴν ἐκκλησίαν θαυμάζῃ διὰ τὸ πλῆθος· ἀλλ' ἵνα σπουδάζωμεν αὐτὴν δόκιμον ἐργάσασθαι, ἵνα ἕκαστος τοῦ οἰκείου περιποιῇ μέλους· οὐχὶ τῶν φίλων, οὐδὲ τῶν συγγενῶν, ὅπερ ἀεὶ λέγω, οὐδὲ τῶν γειτόνων· ἀλλὰ καὶ ὥστε τοὺς ξένους ἐφέλκεσθαι. ἰδοὺ, εὐχὴ γίνεται, κεῖνται πάντες νέοι ψυχροὶ καὶ γέροντες· καθάρματα μᾶλλον ἢ νέοι, γελῶντες, ἀνακαγχάζοντες, διαλεγόμενοι (καὶ γὰρ καὶ τοῦτο ἤκουσα γινόμενον) καὶ ἀλλήλους σκώπτοντες ἐπὶ γόνατα κείμενοι. σὺ παρέστηκας ὁ νέος, ἢ ὁ πρεσβύτης· ἐπίπληξον, ἂν ἴδῃς· ἐγκάλεσον σφοδρότερον· οὐκ ἀνεχομένου, τὸν διάκονον κάλεσον· ἀπείλησον· τὰ παρὰ σαυτοῦ ποίησον. καὶ ἐὰν τολμήσῃ τι εἰς σὲ ἐργάσασθαι, πάντως πολλοὺς ἕξεις τοὺς συναιρομένους. τίς γὰρ

χ. πάντας

οὕτως ἀλόγιστος, ὡς ἰδών σε ἐγκαλοῦντα ὑπὲρ τοιούτων, κἀκείνους ἐγκαλουμένους, μὴ τῆς σῆς γενέσθαι μερίδος; ἄπελθε λαβὼν τὸν μισθὸν ἀπὸ τῆς εὐχῆς. ἐν οἰκίᾳ δεσποτικῇ τούτους εὐνουστέρους τῶν δούλων κρίνομεν, ὅσοιπερ ἂν μηδὲν περιορῶσιν ἀτάκτως κείμενον σκεῦος. εἰπὲ δή μοι· ἂν ἴδῃς ἐν οἰκίᾳ τὸ ἀργύρεον σκεῦος ἔξω ἐρριμμένον, κἂν μὴ ᾖς ἐπιτεταγμένος, ἆρ'

χ. ἄμοι λ.

οὐ λήψῃ τοῦτο, καὶ εἰσοίσεις ἐν τῇ οἰκίᾳ; ἂν ἱμάτιον ἁπλῶς ἐρριμμένον, κἂν μὴ ἔχῃς τὴν φροντίδα, κἂν ἐχθρὸς ᾖς τοῦ ἐπιτεταγμένου, διὰ τὴν εἰς τὸν δεσπότην εὔνοιαν οὐ θήσεις τοῦτο

χ. προστεταχής,

καλῶς; οὕτω καὶ νῦν σκεύη ταῦτά ἐστιν· ἂν ἴδῃς ἀτάκτως κείμενα, μεταρρύθμισον. ἐμοὶ πρόσελθε, οὐ παραιτοῦμαι· ἐμοὶ εἰπέ, δῆλον κατάστησον. οὐ δύναμαι πάντα ὁρᾶν, συγγνῶτε. ὁρᾶτε ὅση κακία τὴν οἰκουμένην κατέχει; μή τι ἁπλῶς ἔλεγον, ὅτι πλῆθος ἐσμὲν χόρτου; πέλαγος ἄτακτον; οὐ λέγω ὅτι ἐκεῖνοι τοιαῦτα ποιοῦσιν· ἀλλ' ὅτι τοσοῦτος ὕπνος καταχεῖται τῶν εἰσιόντων, ὥστε μηδὲ ταῦτα διορθοῦν. πάλιν ἑτέρους ὁρῶ διαλεγομένους ἑστῶτας, τῆς εὐχῆς γινομένης· τοὺς δὲ ἐπιεικεστέρους αὐτῶν, οὐδὲ τῆς εὐχῆς γινομένης μόνον, ἀλλὰ καὶ εὐλογοῦντος τοῦ ἱερέως. ὢ τῆς τόλμης. πότε ἔσται σωτηρία; πῶς δυνησόμεθα τὸν

χ. φείσεις.
χ. ἀπέρχεται ἄνθρωποι φαίνονται καὶ παντ' εὐσεβ.
ᾄ. χρ.

Θεὸν ἐξιλεώσασθαι; εἰς παιδίαν ἂν ἀπέλθῃς, εὑρήσεις πάντας εὐρύθμους χορεύοντας, καὶ οὐδένα παρημελημένον. ὡς οὖν ἐν λύρᾳ παναρμονίῳ καὶ ποικίλως ἐσκευασμένῃ μία τις εὔηχος συμφωνία ἀποτελεῖται ἐκ τῆς καθ' ἕκαστον εὐταξίας τῶν συγκειμένων· οὕτω δὴ καὶ ἐνταῦθα μίαν ἐξ ἁπάντων σύμφωνον ἁρμονίαν προσήκει ἀποτελεῖσθαι. μία γὰρ γεγένηται ἐκκλησία, μιᾶς κεφαλῆς συναρμολογούμενα μέλη πολλὰ μὲν, ἓν δὲ πάντες κατέστημεν σῶμα. ἂν ἀμεληθῇ τὸ τυχόν, τὸ πᾶν ἠμέληται καὶ διέφθαρται. οὕτω τῇ τῶν πολλῶν εὐταξίᾳ ἡ τοῦ ἑνὸς ἀταξία* λυμαίνεται. καὶ τὸ δὴ φοβερόν, ὅτι ἐνταῦθα οὐχὶ

* τῷ παντί

παιδιάν, οὐδὲ χορείαν ἔρχῃ χορεύσων, καὶ ἕστηκας ἀτάκτως. οὐκ οἶδας ὅτι μετὰ ἀγγέλων ἕστηκας; μετ' ἐκείνων ᾄδεις, μετ' ἐκείνων ὑμνεῖς, καὶ ἕστηκας γελῶν; ὅτι γὰρ σκηπτὸς οὐκ ἀφίεται, οὐκ ἐπ' ἐκείνους μόνον, ἀλλὰ καὶ ἐφ' ἡμᾶς, οὐ θαυμαστόν; ἄξια γὰρ σκηπτοῦ ταῦτα. πάρεστιν ὁ βασιλεὺς· θεωρεῖ τὸ στρατόπεδον· σὺ δὲ ὑπὸ ταῖς ἐκείνων ὄψεσιν ἕστηκας γελῶν,

χ. ἑαυτοῦ

ἢ τὸν πλησίον παρορῶν; ἀλλὰ μέχρι τίνος ἐγκαλοῦμεν; μέχρι τίνος μεμφόμεθα; οὐ γὰρ ὡς λυμεῶνας; οὐ γὰρ ὡς φθορέας; οὐ γὰρ ὡς ἐξώλεις καὶ διεφθαρμένους τοὺς τοιούτους καὶ μυρί-

οι

πλίζει ἡδονήν, ὁπλίζει θυμὸν, βασκανίαν, κενοδοξίαν, ζῆλον. ἀλλ' ἐν διωγμῷ τούτων οὐδὲν ἐνοχλεῖν δύναται· ἀλλ' ὁ φόβος ἐπεισελθὼν, καθάπερ τινὶ μάστιγι σφόδρα κύνας ὑλακτοῦντας πλήξας, ταῦτα πάντα τὰ πάθη οὐδὲ γρύξαι ἐᾷ. τίς ἐν διωγμῷ κενοδοξῆσαι δύναται; τίς ἐν ἡδονῇ γενέσθαι; οὐδείς· ἀλλὰ ἔρημος πολὺς καὶ φόβος πολλὴν τὴν γαλήνην ἐργαζόμενος, οὐδὲν τὸν λιμένα παρασκευάζων, τὴν ψυχὴν εὐλαβῆ ποιεῖν. ἤκουσά ποτε πατέρων τῶν ἡμετέρων λεγόντων (ἐφ' ἡμῶν γὰρ μὴ γένοιτο· κελευόμεθα γὰρ μὴ αἰτεῖν πειρασμὸν) ὅτι κατὰ τὸν διωγμὸν τὸν παλαιὸν ἦν ἰδεῖν οὕτως χριστιανοὺς ἄνδρας. οὐδεὶς [γὰρ] χρημάτων ἐφρόντιζεν, οὐδεὶς γυναικὸς, οὐδεὶς παίδων, οὐδεὶς οἰκίας, οὐδεὶς πατρίδος. μία πᾶσιν ἦν σπουδὴ, τὴν ψυχὴν περισῶσαι τὴν ἑαυτοῦ. οἱ μὲν ἐν μνήμασι καὶ τάφοις, οἱ δὲ ἐν ἐρημίαις ἐκρύπτοντο. οὐ μόνον δὲ ἄνδρες ἀλλὰ καὶ γυναῖκες ἁπαλαὶ καὶ τρυφεραὶ τότε ἐκρύπτοντο, διηνεκεῖ μαχόμεναι λιμῷ. ἐννόησον οὖν, εἴ τις πολυτελείας, εἴ τις τρυφῆς ἐπεισῆλθεν ἄν ποτε πόθος γυναικὶ παρὰ λάρνακι κρυπτομένῃ, καὶ περιμενούσῃ τὴν θεραπαινίδα, ὅπως ἔλθῃ κομίζουσα δεῖπνον, καὶ φοβουμένῃ μήπως ἁλῷ, [καὶ] καθάπερ ἐν καμίνῳ τῷ τάφῳ κειμένῃ. ἆρα γὰρ ἐνθυμήσεται ὅτι γέγονέ ποτε τρυφή; ὅτι κόσμος ὅλως ἐστίν; ὁρᾷς ὅτι νῦν ἐστι [μᾶλλον] ὁ διωγμὸς, καθάπερ θηρίων τῶν παθῶν ἐπιτιθεμένων ἡμῖν πάντοθεν; νῦν ἐστιν ὁ χαλεπὸς διωγμός· ταύτῃ τε, καὶ ὅτι οὐδὲ νομίζεται εἶναι διωγμός. καὶ γὰρ καὶ τοῦτο ἔχει τὸ χαλεπὸν οὗτος ὁ πόλεμος, ὃς εἰρήνη νομίζεται, ἵνα μὴ ὁπλιζώμεθα κατ' αὐτοῦ, μηδὲ παρατασσώμεθα. οὐδεὶς δέδοικεν, οὐδεὶς τρέμει. εἰ δὲ ἀπιστεῖτε, τοὺς Ἕλληνας ἐρωτήσατε, τοὺς διώκοντας, πότε τὰ τῶν χριστιανῶν ἀκριβέστερα; πότε δοκιμώτεροι πάντες; εἰ ὀλίγοι μὲν περιεσώθησαν τότε τὸ πλῆθος· εἰ πολὺ δὲ ἀρετῆς πλοῦτον [ἦν.] τί γὰρ ὄφελος, εἰπέ μοι, πολὺν εἶναι χόρτον, παρὸν λίθους τιμίους, ἢ χρυσὸν ἀγαγέσθαι; οὐκ ἐν τῷ πλήθει τοῦ ἀριθμοῦ, ἀλλ' ἐν τῇ δοκιμότητι τῆς ἀρετῆς τὸ πλῆθός ἐστιν. ὁ Ἠλίας εἷς ἦν· ἀλλ' ὁ κόσμος οὐκ αὐτοῦ ἀντάξιος. καὶ μὴν ὁ κόσμος μυριάδες εἰσίν· ἀλλ' οὐκ εἰσὶ μυριάδες, ὅταν μὴ πρὸς τὸν ἕνα ἐξισῶνται. Κρείσσων εἷς ποιῶν τὸ θέλημα Κυρίου, ἢ μύριοι παράνομοι. οὐ γὰρ μύριοι πρὸς τὸν ἕνα οὐδέπω ἔφθασε. τοῦτο καί τις σοφὸς αἰνιττόμενος οὕτω πως φησί· Μὴ ἐπιθύμει πλήθους τέκνων ἀχρήστων. οὗτοι καὶ βλασφημίαν παρασκευάζονται τῷ Θεῷ μᾶλλον, ἢ εἰ μὴ ἦσαν χριστιανοί. τί μοι δεῖ πλήθους; τροφὴ πλείων τῷ πυρί. τοῦτο καὶ ἐκ τοῦ σώματος γνοίης ἄν· ὅτι βελτίων ἡ σύμμετρος τροφὴ μετὰ ὑγιείας, ἢ τρυφὴ μετὰ καχώσεως. αὕτη πλείων ἐκείνης ἡ τροφή· τοῦτο τροφὴ, ἐκεῖνο δὲ νόσος. τοῦτο καὶ ἐν πολέμῳ ἴδοι τις ἄν. βέλτιον εἶναι δέκα ἐμπείρους καὶ γενναίους ἄνδρας, ἢ μυρίους ἀπείρους. οὗτοι πρὸς τῷ μηδὲν ἐργάσασθαι καὶ τοὺς ἐργαζομένους ἐγκόπτουσι. τοῦτο καὶ ἐπὶ πλοίου ἴδοι τις ἄν. βέλτιον εἶναι δύο ναύτας ἐμπείρους, ἢ μυρίων πλῆθος ἀπείρων. οὗτοι γὰρ τὸ πλοῖον καὶ καταδύσουσι. ταῦτα λέγω, οὐχὶ πρὸς τὸ πλῆθος ὑμῶν ἀπεχθῶς ἔχων· ἀλλὰ βουλόμενος πάντας εἶναι δοκίμους, καὶ μὴ τῷ πλήθει θαρρεῖν. πολλῷ πλείους εἰσὶν οἱ εἰς τὴν γέενναν εἰσιόντες· ἀλλὰ μείζων αὐτῆς ἐστιν ἡ βασιλεία, κἂν ὀλίγους ἔχῃ. ὡς ἡ ἄμμος τῆς θαλάσσης, ἦν τὸ πλῆθος τοῦ λαοῦ, ἀλλ' εἷς ἔσωσεν αὐτούς. εἷς ἦν ὁ Μωϋσῆς, καὶ πάντων μείζονα ἴσχυσεν· εἷς ἦν ὁ Ἰησοῦς, καὶ τῶν ἑξακοσίων χιλιάδων πλέον ἠδυνήθη. μὴ τοῦτο σπουδάζωμεν, ὅπως πολλοὶ γένοιντο μόνον, ἀλλὰ [καὶ] περὶ τούτου, ὅπως δόκιμοι. ὅταν τοῦτο κατασκευασθῇ, τότε κἀκεῖνο. οὐδεὶς οἰκίαν εὐρύχωρον πρῶτον βούλεται ποιῆσαι, ἀλλὰ πρότερον ἰσχυρὰν καὶ δόκιμον, καὶ τότε εὐρύχωρον. οὐδεὶς βάλλει θεμέλια, ἵνα καταπλατυνθῇ. πρότερον τοῦτο ζητοῦμεν, καὶ τότε ἐκεῖνο. τούτου ὄντος, εὔκολον κἀκεῖνο ἔσται· ἐκείνου δὲ οὐκ ὄντος, τοῦτο κἂν ᾖ, οὐδὲν ὄφελος. ὄντων μὲν γὰρ τῶν δυναμένων ἐν ἐκκλησίᾳ λάμψαι, ταχέως ἔσται καὶ πλῆθος· τούτων δὲ οὐκ ὄντων, τὸ πλῆθος οὐδέποτε ἔσται δόκιμον. πόσους οἴεσθε ἐν τῇ πόλει τῇ ἡμετέρᾳ εἶναι τοὺς σωζομένους; ἐπαχθὲς μέν ἐστιν ὃ μέλλω λέγειν· ἐρῶ δὲ ὅμως.

οὐκ

Margin notes: χ. πηγ κοτ. — χ. εἴσω — χ. πάσι — χ. ἐπιθ. — χ. ἢ μηδὲ — χ. ὅτι πλεῖον ἀνιστέρησαν — χ. λίθοι οἱ τίμιοι — Σειρ. ις. γ. — χ. πλῆθος — Σειρ. ις. α. — χ. μάχης — χ. εἰσι — Ἀριθ. κς. ξα.

Πέτρος; (συνετὸς γὰρ ἦν) μᾶλλον δὲ οὐ τῆς συνέσεως αὐτοῦ ἦν, ἀλλὰ τοῦ πνεύματος τὰ ῥήματα· καὶ δείκνυσι διὰ τῆς ἀπολογίας ἑαυτὸν μὲν οὐδαμοῦ αἴτιον, πανταχοῦ δὲ τὸν Θεόν." καὶ μονονουχὶ πρὸς αὐτοὺς τοῦτο λέγει· ἐν ἐκστάσει με γενέσθαι αὐτὸς ἐποίησεν. ἐγὼ γὰρ "ἁπλῶς προσευχόμενος ἤμην. τὸ σκεῦος αὐτὸς ἔδειξεν, ἐγὼ ἀντεῖπον. καὶ πάλιν αὐτὸς εἶπε, καὶ οὐδὲ οὕτως ἤκουσα. τὸ πνεῦμα ἐκέλευσεν ἀπελθεῖν, καὶ "οὕτως ἀπελθὼν οὐκ ἐπέδραμον. εἶπον ὅτι ὁ Θεὸς ἔπεμψε· καὶ μετὰ ταῦτα οὐδὲ οὕτως ἐβάπτισα, ἀλλὰ πάλιν ὁ Θεὸς τὸ πᾶν εἰργάσατο. ἄρα Θεὸς "αὐτοὺς ἐβάπτισεν, οὐκ ἐγώ. καὶ οὐκ εἶπε, τούτων γεγενημένων ἁπάντων, οὐκ ἔδει τὸ ὕδωρ προσαχθῆναι λοιπόν; ἀλλ' ὡς οὐδενὸς λείποντος, ἐγὼ τίς ἤμην, φησί, κωλῦσαι τὸν Θεόν; βαβαί, οἷα ἡ ἀπολογία; οὐ γὰρ εἶπε, ταῦτα οὕτως εἰδότες ἡσυχάζετε; ἀλλὰ τί; δέχεται αὐτῶν τὴν ὁρμήν, καὶ ἐγκαλούμενος ἀπολογεῖται, τίς ἤμην δυνατὸς κωλῦσαι τὸν Θεόν, λέγων; σφόδρα ἐντρεπτικῶς καὶ βαρέως χρησάμενος τῇ ἀπολογίᾳ· οὐκ ἠδυνάμην κωλῦσαι. ὅθεν λοιπὸν φοβηθέντες, ἡσύχασαν καὶ ἐδόξαζον τὸν Θεόν.

χ. ἐπ' αὐτοῖς ... τὸ παῖ ον

χ. ἐν ἰδότι

χ. ὅμως

χ. αὐτὸς

ἨΘΙΚΟΝ

Οὕτω καὶ ἡμᾶς χρὴ ἐν τοῖς τῶν πλησίον ἀγαθοῖς δοξάζειν τὸν Θεόν, ἀλλ' οὐκ ἐπηρεάζειν, καθάπερ οἱ πολλοὶ τῶν νεοφωτίστων ἐπηρεάζουσιν, ὅταν ἄλλους ἴδωσι φωτισθέντας, καὶ εὐθὺ ἀπιόντας. δοξάζειν δεῖ τὸν Θεόν, "καὶ ὅτι μένειν οὐ συγχωρεῖ. ὥστε καὶ σύ, ἐὰν θέλῃς, μείζονα ἔλαβες δωρεάν· οὐ κατὰ τὸ φώτισμα λέγω (ἡ γὰρ αὐτή ἐστι κἀκείνου καὶ σοῦ) ἀλλὰ κατὰ τὸ λαβεῖν προθεσμίαν εὐδοκιμήσεως. ἐκεῖνος ἐνεδύσατο τὴν στολήν, καὶ οὐκ ἀφέθη ἐμπομπεῦσαι ἐν αὐτῇ· σοὶ πολλὴν ἔδωκεν ἐξουσίαν ὁ Θεὸς χρήσασθαι τοῖς ὅπλοις εἰς δέον, καὶ λαβεῖν αὐτῶν ἐντεῦθεν τὴν πεῖραν. ἐκεῖνος ἀπῆλθε τῆς πίστεως μόνον ἔχων τὸν μισθόν· σὺ ἕστηκας ἐν τῷ σταδίῳ, τῶν ἔργων δυνάμενος λαβεῖν πολλὰς τὰς ἀμοιβάς, καὶ τοσοῦτον ἐκείνου φανῆναι λαμπρότερος, ὅσον ὁ ἥλιος τοῦ μικροτάτου ἀστέρος, ὅσον ὁ στρατηγὸς τοῦ ἐσχάτου στρατιώτου· μᾶλλον δὲ ὅσον ὁ βασιλεύς. σαυτὸν τοίνυν αἰτιῶ· μᾶλλον δὲ μὴ αἰτιῶ, ἀλλὰ διόρθου σαυτὸν ἀεί. οὐ γὰρ ἀρκεῖ τὸ αἰτιάσασθαι· ἔξεστιν ἀναμαχέσασθαι. κατεβλήθης; δεινὰ ἔπαθες; ἀνάστηθι· ἀνάκτησαι σαυτόν. ἔτι ἐν τῷ σταδίῳ ἕστηκας, ἔτι τὸ θέατρον συνέστηκεν. οὐχ ὁρᾷς πόσοι καταπαλαισθέντες ὕστερον ἀνεμαχέσαντο; μόνον μὴ ἑκὼν καταπέσῃς. μακαρίζεις τὸν ἀπελθόντα; πολλῷ μᾶλλον μακάρισον σαυτόν. ἀφέθη ἁμαρτημάτων ἐκεῖνος; ἀλλ', ἐὰν θέλῃς σύ, οὐ μόνον τὰ ἁμαρτήματα ἀπονίψῃ, ἀλλὰ καὶ κατορθώματα ἕξεις, ὅπερ ἐπ' ἐκείνου οὐ δυνατόν. ἔνεστιν ἡμᾶς ἀνακαλέσασθαι ἑαυτούς. μεγάλα τῆς μετανοίας τὰ φάρμακα. μηδεὶς ἀπογινωσκέτω ἑαυτοῦ. ἐκεῖνος ὄντως ἀπογνώσεως ἄξιος, ὁ ἀπογινώσκων ἑαυτοῦ· ἐκεῖνος οὐκ ἔτι "σωτηρίας ἔχει ἐλπίδας. οὐ τὸ εἰς βάθος κακῶν ἐλθεῖν, δεινόν, ἀλλὰ τὸ κεῖσθαι μετὰ τὸ ἐλθεῖν· οὐ τὸ εἰς βάθος κακῶν ἐλθεῖν, "ἀσεβές, ἀλλὰ τὸ καταφρονῆσαι μετὰ τὸ ἐλθεῖν. διὸ ὀφείλεις μεμνῆσθαι, εἰπέ μοι, "μᾶλλον καταφρονεῖς; τραύματα τοσαῦτα ἔχων ἀνέπεσες; οὐδέν ἐστι ψυχῆς ἀνίατον τραῦμα. ἀλλ' ἐπὶ μὲν σώματος πολλὰ τοιαῦτα· ἐπὶ δὲ τῆς ψυχῆς οὐδέν. καὶ ὑπὲρ ἐκείνων μὲν οὐ διαλιμπάνομεν κάμνοντες, ὑπὲρ δὲ τούτων ῥαθυμοῦμεν. οὐχ ὁρᾷς τὸν λῃστήν, πῶς ἐν βραχεῖ χρόνῳ κατώρθωσεν; οὐχ ὁρᾷς τοὺς μάρτυρας, πῶς ἐν βραχεῖ τὸ πᾶν ἤνυσαν; ἀλλ' οὐκ ἔστιν ἄρτι μαρτυρίου καιρός, ἀλλ' ἀγώνων ἐστὶν ὁ καιρός, ὃ πολλάκις εἶπον, εἰ βουλοίμεθα. Οἱ γὰρ θέλοντες, φησίν, εὐσεβῶς ζῆν ἐν Χριστῷ Ἰησοῦ, διωχθήσονται. οἱ εὐσεβῶς ζῶντες ἀεὶ διώκονται· κἂν μὴ παρὰ ἀνθρώπων, ἀλλὰ παρὰ δαιμόνων, ὃς δὴ καὶ χαλεπώτερός ἐστι διωγμός. καὶ πρότερον ὑπ' αὐτῆς μάλιστα τῆς ἀνέσεως τοῦτον ὑπομένουσιν οἱ μὴ νήφοντες. ἢ μικρὸν οἴει διωγμόν, τὸ ἐν ἀνέσει εἶναι; τοῦτο πάντων ἐστὶ βαρύτερον, τοῦτο καὶ διωγμοῦ χεῖρον. καθάπερ γὰρ ῥεῦμα ἐπίρριον ἡ ἄνεσις χαυνοῖ τὴν ψυχήν· καὶ ὥσπερ ἐστὶ θέρος καὶ χειμών, τοῦτο διωγμὸς καὶ ἄνεσις. ἵνα δὲ μάθῃς ἐκ περιουσίας ὅτι χεῖρον οὗτος ὁ διωγμός, σκόπει ἐντεῦθεν. ὕπνον * καταχεῖ τῇ ψυχῇ, χάσμην πολλὴν καὶ ῥαθυμίαν ἐμποιεῖ, τὰ πάθη διεγείρει πάντοθεν, ὁπλίζει τῦφον, ὁπλίζει

χ. κἂν πάντες σωθῶσι καὶ σύ

χ. εἶναι ἔχει ἐλπίδα

χ. ἀσεβὲς

χ. διὰ τοῦτο

β. Τιμ. γ. ιϛ.

* γὰρ

ναι σου ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ, ἵνα μὴ προσέσχῃ αὐτοῖς· [ἀλλ', ἅπερ οὐδὲν εἶχον μέγα,] λαλήσει ῥήματα πρὸς σέ, ἐν οἷς σωθήσῃ σὺ καὶ πᾶς ὁ οἶκός σου. Ὁρᾷς πῶς δι' ὅπερ ἔφθην ἐπείγεται; καὶ οὐδὲν λέγει περὶ τῆς ἐπιεικείας τοῦ ἀνδρός. τοῦ πνεύματος τοίνυν πέμψαντος, τοῦ Θεοῦ κελεύσαντος, διὰ τοῦ ἀγγέλου ἐκεῖθεν καλέσαντος, ἐντεῦθεν ὠθοῦντος, λύοντος τὴν διαφορὰν τῶν πραγμάτων, τί ποιῆσαι ἔδει; ἀλλ' οὐ λέγει τούτων οὐδέν, ἀλλ' ἀπὸ τοῦ ὑστέρου ἰσχυρίζεται· ὃ καὶ κατ' αὐτὸ ἀναμφισβήτητον ἦν μαρτύριον. καὶ διὰ τί, φησι, μὴ τοῦτο γέγονε μόνον; ἐκ περιουσίας παρὰ τοῦ Θεοῦ, ἵνα δειχθῇ καὶ ἡ ἀρχὴ οὐ παρὰ τοῦ ἀποστόλου. Εἰ δὲ αὐτόματος ἀπῆλθεν, οὐδενὸς τούτων γινομένων, πάνυ ἂν ἐπλήγησαν. ὥστε ἄνωθεν αὐτῶν τὴν διάνοιαν οἰκειοῖ λέγων πρὸς αὐτούς, οἵτινες τὸ πνεῦμα τὸ ἅγιον ἔλαβον, ὡς καὶ ἡμεῖς. καὶ πάλιν·

γ. τοῦτο εἰκότως προσέκειτο καὶ

γ. διάκρισιν

γ. πεπλημμένον.

γ. τοῦτο γίνεται, ἵνα

γ. ὡς

15 Ἐν δὲ τῷ ἄρξασθαί με λαλεῖν, ἐπέπεσε τὸ πνεῦμα τὸ ἅγιον ἐπ' αὐτοὺς ὥσπερ καὶ ἐφ' ἡμᾶς ἐν ἀρχῇ. Καὶ οὐκ ἀρκεῖται τούτῳ, ἀλλὰ καὶ ῥήματος ἀναμιμνήσκει τοῦ Κυρίου.

16 Ἐμνήσθην δέ, φησι, τοῦ ῥήματος Κυρίου ὡς ἔλεγεν· Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν πνεύματι ἁγίῳ. Ὥστε οὐδὲν καινότερον γέγονεν, ἀλλ' ὅπερ προεῖπεν. ἀλλ' οὐκ ἔδει βαπτίσαι, φησίν. ἀλλ' ἀπήρτισε τὸ βάπτισμα, τοῦ πνεύματος αὐτοὺς ἐπιπεπτωκότος. διὰ τοῦτο οὐ λέγει, ἐκέλευσα πρότερον αὐτοὺς βαπτισθῆναι· ἀλλὰ τί; μή τι τὸ ὕδωρ κωλῦσαι δύναταί τις τοῦ μὴ βαπτισθῆναι τούτους; ἐκ τούτου δεικνὺς ἑαυτὸν οὐδὲν ποιήσαντα. ὅπερ τοίνυν ἐσχήκαμεν ἡμεῖς, φησιν, ἔλαβον ἐκεῖνοι.

17 Εἰ οὖν τὴν ἴσην δωρεάν, φησιν, ἔδωκεν αὐτοῖς ὁ Θεός, ὡς καὶ ἡμῖν πιστεύσασιν ἐπὶ τὸν Κύριον Ἰησοῦν Χριστόν, ἐγὼ τίς ἤμην δυνατὸς κωλῦσαι τὸν Θεόν;

Ἵνα ἐκ περιουσίας αὐτῶν ἐμφράξῃ τὰ στόματα, διὰ τοῦτο προσέθηκε τὴν ἴσην δωρεάν. ὁρᾷς πῶς οὐκ ἀφίησιν αὐτοὺς ἔλαττον ἔχειν πιστεύσαντας ἅπαξ; τὴν ἴσην δωρεὰν ἔδωκεν αὐτοῖς ὁ Θεός, ὡς καὶ ἡμῖν πιστεύσασιν ἐπὶ τὸν Κύριον. ὥστε αὐτὸς καθαίρει αὐτούς. καὶ οὐ λέγει, ὑμῖν· ἀλλ', ἡμῖν, λεαίνων ταύτῃ τὸν λόγον. τί τοίνυν ἀναξιοπαθεῖτε, ὅταν ἡμεῖς αὐτοὺς κοινωνοὺς λέγωμεν;

γ. μείζονας

18 Ἀκούσαντες δὲ ταῦτα, ἡσύχασαν καὶ ἐδόξασαν τὸν Θεὸν λέγοντες· ἄρα γε καὶ τοῖς ἔθνεσιν ὁ Θεὸς τὴν μετάνοιαν ἔδωκεν εἰς ζωήν. Ὁρᾷς πῶς ἀπὸ τῆς δημηγορίας τοῦ Πέτρου τὸ πᾶν γέγονε καλῶς ἀπαγγείλαντος τὰ γεγενημένα; διὸ καὶ ἐδόξαζον τὸν Θεόν, ὅτι τὴν μετάνοιαν καὶ αὐτοῖς ἔδωκεν· οὕτως ἐταπεινώθησαν ἀπὸ τούτων τῶν λόγων. ἐντεῦθεν ἀνεῴχθη ἡ θύρα πρὸς τὰ ἔθνη λοιπόν. ἴδωμεν δέ, εἰ δοκεῖ, ἄνωθεν τὰ εἰρημένα. οὐκ εἶπεν, ὅτι διεκρίθη Πέτρος, ἀλλ' οἱ ἐκ περιτομῆς· ἐπεὶ αὐτὸς ᾔδει τὸ κατασκευαζόμενον. καὶ μὴν ἐκεῖνο ἐχρῆν θαυμάσαι, πῶς καὶ αὐτοὶ ἐπίστευσαν. ὅτε μὲν οὖν ἤκουσαν ὅτι ἐπίστευσαν, οὐδὲν ἔπαθον· ἀλλ' ὅτι ὁ Θεὸς ἐχαρίσατο τὸ πνεῦμα· ὅτι ὁ Πέτρος ἐξετίθει τὴν ἑαυτοῦ ἔκστασιν, λέγων· ὁ Θεὸς ἔδειξέ μοι μηδένα κοινὸν ἢ ἀκάθαρτον λέγειν ἄνθρωπον. οὕτως ἄνωθεν ᾔδει τοῦτο. διὸ καὶ προκατασκευάζει τὸν λόγον τὸν ὑπὲρ τῶν ἐθνῶν, δεικνὺς ὅτι οὐδὲ ἔθνη λοιπὸν ἦν τῆς πίστεως παραγινομένης. οὐδὲν θαυμαστὸν τοίνυν, εἰ πρὸ τοῦ βαπτίσματος τὸ πνεῦμα ἔλαβον· καὶ ἐφ' ἡμῶν τοῦτο γέγονεν. ἐνταῦθα δείκνυσιν ὁ Πέτρος, ὅτι οὐδὲ ὡς οἱ λοιποὶ ἐβαπτίσθησαν, ἀλλὰ πολλῷ βέλτιον. διὰ τοῦτο δὲ οὕτως ἐκ περιουσίας οἰκονομεῖται, ἵνα μηδὲν ἔχωσι λέγειν· ἀλλὰ καὶ οὕτως ἴσους αὐτοῖς νομίσωσι. καὶ ἠρώτησαν αὐτόν, φησιν, ἐπιμεῖναι. ὁρᾷς πῶς οὐκ οἰκείως πρὸς αὐτὸν διέκειντο; εἰδὼς τὸν ζῆλον ὃν εἶχον ὑπὲρ τοῦ νόμου; οὐ τὸ ἀξίωμα Πέτρου ᾐδέσθησαν, οὐ τὰ γινόμενα σημεῖα, οὐ τὸ κατόρθωμα ὅσον ἦν τὸ δέξασθαι τὸν λόγον· ἀλλ' ὑπὲρ τῶν μικρῶν ἐκείνων διεκρίνοντο. εἰ γὰρ μηδὲν τούτων ἦν, οὐκ ἤρκει τὸ κατόρθωμα; ἀλλ' οὐκ ἀπολογεῖται οὕτω

γ. ἐξέστη

γ. γίνεσθαι, ἵνα ἐκ περι- μηδὲν ἔχ.

Πέτρος

3 Λέγοντες· ὅτι πρὸς ἄνδρας ἀκροβυστίαν ἔχοντας εἰσῆλθες, καὶ συνέφαγες αὐτοῖς.

Μετὰ τοσαῦτα διεκρίνοντο οἱ ἐκ περιτομῆς, οὐχ οἱ ἀπόστολοι. * τί ἐστι, διεκρίνοντο; ἐσκανδαλίζοντο, φησιν, οὐ μικρῶς. καὶ θέα τί προβάλλονται. οὐ λέγουσι, διὰ τί κατήγγειλας; ἀλλὰ, διὰ τί συνέφαγες; ὁ δὲ Πέτρος οὐ πρὸς τοῦτο ἵσταται τὸ ψυχρὸν (ψυχρὸν γὰρ ὄντως ἦν) ἀλλὰ πρὸς ἐκεῖνο τὸ μέγα, λέγων ὅτι εἰ πνεύματος μετέλαβον καὶ αὐτοὶ, πῶς τούτου μεταδοῦναι οὐκ ἦν; πῶς οὖν ἐπὶ τῶν Σαμαρειτῶν τοῦτο οὐ γέγονεν, ἀλλὰ καὶ τοὐναντίον; καὶ γὰρ οὐ μόνον πρὸ τοῦ βαπτίσματος οὐκ ἐγένετο, ἀλλ' οὐδὲ μετὰ τὸ βάπτισμα· καὶ οὐκ ἠγανάκτησαν *, ἀλλὰ μᾶλλον ἀκούσαντες ἔπεμψαν ἐπὶ τοῦτο αὐτό. ἀλλ' οὐδὲ ἐνταῦθα τοῦτο ἐγκαλοῦσιν· ᾔδεσαν γὰρ ὅτι θείας χάριτος ἦν· ἀλλὰ διὰ τί, φησι, συνέφαγες; ἄλλως δὲ πολὺ καὶ ἀπέχει τὸ διάφορον Σαμαρειτῶν καὶ ἐθνῶν. ἢ καὶ οἰκονομικῶς γίνεται τὸ ἐγκληθῆναι αὐτὸν, ἵν' οὗτοι μάθωσιν. οὐ γὰρ ἂν ἁπλῶς Πέτρος εἶπεν. ὅρα δὲ αὐτοῦ τὸ ἄτυφον καὶ ἀκενόδοξον.

* μὴ χρῆσθαι. * ἐκεῖ. γρ. ἡ πρόθεσις τί.

4 Ἀρξάμενος γὰρ, φησι, Πέτρος ἐξετίθετο αὐτοῖς καθεξῆς λέγων·

5 Ἐγὼ ἤμην ἐν πόλει Ἰόππῃ προσευχόμενος. Καὶ οὐ λέγει διὰ τί, οὐδὲ ἐπὶ ποίᾳ προφάσει. Καὶ εἶδον ἐν ἐκστάσει ὅραμα, καταβαῖνόν τι σκεῦος ὡς ὀθόνην μεγάλην τέσσαρσιν ἀρχαῖς καθιεμένην ἐκ τοῦ οὐρανοῦ, καὶ ἦλθεν ἄχρις ἐμοῦ.

6 Εἰς ἣν ἀτενίσας κατενόουν, καὶ εἶδον τὰ τετράποδα τῆς γῆς, καὶ τὰ θηρία, καὶ τὰ ἑρπετὰ, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ.

7 Ἤκουσα δὲ φωνῆς λεγούσης μοι· ἀναστὰς, Πέτρε, θῦσον, καὶ φάγε.

"Τί δήποτε τούτων εἰπεῖν βούλεται; ἱκανὸν ἦν, φησι, καὶ τοῦτο πεῖσαι, τὸ θεάσασθαι τὴν "ὀθόνην· πλὴν ἀλλὰ καὶ φωνὴ προσετέθη.

γρ. ἄνωθεν ἤ λεγέιν. γρ. οὐδέν τι.

8 Εἶπον δέ· μηδαμῶς, Κύριε, ὅτι κοινὸν ἢ ἀκάθαρτον οὐδέποτε εἰσῆλθεν εἰς τὸ στόμα μου. Ὁρᾷς; τὸ ἐμὸν ἐποίησα, φησιν· εἶπον, ὅτι οὐδέποτε ἔφαγον. τοῦτο, πρὸς ὃ ἔλεγον ἐκεῖνοι, ὅτι εἰσῆλθες καὶ συνέφαγες αὐτοῖς· τοῦτο δὲ πρὸς Κορνήλιον οὐ λέγει. οὐ γὰρ ἦν ἀνάγκη.

9 Ἀπεκρίθη δέ μοι ἐκ δευτέρου φωνὴ ἐκ τοῦ οὐρανοῦ· ἃ ὁ Θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου.

10 Τοῦτο δὲ ἐγένετο ἐπὶ τρὶς, καὶ πάλιν ἀνεσπάσθη ἅπαντα εἰς τὸν οὐρανόν.

11 Καὶ ἰδοὺ ἐξαυτῆς τρεῖς ἄνδρες ἐπέστησαν ἐπὶ τὴν οἰκίαν ἐν ᾗ ἤμην, ἀπεσταλμένοι ἀπὸ Καισαρείας πρός με. Ἅπερ ἀναγκαῖα ἦν, διηγεῖται· τὰ ἄλλα δὲ σιωπᾷ· μᾶλλον δὲ διὰ τούτων καὶ αὐτὰ κατασκευάζει. καὶ ὅρα πῶς ἀπολογεῖται, καὶ οὐκ ἀξιοῖ τῷ τοῦ διδασκάλου ἀξιώματι κεχρῆσθαι. ᾔδει γὰρ ὅτι ὅσῳ ἐπιεικέστερον φθέγγεται, τοσούτῳ μᾶλλον αὐτοὺς χειροῦται. οὐδέποτε εἰσῆλθε, φησιν, εἰς τὸ στόμα μου κοινὸν ἢ ἀκάθαρτον. "οὕτως οἰκονομίας πάσης ἦν ἡ ἀπολογία. καὶ ἰδοὺ ἐξαυτῆς τρεῖς ἄνδρες ἐπέστησαν τῇ οἰκίᾳ ἐν ᾗ ἤμην.

γρ. καὶ ταῦτα ἀπολογίας ἦν.

12 Εἶπε δέ μοι τὸ πνεῦμα συνελθεῖν αὐτοῖς μηδὲν διακρινόμενον.

Ὁρᾷς ὅτι πνεύματος ἡ νομοθεσία; Ἦλθον [δὲ] σὺν ἐμοὶ καὶ οἱ ἓξ ἀδελφοὶ οὗτοι.

Τί γένοιτ' ἂν ταπεινότερον Πέτρου, "ὃς ἀπὸ ταύτης καὶ τῶν ἀδελφῶν τὴν μαρτυρίαν προβάλλεται; συνῆλθον δέ μοι οἱ ἓξ ἀδελφοὶ, Καὶ εἰσήλθομεν εἰς τὴν οἰκίαν τοῦ ἀνδρός.

γρ. ὅταν τῶν ἀδελφῶν τὴν μαρτυρίαν ἐπάγηται.

13 Ἀπήγγειλε δὲ ἡμῖν πῶς εἶδε τὸν ἄγγελον ἐν τῷ οἴκῳ αὐτοῦ σταθέντα καὶ εἰπόντα αὐτῷ· ἀπόστειλον εἰς Ἰόππην ἄνδρας, καὶ μετάπεμψαι Σίμωνα τὸν ἐπικαλούμενον Πέτρον, Πραξ. ι. δ.

14 Ὃς λαλήσει ῥήματα πρὸς σὲ, ἐν οἷς σωθήσῃ σὺ καὶ πᾶς ὁ οἶκός σου.

Καὶ οὐκ εἶπε τὰ παρὰ τοῦ ἀγγέλου ῥηθέντα τῷ Κορνηλίῳ· Αἱ εὐχαί σου καὶ αἱ ἐλεημοσύ-

Εἰ γὰρ πρὸς τοὺς πολεμοῦντας ἐλθεῖν, οὐκ ἐχρῆν προθύμως τοῦτο ἑλέσθαι; οὐχ ὁρᾷς τοὺς ἐν τοῖς πολέμοις τούτοις πίπτοντας, πῶς εἰσὶ λαμπροί; πῶς ἔνδοξοι; καίτοι θάνατον ἀποθνήσκουσι, μεθ' ὃν οὐκ ἔστι τιμηθῆναι παρὰ τοῦ βασιλέως. ἐπὶ δὲ ἐκείνου τοῦ πολέμου οὐδὲν τοιοῦτον· ἀλλ' ἁπάντως παρίσταται τοὺς μώλωπας ἔχων· οὗ γένοιτο πάντας ἡμᾶς ἐπιτεῦξαι καὶ χωρὶς διωγμῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. κδ'. 44 ΕΤΙ ΛΑΛΟΥΝΤΟΣ ΤΟΥ ΠΕΤΡΟΥ ΤΑ ΡΗΜΑΤΑ ταῦτα, ἐπέπεσε τὸ πνεῦμα τὸ ἅγιον ἐπὶ πάντας τοὺς ἀκούοντας τὸν λόγον. 45 Καὶ ἐξέστησαν οἱ ἐκ περιτομῆς πιστοί, ὅσοι συνῆλθον τῷ Πέτρῳ, ὅτι καὶ ἐπὶ τὰ ἔθνη ἡ δωρεὰ τοῦ ἁγίου πνεύματος ἐκκέχυται.
46 Ἤκουον γὰρ αὐτῶν λαλούντων γλώσσαις, καὶ μεγαλυνόντων τὸν Θεόν.

Θέα τοῦ Θεοῦ τὴν οἰκονομίαν. οὐκ ἀφῆκεν ἀπαρτισθῆναι τὸν λόγον, οὐδ' ἐκ προστάγματος Πέτρου γενέσθαι τὸ βάπτισμα· ἀλλ' ἐπειδὴ τὴν διάνοιαν αὐτῶν ἔδειξαν θαυμαστὴν οὖσαν, καὶ τῆς διδασκαλίας ἀρχὴ γέγονε, καὶ ἐπίστευσαν ὅτι πάντως τὸ βάπτισμα ἄφεσίς ἐστιν ἁμαρτημάτων, τότε ἐπῆλθε τὸ πνεῦμα. τοῦτο δὲ γίνεται προοικονομοῦντος ἀπολογίαν μεγάλην τῷ Πέτρῳ τοῦ Θεοῦ. οὐχ ἁπλῶς δὲ τὸ πνεῦμα λαμβάνουσιν, ἀλλὰ γλώσσαις ἐλάλουν, ὅπερ [καὶ] ἐξέπληττε τοὺς συνηθοῦντας. τί δή ποτε δὲ οὕτως οἰκονομεῖται τὸ πρᾶγμα; διὰ τοὺς Ἰουδαίους. καὶ γὰρ πάνυ ἀπηχθῶς εἶχον πρὸς αὐτούς. διὸ πάντα χρὴ τοῦ Θεοῦ τὸ πᾶν γίνεται. καὶ ὁ Πέτρος σχεδὸν ἁπλῶς πάρεστι, παιδευόμενος, ὅτι δεῖ λοιπὸν αὐτοὺς ἅπτεσθαι τῶν ἐθνῶν, καὶ ὅτι δι' αὐτῶν δεῖ γενέσθαι τοῦτο. καὶ μὴ θαυμάσῃς. ὅπου γὰρ μετὰ ταῦτα καὶ ἐν Καισαρείᾳ καὶ ἐν Ἱεροσολύμοις ἀμφισβήτησις γίνεται, τί οὐκ ἂν ἐγεγόνει, εἰ μὴ ταῦτα προηκολούθησε; διὰ τοῦτο καὶ μετὰ ὑπερβολῆς ταῦτα γίνεται. ὅρα δὲ πῶς καὶ ὁ Πέτρος λαβὼν ἀφορμὴν ἀπολογεῖται. ὅτι δὲ μετὰ τὴν ἀφορμὴν ἀποκρίνεται, ἄκουε τοῦ εὐαγγελιστοῦ διηγουμένου καὶ λέγοντος· Τότε ἀπεκρίθη ὁ Πέτρος *.

γρ. ἐπῆλθεν
γρ. ἐξέπληξε
* λέγων

47 Μήτι τὸ ὕδωρ κωλῦσαι δύναταί τις τοῦ μὴ βαπτισθῆναι τούτους, οἵτινες τὸ πνεῦμα τὸ ἅγιον ἔλαβον, ὡς καὶ ἡμεῖς; Εἶδες πῶς τὸ πρᾶγμα διήνεγκε. [καὶ] πῶς ὠδίνει ἐξενεγκεῖν τοῦτο. οὕτω [πάλαι] τῆς γνώμης ταύτης ἦν. μήτι τὸ ὕδωρ, φησί, κωλῦσαι δύναταί τις· σχεδὸν γὰρ ὥσπερ ἐπεμβαίνοντός ἐστι τοῖς κωλύουσι καὶ λέγουσιν, ὅτι οὐ χρὴ τοῦτο γενέσθαι. τὸ πᾶν γέγονε, φησί, τὸ ἀναγκαιότερον γέγονε, τὸ βάπτισμα, ὃ [καὶ] ἡμεῖς ἐβαπτίσθημεν.

48 Προσέταξέ τε αὐτοὺς βαπτισθῆναι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ.

Μετὰ τὸ ἀπολογήσασθαι, τότε αὐτοὺς προσέταξε βαπτισθῆναι, παιδεύων αὐτοὺς διὰ τῶν πραγμάτων. τοσοῦτον ἀπηχθῶς εἶχον οἱ Ἰουδαῖοι· διὰ τοῦτο πρότερον ἀπολογεῖται, καίτοι τῶν πραγμάτων βοώντων, καὶ τότε προσέταξε.

Τότε ἠρώτησαν αὐτόν, φησίν, ἐπιμεῖναι ἡμέρας τινάς. Ἐντεῦθεν εἰκότως καὶ θαρρεῖ λοιπὸν καὶ ἐπιμένει.

κεφ. ια. 1 Ἤκουσαν δὲ οἱ ἀπόστολοι καὶ οἱ ἀδελφοὶ οἱ ὄντες κατὰ τὴν Ἰουδαίαν, ὅτι καὶ τὰ ἔθνη ἐδέξαντο τὸν λόγον τοῦ Θεοῦ.

2 Καὶ ὅτε ἀνέβη Πέτρος εἰς Ἱεροσόλυμα, διεκρίνοντο πρὸς αὐτὸν οἱ ἐκ περιτομῆς,

3 Λέγοντες

κεφ. ι.

οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν· ἀλλ' εἴ τι δεῖ τἀληθὲς εἰπεῖν, ἐκεῖνα μᾶλλον πόνοις ὑπεύθυνα, καὶ μετὰ πόνου πλείονος κατορθοῦται· ταῦτα δὲ, ἂν ἐθέλωμεν, ῥᾳδίως. μὴ δὴ ἀποπηδῶμεν τῶν θείων μυστηρίων, παρακαλῶ· μὴ τοῦτο ἴδῃς ὅτι ὁ πρὸ σοῦ φωτισθεὶς φαῦλος γέγονε, καὶ τῆς ἐλπίδος ἐξέπεσε τῆς αὐτοῦ, [καὶ ἐκπεσόντες σαυτῷ γένη·] ἐπεὶ καὶ ἐν τοῖς στρατιώταις ὁρῶμεν τοὺς μὲν οὐκ εἰς δέον χρωμένους τῇ στρατείᾳ, τοὺς δὲ εὐδοκιμοῦντας· καὶ οὐ τοῖς ῥαθύμοις προσέχομεν, ἀλλὰ τούτους ζηλοῦμεν τοὺς κατορθοῦντας. πρὸς τούτοις, ἐννόησον ὅσοι μετὰ τὸ φώτισμα ἄγγελοι ἀντὶ ἀνθρώπων γεγόνασι· φοβήθητι τοῦ μέλλοντος τὸ ἄδηλον. ὡς κλέπτης ἐν νυκτὶ, οὕτως ἔρχεται ὁ θάνατος. οὐδὲ ἁπλῶς ὡς κλέπτης· ἀλλὰ καθευδόντων ἡμῶν ἐπιτίθεται, καὶ ῥαθυμοῦντας λαβὼν ἄπεισι. β. Πετ. γ. 10 διὰ τοῦτο ἄδηλον ἐποίησε τὸ μέλλον ὁ Θεός, ἵνα ἀεὶ τῷ τῆς προσδοκίας ἀδήλῳ ἐν ἀρετῇ διάγωμεν. ἀλλὰ φιλάνθρωπός ἐστι, φησί. μέχρι πότε τὸ ψυχρὸν τοῦτο ῥῆμα καὶ καταγέλαστον λέγομεν; ἐγὼ οὐχ ὅτι φιλάνθρωπός ἐστιν ὁ Θεὸς λέγω μόνον, καὶ παύομαι, ἀλλ' ὅτι οὐδὲν φιλανθρωπότερον αὐτοῦ, καὶ ὅτι χρησίμως ἅπαντα τὰ καθ' ἡμᾶς οἰκονομεῖ. πόσους ὁρᾷς ἐν ἡλικίᾳ πάσῃ ἐν ἐλεφάντι διάγοντας; πόσους ἀπὸ πρώτης ἡλικίας τυφλωθέντας μέχρι γήρως; ἄλλους ἐν πηρώσει μετὰ ταῦτα γενομένους; ἄλλους ἐν πενίᾳ; ἄλλους ἐν δεσμοῖς; ἑτέρους ἐν μετάλλοις; ἄλλους ὁμοῦ καταχωσθέντας; * ταῦτα οὐκ ἔστι φιλανθρωπίας, εἰπέ μοι; ταῦτα οὐκ ἐδύνατο κωλῦσαι, εἰ ἠθέλησεν; ἀλλ' ἀφίησι. ναί, φησί. σὺ δὲ, εἰπέ μοι, διατί οἱ ἐκ πρώτης ἡλικίας τυφλοί; οὐκ ἐρῶ, ἕως ἂν ὑπόσχῃ μοι ὅτι φωτίζῃ· ὅτι φωτισθεὶς, βιοῖς ὀρθῶς, οὐ θέμις σοι τὰ τοιαῦτα ἐπιλύεσθαι. οὐ γὰρ δὴ μέχρι τούτου ἐστὶν ὁ λόγος. κἂν γὰρ τοῦτο λύσω, ἕτερον ἐπεισέρχεται ζήτημα. ἄβυσσος γάρ ἐστι ζητημάτων [ἡ γραφή.] ὥστε μὴ πρὸς τοῦτο ἔθιζε σεαυτὸν, πρὸς τὸ λύσιν ζητεῖν·* ἐπεὶ οὐδέποτε στησόμεθα ζητοῦντες. ἰδοὺ γὰρ ἂν τοῦτο λύσω, μυρίας νιφάδας ἐπιδείκνυμι ζητημάτων. ὥστε * μανθάνομεν μᾶλλον ζητεῖν, ἢ τὰ ζητηθέντα λύειν. οὔτε γὰρ ἐὰν λύσωμεν, πάντως ἐλύσαμεν· ἀλλὰ κατὰ ἀνθρωπίνους λογισμοὺς οἰκεία τῶν τοιούτων λύσις. ἡ πίστις ἐστὶ, τὸ εἰδέναι ὅτι πάντα δικαίως καὶ φιλανθρώπως ὁ Θεὸς καὶ συμφερόντως ποιεῖ· ὅτι καταλαβεῖν αὐτῶν τὸν λόγον οὐκ ἔνι. μία λύσις αὕτη, καὶ ταύτης ἀμείνων ἑτέρα οὐκ ἔστι. τί γὰρ, εἰπέ μοι, τῆς λύσεως ἔργον; [πάντως] μηκέτι ζητεῖν τὸ λυθέν. κἂν τοῦτο πείσῃς σαυτὸν, ὅτι προνοίᾳ τοῦ Θεοῦ τὰ πάντα διάγεται, τὰ μὲν συγχωροῦντος δι' ὃν οἶδε λόγον, τὰ δὲ ἐνεργοῦντος, ἀπηλλάγης τοῦ ζητεῖν, καὶ τῆς λύσεως τὸ κέρδος ἔλαβες. ἀλλ' ἐπανίωμεν εἰς τὸ προκείμενον. οὐχ ὁρᾷς τοσούτους ἐν κολάσεσι; ταῦτα ὁ Θεὸς συγχωρεῖ πάντα. χρῆσαι τῇ ὑγείᾳ τοῦ σώματος εἰς τὴν ὑγείαν τῆς ψυχῆς. ἀλλ' ἐρεῖς, τί μοι χρεία πόνων καὶ ταλαιπωρίας, ἐξὸν ἀπονητὶ πάντα ἀπολύσασθαι; μάλιστα μὲν οὐδὲ δῆλον τοῦτό ἐστι. συμβαίνει γὰρ οὐ μόνον ἀπονητὶ μὴ ἀπολύσασθαι, ἀλλὰ καὶ ἀπελθεῖν πάντα ἔχοντα. πλὴν εἰ καὶ τοῦτο δῆλον, οὐδὲ οὕτως ἀνεκτὸς ὁ λόγος. εἰς ἀγῶνας εἵλκυσεν, ὅπλα κεῖται χρυσᾶ· δέον λαβεῖν αὐτὰ καὶ μεταχειρίσασθαι, σὺ δὲ βούλει ἀδόξως σωθῆναι, καὶ μηδὲν ἀγαθὸν ἐργάσασθαι; εἰπέ μοι, εἰ πόλεμος συνειστήκει, καὶ ὁ βασιλεὺς παρῆν, καὶ τοὺς μὲν εἶδες εἰς μέσας τὰς φάλαγγας τῶν πολεμίων ἐμπεσόντας, καὶ κατακόπτοντας, καὶ τραυματίας ἐργαζομένους μυρίους, ἑτέρους μονομαχοῦντας, ἄλλους ἐφ' ἵππων ὀχουμένους καὶ ἐπαινουμένους ὑπὸ τοῦ βασιλέως, θαυμαζομένους, κροτουμένους, στεφανουμένους· ἑτέρους δὲ πάλιν ἀγαπητὸν ἡγουμένους, εἰ μηδὲν πάθοιεν κακὸν, καὶ τὴν ἐσχάτην τάξιν φυλάττοντας καὶ καθημένους· εἶτα μετὰ τὴν τοῦ πολέμου λύσιν, τοὺς μὲν καλουμένους, δεξιουμένους ταῖς μεγάλαις δωρεαῖς, ἀνακηρυττομένους· ἐκείνων δὲ οὐδὲ τοὔνομα δῆλον γινόμενον, ἀλλὰ μέχρι τῆς σωτηρίας αὐτοῖς τὴν τῶν ἀγαθῶν ἀντίδοσιν οὖσαν· τίνων ἂν ἠθέλησας γενέσθαι; εἰ γὰρ λίθινος ἦς, εἰ γὰρ ἀναισθήτων καὶ ἀψύχων * νωθέστερος, οὐκ ἂν ἐπεθύμησας ἐκείνων γενέσθαι μυριάκις; ναί, δέομαι καὶ ἀντιβολῶ.

* ἄλλους ἐν πολέμοις;

γ. μόνον

* ἀλλὰ πρὸς τὸ μὴ ζητεῖν

* τοῦτο

γ. ἔχει

γ. τίς χρ.

γ. καταποντοῦντας, ἄλλους πεσόντας, ἄλλ. ἐφ' ἵππ. φερομένους, ἱππεύειν.

γ. τιμωμένους ταῖς μεγίσταις δωρ. χαριζομένους.

* ἧς

τοῦ μετασχεῖν τῆς δωρεᾶς· οὐκ ἀφίησιν εἶναι ἀνθρώπους τοὺς ἀνθρώπους. ποίησον τὸν Ἕλληνα πιστεῦσαι ὅτι μεγάλη τοῦ πνεύματος ἡ δύναμις, ὅτι μετέπλασεν, ὅτι μετερρύθμισεν. τί τὰς ἐσχάτας ἀναπνοὰς ἀναμένεις, ὡς δραπέτης, ὡς κακοῦργος, ὡς οὐκ ὀφείλων τῷ Θεῷ ζῆσαι; τί ὡς πρὸς ἀπηνῆ τινα καὶ ὠμὸν ἔχων δεσπότην, οὕτω διάκεισαι; τί ψυχρότερον; τί ταλαιπωρότερον τῶν τότε λαβόντων τὸ φώτισμα; φίλον σε ἐποίησεν ὁ Θεός, καὶ πάντων ἠξίωσε τῶν ἀγαθῶν, ἵνα καὶ αὐτὸς ἐπιδείξῃ τὰ φίλου. εἰπὲ δή μοι, εἰ τὰ μεγάλα ἠδίκησας εἴς τινα καὶ ὕβρισας, καὶ μυρίοις αὐτὸν ὀνείδεσι περιβαλὼν ἐνέπεσας εἰς τὰς χεῖρας τοῦ ὑβρισθέντος, ὁ δὲ ἀντὶ τούτων ἐτίμησε, καὶ τῶν αὐτοῦ μετέδωκεν ἀπορρήτων, καὶ ἐν τοῖς φίλοις ἐφ' ὧν ὑβρίσθη ἐπὶ τούτων σε ἐστεφάνωσε, καὶ ἔφησεν ὡς υἱὸν ἔχειν γνήσιον, εἶτα, * ἀπέθανεν, * οὐκ ἂν ζημίαν τὸ πρᾶγμα ἐνόμισας; οὐκ ἂν εἶπες, ἐβουλόμην αὐτὸν ζῶντα εἶναι, ἵνα δυνηθῶ ἀποδοῦναι τὰς ἀμοιβάς; ἵνα ἀμείψωμαι; ἵνα μὴ κακὸς φανῶ περὶ τὸν εὐεργέτην; εἶτα ἐπ' ἀνθρώπου μὲν οὕτως· ἐπὶ δὲ τοῦ Θεοῦ σπουδάζεις ἀπελθεῖν, ἵνα μὴ ἀμείψῃ τὸν εὐεργέτην τῶν τοσούτων δωρεῶν; καὶ μὴν τότε προσέσταλται, ὅτε αὐτὸν δύνασαι τοῖς ἴσοις ἀμείψασθαι. τί φθέγγῃ; * ναί, φησιν· ἀλλ' οὐ δύναμαι φυλάξαι. οὐκοῦν τὰ ἀδύνατα ἐπέταξεν ὁ Θεός; ἀπὸ τούτου πάντα ἀνατέτραπται, ἀπὸ τούτου τὰ τῆς οἰκουμένης διέφθαρται, ὅτι οὐδεὶς οὐδενὶ σκοπὸς κατὰ Θεὸν ζῆν. οἱ μὲν οὖν κατηχούμενοι τοῦτο σπουδάζοντες, οὐδεμίαν ποιοῦνται ἐπιμέλειαν ὀρθοῦ βίου· οἱ δὲ ἤδη φωτισθέντες, οἱ μὲν ἐπεὶ παῖδες ὄντες τοῦτο ἔλαβον, οἱ δὲ ἐν ἀρρωστίᾳ, καὶ διενεγκόντες, ἐπειδὴ μὴ εἶχον προθυμίαν τινὰ ζῆσαι διὰ Θεόν, οὐδὲ οὗτοι σπουδὴν τίθενται· οἱ δὲ ἐν ὑγείᾳ λαβόντες, ὀλίγην ταύτην καὶ αὐτοὶ ἐπιδείκνυνται, καὶ πρὸς τὸ πρὶν διαπεσόντες θερμοί, μετὰ ταῦτα καὶ οὗτοι τὸ πῦρ ἔσβεσαν. μὴ γὰρ οὐκ ἔνι πράγμασι χρῆσθαι; μὴ γὰρ τῆς γυναικός σε διείργω; πορνείας σε ἀπείργω. μὴ γὰρ τῆς τῶν χρημάτων ἀπολαύσεως; πλεονεξίας καὶ ἁρπαγῆς. μὴ γὰρ
β. Κορ. η. ιδ. ἀναγκάζω πάντα κενῶσαι; ὀλίγα ἀπὸ τῶν ἐνόντων δοῦναι τοῖς δεομένοις (τὸ ὑμῶν περίσσευμα, φησίν, εἰς τὸ ἐκείνων ὑστέρημα) καὶ οὐδὲ οὕτω πείθομεν. μὴ γάρ τις βίαν βιάζομεν; μεθύειν κωλύομεν καὶ γαστρίζεσθαι. ταῦτα παραιτούμεθα, ἃ ἀσχημοσύνην σοι φέρει· ἃ καὶ πρὸ τῆς γεέννης ἐνταῦθα ἤδη φευκτὰ καὶ μισητὰ καὶ αὐτὸς εἶναι συνομολογεῖς. μὴ γὰρ ἥδεσθαι καὶ χαίρειν; ἀλλὰ μὴ αἰσχρῶς, μηδὲ ἀναξίως. τί δέδοικας; τί φοβῇ; τί τρέμεις; ἔνθα γάμος, ἔνθα χρημάτων ἀπόλαυσις, ἔνθα τροφὴ σύμμετρος, ποία ἁμαρτίας ὑπόθεσις; καὶ μὴν οἱ ἔξωθεν τὰ ἐναντία ἐπιτάττουσι, καὶ ἀκούονται. οὐ γὰρ ἀπὸ τῶν ἐνόντων ἀπαιτοῦσιν, ἀλλὰ λέγουσιν, ὅτι τοσόνδε δοῦναι δεῖ. κἂν περιβάλλῃ πενίαν, οὐδὲ οὕτως ἀφίστανται. ὁ δὲ Χριστὸς οὐχ οὕτως· ἀλλ', ἀφ' ὧν ἔχεις δός, καὶ εἰς τὴν πρώτην σε καταλέξω τάξιν, φησί. πάλιν ἐκεῖνοι· εἰ βούλει, φησίν, εὐδοκιμεῖν, κατάλιπε πατέρα, μητέρα, συγγενεῖς, οἰκείους, καὶ προσέδρευε τοῖς βασιλείοις, κοπτόμενος, ταλαιπωρούμενος, δουλεύων, σπώμενος, μυρία πάσχων κακά· ὁ δὲ Χριστὸς οὐχ οὕτως, ἀλλ', ἔσο ἐν τῇ οἰκίᾳ μετὰ τῆς γυναικός, μετὰ τῶν παίδων, καὶ αὐτὰ ταῦτα διάπλαττε καὶ ῥύθμιζε, τὸν ἀπράγμονα βίον ζῆθι καὶ ἀκίνδυνον. ναί, φησιν· ἀλλ' ἐκεῖνος χρήματα
Ματθ. ς. λγ. ἐπαγγέλλεται. ἀλλ' οὗτος βασιλείαν· μᾶλλον δὲ καὶ χρήματα μετὰ ταύτης. Ζητεῖτε γάρ, φησι, * τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. καὶ ἐκεῖνος
Ψαλ. λζ. κε. μὲν οὐδὲ ἐν προσθήκης μέρει· οὗτος δὲ καὶ προηγουμένως. Νεώτερος ἐγενόμην, φησί, καὶ γὰρ ἐγήρασα· καὶ οὐκ εἶδον δίκαιον ἐγκαταλελειμμένον, οὐδὲ τὸ σπέρμα αὐτοῦ ζητοῦν ἄρτους. ἀρξώμεθα τοίνυν τῆς ἀρετῆς· θῶμεν προοίμιον. ἐπιλαβώμεθα αὐτῆς μόνον, καὶ ὄψει οἷα τὰ ἀγαθά. μὴ γὰρ ἀπαιτεῖ ἐκεῖνα κατορθοῖς, ὅτι πρὸς ταῦτα μαλακίζῃ; ναί, φησιν· ἐκεῖνα ἀπαιτεῖ, ταῦτα δὲ μετὰ πόνου. ἄπαγε·

οὐκ

χ. λαμβανόντων

* εὐθέως
* οὐκ ἂν εἴρηκας αὐτῷ;

* τί τρέμεις; τί δέδοικας;

χ. ποιοῦσιν

χ. λαμβάνοντες ὀλίγην ταύτην ὑπὲρ τὸ πρό-τερον ὀκνηροί.
χ. οὗτοι

χ. τοῦ ἀ-μέτρως
χ. ἀναπίπτο-μεν;

χ. εἰς τὴν πρώ-την τάξιν.

* πρόσθεν

Ἰουδαίοις προσῆκε ἀπέσταλ]. Εἶτα ἀφ' ὧν κατώρθωσε καθ' ὅλης τῆς Ἰουδαίας τοῦτο συναποδείκνυσι καὶ λέγει· Ὑμεῖς οἴδατε τὸ γενόμενον ῥῆμα καθ' ὅλης τῆς Ἰουδαίας· καὶ τὸ θαυμαστόν, ἀρξάμενον ἀπὸ τῆς Γαλιλαίας μετὰ τὸ βάπτισμα, ὃ ἐκήρυξεν Ἰωάννης. πρότερον εἰπὼν αὐτοῦ τὸ κατόρθωμα, καὶ τότε θαρρεῖ περὶ τῆς αὐτοῦ πατρίδος εἰπεῖν. Ἰησοῦν τὸν ἀπὸ Ναζαρέθ. οὕτως ᾔδει ὅτι σκάνδαλον ἡ πατρίς. ὡς ἔχρισεν αὐτὸν ὁ Θεὸς πνεύματι ἁγίῳ καὶ δυνάμει. πάλιν κατασκευή. ἵνα γὰρ μή τις εἴπῃ, καὶ πόθεν τοῦτο δῆλον; ἐπάγει λέγων· ὃς διῆλθεν εὐεργετῶν καὶ ἰώμενος πάντας τοὺς καταδυναστευομένους ὑπὸ τοῦ διαβόλου. Εἶτα μετὰ τῶν ἀγαθῶν ὧν ἐποίησε δείκνυσι καὶ τὴν δύναμιν ὅτι πολλή. ἐπεὶ γὰρ τοῦ διαβόλου περιγίνεται, πολλή τις ἐστὶ καὶ μεγάλη. καὶ ἡ αἰτία, ὅτι ὁ Θεὸς ἦν μετ' αὐτοῦ, φησί. Διὰ τοῦτο καὶ Ἰουδαῖοι οὕτως ἔλεγον· Οἴδαμεν ὅτι ἀπὸ τοῦ Θεοῦ ἐλήλυθας διδάσκαλος. οὐδεὶς γὰρ ταῦτα τὰ σημεῖα δύναται ποιεῖν, ἐὰν μὴ ᾖ ὁ Θεὸς μετ' αὐτοῦ. Εἶτα, ὅτε ἔδειξεν ὅτι ἀπὸ Θεοῦ ἀπέσταλται, τότε λέγει ὅτι ἀνῃρέθη, ἵνα μή τι ἄτοπον φαντασθῇς. ὁρᾷς αὐτοὺς οὐδαμοῦ κρύπτοντας τὸν σταυρόν, ἀλλὰ μετὰ τῶν ἄλλων τιθέντας καὶ τὸν τρόπον; ὃν καὶ ἀνεῖλον, φησί, κρεμάσαντες ἐπὶ ξύλου. καὶ ἔδωκεν αὐτὸν ἐμφανῆ γενέσθαι, οὐ παντὶ τῷ λαῷ, ἀλλὰ μάρτυσι τοῖς προκεχειροτονημένοις ὑπὸ τοῦ Θεοῦ ἡμῖν. καίτοι γε αὐτὸς αὐτοὺς ἐξελέξατο, ἀλλὰ καὶ τοῦτο ἀνατίθησι τῷ Θεῷ. τοῖς προκεχειροτονημένοις, φησίν. ὅρα πόθεν τὴν ἀνάστασιν βεβαιοῦται· ἀπὸ τοῦ φαγεῖν. διὰ τί δὲ μηδὲν ἀναστὰς ἐποίησε σημεῖον, ἀλλ' ἔφαγε καὶ ἔπιεν; ὅτι καὶ αὐτὴ ἡ ἀνάστασις καθ' ἑαυτὴν μέγα σημεῖον ἦν. ταύτης δὲ οὐδὲν οὕτως εἰς ἀπόδειξιν μεῖζον, ὡς τὸ φαγεῖν καὶ πιεῖν.* Διαμαρτύρασθαι, φησίν. ἐνταῦθα καὶ φοβερῶς εἶπεν, ἵνα μὴ ἔχωσιν εἰς ἄγνοιαν καταφυγεῖν. καὶ οὐκ εἶπεν, ὅτι αὐτός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ, ἀλλ' ὃ μάλιστα αὐτοὺς ἐφόβει, ὅτι αὐτός ἐστιν ὁ ὡρισμένος ὑπὸ Θεοῦ κριτὴς ζώντων καὶ νεκρῶν. Εἶτα ἡ κυρία κατασκευὴ ἡ ἀπὸ τῶν προφητῶν (μεγάλην γὰρ εἶχον δόξαν ἐκεῖνοι) τούτῳ πάντες οἱ προφῆται μαρτυροῦσιν. ὅτε τῷ φόβῳ κατέσεισε, τότε ἐπάγει τὴν συγχώρησιν, οὐ παρ' αὐτοῦ λεγομένην, ἀλλὰ παρὰ τῶν προφητῶν. καὶ τὸ μὲν φοβερόν, παρ' αὐτοῦ· τὸ ἥμερον δὲ ἀπὸ τῶν προφητῶν.

γ. καὶ Νικόδημος ἄρχων τῶν Ἰουδαίων εἶπεν

Ἰωάν. γ. β.

* καὶ παρήγγειλεν ἡμῖν κηρύξαι τῷ λαῷ καὶ

γ. ποιεῖν

γ. κυρία ἡ κατασκευὴ ἡ ὑπὸ τῶν

ΗΘΙΚΟΝ

Ὅσοι μὲν οὖν τῆς ἀφέσεως ἐτύχετε ταύτης, ὅσοι τῆς πίστεως κατηξιώθητε, μαθόντες τῆς δωρεᾶς τὸ μέγεθος, παρακαλῶ, σπουδάσατε μὴ ὑβρίσαι εἰς τὸν εὐεργέτην. ἐτύχομεν γὰρ ἀφέσεως, οὐχ ἵνα χείρους γενώμεθα, ἀλλ' ἵνα ἀμείνους πολλῷ καὶ βελτίους. μηδεὶς τοίνυν εἴπῃ, ὅτι ὁ Θεὸς αἴτιος ἡμῖν τῶν κακῶν, μὴ κολάσας, μηδὲ τιμωρησάμενος. εἰπὲ γάρ μοι· ἂν ἄρχων λαβὼν φονέα ἀφῇ, τῶν μετὰ ταῦτα φόνων αὐτὸς αἴτιος εἶναι κρίνεται; οὐδαμῶς. καὶ πῶς αὐτοὶ ταῖς ἀθέοις γλώτταις διδόντες ὑβρίζεσθαι τὸν Θεόν, δι' ὧν τολμῶμεν, οὐ δεδοίκαμεν, οὐδὲ φειδόμεθα; τί γὰρ οὐκ ἐροῦσι; τί δαὶ οὐ φθέγγονται; αὐτὸς αὐτοὺς ἐπέτρεψε, φησίν. ἐχρῆν γὰρ ἀξίους ὄντας κολάσαι, οὐ τιμᾶν, οὐδὲ στεφανοῦν, οὐ τῶν πρωτείων μεταδιδόναι, ἀλλὰ κολάζειν καὶ τιμωρεῖσθαι. ὁ δὲ μηδὲν τοιοῦτον αὐτοῖς ποιῶν, ἀλλ' ἀντὶ τούτων καὶ τιμῶν, τοιούτους αὐτοὺς ἀπειργάζεται. μή, δέομαι καὶ ἀντιβολῶ, μηδεὶς ταύτην περὶ ἡμῶν ἀφῇ τὴν φωνήν. βέλτιον κατορυγῆναι μυριάκις, ἢ ταῦτα τὸν Θεὸν ἀκοῦσαι δι' ἡμᾶς. Εἶπον αὐτῷ καὶ Ἰουδαῖοι· Ὁ καταλύων τὸν ναόν, καὶ ἐν τρισὶν ἡμέραις ἐγείρων αὐτόν, σῶσον σεαυτόν. καὶ πάλιν· Εἰ υἱὸς εἶ τοῦ Θεοῦ, κατάβα ἀπὸ τοῦ σταυροῦ. ἀλλὰ ταῦτα ἐκείνων χαλεπώτερα. ἵν' οὖν μὴ δόξῃ δι' ἡμᾶς πονηρίας αὐτὸν διδάσκαλον λέγεσθαι, μηδὲ αὐτὸν τούτῳ τῷ βλασφημεῖσθαι ὑπόδικοι τῇ κολάσει γενώμεθα. Δι' ὑμᾶς [γάρ,] φησι, τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσι· τἀναντία ποιήσωμεν λέγεσθαι, ἀξίως τοῦ καλοῦντος πολιτευόμενοι, καὶ τῷ τῆς υἱοθεσίας πρέποντες βαπτίσματι. οὕτως γὰρ μεγάλη τοῦ βαπτίσματος ἡ δύναμις*, ἄλλους ἀντ' ἄλλων ποιεῖ

γ. φθέγξονται;

γ. εἰργάζετο

Ματθ. κζ. μ.

γ. φρονήματος

* ὅτι μετέπλασεν, ὅτι μετερρύθμισεν

Ῥωμ. β. κδ.

γ. ἐποίησε

οἵτινες συνεφάγομεν καὶ συνεπίομεν αὐτῷ μετὰ τὸ ἀναστῆναι αὐτὸν ἐκ νεκρῶν.

Τοῦτο τεκμήριον τῆς ἀναστάσεως μέγιστον.

42 Καὶ παρήγγειλεν ἡμῖν κηρύξαι τῷ λαῷ καὶ διαμαρτύρασθαι, ὅτι αὐτός ἐστιν ὁ ὡρισμένος ὑπὸ τοῦ Θεοῦ κριτὴς ζώντων καὶ νεκρῶν.

Μέγα καὶ τοῦτο πρὸς τὸ δόξαι ἀξιοπίστους. ὁ δὲ καὶ τὴν ἀπὸ τῶν προφητῶν μαρτυρίαν ἐπάγει, λέγων·

43 Τούτῳ πάντες, φησὶν, οἱ προφῆται μαρτυροῦσιν, ἄφεσιν ἁμαρτιῶν λαβεῖν διὰ τοῦ ὀνόματος αὐτοῦ πάντα τὸν πιστεύοντα εἰς αὐτόν. Τοῦτο τοῦ μέλλοντος ἔσεσθαι μετὰ ταῦτα προαναφώνησις· ἣν δὴ καὶ βεβαιῶν, τοὺς προφήτας εὐκαίρως μάρτυρας παράγει. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ κατὰ τὸν Κορνήλιον. ἀπόστειλε, φησὶν, εἰς Ἰόππην μετακαλέσασθαι τὸν Πέτρον. ἐπίστευσε [γὰρ] ὅτι πάντως ἥξει· διὸ καὶ ἀποστέλλει. καὶ συνομιλῶν αὐτῷ, φησὶν, εἰσῆλθε. τί ἄρα ὁμιλῶν; ταῦτα οἶμαι φθεγγόμενος, ἅπερ ἔμπροσθεν εἴρηται. καὶ πεσὼν ἐπὶ τοὺς πόδας προσεκύνησεν. ὅρα κολακείας ἀπηλλαγμένον τὸν λόγον πάντα γὰρ οὐ καὶ ταπεινότητος γέμοντα. ἐντεῦθεν ἄξιος δείκνυται καὶ ἐκεῖνος ὁ εὐνοῦχος. ἐκέλευσε γὰρ τὸν Φίλιππον ἀναβῆναι καὶ καθίσαι ἐπὶ τὸ ὄχημα· καίτοι οὐκ εἰδὼς ὅστις ἐστὶν, ἢ ἀπὸ τῆς ἀπαγγελίας μόνον τῆς τοῦ προφήτου. οὗτος δὲ καὶ ἔπεσεν ἐπὶ τοὺς πόδας. εἶδες ἦθος ἄτυφον; σὺ δέ μοι σκόπει πῶς δείκνυσι Πέτρος θείαν αὐτοῦ τὴν παρουσίαν, τῷ λέγειν, ὑμεῖς ἐπίστασθε ὡς ἀθέμιτόν ἐστι. καὶ διατί μὴ εἶπε τὴν συνδοσίαν εὐθέως; ὅτι ἀκενόδοξος ἦν σφόδρα. ὅτι μὲν γὰρ ἀπέσταλται ὑπὸ τοῦ Θεοῦ, λέγει· τὸ δὲ πῶς, οὐκ εἶπε, ἀλλ' ὅτι ἀνάγκη γέγονεν, ὅτε καὶ εἶπεν· ὑμεῖς ἐπίστασθε ὡς ἀθέμιτόν ἐστιν Ἰουδαίῳ κολλᾶσθαι ἢ προσέρχεσθαι ἀλλοφύλῳ. οὕτως ἦν πόρρω κενοδοξίας. ὑμεῖς ἐπίστασθε, φησί. τοῦτο λέγων καὶ τὴν ἐκείνων καταπλύνεται γνώμην. τί δαὶ Κορνήλιος; πάρεσμεν, φησὶν, ἐνώπιον τοῦ Θεοῦ ἀκοῦσαι πάντα τὰ προστεταγμένα σοι ὑπὸ τοῦ Θεοῦ. οὐκ εἶπεν, ἐνώπιον ἀνθρώπου, ἀλλὰ Θεοῦ, δεικνὺς, ὅτι οὕτω δεῖ προσέχειν τοῖς τοῦ Θεοῦ δούλοις. εἴδετε διάνοιαν διεγηγερμένην; εἴδετε πῶς ἄξιος ἦν πάντων τούτων; ἀνοίξας δὲ, φησὶ, Πέτρος τὸ στόμα, εἶπεν· ἐπ' ἀληθείας καταλαμβάνομαι, ὅτι οὐκ ἔστι προσωπολήπτης ὁ Θεός. τοῦτο καὶ πρὸς τοὺς πρὸ τούτου Ἰουδαίους ἀπολογούμενος ἔλεγε. μέλλων γὰρ πρὸς αὐτοὺς μεταχειρίζειν τὸν λόγον, ὥσπερ ἀπολογίαν προτίθησι. τί δὴ οὖν; πρὸ τούτου προσωπολήπτης ἦν; μὴ γένοιτο· ἐπεὶ καὶ πρὸ τούτου οὕτως ἦν. Πᾶς ὁ φοβούμενος καὶ ἐργαζόμενος, [φησὶ,] δικαιοσύνην, δεκτὸς αὐτῷ ἐστι. τοῦτο καὶ Παῦλος γράφων λέγει. Ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου ποιῇ. καὶ δόγμα τίθησι καὶ πολιτείαν. εἰ γὰρ μάγους οὐ παρεῖδεν, οὐδὲ Αἰθίοπα, οὐδὲ λῃστὴν, οὐδὲ πόρνην· πολλῷ μᾶλλον τοὺς ἐργαζομένους δικαιοσύνην καὶ βουλομένους πάντως οὐ παρόψεται. τί οὖν, ὅτι εἰσὶν ἐπιεικεῖς καὶ ἥμεροι ἄνθρωποι, καὶ πιστεῦσαι οὐ βούλονται; ἰδοὺ σὺ τὴν αἰτίαν εἶπες, ὅτι οὐ βούλονται. ἄλλως δὲ, τὸν ἐπιεικῆ ἐνταῦθα, οὐ τὸν πρᾶον λέγει, ἀλλὰ τὸν δικαιοσύνην ἐργαζόμενον· τουτέστι, τὸν ἐν πᾶσιν εὐάρεστον, ὃς τότε τοιοῦτός ἐστιν, ὅταν ἔχῃ τοῦ Θεοῦ τὸν φόβον ὡς χρή. τὸν δὲ τοιοῦτον ὁ Θεὸς οἶδε μόνος. ὅρα πῶς ἦν οὗτος δικαιός. ἅμα ἤκουσε, καὶ ἐπείσθη. καὶ νῦν εἰ ἄγγελος ἦλθε, φησὶν, ἐπείσθη ἂν ἕκαστος, ὅστις ἂν ἦν. ἀλλὰ πολλῷ τὰ νῦν σημεῖα ἐκείνων ἐστὶ μείζονα, καὶ ὅμως ἀπιστοῦσι πολλοί. εἶτα ἄρχεται τῆς διδασκαλίας, καὶ τηρεῖ τὴν εὐνοιαν τοῖς Ἰουδαίοις. τὸν λόγον, φησὶν, ὃν ἀπέστειλε τοῖς υἱοῖς Ἰσραὴλ εὐαγγελιζόμενος εἰρήνην· οὗτός ἐστι Κύριος πάντων. πρῶτον περὶ τῆς κυριότητος αὐτοῦ διαλέγεται, καὶ σφόδρα ὑψηλῶς [ὡς εἰκὸς,] ἐπειδὴ καὶ πρὸς ψυχὴν εἶχεν ὑψηλὴν ἤδη γενομένην [καὶ] πάντα θερμῶς δεχομένην τὰ ὑπ' αὐτοῦ παρεσχημένα. εἶτα κατασκευάζει πῶς Κύριος ἁπάντων, ἐπάγει καὶ λέγει· ὃν ἀπέστειλεν εὐαγγελιζόμενος· τουτέστιν, ἐπ' ἀγαθοῖς καλοῦντα, οὐ κρίσιν ἐπάγοντα. ἐντεῦθεν δείκνυσιν, ὅτι οὗτοι ἀπὸ Θεοῦ

Ἰουδαίοις

Ῥωμ. β. ιδ.

χ. τεκμήριον διὰ τοῦτο τοῦ προφ. ἐστάλη παράγει.

χ. ὅρα πῶς πανταχοῦ δ.

χ. ἴδε

χ. αὐτοῖς ἐγχειρίζειν τὸν

χ. ἐνάρετον καὶ ἄληθον, ὅπω

χ. καὶ θαυμαστότερα. ὥπ

χ. -ζόμενος

ἡ ἦλθε, πάλιν μία· καὶ τῇ τετάρτῃ ἑβδόμῃ, ὡς εἶναι δευτέραν· μεθ' ἣν προσηύξατο. καὶ ἰδοὺ ἀνὴρ ἔστη ἐνώπιόν μου ἐν ἐσθῆτι λαμπρᾷ. οὐ λέγει ἄγγελον· οὕτως ἐστὶν ἄτυφος. καί φησι· Κορνήλιε, εἰσηκούσθη σου ἡ προσευχὴ· καὶ αἱ ἐλεημοσύναι σου ἐμνήσθησαν ἐνώπιον τοῦ Θεοῦ.

32 Πέμψον οὖν εἰς Ἰόππην, καὶ μετακάλεσαι Σίμωνα, ὃς ἐπικαλεῖται Πέτρος· οὗτος ξενίζεται ἐν οἰκίᾳ Σίμωνος βυρσέως παρὰ θάλασσαν· ὃς παραγενόμενος λαλήσει σοι.

33 Ἐξ αὐτῆς οὖν ἔπεμψα πρὸς σέ· σύ τε καλῶς ἐποίησας παραγενόμενος. νῦν οὖν πάντες ἡμεῖς ἐνώπιον τοῦ Θεοῦ πάρεσμεν ἀκοῦσαι πάντα τὰ προστεταγμένα σοι ὑπὸ τοῦ Θεοῦ. Διὰ τοῦτο εἶπε, τίνι λόγῳ μετεπέμψασθέ με, ἵνα ταῦτα οὕτως εἴπῃ τὰ ῥήματα. νῦν οὖν πάρεσμεν πάντες ἡμεῖς, φησιν, ἐνώπιον τοῦ Θεοῦ. ὅρα ὅση ἡ πίστις, ὅση ἡ εὐλάβεια. ᾔδει ὅτι οὐδένα ἄνθρωπον εἶπεν ὁ Πέτρος, ὁ Θεὸς ἔδειξέ μοι, εἰπών. διὸ καὶ τὸ, πάρεσμεν ἀκοῦσαι πάντα τὰ προστεταγμένα σοι ὑπὸ τοῦ Θεοῦ, λέγει. τοῦτο καὶ Παῦλος δηλῶν, Οὐ γάρ ἐστι προσωποληψία παρὰ τῷ Θεῷ, λέγει. Ρωμ. β. ια.

34 Ἀνοίξας δὲ Πέτρος τὸ στόμα, εἶπεν· ἐπ' ἀληθείας καταλαμβάνομαι, ὅτι οὐκ ἔστι προσωπολήπτης ὁ Θεός,

35 Ἀλλ' ἐν παντὶ ἔθνει ὁ φοβούμενος αὐτὸν, καὶ ἐργαζόμενος δικαιοσύνην, δεκτὸς αὐτῷ ἐστι. Τουτέστιν, εἴτε ἀκρόβυστός ἐστιν, εἴτε ἐμπερίτομος. τί οὖν; ἄρα δεκτὸς αὐτῷ ἐστιν ὁ ἐν Περσίδι; ἀλλ' εἰ ἄξιος, ταύτῃ δεκτὸς ἔσται τῷ καταξιωθῆναι τῆς πίστεως. ἐντεῦθεν καὶ τὸν ἐξ Αἰθιοπίας εὐνοῦχον οὐ παρεῖδε. καί τι, φησιν, ἂν εἴποις περὶ τῶν θεοσεβῶν καὶ παροφθέντων; ἄπαγε· οὐδεὶς παρορᾶται θεοσεβής. οὐ γάρ ἐστιν, οὐκ ἔστι παροφθῆναί τινα τῶν τοιούτων ποτέ. ὃ δὲ λέγει τοῦτό ἐστιν· ὅτι οὐδένα ἀπωθεῖται. ἀλλ' ἐν παντὶ ἔθνει, φησιν, ὁ φοβούμενος τὸν Θεὸν, καὶ ἐργαζόμενος δικαιοσύνην. δικαιοσύνην, τὴν πᾶσαν ἀρετὴν οὕτω καλεῖ. ὁρᾷς πῶς καταστέλλει αὐτοῦ τὸ φρόνημα, τῷ εἰπεῖν ἐν παντὶ ἔθνει ὁ φοβούμενος τὸν Θεὸν δεκτὸς αὐτῷ ἐστιν; ὡσεὶ ἔλεγεν· οὐδένα ἀπωθεῖται, πάντας προσίεται τοὺς πιστεύοντας. εἶτα ἵνα μὴ δόξωσιν ἐν τάξει ἀπερριμμένων εἶναι, ἐπάγει·

χ. τὸν

χ. ἀποδέχεται

36 Τὸν λόγον ὃν ἀπέστειλε τοῖς υἱοῖς Ἰσραὴλ, εὐαγγελιζόμενος εἰρήνην διὰ Ἰησοῦ Χριστοῦ· οὗτός ἐστι πάντων Κύριος. Ταῦτα λέγει διὰ τοὺς παρόντας, ἵνα καὶ ἐκείνους πείσῃ. διὰ τοῦτο παρασκευάζει καὶ τὸν Κορνήλιον εἰπεῖν. * τὸν λόγον, φησὶν, ὃν ἀπέστειλε τοῖς υἱοῖς Ἰσραήλ. ὅρα, τούτοις δίδωσι πῶς τὸ ἐξαίρετον. Εἶτα καὶ αὐτοὺς μάρτυρας ἐπάγεται λέγων·

χ. εὐαγγελίζων

* οὗτός ἐστι, φησιν, ὁ πάντων κύριος. ὅρα δὲ ἰουδαίους.

37 Ὑμεῖς οἴδατε, φησι, τὸ γενόμενον ῥῆμα καθ' ὅλης τῆς Ἰουδαίας, ἀρξάμενον ἀπὸ τῆς Γαλιλαίας μετὰ τὸ βάπτισμα, ὃ ἐκήρυξεν Ἰωάννης. Ὅτι οὕτως ἔχει, τοῦτο καὶ ἀπὸ τῶν ἑξῆς βεβαιοῖ.

38 Ἰησοῦν τὸν ἀπὸ Ναζαρέθ· ὡς ἔχρισεν αὐτὸν ὁ Θεὸς [ἐν] πνεύματι ἁγίῳ, καὶ δυνάμει. Οὐκ εἶπεν, ἴστε Ἰησοῦν· οὐδὲ γὰρ ᾔδεισαν· ἀλλὰ τὰ ὑπ' αὐτοῦ εἰργασμένα διέξεισιν. Ὃς διῆλθεν εὐεργετῶν καὶ ἰώμενος πάντας τοὺς καταδυναστευομένους ὑπὸ τοῦ διαβόλου. Ἐντεῦθεν δείκνυσι πολλὰς πηρώσεις διαβολικὰς καὶ διαστροφὴν σώματος ὑπ' ἐκείνου γινομένας *. Ὅτι ὁ Θεὸς ἦν μετ' αὐτοῦ. Πάλιν ταπεινὰ φθέγγεται, οὐχ ἁπλῶς οἶμαι, ἀλλὰ διὰ τὸ ἀνθρώπινον.

χ. εἰρημένα φησίν·

* ὥσπερ καὶ ὁ Χριστὸς ἔλεγεν.

39 Καὶ ἡμεῖς ἐσμεν μάρτυρες πάντων ὧν ἐποίησεν ἔν τε τῇ χώρᾳ τῶν Ἰουδαίων, καὶ ἐν Ἱερουσαλήμ. Καὶ ὑμεῖς, φησι, καὶ ἡμεῖς. Ὃν καὶ ἀνεῖλον κρεμάσαντες ἐπὶ ξύλου. Ἐνταῦθα τὸ πάθος κηρύττει. *

* ὃν ἀνεῖλον, φησι, καὶ πάθος ὃ πεπόνθεν

40 Τοῦτον ὁ Θεὸς ἤγειρε τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἔδωκεν αὐτὸν ἐμφανῆ γενέσθαι,

41 Οὐ παντὶ τῷ λαῷ, ἀλλὰ μάρτυσι τοῖς προκεχειροτονημένοις ὑπὸ τοῦ Θεοῦ ἡμῖν, οἵτινες

οἵτινες

Digitized by Google

Μετὰ δὲ ξενίσαι τοὺς ἄνδρας ἐξέρχεται σὺν αὐτοῖς. καλῶς. πρότερον φιλοφρονεῖται, ἅτε ἀπὸ καμάτου ὄντας αὐτοὺς, καὶ οἰκείους ἑαυτῷ, εἶτα λοιπὸν καὶ συνέξεισι. τῇ δὲ ἐπαύριον, φησιν, ἀναστὰς ὁ Πέτρος ἦλθε σὺν αὐτοῖς, καί τινες τῶν ἀδελφῶν. οὐ μόνος, ἀλλὰ καὶ ἄλλοι ἔρχονται μετ' αὐτοῦ· καὶ τοῦτο οἰκονομικῶς, ὥστε εἶναι μάρτυρας μετὰ ταῦτα, ὅτ' ἀπολογεῖσθαι δέοι Πέτρον. ὁ δὲ Κορνήλιος ἦν, φησι, προσδοκῶν αὐτοὺς, συγκαλεσάμενος τοὺς συγγενεῖς αὐτοῦ, καὶ τοὺς ἀναγκαίους φίλους. τοὺς φίλους, τοὺς θεοσεβεῖς ἐν τοῖς τοιούτοις ἀγαθοῖς [πρὸ] πάντων ποιεῖσθαι κοινωνοὺς τοὺς ἀναγκαίους φίλους. εἰκότως τούτους συγκαλεῖ, οἷς ἐθάρρει ἀεὶ, περὶ τοιούτων διασκεπτόμενος μάλιστα, ἃ προσῆκον ἦν πρὸς ἄλλους ἐξενεγκεῖν. ἐμοὶ δὲ καὶ φίλοι καὶ συγγενεῖς παρ' αὐτοῦ δοκοῦσιν ἐρρυθμίσθαι.

χ. ἔπει ἀπολογ. δέῃ

γ. ὅτι ἐπεὶ αὐτὸ τὸ ἀγαθὸν φοβούμενος τοῖς ἄλλοις ἐγχειρῆσαι ἴμ.

25 Ὡς δὲ ἐγένετο εἰσελθεῖν τὸν Πέτρον, συναντήσας αὐτῷ, φησιν, ὁ Κορνήλιος, πεσὼν ἐπὶ τοὺς πόδας προσεκύνησεν.

26 Ὁ δὲ Πέτρος ἤγειρεν αὐτὸν λέγων, ἀνάστηθι. καὶ γὰρ ἐγὼ αὐτὸς ἄνθρωπός εἰμι.

Τοῦτο ποιεῖ, τὸ ταπεινὸν αὐτοῦ δεικνὺς, καὶ παιδεύων τοὺς ἄλλους, καὶ τῷ Θεῷ ἀναφέρειν, καὶ δηλῶν, εἰ καὶ ἐκελεύσθη, * ὅμως οἴκοθεν πολλὴν εἶχε τὴν εὐλάβειαν. τί οὖν ὁ Πέτρος; ἀνάστηθι. καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι. ὁρᾷς πῶς πρὸ τῶν ἄλλων τοῦτο αὐτοὺς παιδεύει, μηδὲν μέγα περὶ ἑαυτῶν φαντάζεσθαι;

* ἀλλ'

27 Καὶ συνομιλῶν αὐτῷ εἰσῆλθε, καὶ εὑρίσκει συνεληλυθότας πολλούς,

28 Ἔφη τε πρὸς αὐτούς· ὑμεῖς ἐπίστασθε, ὡς ἀθέμιτόν ἐστιν ἀνδρὶ Ἰουδαίῳ κολλᾶσθαι ἢ προσέρχεσθαι ἀλλοφύλῳ. Ὅρα, εὐθέως περὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας διαλέγεται, καὶ δείκνυσιν ὅτι μεγάλα αὐτοῖς ἐχαρίσατο ἀγαθά. " οὐ μόνον δὲ τοῦτο θαυμάζειν ἐνταῦθα ἔνι, ὅτι τοιαῦτα διαλέγεται· ἀλλ' ὅτι πῶς ὁμοῦ καὶ μεγάλα φθέγγεται, καὶ μετριάζει. οὐ γὰρ εἶπεν, " ἄνθρωποι μηδένα καταξιοῦντες κολλᾶσθαι ἤλθομεν πρὸς ὑμᾶς· ἀλλὰ τί; ὑμεῖς ἐπίστασθε. ὁ Θεὸς τοῦτο ἐκέλευσέ, φησι, παράνομον εἶναι κολλᾶσθαι ἢ προσέρχεσθαι ἀλλοφύλῳ. Εἶτα ἵνα " μηδεὶς αὐτῷ τὴν χάριν ἔχῃ, τί φησι; Καὶ ἐμοὶ ὁ Θεὸς ἔδειξε μηδένα κοινὸν ἢ ἀκάθαρτον λέγειν ἄνθρωπον. Ἵνα μὴ δόξῃ κολακεύειν αὐτὸν, μηδένα φησὶν ἄνθρωπον.

χ. καὶ ὅρα πῶς ὁμοῦ κ. μ.

χ. ἄνθρωπο

χ. μὴ ἐπ' αὐτῷ τὴν χάριν θῇ, ἐπάγει· Καὶ

29 Διὸ καὶ ἀναντιρρήτως ἦλθον μεταπεμφθείς. Ἵνα μὴ νομίσωσιν ὅτι εἰ καὶ παρανομία ἦν τὸ πρᾶγμα, ἐπεὶ ἄρχων ἦν, διὰ τοῦτο " ὑπήκουσεν, ἀλλὰ τὸ παρὰ τοῦ Θεοῦ λογίσωνται, οὐ μόνον οὐ κολλᾶσθαι, ἀλλ' οὐδὲ προσέρχεσθαι ἔξεστι, φησι.

χ. ἐπήκουσε

Πυνθάνομαι οὖν, τίνι λόγῳ μετεπέμψασθέ με.

Οὐκ ἀγνοῶν πυνθάνεται. ἤδει γὰρ τὸ πᾶν ὁ Πέτρος ἀπὸ τοῦ ὁράματος· ἤκουσε δὲ καὶ παρὰ τοῦ στρατιώτου· ἀλλὰ βούλεται πρότερον αὐτοὺς ὁμολογῆσαι καὶ ὑπευθύνους ποιῆσαι τῇ πίστει. τί οὖν ὁ Κορνήλιος; οὐκ εἶπεν, οὐ γὰρ εἶπόν σοι οἱ στρατιῶται; ἀλλ' ὅρα πῶς πρᾴως καὶ ταπεινῶς.

30 Ἀπὸ τετάρτης ἡμέρας μέχρι ταύτης τῆς ὥρας ἤμην νηστεύων, καὶ τὴν ἐννάτην ὥραν προσευχόμενος ἐν τῷ οἴκῳ μου, καὶ ἰδοὺ ἀνὴρ ἔστη ἐνώπιόν μου ἐν ἐσθῆτι λαμπρᾷ,

31 Καὶ φησι, Κορνήλιε, εἰσηκούσθη " σου ἡ προσευχή· καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ. Καὶ τὴν ἐννάτην ὥραν, φησί, προσευχόμενος. τί ἐστι τοῦτο; ἐμοὶ δοκεῖ καὶ καιροὺς τοὺς ὡρικέναι ἑαυτῷ βίου ἀκριβεστέρου, καὶ ἐν τισὶν ἡμέραις. διὰ γὰρ τοῦτο εἶπεν, ἀπὸ τετάρτης ἡμέρας. ὅρα πόσον ἐστὶν εὐχή. ὅτε ἐπέδωκεν εἰς εὐλάβειαν, τότε φαίνεται αὐτῷ ὁ ἄγγελος. αὕτη μία ἡμέρα· καὶ ἦν " ἀπῆλθον οἱ πεμφθέντες, μία· καὶ ἦν

χ. ἡ δέησίς σου καὶ ἡ προσ. σου

χ. ἦλθον, μία καὶ τῇ τετάρτῃ ἐφάνη. ὡς

Digitized by Google

πόν. μὴ φυτεύσῃς πεύκην, μὴ πίτυν, μηδὲ ἄλλο τι τῶν τοιούτων, τῶν ἀναλισκόντων μὲν, οὐδαμοῦ δὲ χρησίμων. τοιοῦτοι γὰρ οἱ τῶν ἱματίων τρυφῶντες· ἰδεῖν μόνον καλὸν, οὐδαμοῦ δὲ χρήσιμον. ἀναδενδράδων πλήρωσον· πάντα τὰ κάρπιμα φύτευσον ἐν ταῖς τῶν πενήτων χερσὶν, ἅπερ ἂν θέλῃς. οὐδὲν ταύτης λιπαρώτερον τῆς γῆς. καίτοι μικρόν ἐστι τὸ διάστημα τῆς χειρός, ἀλλ' ὅμως πρὸς αὐτὸν φθάνει τὸν οὐρανὸν τὸ φυτευόμενον δένδρον, καὶ βέβαιον ἕστηκε. τοῦτό ἐστι φυτεῦσαι. τὰ μὲν γὰρ φυτευόμενα ἐν τῇ γῇ, κἂν μὴ νῦν, μετὰ ἑκατὸν ἔτη ἀπόλλυται. τί φυτεύεις δένδρα, ὧν οὐκ ἀπολαύσῃ, ἀλλὰ πρὶν ἢ ἀπολαύσῃς, ὁ θάνατος ἐπελθὼν ἀφαρπάζει σε; τοῦτο τὸ δένδρον, ὅταν ἀποθάνῃς, τότε σοι δίδωσι τὸν καρπόν. εἰ φυτεύεις, μὴ ἐν τῇ τῆς γαστριμαργίας φυτεύσῃς κοιλίᾳ, ἵνα μὴ εἰς ἀφεδρῶνα ὁ καρπὸς ἐμβῇ· ἀλλὰ φύτευσον ἐν τεθλιμμένῃ ὀδύνῃ, ἵνα πέμψῃ πρὸς τὸν οὐρανὸν ὁ καρπός. ἀνάπαυσον τὴν συνεχομένην ψυχὴν τὴν τοῦ πένητος, ἵνα μὴ τὴν εὐρυχωρίαν θλίψῃς τὴν σήν. οὐχ ὁρᾷς ὅτι τὰ ποτιζόμενα τῶν δένδρων ἀμέτρως ἀπὸ τῆς ῥίζης σήπεται· τὰ δὲ μετὰ συμμετρίας αὔξεται; οὕτω δὴ καὶ σὺ μὴ τὴν σαυτοῦ ποτίσῃς ἀμέτρως γαστέρα, ἵνα μὴ σαπῇ ἡ ῥίζα τοῦ δένδρου. πότισον τὴν διψῶσαν, ἵνα καρπὸν ἐνέγκῃ· τὰ συμμέτρως ποτιζόμενα οὐ σήπει ὁ ἥλιος· τὰ δὲ ἀμέτρως, σήπει. τοιαύτη γὰρ ἡ τοῦ ἡλίου φύσις. πανταχοῦ ἡ ἀμετρία κακόν. ἐξ ὕψους ἐκβάλλωμεν αὐτὴν, ἵνα καὶ ἡμεῖς τύχωμεν ὧν αἰτοῦμεν. ἐν τοῖς ὑψηλοτάτοις χωρίοις αἱ πηγαὶ λέγονται ἐκπηδᾷν. οὐκοῦν γενώμεθα ὑψηλοὶ καὶ ἡμεῖς τὴν ψυχὴν, καὶ ταχέως ἡ ἐλεημοσύνη ῥεύσει. οὐ γάρ ἐστι τὴν ὑψηλὴν ψυχὴν μὴ καὶ ἐλεήμονα εἶναι, καὶ τὴν ἐλεήμονα μὴ καὶ ὑψηλήν. ὁ γὰρ τῶν χρημάτων ὑπερορῶν, τῆς ῥίζης ἀνώτερός ἐστι τῶν κακῶν. αἱ πηγαὶ ἐν ἐρημίαις εἰσὶν ὡς τὰ πολλά· καὶ ἡμεῖς τὴν ψυχὴν τῆς πολυοχλίας ἐξαγάγωμεν, καὶ πηγάσει παρ' ἡμῖν ἡ ἐλεημοσύνη. αἱ πηγαὶ ὅσῳ ἂν καθαίρωνται, ἀφθονώτεραι γίνονται· οὕτω δὴ καὶ ἡμεῖς, ὅσῳ ἀναλώσωμεν, τοσούτῳ βλαστάνει τὰ καλά. ὁ πηγὴν ἔχων, οὐ δέδοικεν· ἂν τοίνυν καὶ ἡμεῖς ἔχωμεν τὴν ἐλεημοσύνης πηγὴν, οὐ φοβηθησόμεθα. καὶ γὰρ πρὸς ποτὸν, πρὸς ἀρδείαν, πρὸς οἰκοδομὴν, πρὸς πάντα ἡμῖν χρήσιμος αὕτη ἡ πηγή. οὐδὲν τοῦ πόματος τούτου βέλτιον. οὐκ οἶδεν αὕτη μίασμα ἐργάσασθαι· βέλτιον τοιαύτην ἔχειν πηγὴν, ἢ χρυσοῦ πηγὰς ἐπιρρεῖν. πάσης χρυσίτιδος γῆς βελτίων ἡ τοῦτον φέρουσα τὸν χρυσὸν ψυχή. οὐ γὰρ εἰς τὰ βασίλεια, ἀλλὰ τὰ ἄνω ἡμῖν συνεχωρεῖ. ὁ χρυσὸς, κόσμος γίνεται τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ· ἀπὸ τούτου τοῦ χρυσοῦ ἡ μάχαιρα κατασκευάζεται τοῦ πνεύματος, ἡ μάχαιρα, δι' ἧς ὁ δράκων ἀποτέμνεται. ἀπὸ ταύτης τῆς πηγῆς οἱ λίθοι προέρχονται οἱ τίμιοι, οἱ περὶ τὴν κεφαλὴν τοῦ βασιλέως. μὴ δὴ ἀμελῶμεν τοσούτου πλούτου, ἀλλ' εἰσφέρωμεν τὴν ἐλεημοσύνην μετὰ δαψιλείας, ἵνα τῆς παρὰ τοῦ Θεοῦ φιλανθρωπίας ἀξιωθῶμεν, χάριτι καὶ οἰκτιρμοῖς τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ, ᾧ πᾶσα δόξα, τιμὴ καὶ κράτος, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

χ φέρ[illegible]
κ συγχωρεῖ

Λόγ. κγ. 23 ΤΗ ΔΕ ΕΠΑΥΡΙΟΝ ΑΝΑΣΤΑΣ [ΦΗΣΙΝ] Ο Πέτρος ἐξῆλθε σὺν αὐτοῖς, καί τινες τῶν ἀδελφῶν τῶν ἀπὸ Ἰόππης συνῆλθον αὐτῷ, 24 Καὶ τῇ ἐπαύριον εἰσῆλθον εἰς τὴν Καισάρειαν. ὁ δὲ Κορνήλιος ἦν προσδοκῶν αὐτοὺς, συγκαλεσάμενος τοὺς συγγενεῖς αὐτοῦ καὶ τοὺς ἀναγκαίους φίλους.



Digitized by Google

24 Ὁ δὲ Κορνήλιος ἦν προσδοκῶν αὐτούς, φησί, συγκαλεσάμενος τοὺς συγγενεῖς αὐτοῦ καὶ τοὺς ἀναγκαίους φίλους. Εἰκότως. οὐ γὰρ δίκαιον ἦν καὶ τοὺς συγγενεῖς καὶ τοὺς φίλους μὴ συνεπάγεσθαι. ἄλλως δὲ καὶ ἐκεῖνος ἐφρόντισε μᾶλλον αὐτοὺς ἀκοῦσαι ἄν. Εἴδετε πόση τῆς ἐλεημοσύνης ἡ δύναμις, καὶ ἐν τῇ προτέρᾳ διαλέξει, καὶ ἐνταῦθα; ἐκείνη θανάτου ἀπήλλαξε τοῦ προσκαίρου*. αὕτη τοῦ αἰωνίου, καὶ θύρας ἀνέῳξεν οὐρανοῦ. ὅρα δὲ πῶς παρὰ πολλοῦ γέγονε τὸ πιστεῦσαι Κορνήλιον, ὡς καὶ ἄγγελον πεμφθῆναι, καὶ πνεῦμα ἐνεργῆσαι, καὶ τὸν κορυφαῖον μεταπεμφθῆναι τῶν ἀποστόλων, καὶ ὄψιν φανῆναι τοιαύτην, καὶ μηδὲν ὅλως ἐλλειφθῆναι. πόσοι ἦσαν ἑκατόνταρχοι καὶ χιλίαρχοι καὶ βασιλεῖς, καὶ οὐδεὶς τούτων ἐπέτυχεν ὧν οὗτος; ἀκούσατε πάντες ὅσοι ἐν στρατιαῖς ἐστέ, ὅσοι βασιλεῦσι παρεστήκατε. Εὐσεβὴς ἦν, φησί, καὶ φοβούμενος τὸν Θεόν, καὶ τὸ μεῖζον, ὅτι τοιοῦτος ἦν μετὰ παντὸς τοῦ οἴκου αὐτοῦ. οὕτως ἦν συγκεκροτημένος πρὸς τοῦτο καὶ διακείμενος, ὡς μὴ μόνον εὖ τιθέναι τὰ οἰκεῖα, ἀλλὰ καὶ ἐπὶ τῆς οἰκετείας τὸ αὐτὸ τοῦτο ποιεῖν. οὐ γὰρ ὡς ἡμεῖς, οἳ, ὅπως μὲν ἡμῖν φοβεροὶ οἱ ὑπηρετοῦντες ὦσι, πάντα ποιοῦμεν· ὅπως δὲ εὐλαβεῖς, οὐκέτι. ἀλλ' οὗτος, οὐχ οὕτως· ἀλλὰ μετὰ τῆς οἰκίας ἁπάσης τὸν Θεὸν ἐφοβεῖτο· οὐ μόνον ὥσπερ κοινὸς πατὴρ πάντων τῶν μετ' αὐτοῦ ὤν, ἀλλὰ καὶ τῶν ὑπ' αὐτὸν στρατιωτῶν. ἄκουε δὲ καὶ τί φασιν ἐπερωτ. ἀναγκαίως γὰρ προστέθειται τό, μαρτυρούμενος ὑπὸ ὅλου τοῦ ἔθνους, ἵνα μηδεὶς εἴπῃ, τί γὰρ εἰ ἀκρόβυστος ἦν; ἀλλ' ἐκεῖνοι, φησι, μαρτυροῦσιν αὐτῷ.

ΗΘΙΚΟΝ

Ἆρα οὐδὲν ἐλεημοσύνης ἴσον [μᾶλλον δὲ οὕτω] μεγάλη τοῦ πράγματος ἡ ἰσχύς, ὅταν ἐκ καθαρῶν προσχέηται ταμιείων, ὡς τά γε προσχεόμενα ἐξ ἀδίκων βορβόρῳ ἔοικεν ἀφιείσῃ πηγῇ· τὰ δὲ ἐκ δικαίων κερδῶν, καθάπερ νᾶμα διειδές τι καὶ καθαρὸν ἐν παραδείσῳ, ἡδὺ μὲν ἰδεῖν, ἡδὺ δὲ ἅψασθαι, κοῦφόν τι καὶ ψυχρὸν ἐν μεσημβρίᾳ διδόμενον· οὕτως ἐστὶν ἡ ἐλεημοσύνη. παρὰ ταύτην τὴν πηγὴν οὐκ αἴγειροι καὶ πίτυες, οὐδὲ κυπάριττοι, ἀλλ' ἕτερα τούτων πολλῷ βελτίω φυτὰ εὐμήκη εἰσί· φιλία Θεοῦ· ἔπαινος ἀνθρώπων· δόξα ἡ εἰς Θεόν· εὔνοια παρὰ πάντων· ἁμαρτημάτων ἀφανισμός· παρρησία πολλή· χρημάτων καταφρονία, [ἐλεημοσύνη,] δι' ἧς τῆς ἀγάπης τὸ φυτὸν τρέφεται. οὐδὲν γὰρ οὕτως ἀγάπην τρέφειν εἴωθεν, ὡς τὸ ἐλεήμονα εἶναί τινα. αὕτη τοὺς κλάδους εἰς ὕψος αἴρεσθαι ποιεῖ. αὕτη βελτίων ἡ πηγὴ τῆς ἐν τῷ παραδείσῳ, οὐκ εἰς τέσσαρας ἀρχὰς διαιρουμένη, ἀλλ' εἰς τὸν οὐρανὸν αὐτὸν ἀφικνουμένη. αὕτη τίκτει τὸν ποταμὸν ἐκεῖνον τὸν ἁλλόμενον εἰς ζωὴν αἰώνιον· εἰς ταύτην θάνατος ἐμπεσών, καθάπερ σπινθὴρ ἀναλίσκεται ἀπὸ τῆς πηγῆς. οὕτως ὅπου περ ἂν ἐπισάξῃ, μεγάλα ἐργάζεται ἀγαθά. αὕτη τοῦ πυρὸς τὸν ποταμὸν σβέννυσιν ὡς σπινθῆρα· αὕτη τὸν σκώληκα οὕτως ἀποπνίγει ὡς οὐδέν. ὁ ταύτην ἔχων, οὐ βρύχει τοὺς ὀδόντας. ἀπὸ τοῦ ὕδατος ταύτης ἂν ἐπισάξῃ εἰς τὰ δεσμά, διαιρεῖ αὐτά· κἂν εἰς τὴν κάμινον ἐμπέσῃ, πᾶσαν σβέννυσιν. ὥσπερ οὖν ἡ ἐν τῷ παραδείσῳ πηγή, οὐ νῦν μὲν προσχεῖ νάματα, νῦν δὲ ξηραίνεται (ἐπεὶ οὐκ ἂν εἴη λοιπὸν πηγή) ἀλλ' ἀεὶ ἀναβλύζει· οὕτω καὶ ἡ ἡμετέρα ἀεὶ δαψιλέστερον προσχείτω τὸ νᾶμα πρὸς τοὺς μάλιστα ἐπιδεομένους ἐλέους, ἵνα μένῃ πηγή. τοῦτο ἱλαρὸν ποιεῖ τὸν λαμβάνοντα· τοῦτο ἐλεημοσύνη, μὴ σφοδρὸν μόνον προσχεῖσθαι τὸ νᾶμα, ἀλλὰ καὶ διηνεκές. Εἰ βούλει, ὥσπερ ἐκ πηγῶν, σοι ἐπομβρεῖν τοῦ Θεοῦ τὸν ἔλεον, καὶ σὺ πηγὴν ἔχε. οὐδὲν ταύτης ἴσον. ἂν σὺ ταύτης τῆς πηγῆς ἀνοίξῃς τὰ στόματα, τῆς πηγῆς τοῦ Θεοῦ τοιαῦτα ἔσται τὰ στόματα, ὥστε πᾶσαν ἄβυσσον νικῆσαι. ἀφορμὴν ζητεῖ μόνον παρ' ἡμῶν λαβεῖν ὁ Θεός, καὶ προσχεῖται ἐκ τῶν ταμιείων αὐτοῦ τὰ ἀγαθά. ὅταν ἀναλίσκῃ, ὅταν δαπανᾷ, τότε πλουτεῖ, τότε εὐπορεῖ. μέγα ἐκείνης τὸ στόμα τῆς πηγῆς, καθαρὸν τὸ αὐτῆς νᾶμα καὶ διειδές. ἂν μὴ ταύτην ἀποφράξῃς, οὐδὲ ἐκείνην. μηδὲν ἄκαρπον ἐχέτω παρ' αὐτὴν δένδρον, ἵνα μὴ τὴν νοτίδα αὐτῆς καταναλώσῃ. ἔχεις χρήματα; μὴ φύτευε αἰγείρους ἐκεῖ. τοιοῦτον γὰρ ἡ τρυφή· πολλὰ ἀναλίσκει, καὶ οὐδὲν δείκνυσιν ἐν ἑαυτῇ, ἀλλὰ ἀπόλλυσι τὸν καρπόν.

χ. συγκαλ.
χ. ἀλλ' ἐκεῖ ἐφρόντισε αὐτοῦ
* καὶ τοῦ αἰωνίου.
χ. ποιεῖ τὸ πνεῦμα ἐπιστεῦσαι
χ. φασι καὶ αὐτούς.
χ. καὶ
χ. ταμιείων
Γεν. β. ι.
Ιωαν. δ. ιδ.
χ. αὕτη ἡ πηγὴ ἡ νῦν μὲν προσχεῖ νάματα, νῦν δὲ ξηραίνεται.

ψασθαί σε εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἀκοῦσαι ῥήματα παρὰ σοῦ. Λέγουσι τὰ ἐγκώμια, ὥστε πεῖσαι ὅτι καὶ ἄγγελος ὤφθη αὐτῷ.

23 Εἰσκαλεσάμενος οὖν αὐτοὺς ἐξένισεν. Ὁρᾷς πόθεν ἡ ἀρχὴ γέγονε τῶν ἐθνῶν; ἀπὸ ἀνδρὸς εὐσεβοῦς, ἀξίου φανέντος ἀπὸ τῶν ἔργων. Εἰ γὰρ καὶ τοῦτο γέγονε, καὶ ὅμως σκανδαλίζονται· εἰ μὴ τοῦτο ἦν, τί οὐκ ἂν εἶπον Ἰουδαῖοι; Εἰσκαλεσάμενος οὖν, φησὶν, αὐτοὺς ἐξένισε. Θέα πόσην ἀσφάλειαν, ὥστε μηδὲν αὐτοὺς παθεῖν δεινόν. Εἰσκαλεῖται, καὶ μετὰ παρρησίας λοιπὸν συνδιαιτᾶται*.

* καὶ ἦλθον σὺν αὐτῷ.

24 Τῇ δὲ ἐπαύριον ἀναστὰς ὁ Πέτρος ἐξῆλθε σὺν αὐτοῖς, καί τινες τῶν ἀδελφῶν τῶν ἀπὸ Ἰόππης συνῆλθον αὐτῷ, καὶ τῇ ἐπαύριον εἰσῆλθον εἰς τὴν Καισάρειαν.

Ἐπίσημος ἦν ὁ ἀνὴρ, καὶ ἐν ἐπισήμῳ πόλει τυγχάνων. Διὸ καὶ ἐπ' αὐτῷ πάντα ὁμοῦ οἰκονομεῖται, καὶ ἀπὸ τῆς Ἰουδαίας ἀρχὴν λαμβάνει τὸ πρᾶγμα· δεῖ τὸ μὴ ὑπονοῶν τι ὀφθῆναι, ἀλλ' ἐγρηγορότι· τὸ ἐν ἡμέρᾳ, περὶ ἐνάτην γὰρ ὥραν· οὕτως ἑαυτῷ προσεῖχεν. Ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. Καὶ εἶπεν ὁ ἄγγελος, αἱ εὐχαί σου καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ. Ἐντεῦθεν δῆλον, ὅτι διὰ φωνῆς ἐκάλεσεν ὁ ἄγγελος, καὶ οὕτως εἶδεν αὐτόν. Ὡς εἰ μὴ ἐκάλεσεν, οὐδ' ἂν εἶδεν· οὕτω συντεταμένος ἦν ἀπὸ τοῦ πράγματος, ἐν ᾧ ἦν. Καὶ μετάπεμψαι Σίμωνα τὸν καλούμενον Πέτρον. Πῶς ὅτι ἐπὶ χρηστοῖς αὐτὸν μετακαλέσεται, ἐδήλωσε· ποίοις δὲ χρηστοῖς, οὐκ ἔτι. Οὕτως οὐδὲ Πέτρος λέγει τὸ πᾶν· ἀλλὰ πανταχοῦ ἐκ μέρους τὰ διηγήματα, ὥστε διεγείρειν τοὺς ἀκούοντας. Οὕτω καὶ Φίλιππον καλεῖ μόνον εἰς τὴν ἔρημον. Ἀνέβη δὲ Πέτρος ἐπὶ τὸ δῶμα προσεύξασθαι περὶ ὥραν ἕκτην, καὶ ἔπεσεν ἐπ' αὐτὸν ἔκστασις, καὶ θεωρεῖ σκεῦός τι ὡς ὀθόνην. Σκόπει ὅτι οὐδὲ ἡ πεῖνα ἠνάγκασεν αὐτὸν προσδραμεῖν τῇ σινδόνι. Ἵνα δὲ μὴ ἐν πλείονι ἀπορίᾳ ὁ Πέτρος ᾖ, ἀκούει λεγούσης φωνῆς· ἀναστὰς Πέτρε, θῦσον, καὶ φάγε. Ἴσως ἐπὶ γόνατα κείμενος εἶδε τὴν ὀπτασίαν. Ἐμοὶ δοκεῖ διὰ τὸ κήρυγμα ταύτην ἑωρακέναι. Ὅτι δὲ καὶ θεῖον ἦν τὸ γινόμενον, δῆλον ἔκ τε τοῦ ἄνωθεν ἰδεῖν καταβαῖνον, ἔκ τε τοῦ ἐν ἐκστάσει γενέσθαι. Ἔτι δὲ καὶ φωνὴν ἐκεῖθεν ἐνεχθῆναι, καὶ τὸ τρὶς τοῦτο γενέσθαι, καὶ τὸ οὐρανὸν ἀνεῳχθῆναι, καὶ τὸ ἐκεῖθεν ἥκειν, καὶ τὸ ἐκεῖ ἀναρπασθῆναι πάλιν, μέγα δεῖγμα τοῦ θεῖον εἶναι τὸ πρᾶγμα. Διὰ τί δὲ τοῦτο γέγονε; διὰ τὸ μετὰ ταῦτα, οἷς μέλλει ἐξηγεῖσθαι. Ἐπεὶ αὐτὸς ἤδη ἀκηκοὼς ἦν, ὅτι εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε. Καὶ μὴ θαυμάσῃς. Εἰ γὰρ περιτομῆς ἐδεήθη καὶ θυσίας Παῦλος, πολλῷ μᾶλλον τότε ἐν ἀρχῇ τοῦ κηρύγματος, ἀσθενεστέρων ὄντων αὐτῶν, τούτων ἔδει.* Καὶ ἰδοὺ οἱ ἄνδρες, φησὶν, οἱ ἀπεσταλμένοι ἀπὸ τοῦ Κορνηλίου ἐπέστησαν ἐπὶ τὸν πυλῶνα, καὶ φωνήσαντες ἐπυνθάνοντο εἰ Σίμων ὁ ἐπικαλούμενος Πέτρος, ἐνθάδε ξενίζεται. Ἅτε ὡς εὐτελῆ οἰκίαν, κάτωθεν ἐπυνθάνοντο, οὐ τοὺς γείτονας ἠρώτων. Τοῦ δὲ Πέτρου διενθυμουμένου, εἶπεν αὐτῷ τὸ πνεῦμα· ἀναστὰς κατάβηθι καὶ πορεύου μηδὲν διακρινόμενος, διότι ἐγὼ ἀπέσταλκα αὐτούς. Ὅρα· οὐκ εἶπε, διὰ γὰρ τοῦτο τὸ ὅραμά σοι ὤφθη· ἀλλ', ἐγὼ αὐτοὺς ἀπέσταλκα, δεικνὺς ὅτι οὕτω δεῖ τῷ πνεύματι πείθεσθαι, εὐθέως οὐκ ἀπαιτοῦντα. Ἀρκεῖ γὰρ τοῖς πᾶσι πληροφορίαν τὸ ἀκοῦσαι παρ' αὐτοῦ, τόδε ποίησον, τόδε λάλησον, καὶ μηδὲν πλέον ζητεῖν. Καταβὰς δὲ Πέτρος εἶπεν· ἰδοὺ ἐγώ εἰμι, ὃν ζητεῖτε*. Τί δήποτε οὐκ εὐθέως αὐτοὺς ἐδέξατο, ἀλλὰ πυνθάνεται; εἶδε στρατιώτας ὄντας τοὺς ἐπιστάντας. Διὸ οὐχ ἁπλῶς ἐρωτᾷ, ἀλλὰ πρότερον ὁμολογήσας αὐτὸς εἶναι, τότε τὴν αἰτίαν πυνθάνεται τῆς ἀφίξεως, ἵνα μὴ νομισθῇ διὰ τοῦτο πυνθάνεσθαι, ὡς δὴ θέλων ἑαυτὸν κατακρύψαι. Καὶ πυνθάνεται, ἵνα ἂν μὲν εὐθέως κατεπείγῃ, καὶ συνεξέλθῃ· ἂν δὲ μὴ, ἵνα ξενίσῃ. Τίνος δὲ ἕνεκεν ἐκεῖνοι λέγουσι, μεταπέμπεταί σε εἰς τὸν οἶκον αὐτοῦ, ὃ ἦν τοῦτο αὐτοὺς ἐκέλευσε. Τάχα δὲ καὶ ὡς ἀπολογούμενοι ὑπὲρ αὐτοῦ μονονουχὶ λέγουσι, μηδὲν καταγνῷς· οὐχ ὡς καταφρονῶν ἔπεμψεν, ἀλλ' ἐκελεύσθη οὕτως.

13 Καὶ ἐγένετο φωνὴ πρὸς αὐτόν· ἀναστὰς Πέτρε, θῦσον καὶ φάγε.

14 Ὁ δὲ Πέτρος εἶπε· μηδαμῶς, Κύριε, ὅτι οὐδέποτε ἔφαγον πᾶν κοινὸν ἢ ἀκάθαρτον.

15 Καὶ φωνὴ πάλιν ἐκ δευτέρου πρὸς αὐτόν· ἃ ὁ Θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου.

16 Τοῦτο δὲ ἐγένετο ἐπὶ τρίς, καὶ πάλιν ἀνελήφθη τὸ σκεῦος εἰς τὸν οὐρανόν. Τί ποτε τοῦτό ἐστι; σύμβολον τῆς οἰκουμένης ἁπάσης τὸ πρᾶγμα γέγονεν. ὁ ἄνθρωπος ἀκρόβυστος ἦν, οὐδὲν κοινὸν εἶχε πρὸς Ἰουδαίους. ἐπεὶ οὖν ἔμελλον αὐτοῦ κατηγορεῖν ἅπαντες, ὡς παραβάτου, [καὶ] τοῦτο πάνυ αὐτοῖς προσίστατο, ἀναγκαίως οἰκονομεῖται εἰπεῖν, οὐδέποτε ἔφαγον· οὐχὶ αὐτὸς δεδοικώς, (μὴ γένοιτο) ἀλλ' ὑπὸ τοῦ πνεύματος, ὡς ἔφην, οἰκονομούμενος, ἵν' ἔχῃ ἀπολογίαν πρὸς τοὺς ἐγκαλοῦντας, ὅτι καὶ αὐτὸς εἶπε. πάνυ γὰρ αὐτοῖς ἔμελε τοῦ τὸν νόμον φυλάττεσθαι. εἰς ἔθνη ἐπέμπετο. ἵνα οὖν μὴ καὶ οὗτοι αὐτοῦ κατηγορῶσιν, ὡς ἔφθην εἰπών, ταῦτα οἰκονομεῖται· ἢ καὶ ἵνα μὴ δόξῃ φαντασία τις εἶναι. Εἶπε, μηδαμῶς, Κύριε, ὅτι οὐδέποτε ἔφαγον κοινὸν ἢ ἀκάθαρτον. ἐγένετο δὲ φωνὴ πρὸς αὐτόν· ἃ ὁ Θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου. τοῦτο δοκεῖ μὲν πρὸς αὐτὸν λέγεσθαι· τὸ δὲ πᾶν πρὸς Ἰουδαίους λέγεται. εἰ γὰρ ὁ διδάσκαλος ἐπιτιμᾶται, πολλῷ μᾶλλον οὗτοι. ἡ οὖν σινδών, τοῦτό ἐστιν ἡ γῆ· τὰ δὲ ἐν αὐτῇ θηρία, οἱ ἐξ ἐθνῶν· τὸ δέ, θῦσον, καὶ φάγε, ὅτι κἀκείνοις δεῖ προσιέναι· τὸ δὲ τρίτον οὕτω γενέσθαι, τὸ βάπτισμα δηλοῖ. — μηδαμῶς, Κύριε· οὐδέποτε ἔφαγον κοινὸν ἢ ἀκάθαρτον. * Καὶ διὰ τί, φησίν, ἀντεῖπεν; ἵνα μή τις εἴπῃ, ὅτι ἐπείραζεν ὁ Θεὸς αὐτόν, ὥσπερ ἐπὶ τοῦ Ἀβραάμ, ὅτε ἐκέλευε τὸν υἱὸν θυσίαν ἀνενεγκεῖν· ὡς ἐπὶ τοῦ Φιλίππου, ὅτε πόσους ἄρτους ἔχετε ὑπὸ τοῦ Χριστοῦ ἠρωτήθη· οὐχ ἵνα μάθῃ, ἀλλὰ πειράζων αὐτόν. καὶ μὴν ἐν τῷ νόμῳ περὶ καθαρῶν καὶ ἀκαθάρτων διεστείλατο Μωϋσῆς, τῶν τε ἐν γῇ, τῶν τε ἐν θαλάσσῃ· καὶ ὅμως οὐδὲ οὕτως ᾔδει.

χ προσίστατο. ἀναγκαῖον τὸ οἰκονομεῖται· καὶ αὐτὸς λέγει, οὐδέποτε καὶ αὐτοῦ ἰδεῖν τὸν νόμον φυλάττεσθαι. εἰς

* πολλὰ ἐπίλμα.

17 Ὡς δὲ ἐν αὐτῷ διηπόρει ὁ Πέτρος, τί ἂν εἴη τὸ ὅραμα ὃ εἶδε, καὶ ἰδοὺ οἱ ἄνδρες οἱ ἀπεσταλμένοι ἀπὸ τοῦ Κορνηλίου, διερωτήσαντες * τὴν οἰκίαν τοῦ Σίμωνος, ἐπέστησαν ἐπὶ τὸν πυλῶνα,

* καὶ μαθόντες

18 Καὶ φωνήσαντες, ἐπυνθάνοντο εἰ Σίμων ὁ ἐπικαλούμενος Πέτρος, ἐνθάδε ξενίζεται. Θαμβουμένῳ καθ' ἑαυτὸν καὶ διαπορουμένῳ τῷ Πέτρῳ ἔρχονται οἱ ἄνδρες εὐκαίρως τὴν ἀπορίαν λύοντες. ἐπεὶ καὶ τὸν Ἰωσὴφ πρότερον εἴασε θορυβηθῆναι*, καὶ τότε τὸν ἄγγελον πέμπει. εὐκόλως γὰρ ἡ ψυχὴ δέχεται τὴν λύσιν, πρότερον ἐν ἀπορίᾳ γενομένη.
Ματθ. β. 17. οὔτε [οὖν] ἐπὶ πολὺ γέγονεν αὐτῷ τὰ τῆς ἀπορίας, οὔτε πρὸ τούτου, ἀλλὰ περὶ τὸν καιρὸν τὸν ἄριστον.

* ὁ Χριστὸς κ. ἄγγελον

19 Τοῦ δὲ Πέτρου διενθυμουμένου περὶ τοῦ ὁράματος, εἶπεν αὐτῷ τὸ πνεῦμα· ἰδοὺ ἄνδρες τρεῖς ζητοῦσί σε.

20 Ἀλλὰ ἀναστάς, κατάβηθι καὶ πορεύου σὺν αὐτοῖς μηδὲν διακρινόμενος, διότι ἐγὼ ἀπέσταλκα αὐτούς. Καὶ πάλιν τοῦτο ἀπολογία Πέτρου πρὸς τοὺς μαθητάς, ἵνα μάθωσιν ὅτι καὶ διεκρίθη, καὶ ἐπαιδεύθη μηδὲν διακρίνεσθαι. ὅτι ἐγώ, φησίν, αὐτοὺς ἀπέσταλκα. ὅρα ὅση τοῦ πνεύματος ἡ ἐξουσία. ὃ γὰρ ποιεῖ ὁ Θεός, τοῦτο λέγεται τὸ πνεῦμα ποιεῖν. ὁ μὲν οὖν ἄγγελος οὐχ οὕτως· ἀλλὰ πρότερον εἰπών, αἱ εὐχαί σου καὶ αἱ ἐλεημοσύναι σου, [τότε φησίν, ἀπόστειλον,] ἵνα δείξῃ ὅτι ἐκ Θεοῦ ἀπέσταλται· τὸ δὲ πνεῦμα, ἐπεὶ κύριον, ἐγὼ αὐτοὺς ἀπέσταλκα.

κ. γὰρ

21 Καταβὰς δὲ ὁ Πέτρος πρὸς τοὺς ἄνδρας * εἶπεν· ἰδοὺ ἐγώ εἰμι ὃν ζητεῖτε· τίς ἡ αἰτία δι' ἣν πάρεστε;

* τοὺς ἀπεσταλμένους ἀπὸ Κορνηλίου

22 Οἱ δὲ εἶπον· Κορνήλιος ὁ ἑκατοντάρχης, ἀνὴρ δίκαιος καὶ φοβούμενος τὸν Θεόν, μαρτυρούμενός τε ὑπὸ ὅλου τοῦ ἔθνους τῶν Ἰουδαίων, ἐχρηματίσθη ὑπὸ ἀγγέλου ἁγίου μεταπέμψασθαί

Παῦλον προσταχθῆναι ἔδει, οὐδαμοῦ ἄγγελος, ἀλλ' αὐτὸς ὁ Κύριος φαίνεται· οὐδὲ πέμπει αὐτὸν πρὸς ἕνα τινὰ τῶν δώδεκα, ἀλλὰ πρὸς Ἀνανίαν. ἐνταῦθα δὲ τοὐναντίον· τὸν κορυφαῖον ἄγει, ὥσπερ Φίλιππον πρὸς τὸν εὐνοῦχον, συγκαταβαίνων αὐτῶν τῇ ἀσθενείᾳ, καὶ διδάσκων πῶς χρήσασθαι δεῖ τοῖς τοιούτοις. ἐπεὶ καὶ ὁ Χριστὸς αὐτὸς ἀπιὼν φαίνεται πολλάκις πρὸς τοὺς κακῶς πάσχοντας, καὶ δι' ἑαυτῶν προσιέναι μὴ δυναμένους. θέα δέ μοι καὶ ταῦτα πάλιν ἐλεημοσύνης ἄλλο ἐγκώμιον, ὥσπερ ἐκεῖ διὰ τῆς Ταβιθᾶς. ἀνήρ, φησιν, εὐσεβὴς καὶ φοβούμενος τὸν Θεὸν σὺν παντὶ τῷ οἴκῳ αὐτοῦ. ἀκουσάτωσαν ὅσοι τῶν οἰκείων ἀμελοῦμεν· ἐκεῖνος δὲ καὶ στρατιωτῶν ἐπεμελεῖτο, ποιῶν τε ἐλεημοσύνας παντὶ τῷ λαῷ. οὕτω καὶ τὰ δόγματα, καὶ ὁ βίος αὐτῷ διώρθωτο. Εἶδεν ἐν ὁράματι φανερῶς, ὡσεὶ ὥρα ἐννάτῃ τῆς ἡμέρας, ἄγγελον Θεοῦ εἰσελθόντα πρὸς αὐτόν, καὶ εἰπόντα αὐτῷ, Κορνήλιε. Διὰ τί βλέπει τὸν ἄγγελον; καὶ τοῦτο εἰς πληροφορίαν Πέτρου· μᾶλλον δὲ οὐκ ἐκείνου, ἀλλὰ τῶν ἄλλων τῶν ἀσθενεστέρων. ἐννάτη δὲ ὥρα, ὅτε φροντίδων ἠφίετο καὶ ἐν ἡσυχίᾳ ἦν, ὅτε ἐν εὐχαῖς καὶ ἐν κατανύξει. ἀτενίσας δὲ αὐτῷ καὶ ἔμφοβος γενόμενος εἶπεν. ὅρα τὸν ἄγγελον οὐκ εὐθέως λέγοντα ἃ λέγει, ἀλλὰ πρότερον λύοντα τὸν φόβον, καὶ τὴν διάνοιαν αὐτοῦ μετεωρίζοντα. καὶ γὰρ ἀπὸ τῆς ὄψεως φόβος ἐγένετο· ἀλλὰ φόβος σύμμετρος, ὅσον ἐπιστρέψαι μόνον. εἶτα τὰ ῥήματα τὸν φόβον ἔλυσε· μᾶλλον δὲ ὁ δι' αὐτῶν ἔπαινος τὸ τοῦ φόβου τραχὺ κατέλυεν. ἄκουε δὲ καὶ οἷα τὰ ῥήματα. αἱ εὐχαί σου καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ.

5 Νῦν οὖν πέμψον εἰς Ἰόππην ἄνδρας, καὶ μετακάλεσαι Σίμωνα, ὃς ἐπικαλεῖται Πέτρος. Ἵνα μὴ ἐπ' ἄλλον ἔλθωσιν, οὐκ ἀπὸ τοῦ ἐπωνύμου μόνον, ἀλλὰ καὶ ἀπὸ τοῦ τόπου δηλοῖ τὸν ἄνδρα.

6 Καὶ αὐτός ἐστι ξενιζόμενος πρός Σίμωνά τινα βυρσέα, ᾧ ἐστιν οἰκία παρὰ θάλασσαν. Εἶδες πῶς τὰ ἀνακεχωρηκότα τῶν πόλεων ἐδίωκον οἱ ἀπόστολοι, ἐρημίας ὄντες φίλοι καὶ ἡσυχίας; τί οὖν εἰ συνέβη καὶ ἄλλον εἶναι Σίμωνα, καὶ τοῦτον βυρσέα; ἀλλ' εἶχε καὶ ἄλλο σημεῖον, τὸ παρὰ θάλασσαν οἰκεῖν. τὰ τρία οὐκ ἦν δυνατὸν συμπεσεῖν. καὶ οὐκ εἶπε, διὰ τί· ἵνα μὴ ἐκλύσῃ αὐτόν· ἀλλὰ ἀφῆκεν, ὥστε ἐν ἐπιθυμίᾳ καὶ πόθῳ τῆς ἀκροάσεως γενέσθαι.

7 Ὡς δὲ ἀπῆλθεν ὁ ἄγγελος ὁ λαλῶν τῷ Κορνηλίῳ, φωνήσας δύο τῶν οἰκετῶν αὐτοῦ καὶ στρατιώτην εὐσεβῆ τῶν προσκαρτερούντων αὐτῷ, καὶ ἐξηγησάμενος αὐτοῖς πάντα, ἀπέστειλεν αὐτοὺς εἰς τὴν Ἰόππην. Ὁρᾷς ὅτι οὐχ ἁπλῶς ταῦτα λέγει, ἀλλ' ὅτι καὶ οἱ προσκαρτεροῦντες αὐτῷ τοιοῦτοι ἦσαν; καὶ ἐξηγησάμενος αὐτοῖς πάντα, φησίν. ὅρα τὸ ἄτυφον. οὐκ εἶπε, καλέσατέ μοι Πέτρον· ἀλλ' ὥστε καὶ πεῖσαι, ἐξηγήσατο ἅπαντα. οὕτως οἰκονομίας ἦν. οὐ γὰρ ἠξίου ἀπὸ τοῦ ἀξιώματος αὐτὸν μεταπέμψασθαι. διὰ τοῦτο ἐξηγεῖται λοιπόν. οὕτως ἦν μέτριος ὁ ἀνήρ· καίτοι οὐδὲν μέγα ἦν φαντασθῆναι περὶ ἀνδρὸς καταγομένου παρὰ βυρσεῖ.

9 Τῇ δὲ ἐπαύριον ὁδοιπορούντων ἐκείνων καὶ τῇ πόλει ἐγγιζόντων, ἀνέβη Πέτρος ἐπὶ τὸ δῶμα προσεύξασθαι περὶ ὥραν ἕκτην. Ὅρα πῶς τοὺς καιροὺς συνάγει τὸ πνεῦμα. καὶ οὔτε θᾶττον, οὔτε βραδύτερον ποιεῖ τοῦτο γενέσθαι. ἀνέβη, φησίν, ὁ Πέτρος ἐπὶ τὸ δῶμα προσεύξασθαι περὶ ὥραν ἕκτην· τουτέστι, κατ' ἰδίαν καὶ ἐν ἡσυχίᾳ, ὡς ἂν ἐν ὑπερῴῳ.

10 Ἐγένετο δὲ πρόσπεινος, καὶ ἤθελε γεύσασθαι. παρασκευαζόντων δὲ ἐκείνων, ἐπέπεσεν ἐπ' αὐτὸν ἔκστασις. Τί ἐστιν ἔκστασις; πνευματική, φησι, θεωρία γέγονεν αὐτῷ· τοῦ σώματος, ὡς ἂν εἴποι τις, ἐξέστη ἡ ψυχή.

11 Καὶ θεωρεῖ τὸν οὐρανὸν ἀνεῳγμένον, καὶ καταβαῖνον ἐπ' αὐτὸν σκεῦός τι, ὡς ὀθόνην μεγάλην, τέσσαρσιν ἀρχαῖς δεδεμένον καὶ καθιέμενον ἐπὶ τῆς γῆς,

12 Ἐν ᾧ ὑπῆρχε πάντα τὰ τετράποδα τῆς γῆς, καὶ τὰ θηρία, καὶ τὰ ἑρπετά, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ.

γρ. μέγαν τινά, ἀλλὰ πρὸς εὐτελῆ. ὅτ. γρ. καὶ ἐξ αὐτοῦ πέμπει συγ-κατ.

γρ. ὥραν ἐννάτην

γρ. αἴροντα αὐτοῦ τὴν διάν. καὶ μετεωρίζοντα ἀπὸ τῆς ὄψεως φόβ.

γρ. ὁ δὲ λόγος διήγειρεν· ὁ ἔπαινος τοῦ φόβου τὸ τραχὺ κατεμάλαξεν.

γρ. μεταπέμψασθαι

γρ. ποιῶν

λα ἁπλῶς, καὶ τὰ ὑπὲρ τῆς ἐκκλησίας, καὶ τὰ ὑπὲρ τῶν ἱερέων προσφερόμενα, καὶ τὰ ὑπὲρ τοῦ πληρώματος; μὴ γένοιτο· ἀλλὰ πάντα μετὰ πίστεως γίνεται. τί οἴει τὸ ὑπὲρ μαρτύρων προσφέρεσθαι; τὸ κληθῆναι ἐν ἐκείνῃ τῇ ὥρᾳ, κἂν μάρτυρες ὦσι, κἂν ὑπὲρ μαρτύρων, μεγάλη τιμή, τὸ ὀνομασθῆναι, τοῦ δεσπότου παρόντος, τοῦ θανάτου ἐπιτελουμένου ἐκείνου, τῆς φρικτῆς θυσίας, τῶν ἀφάτων μυστηρίων. (γρ. τῆς μνείας ἐπιτελουμένης ἐκείνης) καθάπερ γὰρ καθημένου τοῦ βασιλέως, ὅσα ἄν τις βούληται, ἀνύει· ἐγερθέντος δὲ, ὅσα ἂν λέγῃ, εἰκῆ ἐρεῖ· οὕτω καὶ τότε, ἕως ἂν προκέηται τὰ μυστήρια, πᾶσι τιμὴ μεγίστη τὸ μνήμης ἀξιοῦσθαι. ὅρα γάρ· καταγγέλλεται τότε τὸ μυστήριον τὸ φρικτόν, ὅτι ὑπὲρ τῆς οἰκουμένης ἔδωκεν ἑαυτὸν ὁ Θεός· μετὰ τοῦ θαύματος ἐκείνου εὐκαίρως ὑπομιμνήσκει αὐτὸν τῶν ἡμαρτηκότων. καθάπερ γὰρ ὅταν ἐπινίκια τῶν βασιλέων ᾄδηται, τότε εὐφημοῦνται μὲν καὶ ὅσοι τῆς νίκης ἐκοινώνησαν· ἀφίενται δὲ καὶ ὅσοι ἐν δεσμοῖς εἰσι διὰ τὸν καιρόν· παρελθόντος δὲ τοῦ καιροῦ ὁ μὴ τυχών, οὐκ ἔτι τινὸς ἀπολαύει· οὕτω δὴ καὶ ἐνταῦθα, τῶν ἐπινικίων ἐστὶν ὁ καιρός. (α. Κορ. ια. κϛ.) Ὁσάκις γὰρ ἄν, φησιν, ἐσθίητε τὸν ἄρτον τοῦτον, τὸν θάνατον τοῦ Κυρίου καταγγέλλετε. μὴ δὴ ἁπλῶς προσιώμεθα, μηδὲ, ὡς ἔτυχε, ταῦτα γίνεσθαι νομίζωμεν. ἄλλως δὲ, μαρτύρων μεμνήμεθα, καὶ τοῦτο εἰς πίστιν, ὅτι οὐ τέθνηκεν ὁ Κύριος· καὶ τοῦτο τοῦ τεθνάναι τὸν θάνατον, σημεῖον, τοῦ νεκρὸν αὐτὸν γεγενῆσθαι. ταῦτα εἰδότες, ἐπινοῶμεν ὅσας δυνάμεθα παραμυθίας τοῖς ἀπελθοῦσιν, ἀντὶ δακρύων, ἀντὶ θρήνων, ἀντὶ μνημείων, τὰς ἐλεημοσύνας, τὰς εὐχάς, τὰς προσφοράς, ἵνα κἀκεῖνοι καὶ ἡμεῖς τύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς υἱοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

κεφ. ι. Λογ. κβ. 1 ΑΝΗΡ ΔΕ ΤΙΣ ΕΝ ΚΑΙΣΑΡΕΙΑ ΟΝΟΜΑΤΙ
Κορνήλιος ἑκατοντάρχης, ἐκ σπείρης τῆς καλουμένης Ἰταλικῆς,
2 Εὐσεβὴς καὶ φοβούμενος τὸν Θεὸν σὺν παντὶ τῷ οἴκῳ αὐτοῦ, ποιῶν ἐλε-
ημοσύνας πολλὰς τῷ λαῷ,
3 Καὶ δεόμενος τοῦ Θεοῦ διαπαντός, εἶ-
δεν ἐν ὁράματι φανερῶς, ὡσεὶ ὥρᾳ ἐνάτῃ τῆς ἡμέρας, ἄγγελον Θεοῦ εἰσελ- (γρ. ὥραν ἐνάτην)
θόντα πρὸς αὐτὸν καὶ εἰπόντα αὐτῷ, Κορνήλιε.
4 Ὁ δὲ ἀτενίσας αὐ-
τῷ καὶ ἔμφοβος γενόμενος, εἶπε· τί ἐστι, Κύριε; εἶπε δὲ αὐτῷ· αἱ προσ-
ευχαί σου καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ
Θεοῦ.

Οὗτος οὐκ ἔστιν Ἰουδαῖος, οὐδὲ ζῶν κατὰ τὸν νόμον, ἀλλ' ἤδη προειλήφει τὴν ἡμετέραν πολιτείαν. (γρ. ὑπὸ) [καὶ] ὅρα δύο πιστεύοντας τέως, τόν τε εὐνοῦχον τὸν ἀπὸ τῆς Γάζης, καὶ τοῦτον, ἐν ἀξιώμασιν ὄντας ἀμφοτέρους, καὶ * πολλὴν ὑπὲρ τούτων γινομένην σπουδήν. (* δοξ) ἀλλὰ μὴ νομίσῃς, ὅτι διὰ τὰ ἀξιώματα. οὐ διὰ ταῦτα (μὴ γένοιτο) ἀλλὰ διὰ τὴν εὐλάβειαν. διὰ γὰρ τοῦτο καὶ τὰ ἀξιώματα τέθειται, ἵνα μείζων ἡ εὐλάβεια δειχθῇ. (γρ. γὰρ) θαυμαστότερον γὰρ, ὅταν ἐν πλούτῳ καὶ δυναστείᾳ τις ὢν τοιοῦτος ᾖ. ἀλλὰ μέγα ἐκείνου ἐγκώμιον, τὸ τοσαύτην ἀποδημίαν στέλλεσθαι, καὶ τὸ μηδὲ καιροῦ τοιούτου ὄντος ἐν ὁδῷ ἀναγινώσκειν, (γρ. καλοῦντος, καὶ τὸ ἐν) καὶ τὸ ἐπὶ ὀχήματος φερόμενον, καὶ τὸ τὸν Φίλιππον παρακαλεῖν, καὶ μυρία ἕτερα· μέγα καὶ τοῦτο, τὸ ἐλεημοσύνας ποιεῖν καὶ εὐχάς, καὶ εὐσεβῆ εἶναι ἐν ἀρχῇ τοιαύτῃ. (γρ. δίκαιον) διὸ καὶ ἀπὸ ταύτης τὸν ἄνδρα ποιεῖ γνώριμον καὶ δῆλον· εἰκότως· ἵνα μή τις εἴπῃ ὅτι ψεύδεται τῶν γραφῶν ἡ ἱστορία. ἐκ σπείρης, φησί, τῆς καλουμένης Ἰταλικῆς. σπεῖρα ἐστιν, ὁ καλοῦμεν νῦν νούμερον. εὐσεβὴς καὶ φοβούμενος τὸν Θεὸν σὺν παντὶ τῷ οἴκῳ αὐτοῦ. ταῦτα λέγει, ἵνα μὴ νομίσῃς, ὅτι διὰ τὸ ἀξίωμα τὰ κατ' αὐτὸν οὕτως οἰκονομεῖται. ὅτι οὕτω

Παῦλον

κεφαλῆς; εἰ γὰρ εἰκῇ μόνον ἀνήλωται, οὐκ ἂν ἤρκεσεν ἡ ζημία; εἰπέ μοι, εἴ τις μισθωτὸς γενόμενος εἴκοσιν ἔτη καταπονοῖτο εἰκῇ, οὐ κλαύσεται καὶ θρηνήσει, καὶ δόξει πάντων ἐλεεινότερος εἶναι; καὶ ὅδε πᾶσαν τὴν ζωὴν εἰκῇ κατέκοψεν, οὐδὲ μίαν ἡμέραν ἔζησεν ἑαυτῷ, ἀλλὰ τῇ τρυφῇ, τῇ ἀσελγείᾳ, τῇ πλεονεξίᾳ, τῇ ἁμαρτίᾳ, τῷ διαβόλῳ. τοῦτον οὖν οὐ θρηνήσομεν, εἰπέ μοι; οὐ πειρασόμεθα τῶν κινδύνων ἐξαρπάσαι; ἔστι γάρ, ἔστιν, ἐὰν θέλωμεν, κουφίσαι αὐτῷ γενέσθαι τὴν κόλασιν. ἂν οὖν εὐχὰς ὑπὲρ αὐτοῦ ποιῶμεν συνεχεῖς, ἂν ἐλεημοσύνην διδῶμεν· κἂν ἐκεῖνος ἀνάξιος ᾖ, ἡμᾶς ὁ Θεὸς "δυσωπήσεται. "εἰ γὰρ διὰ Παῦλον ἑτέρους διέσωσε, καὶ δι' ἄλλων φείδεται, πῶς οὐχὶ καὶ δι' ἡμᾶς τὸ αὐτὸ τοῦτο ἐργάσεται; ἐκ τῶν ἐκείνου χρημάτων, ἐκ τῶν σῶν, ὅθεν ἂν "θέλῃς, βοήθησον· ἐπίσταξον ἔλαιον, μᾶλλον δὲ ὕδωρ. οὐκ ἔχει ἐλεημοσύνας οἰκείας ἐπιδείξασθαι; κἂν συγγενεῖς. οὐκ ἔχει τὰς ὑπὲρ αὐτοῦ γεγενημένας; κἂν τὰς ὑπὲρ αὐτοῦ. "οὕτω μετὰ παρρησίας αὐτοὶ "παραστήσεται τότε ἡ γυνή, λύτρον ὑπὲρ αὐτοῦ καταθεῖσα. ὅσῳ πλείονα ἔχει ἁμαρτήματα ὑπεύθυνος, τοσούτῳ "μείζονος αὐτῷ δεῖ τῆς ἐλεημοσύνης. οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλ' ὅτι οὐδὲ ἴσην ἔχει τὴν ἰσχύν, ἀλλ' ἐλάττω πολλῷ. οὐ γάρ ἐστιν ἴσον αὐτόν τινα ποιῆσαι, καὶ ἕτερον ὑπὲρ αὐτοῦ. ὡς οὖν ἐλάττονος οὔσης, οὕτω τῷ πλήθει μείζονα ποιῶμεν αὐτήν. μὴ περὶ σήματα, μὴ περὶ ἐντάφια ἀσχολώμεθα. παρείστησαν χήρας· τοῦτο ἐντάφιον μέγιστον. εἰπὲ τοὔνομα· πάσας κέλευσον ὑπὲρ αὐτοῦ ποιεῖσθαι τὰς δεήσεις καὶ τὰς ἱκετηρίας· δυσωπήσει τοῦτο τὸν Θεόν, εἰ καὶ μὴ ὑπ' αὐτοῦ γέγονεν, ἀλλὰ δι' αὐτὸν ἕτερος αἴτιος γέγονε τῆς ἐλεημοσύνης, καὶ τοῦτο [δόγμα] τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἐστί. χῆραι περιεστῶσαι καὶ δακρύουσαι, οὐχὶ τοῦ παρόντος, ἀλλὰ καὶ τοῦ μέλλοντος "δύνανται ἐξαρπάσαι θανάτου. πολλοὶ καὶ [ἐκ] τῶν ὑφ' ἑτέρων δι' αὐτοὺς γεγενημένων ἐλεημοσυνῶν ἀπώναντο. εἰ γὰρ καὶ μὴ τέλεον, ἀλλ' ὅμως παραμυθίαν εὗρόν τινα. ἐπεὶ εἰ μὴ τοῦτό ἐστι, πῶς τὰ παιδία σώζεται; καίτοι γε ἐκεῖ οὐδὲν αὐτὰ εἰσφέρει, ἀλλ' οἱ γονεῖς τὸ πᾶν· καὶ γυναιξὶν ἐχαρίσθη παιδία πολλάκις, οὐδὲν αὐτὰ εἰσενεγκόντα. * πολλὰς ἡμῖν ὁ Θεὸς τοῦ σώζεσθαι δέδωκεν ὁδούς, μόνον μὴ ἀμελῶμεν. τί οὖν, ἄν τις πένης ᾖ, φησί; πάλιν ἐρῶ, τὸ πολὺ τῆς ἐλεημοσύνης οὐκ "ἐκ τῶν διδομένων κρίνεται μόνον, ἀλλὰ καὶ "ἐκ τῆς προαιρέσεως· μόνον μὴ δῷς ἐλάττω τῆς δυνάμεως, καὶ τὸ πᾶν ἐξετέλεσας. τί οὖν, φησίν, ἂν ἔρημος ᾖ καὶ ξένος καὶ μηδένα ἔχῃ; διὰ τί γὰρ μηδένα ἔχει, εἰπέ μοι; τούτῳ αὐτῷ δίδωσι δίκην, ὅτι μηδένα οὕτω φίλον, οὕτως ἐνάρετον ἔχει. τοῦτο οὖν γένηται, ἵνα κἂν αὐτοὶ μὴ ὦμεν ἐνάρετοι, σπουδάζωμεν ἑταίρους καὶ φίλους ἐναρέτους ἔχειν, καὶ γυναῖκα, καὶ υἱόν, ὡς καρπούμενοί τι καὶ δι' αὐτῶν· μικρὸν μὲν καρπούμενοι, καρπούμενοι δὲ ὅμως. ἂν σπουδάσῃς μὴ πλουτοῦσαν, ἀλλ' εὐλαβῆ γυναῖκα ἀγαγέσθαι, ταύτης ἀπολαύσῃ τῆς παραμυθίας· ὁμοίως ἂν σπουδάσῃς μὴ πλουτοῦντα υἱὸν καταλιπεῖν, ἀλλ' εὐλαβῆ, καὶ θυγατέρα σώφρονα, καὶ οὕτω ταύτης ἀπολαύσῃ τῆς παραμυθίας. ἂν ταῦτα σπουδάσῃς, καὶ αὐτὸς ἔσῃ τοιοῦτος. καὶ τοῦτο μέρος ἀρετῆς, τὸ τοιούτους αἱρεῖσθαι καὶ φίλους, καὶ γυναῖκα, καὶ παιδία. οὐκ εἰκῇ προσφοραὶ ὑπὲρ τῶν ἀπελθόντων γίνονται, οὐκ εἰκῇ ἱκετηρίαι, οὐκ εἰκῇ ἐλεημοσύναι. ταῦτα πάντα τὸ πνεῦμα διέταξε, δι' ἀλλήλων ἡμᾶς ὠφελεῖσθαι βουλόμενον. ὅρα γάρ· ὠφελεῖται ἐκεῖνος διὰ σοῦ, ὠφελῇ σὺ δι' ἐκεῖνον. κατεφρόνησας χρημάτων, παρασκευασθεὶς ἐργάσασθαί τι γενναῖον· καὶ σὺ αὐτῷ τῆς σωτηρίας, καὶ αὐτός σοι τῆς ἐλεημοσύνης γέγονεν αἴτιος. μὴ ἀμφίβαλλε ὅτι καρπώσεταί τι χρηστόν. οὐχ ἁπλῶς ὁ διάκονος βοᾷ, ὑπὲρ τῶν ἐν Χριστῷ κεκοιμημένων, καὶ τῶν τὰς μνείας ὑπὲρ αὐτῶν "ἐπιτελουμένων· οὐχ ὁ διάκονός ἐστιν ὁ ταύτην ἀφιεὶς τὴν φωνήν, ἀλλὰ τὸ πνεῦμα [τὸ] ἅγιον, τὸ [δὲ] χάρισμα λέγω. τί λέγεις; ἐν χερσὶν ἡ θυσία, καὶ πάντα πρόκειται εὐτρεπισμένα· πάρεισιν ἄγγελοι, ἀρχάγγελοι· πάρεστιν ὁ υἱὸς τοῦ Θεοῦ· μετὰ τοσαύτης φρίκης ἑστήκασιν ἅπαντες· παρεστήκασιν ἐκεῖνοι βοῶντες, πάντων σιγώντων, καὶ ἡγῇ ἁπλῶς γίνεσθαι * τὰ γινόμενα; οὐκοῦν καὶ τὰ ἄλ-

χ. ἡμέραν

χ. παθήσεται.
χ. εἰ γὰρ Παῦλος ἕτερον ἢ ἑτέρους, καὶ δι' ἄλλους ἄλλων ἐφείσατο, πολλῷ μᾶλλον ἡμᾶς τοῦτο δεῖ ποιεῖν. ἐκ τ.

χ. ἵνα
χ. ἐξαιτῶνται
χ. ...ναι

χ. δύναται

* πῶς γὰρ ἐπεστήκει;
χ. ἐν τῷ διδομένῳ
χ. ἐν τῇ προαιρέσει

χ. ἐπιτελουμένων

* πάντα

καὶ ἐπιστρέψας πρὸς τὸ σῶμα, εἶπε· Ταβηθά, ἀνάστηθι. οὐ πάντα συγχωρεῖ ὁ Θεὸς μετὰ τῆς αὐτῆς εὐκολίας τὰ σημεῖα ἐργάζεσθαι. τοῦτο δὲ αὐτοὺς ὠφέλει. οὐ γὰρ δὴ μόνον τῆς τῶν ἄλλων ἐφρόντιζεν ὁ Θεὸς σωτηρίας, ἀλλὰ καὶ τῆς αὐτῶν. ὁ γοῦν τῇ σκιᾷ τοσούτους θεραπεύων, νῦν τοσαῦτα πρὸς τὸ ἐξαναστῆσαι ποιεῖ. ἔστι δὲ ὅπου καὶ ἡ πίστις τῶν προσιόντων συνήργει. ταύτην οὖν πρώτην νεκρὰν ἀνίστησι, καλῶν ἐξ ὀνόματος· ἡ δὲ ὥσπερ ἐξ ὕπνου ἐγερθεῖσα πρῶτον ἤνοιξε τοὺς ὀφθαλμούς· εἶτα εὐθὺς ἰδοῦσα τὸν Πέτρον ἀνεκάθισε, καὶ πλουτοῦσιν ἀπὸ τῆς χειρὸς τῆς ἀφῆς στερεοῦται. σὺ δέ μοι σκόπει τὸ κέρδος, πῶς πάλιν, καὶ τὸν καρπὸν οὐ πρὸς ἐπίδειξιν ἵνα. διὰ τοῦτο [γοῦν] καὶ ἐκβάλλει πάντας ἔξω, τὸν διδάσκαλον καὶ τούτῳ μιμούμενος. ἔνθα γὰρ δάκρυα, τοιοῦτον μυστήριον οὐ δεῖ τελεῖσθαι· μᾶλλον δὲ ἔνθα θαύματα, οὐ δεῖ δάκρυα παρεῖναι.

ΗΘΙΚΟΝ Ἀκούσατε, παρακαλῶ. εἰ καὶ μὴ τοιοῦτόν τι γέγονεν, ἀλλὰ καὶ ἐν τοῖς νῦν νεκροῖς μέγα τελεῖται μυστήριον. εἰπὲ δή μοι· εἰ καθήμενον ἡμῶν ἔπεμψεν ὁ βασιλεύς τινα καλῶν εἰς τὰ βασίλεια, κλαίειν ἔδει καὶ θρηνεῖν; ἄγγελοι παρεῖσιν ἐξ οὐρανῶν ἀπεσταλμένοι, καὶ ἀνῆλθεν ἥκοντες, παρ᾽ αὐτοῦ πεμφθέντες τοῦ βασιλέως τὸν σύνδουλον καλέσαι τὸν αὐτῶν, καὶ σὺ κλαίεις; οὐκ οἶδας οἷον μυστήριόν ἐστι τὸ γινόμενον; πῶς φρικτὸν καὶ φοβερόν, καὶ ὕμνων ἄξιον ὄντως καὶ χαρᾶς; βούλει μαθεῖν, ἵνα εἰδῇς ὅτι οὐχὶ δακρύων ὁ καιρός; τῆς τοῦ Θεοῦ σοφίας μέγιστόν ἐστι τοῦτο μυστήριον. ὥσπερ γάρ τινα οἰκίαν ἀφεῖσα πρόεισιν ἡ ψυχὴ πρὸς τὸν ἑαυτῆς ἐπιτηδευθέντα δεσπότην· σὺ δὲ πενθεῖς; οὐκοῦν καὶ τικτομένου τοῦ παιδίου τοῦτο ποίει ἐχρῆν. καὶ γὰρ τοῦτο τόκος ἐστὶν ἐκείνου βελτίων. πρόεισι γὰρ ἐφ᾽ ἕτερον φῶς, ἀπολύεται ὥσπερ ἀπὸ δεσμωτηρίου τινός, ὡς ἀπὸ ἀγῶνος ἐξέρχεται. ναί, φησιν, ἐπὶ μὲν τῶν εὐδοκίμων καλῶς ταῦτα λέγεις. καὶ τί πρὸς σέ, ἄνθρωπε; σὺ γὰρ οὐδὲ ἐπὶ εὐδοκίμων τοῦτο ποιεῖς. εἰπὲ δή μοι, τί τοῦ παιδίου κατηγορίαν ἔχοις ἂν τοῦ μικροῦ; τίνος ἕνεκεν πενθεῖς αὐτό; τί τοῦ νεοφωτίστου; καὶ γὰρ καὶ ἐκεῖνος εἰς τὸ αὐτὸ πρόεισι. τίνος [οὖν] ἕνεκεν πενθεῖς αὐτόν; οὐκ οἶδας, ὅτι καθάπερ ἥλιος καθαρὸς ἄνεισιν, οὕτω καὶ ψυχὴ σῶμα ἀπολείπουσα, μετὰ καθαροῦ συνειδότος λάμπει φαιδρόν; οὐχ οὕτω βασιλέα ἐπιβαίνοντα πόλεως μετὰ τοσαύτης ἐστὶ σιγῆς ἰδεῖν, ὡς ψυχὴν ἀφεῖσαν σῶμα καὶ μετὰ ἀγγέλων ἀπιοῦσαν. ἐννόησον τίς ἐστιν ἡ ψυχή· ἐν οἵᾳ τότε ἐκπλήξει γέγονεν, ἐν οἵῳ θαύματι, ἐν οἵᾳ ἡδονῇ; τί πενθεῖς, εἰπέ μοι; μὴ γὰρ ἐπὶ ἁμαρτωλῶν τοῦτο μόνον ποιεῖς; εἴθε τοῦτο ἦν, καὶ οὐκ ἂν ἐκώλυσα τὰ πένθη· εἴθε τοιοῦτος ὁ σκοπὸς ἦν. οὗτος ὁ θρῆνος ἀποστολικός, οὗτος ὁ θρῆνος καὶ δεσποτικός. ἔκλαυσε γὰρ καὶ Ἰησοῦς τὴν Ἱερουσαλήμ. ἐβουλόμην τούτῳ διῃρῆσθαι τῷ νόμῳ τὰ πένθη. ὅταν δὲ ἀνακαλούμενος ῥήματα λέγῃς, καὶ συνήθειαν, καὶ προστασίαν, οὐχὶ διὰ τοῦτο πενθεῖς; ἀλλὰ σκόπησον. πένθησον, στέναξον τὸν ἁμαρτωλόν· καὶ ἐγὼ καταξέω δάκρυα· καὶ ἐγὼ ἂν μᾶλλον, ἴσῳ καὶ μείζονι τιμωρίᾳ ὑπεύθυνος ὁ τοιοῦτος, καὶ ἐγὼ θρηνήσω μετὰ τοιούτου σκοποῦ. οὐ σὲ δὲ μόνον τὸν τοιοῦτον δεῖ θρηνεῖν, ἀλλὰ καὶ τὴν πόλιν ἅπασαν, καὶ τοὺς ἀπαντῶντας, καθάπερ τοὺς ἐπὶ θάνατον ἀπαγομένους. ὄντως γὰρ θάνατος οὗτός ἐστι πονηρός, ὁ τῶν ἁμαρτωλῶν· ἀλλὰ τὰ ἄνω κάτω γέγονε. οὗτος ὁ θρῆνος καὶ φιλοσοφίας ἐστί, καὶ διδασκαλίαν ἔχει πολλήν· ἐκεῖνος δὲ μικροψυχίας. εἰ ἐθρηνοῦμεν τοῦτον τὸν θρῆνον ἅπαντες, ζῶντας ἂν αὐτοὺς διωρθώσαμεν. ὥσπερ γὰρ εἰ κύριος ἦς φάρμακα ἐπενεγκεῖν κωλύοντα τὸν θάνατον ἐκεῖνον τὸν σωματικόν, ἐποίησας ἄν· οὕτω καὶ νῦν, εἰ [γε] τοῦτον ἐθρήνεις τὸν θάνατον, ἐκώλυσας ἂν καὶ ἐπὶ σοῦ, καὶ ἐπ᾽ ἐκείνου τοῦτο γενέσθαι. νῦν δὲ αἴνιγμά ἐστι τὸ γινόμενον· κυρίους μὲν ὄντας μὴ συγχωρῆσαι τοῦτον ἐπελθεῖν, ἀφεῖναι γενέσθαι, γενόμενον δὲ πενθεῖν. ὄντως θρηνῶν ἄξιοι· ὅταν παρεστῶσι τῷ βήματι τοῦ Χριστοῦ, οἷα ἀκούσονται ῥήματα, οἷα πείσονται πράγματα; εἰκῆ ἔζησαν. οὗτοι· μᾶλλον δὲ
Μαρκ. ιδ. κα. οὐκ εἰκῆ, ἀλλὰ καὶ ἐπὶ κακῷ. καὶ ἐπὶ τούτων εὔκαιρον εἰπεῖν· Συμφέρει ἦν αὐτοῖς, εἰ οὐκ ἐγεννήθησαν. τί γὰρ ὄφελος, εἰπέ μοι, τοσοῦτον ἀναλῶσαι χρόνον ἐπὶ κακῷ τῆς ἑαυτῶν

κεφαλῆς

γρ. αὐτῶν

γρ. λιποῦσα

γρ. ἦν

γρ. κωλύον

καὶ κρατήσας, φησὶ, τῆς χειρός. ἐνταῦθα δείκνυσι κατὰ μέρος τὴν ζωὴν, εἶτα τὴν δύναμιν εἰσαγομένην, τὴν μὲν διὰ τοῦ ῥήματος, τὴν δὲ διὰ τῆς χειρός.

41 Δοὺς δὲ αὐτῇ χεῖρα, ἀνέστησεν αὐτήν. καὶ φωνήσας τοὺς ἁγίους καὶ τὰς χήρας, παρέστησεν αὐτὴν ζῶσαν. Τοῖς μὲν εἰς παράκλησιν, ὅτι τὴν ἀπέλαβον τὴν ἀδελφὴν, καὶ ὅτι θαῦμα εἶδον· τῇ δὲ εἰς προστασίαν.

42 Γνωστὸν δὲ ἐγένετο καθ᾽ ὅλης τῆς Ἰόππης, καὶ πολλοὶ ἐπίστευσαν ἐπὶ τὸν Κύριον.

43 Ἐγένετο δὲ ἡμέρας ἱκανὰς μεῖναι αὐτὸν ἐν Ἰόππῃ παρά τινι Σίμωνι βυρσεῖ.

Ὅρα τὸ ἄτυφον τοῦ Πέτρου καὶ τὸ ἐπιεικές· πῶς οὐ παρὰ ταύτῃ μένει, οὐδὲ παρὰ ἄλλῳ τινὶ τῶν ἐπισήμων, ἀλλὰ παρὰ βυρσεῖ, διὰ πάντων εἰς ταπεινοφροσύνην ἐνάγων, οὔτε τοὺς εὐτελεῖς αἰσχύνεσθαι ἀφιεὶς, οὔτε τοὺς μεγάλους ἐπαίρεσθαι. ὃς καὶ διὰ τοῦτο ἔκρινε διελθεῖν, ἐπειδὴ τῆς αὐτοῦ διδασκαλίας ἐδέοντο οἱ πιστεύσαντες. ἴδωμεν τοίνυν ἄνωθεν τὰ εἰρημένα. ἐπειρᾶτο, φησὶ, κολλᾶσθαι τοῖς μαθηταῖς. οὐκ ἀναισχύντως προσῆλθεν, ἀλλ᾽ ὑπεσταλμένως. μαθητὰς δὲ καλεῖ καὶ τοὺς μὴ πληροῦντας εἰς τὸν χορὸν τῶν δώδεκα· διότι μαθηταὶ πάντες ἐκαλοῦντο τότε διὰ τὴν πολλὴν ἀρετήν. ἦν γὰρ ἡ εἰκὼν τῶν μαθητῶν δήλη. καὶ πάντες ἐφοβοῦντο αὐτὸν, φησίν. ὅρα πῶς ἐφοβοῦντο τοὺς κινδύνους· πῶς ἔτι τὸ δέος ἤκμαζε. Βαρνάβας δὲ ἐπιλαβόμενος αὐτοῦ, ἤγαγε πρὸς τοὺς ἀποστόλους, καὶ διηγήσατο αὐτοῖς. ἐμοὶ δοκεῖ ὁ Βαρνάβας ἄνωθεν αὐτῷ εἶναι φίλος· διὸ καὶ πάντα διηγεῖται τὰ κατ᾽ αὐτόν. οὐδὲν δὲ τούτων αὐτὸς λέγει· οἶμαι δὲ ὅτι καὶ εἰς τοὺς ἄλλους οὐκ ἂν ἐξήνεγκεν ὕστερον, εἰ μή τις ἀνάγκη γέγονεν αὐτῷ. καὶ ἦν μετ᾽ αὐτῶν εἰσπορευόμενος εἰς Ἱερουσαλὴμ, καὶ παρρησιαζόμενος ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ. τοῦτο καὶ τοῖς ἄλλοις ἐδίδου θαρρεῖν. ὁρᾷς καὶ ἐκεῖ, καὶ ἐνταῦθα τοὺς ἄλλους προμηθουμένους καὶ κατασκευάζοντας ὥστε αὐτὸν ἀπελθεῖν, καὶ οὐδαμοῦ τινος ἀπολαύοντα αὐτὸν θείας ῥοπῆς; οὕτω γοῦν αὐτῷ δείκνυται καὶ τὸ σφοδρόν. ὥστε οὐ διὰ γῆς ἐμοὶ δοκεῖ τὴν πορείαν αὐτὸν ποιεῖσθαι, ἀλλὰ καὶ ἔπλει λοιπόν. καὶ τοῦτο δὲ οἰκονομικῶς γέγονεν, εἰς τὸ αὐτὸν καὶ ἐκεῖ κηρύξαι. ἄρα καὶ αἱ ἐπιβουλαὶ ὑπὲρ αὐτῶν, καὶ τὸ εἰς Ἱεροσόλυμα ἐλθεῖν, οἰκονομικῶς ἵνα μηκέτι ἀπιστῆται τὰ κατ᾽ αὐτόν. ἐλάλει τε καὶ συνεζήτει πρὸς τοὺς Ἑλληνιστάς. καὶ εἶχον, φησὶν, εἰρήνην αἱ ἐκκλησίαι οἰκοδομούμεναι καὶ πορευόμεναι τῷ φόβῳ τοῦ Κυρίου· τουτέστιν, ηὔξησαν, καὶ τὴν εἰρήνην αὐτὴν δι᾽ αὐτοῦ πρὸς ἑαυτὴν, τὴν ὄντως εἰρήνην. εἰκότως. σφόδρα γὰρ αὐτοὺς ὁ πόλεμος ἐκάκωσεν ὁ ἔξωθεν. καὶ τῇ παρακλήσει τοῦ ἁγίου πνεύματος ἐπληθύνοντο. παρεκάλει αὐτοὺς τὸ πνεῦμα, καὶ διὰ τῶν θαυμάτων, καὶ διὰ τῶν ἔργων· καὶ χωρὶς δὲ τούτων, καὶ καθ᾽ ἑαυτὸν ἕκαστον. ἐγένετο δὲ Πέτρον διερχόμενον κατελθεῖν πρὸς Λύδδαν. εὗρε δὲ ἐκεῖ ἄνθρωπον κατακείμενον, καὶ εἶπεν αὐτῷ· Αἰνέα, ἰᾶταί σε Ἰησοῦς ὁ Χριστός. οὐκ ἐπιδεικνυμένου τὸ ῥῆμα, ἀλλὰ θαρροῦντος ὅτι ἔσται. ἐμοὶ δὲ σφόδρα δοκεῖ, ὅτι τούτῳ ἐπίστευσε τῷ ῥήματι ὁ ἀσθενῶν, καὶ γέγονεν ὑγιής. ὅτι δὲ ἄτυφος, καὶ ἐκ τῶν ἑξῆς δῆλον. οὐ γὰρ εἶπεν, ἐν τῷ ὀνόματι Ἰησοῦ· ἀλλ᾽ ὡς σημεῖον μᾶλλον αὐτὸ διηγεῖται. εἶδον δὲ οἱ κατοικοῦντες Λύδδαν, καὶ ἐπέστρεψαν ἐπὶ τὸν Κύριον. ἄρα οὐ μάτην ἔλεγον, εἰς τὸ πιστεῦσαι καὶ παρακαλέσαι τὰ θαύματα ἐπλήρου. ἐν Ἰόππῃ δέ τις ἦν μαθήτρια, φησὶν, ὀνόματι Ταβιθά. ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις ἀσθενήσασαν αὐτὴν ἀποθανεῖν. εἶδες πανταχοῦ τὰ σημεῖα γινόμενα; *οὐχ ἁπλῶς ἀπέθανεν ἡ Ταβιθὰ, ἀλλ᾽ ἐν ἀρρωστίᾳ γενομένη. διὸ καὶ οὐ καλοῦσι Πέτρον, ἕως ὅτε ἐτελεύτησεν. ἀκούσαντες δὲ οἱ μαθηταὶ, ἀπέστειλαν παρακαλοῦντες μὴ ὀκνῆσαι διελθεῖν ἕως αὐτῶν. ὅρα· δι᾽ ἑτέρων πέμπουσι καὶ καλοῦσιν· ὁ δὲ πείθεται καὶ ἥκει, οὐχ ὕβριν τὸ πρᾶγμα νομίζων τὸ κληθῆναι. οὕτω μέγα ἡ θλῖψις ἀγαθόν. τοῦτο συνεκρότει τὰς ἡμετέρας ψυχάς. οὐδαμοῦ κοπετὸς ἐκεῖ, οὐδαμοῦ θρῆνος. λούσαντες αὐτὴν, φησὶν, ἔθηκαν ἐν ὑπερῴῳ· τουτέστι, τὰ ἐπὶ νεκρῷ πάντα ἐποίησαν. ἀναστὰς δὲ Πέτρος συνῆλθεν αὐτοῖς, καὶ ἀνελθὼν εἰς τὸ ὑπερῷον, θεὶς τὰ γόνατα προσηύξατο.

καὶ αὐτὸν

καὶ ἀπολαύοντα

γρ. ἐν γὰρ τῷ αὐτ.

* ἡμεῖς δὲ ὄντως αὐταῖς πειθόμενοι ὡς τοῖς ὁρωμένοις.

33 Εὗρε δὲ ἐκεῖ ἄνθρωπόν τινα Αἰνέαν ὀνόματι, ἐξ ἐτῶν ὀκτὼ κατακείμενον ἐπὶ κραββάτῳ, ὃς ἦν παραλελυμένος.

34 Καὶ εἶπεν αὐτῷ ὁ Πέτρος· Αἰνέα, ἰᾶταί σε * ὁ Χριστός, ἀνάστηθι καὶ στρῶσον σεαυτῷ. καὶ εὐθέως ἀνέστη. [Καὶ] διὰ τί μὴ ἀνέμεινε τὴν πίστιν τοῦ ἀνδρὸς, μηδὲ ἠρώτησεν εἰ βούλοιτο θεραπευθῆναι; μάλιστα μὲν οὕτω καὶ πρὸς πολλῶν παράκλησιν ἐγένετο τὸ θαῦμα. ἀγνοεῖ μὲν καὶ τὸ κέρδος ὅσον. [ἐπάγει γὰρ λέγων·]

35 Καὶ εἶδον * πάντες οἱ κατοικοῦντες Λύδδαν καὶ τὸν Ἀσσάρωνα, οἵτινες ἐπέστρεψαν ἐπὶ τὸν Κύριον. Καλῶς οὕτως εἶπεν· ἐπίσημος γὰρ ἦν ὁ ἀνήρ. ὅθεν καὶ ἔλεγχον δίδωσι τοῦ σημείου, [τὸ ἆραι τὸν κράββατον.] οὐ γὰρ δὴ τῶν νοσημάτων ἀπήλλαττον μόνον, ἀλλὰ μετὰ τῆς ὑγιείας παρεῖχον ἔτι καὶ ἰσχύν. ἄλλως δὲ, καὶ τότε οὔπω ἦσαν τεκμήρια τῆς οἰκείας παρέχοντες δυνάμεως, ὥστε εἰκότως οὐκ ἀπῃτεῖτο τὴν πίστιν ὁ ἀνήρ, ἐπεὶ οὐδὲ τὸν χωλὸν ἀπῄτησαν. καθάπερ οὖν ὁ Χριστὸς ἀρχόμενος τῶν σημείων οὐκ ἀπῄτει πίστιν, οὕτως οὐδὲ οὗτοι. ἐν Ἱεροσολύμοις μὲν γὰρ εἰκότως ἡ πίστις αὐτῶν προτέρα ἀπῃτεῖτο· ὅθεν καὶ διὰ πίστιν ὅσοι συνείχοντο ἀσθενείαις, ταῖς ὁδοῖς ἐξετίθεντο, ἵνα ἐρχομένου δὴ Πέτρου κἂν ἡ σκιὰ ἐπισκιάσῃ τινὶ αὐτῶν. πολλὰ γὰρ ἐγίνετο ἐκεῖ σημεῖα· ἐν τούτῳ δὲ τοῦτο πρῶτον συμβαίνει. τὰ μὲν γὰρ τῶν σημείων ὑπὸ τοῦ τοὺς ἄλλους ἐπισπάσασθαι ἐγίνετο· τὰ δὲ ὑπὸ τῆς τῶν πιστευόντων παρακλήσεως.

36 Ἐν Ἰόππῃ δέ τις ἦν μαθήτρια ὀνόματι Ταβιθὰ (ἣ διερμηνευομένη λέγεται Δορκάς) αὕτη ἦν πλήρης ἀγαθῶν ἔργων καὶ ἐλεημοσυνῶν ὧν ἐποίει.

37 Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις ἀσθενήσασαν αὐτὴν ἀποθανεῖν· λούσαντες δὲ αὐτὴν, ἔθηκαν ἐν ὑπερῴῳ.

38 Ἐγγὺς δὲ οὔσης Λύδδης τῇ Ἰόππῃ, οἱ μαθηταὶ ἀκούσαντες ὅτι Πέτρος ἐστὶν ἐν αὐτῇ, ἀπέστειλαν δύο ἄνδρας πρὸς αὐτὸν, παρακαλοῦντες μὴ ὀκνῆσαι διελθεῖν ἕως αὐτῶν.

Διὰ τί περιέμενον ἀποθανεῖν; διὰ τί μὴ ἔσκυλλον Πέτρον καὶ πρὸ τούτου; ἀνάξιον ἡγοῦντο λοιπὸν φιλοσοφοῦντες ὑπὲρ τῶν τοιούτων τοὺς μαθητὰς σκύλλειν καὶ τοῦ κηρύγματος παρασπᾶν. ἐπεὶ καὶ διὰ τοῦτο λέγει, ὅτι ἐγγὺς ἦν, ὥστε δεῖξαι ὅτι ἐν τάξει παρέργου τοῦτο ᾔτουν· προηγουμένως δὲ οὐκέτι. μαθήτρια γὰρ ἦν.

39 Ἀναστὰς δὲ Πέτρος συνῆλθεν αὐτοῖς· ὃν παραγενόμενον ἀνήγαγον εἰς τὸ ὑπερῷον. Οὐ παρακαλοῦσιν, ἀλλ' αὐτῷ ἐπιτρέπουσιν, ἵν' [ἐξ ἑαυτοῦ] τὴν ζωὴν αὐτῇ χαρίσηται. οὕτως ἐν τούτῳ πληροῦται τὸ, Ἐλεημοσύνη ῥύεται ἐκ θανάτου.

Καὶ παρέστησαν αὐτῷ πᾶσαι αἱ χῆραι κλαίουσαι καὶ ἐπιδεικνύμεναι χιτῶνας καὶ ἱμάτια ὅσα ἐποίει μετ' αὐτῶν οὖσα ἡ Δορκάς. Ἔνθα προὔκειτο τὸ θηκίον τῷ Πέτρῳ ἀνάγουσι· τάχα οἰόμενοι πρὸς φιλοσοφίαν αὐτόν τι ἐρεθίζεσθαι. εἶδες πόση ἐπίδοσις γέγονεν; οὐχ ἁπλῶς δὲ πρόσκειται τὸ ὄνομα τῆς γυναικὸς, ἀλλ' ἵνα μάθωμεν, ὅτι φερώνυμος ἦν, οὕτως ἐγρηγορυῖα καὶ νήφουσα ὥσπερ δορκάς. πολλὰ γὰρ καὶ οἰκονομικῶς ὀνόματα τίθεται, ὡς πολλάκις πρὸς ὑμᾶς εἴπομεν. πλήρης, φησὶν, ἦν ἀγαθῶν ἔργων ὧν ἐποίει. μέγα τῆς γυναικὸς τὸ ἐγκώμιον, εἴγε ἀμφότερα οὕτως ἐποίει, ὡς ἀμφοτέρων εἶναι πεπληρωμένην. δηλοῖ δὲ, ὅτι πρότερον ἐκείνων, καὶ τότε τούτου ἐποιήσατο ἐπιμέλειαν. ὅσα ἐποίει, φησὶ, μετ' αὐτῶν ἡ Δορκὰς οὖσα. πολλὴ ἡ ταπεινοφροσύνη. οὐ γὰρ ὥσπερ ἡμεῖς, ἀλλὰ κοινῇ πάντες ἦσαν, πολλὴν τῆς ἐλεημοσύνης ποιούμενοι λόγον.

40 Καὶ ἐκβαλὼν ἔξω πάντας ὁ Πέτρος, θεὶς τὰ γόνατα προσηύξατο. καὶ ἐπιστρέψας πρὸς τὸ σῶμα εἶπε· Ταβιθὰ, ἀνάστηθι. ἡ δὲ ἤνοιξε τοὺς ὀφθαλμοὺς αὐτῆς, καὶ ἰδοῦσα τὸν Πέτρον ἀνεκάθισε. Τί δήποτε πάντας ἐκβάλλει; ὥστε μὴ συγχυθῆναι τοῖς δάκρυσι, μηδὲ διαταραχθῆναι. καὶ θεὶς τὰ γόνατα προσηύξατο. τοῦτο δεῖγμα ἐπιτεταμένης εὐχῆς.

καὶ

* Ἰησοῦς

* αὐτὸν, ταπ

γρ. εἰς τὴν ἱκεσίαν ἐστὶν ὁ Πέτρος ἀπὸ φιλοσοφῶν.

γρ. ἡμᾶς ἰδεῖν δεῖξε

γρ. δηλοῖ

μα ἑρμηνεύεται. ὅθεν καὶ φίλος τῷ Παύλῳ γέγονεν. ὅτι δὲ γενναῖος ἦν σφόδρα καὶ εὐπρόσιτος, τοῦτο καὶ ἐκ τῆς μετὰ χεῖρας, καὶ ἐκ τῆς κατὰ Ἰωάννην δῆλόν ἐστιν. ὅθεν οὐδὲ φοβεῖται, ἀλλὰ διηγεῖται πῶς ἐν τῇ ὁδῷ εἶδε τὸν Κύριον. Καὶ ὅτι ἐλάλησεν αὐτῷ, καὶ πῶς ἐν Δαμασκῷ ἐπαῤῥησιάσατο ἐν τῷ ὀνόματι τοῦ [Κυρίου] Ἰησοῦ. Εἰκὸς αὐτὸν [γὰρ] καὶ ἐν Δαμασκῷ ἀκηκοέναι τὰ κατ' αὐτόν. διὸ καὶ ταῦτα ἐκείνοι κατασκευαστικὰ ποιεῖ, διὰ τῶν ἔργων ἐβεβαίωσε τὰ λεχθέντα.

28 Καὶ ἦν μετ' αὐτῶν εἰσπορευόμενος καὶ ἐκπορευόμενος ἐν Ἱερουσαλήμ,

29 Καὶ παῤῥησιαζόμενος ἐν τῷ ὀνόματι τοῦ Ἰησοῦ, ἐλάλει τε καὶ συνεζήτει πρὸς τοὺς Ἑλληνιστάς. Εὐθέως οἱ μαθηταὶ ἐφοβοῦντο αὐτόν, οἱ δὲ ἀπόστολοι οὐκ ἐπίστευον αὐτῷ, διὰ τοῦτο αὐτὸν ἐκεῖθεν λύει ὁ θεός. ἐλάλει τε καὶ συνεζήτει, φησί, πρὸς τοὺς Ἑλληνιστάς. Ἑλληνιστὰς τοὺς Ἑλληνιστὶ φθεγγομένους λέγει, καὶ τοῦτο σφόδρα σοφῶς. ἐκεῖνοι γὰρ οἱ ἄλλοι οὐδὲ ἰδεῖν αὐτὸν ἤθελησαν, οἱ βαθεῖς Ἑβραῖοι. Οἱ δὲ ἐπεχείρουν ἀνελεῖν αὐτόν. Τῆς σφοδρότητος καὶ τῆς κατὰ κράτος νίκης τοῦτο τεκμήριον, καὶ τοῦ σφόδρα λυπεῖσθαι τὸ γεγονός.

30 Ἐπιγνόντες δὲ οἱ ἀδελφοί, κατήγαγον αὐτὸν εἰς Καισάρειαν. Διὰ φόβον τοῦτο ποιοῦσι. φοβηθέντες γὰρ λοιπὸν μὴ ταὐτὸν γένηται, ὃ ἐπὶ Στεφάνου, κατάγουσιν αὐτὸν εἰς Καισάρειαν, Καὶ ἐξαπέστειλαν αὐτὸν εἰς Ταρσόν, Ἅμα καὶ κηρύξοντα, καὶ ἐν ἀσφαλείᾳ μᾶλλον ἐσόμενον, ἅτε ἐν οἰκείᾳ πατρίδι. ὅρα δέ μοι πῶς οὐ πάντα χάριτι γίνεται, ἀλλὰ συγχωρεῖ αὐτοὺς ὁ Θεὸς καὶ οἰκείᾳ σοφίᾳ οἰκονομεῖν πολλὰ καὶ αἰσθητικῶς. εἰ γὰρ ἐπ' αὐτοῦ τοῦτο γέγονε, πολλῷ μᾶλλον ἐπ' αὐτῶν. συγχωρεῖ τοίνυν, ἵνα τὴν ῥαθυμίαν τὴν πρόφασιν ἐκκόψῃ.

31 Αἱ μὲν οὖν ἐκκλησίαι καθ' ὅλης τῆς Ἰουδαίας καὶ Σαμαρείας εἶχον εἰρήνην, οἰκοδομούμεναι καὶ πορευόμεναι τῷ φόβῳ Κυρίου, καὶ τῇ παρακλήσει τοῦ ἁγίου πνεύματος ἐπληθύνοντο. Μέλλει λέγειν ὅτι κάτεισιν ὁ Πέτρος. ἵν' οὖν μὴ φόβου τοῦτο νομίσῃ τις, πρότερον ὡς εἶχον αἱ ἐκκλησίαι διηγεῖται, δεικνὺς ὅτι διωγμὸς ὅτε ἦν, ἐν Ἱεροσολύμοις ἦν· ὅτε δὲ πανταχοῦ ἐν ἀσφαλείᾳ τὰ τῆς ἐκκλησίας, τότε λοιπὸν καὶ τὰ Ἱεροσόλυμα ἀφίησιν. οὕτως ἦν θερμὸς ὁμοῦ καὶ σφοδρός. οὐ γὰρ ἐπειδὴ εἰρήνη ἦν, ἐνόμιζε μηδὲν δεῖσθαι τῆς αὐτοῦ παρουσίας. καὶ διὰ τί, φησι, τοῦτο ποιεῖ, καὶ ἔρχεται εἰρήνης οὔσης καὶ μετὰ τὸν Παῦλον ἀπελθεῖν; ὅτι αὐτοὺς ᾔδεσαν μάλιστα, ἅτε πολλάκις παραστάντας καὶ ὑπὸ τοῦ πλήθους θαυμασθέντας. ἐκείνου δὲ κατεφέροντο, καὶ μᾶλλον πρὸς αὐτὸν ἠγρίαινον. Εἶδες πῶς εἰρήνη τὸν πόλεμον ἐκδέχεται; μᾶλλον δέ, εἶδες τί ἐποίησεν ὁ πόλεμος ἐκεῖνος; διέσπειρε τοὺς τὴν εἰρήνην ποιοῦντας ἐπὶ τῆς Σαμαρείας· κατηχήθη ὁ Σίμων· ἐπὶ τῆς Ἰουδαίας τὰ κατὰ Σάπφειραν γέγονεν. οὐ τοίνυν, ἐπεὶ εἰρήνη ἦν, ἐκλελυμένα τὰ πράγματα ἦν· ἀλλὰ τοιαύτη ἦν ἡ εἰρήνη, ὡς καὶ παρακλήσεως δεῖσθαι.

κ. Μέλλει περὶ Πέτρου λέγειν, καὶ ὅτι πρὸς τοὺς ἁγίους κάτεισιν.

32 Ἐγένετο δὲ Πέτρον διερχόμενον διὰ πάντων κατελθεῖν καὶ πρὸς τοὺς ἁγίους τοὺς κατοικοῦντας Λύδδαν. Καθάπερ τις στρατηγὸς περιῄει τὰς τάξεις ἐπισκοπῶν, ποῖον εἴη συγκεκροτημένον μέρος, ποῖον ἐν κόσμῳ, ποῖον τῆς αὐτοῦ δέοιτο παρουσίας. ὅρα πανταχοῦ αὐτὸν περιτρέχοντα καὶ πρῶτον εὑρισκόμενον. ὅτε ἑλέσθαι ἔδει τὸν ἀπόστολον, οὗτος πρῶτος· ὅτε διαλεχθῆναι τοῖς Ἰουδαίοις περὶ τοῦ μὴ μεθύειν· ὅτε θεραπεῦσαι τὸν χωλόν· ὅτε δημηγορῆσαι, οὗτος πρὸ τῶν ἄλλων ἐστίν· ὅτε πρὸς τοὺς ἄρχοντας, οὗτος· ὅτε πρὸς Ἀνανίαν· ὅτε ἀπὸ τῆς σκιᾶς ἰάσεις ἐγίνοντο, οὗτος ἦν. καὶ ἔνθα μὲν ἦν κίνδυνος, οὗτος, καὶ ἔνθα οἰκονομία· ἔνθα δὲ γαλήνης τὰ πράγματα γέμει, κοινῇ πάντες. οὕτως οὐκ ἀπῄτει τιμὴν μείζονα. [πάλιν] ὅτε θαυματουργῆσαι ἔδει, αὐτὸς προπηδᾷ· καὶ ἐνταῦθα πάλιν οὗτος πονεῖ δι' ἑαυτοῦ καὶ ὁδοιπορεῖ.

33 Εὗρε

θεοῦ. αἱ τὰ καθ' ἡμᾶς κατασκευάσωμεν καλῶς, πάντως ἔσται ἐκεῖνα, [καὶ] ὥσπερ φυσικόν τι πρᾶγμα γίνεται. οὐκ ἔνι λαθεῖν φῶς χριστιανοῦ, οὐκ ἔνι κρυβῆναι λαμπάδα οὕτω περιφανῆ. μὴ δὴ ἀμελῶμεν. ὥσπερ γὰρ ἀπὸ τῆς ἀρετῆς τὸ κέρδος εἴς τε ἡμᾶς, εἴς τε τοὺς ὠφελουμένους διαβαίνει· οὕτως ἀπὸ τῆς κακίας διπλῆ πάλιν ἡ ζημία, εἴς τε ἡμᾶς, εἴς τε τοὺς βλαπτομένους διαβαίνουσα. ἔστω τις, εἰ βούλει, ἰδιώτης μυρία παρά τινος παθὼν κακά, καὶ μηδὲν ἐκεῖνον ἀμυνέσθω, ἀλλὰ καὶ εὐεργετείτω. πόσης τοῦτο διδασκαλίας οὐκ ἰσχυρότερον; πόσων λόγων; πόσων παραινέσεων; τίνα οὐχ ἱκανὸν σβέσαι θυμὸν καὶ μαλάξαι; ταῦτ' [οὖν] εἰδότες, ἐχώμεθα τῆς ἀρετῆς, ὡς οὐκ ἐνὸν ἑτέρως σωθῆναι, ἢ μετὰ τούτων τῶν κατορθωμάτων τὴν ἐνταῦθα ζωὴν διανύσαντας, ἵνα καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. κα 26 ΠΑΡΑΓΕΝΟΜΕΝΟΣ ΔΕ Ο ΣΑΥΛΟΣ ΕΙΣ Ἱερουσαλήμ, ἐπειρᾶτο κολλᾶσθαι τοῖς μαθηταῖς, καὶ πάντες ἐφοβοῦντο αὐτόν, μὴ πιστεύοντες ὅτι ἐστὶ μαθητής. 27 Βαρνάβας δὲ ἐπιλαβόμενος αὐτοῦ, ἤγαγε πρὸς τοὺς ἀποστόλους, καὶ διηγήσατο αὐτοῖς, πῶς ἐν τῇ ὁδῷ εἶδε τὸν Κύριον. γρ. αὐτόν

Γαλ. α ιζ. Ἄξιον ἐνταῦθα διαπορῆσαι, πῶς ἐν μὲν τῇ πρὸς Γαλάτας φησίν, ὅτι οὐκ ἀπῆλθον εἰς Ἱεροσόλυμα, ἀλλ' εἰς Ἀραβίαν καὶ Δαμασκόν, καὶ ὅτι μετὰ τρία ἔτη ἀνέβην εἰς Ἱεροσόλυμα ἱστορῆσαι Πέτρον, καὶ ὅτι οὐδένα τῶν ἀποστόλων εἶδον· ἐνταῦθα δὲ τοὐναντίον, ὅτι Βαρνάβας ἤγαγεν αὐτὸν πρὸς τοὺς ἀποστόλους. ἢ τοίνυν τοῦτό φησιν, ὅτι οὐκ ἀπῆλθον ὥστε ἀναθέσθαι. λέγει γὰρ ἐκεῖ, ὅτι οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι, οὐδὲ ἀπῆλθον εἰς Ἱεροσόλυμα πρὸς τοὺς πρὸ ἐμοῦ ἀποστόλους· ἢ εἰ μὴ τοῦτο, ὅτι ἡ ἐπιβουλὴ ἡ ἐν Δαμασκῷ, μετὰ τὸ ἐλθεῖν αὐτὸν ἀπὸ Ἀραβίας γέγονε, φησίν. εἶτα πάλιν ἡ ἄνοδος μετὰ τὸ ἐκεῖθεν ἐλθεῖν. αὐτὸς γοῦν οὐκ ἀπῆλθε πρὸς τοὺς ἀποστόλους, ἀλλὰ τοῖς μαθηταῖς ἐπειρᾶτο κολλᾶσθαι, ἅτε οὐ διδάσκαλος ὤν, ἀλλὰ μαθητής. ἆρα οὐ διὰ τοῦτο ἀνῆλθεν, ἵνα πρὸς τοὺς πρὸ αὐτοῦ ἀποστόλους ἀπέλθῃ. οὐδὲ γὰρ περὶ αὐτῶν ἦν ἔμαθεν. ἢ ταύτην τὴν ἄνοδον οὐ λέγει, ἀλλ' ἀφίησιν, ὥστε εἶναι οὕτως· ἀπῆλθεν εἰς Ἀραβίαν· εἶτα ἦλθεν εἰς Δαμασκόν· εἶτα εἰς Ἱεροσόλυμα· εἶτα εἰς Συρίαν. ἢ εἰ μὴ οὕτω, πάλιν οὕτως· ὅτι ἀνῆλθεν εἰς τὰ Ἱεροσόλυμα· εἶτα εἰς Δαμασκὸν ἐξεπέμφθη· εἶτα εἰς Συρίαν· εἶτα εἰς Δαμασκὸν πάλιν· εἶτα εἰς Καισάρειαν, καὶ τότε διὰ δεκατεσσάρων ἐτῶν, ἴσως ὅτε τοὺς ἀδελφοὺς ἀνήγαγε μετὰ Βαρνάβα. ἢ εἰ μὴ τοῦτο, ἕτερον λέγει καιρόν. ὁ γὰρ ἱστοριογράφος πολλὰ ἐπιτέμνει, καὶ πολλοὺς συνάγει καιρούς. ὅρα πῶς οὐκ ἔστι φιλότιμος, οὐδὲ διηγεῖται τὴν ὄψιν ἐκείνην, ἀλλὰ παρατρέχει. πάλιν δὲ οὕτως ἄρχεται, καί φησι· παραγενόμενος δὲ εἰς Ἱερουσαλήμ, ἐπειρᾶτο κολλᾶσθαι τοῖς μαθηταῖς· καὶ δὲ ἐφοβοῦντο αὐτόν. καὶ ἀπὸ τούτου πάλιν τὸ θερμὸν τοῦ Παύλου δείκνυται· οὐκ ἀπὸ Ἀνανίου, οὐδὲ ἀπὸ τῶν θαυμαζόντων αὐτὸν ἐκεῖ· ἀλλὰ καὶ ἀπὸ τῶν ἐν Ἱεροσολύμοις. οὐ γὰρ ἦν ὄντως προσδοκίας ἀνθρωπίνης ἐκεῖνο. καὶ ὅρα αὐτὸν οὐ πρὸς τοὺς ἀποστόλους ἀπιόντα διὰ τὸ μετριάζειν, ἀλλὰ πρὸς τοὺς μαθητάς, ἅτε μαθητὴν ὄντα. οὔπω γὰρ ἐνομίζετο ἀξιόπιστος εἶναι. Βαρνάβας δὲ ἐπιλαβόμενος αὐτοῦ ἤγαγε πρὸς τοὺς ἀποστόλους, καὶ διηγήσατο αὐτοῖς πῶς ἐν τῇ ὁδῷ εἶδε τὸν Κύριον. Ὁ Βαρνάβας οὗτος, ἐπιεικής τις καὶ ἥμερος ἄνθρωπος ἦν· ὅθεν δὲ καὶ παρακλήσεως τὸ ὄνο-

Γαλ. α. ιη.

μα

Digitized by Google

οὐδέπω ἀπήρτιστο αὐτῷ τὰ τῆς εἰς τὸν ἄνθρωπον οἰκονομίας. τοιαύτην εἶναι χρὴ τὴν ψυχὴν τοῦ χριστιανοῦ· ἀπὸ προοιμίων καὶ ἀπὸ βαλβῖδος αὐτῆς ἐδείκνυτο ὁ χαρακτὴρ Παύλου· μᾶλλον δὲ καὶ πρὸ τούτου. ἐν οἷς γὰρ οὐ κατὰ γνῶσιν ἐποίει, ἀνθρωπίνῳ κινούμενος λογισμῷ διεπράττετο. εἰ γὰρ μετὰ τοσοῦτον χρόνον οὐκ ἤθελεν ἀναλῦσαι, πολλῷ μᾶλλον ἐν ἀρχῇ τῆς ἐμπορείας ἄρτι τῶν λιμένων ἐξελθών. οὐκ ἐξαρπάζει δὲ αὐτὸν ὁ Χριστὸς τοῦ κινδύνου, ἀλλ' ἀφίησιν, ἐπειδὴ βούλεται καὶ ἀνθρωπίνῃ συνέσει πολλὰ γίνεσθαι. ἄλλως δὲ, ἀφίησιν, ἵνα μάθωμεν ὅτι καὶ αὐτοὶ ἄνθρωποι ἦσαν, καὶ ὅτι οὐ πανταχοῦ τὸ πᾶν ἡ χάρις ἐνήργει· ἐπεὶ, εἰ μὴ τοῦτο ἦν, ξύλα ἁπλῶς ἐνομίσθησαν ἄν*. διά τοι τοῦτο πολλὰ καὶ αὐτοὶ ᾠκονόμουν διὰ τῶν πραγμάτων. τοῦτο καὶ ἡμεῖς ποιῶμεν, καὶ οὕτω τῆς τῶν ἀδελφῶν ὀρεγώμεθα σωτηρίας. τοῦτο μαρτυρίου οὐκ ἔλαττον μηδὲν παραιτήσασθαι παθεῖν διὰ τὴν τῶν πολλῶν σωτηρίαν. οὐδὲν οὕτως εὐφραίνει τὸν Θεόν. πάλιν ἐρῶ, ὃ πολλάκις εἶπον, ἐρῶ δὲ, ἐπειδὴ σφόδρα αὐτὸ βούλομαι. ἐπεὶ καὶ ὁ Χριστὸς τὸ αὐτὸ ἐποίει, περὶ ἀφέσεως παραινῶν καὶ λέγων· Ὅταν προσεύχησθε ὑμεῖς, ἀφίετε, εἴ τι κατά τινος ἔχετε. πάλιν δὲ Πέτρῳ διαλεγόμενος· Οὐ λέγω σοί, φησιν, ὅτι ἄφες ἕως ἑπτάκις· ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά, καὶ διὰ τῶν ἔργων ἀφίησι τὰ εἰς αὐτὸν πλημμελήματα. οὕτω δὴ καὶ ἡμεῖς, ἐπειδὴ ἴσμεν τοῦτο ὅρον χριστιανισμοῦ ὄντα, διὰ πάντος περὶ αὐτοῦ διαλεγώμεθα. οὐδὲν ψυχρότερον χριστιανοῦ ἑτέρους μὴ σώζοντος. οὐκ ἔχεις ἐνταῦθα πενίαν εἰπεῖν. ἡ γὰρ τὰ δύο καταβαλοῦσα λεπτὰ κατηγορήσει· καὶ Πέτρος ἔλεγεν, Ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι· καὶ Παῦλος οὕτως ἦν πένης, ὡς καὶ πεινάσαι πολλάκις καὶ τῆς ἀναγκαίας ἀπορῆσαι τροφῆς. οὐκ ἔχεις δυσγένειαν εἰπεῖν. καὶ γὰρ ἐκεῖνοι ἄσημοι ἦσαν καὶ ἐξ ἀσήμων. οὐκ ἔχεις ἰδιωτείαν προβάλλεσθαι. καὶ γὰρ ἐκεῖνοι ἀγράμματοι ἦσαν. κἂν δοῦλος ᾖς, κἂν δραπέτης, δύνασαι τὰ παρὰ σαυτοῦ πληρῶσαι· ἐπεὶ καὶ ὁ Ὀνήσιμος τοιοῦτος ἦν. ἀλλ' ὅρα ποῦ καλεῖ αὐτόν, καὶ εἰς πόσον ἄγει ἀξίωμα. Ἵνα διακονῇ μοι, φησιν, ἐν τοῖς δεσμοῖς μου. οὐκ ἔχεις ἀσθένειαν εἰπεῖν· ἐπεὶ καὶ Τιμόθεος τοιοῦτος ἦν, πυκνὰς ἔχων τὰς ἀσθενείας. ὅτι δὲ ἀσθενὴς ἦν, ἄκουε· Οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου καὶ τὰς πυκνάς σου ἀσθενείας. δύναται ἕκαστος τὸν πλησίον ὠφελεῖν, ἐὰν θέλῃ τὰ παρ' αὐτοῦ πληρῶσαι. οὐχ ὁρᾶτε τὰ δένδρα τὰ ἄκαρπα πῶς ἐστιν ἰσχυρά; πῶς καλά; εὐμήκη, λεῖα καὶ ὑψηλά; ἀλλ' εἰ παράδεισον ἔχοιμεν, βουλοίμεθα ἂν ῥοιάς, ἐλαίας ἔχειν καρπίμους πολλῷ μᾶλλον, ἢ ταῦτα. ἐκεῖνα γὰρ πρὸς τέρψιν εἰσίν, οὐ πρὸς ὠφέλειαν, καὶ ἡ ὠφέλεια δὲ αὐτῶν μικρά τις ἐστι. τοιοῦτοί εἰσιν οἱ τὰ αὐτῶν μόνον σκοποῦντες· μᾶλλον δὲ οὐδὲ τοιοῦτοι. πρὸς γὰρ καῦσιν ἐπιτήδειοι οὗτοι· ἐπεὶ ἐκεῖνα καὶ πρὸς οἰκοδομήν, καὶ πρὸς ἀσφάλειαν τῶν ἔνδον. τοιαῦται ἦσαν καὶ αἱ παρθένοι, ἁγναὶ μὲν καὶ κόσμιαι καὶ σώφρονες, οὐδενὶ δὲ χρήσιμοι· διὸ καὶ κατεκαίοντο. τοιοῦτοι ἦσαν οἱ μὴ θρέψαντες τὸν Χριστόν. ὅρα γὰρ τούτων οὐδένα ἐγκαλούμενον ὑπὲρ τῶν οἰκείων ἁμαρτημάτων, οὐχ ὅτι ἐπόρνευσεν, οὐχ ὅτι ἐπιώρκησεν, οὐδὲν ὅλως· ἀλλ' ὅτι ἑτέρῳ μὴ γέγονε χρήσιμος. τοιοῦτος ἦν ὁ τὸ τάλαντον κατορύξας, ἄληπτον παρεχόμενος μὲν βίον· ἑτέρῳ δὲ οὐκ ὢν χρήσιμος. πῶς ἐστι χριστιανὸς ὁ τοιοῦτος, εἰπέ μοι; ἐὰν ζύμη ἀναφυρωθεῖσα ἀλεύρῳ μὴ μεταστήσῃ εἰς τὴν αὐτῆς ἕξιν τὸ πᾶν, ἆρα ζύμη τὸ τοιοῦτόν ἐστι; τί δαί, εἰ μὴ μύρον ἀναπλήσειε τῆς εὐωδίας τοὺς πλησιάζοντας, μύρον ἂν τοῦτο καλέσαιμεν; μὴ εἴπῃς, ἀδύνατόν μοί ἐστιν ἑτέρους ἐπαγαγεῖν. ἂν γὰρ ᾖς χριστιανός, ἀδύνατον τὸ μὴ οὕτω γενέσθαι. ὥσπερ γὰρ τὰ ἐν τῇ φύσει ἀναντίρρητά ἐστιν, οὕτω καὶ ταῦτα. ἐν γὰρ τῇ φύσει τοῦ χριστιανοῦ κεῖται τὸ πρᾶγμα. μὴ ὕβριζε τὸν Θεόν. ἂν εἴπῃς, ὅτι ὁ ἥλιος οὐ δύναται φαίνειν, ὕβρισας αὐτόν· ἂν εἴπῃς, ὅτι ὁ χριστιανὸς οὐ δύναται ὠφελεῖν, ὕβρισας τὸν Θεόν, καὶ ψεύστην εἶπας. εὐκολώτερον γὰρ τὸν ἥλιον μὴ θερμαίνειν, μηδὲ φαίνειν, ἢ τὸν χριστιανὸν μὴ φωτίζειν· εὐκολώτερον τὸ φῶς εἶναι σκότος, ἢ τοῦτο γενέσθαι. μὴ δὴ λέγε, ὅτι ἀδύνατον. ἀδύνατον γὰρ τοὐναντίον ἐστί. μὴ δὴ ὕβριζε τὸν Θεόν.

κ. καὶ ἐν εἶτ' οὐ κατὰ μῦ. ἐπ. ἰς αὐτ.

κ. τῆς χάριτος ἦν

* ἀνίσταν.

κ. ἀφίησι

κ. λεῖα

κ. ῥοιάς

κ. εἶπον

κ. οὕτω

Ματθ. ς κγ.

Ματθ. ιη. κα.

Λουκ. κα. β.

Πράξ. γ. ς.

Φιλημ. α. ι.

α. Τιμ. ε κγ.

τοῖς ἀποστόλοις περιῄει συνεχόμενος. ὅρα διὰ πόσων ὁμολογεῖται τῶν ἐχθρῶν τυγχάνων ὁ Παῦλος. ὁ δὲ οὐ μόνον οὐκ ἠμύνετο τούτοις, οὐδὲ ἐνεκαλύπτετο, ἀλλὰ καὶ ἐνεβριμοῦτο. Σαῦλος δὲ μᾶλλον ἐνεδυναμοῦτο καὶ συνέχυνε τοὺς Ἰουδαίους· τουτέστιν, ἐπεστόμιζεν, οὐκ εἴα τι εἰπεῖν. συμβιβάζων ὅτι οὗτός ἐστιν ὁ Χριστός. διδάσκων, φησί. διδάσκαλος καὶ γὰρ εὐθέως ἦν.

23 Ὡς δὲ ἐπληροῦντο ἡμέραι ἱκαναί, συνεβουλεύσαντο οἱ Ἰουδαῖοι ἀνελεῖν αὐτόν.

Ἐπὶ τὸν ἰσχυρὸν συλλογισμὸν ἔρχονται πάλιν οἱ Ἰουδαῖοι. οὐκέτι γὰρ συκοφάντας καὶ κατηγόρους καὶ ψευδομάρτυρας ἐπιζητοῦσιν· οὐδὲ γὰρ ἔτι ἀνέχονται τούτων· ἀλλὰ τί; λοιπὸν αὐτοὶ δι' ἑαυτῶν τοῦτο ἐργάζονται. ἐπεὶ γὰρ εἶδον ἐπιτεινόμενον τὸ πρᾶγμα, οὐδὲ δικαστήριον καθίζουσιν.

24 Ἐγνώσθη δέ, φησι, τῷ Σαύλῳ ἡ ἐπιβουλὴ αὐτῶν. παρετήρουν τε τὰς πύλας ἡμέρας τε καὶ νυκτός, ὅπως αὐτὸν ἀνέλωσι. Διὰ τί; ὅτι πάντων ἀφορητότερον ἦν αὐτοῖς τῶν ἤδη γεγενημένων σημείων, τῶν πεντακισχιλίων, τῶν τρισχιλίων, πάντων ἁπλῶς. καὶ ὅρα αὐτὸν πῶς οὐ χάριτι σωζόμενον, ἀλλ' ἀνθρωπίνῃ σοφίᾳ*· ἵνα μάθῃς τοῦ ἀνδρὸς τὴν ἀρετὴν καὶ χωρὶς σημείων λάμπουσαν.

χ. τότε γὰρ πάντ.

* ὁ καθήκας ἐκεῖνος·

25 Λαβόντες δὲ αὐτὸν οἱ μαθηταὶ νυκτός, καθῆκαν διὰ τοῦ τείχους χαλάσαντες ἐν σπυρίδι. Εἰκότως· ἵνα ἀνύποπτον ᾖ τὸ πρᾶγμα. τί οὖν; τοιούτους κινδύνους διαφυγών, ἆρα ἵσταται; οὐδαμῶς· ἀλλ' ἀπέρχεται ἔνθα μειζόνως ἂν αὐτοὺς διάψοι. ὅτι γὰρ ἀκριβῶς ἐπίστευσεν, ἄπιστον ἦν ἔτι τοῖς πολλοῖς. διὰ τοῦτο μετ' ἡμέρας ἱκανὰς τοῦτο γίνεται. τί ποτε τοῦτό ἐστιν; εἰκὸς αὐτὸν μὴ βούλεσθαι τέως ἐξελθεῖν ἐκεῖθεν, πολλῶν ἴσως παρακαλούντων. ἐπεὶ δὲ ἔμαθε, τότε ἐπέτρεψε τοῖς μαθηταῖς αὐτοῦ. καὶ γὰρ μαθητὰς εἶχεν εὐθέως. τοῦτο αἰνιττόμενος ἔλεγεν· Ὁ ἐθνάρχης Ἀρέτα τοῦ βασιλέως ἐφρούρει τὴν Δαμασκηνῶν πόλιν, πιάσαι με θέλων. καὶ ὅρα τὸν εὐαγγελιστὴν οὐδὲν φιλοτίμως λέγοντα, οὐδὲ λαμπρὰ διηγούμενον τὸν Παῦλον· ἀλλὰ μόνον ὅτι ἐπήγειραν τὸν βασιλέα. μόνον οὖν αὐτὸν ἐξέπεμψαν, καὶ οὐδένα μετ' αὐτοῦ· καὶ τοῦτο δὲ συμφερόντως, ὥστε αὐτὸν φανῆναι τοῖς ἀποστόλοις ἐν Ἱεροσολύμοις. μᾶλλον δὲ αὐτοὶ μὲν ἐξέπεμψαν, ὡς ἐκ τούτου λοιπὸν ἑαυτῷ τὴν σωτηρίαν ποιήσασθαι· αὐτὸς δὲ τοὐναντίον πραττόμενος, εἰς τοὺς μαινομένους εὐθὺς ἐπεπήδησε. τοῦτο ἐστι πεπυρῶσθαι, τοῦτο μάλιστα ζῆν. καὶ σκόπει πῶς ἀκολουθεῖ, ἐκ πρώτης ἡμέρας τηρῶν τὸ παράγγελμα, ὅπερ ἤκουσαν οἱ ἀπόστολοι, τό, Ἐὰν μή τις ἄρῃ τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθήσῃ μοι. τὸ τοίνυν ὕστερον αὐτὸν τῶν ἄλλων μαθητῶν ἐλθεῖν, [μᾶλλον αὐτὸν] προθυμότερον ἐποίει. καὶ ἔργῳ ἐπληροῦτο ἐκεῖνο, τό, Ὧ ἀφίεται πολύ, μᾶλλον ἀγαπήσει. ὥστε ὅσῳ ὕστερον ἦλθε, τοσούτῳ μᾶλλον ἠγάπησε. διὰ τοῦτο καὶ τὸν πρότερον βίον ἑαυτοῦ στηλιτεύων, καὶ πολλάκις ἑαυτὸν στίζων, οὐδὲν ἡγεῖτο ἱκανὸν εἶναι πρὸς τὸ τὰ πρότερα ἀποκρύψαι. συμβιβάζων, φησί· τουτέστι, μετ' ἐπιεικείας διδάσκων. καὶ ὅρα, οὐ λέγουσιν αὐτῷ, ὅτι σὺ εἶ ὁ πορθῶν· τί μεταβέβλησαι; ἠσχύνοντο γάρ· ἀλλὰ πρὸς ἑαυτοὺς ἔλεγον. εἶπε γὰρ ἂν πρὸς αὐτοὺς πολλῷ δικαιότερον, ὅτι τοῦτο μάλιστα ὑμᾶς διδάξαι ὀφείλει, ἐπεὶ καὶ πρὸς Ἀγρίππαν οὕτως ἀπολογεῖται.

χ. φλέγοι

β. Κορ. ια. λβ.

χ. ὀφείλοντα τῇ φυγῇ τὴν

Ματθ. ι. λη.

χ. ἀρξάμενος ἀπὸ τῆς ἡμέρας ἐκείνης ἔχων λοιπὸν πάντα τὰ παραγγέλματα ἄπαντα

Λουκ. ζ. μζ.

χ. ἠγάπα

ΗΘΙΚΟΝ

Τοῦτον μιμώμεθα, παρακαλῶ, καὶ ἡμεῖς, ἐν ταῖς χερσὶ τὰς ψυχὰς βαστάζωμεν, καὶ πρὸς πάντας ὦμεν κινδύνους παρατεταγμένοι. καὶ πῶς, φησιν, ἐκεῖνος φεύγει; οὐκ ἦν δειλίας τὸ πρᾶγμα, ἀλλ' ἐφύλαττεν ἑαυτὸν τῷ κηρύγματι. εἰ δειλὸς ἦν, οὐκ ἂν εἰς τὰ Ἱεροσόλυμα ἦλθεν· οὐκ ἂν εὐθέως ἀνεδέξατο τὴν διδασκαλίαν· καθυφῆκεν ἂν τῆς σφοδρότητος. ἀλλ' οὐκ ἦν δειλός, ἀλλὰ καὶ οἰκονομικός. ἐπαιδεύθη τῷ πάθει τοῦ Στεφάνου. διὸ οὐδὲν μέγα ἡγεῖτο τὸ ἀποθανεῖν ὑπὲρ τοῦ κηρύγματος, εἰ μὴ μετὰ πολλοῦ τοῦ κέρδους τοῦτο ἐργάσαιτο, ἄνθρωπος οὐδὲ τὸν Χριστὸν ἰδεῖν θέλων, ὃν μάλιστα πάντων ἐσπούδαζεν ἰδεῖν, ἐπειδὴ

οὐδέπω

οὐδέπω ἀπήρτιστο αὐτῷ τὰ τῆς εἰς τοὺς ἀνθρώπους οἰκονομίας. Τοιαύτην εἶναι χρὴ τὴν ψυχὴν τοῦ Χριστιανοῦ· ἀπὸ προοιμίων καὶ ἀπὸ βαλβῖδος αὐτῆς ἐδείκνυτο ὁ χαρακτὴρ Παύλου· μᾶλλον δὲ καὶ πρὸ τούτου. Ἐν οἷς γὰρ οὐ κατὰ γνῶσιν ἐποίει, ἀνθρωπίνῳ κινούμενος λογισμῷ διεπράττετο. Εἰ γὰρ μετὰ τοσοῦτον χρόνον οὐκ ἤθελεν ἀνελθεῖν, πολλῷ μᾶλλον ἐν ἀρχῇ τῆς ἐμπορείας ἄρτι τῶν λιμένων ἐξελθών. Οὐκ ἐξαρπάζει δὲ αὐτὸν ὁ Χριστὸς τῶν κινδύνων, ἀλλ' ἀφίησιν, ἐπειδὴ βούλεται καὶ ἀνθρωπίνῃ συνέσει πολλὰ γίνεσθαι. ἄλλως δέ, ἀφίησιν, ἵνα μάθωμεν ὅτι καὶ αὐτοὶ ἄνθρωποι ἦσαν, καὶ ὅτι οὐ πανταχοῦ τὸ πᾶν ἡ χάρις ἐνήργει· ἐπεί, εἰ μὴ τοῦτο ἦν, ξύλα ἁπλῶς ἐνομίσθησαν ἄν*. διά τοι τοῦτο πολλὰ καὶ αὐτοὶ ᾠκονόμουν διὰ τῶν πραγμάτων. τοῦτο καὶ ἡμεῖς ποιῶμεν, καὶ οὕτω τῆς τῶν ἀδελφῶν ὀρεγώμεθα σωτηρίας. τοῦτο μαρτυρίου οὐκ ἔλαττον, μηδὲν παραιτήσασθαι παθεῖν διὰ τὴν τῶν πολλῶν σωτηρίαν. οὐδὲν οὕτως εὐφραίνει τὸν Θεόν. πάλιν ἐρῶ, ὃ πολλάκις εἶπον, ἐρῶ δέ, ἐπειδὴ σφόδρα αὐτὸ βούλομαι. ἐπεὶ καὶ ὁ Χριστὸς τὸ αὐτὸ ἐποίει, περὶ ἀφέσεως παραινῶν καὶ λέγων· Ὅταν προσεύχησθε ὑμεῖς, ἀφίετε, εἴ τι κατά τινος ἔχετε. πάλιν δὲ Πέτρῳ διαλεγόμενος· Οὐ λέγω σοί, φησιν, ὅτι ἀφέσεως ἑπτάκις· ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά, καὶ διὰ τῶν ἔργων ἀφίησι τὰ εἰς αὐτὸν πλημμελήματα. οὕτω δὴ καὶ ἡμεῖς, ἐπειδὴ ἴσμεν τοῦτο ὅρον χριστιανισμοῦ ὄντα, διὰ παντὸς περὶ αὐτοῦ διαλεγώμεθα. οὐδὲν ψυχρότερον χριστιανοῦ ἑτέρους μὴ σώζοντος. οὐκ ἔχεις ἐνταῦθα πενίαν εἰπεῖν. ἡ γὰρ τὰ δύο καταβαλοῦσα λεπτὰ κατηγορήσει· καὶ Πέτρος ἔλεγεν, Ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι· καὶ Παῦλος οὕτως ἦν πένης, ὡς καὶ πεινᾶσαι πολλάκις καὶ τῆς ἀναγκαίας ἀπορῆσαι τροφῆς. οὐκ ἔχεις δυσγένειαν εἰπεῖν. καὶ γὰρ ἐκεῖνοι ἄσημοι ἦσαν καὶ ἐξ ἀσήμων. οὐκ ἔχεις ἰδιωτείαν προβάλλεσθαι. καὶ γὰρ ἐκεῖνοι ἀγράμματοι ἦσαν. κἂν δοῦλος ᾖς, κἂν δραπέτης, δύνασαι τὰ παρὰ σαυτοῦ πληρῶσαι· ἐπεὶ καὶ ὁ Ὀνήσιμος τοιοῦτος ἦν. ἀλλ' ὅρα ποῦ καλεῖ αὐτόν, καὶ εἰς πόσην ἄγει ἀξίαν. Ἵνα διακονῇ μοί, φησιν, ἐν τοῖς δεσμοῖς μου. οὐκ ἔχεις ἀσθένειαν εἰπεῖν· ἐπεὶ καὶ Τιμόθεος τοιοῦτος ἦν, πυκνὰς ἔχων τὰς ἀσθενείας. ὅτι δὲ ἀσθενὴς ἦν, ἄκουε· Οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου καὶ τὰς πυκνάς σου ἀσθενείας. δύναται ἕκαστος τὸν πλησίον ὠφελεῖν, ἐὰν θέλῃ τὰ παρ' αὐτοῦ πληρῶσαι. οὐχ ὁρᾶτε τὰ δένδρα τὰ ἄκαρπα πῶς ἐστιν ἰσχυρά; πῶς καλά; εὐμήκη, ἀλλὰ καὶ ὑψηλά; ἀλλ' εἰ παράδεισον ἔχοιμεν, βουλοίμεθα ἂν ῥοιάς, ἐλαίας ἔχειν καρπίμους πολλῷ μᾶλλον, ἢ ταῦτα. ἐκεῖνα γὰρ πρὸς τέρψιν εἰσίν, οὐ πρὸς ὠφέλειαν, καὶ ἡ ὠφέλεια δὲ αὐτῶν μικρά τις ἐστί· τοιοῦτοί εἰσιν οἱ τὰ αὐτῶν μόνον σκοποῦντες· μᾶλλον δὲ οὐδὲ τοιοῦτοι. πρὸς γὰρ καῦσιν ἐπιτήδειοι οὗτοι· ἐπεὶ ἐκεῖνα καὶ πρὸς οἰκοδομήν, καὶ πρὸς ἀσφάλειαν τῶν ἔνδον. τοιαῦται ἦσαν καὶ αἱ παρθένοι, ἁγναὶ μὲν καὶ κόσμιαι καὶ σώφρονες, οὐδενὶ δὲ χρήσιμοι· διὸ καὶ κατακαίονται· τοιοῦτοι ἦσαν οἱ μὴ θρέψαντες τὸν Χριστόν. ὅρα γὰρ τούτων οὐδένα ἐγκαλούμενον ὑπὲρ τῶν οἰκείων ἁμαρτημάτων, οὐχ ὅτι ἐπόρνευσεν, οὐχ ὅτι ἐπιώρκησεν, οὐδὲν ὅλως· ἀλλ' ὅτι ἑτέρῳ μὴ γέγονε χρήσιμος. τοιοῦτος ἦν ὁ τὸ τάλαντον κατορύξας, ἄληπτον παρεχόμενος μὲν βίον· ἑτέρῳ δὲ οὐκ ὢν χρήσιμος. πῶς ἐστι χριστιανὸς ὁ τοιοῦτος, εἰπέ μοι; ἐὰν ζύμη ἀναφυρασθεῖσα ἀλεύρῳ μὴ μεταστήσειεν εἰς τὴν αὐτῆς ἕξιν τὸ πᾶν, ἆρα ζύμη τὸ τοιοῦτόν ἐστι; τί δαί, εἰ μὴ μύρον ἀναπλήσειε τῆς εὐωδίας τοὺς πλησιάζοντας, μύρον ἂν τοῦτο καλέσαιμεν; μὴ εἴπῃς, ἀδύνατόν μοί ἐστιν ἑτέρους ἐπαγαγεῖν. ἂν γὰρ ᾖς χριστιανός, ἀδύνατον τὸ μὴ οὕτω γενέσθαι. ὥσπερ γὰρ τὰ ἐν τῇ φύσει ἀναντίρρητά ἐστιν, οὕτω καὶ ταῦτα. ἐν γὰρ τῇ φύσει τοῦ χριστιανοῦ κεῖται τὸ πρᾶγμα. μὴ ὕβριζε τὸν Θεόν. ἂν εἴπῃς, ὅτι ὁ ἥλιος οὐ δύναται φαίνειν, ὕβρισας αὐτόν· ἂν εἴπῃς, ὅτι ὁ χριστιανὸς οὐ δύναται ὠφελεῖν, ὕβρισας τὸν Θεόν, καὶ ψεύστην εἶπας. εὐκολώτερον γὰρ τὸν ἥλιον μὴ θερμαίνειν, μηδὲ φαίνειν, ἢ τὸν χριστιανὸν μὴ φωτίζειν· εὐκολώτερον τὸ φῶς εἶναι σκότος, ἢ τοῦτο γενέσθαι. μὴ δὴ λέγε, ὅτι ἀδύνατον. ἀδύνατον γὰρ τοὐναντίον ἐστί. μὴ δὴ ὕβριζε τὸν Θεόν.

[Margin notes, left:] γ. καὶ ἐν οἷς οὐ κατ' [illegible] ἰς αἰσθ. — γ. τῆς χάριτος ἦν — * ἀκίνητα. — γ. ἀφῆκε — γ. λεῖα — γ. ῥοάς, — γ. εἰσίν — γ. τοῦτο

[Margin notes, right:] Ματθ. ε. κγ. — Ματθ. ιη. κβ. — Λου. κα. β. — Πραξ. γ. ς. — Φιλημ. α. ι. — α. Τιμ. ε. κγ.

τοῖς ἀποστόλοις πρότερον συνεγίνετο. ὅρα διὰ πόσων ὁμολογεῖται τῶν ἐχθρῶν τυγχάνων ὁ Παῦλος. ὁ δὲ οὐ μόνον οὐκ ᾐσχύνετο τούτοις, οὐδὲ ἐνεκαλύπτετο, ἀλλὰ καὶ ἐνεβριμοῦτο. Σαῦλος δὲ μᾶλλον ἐνεδυναμοῦτο καὶ συνέχυνε τοὺς Ἰουδαίους· τουτέστιν, ἐπεστόμιζεν, οὐκ εἴα τι εἰπεῖν. συμβιβάζων ὅτι οὗτός ἐστιν ὁ Χριστός. διδάσκων, φησί. διδάσκαλος καὶ γὰρ εὐθέως ἦν.

23 Ὡς δὲ ἐπληροῦντο ἡμέραι ἱκαναί, συνεβουλεύσαντο οἱ Ἰουδαῖοι ἀνελεῖν αὐτόν.

Ἐπὶ τὸν ἰσχυρὸν συλλογισμὸν ἔρχονται πάλιν οἱ Ἰουδαῖοι. οὐκέτι γὰρ συκοφάντας καὶ κατηγόρους καὶ ψευδομάρτυρας ἐπιζητοῦσιν· οὐδὲ γὰρ ἔτι ἀνέχονται τούτων· ἀλλὰ τί; λοιπὸν αὐτοὶ δι᾽ ἑαυτῶν τοῦτο ἐργάζονται. ἐπειδὴ γὰρ εἶδον ἐπιτεινόμενον τὸ πρᾶγμα, οὐδὲ δικαστήριον καθίζουσιν.

24 Ἐγνώσθη δέ, φησι, τῷ Σαύλῳ ἡ ἐπιβουλὴ αὐτῶν. παρετήρουν τε τὰς πύλας ἡμέρας τε καὶ νυκτός, ὅπως αὐτὸν ἀνέλωσι. Διατί; ὅτι πάντων ἀφορητότερον ἦν αὐτοῖς τῶν ἤδη γεγενημένων σημείων, τῶν πεντακισχιλίων, τῶν τρισχιλίων, πάντων ἁπλῶς. καὶ ὅρα αὐτὸν τέως οὐ χάριτι σωζόμενον, ἀλλ᾽ ἀνθρωπίνῃ σοφίᾳ·* ἵνα μάθῃς τοῦ ἀνδρὸς τὴν ἀρετὴν καὶ χωρὶς σημείων λάμπουσαν. γ. τῶν γὰρ πεντ. / * ὁ κηδόμενος ἐκείνου·

25 Λαβόντες δὲ αὐτὸν οἱ μαθηταὶ νυκτὸς καθῆκαν διὰ τοῦ τείχους χαλάσαντες ἐν σπυρίδι. Εἰκότως· ἵνα ἀνύποπτον ᾖ τὸ πρᾶγμα. τί οὖν; τοιούτων κινδύνων διαφυγών, ἆρα ἵσταται; οὐδαμῶς· ἀλλ᾽ ἀπέρχεται ἔνθα μειζόνως ἂν αὐτοὺς ἐξάψοι. ὅτι γὰρ ἀκριβῶς ἐπίστευσεν, ἄπιστον ἦν ἔτι τοῖς πολλοῖς. διὰ τοῦτο μετὰ ἡμέρας ἱκανὰς τοῦτο γέγονε. τί ποτε τοῦτ᾽ ἔστι; εἰκὸς αὐτὸν μὴ βούλεσθαι τέως ἐξελθεῖν ἐκεῖθεν, πολλῶν ἴσως διαπονούντων. ἐπειδὴ δὲ ἔμαθε, τότε ἐπέτρεψε τοῖς μαθηταῖς αὐτοῦ. καὶ γὰρ μαθητὰς εἶχεν εὐθέως. γ. φλέγοι

β. Κορ. ια. λβ. τοῦτο αἰνιττόμενος ἔλεγεν· Ὁ ἐθνάρχης Ἀρέτα τοῦ βασιλέως ἐφρούρει τὴν Δαμασκηνῶν πόλιν, πιάσαι με θέλων. καὶ ὅρα τὸν εὐαγγελιστὴν οὐδὲν φιλότιμον λέγοντα, οὐδὲ λαμπρότερον δεικνύντα τὸν Παῦλον· ἀλλὰ μόνον ὅτι ἐπήγειρεν τὸν βασιλέα. μόνον οὖν αὐτὸν ἐξέπεμψαν, καὶ οὐδένα μετ᾽ αὐτοῦ· καὶ τοῦτο δὲ συμφερόντως, ὥστε αὐτὸν φανῆναι τοῖς ἀποστόλοις ἐν Ἱεροσολύμοις. μᾶλλον δὲ αὐτὸν μὲν ἐξέπεμψαν, ὡς ἐκ τούτου λοιπὸν ἑαυτῷ τὴν σωτηρίαν ποιήσασθαι· αὐτὸς δὲ τοὐναντίον πραττόμενος, εἰς τοὺς μαχομένους εὐθὺς ἐπεπήδησε. τοῦτο ἐστι πεπυρῶσθαι, τοῦτο μάλιστα ζῆν. καὶ σκόπει πῶς ἀκολουθεῖ, ἐκ πρώτης ἡμέρας τηρῶν τὸ παράγγελμα, ὅπερ ἤκουσαν οἱ ἀπόστολοι, τό, Ἐὰν μή τις ἄρῃ τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθήσῃ μοι. (Ματθ. ι. λη.) τὸ τοίνυν ὕστερον αὐτὸν τῶν ἄλλων μαθητῶν ἐλθεῖν, [μᾶλλον αὐτὸν] προθυμότερον ἐποίει. καὶ ἔργῳ ἐπληροῦτο ἐκεῖνο, τό, Ὧ ἀφίεται πολύ, μᾶλλον ἀγαπήσει. (Λουκ. ζ. μζ.) ὥστε ὅσῳ ὕστερον ἦλθε, τοσούτῳ μᾶλλον ἠγάπησε. διὰ τοῦτο καὶ τὸν πρότερον βίον ἑαυτοῦ στηλιτεύων, καὶ πολλάκις ἑαυτὸν ψέγων, οὐδὲν ἡγεῖτο ἱκανὸν εἶναι πρὸς τὸ τὰ πρότερα ἀποκρύψαι. συμβιβάζων, φησί· τουτέστι, μετ᾽ ἐπιεικείας διδάσκων. καὶ ὅρα, οὐ λέγουσιν αὐτῷ, ὅτι σὺ εἶ ὁ πορθῶν· τί μεταβέβλησαι; ᾐσχύνοντο γάρ· ἀλλὰ πρὸς ἑαυτοὺς ἔλεγον. εἶπε γὰρ ἂν πρὸς αὐτοὺς πολλῷ δικαιότερον, ὅτι τοῦτο μάλιστα ὑμᾶς διδάξαι ὀφείλει, ἐπεὶ καὶ πρὸς Ἀγρίππαν οὕτως ἀπολογεῖται.

γ. ὀφείλοντα τῇ φυγῇ τὴν / γ. ἀνάξιον ὑπὸ τῆς ἡμῶν ἐκείνης ἔχειν λοιπὸν πάντα τὰ παραγγέλματα ἀπαιτεῖν. / γ. ἔχαιρε

ΗΘΙΚΟΝ

Τοῦτον μιμώμεθα, παρακαλῶ, καὶ ἡμεῖς, ἐν ταῖς χερσὶ τὰς ψυχὰς βαστάζωμεν, καὶ πρὸς πάντας ὦμεν κινδύνους παρατεταγμένοι. καὶ πῶς, φησιν, ἐκεῖνος φεύγει; οὐκ ἦν δειλίας τὸ πρᾶγμα, ἀλλ᾽ ἐφύλαττεν ἑαυτὸν τῷ κηρύγματι. εἰ δειλὸς ἦν, οὐκ ἂν εἰς τὰ Ἱεροσόλυμα ἦλθεν· οὐκ ἂν εὐθέως ἀνεδέξατο τὴν διδασκαλίαν· καθυφῆκεν ἂν τῆς σφοδρότητος. ἀλλ᾽ οὐκ ἦν δειλός, ἀλλὰ καὶ οἰκονομικός. ἐπαιδεύθη τῷ πάθει τοῦ Στεφάνου. διὸ οὐδὲν μέγα ἡγεῖτο τὸ ἀποθανεῖν ὑπὲρ τοῦ κηρύγματος, εἰ μὴ μετὰ πολλοῦ τοῦ κέρδους τοῦτο ἐργάσαιτο, ἄνθρωπος οὐδὲ τὸν Χριστὸν ἰδεῖν θέλων, ὃν μάλιστα πάντων ἐπόθει ἰδεῖν, ἐπεὶ

οὐδέπω

ῥημένοις ἀκούσας τὸ ὄνομα Παύλου. οὕτω περικατέλαβεν ὁ φόβος ἀπὸ τοῦ ὀνόματος αὐτοῦ τὴν ψυχήν· καίτοι ἀκούσας ὅτι ἐτύφλωσεν αὐτὸν, οὐδ᾽ ὣς ἐθάῤῥει. καὶ ὧδε εἰς αὐτό, φησι, τοῦτο ἐλήλυθεν, ὥστε δῆσαι πάντας τοὺς ἐπικαλουμένους τὸ ὄνομά σου. ὥσπερ ἔλεγε· φοβοῦμαι μή ποτέ με εἰς Ἱεροσόλυμα ἀναγάγῃ. τί με εἰς τὸ στόμα ἐμβάλλεις τοῦ λέοντος; τί με τούτῳ παραδίδως; φοβεῖται δὲ ταῦτα λέγων· ἵνα μάθωμεν πάντοθεν τὴν ἀρετὴν τοῦ ἀνδρός. τὸ μὲν γὰρ παρὰ Ἰουδαίων ταῦτα λέγεσθαι, οὐδὲν θαυμαστόν· τὸ δὲ παρὰ τούτου καὶ οὕτω φοβηθέντος μέγιστον τεκμήριον τῆς τοῦ Θεοῦ δυνάμεως δείκνυται [τοῦτο]. Σαοὺλ ἀδελφέ. ἐνταῦθα καὶ ὁ φόβος ἦν μέγας, καὶ ἡ ὑπακοὴ μείζων μετὰ τὸν φόβον. * Εἶτα ἐπειδὴ σκεῦος ἐκλογῆς εἶπεν, ἵνα μὴ εἴπῃς τὸ πῶς ἐστι Θεοῦ, ἀπάγων σε τούτου, προστίθησι τὸ ἑξῆς λέγων· τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν καὶ βασιλέων υἱῶν τε Ἰσραήλ. ἤκουσεν ὃ σφόδρα ἐπεθύμει ὁ Ἀνανίας, ὅτι κατὰ Ἰουδαίων ἵσταται. ὥστε καὶ οὐ μόνον χαρᾶς, ἀλλὰ καὶ θάρσους πληροῦται. ἐγὼ γὰρ, φησιν, ὑποδείξω αὐτῷ ὅσα δεῖ αὐτὸν ὑπὲρ τοῦ ὀνόματός μου παθεῖν. παραδηλωτικῶς ταῦτα εἴρηται ἅμα καὶ ἐντρεπτικῶς. εἰ ἐκεῖνος μὲν πάντα πείσεται ὁ οὕτω μεμηνώς· αὐτὸς δὲ οὐδὲ βαστάσαι αὐτὸν θέλει, ὅπως ἀναβλέψῃ· καλῶς ἔχει, φησίν· ἄφες αὐτὸν πεπηρῶσθαι. διὰ τοῦτο νῦν ἥμερος, ὅτι τυφλός ἐστι. τί με κελεύεις ἀνοῖξαι αὐτοῦ τοὺς ὀφθαλμούς; ἵνα πάλιν δήσῃ; ἀλλὰ μὴ φοβηθῇς τὸ μέλλον. τῇ γὰρ ἀνοίξει οὐ καθ᾽ ἡμῶν, ἀλλ᾽ ὑπὲρ ἡμῶν χρήσεται. πρὸς τό, ὅπως ἀναβλέψῃ, ταῦτα εἴρηται. οὐ γὰρ μόνον, φησίν, οὐδὲν ἐργάσεται ὑμᾶς δεινόν, ἀλλὰ καὶ πείσεται πολλά. καὶ τὸ δὴ θαυμαστόν, ὅτι περιττῶς πείσεται, καὶ τότε ἐμβήσεται εἰς τοὺς κινδύνους. Σαοὺλ ἀδελφέ, ὁ Ἰησοῦς ὁ ὀφθείς σοι ἐν τῇ ὁδῷ ἀπέσταλκέ με. οὐκ εἶπεν, ὁ πηρώσας, ἀλλ᾽, ὁ ὀφθείς σοι. οὕτως ἤδη μετριάζειν, καὶ οὐδὲν φθέγγεται τὸ ἀλαζονικόν. ὥσπερ οὖν ὁ Πέτρος ἔλεγεν ἐπὶ τοῦ χωλοῦ· Τί ἡμῖν προσέχετε, ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν; οὕτω καὶ οὗτος, ὁ Ἰησοῦς ὁ ὀφθείς σοι. τῶν χειρῶν ἐπικειμένων ταῦτα ἐφθέγγετο, καὶ διπλῆ πήρωσις ἐλύετο. εἰπὼν δὲ, ὅτι λαβὼν τροφὴν ἐνίσχυσεν, ἐδήλωσεν ὅτι παρειμένος ἦν καὶ ἀπὸ τῆς ἀθυμίας τῆς ὑπὲρ τῆς πηρώσεως, καὶ ἀπὸ τοῦ φόβου, καὶ ἀπὸ τοῦ λιμοῦ. οὐδὲ γὰρ ἠνείχετο περιττῶς μεταλαβεῖν τροφῆς, ἕως ὅτε βαπτισθεὶς τῆς μεγάλης [εὐθὺς] ἔτυχε δωρεᾶς*. καὶ οὐ λέγει, Ἰησοῦς ὁ σταυρωθείς, ὁ υἱὸς τοῦ Θεοῦ, ὁ σημεῖα ποιῶν· ἀλλὰ τί; ὁ ὀφθείς σοι, ἀπὸ τῶν ἐκείνῳ γνωρίμων. ἐπεὶ καὶ ὁ Χριστὸς οὐδὲν πλέον προσέθηκεν· οὐδὲ εἶπεν, ἐγώ εἰμι ὁ σταυρωθεὶς Ἰησοῦς, ὁ ἐγερθείς· ἀλλ᾽, ὃν σὺ διώκεις. οὐκ εἶπεν, ὁ δεδιωγμένος, ἵνα μὴ δόξῃ ὡς ἐπιθεσιᾷν καὶ ἐπεγγελᾶν. ὁ ὀφθείς σοι, φησιν, ἐν τῇ ὁδῷ. καὶ μὴν οὐκ ὤφθη. ἀλλὰ διὰ πραγμάτων ὤφθη. καὶ θέλων συσκιάσαι τὸ φορτικὸν τοῦ λόγου, εὐθέως ἐπήγαγεν, ὅπως ἀναβλέψῃς καὶ πλησθῇς πνεύματος ἁγίου. οὐχὶ ἐλέγξαι ἦλθε τὸ γεγενημένον, ἀλλὰ δοῦναι τὴν δωρεάν. ἐμοὶ δοκεῖ καὶ τοῦτον καὶ τὸν Κορνήλιον τούτων λεγομένων τῶν ῥημάτων τοῦ πνεύματος μετέχειν· καίτοιγε ὁ διδοὺς οὐκ ἦν τῶν δώδεκα. οὕτως οὐδὲν ἀνθρώπινον τῶν γινομένων, οὐδὲ δι᾽ ἀνθρώπου ἐγίνετο, ἀλλ᾽ ὁ Θεὸς πάντα ἦν ὁ ταῦτα ποιῶν. ἅμα δὲ εἶδεν καὶ μετριάζειν παιδεύει, οὐκ ἄγων αὐτὸν πρὸς τοὺς προκρίτους ἀποστόλους, καὶ δείκνυσιν ὅτι οὐδὲν ἀνθρώπινον ἐνταῦθα. οὐ μὴν πνεύματος δὲ ἠξιώθη τοῦ ποιοῦντος τὰ σημεῖα, ἵνα καὶ οὕτως ἡ πίστις αὐτοῦ δειχθῇ. οὐ γὰρ θαύματα ἐποίησε. καὶ εὐθέως, φησίν, ἐν ταῖς συναγωγαῖς ἐκήρυττε τὸν Χριστόν, ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ. οὐχ ὅτι ἀνέστη ἐκήρυττεν, οὐδὲ ὅτι ζῇ· ἀλλὰ τί; σφόδρα ἀκριβῶς τὸ δόγμα ἐξέθετο, ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ. οἱ δὲ εἰς ἀπιστίαν λοιπὸν ἔρχονται ταῦτα ἀκούοντες, δέον οὐ πιστεύειν μόνον, ἀλλὰ καὶ ἐκπλήττεσθαι. καὶ τί δήποτε οὐχ ἁπλῶς ὅτι διώκτης ἦν λέγουσιν, ἀλλ᾽ ὅτι ἐπόρθει τοὺς ἐπικαλουμένους τὸ ὄνομα τοῦτο; τὸ σφόδρα μανικὸν διὰ τούτου ἐμφαίνοντες. καὶ οὐκ εἶπον τὸν Ἰησοῦν. ἀπὸ τῆς βασκανίας οὐδὲ τὸ ὄνομα ἀκούειν ἠνείχοντο· οὕτως ἦσαν ἐκτεθηριωμένοι. καὶ ὧδε εἰς τοῦτο ἐλήλυθεν. οὐκ ἔχομεν εἰπεῖν, φησιν, ἐν

τοῖς

χ. δῆσαι, φησὶ, πάντας με προσδοκᾷς· καὶ ὧδε

χ. καὶ τοῦτο ὑπὸ φοβηθέντος μέγιστον. ἄλ. μετὰ δὲ ἐν τούτῳ δείκνυται

* ὄντως γὰρ ἰσχυρᾶς χρεία

χ. ἐπεπόθει

χ. τοῦτο μάλιστα αὐτὸν παρεθάῤῥυνεν.

Πραξ. γ. ιβ.

* ἅπαξ καὶ πιστεύσας ἐκεῖνον

χ. τὴν φορτικείαν, ἐν.

χ. συνιδεῖν

χ. εὐθὺς λεγομένων τῶν πρὸς αὐτὸν τοῦ πνεύματος μετασχεῖν·

χ. μέγας

χ. πάντων τῶν ἐπ᾽ αὐτῷ οὐδὲ

χ. θαυμαστῶς

χ. ἐνεπλήσθη

χ. καίτοι οὐκ ἔδει θαυμάζειν μόνον, ἀλλὰ καὶ προσκυνεῖν καὶ σέβειν.

χ. ἔχθρας

Digitized by Google

15 Εἶπε δὲ ὁ Κύριος πρὸς αὐτόν· πορεύου, ὅτι σκεῦος ἐκλογῆς μοί ἐστιν οὗτος, τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν καὶ βασιλέων υἱῶν τε Ἰσραήλ.

16 Ἐγὼ γὰρ ὑποδείξω αὐτῷ, ὅσα δεῖ αὐτὸν ὑπὲρ τοῦ ὀνόματός μου παθεῖν.

Οὐ μόνον πιστὸς ἔσται, φησὶν, ἀλλὰ καὶ διδάσκαλος, καὶ πολλῇ χρήσεται τῇ παῤῥησίᾳ ἐνώπιον ἐθνῶν καὶ βασιλέων. οὕτως ἐπιδώσει ἡ διδασκαλία, φησὶν, ὡς καὶ ἐθνῶν καὶ βασιλέων ἀπάντων κρατῆσαι.

17 Ἀπῆλθε δὲ Ἀνανίας, καὶ εἰσῆλθεν εἰς τὴν οἰκίαν, καὶ ἐπιθεὶς ἐπ' αὐτὸν τὰς χεῖρας εἶπε· Σαοὺλ ἀδελφέ, ὁ Κύριος ἀπέσταλκέ με Ἰησοῦς ὁ ὀφθείς σοι ἐν τῇ ὁδῷ ᾗ ἤρχου, ὅπως ἀναβλέψῃς καὶ πλησθῇς πνεύματος ἁγίου. Εὐθέως αὐτὸν οἰκειοῦται τῷ ὀνόματι. Ἰησοῦς, φησὶν, ὁ ὀφθείς σοι ἐν τῇ ὁδῷ. καὶ μὴν τοῦτο οὐκ εἶπεν αὐτῷ ὁ Χριστὸς, ἀλλ' ἀπὸ τοῦ πνεύματος ἔμαθε. *

18 Καὶ εὐθέως ἀπέπεσον ἀπὸ τῶν ὀφθαλμῶν αὐτοῦ ὡσεὶ λεπίδες, ἀνέβλεψέ τε παραχρῆμα, καὶ ἀναστὰς ἐβαπτίσθη,

19 Καὶ λαβὼν τροφὴν ἐνίσχυσε. Μόνον αὐτοῦ τὰς χεῖρας ἐπέθηκε, καὶ εὐθέως τῶν ὀφθαλμῶν αὐτοῦ ἀπέπεσον ὡσεὶ λεπίδες. Ταύτας τινές φασι τῆς πηρώσεως αὐτοῦ εἶναι αἰτίας. καὶ διὰ τί μὴ ἐπήρωσεν αὐτοῦ τοὺς ὀφθαλμούς; τοῦτο παραδοξότερον ἦν. καὶ γὰρ ἀνεῳγμένοις οὐκ ἔβλεπεν, ὅπερ ἔπαθεν ἐπὶ τοῦ νόμου, ἕως τὸ ὄνομα ἐπετέθη τοῦ Ἰησοῦ. καὶ εὐθέως, φησὶν, ἐβαπτίσθη, καὶ λαβὼν τροφὴν ἐνίσχυσεν. ἄρα καὶ ἐξησθενηκὼς ἦν ἀπό τε τῆς ὁδοιπορίας, ἀπό τε τοῦ φόβου, ἀπό τε τοῦ λιμοῦ καὶ τῆς ἀθυμίας. βουλόμενος οὖν αὐτοῦ ἐπιτεῖναι τὴν ἀθυμίαν, τυφλὸν μένειν εἴασεν ἕως ἦλθεν Ἀνανίας. καὶ ἵνα μὴ νομίσῃ φαντασίαν [τις] εἶναι τὴν πήρωσιν, διὰ τοῦτο αἱ λεπίδες. ἄρα οὐκ ἐδεήθη διδασκαλίας ἑτέρας, ἀλλὰ τὸ συμβὰν γέγονε διδασκαλία. Ἐγένετο δὲ, φησὶ, μετὰ τῶν ὄντων ἐν Δαμασκῷ μαθητῶν ἡμέρας τινάς,

20 Καὶ εὐθέως ἐν ταῖς συναγωγαῖς ἐκήρυσσε τὸν Χριστὸν, ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ.

Ὅρα, εὐθέως διδάσκαλος ἦν ἐν ταῖς συναγωγαῖς. οὐκ ᾐσχύνετο τὴν μεταβολήν· οὐκ ἐδεδοίκει ἐν οἷς ἦν λαμπρὸς πρότερον, ταῦτα κατηγορῶν· οὐχ ἁπλῶς ἦν διδάσκαλος, ἀλλὰ καὶ ἐν ταῖς συναγωγαῖς *. οὕτως ἐκ προοιμίων θαυμαστὸς ὁ ἄνθρωπος ἦν, καὶ πρὸς φόνους παρεσκευασμένος. ὁρᾷς οἷον γέγονε σημεῖον εἰς αὐτὸν ἐναργές; τοῦτο αὐτοὺς καὶ πάντας ἐξέπληττε. διὸ καὶ τοῦτο δηλῶν ἐπάγει, λέγων·

21 Ἐξίσταντο δὲ πάντες οἱ ἀκούοντες, καὶ ἔλεγον· οὐχ οὗτός ἐστιν ὁ πορθήσας ἐν Ἱερουσαλὴμ τοὺς ἐπικαλουμένους τὸ ὄνομα τοῦτο; καὶ ὧδε εἰς αὐτὸ τοῦτο ἐλήλυθεν, ἵνα δεδεμένους αὐτοὺς ἀγάγῃ ἐπὶ τοὺς ἀρχιερεῖς;

22 Σαῦλος δὲ μᾶλλον ἐνεδυναμοῦτο καὶ συνέχυνε τοὺς Ἰουδαίους τοὺς κατοικοῦντας ἐν Δαμασκῷ, συμβιβάζων ὅτι οὗτός ἐστιν ὁ Χριστός. Ἅτε νομομαθὴς ὤν, ἐπεστόμιζεν αὐτούς, καὶ οὐκ εἴα φθέγγεσθαι. ἐνόμισαν ἀπηλλάχθαι τῆς ἐν τοῖς τοιούτοις διαλέξεως, ἀπαλλαγέντες Στεφάνου, Στεφάνου σφοδρότερον εὗρον ἕτερον. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ κατὰ τὸν Ἀνανίαν. οὐκ εἶπε πρὸς αὐτὸν, διαλέχθητι καὶ κατήχησον αὐτόν. εἰ γὰρ εἰπὼν, ὅτι εὔχεται καὶ εἶδεν ἄνδρα ἐπιθέντα αὐτῷ τὰς χεῖρας, οὐκ ἐπείσθη· πολλῷ μᾶλλον εἰ τοῦτο εἶπεν. Εἶδε, φησὶν, ἐν ὁράματι, ὥστε οὐδὲ διαπιστήσει σοι. μὴ τοίνυν φοβηθῇς, ἀλλὰ πορεύου. οὕτως οὐδὲ Φίλιππος τότε τὸ πᾶν εὐθέως ἀκούει. * ὅτι σκεῦος ἐκλογῆς μοί ἐστιν οὗτος. ἐκ περιουσίας τὸν φόβον λύοντός ἐστι τοῦτο, καὶ θαῤῥεῖν πείθοντος· εἶτα οὕτω μέλλοι τὰ ὑπὲρ αὐτοῦ φρονεῖν, ὡς καὶ παθεῖν πολλά. Εἰπὼν δὲ σκεῦος, ὥστε δεῖξαι ὅτι οὐκ ἔστι φυσικὴ [αὐτοῦ] ἡ κακία· ἐκλογῆς προσέθηκεν, ἵνα δηλώσῃ ὅτι καὶ δόκιμός ἐστι. τὰ δόκιμα γὰρ ἐκλεγόμεθα. μὴ δή τις νομίσῃ ταῦτα ἀκούων, ὅτι ἀπιστῶν τοῖς λεγομένοις ταῦτά φησιν Ἀνανίας, ἢ ἠπατῆσθαι νομίζων τὸν Χριστὸν (μὴ γένοιτο) ἀλλὰ φοβούμενος καὶ τρέμων, οὐδὲ προσεῖχε τοῖς εἰ-

ρημένοις

τοῖς εὐαγγελίοις; κἂν τοῦτο ἀπορήσῃ, ἕτερος ζητείτω, καὶ τὰ περὶ ἑαυτῶν ἀλλήλοις συνεισφέρετε· λοιπὸν δὲ ἡμεῖς σιγήσομεν. Εἰ γὰρ τὰ εἰρημένα οὐδὲν ὑμᾶς ὤνησε, πολλῷ μᾶλλον οὐδ' ἂν ἕτερα προστεθείημεν. οὕτως εἰς πίθον τετρημένον ἀντλοῦμεν, εἴθε μείζων ὑμῖν καὶ ἡ κόλασις. Οὐκοῦν διὰ τοῦτο σιγήσομεν. ὥστε ἵνα μὴ γένηται, ὑμεῖς κύριοι. Εἰ γὰρ θεασόμεθα ὑμῶν τὴν σπουδὴν, ἴσως πάλιν ἐροῦμεν, ἵνα καὶ ὑμεῖς ἐπὶ πλέον εὐδοκιμῆτε, καὶ ἡμεῖς ἐφ' ὑμῖν εὐφραινώμεθα, ἐπὶ πᾶσι δοξάζοντες τὸν Θεὸν καὶ πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα καὶ τὸ κράτος καὶ ἡ μεγαλωσύνη καὶ ἡ τιμὴ, σὺν τῷ ἀνάρχῳ πατρὶ καὶ τῷ ἁγίῳ αὐτοῦ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. κ

10 ΗΝ ΔΕ ΤΙΣ ΜΑΘΗΤΗΣ ΕΝ ΔΑΜΑΣΚΩ ὀνόματι Ἀνανίας, καὶ εἶπε πρὸς αὐτὸν ὁ Κύριος ἐν ὁράματι, Ἀνανία. ὁ δὲ εἶπεν, ἰδοὺ, * Κύριε. 11 Ὁ δὲ Κύριος πρὸς αὐτὸν εἶπεν· ἀναστὰς πορεύθητι ἐπὶ τὴν ῥύμην τὴν καλουμένην εὐθεῖαν, καὶ ζήτησον ἐν οἰκίᾳ Ἰούδα Σαῦλον ὀνόματι, Ταρσέα. ἰδοὺ γὰρ προσεύχεται,

12 Καὶ εἶδεν ἐν ὁράματι ἄνδρα Ἀνανίαν εἰσελθόντα καὶ ἐπιθέντα αὐτῷ χεῖρα, ὅπως ἀναβλέψῃ.

* ἐγὼ

Τί δήποτε οὐδένα τῶν "κορυφαίων ἀποστόλων ὑπὸ ἐκάλεσεν, οὔτε ἀπέστειλε πρὸς τὴν τοῦ Παύλου κατήχησιν; ὅτι οὐκ ἐχρῆν δι' ἀνθρώπων ἐναχθῆναι, ἀλλὰ δι' αὐτοῦ τοῦ Χριστοῦ· ἐπεὶ καὶ οὐδὲ ἐδίδαξεν αὐτὸν οὐδεὶς, ἐβάπτισε δὲ μόνον· ἅμα "γὰρ τῷ βαπτισθῆναι ἐπεσπάσατο πολλὴν τοῦ πνεύματος τὴν χάριν ἀπὸ τοῦ ζήλου καὶ τῆς προθυμίας τῆς πολλῆς. "Ὅτι δὲ καὶ ὁ Ἀνανίας τῶν σφόδρα ἐπισήμων ἦν, δῆλον ἐξ ὧν ἐμφιλίζεται καὶ λέγει πρὸς αὐτὸν, καὶ ἐξ ὧν πάλιν αὐτὸς ἀποκρίνεται λέγων,

13 Κύριε, ἀκήκοα ἀπὸ πολλῶν περὶ τοῦ ἀνδρὸς τούτου, ὅσα κακὰ ἐποίησε τοῖς ἁγίοις σου ἐν Ἱερουσαλήμ. Εἰ τοίνυν πρὸς Κύριον ἀντεῖπε, πολλῷ μᾶλλον, εἰ ἄγγελον ἔπεμψε. διὰ τοῦτο οὐδὲ πρὸ τούτου Φίλιππος ἀκούει τὸ "ἐσόμενον, ἀλλὰ μόνον ὁρᾷ τὸν ἄγγελον, καὶ οὕτω τὸ πνεῦμα προστάττει προσελθεῖν καὶ κολληθῆναι τῷ ἅρματι. πῶς δὲ ἐνταῦθα τὸν φόβον αὐτοῦ ὑποτέμνεται, καὶ μονονουχὶ τοῦτό φησι τῷ εἰπεῖν, ἰδοὺ προσεύχεται. τυφλός ἐστι, καὶ σὺ δέδοικας; οὕτω καὶ Μωϋσῆς φοβεῖται, ὥστε τὰ ῥήματα φοβουμένου ἦν καὶ ἀναβαλλομένου, οὐκ ἀπιστοῦντος. καὶ ἄκουε τῶν ῥημάτων αὐτοῦ· Κύριε, ἀκήκοα ἀπὸ Ἐξ. γ. ια.
πολλῶν περὶ τοῦ ἀνδρὸς τούτου. τί λέγεις; ὁ Θεὸς λέγει, καὶ σὺ ἀμφιβάλλεις; "οὕτως οὔπω ᾔδεσαν τὴν δύναμιν τοῦ Χριστοῦ.

14 Καὶ ὧδε, φησὶν, ἔχει ἐξουσίαν παρὰ τῶν ἀρχιερέων δῆσαι πάντας τοὺς ἐπικαλουμένους τὸ ὄνομά σου. Πόθεν τοῦτο δῆλον; Εἰκὸς ἦν αὐτοὺς ἐν φόβῳ ὄντας περιεργάζεσθαι. οὐχ ὡς οὐκ εἰδότος οὖν τοῦ Χριστοῦ ταῦτα λέγει, ἀλλ' ἀπορῶν ὅτι τούτων ὄντων πῶς δυνατὸν ταῦτα γενέσθαι. οὕτω καὶ ἀλλαχοῦ οἱ μαθηταὶ λέγουσι, Τίς δύναται σωθῆ- Μαρκ. ι. κϛ.
ναι; ἀλλ' ὅρα πόσα οἰκονομεῖται, ἵνα τις ἴδῃ τὸν ἐρχόμενον. ἐν ὀνείρῳ εἶδε· προεμβιβοῦσιν αὐτῷ, προσεύχεται, φησίν. Οὐκοῦν μὴ φοβοῦ. "καὶ διὰ τί οὐ λέγει αὐτῷ τὸ κατόρθωμα τὸ γενόμενον; παιδεύων ἡμᾶς μὴ λέγειν ἡμῶν τὰ κατορθώματα. μᾶλλον δὲ καὶ φοβούμενον ἰδὼν, οὐδὲ οὕτως εἶπεν, οὐκ ἀπιστήσῃ, ἀλλὰ τί; ἀναστὰς πορεύθητι. "Εἶδε γὰρ ἐν ὁράματι ἄνδρα ἐπιθέντα αὐτῷ χεῖρας. διὰ τοῦτο ἐν ὁράματι, ἐπειδὴ τυφλὸς ἦν· καὶ οὐδὲ τοῦ θαύματος ἡ προσβολὴ εἷλε τὸν μαθητὴν, οὕτως ἐφοβεῖτο· ὅμως δι' αὐτοῦ Παῦλον τυφλὸν ὄντα ἀναβλέψαι ὁ Θεὸς ἐποίησεν.

κ. ἀξιοπίστων καὶ μεγάλων ὑπὸ ἐκάλεσεν, ὑπὸ μετέπεμψε πρὸς τὴν τ.
κ. γὰρ φανερὸς ἔμελλεν ἐπισπάσασθαι πολλ.
κ. καὶ ὅτι οὐ τῶν σφοδ. ἐπισ. ἦν, δῆλον
κ. γινώσκει
κ. μᾶλλον δεῖν, ὡς ἀπ.
κ. ὑπο κα. λῶς
κ. καὶ ὅρα·
κ. καὶ ὅρα
κ. εἶδε, φησὶν, ἐν

ἐκφωνεῖ λέγων, τάδε λέγει Κύριος, καὶ οὐδὲ οὕτω προσέχει τις. τί λέγω; φοβερά τινα διεξέρχεται καὶ φρικώδη, καὶ οὐδὲ οὕτως ἐστί τις ὁ προσέχων. ἀλλὰ τίς ὁ λόγος τῶν πολλῶν; ἀεί, φησι, τὰ αὐτὰ ἀναγινώσκεται. τοῦτο μάλιστα ὑμᾶς ἀπόλλυσιν. εἰ μὲν οὖν ᾔδειτε τὰ αὐτά, μάλιστα μὲν οὐδὲ οὕτως ἀπέχεσθαι ἔδει· ἐπεὶ καὶ ἐν τοῖς θεάτροις ἀεὶ τὰ αὐτὰ ὁρᾶτε, καὶ ὅμως οὐ λαμβάνετε κόρον. ποῖα ταῦτα τολμᾷς εἰπεῖν, ὁ μηδὲ τῶν προφητῶν τὰ ὀνόματα εἰδώς; οὐκ αἰσχύνῃ, λέγων μὲν διὰ τοῦτο μὴ ἀκούειν, ἐπειδὴ τὰ αὐτὰ ἀεὶ ἀναγινώσκεται, οὐκ εἰδὼς δὲ οὐδὲ τὰ ὀνόματα τῶν ἀναγινωσκομένων, καὶ ταῦτα ἀεὶ τὰ αὐτὰ ἀκούων; καὶ γὰρ σὺ ὡμολόγησας ὅτι τὰ αὐτὰ λέγεται. ἐγὼ εἰ ἔλεγον εἰς κατηγορίαν προφέρων τοῦτο, σὲ ἐχρῆν ἐφ' ἑτέραν ἀπολογίας ἐλθεῖν, μὴ ἐπὶ τὴν κατηγορίαν τὴν σήν. εἰπέ μοι, σὺ οὐ παραινεῖς τῷ υἱῷ τῷ σῷ; ἂν οὖν ἐκεῖνος εἴπῃ, ὅτι ἀεὶ τὰ αὐτά, ἆρα οὐχ ἡγῇ ὕβριν εἶναι τὸ πρᾶγμα; τότε ἐχρῆν μὴ λέγειν τὰ αὐτά, ὅτε αὐτὰ καὶ ᾔδειμεν, καὶ διὰ τῶν ἔργων ἐπεδεικνύμεθα· μᾶλλον δὲ οὐδὲ τότε περιττὴ ἡ ἀνάγνωσις. τί Τιμοθέου ἴσον; ἀλλ' ὅμως καὶ ἐκείνῳ γράφων ὁ Παῦλος

α. Τιμ. δ. ιγ. ἔλεγε· Πρόσεχε τῇ ἀναγνώσει, τῇ παρακλήσει. οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἐξαντλῆσαί ποτε τὸν νοῦν τῶν γραφῶν. πηγή τίς ἐστιν οὐκ ἔχουσα πέρας. εἶπον, ἐσοφίσθην, φησί, καὶ τότε ἀπέστη ἀπ' ἐμοῦ. βούλεσθε δείξω ὅτι οὐκ ἔστι τὰ αὐτά; πόσους νομίζετε εἰρηκέναι εἰς τὰ εὐαγγέλια; ἀλλ' οὗτοι πάντες ξένως καὶ καινῶς εἶπον. ὅσῳ γὰρ ἄν τις αὐτοῖς ἐνδιατρίβῃ, τοσούτῳ ὀξύτερον βλέπει, τοσοῦτο πλέον ὁρᾷ τὸ φῶς καθαρόν. ἰδοὺ πόσα λέγω· τί ἐστι προφητεία, εἴπατε, τί ἐστι διηγήματα; τί ἐστι παραβολή; τί ἐστιν ἀλληγορία; τί ἐστι τύπος; τί ἐστι σύμβολον; τί ἐστιν εὐαγγέλια; τοῦτο δὴ μόνον εἴπατέ μοι τὸ φανερόν, διατί εὐαγγέλια εἴρηται; καίτοι πολλάκις ἠκούσατε, ὅτι τὰ εὐαγγέλια οὐδὲν ἔχειν ὀφείλει σκυθρωπόν· ταῦτα δὲ πολλῆς γέμει σκυθρωπότητος. Τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται, φησι, καὶ ὁ σκώληξ αὐτῶν

Μαρκ. θ. μη.

Ματθ. κδ. να. οὐ τελευτήσει· τότε διχοτομήσει αὐτόν, καὶ θήσει τὸ μέρος αὐτοῦ μετὰ τῶν ὑποκριτῶν· τότε

Ματθ. ζ. κγ. ἐρῶ, οὐκ οἶδα ὑμᾶς, ἀπέλθετε ἀπ' ἐμοῦ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. ἆρα μὴ ἀπατῶμεν ἑαυτούς, νομίζοντες ταῦτα ἑλληνιστὶ ὑμῖν λέγειν. ἢ οὐδὲν πρὸς ἡμᾶς τούτων; ὑμεῖς [δὲ] κεκώφωσθε, καὶ οἱ ἀπόπληκτοι τυγχάνοντες κάτω κύπτετε. τὰ εὐαγγέλια οὐδὲν ἔχειν δεῖ τῶν πρακτικῶν, ἀλλὰ μόνον ἀγαθὰ συμβουλεύει· ταῦτα δὲ μυρία ἔχει πρακτικά.

Λουκ. ιδ. κϛ. οἷάπερ ἐστὶ καὶ τὰ τοιαῦτα· Ἐὰν μή τις μισήσῃ αὐτοῦ τὸν πατέρα καὶ τὴν μητέρα, οὐκ ἔστι μου ἄξιος·

Ματθ. ι. λδ. καί, Οὐκ ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν, ἀλλὰ μάχαιραν· καί, Θλίψιν ἕξετε ἐν τῷ

Ἰω. ιϛ. λγ. κόσμῳ. καλά γε. οὐ γὰρ ταῦτα εὐαγγέλια. τὸ γὰρ εὐαγγέλιον τοῦτό ἐστι, τάδε σοι ἔσται ἀγαθά· καθάπερ καὶ ἐν τῇ συνηθείᾳ φασὶ πρὸς ἀλλήλους οἱ ἄνθρωποι· τί μοι τῶν εὐαγγελίων; ὁ πατήρ σου ἥξει· ἡ μήτηρ σου· οὐ λέγει, τάδε ποίησον. πάλιν εἰπέ μοι, τί διέστηκε ταῦτα τῶν προφητικῶν; διατί μὴ καὶ ἐκεῖνα εὐαγγέλια λέγεται; καὶ γὰρ καὶ ἐκεῖνα ταὐτὰ λέγουσιν· οἷον, Ἁλεῖται ὡς ἔλαφος ὁ χωλός· Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις*.

Ἡσ. λε. ϛ.

Ἡσ. ξϛ. α. Δώσω ὑμῖν οὐρανὸν καινόν, καὶ γῆν καινήν. διατί μὴ καὶ ἐκεῖνα εὐαγγέλια λέγεται; διατί μὴ καὶ τοῦτο προφητεία; εἰ δὲ μηδὲ τί ἐστιν εὐαγγέλια εἰδότες, οὕτω καταφρονεῖτε τῆς τῶν γραφῶν ἀναγνώσεως, τί ὑμῖν ἐρῶ; εἴπω τι καὶ ἕτερον· διατί τέσσαρα εὐαγγέλια; διατί μὴ δέκα; διατί μὴ εἴκοσι; διατί μὴ πολλοὶ ἐπεχείρησαν συντάξασθαι εὐαγγέλια; διατί μὴ εἷς; διατί οἱ μαθηταί; διατί οἱ μὴ μαθηταί; διατί δὲ ὅλως καὶ αἱ γραφαί; καίτοιγε τοὐναντίον φησὶν ἡ παλαιά· Δώσω ὑμῖν διαθήκην καινήν. ποῦ εἰσιν οἱ λέγον-

Ἱερ. λα. λα. τες ἀεὶ τὰ αὐτά; εἰ ταῦτα ᾔδειτε, ὅτι κἂν μυρία ἔτη ζήσῃ ἄνθρωπος, οὐκ ἔστι τὰ αὐτά, οὐκ ἂν εἴπατε ταῦτα. πιστεύσατε, οὐκ ἐρῶ ὑμῖν οὐδὲν τούτων, οὐκ ἰδίᾳ, οὐ κοινῇ· ἀλλ' εἰ μέν τις εὕρῃ, ἐπινεύσω· ἂν δὲ μή, ἐάσω. οὕτω γὰρ ὑμᾶς ἐποιήσαμεν ἀργήσοις, ἀεὶ πάντα ἐξ ἑτοίμου λέγοντες, καὶ ὅτε χρὴ οὐκ ἀνανεύοντες. ἰδοὺ ἔχετε ζητήματα ἰσχυρά· σκέψασθε, εἴπατε τὴν αἰτίαν διατί εὐαγγέλια*; διατί μὴ προφητεῖαι; διατί τὰ πρακτικὰ ἐν

τοῖς

χ. ἐν τῷ μὴ τὸ κλᾶσαι καὶ τιμιεία καὶ ἐδί.
χ. οὐκ ἀεὶ ἀ. γ.
χ. ὑμεῖς πεποίηται, ὑμεῖς
χ. ἢ τί φρακτίον, ἀλλὰ μᾶλλον ἀγαθ.
χ. καὶ πάλιν ἕτερα ἐρῶ τὰ ἐπὶ
χ. προφητῶν
* δυνάμει πολλῇ
χ. οἱ πολλοὶ ἐπεχ. συντάξασθαι διήγησιν, διατί
* κέκληνται

μεν. πολλοὶ δὲ νῦν οὐδὲ εἰς ἐκκλησίαν εἰσιόντες, ἴσασι τὰ λεγόμενα· ὁ δὲ βάρβαρος καὶ ἐπ' ἀγορᾶς, καὶ ἐπὶ ὀχήματος φερόμενος, τῇ ἀναγνώσει τῶν γραφῶν προσεῖχεν. ἀλλ' οὐχ ὑμεῖς. οὐδεὶς γὰρ οὐδὲ βιβλίον ἔχει μετὰ χεῖρας· ἀλλὰ πάντα μᾶλλον ἢ τὰ βιβλία. διὰ τί δὲ μὴ παρὰ τῶν Ἱεροσολύμων ὁρᾷ αὐτὸν, ἀλλὰ μετὰ ταῦτα; οὐκ ἔδει αὐτὸν ἰδεῖν ἐλαυνομένους τοὺς ἀποστόλους διὰ τὸ ἀσθενὲς ἔτι· οὐδὲ περίεργοι οὕτως ἦσαν βάρβαροι. ὡς ὅτι ὁ προφήτης αὐτὸν κατήχησεν. οὕτω καὶ νῦν, εἴ τις [ὑμῶν] ἐθέλοι προσέχειν τοῖς προφήταις, οὐ δεήσεται σημείων. καὶ, εἰ βούλεσθε, αὐτὴν τὴν προφητείαν ἴδωμεν τί φησιν. Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη. ἐντεῦθεν ἔμαθεν ὅτι ἐσταυρώθη· ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ· ὅτι ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ· ὅτι ἴσχυσε καὶ ἑτέρους σῶσαι· ὅτι ἡ γενεὰ αὐτοῦ ἀνεκδιήγητος· ὅτι πέτραι ἐρράγησαν· ὅτι τὸ καταπέτασμα ἐσχίσθη, καὶ τὸ σκότος γέγονε, καὶ ὅσα τοιαῦτα· ὅτι νεκροὶ ἐκ τῶν μνημείων ἠγέρθησαν· μᾶλλον δὲ* ταῦτα πάντα εἶπεν αὐτῷ ὁ Φίλιππος, μόνον ὑπόθεσιν λαβὼν ἀπὸ τοῦ προφήτου. μέγα* ὄντως ἡ τῶν γραφῶν ἀνάγνωσις. οὕτως ἐκεῖνο ἐπληροῦτο τὸ παρὰ τοῦ Μωϋσέως εἰρημένον· Καθεζόμενος καὶ κοιταζόμενος καὶ διανιστάμενος καὶ περιπατῶν, μέμνησο Κυρίου τοῦ Θεοῦ σου. (Δευτ. ς. ζ.) μάλιστα γὰρ αἱ ὁδοὶ ὅταν ἔρημοι ὦσι, καὶ πρὸς τὰς ἐννοίας ἡμῖν καιρὸν διδόασιν, οὐδενὸς ὄντος τοῦ παρενοχλοῦντος. καὶ οὗτος ἐν ὁδῷ πιστεύει, καὶ Παῦλος ἐν ὁδῷ. ἀλλὰ τοῦτον οὐδεὶς εἷλκεν, ἀλλ' ὁ Χριστός. μεῖζον γὰρ ἢ κατὰ τοὺς ἀποστόλους τοῦτο ἦν· τὸ δὲ μεῖζον, ὅτι τῶν ἀποστόλων ὄντων ἐν Ἱεροσολύμοις, καὶ οὐδενὸς ὄντος ἐκ τούτων ἐν Δαμασκῷ, ἐπανῆκεν ἐκεῖθεν πεισθείς· καὶ οἱ ἐν Δαμασκῷ ᾔδεισαν, ὅτι οὐκ ἀπὸ Ἱεροσολύμων ἦλθε πεπεισμένος. ἐπιστολὰς γὰρ ἔφερεν, ὥστε δῆσαι τοὺς πιστεύοντας. καθάπερ ἰατρὸς ἄριστος, ἀκμάζοντος ἔτι τοῦ πυρετοῦ, τὸ βοήθημα αὐτῷ ἐπήγαγεν ὁ Χριστός. ἔδει γὰρ αὐτὸν μεταξὺ μαινόμενον κατασχεθῆναι· τότε* μάλιστα κατέπεισε καὶ κατέγνω ἑαυτοῦ ὡς διὰ τολμῶντος. ἀλλὰ πάλιν καλὸν πρὸς ὑμᾶς τῶν λόγων ἐπιλαβέσθαι. τίνος ἕνεκεν, εἰπέ μοι, αἱ γραφαί; τὸ γὰρ ὑμέτερον μέρος, πάντα ἀνῄρηται. τίνος ἕνεκεν ἐκκλησία; κατάχωσον τὰ βιβλία. τάχα οὐ τοιοῦτον κρίμα,* οὐ τοιαύτη κόλασις. εἴ τις κατακρύψειεν αὐτὰ ἐν κόπρῳ, καὶ μὴ ἀκούοι αὐτῶν, οὐχ οὕτως αὐτὰ ὑβρίζει, ὡς νῦν. τί γὰρ, εἰπέ μοι, τὸ ὑβριστικὸν ἐκεῖ; ὅτι αὐτὰ κατέχωσε. τί δαὶ ἐνταῦθα; ὅτι οὐκ ἀκούομεν αὐτῶν. εἰπέ μοι, τίς ποτε μάλιστα ὑβρίζεται· ὅταν σιωπῶντος μὴ ἀποκρίνηται, ἢ ὅταν λέγοντος; πάντως ὅταν λέγοντος. ὥστε μείζων ἡ ὕβρις νῦν, ὅταν τοῦ φθεγγομένου μὴ ἀκούσῃς, μείζων ἡ καταφρόνησις. μὴ λαλεῖτε ἡμῖν, φησὶ, πάλαι [Ἰουδαῖοι] τοῖς προφήταις ἔλεγον· ὑμεῖς δὲ χεῖρον ποιεῖτε λέγοντες, μὴ λαλεῖτε, οὐ ποιοῦμεν. ἐκεῖνοι μὲν οὖν ἀπέστρεφον αὐτοὺς μὴ [δὲ] φθέγγεσθαι, ὡς ἀπὸ τῆς φωνῆς δεχόμενοί τινα εὐλαβείας ἀφορμήν· ὑμεῖς δὲ ἐκ πολλῆς καταφρονήσεως οὐδὲ τοῦτο ποιεῖτε. πιστεύσατε, εἰ τὰ στόματα ἡμῶν ἐνεφράξατε τὰς χεῖρας ἐπιθέντες, οὐκ ἦν τοσαύτη ἡ ὕβρις, ὅση νῦν. εἰπὲ γάρ μοι· ὁ ἀκούων, καὶ μὴ πειθόμενος μειζόνως καταφρονεῖ, ἢ ὁ μηδὲ ἀκούων; ἀλλὰ φέρε ἐπὶ ὕβρεως τὸ πρᾶγμα ἐξετάσωμεν. εἴ τις τὸν ὑβρίζοντα κατέχοι καὶ ἐπιστομίζοι ὡς ἀλγῶν ταῖς ὕβρεσιν, ἕτερος δὲ μηδὲ φροντίζοι, μηδὲ προσποιοῖτο, τίς μᾶλλον αὐτοῦ καταφρονεῖ; οὐχ οὗτος; ἐκεῖνος μὲν γὰρ ἐμφαίνει ὅτι πληγὴν δέχεται· οὗτος δὲ μονονουχὶ τὸ στόμα ἐμφράττει τοῦ Θεοῦ. ἐφρίξατε τὸ ῥηθέν; ἀλλ' ἄκουε καὶ πῶς τοῦτο γίνεται. τὸ στόμα δι' οὗ ὁ Θεὸς φθέγγεται, στόμα ἐστὶ τοῦ Θεοῦ. καθάπερ γὰρ τοῦτο τὸ στόμα τῆς ψυχῆς ἡμῶν ἐστι, καίτοι ψυχῆς οὐκ ἐχούσης στόμα· οὕτω καὶ τὸ στόμα τῶν προφητῶν, στόμα ἐστὶ τοῦ Θεοῦ. ἀκούσατε καὶ φρίξατε. κοινὸς ἕστηκεν ὁ διάκονος μέγα βοῶν καὶ λέγων, πρόσχωμεν· καὶ τοῦτο πολλάκις. ἐκείνη ἡ φωνὴ κοινὴ τῆς ἐκκλησίας ἐστὶν, ἣν οὗτος ἀφίησι, καὶ οὐδεὶς ὁ προσέχων. μετ' ἐκεῖνον ἄρχεται ὁ ἀναγνώστης τῆς προφητείας Ἠσαΐου, καὶ οὐδὲ οὕτω προσέχει τις· καίτοι προφητεία οὐδὲν ἀνθρώπινον ἔχει. εἶτα εἰς ἐπήκοον

γρ. τὸ βιβλίον
γρ. [illegible]
γρ. ἴσως παύσειν ὅτι
γρ. ἴσως ὅτι καὶ πέτραι ἐσχισμέναι εἰσὶ καὶ ὅτι
* καὶ
* πρᾶγμα
γρ. ἡμῶν
γρ. ἀξιοπίστου
* γὰρ αὖ
γρ. δήπου
* τάχα
γρ. δὲ
γρ. γὰρ
γρ. εὐλάβειαν καὶ ἀνάγκην ὑμ.
γρ. ὑμῖν
γρ. προσποιοῖτό τις
γρ. προσέχομεν τῇ ἀναγνώσει·

αὐτοῦ τὰ τεκμήρια καὶ τῆς φιλανθρωπίας γνωρίζει. ἢ καὶ ἵνα μή τις εἴπῃ, ὅτι ὑπεκρίνατο· πῶς γὰρ ὁ αἱμάτων ἐπιθυμῶν; ὁ τοῖς ἱερεῦσι προσελθών; ὁ εἰς κινδύνους ἑαυτὸν ἐπιρρίπτων καὶ τοὺς ἔξω ἐλαύνων καὶ τιμωρούμενος; οὐκ οὖν μετὰ ταῦτα πάντα τὴν διαστροφίαν ὁμολογεῖ. διὰ τί δὲ οὐκ εἶδον ἐν τῇ πόλει περιαστραφθῆναι τῷ φωτί, ἀλλὰ πρὸ αὐτῆς; (γ. κατηγορίαν) ὅτι οὐκ ἂν ἐπίστευσαν οἱ πολλοί, ἀλλὰ καὶ ἐχλεύασαν ἄν· ὅπου γε καὶ ἐκεῖ ἄνωθεν ἐκείνης Ιωαν. ιβ. κθ. τῆς φωνῆς ἀκούοντες ἔλεγον, ὅτι βροντή ἐστιν. οὗτος δὲ ἀξιόπιστος ἦν ἀπαγγέλλων μᾶλλον ταῦτα. καὶ δεδεμένος εἰσῄει, οὐ παρακειμένων αὐτῷ δεσμῶν, καὶ εἷλκεν αὐτὸν τὸν προσδοκήσαντα τοὺς ἄλλους ἕλξειν. τίνος δὲ ἕνεκεν οὐκ ἔφαγεν, οὐδὲ ἔπιε; κατεγίνωσκεν ἑαυτοῦ ἐπὶ τοῖς γινομένοις, ἐξωμολογεῖτο, ηὔχετο, παρεκάλει τὸν Θεόν. εἰ δὲ λέγοι τις ἀνάγκης εἶναι τὸ Πραξ. ιγ. πρᾶγμα (καὶ γὰρ ὁ Ἐλύμας τὸ αὐτὸ ἔπαθεν) ἐρῶ μέν, καὶ ἔπαθεν, ἀλλ' ἔμεινεν ὡς εἶχε. πῶς οὖν οὐκ ἠναγκάσθη; καὶ τί ἀναγκαστικώτερον τοῦ σεισμοῦ τοῦ ἐπὶ τῆς ἀναστάσεως; (γ. ὁ μετιὼν) τῶν στρατιωτῶν τῶν ἀπαγγειλάντων; τῶν σημείων τῶν ἄλλων; τοῦ ἰδεῖν αὐτὸν ἀναστάντα; ἀλλ' οὐκ ἔστι ταῦτα ἀναγκαστικά, ἀλλὰ διδακτικά. οἱ Ἰουδαῖοι διὰ τί οὐκ ἐπίστευσαν ταῦτα ἀκούοντες; ὅτι ἠλήθευε, δῆλον ἦν. οὐ γὰρ ἂν μετέθετο, μὴ γινομένου τούτου, ὥστε πάντας πιστεῦσαι ἔδει· τῶν τὴν ἀνάστασιν αὐτοῦ κηρυττόντων οὐχ ἧττον ἦν, μᾶλλον δὲ καὶ ἀξιοπιστότερος, ἅτε ἀθρόον μεταβεβλημένος. οὐ συνεγένετό τινι τῶν πιστῶν, ἀλλ' ἐν Δαμασκῷ μετεβάλετο· Ρωμ. θ. γ. μᾶλλον δὲ πρὸ τῆς Δαμασκοῦ τοῦτο ἔπαθεν. ἐρωτῶ τοὺς Ἰουδαίους, πόθεν, εἰπέ μοι, μετεβλήθη Παῦλος; τοσαῦτα σημεῖα εἶδε, καὶ οὐ μετεβλήθη; ὁ διδάσκαλος αὐτοῦ μετεβλήθη, καὶ οὗτος οὐ μετεβλήθη; τίς ἔπεισεν αὐτόν; μᾶλλον δὲ τίς ἀθρόον τοσαύτην ἐνέβαλεν αὐτῷ προθυμίαν, ὥστε καὶ ἀνάθεμα εὔξασθαι γενέσθαι ὑπὲρ τοῦ Χριστοῦ; φανερά ἐστιν ἡ (γ. καὶ οὐκ ἐπίστευσεν, ἀλλὰ καὶ ἀθ. γ. διὰ τί καὶ εἰς γέενναν ηὔξατο ἀπελθεῖν ὑπὲρ) τῶν πραγμάτων ἀλήθεια· ἀλλ' ὅπερ ἔφην, πῶς τοὺς εὐνούχους αἰσχυνθῶμεν καὶ φωτιζόμενοι καὶ ἀναγινώσκοντα. ὁρᾶτε πῶς ἦν ἐν δυναστείᾳ; πῶς ἦν ἐν πλούτῳ, καὶ οὐδὲ ἐν ὁδῷ ἡσύχαζε; τίς ἦν ἄρα οὗτος μένων ἐπ' οἰκίας, μηδὲ ἐν ὁδοῖς ἀνερχόμενος σχολάζειν; τίς ἦν οὗτος ἐν νυκτί; ὅσοι ἐν ἀξιώμασίν ἐστε, ἀκούσατε, καὶ τὸ ἄτυφον καὶ τὸ εὐλαβὲς μιμήσασθε. καί τοι μέλλων ἀπιέναι οἴκαδε, οὐκ εἶπε πρὸς ἑαυτόν· ἀπέρχομαι εἰς τὴν πατρίδα, ἐκεῖ λαμβάνω τὸ λουτρόν, τὰ ψυχρὰ ῥήματα τῶν πολλῶν. οὐκ ἐδεήθη σημείων· οὐκ ἐδεήθη θαυμάτων· ἀπὸ τοῦ προφήτου μόνον ἐπίστευσε. διὰ ταῦτα πενθεῖ ἑαυτὸν ὁ Παῦλος (γ. μόνου) λέγων· Ἀλλὰ διὰ τοῦτο ἠλεήθην, ὅτι ἀγνοῶν ἐποίησα ἐν ἀπιστίᾳ, καὶ ἵνα ἐν ἐμοὶ πρώτῳ α. Τιμ. α. ιγ. ἐνδείξηται Ἰησοῦς Χριστὸς τὴν πᾶσαν μακροθυμίαν. ἄξιοι ὄντως θαυμάσαι τοὺς εὐνούχους τούτους. οὐκ εἶδε τὸν Χριστόν, οὐκ εἶδε σημεῖα· ἐπὶ τὰ Ἱεροσόλυμα συνεστῶτα ἑώρα, καὶ ἐπίστευε τῷ Φιλίππῳ. πόθεν οὖν τοιοῦτος γεγένηται; μεμεριμνημένη ἦν ἡ ψυχὴ αὐτοῦ· προσεῖχε γραφαῖς· ἐσχόλαζεν ἀναγνώσει. καί τοι καὶ ὁ λῃστὴς εἶδε σημεῖα· καὶ οἱ μάγοι εἶδον ἀστέρα· οὗτος δὲ οὐδὲν εἶδε τοιοῦτον, καὶ ἐπίστευσε. τοσοῦτόν ἐστιν ἡ τῶν γραφῶν (γ. καὶ τῇ τῶν γραφῶν ἀναγνώσει προσέχουσα ταύτῃ) ἀνάγνωσις ἡ ἀκριβής. τί οὖν Παῦλος; οὐχὶ τοὺς νόμους ἐμελέτα; ἀλλ' ἐμοὶ δοκεῖ οὗτος ἐπίτηδες ἀναβληθῆναι δι' ἅπερ εἶπον προλαβών, πάντα γὰρ ἦν βουλόμενος ἐπισπάσασθαι τοὺς (γ. ὠφέλιμος.) Ἰουδαίους τῷ Χριστῷ. εἰ γὰρ νοῦν εἶχον, οὐδὲν ἂν αὐτοὺς οὕτως ὠφέλει, ὡς τοῦτο. τοῦτο γὰρ καὶ σημείων μᾶλλον καὶ πάντων ἱκανὸν ἦν αὐτοὺς ἐφελκύσασθαι· ὥσπερ οὖν οὐδὲν οὕτω σκανδαλίζειν εἴωθε τοὺς παχυτέρους. ὅρα γοῦν μετὰ [τὴν διασποράν] τῶν ἀποστόλων καὶ τὸν Θεὸν ποιοῦντα τὰ σημεῖα. ἐνεκάλεσαν Ἰουδαῖοι τοῖς ἀποστόλοις, ἐνέβαλον εἰς δεσμωτήριον· λοιπὸν ὁ Θεὸς θαυματουργεῖ. καὶ πῶς, ὅρα· τὸ ἐξενεγκεῖν ἀπὸ τῆς φυλακῆς, αὐτοῦ σημεῖον ἦν· τὸ ἀγαγεῖν Φίλιππον, αὐτοῦ σημεῖον ἦν· τὸ Παῦλον προσαγαγέσθαι, αὐτοῦ σημεῖον ἦν· τὸ δεῖξαι Στεφάνῳ ἑαυτόν, αὐτοῦ σημεῖον ἦν. καὶ σκόπει πῶς μὲν τιμᾶται Παῦλος, πῶς δὲ ὁ εὐνοῦχος. ἐνταῦθα καὶ ὁ Χριστὸς φαίνεται, ἴσως διὰ τὸ σκληρόν, καὶ ὅτι οὐκ ἂν ἄλλως ἐπείσθη*.

ΗΘΙΚΟΝ

Τούτοις ἐνστρεφόμενοι καὶ ἡμεῖς τοῖς θαύμασιν, ἀξίους ἑαυτοὺς παρασκευάσωμεν.

* Ἀναπείσ. γ. ἐνστρεφόμενοι

θηκεν. διὰ τοῦτο γοῦν καὶ ἄλλους λαμβάνει μεθ' ἑαυτοῦ, τὸν φόβον τάχα ὑποπτευόμενος· ἢ καὶ ἐπειδὴ κατὰ πολλοὺς ἀπῄει, πολλοὺς λαμβάνων, ὅπως θαρσαλεώτερος, οὓς ἂν εὕρῃ ἄνδρας τε καὶ γυναῖκας, δεδεμένους ἀγάγῃ ἐν Ἱερουσαλήμ· ἄλλως τε καὶ διὰ τῆς ὁδοῦ πᾶσιν αὐτοὺς δεῖξαι ἐβούλετο αὐτὸ δὴ πομπεύων. οὕτως ἐκεῖνοι οὐκ ἐσπούδαζον τοῦτο. καὶ ὅρα αὐτοὺς εἰς φυλακὴν ἐμβάλλοντα καὶ περὶ τούτου. ἐκεῖνοι μὲν οὖν οὐκ ἴσασιν· οὗτος δὲ ἴσχυσεν ἀπὸ τῆς προθυμίας.

3 Ἐν δὲ τῷ πορεύεσθαι, ἐγένετο αὐτὸν ἐγγίζειν τῇ Δαμασκῷ· καὶ ἐξαίφνης περιήστραψεν αὐτὸν φῶς ἀπὸ τοῦ οὐρανοῦ,

4 Καὶ πεσὼν ἐπὶ τὴν γῆν, ἤκουσε φωνῆς λεγούσης αὐτῷ· Σαοὺλ, Σαοὺλ, τί με διώκεις; Διὰ τί μὴ ἐν Ἱεροσολύμοις; διὰ τί μὴ [γέγονεν] ἐν Δαμασκῷ; ὥστε μὴ ἐξεῖναι ἄλλοις ἄλλως αὐτὸ διηγήσασθαι, ἀλλ' αὐτὸς ἀξιόπιστος ᾖ διηγούμενος ὁ διὰ τοῦτο ἀπιών. τοῦτο γοῦν λέγει καὶ πρὸς Ἀγρίππαν ἀπολογούμενος. ἐπήρθη δὲ τὰς ὄψεις, διότι ἡ ὑπερβολὴ τοῦ φωτὸς πλήττειν εἴωθε. μέτρα γὰρ ἔχουσιν οἱ ὀφθαλμοί. λέγεται δὲ καὶ φωνῆς ὑπερβολὴ κωφοὺς ποιεῖν καὶ ἀποπλῆξαι. ἀλλὰ τοῦτον μόνον ἐπήρωσε, καὶ ἔσβεσεν αὐτοῦ τὸν θυμὸν τῷ φόβῳ, ὥστε αὐτὸν ἀκοῦσαι τὰ λεγόμενα. Σαοὺλ, Σαοὺλ, φησὶ, τί με διώκεις; οὐ λέγει αὐτῷ, πίστευσον, οὐδὲ ἄλλο τι τοιοῦτον οὐδὲν, ἀλλ' ἐγκαλεῖ· μονονουχὶ λέγων, τί παρ' ἐμοῦ μέγα ἢ μικρὸν ἠδικημένος ταῦτα ποιεῖς;

γρ. καὶ πεσὼν ἐπὶ τὴν γῆν. ἢ γὰρ ...

γρ. γὰρ τοῦτό φησι δι' ὧν ἐγκαλεῖ τί

5 Εἶπε δέ· τίς εἶ, Κύριε; Τέως ὡμολόγησεν ἑαυτὸν δοῦλον. Ὁ δὲ Κύριος εἶπεν· Ἐγώ εἰμι Ἰησοῦς, ὃν σὺ διώκεις. Ὥσπερ ἔλεγε· μὴ νομίσῃς πρὸς ἀνθρώπους εἶναί σοι τὸν πόλεμον. οἱ δὲ συνιόντες αὐτῷ τὴν φωνὴν μὲν τοῦ Παύλου ἤκουσαν, οὐδένα δὲ ἐθεώρουν πρὸς ὃν ἀπεκρίνατο. Εἰκότως. τὴν γὰρ ἐλάττονα αὐτοὺς ἐποίησεν ἀκροατάς. εἰ γὰρ τῆς φωνῆς ἤκουσαν ἐκείνης, κἂν ἠπίστησαν· τὸν δὲ Παῦλον ὁρῶντες ἀποκρινόμενον, ἐθαύμαζον.

6 Ἀλλὰ ἀνάστηθι καὶ εἴσελθε εἰς τὴν πόλιν, καὶ λαληθήσεταί σοι τί σε δεῖ ποιεῖν. Ὅρα πῶς οὐκ εὐθέως πάντα αὐτῷ ἀποκαλύπτει, ἀλλὰ μόνον περιμαλάττει αὐτοῦ τὴν διάνοιαν· καὶ δι' ὧν παρεκελεύετο, δίδωσιν αὐτῷ χρηστὰς ἐλπίδας, καὶ ὅτι ἀναβλέψει.

γρ. ἐπάγει

γρ. ἔτι καὶ τοὺς μαθητὰς ἐκάλεσεν. ἐκ Λυτρῶν δι...

7 Οἱ δὲ ἄνδρες οἱ συνοδεύοντες αὐτῷ, εἱστήκεισαν ἐνεοὶ, ἀκούοντες μὲν τῆς φωνῆς, μηδένα δὲ θεωροῦντες.

8 Ἠγέρθη δὲ ὁ Σαῦλος ἀπὸ τῆς γῆς, ἀνεῳγμένων τε τῶν ὀφθαλμῶν αὐτοῦ, οὐδένα ἔβλεπε. χειραγωγοῦντες δὲ αὐτὸν εἰσήγαγον εἰς Δαμασκόν. Τὸ λάφυρον τοῦ διαβόλου, τὰ σκεύη αὐτοῦ, καθάπερ πόλεώς τινος, ἢ μητροπόλεως ληφθείσης, εἰσάγουσι. καὶ τὸ δὴ θαυμαστὸν, αὐτοὶ οἱ πολέμιοι καὶ ἐχθροὶ εἰσήγαγον αὐτὸν πάντων ὁρώντων.

9 Καὶ ἦν ἡμέρας τρεῖς μὴ βλέπων, καὶ οὐκ ἔφαγεν, οὐδὲ ἔπιε. Τί τούτου ἴσον γένοιτ' ἄν; ἀντίρροπος τῆς ἐπὶ Στεφάνῳ ἀθυμίας παράκλησις ἡ Παύλου προσαγωγὴ γέγονεν, ἔχουσα μὲν καὶ αὐτόθεν παραμυθίαν, τὸ οὕτως αὐτὸν ἀπελθεῖν, λαβοῦσα δὲ καὶ ταύτην. καὶ αἱ Σαμαρειτῶν δὲ κῶμαι προσαχθεῖσαι, μεγίστην παρέσχον παράκλησιν. καὶ διὰ τί, φησι, μὴ ἐξ ἀρχῆς τοῦτο γέγονεν, ἀλλὰ μετὰ ταῦτα; ἵνα δειχθῇ ὅτι ὄντως ἀνέστη ὁ Χριστός. ὁ γὰρ ἐλαύνων αὐτὸν, καὶ ἀπιστῶν αὐτοῦ τῇ τελευτῇ καὶ τῇ ἀναστάσει, καὶ τοὺς μαθητὰς αὐτοῦ διώκων, οὗτος πόθεν, εἰπέ μοι, ἂν ἐπίστευσεν, εἰ μὴ πολλὴ ἦν τοῦ σταυρωθέντος ἡ ἰσχύς; ἔστω. ἐκεῖνοι αὐτῷ ἐχαρίζοντο· τί ἐρεῖς πρὸς τοῦτον; ἄλλως δὲ, διὰ τοῦτο μετὰ τὴν ἀνάστασιν προσῆλθε, καὶ οὐκ εὐθέως, ἵνα σαφέστερος αὐτοῦ δειχθῇ ὁ πόλεμος. ὁ γὰρ οὕτω μαινόμενος, ὡς καὶ αἵματα ἐκχεῖν, καὶ εἰς δεσμωτήρια ἐμβάλλειν, ἄφνω πιστεύει. οὐκ ἤρκει τὸ μὴ συγγενέσθαι τῷ Χριστῷ, ἀλλ' ἔδει καὶ πολεμηθῆναι σφοδρῶς ὑπ' αὐτοῦ τοὺς πιστούς. οὐδεμίαν κατέλιπεν ὑπερβολὴν μανίας. πάντων σφοδρότερος οὗτος ἦν. ἐπεὶ δὲ ἐπηρώθη, τότε τῆς δεσποτείας

γρ. τῆς ἀναστάσεως

γρ. διὰ τί δὲ μὴ μετὰ τὴν ἀνάστασιν εὐθέως;

γρ. ἐπληρώθη τὸ διάστημα αὐτ... τὸ τεκ. καὶ ὁ φιλ. τι ἀπόκειται

[Εἰ δὲ λέγει τις, ὅτι ἔδει αὐτὸν μαθεῖν, ἀγνοεῖ τίς ἐστιν ἡ χρεία.] οὕτως οὐκ ᾔδει τί ἔμελλεν αὐτῷ ἔσεσθαι, ἀλλ' ἐνόμιζεν ἁπλῶς προφητείας τινὰ ἀκούσεσθαι. καὶ αὕτη δὲ μείζων τιμή, τὸ μὴ ἁπλῶς ἀναγαγεῖν, ἀλλὰ παρακαλέσαντα. προσδραμὼν δὲ ὁ Φίλιππος, ἤκουσεν αὐτοῦ ἀναγινώσκοντος. καὶ ὁ δρόμος σημεῖον βουλομένου εἰπεῖν, καὶ ἡ ἀνάγνωσις σπουδῆς. ἐν τοιούτῳ γὰρ ἀνεγίνωσκε καιρῷ, ἐν ᾧ σφοδρότερον ποιεῖ τὸ καῦμα ὁ ἥλιος. ἡ δὲ περιοχή [φησι, τῆς γραφῆς, ἣν ἀνεγίνωσκεν,] ἦν αὕτη· ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη. καὶ τοῦτο αὐτοῦ δεῖγμα τῆς φιλομαθείας, τὸ τὸν προφήτην τοῦτον μετὰ χεῖρας ἔχειν τῶν ἄλλων ὄντα ὑψηλότερον. διὸ καὶ οὐ μετὰ σφοδρότητος αὐτῷ διηγεῖται, ἀλλ' ἡμέρως. μᾶλλον δὲ οὐδὲ οὕτω φθέγγεται πρότερον, ἕως ὅτε ἠρωτήθη, ἕως ἐκεῖνος αὐτὸν ἐκάλεσεν, ὥσπερ τὸ αὐτὸ πάλιν ποιῶν φησι· δέομαί σου περὶ τίνος ὁ προφήτης λέγει τοῦτο; ἐμοὶ δοκεῖ ὅτι οὐκ ᾔδει, ὡς περὶ ἄλλων λέγουσι τῶν προφητῶν ἢ εἰ μὴ τοῦτο, ὅτι περὶ ἑαυτῶν διαλέγονται ἐν ἑτέρῳ προσώπῳ. ἠγνόει. αἰσχυνέσθωσαν καὶ πένητες καὶ πλουτοῦντες ἐκεῖνον τὸν ταμίαν. εἶτα ἦλθον ἐπί τι ὕδωρ, καί φησιν, ἰδοὺ ὕδωρ. σφόδρα ψυχῆς τοῦτο ἐκκαιομένης. τί κωλύει με βαπτισθῆναι; ὁρᾷς αὐτοῦ τὴν ἐπιείκειαν; οὐ λέγει, βάπτισόν με· οὔτε σιωπᾷ· ἀλλὰ μέσον τι καὶ τῆς ἐπιθυμίας, καὶ τῆς εὐλαβείας φθέγγεται, λέγων· τί κωλύει με βαπτισθῆναι; ὁρᾷς πῶς τὰ δόγματα ἀπηρτισμένα εἶχε; καὶ γὰρ ὁ προφήτης πάντα περιεῖχε, τὴν σάρκωσιν, τὸ πάθος, τὴν ἀνάστασιν, τὴν ἀνάληψιν, τὴν κρίσιν τὴν μέλλουσαν· ἃ δὴ καὶ πολλὴν τὴν ἐπιθυμίαν αὐτῷ μάλιστα ἐνεποίησαν. αἰσχύνθητε ὅσοι ἀφώτιστοι τυγχάνετε. καὶ ἐκέλευσε, φησι, στῆναι τὸ ἅρμα. ἅμα εἶπε καὶ ἐπέταξε, πρὶν ἢ ἀκοῦσαι. ὡς δὲ ἀνέβησαν ἀπὸ τοῦ ὕδατος, πνεῦμα Κυρίου ἥρπασε τὸν Φίλιππον. καλῶς, ἵνα θεῖον δειχθῇ τὸ γινόμενον, ἵνα μὴ νομίσῃ ὅτι ἄνθρωπός ἐστιν ἁπλῶς. καὶ ἐπορεύετο, φησι, τὴν ὁδὸν αὐτοῦ χαίρων. τοῦτο εἶπε, δηλῶν ὅτι ἐλυπήθη ἄν, εἰ ἔγνω· οὕτως ὑπὸ τῆς πολλῆς χαρᾶς, καίτοι πνεύματος καταξιωθείς, οὐδὲ ἑώρα τὰ παρόντα. καὶ εὑρέθη, φησίν, εἰς Ἄζωτον. μέγα ἐντεῦθεν καὶ ὁ Φίλιππος ἐκέρδαινεν. ὅπερ γὰρ ἤκουσε περὶ τῶν προφητῶν, περὶ Ἀμβακούμ, περὶ Ἰεζεκιὴλ καὶ τῶν ἄλλων, εἶδεν ἐπ' αὐτοῦ γινόμενον. ὃς ἐν ἀκαρεῖ δείκνυται πολλὴν ὁδὸν ἀπελθών, εἴγε ἐν Ἀζώτῳ εὑρέθη, καὶ ἐκεῖ λοιπὸν ἵσταται, ἔνθα αὐτὸν εὐαγγελίσασθαι ἔδει.

κεφ. θ.

1 Σαῦλος δὲ ἔτι ἐμπνέων ἀπειλῆς καὶ φόνου εἰς τοὺς μαθητὰς τοῦ Κυρίου, προσελθὼν τῷ ἀρχιερεῖ,

2 ᾐτήσατο παρ' αὐτοῦ ἐπιστολὰς εἰς Δαμασκὸν πρὸς τὰς συναγωγάς, ὅπως ἄν τινας εὕρῃ τῆς ὁδοῦ ὄντας ἄνδρας τε καὶ γυναῖκας, δεδεμένους ἀγάγῃ εἰς Ἱερουσαλήμ.

Εὐκαίρως παρενέβαλε τὰ περὶ τοῦ ζήλου τοῦ Παύλου, ἵνα δείξῃ ὅτι ἐν μέσῳ τῷ ζήλῳ ἕλκεται. οὐδέπω γὰρ κορεσθεὶς τῷ φόνῳ Στεφάνου, οὐδὲ ἐμπλησθεὶς τῷ διωγμῷ τῆς ἐκκλησίας καὶ τῇ διασπορᾷ, πρόσεισι τῷ ἀρχιερεῖ. ἐνταῦθα πληροῦται τὸ παρὰ τοῦ Χριστοῦ πρὸς τοὺς μαθητὰς εἰρημένον, ὅτι ἔρχεται ὥρα, ἵνα πᾶς ὁ ἀποκτείνας ὑμᾶς δόξῃ λατρείαν προσφέρειν τῷ Θεῷ. Ἰωαν. ις. α. τοῦτο μὲν οὖν οὕτως ἐποίει, οὐχ ὡς Ἰουδαῖοι· μὴ γένοιτο. ὅτι γὰρ ζήλῳ ἐποίει, δῆλον ἐκ τοῦ καὶ εἰς τὰς ἔξω πόλεις ἀπιέναι· ἐκεῖνοι δέ, οὔτε καὶ τὴν ἐν Ἱεροσολύμοις ἐφρόντισαν, ἀλλ' ἑνὸς ἐγίνοντο μόνου τοῦ τιμῆς ἀπολαύειν. διὰ τί δὲ εἰς Δαμασκὸν ἐπορεύετο; μεγάλη ἡ πόλις ἦν, βασιλικὴ ἦν· ἐφοβεῖτο μὴ καὶ ἐκείνη προκαταληφθῇ. καὶ ὅρα τὸν πόθον, καὶ τὴν σφοδρότητα, πῶς νομικῶς ἔπραττεν. οὐ προσέρχεται ἄρχοντι, ἀλλὰ τῷ ἀρχιερεῖ· αἰτεῖ ἐπιστολὰς παρ' αὐτοῦ, ὅπως ἄν τινας εὕρῃ τῆς ὁδοῦ ὄντας. ὁδὸν τοὺς πιστεύοντας καλεῖ· οἱ παρὰ πᾶσιν οὕτως ὠνομάζοντο τότε, ἴσως διὰ τὸ τὴν ὁδὸν τέμνειν τὴν εἰς οὐρανὸν φέρουσαν. διὰ τί δὲ μὴ ἔλαβεν ἐξουσίαν ἐκεῖ τιμωρήσασθαι αὐτούς, ἀλλ' εἰς Ἱεροσόλυμα ἄγει; ὥστε μετὰ πλείονος τῆς ἐξουσίας ἐνταῦθα τὰς τῆς τιμωρίας ποιῆσαι. καὶ ὅρα οἵῳ κινδύνῳ ἐπιρρίπτων ἑαυτόν, ὅμως καὶ οὕτω φοβεῖται, μή τι πά-

Marginal notes:
γρ. ἄλλως ᾔδει
γρ. παρακαλέσαντα
γρ. οὐκ ἤκουσεν αὐτοῦ, ἀλλὰ περιεκάλεσεν. ἄλλ. περιεκάλεσεν
γρ. φιλοσοφίας
γρ. ὅλως ᾔδει ὅτι ἄλλως καὶ περὶ ἄλλων λέγουσιν οἱ προφῆται, ἢ περὶ ἑαυτῶν ἐν ἑτέρῳ προσώπῳ διαλέγονται, σφόδρα ἐπιτεταμένην δεῖν ἡ ἐρώτησις αἰσχυνθ.
γρ. ἐπὶ νέους. πάλιν αὐτὸς αὐτὸς λέγων τί
γρ. ἐπιθυμίας
γρ. εἰ δὲ πολλὴν τὴν ἐπιθυμίαν δείκνυσι μὲ θαυμάσιος. αἰσχυνθ.
γρ. αἰσθῇ
γρ. ἐσπούδαζ
γρ. ὅτι τὴν ὁδὸν ἀκολουθοῦντες οἱ πιστεύοντες ἴσως
γρ. ἐκ ἰεροσολύμων μή τι ποθ. δεινόν

35 Ἀνοίξας δὲ ὁ Φίλιππος τὸ στόμα αὐτοῦ, καὶ ἀρξάμενος ἀπὸ τῆς γραφῆς ταύτης, εὐηγγελίσατο αὐτῷ τὸν Ἰησοῦν. Ὁρᾷς πῶς οἰκονομεῖται τὰ κατ' αὐτόν; πρότερον ἀναγινώσκει καὶ ἀγνοεῖ. εἶτα ἀναγινώσκει αὐτὴν τὴν προφητείαν, ἔνθα ἦν τὸ πάθος καὶ ἡ ἀνάστασις καὶ ἡ δωρεά.

36 Ὡς δὲ ἐπορεύοντο κατὰ τὴν ὁδὸν, ἦλθον ἐπί τι ὕδωρ, καί φησιν ὁ εὐνοῦχος, ἰδοὺ ὕδωρ, τί κωλύει με βαπτισθῆναι; Εἶδες προθυμίαν; εἶδες ἀκρίβειαν;

38 Ἐκέλευσέ τε στῆναι τὸ ἅρμα, καὶ κατέβησαν εἰς τὸ ὕδωρ ἀμφότεροι, ὅ τε Φίλιππος καὶ ὁ εὐνοῦχος, καὶ ἐβάπτισεν αὐτόν.

39 Ὅτε δὲ ἀνέβησαν ἀπὸ τοῦ ὕδατος, πνεῦμα Κυρίου ἥρπασε τὸν Φίλιππον, καὶ οὐκ εἶδεν αὐτὸν οὐκέτι ὁ εὐνοῦχος. ἐπορεύετο γὰρ τὴν ὁδὸν αὐτοῦ χαίρων. Διὰ τί, φησιν, ἦρεν αὐτὸν πνεῦμα Κυρίου; ἐπειδὴ ἔμελλε καὶ ἄλλας πόλεις διελθεῖν καὶ εὐαγγελίσασθαι. ὥστε νῦν ὕστερον αὐτὸν θαυμασθῆναι τοῦτο ἐγένετο· ὥστε μὴ ἀνθρώπινον τὸ περὶ αὐτὸν, ἀλλὰ θεῖον νομίσαι.

40 Φίλιππος δὲ εὑρέθη εἰς Ἄζωτον, καὶ διερχόμενος εὐηγγελίζετο τὰς πόλεις πάσας, ἕως τοῦ ἐλθεῖν αὐτὸν εἰς Καισάρειαν. Καὶ ἐκ τούτου δῆλον, ὡς οὐκ ἦν τῶν ἑπτὰ ἐστί. καὶ γὰρ καὶ ὕστερον ἐκεῖ εὑρίσκεται ἐν Καισαρείᾳ. συμφερόντως δὲ ἥρπασεν αὐτὸν τὸ πνεῦμα, ἐπεὶ ἠξίωσεν ἂν καὶ συναπελθεῖν αὐτῷ ὁ εὐνοῦχος. [ὃν] καὶ ἐλύπησεν ἂν ἐκεῖνος, ἀνανεύσας καὶ ἀρνησάμενος οὐδέπω καιροῦ ὄντος. Εἶδες ἀγγέλους συνεργοῦντας τῷ κηρύγματι, καὶ αὐτοὺς μὲν οὐ κηρύττοντας, τούτους δὲ καλοῦντας; τὸ δὲ θαυμαστὸν καὶ ἐντεῦθεν δείκνυται. ὅπερ γὰρ πάλαι ἀδύνατον ἦν καὶ μόλις ἐγένετο, τοῦτο ἐνταῦθα μετὰ πολλῆς γέγονε ἀφθονίας. ἄλλως δὲ, καὶ παραμυθία φωτός τις τὸ γεγονὸς ἦν τοῖς τῶν ἀλλοφύλων κρατῆσαι αὐτούς. καὶ γὰρ τὸ τῶν πιστευόντων ἀξιόπιστον, ἴχνη ἦν· αὐτοὺς μανθάνοντας πιστεῦσαι πρὸς τὸν Θεὸν ἴσον καὶ αὐτοὺς ζῆλον διαγαγεῖν. διὰ τοῦτο γοῦν καὶ ἐπορεύετο χαίρων, ὥστε εἰ ἠπίστατο, οὐκ ἂν ἤχθη. τί δαὶ ἐκώλυε, φησι, πρότερον αὐτὸν ἀκριβῶς μαθεῖν, καὶ ἐν τῷ ὀχήματι ὄντα, καὶ μάλιστα ἐν ἐρήμῳ; ὅτι οὐκ ἦν τὸ πρᾶγμα ἐπίδειξις. * ἀλλ' ἴδωμεν ἄνωθεν τὰ ἀνεγνωσμένα. καὶ ἰδοὺ ἀνὴρ Αἰθίοψ εὐνοῦχος, φησι, δυνάστης Κανδάκης τῆς βασιλίσσης Αἰθιόπων. [ἐκ τούτου δῆλον ὡς ὑπὸ ταύτης ἤρχοντο.] καὶ γὰρ γυναῖκες ἐκράτουν τὸ παλαιὸν, καὶ οὗτος ἦν νόμος παρ' αὐτοῖς. οὕτως οὐκ ἤδει Φίλιππος τίνος ἕνεκεν παρεγένετο εἰς τὴν ἔρημον, [ὅτι καὶ] οὐκέτι ἄγγελος, ἀλλὰ τὸ πνεῦμα αὐτὸν ἁρπάζει. οὐδὲν δὲ τούτων ὑπορᾷ ὁ εὐνοῦχος ἁπλῶς ἐπὶ ὢν ὅτι καὶ ταῦτα οὐ τοῖς σωματικωτέροις, ἀλλὰ τοῖς πνευματικωτέροις ἐστὶν, οὔτε μὴν ὁ Φίλιππος ἐκδιδάσκεται μανθάνειν. καὶ διὰ τί μὴ ἐκείνῳ φαίνεται ὁ ἄγγελος, καὶ ἄγει αὐτὸν πρὸς Φίλιππον, ὅτι ἴσως οὐκ ἂν ἐπείσθη, ἀλλὰ καὶ ἐξεπλάγη μόνον. ὅρα τὴν τοῦ Φιλίππου φιλοσοφίαν. οὐ κατηγόρησεν, οὐκ εἶπεν, ἀγνοεῖς, ἐγώ σε διδάξω· οὐκ εἶπεν, ἐγὼ ταῦτα ἀκριβῶς οἶδα. οὐκ ἐκολάκευσε, καὶ εἶπεν αὐτῷ, μακάριος εἶ ἀναγινώσκων. οὕτως ἦν καὶ θρασύτητος ἐκτὸς καὶ κολακείας τὸ ῥῆμα, καὶ μᾶλλον κηδεμονικὸν καὶ φιλανθρώπου. ἔδει γὰρ αὐτὸν αἰτῆσαι, ἔδει αὐτὸν ποθῆσαι. ἐμφαίνοντος δέ ἐστιν, ὡς οἶδεν, ὅτι οὐδὲν ἤδει ἐκεῖνος ὧν εἶπεν· ἆρά γε γινώσκεις, ἃ ἀναγινώσκεις; καὶ ἅμα δεικνύντος πολὺν τὸν θησαυρὸν ἐγκείμενον. ἀλλ' ὅρα πῶς συνετῶς καὶ ὁ εὐνοῦχος ἀπολογεῖται. πῶς γὰρ ἂν, φησι, δυναίμην, ἐὰν μή τις ὁδηγήσῃ με; οὐκ εἶδεν εἰς τὸ σχῆμα, οὐκ εἶπε, σὺ τίς εἶ; οὐκ ἐμέμψατο, οὐκ ἀλαζονεύεται, οὐ λέγει εἰδέναι, ἀλλ' ὁμολογεῖ ἀγνοεῖν. διὸ καὶ μανθάνει. ἐπιδεικνύει τὸ τραῦμα τῷ ἰατρῷ· συνεῖδεν ὅτι καὶ οἶδε ταῦτα, καὶ βούλεται διδάξαι. ἴδετε τὸ ἄτυφον. οὐδὲ γὰρ λαμπρὸν ἐπιφέρετο σχῆμα. οὕτως ἦν φιλήκοος, καὶ τοῖς λόγοις προσεῖχε· καὶ τὸ, Ὁ ζητῶν εὑρίσκει, ἐπ' αὐτοῦ ἐπληρώθη. Matth. 7. παρεκάλεσε δέ, φησι, τὸν Φίλιππον ἀναβάντα καθίσαι σὺν αὐτῷ. Εἶδες τὴν σπουδήν; εἶδες τὸν πόθον; παρακαλεῖ ἀναβάντα συγκαθίσαι αὐτῷ.

[Εἰ

γ. ἀρχηγίαν
γ. ἐν
γ. τί ἐγένετο θαυμαστὸν, ἐπεὶ ἐδίδαξεν; καὶ τότε ἦλθεν ὥστε γ. ἐπορεύετο γάρ, φησί, χαίρων. Φίλιπ. δὲ
γ. ἅμα δὲ καὶ παραμυθία αὐτοῖς ἦν ὅτι καὶ τῶν ἀλλοφύλων κρατήσουσι. καὶ γὰρ
γ. αὐτοῦ φησι. εἰ δὲ ἐπιδεῖν ἐλθεῖν, ποῖον ἦν κλῆμα;
γ. εἰ γὰρ ἔρημος ἦν, οὐκ ἦν τ.
* καὶ ὅρα ἐν τίνι καιρῷ ἐν τῷ χειμερινῷ τῷ κλίματι.
γ. ἐκεῖ
γ. καὶ
γ. μᾶλλον
γ. δύναμαι
γ. τὸ ποθούμενον

γρ. ἄγραν. ἀλ. ὥραν

τὸ ὕπτιον, καὶ μετὰ τὴν αἰώραν τὴν σωματικὴν, καὶ λυχνικοῖς καὶ ἑωθινοῖς ὕμνοις παραγενέσθαι, ὁμοτράπεζον ἔχειν τὸν ἱερέα, συνομιλοῦντα, εὐλογίας ἀπολαύειν, ἑτέρους ὁρᾷν ἐρχομένους ἐκεῖ; τοῦτο τεῖχος, τοῦτο ἀσφάλεια ἀγροῦ. οὗτός ἐστιν ὁ ἀγρὸς περὶ οὗ φησιν· Ὀσμὴ ἀγροῦ πλήρους ὃν εὐλόγησε Κύριος. Γεν. κζ. κζ.

Εἰ καὶ χωρὶς τούτου καλὸς ὁ ἀγρὸς διὰ τὴν ἡσυχίαν, διὰ τὸ ἀπραγμοσύνης γέμειν· ὅταν καὶ τοῦτο ἔχῃ, τίνι οὐκ ἔσται ἴσος; ἀγρὸς γὰρ ἐκκλησίαν ἔχων, τῷ παραδείσῳ ἔοικε τοῦ Θεοῦ. οὐκ ἔστιν ἐκεῖ κραυγὴ, οὐκ ἔστι θόρυβος, οὐκ ἐχθροὶ διάφοροι, οὐχ αἱρέσεις· πάντας φίλους ἔστιν ἰδεῖν, τῶν αὐτῶν δογμάτων κοινωνούς. ἄγει σε εἰς φιλοσοφίαν ἡ ἡσυχία· λαβοῦσί σε ἀπὸ τῆς φιλοσοφίας ταύτης ὁ πρεσβύτερος, θεραπεύσει εὐκόλως. ἐνταῦθα μὲν γὰρ ὅσα ἐὰν λέγωμεν, ἡ ἀγορὰ ἐκκρούει· ἐκεῖ δὲ ἅπερ ἂν ἀκούσῃς, πεπηγότα ἕξεις ἐν τῇ διανοίᾳ. ἕτερος ἐν τῷ ἀγρῷ ἔσται δι᾽ ἐκεῖνον (καὶ ἐκεῖνον δὲ προστήσει), καὶ ἔσται φύλαξ, ὥστε περιεῖναι, ὥστε ῥυθμίζειν αὐτούς. πόσον δέ ἐστι καὶ τὸ ἀνάλωμα, εἰπέ μοι; ποίησον τέως μικρὸν οἶκον ἐν τάξει ναοῦ· ὁ μετὰ σὲ ποιήσει στοάν· ὁ μετ᾽ ἐκεῖνον ἕτερα προσθήσει· καὶ οὕτω σοὶ λογισθήσεται τὸ πᾶν. σὺ δίδως μικρὸν, καὶ τοῦ παντὸς λαμβάνεις τὸν μισθόν. οὐκοῦν ἀρχὴν ἐπίθες, θεμέλιον κατάβαλε· [μᾶλλον δὲ] ἀλλήλους παρακαλέσατε ἅμιλλαν ποιήσασθε τοῦ πράγματος. νῦν δὲ ἔνθα μὲν ἄχυρα καὶ σῖτοι καὶ πάντα τὰ τοιαῦτα ἀποτίθεσθαι δεῖ, εὐκόλως οἰκοδομοῦσιν· ἔνθα δὲ συλλέγονται τῶν ψυχῶν γεννήματα, οὐδαμῶς φροντίζουσιν, ἀλλ᾽ ἀναγκάζονται μυρίους σταδίους βαδίζειν, καὶ μακρὰς ἀποδημίας στέλλεσθαι, ἵνα εἰς ἐκκλησίαν ἀπίωσιν. ὅσον δέ ἐστιν ἀγαθὸν μετὰ πολλῆς ἡσυχίας ἐν τῇ ἐκκλησίᾳ τὸν ἱερέα παραγενέσθαι, ἵνα προσίῃ τῷ Θεῷ, καὶ λέγῃ ὑπὲρ τῆς κώμης καθ᾽ ἑκάστην ἡμέραν, ὑπὲρ τοῦ κεκτημένου; μικρὸν ἐστιν, εἰπέ μοι, τὸ καὶ ἐν ταῖς ἁγίαις ἀναφοραῖς ἀεὶ τὸ ὄνομά σου ἐγκεῖσθαι, καὶ καθ᾽ ἑκάστην ἡμέραν ὑπὲρ τῆς κώμης εὐχὰς γίνεσθαι πρὸς τὸν Θεόν; πόσοι ἔχουσι καὶ εἰς τὰ ἄλλα ὑπὸ [illegible]; συμβαίνει τινὰς ἐκ γειτόνων οἰκεῖν καὶ ἔχειν ἐπιτρόπους· πρὸς σὲ μὲν οὐ τὸν πένητα οὐκ ἀξιώσει τις ἐκεῖνον οὐδὲ ἐλθεῖν· τὸν δὲ πρεσβύτερον ἴσως καὶ καλέσει, καὶ τραπέζης κοινωνὸν ποιήσει. ὁρᾷς πόσα ἐντεῦθεν γίνεσθαι καλά; πάσης ἔσται τέως ἡ κώμη πονηρᾶς ὑποψίας ἐλευθέρα· οὐδεὶς ἀνδροφονίας, οὐδεὶς κλοπῆς ἕνεκεν ἐγκαλέσει, οὐδεὶς τοιοῦτον οὐδὲν ὑποπτεύσει. ἔχουσι καὶ ἑτέραν παραμυθίαν, ἂν νόσος παρακληθῇ, ἂν θάνατος. οὐχ ἁπλῶς, οὐδὲ ὡς ἔτυχε καὶ αἱ φιλίαι γίνονται τῶν ἐκεῖ πρὸς ἀλλήλους ἰόντων, καὶ αἱ συνοδίαι δὲ γίνονται πολλῷ τῶν ἐν ταῖς πανηγύρεσιν ἡδίους. [οὐ μόνον δὲ αἱ σύνοδοι, ἀλλὰ] καὶ αὐτοὶ [οἱ προεστῶτες] διὰ τὸν πρεσβύτερον αἰδεσιμώτεροι ἔσονται. πάντως ἀκούεις ὅτι τὰ Ἱεροσόλυμα παρὰ τὰς ἄλλας πόλεις τιμιώτερα ἦν παρὰ τοῖς παλαιοῖς· ἀλλ᾽ οὐχ ἁπλῶς, ἀλλὰ διὰ τὴν τότε κρατοῦσαν εὐσέβειαν. διὰ τοῦτο ἔνθα τιμᾶται Θεὸς, οὐδέν ἐστι πονηρόν· ὥσπερ πάλιν ἔνθα οὐ τιμᾶται, οὐδὲν ἀγαθόν. πολλὴ ἀσφάλεια ἔσται καὶ παρὰ Θεῷ, καὶ παρὰ ἀνθρώποις. ἀλλ᾽ ὅπως μὴ ῥᾳθυμήσητε, παρακαλῶ, μὴ παρέργως, ἀλλὰ προθύμως τοῦ πράγματος ἀντιλάβεσθε. Εἰ γὰρ ὁ ἐξάγων τίμιον ἐξ ἀναξίου, ὡς στόμα τοῦ Θεοῦ ἔσται, ὁ τοσαύτας ψυχὰς τάς τε οὔσας, τάς τε ἐσομένας ἕως τῆς τοῦ Χριστοῦ παρουσίας ὠφελῶν καὶ ἀνακτώμενος, πόσης οὐκ ἀπολαύσεται εὐνοίας παρὰ τοῦ Θεοῦ; Ἱερ. ιε. ιθ. φρούριον κατασκεύασον κατὰ τοῦ διαβόλου. τοῦτο γάρ ἐστιν ἡ ἐκκλησία. ἐκεῖθεν ὁρμάτωσαν αἱ χεῖρες εἰς κάματον· πρότερον ἀνατεινέτωσαν αὐτὰς εἰς εὐχὰς, καὶ τότε ἀπίτωσαν εἰς τὴν ἐργασίαν. οὕτως ἔσται αὐτοῖς ἰσχὺς σώματος, οὕτως ἔσται ἡ γεωργία πολλή, οὕτω πάντα ἐκτὸς ἔσται τὰ κακά. οὐκ ἔστι τὴν ἡδονὴν τὴν ἐντεῦθεν λόγῳ παραστῆσαι, ἕως ἂν [ἔργῳ μὴ] γένηται. μὴ τοῦτο ἴδῃς, ὅτι οὐδεμίαν ἔχει πρόσοδον. ὅλως εἰ οὕτω ποιεῖς, μὴ ποιήσῃς· εἰ μὴ νομίζεις πρόσοδον λαμβάνειν πάντως τοῦ χωρίου μείζονα· εἰ μὴ οὕτω διάκεισαι, μηδὲ ἐργάσῃ· εἰ μὴ ὑπὲρ πάντα προσόδων σου ὑπολαμβάνεις τὸ ἔργον τοῦτο. τί τῆς προσόδου ταύτης μεῖζον, τοῦ εἰς τὴν ἅλω τὴν ἐν οὐρανῷ εἰσαγαγεῖν ψυχάς; οἴμοι, ὅτι οὐκ ἴστε πόσον ἐστὶ τὸ κερδαίνειν ψυχάς. ἄκουε τί φησι

πρὸς

Margin: γρ. ὅλως · γρ. λόγων · γρ. πίπτουσι · γρ. πῶς ἀκ. · γρ. καὶ παρὰ. · γρ. -λάβεσθε · γρ. -λαύσεται · γρ. ἐργασίαν · γρ. προσόδων

δὲ πάλιν δέδοικε τὸ πλῆθος, καὶ φοβεῖται ἀφηνιάσαι. καίτοι εἰ μὴ ἐθορυβήθη, εἶπεν ἄν, ὅτι οὐκ ᾔδει, ὅτι ἀφελῶς ἐποίησε· ἀλλ' ἐξεπλάγη, πρῶτον μὲν ἐκεῖνο, ὅτι ἑάλω τοῖς σημείοις· δεύτερον δὲ τούτῳ, τὸ τὰ ἐν τῇ διανοίᾳ αὐτοῦ φανερὰ γενέσθαι. διὰ τοῦτο μακρὰν ἀπῆλθε λοιπὸν εἰς τὴν Ῥώμην, ὡς οὐ φθάνοντος ἐκεῖ τοῦ ἀποστόλου. πολλάς τε, φησί, κώμας τῶν Σαμαρειτῶν εὐηγγελίσαντο. ὁρᾷς πῶς καὶ αἱ ὁδοὶ αὐτοῖς ἐμπορίαι ἦσαν, ἀλλ' οὐχὶ ἁπλῶς ἐποιοῦντο αὐτάς.

ΗΘΙΚΟΝ

Τοιαύτας καὶ ἡμᾶς ἀποδημίας ἔδει ποιεῖσθαι. καὶ τί λέγω ἀποδημίας; πολλοὶ κώμας ἔχουσι καὶ χωρία, καὶ οὐ μέλει αὐτοῖς, οὐδὲ ποιοῦνταί τινα λόγον· ἀλλ' ὅπως μὲν βαλανεῖον γένοιτο, καὶ ὅπως τὰ τιμήματα ἐπιταθείη, καὶ ὅπως αὐλαί, καὶ ὅπως οἰκοδομήματα κατασκευασθείη, πολλὴν σπουδὴν ποιοῦνται· ὅπως δὲ ψυχαὶ γεωργηθεῖεν, οὐκέτι. καὶ σὺ μὲν ἀκάνθας παρὰ τὴν ἄρουραν ἴδῃς, τέμνεις, καίεις, ἀφανίζεις, ὥστε τὴν γῆν ἀπαλλάξαι τῆς ἐντεῦθεν λύμης· ὁρῶν δὲ αὐτοὺς τοὺς γεωργοὺς ἀκάνθας τίκτοντας, καὶ οὐκ ἐκτέμνεις, οὐ δέδοικας καὶ φείδῃ, εἰπέ μοι, τὸν οἰκοδεσπότην τὸν μέλλοντά σε ὑπὲρ τούτων ἀπαιτεῖν λόγον; οὐ γὰρ ἐχρῆν ἕκαστον τῶν πιστῶν ἐκκλησίαν οἰκοδομεῖν; διδάσκαλον λαμβάνειν; συναίρεσθαι; πρὸ πάντων ἐπισκοπεῖν ὅπως ἅπαντες εἶεν Χριστιανοί; πῶς, εἰπέ μοι, Χριστιανὸς ἔσται ὁ γεωργός, ὁρῶν σε οὕτως ἀμελοῦντα τῆς αὐτοῦ σωτηρίας; οὐ δύνασαι ποιῆσαι σημεῖα καὶ πεῖσαι; οἷς ἔχεις πεῖσον, φιλανθρωπίᾳ, προστασίᾳ, ἡμερότητι, κολακείᾳ, τοῖς ἄλλοις ἅπασι. καὶ ἀγορὰς μὲν καὶ βαλανεῖα ποιοῦσιν οἱ πολλοί, ἐκκλησίας δὲ οὐχί· καὶ πάντα μᾶλλον, ἢ τοῦτο. διὸ παρακαλῶ, καὶ ἀντιβολῶ, καὶ χάριν αἰτῶ, μᾶλλον δὲ καὶ νόμον τίθημι, ὥστε μηδένα ὀφθῆναι ἔρημον ἐκκλησίας χωρίον ἔχοντα. μή μοι εἴπῃς, πλησίον ἐστίν, ἐν γείτοσιν ἐστί, πολλή ἐστιν ἡ δαπάνη, οὐ πολλὴ ἡ πρόσοδος. εἴ τι ἔχεις εἰς πένητας ἀναλῶσαι, ἐκεῖ ἀνάλωσον· βέλτιον ἐκεῖ, ἢ ἐνταῦθα· θρέψον διδάσκαλον, θρέψον διάκονον καὶ ἱερατικὸν σύστημα. ὡς ἂν εἰ γυναῖκα ἀγάγοις, ἢ νύμφην, ἢ δοῖς θυγατέρα, οὕτω τῇ ἐκκλησίᾳ διάκεισο· προῖκα ἐπίδος αὐτῇ. οὕτω σοι εὐλογίας τὸ χωρίον πληρωθήσεται. τί γὰρ οὐκ ἔσται ἐκεῖ τῶν ἀγαθῶν; μικρόν, εἰπέ μοι, τὴν ληνὸν εὐλογεῖσθαι; μικρὸν ἐξ ὅλων τῶν καρπῶν τῶν σῶν τὸν Θεὸν πρότερον ἀπομοίρας καὶ ἀπαρχὰς λαμβάνειν; πρὸς εἰρήνην τῶν γεωργούντων τοῦτο χρήσιμον. αἰδέσιμος ἔσται καὶ ὁ πρεσβύτερος λοιπόν, καὶ πρὸς ἀσφάλειαν τοῦ χωρίου συμβαλεῖται τοῦτο. εὐχαὶ ἐκεῖ διηνεκεῖς διὰ σέ, ὕμνοι καὶ συνάξεις διὰ σέ, προσφορὰ καθ' ἑκάστην κυριακήν. οἷον ἐστιν εἰς θαῦμα μεῖζον, τοὺς τάφους μὲν ἑτέρους οἰκοδομῆσαι λαμπρούς, ἵνα οἱ μετὰ ταῦτα ἀκούωσιν, ὅτι ὁ δεῖνα ᾠκοδόμησε, σὲ δὲ ἐκκλησίας ἀναστῆσαι; ἐννόησον ὅτι μέχρι τῆς τοῦ Χριστοῦ παρουσίας σὺ τὸν μισθὸν ἕξεις ὁ ἀναστήσας θυσιαστήριον τοῦ Θεοῦ. εἰπὲ γάρ μοι, εἰ βασιλεύς σοι ἐκέλευσεν οἰκοδομῆσαι οἰκίαν, ἵνα ἐκεῖ καταλύοι, οὐκ ἂν πάντα ἐποίησας; νῦν οὖν βασίλειά ἐστι τοῦ Χριστοῦ τῆς ἐκκλησίας ἡ οἰκοδομή. μὴ τὸ ἀνάλωμα ἴδῃς, ἀλλὰ τὸν καρπὸν λόγισαι. γεωργοῦσιν ἐκεῖνοι τὴν γῆν, σὺ γεώργησον αὐτῶν τὰς ψυχάς. φέρουσί σοι καρποὺς ἐκεῖνοι, σὺ εἰς τὸν οὐρανὸν αὐτοὺς ἀνάγαγε. ὁ τὴν ἀρχὴν δοὺς, οὗτος καὶ τῶν ἄλλων αἴτιος πάντων. [ἄρα καὶ] σὺ αἴτιος ἔσῃ τῶν κατηχουμένων ἐκεῖ, τῶν ἐν τοῖς χωρίοις τοῖς πλησίον. καίτοι τὰ μὲν βαλανεῖα μαλακωτέρους ποιεῖ τοὺς γεωργούς· τὰ καπηλεῖα τρυφηλοτέρους· ἀλλ' ὅμως ποιεῖτε ταῦτα διὰ δόξαν· αἱ ἀγοραὶ καὶ αἱ πανηγύρεις πάλιν ἰταμούς· τὰ δὲ ἐνταῦθα, πᾶν τοὐναντίον. ἡλίκον γάρ ἐστιν ἰδεῖν πρεσβύτερον εἰς εἰκόνα βαδίζοντα τοῦ Ἀβραάμ, πολιόν, ἀνεζωσμένον καὶ σκάπτοντα καὶ αὐτουργοῦντα; τί τοῦ ἀγροῦ ποθεινότερον ἐκείνου; ἐνταῦθα μείζων ἡ ἀρετή. οὐκ ἔστιν ἀσέλγεια ἐκεῖ, ἀλλ' ἀπελήλαται· οὐκ ἔστι μέθη καὶ τρυφὴ ἐκεῖ, ἀλλ' ἐξώρισται· οὐκ ἔστι κενοδοξία, ἀλλ' ἔσβεσται. τὸ τῆς εὐνοίας πλέον ἐκεῖ διαλάμπει διὰ τὴν ἀφέλειαν. οἷον ἐστιν ἀπελθεῖν καὶ εἰσελθεῖν εἰς τὸν οἶκον τοῦ Θεοῦ, καὶ εἰδέναι ὅτι αὐτὸς αὐτὸν ᾠκοδόμησε, καὶ ῥῖψαι ἑαυτὸν

τὸν

γρ. καὶ οὐχ ἁπλῶς ποιοῦντες αὐτάς.

γρ. πρὸς τὸ συναίρεσθαι,

γρ. Θεὸν ἐπιμόνως πρότερον, καὶ ἀπ

γρ. γάρ ἐστιν, εἰπέ μοι, τάφους

γρ. τὰ θυσιαστήρια

γρ. αἱ πλεονεξίας. τοῦτο δέ, εἰπέ μοι, οἷον ἐστιν ἰδεῖν

γρ. εἰς οἶκον ἐρχόμενον μετὰ τὸν λόγον

γρ. ἐζωσμένον

ὥστε ἀπὸ τῆς κακίας πάντα ἐποίησε, καὶ μὴ ἀφελὴς ἐδόκει εἶναι. μετανόησον οὖν. Εἰς γὰρ χολὴν πικρίας καὶ σύνδεσμον ἀδικίας θεωρῶ σε ὄντα. πολλοῦ θυμοῦ τὰ ῥήματα. οὐ κολάζει δὲ αὐτόν, ἵνα μὴ λοιπὸν ἀνάγκης ἡ πίστις ᾖ, ἵνα μὴ τὸ πρᾶγμα ὠμὸν εἶναι δόξῃ, καὶ ἵνα τὰ τῆς μετανοίας εἰσαγάγῃ. ἢ καὶ ὅτι ἤρκει εἰς διόρθωσιν τὸ ἐλέγξαι, τὸ τὰ ἐν τῇ καρδίᾳ εἰπεῖν, τὸ ἐκεῖνον ὁμολογῆσαι ὅτι ἑάλω. τὸ γὰρ εἰπεῖν, ὅτι δεήθητε ὑμεῖς ὑπὲρ ἐμοῦ, τοῦτό ἐστιν ὁμολογοῦντος τὸ πλημμέλημα. ὅρα πῶς, καίτοι μιαρὸς ὤν, ὅμως ὅτε ἠλέγχθη, τότε ἐπίστευσεν, ὥσπερ καὶ ταπεινὸς γίνεται, ὅτε πάλιν ἠλέγχθη. θεωρῶν σημεῖα γινόμενα ἐξίστατο. οὐ προσῆλθεν, εἶπεν, ἀλλ' ἐξίστατο. καὶ τί δήποτε ἐκεῖνο εὐθέως οὐ ποιεῖ; ἐνόμιζε δύνασθαι λανθάνειν, ἐνόμιζε τέχνην εἶναι τὸ πρᾶγμα. ἐπεὶ δὲ οὐκ ἴσχυσε λαθεῖν τοὺς ἀποστόλους, * προσῆλθε. πολλῶν γὰρ ἐχόντων πνεύματα ἀκάθαρτα, βοῶντα φωνῇ μεγάλῃ ἐξήρχετο. τοῦτο τὸ ἐξελθεῖν σημεῖον φανερόν, τὰ δὲ τῶν μάγων ἀπολυτικάς. μᾶλλον γὰρ ἐκεῖνοι καὶ ἐδέσμουν. πολλοί τε παραλελυμένοι καὶ χωλοὶ ἐθεραπεύθησαν. οὐκ ἦν ἐνταῦθα ἀπάτη. περιεπάτησαν γὰρ ἤδη καὶ ἐνήργησαν. προσεῖχον δὲ αὐτῷ πάντες λέγοντες· οὗτός ἐστιν ἡ δύναμις τοῦ Θεοῦ. ἐνταῦθα πληροῦται τὸ παρὰ τοῦ Χριστοῦ εἰρημένον· Πολλοὶ ἐλεύσονται ψευδόχριστοι καὶ ψευδοπροφῆται ἐπὶ τῷ ὀνόματί μου. διὰ τί δὲ οὐκ εὐθέως αὐτὸν ἤλεγξαν; ἠρκέσθησαν τὸ καταγνῶναι αὐτοὶ ἑαυτῶν. καὶ γὰρ καὶ τοῦτο διδασκαλίας ἦν. ἐπειδὴ δὲ ἀντιστῆναι οὐκ ἴσχυσεν, ὑπόκειται ὥσπερ καὶ οἱ μάγοι ὅτε ἔλεγον· Τοῦτο δάκτυλός ἐστι Θεοῦ. ἵνα δὲ μὴ καὶ ἀπελαθῇ πάλιν, διὰ τοῦτο καὶ προσεκαρτέρει τῷ Φιλίππῳ, καὶ οὐκ ἐχωρίζετο. σὺ δέ μοι σκόπει ὅσα οἰκονομεῖται διὰ τοῦ θανάτου τοῦ Στεφάνου. διασπαρέντες δὲ κατὰ τὰς χώρας τῆς Ἰουδαίας καὶ Σαμαρείας, εὐαγγελίζονται τὸν λόγον, κηρύσσουσι τὸν Χριστόν, σημεῖα ἐπιτελοῦσι, μετὰ μικρὸν λαμβάνουσι τὴν δωρεὰν οὗτοι. τοῦτο διπλοῦν σημεῖον ἦν, τό τε ἐκείνοις δοῦναι, τό τε τούτῳ μὴ δοῦναι.

Μαρκ. ιγ. κϛ.

Ἐξοδ. η. ιθ.

25 Οἱ μὲν οὖν διαμαρτυράμενοι καὶ λαλήσαντες τὸν λόγον τοῦ Κυρίου, ὑπέστρεψαν εἰς Ἱεροσόλυμα, καὶ πολλὰς κώμας τῶν Σαμαρειτῶν εὐηγγελίσαντο. Καλῶς οὕτως εἶπε, διαμαρτυράμενοι. διαμαρτύρονται γὰρ ἴσως δι' αὐτόν, ἵνα μὴ ἀπατῶνται, ἵνα λοιπὸν ἐν ἀσφαλείᾳ ὦσιν, ἵνα μὴ ἐξ ἀπειρίας πολλάκις συναρπαγῶσιν. ὑπέστρεψαν εἰς Ἱεροσόλυμα. διά τι πάλιν ἀπίασιν ἐκεῖ, ἔνθα ἡ τυραννὶς ἦν, ἔνθα ἡ ἀρχὴ τῶν κακῶν, ἔνθα οἱ μάλιστα φονῶντες; καθάπερ ἐν τοῖς πολέμοις οἱ στρατηγοὶ ποιοῦσι, καὶ τὸ πονοῦν τοῦ πολέμου μέρος καταλαμβάνουσι, τὸ αὐτὸ καὶ οὗτοι ἐργάζονται. ὅρα πάλιν οὐχὶ προηγουμένως ἐρχομένους εἰς Σαμάρειαν, ἀλλὰ διωκομένους, ὡς καὶ ἐπὶ τοῦ Χριστοῦ*, καὶ τοὺς ἀποστόλους πρὸς τὸ πιστεῦσαι τοὺς ἤδη τῶν Σαμαρειτῶν λοιπὸν ἐξαποστελλομένους. ἀκούσαντες δέ, φησιν, οἱ ἐν Ἱεροσολύμοις ἀπόστολοι, ἀπέστειλαν πρὸς αὐτοὺς Πέτρον καὶ Ἰωάννην. τί δήποτε ἀποστέλλονται; ὥστε ἀπαλλάξαι μαγείας αὐτούς· ὥστε τῆς διδαχῆς ἀναμνῆσαι, ἣν παρὰ Χριστοῦ ἔμαθον, ὅτε πρῶτον ἐπίστευσαν. δέον οὖν τούτῳ τοὐναντίον αἰτῆσαι, ἵνα λάβῃ πνεῦμα ἅγιον· ὁ δὲ ἐπεὶ οὐκ ἔμελεν αὐτῷ τούτου, ἵνα δοθῇ ἑτέροις, αἰτεῖ. καίτοι ἐκεῖνοι οὐκ ἔλαβον τοῦτο, ὥστε διδόναι· ἀλλ' ἤλπιζε τοῦ Φιλίππου γενέσθαι λαμπρότερος, ὁ ἐν τοῖς μαθηταῖς ὤν. Τὸ ἀργύριόν σου, φησί, σὺν σοὶ εἴη εἰς ἀπώλειαν. οὐκ ἐπαρωμένου ταῦτά ἐστιν, ἀλλὰ παιδεύοντος. ἐπεὶ [γὰρ] εἰς δέον αὐτῷ οὐκ ἐχρήσατο, σοί, φησιν, ἔστω τῷ τοιούτῳ. ὡς ἂν εἴποι τις· συναπόλοιτο μετὰ τῆς προαιρέσεώς σου, ὅτι οὕτω μικρὰ φρονεῖς περὶ τῆς δωρεᾶς τοῦ Θεοῦ, ὅτι προσεδόκησας ὅλως ἀνθρώπινον εἶναι τὸ πρᾶγμα. οὐκ ἔστι τοῦτο. εἰ γὰρ οὖν προσῆλθεν, ὡς ἔδει προσελθεῖν, κἂν ἀπεδέχθη, κἂν ὡς λοιπὸς οὐκ ἠλέγχθη. ὁρᾷς ὅτι [ὁ] μικρὰ περὶ μεγάλων φανταζόμενος διπλᾶ ἁμαρτάνει; δύο τοίνυν αὐτῷ κελεύει· μετανόησον καὶ δεήθητι, εἰ ἄρα ἀφεθήσεταί σοι ἡ ἐπίνοια τῆς καρδίας σου. ὁρᾷς ὅτι ἐπινόει τι πονηρόν; διὰ τοῦτο καὶ εἶπεν, εἰ ἄρα ἀφεθήσεταί σοι, ὅτι ἤδη ἀδιόρθωτον ἦν. ὁ

δὲ

σας ἐκείνους, τοῦτον οὐ κολάζει, ἀλλά φησι πρὸς αὐτόν·

20 Τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν, ὅτι τὴν δωρεὰν τοῦ Θεοῦ ἐνόμισας διὰ
χρημάτων κτᾶσθαι. Καὶ διὰ τί οὐκ ἦσαν οὗτοι λαβόντες πνεῦμα ἅγιον βαπτισθέντες;
ἤτοι τῷ μὴ δοῦναι, Φιλίππου [τοῦτο] τιμῶντος τάχα τοὺς ἀποστόλους· ἤτοι τῷ μὴ ἔχειν χά-
ρισμα τοιοῦτον (τῶν ἑπτὰ γὰρ ἦν) ὅπερ καὶ μᾶλλόν ἐστιν εἰπεῖν. ὅθεν μοι δοκεῖ τοῦτον ὁ Φί-
λιππος τῶν ἑπτὰ εἶναι, ὁ Στεφάνου δεύτερος, ὁ δὲ τοῦ εὐνούχου, τῶν ἀποστόλων εἶναι. διὸ καὶ βα- χ. Στέφανος δεύτ.
πτίζων πνεῦμα τοῖς βαπτιζομένοις οὐκ ἐδίδου. οὐδὲ γὰρ εἶχεν ἐξουσίαν. τοῦτο γὰρ τὸ
δῶρον μόνων τῶν δώδεκα ἦν. σημεῖα δὲ ἐκεῖνοι οὐκ ἐξήεσαν, ὥσπερ ὁμολογεῖται τούτους ἐξελθεῖν,
οἳ καὶ ὑστέρουν τῆς χάριτος, διὰ τὸ μήπω λαβεῖν πνεῦμα ἅγιον. δύναμιν [μὲν] γὰρ ἔλαβον
ποιεῖν σημεῖα· οὐχὶ δὲ καὶ πνεῦμα διδόναι ἑτέροις· [ἄρα] τοῦτο ἦν τὸ τῶν ἀποστόλων ἐξαίρετον.
ὅθεν καὶ τοὺς κορυφαίους, οὐκ ἄλλους τινάς, ἔστιν ἰδεῖν τοῦτο ποιοῦντας. ἰδὼν δέ, φησι, Σίμων ὅτι
διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τῶν ἀποστόλων δίδοται τὸ πνεῦμα τὸ ἅγιον. οὐκ ἂν [οὕτως]
εἶπεν, εἰ μὴ καὶ αἰσθητόν τι ἐγίνετο. τοῦτο καὶ Παῦλος ἐποίησεν, ὅτε ταῖς γλώσσαις ἐλά-
λουν. εἶδες τὴν μιαρίαν τοῦ Σίμωνος; χρήματα προσήνεγκε, καίτοι οὐκ εἶδεν αὐτὸν χρη- χ. ᾔδειν
μάτων αὐτὸ ποιοῦντα. ὥστε οὐκ ἦν ἀγνοίας τὸ πρᾶγμα· ἀλλὰ πειράζοντος καὶ βουλομέ-
νου κατηγορίαν προσλαβεῖν. διὰ τοῦτο καὶ ἀκούει·

21 Οὐκ ἔστι σοι μερὶς οὐδὲ κλῆρος ἐν τῷ λόγῳ τούτῳ. ἡ γὰρ καρδία σου οὐκ ἔστιν εὐθεῖα
ἐναντίον τοῦ Θεοῦ. Πάλιν ταῦτα ἐν τῇ διανοίᾳ εἰς μέσον ἄγει, ἐπειδὴ ἐκεῖνος λανθάνειν χ. ἐνώπιον
ἐνόμιζε.

22 Μετανόησον οὖν, φησιν, ἀπὸ τῆς κακίας σου ταύτης, καὶ δεήθητι τοῦ Κυρίου, εἰ ἄρα
ἀφεθήσεταί σοι ἡ ἐπίνοια τῆς καρδίας σου.

23 Εἰς γὰρ χολὴν πικρίας καὶ σύνδεσμον ἀδικίας θεωρῶ σε ὄντα. χ. ὁρῶ

24 Ἀποκριθεὶς δὲ Σίμων εἶπε· δεήθητε ὑμεῖς ὑπὲρ ἐμοῦ πρὸς τὸν Κύριον, ὅπως μηδὲν
ἐπέλθῃ ἐπ' ἐμὲ ὧν εἰρήκατε. Δέον ἀπὸ καρδίας μετανοῆσαι, δέον κλαῦσαι καὶ πενθῆ-
σαι· ὁ δὲ ἀφοσιώσει μόνον τοῦτο ποιεῖ. Εἰ ἄρα, φησίν, ἀφεθήσεταί σοι. τοῦτο εἶπεν, οὐχ
ὡς οὐ συγχωρηθέντος ἂν αὐτῷ, εἰ ἔκλαυσεν, ἀλλ' ἔθος καὶ τοῖς προφήταις μόνον ἀπαγορεύειν, καὶ μὴ χ. τοῦτο
λέγειν, ἐὰν δὲ τόδε ποιήσῃς, συγχωρηθήσεταί σοι, ἀλλ' ὅτι πάντως ἔσται ἡ τιμωρία. σὺ δέ μοι
θαύμασον, καὶ πῶς ἐν καιρῷ συμφορᾶς οὐκ ἀμελοῦσιν, ἀλλὰ τοῦ κηρύγματος ἔχονται· καὶ πῶς κα-
θάπερ ἐπὶ Μωϋσέως ἀπὸ συγκρίσεως ἐγίνετο τὰ θαύματα· οὕτω δὴ καὶ ἐνταῦθα. μαγεία ἦν, καὶ
ὅμως φανερὰ ταῦτα τὰ σημεῖα ἦν· καίτοι οὐδὲ ἴσα ἐδόκει εἶναι ἐκεῖ δαιμονῶντα. ἐπὶ ἱκανῷ χ. ἔτι
χρόνῳ ἦν ταῖς μαγείαις ἐξεστηκὼς αὐτούς· ἐπεὶ δὲ πολλοὶ τῶν δαιμονώντων, πολλοὶ τῶν παραλύτων,
ἐκεῖνα οὐκ ἀληθῆ ἦν. οὗτος δὲ οὐχὶ σημείοις μόνον, ἀλλὰ καὶ λόγῳ αὐτοὺς προσῆγε, περὶ
βασιλείας καὶ Χριστοῦ διαλεγόμενος. ὁ δὲ Σίμων, φησί, βαπτισθεὶς, ἦν προσκαρτερῶν
τῷ Φιλίππῳ· οὐ πίστεως ἕνεκεν, ἀλλ' ὥστε γενέσθαι τοιοῦτος [προσκαρτερεῖ.] οἱ δὲ κατα-
βάντες προσηύξαντο περὶ αὐτῶν, ὅπως λάβωσι πνεῦμα ἅγιον. οὐδέπω γὰρ ἦν ἐπ' οὐδε-
νὶ αὐτῶν ἐπιπεπτωκός. τότε ἐπετίθουν τὰς χεῖρας ἐπ' αὐτούς, καὶ ἐλάμβανον πνεῦμα ἅγιον.
ὁρᾷς ὅτι οὐχ ἁπλῶς, ἀλλὰ πολλῆς ἔδει δυνάμεως ὥστε δοῦναι πνεῦμα ἅγιον; οὐ γάρ ἐστιν
ἴσον ἀφέσεως τυχεῖν, καὶ λαβεῖν δύναμιν τοιαύτην. θεασάμενος δὲ Σίμων, ὅτι διὰ τῆς ἐπι- χ. ἴσως
θέσεως τῶν χειρῶν τῶν ἀποστόλων δίδοται τὸ πνεῦμα τὸ ἅγιον, προσήνεγκεν αὐτοῖς χρή-
ματα. μὴ γὰρ τοὺς ἄλλους εἶδε τοῦτο ποιοῦντας; μὴ γὰρ Φίλιππον; μὴ γὰρ ἐνόμιζεν
αὐτοὺς οὐκ εἰδέναι μεθ' οἵας διανοίας προσῆλθε; διὸ καλῶς Πέτρος καὶ δωρεὰν καλεῖ τὸ πρᾶγ-
μα, λέγων· τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν, ὅτι τὴν δωρεὰν τοῦ Θεοῦ ἐνόμισας
διὰ χρημάτων κτᾶσθαι. ὁρᾷς πανταχοῦ καθαροὺς αὐτοὺς χρημάτων ὄντας; οὐκ ἔστι σοι
μερὶς οὐδὲ κλῆρος ἐν τῷ λόγῳ τούτῳ. ἡ γὰρ καρδία σου οὐκ ἔστιν εὐθεῖα ἐνώπιον τοῦ Θεοῦ.

ὥστε

Digitized by Google

τὸ καὶ εἰς τοὺς οἴκους εἰσιέναι. οὕτω τὴν ψυχὴν αὐτοῦ ἔδωκεν ὑπὲρ τοῦ τόμου. σύρων, φησίν, ἄνδρας καὶ γυναῖκας. ὅρα καὶ τὴν παῤῥησίαν, καὶ τὴν ὕβριν, καὶ τὴν μανίαν. τοὺς ἐμπίπλοντας ἅπαντας μυρίοις δεινοῖς κακοῖς, ἅτε ἀπὸ τῆς σφαγῆς ταύτης θρασύτερος γεγονώς.

4 Οἱ μὲν οὖν διασπαρέντες, διῆλθον εὐαγγελιζόμενοι τὸν λόγον·

5 Φίλιππος δὲ κατελθὼν εἰς πόλιν τῆς Σαμαρείας, ἐκήρυσσεν αὐτοῖς τὸν Χριστόν.

6 Προσεῖχόν τε οἱ ὄχλοι τοῖς λεγομένοις ὑπὸ τοῦ Φιλίππου ὁμοθυμαδόν, ἐν τῷ ἀκούειν αὐτοὺς καὶ βλέπειν τὰ σημεῖα ἃ ἐποίει.

7 Πολλῶν γὰρ τῶν ἐχόντων πνεύματα ἀκάθαρτα, βοῶντα φωνῇ μεγάλῃ ἐξήρχετο· πολλοὶ δὲ καὶ παραλελυμένοι καὶ χωλοὶ ἐθεραπεύθησαν.

8 Καὶ ἐγένετο χαρὰ μεγάλη ἐν τῇ πόλει ἐκείνῃ.

9 Ἀνὴρ δέ τις ὀνόματι Σίμων προϋπῆρχεν ἐν τῇ πόλει μαγεύων καὶ ἐξιστῶν τὸ ἔθνος τῆς Σαμαρείας, λέγων εἶναί τινα ἑαυτὸν μέγαν,

10 Ὧ προσεῖχον πάντες ἀπὸ μικροῦ ἕως μεγάλου λέγοντες· οὗτός ἐστιν ἡ δύναμις τοῦ Θεοῦ ἡ μεγάλη. Ἴδε μοι καὶ ἕτερον πειρασμὸν τοῦ Σίμωνος.

11 Προσεῖχον δὲ αὐτῷ, φησίν, οἱ ὄχλοι, διὰ τὸ ἱκανῷ χρόνῳ ταῖς μαγείαις ἐξεστακέναι αὐτούς.

12 Ὅτε δὲ ἐπίστευσαν τῷ Φιλίππῳ εὐαγγελιζομένῳ τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ καὶ τοῦ ὀνόματος Ἰησοῦ Χριστοῦ, ἐβαπτίζοντο ἄνδρες τε καὶ γυναῖκες.

13 Ὁ δὲ Σίμων καὶ αὐτὸς ἐπίστευσε, καὶ βαπτισθεὶς ἦν προσκαρτερῶν τῷ Φιλίππῳ, θεωρῶν τε δυνάμεις μεγάλας καὶ σημεῖα γινόμενα, ἐξίστατο.

14 Ἀκούσαντες δὲ οἱ ἐν Ἱεροσολύμοις ἀπόστολοι, ὅτι δέδεκται ἡ Σαμάρεια τὸν λόγον τοῦ Θεοῦ, ἀπέστειλαν πρὸς αὐτοὺς Πέτρον καὶ Ἰωάννην·

15 Οἵτινες καταβάντες προσηύξαντο περὶ αὐτῶν, ὅπως λάβωσι πνεῦμα ἅγιον

(16 Οὐδέπω γὰρ ἦν ἐπ' οὐδενὶ αὐτῶν ἐπιπεπτωκός· μόνον δὲ βεβαπτισμένοι ὑπῆρχον εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ)

17 Τότε ἐπετίθουν τὰς χεῖρας ἐπ' αὐτούς, καὶ ἐλάμβανον πνεῦμα ἅγιον.

18 Ἰδὼν δὲ Σίμων, ὅτι διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τῶν ἀποστόλων δίδοται τὸ πνεῦμα τὸ ἅγιον, προσήνεγκεν αὐτοῖς χρήματα,

19 Λέγων· δότε κἀμοὶ τὴν ἐξουσίαν ταύτην, ἵνα ᾧ ἂν ἐπιθῶ τὰς χεῖρας, λαμβάνῃ πνεῦμα ἅγιον. Πῶς οὖν, φησί, πνεῦμα οὐκ ἔλαβον οὗτοι; πνεῦμα ἔλαβον τὸ τῆς ἀφέσεως· τὸ δὲ τῶν σημείων οὔπω ἦσαν λαβόντες. καὶ ὅτι τοῦτό ἐστι, καὶ τὸ τῶν σημείων πνεῦμα οὐκ ἔλαβον, ὅρα πῶς ἰδὼν ὁ Σίμων προσῆλθε τοῦτο αἰτῶν. εἰ καὶ ἐνίσχυσε δὲ τότε μάλιστα ὁ διωγμός, ὅμως ὁ Θεὸς πάλιν αὐτοὺς ἐξείλετο ἐπιτειχίσας αὐτοῖς τὰ σημεῖα. οὐ μὴν ὁ θάνατος δὲ Στεφάνου ἔσβεσεν ἐκείνων τὸν θυμόν, ἀλλ' ἐπέτεινε μᾶλλον· διὸ καὶ σκορπίζονται οἱ διδάσκαλοι, ὥστε πλείονα γενέσθαι τὴν μαθητείαν. ἀλλ' ὅρα καὶ πάλιν διαδεχόμενα αὐτοὺς τὰ χρηστά, καὶ ἐν χαρᾷ ὄντας. χαρὰ γάρ, φησίν, ἐγένετο ἐν τῇ πόλει μεγάλη· καίτοι καὶ κοπετὸς ἐγένετο μέγας. οὕτως εἴωθε ποιεῖν ἀεὶ ὁ Θεός, καὶ τοῖς λυπηροῖς τὰ εὐφραίνοντα μιγνύναι, ἵνα καὶ μᾶλλον θαυμάζηται. [ἀφ'] ἱκανοῦ δὲ χρόνου τὸ νόσημα ἦν Σίμωνι. διὸ οὐδὲ οὕτως αὐτοῦ ἀπαλλάττεται. πῶς δαὶ αὐτὸν καὶ ἐβάπτισεν; ὥσπερ καὶ τὸν Ἰούδαν ὁ Χριστὸς ἐξελέξατο. οὗτος θεωρῶν σημεῖα γινόμενα, ἐξίστατο μέν, οὐ τολμᾷ δὲ τὴν χάριν τῶν σημείων αἰτῆσαι, ἐπειδὴ ἦσαν οὔπω λαβόντας οὐδὲ τοὺς ἄλλους. πῶς οὖν αὐτὸν οὐκ αἴρει, ὥσπερ Ἀνανίαν καὶ Σάπφειραν; ὅτι καὶ τὸ παλαιὸν ὁ τὰ ξύλα συλλέξας ἀνῃρέθη εἰς ἑτέρων σωφρονισμόν, καὶ οὐκέτι ἕτερος τὸ αὐτὸ πέπονθεν· οὕτω καὶ νῦν Πέτρος ποιεῖ, καὶ καλέσας

κ. δὲ

* Λέγων εἶναί, φησί, τινα ἑαυτόν· καὶ σημεῖα μεγάλα ἐγένετο.

κ. ἀλλ' ὅρα πάλιν τὰ χρηστά. ἀλλ' αὐτὸς κ. ἀλλ' αὐτοὺς ἐξείλετο

κ. αἱρεθεὶς

σου Χριστὲ, δέξαι τὸ πνεῦμά μου. Δακρύοντος ὁμοῦ τοῦτο καὶ διδάσκοντος αὐτούς ἐστιν, ὅτι οὐκ ἀπόλλυται.

60 Καὶ θεὶς τὰ γόνατα, ἔκραξε φωνῇ μεγάλῃ, Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. Ὥσπερ ἀπολογούμενος, ὅτι οὐδὲ τὰ πρότερα θυμοῦ ἦν, φησι, Κύριε· ἢ καὶ βουλόμενος αὐτοὺς ταύτῃ ἐπισπάσασθαι. τὸ γὰρ ἀφεῖναι μετὰ τὸν θυμὸν καὶ τὴν ὀργὴν τῷ φόνῳ, καθαρὰν ἔδειξε τὴν ψυχὴν τοῦ πάθους, εὐπαράδεκτον ἐποίει τὸν λόγον.

χ. καθαρεῦσαι

τεῦχ. η. 1 Σαῦλος δὲ ἦν, φησι, συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ. ἐγένετο δὲ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ διωγμὸς μέγας ἐπὶ τὴν ἐκκλησίαν τὴν ἐν Ἱεροσολύμοις.

Οὐχ ἁπλῶς οὗτος ὁ διωγμὸς, ἀλλ' οἰκονομικῶς δοκεῖ μοι συμβῆναι.

Καὶ πάντες διεσπάρησαν κατὰ τὰς χώρας τῆς Ἰουδαίας καὶ Σαμαρείας, πλὴν τῶν ἀποστόλων. Ὁρᾷς πῶς πάλιν πειρασμοὺς συγχωρεῖ ὁ Θεὸς γενέσθαι; ἀλλ' ἴδε μοι ἐντεῦθεν καὶ ὅπως οἰκονομεῖται τὰ πράγματα. ἐθαυμάσθησαν διὰ τὰ σημεῖα, μαστιχθέντες οὐδὲν ἔπαθον, κατέστησαν ἐπὶ τῶν χηρῶν, ηὔξετο ὁ λόγος· λοιπὸν συγχωρεῖ κώλυμα γενέσθαι μέγα, καὶ ὁ διωγμὸς οὐχ ὁ τυχὼν, ὥστε ὁμοῦ καὶ τούτους φυγεῖν (ἐφοβοῦντο γὰρ, θρασυτέρους αὐτοὺς γενομένους) καὶ πᾶσι δῆλον ὑποδεῖξαι, ὅτι ἄνθρωποι ἦσαν οἱ φοβούμενοι καὶ φεύγοντες. ἵνα γὰρ μή σοι μετὰ ταῦτα λέγῃς ὅτι χάριτι μόνον κατώρθουν, καὶ ἐδιώκοντο, καὶ αὐτοὶ δειλότεροι γεγόνασι, καὶ ἐκεῖνοι θρασύτεροι. καὶ πάντες διεσπάρησαν, πλὴν τῶν ἀποστόλων, φησίν. οὐκ ἄρα μάτην ἔλεγον, ὅτι οἰκονομίας ὁ διωγμὸς ἦν. Εἰ μὴ γὰρ γέγονεν, οὐκ ἂν οἱ μαθηταὶ διεσπάρησαν.

χ. διωγμὸς ἐπιτίθεται μέγας. καὶ πάντ.
χ. χηρῶν,
χ. ἄρα
χ. τοῦτο γὰρ οἰκονομία ἦν, ὡς μηκέτι λοιπὸν ἐν Ἱεροσολύμοις πάντας καθῆσθαι.

2 Συνεκόμισαν δὲ τὸν Στέφανον ἄνδρες εὐλαβεῖς, καὶ ἐποιήσαντο κοπετὸν μέγαν ἐπ' αὐτῷ. Εἰ εὐλαβεῖς ἦσαν, διὰ τί κοπετὸν ἐποίησαν; οὔπω ἦσαν τέλειοι· ἢ ὅτι ἐπιεικὴς ἦν ὁ ἄνθρωπος καὶ αἰδέσιμος. διὸ καὶ κόπτονται αὐτόν. ἅμα δὲ τοῦτο δείκνυσι καὶ ἀνθρώπους αὐτοὺς ὄντας, οὐχὶ ὁ φόβος μόνον, ἀλλὰ καὶ ἡ λύπη καὶ ὁ κοπετός. τίς γὰρ οὐκ ἂν ἔκλαυσεν ὁρῶν τὸν ἥμερον ἐκεῖνον, τὸν πρᾶον, λιθόλευστον γενόμενον καὶ κείμενον νεκρόν; ἱκανὸν αὐτοῦ ἐντάφιον εἶπεν ὁ εὐαγγελιστής. τί; τὴν φωνὴν ταύτην· μὴ στήσῃς αὐτοῖς, φησι, τὴν ἁμαρτίαν ταύτην. ἐποιήσαντο, φησι, κοπετὸν μέγαν ἐπ' αὐτῷ. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. *ὑπάρχων δὲ πλήρης πνεύματος ἁγίου, ἀτενίσας εἰς τὸν οὐρανὸν, εἶδε δόξαν Θεοῦ, καὶ Ἰησοῦν ἑστῶτα ἐκ δεξιῶν τοῦ Θεοῦ, καὶ εἶπεν· ἰδοὺ θεωρῶ τοὺς οὐρανοὺς ἀνεῳγμένους, καὶ συνέσχον τὰ ὦτα αὐτῶν, καὶ ὥρμησαν ὁμοθυμαδὸν ἐπ' αὐτόν. καίτοι ποῦ ταῦτα κατηγορίας ἄξια; ἀλλ' ὅμως τὸν σημεῖα τοιαῦτα ἐργασάμενον, τὸν πάντων κρατοῦντα τῷ λόγῳ, τὸν τοιαῦτα διαλεγόμενον λαβόντες, ὥσπερ εἰληφότες ὅπερ ἐβούλοντο, οὕτω τὸν θυμὸν τὸν ἑαυτῶν ἐπλήρωσαν. οἱ δὲ μάρτυρες ἀπέθεντο τὰ ἱμάτια αὐτῶν παρὰ τοὺς πόδας νεανίου καλουμένου Σαύλου. ὅρα πῶς ἀκριβῶς τὰ περὶ τοῦ Παύλου διηγεῖται, ἵνα σοι δείξῃ τὸ ἐπ' αὐτῷ ἔργον Θεοῦ γενόμενον μετὰ ταῦτα. τέως δὲ οὐ μόνον ἐκεῖνος οὐ πιστεύει, ἀλλὰ καὶ μυρίαις αὐτὸν χερσὶ βάλλει τῶν φονέων. διὸ καὶ τοῦτο δηλῶν λέγει· Σαῦλος δὲ ἦν συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ. οὐχ ἁπλῶς δὲ εὔχεται ὁ μακάριος οὗτος, ἀλλὰ μετὰ προσοχῆς. θεὶς γὰρ, φησι, τὰ γόνατα. ὅθεν ἔθος αὐτοῦ καὶ ὁ θάνατος γέγονε. μέχρι [γὰρ] τούτου συνεχώρησε τὴν ψυχὴν εἶναι ἐν αὐτῷ ὁ δεσπότης. πάντες δὲ, φησι, διεσπάρησαν κατὰ τὰς χώρας τῆς Ἰουδαίας καὶ Σαμαρείας. ἀδεῶς

Matth. 1. 5. ἐπιμίγνυνται τῇ Σαμαρείᾳ λοιπὸν οἱ ἀκούσαντες, Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε. Πλὴν δὲ τῶν ἀποστόλων, λέγει, δεικνὺς, ὅτι καὶ ταύτῃ προσαγαγέσθαι βουλόμενοι τοὺς Ἰουδαίους, τὴν πόλιν οὐκ ἀπέλιπον, ἢ καὶ ἑτέρους γενέσθαι θαρσοῦντας αὐτοί.

* τὴν αἰτίαν τοῦ ὀφθέντος φησί.
χ. ποιοῦντα
χ. ἐπεὶ δὲ οὐ
χ. ἔσωζε
χ. συγκεχώρητο ταῖς ψυχαῖς ἐν τῷ ἀέρι εἶναι.
χ. ἀλλὰ μὴ καταλείψειν τὴν πόλιν καὶ ἑτέρους

3 Σαῦλος δὲ ἐλυμαίνετο τὴν ἐκκλησίαν κατὰ τοὺς οἴκους εἰσπορευόμενος, σύρων τε ἄνδρας καὶ γυναῖκας παρεδίδου εἰς φυλακήν. Πολλὴ ἡ μανία, τὸ καὶ μόνον αὐτὸν εἶναι.



Digitized by Google

ἀγαθοῦ, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ιη. 54 ΑΚΟΥΟΝΤΕΣ ΔΕ ΤΑΥΤΑ, ΔΙΕΠΡΙΟΝΤΟ ταῖς καρδίαις αὐτῶν, καὶ ἔβρυχον τοὺς ὀδόντας ἐπ' αὐτόν.

Πῶς οὐκ ἔλαβον ἐκ τῶν εἰρημένων ἀφορμὴν εἰς τὸ ἀνελεῖν αὐτὸν, ἀλλ' ἔτι μαίνονται καὶ ζητοῦσιν αἰτίαν, θαυμάσαι ἄξιον. οὕτως ἀεὶ οἱ κακοὶ εἰσὶν οἱ ἀδικοῦντες. καθάπερ οὖν ὁ ἀρχιερεὺς ἀποροῦντες ἔλεγον, Τί ποιήσομεν τοῖς ἀνθρώποις τούτοις; οὕτω δὴ καὶ οὗτοι διεπρίοντο. καὶ μὲν ὁ θυμωθῆναι ὀφείλων ἐκεῖνος ἦν, ὁ μηδὲν μὲν ἀδικήσας, τὰ δὲ τῶν ἠδικηκότων παθὼν καὶ συκοφαντούμενος. ἀλλ' οἱ συκοφάνται μᾶλλον ἐλέγχονται καὶ ταύτῃ. οὕτως ἀληθὲς, ὅπερ ἀεὶ ἔλεγον, ὅτι τὸ ποιεῖν κακῶς, τοῦτό ἐστι τὸ πάσχειν κακῶς. καίτοι αὐτὸς οὐδὲν ἐσυκοφάντησεν, ἀλλ' ἀπέδειξεν. οὕτως ὅταν ὑβριζώμεθα ἐν οἷς οὐ συνειδότες ἑαυτοῖς, οὐδὲν πάσχομεν. ἐβούλοντο μὲν οὖν ἀνελεῖν· ἀλλ' οὐ ποιοῦσι τοῦτο, αἰτίαν θέλοντες εὐλόγως περιθεῖναι τῷ πλημμελήματι. πῶς οὖν; ἡ ὕβρις οὐκ ἦν εὔλογος; οὐκ ἦν αὐτοῦ [ἡ] ὕβρις, ἀλλὰ τοῦ προφήτου κατηγορία· ἢ ἑκόντες καὶ διεβάλλοντο, ὥστε μὴ δόξαι διὰ ταῦτα εἰς αὐτοὺς αὐτὸν ἀνελεῖν, ὥσπερ οὖν καὶ τὸν Χριστὸν, ἀλλὰ δι' ἀσέβειαν. τοῦτο δὲ εὐσεβείας ἦν τὸ ῥῆμα. διὸ μετὰ τοῦ ἀνελεῖν ἐπιχειροῦντες καὶ τὴν δόξαν αὐτοῦ βλάψαι, διεπρίοντο. ἐφοβοῦντο γὰρ μὴ πάλιν αἰδεσιμώτερος γένηται. εἶτα ὅπερ ἐπὶ τοῦ Χριστοῦ ποιοῦσι, τοῦτο καὶ ἐπὶ τοῦ Στεφάνου. καὶ καθάπερ ἐκεῖ, ἐπειδὴ εἶπεν, Ὄψεσθε ἐκ δεξιῶν τῆς δυνάμεως τὸν υἱὸν τοῦ ἀνθρώπου καθήμενον, βλασφημίας τὸ πρᾶγμα ἔλεγον, καὶ μάρτυρας τοὺς ὄχλους ἐποίουν· οὕτω δὴ καὶ ἐνταῦθα. ἐκεῖ διέρρηξαν τὰ ἱμάτια· ὧδε τὰ ὦτα συνέσχον.

55 Ὑπάρχων δὲ, φησι, πλήρης πνεύματος ἁγίου, ἀτενίσας εἰς τὸν οὐρανὸν, εἶδε δόξαν Θεοῦ, καὶ Ἰησοῦν ἑστῶτα ἐκ δεξιῶν τοῦ Θεοῦ,

56 Καὶ εἶπεν· ἰδοὺ θεωρῶ τοὺς οὐρανοὺς ἀνεῳγμένους, καὶ τὸν υἱὸν τοῦ ἀνθρώπου ἐκ δεξιῶν ἑστῶτα τοῦ Θεοῦ.

57 Κράξαντες δὲ φωνῇ μεγάλῃ, συνέσχον τὰ ὦτα αὐτῶν, καὶ ὥρμησαν ὁμοθυμαδὸν ἐπ' αὐτόν.

58 Καὶ ἐκβαλόντες ἔξω τῆς πόλεως, ἐλιθοβόλουν.

Καὶ μὲν εἰ ἐψεύδετο, ὡς μαινόμενον ἔδει ἀφεῖναι· ὁ δὲ οὕτως εἶπε, βουλόμενος αὐτοὺς ἐπαγαγέσθαι. καὶ ἐπειδὴ εἰπὼν περὶ τοῦ θανάτου μόνον, περὶ ἀναστάσεως οὐδὲν διελέχθη, καὶ τοῦτο λοιπὸν εὐχερῶς παρέστησε τὸ δόγμα· (οὕτω δὲ αὐτῷ λέγει φαίνεσθαι, ὡς τοῦ δείξοντος, ἵνα καὶ οὕτω δείξωσι) τὸν λόγον. ὅς, ἐπεὶ τὸ εἰπεῖν, καθῆσθαι, φορτικὸν αὐτοῖς ἦν, πῶς τὸν περὶ τῆς ἀναστάσεως κινεῖ λόγον, καί φησιν αὐτὸν ἑστάναι. ἀπὸ τούτου στοχάζομαι καὶ τὸ πρόσωπον αὐτοῦ δεδοξάσθαι. ὁ γὰρ Θεὸς φιλάνθρωπος ὢν δι' ὧν ἐπεβουλεύοντο ἐκεῖνοι, δι' αὐτῶν ἐβούλετο αὐτοὺς ἐκκαλέσασθαι, εἰ καὶ μηδὲν πλέον ἐγένετο. καὶ ἐκβαλόντες ἔξω τῆς πόλεως, φησιν, ἐλιθοβόλουν. πάλιν ἔξω τῆς πόλεως ὁ θάνατος, ὥσπερ ἐπὶ τοῦ Χριστοῦ, καὶ ἐν αὐτῷ τῷ θανάτῳ ἡ ὁμολογία καὶ τὸ κήρυγμα [διαγγελλόμενοι.]

Καὶ οἱ μάρτυρες ἀπέθεντο τὰ ἱμάτια αὐτῶν παρὰ τοὺς πόδας νεανίου τοῦ καλουμένου Σαύλου,

59 Καὶ ἐλιθοβόλουν τὸν Στέφανον ἐπικαλούμενον [τὸν Θεὸν] καὶ λέγοντα· Κύριε Ἰησοῦ

Margin notes: γ. αἱρεθῶσι... | γ. περιθεῖναι | γ. κατὰ τὸ ἀεὶ αὐτὸν ὄντα υἱὸν Θεοῦ | γ. καλέσουσι, ἐμφανῶς ἐπ' αὐτὸν ὄντα | γ. καὶ εἶπεν αὐτῷ ἵνα | γ. εἰ ἰουδαῖοι | γ. διὰ τοῦτο καὶ τὸ πρόσωπ. αὐτ. δεδόξασο | γ. αἰσχύνεσθαι· καὶ δεξιὸν σημεῖον γένηται· καὶ οὕτως

Περὶ. δ. κε.



σοῦ

σκευὴν αὐτοῦ τὴν φωνὴν, πάντα ἀπώλεσε καὶ διέφθαρται. μετὰ τῶν προβάτων νέμεται· ἀλλ' ἐὰν ἀπεχθάνηται τῶν προβάτων, ἄχρηστός ἐστι καὶ κατασφάττεται. εἰ ἔμαθεν ἀκούειν σου, θρέψον τὸν κύνα· χρήσιμός ἐστι κατὰ τῶν λύκων, κατὰ τῶν πειρατῶν, κατὰ τοῦ λῃστάρχου ὑλακτῶν, οὐ κατὰ τῶν προβάτων, οὐδὲ κατὰ τῶν οἰκείων. ἂν μὴ ἀκούῃ, πάντα διαφθείρει· ἂν μάθῃ καταφρονεῖν, πάντα ἀπολλύει. τὸ πρᾶον ἡμερον τὸ ἐν σοὶ μὴ ἀναλισκέτω, ἀλλὰ φυλαττέτω αὐτὸ ὁ θυμὸς, καὶ πίονα ποιείτω. φυλάξει δὲ, καὶ ἐν ἀσφαλείᾳ πολλῇ νέμεσθαι κατασκευάσει, ἂν τοὺς μιαροὺς λογισμοὺς καὶ τοὺς πονηροὺς καταναλίσκῃ, ἂν τὸν διάβολον διώκῃ πανταχόθεν. οὕτως ἐπιείκεια διασώζεται, ὅταν μηδαμοῦ τῷ πλησίον κακόν τι λογιζώμεθα. οὕτως αἰδέσιμοι γινόμεθα, ὅταν μὴ μανθάνωμεν αἰσχρουργεῖν. οὐδὲν γὰρ οὕτως ἀναίσχυντον ποιεῖ, ὡς πονηρὸν συνειδός. διὰ τί αἱ πόρναι ἀναίσχυντοί εἰσι; διὰ τί αἱ παρθένοι αἰσχυντηλαί; οὐκ ἀπὸ τῆς ἁμαρτίας ἐκεῖναι; οὐκ ἀπὸ τῆς σωφροσύνης αὗται; οὐδὲν γὰρ οὕτως ἀναίσχυντον ποιεῖ ὡς ἁμαρτία. καὶ μὴν τοὐναντίον, φησὶ, καταισχύνει. ναὶ τὸν καταγνόντα ἑαυτοῦ· τὸν δὲ ἀπηρυθριασμένον, καὶ ἰταμώτερον ἐργάζεται. ὁ γὰρ ἀπογνοὺς ἑαυτοῦ, θρασὺς γίνεται. Ἀσεβὴς γὰρ, φησὶν, ἐλθὼν εἰς βάθος κακῶν, καταφρονεῖ. ὁ δὲ ἀναίσχυντος, καὶ ἰταμὸς ἂν εἴη· ὁ δὲ ἰταμὸς, καὶ θρασύς. βούλει μαθεῖν πότε ἀναλίσκεται ἐπιείκεια; ὅταν πονηροὶ λογισμοὶ αὐτὴν διαμασῶνται. ἀλλ' εἰ καὶ τοῦτο συμβαίνει, ὅτι μὴ ὁ κύων ἔστηκε μέγα ὑλακτῶν, οὐδὲ οὕτως ἀπογινώσκειν χρή. ἔστι γὰρ ἡμῖν καὶ σφενδόνη καὶ λίθος (εἴτε τὸ λεγόμενον) ἔστιν ἡμῖν καὶ δόρυ, καὶ μάνδρα, καὶ σηκὸς, ἐν ᾧ φυλάξομεν τοὺς λογισμοὺς ἀσινεῖς. ἂν ὁ κύων σαίνῃ μὲν τὰ πρόβατα, ἀγριαίνῃ δὲ κατὰ τῶν ἔξω, καὶ ἀγρυπνῇ, τοῦτο ἀρετὴ κυνός· κἂν λιμώττῃ, μὴ γεύεσθαι τῶν προβάτων· κἂν ἐν πλησμονῇ ᾖ, μὴ φείδεσθαι τῶν λύκων. τοιοῦτον καὶ ὁ θυμός· κἂν δάκνηται, τῆς ἐπιεικείας μὴ ἀφίστασθαι· κἂν ἐν ἡσυχίᾳ ᾖ, διεγείρεσθαι πρὸς τοὺς πονηροὺς λογισμούς· καὶ τὸ μὲν οἰκεῖον καὶ πλησίον μὴ καταγινώσκειν, ἀλλ' ἐπιγινώσκειν· τὸ δὲ ἀλλότριον καὶ σαίνον λυμαίνεσθαι. σαίνει ὁ διάβολος πολλάκις, ὡς ὁ κύων· ἀλλὰ γνώτω πᾶς ὅτι ἀλλότριός ἐστιν. οὕτω δὴ καὶ ἡμεῖς τὴν ἀρετὴν, κἂν λυπῇ, σαίνωμεν· καὶ τὴν κακίαν, κἂν εὐφραίνῃ, ἀποστρεφώμεθα. μὴ γινώμεθα χείρους τῶν κυνῶν, οἳ μαστιζόμενοι καὶ ἀγχόμενοι οὐκ ἀφίστανται· ἂν δὲ αὐτοὺς καὶ τρέφῃ ὁ ἀλλότριος, πῶς οὐ μᾶλλον βλάψουσι; ἔστιν ὅτε χρήσιμος ὁ θυμός· ἀλλ' ὅταν ὑλακτῇ κατὰ τῶν ἀλλοτρίων. τί ἐστιν, ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ; αἰτίᾳ τινὶ, μὴ ἀμύνε σαυτῷ, μηδὲ ἐκδίκει. ἂν ἑτέρους ἴδῃς ἀπολλυμένους, ὀρέξον χεῖρα. οὐκέτι θυμὸς λοιπὸν τοῦτό ἐστιν, ὅταν τῆς οἰκείας συμπαθείας ἀπηλλαγμένος ᾖς. ἔλαβεν ὁ Δαβὶδ τὸν Σαοὺλ, καὶ οὐκ ἐθυμώθη, οὐδὲ ἐνέπηξε τὸ δόρυ, τὸν ἐχθρὸν λαβὼν, ἀλλ' ἠμύνατο τὸν διάβολον. ὁ Μωϋσῆς, ὅτε μὲν ἀλλότριον ἀδικοῦντα εἶδε, καὶ ἀνεῖλεν· ὅτε δὲ οἰκεῖον, οὐκέτι· ἀλλὰ τοὺς μὲν ἀδελφοὺς κατήλλαττεν, ἐκείνους δὲ οὐχί. καίτοι πραότατον αὐτὸν ἡ γραφὴ μαρτυρεῖ· ἀλλ' ὅμως ἦν καὶ διεγηγερμένος. ἀλλ' οὐχ ἡμεῖς· ἀλλ' ἔνθα μὲν πραότητα ἐπιδείκνυσθαι χρὴ, πάντων θηρίων ἐσμὲν ἀγριώτεροι· ἔνθα δὲ διεγερθῆναι, πάντων νωθέστεροι καὶ ὑπτιώτεροι. ἐπεὶ οὖν οὐκ εἰς δέον κεχρήμεθα τοῖς ἐν ἡμῖν, διά τοι τοῦτο καὶ εἰς οὐδὲν δέον ὁ βίος ἡμῖν ἀνήλωται. οὕτω καὶ ἐν σκεύεσιν, ἐὰν ἄλλῳ ἄλλως χρήσηταί τις, τὰ πάντα ἀπώλεσεν· οἷον ἂν μάχαιραν λαβών τις, ἔνθα αὐτῇ κεχρῆσθαι δεῖ, μὴ χρῶτο, ἀλλὰ τῇ χειρὶ τοῦτο ποιοῖ, οὐδὲν πλέον ἐργάσεται· ὥσπερ καὶ ὅπου τῇ χειρὶ χρήσασθαι χρὴ, τὴν μάχαιραν μεταχειρίζων, πάντα ἂν ἀπολέσειεν. οὕτω δὴ καὶ ἰατρὸς, ἔνθα ἂν τέμνειν δέῃ, μὴ τέμνων, καὶ ἔνθα ἂν μὴ χρὴ, τέμνων, πάντα διαφθείρει. διὸ, παρακαλῶ, ἡμεῖς εἰς καιρὸν χρώμεθα τοῖς πράγμασι. θυμοῦ γὰρ καιρὸς οὐδαμοῦ, ὅταν ἑαυτοῖς βοηθῶμεν· ἂν δὲ ἑτέρους διορθῶσαι χρὴ, τότε μάλιστα αὐτῷ χρῆσθαι δεῖ, ἵνα ἑτέρους ἐξαρπάσωμεν. οὕτω καὶ ἰσόθεοι ἐσόμεθα, τὸ ἄφρητον πανταχοῦ διατηροῦντες, καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν,

Παροιμ. ιη. γ.

Ματθ. ε. κβ.

α Βασ. κδ. ι.

Ἐξοδ. β. ιβ.

Act. ζ. γ.

γ. λιμοῦ

γ. πονηρὸς ἐμ- / γα ...

γ. διαμασῶνται. διὰ τοῦτο πάντως ἔστω ὁ κύων μέγα ὑλακτῶν ἔστι ἡμῖν καὶ

γ. οἰδίτω

γ. τυπτ.

γ. ἐμπαθείας

γ. ἄνευ

35 Ἀνοίξας δὲ ὁ Φίλιππος τὸ στόμα αὐτοῦ, καὶ ἀρξάμενος ἀπὸ τῆς γραφῆς ταύτης, εὐηγγελίσατο αὐτῷ τὸν Ἰησοῦν. Ὁρᾷς πῶς οἰκονομεῖται τὰ κατ' αὐτόν; πρότερον ἀναγινώσκει καὶ ἀγνοεῖ· εἶτα ἀναγινώσκει αὐτὴν τὴν ″περιοχήν, ἔνθα ἦν τὸ πάθος καὶ ἡ ἀνάστασις καὶ ἡ δωρεά.

36 Ὡς δὲ ἐπορεύοντο κατὰ τὴν ὁδόν, ἦλθον ἐπί τι ὕδωρ, καί φησιν ὁ εὐνοῦχος, ἰδοὺ ὕδωρ, τί κωλύει με βαπτισθῆναι; Εἶδες προθυμίαν; εἶδες ἀκρίβειαν;

38 Ἐκέλευσέ τε στῆναι τὸ ἅρμα, καὶ κατέβησαν εἰς τὸ ὕδωρ ἀμφότεροι, ὅ τε Φίλιππος καὶ ὁ εὐνοῦχος, καὶ ἐβάπτισεν αὐτόν.

39 Ὅτε δὲ ἀνέβησαν ″ἀπὸ τοῦ ὕδατος, πνεῦμα Κυρίου ἥρπασε τὸν Φίλιππον, καὶ οὐκ εἶδεν αὐτὸν οὐκέτι ὁ εὐνοῦχος. ἐπορεύετο γὰρ τὴν ὁδὸν αὐτοῦ χαίρων. Διὰ τί, φησιν, ἧρεν αὐτὸν πνεῦμα Κυρίου; ″ἔδει γὰρ εὐθέως καὶ ἄλλας πόλεις διελθεῖν καὶ εὐαγγελίσασθαι. ὥστε ἦν ὕστερον αὐτὸν θαυμασθῆναι τοῦτο ἐγένετο·″ ὥστε μὴ ἄνθρωπόν τινα τὸ περὶ αὐτόν, ἀλλὰ θεῖον νομίσαι.

40 Φίλιππος δὲ εὑρέθη εἰς Ἄζωτον, καὶ διερχόμενος εὐηγγελίσατο τὰς πόλεις πάσας, ἕως τοῦ ἐλθεῖν αὐτὸν εἰς Καισάρειαν. Καὶ ἐκ τούτου δῆλον, ὡς οὐκ ἦν τῶν ἑπτὰ ἐπί. καὶ γὰρ καὶ ὕστερον ἐκεῖ εὑρίσκεται ἐν Καισαρείᾳ. συμφερόντως δὲ ἥρπασεν αὐτὸν τὸ πνεῦμα, ἐπεὶ ἠξίωσεν ἂν″ καὶ συναπελθεῖν αὐτῷ ὁ εὐνοῦχος· [ὃν] καὶ ἐλύπησεν ἂν ἐκεῖνος, ἀνανεύσας καὶ ἀποσπασάμενος οὐδέπω καιροῦ ὄντος. Εἶδες ἀγγέλους συναντιλαμβανομένους τῷ κηρύγματι, καὶ αὐτοὺς μὲν οὐ κηρύττοντας, τούτους δὲ καλοῦντας; τὸ δὲ θαυμαστὸν καὶ ἐν τούτῳ δείκνυται. ὅπερ γὰρ πάλαι ἀδύνατον ἦν καὶ μόλις ἐγίνετο, τοῦτο ἐνταῦθα μετὰ πολλῆς γίνεται ἀφθονίας. ἄλλως δὲ, καὶ προαναφώνησίς τις τὸ γεγονὸς ἦν τοῦ τῶν ἀλλοφύλων κρατῆσαι αὐτούς. καὶ γὰρ τὸ τῶν πιστευόντων ἀξιόπιστον, ἱκανὸν″ ἦν αὐτοὺς μαθόντας πεῖσαι περὶ τὸν Χριστὸν ἴσον καὶ αὐτοὺς ζῆλον δια[illegible]ῆναι. Διά γε τοῦτο γοῦν καὶ ἐπορεύετο χαίρων, ὥστε εἰ ἠπίστατο, οὐκ ἂν ᾔδει. τί δαὶ ἐκώλυε, φησι, πρότερον αὐτὸν ἀκριβῶς μαθεῖν, καὶ ἐν τῷ ὀχήματι ὄντα, ″καὶ μάλιστα ἐν ἐρήμῳ; ὅτι οὐκ ἦν τὸ πρᾶγμα ἐπίδειξις.* ἀλλ' ἴδωμεν ἄνωθεν τὰ ἀνεγνωσμένα. καὶ ἰδοὺ ἀνὴρ Αἰθίοψ εὐνοῦχος, φησι, δυνάστης Κανδάκης τῆς βασιλίσσης Αἰθιόπων. [ἐκ τούτου δῆλον ὡς ὑπὸ ταύτης ἤρχοντο.] ″καὶ γὰρ γυναῖκες ἐκράτουν τὸ παλαιόν, καὶ οὗτος ἦν νόμος παρ' αὐτοῖς. ὅπως οὐκ ᾔδει Φίλιππος τίνος ἕνεκεν παρεγένετο εἰς τὴν ἔρημον, [ὅτι καὶ] οὐκέτι ἄγγελος, ἀλλὰ τὸ πνεῦμα αὐτὸν ἁρπάζει. οὐδὲν δὲ τούτων ὑπορᾷ ὁ εὐνοῦχος ἁπλῶς ἐπεὶ ὢν ἢ ὅτι καὶ ταῦτα οὐ τοῖς σωματικωτέροις, ἀλλὰ τοῖς πνευματικωτέροις ἐστίν, οὔτε μὴν ἂν Φίλιππος. ἐκδιδάσκεται μανθάνει. καὶ διὰ τί μὴ ἐκείνῳ φαίνεται ὁ ἄγγελος, καὶ ἄγει αὐτὸν πρὸς Φίλιππον, ὅτι ἴσως οὐκ ἂν ἐπείσθη, ἀλλὰ″ καὶ ἐξεπλάγη″ μόνον. ὅρα τὴν τοῦ Φιλίππου φιλοσοφίαν. οὐ κατηγόρησεν, οὐκ εἶπεν, ἀγνοεῖς, ἐγώ σε διδάξω· οὐκ εἶπεν, ἐγὼ ταῦτα ἀκριβῶς οἶδα. οὐκ ἐκολάκευσε, καὶ εἶπεν αὐτῷ, μακάριος εἶ ἀναγινώσκων. οὕτως ἦν καὶ θρασύτητος ἐκτὸς καὶ κολακείας τὸ ῥῆμα, καὶ μᾶλλον κηδεμονικοῦ καὶ φιλανθρώπου. ἔδει γὰρ αὐτὸν αἰτῆσαι, ἔδει αὐτὸν ποθῆσαι. ἐμφαίνοντος δέ ἐστιν, ὡς οἶδεν, ὅτι οὐδεὶς ἴδε ἐκεῖνος τὸ εἰπεῖν· ἆρά γε γινώσκεις, ἃ ἀναγινώσκεις; καὶ ἅμα ″δεικνύντος πολὺν τὸν θησαυρὸν ἐγκείμενον. ἀλλ' ὅρα πῶς συνετῶς καὶ ὁ εὐνοῦχος ἀπολογεῖται. πῶς γὰρ ἄν, φησι, δυναίμην, ἐὰν μή τις ὁδηγήσῃ με; οὐκ εἶδεν εἰς τὸ σχῆμα, οὐκ εἶπε, σὺ τίς εἶ; οὐκ ἐμέμψατο, οὐκ ἀλαζονεύεται, οὐ λέγει εἰδέναι, ἀλλ' ὁμολογεῖ ἀγνοεῖν. διὸ καὶ μανθάνει. ἐπιδείκνυσι τὸ τραῦμα τῷ ἰατρῷ· συνεῖδεν ὅτι καὶ οἶδε ταῦτα, καὶ βούλεται διδάξαι. ἴδετε τὸ ἄτυφον. οὐδὲ γὰρ λαμπρὸν ἐπεφέρετο σχῆμα. οὕτως ἦν φιλήκοος, καὶ τοῖς λόγοις προσεῖχε· καὶ τὸ, Ὁ ζητῶν εὑρίσκει, ἐπ' αὐτοῦ ἐπληροῦτο. Matth. ζ. παρεκάλεσε δέ, φησι, τὸν Φίλιππον ἀναβάντα καθίσαι σὺν αὐτῷ. Εἶδες τὴν σπουδήν; εἶδες ″τὸν πόθον; παρεκάλεσε ἀναβάντα συγκαθίσαι αὐτῷ.

[Εἰ

χ. εὐηγγελίσατο

χ. ἰδεῖν

χ. τὸ γενέσθαι τὸ θαυμαστόν, ὅτι ἄλλ' αὐτῷ καὶ τὸ ὅτι ἦν ὅτε χ. ἐπορεύετο γάρ, ὥστε χαίρων. εἶδες. δὲ

χ. ἅμα δὲ καὶ παραινοῦσα αὐτοῖς ἦν ὅτι καὶ τῶν ἀλλοφύλων κρατήσουσι. καὶ γὰρ

χ. αὐτοῦ φησιν, εἰ δὲ ἐπιμένει ἐκεῖ, πόθεν ἐγκλήματα;

χ. οὐ γὰρ ὁρᾶ μετ' ἐκεῖνον, καὶ ἦν.

* καὶ δεῖ τὸν τότε καιρὸν ἐν τῷ χρηστοτάτῳ γένει παν.

χ. ἐκεῖ

χ. καὶ

χ. μᾶλλον

χ. δεικνύντος

χ. τῇ προθυμίᾳ

Ιωαν. κα. ιϛ. πρὸς [τὸν] Πέτρον ὁ Χριστός· Εἰ φιλεῖς με, ποίμαινε τὰ πρόβατά μου. εἰ πρόβατα βασιλικὰ θεασάμενος, ἢ ἵππων ἀγέλην, διὰ τὸ σηκὸν μὴ ἔχειν εἰς ἐπιβουλὴν προκείμενα, λαβὼν αὐτὸς σηκόν τε ᾠκοδόμησας καὶ ἱππῶνα, ἢ καὶ ποιμένα ἐπέστησας, τίνι οὐκ ἄν σε ἠμείψατο ὁ βασιλεύς; νῦν τὴν ποίμνην τοῦ Χριστοῦ συνάγεις, καὶ ποιμένα ἐφιστᾷς, καὶ οὐχ ἡγῇ μέγα τι ἐργάζεσθαι; τί λέγω; εἰ ὁ σκανδαλίζων καὶ ἕνα, ἀπειλὴν ἔχει τοσαύτην ὑποστῆναι τιμωρίαν· ὁ σώζων τοσούτους, εἰπέ μοι, οὐχὶ σωθήσεται; εὔδηλον ὅτι. ποίαν ἕξει γὰρ λοιπὸν ἁμαρτίαν; ἢ κἂν ἔχοι, οὐκ ἐξαλείφει ταύτην; ἀπὸ τῆς τιμωρίας τοῦ σκανδαλίζοντος μάθε τὸ ἔπαθλον τοῦ σώζοντος. εἰ μὴ περισπούδαστον ἦν τῷ Θεῷ ἡ μιᾶς ψυχῆς σωτηρία, οὐκ ἂν τοσαύτην ὀργὴν ἐποίησεν αὐτοῦ ἡ ἀπώλεια. ταῦτα οὖν εἰδότες, ἐχώμεθα ἤδη τοῦ ἔργου τούτου τοῦ πνευματικοῦ, καὶ ἐμὲ καλεσάτω ἕκαστος, καὶ ἡμεῖς συναναπληρωσόμεθα [τὰ δυνατά]. κἂν εἰ μὴ πρὸς εἶεν οἱ κεκτημένοι, ἐκ συνεισφορᾶς ποιείτωσαν· εἰ δὲ εἷς, καὶ τοὺς ἄλλους ἀναπείσει τοὺς πλησίον. μόνον τοῦτο κατορθῶσαι σπουδάσατε, παρακαλῶ, ἵνα πανταχόθεν εὐαρεστοῦντες τῷ Θεῷ, τῶν αἰωνίων ἀγαθῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γ. πῶς δύναται κολασθῆναι; ποίαν
γ. μάθετε
γ. ἐποίησεν

Λογ. ιθ. 26 ΑΓΓΕΛΟΣ ΔΕ ΚΥΡΙΟΥ ΕΛΑΛΗΣΕ ΠΡΟΣ Φίλιππον, λέγων· ἀνάστηθι καὶ πορεύου πρὸς μεσημβρίαν, ἐπὶ τὴν ὁδὸν τὴν καταβαίνουσαν ἀπὸ Ἱερουσαλὴμ εἰς Γάζαν, αὕτη ἐστὶν ἔρημος.

γ. γι.

27 Καὶ ἀναστὰς ἐπορεύθη.

Ἐμοὶ δοκεῖ ταῦτα ὢν ἐν Σαμαρείᾳ προστάττεσθαι· ὅτι ἀπὸ Ἱερουσαλὴμ οὐ πρὸς μεσημβρίαν τις ἄπεισιν, ἀλλὰ πρὸς ἄρκτον· ἀπὸ δὲ Σαμαρείας πρὸς μεσημβρίαν. αὕτη ἐστὶν ἔρημος. τοῦτο λέγει, ὥστε μὴ φοβηθῆναι τῶν Ἰουδαίων τὴν ἐπίστασιν. καὶ οὐκ ἠρώτησε, διὰ τί; ἀλλ' ἀναστὰς ἐπορεύθη. Καὶ ἰδού, φησιν, ἀνὴρ Αἰθίοψ εὐνοῦχος δυνάστης Κανδάκης τῆς βασιλίσσης Αἰθιόπων, ὃς ἦν ἐπὶ πάσης τῆς γάζης αὐτῆς, ὃς ἐληλύθει προσκυνήσων εἰς Ἱερουσαλήμ.

γ. τοῦ ἐπεὶ ἀπὸ Ἱερουσ. οὐ πρὸς μεσημβ. ἄπεισιν, ἀλλὰ

28 Ἦν δὲ ὑποστρέφων καὶ καθήμενος ἐπὶ τοῦ ἅρματος αὐτοῦ, καὶ ἀνεγίνωσκε τὸν προφήτην Ἠσαΐαν. Μεγάλα ἐγκώμια τὰ περὶ τούτου εἰρημένα· εἴγε καὶ ἐν Αἰθιοπίᾳ μένων, καὶ τοσούτοις κυκλούμενος πράγμασι, καὶ ἑορτῆς οὐκ οὔσης, καὶ ἐν τῇ δεισιδαίμονι πόλει ὤν, ἤρχετο προσκυνήσων εἰς Ἱερουσαλήμ· πολλή τε ἡ σπουδή, ὅτι καὶ καθήμενος ἐπὶ τοῦ ὀχήματος, ἀνεγίνωσκεν.

γρ. γ.

29 Εἶπε δὲ τὸ πνεῦμα τῷ Φιλίππῳ, πρόσελθε καὶ κολλήθητι τῷ ἅρματι τούτῳ.

30 Προσδραμὼν δὲ ὁ Φίλιππος, ἤκουσεν αὐτοῦ ἀναγινώσκοντος Ἠσαΐαν τὸν προφήτην, καὶ εἶπεν· ἆρά γε γινώσκεις, ἃ ἀναγινώσκεις;

31 Ὁ δὲ εἶπε· πῶς γὰρ ἂν δυναίμην, ἐὰν μή τις ὁδηγήσῃ με; Ὅρα πάλιν ἄλλην εὐλάβειαν. τίνα ταύτην; [ὅτι] οὐκ εἰδὼς ἀνεγίνωσκεν, εἶτα μετὰ τὸ ἀναγνῶναι ἐξετάζει. παρεκάλεσε δὲ τὸν Φίλιππον ἀναβάντα καθίσαι σὺν αὐτῷ.

32 Ἡ δὲ περιοχὴ τῆς γραφῆς, ἣν ἀνεγίνωσκεν, ἦν αὕτη· Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ.

33 Ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη. τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται; ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ.

34 Ἀποκριθεὶς δὲ ὁ εὐνοῦχος τῷ Φιλίππῳ εἶπε, δέομαί σου, περὶ τίνος ὁ προφήτης τοῦτο λέγει; περὶ ἑαυτοῦ, ἢ περὶ ἑτέρου τινός;

35 Ἀνοίξας

τὸν ὕπνον, καὶ μετὰ τὴν ἀνάπαυσιν τὴν σωματικὴν, καὶ λυχνικοῖς καὶ ἑωθινοῖς ὕμνοις παραγίνεσθαι, ὁμοτράπεζον ἔχειν τὸν ἱερέα, συνομιλοῦντα, εὐλογίας ἀπολαύειν, ἑτέρους ὁρᾶν ἐρχομένους ἐκεῖ; τοῦτο τεῖχος, τοῦτο ἀσφάλεια ἀγροῦ. οὗτός ἐστιν ὁ ἀγρὸς περὶ οὗ φησιν· Ὀσμὴ ἀγροῦ πλήρους ὃν εὐλόγησε Κύριος. Γεν. κζ. Εἰ καὶ χωρὶς τούτου καλὸς ὁ ἀγρὸς διὰ τὴν ἡσυχίαν, διὰ τὸ ἀπραγμοσύνης γέμειν· ὅταν καὶ τοῦτο ἔχῃ, τίνι οὐκ ἔσται ἴσος; ἀγρὸς γὰρ ἐκκλησίαν ἔχων, τῷ παραδείσῳ ἔοικε τοῦ Θεοῦ. οὐκ ἔστιν ἐκεῖ κραυγὴ, οὐκ ἔστι θόρυβος, οὐκ ἐχθροὶ διαφέροντες, οὐχ αἱρέσεις· πάντας φίλους ἐστὶν ἰδεῖν, τῶν αὐτῶν δογμάτων κοινωνούς. ἄγει σε εἰς φιλοσοφίαν ἡ ἡσυχία· λαβών σε ἀπὸ τῆς φιλοσοφίας ταύτης ὁ πρεσβύτερος, θεραπεύσει εὐκόλως. ἐνταῦθα μὲν γὰρ ὅσα ἂν ὦ λέγων, ἡ ἀγορὰ ἐκκρούει· ἐκεῖ δὲ ἅπερ ἂν ἀκούσῃς, πεπηγότα ἕξεις ἐν τῇ διανοίᾳ. ἕτερος ἐν τῷ ἀγρῷ ἔσται δι' ἐκεῖνον (καὶ ἐκείνων δὲ προστήσεται), καὶ ἔσται φύλαξ, ὧν τε προΐεσαι, ὧν τε ῥυθμίζειν αὐτούς. πόσον δέ ἐστι καὶ τὸ ἀνάλωμα, εἰπέ μοι; ποίησον τινὸς μικρὸν οἶκον ἐν τάξει ναοῦ· ὁ μετὰ σὲ ποιήσει στοάν· ὁ μετ' ἐκεῖνον ἕτερα προσθήσει· καὶ οὕτω σοι λογισθήσεται τὸ πᾶν. σὺ δίδως μικρὸν, καὶ τοῦ παντὸς λαμβάνεις τὸν μισθόν. οὐκοῦν ἀρχὴν ἐπίθες, θεμέλιον κατάβαλε· [μᾶλλον δὲ] ἀλλήλους παρακαλέσατε ἅμιλλαν ποιήσασθε τοῦ πράγματος. νῦν δὲ ἔνθα μὲν ἄχυρα καὶ σῖτος καὶ πάντα τὰ τοιαῦτα ἀποτίθεσθαι δεῖ, εὐκόλως οἰκοδομοῦσιν· ἔνθα δὲ συλλέγεσθαι χρὴ ψυχῶν γεννήματα, οὐδαμῶς φροντίζουσιν, ἀλλ' ἀναγκάζονται μυρίους σταδίους βαδίζειν, καὶ μακρὰς ἀποδημίας στέλλεσθαι, ἵνα εἰς ἐκκλησίαν ἀπίωσιν. ὅσον δέ ἐστιν ἀγαθὸν μετὰ πολλῆς ἡσυχίας ἐν τῇ ἐκκλησίᾳ τὸν ἱερέα παραγίνεσθαι, ἵνα προσίῃ τῷ Θεῷ, καὶ λέγῃ ὑπὲρ τῆς κώμης καθ' ἑκάστην ἡμέραν, ὑπὲρ τοῦ κεκτημένου; μικρόν ἐστιν, εἰπέ μοι, τὸ καὶ ἐν ταῖς ἁγίαις ἀναφοραῖς ἀεὶ τὸ ὄνομά σου ἐγκεῖσθαι, καὶ καθ' ἑκάστην ἡμέραν ὑπὲρ τῆς κώμης εὐχὰς γίνεσθαι πρὸς τὸν Θεόν; πόσοι γὰρ καὶ εἰς τὰ ἄλλα οὐ λυσιτελεῖ; συμβαίνει τινὰς ἐκ γειτόνων οἰκεῖν καὶ ἔχειν ἐπιτρόπους· πρὸς σὲ μὲν οὖν τὸν πένητα οὐκ ἀξιώσει τις ἐκείνων οὐδὲ ἐλθεῖν· τὸν δὲ πρεσβύτερον ἴσως καὶ καλέσει, καὶ τραπέζης κοινωνὸν ποιήσει. ὁρᾷς πόσα ἐντεῦθεν γίνονται καλά; πάσης ἔσται τέως ἡ κώμη πονηρᾶς ὑποψίας ἐλευθέρα· οὐδεὶς ἀνδροφονίας, οὐδεὶς κλοπῆς ἕνεκεν ἐγκαλέσει, οὐδεὶς τοιοῦτον οὐδὲν ὑποπτεύσει. ἕξουσι καὶ ἑτέραν παραμυθίαν, ἂν νόσος κατασχεθῇ, ἂν θάνατος. οὐχ ἁπλῶς, οὐδὲ ὡς ἔτυχε καὶ αἱ φιλίαι γίνονται τῶν ἐκεῖ πρὸς ἀλλήλους ἰόντων, καὶ αἱ συνοδίαι δὲ γίνονται πολλῷ τῶν ἐν ταῖς πανηγύρεσιν ἡδίους. [οὐ μόνον δὲ αἱ σύνοδοι, ἀλλὰ] καὶ αὐτοὶ [οἱ προεστῶτες] διὰ τὸν πρεσβύτερον αἰδεσιμώτεροι ἔσονται. πολλάκις ἀκούεις ὅτι τὰ Ἱεροσόλυμα παρὰ τὰς ἄλλας πόλεις τιμιωτέρα ἦν παρὰ τοῖς παλαιοῖς· ἀλλ' οὐχ ἁπλῶς, ἀλλὰ διὰ τὴν τότε κρατοῦσαν εὐσέβειαν. διὰ τοῦτο ἔνθα τιμᾶται Θεὸς, οὐδέν ἐστι πονηρόν· ὥσπερ πάλιν ἔνθα οὐ τιμᾶται, οὐδὲν ἀγαθόν. πολλὴ ἀσφάλεια ἔσται καὶ παρὰ Θεῷ, καὶ παρὰ ἀνθρώποις. ἀλλ' ὅπως μὴ ῥᾳθυμήσητε, παρακαλῶ, μὴ παρέργως, ἀλλὰ προθύμως τοῦ πράγματος ἀντιλάβεσθε. Εἰ γὰρ ὁ ἐξάγων τίμιον ἐξ ἀναξίου, ὡς στόμα τοῦ Θεοῦ ἔσται, Ἱερ. ιε. ιθ. ὁ τοσαύτας ψυχὰς τάς τε οὔσας, τάς τε ἐσομένας ἕως τῆς τοῦ Χριστοῦ παρουσίας ὠφελῶν καὶ ἀνακτώμενος, πόσης οὐκ ἀπολαύσεται εὐνοίας παρὰ τοῦ Θεοῦ; φρούριον κατασκεύασον κατὰ τοῦ διαβόλου. τοῦτο γάρ ἐστιν ἡ ἐκκλησία. ἐκεῖθεν ὁρμάσθωσαν αἱ χεῖρες εἰς κάματον· πρότερον ἀναπαυέτωσαν αὐτὰς εἰς εὐχάς, καὶ τότε ἀπίτωσαν εἰς τὴν ἐργασίαν. οὕτως ἔσται αὐτοῖς ἰσχὺς σώματος, οὕτως ἔσται ἡ γεωργία πολλὴ, οὕτω πάντα ἐκτὸς ἔσται τὰ κακά. οὐκ ἔστι τὴν ἡδονὴν τὴν ἐντεῦθεν λόγῳ παραστῆσαι, ἕως ἂν [ἔργῳ μὴ] γένηται. μὴ τοῦτο ἴδῃς, ὅτι οὐδεμίαν ἔχει πρόσοδον. ὅλως εἰ οὕτω ποιεῖς, μὴ ποιήσῃς. εἰ μὴ νομίζεις πρόσοδον λαμβάνειν παντὸς τοῦ χωρίου μείζονα· εἰ μὴ οὕτω διάκεισαι, μηδὲ ἐργάσῃ· εἰ μὴ ὑπὲρ πάντα [illegible] σου ὑπολαμβάνεις τὸ ἔργον τοῦτο. τί τῆς προσόδου ταύτης μεῖζον, τοῦ εἰς τὴν ἅλω τὴν οὐράνιον εἰσαγαγεῖν ψυχάς; οἴμοι, ὅτι οὐκ ἴστε πόσον ἐστὶ τὸ κερδαίνειν ψυχάς. ἄκουε τί φησι

πρὸς

δὲ πάλιν δέδοικε τὸ πλῆθος, καὶ φοβεῖται ἀρνήσασθαι. καίτοι εἰ μὴ ἐθορυβήθη, εἶπεν ἂν, ὅτι οὐκ ᾔδει, ὅτι ἀφελῶς ἐποίησεν· ἀλλ' ἐξεπλάγη, πρότερον μὲν ἐκείνῳ, ὅτι ἑάλω τοῖς σημείοις· ἔπειτα δὲ τούτῳ, τῷ τὰ ἐν τῇ διανοίᾳ αὐτοῦ φανερὰ γενέσθαι. διὰ τοῦτο μακρὰν ἄπεισι λοιπὸν εἰς τὴν Ῥώμην, ὡς οὐ φθάνοντος ἐκεῖ τοῦ ἀποστόλου. πολλάς τε, φησὶ, κώμας τῶν Σαμαρειτῶν εὐηγγελίσαντο. ὁρᾷς πῶς καὶ αἱ ὁδοὶ αὐτοῖς ἔμπρακτοι ἦσαν, ἀλλ' οὐχὶ ἁπλῶς ἐποιοῦντο αὐτάς. γρ. καὶ οὐχ ἁπλῶς ποιοῦντες αὐτάς.

ΗΘΙΚΟΝ

Τοιαύτας καὶ ἡμᾶς ἀποδημίας ἔδει ποιεῖσθαι. καὶ τί λέγω ἀποδημίας; πολλοὶ κώμας ἔχουσι καὶ χωρία, καὶ οὐ μόνον αὐτοῖς, οὐδὲ ποιοῦνταί τινα λόγον· ἀλλ' ὅπως μὲν βαλανεῖον γένοιτο, καὶ ὅπως τὰ λήμματα ἐπιταθείη, καὶ ὅπως αὐλαὶ, καὶ ὅπως οἰκοδομήματα κατασκευασθείη, πολλὴν σπουδὴν ποιοῦνται· ὅπως δὲ ψυχαὶ γεωργηθεῖεν, οὐκέτι. καὶ σὺ μὲν ἂν ἀκάνθας παρὰ τὴν ἄρουραν ἴδῃς, τέμνεις, καίεις, ἀφανίζεις, ὥστε τὴν γῆν ἀπαλλάξαι τῆς ἐντεῦθεν λύμης· ὁρῶν δὲ αὐτοὺς τοὺς γεωργοὺς ἀκανθῶν γέμοντας, καὶ οὐκ ἐκτέμνων, οὐ δέδοικας καὶ φρίττεις, εἰπέ μοι, τὸν οἰκοδεσπότην τὸν μέλλοντά σε ὑπὲρ τούτων ἀπαιτεῖν λόγον; οὐ γὰρ ἐχρῆν ἕκαστον τῶν πιστῶν ἐκκλησίαν οἰκοδομεῖν; διδάσκαλον λαμβάνειν; συναίρεσθαι; περὶ πάντων ἐπισκοπεῖν ὅπως ἅπαντες εἶεν Χριστιανοί; πῶς, εἰπέ μοι, Χριστιανὸς ἔσται ὁ γεωργὸς, ὁρῶν σε οὕτως ἀμελοῦντα τῆς αὐτοῦ σωτηρίας; οὐ δύνασαι ποιῆσαι σημεῖα καὶ πεῖσαι; οἷς ἔχεις πεῖσον, φιλανθρωπίᾳ, προστασίᾳ, ἡμερότητι, κολακείᾳ, τοῖς ἄλλοις ἅπασι. καὶ ἀγορὰς μὲν καὶ βαλανεῖα ποιοῦσιν οἱ πολλοὶ, ἐκκλησίας δὲ οὐχί· καὶ πάντα μᾶλλον, ἢ τοῦτο. διὸ παρακαλῶ, καὶ ἀντιβολῶ, καὶ χάριν αἰτῶ, μᾶλλον δὲ καὶ νόμον τίθημι, ὥστε μηδένα ὀφθῆναι ἔρημον ἐκκλησίας χωρίον ἔχοντα. μή μοι εἴπῃς, πλησίον ἐστὶν, ἐν γείτοσιν ἐστὶ, πολλή ἐστιν ἡ δαπάνη, οὐ πολλὴ ἡ πρόσοδος. εἴ τι ἔχεις εἰς πένητας ἀναλῶσαι, ἐκεῖ ἀνάλωσον· βέλτιον ἐκεῖ, ἢ ἐνταῦθα· θρέψον διδάσκαλον, θρέψον διάκονον καὶ ἱερατικὸν σύστημα. ὡς ἂν εἰ γυναῖκα ἀγαγεῖν, ἢ νύμφην, ἢ δοὺς θυγατέρα, οὕτω τῇ ἐκκλησίᾳ διάκεισο· προῖκα ἐπίδος αὐτῇ. οὕτω σοι εὐλογίας τὸ χωρίον πληρωθήσεται. τί γὰρ οὐκ ἔσται ἐκεῖ τῶν ἀγαθῶν; μικρὸν, εἰπέ μοι, τὴν ληνὸν εὐλογεῖσθαι; μικρὸν ἐξ ὅλων τῶν καρπῶν τῶν σῶν τὸν Θεὸν πρότερον ἀπομοιρὰν καὶ ἀπαρχὰς λαμβάνειν; πρὸς εἰρήνην τῶν γεωργούντων τοῦτο χρήσιμον. αἰδέσιμος ἔσται καὶ ὁ πρεσβύτερος λοιπὸν, καὶ πρὸς ἀσφάλειαν τοῦ χωρίου συμβάλλεται τοῦτο. εὐχαὶ ἐκεῖ διηνεκεῖς διὰ σὲ, ὕμνοι καὶ συνάξεις διὰ σὲ, προσφορὰ καθ' ἑκάστην κυριακήν. οἷον ἐστὶν εἰς θαῦμα μεῖζον, τοῦ τάφους μὲν ἑτέρους οἰκοδομῆσαι λαμπροὺς, ἵνα οἱ μετὰ ταῦτα ἀκούωσιν, ὅτι ὁ δεῖνα ᾠκοδόμησε, σὲ δὲ ἐκκλησίας ἀναστῆσαι; ἐννόησον ὅτι μέχρι τῆς τοῦ Χριστοῦ παρουσίας σὺ τὸν μισθὸν ἕξεις ὁ ἀναστήσας θυσιαστήριον τοῦ Θεοῦ. εἰπὲ γάρ μοι, εἰ βασιλεύς σοι ἐκέλευσεν οἰκοδομῆσαι οἰκίαν, ἵνα ἐκεῖ καταλύοι, οὐκ ἂν πάντα ἐποίησας; νῦν οὖν βασίλεια ἐστὶ τοῦ Χριστοῦ τῆς ἐκκλησίας ἡ οἰκοδομή. μὴ τὸ ἀνάλωμα ἴδῃς, ἀλλὰ τὸν καρπὸν λόγισαι. γεωργοῦσιν ἐκεῖνοι τὴν γῆν, σὺ γεώργησον αὐτῶν τὰς ψυχάς. φέρουσί σοι καρποὺς ἐκεῖνοι, σὺ εἰς τὸν οὐρανὸν αὐτοὺς ἀνάγαγε. ὁ τὴν ἀρχὴν δοὺς, οὗτος καὶ τῶν ἄλλων αἴτιος πάντων. [ἄρα καὶ] σὺ αἴτιος ἔσῃ τῶν κατηχουμένων ἐκεῖ, τῶν ἐν τοῖς χωρίοις τοῖς πλησίον. καίτοι τὰ μὲν βαλανεῖα μαλακωτέρους ποιεῖ τοὺς γεωργοὺς· τὰ καπηλεῖα τρυφηλοτέρους· ἀλλ' ὅμως ποιεῖτε ταῦτα διὰ δόξαν· αἱ ἀγοραὶ καὶ αἱ πανηγύρεις πάλιν ἰταμούς· τὰ δὲ ἐνταῦθα, πᾶν τοὐναντίον. ἡλίκον γάρ ἐστιν ἰδεῖν πρεσβύτερον εἰς εἰκόνα βαδίζοντα τοῦ Ἀβραὰμ, πολιὸν, ἀνεζωσμένον καὶ σκάπτοντα καὶ αὐτουργοῦντα; τί τοῦ ἀγροῦ ποθεινότερον ἐκείνου; ἐνταῦθα μείζων ἡ ἀρετή. οὐκ ἔστιν ἀσέλγεια ἐκεῖ, ἀλλ' ἀπελήλαται· οὐκ ἔστι μέθη καὶ τρυφὴ ἐκεῖ, ἀλλ' ἐξώρισται· οὐκ ἔστι κενοδοξία, ἀλλ' ἔσβεσται. τὸ τῆς εὐνοίας πλέον ἐκεῖ διαλάμπει διὰ τὴν ἀφέλειαν. οἷον ἐστὶν ἀπελθεῖν καὶ εἰσελθεῖν εἰς τὸν οἶκον τοῦ Θεοῦ, καὶ εἰδέναι ὅτι αὐτὸς αὐτὸν ᾠκοδόμησε, καὶ ῥῖψαι ἑαυ-

τὸν

γρ. περὶ τὸ συναίρεσθαι,

γρ. Θεὸν ἀπονέμειν πρότερον, καὶ ἀπ

γρ. γάρ ἐστιν, εἰπέ μοι, τάφους

γρ. τὰ βασίλεια

γρ. αἰτίαι πλεονεξίας. τοῦτο δὲ, εἰπέ μοι, οἷον ἐστὶν ἰδεῖν

γρ. εἰς οἶκον ἐρχόμενον μετὰ τὸν Ἀβρ.

γρ. ἐζωσμένον

ὥστε ἀπὸ τῆς κακίας πάντα ἔπραττε, καὶ μὴ ἀφελῆ ἔδει εἶναι. μετανόησον οὖν. Εἰς γὰρ χολὴν πικρίας καὶ σύνδεσμον ἀδικίας θεωρῶ σε ὄντα. πολλοῦ θυμοῦ τὰ ῥήματα. οὐ κολάζει δὲ αὐτὸν, ἵνα μὴ λοιπὸν ἀνάγκης ἡ πίστις ᾖ, ἵνα μὴ τὸ πρᾶγμα ὠμὸν εἶναι δόξῃ, καὶ ἵνα τὰ τῆς μετανοίας εἰσαγάγῃ· ἢ καὶ ὅτι ἤρκει εἰς διόρθωσιν τὸ ἐλέγξαι, τὸ τὰ ἐν τῇ καρδίᾳ εἰπεῖν, τὸ ἐκεῖνον ὁμολογῆσαι ὅτι ἑάλω. Τὸ γὰρ εἰπεῖν, ὅτι δεήθητε ὑμεῖς ὑπὲρ ἐμοῦ, τοῦτό ἐστιν ὁμολογοῦντος τὸ πλημμέλημα. ὅρα πῶς, καίτοι μιαρὸς ὤν, ὅμως ὅτε ἠλέγχθη, τότε ἐπίστευσεν, ὥσπερ καὶ ταπεινὸς γέγονεν, ὅτε πάλιν ἠλέγχθη. θεωρῶν σημεῖα γινόμενα ἐξίστατο. οὐ προσῆλθεν, εἶπεν, ἀλλ' ἐξίστατο. καὶ τί δήποτε ἐκεῖνο εὐθέως οὐ ποιεῖ; ἐνόμιζε δύνασθαι λανθάνειν, ἐνόμιζε τέχνην εἶναι τὸ πρᾶγμα. ἐπειδὴ δὲ οὐκ ἴσχυσε λαθεῖν τοὺς ἀποστόλους, *προσῆλθε. πολλῶν γὰρ ἐχόντων πνεύματα ἀκάθαρτα, βοῶντα φωνῇ μεγάλῃ ἐξήρχετο. τοῦτο τοῦ ἐξελθεῖν σημεῖον φανερόν, τὰ δὲ τῶν μάγων ἀπεναντίας. μᾶλλον γὰρ ἐκεῖνοι καὶ ἐδέσμουν. πολλοί τε παραλελυμένοι καὶ χωλοὶ ἐθεραπεύθησαν. οὐκ ἦν ἐνταῦθα ἀπάτη. προεπατήθησαν γὰρ ἤδη καὶ ἐνηργήθησαν. προσεῖχον δὲ αὐτῷ πάντες λέγοντες· οὗτός ἐστιν ἡ δύναμις τοῦ Θεοῦ. ἐνταῦθα πληροῦται τὸ παρὰ τοῦ Χριστοῦ εἰρημένον· Πολλοὶ ἐλεύσονται ψευδόχριστοι καὶ ψευδοπροφῆται ἐπὶ τῷ ὀνόματί μου. (Μαρκ. ιγ. κϛ.) διὰ τί δὲ οὐκ εὐθέως αὐτὸν ἤλεγξαν; ἠρκέσθησαν τὸ καταγνῶναι αὐτοὺς ἑαυτῶν. καὶ γὰρ καὶ τοῦτο διδασκαλίας ἦν. ἐπειδὴ δὲ διαπιστεῦσαι οὐκ ἴσχυσεν, ὑποκρίνεται ὥσπερ καὶ οἱ μάγοι ὅτε ἔλεγον· Τοῦτο δάκτυλός ἐστι Θεοῦ. (Ἐξοδ. η. ιθ.) ἵνα δὲ μὴ καὶ ἀπολαθῇ πάλιν, διὰ τοῦτο καὶ προσεκαρτέρει τῷ Φιλίππῳ, καὶ οὐκ ἐχωρίζετο. σὺ δέ μοι σκόπει ὅσα οἰκονομεῖται διὰ τοῦ θανάτου τοῦ Στεφάνου. διασπαρέντες κατὰ τὰς χώρας τῆς Ἰουδαίας καὶ Σαμαρείας, εὐαγγελίζονται τὸν λόγον, κηρύσσουσι τὸν Χριστόν, σημεῖα ἐπιτελοῦσι, κατὰ μικρὸν λαμβάνουσι τὴν δωρεὰν ἔτι. τοῦτο διπλοῦν σημεῖον ἦν, τό τε ἐκείνοις δοῦναι, τό τε τούτῳ μὴ δοῦναι.

25 Οἱ μὲν οὖν διαμαρτυράμενοι καὶ λαλήσαντες τὸν λόγον τοῦ Κυρίου, ὑπέστρεψαν εἰς Ἱεροσόλυμα, καὶ πολλὰς κώμας τῶν Σαμαρειτῶν εὐηγγελίσαντο. Καλῶς οὕτως εἶπε, διαμαρτυράμενοι. διαμαρτύρονται γὰρ ἴσως δι' αὐτόν, ἵνα μὴ ἀπατῶνται, ἵνα λοιπὸν ἐν ἀσφαλείᾳ ὦσιν, ἵνα μὴ ἐξ ἀπειρίας πολλάκις συναρπαγῶσιν. ὑπέστρεψαν εἰς Ἱεροσόλυμα. διὰ τί πάλιν ἀπίασιν ἐκεῖ, ἔνθα ἡ τυραννὶς ἦν, ἔνθα ἡ ἀρχὴ τῶν κακῶν, ἔνθα οἱ μάλιστα φονῶντες; καθάπερ ἐν τοῖς πολέμοις οἱ στρατηγοὶ ποιοῦσι, καὶ τὸ πονοῦν τοῦ πολέμου μέρος καταλαμβάνουσι, τὸ αὐτὸ καὶ οὗτοι ἐργάζονται. ὅρα πάλιν οὐχὶ προηγουμένως ἐρχομένους εἰς Σαμάρειαν, ἀλλὰ διωχθέντας, ὡς καὶ ἐπὶ τοῦ Χριστοῦ*, καὶ τοὺς ἀποστόλους πρὸς τοὺς πιστεύσαντας ἤδη τῶν Σαμαρειτῶν λοιπὸν ἐξαποστελλομένους. ἀκούσαντες δέ, φησιν, οἱ ἐν Ἱεροσολύμοις ἀπόστολοι, ἀπέστειλαν πρὸς αὐτοὺς Πέτρον καὶ Ἰωάννην. τί δήποτε ἀποστέλλουσι; ὥστε ἀπαλλάξαι μαγείας αὐτούς· ὥστε τῆς διδαχῆς ἀναμνῆσαι, ἣν παρὰ Χριστοῦ ἔμαθον, ὅτε πρότερον ἐπίστευσαν. διὸ οὖν τοῦτο τοιοῦτον αἰτοῦσιν, ἵνα λάβῃ πνεῦμα ἅγιον. ὁ δὲ ἐπειδὴ οὐκ ἔλαβεν αὐτὸς τοῦτο, ἵνα δοκῇ ἑτέροις, αἰτεῖ. καίτοι ἐκεῖνοι οὐκ ἔλαβον τοῦτο, ὥστε διδόναι· ἀλλ' ἤθελεν οὗτος Φιλίππου γενέσθαι λαμπρότερος, ὁ ἐν τοῖς μαθηταῖς ὤν. Τὸ ἀργύριόν σου, φησί, σὺν σοὶ εἴη εἰς ἀπώλειαν. οὐκ ἐπαρωμένου ταῦτά ἐστιν, ἀλλὰ παιδεύοντος. ἐπειδὴ [γὰρ] εἰς δέον αὐτῷ οὐκ ἐχρήσατο, σοί, φησιν, ἔστω τὸ τοιοῦτο. ὡς ἂν εἴποι τις· συναπόλοιτο μετὰ τῆς προαιρέσεώς σου, ὅτι οὕτω μικρὰ φρονεῖς περὶ τῆς δωρεᾶς τοῦ Θεοῦ, ὅτι προσεδόκησας ὅλως ἀνθρώπινον εἶναι τὸ πρᾶγμα. οὐκ ἔστι τοῦτο. εἰ γοῦν προσῆλθεν, ὡς ἔδει προσελθεῖν, κἂν ἀπεδόθη, κἂν ὡς λοιμὸς οὐκ ἠλάθη. ὁρᾷς ὅτι [ὁ] μικρὰ περὶ μεγάλων φανταζόμενος διπλᾶ ἁμαρτάνει; διὸ τοίνυν αὐτῷ κελεύει· μετανόησον καὶ δεήθητι, εἰ ἄρα ἀφεθήσεταί σοι ἡ ἐπίνοια τῆς καρδίας σου. ὁρᾷς ὅτι ἐπινοεῖ τι πονηρόν; διὰ τοῦτο καὶ εἶπεν, εἰ ἄρα ἀφεθήσεταί σοι, ὅτι ἤδη ἀδιόρθωτοι ἦσαν. ὁ

δὲ

σαι ἐκείνους, τοῦτον οὐ κολάζει, ἀλλά φησι πρὸς αὐτόν·

20 Τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν, ὅτι τὴν δωρεὰν τοῦ Θεοῦ ἐνόμισας διὰ χρημάτων κτᾶσθαι. Καὶ διὰ τί οὐκ ἦσαν οὗτοι λαβόντες πνεῦμα ἅγιον βαπτισθέντες; ἤτοι τῷ μὴ δοῦναι, Φιλίππου [τοῦτο] τιμῶντος τάχα τοὺς ἀποστόλους· ἤτοι τῷ μὴ ἔχειν χάρισμα τοιοῦτον (τῶν ἑπτὰ γὰρ ἦν) ὅπερ καὶ μᾶλλόν ἐστιν εἰπεῖν. ὅθεν μοι δοκεῖ οὗτος ὁ Φίλιππος τῶν ἑπτὰ εἶναι, ὁ Στεφάνου δεύτερος, ὁ δὲ τοῦ εὐνούχου, τῶν ἀποστόλων εἶναι. διὸ καὶ βαπτίζων πνεῦμα τοῖς βαπτιζομένοις οὐκ ἐδίδου. οὐδὲ γὰρ εἶχεν ἐξουσίαν. τοῦτο γὰρ τὸ δῶρον μόνων τῶν δώδεκα ἦν. σκόπει δέ· ἐκεῖνοι οὐκ ἐξῄεσαν, ᾠκονομήθη τούτους ἐξελθεῖν, οἳ καὶ ὑστέρουν τῆς χάριτος, διὰ τὸ μήπω λαβεῖν πνεῦμα ἅγιον. δύναμιν [μὲν] γὰρ ἔλαβον ποιεῖν σημεῖα· οὐχὶ δὲ καὶ πνεῦμα διδόναι ἑτέροις· [ἄρα] τοῦτο ἦν τὸ τῶν ἀποστόλων ἐξαίρετον. ὅθεν καὶ τοὺς κορυφαίους, οὐκ ἄλλους τινάς, ἔστιν ἰδεῖν τοῦτο ποιοῦντας. ἰδὼν δέ, φησι, Σίμων ὅτι διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τῶν ἀποστόλων δίδοται τὸ πνεῦμα τὸ ἅγιον. οὐκ ἂν [οὕτως] εἶπεν, εἰ μὴ καὶ αἰσθητόν τι ἐγίνετο. τοῦτο καὶ Παῦλος ἐποίησεν, ὅτε ταῖς γλώσσαις ἐλάλουν. εἶδες τὴν μιαρίαν τοῦ Σίμωνος; χρήματα προσήνεγκε, καίτοι οὐκ εἶδεν αὐτοὺς χρημάτων αὐτὸ ποιοῦντας. ὥστε οὐκ ἦν ἀγνοίας τὸ πρᾶγμα· ἀλλὰ πειράζοντος καὶ βουλομένου κατηγορίαν περιελθεῖν. διὰ τοῦτο καὶ αἰσχύνει·

χ. Στέφανος δεύτ.

χ. ἐλάλουν

21 Οὐκ ἔστι σοι μερὶς οὐδὲ κλῆρος ἐν τῷ λόγῳ τούτῳ. ἡ γὰρ καρδία σου οὐκ ἔστιν εὐθεῖα ἐνώπιον τοῦ Θεοῦ. Πάλιν ταῦτα ἐν τῇ διανοίᾳ εἰς μέσον ἄγει, ἐπεὶ ἐκεῖνος λανθάνειν ἐνόμιζε.

χ. ἐνώπιον

22 Μετανόησον οὖν, φησιν, ἀπὸ τῆς κακίας σου ταύτης, καὶ δεήθητι τοῦ Κυρίου, εἰ ἄρα ἀφεθήσεταί σοι ἡ ἐπίνοια τῆς καρδίας σου.

23 Εἰς γὰρ χολὴν πικρίας καὶ σύνδεσμον ἀδικίας θεωρῶ σε ὄντα.

χ. ὁρῶ

24 Ἀποκριθεὶς δὲ Σίμων εἶπε· δεήθητε ὑμεῖς ὑπὲρ ἐμοῦ πρὸς τὸν Κύριον, ὅπως μηδὲν ἐπέλθῃ ἐπ' ἐμὲ ὧν εἰρήκατε. Δέον ἀπὸ καρδίας μετανοῆσαι, δέον κλαῦσαι καὶ πενθῆσαι· ὁ δὲ ἀφοσιώσει μόνον τοῦτο ποιεῖ. Εἰ ἄρα, φησίν, ἀφεθήσεταί σοι. τοῦτο εἶπεν, οὐχ ὡς οὐ συγχωρηθέντος ἂν αὐτῷ, εἰ ἔκλαυσεν, ἀλλ' ἔθος καὶ τοῖς προφήταις μόνον ἀπαγορεύειν, καὶ μὴ λέγειν, ἐὰν δὲ τόδε ποιήσῃς, συγχωρηθήσεταί σοι, ἀλλ' ὅτι πάντως ἔσται ἡ τιμωρία. σὺ δέ μοι θαύμασον, καὶ πῶς ἐν καιρῷ συμφορᾶς οὐκ ἀμελοῦσιν, ἀλλὰ τοῦ κηρύγματος ἔχονται· καὶ πῶς καθάπερ ἐπὶ Μωϋσέως ἀπὸ συγκρίσεως ἐγίνετο τὰ θαύματα· οὕτω δὴ καὶ ἐνταῦθα. μαγεία ἦν, καὶ ὅμως φανερὰ ταῦτα τὰ σημεῖα ἦν· καίτοι οὐδὲ ἴσα ἔδει εἶναι ἐκεῖ δαιμονῶντα, εἰ ἐπὶ ἱκανῷ χρόνῳ ἦν ταῖς μαγείαις ἐξιστῶν αὐτούς· ἐπεὶ δὲ πολλοὶ μὲν δαιμονῶντες, πολλοὶ δὲ παραλυτοί, ἐκεῖνα οὐκ ἀληθῆ ἦν. οὗτος δὲ οὐχὶ σημείοις μόνον, ἀλλὰ καὶ λόγῳ αὐτοὺς προσήγετο, περὶ βασιλείας καὶ Χριστοῦ διαλεγόμενος. ὁ δὲ Σίμων, φησί, βαπτισθεὶς, ἦν προσκαρτερῶν τῷ Φιλίππῳ· οὐ πίστεως ἕνεκεν, ἀλλ' ὥστε γενέσθαι τοιοῦτος [προσκαρτερεῖ.] οἱ δὲ καταβάντες προσηύξαντο περὶ αὐτῶν, ὅπως λάβωσι πνεῦμα ἅγιον. οὐδέπω γὰρ ἦν ἐπ' οὐδενὶ αὐτῶν ἐπιπεπτωκός. τότε ἐπετίθουν τὰς χεῖρας ἐπ' αὐτούς, καὶ ἐλάμβανον πνεῦμα ἅγιον. ὁρᾷς ὅτι οὐχ ἁπλῶς, ἀλλὰ πολλῆς ἔδει δυνάμεως ὥστε δοῦναι πνεῦμα ἅγιον; οὐ γάρ ἐστιν ἴσον ἀφέσεως τυχεῖν, καὶ λαβεῖν δύναμιν τοιαύτην. θεασάμενος δὲ Σίμων, ὅτι διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τῶν ἀποστόλων δίδοται τὸ πνεῦμα τὸ ἅγιον, προσήνεγκεν αὐτοῖς χρήματα. μὴ γὰρ τοὺς ἄλλους εἶδε τοῦτο ποιοῦντας; μὴ γὰρ Φίλιππον; μὴ γὰρ ἐνόμιζεν αὐτοὺς οὐκ εἰδέναι μεθ' οἵας διανοίας προσῆλθε; διὸ καλῶς Πέτρος καὶ δωρεὰν καλεῖ τὸ πρᾶγμα, λέγων· τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν, ὅτι τὴν δωρεὰν τοῦ Θεοῦ ἐνόμισας διὰ χρημάτων κτᾶσθαι. ὁρᾷς πανταχοῦ καθαρεύοντας αὐτοὺς χρημάτων ὄντας; οὐκ ἔστι σοι μερὶς οὐδὲ κλῆρος ἐν τῷ λόγῳ τούτῳ. ἡ γὰρ καρδία σου οὐκ ἔστιν εὐθεῖα ἐνώπιον τοῦ Θεοῦ.

χ. τοῦτο

χ. ἔπι

χ. ἴσως

ὥστε

τὸ καὶ εἰς τοὺς οἴκους εἰσιέναι. οὕτω τὴν ψυχὴν αὐτοῦ ἔδωκεν ὑπὲρ τοῦ νόμου. σύρων, φησὶν, ἄνδρας καὶ γυναῖκας. ὅρα καὶ τὴν παῤῥησίαν, καὶ τὴν ὕβριν, καὶ τὴν μανίαν. τοὺς ἐμπίπτοντας ἅπαντας μυρίοις διετίθει κακοῖς, ἅτε ἀπὸ τῆς σφαγῆς ταύτης θρασύτερος γεγονώς.

4 Οἱ μὲν οὖν διασπαρέντες, διῆλθον εὐαγγελιζόμενοι τὸν λόγον.

5 Φίλιππος δὲ κατελθὼν εἰς πόλιν τῆς Σαμαρείας, ἐκήρυσσεν αὐτοῖς τὸν Χριστόν.

6 Προσεῖχόν τε οἱ ὄχλοι τοῖς λεγομένοις ὑπὸ τοῦ Φιλίππου ὁμοθυμαδὸν, ἐν τῷ ἀκούειν αὐτοὺς καὶ βλέπειν τὰ σημεῖα ἃ ἐποίει.

7 Πολλῶν γὰρ τῶν ἐχόντων πνεύματα ἀκάθαρτα, βοῶντα φωνῇ μεγάλῃ ἐξήρχετο· πολλοὶ δὲ καὶ παραλελυμένοι καὶ χωλοὶ ἐθεραπεύθησαν.

8 Καὶ ἐγένετο χαρὰ μεγάλη ἐν τῇ πόλει ἐκείνῃ.

9 Ἀνὴρ δέ τις ὀνόματι Σίμων προϋπῆρχεν ἐν τῇ πόλει μαγεύων καὶ ἐξιστῶν τὸ ἔθνος τῆς Σαμαρείας, λέγων εἶναί τινα ἑαυτὸν μέγαν,

10 Ὧ προσεῖχον πάντες ἀπὸ μικροῦ ἕως μεγάλου λέγοντες· οὗτός ἐστιν ἡ δύναμις τοῦ Θεοῦ ἡ μεγάλη. Ἴδε μοι καὶ ἕτερον πειρασμὸν τὸν τοῦ Σίμωνος.

11 Προσεῖχον δὲ αὐτῷ, φησὶν, οἱ ὄχλοι, διὰ τὸ ἱκανῷ χρόνῳ ταῖς μαγείαις ἐξεστακέναι αὐτούς.

12 Ὅτε δὲ ἐπίστευσαν τῷ Φιλίππῳ εὐαγγελιζομένῳ τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ καὶ τοῦ ὀνόματος Ἰησοῦ Χριστοῦ, ἐβαπτίζοντο ἄνδρες τε καὶ γυναῖκες.

13 Ὁ δὲ Σίμων καὶ αὐτὸς ἐπίστευσε, καὶ βαπτισθεὶς ἦν προσκαρτερῶν τῷ Φιλίππῳ, θεωρῶν " τε δυνάμεις μεγάλας καὶ σημεῖα γινόμενα, ἐξίστατο.

γ. σ

14 Ἀκούσαντες δὲ οἱ ἐν Ἱεροσολύμοις ἀπόστολοι, ὅτι δέδεκται ἡ Σαμάρεια τὸν λόγον τοῦ Θεοῦ, ἀπέστειλαν πρὸς αὐτοὺς Πέτρον καὶ Ἰωάννην·

15 Οἵτινες καταβάντες προσηύξαντο περὶ αὐτῶν, ὅπως λάβωσι πνεῦμα ἅγιον

(16 Οὐδέπω γὰρ ἦν ἐπ' οὐδενὶ αὐτῶν ἐπιπεπτωκός· μόνον δὲ βεβαπτισμένοι ὑπῆρχον εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ)

17 Τότε ἐπετίθουν τὰς χεῖρας ἐπ' αὐτοὺς, καὶ ἐλάμβανον πνεῦμα ἅγιον.

18 Ἰδὼν δὲ Σίμων, ὅτι διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τῶν ἀποστόλων δίδοται τὸ πνεῦμα τὸ ἅγιον, προσήνεγκεν αὐτοῖς χρήματα,

19 Λέγων· δότε κἀμοὶ τὴν ἐξουσίαν ταύτην, ἵνα ᾧ ἂν ἐπιθῶ τὰς χεῖρας, λαμβάνῃ πνεῦμα ἅγιον ✱. Πῶς οὖν, φησι, πνεῦμα οὐκ ἔλαβον οὗτοι; πνεῦμα ἔλαβον τὸ τῆς ἀφέσεως· τὸ δὲ τῶν σημείων οὔπω ἦσαν λαβόντες. καὶ ὅτι τοῦτο ἐστι, καὶ τὸ τῶν σημείων πνεῦμα οὐκ ἔλαβον, ὅρα πῶς ἰδὼν ὁ Σίμων προσῆλθε τοῦτο αἰτῶν. εἰ καὶ ἐνίσχυσε δὲ τότε μάλιστα ὁ διωγμὸς, ὅμως ὁ Θεὸς πάλιν αὐτοὺς ἐξείλετο ἐπιτειχίσας αὐτοῖς τὰ σημεῖα. οὐ μὴν ὁ θάνατος δὲ Στεφάνου ἔσβεσεν ἐκείνων τὸν θυμὸν, ἀλλ' ἐπέτεινε μᾶλλον· εἶτα καὶ σκορπίζονται οἱ διδάσκαλοι, ὥστε πλείονα γίνεσθαι τὴν μαθητείαν. ἀλλ' ὅρα καὶ πάλιν διαδεχόμενα αὐτοὺς τὰ χρηστὰ, καὶ ἐν χαρᾷ ὄντας. χαρὰ γὰρ, φησιν, ἐγένετο ἐν τῇ πόλει μεγάλη· καίτοι καὶ κοπετὸς ἐγένετο μέγας. " οὕτως εἴωθε ποιεῖν ἀεὶ ὁ Θεὸς, καὶ τοῖς λυπηροῖς τὰ εὐφραίνοντα μιγνύναι, ἵνα καὶ μᾶλλον θαυμάζῃ. [ἀφ'] ἱκανοῦ δὲ χρόνου τὸ νόσημα ἦν Σίμωνι. " εἶτα οὐδὲ οὕτως αὐτοῦ ἀπαλλάττεται. πῶς δαὶ αὐτὸν καὶ ἐβάπτισεν; ὥσπερ καὶ τὸν Ἰούδαν ὁ Χριστὸς ἐξελέξατο. οὗτος θεωρῶν σημεῖα γινόμενα, ἐξίστατο μὲν, οὐ τολμᾷ δὲ τὴν χάριν τῶν σημείων αἰτῆσαι, ἐπειδὴ οὔπω λαβόντας οὐδὲ τοὺς ἄλλους. πῶς οὖν αὐτὸν οὐκ ἀνεῖλεν, ὥσπερ Ἀνανίαν καὶ Σάπφειραν; ὅτι καὶ τὸ παλαιὸν ὁ τὰ ξύλα συλλέξας " ἀνῃρέθη εἰς ἑτέρων σωφρονισμὸν, καὶ οὐκέτι ἕτερος τὸ αὐτὸ πέπονθεν· οὕτω καὶ νῦν Πέτρος ποιεῖ, καὶ καλέ-

✱ Λέγων εἶναι, φησί, τινα ἑαυτὸν καὶ σημεῖα μεγάλα ἐγίνετο.

γ. ἀλλ' ὅρα πάλιν τὰ χρηστὰ αὐτ.

γ. ἀλλ' ἀεὶ αὐτοὺς ἐξείλετο

γ. ἀναιρεθεὶς

σοῦ Χριστὲ, δέξαι τὸ πνεῦμά μου. Δακρύοντος ὑμῶν τοῦτο καὶ διδάσκοντος αὐτοὺς ἐστιν, ὅτι οὐκ ἀπόλλυται.

60 Καὶ θεὶς τὰ γόνατα, ἔκραξε φωνῇ μεγάλῃ, Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. Ὥσπερ ἀπολογούμενος, ὅτι οὐδὲ τὰ πρότερα θυμούμενος, φησὶ, Κύριε· ἢ καὶ βουλόμενος αὐτοὺς ταύτῃ ἐπισπάσασθαι. τὸ γὰρ ἀφεῖναι μετὰ τὸν θυμὸν καὶ τὴν ὀργὴν τοῦ φόνου, καθαρὰν δεῖξαι δὲ τὴν ψυχὴν τοῦ πάθους, εὐπαράδεκτον ἐποίει τὸν λόγον. [χ. καθαρεῦται]

κεφ. η. 1 Σαῦλος δὲ ἦν, φησὶ, συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ. ἐγένετο δὲ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ διωγμὸς μέγας ἐπὶ τὴν ἐκκλησίαν τὴν ἐν Ἱεροσολύμοις.

Οὐχ ἁπλῶς οὗτος ὁ διωγμὸς, ἀλλ᾽ οἰκονομικῶς δοκεῖ μοι συμβῆναι. [χ. διωγμὸς ἐπιγίνεται μέγας. καὶ πάντ.]

Καὶ πάντες διεσπάρησαν κατὰ τὰς χώρας τῆς Ἰουδαίας καὶ Σαμαρείας, πλὴν τῶν ἀποστόλων. Ὁρᾷς πῶς πάλιν πειρασμοὺς συγχωρεῖ ὁ Θεὸς γενέσθαι; ἀλλ᾽ ἴδε μοι ἐντεῦθεν καὶ ὅπως οἰκονομεῖται τὰ πράγματα. ἐθαυμάσθησαν διὰ τὰ σημεῖα, μαστιχθέντες οὐδὲν ἔπαθον, κατέστησαν ἐπὶ τῶν χηρῶν, ηὔξετο ὁ λόγος· λοιπὸν συγχωρεῖ κώλυμα γενέσθαι μέγα, καὶ γίνεται διωγμὸς οὐχ ὁ τυχὼν, ὥστε ὁμοῦ καὶ τούτους φυγεῖν (ἐφοβοῦντο γὰρ θρασυτέρους αὐτοὺς γινομένους) καὶ πᾶσι δῆλον ὑπάρξαι, ὅτι ἄνθρωποι ἦσαν οἱ φοβούμενοι καὶ φεύγοντες. ἵνα γὰρ μὴ σὺ μετὰ ταῦτα λέγῃς ὅτι χάριτι μόνον κατώρθουν· καὶ ἐδιώκοντο, καὶ αὐτοὶ δι᾽ ἑτέρους γεγόνασι, καὶ ἐκεῖνοι θρασύτεροι. καὶ πάντες διεσπάρησαν, πλὴν τῶν ἀποστόλων, φησίν. οὐκ ἄρα μάτην ἔλεγον, ὅτι οἰκονομίας ὁ διωγμὸς ἦν. Εἰ μὴ γὰρ γέγονεν, οὐκ ἂν οἱ μαθηταὶ διεσπάρησαν. [χ. χηρῶν] [χ. καὶ] [χ. τοῦτο γὰρ οἰκονομία ἦν, ὡς μηκέτι λοιπὸν ἐν Ἱεροσολύμοις πάντας καθῆσθαι.]

2 Συνεκόμισαν δὲ τὸν Στέφανον ἄνδρες εὐλαβεῖς, καὶ ἐποιήσαντο κοπετὸν μέγαν ἐπ᾽ αὐτῷ. Εἰ εὐλαβεῖς ἦσαν, διὰ τί κοπετὸν ἐποίησαν; οὔπω ἦσαν τέλειοι· ἢ ὅτι ἐπιεικὴς ἦν ὁ ἄνθρωπος καὶ αἰδέσιμος. διὸ καὶ κόπτονται αὐτόν. ἅμα δὲ τοῦτο δείκνυσι καὶ ἀνθρώπους αὐτοὺς ὄντας, οὐχὶ ὁ φόβος μόνον, ἀλλὰ καὶ ἡ λύπη καὶ ὁ κοπετός. τίς γὰρ οὐκ ἂν ἔκλαυσεν ὁρῶν τὸν ἥμερον ἐκεῖνον, τὸ ἀρνίον, λιθόλευστον γινόμενον καὶ κείμενον νεκρόν; ἱκανὸν αὐτοῦ ἐντάφιον εἶπεν ὁ εὐαγγελιστής. τί; τὴν φωνὴν ταύτην· μὴ στήσῃς αὐτοῖς, φησὶ, τὴν ἁμαρτίαν ταύτην. ἐποιήσαντο, φησὶ, κοπετὸν μέγαν ἐπ᾽ αὐτῷ. ἀλλ᾽ ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. *Ὑπάρχων δὲ πλήρης πνεύματος ἁγίου, ἀτενίσας εἰς τὸν οὐρανὸν, εἶδε δόξαν Θεοῦ, καὶ Ἰησοῦν ἑστῶτα ἐκ δεξιῶν τοῦ Θεοῦ, καὶ εἶπεν· ἰδοὺ θεωρῶ τοὺς οὐρανοὺς ἀνεῳγμένους, καὶ συνέσχον τὰ ὦτα αὐτῶν, καὶ ὥρμησαν ὁμοθυμαδὸν ἐπ᾽ αὐτόν. καίτοι ποῦ ταῦτα κατηγορίας ἄξια; ἀλλ᾽ ὅμως τὸν σημεῖα τοιαῦτα ἐργασάμενον, τὸν πάντων κρατοῦντα τῷ λόγῳ, τὸν τοιαῦτα διαλεγόμενον λαβόντες, ὥσπερ εἰληφότες ὅπερ ἐβούλοντο, οὕτω τὸν θυμὸν τὸν ἑαυτῶν ἐπλήρωσαν. οἱ δὲ μάρτυρες ἀπέθεντο τὰ ἱμάτια αὐτῶν παρὰ τοὺς πόδας νεανίου καλουμένου Σαύλου. ὅρα πῶς ἀκριβῶς τὰ περὶ τοῦ Παύλου διηγεῖται, ἵνα σοι δείξῃ τὸ ἐπ᾽ αὐτῷ ἔργον Θεοῦ γινόμενον μετὰ ταῦτα. τέως δὲ οὐ μόνον ἐκεῖνος οὐ πιστεύει, ἀλλὰ καὶ μυρίαις αὐτὸν χερσὶ βάλλει τῶν φονέων. διὸ καὶ τοῦτο δηλῶν λέγει· Σαῦλος δὲ ἦν συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ. οὐχ ἁπλῶς δὲ εὔχεται ὁ μακάριος οὗτος ἀλλὰ μετὰ προσοχῆς. θεὶς γὰρ, φησὶ, τὰ γόνατα. ὅθεν ἔθος αὐτοῦ καὶ ὁ θάνατος γέγονε. μέχρι [γὰρ] τούτου συνεχώρησε τὴν ψυχὴν εἶναι ἐν αὐτῷ ὁ δεσπότης. πάντες δὲ, φησὶ, διεσπάρησαν κατὰ τὰς χώρας τῆς Ἰουδαίας καὶ Σαμαρείας. ἀδεῶς ἐπιμίγνυνται τῇ Σαμαρείᾳ λοιπὸν οἱ ἀκούσαντες, Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε. Πλὴν δὲ τῶν ἀποστόλων, λέγει, δεικνὺς, ὅτι καὶ ταύτῃ προσαγαγέσθαι βουλόμενοι τοὺς Ἰουδαίους, τὴν πόλιν οὐκ ἀπέλιπον, ἢ καὶ ἑτέρους γενέσθαι θαρροῦντες αὐτοί. [* τὴν αἰτίαν τῆς ὄψεως φησί.] [χ. τοιαῦτα] [χ. ἐπιβάλλει] [χ. ἔβαλε] [χ. συγκεχώρητο ταῖς ψυχαῖς ἐν τῷ σώμ. εἶ.] [Matth. 1. c.] [χ. ἀλλὰ μὴ καταλείψειν τὴν πόλιν καὶ ἑτέρους]

3 Σαῦλος δὲ ἐλυμαίνετο τὴν ἐκκλησίαν κατὰ τοὺς οἴκους εἰσπορευόμενος, σύρων τε ἄνδρας καὶ γυναῖκας παρεδίδου εἰς φυλακήν. Πολλὴ ἡ μανία, τὸ καὶ μόνον αὐτὸν εἶναι.



Digitized by Google

ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Λογ. ιη. 54 ΑΚΟΥΟΝΤΕΣ ΔΕ ΤΑΥΤΑ, ΔΙΕΠΡΙΟΝΤΟ ταῖς καρδίαις αὐτῶν, καὶ ἔβρυχον τοὺς ὀδόντας ἐπ' αὐτόν.

Ὡς οὐκ ἔλαβον ἐκ τῶν εἰρημένων ἀφορμὴν εἰς τὸ ἀνελεῖν αὐτὸν, ἀλλ' ἐπιμαίνονται καὶ ζητοῦσιν αἰτίαν, θαυμάσαι ἄξιον. οὕτως ἀεὶ οἱ κακοί εἰσιν οἱ ἀδικοῦντες. καθάπερ οὖν οἱ ἀρχιερεῖς ἀπορούντες ἔλεγον, Τί ποιήσομεν τοῖς ἀνθρώποις τούτοις; οὕτω δὴ καὶ οὗτοι διαπρίονται. καὶ μὴν ὁ θυμωθῆναι ὀφείλων ἐκεῖνος ἦν, ὁ μηδὲν μὲν ἀδικήσας, τὰ δὲ τῶν ἠδικηκότων παθὼν καὶ συκοφαντούμενος. ἀλλ' οἱ συκοφάνται μᾶλλον ἐλέγχονται καὶ ταύτῃ. οὕτως ἀληθὲς, ὅπερ ἀεὶ λέγω, ὅτι τὸ ποιεῖν κακῶς, τοῦτό ἐστι τὸ πάσχειν κακῶς. καίτοι αὐτὸς οὐδὲν ἐσυκοφάντησεν, ἀλλ' ἀπέδειξεν. οὕτως ὅταν ὑβριζώμεθα ἐν οἷς οὐ συνοίδαμεν, οὐδὲν πάσχομεν. ἐβούλοντο μὲν οὖν ἀνελεῖν, ἀλλ' οὐ ποιοῦσι τοῦτο, αἰτίαν θέλοντες εὔλογον περιθεῖναι τῷ πλημμελήματι. τί οὖν; ἡ ὕβρις οὐκ ἦν εὔλογος; οὐκ ἦν αὐτοῦ [ἡ] ὕβρις, ἀλλὰ τοῦ προφήτου κατηγορία. ἢ ἑκόντες καὶ ἀνεβάλλοντο, ὥστε μὴ δόξαι διὰ τὰ εἰς αὐτοὺς αὐτὸν ἀνελεῖν, ὥσπερ οὖν καὶ τὸν Χριστὸν, ἀλλὰ δι' ἀσέβειαν. τοῦτο δὲ εὐσεβείας ἦν τὸ ῥῆμα. διὸ μετὰ τοῦ ἀνελεῖν ἐπιχειροῦντες καὶ τὴν δόξαν αὐτοῦ βλάψαι, διεπρίοντο. ἐφοβοῦντο γὰρ μὴ πάλιν αἰδεσιμώτερος γένηται. εἶτα ὅπερ ἐπὶ τοῦ Χριστοῦ ποιοῦσι, τοῦτο καὶ ἐπὶ τοῦ Στεφάνου. καὶ καθάπερ ἐκεῖ, ἐπειδὴ εἶπεν, Ὄψεσθε ἐκ δεξιῶν τῆς δυνάμεως τὸν υἱὸν τοῦ ἀνθρώπου καθήμενον, βλασφημίας τὸ πρᾶγμα ἔλεγον, καὶ μάρτυρας τοὺς ὄχλους ἐποίουν· οὕτω δὴ καὶ ἐνταῦθα. ἐκεῖ διέρρηξαν τὰ ἱμάτια· ὧδε τὰ ὦτα συνέσχον. Πραξ. δ. ις.

55 Ὑπάρχων δὲ, φησὶ, πλήρης πνεύματος ἁγίου, ἀτενίσας εἰς τὸν οὐρανὸν, εἶδε δόξαν Θεοῦ, καὶ Ἰησοῦν ἑστῶτα ἐκ δεξιῶν τοῦ Θεοῦ,

56 Καὶ εἶπεν· ἰδοὺ θεωρῶ τοὺς οὐρανοὺς ἀνεῳγμένους, καὶ τὸν υἱὸν τοῦ ἀνθρώπου ἐκ δεξιῶν ἑστῶτα τοῦ Θεοῦ.

57 Κράξαντες δὲ φωνῇ μεγάλῃ, συνέσχον τὰ ὦτα αὐτῶν, καὶ ὥρμησαν ὁμοθυμαδὸν ἐπ' αὐτόν.

58 Καὶ ἐκβαλόντες ἔξω τῆς πόλεως, ἐλιθοβόλουν.

Καὶ μὴν εἰ ἐψεύδετο, ὡς μαινόμενον ἔδει ἀφεῖναι· ὁ δὲ οὕτως εἶπε, βουλόμενος αὐτοὺς ἐπαγαγέσθαι. καὶ ἐπειδὴ εἶπεν περὶ τοῦ θανάτου μόνον, περὶ ἀναστάσεως οὐδὲν διελέχθη, καὶ τοῦτο λοιπὸν εὐχερῶς παρέστησε τὸ δόγμα· οὕτω δὲ αὐτῷ λέγει φανῆναι, ὥς τι δείξων, ἵνα καὶ οὕτω δείξωσι τὸν υἱὸν λέγει. ὅς, ἐπειδὴ τὸ εἰπεῖν, καθῆσθαι, φορτικὸν αὐτοῖς ἦν, πῶς τὸν περὶ τῆς ἀναστάσεως κινεῖ λόγον, καί φησιν αὐτὸν ἑστάναι. ἀπὸ τούτου στοχαζόμεθα καὶ τὸ πρόσωπον αὐτοῦ δεδοξάσθαι. ὁ γὰρ Θεὸς φιλάνθρωπος ὢν δι' ὧν ἐπεβούλευον ἐκεῖνοι, δι' αὐτῶν ἐβούλετο αὐτοὺς ἐκκαλέσασθαι, εἰ καὶ μηδὲν πλέον ἐγένετο. καὶ ἐκβαλόντες ἔξω τῆς πόλεως, φησὶν, ἐλιθοβόλουν. πάλιν ἔξω τῆς πόλεως ὁ θάνατος, ὥσπερ ἐπὶ τοῦ Χριστοῦ, καὶ ἐν αὐτῷ τῷ θανάτῳ ἡ ὁμολογία καὶ τὸ κήρυγμα [διαγγελλόμενον.]

Καὶ οἱ μάρτυρες ἀπέθεντο τὰ ἱμάτια αὐτῶν παρὰ τοὺς πόδας νεανίου τοῦ καλουμένου Σαύλου,

59 Καὶ ἐλιθοβόλουν τὸν Στέφανον ἐπικαλούμενον [τὸν Θεὸν] καὶ λέγοντα· Κύριε Ἰη-

γ. ἀπορούντες.
γ. περιθεῖναι
γ. καινὸν τι περὶ αὐτὸν ἄλλο γένηται τοῦ Θεοῦ
γ. καλοῦντες, ὥρμησαν ἐπ' αὐτὸν ἔτι δέ.
γ. καὶ ὅπως αὐτῷ ἑστάναι, ἵνα
γ. εἰ Ἰουδαῖοι
γ. διὰ τοῦτο καὶ τὸ πρόσωπον αὐτοῦ δεδόξαστο
γ. αἰνιττόμενος ... καὶ σημεῖα γίνεται. καὶ ἐκεῖνη.

σκευὴν αὐτὴν ἴδῃ φονῶσαν, πάντα ἀπόλωλε καὶ διέφθαρται. κατὰ τῶν προβάτων γέγονεν· ἀλλ' ἐὰν ἀπαγάγηται τῶν προβάτων, ἄχρηστός ἐστι καὶ κατασφάττεται. εἰ ἔμαθεν ἀκούειν σου, θρέψον τὴν κύνα· χρήσιμός ἐστι κατὰ τῶν λύκων, κατὰ τῶν πειρατῶν, κατὰ τοῦ λῃστάρχου ὑλακτῶν, οὐ κατὰ προβάτων, οὐδὲ κατὰ οἰκείων. ἂν μὴ ἀκούῃ, πάντα διαφθείρει· ἂν μάθῃ καταφρονεῖν, πάντα ἀπόλλυσι. τὸ πῦρ ὅπερ ἡμῖν ἐστι τὸ ἐν σοὶ μὴ ἀναλισκέτω, ἀλλὰ φυλαττέτω αὐτό· ὁ θυμὸς καὶ τοῦτο ποιείτω. φυλάξει γάρ, ἐὰν ἐν ἀσφαλείᾳ πολλῇ γένηται καταστήσει, ἂν τοὺς μιαροὺς [γ. λιμόν] λογισμοὺς καὶ τοὺς πονηροὺς καταναλίσκῃ, ἂν τὸν διάβολον διώκῃ πανταχόθεν. οὕτως ἐπιείκεια διασώζεται, ὅταν μηδαμοῦ τῷ πλησίον κακόν τι λογιζώμεθα. οὕτως αἰδέσιμοι γινόμεθα, [γ. πονηρεύμα-τα συνειδέν.] ὅταν μὴ μανθάνωμεν ἀναισχυντεῖν. οὐδὲν γὰρ οὕτως ἀναισχύντους ποιεῖ, ὡς πονηρὸν συνειδός. διὰ τί αἱ πόρναι ἀναίσχυντοί εἰσι; διὰ τί αἱ παρθένοι αἰσχυντηλαί; οὐκ ἀπὸ τῆς ἁμαρτίας ἐκεῖναι; οὐκ ἀπὸ τῆς σωφροσύνης αὗται; οὐδὲν γὰρ οὕτως ἀναίσχυντον ποιεῖ, ὡς ἁμαρτία. καὶ μὴν τοὐναντίον, φησί, καταισχύνει. ναὶ τὸν καταγνόντα ἑαυτοῦ· τὸν δὲ ἀπηρυθριασμένον, καὶ ἰταμώτερον ἐργάζεται. [Παροιμ. ιη. γ.] ὁ γὰρ ἀπογνοὺς ἑαυτοῦ, θρασὺς γίνεται. Ἀσεβὴς γάρ, φησιν, ἐλθὼν εἰς βάθος κακῶν, καταφρονεῖ. ὁ δὲ ἀναίσχυντος καὶ ἰταμὸς ἂν εἴη· ὁ δὲ ἰταμός, καὶ θρασύς. βούλει μαθεῖν πότε ἀναλίσκεται ἐπιείκεια; ὅταν πονηροὶ λογισμοὶ αὐτὴν διαρπάσωνται. ἀλλ' εἰ καὶ τοῦτο συμβαίνει, ὅτι μὴ ὁ κύων ἔστηκε μέγα ὑλακτῶν, οὐδὲ οὕτως [γ. δαπανήσωνται. διὰ τοῦτο ποιῆς ὅτι ὁ κύων μέγα ὑλακτ. ἐστιν ἡμῖν καὶ] ἀπογινώσκειν χρή. ἔστι γὰρ ἡμῖν καὶ σφενδόνη καὶ λίθος (εἴτε τὸ λεγόμενον) ἔστιν ἡμῖν καὶ δόρυ, καὶ μάνδρα, καὶ σηκός, ἐν ᾧ φυλάξομεν τοὺς λογισμοὺς ἀσινεῖς. ἂν ὁ κύων σαίνῃ μὲν τὰ πρόβατα, ἀγριαίνῃ δὲ κατὰ τῶν ἔξω, καὶ ἀγρυπνῇ, τοῦτο ἀρετὴ κυνός· κἂν λιμώττῃ, μὴ γεύεσθαι τῶν προβάτων· κἂν ἐν πλησμονῇ ᾖ, μὴ φείδεσθαι τῶν λύκων. τοιοῦτος καὶ ὁ θυμός· κἂν δάκνηται, τῆς ἐπιεικείας μὴ ἀφίστασθαι· κἂν ἐν ἡσυχίᾳ ᾖ, διεγείρεσθαι πρὸς τοὺς πονηροὺς λογισμούς· καὶ τὸν μὲν οἰκεῖον καὶ πλήττοντα μὴ κατεμπαίειν, ἀλλ' ἐπιγινώσκειν· τὸν δὲ ἀλλότριον καὶ σαίνοντα λυμαίνεσθαι. σαίνει ὁ διάβολος πολλάκις, ὡς ὁ κύων· ἀλλὰ γνώτω πᾶς ὅτι ἀλλότριός ἐστιν. [γ. εἰδέτω] οὕτω δὴ καὶ ἡμεῖς τὴν ἀρετήν, κἂν λυπῇ, σαίνωμεν· καὶ τὴν κακίαν, κἂν εὐφραίνῃ, ἀποστρεφώμεθα. μὴ γινώμεθα χείρους τῶν κυνῶν, οἳ μαστιζόμενοι καὶ ἀγχόμενοι οὐκ ἀφίστανται· ἂν δὲ κύσῃ καὶ τρέφῃ ὁ ἀλλότριος, πῶς οὐ μᾶλλον βλάψουσι; ἔστιν ὅτε χρήσιμος ὁ θυμός· ἀλλ' ὅταν ὑλακτῇ κατὰ τῶν ἀλλοτρίων. [Ματθ. ε. κβ.] τί ἐστιν, ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῆ; ἀντὶ τοῦ, μὴ ἀμύνε σαυτῷ, μηδὲ ἐκδίκει. ἂν ἕτερον ἴδῃς ἀπολλύμενον, ὄρεξον χεῖρα. [γ. τοῦτο.] οὐκέτι θυμὸς λοιπὸν τοῦτό ἐστιν, ὅταν τῆς οἰκείας συμπαθείας ἀπηλλαγμένος ᾖς. [γ. ἐμπαθείας] ἔλαβεν ὁ Δαβὶδ τὸν Σαούλ, καὶ οὐκ ἐθυμώθη, οὐδὲ ἐνέπηξε τὸ δόρυ, τὸν ἐχθρὸν λαβών, ἀλλ' ἠμύνατο τὸν διάβολον. [α Βασ. κδ. η. Ἐξοδ. β. ιβ. Ἀεϊ. ζ. γ.] ὁ Μωϋσῆς, ὅτε μὲν ἀλλοτρίους ἀδικοῦντας εἶδε, καὶ ἀνεῖλεν· ὅτε δὲ οἰκείους, οὐκέτι· ἀλλὰ τοὺς μὲν ἀδελφοὺς κατήλλαττεν, ἐκείνους δὲ οὐχί. καίτοι πρᾳότατον αὐτὸν ἡ γραφὴ μαρτυρεῖ· ἀλλ' ὅμως ἦν καὶ διεγηγερμένος. ἀλλ' οὐχ ἡμεῖς· ἀλλ' ἔνθα μὲν πρᾳότητα ἐπιδείκνυσθαι χρή, πάντων θηρίων ἐσμὲν ἀγριώτεροι· ἔνθα δὲ διεγηγέρθαι, πάντων νωθέστεροι καὶ ὑπτιώτεροι. ἐπεὶ οὖν οὐκ εἰς δέον κεχρήμεθα τοῖς ἐν ἡμῖν, διά τοι τοῦτο καὶ εἰς οὐδὲν δέον ὁ βίος ἡμῖν ἀνήλωται. οὕτω καὶ ἐν σκεύεσιν, ἐὰν ἄλλῳ ἄλλως χρήσηταί τις, τὰ πάντα ἀπόλλυσιν· οἷον ἂν μάχαιραν λαβών τις, ἔνθα αὐτῇ κεχρῆσθαι δεῖ, μὴ χρῷτο, ἀλλὰ τῇ χειρὶ τοῦτο ποιοῖ, οὐδὲν πλέον ἐργάσεται· ὥσπερ καὶ ὁ ἔνθα τῇ χειρὶ χρήσασθαι χρή, τὴν [γ. ἄνευ] μάχαιραν μεταχειρίζων, πάντα ἂν ἀπολέσειεν. οὕτω δὴ καὶ ἰατρός, ἔνθα ἂν τέμνειν δέῃ, μὴ τέμνων, καὶ ἔνθα ἂν μὴ χρῇ, τέμνων, πάντα διαφθείρει. διό, παρακαλῶ, ἡμεῖς εἰς καιρὸν χρώμεθα τῷ πράγματι. θυμοῦ γὰρ καιρὸς οὐδαμοῦ, ὅταν ἑαυτοῖς βοηθῶμεν· ἂν δὲ ἑτέρους διορθῶσαι χρῇ, τότε μάλιστα αὐτῷ χρῆσθαι δεῖ, ἵνα ἑτέρους ἐξαρπάσωμεν. οὕτω καὶ ἰσόθεοι ἐσόμεθα, τὸ ἀόργητον πανταχοῦ διατηροῦντες, καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν,

γρ. μεταξὺ Ἑλλήνων ἐπιστομίζωμεν;

νόμιμον. ἂν τοίνυν Ἕλλησι συμπλεκώμεθα, οὕτως αὐτοὺς ἐπιστομίζωμεν, χωρὶς θυμοῦ, χωρὶς τραχύτητος. ἂν μὲν γὰρ μετὰ θυμοῦ τοῦτο ποιῶμεν, οὐκέτι παῤῥησία, ἀλλὰ πάθος εἶναι δοκεῖ· ἂν δὲ ἐπιεικῶς, ἐκεῖνο ὄντως αὕτη παῤῥησία. οὐ γὰρ δυνατὸν ὁμοῦ κατὰ ταὐτὸν καὶ κατόρθωμα εἶναι καὶ ἐλάττωμα. ἡ παῤῥησία, κατόρθωμα· ὁ θυμὸς, ἐλάττωμα. δεῖ τοίνυν ἡμᾶς, εἰ μέλλοιμεν παῤῥησίαν ἔχειν, καθαροὺς εἶναι τοῦ θυμοῦ, ἵνα μὴ ἐκείνῳ τις λογίσηται τὰ ῥήματα. κἂν δίκαια λέγῃς μετὰ θυμοῦ, τὸ πᾶν ἀπώλεσας, κἂν παῤῥησιάζῃ, κἂν νουθετῇς, κἂν ὁτιοῦν περάτῃς. ὅρα τὸν ἄνδρα τοῦτον οὐ μετὰ θυμοῦ διαλεγόμενον. οὐ γὰρ δὴ ὕβρισεν, ἀλλὰ προφητικοῦ αὐτοὺς ἀνέμνησε λόγου. ὅτι γὰρ οὐκ ἦν θυμοῦ, ἔδειξεν ὅτι κακῶς ἔπαθε, τότε ὑπὲρ αὐτῶν εὐχόμενος καὶ λέγων, Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. οὕτως οὐκ ὀργιζόμενος αὐτοῖς, ἀλλ᾽ ἀλγῶν ὑπὲρ αὐτῶν καὶ δακρυόμενος ταῦτα ἐφθέγγετο. ἐπεὶ καὶ περὶ τῆς ὄψεως διὰ τοῦτο εἶπεν, Ὅτι εἶδον τὸ πρόσωπον αὐτοῦ, ὡσεὶ πρόσωπον ἀγγέλου, ἵν᾽ αὐτοὺς ἐφελκύσηται. καθαροὶ τοίνυν θυμοῦ ὦμεν. οὐ κατοικεῖ τὸ πνεῦμα τὸ ἅγιον, ἔνθα θυμός. ἐπικατάρατος ὁ θυμώδης· οὐκ ἔστιν οὐδὲν ὑγιὲς προελθεῖν, ὅθεν θυμὸς ἔξεισι. καθάπερ γὰρ ἐν χειμῶνι θαλαττίῳ πολὺς ὁ θόρυβος, μεγάλη ἡ κραυγή, καὶ οὐκ ἂν ἔχοι τις τηνικαῦτα φιλοσοφεῖν· οὕτως οὐδὲ ἐν θυμῷ. ἀλλ᾽ εἰ μέλλει τι φιλόσοφον ἢ λέγειν, ἢ παιδεύεσθαι ψυχὴ, ὀφείλει πρότερον ἐν λιμένι εἶναι. οὐχ ὁρᾷς πῶς, ὅταν βουλώμεθα περί τινων ἀναγκαίων διαλεχθῆναι, τόπους θορύβου καθαροὺς παρατηρούμεθα, ἔνθα ἡσυχία, ἔνθα γαλήνη, ἵνα μὴ ἐκκρουώμεθα; εἰ δὲ ὁ ἔξωθεν ἐκκρούει θόρυβος, πολλῷ μᾶλλον ἡ ἔνδον ταραχή. κἂν εὔχηταί τις, εἰκῆ εὔχεται, μετὰ ὀργῆς καὶ θυμοῦ τοῦτο ποιῶν· κἂν φθέγγηται, καταγέλαστος ἔσται· κἂν σιγᾷ, πάλιν ὁμοίως· κἂν ἐσθίῃ, καὶ οὕτως ἐβλάβη· κἂν πίνῃ, κἂν μὴ πίνῃ, κἂν καθέζηται, κἂν στήκῃ, κἂν βαδίζῃ, κἂν καθεύδῃ. καὶ γὰρ καὶ ἐν τοῖς ὀνείροις τοιαῦτα φαντάζονται. τί γὰρ τῶν τοιούτων οὐκ ἄτοπον; ὀφθαλμοὶ ἀηδεῖς, στόμα διεστραμμένον, μέλη κεκινημένα καὶ οἰδαίνοντα, γλῶσσα ἀκράτητος καὶ οὐδενὸς φειδομένη, διάνοια ἐξεστηκυῖα, σχῆμα ἀπρεπὲς, πολλὴ ἡ ἀηδία. ἴδε μοι τῶν δαιμονώντων τοὺς ὀφθαλμοὺς καὶ τῶν μεθυόντων καὶ μαινομένων, τί διεστήκασιν ἀλλήλων; οὐχὶ μανία τὸ πᾶν ἐστι; τί γὰρ, εἰ πρὸς καιρὸν τοῦτο γίνεται; καὶ γὰρ ὁ μαινόμενος, πρὸς καιρὸν κατέχεται. τοῦτο δὲ τί χεῖρον; καὶ οὐκ αἰσχύνονται ἐπὶ τῇ ἀπολογίᾳ. οὐκ ᾔδειν, φησὶ, τί εἶπον. καὶ διὰ τί μὴ ᾔδεις; τοῦτο ὁ λογικὸς ἄνθρωπος, ὁ λογισμὸν ἔχων διὰ τί τὰ τῶν ἀλόγων ποιεῖς, καθάπερ ἵππος ἄγριος ἀπὸ θυμοῦ καὶ ὀργῆς συναρπαγείς; καὶ μὴν ἡ ἀπολογία ἐγκλήματος ἀξία. εἴθε γὰρ ᾔδεις ἃ ἔλεγες. τοῦ θυμοῦ, φησὶν, ἐστὶ τὰ ῥήματα, οὐκ ἐμά. πῶς ἐκείνου; καὶ μὴν ὁ θυμὸς οὐκ ἔχει ἰσχὺν, ἂν μὴ παρὰ σοῦ λάβῃ. ὡς ἂν εἴποι τις, τῆς χειρός ἐστιν, οὐκ ἐμὰ τὰ τραύματα. τί οἴει μάλιστα δεῖσθαι θυμοῦ; οὐχὶ πόλεμον καὶ μάχην; ἀλλὰ καὶ ἐκεῖ ἂν μετὰ θυμοῦ τι γένηται, τὸ πᾶν διέφθαρται καὶ ἀπόλωλε. μάλιστα γὰρ τοὺς μαχομένους θυμοῦσθαι οὐ χρή, μάλιστα τοὺς ὑβρίζοντας θυμοῦσθαι οὐ χρή. καὶ πῶς ἔνι μάχεσθαι, φησί; λόγῳ, ἐπιεικείᾳ. μάχη γάρ ἐστι, τὸ ἐξεναντίας στῆναι. ἢ οὐχ ὁρᾷς καὶ τούτους τοὺς πολέμους νόμῳ καὶ διατάξει καὶ καιροῖς ὡρισμένους; θυμὸς γὰρ οὐδέν ἐστιν, ἢ ὁρμὴ ἄλογος· ἀλόγῳ δὲ οὐδὲν λογικὸν ἀνύεσθαι δυνατόν. ἐπεὶ καὶ οὗτος τοιαῦτα ἐφθέγγετο, καὶ οὐκ ἐθυμοῦτο. καὶ ὁ Ἠλίας ἔλεγεν, Ἕως πότε χωλανεῖτε ἐπ᾽ ἀμφοτέραις ταῖς ἰγνύαις ὑμῶν; καὶ οὐκ ἐθυμοῦτο. καὶ ὁ Φινεὲς ἔσφαξε, καὶ οὐκ ἐθυμοῦτο. ὁ γὰρ θυμὸς οὐκ ἀφίησιν ἰδεῖν, ἀλλὰ καθάπερ ἐν νυκτομαχίᾳ πάντα συνδήσας, καὶ ὀφθαλμοὺς, καὶ ὦτα, οὕτως ἄγει, ὅπουπερ ἂν ἐθέλῃ. ἀπαλλαγῶμεν οὖν τούτου τοῦ δαίμονος, ἀρχόμενοι αὐτοὶ καταστέλλωμεν, τὴν σφραγῖδα ἐπιθῶμεν τῷ στήθει καθάπερ τινὰ χαλινόν. κύων ἐστὶν ἀναιδὴς ὁ θυμός· ἀλλὰ μαθέτω ἀκούειν τοῦ νόμου. ἂν ἡ κύων ἐν ποίμνῃ οὕτως ἄγριος, ὡς μὴ πείθεσθαι προστάττοντι τῷ βουκόλῳ, μηδὲ ἐπιγινώ-

Πράξ. ς. ιε.

γρ. πνεῦμα

γρ. διαλογισμῶν περὶ φιλ.

γρ. καὶ οὕτως

γρ. ἀνήρτοσθαι

γρ. ῥύμης

γρ. εἴποις

γ. Βασ. ιη.

Ἀριθ. κε.

ὧν φησιν· ὧν ἐξῶσεν ὁ Θεὸς ἀπὸ προσώπου τῶν πατέρων ἡμῶν. τοῦτο δὲ εἶπε, δεικνὺς πάλιν ὅτι οὐκ ἦν τότε ναός. τί λέγω; τοσαῦτα θαύματα, καὶ οὐδαμοῦ ναός· οὕτω καὶ προῆγε σκηνή, καὶ οὐδαμοῦ ναὸς ἕως τῶν ἡμερῶν Δαβίδ· καὶ Δαβίδ, καὶ οὐδαμοῦ ναός. καὶ ᾐτήσατο εὑρεῖν χάριν ἐνώπιον τοῦ Θεοῦ. ᾐτήσατο, καὶ οὐκ ᾠκοδόμησεν. οὕτως οὐκ ἦν μέγα τι ὁ ναός, εἰ καὶ ἐνόμισάν τινες μέγαν εἶναι τὸν Σολομῶντα τῷ τὸν ναὸν οἰκοδομῆσαι, οἱ διὰ τοῦτο καὶ τοῦ πατρὸς αὐτὸν προεπέθεσαν. ὅτι δὲ οὐχὶ βελτίων ἦν τοῦ πατρὸς, ἀλλ' οὐδὲ ἴσος, μόνον δὲ ἀπὸ τῆς τῶν πολλῶν ὑπολήψεως, δῆλον αὐτὸ ἐποίησεν ἐπαγαγών· ἀλλ' οὐχ ὁ ὕψιστος* ἐν χειροποιήτοις ναοῖς κατοικεῖ, καθὼς ὁ προφήτης φησίν· Ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου. οὐδὲ γὰρ ταῦτα ἄξια Θεοῦ, εἴγε ποιήματά ἐστιν, εἴγε τῆς χειρὸς αὐτοῦ ἔργα. ὅρα πῶς αὐτοὺς κατὰ μικρὸν ἀνάγει. δείκνυσι γὰρ διὰ τοῦ προφήτου, ὅτι οὐδὲ ταῦτα ἔξεστι Θεοῦ ἄξια λέγειν. * καὶ τίνος ἕνεκεν, φησιν, ἐνταῦθα καταφορικῶς τῷ λόγῳ κέχρηται; πολλὴ ἦν ἡ παρρησία μέλλοντος αὐτοῦ ἀποθνήσκειν. καὶ γὰρ καὶ τοῦτο οἶμαι αὐτὸν ἐξ ἀποκαλύψεως εἰδέναι.

χ. ὅτι εἰ καὶ προῆγε σκ. ἀλλ' οὐδ.
* φησι.
χ. ἀλλ' εἰ
* καὶ πάλιν ὁ [illegible] μετὰ παρρησίας καὶ παρρησίας
χ. τῇ καρδίᾳ

Ἱερ. θ. κθ. — Ἰεζ. μδ. θ.

51 Σκληροτράχηλοι, καὶ ἀπερίτμητοι τῇ καρδίᾳ καὶ τοῖς ὠσί. Καὶ τοῦτο προφητικόν· οὐδὲν αὐτοῦ ἴδιον. Ὑμεῖς ἀεὶ τῷ πνεύματι τῷ ἁγίῳ ἀντιπίπτετε· ὡς οἱ πατέρες ὑμῶν, καὶ ὑμεῖς. Ὅτε οὐκ ἐβούλετο θυσίας εἶναι, ὑμεῖς ἐθύετε· ὅτε βούλεται, πάλιν οὐ θύετε· ὅτε οὐκ ἤθελε δοῦναι ὑμῖν προστάγματα, ἐπεσπάσασθε· ὅτε ἐλάβετε, ἠμελήσατε· πάλιν ὅτε εἱστήκει ὁ ναὸς, εἴδωλα ἐθεραπεύετε· ὅτε βούλεται χωρὶς ναοῦ θεραπεύεσθαι, τὸ ἐναντίον ποιεῖτε. ὅρα, οὐκ εἶπε, τῷ Θεῷ ἀντιπίπτετε, ἀλλὰ, τῷ πνεύματι. οὕτως οὐδεμίαν οἶδε διαφοράν. καὶ τὸ μεῖζον, ὡς οἱ πατέρες ὑμῶν, φησι, καὶ ὑμεῖς. οὕτω καὶ ὁ Χριστὸς ὠνείδιζεν, ἐπειδὴ μεγάλα ἀεὶ ἐπὶ τοῖς πατράσιν ηὔχουν.

52 Τίνα τῶν προφητῶν οὐκ ἐδίωξαν οἱ πατέρες ὑμῶν, καὶ ἀπέκτειναν, τοὺς προκαταγγείλαντας περὶ τῆς ἐλεύσεως τοῦ δικαίου; Ἔτι τοῦ δικαίου λέγει, βουλόμενος αὐτοὺς καταπλῆξαι. Οὗ νῦν ὑμεῖς προδόται καὶ φονεῖς γεγένησθε. Δύο αὐτοῖς ἐγκαλεῖ, ὅτι τε ἠγνόησαν, καὶ ὅτι ἐφόνευσαν.

53 Οἵτινες ἐλάβετε τὸν νόμον εἰς διαταγὰς ἀγγέλων, καὶ οὐκ ἐφυλάξατε.

Τί ἐστι τοῦτο; τινές φασι τὸν ὑπὸ ἀγγέλων λέγει διαταχθέντα· οὐκ ἔστι δέ. ποῦ γὰρ ἄγγελοι νόμον ἐφάνησαν διατάττοντες; ἀλλὰ διαταχθέντα νόμον λέγει, τὸν ἐγχειρισθέντα αὐτῷ δι' ἀγγέλου τοῦ ὀφθέντος αὐτῷ ἐν τῇ βάτῳ. μὴ γὰρ ἄνθρωπος ἦν; οὐδὲν οὖν θαυμαστὸν τούτους ἐκεῖνα ποιήσοντας, φησι, καὶ ταῦτα ποιῆσαι. Εἰ τοὺς καταγγείλαντας ἀνείλετε, πολλῷ μᾶλλον αὐτόν. ἐνταῦθα καὶ Θεῷ, καὶ τοῖς ἀγγέλοις αὐτοῦ, καὶ τοῖς προφήταις, καὶ τῷ πνεύματι, καὶ πᾶσι δείκνυσιν ἀπειθοῦντας, καθὼς καὶ ἑτέρωθι φησὶν ἡ γραφή· Κύριε, τοὺς προφήτας σου ἀπέκτειναν, καὶ τὰ θυσιαστήριά σου κατέσκαψαν. οἱ τοίνυν ἀντιποιούμενοι λόγῳ τοῦ νόμου, ἔλεγον· Εἰς Μωϋσῆν βλασφημεῖ. ὁ δὲ δείκνυσιν, ὅτι αὐτοὶ βλασφημοῦσι [μᾶλλον,] οὐ μόνον εἰς Μωϋσῆν, ἀλλὰ καὶ εἰς Θεόν· καὶ ὅτι αὐτοὶ ἄνωθεν τοιαῦτα ποιοῦσι, καὶ ὅτι αὐτοὶ τὰ ἔθη κατέλυσαν, καὶ ὅτι οὐ χρεία τούτων λοιπόν· καὶ ὅτι ἐγκαλοῦντες καὶ λέγοντες Μωϋσῆν ἐνυβρίζεσθαι αὐτόν, αὐτοὶ τῷ πνεύματι ἠναντιοῦντο· καὶ οὐχ ἁπλῶς, ἀλλὰ καὶ μετὰ φόνου, καὶ ἄνωθεν εἶχον τὴν ἔχθραν. ὁρᾷς ὅτι καὶ Μωϋσῇ καὶ πᾶσι δείκνυσιν ἐναντιουμένους αὐτούς, καὶ τὸν νόμον μὴ φυλάττοντας; καίτοιγε Μωϋσῆς εἶπε, Προφήτην ὑμῖν ἀναστήσει Κύριος· καὶ οἱ ἄλλοι δὲ τοῦτον ἐλεύσεσθαι προύλεγον· καὶ ὁ προφήτης λέγων, Ποῖον οἶκον οἰκοδομήσετέ μοι; καὶ πάλιν· Μὴ σφάγια καὶ θυσίας προσηνέγκατέ μοι ἔτη τεσσαράκοντα; τοῦτο παρρησία ἀνδρὸς τὸν σταυρὸν ἔχοντος.

γ. Βασ. ιθ. ι. — Πραξ. γ. κα. — Δευτ. ιη. ιε.

ΗΘΙΚΟΝ. — Ψαλ. ριη. μς.

Μιμώμεθα τοίνυν καὶ ἡμεῖς ταύτην· εἰ καὶ πολέμου οὐκ ἔστι καιρὸς, ἀλλὰ παρρησίας ἀεὶ καιρός ἐστιν. Ἐλάλουν γάρ, φησιν, ἐν τοῖς μαρτυρίοις σου ἐναντίον βασιλέων, καὶ οὐκ ᾐσχυνόμην.

ἑαυτῷ ὁ Μωϋσῆς. ἀλλ' ἴδωμεν πόθεν τὰ εἰρημένα. οὗτός ἐστι, φησὶ, Μωϋσῆς, ὁ εἰπὼν, προφήτην ὑμῖν ἀναστήσει Κύριος ὡς ἐμέ. πρὸς τοῦτο οἶμαι τὸν Χριστὸν εἰπεῖν ἀναφέροντα, Ἐκ τῶν Ἰουδαίων ἡ σωτηρία ἐστὶν, ἐκ τούτων αἰνιττόμενον. οὗτός ἐστιν ὁ γενόμενος ἐν τῇ ἐρήμῳ (Ἰωαν. δ. κβ.) μετὰ τοῦ ἀγγέλου τοῦ λαλοῦντος αὐτῷ. ἰδοὺ πάλιν αὐτὸν δείκνυσι τὸν νόμον διδωκέναι, εἴγε μετ' αὐτὸν ἦν ἐν τῇ ἐκκλησίᾳ ἐν τῇ ἐρήμῳ. ἐνταῦθα δὲ καὶ θαύματος ἀναμιμνήσκει μεγάλου τοῦ ἐν τῷ ὄρει γεγενημένου. ὃς ἐδέξατο λόγια ζῶντα δοῦναι ἡμῖν. πανταχοῦ θαυμαστὸς ὁ Μωϋσῆς, καὶ πλεῖον ὅτι νομοθετεῖν ἔδει. τί ἐστι λόγια ζῶντα; ἤτοι ὧν τὸ τέλος διὰ λόγων ἐδείκνυτο, ἤτοι τὰς προφητείας λέγει. εἶτα τὸ ἔγκλημα πῶς ἐπὶ τοὺς πατριάρχας, μετὰ τὰ σημεῖα καὶ τὰ θαύματα; μετὰ τὸ λαβεῖν λόγια ζῶντα· ᾧ οὐκ ἠθέλησαν, φησὶν, ὑπήκοοι γενέσθαι. καλῶς δὲ λόγια ζῶντα εἶπεν, ἵνα δείξῃ ὅτι εἰσὶ καὶ οὐ ζῶντα· περὶ ὧν καὶ Ἰεζεκιὴλ φησιν, ὡς ὅταν λέγῃ· Καὶ ἔδωκα ὑμῖν προστάγματα οὐ καλά. πρὸς τὰ τοιαῦτα (Ἰεζ. κ. κε.) οὖν εἶπε τὸ, ζῶντα. ἀλλ' ἀπώσαντο καὶ ἐστράφησαν τῇ καρδίᾳ αὐτῶν εἰς Αἴγυπτον· ἔνθα ἔστενον, ἔνθα ἐβόων, ὅτι τὸν Θεὸν ἐκάλουν. καὶ εἶπον τῷ Ἀαρών· ποίησον ἡμῖν θεοὺς, οἳ προπορεύσονται ἡμῶν. ὢ τῆς ἀνοίας. ποίησον, φησὶν, ἵνα προπορεύσωνται ἡμῶν. ποῦ; εἰς Αἴγυπτον. ὁρᾷς πῶς δυσαποσπάστως εἶχον τῶν ἐθῶν τῶν Αἰγυπτιακῶν; τί λέγεις; οὐκ ἀναμένεις τὸν ἐξαγαγόντα, ἀλλὰ ἀρνῇ τὴν εὐεργεσίαν, καὶ τὸν εὐεργέτην φεύγεις; καὶ ὅρα πῶς ὑβρίζουσιν. ὁ γὰρ Μωϋσῆς οὗτος, φασὶν, ὃς ἐξήγαγεν ἡμᾶς ἐκ γῆς Αἰγύπτου. οὐδαμοῦ Θεοῦ ὄνομα, ἀλλὰ πάντα τῷ Μωϋσεῖ ἐπιγράφουσι. καὶ ἔνθα μὲν αὐτοὺς εὐεργετεῖν ἦν, Μωϋσῆν φέρουσιν εἰς μέσον· ἔνθα δὲ πταίουσι νῦν, οὐκέτι Μωϋσῆν ἄγουσι. καὶ μὴν εἶπεν, ὅτι ἄνεισιν ὥστε λαβεῖν τὸν νόμον· οἱ δὲ οὐδὲ τεσσαράκοντα ἡμέρας ὑπέμειναν. ποίησον ἡμῖν θεούς. οὐκ εἶπον Θεὸν, ἀλλὰ θεούς. οὕτως ἐξεβακχεύθησαν, ὅτι οὐδὲ ἴσασιν ἃ λέγουσι. καὶ ἐμοσχοποίησαν ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ ἀνήγαγον θυσίας τῷ εἰδώλῳ. εἶδες ἀνοίας ὑπερβολήν. ἔνθα ἐφάνη Θεὸς τῷ Μωϋσεῖ, μοσχοποιοῦσιν οὗτοι καὶ θύουσι. καὶ εὐφραίνοντο, φησὶν, ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν. ἐφ' οἷς ἔδει ἐγκαλύπτεσθαι, ἔχαιρον. καὶ τί θαυμαστὸν, εἴγε ἀγνοοῦσι Χριστὸν, ὅπου καὶ τὸν Μωϋσέα καὶ τὸν Θεὸν τὸν δειχθέντα διὰ τοσούτων σημείων; οἱ δὲ οὐκ ἠγνόησαν μόνον, ἀλλὰ καὶ ὕβρισαν ἑτέρως, τὰ εἴδωλα ποιήσαντες. ἔστρεψε δὲ ὁ Θεὸς, καὶ παρέδωκεν αὐτοὺς λατρεύειν τῇ στρατιᾷ τοῦ οὐρανοῦ. ἐντεῦθεν λοιπὸν τὰ ἔθη ταῦτα, ἐντεῦθεν αἱ θυσίαι. αὐτοὶ πρότεροι ἐποίησαν θυσίας τοῖς εἰδώλοις. τοῦτο καὶ Δαβὶδ ἐπισημαινόμενος, λέγει· Καὶ ἐποίησαν μόσχον ἐν Χωρὴβ, καὶ προσεκύνησαν τῷ γλυπτῷ. (Ψαλ. ρε. ιθ.) ἐπεὶ περὶ τούτου οὐδαμοῦ θυσίας ὄνομα, ἀλλὰ προστάγματα ζῶντα, καὶ λόγια ζῶντα· οὐδαμοῦ πλὴν, ἀλλὰ θαύματα καὶ σημείων ἐπίδειξις. καθὼς γέγραπται ἐν βίβλῳ τῶν προφητῶν. ἐνταῦθα τὴν μαρτυρίαν οὐχ ἁπλῶς παρήγαγεν, ἀλλ' ἵνα δείξῃ τὸ μὴ εἶναι χρείαν θυσιῶν. καὶ ὅρα τί φησι. μὴ σφάγια καὶ θυσίας προσηνέγκατέ μοι ἔτη τεσσαράκοντα ἐν τῇ ἐρήμῳ; καὶ ἀνελάβετε τὴν σκηνὴν τοῦ Μολὸχ, καὶ τὸ ἄστρον τοῦ Θεοῦ ὑμῶν Ῥεμφὰν, τοὺς τύπους οὓς ἐποιήσατε προσκυνεῖν αὐτοῖς. ἐμφατικῶς ἐχρήσατο τῇ λέξει. ὃ δὲ λέγει, τοῦτό ἐστιν. οὐκ ἔχετε εἰπεῖν, ὅτι ἀπὸ τοῦ ἐμοὶ θύειν κἀκείνοις ἐθύετε· καὶ ταῦτα ἐν τῇ ἐρήμῳ, ἔνθα μάλιστα αὐτῶν προειστήκει. καὶ ἀνελάβετε τὴν σκηνὴν τοῦ Μολόχ. ἡ αἰτία τῶν θυσιῶν αὕτη. καὶ μετοικιῶ ὑμᾶς ἐπέκεινα Βαβυλῶνος. οὕτω καὶ ἡ αἰχμαλωσία κατηγορία τῆς κακίας. καὶ πῶς ἡ σκηνὴ, φησὶν, ἦν τοῦ μαρτυρίου; [ἀλλὰ] διὰ τοῦτο ἦν, ἵνα μάρτυρα τὸν Θεὸν ἔχωσιν. οὐκοῦν εἰς τοῦτο μόνον ἦν. κατὰ τὸν τύπον γὰρ, φησὶ, τὸν δειχθέντα σοι ἐν τῷ ὄρει. ὥστε ἐν τῷ ὄρει ἡ ὑπογραφὴ γέγονε. καὶ αὕτη δὲ ἐν τῇ ἐρήμῳ περιεφέρετο ἦν, καὶ οὐκ ἐν τόπῳ κειμένη. μαρτυρίου δὲ σκηνὴν, οὐκ ἄλλου τινὸς χάριν, ἢ τῶν θαυμάτων καὶ τῶν προσταγμάτων καλεῖ. ὅμως γοῦν καὶ αὕτη καὶ ἐκεῖνοι οὐκ εἶχον ναόν. ἄρα καὶ τὸν τύπον αὐτὸν αὐτὸς ὁ ἄγγελος ἔδωκεν. ἕως τῶν ἡμερῶν, φησὶ, Δαβίδ. ὥστε οὐκ ἦν ναὸς ἄχρι τότε· καίτοι καὶ τὰ ἔθνη ἐξέωσε. περὶ

ὧν

γρ. ὁ γενόμενος ἐν τῇ ἐκκλησίᾳ ἐν τῇ ἐρήμῳ, ὁ εἰπὼν τοῖς υἱοῖς τοῦ Ἰσραήλ. ὁρᾷς ὅτι ἐκεῖθεν ἡ ῥίζα καὶ ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων ἐστί; μετὰ τ.

γρ. τοῦ

γρ. -τον

γρ. οὖν

γρ. ἀνελθόντι

γρ. ἐποίησαν μόσχον ἐν Χωρὴβ ἐνταῦθα ἐφάνη ὁ Θεὸς τῷ Μωϋσῇ καὶ αὐτοὶ καὶ θυσίας τῷ εἰδώλῳ καὶ εὐφραίνοντο

γρ. καὶ εὐφραίνοντο, φησὶ διὰ τοῦτο καὶ ἑορτὴν καλεῖ

γρ. Ῥεφὰν

38 Οὗτός ἐστιν ὁ γενόμενος ἐν τῇ ἐκκλησίᾳ ἐν τῇ ἐρήμῳ μετὰ τοῦ ἀγγέλου τοῦ λαλοῦντος αὐτῷ ἐν τῷ ὄρει Σινᾶ, καὶ τῶν πατέρων ἡμῶν, ὃς ἐδέξατο λόγια ζῶντα δοῦναι ἡμῖν.

Πάλιν οὐδαμοῦ ναός, οὐδαμοῦ θυσία. Μετὰ τοῦ ἀγγέλου, φησίν, ἐδέξατο δοῦναι λόγια ζῶντα ἡμῖν. ἐνταῦθα δείκνυσιν ὅτι οὐχὶ σημεῖα ἐποίησε μόνον, ἀλλὰ καὶ νόμον ἔδωκεν, ὥσπερ ὁ Χριστός. καθάπερ οὖν οὗτος πρῶτον σημεῖα ποιεῖ, καὶ τότε νομοθετεῖ· οὕτω δὴ καὶ ὁ Χριστός. ἀλλ' οὐκ ἤκουσαν αὐτοῦ μαθόντες αἰεὶ ἀπειθεῖν μετὰ τὰ σημεῖα, μετὰ τὰ θαύματα τὰ ἐν τεσσαράκοντα ἔτεσι. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τοὐναντίον ἐπεδείξαντο. ὃ καὶ δηλῶν ἐπήγαγεν·

γ. τοῖς πατράσιν

γ. τὸ ἀπειθεῖν ἔχοντες

39 Ὧ οὐκ ἠθέλησαν ὑπήκοοι γενέσθαι οἱ πατέρες ἡμῶν, ἀλλ' ἀπώσαντο, καὶ ἐστράφησαν τῇ καρδίᾳ αὐτῶν εἰς Αἴγυπτον,

Ἐξοδ. λβ. α.

40 Εἰπόντες τῷ Ἀαρών· Ποίησον ἡμῖν θεούς, οἳ προπορεύσονται ἡμῶν. ὁ γὰρ Μωϋσῆς οὗτος, ὃς ἐξήγαγεν ἡμᾶς ἐκ γῆς Αἰγύπτου, οὐκ οἴδαμεν τί γέγονεν αὐτῷ.

41 Καὶ ἐμοσχοποίησαν ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ ἀνήγαγον θυσίας τῷ εἰδώλῳ, καὶ εὐφραίνοντο ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν.

Αμ. ε. κε.

42 Ἔστρεψε δὲ ὁ Θεός, καὶ παρέδωκεν αὐτοὺς λατρεύειν τῇ στρατιᾷ τοῦ οὐρανοῦ, καθὼς γέγραπται ἐν βίβλῳ τῶν προφητῶν· Μὴ σφάγια καὶ θυσίας προσηνέγκατέ μοι ἔτη τεσσαράκοντα ἐν τῇ ἐρήμῳ, οἶκος Ἰσραήλ;

43 Καὶ ἀνελάβετε τὴν σκηνὴν τοῦ Μολόχ, καὶ τὸ ἄστρον τοῦ Θεοῦ ὑμῶν Ῥεμφάν, τοὺς τύπους οὓς ἐποιήσατε προσκυνεῖν αὐτοῖς. καὶ μετοικιῶ ὑμᾶς ἐπέκεινα Βαβυλῶνος. Τὸ, παρέδωκεν, ἐνταῦθα, εἴασεν ἐστίν.

γ. Ῥεφάν, ἀλλ' Ῥεμφάν

Εξ. κϛ. μ.

44 Ἡ σκηνὴ τοῦ μαρτυρίου ἦν, φησίν, ἐν τοῖς πατράσιν ἡμῶν ἐν τῇ ἐρήμῳ· καθὼς διετάξατο ὁ λαλῶν τῷ Μωϋσῇ ποιῆσαι αὐτὴν κατὰ τὸν τύπον ὃν ἑωράκει. Καὶ σκηνῆς οὔσης, θυσίαι οὐκ ἦσαν. ὅτι δὲ οὐκ ἦσαν, ὁ προφήτης δῆλον ποιεῖ τοῦτο λέγων· μὴ σφάγια καὶ θυσίας προσηνέγκατέ μοι; ἡ σκηνὴ τοῦ μαρτυρίου ἦν, καὶ οὐδὲν ὠφέλησεν αὐτούς, ἀλλ' ἀνηλίσκοντο. οὔτε δὲ πρὸ τούτου αὐτοὺς τὰ σημεῖα, οὔτε μετὰ ταῦτα ὠφέλησεν.

Ἰησ. β. ιδ.

45 Ἣν καὶ εἰσήγαγον, φησί, διαδεξάμενοι οἱ πατέρες ἡμῶν. Ὁρᾷς, ὅτι ἐκεῖ τόπος ἅγιος ἐστίν, ἔνθα ἂν ᾖ [ὁ] Θεός; διὰ γὰρ τοῦτο καὶ ἐν τῇ ἐρήμῳ εἶπεν, ἵνα τόπον τόπῳ συγκρίνῃ. Εἶτα ἡ εὐεργεσία. Καὶ εἰσήγαγον, φησί, διαδεξάμενοι οἱ πατέρες ἡμῶν μετὰ Ἰησοῦ ἐν τῇ κατασχέσει τῶν ἐθνῶν, ὧν ἐξῶσεν ὁ Θεὸς ἀπὸ προσώπου τῶν πατέρων ἡμῶν ἕως τῶν ἡμερῶν τοῦ Δαβίδ,

45 Ὃς εὗρε χάριν ἐνώπιον τοῦ Θεοῦ, καὶ ᾐτήσατο εὑρεῖν σκήνωμα τῷ Θεῷ Ἰακώβ.

Ἠτήσατο οἰκοδομεῖν ὁ Δαβίδ, καὶ οὐ λαμβάνει ὁ μέγας, ὁ θαυμαστός· ἀλλ' οἰκοδομεῖ ὁ ἀπερριμμένος ὁ Σολομῶν. διὰ τοῦτό φησι·

γ. εὑρεῖν χάριν

γ. οὐκ ᾠκοδόμησεν

47 Σολομῶν δὲ ᾠκοδόμησεν αὐτῷ οἶκον·

β. Βασ. ζ. ιϛ.

48 Ἀλλ' οὐχ ὁ ὕψιστος ἐν χειροποιήτοις ναοῖς κατοικεῖ. Ἐδείχθη μὲν τοῦτο καὶ διὰ τῶν ἤδη λεχθέντων· δείκνυται δὲ καὶ διὰ φωνῆς προφητικῆς. καὶ ὅπως, ἄκουε τῶν ἑξῆς.

Καθὼς καὶ ὁ προφήτης λέγει,

Ησ. ξϛ. α.

49 Ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου. [καὶ] ποῖον οἶκον οἰκοδομήσετέ μοι, λέγει Κύριος, ἢ τίς τόπος τῆς καταπαύσεώς μου [ἐστίν];

50 Οὐχὶ ἡ χείρ μου ἐποίησε ταῦτα πάντα; Μὴ θαυμάζετε, φησίν, εἰ τοὺς [illegible] αὐτοῦ τὴν βασιλείαν ὁ Χριστὸς εὐεργετεῖ, εἴγε καὶ ἐπὶ Μωϋσέως τοῦτο γέγονε. καὶ οὐχ ἁπλῶς αὐτοὺς ἐξείλετο, ἀλλὰ καὶ ἐν τῇ ἐρήμῳ διήγαγεν. ὁρᾷς ὅτι δι' αὐτοὺς καὶ ἐκεῖνα τὰ σημεῖα; ὁ τῷ Θεῷ οὖν διαλεχθείς, ὁ ἐκ παραδόξου σωθείς, ὁ τοσαῦτα ἐργασάμενος καὶ δυνηθείς, δείκνυσιν ὅτι πάντως πληρωθῆναι δεῖ τὴν προφητείαν, καὶ οὐκ εἰσποιοῦται

γ. -ξεν

ἑαυτῷ

ταβαλλομένων οὐ τὸ πᾶν τῆς τροφῆ· ἐπεὶ μηδὲ ἐν αὐτῇ [τῇ] τῆς τροφῆς φύσει τὸ πᾶν ἐστι τρόφιμον· ἀλλ' ἔστι τὸ μὲν αὐτῆς εἰς διαχώρησιν μεριζόμενον, τὸ δὲ εἰς τροφήν. ἂν μὲν οὖν σύμμετρα δοὺς τέλειον κατεργασθῇ, τοῦτο γίνεται, καὶ τὴν οἰκείαν ἔλαβε χώραν· καὶ τὸ μὲν ὑγιὲς καὶ χρηστὸν εἰς τὸν οἰκεῖον ἀνέδραμε τόπον, τὸ δὲ φαῦλον καὶ ἄχρηστον ὑπεξῆλθε καὶ διεχώρησεν· ἂν δὲ πλῆθος ἐγχυθῇ, καὶ ὅσον αὐτοῦ τρόφιμον, καὶ τοῦτο γίνεται βλαβερόν. ὡς ἐπὶ ὑποδείγματος δὲ τοιοῦτόν [τι] ἐρῶ, ἵνα σαφέστερον ὃ λέγω ὑμῖν γένηται. τοῦ σίτου τὸ μέν ἐστι σεμίδαλις, τὸ δὲ ἄλευρον, τὸ δὲ πίτυρον. ἂν μὲν οὖν ἡ μύλη λάβῃ ἃ δύναται ἀλέσαι, ἀπέκρινε ταῦτα πάντα· ἂν δὲ πλέον ἐπιβάλῃς, πάντα συγκέχυται. πάλιν ὁ οἶνος ἂν τῆς προσηκούσης κατεργασίας τύχῃ καὶ τῆς τῶν ὡρῶν κράσεως, πρότερον μὲν πάντα ὁμοῦ γίνεται, μετὰ δὲ ταῦτα, τὸ μὲν αὐτοῦ εἰς τρύγα ὑφιζάνει, τὸ δὲ εἰς ἀφρὸν ἀναπέμπεται· τὸ δὲ μέσον εἰς ἀπόλαυσιν τῶν μετεχόντων, καὶ τοῦτό ἐστι τὸ χρηστόν, καὶ οὐκ ἄν ποτε ταχέως τοῦτο τραπείη· πρότερον δὲ οὔτε οἶνός ἐστιν, οὔτε τρύξ, πάντων μιχθέντων. τοῦτο καὶ ἐπὶ τῆς θαλάττης ἴδοι τις ἄν, ὅταν ὑπερβολὴ χειμῶνος γένηται. καθάπερ οὖν τότε τοὺς ἰχθύας ὁρῶμεν νεκροὺς ἐπιπλέοντας, καὶ τῷ πάχει τῆς ἰλύος πηρωθέντας τὰ ὄμματα· οὕτω δὴ καὶ ἐφ' ἡμῶν γίνεται. ὅταν γὰρ πολὺς ἄνωθεν ἐπιρρεύσῃ τῆς λαιμαργίας ὁ ὑετός, πάντα ἀνακινήσας, νεκροὺς ἐπιπλέειν ποιεῖ τοὺς λογισμοὺς τοὺς τέως ὑγιαίνοντας καὶ ἐν καθαρῷ ζῶντας. ἐπεὶ οὖν ἐκ τοσούτων ὑποδειγμάτων ὑμῖν ἀπεδείχθη πολλὴ ἡ βλάβη, παυσώμεθα μακαρίζοντες τούτους ἐφ' οἷς ταλανίζειν ἐχρῆν· δακρύοντες δὲ ἑαυτοὺς ἐφ' οἷς μακαρίζειν ἔδει, καὶ τὴν αὐτάρκειαν ἀγαπῶμεν. ἢ οὐκ ἀκούετε καὶ ἰατρῶν λεγόντων, ὅτι ἔνδεια μήτηρ ὑγιείας; ἐγὼ δὲ οὐχὶ τῆς σωματικῆς ὑγιείας μητέρα τὴν ἔνδειαν εἶναι, ἀλλὰ καὶ τῆς ψυχῆς λέγω. ταῦτα καὶ Παῦλος βοᾷ ὁ ὄντως ἰατρός, Ἔχοντες λέγων διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα. πειθώμεθα τοίνυν αὐτῷ, ἵνα ὑγιαίνοντες πράττωμεν ἃ δεῖ ποιεῖν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. α. Τιμ. ϛ. η.

χ. διαχωρούμενον. χ. περιχ. χ. ὑπεξ. χ. ἀλήθειν χ. ἀπόλαυσις χ. συντροφὴ τῶν ἰδίων χ. τοὺς ὑπὸ τῶν ψυχῶν εἰς τὸ βυθὸν δύνας μὴ δυνηθέντας. χ. ταλανίζειν χ. τότε χ. ἐν ἡμῖν ὑγιαίνοντας.

Λογ. ιζ. 35 ΤΟΥΤΟΝ ΤΟΝ ΜΩΥΣΗΝ, ΟΝ ΗΡΝΗσαντο εἰπόντες, Τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστὴν [ἐφ' ἡμᾶς,] τοῦτον ὁ Θεὸς ἀρχηγὸν καὶ λυτρωτὴν ἀπέστειλεν ἐν χειρὶ ἀγγέλου τοῦ ὀφθέντος αὐτῷ ἐν τῇ βάτῳ.

χ. ἄρχοντα

Σφόδρα τοῦτο κατάλληλον πρὸς τὴν προκειμένην ὑπόθεσιν. τοῦτον τὸν Μωϋσῆν, φησί. τοῦτον, ποῖον; τὸν κινδυνεύσαντα ἀπολέσθαι, τὸν ὑπ' αὐτῶν ἐξουθενηθέντα, ὃν ἠρνήσαντο εἰπόντες, Τίς σε κατέστησεν ἄρχοντα; καθάπερ καὶ τῷ Χριστῷ ἔλεγον, Οὐκ ἔχομεν βασιλέα, εἰ μὴ Καίσαρα. Ιωαν. ιθ. ιε. τοῦτον ὁ Θεὸς ἀρχηγὸν καὶ λυτρωτὴν ἀπέστειλε σὺν χειρὶ ἀγγέλου τοῦ εἰπόντος αὐτῷ, Ἐγώ εἰμι ὁ Θεὸς Ἀβραάμ. Ἐξοδ. γ. ϛ. ἐνταῦθα καὶ τὰ γινόμενα θαύματα διὰ Χριστοῦ δείκνυσι γεγενῆσθαι. οὗτος, τουτέστιν, ὁ Μωϋσῆς (καὶ ὅρα πῶς δείκνυσιν αὐτὸν λαμπρότερον)

χ. περιστήσαντο

36 Οὗτος, φησίν, ἐξήγαγεν αὐτούς, ποιήσας τέρατα καὶ σημεῖα ἐν γῇ Αἰγύπτῳ, καὶ ἐν ἐρυθρᾷ θαλάσσῃ, καὶ ἐν τῇ ἐρήμῳ ἔτη τεσσαράκοντα.

χ. Αἰγύπτου

37 Οὗτός ἐστιν ὁ Μωϋσῆς, ὁ εἰπὼν τοῖς υἱοῖς Ἰσραήλ, Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ. Δευτ. ιη. ιε. Τουτέστιν, ἐξουθενημένον ὡς ἐμέ, ἐπιβουλευθέντα. καὶ γὰρ ἐβουλήθη καὶ τοῦτον ἀνελεῖν Ἡρώδης, καὶ ἐν Αἰγύπτῳ διεσώθη, καθάπερ καὶ ἐκεῖνος παιδίον ὢν ἐπιβεβούλευτο.

χ. ἐπεβουλεύετο

38 Οὗτός

πενίᾳ, ἐπὶ ἀκτημοσύνῃ, ἐπὶ ὑγιείᾳ, ἐπὶ ταπεινοφροσύνῃ. ὁρᾷς ὅτι ἐν αὐταῖς αἱ ἀπολαύσεις; ὅσοι ἔξω χαρᾶς εἰσιν ἐνταῦθα, καὶ λύπης· [καὶ] ὅσοι ἔξω λύπης ἐνταῦθα, καὶ ἡδονῆς· καὶ οὕτως ταῦτά ἐστι τὰ ποιοῦντα ἀληθῆ χαράν, ἐπεὶ ἐκεῖνα οἴομαι μόνον ἔχει χαράς, τὸ δὲ πᾶν ἐν λύπῃ κεῖται. πόσην ἡδονὴν ὁ ἀλαζὼν ἔχει; πῶς διακόπτεται ἐν αὐτῷ τῷ ἀλαζονεύεσθαι, μυρίας ἑαυτῷ μηχανώμενος ὕβρεις, πολὺ τὸ μῖσος, μεγάλην τὴν ἀπέχθειαν, πολὺν τὸν φθόνον, πολλὴν τὴν βασκανίαν; καὶ γὰρ παρὰ τῶν μειζόνων ὑβρισθῇ, ἀλγεῖ· κἂν μὴ πάντων καταξιωθῇ, δάκνεται. ὁ δὲ ταπεινὸς ἐν πολλῇ ἐστι τῇ ἡδονῇ, παρ' οὐδενὸς προσδοκῶν τιμήν. ἂν μὲν [οὖν] τιμηθῇ, ἥσθη· ἂν δὲ μὴ τιμηθῇ, οὐκ ἤλγησεν, ἀλλ' ἀγαπᾷ ὅτι οὐκ ἐτιμήθη. μάλιστα δὲ αὐτὸν οὐδεὶς ἀτιμάζει. ἄρ' οὖν ἐκ τοῦ μὴ ζητεῖν τιμὴν καὶ τιμᾶσθαι, πολλὴ ἡ ἡδονή. ἐκεῖ δὲ τοὐναντίον· καὶ ζητεῖ τιμήν, καὶ οὐ τιμᾶται. οὐχ ὁμοίως δὲ ἥδεται τιμῇ ὁ ζητῶν αὐτήν, καὶ ὁ μὴ ζητῶν· ἐκεῖνος ὅσον ἂν λάβῃ, οὐδὲν ἡγεῖται εἰληφέναι ἐκ χρέους, καὶ τὸ μικρὸν δὲ ὡς τὸ πᾶν εἰληφὼς δέχεται. πάλιν ὁ τρυφῶν μυρία πράγματα ἔχει. καὶ ἐξ ἀκολασίας καὶ ὥσπερ ἀπὸ πηγῶν αὐτῷ τὰ τῶν προσόδων ἐπιρρέει, τὰ ἀπὸ τῆς τρυφῆς δεινὰ δέδοικε, καὶ τὸ ἄδηλον τοῦ μέλλοντος· ἐκεῖνος δὲ ἀεὶ ἐν ἀσφαλείᾳ ἐστὶ καὶ ἐν ἡδονῇ, ὁ ἐθίσας ἑαυτὸν ἐν λιτότητι διαίτης. οὐ γὰρ οὕτως ἑαυτὸν ταλανίζει, ὅτι μὴ μετέχει τραπέζης πολυτελοῦς, ὡς τρυφᾷ τὸ τοῦ μέλλοντος ἄδηλον μὴ δεδοικώς. τὰ δὲ ἐκ τῆς τρυφῆς ὅσα δεινά, οὐδεὶς ἀγνοεῖ. ἀναγκαῖον δὲ καὶ νῦν εἰπεῖν. διπλοῦς ὁ πόλεμος, τοῦ σώματος λέγω, καὶ τῆς ψυχῆς· διπλοῦς ὁ χειμών, διπλᾶ τὰ νοσήματα. καὶ οὐ τοῦτο μόνον· ἀλλ' ὅτι καὶ ἀνίατα καὶ μεγάλας φέρει ταῖς συμφοράς. ἀλλ' οὐχ ἡ εὐτέλεια τοιοῦτον· ἀλλὰ διπλῆ ἡ ὑγεία, διπλᾶ τὰ ἀγαθά. γ. φέρουσι ταῦτα

Σοφ. λα. κ. Ὕπνος ὑγείας, φησίν, ἐν ἐντέρῳ μετρίῳ. πανταχοῦ γὰρ τὸ μὲν σύμμετρον τροφή, τὸ δὲ ἄμετρον οὐκέτι. ὅρα γάρ. ἐπειδὰν μικρῷ πολὺν ξύλων ἐπιθῇς φορυτόν, καὶ οὐκέτι πῦρ τὸ λάμπον, ἀλλ' ὁ καπνὸς ὄψει σφόδρα ἀηδής. αἴρει λίαν ἰσχυρὸν καὶ μεγάλῳ φορτίον ἐπιθῇς τὸ τὴν ἰσχὺν ὑπερβαῖνον, καὶ ὄψει μετὰ τοῦ φορτίου χαμαὶ κείμενον καὶ ἐρριμμένον. πολὺν τὸν φόρτον ἔμβαλε τῷ πλοίῳ, καὶ χαλεπὸν εἰργάσω τὸ ναυάγιον. τοιοῦτον δή τι καὶ ἡ τρυφή ἐστι. καθάπερ γὰρ ἐπὶ τῶν ὑπεραντλουμένων πλοίων πολὺς ὁ θόρυβος τῶν ναυτῶν, τοῦ κυβερνήτου, τοῦ πρωρέως, τῶν ἐπιβατῶν, τὰ μὲν ἄνωθεν ῥιπτούντων εἰς τὸ πέλαγος, τὰ δὲ κάτωθεν· οὕτω δὴ καὶ ἐνταῦθα, τὰ μὲν ἄνωθεν ἐμοῦντες, τὰ δὲ κάτωθεν, καὶ ἐὰν οὐδὲν διαφθείροντες ἀπαλλάττωνται. γ. ἀπαλλάττονται. καὶ τὸ δὴ πάντων αἴσχιστον, ὅτι αὐτὸ τὸ στόμα τὴν χρῆσιν ἀναλαμβάνει τῶν ὄπισθεν μορίων, καὶ τῶν ἐκείνων ἀτιμότερον. εἰ δὲ ἐν τῷ σώματι τοσαύτη ἀσχημοσύνη, ἐννόησον ἐν τῇ ψυχῇ. καὶ γὰρ ἐκεῖ πάντα γνόφος, πάντα θύελλα, πάντα σκότος· πολλὴ τῶν λογισμῶν σύγχυσις πιεζομένων, θλιβομένων, τῆς ψυχῆς αὐτῆς τὴν ἐπήρειαν βοώσης. γ. ἡ κραυγή ἐντεῦθεν καὶ αὐτοὶ οἱ γαστριζόμενοι ἀλλήλοις αἰτιῶνται, δυσχεραίνουσι, σπεύδουσι τὸν ἔνδον ἀπορρίψαι κόπρον. γ. πάντων ἀλλήλους αἰτιωμένων, παρακαλούντων, δεομένων, τὸ ἔνδον ἀποθέσθαι τὸν κόπρον. ὅμως καὶ μετὰ τὸ ῥίψαι, οὐδὲ οὕτως ὁ σάλος παύεται· ἀλλὰ καὶ πυρετοὶ ἐντεῦθεν καὶ νόσοι. καί, φησι, νοσοῦσι καὶ ἀσχημονοῦσι· λόγος εἰκῇ ταῦτα διεξιών, καὶ νόσους ἡμῖν καταλέγων. νοσῶ γὰρ ἐγώ, καὶ σπῶμαι ἐγώ, καὶ ἀσχημονῶ ἐγὼ ὁ μὴ ἔχων φαγεῖν. τούτους δὲ οὐδὲ τρυφῶντας ἔστιν εὐπαθοῦντας ἰδεῖν, σφριγῶντας, χαίροντας, φερομένους ἐφ' ἵππων. οἴμοι. θρήνων γὰρ ἄξια ταῦτα τὰ ῥήματα. οὐδὲ δὲ ποδαλγοῦντας, οὐδὲ ἐπὶ δίφρων φερομένους, οὐδὲ καταδεσμουμένους πόδας ὁρῶμεν, εἰπέ μοι; καὶ εἰ μὴ τὸ πρᾶγμα ὕβριν ἐνόμιζον, καὶ ὀνειδιστικῶς με ταῦτα λέγειν ἡγοῦντο, ἤδη ἂν καὶ ὀνόμασι περιήγαγον αὐτούς. ἀλλ' εἰσί τινες, οἳ καὶ ὑγιαίνουσι, φησίν, ἐπειδὴ μὴ μόνον τρυφῇ προσανέχουσιν, ἀλλὰ καὶ πόνοις. ἐπεὶ δός μοι ἀνθρώπους διαπαντὸς πιαινομένους, ἀεὶ ἀνενέργητον κειμένους, μηδὲν ποιοῦντας, ἰδεῖν ὑγιαίνοντας. γ. ἀδιάλειπτον γ. μηδὲν φροντίζοντα· χάριν μυρ. ἰατρ. ἀλλ' οὐκ ἂν εὕροις. καὶ γὰρ μυρίων ἰατρῶν πλῆθος συνέλθῃ, ἐξελεῖν αὐτὸν οὐ μὴ δυνηθῇ τῶν νοσημάτων διηνεκῶς γαστριζόμενον. οὐδὲ γὰρ ἔχει τὸ πρᾶγμα φύσιν. ἐγὼ δὲ καὶ ἰατρικὸν ὑμῖν ἐρῶ λόγον. τῶν εἰς τὴν γαστέρα κα-

καταβαλλομένων

αὐτοῖς συγχωρεῖ. μέγα γὰρ ἡ θλῖψις ἀγαθόν. καὶ ὅτι ἀγαθόν, ἄκουε τοῦ Δαβὶδ λέγοντος· Ἀγαθόν μοι, Κύριε, ὅτι ἐταπείνωσάς με. [Ψαλ. ριη. οα.] εἰ δὲ τοῖς μεγάλοις καὶ θαυμαστοῖς ἀνδράσι μέγα ἡ θλῖψις, πολλῷ μᾶλλον ἡμῖν. Εἰ βούλεσθε δέ, καὶ αὐτὴν ἐφ᾽ ἑαυτῆς τὴν θλῖψιν ἐξετάσωμεν. ἔστω τις χαίρων σφόδρα καὶ γεγηθὼς καὶ διακεχυμένος· τί ἀσχημονέστερον, τί ἀνοητότερον τούτου; ἔστω τις ἀλγῶν καὶ ἀθυμῶν· τί τούτου φιλοσοφώτερον; διὰ τοῦτο καὶ ὁ σοφὸς παραινεῖ λέγων· [γ. διακεχυμένος] Κρεῖσσον εἰς οἰκίαν πένθους εἰσελθεῖν, ἢ εἰς οἰκίαν γέλωτος. [Ἐκκλησ. ζ. γ.] τάχα καὶ διαμωκᾶσθε τὰ λεγόμενα· πλὴν ἴδωμεν οἷος ἦν ὁ Ἀδὰμ ἐν τῷ παραδείσῳ, καὶ οἷος μετὰ ταῦτα ἦν· οἷος ἦν ὁ Κάϊν πρὸ τούτου, καὶ οἷος ἦν μετὰ ταῦτα. οὐχ ἕστηκεν ἐπὶ τῆς οἰκείας ἕδρας ἡ ψυχή· ἀλλ᾽ ὥσπερ ὑπό τινος πνεύματος αἴρεται τῆς ἡδονῆς καὶ κουφίζεται, οὐδὲν ἔχουσα βέβαιον. [γ. ῥεύματος] καὶ γὰρ καὶ περὶ τὰς ἐπαγγελίας ἐστὶν εὔκολος, καὶ περὶ τὰς ὑποσχέσεις πρόχειρος, καὶ πολὺς ὁ σάλος τῶν λογισμῶν. ἐντεῦθεν ἄκαιρος γέλως, φαιδρότης οὐκ ἔχουσα λόγον, ῥημάτων ὕθλος πολὺς καὶ περιττός. καὶ τί λέγω τοὺς ἄλλους; τῶν ἁγίων ἕνα προχειρισώμεθα, καὶ ἴδωμεν πῶς μὲν ἦν ἐν ἡδονῇ ζῶν, πῶς δὲ πάλιν ἐν ἀθυμίᾳ. Βούλεσθε οὖν τὸν Δαβὶδ αὐτὸν ἴδωμεν; ὅτε τοίνυν οὗτος ἐν ἡδονῇ ἦν καὶ ἐν χαρᾷ, ἀπὸ τῶν πολλῶν τροπαίων, ἀπὸ τῆς νίκης, ἀπὸ τῶν στεφάνων, ἀπὸ τῆς τρυφῆς, ἀπὸ τοῦ θάρρους, ὅρα οἷα καὶ εἶπε, καὶ ἔπραξεν. Ἐγὼ δὲ εἶπα ἐν τῇ εὐθηνίᾳ μου, φησίν, οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα. [Ψαλ. κθ. ζ.] ἐπειδὴ δὲ ἐν θλίψει γέγονεν, ἄκουσον τί λέγει· Καὶ ἐὰν εἴπῃ μοι, οὐ τεθέληκά σε, ἰδοὺ ἐγώ· ποιείτω μοι τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ. [β. Βασ. ιε. κς.] τί τούτων φιλοσοφώτερον τῶν ῥημάτων; ὅ,τι ἂν ᾖ τῷ Θεῷ, φησί, φίλον, ταῦτη ἔστω. καὶ πάλιν τῷ Σαοὺλ ἔλεγεν· Εἰ δὲ Κύριος ἐπισείει σε ἐπ᾽ ἐμέ, ὀσφρανθείη ἡ θυσία σου. [α. Βασ. κς. ιθ.] καὶ τότε μὲν ἐν θλίψει ὤν, καὶ ἐχθρῶν ἐφείδετο· μετὰ δὲ ταῦτα, οὐδὲ φίλων, οὐδὲ τῶν ἠδικηκότων οὐδέν. [γ. πρὸ δὲ τούτου] πάλιν ὁ Ἰακώβ, ὅτε ἐν θλίψει γέγονεν, ἔλεγεν· Ἐὰν δῷ μοι Κύριος ἄρτον φαγεῖν, καὶ ἱμάτιον περιβαλέσθαι· [Γεν. κη. κ.] καὶ ὁ τοῦ Νῶε υἱός, πρὸ μὲν τούτου οὐδὲν τοιοῦτον ἐποίησεν· ἐπειδὴ δὲ ἐθάρρησεν ὑπὲρ τῆς σωτηρίας, ἀκούεις οἷος γέγονεν ὑβριστής· καὶ ὁ Ἐζεκίας, ὅτε μὲν ἦν ἐν θλίψει, ὅρα οἷα ἐποίει ὑπὲρ τῆς σωτηρίας (σάκκον γὰρ περιεβάλετο, καὶ εἰς γῆν ἐκάθισε, καὶ ὅσα τοιαῦτα)· ἐπειδὴ δὲ γέγονεν ἐν ἡδονῇ, ἔπεσεν ἀπὸ τοῦ ὕψους τῆς καρδίας αὐτοῦ. διὰ τοῦτο καὶ Μωϋσῆς παραινεῖ λέγων· Φαγὼν καὶ πιὼν καὶ ἐμπλησθείς, μνήσθητι Κυρίου τοῦ Θεοῦ σου. [Δευτ. ς. ια.] [γ. πρόσεχε σεαυτῷ.] ἀπόκρημνος γάρ ἐστιν ὁ τόπος ὁ τῆς τρυφῆς, καὶ λήθην τοῦ Θεοῦ ἐμποιεῖ. ὅτε ἐθλίβοντο οἱ Ἰσραηλῖται, πολλῷ πλείους ἐγίνοντο· ἐπειδὴ δὲ αὐτοὺς εἴασε, τότε πάντες ἀπώλοντο. καὶ τί λέγω ἀπὸ τῶν παλαιῶν τὰ παραδείγματα; ἴδωμεν ἀφ᾽ ἡμῶν, εἰ δοκεῖ. ἡμεῖς ὅταν ἐν εὐπραγίᾳ ὦσιν οἱ πλείους, τετυφωμένοι γίνονται, πᾶσιν ἐχθροί, ὀργίλοι, τῆς ἐξουσίας παρούσης· ἀφαιρεθείσης δέ, ἥμεροι, ταπεινοί, πρᾶοι, τῆς οἰκείας φύσεως εἰς ἔννοιαν ἔρχονται. [γ. ἔχοντες] καὶ ὅτι οὕτως ἔχει, δείκνυσι καὶ ὁ Δαβὶδ λέγων· Ἐκράτησεν αὐτοὺς ἡ ὑπερηφανία εἰς τέλος, ἐξελεύσεται ὡς ἐκ στέατος ἡ ἀδικία αὐτῶν. [Ψαλ. οβ. ς.] ταῦτα δή μοι εἴρηται, ἵνα μὴ ἐκ παντὸς τρόπου τὴν χαρὰν ζητῶμεν. καὶ πῶς, φησίν, ὁ Παῦλος λέγει, Χαίρετε πάντοτε; οὐχ ἁπλῶς εἶπε, χαίρετε· ἀλλὰ προσέθηκεν, Ἐν Κυρίῳ. [Φιλ. δ. δ.] αὕτη μεγίστη χαρά. τοιαύτην [καὶ] οἱ ἀπόστολοι ἔχαιρον. χαρὰ κέρδος φέρουσα, ἡ ἀπὸ δεσμωτηρίων, ἡ ἀπὸ μαστίγων, ἡ ἀπὸ διωγμῶν, ἡ ἀπὸ τοῦ κακῶς ἀκούειν, ἡ ἀπὸ τῶν λυπηρῶν· πάντως ἔχουσα τὴν ἀρχὴν καὶ τὴν ῥίζαν καὶ τὴν ὑπόθεσιν· ὅθεν καὶ εἰς χρηστὸν ἀπαντᾷ τέλος· ἡ δὲ τοῦ κόσμου, τοὐναντίον· [γ. πάντων] ἄρχεται μὲν ἀπὸ τῶν ἡδέων, τελευτᾷ δὲ εἰς τὰ λυπηρά. οὐδὲ ἐγὼ κωλύω χαίρειν κατὰ Κύριον, ἀλλὰ καὶ σφόδρα παραινῶ. ἐμαστίζοντο οἱ ἀπόστολοι, καὶ ἔχαιρον· ἐδέδεντο, καὶ ηὐχαρίστουν· ἐλιθάζοντο, καὶ ἐκήρυττον. ταύτην καὶ ἐγὼ βούλομαι τὴν χαράν. ἀπ᾽ οὐδενὸς σωματικοῦ τὴν ἀρχὴν ἔχει, ἀλλ᾽ ἀπὸ πραγμάτων πνευματικῶν. οὐκ ἔστι τὸν κατὰ κόσμον χαίροντα, ὁμοῦ καὶ κατὰ Θεὸν χαίρειν. πᾶς γὰρ ὁ κατὰ κόσμον χαίρων, ἐπὶ πλούτῳ χαίρει, ἐπὶ τρυφῇ, ἐπὶ δόξῃ καὶ δυναστείᾳ, ἐπὶ ἀλαζονείᾳ· ὁ δὲ κατὰ Θεόν, ἐπὶ ἀτιμίᾳ τῇ δι᾽ αὐτόν, ἐπὶ πενίᾳ, [γ. πῶς γάρ; ὁ]

πῶς δείξας τὸν θυμὸν ἐπ' ἐκείνου, δείκνυσι τὸ ἥμερον ἐπὶ τούτου;

26 Τῇ τε ἐπιούσῃ ἡμέρᾳ ὤφθη αὐτοῖς μαχομένοις, καὶ συνήλασεν αὐτοὺς εἰς εἰρήνην, εἰπών· ἄνδρες ἀδελφοί ἐστε, ἵνα τί ἀδικεῖτε ἀλλήλους;

27 Ὁ δὲ ἀδικῶν τὸν πλησίον, ἀπώσατο αὐτὸν, εἰπών· τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ' ἡμᾶς;

28 Μὴ ἀνελεῖν με σὺ θέλεις, ὃν τρόπον ἀνεῖλες χθὲς τὸν Αἰγύπτιον;

Ioan. 19. 15. Ἀπὸ τῆς αὐτῆς γνώμης ταῦτα καὶ πρὸς τὸν Χριστὸν φαίνονται λέγοντες· Οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα. οὕτως ἔθος Ἰουδαίοις ἀδικεῖν εὐεργετουμένοις. Εἶδες ἄνοιαν; τὸν μέλλοντα σώζειν αὐτοὺς διαβάλλουσι, δι' ὧν φασιν, ὃν τρόπον ἀνεῖλες χθὲς τὸν Αἰγύπτιον. γρ. καὶ πόλιν ὅρα τὴν πολλὴν μοχθηρίαν. ἀλ. μακαρίαν. ἂν τρ.

29 Καὶ ἔφυγε Μωϋσῆς ἐν τῷ λόγῳ τούτῳ, καὶ ἐγένετο πάροικος ἐν γῇ Μαδιάμ, οὗ ἐγέννησεν υἱοὺς δύο. Φεύγει, καὶ οὐδὲ ἡ φυγὴ ἔσβεσε τὴν οἰκονομίαν, ὥσπερ οὐδὲ ὁ θάνατος.

30 Καὶ πληρωθέντων ἐτῶν τεσσαράκοντα, ὤφθη αὐτῷ ἐν τῇ ἐρήμῳ τοῦ ὄρους Σινᾶ ἄγγελος Κυρίου ἐν φλογὶ πυρὸς βάτου. Ὁρᾷς πῶς οὐδὲ χρόνῳ διακόπτεται ἡ οἰκονομία; ὅτε γὰρ φυγὰς ἦν, ὅτε ξένος, ὅτι πολὺν χρόνον ἐπὶ τῆς ἀλλοτρίας πεποίηκεν, ὡς καὶ παῖδας ποιῆσαι δύο, ὅτε οὐκέτι προσεδόκησεν ἀναστρέφειν, τότε ἄγγελος αὐτῷ ἐπιφαίνεται. τὸν υἱὸν τοῦ Θεοῦ ἄγγελον καλεῖ, καθάπερ καὶ ἄνθρωπον. καὶ ποῦ φαίνεται; ἐν τῇ ἐρήμῳ, οὐκ ἐν ναῷ. ὁρᾷς πόσα γέγονε θαύματα, καὶ οὐδαμοῦ ναὸς, οὐδαμοῦ θυσία; καὶ οὐδὲ ἐν ταύτῃ ἐν τῇ ἐρήμῳ ἁπλῶς, ἀλλ' ἐν τῇ βάτῳ.

31 Ὁ δὲ Μωϋσῆς ἰδὼν, ἐθαύμασε τὸ ὅραμα. προσερχομένου δὲ αὐτοῦ κατανοῆσαι, ἐγένετο φωνὴ Κυρίου πρὸς αὐτόν. Ἰδοὺ καὶ φωνῆς ἠξιώθη.

32 Ἐγὼ ὁ Θεὸς τῶν πατέρων σου, ὁ Θεὸς Ἀβραὰμ, καὶ ὁ Θεὸς Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακώβ.

Οὐ μόνον ἐν τούτῳ δείκνυσιν, ὅτι ὁ ὀφθεὶς αὐτῷ ἄγγελος, ἦν ὁ μεγάλης βουλῆς ἄγγελος, ἀλλὰ δείκνυσι καὶ τὴν φιλανθρωπίαν ὅσην ποιεῖται ὁ Θεὸς διὰ τῆς ἐπιφανείας.

Ἔντρομος δὲ γενόμενος Μωϋσῆς, οὐκ ἐτόλμα κατανοῆσαι.

33 Εἶπε δὲ αὐτῷ ὁ Κύριος· λῦσον τὸ ὑπόδημα τῶν ποδῶν σου. ὁ γὰρ τόπος, ἐν ᾧ ἕστηκας, γῆ ἁγία ἐστίν. Οὐδαμοῦ ναὸς, καὶ ὁ τόπος ἅγιος τῇ ἐπιφανείᾳ καὶ ἐνεργείᾳ τοῦ Χριστοῦ. πολλῷ θαυμαστότερος οὗτος τοῦ τόπου τοῦ ἐν τοῖς ἁγίοις τῶν ἁγίων. ἐκεῖ γὰρ οὐδαμοῦ ἐφάνη οὕτως ὁ Θεὸς, οὐδαμοῦ οὕτως ἔντρομος γέγονε Μωϋσῆς. Εἶδες τὴν φιλανθρωπίαν; ὅρα λοιπὸν καὶ τὴν κηδεμονίαν.

34 Ἰδὼν εἶδον τὴν κάκωσιν τοῦ λαοῦ μου, φησὶ, τοῦ ἐν Αἰγύπτῳ, καὶ τοῦ στεναγμοῦ αὐτῶν ἤκουσα, καὶ κατέβην ἐξελέσθαι αὐτούς. καὶ νῦν δεῦρο ἀποστελῶ σε εἰς Αἴγυπτον.

Ὅρα πῶς δείκνυσιν, ὅτι καὶ δι' εὐεργεσιῶν, καὶ διὰ κολάσεων, καὶ διὰ θαυμάτων ἐπήγετο αὐτοὺς, οἱ δὲ τὸν αὐτοῖς ἦσαν. οὕτως ἐντεῦθεν μανθάνομεν, ὅτι πανταχοῦ πάρεστιν ὁ Θεός. γρ. τοῦ

ΗΘΙΚΟΝ Ταῦτα ἀκούοντες καὶ ἡμεῖς, ἐν ταῖς θλίψεσι πρὸς αὐτὸν καταφεύγωμεν. καὶ τοῦ στεναγμοῦ αὐτῶν, φησὶν, ἤκουσα. οὐχ ἁπλῶς εἶπεν, ἤκουσα, ἀλλὰ διὰ τὰς συμφοράς. εἰ δέ τις λέγοι, καὶ τίνος ἕνεκεν αὐτοὺς εἴασε κακωθῆναι οὕτως; ἀκουέτω, ὅτι μάλιστα μὲν ὅσῳ πάντη δικαίων αἱ κακώσεις ἄπαυστοι μισθὸν γίνονται· ἔπειτα δὲ διὰ τοῦτο αὐτοὺς ἀφῆκε κακοῦσθαι, ἵνα τὴν αὐτοῦ δύναμιν καὶ ἐντεῦθεν δείξῃ διαλάμπουσαν, κἀκείνους δι' ὧν ἐκακοῦντο, εἰς πάντα παιδεύσῃ φιλοσοφεῖν. ὅρα γοῦν ὅτε ἦσαν ἐν τῇ ἐρήμῳ, οὐ μόνον ἐλιπάνθησαν, ἐπαχύνθησαν, ἐπλατύνθησαν· ἀλλὰ καὶ ἐγκατέλιπον τὸν Θεόν. πανταχοῦ γὰρ ἡ ἄνεσις, ἀγαπητὲ, κακόν. διὰ τοῦτο καὶ ἐξ ἀρχῆς τῷ Ἀδὰμ ἔλεγεν· Ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου. ἵνα τοίνυν ἐκ τῆς πολλῆς κακώσεως εἰς ἄνεσιν ἐλθόντες μὴ ὑβρίσωσι, θλίβεσθαι αὐτοὺς γρ. αἱ ἄπαυστοι

Γεν. γ. ιθ.

φησὶ, ζηλώσαντες. εἶτα οὐ βλάπτει, χαρίζεται αὐτοῖς. παρελάσας δέ φησι τοὺς προγόνους ἐπεὶ καὶ ἐν τούτοις μέγα ἐφρόνουν. ἄλλως δὲ, καὶ δείκνυσιν ὅτι οἱ ἅγιοι οὐχὶ ἐκτὸς ἦσαν θλίψεως· ἀλλ' ὅτι καὶ ἐν αὐταῖς ὄντες μέσαις ταῖς θλίψεσι βοηθείας ἐτύγχανον. οἱ δὲ οὐ μόνον οὐκ ἔλυον, ἀλλὰ καὶ συνέπραττον τοῖς θλίβουσιν, ὀφείλοντες μᾶλλον καὶ τὰς διακόπτειν. ὥσπερ οὖν οὗτοι τὸν Ἰωσὴφ ἐνδοξότερον ἐποίησαν ἀποδόμενοι· οὕτως ὁ βασιλεὺς τὸν Μωϋσῆν, κελεύσας ἀναιρεῖσθαι τὰ παιδία. εἰ μὴ γὰρ ἐκέλευσεν, οὐκ ἂν τοῦτο ἐγένετο. καὶ σκόπει Θεοῦ κηδεμονίαν. ὥσπερ γὰρ ἐκεῖνος φυγαδεύει τὸν Μωϋσῆν, ὁ δὲ οὐ κωλύει, τὸ μέλλον οἰκονομῶν, ἵνα ἐκεῖ τῆς ὄψεως τύχῃ ἄξιος γενόμενος, οὕτω καὶ τὸν δοῦλον τὸν πραθέντα ἐκεῖ ποιεῖ βασιλέα, ἔνθα ἐνομίζετο δοῦλος εἶναι. ὥσπερ δὲ οὗτος ἐκεῖ βασιλεύει, ἔνθα αὐτὸν ἐπώλησαν· οὕτω καὶ ὁ Χριστὸς ἐν τῷ θανάτῳ τὴν δύναμιν ἐπιδείκνυται. τοῦτο οὐχὶ τιμῆς μόνον ἦν, ἀλλὰ καὶ τοῦ θαρρεῖν τῇ οἰκείᾳ δυνάμει. [ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα.]

χ. ..λάειν

10 Καὶ κατέστησεν αὐτὸν ἡγούμενον ἐπ' Αἴγυπτον καὶ ὅλον τὸν οἶκον αὐτοῦ.

Ὅρα διὰ λιμὸν οἷα κατασκευάζει. ἐν ἑβδομήκοντα καὶ πέντε ψυχαῖς κατέβη, φησὶν, Ἰακὼβ εἰς Αἴγυπτον, καὶ ἐτελεύτησεν αὐτὸς καὶ οἱ πατέρες ἡμῶν, καὶ μετετέθησαν εἰς Συχὲμ, καὶ ἐτέθησαν ἐν τῷ μνήματι, ὃ ὠνήσατο Ἀβραὰμ τιμῆς ἀργυρίου παρὰ τῶν υἱῶν Ἐμμὸρ τοῦ Συχέμ. δείκνυσιν ὅτι οὐδὲ μέχρι ταφῆς κύριοι ἦσαν. καθὼς δὲ ἤγγιζεν ὁ χρόνος τῆς ἐπαγγελίας, ἧς ὤμοσεν ὁ Θεὸς τῷ Ἀβραὰμ, ηὔξησεν ὁ λαὸς, καὶ ἐπληθύνθη ἐν Αἰγύπτῳ, ἄχρις οὗ ἀνέστη βασιλεὺς ἕτερος, ὃς οὐκ ᾔδει τὸν Ἰωσήφ. ὅρα ὅτι οὐδὲ ἐν τοῖς τοσούτοις ἔτεσιν αὐτὸν αὔξει, ἀλλ' ὅτι ἔμελλεν ἐγγίζειν τὸ τέλος· καίτοι ἤδη τετρακόσια ἔτη ἦν παρεληλυθότα καὶ * πλείονα ἐν Αἰγύπτῳ. τὸ γοῦν θαυμαστὸν τοῦτό ἐστιν.

χ. τετρακοσίοις
* τὰ

19 Οὗτος, φησὶ, κατασοφισάμενος τὸ γένος ἡμῶν, ἐκάκωσε τοὺς πατέρας ἡμῶν τοῦ ποιεῖν ἔκθετα τὰ βρέφη αὐτῶν εἰς τὸ μὴ ζωογονεῖσθαι.

Κατασοφισάμενος εἶπεν, αἰνιττόμενος τὴν λάθρα ἀναίρεσιν. οὐ γὰρ ἐβούλετο φανερῶς αὐτοὺς ἀναιρεῖν. διὸ καὶ ἐπήγαγε τοῦτο δηλῶν, τοῦ ποιεῖν ἔκθετα τὰ βρέφη. 20 Ἐν ᾧ καιρῷ ἐγεννήθη Μωϋσῆς, καὶ ἦν ἀστεῖος τῷ Θεῷ. Τοῦτο τὸ θαυμαστὸν, ὅτι ὁ προστάτης μέλλων ἔσεσθαι, οὐδὲ μετὰ ταῦτα, οὐδὲ πρὸ τούτου, ἀλλ' ἐν αὐτῷ μέσῳ τῷ θυμῷ τίκτεται, καὶ ἀνετράφη μῆνας τρεῖς ἐν τῷ οἴκῳ τοῦ πατρός. ὅτε τοίνυν τὰ ἀνθρώπινα ἀπηλπίσθη, καὶ ἔρριψαν αὐτὸν, τότε τοῦ Θεοῦ ἡ οἰκονομία ἐδείχθη διαλάμπουσα.

χ. αὐεκτρέφεται
χ. εὐεργεσία

21 Ἐκτεθέντα δὲ αὐτὸν ἀνείλετο ἡ θυγάτηρ Φαραὼ, καὶ ἀνεθρέψατο αὐτὸν ἑαυτῇ εἰς υἱόν.

Οὐδαμοῦ ναὸς, οὐδαμοῦ θυσία, τοσούτων οἰκονομιῶν γινομένων. καὶ ἀνετράφη ἐν οἴκῳ βαρβαρικῷ,

22 Καὶ ἐπαιδεύθη, φησὶ, Μωϋσῆς πάσῃ σοφίᾳ Αἰγυπτίων. ἦν δὲ δυνατὸς ἐν λόγοις καὶ ἔργοις*. Ἐμοὶ θαυμάζειν ἐπέρχεται, πῶς τεσσαράκοντα ἔτη ἦν ἐκεῖ, καὶ οὐχ ἑάλω ἐκ τῆς περιτομῆς· μᾶλλον δὲ πῶς ἐν ἀσφαλείᾳ ὄντες τὰ αὐτῶν προορῶσι, καὶ οὗτος καὶ ὁ Ἰωσὴφ, ἵνα [καὶ] ἑτέρους σώσωσιν.

* καὶ παιδείᾳ καὶ κάμψεσιν

23 Ὡς δὲ ἐπληροῦτο αὐτῷ, φησι, τεσσαρακονταετὴς χρόνος, ἀνέβη ἐπὶ τὴν καρδίαν αὐτοῦ ἐπισκέψασθαι τοὺς ἀδελφοὺς αὐτοῦ τοὺς υἱοὺς Ἰσραήλ,

24 Καὶ ἰδών τινα ἀδικούμενον, ἠμύνατο, καὶ ἐποίησεν ἐκδίκησιν τῷ καταπονουμένῳ, πατάξας τὸν Αἰγύπτιον.

25 Ἐνόμιζε δὲ συνιέναι τοὺς ἀδελφοὺς αὐτοῦ, ὅτι ὁ Θεὸς διὰ χειρὸς αὐτοῦ δίδωσιν αὐτοῖς σωτηρίαν· οἱ δὲ οὐ συνῆκαν. Ὅρα πῶς τέως οὐ δοκεῖ φορτικὸς, ἀλλὰ τοσαῦτα δημηγορεῖ, καὶ ἀκούειν ἀνέχονται· οὕτως αὐτοὺς τῇ τοῦ προσώπου χάριτι εἷλεν. ἐνόμιζε, φησὶ, συνιέναι τοὺς ἀδελφούς. καίτοι διὰ τῶν ἔργων ἡ προστασία ἐγένετο, καὶ οὐκ ἦν συνέσεως ἐνταῦθα χρεία. ἀλλ' ὅμως οὐδὲ οὕτω συνίεσαν. ὁρᾷς πῶς μετ' ἐπιεικείας διαλέγεται, καὶ

χ. τοίνυν συν. ἐντ. χρεία γ.



Digitized by Google

13 Καὶ ἐν τῷ δευτέρῳ ἀνεγνωρίσθη Ἰωσὴφ τοῖς ἀδελφοῖς αὐτοῦ. Κατῆλθον ἀπεσταλμένοι, καὶ ἐκείνου εἰς χεῖρας κατέστησαν. τί οὖν αὐτός; οὐ μέχρι τούτου τὴν φιλαδελφίαν ἐπεδείξατο, ἀλλὰ τῷ Φαραὼ ἐγνώρισε, καὶ αὐτοὺς κατήγαγε. Καὶ φανερὸν ἐγένετο τῷ Φαραὼ τὸ γένος τοῦ Ἰωσήφ.

14 Ἀποστείλας δὲ Ἰωσὴφ, μετεκαλέσατο τὸν πατέρα αὐτοῦ Ἰακὼβ καὶ πᾶσαν τὴν συγγένειαν αὐτοῦ, ἐν ἑβδομήκοντα καὶ πέντε ψυχαῖς.

15 Κατέβη δὲ Ἰακὼβ εἰς Αἴγυπτον, καὶ ἐτελεύτησεν αὐτὸς, καὶ οἱ πατέρες ἡμῶν,

16 Καὶ μετετέθησαν εἰς Συχὲμ, καὶ ἐτέθησαν ἐν τῷ μνήματι, ὃ ὠνήσατο Ἀβραὰμ τιμῆς ἀργυρίου παρὰ τῶν υἱῶν Ἐμμὸρ τοῦ Συχέμ.

17 Καθὼς δὲ ἤγγιζεν ὁ χρόνος τῆς ἐπαγγελίας, ἧς ὤμοσεν ὁ Θεὸς τῷ Ἀβραὰμ, ηὔξησεν ὁ λαὸς, καὶ ἐπληθύνθη ἐν Αἰγύπτῳ,

18 Ἄχρις οὗ ἀνέστη βασιλεὺς ἕτερος, ὃς οὐκ ᾔδει τὸν Ἰωσήφ. Πάλιν ἄλλη ἀνελπιστία· πρώτη μὲν, ὁ λιμός· δευτέρα, τὸ ἐμπεσεῖν εἰς χεῖρας τοῦ ἀδελφοῦ, καὶ τρίτη, τὸ αἱρεῖσθαι ψῆφον ἐκδοθεῖσαν ὑπὸ τοῦ βασιλέως· [γ. ἐχθροῦ] καὶ ὅμως διεσώθησαν ἀπὸ τούτων ἁπάντων. Εἶτα τὸ εὐμήχανον δείκνυσι τοῦ Θεοῦ, εἰπών·

20 Ἐν ᾧ καιρῷ ἐγεννήθη Μωϋσῆς, καὶ ἦν ἀστεῖος τῷ Θεῷ. [γ. καὶ] Εἰ ἐκεῖνο θαυμαστὸν, ὅτι ὑπὸ ἀδελφῶν ἐπράθη· ἀλλὰ τοῦτο θαυμαστότερον, ὅτι βασιλεὺς ἔτρεφεν αὐτὸν τὸν μέλλοντα καθαιρεῖν αὐτοῦ τὴν ἀρχὴν, αὐτὸς ὁ μέλλων ἀπόλλυσθαι. ὁρᾷς πανταχοῦ τῶν νεκρῶν σχεδὸν διατυπουμένην τὴν ἀνάστασιν; καίτοι οὐκ ἔστιν ἴσον αὐτὸν τὸν Θεὸν ποιεῖν, καὶ ἀπὸ προαιρέσεως αὐθεντίας [τι] γίνεσθαι. Ταῦτα γοῦν οὐκ ἀπὸ προαιρέσεως αὐθεντίας ἦν. [γ. μετὰ] Καὶ ἦν δυνατὸς ἐν λόγῳ καὶ ἔργῳ*. [γ. μετὰ] [* ὀφείλει ἀποδεῖν]

Τοῦτον εἶπε, καὶ αἴτιον σωτηρίας, καὶ τούτους περὶ τὸν εὐεργέτην ἀγνώμονας δείκνυσι. καθάπερ οὖν τότε ὑπὸ τοῦ κακῶς παθόντος τοῦ Ἰωσὴφ ἐσώθησαν· οὕτω καὶ νῦν ὑπὸ τοῦ κακῶς παθόντος ἐσώθησαν, τοῦ Μωϋσέως λέγω. τί γάρ, εἰ μὴ ἀνεῖλον αὐτὸν τῷ πράγματι; τῷ λόγῳ ἀνεῖλον, ὥσπερ κἀκεῖνοι. καὶ ἐκεῖνοι μὲν ἐκ τῆς αὐτῶν εἰς ἀλλοδαπὴν καὶ ξένην ἀπέδοντο· οὗτοι δὲ ἐκ τῆς ἀλλοτρίας εἰς ἀλλοτρίαν φυγαδεύουσι· καὶ ἐκεῖ μὲν τροφὴν ἀποφέρονται, ἐνταῦθα δὲ συμβουλεύοντα δι᾽ ὧν ἔσονται μετὰ Θεοῦ. οὕτως ἀληθὲς καὶ ἐκ τῶν νῦν [γ. ἦσαν μετὰ τοῦ Θεοῦ.] οἰκονομουμένων ἐκεῖνο τὸ ὑπὸ τοῦ Γαμαλιὴλ εἰρημένον, ὅτι ἐὰν ᾖ ἐκ τοῦ Θεοῦ, οὐ δυνήσεσθε καταλῦσαι αὐτό. σὺ δὲ τοὺς ἐπιβουλευομένους τῶν ἐπιβουλευόντων αἰτίους σωτηρίας γινομένους μανθάνων, ἐκπλάγηθι τοῦ Θεοῦ τὸ εὐμήχανον καὶ τὴν σοφίαν. εἰ μὴ γὰρ ἐκεῖνοι ἐπεβουλεύθησαν, οὐκ ἂν οὗτοι ἐσώζοντο. λιμὸς ἦν, καὶ οὐκ ἀνάλωσεν αὐτούς. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ δι᾽ ἐκείνου ἐσώθησαν, τοῦ προσδοκηθέντος ἀπολωλέναι. πρόσταγμα βασιλικὸν, [γ. ὑπὸ] καὶ οὐκ ἠφάνισεν αὐτούς· ἀλλὰ τότε μᾶλλον ηὔξετο τὸ πλῆθος, ὅτε ἐκεῖνος ἀπέθανεν [γ. ἀνάλωσεν] ὁ εἰδὼς αὐτούς. τὴν σωτηρίαν αὐτῶν ἐβουλήθησαν ἀνελεῖν, καὶ οὐδὲ οὕτως ἴσχυσαν. ὁρᾷς ὅτι δι᾽ ὧν ὁ διάβολος ἐπιχειρεῖ καταλύειν τὴν ἐπαγγελίαν τοῦ Θεοῦ, διὰ τούτων αὔξεται; τοῦτο καὶ αὐτὸς ἥρμοττε τότε εἰπεῖν, ὅτι εὐμήχανός ἐστιν ὁ Θεὸς καὶ ἀναγαγεῖν ἡμᾶς δυνατὸς ἐντεῦθεν. τὸ γὰρ εὐμήχανον τοῦ Θεοῦ μάλιστα τοῦτο ἦν, ὅτι καὶ ἐν τῇ ἀποστροφῇ ηὔξετο τὸ ἔθνος, δουλούμενοι καὶ κακούμενοι καὶ ἀναιρούμενοι.* τὸ μέγα τῆς ἐπαγγελίας τοῦτ᾽ ἔστιν. [* καὶ] εἰ γὰρ ἐπὶ τῆς αὐτῶν ηὔξετο, οὐχ οὕτω θαυμαστὸν ἦν. καὶ οὐδὲ μακρὸν χρόνον ἐπὶ τῆς ἀλλοτρίας ἦσαν, ἀλλὰ τετρακόσια ἔτη. ἐντεῦθεν μανθάνομεν ὡς φιλοσοφίαν ἐπεδείξαντο μεγάλην. καὶ γὰρ οὐχ ὡς δεσπόται δούλοις αὐτοῖς ἐχρῶντο, ἀλλ᾽ ὡς ἐχθροὶ καὶ τύραννοι. διὸ καὶ προεῖπεν, ὅτι ἐν ἐλευθερίᾳ ἔσονται μεγάλῃ. τοῦτο γάρ ἐστι τὸ, λατρεύσουσί μοι· καὶ [ὅτι] ἐνταῦθα ἐπιμελεύσονται, φησί, καὶ [οὐκ] ἀτιμωρητί. καὶ ὅρα πῶς δοκεῖ μέν τι χαρίζεσθαι τῇ περιτομῇ, οὐδὲν δὲ δίδωσιν· εἴγε ἡ μὲν ἐπαγγελία πρὸ ταύτης, αὕτη δὲ μετὰ ταῦτα. καὶ οἱ πατριάρχαι, φησί,

Digitized by Google

χ. καὶ ἡμῖν τό

πρᾶον; οὐχί, φησιν. οὕτω καὶ σύ. καὶ ἐπιπλήττης καὶ νουθετῇς, καθάπερ βλέπετωσάν σου οἱ ὀφθαλμοί. μὴ θολώσης τὸν νοῦν. ἐπεὶ πῶς ἡ θεραπεία γενήσεται; οὐκ ἔστιν ἐν τῇ αὐτῇ γαλήνῃ εἶναι ἀόργητον ὄντα καὶ ὀργιζόμενον. τί τοὺς διδασκάλους ἀπὸ τοῦ θρόνου καταστρέψας, οὕτω διαλέγῃ τῷ χαμαὶ κειμένῳ; οὐχ ὁρᾷς τοὺς δικάζοντας, οἳ ὅταν μέλλωσι κρίνειν, καθέζονται ἐπὶ τοῦ θρόνου καὶ ἐν σχήματι τῷ προσήκοντι; οὕτω καὶ σὺ ποίησον, κόσμησον τὴν ψυχὴν ἐσθῆτι δικαστικῇ (αὕτη δέ ἐστιν ἡ ἐπιείκεια) καὶ τότε ἐπὶ τοῦ θρόνου δικαστὴς κάθισον. ἀλλ᾽ οὐ φοβηθήσεται, φησί. μᾶλλον φοβηθήσεται. ὅτε καὶ δίκαια λέγῃς, τῷ θυμῷ λογίζεται ὁ οἰκέτης· ἂν δὲ μετ᾽ ἐπιεικείας, ἑαυτοῦ καταγνώσεται· τὸ δὲ προηγούμενον, ἀποδέξεταί σε ὁ Θεός, καὶ οὕτω δυνήσῃ τῶν αἰωνίων ἀγαθῶν ἐπιτυχεῖν, χάριτι [καὶ οἰκτιρμοῖς] καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ιϛ΄. 6 ΕΛΑΛΗΣΕ ΔΕ ΟΥΤΩΣ Ο ΘΕΟΣ [ΛΕΓΩΝ·] ὅτι ἔσται τὸ σπέρμα αὐτοῦ πάροικον ἐν γῇ ἀλλοτρίᾳ, καὶ δουλώσουσιν αὐτὸ καὶ κακώσουσιν ἔτη τετρακόσια, 7 Καὶ τὸ ἔθνος, ᾧ ἐὰν δουλεύσωσι, κρινῶ ἐγώ, εἶπεν ὁ Θεός. καὶ μετὰ ταῦτα ἐξελεύσονται, καὶ λατρεύσουσί μοι ἐν τῷ τόπῳ τούτῳ.

χ. πῶς
* καίτοι οὐδὲν ἔχουσιν αἰτιᾶσθαι ... κακόν
χ. ἐπαινοῦν

ΟΡα περὶ πόσων ἐτῶν ἡ ἐπαγγελία, καὶ ὁ τῆς ἐπαγγελίας τρόπος, καὶ οὐδαμοῦ θυσία, οὐδαμοῦ περιτομή. ἐνταῦθα δείκνυσιν ὅτι αὐτοὺς αὐτοὶ ἠφίεν κακῶς πάσχειν,* καὶ ὅτι οὐκ ἀτιμώρητα ταῦτα ἔσται. τὸ δὲ ἔθνος, ᾧ ἐὰν δουλεύσωσι, κρινῶ ἐγώ, εἶπεν ὁ Θεός. ὁρᾷς; ὁ ἐπαγγελλόμενος, ὁ δοὺς τὴν γῆν, περιορᾷ τὰ κακὰ συγχωρεῖ· οὕτω καὶ νῦν. εἰ καὶ βασιλείαν ἐπηγγείλατο, ἀλλ᾽ ἀφίησιν ἐγγυμνάζεσθαι τοῖς πειρασμοῖς. εἰ ἐνταῦθα μετὰ τετρακόσια ἔτη ἡ ἐλευθερία, τί θαυμαστὸν ἐπὶ τῆς βασιλείας εἰ τὸ αὐτὸ γέγονεν; ὅμως γοῦν ἐποίησε, καὶ οὐκ ἴσχυσεν ὁ χρόνος ὡς ψευδῆ ἐλέγξαι τὸν λόγον· καίτοι οὐ τὴν τυχοῦσαν δουλείαν ὑπέμειναν. οὐ μὴν οὐδὲ μέχρι τῆς τιμωρίας τῆς ἐκείνων ἔστη, ἀλλὰ καὶ αὐτοῖς χρηστὰ ἐπαγγέλλεται. ἐμοὶ δὲ δοκεῖ διὰ τούτων αὐτοὺς καὶ ἀναμιμνήσκειν τῆς εὐεργεσίας ἧς ἔτυχον.

χ. καὶ ὅμως ποιεῖ ψευδῆ ἰσχυρόν

8 Καὶ ἔδωκεν αὐτῷ διαθήκην περιτομῆς, καὶ οὕτως ἐγέννησε τὸν Ἰσαάκ.

Ἐνταῦθα [λοιπὸν] καθυφίησι· Καὶ περιέτεμεν αὐτὸν τῇ ἡμέρᾳ τῇ ὀγδόῃ· καὶ ὁ Ἰσαὰκ τὸν Ἰακώβ, καὶ ὁ Ἰακὼβ τοὺς δώδεκα πατριάρχας.*

* ἐνταῦθα δεικνῦσιν τὸν τύπον αὐτοῖς ... λοιπόν.

9 Καὶ οἱ πατριάρχαι ζηλώσαντες τὸν Ἰωσήφ, ἀπέδοντο εἰς Αἴγυπτον.

Τοῦτο καὶ ἐπὶ τοῦ Χριστοῦ γέγονε. καὶ γὰρ αὐτοῦ τύπος Ἰωσήφ. διὸ καὶ αἰνιττόμενος, τὴν ἱστορίαν δι᾽ ὅλου ἐπεξέεισιν. οὐδὲν γὰρ ἔχοντες ἐγκαλεῖν, ἀλλ᾽ ἐλθόντα ἐπὶ τροφὴν τὴν αὐτοῖς, κακῶς διέθηκαν. καὶ ὅρα ὅτι καὶ ἐνταῦθα πάλιν ἐπαγγελία μακρά, καὶ ὅμως τέλος λαμβάνει. Καὶ ἦν ὁ Θεός, φησι, μετ᾽ αὐτοῦ· Τοῦτο καὶ ὑπὲρ αὐτῶν·

10 Καὶ ἐξείλετο αὐτὸν ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ. Ἐνταῦθα δείκνυσιν, ὅτι οὐκ εἰδότες συνέπραττον τῇ προφητείᾳ, καὶ ὅτι αὐτοὶ αἴτιοι ἐγίνοντο, καὶ τὰ κακὰ εἰς αὐτοὺς περιετρέπετο. Καὶ ἔδωκεν αὐτῷ χάριν καὶ σοφίαν ἐναντίον Φαραὼ βασιλέως Αἰγύπτου. Χάριν ἔδωκε, καὶ ταῦτα ἐπὶ βαρβάρου ἀνδρός, τῷ δούλῳ, τῷ αἰχμαλώτῳ [ὃν οἱ μὲν] ἀδελφοὶ ἀπέδοντο, ἐκεῖνος δὲ ἐτίμησεν.

11 Ἐγένετο δέ, φησι, λιμὸς ἐφ᾽ ὅλην τὴν γῆν Αἰγύπτου καὶ Χαναάν, καὶ θλῖψις μεγάλη, καὶ οὐχ εὕρισκον χορτάσματα οἱ πατέρες ἡμῶν.

12 Ἀκούσας δὲ Ἰακὼβ ὄντα σῖτα ἐν Αἰγύπτῳ, ἐξαπέστειλε τοὺς πατέρας ἡμῶν πρῶτον·

τοῦ ἀδελφοῦ σου, φησί, βοᾷ πρός με. ἀλλ' ὁ Θεὸς ἀνώτερός ἐστιν ὀργῆς, φησίν. ἀλλὰ
διὰ τοῦτο κατῆλθεν ὁ τοῦ Θεοῦ υἱός, ἵνα σε Θεὸν ποιήσῃ κατὰ δύναμιν τὴν ἀνθρωπίνην.
ἀλλ' οὐ δύναμαι, φησίν, ἄνθρωπος ὤν. οὐκοῦν φέρε ἀνθρώπους σοι παραγάγωμεν. καὶ
μή με νομίσῃς Παῦλον ἐρεῖν, μηδὲ Πέτρον· ἀλλά τινας τῶν ἐλαττόνων καὶ σφόδρα κατωτέρω.
α. Βασ. α. ιδ. Τὸ παιδάριον Ἡλεὶ τὴν Ἄνναν ὕβριζε λέγων· Περιελοῦ τὸν οἶνόν σου. τί τούτου ὑβριστικώτε-
ρον; τί οὖν ἐκείνη; Γυνὴ ἐν σκληρᾷ ἡμέρᾳ ἐγώ εἰμι. οὐδὲν οὕτως θλίψεως ἴσον. φιλοσο-
φίας μήτηρ ἐστί. καίτοι αὕτη δὲ αὐτὴ καὶ τὴν ἀντίζηλον αὐτῆς ἔχουσα, οὐχ ὕβριζεν αὐτήν·
ἀλλὰ τί; πρὸς τὸν Θεὸν καταφεύγει, καὶ εὐχομένη οὐδὲ μέμνηται αὐτῆς, οὐδὲ λέγει, ἐπειδὴ
ὀνειδίζει με ἡ δεῖνα, ἐπάμυνόν μοι. οὕτω φιλόσοφος ἦν ἡ γυνή (αἰσχυνθῶμεν οἱ ἄνδρες)
καίτοι ἴστε ὅτι ζήλου ἴσον οὐδέν. ὁ τελώνης ὑβρισθεὶς παρὰ τοῦ Φαρισαίου, οὐκ ἀνθύβρισε
Λουκ. ιη. ι. (καίτοιγε εἰ ἐβούλετο ἐδύνατο) ἀλλὰ φιλοσόφως ἤνεγκε λέγων, Ἱλάσθητί μοι τῷ ἁμαρτω-
β. Βασ. ιϛ. β. λῷ. ὁ Μεμφιβοσθὲ ὑπὸ τοῦ δούλου κατηγορηθεὶς καὶ συκοφαντηθείς, οὐδὲν οὔτε εἶπεν, οὔτε ἔπραξεν
εἰς αὐτόν τι πονηρόν, οὐδὲ ἐπὶ τοῦ βασιλέως αὐτοῦ. βούλει καὶ πόρνης ἀκοῦσαι φιλοσοφίαν;
Ματθ. κα. λα. ἄκουσον τοῦ Χριστοῦ λέγοντος, ἡνίκα ταῖς θριξὶν αὐτῆς τοὺς πόδας ἀπέμαξε· Τελῶναι καὶ
πόρναι προάγουσιν ὑμᾶς εἰς τὴν βασιλείαν. εἶδες αὐτὴν ἐρῶσαν καὶ δακρύουσαν καὶ τὰ
οἰκεῖα ἁμαρτήματα ἀπολουομένην; ὅρα πῶς καὶ πρὸς τὸν Φαρισαῖον οὐκ ὠργίσθη ὀνειδιζο-
Λουκ. ζ. λθ. μένη. Εἰ ᾔδει γάρ, φησίν, ὅτι ἁμαρτωλός ἐστιν αὕτη ἡ γυνή, οὐκ ἂν εἴασεν αὐτήν. καὶ
οὐκ εἶπε πρὸς αὐτόν· τί γάρ, εἰπέ μοι; σὺ καθαρὸς ἀπὸ ἁμαρτημάτων εἶ; ἀλλὰ πλέ-
ον ἔκλαιε, πλέον ὠδύρετο [καὶ] θερμότερα τὰ δάκρυα ἠφίει. Εἰ δὲ γυναῖκες καὶ τελῶναι καὶ
πόρναι φιλοσοφοῦσι, καὶ ταῦτα πρὸ τῆς χάριτος, τίνος ἐσόμεθα ἡμεῖς ἄξιοι συγγνώμης, μετὰ
τὴν τοσαύτην χάριν, θηρίων μᾶλλον ἐκπολεμούμενοι, δάκνοντες καὶ λακτίζοντες; οὐδὲν χ. ἰσμέν
αἰσχρότερον θυμοῦ, οὐδὲν ἀτιμότερον, οὐδὲν δεινότερον, οὐδὲν ἀηδέστερον, οὐδὲν βλαβερώτε-
ρον. ταῦτα λέγω, οὐχ ἵνα πρὸς ἄνδρας ὦμεν ἥμεροι μόνον, ἀλλὰ κἂν γυνὴ λάλος ᾖ, ἵνα
φέρῃς. ἔστω σοι παλαίστρα καὶ γυμνάσιον ἡ γυνή. πῶς γὰρ οὐκ ἄτοπον, γυμνάσια μὲν ἀνα-
δέχεσθαι οὐδὲν κέρδος ἔχοντα, ἔνθα θλίβομεν σῶμα, γυμνάσια δὲ μὴ ποιεῖν οἴκαδε καὶ πρὸ
τῶν ἀγώνων στεφάνους ἡμῖν παρέχοντα; ὑβρίζει ἡ γυνή; μὴ γένῃ σὺ γυνή. γυναικῶδες γὰρ
τὸ ὑβρίζειν· νόσος ἐστὶ ψυχῆς, ἐλάττωμά ἐστι. μὴ νομίσῃς ἀνάξιόν σου εἶναι, ὅταν ἡ γυνὴ ὑ-
βρίσῃ. ἀνάξιον, ὅταν σὺ μὲν ὑβρίζῃς, ἐκείνη δὲ φιλοσοφῇ· τότε ἀσχημονεῖς, τότε ὑβρίσθης.
ἂν δὲ ὑβρισθεὶς ἐνέγκῃς, τῆς ἰσχύος τῆς σῆς πολλὴ ἡ ἐπίδειξις. οὐ γὰρ γυναῖκας ἐνάγων
εἰς ὕβρεις, ταῦτα λέγω (μὴ γένοιτο) ἀλλ' εἴ που καὶ συμβαίη κατὰ Σατανικὴν ἐπήρειαν, ἵνα
φέρητε. ἀνδρεῖόν ἐστι τὸ φέρειν τὸν ἰσχυρὸν τοὺς ἀσθενεῖς. κἂν οἰκέτης ἀντείπῃ; φιλοσόφησον
σύ· μὴ τί ἐκεῖνος ἄξιός ἐστιν ἀκοῦσαι, εἴπῃς ἢ πράξῃς, ἀλλὰ τί δεῖ σε καὶ ποιῆσαι καὶ εἰ-
πεῖν. μηδέποτε κόρην ὑβρίζων, αἰσχρὸν ῥῆμα ἐκβάλῃς· μηδέποτε οἰκέτην μιαρὸν εἴ-
πῃς. ἐκεῖνος οὐχ ὑβρίσθη, ἀλλὰ σύ. οὐκ ἔστιν ἐν ἑαυτῷ εἶναι τὸν ὀργιζόμενον, ὥσπερ οὐδὲ πε-
λάγους κυμαινομένου, ἢ πηγὴν ἠρέμα καθαράν, βορβόρου ποθὲν ἐμπεσόντος αὐτῇ· οὕτω πάν-
τα ἀναμίξ· μᾶλλον δὲ οὕτω πάντα ἄνω καὶ κάτω γίνεται. κἂν τυπτήσῃς, κἂν διαρρήξῃς τὸν
χιτωνίσκον, σὺ μείζονα τὴν βλάβην ὑπέμεινας· ἐκείνῳ μὲν γὰρ περὶ τὸ σῶμα καὶ περὶ τὴν
ἐσθῆτα ἡ πληγή, σοὶ δὲ περὶ τὴν ψυχήν. ἐκείνην διέτεμες, ἐκείνην ἔτρωσας· τὸν ἡνίοχον
ἔβαλες ἀπὸ τῶν ἵππων κάτω, ὕπτιον σύρεσθαι παρεσκεύασας. καὶ τοῦτο τί γένηται, ὅτι ἐὰν ἡνίο-
χος ἑτέρῳ ὀργιζόμενος ἕλοιτ' ἂν σύρεσθαι. κἂν ἐπιπλήττῃς, κἂν νουθετῇς, κἂν ὁτιοῦν ποιῇς,
ὀργῆς χωρὶς καὶ θυμοῦ. εἰ γὰρ ὁ ἐπιπλήττων ἰατρός ἐστι τοῦ ἁμαρτάνοντος, πῶς ἂν
δύναιτο θεραπεῦσαι ἕτερον, ἑαυτὸν πρότερον κακώσας, ἑαυτὸν μὴ θεραπεύων; εἴ
τις, εἰπέ μοι, ἰατρὸς πορεύοιτο ἕτερον θεραπεύειν, πρότερον τὴν χεῖρα τραυμα-
τίσας τὴν ἑαυτοῦ, πρότερον τοὺς ὀφθαλμοὺς πηρώσας, οὕτω ποιήσαι ἐκείνου τὴν ἰα-
τρείαν;

εἰ μὴ ὀδυνῶνται. οἱ μὴ μακαρίζουσι τοὺς ἐν πενίᾳ, τοὺς ἐν ὄρεσι, τοὺς ἐν φιλοσοφίᾳ πολλῇ ζῶντας. βούλει ἄνεσιν εὑρεῖν ἐκεῖ; θλίβηθι ἐν τούτοις διὰ τὸν Χριστόν. οὐδὲ ταύτης τῆς ἀνέσεως ἴσον. ἔχαιρον οἱ ἀπόστολοι μαστιζόμενοι. Παῦλος τοῦτο παραινεῖ λέγων, Χαίρετε ἐν Κυρίῳ. Φιλ. δ. δ.

καὶ πῶς ἔνι χαίρειν, φησὶν, ἔνθα δεσμά, ἔνθα βάσανοι, ἔνθα δικαστήρια; μάλιστα ἐν τούτοις χαίρειν ἔνι. πῶς δὲ ἔνι χαίρειν ἔνθα ταῦτα, μάνθανε. ὁ μηδὲν ἑαυτῷ συνειδὼς, μέγα πῶς ἥδεται. ὥστε ὅσῳ ἂν εἴπῃς τὴν θλῖψιν, τοσούτῳ λέγεις τὴν ἡδονήν. εἰπὲ γάρ μοι, ὁ μυρία τραύματα λαβὼν στρατιώτης καὶ ἐπανελθὼν, ἆρ᾽ οὐχὶ μετὰ πολλῆς ἐμπίπλαται τῆς ἡδονῆς, μετὰ παρρησίας ἀποδύσεως ἔχων τὰ τραύματα, λαμπρὸς ἐστι τότε καὶ εὐδοκιμώτερος; καὶ σὺ ἂν δυνηθῇς ῥῆξαι τὴν φωνὴν ἐκείνην, ἣν Παῦλος, ὅτι τὰ στίγματα τοῦ Ἰησοῦ βαστάζω, δυνήσῃ μέγας γενέσθαι καὶ λαμπρὸς καὶ εὐδόκιμος. ἀλλ᾽ οὐκ ἔστι διωγμός; στῆθι πρὸς δόξαν. κἂν εἴπῃ τις ἐναντίον τι, μὴ φοβηθῇς ἀκοῦσαι κακῶς διὰ Χριστόν. Γαλ. ϛ. ιζ. στῆθι πρὸς τύφου τυραννίδα, στῆθι πρὸς θυμοῦ μανίαν, στῆθι πρὸς ἐπιθυμίας βάσανον. καὶ ταῦτα στίγματά ἐστι, καὶ αὗται βάσανοι. εἰπὲ γάρ μοι, τί τὸ χαλεπώτατον τῶν βασάνων. [ἆρ᾽] οὐχ ὅτι ἡ ψυχὴ ἀλγεῖ καὶ καίεται; ἐκεῖ μὲν γὰρ κἂν τὸ σῶμα μερίζεται· ἐνταῦθα δὲ, τὸ πᾶν αὐτῆς ἐστι. περὶ αὐτὴν ἡ ὀδύνη, ὅταν ὀργίζηται, ὅταν βασκαίνῃ, ὅταν τι τοιοῦτον ποιῇ, μᾶλλον δὲ ὅταν πάσχῃ. οὐ γὰρ ποιεῖν τοῦτό ἐστιν, ἀλλὰ πάσχειν, τὸ ὀργίζεσθαι, τὸ φθόνον ἔχειν. διὰ τοῦτο καὶ πάθη καλεῖται ψυχῆς, καὶ τραύματα, καὶ ὠτειλαί. οὕτως γὰρ πάθος ἐστὶ, καὶ πάθους χαλεπώτερον. ἐννοήσατε οἱ ὀργιζόμενοι, ὅτι πάθη ταῦτα ποιεῖτε. οὐκοῦν ὁ μὴ ὀργιζόμενος οὐ πάσχει. ὁρᾷς ὅτι ὁ ὑβριζόμενος οὐ πάσχει, ἀλλ᾽ ὁ ὑβρίζων, ὅπερ ἔφην [καὶ] ἤδη; ὅτι γὰρ πάσχει, δῆλον μὲν καὶ ἀπὸ τοῦ πάθος καλεῖσθαι τὸ τοιοῦτον· δῆλον δὲ καὶ ἐκ τοῦ σώματος. ταῦτα γὰρ ἀπὸ ὀργῆς τίκτεται τὰ πάθη, ἀμβλυωπία, παραπληξία, καὶ μυρία ἕτερα. ἀλλὰ τὸν παῖδα ὕβρισε, φησιν, ἀλλὰ τὸν οἰκέτην. μὴ νομίσῃς εἶναι ἀσθένειαν τὸ μὴ καὶ αὐτὸς τοῦτο ποιῆσαι. εἰπὲ γάρ μοι, καλῶς γέγονεν; οὐκ οἶμαι εἴποις. οὐκοῦν μὴ ποιήσῃς τὸ μὴ καλῶς γινόμενον. οἶδα οἷαι ἐν τοῖς τοιούτοις ὀργαὶ τίκτονται. τί οὖν, ἂν καταφρονῇ, φησι, ἂν πάλιν εἴπῃ; ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον· πραότητι ὀργὴ λύεται· προσελθὼν ἐγκάλεσον. ὑπὲρ μὲν γὰρ τῶν εἰς ἡμᾶς οὐδὲ τοῦτο ποιεῖν χρή· ὑπὲρ δὲ τῶν ἄλλων, καὶ ἀνάγκη τοῦτο δὲ ποιεῖν. μὴ ἰδίαν ὕβριν νομίσῃς τὸ τὸν παῖδα ὑβρισθῆναι· κἂν ἀλγῇς ὑπὲρ ἐκείνου, μὴ ὡς αὐτὸς ὑβρισθείς. οὐ γὰρ ἐπειδὴ ὁ παῖς κακῶς ἔπαθεν, ὑβρίσθης σὺ, ἀλλ᾽ ὁ ποιήσας κακῶς. σβέσον τὴν μάχαιραν τὴν ὀξεῖαν, ἐν τῇ θήκῃ κείσθω. ἂν ἔχωμεν αὐτὴν γυμνὴν, πολλάκις καὶ οὐκ ὄντος καιροῦ χρησόμεθα ἐφελκόμενοι ὑπ᾽ αὐτῆς· ἂν δὲ ᾖ κεκρυμμένη, κἂν χρεία γένηται, οὐ ζητοῦμεν αὐτὴν σπάσαι, σβεσθήσεται ἡ ὀργή. ὑπὲρ αὐτοῦ οὐ βούλεται ἡμᾶς ὀργίζεσθαι ὁ Χριστὸς (ἄκουσον γὰρ τί φησι πρὸς τὸν Πέτρον· Ἀπόστρεψον τὴν μάχαιράν σου εἰς τὴν θήκην) Ματθ. κϛ. νβ. καὶ σὺ ὑπὲρ παιδὸς ὀργίζῃ; δίδαξον καὶ τὸν παῖδα φιλοσοφεῖν· εἰπὲ αὐτῷ καὶ τὰ τοῦ δεσπότου παθήματα· ὑπόμνησον σοῦ τὸν διδάσκαλον. ὅτι ἔμελλον καὶ αὐτοὶ ἀτιμάζεσθαι, οὐκ εἶπεν ὅτι ἐκδικήσω· ἀλλὰ τί; Ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν. Ιωαν. ιε. κ. οὐκοῦν φέρετε γενναίως, φησίν. οὐ γὰρ ἐμοῦ βελτίους ὑμεῖς. ταῦτα καὶ σὺ πρὸς τὸν υἱὸν καὶ τὸν παῖδα εἰπέ· οὐκ εἶ τοῦ δεσπότου σου βελτίων. ἀλλὰ χέρας εἶναι δεῖ τὰ ῥήματα τῆς φιλοσοφίας. οἴμοι, ὅτι λόγῳ παραστῆσαι οὐκ ἔνι, ὡς ἀπὸ τῆς πείρας αὐτῆς διδαχθῆναι ἔνεστι. καὶ ἵνα μάθῃς, ἐν μέσῳ δύο ἑστὼς διαμαχομένων, γενοῦ τῆς μερίδος τῶν ἀδικουμένων, καὶ μὴ τῶν ἀδικούντων, ἂν μὴ παρὰ σαυτῷ τὰ νικητήρια ἴδῃς, ἂν μὴ λαμπροὺς λάβῃς στεφάνους. ὅρα πῶς ὑβρίζεται ὁ Θεὸς, καὶ πῶς ἀποκρίνεται πράως καὶ ἡμέρως. Ποῦ ἐστι, φησιν, Ἄβελ ὁ ἀδελφός σου; καὶ τί ἐκεῖνος; Μὴ φύλαξ ἐγώ εἰμι τοῦ ἀδελφοῦ μου; Γεν. δ. θ. τί αὐθαδέστερον τούτου, κἂν παρὰ γονέων ἤκουσεν ἄν τις; εἰ γὰρ παρὰ ἀδελφοῦ, οὐχ ὕβριν ἂν ἡγήσατο τὸ πρᾶγμα; ἀλλ᾽ ὁ Θεὸς πάλιν ἡμέρως ἀποκρίνεται. Φωνὴ αἵματος

χ. εἰπέ μοι, ἴδε μὴ ταύτης ἡ γὰρ μεσ-

χ. κακῶς

χ. πλέον ἐκείνου τῶν

χ. τοιαῦτα

χ. ἄγροικον

χ. γίν-

χ. χρ. τ. δεῖ π.

χ. ὡς ζητοῦμεν σπάσαι, σβ. ἡ ὀρ.

χ. μη

χ. καὶ ἐμοὶ τὰ αὐτὰ ἐποίησαν

βασκανία, ἐκφέρειας τοὺς ἁλόντας ποιοῦσα, ὡς μηδὲ ἃ φθέγγονται συνορᾶν. ἀκηκόαμεν αὐτοῦ, φησί, λαλοῦντος ῥήματα βλάσφημα εἰς Μωϋσῆν καὶ τὸν Θεόν· καὶ πάλιν, οὗτος ὁ ἄνθρωπος οὐ παύεται ῥήματα λαλῶν κατὰ τοῦ τόπου τοῦ ἁγίου καὶ τοῦ νόμου, καὶ μετὰ παραθήκης, ἃ παρέδωκεν ἡμῖν, φησί, Μωϋσῆς· οὐκ εἶπεν ὁ Θεός. ὁρᾷς πῶς ἐπὶ δύο ἔστησαν πολιτείας καὶ ἀσεβείας αὐτοῦ κατηγοροῦσιν; ὅτι δὲ οὐκ ἦν τοῦ τοιούτου τοιαῦτα λέγειν καὶ θρασέως, παντί που δῆλον. οὕτως ἡμέρας καὶ ἀπὸ τοῦ προσώπου ἦν. ἔνθα μὲν οὖν οὐκ ἐσυκοφάντουν, οὐδὲν τοιοῦτόν φησιν ἡ γραφή. ἐπεὶ δὲ τὸ πᾶν ἐνταῦθα συκοφαντία ἐστίν, εἰκότως αὐτὴν διορθοῦται ὁ Θεὸς καὶ διὰ τῆς ὄψεως. τῶν μὲν γὰρ ἀποστόλων οὐκ ἐσυκοφάντουν, ἀλλ' ἐκώλυον· οὗτος δὲ συκοφαντεῖται. διά τοι τοῦτο [καὶ] πρὸ πάντων ἡ ὄψις ἀπολογεῖται. τάχα τοῦτο καὶ τὸν ἱερέα ἐνέτρεψεν. εἰπὼν δὲ ὅτι ἐπηγγείλατο, δείκνυσι τὴν ἐπαγγελίαν περὶ τοῦ τόπου γεγενημένην, περὶ τῆς περιτομῆς, περὶ θυσίας, περὶ τοῦ ναοῦ, καὶ ὅτι οὐ κατ' ἀξίαν οὔτε ἔλαβον οὐδὲ περιτομήν, οὐδὲ νόμον, ἀλλὰ τῆς ὑπακοῆς μόνης μισθὸς ἦν ἡ γῆ. ἀλλ' οὐδὲ τῆς περιτομῆς δοθείσης, ἡ ἐπαγγελία πληροῦται. καὶ ὅτι τύποι ἦσαν καὶ τὸ τὴν πατρίδα ἀφεῖναι, τοῦ Θεοῦ κελεύσαντος, καὶ συγγένειαν· οὐ παρὰ τῶν νόμων (ἐκείνη γὰρ πατρίς, ἔνθα ἂν ἡγῆται Θεός) καὶ τὸ κληρονομίαν ἐνταῦθα μὴ λαβεῖν· καὶ ὅτι εἴ τις ἀκριβῶς ἐξετάζοι, Πέρσαι εἰσὶν οἱ Ἰουδαῖοι· καὶ ὅτι χωρὶς σημείων πείθεσθαι δεῖ τῷ Θεῷ λέγοντι, κἂν δεινά τινα συμβαίνῃ· ἐπεὶ καὶ ὁ πατριάρχης καὶ τῶν τάφοι καταλιπὼν τῶν πατρῴων καὶ πάντα, ἐπείθετο τῷ Θεῷ. εἰ δὲ ὁ τούτου πατὴρ οὐκ ἐκώλυσεν αὐτὸν τῆς ἐπὶ Παλαιστίνην ἀποδημίας ἄπιστος ὤν, πολλῷ μᾶλλον τὰ παιδία οὐ κωλύσουσι, κἂν ἐπὶ πολὺ ἔλθωσι τῆς ὁδοῦ, τὴν τοῦ πατρὸς μὴ ζηλώσαντα ἀρετήν. καὶ ἐπηγγείλατο αὐτὴν δοῦναι αὐτῷ, καὶ τῷ σπέρματι αὐτοῦ, φησί, μετ' αὐτόν. πολλὴ ἐνταῦθα καὶ τοῦ Θεοῦ ἡ φιλανθρωπία δείκνυται, καὶ τοῦ Ἀβραὰμ ἡ πίστις. τὸ γάρ, οὐκ ὄντος αὐτῷ τέκνου πείθεσθαι, τοῦτο δείκνυσι καὶ τὴν ὑπακοὴν καὶ τὴν πίστιν· καίτοιγε τὰ γινόμενα τοὐναντίον ἐδείκνυ· ὅτι, μετὰ τὸ ἐλθεῖν οὐκ εἶχε βῆμα ποδός· παῖδα οὐκ εἶχεν· ἅπερ ἐναντία ἦν τῇ πίστει.

γ. κατὰ τί ἐκεῖνοι ἔλαβον

γ. διὰ τί ἄπιστος ὤν

ΗΘΙΚΟΝ

Ταῦτα [δὴ] κατανοοῦντες καὶ ἡμεῖς, ἅπερ ἂν ἐπαγγέλληται ὁ Θεός, δεχώμεθα, κἂν [που] ἐναντία ᾖ τὰ γινόμενα· καίτοι ἐφ' ἡμῶν οὐκ ἔστιν ἐναντία, ἀλλὰ καὶ σφόδρα ἀκόλουθα. ἔνθα μὲν γὰρ αἱ ὦσιν ὑποσχέσεις, ὅταν τὰ ἐναντία γίνηται, ἐναντία ἐστὶν ὄντως· ἐφ' ἡμῶν δὲ τοὐναντίον. ἐνταῦθα μὲν θλίψιν εἶπεν, ἐκεῖ δὲ ἄνεσιν. τί συγχέομεν τοὺς καιρούς; τί τὰ ἄνω κάτω ποιοῦμεν; θλίβῃ, εἰπέ μοι, ὅτι ἐν πενίᾳ διάγεις, καὶ θορυβῇ διὰ τοῦτο; μὴ θορυβοῦ. θορύβου γὰρ ἄξιον, εἰ ἐκεῖ μέλλοις θλίβεσθαι. αὕτη γὰρ ἡ θλῖψις, ἀνέσεως αἰτία. Ἡ ἀσθένεια αὕτη, φησίν, οὐκ ἔστι πρὸς θάνατον. ἐκείνη ἡ θλῖψις, κόλασις· αὕτη παιδεία καὶ διόρθωσις. ἀγών ἐστιν ὁ παρὼν καιρός. οὐκοῦν τοῦ πυκτεύειν χρεία. πόλεμός ἐστι καὶ μάχη. οὐδεὶς ἐν πολέμῳ ζητεῖ ἄνεσιν, οὐδεὶς ἐν πολέμῳ ζητεῖ τρυφήν, οὐδεὶς ὑπὲρ χρημάτων μεριμνᾷ, ὑπὲρ γυναικὸς οὐδεὶς φροντίζει· ἀλλ' εἰς ἓν ὁρᾷ μόνον, ὅπως περιγένοιτο τῶν ἐχθρῶν. τοῦτο καὶ ἡμεῖς ποιῶμεν· κἂν περιγενώμεθα καὶ ἀπέλθωμεν μετὰ τροπαίων, πάντα ἡμῖν ὁ Θεὸς δώσει. τοῦτο μόνον ἡμῖν σπουδαζέσθω, πῶς περιγενώμεθα τοῦ διαβόλου· μᾶλλον δὲ οὐ τῆς ἡμετέρας τὸ πρᾶγμα σπουδῆς, ἀλλὰ τῆς τοῦ Θεοῦ χάριτός ἐστι τὸ πᾶν. ἓν ἡμῖν σπουδαζέσθω, ὅπως ἐπισπασώμεθα αὐτοῦ τὴν χάριν, ὅπως ἑλκύσωμεν πρὸς ἑαυτοὺς τὴν ῥοπὴν ἐκείνην. Εἰ ὁ Θεὸς ὑπὲρ ἡμῶν, τίς καθ' ἡμῶν, φησίν; ἓν μόνον σπουδάζωμεν, ὅπως οὗτος ἡμῖν μὴ ἐχθρὸς γένηται, ὅπως ἡμᾶς μὴ ἀποστραφῇ. οὐ τὸ θλίβεσθαι, κακόν, ἀλλὰ τὸ ἁμαρτάνειν, κακόν. ἡ χαλεπὴ θλῖψις τοῦτό ἐστι, κἂν ἐν τρυφῇ διάγωμεν· οὐ λέγω ἐν τῷ μέλλοντι, ἀλλὰ καὶ ἐν τῷ παρόντι. πῶς γὰρ οἴει τὸ συνειδὸς ἡμῶν δάκνεσθαι; ποίας βασάνου οὐκ ἔστι χεῖρον; ἐβουλόμην μετὰ ἀκριβείας ἐρωτῆσαι τοὺς ἐν τοῖς κακοῖς ζῶντας, εἰ μηδέποτε εἰς ἔννοιαν ἔρχονται τῶν οἰκείων ἁμαρτημάτων, εἰ μὴ τρέμουσιν, εἰ μὴ δεδοίκασιν,

Ἰωαν ια. δ.

Ρωμ. η. λα.

γ. καὶ ἐν πενίᾳ δ. καὶ ἐν ἀθυμίᾳ;

γ. φροντίζομεν

γ. εἶναι

γ. πόσης

εἰ

θεῖν, τοῦτο μόνον ἡμᾶς ἐδίδαξεν, ὅτι ἀπὸ τῆς ὄψεως τοῦ υἱοῦ συνεξῆλθεν αὐτῷ· τὸ δὲ πλέον τούτου παρέλιπεν ἀδιήγητον, διὰ τὸ θᾶττον ἀποθανεῖν μετὰ τὸ κατοικῆσαι αὐτὸν ἐν Χαῤῥάν. ἔξελθε ἐκ τῆς συγγενείας σου. ἐνταῦθα δείκνυσιν ὅτι οὐκ εἰσὶν οὗτοι τέκνα τοῦ Ἀβραάμ. πῶς; ἦν ἐκεῖνος πειθήνιος ὤν, οὗτοι δὲ ἀπειθεῖς· μᾶλλον δὲ ἐξ ὧν ποιεῖ κελευόμενος, μανθάνομεν ὅτι ἐκεῖνος μὲν τοὺς πόνους ὑπέμεινεν, οὗτοι δὲ τοὺς καρποὺς δρέπονται, καὶ ὅμως πάντες τῶν πρόγονοι ἐν κακουχίᾳ.

4 Καὶ ἐξελθὼν ἐκ γῆς Χαλδαίων, κατῴκησεν ἐν Χαῤῥάν, κἀκεῖθεν μετὰ τὸ ἀποθανεῖν τὸν πατέρα αὐτοῦ, μετῴκισεν αὐτὸν εἰς τὴν γῆν ταύτην, εἰς ἣν ὑμεῖς νῦν κατοικεῖτε,

5 Καὶ οὐκ ἔδωκεν αὐτῷ κληρονομίαν ἐν αὐτῇ, οὐδὲ βῆμα ποδός.

Ὅρα πῶς αὐτοὺς ἀπὸ τῆς γῆς ἀνάγει. οὐ γὰρ εἶπε, δώσει· ἀλλ', οὐκ ἔδωκε, δηλῶν ὅτι πάντα παρ' ἐκείνου, καὶ οὐδὲν παρ' αὐτῶν. ἦλθε γὰρ καὶ συγγένειαν ἀφεὶς καὶ πατρίδα. διὰ τί οὖν οὐκ ἔδωκεν; ὅτι τύπος ἦν ἑτέρας γῆς, καὶ ἐπηγγείλατο δοῦναι αὐτὴν αὐτῷ. ὁρᾷς, ὅτι οὐχ ἁπλῶς πάλιν τὸν λόγον ἀναλαμβάνει; οὐκ ἔδωκεν αὐτῷ, φησί,

Καὶ ἐπηγγείλατο καὶ τῷ σπέρματι αὐτοῦ μετ' αὐτόν, οὐκ ὄντος αὐτῷ τέκνου.

Πάλιν τὸ δυνατὸν ἐντεῦθεν δείκνυσι τοῦ Θεοῦ, τὸ ἐξ ἀμηχάνων πάντα ποιεῖν. τὸν γὰρ ἐν Περσίδι καὶ τοσοῦτον ἀπέχοντα, τοῦτον ἔφησε κύριον τῆς Παλαιστίνης ποιήσειν. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. ἀτενίσαντες εἰς αὐτόν, φησίν, εἶδον τὸ πρόσωπον αὐτοῦ, ὡσεὶ πρόσωπον ἀγγέλου. πόθεν ἡ χάρις τῷ Στεφάνῳ ἐπήνθει; ἆρ' οὐκ ἀπὸ τῆς πίστεως; εὔδηλον ὅτι. ἐμαρτύρησε γὰρ αὐτῷ ἄνω ὅτι πλήρης πίστεως ἦν. ἔστι δὲ χάριν ἔχειν, καὶ οὐκ ἐν ἰάσεσι. διὸ καὶ ὁ ἀπόστολος· Ὧι μὲν χάρις δίδοται, φησίν, ἰαμάτων· ἄλλῳ δὲ λόγος σοφίας. ἐνταῦθα δέ μοι δοκεῖ καὶ ἐπιχαρῆ αὐτὸν εἶναι ἀριπρέπεσθαι, τῷ λέγειν, εἶδον τὸ πρόσωπον αὐτοῦ, ὡσεὶ πρόσωπον ἀγγέλου· ὃ καὶ Βαρνάβας μαρτυρεῖται. ὅθεν τοὺς ἀπλάστους τε καὶ ἀπονήρους μάλιστα ἴσμεν θαυμαζομένους, καὶ τούτους μᾶλλον ἐπιχαρίτας ὄντας. τότε ὑπέβαλον ἄνδρας λέγοντας, ὅτι ἀκηκόαμεν αὐτοῦ λαλοῦντος ῥήματα βλάσφημα. ἐπὶ μὲν τῶν ἀποστόλων ἔλεγον, ὅτι τὴν ἀνάστασιν καταγγέλλουσι, καὶ ὅτι πολὺς ὄχλος ἐπιῤῥεῖ· ἐνταῦθα δέ, ὅτι ἐθεραπεύοντο. ὢ τῆς ἀνοίας, ὑπὲρ ὧν θαυμάζειν ἔδει, ὑπὲρ τούτων ἐμέμφοντο· καὶ οὐδὲ διὰ τῶν ἔργων κρατοῦντας προσεδόκων κρατήσειν διὰ τῶν λόγων. ὅπερ καὶ ἐπὶ τοῦ Χριστοῦ ἐποίουν, καὶ ἀεὶ εἰς λόγους αὐτοὺς ἐνέβαλλον. ἀπαιτῆσαι γὰρ αὐτοὺς ἁπλῶς ᾐσχύνοντο, οὐδὲν ἔχοντες ἐγκαλεῖν. καὶ ὅρα, οὐδὲ αὐτοὶ τῶν δικαζόντων μαρτυροῦσιν (ἠλέγχθησαν γὰρ ἄν) ἀλλ' ἁπλῶς ἑτέρους μισθοῦνται, ἵνα μὴ δόξῃ ἐπηρείας εἶναι τὸ πρᾶγμα. τὸ αὐτὸ γενόμενον ἴδοι τις ἂν καὶ ἐπὶ τοῦ Χριστοῦ. εἶδες τοῦ κηρύγματος τὴν δύναμιν, καὶ πῶς οὐχὶ μαστιζομένων μόνον, ἀλλὰ καὶ λιθαζομένων κρατεῖ, οὐδὲ εἰς δικαστήριον ἀγομένων, ἀλλὰ καὶ ἐλαυνομένων πάντοθεν; ἐντεῦθεν καὶ τῶν ψευδομαρτυρούντων αὐτῶν οὐ μόνον οὐκ ἐκράτουν, ἀλλ' οὐδὲ ἀντιστῆναι ἴσχυον, καίτοι σφόδρα ἀναίσχυντοι ὄντες. οὕτως αὐτοὺς κατὰ κράτος εἷλε, καὶ ταῦτα πολλὰ περιπλάττοντας* ἀπίθανα (ὡς καὶ ἐπὶ τοῦ Χριστοῦ) οἳ καὶ πάντα πρὸς θάνατον ἔπραττον τὸν αὐτοῦ, ὡς λοιπὸν δῆλον γενέσθαι πᾶσιν, ὅτι οὐκ ἦν ἀνθρωπίνη ἡ μάχη, ἀλλὰ Θεοῦ πρὸς ἀνθρώπους. σκόπει δὲ καὶ τί φασιν οἱ στήσαντες τοὺς ψευδομάρτυρας ὑπὸ τῶν φονικῶς συναρπασάντων αὐτὸν εἰς τὸ συνέδριον· ἀκηκόαμεν αὐτοῦ λαλοῦντος ῥήματα βλάσφημα εἰς Μωϋσῆν καὶ τὸν Θεόν. ὢ ἀναίσχυντοι· πράγματα ποιεῖτε βλάσφημα [εἰς Θεόν,] καὶ οὐ φροντίζετε· καὶ Μωϋσέως φροντίζειν προσποιεῖσθε; διὰ τοῦτο προσέκειται Μωϋσῆς, ἐπειδὴ τὰ τοῦ Θεοῦ οὐ σφόδρα αὐτοῖς ἔμελε, καὶ ἄνω καὶ κάτω Μωϋσέως μέμνηνται· ὁ Μωϋσῆς, λέγοντες, οὗτος, ὃς ἐξήγαγεν ἡμᾶς, τὸ εὐεπίφορον τοῦ ὄχλου διερεθίζοντες. καίτοι πῶς ἂν ἄνθρωπος βλάσφημος ἂν προείλετο; πῶς δὲ καὶ οὕτω βλάσφημος σημεῖα ἐποίει τοιαῦτα ἐν τῷ λαῷ; ἀλλὰ τοιοῦτον ἡ

βασκανία

γ. οὐ γὰρ εἶπε, δώσει. δηλῶν ὅτι καὶ ἐξ. παρ' αὐτῶν

γ. ἄγει

γ. ρεῖ

γ. φησιν

γ. [illegible] ὄντων

* καὶ πλέκοντες

γ. καὶ πολλοὶ συνεκροτήθησαν, καὶ ἐγένετο [illegible] μόνον, ἀλλὰ καὶ ἐπηρεία. [illegible] ἀλλ' ὁ ὄχλος ὁ ἄτακτος ἦν, ὡς ἐποίει τοῦ [illegible] τοῦτο μόνον αὐτοῖς ἔλειπε· ἡμεῖς αἰτία.

α. Κορ. ιβ. θ.

ἀναγκαζόμενος διδάσκειν ἐπιχειρεῖ· καίτοι πάλιν διὰ τὰ σημεῖα εἰς φθόνον οὐ μόνον κινοῦνται, ἀλλ' ἐπεὶ καὶ λόγῳ ἐκράτει καὶ ἀφόρητος ἦν αὐτοῖς, ψευδομάρτυρας συνιστῶσιν. οὐκ ἐβούλοντο γὰρ ἁπλῶς ἀναιρεῖν, ἀλλὰ μετὰ ψήφου, ἵνα καὶ τὴν δόξαν αὐτοῦ βλάψωσι, καὶ ἐκείνους ἀφέντες ἐπὶ τούτους ἔρχονται, ὡς ταύτῃ καταπληξόμενοι κἀκείνους· οἳ καὶ οὐκ εἶπον, ὅτι λαλεῖ, ἀλλ', Οὐ παύεται λαλῶν, αὔξοντες τὴν κατηγορίαν.

12 Συνεκίνησάν τε τοὺς πρεσβυτέρους καὶ τοὺς γραμματεῖς, καὶ ἐπιστάντες συνήρπασαν αὐτὸν, καὶ ἤγαγον εἰς τὸ συνέδριον,

13 Ἔστησάν τε μάρτυρας ψευδεῖς λέγοντας· ὁ ἄνθρωπος οὗτος οὐ παύεται ῥήματα λαλῶν κατὰ τοῦ τόπου τοῦ ἁγίου τούτου, καὶ τοῦ νόμου. Οὐ παύεται, φησὶν, ὡς ἔργον αὐτοῦ ποιούμενος.

14 Ἀκηκόαμεν γὰρ αὐτοῦ λέγοντος, ὅτι Ἰησοῦς ὁ Ναζωραῖος οὗτος καταλύσει τὸν τόπον τοῦτον, καὶ ἀλλάξει τὰ ἔθη, ἃ παρέδωκεν ἡμῖν Μωϋσῆς. Ἰησοῦς, φησὶν, ὁ Ναζωραῖος, καὶ ὀνειδιστικῶς, καταλύσει τὸν τόπον τοῦτον, καὶ ἀλλάξει τὰ ἔθη. τοῦτο καὶ τοῦ Χριστοῦ κατηγοροῦντες ἔλεγον· Ὁ καταλύων τὸν ναὸν τοῦ Θεοῦ. πολλὴ γὰρ ἦν αὐτοῖς εὐλάβεια περὶ τὸν ναὸν, ἅτε καὶ μετοικεῖν βουλομένοις, περί τε τὸ ὄνομα Μωϋσέως. καὶ ὅρα πῶς διπλῆ ἡ κατηγορία. καταλύσει, φησὶ, τὸν τόπον, καὶ ἀλλάξει τὰ ἔθη, καὶ ἕτερα ἀντεισάξει· οὐ μόνον δὲ διπλῆ, ἀλλὰ καὶ πικρὰ καὶ κινδύνων γέμουσα.

Ματθ. κζ. μ.

χ. τόπον

15 Καὶ ἀτενίσαντες εἰς αὐτὸν ἅπαντες οἱ καθεζόμενοι ἐν τῷ συνεδρίῳ, εἶδον τὸ πρόσωπον αὐτοῦ, ὡσεὶ πρόσωπον ἀγγέλου. Οὕτως ἔστι καὶ ἐν ἐλάττονι ὄντας βαθμῷ λάμπειν. τί γὰρ, εἰπέ μοι, τῶν ἀποστόλων οὗτος ἔλαττον ἔσχεν; οὐχὶ σημεῖα εἰργάσατο; οὐ πολλὴν ἐπεδείξατο τὴν παρρησίαν; Εἶδον τὸ πρόσωπον αὐτοῦ, ὡσεὶ πρόσωπον ἀγγέλου, φησί. τοῦτο ἄρα ἡ χάρις ἦν· τοῦτο καὶ ἡ δόξα Μωϋσέως ἦν. ἐπίχαρι [δὲ] αὐτὸν δοκεῖ μοι ποιῆσαι ὁ Θεὸς, τάχα ἐπειδὴ ἔμελλέ τινα ἐρεῖν, ἵνα εὐθέως τῇ προσόψει καταπλήξῃ αὐτούς. ἔστι γὰρ, ἔστι καὶ πρόσωπα χάριτος γέμοντα πνευματικῆς, ἐπέραστα τοῖς ποθοῦσι, καὶ αἰδέσιμα τοῖς μισοῦσι καὶ φοβερά. ἢ καὶ ὡς αἰτίαν τοῦτο εἶπε, δι' ἣν ἠνέσχοντο τῆς δημηγορίας αὐτοῦ. Τί δαὶ ὁ ἀρχιερεύς; Εἰ ἄρα, φησὶ, ταῦτα οὕτως ἔχει. ὁρᾷς πῶς μετ' ἐπιεικείας ἡ ἐρώτησις καὶ οὐδέν πως φορτικὸν ἔχουσα; διὰ τοῦτο καὶ αὐτὸς ἀπὸ προσηνείας ἄρχεται τῶν ῥημάτων, καί φησιν·

χ. καὶ τοῖς ἐχθροῖς

κεφ. ζ.

2 Ἄνδρες ἀδελφοὶ καὶ πατέρες, ἀκούσατε· ὁ Θεὸς τῆς δόξης ὤφθη τῷ πατρὶ ἡμῶν Ἀβραὰμ ὄντι ἐν τῇ Μεσοποταμίᾳ πρὶν ἢ κατοικῆσαι αὐτὸν ἐν Χαρράν. Εὐθέως ἐκ τοῦ προοιμίου τὴν δόξαν αὐτῶν ἀναιρεῖ, καὶ κατασκευάζει δι' ὧν φησιν ἀνυπόπτως, ὅτι τε οὐδέν ἐστιν ὁ ναὸς ἐκεῖνος αὐτοῖς, οὐδὲ τὰ ἔθη, καὶ ὅτι οὐ περιέσονται τοῦ κηρύγματος, καὶ ὅτι δι' ἀμηχάνων ἀεὶ ὁ Θεὸς πάντα ποιεῖ καὶ κατασκευάζει. ὅρα οὖν διὰ τούτων ὑφαινομένην τὴν δημηγορίαν καὶ ἀποδεικνύουσαν, ὅτι πολλῆς ἀπολαύσαντες ἀεὶ φιλανθρωπίας, τοῖς ἐναντίοις τὸν εὐεργέτην ἠμείψαντο, καὶ ὅτι ἀδυνάτοις ἐπιχειροῦσιν. ὁ Θεὸς τῆς δόξης ὤφθη τῷ πατρὶ ἡμῶν Ἀβραὰμ, καὶ εἶπε πρὸς αὐτόν· Ἔξελθε ἐκ τῆς γῆς σου, καὶ δεῦρο εἰς γῆν, ἣν ἄν σοι δείξω. Καὶ ναὸς οὐκ ἦν, καὶ θυσία οὐκ ἦν, καὶ θείας ὄψεως ἠξίωτο Ἀβραὰμ, καὶ προγόνους Πέρσας εἶχε, καὶ ἐν ἀλλοτρίᾳ γῇ ἦν. καὶ τί δήποτε ἀρχόμενος, τὸν Θεὸν τῆς δόξης Θεὸν ἐκάλεσεν; ἐπειδὴ τοὺς ἀτίμους ἐνδόξους πεποίηκε· καὶ ἵνα διδάξῃ, ὅτι εἰ ἐκείνους ἐδόξασε, πολλῷ μᾶλλον αὐτούς. ὁρᾷς πῶς αὐτοὺς ἀπάγει τῶν σωματικῶν, καὶ ἀπὸ τοῦ τόπου πρῶτον, ἐπειδὴ περὶ τόπου ὁ λόγος ἦν; ὁ Θεὸς τῆς δόξης. εἰ δόξης Θεὸς, εὔδηλον ὅτι οὐ δεῖται τῆς παρ' ἡμῶν δόξης, οὐδὲ τῆς διὰ τοῦ ναοῦ. αὐτὸς γάρ ἐστιν ἡ τῆς δόξης πηγή. μὴ [τοίνυν] νομίσητε ταύτῃ δοξάζειν αὐτόν. καὶ πῶς, φησὶν, ἡ γραφὴ τοῦτο λέγει περὶ τοῦ πατρὸς Ἀβραάμ; ὅτι οὐκ ἔστι πρὸς τὰ μὴ σφόδρα ἀναγκαῖα περιστῆναι. ὁ μὲν γὰρ ἦν χρήσιμον μαθεῖν,

χ. εὐμήχανα τεχνάζεται. ὅρα γοῦν

χ. πῶς ἐν ᾗ γραφῇ φησιν, ὅτι ὁ πατὴρ τοῦ Ἀβραὰμ ἠθέλησεν ἐξελθεῖν; ἐντεῦθεν μανθάνομεν ὅτι ἀπὸ τῆς ὄψεως τοῦ Ἀβραὰμ οὗτος ἐκινήθη πρὸς ἔξοδον,

ἐὰν βουλώμεθα. ἴδωμεν δὲ καὶ οὕτως. ἑλκέτω τις εἰς δικαστήριον· συκοφαντείτω· εἰ βούλει, καὶ τὴν ψυχὴν ἐκφερέτω· καὶ τί τοῦτο, πρὸς μικρὸν παρ' ἀξίαν ταῦτα παθεῖν; τοῦτο μὲν οὖν αὐτὸ κακὸν φησίν. αὐτὸ μὲν οὖν τοῦτο καλόν, τὸ μὴ κατ' ἀξίαν παθεῖν. ἀλλὰ τί; κατ' ἀξίαν ἔδει; εἰπὲ τί πάλιν. Φιλόσοφός τις τῶν ἔξωθεν, ὡς ἤκουσεν ὅτι ὁ δεῖνα ἀπέθανε, καί τις εἶπεν αὐτῷ τῶν μαθητῶν, οἴμοι, ὅτι ἀδίκως ἐκεῖνος· ἐπιστραφείς, ἀλλὰ τί, ἔφη, δικαίως ἤθελες; καὶ Ἰωάννης δὲ οὐχὶ ἀδίκως ἀπέθανε; τίνα οὖν μᾶλλον ἐλεεῖς, τὸν δικαίως ἀποθανόντα, ἢ τὸν οὐχ οὕτως; οὐχὶ τοῦτον μὲν ταλανίζεις, ἐκεῖνον δὲ καὶ θαυμάζεις; τί οὖν; ἠδίκηται ἄνθρωπος, καὶ ἀπ' αὐτοῦ τοῦ θανάτου κερδανεῖ μεγάλα, οὐ μόνον οὐδὲν βλαβείς. εἰ μὲν γὰρ ἀθάνατον ὄντα θνητὸν ἐποίει, ἴσως ἂν ἔβλαψεν ἄν· εἰ δὲ θνητὸν ὄντα, καὶ ἀπὸ τῆς φύσεως μικρὸν ὕστερον τὸν θάνατον ἐκδέχεσθαι μέλλοντα, ἐπέσπευσεν αὐτὸν μετὰ δόξης τοῦτον ἐπαγαγεῖν, τί βλάβος; ἔστω ἡμῖν ἡ ψυχὴ ῥυθμιζομένη καλῶς, καὶ βλάβος οὐδὲν ἔσται ἔξωθεν. ἀλλ' οὐκ εἶ ἐν δόξῃ; καὶ τί τοῦτο; ὅπερ γὰρ ἐπὶ τῶν χρημάτων ἐστί, τοῦτο καὶ ἐπὶ τῆς δόξης. ἂν γὰρ ὦ μεγαλοπρεπής, οὐ δεήσομαι οὐδενός· ἂν δὲ κενόδοξος, ὅσῳ ἂν ἐπιτύχω, τοσούτῳ μείζονος δεήσομαι. ταύτῃ δὲ μάλιστα λαμπροὶ ἐσόμεθα, καὶ μείζονος ἀπολαύσομαι δόξης, εἰ καταφρονήσω δόξης. Ταῦτα οὖν εἰδότες, καὶ χάριν ἔχωμεν τῷ τοιαύτην ἡμῖν χαρισαμένῳ ζωὴν Χριστῷ τῷ * Θεῷ ἡμῶν, καὶ μετίωμεν αὐτὴν εἰς δόξαν αὐτοῦ· ὅτι αὐτῷ πρέπει ἡ δόξα σὺν τῷ ἀνάρχῳ πατρὶ καὶ τῷ ἁγίῳ αὐτοῦ πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

* αὐτοῦ

Λογ. ιε. 8 ΣΤΕΦΑΝΟΣ ΔΕ ΠΛΗΡΗΣ ΠΙΣΤΕΩΣ ΚΑΙ δυνάμεως, ἐποίει τέρατα καὶ σημεῖα μεγάλα ἐν τῷ λαῷ.

Ὅρα πῶς καὶ ἐν τοῖς ἑπτὰ ἦν τις προέχων, καὶ τὰ πρωτεῖα εἶχεν. εἰ γὰρ καὶ ἡ χειροτονία κοινή, ἀλλ' ὅμως οὗτος ἐπεσπάσατο χάριν πλείονα. πρὸ τούτου δὲ οὐκ ἐποίει σημεῖα, ἀλλ' ὅτε δῆλος γέγονεν· ἵνα δειχθῇ, ὅτι οὐκ ἀρκεῖ μόνη ἡ χάρις, ἀλλὰ δεῖ καὶ τῆς χειροτονίας· ὥστε προσθήκη πνεύματος ἐγένετο. εἰ δὲ καὶ πρὸ τούτου πλήρεις πνεύματος ἦσαν, δῆλον ὅτι τοῦ ἀπὸ τοῦ λουτροῦ.

9 Ἀνέστησαν δέ τινες τῶν ἐκ τῆς συναγωγῆς. Πάλιν ἀνάστασιν τὸν παροξυσμὸν αὐτῶν λέγει, καὶ τὴν ὀργήν. ὅρα καὶ ἐνταῦθα πολὺ τὸ πλῆθος· μᾶλλον δὲ πῶς ἐπήρθη τῆς κατηγορίας τὸ σχῆμα. ἐπειδὴ γὰρ ἐκώλυσεν αὐτοὺς Γαμαλιῆλος μηδὲν ὑπὲρ ἐκείνου ἐγκαλεῖν, ἑτέραν κατηγορίαν εἰσάγουσι. Ἀνέστησαν δέ τινες, φησί, τῶν ἐκ τῆς συναγωγῆς τῆς λεγομένης Λιβερτίνων καὶ Κυρηναίων καὶ Ἀλεξανδρέων, καὶ τῶν ἀπὸ Κιλικίας καὶ Ἀσίας, συζητοῦντες τῷ Στεφάνῳ.

10 Καὶ οὐκ ἴσχυον ἀντιστῆναι τῇ σοφίᾳ καὶ τῷ πνεύματι, ᾧ ἐλάλει.

11 Τότε ὑπέβαλον ἄνδρας λέγοντας, ὅτι ἀκηκόαμεν αὐτοῦ λαλοῦντος ῥήματα βλάσφημα εἰς Μωϋσῆν καὶ τὸν Θεόν. Ἵνα τὴν κατηγορίαν αὐξήσωσι, κατὰ τοῦ Θεοῦ, φησί, καὶ κατὰ Μωϋσέως λαλεῖ. διὰ τοῦτο καὶ συνεζήτουν, ἵνα ἀναγκάσωσιν αὐτόν τι εἰπεῖν. ὁ δὲ γυμνότερον λοιπὸν διελέγετο, καὶ τὴν παῦλαν ἴσως ἔλεγε τοῦ θείου νόμου· ἢ οὐκ ἔλεγε μέν, ᾐνίττετο δέ. ἐπεὶ εἰ ἔλεγε φανερῶς, οὐκ ἔδει τῶν ὑποβλητῶν ἀνδρῶν, οὐδὲ τῶν ψευδομαρτύρων. διάφοροι δὲ αἱ συναγωγαὶ ἦσαν, Λιβερτίνων καὶ Κυρηναίων. ἀλλ' οἱ Κυρηναῖοι μέν, οἱ ἐπέκεινα Ἀλεξανδρείας εἰσίν, οἳ καὶ ἐκεῖ κατὰ τὰ ἔθνη εἶχον συναγωγάς· ἴσως δὲ καὶ ἐκεῖ ἔμενον, ἵνα μὴ ἀναγκάζωνται συνεχῶς ἀποδημεῖν· Λιβερτῖνοι δέ, οἱ Ῥωμαίων ἀπελεύθεροι οὕτω καλοῦνται. ὥσπερ δὲ ᾤκουν ἐκεῖ πολλοὶ ξένοι, οὕτω καὶ συναγωγὰς εἶχον, ἔνθα ἔδει τοὺς νόμους ἀναγινώσκεσθαι καὶ εὐχὰς γίνεσθαι. σὺ δέ μοι σκόπει, πῶς καὶ οὐκ

ἀναγκαζόμενος

χ. ἀλλὰ

θυμοῦσθαι ἐπὶ ῥήματι· ὁ αἰσχύνων, ἢ ὁ λέγων; ὁ μὲν γὰρ, κἂν σφόδρα σοφὸς ᾖ, μωροῦ δόξαν ἔλαβεν· ὁ δὲ, κἂν ἀνόητος ᾖ, σοφοῦ καὶ φιλοσόφου. τίς ἀνόητος, εἰπέ μοι· ὁ ἑτέρῳ προσφέρων τὰ οὐκ ὄντα, ἢ ὁ μηδὲ οὕτω κινηθείς; εἰ γὰρ τὸ μηδὲ κινηθέντα κινεῖσθαι, φιλοσοφίας· τὸ μηδὲ κινοῦντος πλήττεσθαι, πόσης ἀνοίας; οὕτω λέγω· ποῖος ἀπόκειται τιμωρίας τόπος τοῖς τὰ τοιαῦτα ὀνειδίζουσι καὶ βλασφημοῦσι τὸν πλησίον. ἀλλὰ τί; ἄτιμον καὶ ἐξ ἀτίμων, καὶ εὐτελῆ καὶ ἐξ εὐτελῶν εἶπε; πάλιν εἰς ἑαυτὸν τὸ ὄνειδος περιέτρεψεν. ὁ μὲν γὰρ τίμιος φαίνεται καὶ αἰδέσιμος· ὁ δὲ εὐτελὴς ὄντως. τὸ γὰρ τὰ τοιαῦτα εἰς τάξιν ὀνείδους προσφέρειν, γλώσσης εὐτέλειαν λέγω, μικρᾶς ὄντως ψυχῆς. ὁ δὲ μέγας καὶ θαυμαστὸς ἔσται, ἅτε οὐδὲν ἡγούμενος τὸ τοιοῦτον, ἀλλ᾽ οὕτω διακείμενος, ὡς ἂν εἰ ἤκουεν, ὅτι ἔχοι τι τῶν ἄλλων διαφέρον. ἀλλὰ μοιχὸν καὶ τὰ ἄλλα ἐρεῖ; ἐνταῦθα καὶ γελᾶν χρή. ὅταν γὰρ τὸ συνειδὸς μὴ βάλληται, οὐδὲ χαίρειν ἂν ἔχοι ὁ θυμός. ἐννοήσαντα δέ τινα ἐξάγει εἰς μέσον πονηρὰ καὶ μιαρὰ ῥήματα, οὐδὲ οὕτως ἀλγεῖν χρή. ὅπερ γὰρ ἔμελλε μετὰ ταῦτα ἕκαστος μαθήσεσθαι, τοῦτο ἤδη διεκάλυψεν· ἑαυτὸν λοιπὸν ἄπιστον πᾶσι κατέστησεν, ἅτε οὐκ εἰδότα συγκαλύπτειν τὰ τοῦ πλησίον κακὰ, καὶ ἑαυτὸν μᾶλλον ᾔσχυνεν, ἢ ἐκεῖνον, καὶ πάντα λιμένα προσέχωσε, τὰς εὐθύνας ἐποίησεν ἑαυτῷ φοβερὰς τοῦ μέλλοντος κριτηρίου. οὐ γὰρ οὕτω τοῦτον, ὡς ἐκεῖνον ἀπογραφήσονται πάντες, ἅπερ ἐκκαλύψαι οὐκ ἐχρῆν ἀπαμφιάσαντα. σὺ δὲ μηδὲν εἴπῃς ὧν συνοίδας, ἀλλὰ σίγησον, εἰ βούλει τὴν λαμπρὰν δόξαν λαβεῖν. οὐ γὰρ μόνον ἀνατρέψεις τὰ λεχθέντα, οὐδὲ καλύψεις, ἀλλὰ καὶ ἕτερον ἐργάσῃ καλόν. οὐκέτι ποιήσεις γὰρ κατὰ σαυτοῦ τὴν ψῆφον ἐνεχθῆναι. ὁ δεῖνά σε κακῶς λέγει*; εἰπὲ σύ· εἰ πάντα ᾔδει, οὐκ ἂν τοσαῦτα εἶπε μόνα. ἐθαυμάσατε καὶ ἐξεπλάγητε τὸ λεχθέν; ἀλλὰ μιμεῖσθαι χρή. διὰ γὰρ τοῦτο πάντα ὑμῖν τὰ ἔξωθεν λεγόμενα συνάγομεν, οὐχ ὡς οὐκ ἐχουσῶν μυρία τοιαῦτα τῶν γραφῶν, ἀλλ᾽ ὡς μᾶλλον ἐντρέψαι δυναμένων τούτων. ἐπεὶ καὶ ἡ γραφὴ οἶδε πρὸς ἐντροπὴν λέγειν, ὡς ὅταν λέγῃ· Οὐχὶ καὶ οἱ ἐθνικοὶ τὸ αὐτὸ ποιοῦσιν; ὁ δὲ προφήτης Ἱερεμίας τοὺς τοῦ Ῥηχὰβ υἱοὺς παρήγαγεν εἰς μέσον, τὴν πατρικὴν ἐντολὴν παραβῆναι μὴ καταδεξαμένους. εἶπον κακῶς οἱ περὶ Μαριὰμ τὸν Μωϋσέα, καὶ τῆς κολάσεως αὐτοῖς αὐτὸς ἐξῄτησε, καὶ οὐδὲ ἴσον μαθεῖν τινας, ὅτι ἐκδικίας ἔτυχε, συνεχώρησεν. ἀλλ᾽ οὐχ ἡμεῖς οὕτως· ἀλλὰ τοῦτο μάλιστα βουλόμεθα πάντας μαθεῖν, ὅτι οὐκ ἀτιμώρητοι παρῆλθον. μέχρι τίνος ἀπὸ γῆς πνέομεν, οὐκ ἔνι μάχην ἐξ ἑνὸς συστῆναι μέρους. ἰδοὺ μαχομένους ἂν ἐξ ἑκατέρων τῶν μερῶν ἑλκύσῃς, μᾶλλον προξενήσεις· ἂν δὲ ἐκ δεξιᾶς ἢ ἐξ ἀριστερᾶς, ἔσβεσας τὸν θυμόν. ὁ πλήττων, ἂν μὲν ἔχῃ τὸν μὴ δεχόμενον, μᾶλλον ἐπαίρεται· ἂν δὲ εἴκοντα, μᾶλλον ἐκλύεται, καὶ εἰς αὐτὸν ἡ πληγὴ περιτρέπεται. οὐ γὰρ οὕτως ἐκλύει τὴν δύναμιν τοῦ ἀνταγωνιστοῦ ἄνθρωπος παγκρατιάζειν εἰδὼς, ὡς ἂν ἄνθρωπος ὑβριζόμενος, καὶ μὴ ἀνθυβρίζων. αἰσχυνθεὶς γὰρ ἐκεῖνος λοιπὸν ἄπεισι, καὶ καταγνωσθεὶς, πρότερον μὲν ἐκ τοῦ συνειδότος, δεύτερον δὲ παρὰ τῶν ὁρώντων ἁπάντων. καὶ παροιμία δέ τίς ἐστιν, ὅτι ὁ τιμῶν, ἑαυτὸν τιμᾷ· ἄρα καὶ ὁ ὑβρίζων, ἑαυτὸν ὑβρίζει. οὐδεὶς ἡμᾶς ἀδικῆσαι δυνήσεται, πάλιν ἐρῶ, ἐὰν μὴ ἡμεῖς ἑαυτούς· οὔτε πένητά με τις ἐργάσεται, ἐὰν μὴ ἐγὼ ἐμαυτόν. φέρε γὰρ, οὕτω σκεψώμεθα. ἔστω μοι ψυχὴ πενιχρὰ, καὶ πάντες κενούτωσαν εἰς ἐμὲ τὰ χρήματα. τί τοῦτο; ἕως ἂν ἐκείνη μὴ μεταβάλληται, πάντα μάτην. ἔστω μοι ψυχὴ μεγάλη, καὶ πάντες λαμβανέτωσαν τὰ χρήματα. τί τοῦτο; ἕως ἂν ἐκείνην μὴ ποιήσῃς πενιχρὰν, οὐδὲν βλάβος. ἔστω μοι βίος ἀκάθαρτος, καὶ πάντες τἀναντία λεγέτωσαν περὶ ἐμοῦ. τί τοῦτο; καὶ γὰρ λέγουσιν, ἀλλ᾽ οὐχὶ καὶ ἐν διανοίᾳ ταῦτα ψηφίζονται. πάλιν ἔστω μοι βίος καθαρὸς, καὶ πάντες τἀναντία λεγέτωσαν. καὶ τί τοῦτο; ἐν γὰρ τῷ συνειδότι ἑαυτῶν καταγνώσονται. οὐ γὰρ δὴ πεπεισμένοι λέγουσιν. ὥσπερ γὰρ τὰς εὐφημίας οὐ δεῖ προσίεσθαι, οὕτως οὐδὲ τὰς κατηγορίας. καὶ τί λέγω ταῦτα; οὐδεὶς ἡμῖν ἐπιβουλεῦσαί ποτε δυνήσεται, οὐδὲ κατηγορίᾳ τινὶ περιβαλεῖν,

ἐὰν

Margin notes:
χ. πόσης
χ. ἔπος
χ. τῶν ἀλλα- φόρων
χ. συσκιάζειν
χ. τὸ δικαστήριον ἐπ. φοβερόν
χ. ἀναστρέψεις
• φησί
Ματθ. ε. μζ.
Ιερ. λε. β.
Ἀριθ. ιβ.
χ. κατηγορίας
χ. κατηγ.

Digitized by Google

ἀλλὰ πνεύματος πλήρεις καὶ σοφίας εἶπε· δηλῶν, ὅτι "μεγάλης φιλοσοφίας ἦν φέρειν κατηγορίας χρεῶν. τί γὰρ ὄφελος, ὅταν μὴ κλέπτῃ μὲν, ἀπολλύῃ δὲ πάντα; ἢ θρασὺς ᾖ, καὶ προξενῇ; καὶ τούτῳ ὁ θαυμαστὸς ἦν ὁ Φίλιππος. περὶ γὰρ αὐτοῦ φησι· Καὶ εἰσελθόντες εἰς τὸν οἶκον Φιλίππου τοῦ εὐαγγελιστοῦ ὄντος ἐκ τῶν ἑπτὰ, ἐμείναμεν παρ' αὐτῷ. ὁρᾷς οὐδὲν ἀνθρωπίνως διακονουμένους; καὶ ἐπληθύνετο ὁ ἀριθμὸς τῶν μαθητῶν ἐν Ἱερουσαλὴμ σφόδρα. ἐν Ἱεροσολύμοις ἐπεδίδου τὸ πλῆθος. τὸ θαυμαστὸν, ἔνθα ἐσφάγη ὁ Χριστὸς, ἐκεῖ ηὔξετο τὸ κήρυγμα. καὶ οὐ μόνον οὐκ ἐσκανδαλίσθησάν τινες τῶν μαθητῶν, ὁρῶντες τοὺς μὲν ἀποστόλους μαστιζομένους, τοὺς δὲ ἀπειλοῦντας, ἄλλους δὲ πνεῦμα πειράζοντας, ἑτέρους [δὲ] γογγύζοντας· ἀλλὰ μάλιστα καὶ προσετίθετο τοῖς πιστεύουσιν ὁ ἀριθμός. οὕτως ἀπὸ τοῦ περὶ Ἀνανίαν συμβάντος ἐσωφρονίσθησαν, καὶ πλείων ὁ φόβος αὐτοῖς γέγονεν. ὅρα δέ μοι πῶς ἐπεδίδου τὸ πλῆθος. μετὰ τοὺς πειρασμοὺς τότε ἐπέδωκεν, οὐχὶ πρὸ τούτου. σκόπει δὲ καὶ πόσην φιλανθρωπίαν τοῦ Θεοῦ. ἐξ ἐκείνων [γὰρ] τῶν ἀρχιερέων, τῶν πρὸς φόνον τοὺς ὄχλους προξενούντων, τῶν τοιαῦτα βοώντων* καὶ λεγόντων, Ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι, ἐκ τούτων πολλοί, φησιν, ὑπήκουον τῇ πίστει.

Πραξ. κα. η.

*γὰρ αὐτῶν τῶν ἀρχιερέων των,

Ματθ. κζ. μϐ.

ΗΘΙΚΟΝ

Αὐτοὺ τοίνυν καὶ ἡμεῖς γινώμεθα μιμηταί. προσεδέξατο αὐτοὺς, καὶ οὐκ ἐξέβαλεν. οὕτω τοὺς ἐχθροὺς ἀμειβώμεθα, τοὺς τὰ μυρία ἡμᾶς ἐργασαμένους δεινά. ὅπερ ἂν ἔχωμεν ἀγαθὸν, αὐτοῖς παρέχωμεν, μὴ παυόμεθα αὐτοὺς εὐποιοῦντες. εἰ γὰρ τὸ παθεῖν κακῶς ἐμπλῆσαι δεῖ τὸν θυμὸν αὐτῶν, πολλῷ μᾶλλον τὸ εὐποιῆσαι. τοῦτο γὰρ ἔλαττον ἐκείνου. οὐκ ἔστι γὰρ ἴσον εὖ ποιῆσαι ἐχθρὸν, καὶ μείζονα θελῆσαι παθεῖν, ἢ βούλεσθαι. ἀπὸ τούτου καὶ ἐπ' ἐκεῖνα ἥξομεν. τοῦτο ἀξίωμα τῶν τοῦ Χριστοῦ μαθητῶν. ἐσταύρωσαν αὐτὸν ἐλθόντα ἐπὶ εὐεργεσίᾳ τῇ αὐτῶν, τοὺς μαθητὰς αὐτοῦ ἐμάστιξαν. ὁ δὲ μετὰ ταῦτα εἰς τὴν αὐτὴν αὐτοὺς ἄγει τοῖς μαθηταῖς τιμὴν, ὁμοίως αὐτοῖς μεταδιδοὺς τῶν αὐτοῦ. μιμηταὶ γινώμεθα, τοῦ διδασκάλου, τοῦ Χριστοῦ. κατὰ τοῦτό ἐστι μιμήσασθαι αὐτόν· τοῦτο ἴσον ποιεῖ τῷ Θεῷ· τοῦτο μεῖζον, ἢ κατὰ ἄνθρωπόν ἐστιν. ἐχόμεθα τῆς ἐλεημοσύνης. αὕτη παιδαγωγὸς καὶ διδάσκαλος ἐκείνης τῆς φιλοσοφίας ἐστίν. ὁ μαθὼν ἐλεεῖν τὸν ἐν συμφορᾷ, μαθήσεται καὶ μὴ μνησικακεῖν· ὁ μαθὼν τοῦτο, καὶ ἐχθροὺς εὐεργετεῖν δυνήσεται. μάθωμεν κατακλᾶσθαι τοῖς τῶν πλησίον κακοῖς, καὶ μαθησόμεθα καὶ τὰ κακὰ αὐτῶν φέρειν. αὐτὸν ἐρωτήσωμεν τὸν κακῶς ἡμᾶς διατιθέντα, εἰ μὴ καταγινώσκει ἑαυτοῦ, εἰ μὴ ἤθελε φιλοσοφεῖν, εἰ μὴ θυμοῦ τὸ πάθος εἶναί φησιν, εἰ μὴ μικροψυχίας, εἰ μὴ ταλαιπωρίας· εἰ μὴ βούλοιτο τῶν ὑβριζομένων εἶναι καὶ σιγώντων, ἀλλὰ μὴ τῶν ὑβριζόντων καὶ μαινομένων· εἰ μὴ θαυμάσειεν ἄπειρα τὸν παθόντα. μὴ δὴ νομίσῃς, ὅτι τοῦτο εὐκαταφρονήτους ποιεῖ. οὐδὲν οὕτως εὐκαταφρονήτους ποιεῖ, ὡς τὸ ὑβρίζειν· οὐδὲν οὕτως αἰδεσίμους, ὡς τὸ ὑβριζομένους φέρειν. ὁ μὲν γὰρ ἐστιν ὑβριστὴς, ὁ δὲ φιλόσοφος· καὶ ὁ μὲν ἀνθρώπου χείρων, ὁ δὲ ἀγγέλων ἴσος. κἂν τι γὰρ ἐλάττων ᾖ τοῦ ὑβρίζοντος, καὶ οὕτως, εἰ βούλοιτο, δυνατὸς ὑπῆρχεν ἀμύνασθαι. καὶ ἄλλως δὲ, καὶ ἐλεεῖται μὲν παρὰ πάντων οὗτος, ἐκεῖνος δὲ μισεῖται. τί οὖν; οὐκ ἐντεῦθεν [ἄρα] πολλῷ βελτίων ἔσται οὗτος; τῷ μὲν γὰρ ὡς μαινομένῳ, τούτῳ δὲ ὡς νοῦν ἔχοντι προσέξουσιν ἅπαντες. ὅταν οὖν "κακηγορῆσαί τινα ὑπό τινος ἀναγκάζῃ, εἰπὲ πρὸς αὐτὸν· οὐ δυνάμαι αὐτὸν εἰπεῖν κακῶς· δέδοικα γὰρ μή πως οὐκ "εἴη τοιοῦτος. μάλιστα μὲν ἐν διανοίᾳ μὴ εἴπῃς, "ἀλλὰ μηδὲ πρὸς ἄλλον· μὴ ἐντύχῃς κατὰ τούτου τῷ Θεῷ. ἂν ἴδῃς κακῶς ἀκούοντα, ἄμεινον εἰπὲ, τοῦ πάθους ἐστὶ τὰ ῥήματα, οὐ τοῦ ἀνδρὸς· εἰπὲ, τῆς ὀργῆς, οὐ τοῦ φίλου· τῆς μανίας, οὐ τῆς ψυχῆς. ταῦτα λογιζώμεθα ἐφ' ἑκάστῳ τῶν ἁμαρτημάτων. μὴ περιμείνῃς ἀναφθῆναι τὸ πῦρ, ἀλλὰ πρὸ τούτου κάτασχε· μὴ προξενήσῃς τὸ θηρίον, ἀλλὰ μηδὲ προξενηθῆναι συγχωρήσῃς. οὐκ ἔτι γὰρ κύριος εἶ καταψῦξαι, ἂν ἡ φλὸξ ἀναφθῇ. τί γὰρ εἶπεν; ἀνόητε καὶ μωρέ; τίς οὖν, εἰπέ μοι, ὑποβύθιος

κ. μεγίστης

κ. ἀπεχθεῖς πρός τινα ἔχειν

κ. ἦν

κ. ἔπειτα δὲ μηδὲ

δεικνύουσι τοῦ πράγματος, ὅτι ἔλιπεν εἷς, καὶ ἔδει γενέσθαι δώδεκα, καὶ ἐνταῦθα τὴν χρείαν ἐδήλωσαν· καὶ οὔτε περιττοὺς ἐποίησαν, ἀλλὰ παρείμενον γενέσθαι τὸν γογγυσμόν, οὔτε μὴν ἀνάσχοιντο ἐπὶ πολὺ τοῦτο συμβῆναι. καὶ ὅρα, τὴν κρίσιν αὐτοῖς ἐπιτρέπουσι, καὶ τὸ πᾶσιν ἀρέσκοντας καὶ ὑπὸ πάντων μαρτυρουμένους ἐκείνους προβάλλονται. καὶ σφόδρα αὕτη ἡ κρίσις καλή. καὶ ἑπτὰ προβάλλονται, οὐκέτι δώδεκα, πλήρεις πνεύματος καὶ σοφίας, μαρτυρουμένους ἀπὸ τοῦ βίου. Πράξ. α. 15. ὅτε μὲν γὰρ τὸν Ματθίαν ἔδει προβάλλεσθαι, Δεῖ, ἔλεγον, τῶν συνελθόντων ἡμῖν ἀνδρῶν ἐν παντὶ τῷ χρόνῳ· ἐνταῦθα δὲ οὐχ οὕτως. οὐ γὰρ τοιοῦτον ἦν τὸ πρᾶγμα. διὸ καὶ οὐ κλήρῳ αὐτὸ ἐπέτρεψαν· οὔτε πάλιν, δυνάμενοι αὐτοὶ ἐκλέξαι (γρ. ἐκλέξαι) πνεύματι κινούμενοι, τοῦτο ποιοῦσιν, ἀλλ' ἀπὸ τῆς τῶν πολλῶν μαρτυρίας τὸ δοκιμὸν μᾶλλον ἰσῶσι. τὸ μὲν οὖν ὁρίσαι τὸν ἀριθμόν, καὶ τὸ χειροτονῆσαι, καὶ τὸ ἐν χρείᾳ τοιαύτῃ, αὐτῶν (γρ. ὅπως δὲ τὸ μὲ) ἦν· τὸ δὲ ἑλέσθαι τοὺς ἄνδρας, ἐκείνοις ἐπιτρέπουσιν, ἵνα μὴ δόξωσιν αὐτοὶ χαρίζεσθαι. ἐπεὶ καὶ (γρ. αὐτοῖς ποιοῦνται) Ἀριθ. ια. 16. ὁ Θεὸς Μωϋσῇ ἐπιτρέπει ἑλέσθαι πρεσβυτέρους, οὓς οἶδε. καὶ γὰρ σοφίας πολλῆς δεῖ ἐν ταῖς τοιαύταις οἰκονομίαις. μὴ γὰρ δὴ νομίσητε, ἐπειδὴ λόγον οὐκ ἐγκεχείρισται, ὅτι οὐ χρείαν ἔχει σοφίας ὁ τοιοῦτος. χρήζει γὰρ καὶ πολλῆς. ἡμεῖς δέ, φησι, τῇ προσευχῇ καὶ τῇ διακονίᾳ τοῦ λόγου προσκαρτερήσομεν. πάλιν καὶ ἀρχόμενοι καὶ τελευτῶντες ἀπολογοῦνται. προσκαρτερήσομεν, φησιν. οὕτω γὰρ ἔδει· οὐχ ἁπλῶς, οὐδὲ ὡς ἔτυχεν, ἀλλὰ προσκαρτερεῖν. καὶ ἤρεσε, φησιν, ὁ λόγος ἐνώπιον παντὸς τοῦ πλήθους. καὶ τοῦτο τῆς αὐτῶν σοφίας ἄξιον. πάντες ἐπῄνεσαν τὸ λεχθέν· οὕτως ἦσαν συνετοί. καὶ ἐξελέξαντο, φησι. πάλιν αὐτοὶ ἐκλέγονται Στέφανον ἄνδρα πλήρη πίστεως καὶ πνεύματος ἁγίου, καὶ Φίλιππον, καὶ Πρόχορον, καὶ Νικάνορα, καὶ Τίμωνα, καὶ Παρμενᾶν, καὶ Νικόλαον προσήλυτον Ἀντιοχέα, οὓς ἔστησαν ἐνώπιον τῶν ἀποστόλων. καὶ προσευξάμενοι ἐπέθηκαν αὐτοῖς τὰς χεῖρας. [ἐκ τούτου δῆλον ὅτι] ἀφώρισαν αὐτοὺς ἀπὸ τοῦ πλήθους, καὶ αὐτοὶ ἕλκουσιν, οὐχ οἱ ἀπόστολοι ἄγουσιν. ὅρα πῶς οὐκ ἔστι περιττὸς ὁ συγγραφεύς. οὐ γὰρ λέγει πῶς, ἀλλ' ἁπλῶς ὅτι ἐχειροτονήθησαν διὰ προσευχῆς. τοῦτο γὰρ ἡ χειροτονία ἐστίν. ἡ χεὶρ ἐπίκειται τοῦ ἀνδρός· τὸ δὲ πᾶν ὁ Θεὸς ἐργάζεται, καὶ ἡ αὐτοῦ χείρ ἐστιν ἡ ἁπτομένη τῆς κεφαλῆς τοῦ χειροτονουμένου, ἐὰν ὡς δεῖ χειροτονῆται. καὶ ὁ λόγος, φησί, τοῦ Θεοῦ ηὔξανε, καὶ ἐπληθύνετο ὁ ἀριθμὸς τῶν μαθητῶν. οὐχ ἁπλῶς εἴρηται τοῦτο· ἀλλ' ἵνα δείξῃ ὅση τῆς ἐλεημοσύνης ἡ ἰσχὺς καὶ τῆς διατάξεως. καὶ μέλλει λοιπὸν διηγεῖσθαι τὰ κατὰ Στέφανον· διὸ καὶ τὰς αἰτίας αὐτῶν προστίθησι. καὶ πολλοί, φησι, τῶν ἱερέων ὑπήκουον τῇ πίστει. ἐπειδὴ γὰρ εἶδον οἱ ἄρχοντες καὶ διδάσκαλοι ταῦτα ἀποφηνάμενοι, ἀπὸ τῶν ἔργων λοιπὸν τὴν πεῖραν ἐλάμβανον. καὶ θαυμάσαι ἄξιον, πῶς οὐκ ἐσχίσθη τὸ πλῆθος ἐν τῇ αἱρέσει τῶν ἀνδρῶν· πῶς οὐκ ἀπεδοκιμάσθησαν ὑπ' αὐτῶν οἱ ἀπόστολοι. ὁποῖον δὲ ἄρα ἀξίωμα εἶχον οὗτοι, καὶ ποίαν ἐδέξαντο χειροτονίαν, ἀναγκαῖον μαθεῖν. ἆρα τὴν τῶν διακόνων; καὶ μὴν τοῦτο ἐν ταῖς ἐκκλησίαις οὐκ ἔστιν· ἀλλὰ τῶν πρεσβυτέρων ἐστὶν ἡ οἰκονομία· καίτοι οὐδέπω οὐδεὶς ἐπίσκοπος ἦν, ἀλλ' οἱ ἀπόστολοι μόνοι. ὅθεν οὔτε διακόνων, οὔτε πρεσβυτέρων οἶμαι τὸ ὄνομα εἶναι δῆλον καὶ φανερόν· ἀλλὰ τέως εἰς τοῦτο ἐχειροτονήθησαν. καὶ οὐχ ἁπλῶς ἐνεχειρίσθησαν, ἀλλ' ἐπηύξαντο αὐτοῖς δυνηθῆναι γενέσθαι δύναμιν. ὅρα δέ μοι, εἰ ἑπτὰ ἀνδρῶν ἐδέησεν εἰς τοῦτο, τοσαῦτα ἴσως ἐπέρρει χρήματα, τοσούτων χηρῶν πλῆθος ἦν. ἄρα οὐχ ἁπλῶς αἱ εὐχαὶ ἐγίνοντο, ἀλλὰ μετὰ πολλῆς τῆς σχολῆς· καὶ τοῦτο, ὥσπερ τὸ κήρυγμα, οὕτως ἠνύετο. τὰ γὰρ πλείω ταύταις ἤνυον. οὕτω τὰ πνευματικὰ ἐπελέγοντο· οὕτω καὶ [πρὸς] ἀποδημίας ἐστέλλοντο· οὕτως ἐνεχειρίσθησαν οὗτοι τὸν λόγον. καὶ οὐ λέγει, οὐδὲ ἐπαίρει αὐτούς· ἀλλ' ὅτι τὸ δοθὲν ἀξίαν ἔργον, οὐκ ἀρεστόν. οὕτως ἦσαν ἀπὸ Μωϋσέως παιδευθέντες μὴ πάντα αὐτοὶ μεταχειρίζειν. διὰ τοῦτο καὶ ὁ Παῦλος, Γαλ. β. 10. Μόνον τῶν πτωχῶν, φησιν, ἵνα μνημονεύωμεν. πῶς δὲ καὶ προῆγον τούτους; ἐνήστευον, προσεκαρτέρουν εὐχῇ. τοῦτο καὶ νῦν γίνεσθαι ἔδει. οὐχ ἁπλῶς δὲ πνευματικούς, ἀλλὰ

τηρῶν τὴν κρίσιν ἐπέτρεψε. διὸ καὶ μᾶλλον ἐπείσθησαν. καὶ εἰ ἔπεισε, τίνος ἕνεκεν, φησὶν, ἐμάστιξαν; τῇ μὲν ἀναμφισβητήτῳ δικαιολογίᾳ ἀντιλέξαι οὐκ εἶχον· ὅμως δὲ τὸν θυμὸν ἐπλήρουν τὸν οἰκεῖον. ἄλλως δὲ, καὶ πάλιν ταύτῃ φοβήσειν προσεδόκησαν. καὶ τῷ μὴ παρόντος δὲ αὐτῶν ταῦτα λέγειν, ἐπεσπάσατο μᾶλλον αὐτούς· καὶ ἡ γλυκύτης δὲ τῶν λόγων, καὶ τὸ δίκαιον τῶν λεγομένων ἔπειθε. μόνον γὰρ οὐχὶ ἐκήρυττε καὶ οὗτος τὸ εὐαγγέλιον. πείσθητε, φησὶν, ὅτι οὐκ ἰσχύσατε καταλῦσαι. διὰ τί οὐκ ἐπιστεύσατε; οὕτω μέγα τὸ κήρυγμα, ὅτι καὶ παρὰ τῶν ἐχθρῶν ἡ μαρτυρία. ἐκεῖ τετρακισχίλιοι, καὶ ἐκεῖ τετρακόσιοι ἀνέστησαν, καὶ μετὰ τοῦτο ἱκανὸς ὄχλος· ὧδε δὲ δώδεκα ἦσαν οἱ πρῶτοι. μὴ οὖν ὑμᾶς πλανάτω τὸ πλῆθος τὸ προσγινόμενον. ἐὰν γὰρ ᾖ ἐξ ἀνθρώπων τὸ ἔργον τοῦτο, καταλυθήσεται. εἶχε καὶ Αἰγύπτιον εἰπεῖν ἕτερον· ἀλλὰ περιττὸς λοιπὸν ἦν ὁ λόγος αὐτοῦ. εἶδες πῶς τῷ φοβερῷ τὸν λόγον κατέκλεισε; διὸ καὶ οὐκ ἀποφαίνεται, ἵνα μὴ δόξῃ ὑπὲρ αὐτῶν λέγειν· ἀλλ᾽ ἀπὸ τῆς τῶν πραγμάτων ἐκβάσεως συλλογίζεται. οὐκ ἐτόλμησε δὲ ἀποφήνασθαι, ὅτι οὐκ ἀνθρώπινον ἐστιν, οὐδὲ ὅτι ἐκ Θεοῦ. ἐπεὶ, εἰ εἶπεν, ὅτι ἐκ Θεοῦ, ἀντέλεγον ἄν· εἰ δὲ ἐξ ἀνθρώπων, πρόχειροι πάλιν εἰς τὸ ἐπιθέσθαι ἐγίνοντο. διὰ τοῦτο αὐτοὺς ἀναμεῖναι τὸ τέλος κελεύει, εἰπών, ἀπόστητε. οἱ δὲ ἀπειλοῦσι πάλιν, εἰδότες μὲν ὅτι οὐδὲν ἀνύουσι, ποιοῦντες δὲ τὸ αὐτῶν. τοιοῦτον γὰρ ἡ κακία· ἀδυνάτοις πολλάκις ἐπιχειρεῖ. μετὰ δὲ τοῦτον ἀνέστη Ἰούδας. ταῦτα τοῖς τοῦ Ἰωσήπου βιβλίοις ἐγκύψαντες, μαθήσεσθε ἀκριβέστερον. ἐκεῖνος γὰρ τὴν τούτων ἱστορίαν συντάττων ἀκριβῶς ἱστορεῖ. εἶδες ἡλίκον ἐτόλμησεν εἰπεῖν, ὅτι ἐκ Θεοῦ, ὅτι λοιπὸν ἀπὸ τῶν πραγμάτων τὴν πίστιν ἔλαβεν; οὕτως πολλὴ ἡ παρρησία, πολὺ τὸ ἀπροσωπόληπτον. ἐπείσθησαν δὲ αὐτῷ, φησί, καὶ προσκαλεσάμενοι τοὺς ἀποστόλους, δείραντες ἀπέλυσαν αὐτούς. ᾐδέσθησαν τὴν δόξαν τοῦ ἀνδρός. διὸ καὶ τοῦ ἀνελεῖν μὲν τοὺς ἀποστόλους ἀφίστανται, μαστίζοντες δὲ μόνον αὐτοὺς ἀπολύουσιν. οἱ μὲν οὖν ἐπορεύοντο χαίροντες ἀπὸ προσώπου τοῦ συνεδρίου, ὅτι ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ κατηξιώθησαν ἀτιμασθῆναι. πόσων σημείων τοῦτο οὐ θαυμασιώτερον; οὐδαμοῦ γέγονεν ἐπὶ τῶν παλαιῶν τοῦτο. ἐπεὶ καὶ Ἱερεμίας ἐμαστίχθη διὰ τὸν λόγον τοῦ Θεοῦ, καὶ τῷ Ἡλίᾳ ἠπείλησαν, καὶ τοῖς ἄλλοις. ἀλλ᾽ ἐνταῦθα καὶ ἀπὸ τούτου, οὐκ ἀπὸ τῶν σημείων μόνον τὴν δύναμιν ἐπεδείκνυντο τοῦ Θεοῦ. οὐκ εἶπεν, ὅτι οὐκ ἤλγουν, ἀλλ᾽ ὅτι καὶ ἀλγοῦντες ἔχαιρον. πόθεν δῆλον; ἐκ τῆς μετὰ ταῦτα παρρησίας. οὕτως ἐνεστήκεσαν ἀεὶ καὶ μετὰ τὰς πληγὰς κηρύττοντες. διὸ καὶ τοῦτο δηλῶν, ἐν τῷ ἱερῷ, φησί, καὶ κατ᾽ οἶκον οὐκ ἐπαύοντο διδάσκοντες καὶ εὐαγγελιζόμενοι Ἰησοῦν Χριστόν. ἐν δὲ ταῖς ἡμέραις ταύταις. ποίαις ἡμέραις; ὅτε ταῦτα ἐγίνετο, ὅτε μάστιγες, ὅτε ἀπειλαί, ὅτε ἐπληθύνοντο οἱ μαθηταί, τότε γογγυσμὸς γίνεται. ἀπὸ τοῦ πλήθους δὲ τάχα συνέβη. οὐ γάρ ἐστιν ἀκρίβειαν ἐν πλήθει εἶναι. καὶ πολὺς ὄχλος τῶν ἱερέων ὑπήκουε τῇ πίστει. τοῦτο αἰνιττομένου ἐστὶ καὶ δεικνύντος, ὅτι ἀφ᾽ οὗ ὁ κατὰ Χριστοῦ θάνατος ἐσκευάσθη, πολλοὶ ἀπὸ τούτων πιστεύουσιν. ἐγένετο, φησί, γογγυσμὸς τῶν Ἑλληνιστῶν πρὸς τοὺς Ἑβραίους, ὅτι παρεθεωροῦντο ἐν τῇ διακονίᾳ τῇ καθημερινῇ αἱ χῆραι αὐτῶν. ἄρα καθημερινὴ διακονία ἦν ταῖς χήραις. καὶ ὅρα πῶς καὶ τοῦτο διακονίαν καλεῖ, καὶ οὐ ταχέως ἐλεημοσύνην, ἅμα καὶ τοὺς διδόντας, καὶ τοὺς λαμβάνοντας διὰ τούτου ἐπαίρων. τοῦτο οὐ κακίας ἦν, ἀλλὰ τοῦ πλήθους ἴσως ῥᾳθυμία. διὰ τοῦτο [καὶ] προσέθηκεν αὐτὸ εἰς μέσον (οὐ μικρὸν γὰρ κακὸν ἦν) ἵνα ταχέως καὶ διορθωθῇ. ὁρᾷς πῶς καὶ ἐν ἀρχῇ τὰ κακὰ οὐχὶ ἔξωθεν μόνον ἦν, ἀλλὰ καὶ ἔσωθεν; σὺ δὲ μὴ τοῦτο μόνον ἴδῃς, ὅτι διωρθώθη, ἀλλ᾽ ὅτι μέγα κακὸν ἦν. ὁρᾷς τὰ ἔξω διαδεχόμενα τὰ ἔσω; ἐπισκέψασθε οὖν, ἀδελφοί, ἄνδρας ἐξ ὑμῶν ἑπτά. οὐκ οἰκείᾳ γνώμῃ προάγουσιν, ἀλλὰ [προτρέπει] ἀπολογοῦνται τῷ πλήθει. οὕτω καὶ νῦν γίνεσθαι ἔδει. οὐκ ἔστι, φησίν, ἀρεστὸν καταλιπόντας ἡμᾶς τὸν λόγον τοῦ Θεοῦ, διακονεῖν τραπέζαις. πρότερον τὸ ἄτοπον τίθησιν, ὡς οὐκ ἐνὸν μετὰ * σπουδῆς ἀμφότερα γίνεσθαι. ἐπεὶ καὶ ὅτε τὸν Ματθίαν χειροτονούμενον, πρότερον τὴν χρείαν

κ. δὲ ὁ Ἰώσηπος ἀκριβῶς ἱστορεῖ,

Ἱερεμ. λζ. ιε. γ. Βασ. ιθ. β.

κ. ἐγένετο κ. ἐγίνετο γὰρ τὸ πλῆθος ἐθνικῶν ἢ ὕστερον ἦν

κ. ποιοῦντες κ. πίχοντες

* τῆς αὐτῆς

41 Οἱ μὲν οὖν, φησὶν, ἐπορεύοντο χαίροντες ἀπὸ προσώπου τοῦ συνεδρίου, ὅτι ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ κατηξιώθησαν ἀτιμασθῆναι.

42 Πᾶσάν τε ἡμέραν ἐν τῷ ἱερῷ καὶ κατ' οἶκον οὐκ ἐπαύοντο διδάσκοντες καὶ εὐαγγελιζόμενοι Ἰησοῦν Χριστόν.

κεφ. ϛ.

1 Ἐν δὲ ταῖς ἡμέραις ταύταις πληθυνόντων τῶν μαθητῶν, ἐγένετο γογγυσμὸς τῶν Ἑλληνιστῶν πρὸς τοὺς Ἑβραίους, ὅτι παρεθεωροῦντο ἐν τῇ διακονίᾳ τῇ καθημερινῇ αἱ χῆραι αὐτῶν. Οὐκ ἐν ἐκείναις πάντως λέγει ταῖς ἡμέραις· ἀλλ' ἐπειδὴ συνήθεια τοιαύτη ἐστὶ τῇ γραφῇ, καὶ τὰ μέλλοντα συμβαίνειν ὡς ἐφεξῆς γενόμενα λέγει. διὰ τοῦτο οὕτως εἶπεν. Ἑλληνιστὰς δὲ οἶμαι καλεῖν, τοὺς Ἑλληνιστὶ φθεγγομένους. οὗτοι γὰρ Ἑλληνιστὶ διελέγοντο [Ἑβραῖοι ὄντες.] ἰδοὺ ἄλλος πειρασμός· μᾶλλον εἶδος δεύτερον πειρασμοῦ. ὅρα καὶ ἔξωθεν, καὶ ἔσωθεν τοὺς πολέμους εὐθέως ἐξ ἀρχῆς.

2 Προσκαλεσάμενοι δὲ, φησὶν, οἱ δώδεκα τὸ πλῆθος τῶν μαθητῶν, εἶπον· οὐκ ἀρεστόν ἐστι καταλείψαντας ἡμᾶς τὸν λόγον τοῦ Θεοῦ, διακονεῖν τραπέζαις. Καλῶς. τῶν γὰρ ἀναγκαίων τὰ ἀναγκαιότερα προτιμότερα. ὅρα δὲ πῶς εὐθέως καὶ τούτων πρόνοιαν ποιοῦνται, καὶ τοῦ κηρύγματος οὐκ ἀμελοῦσιν. ὡς αἰδεσιμώτεροι δὲ ἐκεῖνοι ἦσαν· διὸ καὶ προσκείονται.

3 Ἐπισκέψασθε οὖν, φησὶν, ἀδελφοὶ, ἄνδρας ἐξ ὑμῶν μαρτυρουμένους ἑπτὰ πλήρεις πνεύματος ἁγίου καὶ σοφίας, οὓς καταστήσομεν ἐπὶ τῆς χρείας ταύτης.

4 Ἡμεῖς δὲ τῇ προσευχῇ καὶ τῇ διακονίᾳ τοῦ λόγου προσκαρτερήσομεν.

5 Καὶ ἤρεσεν ὁ λόγος ἐνώπιον παντὸς τοῦ πλήθους. καὶ ἐξελέξαντο Στέφανον ἄνδρα πλήρη πίστεως καὶ πνεύματος ἁγίου. Ἄρα καὶ ἐκεῖνοι πλήρεις πίστεως ἦσαν, οὓς καὶ ἐξελέξαντο, ἵνα μὴ τὰ αὐτὰ γένηται, οἷα ἐπὶ Ἰούδα, οἷα ἐπὶ Ἀνανίου καὶ Σαπφείρας.

Καὶ Φίλιππον, φησὶ, καὶ Πρόχορον, καὶ Νικάνορα, καὶ Τίμωνα, καὶ Παρμενᾶν, καὶ Νικόλαον προσήλυτον Ἀντιοχέα,

6 Οὓς ἔστησαν ἐνώπιον τῶν ἀποστόλων· καὶ προσευξάμενοι, ἐπέθηκαν αὐτοῖς τὰς χεῖρας.

7 Καὶ ὁ λόγος τοῦ Κυρίου ηὔξανε, καὶ ἐπληθύνετο ὁ ἀριθμὸς τῶν μαθητῶν ἐν Ἱερουσαλὴμ σφόδρα, πολύς τε ὄχλος τῶν ἱερέων ὑπήκουε τῇ πίστει.

Ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. Ἄνδρες Ἰσραηλῖται προσέχετε ἑαυτοῖς. ὅρα δέ μοι τὸν Γαμαλιὴλ ἐνταῦθα πῶς μετ' ἐπιεικείας διαλέγεται. καὶ βραχέα διέξεισι πρὸς αὐτοὺς, καὶ οὐ λέγει παλαιὰ διηγήματα καίτοιγε ἔχων, ἀλλὰ νεώτερα, ἃ μάλιστα πρὸς πίστιν ἐστὶν ἰσχυρά. διὸ καὶ μετ' ἐπικρύψεως ἄρχεται λέγων· πρὸ γὰρ τούτων τῶν ἡμερῶν, μονονουχὶ δηλῶν, ὡς οὐ πρὸ πολλῶν. Εἰ μὲν οὖν εὐθέως εἶπεν, ἄφετε τοὺς ἄνδρας, καὶ αὐτὸς ἔδοξεν ὕποπτος ἂν, καὶ ὁ λόγος οὕτως οὐκ ἦν ἰσχυρός· μετὰ δὲ τὴν τῶν παραδειγμάτων τὴν οἰκείαν ἰσχυρὰν ἐλάμβανε. Διὰ τοῦτο οὐδὲ ἑνὸς μέμνηται, ἀλλὰ καὶ δευτέρου, καίτοι εἶχεν εἰπεῖν καὶ τρίτον, ἐκ περιουσίας καὶ ἑαυτὸν καλῶς λέγοντα δεικνὺς, κἀκείνους ἀπάγων τῆς φονικῆς προαιρέσεως. Ἀπόστητε, φησὶν, ἀπὸ τῶν ἀνθρώπων. ὅρα πῶς τὸ ἦθος ἐπιεικές. καὶ οὔτε μακρὸν τὸν λόγον, ἀλλὰ σύντομον ποιεῖ, οὔτε ἐκείνου μετὰ θυμοῦ μέμνηται. καὶ πάντες, φησὶν, ὅσοι ἐπείθοντο αὐτῷ, διεσκορπίσθησαν. τοῦτο λέγων, οὐδὲν εἰς Χριστὸν βλασφημεῖ· ἀλλ' ὃ βούλεται μάλιστα κατορθοῖ. ἐὰν ᾖ, φησὶν, ἐξ ἀνθρώπων, καταλυθήσεται. ἐνταῦθα δὲ συλλογίζεσθαί μοι αὐτοὺς δοκεῖ καὶ λέγειν· οὐκοῦν ἐπειδὴ οὐ κατελύθη, οὐκ ἔστιν ἀνθρώπινον. μήποτε καὶ θεομάχοι εὑρεθῆτε. τοῦτο εἶπε, τῷ ἀδυνάτῳ καὶ ἀσυμφόρῳ καταστέλλων αὐτούς. Εἰ δὲ ἐκ Θεοῦ ἐστιν, οὐ δυνήσεσθε. Οὐκ εἶπεν, ἐὰν ᾖ Θεὸς ὁ Χριστὸς (τὸ γὰρ ἔργον τοῦτο ἐδήλου) οὐδὲ ἀπεφήνατο οὔτε ὅτι ἀνθρώπινόν ἐστιν, οὔτε ὅτι θεῖον· ἀλλὰ τῷ μέλλοντι

χ. ἔσπο
χ. διὰ τοῦτο καὶ αὐτὸς ἐρρύξατο λέγων·
χ. τὰ παραδείγματα
χ. κἰς.

χρόνῳ

σαυτὸν οἷα πέπονθε; Σατανικὴ γὰρ ὄντως ἐστὶ παγὶς τὸ ὀμνύναι. διαῤῥήξωμεν τοίνυν τὰ σχοινία, καὶ ἐν βιβλίᾳ κατασήσωμεν ἑαυτοὺς πάσης φυλακῆς. ἀπαλλαγῶμεν τῆς Σατανικῆς παγίδος· φοβηθῶμεν τὴν ἐντολὴν τὴν δεσποτικήν· εἰς συνήθειαν ἀρίστην ἑαυτοὺς ἐμβάλωμεν· ἵνα οὕτω προβαίνοντες, καὶ ταύτην, καὶ τὰς λοιπὰς ἐντολὰς κατορθώσαντες, τῶν ἐπηγγελμένων ἐπιτύχωμεν ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτόν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ιε. 34 ΑΝΑΣΤΑΣ ΔΕ ΤΙΣ ΕΝ ΤΩ ΣΥΝΕΔΡΙΩ Φαρισαῖος, ὀνόματι Γαμαλιήλ, νομοδιδάσκαλος, τίμιος παντὶ τῷ λαῷ, ἐκέλευσεν ἔξω βραχύ τι τοὺς ἀνθρώπους ποιῆσαι.

Οὗτος ὁ Γαμαλιὴλ Παύλου διδάσκαλος ἦν. καὶ θαυμάσαι ἄξιον πῶς καὶ τὰ κατὰ νόμου κρίσεις ἔχων, καὶ νομομαθὴς ὤν, οὐδέπω ἐπίστευσεν. Οὐκ ἔστι δὲ αὐτὸν μεῖναι μὴ πιστεύσαντα δι' ὅλου. καὶ δῆλον ἐκ τῶν ῥημάτων αὐτοῦ [δι' ὧν συμβουλεύει]. ἐκέλευσε γάρ, φησιν, ἔξω βραχύ τι τοὺς ἀνθρώπους ποιῆσαι. ὅρα τὴν σύνεσιν τῆς δημηγορίας, καὶ πῶς αὐτοὺς εὐθέως εἰς φόβον ἐνέβαλεν. ὥστε δὲ μὴ ὑποπτευθῆναι αὐτὸν ὡς τὰ ἐκείνων φρονοῦντα, ὡς πρὸς ὁμογνώμονας διαλέγεται, καὶ οὐ πολλῇ τῇ σφοδρότητι κέχρηται, ἀλλ' ὡς ὑπὸ τοῦ θυμοῦ μεθύουσιν οὕτω φησίν·

35 Ἄνδρες Ἰσραηλῖται, προσέχετε ἑαυτοῖς ἐπὶ τοῖς ἀνθρώποις τούτοις τί μέλλετε πράσσειν. Μὴ ἁπλῶς, φησί, μηδὲ ὡς ἔτυχε, φέρεσθε.

36 Πρὸ γὰρ τούτων τῶν ἡμερῶν ἀνέστη Θευδᾶς, λέγων εἶναί τινα ἑαυτόν, ᾧ προσεκλήθη ἀριθμὸς ἀνδρῶν ὡσεὶ τετρακοσίων, ὃς ἀνῃρέθη, καὶ πάντες ὅσοι ἐπείθοντο αὐτῷ διελύθησαν, καὶ ἐγένοντο εἰς οὐδέν. Ἀπὸ παραδειγμάτων αὐτοὺς σωφρονίζει, καὶ τὸν πλείονας ἀποστήσαντα ὕστερον τεθνηκέναι, παραμυθούμενος αὐτούς. πρότερον μὲν οὖν τὰ παραδείγματα εἰπεῖν, λέγει, προσέχετε ἑαυτοῖς. ἐπειδὴ δὲ ἔδειξεν, ἀποφαίνεται λέγων· καὶ τὰ νῦν λέγω ὑμῖν, ἀπόστητε ἀπὸ τῶν ἀνθρώπων τούτων.

37 Μετὰ τοῦτον ἀνέστη Ἰούδας ὁ Γαλιλαῖος ἐν ταῖς ἡμέραις τῆς ἀπογραφῆς, καὶ ἀπέστησεν ἱκανὸν λαὸν ὀπίσω αὐτοῦ· κἀκεῖνος ἀπώλετο, καὶ πάντες ὅσοι ἐπείθοντο αὐτῷ διεσκορπίσθησαν.

38 Καὶ τανῦν λέγω ὑμῖν, ἀπόστητε ἀπὸ τῶν ἀνθρώπων τούτων, καὶ ἐάσατε αὐτούς· ὅτι, ἐὰν ᾖ ἐξ ἀνθρώπων ἡ βουλὴ αὕτη ἢ τὸ ἔργον τοῦτο, καταλυθήσεται·

39 Εἰ δὲ ἐκ Θεοῦ ἐστιν, οὐ δυνήσεσθε καταλῦσαι αὐτό. Ὥσπερ ἔλεγεν· ἀνάσχεσθε, καὶ ἐὰν ἐξ ἑαυτῶν καὶ οὗτοι συνέστησαν, οὐδὲν κωλύει καὶ αὐτοὺς καταλυθῆναι.

Μήποτε, φησί, καὶ θεομάχοι εὑρεθῆτε. Καὶ διὰ τοῦ ἀδυνάτου, καὶ διὰ τοῦ ἀσυμφόρου ἀποτρέπει αὐτούς. Οὐκ εἶπε δὲ ὑπό τινος ἀνῃρέθησαν, ἀλλ' ἁπλῶς ὅτι διελύθησαν καὶ διεῤῥύη αὐτῶν τὸ σύστημα. Εἰ μὲν γὰρ ἀνθρώπινον τὸ ἔργον, οὐδὲν δεήσει πραγμάτων ὑμῖν· εἰ δὲ θεῖόν ἐστιν, οὐδὲ μετὰ πραγμάτων δυνήσεσθε περιγενέσθαι. Οὕτω γοῦν καὶ ὁ λόγος συνετὸς ἔδοξεν, ὅτι καὶ ἐπείσθησαν, ὥστε μὴ ἀνελεῖν αὐτούς, ἀλλὰ μαστίξαι μόνον.

40 Ἐπείσθησαν γὰρ αὐτῷ, φησί, καὶ προσκαλεσάμενοι τοὺς ἀποστόλους, δείραντες παρήγγειλαν μὴ λαλεῖν ἐπὶ τῷ ὀνόματι τοῦ Ἰησοῦ, καὶ ἀπέλυσαν αὐτούς. Ὅρα μετὰ πόσα μαστίζονται θαύματα. καὶ ὅμως πάλιν ἡ διδασκαλία ἐπετείνετο. καὶ γὰρ καὶ ἐν οἰκίᾳ, καὶ ἐν τῷ ἱερῷ ἐδίδασκον.

τὴν ἦλθον πενίας. διὰ τί; μηδεὶς βιάζεται, μηδεὶς συκοφαντεῖ; ἆρ' οὐ δῆλον ὅτι ἐν ἀσφαλεστέρῳ χωρίῳ εἰσί; πόσοις δὲ τὸ πρᾶγμα τοῦτο δυσσιώπητον εἶναι δοκεῖ, ἡ πενία λέγω, καὶ τὸ προσαιτεῖν; τί οὖν, εἰπέ μοι, καλὸν τὸ ἐπαιτεῖν; καλὸν, ἐὰν ἦ ὁ παραμυθούμενος καὶ ἐλεῶν, ἐὰν ἦ ὁ παρέχων. οὕτω βίον ἀπράγμονα καὶ ἀσφαλῆ τοῦτον πᾶς οἶδεν. ἐγὼ δὲ οὐ τοῦτο παραινῶ (μὴ γένοιτο) ἀλλ' ὥστε μὴ πλούτου ἐφίεσθαι. εἰπὲ γάρ μοι, τίνας ἂν εἴποις μᾶλλον μακαρίους, τοὺς ἐπιτηδείους πρὸς ἀρετὴν, ἢ τοὺς ταύτης πόρρω καθεστηκότας; εὔδηλον ὅτι τοὺς ἐπιτηδείους. τίς οὖν ἐπιτήδειος πρὸς τὸ μαθεῖν τι τῶν χρησίμων καὶ λάμψαι ἐν φιλοσοφίᾳ, οὗτος, ἢ ἐκεῖνος; παντί που δῆλον ὅτι οὗτος. εἰ δὲ ἀπιστεῖς, μάνθανε. ἀγέσθω τις ἀπὸ τῆς ἀγορᾶς τῶν προσαιτούντων, καὶ αὐτὸς μὲν ἔστω πηρὸς, χωλὸς, κυλλός· ἕτερος δέ τις καλὸς μὲν ἰδεῖν, ἰσχυρὸς τῷ σώματι, πάντοθεν σφριγῶν, τοῖς χρήμασι περιρρεόμενος, γένος ἐχέτω λαμπρὸν καὶ δυναστείαν μεγάλην. εἶτα ἀγάγωμεν τούτους εἰς τὸ τῆς φιλοσοφίας παιδευτήριον, καὶ ἴδωμεν τίς αὐτῶν μᾶλλον δέξεται τὰ τῆς διδασκαλίας. ἔστω γοῦν τὸ πρῶτον παράγγελμα, ταπεινὸς ἔσο καὶ μέτριος. τοῦτο γὰρ ὁ Χριστὸς προσέταξε. τίς μᾶλλον αὐτὸ κατορθῶσαι δυνήσεται, οὗτος, ἢ ἐκεῖνος; μακάριοι οἱ πενθοῦντες. τίς μᾶλλον προσέξει τῷ εἰρημένῳ; μακάριοι οἱ ταπεινοί. τίς μᾶλλον ἀκούσεται; μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ· μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην· μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης. τίς εὐκόλως ταῦτα καταδέξεται; καὶ εἰ βούλει, πᾶσιν αὐτοὺς ἐφαρμόσωμεν ἑκατέρους. οὐχ ὁ μὲν φλεγμαίνει καὶ οἰδεῖ πάντοθεν, ὁ δὲ ταπεινοφρονεῖ ἀεὶ καὶ συνέσταλται διαπαντός; ἔστι μὲν οὖν καὶ ἔπος τοιοῦτο τοῖς ἔξωθεν εἰρημένον· δοῦλος ὁ μὲν Ἐπίκτητος, σῶμα ἀνάπηρος, πενίην Ἶρος, καὶ φίλος ἀθανάτων. ἀλλὰ τοῦτο μὲν ὁ πένης· ἡ δὲ τοῦ πλουσίου ψυχὴ πάντων γέμει τῶν κακῶν, ἀπονοίας, κενοδοξίας, ἐπιθυμιῶν μυρίων, ὀργῆς καὶ θυμοῦ, πλεονεξίας, ἀδικίας, καὶ εἴ τινος ἑτέρου. ἆρα φανερὸν, ὅτι πρὸς φιλοσοφίαν αὕτη ἐπιτηδεία μᾶλλον ἢ ἐκείνη. πάντως ζητεῖτε μαθεῖν τί μᾶλλον ἥδιον. τοῦτο γὰρ παρὰ πολλοῖς στρεφόμενον ὁρῶ, εἰ τίς ποτ' ἡδίων ἡ διαγωγή. καὶ μὴν οὐδὲ ὑπὲρ τούτου ἀμφιβάλλειν χρή. ὁ γὰρ ἐγγὺς τῆς ὑγείας, τούτῳ καὶ ἐν ἡδονῇ πολλῇ. τίς δὲ, εἰπέ μοι, πρὸς τὸ προκείμενον, ὅπερ βουλόμεθα κατορθῶσαι, τὸν νόμον τοῦτον λέγω, ἐπιτήδειος; ὁ πένης, ἢ ὁ πλουτῶν; τίς εὐκόλως ὀμεῖται; ὁ πρὸς παῖδας παροξυνόμενος, ὁ πρὸς μυρίους ἔχων συναλλάγματα, ἢ ὁ προσαιτῶν ὑπὲρ ἄρτου ἢ ἱματίου ἑνός; τοῦτον οὐδὲ ἀνάγκην ὅρκων ἔχει ἐὰν θέλῃ, ἀλλ' ἀεὶ ἐν ἀπραγμοσύνῃ διάγει. μᾶλλον δὲ ὁ παιδευόμενος μὴ ὀμνύναι, καὶ χρημάτων καταφρονήσει πολλάκις, καὶ πανταχοῦ τῆς ἀρετῆς τὰς ὁδοὺς τεμνομένας ἀπὸ τούτου τοῦ καλοῦ ἴδοι τις ἂν, καὶ πάσας φερούσας πρὸς ἐπιείκειαν, πρὸς χρημάτων ὑπεροψίαν, πρὸς εὐλάβειαν, πρὸς καταστολὴν ψυχῆς, πρὸς κατάνυξιν. μὴ δὴ ῥᾳθυμῶμεν, ἀγαπητοί· ἀλλὰ πάλιν πολλὴν ποιησώμεθα τὴν σπουδὴν, οἱ μὲν κατωρθωκότες, ὥστε φυλάξαι τὸ κατορθωθὲν, ὥστε μὴ εὐκόλως ἀπορροίαν τινὰ γενέσθαι καὶ παλίρροιαν εἰς τοὐπίσω· οἱ δὲ ἔτι λειπόμενοι, ὥστε διαναστῆναι, ὥστε σπουδάσαι τὸ λεῖπον πληρῶσαι. καὶ τέως οἱ κατορθώσαντες τοὺς μήπω δυνηθέντας, καθάπερ ἐν πελάγει νηχομένοις τὰς χεῖρας ἐκτείνοντες, ἐν τῷ λιμένι τῆς ἀνωμοσίας δεχέσθωσαν. λιμὴν γὰρ ὄντως ἀσφαλὴς, τὸ μὴ ὀμνύναι· λιμὴν, πρὸς τὸ μὴ καταποντίζεσθαι ὑπὸ τῶν προσπιπτόντων πνευμάτων. κἂν γὰρ ὀργὴ, κἂν ἐπήρεια, κἂν θυμὸς ὑπερζέσῃ, κἂν ὁτιοῦν*, ἡ ψυχὴ ἐν ἀσφαλείᾳ καθέστηκεν, ὥστε οὐδ' ἂν ἐκβάλῃ τι τῶν οὐκ ὀφειλόντων εἰρῆσθαι. οὐ γὰρ εἰς ἀνάγκην κατέστησεν ἑαυτὸν, οὐδὲ νόμον. ὅρα τί διὰ τῶν ὅρκων ἐποίησεν Ἡρώδης. τὴν κεφαλὴν ἀπέτεμε τοῦ προδρόμου. διὰ τοὺς ὅρκους γὰρ, φησί, καὶ τοὺς συνανακειμένους οὐκ ἠθέλησεν αὐτὴν ἀθετῆσαι. τί δὲ ὅρκοι πεπόνθασιν αἱ φυλαὶ ἐπὶ τῆς Βενιαμὶν φυλῆς; τί δὲ ὅρκον πέπονθεν ὁ Σαούλ; ὁ μὲν γὰρ ἐπιώρκησεν· ὁ δὲ Ἡρώδης καὶ τῆς ἐπιορκίας χεῖρον εἰργάσατο, τὸν φόνον. πάλιν ὁ Ἰησοῦς διὰ τὸν ὅρκον ἐπὶ τῶν Γαβαωνιτῶν

Margin notes: χ. δυσαχώριστον — χ. ἐγγύς — χ. ἀναπήρων — Ματθ. ε. δ. — χ. ζητοῦμεν ὁρῶ, εἴγε αὐτὸ ἥδιον — χ. κατάστασιν — * ἦ — χ. κἂν ἐκβάλῃ τι τῶν ῥημάτων τῶν οὐ δεόντων ὑπὸ ὀργῆς, οὐκ εἰς — Μαρκ. ς. κε. — Κριτ. κα. α. — β Βασιλ. β.

Digitized by Google

δυναστείας καθήμενος. αὐτὸν τὸν ἐξαγαγόντα αὐτὸν Πέτρον τὸν ἐν δεσμοῖς, εἰ δοκεῖ, τὸν ἐν μυρίοις κακοῖς· καὶ τοῦτον εὑρήσομεν τρυφῶντα μᾶλλον. ὅταν γὰρ τοσαύτη περιουσία χαρᾶς ᾖ, ὡς ἐν δεσμοῖς ἥδεσθαι, ἐννόησον ὅσον ἐστὶ τὸ μέγεθος τῆς χαρᾶς. καθάπερ γὰρ οἱ ἐπὶ μεγάλης ὄντες ἀρχῆς, ὅσα ἂν περιστῇ δεινὰ, οὐκ αἰσθάνονται, ἀλλ' ἐπιμένουσι τῇ χαρᾷ· οὕτω δὴ καὶ οὗτοι δι' αὐτὰ δὴ ταῦτα μᾶλλον ἔχαιρον. οὐ γάρ ἐστιν, οὐκ ἔστι λόγῳ παραστῆσαι τὴν ἡδονὴν, ὅσην ἔχει συμβαίνειν τοὺς διὰ Χριστόν τι πάσχοντας δεινόν. μᾶλλον γὰρ ἐπὶ τοῖς δεινοῖς χαίρουσιν, ἢ ἐπὶ τοῖς ἀγαθοῖς. εἴ τις ἐφίλησε τὸν Χριστὸν, οἶδεν ὃ λέγω. ἀλλὰ τί; ἀσφαλείας ἕνεκεν ἐμέλλομεν τὰ δυσχερῆ φεύγειν; καὶ τίς, εἰπέ μοι, μυρίον κεκτημένος πλοῦτον, τοσούτους κινδύνους ἠδυνήθη διαφυγεῖν, ἔθνεσι τοσούτοις ὁμιλῶν ὑπὲρ μεταστάσεως πολιτείας μόνης; ὥσπερ γὰρ οἱ ἐξ ἐπιτάγματος βασιλικοῦ πάντα ἰόντες· μᾶλλον δὲ καὶ πολλῷ ῥᾷδιον. οὐ γὰρ οὕτως ἐπίταγμα βασιλικὸν, ὡς τὰ ἐκείνων ῥήματα ἅπαντα ἤνυε. τὸ γὰρ ἐπίταγμα τὸ βασιλικὸν ἀνάγκη ἐπάγει· οὗτοι δὲ ἑκόντας καὶ προαιρουμένους, καὶ μυρίαν χάριν εἰδότας. ποῖον ἐπίταγμα βασιλικὸν, εἰπέ μοι, πάντων ἀποστῆναι τῶν χρημάτων καὶ τῆς ψυχῆς ἔπεισεν ἂν, καὶ καταφρονῆσαι οἰκίας, πατρίδος, συγγενῶν, καὶ τῆς σωτηρίας αὐτῆς; ἀλλ' αἱ τῶν ἁλιέων καὶ σκηνοποιῶν ἴσχυσαν φωναί· ὥστε καὶ ἐν ἡδονῇ ἦσαν, καὶ δυνατώτεροι καὶ ἰσχυρότεροι πάντων. καί, φησιν, ἐκεῖνοι, ἐπεὶ τὰ σημεῖα ἐποίουν· οἱ δὲ πιστεύσαντες, εἰπέ μοι, ποῖα σημεῖα ἐποίουν, οἱ τρισχίλιοι καὶ πεντακισχίλιοι, οἳ καὶ ἐν ἀγαλλιάσει πολλῇ διῆγον; εἰκότως. ἡ γὰρ πασῶν τῶν ἀθυμιῶν ὑπόθεσις, ἡ τῶν χρημάτων κτῆσις ἀνῄρητο. ἐκείνη γάρ, ἐκείνη καὶ πολέμων καὶ μάχης καὶ λύπης καὶ ἀθυμίας καὶ πάντων αἰτία τῶν κακῶν ἦν· ἡ τὸν βίον ἐπίπονον ποιοῦσα καὶ λυπηρότερον, ἐκείνη ἐστί. καὶ πλείους εὕροι τις ἂν ἔχοντας ἀθυμίας ὑποθέσεις τοὺς ἐν πλούτῳ, ἢ τοὺς ἐν πενίᾳ. εἰ δὲ μὴ δοκεῖ που οὕτως ἔχειν, οὐ παρὰ τὴν τῶν πραγμάτων φύσιν, ἀλλὰ παρὰ τὴν δόξαν αὐτῶν. εἰ δέ τινα ἔχουσι καὶ ἡδονὴν οἱ ἐν πλούτῳ, οὐδὲν θαυμαστόν. καὶ γὰρ οἱ ψώρας ἀναπεπλησμένοι, ἐν πολλῇ εἰσὶν ἡδονῇ. ὅτι γὰρ ἐκείνων οὐδὲν διαφέρουσιν οἱ πλουτοῦντες, ἀλλ' ἡ ψυχὴ τοιαύτη τίς ἐστιν αὐτοῖς, δῆλον ἐκεῖθεν. ἀνιῶσιν αὐτοὺς φροντίδες, καὶ [ὅμως] βούλονται αὐταῖς ἐνέχεσθαι διὰ τὴν πρόσκαιρον ἡδονήν· οἱ δὲ τούτων ἀπηλλαγμένοι, ἐν ὑγείᾳ εἰσὶ καὶ ἀθυμίας ἐκτός. τί ἥδιον, εἰπέ μοι, τί δαὶ ἀσφαλέστερον, ὑπὲρ ἄρτου φροντίζειν ἑνὸς καὶ ἐνδυμάτων, ἢ ὑπὲρ μυρίων καὶ οἰκετῶν καὶ ἐλευθέρων, τὰ καθ' ἑαυτὸν μὴ μεριμνῶντα; καθάπερ γὰρ οὗτος ὑπὲρ ἑαυτοῦ δέδοικεν· οὕτω καὶ σὺ ὑπὲρ τῶν τῆς σῆς ἐκκρεμαμένων κεφαλῆς. καὶ τί δήποτε φευκτὸν ἡ πενία δοκεῖ, φησίν; ἐπεὶ καὶ τὰ ἄλλα ἀγαθὰ ἀπευκτὰ πολλοῖς τυγχάνει, ἅπερ εἰσὶν οὐ διὰ τὸ ἀπευκτὰ εἶναι φευκτά, ἀλλὰ διὰ τὸ δυσκατόρθωτα. οὐκοῦν καὶ αὕτη οὐκ ἀπευκτὴ, ἀλλὰ δυσκατόρθωτος. ὥστε εἴγε τις αὐτὴν ἐνεγκεῖν ἠδυνήσατο, οὐκ ἂν ἦν ἀπευκτή. διὰ τί γὰρ οὐκ ἀπηύχοντο αὐτὴν οἱ ἀπόστολοι; διὰ τί πολλοὶ καὶ αἱροῦνται αὐτήν; καὶ οὐ μόνον οὐκ ἀπεύχονται, ἀλλὰ καὶ ἐπιτρέχουσι. τὸ γὰρ οὕτως ἀπευκτὸν, οὐδὲ αἱρετὸν πλὴν τοῖς μαινομένοις. εἰ δὲ οἱ φιλόσοφοι τῶν ἀνθρώπων καὶ ὑψηλοὶ ἐπὶ ταύτην ἔρχονται, ὡς ἐπί τι χωρίον ἀσφαλὲς καὶ ἄσυλον, οὐδὲν θαυμαστὸν ἐὰν τοῖς ἄλλοις μὴ δοκῇ. ὁ μὲν γὰρ πλούσιος οὐδὲν ἕτερον εἶναί μοι δοκεῖ, ἀλλ' ἢ πόλις ἀτείχιστος ἐν πεδίῳ κειμένη πολλαχόθεν ἐπιτασσομένη τοῖς ἐπιβουλεύουσι· ἡ δὲ πενία φρούριον ἀσφαλὲς, χαλκῷ περιβεβλημένον πολλῷ, καὶ δύσκολον ἔχον τὴν ἔφοδον. καὶ μὴν τοὐναντίον, φησίν, ἐστίν. οὗτοι γάρ εἰσιν οἱ εἰς δικαστήριον πολλάκις ἑλκόμενοι, οὗτοί εἰσιν οἱ ἐπηρεαζόμενοι, οἱ κακῶς πάσχοντες. οὐχ οἱ πένητες ἁπλῶς, ἀλλ' οἱ πένητες μὲν, βουλόμενοι δὲ πλουτεῖν. ἐγὼ δὲ οὐ περὶ ἐκείνων φημὶ, ἀλλὰ περὶ τῶν σπουδαζόντων ἐν πενίᾳ διάγειν. εἰπὲ γάρ μοι, διὰ τί μηδεὶς τοὺς ἐν τοῖς ὄρεσιν ἕλκει εἰς δικαστήριον; καίτοιγε εἰ ἡ πενία εὐχείρωτον, ἐκείνους μάλιστα πάντων ἕλκεσθαι ἔδει, ὅσῳ πάντων εἰσὶ πενέστεροι. διὰ τί τοὺς προσαιτοῦντας οὐδεὶς ἕλκει εἰς δικαστήριον; ὅτι πρὸς ἐσχά-

[margin: γ. διαφυγεῖν τοὺς κινδύνους;]

[margin: γ. ἤνυσεν ὡς τὰ ἐκείνων ῥήματα. τὸ]

[margin: κ. δ]

μὴ κενοδοξῆσαι, πόσον ἐστὶν ἀγαθόν; τὸ μετ' ἐπιεικείας διαλέγεσθαι, πόσον ἐστὶ κέρδος; οὐ γὰρ δὴ πάντα τῆς χάριτος ἦν, ἀλλὰ καὶ τῆς αὐτῶν σπουδῆς πολλὰ τὰ τεκμήρια. τὸ γὰρ ἐν αὐτοῖς τὰ τῆς χάριτος διαλάμπειν, τῆς αὐτῶν ἐπιμελείας ἦν. ὅρα γοῦν [εὐθὺς] ἐξ ἀρχῆς πῶς μεμεριμνημένος ὁ Πέτρος ἐστί· πῶς νήφων καὶ ἐγρηγορώς· πῶς οἱ πιστεύσαντες τὰ χρήματα ἔρριψαν. οὐδὲν ἴδιον εἶχον, ἐν εὐχῇ ἦσαν, ὁμόνοιαν ἐπεδείκνυντο, ἐν νηστείαις διῆγον. ταῦτα ποίας χάριτος, εἰπέ μοι; διὰ τοῦτο [καὶ] δι' αὐτῶν ποιεῖ γενέσθαι τὸν ἔλεγχον τῶν ὑπηρετῶν αὐτῶν, ὥσπερ δὴ καὶ ἐπὶ τοῦ Χριστοῦ ἔλεγον οἱ πεμφθέντες· Οὐδέποτε οὕτως ἄνθρωπος ἐλάλησεν, ὡς οὗτος ὁ ἄνθρωπος. ἀπήγγειλαν ὑποστρέψαντες ἅπερ εἶδον. ταῦτα τῆς ἀναστάσεως πιστότερα. σὺ δέ μοι σκόπει ἐν τούτοις καὶ αὐτῶν τὴν ἐπιείκειαν, πῶς εἴκουσι, καὶ τοῦ ἀρχιερέως τὴν πεπλασμένην γνώμην. ἐπιεικῶς γὰρ δὴ πάλιν αὐτοῖς διαλέγεται, ἅτε φοβούμενος· καὶ κωλῦσαι μᾶλλον ἐβούλετο, ἢ ἀνελεῖν (ἐπεὶ τοῦτο οὐκ ἠδύνατο) καὶ ὥστε πάντα κινῆσαι, καὶ περὶ τῶν ἐσχάτων αὐτοῖς ἐπικρεμάσαι τὸν κίνδυνον. βούλεσθέ, φησιν, ἐπαγαγεῖν ἐφ' ἡμᾶς τὸ αἷμα τοῦ ἀνθρώπου τούτου; ἔτι ἄνθρωπος εἶναί σοι δοκεῖ; οὕτως εἶπε, δεικνὺς ὅτι ἀναγκαία ἡ παρακέλευσις γέγονεν αὐτοῖς. ἀλλ' ὅρα καὶ τὸν Πέτρον τί φησι. Τοῦτον ὁ Θεὸς ἀρχηγὸν καὶ σωτῆρα ὕψωσε τῇ δεξιᾷ αὐτοῦ, τοῦ δοῦναι μετάνοιαν τῷ Ἰσραήλ, καὶ ἄφεσιν ἁμαρτιῶν. ἐνταῦθα οὐ μέμνηται τῶν ἐθνῶν, ἵνα μὴ δῷ λαβήν. καὶ ἐβούλοντο, φησιν, ἀνελεῖν αὐτούς. ὁρᾷς πάλιν τούτους ἐν ἀπορίᾳ, τούτους ἐν ὀδύνῃ· ἐκείνους δὲ ἐν ἀνέσει καὶ εὐθυμίᾳ καὶ ἐν τρυφῇ. οὐχ ἁπλῶς ὠδυνῶντο, ἀλλὰ διεπρίοντο. τοῦτο ἐστὶν ἄρα τὸ κακῶς παθεῖν, τὸ κακῶς ποιεῖν· καθάπερ καὶ ἐνταῦθά ἐστιν ἰδεῖν. ἐν δεσμοῖς οὗτοι, παρειστήκεισαν δικαστηρίῳ, καὶ οἱ δικάζοντες ἐν κινδύνῳ ἦσαν, ἐν ἀπορίᾳ, ἐν ἀμηχανίᾳ πολλῇ. καθάπερ γὰρ ὁ τὸν ἀδάμαντα πλήττων, αὐτὸς λαμβάνει τὴν πληγήν· οὕτω δὴ καὶ οὗτοι. ἀλλ' ἑώρων οὐ μόνον οὐκ ἐμποδιζομένην αὐτῶν τὴν παῤῥησίαν, ἀλλὰ καὶ μᾶλλον αὐξανόμενον τὸ κήρυγμα, καὶ ἀκαταπλήκτως διαλεγομένους αὐτούς, καὶ μὴ παρέχοντας λαβάς.

Ιωαν. ζ. μϛ.

γ. ὑπηρέται.

γ. ἐβούλετο γάρ.

γ. δεῖν ἔδοξε

γ. ἀφορμί- σας

ΗΘΙΚΟΝ

Μιμησώμεθα τούτους δὴ καὶ ἡμεῖς, ἀγαπητοί, καὶ ἀκατάπληκτοι ἐν πᾶσι γενώμεθα τοῖς δεινοῖς. οὐκ ἔστι δεινόν τι τῷ φοβουμένῳ τὸν Θεόν, ἀλλ' ἐν τοῖς μὴ φοβουμένοις ἐστὶ τὰ δεινά. ὁ γὰρ τῶν παθῶν διὰ ἀρετῆς ἀνώτερος γενόμενος, καὶ ὥσπερ σκιᾷ τοῖς παροῦσι προσέχων πράγμασι, πῶς ὑπό τινος πείσεταί δεινόν; τίνα δὲ φοβηθήσεται; τί τὰ δεινὰ λογίζεται; οὐκοῦν καταφύγωμεν ἐπὶ ταύτην τὴν πέτραν τὴν ἄσειστον. εἰ πόλιν ἡμῖν τις κατεσκεύαζε, καὶ τεῖχος περιέθηκε, μᾶλλον δὲ εἰ ἀπῴκιζεν ἡμᾶς εἰς * γῆν, ἔνθα μηδεὶς ἦν ὁ ἐνοχλῶν, καὶ πᾶσαν ἐκεῖ παρεῖχε τὴν ἀφθονίαν, οὐκ ἀφεὶς πρὸς οὐδένα πρᾶγμα ἔχειν, οὐκ ἂν ἡμᾶς ἐν τοσαύτῃ κατέστησεν ἀσφαλείᾳ, ἐν ὅσῃ νῦν ὁ Χριστός. ἔστω γοῦν, εἰ βούλει, ἡ πόλις χρυσῆ, τεῖχος πάντοθεν ἔχουσα καρτερὸν καὶ ἀνάλωτον, μηδεὶς αὐτῇ προσκείσθω πόλεμος, ἄφθονον ἐχέτω γῆν καὶ λιβάδιν, προσέστω δὲ καὶ ἡ τῶν ἄλλων ἀφθονία πραγμάτων, ἔστωσαν καὶ πολῖται ἥμεροι καὶ προσηνεῖς, καὶ μηδεὶς ἐκεῖ φαινέσθω κακοῦργος ἀνήρ, μὴ κλέπτης, μὴ λωποδύτης, μὴ συκοφάντης, μὴ δικαστήριον, ἀλλὰ συναλλάγματα ἁπλῶς, καὶ ταύτην οἰκείτωσαν τὴν πόλιν· οὐκ ἦν οὐδὲ οὕτως ἐν ἀσφαλείᾳ ζῆν. διὰ τί; ὅτι καὶ πρὸς οἰκέτας, καὶ πρὸς γυναῖκα, καὶ πρὸς παιδία ἀνάγκη διαφέρεσθαι, καὶ πολλῆς ἀθυμίας εἶναι ὑπόθεσιν. ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον. οὐ γὰρ ἦν, οὐκ ἦν τὸ λυποῦν, οὐδὲ τὸ παρέχον ἀθυμίαν τινά. ἀλλὰ τὸ θαυμαστόν, αὐτὰ δὴ τὰ δοκοῦντα ἡμῖν παρέχειν ἀθυμίαν, ταῦτα πάσης ἐγίνετο χαρᾶς καὶ εὐφροσύνης αἴτια. εἰπὲ γάρ μοι, τίνος ἕνεκεν ἔμελλον ἀλύειν ἐκεῖνοι; τίνος δὲ ἕνεκεν δυσχεραίνειν; βούλει παραγάγωμεν τινὰ εἰς τὸ μέσον; ἔστω τις ἀπὸ ὑπάτων πλούσιος, κεκτήσθω πολλὴν, πόλιν οἰκείτω τὴν βασιλικήν· πρὸς μηδένα ἐχέτω πράγματα· τρυφάτω μόνον, καὶ πρὸς τούτοις ἀγαλλέσθω, ἐν αὐτῇ τῇ κορυφῇ καὶ τοῦ πλούτου, καὶ τῆς τιμῆς, καὶ τῆς

γ. αὐτοὶ

γ. πάντων ἐξῃρημένος.

γ. σκιᾷ τὰ παρόντα παρέχων πράγματα.

γ. τίνα ὑπολογιεῖται καὶ δείσεται

γ. ὑψηλὸν

δυναστείας

33 Οἱ δὲ ἀκούσαντες, φησί, διεπρίοντο, καὶ ἐβούλοντο ἀνελεῖν αὐτούς.

χ. οἱ ἄλλοι ταῦτα ἀκούσαντες ἐπῆλθον· ὅτε δὲ διεπρίοντο, καὶ ἐβούλοντο ἀνελεῖν αὐτούς.

Ὅρα κακίας ὑπερβολήν. Δέον ἐφ' οἷς ἤκουσαν καταπλαγῆναι, οἱ δὲ διεπρίοντο καὶ βουλεύονται εἰκῆ ἀνελεῖν αὐτούς. Ἀλλ' ἀναγκαῖον λοιπὸν ἄνωθεν εἰπεῖν τὰ ἀνεγνωσμένα. Ἄγγελος δὲ Κυρίου, φησί, διὰ τῆς νυκτὸς ἤνοιξε τὰς πύλας τῆς φυλακῆς, καὶ ἐξαγαγὼν αὐτοὺς εἶπε· Πορεύεσθε, καὶ σταθέντες λαλεῖτε ἐν τῷ ἱερῷ τῷ λαῷ πάντα τὰ ῥήματα τῆς ζωῆς ταύτης. Ἐξαγαγών, οὐκ αὐτὸς ἀπάγει αὐτούς, ἀλλ' ἀφίησιν· ὥστε καὶ ταύτῃ αὐτὴν γνωσθῆναι τὸ ἀκατάπληκτον, ὃ καὶ ἔδειξαν νυκτὸς εἰσελθόντες εἰς τὸ ἱερὸν καὶ διδάσκοντες. Εἰ δὲ ἐξέβαλον αὐτοὺς οἱ φύλακες, ὡς ἐκεῖνοι ἐνόμιζον, ἔφυγον ἄν· εἶτα πεισθέντες ἐξῆλθον, μᾶλλον δέ, εἰ ἐξέβαλον αὐτοὺς ἐκεῖνοι, οὐκ ἂν εἰς τὸ ἱερὸν ἔστησαν, ἀλλ' ἀπέδρασαν ἄν. Τοῦτο δὲ οὐδεὶς οὕτως ἀνόητος, ὥστε μὴ συνιδεῖν. Οὐ παραγγελίᾳ παρηγγείλαμεν ὑμῖν, φησί; εἰ μὲν οὖν καὶ αὐτοὶ ἐπείσθησαν ὑμῖν, καλῶς λέγετε· εἰ δὲ ἐκεῖνοι ὑπὸ μιᾶς παραθήσεσθαι, περιτταὶ αἱ θλίψεις, περιτταὶ καὶ αἱ παραγγελίαι. Ὅρα ἐγκλημάτων ἀνακολουθίαν καὶ ὑπερβάλλουσαν ἄνοιαν. Φονικὰς λοιπὸν βούλονται δεῖξαι τὰς προαιρέσεις τῶν Ἰουδαίων, ὡς οὐ δι' ἀλήθειαν ταῦτα ποιοῦντες, ἀλλ' ὥστε ἀμύνασθαι βουλόμενοι. Διὰ τοῦτο καὶ οὐδὲ θρασέως αὐτοῖς ἀποκρίνονται οἱ ἀπόστολοι· διδάσκαλοι γὰρ ἦσαν. Καίτοι τίς οὐκ ἂν τὴν πόλιν ἅπασαν ἀναρτησάμενος, καὶ τοσαύτης ἀπολαύων χάριτος, εἶπεν ἄν τι καὶ ἐφθέγξατο μέγα; ἀλλ' οὐχ οὗτοι. Οὐ γὰρ ὠργίζοντο· ἀλλ' ἠλέουν αὐτούς, καὶ ἐδάκρυον, καὶ ἐσκόπουν ὅπως αὐτοὺς ἀπαλλάξωσι τῆς πλάνης καὶ τοῦ θυμοῦ. Καὶ οὐκέτι λέγουσι πρὸς αὐτούς, ὑμεῖς κρίνατε· ἀλλ' ἀποφαίνονται λέγοντες, ὅτι ὁ Θεὸς ἤγειρε· διὰ τούτου δηλοῦντες, ὅτι κατὰ γνώμην τοῦ Θεοῦ ταῦτά ἐστιν. Οὐκ εἰρήκασιν, οὐκ εἴπομεν ὑμῖν καὶ τότε, Ἡμεῖς οὐ δυνάμεθα ἃ εἴδομεν καὶ ἠκούσαμεν μὴ λαλεῖν; οὐ γάρ εἰσι φιλότιμοι· ἀλλὰ πάλιν τὰ αὐτά φασι, τὸν σταυρόν, τὴν ἀνάστασιν. Καὶ οὐ λέγουσι, διὰ τί ἐσταυρώθη; ὅτι ὑπὲρ ἡμῶν· ἀλλ' αἰνίττονται μέν, οὔπω δὲ φανερῶς, πῶς αὐτοὺς φοβῆσαι βουλόμενοι. Εἰπέ μοι, ποία ῥητορεία ἐνταῦθα; οὐδεμία· ἀλλὰ πανταχοῦ τὸ πάθος, ἡ ἀνάστασις, καὶ ἡ ἀνάληψις. Ὑποχωρεῖς κατασκευῆς τὸ τῆς ζωῆς ἐκήρυττον εὐαγγέλιον. Ἀπὸ δέ, ὅτι ὕψωσε, λέγει καὶ ἐπὶ τίνι. Ἐπὶ τῷ δοῦναι μετάνοιαν, ἐπάγων, τῷ Ἰσραὴλ καὶ ἄφεσιν ἁμαρτιῶν. Ἀλλ' ἀπίθανα ταῦτα πῶς ἔδοξε, φασί. Τί λέγεις; καὶ πῶς οὐ πιθανὰ μᾶλλον, οἷς γε οὐκ ἄρχοντες ἀντιτείνειν εἶχον, οὐ πλῆθος; ἀλλ' οἱ μὲν ἐπεσουίζοντο, οἱ δὲ ἐδιδάσκοντο. Καὶ ἡμεῖς, φησί, μάρτυρες τῶν ῥημάτων τούτων ἐσμέν. Ποίων; ὅτι ἄφεσιν, ὅτι μετάνοιαν ἐπηγγείλατο. Ἡ μὲν γὰρ ἀνάστασις ἦν λοιπὸν ὡμολογημένη· ὅτι δὲ ἄφεσιν δίδωσιν, ἡμεῖς μαρτυροῦμεν, καὶ τὸ Πνεῦμα τὸ ἅγιον, ὃ οὐκ ἂν ἐπῆλθε, μὴ πρότερον τῶν ἁμαρτιῶν λυθεισῶν. Ὥστε ἀναμφισβήτητον τεκμήριον τοῦτ' ἐστιν. Ἄφεσιν ἁμαρτημάτων ἀκούεις, ἄθλιε, καὶ ὅτι οὐ δίκην ἀπαιτεῖ, καὶ βούλει ἀνελεῖν; καὶ πόσης ταῦτα κακίας; καίτοι ἢ διελέγξαι ψευδομένους ἐχρῆν, ἢ μὴ δυναμένους πεισθῆναι· εἰ δὲ μὴ ἐβούλοντο πεισθῆναι, μὴ ἀνελεῖν. Τί γὰρ τῆς ἀναιρέσεως ἄξιοι; οἱ δὲ ὑπὸ τοῦ θυμοῦ οὐδὲ συνεῖδον τὸ γεγενημένον. Ὅρα πῶς πανταχοῦ μνημονεύοντες τοῦ τολμήματος, ἐπάγουσι τὴν ἄφεσιν, δεικνύντες ὅτι τὰ μὲν γεγενημένα ἄξια θανάτου· τὰ δὲ διδόμενα, ὡς εὐεργέται ἐδίδοντο. Πῶς ἂν ἄλλως τις ἔπεισεν αὐτούς, ἢ ὡς εὐδοκιμοῦντας εἰπών; Καὶ ὅρα τὴν κακουργίαν. Οἱ Σαδδουκαῖοι αὐτοῖς ἐφίστανται, οἱ μάλιστα ἤλγουν ἐπὶ τῇ ἀναστάσει. Ἀλλ' οὐδὲν τῆς πονηρίας ἀπώναντο. Ἀλλ' ἴσως ἐρεῖ τις· καὶ τίς ἂν ἄνθρωπος τοιούτων ἀπολαύων, οἵων οἱ ἀπόστολοι, οὐκ ἂν μέγας ἐγένετο; Ἀλλ' ὅρα μοι, πρὶν ἢ ἀπολαῦσαι τῆς χάριτος, πῶς ἦσαν προσκαρτεροῦντες ὁμοθυμαδὸν τῇ προσευχῇ, καὶ ἐλπίζοντες ἐπὶ τὴν ἄνωθεν ῥοπήν. Καὶ σὺ ἐλπίζεις, ἀγαπητέ, βασιλείαν οὐρανῶν, ἀλλ' οὐδὲν ὑπομένεις· καὶ σὺ πνεῦμα ἔλαβες, ἀλλ' οὐ τοιαῦτα πάσχεις, οὐδὲ κινδυνεύεις. Ἐκεῖνοι δὲ πρὶν ἢ τῶν προτέρων ἀναπνεῦσαι, πάλιν ἐφ' ἕτερα ἤγοντο. Καὶ τοῦτο δὲ αὐτὸ τὸ μὴ τυφωθῆναι, τὸ

μὴ

Marginalia: χ. ποῖαι — χ. πολλὴ ἀπολογία — Πραξ. δ. κ. — χ. ταῦτα — χ. κάλεσιν — χ. μόνος — χ. ὑπομιμνήσκοντες — χ. οἱ εὐδοκιμοῦντες ἐγγὺς τῶν ... ἔμελλον ἔσεσθαι.

23 Λέγοντες, ὅτι τὸ μὲν δεσμωτήριον εὕρομεν κεκλεισμένον ἐν πάσῃ ἀσφαλείᾳ, καὶ τοὺς φύλακας ἔξω ἑστῶτας πρὸ τῶν θυρῶν· ἀνοίξαντες δὲ, ἔσω οὐδένα εὕρομεν. Διπλῆ ἡ ἀσφάλεια, ὥσπερ ἐπὶ τοῦ τάφου καὶ ἡ σφραγὶς, καὶ οἱ ἄνθρωποι. ὅρα πῶς ἦσαν θεομάχοι. Ταῦτα γοῦν θαύματα, εἰπέ μοι, τὰ ὑπ᾽ αὐτῶν γινόμενα; τίς αὐτοὺς ἐξήγαγε, τῶν θυρῶν κεκλεισμένων; πῶς ἐξῆλθον, τῶν φυλάκων πρὸ τῶν θυρῶν ἑστώτων; ὄντως μαινομένων καὶ μεθυόντων τὰ ῥήματα. οὓς οὐ κατέσχεν ἡ φυλακὴ καὶ τὰ δεσμὰ καὶ θύραι κεκλεισμέναι, τούτων προσεδόκησαν περιέσεσθαι, παίδων ἀνοήτων πρᾶγμα παθόντες. Οἱ ὑπηρέται αὐτῶν διὰ τοῦτο παραγίνονται καὶ ὁμολογοῦσι τὸ γεγονὸς, ἵνα πᾶσαν αὐτοῖς ἀποκλείσωσι πρόφασιν. ὁρᾷς σημεῖα ἐπὶ σημείοις διάφορα, τὰ μὲν ὑπ᾽ αὐτῶν, τὰ δὲ εἰς αὐτοὺς γινόμενα, ἃ καὶ λαμπρότερα ἦν; καλῶς ὅτι οὐδὲ εὐθέως αὐτοῖς ἐμηνύθη, ἀλλὰ πρότερον ἐν ἀπορίᾳ γεγόνασιν, ἵνα διασκεψάμενοι θείαν εἶναι δύναμιν, οὕτω μάθωσι ἅπαντα. κ. ὑπ᾽ κ. ὅπως

24 Ὡς δὲ ἤκουσαν, φησὶ, τοὺς λόγους τούτους ὅ τε ἀρχιερεὺς, καὶ ὁ στρατηγὸς τοῦ ἱεροῦ, καὶ οἱ ἀρχιερεῖς διηπόρουν περὶ αὐτῶν, τί ἂν γένοιτο τοῦτο.

25 Παραγενόμενος δέ τις ἀπήγγειλεν αὐτοῖς λέγων, ὅτι ἰδοὺ οἱ ἄνδρες, οὓς ἔθεσθε ἐν τῇ φυλακῇ, εἰσὶν ἐν τῷ ἱερῷ ἑστῶτες καὶ διδάσκοντες τὸν λαόν.

26 Τότε ἀπελθὼν ὁ στρατηγὸς σὺν τοῖς ὑπηρέταις, ἤγαγεν αὐτοὺς οὐ μετὰ βίας· ἐφοβοῦντο γὰρ τὸν λαὸν, ἵνα μὴ λιθασθῶσιν. Ὢ τῆς ἀνοίας· ἐφοβοῦντο, φησὶ, τὸν ὄχλον. τί γὰρ αὐτοὺς ὁ ὄχλος ὠφελεῖ; δέον τὸν Θεὸν φοβηθῆναι, τὸν καθάπερ [illegible] ἀεὶ τῶν χειρῶν αὐτοὺς ἐξαρπάζοντα τῶν ἐκείνων, οἱ δὲ μᾶλλον τὸν ὄχλον φοβοῦνται. ὁ δὲ ἀρχιερεὺς ὁ ἀναίσχυντος καὶ ἰταμὸς καὶ μιαρὸς ἐπηρώτησεν αὐτοὺς λέγων·

28 Οὐ παραγγελίᾳ παρηγγείλαμεν ὑμῖν μὴ διδάσκειν ἐπὶ τῷ ὀνόματι τούτῳ; καὶ ἰδοὺ ἐπληρώσατε τὴν Ἱερουσαλὴμ τῆς διδαχῆς ὑμῶν, καὶ βούλεσθε ἐπαγαγεῖν ἐφ᾽ ἡμᾶς τὸ αἷμα τοῦ ἀνθρώπου τούτου. Τί οὖν οἱ ἀπόστολοι; πάλιν μετ᾽ ἐπιεικείας αὐτοῖς διαλέγονται. καίτοιγε ἐνῆν εἰπεῖν· τίνες γάρ ἐστε ὑμεῖς ἀντιδιατασσόμενοι τῷ Θεῷ; ἀλλὰ τί; πάλιν ἐν τάξει παραινέσεως καὶ συμβουλῆς καὶ μετ᾽ ἐπιεικείας πολλῆς ἀποκρίνονται.

29 Ἀποκριθεὶς δέ, φησι, Πέτρος καὶ οἱ ἀπόστολοι εἶπον· πειθαρχεῖν δεῖ Θεῷ μᾶλλον, ἢ ἀνθρώποις. Πολλὴ ἡ φιλοσοφία καὶ τοιαύτη, ὅτι ἐντεῦθεν δεικνύουσι καὶ αὐτοὺς μαχομένους τῷ Θεῷ.

30 Ὁ Θεὸς τῶν πατέρων ἡμῶν ἤγειρέ, φησιν, Ἰησοῦν, ὃν ὑμεῖς διεχειρίσασθε κρεμάσαντες ἐπὶ ξύλου.

31 Τοῦτον ὁ Θεὸς ἀρχηγὸν καὶ σωτῆρα ὕψωσε τῇ δεξιᾷ αὐτοῦ, δοῦναι μετάνοιαν τῷ Ἰσραὴλ καὶ ἄφεσιν ἁμαρτιῶν. Ὃν ὑμεῖς ἀνείλετε, φησιν, ὁ Θεὸς ἤγειρε. καὶ ὅρα τῷ πατρὶ τὸ πᾶν πάλιν ἀνατιθέασιν, ἵνα μὴ δόξῃ ἀλλότριος εἶναι τοῦ πατρός. καὶ ὕψωσε, φησι, τῇ δεξιᾷ αὐτοῦ. οὐχ ἁπλῶς τὴν ἀνάστασιν λέγει, ἀλλὰ καὶ τὴν ὕψωσιν, τουτέστι, τὴν ἀνάληψιν δηλοῖ. τοῦ δοῦναι μετάνοιαν τῷ Ἰσραήλ. ὅρα πάλιν τὸ κέρδος, ὅρα ἐν τάξει ἀπολογίας διδασκαλίαν ἀπηρτισμένην.

32 Καὶ ἡμεῖς ἐσμεν αὐτοῦ μάρτυρες τῶν ῥημάτων τούτων. Πολλὴ ἡ παρρησία. Εἶτα ἀξιόπιστοι λοιπὸν τῶν λόγων ποιῶν ἐπήγαγε· Καὶ τὸ πνεῦμα δὲ τὸ ἅγιον, ὃ ἔδωκεν ὁ Θεὸς τοῖς πειθαρχοῦσιν αὐτῷ. Ὁρᾷς πῶς οὐχὶ μόνον τῇ ἑαυτῶν, ἀλλὰ καὶ τῇ τοῦ πνεύματος μαρτυρίᾳ κέχρηνται; καὶ οὐκ εἶπον, ὃ ἔδωκεν ἡμῖν, ἀλλὰ, τοῖς πειθομένοις, ἅμα μὲν μετριάζοντες, ἅμα δὲ μέγα αὐτὸ δεικνύντες καὶ δηλοῦντες, ὅτι καὶ αὐτοῖς δυνατὸν λαβεῖν. ὅρα δὲ πῶς καὶ δι᾽ ἔργων, καὶ διὰ ῥημάτων ἐπαιδεύοντο, καὶ οὐ προσεῖχον, ἵνα δικαία αὐτοῖς ἡ κατάκρισις γένηται. διὰ γάρ τοι τοῦτο καὶ ὁ Θεὸς συνεχώρει ἀπάγεσθαι αὐτοὺς εἰς δικαστήριον, ἵνα καὶ ἐκεῖνοι παιδεύωνται, εἴγε μανθάνειν ἐβούλοντο, καὶ οἱ ἀπόστολοι εἰς παρρησίαν ἀλείφωνται. κ. καὶ παύτες μανθάνωσι

33 Οἱ

οὐκ ἔστιν ὀμνύντα μὴ ἐπιορκεῖν καὶ ἑκόντα, καὶ ἄκοντα· οὐκ ἔστιν ἐπιορκοῦντα σωθῆναι. ἀρκεῖ μία ἐπιορκία τὸ πᾶν ἐργάσασθαι, καὶ ὁλόκληρον ἡμῖν τὴν τιμωρίαν ἐπαγαγεῖν. διὰ δὴ τοῦτο προσέχωμεν, παρακαλῶ, ἑαυτοῖς, ἵνα τὴν ἐντεῦθεν κόλασιν διαφυγόντες, τῆς παρὰ τοῦ Θεοῦ φιλανθρωπίας ἀξιωθῶμεν, χάριτι καὶ οἰκτιρμοῖς τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς * αἰῶνας τῶν αἰώνων. Ἀμήν.

* ἀπεράν-τους

Λογ. ιγ. 17 ΑΝΑΣΤΑΣ ΔΕ Ο ΑΡΧΙΕΡΕΥΣ ΚΑΙ
πάντες οἱ σὺν αὐτῷ, ἡ οὖσα αἵρεσις τῶν Σαδδουκαίων, ἐπλήσθησαν ζή-
λου, 18 Καὶ ἐπέβαλον τὰς χεῖρας αὐτῶν ἐπὶ τοὺς ἀποστόλους, καὶ
ἔθεντο αὐτοὺς ἐν τηρήσει δημοσίᾳ.

χ. πονηρότεροι ὄντες. ἀναιδέστεροι
* ἡμῶν καὶ

Οὐδὲν ἰταμώτερον κακίας, οὐδὲν τολμηρότερον. πεῖραν μαθόντες τῶν αὐτῶν* ἀνδρείων, ἐξὸν ἐπιχειρῆσαι πρότερον, ὅμως ἐπιχειροῦσι καὶ πάλιν ἐπισυνίσαι. τί ἐστιν, ἀναστὰς δὲ ὁ ἀρχιερεὺς καὶ πάντες οἱ σὺν αὐτῷ; τουτέστι, διηγέρθη, κινηθεὶς ἐπὶ τοῖς γινομένοις. καὶ ἐπέβαλον τὰς χεῖρας αὐτῶν ἐπὶ τοὺς ἀποστόλους, καὶ ἔθεντο αὐτοὺς ἐν τηρήσει δημοσίᾳ. νῦν σφοδρότερον αὐτοῖς ἐπιτίθενται· οὐκ εὐθέως δὲ αὐτοὺς ἔκριναν, προσδοκῶντες πάλιν [αὐτοὺς] πράους ἔσεσθαι. καὶ πόθεν δῆλον, ὅτι σφοδρότερον αὐτοῖς ἐπετέθησαν; ἀπὸ τοῦ θεῖναι αὐτοὺς εἰς τήρησιν δημοσίαν. πάλιν περιπίπτουσι κινδύνοις, καὶ πάλιν τῆς παρὰ τοῦ Θεοῦ ἀπολαύουσι ῥοπῆς. καὶ ὅπως, ἄκουε τῶν ἑξῆς.

19 Ἄγγελος δὲ Κυρίου διὰ τῆς νυκτὸς ἀνέῳξε τὰς πύλας τῆς φυλακῆς, ἐξαγαγών τε
αὐτούς, εἶπε·

20 Πορεύεσθε, καὶ σταθέντες λαλεῖτε ἐν τῷ ἱερῷ τῷ λαῷ πάντα τὰ ῥήματα τῆς ζωῆς
ταύτης. Τοῦτο καὶ εἰς ἐκείνων παραμυθίαν γέγονε, καὶ εἰς τούτων ὠφέλειαν καὶ διδασκαλίαν. καὶ ὅρα, ὅπερ ἐπὶ τοῦ Χριστοῦ, τοῦτο καὶ νῦν γινόμενον. γινόμενα μὲν γὰρ δή που τὰ θαύματα οὐκ ἀφίησιν αὐτοὺς ἰδεῖν· ἀφ' ὧν δ' ἂν μάθοιεν ταῦτα, κατασκευάζει. ὥσπερ ἐπὶ τῆς ἀναστάσεως τῆς αὐτοῦ οὐκ ἀφῆκεν αὐτοὺς ἰδεῖν πῶς ἀνέστη (ἀνάξιοι γὰρ τοῦ ταύτην ἰδεῖν ἦσαν) ἀλλὰ δείκνυσιν ἀφ' ὧν τοῦτο εἰργάσατο. ὁμοίως καὶ ἐπὶ τοῦ οἴνου τοῦ ἀπὸ τοῦ ὕδατος γινομένου οὐ βλέπουσιν οἱ ἀνακείμενοι (ἐμέθυον γὰρ) καὶ τὴν κρίσιν ἐπιτρέπει ἑτέροις· οὕτω δὴ καὶ ἐνταῦθα. ἐξαγομένους μὲν γὰρ αὐτοὺς οὐχ ὁρῶσι· τεκμήρια δέ, ἀφ' ὧν ἠδύναντο καταμαθεῖν τὰ γινόμενα, εἶδον. τί δήποτε δὲ καὶ κατὰ τὴν νύκτα αὐτοὺς ἐξέβαλεν; ἵνα ὕστερον μᾶλλον ἢ ἐκείνως ἐπιστεύθησαν· ἄλλως τε, καὶ [ὅτι] οὐκ ἂν ἐπὶ τὸ ἐρωτῆσαι ἦλθον· οὔτε μὴν ἑτέρως ἂν καὶ αὐτοὶ ἐπίστευσαν. οὕτω καὶ ἐπὶ τῶν παλαιῶν γέγονεν· ὥσπερ ἐπὶ τοῦ Ναβουχοδονόσορ, εἶδεν ἀμοιβὰς τὸν Θεὸν ἐπὶ τῆς καμίνου τοὺς παῖδας, καὶ τότε εἰς ἔκπληξιν ἦλθε. δέον τοίνυν καὶ τούτους ἐρωτῆσαι πρῶτον, πῶς ἐξήλθετε; οἱ δέ, ὡς οὐδενὸς γινομένου, ἐρωτῶσι, λέγοντες· Οὐ παραγγελίᾳ παρηγγείλαμεν ὑμῖν μὴ λαλεῖν; καὶ ὅρα πῶς δι' ἑτέρων μανθάνουσιν ἅπαντα. ὁρῶσι [γὰρ] κεκλεισμένην τὴν φυλακὴν μετὰ ἀσφαλείας, καὶ τοὺς φύλακας ἑστῶτας πρὸ τῶν θυρῶν.

χ. μὲν ὄν

Ιωαν. β. θ.

χ. δυνατὸν ἀναγαγεῖν

Δαν. γ. κθ.

21 Ἀκούσαντες δέ, φησιν, εἰσῆλθον ὑπὸ τὸν ὄρθρον εἰς τὸ ἱερόν, καὶ ἐδίδασκον. πα-
ραγενόμενος δὲ ὁ ἀρχιερεὺς καὶ οἱ σὺν αὐτῷ, συνεκάλεσαν τὸ συνέδριον καὶ πᾶσαν τὴν γε-
ρουσίαν τῶν υἱῶν Ἰσραήλ· καὶ ἀπέστειλαν εἰς τὸ δεσμωτήριον ἀχθῆναι αὐτούς·

22 Παραγενόμενοι δὲ οἱ ὑπηρέται, οὐχ εὗρον αὐτοὺς ἐν τῇ φυλακῇ. ἀναστρέψαντες δέ, ἀπήγγειλαν,

23 Λέγοντες,

Digitized by Google

Ζαχ. ε. β.

ξαι ὁ χαλεπὸς τῆς ἐπιορκίας τιμωρός. Δρέπανον, φησί, πετόμενον ἰδού, μήκους πηχῶν εἴκοσι, καὶ πλάτους πηχῶν δέκα. τὸ πετόμενον τὸ ταχὺ τὴν ἔφοδον τῆς τιμωρίας δηλοῖ τῆς τοῖς ὅρκοις παρεπομένης· τὸ δὲ πηχῶν πολλῶν εἶναι τὸ πλάτος καὶ τὸ μῆκος, τὸ σφοδρὸν σημαίνει καὶ τὸ μέγεθος τῶν κακῶν· τὸ δὲ ἀπ' οὐρανοῦ πέτεσθαι, τὸ ἐκ τοῦ ἄνωθεν δικαστηρίου τὴν ψῆφον φέρεσθαι· τὸ δὲ δρεπανοειδές, τὸ ἄφυκτον τῆς τιμωρίας. καθάπερ γὰρ δρέπανον, ὅπουπερ ἂν ἐμπέσῃ, οὐκ ἂν καθ' ἑαυτὸ ἀνελκυσθείη μόνον, ἀλλὰ καὶ ἀποτεμνομένης τῆς κεφαλῆς· οὕτω καὶ ἡ δίκη τοῖς ὀμνύουσιν ἐπιοῦσα. Φοβερά τίς ἐστι, καὶ οὐκ ἂν ἀποσταίη μὴ πρότερον ἐργασαμένη τὸ αὐτῆς. Εἰ δὲ διαφεύγομεν ὀμνύοντες, μὴ θαρρῶμεν. ἐπὶ γὰρ κακῷ τῷ ἡμετέρῳ τοῦτο γίνεται. ἐπεὶ τί νομίζετε; πόσοι μετὰ Ἀνανίαν καὶ Σάπφειραν τὰ αὐτὰ ἐκείνοις ἐτόλμησαν, καὶ οὐ τὰ αὐτὰ ἔπαθον; καὶ πῶς, φησίν, οὐκ ἔπαθεν; οὐκ ἐπειδὴ συνεχωρήθη αὐτοῖς, ἀλλ' ἐπειδὴ μείζονι τηροῦνται κακῷ. ὥστε οἱ πολλὰ πταίοντες, μὴ κολαζόμενοι μᾶλλον ἢ κολαζόμενοι, φοβεῖσθαι καὶ δεδοικέναι ὀφείλουσιν. αὔξεται γὰρ αὐτοῖς τὰ τῆς τιμωρίας διὰ τῆς ἀτιμωρησίας καὶ τῆς μακροθυμίας τοῦ Θεοῦ. μὴ τοῦτο τοίνυν ἴδωμεν, ὅτι οὐ κολαζόμεθα, ἀλλ' εἰ μὴ ἡμαρτάνομεν. εἰ δὲ ἁμαρτάνοντες οὐ κολαζόμεθα, μᾶλλον τρέμειν ὀφείλομεν. εἰπέ μοι, ἄν τινα δοῦλον ἔχῃς, καὶ ἀπειλῇς αὐτῷ μόνον, καὶ οὐ τύπτῃς, πότε μᾶλλον φοβεῖται, πότε φεύγει, πότε δραπετεύει; οὐχ ὅταν ἀπειλῇς μόνον; ὅθεν καὶ ἀλλήλοις παραινοῦμεν μὴ ἀπειλεῖν συνεχῶς, ὥστε μὴ τῷ φόβῳ μᾶλλον καταστῆσαι τὴν ψυχήν, ὥστε μὴ ἀναστρέφειν αὐτὸν πλέον τῶν πληγῶν· ἄλλως δέ, καὶ ἐκεῖ μὲν πρόσκαιρος ἡ τιμωρία, ἐνταῦθα δὲ διηνεκής. μὴ τοίνυν εἰ μηδεὶς τὰ τοῦ δρεπάνου πάσχει νῦν, τοῦτο ἴδῃς· ἀλλ' ἐκεῖνο ἐννόησον, εἰ τοιαῦτα ποιεῖς. ἐπεὶ πολλὰ γέγονε νῦν, οἷα ἐπὶ τοῦ κατακλυσμοῦ· ἀλλὰ κατακλυσμὸς οὐ γέγονε. γέεννα γὰρ ἠπείληται καὶ τιμωρία. πολλοὶ ἁμαρτάνουσιν οἷα τὰ ἐπὶ τῶν Σοδόμων, ἀλλὰ πῦρ οὐκ ἦλθεν ὑετοῦ. πύρινος γὰρ ἡτοίμασται ποταμός. πολλοὶ τὰ τοῦ Φαραὼ ἐτόλμησαν, ἀλλ' οὐκ ἔπαθον τὰ τοῦ Φαραώ, οὐδὲ κατεποντίσθησαν εἰς ἐρυθρὰν θάλασσαν. ὁ γὰρ πέλαγος αὐτοὺς μένει ὁ τῆς ἀβύσσου· ἔνθα οὐ μετὰ ἀναισθησίας ἡ τιμωρία, οὐδὲ ἀποπνιγῆναι ἔνι, ἀλλ' ἐπὶ πλεῖον κολαζομένους, πνιγομένους, ἀπαγχονιζομένους μὴ ἀναλίσκεσθαι. πολλοὶ τὰ τῶν Ἰσραηλιτῶν ἐτόλμησαν· ἀλλ' οὐκ ἔφαγον αὐτοὺς ὄφεις. μένει γὰρ αὐτοὺς ὁ σκώληξ ὁ ἀτελεύτητος. πολλοὶ τὰ τοῦ Γιεζὴ ἐτόλμησαν· ἀλλ' οὐκ ἐλεπρώθησαν. μένει γὰρ αὐτοὺς ἀντὶ τῆς λέπρας τὸ διχοτομηθῆναι καὶ τεθῆναι μετὰ τῶν ὑποκριτῶν. πολλοὶ καὶ ὤμοσαν καὶ ἐπιώρκησαν. Εἰ δὲ καὶ διέφυγον, μὴ θαρρῶμεν. μένει γὰρ αὐτοὺς ὁ βρυγμὸς τῶν ὀδόντων. καὶ ἐνταῦθα δὲ τάχα πείσονται, καὶ οὐ φεύξονται. Εἰ καὶ μὴ παρὰ πόδας, ἀλλ' ἐφ' ἑτέροις ἁμαρτήμασιν, ἵνα καὶ χαλεπωτέρα ἡ τιμωρία ᾖ· ἐπεὶ καὶ ἡμεῖς πολλάκις ἀφορμὰς λαβόντες ἀπὸ μικρῶν, καὶ ὑπὲρ μεγάλων δίκην κινοῦμεν. ὥστε ὅταν ἴδῃς τί σοι συμβάν, ἀναμνήσθητι σὺ τῆς ἁμαρτίας ἐκείνης. τοῦτο ἐπὶ τῶν υἱῶν τοῦ Ἰακὼβ γέγονε. μνημονεύετε τῶν ἀδελφῶν τοῦ Ἰωσήφ. ἐπώλησαν οἱ ἀδελφοί· σφάξαι ἐπεχείρησαν, μᾶλλον δὲ καὶ ἔσφαξαν ὅσον ἐπ' αὐτοῖς· ἠπάτησαν, ἐλύπησαν τὸν πατέρα· οὐδὲν ἔπαθον. μετὰ πλείονα [χρόνων] ἔτη περὶ τῶν ἐσχάτων ἐκινδύνευσαν, καὶ τῆς ἁμαρτίας ταύτης ὑπομιμνήσκονται. καὶ ὅτι οὐ στοχασμὸς τὸ εἰρημένον, ἄκουε αὐτῶν τί φασι. Ναί· ἐν ἁμαρτίᾳ γάρ ἐσμεν περὶ τοῦ ἀδελφοῦ ἡμῶν. οὕτω δὴ καὶ σύ, ὅταν τί σοι συμβῇ, εἰπέ, ναί· ἐν ἁμαρτίᾳ ἐσμέν, ὅτι οὐκ ἠκούσαμεν τοῦ Χριστοῦ, ὅτι ὠμόσαμεν· αἱ πολυορκίαι καὶ αἱ ἐπιορκίαι ἐπὶ τὴν κεφαλὴν ἡμῶν ἦλθον. οὐκοῦν ἐξομολογήσαι. καὶ γὰρ κἀκεῖνοι ἐξωμολογήσαντο καὶ ἐσώθησαν. τί γὰρ εἰ μὴ παραχρῆμα ἐπέσεν ἡ τιμωρία; ἐπεὶ καὶ ὁ Ἀχαὰβ διὰ τὸν Ναβουθαὶ οὐκ εὐθέως παρὰ τὴν ἁμαρτίαν ἔπαθεν, ἅπερ ἔπαθε. διὰ τί δὲ τοῦτο γέγονε; δίδωσιν αὐτῷ προθεσμίαν ὁ Θεὸς ὥστε ἀπονίψασθαι. ὅταν δὲ ἐπιμένῃς, ἐπάγει λοιπὸν τὴν τιμωρίαν. Εἴδετε τί ἔπαθον οἱ ψευδόμενοι; οὐκοῦν ἐννοήσατε τί πείσονται οἱ ἐπιορκοῦντες· ἐννοήσατε καὶ ἀπόστητε.

γ. δρέπανον εἰς πέλαγος ἐμπεσὸν οὐκ ἂν καθ' ἑαυτὸ ἀνελκυσθείη, μόνον δέ πως ἐπὶ κρεμαμένης τῆς κεφαλῆς·

γ. χαλεπὸν

γ. οἱ γὰρ

γ. πολλὰ πείσονται

Γεν. μβ. κα.

γ. Ἰακὼβ

γ. τῷ [illegible]

γ. σφόδρα ἐν τούτῳ σαφῶς γίνεται. ἀκο-

γ. Βασ. κα. ιθ.

οὐκ

τί ὅτι συνεφωνήθη ὑμῖν, φησί, πειράσαι τὸ πνεῦμα Κυρίου; ἰδοὺ οἱ πόδες τῶν θαψάντων τὸν ἄνδρα σου ἐπὶ τῇ θύρᾳ, καὶ ἐξοίσουσί σε. περιττότερον αὐτὴν διδάσκει τὸ ἁμάρτημα, καὶ τοῦτο δείκνυσιν, ὅτι δικαίως τὰ αὐτὰ πείσεται τῷ ἀνδρί, ἐπειδὴ καὶ τὰ αὐτὰ ἥμαρτε. καὶ πῶς, φησί, παραχρῆμα ἔπεσε παρὰ τοὺς πόδας αὐτοῦ, καὶ ἐξέψυξεν; ὅτι πλησίον εἱστήκει. οὕτως αὐτοὶ καθ' ἑαυτῶν τὴν τιμωρίαν ἐπεσπάσαντο. τίς λοιπὸν οὐκ ἂν ἐξεπλάγη; τίς οὐκ ἂν ἔδεισε τοὺς ἀποστόλους; τίς οὐκ ἂν ἐθαύμασε;* καὶ ἦσαν ὁμοθυμαδόν, φησίν, ἅπαντες ἐν τῇ στοᾷ Σολομῶντος. ἐκ τούτου δῆλον, ὅτι οὐκ ἐν οἰκίᾳ, ἀλλὰ τὸ ἱερὸν καταλαβόντες ἐκεῖ διέτριβον. οὐκέτι μὲν λοιπὸν ἀκαθάρτων ἅπτεσθαι ἐφυλάττοντο, ἀλλ' ἁπλῶς ἥπτοντο τῶν νεκρῶν. καὶ ὅρα πῶς ἐν μὲν τοῖς οἰκείοις εἰσὶ σφοδροί, ἐν δὲ τοῖς ἀλλοτρίοις οὐ κέχρηνται τῇ δυνάμει. μᾶλλον δέ, φησί, προσετίθεντο πιστεύοντες τῷ Κυρίῳ πλήθη ἀνδρῶν τε καὶ γυναικῶν, ὥστε κατὰ τὰς πλατείας τιθέναι τοὺς ἀσθενεῖς ἐπὶ κλινῶν καὶ κραββάτων, ἵνα ἐρχομένου Πέτρου κἂν ἡ σκιὰ ἐπισκιάσῃ τινὶ αὐτῶν. πολλὴ τῶν προσιόντων ἡ πίστις, καὶ μείζων ἢ ἐπὶ τοῦ Χριστοῦ. πόθεν δὴ τοῦτο γέγονεν; ἀπὸ τοῦ τὸν Χριστὸν ἀποφήνασθαι, καὶ εἰπεῖν· Ὁ πιστεύων εἰς ἐμέ, τὰ ἔργα, ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει. ἀδόντων γὰρ αὐτῶν ἐκεῖ καὶ οὐ παριόντων, ἔφερον πάντες ἐπὶ τῶν κλινῶν καὶ κραββάτων, ὡς εἶχον ἀσθενεῖς, καὶ πάντοθεν αὐτοῖς συνήγετο τὸ θαῦμα, ἀπὸ τῶν πιστευσάντων, ἀπὸ τῶν θεραπευθέντων, ἀπὸ τοῦ κολασθέντος, ἀπὸ τῆς παρρησίας τῆς πρὸς ἐκείνους, ἀπὸ τῆς ἀρετῆς τῶν [οὐχ ἁπλῶς] πιστευσάντων. οὐ γὰρ δὴ τῶν σημείων ἦν μόνον τὸ γινόμενον. εἰ γὰρ καὶ αὐτοὶ μετριάζοντες τοῦτο τὸ πᾶν λογίζονται, λέγοντες, ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ ταῦτα ποιεῖσθαι· ἀλλὰ καὶ ὁ βίος καὶ ἡ ἀρετὴ τῶν ἀνδρῶν τοῦτο πεποίηκε. σκόπει δὲ πῶς ἀριθμὸν ἐνταῦθα τῶν πιστευσάντων οὐ λέγει, [ἀφεὶς ἐξ ἑαυτοῦ τὸν ἀκροατὴν συλλογίζεσθαι]. οὕτως εἰς πλῆθος ἄπειρον ἐπέτεινε τὰ τῆς πίστεως, καὶ ἡ ἀνάστασις ἐκηρύττετο. οὐδεὶς δὲ αὐτοῖς ἐτόλμα κολλᾶσθαι, ἀλλ' ἐμεγάλυνεν αὐτοὺς ὁ λαός. τοῦτο λέγει, δηλῶν ὅτι οὐκέτι λοιπὸν ἦσαν εὐκαταφρόνητοι, καθάπερ καὶ πρότερον. ἐν βραχεῖ γὰρ καιρῷ καὶ μιᾷ ῥοπῇ τοσαῦτα γέγονεν ἀπὸ τοῦ ἁλιέως καὶ ἰδιώτου. οὐρανὸς λοιπὸν ἦν ἡ γῆ, καὶ πολιτείας, καὶ παρρησίας, καὶ θαυμάτων, καὶ πάντων ἕνεκεν. καὶ καθάπερ ἄγγελοι, οὕτως ἐθαυμάζοντο, πρὸς οὐδὲν ἐπιστρεφόμενοι, οὐ πρὸς γέλωτα, οὐ πρὸς ἀπειλάς, οὐ πρὸς κινδύνους. οὐ μόνον δὲ διὰ τοῦτο, ἀλλ' ὅτι σφόδρα φιλάνθρωποι καὶ κηδεμονικοὶ τυγχάνοντες, τοῖς μὲν χρήμασιν ἐβοήθουν, τοῖς δὲ θεραπείᾳ σωμάτων. διὰ τί ἐπλήρωσεν ὁ Σατανᾶς τὴν καρδίαν σου; μονονουχὶ ἀπολογεῖται ὁ Πέτρος μέλλων κολάζειν αὐτόν, καὶ τοὺς ἄλλους παιδεύει. ἐπειδὴ γὰρ σφόδρα φορτικὸν ἔμελλε φαίνεσθαι τὸ γενόμενον, διὰ δὴ τοῦτο καὶ ἐπ' αὐτοῦ τούτου, καὶ ἐπὶ τῆς γυναικὸς φοβερὸν ποιεῖ τὸ δικαστήριον. εἰ δὲ ἀσύγγνωστα ἁμαρτόντας μὴ τοιαύτην δίκην ἀπῄτησεν ἀμφοτέρους, πόση ἐντεῦθεν καταφρόνησις Θεοῦ οὐκ ἂν γέγονεν; ὅτι δὲ διὰ τοῦτο, δῆλον ἀπὸ τοῦ μὴ εὐθέως ἐπὶ τιμωρίαν ἐλθεῖν, ἀλλὰ δεῖξαι πρότερον τὴν ἁμαρτίαν· ὅθεν οὐδεὶς ἐστέναξεν, οὐδεὶς ᾤμωξεν, ἀλλὰ πάντες ἐφοβήθησαν. εἰκότως δὲ τῆς πίστεως αὐτῶν ἐπιτεινομένης, καὶ τὰ σημεῖα πλείω ἐγίνετο, καὶ πολὺς καὶ παρὰ τοῖς οἰκείοις ὁ φόβος ἦν· ἐπειδὴ οὐχ οὕτω τὰ τῶν ἔξωθεν ἡμᾶς θορυβεῖ, ὡς τὰ τῶν οἰκείων. ἂν οὖν ὦμεν πρὸς ἀλλήλους συγκεκροτημένοι, οὐδεὶς ἔσται ἡμῖν πολέμιος· ὥσπερ ἂν ἀπ' ἀλλήλων διϊστώμεθα, τὸ ἐναντίον πάντες ἡμῖν ἐπιθήσονται). ἀπὸ τούτου καὶ ἐκεῖνοι λοιπὸν ἐθάρρουν, καὶ μετὰ παρρησίας καὶ εἰς ἀγορὰν ἐνέβαινον, καὶ ἐν μέσῳ τῶν ἐχθρῶν ἐκάθητο· καὶ ἐπληροῦτο ἐκεῖνο τὸ εἰρημένον, Κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου· ὃ καὶ μείζονος ἀπόδειξις δυνάμεως ἦν, ὅτι κατεχόμενοι, δεσμούμενοι τοιαῦτα ἐποίησαν.

ΗΘΙΚΟΝ

Εἰ οὖν οἱ μόνον ψευσάμενοι τοιαῦτα ἔπαθον, οἱ καὶ ἐπιορκοῦντες τί οὐ πείσονται; μᾶλλον δὲ εἰ ἁπλῶς εἰποῦσα ἡ γυνή, ναὶ τοσούτου, τοιαύτην ἔδωκε δίκην, καὶ οὐκ ἐξέφυγεν, ἐννόησαι οἱ ὀμνύοντες καὶ ἐπιορκοῦντες τίνος ἂν εἶεν ἄξιοι. εὔκαιρον καὶ ἀπὸ τῆς παλαιᾶς δεῖξαι

γ. παιδίον

* τίς οὐκ ἐκκλίνης

Ioan. 14. 12.

γ. πλάνου

γ. λέγεις, τοῦ δὲ ἵνα τὸ σώματος καὶ τῆς ψυχῆς ... εἰς τρεῖς ἐπτίλου

γ. ποιμοῦ

Ψαλ. ρθ. β.

γ. εἶεν

ἴσως εἴποι τις ἄν, ὅτι σφόδρα πικρῶς αὐτῇ ἐχρήσατο. τί λέγεις, εἰπέ μοι; ποία πικρία;
Ἀριθ. ιε. λβ. εἰ ξύλα τις συλλέξας καταλαμβάνεται, πολλῷ μᾶλλον ὁ ἱερόσυλος. ταῦτα γὰρ ἱερὰ λοιπὸν
ἦν τὰ χρήματα. ἑκὼν οὖν ὁ ἑλόμενος τὰ αὐτοῦ πωλῆσαι καὶ διαδοῦναι, εἶτα λαβών, ἱερό- χ. ὁ γὰρ ἑλ.
συλος ἂν εἴη. εἰ δὲ ὁ ἐκ τῶν αὐτοῦ λαβὼν ἱερόσυλος, πολλῷ μᾶλλον ὁ ἐκ τῶν ἀλλοτρίων.
μὴ γάρ, ἐπειδὴ νῦν μὴ γίνεται τοῦτο, καὶ ἕπεται παρὰ πόδας ἡ κόλασις, νομίσητε ἀτιμωρητὶ ταῦ-
τα γίνεσθαι; ὁρᾷς ὅτι τοῦτο ἐγκαλεῖται, ὅτι ποιήσας αὐτὰ ἱερὰ χρήματα τότε ἔλαβε; μὴ
γὰρ οὐκ ἠδύνασο, φησί, καὶ μετὰ τὸ πωλῆσαι αὐτὰ ὡς ἰδίοις ἀποχρήσασθαι; μὴ γὰρ ἐκω-
λύθης; διὰ τί μετὰ τὸ ὑποσχέσθαι λαμβάνεις; ὅρα πῶς εὐθέως ἐξ ἀρχῆς ἐπέθετο ὁ διά-
βολος, μεταξὺ σημείων γινομένων καὶ θαυμάτων τοσούτων, πῶς καὶ οὗτος ὑπ' αὐτοῦ ἐπωρώθη.
τοιοῦτόν τι καὶ ἐν τῇ παλαιᾷ γέγονεν, ὅτε ὁ Χαρμὶ τὸ ἀνάθημα κλέψας ἑάλω. ἀλλ' ὅμως χ. τ' αἰσθήματος ἐπιμένουσιν.
Ἰησ. ζ. α. ἔγνως καὶ ἐκεῖ μεθ' ὅσης ἐκδικίας διωρθώθη τὸ πρᾶγμα. ἱεροσυλία γὰρ σφόδρα χαλε-
πόν, ἀγαπητέ, καὶ ὑβριστικὸν καὶ πολλῆς γέμον καταφρονήσεως. οὔτε πωλῆσαι ἠνάγκασα μέν,
φησίν, οὔτε πωλήσαντα δοῦναι τὰ χρήματα· σὺ εἵλου ἐξ οἰκείας προαιρέσεως. τί τοίνυν
ἔκλεψας ἀπὸ τῶν ἱερῶν χρημάτων; διὰ τί ἐπλήρωσε, φησίν, ὁ Σατανᾶς τὴν καρδίαν σου;
καὶ εἰ ὁ Σατανᾶς τοῦτο ἐποίησε, τί αὐτὸς ἐγκαλεῖται; αἴτιος γέγονε, δεξάμενος αὐτοῦ τὴν
ἐνέργειαν καὶ πληρωθείς. ἀλλ' ἔδει διορθῶσαι, φησίν. ἀλλ' οὐκ ἂν διωρθώθη. ὁ γὰρ τοι-
αῦτα ὁρῶν καὶ μὴ κερδαίνων, πολλῷ μᾶλλον οὐκ ἂν ἑτέρως ἐκέρδαινεν. οὐκ ἔδει τοίνυν ἁ-
πλῶς παρελθεῖν τὸ γεγονός, ἀλλ' ὡς σηπεδόνα ἔδει ἐκτμηθῆναι, ἵνα μὴ τὸ λοιπὸν λυ-
μήνηται σῶμα. νῦν μὲν γὰρ καὶ οὗτος ὠφέληται μὴ προελθὼν περαιτέρω κακίας, καὶ οἱ
λοιποὶ σπουδαιότεροι γινόμενοι· τότε δὲ ἂν τοὐναντίον συνέβη. διὰ τοῦτο πρῶτον ἐλέγχει καὶ
δείκνυσιν ὅτι οὐκ ἔλαθεν αὐτὸν τὸ γεγονός, καὶ τότε καταδικάζει. διὰ τί γάρ, φησί, καὶ ἐκ
ποίας προαιρέσεως τοῦτο πεποίηκας; ἤθελες ἔχειν; ἔδει σε ἔχειν ἐξ ἀρχῆς, καὶ μὴ ὑποσχέ-
σθαι· νῦν δὲ λαβὼν μετὰ τὸ ἀναθέσθαι, μείζονα τῆς ἱεροσυλίας εἰργάσω. ὁ μὲν γὰρ τὰ τῶν χ. χρήματα τίς ἐστιν ἡ ἱεροσυ-
ἄλλων λαμβάνων, ἴσως ἀλλοτρίων ἐπιθυμήσας λαμβάνει· σοὶ δὲ ἐξῆν ἔχειν τὰ σά. τί λία, ἀγαπη-
τοίνυν ἐποίησας αὐτὰ ἱερά, καὶ τότε ἔλαβες; ἀπὸ πολλῆς καταφρονήσεως τοῦτο πεποίηκας. τέ. ὁ μὲν γὰρ
οὐκ ἔχει τὸ γινόμενον συγγνώμην. ἐκτός ἐστιν ἀπολογίας. μηδεὶς δὲ σκανδαλιζέσθω, εἴ ἀλλότρια σα-
τινες καὶ νῦν εἰσιν ἱερόσυλοι. εἰ γὰρ τότε ἦσαν, πολλῷ μᾶλλον νῦν, ὅτε πολλὰ τὰ κακά. ἀλλ' λῶν ἐπιθυμή-
ἐλέγχωμεν αὐτοὺς ἐπὶ πάντων, ἵνα καὶ οἱ λοιποὶ φόβον ἔχωσιν. ὁ Ἰούδας ἱερόσυλος ἦν· ἀλλ' σας καὶ
οὐκ ἐσκανδάλισε τοῦτο τοὺς μαθητάς. ὁρᾷς ὅσα κακὰ ἡ τῶν χρημάτων ἐπιθυμία ποιεῖ; καὶ ἐ- ἀλλοτρίων ὤν
γένετο, φησί, φόβος μέγας ἐπὶ πάντας τοὺς ἀκούοντας ταῦτα. ἐκεῖνος ἐτιμωρήθη, καὶ ἄλ-
λοι ἐκέρδαινον. ὥστε οὐχ ἁπλῶς τοῦτο οἰκονομεῖται· καίτοι δὲ σημείων ἄλλων προειρημένων
Ψαλ. θ. ις. γινομένων, ὅμως οὐκ ἦν φόβος τοιοῦτος. οὕτως ἀληθές ἐστιν ἐκεῖνο, Γινώσκεται Κύριος
κρίματα ποιῶν. ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη ὁ ἁμαρτωλός. οὕτω
β. Βασ. ς. ζ. καὶ ἐπὶ τῆς κιβωτοῦ γέγονεν. Ὀζὰν ἐτιμωρήθη, καὶ ἐγένετο τοῖς ἄλλοις φόβος. ἀλλ'
ἐκεῖ μὲν φοβηθεὶς ὁ βασιλεὺς ἀπώσατο τὴν κιβωτόν· ἐνταῦθα δὲ οὗτοι μᾶλλον προσεκ-
τικώτεροι γίνονται. εἶδες πῶς οὐκ ἐκάλεσεν αὐτὴν ὁ Πέτρος, ἀλλ' ἀνέμεινεν ὥστε εἰσ- χ. ὅσα
ελθεῖν. οὐδὲ τῶν ἄλλων τις ἐτόλμησεν ἐξειπεῖν τὸ γεγονός; τοῦ φόβου διδασκάλου· τοῦ χ. ἐξεπλ.
τιμῆ μαθητῶν· τῆς ὑπακοῆς. τριῶν ὡρῶν διάστημα, καὶ οὐκ ἔμαθεν ἡ γυνή, οὐδὲ ἐξ- εἰπεῖν
εῖπέ τις τῶν παρόντων, καίτοιγε ἱκανὸν ἦν ἐξηχηθῆναι· ἀλλ' ἐφοβοῦντο. τοῦτο γοῦν καὶ θαυ-
μάζων ὁ συγγραφεὺς λέγει, ὅτι μὴ εἰδυῖα τὸ γεγονὸς εἰσῆλθε. καίτοιγε ἀπὸ τούτου ἐνῆν χ. εὐαγγε-
μαθεῖν αὐτήν, ὅτι οἶδε τὰ λανθάνοντα. διὰ τί γὰρ μηδένα ἐρωτήσας ὑμᾶς ἐρωτᾷ; ἢ δῆ- λιστής
λον, ὅτι ὡς εἰδώς; ἀλλ' ἡ πολλὴ πώρωσις οὐκ εἴασεν αὐτὴν τὸ ἔγκλημα ἀποδύσασθαι,
ἀλλὰ μετὰ αὐθαδείας πολλῆς ἀποκρίνεται. ἐνόμιζε γὰρ πρὸς ἀνθρώπους διαλέγεσθαι. χ. παρρησίας
τὸ δεινὸν τοῦτο, ὅτι ὡς ἐκ μιᾶς βουλῆς ἐπὶ τὴν ἁμαρτίαν ἦλθον, ὥσπερ ἀπὸ συνθήκης τινός. χ. ψυχῆς



Digitized by Google

6 Ἀναστάντες δὲ οἱ νεώτεροι συνέστειλαν αὐτὸν, καὶ ἐξενέγκαντες ἔθαψαν.

7 Ἐγένετο δὲ ὡς ὡρῶν τριῶν διάστημα, καὶ ἡ γυνὴ αὐτοῦ μὴ εἰδυῖα τὸ γεγονὸς εἰσῆλθεν.

8 Ἀπεκρίθη δὲ αὐτῇ ὁ Πέτρος· εἰπέ μοι, εἰ τοσούτου τὸ χωρίον ἀπέδοσθε;

Ταύτην ἐβούλετο σῶσαι· ἐκεῖνος γὰρ ἦν ὁ ἀρχηγὸς τῆς ἁμαρτίας· διὰ τοῦτο αὐτῇ δίδωσι τάχα καιρὸν ἀπολογίας, καὶ ἐξουσίας μετανοίας, λέγων· Εἰπέ μοι, εἰ τοσούτου τὸ χωρίον ἀπέδοσθε; ἡ δὲ εἶπε, ναὶ τοσούτου.

χ. συγχωρίαν

9 Ὁ δὲ Πέτρος εἶπε πρὸς αὐτήν· τί ὅτι συνεφωνήθη ὑμῖν πειράσαι τὸ πνεῦμα τοῦ ἁγίου; ἰδοὺ οἱ πόδες τῶν θαψάντων τὸν ἄνδρα σου ἐπὶ τῇ θύρᾳ, καὶ ἐξοίσουσί σε.

10 Ἔπεσε δὲ παραχρῆμα παρὰ τοὺς πόδας αὐτοῦ, καὶ ἐξέψυξεν. Εἰσελθόντες δὲ οἱ νεανίσκοι εὗρον αὐτὴν νεκρὰν, καὶ ἐξενέγκαντες ἔθαψαν πρὸς τὸν ἄνδρα αὐτῆς.

11 Καὶ ἐγένετο φόβος μέγας ἐφ' ὅλην τὴν ἐκκλησίαν, καὶ ἐπὶ πάντας τοὺς ἀκούοντας ταῦτα. Μετὰ τὸ γενέσθαι τὸν φόβον αὐτῶν, πλείονα σημεῖα ἐποίουν· καὶ τί ἐποίουν, ἄκουε.

χ. ἐπὶ τῆν καὶ αὐτοῖς, καὶ οἱ λοιποί.

12 Διὰ δὲ τῶν χειρῶν τῶν ἀποστόλων ἐγίνετο σημεῖα καὶ τέρατα ἐν τῷ λαῷ πολλὰ, καὶ ἦσαν ὁμοθυμαδὸν ἅπαντες ἐν τῇ στοᾷ Σολομῶντος.

13 Τῶν δὲ λοιπῶν οὐδεὶς ἐτόλμα κολλᾶσθαι αὐτοῖς, ἀλλ' ἐμεγάλυνεν αὐτοὺς ὁ λαός.

Εἰκότως. καὶ γὰρ ὁ Πέτρος ἦν λοιπὸν φοβερὸς, κολάζων, καὶ τὰ εἰς νοῦν ἐξελέγχων· ᾧ καὶ μᾶλλον προσεῖχον, διά τε τὸ σημεῖον καὶ τὴν προτέραν μαρτυρίαν, καὶ τὴν δευτέραν, καὶ τὴν τρίτην. αὐτὸς γὰρ καὶ τὸ σημεῖον εἰργάσατο τὸ πρῶτον, καὶ τὸ δεύτερον, καὶ τὸ νῦν, ὅπερ ἐμοὶ καὶ διπλοῦν, ἀλλ' οὐχ ἁπλῶς ἕν τι καὶ μόνον εἶναι δοκεῖ· ἓν μὲν, τὸ τὰ κατὰ διάνοιαν ἐλέγξαι, δεύτερον δὲ, τὸ ἀνελεῖν προστάγματι.

χ. θαυμαστὸς, χ. προσεῖχεν

14 Μᾶλλον δὲ προσετίθεντο πιστεύοντες, φησὶ, τῷ Κυρίῳ πλήθη ἀνδρῶν τε καὶ γυναικῶν,

15 Ὥστε κατὰ τὰς πλατείας ἐκφέρειν τοὺς ἀσθενεῖς καὶ τιθέναι ἐπὶ κλινῶν καὶ κραβάτων, ἵνα ἐρχομένου Πέτρου κἂν ἡ σκιὰ ἐπισκιάσῃ τινὶ αὐτῶν.

Τοῦτο ἐπὶ τοῦ Χριστοῦ οὐ γέγονεν, ὅθεν καὶ ὁρᾷ τις νῦν ἐπ' ἔργων τὸ ὑπ' αὐτοῦ εἰρημένον ἐξελθόν. ποῖον δὴ τοῦτο; Ὁ πιστεύων εἰς ἐμὲ, τὰ ἔργα, ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει. Ioan. ιδ. ιβ.

χ. ἐκβαῖνον.

16 Συνήρχετο δὲ καὶ τὸ πλῆθος τῶν πέριξ πόλεων εἰς Ἱερουσαλὴμ φέροντες ἀσθενεῖς καὶ ὀχλουμένους ὑπὸ πνευμάτων ἀκαθάρτων, οἵτινες ἐθεραπεύοντο ἅπαντες.

Σὺ δέ μοι σκόπει, πῶς αὐτοῖς ὁ βίος ὑφαίνεται πᾶς διὰ τῶν ἐναντίων· εἶτα, ἀθυμία προτέρα γέγονε διὰ τὴν ἀνάληψιν τοῦ Χριστοῦ, εἶτα εὐθυμία διὰ τὴν τοῦ πνεύματος κάθοδον· πάλιν ἀθυμία διὰ τοὺς χλευάζοντας, εἶτα εὐθυμία διὰ τοὺς πιστοὺς καὶ τὸ σημεῖον· πάλιν ἀθυμία διὰ τὸ καταχθῆναι, εἶτα εὐθυμία διὰ τῆς ἀπολογίας. πάλιν ἐν ταῦτα καὶ εὐθυμία καὶ ἀθυμία. ὅτι μὲν γὰρ ἦσαν λαμπροὶ, καὶ ὁ Θεὸς αὐτοῖς ἀπεκάλυψεν, εὐθυμία· ὅτι δὲ τοὺς αὐτῶν ἀνῄρουν, ἀθυμία. πάλιν εὐθυμία ἀπὸ τῆς λαμπρότητος· πάλιν ἀθυμία ἀπὸ τοῦ ἀρχιερέως. καὶ δῆλον τοῦτο σκεπτομένους ἰδεῖν δυνατὸν, καὶ ἐπὶ τῶν παλαιῶν δὲ οὕτως εὕροι τις ἄν. ἴδωμεν δὲ ἄνωθεν τὰ εἰρημένα. ἐπώλουν, φησὶ, καὶ ἔφερον τὰς τιμὰς, καὶ ἐτίθουν παρὰ τοὺς πόδας τῶν ἀποστόλων. ὅρα μοι, ἀγαπητὲ, πῶς οὐ τοῖς ἀποστόλοις ἐπέτρεπον πωλεῖν, ἀλλ' αὐτοὶ ἐπώλουν, καὶ τὰς τιμὰς ἐκείνοις ἐδίδοσαν. ἀλλ' οὐχ οὕτως ὁ Ἀνανίας, ἀλλ' ὑφαιρεῖταί τι τῆς τιμῆς οὗ ἀπέδοτο ἀγροῦ. διὸ καὶ τιμωρεῖται, ὡς τὸ πρᾶγμα μὴ καλῶς διαθέμενος, καὶ κλέπτων τὰ ἑαυτοῦ φωραθείς. ἐκεῖ καὶ τὴν νῦν ἱερέων ἥψατο ὁ λόγος, καὶ σφόδρα κατὰ καιρόν. ἐπειδὴ δὲ σιωπῇ ἐκεῖ τὸ γινόμενον, καὶ ἡ τούτου γυνὴ, διὰ τοῦτο καὶ αὐτὴν ἐξετάζει. ἀλλ'

χ. τοῦτο δῆλον ἔστιν ἰδεῖν τις ἄν.
χ. κολάζων ὡς ἐν τέλει. ἢ καὶ προδούλευ.
χ. ἐν τοῖς ἑαυτοῦ ἱερατικῷ

δήματα σύμβολα τῆς νίκης, οὐκ ἂν αὐτὸν οὕτως οἶμαι χαίρειν ἐπὶ τοῖς ἐπαίνοις, ὡς ἐγὼ ἐπὶ τῇ προκοπῇ τῇ ὑμετέρᾳ. ὥσπερ γὰρ μυρίους στεφάνους ἐπὶ τῆς κεφαλῆς ἔχων, οὕτως ἀγάλλομαι, καὶ εἰκότως. εἰ γὰρ τῇ τοῦ Θεοῦ χάριτι τοῦτο ὑμῖν κατορθωθῇ τὸ ἔθος, μυρίους νενικήκατε πολέμους, καὶ πολλῷ χαλεπωτέρους ἐκείνων, πρὸς δαίμονας πονηροὺς, πρὸς ἀλάστορας παλαίσαντες καὶ μαχεσάμενοι, οὐ διὰ μαχαίρας, ἀλλὰ διὰ γλώττης καὶ προαιρέσεως. ὅρα γὰρ ὅσα κατορθοῦται, ἐὰν ἄρα κατορθώσητε. πρῶτον, ὅτι συνήθειαν χαλεπὴν ἐκκόπτετε· δεύτερον, λογισμὸν πονηρὸν, ὅθεν πάντα τὰ κακὰ, τὸ νομίζειν ἀδιάφορον εἶναι τὸ πρᾶγμα καὶ μηδὲν βλάπτειν· τρίτον, τὸν θυμόν· τέταρτον, τὴν φιλοχρηματίαν. πάντα γὰρ ταῦτα ὁ ὅρκος τίκτει. ἀλλὰ ἀπὸ τούτου καὶ εἰς τὰ ἄλλα κατορθώματα λήψεσθε πολλὴν ἀφορμήν. καθάπερ γὰρ τὰ στοιχεῖα μανθάνοντες τῶν παίδων, οὐκ ἐκεῖνα μόνα μανθάνουσιν, ἀλλ' ἐν ἐκείνοις παιδεύονται κατὰ μικρὸν ἀναγινώσκειν· οὕτω δὴ καὶ ὑμεῖς. οὐκέτι λοιπὸν ὑμᾶς ὁ πονηρὸς λογισμὸς ἀπατήσει, οὐδὲ ἐρεῖτε ὅτι ἀδιάφορόν ἐστι τόδε, οὐκέτι τῇ συνηθείᾳ φθέγξεσθε, ἀλλὰ πρὸς ἅπαντα στήσεσθε γενναίως, ἵνα διὰ πάντων τὴν κατὰ Θεὸν ἀρετὴν διανύσαντες, τῶν αἰωνίων ἀπολαύσητε ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ιβ. 36 ΙΩΣΗΦ ΔΕ Ο ΕΠΙΚΛΗΘΕΙΣ ΒΑΡΝΑΒΑΣ ὑπὸ τῶν ἀποστόλων, ὅ ἐστι μεθερμηνευόμενον υἱὸς παρακλήσεως, Λευΐτης, Κύπριος τῷ γένει, 37 Ὑπάρχοντος αὐτῷ ἀγροῦ, πωλήσας ἤνεγκε τὸ χρῆμα, καὶ ἔθηκε παρὰ τοὺς πόδας τῶν ἀποστόλων.

ΜΕλλει διηγεῖσθαι τὸ κατὰ Ἀνανίαν λοιπὸν καὶ Σαπφείραν, καὶ θέλων δεῖξαι τὸν ἄνδρα χείρονα ἡμαρτηκότα, πρῶτον μέμνηται τοῦ κατορθωκότος· ὅτι τοσούτου πλήθους ὄντος τοῦ ταῦτα ποιοῦντος, τοσαύτης χάριτος, τοσούτων σημείων, ὑπ' οὐδενὸς τούτων διωρθώθη, ἀλλὰ καθάπαξ ὑπὸ τῆς φιλοχρηματίας τυφλωθεὶς, τὸν ὄλεθρον ἐκεῖνον ἐπεσπάσατο τῇ ἑαυτοῦ κεφαλῇ. Ὑπάρχοντος αὐτῷ ἀγροῦ. οὕτως εἶπεν, δηλῶν ὅτι τοῦτον μόνον ἐκέκτητο. πωλήσας, φησὶν, ἤνεγκε τὸ χρῆμα, καὶ ἔθηκε παρὰ τοὺς πόδας τῶν ἀποστόλων.

γ. παιδευθεὶς
γ. ἐπήγαγε

κεφ. ε.

1 Ἀνὴρ δέ τις ὀνόματι Ἀνανίας, σὺν Σαπφείρᾳ τῇ γυναικὶ αὐτοῦ, ἐπώλησε κτῆμα,

2 Καὶ ἐνοσφίσατο ἀπὸ τῆς τιμῆς, συνειδυίας καὶ τῆς γυναικὸς αὐτοῦ· καὶ ἐνέγκας μέρος τι, παρὰ τοὺς πόδας τῶν ἀποστόλων ἔθηκε. Τὸ δεινὸν, ὅτι μετὰ συγκαταθέσεως ἡ ἁμαρτία, καὶ οὐδεὶς ἕτερος ᾔδει τὸ γινόμενον. πόθεν ἐπῆλθε τῷ ταλαιπώρῳ τούτῳ καὶ ἀθλίῳ τοῦτο ἐργάσασθαι;

3 Εἶπε δὲ, φησὶν, ὁ Πέτρος· Ἀνανία, διατί ἐπλήρωσεν ὁ Σατανᾶς τὴν καρδίαν σου ψεύσασθαί σε τὸ πνεῦμα τὸ ἅγιον, καὶ νοσφίσασθαι ἀπὸ τῆς τιμῆς τοῦ χωρίου; Ὁρᾷς καὶ νῦν μέγα σημεῖον γινόμενον, καὶ πολλῷ πλεῖον ἐκείνου τοῦ προτέρου.

γ. τοῦτο

4 Οὐχὶ μένον * σοι ἔμενε, καὶ πραθὲν ἐπὶ τῇ σῇ ἐξουσίᾳ ὑπῆρχε; Τουτέστι, μὴ γὰρ ἀνάγκη τις ἦν καὶ βία; μὴ γὰρ ἄκοντας ὑμᾶς ἕλκομεν; Τί ὅτι ἔθου ἐν τῇ καρδίᾳ σου τὸ πρᾶγμα τοῦτο; οὐκ ἐψεύσω ἀνθρώποις, ἀλλὰ τῷ Θεῷ.

* φησὶ

5 Ἀκούων δὲ ὁ Ἀνανίας τοὺς λόγους τούτους, πεσὼν ἐξέψυξεν. Ὁρᾷς πόθεν μεῖζον τὸ σημεῖον τοῦτο τοῦ σημείου τοῦ χωλοῦ, ἀπὸ τοῦ ἀνελεῖν, ἀπὸ τοῦ τὰ ἐν διανοίᾳ εἰδέναι, καὶ τὰ λάθρα γεγονότα; Καὶ ἐγένετο, φησὶ, φόβος μέγας ἐπὶ πάντας τοὺς ἀκούοντας ταῦτα.

γ. καὶ τὸ ἀνελεῖν, καὶ τὸ

6 Ἀναστάντες

οἰκουμένης ἦσαν ἐχθροί, ὅτι οὐδαμόθεν προσεδόκων παραμυθίαν, οὕτω δὴ κατετόλμησαν χ. τοιούτου τοῦ πράγματος, πόσῳ μᾶλλον νῦν τοῦτο ἂν ἐγένετο, ἔνθα τῇ τοῦ χ. Χριστοῦ Θεοῦ χάριτι πανταχοῦ τῆς οἰκουμένης πιστοί; τίς δὲ ἂν ἕλοιτο ἔτι ἄλλην λοιπόν; οὐδένα ἔγωγε ἡγοῦμαι. οὕτως ἂν πάντας ἐπεσπασάμεθα καὶ εἱλκύσαμεν πρὸς ἡμᾶς αὐτούς. πλὴν ἀλλ' ἐὰν ὀλίγοι παραβαίνωμεν, πιστεύω τῷ Θεῷ ὅτι καὶ τοῦτο ἔσται. πείθητέ μοι μόνον, καὶ κατὰ τάξιν κατορθώσωμεν τὰ πράγματα. καὶ ἂν ὁ Θεὸς ζωὴν δῷ, πιστεύω ὅτι ταχέως εἰς ταύτην ὑμᾶς ἄξομεν τὴν πολιτείαν. τέως τὸν νόμον τὸν περὶ τοῦ ὅρκου κατορθώσατε καὶ βεβαιώσατε· καὶ ὁ φυλάξας, τὸν μὴ φυλάξαντα δῆλον ποιείτω, καὶ ἐγκαλείτω λοιπὸν καὶ ἐπιτιμάτω σφοδρῶς. ἡ γὰρ προθεσμία ἐστί, καὶ ἐξέτασιν ποιήσω τοῦ πράγματος, καὶ τοὺς ἁλόντας ἀφορίσω καὶ ἀπείρξω. ἀλλὰ μηδένα γένοιτο τοιοῦτον εὑρεθῆναι παρ' ὑμῖν· χ. ἡμῖν· ἀλλὰ πάντας μετὰ ἀκριβείας τὸ σύνθημα τὸ πνευματικὸν τοῦτο φυλάξαι· καὶ καθάπερ ἐν πολέμῳ ἀπὸ τοῦ συνθήματος οἵ τε οἰκεῖοι, καὶ ἀλλότριοι γνωρίζονται· οὕτω δὴ καὶ νῦν γινέσθω χ. φίλοι (καὶ γὰρ καὶ νῦν ἐν πολέμῳ ἐσμέν) ἵνα καὶ τοὺς ἀδελφοὺς ἐπιγινώσκωμεν τοὺς οἰκείους. ὅσον γὰρ ἐστὶν ἀγαθὸν τοῦτο ἡμῖν εἶναι τὸ γνώρισμα καὶ ἐνταῦθα, καὶ ἐπὶ τῆς ἀλλοτρίας; οἶδ' ὅτι τοῦτο ὅπλον κατὰ τῆς χ. κυνηγῆς; τοῦ διαβόλου μηχανῆς; στόμα γὰρ οὐκ εἰδὸς ὀμνύειν, ταχέως καὶ τὸν Θεὸν ἐν εὐχαῖς ἐπισπάσεται, καὶ τὸν διάβολον πλήξει καιρίαν πληγήν. στόμα οὐκ εἰδὸς ὀμνύειν, οὐδὲ ὑβρίζειν εἴσεται. καθάπερ ἐξ οἰκίας τινός, οὕτως ἀπὸ τῆς γλώττης τὸ πῦρ ἔκβαλε τοῦτο καὶ περίελκυσον ἔξω· δὸς αὐτῇ μικρὸν ἀναπνεῦσαι· τὸ ἕλκος ἀσθενέστερον ποίησον. ναὶ παρακαλῶ, ἵνα ὑμῖν καὶ ἕτερόν τι ἐκδῶ μάθημα. οὔπω γὰρ τούτου κατωρθωμένου, οὐ τολμῶ ἐπὶ ἕτερόν τι ἐλθεῖν. τοῦτο μετὰ ἀκριβείας ὑμῖν κατορθωθήτω· τούτου λάβετε τοῦ κατορθώματος αἴσθησιν περιττήν, καὶ τότε ὑμῖν καὶ ἑτέρους εἰσάξω νόμους, μᾶλλον δὲ οὐκ ἐγώ, ἀλλ' ὁ Χριστός. φυτεύσατε ἐν τῇ ψυχῇ τῇ ὑμετέρᾳ τοῦτο τὸ καλόν, καὶ μετὰ μικρὸν ἔσεσθε παράδεισος τοῦ Θεοῦ, πολλῷ βελτίων ἐκείνου τοῦ παραδείσου. οὔτε γὰρ ὄφις παρ' ὑμῖν, οὔτε δένδρον θανατηφόρον, οὔτε ἄλλο τῶν τοιούτων οὐδέν. πήξατε ἐν βάθει ταύτην τὴν συνήθειαν. ἂν τοῦτο γένηται, οὐχ ὑμεῖς οἱ παρόντες ὠφεληθήσεσθε μόνον, ἀλλὰ καὶ πάντες οἱ ἐν τῇ οἰκουμένῃ· καὶ οὐκ ἐκεῖνοι μόνον, ἀλλὰ καὶ οἱ μετὰ ταῦτα ἐπιγενόμενοι. ἔθος γὰρ καλὸν εἰσελθὸν καὶ παρὰ πάντων φυλαττόμενον, εἰς μακροὺς διαδοθήσεται χρόνους, καὶ οὐδεὶς αὐτὸ καιρὸς ἐκκόψαι δυνήσεται. Εἰ ξύλα τις συλλέγων ἐν σαββάτῳ λιθόλευστος γέγονεν· ὁ τὰ πολλῷ τῆς συλ- Αριθ. ιε. λβ. λογῆς ἐκείνης χαλεπώτερα ἐργαζόμενος, καὶ φορτίον ἁμαρτιῶν συλλέγων (τοῦτο γὰρ τῶν ὅρκων τὸ πλῆθος) τί οὐχ ὑποστήσεται; τί δὲ οὐχ ὑπομενεῖ; πολλὴν λήψεσθε παρὰ τοῦ Θεοῦ τὴν βοήθειαν, ἐὰν τοῦτο ὑμῖν κατωρθωμένον ᾖ. ἂν εἴπω, μὴ ὑβρίσῃς, εὐθέως τὸν θυμόν μοι φέρεις εἰς μέσον· ἂν εἴπω, μὴ βασκήνῃς, ἄλλην αἰτίαν ἐρεῖς· ἐνταῦθα οὐδὲν τοιοῦτον ἔχεις εἰπεῖν. διὰ τοῦτο ἀπὸ τῶν εὐκόλων ἠρξάμην, ἐπεὶ καὶ ἐν ταῖς τέχναις ἅπασαι τὸ αὐτὸ ποιοῦσιν. οὕτω τις καὶ ἐπὶ τὰ μείζονα ἔρχεται, τὰ εὐκολώτερα πολλῷ πρότερον μανθάνων. εἴσεσθε πῶς ἐστιν εὔκολον τοῦτο, ὅταν τῇ τοῦ Θεοῦ χάριτι κατορθώσαντες τοῦτο, καὶ ἕτερον δέξησθε νόμον. δότε μοι παρρησίαν καὶ ἐπὶ Ἑλλήνων, καὶ ἐπὶ Ἰουδαίων, καὶ πρὸ πάντων ἐπὶ τοῦ Θεοῦ. ναὶ παρακαλῶ πρὸς τῆς ἀγάπης, πρὸς τῆς ὠδῖνος δι' ἧς ὑμᾶς ὤδινα, τεκνία μου. τὸ δὲ ἑξῆς, οὐκ ἐπάξω τό, Οὓς πάλιν ὠδίνω· οὐδὲ ἐρῶ οὐδὲ τό, Ἄχρις οὗ μορφωθῇ Γαλ. δ. ιθ. Χριστὸς ἐν ὑμῖν (πιστεύω γάρ, ὅτι μεμόρφωται Χριστὸς ἐν ὑμῖν) ἀλλ' ἕτερα πρὸς ὑμᾶς ἐρῶ· Ἀδελφοί μου ἀγαπητοὶ καὶ ἐπιπόθητοι, χαρὰ καὶ στέφανός μου. πιστεύσατε γάρ μοι, ὅτι α. Θεσ. β. κ. οὐκ ἄλλως ἐρῶ. εἰ μυρίους τις λιθοκολλήτους στεφάνους βασιλικοὺς ἐπέθηκέ μου τῇ κεφαλῇ νῦν, οὐκ ἂν ηὐφράνθην ὡς εὐφραίνομαι ἐπὶ τῇ προκοπῇ τῇ ὑμετέρᾳ· μᾶλλον δὲ οὐδὲ τὸν βασιλέα οὕτως οἶμαι χαίρειν, ὡς ἐγὼ ἐφ' ὑμῖν, εἰ πάντα τὰ ἔθνη τὰ πολεμοῦντα αὐτῷ νικήσας ἐπανῆλθε, καὶ τοῦ νενομισμένου στεφάνου πλείους ἑτέρους ἔλαβε στεφάνους καὶ ἕτερα δια-

αὐτοῖς. ὅτι γὰρ οὐ τῶν σημείων ἦν τὸ γινόμενον, ἀλλὰ καὶ τῆς αὐτῶν προαιρέσεως, δηλοῖ ἡ Σάπφειρα καὶ ὁ Ἀνανίας. οὐ λόγῳ δὲ μόνον, ἀλλὰ καὶ δυνάμει τὸ μαρτύριον τῆς ἀναστάσεως ἐδείκνυσαν, καθάπερ καὶ ὁ Παῦλός φησι· Καὶ τὸ κήρυγμά μου οὐκ ἐν *πειθοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν ἀποδείξει πνεύματος καὶ δυνάμεως. καὶ οὐχ ἁπλῶς δυνάμει, ἀλλὰ μεγάλῃ δυνάμει. καλῶς εἶπε, χάρις ἦν ἐπὶ πάντας. διὰ τοῦτο γὰρ ἡ χάρις, ὅτι οὐδεὶς ἦν ἐνδεής· τουτέστιν, ἀπὸ τῆς πολλῆς προθυμίας τῶν ἐπιδιδόντων οὐδεὶς ἦν ἐνδεής. οὐ γὰρ *μέρη μὲν ἐδίδοσαν, *μέρη δὲ ἐταμιεύοντο· οὐδὲ πάντα μὲν ἐδίδοσαν, ὡς ἴδια δέ. τὴν ἀνωμαλίαν ἐκ μέσου ἐξήγαγον, καὶ ἐν ἀφθονίᾳ ἔζων πολλῇ * καὶ μετὰ πολλῆς δὲ τῆς τιμῆς τοῦτο ἐποίουν. οὐδὲ γὰρ εἰς τὰς χεῖρας ἐτόλμων δοῦναι, οὐδὲ ὑπερηφάνως προσῆγον, ἀλλὰ παρὰ τοὺς πόδας ἔφερον, καὶ αὐτοὺς οἰκονόμους ἠφίεσαν γίνεσθαι, καὶ κυρίους ἐποίουν, ἵνα ὡς ἐκ κοινοῦ λοιπὸν ἀναλίσκηται, μηκέτι ὡς ἐξ ἰδίων. τοῦτο καὶ πρὸς τὸ μὴ κενοδοξεῖν αὐτοὺς συνεβάλλετο.

α. Κορ. β. δ.

γ. πειθοῖ

γ. μέρει
γ. μέρει
* ἢ ἐπίσου συνταξίαν·

ΗΘΙΚΟΝ

Τοῦτο εἰ καὶ νῦν γένοιτο, μετὰ πλείονος ἂν τῆς ἡδονῆς ἐβιώσαμεν καὶ πλούσιοι καὶ πένητες. οὐ τοῖς πένησι δὲ μᾶλλον, ἢ τοῖς πλουσίοις τοῦτο ἔφερεν ἂν τὴν ἡδονήν. καὶ, εἰ βούλει, τέως ὑπογράψωμεν αὐτὸ τῷ λόγῳ, καὶ ταύτῃ καρπωσώμεθα τὴν ἡδονὴν, ἐπειδὴ ἐν ἔργοις οὐ βούλεσθε. μάλιστα μὲν γὰρ καὶ ἐξ ἐκείνων δῆλον τῶν τότε γινομένων, ὅτι πωλοῦντες οὐκ ἦσαν ἐνδεεῖς, ἀλλὰ καὶ τοὺς πένητας πλουσίους ἐποίουν. πλὴν ἀλλὰ καὶ νῦν ὑπογράψωμεν τοῦτο τῷ λόγῳ, καὶ πάντες τὰ αὐτῶν πωλείτωσαν πάντα, καὶ φερέτωσαν εἰς μέσον, τῷ λόγῳ λέγω. μηδεὶς θορυβείσθω, μήτε πλούσιος, μήτε πένης. πόσον οἴει χρυσίον συνάγεσθαι; ἐγὼ στοχάζομαι (οὐ γὰρ δὴ μετ' ἀκριβείας δυνατὸν εἰπεῖν) ὅτι εἰ πάντες καὶ πᾶσαι τὰ αὐτῶν ἐκκενώσαιεν χρήματα, καὶ χωρία καὶ κτήματα καὶ οἰκίας ἀπέδοντο (ἀνδράποδα γὰρ οὐκ ἂν εἴποιμι. οὐδὲ γὰρ τότε τοῦτο ἦν, ἀλλ' ἐλευθέρους ἴσως ἐπέτρεπον γίνεσθαι) τάχα ἂν ἑκατὸν μυριάδες λιτρῶν χρυσίου συνήχθησαν, μᾶλλον δὲ καὶ δὶς καὶ τρὶς τοσαῦτα. *ἐννόησον γάρ μοι, ἡ πόλις ἡμῶν εἰς *πόσον μεγάλον ἀριθμὸν νῦν τελεῖ; πόσους βούλεσθε εἶναι χριστιανούς; βούλεσθε δέκα μυριάδας, τὸ δὲ ἄλλο Ἑλλήνων καὶ Ἰουδαίων; πόσαι μυριάδες ἂν χρυσίου συνελέγησαν; πόσος δὲ ἀριθμὸς ἐστι πενήτων; οὐκ οἶμαι πλεῖον μυριάδων πέντε. τούτους δὲ καθ' ἑκάστην ἡμέραν τρέφεσθαι, πόση ἀφθονία ἦν; *καίτοι κοινῆς τῆς τροφῆς γινομένης, καὶ συσσιτίων ὄντων, οὐδὲ πολλῆς ἂν ἔδει δαπάνης. τί οὖν, φησὶν, ἐμέλλομεν ποιεῖν μετὰ τὸ ἀναλωθῆναι πάντα; σὺ οἴει δυνηθῆναι ἀναλωθῆναί ποτε; οὐ γὰρ ἂν μυριοπλασίων ἡ τοῦ Θεοῦ χάρις ἐγένετο; οὐ γὰρ πλουσίως ἂν ἡ τοῦ Θεοῦ χάρις ἐξεχύθη; τί δὲ, οὐκ ἂν οὐρανὸν ἐποιήσαμεν τὴν γῆν; εἰ, ἔνθα τρισχίλιοι καὶ πεντακισχίλιοι, τοῦτο γινόμενον οὕτως ἔλαμψε, καὶ οὐδεὶς αὐτῶν πενίαν ᾐτιάσατο· πόσῳ μᾶλλον ἐν τοσούτῳ πλήθει; τίς δὲ οὐκ ἂν καὶ τῶν ἔξωθεν ἐπέδωκεν; ἵνα δὲ δείξω ὅτι τὸ *διεσπασμένον τοῦτο δαπανηρὸν, καὶ πενίας ποιητικόν· ἔστω οἰκία, ἔνθα παιδία δέκα καὶ γυνὴ καὶ ἀνήρ· καὶ ἡ μὲν ἐριουργείτω, ὁ δὲ ἔξωθεν φερέτω προσόδους. εἰπὲ δή μοι, οὕτω κοινῇ σιτούμενοι καὶ μίαν ἔχοντες οἰκίαν πλείονα ἂν ἀναλίσκοιεν, ἢ διαιρεθέντες; εὔδηλον ὅτι διαιρεθέντες. εἰ γὰρ μέλλοιεν διασπᾶσθαι τὰ δέκα παιδία, δέκα καὶ οἰκημάτων χρεία, δέκα τραπεζῶν, δέκα ὑπηρετῶν, καὶ τῆς ἄλλης προσόδου τοσαύτης. τί δὲ ἔνθα δούλων πλῆθός ἐστιν; οὐχὶ διὰ τοῦτο πάντες μίαν ἔχουσι τράπεζαν, ὥστε μὴ πολλὴν γενέσθαι τὴν δαπάνην; ἡ γὰρ διαίρεσις ἀεὶ ἐλάττωσιν ἐμποιεῖ· ἡ δὲ ὁμόνοια καὶ συμφωνία αὔξησιν. οὕτως οἱ ἐν τοῖς μοναστηρίοις ζῶσι νῦν, ὥσπερ τότε οἱ πιστοί. τίς ἀπέθανεν οὖν ἀπὸ λιμοῦ; τίς δὲ οὐ διετράφη μετὰ ἀφθονίας πολλῆς; νῦν μὲν οὖν τοῦτο δεδοίκασιν ἄνθρωποι μᾶλλον, ἢ εἰς πέλαγος ἐμπεσεῖν ἄπλετον καὶ ἄπειρον. εἰ δὲ πεῖραν ἐποιησάμεθα τούτου, τότε ἂν κατετολμήσαμεν τοῦ πράγματος. πόσην οἴει καὶ χάριν εἶναι; εἰ γὰρ τότε, ὅτε οὐδεὶς ἦν πιστὸς, ἀλλὰ τρισχίλιοι καὶ πεντακισχίλιοι μόνοι, ὅτε πάντες οἱ τῆς

γ. εἰπὲ
γ. πόσον ἴσον ἀριθμὸν συντείνει;

γ. μᾶλλον δὲ

γ. διεσπᾶσθαι

οἰκουμένης

χαρὰν γὰρ γέννησιν ἀπὸ ἡδονῆς καὶ διαθέσεως πολλῆς. καὶ γὰρ αἱ τοιαῦται αἰνέσεις εὐχαί, αἱ φιλοσοφίας γέμουσαι, αἱ περὶ τοιούτων γινόμεναι, αἱ παρὰ τῶν τοιούτων, αἱ ἐν τοῖς τοιούτοις καιροῖς, αἱ κατὰ τὸν τρόπον τοῦτον· ὡς αἵ γε ἄλλαι βδελυκταὶ καὶ ἀκάθαρτοι. ὅρα πῶς οὐδὲν περὶ τῆς,* ἀλλὰ περὶ τῆς δυνάμεως αὐτοῦ διαλέγονται μόνον, μᾶλλον δὲ καθάπερ αὐτὸς ὁ Χριστὸς ἔλεγε τοῖς Ἰουδαίοις, Εἰ δὲ ἐγὼ ἐν πνεύματι Θεοῦ λαλῶ· οὕτω καὶ αὐτοί φασι διὰ πνεύματος ἁγίου. ἰδοὺ καὶ ὁ σωτὴρ ἐν πνεύματι φθέγγεται. τί δέ ἐστιν, ὃ καὶ λέγουσιν, ἄκουε· δέσποτα ὁ Θεός, ὁ διὰ στόματος Δαβὶδ παιδός σου εἰπών, Ἱνατί ἐφρύαξαν ἔθνη; ἔθος τῇ γραφῇ καὶ περὶ ἑνὸς ὡς περὶ πολλῶν λέγειν. ὃ δὲ λέγουσι τοῦτό ἐστιν· οὐκ αὐτοὶ* ἴσχυσαν, ἀλλὰ σὺ τὸ πᾶν, ὁ ἐπιτρέψας* καὶ εἰς πέρας ἀγαγών, εἰργάσω, ὁ εὐμήχανος καὶ σοφός, ὁ τοῖς ἐχθροῖς εἰς τὸ βούλημά σου χρησάμενος. ἐνταῦθα γὰρ περὶ τῆς πολλῆς εὐμηχανίας αὐτοῦ καὶ σοφίας καὶ δυνάμεως αὐτοῦ διαλέγονται. συνῆλθον μὲν οὖν ὡς ἐχθροὶ καὶ φονικῇ προαιρέσει, καὶ ὡς ἐνδυνούμενοι· ἐποίουν δέ, ἃ σὺ ἐβούλου ποιῆσαι· ὅσα ἡ χείρ σου καὶ ἡ βουλή σου προώρισε γενέσθαι. τί ἐστιν ἡ χείρ σου; ἐνταῦθά μοι δοκεῖ* χεῖρα λέγειν τὴν δύναμιν καὶ βουλήν. ἀρκεῖ, φησί, βουληθῆναί σε μόνον. οὐδεὶς γὰρ δυνάμει προσορίζει. τὸ οὖν, ὅσα ἡ χείρ σου, τοῦτό ἐστιν, ὅσα διέταξας. ἢ τοίνυν τοῦτο λέγει, ἢ ὅτι τῇ χειρὶ* διεκράτησεν. ὥσπερ οὖν τότε κενὰ ἐμελέτησαν, οὕτω καὶ νῦν, φησί, κενὰ μελετῆσαι αὐτοὺς ποίησον, τουτέστι, μὴ εἰς ἔργον ἐλθεῖν αἱ ἀπειλαὶ αὐτῶν. ταῦτα δὲ ἔλεγον, οὐκ αὐτοὶ παραιτούμενοι δυσχερές τι παθεῖν, ἀλλ' ὑπὲρ τοῦ κηρύγματος. οὐ γὰρ εἶπον, καὶ ἐξελοῦ τῶν κινδύνων ἡμᾶς· ἀλλὰ τί; καὶ δὸς τοῖς δούλοις σου μετὰ παρρησίας πάσης λαλεῖν τὸν λόγον σου. ὁ ἐκεῖνα εἰς τέλος ἀγαγών, καὶ ταῦτα ἄγαγε. οἱ ἱερεῖς, φησίν. ὅρα πῶς καὶ ἐν τῇ εὐχῇ διηγοῦνται τὸ πάθος, καὶ τὸ πᾶν εἰς αὐτὸν ἀναπέμπουσι, καὶ τῆς παρρησίας αὐτὸν αἴτιον εἶναι λέγουσιν. εἶδες πῶς πάντα διὰ τὸν Θεὸν αἰτοῦσι, καὶ οὐδὲν εἰς οἰκείαν δόξαν, οὐδὲ φιλοτιμίαν; τὸ μὲν οὖν αὐτῶν ἐπαγγέλλονται, ὅτι οὐ καταπλαγήσονται· ἀξιοῦσι δὲ σημεῖα γενέσθαι. ἐν τῷ τὴν χεῖρά σου, φησίν, ἐκτείνειν εἰς ἴασιν, καὶ σημεῖα καὶ τέρατα γίνεσθαι. καλῶς. χρεία γὰρ τούτων εἰ μὴ εἴχεν ἐπιδείξασθαι προθυμίαν, εἰκῆ πάντα ἐποίουν. ἐπιδίδωσιν αὐτῶν τῇ δεήσει, καὶ δηλοῖ τοῦτο ἐποίησε σείσας τὸν τόπον. δεηθέντων γὰρ αὐτῶν, φησίν, ἐσαλεύθη ὁ τόπος. ὅτι δὲ διὰ τοῦτο ἐγένετο, ἄκουε τοῦ προφήτου λέγοντος· Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν. καὶ πάλιν· Ἀπὸ προσώπου Κυρίου ἐσαλεύθη ἡ γῆ, ἀπὸ προσώπου τοῦ Θεοῦ Ἰακώβ. ἐποίει δὲ τοῦτο ὁ Θεὸς καὶ διὰ φόβον μείζονα, καὶ εἰς θάρσος αὐτοὺς ἐνάγων μετὰ τὰς ἀπειλὰς ἐκείνας, καὶ εἰς παρρησίαν πλείονα ἀλείφων. ἐπειδὴ ἀρχὴ ἦν, καὶ αἰσθητοῦ ἐδέοντο σημείου πρὸς τὸ πεισθῆναι αὐτούς. μετὰ δὲ ταῦτα οὐδαμοῦ τοῦτο γέγονε. πολλῆς τῆς παρακλήσεως ἔτυχον ἀπὸ τῆς εὐχῆς. εἰκότως δὲ καὶ σημείων χρῄζουσιν. οὐδαμόθεν γὰρ ἄλλοθεν εἶχον ἐπιδεῖξαι ἐπὶ ἀνέσει, ἀλλ' ἢ ἀπὸ τῶν σημείων. ὥστε οὐ τὴν ἀσφάλειαν ἐζήτουν τὴν ἑαυτῶν μόνον, ἀλλὰ καὶ τὸ μὴ καταισχυνθῆναι, ἅμα τὸ ἐν παρρησίᾳ φθέγγεσθαι. ἐσαλεύθη ὁ τόπος, καὶ αὐτοὺς μᾶλλον ἐστερέωσε. τοῦτο δὲ ποτὲ μὲν ὀργῆς ἐστι δεῖγμα, ποτὲ δὲ ἐπισκέψεως καὶ προνοίας, νυνὶ δὲ ὀργῆς. ἐπὶ δὲ τοῦ σωτηρίου πάθους ξένως καὶ παρὰ φύσιν γέγονε. καὶ γὰρ πᾶσα ἐσαλεύθη ἡ γῆ. καὶ αὐτὸς δὲ ὁ σωτὴρ ἔλεγε· Τότε ἔσονται λιμοί, καὶ λοιμοί, καὶ σεισμοὶ κατὰ τόπους. ἄλλως δὲ καὶ ὀργῆς τῆς καὶ ἐκείνων ἦν. τούτους γὰρ πνεύματος ἁγίου ἐνέπλησεν. ὅρα, καὶ οἱ ἀπόστολοι μετὰ τὴν εὐχὴν πνεύματος πληροῦνται.

33 Καὶ χάρις μεγάλη ἦν, φησίν, ἐπὶ πάντας αὐτούς.

34 Οὐδὲ γὰρ ἐνδεής τις ὑπῆρχεν ἐν αὐτοῖς. Ὁρᾷς ὅτι πολλὴ τοῦ πνεύματος ἡ δύναμις, ὅπερ καὶ ἐκ ταύτης ἔδειξε; αὕτη γὰρ ἡ ὑπόθεσις τῶν ἀγαθῶν, ἧς καὶ δεύτερον μέμνηται, παιδεύων πᾶσι τὴν τῶν χρημάτων ὑπεροψίαν· ἀσφαλέστερον μὲν λέγων, ὅτι οὐδεὶς τι τῶν ὑπαρχόντων αὐτῶν ἔλεγεν ἴδιον εἶναι· ἐνταῦθα δέ, ὅτι οὐκ ἐνδεής τις ὑπῆρχεν ἐν αὐτοῖς.

* ἐὰν γεγόνας καὶ μυσῶμεν.
* αὐτῷ
* ὁ καὶ ἐργαλῶν.
γ. τὸ αὐτό
γ. διέταξεν.
Ψαλ. ργ. λβ.
Ματθ. ζ. κδ.
γ. προσήματι

Καὶ ἐπλήσθησαν ἅπαντες πνεύματος ἁγίου. Τί ἐστιν, ἐπλήσθησαν; ἀντὶ τοῦ, ἀνεπυρώθησαν τῷ πνεύματι, καὶ διέμεινεν ἐν αὐτοῖς τὸ χάρισμα. Καὶ ἐλάλουν τὸν λόγον τοῦ Θεοῦ μετὰ παῤῥησίας.

32 Τοῦ δὲ πλήθους τῶν πιστευσάντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία. Ὁρᾷς ὅτι μετὰ τῆς χάριτος τοῦ Θεοῦ καὶ τὰ παρ' ἑαυτῶν εἰσέφερον; πανταχοῦ γὰρ τοῦτο χρὴ παρατηρεῖν, ὅτι μετὰ τῆς χάριτος τοῦ Θεοῦ καὶ τὰ παρ' ἑαυτῶν ἐπιδείκνυνται. καθάπερ Πέτρος ἔλεγεν, Ἀργύριον (Πράξ. γ. ς'.) καὶ χρυσίον οὐχ ὑπάρχει μοι. ὃ ἀμφότεροι οὐκ εἶπον, ὅτι πάντες ἦσαν ἐπὶ τὸ αὐτό, πάλιν ἐν τούτῳ δηλοῖ· τὸ αὐτὸ λέγει, ὅτι τοῦ πλήθους τῶν πιστευσάντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία. Εἰπὼν δὲ, ὅτι ἠκούσθησαν, λέγει λοιπὸν αὐτῶν καὶ τὴν ἀρετήν. καὶ γὰρ μέλλει ἐμβαίνειν εἰς τὸ διήγημα τῆς Σαπφείρας καὶ τοῦ Ἀνανίου. διὸ θέλων δεῖξαι τὴν μιαρίαν ἐκείνων, πρότερον περὶ τῆς τῶν ἄλλων ἀρετῆς διαλέγεται. Εἰπὲ δή μοι· ἡ ἀγάπη τὴν ἀκτημοσύνην ἔτεκεν, ἢ ἡ ἀκτημοσύνη τὴν ἀγάπην; ἐμοὶ δοκεῖ ἡ ἀγάπη τὴν ἀκτημοσύνην, ἢ καὶ ἐπέσφιγξεν αὐτὴν "μᾶλλον. ὅρα γοῦν τί φησιν· ὅτι πάντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία. ἰδοὺ καρδία καὶ ψυχὴ τὸ αὐτό. Καὶ οὐδὲ εἷς τι τῶν ὑπαρχόντων αὐτῷ ἔλεγεν ἴδιον εἶναι, ἀλλ' ἦν αὐτοῖς ἅπαντα κοινά. χ. λοιπὸν

33 Καὶ δυνάμει μεγάλῃ ἀπεδίδουν τὸ μαρτύριον τῆς ἀναστάσεως οἱ ἀπόστολοι τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ. Καθάπερ ἐγχειρισθέντας αὐτοὺς δείκνυσι, καὶ ὡς περὶ ὀφλήματος λέγει· τουτέστι, τὸ μαρτύριον τῆς βασιλείας μετὰ παῤῥησίας πᾶσιν ἀπεδίδουν.

Χάρις τε μεγάλη ἦν ἐπὶ πάντας αὐτούς.

34 Οὐδὲ γὰρ ἐνδεής τις ὑπῆρχεν ἐν αὐτοῖς. Καθάπερ ἐν οἰκίᾳ "πατρικῇ, ἅτε ὡς ὁμότιμοι πάντες, οὕτω διέκειντο. οὐκ ἔνι γὰρ εἰπεῖν ὅτι ἔτρεφον μὲν τοὺς ἄλλους, ὡς ἐξ ἰδίων δὲ τρέφοντες, οὕτω διέκειντο· ἀλλὰ τὸ θαυμαστὸν τοῦτό ἐστιν, ὅτι ἑαυτῶν ἀποστήσαντες τὰ πράγματα, οὕτως ἔτρεφον, ἵνα μηκέτι ὡς ἐξ ἰδίων, ἀλλ' ὡς ἐκ κοινῶν τρέφειν δοκῶσιν. χ. πνευματικῇ

Ὅσοι δὲ κτήτορες χωρίων, φησίν, ἢ οἰκιῶν ὑπῆρχον, πωλοῦντες ἔφερον τὰς τιμὰς τῶν πιπρασκομένων,

35 Καὶ ἐτίθουν παρὰ τοὺς πόδας τῶν ἀποστόλων. διεδίδοτο δὲ ἑκάστῳ, καθότι ἄν τις χρείαν εἶχε. Πολλὴ ἡ τιμή, εἶχε μὴ εἰς χεῖρας, ἀλλὰ παρὰ τοὺς πόδας τῶν ἀποστόλων ἐτίθουν.

36 Ἰωσῆς δὲ ὁ ἐπικληθεὶς Βαρνάβας ὑπὸ τῶν ἀποστόλων, ὅ ἐστι μεθερμηνευόμενον, υἱὸς παρακλήσεως. Οὐ δοκεῖ μοι οὗτος ἐκεῖνος εἶναι ὁ μετὰ Ματθίου. ἐκεῖνος γὰρ καὶ Ἰωσῆς ἐλέγετο καὶ Βαρσαβᾶς, ὕστερον δὲ ἐπεκλήθη καὶ Ἰοῦστος· οὗτος δὲ Βαρνάβας, ὅ ἐστιν υἱὸς παρακλήσεως, ὑπὸ τῶν ἀποστόλων ἐπωνομάσθη. καὶ δοκεῖ μοι ἀπὸ τῆς ἀρετῆς εἰληφέναι τὸ ὄνομα, ὡς πρὸς τοῦτο ἱκανὸς ὢν καὶ ἐπιτήδειος. Λευΐτης, Κύπριος τῷ γένει,

37 Ὑπάρχοντος αὐτῷ ἀγροῦ, πωλήσας ἤνεγκε τὸ χρῆμα, καὶ ἔθηκε παρὰ τοὺς πόδας τῶν ἀποστόλων. Πανταχοῦ παρατηρεῖ πῶς δείκνυσι τὸν νόμον λυόμενον. καὶ πῶς, φησι, Λευΐτης ὤν, Κύπριος ἦν; ὅτι λοιπὸν καὶ "μετοικοῦντες ἐχρημάτιζον Λευῖται. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. χ. μετέχοντες Ἀπολυθέντες, φησίν, ἦλθον πρὸς τοὺς ἰδίους, καὶ ἀπήγγειλαν ὅσα πρὸς αὐτοὺς οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι εἶπον. ὅρα τὸ ἄτυφον τῶν ἀποστόλων καὶ τὴν φιλοσοφίαν. οὐ προσελθόντες ἐκόμπασαν καὶ εἶπον, πῶς ἀπεχρήσαντο τοῖς ἱερεῦσιν, οὐδὲ ἐφιλοτιμήσαντο τῇ ἀπαγγελίᾳ, ἀλλ' ἁπλῶς ἐλθόντες, ἅπερ ἤκουσαν παρὰ τῶν πρεσβυτέρων, ἀπαγγέλλουσιν. ὅρα αὐτοὺς οὐκ ἐπιῤῥιπτοῦντας ἑαυτοὺς τοῖς πειρασμοῖς, ἀλλὰ καὶ τοὺς ἐπαγομένους γενναίως φέροντας. ἄλλος δὲ εἴ τις ἦν, * ἴσως ἂν τῇ τοῦ πλήθους παῤῥησίᾳ θαῤῥῶν, καὶ ὕβρισε, καὶ μυρία ἐφθέγξατο δυσχερῆ. * τῶν μαθητῶν ἀλλ' οὐχ οἱ φιλόσοφοι οὗτοι· ἀλλ' ἅπαντα ἡμέρως καὶ ἐπιεικῶς. οἱ δὲ ἀκούσαντες, φησιν, ὁμοθυμαδὸν ἦραν φωνὴν πρὸς τὸν Θεόν. ἡ

κραυγὴ

Digitized by Google

χ. οὐδὲ πρᾶγμα ἔσται. * γένοιτο δὲ ἐν πειρασμῷ

μετὰ τὴν τιπάρτην· οὐδὲ τὸ πρᾶγμα ἔσται αὐτό. ἀπόπνιξον ποιήσατε, εἴγε ἀπιστεῖτε·
φροντίσατε, παρακαλῶ. οὐκ ἔστι δὲ τυχὸν ἀμελοῦντας, οὐδὲ καταρραθυμοῦντας· ἀλλὰ ἑ-
κατέρωθεν μέγα καὶ κακὸν, καὶ καλόν. γένοιτο δὲ καλὸν γενέσθαι, * χάριτι καὶ φιλανθρωπίᾳ τοῦ
Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ
νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ια. 23 ΑΠΟΛΥΘΕΝΤΕΣ ΔΕ ΗΛΘΟΝ ΠΡΟΣ ΤΟΥΣ
ἰδίους, καὶ ἀπήγγειλαν ὅσα πρὸς αὐτοὺς οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτε-
ροι εἶπον.

Οὐχὶ φιλοτιμίας ἕνεκεν διηγοῦνται· πῶς γάρ; ἀλλὰ τῆς τοῦ Χριστοῦ χάριτος ταῦτα τεκμήρια ἐπιδείκνυνται. διὸ καὶ ὅσα μὲν ἐκεῖνοι εἶπον, ταῦτα διηγοῦνται· τὰ δὲ αὐτῶν, εἰ καὶ παρατρέχουσιν, ὅμως καὶ ταύτῃ θαρσαλεώτεροι γίνονται. καὶ σκόπει πῶς πάλιν ἐπὶ τὴν ἀληθῆ βοήθειαν καταφεύγουσιν, ἐπὶ τὴν συμμαχίαν τὴν ἄμαχον, καὶ πάλιν ὁμοθυμαδὸν καὶ μετὰ σπουδῆς. οὐδὲ γὰρ ἐστὶν εὐχὴ ἁπλῶς γινομένη.

χ. τὰ χ. ἐπιδείκνυντο.

24 Οἱ δὲ ἀκούσαντες, φησὶν, ὁμοθυμαδὸν ἦραν φωνὴν πρὸς τὸν Θεὸν, καὶ εἶπον.
Ὁρᾷς πῶς εἰσιν ἠκριβωμέναι αὐτῶν αἱ εὐχαί; ὅτι τὸν ἄξιον εἰς ἀποστολὴν ἠξίουν αὐτοῖς
ἀναδειχθῆναι, οὕτως ἔλεγον· Σὺ Κύριε καρδιογνῶστα πάντων, ἀνάδειξον ( προεγνώκεις γὰρ Πραξ. α. κδ.
τὴν ἐκ γραφῆς χρείαν ) ἐνταῦθα δὲ, ἐπεὶ ἐπιστομισθῆναι τοὺς ἐναντίους ἐχρῆν, περὶ δεσποτείας
διαλέγονται. διὸ καὶ οὕτως ἤρξαντο· Δέσποτα σὺ ὁ Θεὸς, ὁ ποιήσας τὸν οὐρανὸν καὶ
τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς·
25 Ὁ διὰ στόματος Δαβὶδ τοῦ παιδός σου εἰπὼν, Ἱνατί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμε- Ψαλ. β. α.
λέτησαν κενά;
26 Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ
Κυρίου, καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ. Καθάπερ συνθήκας ἀπαιτοῦντες τὸν Θεὸν, τὴν
προφητείαν εἰς μέσον ἄγουσιν, ἅμα καὶ ἑαυτοὺς παραμυθούμενοι, ὅτι εἰκῇ ἅπαντα μελε-
τῶσιν οἱ ἐχθροί. ὃ δὴ λέγουσι, τοῦτό ἐστι· ἐκεῖνα εἰς πέρας ἄγαγε, καὶ δεῖξον ὅτι κενὰ ἐ-
μελέτησαν.
27 Συνήχθησαν γὰρ, φησὶν, ἐπ' ἀληθείας ἐν τῇ πόλει ταύτῃ ἐπὶ τὸν ἅγιον παῖδά σου
Ἰησοῦν, ὃν ἔχρισας, Ἡρώδης τε καὶ Πόντιος Πιλάτος σὺν ἔθνεσι καὶ λαοῖς Ἰσραήλ,
28 Ποιῆσαι ὅσα ἡ χείρ σου καὶ ἡ βουλή σου προώρισε γενέσθαι.
29 Καὶ τὰ νῦν, Κύριε, ἔπιδε ἐπὶ τὰς ἀπειλὰς αὐτῶν. Ὁρᾷς τὴν φιλοσοφίαν, καὶ
πῶς οὐχὶ καταρῶνται ἐπὶ ταῦτα; οὐκ ἔθηκαν δὲ τὰς ἀπειλὰς ἰδικῶς *, ἀλλ' ὅτι ἠπείλη-
σαν μόνον λέγουσιν. ἐπιτέτμηται γὰρ ὁ συγγραφεὺς τὸν λόγον. καὶ ὅρα· οὐκ εἶπε, ῥά-
ξον αὐτοὺς, καταβαλε αὐτούς· ἀλλὰ τί; Καὶ δὸς τοῖς δούλοις σου μετὰ παρρησίας πάσης
λαλεῖν τὸν λόγον σου. Οὕτω μανθάνωμεν εὔχεσθαι καὶ ἡμεῖς. καίτοιγε πόσου οὐκ ἂν
ἦν ἐμπλησθῆναι θυμοῦ, εἰς ἄνδρας ἐμπεσόντα ἀνελεῖν αὐτὸν ἐπιχειροῦντας καὶ ἀπειλοῦντας
τοιαῦτα; πόσης οὐκ ἂν ἀπεχθείας πληρωθῆναι; ἀλλ' οὐχ οἱ ἅγιοι τοιοῦτοι.

* ἴσως ὡς φοβεράς. χ. ὄγκον
χ. οὗτοι.

30 Ἐν τῷ τὴν χεῖρά σου, φησὶν, ἐκτείνειν εἰς ἴασιν καὶ σημεῖα καὶ τέρατα γίνεσθαι διὰ
τοῦ ὀνόματος τοῦ ἁγίου παιδός σου Ἰησοῦ. Ἂν ἐν τῷ ὀνόματι ἐκείνῳ γίνωνται αἱ ἐνέργει-
αι, μεγάλη ἔσται ἡ παρρησία.
31 Δεηθέντων δὲ αὐτῶν ἐσαλεύθη, φησὶν, ὁ τόπος ἐν ᾧ ἦσαν συνηγμένοι.
Τοῦ ἀκουσθῆναι αὐτοὺς καὶ τῆς ἐπισκέψεως τοῦ Θεοῦ τοῦτο τεκμήριον γέγονε.

Καὶ

Digitized by Google

κόπτει, καὶ αὐτὴ τίθησι τὴν τιμωρίαν. ἆρα τὸ ὀμνύειν ἁμαρτία. τοιαύτη ὄντως ἐστὶν ἡ ψυχὴ· τοσούτων γέμει τραυμάτων, τοσούτων μωλώπων. ἀλλ' οὐχ ὁρᾷς; τοῦτο γὰρ τὸ δεινόν· καίτοιγε δύνασαι, ἐὰν θέλῃς ὁρᾶν. ἔδωκε γάρ σοι ὀφθαλμοὺς ὁ Θεός. τοιούτοις ὀφθαλμοῖς ἑώρα ὁ προφήτης, λέγων· Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου. καταφρονήσαμεν τοῦ Θεοῦ· ἐμισήσαμεν τὸ ὄνομα τὸ καλόν· κατεπατήσαμεν τὸν Χριστόν· ἐλύσαμεν τὴν αἰδῶ· οὐδεὶς μετὰ τιμῆς μέμνηται τοῦ ὀνόματος τοῦ Θεοῦ. καὶ σὺ μὲν ἂν φιλῇς τινα, καὶ πρὸς τὸ ὄνομα διανίστασαι· τὸν δὲ Θεὸν οὕτω συνεχῶς καλεῖς ὡς οὐδέν. κάλεσον αὐτὸν ἐν εὐχαῖς, κάλεσον αὐτὸν ἐπὶ εὐεργεσίᾳ ἐχθροῦ, κάλεσον αὐτὸν ἐπὶ σωτηρίᾳ τῆς σῆς ψυχῆς· τότε παρέσται, τότε εὐφραίνεις αὐτόν· νῦν δὲ παροξύνεις. κάλεσον αὐτόν, ὡς ἐκάλεσε Στέφανος. τί λέγων; Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. κάλεσον αὐτόν, ὡς ἐκάλεσεν ἡ τοῦ Ελκανᾶ γυνὴ μετὰ δακρύων, μετὰ θρήνων, μετ' εὐχῆς· οὐ κωλύω, ἀλλὰ καὶ σφόδρα παραινῶ. κάλεσον αὐτόν, ὡς ἐκάλεσε Μωϋσῆς, καὶ ἐβόα παρακαλῶν ὑπὲρ τῶν φυγαδευσάντων αὐτόν. καὶ σὺ μὲν ἂν ἴσως μνησθῇς ἁπλῶς ἀνδρὸς αἰδεσίμου, ὕβριν τὸ πρᾶγμα· τὸν δὲ Θεὸν περιφέρων, οὐ μόνον ἁπλῶς, ἀλλὰ καὶ ἀκαίρως ἐν τοῖς σοῖς λόγοις, οὐδὲν τὸ πρᾶγμα νομίζεις; καὶ πόσης οὐχὶ κολάσεως ἄξιος ἂν εἴης; οὐ κωλύω τὸν Θεὸν ἔχειν διαπαντὸς ἐν διανοίᾳ (τοῦτο γὰρ καὶ εὔχομαι καὶ βούλομαι) ἀλλὰ μὴ παρὰ τὸ δέον αὐτοῦ, ἀλλ' αἰνοῦντα, ἀλλὰ τιμῶντα. μεγάλα ἂν τοῦτο εἰργάσατο ἡμῖν ἀγαθά, εἰ ὅπου ἔδει, καὶ ἐφ' οἷς ἔδει μόνον, ἐκαλοῦμεν αὐτόν. διὰ τί, εἰπέ μοι, ἐπὶ μὲν τῶν ἀποστόλων τοσαῦται δυνάμεις ἐγίνοντο, ἐπὶ δὲ ἡμῶν οὐχί; καίτοι ὁ αὐτός ἐστι Θεός, τὸ αὐτὸ ὄνομα. ἀλλ' οὐκ ἔστιν ἴσον. πῶς; ὅτι ἐκεῖνοι μὲν ἐπὶ τούτοις, οἷς εἶπον, αὐτὸν ἐκάλουν μόνοις· ἡμεῖς δὲ οὐκ ἐπὶ τούτοις, ἀλλ' ἐπ' ἄλλοις. εἰ δὲ ἀπιστεῖ, καὶ διὰ τοῦτο ὀμνύεις, λέγε μέν, πίστευσον πλήν, εἰ βούλει, ὄμοσον κατὰ σαυτοῦ. οὐκ ἀντινομοθετῶ τῷ Χριστῷ λέγων (μὴ γένοιτο. Ἔστω γάρ, φησιν, ὑμῶν τὸ ναί, ναί, καὶ τὸ οὔ, οὔ) ἀλλὰ συγκαταβαίνων ὑμῖν, ἵνα μᾶλλον εἰς τοῦτο ὑμᾶς ἐναγάγω, καὶ τῆς συνηθείας ἀπαγάγω τῆς τυραννικῆς. πόσοι ἐν τοῖς ἄλλοις εὐδοκιμοῦντες ἀπώλοντο ἀπὸ τούτων τῶν πραγμάτων; βούλεσθε μαθεῖν, διὰ τί συνεχώρουν τοῖς ἀρχαίοις ὀμνύειν; (ἐπιορκεῖν γὰρ οὐδὲ ἐκείνοις συγκεχώρητο) ἵνα μὴ ἐν τοῖς εἰδώλοις ὤμνυον. οὐκ αἰσχύνεσθε τούτοις ἐμμένοντες τοῖς νόμοις, οἷς ἐκεῖνοι ἐνήγοντο οἱ ἀσθενεῖς; ἐπεὶ καὶ νῦν Ἕλληνα ἐὰν λάβω, οὐκ εὐθέως αὐτῷ ἐπιτάσσω τοῦτο, ἀλλὰ πῶς εἰδέναι τὸν Χριστὸν παραινῶ· ὁ δὲ πιστὸς καὶ μαθὼν αὐτὸν καὶ ἀκούσας, εἰ μέλλοι τῆς αὐτῆς τῷ Ἕλληνι συγκαταβάσεως δεῖσθαι, τί τὸ ὄφελος; ποῖον τὸ κέρδος; ἀλλ' ἡ συνήθεια χαλεπόν, καὶ δυσαποσπάστως ἔχεις; οὐκοῦν ἐπεὶ τοσαύτη τῆς συνηθείας ἡ τυραννίς, εἰς ἑτέραν αὐτὴν μετάγαγε συνήθειαν. καὶ πῶς δυνατόν, φησιν; ὃ πολλάκις εἶπον, τοῦτο καὶ νῦν λέγω. ἔστωσαν λογισταὶ τῶν λεγομένων πολλοί, ἔστωσαν ἐξετασταὶ καὶ διορθωταί. οὐκ ἔστιν, οὐκ ἔστιν αἰσχύνη τὸ ὑφ' ἑτέρων διορθοῦσθαι· μᾶλλον μὲν οὖν αἰσχύνη τὸ ἀπωθεῖσθαι τοὺς διορθοῦντας, καὶ ἐπὶ βλάβῃ τῆς οἰκείας σωτηρίας τοῦτο ποιεῖν. καὶ σὺ μὲν τὴν ἐσθῆτα ἂν ἐναλλὰξ περιβάλῃ, καὶ παῖδα ἐπιτρέπεις διορθῶσαι, καὶ οὐκ αἰσχύνῃ παρ' ἐκείνου μανθάνων, καίτοιγε ἐν τούτῳ πολλὴ ἡ αἰσχύνη· ἐνταῦθα δὲ τὴν ψυχὴν βλαπτόμενος, αἰσχύνῃ, εἰπέ μοι, παρ' ἑτέρου παιδεύεσθαι; καὶ κοσμοῦντα μέν σε περὶ τὴν ἐσθῆτα φέρεις τὸν οἰκέτην καὶ ὑποδοῦντα· κοσμοῦντα δὲ τὴν ψυχὴν οὐ φέρεις; καὶ πόσης οὐ ταῦτα ἀνοίας; ἔστω καὶ οἰκέτης τούτων διδάσκαλος, ἔστω καὶ παιδίον, ἔστω καὶ γυνή, ἔστω καὶ φίλος, ἔστω καὶ συγγενὴς καὶ γείτων. ὥσπερ γὰρ τὸ πανταχόθεν ἐλαυνόμενον θηρίον οὐχ οἷόν τε διαφυγεῖν, οὕτω τὸν τοσούτους ἔχοντα φύλακας, τὸν τοσούτους ἐπιτιμῶντας, τὸν πανταχόθεν πληττόμενον, οὐκ ἔνι μὴ φυλάξασθαι. καὶ ἐν μὲν τῇ πρώτῃ ἡμέρᾳ χαλεπῶς οἴσει τοῦτο, καὶ μετὰ τὴν δευτέραν, καὶ ἐν τῇ τρίτῃ· λοιπὸν δὲ ῥᾷον ἔσται, καὶ

μετὰ

Marginal notes:

Ψαλ. λζ. ε.

χ. ἠμωμήσαμεν

Πράξ. ζ. ξ.

α. Βασ. α. ι.

Αριθ. ιδ. ιγ.

χ. φέρεις εὐκαίρως, ἀκαίρως ἐν τοῖς λόγοις. ἐ κωλύω

Ματθ. ε. λζ.

χ. δοκιμασταί.

χ. τὸν βίρρον. ἀλ. τὸ βίρρον

χ. -δίοντα

ΗΘΙΚΟΝ

Ἐχώμεθα τοίνυν τῆς ἀρετῆς. μὴ μέχρι τέρψεως τὰ λεγόμενα ἔστω, μηδὲ μέχρι παραμυθίας τινός. οὐκ ἔστι τὸ πρᾶγμα τοῦτο, ἀγαπητέ, κιθαρῳδῶν, οὐδὲ τραγῳδῶν, ἔνθα μέχρι τῆς τέρψεως ὁ καρπός, καὶ τῆς ἡμέρας παραδραμούσης παρῆλθεν ἡ τέρψις. εἴθε ἦν ἡ τέρψις μόνον, καὶ μὴ καὶ βλάβη μετὰ τῆς τέρψεως. ἀλλ' ὅμως ἄπεισιν ἐκεῖθεν οἴκαδε ἕκαστος, καθάπερ ἀπό τινος λύμης ἀναμαξάμενος πολλὰ τὴν αὐτήν. καὶ ὁ μὲν νέος ἀπολαβὼν τινα τῆς σατανικῆς δραμάτων μέρη, ὅσα ἴσχυσε τῇ μνήμῃ κατασχεῖν, συνεχῶς ἐπὶ τῆς οἰκίας ᾄδει· ὁ δὲ πρεσβύτης, ἅτε δὴ σεμνότερος, τοῦτο μὲν οὐ ποιεῖ, τῶν δὲ ἐκεῖ λεγομένων καὶ κηρυγμάτων καὶ ῥημάτων μέμνηται πάντων*. ἐνταῦθα δὲ οὐδὲν ἔχοντες ἄπιτε. Καὶ πῶς οὐκ αἰσχύνης ἄξιον; νόμον ἐθήκαμεν· μᾶλλον δὲ οὐχ ἡμεῖς ἐθήκαμεν (μὴ γένοιτο) Μηδὲ γὰρ καλέσητε, φησί, διδάσκαλον ἐπὶ τῆς γῆς· νόμον ἔθηκεν ὁ Χριστός, ὥστε μηδένα ὀμνύναι. τί γέγονεν, εἰπέ μοι, περὶ τούτου τοῦ νόμου; οὐ γὰρ παύσομαι περὶ τούτου διαλεγόμενος, μή πως πάλιν ἐλθὼν κατὰ τὸν ἀπόστολον οὐ φείσωμαι. ἆρα ἐμελετήσατε τὸ πρᾶγμα; ἆρα ἐφροντίσατε; ἆρα γέγονέ τις ὑμῖν σπουδή; ἢ πάλιν τὴν αὐτὴν ἀψόμεθα λόγων; μᾶλλον δὲ, εἴτε γέγονεν, εἴτε μή, τὴν αὐτὴν ἀψόμεθα λόγων, ἵνα φροντίσητε· εἰ δὲ ἐμελετήσατε, ἵνα πάλιν βεβαιότερον τοῦτο ἐργάσησθε, καὶ τοὺς ἄλλους παρακαλέσητε. πόθεν οὖν ἡμῖν, πόθεν ἀρκτέον τοῦ λόγου; βούλεσθε ἀπὸ τῆς παλαιᾶς; ἀλλὰ τοῦτο ἡμετέρα αἰσχύνη, ὅτι τὰ ἐν τῇ παλαιᾷ, ἃ παρὰ βαρβάρων ἔδει, οὐδὲ οὕτω φυλάττομεν. ἡμᾶς γὰρ οὐ περὶ τούτων ἀκούειν ἔδει (τῆς γὰρ Ἰουδαϊκῆς εὐτελείας ταῦτα τὰ παραγγέλματα) ἀλλ' ἐκεῖνα ἀκούειν τὰ πλείω· ῥίψον τὰ χρήματα· στῆθι γενναίως, καὶ τὴν ψυχὴν ἐπίδος ὑπὲρ τοῦ κηρύγματος· καταπάλαισον τὴν ἐπὶ τῆς γῆς ἁπάντων· μηδὲν ἔσω σοι κοινὸν πρὸς τὸν παρόντα βίον· ἂν ἀδικήσῃ τις, εὐεργέτησον· ἂν πλεονεκτήσῃ, εὐλόγησον· ἂν βλασφημήσῃ, ὕμνησον· πάντων ἀνώτερος ἔσο. ταῦτα, καὶ τὰ τοιαῦτα ἀκούειν ἔδει. νυνὶ δὲ περὶ ὅρκου διαλεγόμεθα· καὶ ταὐτὸν γίνεται, ὥσπερ ἂν εἴ τις τὸν ὀφείλοντα φιλοσοφεῖν, ἀφελκύσας τῶν διδασκάλων ἐκείνων, συλλαβὰς ἔτι καὶ τὸ κατὰ στοιχεῖον ἀναγινώσκειν ποιοῖ. ἐννόησόν μοι, ὅση ἐστὶν αἰσχύνη ἄνθρωπόν τινα πώγωνα βαθεῖαν ἔχοντα, καὶ ῥόπαλον ἐπιφερόμενον, καὶ ἐξωμίδα ἔχοντα, εἰς διδασκάλους μετὰ τῶν παίδων ἀπιέναι, καὶ τὰ αὐτὰ ἐκείνοις μανθάνειν. ἆρα οὐ πολὺς ὁ γέλως; ἀλλὰ πλείων ἐστὶν ὁ ἡμέτερος. οὐ γὰρ ὅσον φιλοσοφίας τὸ μέσον καὶ γραμμάτων, τοσοῦτον τῆς Ἰουδαϊκῆς πολιτείας καὶ τῆς ἡμετέρας τὸ διάφορον· ἀλλ' ὅσον ἀγγέλων καὶ ἀνθρώπων. εἴ τις, εἰπέ μοι, ἄγγελον ἐκ τοῦ οὐρανοῦ καταγαγών, κελεύσειεν ἐνταῦθα ἑστάναι καὶ ἀκροᾶσθαι τῶν ἡμετέρων λόγων, ὡς ὀφείλοντα ἀπὸ τούτων ῥυθμίζεσθαι, ἆρα οὐκ αἰσχύνη καὶ γέλως ἦν; εἰ δὲ τὸ περὶ τούτων ἔτι παιδεύεσθαι γέλως, τὸ μηδὲ τούτοις προσέχειν, εἰπέ μοι, πόση καταγνώσις; πόση αἰσχύνη; πῶς γὰρ οὐκ αἰσχύνη, ὅτι ἔτι χριστιανοὶ περὶ τοῦ μὴ δεῖν ὀμνύναι παιδεύονται; πλὴν ἀλλ' ἀναγνῶμεν, ἵνα μὴ μᾶλλον γελώμεθα. Φέρε οὖν, ἀπὸ τῆς παλαιᾶς ὑμῖν διαλεχθῶμεν τήμερον. τί δὲ αὕτη φησίν; Ὅρκῳ μὴ ἐθίσῃς τὸ στόμα σου, μηδὲ τῷ ὀνόματι τοῦ ἁγίου συνεθισθῇς. διὰ τί; ὥσπερ γὰρ οἰκέτης ἐξεταζόμενος, φησιν, ἐνδελεχῶς, ἀπὸ μώλωπος οὐ καθαρισθήσεται· οὕτως οὐδὲ ὁ ὀμνύων. ὅρα τὴν σύνεσιν τοῦ σοφοῦ τούτου. οὐκ εἶπεν, ὅρκῳ μὴ ἐθίσῃς τὴν διάνοιάν σου, ἀλλὰ, τὸ στόμα σου· ὅτι τοῦ στόματος ὂν τὸ πᾶν οἶδε, καὶ ὅτι εὐκόλως κατορθοῦται. συνήθεια γάρ ἐστι λοιπὸν ἀπροαίρετος γινομένη· οἷον εἰσὶ πολλοί, οἱ ἐν βαλανείοις εἰσιόντες, ἅμα τῷ τὰς θύρας ὑπερβῆναι σφραγίζονται. τοῦτο οἶδεν ἡ χείρ, καὶ μηδενὸς κελεύοντος, ἀπὸ τῆς συνηθείας ποιεῖ. πάλιν λύχνου ἁφθέντος, πολλάκις τῆς διανοίας ἑτέρωθι σκεπτομένης, ἡ χεὶρ τὴν σφραγῖδα ποιεῖ. οὕτω δὴ καὶ τὸ στόμα οὐ μετὰ τῆς ψυχῆς φθέγγεται, ἀλλ' ἀπὸ τῆς συνηθείας, καὶ ἐν τῇ γλώττῃ τὸ πᾶν ἐστι. καὶ τῷ ὀνόματι, φησι, τοῦ ἁγίου μὴ συνεθισθῇς. ὥσπερ γὰρ οἰκέτης ἐξεταζόμενος ἐνδελεχῶς, ἀπὸ μώλωπος οὐ καθαρισθήσεται, οὕτως οὐδὲ ὁ ὀμνύων. οὐχὶ τὴν ἐπιορκίαν ἐνταῦθα, ἀλλὰ τὸν ὅρκον ἐκόλασε,

Ματθ. κγ. ι.

β. Κορ. ιγ. ς.

Σειρ. κγ. θ.

σης ἐστί. ἡ πολλὴ παῤῥησία δείκνυσιν ἐνταῦθα, ὅτι καὶ ὅτε ταπεινὰ ἐφθέγγετο περὶ τοῦ Χριστοῦ, οὐ δεδοικώς, ἀλλὰ συγκαταβαίνων· ἐπεὶ δὲ νῦν καιρὸς ἦν, οὕτω φθέγγεται ὑψηλά, ὡς αὐτῷ τούτῳ καὶ τοὺς ἀκούοντας ἅπαντας καταπλῆξαι. ἰδοὺ [καὶ] ἄλλο σημεῖον οὐκ ἔλαττον τοῦ προτέρου. ἐπεγίνωσκόν τε αὐτούς, φησιν, ὅτι σὺν τῷ Ἰησοῦ ἦσαν. οὐχ ἁπλῶς τοῦτο τέθεικε τὸ χωρίον ὁ εὐαγγελιστής, ἀλλ' ἵνα δηλώσῃ καὶ ποῦ ἦσαν. ἐν τῷ πάθει, φησίν. οὗτοι γὰρ μόνοι τότε συνῆσαν, ὅτε καὶ ἑώρων αὐτοὺς ταπεινούς, καὶ συνεσταλμένους· ὃ καὶ μάλιστα αὐτοὺς ἐξένιζεν, ἡ ἀθρόα μεταβολή. καὶ γὰρ ἐκεῖ ἦσαν οἱ περὶ Ἄνναν καὶ Καϊάφαν, καὶ παρειστήκεισαν αὐτοῖς καὶ οὗτοι· νῦν δὲ ἐξέπληττεν αὐτοὺς ἡ σφοδρὰ παῤῥησία. οὐ γὰρ τοῖς ῥήμασι μόνον ἐδείκνυντο ἀφροντιστοῦντες περὶ τοιούτων κρινόμενοι καὶ ὑπὲρ τῶν ἐσχάτων ἐπηρτημένου τοῦ κινδύνου, ἀλλὰ καὶ τῷ σχήματι, καὶ τῇ φωνῇ, καὶ τῷ βλέμματι, καὶ πᾶσιν ἁπλῶς τὴν παῤῥησίαν ἐνέφαινον ἐπὶ τοῦ λαοῦ, ἐξ ὧν ἐφθέγγοντο. ἐθαύμαζον δὲ ἴσως ὅτι ἄνθρωποι, καὶ ἀγράμματοί εἰσι, καὶ ἰδιῶται· ἐπειδὴ ἔνι ἀγράμματόν τινα εἶναι, μὴ μέντοι καὶ ἰδιώτην· ἢ ἰδιώτην μὲν, οὐκ ἀγράμματον δέ. ἐνταῦθα τὰ δύο συνῆλθε. καταλαβόμενοι, φησι. πόθεν; ἀφ' ὧν ἔλεγον. οὐ μακροὺς κατατείνει λόγους, ἀλλὰ καὶ ἀπ' αὐτῆς τῆς ἀπαγγελίας καὶ τῆς συνθήκης τὴν παῤῥησίαν δηλοῖ, ὥστε ἐπέσκηψαν ἂν αὐτοῖς, εἰ μὴ σὺν αὐτοῖς ἦν ὁ ἄνθρωπος. ἐπεγίνωσκόν τε αὐτούς, φησιν, ὅτι σὺν τῷ Ἰησοῦ ἦσαν. ὅπερ αὐτοὺς ἐποίει πιστεῦσαι, ὅτι παρ' ἐκείνου ταῦτα ᾔδεισαν, καὶ ὡς ἐκείνου μαθηταὶ πάντα ἔπραττον. οὐχ ἧττον δὲ τῆς τούτων φωνῆς ἠφίει φωνὴν τὸ θαῦμα καὶ τὸ σημεῖον· ὃ δὴ καὶ μάλιστα ἐνέφραξεν αὐτῶν τὰ στόματα. Εἰ δίκαιόν ἐστι, φησιν, ἐνώπιον τοῦ Θεοῦ, ὑμῶν ἀκούειν μᾶλλον ἢ τοῦ Θεοῦ, κρίνατε. ὅτε ὁ φόβος ὑπετμήθη μᾶλλον (τὸ γὰρ παραγγεῖλαι οὐδὲν ἦν ἕτερον, ἢ ἀπολυθῆναι) τότε καὶ ἐπιεικέστερον φθέγγονται. οὕτω μακρὰν θράσους ἦσαν. ὅτι γνωστὸν σημεῖον γέγονεν, οὐ δυνάμεθα ἀρνήσασθαι. ὥστε ἠρνήσαντο ἄν, εἰ μὴ τοῦτο ἦν, εἰ μὴ ἡ τῶν πολλῶν μαρτυρία ἦν. καὶ μὴν πᾶσι κατάδηλον ἦν. ἀλλὰ τοιοῦτον ἡ κακία, θρασὺ καὶ ἰταμόν. ἀπειλῇ ἀπειλησόμεθα. τί λέγετε; ἀπειλῇ προσδοκᾶτε στήσειν τὸ κήρυγμα; οὕτω πολλαχοῦ αἱ ἀρχαὶ χαλεπαί τε καὶ δύσκολοι. τὸν διδάσκαλον ἀνείλετε, καὶ οὐκ ἐστήσατε· καὶ νῦν ἂν ἀπειλήσητε, προσδοκᾶτε ἀποστήσειν ἡμᾶς; ὁ δεσμὸς οὐκ ἔπεισεν ὑφειμένως διαλεχθῆναι, καὶ ὑμεῖς πείσετε; πάντως, οὐδὲν ὑμᾶς ἠδικηκότας καὶ ἀπειλοῦντας. εἰ δίκαιόν ἐστι, φησιν, ἐνώπιον τοῦ Θεοῦ, ὑμῶν μᾶλλον ἀκούειν ἢ τοῦ Θεοῦ; ἐνταῦθα τοῦ Θεοῦ φασιν ἀντὶ τοῦ Χριστοῦ. αὐτὸς γὰρ αὐτοῖς ἐκέλευσεν. εἶδες πῶς νῦν ἐξέβη, ὅπερ προὔλεγεν αὐτοῖς ὁ Χριστός· Ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς, ὡς πρόβατα ἐν μέσῳ λύκων· μὴ φοβηθῆτε αὐτούς; εἶτα πάλιν τὴν ἀνάστασιν βεβαιοῦσι, δι' ὧν ἐπάγουσι, λέγοντες ἡμεῖς οὐ δυνάμεθα μὴ λαλεῖν, ἃ εἴδομεν καὶ ἠκούσαμεν. ὥστε ἡμεῖς μὲν ἀξιόπιστοί ἐσμεν μάρτυρες· ὑμεῖς δὲ προσαπειλοῦντες εἰκῇ πάλιν ἀπειλεῖτε. δέον οὖν μεταβάλλεσθαι ἐφ' οἷς ὁ λαὸς ἐδόξαζε τὸν Θεόν, οἱ δὲ καὶ ἀνελεῖν ἀπειλοῦσιν· οὕτω θεομάχοι ἦσαν· οἱ δὲ προσαπειλησάμενοι, ἀπέλυσαν αὐτούς. ἐντεῦθεν περιφανέστεροι καὶ λαμπρότεροι ἐγένοντο. Ἡ γὰρ δύναμίς μου, φησιν, ἐν ἀσθενείᾳ τελειοῦται. ἤδη ἐμαρτύρησαν οὗτοι πρὸς πάντα παραταξάμενοι. τί ἐστιν, ἡμεῖς οὐ δυνάμεθα ἃ εἴδομεν καὶ ἠκούσαμεν μὴ λαλεῖν; εἰ ψευδῆ, φησιν, ἃ λέγομεν, ἐπιλαβοῦ· εἰ δὲ ἀληθῆ, τί κωλύεις; τοιοῦτον ἡ φιλοσοφία. ἐκεῖνοι ἐν ἀπορίᾳ, οὗτοι ἐν εὐφροσύνῃ· ἐκεῖνοι πολλῆς γέμοντες αἰσχύνης, οὗτοι μετὰ παῤῥησίας πάντα πράττοντες· ἐκεῖνοι ἐν τῷ δεδοικέναι, οὗτοι ἐν τῷ θαῤῥεῖν. τίνες γὰρ ἦσαν, εἰπέ μοι, οἱ φοβούμενοι; οἱ λέγοντες, ἵνα μὴ ἐπὶ πλεῖον διανεμηθῇ εἰς τὸν λαόν, ἢ οἱ λέγοντες, οὐ δυνάμεθα ἃ εἴδομεν καὶ ἠκούσαμεν μὴ λαλεῖν; καὶ ἐν ἡδονῇ, καὶ ἐν παῤῥησίᾳ, καὶ ἐν εὐφροσύνῃ μείζονι πάντων οὗτοι· ἐκεῖνοι ἐν ἀθυμίᾳ, ἐν αἰσχύνῃ, ἐν φόβῳ. τὸν γὰρ λαὸν ἐδεδοίκεσαν, οὗτοι δὲ τούτους οὐκ ἐφοβήθησαν· ἀλλ' οὗτοι μὲν ἃ ἐβούλοντο ἐφθέγξαντο, ἐκεῖνοι ἃ ἐβούλοντο οὐκ ἐποίησαν. τίνες ἦσαν ἐν δεσμοῖς καὶ ἐν κινδύνοις; οὐχὶ οὗτοι μάλιστα;

Ἐχώμεθα

Margin: χ. ὁ φθεγ. ταπεινὰ, καὶ τὰ καταπλῆξαι αὐτοὺς βουλόμενος. — χ. μορεῖον — χ. πολλὴ — χ. ἐπικειμένου — χ. τὴν καὶ ὁ λ. — χ. δείκνυσι — χ. λέγεις; — χ. δύναι — χ. πολλῷ μᾶλλον αὐτοῖς βέλτιον ἦν αὐτοὺς ἀφεῖναι. — Matth. 1. 15.

μηδενὶ ἀνθρώπων. ὢ τῆς ἀνοίας. πεισθέντες ὅτι ἀνέστη, καὶ τοῦτο τεκμήριον λαβόντες ὅτι ἔστι Θεὸς, τὸ ὑπὸ τοῦ θανάτου μὴ καταχεθέντα ὑπὸ τῶν οἰκείων προσεδόκησαν μηχανημάτων συσκιάζεσθαι. τί ταύτης τῆς ἀνοίας ἴσον; καὶ μὴ θαυμάσῃς, ὅτι πάλιν ἀνοήτοις ἐπιχειροῦσι. τοιοῦτον γὰρ ἡ πονηρία. οὐδὲν ὁρᾷ, ἀλλὰ πανταχοῦ θορυβεῖται. ἐπηρεαζόμενοι γὰρ, ὡς ἠπατημένοι, οὕτω διέκειντο· ὅπερ ἐστὶν ἐπὶ τῶν περιληφθέντων, ἐπὶ τῶν ἐμπαιχθέντων ἐπί τινι. καὶ μὴν ἄνω καὶ κάτω διὰ τοῦτο ἔλεγον, ὅτι ὁ Θεὸς αὐτὸν ἤγειρε, καὶ ὅτι ἐν τῷ ὀνόματι τοῦ Ἰησοῦ οὗτος παρέστηκεν ὑγιὴς, δηλοῦντες ὅτι ἀνέστη ὁ Ἰησοῦς. ἄλλως δὲ, καὶ αὐτοὶ ἀνάστασιν ἐνόμιζον, ψυχῆς δὲ μόνον καὶ μειρακιώδη, ἐνόμιζον δὲ ὅμως· νῦν δὲ ἀπιστοῦσι καὶ θορυβοῦνται, τί ποιεῖν αὐτοῖς βουλόμενοι. τοῦτο γοῦν μόνον οὐκ ἦν ἱκανὸν πεῖσαι αὐτοὺς μηδὲν αὐτοῖς ποιῆσαι, τὸ οὕτω μετὰ παρρησίας διελέγχεσθαι; διὰ τί ἀπιστεῖς, εἰπέ μοι, ὦ Ἰουδαῖε; τῷ γὰρ γενομένῳ σημείῳ προσεῖχεν ἔδει καὶ τοῖς λόγοις, οὐ τῇ τῶν πολλῶν πονηρίᾳ. οὐ παραδιδόασιν αὐτοὺς Ῥωμαίοις. ἤδη γὰρ ἦσαν διαβεβλημένοι πρὸς αὐτοὺς ἀπὸ τῶν περὶ τὸν Χριστὸν, ὥστε μᾶλλον ἑαυτοὺς ἐνάκιζον ὑποπτευόμενοι τὴν αὐτῶν ἔνδειξιν· ἐπὶ δὲ τοῦ Χριστοῦ οὐχ οὕτως*· ἀλλ' ἐν μέσαις νυξὶ λαβόντες αὐτὸν εὐθέως ἀπήγαγον. καὶ οὐκ ἀνεβάλλοντο, δεδοικότες σφόδρα τὸ πλῆθος. περὶ δὲ τούτων ἐθάρρουν, καὶ οὐκέτι ἄγουσιν αὐτοὺς πρὸς Πιλάτον, αἰδούμενοι καὶ ἐρυθριῶντες τὰ πρότερα, μὴ καὶ ὑπ' ἐκείνων ἐγκληθῶσιν. ἐγένετο δὲ ἐπὶ τὴν αὔριον συναχθῆναι αὐτῶν τοὺς ἄρχοντας καὶ πρεσβυτέρους καὶ γραμματεῖς εἰς Ἱερουσαλήμ. πάλιν συνέδρια ἐν Ἱεροσολύμοις, καὶ ἐκεῖ τὰ αἵματα ἐκχεῖται, οὐδὲ τὴν πόλιν ᾐδέσθησαν. Ἄννας, φησὶ, καὶ Καϊάφας. τούτου οὐδὲ τὴν δούλην ἐρωτῶσαν ἤνεγκεν ὁ Πέτρος, ἐπὶ τούτου ἠρνήσατο, ἑτέρου καταχεθέντος· νυνὶ δὲ εἰς μέσους αὐτοὺς παρελθὼν, ὅρα πῶς φθέγγεται. εἰ ἡμεῖς σήμερον ἀνακρινόμεθα ἐπὶ εὐεργεσίᾳ ἀνθρώπου ἀσθενοῦς, ἐν τίνι οὗτος σέσωσται, γνωστὸν ἔστω πᾶσιν ὑμῖν. τὸ δὲ, ἐν ποίῳ ὀνόματι ἐποιήσατε, λέγουσι τοῦτο; τὸ ποῖον, διὰ τί μὴ λέγεις, ἀλλὰ συσκιάζεις; ἐν ποίῳ ὀνόματι ἐποιήσατε τοῦτο ὑμεῖς; καὶ μὴν ἔλεγον, ὅτι οὐχ ἡμεῖς ἐποιήσαμεν. ὅρα σύνεσιν. οὐκ εἶπεν εὐθέως, ὅτι ἐν τῷ ὀνόματι τοῦ Ἰησοῦ ἐποιήσαμεν· ἀλλὰ τί; ἐν τῷ ὀνόματι αὐτοῦ οὗτος παρέστηκεν ἐνώπιον ὑμῶν ὑγιής. καὶ οὐ λέγει, ἐγένετο ὑφ' ἡμῶν ὑγιής. καὶ πάλιν, εἰ ἡμεῖς ἀνακρινόμεθα ἐπὶ εὐεργεσίᾳ ἀνθρώπου ἀσθενοῦς. πλήττει αὐτοὺς, ὡς ἀεὶ τοιαῦτα ἐγκαλοῦντας, καὶ εὐεργεσίαις ἀνθρώπων μεμφομένους· καὶ ἀναμιμνήσκει τῶν προτέρων, ὅτι αὐτοὶ ἐπὶ φόνοις τρέχουσι· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἐπὶ εὐεργεσίαις ἐγκαλοῦσιν. ὁρᾷς πῶς ἔχει καὶ τὸ βαρὺ τὰ ῥήματα; ἐν τούτοις γὰρ ἐγυμνάζοντο, καὶ λοιπὸν ἀκατάπληκτοι ἦσαν. ἐξ ὧν δείκνυσιν αὐτοῖς, ὅτι αὐτοὶ μᾶλλον κηρύττουσιν ἄκοντες τὸν Χριστὸν, καὶ αὐτοὶ τὸ δόγμα ἐπαίρουσι τῷ ἀνακρίνοντες καὶ ἐξετάζοντες. ὃν ὑμεῖς ἐσταυρώσατε. βαβαὶ τῆς παρρησίας. ὃν ὁ Θεὸς ἤγειρεν ἐκ νεκρῶν. τοῦτο πάλιν μείζονος ἐλευθεροστομίας. ὃ τοίνυν λέγει τοῦτό ἐστι· μὴ νομίσητε ὅτι ταῦτα ἐποιήσατε κρύπτομεν. τοσοῦτον ἀπέχομεν συσκιάσαι, ὅτι καὶ παρρησιαζόμεθα. ταῦτα μονονουχὶ ὀνειδίζων αὐτοῖς λέγει· καὶ οὐχ ἁπλῶς, ἀλλὰ καὶ ἐνδιατρίβει τῷ λόγῳ, οὗτός ἐστιν ὁ λίθος, λέγων, ὁ ἐξουθενηθεὶς ὑφ' ὑμῶν τῶν οἰκοδομούντων· εἶτα δεικνὺς ὅτι καὶ εἰς σφόδρα δόκιμον τοῦτο εἰργάσαντο, ἐπάγει· ὁ γενόμενος εἰς κεφαλὴν γωνίας· τουτέστιν, ὁ φύσει τίμιος καὶ δόκιμος, οὗτος ἐξουθενήθη. οὕτως ἀπὸ τοῦ σημείου πολλὴν ἔσχον τὴν παρρησίαν. σὺ δέ μοι σκόπει, πῶς, ὅτε μὲν διδάξαι χρὴ, προφητείας παράγουσι πολλάς· ὅτε δὲ παρρησιάσασθαι, μόνον ἀποφαίνονται. οὔτε γὰρ, φησὶν, ὄνομά ἐστιν ἕτερον ὑπὸ τὸν οὐρανὸν τὸ δεδομένον ἐν ἀνθρώποις, ἐν ᾧ δεῖ σωθῆναι ἡμᾶς, δηλῶν ὅτι πᾶσιν ἀνθρώποις, καὶ οὐκ αὐτοῖς μόνοις, ἐδόθη τὸ ὄνομα· καὶ αὐτοὺς ἐπάγεται μάρτυρας. ἐπεὶ γὰρ ἔλεγον, ἐν ποίῳ ὀνόματι ἐποιήσατε; εἰς τὸ τοῦ Χριστοῦ, φασίν. ἄλλο γὰρ οὐκ ἔστιν ὄνομα. πῶς οὖν ἐρωτᾶτε; οὕτω πανταχοῦ τοῦτο δῆλόν ἐστιν. οὔτε γὰρ ὄνομα ἕτερόν ἐστιν ὑπὸ τὸν οὐρανὸν, φησὶν, ἐν ᾧ δεῖ σωθῆναι ἡμᾶς. ταῦτα ψυχῆς καταγνωκυίας τῆς ζωῆς τῆς παρούσης

Margin notes (left): γ. ὡς ἐπίληπτοι, ἃ πλάσαι ἐπεχείρουν · γ. γοῦν · γ. αὐτοῖς · * ἱσταμένοις · γ. εὐεργεσίας · γ. ὢ τῆς πολλῆς παρ · γ. αἰσχρά · γ. λοιπὸν καὶ δείκνυσιν αὐτοῦ τὴν ὠφέλειαν ἐπίγειον ὁ · γ. ὑμῖν

Margin note (right): Ματθ. κς.

οὗτος παρέστηκεν ἐνώπιον ὑμῶν ὑγιής. πάλιν τὸ πάθος, πάλιν ἡ ἀνάστασις.

11 Αὐτός ἐστιν ὁ λίθος ὁ ἐξουθενηθεὶς ὑφ' ὑμῶν τῶν οἰκοδομούντων, ὁ γενόμενος εἰς κεφαλὴν γωνίας. Ἀνέμνησεν αὐτοὺς καὶ ῥήματος ἱκανοῦ φοβῆσαι. Ὁ πεσὼν γάρ, φησιν, ἐπὶ τὸν λίθον τοῦτον, συνθλασθήσεται· ἐφ' ὃν δ' ἂν πέσῃ, λικμήσει αὐτόν. *Ψαλ. ριζ. κβ.* *Ματθ. κα. μδ.*

12 Καὶ οὐκ ἔστιν ἐν ἄλλῳ οὐδενὶ ἡ σωτηρία. Ποίας οἴει πληγὰς αὐτοὺς λαμβάνειν ἐκ τούτων τῶν ῥημάτων; Οὔτε γὰρ ὄνομά ἐστιν ἕτερον, φησιν, ὑπὸ τὸν οὐρανὸν τὸ δεδομένον ἐν ἀνθρώποις, ἐν ᾧ δεῖ σωθῆναι ἡμᾶς. Ἐνταῦθα καὶ ὑψηλὰ φθέγγεται. ὅταν γὰρ μὴ ᾖ τι κατορθῶσαι, ἀλλὰ παρρησίαν ἐπιδείξασθαι μόνον, οὐ φείδεται. οὐ γὰρ ἐδεδοίκει μὴ πλήξῃ. καὶ οὐκ εἶπεν ἁπλῶς, δι' ἄλλου· ἀλλ', οὐκ ἔστιν ἐν ἄλλῳ οὐδενὶ ἡ σωτηρία· τουτέστιν, οὗτος ἡμᾶς σῶσαι δύναται. Ταύτῃ τὸν φόβον αὐτῶν κατέστελλε.

13 Θεωροῦντες δέ, φησι, τὴν τοῦ Πέτρου παρρησίαν καὶ Ἰωάννου, καὶ καταλαβόμενοι ὅτι ἄνθρωποι ἀγράμματοί εἰσι καὶ ἰδιῶται, ἐθαύμαζον, ἐπεγίνωσκόν τε αὐτοὺς ὅτι σὺν τῷ Ἰησοῦ ἦσαν. Οἱ δύο ἀγράμματοι κατερρητόρευσαν καὶ αὐτῶν, καὶ τῶν ἀρχιερέων. οὐ γὰρ αὐτοὶ ἐφθέγγοντο, ἀλλ' ἡ τοῦ πνεύματος χάρις.

14 Τὸν δὲ ἄνθρωπον ὁρῶντες, φησι, σὺν αὐτοῖς ἑστῶτα τὸν τεθεραπευμένον, οὐδὲν εἶχον ἀντειπεῖν. Πολλὴ ἡ τοῦ ἀνθρώπου παρρησία καὶ ἐν αὐτῷ τῷ δικαστηρίῳ μὴ καταλελοιπότος αὐτούς. Εἰ γὰρ εἶπον, ὅτι οὐχ οὕτως ἔχει, ἐκεῖνος ἂν κατηγόρησε.

15 Κελεύσαντες δὲ αὐτούς, φησιν, ἔξω τοῦ συνεδρίου ἀπελθεῖν, συνέβαλον πρὸς ἀλλήλους,

16 Λέγοντες, τί ποιήσομεν τοῖς ἀνθρώποις τούτοις; Ὅρα ἐν ἀπορίᾳ ὄντας, καὶ πάλιν τὸν φόβον τὸν ἀνθρώπινον πάντα ἐργαζομένους. ὥσπερ ἐπὶ τοῦ Χριστοῦ ἀναπέμψαι τὸ γενόμενον οὐκ ἴσχυσαν, οὐδὲ συσκιάσαι, ἀλλὰ κωλύοντες αὐτὸ μᾶλλον ἐπεδίδου τὰ τῆς πίστεως· οὕτω καὶ νῦν γέγονε. τί ποιήσομεν; ὢ τῆς ἀνοίας. Εἰ γυμνασαμένους τὸν ἀγῶνα λοιπὸν καταπλήττεσθαι ἐνόμιζον, οἱ παρὰ τὴν ἀρχὴν μηδὲν ἰσχύσαντες, μετὰ τὴν τοσαύτην ῥητορείαν προσεδόκησάν τι ποιήσειν. ὅσῳ ἐβούλοντο κωλύειν, τοσούτῳ μᾶλλον ηὔξετο τὰ πράγματα. ἀλλὰ τί φασιν; Ὅτι μὲν γνωστὸν σημεῖον γέγονε δι' αὐτῶν, πᾶσι τοῖς κατοικοῦσιν Ἱερουσαλὴμ φανερόν, καὶ οὐ δυνάμεθα ἀρνήσασθαι.

17 Ἀλλ' ἵνα μὴ ἐπὶ πλεῖον διανεμηθῇ εἰς τὸν λαόν, ἀπειλῇ ἀπειλησώμεθα αὐτοῖς μηκέτι λαλεῖν ἐπὶ τῷ ὀνόματι τούτῳ μηδενὶ ἀνθρώπων. *χ. -σώμεθα*

18 Καὶ καλέσαντες αὐτούς, παρήγγειλαν τὸ καθόλου μὴ φθέγγεσθαι, μηδὲ διδάσκειν ἐπὶ τῷ ὀνόματι τοῦ Ἰησοῦ. Ὅρα καὶ τούτων τὴν ἀναισχυντίαν, καὶ τῶν ἀποστόλων τὴν φιλοσοφίαν.

19 Ὁ δὲ Πέτρος, φησί, καὶ Ἰωάννης ἀποκριθέντες εἶπον πρὸς αὐτούς· Εἰ δίκαιόν ἐστιν ἐνώπιον τοῦ Θεοῦ ὑμῶν ἀκούειν μᾶλλον ἢ τοῦ Θεοῦ, κρίνατε·

20 Ἡμεῖς οὐ δυνάμεθα, ἃ εἴδομεν καὶ ἠκούσαμεν, μὴ λαλεῖν.

21 Οἱ δὲ προσαπειλησάμενοι ἀπέλυσαν αὐτούς, μηδὲν εὑρίσκοντες τὸ πῶς κολάσωνται αὐτοὺς διὰ τὸν λαόν. Ἐπεστόμισεν αὐτοὺς τὰ σημεῖα, καὶ λοιπὸν οὐδὲ ἠνείχοντο τελέσαι αὐτοὺς τὸν λόγον, ἀλλὰ μεταξὺ λέγοντας διέκοψαν σφόδρα ὑβριστικῶς.

Ὅτι πάντες, φησίν, ἐδόξαζον τὸν Θεὸν ἐπὶ τῷ γεγονότι.

22 Ἐτῶν γὰρ ἦν πλειόνων ὁ ἄνθρωπος τεσσαράκοντα, ἐφ' ὃν ἐγεγόνει τὸ σημεῖον τοῦτο τῆς ἰάσεως. Ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. τί ποιήσομεν τοῖς ἀνθρώποις τούτοις; τὸ μὲν ἄνω πρότερον, διὰ δόξαν ἀνθρωπίνην πάντα ἐποίουν· νυνὶ δὲ καὶ ἕτερόν τι προσέκειτο, τὸ μὴ δόξαι μιαιφόνους εἶναι, ὃ μετὰ ταῦτα ἔλεγον· *Πράξ. ε. κη.* Βούλεσθε ἐπαγαγεῖν ἐφ' ἡμᾶς τὸ αἷμα τοῦ ἀνθρώπου τούτου; ἀπειλῇ ἀπειλησώμεθα αὐτοῖς μηκέτι λαλεῖν ἐπὶ τῷ ὀνόματι τούτῳ

μηδενὶ

Digitized by Google

ἀπολαμβάνονται. οἱ κορυφαῖοι τῶν ἀποστόλων, τοῖς ἄλλοις λοιπὸν ὑπόδειγμα "γενόμενοι, ἵνα μὴ καὶ ζητῶσιν ἀλλήλους, μηδὲ τὸ κοινὸν εἴη). χ. γινόμενοι

4 Πολλοὶ δὲ τῶν ἀκουσάντων τὸν λόγον, φησὶν, ἐπίστευσαν, καὶ ἐγενήθη ὁ ἀριθμὸς τῶν ἀνδρῶν, ὡσεὶ χιλιάδες πέντε. Τί τοῦτο; μὴ γὰρ εὐδοκιμήσαντας εἶδον; οὐχὶ δεθέντας ἐθεάσαντο; πῶς οὖν ἐπίστευσαν; ὁρᾷς ἐνέργειαν φανεράν; καὶ μὴν καὶ τοὺς ἤδη πιστεύσαντας εἰκὸς ἀσθενεστέρους γενέσθαι· ἀλλ' οὐκ ἐγένοντο. ἡ γὰρ Πέτρου δημηγορία εἰς τὸ βάθος τὰ σπέρματα κατέβαλε, καὶ τῆς διανοίας αὐτῶν ἥψατο. "καὶ διὰ τοῦτο ὠργίζοντο, ὅτι οὐδὲ αὐτοὺς ἐδεδίεσαν, ὅτι οὐδὲ τὰ συμβάντα δεινὰ ἡγοῦντο. Εἰ γὰρ ὁ σταυρωθεὶς, φησὶ, τοιαῦτα ἐργάζεται, καὶ τὸν χωλὸν ἀνέστησεν, οὐ φοβούμεθα οὐδὲ τούτους. καὶ τοῦτο τῆς τοῦ Θεοῦ οἰκονομίας γέγονεν." ἐντεῦθεν πλείους οἱ νῦν πιστεύσαντες τῶν πρότερον ἐγένοντο. ἐφ' ᾧ καὶ δείσαντες διὰ τοῦτο, αὐτῶν ὁρώντων, ἔδησαν τοὺς ἀποστόλους, ἵνα καὶ αὐτοὺς δειλοτέρους ἐργάσωνται). τὸ ἐναντίον δὲ γέγονεν ἢ ἐκεῖνοι ἐβούλοντο. διὰ τοῦτο οὐκ ἔτι αὐτῶν αὐτοὺς ἐξετάζουσιν, ἀλλὰ καθ' ἰδίαν, ἵνα μὴ ἀπὸ τῆς παρρησίας οἱ ἀκούοντες κερδάνωσι.

χ. ἄλλοι

χ. πλείους δὲ ὅσοι νῦν π. τ. π. ἐφ'

5 Ἐγένετο δέ, φησιν, ἐπὶ τὴν αὔριον συναχθῆναι αὐτῶν τοὺς ἄρχοντας καὶ πρεσβυτέρους καὶ γραμματεῖς ἐν Ἱερουσαλήμ,

6 Καὶ Ἄνναν τὸν ἀρχιερέα, καὶ Καϊάφαν, καὶ Ἰωάννην, καὶ Ἀλέξανδρον, καὶ ὅσοι ἐκ γένους ἦσαν ἀρχιερατικοῦ. Πάλιν συνέρχονται ἐπὶ τὸ αὐτό. οὐκέτι γὰρ μετὰ τῶν ἄλλων κακῶν καὶ τὰ τοῦ νόμου ἐφυλάττετο. καὶ πάλιν δικαστηρίου σχῆμα τῷ πράγματι περιτιθέασιν, ἵνα ὑπεύθυνοι τῇ ἀδίκῳ γένωνται κρίσει.

7 Καὶ στήσαντες αὐτοὺς, φησιν, ἐν μέσῳ, ἐπυνθάνοντο, ἐν ποίᾳ δυνάμει, ἢ ἐν ποίῳ ὀνόματι ἐποιήσατε τοῦτο ὑμεῖς; Καὶ μὴν ᾔδεσαν. διαπονούμενοι γάρ, φησι, διὰ τὸ καταγγέλλειν ἐν τῷ Ἰησοῦ τὴν ἀνάστασιν, κατέσχον αὐτούς. τίνος οὖν ἕνεκεν ἐρωτῶσι; προσδοκῶντες αὐτοὺς διὰ τὸ πλῆθος ἐξαρνεῖς γενέσθαι, καὶ τὸ πᾶν διὰ τούτου νομίζοντες κατωρθωκέναι. ὅρα γοῦν τί φασιν. ἐν ποίῳ ὀνόματι ἐποιήσατε τοῦτο ὑμεῖς;

8 Τότε Πέτρος πλησθεὶς πνεύματος ἁγίου, εἶπε πρὸς αὐτούς.

Ἀναμνήσθητί μοι νῦν τῶν τοῦ Χριστοῦ λόγων, καὶ πῶς δείκνυσιν ὃ ἔλεγεν. Ὅταν δὲ "παραδιδῶσιν ὑμᾶς εἰς συναγωγὰς, μὴ μεριμνήσητε πῶς, ἢ τί λαλήσητε· τὸ γὰρ πνεῦμα τοῦ πατρὸς ὑμῶν ἐστι τὸ λαλοῦν ἐν ὑμῖν· ὥστε ἐνεργείας πολλῆς ἀπέλαυον. τί οὖν φησιν ὁ Πέτρος; Ἄρχοντες τοῦ λαοῦ καὶ πρεσβύτεροι τοῦ Ἰσραήλ. Ὅρα φιλοσοφίαν ἀνδρός, καὶ "πόσης γέμοι παρρησίας οὐδὲν ὑβριστικὸν φθέγγεται)· ἀλλὰ μετὰ τιμῆς, ἄρχοντες τοῦ λαοῦ, φησι, καὶ πρεσβύτεροι τοῦ Ἰσραήλ· Λυκ. ιβ. ια.

χ. ἄγωσιν

χ. πῶς

9 Εἰ ἡμεῖς σήμερον ἀνακρινόμεθα ἐπὶ εὐεργεσίᾳ ἀνθρώπου ἀσθενοῦς, ἐν τίνι οὗτος σέσωσται,

10 Γνωστὸν ἔστω πᾶσιν ὑμῖν, καὶ παντὶ τῷ λαῷ Ἰσραήλ. Σφόδρα αὐτῶν γενναίως καθήψατο ἀπὸ τοῦ προοιμίου, καὶ "διεκωμῴδησε· μᾶλλον δὲ αὐτοὺς ἀνέμνησε τῶν προτέρων, ὅτι ἐπ' εὐεργεσίᾳ αὐτοὺς κρίνουσιν, ὡσανεὶ ἔλεγε· μάλιστα μὲν ἐχρῆν στεφανοῦσθαι ἡμᾶς ἐπὶ τούτοις, καὶ ὡς εὐεργέτας ἀνακηρύττεσθαι· νῦν δὲ καὶ κρινόμεθα ἐπὶ εὐεργεσίᾳ ἀνθρώπου ἀσθενοῦς, οὐχὶ πλουσίου, οὐχὶ δυνάστου, οὐχὶ ἐνδόξου· καίτοι ἐν τούτῳ τίς ἂν ἐβάσκηνε; πολλῆς βαρύτητος ἡ ἐπαγγελία γέμει, καὶ δείκνυσιν ὅτι αὐτοὶ ἑαυτοὺς περιπείρουσιν. Ὅτι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου. Ὃ μάλιστα αὐτοὺς ἐλύπει προστίθησι. τοῦτο ἦν ἄρα ὃ ἔλεγεν αὐτοῖς ὁ Χριστός· Ὃ ἠκούσατε εἰς τὸ οὖς, κηρύξατε ἐπὶ τῶν δωμάτων. Ματθ. ι. κζ.

χ. διεκωμῴδησεν·

Ὅτι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου, ὃν ὑμεῖς ἐσταυρώσατε, ὃν ὁ Θεὸς ἤγειρεν ἐκ νεκρῶν, ἐν τούτῳ οὗτος παρέστηκεν ἐνώπιον ὑμῶν ὑγιής. Μὴ νομίσητε, φησιν, ὅτι "κρυπτόμεθα τὴν πατρίδα, ἢ τὸ πάθος. ὃν ὑμεῖς ἐσταυρώσατε, ὃν ὁ Θεὸς ἤγειρεν ἐκ νεκρῶν, ἐν τούτῳ

χ. κρύπτομεν.



Digitized by Google

τὴν ἐντολὴν τοῦ Θεοῦ. τί οὕτως ἄπιστος εἶ; σὺ μὲν οὕτω πολλὰ αἱρῇ καὶ ποιῆσαι καὶ παθεῖν ὑπὲρ τοῦ μὴ ὀμόσαι· αὐτὸς δὲ οὐκ ἀμείψεται; ἀλλὰ τοὺς μὲν ἐπιόρκους καὶ πολυόρκους καθ' ἑκάστην τρέφει τὴν ἡμέραν· σὲ δὲ παραδώσει λιμῷ, ἐπεὶ ἤκουσας αὐτοῦ; πάντες ἴστωσαν, ὅτι τῶν εἰς ταύτην τὴν ἐκκλησίαν συναγομένων οὐδεὶς [οὐκ] ἐστιν ὀμνύς· καὶ ἀπὸ τούτου γενώμεθα δῆλοι, μὴ ἀπὸ τῆς πίστεως μόνον. καὶ τοῦτο παρ' Ἕλλησι, καὶ παρὰ πάντας ἔχωμεν τὸ διάλλαττον· σφραγῖδα λάβωμεν ἐκ τῶν οὐρανῶν, ἵνα ὥσπερ ἀγέλη βασιλικὴ πανταχοῦ φαινώμεθα. ἀπὸ τοῦ στόματος καὶ τῆς γλώττης εὐθέως γνωριζώμεθα, καθάπερ οἱ βάρβαροι, καθάπερ οἱ Ἑλληνιστὶ εἰδότες, ταύτῃ τῶν βαρβάρων διαλλάττωμεν. εἰπὲ γάρ μοι· οἱ ψιττακοὶ λεγόμενοι πόθεν εἰσὶ γνώριμοι; οὐκ ἀπὸ τοῦ λαλεῖν κατὰ ἀνθρώπους; καὶ ἡμεῖς τοίνυν ἀπὸ τοῦ λαλεῖν, ὡς οἱ ἀπόστολοι, γενώμεθα γνώριμοι· ἀπὸ τοῦ λαλεῖν, ὡς οἱ ἄγγελοι. ἂν εἴπῃ τις, ὄμοσον· ἀκουέτω ὅτι ὁ Χριστὸς ἐκέλευσε, καὶ οὐκ ὀμνύω. τοῦτο ἱκανὸν πᾶσαν εἰσαγαγεῖν ἀρετήν. θύρα τίς ἐστιν εὐσεβείας, ὁδὸς ἐπὶ φιλοσοφίαν ἀληθείας εἰσάγουσα, παλαίστρα τίς ἐστι. ταῦτα φυλάττωμεν, ἵνα καὶ τῶν παρόντων, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γρ. αἱρήσῃ

κεφ. δ.

## Λογ. ι. 1 ΛΑΛΟΥΝΤΩΝ ΔΕ ΑΥΤΩΝ ΠΡΟΣ ΤΟΝ λαὸν, ἐπέστησαν αὐτοῖς οἱ ἱερεῖς καὶ ὁ στρατηγὸς τοῦ ἱεροῦ.

Οὔπω τῶν προτέρων ἀναπνεύσαντες πειρασμῶν, εὐθέως εἰς ἑτέρους ἐνέβαινον. καὶ ὅρα πῶς οἰκονομεῖται τὰ πράγματα. πρότερον ἐχλευάσθησαν πάντες ὁμοῦ. οὐ μικρὸς δὲ οὗτος ὁ πειρασμός. δεύτερον, αὐτοὶ οἱ κορυφαῖοι εἰς κινδύνους ἐμβαίνουσιν. οὐκ ἐφεξῆς δὲ τὰ δύο γέγονεν, [οὐδὲ ἁπλῶς·] ἀλλὰ πρότερον εὐδοκιμήσαντες ἐν ταῖς δημηγορίαις, καὶ θαῦμα ἐργασάμενοι μετὰ ταῦτα μέγα, οὕτω δὴ λοιπὸν μετὰ τὸ θαρρῆσαι, συγχωροῦντος τοῦ Θεοῦ, τῶν ἀγώνων ἅπτονται. σὺ δέ μοι θέα, πῶς ἐπὶ τοῦ Χριστοῦ τὸν παραδώσοντα ζητοῦντες, ἐνταῦθα λοιπὸν αὐτοὶ τὰς χεῖρας ἐπιβάλλουσι, θρασύτεροι γεγονότες καὶ ἀναισχυντότεροι μετὰ τὸν σταυρόν. ἡ γὰρ ἁμαρτία, ἕως μὲν ἂν ὠδίνηται, ἔχει τινὰ αἰσχύνην· ἐπειδὰν δὲ τελεσθῇ, τότε ἀναισχυντοτέρους ποιεῖ τοὺς ἐργαζομένους αὐτήν. τί δήποτε δὲ καὶ στρατηγὸς ἐφίσταται; ἐπέστησαν γὰρ αὐτοῖς οἱ ἱερεῖς καὶ ὁ στρατηγὸς τοῦ ἱεροῦ, φησίν· ἵνα πάλιν δημόσιον ἔγκλημα περιθῶσι τοῖς γινομένοις, καὶ μὴ ὡς ἰδιωτικὸν ἐκδικῶσιν, ὅπερ πανταχοῦ σπουδάζουσι ποιεῖν.

γρ. ἐνέβησαν. γρ. ἐμπίπτουσιν.

2 Διαπονούμενοι, φησὶ, διὰ τὸ διδάσκειν αὐτοὺς τὸν λαόν.

Διεπονοῦντο, οὐ μόνον ὅτι ἐδίδασκον, ἀλλ' ὅτι οὐκ αὐτὸν μόνον ἔλεγον ἐγηγέρθαι, ἀλλὰ καὶ ἡμᾶς δι' ἐκείνου ἀνίστασθαι. Διὰ τὸ διδάσκειν αὐτοὺς, φησὶ, τὸν λαὸν, καὶ καταγγέλλειν ἐν τῷ Ἰησοῦ τὴν ἀνάστασιν τῶν νεκρῶν. Οὕτως ἰσχυρὰ ἐγένετο ἡ ἀνάστασις, ὡς καὶ ἑτέροις αὐτὸν αἴτιον γενέσθαι ἀναστάσεως.

3 Καὶ ἐπέβαλον αὐτοῖς, φησὶ, τὰς χεῖρας, καὶ ἔθεντο αὐτοὺς εἰς τήρησιν εἰς τὴν αὔριον. ἦν γὰρ ἑσπέρα ἤδη. Ὢ τῆς ἀναισχυντίας. ἔτι τῶν προτέρων αἱμάτων γεμούσας τὰς χεῖρας εἶχον, καὶ οὐκ ἐνάρκων, ἀλλ' ἐπέβαλλον πάλιν, ἑτέροις αὐτὰς αἵμασι μολύνοντες· ἢ τάχα καὶ ἔδεισαν πλῆθος αὐτοὺς ἤδη γεγονότας, καὶ διὰ τοῦτο αὐτοῖς ὁ στρατηγὸς συνεπέστη. ἦν γὰρ, φησὶν, ἑσπέρα ἤδη. ἐκεῖνοι μὲν οὕτω βουλόμενοι αὐτοὺς μαλάξαι, τοῦτο ἐποίουν καὶ ἐφύλαττον· τοὺς δὲ ἀποστόλους τολμηροτέρους εἰργάζετο ἡ ἀναβολὴ τοῦ χρόνου. καὶ ὅρα τίνες ἀπολαμβάνονται.

γρ. ἐπαύοντο. γρ. αὐτὰς ἑτέροις αἵμασιν ὥστε πλησθῆναι. γρ. τοῦ ἱεροῦ σὺν αὐτοῖς ἦν.

δένα ὀβολοῦ ὅρκοι γίνονται καὶ ἐπιορκίαι. ὅτι γὰρ σκηπτὸς ἄνωθεν οὐ κατέρχεται, ὅτι γὰρ οὐ πάντα ἀνατρέπεται, ἔσχηκας κατέχειν τὸν Θεόν. [γ. ἀνατρέπεσθαι] τί δήποτε; ἵνα λαχάνων λάβῃς, ἵνα ὑποδήματα, ὑπὲρ ὀλίγου ἀργυρίου εἰς μαρτυρίαν αὐτὸν καλεῖς. μὴ δή, ἐπειδὴ μὴ κολαζόμεθα, νομίσωμεν μηδὲ ἁμαρτάνειν. τοῦτο τῆς φιλανθρωπίας ἐστὶ τοῦ Θεοῦ, οὐ τῆς ἡμετέρας ἀρετῆς. ὄμοσον κατὰ τοῦ παιδὸς τοῦ σοῦ, ὄμοσον κατὰ σαυτοῦ, εἰπέ, ἵνα μὴ δήμιος ἐπισταίη ταῖς πλευραῖς ταῖς ἐμαῖς. ἀλλὰ δέδοικας; τῆς πλευρᾶς σου οὕτως ἀτιμότερος ὁ Θεός; τῆς κεφαλῆς σου εὐτελέστερος; εἰπέ, ἵνα μὴ πηρωθῶ. ἀλλ' ὁ μὲν Χριστὸς οὕτως ἡμῶν φείδεται, ὡς κωλύειν καὶ κατὰ τῆς οἰκείας ὀμνύναι κεφαλῆς· ἡμεῖς δὲ οὕτως ἀφειδοῦμεν τῆς δόξης τῆς τοῦ Θεοῦ, ὡς πανταχοῦ αὐτὸν ἕλκειν. οὐκ οἶσθα τί ἐστι Θεός, καὶ ποίοις στόμασι καλεῖσθαι ὀφείλει. ἀλλ' ἂν μὲν περί τινος λέγωμεν ἀνδρὸς ἐναρέτου, φαμέν, ἀπόπλυνον τὸ στόμα σου, καὶ οὕτω μνήσθητι· νυνὶ δὲ τὸ τίμιον ὄνομα, τὸ ὑπὲρ πᾶν ὄνομα, τὸ θαυμαστὸν ἐν πάσῃ τῇ γῇ, ὃ δαίμονες ἀκούοντες φρίττουσιν, ἁπλῶς περισύρομεν. [Φιλ. β. θ.] [Ψαλ. η. α.] [Ιακ. β. ιθ.] ὢ τῆς συνηθείας. ἀπὸ γὰρ ταύτης [γ. τότε] γέγονεν ἐκεῖνο φρικτόν. ἀμέλει γοῦν εἰς οἶκον ἅγιον ἂν ἐπιθῇς τινὶ ἀνάγκην ὀμόσαι, ὡς φρικτὸν τὸν ὅρκον ἐργασάμενος, οὕτω διάκεισαι. καίτοι πόθεν οὕτω φρικτὸν εἶναι δοκεῖ, ἀλλ' ἢ ὅτι ἐκείνῳ μὲν ἁπλῶς ἀποκεχρήμεθα, τούτῳ δὲ οὐχί; οὐ γὰρ φρικτὸν ἔδει νομίζεσθαι, ὀνομαζομένου τοῦ Θεοῦ; ἀλλ' ἐπὶ μὲν Ἰουδαίων οὕτως αὐτοῦ τὸ ὄνομα σεμνὸν ἦν, ὡς ἐν πετάλοις γράφεσθαι, καὶ μηδενὶ τὰ γράμματα ἐξεῖναι φορεῖν, ἀλλ' ἢ μόνῳ τῷ ἀρχιερεῖ· νυνὶ δέ, ὡς τὸ τυχόν, [Εξ. λθ. λ.] οὕτω περιφέρομεν αὐτοῦ τὸ ὄνομα. εἰ ἁπλῶς ὀνομάζειν τὸν Θεὸν οὐ πᾶσιν ἐναγές, τὸ καὶ ἐπὶ μαρτυρίαν αὐτὸν καλεῖν, πόσης τόλμης, εἰπέ μοι; πόσης μανίας; εἰ γὰρ πάντα ῥῖψαι ἐχρῆν, οὐκ ἔδει * [* ταῦτα] προθύμως ἐᾶν; ἰδοὺ λέγω καὶ διαμαρτύρομαι· κατορθώσατε τούτους τοὺς ἐπὶ τῆς ἀγορᾶς ὅρκους, τοὺς περιττούς, τοὺς δὲ μὴ πειθομένους, πάντας ἐμοὶ ἀγάγετε. ἰδού, παρόντων ὑμῶν, ἐπισκήπτω τοῖς πρὸς ὑπηρεσίαν ἀφωρισμένοις τῶν οἴκων τῶν εὐκτηρίων, καὶ παραινῶ καὶ παρεγγυῶ μηδενὶ ὀμνύναι ἁπλῶς ἐξεῖναι, μᾶλλον δὲ μηδὲ ἑτέρως. πρὸς ἐμὲ οὕτως ἀγέσθω, ὅστις ἂν ᾖ, ἐπειδὴ καὶ ταῦτα μέχρις ἡμῶν ἔρχεσθαι δεῖ, καθάπερ ἐπὶ παίδων μικρῶν. μὴ γένοιτο. αἰσχύνη γάρ ἐστιν ὑπὲρ τινῶν ἔτι δεῖσθαι μανθάνειν. μὴ τραπέζης ἱερᾶς ἅψασθαι τολμᾷς ἀμύητος ὤν· ἀλλὰ τὸ ἔτι χεῖρον, σὺ ὁ μεμυημένος τῆς ἱερᾶς ἅψασθαι τραπέζης τολμᾷς, ἧς οὐδὲ πᾶσιν ἱερεῦσιν ἅψασθαι θέμις, καὶ οὕτως ὀμνύναι. καὶ σὺ μὲν τῆς τοῦ παιδὸς κεφαλῆς οὐκ ἂν ἅψαιο· ἀπελθὼν τραπέζης δὲ ἅπτῃ, καὶ οὐ φρίττεις, [γ. ἀπελθὼν δὲ τρα-] οὐδὲ δέδοικας; πρὸς ἐμὲ τοὺς τοιούτους ἄγε· ἐγὼ δικάσω, καὶ χαίροντας ἑκατέρους ἀποπέμψω. ὃ βούλεσθε ποιεῖτε· νόμον τίθημι μηδὲ ὅλως ὀμνύναι. ποία σωτηρίας ἐλπίς, οὕτως ἡμῶν πάντα κινούντων; διὰ τοῦτο γραμματεῖα, διὰ τοῦτο συμβόλαια, ἵνα καταθύσῃς τὴν σαυτοῦ ψυχήν; τί τοσοῦτον κερδαίνεις, ὅσον ἀπολλύεις; ἐπιώρκησεν; ἀπώλεσας κἀκεῖνον, καὶ σαυτόν. ἀλλ' οὐκ ἐπιώρκησε; καὶ οὕτως ἀπώλεσας, παραβιβάσαι τὴν ἐντολὴν ἀναγκάσας. ἐξελάσωμεν τοῦτο τὸ νόσημα ἀπὸ τῆς ψυχῆς· τέως ἀπὸ τῆς ἀγορᾶς αὐτὸ διώξωμεν, ἀπὸ τῶν παντοπωλείων, ἀπὸ τῶν λοιπῶν ἐργαστηρίων. μείζων ὁ πόρος ἡμῖν ἔσται. μὴ νομίσητε διὰ τὴν παράβασιν τῶν θείων νόμων τὰ βιωτικὰ κατορθοῦσθαι. ἀλλ' οὐ πιστεύει, φησί. καὶ γὰρ καὶ τοῦτό ποτε παρά τινων ἤκουσα, ὅτι, ἂν μὴ ὀμόσω μυρίους ὅρκους, οὐ πιστεύει. σὺ τούτων αἴτιος ὁ προχείρως ὀμνύς. ἐπεὶ εἰ μὴ τοῦτο ἦν, ἀλλὰ πᾶσιν ἦν δῆλον ὅτι οὐκ ὀμνύεις, πίστευέ μοι λέγοντι, ὅτι τῶν μυρίους καταπατούντων ὅρκους μᾶλλον ἂν ἐπιστεύθης ἐπινεύσας μόνον. ἰδοὺ γάρ, εἰπέ μοι, τίνι ἄρα μᾶλλον πιστεύετε, ἐμοὶ τῷ μὴ ὀμνύοντι, ἢ τοῖς ὀμνύουσιν; ἀλλὰ σύ, φησιν, ἄρχων εἶ καὶ ἐπίσκοπος. τί οὖν ἂν δείξω, ὅτι οὐ διὰ τοῦτο μόνον; μετὰ ἀληθείας ἀποκρίνασθέ μοι, παρακαλῶ. εἰ συνεχῶς ὤμνυον καὶ διαπαντός, ἆρα ἂν περιέσῃ μου ἡ ἀρχή; οὐδαμῶς. ὁρᾷς ὅτι οὐ διὰ τοῦτο; τί δὲ κερδαίνεις ὅλως, εἰπέ μοι; Παῦλος ἐλιμώττε· καὶ σὺ ἑλοῦ πεινᾶν μᾶλλον, ἢ παραβιβάσαί τινα

ποτε ὀμνύναι, καὶ οὐκ ἀναγκασθήσῃ περὶ ἐπιεικείας αὐτῷ διαλεχθῆναι. οὕτω δὲ πολὺ ἠνύσαι, καὶ οὔτε ἐπιορκήσετε, οὔτε ὀμόσεσθε ὅλως. οὐκ ἔστιν εἰς ὅσας ἀτοπίας ἑαυτοὺς ἐντεῦθεν ἐμβάλλετε, ἀνάγκῃ τινὶ καὶ δεσμῷ ἑαυτοὺς περιβάλλοντες, καὶ πάσῃ μηχανῇ σπουδάζοντες, ὥστε καθάπερ ἐξ ἀφύκτου τινὸς κακοῦ τὴν ψυχὴν ἐξελκῦσαι· εἶτα μὴ δυνηθέντες, λοιπὸν ἐν ὀδύνῃ διάγειν * καὶ μάχαις, καὶ διὰ τὸ ἄχθεσθαι τῷ θυμῷ· ἀλλὰ πάντα εἰκῇ καὶ μάτην γίνεται; οὐκοῦν ἀπείλησον, ἐξέλεγξον, πολλὰ πείσεται χωρὶς ὅρκου. ἔξεστιν ἀναγνῶσαι καὶ τὰ λεχθέντα, καὶ τὰ γινόμενα, ἂν θέλῃς. οὕτω τοίνυν ἀνάγκη περὶ ὅπερ ὑμῖν διαλεχθῆναι. ἐπειδὴ γὰρ ἠκούσατε, καὶ τὸ πλέον ὑμῖν κατώρθωται, φέρε δὴ λοιπὸν, τίνος ἕνεκεν ἐπεισῆλθεν ὁ ὅρκος, καὶ διὰ τί συνεχωρήθη εἶναι, εἴπωμεν. ἄνωθεν τὴν γένεσιν αὐτοῦ διηγούμενοι, καὶ πότε ἐτέχθη, καὶ πῶς, καὶ παρὰ τίνων, ἀμειψόμεθα ὑμᾶς τῇ διηγήσει ὑπὲρ τῆς ὑπακοῆς. τὸν μὲν γὰρ κατωρθωκότα ἀναγκαῖον ἐστὶ φιλοσοφεῖν· τὸν δὲ μηδέπω, οὐδὲ λόγου ἀκοῦσαι ἄξιον. ἐποίησαν συνθήκας πολλὰς οἱ περὶ τὸν Ἀβραάμ, καὶ ἔσφαξαν θύματα, καὶ θυσίας ἀνήνεγκαν, καὶ οὐδέπω ἦν ὅρκος. πόθεν οὖν ἐπεισῆλθεν ὁ ὅρκος; ὅτε τὰ κακὰ ηὐξήθη, ὅτε πάντα ὁμοῦ ἄνω καὶ κάτω γέγονεν, ὅτε πρὸς εἰδωλολατρείαν ἀπέκλιναν. τότε δὴ, τότε, ὅτε ἄπιστοι λοιπὸν ἐφάνησαν, τὸν Θεὸν ἐκάλουν μάρτυρα, ὥσπερ ἐγγυητὴν διδόντες τῶν λεγομένων ἀξιόχρεων. τοῦτο γὰρ ὅρκος ἐστὶ, τῶν ἀπιστουμένων ἐγγύη. ὥστε πρώτη κατηγορία αὕτη τοῦ ὀμνύοντος, εἰ μὴ πιστεύοιτο χωρὶς ἐγγύου, καὶ ἐγγύου μεγάλου. διὰ γὰρ τὴν πολλὴν ἀπιστίαν οὐκ ἄνθρωπον ζητοῦσιν ἐγγυητὴν, ἀλλὰ τὸν Θεόν. ἔτι πρὸς, καὶ τοῦ λαμβάνοντος τὸν ὅρκον τὸ αὐτὸ ἔγκλημα, εἰ ὑπὲρ συναλλαγμάτων διαφερόμενος τὸν Θεὸν ἕλκοι πρὸς τὴν ἐγγύην, καὶ λέγοι μὴ ἀφίστασθαι, εἰ μὴ ἐκεῖνον λάβοι. ὢ τῆς ὑπερβαλλούσης ἀναισθησίας, ὢ τῆς ὕβρεως. σκώληξ καὶ γῆ καὶ σποδὸς τυγχάνων καὶ καπνός, τὸν δεσπότην σὺ ἕλκεις εἰς ἐγγύην, κἀκεῖνον ἀναγκάζεις λαβεῖν, εἰπέ μοι; εἰ τῶν παίδων ὑμῶν φιλονεικούντων πρὸς ἀλλήλους καὶ ἀπιστουμένων ἑαυτοῖς, ἔφησεν ὁ ὁμόδουλος μὴ ἀποστήσεσθαι, ἕως ἂν τὸν κοινὸν δεσπότην ἐγγυητὴν λάβοι· ἆρα οὐκ ἂν ἔλαβε πληγὰς μυρίας, καὶ ἔμαθεν ὅτι τῷ δεσπότῃ εἰς ἄλλα κεχρῆσθαι δεῖ, οὐκ εἰς ταῦτα; τί λέγω ὁμοδούλοις; εἰ γὰρ αἰδεσιμώτερον εἵλετο ἄνδρα, οὐχ ὕβριν τὸ πρᾶγμα ἡγήσατο ἄν; ἀλλ' ἐγὼ οὐ βούλομαι, φησί. καλῶς. οὐκοῦν μηδὲ ἐκεῖνον ἀνάγκαζε· ἐπεὶ καὶ ἐπ' ἀνθρώπων τοῦτο γίνεται. ἂν εἴπῃ, τὸν δεῖνα δίδωμι ἐγγυητήν, σὺ οὐκ αἰσχύνῃ. τί οὖν; καὶ ἀπολέσω, φησί, τὸ διδόμενον; οὐ λέγω τοῦτο, ἀλλ' ὅτι τὸν Θεὸν ὑβρίσαι αἰσχύνῃ. διὸ καὶ μᾶλλον ὁ καταναγκάζων, ἢ ὁ ὀμνὺς ἀπαραίτητον ἔχει τὴν κόλασιν· ὡσαύτως καὶ ὁ μηδενὸς αἰτοῦντος ὀμνύς. καὶ τὸ δὲ χαλεπώτερον, ὅτι ὀμνύει ἕκαστος ὑπὲρ ὀβολοῦ ἑνός, ὑπὲρ παραθήκης μικρᾶς, ὑπὲρ ἀδικίας. ταῦτα, ὅταν μὲν ὦσιν ἐπιορκίαι· ὅταν δὲ ἐπιορκία παρακολουθήσῃ, πάντα ἄνω καὶ κάτω, καὶ ὁ λαβὼν, καὶ ὁ δοὺς πεποίηκεν. ἀλλ' ἔστιν ἀγνοοῦντα ἴσα, φησίν. ἀλλὰ ταῦτα προορώμενος, μηδὲν ποίει ῥαθύμως· εἰ δὲ ῥαθύμως ποιεῖς, ἀπαίτησαι τὴν δίκην, τὴν ζημίαν. βέλτιον οὕτω ζημιωθῆναι, ἢ ἑτέρως. εἰπὲ γάρ μοι, ἕλκεις εἰς ὅρκον τὸν ἄνδρα; τί προσδοκῶν; ὅτι ἐπιορκήσει; ἀλλὰ τοῦτο μανίας ἐσχάτης. ἐπὶ τὴν σὴν γὰρ κεφαλὴν ἡ δίκη τρέψεται. βέλτιον σε τὰ χρήματα ἀπολέσαι, ἢ ἐκεῖνον ἀπολλυσθαι. τί μετὰ τῆς σῆς ζημίας τοῦτο ποιεῖς, καὶ μετὰ τῆς ὕβρεως τοῦ Θεοῦ; θηρίου αὕτη ἡ ψυχὴ καὶ ἀσεβοῦς ἀνδρός. ἀλλὰ προσδοκῶν ὅτι οὐκ ἐπιορκήσει. οὐκοῦν καὶ χωρὶς ὅρκου πίστευσον. ἀλλ' εἰσὶ πολλοί, φησιν, οἳ χωρὶς ὅρκου εἵλοντο ἀποστερῆσαι· μετὰ δὲ ὅρκον, οὐκέτι. ἀπατᾷς σεαυτόν, ἄνθρωπε. ἄνθρωπος κλέπτειν μεμαθηκὼς καὶ τὸν πλησίον ἀδικεῖν, ἕλοιτο ἂν καὶ ὅρκον καταπατῆσαι πολλάκις. εἰ δὲ περὶ τὸ ὀμόσαι εὐλαβηθείη, περὶ τὸ ἀδικῆσαι πολλῷ μᾶλλον. ἀλλ' ἄκων αὐτὸ πάσχει; οὐκοῦν συγγνώμης ἄξιος. ἀλλὰ τί λέγω περὶ τῶν ὅρκων τούτων, ἀφεὶς τοὺς ἐν ἀγοραῖς; ἐκεῖ γὰρ οὐδὲν τοιοῦτον ἔχεις εἰπεῖν. ὑπὲρ γὰρ δὲ

δέκα

* ἢ ἀνάγκης

γρ. ἀγχιστ...

γρ. ἐν χερσὶ

γρ. ἑαυτοῖς

γρ. μείζονα

γρ. καὶ

γρ. ζημίαν

γρ. προσδοκῶν

χάλης ἦ... μαρτυρίας. ὁ Θεὸς αὐτὸν ἀναστήσει, φησὶν, ἐκ τῶν ἀδελφῶν ὑμῶν· ὥστε Μωϋσῆς αὐτὸς ἠπείλησε τοῖς μὴ ἀκούουσι. Ταῦτα τέλεια ἐπαγωγά. καὶ πάντες δέ, φησιν, οἱ προφῆται ἀπὸ Σαμουήλ. οὐκ ἠθέλησε καθ' ἕκαστον ἐπεξιέναι, ὥστε μὴ μακρὸν ποιῆσαι τὸν λόγον· ἀλλὰ τελείας μεταθεὶς μαρτυρίας τῆς Μωϋσαϊκῆς, περιέπεμψεν αὐτούς. ὑμεῖς ἐστέ, φησιν, υἱοὶ τῶν προφητῶν καὶ τῆς διαθήκης, ἧς διέθετο ὁ Θεός. τῆς διαθήκης, φησὶν, υἱοί. τί ἐστι, τῆς διαθήκης υἱοί; τουτέστι, κληρονόμοι. ἵνα γὰρ μὴ δόξωσιν ὡς ἀπὸ χάριτος Πέτρου ταῦτα λαμβάνειν, δείκνυσιν ὅτι ἄνωθεν αὐτοῖς ὠφείλετο, ἵνα μᾶλλον πιστεύσωσιν, ὅτι καὶ τῷ Θεῷ τοῦτο δοκεῖ. ὑμῖν πρῶτον ἀναστήσας, φησὶν, ὁ Θεὸς τὸν παῖδα αὐτοῦ ἀπέστειλεν. οὐκ εἶπεν, ὑμῖν ἁπλῶς ἀπέστειλε τὸν παῖδα αὐτοῦ, ἀλλὰ καὶ μετὰ τὸ ἀναστῆναι, καὶ ὅτι ἐσταυρώθη. ἵνα γὰρ μὴ νομίσωσιν, ὅτι αὐτὸς μὲν ταῦτα ἐχαρίζετο, ὁ δὲ πατὴρ οὐχί, διὰ τοῦτο προσέθηκε τό, εὐλογοῦντα ὑμᾶς. εἰ γὰρ ἀδελφὸς ὑμῶν αὐτὸς, καὶ εὐλογεῖ ὑμᾶς, ὑπερβολῆς τὸ πρᾶγμά ἐστι· τουτέστι, τοσοῦτον ἀπέχετε τοῦ μὴ κοινωνεῖν τούτοις, ὅτι καὶ τοῖς ἄλλοις ὑμᾶς αἰτίους καὶ ἀρχηγοὺς βούλεται γενέσθαι. "οὐκοῦν μὴ ὡς ἀπερριμμένοι διάκεισθε, ἢ ἀποβεβλημένοι." ἐν τῷ ἀποστρέφειν, φησὶν, ἕκαστον ἀπὸ τῶν πονηριῶν. οὕτως ὑμᾶς εὐλογεῖ, οὐχ ἁπλῶς. [χ. καὶ γὰρ πάλιν τ' οἴκους.] καὶ ποία αὕτη εὐλογία; μεγάλη. οὐ γὰρ δὴ τὸ ἀποστρέψαι ἀπὸ πονηριῶν, τοῦτο ἰσχυρὸν καὶ λῦσαι αὐτάς. εἰ δὲ καὶ λῦσαι οὐχ ἰσχυρὸν ἦν, πῶς εὐλογεῖν παρῆγεν; οὐ γὰρ δὴ ὁ ἠδικηκὼς ἤδη καὶ εὐλογεῖται, ἀλλ' ἁμαρτημάτων ἀφίεται. τὸ δὲ, ὡς ἐμέ, εἰ μὲν κατὰ τὸν τῆς νομοθεσίας τις εἶπεν ἐνδείξαιτο, οὐδαμοῦ λόγον ἂν ἀλλαχοῦ ἕξοι. αὐτοῦ ἀκούσεσθε, φησί· καὶ οὐχ ἁπλῶς, ἀλλὰ τί; ἔσται πᾶσα ψυχὴ, ἥτις ἂν μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου, ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ. ὅτι αὐτοὺς ἔδειξεν ἡμαρτηκότας, καὶ συγγνώμης μετέδωκε, καὶ ἐπηγγείλατο χρηστά· τότε δὴ δείκνυσιν ὅτι καὶ Μωϋσῆς τὸ αὐτὸ λέγει. καὶ ποία αὕτη ἀκολουθία εἰπεῖν, ἄχρι [χ. τότε δὴ, τί, φησί, καὶ] χρόνων ἀποκαταστάσεως, καὶ ἐπαγαγεῖν Μωϋσέα λέγοντα, ὅτι πάντα ἀκούσεσθε, ἃ ἐρεῖ ὁ Χριστός· καὶ οὐχ ἁπλῶς, ἀλλὰ μετ' ἀπειλῆς φοβερᾶς; μεγάλη. δείκνυσι γὰρ, ὅτι καὶ διὰ τοῦτο πείθεσθαι ὀφείλουσιν αὐτῷ. τί ἐστιν, υἱοὶ τῶν προφητῶν, καὶ τῆς διαθήκης; κληρονόμοι, διάδοχοι. εἰ οὖν υἱοί, τί ὡς περὶ ἀλλότρια διάκεισθε πρὸς τὰ ὑμέτερα; ἆρα κατηγορίας μὲν ἐπράξατε ἄξια· δυνήσεσθε δὲ ὅμως συγγνώμης τυχεῖν. εἶτα ἐπειδὴ εἶπε ταῦτα, εἰκότως λοιπὸν λέγει· [χ. δηλοῦσα λέγων] ὑμῖν ἀπέστειλεν ὁ Θεὸς τὸν παῖδα αὐτοῦ εὐλογοῦντα ὑμᾶς. οὐκ εἶπε, σώζοντα, ἀλλ', ὃ μεῖζόν ἐστιν, ὅτι ὁ σταυρωθεὶς εὐλογεῖ τοὺς σταυρώσαντας.

Μιμησώμεθα τοίνυν τοῦτον καὶ ἡμεῖς· ἐκβάλωμεν ψυχὴν φονικὴν καὶ πολεμικήν. οὐκ ἀρκεῖ τὸ μὴ ἀμύνασθαι (τοῦτο καὶ ἐν τῇ παλαιᾷ γέγονεν) ἀλλὰ πάντα πράττωμεν ὑπὲρ τῶν ἠδικηκότων, ὡς ὑπὲρ φίλων γνησίων, ὡς ὑπὲρ ἡμῶν αὐτῶν. ἐκείνου μιμηταί ἐσμεν, ἐκείνου μαθηταί, τοῦ μετὰ τὸ σταυρωθῆναι πάντα κινοῦντος ὑπὲρ τῶν σταυρωσάντων, καὶ τοὺς ἀποστόλους ἐκπέμποντος. καίτοι ἡμεῖς πολλαχοῦ καὶ δικαίως πάσχομεν· ἐκεῖνος δὲ οὐ μόνον ἀδίκως, ἀλλὰ καὶ ἀσεβῶς. [χ. παιδευόμεθα.] τὸν εὐεργέτην γὰρ, τὸν οὐδὲν ἠδικηκότα, τοῦτον ἐσταύρωσαν. διὰ τί, εἰπέ μοι; δόξης ἕνεκεν; καὶ μὴν αὐτὸς αὐτοὺς ἐτίμησεν. πῶς; Ἐπὶ τῆς Μωϋσέως καθέδρας, φησὶν, ἐκάθισαν οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι· πάντα οὖν, ἃ λέγουσιν ὑμῖν ποιεῖν, ποιεῖτε, κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε. [Ματθ. κγ. β.] καὶ πάλιν ἀλλαχοῦ· Ὕπαγε, δεῖξον σεαυτὸν τῷ ἱερεῖ. [Ματθ. η. δ.] καὶ δυνάμενος αὐτοὺς ἀπολέσαι, σώζει. τοῦτον οὖν μιμησώμεθα, καὶ μηδεὶς ἐχθρός τινος ἔστω, μηδεὶς πολέμιος, ἀλλ' ἢ τοῦ διαβόλου μόνον. οὐ μικρὸν τι πρὸς τοῦτο καὶ τὸ μὴ ὀμνύναι συντελεῖ, καὶ τὸ μὴ ὀργίζεσθαι. ἀπὸ τοῦ μὴ ὀργίζεσθαι, οὐδὲ ἐχθρὸν ἕξομεν. ἔκκοψον, ἀδελφὲ, τὸν ὅρκον, καὶ τὰ πτερὰ περιέκοψας τῆς ὀργῆς, τὸν θυμὸν ἔσβεσας ἅπαντα. ὥσπερ γὰρ πνεῦμα ὀργῆς ὁ ὅρκος ἐστί. [χ. γὰρ ὁ] "χάλασον τὰ ἱστία. οὐδὲν ὄφελος ἱστοῦ, πνεύματος οὐκ ὄντος. ἂν τοίνυν μὴ κεκράζωμεν, μηδὲ ὀμνύωμεν, τὰ νεῦρα ἐξεκόψαμεν τοῦ θυμοῦ. εἰ δὲ ἀπιστεῖτε, πεῖραν λάβετε τοῦ πράγματος, καὶ ὅτι οὕτως ἔχει, τότε γνώσεσθε. θὲς τῷ θυμουμένῳ νόμον μηδέ-

ΗΘΙΚΟΝ

σαι, τὸν κριθέντα ἀπολυθῆναι μὴ λαβεῖν, τὸν δὲ θελῆσαι ἀνελεῖν, ποίας ἀγνοίας; ἀλλ' ὅμως δίδωσιν αὐτοῖς ἐξουσίαν ἀρνήσασθαι καὶ μεταγνῶναι ἐπὶ τοῖς γεγενημένοις· μᾶλλον δὲ καὶ ἀπολογίαν ὑπὲρ αὐτῶν συντίθησιν εὐπρόσωπον· καὶ λέγει· ὅτι μὲν οὖν ἀθῷον ἀνῄρητε, ἤδειτε· ὅτι δὲ τὸν ἀρχηγὸν τῆς ζωῆς, ἴσως ἠγνοεῖτε. καὶ [ἐντεῦθεν] οὐκ αὐτοὺς μόνους ἀφίησιν ἐγκλημάτων, ἀλλὰ καὶ τοὺς τῶν κακῶν ἀρχιτέκτονας. ἢ γὰρ ἂν φιλονεικοτέρους αὐτοὺς ἐποίησεν, εἴγε εἰς κατηγορίαν τὸν λόγον ἐξήγαγεν. ὁ γάρ τι δεινὸν ἐργασάμενος, ὅταν τις κατηγορῇ, πειρώμενος ἀπολογεῖσθαι, σφοδρότερος γίνεται. καὶ οὐ λέγει λοιπὸν ὅτι ἐσταυρώσατε, ἐφονεύσατε, ἀλλ', ἐπράξατε, ἐπὶ συγγνώμην αὐτοὺς ἄγων. εἰ ἐκεῖνοι κατὰ ἄγνοιαν, πολλῷ μᾶλλον οὗτοι· εἰ ἐκεῖνοι ἀφίενται, πολλῷ μᾶλλον οὗτοι. τὸ δὲ θαυμαστόν, ὅτι καὶ ἄνω καὶ ἐνταῦθα εἰπών· ἐκεῖ μέν, Τῇ ὡρισμένῃ βουλῇ καὶ προγνώσει, ἐνταῦθα δέ, ὅτι Προκατήγγειλε πᾶσι τὸν Χριστόν, οὐδαμοῦ παράγει μαρτυρίαν. ἱκανὴ γὰρ αὐτῶν μετὰ πολλῶν ἐγκλημάτων καὶ τῆς κολάσεως τῆς κατ' αὐτῶν εἴρηται. Καὶ δώσω, φησί, τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ, καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου αὐτοῦ. καὶ πάλιν· Ἃ προκατήγγειλε, φησί, διὰ στόματος πάντων τῶν προφητῶν παθεῖν αὐτόν, ἐπλήρωσεν οὕτω. μεγάλην δείκνυσι τὴν βουλήν, εἴγε πάντες τοῦτο ἔλεγον, καὶ οὐχ εἷς μόνος. οὐ μήν, ἐπειδὴ κατὰ ἄγνοιαν γέγονε, παρὰ τὸ τῷ Θεῷ δοκοῦν γέγονεν. ὅρα πόση τοῦ Θεοῦ ἡ σοφία, ὅταν ταῖς ἑτέρων πονηρίαις εἰς τὸ δέον ᾖ κατακεχρημένη. ἐπλήρωσε, φησίν. ἵνα μὴ νομίσωσι λοιπὸν ὑπολείπεσθαί τι, τοῦτο ἐπήγαγε· δηλῶν ὅτι ὅσα παθεῖν ἔδει, πεπλήρωται. ἀλλὰ μὴ νομίσητε, ἐπειδὴ οἱ προφῆται ταῦτα εἶπον, καὶ ἐπειδὴ κατὰ ἄγνοιαν ἐπράξατε, ὅτι ἀρκεῖ εἰς ἀπολογίαν ὑμῖν τοῦτο. ἀλλ' οὐ λέγει οὕτως, ἀλλὰ πρᾳότερον. μετανοήσατε οὖν. διατί; * εἰς τὸ ἐξαλειφθῆναι, φησίν, ὑμῶν τὰς ἁμαρτίας. οὐ λέγω τὰ ἐν τῷ σταυρῷ τετολμημένα (ἴσως ἐκεῖνα κατὰ ἄγνοιαν) ἀλλ' ὥστε τὰς ἑτέρας ὑμῶν ἁμαρτίας ἐξαλειφθῆναι *. εἶτα ἐπάγει· ὅπως ἂν ἔλθωσιν ὑμῖν καιροὶ ἀναψύξεως. ἐνταῦθα περὶ τῆς ἀναστάσεως διαλέγεται ἀμυδρῶς. ὄντως γὰρ ἐκεῖνοι ἀναψύξεως καιροί, οὓς ἐπιζητεῖ καὶ Παῦλος, λέγων· Καὶ ἡμεῖς οἱ ὄντες ἐν τῷ σκήνει στενάζομεν βαρούμενοι. εἶτα δεικνύς, ὅτι αὐτὸς τῶν καιρῶν τῆς ἀναψύξεως αἴτιος, καὶ ἀποστείλῃ, φησί, τὸν προκεχειρισμένον ὑμῖν Ἰησοῦν Χριστόν. καὶ οὐκ εἶπεν, ἐξαλειφθῇ ὑμῶν ἡ ἁμαρτία, ἀλλ', αἱ ἁμαρτίαι, καὶ ἐκείνην αἰνιττόμενος. ἀποστείλῃ. τοῦτο εἰπών, οὐ λέγει, πόθεν λοιπόν· ἀλλὰ μόνον ἐπάγει, ὃν δεῖ οὐρανὸν μὲν δέξασθαι, ἀκμὴν δέξασθαι. καὶ πῶς οὐκ εἶπεν, ὃν ὁ οὐρανὸς ἐδέξατο; τοῦτο ὡς περὶ τῶν ἄνω χρόνων διαλεγόμενος εἶπεν. οὕτως ᾠκονόμηται, φησίν, οὕτω συντίθεται. περὶ δὲ τῆς αἰωνίου ὑπάρξεως αὐτοῦ οὐδέπω φησίν, ἀλλ' ἔτι τοῖς τῆς οἰκονομίας λόγοις ἐνδιατρίβει, καὶ λέγει· Μωϋσῆς μὲν γὰρ εἶπε πρὸς τοὺς πατέρας, ὅτι προφήτην ὑμῖν ἀναστήσει Κύριος. εἶτα ἀνωτέρω εἰπών, ἄχρι χρόνων ἀποκαταστάσεως πάντων, ὧν ἐλάλησεν ὁ Θεὸς διὰ στόματος πάντων τῶν ἁγίων αὐτοῦ προφητῶν ἀπ' αἰῶνος, αὐτὸν εἰσάγει λοιπὸν τὸν Χριστόν. εἰ γὰρ πολλὰ προεῖπεν, αὐτοῦ δὲ ἀκούειν χρή, οὐκ ἄν τις ἁμάρτοι ταῦτα τοὺς προφήτας εἰρηκέναι λέγων. ἄλλως δέ, θέλει δεῖξαι ὅτι τὰ αὐτὰ καὶ οἱ προφῆται προεῖπον. κἄν τις ἀκριβῶς ἐξετάζῃ, εὑρήσει καὶ ἐν τῇ παλαιᾷ ἀμυδρῶς μὲν, εἰρημένα δὲ ὥστε οὐδὲν νεώτερον. τὸν προκεχειρισμένον, φησίν. ἐνταῦθα αὐτοὺς καὶ φοβεῖ, ὡς πολλῶν ὑπολειπομένων. πῶς οὖν ἔλεγεν, ἐπλήρωσεν ἃ ἔδει παθεῖν; ἐπλήρωσεν εἶπεν, οὐκ, ἐπληρώθη· δηλῶν, ὅτι ἃ μὲν ἐχρῆν παθεῖν αὐτόν, ἐπλήρωσεν· ἃ δὲ γενέσθαι λείπεται ἔτι, οὐδέπω. προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ. ὃ μάλιστα ᾠκοδόμει αὐτοὺς λέγει. ὁρᾷς πῶς ταπεινὰ καὶ ὑψηλὰ παρασπείρει; ταπεινὸν γὰρ καὶ ὑψηλόν, εἰ ὁ μέλλων εἰς οὐρανοὺς ἀνιέναι, κατὰ Μωϋσέα ἐστί. πλὴν ἀλλὰ πῶς μέγα ἦν. οὐ γὰρ δὴ κατὰ Μωϋσέα τό, καὶ ἔσται πᾶς ὁ μὴ ἀκούων ἐξολοθρευθήσεται. μυρία δὲ καὶ ἄλλα εἶπε τὰ δεικνύντα, ὅτι οὐκ ἔστι κατὰ Μωϋσέα· ὥστε μεγάλης

Marginal notes:
Ησ. νγ. θ.
β Κορ. ε. δ.
γ. τὰ αὐτά
γ. δεῖν ἐπάγειν αὐτόν
* ἢ γὰρ κατ' ἄγνοιαν, ἢ κατ' οἰκονομίαν * τοῦτο μὲν οὖν.
γ. ἐδέξατο
γ. οὐδὲ περὶ
γ. δι' ὧν προσεχ. ὅ. οὐδὲν νεώτερον. ἐνταῦθα
γ. ἀλλ' ἃ δεῖ [illegible]
γ. ἔπειτα τὰ

χ. λύειν. τὸ ἃ

οὐκ εἶπε, θελήσαντος, ἀλλὰ, κρίναντος ἐκείνου ἀπολύειν, δηλῶν ὅτι τὸν μὲν ἕτερον αἰτήσαντα ἠτήσατε ἀφεθῆναι, τὸν δὲ τοὺς νεκροὺς ζωογονοῦντα οὐκ ἠθελήσατε. καὶ ἵνα μὴ λέγωσι πάλιν, πῶς νῦν αὐτὸν δοξάζει ὁ τότε μὴ βοηθήσας; παράγει τοὺς προφήτας μαρτυροῦντας ὅτι οὕτως ἔδει γενέσθαι. εἶτα, ἵνα μὴ νομίσωσι τοῦ Θεοῦ τὴν οἰκονομίαν ἀπολογίαν αὐτῶν εἶναι, περιττῶς αὐτῶν καθάπτεται. καὶ τὸ κατὰ πρόσωπον δὲ Πιλάτου ἀρνήσασθαι, οὐκ ἦν τὸ τυχὸν, ἐκείνου βουλομένου ἀπολῦσαι· καὶ ὅτι οὐ δυνατὸν ὑμῖν ἀρνήσασθαι, κατηγορεῖ ὁ αἰτηθεὶς ἀντ' αὐτοῦ. καὶ γὰρ καὶ τοῦτο οἰκονομία μεγάλη ἦν. ἐνταῦθα τὴν ἀναισχυντίαν αὐτῶν δείκνυσι, καὶ τὴν ἰταμότητα· ὅτι ὁ μὲν ἔμελλεν καὶ τότε περὶ τὸν αὐτὸν ἰδὼν, ἀπήλλαξεν αὐτὸν, καίτοι οὐδὲν μέγα ἀκούσας· ὑμεῖς δὲ τοῖς σημείοις συντεθραμμένοι, τὸ ἐναντίον πεποιήκατε. ὅτι δὲ δικαίως ἔκρινεν

χ. ἐπειδὴ δὲ ἔκρινεν, κρίναντος ἐκείνου ἀπολύειν, ἵνα μὴ νομισθῇ χάριν ποιεῖν, καὶ ὅτι φησιν, ἔθος

ἐκεῖνος ἀπολύειν, καὶ οὐ κατὰ χάριν τοῦτο ἐποίει, ἄκουε αὐτοῦ ἀλλαχοῦ λέγοντος· Ἔθος ὑμῖν Ματθ. κζ. ιε.
ἐστὶν ἀπολύειν ἕνα τινά. θέλετε οὖν τοῦτον ἀπολύσω ὑμῖν; ὑμεῖς δὲ τὸν ἅγιον καὶ δίκαιον ἠρνήσασθε. οὐκ εἶπεν, ἐξεδώκατε, ἀλλὰ πανταχοῦ ἠρνήσασθε. εἰκότως. οὕτω γὰρ καὶ ἔλεγον· Οὐκ ἔχομεν βασιλέα, εἰ μὴ Καίσαρα. καὶ οὐκ εἶπεν, οὐκ ἐζητήσασθε τὸν ἀλυπον, Ιωαν. ιθ. ιε.
οὐδὲ ἠρνήσασθε μόνον, ἀλλὰ καὶ ἀπεκτείνατε. ὅτι πεπωρωμένοι ἦσαν, οὐδὲν τοιοῦτον εἶπεν·

χ. ἐποίει.

ὅτε μάλιστα ἐσπάσθησαν αὐτῶν αἱ ψυχαὶ, τότε πλήττει σφοδρότερον, ὅτε καὶ αἰσθέσθαι δύνανται. καθάπερ γὰρ ἡμεῖς τοῖς μὲν μεθύουσιν οὐδὲν λέγομεν, ὅταν δὲ νήψωσι καὶ ἀνενέγκωσιν ἀπὸ τῆς μέθης, τότε ἐπιπλήττομεν· οὕτω δὴ καὶ Πέτρος, ὅτε ἠδύναντο συνιέναι τῶν λεγομένων, τότε τὴν γλῶτταν ἠκόνησε, πολλὰ τὰ ἐγκλήματα ἐπάγων· εἶτα ὅτι ὃν ὁ Θεὸς ἐδόξασεν, οὗτοι παρέδωκαν· ὅτι ὃν ὁ Πιλᾶτος ἀπέλυεν, οὗτοι κατέκριναν, καὶ ὅτι ἠρνήσαντο κατὰ πρόσωπον ἐκείνου, καὶ ὅτι προετίμησαν τὸν λῃστήν. ὅρα πάλιν λανθανόντως πῶς περὶ τῆς δυνάμεως αὐτοῦ διαλέγεται, δεικνὺς ὅτι ἑαυτὸν ἤγειρε, καθάπερ ἐν τῇ προτέρᾳ δημηγορίᾳ ἔλεγε· Καθότι οὐκ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπ' Πραξ. β. κδ.
αὐτοῦ. καὶ ἐνταῦθα, τὸν δὲ ἀρχηγὸν, φησι, τῆς ζωῆς ἀπεκτείνατε. οὐκ ἄρα παρ' ἑτέρου εἶχε τὴν ζωήν. ὥσπερ ἀρχηγὸς τῆς κακίας, αὐτὸς ἂν εἴη ὁ τὴν κακίαν τικὼν καὶ ἀρχηγὸς φόνου ὁ τὸν φόνον πρῶτος εἰσαγαγών· οὕτω καὶ ἀρχηγὸς ζωῆς, ὁ παρ' ἑαυτοῦ τὴν ζωὴν ἔχων. ὃν ὁ Θεὸς ἤγειρέ, φησιν. ἐπεὶ τοῦτο ἐφθέγξατο, ἐπήγαγε· καὶ ἐπὶ τῇ πίστει τοῦ ὀνόματος αὐτοῦ, τοῦτον, ὃν θεωρεῖτε καὶ οἴδατε, ἐστερέωσε τὸ ὄνομα αὐτοῦ, καὶ ἡ πίστις ἡ δι' αὐτοῦ ἔδωκεν αὐτῷ τὴν ὁλοκληρίαν ταύτην. καίτοι μὲν εἰ ἡ εἰς αὐτὸν ἐστὶ πίστις ἡ τὸ πᾶν ἐργασαμένη, καὶ εἰς αὐτὸν ἐπίστευσε, τίνος ἕνεκεν οὐκ εἶπε, διὰ τοῦ ὀνόματος, ἀλλ', ἐν τῷ ὀνόματι; ὅτι οὔπω ἐθάρρουν εἰπεῖν, ἡ εἰς αὐτὸν πίστις.

χ. ὁ ἀρχηγὸς τῆς κακίας τίς ἂν εἴη; αὐτὸς ὁ τὴν κακίαν τικὼν, οὕτω καὶ ὁ ἀρχηγὸς τῆς ζωῆς

χ. τὸ

ἵνα δὲ μὴ τὸ δι' αὐτοῦ ταπεινὸν ᾖ, ἐπήγαγε· καὶ τὸ ὄνομα αὐτοῦ ἐστερέωσεν αὐτόν. καὶ τοῦτο περιττὸν εἰπών, τότε φησί· καὶ ἡ πίστις ἡ δι' αὐτοῦ ἔδωκεν αὐτῷ τὴν ὁλοκληρίαν ταύτην. ὅρα πῶς δείκνυσιν ὅτι καὶ ἐκ συγκαταβάσεως εἶπεν. οὐ γὰρ ἂν ἑτέρου ἐδεήθη πρὸς ἀνάστασιν, οὗ τὸ ὄνομα χωλὸν οὐδὲν νεκροῦ διαφέροντα ἤγειρε. σκόπει πῶς πανταχοῦ τὰς μαρτυρίας αὐτῶν ἐπισπᾶται. ἀνωτέρω μὲν γὰρ ἔλεγε· Καθὼς καὶ αὐτοὶ οἴδατε· καὶ, Ἐν μέσῳ ὑμῶν· καὶ πάλιν, Ὃν θεωρεῖτε καὶ οἴδατε ἀπέναντι πάντων ὑμῶν· Πραξ. β. κβ. καὶ γ. ιϛ.
καίτοι ὅτι ἐν τῷ ὀνόματι αὐτοῦ οὐκ ᾔδεισαν, ἀλλὰ τοῦτο ᾔδεσαν, ὅτι χωλὸς ἦν, ὅτι ὑγιὴς ἕστηκε. καὶ αὐτοὶ δὲ τὸ πεποιηκότες ὡμολόγουν, ὅτι οὐκ ἰδίᾳ δυνάμει, ἀλλὰ τῇ τοῦ Χριστοῦ ἐστερέωτο. εἰ δὲ μὴ τοῦτο ἦν, καὶ οὕτως πεπεισμένοι ἦσαν, ὅτι ἀνέστη, οὐκ ἂν ἠθέλησαν τοῦ νεκροῦ τὴν δόξαν στῆσαι μᾶλλον, ἢ τὴν ἑαυτῶν; καὶ ταῦτα ἐκείνων πρὸς αὐτοὺς ὁρώντων. εἶτα πεφοβημένας αὐτῶν τὰς ψυχὰς ἰδὼν εὐθέως τῇ τῶν ἀδελφῶν προσηγορίᾳ παρεμυθήσατο, εἰπών· ἄνδρες ἀδελφοί. ἐκεῖ μὲν γὰρ οὐδὲν περὶ ἑαυτῶν εἶπεν, ἀλλὰ μόνον περὶ τοῦ Χριστοῦ· ἀσφαλῶς οὖν γινωσκέτω, λέγων, πᾶς οἶκος Ἰσραήλ· ἐνταῦθα δὲ καὶ παραινέσει προσάγει. ἐκεῖ ἀνέλαβεν αὐτοὺς εἰπών· ἐνταῦθα ἤδη πόσον εἰργάσαντο, καὶ ὡς οὗτοι μᾶλλον ἦσαν ᾠκειωμένοι. καὶ μὲν τὰ ἄνω εἰρημένα οὐκ ἦν ἀγνοίας. τὸ γὰρ τὸν λῃστὴν αἰτῆ-

χ. προσειπών.

σαι,

Digitized by Google

20 Καὶ ἀποστείλῃ* τὸν προκεχειρισμένον Ἰησοῦν Χριστόν, *φησί.

21 Ὃν δεῖ οὐρανὸν μὲν δέξασθαι· Ἀντὶ τοῦ, ἀνάγκη ἐστίν·

Ἄχρι χρόνων ἀποκαταστάσεως πάντων. Διὰ τί νῦν οὐκ ἔρχεται; ἡ αἰτία δήλη.

Ὧν ἐλάλησεν, φησίν, ὁ Θεὸς διὰ στόματος τῶν ἁγίων αὐτοῦ προφητῶν τῶν ἀπ' αἰῶνος.

Δευτ. ιη. ιε. 22 Μωϋσῆς μὲν εἶπε πρὸς τοὺς πατέρας, ὅτι προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ὑμῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ· αὐτοῦ ἀκούσεσθε κατὰ πάντα, ὅσα ἂν λαλήσῃ πρὸς ὑμᾶς. Ἐκεῖ μὲν τοῦ Δαβὶδ ἐμνημόνευσεν, ἐνταῦθα δὲ Μωϋσέως. πάντων, φησίν, ὧν ἐλάλησεν ὁ Θεός. οὐ λέγει, ὧν εἶπεν ὁ Χριστός, ἀλλ', ὧν ἐλάλησεν ὁ Θεός, [ἔτι γὰρ συσκιάζει μᾶλλον αὐτοὺς ἐπαγόμενος εἰς πίστιν ἠρέμα]. Εἶτα ἐπὶ τὸ ἀξιόπιστον καταφεύγει, λέγων· προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ὑμῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ· αὐτοῦ ἀκούσεσθε κατὰ πάντα, ὅσα ἂν λαλήσει πρὸς ὑμᾶς. Εἶτα καὶ ἡ τιμωρία πολλή.

23 Ἔσται δέ, φησι, πᾶσα ψυχή, ἥτις ἂν μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου, ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ.

24 Καὶ πάντες δὲ οἱ προφῆται ἀπὸ Σαμουὴλ καὶ τῶν καθεξῆς, ὅσοι ἐλάλησαν, καὶ κατήγγειλαν τὰς ἡμέρας ταύτας. Ἐνταῦθα καλῶς τὸν ὄλεθρον ἔθηκεν. ὅταν γάρ τι λέγῃ μέγα, ἐπὶ τοὺς προφήτας καταφεύγει. καὶ μαρτυρίαν εὕρει ἀμφότερα ἔχουσαν, ὥσπερ ἐκεῖ εἶπεν· Ἕως ἂν θῶ τοὺς ἐχθρούς ὑπὸ τοὺς πόδας αὐτοῦ. τὸ γὰρ θαυμαστόν, ὅτι ὁμοῦ τὰ δύο, καὶ ὑποταγή, καὶ παραινεσις, καὶ ἡ τιμωρία. ὡς ἐμέ, φησι. τί τοίνυν ταράσσεσθε; Ψαλ. ρθ. α.

25 Ὑμεῖς ἐστε υἱοὶ τῶν προφητῶν· Ὥστε ὑμῖν ἔλεγεν, καὶ δι' ὑμᾶς πάντα γέγονεν. ἐπειδὴ γὰρ διὰ τὸ τόλμημα ἐνόμιζον ἑαυτοὺς ἠλλοτριῶσθαι (καὶ γὰρ οὐκ εἶχε λόγον τὸν αὐτὸν νῦν μὲν σταυρῶσαι, νῦν δὲ ὡς οἰκείους θεραπεύειν) δείκνυσιν, ὅτι καὶ ἐκ τῆς προφητείας, καὶ τοῦτο. *χ. καὶ οὐκ ἔχειν λέγειν* Ὑμεῖς ἐστέ, φησιν, υἱοὶ τῶν προφητῶν καὶ τῆς διαθήκης, ἧς διέθετο ὁ Θεὸς πρὸς τοὺς πατέρας ὑμῶν, λέγων πρὸς Ἀβραάμ· Καὶ ἐν τῷ σπέρματί σου εὐλογηθήσονται πᾶσαι αἱ πατριαὶ τῆς γῆς.

26 Ὑμῖν πρῶτον, φησιν, ὁ Θεὸς ἀναστήσας τὸν παῖδα αὐτοῦ, ἀπέστειλεν.

Ἄρα καὶ ἑτέροις· ἀλλ' ὑμῖν πρῶτον τοῖς σταυρώσασιν.

Εὐλογοῦντα ὑμᾶς, φησιν, ἐν τῷ ἀποστρέφειν ἕκαστον ἀπὸ τῶν πονηριῶν.

Ἴδωμεν δὲ ἀκριβέστερον ἄνωθεν τὰ ἀναγνωσθέντα. πῶς κατασκευάζει, ὅτι αὐτοὶ ἐποίησαν τὸ θαῦμα ἐν τῷ εἰπεῖν, τί θαυμάζετε; καὶ οὐκ ἀφίησιν ἀπιστεῖσθαι τὸ λεγόμενον. καὶ ἵνα ἀξιοπιστότερον αὐτὸ ποιήσῃ, προκαταλαμβάνει αὐτῶν τὴν κρίσιν· ἡμῖν, φησι, τί ἀτενίζετε, ὡς ἰδίᾳ δυνάμει, ἢ εὐσεβείᾳ πεποιηκόσιν; Εἰ τοῦτο ὑμᾶς ταράττει καὶ θορυβεῖ, μάθετε τίς ὁ ποιήσας, καὶ μὴ ἐκπλήττεσθε. καὶ ὅρα πανταχοῦ ὅτι, ἐπὶ τὸν Θεὸν ὅταν καταφεύγῃ, καὶ εἴπῃ παρ' αὐτοῦ γίνεσθαι πάντα, τότε ἀδεῶς αὐτοῖς ἐπιπλήττει· ὡς καὶ πρότερον ἔλεγεν, ἄνδρα ἀποδεδειγμένον ἀπὸ τοῦ Θεοῦ εἰς ὑμᾶς. *χ. διὰ τοῦτο καὶ* Καὶ πανταχοῦ ἀναμιμνήσκει αὐτοὺς τοῦ τολμήματος, ἵνα καὶ τὸ θαῦμα δειχθῇ, καὶ ἡ ἀνάστασις κυρωθῇ. ἐνταῦθα δὲ καὶ ἄλλο προσέθηκεν. *χ. δειχθῇ* οὐκ ἔτι γὰρ Ναζωραῖον λέγει· ἀλλὰ τί; ὁ Θεός, φησι, τῶν πατέρων ἡμῶν ἐδόξασε τὸν παῖδα αὐτοῦ Ἰησοῦν. ὅρα καὶ τὸ ἄτυφον. οὐκ ἐνεκάλεσεν, οὐδὲ εἶπεν εὐθέως, καὶ νῦν πιστεύετε· ἰδοὺ ἄνθρωπος τεσσαράκοντα ἔτη χωλὸς ὤν, ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ ἀνέστη· οὐχ οὕτως εἶπε (φιλονεικότερους γὰρ ἂν ἐποίησεν) ἀλλὰ πῶς αὐτοὺς ἐπαινεῖ, ὅτι ἐθαύμαζον τὸ γεγενημένον. καὶ πάλιν ἀπὸ τοῦ προγόνου καλεῖ·* καὶ οὐ λέγει, ὁ Ἰησοῦς αὐτὸν ἐθεράπευσεν, καίτοιγε καὶ αὐτὸς αὐτὸν ἐθεράπευσεν· ἀλλ' ἵνα μὴ λέγωσι, καὶ πῶς ἔχει ταῦτα λόγον, εἰ τὸν παράνομον δοξάζει; διὰ τοῦτο αὐτοὺς ἀναμιμνήσκει τῆς κρίσεως τῆς ἐπὶ Πιλάτου, δεικνὺς, ὅτι εἰ ἤθελον ἐκεῖνοι προσέχειν, οὐκ ἦν παράνομος. οὐ γὰρ εἰ ὁ Πιλάτος ἠθέλησεν αὐτὸν ἀπολῦσαι. καὶ *χ. ὅτι* *χ. οὐκέτι*



Digitized by Google

δόγμα. καὶ ἐκεῖ τοῦ πατριάρχου Δαβὶδ ἐμνημόνευσε, καὶ ἐνταῦθα τῆς περὶ τὸν Ἀβραάμ.

Ἐδόξασε, φησὶ, τὸν παῖδα αὐτοῦ Ἰησοῦν. Πάλιν ταπεινῶς, καθὼς ἐν τῷ προοιμίῳ. εἶτα λοιπὸν ἐνδιατρίβει τῷ τολμήματι, καὶ ἐπαίρει τὸ γεγενημένον, [ἀλλ᾽] οὐχ ὥσπερ πρότερον, "συσκιάζει. ποιεῖ δὲ τοῦτο, μᾶλλον αὐτοὺς ἐπαγαγέσθαι βουλόμενος. ὅσῳ γὰρ ἐδείκνυ ὑπευθύνους, τοσούτῳ μᾶλλον τοῦτο ἐγίνετο. ἐδόξασε, φησὶ, τὸν παῖδα αὐτοῦ Ἰησοῦν·

χ. συσκιάζων

Ὃν ὑμεῖς μὲν παρεδώκατε, καὶ ἠρνήσασθε αὐτὸν κατὰ πρόσωπον Πιλάτου, κρίναντος ἐκείνου ἀπολύειν. Δύο τὰ ἐγκλήματα· καὶ ὅτι Πιλάτος ἤθελεν ἀπολύειν, καὶ ὅτι ὑμεῖς, ἐκείνου θελήσαντος, οὐκ ἠθελήσατε.

14 Ὑμεῖς δὲ, φησὶ, τὸν ἅγιον καὶ δίκαιον ἠρνήσασθε, καὶ ᾐτήσασθε ἄνδρα φονέα χαρισθῆναι ὑμῖν·

15 Τὸν δὲ ἀρχηγὸν τῆς ζωῆς ἀπεκτείνατε, ὃν ὁ Θεὸς ἤγειρεν ἐκ νεκρῶν, οὗ ἡμεῖς μάρτυρές ἐσμεν. Ὅτι ἀντ᾽ αὐτοῦ φησὶ λῃστὴν ᾐτήσασθε, σφόδρα ἐδείνωσε τὸ πρᾶγμα. ἐπεὶ γὰρ εἶχεν αὐτοὺς ὑπὸ τὴν χεῖρα, πλήττει λοιπὸν σφοδρῶς. τὸν δὲ ἀρχηγὸν τῆς ζωῆς, φησίν. ἐνταῦθα τὴν πίστιν τῆς ἀναστάσεως κατασκευάζει. ὃν ὁ Θεὸς ἤγειρεν ἐκ νεκρῶν. ἵνα μή τις εἴπῃ, πόθεν τοῦτο δῆλον; οὐκέτι εἰς "προφήτας καταφεύγει, ἀλλ᾽ εἰς ἑαυτόν, ἐπεὶ λοιπὸν ἀξιόπιστος ἦν. τότε μὲν γὰρ εἰπὼν ὅτι ἀνέστη, τὸν Δαβὶδ ἐπηγάγετο μάρτυρα. νυνὶ δὲ εἰπὼν τὸ αὐτὸ, τὸν χορὸν ἐπήγαγε τὸν ἀποστολικόν. οὗ ἡμεῖς ἐσμεν, φησὶ, μάρτυρες.

χ. ἐκπίπτει

16 Καὶ ἐπὶ τῇ πίστει τοῦ ὀνόματος αὐτοῦ, τοῦτον, ὃν θεωρεῖτε καὶ οἴδατε, ἐστερέωσε τὸ ὄνομα αὐτοῦ, καὶ ἡ πίστις ἡ δι᾽ αὐτοῦ ἔδωκεν αὐτῷ τὴν ὁλοκληρίαν ταύτην ἀπέναντι πάντων ὑμῶν. Ζητεῖ τὸ πρᾶγμα εἰπεῖν, * εὐθέως τὸ σημεῖον ἐπάγει. ἐνώπιον, φησὶ, πάντων ὑμῶν. ἐπεὶ σφόδρα αὐτῶν καθήψατο, καὶ ἔδειξεν ἀναστάντα τὸν σταυρωθέντα, πάλιν ἀνίησι, δίδωσιν αὐτοῖς ἐξουσίαν μετανοίας, λέγων·

* καὶ πρὶν ἢ τι ῥηθῆν,

17 Καὶ νῦν, ἀδελφοὶ, οἶδα ὅτι κατὰ ἄγνοιαν ἐπράξατε, καθὼς καὶ οἱ ἄρχοντες ὑμῶν. Κατὰ ἄγνοιαν ἐπράξατε· μία αὕτη ἀπολογία δευτέρα, καθὼς καὶ οἱ ἄρχοντες ὑμῶν. ὥσπερ ὁ Ἰωσὴφ τοῖς ἀδελφοῖς ἔλεγεν, Ὅτι ὁ Θεὸς με ἀπέστειλεν ἔμπροσθεν ὑμῶν. ὅπερ ἐκεῖ συνεσταλμένως ἔλεγε, Τῇ ὡρισμένῃ βουλῇ καὶ προγνώσει τοῦ Θεοῦ ἔκδοτον λαβόντες, τοῦτο πλατύνει ἐνταῦθα.

Γεν. με. ε. Πραξ. β. κγ.

18 Ὁ δὲ Θεὸς, φησὶν, ἃ προκατήγγειλε διὰ στόματος πάντων τῶν προφητῶν αὐτοῦ παθεῖν τὸν Χριστὸν, ἐπλήρωσεν οὕτως· Ἅμα δεικνὺς ὅτι οὐκ ἐκείνων ἐστὶν, ἐὰν τοῦτο "δειχθῇ, καὶ ὅτι κατὰ Θεοῦ βουλὴν γέγονε. τῷ δὲ εἰπεῖν, ἃ προκατήγγειλε, τὰ ῥήματα, ἃ ἐπὶ τοῦ σταυροῦ ὠνείδιζον, ἀνίστησι. Εἰ θέλει αὐτὸν, σωσάτω αὐτὸν, λέγοντες. εἶπε [γὰρ] υἱὸς Θεοῦ εἰμι. * πέποιθεν ἐπ᾽ αὐτόν, καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ. λῆρος "ἦν, ὦ ἀνόητοι, ταῦτα; ἄπαγε· ἀλλ᾽ οὕτως ἔδει γενέσθαι καὶ μαρτυροῦσιν οἱ προφῆται. ὥστε οὐ παρὰ οἰκείαν ἀσθένειαν οὐ κατέβη, ἀλλὰ παρὰ δύναμιν. καὶ τίθησιν αὐτὸ ἐν τάξει ἀπολογίας τῆς ὑπὲρ Ἰουδαίων, ἵνα καὶ δέξωνται. ἐπλήρωσε, φησὶν, οὕτως. ὁρᾷς πῶς τὸ πᾶν ἐκεῖ ἀνάγει;

χ. δειχθῇ. ὅτι ἐπ. ἀλλ. δειχθῇ, ὅτι

* οἱ

χ. ἦν

Ματθ. κζ. μ.

19 Μετανοήσατε οὖν, φησὶ, καὶ "ἐπιστρέψατε. Καὶ οὐ λέγει ἀπὸ τῶν ἁμαρτιῶν ὑμῶν, ἀλλ᾽, Εἰς τὸ ἐξαλειφθῆναι ὑμῶν τὰς ἁμαρτίας, Τὸ αὐτὸ δηλῶν. εἶτα τὸ κέρδος ἐπάγει, Ὅπως ἂν ἔλθωσι καιροὶ ἀναψύξεως ἀπὸ προσώπου τοῦ Κυρίου. Δείκνυσιν ἐνταῦθα ταλαιπωρηθέντας αὐτοὺς, καὶ πολλοῖς κατεργασθέντας "κακοῖς. "ὅθεν καὶ οὕτως εἶπεν, Εἰδὼς, ὅτι πρὸς τὸν πάσχοντα καὶ παραμυθίαν ζητοῦντα οὗτος ἂν ἁρμόσειεν ὁ λόγος. καὶ ὅρα πῶς ὁδῷ προβαίνει. ἐν μὲν τῇ προτέρᾳ δημηγορίᾳ ἠρέμα τὴν ἀνάστασιν καὶ τὴν ἐν οὐρανῷ καθέδραν ᾐνίξατο· ἐνταῦθα δὲ, καὶ τὴν ἐμφανῆ παρουσίαν.

χ. ἐπιστρέψατε.

χ. πλείοσι. χ. πρὸς γὰρ τὸν κλαυσιώμενον, καὶ παραμυθίαν ἐπιζητοῦντα οὗτος

20 Καὶ

γεις αὐτοὺς δοκίμους εἶναι βούλομαι. οὐχ ὁρᾶτε ὅτι βέλτιον ἕνα λίθον τίμιον ἔχειν, ἢ μυρίους ὀβολούς; οὐχ ὁρᾶτε ὅτι βέλτιον τὸν ὀφθαλμὸν ὑγιαίνοντα ἔχειν, ἢ τοῦτον πεπηρωμένον πολυσαρκίᾳ βαρύνεσθαι; οὐχ ὁρᾶτε, ὅτι βέλτιον πρόβατον ἓν ὑγιαῖνον ἔχειν, ἢ μυρία ψώρας ἐμπεπλησμένα; οὐχ ὁρᾶτε, ὅτι εὐτεκνία μετ᾽ ὀλιγοτεκνίας βελτίων, ἢ πολυπαιδία μετὰ κακοπαιδίας; οὐχ ὁρᾶτε, ὅτι ἐν μὲν τῇ βασιλείᾳ ὀλίγοι, ἐν δὲ τῇ γεέννῃ πολλοί; τί ἐμοὶ ἔχει τὸ πλῆθος; τί δὲ ὄφελος; οὐδέν· ἀλλὰ μᾶλλον τοῖς ἄλλοις λύμη. ταυτὸν γάρ ἐστιν, οἷον ἂν εἴ τις, ἐξὸν δέκα ὑγιαίνοντας ἔχειν, ἢ μυρίους νοσοῦντας, ἐπεισάγει τοῖς δέκα τοὺς μυρίους*. τὸ πολλοὺς μηδὲν κατορθοῦντας, οὐδὲν ἕτερον ἡμῖν προξενήσουσιν, ἀλλ᾽ ἢ κόλασιν, καὶ κατὰ τὸ παρὸν ἀδοξίαν. οὐδεὶς γὰρ ὅτι πολλοί ἐσμεν ἐρεῖ, ἀλλ᾽ ὅτι ἄχρηστοι μέμφεται. τοῦτο γοῦν ἡμῖν ἀεὶ λέγουσιν, ὅταν εἴπωμεν ὅτι πολλοί ἐσμεν, ἀλλὰ κακοί, φησιν. ἰδοὺ πάλιν ἀπαγορεύω, καὶ λαμπρᾷ βοῶ τῇ φωνῇ, μηδεὶς νομιζέτω γέλωτα εἶναι. ἀπείρξω* καὶ κωλύσω τοὺς μὴ πειθομένους· καὶ ἕως ἂν ἐν τῷ θρόνῳ καθέζωμαι τούτῳ, οὐδὲν προήσομαι τῶν αὐτοῦ δικαιωμάτων. ἂν μέν τις καταβιβάσῃ, λοιπὸν ἀνεύθυνός εἰμι. ἕως δὲ ἂν ὑπεύθυνος ὦ, οὐ δύναμαι παριδεῖν· οὐ διὰ τὴν ἐμὴν κόλασιν, ἀλλὰ διὰ τὴν ὑμετέραν σωτηρίαν. σφόδρα γὰρ ὑμῶν ἐρῶ τῆς σωτηρίας. ὑπὲρ τούτου δάκνομαι καὶ ἀλγῶ· ἀλλὰ πείσθητε, ἵνα καὶ ἐνταῦθα, καὶ ἐν τῷ μέλλοντι πολὺν λάβητε τὸν μισθόν, καὶ κοινῇ τῶν αἰωνίων ἀπολαύσωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ, μεθ᾽ οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γρ. βέλτιον
γρ. πολυπαιδία
* ἐκείνους.
* [illegible]
γρ. κέκομμαι καὶ

Λογ. θ. 12 ΙΔΩΝ ΔΕ, ΦΗΣΙ, ΠΕΤΡΟΣ, ΑΠΕΚΡΙνατο πρὸς τὸν λαόν· ἄνδρες Ἰσραηλῖται, τί θαυμάζετε ἐπὶ τούτῳ, ἢ ἡμῖν τί ἀτενίζετε, ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν;

ΠΛείονος αὕτη γέμει παρρησίας ἡ δημηγορία. οὐκέτι γὰρ ἐν τῇ προτέρᾳ ἐφοβεῖτο, ἀλλ᾽ ἐπειδὴ οὐκ ἂν ἠνέγκαν ἐκεῖνοι, ἂν θερμοὶ χλευασταὶ ὄντες καὶ γελωτοποιοί. ὅθεν ἐκείνης μὲν ἀρχόμενος, καὶ ἐπιστρέφει αὐτοὺς διὰ τοῦ προοιμίου εὐθὺς λέγων· τοῦτο ὑμῖν γνωστὸν ἔστω, καὶ ἐνωτίσασθε τὰ ῥήματά μου· ἐνταῦθα δὲ οὐ δεῖται ταύτης τῆς κατασκευῆς. οὐ γὰρ ἐρρᾳθύμουν. τὸ γὰρ σημεῖον αὐτοὺς ἐπέστρεψεν ἅπαντας, καὶ δέους καὶ ἐκπλήξεως ἦσαν μεστοί. διὸ οὐδὲ ἐδέησεν αὐτῷ ἐντεῦθεν ἄρξασθαι, ἀλλ᾽ ἑτέρωθεν, ὅθεν μάλιστα αὐτοὺς ᾠκειώσατο, διακρουσάμενος τὴν δόξαν τὴν περὶ αὐτῶν. οὐδὲν γὰρ οὕτως ὠφελεῖ καὶ ἀνίησι τοὺς ἀκούοντας, ὡς τὸ μηδὲν περὶ ἑαυτοῦ λέγειν μέγα τὸν λέγοντα, ἀλλὰ καὶ τὴν ὑπόνοιαν ἀναιρεῖν. μᾶλλον οὖν ἑαυτοὺς ἐδόξασαν καταφρονήσαντες δόξης, καὶ δείξαντες οὐκ ἀνθρώπινον, ἀλλὰ θεῖον ὂν τὸ γεγονός, καὶ ὅτι τοὺς θαυμάζειν μετ᾽ αὐτῶν, οὐ τοὺς θαυμάζεσθαί εἰσιν ἄξιοι. ὁρᾷς πῶς φιλοτιμίας ὢν καθαρὸς διωθεῖται τὴν εἰς αὐτὸν δόξαν; οὕτω καὶ οἱ παλαιοὶ ἐποίουν, καθάπερ ὁ Δανιὴλ ἔλεγε, Καὶ ἐμοὶ δὲ οὐκ ἐν σοφίᾳ τῇ οὔσῃ ἐν ἐμοί. καὶ πάλιν ὁ Ἰωσήφ, Οὐχὶ διὰ τοῦ Θεοῦ ἡ διασάφησις αὐτῶν; καὶ ὁ Δαβίδ, Ὅτε ἤρχετο, φησίν, ὁ λέων καὶ ἡ ἄρκτος, ἐν ὀνόματι Κυρίου ταῖς χερσὶν αὐτοὺς διέσπων. καὶ οὗτοι νῦν· τί ἡμῖν ἀτενίζετε, ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν; οὐδὲ τοῦτο ἡμέτερον, φησιν. οὐ γὰρ ἐπειδὴ ἄξιοί ἐσμεν, ἐπεσπασάμεθα τοῦ Θεοῦ τὴν ῥοπήν.

Δαν. β. λ.
Γεν. μ. η.
α Βασ. ιζ. λδ.
γρ. ἐδέδιτο
γρ. κάμψασι
γρ. ὢν καθαρὸς καὶ διω-
γρ. ἀλλ᾽ οὐδὲ τοῦτο ἡ-

13 Ὁ Θεὸς Ἀβραάμ, καὶ ὁ Θεὸς Ἰσαάκ, καὶ ὁ Θεὸς Ἰακώβ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὅρα πῶς ἑαυτοὺς εἰσωθεῖ συνεχῶς εἰς τοὺς προγόνους, ἵνα μὴ δόξῃ καινόν τι εἰσάγειν δόγμα.

ἡ ἀκοή, ἣν ἐγὼ ἀκούω περὶ ὑμῶν· ἀλλὰ παρεισιοῦσα ἡ γραφή φησιν, Ὅτι οὐκ ἐνουθέτει τοὺς υἱεῖς αὐτοῦ. τοῦτο δὲ λέγει, ἐπειδὴ οὐ σφοδρῶς, οὐδὲ μετ' ἐπιπλήξεως τοῦτο ἐποίει. πῶς γὰρ οὐκ ἄτοπον, ἐν μὲν ταῖς συναγωγαῖς τῶν Ἰουδαίων οὕτως ἰσχυροὺς εἶναι τοὺς νόμους, καίτοι ὁ διδάσκων ἐπιτάξῃ πάντα γίνεσθαι· ἐνταῦθα δὲ οὕτως ἡμᾶς καταπεφρονῆσθαι καὶ ἀπερρίφθαι; οὐ τῆς ἐμαυτοῦ δόξης μοι μέλει (δόξα γὰρ ἐμή, ἡ ὑμετέρα εὐδοκίμησις) ἀλλὰ τῆς ὑμετέρας σωτηρίας. καθ' ἑκάστην ἡμέραν βοῶμεν, ἐνηχοῦμεν ὑμῶν ταῖς ἀκοαῖς· ὁ δὲ ἀκούων οὐδείς. καὶ οὐδὲν σφοδρὸν ἐπιδεικνύμεθα. φοβοῦμαι μὴ τῆς ἀκαίρου ταύτης καὶ πολλῆς φιλανθρωπίας λόγον κατὰ τὴν μέλλουσαν ἡμέραν ὑπόσχωμεν. διὸ μεγάλῃ καὶ λαμπρᾷ τῇ φωνῇ κηρύττω πᾶσι καὶ διαμαρτύρομαι, ὥστε τοὺς τὴν παράβασιν ταύτην ἐπιδεικνυμένους, τοὺς τὰ ἐκ τοῦ πονηροῦ φθεγγομένους (τοῦτο γάρ ἐστιν ὁ ὅρκος) τῶν οὐδῶν μὴ ἐπιβαίνειν τῶν ἐκκλησιαστικῶν. προθεσμία δὲ ὑμῖν ἔστω ὁ μὴν ὁ παρών, ὥστε κατορθῶσαι. μὴ γάρ μοι εἴπῃς, ὅτι μὲν τῶν πραγμάτων ἀνάγκη κατεπείγει, ὅτι ἀπιστοῦμαι. πῶς οὖν ἀπὸ τῆς συνηθείας περιεκόπτετε. οἶδα ὅτι πολλοὶ γελάσονται ἡμᾶς· ἀλλὰ βέλτιον ἡμᾶς γελασθῆναι νῦν, ἢ κλαίεσθαι τότε. γελάσονται δὲ ὅσοι μαίνονται. τίς γάρ, εἰπέ μοι, νοῦν ἔχων φυλαττομένους ἐντολὴν γελάσεται; εἰ δὲ ἄρα γελάσονται, ἀλλ' οὐχ ἡμᾶς, ἀλλὰ τὸν Χριστὸν οἱ τοιοῦτοι γελάσονται. ἐφρίξατε τὸ εἰρημένον; οἶδα κἀγώ. εἰ μὲν οὖν ἐγὼ τὸν νόμον τοῦτον εἰσήγαγον, ἐμὸς ἂν ἦν ὁ γέλως· εἰ δὲ ὁ νομοθέτης ἕτερός ἐστιν, ἐκεῖ διαβαίνει ἡ χλευασία. καὶ ἐνεπτύσθη ποτὲ ὁ Χριστός, καὶ ἐπὶ κόρρης ἐπλήγη καὶ ἐρραπίσθη. αἰσχύνεται καὶ νῦν ταῦτα· καὶ οὐδὲν ἀπαιτικός. διὰ τοῦτο γέεννα ἡτοίμασαι, διὰ τοῦτο σκώληξ ἀτελεύτητος. ἰδοὺ πάλιν λέγω καὶ διαμαρτύρομαι· ὁ βουλόμενος γελάτω, ὁ βουλόμενος χλευαζέτω. εἰς τοῦτο κείμεθα, εἰς τὸ γελᾶσθαι καὶ χλευάζεσθαι, εἰς τὸ πάντα παθεῖν. περικαθάρματα τοῦ κόσμου ἐσμὲν κατὰ τὸν μακάριον* Παῦλον. εἴ τις μὴ βούλεται κατορθῶσαι τοῦτο τὸ ἐπίταγμα, ὥσπερ σάλπιγγί τινι διὰ τοῦ λόγου ἀπαγορεύω τῶν οὐδῶν μὴ ἐπιβαίνειν τῶν ἐκκλησιαστικῶν τῷ τοιούτῳ, κἂν ἄρχων ᾖ, κἂν αὐτὸς ὁ τὸ διάδημα περικείμενος. ἢ καθέλετέ με ταύτης τῆς ἀρχῆς· ἢ μένοντά με μὴ περιβάλλετε κινδύνοις. οὐκ ἀνέχομαι ἐπὶ τὸν θρόνον τοῦτον ἀναβαίνειν μὴ μεγάλα κατορθῶν. εἰ γὰρ μὴ τοῦτο δυνατόν, βέλτιον ἑστάναι κάτω. ἄρχοντος γὰρ μηδὲν τοὺς ἀρχομένους ὠφελοῦντος οὐδὲν ἀθλιώτερον. συστρέψατε δὴ ἑαυτούς, καὶ προσέχετε, παρακαλῶ, καὶ συντείνωμεν ἑαυτούς, καὶ πάντως ἔσται τι πλέον. νηστεύσατε, παρακαλέσατε τὸν Θεόν, καὶ ἡμεῖς μεθ' ὑμῶν, ὥστε τὴν ὀλέθριον ταύτην ἐξελεῖν συνήθειαν. οὐδὲν μέγα ἐστὶ γενέσθαι διδασκάλους τῆς οἰκουμένης· οὐ μικρὸν ἀκουσθῆναι πανταχοῦ, ὅτι δὴ ἐν τῇδε τῇ πόλει οὐδείς ἐστιν ὁ ὀμνύς. ἂν τοῦτο γένηται, οὐ τῶν οἰκείων κατορθωμάτων λήψεσθε μόνον τὸν μισθόν, ἀλλὰ καὶ τῆς ὑπὲρ τῶν ἀδελφῶν σπουδῆς. ὅπερ γὰρ ὑμῖν εἰμι ἐγώ, τοῦτο ὑμεῖς τῇ οἰκουμένῃ γένησθε. πάντως καὶ ἕτεροι ζηλώσουσιν ὑμᾶς, πάντως ἔσεσθε λύχνος ἐπὶ λυχνίας κείμενος. καὶ τοῦτό ἐστι, φησί, τὸ πᾶν; οὐ τοῦτό ἐστι τὸ πᾶν, ἀλλὰ τοῦτο ἀρχὴ τῶν ἄλλων. ὁ μὴ ὀμνὺς πάντως ἐπὶ εὐλάβειαν ἥξει καὶ ἑτέραν, καὶ ἑκὼν καὶ ἄκων, καὶ αἰσχυνόμενος καὶ φοβούμενος. ἀλλ' οὐκ ἀνέχονται πολλοί, φησιν, ἀλλ' ἀποπηδῶσιν. ἀλλὰ Βέλτιον εἷς ποιῶν τὸ θέλημα Κυρίου, ἢ μυρίοι παράνομοι. ἀπὸ γὰρ τούτου πάντα ἀνατέτραπται, πάντα ἄνω καὶ κάτω γέγονεν, ὅτι καθάπερ ἐν τοῖς θεάτροις, πλήθους ἐφιέμεθα, οὐ πλήθους δοκίμου. τί γὰρ ὄχλος, εἰπέ μοι, δυνήσεται ὠφελῆσαι; βούλει μαθεῖν, ὅτι ὄχλος οἱ ἅγιοί εἰσιν, οὐχ οἱ πολλοί; ἐξαγάγετε εἰς πόλεμον ἑκατὸν μυριάδας, καὶ ἕνα ἅγιον· ἴδωμεν τίς πλείονα κατορθοῖ. ἐξῆλθεν ὁ Ἰησοῦς ὁ τοῦ Ναυῆ εἰς τὸν πόλεμον, καὶ μόνος ἅπαντα κατώρθωσεν, οἱ ἄλλοι οὐδὲν ὤνησαν.* ὁ πολὺς ὄχλος, ἀγαπητέ, ὅταν θέλημα τοῦ Θεοῦ μὴ ποιῇ, οὐδὲν διενήνοχε τῶν οὐκ ὄντων. εὔχομαι μὲν οὖν καὶ βούλομαι, καὶ ἡδέως ἂν καὶ κατακοπείην, ὥστε κοσμῆσαι πλήθει τὴν ἐκκλησίαν, ἀλλὰ πλήθει δοκίμῳ· εἰ δὲ τοῦτο οὐχ οἷόν τε, τοὺς ὀλί-

γους

Margin notes: γ. διδάσκαλος — α. Θεσ. β. κ. — γ. κλαίεσθαι — Ματθ. κε. κη. — * ἀπόστολον — α. Κορ. δ. ιγ. — Ματθ. ε. ιε. — γ. βελτίων — Σειρ. ις. γ. — γ. ὀνῆσαι; — * ἀλλὰ ποῦ δίκαιος ἰδεῖν. ἐστι

Digitized by Google

σαντο· ἢ ὡς κεχωρισμένου τοῦ τόπου. καὶ ὅρα τὸ γινόμενον. ἐφ' ἑτέραις δῆλον προφάσεσιν, καὶ ἕτερα ἐργάζονται. οὕτω καὶ ὁ Κορνήλιος ἄλλα πιστεύων ηὔχετο, καὶ ἄλλα ὁρᾷ. μίγνει δὲ ὅτι πανταχοῦ τὸν Χριστὸν Ναζωραῖον ὀνομάζουσιν· ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου, φησὶν, ἔγειραι καὶ περιπάτει. πῶς γὰρ τοῦτον ἦσαν τὸν ζητούμενον, τὸ πιστευθῆναι αὐτοῖ.

ΗΘΙΚΟΝ

Μὴ δὴ πρὸς τὴν ἀρχὴν ἀποκάμωμεν τοῦ διηγήματος· ἀλλ' εἰ καὶ κατόρθωμά τις εἰπὼν διαλίπῃ, πάλιν ἀναλαμβάνωμεν τὴν ἀρχήν· ἂν ἐν ἕξει γενώμεθα, ταχέως πρὸς τὸ τέλος ἥξομεν, ταχέως πρὸς τὴν κορυφὴν στησόμεθα. σπουδὴ γὰρ, φησὶ, σπουδὴν γεννᾷ, καὶ ῥαθυμία ῥαθυμίαν. ὁ μικρόν τι κατωρθωκὼς, ἔλαβε παράκλησιν ἐπὶ τὸ μεῖζον ἐλθεῖν [ἢ καὶ μᾶλλον] ἐξ ἐκείνου [περαιτέρω χωρῆσαι.] καὶ καθάπερ τὸ πῦρ ὅσα ἂν περιλάβῃ ξύλα, τοσούτῳ σφοδρότερον γίνεται· οὕτω καὶ προθυμία, ὅπερ ἂν διεγείρῃ λογισμοὺς εὐσεβεῖς, τοσούτῳ μᾶλλον κατὰ τῶν ἄλλων ὁπλίζεται. οἷόν τι λέγω. ἑστήκασιν [ἐν ἡμῖν] καθάπερ ἄκανθαι, ἐπιορκία, ψεῦδος, ὑπόκρισις, δόλος, κακουργία, λοιδορία, σκώμματα, γελωτοποιΐαι, αἰσχρολογίαι, εὐτραπελίαι· πάλιν ἐν ἄλλῳ μέρει, πλεονεξία, ἁρπαγὴ, ἀδικία, συκοφαντία, ἐπιβουλαί· πάλιν ἐπιθυμία πονηρὰ, ἀκαθαρσία, ἀσέλγεια, πορνεία, μοιχεία· πάλιν φθόνος, ζηλοτυπία, ὀργὴ, θυμὸς, μνησικακία, ἀνταπόδοσις, βλασφημία, μυρία τοιαῦτα. ἂν τὰ πρότερα κατορθώσωμεν, οὐκ ἐκεῖνα μόνον κατώρθωται, ἀλλὰ δι' ἐκείνων καὶ τὰ μετὰ ταῦτα. ἰσχυρότερος γὰρ γίνεται λοιπὸν ὁ λογισμὸς πρὸς τὴν ἐκείνων ἀναστροφήν. οἷον, ὁ πολλὰ ὀμνὺς ἂν περιέλῃ τὸ σατανικὸν ἔθος τοῦτο, οὐ τοῦτο μόνον αὐτῷ κατώρθωται, ἀλλὰ καὶ ἑτέρα εὐλάβεια ἐπεισῆκται. οὐδεὶς γὰρ, οἶμαι, τῶν οὐκ ὀμνυόντων εὐκόλως θελήσει ἄλλο τι πρᾶξαι πονηρὸν, ἀλλὰ τὴν ἤδη κατορθωθεῖσαν ἀρετὴν αἰδεσθήσεται. καθάπερ γὰρ ὁ φορῶν ἱμάτιον καλὸν αἰδεῖται βορβόρῳ ἐγκυλίσαι ἑαυτὸν· οὕτω δὴ καὶ ἐνταῦθα. ἀπὸ δὲ τούτου ἥξει εἰς τὸ μὴ ὀργίζεσθαι, μηδὲ τύπτειν, μηδὲ ὑβρίζειν. ἂν γὰρ ἅπαξ τὰ μικρὰ κατορθώσῃ, τὸ πᾶν ἤνυσται. συμβαίνει δὲ πολλάκις καὶ τὸ ἐναντίον· ἅπαξ κατορθώσαντά τι πάλιν ἀπὸ ῥαθυμίας τοῖς αὐτοῖς περιπεσεῖν προχείρως, καὶ εἰς ἀδύνατον περιστῆναι λοιπὸν τὸ πρᾶγμα. οἷον, ἔθηκαμεν ἑαυτοῖς νόμον μὴ ὀμνύναι· κατορθώσαμεν ἡμέρας τρεῖς ἢ καὶ τέσσαρας· μετ' ἐκείνας εἰς ἀνάγκην περιπεσόντες, τὸ συλλεγὲν ἅπαν κέρδος ἐσκορπίσαμεν. εἰς ῥαθυμίαν λοιπὸν ἐμπίπτομεν καὶ ἀπόγνωσιν, ὡς μηδὲ τῶν αὐτῶν ἅψασθαι βουληθῆναι πάλιν. καὶ εἰκότως. ὁ γάρ τι οἰκοδομήσας ἑαυτῷ, εἶτα ἰδὼν καθῃρημένον τὸ οἰκοδόμημα, ῥαθυμότερος ἔσται πρὸς τὸ πάλιν οἰκοδομεῖν. ἀλλ' οὐ δεῖ ῥαθυμεῖν οὐδὲ οὕτως, ἀλλὰ πάλιν ἔχεσθαι τῆς σπουδῆς. θῶμεν τοίνυν ἑαυτοῖς νόμους καθημερινούς· πῶς ἀπὸ τῶν εὐκόλων ἀρξώμεθα· περικόψωμεν ἡμῶν τὴν πολυορκίαν τοῦ στόματος, χαλινὸν ἐπιθῶμεν τῇ γλώττῃ, μηδεὶς ὀμνύτω τὸν Θεόν. οὐκ ἔστιν ἐνταῦθα δαπάνη, οὐκ ἔστιν ἐνταῦθα κάματος, οὐκ ἔστιν ἐνταῦθα χρόνου μελέτη· ἀρκεῖ θελῆσαι, καὶ τὸ πᾶν γέγονε. συνηθείας γὰρ τὸ πρᾶγμά ἐστι. παρακαλῶ καὶ δέομαι, σπουδὴν τοιαύτην εἰσενέγκωμεν. εἰπὲ δή μοι, εἰ χρήματα ἐκέλευσα εἰσενεγκεῖν, οὐκ ἂν προθύμως ἕκαστος τὰ κατὰ δύναμιν συνεβάλεσθε; εἰ μὲν ἐν κινδύνοις ἑωρᾶτε τοῖς ἐσχάτοις, οὐκ ἂν καὶ ἀπὸ τῆς σαρκὸς, εἴγε οἷοί τε ἦν, ἀποτεμόντες ἐδῶτε ἄν; ἐν κινδύνῳ καὶ νῦν εἰμι, καὶ πολλῷ, καὶ ὡς ἂν, εἰ καὶ μετὰ τούτου καὶ δεσμωτήριον ᾤκουν, ἢ μυρίας ἔλαβον πληγὰς, ἢ εἰς μέταλλα ἐτύγχανον, οὐκ ἂν τούτου πλέον ἤλγησα. χεῖρα τοίνυν ὀρέξατε· ἐννοήσατε γὰρ ὅσος κίνδυνος, μηδὲ τὸ μικρότατον τοῦτο. μικρότατον δὲ λέγω, ὅσον εἰς πόνον ἥκει, δυνηθῆναι κατορθῶσαι. τί ἐρῶ τότε ἐγκαλούμενος, διατί μὴ διελέχθης; διατί μὴ ἐπέταξας; διατί μὴ νόμον ἔθηκας; διατί τοὺς μὴ πειθομένους οὐκ ἐκώλυσας; οὐκ ἀρκεῖ μοι εἰπεῖν, ὅτι ἐνουθέτησα· ἀλλὰ καὶ σφοδροτέρας ἡμῖν, φησὶν, ἐπιτιμήσεως ἔδει· ἐπεὶ καὶ ὁ Ἠλεὶ ἐνουθέτει (ἀλλὰ μὴ γένοιτο ὑμᾶς ἐκείνοις [α. Βασ. β. κεφ. δ] παραβάλλεσθαι τοῖς παισὶ) κἀκεῖνος ἐνουθέτει, καὶ ἔλεγε· Μὴ τέκνα, μὴ πιστὴ οὕτω· πονηρὰ ἡ ἀκοὴ,

[χ. καὶ κατόρθωμά τι εἰπ.] [χ. καὶ πάλιν δεῖ τι πλέον ἐκείνου.] [χ. ποιοῦντες, οἷον ἄπ.] [χ. ἐσκεδασμένων.] [χ. ἡμῶν] [χ. διηλέγχθης]

γάλης ἢ ἀπὸ τῆς μαρτυρίας. ὁ Θεὸς αὐτὸν ἀναστήσει, φησὶν, ἐκ τῶν ἀδελφῶν ὑμῶν· ὥστε Μωϋσῆς αὐτὸς ἠπείλησε τοῖς μὴ ἀκούουσι. ταῦτα εἶπεν ἐπαγαγών. καὶ πάντες δὲ, φησὶν, οἱ προφῆται ἀπὸ Σαμουήλ. οὐκ ἠθέλησε καθ' ἕκαστον ἐπεξιέναι, ὥστε μὴ μακρὸν ποιῆσαι τὸν λόγον· ἀλλὰ ἀκριβείας μισηθεὶς μαρτυρίας τῆς Μωϋσαϊκῆς, παρέπεμψεν αὐτούς. ὑμεῖς ἐστε, φησὶν, υἱοὶ τῶν προφητῶν καὶ τῆς διαθήκης, ἧς διέθετο ὁ Θεός. τῆς διαθήκης, φησὶν, υἱοί. τί ἐστι, τῆς διαθήκης υἱοί; τουτέστι, κληρονόμοι. ἵνα γὰρ μὴ δόξωσιν ὡς ἀπὸ χάριτος Πέτρου ταῦτα λαμβάνειν, δείκνυσιν ὅτι ἄνωθεν αὐτοῖς ὠφείλετο, ἵνα μᾶλλον πιστεύσωσιν, ὅτι καὶ τῷ Θεῷ τοῦτο δοκεῖ. ὑμῖν πρῶτον ἀναστήσας, φησὶν, ὁ Θεὸς τὸν παῖδα αὐτοῦ ἀπέστειλεν. οὐκ εἶπεν, ὑμῖν ἁπλῶς ἀπέστειλε τὸν παῖδα αὐτοῦ, ἀλλὰ καὶ μετὰ τὴν ἀνάστασιν, καὶ ὅτε ἐσταυρώθη. ἵνα γὰρ μὴ νομίσωσιν, ὅτι αὐτὸς μὲν ταῦτα ἐχαρίζετο, ὁ δὲ πατὴρ οὐχί, διὰ τοῦτο προσέθηκε τὸ, εὐλογοῦντα ὑμᾶς. εἰ γὰρ ἀδελφὸς ὑμῶν αὐτὸς, καὶ εὐλογεῖ ὑμᾶς, ὑπόσχεσις τὸ πρᾶγμά ἐστι· τουτέστι, τοσοῦτον ἀπέχετε τοῦ μὴ κοινωνεῖν τούτοις, ὅτι καὶ τοῖς ἄλλοις ὑμᾶς αἰτίους καὶ ἀρχηγοὺς βούλεται γενέσθαι. "οὐκοῦν μὴ ὡς ἀπερριμμένοι διάκεισθε, ἢ ἀποβεβλημένοι.* ἐν τῷ ἀποστρέφειν, φησὶν, ἕκαστον ἀπὸ τῶν πονηριῶν. οὕτως ὑμᾶς εὐλογεῖ, οὐχ ἁπλῶς. καὶ ποία αὕτη εὐλογία; μεγάλη. οὐ γὰρ δὴ τὸ ἀποστρέψαι ἀπὸ πονηριῶν, τοῦτο ἱκανὸν καὶ λῦσαι αὐτάς. εἰ δὲ καὶ λῦσαι οὐχ ἱκανὸν ἦν, πῶς εὐλογίαν παρέχειν; οὐ γὰρ δὴ ὁ ἠδικηκὼς ἤδη καὶ εὐλογεῖται, ἀλλ' ἁμαρτημάτων ἀφίεται. τὸ δὲ, ὡς ἐμὲ, εἰ μὴ κατὰ τὸν τῆς νομοθεσίας τις τρόπον ἐκδέξαιτο, οὐδαμοῦ λόγον ἂν ἀλλαχοῦ ἕξοι. αὐτοῦ ἀκούσεσθε, φησί· καὶ οὐχ ἁπλῶς, ἀλλὰ τί; ἔσται πᾶσα ψυχὴ, ἥτις ἂν μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου, ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ. ὅτι αὐτοὺς ἔδειξεν ἡμαρτηκότας, καὶ συγγνώμης μετέδωκε, καὶ ἐπηπείλατο χρηστά·" τότε δὲ δείκνυσιν ὅτι καὶ Μωϋσῆς τὸ αὐτὸ λέγει. καὶ ποία αὕτη ἀκολουθία εἰπεῖν, ἄχρι χρόνων ἀποκαταστάσεως, καὶ ἐπαγαγεῖν Μωϋσέα λέγοντα, ὅτι πάντα ἀκούσεσθε, ἅπερ ἂν ὁ Χριστός· καὶ οὐχ ἁπλῶς, ἀλλὰ μετὰ ἀπειλῆς φοβερᾶς; μεγάλη. δείκνυσι γὰρ, ὅτι καὶ διὰ τοῦτο πείθεσθαι ὀφείλουσιν αὐτῷ. τί ἐστιν, υἱοὶ τῶν προφητῶν, καὶ τῆς διαθήκης; κληρονόμοι, διάδοχοι. εἰ οὖν υἱοὶ, τί ὡς περὶ ἀλλότρια διάκεισθε πρὸς τὰ ὑμέτερα; ἄρα κατηγορίας μὲν ἐπράξατε ἄξια· δυνήσεσθε δὲ ὅμως συγγνώμης τυχεῖν. εἶτα ἐπειδὴ εἶπε ταῦτα, εἰκότως λοιπὸν" λέγει· ὑμῖν ἀπέστειλεν ὁ Θεὸς τὸν παῖδα αὐτοῦ εὐλογοῦντα ὑμᾶς. οὐκ εἶπε, σώζοντα, ἀλλ', ὃ μεῖζόν ἐστιν, ὅτι ὁ σταυρωθεὶς εὐλογεῖ τοὺς σταυρώσαντας.

χ. μὴ γὰρ πάλιν τὸ ἐάσαι.

χ. ποτὲ δὲ, ποτὲ, φησὶ, καὶ

χ. δωίαν λέγειν

ΗΘΙΚΟΝ

Μιμησώμεθα τοίνυν τοῦτον καὶ ἡμεῖς· ἐκβάλωμεν ψυχὴν φονικὴν καὶ πολεμίαν. οὐκ ἀρκεῖ τὸ μὴ ἀμύνασθαι (τοῦτο καὶ ἐν τῇ παλαιᾷ γέγονεν) ἀλλὰ πάντα πράττωμεν ὑπὲρ τῶν ἠδικηκότων, ὡς ὑπὲρ φίλων γνησίων, ὡς ὑπὲρ ἡμῶν αὐτῶν. ἐκείνου μιμηταί ἐσμεν, ἐκείνου μαθηταί, τοῦ μετὰ τὸ σταυρωθῆναι πάντα κινοῦντος ὑπὲρ τῶν σταυρωσάντων, καὶ τοὺς ἀποστόλους ἐκπέμποντος. καίτοιγε ἡμεῖς πολλαχοῦ καὶ δικαίως" πάσχομεν· ἐκεῖνος δὲ οὐ μόνον ἀδίκως, ἀλλὰ καὶ ἀσεβῶς. τὸν εὐεργέτην γὰρ, τὸν οὐδὲν ἠδικηκότα, τοῦτον ἐσταύρωσαν. διὰ τί, εἰπέ μοι; δόξης ἕνεκεν; καὶ μὴν αὐτὸς αὐτοὺς ἐσέμνυνε. πῶς; Ἐπὶ τῆς Μωϋσέως καθέδρας, φησὶν, ἐκάθισαν οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι· πάντα οὖν, ἃ λέγουσιν ὑμῖν ποιεῖν, ποιεῖτε, κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε. καὶ πάλιν ἀλλαχοῦ· Ὕπαγε, δεῖξον σεαυτὸν τῷ ἱερεῖ. καὶ δυνάμενος αὐτοὺς ἀπολέσαι, σώζει. τοῦτον οὖν μιμησώμεθα, καὶ μηδεὶς ἐχθρός τινος ἔστω, μηδεὶς πολέμιος, ἀλλ' ἢ τοῦ διαβόλου μόνον. οὐ μικρὸν τι πρὸς τοῦτο καὶ τὸ μὴ ὀμνύναι συντελεῖ, καὶ τὸ μὴ ὀργίζεσθαι. ἀπὸ τοῦ μὴ ὀργίζεσθαι, οὐδὲ ἐχθρὸν ἕξομεν. ἔκκοψον, ἄνθρωπε, τὸν ὅρκον, καὶ τὰ πτερὰ περικόψας τῆς ὀργῆς, τὸν θυμὸν ἔσβεσας ἅπαντα. ὥσπερ γὰρ πνεῦμα ὀργῆς ὁ ὅρκος ἐστί." χάλασον τὰ ἱστία. οὐδὲν ὄφελος ἱστίου, πνεύματος οὐκ ὄντος. ἂν τοίνυν μὴ κράζωμεν, μηδὲ ὀμνύωμεν, τὰ νεῦρα ἐξεκόψαμεν τοῦ θυμοῦ. εἰ δὲ ἀπιστεῖτε, πεῖραν λάβετε τοῦ πράγματος, καὶ ὅτι οὕτως ἔχει, τότε γνώσεσθε. θὲς τῷ θυμουμένῳ νόμον μηδέ-

χ. πανδαμῶν·

Ματθ. κγ. β.

Ματθ. η. δ.

χ. καὶ τὸ

σαι, τὸν κριθέντα ἀπολυθῆναι μὴ λαβεῖν, τὸν δὲ θελῆσαι ἀνελεῖν, ποίας ἀγνοίας; ἀλλ' ὅμως δίδωσιν αὐτοῖς ἐξουσίαν ἀρνήσασθαι καὶ μεταγνῶναι ἐπὶ τοῖς γεγενημένοις· μᾶλλον δὲ καὶ ἀπολογίαν ὑπὲρ αὐτῶν συντίθησιν ἀντιπρόσωπον καὶ λέγει· ὅτι μὲν οὕτως ἀθῷον ἀνῄρηται, ᾔδειτε· ὅτι δὲ ὁ ἀρχηγὸς τῆς ζωῆς, ἴσως ἠγνοεῖτε. καὶ [ἐντεῦθεν] οὐκ αὐτοὺς μόνους ἀφίησιν ἐγκλημάτων, ἀλλὰ καὶ τοὺς τῶν κακῶν ἀρχιτέκτονας. ἢ γὰρ ἂν φιλονεικοτέρους αὐτοὺς ἐποίησεν, εἴγε εἰς κατηγορίαν τὸν λόγον ἐξήγαγεν. ἐγὼ γάρ τι δεινὸν ἐργασάμενος, ὅταν τις κατηγορῇ, προφασιζόμενος ἀπολογεῖσθαι, σφοδρότερος γίνομαι. καὶ οὐ λέγει λοιπὸν, ὅτι ἐσταυρώσατε, ἐφονεύσατε, ἀλλ', ἐπράξατε, ἐπεὶ συγγνώμην αὐτοῖς ἄγων. εἰ ἐκεῖνοι κατὰ ἄγνοιαν, πολλῷ μᾶλλον οὗτοι· εἰ ἐκεῖνοι ἀφίενται, πολλῷ μᾶλλον οὗτοι. τὸ δὲ θαυμαστὸν, ὅτι καὶ ἄνω καὶ ἐνταῦθα εἰπών· ἐκεῖ μὲν, Τῇ ὡρισμένῃ βουλῇ καὶ προγνώσει, ἐνταῦθα δὲ, ὅτι Προκατήγγειλε πᾶσι τὸν Χριστὸν, οὐδαμοῦ παράγει μαρτυρίαν. ἔκειτο γὰρ αὐτὴ μετὰ πολλῶν ἐγκλημάτων καὶ τῆς κολάσεως τῆς κατ' αὐτῶν εἰρημένη. Ησ. νγ. θ. Καὶ δώσω, φησὶ, τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ, καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου αὐτοῦ. καὶ πάλιν· Ἃ προκατήγγειλε, φησὶ, διὰ στόματος πάντων τῶν προφητῶν παθεῖν αὐτὸν, ἐπλήρωσεν οὕτω. μεγάλην δείκνυσι τὴν βουλὴν, εἴγε πάντες τοῦτ' ἔλεγον, καὶ οὐχ εἷς μόνος. οὐ μὴν, ἐπειδὴ κατὰ ἄγνοιαν γέγονε, παρὰ τὸ τῷ Θεῷ δοκοῦν γέγονεν. ὅρα πόση τοῦ Θεοῦ ἡ σοφία, ὅταν ταῖς ἑτέρων πονηρίαις εἰς τὸ δέον ἡ κατάχρησις γένηται. ἐπλήρωσε, φησίν. ἵνα μὴ νομίσωσι λοιπὸν ἀπολείπεσθαί τι, τοῦτο ἐπήγαγε· δηλῶν ὅτι ὅσα παθεῖν ἔδει, πεπλήρωται. ἀλλὰ μὴ νομίσητε, ἐπειδὴ οἱ προφῆται ταῦτα εἶπον, καὶ ἐπειδὴ κατὰ ἄγνοιαν ἐπράξατε, ὅτι ἀρκεῖ εἰς ἀπολογίαν ὑμῖν τοῦτο. ἀλλ' οὐ λέγει οὕτως, ἀλλὰ πρᾳότερον. μετανοήσατε οὖν. διὰ τί; * εἰς τὸ ἐξαλειφθῆναι, φησὶν, ὑμῶν τὰς ἁμαρτίας. οὐ λέγω τὰ ἐν τῷ σταυρῷ τολμηθέντα (ἴσως ἐκεῖνα κατὰ ἄγνοιαν) ἀλλ' ὥστε τὰς ἑτέρας ὑμῶν ἁμαρτίας ἐξαλειφθῆναι*. εἶτα ἐπάγει· ὅπως ἂν ἔλθωσιν ὑμῖν καιροὶ ἀναψύξεως. ἐνταῦθα περὶ τῆς ἀναστάσεως διαλέγεται ἀμυδρῶς. ὄντως γὰρ ἐκεῖνοι ἀναψύξεως καιροὶ, οὓς ἐπιζητεῖ καὶ Παῦλος, λέγων· β Κορ. ε. δ. Καὶ ἡμεῖς οἱ ὄντες ἐν τῷ σκήνει στενάζομεν βαρούμενοι. εἶτα δεικνὺς, ὅτι αὐτὸς τῶν καιρῶν τῆς ἀναψύξεως αἴτιος, καὶ ἀποστείλῃ, φησὶ, τὸν προκεχειρισμένον ὑμῖν Ἰησοῦν Χριστόν. καὶ οὐκ εἶπεν, ἐξαλειφθῇ ὑμῶν ἡ ἁμαρτία, ἀλλ', αἱ ἁμαρτίαι, καὶ ἐκείνην αἰνιττόμενος. ἀποστείλῃ. τοῦτο εἰπὼν, οὐ λέγει, πόθεν λοιπὸν· ἀλλὰ μόνον ἐπάγει, ὃν δεῖ οὐρανὸν μὲν δέξασθαι, ἀκμὴν δέξασθαι. καὶ πῶς οὐκ εἶπεν, ὃν ὁ οὐρανὸς ἐδέξατο; τοῦτο ὡς περὶ τῶν ἀρχαίων διαλεγόμενος εἶπεν. οὕτως οἰκονομικῶς, φησὶν, οὕτω συντίθεται. περὶ δὲ τῆς αἰωνίου ὑπάρξεως αὐτοῦ οὐδέπω φησὶν, ἀλλ' ἔτι τοῖς τῆς οἰκονομίας λόγοις ἐνδιατρίβει, καὶ λέγει· Μωϋσῆς μὲν γὰρ εἶπε πρὸς τοὺς πατέρας, ὅτι προφήτην ὑμῖν ἀναστήσει Κύριος. εἶτα ἀνωτέρω εἰπὼν, ἄχρι χρόνων ἀποκαταστάσεως πάντων, ὧν ἐλάλησεν ὁ Θεὸς διὰ στόματος πάντων τῶν ἁγίων αὐτοῦ προφητῶν ἀπ' αἰῶνος, αὐτὸν εἰσάγει λοιπὸν τὸν Χριστόν. εἰ γὰρ πολλὰ προέφησεν, αὐτὸν δὲ ἀγνοεῖν χρὴ, οὐκ ἂν τις ἁμάρτοι ταῦτα τοὺς προφήτας εἰρηκέναι λέγων. ἄλλως δὲ, θέλει δεῖξαι ὅτι τὰ αὐτὰ καὶ οἱ προφῆται προέφησαν. κἄν τις ἀκριβῶς ἐξετάζῃ, εὑρήσει καὶ ἐν τῇ παλαιᾷ ἀμυδρῶς μὲν, εἰρημένα δέ· ὥστε οὐδὲν νεώτερον. τὸν προκεχειρισμένον, φησίν. ἐνταῦθα αὐτοὺς καὶ φοβεῖ, ὡς πολλῶν ὑπολειπομένων. πῶς οὖν ἔλεγεν, ἐπλήρωσεν ἃ ἔδει παθεῖν; ἐπλήρωσεν εἶπεν, οὐκ, ἐπληρώθη· δεικνὺς, ὅτι ἃ μὲν ἐχρῆν παθεῖν αὐτὸν, ἐπλήρωσεν· ἃ δὲ γενέσθαι λείπεται ἔτι, οὐδέπω. προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ. ὃ μάλιστα ἐνεκέντο αὐτοὺς λέγει. ὁρᾷς πῶς ταπεινὰ καὶ ὑψηλὰ παρατείνει; ταπεινὸν γὰρ καὶ ὑψηλὸν, εἰ ὁ μέλλων εἰς οὐρανοὺς ἀνιέναι, κατὰ Μωϋσέα ἐστί. πλὴν ἀλλὰ πῶς μέγα ἦν. οὐ γὰρ δὴ κατὰ Μωϋσέα τὸ, καὶ ἔσται πᾶς ὁ μὴ ἀκούων ἐξολοθρευθήσεται. μυρία δὲ καὶ ἄλλα εἶπε τὰ δεικνύοντα, ὅτι οὐκ ἔστι κατὰ Μωϋσέα· ὥστε μεγά-

λης

χ. τὰ αὐτὰ

χ. ἔκειτο ἐν αὐτοῖς

* ἢ γὰρ κατ' ἄγνοιαν, ἢ κατ' οἰκονομίαν * τοῦτο μέ...

χ. ὃ ἐξῆπτο

χ. οὐδὲ ἐπεὶ

χ. διὰ τὸ προκεχ. ὅ. τι οὐδὲν νεώτερον. ἐνταῦθα

χ. οὐκ ἃ δεῖ γενέσθαι λείπει

χ. ἔστιν τις αἰτία

Digitized by Google

γ. λύειν τὸν ἄ

οὐκ εἶπε, θελήσαντος, ἀλλά, κρίναντος ἐκείνου ἀπολύειν, δηλῶν ὅτι τὸν μὲν ἕτερον αὐτοὶ ᾐτήσατε ἀφεθῆναι, τὸν δὲ τοὺς αἰτηθέντας ζωοποιοῦντα οὐκ ἠθελήσατε. καὶ ἵνα μὴ λέγωσι πάλιν, πῶς νῦν αὐτὸν δοξάζει ὁ τότε μὴ βοηθήσας; παράγει τοὺς προφήτας μαρτυροῦντας ὅτι οὕτως ἔδει γενέσθαι. εἶτα, ἵνα μὴ νομίσωσι τὸ τοῦ Θεοῦ τὴν οἰκονομίαν ἀπολογίαν αὐτῶν εἶναι, περιέπεσι αὐτῶν καθάπτεται. καὶ τὸ κατὰ πρόσωπον δὲ Πιλάτου ἀρνήσασθαι, οὐκ ἦν τὸ τυχόν, ἐκείνου βουλομένου ἀπολῦσαι· καὶ ὅτι οὐ δυνατὸν ὑμῖν ἀρνήσασθαι, κατηγορεῖ ὁ αἰτηθεὶς ἀντ' αὐτοῦ. καὶ γὰρ καὶ τοῦτο οἰκονομία μεγάλη ἦν. ἐν ταύτῃ τὴν ἀναισχυντίαν αὐτῶν δείκνυσι, καὶ τὴν ἡμερότητα· ὅτι ὁ μὲν ἔμελλεν καὶ τότε πρὸ τῶν αὐτῶν ἰδεῖν, ἀπήλλαξεν αὐτόν, καίτοι οὐδὲν μέγα ἀκούσας· ὑμεῖς δὲ τοῖς σημείοις συντεθραμμένοι, τὸ ἐναντίον πεποιήκασι. ὅτι δὲ δικαίως ἔκρινεν ἐκεῖνος ἀπολύειν, καὶ οὐ κατὰ χάριν τοῦτο ἐποίει, ἄκουε αὐτοῦ ἀλλαχοῦ λέγοντος· Ἔθος ὑμῖν ἐστὶν ἀπολύειν ἕνα τινά. θέλετε οὖν τοῦτον ἀπολύσω ὑμῖν; ὑμεῖς δὲ τὸν ἅγιον καὶ δίκαιον ἠρνήσασθε. οὐκ εἶπεν, ἐξεδώκατε, ἀλλὰ πανταχοῦ ἠρνήσασθε. εἰκότως. οὕτω γὰρ καὶ ἔλεγον· Οὐκ ἔχομεν βασιλέα, εἰ μὴ Καίσαρα. καὶ οὐκ εἶπεν, οὐκ ἐξητήσασθε τὸν ἀλιτήριον, οὐδὲ ἠρνήσασθε μόνον, ἀλλὰ καὶ ἀπεκτείνατε. ὅτε πεπωρωμένοι ἦσαν, οὐδὲν τοιοῦτον εἶπεν· ὅτε μάλιστα ἐσιάθησαν αὐτῶν αἱ ψυχαί, τότε πλήττει σφοδρότερον, ὅτε καὶ αἰσθέσθαι δύνανται. καθάπερ γὰρ ἡμεῖς τοῖς μὲν μεθύουσιν οὐδὲν λέγομεν, ὅταν δὲ νήψωσι καὶ ἀνενέγκωσιν ἀπὸ τῆς μέθης, τότε ἐπιπλήττομεν· οὕτω δὴ καὶ Πέτρος, ὅτε ἠδύναντο συνιέναι τῶν λεγομένων, τότε τὴν γλῶτταν ἠκόνησε, πολλὰ τὰ ἐγκλήματα ἐπάγων· ὅτι ὃν ὁ Θεὸς ἐδόξασεν, οὗτοι παρέδωκαν· ὅτι ὃν ὁ Πιλάτος ἀπέλυεν, οὗτοι κατέκριναν, καὶ ὅτι ἠρνήσαντο κατὰ πρόσωπον ἐκείνου, καὶ ὅτι προετίμησαν τὸν λῃστήν. ὅρα πάλιν λανθανόντως πῶς περὶ τῆς δυνάμεως αὐτοῦ διαλέγεται, δεικνὺς ὅτι ἑαυτὸν ἤγειρε, καθάπερ ἐν τῇ προτέρᾳ δημηγορίᾳ ἔλεγε· Καθότι οὐκ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπ' αὐτοῦ. καὶ ἐνταῦθα, τὸν δὲ ἀρχηγόν, φησι, τῆς ζωῆς ἀπεκτείνατε. οὐκ ἄρα παρ' ἑτέρου εἶχε τὴν ζωήν. ὥσπερ ἀρχηγὸς τῆς κακίας, αὐτὸς ἂν εἴη ὁ τὴν κακίαν τίκτων καὶ ἀρχηγὸς φόνου ὁ τὸν φόνον πρῶτος εἰσαγαγών· οὕτω καὶ ἀρχηγὸς ζωῆς, ὁ παρ' ἑαυτοῦ τὴν ζωὴν ἔχων. ὃν ὁ Θεὸς ἤγειρε, φησίν. ἐπεὶ τοῦτο ἐφθέγξατο, ἐπήγαγε· καὶ ἐπὶ τῇ πίστει τοῦ ὀνόματος αὐτοῦ, τοῦτον, ὃν θεωρεῖτε καὶ οἴδατε, ἐστερέωσε τὸ ὄνομα αὐτοῦ, καὶ ἡ πίστις ἡ δι' αὐτοῦ ἔδωκεν αὐτῷ τὴν ὁλοκληρίαν ταύτην. καίτοι μὲν εἰ ἡ εἰς αὐτόν ἐστι πίστις ἡ τὸ πᾶν ἐργασαμένη, καὶ εἰς αὐτὸν ἐπίστευσε, τίνος ἕνεκεν οὐκ εἶπε, διὰ τοῦ ὀνόματος, ἀλλ', ἐν τῷ ὀνόματι; ὅτι οὔπω ἐθάρρουν εἰπεῖν, ἡ εἰς αὐτὸν πίστις. ἵνα δὲ μὴ τὸ δι' αὐτοῦ ταπεινὸν ᾖ, ἐπήγαγε· καὶ τὸ ὄνομα αὐτοῦ ἐστερέωσεν αὐτόν. καὶ τοῦτο περιέπεσι εἰπών, τότε φησί· καὶ ἡ πίστις ἡ δι' αὐτοῦ ἔδωκεν αὐτῷ τὴν ὁλοκληρίαν ταύτην. ὅρα πῶς δείκνυσιν ὅτι τὸ ἐκ συγκαταβάσεως εἶπεν. οὐ γὰρ ἂν ἑτέρου ἐδεήθη πρὸς ἀνάστασιν, οὗ τὸ ὄνομα χωλὸν οὐδὲν νεκροῦ διαφέροντα ἤγειρε. σκόπει πῶς πανταχοῦ τὰς μαρτυρίας αὐτῶν ἐπισπᾶται. ἀνωτέρω μὲν γὰρ ἔλεγε· Καθὼς καὶ αὐτοὶ οἴδατε· καὶ, Ἐν μέσῳ ὑμῶν· καὶ πάλιν, Ὃν θεωρεῖτε καὶ οἴδατε ἀπέναντι πάντων ὑμῶν· καίτοι ὅτι ἐν τῷ ὀνόματι αὐτοῦ οὐκ ᾔδεισαν, ἀλλὰ τοῦτο ᾔδεσαν, ὅτι χωλὸς ἦν, ὅτι ὑγιὴς ἕστηκε. καὶ αὐτοὶ δὲ οἱ πεποιηκότες ὡμολόγουν, ὅτι οὐκ ἰδίᾳ δυνάμει, ἀλλὰ τῇ τοῦ Χριστοῦ ἐστερέωτο. εἰ δὲ μὴ τοῦτο ἦν, καὶ οὕτως πεπεισμένοι ἦσαν, ὅτι ἀνέστη, οὐκ ἂν ἠθέλησαν τοῦ νεκροῦ τὴν δόξαν εἶναι μᾶλλον, ἢ τὴν ἑαυτῶν; καὶ ταῦτα ἐκείνων πρὸς αὐτοὺς ὁρώντων. εἶτα πεφοβημένας αὐτῶν τὰς ψυχὰς ἄλλως τῇ τῶν ἀδελφῶν προσηγορίᾳ παρεμυθήσατο, εἰπών· ἄνδρες ἀδελφοί. ἐκεῖ μὲν γὰρ οὐδὲν περὶ ἑαυτῶν εἶπεν, ἀλλὰ μόνον περὶ τοῦ Χριστοῦ· ἀσφαλῶς οὖν γινωσκέτω, λέγων, πᾶς οἶκος Ἰσραήλ· ἐνταῦθα δὲ τῇ παραινέσει προσάγει. ἐκεῖ ἀνέδυνεν αὐτοὺς εἰπεῖν· ἐνταῦθα ἤδη πόσον εἰργάσαντο, καὶ ὡς οὗτοι μᾶλλον ἦσαν ᾠκειωμένοι. καὶ μὴν τὰ ἄλλα εἰρημένα οὐκ ἦν ἀγνοίας. ὁ γὰρ τὸν λῃστὴν αἰτήσας,

Margin notes (left): γ. ἐπειδὴ δὲ εἶπε, κρίναντος ἐκείνου ἀπολύειν, ἵνα μὴ νομισθῇ κατὰ χάριν ποιεῖν, καὶ ἐποίει, ἔθος — γ. ἀπονοίᾳ — γ. ὁ ἀρχηγὸς τῆς κακίας τίς ἂν εἴη; αὐτὸς ὁ τὸ κακὸν τίκτων; οὕτω καὶ ὁ ἀρχηγὸς τῆς ζωῆς — γ. ἦν — γ. παραινεῖ.

Margin notes (right): Ματθ. κζ. 15. — Ἰωαν. ιθ. 15. — Πραξ. β. κδ. — Πραξ. β. κβ. καὶ γ. 16.

20 Καὶ ἀποστείλῃ * τὸν προκεχειρισμένον Ἰησοῦν Χριστόν, * φησί.

21 Ὃν δεῖ οὐρανὸν μὲν δέξασθαι· Ἀντὶ τοῦ, ἀνάγκη ἐστίν·

Ἄχρι χρόνων ἀποκαταστάσεως πάντων. Διὰ τί νῦν οὐκ ἔρχεται; ἡ αἰτία δήλη.

Ὧν ἐλάλησε, φησιν, ὁ Θεὸς διὰ στόματος τῶν ἁγίων αὐτοῦ προφητῶν τῶν ἀπ' αἰῶνος.

Δευτ. ιη. ιε. 22 Μωϋσῆς μὲν εἶπε πρὸς τοὺς πατέρας, ὅτι προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ὑμῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ· αὐτοῦ ἀκούσεσθε κατὰ πάντα, ὅσα ἂν λαλήσῃ πρὸς ὑμᾶς. Ἐκεῖ μὲν τοῦ Δαβὶδ ἐμνημόνευσεν, ἐνταῦθα δὲ Μωϋσέως. πάντων, φησίν, ὧν ἐλάλησεν ὁ Θεός. οὐ λέγει, ὧν εἶπεν ὁ Χριστός, ἀλλ', ὧν ἐλάλησεν ὁ Θεός, [ἔτι τῷ συσκιάζειν μᾶλλον αὐτοὺς ἐπαγόμενος εἰς πίστιν ἠρέμα]. Εἶτα ἐπὶ τὸ ἀξιόπιστον καταφεύγει, λέγων· προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ὑμῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ· αὐτοῦ ἀκούσεσθε κατὰ πάντα, ὅσα ἂν λαλήσει πρὸς ὑμᾶς. Εἶτα καὶ ἡ τιμωρία πολλή.

23 Ἔσται δέ, φησι, πᾶσα ψυχή, ἥτις ἂν μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου, ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ.

24 Καὶ πάντες δὲ οἱ προφῆται ἀπὸ Σαμουὴλ καὶ τῶν καθεξῆς, ὅσοι ἐλάλησαν, καὶ κατήγγειλαν τὰς ἡμέρας ταύτας. Ἐνταῦθα καλῶς τὸν ὄλεθρον ἔθηκεν. ὅταν γάρ τι λέγῃ μέγα, ἐπὶ τοὺς προφήτας καταφεύγει. καὶ μαρτυρίαν εὗρεν ἀμφότερα ἔχουσαν, ὥσπερ ἐκεῖ εἶπεν· Ἕως ἂν θῶ τοὺς ἐχθρούς ὑπὸ τοὺς πόδας αὐτοῦ. (Ψαλ. ρθ. α.) τὸ γὰρ θαυμαστόν, ὅτι ὁμοῦ τὰ δύο, καὶ ὑποταγή, καὶ παρακοή, καὶ ἡ τιμωρία. ὡς ἐμέ, φησι. τί τοίνυν δέδοικατε;

25 Ὑμεῖς ἐστε υἱοὶ τῶν προφητῶν. Ὥστε ὑμῖν ἐλέγετο, καὶ δι' ὑμᾶς πάντα γέγονεν. ἐπειδὴ γὰρ διὰ τὸ τόλμημα ἐνόμιζον ἑαυτοὺς ἠλλοτριῶσθαι ("καὶ γὰρ οὐκ εἶχε λόγον τὸν αὐτὸν νῦν μὲν σταυρῶσαι, νῦν δὲ ὡς οἰκείους θεραπεύειν) δείκνυσιν, ὅτι καὶ ἐκεῖθεν κατὰ προφητείαν, καὶ τοῦτο. (γρ. καὶ οὐκ ἔχειν λόγον) Ὑμεῖς ἐστε, φησιν, υἱοὶ τῶν προφητῶν καὶ τῆς διαθήκης, ἧς διέθετο ὁ Θεὸς πρὸς τοὺς πατέρας ὑμῶν, λέγων πρὸς Ἀβραάμ· Καὶ ἐν τῷ σπέρματί σου εὐλογηθήσονται πᾶσαι αἱ πατριαὶ τῆς γῆς.

26 Ὑμῖν πρῶτον, φησιν, ὁ Θεὸς ἀναστήσας τὸν παῖδα αὐτοῦ, ἀπέστειλεν.

Ἄρα καὶ ἑτέροις· ἀλλ' ὑμῖν πρῶτον τοῖς σταυρώσασιν.

Εὐλογοῦντα ὑμᾶς, φησιν, ἐν τῷ ἀποστρέφειν ἕκαστον ἀπὸ τῶν πονηριῶν.

Ἴδωμεν δὲ ἀκριβέστερον ἄνωθεν τὰ ἀναγνωσθέντα. πῶς κατασκευάζει, ὅτι αὐτὸς ἐποίησε τὸ θαῦμα ἐν τῷ εἰπεῖν, Τί θαυμάζετε; καὶ οὐκ ἀφίησιν ἀπιστεῖσθαι τὸ λεγόμενον. καὶ ἵνα ἀξιοπιστότερον αὐτὸ ποιήσῃ, προκαταλαμβάνει αὐτῶν τὴν κρίσιν· ἡμῖν, φησι, τί ἀτενίζετε, ὡς ἰδίᾳ δυνάμει, ἢ εὐσεβείᾳ πεποιηκόσι; Εἰ τοῦτο ὑμᾶς ταράττει καὶ θορυβεῖ, μάθετε τίς ὁ ποιήσας, καὶ μὴ ἐκπλήττεσθε. καὶ ὅρα πανταχοῦ ὅτι, ἐπὶ τὸν Θεὸν ὅταν καταφεύγῃ, καὶ εἴπῃ παρ' αὐτοῦ γίνεσθαι πάντα, τότε ἀδεῶς αὐτοῖς ἐπιπλήττει· "ὡς καὶ ἀνωτέρω ἔλεγεν, ἄνδρα ἀποδεδειγμένον ἀπὸ τοῦ Θεοῦ εἰς ὑμᾶς. (γρ. διὰ τοῦτο καὶ) Καὶ πανταχοῦ ἀναμιμνήσκει αὐτοὺς τοῦ τολμήματος, ἵνα καὶ τὸ θαῦμα "δειχθῇ, καὶ ἡ ἀνάστασις κυρωθῇ. ἐνταῦθα δὲ καὶ ἄλλο προσέθηκεν. (γρ. δειχθῇ) οὐκ ἔτι γὰρ Ναζωραῖον λέγει· ἀλλὰ τί; ὁ Θεός, φησι, τῶν πατέρων ἡμῶν ἐδόξασε τὸν παῖδα αὐτοῦ Ἰησοῦν. ὅρα καὶ τὸ ἄτυφον. οὐκ ἐνεκάλεσεν, οὐδὲ εἶπεν εὐθέως, καὶ νῦν πιστεύετε· ἰδοὺ ἄνθρωπος τεσσαράκοντα ἔτη χωλὸς ὤν, ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ ἀνέστη· οὐχ οὕτως εἶπε (φιλονεικοτέρους γὰρ ἂν ἐποίησεν) ἀλλὰ πῶς αὐτοὺς ἐπαινεῖ, ὅτι ἐθαύμαζον τὸ γεγενημένον. καὶ πάλιν ἀπὸ τοῦ προγόνου καλεῖ· "καὶ οὐ λέγει, ὁ Ἰησοῦς αὐτὸν ἐθεράπευσε, καίτοιγε (γρ. ὅτι.) καὶ αὐτὸς αὐτὸν ἐθεράπευσεν· ἀλλ' ἵνα μὴ λέγωσι, καὶ πῶς ἔχει ταῦτα λόγον, εἰ τὸν παράνομον δοξάζει; διὰ τοῦτο αὐτοὺς ἀναμιμνήσκει τῆς κρίσεως τῆς ἐπὶ Πιλάτου, δεικνὺς, ὅτι εἰ ἤθελον προσέχειν, "οὐκ ἦν παράνομος. οὐ γὰρ εἰ ὁ Πιλάτος ἠθέλησεν αὐτὸν ἀπολῦσαι, καὶ (γρ. οὐκέτι)

οὐκ

δόγμα. καὶ ἐκεῖ τοῦ πατριάρχου Δαβὶδ ἐμνημόνευσε, καὶ ἐνταῦθα τῆς περὶ τὸν Ἀβραάμ.

Ἐδόξασε, φησι, τὸν παῖδα αὐτοῦ Ἰησοῦν. Πάλιν ταπεινῶς, καθὼς ἐν τῷ προοιμίῳ. εἶτα λοιπὸν ἐναγωνίζεται τῷ τολμήματι, καὶ ἐπαίρει τὸ γεγενημένον, [ἀλλ'] οὐχ ὥσπερ πρότερον, συσκιάζει. ποιεῖ δὲ τοῦτο, μᾶλλον αὐτοὺς ἐπαγαγέσθαι βουλόμενος. ὅσῳ γὰρ ἐδίκουν τοὺς εὐθύνας, τοσούτῳ μᾶλλον τοῦτο ἐγίνετο. ἐδόξασε, φησι, τὸν παῖδα αὐτοῦ Ἰησοῦν·

Ὃν ὑμεῖς μὲν παρεδώκατε, καὶ ἠρνήσασθε αὐτὸν κατὰ πρόσωπον Πιλάτου, κρίναντος ἐκείνου ἀπολύειν. Δύο τὰ ἐγκλήματα· καὶ ὅτι Πιλάτος ἤθελεν ἀπολύειν, καὶ ὅτι ὑμεῖς, ἐκείνου θελήσαντος, οὐκ ἠθελήσατε.

14 Ὑμεῖς δέ, φησι, τὸν ἅγιον καὶ δίκαιον ἠρνήσασθε, καὶ ᾐτήσασθε ἄνδρα φονέα χαρισθῆναι ὑμῖν·

15 Τὸν δὲ ἀρχηγὸν τῆς ζωῆς ἀπεκτείνατε, ὃν ὁ Θεὸς ἤγειρεν ἐκ νεκρῶν, οὗ ἡμεῖς μάρτυρές ἐσμεν. Ὅτι ἀντ' αὐτοῦ φησι λῃστὴν ᾐτήσασθε, σφόδρα ἐδείνωσε τὸ πρᾶγμα. ἐπεὶ γὰρ εἶχεν αὐτοὺς ὑπὸ τὴν χεῖρα, πλήττει λοιπὸν σφοδρῶς. τὸν δὲ ἀρχηγὸν τῆς ζωῆς, φησίν. ἐνταῦθα τὴν πίστιν τῆς ἀναστάσεως κατασκευάζει. ὃν ὁ Θεὸς ἤγειρεν ἐκ νεκρῶν. ἵνα μή τις εἴπῃ, πόθεν τοῦτο δῆλον; οὐκέτι εἰς προφήτας καταφεύγει, ἀλλ' εἰς ἑαυτόν, ἐπειδὴ λοιπὸν ἀξιόπιστος ἦν. τότε μὲν γὰρ εἰπὼν ὅτι ἀνέστη, τὸν Δαβὶδ ἐπηγάγετο μάρτυρα· νυνὶ δὲ εἰπὼν τὸ αὐτό, τὸν χορὸν ἐπήγαγε τὸν ἀποστολικόν. οὗ ἡμεῖς ἐσμέν, φησι, μάρτυρες.

16 Καὶ ἐπὶ τῇ πίστει τοῦ ὀνόματος αὐτοῦ, τοῦτον, ὃν θεωρεῖτε καὶ οἴδατε, ἐστερέωσε τὸ ὄνομα αὐτοῦ, καὶ ἡ πίστις ἡ δι' αὐτοῦ ἔδωκεν αὐτῷ τὴν ὁλοκληρίαν ταύτην ἀπέναντι πάντων ὑμῶν.

Ζητῶν τὸ πρᾶγμα εἰπεῖν, * εὐθέως τὸ σημεῖον ἐπάγει. ἐνώπιόν, φησι, πάντων ὑμῶν. ἐπειδὴ σφόδρα αὐτῶν καθήψατο, καὶ ἔδειξεν ἀναστάντα τὸν σταυρωθέντα, πάλιν ἀνίησι, διδοὺς αὐτοῖς ἐξουσίαν μετανοίας, λέγων·

17 Καὶ νῦν, ἀδελφοί, οἶδα ὅτι κατὰ ἄγνοιαν ἐπράξατε, καθὼς καὶ οἱ ἄρχοντες ὑμῶν.

Κατὰ ἄγνοιαν ἐπράξατε· μία αὕτη ἀπολογία· δευτέρα, καθὼς καὶ οἱ ἄρχοντες ὑμῶν. ὥσπερ ὁ Ἰωσὴφ τοῖς ἀδελφοῖς ἔλεγεν, Ὅτι ὁ Θεὸς με ἀπέστειλεν ἔμπροσθεν ὑμῶν. ὅπερ ἐκεῖ συνεσταλμένως ἔλεγε, Τῇ ὡρισμένῃ βουλῇ καὶ προγνώσει τοῦ Θεοῦ ἔκδοτον λαβόντες, τοῦτο πλατύνει ἐνταῦθα. Γεν. με. ε. Πραξ. β. κγ.

18 Ὁ δὲ Θεός, φησιν, ἃ προκατήγγειλε διὰ στόματος πάντων τῶν προφητῶν αὐτοῦ παθεῖν τὸν Χριστόν, ἐπλήρωσεν οὕτως· Ἅμα δείκνυς ὅτι οὐκ ἐκείνων ἐστίν, εἰ καὶ τοῦτο ἐπράχθη, καὶ ὅτι κατὰ Θεοῦ βουλὴν γέγονε. τῷ δὲ εἰπεῖν, ἃ προκατήγγειλε, τὰ ῥήματα, ἃ ἐπὶ τοῦ σταυροῦ ὠνείδιζον, αἰνίττεται, Εἰ θέλει αὐτόν, σωσάτω αὐτόν, λέγοντες. εἶπε [γὰρ] Υἱὸς Θεοῦ εἰμι. * πιστεύσομεν ἐπ' αὐτόν, καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ. λῃρεῖς ὦ ἀνόητοι, ταῦτα; ἄπαγε· ἀλλ' οὕτως ἔδει γενέσθαι καὶ μαρτυροῦσιν οἱ προφῆται. ὥστε οὐ παρὰ οἰκείαν ἀσθένειαν οὐ κατέβη, ἀλλὰ παρὰ δύναμιν. καὶ τίθησιν αὐτὸ ἐν τάξει ἀπολογίας τῆς ὑπὲρ Ἰουδαίων, ἵνα καὶ δέξωνται. ἐπλήρωσε, φησιν, οὕτως. ὁρᾷς πῶς τὸ πᾶν ἐκεῖ ἀνάγει; Ματθ. κζ. μ.

19 Μετανοήσατε οὖν, φησι, καὶ ἐπιστρέψατε. Καὶ οὐ λέγει ἀπὸ τῶν ἁμαρτιῶν ὑμῶν, ἀλλ', Εἰς τὸ ἐξαλειφθῆναι ὑμῶν τὰς ἁμαρτίας,

Τὸ αὐτὸ δηλῶν. εἶτα τὸ κέρδος ἐπάγει, Ὅπως ἂν ἔλθωσι καιροὶ ἀναψύξεως ἀπὸ προσώπου τοῦ Κυρίου. Δείκνυσιν ἐνταῦθα ταλαιπωρηθέντας αὐτούς, καὶ πολλοῖς κατεργασθέντας κακοῖς. διὸ καὶ οὕτως εἶπεν, εἰδώς, ὅτι πρὸς τὸν πάσχοντα καὶ παραμυθίαν ζητοῦντα οὗτος ἂν ἁρμόσειεν ὁ λόγος. καὶ ὅρα πῶς ὁδῷ προβαίνει. ἐν μὲν τῇ προτέρᾳ δημηγορίᾳ ἠρέμα τὴν ἀνάστασιν καὶ τὴν ἐν οὐρανοῖς καθέδραν ᾐνίξατο· ἐνταῦθα δέ, καὶ τὴν ἐμφανῆ παρουσίαν.



Margin notes: γ. συσκιάζων · γ. φαντασίας · * καὶ πρὶν ἢ τι εἰπεῖν, · γ. δειχθῇ, ἀλλ' ὅτι. ἀλλ. δειχθῇ, ὅτι · * εἰ · γ. οὖν · γ. ἐπιστρέψατε. · γ. πολέμων. γ. πρὸς τὸν κλαυθμυρίζοντα, καὶ παραμυθίαν ἐπιζητοῦντα οὗτος

γεις αὐτοὺς δοκίμους εἶναι βούλομαι. οὐχ ὁρᾶτε ὅτι βέλτιον ἕνα λίθον τίμιον ἔχειν, ἢ μυρίους ὀβολούς; οὐχ ὁρᾶτε ὅτι βέλτιον τὸν ὀφθαλμὸν ὑγιαίνοντα ἔχειν, ἢ τούτου πεπηρωμένου πολυσαρκίᾳ βαρύνεσθαι; οὐχ ὁρᾶτε, ὅτι βέλτιον πρόβατον ἓν ὑγιαῖνον ἔχειν, ἢ μυρία ψώρας ἐμπεπλησμένα; οὐχ ὁρᾶτε, ὅτι εὐτεκνία μετὰ ὀλιγοτεκνίας βελτίων, ἢ πολυπαιδία μετὰ κακοπαιδίας; οὐχ ὁρᾶτε, ὅτι ἐν μὲν τῇ βασιλείᾳ ὀλίγοι, ἐν δὲ τῇ γεέννῃ πολλοί; τί ἐμοὶ ἔχειν τῷ πλήθει; τί δὲ ὄφελος; οὐδέν· ἀλλὰ μᾶλλον τοῖς ἄλλοις λύμη. ταὐτὸν γάρ ἐστιν, ὥσπερ ἂν εἴ τις, ἐξὸν δέκα ὑγιαίνοντας ἔχειν, ἢ μυρίους νοσοῦντας, ἐπεισάγοι τοῖς δέκα τοὺς μυρίους*. οἱ πολλοὶ μηδὲν κατορθοῦντες, οὐδὲν ἕτερον ἡμῖν προξενήσουσιν, ἀλλ᾽ ἢ κόλασιν, καὶ κατὰ τὸ παρὸν ἀδοξίαν. οὐδεὶς γὰρ ὅτι πολλοί ἐσμεν ἐρεῖ, ἀλλ᾽ ὅτι ἄχρηστοι μέμφεται. τοῦτο γοῦν ἡμῖν ἀεὶ λέγουσιν, ὅταν εἴπωμεν ὅτι πολλοί ἐσμεν, ἀλλὰ κακοί, φησιν. ἰδοὺ πάλιν ἀπαγορεύω, καὶ λαμπρᾷ βοῶ τῇ φωνῇ, μηδεὶς νομιζέτω γέλωτα εἶναι. ἀπείρξω* καὶ κωλύσω τοὺς μὴ πειθομένους· καὶ ἕως ἂν ἐν τῷ θρόνῳ καθέζωμαι τούτῳ, οὐδὲν προήσομαι τῶν αὐτοῦ δικαιωμάτων. ἂν μέ τις καταβιβάσῃ, λοιπὸν ἀνεύθυνός εἰμι. ἕως δ᾽ ἂν ὑπεύθυνος ὦ, οὐ δύναμαι παριδεῖν· οὐ διὰ τὴν ἐμὴν κόλασιν, ἀλλὰ διὰ τὴν ὑμετέραν σωτηρίαν. σφόδρα γὰρ ὑμῶν ἐρῶ τῆς σωτηρίας. ὑπὲρ τούτου δάκνομαι καὶ ἀλγῶ· ἀλλὰ πείσθητε, ἵνα καὶ ἐνταῦθα, καὶ ἐν τῷ μέλλοντι πολὺν λάβητε τὸν μισθόν, καὶ κοινῇ τῶν αἰωνίων ἀπολαύσωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ, μεθ᾽ οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[Margin: χ. βέλτιον — χ. πολυπαιδία — * ἐκείνους. — * γὰρ — χ. κόπτομαι καὶ]

Λογ. θ. 12 ΙΔΩΝ ΔΕ, ΦΗΣΙ, ΠΕΤΡΟΣ, ΑΠΕΚΡΙνατο πρὸς τὸν λαόν· ἄνδρες Ἰσραηλῖται, τί θαυμάζετε ἐπὶ τούτῳ, ἢ ἡμῖν τί ἀτενίζετε, ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν;

ΠΛείονος αὕτη γέμει παρρησίας ἡ δημηγορία· οὐκ ἐπειδὴ ἐν τῇ προτέρᾳ ἐφοβεῖτο, ἀλλ᾽ ἐπειδὴ οὐκ ἂν ἠνέγκαν ἐκεῖνοι, ἄνθρωποι χλευασταὶ ὄντες καὶ γελωτοποιοί. ὅθεν ἐκείνης μὲν ἀρχόμενος, καὶ ἐπιστρέφει αὐτοὺς διὰ τοῦ προοιμίου εὐθὺς λέγων· τοῦτο ὑμῖν γνωστὸν ἔστω, καὶ ἐνωτίσασθε τὰ ῥήματά μου· ἐνταῦθα δὲ οὐ δεῖται ταύτης τῆς κατασκευῆς. οὐ γὰρ ἐρρᾳθύμουν. τὸ γὰρ σημεῖον αὐτοὺς ἐπέστρεψεν ἅπαντας, καὶ δέους καὶ ἐκπλήξεως ἦσαν μεστοί. διὸ οὐδὲ ἐδέησεν αὐτῷ ἐντεῦθεν ἄρξασθαι, ἀλλ᾽* ἑτέρωθεν, ὅθεν μάλιστα αὐτοὺς ᾠκειώσατο, διακρουσάμενος τὴν δόξαν τὴν περὶ αὐτῶν. οὐδὲν γὰρ οὕτως ὠφελεῖ καὶ ὀνίνησι τοὺς ἀκούοντας, ὡς τὸ μηδὲν περὶ ἑαυτοῦ λέγειν μέγα τὸν λέγοντα, ἀλλὰ καὶ τὴν ὑποψίαν αἰρεῖν. μᾶλλον οὖν ἑαυτοὺς ἐδόξασαν καταφρονήσαντες δόξης, καὶ δείξαντες οὐκ ἀνθρώπινον, ἀλλὰ θεῖον ὂν τὸ γεγονός, καὶ ὅτι τοῦ θαυμάζειν μετ᾽ αὐτῶν, οὐ τοῦ θαυμάζεσθαί εἰσιν ἄξιοι. ὁρᾷς πῶς φιλοτιμίας ὢν καθαρὸς διατίθεται τὴν εἰς αὐτὸν δόξαν; οὕτω καὶ οἱ παλαιοὶ ἐποίουν, καθάπερ ὁ Δανιὴλ ἔλεγε, Καὶ ἐγὼ δὲ οὐκ ἐν σοφίᾳ τῇ οὔσῃ ἐν ἐμοί. καὶ πάλιν ὁ Ἰωσήφ, Οὐχὶ διὰ τοῦ Θεοῦ ἡ διασάφησις αὐτῶν; καὶ ὁ Δαβίδ, Ὅτε ἤρχετο, φησίν, ὁ λέων καὶ ἡ ἄρκτος, ἐν ὀνόματι Κυρίου ταῖς χερσὶν αὐτοὺς διέσπων. καὶ οὗτοι νῦν· τί ἡμῖν ἀτενίζετε, ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν; οὐδὲ τοῦτο ἡμέτερον, φησίν. οὐ γὰρ ἐπειδὴ ἄξιοί ἐσμεν, ἐπεσπασάμεθα τοῦ Θεοῦ τὴν ῥοπήν.

[Margin: χ. [illegible] — χ. καί φησι· — χ. ὢν καθαρὸς καὶ δια — Δαν. β. λ. — Γεν. μ. η. — α. Βασ. ιζ. λδ. — χ. ἀλλ᾽ οὐδὲ τοῦτο, οὐ]

13 Ὁ Θεὸς Ἀβραάμ, καὶ ὁ Θεὸς Ἰσαάκ, καὶ ὁ Θεὸς Ἰακώβ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὅρα πῶς ἑαυτοὺς εἰσωθεῖ συνεχῶς εἰς τοὺς προγόνους, ἵνα μὴ δόξῃ καινόν τι εἰσάγειν δόγμα.

Digitized by Google

ἡ ἠχή, ἣν ἐγὼ ἀκούω παρ' ὑμῶν· ἀλλὰ προϊοῦσα ἡ γραφή φησιν, Ὅτι οὐκ ἐνουθέτει τοὺς υἱεῖς αὐτοῦ. τοῦτο δὲ λέγει, ἐπειδὴ οὐ σφοδρῶς, οὐδὲ μετ' ἐπιπλήξεως τοῦτο ἐποίει. πῶς γὰρ οὐκ ἄτοπον, ἐν μὲν ταῖς συναγωγαῖς τῶν Ἰουδαίων οὕτως ἰσχυροὺς εἶναι τοὺς νόμους, κἂν ὁ διδάσκων ἐπιτάξῃ πάντα γίνεσθαι· ἐνταῦθα δὲ οὕτως ἡμᾶς καταπεφρονῆσθαι καὶ ἀπερρῖφθαι; οὐ τῆς ἐμαυτοῦ δόξης μοι μέλει (δόξα γὰρ ἐμή, ἡ ὑμετέρα εὐδοκίμησις) ἀλλὰ τῆς ὑμετέρας σωτηρίας. καθ' ἑκάστην ἡμέραν βοῶμεν, ἐνηχοῦμεν ὑμῶν ταῖς ἀκοαῖς· ὁ δὲ ἀκούων οὐδείς. καὶ οὐδὲν σφοδρὸν ἐπιδεικνύμεθα. φοβοῦμαι μὴ τῆς ἀκαίρου ταύτης καὶ πολλῆς φιλανθρωπίας λόγον κατὰ τὴν μέλλουσαν ἡμέραν ὑπόσχωμεν. διὸ μεγάλῃ καὶ λαμπρᾷ τῇ φωνῇ κηρύττω πᾶσι καὶ διαμαρτύρομαι, ὥστε τοὺς τὴν παράβασιν ταύτην ἐπιδεικνυμένους, τοὺς τὰ ἐκ τοῦ πονηροῦ φθεγγομένους (τοῦτο γάρ ἐστιν ὁ ὅρκος) τῶν οὐδῶν μὴ ἐπιβαίνειν τῶν ἐκκλησιαστικῶν. προθεσμία δὲ ὑμῖν ἔστω ὁ μὴν ὁ παρών, ὥστε κατορθῶσαι. μὴ γάρ μοι εἴπῃς, ὅτι μὲν ἡ τῶν πραγμάτων ἀνάγκη κατεπείγει, ὅτι ἀπιστοῦμαι. τέως τοὺς ἀπὸ τῆς συνηθείας περικόψατε. οἶδα ὅτι πολλοὶ γελάσονται ἡμᾶς· ἀλλὰ βέλτιον ἡμᾶς γελᾶσθαι νῦν, ἢ κλαίεσθαι τότε. γελάσονται δὲ ὅσοι μαίνονται. τίς γάρ, εἰπέ μοι, νοῦν ἔχων φυλαττομένοις ἐντολὰς γελάσεται; εἰ δὲ ἄρα γελάσονται, ἀλλ' οὐχ ἡμᾶς, ἀλλὰ τὸν Χριστὸν οἱ τοιοῦτοι γελάσονται. ἐφρίξατε τὸ εἰρημένον; οἶδα κἀγώ. εἰ μὲν γὰρ ἐγὼ τὸν νόμον τοῦτον εἰσήγαγον, ἐμὸς ἂν ἦν ὁ γέλως· εἰ δὲ ὁ νομοθέτης ἕτερός ἐστιν, ἐκεῖ διαβαίνει ἡ χλευασία. καὶ ἐνεπτύσθη ποτὲ ὁ Χριστός, καὶ ἐπὶ κόρρης ἐπλήγη καὶ ἐρραπίσθη. αἰσχύνεται καὶ νῦν ταῦτα· καὶ οὐδὲν ἀπεικός. διὰ τοῦτο γέεννα ἡτοίμασται, διὰ τοῦτο σκώληξ ἀτελεύτητος. ἰδοὺ πάλιν λέγω καὶ διαμαρτύρομαι· ὁ βουλόμενος γελάτω, ὁ βουλόμενος χλευαζέτω. εἰς τοῦτο κείμεθα, εἰς τὸ γελᾶσθαι καὶ χλευάζεσθαι, εἰς τὸ πάντα παθεῖν. περικαθάρματα τοῦ κόσμου ἐσμὲν κατὰ τὸν μακάριον * Παῦλον. εἴ τις μὴ βούλεται κατορθῶσαι τοῦτο τὸ ἐπίταγμα, ὥσπερ σάλπιγγί τινι διὰ τοῦ λόγου ἀπαγορεύω τῶν οὐδῶν μὴ ἐπιβαίνειν τῶν ἐκκλησιαστικῶν τῷ τοιούτῳ, κἂν ἄρχων ᾖ, κἂν αὐτὸς ὁ τὸ διάδημα περικείμενος. ἢ καθέλετέ με ταυτησὶ τῆς ἀρχῆς· ἢ μένοντά με μὴ περιβάλλετε κινδύνοις. οὐκ ἀνέχομαι ἐπὶ τὸν θρόνον τοῦτον ἀναβαίνειν μὴ μεγάλα κατορθῶν. εἰ γὰρ μὴ τοῦτο δυνατόν, βέλτιον ἑστάναι κάτω. ἄρχοντος γὰρ μηδὲν τοὺς ἀρχομένους ὠφελοῦντος οὐδὲν ἀθλιώτερον. συστρέψατε δὴ ἑαυτούς, καὶ προσέχετε, παρακαλῶ, καὶ συντείνωμεν ἑαυτούς, καὶ πάντως ἔσται τι πλέον. νηστεύσατε, παρακαλέσατε τὸν Θεόν, καὶ ἡμεῖς μεθ' ὑμῶν, ὥστε τὴν ὀλέθριον ταύτην ἐξελεῖν συνήθειαν. οὐδὲν μέγα ἐστὶ γενέσθαι διδασκάλους τῆς οἰκουμένης· οὐ μικρὸν ἀκουσθῆναι πανταχοῦ, ὅτι δὴ ἐν τῇδε τῇ πόλει οὐδείς ἐστιν ὁ ὀμνύς. ἂν τοῦτο γένηται, οὐ τῶν οἰκείων κατορθωμάτων λήψεσθε μόνον τὸν μισθόν, ἀλλὰ καὶ τῆς ὑπὲρ τῶν ἀδελφῶν σπουδῆς. ὅπερ γὰρ ὑμῖν εἰμι ἐγώ, τοῦτο ὑμεῖς τῇ οἰκουμένῃ γενήσεσθε. πάντως καὶ ἕτεροι ζηλώσουσιν ὑμᾶς, πάντως ἔσεσθε λύχνος ἐπὶ λυχνίας κείμενος. καὶ τοῦτό ἐστι, φησί, τὸ πᾶν; οὐ τοῦτό ἐστι τὸ πᾶν, ἀλλὰ τοῦτο ἀρχὴ τῶν ἄλλων. ὁ μὴ ὀμνὺς πάντως ἐπὶ εὐλάβειαν ἥξει καὶ ἑτέραν, καὶ ἑκὼν καὶ ἄκων, καὶ αἰσχυνόμενος καὶ φοβούμενος. ἀλλ' οὐκ ἀνέχονται πολλοί, φησιν, ἀλλ' ἀποπηδῶσιν. ἀλλὰ βέλτιον εἷς ποιῶν τὸ θέλημα Κυρίου, ἢ μύριοι παράνομοι. ἀπὸ γὰρ τούτου πάντα ἀνατέτραπται, πάντα ἄνω καὶ κάτω γέγονεν, ὅτι καθάπερ ἐν τοῖς θεάτροις, πλήθους ἐφιέμεθα, οὐ πλήθους δοκίμου. τί γὰρ ὄχλος, εἰπέ μοι, δυνήσεται ὠφελῆσαι; βούλει μαθεῖν, ὅτι ὄχλος οἱ ἅγιοί εἰσιν, οὐχ οἱ πολλοί; ἐξαγάγετε εἰς πόλεμον ἑκατὸν μυριάδας, καὶ ἕνα ἅγιον· ἴδωμεν τίς πλείονα κατορθοῖ. ἐξῆλθεν ὁ Ἰησοῦς ὁ τοῦ Ναυῆ εἰς τὸν πόλεμον, καὶ μόνος ἅπαντα κατώρθωσεν, οἱ ἄλλοι οὐδὲν ὤνησαν.* ὁ πολὺς ὄχλος, ἀγαπητέ, ὅταν θέλημα τοῦ Θεοῦ μὴ ποιῇ, οὐδὲν διενήνοχε τῶν οὐκ ὄντων. εὔχομαι μὲν γὰρ καὶ βούλομαι, καὶ ἡδέως ἂν καὶ κατακοπείην, ὥστε κοσμῆσαι πλήθει τὴν ἐκκλησίαν, ἀλλὰ πλήθει δοκίμῳ· εἰ δὲ τοῦτο οὐχ οἷόν τε, τοὺς ὀλί-

γους

Margin notes: κ. διδάσκαλος — α. Βασ. β. κ. — κ. κλαίεσθαι — Ματθ. κζ. κη. — * ἅγιον — α. Κορ. δ. ιγ. — Ματθ. ε. ιε. — κ. βελτίων — Σειρ. ις. γ. — κ. ὀνῆσαι; — * ἀλλὰ ποῦ θέλεις ἰδεῖν, ὅτι

σαντο· ἢ ὡς κεχωρισμένου τοῦ πόθου. καὶ ὅρα τὸ γινόμενον. ἐφ' ἑτέρᾳ ἀνῆλθον προφάσει, καὶ ἕτερα ἐργάζονται. οὕτω καὶ ὁ Κορνήλιος· ἄλλα νηστεύων ηὔχετο, καὶ ἄλλα ὁρᾷ. μέχρι δὲ τότε πανταχοῦ τὸν Χριστὸν Ναζωραῖον ὀνομάζουσιν· ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου, φησίν, ἔγειραι καὶ περιπάτει. πῶς γὰρ τέως ἦν τὸ ζητούμενον, τὸ πιστευθῆναι αὐτόν.

ΗΘΙΚΟΝ

Μὴ δὴ πρὸς τὴν ἀρχὴν ἀποκάμωμεν τοῦ διηγήματος· ἀλλ' εἰ καὶ κατόρθωμά τις εἰπὼν διαλίπῃ, πάλιν ἀναλάβωμεν τὴν ἀρχήν· ἂν ἐν ἕξει γινώμεθα, ταχέως πρὸς τὸ τέλος ἥξομεν, ταχέως πρὸς τὴν κορυφὴν στησόμεθα. σπουδὴ γάρ, φησι, σπουδὴν γεννᾷ, καὶ ῥαθυμία ῥαθυμίαν. ὁ μικρόν τι κατωρθωκώς, ἔλαβε παράκλησιν ἐπὶ τὸ μεῖζον ἐλθεῖν [καὶ μᾶλλον] ἐξ ἐκείνου [περαιτέρω χωρῆσαι.] καὶ καθάπερ τὸ πῦρ ὅσα ἂν περιλάβῃ ξύλα, τοσούτῳ σφοδρότερον γίνεται· οὕτω καὶ προθυμία, ὅσους ἂν διεγείρῃ λογισμοὺς εὐσεβεῖς, τοσούτῳ μᾶλλον κατὰ τῶν ἄλλων ὁπλίζεται. οἷόν τι λέγω. ἑστήκασιν [ἐν ἡμῖν] καθάπερ ἄκανθαι, ἐπιορκία, ψεῦδος, ὑπόκρισις, δόλος, κακουργία, λοιδορία, σκώμματα, γελωτοποιΐαι, αἰσχρολογίαι, εὐτραπελίαι· πάλιν ἐν ἄλλῳ μέρει, πλεονεξία, ἁρπαγή, ἀδικία, συκοφαντία, ἐπιβουλαί· πάλιν ἐπιθυμία πονηρά, ἀκαθαρσία, ἀσέλγεια, πορνεία, μοιχεία· πάλιν φθόνος, ζηλοτυπία, ὀργή, θυμός, μνησικακία, ἀνταπόδοσις, βλασφημία, μυρία τοιαῦτα. ἂν τὰ πρότερα κατορθώσωμεν, οὐκ ἐκεῖνα μόνον κατώρθωται, ἀλλὰ δι' ἐκείνων καὶ τὰ μετὰ ταῦτα. ἰσχυρότερος γὰρ γίνεται λοιπὸν ὁ λογισμὸς πρὸς τὴν ἐκείνων ἀνατροπήν. οἷον, ὁ πολλὰ ὀμνὺς ἂν περιέλῃ τὸ σατανικὸν ἔθος τοῦτο, οὐ τοῦτο μόνον αὐτῷ κατώρθωται, ἀλλὰ καὶ ἑτέρα εὐλάβεια ἐπισύνακται. οὐδεὶς γάρ, οἶμαι, τῶν οὐκ ὀμνυόντων εὐκόλως θελήσει ἄλλο τι πρᾶξαι πονηρόν, ἀλλὰ τὴν ἤδη κατορθωθεῖσαν ἀρετὴν αἰδεσθήσεται. καθάπερ γὰρ ὁ φορῶν ἱμάτιον καλὸν αἰδεῖται βορβόρῳ ἐγκυλίσαι ἑαυτόν· οὕτω δὴ καὶ οὗτος. ἀπὸ δὲ τούτου ἥξει εἰς τὸ μὴ ὀργίζεσθαι, μηδὲ τύπτειν, μηδὲ ὑβρίζειν. ἂν γὰρ ἅπαξ τὰ μικρὰ κατορθώσῃ, τὸ πᾶν ἤνυσται. συμβαίνει δὲ πολλάκις καὶ τὸ ἐναντίον· ἅπαξ κατορθώσαντά τι πάλιν ἀπὸ ῥαθυμίας τοῖς αὐτοῖς περιπεσεῖν προχείρως, καὶ εἰς ἀδύνατον περιστῆναι λοιπὸν τὸ πρᾶγμα. οἷον, ἐθήκαμεν ἑαυτοῖς νόμον μὴ ὀμνύναι· κατωρθώσαμεν ἡμέρας τρεῖς ἢ καὶ τέσσαρας· μετ' ἐκείνας εἰς ἀνάγκην περιπεσόντες, τὸ συλλεχθὲν ἅπαν κέρδος ἐσκορπίσαμεν. εἰς ῥαθυμίαν λοιπὸν ἐμπίπτομεν καὶ ἀπόγνωσιν, ὡς μηδὲ τῆς αὐτῆς ἅψασθαι βουληθῆναι πάλιν. καὶ εἰκότως. ὁ γάρ τι οἰκοδομήσας ἑαυτῷ, εἶτα ἰδὼν καθῃρημένον τὸ οἰκοδόμημα, ῥαθυμότερος ἔσται περὶ τὸ πάλιν οἰκοδομεῖν. ἀλλ' οὐ δεῖ ῥαθυμεῖν οὐδὲ οὕτως, ἀλλὰ πάλιν ἔχεσθαι τῆς σπουδῆς. θῶμεν τοίνυν ἑαυτοῖς νόμους καθημερινούς· πῶς ἀπὸ τῶν εὐκόλων ἀρξώμεθα· περικόψωμεν ἡμῶν τὴν πολυορκίαν τοῦ στόματος, χαλινὸν ἐπιθῶμεν τῇ γλώττῃ, μηδεὶς ὀμνύτω τὸν Θεόν. οὐκ ἔστιν ἐνταῦθα δαπάνη, οὐκ ἔστιν ἐνταῦθα κάματος, οὐκ ἔστιν ἐνταῦθα χρόνου μελέτη· ἀρκεῖ θελῆσαι, καὶ τὸ πᾶν γέγονε. συνηθείας γὰρ τὸ πρᾶγμά ἐστι. παρακαλῶ καὶ δέομαι, σπουδὴν τοιαύτην εἰσενέγκωμεν. εἰπὲ δή μοι, εἰ χρήματα ἐκέλευσα εἰσενεγκεῖν, οὐκ ἂν προθύμως ἕκαστος τὰ κατὰ δύναμιν συνεβάλεσθε; εἰ μὲ ἐν κινδύνοις ἑωρᾶτε τοῖς ἐσχάτοις, οὐκ ἂν καὶ ἀπὸ τῆς σαρκός, εἴγε οἷόν τε ἦν, ἀποτεμόντες ἔδοτε ἄν; ἐν κινδύνῳ καὶ νῦν εἰμι, καὶ πολλῷ, καὶ ὡς ἄν, εἰ καὶ μετὰ τοῦτο καὶ δεσμωτήριον ᾤκουν, ἢ μυρίας ἔλαβον πληγάς, ἢ εἰς μέταλλα ἐτύγχανον, οὐκ ἂν τούτου πλέον ἤλγησα. χεῖρα τοίνυν ὀρέξατε· ἐννοήσατε γὰρ ὅσος κίνδυνος, μηδὲ τὸ μικρότατον τοῦτο. μικρότατον δὲ λέγω, ἴσον εἰς πόνον ἥκει, δυνηθῆναι κατορθῶσαι. τί ἐρῶ τότε ἐγκαλούμενος, διατί μὴ διελέχθης; διατί μὴ ἐπέταξας; διατί μὴ νόμον ἔθηκας; διατί τοὺς μὴ πειθομένους οὐκ ἐκώλυσας; οὐκ ἀρκεῖ μοι εἰπεῖν, ὅτι ἐνουθέτησα· ἀλλὰ καὶ σφοδροτέρας ἡμῖν, φησίν, ἐπιτιμήσεως ἔδει· ἐπεὶ καὶ ὁ Ἠλεὶ ἐνουθέτει (ἀλλὰ μὴ γένοιτο ὑμᾶς ἐκείνοις παραβαλεῖν τοῖς παισί) κἀκεῖνος ἐνουθέτει, καὶ ἔλεγε· Μὴ τέκνα, μὴ πιστὴ οὕτω· πονηρὰ

ἡ ἀκοή,

α. Βασ. β. κεφ.

χ. κἂν κατόρθωμά τι εἴπ.

χ. καὶ πάλιν ἐπὶ τὸ πλεῖον ἐκείνου.

χ. ποῖόν τι, οἷον ἄν.

χ. ἐσκεδάσαμεν.

χ. ἡμῶν

χ. διηλέγχθης

* φασὶ | χ. ὁ αὐτὸς | χ. οἱ | χ. αὐτοὶ | χ. αὐτόν

ὑμεῖς λέγομεν· ἀλλ' ὅλως οὐκ ἔχω. τί οὖν ὁ χωλός; καὶ πρὸς ἄρας με* τὸν ἱκέτην; οὔ, φησιν· ἀλλ' ἐξ ὧν ἔχω λάβε. ὁρᾷς πῶς ἄτυφος" ὁ Πέτρος, καὶ οὐκ ἐπιδείκνυσιν οὐδὲ πρὸς αὐτὸν τὸν εὐεργετούμενον; τὸ στόμα τοίνυν καὶ ἡ χεὶρ τὸ πᾶν εἰργάσατο. τοιοῦτοί τινες ἦσαν" καὶ Ἰουδαῖοι χωλεύοντες καὶ δέον αἰτῆσαι ὑγείαν," τὸ δὲ μᾶλλον χρήματα αἰτοῦσι χαμαὶ κείμενοι· καὶ διὰ τοῦτο τῷ ἱερῷ προσεδρεύοντες, ἵνα χρηματίζωνται. τί οὖν ὁ Πέτρος; οὐχ ὑπερεῖδεν" αὐτόν, οὐ πλουτοῦντά τινα ἐζήτησεν, οὐδὲ εἶπεν, ἂν μὴ εἰς ἐκφανὲς γένηται τὸ θαῦμα, οὐδὲν μέγα ἐστίν· οὐ τιμήν τινα προσεδόκησε λαβεῖν παρ' αὐτοῦ, οὐδὲ παρόντων τινῶν ἐθεράπευσεν αὐτόν. ἐν γὰρ τῇ εἰσόδῳ ἦν ὁ ἀνήρ, οὐκ ἔνθα τὸ πλῆθος ἦν ἔνδον. ἀλλ' οὐδὲ τοῦτον ἐζήτησεν ὁ Πέτρος, οὐδὲ εἰσελθὼν ἐκήρυξεν· ἀλλ' ἀπὸ [μόνου] τοῦ σχήματος τὸν χωλὸν ἐπεσπάσατο πρὸς τὴν αἴτησιν. καὶ τὸ θαυμαστόν, ὅτι ταχέως ἐπίστευσεν. οἱ γὰρ χρονίων ἀπαλλαγέντες" παθῶν μόλις πιστεύουσι καὶ αὐτῇ τῇ ὄψει. καὶ θεραπευθεὶς λοιπὸν σὺν τοῖς ἀποστόλοις ἦν, εὐχαριστῶν τῷ Θεῷ. καὶ εἰσῆλθε, φησι, σὺν αὐτοῖς περιπατῶν εἰς τὸ ἱερόν,* ἁλλόμενος καὶ αἰνῶν τὸν Θεόν. ὅρα πῶς οὐκ ἠρέμει· τοῦτο μὲν ὑπὸ τῆς ἡδονῆς, τοῦτο δὲ "ἐμφράττων αὐτῶν τὰ στόματα. ἐμοὶ δὲ δοκεῖ, καὶ ἵνα μὴ τομιασθῇ [τις] ὑπόκρισις, διὰ τοῦτο ἅλλεσθαι αὐτόν. τοῦτο γὰρ λοιπὸν οὐκ ἦν" ὑποκρίσεως. εἰ γὰρ μηδὲ ἁπλῶς ἐπιβῆναι δυνατὸν ἦν αὐτῷ τὸ πρότερον, καὶ ταῦτα τοῦ λιμοῦ καταναγκάζοντος (οὐ γὰρ ἂν εἵλετο πρὸς τοὺς βαστάζοντας διαγίνεσθαι τὰ ἐκ τῆς ἐλεημοσύνης ἑαυτῷ δυνάμενος ἀρκεῖν) πολλῷ μᾶλλον τότε. πῶς δὲ καὶ ὑπεκρίνατο ἂν ὑπὲρ τῶν μὴ διδωκότων ἐλεημοσύνην; ἀλλ' εὐχάριστος ἦν ὁ ἀνὴρ καὶ μετὰ τὴν ὑγείαν. ἑκατέρωθεν οὖν πιστὸς δείκνυται, ἀπό τε τῆς εὐχαριστίας, ἀπό τε τοῦ συμβεβηκότος. οὕτω πᾶσι γνώριμος ἦν, ὅτι καὶ ἐπεγίνωσκον αὐτόν.

χ. χρονίων | * καὶ | χ. ἐπιστομίζων | χ. ὑπόκρισις.

9 Καὶ εἶδεν αὐτόν, φησι, πᾶς ὁ λαὸς περιπατοῦντα καὶ αἰνοῦντα τὸν Θεόν·

10 Ἐπεγίνωσκόν τε αὐτόν, ὅτι οὗτος ἦν ὁ πρὸς τὴν ἐλεημοσύνην καθήμενος ἐπὶ τῇ ὡραίᾳ πύλῃ τοῦ ἱεροῦ. Καὶ καλῶς εἶπεν, ἐπεγίνωσκον· ὡς καὶ ἀγνοουμένου λοιπὸν ἀπὸ τοῦ πράγματος. ταύτῃ γὰρ τῇ λέξει κεχρήμεθα ἐπὶ τῶν μόλις γνωριζομένων. ἔδει γοῦν πιστεῦσαι," ὅτι ἀφίησι τὰ ἁμαρτήματα τὸ ὄνομα τοῦ Χριστοῦ, ὅπου γε καὶ τοιαῦτα ἐργάζεται.

χ. δεῖν

11 Κρατοῦντος δὲ τοῦ ἰαθέντος τὸν Πέτρον καὶ τὸν Ἰωάννην, συνέδραμε πᾶς ὁ λαὸς ἐπὶ τῇ στοᾷ τῇ καλουμένῃ Σολομῶντος ἔκθαμβοι. Ἀπὸ τῆς εὐνοίας τῆς εἰς αὐτοὺς καὶ τῆς φιλίας οὐκ ἐχωρίζετο αὐτῶν· ἴσως δὲ καὶ εὐχαριστῶν αὐτοῖς καὶ ἐπαινῶν. καὶ συνέδραμε, φησι, πᾶς ὁ λαός.

12 Ἰδὼν δὲ αὐτὸς ὁ Πέτρος ἀπεκρίνατο. Πάλιν αὐτὸς καὶ ἐργάζεται καὶ δημηγορεῖ. τότε μὲν [οὖν] αὐτοὺς εἰς τὴν ἀκρόασιν διήγειρε τὸ πρᾶγμα τὸ περὶ τὰς γλώσσας· νυνὶ δὲ τοῦτο. καὶ τότε μὲν ἀρχὴν ἔλαβεν ἀπὸ τῶν ἐγκλημάτων, νῦν δὲ ἀπὸ τῆς ὑπονοίας. ἴδωμεν δὲ τί διενήνοχεν αὕτη ἡ δημηγορία ἐκείνης, καὶ κατὰ τί κοινωνεῖ. ἐκείνη μὲν οὖν* ἐν τῇ οἰκίᾳ" γέγονεν, οὐδέπω προσελθόντος οὐδενός, οὐδὲ αὐτῶν τι ἐργασαμένων· αὕτη δὲ πάντων θαυμαζόντων, τοῦ θεραπευθέντος πλησίον ἑστῶτος, οὐδενὸς ἀμφιβάλλοντος, καθάπερ τότε, ὅτε ἔλεγον ὅτι γλεύκους μεμεστωμένοι εἰσί. καὶ τότε μετὰ τῶν ἀποστόλων πάντων ὢν διελέγετο· νῦν δὲ μετὰ τοῦ Ἰωάννου" μόνου. λοιπὸν γὰρ θαρρεῖ καὶ σφοδρότερος γέγονε. τοιοῦτον γὰρ ἡ ἀρετή, ἀρχὴν λαβοῦσα πρόεισι, καὶ οὐδαμοῦ ἵσταται. ὅρα δὲ καὶ" πῶς ᾠκονομήθη ἐν τῷ ἱερῷ γενέσθαι τὸ σημεῖον, ἵνα καὶ ἄλλοι θαρρήσωσιν. οὐκ" ἐν παραβύστῳ γὰρ οὐδὲ [που] ἐργάζονται, ἢ καὶ λανθάνοντες· ἀλλ' οὔτε ἔνδον ἐν τῷ ἱερῷ, ἔνθα τὸ πολὺ πλῆθος ἦν. πῶς οὖν ἐπιστεύθη, εἰπέ μοι; αὐτὸς ὁ θεραπευθεὶς ἐκήρυξε τὴν εὐεργεσίαν. οὐδὲ γὰρ ἂν ἐψεύσατο, οὐδ' ἂν ἑτέρως ἄλλους ἐπεῖσεν. ἤτοι οὖν ὡς θρυλουμένης οὔσης ἐκεῖ τὸ σημεῖον εἰργάσαντο,

* ἐν τῆς αὐτοῦ προνοίας | χ. γέγονεν | Περὶ ἀρετῆς | χ. μόνου. | χ. τί | χ. εἰς κατάστασιν

μονῶν τῶν αὐτῶν. τί δὲ ἀνῄεσαν εἰς τὸ ἱερόν; ἆρα ἔτι Ἰουδαϊκῶς ἔζων; οὐχί· ἀλλὰ χρήσιμος ἦν καὶ τὸ σημεῖον πάλιν ἐκείνους τε βεβαιοῦν καὶ τοὺς ἄλλους ἐφελκόμενον. καὶ οἷον σημεῖον ἦσαν ποιήσαντες; φυσικὸν τὸ πάθος ἦν, κρεῖττον τέχνης ἰατρικῆς. τεσσαράκοντα ἔτη ἦν πεποιηκὼς ἐν τῇ χωλείᾳ, καθώς προϊών φησι, καὶ οὐδεὶς αὐτὸν ἐν παντὶ τῷ χρόνῳ ἐθεράπευσεν. ἴστε δὲ ὅτι ταῦτα μάλιστα δύσκολά ἐστιν, ἅπερ ἂν ἐκ γενετῆς εἴη. τοσοῦτον ἦν τὸ δεινόν, ὥστε οὐδὲ τὴν ἀναγκαίαν τροφὴν πορίζεσθαι δυνατὸς ἦν ἑαυτῷ. καὶ ἐπίσημος δὲ ὁ ἀνὴρ ἦν ἀπό τε τοῦ τόπου, ἀπό τε τοῦ πάθους. καὶ πῶς, ἄκουε.

2 Καί τις ἀνὴρ χωλός, φησιν, ἐκ κοιλίας μητρὸς αὐτοῦ ὑπάρχων ἐβαστάζετο, ὃν ἐτίθουν καθ' ἡμέραν πρὸς τὴν θύραν τοῦ ἱεροῦ τὴν λεγομένην ὡραίαν, τοῦ αἰτεῖν ἐλεημοσύνην παρὰ τῶν εἰσπορευομένων εἰς τὸ ἱερόν. ἐλεημοσύνην λαβεῖν ἄρα ἐζήτει, καὶ οὐκ ᾔδει τίνες ἦσαν οἱ ἄνδρες.

3 Ος ἰδών, φησι, Πέτρον καὶ Ἰωάννην μέλλοντας εἰσιέναι εἰς τὸ ἱερόν, ἠρώτα ἐλεημοσύνην λαβεῖν.

4 Ατενίσας δὲ Πέτρος εἰς αὐτὸν σὺν τῷ Ἰωάννῃ, εἶπε· βλέψον εἰς ἡμᾶς.

[ Τοῦτο ἄκουε· ] ὁ δὲ οὐδὲ οὕτως ἀνέστη, ἀλλ' ἔτι μᾶλλον διενοχλεῖ. τοιοῦτον γάρ ἡ πενία, καὶ δοῦναι ἀπαγορεύοντας ἐπιμένειν ἀναγκάζει. αἰσχυνθῶμεν οἱ ἐν ταῖς εὐχαῖς ἀποπηδῶντες. ὅρα δέ μοι τὴν ἐπιείκειαν πῶς ἔδειξε Πέτρος εὐθὺς εἰπών, βλέψον εἰς ἡμᾶς. οὕτως αὐτῶν τὸ σχῆμα αὐτόθεν ἐδείκνυ τὸν τρόπον.

5 Ο δὲ ἐπεῖχεν αὐτοῖς, φησι, προσδοκῶν τι παρ' αὐτῶν λαβεῖν.

6 Εἶπε δὲ Πέτρος· ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι· ὃ δὲ ἔχω, τοῦτό σοι δίδωμι. Οὐκ εἶπεν, ὅτι τοῦ ἀργυρίου πολλῷ βέλτιόν σοι δίδωμι· ἀλλὰ τί; Εν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου ἔγειραι καὶ περιπάτει.

7 Καὶ πιάσας αὐτὸν τῆς δεξιᾶς χειρός, ἤγειρεν. Οὕτω καὶ ὁ Χριστὸς ἐποίησε. πολλάκις λόγῳ ἐθεράπευσε, πολλάκις ἔργῳ, πολλάκις καὶ τὴν χεῖρα προσήγαγεν, ὅπου ἦσαν ἀσθενέστεροι κατὰ τὴν πίστιν, ἵνα μὴ δόξῃ ἀπὸ ταυτομάτου γίνεσθαι. καὶ πιάσας αὐτὸν τῆς δεξιᾶς χειρός, ἤγειρε. τοῦτο ἐποίησε δηλῶν τὴν ἀνάστασιν. ἀναστάσεως γὰρ ἦν εἰκών.

Καὶ παραχρῆμα ἐστερεώθησαν, φησιν, αὐτοῦ αἱ βάσεις καὶ τὰ σφυρά·

8 Καὶ ἐξαλλόμενος ἔστη καὶ περιεπάτει. Πειράζων ἴσως ἑαυτὸν καὶ πλείονα τὴν βάσανον ἐποιεῖτο. μὴ ἄρα ἁπλῶς ἐστι τὸ γεγονός· ἀσθενεῖς ἦσαν αὐτῷ οἱ πόδες, οὐ κεχωλωμένοι. τινὲς δέ φασιν, ὅτι καὶ ἠγνόει περιπατεῖν. Καὶ εἰσῆλθε σὺν αὐτοῖς περιπατῶν εἰς τὸ ἱερόν. Οὕτως θαύματος ἄξιον. οὐκ αὐτοὶ αὐτὸν ἐπάγουσιν, ἀλλ' αὐτὸς ἀκολουθεῖ, διὰ τῆς ἀκολουθήσεως τοὺς εὐεργέτας δεικνύς. Καὶ ἀλλόμενος, φησι, καὶ αἰνῶν τὸν Θεόν. Οὐκ ἐκείνους θαυμάζων, ἀλλὰ τὸν Θεὸν τὸν δι' ἐκείνων ἐνεργήσαντα. εὐχάριστος οὕτως ἦν ὁ ἀνήρ. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. ἀνέβαινον, φησιν, ἐπὶ τὴν ὥραν τῆς προσευχῆς τὴν ἐνάτην. * τάχα κατὰ τὸν καιρὸν τοῦτον βαστάζοντες τὸν χωλὸν ἐτίθουν, ὅτι μάλιστα εἰσῄεσαν οἱ ἄνθρωποι εἰς τὸ ἱερόν. ἵνα δὲ μὴ νομίσῃ τις, ὅτι δι' ἕτερόν τι αὐτὸν ἐβάσταζον, καὶ οὐχὶ διὰ τὸ λαβεῖν, ὅρα πῶς τοῦτο σαφῶς παρέστησε δι' ὧν λέγει. ἐτίθουν αὐτὸν ὥστε ἐλεημοσύνην λαβεῖν παρὰ τῶν εἰσπορευομένων εἰς τὸ ἱερόν. διὰ τοῦτο καὶ τόπου μέμνηται, ἐλέγχους διδοὺς ὧν γράφει. καὶ πῶς, φησιν, αὐτὸν οὐ προσήγαγον τῷ Χριστῷ; ἴσως τινὲς ἦσαν ἄπιστοι οἱ τῷ ἱερῷ προσεδρεύοντες, ὅπου γε οὐδὲ τοῖς ἀποστόλοις αὐτὸν προσήγαγον, ἰδόντες αὐτοὺς εἰσιόντας καὶ θαύματα πεποιηκότας τοιαῦτα. ἠρώτα, φησὶν, ἐλεημοσύνην λαβεῖν. ὥσπερ τινὰς εὐλαβεῖς ἄνδρας ἀπὸ τοῦ σχήματος αὐτοὺς τάχα κατενόησε. διὰ τοῦτο καὶ ἐπεῖχεν αὐτοῖς. ὅρα δὲ πῶς ὁ Ἰωάννης πανταχοῦ σιγᾷ, ὁ δὲ Πέτρος καὶ ὑπὲρ αὐτοῦ ἀπολογεῖται. ἀργύριον, φησι, καὶ χρυσίον οὐχ ὑπάρχει μοι. οὐκ εἶπεν, * οὐκ ἔχω ἐνταῦθα, οἷα

ἡμεῖς

χ. δεῖ
χ. χρήσιμος τοῦτο ποιῆσαι.
γίνεται δὲ σημεῖον.
χ. καὶ σημεῖον, οἷον ἐπὶ τοῦτο ἦσαν ποιήσαντες.
χ. ὑπῆρχεν

χ. εἰς
χ. ἐπεζήτει.

χ. καὶ οὐδ' οὕτως αὐτῷ ἡ διάνοια, ἀλλ' ἐπιμένει ἐνοχλῶν.
χ. καὶ πρὸς τὸ ἀπαγορεύοντας ὅμως ἐν ἀναγκάζει.

χ. τὸ

* ὁρᾷς πῶς τῆς εὐχαῖς προσεκαρτέρουν; τὴν ἐνάτην ὥραν ἐκεῖ συνήχετο ὁμοῦ.
χ. ἀλλ' ἵνα ἐλεημοσύνην λάβῃ.

χ. ὥσπερ τινὰς εὐλαβεῖς ἄνδρας τὸ σχῆμα ἦν καὶ δικαίων. ὅρα
* ἔτι

Digitized by Google

πρὸς τὴν γέενναν τῶν φιλοχρημάτων ἄγουσι. πόθεν οὖν εἰσὶν οἱ λέγοντές τινες, διὰ τί ὁ διάβολος γέγονε; ἰδοὺ ἐν τούτῳ ὁ διάβολος οὐδὲν ἐργάζεται, ἀλλὰ τὸ πᾶν ἡμεῖς. καὶ μὴν οἱ ἐν τοῖς ὄρεσι ταῦτα λέγειν ὤφειλον, οἱ μετὰ συμφερόντων καὶ χρημάτων ὑπεροψίαν καὶ τὴν τῶν ἄλλων καταφρόνησιν, πατέρας, καὶ οἰκίας, καὶ ἀγρούς, [καὶ γυναῖκα,] καὶ παιδία ἀφιέναι μυριάκις ἑλόμενοι. ἀλλ' ἐκεῖνοι μάλιστα ταῦτα οὐ λέγουσιν· οἷς δὲ οὐδέποτε λέγειν ἐχρῆν, οὗτοι λέγουσιν. ἐκεῖνα ὄντως τοῦ διαβόλου τὰ παλαίσματα· εἰς ταῦτα δὲ οὐδὲ καθεῖναι ἄξιον. ἀλλ' αὐτήν, φησί, τὴν φιλοχρηματίαν ὁ διάβολος ἐνέθηκε. καὶ ἀπόφυγε, καὶ μὴ καταδέξῃ, ἄνθρωπε. νῦν δέ, ἂν μέν τινα ἴδῃς πιόντα ἀπὸ δρυφάκτου κατασκευάζοντα βόρβορον, εἶτα τῶν ὁρώντων καταχεόμενον αὐτοῦ ἱστῶντα, καὶ τὸ πᾶν δεχόμενον τῇ κεφαλῇ, οὐ μόνον οὐκ ἐλεεῖς, ἀλλὰ καὶ ἀγανακτεῖς, καὶ φῂς αὐτὸν δικαίως πεπονθέναι, καὶ μὴ μαρὸς ἴαθι, ἕκαστος πρὸς αὐτὸν φθέγγεται· καὶ οὐ τῶν βαλλόντων τοσοῦτον αἰτιᾷ, ἀλλὰ τῶν δεχομένων. νυνὶ δὲ οἶδας, ὅτι τοῦ διαβόλου ἡ φιλοχρηματία· οἶδας, ὅτι μυρίων κακῶν τοῦτο αἴτιον· ὁρᾷς αὐτόν, καθάπερ βόρβορον, κατασκευάζοντα σοι συρφετὸν καὶ λογισμοὺς αἰσχρούς· καὶ γυμνῇ τῇ κεφαλῇ δεχόμενος τὴν ἀκαθαρσίαν τὴν ἐκείνου φέρεις, δέον μικρὸν ἐκκλίναντα τοῦ παντὸς ἀπηλλάχθαι; καθάπερ ἂν ἐκεῖνος τὸν τόπον ἐκκλίνας ἀπηλλάγη· οὕτω καὶ σὺ μὴ δέχου σὺ τοιούτους λογισμούς, ἀπόκρουσαι τὴν ἐπιθυμίαν. καὶ πῶς ἀποκρούσομαι, φησίν; εἰ μὲν ἕλλην ἦς, καὶ τὰ παρόντα ἐθαύμαζες μόνα, τάχα πολλῆς ἦν δυσκολίας τὸ πρᾶγμα, καίτοιγε ἐκεῖνοι κατώρθωσαν τοῦτο· ἄνθρωπος δὲ τὸν οὐρανὸν προσδοκῶν, καὶ τὰ ἐν τοῖς οὐρανοῖς, λέγεις, πῶς ἀποκρούσομαι; εἰ τοὐναντίον ἔλεγον, τότε ἐχρῆν ἀπορεῖν· εἰ ἔλεγον, ἐπιθύμησον χρημάτων· καὶ πῶς ἐπιθυμήσω χρημάτων, ἔφης ἄν, τοιαῦτα ὁρῶν; εἰπέ μοι, εἰ χρυσοῦ προκειμένου καὶ λίθων τιμίων, ἔλεγον, ἐπιθύμησον μολύβδου· ἆρα οὐκ ἦν ἀπορίας; εἴ τις γὰρ ἄν, πῶς δύναμαι; εἰ δὲ ἔλεγον, μὴ ἐπιθυμήσῃς, τοῦτο εὐκολώτερον ἦν. οὐ θαυμάζω σοὺς καταφρονοῦντας, ἀλλὰ σοὺς μὴ καταφρονοῦντας. σφόδρα ψυχῆς τοῦτο νωθείας πεπληρωμένης, μυίας καὶ κωνώπων οὐδὲν διαφερούσης, χαμαὶ συρομένης, ἰλυσπωμένης ἐν τῷ βορβόρῳ, οὐδὲν μέγα φανταζομένης. τί λέγεις; ζωὴν μέλλεις κληρονομεῖν αἰώνιον, καὶ λέγεις, πῶς καταφρονήσω τῆς παρούσης ὑπὲρ ἐκείνης; μὴ γὰρ ἀμφότερα ἐστὶ τὰ πράγματα; ἱμάτιον μέλλεις λαμβάνειν βασιλικόν, καὶ λέγεις, πῶς καταφρονήσω τῶν ῥακίων; εἰς τὴν τοῦ βασιλέως μέλλεις ἄγεσθαι οἰκίαν, καὶ λέγεις, πῶς καταφρονήσω τῆς πενιχρᾶς τῆς παρούσης; ὄντως ἡμεῖς ἐσμεν αἴτιοι πανταχοῦ, οἱ μὴ θέλοντες διεγερθῆναι μικρόν. οἱ γὰρ θελήσαντες, πάντες κατώρθωσαν· καὶ κατώρθωσαν μετὰ πολλῆς τῆς σφοδρότητος καὶ τῆς εὐκολίας. γένοιτο δὲ καὶ ὑμᾶς πεισθέντας τῇ ἡμετέρᾳ παραινέσει κατορθῶσαι, καὶ ζηλωτὰς γενέσθαι τῶν κατωρθωκότων, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

χ. ἄξιοι.
χ. καταχεόμενον τῇ κεφαλῇ αὐτοῦ, ἑ. τ. κ. τ. π. δ. ε.
χ. ἀεὶ συγκατασκευάζοντα

## Λογ. η. ΕΠΙ ΤΟ ΑΥΤΟ ΔΕ· ΠΕΤΡΟΣ ΚΑΙ ΙΩΑΝΝΗΣ ἀνέβαινον εἰς τὸ ἱερὸν, ἐπὶ τὴν ὥραν τῆς προσευχῆς τὴν ἐνάτην. κεφ. γ.

Πανταχοῦ φαίνονται οὗτοι πολλὴν ἔχοντες πρὸς ἀλλήλους ὁμόνοιαν. τούτῳ νεύει ὁ Πέτρος· ὁμοῦ εἰς τὸν τάφον ἔρχονται οὗτοι· περὶ αὐτοῦ φησι τῷ Χριστῷ, οὗτος δὲ τί; τὰ μὲν οὖν ἄλλα σημεῖα παρέδωκεν ὁ τὸ βιβλίον συγγράψας· ὃ δὲ πολλὴν εἶχε τὴν ἔκπληξιν καὶ πάντας ἐξένιζε, λέγει. καὶ ὅρα πάλιν αὐτοὺς οὐ προηγουμένως ἐπ' αὐτὸ ἐρχομένους· οὕτω φιλοτιμίας ἦσαν καθαροί, καὶ τῶν διδασκάλων ἐμι-

Ιωαν. ιγ. κδ.
γ. κ. κα. κϛ.

χ. ἦλθον
χ. λέγει δὲ τὸ σημεῖον, ἀφ' οὗ πάντας ἐξέπληττε ἀλλ. ἐνίκησε
χ. αὐτῷ

ἀηδίαι, καὶ ἑαυτοὺς ἀποστερέουσι τοῦ πιοῦσι· τούτοις οὐδὲ ὕπνος ἡδύς, οὔτε ἄλλο οὐδέν. ἂν δὲ καὶ γυναῖκα ἔχωσι, βαβαί, πρὸς παῖδας ἐχθροὶ γίνονται καὶ πολέμιοι· ζηλοτυπίαι μυρίαι· φόβος διηνεκής. πονηρὸς δὲ παρὰ τὸ πονεῖν εἴρηται. οὕτω γοῦν καὶ ἡ γραφὴ πόνον αἰεὶ τὴν πονηρίαν καλεῖ, ὡς ὅταν λέγῃ· Ὑπὸ τὴν γλῶσσαν αὐτοῦ κόπος καὶ πόνος· καὶ πάλιν· Καὶ τὸ πλεῖον αὐτῶν κόπος καὶ πόνος. Εἰ δὲ θαυμάζοι τις, πόθεν μὲν παρὰ τὴν ἀρχὴν τοιοῦτοι γεγόνασι, νῦν δὲ οὐ τοιοῦτοι, μαθέτω τὴν θλῖψιν αἰτίαν, τὴν διδάσκαλον τῆς φιλοσοφίας, τὴν μητέρα τῆς εὐλαβείας. ὅτε χρήματα ἀνῄρεσαν, τότε οὐδὲ πονηρία ἦν. ναί, φησιν. αὐτὸ γὰρ τοῦτο ἐρωτῶ· νῦν δὲ πόθεν ἡ τοσαύτη πονηρία; πόθεν ἐκείνοις μὲν ἐπῆλθε τοῖς τρισχιλίοις, καὶ πεντακισχιλίοις οὖσιν εὐθέως ἑλέσθαι τὴν ἀρετήν, καὶ ὁμοῦ οὕτως ἐγένοντο φιλόσοφοι· νῦν δὲ μόλις εἷς εὑρίσκεται, τότε δὲ οὕτω συνεφώνουν; τί τὸ ποιῆσαν αὐτοὺς σφοδροὺς καὶ διεγηγερμένους; τί αὐτοὺς ἄφνω ἐπύρωσεν; ἐπειδὴ μετὰ πολλῆς προσῆλθον τῆς εὐλαβείας· ἐπειδὴ τὰ τῶν τιμῶν οὐκ ἦν, καθάπερ νῦν· ἐπειδὴ πρὸς τὰ μέλλοντα μετέστησαν αὐτῶν τὴν διάνοιαν, καὶ οὐδὲν τῶν παρόντων προσεδόκων. τοῦτό ἐστι πεπυρωμένης ψυχῆς, τὸ τοῖς δεινοῖς ἐνστρέφεσθαι· τοῦτο ἐνόμιζον ἐκεῖνοι χριστιανισμὸν εἶναι. ἀλλ᾽ οὐχ ἡμεῖς. νῦν γὰρ τὰς ἀνέσεις ἐνταῦθα ζητοῦμεν. διὰ τοῦτο οὐδέ, ὅταν δέῃ, τούτων ἐπιτευξόμεθα. τί ποιήσομεν, ἠρώτων ἐκεῖνοι, καταγινώσκοντες ἑαυτῶν; ἡμεῖς δὲ τὸ ἐναντίον· τί ποιήσομεν, λέγομεν, ἐπιδεικνύμενοι πρὸς τοὺς παρόντας, καὶ μέγα φρονοῦντες ἐφ᾽ ἑαυτοῖς, ἅπερ οὐδὲ ἠμελεῖσθαι, ἐποίουν ἐκεῖνοι· ἡμεῖς δὲ τοὐναντίον. κατέγνωσαν ἑαυτῶν ἐκεῖνοι· ἀπέγνωσαν αὐτῶν τῆς σωτηρίας. διὰ τοῦτο τοιοῦτοι γεγόνασι· ἔγνωσαν ὅσον ἔλαβον δῶρον. πῶς δὲ ὑμεῖς ἔσεσθε τοιοῦτοι, ἀπελευτίας ἐκείνοις ἅπαντα περιάπτοντες; ἐκεῖνοι ἅμα ἤκουσαν, καὶ ἐβαπτίσαντο. οὐκ εἶπον ταῦτα τὰ ῥήματα τὰ ψυχρά, ἅπερ ἡμεῖς νῦν, οὐδὲ τὴν ἀναβολὴν ἐπραγματεύσαντο· καίτοιγε οὐ πάντα ἤκουσαν τὰ διηγήματα· ἀλλὰ μόνον τό, σώθητε ἀπὸ τῆς γενεᾶς ταύτης. οὐκ ὀκνηροὺς αὐτοὺς ἐποίησεν, ἀλλ᾽ ἀπεδέξαντο τοὺς λόγους· καὶ ὅτι ἀπεδέξαντο, διὰ τῶν ἔργων ἐδήλωσαν, καὶ διὰ τῶν πραγμάτων αὐτῶν ἔδειξαν ἑαυτοὺς πιστοὺς ὄντας. ἅμα ἐνέβησαν εἰς τὸν ἀγῶνα, ἀπεδύσαντο τὰ ἱμάτια· ἡμεῖς δὲ ἐμβαίνοντες, μετὰ ἱματίων παλαίειν βουλόμεθα. διὰ τοῦτο οὐ δύναται ποιεῖν ὁ ἀνταγωνιστής, ἀλλ᾽ ἑαυτοῖς περιπλακέντες πολλάκις κατηνέχθημεν. ταὐτὸν γὰρ ποιοῦμεν, ὥσπερ ἂν εἴ τις ἄνδρα ἀθλητὴν κεκονιαμένον, μαινόμενον, γυμνούμενον ἰδών, πολλὴν καὶ ἀπὸ τῆς ἄμμου καὶ τοῦ ἡλίου τὴν λάμψιν ἔχοντα, καὶ ἀνακεχρωσμένον τῷ ἐλαίῳ καὶ τῷ ἱδρῶτι καὶ τῷ πηλῷ, αὐτὸς μύρον ὄζων, σηρικὰ λαβὼν ἱμάτια, καὶ χρυσᾶ ὑποδήματα, καὶ στολὴν μέχρι σφυρῶν καθειμένην, καὶ χρυσία περὶ τὴν κεφαλήν, εἶτα συμπλέκοιτο. ὁ γὰρ τοιοῦτος οὐκ ἐμποδισθήσεται μόνον, ἀλλὰ καὶ πᾶσαν τὴν φροντίδα περὶ τὸ μὴ μολῦναι, μηδὲ διαρρῆξαι τοὺς χιτῶνας ἔχων, ἐκ πρώτης εὐθέως προσβολῆς πεσεῖται, καὶ ὅπερ δέδοικεν, εὐθέως τοῦτο πείσεται, περὶ ἐκεῖνα τὰ ἱμάτια τὴν ζημίαν λαβών. καιρὸς ἀγῶνος ἐνέστηκε· σὺ δὲ περιβάλλῃ σηρικά; καιρὸς γυμνασίας, καιρὸς σταδίου· σὺ δὲ καθάπερ ἐν πομπῇ κοσμεῖς σαυτόν; καὶ πῶς περιέσῃ; μή μοι πρὸς τὰ ἔξω ἴδῃς, ἀλλὰ πρὸς τὰ ἔσω. ταῖς γὰρ τούτων φροντίσι, καθάπερ δεσμοῖς χαλεποῖς, πάντοθεν ἡ ψυχὴ συνδέδεται, χεῖρας οὐκ ἐῶσα ἀντᾶραι, οὐδὲ ἐπιθέσθαι τῷ πολεμίῳ, μαλακοὺς ἐργαζομένη καὶ ἁπαλούς. ἀγαπητὸν* πάντων ἀπαλλαγέντα δυνηθῆναι περιγενέσθαι τῆς ἀκαθάρτου δυνάμεως ἐκείνης. διὰ τοῦτο καὶ ὁ Χριστός, ὡς οὐκ ἀρκούσης τῆς τῶν χρημάτων μόνον ἀποβολῆς, ὅρα τί φησι· Πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ δεῦρο ἀκολούθει μοι. εἰ δέ, οὐδὲ ὅταν ἀποδυσώμεθα τὰ χρήματα, οὐδέπω ἐν ἀσφαλείᾳ ἑστήκαμεν, ἀλλὰ καὶ ἑτέρας τινὸς τέχνης καὶ ἀκριβείας ἡμῖν δεῖ· πολλῷ μᾶλλον ἔχοντες, οὐδὲν ἐργασόμεθα μέγα, ἀλλὰ καταγέλαστοι καὶ τοῖς θεαταῖς, καὶ αὐτῷ γενησόμεθα τῷ πονηρῷ. καὶ γὰρ διάβολος μὴ ᾖ, κἂν ὁ παλαίων μηδεὶς ᾖ, μυρίαι πάντοθεν ὁδοὶ

πρὸς

Marginalia (left): Ψαλ. θ ζ. — Ψαλ. πθ. ι. — Μαρκ. ι. κβ.

Marginalia (right): γρ. ἐν μέσῳ αὐτῆς κόπος — γρ. ἐντρέφεσθαι — γρ. ἀπογινώσκοντες — γρ. παρὰ τοῦ παρόντος ἡμεῖς κομπάζοντες, καὶ — γρ. ἐν αὐτῷ — γρ. πρὸς ἄνδρα μαινόμενον ἔχοντα πῦρ πνέοντα. — γρ. χρυσοῦν τι λέγειν — γρ. εἰπέ μοι — * ἀλλ — γρ. ἰδοὺ ὁ Χριστὸς οὐκ ἠρκέσθη φησὶ τῇ τ. χ. ἀποβ. ἀλλὰ τί φησι;

Digitized by Google

λίασις. καὶ ἐχθρὸς ὡς εὐεργετούμενος ἐδέχετο καὶ εὖ πάσχων μᾶλλον, καὶ οὗτοι ὡς δοξαζόμενοι ταύτῃ. καὶ πάνυ πρὸς αὐτοὺς ἦσαν συνδεδεμένοι. ἐπεὶ γὰρ ἐν τῇ τῶν χρημάτων διανομῇ καὶ ὕβρεις, καὶ ἀπονοίας, καὶ λύπας γίνεσθαι συμβαίνει, διὰ τοῦτο ἔλεγεν ὁ ἀπόστολος· Μὴ ἐκ λύπης, ἢ ἐξ ἀνάγκης. ὁρᾷς πόσα αὐτοῖς μαρτυρεῖ, πίστιν γνησίαν, βίον ὀρθόν, τὴν ἐν ἀκροάσει καρτερίαν, τὴν ἐν εὐχαῖς, τὴν ἐν ἀφελείᾳ, τὴν ἐν εὐφροσύνῃ. δύο ἦν ἱκανὰ ἐμβαλεῖν αὐτοὺς εἰς ἀθυμίαν, ἥ τε πενία, καὶ τὸ τὰ χρήματα ἀπολλύναι. ἀλλ' ὅμως καὶ δι' ἀμφότερα ἔχαιρον. τίς γὰρ τοὺς οὕτω διακειμένους οὐκ ἂν ἠγάπησεν, ὡς πατέρας κοινούς; οὐδὲν εἶχον πονηρὸν κατ' ἀλλήλων, τὸ πᾶν ἐπέτρεπον τῇ χάριτι τοῦ Θεοῦ. οὐκ ἦν φόβος, καίτοι ἐν μέσοις κινδύνοις ἐμβεβληκότων αὐτῶν. διὰ γοῦν τῆς ἀφελείας, τὴν πᾶσαν αὐτῶν ἐδήλωσεν ἀρετήν, πολὺ καὶ τῆς τῶν χρημάτων [ὑπεροψίας,] καὶ τῆς νηστείας, καὶ τῆς ἐν ταῖς εὐχαῖς καρτερίας μείζονα οὖσαν. οὕτω δὲ καὶ καθαρῶς ᾔνουν τὸν Θεόν· μᾶλλον δὲ τοῦτό ἐστιν αἰνεῖν τὸν Θεόν. ὅρα δὲ καὶ ἐν τούτῳ αὐτοὺς ἀπολαμβάνοντας εὐθέως τὰς ἀμοιβάς. τὸ γὰρ ἔχειν χάριν πρὸς τὸν λαόν, τοῦτό ἐστιν, ὅτι ποθεινοί τινες ἦσαν καὶ ἐπέραστοι.

Ιο. αἰνοῦ — Β. Κορ. θ. ζ. — χ. διαδιδόναι — χ. οὖν

Τίς γὰρ οὐκ ἂν ἠγάσατο; τίς δὲ οὐκ ἂν αὐτῶν θαυμάσειε τὸ [ἦθος] ἁπλοῦν; ἢ τίς οὐκ ἂν συνεδέθη τινὶ μηδὲν ὕπουλον ἔχοντι; πόσων δὲ ἄλλων ἐστὶν ἡ σωτηρία, ἢ τούτων; πόσων δὲ τὰ μεγάλα ἀγαθά; οὐχὶ ποιμένες εὐηγγελίσθησαν πρότεροι; οὐχὶ Ἰωσὴφ ἁπλοῦς τις ὢν ἄνθρωπος, ὥστε μὴ διὰ μοιχείας ὑποψίαν φοβηθέντα αὐτὸν ἐργάσασθαί τι πονηρόν; οὐχὶ ἀγροίκους ἐξελέξατο, τοὺς ἀπλάστους; Ψυχὴ γάρ, φησιν, εὐλογουμένη πᾶσα ἁπλῆ. καὶ πάλιν· Ὁ δὲ πορευόμενος ἁπλῶς, πορεύεται πεποιθώς. καί, φησιν· ἀλλὰ καὶ φρονήσεως δεῖ. τί γὰρ ἄλλο ἐστὶν ἁπλότης, ἀλλ' ἢ φρόνησις; ὅταν γὰρ μηδὲν ὑποπτεύῃς πονηρόν, οὔτε τιμωρῆσαι δύνασαι πονηρόν· ὅταν μηδὲν ἔχῃς τῶν δεινῶν, οὐδὲ μνησικακῆσαι δυνήσῃ. ὕβρισέ τις, οὐκ ἤλγησας. ἐκακηγόρησεν, οὐδὲν ἔπαθες. ἐβάσκηνεν, οὐδὲ οὕτως ἔπαθές τι. ὁδός τίς ἐστιν ἐπὶ φιλοσοφίαν ἡ ἁπλότης. οὐδεὶς οὕτως ἐστὶ τὴν ψυχὴν καλός, ὡς ὁ ἁπλοῦς. καθάπερ γὰρ ἐν τῷ σώματι, ὁ μὲν στυγνὸς καὶ κατηφὴς καὶ σκαιός, κἂν καλὸς ᾖ, τὸ πολὺ τῆς ὡραιότητος ὑποτέμνει)· ὁ δὲ ἀνειμένος καὶ ἠρέμα μειδιῶν τὴν ὄψιν ἐπιτείνει τὴν ὡραιότητα· οὕτω δὴ καὶ ἐπὶ τῆς ψυχῆς. ὁ μὲν σκαιός, κἂν μυρία ἔχῃ κατορθώματα, ἠφάνισεν αὐτά· ὁ δὲ ἀνειμένος καὶ ἁπλοῦς, τοὐναντίον. καὶ φίλον τὸν τοιοῦτον μετ' ἀσφαλείας ἄν τις ἐργάσαιτο, καὶ ἐχθροὶ γενόμενοι καταλλάξειεν. οὐ γὰρ δεῖ φυλακῆς καὶ προφυλακῆς, οὐδὲ δεσμῶν καὶ συνδέσμων ἐπὶ τοῦ τοιούτου, ἀλλὰ πολλὴ μὲν αὐτῷ ἔσται ἡ αἴδεσις, πολλὴ δὲ καὶ τοῖς συνοῦσιν αὐτῷ. τί οὖν ἂν εἰς πονηρούς, φησιν, ἄνδρας ὁ τοιοῦτος ἐμπέσῃ; ὁ Θεὸς ὁ προστάξας εἶναι ἁπλοῦς, ὀρέξει χεῖρα. τί τοῦ Δαβὶδ ἁπλούστερον ἦν; τί δὲ τοῦ Σαοὺλ πονηρότερον; τίς οὖν περιεγένετο; τί δαὶ ἐπὶ τοῦ Ἰωσήφ; οὐχ ὁ μὲν ἁπλάστως προσῆν τῇ δεσποίνῃ, ἡ δὲ κακούργως; τί οὖν, εἰπέ μοι, ἐκεῖνος ἠδίκηται; τί δαὶ τοῦ Ἄβελ ἁπλούστερον ἦν; τί δαὶ τοῦ Κάϊν κακουργότερον; ὁ Ἰωσὴφ δὲ πάλιν οὐκ ἀπλάστως ἐκέχρητο τοῖς ἀδελφοῖς; οὐ διὰ τοῦτο εὐδοκίμησεν, ὅτι ὁ μὲν ἀνυπόπτως πάντα ἐφθέγγετο, οὗτοι δὲ κακούργως ἐδέχοντο; καὶ ἅπαξ εἶπε τὰ ὀνείρατα, καὶ πάλιν εἶπε, καὶ οὐκ ἐφυλάξατο· καὶ πάλιν πρὸς αὐτοὺς ἀπῄει τροφὰς ἀποίσων, καὶ οὐδὲν ἐφυλάττετο, τὸ πᾶν ἐπιτρέπων τῷ Θεῷ· ἀλλ' ὅσῳ ἐκεῖνοι πρὸς αὐτὸν οὕτω διέκειντο ὡς πρὸς πολέμιον, οὕτως ἐκεῖνος ὡς πρὸς ἀδελφούς. καὶ ἠδύνατο ὁ Θεὸς μὴ ἀφεῖναι αὐτὸν ἐμπεσεῖν εἰς αὐτῶν τὰς χεῖρας, ἀλλ' ἀφῆκεν, ἵνα δειχθῇ τὸ θαῦμα· [καὶ] ὅτι κἂν τὰ αὐτῶν ἐπιδείξωνται ἐκεῖνοι, οὗτος ἀνώτερος ἔσται· ὥστε κἂν λάβῃ πληγήν, οὐ παρ' ἑαυτοῦ, ἀλλὰ παρ' ἑτέρου λαμβάνει· ὁ δὲ πονηρὸς ἑαυτὸν μὲν πλήττει πρότερον, ἕτερον δὲ οὐδένα. οὕτως ἐστὶ καὶ ἑαυτῷ πολέμιος. τοῦ τοιούτου ἀεὶ ἀθυμίας ἡ ψυχὴ μεστή, τῶν λογισμῶν ἀεὶ συνδεδεμένων. κἂν ἀκοῦσαι, κἂν εἰπεῖν τι δέῃ, πάντα μετ' ἐγκλημάτων ποιεῖ, πάντα μετ' αἰτίας. φιλία τῶν τοιούτων καὶ ὁμόνοια πόρρω καὶ μακρὰν ἐσκήνωται· μάχαι δὲ πρὸς αὐτοὺς καὶ ἔχθραι καὶ

ΗΘΙΚΟΝ — χ. θαύματα; — Παροιμ. ι. — χ. ὑποπτεύσειας — χ. τῶν δυνατῶν δεινῶν — χ. δύνασαι καὶ ἀμύνασθαι — χ. ὑφέξει — χ. δὲ — χ. πονηρ- — χ. μόνος γάρ, φησιν, αὐτὸν λυπεῖ τὰ κακὰ τοῦτο — χ. ἐγγύς

ποίουν, διὰ τῆς ἐλεημοσύνης. μὴ γάρ μοι, εἰ τὸ ἀρχιερεῖς ἐπίστησαν αὐτοῖς ὑπὸ φθόνου καὶ βασκανίας, τοῦτο ἴδῃς· ἀλλ᾽ ὅτι πρὸς τὸν λαὸν χάριν εἶχον. Ὁ δὲ Κύριος, φησὶ, προσετίθει τοὺς σωζομένους καθ᾽ ἡμέραν τῇ ἐκκλησίᾳ. Πάντες δὲ οἱ πιστεύοντες ἦσαν ἐπὶ τὸ αὐτό. πάλιν ἡ ὁμόνοια, ἡ ἀγάπη ἡ πάντων αἴτιον τῶν ἀγαθῶν. ἑτέροις τε λόγοις πλείοσι διεμαρτύρατο. τοῦτο εἶπε, δεικνὺς ὅτι οὐκ ἤρκει τὰ λεχθέντα. ἐκεῖνα μὲν γὰρ, ὥστε πρὸς πίστιν ἐπαγαγέσθαι, ταῦτα δὲ ἵνα χρὴ τὸν πιστὸν ποιεῖν, εἴρηται. καὶ οὐκ εἶπεν, ἐπὶ τῷ σταυρῷ, ἀλλ᾽ ἐπὶ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ βαπτισθήτω ἕκαστος ὑμῶν. οὐδὲ ἀναμιμνήσκει αὐτοὺς συνεχῶς τοῦ σταυροῦ, ἵνα μὴ ὀνειδίζειν δόξῃ, ἀλλ᾽ ἁπλῶς, μετανοήσατε, φησί. καὶ τί, ἵνα κολασθῶμεν; οὐχί. καὶ βαπτισθήτω ἕκαστος ὑμῶν ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ εἰς ἄφεσιν ἁμαρτιῶν. καὶ μὴν ἑτέρως ἔχει τῶν ἐν ταῦθα δικαστηρίων ὁ νόμος· ἐπὶ δὲ τοῦ κηρύγματος ὅταν ὁ ἁμαρτηκὼς ὁμολογήσῃ, τότε σώζεται. ὅρα πῶς οὐ τὸ μεῖζον προέδραμεν ὁ Πέτρος· ἀλλὰ πρότερον τὴν χάριν εἰπὼν, τότε καὶ ἐκεῖνο ἐπήγαγε, λέγων· λήψεσθε, φησὶ, τὴν δωρεὰν τοῦ ἁγίου πνεύματος. ἀξιόπιστος ὁ λόγος αὐτόθεν, ἐξ ὧν αὐτοὶ ἔλαβον. τέως δὲ εὔκολον λέγει καὶ πολλὴν ἔχον δωρεὰν, καὶ τότε ἐπὶ τὸν βίον ἄγει, εἰδὼς ὅτι ὑπόθεσις αὐτοῖς ἔσται σπουδῆς, τὸ ἤδη γεύσασθαι τῶν τοσούτων ἀγαθῶν. ἐπειδὴ δὲ ἐπόθει ἀκοῦσαι ὁ ἀκροατὴς τί ποτ᾽ ἦν τῶν πλειόνων λόγων τὸ κεφάλαιον, τοῦτό ἐστι, φησὶν, ἡ δωρεὰ τοῦ ἁγίου πνεύματος. οἱ μὲν οὖν ἀποδεξάμενοι τὸν λόγον ἐπίστευσαν τὰ λεχθέντα καίτοι φόβου γέμοντα, καὶ μετὰ τῆς συγκαταθέσεως, τότε ἐπὶ τὸ βάπτισμα ἔρχονται. ἀλλ᾽ ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. ἦσαν, φησὶ, προσκαρτεροῦντες τῇ διδαχῇ*. ἐκ τούτου δῆλον ὅτι οὐ μίαν ἡμέραν, οὐδὲ δύο καὶ τρεῖς, ἀλλ᾽ ἐπὶ πολλὰς ἐδιδάσκοντο, ἅτε ἐφ᾽ ἕτερον μεταστάντες βίον. καὶ ἐγένετο πάσῃ ψυχῇ φόβος. εἰ πάσῃ, καὶ τῶν μὴ πιστευσάντων. εἰκὸς δὲ αὐτοὺς παθεῖν τοσαύτην ἀθρόον μεταβολὴν ἰδόντας· τάχα δὲ καὶ ἀπὸ τῶν σημείων. οὐχὶ ὁμοῦ δὲ, ἀλλ᾽ ὁμοθυμαδὸν, τουτέστι, μιᾷ ψυχῇ, εἶπεν· ἐπειδὴ ἦν ὁμοῦ μὲν εἶναι τινὰς, οὐ μὴν δὲ ὁμοθυμαδὸν, διῃρημένους ταῖς γνώμαις. λόγοις τε παρεκάλει. καὶ οὐδὲ ἐνταῦθα λέγει τὴν διδασκαλίαν, ἐπιτέμνων τὸν λόγον. ἅτε ὡς νέους παῖδας ἔτρεφον τῇ τροφῇ τῇ πνευματικῇ, καὶ ἄγγελοι γεγόνασι λοιπὸν ἐξαίφνης*, καὶ διεμέριζον καθὸ χρείαν τις εἶχεν. εἶδον ὅτι τὰ πνευματικὰ κοινὰ, καὶ οὐδεὶς ἕτερος ἑτέρου πλέον ἔχει, καὶ ταχέως ἦλθον ἐπὶ τὸ τὰ αὐτῶν πάντα διαδιδόναι. πάντες δὲ οἱ πιστεύοντες ἦσαν ἐπὶ τὸ αὐτό. ὅτι δὲ οὐ τόπῳ ἦσαν ἐπὶ τὸ αὐτὸ, δῆλον ἐξ ὧν ἐπήγαγε λέγων, καὶ πάντα εἶχον κοινά. πάντες δέ φησιν, οὐχ ὁ μὲν, ὁ δὲ οὔ. τοῦτο πολιτεία ἀγγελικὴ, μηδὲν αὐτῶν λέγειν ἴδιον εἶναι. ἐντεῦθεν ἡ ῥίζα τῶν κακῶν ἐξεκόπη, καὶ δι᾽ ὧν ἔπραττον ἔδειξαν ἃ ἤκουσαν. τοῦτο ἦν ὃ ἔλεγε, σώθητε ἀπὸ τῆς γενεᾶς τῆς σκολιᾶς ταύτης. καὶ προσετέθησαν τῇ ἡμέρᾳ ἐκείνῃ ψυχαὶ ὡσεὶ τρισχίλιαι. ἐπειδὴ τρισχίλιοι γεγόνασιν, ἐξήγαγον αὐτοὺς λοιπὸν ἔξω, οἳ καὶ μετὰ παρρησίας πολλῆς οὔσης ἤδη καθ᾽ ἡμέραν ᾐνέσαν καὶ προσεκαρτέρουν ἐν τῷ ἱερῷ· ἐπεὶ καὶ Πέτρος καὶ Ἰωάννης μικρὸν ὕστερον τὸ αὐτὸ ποιοῦσιν. οὐδέπω γὰρ τέως παρεκίνουν τὴν Ἰουδαϊκήν. καὶ αὕτη δὲ ἡ εἰς τὸν τόπον τιμὴ διέβαινε πρὸς τὸν τοῦ ἱεροῦ δεσπότην. εἶδες εὐλαβείας ἐπίδοσιν; χρήματα ἔρριψαν καὶ ἔχαιρον, καὶ πολλὴ ἦν ἡ εὐφροσύνη. μείζονα γὰρ ἦν ἃ ἐλάμβανον ἀγαθά. οὐδεὶς ὠνείδιζεν, οὐδεὶς ἐφθόνει, οὐδεὶς ἐβάσκαινεν, οὐκ ἦν τῦφος, οὐκ ἦν ἐξουδένωσις. καθάπερ παιδία ἐνόμιζον οὕτω παιδεύεσθαι, ὡς ἀρτίτοκοι οὕτω διέκειντο. καὶ τί ὡς ἐν ἀμυδρᾷ λέγω εἰκόνι; εἰ μέμνησθε, ὡς ὅτε τὴν πόλιν ἡμῖν ἔσεισεν ὁ Θεὸς, καὶ πάντες ἦσαν συνεσταλμένοι, οὕτω τότε ἐκεῖνοι διέκειντο. οὐδεὶς ὕπουλος ἦν, οὐδεὶς πονηρός. καὶ γὰρ τοιοῦτον ὁ φόβος, τοιοῦτον ἡ θλῖψις. οὐκ ἦν τὸ ψυχρὸν ῥῆμα, τὸ ἐμὸν καὶ τὸ σόν· διὰ τοῦτο ἀγαλλίασις ἦν ἐπὶ τῆς τραπέζης· οὐδεὶς ὡς ἐξ ἰδίων ἐσθίων διέκειτο, οὐδεὶς ὡς ἐξ ἀλλοτρίων. καίτοι δοκεῖ αἴνιγμα εἶναι. οὔτε ἀλλότρια ἐνόμιζον εἶναι τὰ τῶν ἀδελφῶν (δεσποτικὰ γὰρ ἦν) οὔτε ἴδια, ἀλλὰ τῶν ἀδελφῶν. οὔτε ὁ πένης ᾐσχύνετο, οὔτε ὁ πλούσιος ἐτύφετο. τοῦτό ἐστιν ἀγαλλίασις.

γρ. ἔστι πάντων γὰρ αἴτιον ἡ ὁμόνοια.
γρ. ἐκεῖνα μὲν γὰρ.
γρ. πῶς οὐκ εὐθέως παρέδραμεν ὁ Πέτρος, ἀλλὰ λέγει καὶ πείθει, καὶ ἐπάγει.
* τῶν ἀποστόλων
* ἅπαντες εὐχῇ καὶ ἀκροάσει προσκαρτεροῦντες,
γρ. μεταδιδόναι
γρ. εὐθέως
γρ. καὶ αὕτη δὲ ἡ τιμὴ εἰς τὸν τόπον διέβαινε, τὸ ἐν τῷ οἴκῳ ἱερατεύειν οἴκῳ· ἐν τῷ ἱερῷ καὶ ὅσα εὐλαβοῦντος

Ὅρα πότε λέγει πρὸς εἰς μακράν. ὅτε αὐτοὺς εὗρεν ᾠκειωμένους καὶ κατεγνωκότας ἑαυτῶν. ψυχὴ γὰρ ὅταν ἑαυτὴν καταδικάσῃ, οὐκέτι φθονεῖν δύναται.

40 Ἑτέροις τε λόγοις πλείοσι διεμαρτύρατο καὶ παρεκάλει λέγων.

Ὅρα αὐτοὺς πανταχοῦ ἐπιτιμῶντας, καὶ οὐ φιλοτιμουμένους, οὐδὲ ἐπιδεικνυμένους. διεμαρτύρατο, φησὶ, καὶ παρεκάλει λέγων. ἀπηρτισμένη αὕτη διδασκαλία, τὸ μὲν φόβου, τὸ δὲ ἀγάπης ἔχουσα. Σώθητε, φησὶν, ἀπὸ τῆς γενεᾶς τῆς σκολιᾶς ταύτης.

*Οὐδὲν περὶ μελλόντων φησὶν, ἀλλὰ περὶ τῶν παρόντων, οἷς καὶ μάλιστα ἐνάγονται ἄνθρωποι, καὶ δείκνυσιν, ὅτι τὸ κήρυγμα καὶ τῶν παρόντων, καὶ τῶν μελλόντων ἀπαλλάττει κακῶν.

41 Οἱ μὲν οὖν ἀσμένως ἀποδεξάμενοι τὸν λόγον αὐτοῦ, φησὶν, ἐβαπτίσθησαν· καὶ προσετέθησαν τῇ ἡμέρᾳ ἐκείνῃ ψυχαὶ ὡσεὶ τρισχίλιαι. Πῶς οἴει τοῦτο τοὺς ἀποστόλους ἀνακτήσασθαι μᾶλλον τοῦ σημείου;

42 Ἦσαν δὲ προσκαρτεροῦντες ὁμοθυμαδὸν τῇ διδαχῇ τῶν ἀποστόλων καὶ τῇ κοινωνίᾳ.

Δύο ἀρεταὶ, καὶ τὸ προσκαρτερεῖν, καὶ τὸ ὁμοθυμαδόν. τῇ διδαχῇ τῶν ἀποστόλων, φησὶ (πάλιν γὰρ αὐτοὺς ἐδίδασκον) καὶ τῇ κοινωνίᾳ, Καὶ τῇ κλάσει τοῦ ἄρτου, καὶ τῇ προσευχῇ. Πάντα κοινῇ, πάντα μετὰ καρτερίας.

43 Ἐγένετο δὲ πάσῃ ψυχῇ φόβος, Τῶν πιστευσάντων, Πολλά τε τέρατα καὶ σημεῖα διὰ τῶν ἀποστόλων ἐγίνετο. [Εἰκότως.] οὐ γὰρ ὡς τῶν τυχόντων κατεφρόνουν, οὐδὲ τοῖς ὁρωμένοις προσεῖχον. ἄρα πεπύρωτο αὐτῶν ἡ διάνοια. ἐπειδὴ γὰρ ἄνωθεν ἦν προλέγων ὁ Πέτρος, καὶ ἐδείκνυ τὰς ἐπαγγελίας καὶ τὰ μέλλοντα, εἰκότως ἐδέησαν τὸν φόβον, καὶ ἐμαρτύρει τοῖς λεγομένοις τὰ θαύματα. καθάπερ γὰρ ἐπὶ τοῦ Χριστοῦ, πρότερον σημεῖα, εἶτα διδασκαλία, εἶτα θαύματα· οὕτω καὶ νῦν.

44 Πάντες δὲ οἱ πιστεύοντες* ἦσαν ἐπὶ τὸ αὐτὸ, καὶ εἶχον ἅπαντα κοινά.

Ὅρα εὐθέως ὅση ἡ ἐπίδοσις. οὐ γὰρ ἐν ταῖς εὐχαῖς μόνον ἡ κοινωνία, οὐδὲ ἐν τῇ διδασκαλίᾳ· ἀλλὰ καὶ ἐν τῇ πολιτείᾳ.

45 Καὶ τὰ κτήματά, φησι, καὶ τὰς ὑπάρξεις ἐπίπρασκον, καὶ διεμέριζον αὐτὰ πᾶσι, καθότι ἄν τις χρείαν εἶχεν. Ὅρα πόσος φόβος αὐτοῖς" ἐνεγένετο; καὶ διεμέριζον αὐτά, φησι, τὸ οἰκονομικὸν δηλῶν. καθότι ἄν τις χρείαν εἶχεν· οὐχ ἁπλῶς, καθάπερ οἱ παρ᾽ Ἕλλησι φιλόσοφοι, οἱ μὲν ἀφῆκαν τὴν γῆν, οἱ δὲ εἰς θάλατταν ἔρριψαν πολὺ χρυσίον, " ὅπερ οὐκ ὑπεροψία χρημάτων ἦν, ἀλλὰ μωρία καὶ ἄνοια. πανταχοῦ γὰρ ἐσπούδασεν ὁ διάβολος ἀεὶ τοῦ Θεοῦ τὰ κτίσματα διαβάλλειν, ὡς οὐκ ἐνὸν καλῶς χρήσασθαι χρήμασι.

46 Καθ᾽ ἡμέραν τε προσκαρτεροῦντες ὁμοθυμαδὸν ἐν τῷ ἱερῷ.

Ἐνταῦθα τὸν τρόπον διδάσκει, καθ᾽ ὃν τῆς διδασκαλίας ἀπέλαυον. καὶ σκόπει πῶς οὐδὲν ἐποίουν ἕτεροι Ἰουδαῖοι, οὐ μικρὸν, οὐ μέγα, ἀλλὰ τῷ ἱερῷ προσεδρεύον. ἅτε γὰρ σπουδαιότεροι γεγενημένοι, καὶ περὶ τὸν τόπον εὐλάβειαν πλείονα εἶχον. οὐ γὰρ ἀπέστησαν αὐτοὺς οἱ ἀπόστολοι τέως, ὥστε μὴ βλάψαι. Κλῶντές τε κατ᾽ οἶκον ἄρτον, μετελάμβανον τροφῆς ἐν ἀγαλλιάσει καὶ ἀφελότητι καρδίας,

47 Αἰνοῦντες τὸν Θεὸν, καὶ ἔχοντες χάριν πρὸς ὅλον τὸν λαόν. Τὸν ἄρτον ἐμοὶ δοκεῖ λέγων, καὶ τὴν νηστείαν ἐνταῦθα σημαίνειν καὶ τὸν σκληρὸν βίον. τροφῆς γὰρ, οὐ τρυφῆς μετελάμβανον. ἐν ἀγαλλιάσει, φησίν. " ἐντεῦθεν, ἀγαπητὲ, μανθάνετε, ὡς οὐχ ἡ τρυφὴ, ἀλλ᾽ ἡ τροφὴ τὴν ἀπόλαυσιν ποιεῖ· καὶ ὡς οἱ τρυφῶντες ἐν λύπῃ, οἱ δὲ μὴ τρυφῶντες ἐν χαρᾷ. ὁρᾷς, ὅτι οἱ Πέτρου λόγοι καὶ τοῦτο εἶχον, τὸν τοῦ βίου σωφρονισμόν; " οὕτως οὐκ ἔνι γενέσθαι ἀγαλλίασιν, μὴ ἀφελείας οὔσης. καὶ πῶς, φησιν, εἶχον χάριν πρὸς ὅλον τὸν λαόν; δι᾽ ὧν ἐποίουν,

* ἦν

* [illegible]

κ. ἐγένετο

κ. τοῦτο δὲ οὐχ

κ. ὁρᾷς ὅτι οὐχ ἡ τρ.

κ. οὐ γὰρ

Λογ. ζ. 37 ΑΚΟΥΣΑΝΤΕΣ ΔΕ ΤΟΥΣ ΛΟΓΟΥΣ ΤΟΥΤΟΥΣ, κατενύγησαν τὴν καρδίαν, εἶπόν τε πρὸς τὸν Πέτρον καὶ τοὺς λοιποὺς ἀποστόλους· τί ποιήσομεν, ἄνδρες ἀδελφοί;

Ὁρᾷς ὅσον ἐστὶν ἐπιείκεια, ὡς αὕτη μᾶλλον τῆς σφοδρότητος τὰς καρδίας κατακεντεῖ τὰς ἡμετέρας, καὶ ὀξυτέραν δίδωσι τὴν πληγήν; καθάπερ γὰρ ἐπὶ τῶν ἐσκιρρωμένων σωμάτων, ὁ πλήττων οὐχ οὕτω ποιεῖ τὴν αἴσθησιν σφοδράν· ἂν δέ τις αὐτὰ μαλάξῃ πρότερον, καὶ ἁπαλὰ ἐργάσηται, τότε νύττει σφοδρότερον· οὕτω δὴ καὶ ἐνταῦθα, πρότερον δεῖ μαλάξαι, καὶ τότε νύξαι. μαλάττει δὲ οὐ θυμός, οὐδὲ κατηγορία σφοδρά, οὐδὲ ὄνειδος· ἀλλ' ἐπιείκεια. ἐκεῖνος μὲν γὰρ καὶ ἐπιτείνει τὴν πώρωσιν, αὕτη δὲ ἀναιρεῖ. ὥστε ἂν ἐθέλῃς καθάψασθαί τινος ἠδικηκότος, μετὰ πολλῆς τῆς πραότητος αὐτῷ προσφέρου. ὅρα γὰρ ἐνταῦθα. ἀνέμνησεν αὐτοὺς τῶν οἰκείων τολμημάτων πράως, καὶ οὐδὲν προσέθηκεν· εἶπε τοῦ Θεοῦ τὴν δωρεάν, ἐπήγαγε τὴν γραφὴν μαρτυροῦσαν τοῖς γεγενημένοις, καὶ ἔτι πραοτέρῳ τὸν λόγον ἐξήγαγεν. ᾐδέσθησαν τοῦ Πέτρου τὴν ἐπιείκειαν, ὅτι τοῖς τὸν δεσπότην αὐτοῦ σταυρώσασι καὶ κατ' αὐτὸν φονῶσιν, ἐν τάξει πατρὸς καὶ διδασκάλου κηδεμονικοῦ διελέγετο. οὐχ ἁπλῶς ἐπείσθησαν, ἀλλὰ κατέγνωσαν ἑαυτῶν, ἦλθον εἰς αἴσθησιν τῶν γεγενημένων. οὐ γὰρ ἀφῆκεν αὐτοῖς ἀρθῆναι τὸν θυμόν, καὶ ἐπισκοτῆσαι τῇ διανοίᾳ· ἀλλὰ διὰ τῆς ταπεινοφροσύνης ὥσπερ τινὰ σκεδάσας ἀχλὺν τὴν ἀγανάκτησιν, οὕτως ἔδειξε τὸ τετολμημένον. καὶ γὰρ οὕτως ἔχει, ὅταν εἴπωμεν ἡμεῖς, ὅτι ἠδικήμεθα, ἐκεῖνοι πειρῶνται δεῖξαι, ὅτι οὐκ ἠδικήκασιν· ὅταν εἴπωμεν ἡμεῖς, ὅτι οὐκ ἠδικήμεθα, ἀλλ' ἠδικήκαμεν μᾶλλον, ἐκεῖνοι τὸ ἐναντίον ποιοῦσιν. ὥστε εἰ βούλει τὸν ἠδικηκότα εἰς ἀγῶνα ἐμβαλεῖν, μὴ κατηγορήσῃς αὐτοῦ, ἀλλ' ἀγώνισαι, κἀκεῖνος κατηγορήσει. φιλόνεικον γάρ ἐστι τὸ γένος τῶν ἀνθρώπων. τοῦτο ὁ Πέτρος ἐποίησεν. οὐ κατηγόρησεν αὐτῶν σφοδρῶς, ἀλλὰ ἐπειράθη σχεδὸν ἀγωνίσασθαι ἡμέρως κατὰ τὸ δυνατόν. διὰ τοῦτο αὐτῶν καθίκετο τῆς ψυχῆς. καὶ πόθεν δῆλον, ὅτι κατενύγησαν; ἀπὸ τῶν ῥημάτων αὐτῶν. τί γάρ φασι; τί ποιήσομεν, ἄνδρες ἀδελφοί; οὓς πλάνους ἐκάλουν, ἀδελφοὺς νῦν καλοῦσιν, οὐχὶ τοσοῦτον ἑαυτοὺς παρεξισάζοντες, ὅσον εἰς φιλοστοργίαν ἐπισπώμενοι καὶ κηδεμονίαν· ἄλλως δέ, ἐπειδὴ αὐτοὶ κατηξίωσαν τοῦτο καλέσαι αὐτούς, καί φασι, τί ποιήσομεν; οὐκ εἶπον εὐθέως· οὐκοῦν μετανοῶμεν· ἀλλ' ἐπιτρέψαι ἑαυτοὺς αὐτοῖς. καθάπερ ἐν ναυαγίῳ τις γενόμενος, ἢ ἐν νόσῳ, τὸν κυβερνήτην ἰδών, ἢ τὸν ἰατρόν, πάντα αὐτῷ παραχωρεῖ τε καὶ πείθεται· οὕτω καὶ οὗτοι ὡμολογήκασιν ἐν τοῖς ἐσχάτοις ὄντας ἑαυτούς, καὶ οὐδὲ ἐλπίδα σωτηρίας ἔχοντας. καὶ ὅρα· οὐκ εἶπον, πῶς σωθῶμεν; ἀλλά, τί ποιήσομεν; πάλιν ἐνταῦθα ὁ Πέτρος, πάντων ἐρωτηθέντων, ἐκεῖνος ἀποκρίνεται·

γρ. πεπωρωμένων

γρ. φον-

γρ. καὶ ἀγωνίσασθαι

γρ. ἐγχειρίζει καὶ πείθεται

38 Μετανοήσατε, φησί, καὶ βαπτισθήτω ἕκαστος ὑμῶν ἐπὶ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ.

Καὶ οὔπω λέγει, ὅτι πιστεύσατε· ἀλλά, βαπτισθήτω ἕκαστος ὑμῶν· τοῦτο γὰρ ἐν τῷ βαπτίσματι παρέλαβον. εἶτα δείκνυσι καὶ τὸ κέρδος· Εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ λήψεσθε τὴν δωρεὰν τοῦ ἁγίου πνεύματος. Εἰ δωρεὰν λήψεσθε, εἰ ἄφεσιν ἔχει τὸ βάπτισμα, τί μέλλετε; εἶτα πιθανὸν τὸν λόγον ποιῶν, ἐπήγαγεν·

39 Ὑμῖν γάρ ἐστιν ἡ ἐπαγγελία. Εἶπε γὰρ τὸ ἄνω ἐπαγγελίαν διαλεγόμενος: Καὶ τοῖς τέκνοις ὑμῶν, φησί. Μείζων ἡ δωρεά, ὅταν τῶν ἀγαθῶν καὶ κληρονόμους ἔχωσι. Καὶ πᾶσι, φησί, τοῖς εἰς μακράν. Εἰ τοῖς εἰς μακράν, πολλῷ μᾶλλον ὑμῖν τοῖς ἐγγύς. Ὅσους ἂν προσκαλέσηται Κύριος ὁ Θεὸς ἡμῶν.

χ. περιττῆς

χ. ἀφίσταται

τοῦ πυρετοῦ δι' οἱασδήποτε σπουδῆς, ὡς μακρόθυμος ἀνὴρ ὀργίλον καὶ καιόμενον ὑπὸ τῆς ὀργῆς λαβών, καταψύξειε διὰ τοῦ πνεύματος τῶν οἰκείων λόγων. καὶ τί λέγω ἰατρόν; οὐδὲ σίδηρος πεπυρωμένος καὶ ὕδατι βαπτόμενος οὕτω ταχέως τῆς θέρμης ὑφίσταται, ὡς εἰς μακρόθυμον ψυχὴν ἄνθρωπος ὀργίλος ἐμπεσών. καθάπερ δὲ ἐπὶ τῆς ἀγορᾶς, εἰ εἰσέλθοιεν ᾠδικοὶ ἔριθες, καὶ λῆρος εἶναι δοκοῦσιν· οὕτω δὴ καὶ τὰ παραγγέλματα τὰ ἡμέτερα, εἰς ψυχὰς ἀκροχόλους ἐμπίπτοντα. ἆρα ἥδιον ἐπιείκεια χολῆς καὶ θρασύτητος. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ τὸ μὲν ὁ διάβολος, τὸ δὲ ὁ Θεὸς ἐπέταξεν. ὁρᾶτε, ὅτι οὐχ ἁπλῶς εἶπον, ὅτι εἰ καὶ μὴ διάβολος ἦν καὶ Θεός, αὐτὰ τὰ ἐπιτάγματα ἱκανὰ ἦν ἡμᾶς ἀποστῆσαι; ὁ μὲν γὰρ καὶ ἑαυτῷ ἡδύς, καὶ τοῖς ἄλλοις ὠφέλιμος· ὁ δὲ καὶ ἑαυτῷ ἀηδής, καὶ τοῖς ἄλλοις βλαβερός. οὐδὲν γὰρ ἀτερπέστερον ἀνθρώπου χολῶντος, οὐδὲν φορτικώτερον, οὐδὲν ἐπαχθέστερον, οὐδὲν αἰσχρότερον· ὥσπερ οὖν τοῦ οὐκ εἰδότος χολᾶν οὐδὲν ἥδιον. θηρίῳ συνοικεῖν κάλλιον, ἢ ἀνθρώπῳ τοιούτῳ. ἐκεῖνο μὲν γὰρ ἐπειδὰν ἅπαξ ἡμερωθῇ, φυλάττει τὸν αὐτὸν νόμον· τοῦτον δὲ ὁσάκις ἂν ἡμερώσῃς, πάλιν ἐκθηριοῦται, ἅπαξ εἰς ἕξιν ἑαυτὸν ἵνα τοιαύτην καταστήσας. καθάπερ γὰρ ἡμέρα λευκὴ καὶ φαιδρά, καὶ χειμὼν γέμων πολλῆς τῆς κατηφείας [ἕτερα ἀλλήλων εἰσίν]· οὕτως ἡ τοῦ ὀργιζομένου ψυχή, καὶ τοῦ ἐπιεικοῦς. ἀλλὰ μήπω τὰ τοῖς ἄλλοις ἴδωμεν βλαβερὰ συμβαίνοντα, ἀλλὰ τὰ ἑαυτοῖς· καίτοι καὶ τοῦτο οὐ μικρὰ βλάβη, ἑτέρῳ τι δοῦναι κακόν. πλὴν ἀλλὰ πῶς τοῦτο σκοπῶμεν. ποῖος δήμιος πλευρὰς οὕτω καταξᾶναι δυνήσεται, τίνες ὀβελίσκοι πεπυρωμένοι διέπειραν σῶμα, ποία μανία οὕτως ἐκστήσειεν ἀπὸ τῶν κατὰ φύσιν φρενῶν, ὡς ὀργὴ καὶ παραπληξία; οἶδα πολλοὺς ἀπὸ ὀργῆς νόσους τεκόντας· καὶ τῶν χαλεπωτάτων πυρετῶν μάλιστα οὗτοί εἰσιν. εἰ δὲ σῶμα οὕτω λυμαίνονται, ἐννόησον τὴν ψυχήν. μὴ γὰρ λογίσῃ, ὅτι οὐχ ὁρᾷς· ἀλλ' ἐννόησον, ὅτι εἰ τὸ δεχόμενον τὴν κακίαν οὕτω βλάπτεται, τὸ τίκτον πόσην ἂν ὑποδέξηται βλάβην; πολλοὶ τοὺς ὀφθαλμοὺς ἀπώλεσαν, πολλοὶ εἰς νόσον βαρυτάτην κατέπεσον. ὁ μὲν τι φέρων γενναίως, πάντα ὑποστήσεται εὐκόλως. ἀλλ' ὅμως καὶ τοιαῦτα ἐπιτάττει φορτικά, καὶ τούτων μισθὸν ἡμῖν τίθησι τὴν γέενναν, καὶ διάβολός ἐστι, καὶ ἐχθρὸς τῆς σωτηρίας τῆς ἡμετέρας, καὶ μᾶλλον τούτῳ πειθόμεθα, ἢ τῷ Χριστῷ σωτῆρι ὄντι καὶ εὐεργέτῃ καὶ προστάτῃ καὶ τοιαῦτα λέγοντι, ἃ καὶ ἡδίω καὶ τιμιώτερα καὶ ὠφελιμώτερα καὶ χρησιμώτερά ἐστι, καὶ ἡμᾶς, καὶ τοὺς συνόντας ἡμῖν ὠφελεῖ τὰ μέγιστα. οὐδὲν ὀργῆς χεῖρον, ἀγαπητέ, οὐδὲν ἀκαίρου θυμοῦ. οὐ δεῖται πολλῆς τῆς ἀναβολῆς, ὀξὺ τὸ πάθος ἐστί. πολλάκις καὶ ῥῆμα ἐξέβαλέ τις ὑπὸ θυμοῦ, οὗ εἰς τὴν θεραπείαν ὁλοκλήρου δεῖται βίου· καὶ εἰργάσατό τι, ὃ πᾶσαν αὐτοῦ τὴν ζωὴν ἀνέτρεψε. τὸ γὰρ χαλεπὸν τοῦτο ἐστιν, ὅτι καὶ ἐν βραχεῖ καιρῷ, καὶ διὰ μιᾶς πράξεως, καὶ δι' ἑνὸς ῥήματος μόνου τῶν αἰωνίων ἡμᾶς πολλάκις ἐξέβαλεν ἀγαθῶν, καὶ μυρίους ἐκείνωσε πόνους. διὸ παρακαλῶ πάντα ποιεῖν, ὥστε τὸ θηρίον τοῦτο χαλινοῦν. ἀλλὰ ταῦτα μὲν περὶ ἐπιεικείας καὶ θυμοῦ. εἰ δὲ καὶ τὰ ἄλλα τις προσχεῖσαι τῷ λόγῳ, οἷον πλεονεξίαν, ὑπεροψίαν χρημάτων, ἀσέλγειαν, σωφροσύνην, φθόνον, χρηστότητα, καὶ ἀλλήλοις ἀντεξετάσοι, τότε εἴσεται τὸ διάφορον. εἴδετε πῶς ἀπὸ τῶν προσταγμάτων μόνον ὁ μὲν Θεός, ὁ δὲ διάβολος ἐνδείκνυται; πειθώμεθα τοίνυν τῷ Θεῷ, καὶ μὴ εἰς βάραθρα ἑαυτοὺς ἐμβάλωμεν, ἀλλ' ἕως ἐστὶ καιρός, πάντα ἀποτριψώμεθα τὰ τὴν ψυχὴν λυμαινόμενα, ἵνα τῶν αἰωνίων ἀγαθῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

χ. πλὴν ὁ μὲν εἰς ἕξιν ἑ. τ. τ. κατέστησεν



Digitized by Google

ἡμῖν. βασιλείαν ἐπαγγέλλεται ὁ Θεός, καὶ καταφρονεῖται· γέενναν προξενεῖ ὁ διάβολος, καὶ τιμᾶται. ἐκεῖ Θεός, ἐκεῖ διάβολος. ἀλλ' ἴδωμεν τῶν ἐπιταγμάτων τὴν διαφοράν. Εἰ γὰρ μηδὲν τούτων ἦν, μηδὲ ἐκεῖ μὲν Θεός, ἐκεῖ δὲ διάβολος, μηδὲ ἐκεῖ μὲν βασιλεία, ἐκεῖ δὲ γέενναν παρέξειν, αὐτὴ τῶν ἐπιταγμάτων ἡ φύσις οὐχ ἱκανὴ πεῖσαι τούτῳ προστίθεσθαι; τί δαὶ καὶ ἑκάτερος ἐπιτάττει; ἐκεῖνος τὰ καταισχύνοντα, οὗτος τὰ ἐνδόξους ποιοῦντα· ἐκεῖνος τὰ μυρίαις περιβάλλοντα συμφοραῖς καὶ ἀσχημοσύναις, οὗτος τὰ πολλὴν τὴν ἄνεσιν ἔχοντα. ὅρα γάρ. οὗτος λέγει, Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ

Ματθ. ια. κθ. εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· ἐκεῖνος φησίν, ἄγριος ἔσο, καὶ ἀνήμερος, καὶ ἀκρόχολος καὶ ὀργίλος, καὶ θηρίον μᾶλλον, ἢ ἄνθρωπος. ἴδωμεν οὖν τί χρησιμώτερον, τί δαὶ ὠφελιμώτερον. ἀλλὰ μὴ τοῦτο μόνον, ἀλλ' ἐννόησον ὅτι ὁ μὲν διάβολός ἐστι. μάλιστα γὰρ ἂν ἐκεῖνο δειχθῇ,* πάλιν τὰ νικητήρια ἔσται μείζονα. οὐ γὰρ ὁ εὔκολα ἐπιτάττων ἐστὶ κηδεμών, ἀλλ' ὁ συμφέροντα. ἐπεὶ καὶ πατέρες φορτικὰ ἐπιτάττουσι τοῖς υἱοῖς, καὶ δεσπόται πάλιν ὁμοίως δούλοις· ἀλλὰ διὰ τοῦτο οἱ μὲν εἰσι πατέρες, οἱ δὲ δεσπόται· οἱ δὲ ἀνδραποδισταὶ καὶ λυμεῶνες πάλιν τὰ ἐναντία. πλὴν ὅτι καὶ ἡδονὴν ἔχει, δῆλον ἐκεῖθεν. ἐν τίσι γὰρ νομίζεις εἶναι τὸν ἀκρόχολον; ἐν τίσι δὲ τὸν ἀνεξίκακον καὶ πρᾷον; οὐχὶ τούτου μὲν ἡ ψυχὴ ἐρημίᾳ τινὶ πολλὴν ἐχούσῃ τὴν ἡσυχίαν ἔοικεν· ἡ ἐκείνου δὲ ἀγορᾷ καὶ θορύβῳ, ἔνθα πολλὴ ἡ κραυγὴ τῶν ἀπιόντων, τῶν ἐπιδημιόντων, καμήλων καὶ ἡμιόνων καὶ ὄνων, μεγάλα τοῖς προσιοῦσιν ἐμβοώντων, ὥστε μὴ καταπατηθῆναι; οὐχ ἡ μὲν τοῦ τοιούτου ταῖς μέσαις πάλιν τῶν πόλεων ἐοικυῖά ἐστιν, ἔνθα νῦν μὲν ἐντεῦθεν ἀργυροκόπων, νῦν δὲ ἐκεῖθεν τῶν χαλκοτύπων ὁ ἦχος πολὺς γίνεται, καὶ οἱ μὲν ἐπηρεάζουσιν, οἱ δὲ ἐπηρεάζονται; ἀλλ' ἡ τούτου κορυφῇ τινὶ ἔοικεν ὄρους, λεπτὴν μὲν ἔχοντος τὴν αὔραν, καθαρὰν δὲ τὴν ἀκτῖνα δεχομένου, διειδῆ τὰ νάματα προχέοντος τῶν πηγῶν, καὶ πολλὰς τῶν ἀνθέων προβαλλομένου τὰς χάριτας, τῶν ἐαρινῶν ὁμοίως λειμώνων τε καὶ παραδείσων καὶ φυτοῖς καὶ ἄνθεσι κομώντων καὶ καταρρύτοις ὕδασιν. Εἰ δέ τις καὶ ἠχὴ γένοιτο, λιγυρὰ καὶ πολλὴν καταχέουσα τῶν ἀκουόντων τὴν ἡδονήν. ἢ γὰρ ὄρνιθες ᾠδικοὶ ἄκροις τῶν δένδρων ἐφιζάνουσι τοῖς πετάλοις, καὶ τέττιγες, καὶ ἀηδόνες, καὶ χελιδόνες συμφώνως μίαν τινὰ* ἀποτελοῦσι μουσικήν· ἢ ζέφυρος ἠρέμα τῶν πετάλων τοῖς δένδροις προσαπτομένων πίτυς καὶ πλάκας συρίζουσας καὶ κύκνους πολλάκις μιμεῖται· ἢ λειμὼν ῥόδα προβάλλων καὶ κρίνα ἀλλήλοις προσκεκλικότα καὶ κυανίζοντα, καθάπερ πέλαγος κυανοῦν ἠρέμα κυματούμενον δείκνυσι. μᾶλλον δὲ πολλὰς εἰκόνας εὕροι τις ἄν. ὅταν μὲν γὰρ εἰς τὰ ῥόδα τις ἀποβλέψῃ, τὴν ἶριν οἴεται καθορᾶν· ὅταν δὲ εἰς τὰ ἴα, θάλατταν κυματουμένην· ὅταν δὲ εἰς τὰ κρίνα, τὸν οὐρανόν. οὐ τῇ θέᾳ δὲ μόνον, οὐδὲ τῇ ὄψει τέρποιτο ἂν τότε ὁ τοιοῦτος, ἀλλὰ καὶ* τῷ σώματι αὐτῷ· ἐκεῖνον γὰρ μᾶλλον ἀνίησί τε καὶ διαπνεῖσθαι ποιεῖ, ὥστε νομίζειν ἐν οὐρανῷ μᾶλλον εἶναι, ἢ ἐπὶ γῆς. ἔστι καὶ ἑτέρα τις ἠχή, ὅταν ὕδωρ ἀπὸ τῆς ἀκρωρείας διὰ χαράδρων αὐτομάτως φερόμενον, καὶ ταῖς ὑποκειμέναις ψηφῖσιν ἠρέμα ἐπιψοφοῦν ἡσύχῳ κτύπῳ, οὕτως ἐκλύῃ τὰ μέλη ἡμῶν τῇ ἡδονῇ, ὥστε καὶ ταχέως τὸν λυσιμελῆ τοῖς ὀφθαλμοῖς ὕπνον ἐπάγειν. ἡδέως ἠκούσατε τοῦ διηγήματος· τάχα καὶ ἐρασταὶ γεγόνατε ἐρημίας. ἀλλὰ ταύτης τῆς ἐρημίας ἡδίων πολλῷ τοῦ μακροθύμου ἡ ψυχή. οὐ γὰρ ἵνα λειμῶνα ὑπογράψωμεν, οὐδ' ἵνα πρὸς ἐπίδειξιν τὸν λόγον ἀγάγωμεν, ταύτης ἡψάμεθα τῆς εἰκόνος· ἀλλ' ἵνα διὰ τῆς ὑπογραφῆς ἴδητε ὅση τῶν μακροθύμων ἡ ἡδονή· καὶ ὅτι πολλῷ ἀνδρὶ μακροθύμῳ συγγινόμενος ἄν τις καὶ ἥδοιτο καὶ ὠφελοῖτο, ἢ τοιούτοις ὁμιλήσας χωρίοις, τούτους μεταδιώκητε. ὅταν γὰρ μηδὲ πνεῦμα σφοδρὸν ἀπὸ ταύτης ἐξέρχηται τῆς ψυχῆς, ἀλλ' ἥμεροί τινες λόγοι καὶ προσηνεῖς, καὶ ὄντως ἐκείνου τοῦ ζεφύρου ἠρεμον* εἰκονίζοντες, καὶ παραινέσεις οὐδὲν μὲν ἔχουσαι τῦφον, οὐδὲ ὄρνιθας οὐδὲ ᾠδικοὺς μιμούμεναι, πῶς οὐ τοῦτο βέλτιον; οὐ γὰρ σώματι προσάπτεται τοῦ λόγου ἡ αὔρα, ἀλλὰ ψυχὰς ἀνίησιν. οὐκ ἂν ἰατρὸς πυρέττοντα ἄνθρωπον οὕτω ταχέως ἀπαλλάξειε

τοῦ

χ. γὰρ ἐ-

* δεῖ καὶ πάνυ ἐπιστῆναι, καὶ

χ. ἐκεῖνοι

χ. καὶ πάντα τὰ ἐναντία.

χ. -ων, ἀργυροκόπων, χαλκοτύπων ἑκατέρωθεν ἐνηχούντων, καὶ τῶν μὲν ἐπηρεαζομένων, τῶν δὲ ἐπηρεαζόντων; ἀλλ'

χ. ἦχος

* φωνήν

χ. ἢ ῥόδα καὶ ἴα καὶ ἄνθη ἠρέμα προσκλίνοντα

* ἐν

χ. ἡσυχίῳ

* καὶ ἡσύχιον

ἡμεῖς λεγόμενον· ἀλλ' ὅλως, οὐκ ἔχω. τί οὖν ὁ χωλός; καὶ παρορᾷς με* τὸν ἱκέτην; οὔ, φησιν· ἀλλ' ἐξ ὧν ἔχω λάβε. ὁρᾷς πῶς ἄτυφος" ὁ Πέτρος, καὶ οὐκ ἐπιδείκνυσιν οὐδὲ πρὸς αὐτὸν τὸν εὐεργετούμενον; τὸ στόμα τοίνυν καὶ ἡ χεὶρ τὸ πᾶν εἰργάσατο. τοιοῦτοί τινες ἦσαν" καὶ Ἰουδαῖοι χωλεύοντες· καὶ δέον αἰτῆσαι ὑγείαν," οἱ δὲ μᾶλλον χρήματα αἰτοῦσι χαμαὶ κείμενοι· καὶ διὰ τοῦτο τῷ ἱερῷ προσεδρεύον, ἵνα χρηματίζωνται). τί οὖν ὁ Πέτρος; οὐχ ὑπερεῖδεν" αὐτόν, οὐ πλουτοῦντά τινα ἐζήτησεν, οὐδὲ εἶπεν, ἂν μὴ εἰς ἐκεῖνον γένηται τὸ θαῦμα, οὐδὲν μέγα ἐστίν: οὐ τιμήν τινα προσεδόκησε λαβεῖν παρ' αὐτοῦ, οὐδὲ παρόντων τινῶν ἐθεράπευσεν αὐτόν. ἐν γὰρ τῇ εἰσόδῳ ἦν ὁ ἀνήρ, οὐκ ἔνθα τὸ πλῆθος ἦν ἔνδον. ἀλλ' οὐδὲν τούτων ἐζήτησεν ὁ Πέτρος, οὐδὲ εἰσελθὼν ἐκήρυξεν· ἀλλ' ἀπὸ [μόνου] τοῦ σχήματος τὸν χωλὸν ἐπισπασάμενος πρὸς τὴν αἴτησιν. καὶ τὸ θαυμαστόν, ὅτι ταχέως ἐπίστευσεν. οἱ γὰρ χρονίων ἀπαλλαγέντες" παθῶν μόλις πιστεύουσι καὶ αὐτῇ τῇ ὄψει. καὶ θεραπευθεὶς λοιπὸν σὺν τοῖς ἀποστόλοις ἦν, εὐχαριστῶν τῷ Θεῷ. Καὶ εἰσῆλθε, φησι, σὺν αὐτοῖς περιπατῶν εἰς τὸ ἱερόν,* ἁλλόμενος καὶ αἰνῶν τὸν Θεόν. ὅρα πῶς οὐκ ἠρεμεῖ· τοῦτο μὲν ὑπὸ τῆς ἡδονῆς, τοῦτο δὲ" ἐμφράττων αὐτῶν τὰ στόματα. ἐμοὶ δὲ δοκεῖ, καὶ ἵνα μὴ νομισθῇ [τις] ὑπόκρισις, διὰ τοῦτο ἅλλεσθαι αὐτόν. τοῦτο γὰρ λοιπὸν οὐκ ἦν ὑποκρίσεως. εἰ γὰρ μηδὲ ἁπλῶς ἐπιβῆναι δυνατὸν ἦν αὐτῷ τὸ πρότερον, καὶ ταῦτα τοῦ λιμοῦ καταναγκάζοντος (οὐ γὰρ ἂν εἵλετο πρὸς τοὺς βαστάζοντας διανέμεσθαι τὰ ἐκ τῆς ἐλεημοσύνης, ἑαυτῷ δυνάμενος ἀρκεῖν) πολλῷ μᾶλλον τότε. πῶς δὲ καὶ ὑπεκρίνατο ἂν ὑπὲρ τῶν μὴ δεδωκότων ἐλεημοσύνην; ἀλλ' εὐχάριστος ἦν ὁ ἀνὴρ καὶ μετὰ τὴν ὑγείαν. ἑκατέρωθεν οὖν πιστὸς δείκνυται, ἀπό τε τῆς εὐχαριστίας, ἀπό τε τοῦ συμβεβηκότος. οὕτω πᾶσι γνώριμος ἦν, ὅτι καὶ ἐπεγίνωσκον αὐτόν.

9 Καὶ εἶδον αὐτόν, φησι, πᾶς ὁ λαὸς περιπατοῦντα καὶ αἰνοῦντα τὸν Θεόν·

10 Ἐπεγίνωσκόν τε αὐτόν, ὅτι οὗτος ἐστὶν ὁ πρὸς τὴν ἐλεημοσύνην καθήμενος ἐπὶ τῇ ὡραίᾳ πύλῃ τοῦ ἱεροῦ. Καὶ καλῶς εἶπεν, ἐπεγίνωσκον· ὡς καὶ ἀγνοουμένου λοιπὸν ἀπὸ τοῦ πράγματος. ταύτῃ γὰρ τῇ λέξει κεχρήμεθα ἐπὶ τῶν μόλις γνωριζομένων. ἔδει γνῶναι πιστεῦσαι," ὅτι ἀφίησι τὰ ἁμαρτήματα τὸ ὄνομα τοῦ Χριστοῦ, ὅπου γε καὶ τοιαῦτα ἐργάζεται).

11 Κρατοῦντος δὲ τοῦ ἰαθέντος τὸν Πέτρον καὶ τὸν Ἰωάννην, συνῆλθε πᾶς ὁ λαὸς ἐπὶ τῇ στοᾷ τῇ καλουμένῃ Σολομῶντος ἔκθαμβοι. Ἀπὸ τῆς εὐνοίας τῆς εἰς αὐτοὺς καὶ τῆς φιλίας οὐκ ἐχωρίζετο αὐτῶν· ἴσως δὲ καὶ εὐχαριστῶν αὐτοῖς καὶ ἐπαινῶν. καὶ συνέδραμε, φησι, πᾶς ὁ λαός.

12 Ἰδὼν δὲ αὐτοὺς ὁ Πέτρος ἀπεκρίνατο. Πάλιν αὐτὸς καὶ ἐργάζεται καὶ δημηγορεῖ. τότε μὲν [οὖν] αὐτοὺς εἰς τὴν ἀκρόασιν διήγειρε τὸ πρᾶγμα τὸ περὶ τὰς γλώσσας· νυνὶ δὲ τοῦτο· καὶ τότε μὲν ἀρχὴν ἔλαβεν ἀπὸ τῶν ἐγκλημάτων, νῦν δὲ ἀπὸ τῆς ὑπονοίας. ἴδωμεν δὲ τί διενήνοχεν αὕτη ἡ δημηγορία ἐκείνης, καὶ κατά τι κοινωνεῖ. ἐκείνη μὲν οὖν* ἐν τῇ οἰκίᾳ" γέγονεν, οὐδέπω προσελθόντος οὐδενός, οὐδὲ αὐτῶν τι ἐργασαμένων· αὕτη δὲ πάντων θαυμαζόντων, τοῦ θεραπευθέντος πλησίον ἑστῶτος, οὐδενὸς ἀμφιβάλλοντος, καθάπερ τότε, ὅτε ἔλεγον ὅτι Γλεύκους μεμεστωμένοι εἰσί. καὶ τότε μετὰ τῶν ἀποστόλων πάντων ὢν διελέγετο· νῦν δὲ μετὰ τοῦ Ἰωάννου" μόνου. λοιπὸν γὰρ θαρρεῖ καὶ σφοδρότερος γέγονε. τοιοῦτον γὰρ ἡ ἀρετή, ἀρχὴν λαβοῦσα πρόεισι, καὶ οὐδαμοῦ ἵσταται. ὅρα δὲ καὶ" πῶς ᾠκονομήθη ἐν τῷ ἱερῷ γενέσθαι τὸ σημεῖον, ἵνα καὶ ἄλλοι θαρρήσωσιν. οὐκ" ἐν παραβύστῳ γὰρ αὐτὸ [τοῦ] ἐργάζονται, ἢ καὶ λανθανόντως· ἀλλ' οὔτε ἔνδον ἐν τῷ ἱερῷ, ἔνθα τὸ πολὺ πλῆθος ἦν. πῶς οὖν ἐπιστεύθη, εἰπέ μοι; αὐτὸς ὁ θεραπευθεὶς ἐκήρυττε τὴν εὐεργεσίαν. οὐδὲ γὰρ ἂν ἐψεύσατο, οὐδ' ἂν ἐπ' ἄλλους ἦλθεν. ἤτοι οὖν ὡς εὐρυχωρίας οὔσης ἐκεῖ τὸ σημεῖον εἰργά- Παροιμ. κη

Margin notes: * φησί · γρ. ὁ αὐτὸς · γρ. οἱ · γρ. αὐτοὶ · γρ. αὐτόν, · γρ. χωλῶν · * καὶ · γρ. ἐπιστομίζων · γρ. ὑπόκρισις. · γρ. δεῖ · * ἐκ τῆς αὐ- [illegible] προνοίας · γρ. γίνεται, · γρ. μόνον. · γρ. τί · γρ. εἰς κατα- δύσεις

μονῶν τῶν αὐτῶν. τί δὲ ἀνῄεσαν εἰς τὸ ἱερόν; ἆρα ἔτι Ἰουδαϊκῶς ἔζων; οὐχί· ἀλλὰ χρησίμως γὰρ τὸ σημεῖον πάλιν ἐκείνους τε βεβαιοῦν καὶ τοὺς ἄλλους ἐφελκόμενον. καὶ ποῖον σημεῖον ἦσαν ποιήσαντες; φυσικὸν τὸ πάθος ἦν, κρεῖττον τέχνης ἰατρικῆς. τεσσαράκοντα ἔτη ἦν πεποιηκὼς ἐν τῇ χωλείᾳ, καθὼς προϊών φησι, καὶ οὐδεὶς αὐτὸν ἐν παντὶ τῷ χρόνῳ ἐθεράπευσεν. ἴστε δὲ ὅτι ταῦτα μάλιστα δύσκολά ἐστιν, ἅπερ ἂν ἐκ γενετῆς εἴη. τοσοῦτον ἦν τὸ δεινόν, ὥστε οὐδὲ τὴν ἀναγκαίαν τροφὴν πορίζεσθαι δυνατὸς ἦν ἑαυτῷ. καὶ ἐπίσημος δὲ ὁ ἀνὴρ ἦν ἀπό τε τοῦ τόπου, ἀπό τε τοῦ πάθους. καὶ πῶς; ἄκουε.

2 Καί τις ἀνὴρ χωλός, φησιν, ἐκ κοιλίας μητρὸς αὐτοῦ ὑπάρχων ἐβαστάζετο, ὃν ἐτίθουν καθ᾽ ἡμέραν πρὸς τὴν θύραν τοῦ ἱεροῦ τὴν λεγομένην ὡραίαν, τοῦ αἰτεῖν ἐλεημοσύνην παρὰ τῶν εἰσπορευομένων εἰς τὸ ἱερόν. ἐλεημοσύνην λαβεῖν ἄρα ἐζήτει, καὶ οὐκ ᾔδει τίνες ἦσαν οἱ ἄνδρες.

3 Ὃς ἰδών, φησι, Πέτρον καὶ Ἰωάννην μέλλοντας εἰσιέναι εἰς τὸ ἱερόν, ἠρώτα ἐλεημοσύνην λαβεῖν.

4 Ἀτενίσας δὲ Πέτρος εἰς αὐτὸν σὺν τῷ Ἰωάννῃ, εἶπε· βλέψον εἰς ἡμᾶς.

[Τοῦτο ἄκουε·] ὁ δὲ οὐδὲ οὕτως ἀνίσταται, ἀλλ᾽ ἔτι μένει διενοχλῶν. τοιοῦτον γὰρ ἡ πενία, καὶ δεῖσθαι ἀπαγορεύοντας ἐπιμένειν ἀναγκάζει. αἰσχυνθῶμεν οἱ ἐν ταῖς εὐχαῖς ἀποπηδῶντες. ὅρα δέ μοι τὴν ἐπιείκειαν πῶς ἔδειξε Πέτρος εὐθὺς εἰπών, βλέψον εἰς ἡμᾶς. οὕτως αὐτῶν τὸ σχῆμα αὐτόθεν ἐδείκνυ τὸν τρόπον.

5 Ὁ δὲ ἐπεῖχεν αὐτοῖς, φησι, προσδοκῶν τι παρ᾽ αὐτῶν λαβεῖν.

6 Εἶπε δὲ Πέτρος· ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι· ὃ δὲ ἔχω, τοῦτό σοι δίδωμι.

Οὐκ εἶπεν, ὅτι τοῦ ἀργυρίου πολλῷ βελτίω σοι δίδωμι· ἀλλὰ τί; Ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου ἔγειραι καὶ περιπάτει.

7 Καὶ πιάσας αὐτὸν τῆς δεξιᾶς χειρός, ἤγειρεν. Οὕτω καὶ ὁ Χριστὸς ἐποίησε. πολλάκις λόγῳ ἐθεράπευσε, πολλάκις ἔργῳ, πολλάκις καὶ τὴν χεῖρα προσήγαγεν, ὅπου ἦσαν ἀσθενέστεροι κατὰ τὴν πίστιν, ἵνα μὴ δόξῃ ἀπὸ ταὐτομάτου γίνεσθαι. καὶ πιάσας αὐτὸν τῆς δεξιᾶς χειρός, ἤγειρε. τοῦτο ἐποίησε δηλῶν τὴν ἀνάστασιν. ἀναστάσεως γὰρ ἦν εἰκών.

Καὶ παραχρῆμα ἐστερεώθησαν, φησιν, αὐτοῦ αἱ βάσεις καὶ τὰ σφυρά·

8 Καὶ ἐξαλλόμενος ἔστη καὶ περιεπάτει. Περιάζων ἴσως ἑαυτὸν καὶ πλείονα τὴν βάσανον ἐποιεῖτο. μὴ ἄρα ἁπλῶς ἐστὶ τὸ γεγονός· ἀσθενεῖς ἦσαν αὐτῷ οἱ πόδες, οὐ κεχωλωμένοι. τινὲς δέ φασιν, ὅτι καὶ ἠγνόει περιπατεῖν. Καὶ εἰσῆλθε σὺν αὐτοῖς περιπατῶν εἰς τὸ ἱερόν. Οὕτως θαύματος ἄξιον. οὐκ αὐτοὶ αὐτὸν ἐπάγονται, ἀλλ᾽ αὐτὸς ἀκολουθεῖ, διὰ τῆς ἀκολουθήσεως τοὺς εὐεργέτας δεικνύς. Καὶ ἀλλόμενος, φησι, καὶ αἰνῶν τὸν Θεόν. Οὐκ ἐκείνους θαυμάζων, ἀλλὰ τὸν Θεὸν τὸν δι᾽ ἐκείνων ἐνεργήσαντα. εὐχάριστος οὕτως ἦν ὁ ἀνήρ. ἀλλ᾽ ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. ἀνέβαινον, φησιν, ἐπὶ τὴν ὥραν τῆς προσευχῆς τὴν ἐνάτην. *τάχα κατὰ τὸν καιρὸν τοῦτον βαστάζοντες τὸν χωλὸν ἐτίθουν, ὅτε μάλιστα εἰσῄεσαν οἱ ἄνθρωποι εἰς τὸ ἱερόν. ἵνα δὲ μὴ νομίσῃ τις, ὅτι δι᾽ ἕτερόν τι αὐτὸν ἐβάσταζον, καὶ οὐχὶ διὰ τὸ λαβεῖν, ὅρα πῶς τοῦτο σαφῶς παρέστησε δι᾽ ὧν λέγει. ἐτίθουν αὐτὸν ὥστε ἐλεημοσύνην λαβεῖν παρὰ τῶν εἰσπορευομένων εἰς τὸ ἱερόν. διὰ τοῦτο καὶ τόπου μέμνηται, ἔλεγχον διδοὺς ὧν γράφει. καὶ πῶς, φησιν, αὐτὸν οὐ προσήγαγον τῷ Χριστῷ; ἴσως τινὲς ἦσαν ἄπιστοι οἱ τῷ ἱερῷ προσεδρεύοντες, ὅπου γε οὐδὲ τοῖς ἀποστόλοις αὐτὸν προσήγαγον, ἰδόντες αὐτοὺς εἰσιόντας καὶ θαύματα πεποιηκότας τοιαῦτα. ἠρώτα, φησίν, ἐλεημοσύνην λαβεῖν. ὥσπερ τινὰς εὐλαβεῖς ἄνδρας ἀπὸ τοῦ σχήματος αὐτοὺς τάχα κατινόησε. διὰ τοῦτο καὶ ἐπεῖχεν αὐτοῖς. ὅρα δὲ πῶς ὁ Ἰωάννης πανταχοῦ σιγᾷ, ὁ δὲ Πέτρος καὶ ὑπὲρ αὐτοῦ ἀπολογεῖται. ἀργύριον, φησι, καὶ χρυσίον οὐχ ὑπάρχει μοι. οὐκ εἶπεν, *οὐκ ἔχω ἐνταῦθα, οἷα

ἡμεῖς

χ. διὰ
χ. χρήσιμος τοῦτο ποιεῖν. γίνεται δὲ ἐκ.
γ. καὶ τοσοῦτον, ὅσον οὔπω τινὲς ποιήσαντες.
χ. ἀπέτυχεν
χ. εἰς
χ. ἐπεζήτει.
χ. καὶ οὐδ᾽ οὕτως αὐτὸν ἡ διάνοια, ἀλλ᾽ ἐπέμενεν ἐνοχλῶν.
χ. καὶ προσεῖτο ἀπαγορεύοντας ἐπιμένειν ἀναγκάζει.
χ. πῶς
* ὁρᾷς πῶς τὰς εὐχὰς ἐκαρτέρουν; τὴν ἐνάτην ὥραν ἐκεῖ προσήρχοντο ὁμοῦ.
χ. ἀλλ᾽ ἵνα ἐλεημοσύνην λάβῃ.
χ. ὥσπερ τοὺς εὐλαβεῖς αἰσθόμενος τὸ σχῆμα ἦν καὶ δίκαιον. ὅρα
* ἐπὶ

πρὸς τὴν γέενναν τὴν φιλοχρηματίαν ἄγουσι. πόθεν οὖν εἰσὶν οἱ λέγοντες, διὰ τί ὁ διάβολος γέγονεν; ἰδοὺ ἐνταῦθα ὁ διάβολος οὐδὲν ἐργάζεται, ἀλλὰ τὸ πᾶν ἡμεῖς. καὶ μὴν οἱ ἐν τοῖς ὄρεσι ταῦτα λέγειν ὤφειλον, οἱ μετὰ σωφροσύνης καὶ χρημάτων ὑπεροψίαν καὶ τὴν τῶν ἄλλων καταφρονήσαντες, πατέρας, καὶ οἰκίας, καὶ ἀγρούς, [καὶ γυναῖκας,] καὶ παιδία ἀφέντες μυριάκις ἐλαυνόμενοι. ἀλλ' ἐκεῖνοι μάλιστα ταῦτα οὐ λέγουσιν· οἷς δὲ οὐδέποτε λέγειν ἐχρῆν, οὗτοι λέγουσιν. ἐκεῖνα ὄντως τοῦ διαβόλου τὰ παλαίσματα· εἰς ταῦτα δὲ οὐδὲ καθεῖναι ἄξιον. ἀλλ' αὐτήν, φησι, τὴν φιλοχρηματίαν ὁ διάβολος ἐνίησι. καὶ ἀπόφυγε, καὶ μὴ καταδέξῃ, ἄνθρωπε. νῦν δέ, ἂν μέν τινα ἴδῃς πρὸς αὐτὸν δρυφάκτου κατασκευάζοντα βόρβορον, εἶτα τὸν ὁρῶντα κατακεχωσμένον αὐτοῦ ἑστῶτα, καὶ τὸ πᾶν δεχόμενον τῇ κεφαλῇ, οὐ μόνον οὐκ ἐλεεῖς, ἀλλὰ καὶ ἀγανακτεῖς, καὶ φὴς αὐτὸν δικαίως πεπονθέναι, καὶ, μὴ μωρὸς ἴσθι, ἕκαστος πρὸς αὐτὸν φθέγγεται· καὶ οὐ τὸν βάλλοντα τοσοῦτον αἰτιᾷ, ἀλλὰ τὸν δεχόμενον. νυνὶ δὲ οἶδας, ὅτι τοῦ διαβόλου ἡ φιλοχρηματία· οἶδας, ὅτι μυρίων κακῶν τοῦτο αἴτιον· ὁρᾷς αὐτόν, καθάπερ βόρβορον, κατασκευάζοντα τοὺς συρφετοὺς καὶ λογισμοὺς αἰσχρούς· καὶ γυμνῇ τῇ κεφαλῇ δεχόμενος τὴν ἀκαθαρσίαν τὴν ἐκείνου φύσεως, δέον μικρὸν ἐκκλίναντα τοῦ παντὸς ἀπηλλάχθαι; καθάπερ ἂν ἐκεῖνος τὸν τόπον ἐκκλίνας ἀπηλλάγη· οὕτω καὶ σὺ μὴ δέχου τοὺς τοιούτους λογισμούς, ἀπόκρουσαι τὴν ἐπιθυμίαν. καὶ πῶς ἀποκρούσομαι, φησίν; εἰ μὲν ἄλλων ἧς, καὶ τὰ παρόντα ἐθαύμαζες μόνα, τάχα πολλῆς ἦν δυσκολίας τὸ πρᾶγμα. καίτοιγε ἐκεῖνοι κατώρθωσαν τοῦτο· ἄνθρωπος δὲ τὸν οὐρανὸν προσδοκῶν, καὶ τὰ ἐν τοῖς οὐρανοῖς, λέγεις, πῶς ἀποκρούσομαι; εἰ τοὐναντίον ἔλεγον, τότε ἐχρῆν ἀπορεῖν· εἰ ἔλεγον, ἐπιθύμησον χρημάτων· καὶ πῶς ἐπιθυμήσω χρημάτων, ἔφης ἂν τοιαῦτα ὁρῶν; εἰπέ μοι, εἰ χρυσοῦ προκειμένου καὶ λίθων τιμίων, ἔλεγον, ἐπιθύμησον μολύβδου· ἆρα οὐκ ἦν ἀπορίας; εἶπες γὰρ ἄν, πῶς δύναμαι; εἰ δὲ ἔλεγον, μὴ ἐπιθυμήσῃς, τοῦτο εὐκολώτερον ἦν. οὐ θαυμάζω τοὺς καταφρονοῦντας, ἀλλὰ τοὺς μὴ καταφρονοῦντας. σφόδρα ψυχῆς τοῦτο ἰωδείας πεπληρωμένης, μηδὲν καὶ κωνώπων οὐδὲν διαφερούσης, χαμαὶ συρομένης, ἰλυσπωμένης ἐν τῷ βορβόρῳ, οὐδὲν μέγα φανταζομένης. τί λέγεις; ζωὴν μέλλεις κληρονομεῖν αἰώνιον, καὶ λέγεις, πῶς καταφρονήσω τῆς παρούσης ὑπὲρ ἐκείνης; μὴ γὰρ ἀμφότερά ἐστι τὰ πράγματα; ἱμάτιον μέλλεις λαμβάνειν βασιλικόν, καὶ λέγεις, πῶς καταφρονήσω τῶν ῥακίων; εἰς τὴν τοῦ βασιλέως μέλλεις ἄγεσθαι οἰκίαν, καὶ λέγεις, πῶς καταφρονήσω τῆς πενιχρᾶς τῆς παρούσης; οὕτως ἡμεῖς ἐσμεν αἴτιοι πανταχοῦ, οἱ μὴ θέλοντες διεγερθῆναι μικρόν. οἱ γὰρ θελήσαντες, πάντες κατώρθωσαν· καὶ κατώρθωσαν μετὰ πολλῆς τῆς σφοδρότητος καὶ τῆς εὐκολίας. γένοιτο δὲ καὶ ὑμᾶς πεισθέντας τῇ ἡμετέρᾳ παραινέσει κατορθῶσαι, καὶ ζηλωτὰς γενέσθαι τῶν κατωρθωκότων, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

χ. ἄξιοι.

χ. κατεχόμενον τῇ κεφαλῇ αὐτῷ, ἑστῶτα καὶ τ. π. δ. ὁ

χ. ἀεὶ συγκατασκευάζοντα

## Λογ. η. 1 ΕΠΙ ΤΟ ΑΥΤΟ ΔΕ ΠΕΤΡΟΣ ΚΑΙ ΙΩΑΝΝΗΣ ἀνέβαινον εἰς τὸ ἱερόν, ἐπὶ τὴν ὥραν τῆς προσευχῆς τὴν ἐνάτην. κεφ. γ.

Πανταχοῦ φαίνονται οὗτοι πολλὴν ἔχοντες πρὸς ἀλλήλους ὁμόνοιαν. τούτῳ ἐνεύει ὁ Πέτρος· ὁμοῦ εἰς τὸν τάφον ἔρχονται οὗτοι· περὶ αὐτοῦ φησι τῷ Χριστῷ, οὗτος δὲ τί; τὰ μὲν οὖν ἄλλα σημεῖα παρέδωκεν ὁ τὸ βιβλίον συγγράφων· ὃ δὲ πολλὴν εἶχε τὴν ἔκπληξιν καὶ πάντας ἐξένιζε, λέγει. καὶ ὅρα πάλιν αὐτοὺς οὐ περιηγουμένως ἐπ' αὐτὸ ἐρχομένους· οὕτω φιλοτιμίας ἦσαν καθαροί, καὶ τὸν διδάσκαλον ἐμι-

Ioan. ιγ. κδ. γ. κ. κα. κβ.

χ. πλέον

χ. λέγει δὲ τὸ σημεῖον, ἀφ' οὗ πάντας ἐνέπληστο ἀλλ. ἐνίκασε

χ. αὐτά

ἀηδίαι, καὶ ἑαυτοὺς ἀποστεροῦσιν ὧν ποιοῦσι· τούτοις οὐδὲ ὕπνος ἡδύς, οὔτε ἄλλο οὐδέν. ἂν δὲ καὶ γυναῖκα ἔχωσι, βαβαί, πρὸς παῖδας ἐχθροὶ γίνονται καὶ πολέμιοι· ζηλοτυπίαι μυρίαι· φόβος διηνεκής. πονηρὸς δὲ παρὰ τὸ πονεῖν εἴρηται. οὕτω γοῦν καὶ ἡ γραφὴ πόνον αὐτὴν τὴν πονηρίαν καλεῖ, ὡς ὅταν λέγῃ· Ὑπὸ τὴν γλῶσσαν αὐτοῦ κόπος καὶ πόνος· καὶ πάλιν· Καὶ τὸ πλεῖον αὐτῶν κόπος καὶ πόνος. Εἰ δὲ θαυμάζοι τις, πόθεν μὲν παρὰ τὴν ἀρχὴν τοιοῦτοι γεγόνασι, νῦν δὲ οὐ τοιοῦτοι, μαθέτω τὴν θλίψιν αἰτίαν, τὴν διδάσκαλον τῆς φιλοσοφίας, τὴν μητέρα τῆς εὐλαβείας. ὅτε χρημάτων ἀφαίρεσις ἦν, τότε οὐδὲ πονηρία ἦν. ναί, φησίν. αὐτὸ γὰρ τοῦτο ἐρωτῶ· νῦν δὲ πόθεν ἡ τοσαύτη πονηρία; πόθεν ἐκείνοις μὲν ἐπῆλθε τοῖς τρισχιλίοις, καὶ πεντακισχιλίοις οὖσιν εὐθέως ἑλέσθαι τὴν ἀρετήν, καὶ ὁμοῦ οὕτως ἐγένοντο φιλόσοφοι· νῦν δὲ μόλις εἷς εὑρίσκεται, τότε δὲ οὕτω συνεφώνουν; τί τὸ ποιῆσαν αὐτοὺς σφοδροὺς καὶ διεγηγερμένους; τί αὐτοὺς ἀθρόον ἐπύρωσεν; ἐπεὶ μετὰ πολλῆς προσῆλθον τῆς εὐλαβείας· ἐπεὶ τὰ τῶν τιμῶν οὐκ ἦν, καθάπερ νῦν· ἐπεὶ πρὸς τὰ μέλλοντα μετέστησαν αὐτῶν τὴν διάνοιαν, καὶ οὐδὲν τῶν παρόντων προσεδόκων. τοῦτό ἐστι πεπυρωμένης ψυχῆς, τὸ τοῖς λυπηροῖς ἐντρέφεσθαι· τοῦτο ἐνόμιζον ἐκεῖνοι χριστιανισμὸν εἶναι. ἀλλ' οὐχ ἡμεῖς. νῦν γὰρ τὰς ἀνέσεις ἐνταῦθα ζητοῦμεν. διὰ τοῦτο οὐδέ, ὅταν δέῃ, τούτων ἐπιτευξόμεθα. τί ποιήσομεν, ἠρώτων ἐκεῖνοι, καταγινώσκοντες ἑαυτῶν· ἡμεῖς δὲ τὸ ἐναντίον· τί ποιήσομεν, λέγομεν, ἐπιδεικνύμενοι πρὸς τοὺς πταίοντας, καὶ μέγα φρονοῦντες ἐφ' ἑαυτοῖς, ἅπερ ἔδει κρύπτεσθαι, ἐποίουν ἐκεῖνοι· ἡμεῖς δὲ τοὐναντίον. κατέγνωσαν ἑαυτῶν ἐκεῖνοι· ἀπέγνωσαν αὐτῶν τῆς σωτηρίας. διὰ τοῦτο τοιοῦτοι γεγόνασιν· ἔγνωσαν ὅσον ἔλαβον δῶρον. πῶς δὲ ὑμεῖς ἔσεσθε τοιοῦτοι, ἀπελπίας ἐκείνοις ἅπαντα περιστέλλοντες; ἐκεῖνοι ἅμα ἤκουσαν, καὶ ἐβαπτίσαντο. οὐκ εἶπον ταῦτα τὰ ῥήματα τὰ ψυχρά, ἅπερ ἡμεῖς νῦν, οὐδὲ τὴν ἀναβολὴν ἐπραγματεύσαντο· καίτοιγε οὐ πάντα ἤκουσαν τὰ δικαιώματα· ἀλλὰ μόνον τό, σώθητε ἀπὸ τῆς γενεᾶς ταύτης. οὐκ ὀκνηροὺς αὐτοὺς ἐποίησεν, ἀλλ' ἀπεδέξαντο τοὺς λόγους· καὶ ὅτι ἀπεδέξαντο, διὰ τῶν ἔργων ἐδήλωσαν, καὶ διὰ τῶν πραγμάτων αὐτῶν ἔδειξαν ἑαυτοὺς πιστοὺς ὄντας. ἅμα ἐνέβησαν εἰς τὸν ἀγῶνα, ἀπεδύσαντο τὰ ἱμάτια· ἡμεῖς δὲ ἐμβαίνοντες, μετὰ ἱματίων παλαίειν βουλόμεθα. διὰ τοῦτο οὐ δύναται πονεῖν ὁ ἀνταγωνιστής, ἀλλ' ἑαυτοῖς περιπλακέντες πολλάκις κατηνέχθημεν. ταὐτὸν γὰρ ποιοῦμεν, ὥσπερ ἂν εἴ τις ἄνδρα ἀθλητὴν κεκονιαμένον, μετὰ τὰ γυμνούμενον ἰδών, πολὺν καὶ ἀπὸ τῆς ἄμμου καὶ τοῦ ἡλίου τὸν πηλὸν ἔχοντα, καὶ ἀνακεχρωσμένον τῷ ἐλαίῳ καὶ τῷ ἱδρῶτι καὶ τῷ πηλῷ, αὐτὸς μύρον ὄζων, σηρικὰ λαβὼν ἱμάτια, καὶ χρυσᾶ ὑποδήματα, καὶ πολὺν μέχρι σφυρῶν καθιεὶς χιτῶνα, καὶ χρυσία περὶ τὴν κεφαλήν, εἰσιὼν συμπλέκοιτο. ὁ γὰρ τοιοῦτος οὐκ ἐμποδισθήσεται μόνον, ἀλλὰ καὶ πᾶσαν τὴν φροντίδα περὶ τὸ μὴ μολῦναι, μηδὲ διαρρῆξαι τοὺς χιτῶνας ἔχων, ἐκ πρώτης εὐθέως προσβολῆς πεσεῖται, καὶ ὅπερ ἐδεδοίκει, εὐθέως τοῦτο πείσεται, περὶ ἐκεῖνα τὰ χρύσια τὴν ζημίαν λαβών. καιρὸς ἀγῶνος ἐνέστηκε· σὺ δὲ περιβάλλῃ σηρικά; καιρὸς γυμνασίας, καιρὸς σταδίου· σὺ δὲ καθάπερ ἐν πομπῇ κοσμεῖς σαυτόν; καὶ πῶς περιέσῃ; μή μοι πρὸς τὰ ἔξω ἴδῃς, ἀλλὰ πρὸς τὰ ἔσω. ταῖς γὰρ τούτων φροντίσι, καθάπερ δεσμοῖς χαλεποῖς, πάντοθεν ἡ ψυχὴ συνδέδεται, χεῖρα οὐκ ἐῶσα διᾶραι, οὐδὲ ἐπιθέσθαι τῷ πολεμίῳ, μαλακοὺς ἐργαζομένη καὶ ἁπαλούς. ἀγαπητὸν* πάντων ἀπαλλαγέντα δυνηθῆναι περιγενέσθαι τῆς ἀκαθάρτου δυνάμεως ἐκείνης. διὰ τοῦτο καὶ ὁ Χριστός, ὡς οὐκ ἀρκούσης τῆς τῶν χρημάτων μόνον ἀποβολῆς, ὅρα τί φησι· Πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ δεῦρο ἀκολούθει μοι. Εἰ δέ, οὐδὲ ὅταν ἀποδυσώμεθα τὰ χρήματα, οὐδέπω ἐν ἀσφαλείᾳ ἑστήκαμεν, ἀλλὰ καὶ ἑτέρας τινὸς τέχνης καὶ ἀκριβείας ἡμῖν δεῖ· πολλῷ μᾶλλον ἔχοντες, οὐδὲν ἐργασόμεθα μέγα, ἀλλὰ καταγέλαστοι καὶ τοῖς θεαταῖς, καὶ αὐτῷ γενησόμεθα τῷ πονηρῷ. κἂν γὰρ διάβολος μὴ ᾖ, κἂν ὁ παλαίων μηδεὶς ᾖ, μυρίαι πάντοθεν ὁδοὶ

πρὸς

Marginalia (left): Ψαλ. θ. ζ. — Ψαλ. πθ. ι. — Μαρκ. ι. κα.

Marginalia (right): χ. ἀνομίαι τῆς κόπης — χ. ἐπιτυγχ. — χ. ἐπιγινώσκοντες — χ. ἐφ᾽ ἑτέροις μέγα φρονοῦντες, καὶ — χ. ἐν αὐτῷ — χ. περὶ αὐδρα κεκονιαμένον ἔχων τὸ πρόσωπον. — χ. χρυσοῦν τι λέγει — χ. ἐπὶ μοι — * δεῖ — χ. εἰ δὲ ὁ Χριστὸς οὐκ ἀρκούσης τῆς τ. χρ. ἀποβ. ἀλλὰ τί φησι;

λίας, κἀκεῖνος ὡς εὐεργετούμενος διέκειτο καὶ εὖ πάσχων μᾶλλον, καὶ οὗτοι ὡς δοξαζόμενοι ταύ-
τῃ. καὶ πάνυ πρὸς αὐτοὺς ἦσαν συνδεδεμένοι. ἐπειδὴ γὰρ ἐν τῇ τῶν χρημάτων διανομῇ καὶ ὕβρεις,
ἴσ. αἰτοῦ — καὶ ἀπονοίας, καὶ λύπας γίνεσθαι συμβαίνει, διὰ τοῦτο ἔλεγεν ὁ ἀπόστολος· Μὴ ἐκ λύπης, ἢ ἐξ β. Κορ. θ. ζ.
ἀνάγκης. ὁρᾷς πόσα αὐτοῖς μαρτυρεῖ, πίστιν γνησίαν, βίον ὀρθὸν, τὴν ἐν ἀκροάσει καρτερίαν,
τὴν ἐν εὐχαῖς, τὴν ἐν ἀφελείᾳ, τὴν ἐν εὐφροσύνῃ. δύο ἦν ἱκανὰ ἐμβαλεῖν αὐτοὺς εἰς
χ. διαδιδόναι. — ἀθυμίαν, ἥ τε νηστεία, καὶ τὸ τὰ χρήματα ἀπολλύναι. οἱ δὲ καὶ δι' ἀμφότερα ἔχαιρον. τίς
γὰρ τοὺς οὕτω διακειμένους οὐκ ἂν ἠγάπησεν, ὡς πατέρας κοινούς; οὐδὲν ἐπῆκτο πονηρὸν κατ'
ἀλλήλων, τὸ πᾶν ἐπέτρεπον τῇ χάριτι τοῦ Θεοῦ. οὐκ ἦν φόβος, καίτοι ἐν μέσοις κινδύ-
χ. ὃ — νοις ἐμβεβληκότων αὐτῶν. Διὰ γοῦν τῆς ἀφελείας, τὴν πᾶσαν αὐτῶν ἐδήλωσεν ἀ-
ρετὴν, πολὺ καὶ τῆς τῶν χρημάτων [ὑπεροψίας,] καὶ τῆς νηστείας, καὶ τῆς ἐν ταῖς εὐ-
χαῖς καρτερίας μείζονα οὖσαν. οὕτω δὲ καὶ καθαρῶς ᾔνουν τὸν Θεόν· μᾶλλον δὲ τοῦτό ἐστιν
αἰνεῖν τὸν Θεόν. ὅρα δὲ καὶ ἐν ταύτῃ αὐτοὺς ἀπολαμβάνοντας εὐθέως τὰς ἀμοιβάς. τὸ γὰρ ἔχειν
χάριν πρὸς τὸν λαόν, τοῦτ' ἔστιν, ὅτι ποθεινοί τινες ἦσαν καὶ ἐπέραστοι.

Τίς γὰρ οὐκ ἂν ἠγάσατο; τίς δὲ οὐκ ἂν αὐτῶν θαυμάσειε τὸ [ἦθος] ἁπλοῦν; ἢ τίς ΗΘΙΚΟΝ
οὐκ ἂν συνδεθείη τῷ μηδὲν ὕπουλον ἔχοντι; τίνων δὲ ἄλλων ἐστὶν ἡ σωτηρία, ἢ τούτων; τίνων δὲ
χ. θαύματα; — τὰ μεγάλα ἀγαθά; οὐχὶ ποιμένες εὐηγγελίσθησαν πρότεροι; οὐχὶ Ἰωσὴφ ἁπλοῦς τις ὢν
ἄνθρωπος, ὥστε μὴ διὰ μοιχείας ὑποψίαν φοβηθέντα αὐτὸν ἐργάσασθαί τι πονηρόν; οὐχὶ
ἀγροίκους ἐξελέξατο, τοὺς ἀπλάστους; Ψυχὴ γὰρ, φησὶν, εὐλογουμένη πᾶσα ἁπλῆ. καὶ πά-
λιν· Ὁ δὲ πορευόμενος ἁπλῶς, πορεύεται πεποιθώς. καί, φησιν· ἀλλὰ καὶ φρονήσεως δεῖ. Παροιμ. ι.
χ. ὑποπτεύ-σῃς — τί γὰρ ἄλλο ἐστὶν ἁπλότης, ἀλλ' ἢ φρόνησις; ὅταν γὰρ μηδὲν ὑποπτεύσῃς πονηρὸν, οὔτε τεχ-
χ. τὴν δυνα-τὴν δίκην. — νεῦσαι δύνασαι πονηρόν· ὅταν μηδὲν ἔχῃς τὴν δίκην, οὐδὲ μνησικακῆσαι δυνήσῃ. ὕβρι-
σέ τις, οὐκ ἤλγησας. ἐκακηγόρησεν, οὐδὲν ἔπαθες. ἐβάσκηνεν, οὐδὲ οὕτως ἔπαθές τι. ὁ-
χ. δύνασαι καὶ ἀμύνασθαι — δός τίς ἐστιν ἐπὶ φιλοσοφίαν ἡ ἁπλότης. οὐδεὶς οὕτως ἐστὶ τὴν ψυχὴν καλὸς, ὡς ὁ ἁπλοῦς.
καθάπερ γὰρ ἐν τῷ σώματι, ὁ μὲν συννὸς καὶ κατηφὴς καὶ στυγνὸς, κἂν καλὸς ᾖ, τὸ πολὺ τῆς
ὡραιότητος ἀπετέμετο)· ὁ δὲ διακεχυμένος καὶ ἠρέμα μειδιῶν τὴν ὄψιν ἐπιτείνει τὴν ὡραιότη-
τα· οὕτω δὴ καὶ ἐπὶ τῆς ψυχῆς. ὁ μὲν στυγνοὺς, κἂν μυρία ἔχῃ κατορθώματα, ἠφάνισεν αὐ-
τά· ὁ δὲ ἀφελὴς καὶ ἁπλοῦς, τοὐναντίον. καὶ φίλον τὸν τοιοῦτον μετὰ ἀσφαλείας ἄν τις ἐρ-
γάσαιτο, καὶ ἐχθροὶ γενόμενοι καταλλάξειεν. οὐ γὰρ δεῖ φυλακῆς καὶ προφυλακῆς, οὐδὲ δεσμῶν
καὶ συνδέσμων ἐπὶ τοῦ τοιούτου, ἀλλὰ πολλὴ μὲν αὐτῷ ἔσται ἡ ἄνεσις, πολλὴ δὲ καὶ τοῖς συνοῦσιν
αὐτῷ. τί οὖν ἂν εἰς πονηρούς, φησιν, ἄνδρας ὁ τοιοῦτος ἐμπέσῃ; ὁ Θεὸς ὁ προστάξας εἶναι
χ. ὀρέξει — ἀπλάστους, ὀρέξει χεῖρα. τί τοῦ Δαβὶδ ἀπλαστότερον ἦν; τί δὲ τοῦ Σαοὺλ πονηρότερον; τίς
χ. δ — οὖν περιεγένετο; τί δαὶ ἐπὶ τοῦ Ἰωσήφ; οὐχ ὁ μὲν ἀπλάστως προσῆν τῇ δεσποίνῃ, ἡ δὲ κα-
χ. πονηρο- — κούργως; τί οὖν, εἰπέ μοι, ἐκεῖνος ἠδίκηται; τί δαὶ τοῦ Ἄβελ ἀπλαστότερον ἦν; τί δαὶ τοῦ
Κάϊν κακουργότερον; ὁ Ἰωσὴφ δὲ πάλιν οὐκ ἀπλάστως ἐκέχρητο τοῖς ἀδελφοῖς; οὐ διὰ τοῦτο
εὐδοκίμησεν, ὅτι ὁ μὲν ἀνυπόπτως πάντα ἐφθέγγετο, οὗτοι δὲ κακούργως ἐδέχοντο; καὶ ἅπαξ
εἶπε τὰ ὀνείρατα, καὶ πάλιν εἶπε, καὶ οὐκ ἐφυλάξατο· καὶ πάλιν πρὸς αὐτοὺς ἀπῄει τροφὰς
ἀποίσων, καὶ οὐδὲν ἐφυλάττετο, τὸ πᾶν ἐπιτρέπων τῷ Θεῷ· ἀλλ' ὅσῳ ἐκεῖνοι πρὸς αὐτὸν οὕτω
διέκειντο ὡς πρὸς πολέμιον, οὕτως ἐκεῖνος ὡς πρὸς ἀδελφούς. καὶ ἠδύνατο ὁ Θεὸς μὴ ἀ-
φεῖναι αὐτοὺς ἐμπεσεῖν εἰς αὐτὸν τὰς χεῖρας, ἀλλ' ἀφῆκεν, ἵνα δειχθῇ τὸ θαῦμα· [καὶ] ὅτι κἂν τὰ
αὐτῶν ἐπιδείξων) ἐκεῖνοι, οὐκ ἀνώτερος ἔσται· ὥστε κἂν λάβῃ πληγὴν, οὐ παρ' ἑαυτοῦ, ἀλλὰ
χ. μόνος γάρ, φησιν, αὐλῆ-σοι τὰ κακά-τῶ — παρ' ἑτέρου λαμβάνει· ὁ δὲ πονηρὸς ἑαυτὸν μὲν πλήττει πρότερον, ἕτερον δὲ οὐδένα. οὕτως
ἐστὶ καὶ ἑαυτῷ πολέμιος. τοῦ τοιούτου ἀεὶ ἀθυμίας ἡ ψυχὴ μεστή, τῶν λογισμῶν ἀεὶ συνδεδε-
μένων. κἂν ἀκοῦσαι, κἂν εἰπεῖν δέῃ τι, πάντα μετὰ ἐγκλημάτων ποιεῖ, πάντα μετὰ αἰτίας.
χ. ἐγγύς — φιλία τῶν τοιούτων καὶ ὁμόνοια πόρρω καὶ μακρὰν ἐσκήνωται· μάχαι δὲ παρ' αὐτοῖς καὶ ἔχθραι καὶ

ποίουν, ἀλλὰ τῆς ἐλεημοσύνης. μὴ γάρ μοι, εἰ τοὺς ἀρχιερέας ἐπέσεισαν αὐτοῖς ὑπὸ φθόνου καὶ βασκανίας, τοῦτο ἴδῃς· ἀλλ' ὅτι πρὸς τὸν λαὸν χάριν εἶχον. Ὁ δὲ Κύριος, φησί, προσετίθει τοὺς σωζομένους καθ' ἡμέραν τῇ ἐκκλησίᾳ. Πάντες δὲ οἱ πιστεύοντες ἦσαν ἐπὶ τὸ αὐτό. πάλιν ἡ ὁμόνοια, ἡ ἀγάπη ἡ πάντων αἴτιον τῶν ἀγαθῶν. ἑτέροις τε λόγοις πλείοσι διεμαρτύρατο. τοῦτο εἶπε, δεικνὺς ὅτι οὐκ ἤρκει τὰ λεχθέντα· ἐκεῖνα μὲν γάρ, ὥστε πρὸς πίστιν ἐπαγαγέσθαι, ταῦτα δὲ ἵνα χρὴ τὸν πιστὸν ποιεῖν, εἴρηται. καὶ οὐκ εἶπεν, ἐπὶ τῷ σταυρῷ, ἀλλ' ἐπὶ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ βαπτισθήτω ἕκαστος ὑμῶν. οὐδὲ ἀναμιμνήσκει αὐτοὺς συνεχῶς τοῦ σταυροῦ, ἵνα μὴ ὀνειδίζειν δόξῃ, ἀλλ' ἁπλῶς, μετανοήσατε, φησί. καὶ τί, ἵνα κολασθῶμεν; οὐχί. καὶ βαπτισθήτω ἕκαστος ὑμῶν ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ εἰς ἄφεσιν ἁμαρτιῶν. καὶ μὴν ἑτέρως ἔχει τῶν ἐν ταυτὶ δικαστηρίων ὁ νόμος· ἐπὶ δὲ τοῦ κηρύγματος ὅταν ὁ ἡμαρτηκὼς ὁμολογήσῃ, τότε σώζεται. ὅρα πῶς οὐ τὸ μεῖζον προέδραμεν ὁ Πέτρος· ἀλλὰ πρότερον τὴν χάριν εἰπών, τότε καὶ ἐκεῖνο ἐπήγαγε, λέγων· λήψεσθε, φησί, τὴν δωρεὰν τοῦ ἁγίου πνεύματος. ἀξιόπιστος ὁ λόγος αὐτόθεν, ἐξ ὧν αὐτοὶ ἔλαβον. τέως δὲ εὔκολον λέγει τὸ πολλὴν ἔχον δωρεάν, καὶ τότε ἐπὶ τὸν βίον ἄγει, εἰδὼς ὅτι ὑπόθεσις αὐτοῖς ἔσται σπουδῆς, τὸ ἤδη γεύσασθαι τῶν τοσούτων ἀγαθῶν. ἐπεὶ δὲ ἐπόθει ἀκοῦσαι ὁ ἀκροατὴς τί ἦν τῶν πλειόνων λόγων τὸ κεφάλαιον, τοῦτό ἐστι, φησίν, ἡ δωρεὰ τοῦ ἁγίου πνεύματος. οἱ μὲν οὖν ἀποδεξάμενοι τὸν λόγον ἐπήεσαν τὰ λεχθέντα καίτοι φόβου γέμοντα, καὶ μετὰ τῆς συγκαταθέσεως, τότε ἐπὶ τὸ βάπτισμα ἔρχονται. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. ἦσαν, φησί, προσκαρτεροῦντες τῇ διδαχῇ*. ἐκ τούτου δῆλον ὅτι οὐ μίαν ἡμέραν, οὐδὲ δύο καὶ τρεῖς, ἀλλ' ἐπὶ πολλὰς ἐδιδάσκοντο, ἅτε ἐφ' ἕτερον μεταστάντες βίον. καὶ ἐγένετο πάσῃ ψυχῇ φόβος. εἰ πάσῃ, καὶ τῶν μὴ πιστευσάντων. εἰκὸς δὲ αὐτοὺς παθεῖν τοσαύτην ἀθρόον μεταβολὴν ἰδόντας· τάχα δὲ καὶ ἀπὸ τῶν σημείων. οὐχὶ ὁμοῦ δέ, ἀλλ' ὁμοθυμαδόν, τουτέστι, μιᾷ ψυχῇ, εἶπεν· ἐπειδὴ ἦν ὁμοῦ μὲν εἶναί τινας, οὐ μὴν δὲ ὁμοθυμαδόν, διῃρημένους τὰς γνώμας. λόγοις τε παρεκάλει. καὶ οὐδὲ ἐν ταυτὶ λέγει τὴν διδασκαλίαν, ἐπιτέμνων τὸν λόγον. ἅτε ὡς νέους παῖδας ἔτρεφον τῇ τροφῇ τῇ πνευματικῇ, τὸ ἄγγελοι γεγόνασι λοιπὸν ἐξαίφνης*, καὶ διεμέριζον καθότι χρείαν τις εἶχεν. εἶδον ὅτι τὰ πνευματικὰ κοινά, τὸ οὐδεὶς ἕτερος ἑτέρου πλέον ἔχει, καὶ ταχέως ἦλθον ἐπὶ τὸ τὰ αὐτῶν πάντα διαδιδόναι. πάντες δὲ οἱ πιστεύοντες ἦσαν ἐπὶ τὸ αὐτό. ὅτι δὲ οὐ τόπῳ ἦσαν ἐπὶ τὸ αὐτό, δῆλον ἐξ ὧν ἐπήγαγε λέγων, καὶ πάντα εἶχον κοινά. πάντες δέ φησιν, οὐχ ὁ μέν, ὁ δὲ οὔ. τοῦτο πολιτεία ἀγγελική, μηδὲν αὐτῶν λέγειν ἴδιον εἶναι. ἐντεῦθεν ἡ ῥίζα τῶν κακῶν ἐξεκόπη, καὶ δι' ὧν ἔπραττον ἔδειξαν ἃ ἤκουσαν. τοῦτο ἦν ὃ ἔλεγε, σώθητε ἀπὸ τῆς γενεᾶς τῆς σκολιᾶς ταύτης. καὶ προσετέθησαν τῇ ἡμέρᾳ ἐκείνῃ ψυχαὶ ὡσεὶ τρισχίλιαι. ἐπειδὴ τρισχίλιοι γεγόνασιν, ἐξήγαγον αὐτοὺς λοιπὸν ἔξω, οἳ καὶ μετὰ παρρησίας πολλῆς οὔσης ἤδη καθ' ἡμέραν ἀνῄεσαν καὶ προσήδρευον ἐν τῷ ἱερῷ· ἐπεὶ καὶ Πέτρος καὶ Ἰωάννης μικρὸν ὕστερον τὸ αὐτὸ ποιοῦσιν. οὐδέπω γὰρ τέως παρεκίνουν τῶν Ἰουδαϊκῶν. καὶ αὕτη δὲ ἡ εἰς τὸν τόπον τιμὴ διέβαινε πρὸς τὸν τοῦ ἱεροῦ δεσπότην. εἶδες εὐλαβείας ἐπίδοσιν; χρήματα ἔρριπτον καὶ ἔχαιρον, καὶ πολλὴ ἦν ἡ εὐφροσύνη. μείζονα γὰρ ἦν ἃ ἐλάμβανον ἀγαθά. οὐδεὶς ὠνείδιζεν, οὐδεὶς ἐφθόνει, οὐδεὶς ἐβάσκαινεν, οὐκ ἦν τῦφος, οὐκ ἦν ἐξουδένωσις. καθάπερ παιδία ἐνόμιζον οὕτω παιδεύεσθαι, ὡς ἀρτίτοκοι οὕτω διέκειντο. καὶ τί ὡς ἐν ἀμυδρᾷ λέγω εἰκόνι; εἰ μέμνησθε, ὡς ὅτε τὴν πόλιν ἡμῖν ἔσεισεν ὁ Θεός, καὶ πάντες ἦσαν συνεσταλμένοι, οὕτω τότε ἐκεῖνοι διέκειντο. οὐδεὶς ὕπουλος ἦν, οὐδεὶς πονηρός. τὸ γὰρ τοιοῦτον ὁ φόβος, τοιοῦτον ἡ θλῖψις. οὐκ ἦν τὸ ψυχρὸν ῥῆμα, τὸ ἐμὸν καὶ τὸ σόν· διὰ τοῦτο ἀγαλλίασις ἦν ἐπὶ τῆς τραπέζης· οὐδεὶς ὡς ἐξ ἰδίων ἐσθίων διέκειτο, οὐδεὶς ὡς ἐξ ἀλλοτρίων. καίτοι δοκεῖ αἴνιγμα εἶναι. οὔτε ἀλλότρια ἐνόμιζον εἶναι τὰ τῶν ἀδελφῶν (δεσποτικὰ γὰρ ἦν) οὔτε ἴδια, ἀλλὰ τῶν ἀδελφῶν. οὔτε ὁ πένης ᾐσχύνετο, οὔτε ὁ πλούσιος ἐτυφοῦτο. τοῦτό ἐστιν ἀγαλλίασις.

χ. ὅτι τὸ πάντων ἀγαθῶν ἡ ὁμόνοια.

* χ. ἡ ἀγάπη μέν.

χ. πῶς οὐκ ἐνθέως παιδεύει ὁ Πέτρος, ἀλλὰ λέγει καὶ τὸ κήρυγμα, καὶ ὕστερον.

* τῇ τῶν ἀποστόλων

* ἔπειτα εὐχῶν καὶ ἀκροάσεως προσκαρτεροῦντες,

χ. μετεδίδοσαν

χ. εὐθείας

χ. καὶ αὕτη δὲ ἡ τιμὴ ἡ εἰς τὸν τόπον διέβαινε. τί ἐν τῷ οἴκῳ ἐκείνῳ οἴκῳ; ἐν τῷ ἱερῷ. καὶ ὅρα εὐλαβείας

χ. ὄντως

Ὅρα πότε λέγει τοῖς εἰς μακράν. ὅτε αὐτοὺς εὗρεν ᾠκειωμένους καὶ κατεγνωκότας ἑαυτῶν. ψυχὴ γὰρ ὅταν ἑαυτῆς καταδικάσῃ, οὐκέτι φθονεῖν δύναται.

40 Ἑτέροις τε λόγοις πλείοσι διεμαρτύρετο καὶ παρεκάλει λέγων.

Ὅρα αὐτοὺς πανταχοῦ ἐπιτεμνομένους, καὶ οὐ φιλοτιμουμένους, οὐδὲ ἐπιδεικνυμένους. διεμαρτύρετο, φησι, καὶ παρεκάλει λέγων. ἀπηρτισμένη αὕτη διδασκαλία, τὸ μὲν φόβου, τὸ δὲ ἀγάπης ἔχουσα. Σώθητε, φησιν, ἀπὸ γῆς γενεᾶς τῆς σκολιᾶς ταύτης.

* ἢ * Οὐδὲν περὶ μελλόντων φησὶν, ἀλλὰ περὶ τῶν παρόντων, οἷς καὶ μάλιστα ἐνάγονται ἄνθρωποι, καὶ δείκνυσιν, ὅτι τὸ κήρυγμα καὶ τῶν παρόντων, καὶ τῶν μελλόντων ἀπαλλάττει κακῶν.

41 Οἱ μὲν οὖν ἀσμένως ἀποδεξάμενοι τὸν λόγον αὐτοῦ, φησιν, ἐβαπτίσθησαν· καὶ προσετέθησαν τῇ ἡμέρᾳ ἐκείνῃ ψυχαὶ ὡσεὶ τρισχίλιαι. Πῶς οἴει τότε τοὺς ἀποστόλους ἀγαλλιᾶσθαι μᾶλλον τοῦ σημείου;

42 Ἦσαν δὲ προσκαρτεροῦντες ὁμοθυμαδὸν τῇ διδαχῇ τῶν ἀποστόλων καὶ τῇ κοινωνίᾳ.

Δύο ἀρεταὶ, καὶ τὸ προσκαρτερεῖν, καὶ τὸ ὁμοθυμαδόν. τῇ διδαχῇ τῶν ἀποστόλων, φησὶ (πάλιν γὰρ αὐτοὺς ἐδίδασκον) καὶ τῇ κοινωνίᾳ, Καὶ τῇ κλάσει τοῦ ἄρτου, καὶ τῇ προσευχῇ. Πάντα κοινῇ, πάντα μετὰ καρτερίας.

43 Ἐγένετο δὲ πάσῃ ψυχῇ φόβος, Τῶν τις λυσάντων, Πολλά τε τέρατα καὶ σημεῖα διὰ τῶν ἀποστόλων ἐγίνετο. [Εἰκότως.] οὐ γὰρ ὡς τῶν τυχόντων κατεφρόνουν, οὐδὲ τοῖς ὁρωμένοις προσεῖχον. ἄρα πεπύρωτο αὐτῶν ἡ διάνοια. ἐπειδὴ γὰρ ἀνῶθεν ἦν πολὺς ῥέων ὁ Πέτρος, καὶ ἐδείκνυ τὰς ἐπαγγελίας καὶ τὰ μέλλοντα, εἰκότως ἐξέστησαν τῷ φόβῳ, καὶ ἐμαρτύρει τοῖς λεγομένοις τὰ θαύματα. καθάπερ γὰρ ἐπὶ τοῦ Χριστοῦ, πρότερον σημεῖα, εἶτα διδασκαλία, εἶτα θαύματα· οὕτω καὶ νῦν.

* φασιν 44 Πάντες δὲ οἱ πιστεύοντες * ἦσαν ἐπὶ τὸ αὐτὸ, καὶ εἶχον ἅπαντα κοινά.

Ὅρα εὐθέως ὅση ἡ ἐπίδοσις. οὐ γὰρ ἐν ταῖς εὐχαῖς μόνον ἡ κοινωνία, οὐδὲ ἐν τῇ διδασκαλίᾳ· ἀλλὰ καὶ ἐν τῇ πολιτείᾳ.

45 Καὶ τὰ κτήματά, φησι, καὶ τὰς ὑπάρξεις ἐπίπρασκον, καὶ διεμέριζον αὐτὰ πᾶσι, καθότι ἄν τις χρείαν εἶχεν. Ὅρα πόσος φόβος αὐτοῖς " ἐνεγένετο; καὶ διεμέριζον αὐτά, φησι, τὸ οἰκονομικὸν δηλῶν. καθότι ἄν τις χρείαν εἶχεν· οὐχ ἁπλῶς, καθάπερ οἱ παρ' Ἕλλησι φιλόσοφοι, οἱ μὲν ἀφῆκαν τὴν γῆν, οἱ δὲ εἰς θάλασσαν ἔρριψαν πολὺ χρυσίον, " ὅπερ οὐχ ὑπεροψία χρημάτων ἦν, ἀλλὰ μωρία καὶ ἄνοια. πανταχοῦ γὰρ ἐσπούδασεν ὁ διάβολος ἀεὶ τοῦ Θεοῦ τὰ κτίσματα διαβάλλειν, ὡς οὐκ ἐνὸν καλῶς χρήσασθαι χρήμασι.

χ. ἐγένετο
χ. τοῦτο δὲ οὐχ

46 Καθ' ἡμέραν τε προσκαρτεροῦντες ὁμοθυμαδὸν ἐν τῷ ἱερῷ.

Ἐνταῦθα τὸν τρόπον διδάσκει, καθ' ὃν τῆς διδασκαλίας ἀπέλαυον. καὶ σκόπει πῶς οὐδὲν ἐποίουν ἕτεροι Ἰουδαῖοι, οὐ μικρὸν, οὐ μέγα, ἀλλὰ τῷ ἱερῷ προσήδρευον. ἅτε γὰρ σπουδαιότεροι γεγενημένοι, καὶ περὶ τὸν τόπον εὐλάβειαν πλείονα εἶχον. οὐ γὰρ ἀπέσπων αὐτοὺς οἱ ἀπόστολοι τέως, ὥστε μὴ βλάψαι. Κλῶντές τε κατ' οἶκον ἄρτον, μετελάμβανον τροφῆς ἐν ἀγαλλιάσει καὶ ἀφελότητι καρδίας,

47 Αἰνοῦντες τὸν Θεὸν, καὶ ἔχοντες χάριν πρὸς ὅλον τὸν λαόν. Τὸν ἄρτον ἐμοὶ δοκεῖ λέγειν, καὶ τὴν νηστείαν ἐνταῦθα σημαίνειν καὶ τὸν σκληρὸν βίον. τροφῆς γὰρ, οὐ τρυφῆς μετελάμβανον. ἐν ἀγαλλιάσει, φησίν. " ἐντεῦθεν, ἀγαπητὲ, μάνθανε, ὡς οὐχ ἡ τρυφὴ, ἀλλ' ἡ τροφὴ τὴν ἀπόλαυσιν ποιεῖ· καὶ ὡς οἱ τρυφῶντες ἐν λύπῃ, οἱ δὲ μὴ τρυφῶντες ἐν χαρᾷ. ὁρᾷς, ὅτι οἱ Πέτρου λόγοι καὶ τοῦτο εἶχον, τὸν τοῦ βίου σωφρονισμόν; " οὕτως οὐκ ἦν γενέσθαι ἀγαλλίασιν, μὴ ἀφελείας οὔσης. καὶ πῶς, φησιν, εἶχον χάριν πρὸς ὅλον τὸν λαόν; δι' ὧν ἐποίουν,

χ. ὁρᾷς ὅτι οὐχ ἡ τρ.
χ. οὐ γὰρ

Λογ. ζ. 37 ΑΚΟΥΣΑΝΤΕΣ ΔΕ ΤΟΥΣ ΛΟΓΟΥΣ ΤΟΥΤΟΥΣ, κατενύγησαν τὴν καρδίαν, εἶπόν τε πρὸς τὸν Πέτρον καὶ τοὺς λοιποὺς ἀποστόλους· τί ποιήσομεν, ἄνδρες ἀδελφοί;

Ὁρᾷς ὅσον ἐστὶν ἐπιείκεια, ὡς αὕτη μᾶλλον τῆς σφοδρότητος τὰς καρδίας κατακεντεῖ τὰς ἡμετέρας, καὶ ὀξυτέραν δίδωσι τὴν πληγήν; καθάπερ γὰρ ἐπὶ τῶν ἐσκιρρωμένων σωμάτων, ὁ πλήττων οὐχ οὕτω ποιεῖ τὴν αἴσθησιν σφοδράν (χ. πεπωρωμένων)· ἂν δέ τις αὐτὰ μαλάξῃ πρότερον, καὶ ἁπαλὰ ἐργάσηται, τότε τύπτει σφοδρότερον· οὕτω δὴ καὶ ἐνταῦθα, πρότερον δεῖ μαλάξαι, καὶ τότε νύξαι. μαλάττει δὲ οὐ θυμός, οὐδὲ κατηγορία σφοδρά, οὐδὲ ὀνείδη· ἀλλ' ἐπιείκεια. ἐκεῖνος μὲν γὰρ καὶ ἐπιτείνει τὴν πώρωσιν, αὕτη δὲ ἀναιρεῖ. ὥστε ἂν ἐθέλῃς καθάψασθαί τινος ἠδικηκότος, μετὰ πολλῆς τῆς πρᾳότητος αὐτῷ προσφέρου. ὅρα γὰρ ἐνταῦθα. ἀνέμνησεν αὐτοὺς τῶν οἰκείων τολμημάτων πρᾴως, καὶ οὐδὲν προσέθηκεν· εἶπε τοῦ Θεοῦ τὴν δωρεάν, ἐπήγαγε τὴν χάριν μαρτυροῦσαν τοῖς γεγενημένοις, καὶ ἔτι πλατύτερον τὸν λόγον ἐξήγαγεν. ᾐδέσθησαν τοῦ Πέτρου τὴν ἐπιείκειαν, ὅτι τοῖς τὸν δεσπότην αὐτοῦ σταυρώσασι καὶ κατ' αὐτῶν φονῶσιν, ἐν τάξει πατρὸς καὶ διδασκάλου κηδεμονικοῦ διελέγετο (χ. φαν.). οὐχ ἁπλῶς ἐπείσθησαν, ἀλλὰ κατέγνωσαν ἑαυτῶν, ἦλθον εἰς αἴσθησιν τῶν γεγενημένων. οὐ γὰρ ἀφῆκεν αὐτοῖς ἀρθῆναι τὸν θυμόν, καὶ ἐπισκοτῆσαι τῇ διανοίᾳ· ἀλλὰ διὰ τῆς ταπεινοφροσύνης ὥσπερ τινὰ σκεδάσας ἀχλὺν τὴν ἀγανάκτησιν, οὕτως ἔδειξε τὸ τετολμημένον. καὶ γὰρ οὕτως ἔχει, ὅταν εἴπωμεν ἡμεῖς, ὅτι ἠδικήμεθα, ἐκεῖνοι πειρῶνται δεῖξαι, ὅτι οὐκ ἠδικήκασιν· ὅταν εἴπωμεν ἡμεῖς, ὅτι οὐκ ἠδικήμεθα, ἀλλ' ἠδικήκαμεν μᾶλλον, ἐκεῖνοι τὸ ἐναντίον ποιοῦσιν. ὥστε εἰ βούλει τὸν ἠδικηκότα εἰς ἀγῶνα ἐμβαλεῖν, μὴ κατηγορήσῃς αὐτοῦ, ἀλλ' ἀγώνισαι, κἀκεῖνος κατηγορήσει. φιλόνεικον γάρ ἐστι τὸ γένος τῶν ἀνθρώπων. τοῦτο ὁ Πέτρος ἐποίησεν. οὐ κατηγόρησεν αὐτῶν σφοδρῶς, ἀλλὰ ἐπειράθη γοῦν ἀγωνίσασθαι ἠρέμως κατὰ τὸ δυνατόν. διὰ τοῦτο αὐτῶν καθίκετο τῆς ψυχῆς (χ. καὶ ἀμφισβητεῖν). καὶ πόθεν δῆλον, ὅτι κατενύγησαν; ἀπὸ τῶν ῥημάτων αὐτῶν. τί γάρ φασι; τί ποιήσομεν, ἄνδρες ἀδελφοί; οὓς πλάνους ἐκάλουν, ἀδελφοὺς νῦν καλοῦσιν, οὐχὶ τοσοῦτον ἑαυτοὺς παρεξισάζοντες, ὅσον εἰς φιλοστοργίαν ἐπισπώμενοι καὶ κηδεμονίαν· ἄλλως δέ, ἐπειδὴ αὐτοὶ κατηξίωσαν τοῦτο καλέσαι αὐτούς, καί φασι, τί ποιήσομεν; οὐκ εἶπον εὐθέως· οὐκοῦν μετανοήσωμεν· ἀλλ' ἐπέτρεψαν ἑαυτοὺς αὐτοῖς. καθάπερ ἐν ναυαγίῳ τις γενόμενος, ἢ ἐν νόσῳ, τὸν κυβερνήτην ἰδών, ἢ τὸν ἰατρόν, πάντα αὐτῷ παραχωρεῖ τε καὶ πείθεται (χ. ἐγχειρεῖ καὶ πείθεται)· οὕτω καὶ οὗτοι ὡμολογήκασιν ἐν τοῖς ἐσχάτοις ὄντας ἑαυτούς, καὶ οὐδὲ ἐλπίδα σωτηρίας ἔχοντας. καὶ ὅρα· οὐκ εἶπον, πῶς σωθῶμεν; ἀλλά, τί ποιήσομεν; πάλιν ἐνταῦθα ὁ Πέτρος, πάντων ἐρωτηθέντων, ἐκεῖνος ἀποκρίνεται·

38 Μετανοήσατε, φησί, καὶ βαπτισθήτω ἕκαστος ὑμῶν ἐπὶ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ.

Καὶ οὔπω λέγει, ὅτι πιστεύσατε· ἀλλά, βαπτισθήτω ἕκαστος ὑμῶν· τοῦτο γὰρ ἐν τῷ βαπτίσματι παρέλαβον. εἶτα δείκνυσι καὶ τὸ κέρδος· Εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ λήψεσθε τὴν δωρεὰν τοῦ ἁγίου πνεύματος. Εἰ δωρεὰν λήψεσθε, εἰ ἄφεσιν ἔχει τὸ βάπτισμα, τί μέλλετε; εἶτα πιθανὸν τὸν λόγον ποιῶν, ἐπήγαγεν·

39 Ὑμῖν γάρ ἐστιν ἡ ἐπαγγελία. Εἶπε γὰρ τὴν ἄνω ἐπαγγελίαν διαλεγόμενος·

Καὶ τοῖς τέκνοις ὑμῶν, φησί. Μείζων ἡ δωρεά, ὅταν τῶν ἀγαθῶν καὶ κληρονόμους ἔχωσι. Καὶ πᾶσι, φησί, τοῖς εἰς μακράν. Εἰ τοῖς εἰς μακράν, πολλῷ μᾶλλον ὑμῖν τοῖς ἐγγύς. Ὅσους ἂν προσκαλέσηται Κύριος ὁ Θεὸς ἡμῶν.

γ. περιοχῆς

γ. ἀφίσταται

τοῦ πυρετοῦ δι' οἵας δήποτε σπουδῆς, ὡς μακρόθυμος ἀνὴρ ὀργίλον καὶ καιόμενον ὑπὸ τῆς ὀργῆς λαβών, καταψύξειε διὰ τοῦ πνεύματος τῶν οἰκείων λόγων. καὶ τί λέγω ἰατρόν; οὐδὲ σίδηρος πεπυρωμένος καὶ ὕδατι βαπτόμενος οὕτω ταχέως τῆς θέρμης ὑφίσταται, ὡς εἰς μακρόθυμον ψυχὴν ἄνθρωπος ὀργίλος ἐμπεσών. καθάπερ δὲ ἐπὶ τῆς ἀγορᾶς, εἰ εἰσέλθοιεν ᾠδικοὶ ἔριθες, καὶ λῆρος εἶναι δοκοῦσιν· οὕτω δὴ καὶ τὰ παραγγέλματα τὰ ἡμέτερα, εἰς ψυχὰς ἀκροχόλους ἐμπίπτοντα. ἆρα ἡδίων ἐπιείκεια χολῆς καὶ θρασύτητος. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ τὸ μὲν ὁ διάβολος, τὸ δὲ ὁ Θεὸς ἐπέταξεν. ὁρᾶτε, ὅτι οὐχ ἁπλῶς εἶπον, ὅτι εἰ καὶ μὴ διάβολος ἦν καὶ Θεός, αὐτὰ τὰ ἐπιτάγματα ἱκανὰ ἦν ἡμᾶς ἀποστῆσαι; ὁ μὲν γὰρ καὶ ἑαυτῷ ἡδύς, καὶ τοῖς ἄλλοις ὠφέλιμος· ὁ δὲ καὶ ἑαυτῷ ἀηδής, καὶ τοῖς ἄλλοις βλαβερός. οὐδὲν γὰρ ἀτερπέστερον ἀνθρώπου χολῶντος, οὐδὲν φορτικώτερον, οὐδὲν ἐπαχθέστερον, οὐδὲν αἰσχρότερον· ὥσπερ οὐδὲν τοῦ οὐκ εἰδότος χολᾶν οὐδὲν ἥδιον. θηρίῳ συνοικεῖν κάλλιον, ἢ ἀνθρώπῳ τοιούτῳ. ἐκεῖνο μὲν γὰρ ἐπειδὰν ἅπαξ ἡμερωθῇ, φυλάττει τὸν αὐτοῦ νόμον· τοῦτον δὲ ὁσάκις ἂν ἡμερώσῃς, πάλιν ἐκθηριοῦται, ἅπαξ εἰς ἕξιν ἑαυτὸν ἵνα τοιαύτην καταστήσας. καθάπερ γὰρ ἡμέρα λευκὴ καὶ φαιδρά, καὶ χειμὼν γέμων πολλῆς τῆς κατηφείας [ἕτερα ἀλλήλων εἰσίν]· οὕτως ἡ τοῦ ὀργιζομένου ψυχή, καὶ τοῦ ἐπιεικοῦς. ἀλλὰ μήπω τὰ τοῖς ἄλλοις ἴδωμεν βλαβερὰ συμβαίνοντα, ἀλλὰ τὰ ἑαυτοῖς· καίτοι καὶ τοῦτο οὐ μικρὰ βλάβη, ἑτέροις τι δοῦναι κακόν. πλὴν ἀλλὰ πῶς τοῦτο σκοπῶμεν. ποῖος δήμιος πλευρὰς οὕτω καταξᾶναι δυνήσεται, τίνες ὀβελίσκοι πεπυρωμένοι διέπειραν σῶμα, ποία μανία οὕτως ἐκστήσειεν ἂν τῶν κατὰ φύσιν φρενῶν, ὡς ὀργὴ καὶ παραπληξία; οἶδα πολλοὺς ἀπὸ ὀργῆς νόσους τεκόντας· καὶ τῶν χαλεποὶ τῶν πυρετῶν μάλιστα οὗτοί εἰσιν. εἰ δὲ σῶμα οὕτω λυμαίνονται, ἐννόησον τὴν ψυχήν. μὴ γὰρ λογίσῃ, ὅτι οὐχ ὁρᾷς· ἀλλ' ἐννόησον, ὅτι εἰ τὸ δεχόμενον τὴν κακίαν οὕτω βλάπτεται, τὸ τίκτον πόσην ἂν ὑποδέξηται βλάβην; πολλοὶ τοὺς ὀφθαλμοὺς ἀπώλεσαν, πολλοὶ εἰς νόσον βαρυτάτην κατέπεσον. ὁ μέντοι φέρων γενναίως, πάντα ὑποστήσεται εὐκόλως. ἀλλ' ὅμως καὶ τοιαῦτα ἐπιτάττει φορτικά, καὶ τούτων μισθὸν ἡμῖν τίθησι τὴν γέενναν, καὶ διάβολός ἐστι, καὶ ἐχθρὸς τῆς σωτηρίας τῆς ἡμετέρας, καὶ μᾶλλον τούτῳ πειθόμεθα, ἢ τῷ Χριστῷ σωτῆρι ὄντι καὶ εὐεργέτῃ καὶ προστάτῃ καὶ τοιαῦτα λέγοντι, ἃ καὶ ἡδίω καὶ σεμνότερα καὶ ὠφελιμώτερα καὶ χρησιμώτερά ἐστι, καὶ ἡμᾶς, καὶ τοὺς συνόντας ἡμῖν ὠφελεῖ τὰ μέγιστα. οὐδὲν ὀργῆς χεῖρον, ἀγαπητέ, οὐδὲν ἀκαιροτέρου θυμοῦ. οὐ δεῖται πολλῆς τῆς ἀναβολῆς, ὀξὺ τὸ πάθος ἐστί. πολλάκις καὶ ῥῆμα ἐξέβαλέ τις ὑπὸ θυμοῦ, οὗ εἰς τὴν θεραπείαν ὁλοκλήρου δεῖται βίου· καὶ εἰργάσατό τι, ὃ πᾶσαν αὐτοῦ τὴν ζωὴν ἀνέτρεψε. τὸ γὰρ χαλεπὸν τοῦτό ἐστιν, ὅτι καὶ ἐν βραχεῖ καιρῷ, καὶ διὰ μιᾶς πράξεως, καὶ δι' ἑνὸς ῥήματος μόνου τῶν αἰωνίων ἡμᾶς πολλάκις ἐξέβαλεν ἀγαθῶν, καὶ μυρίους ἐκένωσε πόνους. διὸ παρακαλῶ πάντα ποιεῖν, ὥστε τὸ θηρίον τοῦτο χαλινοῦν. ἀλλὰ ταῦτα μὲν περὶ ἐπιεικείας καὶ θυμοῦ. εἰ δὲ καὶ τὰ ἄλλα τις προσχείσαιτο τῷ λόγῳ, οἷον πλεονεξίαν, ὑπεροψίαν χρημάτων, ἀσέλγειαν, σωφροσύνην, φθόνον, χρηστότητα, καὶ ἀλλήλοις ἀντεξετάσοι, τότε εἴσεται τὸ διάφορον. εἴδετε πῶς ἀπὸ τῶν προσταγμάτων μόνον ὁ μὲν Θεός, ὁ δὲ διάβολος ἐνδείκνυται; πειθώμεθα τοίνυν τῷ Θεῷ, καὶ μὴ εἰς βάραθρα ἑαυτοὺς ἐμβάλωμεν, ἀλλ' ἕως ἐστὶ καιρός, πάντα ἀποτριψώμεθα τὰ τὴν ψυχὴν λυμαινόμενα, ἵνα τῶν αἰωνίων ἀγαθῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γ. πλὴν ὅμως εἰς ἕξιν ἑ. τ. τ. καταστῆσαι.

ἡμῶν. βασιλείαν ἐπαγγέλλεται ὁ Θεός, καὶ καταφρονεῖται· γέενναν προξενεῖ ὁ διάβολος, καὶ τιμᾶται. ἐνταῦθα Θεός, ἐκεῖ διάβολος. μᾶλλον δὲ ἴδωμεν τῶν ἐπιταγμάτων τὴν διαφοράν. εἰ γὰρ μηδὲν τούτων ἦν, μηδὲ ἐντεῦθεν μὲν Θεός, ἐκεῖθεν δὲ διάβολος, μηδὲ ἐντεῦθεν μὲν βασιλείαν, ἐκεῖθεν δὲ γέενναν προεξένει, αὐτὴ τῶν ἐπιταγμάτων ἡ φύσις οὐχ ἱκανὴ πεῖσαι τούτῳ προστίθεσθαι; τί δ' ἂν ἑκάτερος ἐπιτάττει; ἐκεῖνος τὰ καταισχύνοντα, ἐνταῦθα τὰ ἐνδόξους ποιοῦντα· ἐκεῖνος τὰ μυρίαις περιβάλλοντα συμφοραῖς καὶ ἀσχημοσύναις, οὗτος τὰ πολλὴν τὴν ἄνεσιν ἔχοντα. ὅρα γάρ. οὗτος λέγει, Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· ἐκεῖνός φησιν, ἄγριος ἔσο, καὶ ἀπήνης, καὶ ἀκρόχολος καὶ ὀργίλος, καὶ θηρίον μᾶλλον ἢ ἄνθρωπος. ἴδωμεν οὖν τί χρησιμώτερον, τί δ' ὠφελιμώτερον. ἀλλὰ μὴ τοῦτο μόνον, ἀλλ' ἐννόησον ὅτι ὁ μὲν διάβολός ἐστι. μάλιστα γὰρ ἂν ἐκεῖνο δειχθῇ, * πάλιν τὰ νικητήρια ἔσται μείζονα. οὐ γὰρ ὁ εὔκολα ἐπιτάττων ἐστὶ κηδεμών, ἀλλ' ὁ συμφέροντα. ἐπεὶ καὶ πατέρες φορτικὰ ἐπιτάττουσι τοῖς υἱοῖς, καὶ δεσπόται πάλιν ὁμοίως δούλοις· ἀλλὰ διὰ τοῦτο οἱ μὲν εἰσὶ πατέρες, οἱ δὲ δεσπόται· οἱ δὲ ἀνδραποδισταὶ καὶ λυμεῶνες πάλιν τὰ ἐναντία. πλὴν ὅτι καὶ ἡδονὴν ἔχει, δῆλον ἐκεῖθεν. ἐν τίσι γὰρ νομίζεις εἶναι τὸν ἀκρόχολον; ἐν τίσι δὲ τὸν ἀνεξίκακον καὶ πρᾶον; οὐχὶ τούτου μὲν ἡ ψυχὴ ἐρημίᾳ τινὶ πολλὴν ἐχούσῃ τὴν ἡσυχίαν ἔοικεν· ἡ ἐκείνου δὲ ἀγορᾷ καὶ θορύβῳ, ἔνθα πολλὴ ἡ κραυγὴ τῶν ἀπιόντων, τῶν ἐπιδημούντων, καμήλων καὶ ἡμιόνων καὶ ὄνων, μεγάλα τοῖς προσιοῦσιν ἐμβοώντων, ὥστε μὴ καταπατηθῆναι; οὐχ ἡ μὲν τοῦ τοιούτου ταῖς μέσαις πάλιν τῶν πόλεων ἐοικυῖά ἐστιν, ἔνθα νῦν μὲν ἐντεῦθεν ἀργυροκόπων, νῦν δὲ ἐκεῖθεν τῶν χαλκοτύπων ὁ ἦχος πολὺς γίνεται, καὶ οἱ μὲν ἐπηρεάζουσιν, οἱ δὲ ἐπηρεάζονται; ἀλλ' ἡ τούτου κορυφῇ τινι ἔοικεν ὄρους, λεπτὴν μὲν ἔχοντος τὴν αὔραν, καθαρὰν δὲ τὴν ἀκτῖνα δεχομένου, διειδῆ τὰ νάματα προχέοντος τῶν πηγῶν, καὶ πολλὰς τῶν ἀνθέων προβαλλομένου τὰς χάριτας, τῶν ἐαρινῶν ὁμοίως λειμώνων τε καὶ παραδείσων, καὶ φυτοῖς καὶ ἄνθεσι κομώντων, καὶ καταρρύτοις ὕδασιν. εἴ τις δὲ καὶ ἠχὴ γίνοιτο, λιγυρὰ καὶ πολλὴν καταχέουσα τῶν ἀκουόντων τὴν ἡδονήν. ἢ γὰρ ὄρνιθες ᾠδικοὶ ἄκροις τῶν δένδρων ἐφιζάνουσι τοῖς πετάλοις, καὶ τέττιγες, καὶ ἀηδόνες, καὶ χελιδόνες συμφώνως μίαν τινὰ * ἀποτελοῦσι μουσικήν· ἢ ζέφυρος ἠρέμα τῶν πετάλων τοῖς δένδροις προσαπτομένων πίτυς καὶ πλάκας συρίζουσας καὶ κύκνους πολλάκις μιμεῖται· ἢ λειμὼν ῥόδα προβάλλων καὶ κρίνα ἀλλήλοις προσκεκλικότα καὶ κυμαίζοντα, καθάπερ πέλαγος κυανοῦν ἠρέμα κυματούμενον δείκνυσι. μᾶλλον δὲ πολλὰς εἰκόνας εὕροι τις ἄν. ὅταν μὲν γὰρ εἰς τὰ ῥόδα τις ἀποβλέψῃ, τὴν ἶριν οἴεται καθορᾶν· ὅταν δὲ εἰς τὰ ἴα, θάλατταν κυματουμένην· ὅταν δὲ εἰς τὰ κρίνα, τὸν οὐρανόν. οὐ τῇ θέᾳ δὲ μόνον, οὐδὲ τῇ ὄψει τέρποιτο ἂν τότε ὁ τοιοῦτος, ἀλλὰ καὶ * τῷ σώματι αὐτῷ· ἐκεῖνον γὰρ μᾶλλον ἀνίησί τε καὶ διαπνεῖσθαι ποιεῖ, ὥστε νομίζειν ἐν οὐρανῷ μᾶλλον εἶναι, ἢ ἐπὶ γῆς. ἔστι καὶ ἑτέρα τις ἠχή, ὅταν ὕδωρ ἀπὸ τῆς ἀκρωρείας διὰ χαράδρων αὐτομάτως φερόμενον, καὶ ταῖς ὑποκειμέναις ψηφῖσιν ἠρέμα ἐπιψοφοῦν ἡσύχῳ κτύπῳ, οὕτως ἐκλύῃ τὰ μέλη ἡμῶν τῇ ἡδονῇ, ὥστε καὶ ταχέως τὸν λυσιμελῆ τοῖς ὀφθαλμοῖς ὕπνον ἐπάγειν. ἡδέως ἠκούσατε τοῦ διηγήματος; τάχα καὶ ἐρασταὶ γεγόνατε ἐρημίας. ἀλλὰ ταύτης τῆς ἐρημίας ἡδίων πολλῷ τοῦ μακροθύμου ἡ ψυχή. οὐ γὰρ ἵνα λειμῶνα ὑπογράψωμεν, οὐδ' ἵνα πρὸς ἐπίδειξιν τὸν λόγον ἀγάγωμεν, ταύτης ἡψάμεθα τῆς εἰκόνος· ἀλλ' ἵνα διὰ τῆς ὑπογραφῆς ἴδητε ὅση τῶν μακροθύμων ἡ ἡδονή· καὶ ὅτι πολλῷ ἀνδρὶ μακροθύμῳ συγγινόμενος ἄν τις καὶ ἥδοιτο καὶ ὠφελοῖτο, ἢ τοιούτοις ὁμιλήσας χωρίοις, τούτους μεταδιώκητε. ὅταν γὰρ μηδὲ πνεῦμα σφοδρὸν ἀπὸ ταύτης ἐξέρχηται τῆς ψυχῆς, ἀλλ' ἥμεροί τινες λόγοι καὶ προσρήσεις, καὶ ὄντως ἐκεῖνο τὸ ζεφύρου ἠρεμον * εἰκονίζοντες, καὶ παραινέσεις οὐδὲν μὲν ἔχουσαι τῦφον, οὐδὲ δὲ ὄρνιθας οὐδὲ ᾠδικοὺς μιμούμεναι, πῶς οὐ τοῦτο βέλτιον; οὐ γὰρ σώματι προσάπτεται τοῦ λόγου ἡ αὔρα, ἀλλὰ ψυχὰς ἀνίησιν. οὐκ ἂν ἰατρὸς πυρέττοντα ἄνθρωπον οὕτω ταχέως ἀπαλλάξαι

τοῦ

Ματθ. ια. κθ.

γρ. γῆ ε...

* δεῖ καὶ τοῦτο ἐπισῆναι, καὶ

γρ. ἐκεῖνοι

γρ. καὶ πάντα τὰ ἐναντία.

γρ. -ων, ἀργυροκόπων, χαλκοτύπων ἐπιτερπόντων ἐπιτρεπόντων, καὶ τῶν μὲν ἐπηρεαζομένων. τῶν δὲ ἐπηρεαζόντων; ἀλλ'

γρ. ἦχος

* φωνήν

γρ. ἢ ῥόδα καὶ ἴα καὶ αὐτὰ ἠρέμα σειόμενα

* ἐν

γρ. ἡσυχίῳ

* καὶ ἐοικότες

ὥσπερ καὶ Ἰωάννης, Οὗτος ὑμᾶς, φησί, βαπτίσει ἐν πνεύματι ἁγίῳ. καὶ δείκνυσιν, ὅτι ὁ σταυρὸς οὐ μόνον αὐτὸν οὐκ ἠλάττωσεν, ἀλλὰ καὶ λαμπρότερον εἰργάσατο, εἴγε πάλαι μὲν ἐπηγγέλλετο ὁ Θεὸς αὐτῷ, τότε δὲ ἔδωκε. τὴν * ἐπαγγελίαν φησίν, ἣν ἡμῖν ἐπηγγείλατο. οὔπω παρῆν, ἤδη δὲ ἐσομένην, καὶ μείζονα ἡμῖν μετὰ τὸν σταυρὸν ἐχαρίσατο. καὶ ἐξέχεε, φησίν. ἐνταῦθα τὸ ἀξίωμα ἐμφαίνει· καὶ ὅτι οὐχ ἁπλῶς, ἀλλὰ καὶ μετὰ δαψιλείας. διὸ καὶ αὐτὸ τοῦτο δῆλον ποιῶν, ἐπάγει τὰ ἑξῆς. λοιπὸν γὰρ θαρρούντως μετὰ τὴν τοῦ πνεύματος δόσιν καὶ περὶ τῆς εἰς τοὺς οὐρανοὺς ἀναλήψεως διαλέγεται· καὶ οὐχ ἁπλῶς, ἀλλὰ πάλιν τὸν μάρτυρα παράγων, καὶ ἐκείνου ἀναμιμνήσκων, περὶ οὗ ὁ Χριστὸς εἶπεν. Matth. 3

* τὴν
γ. ποσὶν οὐκ ἀξίωμα ζητεῖ. καὶ οὐχ ἁπ.

34 Οὐ γὰρ Δαβὶδ ἀνέβη, φησίν, εἰς τοὺς οὐρανούς. Ἐνταῦθα οὐκ ἔτι μετὰ ἀποστολῆς δημηγορεῖ ἔχων τὸ ἀπὸ τῶν εἰρημένων θάρσος, οὐδὲ λέγει, ἐξὸν εἰπεῖν, οὐδὲ ὅσα τοιαῦτα· Λέγει δὲ αὐτός, Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου,

γ. λέγει
γ. φανερῶς

35 Ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.

Εἰ δὲ τοῦ Δαβὶδ Κύριος, πολλῷ μᾶλλον αὐτῶν. κάθου ἐκ δεξιῶν μου. τὸ πᾶν ἐνταῦθα τέθεικεν. ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. ἐνταῦθα καὶ φόβον ἐπέσεισε μέγαν, καθάπερ ἐν τῇ ἀρχῇ ἔδειξεν, οἷα τοὺς φίλους ἐργάζεται, οἷα τοὺς ἐχθρούς. καὶ πάλιν τὴν κράτησιν, ἵνα μὴ ἀπιστῆται, τῷ πατρὶ ἀνατίθησιν. ἐπεὶ οὖν μεγάλα ἐφθέγξατο, πάλιν ἐπὶ τὰ ταπεινὰ τὸν λόγον κατάγει.

γ. αὐτοῖς ἐν ἀπαξιώσει.

36 Ἀσφαλῶς οὖν γινωσκέτω, φησί, πᾶς οἶκος Ἰσραήλ·

Τουτέστι, μὴ ἀμφισβητεῖτε, μηδὲ ἀμφιβάλλετε. εἶτα καὶ ἐπιτακτικῶς λοιπόν·

Ὅτι καὶ Κύριον αὐτὸν καὶ Χριστὸν ὁ Θεὸς ἐποίησε. Τοῦτο ἀπὸ τοῦ Δαβὶδ καὶ ἀπὸ τοῦ ψαλμοῦ ἐμνημόνευσε. δέον γὰρ εἰπεῖν, ἀσφαλῶς οὖν γινωσκέτω πᾶς οἶκος Ἰσραήλ, ὅτι ἐκ δεξιῶν κάθηται, ὅπερ ἦν μέγα· τοῦτο ἀφείς, ἕτερον ἐπάγει τὸ πολὺ ταπεινότερον, εἰπὼν ἐποίησε· τουτέστι, κατέστησεν. ὥστε οὐδὲν περὶ οὐσιώσεως ἐνταῦθα, ἀλλὰ πάντα φησὶ περὶ τούτου.

Τοῦτον τὸν Ἰησοῦν, ὃν ὑμεῖς ἐσταυρώσατε. Καλῶς ἐνταῦθα ἔληξε διασείων αὐτῶν τὴν διάνοιαν. ἐπειδὴ γὰρ ἔδειξεν ἡλίκον ἐστί, τότε λοιπὸν καὶ τὸ τόλμημα ἐγύμνωσεν, ὥστε μεῖζον δεῖξαι, καὶ τῷ φόβῳ αὐτοὺς ἑλεῖν. οὐ γὰρ οὕτως οἱ ἄνθρωποι ταῖς εὐεργεσίαις ἐπάγονται, ὡς τῷ φόβῳ σωφρονίζονται. οἱ δὲ θαυμαστοὶ καὶ μεγάλοι καὶ Θεῷ φίλοι, οὐδενὸς τούτων δέονται· οἷος ὁ Παῦλος ἦν. οὐ βασιλείας, οὐ γεέννης λόγον ἐποιεῖτο. τοῦτο * ἐστι φιλεῖν τὸν Χριστόν· τοῦτο μὴ μισθωτὸν εἶναι, μηδὲ πραγματείαν καὶ καπηλείαν ἡγεῖσθαι, ἀλλ' ὄντως ἐνάρετον εἶναι, καὶ διὰ τὸ τῷ Θεῷ φίλον πάντα ποιεῖν.

* γὰρ

ΗΘΙΚΟΝ

Πόσων οὖν δακρύων ἄξιοι, ὅταν τοσοῦτον ὀφείλοντες μὴ ἔχωμεν, μηδὲ ὡς κάπηλοι μετιῶμεν τὴν βασιλείαν τῶν οὐρανῶν; τοσαῦτα ἡμῖν ὑπισχνεῖται, καὶ οὐδὲ οὕτως ἀκούομεν. τί ταύτης τῆς ἔχθρας ἴσον γένοιτο ἄν; καίτοιγε οἱ περὶ χρήματα μαινόμενοι, κἂν ἐχθρούς, κἂν δούλους, κἂν πολεμιωτάτους εὕρωσι, κἂν πάντα κακούς, μόνον δὲ προσδοκήσωσιν, ὅτι χρήματα δι' αὐτῶν δυνήσονται λαβεῖν, πάντα ποιοῦσι, καὶ κολακεύουσι, καὶ θεραπεύουσι, καὶ δοῦλοι γίνονται, καὶ πάντων ἡγοῦνται αὐτοὺς σεμνοτέρους εἶναι, ἵνα τι λάβωσι παρ' αὐτῶν. ἡ γὰρ τῶν χρημάτων ἐλπὶς οὐδὲν τούτων αὐτοὺς ἀφίησιν ἐννοῆσαι. βασιλεία δὲ οὐκ ἰσχύσει, ὅσα χρήματα, μᾶλλον δὲ οὐδὲ τὸ πολλοστόν. καίτοι οὐδὲ ὁ τυχὼν ἐστὶν ὁ ἐπαγγελλόμενος αὐτήν, ἀλλ' ὁ ἀσυγκρίτως καὶ τῆς βασιλείας αὐτῆς μείζων. ὅταν δὲ καὶ τὸ ἐπαγγελλόμενον ᾖ βασιλεία, καὶ Θεὸς ὁ ταύτην διδούς, μέγα καὶ αὐτὸ τὸ παρὰ τοιούτου λαμβάνειν. νῦν δὲ ταὐτὸν γέγονεν, ὥσπερ ἂν εἰ βασιλεὺς μὲν κληρονόμους αὐτοῦ καὶ συγκληρονόμους τῷ υἱῷ βουλόμενος ποιῆσαι, μετὰ μυρίας καὶ ἑτέρας εὐεργεσίας καταφρονοῖτο· λῃστάρχος δὲ ὁ μυρία καὶ ἡμᾶς καὶ τοὺς γονεῖς τοὺς ἡμετέρους διαθείς, καὶ μυρίων γέμων κακῶν, καὶ καταισχύνας ἡμῶν καὶ τὴν δόξαν καὶ τὴν σωτηρίαν, εἶτα μόνον ὀβολὸν δείξας προσκυνοῖτο παρ' ἡμῶν.

γ. οὐκ ἄξιος ἀκοῦσαι;
γ. χεῖρον
γ. οὐ γὰρ ὁ τυχὼν ὁ ἐπαγγελλόμενος· ἀλλὰ τὸ μεῖζον τῆς βασιλείας αὐτῆς, τὸ παρὰ τοιούτου λαμβάνειν. νῦν δὲ ταὐτὸν

γὰρ αὐτόν, οὐκ εἰργάσατο δὲ τὸ αὐτοῦ τότε ὁ θάνατος. καὶ τὸ μὲν ἁμάρτημα εἶπε συσκιάσας, τὴν δὲ τιμωρίαν οὐκ ἐπήγαγεν· ἀλλ' ὅτι μὲν ἄδικον, ἐδήλωσε· λοιπὸν δὲ ἐπὶ τὸ σημεῖον ἔρχεται τὸ τοῦ Θεοῦ. ὅταν δὲ ἀποδειχθῇ, ὅτι δίκαιος ὁ ἀναιρεθείς, καὶ ὅτι Θεῷ φίλος, κἂν σιωπήσῃς τὴν κόλασιν, μᾶλλόν σου καταγνώσεται ἑαυτοῦ ὁ ἡμαρτηκώς. πάντα ταύτην ἀνατίθησι τῷ πατρί, ἵνα δέξωνται τὰ λεγόμενα. εἶτα τὸ οὐ δυνατὸν ἀπὸ τῆς προφητείας ἐπάγει. ἴδωμεν ταύτην ἄνωθεν πάλιν τὰ εἰρημένα. Ἰησοῦν, φησί, τὸν Ναζωραῖον, ἄνδρα ἀποδεδειγμένον ἀπὸ τοῦ Θεοῦ εἰς ὑμᾶς· τουτέστιν, οὐκ ἀμφισβητούμενον, ἀλλ' ἀποδεδειγμένον διὰ τῶν ἔργων. οὕτω καὶ ὁ Νικόδημος ἔλεγε· Τὰ σημεῖα ταῦτα οὐδεὶς δύναται ποιεῖν, ἃ σὺ ποιεῖς. δυνάμεσι, φησί, καὶ τέρασι καὶ σημείοις, οἷς ἐποίησε δι' αὐτοῦ ὁ Θεὸς ἐν μέσῳ ὑμῶν. ὥστε οὐ λάθρα, εἰ ἐν μέσῳ. πρότερον ἀπὸ τῶν ἐκείνοις γνωρίμων ἄρχεται, καὶ τότε ἐπὶ τὰ ἄδηλα ἔρχεται. ἔπειτα λέγων, τῇ τοῦ Θεοῦ βουλῇ, δείκνυσιν ὅτι οὐκ αὐτοὶ ἴσχυσαν, καὶ ὅτι σοφή τις τὸ γενόμενον ἦν καὶ οἰκονομία, εἴγε παρὰ τοῦ Θεοῦ ἦν. καὶ τὸ φορτικὸν ταχέως παρῆλθε. σπουδὴ γὰρ αὐτοῖς πανταχοῦ δεῖξαι ὅτι τέθνηκε. καὶ ὑμεῖς ἀρνήσασθε, φησίν, ἐκεῖνοι μαρτυρήσουσιν. ὁ δὲ τῷ θανάτῳ πράγματα παρέχων, πολλῷ μᾶλλον τοῖς σταυρώσασι. ἀλλ' οὐδὲν τοιοῦτον λέγει, ὅτι ἠδύνατο ὑμᾶς ἀνελεῖν, ἀλλ' ἁπλῶς μόνον ἐνέφηνε. πῶς δὲ μανθάνομεν καὶ ἡμεῖς διὰ τῶν εἰρημένων τί ἐστι τὸ κατέχειν. ὁ γὰρ ὠδίνων οὐ κατέχει τὸ κατεχόμενον, οὐδὲ δρᾷ· ἀλλὰ πάσχει καὶ ῥῖψαι σπεύδει. καὶ καλῶς εἶπε, Δαβὶδ γὰρ λέγει εἰς αὐτόν, ἵνα μὴ εἰς τὸν προφήτην ἑλκύσῃς τὸ εἰρημένον. ὁρᾷς πῶς ἑρμηνεύει λοιπὸν τὴν προφητείαν, καὶ γυμνὴν τίθησι, δηλῶν πῶς ἐκάθισεν ἐπὶ τοῦ θρόνου αὐτοῦ; ἡ γὰρ κατὰ πνεῦμα βασιλεία, ἐν οὐρανοῖς. ὅρα πῶς μετὰ τῆς ἀναστάσεως καὶ τὴν βασιλείαν ἐνέφηνεν ἐν τῷ ἀναστῆναι. δείκνυσιν, ὅτι ἀνάγκην εἶχεν ὁ προφήτης. περὶ γὰρ αὐτοῦ ἦν ἡ προφητεία. διὰ τί μὴ εἶπε, περὶ τῆς βασιλείας αὐτοῦ, ἀλλὰ περὶ τῆς ἀναστάσεως αὐτοῦ; μέγα τοῦτο ἦν. πῶς δὲ ἐπὶ τοῦ θρόνου ἐκάθισε; Βασιλεὺς Ἰουδαίων. εἰ δὲ Ἰουδαίων, πολλῷ μᾶλλον τῶν σταυρωσάντων αὐτόν. οὐ γὰρ ἡ σὰρξ αὐτοῦ εἶδε, φησί, διαφθοράν. τοῦτο τῆς ἀναστάσεως δοκεῖ μὲν ἧττον εἶναι, πλέον δὲ αὐτό ἐστι.

Ιωαν. γ. β. — χ. ἐπὶ — χ. ὁ γυμ. — χ. βασιλεὺ γὰρ ἦ Ἰουδ. καὶ τ. μ.

32 Τοῦτον τὸν Ἰησοῦν ἀνέστησεν ὁ Θεός. Ὅρα πῶς οὐ καλεῖ αὐτὸν ἑτέρως. Οὗ πάντες ἡμεῖς ἐσμεν μάρτυρες.

33 Τῇ δεξιᾷ οὖν τοῦ Θεοῦ ὑψωθείς. Πάλιν ἐπὶ τὸν πατέρα καταφεύγει, καίτοιγε ἤρκει εἰπεῖν τὸ [illegible]· ἀλλ' οἶδεν ὅσον τοῦτό ἐστι. ἐν τούτῳ καὶ περὶ τῆς ἀναλήψεως ᾐνίξατο, καὶ ὅτι ἐν τοῖς οὐρανοῖς ἐστιν, ἀλλ' οὐδὲ αὐτὸ φανερῶς λέγει.

Τήν τε ἐπαγγελίαν, φησί, τοῦ πνεύματος τοῦ ἁγίου λαβών.

Ὅρα πῶς ἀρχόμενος μὲν οὐχ ἑαυτὸν ἔφη αὐτὸ καταπεπομφέναι, ἀλλὰ τὸν πατέρα. ἐπειδὴ δὲ ἐμνήσθη τῶν σημείων αὐτοῦ, καὶ τῶν εἰς αὐτὸν γεγενημένων παρὰ Ἰουδαίων, καὶ περὶ τῆς ἀναστάσεως διελέχθη, θαρρῶν λοιπὸν καὶ τὸν περὶ τούτου εἰσάγει λόγον, πάλιν αὐτοὺς μάρτυρας δι' ἑκατέρων τῶν αἰσθήσεων παράγων. καὶ τῆς μὲν ἀναστάσεως συνεχῶς μέμνηται, τοῦ δὲ τολμήματος αὐτῶν ἅπαξ, ἵνα μὴ αὐτοὺς βαρήσῃ. τήν τε ἐπαγγελίαν, φησί, τοῦ πνεύματος τοῦ ἁγίου λαβών. τοῦτο πάλιν μέγα. οἶμαι δὲ νῦν ἐπαγγελίαν αὐτὸν λέγειν τὴν πρὸ τοῦ πάθους. ὅρα πῶς αὐτοῦ ποιεῖ αὐτὸ λοιπὸν ὅλον, μέγα λανθανόντως αὐτὸ ἐργαζόμενος. εἰ γὰρ αὐτὸς ἐξέχεε, περὶ αὐτοῦ ὁ προφήτης εἰρήκει ἀνωτέρω· Ἐν ταῖς ἐσχάταις ἡμέραις ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ τοὺς δούλους μου, καὶ ἐπὶ τὰς δούλας μου, καὶ δώσω τέρατα ἐν τῷ οὐρανῷ ἄνω. ὅρα οἷα κεκρυμμένως ἐντίθησιν. ἀλλ' ἐπειδὴ μέγα ἦν, πάλιν αὐτὸ συσκιάζει τῷ παρὰ τοῦ πατρὸς λαβεῖν. εἶπε τὰ γεγενημένα ἀγαθά, τὰ σημεῖα· εἶπεν, ὅτι βασιλεύς ἐστιν, ὅτι εἰς αὐτοὺς ἥκει· εἶπεν, ὅτι αὐτὸς τὸ πνεῦμα δίδωσιν. ὅσα γὰρ ἂν εἴπῃ τις, εἰ μὴ εἰς τὸ συμφέρον τελευτήσει, εἰκῇ λέγει. ὥ-

χ. ἐγκει. — χ. ἐστι, τὸ εἰς αὐτοὺς ἥκει

σπερ

τοῦτο ἐπιστήσαμεν, συλλογίζεται αὐτοῖς δι' οὗ προσέθηκε, διὰ χειρῶν ἀνόμων προσπήξαντες ἀνείλετε. ἐνταῦθα* τὸν Ἰούδαν αἰνίττεται· ἅμα δὲ αὐτοῖς δείκνυσιν ὅτι οὐ τῆς αὐτῶν ἰσχύος ἦν, εἰ μὴ αὐτὸς συνεχώρησεν, καὶ ἐξέδωκεν ὁ Θεὸς αὐτόν. τοῦτο γάρ ἐστι, τὸ ἔκδοτον. οὕτως ὅλον ἐπὶ τὴν κεφαλὴν τοῦ Ἰούδα περιέστησε τὸ ἔγκλημα τοῦ παραδεδωκότος. αὐτὸς γὰρ αὐτὸν παρέδωκε τῷ φιλήματι. ἡ διὰ χειρῶν ἀνόμων, τὴν στρατιωτῶν λέγει, δηλῶν ὅτι οὐδὲ ἁπλῶς ἀνείλετε, ἀλλὰ διὰ τῶν ἀνόμων ἀνδρῶν. καὶ ὅρα πῶς πανταχοῦ σπουδάζουσι τὸ πάθος ὁμολογηθῆναι πρότερον· τὰ δὲ τῆς ἀναστάσεως, ἐπεὶ μέγα ἦν, πῶς συσκιάζει, καὶ οὕτω πως μέσον αὐτὸ τίθησιν. ἐκεῖνα μὲν γὰρ ὡμολόγητο, ὅτι ὁ σταυρὸς καὶ ὁ θάνατος· ἡ δὲ ἀνάστασις οὔπω. διὸ καὶ ὕστερον περὶ ταύτης φησὶν, ἐπάγων·

24 Ὃν ὁ Θεὸς ἀνέστησε λύσας τὰς ὠδῖνας τοῦ θανάτου, καθότι οὐκ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπ' αὐτοῦ. Ἐνταῦθά τι μέγα καὶ ὑψηλὸν ᾐνίξατο. τὸ γὰρ, οὐκ ἦν δυνατὸν, καὶ αὐτὸν διδόντα ἐμφαίνει καταπαχεῖν· καὶ ὅτι καὶ αὐτὸς ὤδινε κατέχων αὐτὸν ὁ θάνατος, καὶ τὰ δεινὰ ἔπασχεν. ὠδῖνα γὰρ θανάτου ἡ γραφὴ τὸν κίνδυνον πανταχοῦ οἶδε καλεῖν· καὶ ὅτι οὕτως ἀνέστη, ὡς μηκέτι πάλιν ἀποθανεῖν. ἡ τὸ εἰπεῖν, καθότι οὐκ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπ' αὐτοῦ, τοῦτο δηλοῦντός ἐστιν, ὅτι οὐ κοινὴ τοῖς ἄλλοις γέγονεν ἡ ἀνάστασις. εἶτα πρὶν ἤ τι τὴν διάνοιαν αὐτῶν ἐνοῦσαι, ἐπάγει αὐτοῖς τὸν Δαβὶδ πάντα λογισμὸν ἀνθρώπινον ἀναιροῦντα.

25 Δαβὶδ γάρ, φησι, λέγει εἰς αὐτόν. Καὶ ὅρα πῶς πάλιν ἡ μαρτυρία ταπεινή. διὰ δὴ τοῦτο καὶ ἄνωθεν αὐτὴν ἀνέλαβεν ἀπὸ τῶν ταπεινοτέρων, ἵνα δείξῃ ὅτι οὐ τῶν λυπούντων ἦν ὁ θάνατος. Προωρώμην, φησὶ, τὸν Κύριον ἐνώπιόν μου διὰ παντός, ὅτι ἐκ δεξιῶν μού ἐστιν, ἵνα μὴ σαλευθῶ·

27 Ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδου. Εἶτα πληρώσας τὴν μαρτυρίαν τὴν προφητικὴν, ἐπάγει· ψαλ. ιϛ. ζ.

29 Ἄνδρες ἀδελφοί. Ὅταν μέλλῃ τι λέγειν μέγα, τούτῳ κέχρηνται τῷ προοιμίῳ, διεγείρων αὐτοὺς καὶ οἰκειούμενος ἐντεῦθεν. Ἐξὸν εἰπεῖν, φησι, μετὰ παρρησίας πρὸς ὑμᾶς περὶ τοῦ πατριάρχου Δαβίδ. Πολλὴ ἡ ταπεινοφροσύνη. ἔνθα οὐδὲν ἔβλαπτε, συγκαταβαίνει. διά τοι τοῦτο καὶ οὐκ εἶπεν, ὅτι ταῦτα περὶ τοῦ Χριστοῦ εἴρηται, οὐ περὶ τοῦ Δαβίδ· σφόδρα σεμνῶς τῇ πολλῇ περὶ τὸν μακάριον Δαβὶδ τιμῇ ἐντρέπων αὐτοὺς, καὶ περὶ τοῦ ὁμολογημένου καὶ ὡς τολμηροῦ δοκοῦντος εἰρῆσθαι, παραιτούμενος αὐτοὺς οἷς ἐγκωμιάζει ἠρέμα. διὸ καὶ οὐ περὶ τοῦ Δαβίδ φησιν ἁπλῶς, ἀλλὰ περὶ τοῦ πατριάρχου Δαβίδ, Ὅτι καὶ ἐτελεύτησε καὶ ἐτάφη.* Οὐκέτι λέγει, καὶ οὐκ ἀνέστη, ἀλλ' ἑτέρως ἐξ εὐθείας τὸ αὐτὸ παριστῶν καὶ λέγων· Καὶ τὸ μνῆμα αὐτοῦ ἐστιν ἐν ἡμῖν ἄχρι τῆς ἡμέρας ταύτης. Εἶτα ὃ ἐβούλετο κατασκευάσας, οὐδὲ οὕτως ἦλθεν ἐπὶ τὸν Χριστὸν, ἀλλὰ πάλιν μετ' ἐγκωμίων τῶν τοῦ Δαβίδ.

30 Προφήτης οὖν ὑπάρχων, καὶ εἰδὼς, ὅτι ὅρκῳ ὤμοσεν αὐτῷ ὁ Θεός. Ταῦτα δὲ λέγει, ἵνα κἂν διὰ τὴν εἰς ἐκεῖνον τιμὴν καὶ τὸ γένος δέξωνται τὸν περὶ τῆς ἀναστάσεως λόγον· ὡς καὶ τῆς προφητείας βλαπτομένης, εἰ μὴ τοῦτο εἴη, καὶ τῆς εἰς αὐτὸν τιμῆς. καὶ εἰδὼς, φησιν, ὅτι ὅρκῳ ὤμοσεν αὐτῷ ὁ Θεός. οὐκ εἶπεν, ἐπηγγείλατο ἁπλῶς, [ἀλλ' ὃ πλέον ἦν, ὅρκῳ ὤμοσεν,] Ἐκ καρποῦ τῆς ὀσφύος αὐτοῦ τὸ κατὰ σάρκα ἀναστήσειν τὸν Χριστὸν, καθίσαι ἐπὶ τοῦ θρόνου αὐτοῦ. Ὅρα τὸ ὑψηλὸν πῶς πάλιν ᾐνίξατο. ἐπειδὴ γὰρ αὐτοὺς κατεπράϋνε τοῖς λόγοις, θαρρῶν τοῦτο παρενέθηκε τοῦ προφήτου, καὶ περὶ τῆς ἀναστάσεως αὐτοῦ διαλέγεται·

31 Ὅτι οὔτε ἡ ψυχὴ αὐτοῦ ἐγκατελείφθη εἰς ᾅδου, οὔτε ἡ σάρξ αὐτοῦ εἶδε διαφθοράν. Τοῦτο πάλιν θαυμαστόν. δείκνυσι γὰρ ὅτι οὐχ ὁμοία τοῖς ἄλλοις ἡ ἀνάστασις. κατέσχε μὲν

* πέτραν

γ. εἰ μὴ ἐξ ἧττον ἤδη χαριζόμενος.

γ. καὶ αἱ δυνάμεις, καὶ τὰ σημεῖα, καὶ ἡ ἀνάστασις.

γ. καὶ αὐτὸ δεικνὺς ὅτι πείθειν ἔδει, καὶ αὐτό.

γ. ὁ παλαιὸς κίνδυνος καὶ συμφορῶν

γ. διὰ τοῦτο ἡ

* καὶ γ. φως καὶ τὸ ἐπὶ τῶν τι μέγα ἦν καὶ τ. μ.

γ. τὸ αὐτὸ ἐπὶ τὸ καὶ εἰδώς.

μὴ ἔστιν, ὅταν μηδεὶς ᾖ ὁ λέγων· ὅταν δὲ ὁ σκοπὸς κάθηται, καὶ τοῦτο ἔχῃ ἔργον, οὐκέτι συγ- • γρ. τοῦτ᾽ ἔχει βίον.
γνώμη. μᾶλλον δὲ οὐκ ἐβούλετο ὁ Χριστὸς εἰς ἐκείνας τὰς στήλας ὁρᾷν ἡμᾶς μόνον, ἀλλὰ
καὶ αὐτοὺς εἶναι στήλας. ἐπειδὴ δὲ ἀναξίους ἑαυτοὺς τῶν γραμμάτων τούτων κατεστήσαμεν, κἂν
εἰς ἐκείνας ἴδωμεν. καθάπερ γὰρ αἱ στῆλαι ἑτέροις ἀπειλοῦσιν, αὗται δὲ οὐκ εἰσὶν ὑπεύ-
θυνοι, ὥσπερ οὐδὲ οἱ νόμοι· οὕτω καὶ οἱ μακάριοι ἀπόστολοι. καὶ ὅρα· οὐκ ἐν ἑνὶ τόπῳ ἡ στή-
λη ἕστηκεν αὕτη, ἀλλὰ πανταχοῦ περιφέρεται τὰ γράμματα. κἂν εἰς Ἰνδοὺς ἀπέλθῃς, γρ. εἰσέλθῃς
ἀκούσῃ τούτων· κἂν εἰς Σπανίαν, κἂν πρὸς αὐτὰ τῆς γῆς τὰ τέρματα, οὐδεὶς ἀνήκοος τυγ-
χάνει, πλὴν εἰ μὴ διὰ τὴν οἰκείαν ῥαθυμίαν. μὴ δὴ δυσχεραίνετε, ἀλλὰ προσέχετε
τοῖς λεγομένοις, ἵνα δυνηθῆτε τῶν τῆς ἀρετῆς ἔργων ἐπιλαβέσθαι, καὶ τυχεῖν τῶν αἰωνίων
ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ᾽ οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα,
κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Λογ. ϛ. 22 ΑΝΔΡΕΣ ΙΣΡΑΗΛΙΤΑΙ, ΑΚΟΥΣΑΤΕ ΜΟΥ τοὺς λόγους τούτους.

Οὐκ ἔστι κολακεία τὸ ῥῆμα· ἀλλ᾽ ἐπειδὴ καθήψατο αὐτῶν σφοδρῶς, ἀ-
νίησιν αὐτοὺς λοιπόν, καὶ ἀναμιμνήσκει τοῦ Δαβὶδ εὐχερῶς. καὶ πάλιν γρ. τῇ προσρή- σει. καὶ
ἀπὸ προοιμίου ἄρχεται, ἵνα μὴ θορυβηθῶσιν, ἐπειδὴ ἔμελλεν αὐτοὺς τοῦ
Ἰησοῦ ἀναμιμνήσκειν. ἀνωτέρω μὲν γὰρ οὐκ ἂν ἐθορυβήθησαν τοῦ προ-
φήτου ἀκούοντες, τὸ δὲ ὄνομα τοῦ Ἰησοῦ εὐθέως ἂν αὐτοῖς προσέστη. καὶ οὐκ
εἶπε, πείσθητε, ἀλλά, ἀκούσατε, ὅπερ ἦν ἀνεπαχθές. καὶ ὅρα πῶς οὐ-
δὲν λέγει τῶν ὑψηλῶν, ἀλλ᾽ ἀπὸ τῶν σφόδρα ταπεινῶν ἄρχεται. Ἰησοῦν, φησι, τὸν Να-
ζωραῖον. καὶ εὐθέως τὴν πατρίδα λέγει, ἥπερ ἐδόκει εὐτελὴς εἶναι. καὶ οὐδὲν μέγα τέως λέγει
περὶ αὐτοῦ, οὐδὲ οἷον ἄν τις εἴποι περὶ προφήτου. Ἰησοῦν, φησι, τὸν Ναζωραῖον, ἄν- γρ. εἶπε
δρα ἀποδεδειγμένον ἀπὸ τοῦ Θεοῦ εἰς ὑμᾶς. Ὅρα ποῖον ἦν τοῦτο μέγα, τὸ εἰπεῖν ὅτι πα-
ρὰ τοῦ Θεοῦ ἀπεστάλη. τοῦτο γὰρ ἄνω καὶ κάτω καὶ αὐτὸς ἐσπούδαζε καὶ Ἰωάννης καὶ οἱ ἀπόστο-
Ιωαν. α. λγ. λοι δεῖξαι. ἄκουε γὰρ Ἰωάννου λέγοντος· Ἐκεῖνός μοι εἶπεν, ἐφ᾽ ὃν ἂν ἴδῃς τὸ πνεῦμα κα-
ταβαῖνον καὶ μένον ἐπ᾽ αὐτόν, οὗτός ἐστιν. αὐτὸς δὲ ὁ Χριστὸς καὶ μεθ᾽ ὑπερβολῆς τοῦτο ποιεῖ λέ-
Ιωαν. ζ. κη. γων· Ἀπ᾽ ἐμαυτοῦ οὐκ ἦλθον, ἐκεῖνός με ἔπεμψε. καὶ πανταχοῦ τῶν γραφῶν τοῦτο μάλιστα
ἐστὶ τὸ σπουδαζόμενον. διὰ τοῦτο καὶ ὁ ἅγιος οὗτος, ὁ κορυφαῖος τοῦ μακαρίου χοροῦ, ὁ ἐρα-
στὴς τοῦ Χριστοῦ, ὁ σφοδρὸς μαθητής, ὁ τὰς κλεῖς πιστευθεὶς τῶν οὐρανῶν, ὁ τὴν ἀποκάλυ- γρ. ὁ ποιμὴν ὁ καλός,
ψιν δεξάμενος τὴν πνευματικήν, καταστείλας αὐτοὺς τῷ φόβῳ, καὶ δείξας μεγάλων ἠξιω- γρ. τὴν σοφίαν δεξ-
μένους, καὶ ποιήσας ἀξιοπίστους, τότε καὶ περὶ ἐκείνου διαλέγεται. βαβαί, οἷα ἐτόλμησε με-
ταξὺ τῶν φονευσάντων εἰπεῖν, ὅτι ἀνέστη. καὶ οὐ λέγει ὅτι ἀνέστη εὐθέως, ἀλλ᾽ ὅτι ἀπὸ τοῦ
Θεοῦ εἰς ὑμᾶς ἥκει. τοῦτο δὲ δῆλον, οἷς ἐποίησεν. οὐκέτι λέγει, ὅτι αὐτός, ἀλλ᾽ ὅτι δι᾽ αὐτοῦ γρ. ἀλλὰ τί;
ὁ Θεός, ἵνα μᾶλλον τῷ μετριάζειν ἐφελκύσηται, ἐφ᾽ ᾧ αὐτοὺς καὶ καλεῖ μάρτυρας, καί φησιν·

Ἄνδρα ἀποδεδειγμένον ἀπὸ τοῦ Θεοῦ εἰς ὑμᾶς δυνάμεσι καὶ τέρασι καὶ σημείοις, οἷς ἐποί-
ησε δι᾽ αὐτοῦ ὁ Θεὸς ἐν μέσῳ ὑμῶν, καθὼς καὶ αὐτοὶ οἴδατε. Εἶτα ἐμπεσὼν εἰς τὸ
τόλμημα αὐτῶν τὸ ἐναγὲς ἐκεῖνο, ὅρα πῶς πειρᾶται αὐτοὺς ἀπαλλάξαι τοῦ ἐγ-
κλήματος.* • οἱ γὰρ καὶ ὡρισμένον ἦν, φησιν, ὅμως ἀνδροφόνοι ἦσαν.

23 Τοῦτον, φησι, τῇ ὡρισμένῃ βουλῇ καὶ προγνώσει τοῦ Θεοῦ ἔκδοτον λαβόντες, διὰ
χειρῶν ἀνόμων προσπήξαντες ἀνείλετε· Μονονουχὶ τὰ αὐτὰ τῷ Ἰωσὴφ λέγων ῥήματα·
Γεν. με. ε. καθάπερ κἀκεῖνος ἔλεγε πρὸς τοὺς ἀδελφούς· Μὴ φοβεῖσθε, ὅτι ἀπέδοσθέ με. οὐχ ὑμεῖς, γρ. μὴ ὀργίζεσθε ἐν τῇ ὁδῷ πρὸς ἀλλήλους. ὁ Θ.
ἀλλ᾽ ὁ Θεός με ὧδε ἀπέστειλεν. Εἶτα εἰπών, ὅτι βουλῇ Θεοῦ, ἵνα μὴ εἴπωσιν, ἄρα καλῶς

τοῦτο

γ. τοῖς ἐπιβλαβεῖς

δι' ἐκείνας δὲ τὰς ἑορτὰς [" καὶ ] ἐπιβλαβῶς κενοῦμεν αὐτάς· οὐ λῃστῶν ἐπεισελθόντων, ἀλλὰ τῆς μεθ' ἡδονῆς λῃστευούσης κενοδοξίας. ὁρᾷ τὸν λῃστὴν ἕκαστος ἐκφοροῦντα πάντα, καὶ ἥδεται. καινὸς τῆς λῃστείας ὁ τρόπος· ἔπεισι τοὺς ἀποδυομένους εὐφραίνεσθαι. ἀλλ' οὐκ ἐκεῖ τοιοῦτον οὐδέν· ἀλλὰ πᾶσιν ἀντιπιχώσει ὁ Θεός, καθάπερ κοινὸς πατήρ, καὶ τοῖς ὁρωμένοις, καὶ τοῖς μὴ ὁρωμένοις. Βλέπετε γάρ, φησι, τὴν ἐλεημοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων. μανθάνει ψυχὴ ἐντεῦθεν ἀδικίαν φεύγειν. ἀδικία γάρ, οὐ τὸ χρήματα πλεονεκτεῖν μόνον, ἀλλὰ καὶ τὸ πλέον τῆς ὡρισμένης τροφῆς διδόναι τῇ γαστρί, καὶ τὴν εὐφροσύνην τῶν οἰκείων ἐξάγειν μέτρων, καὶ πείθειν ἐκβακχεύεσθαι. ἐκεῖθεν σωφροσύνην μανθάνει, ἐντεῦθεν ἀκολασίαν. οὐ γὰρ τὸ μιγῆναι γυναικὶ μόνον ἀκολασία, ἀλλὰ καὶ τὸ ἀκολάστοις ἰδεῖν ὀφθαλμοῖς. ἐκεῖθεν ἐπιείκειαν μανθάνει, ἐντεῦθεν τῦφον. Πάντα γάρ μοι, φησιν, ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει. ἐκεῖθεν κοσμιότητα, ἐντεῦθεν ἀσχημοσύνην. τὰ γὰρ ἐν τοῖς θεάτροις παρίημι. ὅτι δὲ οὐδὲ ἡδονή τίς ἐστιν, ἀλλὰ λύπη, δείξατέ μοι μετὰ μίαν ἡμέραν τῆς ἑορτῆς τούς τι ἀναλώσαντας, τοὺς πεισθέντας τοῖς θεάμασι, καὶ ὄψει αὐτοὺς μὲν ἐν κατηφείᾳ ἅπαντας, ἐν μείζονι δὲ ἐκεῖνον τὸν ἀνηλωκότα. καὶ εἰκότως. ἔτερψε γὰρ τὴν προτεραίαν τὸν ἰδιώτην. καὶ ὁ μὲν ἰδιώτης ἐν εὐθυμίᾳ ἦν καὶ ἡδονῇ πολλῇ (τέως γὰρ τῇ ἐσθῆτι ἔχαιρε τῇ λαμπρᾷ) τὴν χρῆσιν δὲ αὐτῆς οὐκ ἔχων, ἀλλ' ὁρῶν ἑαυτὸν ἀποδυόμενον, ἤλγει καὶ ἐδάκνετο· ἐκεῖνος δὲ ὁ ἀναλίσκων, καὶ τὴν οἰκείαν εὐπραγίαν μικρὰν ὁρᾷ πρὸς τὴν ἐκείνου ἔδοξεν. διὰ τοῦτο τῇ ὑστεραίᾳ ἀντιδιδόασιν ἀλλήλοις, καὶ τὸ πλέον τῆς ἀθυμίας ἐκεῖνος δέχεται. εἰ δὲ ἐν τοῖς ἔξωθεν τοσαύτην ἔχει ἀηδίαν τὰ τέρποντα, τὰ δὲ ἐπισύροντα ὠφέλειαν, πολλῷ μᾶλλον ἐν τοῖς πνευματικοῖς. διὰ τοῦτο μηδεὶς ἀγανακτείτω τοῖς νόμοις, ἀλλὰ καὶ κοινὴν ὠφέλειαν ἅπασι τίθενται τὸ πρᾶγμα. οὐ γὰρ ἄλλοθεν ποθὲν ξένοι καὶ πολέμιοι τῶν νομοθετουμένων ἐλθόντες ταῦτα διετάξαντο, ἀλλ' αὐτοὶ οἱ πολῖται, οἱ πρεσβύται, οἱ κηδεμόνες. καὶ τοῦτο σωτηρίας καὶ εὐνοίας τεκμήριον τυγχάνειν ἡγοῦνται, τὸ νόμους θέσθαι· καίτοιγε κολάσεως οἱ νόμοι γέμουσι, καὶ οὐκ ἔστιν εὑρεῖν νόμον κολάσεως χωρίς. πῶς οὖν οὐκ ἄτοπον, τοὺς μὲν ἐκείνους ἐξηγουμένους τοὺς νόμους, καὶ σωτῆρας καὶ εὐεργέτας καὶ προστάτας ἀποκαλεῖν, ἡμᾶς δὲ βαρεῖς τινας καὶ χαλεποὺς ἡγεῖσθαι, ἂν τοὺς τοῦ Θεοῦ νόμους λέγωμεν; ὅταν γὰρ περὶ γεέννης διαλεγώμεθα, ἐκείνους τοὺς νόμους κινοῦμεν. καὶ καθάπερ οἱ ἔξωθεν τοὺς φονικούς, τοὺς περὶ λωποδυτῶν, τοὺς γαμικούς, καὶ πάντας τοὺς τοιούτους, οὕτω καὶ ἡμεῖς τοὺς κολαστικούς, οὓς οὐκ ἄνθρωπος ἔθηκεν, ἀλλ' αὐτὸς ὁ μονογενὴς τοῦ Θεοῦ παῖς. ὁ ἀνελεήμων κολαζέσθω, φησί (τοῦτο γὰρ ἡ παραβολὴ βούλεται) ὁ μνησικακῶν τιμωρείσθω τιμωρίαν ἐσχάτην· ὁ ὀργιζόμενος εἰκῇ εἰς τὸ πῦρ ἐμβαλλέσθω· ὁ λοιδορῶν ὑπεύθυνος ἔστω τῇ γεέννῃ. εἰ δὲ νομίζετε ξένους ἀκούειν νόμους, μὴ θορυβηθῆτε. εἰ γὰρ μὴ ξένους ἔμελλε θήσειν, τί καὶ παρεγένετο ὁ Χριστός; ἐκεῖνα γὰρ δῆλα ἡμῖν ἐστιν, ὅτι τὸν φονέα καὶ τὸν μοιχὸν δεῖ κολάζεσθαι. εἰ τοίνυν τὰ αὐτὰ ἐμέλλομεν ἀκούεσθαι, τίς χρεία ἦν οὐρανίου διδασκάλου; διὰ τοῦτο οὐ λέγει, ὁ μοιχὸς κολαζέσθω, ἀλλ' ὁ βλέπων ἀκολάστοις ὀφθαλμοῖς. καὶ ποῦ, καὶ πότε δώσει δίκην, προστίθησι. καὶ οὐκ εἰς ἄξονας, οὐδὲ εἰς κύρβεις τοὺς νόμους κατέθετο, οὐδὲ στήλας ἀνέστησε χαλκᾶς, καὶ γράμματα ἐνεχάραξεν· ἀλλὰ ψυχὰς ἡμῖν ἀναστήσας δώδεκα τὰς τῶν ἀποστόλων, ἐν ταῖς ἐκείνων διανοίαις διὰ τοῦ πνεύματος ταῦτα τὰ γράμματα γέγραφε. ταῦτα ὑμῖν προαναγινώσκομεν εἰκότως ἡμεῖς. εἰ γὰρ Ἰουδαίοις τοῦτο θεμιτὸν ἦν, ἵνα μηδεὶς εἰς ἄγνοιαν ἔχῃ καταφεύγειν, πολλῷ μᾶλλον ἡμῖν. εἰ δὲ λέγοι τις, οὐδὲ ἀκούω, οὐδὲ κρίμα ἔχω, ταύτῃ μάλιστα κολάζεται. εἰ γὰρ μηδεὶς ἦν ὁ διδάσκων, ἐνῆν εἰς ταῦτα καταφεύγειν· εἰ δὲ ἔστιν, οὐκ ἔτι. ὅρα γοῦν Ἰουδαίους πῶς ἀποστερεῖ συγγνώμης, λέγων· Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον. καὶ πάλιν ὁ Παῦλος· Ἀλλὰ λέγω, μὴ οὐκ ἤκουσαν; Μενοῦνγε εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν. τότε γὰρ συγγνώ-

Ματθ. ς. α.
γ. προδιδό-
Ματθ. ε. κη.
α. Κορ. ς. ιβ.
γ. καὶ ἐδάκνετο ἐκεῖνος ὁ ἀναλίσκων καὶ τ. οἰ. εὐ. μ. ὁ. π. τ. ἐκείνου. διὰ τοῦτο
γ. ἔστι νόμους
Ματθ. ιη. λδ.
Ματθ. ε. κδ.
Ιακ. δ. ια.
γ. ἀναθήματα,
γ. χρύσεην. ἀλλ. κίονα
Ιωαν. ιε. κβ.
Ρωμ. ι. ιη.
Ψαλ. ιη. ε.

Λουκ. ιθ. κζ.

λέγῃ, Τοὺς δὲ ἐχθρούς μου ἀγάγετε καὶ κατασφάξατε ἐνώπιόν μου, τοὺς μὴ θελήσαντάς με αὐτῶν βασιλεῦσαι. ἄλλως δὲ καὶ αὐτὸς λέγει τὰς θλίψεις τὰς ἐσομένας, ὧν οὐδὲν ὁμοιότερον γέγονε τῶν πώποτε πεπραγμένων, καὶ αὐτὸς αὐτὰς ἀπεφήνατο. θέλεις οὖν ἀκοῦσαι τὰ γενόμενα; ὀβελίσκοις αὐτοὺς διέπειρον. τί τούτων ἴδοις βαρύτερον; ἀλλὰ τὸ τῆς γυναικὸς βούλει πάθος διηγήσομαι, καὶ τὴν τραγῳδίαν ἐκείνην, ἥτις πάσας ἀπέκρυψε συμφοράς; ἀλλὰ τὸν λιμὸν καὶ τὸν λοιμόν; καὶ παρίημι τὰ τούτων χαλεπώτερα. ἠγνοήθη παρ' ἐκείνοις ἡ φύσις, ἠγνοήθη ὁ νόμος, τὰ θηρία ὑπερηκόντισαν. πάντα δὲ ταῦτα ὑπὸ τῆς ἀνάγκης τῶν πολέμων γέγονε, τοῦ Θεοῦ βουλομένου καὶ τοῦ Χριστοῦ. ταῦτα καὶ πρὸς Μαρκιωνιστὰς ἁρμόσει, καὶ πρὸς τοὺς ἀπιστοῦντας τῇ γεέννῃ. ἱκανὰ γὰρ αὐτῶν ἐπιστομίσαι τὴν ἀναισχυντίαν. τῶν ἐν Βαβυλῶνι κακῶν οὐχὶ ταῦτα χαλεπώτερα; τὸν λιμὸν ἐκεῖνον οὐχὶ ταῦτα πολλῷ βαρύτερα;

Ματθ. κδ. κα.

"περὶ τούτων καὶ αὐτὸς ἀπεφήνατο ὁ Χριστὸς λέγων, ἔσται θλίψις, οἵα οὐ γέγονεν, οὐδὲ μὴ γένηται. πῶς οὖν "λέγουσί τινες, ὅτι εἴασεν αὐτοῖς ὁ Χριστὸς τὴν ἁμαρτίαν; τάχα ἐδόκει κενὸν εἶναι τὸ ζήτημα· ἀλλ' ὑμεῖς αὐτὸ "ἱκανοὶ λῦσαι. οὐδεὶς οὐδαμοῦ πλάσμα τοιοῦτον ἔχει δεῖξαι, οἷον ἐπὶ τῆς ἀληθείας γέγονε. καὶ εἰ μὲν χριστιανὸς ὁ ταῦτα γράφων ἦν, κἂν ὕποπτος ὁ λόγος ἦν· εἰ δὲ Ἰουδαῖος, καὶ Ἰουδαῖος ζηλωτὴς μετὰ τὸ εὐαγγέλιον, πῶς οὐ πᾶσι κατάδηλα τὰ γενόμενα; ὅπου γὰρ αὐτοὶ πανταχοῦ, πῶς καὶ ἐπαίρει ἀεὶ τὰ Ἰουδαϊκά. οὐκοῦν ἔστι καὶ γέεννα, ἄνθρωποι, καὶ ἀγαθός ἐστιν ὁ Θεός. ἆρα ἐφρίξατε ταῦτα ἀκούσαντες; ἀλλὰ ταῦτα τὰ ἐνταῦθα γινόμενα οὐδέν ἐστι πρὸς τὰ ἐκεῖ. πάλιν ἀναγκάζομαι ἀηδὴς φαίνεσθαι καὶ φορτικὸς καὶ βαρύς· ἀλλὰ τί πάθω; εἰς τοῦτο κεῖμαι. καθάπερ παιδαγωγὸς χαλεπὸς εἰς τοῦτο κεῖται, εἰς τὸ μισεῖσθαι παρὰ τῶν παιδαγωγουμένων· οὕτω δὴ καὶ ἡμεῖς. πῶς γὰρ οὐκ ἄτοπον, τοὺς μὲν παρὰ βασιλέων τάξιν τινὰ τεθέντας, κἂν ἀηδὲς ᾖ, τὸ προστεταγμένον ποιεῖν· ἡμᾶς δὲ διὰ τὴν παρ' ὑμῶν μέμψιν ἐλλείπειν τὴν τάξιν, ἣν ἐτάχθημεν; ἄλλος ἔργον ἔχει ἕτερον, ὑμῶν δὲ πολλοὶ ἔργον ἔχουσι, τὸ ἐλεεῖν, τὸ φιλανθρωπεύεσθαι, ἡδεῖς εἶναι καὶ προσηνεῖς τοῖς εὐεργετουμένοις· ἡμεῖς δὲ τοῖς ὠφελουμένοις βαρεῖς φαινόμεθα καὶ χαλεποὶ καὶ φορτικοὶ καὶ ἀηδεῖς. οὐ γὰρ δι' ὧν τέρπομεν ὠφελοῦμεν, ἀλλὰ δι' ὧν δάκνομεν. τοιοῦτός ἐστι καὶ ὁ ἰατρός. ἀλλ' ἐκεῖνος μὲν οὐ σφόδρα ἀηδής· εὐθέως γὰρ τῆς αὐτοῦ τέχνης τὴν ὠφέλειαν παρέχεται· ἡμεῖς δὲ ἐν τῷ μέλλοντι. τοιοῦτός ἐστι καὶ ὁ δικαστής, λυπηρὸς * τοῖς ἀδικοῦσι καὶ στασιάζουσι· τοιοῦτος ὁ νομοθέτης, λυπηρὸς τοῖς νομοθετουμένοις. ἀλλ' οὐχ ὁ καλῶν ἐπὶ τρυφήν, οὐδὲ ὁ δημοτελεῖς ποιῶν ἑορτὰς καὶ πανηγύρεις, οὐδὲ ὁ στεφανῶν τὸν δῆμον· ἀλλὰ προσηνεῖς οὗτοι, εὐωχοῦντες τὰς πόλεις θεάμασι παντοδαποῖς, εἰσφέροντες, ἀναλίσκοντες. διὰ τοῦτο καὶ εὐφημίαις αὐτοὺς ἀμείβονται οἱ παθόντες εὖ, καὶ περιπετάσμασι, καὶ λαμπάδων πλήθει, καὶ στέμμασι, καὶ κλάδοις, καὶ ἐσθῆτι λαμπρᾷ. ἂν δὲ τὸν ἰατρὸν ἴδωσιν οἱ κάμνοντες, στυγνοὶ καὶ κατηφεῖς γίνονται. ἂν τὸν δικαστὴν ὁμοίως οἱ στασιάζοντες, συνεσταλμένοι γίνονται, οὐχὶ διαχέονται, οὐδὲ ὀρχοῦνται, πλὴν ὅτι μὲν κἀκεῖνος εἰς ἐκείνην μετάστῃ τὴν τάξιν. ἴδωμεν οὖν τίνες μάλιστα τὰς πόλεις ὠφελοῦσιν, οἱ τὰς ἑορτὰς ταύτας ἄγοντες, καὶ τὰς θαλίας, καὶ τὰς τραπέζας τὰς πολυτελεῖς, καὶ τὰς τέρψεις τὰς ποικίλας· ἢ οἱ πάντα ἐκεῖνα συστείλαντες, καὶ τὸ ξύλον ἐπιφερόμενοι, καὶ μάστιγας, καὶ δημίους, καὶ στρατιώτας φοβερούς, καὶ φωνὴν [προϊέμενοι] πολλοῦ τρόμου γέμουσαν, καὶ ἐπισκήπτοντες, καὶ κατηφεῖς ποιοῦντες, καὶ ῥάβδῳ ἀποσοβοῦντες τοὺς ἐπὶ τῆς ἀγορᾶς. "ἴδωμεν τοίνυν, ποῦ τὸ κέρδος λήγει. οὗτοι μὲν γάρ εἰσιν ἀηδεῖς, ἐκεῖνοι δὲ ποθεινοί. τί οὖν ἀπ' ἐκείνων γίνεται τῶν τερπόντων; ἡδονή τις ψυχρά, μέχρι τῆς ἑσπέρας μένουσα, καὶ τῇ ἐπιούσῃ διαρρέουσα, γέλως ἄτακτος, ῥήματα ἀπρεπῆ καὶ διακεχυμένα. τί δαὶ ἀπὸ τούτων; φόβος, σωφροσύνη, λογισμὸς συνεσταλμένος, ψυχῆς ἐπιείκεια, ῥᾳθυμίας ἀναίρεσις, χαλινὸς τῶν ἔνδον ὄντων παθῶν, τεῖχος τῶν ἔξωθεν ἐπιόντων *. διὰ τούτους τὰς οὐσίας ἔχομεν ἕκαστος,

δι'

Margin notes:

χ. οὐδὲ γὰρ ἐσταύρωσαν, ποιοῦσι ταῦτα, καὶ αὐτοῖς ἀφ. ὁ Χριστὸς πῶς

χ. φασὶ φασιν.

χ. λύσαι.

* ἐστὶ

χ. ποιῶν

χ. ἰδ. τ. (ὅτι τῶ. μ. γ. ε. α. τ. δ. ε.) ἴδωμεν ποῦ τὸ κέρδος λέγει.

* μετὰ τὸ θεῖν.

δὲ καὶ ἡ δωρεά, ὅταν καὶ ἐπὶ τὸ ἕτερον γένος μεταβαίνῃ τὸ χάρισμα, οὐχ ὥσπερ εἰς μίαν καὶ δευτέραν περιέστη τὸ παλαιόν, οἷον Δεββώραν καὶ Ὀλδάν. καὶ οὐκ εἶπεν, ὅτι πνεῦμά ἐστιν ἅγιον, οὐδὲ ἡρμήνευσε τὰ τοῦ προφήτου· ἀλλὰ τὴν προφητείαν μόνην εἰσήγαγε καθ᾽ ἑαυτὴν ἀγωνιζομένην. καὶ οὐδὲν περὶ Ἰούδα τέως φθέγγεται, καίτοιγε πᾶσιν ἦν δῆλον οἵαν ἔδωκε δίκην καὶ κόλασιν. οὐδὲν γὰρ ἰσχυρότερον τοῦ ἀπὸ προφητείας αὐτοῖς διαλέγεσθαι. τοῦτο καὶ τῶν πραγμάτων αὐτῶν ἰσχυρότερον. σημεῖα γὰρ ποιοῦντος τοῦ Χριστοῦ, πολλάκις ἀντέλεγον (Ματθ. κβ. μδ.)· ὅτε δὲ τὸν προφήτην παρήγαγεν αὐτοῖς ὁ Χριστὸς λέγοντα· εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἐσίγησαν οὕτως, ὡς μηδένα λοιπὸν ἰσχύσαι ἀποκριθῆναι αὐτῷ λόγον. καὶ πολλαχοῦ τῶν γραφῶν καὶ αὐτὸς μέμνηται λέγων· εἰ ἐκείνους θεοὺς εἶπε, πρὸς οὓς ὁ λόγος τοῦ Θεοῦ ἐγένετο· μᾶλλον δὲ πανταχοῦ τοῦτο εὕροι τις ἄν. διὰ τοῦτο καὶ ἐνταῦθα φησίν· Ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα· τουτέστι, καὶ τὰ ἔθνη. ἀλλ᾽ οὐδέπω (Ιωαν. ι. λς.) ἀποκαλύπτει, οὐδὲ ἑρμηνεύει· οὐδὲ γὰρ συνέφερεν, ἐπεὶ καὶ τοῦτο ἀσαφές. δώσω, φησί, τέρατα ἐν τῷ οὐρανῷ ἄνω. μᾶλλον αὐτοὺς ἐφόβει ἀσαφὲς ὄν. εἰ δὲ ἡρμήνευσε, μᾶλλον ἂν αὐτοῖς [καὶ] προσέστη. εἶτα καὶ ὡς δῆλον παραινεῖ, τοιαύτην βουλόμενος δοῦναι δόξαν. ἀμέλει γοῦν μετὰ ταῦτα αὖθις ἑρμηνεύει, ὅτε περὶ τῆς ἀναστάσεως αὐτοῖς διαλέγεται, ὅτε προωδοποίησε τὸν λόγον. διὰ τοῦτο ἑκὼν παραινεῖ, ἐπειδὴ οὐκ ἤρκει τὰ ἀγαθὰ ἐπισπάσασθαι· καίτοι τοῦτο οὐδέποτε γέγονεν. οὐδεὶς γὰρ τότε διέφυγε· νῦν δὲ οἱ πιστοὶ διέφυγον ἐπὶ Οὐεσπασιανοῦ. καὶ τοῦτό ἐστιν ὃ λέγει, Εἰ μὴ ἐκολοβώθησαν αἱ ἡμέραι ἐκεῖναι, οὐκ ἂν ἐσώθη πᾶσα σάρξ. (Ματθ. κδ. κβ.) τὸ χαλεπώτερον προτέρων γέγονε. πρότερον γὰρ συνέβη αὐτοὺς κατοικοῦντας ἁλῶναι, καὶ τότε τὴν πόλιν κατασκαφῆναι καὶ ἐμπρησθῆναι. εἶτα ἐπιμένει τῇ μεταφορᾷ, ἐγγὺς τῆς ὄψεως τῶν ἀκροατῶν ἄγων τὴν κατασκαφὴν καὶ τὴν ἅλωσιν. ὁ ἥλιος, φησί, μεταστραφήσεται εἰς σκότος, καὶ ἡ σελήνη εἰς αἷμα. τί ἐστιν εἰς αἷμα σελήνην μεταστραφῆναι; δοκεῖ μοι διὰ τούτου τὴν ὑπερβολὴν λέγειν τῆς σφαγῆς, καὶ πολλῆς ἀπορίας ἐπιτηδείως τὸν λόγον ἐμπιπλᾶν. καὶ ἔσται, πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται. πᾶς, φησί, κἂν ἱερεὺς ᾖ (ἀλλ᾽ οὐδέπω ἀποκαλύπτει) κἂν δοῦλος, κἂν ἐλεύθερος. Οὐκ ἄρσεν γὰρ, οὐ θῆλυ ἐν (Γαλ. γ. κη.) Χριστῷ Ἰησοῦ, οὐ δοῦλος, οὐκ ἐλεύθερος· εἰκότως. ταῦτα γὰρ ἐνταῦθα, ἔνθα πάντα σκιά. εἰ γὰρ ἐν βασιλείοις οὐδεὶς εὐγενής, οὐδὲ δυσγενής, ἀλλὰ ἀπὸ τῶν ἔργων ἕκαστος φαίνεται, καὶ (χ. φιλοσοφεῖ ...) ἐν τέχνῃ ἀπὸ τοῦ ἔργου ἕκαστος δείκνυται· πολλῷ μᾶλλον ἐν ἐκείνῃ τῇ καταστάσει. πᾶς ὃς ἂν ἐπικαλέσηται· ἐπικαλέσηται δὲ οὐχ ἁπλῶς (Οὐ γὰρ πᾶς, φησίν, ὁ λέγων μοι, Κύριε, Κύριε) (Ματθ. ζ. κα.) ἀλλὰ μετὰ διαθέσεως, μετὰ βίου ἀρίστου, μετὰ παρρησίας τῆς προσηκούσης. (χ. τέως ἢ χεῖρον) τέως ἀνεπαχθῆ ποιεῖ τὸν λόγον τὸ τῆς πίστεως εἰσάγων, καὶ οὐ φοβερὸν κρύπτων τὸ τῆς κολάσεως. πῶς; δείκνυς ὅτι ἐν ἐπικλήσει ἡ σωτηρία. τί λέγεις, εἰπέ μοι; σωτηρίας μέμνησαι μετὰ σταυρόν; ἀνάσχου τέως. πολλὴ γὰρ ἡ φιλανθρωπία τοῦ Θεοῦ. καὶ τοῦτο οὐχ ἧττον τῆς ἀναστάσεως αὐτὸν δείκνυσι Θεόν, καὶ τῶν σημείων οὐχ ἧττον τὸ τούτους προσκαλεῖσθαι. τὸ γὰρ σφόδρα ἀγαθόν, τοῦτο Θεοῦ μάλιστα ἴδιον. διὰ τοῦτο καὶ λέγει· Οὐδεὶς ἀγαθός, εἰ μὴ εἷς ὁ (Λουκ. ιη. ιθ.) Θεός. ἀλλὰ μὴ τὴν ἀγαθότητα Θεοῦ εἰς ἀφορμὴν ῥᾳθυμίας λάβωμεν. καὶ γὰρ καὶ κολάζει καθάπερ Θεός. αὐτὰ γοῦν ταῦτα αὐτοὺς εἰργάσατο ὁ εἰπών, ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται· τὰ κατὰ τὴν Ἱερουσαλὴμ λέγω, τὴν ἀφόρητον ἐκείνην κόλασιν· ἧς βούλομαι ὀλίγα πρὸς ὑμᾶς εἰπεῖν, χρησιμεύοντα ἡμῖν, καὶ πρὸς Μαρκιωνιστάς, καὶ πρὸς ἄλλους πολλοὺς τῶν αἱρετικῶν.

ΗΘΙΚΟΝ

Ἐπειδὴ γὰρ λέγουσιν ἀγαθὸν Θεὸν τὸν Χριστόν, ἐκεῖνον δὲ πονηρόν, ἴδωμεν τίς ταῦτα ἐποίησε. (χ. ἢ οὐχί;) τίς τοίνυν ταῦτα εἰργάσατο; ὁ πονηρός, τούτῳ ἀμύνων; οὐδαμῶς. πῶς οὖν αὐτὸ ὁ τέλειος; ἀλλ᾽ ὁ ἀγαθός; ἀλλὰ δείκνυται καὶ ὁ πατὴρ καὶ ὁ υἱὸς πεποιηκώς· ὁ μὲν πατὴρ πολλαχοῦ, ὡς ὅταν λέγῃ, ἐν τῷ ἀμπελῶνι πέμπει τὰ στρατεύματα αὐτοῦ· ὁ δὲ υἱός, ὅταν (Ματθ. κ. ς.)

σιν, ἀλλὰ πνεύματι φθέγγονται· καὶ οὐχ ἁπλῶς, ἀλλ' ἐπὶ τὸν προφήτην κατέφυγε, καὶ αὐτὸν ὑπέδυσεν ἰσχυρίζεται. οὕτω τῆς μὲν κατηγορίας αὐτοὺς ἀπήλλαξε δι' ἑαυτοῦ, τῆς δὲ χάριτος ἐκεῖνον παράγει μάρτυρα. ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου, φησὶν, ἐπὶ πᾶσαν σάρκα. οὕτως εἶπεν, ὅτι τοῖς μὲν δι' ὀνείρων, τοῖς δὲ καὶ ἐμφανῶς ἡ χάρις ἐξεχεῖτο. καὶ γὰρ καὶ δι' ὀνείρων εἶδον οἱ προφῆται, καὶ ἀποκαλύψεις ἐδέξαντο. εἶτα ἐπεξέρχεται τῇ προφητείᾳ ἐχούσῃ τι καὶ φοβερόν. (γρ. ἐπὶ τοὺς λόγους τοὺς μὲν)

19 Καὶ δώσω, φησὶ, τέρατα ἐν τῷ οὐρανῷ ἄνω, καὶ σημεῖα ἐπὶ τῆς γῆς κάτω.

Ταῦτα καὶ περὶ τῆς μελλούσης κρίσεως, καὶ περὶ τῆς Ἱεροσολύμων τῆς ἁλώσεως λέγων αἰνίττεται. Αἷμα, καὶ πῦρ, καὶ ἀτμίδα καπνοῦ. Ὅρα πῶς τὴν ἅλωσιν ὑπέγραψεν. (γρ. αἰχμαλωσίας)

20 Ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος, καὶ ἡ σελήνη εἰς αἷμα.

Ἀπὸ τῆς διαθέσεως τῶν πασχόντων τοῦτο εἴρηκε. λέγεται δὲ ὅμως καὶ πολλὰ τοιαῦτα γεγενῆσθαι ἐν οὐρανῷ, καθὼς Ἰώσηππος μαρτυρεῖ. ἅμα δὲ αὐτοὺς καὶ ἐπλήξε τοῦ σκότους ἀναμνήσας τοῦ γεγενημένου, καὶ ποιῶν προσδοκᾶν τὰ μέλλοντα. (γρ. γίνεται)

Πρὶν ἢ ἐλθεῖν, φησὶ, τὴν ἡμέραν Κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ.

Μὴ γὰρ ἐπειδὴ ἀτιμωρητὶ νῦν ἁμαρτάνετε, φησὶ, θαρρήσητε. ταῦτα δὲ προοίμιά ἐστι μεγάλης τινὸς ἡμέρας καὶ χαλεπῆς. ὁρᾷς πῶς αὐτῶν κατέσεισε τὴν ψυχὴν καὶ διεσάλευσε, καὶ τὸν γέλωτα μετέστρεψεν εἰς ἀπολογίαν; εἰ γὰρ ταῦτα προοίμια τῆς ἡμέρας ἐκείνης, ἀνάγκη περὶ τῆς ἐσχάτης τὸν κίνδυνον ἐπηρτῆσθαι. τί δαί; ἆρα λέγων τὰ φοβερὰ ἐπιμένει; οὐδαμῶς· ἀλλὰ τί; πάλιν δίδωσιν αὐτοῖς ἀναπνεῦσαι, καί φησι· (γρ. διάνοιαν)

Καὶ ἔσται, πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται.

Ρωμ. ι. ιγ. Τοῦτο εἴρηται μὲν περὶ τοῦ Χριστοῦ, καθὼς Παῦλος λέγει· οὔπω δὲ οὐ τολμᾷ σαφῶς αὐτὸ ἀποκαλύψαι. ἴδωμεν τοίνυν αὐτῶν τὰ εἰρημένα. καλῶς ὡς πρὸς γελῶντας καὶ χλευάζοντας καθίσταται λέγων· γνωστὸν ἔστω πᾶσιν ὑμῖν, καὶ ἐνωτίσασθε τὰ ῥήματά μου. ἀρχόμενος δὲ ἔλεγεν, ἄνδρες Ἰουδαῖοι. Ἰουδαίους ἐμοὶ δοκεῖ λέγειν, τοὺς τὴν Ἰουδαίαν κατοικοῦντας. καὶ, εἰ βούλει, παραθώμεθα τὰ ῥήματα ἐκεῖνα τὰ ἐν τῷ εὐαγγελίῳ, ἵνα μάθῃς τίς ἐξαίφνης γέγονεν ὁ Πέτρος. Ἐξῆλθε, φησὶ, κόρη λέγουσα, καὶ σὺ ἦσθα μετὰ Ἰησοῦ τοῦ Ναζωραίου. ὁ δὲ, οὐκ οἶδα τὸν ἄνθρωπον, ἀπεκρίνατο. καὶ πάλιν ἐπερωτηθεὶς, ἤρξατο καταναθεματίζειν καὶ ὀμνύναι. ἀλλ' ὅρα ἐν τούτῳ αὐτοῦ τὴν παρρησίαν καὶ τὴν πολλὴν ἐλευθεροστομίαν. οὐκ ἐπήνεσε τοὺς εἰπόντας, ὅτι ἀκούομεν λαλούντων αὐτῶν ταῖς ἡμετέραις γλώσσαις τὰ μεγαλεῖα τοῦ Θεοῦ, ἀλλὰ τῇ πρὸς ἐκείνους βαρύτητι καὶ τούτους σπουδαιοτέρους ποιῆσαι βούλεται, καὶ κολακείας τὸν λόγον ἀπηλλαγμένον ἀποδεῖξαι. πανταχοῦ γὰρ τοῦτο παρατηρεῖν καλὸν, πῶς ἐν τάξει συγκαταβάσεως πάσης κολακείας ὁ λόγος ἀπήλλακται, καὶ πάσης ὕβρεως, ὅπερ δύσκολον. τὸ δὲ καὶ ἐν τρίτῃ ὥρᾳ ταῦτα γενέσθαι, οὐχ ἁπλῶς σημειούμεθα. τότε γὰρ τὸ λαμπρὸν τοῦ φωτὸς δείκνυται, ὅτι οὐ περὶ ἔργα ἔχουσιν οἱ ἄνθρωποι τὰ περὶ ἀρίστου, ὅτε φαιδρὰ ἡ ἡμέρα, ὅτε πάντες εἰσὶν ἐπ' ἀγορᾶς. ὁρᾷς καὶ ἐλευθερίας τὸν λόγον γέμοντα; καὶ ἐνωτίσασθε, φησὶ, τὰ ῥήματά μου. τοῦτο εἰπὼν, οὐδὲν προσέθηκεν, ἀλλ' ἐπήγαγε· τοῦτό ἐστι τὸ εἰρημένον διὰ τοῦ προφήτου Ἰωήλ· Καὶ ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις· δείκνυσι λοιπὸν τὴν συντέλειαν οὐκ ἐγγύς. καὶ τὸ, ἐν ταῖς ἐσχάταις ἡμέραις, ἔχει τινὰ ἔμφασιν. εἶτα, ἵνα μὴ δόξῃ εἰς τοὺς υἱοὺς περιίστασθαι μόνους τὸ πρᾶγμα, ἐπάγει· καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται. ὅρα τὴν ἀκολουθίαν. πρότεροι υἱοὶ, καθὼς καὶ ὁ Δαβίδ φησιν· Ἀντὶ τῶν πατέρων σου ἐγεννήθησαν υἱοί σου. καὶ ὁ Μαλαχίας πάλιν· Ἐπιστρέψας καρδίας πατέρων ἐπὶ τέκνα. καὶ ἐπὶ τοὺς δούλους μου, καὶ ἐπὶ τὰς δούλας μου. καὶ τοῦτο ἀρετῆς τεκμήριον. δοῦλοι γὰρ αὐτοῦ γεγόναμεν ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας. πολλή (Ματθ. κϛ. ο. — γρ. πνεῦ — Ψαλ. μδ. α. — Μαλ. δ. ϛ.)

γ. ἀπολαύσωμεν φύγοιμεν τὴν πεῖραν, καὶ τῶν μελλόντων ἀγαθῶν καταξιωθῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ε 14 ΑΝΔΡΕΣ ΙΟΥΔΑΙΟΙ ΚΑΙ ΟΙ ΚΑΤΟΙΚΟΥΝΤΕΣ Ἱερουσαλὴμ ἅπαντες, τοῦτο ὑμῖν γνωστὸν ἔστω, καὶ ἐνωτίσασθε τὰ ῥήματά μου.

Οὓς ξένους εἶπεν ἀνωτέρω, ἐνταῦθα πρὸς ἐκείνους ἀποτείνει τὸν λόγον. καὶ δοκεῖ μὲν ἐκείνοις διαλέγεσθαι, ὀρθοῖ δὲ τοὺς διαχλευάζοντας. καὶ γὰρ ἐκπομπευθῆ τοὺς διαχλευάσαι, ἵνα ἀφορμὴν τῆς ἀπολογίας λάβῃ, καὶ ἀπολογούμενος διδάξῃ. μέγα ἄρα ἐγκώμιον ἡγοῦμαι καὶ τὸ ἐν Ἱεροσολύμοις οἰκεῖν. τοῦτο ὑμῖν, φησί, γνωστὸν ἔστω, καὶ ἐνωτίσασθε τὰ ῥήματά μου. προσεκτικωτέρους τέως αὐτοὺς ποιεῖ, εἶτα καὶ ἀπολογεῖται.

15 Οὐ γάρ, ὡς ὑμεῖς ὑπολαμβάνετε, οὗτοι μεθύουσιν.

Ὁρᾷς τὴν ἀπολογίαν πῶς προσηνής; καίτοι τὸ πλέον ἔχων τοῦ δήμου μεθ' ἑαυτοῦ, ἐπιεικέστερον ὅμως αὐτοῖς διαλέγεται. καὶ πρότερον ἀναιρεῖ τὴν ὑποψίαν τὴν πονηράν, καὶ τότε ἐκείνην ἵστησι. διὸ καὶ οὐκ εἶπεν, οὐ γὰρ ὡς ὑμεῖς χλευάζετε, οὔτε ὡς ὑμεῖς γελᾶτε, ἀλλ' ὡς ὑπολαμβάνετε, οὐκ ἐπίτηδες τοῦτο λέγοντας βουλόμενος δεῖξαι, ἀλλὰ τέως αὐτοὺς περιθεῖναι ἀγνοίας μᾶλλον, ἢ κακουργίας ἔγκλημα. οὐ γὰρ ὡς ὑμεῖς ὑπολαμβάνετε, φησίν, οὗτοι μεθύουσιν. Ἔστι γὰρ ὥρα τρίτη τῆς ἡμέρας. Καὶ τί τοῦτο; οὐκ ἔνι καὶ ἐν τῇ τρίτῃ ὥρᾳ μεθύειν; ἔνι. ἀλλ' οὐκ ἔστι πρὸς τοῦτο ἐπὶ πολύ. (γ. ἀμφιβάλει.) οὐδὲ γὰρ οὕτως εἶχον, ὡς διαχλευάζοντες αὐτοὶ ἔλεγον. ἐντεῦθεν μανθάνομεν, ὅτι πρὸς μὴ τὰ ἀναγκαῖα οὐ δεῖ πολὺν ἀναλίσκειν λόγον. ἄλλως δέ, καὶ τὰ ἐπαγόμενα τούτου ἦν συστατικά· καὶ λοιπὸν κοινῇ (γ. τῷ) πρὸς πάντας ὁ λόγος γίνεται.

16 Ἀλλὰ τοῦτό ἐστι τὸ εἰρημένον, φησί, διὰ τοῦ προφήτου Ἰωήλ· Καὶ ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις, λέγει Κύριος ὁ Θεός. (Ἰωήλ. β. κη.) Οὐδαμοῦ τέως ὄνομα τοῦ Χριστοῦ, οὐδὲ ἐπαγγελία αὐτοῦ, ἀλλὰ τοῦ πατρὸς ἡ ἐπαγγελία. ὅρα σύνεσιν, ὅρα συγκατάβασιν. οὐ προῆλθε καὶ εἶπεν εὐθέως τὰ κατὰ τὸν Χριστόν, ὅτι ἐκεῖνος ἐπηγγείλατο ταῦτα μετὰ τὸ σταυρωθῆναι. ἢ γὰρ (γ. πε) ἂν πάντα ἀνέτρεψεν οὕτως εἰπών. καὶ μὴν ἱκανὰ ἦν δεῖξαι αὐτοῦ, φησί, τὴν θεότητα. ἀλλὰ πιστευόμενα (τὸ δὲ ζητούμενον τέως πιστευθῆναι ἦν) μὴ πιστευόμενα δέ, καὶ καταλυθῆναι αὐτοὺς ἂν ἐποίησεν.

17 Ἐκχεῶ, φησίν, ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα.

Δίδωσι καὶ αὐτοῖς ἐλπίδας χρηστάς, εἴγε θέλοιεν. καὶ τέως οὐκ ἀφίησιν αὐτῶν εἶναι τὸ πλεονέκτημα, ὅπερ καὶ βασκανίαν ἐποίει, ταύτῃ τὸν φθόνον ὑποτεμνόμενος,

Καὶ προφητεύσουσι, φησίν, οἱ υἱοὶ ὑμῶν. Οὔτε ὑμῶν, φησί, κατόρθωμα τοῦτο, οὔτε μὴν ἐγκώμιον. εἰς τὰ παιδία τὰ ὑμέτερα διέβη ἡ χάρις· αὐτῶν υἱοὺς ἑαυτοῦ καλῶν, καὶ πατέρας ἐκείνους. (γ. υἱὲς αὐτοῦ αὐτῶν καλεῖ καὶ) Καὶ οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται, καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται·

18 Καί γε ἐπὶ τοὺς δούλους μου, καὶ ἐπὶ τὰς δούλας μου ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου, καὶ προφητεύσουσι. Τέως δείκνυσιν αὐτοὺς εὐδοκιμηκότας, πνεύματος ἅτε καταξιωθέντας· ἐκείνους δὲ οὐχί, ἅτε σταυρώσαντας. οὕτω καὶ ὁ Χριστὸς βουλόμενος αὐτῶν μαλάξαι τὸν θυμόν, ἔλεγεν· Οἱ δὲ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσι τὰ δαιμόνια; οὐκ εἶπεν, οἱ μαθηταί μου. (Ματθ. ιβ. κζ.) καὶ γὰρ ἐδόκει κολακεία εἶναι. οὕτω καὶ αὐτὸς οὐκ εἶπεν, ὅτι οὐ μεθύουσιν,

μοντα ἐνομοθέτησε. κοιναί, φησιν, αἱ γυναῖκες ἔστωσαν, καὶ γυμνούμεναι παρθένοι, καὶ ἐπ' ὄψεσι τῶν ἐραστῶν παλαιέτωσαν, καὶ κοινοὶ πατέρες ἔστωσαν, καὶ οἱ τικτόμενοι παῖδες. ποίαν οὐχ ὑπερβάλλει ταῦτα ἄνοιαν; ἀλλὰ τὰ μὲν ἐκείνου τοιαῦτα. ἐνταῦθα δὲ οὐχ ἡ φύσις ποιεῖ κοινοὺς πατέρας, ἀλλ' ἡ Πέτρου φιλοσοφία· ἐπεὶ ἐκεῖνό γε καὶ ἀνῄρει. οὐδὲν γὰρ ἕτερον ἐποίει, ἀλλ' ἢ τὸν ὄντα ἀγνοεῖσθαι μόνον, οὐχὶ καὶ τὸν ὄντα εἰσάγεσθαι. εἰς μέθην τινὰ καὶ συρφετὸν ἐνέβαλε τὴν ψυχήν. πάντες, φησίν, ἀδεῶς κεχρήσθωσαν ταῖς γυναιξί. διὰ τοῦτο οὐκ ἐξετάζω ποιητῶν δόγματα, ἵνα μή με τις εἴποι μύθους ἐξετάζειν· ἀλλ' ἑτέρους λέγω μύθους ἐκείνων πολλῷ καταγελαστοτέρους. τί τοιοῦτόν τι ἐτερατεύσαντο ποιηταί; ἀλλ' ὁ κορυφαῖος τῶν φιλοσόφων, ὡς ἐδόκει, καὶ ὅπλα ταῖς γυναιξὶ περιτίθησι, καὶ κράνη καὶ κνημῖδας, καὶ κυνῶν οὐδὲν διαφέρειν λέγει τὸ ἀνθρώπινον γένος. ἐπειδὴ γὰρ ἡ κύων ἡ θήλεια, φησί, καὶ ὁ ἄρρην κοινωνοῦσιν ἐν τοῖς ἔργοις, κοινωνείτωσαν καὶ αἱ γυναῖκες, καὶ πάντα ἀναστρεφέσθω. ἀεὶ γὰρ διὰ τούτων ἐσπούδασεν ὁ διάβολος μηδὲν ἐντιμότερον τῶν ἀλόγων τὸ ἡμέτερον δεῖξαι γένος· ὅπου γέ τινες εἰς τοῦτο κενοδοξίας ἦλθον, ὡς εἰπεῖν, ὅτι καὶ τὰ ἄλογα λογικὰ τυγχάνει. καὶ ὅρα πῶς ποικίλως ἐβακχεύθησαν ἐν ταῖς ἐκείνων ψυχαῖς. οἱ μὲν γὰρ κορυφαῖοι αὐτῶν ἔφησαν τὴν ἡμετέραν ψυχὴν εἰς μυίας καὶ κύνας καὶ ἄλογα μεθίστασθαι*· οἱ δὲ μετ' ἐκείνους τοῦτο αἰσχυνθέντες, εἰς ἑτέραν αἰσχύνην κατέπεσον, πάσης λογικῆς ἐπιστήμης μεταδόντες τοῖς ἀλόγοις, καὶ πανταχοῦ δείξαντες ἡμῶν τὰ δι' ἡμᾶς γινόμενα, ἐντιμότερα. οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ προγνώστικα εἶναι παρ' αὐτοῖς καὶ εὐσέβειαν εἶναι λέγουσιν. ὁ κόραξ, φησίν, οἶδε τὸν Θεόν, καὶ ἡ κορώνη, καὶ προφητείας ἔχουσι χαρίσματα, καὶ τὰ μέλλοντα προλέγουσι, καὶ δικαιοσύνη παρ' αὐτοῖς, καὶ πολιτεία, καὶ νόμοι· καὶ ζηλοῖ παρ' αὐτοῖς ὁ κύων κατὰ Πλάτωνα. τάχα ἀπιστεῖτε τοῖς λεγομένοις. εἰκότως, ἅτε τοῖς ὑγιέσιν ἐντεθραμμένοι δόγμασιν· ἐπεὶ καὶ εἴ τις τραφείη ταύτῃ τῇ τροφῇ, ἀπιστήσειεν ἄν, ὅτι ἔστιν ἄνθρωπος κόπρου γευόμενος ἡδέως. ἀλλ' ὅταν λέγωμεν αὐτοῖς, ὅτι μῦθοι ταῦτα καὶ ἀνοίας μεστά, οὐκ ἐνοήσατε, φασί· μηδὲ νοήσωμέν ποτε τὸν τοιοῦτον ὑμῶν γέλωτα. σφόδρα γε. οὐ γὰρ φρενὸς βαθείας δεῖ, ἵνα μάθωμεν τί βούλεται ἡ τοσαύτη ἀσέβεια καὶ σύγχυσις. μὴ κεραυνοὺς φθέγγεσθε, ὦ ἀνόητοι, καθάπερ τὰ παιδία. παῖδες γὰρ ὄντως ἐστὲ, καθάπερ ἐκεῖνα. ἀλλ' ὁ Πέτρος οὐδὲν τοιοῦτον ἔφησεν· ἀλλ' ἀφῆκε φωνὴν καθάπερ ἐν σκότῳ τινὶ φῶς ἀπολάμψασαν μέγα, ἣ τὴν ἀχλὺν διεσκέδασε τῆς οἰκουμένης. ἀλλὰ τὸ ἦθος αὐτοῦ πῶς ἥμερον ἦν; πῶς ἐπιεικές; πῶς πάσης ἀνωτέρω δόξης ἵστατο κενῆς; πῶς εἰς τὸν οὐρανὸν ἑώρα ἄτυφος ὤν, καὶ ταῦτα νεκροὺς ἀνιστῶν; εἰ δὲ ἐξεγένετο ἐκείνων τινὶ τῶν ἀνοήτων φαντασίᾳ γοῦν τοιοῦτόν τι ἐργάζεσθαι, οὐκ ἂν εὐθέως βωμὸν ἐζήτησε, καὶ ναόν, καὶ ἰσόθεός τις εἶναι ἠθέλησεν, ὅπου γε οὐδενὸς τούτων ὄντος τοιαῦτα φαντάζονται ἀεί; τί βούλεται αὐτοῖς Ἀθηνᾶ, καὶ Ἀπόλλων, καὶ Ἥρα; γένη παρ' αὐτοῖς ἐστι δαιμόνων. καὶ βασιλεὺς ἐστι παρ' αὐτοῖς διὰ τοῦτο ἀξιῶν ἀποθανεῖν, ἵνα ἰσόθεος νομίζοιτο. ἀλλ' οὗτοι οὐχ οὕτως· ἀλλὰ τοὐναντίον. ἄκουε γὰρ αὐτῶν λεγόντων ἐπὶ τῆς θεραπείας τοῦ χωλοῦ· Ἄνδρες Ἰσραηλῖται, τί ἡμῖν προσέχετε, ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν; καί, Ἡμεῖς ὁμοιοπαθεῖς ὑμῖν ἐσμεν ἄνθρωποι. ἐκεῖ δὲ πολὺς ὁ τῦφος, πολλὴ ἡ ἀλαζονεία· πάντα διὰ τὰς παρὰ τῶν ἀνθρώπων τιμάς, οὐδὲν φιλοσοφίας ἕνεκεν. ὅταν γάρ τι διὰ δόξαν γίνηται, πάντα [illegible] εὐτελῆ. καὶ γὰρ κἂν πάντα τις ἔχῃ, τούτου δὲ μὴ κρατῇ, πάσης φιλοσοφίας ἐξέπεσε, τῷ τυραννικωτέρῳ κατεχόμενος καὶ αἰσχροτέρῳ πάθει. ταύτης γὰρ ἡ ὑπεροψία πάντα διδάξαι τὰ ἀγαθὰ ἰσχύει, καὶ τῆς ψυχῆς ἐξορίσαι πᾶν πάθος ὀλέθριον. διὸ παρακαλῶ καὶ ὑμῖν πολλὴν ποιεῖσθαι τὴν σπουδήν, ὥστε τοῦτο τὸ πάθος πρόρριζον ἐξελεῖν. οὐ γάρ ἐστιν ἄλλως εὐδοκιμῆσαι παρὰ τῷ Θεῷ, καὶ τὴν παρὰ τοῦ ἀκοιμήτου ἐκείνου ὀφθαλμοῦ εὔνοιαν ἐπισπάσασθαι. οὐκοῦν πᾶσαν σπουδὴν ποιώμεθα, ὥστε τῆς ἐκεῖθεν ἡμᾶς ῥοπῆς ἀπολαύειν, ἵνα καὶ τῶν παρόντων λυπηρῶν διαφύγωμεν

Πραξ. γ. 12.
Πραξ. ιδ. ιε.

γ. κοινοῖς
γ. ἄνω τὰ ἄλλα ἐκ ἐξετάζω. ποῖα δὲ ταῦτα; ὅπου ὅπλα
* ζῶα
γ. ποιοῦντες
γ. ἑστὼς
γ. τί δὲ ἃ παρ' αὐτοῖς
γ. διὸ

χ. μᾶλλον

ἐστὶν, αἱ πάγαι δοκοῦν, ἀλλὰ τοὺς ἄλλους ἐργάζεται (οὐ γὰρ αὐτὸς ἡ πάγη, ἀλλ' αὐτοὶ ἑαυτοὺς τῷ πλεκτεύοντες διαφθείρουσιν) οὕτω καὶ νῦν ἐγίνετο. μᾶλλον δὲ ὥσπερ ἂν εἴ τις πυρὶ ἐπιφερομένῳ χόρτον ἔχων προσπταίοι· οὕτω δὴ καὶ οὗτοι τούτοις προσέπεσαν μετὰ πολλῆς τῆς ἀνδρείας. τί γὰρ αὐτοὺς ἔβλαπτε πλῆθος τοσοῦτον; εἰπὲ γάρ μοι, οὐχὶ πενίᾳ ἐμάχοντο καὶ λιμῷ, οὐχὶ ἀτιμίᾳ καὶ δόξῃ πονηρᾷ; πλάνοι γὰρ εἶναι ἐνομίζοντο. οὐχὶ γέλωτι καὶ θυμῷ καὶ χλευασίᾳ ἐμάχοντο; ἐπ' αὐτῶν γὰρ τὰ ἐναντία συνέβη. τῶν μὲν γὰρ αὐτοὺς ἐγέλων, τῶν δὲ καὶ ἐκόλαζον. οὐχὶ θυμοῖς, οὐχὶ μανίαις ὁλοκλήρων πόλεων, οὐχὶ στάσεσι καὶ ἐπιβουλαῖς περιέκειντο; οὐχὶ πυρὶ καὶ σιδήρῳ καὶ θηρίοις; οὐχὶ πάντοθεν αὐτοὺς μυρίος περιειστήκει πόλεμος; οὐχὶ, ὡς ὄναρ ταῦτα ὁρῶντες τὰ δεινὰ, ἢ ἐν γραφῇ, οὕτω διέκειντο; τί δαί; οὐκ ἀνήλωσαν αὐτῶν τοὺς θυμούς; οὐκ εἰς ἑαυτοὺς τὴν ἀπορίαν περιέτρεψαν; οὐχὶ τῷ θυμῷ καὶ δέει πάντων μάλιστα ἐκεῖνοι συνείχοντο; οὐχὶ ἐναγώνιοι ἦσαν καὶ ἐφοβοῦντο τοὺς ἐρήμους; ἄκουε γὰρ αὐτῶν λεγόντων· Θέλετε ἐπαγαγεῖν ἐφ' ἡμᾶς τὸ αἷμα τοῦ ἀνθρώπου τούτου; καὶ τὸ θαυμαστὸν, ὅτι γυμνῷ τῷ σώματι παρετάξαντο πρὸς ὡπλισμένους, πρὸς ἄρχοντας κατ' αὐτῶν ἔχοντας ἐξουσίαν, ἄπειροι, ἄγλωττοι, καὶ ἰδιωτικώτεροι διακείμενοι πρὸς γόητας, πρὸς πλάνους, πρὸς σοφιστῶν, πρὸς ῥητόρων, πρὸς φιλοσόφων πλῆθος τῶν κατασαπέντων ἐν Ἀκαδημίᾳ καὶ περιπάτοις ἐνίσταντό τε καὶ ἀπεμάχοντο· καὶ ὁ περὶ λίμνας ἠσχολημένος οὕτως αὐτῶν ἐκράτησεν, ὡς οὐδὲ εἰ πρὸς ἰχθῦς ἀγλώττους ὁ ἀγὼν ἦν αὐτῷ. καθάπερ γὰρ ὄντως ἁλιεὺς ἰχθύων ἀφωνοτέρων, οὕτω περιεγίνετο. καὶ ὁ μὲν πολλὰ ληρήσας Πλάτων, σεσίγηκεν· οὗτος δὲ φθέγγεται, οὐχὶ παρ' οἰκείοις μόνοις, ἀλλὰ καὶ παρὰ Πάρθοις, παρὰ Μήδοις, παρὰ Ἐλαμίταις, καὶ ἐν Ἰνδίᾳ, καὶ πανταχοῦ γῆς, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης.

χ. καὶ γελ. ἡ τῶν πειρόντων ἐπίκειντο;
χ. τὰ ἐναντία συνέπιπτεν.
χ. ἀθυμίαις.
Πράξ. ε κη.
χ. τὴν ἐναντίαν ἀπεμάχ.
χ. πρὸ τῆς τῶν ἰχθ.

ΗΘΙΚΟΝ

Ποῦ νῦν τῆς Ἑλλάδος ὁ τῦφος; ποῦ τῶν Ἀθηνῶν τὸ ὄνομα; ποῦ τῶν φιλοσόφων ὁ λῆρος; ὁ ἀπὸ Γαλιλαίας, ὁ ἀπὸ Βηθσαϊδὰ, ὁ ἄγροικος πάντων ἐκείνων περιεγένετο. οὐκ αἰσχύνεσθε, εἰπέ μοι, ἐπὶ τῷ ὀνόματι τῆς πατρίδος τοῦ νενικηκότος ὑμᾶς; ἂν δὲ καὶ τὸ ὄνομα αὐτοῦ ἀκούσητε, ὅτι Κηφᾶς ἐλέγετο, πολλῷ μᾶλλον ἐγκαλύψεσθε. τοῦτο γὰρ ὑμᾶς, τοῦτο ἀπολώλεκεν, ὅτι τοῦτο ὄνειδος εἶναι νομίζετε· καὶ εὐγλωττίας, ἐγκώμιον· καὶ ἀπειρίαν εὐγλωττίας, ὄνειδος. οὐκ ἤλθετε, ἣν ἐλθεῖν ὁδὸν ἔδει· ἀλλὰ τὴν βασιλικὴν ἀφέντες ὁδὸν τὴν εὔκολον καὶ λείαν, τὴν τραχεῖαν καὶ δύσβατον καὶ χαλεπὴν ἐβαδίσατε. διὰ τοῦτο οὐκ ἐφθάσατε πρὸς τὴν βασιλείαν τῶν οὐρανῶν. τί οὖν οὐκ εἰς Πλάτωνα ἐνήργησεν ὁ Χριστὸς, οὐδὲ εἰς Πυθαγόραν, φησίν; * ὅτι πολλῷ φιλοσοφωτέρα ἦν ἡ Πέτρου ψυχὴ τῆς ψυχῆς ἐκείνων. ἐκεῖνοι μὲν γὰρ παῖδες ὄντως ἦσαν, ὑπὸ τῆς κενῆς δόξης περιφερόμενοι πανταχοῦ· οὗτος δὲ ἀνὴρ φιλόσοφος, καὶ δεκτικὸς τῆς χάριτος. εἰ δὲ γελᾷς ταῦτα ἀκούων, οὐ θαυμαστόν· ἐπεὶ καὶ τῶν τότε ἐγέλων, καὶ γλυκεῖς αὐτοὺς ἔλεγον εἶναι μεστούς. ἀλλ' ὕστερον, ὅτε ἐπεπόνθεσαν τὰ πικρὰ ἐκεῖνα καὶ πάντων χαλεπώτερα, ὅτε τὴν πόλιν κατεμπιπραμένην εἶδον, καὶ τὸ πῦρ ἀναπτόμενον καὶ τὰ τείχη ῥιπτούμενα χαμαὶ, καὶ τὰς ποικίλας βακχείας ἐκείνας, ἃς οὐδεὶς παραστῆσαι δυνατὸν λόγῳ, οὐκέτι ἐγέλων. οὕτω καὶ ὑμεῖς τότε οὐ γελάσεσθε, ὅταν ὁ τῆς κρίσεως ἐπιστῇ καιρὸς, ὅταν τὸ τῆς γεέννης ἀναφθῇ πῦρ. ἀλλὰ τί περὶ μελλόντων λέγω; βούλει δείξω τίς ἐστι Πέτρος, τίς δὲ * Πλάτων; τὰ γὰρ ἤθη τέως αὐτῶν, εἰ δοκεῖ, ἐξετάσωμεν, καὶ ἴδωμεν τίσιν ἐπεχείρησαν ἑκάτεροι. οὗτος μὲν οὖν πάντα τὸν χρόνον ἀνήλωσε περὶ δόγματα στρεφόμενος ἀνόητα καὶ περιττά. τί γὰρ ὄφελος ἐκ τοῦ μαθεῖν, ὅτι μυῖα ἡ ψυχὴ τοῦ φιλοσόφου γίνεται; ὄντως μυῖα. οὐκ εἰς μυῖαν μετέπεσεν, ἀλλ' ἐπέβαινε τῇ ἐν Πλάτωνος οἰκούσῃ ψυχῇ. ποίας γὰρ ταῦτα οὐ ματαιολογίας; πόθεν τοιαῦτα λήρων ἐπεβάλετο; εἰρωνείας μεστὸς ἦν ὁ ἀνὴρ, ζηλοτυπίας τῆς πρὸς ἅπαντας, ὥσπερ φιλονεικῶν μήτε οἴκοθεν, μήτε παρ' ἑτέρου χρήσιμόν τι εἰσαγαγεῖν. οὕτω παρὰ μὲν ἑτέρου τὴν μετεμψύχωσιν ἐδέξατο, παρὰ δὲ ἑαυτοῦ τὴν πολιτείαν εἰσήγαγεν, ἔνθα τὰ πολλῆς αἰσχρότητος γέ-

• τοῦτο χ. ἐξετάζουσιν οἱ πολλοί.
χ. γελῶντες
χ. ἀφθῇ πῦρ εἰς τὰς ὑμετέρας ψυχάς.
* ὁ φιλόσοφος
χ. ἐπιχείρησις.
χ. μάταια
χ. μυίας ;

μοντα

μα διὰ τὴν γενομένην τόλμαν κατὰ τοῦ Χριστοῦ· ἄλλως δὲ, καὶ τὸ συνειδὸς κατέσειεν αὐτῶν τὰς ψυχὰς, ἐν χερσὶν οὔσης ἔτι τῆς σφαγῆς, καὶ πάντα αὐτοὺς ἐτάραττεν. οὐκ ἰδοὺ, φησὶ, πάντες οὗτοί εἰσιν οἱ λαλοῦντες Γαλιλαῖοι; καλῶς οὕτως εἶπε. καὶ γὰρ τοῦτο εἶναι ὡμολογοῦντο. οὕτως αὐτοὺς ἐπέστησεν ὁ ἦχος· ὁ γὰρ πλέον τῆς οἰκουμένης ἐνταῦθα κατέλαβε. τοῦτο δὲ αὐτοὺς ἐνεύρου τοὺς ἀποστόλους. ὅ,τι γὰρ Παρθικὴν φθέγγεσθαι οὐκ ᾔδεισαν, ἀλλὰ παρ' ἐκείνων τότε ἐμάνθανον. ἐθνῶν δὲ μέμνηται πολεμίων αὐτοῖς, Κρητῶν, Ἀράβων, Αἰγυπτίων, Περσῶν· δηλῶν ὅτι πάντων τῶν τόπων κρατήσουσιν. ἅτε δὲ ὄντων ἐν αἰχμαλωσίᾳ τῶν Ἰουδαίων, εἰκὸς αὐτοῖς συμπεφύρθαι τηνικαῦτα πολλοὺς τῶν ἐθνῶν· ἢ ὅτι καὶ πρὸς τὰ ἔθνη τὰ τῶν δογμάτων ἤδη κατέσπαρτο. [καὶ διὰ τοῦτο πολλοὶ καὶ ἐξ αὐτῶν παρῆσαν ἐκεῖ κατὰ μνήμην ὧν ἤκουσαν.] πανταχόθεν τοίνυν ἀναντίρρητος ἡ μαρτυρία, παρὰ τῶν πολιτῶν, παρὰ τῶν ξένων, παρὰ τῶν προσηλύτων. ἀκούομεν, φησὶ, λαλούντων αὐτῶν ταῖς ἡμετέραις γλώσσαις τὰ μεγαλεῖα τοῦ Θεοῦ. οὐ γὰρ ἁπλῶς ἐλάλουν· ἀλλὰ ἵνα θαυμαστὰ ἔλεγον. Εἰκότως τοίνυν ἠπόρουν. οὐδέποτε γὰρ γέγονέ τι τοιοῦτον. ὅρα εὐγνωμοσύνην ἀνθρώπων. ἐξίσταντο καὶ διηπόρουν λέγοντες· τί θέλει τοῦτο εἶναι; ἕτεροι δὲ διαχλευάζοντες ἔλεγον, ὅτι γλεύκους μεμεστωμένοι εἰσί. καὶ διὰ τοῦτο ἐχλεύαζον; ὢ τῆς ἀναισχυντίας. καὶ τί θαυμαστὸν, ὅπουγε καὶ αὐτὸν τὸν δεσπότην δαίμονας ἐλαύνοντα, δαιμόνιον ἔχειν λέγουσιν; ἔνθα γὰρ ἂν ᾖ ἰταμότης, εἰ ζητεῖ μόνον εἰπεῖν ὅ,τι δήποτε, οὐχ ὅπως τί λόγου πρᾶγμα ἐχόμενον εἴποι, ἀλλ' ὅπως εἴποι. ὅτι γλεύκους μεμεστωμένοι εἰσί. πάνυ γε· ὅτι ἄνθρωποι ἐν τοσούτοις κινδύνοις, περὶ τῶν ἐσχάτων τρέμοντες, ἐν τοσαύτῃ ὄντες ἀθυμίᾳ, τοιαῦτα φθέγγεσθαι τολμῶσι. καὶ ὅρα. ἐπειδὴ τοῦτο ἀπίθανον ἦν, παραλογιζόμενοι τοὺς ἀκούοντας, καὶ διακνιότες ὅτι ἐμεθύσθησαν, τῇ ποιότητι τοῦ πόματος ἐπιγράφουσι καὶ φασὶ γλεύκους μεμεστωμένοι εἰσί.

Ἰωαν. η. μθ.

γ. ἐποίει. γ. ὡμολόγηται. γ. ἐπεὶ δὲ ἐν αἰχμαλωσίᾳ ἦσαν πολλοὶ, ἤδη. γ. δήμων. γ. τί δήποτε; γ. εἴποι ὅ, τι δήποτε πάντως. ὁ γὰρ ἄνθρωπος. γ. ὅτι εἰ καὶ ἐμεθύσθ.

14 Σταθεὶς δὲ ὁ Πέτρος σὺν τοῖς ἕνδεκα, ἐπῆρε τὴν φωνὴν αὐτοῦ, καὶ ἀπεφθέγξατο αὐτοῖς. Ὁρᾷς ἐκεῖ τὴν κηδεμονίαν, ἐνταῦθα δὲ τὴν ἀνδρείαν; εἰ γὰρ ἐθαύμαζον, εἰ γὰρ ἐξεπλήττοντο, οὐχὶ καὶ οὕτω θαυμαστὸν ἦν, τὸ δυνηθῆναι μεταξὺ τοσούτων ῥῆξαι φωνὴν ἄνθρωπον ἀγράμματον καὶ ἰδιώτην; εἰ γὰρ ἐν οἰκείοις τις λέγων ταράττεται, πολλῷ μᾶλλον ἐπὶ ἐχθρῶν καὶ φονώντων. ὅτι δὲ οὐ μεθύουσιν, εὐθέως ἀπὸ τῆς φωνῆς ἐδήλωσεν, ὅτι οὐκ ἐξεστήκασι, καθάπερ ὁ μάντις, ὅτι οὐκ ἀνάγκῃ κατείχοντο. τί δέ ἐστι, σὺν τοῖς ἕνδεκα; κοινὴν προεβάλλοντο φωνὴν, καὶ πάντων αὐτὸς ἦν τὸ στόμα· παρεστήκασι δὲ οἱ ἕνδεκα μαρτυροῦντες τοῖς λεγομένοις. ἐπῆρε τὴν φωνὴν αὐτοῦ, φησί· τουτέστι, μετὰ πολλῆς εἶπε τῆς παρρησίας. τοῦτο δὲ ποιεῖ, ἵνα μάθωσι τοῦ πνεύματος τὴν χάριν. ὁ γὰρ μὴ ἐνεγκὼν ἐρώτησιν κορασίου εὐτελοῦς, οὗτος ἐν μέσῳ δήμων, φονώντων ἁπάντων, μετὰ τοσαύτης διαλέγεται παρρησίας, ὡς ἀναμφισβήτητον τῆς ἀναστάσεως γενέσθαι τοῦτο τεκμήριον. μεταξὺ γὰρ γελώντων ἀνθρώπων, καὶ τὰ τοιαῦτα διαχλευαζόντων παρρησιάζεται. πόσης εἶναι νομίζεις ἰταμότητος τοῦτο, πόσης ἀσεβείας, πόσης ἀναισχυντίας, τὸ μέθης λογίζεσθαι ἔργον τῶν γλωσσῶν τὸ παράδοξον; ἀλλ' οὐδὲν τοῦτο τοὺς ἀποστόλους ἐλύπησεν, οὐδ' ἀτολμοτέρους εἰργάσατο τότε τὰ τῆς χλεύης ἀκούοντας. τῇ γὰρ παρουσίᾳ τοῦ πνεύματος ἤδη μετεσκευάσθησαν, καὶ ἀνώτεροι τῶν σωματικῶν πάντων ὑπῆρχον. ἔνθα γὰρ ἂν παραγένηται τὸ πνεῦμα τὸ ἅγιον, χρυσοῦς ἀντὶ πηλίνων ἐργάζεται. ὅρα μοι λοιπὸν τὸν Πέτρον, καὶ ἐξέταζε τὸν δειλὸν, τὸν ἀσύνετον (καθάπερ ὁ Χριστός φησιν· Ἀκμὴν καὶ ὑμεῖς ἀσύνετοί ἐστε) τὸν μετὰ τὴν ὁμολογίαν ἐκείνην τὴν θαυμαστὴν Σατανᾶν κληθέντα. σκόπει δὲ καὶ τῶν ἀποστόλων τὴν ὁμόνοιαν. αὐτοὶ παραχωροῦσιν αὐτῷ τῆς δημηγορίας. οὐ γὰρ ἔδει πάντας φθέγγεσθαι. καὶ ἐπῆρε, φησὶ, τὴν φωνὴν αὐτοῦ, καὶ ἀπεφθέγξατο αὐτοῖς μετὰ πολλῆς τῆς παρρησίας. τοιοῦτόν ἐστιν ἄνδρα εἶναι πνευματικόν. μόνον καὶ ἡμεῖς ἀξίους ἑαυτοὺς καταστήσωμεν τῆς ἄνωθεν χάριτος, καὶ πάντα εὔκολα ἔσται. καθάπερ γὰρ πύρινος ἄνθρωπος εἰς μέσον καλάμην ἐμπεσὼν,

γ. φων. γ. φων. γ. γίνεται.

οὐδὲν

κολυμβήθρα γέγονεν ὕδατος. τῆς δαψιλείας δὲ τοῦτο τεκμήριον, καὶ τῆς σφοδρότητος τὸ πῦρ. οὐδαμοῦ τοιοῦτο γέγονεν ἐπὶ τῶν προφητῶν. ἀλλὰ τότε μὲν οὕτως ἐκείνοις, τοῖς προφήταις δὲ ἑτέρως. κεφαλὶς γὰρ βιβλίου δίδοται τῷ Ἰεζεκιὴλ, καὶ ἐσθίει ἃ ἔμελλε λέγειν. Ιεζ. γ. γ. Καὶ ἐγένετο, φησὶν, ἐν τῷ στόματί μου ὡς μέλι γλυκάζον. καὶ πάλιν ἡ χεὶρ ἅπτεται τοῦ Θεοῦ Ιερ. α. θ. τῆς γλώσσης ἑτέρου προφήτου. ἐνταῦθα δὲ αὐτὸ τὸ πνεῦμα τὸ ἅγιον. οὕτως ὁμότιμον τυγχάνει πατρὶ καὶ υἱῷ. καὶ πάλιν ἑτέρωθί φησι· Κατάλεγμα καὶ μέλος καὶ οὐαί. ἐκείνοις μὲν οὖν Ιεζ. β. ι. εἰκότως ἐν βιβλίῳ. ἔτι γὰρ αὐτοῖς παραδειγμάτων ἔδει. πρὸς ἓν ἔθνος εἶχον ἐκεῖνοι μόνον, καὶ τοὺς οἰκείους· οὗτοι δὲ καὶ πρὸς τὴν οἰκουμένην ἅπασαν, καὶ τοὺς οὐδέποτε γνωρισθέντας. καὶ Ἐλισσαῖος διὰ μηλωτῆς λαμβάνει τὴν χάριν, ἄλλος δι᾽ ἐλαίου, ὡς ὁ Δαβὶδ, καὶ δ. Βασ. ιδ. Μωϋσῆς διὰ πυρὸς ἐν τῇ βάτῳ· ἀλλ᾽ ἐνταῦθα οὐχ οὕτως, ἀλλ᾽ αὐτὸ τὸ πῦρ ἐνεχύθη. διατί α. Βασ. ιϛ. ιγ. δὲ μὴ ἐφάνη πῦρ τὸν οἶκον πληροῦν; ὅτι ἐξέστησαν ἄν. ἀλλὰ δείκνυσιν ὅτι τοῦτο ἐκεῖνό ἐστι. μὴ γὰρ τοῦτο λέγει, ὅτι ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι, παρέλθῃς· ἀλλ᾽ ὅτι πυρός. τοιοῦτον πῦρ μυρίαν ὕλην ἀνάψαι δύναται. καὶ καλῶς εἶπε, διαμεριζόμεναι. ἐκ μιᾶς γὰρ ἦν ῥίζης· ἵνα μάθῃς, ὅτι ἐνέργεια ἐστὶν ἀπὸ τοῦ παρακλήτου πεμφθεῖσα. ὅρα δὲ καὶ ἐκείνους πρότερον δειχθέντας ἀξίους, καὶ τότε πνεύματος καταξιωθέντας. οἷον ὥσπερ ὁ Δαβίδ. ἅπερ γὰρ ἐν ταῖς ποίμναις εἰργάζετο, ταῦτα καὶ μετὰ τὴν νίκην καὶ τὸ τρόπαιον, ἵνα δειχθῇ αὐτοῦ γυμνὴ ἡ πίστις. ὅρα πάλιν τὸν Μωϋσέα καταφρονοῦντα τῆς βασιλείας, καὶ μετὰ Εξ. ια. κδ. τεσσαράκοντα ἔτη τῆς δημαγωγίας ἀπολαύοντα· τὸν Σαμουὴλ ἀνατρεφόμενον ἐκεῖ ἐν τῷ Εξ. β. ια. ναῷ· τὸν Ἐλισσαῖον πάντα ἀφιέντα· τὸν Ἰεζεκιὴλ πάλιν. ὅτι δὲ οὕτω συνέβαινε, καὶ ἐκ α. Βασ. β. γ. γ. Βασ. ιθ. κα. τῶν μετὰ ταῦτα δῆλον. καὶ γὰρ καὶ οὗτοι πάντα εἴασαν τὰ αὐτῶν. διὰ τοῦτο τότε τὸ πνεῦμα λαμβάνουσιν, ὅτε τὴν οἰκείαν ἀρετὴν ἐπεδείξαντο. ἔμαθον καὶ τὴν ἀνθρωπίνην ἀσθένειαν, δι᾽ ὧν ἔπαθον· ἔμαθον, ὅτι οὐκ εἰκῇ ταῦτα κατώρθωσαν. οὕτω καὶ Σαοὺλ πρότερον μαρτυρηθεὶς ἀγαθὸς εἶναι, τότε τὸ πνεῦμα ἔλαβεν. ἀλλ᾽ οὕτως οὐδεὶς, οὐδὲ ὁ μείζων τῶν προφητῶν Μωϋσῆς. ἐκεῖνος γὰρ ὅτε ἔδει ἑτέρους γενέσθαι πνευματικοὺς, ἠλαττοῦτο αὐτός. ἀλλ᾽ ἐνταῦθα οὐχ οὕτως· ἀλλ᾽ ὥσπερ ἐπὶ τοῦ πυρὸς ὅσους ἂν τις θέλοι λύχνους ἀνάψαι, τὸ πῦρ οὐδὲν ἐλαττοῦται· οὕτω καὶ ἐπὶ τῶν ἀποστόλων συνέβαινε τότε. καὶ γὰρ διὰ τοῦ πυρὸς οὐ μόνον τὸ δαψιλὲς τῆς χάριτος ἐδείκνυτο, ἀλλὰ καὶ ὅτι πηγὴν ἕκαστος ἐλάμβανε πνεύματος, ὥσπερ οὖν καὶ αὐτὸς πηγὴν ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον ἔφησεν ἕξειν τοὺς πιστεύοντας εἰς αὐτόν. καὶ [μάλα] εἰκότως. οὐ γὰρ τῷ Φαραὼ διαλεξόμενοι ἀπῄεσαν, Ιωαν. δ. ιδ. ἀλλὰ τῷ διαβόλῳ παλαίσοντες. καὶ τὸ δὴ θαυμαστότερον, ὅτι πεμπόμενοι οὐδὲν ἀντεῖπον, οὐδὲ εἶπον ἰσχνόφωνοι εἶναι καὶ βραδύγλωσσοι· Μωϋσῆς γὰρ αὐτοὺς εἰς τοῦτο ἐπαίδευσεν· Εξ. δ. ι. οὐκ εἶπον εἶναι νεώτεροι· Ἱερεμίας γὰρ αὐτοὺς ἐσωφρόνισε. καίτοι πολλὰ ἤκουσαν φοβερὰ καὶ πολλῷ μείζονα ἐκείνων· ἀλλ᾽ ὅμως ἐφοβοῦντο ἀντειπεῖν. ἐκ τούτου δῆλον, ὅτι καὶ φωτὸς ἄγ- Ιερ. α. ϛ. γελοι ἦσαν, καὶ τῶν ἄνωθεν πραγμάτων ὑπηρέται. καὶ ἐκείνοις μὲν οὐδεὶς ἀπ᾽ οὐρανοῦ φαίνεται τοῖς ἐν τῇ γῇ διώκουσιν ἔτι· ἐπεὶ δὲ ἀνῆλθεν ἄνθρωπος ἄνω, καὶ πνεῦμα ἄνωθεν φέρεται, ὡσεὶ φερομένης, φησὶ, πνοῆς βιαίας. διὰ τούτου δῆλον ποιεῖ, ὅτι οὐδὲν αὐτοῖς ἀντιστῆναι δυνήσεται, ἀλλ᾽ ὥσπερ χνοῦν τοὺς ὑπεναντίους λικμήσουσι. καὶ ἐπλήρωσεν ὅλον τὸν οἶκον. ἡ οἰκία τοῦ κόσμου σύμβολον ἦν. καὶ ἐκάθισέ, φησιν, ἐφ᾽ ἕνα ἕκαστον αὐτῶν, καὶ συνῆλθε τὸ πλῆθος καὶ συνεχύθη. ὁρᾷς τὴν τούτων εὐλάβειαν, καὶ πῶς οὐκ εὐθέως ἀποφαίνονται, ἀλλ᾽ ἐν ἀπορίᾳ εἰσίν; ἐκεῖνοι δὲ οἱ ἀγνώμονες ἀποφαίνονται λέγοντες· ὅτι γλεύκους εἰσὶ μεμεστωμένοι. ἵνα δὲ δοκῇ αὐτοῖς κατὰ τὸν νόμον τρεῖς τοῦ ἐνιαυτοῦ φαίνεσθαι ἐν τῷ ναῷ, διὰ τοῦτο ᾤκουν ἐκεῖ οἱ ἀπὸ πάντων τῶν ἐθνῶν εὐλαβεῖς ἄνδρες. ὅρα ἐντεῦθεν τὸν γράφοντα πῶς αὐτοὺς οὐ κολακεύει. οὐ γὰρ εἶπεν, ὅτι ἀπεφαίνοντο· ἀλλὰ τί; γενομένης δὲ τῆς φωνῆς ταύτης, συνῆλθε τὸ πλῆθος καὶ συνεχύθη· Εἰκότως. ἐνόμιζον γὰρ αὐτοῖς τέλος ἔχειν τὸ πρᾶγ-

μα

χ. τοῦτο

χ. τὰ γὰρ τοιοῦτα, ταὐτοῦ σὺν τῷ προχεῖν, προσαπηθόντα ὁ τε παλαιὸς ἔχει τὸν διὸ πάνυ ὅταν δ᾽ ἀνύσωσι, τότε εἰς

χ. οὕτως ἔχον τὰ αὐτῶν

χ. μετὰ ταύτας τὰς ἀρετὰς δεικνῦσαι. ἐμ-

χ. τοῦ πνεύματος

ἰσ. διοικοῦσιν

χ. δηλῶν ὅτι

νους ἦλθεν, οὐχὶ δὲ καὶ ἐπὶ τοὺς λοιπούς; οὐδαμῶς· ἀλλὰ καὶ ἐπὶ τοὺς ἑκατὸν εἴκοσιν. οὐ γὰρ δὴ ἁπλῶς παρήγαγε τὴν μαρτυρίαν τοῦ προφήτου ὁ Πέτρος λέγων· Καὶ ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις, λέγει Κύριος ὁ Θεός, ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα· καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν, καὶ αἱ θυγατέρες ὑμῶν, καὶ οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται, καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται. καὶ σκόπει· ἵνα γὰρ μὴ ἐκπλήξῃ μόνον, ἀλλὰ καὶ χάριτος πληρώσῃ, διὰ τοῦτο καὶ ἐν πνεύματι ἁγίῳ καὶ πυρί.

Ιωὴλ β. κη.

4 Καὶ ἐπλήσθησαν, φησιν, ἅπαντες πνεύματος ἁγίου, καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις, καθὼς τὸ πνεῦμα ἐδίδου αὐτοῖς ἀποφθέγγεσθαι. Οὐ λαμβάνουσιν ἕτερον σημεῖον, ἀλλὰ τοῦτο πρῶτον. ξένον γὰρ ἦν, καὶ οὐ χρεία ἦν ἑτέρου σημείου. ἐκάθισέ, φησιν, ἐφ᾽ ἕνα ἕκαστον αὐτῶν· ἐκείνου καὶ ἐπὶ τὸν καταλειφθέντα. διὰ τοῦτο οὐδὲ ἀλγεῖ λοιπὸν μὴ αἱρεθεὶς, ὡς ὁ Ματθίας. καὶ ἐπλήσθησαν, φησιν, ἅπαντες. οὐχ ἁπλῶς ἔλαβον τοῦ πνεύματος τὴν χάριν, ἀλλ᾽ ἐπλήσθησαν. καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις, καθὼς τὸ πνεῦμα ἐδίδου αὐτοῖς ἀποφθέγγεσθαι. οὐκ ἂν εἶπε, πάντες, καὶ τῶν ἀποστόλων ὄντων ἐκεῖ, εἰ μὴ καὶ οἱ ἄλλοι μετέσχον. ἄλλως δὲ, οὐδὲ δύο κατ᾽ ἰδίαν αὐτοὺς παρεισήγαγε καὶ ὀνομαστὶ, νῦν δὲ συνῆψεν ἐν τῷ αὐτῷ πράγματι. εἰ γὰρ ὅπου εἰπεῖν ἦν, ὅτι παρῆσαν, κατ᾽ ἰδίαν τῶν ἀποστόλων μνημονεύει, πολλῷ μᾶλλον ἐνταῦθα. σκόπει δέ μοι πῶς ὅταν προσκαρτερῶσι τῇ δεήσει, ὅταν ἀγάπην ἔχωσι, τότε τὸ πνεῦμα παραγίνεται). ἀνέμνησε δὲ αὐτοὺς καὶ ἑτέρας ὄψεως. εἰπὼν, ὡσεὶ πυρός. ὡς πῦρ γὰρ ἐφάνη καὶ ἐν τῇ βάτῳ. καθὼς τὸ πνεῦμα ἐδίδου αὐτοῖς, φησιν, ἀποφθέγγεσθαι. ἀποφθέγματα γὰρ ἦν τὰ παρ᾽ αὐτῶν λεγόμενα.

χ. δέχομαι πνεῦμα ... ἐκεῖνοι μὴ αἱρ.

χ. πάντες

χ. πρεσβ... διὰ τῆς προσ... ἀγάπης,

5 Ἦσαν δὲ, φησιν, ἐν Ἱερουσαλὴμ κατοικοῦντες Ἰουδαῖοι, ἄνδρες εὐλαβεῖς.

Τὸ κατοικεῖν, εὐλαβείας ἦν σημεῖον. πῶς; ἀπὸ τοσούτων γὰρ ἐθνῶν ὄντες, καὶ πατρίδας ἀφέντες, καὶ οἰκίας, καὶ συγγενεῖς, ᾤκουν ἐκεῖ. Ἦσαν γάρ, φησιν, ἐν Ἱερουσαλὴμ κατοικοῦντες Ἰουδαῖοι ἄνδρες εὐλαβεῖς, Ἀπὸ παντὸς ἔθνους τῶν ὑπὸ τὸν οὐρανόν.

6 Γενομένης δὲ τῆς φωνῆς ταύτης, συνῆλθε τὸ πλῆθος, καὶ συνεχύθη.

Ἐπειδὴ γὰρ ἐν οἰκίᾳ ἐγένετο τὸ γενόμενον, εἰκότως ἔξωθεν συνέδραμον. συνεχύθη τὸ πλῆθος. τί ἐστι, συνεχύθη τὸ πλῆθος; ἐταράχθη, ἐθαύμασαν, Ὅτι ἤκουον εἷς ἕκαστος αὐτῶν τῇ ἰδίᾳ διαλέκτῳ λαλούντων αὐτῶν.

7 Καὶ ἐξίσταντο, φησι, καὶ ἐθαύμαζον, λέγοντες πρὸς ἀλλήλους· οὐκ ἰδοὺ πάντες οὗτοί εἰσιν οἱ λαλοῦντες Γαλιλαῖοι; Πρὸς τοὺς ἀποστόλους εὐθέως ἑώρων.

8 Καὶ πῶς, φησιν, ἡμεῖς ἀκούομεν ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ ἡμῶν, ἐν ᾗ ἐγεννήθημεν.

9 Πάρθοι καὶ Μῆδοι, καὶ Ἐλαμῖται, καὶ οἱ κατοικοῦντες τὴν Μεσοποταμίαν, Ἰουδαίαν τε καὶ Καππαδοκίαν, Πόντον καὶ τὴν Ἀσίαν,

10 Φρυγίαν τε καὶ Παμφυλίαν, Αἴγυπτον καὶ τὰ μέρη τῆς Λιβύης τῆς κατὰ Κυρήνην, καὶ οἱ ἐπιδημοῦντες Ῥωμαῖοι, Ἰουδαῖοί τε καὶ προσήλυτοι,

11 Κρῆτες καὶ Ἄραβες, ἀκούομεν λαλούντων αὐτῶν ταῖς ἡμετέραις γλώσσαις τὰ μεγαλεῖα τοῦ Θεοῦ;

12 Ἐξίσταντο δὲ πάντες, καὶ διηπόρουν ἄλλος πρὸς ἄλλον λέγοντες· τί θέλει τοῦτο εἶναι;

Ὁρᾷς ἐξ ἀνατολῶν εἰς δυσμὰς αὐτοὺς συντρέχοντας;

13 Ἕτεροι δὲ, φησι, διαχλευάζοντες ἔλεγον, ὅτι γλεύκους μεμεστωμένοι εἰσί.

Ὢ τῆς ἀνοίας, ὢ τῆς κακίας τῆς πολλῆς. καίτοι οὐδὲ καιρὸς ἦν τότε τοῦ γλεύκους. πεντηκοστὴ γὰρ ἦν. καὶ τὸ δεινότερον, ὅτι πάντων ὁμολογούντων, Ἰουδαίων ὄντων, Ῥωμαίων ὄντων, προσηλύτων ὄντων, τῶν σταυρωσάντων ἴσως, ἐκεῖνοι μετὰ τοσαῦτα λέγουσιν, ὅτι γλεύκους μεμεστωμένοι εἰσίν. ἀλλ᾽ ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. ἐπλήρωσε, φησι, τὸν οἶκον ἡ πνοή· καθάπερ κολυμβήθρα

χ. ἐκεῖνοι

χ. μετὰ τοσ... πο. αὐ.

ὅτι δὲ οὐ ψεύδομαι, μὴ γένοιτο μὲν ποτὲ πεῖραν λαβεῖν· πλὴν εἴ ποτε συμβαίη τινὰ ὑμῶν ἀῤῥωστεῖν, καθεύδοντί μοι παράστητε. ἀπολοίμην, εἰ μὴ τοῖς παραλύτοις ἔοικα, εἰ μὴ τοῖς ἐξεστηκόσι, καὶ κατὰ τὸν προφητικὸν λόγον, Καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου καὶ αὐτὸ οὐκ ἔστι μετ' ἐμοῦ. Τίς γὰρ ἡμῖν ἐλπὶς, ὑμῶν μὴ προκοπτόντων; τίς δὲ ἀθυμία, ὑμῶν εὐδοκιμούντων; πτερωθῆναι δοκῶ, ὅταν τι περὶ ὑμῶν ἀκούσω χρηστόν. Πληρώσατέ μου τὴν χαράν. Τοσοῦτον μόνον εἰσήνεγκα εἰς τὴν βίβλον, ὅτι ἐπιθυμῶ ὑμῶν τὴν προκοπήν. Ὃ δὲ διαμιλλῶμαι πρὸς πάντας, τοῦτό ἐστιν· ὅτι φιλῶ, ὅτι συμπέπλεγμαι, ὅτι πάντα μοι ὑμεῖς ἐστε, καὶ πατὴρ, καὶ μήτηρ, καὶ ἀδελφοὶ, καὶ παιδία. Μὴ δὴ νομίσητέ τι τῶν παρ' ἡμῶν λεγομένων πρὸς ἀπέχθειαν λέγεσθαι, ἀλλὰ πρὸς διόρθωσιν. Ἀδελφὸς γὰρ, φησὶν, ὑπὸ ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρά. Μὴ δὴ ἀπαξιώσητε. οὐδὲ γὰρ ἐγὼ τὰ παρ' ὑμῶν ἀτιμάζω λέγειν· ἀλλὰ βουλοίμην ἂν διορθοῦσθαι παρ' ὑμῶν, βουλοίμην ἂν μανθάνειν. Πάντες γὰρ ἡμεῖς ἀδελφοί ἐσμεν, εἷς δὲ ἡμῶν ἐστιν ὁ καθηγητής. Ἔστι δὲ καὶ ἐν ἀδελφοῖς ἵνα ἐπιτάττειν, καὶ τοὺς ἄλλους πείθεσθαι. Μὴ δὴ ἀπαξιώσητε, ἀλλὰ πάντα ποιῶμεν εἰς δόξαν Θεοῦ· ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλ. λζ. ι. — Φιλιπ. β. β. — Παροιμ. ιη. ιθ.

γ. ἡμῶν

γ. ἡμῖν ἀδ. ἐστι

Λογ. δ. 1 ΚΑΙ ΕΝ ΤΩ ΣΥΜΠΛΗΡΟΥΣΘΑΙ ΤΗΝ Ἡμέραν τῆς πεντηκοστῆς, ἦσαν ὁμοθυμαδὸν ἐπὶ τὸ αὐτό. κεφ. β.

2 Καὶ ἐγένετο ἄφνω ἐκ τοῦ οὐρανοῦ ἦχος.

Τίς ἐστιν αὕτη ἡ πεντηκοστή; ὅτε τὸ δρέπανον ἐπιβάλλειν ἔδει τῷ ἀμήτῳ, ὅτε τοὺς καρποὺς συνάγειν ἐχρῆν. Εἶδες τὸν τύπον; βλέπε πάλιν τὴν ἀλήθειαν. ὅτε τὸ δρέπανον ἐπιβάλλειν ἔδει τοῦ λόγου, ὅτε τὸν ἄμητον συλλέγειν, τότε καθάπερ δρέπανον τὸ πνεῦμα ἠκονημένον ἐφίπταται. ἄκουε γὰρ τοῦ Χριστοῦ λέγοντος· Ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ θεάσασθε τὰς χώρας, ὅτι λευκαί εἰσι πρὸς θερισμὸν ἤδη. καὶ πάλιν, Ὁ μὲν θερισμὸς πολὺς, οἱ δὲ ἐργάται ὀλίγοι. ὥστε αὐτὸς ἐπέβαλε τὸ δρέπανον πρότερος. αὐτὸς γὰρ ἀνήγαγεν εἰς οὐρανοὺς ἀπαρχὴν, τὸ ὑμῶν προσλαβών. διὰ τοῦτο καὶ θερισμὸν τὸ τοιοῦτον καλεῖ. ἐν τῷ συμπληροῦσθαι, φησὶ, τὴν ἡμέραν τῆς πεντηκοστῆς· τουτέστιν, οὐ πρὸ τῆς πεντηκοστῆς, ἀλλὰ περὶ αὐτὴν, ὡς εἰπεῖν, τὴν πεντηκοστήν. ἔδει γὰρ ἑορτῆς οὔσης πάλιν ταῦτα γενέσθαι· ἵν' οἱ παρόντες ἐν τῷ σταυρῷ τοῦ Χριστοῦ, οὗτοι καὶ ταῦτα ἴδωσι. καὶ ἐγένετο ἄφνω ἐκ τοῦ οὐρανοῦ ἦχος. διὰ τί μὴ χωρὶς αἰσθητῶν ὑποδειγμάτων τοῦτο γέγονεν; ὅτι εἰ καὶ τούτου γινομένου ἔλεγον, Ὅτι γλεύκους μεμεστωμένοι εἰσίν, εἰ μὴ τοῦτο ἐγένετο, τί οὐκ ἂν εἶπον; οὐχ ἁπλῶς δὲ ὁ ἦχος γέγονεν, ἀλλ' ἐκ τοῦ οὐρανοῦ. καὶ τὸ αἰφνίδιον δὲ διανέστησεν αὐτούς. Καὶ ἐπλήρωσεν ὅλον τὸν οἶκον.

Ἰωάν. δ. λε. — Λουκ. ι. β.

γ. διὰ μι. τὸ δὲ ἀπαρχὴν λαβὼν αὐτὸς ἀνήγαγεν. αὐτὸς ἐπέβαλε τὸ δρέπανον πρότερος. διὰ τοῦτο καὶ θερισμὸν καλεῖ.

Πολλὴν τὴν ῥύμην λέγει τοῦ πνεύματος. ὅρα, πάντας ἐκεῖ συνήγαγεν, ὥστε καὶ τοὺς παρόντας πιστεῦσαι, καὶ τούτους ἀξίους δειχθῆναι. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ τὸ πολλῷ τούτου φρικωδέστερον·

3 Καὶ ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι, ὡσεὶ πυρὸς, φησί.

Καλῶς πανταχοῦ τὸ, ὡς, πρόσκειται, ἵνα μηδὲν αἰσθητὸν περὶ τοῦ πνεύματος νομίσῃς. ὡσεὶ πυρὸς, φησὶ, καὶ ὡσεὶ πνοῆς. οὐκ ἄρα ἄνεμος ἦν ἁπλῶς εἰς ἀέρα χεόμενος. ὅτε μὲν γὰρ Ἰωάννῃ ἔδει γνωρισθῆναι τὸ πνεῦμα, ὡς ἐν εἴδει περιστερᾶς ἐπὶ τὴν κεφαλὴν ἦλθε τοῦ Χριστοῦ· νῦν δὲ, ὅτε πλῆθος ὅλον ἐπιστραφῆναι ἐχρῆν, ὡσεὶ πυρός.

γ. καὶ πάντας ἐκεῖ συνήγαγε. πολλὴν τὴν ῥύμην λέγει τοῦ πνεύματος, ὥστε καὶ τοὺς παρόντας πιστεῦσαι, καὶ οὕτως ἀξίους δειχθῆναι. καὶ ὁ

Μαρκ. α. ι. — Λουκ. γ. κβ. — Ἰωάν. α. λβ.

Καὶ ἐκάθισέ, φησιν, ἐφ' ἕνα ἕκαστον αὐτῶν. Τουτέστι, παρέμεινεν, ἐπανεπαύσατο. τὸ γὰρ καθίσαι, τοῦ ἑδραίου ἐστὶ σημαντικὸν, καὶ τοῦ μεῖναι. τί δαί; ἆρα ἐπὶ τοὺς δώδεκα μό-

μία, οὐχ ἡ αὐτὴ, μᾶλλον δὲ οὐδὲ ἡ ἁμαρτία. οὐ γάρ ἐστι τὸ αὐτὸ λανθάνοντα καὶ κρυπτομένους ἁμαρτάνειν, καὶ φανερῶς. τῶν δὲ ἐπισκόπων οὐκ ἔνι λάθρα ἁμαρτάνειν. ἀγαπητὸν γὰρ μὴ ἁμαρτάνοντα ἀπαλλαγῆναι ἐγκλημάτων· μήτιγε ἁμαρτάνοντα. κἂν ὀργισθῇ, κἂν γελάσῃ, κἂν λούσεως ὄναρ ἐπιθυμήσῃ, πολλοὶ οἱ σκώπτοντες, πολλοὶ οἱ σκανδαλιζόμενοι, πολλοὶ οἱ νομοθετοῦντες, πολλοὶ οἱ τῶν προτέρων μεμνημένοι, καὶ τῶν παρόντα κακίζοντες, οὐκ ἐκείνους ἐγκωμιάσαι βουλόμενοι, ἀλλὰ τούτους δάκνειν, τῶν συνεπισκόπων, τῶν πρεσβυτέρων μεμνημένοι. Γλυκὺς ὁ πόλεμος ἀπείροις, φησί. τοῦτο καὶ νῦν ἁρμόζει λέγειν· μᾶλλον δὲ καὶ λέγομεν περὶ τοῦ καταστῆναι εἰς τὸν ἀγῶνα· μετὰ δὲ τὸ ἐμβῆναι, οὐδὲ δῆλοι γινόμεθα τοῖς πολλοῖς. οὐ γάρ ἐστιν ἡμῖν νῦν πόλεμος πρὸς τοὺς καταδυναστεύοντας τῶν πενήτων, οὐδὲ τῶν ποιμνίων προπολεμεῖν ἀνεχόμεθα· ἀλλὰ, κατὰ τοὺς ποιμένας ἐκείνους τοὺς ἐν τῷ Ἰεζεκιὴλ, σφάττομεν καὶ κατεσθίομεν. τίς ἡμῶν ἐπιδείκνυται τοσαύτην φροντίδα περὶ τὰ ποίμνια τοῦ Χριστοῦ, ὅσην περὶ τὰ ποίμνια τοῦ Λάβαν ὁ Ἰακώβ; τίς δύναται ἀπαριθμήσασθαι παγετὸν νυκτός; μὴ γάρ μοι τὰς παννυχίδας εἴπῃς, καὶ τὴν τοσαύτην θεραπείαν. πᾶν μὲν οὖν τοὐναντίον. ὕπαρχοι καὶ τοπάρχαι οὐκ ἀπολαύουσι τοσαύτης τιμῆς, ὅσης ὁ τῆς ἐκκλησίας ἄρχων. ἂν ἐν βασιλείοις εἰσίῃ, τίς πρότερος; ἂν παρὰ γυναιξὶν, ἂν παρὰ τὰς οἰκίας τῶν μεγάλων; οὐδεὶς ἕτερος αὐτοῦ προτετίμηται. ἀπόλωλε πάντα καὶ διέφθαρται. ταῦτα οὐχ ὑμᾶς καταισχῦναι βουλόμενος λέγω, ἀλλ' ὑμῶν ἐπισχεῖν τὴν ἐπιθυμίαν. ποίῳ γὰρ συνειδότι ἂν ἕλῃ σπουδάσας ἢ διὰ σαυτοῦ, ἢ δι' ἑτέρου; ποίοις ὀφθαλμοῖς ἀναβλέψεις ἐκείνῳ τῷ συνεργήσαντι; τί ἕξεις ἀπολογήσασθαι; ὁ μὲν γὰρ ἄκων καὶ βιασθεὶς καὶ οὐκ ἐθέλων ἔχοι ἂν τινα ἀπολογίαν, εἰ καὶ τὰ μάλιστα καὶ οὗτος ἀπεστέρηται συγγνώμης· πλὴν ἀλλὰ παρὰ τοῦτο ἔχει τινὰ ἀπολογίαν. ἐννόησον τί Σίμων ἔπαθε· τί γὰρ, εἰ μὴ ἀργύριον δίδως, ἀλλ' ἀντὶ ἀργυρίου κολακείας καὶ κατασκευάζεις πολλὰ καὶ μηχανᾷ; Τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν, πρὸς ἐκεῖνον εἶπε· καὶ τούτοις ἐρεῖ, Ἡ σπουδὴ ὑμῶν μεθ' ὑμῶν ἔστω εἰς ἀπώλειαν, ὅτι ἐνομίσατε περιδρομῇ ἀνθρωπίνῃ τὴν δωρεὰν τοῦ Θεοῦ κτᾶσθαι. ἀλλ' οὐδείς ἐστι τοιοῦτος. μηδὲ γένοιτο. οὐδὲ γὰρ βούλομαι οὐδὲν πρὸς ὑμᾶς εἶναι τῶν λεγομένων· νυνὶ δὲ ἐκ τῆς ἀκολουθίας εἰς τούτους ἐνεπέσομεν τοὺς λόγους. οὐδὲ γὰρ ὅταν κατὰ πλεονεξίας λέγωμεν, πρὸς ὑμᾶς λέγομεν, ἀλλ' οὐδὲ πρὸς ἕνα. γένοιτο εἰκῆ τὰ φάρμακα παρ' ἡμῶν κατασκευάζεσθαι. αἱ τῶν ἰατρῶν εὐχαὶ τοιαῦταί εἰσιν, οὐκ ἄλλα αἰτοῦσαι, ἢ ὥστε μετὰ τὸν πολὺν πόνον ἁπλῶς ῥιφῆναι τὰ φάρμακα. ταῦτα καὶ ἡμεῖς εὐχόμεθα, ἁπλῶς εἰς ἀέρα λέγεσθαι τὰ ῥήματα τὰ ἡμέτερα, ὥστε ῥήματα μόνον εἶναι. πάντα ὑποστῆναι ἕτοιμος ἐγὼ, ὥστε μὴ εἰς χρείαν καταστῆναι τοῦ ταῦτα λέγειν. εἰ δὲ βούλεσθε, καὶ σιγήσομεν· μόνον ἔστω ἀκίνδυνος ἡ σιγή. οὐ γὰρ οἶμαι οὐδένα, κἂν σφόδρα κενόδοξος ᾖ, μὴ καλούσης χρείας, θελῆσαι ἂν ἁπλῶς ἐπιδείκνυσθαι. παραχωρήσομεν τῆς διδασκαλίας ὑμῖν. αὕτη γὰρ μείζων ἡ διδασκαλία ἡ διὰ πραγμάτων. ἐπεὶ καὶ τῶν ἰατρῶν οἱ ἄριστοι, καίτοιγε τῆς νόσου τῶν καμνόντων φερούσης αὐτοῖς μισθοὺς, βούλοιντο ἂν ὑγιαίνειν τοὺς αὐτῶν φίλους· καὶ ἡμεῖς βουλόμεθα ἅπαντας ὑγιαίνειν. οὐ γὰρ ἵνα ἡμεῖς δόκιμοι ὦμεν, βουλόμεθα, ὑμεῖς δὲ ἀδόκιμοι ἦτε. ἐβουλόμην, εἰ οἷόν τε, ἐν αὐτῇ τὴν ἀγάπην, ἣν περὶ ὑμᾶς ἔχω, ἐπιδείξασθαι. οὐδεὶς γάρ μοι λοιπὸν οὐδὲν ἂν ἐνεκάλεσεν, εἰ καὶ σφόδρα τραχὺς ἦν ὁ λόγος. τὰ γὰρ παρὰ φίλων λεγόμενα, κἂν ὕβρεις ᾖ, φορητά. Ἀξιοπιστότερα γὰρ τραύματα φίλου, ἢ ἑκούσια φιλήματα ἐχθροῦ. οὐδὲν ἐμοὶ ποθεινότερον ὑμῶν, οὐδὲ τοῦτο τὸ φῶς. μυριάκις γὰρ ἂν εὐξαίμην αὐτὸς πηρωθῆναι, εἰ ἐνῆν διὰ τούτου τὰς ὑμετέρας ἐπιστρέψαι ψυχάς. οὕτως αὐτοῦ τοῦ φωτὸς γλυκίων ἐμοὶ ἡ σωτηρία ἡ ὑμετέρα. τί γὰρ ὄφελός μοι τῶν ἀκτίνων τῶν ἡλιακῶν, ὅταν ἡ δι' ὑμᾶς ἀθυμία πολὺ κατασκεδάζῃ τῶν ὀφθαλμῶν τὸ σκότος; τὸ γὰρ φῶς τότε καλὸν, ὅταν ἐν εὐφροσύνῃ φαίνηται· ἐπεὶ τῇ λελυπημένῃ ψυχῇ καὶ παρενοχλεῖν δοκεῖ.

ὅτι

Margin (left): Ιεζ. λδ. β. — Γεν. λ. κθ. — Παροιμ. κζ. ς

Margin (right): γ. φησί μᾶλλον δὲ νῦν οὐδὲ μετὰ τὸ ἐμβῆναι δῆλοι τοῖς πολλοῖς. οὐ γάρ ἐστιν ἡμῖν πόλεμος, ἀλλὰ κατὰ τοὺς — γ. κἂν — γ. ἡ ψυχὴ ὑμῶν σὺν τῇ σπουδῇ — γ. εἰ — γ. ἢ ἡ διὰ

περιβολιμαῖοι βλασφημοῦσιν αὐτοὺς ἐπὶ τῆς ἀγορᾶς. τί οὖν αὐτοὺς οὐκ ἐπιστομίζει; πάνυ γε. οὐ γὰρ ἐπισκόπου λέγεις ἔργον. πάλιν, ἂν μὴ πᾶσι παρέχῃ*, καὶ τοῖς ἐν ἀργίᾳ, καὶ τοῖς ἐργαζομένοις, μυρία πανταχόθεν ἐγκλήματα. οὐδεὶς δέδοικε κατηγορῆσαι καὶ διαβαλεῖν. ἐπὶ μὲν γὰρ τῶν ἀρχόντων ὁ φόβος ἔπεστιν· ἐπὶ δὲ τούτων οὐχί. ὁ γὰρ φόβος τοῦ Θεοῦ παρ' αὐτοῖς οὐδὲν ἰσχύει. τί ἄν τις εἴποι τὴν περὶ τὸν λόγον καὶ τὴν διδασκαλίαν φροντίδα; τὴν δυσκολίαν τὴν ἐν ταῖς χειροτονίαις; τάχα ἢ σφόδρα ἀσθενὴς ἐγὼ τυγχάνω καὶ ταλαίπωρος καὶ οὐδαμινός, ἢ τὸ πρᾶγμα οὕτως ἔχει. οὐδὲν πλοίου κλυδωνιζομένου διενήνοχεν ἡ τοῦ ἱερέως ψυχὴ πανταχόθεν "μαστιζομένου, παρὰ φίλων, παρὰ ἐχθρῶν, παρὰ οἰκείων, παρὰ ἀλλοτρίων. οὐχὶ τῆς οἰκουμένης ὁ βασιλεὺς κρατεῖ, οὗτος δὲ πόλεως μόνης; ἀλλὰ τοσούτῳ μείζους εἰσὶν αἱ φροντίδες τούτου, ὅσῳ ὕδατος ἁπλῶς ὑπὸ πνεύματος κινουμένου ποταμίου, καὶ πελάγους οἰδοῦντος καὶ μαινομένου τὸ διάφορον. τί δήποτε; ὅτι ἐκεῖ μὲν πολλοί εἰσιν οἱ συναντιλαμβανόμενοι (πάντα γὰρ νόμῳ καὶ διατάξει γίνεται) ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον, οὐδὲ "ἀπ' ἐξουσίας ἐστὶν ἐπιτάξαι· ἀλλ' ἂν μὲν σφοδρῶς κινηθῇ, ἀκούει ὠμός· ἂν δὲ μὴ σφοδρῶς, ψυχρός. "δεῖ δὲ ταῦτα τὰ ἐναντία συνελθεῖν, ὥστε μήτε καταφρονεῖσθαι, μήτε μισεῖσθαι. ἄλλως δὲ καὶ τὰ πράγματα προκατείληπται. πόσους ἀναγκάζεται σκανδαλίζειν καὶ ἑκὼν καὶ ἄκων; πόσους πλήττειν [καὶ ἑκὼν καὶ ἄκων;] οὐκ ἄλλως λέγω, ἀλλ' ὡς ἔχω καὶ διάκειμαι. οὐκ οἶμαι εἶναι πολλοὺς ἐν τοῖς ἱερεῦσι τοὺς σωζομένους, ἀλλὰ πολλῷ πλείους τοὺς ἀπολλυμένους. τὸ δὲ αἴτιον, ὅτι μεγάλης τὸ πρᾶγμα δεῖται ψυχῆς, καὶ πολλὰς ἀνάγκας ἔχει τὰς ἐξαγούσας τοῦ οἰκείου ἤθους, καὶ μυρίων αὐτῷ πανταχόθεν ὀφθαλμῶν δεῖ. οὐχ ὁρᾷς ὅσα δεῖ τὸν ἐπίσκοπον ἔχειν; διδακτικὸν εἶναι, ἀνεξίκακον, ἀντεχόμενον τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου. πόσης τοῦτο δυσκολίας; καὶ τῶν τοῖς ἄλλοις ἁμαρτανομένων αὐτὸς ἔχει τὰς αἰτίας. οὐ λέγω τῶν ἄλλων οὐδέν. ἂν εἷς μόνον ἀπέλθῃ ἀμύητος, οὐχὶ πᾶσαν αὐτοῦ κατέστρεψε τὴν σωτηρίαν; ψυχῆς γὰρ ἀπώλεια μιᾶς τοσαύτην ἔχει ζημίαν, ὅσην οὐδεὶς παραστῆσαι δύναται λόγος. εἰ γὰρ ἡ σωτηρία αὐτῆς τοσούτου ἀξία, ὥστε τὸν υἱὸν τοῦ Θεοῦ ἄνθρωπον γενέσθαι καὶ τοσαῦτα παθεῖν· ἡ ἀπώλεια ἐννόησον ὅσην οἴσει τὴν τιμωρίαν. εἰ δὲ, δι' ὃν ἀπόλλυταί τις ἐν τῷ παρόντι βίῳ, ἄξιος ἀποθανεῖν, πολλῷ μᾶλλον ἐκεῖ. μὴ γάρ μοι εἴπῃς, ὅτι ὁ πρεσβύτερος ἥμαρτε, μηδὲ ὅτι ὁ διάκονος. πάντων τούτων ἐπὶ τὴν κεφαλὴν τῶν χειροτονησάντων αἱ αἰτίαι φέρονται. πάλιν ἕτερον εἴπω· συμβαίνει τινὰ κλῆρον διαδέξασθαι ἀνδρῶν μοχθηρῶν. τί χρὴ βουλεύσασθαι ἐπὶ ἁμαρτήμασι προλαβοῦσι; δύο γάρ εἰσι κρημνοί, ὥστε μήτε ἀφεῖναι ἐκείνους, καὶ τοὺς ἄλλους μὴ σκανδαλίσαι. ἐκκόψαι [τοίνυν] δεῖ προφανῶς; ἀλλ' οὐκ ἔστι παροῦσα πρόφασις. ἀλλ' ἀφεῖναι; ναί, φησί. τοῦ γὰρ χειροτονήσαντος ἡ αἰτία. τί οὖν; οὐ δεῖ χειροτονῆσαι, οὐδὲ ἐφ' ἕτερον βαθμὸν ἀγαγεῖν; ἀλλὰ τοῦτο πᾶσιν ἔσται δῆλον, ὅτι μοχθηρός τις ἐστι." πάλιν οὖν ἑτέρως ἐσκανδάλισεν. ἀλλ' ἀγαγεῖν ἐπὶ μείζονα βαθμόν; τοῦτο πολλῷ χαλεπώτερον. ὥστε εἴ τις, ὡς ἐπὶ προστασίαν, ἐπέστη τὴν ἀρχιερωσύνην, ὡς ἐπὶ πόνον καὶ ἀγρυπνίαν, οὐδεὶς ἂν αὐτὴν ἐδέξατο ταχέως. νῦν δὲ ὥσπερ τὰς ἔξωθεν ἀρχάς, οὕτω καὶ ταύτην διώκομεν. ἵνα γὰρ δοξασθῶμεν, ἵνα τιμηθῶμεν παρὰ ἀνθρώποις, ἀπολλύμεθα παρὰ τῷ Θεῷ. τί τὸ κέρδος τῆς τιμῆς; πῶς ἐλήλεγκται οὐδὲν ὄν; ὅταν ἐπιθυμήσῃς ἱερωσύνης, ἀντίστησον τὴν γέενναν· ἀντίστησον τὰς εὐθύνας τὰς ἐκεῖ· ἀντίστησον τὸν ἀπράγμονα βίον· ἀντίστησον τῆς κολάσεως τὸ μέγεθος. ὅτι κἂν ἁμάρτῃς καθ' σεαυτόν, "οὐδὲν πείσῃ τοιοῦτον· ἂν δὲ ἱερεὺς ὤν, ἀπώλεσας. ἐννόησον ὅσα ὑπέμεινεν, ὅσα ἐφιλοσόφησεν ὁ Μωϋσῆς, ὅσα ἐπεδείξατο ἀγαθά· καὶ ἵνα ἥμαρτεν ἁμάρτημα μόνον, ἐκολάζετο πικρῶς· εἰκότως. μετὰ γὰρ τῆς τῶν ἄλλων ζημίας τοῦτο γέγονεν· ὥστε καὶ πικρότερον ἐκολάζετο, οὐ τῷ φανερὸν γενέσθαι, ἀλλὰ καὶ τῷ ἱερέως εἶναι τὸ ἁμάρτημα. οὐ τὴν αὐτὴν γὰρ τιμωρίαν δίδομεν τῶν τε φανερῶν καὶ τῶν λάθρα ἁμαρτανομένων. ἡ μὲν γὰρ ἁμαρτία, ἡ αὐτή· ἡ δὲ ζη-

* ἑαυτὸν

χ. σείεται

χ. ἔτι

χ. καὶ δεῖ

α. Τιμ. γ. β. Τιτ. α. θ.

χ. καὶ πάλιν

χ. οὐδὲν μέγα πείσῃ, οὐδὲ τοιοῦτον·

ἕως τῆς ἡμέρας, φησὶν, ἧς ἀνελήφθη ἀφ' ἡμῶν, μάρτυρα τῆς ἀναστάσεως αὐτοῦ σὺν ἡμῖν γενέσθαι ἕνα τούτων. οὐκ εἶπε τῶν ἄλλων μάρτυρα, ἀλλὰ τῆς ἀναστάσεως μόνης μάρτυρα. καὶ γὰρ ἀξιοπιστότερος ἦν ὁ δυνάμενος εἰπεῖν, ὅτι ἐκεῖνος ὁ φαγὼν καὶ πιὼν καὶ σταυρωθεὶς, αὐτὸς ἀνέστη. ὥστε οὐ τῶν περὶ τοῦ χρόνου, οὔτε τῶν μετὰ ταῦτα ἔδει μάρτυρα εἶναι μόνον, καὶ τῶν σημείων. τὸ γὰρ ζητούμενον τοῦτο ἦν, ἡ ἀνάστασις· ἐπεὶ ἐκεῖνα δῆλα ἦν καὶ ὡμολογημένα· αὕτη δὲ λάθρα γέγονε, καὶ τούτοις μόνοις ἦν δήλη. καὶ οὐ λέγουσιν, ὅτι ἄγγελοι εἶπον ἡμῖν· ἀλλ', ὅτι ἑωράκαμεν ἡμεῖς. [πόθεν δῆλον; ἐξ ὧν θαυματουργοῦμεν.] διὰ τοῦτο μάλιστα τότε αὐτοὺς ἀξιοπίστους ἔδει εἶναι. καὶ ἔστησαν, φησὶ, δύο. διὰ τί μὴ πολλούς; ἵνα μὴ μείζων ἡ ἀθυμία γένηται, μηδὲ εἰς πολλοὺς τὸ πρᾶγμα παρέλθῃ. οὐχ ἁπλῶς δὲ προστίθησιν ἐκεῖνον· ἀλλὰ δείκνυσιν ὅτι πολλάκις ὁ παρὰ ἀνθρώποις τίμιος, παρὰ τῷ Θεῷ ἐλάττων ἐστί. καὶ κοινῇ δὲ πάντες εὔχονται λέγοντες· σὺ Κύριε καρδιογνῶστα πάντων ἀνάδειξον. σὺ, μὴ ἡμεῖς. καὶ εὐκαίρως καρδιογνώστην καλοῦσιν. ἀπὸ γὰρ τούτου αἱρεθῆναι ἐχρῆν, [οὐχὶ τῶν ἔξωθεν.] οὕτως ἐθάῤῥουν, ὅτι πάντως ἕνα δεῖ γενέσθαι. καὶ οὐκ εἶπον, ἔκλεξαι· ἀλλὰ, ἀνάδειξον τὸν ἐκλελεγμένον, φησὶν, ὃν ἐξελέξω· εἰδότες πάντα προωρίσθαι τῷ Θεῷ. ἐκ τούτων τῶν δύο ἕνα λαβεῖν τὸν κλῆρον τῆς διακονίας ταύτης καὶ ἀποστολῆς. ἦν γὰρ καὶ ἄλλη διακονία. καὶ ἔδωκαν αὐτοῖς κλήρους. οὔπω γὰρ ἑαυτοὺς ἀξίους ἡγοῦντο εἶναι τοῦ δι' ἑαυτῶν ἐκλέγεσθαι· ἵνα ὥστε διά τινος σημείου μαθεῖν ἐφίενται. ἄλλως δὲ, εἰ ἔνθα οὔτε εὐχὴ, οὔτε ἀξιόλογοι ἄνδρες, κλῆρος τοσοῦτον ἴσχυσε διὰ τὸ ἐξ ὀρθῆς γενέσθαι γνώμης ἐπὶ τοῦ Ἰωνᾶ· πολλῷ μᾶλλον ἐνταῦθα ἐπλήρωσε τὸν χορὸν, ἀπήρτισε τὴν τάξιν. ἀλλ' ὁ ἕτερος οὐκ ἤλγησεν. οὐ γὰρ ἂν ἀπέκρυψαν τὰ οἰκεῖα ἐλαττώματα οἱ ἀπόστολοι, οἵγε περὶ αὐτῶν τῶν κορυφαίων εἰπόντες, ὅτι ἠγανάκτησαν ἀλλαχοῦ· καὶ οὐχ ἅπαξ, ἀλλὰ καὶ δὶς, καὶ πολλάκις.

γρ. προτίθησι

Ιων. α. ζ.

ΗΘΙΚΟΝ

Τούτους οὖν καὶ ἡμεῖς μιμησώμεθα. οὐκέτι μοι πρὸς πάντας ὁ λόγος, ἀλλὰ πρὸς τοὺς ἀρχῆς ἐφιεμένους. εἰ πιστεύεις, ὅτι Θεοῦ ἐστιν ἐκλογὴ, μὴ ἀγανάκτει. ἐκείνῳ γὰρ ἀγανακτεῖς, καὶ πρὸς ἐκεῖνον παροξύνῃ· ἐκεῖνός ἐστιν ὁ ἐκλεξάμενος. εἰ δὲ αὐτὸς μὲν ἐξελέξατο, σὺ δὲ πολεμᾷς τούτῳ τῷ ἀγανακτεῖν, ταὐτὸν ποιεῖς, οἷον ὁ Κάϊν. δέον γὰρ ἀποδέξασθαι, ὁ δὲ ὅτι προετιμήθη ἡ θυσία τοῦ ἀδελφοῦ, ἐλυπήθη, ἠγανάκτησε, δέον κατανυγῆναι. ἐγὼ δὲ οὐ τοῦτο λέγω· ἀλλ' ὅτι συμφερόντως οἶδεν οἰκονομεῖν ὁ Θεός. πολλάκις γὰρ τὸ μὲν ἦθος ἐπιεικέστερος σὺ, οὐκ ἐπιτήδειος δέ· πάλιν ἐστί σοι μὲν βίος ἄληπτος, καὶ ἦθος ἐλευθέριον, ἐν δὲ ἐκκλησίᾳ οὐ τούτων δεῖ μόνον. ἄλλως δὲ, καὶ ἄλλος πρὸς ἄλλο ἁρμόδιός ἐστιν. οὐχ ὁρᾷς ὅσον ὑπὲρ τούτων πεποίηται λόγον ἡ θεία γραφή; ἀλλ' εἴπω τίνος ἕνεκεν περιμάχητον τὸ πρᾶγμα γέγονεν. ὅτι οὐχ ὡς ἐπὶ ἀρχὴν καὶ προστασίαν ἀδελφῶν ἐρχόμεθα, ἀλλ' ὡς ἐπὶ τιμὴν καὶ ἀνάπαυσιν. εἰ γὰρ ᾔδεις, ὅτι πάντων ὀφείλεις εἶναι ἐπίσκοπος, τὰ πάντων βάρη βαστάζων, ὅτι τοῖς μὲν ἄλλοις ὀργιζομένοις συγγνώμη, αὐτῷ δὲ οὐδαμοῦ, ὅτι τοῖς ἄλλοις ἁμαρτάνουσι παραίτησις πολλὴ, αὐτῷ δὲ οὐκέτι, οὐκ ἂν ἐσπούδασας ἐπὶ τὴν ἀρχὴν, οὐκ ἂν ἔδραμες. καὶ γὰρ οὗτος τοῖς ἁπάντων ὑπόκειται στόμασι, ταῖς ἁπάντων κρίσεσι, καὶ σοφῶν καὶ ἀσόφων, φροντίσι καθ' ἑκάστην κόπτεται τὴν ἡμέραν, καθ' ἑκάστην τὴν νύκτα· πολλοὺς ἔχει τοὺς μισοῦντας, πολλοὺς ἔχει τοὺς διαφθονουμένους. μὴ γάρ μοι περὶ ἐκείνων εἴπῃς τῶν πάντα χαριζομένων, τῶν καθεύδειν βουλομένων, τῶν ὡς ἐπὶ ἀνάπαυσιν εἰς τὸ πρᾶγμα ἐρχομένων. οὐ περὶ τούτων ὁ λόγος, ἀλλὰ περὶ ἐκείνων τῶν ἀγρυπνούντων ὑπὲρ τῶν ψυχῶν ὑμῶν, τῶν τῆς οἰκείας σωτηρίας τὴν τῶν ἀρχομένων προτιθέντων. εἰπέ μοι· εἰ δέκα τις παῖδας ἔχων ὑποχειρίους συνοικοῦντας αὐτῷ διὰ παντὸς, ἀδιαλείπτως αὐτῶν ἀναγκάζεται φροντίζειν· τοσούτους ἔχων τοὺς οὐχ ὑποχειρίους, οὐ συνοικοῦντας, ἀλλ' ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ τὴν ὑπακοὴν ἔχοντας, τί οὐκ ὀφείλει γενέσθαι; ἀλλὰ τιμᾶται, φησί. ποία τιμή; ὁ πένης

γρ. ἦ

γρ. εἰπὲ

γρ. πάντα

τριωβολιμαῖοι

πεπλανημένους? — πληροῦσα. ὡς ἑκατὸν εἴκοσι ἦσαν, φησίν. τάχα τοὺς ἑβδομήκοντα ἴσως, οὓς αὐτὸς ἐξελέξατο, καὶ ἄλλους τῶν σπουδαιοτέρων, οἷον ὁ Ἰωσὴφ καὶ ὁ Ματθίας. καὶ γυναῖκες ἦσαν πολλαί, αἳ ἠκολούθουν αὐτῷ· ἐπεὶ τὸ αὐτὸ πανταχοῦ ἦσαν. αὕτη ἡ πρόνοια διδασκάλου. πρῶτος οὗτος διδάσκαλον καθίστησιν. οὐκ εἶπεν, ὅτι ἀρκούμεθα ἡμεῖς. οὕτω πάσης κενοδοξίας ἐκτὸς ἦν, καὶ πρὸς ἓν ἑώρα μόνον· καίτοι οὐδὲ ἰσότυπον ἅπασιν εἶχε τὴν κατάστασιν. ἀλλ' εἰκότως ταῦτα ἐγίνετο διὰ τὴν ἀρετὴν τοῦ ἀνδρός· καὶ ὅτι τότε ἡ ἐπιστασία ἦν οὐ τιμή, ἀλλὰ πρόνοια τῶν ἀρχομένων. τοῦτο οὔτε τοὺς αἱρουμένους ἐποίει ἐπαίρεσθαι (ἐπὶ γὰρ κινδύνους ἐκαλοῦντο) οὔτε τοὺς μὴ αἱρεθέντας, ὡς ἀτιμασθέντας ἀλγεῖν. ἀλλ' οὐχὶ νῦν οὕτω γίνεται, ἀλλ' ἅπαν τοὐναντίον. ὅρα γάρ. ἑκατὸν εἴκοσι ἦσαν, καὶ ἕνα αἰτεῖ ἀπὸ παντὸς τοῦ πλήθους. εἰκότως πρῶτος τοῦ πράγματος αὐθεντεῖ· ἅτε γὰρ αὐτὸς πάντας ἐγχειρισθείς. πρὸς γὰρ τοῦτον εἶπεν ὁ Χριστός· Καὶ σύ ποτε ἐπιστρέψας στήριξον τοὺς ἀδελφούς σου. ὅτι κατηριθμημένος ἦν σὺν ἡμῖν, φησί. διὰ τοῦτο προσήκει ἕτερον προσβάλλεσθαι, ὥστε μάρτυρα γενέσθαι εἰς τὸν ἐκείνου τόπον. καὶ ὅρα πῶς τὸν διδάσκαλον μιμεῖται, πανταχοῦ ἀπὸ τῶν γραφῶν διαλεγόμενος, καὶ οὐδὲν περὶ τοῦ Χριστοῦ λέγων οὐδέπω, ὅτι προεῖπε πολλάκις αὐτός. καὶ οὐ λέγει, ἔνθα τῆς προδοσίας αὐτοῦ μέμνηται, οἷον, Στόμα ἁμαρτωλοῦ, καὶ στόμα δολίου ἐπ' ἐμὲ ἠνοίχθη· ἀλλ' ἔνθα τῆς τιμωρίας [αὐτοῦ] μόνον τὴν μνήμην ἐποιήσατο. τοῦτο γὰρ αὐτοὺς πῶς ὠφέλει. δείκνυσι πάλιν τοῦ δεσπότου τὴν φιλανθρωπίαν, ὅτι κατηριθμημένος ἦν, φησί, σὺν ἡμῖν, καὶ ἔλαχε τὸν κλῆρον τῆς διακονίας ταύτης. κλῆρον δὲ αὐτὸν πανταχοῦ καλεῖ, δεικνὺς τῆς τοῦ Θεοῦ χάριτος τὸ πᾶν ὂν καὶ τῆς ἐκλογῆς, καὶ ἀναμιμνήσκων αὐτοὺς τῶν παλαιῶν, ὅτι ὁ Θεὸς αὐτὸν ἐκληρώσατο, καθάπερ τοὺς Λευΐτας. καὶ ἐνδιατρίβει τοῖς περὶ αὐτοῦ, ὅτι ὁ τῆς προδοσίας μισθός, αὐτὸς καὶ τῆς τιμωρίας γέγονε κῆρυξ. ἐκτήσατο γάρ, φησί, χωρίον ἐκ μισθοῦ τῆς ἀδικίας. ὅρα πῶς Θεοῦ οἰκονομία τὸ γεγονὸς ἦν. τῆς ἀδικίας, φησί. πολλαὶ αἱ ἀδικίαι· ἀλλὰ ταύτης οὐδὲν ἀδικώτερον γέγονέ ποτε, ὥστε ἀδικίας ἦν τὸ πρᾶγμα. οὐχὶ δὲ μόνον τοῖς πράττουσι γέγονε δῆλον τὸ γενόμενον, ἀλλὰ καὶ πᾶσι τοῖς μετὰ ταῦτα. ὥστε ἄκοντες ὠνόμασαν, οὐκ εἰδότες, καθάπερ καὶ Καϊάφας προεφήτευσεν οὐκ εἰδώς. ὁ Θεὸς αὐτοὺς ἠνάγκασεν οὕτω καλέσαι Ἑβραϊστὶ Ἀκελδαμά. ἀπὸ τούτου καὶ τὰ Ἰουδαίοις ἐπιέναι μέλλοντα κακὰ δῆλα ἦν. καὶ δείκνυσι πῶς τὴν πρόῤῥησιν ἐξελθοῦσαν ἐκ μέρους τὴν λέγουσαν· Καλὸν ἦν αὐτῷ, εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος. καὶ περὶ τῶν Ἰουδαίων τὰ αὐτὰ ἁρμόζει λέγειν. εἰ γὰρ ὁ γενόμενος ὁδηγός, πολλῷ μᾶλλον καὶ οὗτοι. ἀλλ' οὐδὲν τέως τοῦτο λέγει πω. εἶτα δείκνυσιν ὅτι περὶ αὐτοῦ εἰκότως ἂν λέγοιτο Ἀκελδαμά, ἐπάγει τὴν προφητείαν λέγουσαν, Γενηθήτω ἡ ἔπαυλις αὐτοῦ ἔρημος. τί γὰρ ἐρημότερον τοῦ τάφον γενέσθαι; ὥστε καὶ εἰκότως ἂν αὐτοῦ κληθείη τὸ χωρίον. ὁ γὰρ τὸ τίμημα καταβαλών, εἰ καὶ ἕτεροι τὸ ἠγορακότες εἶεν, αὐτὸς ἂν εἴη δίκαιος λογίζεσθαι κύριος ἐρημώσεως μεγάλης. αὕτη ἡ ἐρήμωσις προοίμιον τῆς Ἰουδαϊκῆς, εἴγε τις ἀκριβῶς ἐξετάσειε. καὶ γὰρ ἐκεῖνοι ἑαυτοὺς ἀνεῖλον λιμῷ, καὶ πολλοὺς ἀπέκτειναν, καὶ τάφος γέγονεν ἡ πόλις τῶν ξένων, τῶν στρατιωτῶν. ἐκείνους γὰρ οὐδ' ἂν εἴασαν ταφῆναι. οὐδὲ γὰρ ταφῆς κατηξιώθησαν. δεῖ οὖν τῶν συνελθόντων ἡμῖν, φησίν, ἀνδρῶν. ὅρα πῶς βούλεται αὐτόπτας αὐτοὺς εἶναι· καίτοιγε ἔμελλε παρέσεσθαι τὸ πνεῦμα, ἀλλ' ὅμως πολλὴ σπουδὴ περὶ τούτου ἦν. τῶν συνελθόντων ἡμῖν ἀνδρῶν, φησίν, ἐν παντὶ χρόνῳ, ἐν ᾧ εἰσῆλθε καὶ ἐξῆλθεν ἐφ' ἡμᾶς ὁ Κύριος Ἰησοῦς. δείκνυσιν αὐτοὺς συνῳκηκότας αὐτῷ, οὐχ ἁπλῶς ὡς μαθητὰς παρόντας. ἄρα καὶ ἐξ ἀρχῆς τότε πολλοὶ παρηκολούθουν αὐτῷ. ὅρα γοῦν ὅταν λέγῃ· Ἦν εἷς ἐκ τῶν δύο τῶν ἀκουσάντων παρὰ Ἰωάννου, καὶ ἀκολουθησάντων τῷ Ἰησοῦ. ἐν παντὶ χρόνῳ, φησίν, ἐν ᾧ εἰσῆλθε καὶ ἐξῆλθεν ἐφ' ἡμᾶς ὁ Κύριος Ἰησοῦς, ἀρξάμενος ἀπὸ τοῦ βαπτίσματος Ἰωάννου. καλῶς. τὰ γὰρ πρὸ τούτου οὐδεὶς ἤδει μαθών· ἀλλὰ πνεύματι ἐμάνθανον.

γ. καίτοι γε ἰσότιμον

γ. εἰκότως, ὡς ἅτε αὐτὸς ἐγχειρισθεὶς. πρὸς

Λουκ. κβ. λβ.

Ψαλ. ρη. β.

γ. μάλιστα

Ματθ. κϛ. κδ.

γ. ἐκάλεσεν

Ιωαν. α. λζ.

τούς τε γνωρίμους αἰδεσίμους ποιῶν, καὶ αὐτὸς ἀπαλλαττόμενος ἀπεχθείας τῆς πρὸς τοὺς ἄλλους. μεγάλα γὰρ ἀεὶ τὰ τοιαῦτα ἐργάζεται κακά. ὅτι μὲν οὖν ἔδει γενέσθαι, τὸν προφήτην παρήγαγε μάρτυρα· ἐκ τίνων δὲ δεῖ, αὐτὸς ἑρμηνεύει λέγων· ἐκ τῶν συνελθόντων ἡμῖν ἐν παντὶ χρόνῳ. εἰ μὲν γὰρ εἶπε, τοὺς ἐπιεικεῖς δεῖ προφέρεσθαι, ἰδοὺ ἄλλους ἂν ὕβρισε· νῦν δὲ τῷ χρόνῳ τὸ πρᾶγμα ἐπέτρεψεν, οὐχ ἁπλῶς συνελθόντας εἰπὼν, ἀλλ' ἐν παντὶ χρόνῳ, Ἐν ᾧ εἰσῆλθε καὶ ἐξῆλθεν ἐφ' ἡμᾶς ὁ Κύριος Ἰησοῦς,

22 Ἀρξάμενος ἀπὸ τοῦ βαπτίσματος Ἰωάννου, ἕως τῆς ἡμέρας, ἧς ἀνελήφθη ἀφ' ἡμῶν, μάρτυρα τῆς ἀναστάσεως αὐτοῦ σὺν ἡμῖν γενέσθαι ἕνα τούτων. Ἵνα τί γένηται; ἵνα μὴ ἠκρωτηριασμένος ὁ χορὸς εἴη. τί οὖν; ἐλέσθαι [τῷ Πέτρῳ] αὐτὸν οὐκ ἐνῆν; καὶ πάνυ γε· ἀλλ' ἵνα μὴ δόξῃ χαρίζεσθαι, τοῦτο οὐ ποιεῖ· ἄλλως δὲ, καὶ πνεύματος ἄμοιρος ἦν ἔτι.

χ. τί οὖν; ἵνα γένηται; αἰτιῶν ἐλέσθαι οὐκ ἐξῆν; ἵνα μὴ δόξῃ χαρίζεσθαι· ἄλλως

23 Καὶ ἔστησαν, φησὶ, δύο, Ἰωσὴφ τὸν καλούμενον Βαρσαβᾶν, ὃς ἐπεκλήθη Ἰοῦστος, καὶ Ματθίαν.

Οὐχὶ αὐτὸς αὐτοὺς ἔστησεν, ἀλλὰ πάντες. τὴν γνώμην δὲ αὐτὸς εἰσηγήσατο, δείξας οὐδὲ αὐτὴν αὐτοῦ οὖσαν, ἀλλ' ἄνωθεν κατὰ προφητείαν· ὥστε ἐξηγητὴς γέγονεν, οὐ διδάσκαλος. Ἰωσὴφ, φησὶ, τὸν καλούμενον Βαρσαβᾶν, ὃς ἐπεκλήθη Ἰοῦστος. ἴσως διὰ τὰς ὁμωνυμίας ἀμφότερα τίθησιν. ἐπεὶ καὶ ἐν τοῖς ἀποστόλοις πολλαὶ ὁμωνυμίαι ἦσαν· Ἰάκωβος ὁ Ζεβεδαίου, Ἰάκωβος ὁ τοῦ Ἀλφαίου· Σίμων Πέτρος, Σίμων ὁ Ζηλωτής· Ἰούδας Ἰακώβου, καὶ Ἰούδας ὁ Ἰσκαριώτης. ἄλλως δὲ καὶ μεταβολῆς βίου. ἴσως δὲ καὶ προαιρέσεως ἦν τὰ ὀνόματα. ἔστησαν, φησὶν, Ἰωσὴφ τὸν καλούμενον Βαρσαβᾶν, ὃς ἐπεκλήθη Ἰοῦστος, καὶ Ματθίαν,

χ. ἐξῆν μέν· ἀλλ' ἵνα ἰδιάζειν, ἵνα μὴ δο. χ. ἄλλως

24 Καὶ προσευξάμενοι εἶπον· σὺ Κύριε καρδιογνῶστα πάντων, ἀνάδειξον ὃν ἐξελέξω ἐκ τούτων τῶν δύο ἕνα,

25 Λαβεῖν τὸν κλῆρον τῆς διακονίας ταύτης καὶ ἀποστολῆς, ἐξ ἧς παρέβη Ἰούδας πορευθῆναι εἰς τὸν τόπον τὸν ἴδιον. Καλῶς λέγουσιν ἐκείνου τὸ ἁμάρτημα, δεικνύντες ὅτι μάρτυρα αἰτοῦσιν, οὐ πλεονάζοντες τὸν ἀριθμὸν, ἀλλ' ἐλαττωθῆναι οὐκ ἐῶντες.

χ. δεικνύντες

26 Καὶ ἔδωκαν κλήρους αὐτῶν (οὐδέπω γὰρ πνεῦμα ἦν) καὶ ὁ κλῆρος ἐπὶ Ματθίαν ἔπεσε· καὶ συγκατεψηφίσθη μετὰ τῶν ἕνδεκα ἀποστόλων. Τότε, φησὶν, ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ ἀπὸ ὄρους τοῦ καλουμένου Ἐλαιῶνος· ὅ ἐστιν ἐγγὺς Ἱερουσαλὴμ σαββάτου ἔχον ὁδόν. τοῦτό φησιν, ἵνα δείξῃ ὅτι μακρὰν οὐ βαδίζουσιν ὁδὸν, ὡς φόβου τινὰ μὴ γενέσθαι, τέως ἔτι καὶ δεδοικόσιν αὐτοῖς. καὶ ὅτε εἰσῆλθον, ἀνέβησαν εἰς τὸ ὑπερῷον. οὐκ ἐτόλμησαν γὰρ φαίνεσθαι ἐπὶ τῆς πόλεως. καὶ καλῶς εἰς τὸ ὑπερῷον ἀνέβησαν, ὥστε μὴ εἶναι εὔκολον ἐκ τοῦ ἑτοίμου συλληφθῆναι αὐτούς. καὶ ἦσαν, φησὶ, προσκαρτεροῦντες ὁμοθυμαδὸν τῇ προσευχῇ. ὁρᾷς πῶς ἐγρηγορότες ἦσαν, τῇ προσευχῇ προσκαρτεροῦντες, καὶ ὁμοθυμαδὸν ὥσπερ ἐκ μιᾶς ψυχῆς προσκαρτεροῦντες; δύο αὐτοῖς μαρτυρεῖ. ὁ μὲν οὖν Ἰωσὴφ ἴσως τετελευτηκὼς ἦν. οὐ γὰρ ἂν, τῶν ἀδελφῶν πιστευσάντων, ἐκεῖνος οὐκ ἐπίστευσεν, ὁ πρὸ πάντων πιστεύσας. ἀμέλει γοῦν ἁπλῶς οὐδὲ φαίνεται οὐδαμοῦ ὡς ἀνθρώπῳ προσέχων, καθάπερ ἡ μήτηρ ἔλεγεν· Ἐγὼ καὶ ὁ πατήρ σου ὀδυνώμενοι ἐζητοῦμέν σε. ὥστε πρὸ πάντων αὐτὸς ἔγνω τοῦτον. πρὸς δὲ τοὺς ἀδελφοὺς ἔλεγεν ὁ Χριστός· Οὐ δύναται ὁ κόσμος ὑμᾶς μισεῖν, ἐμὲ δὲ μισεῖ. καὶ ὅρα τὴν ἐπιείκειαν Ἰακώβου. αὐτὸς ἔλαβε τὴν ἐπισκοπὴν τὴν ἐν Ἱεροσολύμοις, καὶ ὅμως τότε οὐδὲν διαλέγεται. ὅρα δὲ καὶ τῶν ἄλλων μαθητῶν τὴν [πολλὴν] ταπεινοφροσύνην, πῶς αὐτῷ συγχωροῦσι τοῦ θρόνου, καὶ οὐκέτι ἀμφισβητοῦσι πρὸς ἀλλήλους. ὥσπερ γὰρ ἐν οὐρανῷ ἡ ἐκκλησία ἐκείνη ἦν, οὐδὲν ἔχουσα βιωτικὸν, οὐ τοίχοις, οὐδὲ μαρμάροις, ἀλλὰ προθυμίᾳ τῶν συνιόντων ἀπολάμπουσα.

Λουκ. β. μη. Ἰωάν. ζ. ζ.

χ. καὶ αὐτῶν τῶν ἀποστόλων τὴν πολλὴν ἐπιείκειαν. πῶς χωροῦσι

τὸν αὐτὸν λέγει· ἄνδρες, φησὶν, ἀδελφοί. Εἰ γὰρ αὐτὸς ὁ Κύριος ἀδελφοὺς αὐτοὺς ἐκάλεσε, πολλῷ μᾶλλον οὗτος. διὸ καὶ πάντων παρόντων τοῦτο διαφωνεῖ. ἰδοὺ ἐκκλησίας ἀξίωμα, καὶ ἀγγελικὴ κατάστασις. οὐδεὶς τότε ἐκεῖ [" διερρηγμένος ] οὐκ ἄῤῥεν, οὔτε θῆλυ. τοιαύτας βούλομαι τὰς ἐκκλησίας εἶναι καὶ νῦν. οὐδεὶς βιωτικὸν τι ἐφρόντιζεν, οὐδεὶς περὶ οἰκίας ἐμεριμνα. πόσοι ἀγαθοὶ οἱ πειρασμοί. τοιοῦτοι αἱ θλίψεις καλοί. ἔδει πληρωθῆναι, φησὶ, τὴν γραφὴν ταύτην, ἣν προεῖπε τὸ πνεῦμα τὸ ἅγιον. ἀεὶ παραμυθεῖται αὐτοὺς ἀπὸ τῆς προῤῥήσεως. οὕτω καὶ ὁ Χριστὸς πανταχοῦ ποιεῖ. τὸ αὐτὸν δὲ τόπον καὶ οὗτος διήγεται, ὅτι οὐδὲν ξένον γέγονεν, ἀλλὰ τὸ ἤδη προειρημένον. ἔδει, φησὶ, πληρωθῆναι τὴν γραφὴν ταύτην, ἣν προεῖπε τὸ πνεῦμα τὸ ἅγιον διὰ στόματος Δαβίδ. καὶ οὐ λέγει, Δαβὶδ εἶπεν, ἀλλὰ, τὸ πνεῦμα δι' αὐτοῦ. ὅρα ἀληθῶς ἐν προοιμίοις τοῦ βιβλίου ὁποία κέχρηται διδασκαλία. ὁρᾷς ὅτι οὐχ ἁπλῶς εἶπον ἀρχόμενος τῆς συγγραφῆς ταύτης, ὅτι τοῦ πνεύματός ἐστι πολιτεία τὸ βιβλίον τοῦτο; ἣν προεῖπε, φησὶ, τὸ πνεῦμα τὸ ἅγιον διὰ στόματος Δαβίδ. σκόπει πῶς τὸν προφήτην οἰκειοῦται, καὶ αὐτὸν ἄγει εἰς μέσον, εἰδὼς ὅτι αὐτοὺς ὠφελεῖ τὸ διὰ Δαβὶδ εἰρῆσθαι, καὶ μὴ δι' ἄλλου προφήτου. Περὶ Ἰούδα, φησὶ, τοῦ ὁδηγοῦ γενομένου. Ὅρα καὶ ἐνταῦθα τὸ φιλόσοφον τοῦ ἀνδρός· πῶς οὐχ ὑβρίζει, οὐδὲ ἐκβάλλεται, λέγων, τοῦ μιαροῦ καὶ παμμιάρου· ἀλλ' ἁπλῶς τὸ γενόμενον δηλοῖ. καὶ οὐδὲ λέγει, τοῦ προδόντος, ἀλλ' ἐφ' ἑτέρους βιάζεται μεταθεῖναι τὸ ἔγκλημα, ὅσον εἰς αὐτὸν ἧκε. καὶ οὐδὲ ἐκείνων σφόδρα καθάπτεται. τοῦ γενομένου, φησὶν, ὁδηγοῦ τοῖς συλλαβοῦσι τὸν Ἰησοῦν. καὶ πρὶν ἢ εἰπεῖν, ποῦ εἶπε Δαβὶδ, λέγει τὰ πεπραγμένα αὐτῷ, ἵνα ἀπὸ τῶν προόντων καὶ τὰ μέλλοντα πιστώσηται, καὶ δείξῃ ἤδη δεδωκότα δίκην.

17 Ὅτι κατηριθμημένος ἦν, φησὶ, σὺν ἡμῖν, καὶ ἔλαχε τὸν κλῆρον τῆς διακονίας ταύτης.

18 Οὗτος μὲν οὖν ἐκτήσατο χωρίον ἐκ μισθοῦ τῆς ἀδικίας.

Ἠθικὸν ποιεῖ τὸν λόγον, καὶ λανθανόντως τὴν αἰτίαν παιδεῦσαι ἠβουλήθη ἀπαλλάξαι. οὐ λέγει γὰρ, ὅτι οἱ Ἰουδαῖοι· ἀλλ' οὗτος αὐτὸ ἐκτήσατο. ἐπειδὴ γὰρ αἱ ψυχαὶ τῶν ἀσθενῶν οὐχ οὕτω πρὸς τὰ μέλλοντα ὁρῶσιν, ὡς πρὸς τὰ παρόντα, περὶ τῆς παρούσης δίκης διαλέγεται. Καὶ πρηνὴς γενόμενος, φησὶν, ἐλάκησε μέσος. Καλῶς οὐκ ἐν τῷ αὐχένι, ἀλλ' ἐν τῇ γαστρὶ τὸν λόγον ἐτήρε. Καὶ ἐξεχύθη, φησὶ, πάντα τὰ σπλάγχνα αὐτοῦ. Τοῦτο παραμυθίαν ἐκείνοις ἔφερε.

19 Καὶ γνωστὸν ἐγένετο πᾶσι τοῖς κατοικοῦσιν Ἱερουσαλὴμ, ὥστε κληθῆναι τὸ χωρίον ἐκεῖνο τῇ ἰδίᾳ διαλέκτῳ αὐτῶν, Ἀκελδαμὰ, τουτέστι, χωρίον αἵματος. Οἱ μὲν οὖν Ἰουδαῖοι ταύτῃ τῇ προσηγορίᾳ ἐκάλεσαν αὐτὸ, οὐ διὰ τοῦτο, ἀλλὰ διὰ τὸν Ἰούδαν· οὗτος δὲ εἰς τοῦτο αὐτὸ μετήγαγε, καὶ μάρτυρας αὐτοὺς ἐχθροὺς φέρων. Τί γὰρ εἶπεν, ὅτι ὠνόμασαν, καὶ τί ἐπάγει, τῇ ἰδίᾳ διαλέκτῳ αὐτῶν, τοῦτο δηλοῦν βούλεται. Εἶτα μετὰ τὴν ἔκβασιν οἰκείως ἐπισάγει τὸν προφήτην λέγων·

20 Γέγραπται γὰρ ἐν βίβλῳ ψαλμῶν· Γενηθήτω ἡ ἔπαυλις αὐτοῦ ἔρημος, καὶ μὴ ἔστω ὁ κατοικῶν ἐν αὐτῇ. Ψαλ. ξη. κε. Τοῦτο περὶ τοῦ χωρίου καὶ τῆς οἰκίας. Καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λαβέτω ἕτερος· Ψαλ. ρη. η. Τουτέστι, τὴν ἀρχὴν, τὴν ἱερωσύνην. ὥστε οὐκ ἐμὴ γνώμη τοῦτο τυγχάνει, ἀλλ' ἐκείνου τοῦ ταῦτα προειρηκότος. ἵνα γὰρ μὴ δόξῃ μεγάλῳ πράγματι ἐπιχειρεῖν, καὶ τοιούτῳ οἷον ὁ Χριστὸς, ἐπήγαγε μάρτυρα τὸν προφήτην.

21. Δεῖ οὖν, φησὶ, τῶν συνελθόντων ἡμῖν ἀνδρῶν ἐν παντὶ χρόνῳ. Διατί κοινοῦται αὐτοῖς; ἵνα μὴ περιμάχητον τὸ πρᾶγμα γένηται, καὶ εἰς φιλονεικίαν ἐμπέσωσιν. Εἰ γὰρ αὐτοὶ τοῦτο ἔπαθον, πολλῷ μᾶλλον ἐκεῖνοι· καὶ ἀεὶ τοῦτο παραιτεῖται. διὰ τοῦτο ἀρχόμενος ἔλεγεν· ἄνδρες ἀδελφοὶ, δεῖ ἐκλέξασθαι ἐξ ἡμῶν. τῷ πλήθει τὴν κρίσιν ἐπιτρέπει,

τοῦτο

Digitized by Google

Marginalia: χ. ἐπειδὰν ἑτέρους διαλεχθῇ. — χ. οὐδὲ λέγει τοῦ — χ. ἰδίαν — χ. καὶ διὰ τί ὠνόμασαν, καὶ τί εἶπεν, τῇ

περιπατῶμεν ἄξια ταύτης, ἵνα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. γ. 12 ΤΟΤΕ ΥΠΕΣΤΡΕΨΑΝ ΕΙΣ ΙΕΡΟΥΣΑΛΗΜ ἀπὸ ὄρους τοῦ καλουμένου Ἐλαιῶνος, ὅ ἐστιν ἐγγὺς Ἱερουσαλὴμ σαββάτου ἔχον ὁδόν.

Τότε, φησίν, ὑπέστρεψαν. πότε; ὅτε ἤκουσαν. οὐ γὰρ ἂν ἄλλως ἠνέσχοντο, εἰ μὴ ἑτέραν αὐτοῖς παρουσίαν ὑπέσχετο. δοκεῖ δέ μοι καὶ ἐν σαββάτῳ γεγενῆσθαι ταῦτα. οὐ γὰρ ἂν οὕτω καὶ τὸ διάστημα ἐδήλωσεν εἰπών, ἀπὸ ὄρους τοῦ καλουμένου Ἐλαιῶνος, ὅ ἐστιν ἐγγὺς Ἱερουσαλὴμ σαββάτου ἔχον ὁδόν, εἰ μὴ ὡρισμένον τι μῆκος ὁδοιπορίας ἐβάδιζον ἐν τῇ ἡμέρᾳ τοῦ σαββάτου.

γρ. εἰς ἑτέραν αὐτοῖς παρ. ὑπέσχετο.

13 Καὶ ὅτε εἰσῆλθον, φησίν, εἰς τὸ ὑπερῷον ἀνέβησαν, οὗ ἦσαν καταμένοντες.

Ἄρα λοιπὸν ἐν Ἱεροσολύμοις ἔμενον μετὰ τὴν ἀνάστασιν. Ὅ τε Πέτρος, φησί, καὶ Ἰάκωβος, καὶ Ἰωάννης. Οὐκέτι μετὰ τοῦ ἀδελφοῦ μόνον τοῦτον ἀριθμεῖται, ἀλλὰ καὶ Ἀνδρέας μετὰ Πέτρου. Καὶ Ἀνδρέας, φησί, Φίλιππος καὶ Θωμᾶς, Βαρθολομαῖος, καὶ Ματθαῖος, Ἰάκωβος Ἀλφαίου, καὶ Σίμων ὁ Ζηλωτής, καὶ Ἰούδας Ἰακώβου. Καλῶς ἐμνημόνευσε τῶν μαθητῶν. ἐπειδὴ γὰρ ὁ μὲν παρέδωκεν, ὁ δὲ ἠρνήσατο, ὁ δὲ ἠπίστησε, δείκνυσιν ὅτι πλὴν ἐκείνου πάντες ἦσαν σῶοι.

14 Οὗτοι πάντες ἦσαν προσκαρτεροῦντες, φησίν, ὁμοθυμαδὸν τῇ προσευχῇ, καὶ τῇ δεήσει σὺν ταῖς γυναιξί. Καλῶς. μέγα γὰρ τοῦτο ὅπλον ἐν τοῖς πειρασμοῖς, καὶ τοῦτο ἦσαν προπαιδευθέντες ἰσχυρῶς παρ' αὐτοῦ τοῦ διδασκάλου. ἄλλως δὲ καὶ ὁ παρὼν πειρασμὸς αὐτοὺς εἰς τοῦτο ἦγε· διὰ τοῦτο ἀναβαίνουσι καὶ εἰς τὸ ὑπερῷον. σφόδρα γὰρ ἐδεδοίκεσαν τοὺς Ἰουδαίους. σὺν γυναιξί, φησίν. εἶπε γάρ, ὅτι ἠκολούθησαν αὐτῷ.

γρ. [illegible]

Καὶ Μαρίᾳ τῇ μητρὶ τοῦ Ἰησοῦ, καὶ σὺν τοῖς ἀδελφοῖς αὐτοῦ. Πῶς οὖν λέγει, ὅτι εἰς τὰ ἴδια αὐτὴν ἔλαβε τότε ὁ μαθητής; ἀλλὰ συναγαγὼν πάλιν αὐτοὺς ὁ Χριστός, οὕτω λοιπὸν πάλιν αὐτοῖς καὶ ἐκείνη συνῆν. σὺν τοῖς ἀδελφοῖς αὐτοῦ. τούτους λέγει, οἳ ἀπιστοῦντες πρότερον ἦσαν.

Ματθ. κζ. νε. Ιωαν. ιθ. κε. Ιωαν. ιθ. κζ.

15 Καὶ ἐν ταῖς ἡμέραις ταύταις, φησίν, ἀναστὰς Πέτρος ἐν μέσῳ τῶν μαθητῶν εἶπε. Καὶ ὡς θερμός, καὶ ὡς ἐμπιστευθεὶς παρὰ τοῦ Χριστοῦ τὴν ποίμνην, καὶ ὡς τοῦ χοροῦ πρῶτος, ἀεὶ πρότερος ἄρχεται τοῦ λόγου. (Ἦν τε ὄχλος ὀνομάτων, φησίν, ἐπὶ τὸ αὐτό, ὡς ἑκατὸν εἴκοσι)

γρ. προτιμότερος ἀλλ. προτιμώμενος.

16 Ἄνδρες ἀδελφοί, φησίν, ἔδει πληρωθῆναι τὴν γραφὴν ταύτην, ἣν προεῖπε τὸ πνεῦμα τὸ ἅγιον. Τί δήποτε οὐ τὸν Χριστὸν ἠξίωσε [μόνος], ὥστε αὐτῷ δοῦναι εἰς τὸν τόπον Ἰούδα τινά; διὰ τί δὲ καὶ ἀφ' ἑαυτῶν οὐ ποιοῦνται τὴν ἐκλογήν; βελτίων γέγονε λοιπὸν ὁ Πέτρος αὐτὸς ἑαυτοῦ. τοῦτο τοίνυν ἔστιν εἰπεῖν περὶ τούτου. περὶ δὲ τοῦ μὴ ἁπλῶς, ἀλλ' ἐξ ἀποκαλύψεως αἰτεῖν τὸν τὴν χορείαν ἀναπληροῦντα, δύο αἰτίας ἐροῦμεν· μίαν μέν, ὅτι περὶ ἄλλα ἠσχόλουντο· δευτέραν δέ, ὅτι τοῦ παρεῖναι αὐτοῖς τὸν Χριστὸν τεκμήριον μέγιστον τοῦτο. καθάπερ γὰρ πρῶτον ἐξελέγετο, οὕτω καὶ νῦν ἀπών. οὐ μικρὸν δὲ τοῦτο εἰς παραμυθίαν. ὅρα δὲ αὐτὸν μετὰ κοινῆς πάντα ποιοῦντα γνώμης· οὐδὲν αὐθεντικῶς, οὐδὲν ἀρχικῶς. καὶ οὐκ εἶπεν οὕτως ἁπλῶς, ἀντὶ τοῦ Ἰούδα τοῦτον καταλεγόμεθα· ἀλλὰ παραμυθούμενος αὐτοὺς ὑπὲρ τοῦ γεγενημένου, βλέπε πῶς μεταχειρίζει τὸν λόγον. οὐ γὰρ μικρὰν ἀπορίαν ἐνεποίησε τὸ γεγονός. καὶ μὴ θαυμάσῃς. εἰ γὰρ νῦν τοῦτο πολλοὶ περιστρέφουσι, τί ποτε εἰκὸς

γρ. δὴ

γρ. ἀρχοντικῶς

γρ. ὅρα πῶς αὐτοὺς παραμυθεῖται

γρ. ποτε

ἐω

οὐχί; τί λέγω τοῦτο; ἀλλὰ καὶ τὰς ψυχὰς ἐκ τῆς οὐσίας αὐτοῦ εἶναι φασιν. ὅρα πόσα τὰ ἀσεβῆ καὶ ἀνόητα. πρῶτον, βουλόμενοι δεῖξαι ὅτι ἐκ τοῦ Θεοῦ τὰ κακά, ἕτερον τούτου ἀσεβέστερον ἐπεισάγουσιν. ὁμόχροια γὰρ αὐτῷ, καὶ οὐδὲν αὐτῶν πρεσβύτερον τὸν Θεὸν λέγουσι, τὸ γέρας τὸ μέγα καὶ αὐτοῖς διδόναι τολμῶντες. δεύτερον, καὶ ἀνώλεθρον τὴν κακίαν φασίν. οὐ γὰρ τὸ ἀγένητον ἀναιρεῖται. ὁρᾶτε τὴν βλασφημίαν; ὥστε ἀνάγκη, ἢ μηδὲν τοῦ Θεοῦ εἶναι, ἢ εἰ μὴ ταῦτα, καὶ Θεὸν μὴ εἶναι. τρίτον, ὅπερ ἔφην, ταύτῃ πολεμοῦσιν αὐτοὶ ἑαυτοῖς, καὶ πρὸς σταγανακτεῖν τὸν Θεὸν μᾶλλον παρασκευάζουσι. τέταρτον, τὴν ἄστατον ὕλην τοσαύτην ἐπιτηδειότητα ἔχειν διδόασι. πέμπτον, τῆς ἀγαθότητος τοῦ Θεοῦ τὴν πονηρίαν αἰτίαν φασὶ γεγενῆσθαι, καὶ ὅτι χωρὶς ταύτης ὁ ἀγαθὸς οὐκ ἦν ἀγαθός. ἕκτον, τὰς ὁδοὺς ἡμῖν ἀποκλείουσι τῆς θεογνωσίας. ἕβδομον, τὸν Θεὸν εἰς ἀνθρώπους κατάγουσι, καὶ φυτά, καὶ ξύλα. εἰ γὰρ ἡ μὲν ἡμετέρα ψυχὴ τῆς τοῦ Θεοῦ οὐσίας ἐστίν, ἡ δὲ μετενσωμάτωσις καὶ εἰς σικυοὺς καὶ πέπονας ἐμβαίνει καὶ κρόμμυα· ἄρα τοῦ Θεοῦ ἡ οὐσία εἰς σικυούς ἐστι. κἂν μὲν εἴπωμεν, ὅτι πνεῦμα ἅγιον τὸν ναὸν ἔπλασεν ἐν τῇ παρθένῳ, καταγελῶσιν· ἂν ὅτι ἐνῴκησεν ἐν τῷ πνευματικῷ ναῷ, πάλιν γελῶσιν· αὐτοὶ δὲ καὶ εἰς σικυούς, καὶ πέπονας, καὶ μυίας, καὶ κάμπας, καὶ ὄνους τοῦ Θεοῦ τὴν οὐσίαν κατάγοντες οὐκ αἰσχύνονται, καινόν τινα εἰδωλολατρείας ἐξευρίσκοντες τρόπον. μὴ γὰρ τὸ κρόμμυον ἔστω Θεὸς κατ' Αἰγυπτίους, ἀλλ' ὁ Θεὸς ἐν τῷ κρομμύῳ. τί φεύγεις τὴν μετενσωμάτωσιν τοῦ Θεοῦ; αἰσχρὸν ἐστί, φησιν. οὐκοῦν πολλῷ μᾶλλον τοῦτο αἰσχρόν. ἀλλ' οὐκ αἰσχρόν; πῶς; ὅπερ γὰρ ἂν εἰς ἡμᾶς γίνηται, οὕτως αἰσχρόν. εἶδές τι σύρφετον ἀσεβείας; ἀλλὰ διὰ τί οὐ βούλονται ἀνίστασθαι σῶμα; τί δὲ καὶ ἐροῦσιν; ὅτι τὸ σῶμα πονηρόν; πόθεν οὖν οἶδας, εἰπέ μοι, τὸν Θεόν; πόθεν ἔχεις τὴν τῶν ὄντων γνῶσιν; ὁ δὲ φιλόσοφος, πόθεν φιλόσοφος, εἰ μηδὲν συντελεῖ τὸ σῶμα; πήρωσον τὰς αἰσθήσεις, καὶ μάθε τι τῶν δεόντων. τί δὲ μωρότερον τῆς ψυχῆς γένοιτ' ἄν, εἰ ἐξ ἀρχῆς τὰς αἰσθήσεις εἴη πεπηρωμένη; εἰ γὰρ ἑνὸς μέρους μόνου πήρωσις, τοῦ ἐγκεφάλου λέγω, τοσαύτη αὐτῆς βλάβη γίνεται· εἰ μέλλοι καὶ τὰ ἄλλα* πεπηρῶσθαι, ποῦ χρήσιμος ἔσται; δεῖξόν μοι χωρὶς σώματος ψυχήν. οὐκ ἀκούεις ἰατρῶν λεγόντων, νόσος γὰρ προσοῦσα ἀνδρὸς ψυχὴν ἀμαυροῖ; μέχρι τίνος οὐκ ἀπάγξεσθε; τὸ σῶμα τῆς ὕλης ἐστίν, εἰπέ μοι; καλῶς. οὐκοῦν ἔδει μισεῖν αὐτό; τί τοίνυν αὐτὸ τρέφεις; τί θάλπεις; [οὐκοῦν ἔδει ἀναιρεῖν σαυτόν,] οὐκοῦν ἔδει ἀπαλλάττεσθαι τοῦ δεσμωτηρίου. ἄλλως δέ, ὁ Θεὸς οὐ δύναται περιγενέσθαι τῆς ὕλης, ἂν μὴ συμπλακῇ. ἐπιτάξαι γὰρ οὐ δύναται, ἕως ἂν συμπέσῃ αὐτῇ, καὶ δι' ὅλης σταθῇ, φησιν. ὢ τῆς ἀληθείας. καὶ βασιλεὺς μὲν ἐπιτάττων πάντα ποιεῖ· ὁ δὲ Θεὸς τοῖς πονηροῖς οὐκ ἐπιτάττων; ὅλως δὲ εἰ ἀγαθοῦ τινος ἄμοιρος ἦν, οὐκ ἂν ἔστη. οὐ γὰρ ἔχει φύσιν ἡ πονηρία συνίστασθαι, ἂν μή τινος ἐπιλάβηται τῆς ἀρετῆς. ὥστε εἰ παρὰ τοῦτο ἀμιγὴς ἦν ἀρετῆς, πάλαι ἂν διεφθάρη. καὶ γὰρ οὕτως ἔχει τὸν τρόπον τὰ κακά. ἔστω τις ἀσελγὴς καὶ μηδὲ ὅλως ἑαυτὸν κατεχέτω· εἰ ζήσεται δέκα ἡμέρας; ἔστω τις λῃστὴς καὶ πρὸς πάντας ἀσυνείδητος, ἔστω καὶ πρὸς τοὺς συλλῃστεύοντας· εἰ ζήσεται ὅλως; ἔστω τις κλέπτης ἀναίσχυντος, καὶ μὴ ἐρυθριάτω, ἀλλὰ δημοσίᾳ κλεπτέτω· εἰ βιώσεται ὁ τοιοῦτος; οὐκ ἔχει φύσιν τὰ κακὰ συνίστασθαι, ἂν μὴ καὶ μικρόν τι παρὰ τοῦ ἀγαθοῦ λάβῃ. ὥστε καὶ αὐτὸν ὁ Θεὸς αὐτὰ συνέστησεν. ἔστω πόλις ἀνδρῶν πονηρῶν, εἰ στήσεταί ποτε; πονηροὶ δὲ ἔστωσαν, μὴ πρὸς τοὺς ἀγαθούς, ἀλλὰ καὶ πρὸς ἑαυτούς. ἀλλ' οὐ δυνατὸν στῆναι. οὕτως ἐμωράνθησαν φάσκοντες εἶναι σοφοί. εἰ δὲ σῶμα κακόν, πάντα ἁπλῶς καὶ εἰκῆ τὰ ὁρώμενα, καὶ ὕδωρ, καὶ γῆ, καὶ ἥλιος, καὶ ἀήρ. καὶ γὰρ ἀὴρ σῶμα, εἰ καὶ μὴ [παχὺ καὶ] ναστόν. εὐκαίρως οὖν εἶπε· Διηγήσαντό μοι παράνομοι ἀδολεσχίας. ἀλλὰ μὴ αἰσχυνώμεθα, ἀλλ' ἀποτειχίσωμεν αὐτοῖς τὰς ἀκοάς. ἔστι γάρ, ἔστι σωμάτων ἀνάστασις. τοῦτο ὁ τάφος δηλοῖ ὁ ἐν Ἱεροσολύμοις· τοῦτο δὲ ξύλον, ἔνθα προσεδέθη καὶ ἐμαστιγώθη. Συνεφάγομεν γὰρ αὐτῷ, φησι, καὶ συνεπίομεν. πιστεύωμεν τοίνυν τῇ ἀναστάσει, καὶ προσέχωμεν.

Margin notes (left): χ. ὁμότιμα — χ. καὶ οὐδὲ αἰ. πρεσβύτερον τὸ γέρ. τὸ μ. αὐ. ἀποδιδόντες. — χ. ταύτῃ αὐτοὶ ἐκπολεμοῦσιν ἑαυτούς, καὶ πρὸς ἀγανάκτησιν παρασκευάζουσι — χ. ἄστατον — χ. ἐπὶ τὰ ἐδ. — χ. ἀλλ' ἢ τὸ κρόμμυον ἐν τῷ Θεῷ. — χ. πῶς γὰρ ὅπερ ἂν εἰς ἡμᾶς γένηται, τί δὲ σὺ ὄντως αἰσχρόν. ἐ. δ. — * μέρη

Margin references (right): Ρωμ. α. κβ. — Ψαλ. ριη. πε. — Πραξ. ι. μα.

Digitized by Google

κῆρυξ ἄγγελος γέγονε. εἰ καὶ οἱ προφῆται πολλαχοῦ προεῖπον, ὥσπερ καὶ περὶ τῆς ἀναστάσεως. πανταχοῦ ἄγγελοι γίνονται κήρυκες, ὡς ἐπὶ τῆς γεννήσεως· ὡς πρὸς τὴν Μαρίαν πάλιν· ὡς ἐπὶ τῆς ἀναστάσεως· οὕτω δὴ καὶ ἐπὶ τῆς ἀναλήψεως· μᾶλλον δὲ καὶ ἐπὶ τῆς δευτέρας παρουσίας ἄγγελοι φαίνονται προτρέχοντες. εἰπόντες δὲ, οὗτος ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν· ἵνα μὴ αὐτοὺς ἐξαπορήσωσιν, ἐπήγαγον· οὕτως ἐλεύσεται. ἀνέπτυξε μικρὸν (χ. διαπρῦσιν) ἀχνύσαντες, ὅτι πάλιν ἐλεύσεται, καὶ ὅτι οὕτω, καὶ οὐκ ἔσται ἀπρόσιτος. καὶ τὸ, ἀφ' ὑμῶν, δὲ οὐχ ἁπλῶς πρόσκειται, ἀλλὰ τῆς ἀγάπης ἐστὶ παραστατικὸν τῆς εἰς αὐτοὺς, καὶ τῆς ἐκλογῆς, καὶ ὅτι οὐκ ἀφήσει οὓς ἐξελέξατο. τῆς μὲν οὖν ἀναστάσεως καὶ αὐτὸς γέγονε μάρτυς (πάντων γὰρ τοῦτο θαυμασιώτερον ἦν μετὰ τὸν τόκον, μᾶλλον δὲ καὶ περὶ τοῦ τόκου, τὸ ἑαυτὸν ἀναστῆσαι. Λύσατε γάρ, φησι, τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγὼ ἐγερῶ αὐτόν) τῆς δὲ (Ἰωάν. β. ιθ.) μελλούσης παρουσίας οἱ ἄγγελοι, οὕτως ἐλεύσεται, λέγοντες.

ΗΘΙΚΟΝ

Εἴ τις τοίνυν ἐπιθυμεῖ τὸν Χριστὸν ἰδεῖν, εἴ τις ἀλγεῖ ὅτι οὐκ εἶδεν αὐτὸν, τοῦτο ἀκούσας, βίον θαυμαστὸν ἐπιδεικνύσθω, καὶ πάντως ὄψεται, καὶ οὐκ ἀποτεύξεται. μετὰ γὰρ πλείονος ἥξει δόξης, πλὴν οὕτω μετὰ νεφέλης, οὕτω μετὰ σώματος. καὶ πολλῷ θαυμασιώτερον ἰδεῖν αὐτὸν ἀπὸ τοῦ οὐρανοῦ καταβαίνοντα, ἢ ἀπὸ γῆς ἀναβαίνοντα. ὅτι μὲν οὖν ἥξει, εἶπεν· ἐπὶ τίνι δὲ, οὐκ ἔτι προσέθηκεν. τοῦτο τὴν ἀνάστασιν βεβαιοῖ. εἰ γὰρ μετὰ σώματος ἀνελήφθη, πολλῷ μᾶλλον μετὰ σώματος ἀνέστη. τίνες εἰσὶν οἱ διαπιστοῦντες τῇ ἀναστάσει; τίνες εἰσίν, εἰπέ μοι; ἕλληνες, ἢ χριστιανοί; (ἀγνοῶ γὰρ) μᾶλλον δὲ οἶδα ἀκριβῶς. ἕλληνες γάρ εἰσιν, οἱ καὶ τῇ δημιουργίᾳ τῆς κτίσεως διαπιστοῦντες. τοῦ γὰρ αὐτοῦ ἐστι μὴ συγχωρεῖν ἐξ οὐκ ὄντων ποιεῖν τι τῷ Θεῷ, καὶ τὰ κείμενα μὴ λέγειν αὐτὸν ἀνιστᾶν. εἶτα αἰσχυνόμενοι ὅτι οὐκ ἴσασι τὴν δύναμιν τοῦ Θεοῦ, ἵνα μὴ τοῦτο ἐγκαλῶνται, φασίν· οὐ διὰ τοῦτο (Ἠσ. λβ. ς.) ταῦτα λέγομεν· ἀλλ' ὅτι οὐ χρεία σώματος. δικαιότερον ἀληθῶς εἴποι· Ὁ γὰρ μωρὸς μωρὰ λαλήσει. οὐκ αἰσχύνεσθε ἐξ οὐκ ὄντων οὐδὲν διδόντες ποιεῖν τὸν Θεόν; εἰ δὲ ἐξ ὄντων ποιεῖ, τί διαφέρει τῶν ἀνθρώπων; ἀλλὰ πόθεν, φησί, τὰ κακά; μὴ γὰρ, ἐπειδὴ οὐκ οἶδας πόθεν, ἕτερον ὀφείλεις ἐπεισαγαγεῖν κακὸν ἐν τῇ γνώσει τῶν κακῶν; δύο γὰρ γίνεται ἄτοπα· εἰ γὰρ οὐ δίδως ἐξ οὐκ ὄντων τὰ ὄντα ποιεῖν τὸν Θεὸν, πολλῷ μᾶλλον οὐκ εἴσῃ πόθεν τὰ κακά. καὶ ἕτερον πάλιν ἐπεισάγεις κακὸν τῷ λέγειν ἀγέννητον εἶναι τὴν κακίαν. ἐννόησον δὲ ὅσον ἐστὶ χαλεπὸν βουλομένους εὑρεῖν τὴν πηγὴν τῶν κακῶν, ταύτην τε ἀγνοῆσαι, καὶ ἕτερον προσθεῖναι αὐτῇ. ζήτει πόθεν τὰ κακά, καὶ μὴ βλασφήμει τὸν Θεόν. καὶ πῶς βλασφημῶ, φησί; τί λέγεις; οὐ βλασφημεῖς ὅταν ἀγέννητον εἰσάγῃς τὸ κακόν; ὅταν ἴσον δύνασθαι τῷ Θεῷ (χ. ἕτερον προσθεῖναι αὐτῇ) συγχωρῇς; ὅταν ἰσοδύναμον εἰσάγῃς τῶν κακῶν; ὅταν ἀγέννητον; ὅρα γὰρ τί φησιν (Ῥωμ. α. κ.) ὁ Παῦλος. Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται. ὁ μέντοι διάβολος ἀμφότερα ἔφησεν εἶναι τῆς ὕλης, ἵνα μηδαμόθεν λοιπὸν τὸν Θεὸν ἐπιγνῶμεν. τί γὰρ δυσκολώτερον, εἰπέ μοι; τὸ φύσει κακὸν ποιῆσαι, εἴγε τί ἐστι (καθ' ὑμᾶς γὰρ λέγω· φύσει γὰρ οὐδέν ἐστι ποιῆσαι κακὸν καλοῦ συνεργόν) ἢ τὸ ἐξ οὐκ ὄντων; τί εὐκολώτερον (ὡς ἐπὶ ποιότητος λέγω) τῇ οὐκ οὔσῃ ποιότητα εἰσαγαγεῖν, ἢ τὴν οὖσαν μεταβαλεῖν εἰς τὸ ἐναντίον; τί εὐκολώτερον, τὴν οὐκ οὖσαν οἰκίαν ποιῆσαι, ἢ τὴν ἔρημον οὖσαν ἄνωθεν ἐργάσασθαι; δῆλον ὅτι ἐκεῖνο. οὐκοῦν τοῦτο ἀδύνατον. ὥσπερ οὖν τοῦτο ἀμήχανον, οὕτω καὶ ἐκεῖνο ἀδύνατον, εἰς τὸ ἐναντίον λέγω ἐνεργεῖν. εἰπέ μοι, τί δυσκολώτερον; μύρον κατασκευάσαι, ἢ τὸν βόρβορον βιάσασθαι τὰ τοῦ μύρου ἐργάσασθαι; τί εὐκολώτερον, εἰπέ μοι, τούτων; (ἐπειδὴ τοῖς ἡμετέροις λογισμοῖς τὸν Θεὸν ὑποβάλλομεν, ἀλλ' οὐχ ἡμεῖς, μὴ γένοιτο, ἀλλ' ὑμεῖς) ὀφθαλμοὺς πλάσαι, ἢ τυφλὸν ποιῆσαι βλέπειν μένοντα τυφλὸν, καὶ ὀξυωπέστερον τοῦ βλέποντος, καὶ τῇ τυφλότητι ἀποχρήσασθαι εἰς βλέψιν, καὶ τῇ κωφότητι εἰς ἀκοήν; ἐμοὶ δοκεῖ ἐκεῖνο. τὸ δυσκολώτερον οὖν δίδως τῷ Θεῷ, εἰπέ μοι, καὶ τὸ εὐκολώτερον οὐχί;

ληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανὸν, οὕτως ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν. Πάλιν δὲ σχῆμα φαιδρόν. ἄγγελοι γάρ τινες εἰς τύπον ἀνθρώπων σχηματισθέντες ἐπέστησαν καί φασιν· ἄνδρες Γαλιλαῖοι. ἀξιόπιστοι λοιπὸν ἐδόκουν ἐκεῖνοι ἐκ τοῦ εἰπεῖν, ἄνδρες Γαλιλαῖοι. τί γὰρ ἔδει τέως τὴν πατρίδα μαθεῖν, εἰ μὴ τοῦτο ἦν; καὶ διὰ τοῦ σχήματι δὲ ἐπιστρέψαι, καὶ ἐδήλουν ὅτι ἀπὸ τοῦ οὐρανοῦ εἰσι. Διατί μὴ ταῦτα αὐτὸς αὐτοῖς λέγει, ἀλλ' οἱ ἄγγελοι; διελέχθη αὐτοῖς προλαβὼν αὐτὸς πάντα, ὥστε ἀναμιμνήσκοντος ἦν αὐτοὺς διὰ τῶν ἀγγέλων ἅπερ ἤκουσαν. καὶ οὐκ εἶπεν, ὃν ἐθεάσασθε ἀναληφθέντα, ἀλλὰ πορευόμενον εἰς τὸν οὐρανόν· δηλοῖ ὅτι ἀνάβασις ἦν ἡ ἀνάληψις· σαρκὸς δὲ τὸ ἀναληφθῆναί ἐστι. Διὰ τοῦτό φησιν, ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν, οὕτως ἐλεύσεται. οὐ πεμφθήσεται, ἀλλ' ἐλεύσεται. πρὸ τούτου δὲ ἔλεγεν· νεφέλη ὑπέλαβεν αὐτὸν· καλῶς. αὐτὸς γὰρ ἐπέβη τῆς νεφέλης. διότι Ὁ ἀναβὰς αὐτός ἐστι καὶ ὁ καταβάς. ὅρα, τὰ μὲν κατὰ τὴν ἐκείνων διάνοιαν φθέγγεται, τὰ δὲ ἀξίως τοῦ Θεοῦ. ἐπήρθη λοιπὸν ἡ διάνοια τῶν ὁρώντων. ἐχαρίσατο αὐτοῖς τῆς δευτέρας παρουσίας οὐ μικρὸν γνώρισμα. τὸ γὰρ, οὕτως ἐλεύσεται, τοῦτο δηλοῦντός ἐστι, μετὰ τοῦ σώματος, ὃ ἐπόθουν ἀκοῦσαι, καὶ ὅτι πάλιν εἰς κρίσιν ἥξει οὕτως ἐπὶ νεφέλης. καὶ ἰδοὺ, φησὶν, ἄνδρες δύο παρειστήκεισαν. Διατί εἶπεν, ἄνδρες; ἀκριβῶς γὰρ ἑαυτοὺς ἀπετύπωσαν εἰς ἄνδρας, ὡς μὴ πτοηθῆναι. οἳ καὶ εἶπον· τί ἑστήκατε ἐμβλέποντες εἰς τὸν οὐρανόν; ἅμα κολακευόντων ἦν τὰ ῥήματα, καὶ οὐκ ἐώντων προσδοκᾶν αὐτὸν αὐτοὺς πάλιν εὐθέως. οὗτοι δὲ μὲν μεῖζον λέγουσι. τὸ δὲ ἔλαττον οὐκέτι. ὅτι μὲν γὰρ οὕτως ἐλεύσεται, καὶ ὡς ἐξ οὐρανοῦ αὐτὸν χρὴ προσδέξασθαι, φασί· τὸ δὲ πότε, σιγῶσι λοιπόν. Εἶτα ἀπὸ τῆς θέας ἐκείνης ἐπιστρέψαι αὐτοὺς πρὸς τὸν αὐτῶν λόγον, ἵνα μὴ διὰ τὸ μὴ δύνασθαι θεωρεῖν αὐτὸν, νομίσωσιν αὐτὸν μὴ ἀνεληλυθέναι, ἀλλ' ἐν ᾧ διαλέγονται φθάσωσιν. Εἰ γὰρ περὶ τούτου ἔλεγον, Ποῦ ὑπάγεις; πολλῷ μᾶλλον καὶ νῦν ἂν εἶπον, Εἰ ἐν τῷ χρόνῳ τούτῳ, φησὶν, ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ; οὕτως ἤδεισαν αὐτοῦ τὸ ἥμερον, ὅτι καὶ μετὰ τὸ παθεῖν ἐρωτῶσιν αὐτὸν, εἰ ἀποκαθιστάνεις; καὶ μὴν ἀνωτέρω εἶπεν αὐτοῖς, ὅτι Μελλήσετε ἀκούειν πολέμους καὶ ἀκοὰς πολέμων· ἀλλ' οὔπω τὸ τέλος, οὐδὲ τὰ Ἱεροσόλυμα ἁλώσεται. νῦν δὲ περὶ βασιλείας ἐρωτῶσιν, οὐ περὶ συντελείας. ἄλλως δὲ, οὐδὲ μακρὸν λοιπὸν πρὸς αὐτοὺς ἀποτείνει λόγον μετὰ τὴν ἀνάστασιν. ὡς δὴ οὖν καὶ αὐτοὶ ἀδοκιμάσαντες, εἰ τοῦτο γένοιτο, ἐρωτῶσι. ὅτι μὲν γὰρ οὐκ ἀποκαθιστάνει, οὐκ ἐδήλωσε. τί γὰρ ἦν τοῦτο ἀναγκαῖον αὐτοὺς μαθεῖν; διὰ γὰρ τοῦτο δεδοικότες οὐκ ἔτι εἶπον· Τί τὸ σημεῖον τῆς σῆς παρουσίας καὶ τῆς συντελείας τοῦ αἰῶνος; ἀλλ', Εἰ τὴν βασιλείαν τῷ Ἰσραὴλ ἀποκαθιστάνεις; ἐνόμιζον γὰρ αὐτὴν ἤδη παρεῖναι. αὐτὸς δὲ καὶ ἐν παραβολαῖς ἔδειξεν, ὅτι οὐκ ἐγγύς· καὶ ἔνθα ἠρώτησαν, καὶ πρὸς αὐτοὺς ἀπεκρίνατο, λήψεσθε, λέγων, δύναμιν ἐπελθόντος τοῦ ἁγίου πνεύματος ἐφ' ὑμᾶς. ὅρα, ἐπελθόντος, οὐ πεμφθέντος, εἶπεν, ἵνα τὸ ἰσότιμον δείξῃ. πῶς οὖν, ὦ πνευματομάχε, κτίσμα τολμᾷς εἰπεῖν; καὶ ἔσεσθέ μοι μάρτυρες. ἠνίξατο τὴν ἀνάληψιν· μᾶλλον δὲ ἃ καὶ ἤδη παρῄνεσαν, καὶ νῦν πάλιν αὐτοὺς ἀνέμνησεν. ἤδη ἐδείχθη ὅτι εἰς τὸν οὐρανὸν ἀνῆλθε. νεφέλη καὶ γνόφος ὑπὸ τοὺς πόδας αὐτοῦ, φησί. τοῦτο γὰρ δηλοῖ τὸ, νεφέλη ὑπέλαβεν αὐτὸν, τὸν τοῦ οὐρανοῦ φησι δεσπότην. καθάπερ γὰρ βασιλεῖ δέδεικται ὄχημα βασιλικόν· οὕτω καὶ ἐπ' αὐτὸν ἐπέμφθη τὸ ὄχημα τὸ βασιλικὸν, ἵνα μηδὲν φθέγξωνται λυπηρὸν, μηδὲ τὸ αὐτὸ πάθωσιν, ὅπερ ὁ Ἐλισσαῖος, τοῦ διδασκάλου ἀναληφθέντος, διαρρήξας τὸν χιτωνίσκον. καὶ τί φασιν; Οὗτος ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανὸν, οὕτως ἐλεύσεται· καὶ, ἰδοὺ ἄνδρες δύο παρειστήκεισαν αὐτοῖς εἰκότως. Ἐπὶ στόματος γὰρ δύο μαρτύρων σταθήσεται πᾶν ῥῆμα. καὶ ταῦτα αὐτὰ φθέγγονται. καὶ ἐν ἐσθῆτι, φησὶ, λευκῇ. ὥσπερ τότε ἄγγελοι εἶδον ἐπὶ τοῦ μνήματος ἐν ἐσθήσεσιν ἀναστραπτούσαις, καὶ προεῖπεν αὐτὴν καὶ τὴν διαφοράν· οὕτω καὶ τῆς ἀναλήψεως αὐτοῦ

κήρυξ

γ. ἐν τύπῳ ἀνθρωπίνῳ ἄρτι ὁραθέντες,

γ. εἶπον

Ἐφ. δ. ι.

γ. αἴνιγμα.

γ. τὸ περὶ τῆς κρίσεως πάλιν ὅτι ἥξ.

γ. διετύπωσ.

γ. καὶ

γ. οὐκέτι ἐάσαι

Ιωαν. ιγ. λς.

Μαρ. ιγ. ζ.

Ματθ. κδ. γ.

γ. τὴν τῆς τιμῆς ἰσότητα

γ. ποῦ εἰσιν, οἱ τῷ πνευματομάχῳ, δς τῷ πνεύματι ἀντιπαιόμενος, κτίσμα αὐτὸ ποιεῖς;

Ψαλ. ις. ι.

δ. Βασ. β. ιβ.

Λατ. ις. ε.

ὅτι ὁ πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ. τί οὖν; σὺ οὐκ οἶδας τὰ τοῦ πατρός; ἀλλ' αὐτὸν μὲν γινώσκεις, τὰ δὲ αὐτοῦ οὐκέτι; [Λουκ. ι. κβ.] αὐτὸς εἶπας, Οὐδεὶς γινώσκει τὸν πατέρα, εἰ μὴ ὁ υἱός, καί, [α. Κορ. β. ι.] Τὸ μὲν πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ· σὺ δὲ τοῦτο οὐκ οἶδας; ἄπαγε. οὐχ ἵνα τοῦτο ὑποπτεύσωμεν τοῦτο εἴρηκεν, ἀλλ' ἀγνοεῖν προσποιεῖται, τῆς ἀκαίρου ζητήσεως ἀπάγων αὐτούς. ἐφοβήθησαν οὖν ἐρωτῆσαι πάλιν, ἵνα μὴ ἀκούσωσι· καὶ ὑμεῖς ἀσύνετοί ἐστε; πολλῷ γὰρ μᾶλλον αὐτοὶ ἐφοβοῦντο νῦν, ἢ τὸ πρότερον. ἀλλὰ λήψεσθε, φησί, δύναμιν ἐπελθόντος τοῦ ἁγίου πνεύματος ἐφ' ὑμᾶς. ὥσπερ γὰρ ἐκεῖ, οὐ πρὸς ἃ ἠρώτησαν ἀπεκρίνατο (διδασκάλου γὰρ τοῦτό ἐστι, μὴ ἃ βούλεται ὁ μαθητής, ἀλλ' ἃ συμφέρει μαθεῖν, διδάσκειν) οὕτω καὶ νῦν, ἃ ἔδει μαθεῖν, διὰ τοῦτο προλέγει, ἵνα μὴ ταράττωνται. ἄρα ἔτι ἀσθενεῖς ἦσαν. ὥστε δὲ παρρησιάζεσθαι, ἐπῆρεν αὐτῶν τὰς ψυχάς, καὶ τὰ φορτικὰ συνεκάλυψεν. ἐπειδὴ γὰρ ἔμελλεν αὐτοὺς μικρὸν ὕστερον λοιπὸν καταλιμπάνειν, ταῦτα διαλεγόμενος οὐδὲν λέγει λυπηρὸν ἁπλῶς· ἀλλὰ τί; μετ' ἐγκωμίου τὰ λυπηρά φησι, μονονουχὶ λέγων, μὴ φοβηθῆτε· λήψεσθε γὰρ δύναμιν ἐπελθόντος τοῦ ἁγίου πνεύματος ἐφ' ὑμᾶς, καὶ ἔσεσθέ μοι μάρτυρες, ἔν τε Ἱερουσαλήμ, καὶ ἐν πάσῃ τῇ Ἰουδαίᾳ καὶ Σαμαρείᾳ. [Ματθ. ι. ε.] ἐπειδὴ γὰρ εἶπεν, Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε· νῦν τὸ ἐναντίον βούλεται ἐν πάσῃ τῇ Ἰουδαίᾳ καὶ Σαμαρείᾳ κηρύσσειν αὐτούς· καὶ ἃ τότε οὐκ εἶπεν, ἐνταῦθα προσέθηκε, καὶ ἕως ἐσχάτου τῆς γῆς, λέγων. καὶ τὸ πάντων φοβερώτερον εἰπὼν*, ἵνα μὴ πάλιν αὐτὸν ἐρωτῶσι,

9 Βλεπόντων αὐτῶν ἐπήρθη, καὶ νεφέλη ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν. Ὁρᾷς ὅτι αὐτοὶ ἐκήρυξαν καὶ ἐπλήρωσαν τὸ εὐαγγέλιον; ὅπως μέγα αὐτοῖς ἐνεχείρισεν. ὅπου δεδοίκατε, φησίν, ἐν Ἱεροσολύμοις, ἐκεῖ κηρύξατε πρότερον, καὶ ὕστερον ἕως ἐσχάτου τῆς γῆς. Εἶτα πάλιν τῶν λεχθέντων ἡ πίστις. Βλεπόντων αὐτῶν ἐπήρθη, φησί. βλεπόντων μὲν γὰρ οὐκ ἀνέστη· βλεπόντων δὲ ἐπήρθη· ἐπειδὴ οὐδὲ ἐνταῦθα ἡ ὄψις τὸ πᾶν ἴσχυσεν. καὶ γὰρ τῆς ἀναστάσεως τὸ μὲν τέλος εἶδον, τὴν δὲ ἀρχὴν οὐκ ἔτι· καὶ τῆς ἀναλήψεως τὴν μὲν ἀρχὴν εἶδον, τὸ δὲ τέλος οὐκέτι. περιττὸν γὰρ ἐκεῖνο τὸ τὴν ἀρχὴν ἰδεῖν, αὐτοῦ τοῦ ταῦτα φθεγγομένου παρόντος, καὶ τοῦ μνήματος δηλοῦντος, ὅτι οὐκ ἔστιν ἐκεῖ. ἀλλὰ τὸ μετὰ τοῦτο λόγῳ ἔδει μαθεῖν. ἐπειδὴ γὰρ οὐκ ἤρκεσαν οἱ ὀφθαλμοὶ δέξασθαι τὸ ὕψος, οὐδὲ παιδεῦσαι πότερον εἰς τὸν οὐρανὸν ἀπῆλθεν, ἢ ὡς εἰς τὸν οὐρανόν, ὅρα τί γίνεται. ὅτι μὲν αὐτός ἐστιν ὁ Ἰησοῦς, ᾔδεισαν ἐξ ὧν διελέγετο πρὸς αὐτούς (πόρρωθεν γὰρ οὐκ ἐνῆν ἰδεῖν τὰς γνώσεις) ὅτι δὲ εἰς τὸν οὐρανὸν ἀναλαμβάνεται, αὐτοὶ λοιπὸν ἐδίδαξαν οἱ ἄγγελοι. ὅρα, πῶς οὐ πάντα πνεύματι, [δ. Βασ. β. ια.] ἀλλὰ καὶ ὄψει γίνεσθαι οἰκονομεῖται. διὰ τί δὲ νεφέλη ὑπέλαβεν αὐτόν; καὶ τοῦτο τεκμήριον, ὅτι εἰς τὸν οὐρανὸν ἀνῆλθεν. οὐ πῦρ, ὡς ἐπὶ Ἠλίου, οὐδὲ ἅρμα πύρινον, ἀλλὰ νεφέλη αὐτὸν ὑπέλαβεν, ὃ τοῦ οὐρανοῦ σύμβολον ἦν, καθὼς ὁ προφήτης φησίν· [Ψαλ. ργ. δ.] Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, εἰ καὶ περὶ τοῦ πατρὸς εἴρηται τοῦτο. διὰ τοῦτο λέγει, ὅτι ἐπὶ νεφέλης, ἐν τῷ συμβόλῳ, φησί, τῆς θείας δυνάμεως. οὐδαμοῦ γὰρ ἄλλη τις δύναμις ἐπὶ νεφέλης φαίνεται. ἄκουε γὰρ πάλιν τί φησιν ὁ προφήτης· [Ησ. ιθ. α.] Ὁ Θεὸς κάθηται ἐπὶ νεφέλης κούφης. περὶ ἀναγκαίου γὰρ τῆς ἐρωτήσεως οὔσης, καὶ προσεχόντων αὐτῶν σφόδρα τοῖς λεγομένοις, [Ἐξοδ. λγ. θ.] καὶ διεγηγερμένων, καὶ οὐ νυσταζόντων τοῦτο γέγονε. καὶ ἐν τῷ ὄρει δὲ νεφέλη δι' αὐτόν, ὅτι Μωϋσῆς εἰσῆλθεν εἰς τὸν γνόφον· ἀλλ' οὐ δι' ἐκεῖνον ἦν ἡ νεφέλη. καὶ οὐκ εἶπεν, ὅτι πορεύομαι μόνον, ἵνα μὴ πάλιν ἀλγήσωσιν· ἀλλ' εἶπεν, ὅτι τὸ πνεῦμα πέμπω. ὅτι δὲ εἰς τὸν οὐρανὸν ἀπῄει, διὰ τῶν ὀφθαλμῶν ἐμάνθανον. βαβαί, οἵου θεάματος κατηξιώθησαν;

10 Καὶ ὡς ἀτενίζοντες ἦσαν, φησίν, εἰς τὸν οὐρανὸν πορευομένου αὐτοῦ, καὶ ἰδοὺ ἄνδρες δύο παρειστήκεισαν αὐτοῖς ἐν ἐσθῆτι λευκῇ, 11 Οἳ καὶ εἶπον· ἄνδρες Γαλιλαῖοι, τί ἑστήκατε βλέποντες εἰς τὸν οὐρανόν; Δεικτικῶς ἐχρήσατο τῇ λέξει, Οὗτος, εἰπόντες, ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς

Marginal notes: χ. ἀλλ' ἱερ. ἐρ. — χ. ἐπειδὴ ὅλως ἀποχέρησαν. — χ. ἐπειδὴ μὲν μάρτυρες * ἔσεσθε καὶ τὰ ἑξῆς πάντα φησί. — χ. ἴ — χ. ἐπεὶ καὶ — χ. ἑώρων — χ. θεώμενοι — χ. ἐμβλέπ.

7 Οὐχ ὑμῶν ἐστι γνῶναι χρόνους ἢ καιρούς, οὓς ὁ πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ.

Μείζονα αἰτεῖτε, φησί· καὶ μὴν ἤδη ἔμαθον καὶ ἃ πολλῷ μείζονα ἦν. καὶ ἵνα μάθῃς τοῦτο ἀκριβῶς, ὅρα πόσα ἀπαριθμοῦμαι. τί γὰρ μεῖζον, εἰπέ μοι, τοῦ μαθεῖν αὐτοὺς ἅπερ ἔμαθον; ἔμαθον γοῦν ὅτι υἱὸς τοῦ Θεοῦ ἐστι, καὶ υἱὸν ἔχει ὁ Θεὸς ὁμότιμον· ἔμαθον ὅτι ἀνάστασις ἔσται, [Ιωαν. ι. ιη. καὶ κβ.] ἔμαθον ὅτι ἀνελθὼν ἐκάθισεν ἐν δεξιᾷ τοῦ πατρός· ὃ τούτου φρικωδέστερον ἔμαθον, ὅτι σὰρξ ἄνω κάθηται, καὶ προσκυνεῖται ὑπὸ ἀγγέλων· ἔμαθον ὅτι ἥξει πάλιν κρῖναι πάντα τὸν κόσμον· ἔμαθον ὅτι μέλλουσι καθεδεῖσθαι καὶ αὐτοὶ τότε κριταὶ τῶν δώδεκα φυλῶν τοῦ Ἰσραήλ· ἔμαθον ὅτι Ἰουδαῖοι μὲν ἐκβάλλονται, τὰ δὲ ἔθνη ἀντεισέρχονται. [Ματθ. ιζ. θ. Λουκ. κδ. ξθ. Μαρκ. ιε. ιθ. Αποκ. ι. ιβ. Ματθ. ιε. κζ. Λουκ. κα. κζ. Ματθ. ιθ. κη. Λουκ. κδ. ιη.] ὃ τοίνυν εἰδέναι ὅτι ἔσται, μέγα· ὁ δὲ μαθεῖν, ὅτι βασιλεύσει τις, ἢ πότε, οὐδὲν μέγα. ἔμαθε Παῦλος ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι· τὰ περὶ τοῦ κόσμου ἅπαντα ἔμαθε. [β. Κορ. ιβ. δ.] τί μαθεῖν δυσκολώτερον, τὴν ἀρχήν, ἢ τὸ τέλος; εὔδηλον ὅτι τὸ πρότερον. οὐκοῦν τοῦτο Μωϋσῆς ἔμαθε, καὶ πότε, καὶ περὶ πόσων χρόνων, καὶ ἀριθμεῖ τὰ ἔτη. τοῦτο καὶ * Σολομῶν, διὸ καὶ ἔλεγε, Μνημονεύσω τὰ ἀπ᾽ αἰῶνος. ὅτι τοίνυν ἐγγύς ἐστιν, ἴσασι μετὰ ταῦτα καὶ οὗτοι, ὥσπερ καὶ ὁ Παῦλος λέγων· Ὁ Κύριος ἐγγύς, μηδὲν μεριμνᾶτε· [Φιλιπ. δ. ε.] ἀλλὰ τὸ πότε οὐκ ἔγνωσαν, καίτοι λαβόντες τεκμήρια. δηλαδή, ὥσπερ εἶπεν, οὐ μετὰ πολλὰς ταύτας ἡμέρας, ἀγρυπνεῖν αὐτοὺς βουλόμενος, καὶ οὐκ ἐδήλωσε φανερῶς· οὕτω καὶ νῦν ποιεῖ. ἄλλως δέ, καὶ ἐκεῖνοι οὐ περὶ τῆς καθόλου αὐτὸν ἠρώτων συντελείας, ἀλλὰ εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραὴλ ἔλεγον, καὶ οὐδὲ τοῦτο αὐτοῖς ἐξεκάλυψε. καὶ περὶ τούτου τοῦτο ἠρώτων· ἀλλ᾽ οὐχ ὥσπερ ἐκεῖ ἀπεκρίνατο σφοδρότερον, ἀπάγων αὐτοὺς τοῦ νομίζειν τὴν ἀπαλλαγὴν εἶναι πλησίον, καὶ ἐνέβαλεν εἰς τοὺς κινδύνους· οὕτω καὶ ἐνταῦθα, ἀλλ᾽ ἡμερώτερον. ἵνα γὰρ μὴ δόξωσιν ὑβρίζεσθαι, μηδὲ πρόφασις εἶναι ταῦτα, ἀκούσατε, τί φησιν. εὐθέως αὐτοῖς δίδωσιν, ἐφ᾽ ᾧ ἐχάρησαν. ἐπήγαγε γοῦν·

8 Ἀλλὰ λήψεσθε δύναμιν ἐπελθόντος τοῦ ἁγίου πνεύματος ἐφ᾽ ὑμᾶς, καὶ ἔσεσθέ μοι μάρτυρες ἔν τε Ἱερουσαλήμ, καὶ ἐν πάσῃ τῇ Ἰουδαίᾳ καὶ Σαμαρείᾳ, καὶ ἕως ἐσχάτου τῆς γῆς.

Εἶτα, ἵνα μὴ πάλιν αὐτὸν ἐρωτῶσιν, εὐθέως ἀνελήφθη. καθάπερ οὖν ἐκεῖ τῷ φόβῳ αὐτοὺς ἐσχόπωσε, καὶ τῷ εἰπεῖν, οὐκ οἶδα· οὕτω καὶ ἐνταῦθα τῷ ἀναληφθῆναι. καὶ γὰρ πολλὴν τοῦ πράγματος εἶχον τὴν ἐπιθυμίαν, καὶ οὐκ ἂν ἀπέστησαν, καὶ σφόδρα ἀναγκαῖον ἦν αὐτοὺς μὴ μαθεῖν. εἰπὲ γάρ μοι τί μᾶλλον ἀπιστοῦσιν Ἕλληνες; ὅτι συντέλεια ἔσται, ἢ ὅτι ὁ Θεὸς γέγονεν ἄνθρωπος, καὶ ἐκ παρθένου προῆλθε μήτρας, καὶ μετὰ σαρκὸς ὤφθη ἀνθρώποις; [Ιωαν. ι. κα.] ἆρ᾽ οὐχὶ τοῦτο; πάντως καὶ σὺ ἐρεῖς. ἀλλὰ γὰρ αἰσχυνόμεθα συνεχῶς· ὑπὲρ τούτου λέγων, ὡς περὶ πράγματός τινος ἀδόξου. εἶτα πάλιν ἵνα μὴ εἴπωσι, διατί ἐπαίρεις τὸ πρᾶγμα; οὓς ὁ πατήρ, φησιν, ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ. καὶ μὴν μία πατρὸς καὶ αὐτοῦ ἐξουσία, ὡς ὅταν λέγῃ· ὥσπερ γὰρ ὁ πατὴρ ἐγείρει τοὺς νεκρούς, καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ. εἰ ἔνθα ἐργάσασθαι δεῖ, μετὰ τῆς αὐτῆς αὐτῷ πράττει ἐξουσίας· ἔνθα εἰδέναι χρή, οὐχὶ μετὰ τῆς αὐτῆς οἶδας ἐξουσίας; καὶ μὴν τοῦ μαθεῖν τὴν ἡμέραν πολλῷ μεῖζον τὸ νεκροὺς ἐγείρειν· εἰ δὲ μεῖζον μετ᾽ ἐξουσίας ποιεῖ, οὐ πολλῷ μᾶλλον τὸ ἕτερον; ἀλλ᾽ ὥσπερ ὅταν ἴδωμεν παιδίον ἀποκλαιόμενον, καὶ συνεχῶς βουλόμενόν τι λαβεῖν παρ᾽ ἡμῶν οὐκ ἀναγκαῖον αὐτῷ, μᾶλλον ἀποκρύψαντες γυμνὰς δείκνυμεν τὰς χεῖρας λέγοντες, ἰδοὺ οὐκ ἔχομεν· οὕτω καὶ αὐτὸς τοῖς ἀποστόλοις πεποίηκεν. ἀλλ᾽ ὥσπερ τὸ παιδίον ἐκεῖνο, καὶ μὴ δεικνύντων ἡμῶν ἐπίκειται κλαῖον, εἰδὸς ὅτι ἐξηπάτηται· εἶτα ἀφέντες ἀπίωμεν λέγοντες· καλεῖ με ὁ δεῖνα, καὶ ἕτερόν τι ἀντ᾽ αὐτοῦ δίδομεν, βουλόμενοι αὐτὸ ἀπαγαγεῖν τῆς προαιρέσεως, καὶ θαυμάζοντες ἐκεῖνο ἀντὶ τούτου, καὶ δόντες ἀποπηδῶμεν· οὕτω καὶ ὁ Χριστὸς ἐποίησεν. ἐζήτουν ἐκεῖνοι λαβεῖν· ἔφη μὴ ἔχειν, καὶ πρότερον ἐφόβησεν. ἐπεὶ δὲ πάλιν ἐζήτουν, ἔφη πάλιν μὴ ἔχειν· πλὴν οὐ φοβεῖ νῦν, ἀλλὰ μετὰ τὸ δεῖξαι τοῦτο ὃ πεποίηκε, λέγει καὶ εὐπρόσωπον ἀφορμὴν

γενομένων ὁδόν. καὶ ἐκεῖνος δὲ πάλιν τότε ὀδυνᾶται πλέον· κἂν ἀνενέγκῃ ἀπὸ τῆς ἀῤῥωστίας, χαλεπώτερον ἀλγεῖ ὡς ἐπηρεασθείς. ἐπειδὴ γὰρ οὐ παρεσκεύασε πρὸς ἀρετὴν, ὀκνεῖ λοιπὸν καὶ ἀναδύεται πρὸς τοὺς ἀγῶνας τοὺς μετὰ ταῦτα. ὁρᾷς οἷα ὁ διάβολος κατασκευάζει μηχανήματα; ὅσην τὴν αἰσχύνην; ὅσον τὸν γέλωτα; ἀπαλλαγῶμεν τοίνυν τούτου τοῦ γέλωτος, ζήσωμεν ὡς ὁ Χριστὸς ἐκέλευσε. διὰ τοῦτο ἔδωκε τὸ βάπτισμα, οὐχ ἵνα λαβόντες ἀπέλθωμεν, ἀλλ' ἵνα ἐπιζήσαντες καρποὺς ἐπιδειξώμεθα. πῶς ἐρεῖς, καρποφόρει, τῷ ἀπιόντι, τῷ ἐκκοπέντι; οὐκ ἤκουσας, ὅτι ὁ καρπὸς τοῦ πνεύματός ἐστιν ἀγάπη, χαρὰ, εἰρήνη; πῶς οὖν τὰ ἐναντία γίνεται; καὶ γὰρ ἡ γυνὴ παρέστηκε πενθοῦσα, ὅτε χαίρειν ἔδει τὰ τέκνα ὀδυρόμενα, ὅτε συνήδεσθαι ἐχρῆν· αὐτὸς ὁ κείμενος ἐσχηματισμένος, θορύβου γέμει καὶ ταραχῆς, ὅτε πανηγυρίζειν ἔδει· ἀθυμίας πεπληρωμένος πολλῆς, διὰ τὴν ὀρφανίαν τῶν τέκνων, διὰ τὴν χηρείαν τῆς γυναικὸς, διὰ τὴν ἐρημίαν τῆς οἰκίας. οὕτω τις προσέρχεται μυστηρίοις, εἰπέ μοι; οὕτως ἅπτεται τραπέζης ἱερᾶς; ταῦτα ἀνεκτά; κἂν μὲν βασιλεὺς πέμψῃ γράμματα, τοὺς ἐν δεσμωτηρίῳ λύων, ἀφροσύνη καὶ χαρά· ὁ δὲ Θεὸς καταπέμπει τὸ πνεῦμα ἐξ οὐρανῶν, οὐχὶ ἐλλείμματα χρημάτων, ἀλλ' ὁλόκληρα ἁμαρτήματα συγχωρῶν· καὶ πάντες θρηνεῖτε καὶ ὀδύρεσθε; τίς ἡ ἀνωμαλία αὕτη; οὔπω γὰρ λέγω, ὅτι καὶ νεκροῖς ἐπεχύθη ὕδωρ, καὶ τὰ ἅγια ἐρρίφη εἰς γῆν· ἀλλ' οὐχ ἡμεῖς τούτων αἴτιοι, ἀλλ' οἱ ἀγνώμονες. διὸ παρακαλῶ πάντας ἀφέντας συστρέψαι ἑαυτοὺς, καὶ προσιέναι τῷ βαπτίσματι μετὰ προθυμίας ἁπάσης, ἵνα καὶ ἐν τῷ παρόντι πολλὴν ἐπιδειξάμενοι σπουδὴν, τῆς μελλούσης τύχωμεν παῤῥησίας· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Γαλ. ε. κβ.

χ. καρποφορεῖν,

χ. ἀφέντες σπουδάσωμεν μὴ ἀμελεῖν τῶν παρόντων ἀπὸ τοῦ νῦν, ἀλλὰ τοῦ βαπτίσματος ἐπιτυχεῖν μετὰ

## Λογ. β. 6 ΟΙ ΜΕΝ ΟΥΝ ΣΥΝΕΛΘΟΝΤΕΣ ΕΠΗΡΩΤΩΝ αὐτὸν λέγοντες· Κύριε, εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ;

Ὅταν τι μέλλωσιν ἐρωτᾷν οἱ μαθηταὶ, ὁμοῦ προσέρχονται. τοῦτο δὲ ποιοῦσιν, ἵνα τῷ πλήθει δυσωπήσωσιν. ᾔδεισαν γὰρ, ὅτι τὸ πρώην παρ' αὐτοῦ εἰρημένον, ὅτι Οὐδεὶς οἶδε τὴν ἡμέραν, διαπρυομένου ἦν, οὐκ ἀγνοοῦντος, ἀλλ' ἀναβαλλομένου τὴν ἀπόκρισιν. ὅθεν πάλιν προσέρχονται καὶ ἐρωτῶσιν. οὐ γὰρ ἂν, εἴγε οὕτως ἦσαν πεπεισμένοι, ἠρώτησαν. ἐπειδὴ γὰρ ἤκουσαν ὅτι πνεῦμα μέλλουσι λαμβάνειν, ὡς ἄξιοι λοιπὸν ὄντες ἤθελον μαθεῖν, καὶ πρὸς ἀπαλλαγὴν ἦσαν ἕτοιμοι. οὐ γὰρ ἐβούλοντο καθεῖναι ἑαυτοὺς εἰς κινδύνους, ἀλλὰ ἀναπνεῦσαι. οὐ γὰρ μικρὰ ἦν τὰ συμβεβηκότα αὐτοῖς, ἀλλὰ περὶ τῶν ἐσχάτων ὁ κίνδυνος ἐπεκρεμάσθη. οὐδὲν οὖν αὐτῷ περὶ τοῦ πνεύματος εἰπόντες, ἐρωτῶσι λέγοντες· Κύριε, εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ; καὶ οὐκ εἶπον, πότε· ἀλλὰ, εἰ νῦν, φησίν· οὕτως ἐπεθύμουν τῆς ἡμέρας. ἐμοὶ δὲ δοκεῖ οὐδὲ τετρανῶσθαί πως αὐτοῖς, τίς ποτε ἦν ἡ βασιλεία. οὔπω γὰρ ἦν τὸ πνεῦμα διδάξαν αὐτούς. καὶ οὐκ εἶπον, πότε ταῦτα ἔσται· ἀλλὰ μετὰ πλείονος τιμῆς προσίασι λέγοντες· εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν ὡς ἤδη ἐκπεπληρωκότων· ἐκεῖνοι γὰρ ἔτι περὶ τὰ αἰσθητὰ διέκειντο. οὐδὲ γὰρ οὐδέπω γεγόνεισαν βελτίους*. οὕτω λοιπὸν οὔτοι μείζονα περὶ αὐτοῦ ἐφαντάζοντο. ἐπεὶ οὖν ᾐτήσαν, καὶ αὐτὸς ᾐτημένως αὐτοῖς διαλέγεται. οὐκέτι γὰρ λέγει πρὸς αὐτοὺς, ὅτι Οὐδὲ ὁ υἱὸς οἶδε τὴν ἡμέραν· ἀλλὰ τί;

Ματθ. κδ. λϛ.

Μαρκ. ιγ. λβ.

χ. οὐδὲν αὐ.

* τῶν προτέρων.

χ. αἰνίχθησαν

χ. αἰνιγμῶν.

7 Οὐχ

τε, σὺ δὲ οὐδὲ οὕτως ἐθέλεις ποιεῖν; καὶ ποίας ἄξιος ἔσῃ συγγνώμης λοιπόν; πῶς δὲ οὐκ εἰκότως Ἕλληνές σε γελάσονται καθάπερ κηφῆνά τινα [ζῶντα εἰκῇ καὶ μάτην;] Εἰ γὰρ δυνατή, φησιν, ἡ παρ' ὑμῖν φιλοσοφία, δείξατε τί βούλεται τῶν ἀμυήτων τὸ πλῆθος; καλεῖ τὰ μυστήρια καὶ ποθεινά· ἀλλὰ οὐδεὶς ψυχορραγῶν λουτρὸν λαμβανέτω. οὐ γὰρ ἐκεῖνος τῶν μυστηρίων ὁ καιρός, ἀλλὰ τῶν διαθηκῶν· μυστηρίων δὲ καιρός, ὑγιεία φρενῶν, καὶ σωφρονούσης ψυχῆς. Εἰπὲ γάρ μοι, εἰ διαθήκας οὐκ ἄν τις ἕλοιτο οὕτω διακείμενος γράψαι· κἂν γράψῃ δέ, δίδωσι τοῖς μετὰ ταῦτα λαβεῖν (διὰ γάρ τοι τοῦτο καὶ προστιθέασι ταῦτα τὰ ῥήματα λέγοντες· ὅτι ζῶν καὶ φρονῶν καὶ ὑγιαίνων ἐπισκήπτω περὶ τῶν ἐμαυτοῦ) πῶς ἄν τις ἐξεστηκὼς δυνηθείη μετ' ἀκριβείας μυσταγωγεῖσθαι; Εἰ γὰρ περὶ βιωτικῶν πραγμάτων βουλευομένῳ οὐκ ἂν ἐπιτρέψαιεν οἱ τῶν ἔξωθεν νόμοι τῷ μὴ σφόδρα ὑγιαίνοντι διατίθεσθαι, καὶ ταῦτα ἐν τοῖς αὐτοῦ μέλλοντι νομοθετεῖν, πῶς περὶ βασιλείας οὐρανῶν μυεῖσθαι, καὶ τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν, δυνήσῃ σαφῶς πάντα μαθεῖν, πολλάκις καὶ παράπληξ ὑπὸ τῆς ἀρρωστίας γινόμενος; πότε δὲ τὰ ῥήματα ἐκεῖνα πρὸς τὸν Χριστὸν ἐρεῖς, συνθήκας τιθέμενος αὐτῷ, μέλλων ἀποπηδᾶν; καὶ γὰρ καὶ διὰ τῶν ἔργων, καὶ διὰ τῶν ῥημάτων ἐπιδείκνυσθαι χρὴ τὴν εὔνοιαν. σὺ δὲ ταὐτὸν ποιεῖς, οἷον ἂν εἴ τις ἀπογράφεσθαι βούλοιτο στρατιώτης, τοῦ πολέμου λύεσθαι μέλλοντος· ἢ ἀθλητὴς ἀποδύεσθαι, τοῦ θεάτρου λοιπὸν ἀναστάντος. καὶ γὰρ ὅπλα διὰ τοῦτο λαμβάνεις, οὐχ ἵνα εὐθέως ἀποπηδήσῃς, ἀλλ' ἵνα λαβὼν κατὰ τοῦ ἐναντίου τρόπαιον στήσῃς. Εἰ δὲ μὴ ἔστι Τεσσαρακοστὴ νῦν, μηδεὶς νομιζέτω ἄκαιρον εἶναι τὸν περὶ τούτων λόγον. διὰ γὰρ τοῦτο δάκνομαι, ὅτι καιρὸν περιμένετε ἐν τοῖς τοιούτοις. καίτοιγε ὁ εὐνοῦχος ἐκεῖνος, καὶ βάρβαρος ὢν καὶ ὁδοιπορῶν, καὶ ἐν μέσῃ λεωφόρῳ ὤν, καιρὸν οὐκ ἐζήτησεν· ἀλλ' οὐδὲ ὁ δεσμοφύλαξ, καὶ ταῦτα μεταξὺ δεσμωτῶν ὤν, καὶ τὸν διδάσκαλον μεμαστιγωμένον καὶ δεδεμένον ὁρῶν, καὶ πῶς αὐτὸν μέλλων εἴσω ἔχειν. ἐνταῦθα δὲ οὐ δεσμωτήριον οἰκοῦντες, οὐδ' ἐν ὁδοῖς ὄντες, ἀναβάλλονται πολλοὶ πρὸς ἐσχάτας ἀναπνοάς. Εἰ μὲν οὖν ἔτι ἀμφιβάλλεις, ὅτι Θεός ἐστιν ὁ Χριστός, ἔξω στῆθι, καὶ μηδὲ θείων ἄκουε λόγων, μηδὲ ἐν τοῖς κατηχουμένοις ἀρίθμει σαυτόν· εἰ δὲ θαρρεῖς, καὶ οἶδας τοῦτο σαφῶς, τί μέλλεις; τί δὲ ἀναδύῃ καὶ ὀκνεῖς; δέδοικα μὴ ἁμάρτω, φησί. ὃ δὲ χαλεπώτερον οὐ δέδοικας, μὴ μετὰ φορτίων τοσούτων ἀπέλθῃς ἐκεῖ; οὐδὲ γάρ ἐστιν ἴσον χάριτος προκειμένης μὴ τυχεῖν, καὶ κατορθοῦν ἐπιχειροῦντα ἀποτυχεῖν. ἂν γάρ τις ἐγκαλῇ, τίνος ἕνεκεν οὐ προσῆλθες, τί ἐρεῖς; ἐκεῖ μὲν γὰρ τάχα τὸ φορτικὸν ἔχεις εἰπεῖν καὶ τῶν παραγγελμάτων, καὶ τῆς ἀρετῆς· ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον. χάρις γάρ ἐστι δωρεὰν παρεχομένη τὴν ἐλευθερίαν. ἀλλὰ δέδοικας μὴ ἁμάρτῃς; ταῦτα μετὰ τὸ βάπτισμα λέγε· * τότε ἔχε τὸν φόβον, ὥστε φυλάξαι τὴν παρρησίαν, ἣν ἔλαβες, οὐχ ὥστε μὴ λαβεῖν δωρεὰν τοιαύτην. νῦν δὲ πρὸ μὲν τοῦ βαπτίσματος εὐλαβὴς σύ· μετὰ δὲ τὸ βάπτισμα ῥᾴθυμος. ἀλλὰ τὸν καιρὸν ἀναμένεις τῆς Πεντηκοστῆς; τίνος ἕνεκεν; μὴ γὰρ ἔχει τι πλέον ἐκεῖνος ὁ καιρός; οἱ γοῦν ἀπόστολοι οὐκ ἐν τῷ Πάσχα κατηξιώθησαν τῆς χάριτος, ἀλλ' ἐν ἑτέρῳ καιρῷ· καὶ οἱ τρισχίλιοι, καὶ οἱ πεντακισχίλιοι ὅτε ἐβαπτίσθησαν, Πάσχα οὐκ ἦν καιρός· καὶ ὁ Κορνήλιος, καὶ ὁ εὐνοῦχος, καὶ ἕτεροι πλείους. μὴ τοίνυν καιρὸν ἀναμένωμεν, μήποτε μέλλοντες καὶ ἀναβαλλόμενοι ἀπέλθωμεν κενοὶ καὶ ἔρημοι τοσούτων ἀγαθῶν. πῶς, οἴεσθε, ὀδυνῶμαι, ὅταν ἀκούσω ὅτι ἀμύητός τις ἀπηνέχθη ἐντεῦθεν, τὰς ἀφορήτους ἐννοῶν κολάσεις ἐκείνας, τὴν ἀπαραίτητον τιμωρίαν; πῶς δάκνομαι πάλιν, ὅταν ἑτέρους ἴδω πρὸς τὰς ἐσχάτας φθάνοντας ἀναπνοάς, καὶ μηδὲ ἐντεῦθεν σωφρονιζομένους; διά τοι τοῦτο πολλὰ τῆς δωρεᾶς ταύτης ἀνάξια γίνεται. δέον γὰρ εὐφραίνεσθαι καὶ χορεύειν καὶ χαίρειν καὶ στεφανοῦσθαι ἑτέρου μυσταγωγουμένου, ὅταν ἀκούσῃ τοῦ κάμνοντος ἡ γυνή, ὅτι τοῦτο ἐπισκήψειν ὁ ἰατρός, ὡς ἐπὶ κακῷ τινι κατακόπτεται, καὶ θρηνεῖ*, καὶ κωκυτοὶ καὶ οἰμωγαὶ πανταχοῦ τῆς οἰκίας, ὡς ἐπὶ καταδίκων τὴν ἐσχάτην ἀπα-

Margin notes (left): χ. ὑμῶν · χ. οἱ καλ- · χ. -τα, μυστήρια · ψυχ. · χ. λαμβανέσθω · χ. λογίων · χ. παθημάτων · * καὶ · χ. τοιαύτην · χ. καταθρύπτεται · * τὰ μέγιστα

Margin notes (right): Πραξ. η. κζ. · Πραξ. ις. κθ. · Πραξ. β. μα. · Πραξ. ι. μη.

μετὰ ταῦτα ἁμαρτήματα χείρω. πῶς; ὅτι μετὰ τὴν τιμὴν ἀγνώμονες ἐγενόμεθα καὶ πονηροὶ· καὶ διὰ τοῦτο οὐδὲν ἡμῖν βοηθεῖ λοιπὸν τὸ λουτρὸν εἰς τὸ χαλεπωτέρας τυχεῖν τιμωρίας. σκόπει δέ· εἶχέ τις ἁμαρτήματα χαλεπά, ἢ φονεύσας, ἢ μοιχεύσας, ἢ ἕτερόν τι [χαλεπώτερον] ἐργασάμενος· ἀφέθη διὰ τοῦ λουτροῦ ταῦτα. οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδὲν ἁμάρτημα καὶ ἀσέβημα, ὅπερ οὐκ εἴκει καὶ παραχωρεῖ τῇ δωρεᾷ. θεία γάρ ἐστιν ἡ χάρις. πάλιν ἐμοίχευσέ τις καὶ ἐφόνευσεν. ἡ μὲν προτέρα μοιχεία λέλυται, καὶ ὁ φόνος ἐκεῖνος συγκεχώρηται καὶ οὐκ ἀνακαλεῖται (Ἀμεταμέλητα γὰρ τὰ χαρίσματα, καὶ ἡ κλῆσις τοῦ Θεοῦ) ὑπὲρ δὲ τῶν μετὰ τὸ βάπτισμα τοσαύτην δίδωσι δίκην, ὅσην ἂν εἰ καὶ ἐκεῖνα αἰνεκλήθη, καὶ πολλῷ χείρονα. οὐκέτι γὰρ ἁπλοῦν ἐστι τὸ ἁμάρτημα, ἀλλὰ διπλοῦν καὶ τριπλοῦν. ὅτι δὲ μείζων τούτων τῶν ἁμαρτημάτων ἡ δίκη, ἄκουσον τί φησιν ὁ Παῦλος. Ἀθετήσας τις νόμον Μωϋσέως, χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει. πόσῳ δοκεῖτε χείρονος ἀξιωθήσεται τιμωρίας, ὁ τὸν υἱὸν τοῦ Θεοῦ καταπατήσας, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος, καὶ τὸ πνεῦμα τῆς χάριτος ἐνυβρίσας;

Ῥωμ. ια. κθ. — γ. ἐπιχ. — γ. δίδωσιν — Ἑβρ. ι. κη.

ΗΘΙΚΟΝ

Τάχα πολλοὺς ἀπετρεψάμεθα νῦν λαβεῖν τὸ βάπτισμα. ἀλλ' οὐ διὰ τοῦτο ταῦτα εἰρήκαμεν, ἀλλ' ἵνα λαβόντες μένωσιν ἐν σωφροσύνῃ καὶ ἐπιεικείᾳ πολλῇ. ἀλλὰ δέδοικα, φησίν. εἰ ἐδεδοίκεις, ἔλαβες ἂν καὶ ἐφύλαξας. ἀλλὰ δι' αὐτὸ μὲν οὖν τοῦτο οὐ λαμβάνω, φησί, διὰ τὸ φοβεῖσθαι. σὺ δὲ οὕτως ἀπελθεῖν οὐ δέδοικας; ἀλλὰ φιλάνθρωπός ἐστι, φησὶν, ὁ Θεός. οὐκοῦν λάβε τὸ βάπτισμα. φιλάνθρωπος γάρ ἐστι καὶ βοηθεῖ. σὺ δὲ, ἔνθα μὲν ἂν δέῃ σπουδάσαι, οὐ προβάλλῃ τὴν φιλανθρωπίαν ταύτην· ἔνθα δὲ ἂν θέλῃς ἀναβαλέσθαι, τότε αὐτῆς μέμνησαι. καίτοι τότε καιρὸν ἂν ἔχοι ἡ φιλανθρωπία αὕτη, καὶ μᾶλλον αὐτῆς ἐπιτευξόμεθα, ὅταν καὶ τὰ παρ' ἑαυτῶν εἰσενέγκωμεν. ὁ μὲν γὰρ τὸ πᾶν ἐπὶ τὸν Θεὸν ῥίψας, καὶ μετὰ τὸ βάπτισμα ἁμαρτάνων οἷα εἰκὸς ἄνθρωπον ὄντα, μετανοῶν τεύξεται φιλανθρωπίας· ὁ δὲ ὥσπερ σοφιζόμενος τοῦ Θεοῦ τὴν φιλανθρωπίαν, ἀπελθὼν ἄμοιρος τῆς χάριτος, ἀπαραίτητον ἕξει τὴν τιμωρίαν. τί δὲ τοιαῦτα κατὰ τῆς σαυτοῦ σωτηρίας προβάλλῃ; ἀμήχανον γὰρ, ἀμήχανον, ὡς ἔγωγε οἶμαι, τὸν τοιαύταις ἐλπίσιν ἀναβαλλόμενον ἐργάσασθαί τι γενναῖον καὶ ἀγαθόν. σὺ δὲ ἀνθ' ὅτου τοσοῦτον φόβον ἀναδέχῃ, καὶ τὸ ἄδηλον τοῦ μέλλοντος προβάλλῃ; διὰ τί μὴ μεταβάλλεις τὸν φόβον τοῦτον εἰς πόνον καὶ σπουδὴν, καὶ ἔσῃ μέγας καὶ θαυμαστός; τί βέλτιον; φοβεῖσθαι, ἢ πονεῖν; εἴ τις σε ἐκάθισεν ἐν οἴκῳ πεπονηκότι διαρκῶς τοῦτο, εἰπὼν, ὅτι προσδόκα ἐπὶ τὴν σὴν κεφαλὴν πεσεῖσθαι τὴν ὀροφὴν σαθρὰν οὖσαν (ἴσως μὲν γὰρ πεσεῖται, ἴσως δὲ οὐ πεσεῖται) εἰ δὲ μὴ τοῦτο θέλεις, ἐργάζου, καὶ τὸν ἀσφαλέστερον οἰκεῖ θάλαμον, τί ἂν εἵλου μᾶλλον; τὴν διαγωγὴν ἐκείνην μετὰ τοῦ φόβου, ἢ τὴν ἐργασίαν ταύτην μετὰ τοῦ θαρρεῖν; οὐκοῦν οὕτω καὶ νῦν ποίει. τὸ μὲν γὰρ ἄδηλον τοῦ μέλλοντος, καθάπερ οἶκός τίς ἐστι σαθρὸς, ἀεὶ πτῶσιν ἀπειλῶν· ἡ δὲ ἐργασία αὕτη πόνον ἔχουσα, τὸ ἀσφαλὲς ἐγγυᾶται. μὴ γένοιτο μὲν οὖν ἡμᾶς ἐμπεσεῖν εἰς ἀνάγκην τοσαύτην, ὥστε ἁμαρτάνειν μετὰ τὸ λουτρόν· πλὴν εἰ καὶ γένοιτό τι τοιοῦτον, μηδὲ οὕτως ἀπογνῶμεν. φιλάνθρωπός ἐστιν ὁ Θεὸς, καὶ πολλὰς ἡμῖν δέδωκεν ὁδοὺς ἀφέσεως καὶ μετὰ ταῦτα. πλὴν ὥσπερ οἱ μετὰ τὸ λουτρὸν ἁμαρτάνοντες, τῶν κατηχουμένων κατὰ τοῦτο μᾶλλον κολάζονται· οὕτως* οἱ εἰδότες ὅτι μετανοίας ἐστὶ φάρμακα, καὶ μὴ θέλοντες αὐτοῖς κεχρῆσθαι, χαλεπώτερα ὑποστήσονται). ὅσῳ γὰρ ἂν ἐπιτείνηται ἡ φιλανθρωπία τοῦ Θεοῦ, τοσούτῳ καὶ ἡ κόλασις αὔξεται, ἐὰν μὴ εἰς δέον τῇ φιλανθρωπίᾳ χρησώμεθα. τί λέγεις, ἄνθρωπε; μεστὸς ὢν κακῶν τοσούτων καὶ ἀπεγνωσμένος, ἀθρόον ἐγένου φίλος, καὶ πρὸς τὴν ἀνωτάτω τιμὴν ἀνεβιβάσθης, οὐκ ἐξ οἰκείων πόνων, ἀλλ' ἐκ τῆς τοῦ Θεοῦ δωρεᾶς, καὶ πάλιν ἐπὶ τὴν προτέραν ἐπανῆλθες ἀσχημοσύνην, καὶ δέον κολασθῆναι χαλεπῶς· ὁ δὲ οὐδὲ οὕτως ἀπεστράφη, ἀλλ' ἔδωκε μυρίας ἀφορμὰς σωτηρίας, δι' ὧν ἔσῃ φίλος. καὶ ὁ μὲν Θεὸς ταῦ-

γ. διὰ τοῦτο καλεῖν δεῖ. — γ. καταπατ. καὶ τί ἂν ἀπαξιωθείς, φησιν, ἀπέλθοι; ἀπελθέτω πάντων τῶν κατηγορημάτων ἐμ. — γ. ἀλλ' — * πάλιν

μωρητικόν. καὶ τῆς κρίσεως δὲ εὐχερῶς ἀναμιμνήσκει. ὅτι μὲν γὰρ ἁμαρτήματα συγχωρῆσαι ἔδει, πολλῆς ἔδει τῆς παρακλήσεως· ἐπειδὴ δὲ ἐπέτυχον τῆς δωρεᾶς, λοιπὸν καὶ κρίσεως καὶ ἐξετάσεως χρεία. πῶς δὲ βαπτισθήσεσθε, λέγει, ὕδατος οὐκ ὄντος ἐν τῷ ὑπερῴῳ; ὅτι τὸ κυριώτερον τὸ πνεῦμά ἐστι, δι' οὗ καὶ τὸ ὕδωρ ἐνεργεῖ· ὥσπερ οὖν καὶ αὐτὸς κεχρῖσθαι λέγεται, οὐδαμοῦ χρισάμενος ἐλαίῳ, ἀλλὰ πνεῦμα δεξάμενος· ἄλλως δὲ, καὶ ὕδατι βαπτιζομένους αὐτοὺς ἔστιν εὑρεῖν καὶ ἐν διαφόροις καιροῖς. ἐφ' ἡμῶν μὲν γὰρ ἀμφότερα γίνεται ὑφ' ἕν, τότε δὲ διεσπασμένως. ὑπὸ γὰρ τὴν ἀρχὴν ὑπὸ Ἰωάννου ἐβαπτίσθησαν. καὶ μὴ θαυμάσῃς. εἰ γὰρ πόρναι καὶ τελῶναι ἐπὶ τὸ βάπτισμα ἤεσαν ἐκεῖνο, πολλῷ μᾶλλον οἱ μετὰ ταῦτα βαπτίζεσθαι μέλλοντες ὑπὸ τοῦ πνεύματος. εἶτα ἵνα μὴ λέγωσιν ἐν ἐπαγγελίαις ἀεὶ τὸ πρᾶγμα (καὶ γὰρ καὶ ἤδη πολλὰ περὶ αὐτοῦ διελέχθη) μηδὲ νομίσωσιν αὐτὸ ἐνέργειαν εἶναι ἀνυπόστατον, ἀπάγει αὐτοὺς τῆς τοιαύτης ὑπονοίας, οὐ μετὰ πολλὰς ταύτας ἡμέρας φησί. καὶ οὐκ ἐδήλωσε πότε, ἵνα ἀεὶ γρηγορῶσιν· ἀλλ' ὅτι μὲν ἐγγὺς ἐστί, εἶπεν, ἵνα μὴ ἐκλυθῶσι· πότε δὲ, οὐκέτι προσέθηκεν, ἵνα ἀεὶ νήφωσιν. οὐ τούτῳ δὲ μόνον αὐτοὺς πιστοῦται, τῇ ταχύτητι λέγω τοῦ καιροῦ· ἀλλὰ καὶ τῷ λέγειν, τὴν ἐπαγγελίαν ἣν ἠκούσατέ μου. ὃ δὲ λέγει τοῦτό ἐστιν· οὐ νῦν ὑμῖν εἶπον, φησί, μόνον, ἀλλὰ καὶ ἤδη ἐπηγγειλάμην, ἃ ποιήσω πάντως. τί τοίνυν θαυμάζεις, εἰ τὴν ἡμέραν τῆς συντελείας μὴ λέγει, ὅπου γε ταύτην τὴν οὕτως ἐγγὺς οὖσαν οὐκ ἠθέλησε ποιῆσαι κατάδηλον; καὶ μάλα εἰκότως· ἵν' ἀεὶ ἐγρηγορότες ὦσι καὶ ἐν προσδοκίᾳ καὶ μερίμνῃ. οὐ γάρ ἐστιν, οὐκ ἔστι χάριτος ἀπολαῦσαι μὴ νήφοντα. ἢ οὐχ ὁρᾷς τί φησι καὶ Ἠλίας πρὸς τὸν μαθητήν; ἐὰν ἴδῃς με ἀναλαμβανόμενον, ἔσται σοι οὕτω· τουτέστι, γενήσεται σοι τοῦτο ὃ αἰτεῖς. καὶ ὁ Χριστὸς δὲ πανταχοῦ τοῖς προσιοῦσιν ἔλεγε· Πιστεύεις; ἐὰν γὰρ μὴ οἰκειωθῶμεν πρὸς τὸ διδόμενον, οὐδὲ τῆς εὐεργεσίας σφόδρα αἰσθανόμεθα. οὕτω καὶ ἐπὶ Παύλου· οὐκ εὐθέως ἡ χάρις ἦλθεν· ἀλλὰ τρεῖς ἡμέραι ἐγένοντο μεταξύ, ἐν αἷς ἦν τυφλὸς, ὑπὸ τοῦ φόβου τηκόμενος καὶ παρασκευαζόμενος. καθάπερ γὰρ οἱ τὴν ἁλουργίδα βάπτοντες, πρότερον ἑτέροις τισὶ τὸ δεχόμενον τὴν βαφὴν παρασκευάζουσιν, ἵνα μὴ ἐξίτηλον γένηται τὸ ἄνθος· οὕτω δὴ καὶ ἐνταῦθα, πρότερον μεμεριμνημένην κατασκευάζει τὴν ψυχὴν ὁ Θεὸς, καὶ τότε τὴν χάριν ἐκχεῖ. διὰ τοῦτο καὶ οὐδὲ εὐθέως τὸ πνεῦμα ἔπεμψεν, ἀλλ' ἐν τῇ πεντηκοστῇ. εἰ δὲ λέγοι τις, τίνος ἕνεκεν καὶ ἡμεῖς οὐκ ἐν τῷ καιρῷ τούτῳ βαπτιζόμεθα; ἐκεῖνο ἂν εἴποιμεν, ὅτι ἡ μὲν χάρις ἡ αὐτὴ καὶ τότε, καὶ νῦν· ἡ δὲ διάνοια ὑψηλοτέρα γίνεται νῦν ὑπὸ νηστείας παρασκευαζομένη. καὶ ὁ τῆς πεντηκοστῆς δὲ καιρὸς ἔχει τινὰ λόγον οὐκ ἀπεικότα. τίνα δὴ τοῦτον; ἀρχαίως ταῦτα ἐνόμισαν οἱ πατέρες εἶναι χαλινὸν ἐπιθυμίας πονηρᾶς τὸ μεγάλην διδασκαλίαν τὸ βάπτισμα εἰς τὸ καὶ ἐν καιρῷ τρυφῆς σωφρονεῖν. καθάπερ οὖν αὐτῷ συναλιζόμενοι τῷ Χριστῷ καὶ τραπέζης κοινωνοῦντες, μηδὲν ἁπλῶς πράττωμεν, ἀλλ' ἐν νηστείαις καὶ εὐχαῖς καὶ σωφροσύνῃ πολλῇ διάγωμεν. εἰ γὰρ ἐπὶ ἀρχὴν μέλλων εἶναί τις βιωτικὴν, παρασκευάζει ἑαυτὸν ἅπαντα τὸν βίον, καὶ ἵνα τύχῃ τινὸς ἀξιώματος, τὰ χρήματα ἀναλίσκει, καὶ χρόνον δαπανᾷ, καὶ μυρίους ὑπομένει πόνους· πόσου ἂν εἴημεν ἡμεῖς ἄξιοι μετὰ τοσαύτης ῥαθυμίας τῇ βασιλείᾳ τῶν οὐρανῶν προσιόντες, καὶ οὔτε πρὶν ἢ λαβεῖν σπουδάζοντες, καὶ μετὰ τὸ λαβεῖν ῥαθυμοῦντες; διὰ γὰρ τοῦτο μετὰ τὸ λαβεῖν ῥαθυμοῦμεν, ἐπειδὴ πρὶν ἢ λαβεῖν οὐκ ἐγρηγόρειμεν. διὰ τοῦτο πολλοὶ μετὰ τὸ λαβεῖν εὐθέως ἐπὶ τὸν πρότερον ἐπανῆλθον ἔμετον, καὶ χείρους ἐγένοντο, καὶ χαλεπωτέραν ἐπεσπάσαντο κόλασιν, τῶν μὲν προτέρων ἀπαλλαγέντες ἁμαρτημάτων, ταύτῃ δὲ μειζόνως τὴν κρίσιν παροξύναντες, ὅτι τοσαύτης ἀπαλλαγέντες ἀῤῥωστίας, οὐδὲ οὕτως ἐσωφρονίσθησαν. ἀλλ' ἔπαθον ὅπερ ἠπείλησε τῷ παραλυτικῷ ὁ Χριστὸς λέγων· Ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται· καὶ ὃ περὶ τῶν Ἰουδαίων δὲ προὔλεγεν, ὅτι τὰ ἀνήκεστα πείσονται ἀγνωμονοῦντες. Εἰ γὰρ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, φησιν, ἁμαρτίαν οὐκ εἶχον. ὥστε διπλᾶ καὶ τετραπλᾶ τὰ

γ. λοιπὸν
γ. ἐπιτυχοῦσι δωρ-

γ. γὰρ
γ. ἴσως

δ. Βασ. β. ι.
Πραξ. η. θ.

Ἰωάν. ε. ιδ.
Ἰωάν. ιε. κβ.

γ. ὅτι ἔσται τὰ ἔσχατα χείρονα τῶν προτέρων. εἰ



Digitized by Google

Ἀλλὰ περιμένειν τὴν ἐπαγγελίαν τοῦ πατρὸς, ἣν ἠκούσατέ μου.

[Ἰωάν. ιε. ζ.] [Ἰωάν. ιδ. ιε.] [Ἰωάν. κ. κβ.] [Δαν. η. ιζ.] [Λουκ. ι. ιθ.] Καὶ πότε ἠκούσατε, φησι; ὅτε ἔλεγε· Συμφέρει ὑμῖν ἵνα ἐγὼ ἀπέλθω. ἐὰν γὰρ ἐγὼ μὴ ἀπέλθω, ὁ παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς· καὶ πάλιν· Ἐρωτήσω τὸν πατέρα, καὶ ἄλλον παράκλητον πέμψει ὑμῖν, ἵνα μένῃ μεθ' ὑμῶν. καὶ τίνος ἕνεκεν οὐχὶ παρόντος αὐτοῦ, οὐδὲ ἀπελθόντος εὐθέως παρεγένετο, ἀλλ' αὐτὸς μὲν τῇ παρασκευῇ ἡμέρᾳ ἀπῆλθε, τὸ δὲ πνεῦμα παρεγένετο ἐν τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς πεντηκοστῆς; καὶ πῶς, εἰ μηδέπω παρεγεγόνει, ἔλεγε, Λάβετε πνεῦμα ἅγιον; ἵνα δεκτικοὺς αὐτοὺς ποιήσῃ καὶ ἀρκοῦντας πρὸς τὴν ὑποδοχήν. εἰ γὰρ ἄγγελον μέλλων ὁρᾶν ὁ Δανιὴλ διελύετο, πολλῷ μᾶλλον οὗτοι μέλλοντες τοσαύτην δέχεσθαι χάριν. ἢ τοῦτο οὖν ἐστιν εἰπεῖν, ἢ ὅτι τὸ μέλλον ἔσεσθαι ὡς ἤδη γεγενημένον εἴρηκεν. ὥσπερ ὅταν λέγῃ, Πατεῖτε ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. τίνος δὲ ἕνεκεν οὐκ εὐθὺς τότε παρεγεγόνει; ἐν ἐπιθυμίᾳ αὐτοὺς ἔδει γενέσθαι τοῦ πράγματος, καὶ οὕτω δέξασθαι τὴν χάριν. διὰ τοῦτο αὐτὸς ἀπέστη, καὶ τότε ἐκεῖνο ἦλθεν. εἰ δὲ ἦλθε, παρόντος αὐτοῦ, οὐκ ἂν ἐν τοσαύτῃ ἐγένοντο προσδοκίᾳ. διὰ τοῦτο οὐδὲ εὐθέως, ἀνελθόντος αὐτοῦ, παραγίνεται, ἀλλὰ μετὰ ὀκτὼ ἢ ἐννέα ἡμέρας. οὕτω καὶ ἡμεῖς πρὸς τὸν Θεὸν τότε μάλιστα διεγειρόμεθα, ὅταν ἐν χρείᾳ καταστῶμεν. [Λουκ. ζ. κ.] διὰ τοῦτο καὶ Ἰωάννης τότε μάλιστα πέμπει τοὺς μαθητὰς πρὸς τὸν Χριστὸν, ὅτε μάλιστα ἔμελλον ἐν χρείᾳ εἶναι τοῦ Ἰησοῦ, τὸ δεσμωτήριον οἰκοῦντος ἐκείνου. ἄλλως δὲ ἔδει ἐν οὐρανῷ φανῆναι τὴν ἡμετέραν φύσιν, καὶ τὰς καταλλαγὰς γενέσθαι ἀπηρτισμένας, καὶ τότε ἐλθεῖν τὸ πνεῦμα, καὶ καθαρὰν γενέσθαι τὴν ἡδονήν. εἰ γὰρ παρόντος αὐτοῦ, ὁ μὲν ἀπῆλθεν, ὁ δὲ ἔμενεν, οὐκ ἂν ἦν τοσαύτη ἡ τῆς παραμυθίας. καὶ γὰρ σφόδρα αὐτοῦ δυσαποσπάστως εἶχον. [Ἰωάν. ιε. ζ.] διὸ καὶ ἔλεγε παραμυθούμενος αὐτούς· Συμφέρει ὑμῖν ἵνα ἐγὼ ἀπέλθω. διὰ τοῦτο καὶ ἡμέρας ἀναμένει τὰς μεταξὺ ἵνα μικρὸν ἀθυμήσαντες, καὶ ἐν χρείᾳ, ὅπερ ἔφην, καταστάντες, ὁλόκληρον καὶ καθαρὰν καρπώσωνται τὴν ἡδονήν. εἰ δὲ ἔλαττον ἦν τὸ πνεῦμα, οὐκ ἦν ἀρκοῦσα ἡ παραμυθία. πῶς δὲ καὶ ἔλεγε, συμφέρει ὑμῖν; διὰ τοῦτο τὰ μείζονα αὐτῷ τετήρηται τῆς διδασκαλίας, ἵνα μὴ ἔλαττον αὐτὸ νομίσωσι. σκόπει δὲ ἡλίκην αὐτοῖς ἀνάγκην ἐπέθηκεν ἐν Ἱεροσολύμοις εἶναι, τῷ ὑποσχέσθαι ἐκεῖ τὸ πνεῦμα παρέχεσθαι. ἵνα γὰρ μὴ πάλιν μετὰ τὴν ἀνάληψιν αὐτοῦ φύγωσι, τῇ προσδοκίᾳ ταύτῃ, καθάπερ τινὶ δεσμῷ, κατέχει πάντας αὐτοὺς ἐκεῖ. εἰπὼν δὲ περιμένειν τὴν ἐπαγγελίαν τοῦ πατρὸς, ἣν ἠκούσατέ μου, ἐπήγαγεν·

5 Ὅτι Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν πνεύματι ἁγίῳ οὐ μετὰ πολλὰς ταύτας ἡμέρας. Δείκνυσι λοιπὸν τὸ μέσον αὐτοῦ καὶ Ἰωάννου φανερῶς, οὐκ ἔτι, ὡς πρὸ τούτου, συνεσκιασμένως. [Ματθ. ια. ια.] καὶ γὰρ σφόδρα συνεσκίασε τὸν λόγον ὅτε ἔλεγεν· Ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζων αὐτοῦ ἐστιν· ἀλλὰ νῦν φανερώτερον, Ἰωάννης, φησὶν, ἐβάπτισεν ὕδατι· ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν πνεύματι ἁγίῳ. * οὐκ ἔτι χρῆται τῇ μαρτυρίᾳ, ἀλλὰ ἀναμιμνήσκει τοῦ προσώπου μόνον, εἰς μνήμην τῶν παρ' αὐτοῦ εἰρημένων ἐνάγων, καὶ δείκνυσιν αὐτοὺς ἤδη μείζους λοιπὸν γεγενημένους Ἰωάννου, εἴγε ἐν πνεύματι ἔμελλον καὶ αὐτοὶ βαπτίζειν. καὶ οὐκ εἶπεν, ὑμᾶς δὲ ἐγὼ βαπτίζω ἐν πνεύματι ἁγίῳ, ἀλλὰ, βαπτισθήσεσθε, διδάσκων ἡμᾶς ταπεινοφρονεῖν. τοῦτο γὰρ ἀπὸ τῆς μαρτυρίας Ἰωάννου δῆλον λοιπὸν ἦν, ὅτι αὐτὸς ἦν ὁ βαπτίζων, [Λουκ. γ. ις.] εἰπόντος, ὅτι Αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί. διὸ καὶ μόνου αὐτοῦ ἐμνημόνευσε. τὰ μὲν οὖν εὐαγγέλια, ὧν ὁ Χριστὸς ἐποίησε καὶ εἶπεν, ἱστορία τίς ἐστιν· αἱ δὲ πράξεις, ὧν ὁ ἕτερος παράκλητος εἶπε καὶ ἐποίησε. καὶ τότε μὲν γὰρ πολλὰ καὶ αὐτὸς ἐποίει, ὥσπερ οὖν καὶ νῦν ὁ Χριστὸς ἐνεργεῖ, καθάπερ καὶ τότε· ἀλλὰ τότε [μὲν] διὰ τοῦ ναοῦ, νῦν δὲ διὰ τῶν ἀποστόλων. καὶ τότε μὲν εἰς παρθενικὴν ἦλθε μήτραν, καὶ ναὸν διέπλασε· νῦν δὲ εἰς ψυχὰς ἀποστολικάς. καὶ τότε μὲν ἐν εἴδει περιστερᾶς· νῦν δὲ ἐν εἴδει πυρός. τί δήποτε; ἐκεῖ μὲν τὸ πρᾶον * δηλῶν· ἐνταῦθα δὲ καὶ τὸ τιμωρητικόν.

[χ. πλείω] [χ. διαβάλλει] [χ. ἀπῆει] [* καὶ] [χ. Ἰωάννη] [* τὸ δεινόν]

τί δήποτε; ἀνάγων αὐτῶν τὰς διανοίας, καὶ οὐκ ἔτι συγχωρῶν ὁμοίως πρὸς αὐτὸν διακεῖσθαι, ὥσπερ καὶ ἔμπροσθεν. οὐχ ἁπλῶς δὲ τοῦτο ἐποίει, ἀλλ' ἐκεῖνα μετὰ ἀκριβείας κατασκευάζων, καὶ τὸ πιστευθῆναι τὴν ἀνάστασιν, καὶ τὸ μείζονα αὐτὸν νομισθῆναι λοιπὸν ἢ κατὰ ἄνθρωπον. καίτοι γε ταῦτα ἐναντία ἦν. ὑπὲρ μὲν γὰρ τοῦ πιστευθῆναι τὴν ἀνάστασιν, πολλὰ ἀνθρώπινα ἔδει γενέσθαι· ὑπὲρ δὲ θατέρου, τοὐναντίον. ἀλλ' ὅμως ἀμφότερα γέγονε μετὰ τοῦ προσήκοντος καιροῦ. τίνος δὲ ἕνεκεν οὐχὶ πᾶσιν, ἀλλὰ τοῖς ἀποστόλοις ἐφαίνετο; ὅτι φάντασμα ἂν ἔδοξεν εἶναι τοῖς πολλοῖς, οὐκ εἰδόσι τὸ ἀπόρρητον τοῦ μυστηρίου. εἰ γὰρ καὶ αὐτοὶ οἱ μαθηταὶ ἠπίστουν τὴν ἀρχὴν καὶ ἐθορυβοῦντο, καὶ ἀφῆς ἐδεήθησαν τῆς διὰ χειρός, καὶ τραπέζης, τί τοὺς πολλοὺς εἰκὸς παθεῖν ἦν; διά τοι τοῦτο ἐκ τῶν σημείων ἀναμφίβολον ποιεῖ τῆς ἀναστάσεως τὴν ἀπόδειξιν· ὥστε μὴ τοῖς τότε μόνον, ἀλλὰ καὶ

κ. μόνον. ὅπερ ἐκ τῆς ὄψεως ἔμελλεν ἔσεσθαι, ἀλλὰ πᾶσι τοῖς μετὰ ταῦτα φανερὰν γενέσθαι τὴν ἀνάστασιν. διά τοι

πᾶσι τοῖς μετὰ ταῦτα φανερὰν γενέσθαι τὴν ἀνάστασιν. ὅπερ γὰρ ἐκείνοις ἐκ τῆς ὄψεως τῶν σημείων, τοῦτο ἐκ τῆς πίστεως πᾶσιν ὕστερον ἔμελλεν ἔσεσθαι. διά τοι τοῦτο καὶ τοὺς ἀπίστους ἐντεῦθεν συλλογιζόμεθα. Εἰ γὰρ οὐκ ἀνέστη, ἀλλὰ μένει νεκρός, πῶς ἐν τῷ ὀνόματι αὐτοῦ οἱ ἀπόστολοι σημεῖα ἐποίησαν; ἀλλ' οὐκ ἐποίησαν σημεῖα; πῶς οὖν συνέστη τὸ ἔθνος τὸ ἡμέτερον; "οὐ γὰρ δὴ [καὶ] πρὸς τοῦτο ἀντιστήσονται," οὐδὲ τοῖς ὁρωμένοις μαχέσονται. ὥστε ὅταν λέγωσι μὴ γενέσθαι σημεῖα, μειζόνως ἑαυτοὺς περιπείρουσι. τοῦτο γὰρ μέγιστον σημεῖον, τὸ χωρὶς σημείων τὴν οἰκουμένην προσδραμεῖν ἅπασαν, ὑπὸ δώδεκα πτωχῶν καὶ ἀγραμμάτων ἀνθρώπων ἁλιευθεῖσαν. οὐδὲ γὰρ πλούτῳ χρημάτων, οὐ σοφίᾳ λόγων, οὐκ ἄλλῳ τινὶ τοιούτῳ περιεγένοντο οἱ ἁλιεῖς. ὥστε καὶ ἄκοντες ὁμολογήσουσι θείαν εἶναι ἐν αὐτοῖς δύναμιν. ἀμήχανον γὰρ ἀνθρωπίνην ἰσχὺν δυνηθῆναι τοσαῦτά ποτε. διά τοι τοῦτο καὶ αὐτὸς

κ. οἱ

κ. καὶ

κ. ἐπὶ τῆς γῆς

τεσσαράκοντα ἡμέρας ἔμεινε μετὰ τὴν ἀνάστασιν, ἔλεγχον διδοὺς ἐν τῷ μακρῷ χρόνῳ τῆς ὄψεως τῆς οἰκείας, ἵνα μὴ φάντασμα εἶναι νομίσωσι τὸ ὁρώμενον. καὶ οὐδὲ τούτῳ ἠρκέσθη, ἀλλὰ καὶ τράπεζαν προστίθησιν· ὅπερ οὖν καὶ προϊὼν λέγει·

κ. δηλῶν ἔλεγε·

4 Καὶ συναλιζόμενος αὐτοῖς παρήγγειλε. Τοῦτο δὲ ἀεὶ καὶ αὐτοὶ οἱ ἀπόστολοι τεκμήριον ἐποιοῦντο τῆς ἀναστάσεως λέγοντες· Οἵτινες συνεφάγομεν καὶ συνεπίομεν αὐτῷ. τί Πραξ. ι. μα.

κ. διὰ τί ἐπιμένει τὰς τεσσαράκοντα ἡμέρας ὀπτανόμενος; διελέγετο γὰρ αὐτοῖς, φησί, περὶ

δὲ καὶ φαινόμενος ἐποίει, δι' ὧν ἐπήγαγε δείκνυσι λέγων·

Ὀπτανόμενος αὐτοῖς, καὶ λέγων τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ.

Ἐπειδὴ δὲ οἱ πεπονηκότες ἦσαν καὶ τεταραγμένοι τοῖς ἤδη γεγενημένοις, καὶ πρὸς μεγάλους ἔμελλον λοιπὸν ἐξιέναι ἀγῶνας, τοῖς περὶ τῶν μελλόντων αὐτοὺς ἀνακτώμενος λόγοις, παρήγγειλεν ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι, ἀλλὰ περιμένειν τὴν ἐπαγγελίαν τοῦ πατρός. πρότερον αὐτοὺς εἰς τὴν Γαλιλαίαν ἐξήγαγε δεδοικότας ἔτι καὶ τρέμοντας, ἵνα μετὰ ἀδείας ἀκούσωσι τῶν λεγομένων· Εἶτα, ἐπειδὴ ἤκουσαν, καὶ τεσσαράκοντα συνδιέτριψαν ἡμέρας, παρήγγειλεν· Ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι. Τί δήποτε; καθάπερ τινὰς στρατιώτας μέλλοντας εἰς πλῆθος ἐμπίπτειν οὐδεὶς ἀφίησιν ἐξελθεῖν, ἕως ἂν ὁπλίσωνται· οὐδὲ ἵππους προπηδᾶν τῆς βαλβῖδος, ἕως ἂν τὸν ἡνίοχον λάβωσιν· οὕτω δὴ καὶ αὐτοὺς πρὸ τῆς τοῦ πνεύματος καθόδου φανῆναι ἐπὶ τῆς παρατάξεως οὐκ εἴα, ὥστε μὴ γενέσθαι εὐχειρώτους καὶ ἁλωσίμους τοῖς πολλοῖς. οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ ἐπειδὴ πολλοὶ ἦσαν οἱ μέλλοντες πιστεύειν αὐτόθι· καὶ πρὸς τούτοις πάλιν, ἵνα μὴ λέγωσί τινες, ὅτι τοὺς γνωρίμους ἀφέντες, παρὰ τοῖς ξένοις ἦλθον κομπάσαι, τούτου χάριν παρ' αὐτοῖς τοῖς πεφονευκόσι παρέχουσι τὰ τεκμήρια τῆς ἀναστάσεως, παρ' αὐτοῖς τοῖς ἐσταυρωκόσι, τοῖς θάψασιν, ἐν αὐτῇ τῇ πόλει, ἐν ᾗ τὸ πρᾶγμα τὸ παράνομον ἐτολμήθη, ὥστε καὶ τοὺς ἔξωθεν ἐπιστομισθῆναι ἅπαντας. ὅταν γὰρ οἱ ἐσταυρωκότες αὐτοὶ φαίνωνται καὶ πεπιστευκότες, εὔδηλον ὅτι καὶ ὁ σταυρὸς καὶ τοῦ τολμήματος ἐδείκνυτο ἡ παρανομία, καὶ τῆς ἀναστάσεως πολλὴ ἡ ἀπόδειξις. Εἶτα ἵνα μὴ λέγωσι, πῶς οὖν διασωσόμεθα μεταξὺ ἀνθρώπων μιαρῶν καὶ φονώντων, καὶ τοσούτων ὄντων, ὀλίγοι καὶ εὐτελεῖς ὄντες μόνοι; ὅρα πῶς λύει τὴν ἀγωνίαν, εἰπών·

κ. γὰρ

Ἀλλά

Digitized by Google

ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν, τὰ θαύματα καὶ τὰς διδασκαλίας αἰνιττόμενος. οὐ τοῦτο δὲ μόνον, ἀλλ' ὅτι καὶ ποιῶν ἐδίδασκεν. ὅρα δὲ αὐτοῦ καὶ τὴν φιλαλήθειαν καὶ ἀποστολικὴν γνώμην, εἰ καὶ ἑνὸς ἕνεκεν τοσαύτην ἐποιεῖτο ἀκρίβειαν, ὡς ὁλόκληρον εὐαγγέλιον γράψαι.

Λουκ. α. δ. Ἵνα γὰρ ἔχῃς, φησί, περὶ ὧν κατηχήθης λόγων τὴν ἀσφάλειαν. καὶ γὰρ ἤκουσε τοῦ Χριστοῦ

Ματθ. ιη. ιδ. λέγοντος· Οὐκ ἔστι θέλημα τοῦ πατρός μου, ἵνα ἀπόληται εἷς τῶν μικρῶν τούτων. καὶ τίνος ἕνεκεν οὐχ ἓν βιβλίον ἐποίησεν ἑνὶ τῷ Θεοφίλῳ ἐπιστέλλων, ἀλλ' εἰς δύο διεῖλεν ὑποθέσεις; σαφηνείας ἕνεκεν καὶ τοῦ διαναπαῦσαι τὸν ἀκροατήν· ἄλλως δὲ, καὶ τῇ ὑποθέσει διῃρημέναι εἰσὶν αἱ πραγματεῖαι. σκόπει δὲ ὅπως ἑαυτοῦ τοὺς λόγους ὁ Χριστὸς διὰ τῶν ἔργων

Ματθ. ια. κθ. ἀξιοπίστους ἐποίει. περὶ πραότητος ἐπήνει, καὶ ἔλεγε· Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι

Ματθ. η. κ. καὶ ταπεινὸς τῇ καρδίᾳ. ἐδίδασκεν ἀκτήμονας εἶναι, καὶ τοῦτο ἐδείκνυτο διὰ τῶν ἔργων. Ὁ γὰρ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ, φησί. πάλιν, ἐκέλευσε τοὺς ἐχθροὺς ἀ-

Ματθ. ε. μδ. γαπᾶν. ἐδίδαξε τοῦτο ἐπὶ τοῦ σταυροῦ εὐχόμενος ὑπὲρ τῶν σταυρωσάντων. ἔλεγε, Τῷ θέ-

Λουκ. κγ. λδ. λοντί σοι κριθῆναι καὶ τὸν χιτῶνά σου λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον. ὁ δὲ, οὐχὶ τὰ ἱμάτια

Ματθ. ε. μ. μόνον, ἀλλὰ καὶ τὸ αἷμα ἔδωκεν. οὕτω καὶ *τοῖς μαθηταῖς ἐκέλευσε ποιεῖν. διὸ καὶ ὁ Παῦλος

Φιλ. γ. ιζ. ἔλεγε· Καθὼς ἔχετε τύπον ἡμᾶς. οὐδὲν γὰρ διδασκάλου ψυχρότερον ἐν λόγοις φιλοσοφοῦντος μόνον. τοῦτο γὰρ οὐ διδασκάλου, ἀλλ' ὑποκριτοῦ. διὰ τοῦτο οἱ ἀπόστολοι πρότερον ἀπὸ τοῦ βίου ἐδίδασκον, καὶ τότε ἀπὸ τῶν ῥημάτων· μᾶλλον δὲ οὐδὲ ἔδει ῥημάτων αὐτοῖς, τῶν ἔργων βοώντων. οὐκ ἂν δέ τις ἁμάρτοι, καὶ τὸ πάθος αὐτοῦ πρᾶξιν καλέσας. ἐν τῷ γὰρ *παθεῖν, ἐποίησε τὸ μέγα καὶ θαυμαστὸν ἔργον ἐκεῖνο, τὸν θάνατον καταλύσας, καὶ τὰ ἄλλα πάντα ἐργασάμενος. Ἄχρι ἧς ἡμέρας ἐντειλάμενος τοῖς ἀποστόλοις διὰ πνεύματος ἁγίου, οὓς ἐξελέξατο, ἀνελήφθη. Διὰ πνεύματος ἐντειλάμενος· τουτέστι, πνευματικὰ πρὸς αὐτοὺς εἰπὼν ῥήματα, οὐδὲν ἀνθρώπινον. ἢ τοῦτο οὖν ἐστιν εἰπεῖν, ἢ ὅτι διὰ πνεύματος αὐτοῖς ἐνετείλατο. ὁρᾷς πῶς ταπεινὸς ἔτι διαλέγεται περὶ αὐτοῦ, ὡς

Ματθ. ιβ. κη. Ματθ. κη. ιθ. καὶ αὐτὸς περὶ ἑαυτοῦ λέγων, Εἰ δὲ ἐγὼ ἐν πνεύματι Θεοῦ ἐκβάλλω τὰ δαιμόνια; καὶ γὰρ καὶ τὸ πνεῦμα τὸ ἅγιον ἐνήργει ἐν ἐκείνῳ τῷ ναῷ. τί δαὶ ἐνετείλατο; Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα, ὅσα ἐνετειλάμην ὑμῖν. μέγα τῶν ἀποστόλων τὸ ἐγκώμιον, ὅταν τοιαῦτα ὦσιν ἐγκεχειρισμένοι τῆς οἰκουμένης λέγω τὴν σωτηρίαν, *ῥήματα τοῦ πνεύματος γέμοντα. ὃ δὴ καὶ αἰνιττόμενος εἶπε, Τὸ διὰ πνεύματος ἁγίου· τουτέστι, καὶ τὰ

Ἰωάν. ς. ξγ. ῥήματα, ἃ ἐλάλησα ὑμῖν, πνεῦμά ἐστι. τοῦτο δέ φησι, τὸν ἀκροατὴν εἰς ἐπιθυμίαν λαμπρὸν ἄγων τοῦ μαθεῖν τὰς ἐντολὰς, καὶ ἀξιοπίστους τοὺς ἀποστόλους ποιῶν, εἴγε τὰ τοῦ πνεύματος μέλλουσι λέγειν καὶ τὰς τοῦ Χριστοῦ ἐντολάς. ἐντειλάμενος οὖν, φησιν, ἀνελήφθη. οὐκ εἶπεν, ἀνέβη, ἐπειδὴ ἔτι ὡς περὶ ἀνθρώπου διαλέγεται. ἄρα καὶ μετὰ τὴν ἀνάστασιν ἐδίδασκε *τοὺς μαθητάς· ἀλλὰ τὸν χρόνον τοῦτον οὐδεὶς εἶπεν ἡμῖν μετὰ ἀκριβείας ἅπαντα, ἀλλ' ἐνεχρόνισε μὲν αὐτῷ ὁ Ἰωάννης τῶν ἄλλων μᾶλλον, καὶ οὐδεὶς πάντα δὲ σαφῶς οὕτως ἀπήγγειλε (πρὸς γὰρ ἕτερον ἠπείγετο) ἐμάθομεν δὲ ταῦτα διὰ τῶν ἀποστόλων. ἃ γὰρ ἤκουσαν [καὶ] εἶπον.

3 Οἷς καὶ παρέστησεν ἑαυτὸν, φησὶ, ζῶντα. Εἰπὼν περὶ τῆς ἀναλήψεως πρότερον, λέγει [καὶ] περὶ τῆς ἀναστάσεως. ἐπεὶ γὰρ *εἶπεν, ὅτι ἀνελήφθη, ἵνα μὴ νομίσῃς ὑφ' ἑτέρων αὐτὸν ἀνειλῆφθαι, ἐπήγαγεν· οἷς καὶ παρέστησεν ἑαυτὸν ζῶντα. εἰ γὰρ ἐν τῷ μείζονι ἑαυτὸν παρέστησε, πολλῷ μᾶλλον ἐν τῷ ἐλάττονι. εἶδες πῶς λανθανόντως παρασπείρει τὰ μεγάλα ταῦτα δόγματα; Δι' ἡμερῶν, φησι, τεσσαράκοντα ὀπτανόμενος αὐτοῖς.

Οὐ γὰρ ὥσπερ πρὸ τῆς ἀναστάσεως, ἀεὶ μετ' αὐτῶν ἦν, οὕτω καὶ τότε. οὐ γὰρ εἶπε τεσσαράκοντα ἡμέρας, ἀλλὰ δι' ἡμερῶν τεσσαράκοντα. ἐφίστατο γὰρ, καὶ *ἀφίστατο πάλιν.

γρ. τοῖς ἔργοις καὶ ἀπὸ διδάσκειν.

* πάθει

* ὄντα

* π

γρ. ἤκουσε

γρ. ἀφίστατο

τί

σωνται λόγον. καὶ γὰρ τοῦτο μάλιστά ἐστι τουτὶ τὸ βιβλίον, ἀναστάσεως ἀπόδειξις. τούτου γὰρ πιστευθέντος, ὁδῷ καὶ τὰ ἄλλα προὔβαινεν. ἡ μὲν οὖν ὑπόθεσις καὶ ὁ τοῦ βιβλίου σκοπὸς ἅπας, ὡς ἄν τις παχυμερῶς συλλαβὼν εἴποι, τοῦτο μάλιστά ἐστιν. ἀκούσωμεν δὲ λοιπὸν αὐτῶν τῶν προοιμίων.

γρ. παχυτέρως

κεφ. α.

1 Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων, ὦ Θεόφιλε, ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν. Τίνος ἕνεκεν αὐτὸν ἀναμιμνήσκει τοῦ εὐαγγελίου; ὥστε τὴν οἰκείαν ἀκρίβειαν ἐνδείξασθαι. καὶ γὰρ ἀρχόμενος τῆς πραγματείας ἐκείνης φησίν· Ἔδοξε κἀμοὶ παρηκολουθηκότι ἄνωθεν πᾶσιν ἀκριβῶς καθεξῆς σοι γράψαι. (Λουκ. α. γ.) καὶ οὐδὲ τῇ οἰκείᾳ ἀρκεῖται μαρτυρίᾳ μόνον, ἀλλὰ καὶ ἀνάγει ἐπὶ τοὺς ἀποστόλους τὸ πᾶν, λέγων· Καθὼς παρέδοσαν ἡμῖν οἱ ἀπ᾽ ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου. διὰ τὸν λόγον ἀξιόπιστον ἐκεῖ ποιήσας, οὐκέτι δεῖται ἐνταῦθα ἑτέρας βεβαιώσεως, ἅπαξ αὐτοῦ πιστευθέντος, καὶ δι᾽ ἐκείνου τὸ ἀκριβὲς αὐτὸν τῆς ἀληθείας κατηχήσαντος. ὁ γάρ, ἅπερ ἤκουσεν, ἀξιόπιστος γενόμενος γράψαι, καὶ πιστευθείς, πολλῷ μᾶλλον ταῦτα συνθείς, ἃ μὴ παρ᾽ ἑτέρων παρείληφεν, ἀλλ᾽ ἃ εἶδε καὶ ἤκουσε, πιστευθῆναι δίκαιος ἂν εἴη. Εἰ γὰρ τὰ τοῦ Χριστοῦ ἔδειξεν [φησί,] πολλῷ μᾶλλον τὰ τῶν ἀποστόλων. τί οὖν ἐκεῖ; ἱστορία μόνον τὸ πρᾶγμά ἐστι, καὶ πυθόμενός τις ἄμοιρος ὁ λόγος; οὐδαμῶς. πῶς; ὅτι ἅπερ οἱ ἀπ᾽ ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου αὐτῷ παρέδοσαν, τοῦ πνεύματος ἦσαν. καὶ διὰ τί μὴ εἶπεν, ὅτι καθὼς παρέδοσαν ἡμῖν οἱ πνεύματος ἁγίου καταξιωθέντες, ἀλλ᾽ οἱ [ἀπ᾽ ἀρχῆς] αὐτόπται γενόμενοι; ὅτι τοῦτο μάλιστα εἰς πίστιν ἐστὶν ἀξιόπιστον, τὸ παρὰ αὐτοπτῶν μαθεῖν· ἐκεῖνο δὲ καὶ ἀλαζονεία καὶ τῦφος ἂν ἔδοξε τοῖς ἀνοήτοις. διὸ καὶ Ἰωάννης οὕτως ἔλεγεν· Ἐγὼ ἑώρακα καὶ μεμαρτύρηκα, ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ. (Ιωαν. α. λδ.) καὶ ὁ Χριστὸς δὲ οὕτω διαλέγεται τῷ Νικοδήμῳ παχυτέρῳ ὄντι· Ὃ οἴδαμεν λαλοῦμεν, καὶ ὃ ἑωράκαμεν μαρτυροῦμεν, καὶ τὴν μαρτυρίαν ἡμῶν οὐδεὶς λαμβάνει. (Ιωαν. γ. ια.) καὶ πάλιν δεικνὺς ὅτι πολλὰ καὶ ἀπὸ ὄψεως μαρτυρεῖν ἐστι, τοῖς μαθηταῖς ἔλεγε· Καὶ ὑμεῖς μαρτυρεῖτε περὶ ἐμοῦ, ὅτι ἀπ᾽ ἀρχῆς μετ᾽ ἐμοῦ ἐστε. (Ιωαν. ιε κζ.) καὶ αὐτοὶ οἱ ἀπόστολοι πολλαχοῦ οὕτω φασί· Μάρτυρες ἡμεῖς, καὶ τὸ πνεῦμα τὸ ἅγιον, ὃ ἔδωκεν ὁ Θεὸς τοῖς πειθαρχοῦσιν αὐτῷ. (Πραξ. β. λϛ.) καὶ μετὰ ταῦτα [δὲ] πιστούμενος τὴν ἀνάστασιν ὁ Πέτρος ἔλεγεν· Οἵτινες συνεφάγομεν καὶ συνεπίομεν αὐτῷ. (Πραξ. ι μα.) τάχιον γὰρ τὴν παρὰ τῶν συνεωρακότων ἀνθρώπων μαρτυρίαν ἐδέχοντο, διὰ τὸ τῆς περὶ τοῦ πνεύματος ὑπονοίας σφόδρα πως ἀπεῖναι. διὰ τοῦτο καὶ Ἰωάννης ἐν τῷ εὐαγγελίῳ ἔλεγεν, ὅτι αὐτὸς εἶδε, περὶ τοῦ αἵματος καὶ τοῦ ὕδατος διαλεγόμενος, τὴν ὄψιν αὐτοῖς ἀντὶ μαρτυρίας τιθεὶς μεγίστης· (Ιωαν. ιθ. λε.) καίτοι ὄψεως ἀκριβέστερα τὰ παρὰ τοῦ πνεύματος, ἀλλ᾽ οὐ παρὰ τοῖς ἀπίστοις. ἐπεὶ ὅτι πνεύματος μετεῖχεν ὁ ἀνήρ, πολλαχόθεν δῆλον, ἀπό τε τῶν σημείων τῶν γενομένων, ἀπό τε τοῦ καὶ αὐτὸν τυχεῖν τοῦ μεταλαμβάνειν πνεύματος, ἀπό τε τῆς Παύλου μαρτυρίας (Οὗ γάρ, φησιν, ὁ ἔπαινος ἐν τῷ εὐαγγελίῳ) ἀπό τε τῆς κατὰ τὴν χειροτονίαν ψήφου. εἰπὼν γὰρ τοῦτο, ἐπάγει· Ἀλλὰ καὶ χειροτονηθεὶς ὑπὸ τῶν ἐκκλησιῶν, συνέκδημος ἡμῶν ἐν τῇ χάριτι ταύτῃ τῇ διακονουμένῃ ὑφ᾽ ἡμῶν. (β. Κορ. η ιη.) καὶ ὅρα αὐτοῦ τὸ ἄτυφον. οὐ γὰρ λέγει, τὸ μὲν πρῶτον εὐαγγέλιον, ὃ εὐηγγελισάμην· ἀλλά, Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην, μείζονα ἑαυτοῦ [εἶναι] νομίζων τοῦ εὐαγγελίου τὴν προσηγορίαν. καίτοιγε ὁ ἀπόστολος ἐν τούτῳ αὐτὸν κοσμεῖ λέγων· Οὗ ὁ ἔπαινος ἐν τῷ εὐαγγελίῳ. ἀλλ᾽ αὐτὸς μετριάζει, καί φησι· Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων, ὦ Θεόφιλε, ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν· οὐχ ἁπλῶς, περὶ πάντων, ἀλλ᾽ ἀπ᾽ ἀρχῆς μέχρι τέλους. Ἄχρι γὰρ τῆς ἡμέρας, φησίν, ἧς ἀνελήφθη. καὶ μὴν Ἰωάννης δείκνυσιν, ὅτι οὐκ ἦν δυνατὸν πάντα γράψαι. Εἰ γὰρ ἐγράφη, οὐδὲ ἂν τὸν κόσμον οἶμαι, φησί, χωρῆσαι τὰ γραφόμενα βιβλία. (Ιωαν. κα. κε.) πῶς οὖν φησι περὶ πάντων οὗτος; οὐκ εἶπε, πάντα, ἀλλά, περὶ πάντων· ὡς ἂν εἴποι τις, ἁδρομερῶς καὶ παχυμερῶς· ἢ, περὶ πάντων, λέγει, τῶν συνεχόντων καὶ κατεπειγόντων. Εἶτα δείκνυσι καὶ ποίων πάντων. ὧν ἤρξατο

γρ. ἰδών
γρ. συστήσας
γρ. δι᾽ ἐκείνων τὸ ἀκριβὲς αὐτῷ τῆς ἀληθ. ἀνομολογήσ.
γρ. ὧν
γρ. ἐδέξατο.
εἰ γὰρ οἱ ἀπ᾽ ἀρχ. αὐτόπ. τοῦ λόγου παρέδοσαν, τί ἐκείνων λέγει. καὶ διὰ τί.

γρ. λαμβάνει. διὰ τοῦτο πολλὰ καὶ ἀπὸ ὄψεως μαρτυρεῖν ἐπιτρέπει λέγων· καὶ ὑμ.

γρ. θέλων δὲ τοῦτο δηλῶσαι, εἶπεν, Ἅπερ ἐὰν καθ᾽ ἕν, οὐδὲ αὐτὸν τὸν κόσμον οἶμαι χωρῆσαι, προσέθηκε τὰ γραφόμενα βιβλία. τοῖς
γρ. παχυτέροις

Ἰωάν. ιγ. λε. παρήγγειλεν αὐτοῖς λέγων· ὅτι Ἐν τούτῳ γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶ-
τε ἀλλήλους. ἔστι δὲ καὶ δόγματα ἐνταῦθα εὑρεῖν, ἅπερ, εἰ μὴ τοῦτο ἦν τὸ βιβλίον, οὐδενὶ γρ. δογμάτων
[σαφῶς] οὕτω γνώριμα ἐγένοντο· ἀλλὰ τὸ κεφάλαιον τῆς σωτηρίας ἡμῶν ἀπεκρύπτετο καὶ
ἄδηλον ἦν καὶ βίου καὶ δογμάτων ἕνεκεν. τὸ δὲ πλέον τῶν ἐνταῦθα ἐγκειμένων, Παύλου
πράξεις εἰσί, τοῦ περισσότερον πάντων κοπιάσαντος. καὶ τὸ αἴτιον, ὅτι αὐτοῦ φοιτητὴς ἦν γρ. τὸ δὲ
α. Κορ. ιε. ι. ὁ τὸ βιβλίον τοῦτο συνθεὶς Λουκᾶς ὁ μακάριος· οὗ τὴν ἀρετὴν πολλαχόθεν μὲν καὶ ἄλλοθεν
ἔστιν ἰδεῖν, μάλιστα δὲ ἐκ τοῦ πρὸς τὸν διδάσκαλον ἀδιαστάτως ἔχειν, καὶ διαπαντὸς αὐτῷ
παρακολουθεῖν. ὅτε γοῦν Δημᾶς καὶ Ἑρμογένης αὐτὸν ἐγκατέλιπον, ὁ μὲν εἰς Γαλατίαν, ὁ γρ. πάντες
β. Τιμ. δ. ια. δὲ εἰς Δαλματίαν ἀπελθών, ἄκουσον τί φησι περὶ τούτου· Λουκᾶς ἐστι μόνος μετ' ἐμοῦ. καὶ
β. Κορ. η. ιη. Κορινθίοις δὲ ἐπιστέλλων περὶ αὐτοῦ; φησίν· Οὗ ὁ ἔπαινος ἐν τῷ εὐαγγελίῳ διὰ πασῶν τῶν ἐκ-
α. Κορ. ιε. ε. α. κλησιῶν. καὶ ὅταν λέγῃ, ὅτι ὤφθη Κηφᾷ, εἶτα τοῖς δώδεκα· καί, Κατὰ τὸ εὐαγγέλιον ὃ
παρελάβετε, τοῦτο λέγει. ὥστε οὐκ ἂν τις ἁμάρτοι τὴν πραγματείαν ταύτην αὐτῷ ἀ-
ναθείς. ὅταν δὲ εἴπω, τούτῳ, τῷ Χριστῷ λέγω. εἰ δέ τις λέγοι, καὶ τί δήποτε, οὐχὶ πάν-
τα συνέγραψε, μέχρι τέλους ὢν μετ' αὐτοῦ; ἐκεῖνο ἂν εἴποιμεν, ὅτι καὶ ταῦτα ἀρκοῦντα ἦν
τοῖς βουλομένοις προσέχειν, καὶ ὅτι πρὸς τὰ κατεπείγοντα αἰεὶ ἵσταντο, καὶ ὅτι οὐκ ἐν τῷ λογο-
γραφεῖν ἦν αὐτοῖς ἡ σπουδή. πολλὰ γὰρ καὶ ἀγράφῳ παραδόσει δεδώκασι. καὶ πάντα γρ. παρέδω- κασι ἄλλ. παρεδόθησαν.
μὲν οὖν ἄξια θαύματος τὰ ἐν τῷ βιβλίῳ τούτῳ κείμενα· μάλιστα δέ, τῶν ἀποστόλων ἡ συγ-
κατάβασις, ἣν καὶ τὸ πνεῦμα αὐτοῖς ὑπέβαλε, παρασκευάζον αὐτοὺς τῷ τῆς οἰκονομίας
ἐνδιατρίβειν λόγῳ. διὰ δὴ τοῦτο τοσαῦτα περὶ Χριστοῦ διαλεχθέντες, ὀλίγα μὲν περὶ τῆς γρ. ὀλιγάκις
θεότητος αὐτοῦ εἰρήκασι· τὰ δὲ πλείονα περὶ τῆς ἀνθρωπότητος διελέγοντο καὶ τοῦ πάθους καὶ
τῆς ἀναστάσεως καὶ τῆς ἀναβάσεως. τὸ γὰρ ζητούμενον τέως τοῦτο ἦν, τὸ πιστευθῆναι, ὅτι
ἀνέστη καὶ ἀνέβη εἰς οὐρανούς. ὥσπερ οὖν αὐτὸς ὁ Χριστὸς μάλιστα πάντων ἐσπούδαζε δεῖξαι,
ὅτι παρὰ τοῦ πατρὸς ἧκεν· οὕτω καὶ οὗτοι, ὅτι ἀνέστη καὶ ἀνελήφθη, καὶ πρὸς αὐτὸν ἀπῆλθε, καὶ
παρ' αὐτοῦ ἀφῖκτο. εἰ γὰρ μὴ τοῦτο ἐπιστεύθη πρότερον, πολλῷ μᾶλλον τῆς προσθήκης
γενομένης τῆς κατὰ τὴν ἀνάστασιν καὶ τὴν ἀνάληψιν, ἄπιστον ἅπαν τὸ δόγμα τοῖς Ἰουδαίοις ἔ- γρ. ἰδίαν
δοξεν εἶναι. διὸ ἠρέμα καὶ κατὰ μικρὸν αὐτοὺς ἐπὶ τὰ ὑψηλότερα ἀνάγει. ἐν δὲ Ἀθήναις καὶ ἀν-
Πράξ. ιζ. λα. θρωπον αὐτὸν ἁπλῶς καλεῖ ὁ Παῦλος οὐδὲν πλέον εἰπών· εἰκότως. εἰ γὰρ αὐτὸν τὸν
Ἰωάν. η. νθ. Χριστὸν διαλεγόμενον περὶ τῆς εἰς τὸν πατέρα ἰσότητος λιθάσαι πολλάκις ἐπεχείρησαν, καὶ
βλάσφημον διὰ τοῦτο ἐκάλουν, σχολῇ γ' ἂν παρὰ τῶν ἁλιέων τοῦτον τὸν λόγον ἐδέξαντο,
καὶ ταῦτα τοῦ σταυροῦ προχωρήσαντος. καὶ τί δεῖ λέγειν τοὺς Ἰουδαίους, ὅπου γε καὶ αὐτοὶ
πολλάκις οἱ μαθηταὶ τῶν ὑψηλοτέρων ἀκούοντες δογμάτων, ἐθορυβοῦντο καὶ ἐσκανδαλί-
ζοντο; διὰ τοῦτο καὶ ἔλεγε· Πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι. εἰ
Ἰωάν. ιϛ. ιϛ. δὲ ἐκεῖνοι οὐκ ἐδυνήθησαν, οἱ συγγενόμενοι χρόνον τοσοῦτον αὐτῷ, καὶ τοσούτων κοινωνήσαντες ἀπορ-
ρήτων, καὶ τοσαῦτα θεασάμενοι θαύματα, πῶς ἂν ἄνθρωποι ἀπὸ βωμῶν καὶ εἰδώλων καὶ θεσ-
ῶν καὶ αἰλούρων καὶ κροκοδείλων (τοιαῦτα γὰρ ἦν τῶν Ἑλλήνων τὰ σεβάσματα) καὶ τῶν ἄλ-
λων τῶν κακῶν τότε πρῶτον ἀποσπασθέντες, ἀθρόον τοὺς ὑψηλοὺς τῶν δογμάτων ἐδέξαν-
το λόγους; πῶς δ' ἂν καὶ Ἰουδαῖοι οἱ καθ' ἑκάστην ἡμέραν ἀκούοντες καὶ ἐνηχούμενοι γρ. μανθάνοντες
Δευτ. ϛ. δ. ὑπὸ τοῦ νόμου· Κύριος ὁ Θεός σου Κύριος εἷς ἐστι, καὶ πλὴν αὐτοῦ οὐκ ἔστιν ἄλλος, ἐν γρ. ἐπὶ ξύλου σταυροῦ
τῷ σταυρῷ ἰδόντες προσηλωμένον αὐτόν, μᾶλλον δὲ καὶ σταυρώσαντες καὶ θάψαντες, καὶ οὐδὲ
ἀναστάντα θεασάμενοι· ἀκούοντες ὅτι Θεός ἐστιν αὐτὸς οὗτος, καὶ τῷ πατρὶ ἴσος, οὐκ ἂν μά- γρ. μάλιστα
λιστα πάντων ἀπεπήδησάν τε καὶ ἀπερράγησαν; διά τοι τοῦτο ἠρέμα καὶ κατὰ μικρὸν αὐτοὺς προσ- γρ. ἰδόντες
βιβάζουσι· καὶ πολλῇ μὲν κέχρηνται τῇ τῆς συγκαταβάσεως οἰκονομίᾳ, δαψιλεστέρας δὲ
ἀπολαύουσι τῆς τοῦ πνεύματος χάριτος, καὶ μείζονα ὧν αὐτὸς πεποίηκεν, ἐργάζονται τῷ αὐτοῦ
ὀνόματι, ἵνα ἑκατέρωθεν αὐτοὺς χαμαὶ κειμένους ἀναστήσωσι, καὶ τὸ περὶ τῆς ἀναστάσεως πιστώ-

σωνται

Digitized by Google

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

# ΙΩΑΝΝΟΥ
## ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ
### ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

τοῦ Χρυσοστόμου ὑπόμνημα εἰς τὰς
πράξεις τῶν* ἀποστόλων.

* ἁγίων

Λογ. α. 1 ΤΟΝ ΜΕΝ ΠΡΩΤΟΝ ΛΟΓΟΝ ΕΠΟΙΗΣΑ-μην περὶ πάντων, ὦ Θεόφιλε, ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν, κεφ. α.
2 Ἄχρι ἧς ἡμέρας ἐντειλάμενος τοῖς ἀποστόλοις διὰ πνεύματος ἁγίου, οὓς ἐξελέξατο, ἀνελήφθη.

ΠΟλλοῖς τουτὶ τὸ βιβλίον οὐδ᾽ ὅτι ἔστι γνώριμόν ἐστιν, οὔτε αὐτό, οὔτε ὁ γράψας αὐτὸ καὶ συνθείς. διὸ καὶ μάλιστα εἰς ταύτην ἐμαυτὸν καθῆκα τὴν πραγματείαν, ὥστε καὶ τοὺς ἀγνοοῦντας ἐπισπάσασθαι, καὶ μὴ ἀφεῖναι τοσοῦτον λανθάνειν καὶ ἀποκρύπτεσθαι θησαυρόν. οὐδὲ γὰρ ἔλαττον αὐτῶν τῶν εὐαγγελίων ὠφελῆσαι ἡμᾶς δυνήσεται. τοσαύτης ἐμπέπλησται φιλοσοφίας καὶ δογμάτων ὀρθότητος, καὶ μάλιστα τῶν περὶ τοῦ πνεύματος εἰρημένων. μὴ δὴ λοιπὸν παρατρέχωμεν αὐτό, ἀλλὰ μετὰ ἀκριβείας ἐξετάζωμεν. καὶ γὰρ τὰς προρρήσεις, ἃς ἐν τοῖς εὐαγγελίοις ὁ Χριστὸς προαναφωνεῖ, ταύτας εἰς ἔργον ἐξελθούσας ἐνταῦθά ἐστιν ἰδεῖν, καὶ ἐπ᾽ αὐτῶν τῶν πραγμάτων διαλάμπουσαν τὴν ἀλήθειαν, καὶ πολλὴν τῶν μαθητῶν τὴν ἐπὶ τὸ βέλτιον μεταβολὴν τὴν ἀπὸ τοῦ πνεύματος αὐτοῖς ἐγγινομένην. καὶ γὰρ ἅπερ ἤκουσαν τοῦ Χριστοῦ λέγοντος, ὅτι Πᾶς ὁ πιστεύων εἰς ἐμέ, τὰ σημεῖα, ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει· (Ιωαν. ιδ. ιϛ.) καὶ προλέγοντος τοῖς μαθηταῖς, ὅτι Ἐπὶ ἡγεμόνας καὶ βασιλεῖς ἀχθήσονται, καὶ ὅτι Ἐν ταῖς συναγωγαῖς αὐτῶν μαστιγώσουσιν αὐτούς, καὶ τὰ δεινὰ πείσονται, (Ματθ. ι. ιη.) καὶ ὅτι περιέσονται πάντων, καὶ ὅτι τὸ εὐαγγέλιον κηρυχθήσεται ἐν ὅλῳ τῷ κόσμῳ, (Ματθ. κδ. ιδ.) ταῦτα πάντα μετὰ ἀκριβείας ἁπάσης ἐκβεβηκότα ἐν τῷ βιβλίῳ τούτῳ ἐστὶν ἰδεῖν, καὶ πλείονα τούτων ἕτερα, ἅπερ εἴρηκεν αὐτοῖς συνών. ὄψει δὲ καὶ αὐτοὺς τοὺς ἀποστόλους ἐνταῦθα, καθάπερ πτηνούς, διατρέχοντας γῆν καὶ θάλατταν, καὶ τοὺς δειλοὺς ἐκείνους καὶ ἀσυνέτους ἀθρόον ἄλλους ἀντ᾽ ἄλλων γινομένους, καὶ χρημάτων ὑπερόπτας, καὶ δόξης, καὶ θυμοῦ, καὶ ἐπιθυμίας, καὶ πάντων ἁπλῶς ἀνωτέρους γεγονότας, καὶ πολλὴν τὴν ὁμόνοιαν ἔχοντας, καὶ οὐδαμοῦ οὐδεμίαν βασκανίαν, ὡς ἔμπροσθεν, οὐδὲ τὸν περὶ πρωτείων ἔρωτα· ἀλλὰ πᾶσαν ἀπηκριβωμένην ἐν αὐτοῖς τὴν ἀρετήν, καὶ τὴν ἀγάπην μετὰ ὑπερβολῆς διαλάμπουσαν, ὑπὲρ ἧς καὶ πολλὰ

παρήγγειλεν

γ. αἰσχρῶς εἰς ταύτην ἐμαυτὸν ἔχειν ἆ θεῖναι τῷ
γ. διδάξαι
γ. ἐλάττονα τῶν
γ. τοιαύτης
γ. ἀπ᾽
γ. ἐγγινο.
γ. τὰ πάντα
γ. τοῖς μαθηταῖς
γ. πολλὴν ἐν αὐτοῖς τὴν εὔνοιαν, καὶ

Digitized by Google

στεγόμενοι, καὶ ἐξέπεσεν ἀποπλανηθέν. διὰ τοῦτο τοίνυν πολλῆς ἡμῖν δεῖ τῆς στάσεως. καὶ γὰρ καὶ ἡμεῖς θάλατταν πλέομεν μεγάλην καὶ εὐρύχωρον, πολλῶν μὲν θηρίων γέμουσαν, πολλοὺς δὲ σκοπέλους, πολλοὺς δὲ ἡμῖν χειμῶνας τίκτουσαν, καὶ ἐξ αἰθρίας μέσης χαλεπωτάτην ζάλην ἐπεγείρουσαν. δεῖ τοίνυν, εἴγε βουλοίμεθα μετ' εὐμαρείας πλεῖν καὶ ἀκινδύνως, τείνειν τὰ ἱστία, τουτέστι, τὴν προαίρεσιν τὴν ἡμετέραν. ἀρκεῖ γὰρ ἡμῖν τοῦτο. ἐπεὶ καὶ ὁ Ἀβραάμ, ἐπειδὴ τὸν πόθον ἔτεινε πρὸς τὸν Θεόν, καὶ τὴν προαίρεσιν παρέστησεν ἀπηρτισμένην, τίνος ἑτέρου ἐδεήθη; οὐδενός, Ἀλλ' ἐπίστευσε τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. ἡ δὲ πίστις, Γεν. ιε. ς.
προαιρέσεως γνησίας ἐστίν. ἀνήνεγκε τὸν υἱόν· καὶ μὴ σφάξας, τὴν τοῦ σφάξαντος ἀμοιβὴν ἐδέξατο, καὶ τοῦ ἔργου μὴ γενομένου ὁ μισθὸς ἐδίδοτο. ἔστω τοίνυν ἡμῖν καθαρὰ καὶ καινὰ τὰ ἱστία, μὴ πεπαλαιωμένα (Πᾶν γὰρ τὸ παλαιούμενον καὶ γηράσκον ἐγγὺς ἀφανισμοῦ) μὴ Ἑβρ. η. ιγ.
ἐκπεπτηκυῖα, ὥστε στέγειν τοῦ πνεύματος τὴν ἐνέργειαν. ψυχικὸς γὰρ ἄνθρωπος, φησίν, οὐ δέχεται τὰ τοῦ πνεύματος. ὥσπερ γὰρ τὰ τῶν ἀραχνῶν ὑφάσματα πνεύματος ῥύμην οὐκ ἂν δέξαιτο· οὕτως οὐδὲ ψυχὴ βιωτική, οὐδὲ ἄνθρωπος ψυχικὸς πνεύματος χάριν δέξασθαι δυνήσεταί ποτε. ἐκείνων γὰρ οὐδὲν διεστήκασιν ἡμῶν οἱ λογισμοί, ἐσχάτην μὲν μόνον ἀκολουθίαν σώζοντες, δυνάμεως δὲ ἀπεστερημένοι πάσης. ἀλλ' οὐ τὰ ἡμέτερα τοιαῦτα, ἐὰν νήφωμεν· ἀλλ' ὅπερ ἂν ἐμπέσῃ, πάντα στέγει, καὶ πάντων ἐστὶν ἀνώτερα, πάσης ἰλίγγου ἰσχυρότερα. ἔστω γάρ τις πνευματικὸς ἀνήρ, καὶ μυρία αὐτῷ συμπιπτέτω δεινά· [ἀλλ'] οὐδενὶ τούτων ἁλίσκεται. [καὶ] τί λέγω; ἐπαγέσθω πενία, νόσος, ὕβρεις, λοιδορίαι, σκώμματα, πληγαί, πᾶν εἶδος κολάσεως, πᾶν εἶδος χλευασίας, καὶ ὀνειδισμῶν, καὶ ὕβρεων· ἀλλ' ὥσπερ ἐκτὸς ὢν τῆς οἰκουμένης, καὶ τῶν τοῦ σώματος ἀπηλλαγμένος παθῶν, οὕτως ἁπάντων καταγελάσεται. καὶ ὅτι οὐ κόμπος ταῦτα ῥήματα, πολλοὺς μὲν οἶμαι εἶναι καὶ νῦν· οἶδα, τῶν τὰς ἐρημίας κατειληφότων. ἀλλ' οὐδὲν θαυμαστόν, φησίν. ἐγὼ δὲ λέγω, καὶ τῶν ἐν ταῖς πόλεσιν δυναμένους ἄνδρας εἶναι τοιούτους. εἰ δὲ βούλει, καὶ τῶν πάλαι τινὰς ἐπιδεῖξαι δυνήσομαι. καὶ ἵνα μάθῃς, ἐννόει μοι τὸν Παῦλον· τί μὲν οὐκ ἔπαθε δεινόν, τί δὲ οὐχ ὑπέστη; ἀλλὰ πάντα ἔφερε γενναίως. τοῦτον δὴ μιμησώμεθα καὶ ἡμεῖς· οὕτω γὰρ δυνησόμεθα καὶ ἐνώπιον τοῦ Θεοῦ εὐαρεστῆσαι, καὶ πρὸς τοὺς λιμένας καταχθῆναι τοὺς ἀκλύστους μετὰ πολλῆς τῆς ἐμπορείας. τείνωμεν τοίνυν τὴν διάνοιαν ἡμῶν πρὸς τὸν οὐρανόν, τῷ πόθῳ καταχέωμεν ἐκείνῳ, τῷ πυρὶ περιβάλωμεν ἑαυτοὺς τῷ πνευματικῷ, τῇ φλογὶ διαζώσωμεν ἑαυτούς. οὐδεὶς φλόγα ἐπιφερόμενος δέδοικε τοὺς ἀπαντῶντας. κἂν θηρίον ᾖ, κἂν ἄνθρωπος, κἂν μυρίαι παγίδες, ἕως πεπυρωμένος ᾖ, πάντα ὑπεξίσταται, πάντα παραχωρεῖ. ἀνύποιστος ἡ φλόξ, ἀφόρητος ἡ πυρά, πάντα καταναλίσκει. τοῦτο τὸ πῦρ περιβάλωμεν ἑαυτούς, καὶ δόξαν ἀναπέμψωμεν τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ· μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(* * *)

γρ. σταθήσεται
γρ. εἶναι
γρ. ἐκπεπτωκυῖα.
γρ. ἀραχνίων
χεῖρα τῶν
γρ. πλήγματι
γρ. μὲν ἔχω δεῖξαι καὶ νῦν·
γρ. πραγματείας
γρ. διαζωσώμεθα
γρ. ἀπαντῶντας.
γρ. ᾖς
ἡ δόξα εἰς τὸν πατέρα τό



Digitized by Google

Ψαλ. ιζ. κδ. λέγει, Καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου ἐνώπιον τῶν ὀφθαλμῶν αὐτοῦ. τοσαῦτα δὲ γράψας, ὀλίγα αὐτά φησιν εἶναι, σύγκρισιν ποιῶν πρὸς ἃ ἔμελλε λέγειν. καθὰ καὶ ἀλλαχοῦ φησι, Καθὼς ἔγραψα ὑμῖν ἐν ὀλίγῳ· (Εφ. γ. γ.) πρὸς ὃ δύνασθε ἀναγινώσκοντες νοῆσαι τὴν σύνεσίν μου ἐν τῷ μυστηρίῳ τοῦ Χριστοῦ. καὶ ὅρα αὐτοῦ τὴν σοφίαν. οὐ λέγει, παρακαλῶ ὑμᾶς, ἀνέχεσθε τοῦ λόγου τῆς παραινέσεως, ἀλλὰ τοῦ λόγου τῆς παρακλήσεως· τουτέστι, τῆς παραμυθίας, τῆς προτροπῆς. οὐκ ἔχει τις, φησι, πρὸς τὸ μῆκος ἀπαγορεῦσαι τῶν λεχθέντων. τί οὖν; καὶ τοῦτο ἦν ὃ ἐποίει αὐτοὺς ἀποστρέφεσθαι; οὐδαμῶς. ἀλλ' οὐ βούλεται αὐτοῖς ἐνδείξασθαι, καὶ εἰπεῖν ὅτι ὀλιγοψυχεῖτε. τῶν γὰρ τοιούτων ἴδιον τὸ μὴ ἀνέχεσθαι λόγου μακροῦ. γινώσκετε τὸν ἀδελφὸν Τιμόθεον ἀπολελυμένον, μεθ' οὗ (ἐὰν τάχιον ἔρχηται) ὄψομαι ὑμᾶς. τοῦτο ἱκανὸν αὐτοὺς πεῖσαι καθυφεῖναι, εἰ ἕτοιμός ἐστιν ἐλθεῖν μετὰ τοῦ μαθητοῦ. ἀσπάσασθε τοὺς ἡγουμένους ὑμῶν, καὶ πάντας τοὺς ἁγίους. ὅρα πῶς αὐτοὺς ἐτίμησεν, εἴγε ἐκείνοις ἐπέστειλεν ὑπὲρ ἐκείνων. ἀσπάζονται ὑμᾶς οἱ ἐκ τῆς Ἰταλίας. ἡ χάρις μετὰ πάντων ὑμῶν. Ἀμήν. ὅπερ ἦν κοινὸν ἁπάντων, τοῦτο ὕστερον εἶπεν. ἡ χάρις δὲ πῶς ἔσται μεθ' ἡμῶν; ἂν μὴ ὑβρίσωμεν εἰς τὴν εὐεργεσίαν, ἂν μὴ ῥᾴθυμοι γινώμεθα περὶ τὴν δωρεάν. καὶ τί ἐστιν ἡ χάρις, φησί; ἡ ἄφεσις τῶν ἁμαρτιῶν, ἡ κάθαρσις. αὕτη γὰρ μεθ' ἡμῶν ἐστι. τίς γάρ, φησιν, ὑβριστικῶς δύναται φυλάξαι τὴν χάριν, καὶ οὐκ ἀπόλλυσιν αὐτήν; οἷον, ἐχαρίσατό σοι τὰ ἁμαρτήματα. πῶς οὖν ἔσται μετὰ σοῦ ἡ χάρις (τουτέστιν, ἡ εὐδοκίμησις, ἢ ἡ τοῦ πνεύματος ἐνέργεια) ἂν μὴ διὰ τῶν ἀγαθῶν πράξεων αὐτὴν ἐπισπάσῃ; τοῦτο γὰρ πάντων αἴτιον τῶν ἀγαθῶν, τὸ παραμένειν ἡμῖν ἀεὶ τὴν χάριν τοῦ πνεύματος. αὕτη [γὰρ] πρὸς ἅπαντα ἡμᾶς ὁδηγεῖ· ὥσπερ οὖν ὅταν ἀποστῇ ἡμῶν, ἀπόλλυσιν ἡμᾶς, καὶ ἐρήμους ποιεῖ.

χ. ἔστι δὲ λέγει τὸν ἔστιν ἐάν ὑβριστικῶς δύναται

ΗΘΙΚΟΝ

Μὴ δὴ αὐτὴν ἀποκρουσώμεθα. ἐν ἡμῖν γάρ ἐστι καὶ μένειν αὐτήν, καὶ ἀπελθεῖν. τὸ μὲν γάρ, ὅταν τὰ οὐράνια λογιζώμεθα, γίνεται· τὸ δέ, ὅταν τὰ βιωτικά. (Ιωαν. ιδ. ιζ.) Ὁ κόσμος, φησίν, οὐ δύναται λαβεῖν, ὅτι οὐ θεωρεῖ αὐτό, οὐδὲ γινώσκει αὐτό. κόσμον τὸν πονηρὸν καὶ αἰσχρὸν βίον καλεῖ. ὁρᾷς ὅτι οὐκ ἔστι κοσμικῆς ψυχῆς τὸ ἔχειν αὐτό; πολλῆς τοίνυν ἡμῖν δεῖ τῆς σπουδῆς, ὥστε αὐτὸ κατασχεθῆναι παρ' ἡμῶν, ὥστε πάντα τὰ ἡμέτερα οἰκονομεῖν, καὶ ἐν ἀσφαλείᾳ ποιεῖν, καὶ ἐν εἰρήνῃ πολλῇ. ὥσπερ γὰρ τὴν ἐξ οὐρίων πλέουσαν ναῦν οὐκ ἔστιν οὔτε ἐμποδισθῆναι, οὔτε βαπτισθῆναι, ἕως ἂν ἀπολαύῃ δεξιοῦ τοῦ πνεύματος καὶ διηνεκοῦς, ἀλλὰ [καὶ] πολλήν, μετὰ τὴν κάθοδον, ἐπιδόσεως δόξαν παρέχεται τοῖς τε ναύταις, τοῖς τε ἐπιβάταις, τοὺς μὲν διαναπαύουσα, καὶ οὐκ ἐῶσα ταῖς κώπαις προσταλαιπωρεῖν, τοὺς δὲ πάντας ἀπαλλάττουσα δέους, καὶ θέαμα ἥδιστον τὸν αὐτῆς παρεχομένη δρόμον· οὕτω καὶ ψυχὴ τῷ θείῳ ὠχυρωμένη πνεύματι, πάντων μέν ἐστιν ἀνωτέρα τῶν τρικυμιῶν τῶν βιωτικῶν, τὴν δὲ ἐπὶ τὸν οὐρανὸν φέρουσαν ὁδὸν σφοδρότερον ἐκείνης τέμνει τῆς νεώς, ἅτε οὐχ ὑπὸ ἀνέμων παραπεμπομένη, ἀλλ' ὑπ' αὐτοῦ τοῦ παρακλήτου πεπληρωμένα ἔχουσα τὰ ἱστία πάντα, καὶ καθαρὸν καὶ πᾶν χαῦνον καὶ διαλελυμένον ἐκβάλλει ἐκ τῆς διανοίας τῆς ἡμετέρας. ὥσπερ γὰρ εἰς χαῦνον ἱστίον ἐμπίπτων ὁ ἄνεμος οὐκ ἂν ἐνεργήσειεν· οὕτως οὐδὲ τὸ πνεῦμα εἰς χαύνην ψυχὴν παραμένειν ἀνέχεται, ἀλλὰ δεῖ πολλῆς τῆς τάσεως, τῆς σφοδρότητος. ὥστε πεπυρωμένην ἡμῖν εἶναι χρὴ τὴν διάνοιαν, καὶ πανταχοῦ τετάσθαι ἡμῶν τὰ ἔργα, καὶ τετονῶσθαι. οἷον, ὅταν εὐχώμεθα, μετὰ πολλῆς τοῦτο τῆς τάσεως δεῖ ποιεῖν, ἀποτείνοντας πρὸς τὸν οὐρανὸν τὴν ψυχήν, οὐ σχοινίοις, ἀλλὰ προθυμίᾳ σφοδρᾷ. ὅταν ἐλεῶμεν πάλιν, τάσεως ἡμῖν δεῖ, μήποτε φροντὶς οἰκίας, καὶ προστασία παίδων, καὶ γυναικὸς ἐπιμέλεια, καὶ δέος πενίας ἐπεισελθόν, χαυνώσῃ τὸ ἱστίον. ἂν γὰρ τῇ τῶν μελλόντων ἐλπίδι τείνωμεν αὐτὸ πάντοθεν, καλῶς δέχεται τοῦ πνεύματος τὴν ἐνέργειαν· ἐκείνων δὲ τῶν ἐπικήρων καὶ ταλαιπώρων οὐδὲν εἰς αὐτὴν ἐμπεσεῖται, ἀλλὰ κἂν ἐμπέσῃ, αὐτὴν μὲν οὐδὲν βλάψει, ἀπεκρούσθη δὲ ταχέως τῷ

χ. ἰσχυρῶν

χ. τῆς

χ. ἴσ

χ. δέξεται

στεγνῷ,

Digitized by Google

πεπεισμένους, καὶ οὐκ ἀνεχομένους οὐδὲ τὸ ὄνομα αὐτοῦ ἀκοῦσαι; ἐπεὶ οὖν παρὰ τῶν μισούντων αὐτὸν ταῦτα ἀπῄτει, ἅπερ [ἂν] παρὰ τῶν φιλούντων τις λοιπὸν πάντως, τούτου ἕνεκεν ἐνταῦθα τίθησι τοῦτο, λέγων, πεποίθαμεν ὅτι καλὴν συνείδησιν ἔχομεν. μὴ γάρ μοι τὰς κατηγορίας εἴπῃς. τὸ συνειδὸς ἡμῶν, φησιν, οὐδὲν ἡμῶν καταγινώσκει· οὐδὲ συνίσμεν ἑαυτοῖς ὅτι ἐπεβουλεύσαμεν ὑμῖν. πεποίθαμεν γάρ, φησιν, ὅτι καλὴν συνείδησιν ἔχομεν ἐν πᾶσιν. ἄρα οὐκ ἐν ἐθνικοῖς μόνον, ἀλλὰ καὶ ἐν ὑμῖν· οὐδὲν μετὰ καπηλείας, οὐδὲν μετὰ ὑποκρίσεως πεποιήκαμεν. εἰκὸς γὰρ ἦν αὐτὸν ταῦτα διαβάλλεσθαι. καὶ ὅτι διεβέβλητο, ἄκουε Ἰακώβου λέγοντος, Κατηχήθησαν γὰρ περὶ σοῦ, ὅτι ἀποστασίαν διδάσκεις. οὐχ ὡς ἐχθρός, φησιν, οὐδὲ ὡς πολέμιος ταῦτα γράφω, ἀλλ' ὡς φίλος. καὶ τοῦτο καὶ ἐκ τοῦ ἑξῆς δηλοῖ.

γρ. ἡμᾶς καταβλέπει ἐν

Πράξ. κα. κα.

19 Περισσοτέρως δὲ παρακαλῶ τοῦτο ποιῆσαι, ἵνα τάχιον ἀποκατασταθῶ ὑμῖν.

Τοῦτο σφόδρα φιλοῦντος ἦν αὐτούς, τὸ οὕτως ἀξιοῦν εὔχεσθαι. μὴ ἁπλῶς, φησιν, ἀλλὰ μετὰ πάσης σπουδῆς· ὥστε με ταχέως ἐλθεῖν πρὸς ὑμᾶς. τοῦτο μηδὲν ἑαυτῷ συνειδότος ἐστί, τὸ σπουδάζειν ἐλθεῖν πρὸς αὐτούς, καὶ παρακαλεῖ αὐτοὺς εὔχεσθαι ὑπὲρ αὐτοῦ. τούτου ἕνεκεν πρότερον πρὸ αὐτῶν αἰτήσας τὰς εὐχάς, τότε καὶ αὐτὸς αὐτοῖς ἐπεύχεται πάντα τὰ ἀγαθά.

γρ. ἐπεύχεται

20 Ὁ δὲ Θεὸς τῆς εἰρήνης, φησί. Τοῦτο εἶπε διὰ τὸ στασιάζειν αὐτούς. εἰ τοίνυν ὁ Θεός, εἰρήνης Θεός ἐστι· μὴ διαστασιάζετε πρὸς ἡμᾶς.

Ὁ ἀναγαγὼν ἐκ τῆς γῆς τὸν ποιμένα τῶν προβάτων. Περὶ τῆς ἀναστάσεως τοῦτο εἴρηται. Τὸν μέγαν. Ἄλλη προσθήκη. ἐνταῦθα πάλιν * μέχρι τέλους τὸν περὶ τῆς ἀναστάσεως αὐτοῖς λόγον διαβεβαιοῦται. Ἐν αἵματι διαθήκης αἰωνίου, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν,

γρ. Ἀλλ' ἡ προσθ-
* ἔτι πλέον

21 Καταρτίσαι ὑμᾶς ἐν παντὶ ἔργῳ ἀγαθῷ, εἰς τὸ ποιῆσαι τὸ θέλημα αὐτοῦ, ποιῶν ἐν ὑμῖν τὸ εὐάρεστον ἐνώπιον αὐτοῦ. Πάλιν μαρτυρεῖ αὐτοῖς μεγάλα. τὸ γὰρ καταρτιζόμενόν ἐστι τὸ ἀρχὴν ἔχον, * εἶτα πληρούμενον. καὶ ἐπεύχεται αὐτοῖς, ὅπερ ἐστὶ ποθοῦντος. καὶ ὅρα, ἐν μὲν ταῖς ἄλλαις ἐπιστολαῖς, ἐν τοῖς προοιμίοις εὔχεται· ἐνταῦθα δὲ ἐν τῷ τέλει.

γρ. καταρτίζεται
* πίστιν

Ποιῶν, φησιν, ἐν ὑμῖν τὸ εὐάρεστον ἐνώπιον αὐτοῦ, διὰ Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

22 Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, ἀνέχεσθε τοῦ λόγου τῆς παρακλήσεως. καὶ γὰρ διὰ βραχέων ἐπέστειλα ὑμῖν. Ὁρᾷς ὅτι ὃ μηδενὶ ἐπέστειλε, τοῦτο τούτοις ἐπιστέλλει; καὶ γὰρ διὰ βραχέων, φησίν, ἐπέστειλα· τουτέστιν, οὐδὲ ἐνοχλῶ ὑμᾶς τῇ μακρολογίᾳ. οἶμαι αὐτοὺς οὐ πάνυ πρὸς τὸν Τιμόθεον ἔχειν ἀπεχθῶς, ὅθεν καὶ αὐτὸν προσεστήσατο.

γρ. ὑμῖν, ἐν πάσῃ

23 Γινώσκετε γάρ, φησι, τὸν ἀδελφὸν Τιμόθεον ἀπολελυμένον, μεθ' οὗ (ἐὰν τάχιον ἔρχηται) ὄψομαι ὑμᾶς. Ἀπολελυμένον, φησί, πόθεν; * οἶμαι αὐτὸν εἰς δεσμωτήριον ἐμβεβλῆσθαι· ἢ εἰ μὴ τοῦτο, ἀπὸ Ἀθηνῶν ἀπολελυμένον. καὶ γὰρ καὶ τοῦτο ἐν ταῖς Πράξεσι κεῖται.

* λέγει

24 Ἀσπάσασθε πάντας τοὺς ἡγουμένους ὑμῶν, καὶ πάντας τοὺς ἁγίους. ἀσπάζονται ὑμᾶς οἱ ἀπὸ τῆς Ἰταλίας.

25 Ἡ χάρις μετὰ πάντων ὑμῶν. Ἀμήν. Ὁρᾷς πῶς δείκνυσι τὴν ἀρετὴν ὅτι ἐκ τοῦ Θεοῦ τὸ ὅλον, οὔτε ἐξ ἡμῶν μόνον κατορθουμένην; πῶς γὰρ εἰπὼν, καταρτίσαι ὑμᾶς ἐν παντὶ ἔργῳ ἀγαθῷ, καὶ τὰ ἑξῆς, τοῦτο δηλοῖ, ὥστε ἔλεγεν, ἔχετε μὲν ἀρετήν, δεῖσθε δὲ πληρώσεως. εἰπὼν δὲ ἔργῳ καὶ λόγῳ ἀγαθῷ, ἔδειξεν ὅτι καὶ βίον ὀρθὸν ἔχειν δεῖ, καὶ δόγματα. καλῶς δὲ προσέθηκε τό, ποιῶν ἐν ὑμῖν τὸ εὐάρεστον ἐνώπιον αὐτοῦ. [ἐνώπιον αὐτοῦ, φησίν.] αὕτη γὰρ ἡ μεγίστη ἀρετή, ποιεῖν ἐνώπιον τοῦ Θεοῦ τὸ εὐάρεστον· καθὰ καὶ ὁ προφήτης

γρ. γενομένην; πρὸς τὸ εἰπεῖν, γρ. ἔχειν, καὶ δόγματα κατὰ τὸ θέλημα αὐτοῦ.

ποιεῖτε. ἔργοισί, φησι, τὸ ἀξίωμα, ἀλλὰ βίῳ εἰσὶν ἀκάθαρτοι. ἀλλὰ μὴ τῷ βίῳ, ἀλλὰ τοῖς λόγοις προσέχετε. τὴν μὲν γὰρ ἠθῶν ἕνεκεν οὐδεὶς ἂν βλαβείη. τί δήποτε; ὅτι καὶ δῆλα πᾶσίν ἐστι, καὶ οὐδ' αὐτὸς, κἂν μυριάκις ᾖ πονηρὸς, πονηρὰ διδάξει ποτέ. πίστεως δὲ ἕνεκεν, οὔτι δῆλόν ἐστιν ἅπασι, ὅ τι πονηρὸς οὐ παραιτήσεται διδάσκειν. ἐπεὶ καὶ τὸ, Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε, περὶ βίου ἐστὶν, οὐ περὶ πίστεως. τὸ γοῦν ἐπαγόμενον, τοῦτο δηλοῖ. Τί γὰρ βλέπεις, φησὶ, τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ δοκὸν τὴν ἐν τῷ σῷ ὀφθαλμῷ οὐ κατανοεῖς; πάντα οὖν ὅσα ἂν λέγωσιν ὑμῖν, φησι, ποιεῖν, ποιεῖτε (τὸ δὲ ποιεῖν, ἔργων ἐστὶν, οὐ πίστεως) κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε. ὁρᾷς ὅτι οὐ περὶ δογμάτων ἐστὶν ὁ λόγος, ἀλλὰ περὶ βίου, καὶ ἔργων; ἀλλ' ὁ Παῦλος προτρέπει συνειδήσει αὐτοὺς, καὶ τότε φησὶ, πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν, καὶ ὑπείκετε. αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες. ἀκουέτωσαν καὶ οἱ ἄρχοντες, μὴ μόνοι οἱ ἀρχόμενοι, ὅτι ὥσπερ πειθηνίους εἶναι δεῖ τοὺς ἀρχομένους, οὕτω καὶ τοὺς ἄρχοντας ἀγρύπνους εἶναι καὶ νηφαλίους. τί λέγεις; ἀγρυπνεῖ, κινδύνους ἔχει κατὰ τῆς αὐτοῦ κεφαλῆς, ὑπόκειται ταῖς τιμωρίαις τῶν σῶν ἁμαρτημάτων, καὶ διὰ σὲ τοσούτῳ ἐστὶν ὑπεύθυνος φόβῳ, καὶ σὺ ῥαθυμεῖς, καὶ ἀκκίζῃ, καὶ βάναυσος εἶ, καὶ οὐ βούλει πείθεσθαι; διὰ τοῦτο προστίθησι λέγων, ἵνα μετὰ χαρᾶς τοῦτο ποιῶσι, καὶ μὴ στενάζοντες. ἀλυσιτελὲς γὰρ ὑμῖν τοῦτο. ὁρᾷς ὅτι τὸν ἄρχοντα καταφρονούμενον οὐκ ἀμύνεσθαι χρή; ἀλλ' ἡ πολλὴ ἄμυνα τὸ κλαῦσαι καὶ στενάξαι ἐστίν; εἰκότως. ἐπεὶ καὶ ἰατρὸν καταφρονούμενον ὑπὸ τοῦ κάμνοντος, οὐκ ἔνι ἀμύνασθαι, ἀλλὰ δακρῦσαι καὶ οἰμῶξαι. ὥστε ἐὰν στενάξῃ ὁ ἄρχων, ἀμύνεταί σε ὁ Θεός. εἰ γὰρ ὑπὲρ τῶν οἰκείων ἁμαρτημάτων στενάζοντες ἐπισπώμεθα τὸν Θεόν· ὑπὲρ τῆς τῶν ἄλλων ἀπονοίας καὶ καταφρονήσεως στενάζοντες, οὐ πολλῷ μᾶλλον; ὁρᾷς ὅτι οὐκ ἀφίησιν αὐτοὺς εἰς ὕβρεις ἐξάγεσθαι; ὁρᾷς ὅση ἡ φιλοσοφία; στενάζει δὲ ὁ καταφρονούμενος, ὁ καταπατούμενος, ὁ διαπτυόμενος. μὴ θαρρήσῃς ὅτι σε οὐκ ἀμύνεται. ὁ γὰρ στεναγμὸς, πάσης ἀμύνης χείρων. ὅταν γὰρ αὐτὸς μηδὲν ἀνύσῃ, στενάζων καλεῖ τὸν δεσπότην. καὶ καθάπερ ἐπὶ διδασκάλου καὶ τροφέως, ὅταν ἐκείνου μὴ ἀκούῃ τὸ παιδίον, καλεῖται ὁ αὐστηρότερος προσφερόμενος· οὕτω καὶ ἐνταῦθα. βαβαὶ, πόσος ὁ κίνδυνος; τί ἄν τις εἴποι πρὸς τοὺς ἀθλίους, τοὺς ἐπιρρίπτοντας ἑαυτοὺς τοσαύτῃ τιμωριῶν ἀβύσσῳ; πάντων ὧν ἄρχεις γυναικῶν καὶ ἀνδρῶν καὶ παίδων σὺ λόγον δίδως. τοσούτῳ πυρὶ τὴν κεφαλὴν ὑποτίθης. θαυμάζω εἴ τινά ἐστι τῶν ἀρχόντων σωθῆναί ποτε πρὸς τῇ τοιαύτῃ ἀπειλῇ καὶ τῇ παρούσῃ ῥαθυμίᾳ, ὁρῶν ἔτι [καὶ] ἐπιτρέχοντάς [τινας,] καὶ ἐπιρρίπτοντας ἑαυτοὺς τῷ τοσούτῳ ὄγκῳ τῆς ἀρχῆς. εἰ γὰρ οἱ ἀνάγκῃ ἑλκόμενοι οὐδεμίαν ἔχουσι συγγνώμην, οὐδ' ἀπολογίαν, κακῶς τὸ πρᾶγμα οἰκονομοῦντες, καὶ ἀμελοῦντες (ἐπεὶ καὶ Ἀαρὼν ἀνάγκῃ εἱλκύσθη, καὶ ἐκινδύνευσε, καὶ Μωϋσῆς πάλιν ἐκινδύνευσε, καίτοι πολλάκις παραιτησάμενος· καὶ Σαοὺλ ἑτέραν ἐμπιστευθεὶς ἀρχὴν, μετὰ τὸ παραιτήσασθαι ἐκινδύνευσεν, ἐπειδὴ κακῶς αὐτὴν ᾠκονόμησε) πόσῳ μᾶλλον οἱ σπουδὴν ταύτην τιθέμενοι, καὶ ἐπιρρίπτοντες ἑαυτούς; ὁ γὰρ τοιοῦτος, πολλῷ πλέον ἑαυτὸν ἀποστερεῖ πάσης συγγνώμης. δεδοικέναι γὰρ χρὴ καὶ τρέμειν, καὶ διὰ τὸ συνειδὸς, καὶ διὰ τὸν ὄγκον τῆς ἀρχῆς, καὶ οὔτε ἑλκομένους ἅπαξ παραιτεῖσθαι, οὔτε μὴ ἑλκομένους ἐπιρρίπτειν ἑαυτούς· ἀλλὰ καὶ φεύγειν μὲν προορῶντας τοῦ ἀξιώματος τὸ μέγεθος, καταληφθέντας δὲ, πάλιν τὴν εὐλάβειαν ἐπιδείκνυσθαι χρή. μηδὲν ἀμελὲς ἔστω, πάντα κατὰ τάξιν γινέσθω. πρὸ τοῦ γενέσθαι προαισθόμενος, ἀναχώρει, πεισθεὶς σαυτὸν ἀνάξιον εἶναι τοῦ πράγματος. συλληφθεὶς πάλιν, ὁμοίως εὐλαβὴς ἔσο, πανταχοῦ τὴν εὐγνωμοσύνην ἐπιδεικνύμενος.

18 Προσεύχεσθε, [φησι, καὶ] περὶ ἡμῶν. πεποίθαμεν γὰρ ὅτι καλὴν συνείδησιν ἔχομεν ἐν πᾶσι, καλῶς θέλοντες ἀναστρέφεσθαι. Ὁρᾷς ὅτι ταῦτα ἀπολελόγηται, ὡς πρὸς λελυπημένους πρὸς αὐτὸν, γράφων, ὡς πρὸς ἀποστρεφομένους, ὡς πρὸς παραβάτην διακειμένους,

Ματθ. ζ. α.

χ. πῶς
χ. ἄλλως δὲ καὶ ὁ
χ. -ξαι τοῦτο ἐπεὶ
χ. -λεῖ καὶ κλαῦσαι καὶ στενάξαι. ἂν δὲ στενάξῃ ἐκεῖνος, ἀμύνεταί σε ὁ Θεός.
χ. φιλοσοφία;
χ. καταπτυόμενος,
χ. κατασπευσθεὶς καὶ ἑκών
χ. τοῦτο
χ. εὐσεβείαν
χ. μηδὲ ἀμελὲς ἔστω
χ. πεισθεὶς σαυ-
χ. αὐτοὺς

τί δήποτε; ἀνάγων αὐτὴν τῆς ταπεινότητος, καὶ οὐκ ἔτι συγχωρῶν ὁμοίως πρὸς αὐτὸν διακεῖσθαι, ὥσπερ καὶ ἔμπροσθεν. οὐχ ἁπλῶς δὲ τοῦτο ἐποίει, ἀλλ' ἐκ πολλῆς μετὰ ἀκριβείας κατασκευάζων, καὶ τὸ πιστευθῆναι τὴν ἀνάστασιν, καὶ τὸ μείζονα αὐτὸν νομισθῆναι λοιπὸν ἢ κατὰ ἄνθρωπον. καίτοι ταῦτα ἐναντία ἦν. ὑπὲρ μὲν γὰρ τοῦ πιστευθῆναι τὴν ἀνάστασιν, πολλὰ ἀνθρώπινα ἔδει γενέσθαι, ὑπὲρ δὲ θατέρου, τοὐναντίον. ἀλλ' ὅμως ἀμφότερα γέγονε μετὰ τοῦ προσήκοντος καιροῦ. τίνος δὲ ἕνεκεν οὐχὶ πᾶσιν, ἀλλὰ τοῖς ἀποστόλοις ἐφάνη; ὅτι φάντασμα ἂν ἔδοξεν εἶναι τοῖς πολλοῖς, οὐκ εἰδόσι τὸ ἀπόρρητον τοῦ μυστηρίου. εἰ γὰρ καὶ αὐτοὶ οἱ μαθηταὶ ἠπίστουν τὴν ἀρχὴν καὶ ἐθορυβοῦντο, καὶ ἀφῆς ἐδεήθησαν τῆς διὰ χειρός, καὶ τραπέζης, τί τοὺς πολλοὺς εἰκὸς παθεῖν ἦν; διά τοι τοῦτο ἐκ τῶν σημείων ἀναμφίβολον ποιεῖ τῆς ἀναστάσεως τὴν ἀπόδειξιν· ὥστε μὴ τοῖς τότε μόνον, ἀλλὰ καὶ πᾶσι τοῖς μετὰ ταῦτα φανερὰν γενέσθαι τὴν ἀνάστασιν. ὅπερ γὰρ ἐκείνοις ἐκ τῆς ὄψεως τῶν σημείων, τοῦτο ἐκ τῆς πίστεως πᾶσιν ὕστερον ἔμελλεν ἔσεσθαι. διά τοι τοῦτο καὶ τοὺς ἀπίστους ἐντεῦθεν συλλογιζόμεθα. εἰ γὰρ οὐκ ἀνέστη, ἀλλὰ μένει νεκρός, πῶς ἐν τῷ ὀνόματι αὐτοῦ οἱ ἀπόστολοι σημεῖα ἐποίησαν; ἀλλ' οὐκ ἐποίησαν σημεῖα; πῶς οὖν συνέστη τὸ ἔθνος τὸ ἡμέτερον; οὐ γὰρ δὴ [καὶ] πρὸς τοῦτο ἀντιστήσονται, οὐδὲ τοῖς ὁρωμένοις μαχήσονται. ὥστε ὅταν λέγωσι μὴ γενέσθαι σημεῖα, μειζόνως ἑαυτοὺς περιπείρουσι. τοῦτο γὰρ μέγιστον σημεῖον, τὸ χωρὶς σημείων τὴν οἰκουμένην προσδραμεῖν ἅπασαν, ὑπὸ δώδεκα πτωχῶν καὶ ἀγραμμάτων ἀνθρώπων ἁλιευθεῖσαν. οὐδὲ γὰρ πλούτῳ χρημάτων, οὐ σοφίᾳ λόγων, οὐκ ἄλλῳ τινὶ τοιούτῳ περιεγένοντο οἱ ἁλιεῖς. ὥστε καὶ ἄκοντες ὁμολογήσουσι θείαν εἶναι ἐν αὐτοῖς δύναμιν. ἀμήχανον γὰρ ἀνθρωπίνην ἰσχὺν δυνηθῆναι τοσαῦτα ποτέ. διά τοι τοῦτο καὶ αὐτὸς τεσσαράκοντα ἡμέρας ἔμεινε μετὰ τὴν ἀνάστασιν, ἐλέγχους διδοὺς ἐν τῷ μακρῷ χρόνῳ τῆς ὄψεως τῆς οἰκείας, ἵνα μὴ φάντασμα εἶναι νομίσωσι τὸ ὁρώμενον. καὶ οὐδὲ τούτῳ ἠρκέσθη, ἀλλὰ καὶ τράπεζαν προσετίθει· ὅπερ οὖν καὶ προϊὼν λέγει·

*[Marg.: κ. μόνον, ὅπερ ἐκ τῆς ὄψεως ἔμελλεν ἔσεσθαι, ἀλλὰ πᾶσι τοῖς μετὰ ταῦτα φανερὰν γενέσθαι τὴν ἀνάστασιν. διά τι — κ. οἱ — κ. καὶ — κ. ἐπὶ τῆς γῆς — κ. δηλοῦν ἔλεγε]*

4 Καὶ συναλιζόμενος αὐτοῖς παρήγγειλε. Τοῦτο δὲ ἀεὶ καὶ αὐτοὶ οἱ ἀπόστολοι τεκμήριον ἐποιοῦντο τῆς ἀναστάσεως λέγοντες· Οἵτινες συνεφάγομεν καὶ συνεπίομεν αὐτῷ. τί· Πράξ. ι. μα. τί δὲ καὶ φαινόμενος ἐποίει, δι' ὧν ἐπήγαγε δείκνυσι λέγων·

Ὀπτανόμενος αὐτοῖς, καὶ λέγων τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ.

Ἐπεὶ οὖν δὲ καὶ πεπονηκότες ἦσαν καὶ τεταραγμένοι τοῖς ἤδη γεγενημένοις, καὶ πρὸς μεγάλους ἔμελλον λοιπὸν ἐξιέναι ἀγῶνας, τοῖς περὶ τῶν μελλόντων αὐτοὺς ἀνακτώμενος λόγοις, παρήγγειλεν ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι, ἀλλὰ περιμένειν τὴν ἐπαγγελίαν τοῦ πατρός. πρότερον αὐτοὺς εἰς τὴν Γαλιλαίαν ἐξήγαγε δεδοικότας ἔτι καὶ τρέμοντας, ἵνα μετὰ ἀδείας ἀκούσωσι τῶν λεγομένων· εἶτα, ἐπειδὴ ἤκουσαν, καὶ τεσσαράκοντα συνδιέτριψεν ἡμέρας, παρήγγειλεν Ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι. Τί δήποτε; καθάπερ τινὰς στρατιώτας μέλλοντας εἰς πλῆθος ἐμπίπτειν οὐδεὶς ἀφίησιν ἐξελθεῖν, ἕως ἂν ὁπλίσωνται· οὐδὲ ἵππους προπηδᾷν τῆς βαλβῖδος, ἕως ἂν τὸν ἡνίοχον λάβωσιν· οὕτω δὴ καὶ αὐτοὺς πρὸ τῆς τοῦ πνεύματος καθόδου φανῆναι ἐπὶ τῆς παρατάξεως οὐκ ἠφίει, ὥστε μὴ γενέσθαι εὐχειρώτους καὶ ἁλωσίμους τοῖς πολλοῖς. οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ ἐπειδὴ πολλοὶ ἦσαν οἱ μέλλοντες πιστεύειν αὐτόθι· καὶ πρὸς τούτοις πάλιν, ἵνα μὴ λέγωσί τινες, ὅτι τοὺς γνωρίμους ἀφέντες, παρὰ τοῖς ξένοις ἦλθον κομπάσαι. τούτου χάριν παρ' αὐτοῖς τοῖς πεφονευκόσι παρέχουσι τὰ τεκμήρια τῆς ἀναστάσεως, παρ' αὐτοῖς τοῖς ἐσταυρωκόσι, τοῖς θάψασιν, ἐν αὐτῇ τῇ πόλει, ἐν ᾗ τὸ πρᾶγμα τὸ παράνομον ἐτολμήθη, ὥστε καὶ τοὺς ἔξωθεν ἐπιστομισθῆναι ἅπαντας. ὅταν γὰρ οἱ ἐσταυρωκότες αὐτοὶ φαίνωνται καὶ πεπιστευκότες, εὔδηλον ὅτι καὶ ὁ σταυρὸς καὶ τοῦ τολμήματος ἐδείκνυτο ἡ παρανομία, καὶ τῆς ἀναστάσεως πολλὴ ἡ ἀπόδειξις. εἶτα ἵνα μὴ λέγωσι, πῶς οὖν δυνησόμεθα μεταξὺ ἀνθρώπων μιαρῶν καὶ φονώντων, καὶ τοσούτων ὄντων, ὀλίγοι καὶ εὐτελεῖς ὄντες μένειν; ὅρα πῶς λύει τὴν ἀγωνίαν, εἰπών·

*[Marg.: κ. διὰ τί ἐπὶ τεσσαράκοντα ἡμέραις ὀπτανόμενος; διαλέγεται αὐτοῖς, φησί, περὶ — κ. γὰρ]*

Ἀλλὰ

ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν, τὰ θαύματα καὶ τὰς διδασκαλίας αἰνιττόμενος. οὐ τοῦτο δὲ μόνον, ἀλλ' ὅτι καὶ ποιῶν ἐδίδασκεν. ὅρα δὲ αὐτοῦ καὶ τὴν φιλόθεον καὶ ἀποστολικὴν γνώμην, εἰ καὶ ἑνὸς ἕνεκεν τοσαύτην ἐποιεῖτο ἀκρίβειαν, ὡς ὁλόκληρον εὐαγγέλιον γράψαι.
Λουκ. α. δ. Ἵνα γὰρ ἐπιγνῷς, φησὶ, περὶ ὧν κατηχήθης λόγων τὴν ἀσφάλειαν. καὶ γὰρ ἤκουσε τοῦ Χριστοῦ
Ματθ. ιη. ιδ. λέγοντος· Οὐκ ἔστι θέλημα τοῦ πατρός μου, ἵνα ἀπόληται εἷς τῶν μικρῶν τούτων. καὶ τίνος ἕνεκεν οὐχ ἓν βιβλίον ἐποίησεν ἐπὶ τῷ Θεοφίλῳ ἐπιστέλλων, ἀλλ' εἰς δύο διεῖλεν ὑποθέσεις; σαφηνείας ἕνεκεν καὶ τοῦ διαναπαῦσαι τὸν ἀκροατήν. ἄλλως δὲ, καὶ τῇ ὑποθέσει διῃρημέναι εἰσὶν αἱ πραγματεῖαι. σκόπει δὲ ὅπως ἑαυτοῦ τοὺς λόγους ὁ Χριστὸς διὰ τῶν ἔργων
Ματθ. ια. κθ. ἀξιοπίστους ἐποίει. περὶ πραότητος παρῄνει, καὶ ἔλεγε· Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι
Ματθ. η. κ. καὶ ταπεινὸς τῇ καρδίᾳ. ἐδίδασκεν ἀκτήμονας εἶναι, καὶ τοῦτο ἐδείκνυτο διὰ τῶν ἔργων. Ὁ γὰρ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ, φησί. πάλιν, ἐκέλευσε τοὺς ἐχθροὺς ἀ-
Ματθ. ε. μδ. γαπᾷν. ἐδίδαξε τοῦτο ἐπὶ τοῦ σταυροῦ εὐχόμενος ὑπὲρ τῶν σταυρωσάντων. ἔλεγε, Τῷ θέ-
Λουκ. κγ. λδ. λοντί σοι κριθῆναι καὶ τὸν χιτῶνά σου λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον. ὁ δὲ, οὐχὶ τὰ ἱμάτια
Ματθ. ε. μ. μόνον, ἀλλὰ καὶ τὸ αἷμα ἔδωκεν. οὕτω καὶ *τοῖς μαθηταῖς ἐκέλευσε ποιεῖν. διὸ καὶ ὁ Παῦλος
Φιλ. γ. ιζ. ἔλεγε· Καθὼς ἔχετε τύπον ἡμᾶς. οὐδὲν γὰρ διδασκάλου ψυχρότερον ἐν λόγοις φιλοσοφοῦντος μόνον. τοῦτο γὰρ οὐ διδασκάλου, ἀλλ' ὑποκριτοῦ. διὰ τοῦτο οἱ ἀπόστολοι πρότερον ἀπὸ τοῦ βίου ἐδίδασκον, καὶ τότε ἀπὸ τῶν ῥημάτων· μᾶλλον δὲ οὐδὲ ἔδει ῥημάτων αὐτοῖς, τῶν ἔργων βοώντων. οὐκ ἂν δέ τις ἁμάρτοι, καὶ τὸ πάθος αὐτοῦ πρᾶξιν καλέσας. ἐν τῷ γὰρ *παθεῖν, ἐποίησε τὸ μέγα καὶ θαυμαστὸν ἔργον ἐκεῖνο, τὸν θάνατον καταλύσας, καὶ τὰ ἄλλα πάντα ἐργασάμενος. Ἄχρι ἧς ἡμέρας ἐντειλάμενος τοῖς ἀποστόλοις διὰ πνεύματος ἁγίου, οὓς ἐξελέξατο, ἀνελήφθη. Διὰ πνεύματος ἐντειλάμενος· τουτέστι, πνευματικὰ πρὸς αὐτοὺς εἰπὼν ῥήματα, οὐδὲν ἀνθρώπινον. ἢ τοῦτο οὖν ἐστιν εἰπεῖν, ἢ ὅτι διὰ πνεύματος αὐτοῖς ἐνετείλατο. ὁρᾷς πῶς ταπεινῶς ἔτι διαλέγεται περὶ αὐτοῦ, ὡς
Ματθ. ιβ. κη. Ματθ. κη. ιθ. καὶ αὐτὸς περὶ ἑαυτοῦ λέγων, Εἰ δὲ ἐγὼ ἐν πνεύματι Θεοῦ ἐκβάλλω τὰ δαιμόνια; καὶ γὰρ καὶ τὸ πνεῦμα τὸ ἅγιον ἐνήργει ἐν ἐκείνῳ τῷ ναῷ. τί δαὶ ἐνετείλατο; Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα, ὅσα ἐνετειλάμην ὑμῖν. μέγα τῶν ἀποστόλων τὸ ἐγκώμιον, ὅταν τοιαῦτα ὦσιν ἐγκεχειρισμένοι τῆς οἰκουμένης λέγω τὴν σωτηρίαν, *ῥήματα τοῦ πνεύματος γέμοντα. ὃ δὴ καὶ αὐτὸς αἰνιττόμενος εἶπε, τὸ διὰ πνεύματος ἁγίου· τουτέστι, καὶ τὰ
Ιωαν. ς. ξγ. ῥήματα, ἃ ἐλάλησα ὑμῖν, πνεῦμά ἐστι. τοῦτο δέ φησι, τὸν ἀκροατὴν εἰς ἐπιθυμίαν λοιπὸν ἄγων τοῦ μαθεῖν τὰς ἐντολὰς, καὶ ἀξιοπίστους τοὺς ἀποστόλους ποιῶν, εἴ γε τὰ τοῦ πνεύματος μέλλοιεν λέγειν καὶ τὰς τοῦ Χριστοῦ ἐντολάς. ἐντειλάμενος οὖν, φησιν, ἀνελήφθη. οὐκ εἶπεν, ἀνέβη, ἐπειδὴ ἔτι ὡς περὶ ἀνθρώπου διαλέγεται. ἄρα καὶ μετὰ τὴν ἀνάστασιν ἐδίδασκε *τοὺς μαθητὰς· ἀλλὰ τὸν χρόνον τοῦτον οὐδεὶς εἶπεν ἡμῖν μετὰ ἀκριβείας ἅπαντα, ἀλλ' ἐγχρονίζει μὲν αὐτῷ ὁ Ἰωάννης τῶν ἄλλων μᾶλλον, καὶ οὐδὲ πάντα δὲ σαφῶς οὐδεὶς ἀπήγγειλε (πρὸς γὰρ ἕτερον ἐσπούδαζον) ἐμάθομεν δὲ ταῦτα διὰ τῶν ἀποστόλων. ἃ γὰρ ἤκουσαν [καὶ] εἶπον.

3 Οἷς καὶ παρέστησεν ἑαυτὸν, φησὶ, ζῶντα. Εἰπὼν περὶ τῆς ἀναλήψεως πρότερον, λέγει [καὶ] περὶ τῆς ἀναστάσεως. ἐπειδὴ γὰρ *εἶπεν, ὅτι ἀνελήφθη, ἵνα μὴ νομίσῃς ὑφ' ἑτέρων αὐτὸν ἀναληφθῆναι, ἐπήγαγεν· οἷς καὶ παρέστησεν ἑαυτὸν ζῶντα. εἰ γὰρ ἐν τῷ μείζονι ἑαυτὸν παρέστησε, πολλῷ μᾶλλον ἐν τῷ ἐλάττονι. εἶδες πῶς λανθανόντως παρασπείρει τὰ μεγάλα ταῦτα δόγματα; Δι' ἡμερῶν, φησι, τεσσαράκοντα ὀπτανόμενος αὐτοῖς.

Οὐ γὰρ ὥσπερ πρὸ τῆς ἀναστάσεως, ἀεὶ μετ' αὐτῶν ἦν, οὕτω καὶ τότε. οὐ γὰρ εἶπε τεσσαράκοντα ἡμέρας, ἀλλὰ δι' ἡμερῶν τεσσαράκοντα. ἐφίστατο γὰρ, καὶ *ἀφίστατο πάλιν.

τί

χ. τοῖς ἔργοις καὶ ἀπὸ διδασκ.
* παθεῖν
* ἦσαν
* π
χ. εἶπεν
χ. ἀφίπταν

Digitized by Google

σωνται λόγον. καὶ γὰρ τοῦτο μάλιστά ἐστι τουτὶ τὸ βιβλίον, ἀναστάσεως ἀπόδειξις. τούτου γὰρ πιστευθέντος, ὁδῷ καὶ τὰ ἄλλα προέβαινεν. ἡ μὲν οὖν ὑπόθεσις καὶ ὁ τοῦ βιβλίου σκοπὸς ἅπας, ὡς ἄν τις "παχυμερῶς συλλαβὼν εἴποι, οὗτος μάλιστά ἐστιν. ἀκούσωμεν δὲ λοιπὸν αὐτῶν τῶν προοιμίων.

γ. παχυτέρως

1 Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων, ὦ Θεόφιλε, ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν. (κεφ. α.) Τίνος ἕνεκεν αὐτὸν ἀναμιμνήσκει τοῦ εὐαγγελίου; ὥστε τὴν οἰκείαν ἀκρίβειαν ἐνδείξασθαι. καὶ γὰρ ἀρχόμενος τῆς πραγματείας ἐκείνης φησίν· Ἔδοξε κἀμοὶ παρηκολουθηκότι ἄνωθεν πᾶσιν ἀκριβῶς καθεξῆς σοι γράψαι. (Λουκ. α. γ.) καὶ οὔτε τῇ οἰκείᾳ ἀρκεῖται μαρτυρίᾳ μόνον, ἀλλὰ καὶ ἀνάγει ἐπὶ τοὺς ἀποστόλους τὸ πᾶν, λέγων· Καθὼς παρέδοσαν ἡμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου. διὰ τῶν λόγων ἀξιόπιστον ἐκεῖ ποιήσας, "οὐδὲ δεῖται ἐνταῦθα ἑτέρας" βεβαιώσεως, ἅπαξ αὐτοῦ πιστευθέντος, καὶ "δι' ἐκείνου τὸ ἀκριβὲς αὐτὸν τῆς ἀληθείας κατηχήσας. ὁ γάρ, ἅπερ ἤκουσεν, ἀξιόπιστος γενόμενος γράψαι, καὶ πιστευθείς, πολλῷ μᾶλλον ταῦτα συνθείς, ἃ μὴ παρ' ἑτέρων παρείληφεν, ἀλλ'" ἃ εἶδε καὶ ἤκουσε, πιστευθῆναι δίκαιος ἂν εἴη. Εἰ γὰρ τὰ τοῦ Χριστοῦ ἐδέξω, [φησί,] πολλῷ μᾶλλον τὰ τῶν ἀποστόλων. τί οὖν ἐκεῖ; ἱστορία μόνον τὸ πρᾶγμά ἐστι, καὶ πνεύματος ἄμοιρος ὁ λόγος; "οὐδαμῶς. πῶς; ὅτι ἅπερ οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου αὐτῷ παρέδοσαν, τοῦ πνεύματος ἦσαν. καὶ διὰ τί μὴ εἶπεν, ὅτι καθὼς παρέδοσαν ἡμῖν οἱ πνεύματος ἁγίου καταξιωθέντες, ἀλλ' οἱ [ἀπ' ἀρχῆς] αὐτόπται γενόμενοι; ὅτι τοῦτο μάλιστα εἰς πίστιν ἐστὶν ἀξιόπιστον, τὸ παρὰ αὐτοπτῶν μαθεῖν· ἐκεῖνο δὲ καὶ ἀλαζονεία καὶ τῦφος ἂν ἔδοξε τοῖς ἀνοήτοις. διὸ καὶ Ἰωάννης οὕτως ἔλεγεν· Ἐγὼ ἑώρακα καὶ μεμαρτύρηκα, ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ. (Ιωαν. α. λδ.) καὶ ὁ Χριστὸς δὲ οὕτω διαλέγεται τῷ Νικοδήμῳ παχυτέρῳ ὄντι· Ὃ οἴδαμεν λαλοῦμεν, καὶ ὃ ἑωράκαμεν μαρτυροῦμεν, καὶ τὴν μαρτυρίαν ἡμῶν οὐδεὶς" λαμβάνει. (Ιωαν. γ. ια.) καὶ πάλιν δεικνὺς ὅτι πολλὰ καὶ ἀπὸ ὄψεως μαρτυρεῖν ἐστι, τοῖς μαθηταῖς ἔλεγε· Καὶ ὑμεῖς μαρτυρεῖτε περὶ ἐμοῦ, ὅτι ἀπ' ἀρχῆς μετ' ἐμοῦ ἐστε. (Ιωαν. ιε. κζ.) καὶ αὐτοὶ οἱ ἀπόστολοι πολλαχοῦ οὕτω φασί· Μάρτυρες ἡμεῖς, καὶ τὸ πνεῦμα τὸ ἅγιον, ὃ ἔδωκεν ὁ Θεὸς τοῖς πειθαρχοῦσιν αὐτῷ. (Πραξ. ε. λβ.) καὶ μετὰ ταῦτα [δὲ] πιστούμενος τὴν ἀνάστασιν ὁ Πέτρος ἔλεγεν· Οἵτινες συνεφάγομεν καὶ συνεπίομεν αὐτῷ. (Πραξ. ι. μα.) τάχιον γὰρ τὴν παρὰ τῶν συνεωρακότων ἀνθρώπων μαρτυρίαν ἐδέχοντο, διὰ τὸ τῆς περὶ τοῦ πνεύματος ἐννοίας σφόδρα πως ἀπέχειν. διὰ τοῦτο καὶ Ἰωάννης ἐν τῷ εὐαγγελίῳ ἔλεγεν, ὅτι αὐτὸς εἶδε, περὶ τοῦ αἵματος καὶ τοῦ ὕδατος διαλεγόμενος, τὴν ὄψιν αὐτοῖς ἀπὸ τῆς μαρτυρίας τιθεὶς μεγίστης· (Ιωαν. ιθ. λε.) καίτοι ὄψεως ἀκριβέστερα τὰ παρὰ τοῦ πνεύματος, ἀλλ' οὐ παρὰ τοῖς ἀπίστοις. ὅτι δὲ πνεύματος μετεῖχεν ὁ ἀνήρ, πολλαχόθεν δῆλον, ἀπό τε τῶν σημείων τῶν γενομένων, ἀπό τε τοῦ καὶ τοὺς τυχόντας τότε μεταλαμβάνειν πνεύματος, ἀπό τε τῆς Παύλου μαρτυρίας (Οὗ γάρ, φησιν, ὁ ἔπαινος ἐν τῷ εὐαγγελίῳ) ἀπό τε τῆς χειροτονίας ψήφου. εἰπὼν γὰρ τοῦτο, ἐπάγει· Ἀλλὰ καὶ χειροτονηθεὶς ὑπὸ τῶν ἐκκλησιῶν, συνέκδημος ἡμῶν ἐν τῇ χάριτι ταύτῃ τῇ διακονουμένῃ ὑφ' ἡμῶν. (β. Κορ. η. ιη.) καὶ ὅρα αὐτοῦ τὸ ἄτυφον. οὐ γὰρ λέγει, τὸ μὲν πρῶτον εὐαγγέλιον, ὃ εὐηγγελισάμην· ἀλλά, τὸν μὲν πρῶτον λόγον ἐποιησάμην, μείζονα ἑαυτοῦ εἶναι νομίζων τοῦ εὐαγγελίου τὴν προσηγορίαν. καίτοι ὁ ἀπόστολος ἐντεῦθεν αὐτὸν κοσμεῖ λέγων· Οὗ ὁ ἔπαινος ἐν τῷ εὐαγγελίῳ. ἀλλ' αὐτὸς μετριάζει, καί φησι· Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων, ὦ Θεόφιλε, ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν· οὐχ ἁπλῶς, περὶ πάντων, ἀλλ' ἀπ' ἀρχῆς μέχρι τέλους. Ἄχρι γὰρ τῆς ἡμέρας, φησίν, ἧς ἀνελήφθη. καὶ μὴν Ἰωάννης δείκνυσιν, ὅτι οὐκ ἦν δυνατὸν πάντα γράψαι. "Εἰ γὰρ ἐγράφη, οὐδὲ αὐτὸν τὸν κόσμον οἶμαι, φησί, χωρῆσαι τὰ γραφόμενα βιβλία. (Ιωαν. κα. κε.) πῶς οὖν φησι περὶ πάντων οὗτος; οὐκ εἶπε, πάντα, ἀλλά, περὶ πάντων· ὡς ἂν" εἴποι τις, ἁδρομερῶς καὶ" παχυμερῶς· ἢ, περὶ πάντων, λέγει, τῶν συνεχόντων καὶ κατεπειγόντων. Εἶτα δείκνυσι καὶ ποίων πάντων. ὧν ἤρξατο

γ. οὐδὲν. γ. συνθεὶς. γ. δι' ἐκείνου δὲ ἀκριβῶς αὐτὸν τῆς ἀληθείας. γ. ὧν. γ. ἰδιωτείας. γ. οἱ ἀπ' ἀρχ. γ. τ. λ. αἱ περὶ τοῦ τὸ ἐκεῖνον λέγει. καὶ διὰ τί.

γ. λαμβάνει. διὰ τὸ τὰ πολλὰ καὶ ἀπὸ ὄψεως μαρτυρεῖν ἐπιτρέπει λέγων· καὶ ἡμ.

γ. δῆλον δὲ τοῦτο δηλῶσαι, εἰπών, Ἅπερ ἐστὶ [illegible] αὐτὸν τὸν κόσμον οἶμαι χωρῆσαι, προσθεὶς τὰ γραφόμενα βιβλία. πῶς

γ. παχυτέρως

Ιωαν. ιγ. λε. παρήγγειλεν αὐτοῖς λέγων· ὅτι Ἐν τούτῳ γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶ-
τε ἀλλήλους. ἔστι δὲ καὶ δόγματα ἐνταῦθα εὑρεῖν, ἅπερ, εἰ μὴ τοῦτο ἦν τὸ βιβλίον, οὐδενὶ γ. δογμάτων
[σαφῶς] οὕτω γνώριμα ἐγένοντο· ἀλλὰ τὸ κεφάλαιον τῆς σωτηρίας ἡμῶν ἀπεκρύπτετο καὶ
ἄδηλον ἦν καὶ βίου καὶ δογμάτων ἕνεκεν. τὸ δὲ πλέον τῶν ἐνταῦθα ἐγκειμένων, Παύλου
πράξεις εἰσί, τοῦ περισσότερον πάντων κοπιάσαντος. καὶ τὸ αἴτιον, ὅτι αὐτοῦ φοιτητὴς ἦν γ. τὸ δὲ
α. Κορ. ιε. ι. ὁ τὸ βιβλίον τοῦτο συνθεὶς Λουκᾶς ὁ μακάριος· οὗ τὴν ἀρετὴν πολλαχόθεν μὲν καὶ ἀλλαχόθεν
ἔστιν ἰδεῖν, μάλιστα δὲ ἐκ τοῦ πρὸς τὸν διδάσκαλον ἀδιασπάστως ἔχειν, καὶ διαπαντὸς αὐτῷ
παρακολουθεῖν. ὅτε γοῦν Δημᾶς καὶ Ἑρμογένης αὐτὸν ἐγκατέλιπον, ὁ μὲν εἰς Γαλατίαν, ὁ γ. πάντες
β. Τιμ. δ. ια. δὲ εἰς Δαλματίαν ἀπελθών, ἄκουσον τί φησι περὶ τούτου· Λουκᾶς ἐστι μόνος μετ' ἐμοῦ. καὶ
β. Κορ. η. ιη. Κορινθίοις δὲ ἐπιστέλλων περὶ αὐτοῦ; φησιν· Οὗ ὁ ἔπαινος ἐν τῷ εὐαγγελίῳ διὰ πασῶν τῶν ἐκ-
α. Κορ. ιε. ε. α. κλησιῶν. καὶ ὅταν λέγῃ, ὅτι ὤφθη Κηφᾷ, εἶτα τοῖς δώδεκα· καὶ, Κατὰ τὸ εὐαγγέλιον ὃ
παρελάβετε, τὸ τούτου λέγει. ὥστε οὐκ ἂν τις ἁμάρτοι τὴν πραγματείαν ταύτην αὐτῷ ἀ-
ναθείς. ὅταν δὲ εἴπω, τούτῳ, τῷ Χριστῷ λέγω. εἰ δέ τις λέγοι, καὶ τί δήποτε, οὐχὶ πάν-
τα συνέγραψε, μέχρι τέλους ὢν μετ' αὐτοῦ; ἐκεῖνο ἂν εἴποιμεν, ὅτι καὶ ταῦτα ἀρκοῦντα ἦν
τοῖς βουλομένοις προσέχειν, καὶ ὅτι πρὸς τὰ κατεπείγοντα ἀεὶ ἵσταντο, καὶ ὅτι οὐκ ἐν τῷ λογο-
γραφεῖν ἦν αὐτοῖς ἡ σπουδή. πολλὰ γὰρ καὶ ἀγράφῳ παραδόσει δεδώκασι. καὶ πάντα γ. παρέδωκαν. ἀλλ. παραδεδώκασι.
μὲν οὖν ἄξια θαύματος τὰ ἐν τῷ βιβλίῳ τούτῳ κείμενα· μάλιστα δὲ, τῶν ἀποστόλων ἡ συγ-
κατάβασις, ἣν καὶ τὸ πνεῦμα αὐτοῖς ὑπέθηκε, παρασκευάζον αὐτοὺς τῷ τῆς οἰκονομίας
ἐνδιατρίβειν λόγῳ. διὰ δὴ τοῦτο τοσαῦτα περὶ Χριστοῦ διαλεχθέντες, ὀλίγα μὲν περὶ τῆς γ. ὀλιγάκις
θεότητος αὐτοῦ εἰρήκασι· τὰ δὲ πλείονα περὶ τῆς ἀνθρωπότητος διελέγοντο καὶ τοῦ πάθους καὶ
τῆς ἀναστάσεως καὶ τῆς ἀναβάσεως. τὸ γὰρ ζητούμενον τέως τοῦτο ἦν, τὸ πιστευθῆναι, ὅτι
ἀνέστη καὶ ἀνέβη εἰς οὐρανούς. ὥσπερ οὖν αὐτὸς ὁ Χριστὸς μάλιστα πάντων ἐσπούδαζε δεῖξαι,
ὅτι παρὰ τοῦ πατρὸς ἥκει· οὕτω καὶ οὗτοι, ὅτι ἀνέστη καὶ ἀνελήφθη, καὶ πρὸς αὐτὸν ἀπῆλθε, καὶ
παρ' αὐτοῦ ἀφίκετο. εἰ γὰρ μὴ τοῦτο ἐπιστεύθη πρότερον, πολλῷ μᾶλλον τῆς προσθήκης
γενομένης τῆς κατὰ τὴν ἀνάστασιν καὶ τὴν ἀνάληψιν, ἄπιστον ἅπαν τὸ δόγμα τοῖς Ἰουδαίοις ἔ- γ. ἐδόκει
δοξεν ἄν. διὸ ἠρέμα καὶ κατὰ μικρὸν αὐτοὺς ἐπὶ τὰ ὑψηλότερα ἀνάγει. ἐν δὲ Ἀθηναίοις καὶ ἄν-
Πραξ. ιζ. λα. θρωπον αὐτὸν ἁπλῶς καλεῖ ὁ Παῦλος οὐδὲν πλέον εἰπών· εἰκότως. εἰ γὰρ αὐτὸν τὸν
Ιωαν. η. νθ. Χριστὸν διαλεγόμενον περὶ τῆς εἰς τὸν πατέρα ἰσότητος λιθάσαι πολλάκις ἐπεχείρησαν, καὶ
βλάσφημον διὰ τοῦτο ἐκάλουν, σχολῇ γ' ἂν παρὰ τῶν ἁλιέων τοῦτον τὸν λόγον ἐδέξαντο,
καὶ ταῦτα τοῦ σταυροῦ προχωρήσαντος. καὶ τί δεῖ λέγειν τοὺς Ἰουδαίους, ὅπουγε καὶ αὐτοὶ
πολλάκις οἱ μαθηταὶ τῶν ὑψηλοτέρων ἀκούοντες δογμάτων, ἐθορυβοῦντο καὶ ἐσκανδαλί-
ζοντο; διὰ τοῦτο καὶ ἔλεγε· Πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι. εἰ
Ιωαν. ιϛ. ιβ. δὲ ἐκεῖνοι οὐκ ἐδύναντο, οἱ συγγενόμενοι χρόνον τοσοῦτον αὐτῷ, καὶ τοσούτων κοινωνήσαντες ἀπορ-
ρήτων, καὶ τοσαῦτα θεασάμενοι θαύματα, πῶς ἂν ἄνθρωποι ἀπὸ βωμῶν καὶ εἰδώλων καὶ θε-
ῶν καὶ αἰλούρων καὶ κροκοδείλων (τοιαῦτα γὰρ ἦν τῶν Ἑλλήνων τὰ σεβάσματα) καὶ τῶν ἄλ-
λων τῶν κακῶν τότε πρῶτον ἀποσπασθέντες, ἀθρόον τοὺς ὑψηλοὺς τῶν δογμάτων ἐδέξαν-
το λόγους; πῶς δὲ ἂν καὶ Ἰουδαῖοι οἱ καθ' ἑκάστην ἡμέραν ἀκούοντες καὶ ἐνηχούμενοι γ. μανθάνοντες
Δευτ. ϛ. δ. ὑπὸ τοῦ νόμου· Κύριος ὁ Θεός σου Κύριος εἷς ἐστι, καὶ πλὴν αὐτοῦ οὐκ ἔστιν ἄλλος, ἐν
τῷ σταυρῷ ἰδόντες προσηλωμένον αὐτὸν, μᾶλλον δὲ καὶ σταυρώσαντες καὶ θάψαντες, καὶ οὐδὲ γ. ἐπὶ ξύλου σταυροῦ
ἀναστάντα θεασάμενοι· ἀκούοντες ὅτι Θεός ἐστιν αὐτὸς οὗτος, καὶ τῷ πατρὶ ἴσος, οὐκ ἂν μά- γ. μάλιστα
λιστα πάντων ἀπεπήδησάν τε καὶ ἀπερράγησαν; διά τοι τοῦτο ἠρέμα καὶ κατὰ μικρὸν αὐτοὺς προσ- γ. ἰδόντες
βιβάζουσι· καὶ πολλῇ μὲν κέχρηνται τῇ τῆς συγκαταβάσεως οἰκονομίᾳ, δαψιλεστέρας δὲ
ἀπολαύουσι τῆς τοῦ πνεύματος χάριτος, καὶ μείζονα ὧν αὐτὸς πεποίηκεν, ἐργάζονται τῷ αὐτοῦ
ὀνόματι, ἵνα ἑκατέρωθεν αὐτοὺς χαμαὶ κειμένους ἀναστήσωσι, καὶ τὸ περὶ τῆς ἀναστάσεως πιστώ-

σωνται

Digitized by Google

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

# ΙΩΑΝΝΟΥ
## ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ
### ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

τοῦ Χρυσοστόμου ὑπόμνημα εἰς τὰς πράξεις τῶν* ἀποστόλων.

* ἁγίων

Λογ. α. 1 ΤΟΝ ΜΕΝ ΠΡΩΤΟΝ ΛΟΓΟΝ ΕΠΟΙΗΣΑ- κεφ. α.
μην περὶ πάντων, ὦ Θεόφιλε, ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν,
2 Ἄχρι ἧς ἡμέρας ἐντειλάμενος τοῖς ἀποστόλοις διὰ πνεύματος ἁγίου, οὓς ἐξελέξατο, ἀνελήφθη.

ΠΟλλοῖς τουτὶ τὸ βιβλίον οὐδ' ὅτι ἔστι γνώριμόν ἐστιν, οὔτε αὐτὸ, οὔτε ὁ γράψας αὐτὸ καὶ συνθείς. διὰ τοῦτο καὶ μάλιστα εἰς ταύτην ἐμαυτὸν καθῆκα τὴν πραγματείαν, ὥστε καὶ τοὺς ἀγνοοῦντας ἐπισπάσασθαι, καὶ μὴ ἀφεῖναι τοσοῦτον λανθάνειν καὶ ἀποκρύπτεσθαι θησαυρόν. οὐδὲ γὰρ ἔλαττον αὐτὸ τῶν εὐαγγελίων ὠφελῆσαι ἡμᾶς δυνήσεται. τοσαύτης ἐμπέπλησται φιλοσοφίας καὶ δογμάτων ὀρθότητος, καὶ μάλιστα τῶν περὶ τοῦ πνεύματος εἰρημένων. μὴ δὴ λοιπὸν παρατρέχωμεν αὐτὸ, ἀλλὰ μετὰ ἀκριβείας ἐξετάζωμεν. καὶ γὰρ τὰς προῤῥήσεις, ἃς ἐν τοῖς εὐαγγελίοις ὁ Χριστὸς προαναφωνεῖ, ταύτας εἰς ἔργον ἐξελθούσας ἐνταῦθά ἐστιν ἰδεῖν, καὶ ἐπ' αὐτῶν τῶν πραγμάτων διαλάμπουσαν τὴν ἀλήθειαν, καὶ πολλὴν τῶν μαθητῶν τὴν ἐπὶ τὸ βέλτιον μεταβολὴν τὴν ἀπὸ τοῦ πνεύματος αὐτοῖς ἐγγενομένην. καὶ γὰρ ἅπερ ἤκουσαν τοῦ Χριστοῦ λέγοντος, ὅτι Πᾶς ὁ πιστεύων εἰς ἐμὲ, τὰ σημεῖα, ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει· Ιωαν. ιδ. ιϛ. καὶ προλέγοντος τοῖς μαθηταῖς, ὅτι Ἐπὶ ἡγεμόνας καὶ βασιλεῖς ἀχθήσονται, καὶ Ματθ. ι. ιη. ὅτι Ἐν ταῖς συναγωγαῖς αὐτῶν μαστιγώσουσιν αὐτοὺς, καὶ τὰ ἀνήκεστα πείσονται, καὶ ὅτι περιέσονται Ματθ. κδ. ιδ. πάντων, καὶ ὅτι τὸ εὐαγγέλιον κηρυχθήσεται ἐν ὅλῳ τῷ κόσμῳ, ταῦτα πάντα μετὰ ἀκριβείας ἁπάσης ἐκβεβηκότα ἐν τῷ βιβλίῳ τούτῳ ἐστὶν ἰδεῖν, καὶ πλείονα τούτων ἕτερα, ἅπερ εἰρήκει αὐτοῖς συνών. ὄψει δὲ καὶ αὐτοὺς τοὺς ἀποστόλους ἐνταῦθα, καθάπερ πτηνοὺς, διατρέχοντας γῆν καὶ θάλατταν, καὶ τοὺς δειλοὺς ἐκείνους καὶ ἀσυνέτους ἀθρόοι ἄλλους ἀντ' ἄλλων γενομένους, καὶ χρημάτων ὑπερόπτας, καὶ δόξης, καὶ θυμοῦ, καὶ ἐπιθυμίας, καὶ πάντων ἁπλῶς ἀνωτέρους γεγονότας, καὶ πολλὴν τὴν ὁμόνοιαν ἔχοντας, καὶ οὐδαμοῦ οὐδεμίαν βασκανίαν, ὡς ἔμπροσθεν, οὐδὲ τὸν περὶ πρωτείων ἔρωτα· ἀλλὰ πάσαν ἀπηκριβωμένην ἐν αὐτοῖς τὴν ἀρετὴν καὶ τὴν ἀγάπην μεθ' ὑπερβολῆς διαλάμπουσαν, ὑπὲρ ἧς καὶ πολλὰ

παρήγγειλεν

χ. ἀναγκαίως εἰς ταύτην ἐμαυτὸν ἐκέρασα δοῦναι τῇ
χ. διδάξαι
χ. ἐλάττονα τῶν
χ. τοιαύτης
χ. ἀπ'
χ. ἐγγιν.
χ. τὰ πάντα
χ. τοῖς μαθηταῖς
χ. πολλὴν ἐν αὐτοῖς τὴν ὁμόνοιαν, καὶ

Digitized by Google

Digitized by Google

στεγνῷ, καὶ ἐξέπεσεν ἀποτιναχθέν. διὰ τοῦτο τοίνυν πολλῆς ἡμῖν δεῖ τῆς τάσεως. καὶ γὰρ καὶ ἡμεῖς θάλατταν πλέομεν μεγάλην καὶ εὐρύχωρον, πολλῶν μὲν θηρίων γέμουσαν, πολλῶν δὲ σκοπέλων, πολλοὺς δὲ ἡμῖν χειμῶνας τίκτουσαν, καὶ διὰ αἰθρίας μέσης χαλεπωτάτην ζάλην ἐπεγείρουσαν. δεῖ τοίνυν, εἴγε βουλοίμεθα μετ' εὐκολίας πλεῖν καὶ ἀκινδύνως, τείνειν τὰ ἱστία, τουτέστι, τὴν προαίρεσιν τὴν ἡμετέραν. ἀρκεῖ γὰρ ἡμῖν τοῦτο. ἐπεὶ καὶ ὁ Ἀβραάμ, ἐπειδὴ τὸν πόθον ἔτεινε πρὸς τὸν Θεόν, καὶ τὴν προαίρεσιν παρέσχεν ἀπηρτισμένην, τίνος ἑτέρου ἐδεήθη; οὐδενός. Ἀλλ' ἐπίστευσε τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. ἡ δὲ πίστις, Γεν. ιε. ς.
προαιρέσεως γνησίας ἐστίν. ἀνήνεγκε τὸν υἱόν· καὶ μὴ σφάξας, τὴν τοῦ σφάξαντος ἀμοιβὴν ἐδέξατο, καὶ τοῦ ἔργου μὴ γενομένου ὁ μισθὸς ἐδόθη. ἔστω τοίνυν ἡμῖν καθαρὰ καὶ καινὰ τὰ ἱστία, μὴ πεπαλαιωμένα (πᾶν γὰρ τὸ παλαιούμενον καὶ γηράσκον ἐγγὺς ἀφανισμοῦ) μὴ Εβρ. η. ιγ.
ἐκπεπτημένα, ὥστε δέχεσθαι τοῦ πνεύματος τὴν ἐνέργειαν. ψυχικὸς γὰρ ἄνθρωπος, φησίν, οὐ δέχεται τὰ τοῦ πνεύματος. ὥσπερ γὰρ τὰ τῶν ἀραχνῶν ὑφάσματα πνεύματος ῥύμην οὐκ ἂν δέξαιτο· οὕτως οὐδὲ ψυχὴ βιωτική, οὐδὲ ἄνθρωπος ψυχικὸς πνεύματος χάριν δέξασθαι δυνήσεταί ποτε. ἐκείνων γὰρ οὐδὲν διεστήκασιν ἡμῶν οἱ λογισμοί, ἐπειδὴ μὲν μόνον ἀκολουθίαν σώζοντες, δυνάμεως δὲ ἀπεστερημένοι πάσης. ἀλλ' οὐ τὰ ἡμέτερα τοιαῦτα, ἐὰν νήφωμεν· ἀλλ' ὅπερ ἂν ἐμπέσῃ, πάντα στέγει, καὶ πάντων ἐστὶν ἀνώτερα, πάσης ἴλιγγος ἰσχυρότερα. ἔστω γάρ τις πνευματικὸς ἀνήρ, καὶ μυρία αὐτῷ συμπιπτέτω δεινά· [ἀλλ'] οὐδενὶ τούτων ἁλίσκεται. [καὶ] τί λέγω; ἐπαγέσθω πενία, νόσος, ὕβρεις, λοιδορίαι, σκώμματα, πληγαί, πᾶν εἶδος κολάσεως, πᾶν εἶδος χλευασίας, καὶ ὀνειδισμῶν, καὶ ὕβρεων· ἀλλ' ὥσπερ ἐκτὸς ὢν τῆς οἰκουμένης, καὶ τῶν τοῦ σώματος ἀπηλλαγμένος παθῶν, οὕτως ἁπάντων καταγελάσεται. καὶ ὅτι οὐ κόμπος τὰ ῥήματα, πολλοὺς μὲν οἶμαι εἶναι καὶ νῦν· οἷον, τῶν τὰς ἐρημίας κατειληφότων. ἀλλ' οὐδὲν θαυμαστόν, φησίν. ἐγὼ δὲ λέγω, καὶ τῶν ἐν ταῖς πόλεσιν ἀνυπονοήτους ἄνδρας εἶναι τοιούτους. εἰ δὲ βούλει, καὶ τῶν πάλαι τινὰς ἐπιδεῖξαι δυνήσομαι. καὶ ἵνα μάθῃς, ἐννόει μοι τὸν Παῦλον· τί μὲν οὐκ ἔπαθε δεινόν, τί δὲ οὐχ ὑπέστη; ἀλλὰ πάντα ἔφερε γενναίως. τοῦτον δὴ μιμησώμεθα καὶ ἡμεῖς· οὕτω γὰρ δυνησόμεθα καὶ ἐνώπιον τοῦ Θεοῦ εὐαρεστῆσαι, καὶ πρὸς τοὺς λιμένας καταντῆσαι τοὺς εὐδίους μετὰ πολλῆς τῆς ἐμπορείας. τείνωμεν τοίνυν τὴν διάνοιαν ἡμῶν πρὸς τὸν οὐρανόν, τῷ πόθῳ καταχεθῶμεν ἐκείνῳ, τῷ πυρὶ περιβάλωμεν ἑαυτοὺς τῷ πνευματικῷ, τῇ φλογὶ διαζώσωμεν ἑαυτούς. οὐδεὶς φλόγα ἐπιφερόμενος δέδοικε τοὺς ἀπαντῶντας. κἂν θηρίον ᾖ, κἂν ἄνθρωπος, κἂν μυρίαι παγίδες, ἕως πεπυρωμένος ᾖ, πάντα ὑπεξίσταται, πάντα παραχωρεῖ. ἀνύποιστος ἡ φλόξ, ἀφόρητος ἡ πυρά, πάντα καταναλίσκει. τοῦτο τὸ πῦρ περιβαλώμεθα ἑαυτούς, καὶ δόξαν ἀναπέμψωμεν τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ· μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(***)

γ. στεγνῶς
γ. ὑγιῆ
γ. ἐκπεπτωκ.
γ. ἀραχνίων
γ. καὶ τῶν
γ. πληγῶν
γ. μὴ ἔχων δεῖξαι καὶ νῦν·
γ. θεραπείας.
γ. διασώζωμεν
γ. ἀπαντῶντας.
γ. ᾖ
γ. δόξαν ἀναπέμψαντες τῷ

Ψαλμ. ιζ. κδ. λέγει, Καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου ἐνώπιον τῶν ὀφθαλμῶν αὐτοῦ. τοσαῦτα δὲ γράψας, ὀλίγα αὐτά φησιν εἶναι, σύγκρισιν ποιῶν πρὸς ἃ ἔμελλε λέγειν. καθὰ καὶ ἀλλαχοῦ φησι, Καθὼς προέγραψα ὑμῖν ἐν ὀλίγῳ· πρὸς ὃ δύνασθε ἀναγινώσκοντες νοῆσαι τὴν (Εφ. γ. γ.) σύνεσίν μου ἐν τῷ μυστηρίῳ τοῦ Χριστοῦ. καὶ ὅρα αὐτοῦ τὴν σοφίαν. οὐ λέγει, παρακαλῶ ὑμᾶς, ἀνέχεσθε τοῦ λόγου τῆς παραινέσεως, ἀλλὰ τοῦ λόγου τῆς παρακλήσεως· τουτέστι, τῆς παραμυθίας, τῆς προτροπῆς. οὐκ ἔχει τις, φησί, πρὸς τὸ μῆκος ἀπαγορεῦσαι τῶν λεχθέντων. τί οὖν; καὶ τοῦτο ἦν ὃ ἐποίει αὐτοὺς ἀποστρέφεσθαι; οὐδαμῶς. ἀλλ' οὐ βούλεται αὐτοῖς ἐνδείξασθαι, καὶ εἰπεῖν ὅτι ὀλιγοψυχεῖτε. τῶν γὰρ τοιούτων ἴδιον τὸ μὴ ἀνέχεσθαι λόγου μακροῦ. γινώσκετε τὸν ἀδελφὸν Τιμόθεον ἀπολελυμένον, μεθ' οὗ (ἐὰν τάχιον ἔρχηται) ὄψομαι ὑμᾶς. τοῦτο ἱκανὸν αὐτοὺς πεῖσαι καθυφεῖναι, εἰ ἕτοιμός ἐστιν ἐλθεῖν μετὰ τοῦ μαθητοῦ. ἀσπάσασθε πάντας τοὺς ἡγουμένους ὑμῶν, καὶ πάντας τοὺς ἁγίους. ὅρα πῶς αὐτοὺς ἐτίμησεν, εἴγε ἐκείνοις ἐπέστειλεν ἀντ' ἐκείνων. ἀσπάζονται ὑμᾶς οἱ ἐκ τῆς Ἰταλίας. ἡ χάρις μετὰ πάντων ὑμῶν. Ἀμήν. ὅπερ ἦν κοινὸν ἁπάντων, τοῦτο ὕστερον εἶπεν. ἡ χάρις δὲ πῶς ἔσται μεθ' ἡμῶν; ἂν μὴ ὑβρίσωμεν εἰς τὴν εὐεργεσίαν, ἂν μὴ ῥᾴθυμοι γινώμεθα περὶ τὴν δωρεάν. καὶ τί ἐστιν ἡ χάρις, φησίν; ἡ ἄφεσις τῶν ἁμαρτιῶν, ἡ κάθαρσις. αὕτη γὰρ μεθ' ἡμῶν ἐστι. (γρ. ἔστιν. ἐπεὶ λέγει τοῦτο ἔστιν ἀλλ' ὑβριστικῶς δύναται) τίς γάρ, φησιν, ὑβριστικῶς δύναται φυλάξαι τὴν χάριν, καὶ οὐκ ἀπόλλυσιν αὐτήν; οἷον, ἐχαρίσατό σοι τὰ ἁμαρτήματα. πῶς οὖν ἔσται μετὰ σοῦ ἡ χάρις (τουτέστιν, ἡ εὐδοκίμησις, ἢ ἡ τοῦ πνεύματος ἐνέργεια) ἂν μὴ διὰ τῶν ἀγαθῶν πράξεων αὐτὴν ἐπισπάσῃ; τοῦτο γὰρ πάντων αἴτιον τῶν ἀγαθῶν, τὸ παραμένειν ἡμῖν ἀεὶ τὴν χάριν τοῦ πνεύματος. αὕτη [γὰρ] πρὸς ἅπαντα ἡμᾶς ὁδηγεῖ· ὥσπερ οὖν ὅταν ἀποστῇ ἡμῶν, ἀπόλλυσιν ἡμᾶς, καὶ ἐρήμους ποιεῖ.

ΗΘΙΚΟΝ

Μὴ δὴ αὐτὴν ἀποκρουσώμεθα. ἐν ἡμῖν γάρ ἐστι καὶ μένειν αὐτήν, καὶ ἀπελθεῖν. τὸ μὲν γάρ, ὅταν τὰ οὐράνια λογιζώμεθα, γίνεται· τὸ δέ, ὅταν τὰ βιωτικά. (Ιωαν. ιδ. ιζ.) Ὃν ὁ κόσμος, φησίν, οὐ δύναται λαβεῖν, ὅτι οὐ θεωρεῖ αὐτό, οὐδὲ γινώσκει αὐτό. κόσμον τὸν πονηρὸν καὶ αἰσχρὸν βίον καλεῖ. ὁρᾷς ὅτι οὐκ ἔστι κοσμικῆς ψυχῆς τὸ ἔχειν αὐτό; πολλῆς τοίνυν ἡμῖν δεῖ τῆς σπουδῆς, ὥστε αὐτὸ καταμεῖναι παρ' ἡμῖν, ὥστε πάντα τὰ ἡμέτερα οἰκονομεῖν, καὶ ἐν ἀσφαλείᾳ ποιεῖν, καὶ ἐν εἰρήνῃ πολλῇ. ὥσπερ γὰρ τὴν ἐξ οὐρίων πλέουσαν ναῦν οὐκ ἔστιν οὔτε ἐμποδισθῆναι, οὔτε βαπτισθῆναι, ἕως ἂν ἀπολαύῃ δεξιοῦ τοῦ πνεύματος καὶ διηνεκοῦς, ἀλλὰ [καὶ] πολλήν, μετὰ τὴν κάθοδον, ἐπιδόσεως δόξαν παρέχεται τοῖς τε ναύταις, τοῖς τε ἐπιβάταις, τοὺς μὲν διαναπαύουσα, (γρ. ἱμονιᾶ) καὶ οὐκ ἐῶσα ταῖς κώπαις προσταλαιπωρεῖν, τοὺς δὲ πάντως ἀπαλλάττουσα δέους, καὶ θέαμα ἥδιστον τὸν αὐτῆς παρεχομένη δρόμον· οὕτω καὶ ψυχὴ τῷ θείῳ ὀχυρωμένη πνεύματι, πάντων μέν ἐστιν ἀνωτέρα τῶν τρικυμιῶν τῶν βιωτικῶν, τὴν δὲ ἐπὶ τὸν οὐρανὸν φέρουσαν ὁδὸν σφοδρότερον ἐκείνης τέμνει τῆς νεώς, ἅτε οὐχ ὑπ' ἀνέμων παραπεμπομένη, (γρ. τὴν) ἀλλ' ὑπ' αὐτοῦ τοῦ παρακλήτου πεπληρωμένα ἔχουσα τὰ ἱστία πάντα, καὶ καθαρὰ καὶ πᾶν χαῦνον καὶ διαλελυμένον ἐκβάλλει ἐκ τῆς διανοίας τῆς ἡμετέρας. ὥσπερ γὰρ εἰς χαῦνον ἱστίον ἐμπίπτων ὁ ἄνεμος οὐκ ἂν ἐνεργήσειεν· οὕτως οὐδὲ τὸ πνεῦμα εἰς χαύνην ψυχὴν παραμένειν ἀνέχεται, ἀλλὰ δεῖ πολλῆς τῆς τάσεως, τῆς σφοδρότητος. ὥστε πεπυρωμένην ἡμῖν εἶναι χρὴ τὴν διάνοιαν, καὶ πανταχοῦ τετάσθαι ἡμῶν τὰ ἔργα, καὶ τετονῶσθαι. οἷον, ὅταν εὐχώμεθα, μετὰ πολλῆς τοῦτο τῆς τάσεως δεῖ ποιεῖν, ἀποτείνοντας πρὸς τὸν οὐρανὸν τὴν ψυχήν, (γρ. εἰς) οὐ σχοινίοις, ἀλλὰ προθυμίᾳ σφοδρᾷ. ὅταν ἐλεῶμεν πάλιν, τάσεως ἡμῖν δεῖ, μήποτε φροντὶς οἰκίας, καὶ προστασία παίδων, καὶ γυναικὸς ἐπιμέλεια, καὶ δέος πενίας ἐπεισελθόν, χαυνώσῃ τὸ ἱστίον. ἂν γάρ τῇ τῶν μελλόντων ἐλπίδι τείνωμεν αὐτὸ πάντοθεν, καλῶς δέχεται (γρ. δέξεται) τοῦ πνεύματος τὴν ἐνέργειαν· ἐκείνων δὲ τῶν ἐπικήρων καὶ ταλαιπώρων οὐδὲν εἰς αὐτὴν ἐμπίπτει, ἀλλὰ κἂν ἐμπίσῃ, αὐτὴν μὲν οὐδὲν βλάψει, ἀποκρουσθήσεται δὲ ταχέως τῷ

στερεῷ,

Digitized by Google

κειμένους, καὶ οὐκ ἀνεχομένους οὐδὲ τὸ ὄνομα αὐτοῦ ἀκοῦσαι; ἐπεὶ οὖν παρὰ τῶν μισούντων αὐτοὺς ταῦτα ἀπῄτει, ἅπερ [ἂν] παρὰ τῶν φιλούντων τις λοιπὸν πάντως, τούτου ἕνεκεν ἐνταῦθα τίθησι τοῦτο, λέγων, πεποίθαμεν ὅτι καλὴν συνείδησιν ἔχομεν. μὴ γάρ μοι τὰς κατηγορίας εἴπῃς. τὸ συνειδὸς ἡμῶν, φησιν, οὐδὲν ἡμῶν καταγινώσκει· οὐδὲ σύνισμεν ἑαυτοῖς ὅτι ἐπεβουλεύσαμεν ὑμῖν. πεποίθαμεν γάρ, φησιν, ὅτι καλὴν συνείδησιν ἔχομεν ἐν πᾶσι. ἄρα οὐκ ἐν ἐθνικοῖς μόνον, ἀλλὰ καὶ ἐν ὑμῖν· οὐδὲν μετὰ καπηλείας, οὐδὲν μετὰ ὑποκρίσεως πεποιήκαμεν. Εἰκὸς γὰρ ἦν αὐτοὺς ταῦτα διαβάλλεσθαι. καὶ ὅτι διεβέβλητο, ἄκουε Ἰακώβου λέγοντος, Κατηχήθησαν γὰρ περὶ σοῦ, ὅτι ἀποστασίαν διδάσκεις. οὐχ ὡς ἐχθρός, φησιν, οὐδ᾽ ὡς πολέμιος ταῦτα γράφω, ἀλλ᾽ ὡς φίλος. καὶ τοῦτο καὶ ἐκ τοῦ ἑξῆς δηλοῖ.

γρ. ἡμᾶς καταλείπει· ἐπεὶ

Πραξ. κα. κα.

19 Περισσοτέρως δὲ παρακαλῶ τοῦτο ποιῆσαι, ἵνα τάχιον ἀποκατασταθῶ ὑμῖν.

Τοῦτο σφόδρα φιλοῦντος ἦν αὐτούς, τὸ οὕτως ἀξιοῦν εὔξασθαι. μὴ ἁπλῶς, φησιν, ἀλλὰ μετὰ πάσης σπουδῆς· ὥστε με ταχέως ἐλθεῖν πρὸς ὑμᾶς. τοῦτο μηδὲν ἑαυτῷ συνειδότος ἐστί, τὸ σπουδάζειν ἐλθεῖν πρὸς αὐτούς, καὶ παρακαλεῖν αὐτοὺς εὔχεσθαι ὑπὲρ αὐτοῦ. τούτου ἕνεκεν πρότερον περὶ αὐτῶν αἰτήσας τὰς εὐχάς, τότε καὶ αὐτὸς αὐτοῖς ἐπεύχεται πάντα τὰ ἀγαθά.

γρ. ἐπεύχεται

20 Ὁ δὲ Θεὸς τῆς εἰρήνης, φησί. Τοῦτο εἶπε διὰ τὸ στασιάζειν αὐτούς. Εἰ τοίνυν ὁ Θεός, εἰρήνης Θεός ἐστι· μὴ διαστασιάζετε πρὸς ἡμᾶς.

Ὁ ἀναγαγὼν ἐκ τῆς γῆς τὸν ποιμένα τῶν προβάτων. Περὶ τῆς ἀναστάσεως τοῦτο εἴρηται. Τὸν μέγαν. Ἄλλη προσθήκη. ἐνταῦθα πάλιν * μέχρι τέλους τὸν περὶ τῆς ἀναστάσεως αὐτοῖς λόγον διαβεβαιοῦται. Ἐν αἵματι διαθήκης αἰωνίου, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν,

γρ. Ἀλλ᾽ ἡ προσθή-
* ἔτι πλέον

21 Καταρτίσαι ὑμᾶς ἐν παντὶ ἔργῳ ἀγαθῷ, εἰς τὸ ποιῆσαι τὸ θέλημα αὐτοῦ, ποιῶν ἐν ὑμῖν τὸ εὐάρεστον ἐνώπιον αὐτοῦ. Πάλιν μαρτυρεῖ αὐτοῖς μεγάλα. τὸ γὰρ καταρτιζόμενόν ἐστι τὸ ἀρχὴν ἔχον, * εἶτα πληρούμενον. καὶ ἐπεύχεται αὐτοῖς, ὅπερ ἐστὶ ποθοῦντος. καὶ ὅρα, ἐν μὲν ταῖς ἄλλαις ἐπιστολαῖς, ἐν τοῖς προοιμίοις εὔχεται· ἐνταῦθα δὲ ἐν τῷ τέλει.

γρ. καταρτίζεσθαι
* πίστεως

Ποιῶν, φησιν, ἐν ὑμῖν τὸ εὐάρεστον ἐνώπιον αὐτοῦ, διὰ Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

22 Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, ἀνέχεσθε τοῦ λόγου τῆς παρακλήσεως. καὶ γὰρ διὰ βραχέων ἐπέστειλα ὑμῖν. Ὁρᾷς ὅτι ὃ μηδενὶ ἐπέστειλε, τοῦτο τούτοις ἐπιστέλλει; καὶ γὰρ διὰ βραχέων, φησίν, ἐπέστειλα· τουτέστιν, οὐδὲ ἐνοχλῶ ὑμᾶς τῇ μακρολογίᾳ. οἶμαι αὐτοὺς οὐ πάνυ πρὸς τὸν Τιμόθεον ἔχειν ἀπεχθῶς, ὅθεν καὶ αὐτὸν προσεστήσατο.

γρ. ὑμῖν, φησι, τῇ

23 Γινώσκετε γάρ, φησι, τὸν ἀδελφὸν Τιμόθεον ἀπολελυμένον, μεθ᾽ οὗ (ἐὰν τάχιον ἔρχηται) ὄψομαι ὑμᾶς. Ἀπολελυμένον, φησί, πόθεν; * οἶμαι αὐτὸν εἰς δεσμωτήριον ἐμβεβλῆσθαι· ἢ εἰ μὴ τοῦτο, ἀπὸ Ἀθηνῶν ἀπολελυμένον. καὶ γὰρ καὶ τοῦτο ἐν ταῖς Πράξεσι κεῖται.

* λέγει

24 Ἀσπάσασθε πάντας τοὺς ἡγουμένους ὑμῶν, καὶ πάντας τοὺς ἁγίους. ἀσπάζονται ὑμᾶς οἱ ἀπὸ τῆς Ἰταλίας.

25 Ἡ χάρις μετὰ πάντων ὑμῶν. Ἀμήν. Ὁρᾷς πῶς διέκρινε τὴν ἀρετὴν ὅτι ἐκ τοῦ Θεοῦ τὸ ὅλον, οὔτε ἐξ ἡμῶν μόνον κατορθουμένην; πῶς γὰρ εἰπών, καταρτίσαι ὑμᾶς ἐν παντὶ ἔργῳ ἀγαθῷ, καὶ τὰ ἑξῆς, τοῦτο δηλοῖ, ὡσεὶ ἔλεγεν, ἔχετε μὲν ἀρετήν, δεῖσθε δὲ πληρώσεως. Εἰπὼν δὲ ἔργῳ καὶ λόγῳ ἀγαθῷ, ἔδειξεν ὅτι καὶ βίον ὀρθὸν ἔχειν δεῖ, καὶ δόγματα. καλῶς δὲ προσέθηκε τό, ποιῶν ἐν ὑμῖν τὸ εὐάρεστον ἐνώπιον αὐτοῦ. [ἐνώπιον αὐτοῦ, φησίν.] αὕτη γὰρ ἡ μεγίστη ἀρετή, ποιεῖν ἐνώπιον τοῦ Θεοῦ τὸ εὐάρεστον· καθὰ καὶ ὁ προφήτης

γρ. κατορθουμένην; ὥσπερ γὰρ εἰπών,
γρ. ἔχειν, καὶ δόγματα κτλ.
τὸ θέλημα αὐτοῦ.

ποιεῖτε. ἔχουσι, φησὶ, τὸ ἀξίωμα, ἀλλὰ βίον εἰσὶν ἀκάθαρτοι. ἀλλὰ μὴ τῷ βίῳ, ἀλλὰ τοῖς λόγοις προσέχετε. τὸν μὲν γὰρ ἠθῶν ἕνεκεν οὐδεὶς ἂν βλαβείη. τί δήποτε; ὅτι καὶ δῆλα πᾶσίν ἐστι, καὶ οὐδὲ αὐτὸς, κἂν μυριάκις ᾖ πονηρὸς, πονηρὰ διδάξει ποτέ. πίστεως δὲ ἕνεκεν, οὔτε δῆλόν ἐστιν ἅπασιν, ὅ τε πονηρὸς οὐ παραιτήσεται διδάσκειν. ἐπεὶ καὶ τὸ, Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε, περὶ βίου ἐστὶν, οὐ περὶ πίστεως. τὸ γοῦν ἐπαγόμενον, τοῦτο δηλοῖ. Τί γὰρ βλέπεις, φησὶ, τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ δοκὸν τὴν ἐν τῷ σῷ ὀφθαλμῷ οὐ κατανοεῖς; πάντα οὖν ὅσα ἂν λέγωσιν ὑμῖν, φησὶ, ποιεῖν, ποιεῖτε (τὸ δὲ ποιεῖν, ἔργων ἐστὶν, οὐ πίστεως) κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε. ὁρᾷς ὅτι οὐ περὶ δογμάτων ἐστὶν ὁ λόγος, ἀλλὰ περὶ βίου, καὶ ἔργων; ἀλλ᾽ ὁ Παῦλος πρότερον συνέστησεν αὐτοὺς, καὶ τότε φησὶ, πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν, καὶ ὑπείκετε. αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες. ἀκουέτωσαν καὶ οἱ ἄρχοντες, μὴ μόνοι οἱ ἀρχόμενοι, ὅτι ὥσπερ πειθηνίους εἶναι δεῖ τοὺς ἀρχομένους, οὕτω καὶ τοὺς ἄρχοντας ἀγρύπνους εἶναι καὶ νηφαλίους. τί λέγεις; ἀγρυπνεῖ, κινδύνους ἔχει κατὰ τῆς αὐτοῦ κεφαλῆς, ὑπόκειται ταῖς τιμωρίαις τῶν σῶν ἁμαρτημάτων, καὶ διὰ σὲ τοσούτῳ ἐστὶν ὑποκείμενος φόβῳ, καὶ σὺ ῥᾳθυμεῖς, καὶ ἀκκίζῃ, καὶ βλακεύεις; εἶτα, καὶ οὐ βούλει πείθεσθαι; διὰ τοῦτο προστίθησι λέγων, ἵνα μετὰ χαρᾶς τοῦτο ποιῶσι, καὶ μὴ στενάζοντες. ἀλυσιτελὲς γὰρ ὑμῖν τοῦτο. ὁρᾷς ὅτι τὸν ἄρχοντα καταφρονούμενον οὐκ ἀμύνεσθαι χρή; ἀλλ᾽ ἡ πολλὴ ἄμυνα τὸ κλαῦσαι καὶ στενάξαι ἐστί; εἰκότως. ἐπεὶ καὶ ἰατρὸν καταφρονούμενον ὑπὸ τοῦ κάμνοντος, οὐκ ἔτι ἀμύνασθαι, ἀλλὰ δακρῦσαι καὶ οἰμῶξαι. ὥστε ἐὰν στενάξῃ ὁ ἄρχων, ἀμύνεταί σε ὁ Θεός. εἰ γὰρ ὑπὲρ τῶν οἰκείων ἁμαρτημάτων στενάζοντες ἐπισπώμεθα τὸν Θεὸν, ὑπὲρ τῆς τῶν ἄλλων ἀπονοίας καὶ καταφρονήσεως στενάζοντες, οὐ πολλῷ μᾶλλον; ὁρᾷς ὅτι οὐκ ἀφίησιν αὐτοὺς εἰς ὕβρεις ἐξάγεσθαι; ὁρᾷς ὅση ἡ φιλοσοφία; στενάζειν δεῖ τὸν καταφρονούμενον, τὸν καταπατούμενον, τὸν διαπτυόμενον. μὴ θαρρήσῃς ὅτι σε οὐκ ἀμύνεται. ὁ γὰρ στεναγμὸς, πάσης ἀμύνης χείρων. ὅταν γὰρ αὐτὸς μηδὲν ἀνύσῃ, στενάζων καλεῖ τὸν δεσπότην. καὶ καθάπερ ἐπὶ διδασκάλου καὶ τροφέως, ὅταν ἐκείνου μὴ ἀκούῃ τὸ παιδίον, καλεῖται ὁ αὐστηρότερον προσφερόμενος· οὕτω καὶ ἐνταῦθα. βαβαὶ, πόσος ὁ κίνδυνος; τί ἄν τις εἴποι πρὸς τοὺς ἀθλίους, τοὺς ἐπιρρίπτοντας ἑαυτοὺς τοσαύτῃ τιμωριῶν ἀβύσσῳ; πάντων ὧν ἄρχεις γυναικῶν καὶ ἀνδρῶν καὶ παίδων σὺ λόγον δίδως. τοσούτῳ πυρὶ τὴν κεφαλὴν ὑποτίθης. θαυμάζω εἴ τινά ἐστι τῶν ἀρχόντων σωθῆναι, ποτὲ πρὸς τῇ τοιαύτῃ ἀπειλῇ καὶ τῇ παρούσῃ ῥᾳθυμίᾳ, ὁρῶν ἔτι [καὶ] ἐπιτρέχοντάς [τινας,] καὶ ἐπιρρίπτοντας ἑαυτοὺς τῷ τοσούτῳ ὄγκῳ τῆς ἀρχῆς. εἰ γὰρ οἱ ἀνάγκῃ ἑλκόμενοι οὐδεμίαν ἔχουσι συγγνώμην, οὐδὲ ἀπολογίαν, κακῶς τὸ πρᾶγμα οἰκονομοῦντες, καὶ ἀμελοῦντες (ἐπεὶ καὶ Ἀαρὼν ἀνάγκῃ εἱλκύσθη, καὶ ἐκινδύνευσε, καὶ Μωϋσῆς πάλιν ἐκινδύνευσε, καίτοι πολλάκις παραιτησάμενος· καὶ Σαοὺλ ἑτέραν ἐμπιστευθεὶς ἀρχὴν, μετὰ τὸ παραιτήσασθαι ἐκινδύνευσεν, ἐπειδὴ κακῶς αὐτὴν ᾠκονόμησε) πόσῳ μᾶλλον οἱ σπουδὴν ταύτην τιθέμενοι, καὶ ἐπιρρίπτοντες ἑαυτούς; ὁ γὰρ τοιοῦτος, πολλῷ πλέον ἑαυτὸν ἀποστερεῖ πάσης συγγνώμης. δεδοικέναι γὰρ χρὴ καὶ τρέμειν, καὶ διὰ τὸ συνειδὸς, καὶ διὰ τὸν ὄγκον τῆς ἀρχῆς, καὶ οὔτε ἑλκομένους ἅπαξ παραιτεῖσθαι, οὔτε μὴ ἑλκομένους ἐπιρρίπτειν ἑαυτούς· ἀλλὰ καὶ φεύγειν μὲν προορῶντας τοῦ ἀξιώματος τὸ μέγεθος, καταληφθέντας δὲ, πάλιν τὴν εὐλάβειαν ἐπιδείκνυσθαι χρή. μηδὲν ἀμελὲς ἔστω, πάντα κατὰ τάξιν γινέσθω. πρὸ τοῦ χειροτονηθῆναι παραιτούμενος, ἀναχώρει, πεισθεὶς σαυτὸν ἀνάξιον εἶναι τοῦ πράγματος. συλληφθεὶς πάλιν, ὁμοίως εὐλαβὴς ἔσο, πανταχοῦ τὴν εὐγνωμοσύνην ἐπιδεικνύμενος.

18 Προσεύχεσθε, [φησὶ, καὶ] περὶ ὑμῶν. πεποίθαμεν γὰρ ὅτι καλὴν συνείδησιν ἔχομεν ἐν πᾶσι, καλῶς θέλοντες ἀναστρέφεσθαι. Ὁρᾷς ὅτι ταῦτα ἀπολελόγηται, ὡς πρὸς λελυπημένους πρὸς αὐτὸν, γράφων, ὡς πρὸς ἀποστρεφομένους, ὡς πρὸς παραβάτην διακειμένους,

Margin: Ματθ. ζ. α.

Margin: γ. πῶς · γ. ἄλλων δὲ καὶ ὁ · γ. -ξαι ποιεῖ; ἐπεὶ · γ. ἀλλὰ καὶ κλαῦσαι καὶ στενάξαι. ἂν δὲ στενάξῃ, μὴ ἐκεῖνον, ἀμύνεταί σε ὁ Θεός. · γ. φιλοσοφία; · γ. καταπτυόμενον, · γ. καταπεσεῖν καὶ ἀπολ. · γ. τοῦτο · γ. ἐνστάντας · γ. μηδὲν ἀμελὲς ἔστω περὶ · γ. πείσθητι · γ. αὐτοὺς

μίας, εἰς τὸν βίον παρέλθῃς. ἐννόησον πόσα πολλάκις ἀπὸ χρημάτων κακὰ γέγονε· μᾶλλον δὲ ἄκουε τί φησιν ὁ Χριστός· Εὐκοπώτερον [γάρ, φησι,] κάμηλον εἰσελθεῖν διὰ τρυπήματος ῥαφίδος, ἢ πλούσιον εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. (Μαρκ. ι. κε.) ὁρᾷς πόσων ἀγαθῶν ἐμποδίζει ὁ πλοῦτος γίνεται; καὶ σὺ πλουτῆσαι ζητεῖς, καὶ οὐ χαίρεις ἐν πενίᾳ ὤν, ὅτι τὸ κώλυμα ἀνατέτραπται; (γρ. τοῦ; καὶ χαίρεις ὅτι) οὕτω στενή ἐστιν ἡ ὁδὸς ἡ εἰσάγουσα εἰς τὴν βασιλείαν· οὕτω πλατὺς ὁ πλοῦτος, καὶ ὄγκου γέμων καὶ φυσήματος. διὰ τοῦτό φησι, πώλησόν σου τὰ ὑπάρχοντα, ἵνα σε δέξηται ἡ ὁδὸς ἐκείνη. (γρ. σου) τί ποθεῖς τὰ χρήματα; διὰ τοῦτο σε ἀφείλετο, ἵνα σε ἀπαλλάξῃ δουλείας. ἐπεὶ καὶ οἱ πατέρες οἱ γνήσιοι, ἐπειδὰν ὁ παῖς τύχῃ προσεφθαρμένος ἑταίρᾳ τινί, καὶ πολλὰ παραινέσαντες μὴ πείθωσιν αὐτῆς ἀποστῆναι, τὴν ἑταίραν ἐξορίζουσι· τοιαύτη ἐστὶ καὶ ἡ εὐπορία τῶν χρημάτων. κηδόμενος τοίνυν [καὶ] ἡμῶν ὁ δεσπότης, καὶ ἀπαλλάττων ἡμᾶς τῆς ἐντεῦθεν βλάβης, ἀφαιρεῖται ἡμῶν τὰ χρήματα. μὴ τοίνυν νομίζωμεν πενίαν κακὸν εἶναι· ἁμαρτία κακὸν μόνον. οὐδὲ γὰρ ὁ πλοῦτος ἀγαθὸν καθ' ἑαυτόν· (γρ. ἑαυτό) τὸ Θεῷ εὐαρεστεῖν, ἀγαθὸν μόνον. τὴν πενίαν τοίνυν ζητῶμεν, ταύτην διώκωμεν· οὕτω τοῦ οὐρανοῦ ἐπιληψόμεθα, οὕτω τῶν ἐν οὐρανοῖς ἀγαθῶν ἐπιτευξόμεθα· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. λδ. 17 ΠΕΙΘΕΣΘΕ ΤΟΙΣ ΗΓΟΥΜΕΝΟΙΣ ΥΜΩΝ, καὶ ὑπείκετε. αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες· ἵνα μετὰ χαρᾶς τοῦτο ποιῶσι, καὶ μὴ στενάζοντες. ἀλυσιτελὲς γὰρ ὑμῖν τοῦτο.

Κακὸν μὲν ἡ ἀναρχία πανταχοῦ, καὶ πολλῶν ὑπόθεσις συμφορῶν, καὶ ἀρχὴ ἀταξίας καὶ συγχύσεως· μάλιστα δὲ ἐν ἐκκλησίᾳ τοσούτῳ ἐπισφαλεστέρα ἐστίν, ὅσῳ καὶ τὸ τῆς ἀρχῆς μεῖζον καὶ ὑψηλότερον. ὥσπερ γὰρ ἂν χοροῦ τὸν κορυφαῖον ἀνέλῃς, οὐχὶ κατὰ μέλος καὶ κατὰ τάξιν ὁ χορὸς ἔσται, καὶ φάλαγγος στρατοπέδου τὸν στρατηγὸν ἂν ἀποστήσῃς, οὐκ ἐν ῥυθμῷ καὶ τάξει τὰ τῆς παρατάξεως ἔσται, καὶ πλοίου τὸν κυβερνήτην ἐὰν περιέλῃς, καταδύσεις τὸ σκάφος· οὕτω καὶ ποιμνίου τὸν ποιμένα ἐὰν ἀποστήσῃς, πάντα ἀνέτρεψας καὶ ἠφάνισας. κακὸν μὲν οὖν ἡ ἀναρχία, καὶ ἀνατροπῆς ὑπόθεσις. κακὸν δὲ οὐχ ἧττον, καὶ ἡ ἀπείθεια τῶν ἀρχομένων. τὸ αὐτὸ γὰρ γίνεται πάλιν. λαὸς γὰρ ἄρχοντι μὴ πειθόμενος, ὅμοιός ἐστι τῷ μὴ ἔχοντι· τάχα δὲ καὶ χείρων. ἐκεῖ μὲν γὰρ καὶ συγγνώμην ἔχουσιν (γρ. κἂν) ὑπὲρ τῆς ἀταξίας· ἐνταῦθα δὲ οὐκέτι, ἀλλὰ καὶ κολάζονται. (γρ. τι ἀεί) ἀλλ' ἴσως ἐρεῖ τις ἡμῖν, ὅτι ἔστι καὶ τρίτον κακόν, ὅταν ὁ ἄρχων ᾖ κακός. οἶδα κἀγώ, καὶ οὐ μικρὸν τοῦτο κακόν, ἀλλὰ καὶ τῆς ἀναρχίας πολλῷ χεῖρον. κρεῖττον γὰρ ὑπὸ μηδενὸς ἄγεσθαι, ἢ ὑπὸ κακοῦ ἄγεσθαι. (γρ. ἄρχεσθαι) ὁ μὲν γὰρ πολλάκις μὲν ἐσώθη, πολλάκις δὲ ἐκινδύνευσεν· οὗτος δὲ πάντως κινδυνεύσει, εἰς βάραθρα ἀγόμενος. πῶς οὖν ὁ Παῦλός φησι, πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν, καὶ ὑπείκετε; ἀνωτέρω εἰπών, Ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς μιμεῖσθε τὴν πίστιν, (Ἑβρ. ιγ. ζ.) τότε εἶπε, πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν, καὶ ὑπείκετε. τί οὖν, φησιν, ὅταν πονηρὸς ᾖ, καὶ μὴ πειθώμεθα; πονηρός, πῶς λέγεις; εἰ μὲν πίστεως ἕνεκεν, φεῦγε αὐτὸν καὶ παραίτησαι, μὴ μόνον ἂν ἄνθρωπος ᾖ, ἀλλὰ κἂν ἄγγελος ἐξ οὐρανοῦ κατιών· εἰ δὲ βίου ἕνεκεν, μὴ περιεργάζου. καὶ τοῦτο οὐκ οἴκοθεν λέγω τὸ ὑπόδειγμα, ἀλλ' ἀπὸ τῆς θείας γραφῆς. ἄκουε γὰρ τοῦ Χριστοῦ λέγοντος, Ἐπὶ τῆς Μωϋσέως καθέδρας ἐκάθισαν οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι. (Ματθ. κγ. β.) πρότερον εἰπὼν δεινὰ πολλὰ περὶ αὐτῶν, τότε φησίν, ἐπὶ τῆς Μωϋσέως καθέδρας ἐκάθισαν. πάντα οὖν, ὅσα ἂν λέγωσιν ὑμῖν ποιεῖν, ποιεῖτε· κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ

ρον πρόβατα, μόσχους, καὶ ἐδίδοσαν τῷ ἱερεῖ. ἡμεῖς δὲ μηδὲν τούτων προσενέγκωμεν, ἀλλ' εὐχαριστίαν, καὶ τὴν ἐν πᾶσι, ὡς οἷόν τε, μίμησιν τοῦ Χριστοῦ. τοῦτο βλαστησάτω ἡμῶν τὰ χείλη. τῆς δὲ εὐποιίας καὶ κοινωνίας μὴ ἐπιλανθάνεσθε. τοιαύταις γὰρ θυσίαις εὐαρεστεῖται ὁ Θεός. δῶμεν, φησί, τοιαύτην αὐτῷ θυσίαν, ἵνα ἀνενέγκῃ τῷ πατρί. ἄλλως γὰρ οὐκ ἀναφέρεται, εἰ μὴ διὰ τοῦ υἱοῦ· μᾶλλον δὲ καὶ διὰ • καρδίας * συντετριμμένης. [χ. διανοίας • εἰ μὴ] πάντα ταῦτα οὕτως εἶπε διὰ τὸ ἀσθενέστερον διακειμένους εἶναι τοὺς ἀκροατάς. ἐπεὶ ὅτι τοῦ υἱοῦ ἐστιν ἡ χάρις, δῆλον. ἐπεὶ πῶς ἐστι τιμὴ ἴση; Ἵνα πάντες, φησί, τιμῶσι τὸν υἱόν, καθὼς τιμῶσι τὸν πατέρα. [Ιωαν. ε. κγ.] Εἰ μὴ τοῦ πατρὸς δοξαζομένου καὶ ὁ υἱὸς συνδοξάζεται, ποῦ ἴση ἡ τιμή; ἐπεὶ καρπὸς χειλέων ὁμολογούντων τῷ ὀνόματι αὐτοῦ, τὸ χάριν αὐτῷ εἰδέναι, τουτέστιν, ὑπὲρ πάντων, καὶ ὑπὲρ ὧν δι' ἡμᾶς ἔπαθε.

ΗΘΙΚΟΝ

Πάντα φέρωμεν εὐχαρίστως, κἂν πενία, κἂν νόσος ᾖ, κἂν ὁτιοῦν ἕτερον. τὰ γὰρ ἡμῖν συμφέροντα αὐτὸς οἶδε μόνος. Τὸ γὰρ τί προσευξώμεθα, φησί, καθ' ὃ δεῖ, οὐκ οἴδαμεν. [Ρωμ. η. κϛ.] Οἱ τοίνυν μηδὲ αἰτῆσαι εἰδότες ''ὅ,τι χρή, ἐὰν μὴ τοῦ πνεύματος ἐπιλαβώμεθα, πῶς ἂν εἰδείημεν τὰ συμφέροντα; [χ. ὅτι] οὐκοῦν σπουδάζωμεν εὐχαριστίαν ὑπὲρ ἁπάντων ἀναφέρειν, καὶ γενναίως ἅπαντα φέρωμεν τὰ συμπίπτοντα. ὅταν τοίνυν ἐν πενίᾳ ὦμεν, ὅταν ἐν νόσῳ, εὐχαριστῶμεν· ὅταν συκοφαντώμεθα, εὐχαριστῶμεν· ὅταν κακῶς πάσχωμεν, εὐχαριστῶμεν. τοῦτο ἡμᾶς ἐγγὺς [εἶναι] τοῦ Θεοῦ ποιεῖ. τότε καὶ τὸν Θεὸν ὀφειλέτην ἔχομεν. ὅταν δὲ καλῶς πάσχωμεν, ἡμεῖς ἐσμεν ὀφειλέται καὶ ὑπεύθυνοι τοῦ Θεοῦ· ἄλλως τε καὶ πολλάκις ἡμῖν ταῦτα εἰς κρίμα γίνεται, ἐκεῖνα δὲ εἰς ἔκτισιν ἁμαρτημάτων. ἐκεῖνα ''ἔλεον ἐπισπᾶται, ἐκεῖνα φιλανθρωπίαν· [χ. ἔλεον] ταῦτα δὲ καὶ εἰς ἀπόνοιαν αἴρει, ταῦτα καὶ εἰς ῥᾳθυμίαν ἐξάγει, καὶ μεγάλα περὶ ἑαυτοῦ παρασκευάζει φαντάζεσθαι, ταῦτα χαυνοῖ. διὰ τοῦτο καὶ ὁ προφήτης ἔλεγεν, Ἀγαθόν μοι, Κύριε, ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου. [Ψαλ. ριη. οα.] ὅτε εὐεργετήθη καὶ ἀπηλλάγη τῶν κακῶν ὁ Ἐζεκίας, ἐπήρθη εἰς ὕψος ἡ καρδία αὐτοῦ· ὅτε ἠρρώστησε, τότε ἐταπεινώθη, τότε ἐγγὺς ἐγένετο τοῦ Θεοῦ. Ὅτε, φησίν, ἀπέκτεινεν αὐτούς, τότε ἐξεζήτουν αὐτόν, καὶ [Ψαλ. οζ. λδ.] [Δευτ. λβ. ιε.] ἐπέστρεφον, καὶ ὤρθριζον πρὸς τὸν Θεόν· καὶ πάλιν, Ὅτε ἐπαχύνθη καὶ ἐλιπάνθη, ἀπελάκτισεν ὁ ἠγαπημένος. γινώσκεται γὰρ Κύριος κρίματα ποιῶν. μέγα θλίψις ἀγαθόν. στενή ἐστιν ἡ ὁδός· ὥστε ἡ θλίψις ἡμᾶς ὠθεῖ ἐν τῇ στενῇ. ὁ μὴ θλιβόμενος, εἰσελθεῖν οὐ δύναται. ὁ γὰρ ἐν τῇ στενῇ θλίβων ἑαυτόν, οὗτός ἐστιν ὁ καὶ ἀνέσεως ἀπολαύων· ὁ δὲ ἐμπλατύνων ἑαυτόν, οὔτε εἰσέρχεται, καὶ θλίβεται σφηνούμενος, ὡς εἴπομεν. ἄκουε πῶς εἰσῆλθεν εἰς τὴν στενὴν ταύτην ὁδὸν Παῦλος. Ὑπωπιάζω, φησί, μου τὸ σῶμα, καὶ δουλαγωγῶ.* ὑπωπιά- [α. Κορ. θ. κζ.] ζει τὸ σῶμα, ὥστε δυνηθῆναι εἰσελθεῖν. [χ. Ὑπωπιάζει τὸ σῶμα] διὰ τοῦτο ἐν πάσαις ταῖς θλίψεσιν εὐχαριστῶν τῷ Θεῷ διετέλει. ἐζημιώθης χρήματα; τοῦτό σοι τὸ πολὺ τῆς εὐρύτητος ''ἐπεκούφισεν. [χ. ὑστερεῖ] ἐξέπεσες δόξης; ἑτέρα αὕτη εὐρύτης. ἐσυκοφαντήθης; ἐπιστεύθη κατὰ σοῦ τὰ λεχθέντα, ἐν οἷς οὐ συνῄδεις σαυτῷ; χαῖρε καὶ ἀγαλλία. Μακάριοι γάρ ἐστε, φησίν, ὅταν ὀνειδίσωσιν ὑμᾶς, [Ματθ. ε. ια.] καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν, ψευδόμενοι, ἕνεκεν ἐμοῦ. χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. τί θαυμάζεις εἰ σὺ ἀσχάλλεις, καὶ θέλεις ἀνεθῆναι ἐκ τῶν πειρασμῶν; Παῦλος ἠθέλησεν ἀνεθῆναι, καὶ πολλάκις τὸν Θεὸν παρεκάλεσε, καὶ οὐκ ἔτυχε. τὸ γὰρ τρίς, πολλάκις ἐστίν· Ὑπὲρ τούτου τρὶς τὸν Κύριον, φησί, παρεκάλεσα, [β. Κορ. ιβ. θ.] καὶ εἶπέ μοι, ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. ἀσθένειαν λέγει ἐνταῦθα τὰς θλίψεις. τί οὖν; ἐπεὶ ταῦτα ἤκουσεν, εὐχαρίστως ἤνεγκε, καὶ λέγει, Διὸ εὐδοκῶ ἐν ἀσθενείαις· [β. Κορ. ιβ. ι.] τουτέστιν, ἀρέσκομαι, ἀναπαύομαι ἐν ταῖς θλίψεσιν. ὑπὲρ πάντων οὖν εὐχαριστῶμεν, ὑπὲρ τῆς ἀνέσεως, ὑπὲρ τῆς θλίψεως. μὴ γογγύζωμεν, μὴ ἀχαριστῶμεν. λέγε καὶ σύ, Γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι. [Ιωβ. α.] ''οὐκ ἐξῆλθες ἔνδοξος· μὴ ζήτει δόξαν. [χ. ἐκ κοιλίας] γυμνὸς οὐ χρημάτων μόνον, ἀλλὰ καὶ δόξης, καὶ εὐφημίας,

τῶν ἡγουμένων ὑμῶν, οἵτινες ἐλάλησαν ὑμῖν τὸν λόγον τοῦ Θεοῦ. ἐνταῦθα καὶ περὶ ὑπακοΐας αὐτὸν οἶμαι λέγειν. τοῦτο γάρ ἐστι τὸ, οἵτινες ἐλάλησαν ὑμῖν τὸν λόγον τοῦ Θεοῦ. ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς, μιμεῖσθε τὴν πίστιν. τί ἐστιν, ἀναθεωροῦντες; συνεχῶς στρέφοντες, παρ' ἑαυτοῖς ἐξετάζοντες, λογιζόμενοι, ζητοῦντες ἀκριβῶς, ὡς βούλεσθε βασανίζοντες. καλῶς εἶπε, τὴν ἔκβασιν τῆς ἀναστροφῆς· τουτέστι, τὴν μέχρι τέλους πολιτείαν· ὅτι τέλος εἶχε χρηστὸν αὐτῶν ἡ ἀναστροφή. Ἰησοῦς, φησι, Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς, καὶ εἰς τοὺς αἰῶνας. ὃ λέγει τοῦτό ἐστι· μὴ νομίσητε ὅτι τότε ἐθαυματούργησε, νῦν δὲ οὐ θαυματουργεῖ. ὁ αὐτός ἐστι [καὶ ἐπεὶ ὁ αὐτός ἐστιν, οὐκ ἔστιν ὅτι μὴ δύναται τὰ αὐτὰ ἐνεργεῖν. τάχα πρὸς τοῦτο ἀφορῶν εἶπε, μνημονεύετε τῶν ἡγουμένων ὑμῶν.] διδαχαῖς ποικίλαις καὶ ξέναις μὴ περιφέρεσθε. ξέναις, τουτέστι, παρ' ἃς ἠκούσατε παρ' ἡμῶν. ποικίλαις, παντοδαπαῖς. αἱ τοιαῦται γὰρ οὐδὲν βέβαιον ἔχουσιν, ἀλλ' εἰσὶ διάφοροι· μάλιστα δὲ τὸ τῶν βρωμάτων διάφορον. διὸ καὶ πρὸς τοῦτο ἰσάμενος ἐπάγει, καλὸν γὰρ χάριτι βεβαιοῦσθαι τὴν καρδίαν, οὐ βρώμασιν. αἱ ποικίλαι, αὗται· αἱ ξέναι, αὗται. ἐνταῦθα εἰς παρατήρησιν βρωμάτων αὐτοὺς κωμῳδεῖ. δείκνυσι γὰρ ὅτι ἀπὸ τῆς τῶν βρωμάτων παρατηρήσεως εἰς τὸ ἑτεροδιδασκαλεῖν ἐξέπεσον, καὶ ἀπὸ τούτων πρὸς τὰς ποικίλας καὶ ξένας διδαχὰς ἐξενεχθῆναι. καὶ ὅσα αὐτὸν οὐ τολμῶντα φανερῶς εἰπεῖν τοῦτο, ἀλλ' ὡς ἐν αἰνίγματι. τὸ γὰρ εἰπεῖν, ποικίλαις καὶ ξέναις διδαχαῖς μὴ περιφέρεσθε, καὶ, καλὸν χάριτι βεβαιοῦσθαι τὴν καρδίαν, οὐ βρώμασι, μονονουχὶ τὸ τοῦ Χριστοῦ λέγει, ἐν οἷς ἔλεγεν, Οὐ τὰ εἰσερχόμενα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐξερχόμενα. Matth 15. 11. καὶ δείκνυσιν ὅτι τὸ πᾶν πίστις ἐστίν. ἂν αὕτη βεβαιώσῃ, ἡ καρδία ἐν ἀσφαλείᾳ ἕστηκεν. ἄρα πίστις βεβαιοῖ· οὐκοῦν λογισμοὶ σαλεύουσιν. ἐναντίον γὰρ ἡ πίστις λογισμῷ. ἐν οἷς οὐκ ὠφελήθησαν, φησιν, οἱ περιπατήσαντες. τί [γὰρ] τὸ κέρδος, φησίν, ἀπὸ τῆς παρατηρήσεως, [εἰπέ μοι;] οὐχὶ ἀπόλλεσι μᾶλλον; οὐχὶ τὸ ἁμαρτίαν ἐργάζεται τὸ τοιοῦτον; εἰ δεῖ παρατηρεῖν, ἴσ' παρατηρεῖσθαι ὅθεν ὠφέλεια τοῖς παρατηροῦσιν ἐστίν. καλὴ παρατήρησις, κακίας ἀποφυγή, καρδίας εὐθύτης, εὐσέβεια εἰς Θεὸν, πίστις ὀρθή. ἐν οἷς, φησιν, οὐκ ὠφελήθησαν οἱ περιπατήσαντες· τουτέστιν, οἱ διὰ παντὸς φυλάξαντες αὐτά. μία ἐστὶ παρατήρησις, τὸ ἁμαρτίας ἀπέχεσθαι. τί γὰρ ὄφελος, ὅπουγε οὕτως εἰσί τινες μιαροὶ, ὡς μὴ δύνασθαι μετέχειν τῶν θυσιῶν; ὥστε οὐδὲν αὐτοὺς ἔσωζε, καίτοι σπουδὴν ἐποιοῦντο περὶ τὰς παρατηρήσεις· ἀλλ' ἐπειδὴ πίστιν οὐκ εἶχον, οὐδὲν ὠφελήθησαν οὐδὲ οὕτως. εἶτα ἀναιρεῖ ἀπὸ τοῦ τύπου τὴν θυσίαν, καὶ ἐπὶ τὸ πρωτότυπον ἄγει τὸν λόγον, λέγων, ὅτι ὧν γὰρ εἰσφέρεται ζώων τὸ αἷμα εἰς τὰ ἅγια διὰ τοῦ ἀρχιερέως, τούτων τὰ σώματα κατακαίεται ἔξω τῆς παρεμβολῆς. διὸ καὶ Ἰησοῦς, ἵνα ἁγιάσῃ διὰ τοῦ ἰδίου αἵματος τὸν λαὸν, ἔξω τῆς πύλης ἔπαθεν. ἄρα τύπος ἐκεῖνα τούτων ἦν, καὶ οὕτω τὰ πάντα ἐπλήρωσεν ὁ Χριστὸς ἔξω παθών. ἐνταῦθα καὶ τὸ ἑκόντι πεπονθέναι δηλοῖ. δείκνυσι γὰρ, ὅτι οὐδὲ ἐκεῖνα ἁπλῶς, ἀλλὰ τύπος τις ἦν, καὶ αὕτη ἡ οἰκονομία οὐκ ἔξω τοῦ πάθους ἦν, ἀλλ' εἰς τὸν οὐρανὸν τὸ αἷμα ἀνηνέχθη. ὁρᾷς [οὖν] ὅτι αἵματος μετέχομεν τοῦ εἰς τὰ ἅγια εἰσφερομένου, τὰ ἅγια τὰ ἀληθινά· τῆς θυσίας ἧς μόνος ἀπήλαυσεν ὁ ἀρχιερεύς. ἡμεῖς οὖν τῆς ἀληθείας μετέχομεν. εἰ τοίνυν οὐκ ὀνειδισμοῦ, ἀλλ' ἁγιασμοῦ μετέχομεν· ὁ ὀνειδισμὸς τοῦ ἁγιασμοῦ αἴτιον. καθάπερ γὰρ αὐτὸς ὠνειδίσθη, οὕτω καὶ ἡμεῖς. ἂν ἐξέλθωμεν οὖν, κοινωνοῦμεν αὐτῷ. τί δέ ἐστι τοίνυν, ἐξερχώμεθα πρὸς αὐτόν; κοινωνῶμεν αὐτῷ τῶν παθῶν, φέρωμεν αὐτοῦ τὸν ὀνειδισμόν. οὐ γὰρ ἁπλῶς ἔξω πύλης ἔπαθεν, ἀλλ' ἵνα καὶ ἡμεῖς τὸν σταυρὸν αὐτοῦ αἴρωμεν, καὶ ἔξω κόσμου μένωμεν, καὶ εἶναι σπουδάζωμεν. ὥσπερ οὖν ἐκεῖνος ὠνειδίζετο ὡς κατάδικος, οὕτω καὶ ἡμεῖς. καὶ δι' αὐτοῦ θυσίαν ἀναφέρωμεν τῷ Θεῷ. ποίαν δὲ θυσίαν λέγει; αὐτὸς ἡρμήνευσε λέγων, καρπὸν χειλέων ὁμολογούντων τῷ ὀνόματι αὐτοῦ· τουτέστιν, εὐχὰς, ὕμνους, εὐχαριστίαν. ταῦτα γὰρ τῶν χειλέων ὁ καρπός. ἐκεῖνοι προσέφε-

ρει



Marginalia: κ. αὐτῷ — γ. τί ἐστι; παρ' ὃ ἠκούσατε, φησί, παρ' — Η. -ται μάλιστα τῶν χειρῶν ὁ πόνος. Οὐ τὸ εἰσερχόμενον εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὸ ἐξερχόμενον καὶ ὅσα — χ. μόνος — γ. τοῦ ὀνειδισμοῦ ... κατάδικος, ἀλλ' ὥσπερ ἐκεῖνος

ρώθη ἔξω· μὴ τοίνυν μηδὲ ἡμεῖς αἰσχυνώμεθα ἐξιέναι ἔξω τοῦ κόσμου. τοῦτο γὰρ ᾐνίξατο τῷ εἰπεῖν, ἔξω τῆς παρεμβολῆς, καὶ ἔξω τῆς πύλης.

14 Οὐ γὰρ ἔχομεν ὧδε μένουσαν, φησὶ, πόλιν, ἀλλὰ τὴν μέλλουσαν ἐπιζητοῦμεν.

15 Δι' αὐτοῦ οὖν ἀναφέρωμεν θυσίαν αἰνέσεως διαπαντὸς τῷ Θεῷ, τουτέστι, καρπὸν χειλέων ὁμολογούντων τῷ ὀνόματι αὐτοῦ. Δι' αὐτοῦ, εἶπεν, ὡς δι' ἀρχιερέως, τοῦ κατὰ σάρκα. ὁμολογούντων, φησὶ, τῷ ὀνόματι αὐτοῦ. ὡσανεὶ ἔλεγεν, εἰ ὁμολογεῖν αὐτῷ δεῖ, μηδὲν βλάσφημον, μηδὲν ἰταμὸν, μηδὲν θρασὺ, μηδὲν τολμηρὸν, μηδὲν ἀπονενοημένον φθεγγώμεθα, ἀλλὰ μετ' αἰδοῦς καὶ εὐλαβείας πάντα ποιῶμεν καὶ λέγωμεν. ταῦτα λέγει οὐχ ἁπλῶς, ἀλλ' ἐπειδὴ οἶδεν αὐτοὺς θλιβομένους. ψυχὴ δὲ ἐν ταῖς θλίψεσιν ἀπογινώσκει, καὶ ἀπομαίνεται· ἀλλὰ μὴ ἡμεῖς, φησίν. ἰδοὺ πάλιν τὸ αὐτὸ εἶπεν, ὅπερ ἀνωτέρω ἔλεγε, Μὴ
Εβρ. ι. κε.
ἐγκαταλείποντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν. οὕτω δυνησόμεθα μετ' αἰδοῦς πάντα ποιεῖν. πολλάκις γὰρ καὶ ἀνθρώπους αἰσχυνόμενοι, πολλὰ οὐ πράττομεν τῶν πονηρῶν.

16 Τῆς δὲ εὐποιΐας καὶ κοινωνίας μὴ ἐπιλανθάνεσθε. Ταῦτα τότε μὲν ὁ Παῦλος ἔλεγε· νυνὶ δὲ ἐγὼ λέγω· οὐχὶ πρὸς τοὺς περὶ ὑμᾶς μόνον ἀδελφοὺς δὲ ταῦτα λέγω, ἀλλὰ καὶ πρὸς τοὺς ἅπαντας. οὐδεὶς τὰ ὑπάρχοντα ὑμῶν ἥρπασεν· εἰ δέ τινες καὶ ἡρπάκασιν, ἐκ τῶν ὄντων τὴν φιλοξενίαν ἐπιδείκνυσθε. (χ. -τες. οἱ δὲ ἔπεσι τὰ ὑπάρχοντα ὑμῶν ἥρπα-) τίνα γὰρ ἕξομεν ἡμεῖς ἀπολογίαν λοιπὸν, τούτων καὶ μετὰ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ταῦτα ἀκουόντων; καὶ ὅρα, ἐνταῦθα λέγει, τῆς εὐποιΐας μὴ ἐπιλανθάνεσθε, εἰπὼν ἀνωτέρω, τῆς φιλοξενίας· οὐκ ἄλλο καὶ ἄλλο δηλῶν, ἀλλὰ τὸ αὐτὸ δι' ἑτέρας λέξεως. καὶ οὐκ εἶπε, τῆς ξενοδοχίας μὴ ἐπιλανθάνεσθε, ἀλλὰ τῆς φιλοξενίας· τουτέστι, μὴ ἁπλῶς ξενοδοχεῖτε, ἀλλὰ μετὰ τοῦ φιλεῖν τοὺς ξένους. καὶ οὐκ εἶπε τὴν μέλλουσαν καὶ ἀποκειμένην ἀμοιβὴν, ἵνα μὴ πάλιν αὐτοὺς ὑπτιωτέρους ἐργάσηται, ἀλλὰ τὴν ἤδη δοθεῖσαν. ἐπήγαγε γὰρ, δι' αὐτῆς ἔλαθόν τινες ξενίσαντες ἀγγέλους. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. Τίμιος ὁ γάμος, φησὶν, ἐν πᾶσι, καὶ ἡ κοίτη ἀμίαντος. πῶς τίμιος ὁ γάμος; ὅτι ἐν σωφροσύνῃ, [φησὶ,] διατηρεῖ τὸν πιστόν. ἐνταῦθα καὶ Ἰουδαίους αἰνίττεται, ὅτι βδελυρὰν ἡγοῦντο τὴν κοίτην. καὶ ὃς ἂν ᾖ, φησὶν, ἀπὸ κοίτης, οὐκ ἔστι καθαρός. (χ. τὸν λεχώ.) οὐκ ἔστι βδελυρὰ τὰ ἀπὸ φύσεως (ὦ ἀγνώμονες καὶ ἀναίσθητοι Ἰουδαῖοι) ἀλλὰ τὰ ἀπὸ προαιρέσεως. εἰ γὰρ τίμιος ὁ γάμος, καὶ καθαρὸς· τί δήποτε καὶ ἐξ αὐτοῦ μιαίνεσθαι νομίζεις; ἀφιλάργυρος, φησὶν, ὁ τρόπος. ἐπειδὴ πολλοὶ μετὰ τὸ κενῶσαι τὰ ὑπάρχοντα, ὕστερον βούλονται προσχήματι ἐλεημοσύνης ἀνακτᾶσθαι πάλιν αὐτὰ, διὰ τοῦτό φησιν, ἀφιλάργυρος ὁ τρόπος· τουτέστιν, ἵνα τῆς χρείας ὦμεν, καὶ τῶν ἀναγκαίων. τί οὖν ἂν μηδὲ τούτων, φησὶν, εὐπορῶμεν; οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν. αὐτὸς γὰρ εἶπε, καὶ οὐ ψεύδεται, ὅτι οὐ μή σε ἀνῶ, οὐδ' οὐ μή σε ἐγκαταλείπω. ὥστε θαῤῥοῦντας ἡμᾶς λέγειν, Κύριος ἐμοὶ βοηθὸς, καὶ οὐ φοβηθήσομαι τί ποιή-
Ψαλ. ριζ. ϛ.
σει μοι ἄνθρωπος. ὡσεὶ ἔλεγε, τὴν ὑπόσχεσιν ἔχεις παρ' αὐτοῦ, μὴ ἀμφίβαλλε λοιπόν· αὐτὸς ἐπηγγείλατο, μὴ ἀμφισβήτει. τὸ δὲ, οὐ μή σε ἀνῶ, οὐ περὶ χρημάτων μόνον φησὶν, ἀλλὰ καὶ περὶ τῶν ἄλλων ἁπάντων λέγει. Κύριος ἐμοὶ βοηθὸς, καὶ οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος. εἰκότως τὸ τοῦ προφήτου ἐπήγαγεν, ἐπισφραγίζων τούτῳ τὸν λόγον, καὶ προθυμοτέρους μᾶλλον ποιῶν, ὥστε μὴ ἀπαγορεύειν. τοῦτο τοίνυν καὶ ἡμεῖς ἐν πᾶσι λέγωμεν τοῖς πειρασμοῖς, καὶ καταγελῶμεν τῶν ἀνθρωπίνων πραγμάτων. ἕως ἂν ἔχωμεν τὸν Θεὸν ἡμῖν εὐμενῆ, οὐδεὶς ἡμῶν περιέσται. ὥσπερ γὰρ ἐκείνου ἐχθροῦ ὄντος, κἂν πάντες ἡμῖν ὦσι φίλοι, κέρδος οὐδέν· οὕτως αὐτοῦ φίλου ὄντος, κἂν ἅπαντες ἡμᾶς πολεμῶσιν, οὐδεμία βλάβη. διὰ τοῦτο ἔλεγεν, οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος. μνημονεύετε

τῶν

τῶν ἡγουμένων ὑμῶν, οἵτινες ἐλάλησαν ὑμῖν τὸν λόγον τοῦ Θεοῦ. ἐνταῦθα καὶ περὶ ἐπικουρείας αὐτῶν οἶμαι λέγειν. τοῦτο γάρ ἐστι τό, οἵτινες ἐλάλησαν ὑμῖν τὸν λόγον τοῦ Θεοῦ. ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς, μιμεῖσθε τὴν πίστιν. τί ἐστιν, ἀναθεωροῦντες; συνεχῶς στρέφοντες, παρ' ἑαυτοῖς ἐξετάζοντες, λογιζόμενοι, ζητοῦντες ἀκριβῶς, ὡς βούλεσθε βασανίζοντες. καλῶς εἶπε, τὴν ἔκβασιν τῆς ἀναστροφῆς· τουτέστι, τὴν μέχρι τέλους πολιτείαν· ὅτι τέλος εἶχε χρηστὸν αὐτῶν ἡ ἀναστροφή. Ἰησοῦς, φησί, Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς, καὶ εἰς τοὺς αἰῶνας. ὃ λέγει τοῦτό ἐστι· μὴ νομίσητε ὅτι τότε ἐθαυματούργησε, νῦν δὲ οὐ θαυματουργεῖ. ὁ αὐτός ἐστι· [καὶ ἐπεὶ ὁ αὐτός ἐστιν, οὐκ ἔστιν ὅτε μὴ δύναται τὰ αὐτὰ ἐνεργεῖν. τάχα πρὸς τοῦτο ἀφορῶν εἶπε, μνημονεύετε τῶν ἡγουμένων ὑμῶν.] διδαχαῖς ποικίλαις καὶ ξέναις μὴ παραφέρεσθε. ξέναις, τουτέστι, παρ' ἃς ἠκούσατε παρ' ἡμῶν. ποικίλαις, παντοδαπαῖς. αἱ τοιαῦται γὰρ οὐδὲν βέβαιον ἔχουσιν, ἀλλ' εἰσὶ διάφοροι· μάλιστα δὲ τὸ τῶν βρωμάτων διάφορον. διὸ καὶ πρὸς τοῦτο ἱστάμενος ἐπάγει. καλὸν γὰρ χάριτι βεβαιοῦσθαι τὴν καρδίαν, οὐ βρώμασιν. αἱ ποικίλαι, αὗται· αἱ ξέναι, αὗται. ἐνταῦθα εἰς παρατήρησιν βρωμάτων αὐτοὺς κωμῳδεῖ. δείκνυσι γὰρ ὅτι ἀπὸ τῆς τῶν βρωμάτων παρατηρήσεως εἰς τὸ ἑτεροδιδασκαλεῖν ἐξέπεσον, καὶ ἀπὸ τούτων πρὸς τὰς ποικίλας καὶ ξένας διδαχὰς ἐξηνέχθησαν. καὶ ὅσα αὐτοὺς οὐ τολμῶντα φανερῶς εἰπεῖν τοῦτο, ἀλλ' ὡς ἐν αἰνίγματι. τὸ γὰρ εἰπεῖν, ποικίλαις καὶ ξέναις διδαχαῖς μὴ παραφέρεσθε, καὶ, καλὸν χάριτι βεβαιοῦσθαι τὴν καρδίαν, οὐ βρώμασι, μονονουχὶ τὸ τοῦ Χριστοῦ λέγει, ἐν οἷς ἔλεγεν, Οὐ τὸ εἰσερχόμενον κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὸ ἐξερχόμενον. Matth 15. 11. καὶ δείκνυσιν ὅτι τὸ πᾶν, πίστις ἐστίν. ἂν αὕτη βεβαιώσῃ, ἡ καρδία ἐν ἀσφαλείᾳ ἕστηκεν. ἄρα πίστις βέβαιοι· οὐκοῦν λογισμοὶ σαλεύουσιν. ἐναντίον γὰρ ἡ πίστις λογισμῷ. ἐν οἷς οὐκ ὠφελήθησαν, φησίν, οἱ περιπατήσαντες. τί [γὰρ] τὸ κέρδος, φησίν, ἀπὸ τῆς παρατηρήσεως, [εἰπέ μοι;] οὐχὶ ἀπόλλυσι μᾶλλον; οὐχὶ ὑπὸ ἁμαρτίαν ἐργάζεται τὸ τοιοῦτον; εἰ δεῖ παρατηρεῖν, ἴσθι παρατηρεῖσθαι ὅθεν ὠφέλεια τοῖς παρατηροῦσιν ἔσται. καλὴ παρατήρησις, κακίας ἀποφυγή, καρδίας εὐθύτης, εὐσέβεια εἰς Θεόν, πίστις ὀρθή. ἐν οἷς, φησίν, οὐκ ὠφελήθησαν οἱ περιπατήσαντες· τουτέστιν, οἱ διὰ παντὸς φυλάξαντες αὐτά. μία ἐστὶ παρατήρησις, τὸ ἁμαρτίας ἀπέχεσθαι. τί γὰρ ὄφελος, ὅπουγε οὕτως εἰσί τινες μιαροί, ὡς μὴ δύνασθαι μετέχειν τῶν θυσιῶν; ὥστε οὐδὲν αὐτοὺς ἔσωζε, καίτοι σπουδὴν ἐποιοῦντο περὶ τὰς παρατηρήσεις· ἀλλ' ἐπειδὴ πίστιν οὐκ εἶχον, οὐδὲν ὠφελήθησαν οὐδὲ οὕτως. εἶτα ἀναιρεῖ ἀπὸ τοῦ τύπου τὴν θυσίαν, καὶ ἐπὶ τὸ πρωτότυπον ἄγει τὸν λόγον, λέγων, ὅτι ὧν γὰρ εἰσφέρεται ζώων τὸ αἷμα εἰς τὰ ἅγια διὰ τοῦ ἀρχιερέως, τούτων τὰ σώματα κατακαίεται ἔξω τῆς παρεμβολῆς. διὸ καὶ Ἰησοῦς, ἵνα ἁγιάσῃ διὰ τοῦ ἰδίου αἵματος τὸν λαόν, ἔξω τῆς πύλης ἔπαθεν. ἄρα τύπος ἐκεῖνα τούτων ἦν, καὶ οὕτω τὰ πάντα ἐπλήρωσεν ὁ Χριστὸς ἔξω παθών. ἐνταῦθα καὶ τὸ ἑκοντὶ πεπονθέναι δηλοῖ. δείκνυσι γὰρ, ὅτι οὐδὲ ἐκεῖνα ἁπλῶς, ἀλλὰ τύπος τις ἦν, καὶ αὕτη ἡ οἰκονομία οὐκ ἔξω τοῦ πάθους ἦν, ἀλλ' εἰς τὸν οὐρανὸν τὸ αἷμα ἀνηνέχθη. ὁρᾷς [οὖν] ὅτι αἵματος μετέχομεν τοῦ εἰς τὰ ἅγια εἰσφερομένου, τὰ ἅγια τὰ ἀληθινά· τῆς θυσίας ἧς μόνος ἀπήλαυσεν ὁ ἀρχιερεύς. ἡμεῖς οὖν τῆς ἀληθείας μετέχομεν. εἰ τοίνυν οὐκ ὀνειδισμοῦ, ἀλλ' ἁγιασμοῦ μετέχομεν· ὁ ὀνειδισμὸς τοῦ ἁγιασμοῦ αἴτιον. καθάπερ γὰρ αὐτὸς ὠνειδίσθη, οὕτω καὶ ἡμεῖς. ἂν ἐξέλθωμεν οὖν, κοινωνοῦμεν αὐτῷ. τί δέ ἐστι τοίνυν, ἐξερχώμεθα πρὸς αὐτόν; κοινωνῶμεν αὐτῷ τῶν παθῶν, φέρωμεν αὐτοῦ τὸν ὀνειδισμόν. οὐ γὰρ ἁπλῶς ἔξω πύλης ἔπαθεν, ἀλλ' ἵνα καὶ ἡμεῖς τὸν σταυρὸν αὐτοῦ αἴρωμεν, καὶ ἔξω κόσμου μένωμεν, καὶ εἶναι σπουδάζωμεν. ὥσπερ οὖν ἐκεῖνος ὠνειδίζετο ὡς κατάδικος, οὕτω καὶ ἡμεῖς. καὶ δι' αὐτοῦ θυσίαν ἀναφέρωμεν τῷ Θεῷ. ποίαν δὲ θυσίαν λέγει; αὐτὸς ἡρμήνευσε λέγων, καρπὸν χειλέων ὁμολογούντων τῷ ὀνόματι αὐτοῦ· τουτέστιν, εὐχάς, ὕμνους, εὐχαριστίαν. ταῦτα γὰρ τῶν χειλέων ὁ καρπός. ἐκεῖνοι προσέφερον

χ. αὐτῶν

ν. πίστει· παρ' ὃ ἠκούσατε, φησί, παρ'

χ. -ται μάλιστα τῶν Χριστοῦ ἐπὶ τούτῳ. Οὐ τὸ εἰσερχόμενον εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὸ ἐξερχόμενον καὶ ἑξῆς

χ. μόνος

ν. [illegible] ὥσπερ ἐκεῖνος

ρώθη ἔξω· μὴ τοίνυν μηδὲ ἡμεῖς αἰσχυνώμεθα ἐξιέναι ἔξω τοῦ κόσμου. τοῦτο γὰρ ἠνίξατο τῷ εἰπεῖν, ἔξω τῆς παρεμβολῆς, καὶ ἔξω τῆς πύλης.

14 Οὐ γὰρ ἔχομεν ὧδε μένουσαν, φησὶ, πόλιν, ἀλλὰ τὴν μέλλουσαν ἐπιζητοῦμεν.

15 Δι' αὐτοῦ οὖν ἀναφέρωμεν θυσίαν αἰνέσεως διαπαντὸς τῷ Θεῷ, τουτέστι, καρπὸν χειλέων ὁμολογούντων τῷ ὀνόματι αὐτοῦ. Δι' αὐτοῦ, εἶπεν, ὡς δι' ἀρχιερέως, τοῦ κατὰ σάρκα. ὁμολογούντων, φησὶ, τῷ ὀνόματι αὐτοῦ. ὡσανεὶ ἔλεγεν, εἰ ὁμολογεῖν αὐτῷ δεῖ, μηδὲν βλάσφημον, μηδὲν ἰταμὸν, μηδὲν θρασὺ, μηδὲν τολμηρὸν, μηδὲν ἀπονενοημένον φθεγγώμεθα, ἀλλὰ μετ' αἰδοῦς καὶ εὐλαβείας πάντα ποιῶμεν καὶ λέγωμεν. Ταῦτα λέγει οὐχ ἁπλῶς, ἀλλ' ἐπειδὴ οἶδεν αὐτοὺς θλιβομένους. ψυχὴ δὲ ἐν ταῖς θλίψεσιν ἀπογινώσκει, καὶ ἀπομαίνεται· ἀλλὰ μὴ ἡμεῖς, φησίν. ἰδοὺ πάλιν τὸ αὐτὸ εἶπεν, ὅπερ ἀνωτέρω ἔλεγε, Μὴ ἐγκαταλείποντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν. οὕτω δυνησόμεθα μετ' αἰδοῦς πάντα ποιεῖν. πολλάκις γὰρ καὶ ἀνθρώπους αἰσχυνόμενοι, πολλὰ οὐ πράττομεν τῶν πονηρῶν.

Εβρ. ι. κε.

16 Τῆς δὲ εὐποιΐας καὶ κοινωνίας μὴ ἐπιλανθάνεσθε. Ταῦτα τότε μὲν ὁ Παῦλος ἔλεγε· νῦν δὲ ἐγὼ λέγω· οὐχὶ πρὸς τοὺς παρόντας μόνον ἀδελφοὺς δὲ τὰ αὐτὰ λέγω, ἀλλὰ καὶ πρὸς τοὺς ἀπόντας. οὐδεὶς τὰ ὑπάρχοντα ὑμῶν ἥρπασεν· εἰ δέ τινες καὶ ἡρπάκασιν, ἐκ τῶν ὄντων τὴν φιλοξενίαν ἐπιδείκνυσθε. τίνα γὰρ ἕξομεν ἡμεῖς ἀπολογίαν λοιπὸν, τούτων καὶ μετὰ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ταῦτα ἀκουόντων; καὶ ὅρα, ἐνταῦθα λέγει, τῆς εὐποιΐας μὴ ἐπιλανθάνεσθε, εἰπὼν ἀνωτέρω, τῆς φιλοξενίας· οὐκ ἄλλο καὶ ἄλλο δηλῶν, ἀλλὰ τὸ αὐτὸ δι' ἑτέρας λέξεως. καὶ οὐκ εἶπε, τῆς ξενοδοχίας μὴ ἐπιλανθάνεσθε, ἀλλὰ τῆς φιλοξενίας· τουτέστι, μὴ ἁπλῶς ξενοδοχεῖτε, ἀλλὰ μετὰ τοῦ φιλεῖν τοὺς ξένους. καὶ οὐκ εἶπε τὴν μέλλουσαν καὶ ἀποκειμένην ἀμοιβὴν, ἵνα μὴ πάλιν αὐτοὺς ὑπτιωτέρους ἐργάσηται, ἀλλὰ τὴν ἤδη δοθεῖσαν. ἐπήγαγε γὰρ, δι' αὐτῆς ἔλαθόν τινες ξενίσαντες ἀγγέλους. ἀλλ' ἴδωμεν ἀκολούθως τὰ εἰρημένα. Τίμιος ὁ γάμος, φησὶν, ἐν πᾶσι, καὶ ἡ κοίτη ἀμίαντος. πῶς τίμιος ὁ γάμος; ὅτι ἐν σωφροσύνῃ, [φησὶ,] διατηρεῖ τὸν πιστόν. ἐνταῦθα καὶ Ἰουδαίους αἰνίττεται, ὅτι βδελυρὰν ἡγοῦντο τὴν κοίτην. καὶ ὃς ἂν ᾖ, φησὶν, ἀπὸ κοίτης, οὐκ ἔστι καθαρός. οὐκ ἔστι βδελυρὰ τὰ ἀπὸ φύσεως (ὦ ἀγνώμον καὶ ἀναίσθητε Ἰουδαῖε) ἀλλὰ τὰ ἀπὸ προαιρέσεως. εἰ γὰρ τίμιος ὁ γάμος, καὶ καθαρός· τί δήποτε καὶ ἐξ αὐτοῦ μιαίνεσθαι νομίζεις; ἀφιλάργυρος, φησὶν, ὁ τρόπος. ἐπειδὴ πολλοὶ μετὰ τὸ κενῶσαι τὰ ὑπάρχοντα, ὕστερον βούλονται προσχήματι ἐλεημοσύνης ἀνακτᾶσθαι πάλιν αὐτὰ, διὰ τοῦτό φησιν, ἀφιλάργυρος ὁ τρόπος· τουτέστιν, ἵνα τῆς χρείας ὦμεν, καὶ τῶν ἀναγκαίων. τί οὖν ἂν μηδὲ τούτων, φησὶν, εὐπορῶμεν; οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν. αὐτὸς γὰρ εἶπε, καὶ οὐ ψεύδεται, ὅτι οὐ μή σε ἀνῶ, οὐδ' οὐ μή σε ἐγκαταλίπω. ὥστε θαῤῥοῦντας ἡμᾶς λέγειν, Κύριος ἐμοὶ βοηθὸς, καὶ οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος. ὡσεὶ ἔλεγε, τὴν ὑπόσχεσιν ἔχεις παρ' αὐτοῦ, μὴ ἀμφίβαλλε λοιπόν· αὐτὸς ἐπηγγείλατο, μὴ ἀμφισβήτει. τὸ δὲ, οὐ μή σε ἀνῶ, οὐ περὶ χρημάτων μόνον φησὶν, ἀλλὰ καὶ περὶ τῶν ἄλλων ἁπάντων λέγει. Κύριος ἐμοὶ βοηθὸς, καὶ οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος. Εἰκότως τὸ τοῦ προφήτου ἐπήγαγεν, ἐπισφραγίζων τούτῳ τὸν λόγον, καὶ προθυμοτέρους μᾶλλον ποιῶν, ὥστε μὴ ἀπαγορεύειν. τοῦτο τοίνυν καὶ ἡμεῖς ἐν πᾶσι λέγωμεν τοῖς πειρασμοῖς, καὶ καταγελῶμεν τῶν ἀνθρωπίνων πραγμάτων. ἕως ἂν ἔχωμεν τὸν Θεὸν ἡμῖν εὐμενῆ, οὐδεὶς ἡμῶν περιέσται. ὥσπερ γὰρ ἐκείνου ἐχθροῦ ὄντος, κἂν πάντες ἡμῖν ὦσι φίλοι, κέρδος οὐδέν· οὕτως αὐτοῦ φίλου ὄντος, κἂν ἅπαντες ἡμᾶς πολεμῶσιν, οὐδεμία βλάβη. διὰ τοῦτο ἔλεγεν, οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος. Μνημονεύετε

χ. -πι. οἱ δὲ ἔπεσαν τὰ ὑπάρχοντα ὑμῶν ἥρπασ.

χ. τὴν λεχώ.

Ψαλ. ριη. ς.

τῶν

θία, ὥστε μὴ ἀπαγορεύειν. Αὐτὸς γάρ, φησιν, εἴρηκεν, Οὐ μή σε ἀνῶ, οὐδ᾽ οὐ μή σε ἐγκαταλίπω. Ἰησ. α. ε.

6 Ὥστε θαῤῥοῦντας ἡμᾶς λέγειν, Κύριος ἐμοὶ βοηθός, καὶ οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος. Ψαλ. ριζ. ς. Ἰδοὺ πάλιν ἐν τοῖς πειρασμοῖς ἡ παραμυθία.

7 Μνημονεύετε τῶν ἡγουμένων ὑμῶν. Τοῦτο ἄνωθεν ὤδινεν εἰπεῖν. διὰ τοῦτο [ἔλεγεν, εἰρήνην διώκετε μετὰ πάντων. τοῦτο] καὶ Θεσσαλονικεῦσι παραινεῖ, ὥστε ἔχειν αὐτοὺς α Θεσ. ε. ιγ. ἐν τιμῇ ὑπὲρ ἐκπερισσοῦ. Μνημονεύετε, φησι, τῶν ἡγουμένων ὑμῶν, οἵτινες ἐλάλησαν ὑμῖν τὸν λόγον τοῦ Θεοῦ· ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς, μιμεῖσθε τὴν πίστιν. Ποία ἀκολουθία αὕτη; ἀρίστη μὲν οὖν. λέγει γάρ, θεωροῦντες αὐτῶν τὴν ἀναστροφὴν (τουτέστι, τὸν βίον) μιμεῖσθε τὴν πίστιν. ἀπὸ γὰρ βίου καθαροῦ ἡ πίστις. ἢ τὴν πίστιν, τὴν βέβαιον λέγει. πῶς; δείκνυσι γὰρ ὅτι πιστεύσαντες βεβαίως τοῖς μέλλουσι, τὴν ἀρίστην πολιτείαν κατώρθωσαν. οὐ γὰρ ἂν ἐπεδείξαντο βίον καθαρόν, εἴγε ἠμφισβήτουν περὶ τῶν μελλόντων, εἴγε ἀμφέβαλλον. ὥστε καὶ ἐν τούτῳ τὸ αὐτὸ θεραπεύει.

8 Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτός, καὶ εἰς τοὺς αἰῶνας.

9 Διδαχαῖς ποικίλαις καὶ ξέναις μὴ παραφέρεσθε. καλὸν γὰρ χάριτι βεβαιοῦσθαι τὴν καρδίαν, οὐ βρώμασιν, ἐν οἷς οὐκ ὠφελήθησαν οἱ περιπατήσαντες.

Ἐνταῦθα τό, χθές, τὸν παρελθόντα πάντα λέγει χρόνον, τό, σήμερον, τὸν ἐνεστῶτα, ὁ αἰών, τὸ ἄπειρον, καὶ λῆξιν οὐκ ἔχον. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἀρχιερέα ἠκούσατε, ἀλλ᾽ οὐκ ἀρχιερέα λήγοντα. ἀεὶ γὰρ ὁ αὐτός ἐστι. τάχα δὲ ὡς ὄντων τινῶν τῶν λεγόντων, ὅτι οὐκ ἔστιν ὁ σταυρωθεὶς οὗτος ὁ προσδοκώμενος Χριστός, ἀλλ᾽ ἕτερος ἥξει, τό, χθὲς καὶ σήμερον, λέγει, καὶ, ὁ αὐτὸς εἰς τοὺς αἰῶνας· δηλῶν διὰ τούτου, ὅτι ὁ ἐλθών, πάλιν ἥξει, καὶ αὐτὸς οὗτος καὶ πρώην, καὶ ἔστι, καὶ ἔσται εἰς τοὺς αἰῶνας. ἐπεὶ καὶ νῦν Ἰουδαῖοι λέγουσιν, ὅτι ἕτερος ἥξει· οἱ καὶ τοῦ ὄντος χ ἀποστήσαντες ἀποστερήσαντες ἑαυτούς, τῷ Ἀντιχρίστῳ περιπεσοῦνται. Διδαχαῖς ποικίλαις, φησί, καὶ ξέναις μὴ παραφέρεσθε. οὐ μόνον ξέναις, ἀλλ᾽ οὐδὲ ποικίλαις διδαχαῖς βούλεται αὐτοὺς παραφέρεσθαι. οἶδε γὰρ ἐξ ἀμφοτέρων τοῖς παραφερομένοις ὄλεθρον τίκτεσθαι. καλὸν γὰρ χάριτι βεβαιοῦσθαι τὴν καρδίαν, οὐ βρώμασιν, ἐν οἷς οὐκ ὠφελήθησαν οἱ περιπατήσαντες. ἐνταῦθα ἠρέμα αἰνίττεται τοὺς τὴν παρατήρησιν τῶν βρωμάτων εἰσάγοντας. τῇ γὰρ πίστει πάντα καθαρά. πίστεως οὖν δεῖ, οὐ βρωμάτων.

10 Ἔχομεν [γὰρ] θυσιαστήριον, ἐξ οὗ φαγεῖν ἐξουσίαν οὐκ ἔχουσιν οἱ τῇ σκηνῇ λατρεύοντες. Οὐχ οἷα τὰ Ἰουδαϊκά, φησι, τοιαῦτα τὰ παρ᾽ ἡμῖν, ὡς μηδὲ ἀρχιερεῖ θέμις εἶναι μετέχειν αὐτῶν. ὥστε ἐπειδὴ εἶπε μὴ παρατηρεῖτε, ἐδόκει δὲ τοῦτο καταβάλλοντος εἶναι τὰ ἴδια, πάλιν αὐτὸ περιστρέφει. μὴ γὰρ καὶ ἡμεῖς οὐ παρατηροῦμεν, φησι; καὶ παρατηροῦμεν, καὶ σφοδρότερον, οὐδὲ αὐτοῖς τοῖς ἱερεῦσι μεταδιδόντες αὐτῶν.

11 Ὧν γὰρ εἰσφέρεται ζώων τὸ αἷμα περὶ ἁμαρτίας εἰς τὰ ἅγια διὰ τοῦ ἀρχιερέως, τούτων τὰ σώματα κατακαίεται ἔξω τῆς παρεμβολῆς.

12 Διὸ καὶ Ἰησοῦς, ἵνα ἁγιάσῃ διὰ τοῦ ἰδίου αἵματος τὸν λαόν, ἔξω τῆς πύλης, φησίν, ἔπαθεν. Εἶδες τὸν τύπον λάμποντα; ἔξω, φησί, τῆς παρεμβολῆς, καὶ ἔξω τῆς πύλης. ἐπεὶ οὖν τὰ προσφερόμενα περὶ ἁμαρτίας, τύπος τις ἦσαν, καὶ ἔξω τῆς παρεμβολῆς ὡλοκαυτοῦντο, καὶ ὁ ὑπὲρ ἁμαρτιῶν ἡμῶν προσαχθεὶς Ἰησοῦς, εἰκότως ἔξω τῆς πύλης πάσχει. οὐκοῦν καὶ ἡμᾶς τὸν ὑπὲρ ἡμῶν παθόντα μιμεῖσθαι χρή, καὶ ἔξω τοῦ κόσμου γίνεσθαι, μᾶλλον δὲ τῶν τοῦ κόσμου πραγμάτων. διὸ καὶ τοῦτο δηλῶν ἐπήγαγε,

χ. [illegible]ποντας περὶ ἁμαρτίας φησί, καὶ ἔξω τῆς πύλης ἔπαθε.

13 Τοίνυν ἐξερχώμεθα πρὸς αὐτὸν ἔξω τῆς παρεμβολῆς, φέροντες τὸν ὀνειδισμὸν αὐτοῦ. Τουτέστι, τὰ αὐτὰ πάσχοντες, κοινωνοῦντες αὐτῷ ἐν τοῖς παθήμασιν. ὡς κατάδικος ἐσταυ-

ρώθη

Digitized by Google

Ὅπερ ἀλλαχοῦ φησι, Τὰ γὰρ βλεπόμενα πρόσκαιρα, τὰ δὲ μὴ βλεπόμενα αἰώνια, καὶ ἀπὸ τούτου ποιούμενος τὴν παράκλησιν τὴν ἐπὶ τοῖς κακοῖς, οἷς κατὰ τὸν παρόντα βίον ὑπομένομεν, τοῦτο δὴ καὶ ἐνταῦθα ποιεῖ, καί φησιν, ἔχωμεν χάριν· τουτέστιν, εὐχαριστῶμεν τῷ Θεῷ, βέβαιοι μένωμεν. οὐ γὰρ μόνον οὐκ ὀφείλομεν ἀποδυσπετεῖν ἐπὶ τοῖς παροῦσιν, ἀλλὰ καὶ χάριν αὐτῷ μεγίστην εἰδέναι ἐπὶ τοῖς μέλλουσι. δι' ἧς λατρεύωμεν εὐαρέστως τῷ Θεῷ· τουτέστιν, οὕτω [γὰρ] ἐστιν εὐαρέστως λατρεύειν τῷ Θεῷ, εὐχαριστοῦντα ἐν ἅπασι. Πάντα ποιεῖτε, φησι, χωρὶς γογγυσμῶν καὶ διαλογισμῶν. ὃ γὰρ ἂν ἐργάσηταί τις γογγύζων, ὑποτέμνεται καὶ ἀπόλλυσι τὸν μισθόν· καθάπερ οἱ Ἰσραηλῖται. ἴστε γὰρ ἡλίκην ἐκεῖνοι δίκην ἔτισαν ὑπὲρ γογγυσμῶν. διό φησι, μηδὲ γογγύζετε. οὐκ ἄρα ἐστὶν εὐαρέστως λατρεῦσαι, μὴ χάριν εἰδότα πάντων αὐτῷ, καὶ τῶν πειρασμῶν, καὶ τῶν ἀνέσεων. μετ' αἰδοῦς καὶ εὐλαβείας· τουτέστι, μηδὲν ἰταμὸν φθεγγώμεθα, μηδὲν ἀναίσχυντον, ἀλλὰ συστέλλωμεν ἑαυτοὺς, ἵνα αἰδέσιμοι ὦμεν. τοῦτο γάρ ἐστιν ὃ λέγει, μετ' αἰδοῦς καὶ εὐλαβείας.



1 Ἡ φιλαδελφία μενέτω.

2 Τῆς φιλοξενίας μὴ ἐπιλανθάνεσθε. διὰ ταύτης γὰρ ἔλαθόν τινες ξενίσαντες ἀγγέλους. Ὅρα πῶς τὰ παρόντα προστάττει φυλάττειν αὐτοὺς· καὶ οὐχὶ προστίθησιν ἕτερα. οὐ γὰρ εἶπε, γίνεσθε φιλάδελφοι, ἀλλὰ, μενέτω ἡ φιλαδελφία. καὶ πάλιν, οὐκ εἶπε, φιλόξενοι γίνεσθε, ὡς οὐκ οὖσιν, ἀλλὰ τῆς φιλοξενίας μὴ ἐπιλανθάνεσθε. τοῦτο γὰρ εἰκὸς ἀπὸ τῶν θλίψεων γίνεσθαι. εἶτα καὶ ἐπάγει ὅπερ ἱκανὸν ἦν μᾶλλον προτρέψαι, λέγων, ἔλαθόν τινες ξενίσαντες ἀγγέλους. ὁρᾷς ὅση ἡ τιμὴ, ὅσον δὲ κέρδος; τί ἐστιν, ἔλαθον; οὐκ εἰδότες, φησὶν, ἐξένισαν. διὰ τοῦτο καὶ μέγας ὁ μισθὸς τῷ Ἀβραὰμ δέδοται, ὅτι μὴ εἰδὼς ἀγγέλους αὐτοὺς ὄντας, ἐξένισεν. ἐπεὶ εἰ ᾔδει, οὐδὲν θαυμαστόν. τινὲς ἐνταῦθα καὶ τὸν Λὼτ [αἰνοῦ] αἰνίττεσθαί φασι, καὶ διὰ αὐτὸν εἰρηκέναι αὐτό.

3 Μιμνήσκεσθε τῶν δεσμίων, ὡς συνδεδεμένοι· τῶν κακουχουμένων, ὡς καὶ αὐτοὶ ὄντες ἐν σώματι.

4 Τίμιος ὁ γάμος ἐν πᾶσι, καὶ ἡ κοίτη ἀμίαντος· πόρνους δὲ καὶ μοιχοὺς κρινεῖ ὁ Θεός.

5 Ἀφιλάργυρος ὁ τρόπος· ἀρκούμενοι τοῖς παροῦσιν.

Ὅρα πόσος περὶ σωφροσύνης ὁ λόγος αὐτῷ. εἶπεν, Εἰρήνην διώκετε, καὶ τὸν ἁγιασμόν· καὶ πάλιν, Μή τις [ἢ] πόρνος, ἢ βέβηλος. νῦν πάλιν φησὶ, πόρνους καὶ μοιχοὺς κρινεῖ ὁ Θεός. πανταχοῦ δὲ μετ' ἐπιτιμίου ἡ ἀπαγόρευσις. καὶ πῶς, σκόπει ἐντεῦθεν· εἰρήνην εἰπὼν διώκετε μετὰ πάντων, καὶ τὸν ἁγιασμὸν, ἐπήγαγεν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον. ἐνταῦθα δὲ, πόρνους [δὲ] καὶ μοιχοὺς κρινεῖ ὁ Θεός. καὶ προτέρας θεὶς δὲ, τίμιος ὁ γάμος ἐν πᾶσι, καὶ ἡ κοίτη ἀμίαντος, εἶτα ἐπιτίμιον ἐπαγαγὼν, δείκνυσιν ὅτι δικαίως τὰ ἑξῆς ἐπήγαγεν. εἰ γὰρ γάμος συνεχωρήθη, δικαίως ὁ πόρνος κολάζεται, δικαίως ὁ μοιχὸς τιμωρεῖται. ἐνταῦθα πρὸς τοὺς αἱρετικοὺς ἀποδύεται. οὐκ εἶπε πάλιν, μηδεὶς ἔστω πόρνος· ἀλλ' ἅπαξ εἰπὼν, τότε ἐπήγαγεν ὡς κοινὴν παραίνεσιν, καὶ οὐχ ὡς πρὸς αὐτοὺς ἀποτεινόμενος. ἀφιλάργυρος ὁ τρόπος· ἀρκούμενοι τοῖς παροῦσιν. οὐκ εἶπεν ὅτι μηδὲν κτήσησθε, ἀλλ' ἀφιλάργυρος ὁ τρόπος ἔστω· τουτέστιν, ἐλεύθερος ὁ νοῦς ἔστω, δεικνύτω δὲ φιλόσοφον ἡ γνώμη. δείξει δὲ, ἐὰν μὴ ζητῶμεν τὰ περιττὰ, ἀλλὰ τῆς χρείας μόνον ἐχώμεθα. καὶ γὰρ ἀνωτέρω ἔλεγε, Καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε. ταῦτα ὥστε μὴ εἶναι φιλαργύρους παραινεῖ. [ἀρκούμενοί, φησι, τοῖς παροῦσιν.] εἶτα καὶ ἐνταῦθα ἡ παραμυθία,

χ. πιστά

χ. πρόσωπον

Φιλιπ. β. ιδ.

χ. γογγυσμοῦ. διὸ μὴ γογγύζωμεν οὖν

Ἑβρ. ιβ. ιδ.

Ἑβρ. ιβ. ιϛ.

Ἑβρ. ι. λδ.

ἐστιν, καὶ κούφη, καὶ πτερὰ θεῖα ἔχουσα βασιλικά. ὅταν χειρώμεθα, ἄφνω ἐφίπταται καὶ φαίνεται καὶ ἐξαιρεῖται τῆς κολάσεως ἡμᾶς, ταῖς αὐτῆς πτέρυξι περιβάλλουσα. ταύτην θέλει ὁ Θεὸς μᾶλλον ἢ θυσίας. πολλὰ περὶ αὐτῆς διαλέγεται· οὕτως αὐτὴν φιλεῖ. Χήραις καὶ ὀρφανοῖς καὶ πένησι, φησὶν, ἀμύνεται. ἀπ' αὐτῆς φιλεῖ καλεῖσθαι ὁ Θεός. Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος (φησὶν ὁ Δαβίδ) μακρόθυμος, καὶ πολυέλεος, καὶ ἀληθινός. καὶ πάλιν ἕτερος, Ἔλεος τοῦ Θεοῦ ἐπὶ πᾶσαν τὴν γῆν. αὕτη δὲ τῶν ἀνθρώπων γένος διέσωσεν. Εἰ γὰρ μὴ ἠλέησεν ἡμᾶς ὁ Θεὸς, πάντα ἂν ἀπώλετο. αὕτη ἐχθροὺς ἡμᾶς ὄντας κατήλλαξεν, αὕτη τὰ μυρία ἀγαθὰ εἰργάσατο, αὕτη τὸν υἱὸν τοῦ Θεοῦ ἔπεισε δοῦλον γενέσθαι, καὶ κενῶσαι ἑαυτόν. Ταύτην ζηλώσωμεν, ἀγαπητοὶ, δι' ἧς ἐσώθημεν, ταύτην ἀγαπήσωμεν, ταύτην χρημάτων προτιμήσωμεν, καὶ χωρὶς χρημάτων ψυχὴν ἐλεήμονα ἔχωμεν. οὐδὲν οὕτω χαρακτηριστικὸν χριστιανοῦ, ὡς ἐλεημοσύνη· οὐδὲν οὕτω καὶ ἄπιστοι καὶ πάντες θαυμάζουσιν, ὡς ὅταν ἐλεῶμεν. πολλαχοῦ γὰρ καὶ ἡμεῖς δεόμεθα τοῦ ἐλέους τούτου, καὶ πρὸς τὸν Θεὸν καθ' ἑκάστην λέγομεν, Κατὰ τὸ μέγα σου ἔλεος ἐλέησον ἡμᾶς. πρότεροι αὐτοὶ ἀρχώμεθα· μᾶλλον δὲ οὐκ ἀρχόμεθα πρότεροι· καὶ γὰρ αὐτὸς ἤδη ἐπεδείξατο τὸν ἔλεον αὐτοῦ [τὸν] περὶ ἡμᾶς. ἀλλ', ἀγαπητοὶ, κἂν δεύτεροι ἑπώμεθα. Εἰ γὰρ ἄνθρωποι τὸν ἐλεήμονα, κἂν μυρία ἐργάσηται ἁμαρτήματα, ἐλεοῦσι· πολλῷ μᾶλλον ὁ Θεός. ἄκουε τοῦ προφήτου λέγοντος, Ἐγὼ δὲ ὡσεὶ ἐλαία, φησὶ, κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ. τοιοῦτοι γενώμεθα, [ὡς ἐλαία γενώμεθα] πάντοθεν βεβρεγμένοι ταῖς ἐντολαῖς. οὐ γὰρ ἀρκεῖ ὡς ἐλαίαν εἶναι, ἀλλὰ καὶ κατάκαρπον. Εἰσὶ γὰρ οἱ ἐλεοῦντες ὀλίγα διδόασιν, ἢ διὰ παντὸς τοῦ ἐνιαυτοῦ ἅπαξ, ἢ καθ' ἑκάστην ἑβδομάδα, τὸ δὲ τυχὸν προϊέμενοι. οὗτοι ἐλαῖαι μέν εἰσιν, οὐ κατάκαρποι δὲ, ἀλλὰ καὶ ξηραί. ὅτι μὲν γὰρ ἐλεοῦσιν, ἐλαῖαι· ὅτι δὲ οὐ φιλοτίμως, οὐ κατάκαρποι ἐλαῖαι. ἀλλ' ἡμεῖς κατάκαρποι γενώμεθα. ὃ πολλάκις εἶπον, καὶ λέγω νῦν· οὐ τῷ μέτρῳ τῶν διδομένων τὸ μέγεθος δείκνυται τῆς ἐλεημοσύνης, ἀλλὰ τῇ προαιρέσει τοῦ διδόντος. ἴστε τὰ κατὰ τὴν χήραν. καλὸν ἀεὶ φέρειν τοῦτο τὸ ὑπόδειγμα, ἵνα μηδεὶς πένης ἀπογνώσκῃ ἑαυτοῦ, ὁρῶν εἰς τὴν τὰ δύο λεπτὰ καταβαλοῦσαν. ἤνεγκάν τινες καὶ τρίχας ἐν τῇ τοῦ ναοῦ κατασκευῇ, καὶ οὐδὲ οὗτοι ἀπεβλήθησαν. ἀλλ' εἰ μὲν χρυσίον ἔχοντες, τρίχας ἔφερον, ἐπικατάρατοι· εἰ δὲ τοῦτο ἔχοντες μόνον, τοῦτο ἤνεγκαν, ἀπόδεκτοι. διὰ τοῦτο καὶ ὁ Κάϊν ἐμέμφθη, οὐκ ἐπειδὴ φαῦλα προσήνεγκεν, ἀλλ' ἐπειδὴ ὧν εἶχε τὰ φαυλότερα. Ἐπικατάρατος, φησιν, ὃς ἔχει ἄρσεν, καὶ θύει διεφθαρμένον τῷ Θεῷ. οὐχ ἁπλῶς εἶπεν, ἀλλ' ὁ ἔχων, φησὶ, καὶ φειδόμενος. Εἰ τοίνυν τις οὐκ ἔχει, ἀπήλλακται τῶν ἐγκλημάτων, μᾶλλον δὲ ἔχει μισθόν. τί γὰρ δύο ὀβολῶν εὐτελέστερον, καὶ τί τρίχων οὐδαμινέστερον; τί δὲ σεμιδάλεως κοτύλης; ἀλλ' ὅμως ταῦτα ηὐδοκίμησεν, ὁμοίως τοῖς μόσχοις καὶ τῷ χρυσίῳ. Καθ' ὃ γὰρ ἔχει τις, εὐπρόσδεκτος, οὐ καθ' ὃ οὐκ ἔχει. καὶ, Ὡς ἂν ἔχῃ, φησὶν, ἡ χείρ σου, οὕτω ποίει. διὸ, παρακαλῶ, κενώσωμεν προθύμως τὰ ὄντα εἰς τοὺς πένητας. κἂν ὀλίγα ᾖ, τὸν αὐτὸν ληψόμεθα μισθὸν τοῖς τὰ πλείονα καταβάλλουσι, μᾶλλον δὲ πλείονα τῶν μυρία τάλαντα καταβαλλόντων. ἂν ταῦτα ποιῶμεν, ἐπιτευξόμεθα τῆς ἀφάτου φιλανθρωπίας τοῦ Θεοῦ, ἂν μὴ ἀκούωμεν μόνον, ἀλλὰ καὶ πράττωμεν, ἂν μὴ ἐπαινῶμεν, ἀλλὰ καὶ διὰ τῶν ἔργων ἐπιδεικνύωμεν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. λγ. 28 ΔΙΟ ΒΑΣΙΛΕΙΑΝ ΑΣΑΛΕΥΤΟΝ ΠΑΡΑλαμβάνοντες, ἔχωμεν χάριν, δι' ἧς λατρεύωμεν εὐαρέστως τῷ Θεῷ, μετὰ αἰδοῦς καὶ εὐλαβείας. 29 Καὶ γὰρ ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον.

γ. ἐφίσταται. ἄλλ. ἐφίσταται. γ. προσίεται. γ. θέλει. γ. ἄπιστοι. γ. ἀρχώμ. γ. ἑπώμεθα. γ. διδόντες διὰ π. γ. ἐν. γ. ἐπαινῶ. γ. ...ώμεθα. γ. μετ' εὐλαβείας καὶ δέους.

Ψαλ. ρμδ´ η. Ψαλ. ρβ. Ψαλ. μ α. Ψαλ. να. ι. Μαλ. α ιδ. β. Κορ. η. ιβ. β. Κορ. δ. ια.

Οπερ

ιὼ λέγω, μὴ οἰκοδομῶμεν ἐν τῷ κόσμῳ τούτῳ· πεσεῖται μικρὸν ὕστερον, καὶ πάντα ἀπόλλυται. τί δὲ λέγω, πεσεῖται; πρὸ τῆς πτώσεως ἡμεῖς ἀπολούμεθα, καὶ δεινὰ πεισόμεθα, ἡμεῖς αὐτὴν ἐκστησόμεθα. [χ. ἑαυτῇ] τί οἰκοδομοῦμεν ἐπὶ τὴν ἄμμον; οἰκοδομήσωμεν ἐπὶ τὴν πέτραν. ὅπερ γὰρ ἐὰν ἐπέλθῃ, ἀνάλωτος ἐκείνη μένει ἡ οἰκοδομὴ, οὐδὲν αὐτὴν δυνήσεται ἑλεῖν. Εἰκότως. πάσαις γὰρ ἐπιβουλαῖς τοιαύταις ἄβατος ὁ χῶρος ἐκεῖνος, ὥσπερ οὖν ὁ ἐνταῦθα βατός. καὶ γὰρ σεισμοὶ, καὶ ἐμπρησμοὶ, καὶ πολεμίων ἔφοδοι καὶ ζῶντας ἡμᾶς ἀφαιροῦνται αὐτήν· πολλάκις δὲ καὶ μετ' αὐτῆς ἀπόλλυσιν. ὅταν δὲ καὶ αὐτὴ ἑστήκῃ, τότε ἡμᾶς ἡ νόσος ἀπήγαγε θᾶττον, ἢ ἀθρόον τὰς οὐκ εἴασεν αὐτῆς ἀπολαῦσαι καλῶς. ποία γὰρ ἡδονὴ, ἔνθα νόσοι, καὶ συκοφαντίαι, καὶ φθόνος, καὶ ἐπιβουλαί; ἢ εἰ μηδὲν τούτων ᾖ, ὁ δὲ ἐνοχλοῦν, παιδία πολλάκις μὴ ἔχοντες, ἀλύομεν, δυσανασχετοῦμεν, οὐκ ἔχοντες οἷς παραδῶμεν τὰς οἰκίας, [χ. ἔχομεν] καὶ τἄλλα πάντα· καὶ κατατρυχόμεθα λοιπὸν ὡς ἑτέροις πονοῦντες. πολλάκις δὲ καὶ εἰς ἐχθροὺς ἦλθεν ὁ κλῆρος, οὐκ ἀπελθόντων μόνον ἡμῶν, ἀλλὰ καὶ ζώντων. τί τοίνυν ἀθλιώτερον τοῦ τοῖς ἐχθροῖς κάμνειν, καὶ ἵνα ἐκεῖνοι ἀναπαύσωνται, αὐτὸν ἁμαρτίας συλλέγειν; καὶ τούτου τὰ ὑποδείγματα πολλὰ ἐν ταῖς πόλεσιν ὁρᾶται. καὶ σιγῶ ἵνα μὴ λυπήσω τοὺς ἀπεστερημένους. ἐπεὶ εἶπον ἂν ὀνόμασι καί τινας ἐξ αὐτῶν, καὶ πολλὰ εἶχον διηγήματα εἰπεῖν, καὶ πολλὰς ὑποδεῖξαι οἰκίας ὑμῖν, [χ. δεῖξαι] ἃς κυρίως ἔλαβον οἱ ἐχθροὶ τῶν περὶ αὐτὰς πονησάντων. οὐκ οἰκίας δὲ, ἀλλὰ καὶ ἀνδράποδα, καὶ ἅπας ὁ κλῆρος πολλάκις εἰς τοὺς ἐχθροὺς περιῆλθε. τοιαῦτα γὰρ τὰ ἀνθρώπινα. ἐν τοῖς οὐρανοῖς δὲ οὐδὲν ἔστι δεῖσαι τούτων, μὴ τοῦ τετελευτηκότος ὕστερος ἔλθῃ ὁ ἐχθρὸς, [χ. μὴ τότε] καὶ τὸν κλῆρον διαδέξηται. οὔτε γὰρ θάνατός ἐστιν ἐκεῖ, οὔτε ἀπέχθεια· αἱ σκηναὶ τῶν ἁγίων εἰσὶ μόναι· ἐν δὲ τοῖς ἁγίοις ἐκείνοις ἀγαλλίασις, χαρὰ, εὐφροσύνη. Φωνὴ γάρ, φησιν, ἀγαλλιάσεως ἐν σκηναῖς δικαίων. [Ψαλ. ριζ. ιε.] αἰώνιοί εἰσι, τέλος οὐκ ἔχουσαι. οὐχ αὗται τῷ χρόνῳ καταπίπτουσιν, οὐ τοὺς κεκτημένους ἀμείβουσιν, ἀλλ' ἑστήκασιν ἐν ἀκμῇ διηνεκεῖ. Εἰκότως. οὐ γάρ ἐστί τι φθαρτὸν, οὐδὲ ἐπίκηρον ἐκεῖ, ἀλλὰ πάντα ἀθάνατα, καὶ ἀκήρατα. οὐκοῦν κατασκευάσωμεν εἰς ταύτην τὴν οἰκοδομὴν τὰ χρήματα. οὐ δεῖ τεκτόνων ἡμῖν, οὐδὲ ἐργατῶν· αἱ τῶν πενήτων χεῖρες τὰς τοιαύτας οἰκοδομοῦσιν οἰκίας, οἱ χωλοὶ, οἱ τυφλοὶ, οἱ ἀνάπηροι· οὗτοι ἐκείνας τὰς οἰκίας οἰκοδομοῦσι. καὶ μὴ θαυμάσῃς· ὅπου γε καὶ βασιλείαν ἡμῖν οὗτοι προξενοῦσι, καὶ παρρησίαν ἡμῖν διδόασι πρὸς τὸν Θεόν. ἡ γὰρ ἐλεημοσύνη, τέχνη τίς ἐστιν ἀρίστη, καὶ προστάτις τῶν ἐργαζομένων αὐτήν. φίλη γάρ τῷ Θεῷ ἐστι, καὶ πλησίον ἕστηκεν αὐτοῦ, ὑπὲρ ὧν ἂν βούληται, εὐκόλως αἰτοῦσα χάριν, μόνον ἂν [χ. ἐστιν, ἂν] μὴ ἀδικῆται παρ' ἡμῶν. ἀδικεῖται δὲ, ὅταν ἐξ ἁρπαγῆς αὐτὴν ἐργαζώμεθα. ὡς ἐὰν ᾖ καθαρὰ, πολλὴν τοῖς ἀναπέμπουσιν αὐτὴν δίδωσι τὴν παρρησίαν. τοσαύτη αὐτῆς ἡ ἰσχὺς, ὅτι καὶ ὑπὲρ προσκεκρουκότων δεῖται, καὶ ὑπὲρ ἡμαρτηκότων. αὕτη διαρρήγνυσι τὰ δεσμὰ, λύει τὸ σκότος, σβέννυσι τὸ πῦρ, θανατοῖ τὸν σκώληκα, ἀπελαύνει τὸν τῶν ὀδόντων βρυγμόν. ταύτῃ μετὰ πολλῆς ἀδείας ἀνοίγονται τῶν οὐρανῶν αἱ πύλαι. καὶ ὥσπερ βασιλίδος εἰσιούσης οὐδεὶς τολμήσει τῶν φυλάκων τῶν ἐπὶ ταῖς θύραις τεταγμένων ἐξετάσαι τίς εἴη, καὶ πόθεν, ἀλλὰ πάντες εὐθέως ὑποδέχονται· οὕτω δὴ καὶ τὴν ἐλεημοσύνην. βασιλὶς γάρ ἐστιν ὄντως, [χ. βασίλισσα] ὁμοίους ἀνθρώπους ποιοῦσα Θεῷ. Γίνεσθε γάρ, φησιν, οἰκτίρμονες, ὡς ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος οἰκτίρμων ἐστίν. [Λουκ. ϛ. λϛ.] ὑπόπτερός ἐστι, καὶ κούφη, πτέρυγας ἔχουσα χρυσᾶς, [χ. ἔχει] πτῆσιν ἔχουσα πάνυ τέρπουσαν τοὺς ἀγγέλους. Ἐκεῖ, φησι, πτέρυγες περιστερᾶς περιηργυρωμέναι, καὶ τὰ μετάφρενα αὐτῆς ἐν χλωρότητι χρυσίου. [Ψαλ. ξζ. ιδ.] καθάπερ γὰρ περιστερά τις χρυσῆ καὶ ζῶσα, πέταται, ὄμμα προσηνὲς ἔχουσα, ὀφθαλμὸν ἥμερον. οὐδὲν τοῦ ὀφθαλμοῦ ἐκείνου βέλτιον. καλός ἐστι καὶ ὁ ταὼς, ἀλλὰ πρὸς ἐκείνην κολοιός ἐστιν· οὕτως ἡ ὄρνις αὕτη καλή τίς ἐστι, καὶ θαυμαστή. ἄνω διαπαντὸς ὁρᾷ, πολλῇ τοῦ Θεοῦ τῇ δόξῃ περιστοιχίζεται, παρθένος ἐστὶ [πτέρυγας ἔχουσα χρυσᾶς,] περιεσταλμένη, λευκὸν πρόσωπον ἔχουσα, καὶ ἥμερον. ὑπόπτε-

ρὸς

φησι, μὴ προστεθῆναι αὐτοῖς τὸν λόγον. ἄρα αὐτοὶ γεγόνασιν αἴτιοι τοῦ διὰ σαρκὸς φανῆναι τὸν Θεόν. τί δὲ καὶ ἔλεγον; Λαλείτω ἡμῖν Μωϋσῆς, καὶ μὴ λαλείτω ἡμῖν ὁ Θεός. τὰς γὰρ συγκρίσεις ποιοῦντες, μᾶλλον ἐκεῖνα αἱροῦσιν, ἵνα ταῦτα πολλῷ μείζονα δείξωσιν. ἐγὼ δὲ κἀκεῖνα ἡγούμενος θαυμαστά (Θεοῦ γὰρ ἔργα, καὶ τῆς αὐτοῦ δυνάμεως ἀπόδειξις) ὅμως καὶ ταύτῃ κρείττονα καὶ θαυμασιώτερα τὰ ἡμέτερα δείκνυμι. διπλῆ γὰρ μεγάλα· ὅτι τε λαμπρότερα, καὶ ὅτι μείζονα ὄντα, εὐπρόσιτα μᾶλλόν ἐστι, καὶ ἡμερώτερα. τοῦτο καὶ ἐν τῇ πρὸς Κορινθίους ἐπιστολῇ γράφων φησίν, Ἡμεῖς δὲ ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμεθα, καὶ οὐχ ὡς Μωϋσῆς ἐτίθει κάλυμμα ἐπὶ πρόσωπον αὐτοῦ. οὐκ ἠξιώθησαν, φησιν, ὧν ἡμεῖς, ἐκεῖνοι. τίνος γὰρ κατηξιώθησαν; σκότος εἶδον, γνόφον, φωνῆς ἤκουσαν. ἀλλὰ καὶ σὺ φωνῆς ἤκουσας, οὐ διὰ γνόφου, ἀλλὰ διὰ σαρκός. οὐ διεταράχθης, οὐδὲ διεθορυβήθης. ἀλλὰ καὶ ἔστης, καὶ διελέχθης τῷ μεσίτῃ. ἄλλως δέ, καὶ τὸ ἀόρατον δείκνυσι διὰ τοῦ σκότους. καὶ γνόφος, φησίν, ὑπὸ τοὺς πόδας αὐτοῦ. τότε καὶ Μωϋσῆς ἔδεισε· νυνὶ δὲ οὔ. κάτω εἱστήκει ὁ λαὸς τότε· ἡμεῖς δὲ οὐκ ἐσμὲν κάτω, ἀλλὰ τοῦ οὐρανοῦ ἀνώτεροι, ἐγγὺς τοῦ Θεοῦ ὡς υἱοί, ἀλλ' οὐχ ὡς Μωϋσῆς. ἐκεῖ ἔρημος ἦν, ἐνταῦθα πόλις. καὶ μυριάσιν ἀγγέλων, πανηγύρει. ἐνταῦθα τὴν χαρὰν δείκνυσι, καὶ τὴν εὐφροσύνην, ἀντὶ τοῦ γνόφου καὶ τοῦ σκότους καὶ τῆς θυέλλης. καὶ ἐκκλησίᾳ πρωτοτόκων ἐν οὐρανοῖς ἀπογεγραμμένων, καὶ κριτῇ Θεῷ πάντων. ἐκεῖνοι οὐ προσῆλθον, ἀλλὰ πόρρω εἱστήκεισαν, καὶ ὁ Μωϋσῆς· ὑμεῖς δὲ προσεληλύθατε. ἐνταῦθα αὐτῶν τὸν φόβον εἰπών, καὶ κριτῇ Θεῷ πάντων. ἄρα οὐχὶ τῶν Ἰουδαίων μόνον, οὐδὲ τῶν πιστῶν, ἀλλὰ καὶ τῆς οἰκουμένης ἁπάσης καθέζεται κριτής. καὶ πνεύμασι δικαίων τετελειωμένων. τὰς ψυχὰς λέγει τῶν εὐδοκίμων. καὶ διαθήκης νέας μεσίτῃ Ἰησοῦ, καὶ αἵματι ῥαντισμοῦ· τουτέστι, καθαρμοῦ. κρεῖττον λαλοῦντι παρὰ τὸν Ἄβελ. εἰ δὲ τὸ αἷμα λαλεῖ, πολλῷ μᾶλλον ὁ σφαγιασθεὶς ζῇ. τί δὲ λαλεῖ; ἄκουε· Καὶ τὸ πνεῦμα, φησι, λαλεῖ στεναγμοῖς ἀλαλήτοις. πῶς λαλεῖ; ἔνθα γὰρ ἂν εἰς εἰλικρινῆ διάνοιαν ἐμπέσῃ, αὐτὴν διανίστησι, καὶ ποιεῖ λαλεῖν. βλέπετε μὴ παραιτήσησθε τὸν λαλοῦντα· τουτέστι, μὴ ἀπογνῶτε. εἰ γὰρ ἐκεῖνοι οὐκ ἐξέφυγον, τὸν ἐπὶ τῆς γῆς παραιτησάμενοι χρηματίζοντα. τίνα λέγει; ἐμοὶ δοκεῖ, Μωϋσῆν. ὃ δὲ λέγει, τοῦτό ἐστιν· εἰ ἐπὶ γῆς νομοθετοῦντα παραιτησάμενοι οὐκ ἐξέφυγον, ἀπὸ τοῦ οὐρανοῦ νομοθετοῦντα πῶς παραιτησόμεθα; ἐνταῦθα ἐπιδείκνυσιν, οὐχ ὅτι ἄλλος ἐστὶν ἐκεῖνος. μὴ γένοιτο. οὐκ ἄλλον καὶ ἄλλον δείκνυσιν, ἀλλὰ ἐκεῖ φοβερὸς φαίνεται φωνὴν ἀφιεὶς ἐκ τοῦ οὐρανοῦ. αὐτὸς μὲν οὖν ἐστι καὶ οὗτος κἀκεῖνος· φοβερὸς δὲ οὗτος. οὐ γὰρ διαφορὰν λέγει προσώπων, ἀλλὰ δόσεως. πόθεν δῆλον; ἐξ ὧν ἐπήγαγε λέγων, Εἰ γὰρ ἐκεῖνοι οὐκ ἐξέφυγον παραιτησάμενοι τὸν ἐπὶ γῆς χρηματίζοντα, πολλῷ μᾶλλον ἡμεῖς οἱ τὸν ἀπ' οὐρανῶν ἀποστρεφόμενοι. τί οὖν; ἄλλος οὗτός ἐστι παρ' ἐκεῖνον; πῶς οὖν φησιν, οὗ ἡ φωνὴ τὴν γῆν ἐσάλευσε τότε; ἡ γὰρ τοῦ τότε δόντος τὸν νόμον φωνὴ τὴν γῆν ἐσάλευσε. νῦν δὲ ἐπήγγελται λέγων, ἔτι ἅπαξ ἐγὼ σείω οὐ μόνον τὴν γῆν, ἀλλὰ καὶ τὸν οὐρανόν. τὸ δέ, ἔτι ἅπαξ, δηλοῖ τῶν σαλευομένων τὴν μετάθεσιν, ὡς πεποιημένων. ἄρα ἐκ τοῦ μέσου πάντα ἀρθήσεται, καὶ ἐπὶ τὸ βέλτιον συμπαγήσεται ἄνωθεν. τοῦτο γὰρ αἰνίττεται ταῦτα λέγων ἐνταῦθα. τί τοίνυν ἀλγεῖς, ἐν κόσμῳ πάσχων οὐ μένοντι, ἐν κόσμῳ θλιβόμενος μικρὸν ὕστερον παροδευομένῳ; εἰ ἐν ὑστέρῳ τοῦ κόσμου ἡ ἄνεσις ἦν, τότε θλίβεσθαι ἐχρῆν πρὸς τὸ τέλος ὁρῶντα. ἵνα μείνῃ, φησί, τὰ μὴ σαλευόμενα. ποῖα δέ ἐστι τὰ μὴ σαλευόμενα; τὰ μέλλοντα.

ΗΘΙΚΟΝ

Πάντα τοίνυν ὑπὲρ τούτου πράττωμεν, ὥστε ἐκείνων τυχεῖν, ὥστε ἐκείνων ἀπολαῦσαι τῶν ἀγαθῶν. καὶ δέομαι καὶ ἀντιβολῶ, τοῦτο σπουδάζωμεν. οὐδεὶς ἐν πόλει μελλούσῃ καταπίπτειν οἰκοδομεῖ. εἰπὲ δή μοι, παρακαλῶ, εἴ τις ἔλεγεν ὅτι μετ' ἐνιαυτὸν αὕτη πεσεῖται ἡ πόλις, ἡ δ' ἑτέρα οὐ πάντως, ἆρα ἂν ᾠκοδόμησας ἐν τῇ μελλούσῃ καταπίπτειν; ὥστε τοῦτο καὶ νῦν

Marginalia: γ. εἰσαγόμενοι, — β. Κορ. γ. ιη. — γ. καὶ — γ. τῷ. ἀλλ. τὸ — Ρωμ. η. κς. — γ. πῶς; ὅταν γὰρ εἰς — γ. -ται, ὅτι καὶ ἀλλ. — γ. εἰσὶν — γ. καὶ εἰς τὸ βέλτιον συμ- — γ. -χροις μένει ἐν τῷ κόσ-

Σιὼν ὄρει, καὶ πόλει Θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ, καὶ μυριάσιν ἀγγέλων, πανηγύρει καὶ ἐκκλησίᾳ πρωτοτόκων ἐν οὐρανοῖς ἀπογεγραμμένων, καὶ κριτῇ Θεῷ πάντων, καὶ πνεύμασι δικαίων τετελειωμένων, καὶ διαθήκης νέας μεσίτῃ Ἰησοῦ, καὶ αἵματι ῥαντισμοῦ, κρεῖττον λαλοῦντι παρὰ τὸν Ἄβελ. ὅρα διὰ πόσων ἔδειξε τὸ ὑπερέχον τῆς καινῆς πρὸς τὴν παλαιάν. [χ. τὸ] ἀντὶ γὰρ τῆς κάτω Ἱερουσαλὴμ ἡ ἐπουράνιος. προσεληλύθατε γάρ, φησι, πόλει Θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ. ἀντὶ Μωϋσέως ὁ Ἰησοῦς· καὶ διαθήκης, φησί, νέας μεσίτῃ Ἰησοῦ. ἀντὶ δὲ τοῦ λαοῦ πάντες οἱ ἄγγελοι· καὶ μυριάσιν ἀγγέλων, πανηγύρει, φησί. τίνας δὲ πρωτοτόκους καλεῖ λέγων, καὶ ἐκκλησίᾳ πρωτοτόκων; πάντας τοὺς χοροὺς τῶν πιστῶν. τοὺς αὐτοὺς δὲ καὶ πνεύματα δικαίων τετελειωμένων λέγει. μὴ τοίνυν ἀγάλλετε, μετὰ τούτων ἔσεσθε, φησι. τί ἐστιν ὃ λέγει, αἵματι ῥαντισμοῦ, κρεῖττον λαλοῦντι παρὰ τὸν Ἄβελ; [Ἑβρ. ια. δ. Γεν. δ. ι.] τὸ γὰρ τοῦ Ἄβελ ἐλάλησε; ναί. καὶ πῶς, ἄκουε Παύλου λέγοντος, Πίστει πλείονα θυσίαν Ἄβελ παρὰ Καΐν προσήνεγκε· δι' ἧς ἐμαρτυρήθη εἶναι δίκαιος, καὶ δι' αὐτῆς ἀποθανὼν ἔτι λαλεῖ. τοῦτο καὶ ὁ Θεὸς δείκνυσι λέγων, Φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με. ἢ τοῦτο τοίνυν ἐστὶν εἰπεῖν, ἢ ὅτι ἔτι καὶ νῦν ᾄδεται· ἀλλ' οὐχ οὕτως ὡς τὸ τοῦ Χριστοῦ. τοῦτο γὰρ πάντας ἐκάθηρε, καὶ φωνὴν ἀφίησι λαμπροτέραν καὶ εὐσημοτέραν, ὅσῳ μείζονα τὴν μαρτυρίαν ἔχει τὴν διὰ τῶν πραγμάτων.

25 Βλέπετε μὴ παραιτήσησθε τὸν λαλοῦντα. Εἰ γὰρ ἐκεῖνοι οὐκ ἐξέφυγον, τὸν ἐπὶ γῆς παραιτησάμενοι χρηματίζοντα, πολλῷ μᾶλλον ἡμεῖς [χ. ὑμεῖς] οἱ τὸν ἀπ' οὐρανοῦ ἀποστρεφόμενοι·

26 [Ἀγγ. β ζ.] Οὗ ἡ φωνὴ τὴν γῆν ἐσάλευσε τότε· νῦν δὲ ἐπήγγελται λέγων, Ἔτι ἅπαξ ἐγὼ σείω οὐ μόνον τὴν γῆν, ἀλλὰ καὶ τὸν οὐρανόν.

27 Τὸ δέ, ἔτι ἅπαξ, δηλοῖ τῶν σαλευομένων τὴν μετάθεσιν, ὡς πεποιημένων, [χ. μεταπτ.] ἵνα μείνῃ τὰ μὴ σαλευόμενα.

28 Διὸ βασιλείαν ἀσάλευτον παραλαμβάνοντες, ἔχωμεν χάριν, δι' ἧς λατρεύωμεν εὐαρέστως τῷ Θεῷ μετὰ αἰδοῦς καὶ εὐλαβείας. [χ. παραλαβόντες. χ. ἔχομεν. χ. λατρεύομεν]

29 Καὶ γὰρ ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον. Φοβερὰ ἐκεῖνα, ἀλλὰ πολλῷ ταῦτα θαυμαστότερα [χ. φοβερώτερα] καὶ λαμπρότερα. οὐ γὰρ σκότος ἐνταῦθα, οὐδὲ γνόφος, οὐδὲ θύελλα, ὥσπερ ἐκεῖ. καὶ τίνος ἕνεκεν διὰ πυρὸς ὤφθη τότε ὁ Θεός; ἐμοὶ δοκεῖ δι' ἐκείνων αἰνίττεσθαι τὸ ἀσαφὲς τῆς παλαιᾶς, καὶ τὸ συνεσκιασμένον τοῦ νόμου, καὶ τὸ συγκεκαλυμμένον. ἄλλως δέ, ἵνα δείξῃ ὅτι ὁ νομοθέτης φοβερὸς ὀφείλει εἶναι, καὶ κολαστικὸς τοῖς παραβαίνουσι. τί δὲ ὁ ἦχος τῆς σάλπιγγος; εἰκότως, ἅτε ὡς βασιλέως τινὸς παρόντος. τοῦτο γενήσεται καὶ ἐπὶ τῆς δευτέρας [α. Κορ. ιε. νϛ.] ἔσται παρουσίας. Σαλπίσει γάρ, φησι, καὶ πάντες ἀναστησόμεθα. ὥστε τῇ τοῦ Θεοῦ δυνάμει πάντων ἡ ἀνάστασις ἔσται. ἡ δὲ φωνὴ τῆς σάλπιγγος οὐδὲν ἕτερον, ἀλλ' ἢ τοῦτο δηλοῖ, ὅτι πάντας ἐγηγέρθαι δεῖ. ἀλλὰ τότε μὲν ἦσαν ἐκεῖνα αἰσθητά, καὶ ὄψεις, καὶ φωναί· τὰ δὲ μετὰ ταῦτα πάντα, νοητά, καὶ ἀόρατα. καὶ τὸ μὲν πῦρ τοῦτο δηλοῖ, ὅτι ὁ Θεὸς πῦρ ἐστι. Πῦρ γάρ, φησιν, ὁ Θεὸς ἡμῶν καταναλίσκον. [Ἡσ. ϛ. δ.] ὁ δὲ γνόφος, καὶ τὸ σκότος, καὶ ὁ καπνὸς πάλιν τὸ φοβερὸν ἐμφαίνει. οὕτω καὶ ὁ Ἡσαΐας φησί, Καὶ ὁ οἶκος ἐπλήσθη καπνοῦ. καὶ ἡ θύελλα τί βούλεται; ῥᾴθυμον τὸ γένος τὸ ἀνθρώπινον ἦν. ἔδει τοίνυν αὐτοὺς διανίστασθαι τούτοις. οὐδεὶς γὰρ οὕτω νωθής, ὃς οὐκ ἂν τὴν διάνοιαν ἐξήγειρε γινομένων τούτων, καὶ νομοθετουμένων. Μωϋσῆς ἐλάλει, ὁ δὲ Θεὸς ἀπεκρίνετο αὐτῷ φωνῇ. ἔδει [β. Κορ. γ. ια.] γὰρ τοῦ Θεοῦ φέρεσθαι τὴν φωνήν. ἐπεὶ δὲ διὰ Μωϋσέως ἔμελλε νομοθετεῖν, διὰ τοῦτο ἀξιόπιστον αὐτὸν ποιεῖ. οὐχ ἑώρων αὐτὸν διὰ τὸν γνόφον, οὐκ ἤκουον αὐτοῦ διὰ τὸ ἰσχνόφωνον. τί οὖν; ἀποκρίνεται ὁ Θεὸς φωνῇ φθεγγόμενος, ὥσπερ καὶ δημηγορῶν, καὶ ἐξάκουστα ποιῶν τὰ νομοθετούμενα. ἀλλ' ἴδωμεν λοιπὸν τὰ εἰρημένα. οὐ γὰρ προσεληλύθατε ψηλαφωμένῳ ὄρει, καὶ κεκαυμένῳ πυρί, καὶ σάλπιγγος ἤχῳ, καὶ φωνῇ ῥημάτων, ἧς οἱ ἀκούσαντες παρῃτήσαντο, φησι,

Digitized by Google

τὸν βίον γίνεσθαι καθαρὸν, καὶ τὴν πολιτείαν ἀρίστην, καὶ μηδὲ παρὰ τὴν ἀρχὴν δέξασθαι κηλῖδά τινα. Εἰ δὲ ἐδεξάμεθα, μετὰ γοῦν τὴν κηλῖδα μὴ καθεύδωμεν, ἀλλὰ διαπαντὸς ἐπιμελώμεθα ἀποπλύνοντες τὸν ῥύπον, διὰ μετανοίας, διὰ δακρύων, διὰ εὐχῶν, διὰ ἐλεημοσύνης. Τί οὖν ἐὰν μὴ ἔχω; φησὶν, ἐλεημοσύνην ἐργάζεσθαι; ἀλλὰ ψυχροῦ ποτήριον ἔχεις· κἂν ἧς πένης, ἀλλὰ δύο λεπτὰ ἔχεις, κἂν ἧς ἐν πενίᾳ, ἀλλὰ πόδας ἔχεις ὥστε ἐπισκέψασθαι ἀρρώστους, ὥστε εἰς δεσμωτήριον εἰσελθεῖν, ἀλλὰ στέγην ἔχεις ὥστε δέξασθαι ξένους. Οὐ γάρ ἐστιν, οὐκ ἔστι συγγνώμη οὐδεμία τῷ ἐλεημοσύνην μὴ ἐργαζομένῳ. Ταῦτα συνεχῶς λέγομεν πρὸς ὑμᾶς, ἵνα κἂν μικρὸν ἀπὸ τῆς συνεχείας ἀνύσωμεν· ταῦτα λέγομεν, οὐ τῶν εὖ πασχόντων φροντίζοντες, ὡς ὑμῶν. Ἐκείνοις μὲν γὰρ τὰ ἐνταῦθα δίδοτε, ἀντιλαμβάνετε δὲ τὰ οὐράνια· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

γ. εἰ δὲ μὴ, μετὰ

γ. ὅπου ἂν

Λογ. λβ. 18 ΟΥ ΓΑΡ ΠΡΟΣΕΛΗΛΥΘΑΤΕ ΟΡΕΙ ΨΗ-
ΛΑΦΩΜΕΝῼ, καὶ κεκαυμένῳ πυρὶ, γνόφῳ καὶ σκότῳ καὶ θυέλλῃ, 19 Καὶ
σάλπιγγος ἤχῳ, καὶ φωνῇ ῥημάτων, ἧς οἱ ἀκούσαντες παρῃτήσαντο μὴ
προστεθῆναι αὐτοῖς λόγον (20 Οὐκ ἔφερον γὰρ τὸ διαστελλόμενον·
Κἂν θηρίον θίγῃ τοῦ ὄρους, λιθοβοληθήσεται. 21 Καὶ (οὕτω φοβε- Ἐξοδ. ιθ. ις.
ρὸν ἦν τὸ φανταζόμενον) Μωϋσῆς εἶπεν, Ἔκφοβός εἰμι καὶ ἔντρομος)
22 Ἀλλὰ προσεληλύθατε Σιὼν ὄρει, καὶ πόλει Θεοῦ ζῶντος, Ἱερουσα-
λὴμ ἐπουρανίῳ, καὶ μυριάσιν ἀγγέλων, 23 Πανηγύρει καὶ ἐκκλησίᾳ
πρωτοτόκων ἐν οὐρανοῖς ἀπογεγραμμένων, καὶ κριτῇ Θεῷ πάντων, καὶ πνεύ-
μασι δικαίων τετελειωμένων,
24 Καὶ διαθήκης νέας μεσίτῃ Ἰησοῦ, καὶ αἵματι ῥαντισμοῦ, κρεῖττον λα-
λοῦντι παρὰ τὸν Ἄβελ.

γ. ἔμφοβος

γ. τὸ

ἫΝ μὲν τὰ κατὰ τὴν παλαιὰν θαυμαστὰ, τὰ ἅγια τῶν ἁγίων· ἦν δὲ πάλιν φοβερὰ καὶ ταῦτα τὰ κατὰ τὸ Σινᾶ ὄρος γεγενημένα, τὸ πῦρ, τὸ σκότος, ὁ γνόφος, ἡ θύελλα. Ὤφθη γὰρ, φησιν, ὁ Θεὸς ἐν τῷ Σινᾶ διὰ πυρὸς καὶ θυέλλης καὶ γνόφου. Ἡ μέντοι διαθήκη ἡ καινὴ μετ' οὐδενὸς τούτων ἐδόθη, ἀλλ' ἐν διαλέξει ψιλῇ παρὰ τοῦ Χριστοῦ δέδοται. Ὅρα τοίνυν πῶς ποιεῖται τὰς συγκρίσεις καὶ τούτων. Καὶ εἰκότως αὐτὰ ὕστερον ἔθηκεν. Ὅτε γὰρ αὐτοὺς διὰ μυρίων ἔπεισεν, ὅτε καὶ τὸ μέσον ἔδειξεν ἑκατέρας τῆς διαθήκης, τότε λοιπὸν ὡς προκατηγωνισμένης αὐτῆς, ῥᾳδίως καὶ τούτοις ἐπιχειρεῖ. Καὶ τί φησιν; Οὐ γὰρ προσεληλύθατε ὄρει ψηλαφωμένῳ, καὶ κεκαυμένῳ πυρὶ, καὶ γνόφῳ, καὶ σκότῳ, καὶ θυέλλῃ, καὶ σάλπιγγος ἤχῳ, καὶ φωνῇ ῥημάτων, ἧς οἱ ἀκούσαντες παρῃτήσαντο μὴ προστεθῆναι αὐτοῖς λόγον. [Οὐκ ἔφερον γὰρ τὸ διαστελλόμενον· κἂν θηρίον θίγῃ τοῦ ὄρους, λιθοβοληθήσεται.] Φοβερὰ ταῦτα, φησὶ, καὶ οὕτω φοβερὰ, ὡς μηδὲ φέρειν τὴν ἀκοὴν, ὡς μηδὲ θηρίον τολμᾶν ἀνιέναι. Ἀλλ' οὐ τοιαῦτα οἷα τὰ μετὰ ταῦτα. Τί γὰρ τὸ Σινᾶ πρὸς τὸν οὐρανόν; τί δὲ τὸ ψηλαφώμενον πῦρ πρὸς τὸν ἀψηλάφητον Θεόν; Ὁ Θεὸς γὰρ ἡμῶν πῦρ καταναλίσκον, φησίν. Ὅτι δὲ φρίκης ἔγεμον τὰ ἐν τῷ ὄρει τότε γεγενημένα, δῆλον ἐξ ὧν ἔλεγον, Μὴ λαλείτω ὁ Θεὸς, ἀλλὰ λαλείτω ἡμῖν Μωϋσῆς. Οὐκ ἔφερον γὰρ, φησι, τὸ διαστελλόμενον· κἂν θηρίον θίγῃ τοῦ ὄρους, λιθοβοληθήσεται. Καὶ (οὕτω φοβερὸν ἦν τὸ φανταζόμενον) Μωϋσῆς εἶπεν, Ἔκφοβός εἰμι καὶ ἔντρομος. Τί θαυμαστὸν εἰ περὶ τοῦ λαοῦ τοιαῦτα παθεῖν διαλέγεται, ὅπου καὶ αὐτὸς ὁ εἰς τὸν γνόφον εἰσελθὼν, οὗ ἦν ὁ Θεὸς, φησιν, ἔμφοβός εἰμι καὶ ἔντρομος; Ἀλλὰ προσεληλύθατε

γ. σημεῖα

γ. -ται καὶ πάλαι ἦν τὸ ἅπαντα ταῦτα. ἡ

Γεν ιθ. κ.

Ἑβρ. ιβ. κθ.

γ. ἐμφ.

λέγω, ἐὰν ᾖς πεπεισμένος σαυτὸν ἁμαρτωλὸν εἶναι. οὐχ οὕτω τοῦτο δύναται ταπεινῶσαι ψυ-
χὴν, ὡς αὐτὰ ἐφ' ἑαυτῶν τὰ ἁμαρτήματα, [καὶ] κατ' εἶδος ἐξεταζόμενα. οὐ μνησικακή-
σεις, ταῦτα δι' ὅλου ἔχων ἐν τῇ μνήμῃ, οὐκ ὀργισθήσῃ, οὐ λοιδορήσεις, οὐ φρονήσεις μέγα, οὐ
περιπεσῇ πάλιν τοῖς αὐτοῖς, σφοδρότερος ἔσῃ* πρὸς τὰ ἀγαθά. ὁρᾷς ὅσα ἀπὸ τῆς μνή- * τῇ σπ.
μης τῶν ἁμαρτημάτων τίκτεται καλά; ἐγγραφώμεθα τοίνυν αὐτὰ εἰς τὰς διανοίας ἡμῶν. μία
οἶδα ὅτι οὐκ ἀνέχεται ἡ ψυχὴ τῆς μνήμης τῆς οὕτω πικρᾶς. ἀλλ' ἀναγκάζωμεν αὐ-
τὴν, καὶ βιαζώμεθα. βέλτιον δάκνεσθαι αὐτὴν τῇ μνήμῃ νῦν, ἢ κατ' ἐκεῖνον τὸν και-
ρὸν τῇ τιμωρίᾳ. νῦν ἐὰν ᾖς αὐτῶν μεμνημένος, καὶ συνεχῶς αὐτὰς προσφέρῃς τῷ Θεῷ,
καὶ ὑπὲρ αὐτῶν δέῃ, ταχέως ἐξαλείψεις αὐτάς· ἐὰν δὲ νῦν ἐπιλάθῃ, τότε αὐτῶν ἀναμνη-
σθήσῃ καὶ ἄκων, ἐπὶ τῆς οἰκουμένης ἁπάσης εἰς μέσον φερομένων αὐτῶν, καὶ ἐκπομπευομέ-
β. Βασ. ιβ. ιβ. νων ἐπὶ πάντων, καὶ φίλων, καὶ ἐχθρῶν, καὶ ἀγγέλων. οὐ γὰρ δὴ πρὸς Δαβὶδ ἔλεγε μόνον, Σὺ
ἐν κρυφῇ ἐποίησας, ἐγὼ ποιήσω πᾶσι καταδήλως, ἀλλὰ καὶ πρὸς πάντας ἡμᾶς. ἐφοβήθης
ἀνθρώπους, φησὶ, καὶ ἠσχύνθης τοῦ Θεοῦ πλέον· καὶ τοῦ Θεοῦ ὁρῶντος οὐκ ἐφρόντισας, ἀλλὰ
τοὺς ἀνθρώπους ᾐδέσθης. οἱ ὀφθαλμοὶ γάρ, φησι, τῶν ἀνθρώπων, "τοῦτο ὁ φόβος αὐτῶν. χ. ἐπὶ
διὰ τοῦτο" ἐπὶ τούτων αὐτῶν δώσεις δίκην. Ἐλέγξω γάρ σε, ὑπὸ τοῖς ἁπάντων ὀφθαλ- χ. ἐν τούτῳ αὐτῷ
μοῖς στήσας σου τὰ ἁμαρτήματα. ὅτι γὰρ τοῦτο ἐστὶν ἀληθὲς, καὶ κατ' ἐκείνην τὴν ἡμέραν πάν-
των ἡμῶν ἐκπομπεύεται τὰ ἁμαρτήματα, ἐὰν μὴ νῦν αὐτὰ τῇ συνεχεῖ μνήμῃ "ἀφανίσω- χ. ἀπαλείψωμεν.
μεν, ἄκουσον πῶς ἐκπομπεύεται ἡ ὠμότης, καὶ ἡ ἀπανθρωπία τῶν ἐν ζωῇ μὴ ἐλεησάν-
Ματθ. κε. μβ. των. Ἐπείνασα, φησὶ, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν. πότε ταῦτα λέγεται; ἆρα ἐν γωνίᾳ;
ἆρα ἐν παραβύστῳ; οὐδαμῶς, ἀλλὰ πότε; ὅταν ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐ-
τοῦ, καὶ πάντα τὰ ἔθνη συναγάγῃ, ὅταν ἀφορίσῃ τούτους κἀκείνους, τότε πάντων ἀκουόντων
"ἐρεῖ, στήσας ἐκ δεξιῶν, καὶ ἐξ εὐωνύμων, Ἐπείνασα, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν. ὅρα πά- χ. ἐρεῖ καὶ στῆσαι ἐκ δεξ.
Ματθ. κε. ιβ. λιν καὶ τὰς πέντε παρθένους ἐπὶ πάντων ἀκουούσας, Οὐκ οἶδα ὑμᾶς. αἱ γὰρ πέντε, καὶ πέντε,
οὐχὶ τὸν ἀριθμὸν δηλοῦσι τῶν πέντε μόνον, ἀλλὰ πάσας τὰς πονηρὰς καὶ ὠμοὺς καὶ ἀπανθρώ-
πους τῶν παρθένων, καὶ τὰς μὴ τοιαύτας. οὕτω καὶ ὁ τὸ ἓν τάλαντον κατορύξας, ἤκουσεν ἐπὶ πάν-
Ματθ. κε. κς. των, καὶ τῶν τὰ πέντε, καὶ τῶν τὰ δύο προσενεγκόντων, Πονηρὲ δοῦλε, καὶ ὀκνηρέ. οὐ διὰ ῥη-
μάτων* μόνον, ἀλλὰ καὶ διὰ πραγμάτων τότε ἐλέγχει αὐτούς· καθάπερ καὶ ὁ εὐαγγελιστής * ἢ
Ἰωάν. ιθ. λζ. φησιν, Ὄψονται εἰς ὃν ἐξεκέντησαν. ὁμοῦ γὰρ ἡ ἀνάστασις ἔσται πάντων, καὶ ἁμαρτωλῶν, καὶ
δικαίων· ὁμοῦ παρέσται κρίνων ἅπασιν. ἐννόησον οὖν τίνες ἔσονται τότε οἱ ἐν κατηφείᾳ, οἱ
Ματθ. κε. λδ. ἐν ὀδύνῃ, οἱ ἑλκόμενοι εἰς τὸ πῦρ, στεφανουμένων ἑτέρων. Δεῦτε, φησιν, οἱ εὐλογημέ-
μα. νοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κό-
σμου. καὶ πάλιν, Ἀπέλθετε ἀπ' ἐμοῦ εἰς τὸ πῦρ τὸ ἡτοιμασμένον τῷ διαβόλῳ, καὶ τοῖς ἀγ-
γέλοις αὐτοῦ. μὴ ἁπλῶς τῶν ῥημάτων ἀκούωμεν, ἀλλ' ὑπογράψωμεν αὐτὰ καὶ τῇ ὄψει,
καὶ νομίσωμεν νῦν παρεῖναι αὐτὸν, καὶ λέγειν ταῦτα, καὶ ἀπάγεσθαι ἡμᾶς εἰς τὸ πῦρ ἐκεῖνο. "τί- χ. ποίαν
να ἕξομεν ψυχήν; ποίαν παραμυθίαν; τί δὲ ὅταν διχοτομώμεθα; τί δὲ ὅταν ὑπὲρ ἁρπαγῆς
ἐγκαλώμεθα; ποίαν ἕξομεν "εἰπεῖν πρόφασιν; τίνα λόγον εὐπρόσωπον; οὐδένα· ἀλλ' γ. ἀπολογίαν εἰπεῖν; τίνα
ἀνάγκη δεσμουμένους, κάτω νεύοντας, σύρεσθαι πρὸς τὰ τῶν καμίνων στόματα, πρὸς τὸν
ποταμὸν τοῦ πυρὸς, πρὸς τὸ σκότος, πρὸς τὰς ἀθανάτους κολάσεις, καὶ μηδὲ ὅλως πρὸς
Λουκ. ις. κς. ἀπαλλαγὴν δύνασθαι. οὐ γὰρ ἔστι, φησιν, οὐκ ἔστιν ἐντεῦθεν διαβῆναι ἐκεῖ. Χάσμα γὰρ
μέγα μεταξὺ ἡμῶν τε, καὶ ὑμῶν· καὶ οὐδὲ βουλομένοις ἔνι μεταβῆναι, καὶ ὀρέξαι χεῖρα· ἀλλ'
ἀνάγκη καίεσθαι διαπαντὸς, οὐδενὸς ἡμῖν ἀμύνοντος, κἂν πατὴρ ᾖ, κἂν μήτηρ, κἂν ὁστισ-
Ψαλ. μη. ζ. οῦν, κἂν πολλὴν ἔχῃ πρὸς τὸν Θεὸν παρρησίαν. Ἀδελφὸς γὰρ, φησιν, οὐ λυτροῦται,
λυτρώσεται ἄνθρωπος; ἐπεὶ οὖν οὐκ ἔστιν ἐν ἑτέρῳ τὰς ἐλπίδας ἔχειν τῆς σωτηρίας, ἀλλ'
ἐν αὐτῷ μετὰ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, παρακαλῶ, πάντα πράττωμεν, ὥστε ἡμῖν

τὸν

Digitized by Google

οἰκοδομοῦντες αὐτόν· ἄκουε πῶς ἀσφαλιζόμενος, καὶ πρὶν ἢ μετεάζειν, εἶπε πρὸς αὐτὸν μόνον ὁ Χριστός, Σίμων, Σίμων, ἰδοὺ, ὁ Σατανᾶς ἐξῃτήσατο σινιάσαι σε ὡς τὸν σῖτον, κἀγὼ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλίπῃ ἡ πίστις σου. ἐπειδὴ γὰρ εἰκὸς ἦν αὐτὸν μέγα φρονεῖν, συνειδότα ἑαυτῷ, ὅτι μᾶλλον ἁπάντων ἀγαπᾷ τὸν Χριστόν, διὰ τοῦτο συγχωρεῖται πεσεῖν, ἀπαρνήσασθαι τὸν διδάσκαλον, διὰ τοῦτο καὶ κλαίει πικρῶς, καὶ τὰ ἄλλα τὰ ἑξῆς τοῦ κλαυθμοῦ "ὁμοίως ποιεῖ. τί γὰρ οὐκ ἐποίησε; μυρίοις κινδύνοις ἑαυτὸν περιέβαλε μετὰ" ταῦτα, διὰ πάντων δεικνὺς αὐτοῦ τὴν ἀνδρείαν, καὶ τὸ παράσημα τῆς ψυχῆς. μετενόησε καὶ ὁ Ἰούδας, ἀλλὰ κακῶς. ἀπήγξατο γάρ. μετενόησεν (ὅπερ ἔφην) καὶ Ἡσαῦ. μᾶλλον δὲ οὐδὲ οὐδὲ μετενόησε. τὰ γὰρ δάκρυα οὐκ ἦν μετανοίας, ἀλλ' ἐπηρείας, καὶ θυμοῦ μᾶλλον· καὶ δείκνυσι τὰ ἑξῆς. μετενόησεν ὁ μακάριος Δαβὶδ οὕτω λέγων, Λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου· ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω· καὶ τὴν πάλαι γεγενημένην ἁμαρτίαν, μετὰ τοσαῦτα ἔτη, μετὰ τοσαύτας γενεάς, ὡς νεωστὶ συμβᾶσαν ἐπένθει. τὸν γὰρ μετανοοῦντα οὐκ ὀργίζεσθαι χρὴ, οὐδὲ ἀγριαίνειν, ἀλλὰ συντετρίφθαι ὡς κατεγνωσμένον, ὡς οὐκ ἔχοντα παρρησίαν, ὡς καταδεδικασμένον, ὡς ἀπὸ ἐλέους σωθῆναι ὀφείλοντα μόνου, ὡς ἀγνώμονα περὶ τὸν εὐεργέτην φανέντα, ὡς ἀχάριστον, ὡς ἀδόκιμον, ὡς μυρίων κολάσεων ἄξιον. ἐὰν ταῦτα λογίζηται, οὐκ ὀργισθήσεται, οὐκ ἀγανακτήσει, ἀλλὰ πενθήσει, κλαύσει, στενάξει, καὶ ὀδυρεῖται νύκτα καὶ ἡμέραν. τὸν μετανοοῦντα, οὐδέποτε χρὴ λήθῃ παραδοῦναι τὴν ἁμαρτίαν, ἀλλὰ τὸν μὲν Θεὸν παρακαλεῖν μὴ μνησθῆναι αὐτῆς, αὐτὸν δὲ μηδέποτε ἐπιλανθάνεσθαι αὐτῆς. ἐὰν ἡμεῖς * αὐτῆς μνημονεύωμεν, ὁ Θεὸς αὐτῆς * ἐπιλήσεται. παρ' ἡμῶν αὐτῶν δίκην λάβωμεν, ἡμῶν αὐτῶν κατηγορήσωμεν· οὕτως "ἐξιλεωσόμεθα τὸν κριτήν. ἁμαρτία γὰρ ὁμολογουμένη, ἐλάττων γίνεται· μὴ ὁμολογουμένη δὲ, χείρων. ἂν γὰρ προσλάβῃ ἁμαρτία τὴν ἀναισχυντίαν καὶ τὴν ἀγνωμοσύνην, οὐδέποτε στήσεται. πῶς δαὶ ὅλως ὁ τοιοῦτος δυνήσεται φυλάξασθαι πάλιν μὴ τοῖς αὐτοῖς περιπεσεῖν, ὁ δὲ πρότερον οὐκ εἰδὼς ὅτι ἥμαρτε; μὴ τοίνυν ἀρνώμεθα, παρακαλῶ, μηδὲ ἀναισχυντῶμεν, ἵνα μὴ καὶ ἄκοντες δῶμεν τιμωρίαν. ἤκουσε Κάϊν παρὰ τοῦ Θεοῦ, Ποῦ ἐστιν Ἄβελ ὁ ἀδελφός σου; καί φησιν, Οὐκ οἶδα· μὴ φύλαξ ἐγώ εἰμι τοῦ ἀδελφοῦ μου; εἶδες πῶς [τοῦτο] χαλεπωτέραν τὴν ἁμαρτίαν εἰργάσατο; ἀλλ' οὐχ ὁ πατὴρ αὐτοῦ οὕτως· ἀλλὰ τί; ἀκούσας, Ἀδὰμ ποῦ εἶ; φησίν, Ἤκουσα τῆς φωνῆς σου, καὶ ἐφοβήθην, ὅτι γυμνός εἰμι, καὶ ἐκρύβην. μέγα ἀγαθὸν, ἐπιγινώσκειν τὰ ἁμαρτήματα, καὶ μιμνήσκεσθαι αὐτῶν διηνεκῶς. οὐδὲν οὕτω θεραπεύει πλημμέλειαν, ὡς μνήμη διηνεκής· οὐδὲν οὕτως ὀκνηρὸν ἄνθρωπον ποιεῖ πρὸς κακίαν. οἶδα ὅτι ἀποπηδᾷ, καὶ οὐκ ἀνέχεται τὸ συνειδὸς ὑπὸ τῆς μνήμης μαστίζεσθαι τῶν κακῶν. ἀλλ' ἄγχε τὴν ψυχὴν, καὶ ἐπίθες αὐτῇ χαλινόν. καθάπερ γὰρ ἵππος δυσήνιος, οὕτω δυσανασχετεῖ, καὶ οὐ βούλεται πεῖσαι ἑαυτὴν, ὅτι ἥμαρτε. τοῦτο δὲ ὅλον ἐστὶ Σατανικόν. ἀλλ' ἡμεῖς αὐτὴν πείθωμεν ὅτι ἥμαρτεν· ἵνα καὶ μετανοήσῃ, καὶ ἵνα μετανοήσασα ἀπαλλαγῇ τῶν κολάσεων. πῶς ἀξιοῖς συγγνώμης τυχεῖν, εἰπέ μοι, ἐπὶ τοῖς "ἁμαρτήμασι μηδέπω ταῦτα ὁμολογήσας; πάντως ἐκεῖνος ἐστὶν ἐλέους καὶ φιλανθρωπίας ἄξιος, ὁ ἡμαρτηκώς. σὺ δὲ μηδέπω πείσας σαυτὸν ἡμαρτηκέναι, πῶς ἀξιοῖς "ἐλεηθῆναι, ἐπὶ τοῖς πλημμελήμασιν οὕτως ἀναισχυντῶν; πείθωμεν ἑαυτοὺς ὅτι ἡμάρτομεν. μὴ τῇ γλώττῃ λέγωμεν μόνον, ἀλλὰ καὶ τῇ διανοίᾳ· μὴ ἁμαρτωλοὺς καλῶμεν ἑαυτοὺς μόνον, ἀλλὰ καὶ τὰ ἁμαρτήματα ἀναλογιζώμεθα, κατ' εἶδος ἕκαστον ἀναλέγοντες. οὐ λέγω σοι, ἐκπόμπευσον σαυτόν, οὐδὲ παρὰ τοῖς ἄλλοις κατηγόρησον, ἀλλὰ πείθεσθαι συμβουλεύω τῷ προφήτῃ λέγοντι, Ἀποκάλυψον πρὸς Κύριον τὴν ὁδόν σου. ἐπὶ τοῦ Θεοῦ ταῦτα ὁμολόγησον, ἐπὶ τοῦ δικαστοῦ ὁμολόγει τὰ ἁμαρτήματα, εὐχόμενος, εἰ καὶ μὴ τῇ γλώττῃ, ἀλλὰ τῇ μνήμῃ, καὶ οὕτως ἀξίου ἐλεηθῆναι. ἂν ἔχῃς τὰ ἁμαρτήματα διηνεκῶς ἐν τῇ μνήμῃ, οὐδέποτε τῷ πλησίον μνησικακήσεις. οὐ τοῦτο δὲ

Λουκ. κβ. λα.

γρ. ὅμοια πεποίηκε. τί γὰρ πεποίηκε; μυ- γρ. -τα καὶ διὰ πολλῶν δείκνυσιν αὐτοῦ

Ψαλ. ϛ. ϛ.

* μὴ

* οὐκ

γρ. -σώμεθα

Γεν. δ. θ.

Γεν. γ. ι.

γρ. ὅτι, ἃ μηδέπω ὡμολόγησας

γρ. -ναι, ἢ ἐπὶ τοῖς π-

Ψαλ. λϛ. ε.



Digitized by Google

μεῖ πολλάκις. ὅτι οὐδενὸς ἄξια εἶναι ἐνόμισε τὰ πρωτοτόκια. διὸ καὶ προσθεὶς τῆς ἀναπαύσεως τῆς προσκαίρου, καὶ μέχρι τῶν πρωτοτοκίων ἔφθασεν. ὥστε ἡμῶν τὰ πρωτοτόκια λοιπὸν, οὐχὶ Ἰουδαίων. ἅμα δὲ καὶ πρὸς τὸ πάθος αὐτῶν τοῦτο συμβάλλεται. μονονουχὶ τοῦτο γὰρ διὰ τούτου αἰνίττεται, ὅτι ὁ πρῶτος, ὕστερος γέγονε, καὶ ὁ δεύτερος, πρῶτος· ὁ μὲν διὰ καρτερίαν πρῶτος, ἐκεῖνος διὰ ῥᾳθυμίαν ὕστερος. γρ. ἕως γρ. τούτῳ προ-

17 Ἴστε γὰρ, φησὶν, ὅτι καὶ μετέπειτα θέλων κληρονομῆσαι τὴν εὐλογίαν, ἀπεδοκιμάσθη. μετανοίας γὰρ τόπον οὐχ εὗρε, καίπερ μετὰ δακρύων ἐκζητήσας αὐτήν.

Τί δή τοῦτό ἐστι; ἆρα μὴ τὴν μετάνοιαν ἐκβάλλει; οὐδαμῶς. ἀλλὰ πῶς φησὶ, μετανοίας τόπον οὐχ εὗρεν; εἰ γὰρ κατέγνω ἑαυτοῦ, εἰ ἀνῴμωξε μέγα, διὰ τί οὐχ εὗρε τόπον μετανοίας; ὅτι οὐκ ἦν μετανοίας τὸ πρᾶγμα. ὥσπερ γὰρ ἡ λύπη τοῦ Κάϊν οὐκ ἦν μετανοίας, καὶ ὁ φόνος ἔδειξεν· οὕτω καὶ ἐνταῦθα οὐκ ἦν μετανοίας τὰ ῥήματα, καὶ μετὰ ταῦτα ὁ φόνος ἔδειξε. (γρ. -δια. ἐπεὶ οὐκ) καὶ γὰρ καὶ αὐτὸς τῇ προαιρέσει ἀνεῖλε τὸν Ἰακώβ. (Γεν. κζ. μα.) Ἐγγισάτωσαν γὰρ, φησὶν, αἱ ἡμέραι τοῦ πένθους τοῦ πατρός μου, καὶ ἀποκτενῶ Ἰακὼβ τὸν ἀδελφόν μου. διὰ τοῦτο οὐκ ἴσχυσε τὰ δάκρυα μετάνοιαν αὐτῷ δοῦναι. (γρ. αἰτῶ) καὶ οὐκ εἶπε μετανοίας ἁπλῶς, ἀλλὰ καὶ, μετὰ δακρύων ἐκζητήσας, μετανοίας τόπον οὐχ εὗρε. τί δήποτε; ὅτι οὐ μετενόησεν ὡς ἔδει τότε (τοῦτο γάρ ἐστι μετάνοια) οὐ μετενόησεν ὡς ἐχρῆν. (γρ. -τιν ὅτι διὰ μετα-) ἐπεὶ πῶς ταῦτα ἔλεγε; πῶς νωθεῖς γινομένους παρεκάλει [πάλιν]; πῶς χωλοὺς γινομένους; πῶς παραλυθέντας; πῶς παρειμένους; τοῦτο γὰρ ἀρχὴ τελειώσεώς ἐστιν. ἐμοὶ δοκεῖ αἰνίττεσθαί τινας ἐν αὐτοῖς πόρνους, οὐ μέντοι βούλεσθαι ἐλέγχειν αὐτοὺς τέως· ἀλλὰ προσποιεῖται ἄγνοιαν, ἵνα διορθώσωνται. δεῖ γὰρ πρῶτον μὲν ἄγνοιαν ὑποκρίνεσθαι· μετὰ δὲ ταῦτα, ὅταν ἐπιμένωσι, τότε καὶ τὸν ἔλεγχον ἐπάγειν, ὥστε μὴ ἀπαναισχυντῆσαι. ὅπερ καὶ Μωϋσῆς ἐποίησεν ἐπὶ Ζαμβρεὶ καὶ τῆς Χασβίτιδος. (γρ. Μαδιανίτιδος.) μετανοίας γάρ, φησὶ, τόπον οὐχ εὗρεν, οὐχ εὗρε μετάνοιαν· ἢ ὅτι μετανοίας μείζονα ἥμαρτεν, ἢ ὅτι μετάνοιαν ἀξίαν οὐκ ἐπεδείξατο. ἔστιν ἄρα ἁμαρτήματα μετανοίας μείζονα. ὃ δὲ λέγει τοῦτό ἐστι· μὴ πέσωμεν πτῶμα ἀνίατον. ἕως μὲν γὰρ ἡ χωλεία τὸ πρᾶγμα, εὔκολον γενέσθαι ὀρθόν· ἐὰν δὲ ἐκτραπῶμεν, τί ἔσται λοιπόν; τοῖς μὲν γὰρ μηδέπω πεσοῦσιν οὕτω διαλέγεται, τῷ φόβῳ συγκροτῶν αὐτοὺς, καί φησιν ὅτι οὐκ ἔστι πεσόντα παραμυθίας τυχεῖν· τοῖς δὲ πεσοῦσιν, ὥστε μὴ εἰς ἀπόγνωσιν ἐμπεσεῖν, τὴν ἀλυπίαν παραινεῖ, οὕτω λέγων· (Γαλ. δ. θ.) Τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν. καὶ πάλιν, (Γαλ. ε. δ.) Οἵτινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσετε. ἰδοὺ μαρτυρεῖ ὅτι ἐξέπεσον. ὁ μὲν γὰρ ἑστὼς, ἀκούων ὅτι πεσόντα οὐκ ἔστι συγγνώμης τυχεῖν, σφοδρότερος ἔσται, καὶ ἀσφαλέστερος περὶ τὴν στάσιν. ἂν μέντοι καὶ περὶ τὸν πεπτωκότα τῇ αὐτῇ χρήσῃ σφοδρότητι, οὐδέποτε ἀναστήσεται. ποίᾳ γὰρ ἐλπίδι τὴν μεταβολὴν ἐπιδείξεται; [οὐ μόνον δέ φησιν, ἐδάκρυσεν, ἀλλὰ καὶ ἐξεζήτησεν.] οὐ τοίνυν ἐκβάλλει μετάνοιαν, λέγων, μετανοίας τόπον οὐχ εὗρεν· ἀλλ᾽ ἀσφαλίζεται αὐτοὺς μᾶλλον διὰ τούτου πρὸς τὸ μὴ πεσεῖν.

ΗΘΙΚΟΝ

Ὅσοι τοίνυν ἀπιστοῦσι τῇ γεέννῃ, ταῦτα ἀναμιμνησκέσθωσαν· ὅσοι νομίζουσιν ἀτιμώρητα ἁμαρτάνειν, ταῦτα λογιζέσθωσαν. διὰ τί Ἠσαῦ οὐκ ἔτυχε συγγνώμης; ὅτι οὐ μετενόησεν ὡς ἐχρῆν. θέλεις ἰδεῖν μετάνοιαν ἀκριβῆ; ἄκουσον τὴν τοῦ Πέτρου μετάνοιαν μετὰ τὴν ἄρνησιν. διηγούμενος γὰρ ἡμῖν τὰ κατ᾽ αὐτὸν ὁ εὐαγγελιστὴς, φησὶ, (Ματθ. κϛ. οε.) Καὶ ἐξελθὼν ἔξω, ἔκλαυσε πικρῶς. διὰ τοῦτο καὶ ἀφείθη αὐτῷ τὸ τοιοῦτον ἁμάρτημα, ὅτι μετενόησεν ὃν ἔδει τρόπον. καίτοι οὔπω τὸ θῦμα προσενήνεκτο, οὔπω ἡ θυσία ἐπεγένετο, οὔπω ἦρτο ἡ ἁμαρτία, ἔτι ἐκράτει καὶ ἐτυράννει. καὶ ἵνα μάθῃς, ὅτι οὐχ οὕτω ῥᾳθυμίας ἦν ἡ ἄρνησις, ὅσον ἐγκαταλείψεως τοῦ Θεοῦ παιδεύοντος αὐτὸν εἰδέναι τὰ ἀνθρώπινα μέτρα, καὶ μὴ ἀντιλέγειν τοῖς παρὰ τοῦ διδασκάλου λεγομένοις, μηδὲ μείζονα τῶν ἄλλων φρονεῖν, ἀλλ᾽ εἰδέναι ὅτι χωρὶς Θεοῦ οὐδὲν γενέσθαι δυνατὸν, καὶ ὅτι (Ψαλ. ρκϛ. α.) Ἐὰν μὴ ὁ Κύριος οἶκον οἰκοδομήσῃ, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες

Digitized by Google

Λογ. λα. 14 ΕΙΡΗΝΗΝ ΔΙΩΚΕΤΕ ΜΕΤΑ ΠΑΝΤΩΝ, καὶ τὸν ἁγιασμόν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον.

ΠΟλλὰ μέν ἐστι τὰ χαρακτηρίζοντα τὸν χριστιανισμόν· μᾶλλον δὲ πάντων, καὶ κρεῖττον ἁπάντων, ἡ πρὸς ἀλλήλους ἀγάπη καὶ ἡ εἰρήνη. διὰ τοῦτο καὶ ὁ Χριστός φησιν, Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν. καὶ πάλιν, Ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους. διὰ τοῦτο καὶ ὁ Παῦλος νῦν φησιν, Εἰρήνην διώκετε μετὰ πάντων, καὶ τὸν ἁγιασμὸν (τουτέστι, τὴν σεμνότητα) οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον. Ιωαν. ιδ. κζ. Ιωαν. ιγ. λε.

15 Ἐπισκοποῦντες μή τις ὑστερῶν ἀπὸ τῆς χάριτος τοῦ Θεοῦ.

Καθάπερ ὁδοί τινα μακρὰν ὁδεύοντες ἐν συνοδίᾳ πολλῇ, βλέπετε, φησί, μή τις ἀπέμεινεν. οὐ γὰρ τοῦτο ζητῶ μόνον, ἵνα ὑμεῖς παραγένησθε, ἀλλ' ἵνα καὶ τοὺς ἄλλους ἐπισκοπῆτε. μή τις ὑστερῶν, φησίν, ἀπὸ τῆς χάριτος τοῦ Θεοῦ. χάριν Θεοῦ, τὰ μέλλοντα καλεῖ ἀγαθά, τὴν πίστιν τὴν εὐαγγελικήν, τὴν ἀρίστην πολιτείαν. πάντα γὰρ τῆς τοῦ Θεοῦ χάριτός ἐστι. μὴ οὖν μοι εἴπῃς, ὅτι εἷς ἐστιν ὁ ἀπολλύμενος, καὶ δι' ἕνα ὁ Χριστὸς ἀπέθανε. δι' ἕνα ὁ Χριστὸς ἀπέθανε, σὺ δὲ οὐ φροντίζεις; ἐπισκοποῦντες, φησί· τουτέστιν, ἀκριβῶς ἐρευνῶντες, ἐπισκεπτόμενοι, καταμανθάνοντες (ὅπερ ἐστὶν ἐπὶ τῶν ἀσθενῶν) καὶ διὰ πάντων ἐξετάζοντες, [καταμανθάνοντες]. Μή τις ῥίζα πικρίας ἄνω φύουσα ἐνοχλῇ.

χ. δι' ὃν Χριστὸς

Τοῦτο ἐν τῷ Δευτερονομίῳ κεῖται· ἔλαβε δὲ αὐτὸ ἀπὸ μεταφορᾶς τῶν φυτῶν. μή τις ῥίζα, φησί, πικρίας. ὃ καὶ ἀλλαχοῦ γράφων λέγει, Μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ. οὐκ ἐκείνου μόνον ἕνεκεν τοῦτο, φησί, βούλομαι, ἀλλὰ καὶ διὰ τὴν ἐξ αὐτοῦ γινομένην βλάβην. τουτέστι, κἂν ᾖ τις ῥίζα τοιαύτη, μηδεμίαν βλάστην ἀφῆτε ἀνελθεῖν, ἀλλ' ἐκκοπτέσθω, ὥστε μὴ φέρειν τοὺς οἰκείους καρπούς, ὥστε μὴ καὶ τοὺς ἄλλους μολύνειν καὶ μιαίνειν. μή τις γάρ, φησί, ῥίζα πικρίας ἄνω φύουσα ἐνοχλῇ, Καὶ διὰ ταύτης μιανθῶσι πολλοί. Δευτ. κθ. ιη. α. Κορ. ε. ς.

Καὶ εἰκότως πικρὰν τὴν ἁμαρτίαν ἐκάλεσεν. οὐδὲν γὰρ οὕτως ἁμαρτίας πικρότερον· καὶ ἴσασιν οἱ μετὰ τὸ πρᾶξαι ὑπὸ τοῦ συνειδότος τηκόμενοι, [καὶ] πικρίαν πολλὴν ὑπομένοντες. πικροτάτη γὰρ οὖσα διαστρέφει αὐτὸ τὸ λογιστικόν. τοιαύτη ἡ τοῦ πικροῦ φύσις ἐστὶν ἀηδής. καὶ καλῶς εἶπε, ῥίζα πικρίας. οὐκ εἶπε, πικρά, ἀλλὰ πικρίας. τὴν μὲν γὰρ πικρὰν ῥίζαν ἐστὶ καρποὺς ἐνεγκεῖν γλυκεῖς· τὴν δὲ πικρίας ῥίζαν καὶ πηγὴν καὶ ὑπόθεσιν, οὐκ ἔστι ποτὲ γλυκὺν ἐνεγκεῖν καρπόν. πάντα γάρ ἐστι πικρά, οὐδὲν ἔχει ἡδύ· πάντα πικρά, πάντα ἀηδῆ, πάντα μίσους καὶ βδελυγμίας γέμοντα. Καὶ δι' αὐτῆς, φησί, μιανθῶσι πολλοί· τουτέστιν, ἵνα μὴ τοῦτο γένηται, τοὺς ἀσελγεῖς ἐκκόπτετε.

χ. κεντούμενοι

χ. διὰ ταύτης

16 Μή τις πόρνος, ἢ βέβηλος ὡς Ἡσαῦ, ὃς ἀντὶ βρώσεως μιᾶς ἀπέδοτο τὰ πρωτοτόκια αὐτοῦ. Καὶ ποῦ πόρνος ἦν ὁ Ἡσαῦ; οὐ τοῦτο ἐνταῦθά φησιν, ὅτι πόρνος ἦν ὁ Ἡσαῦ, ἀλλὰ πρὸς αὐτὴν διαστολὴν κεῖται τοῦ, τὸν ἁγιασμὸν διώκετε. τὸ δὲ, βέβηλος, ὡς πρὸς ἐκεῖνον εἴρηται. μή τις οὖν ἔστω ὡς ὁ Ἡσαῦ, βέβηλος· τουτέστι, γαστρίμαργος, ἀκρατής, [κοσμικός,] τὰ πνευματικὰ ἀπεμπολῶν. ὃς ἀντὶ βρώσεως μιᾶς ἀπέδοτο τὰ πρωτοτόκια αὐτοῦ· τουτέστιν, ὃς τὴν παρὰ τοῦ Θεοῦ τιμὴν ταύτην διὰ τῆς οἰκείας ῥᾳθυμίας ἀπέδοτο, καὶ μικρᾶς ἡδονῆς χάριν τὴν μεγίστην τιμὴν καὶ δόξαν ἀπώλεσεν. τοῦτο οἰκείως πρὸς αὐτούς, τὸ βδελυρὸν καὶ τὸ ἀκάθαρτον. ὥστε οὐχ ὁ πόρνος ἀκάθαρτος μόνον, ἀλλὰ καὶ ὁ γαστρίμαργος, ὅς ἐστι τῆς γαστρὸς δοῦλος. καὶ γὰρ καὶ οὗτος ἑτέρας ἐστὶν ἡδονῆς δοῦλος, ἀναγκάζεται πλεονεκτεῖν, ἀναγκάζεται ἁρπάζειν, μυρία ἀσχημονεῖν, δοῦλος ὢν τοῦ πάθους ἐκείνου· καὶ βλασφη-

χ. σιρρᾶς ὅτι

μεῖ

χων, οὕτω καὶ σὲ ζηλῶσαι ἔδει τῶν τὰ δύο ἐχόντων. Εἰ γὰρ τῷ χρήματα ἔχοντι, καὶ μὴ μεταδιδόντι, κόλασις κεῖται· τῷ δυναμένῳ παραινέσαι ὁπωσδήποτε, καὶ μὴ τοῦτο ποιοῦντι, πῶς οὐ μεγίστη κόλασις ἔσται; ἐκεῖ σῶμα τρέφεται, ἐνταῦθα ψυχή· ἐκεῖ θάνατον κωλύεις τὸν πρόσκαιρον, ἐνταῦθα τὸν αἰώνιον. Ἀλλ' οὐκ ἔχω λόγον, φησίν. Ἀλλ' οὐ χρεία λόγου, οὐδὲ εὐγλωττίας. Ἐὰν ἴδῃς τὸν φίλον πορνεύοντα, εἰπὲ πρὸς αὐτόν· πονηρὸν πρᾶγμα ὃ μετέρχῃ· οὐκ αἰσχύνῃ; οὐκ ἐρυθριᾷς; κακὸν τοῦτό ἐστιν. Αὐτὸς γὰρ οὐκ οἶδε, φησίν, ὅτι κακόν; Ναὶ, οἶδεν· ἀλλ' ὑπὸ τῆς ἐπιθυμίας ἕλκεται. Καὶ οἱ νοσοῦντες ἴσασιν, ὅτι ἡ ψυχροποσία κακόν· ἀλλ' ὅμως δέονται τῶν κωλυσόντων. Ὁ γὰρ ἐν τῷ πάθει ὢν, οὐ ταχέως ἑαυτῷ ἀρκέσαι δυνήσεται ἐν τῇ νόσῳ. Δεῖ τοίνυν σε τοῦ ὑγιαίνοντος πρὸς τὴν ἐκείνου ἰατρείαν· κἂν μὴ πεισθῇ τῷ ῥήματι, παρατήρησον ἀπιόντα, καὶ κάτασχε, ἴσως ἐντραπήσεται. Καὶ τί, φησὶν, ὄφελος ὅταν δι' ἐμὲ τοῦτο ποιῇ, καὶ διὰ τὸ καταχθῆναι παρ' ἐμοῦ; Μὴ ἀκριβολογοῦ. Τέως οἱῳδήποτε τρόπῳ ἀπόστησον αὐτὸν τῆς πονηρᾶς πράξεως· ἐθισθήτω μὴ ἀπιέναι εἰς ἐκεῖνο τὸ βάραθρον. Εἴτε διὰ σὲ, εἴτε δι' ὁτιδήποτε κωλυθῇ· κέρδος ἔσται ἐκ τούτου. Ὅταν γὰρ ἐθίσῃς αὐτὸν μὴ ἀπιέναι, τότε δυνήσῃ μικρὸν ἀναπνεύσαντα λαβὼν, διδάξαι, ὅτι χρὴ διὰ τὸν Θεὸν τοῦτο μὴ ποιεῖν, καὶ οὐ διὰ ἀνθρώπους. Μὴ θελήσῃς ὑφ' ἓν κατορθῶσαι τὸ πᾶν (ἐπεὶ οὐ δυνήσῃ) ἀλλ' ἠρέμα, καὶ κατὰ μικρόν. Ἂν εἰς πότον ἴδῃς ἀπιόντα, καὶ εἰς συμπόσια μέθης πεπληρωμένα, κἀκεῖ τὸ αὐτὸ ποίει· καὶ αὐτὸν πάλιν παρακάλεσον, εἴ τι συνορᾷ ἐλάττωμά σε ἔχοντα, βοηθεῖν, καὶ διορθοῦν. Οὕτω γὰρ καὶ ἐπὶ ἑαυτοῦ τὸν ἔλεγχον οἴσει, ὅταν ἴδῃ καὶ σὲ δεόμενον ἐλέγχων, καὶ μὴ ὡς τὰ πάντα κατωρθωκότα, μηδὲ ὡς διδάσκαλον, ἀλλ' ὡς φίλον καὶ ἀδελφὸν βοηθοῦντα. Εἰπὲ πρὸς αὐτὸν, ἐγώ σε ὤνησα, ὑπομνήσας τὸ συμφέρον· καὶ σὺ ὅπερ ἂν συνίδῃς ἐλάττωμα ἔχοντά με, διακώλυσον, διόρθωσον. Ἂν ὀργίλον ἴδῃς, ἂν πλεονέκτην, κάτασχε, λῦσον τῇ παραινέσει. Τοῦτό ἐστι φιλία· οὕτως ἀδελφὸς ὑπὸ ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρά. Οὐ γὰρ τὸ φαγεῖν καὶ τὸ πιεῖν ποιεῖ φιλίαν. Τοιαύτην γὰρ καὶ λῃσταὶ ἔχουσι καὶ ἀνδροφόνοι. Ἀλλ' εἰ φίλοι ἐσμὲν, εἰ ὄντως ἀλλήλων κηδόμεθα, εἰς ταῦτα ἀλλήλοις συμβαλλώμεθα, ταῦτα εἰς φιλίαν ἡμᾶς ἄγει ἐπωφελῆ, ταῦτα κωλύει εἰς γέενναν ἀπελθεῖν. Μήτε οὖν ὁ ἐλεγχόμενος ἀγανακτείτω· ἄνθρωποι γάρ ἐσμεν, καὶ ἔχομεν ἐλαττώματα· μήτε ὁ ἐλέγχων, ὡς ἐπεγγελῶν, ἢ ὡς ἐπεμβαίνων, τοῦτο ποιείτω, καὶ ἐκπομπεύων· ἀλλὰ κατ' ἰδίαν, μετὰ προσηνείας. Πλείονος γὰρ δεῖται προσηνείας ὁ ἐλέγχων, ἵνα οὕτω πείσῃ τὴν τομὴν ἐνεγκεῖν. Οὐχ ὁρᾷς τοὺς ἰατροὺς, ὅταν καίωσιν, ὅταν τέμνωσι, μετὰ πόσης προσηνείας τὴν θεραπείαν ἐπάγουσι; πολλῷ μᾶλλον τοὺς ἐλέγχοντας τοῦτο δεῖ ποιεῖν. Καὶ γὰρ καὶ πυρὸς, καὶ σιδήρου σφοδρότερος ὁ ἔλεγχος, καὶ σκιρτᾷν ποιεῖ. Καὶ διὰ τοῦτο καὶ οἱ ἰατροὶ πολλὰ ἐπιτηδεύουσιν, ὥστε ἐνεγκεῖν πρᾴως τὴν τομὴν, καὶ προσηνῶς, ὡς οἷόν τε, ταύτην ἐπάγουσι, καὶ μικρὸν ἐνδιδόντες, [εἶτα παρέχοντες] ἀναπνεῦσαι. Οὕτω καὶ τοὺς ἐλέγχους δεῖ ποιεῖν, ἵνα καὶ οἱ ἐλεγχόμενοι μὴ ἀποσκιρτῶσι. Κἂν ὑβρισθῆναι τοίνυν δέῃ, κἂν πληγῆναι, μὴ παραιτησώμεθα. Καὶ γὰρ ἐκεῖνοι οἱ τεμνόμενοι, μυρία καταβοῶσι τῶν τεμνόντων· ἀλλ' ἐκεῖνοι πρὸς οὐδὲν τούτων ὁρῶσιν, ἀλλ' ἢ πρὸς τὴν ὑγείαν τῶν καμνόντων μόνον. Οὕτω δὴ καὶ ἐνταῦθα πάντα δεῖ ποιεῖν πρὸς τὸ τοὺς ἐλέγχους χρησίμως γίνεσθαι, πάντα φέρειν πρὸς τὸν μισθὸν ἀφορῶντας τὸν ἀποκείμενον. Ἀλλήλων, φησὶ, τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ. Οὕτως οὖν καὶ ἐλέγχοντες, καὶ φέροντες ἀλλήλους, δυνησόμεθα ἀναπληρῶσαι τὴν οἰκοδομὴν τοῦ Χριστοῦ. Καὶ ἡμῖν οὕτω ποιήσετε ἀδελφοὶ τὸν πόνον, ἐν ἅπασι συλλαμβανόμενοι ἡμῖν, καὶ χεῖρα ὀρέγοντες, καὶ μερισταὶ γινόμενοι [καὶ κοινωνοὶ, καὶ] τῆς ἀλλήλων σωτηρίας, καὶ τῆς ἰδίας ἕκαστος. Ὑπομένωμεν τοίνυν, καὶ φέροντες τὰ ἀλλήλων βάρη, καὶ ἐλέγχοντες· ἵνα τύχωμεν τῶν ἐπηγγελμένων ἡμῖν ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Παροιμ. ιη. 19.

Γαλ. ϛ. β.

χ. -δεν ἐπ;

χ. διαβαίνοντος

χ. ἰατρὸν ἐπ. ὅλλ. συνεῖδ.

χ. ἐπείγω,

χ. -τὸ ποιεῖν, καὶ μὴ δι

χ. καὶ ἐφ' ἑαυ- χ. ἐση,

χ. -λήλοις συμ-

χ. ἐκλ-

ὁ δεῖνα σε ὕβρισε; σὺ εὐλόγησον. ὅρα πόσα ἀπὸ τούτου κερδαίνεις· τὸ κακὸν ἔσβεσας, μισθὸν σεαυτῷ προεξένησας, κἀκεῖνον ἐνέτρεψας, καὶ σὺ δεινὸν πέπονθας οὐδέν. Εἰρήνην διώκετε μετὰ πάντων, καὶ τὸν ἁγιασμόν. Τὸν ἁγιασμὸν τί φησι; τὴν σωφροσύνην, καὶ τὴν κοσμιότητα τὴν ἐν γάμῳ. Εἴτε τις χωρὶς γάμου ἐστί, φησιν, ἁγνὸς μενέτω, γαμείτω· εἴτε ἐν γάμῳ, μὴ πορνευέτω, ἀλλὰ κεχρήσθω τῇ ἰδίᾳ γυναικί. καὶ γὰρ καὶ τοῦτο ἁγιασμός. πῶς; οὐχ ὁ γάμος ἁγιασμός, ἀλλ' ὁ γάμος τηρεῖ τὸν ἀπὸ τῆς πίστεως ἁγιασμόν, οὐκ ἀφιεὶς πόρνῃ προσέχειν. ὁ γὰρ γάμος, τίμιος, οὐχ ἅγιος. καθαρὸς ὁ γάμος· οὐ μέντοι καὶ ἁγιωσύνην παρέχει, ἀλλὰ τὸ κωλύειν τὴν ἀπὸ τῆς πίστεως δοθεῖσαν μὴ μολύνειν. οὗ χωρίς, φησιν, οὐδεὶς ὄψεται τὸν Κύριον. ὅπερ καὶ ἐν τῇ πρὸς Κορινθίους λέγει, Μὴ πλανᾶσθε· οὔτε πόρνοι, οὔτε μοιχοί, οὔτε εἰδωλολάτραι, οὔτε μαλακοί, οὔτε ἀρσενοκοῖται, οὔτε πλεονέκται, οὔτε κλέπται, οὔτε μέθυσοι, οὐ λοίδοροι, οὐχ ἅρπαγες βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι. πῶς γὰρ ὁ γενόμενος πόρνης σῶμα, δυνήσεται εἶναι σῶμα Χριστοῦ;

χ. ἁγνὸς γαμείτω.

χ. τοῦ κω-

α Κορ. ϛ

15 Ἐπισκοποῦντες μή τις ὑστερῶν ἀπὸ τῆς χάριτος τοῦ Θεοῦ· μή τις ῥίζα πικρίας ἄνω φύουσα ἐνοχλῇ, καὶ διὰ ταύτης μιανθῶσι πολλοί.

χ. δι' αὐτῆς

16 Μή τις πόρνος ἢ βέβηλος. Ὁρᾷς πῶς πανταχοῦ ἑκάστῳ τὴν κοινὴν ἐγχειρίζει σωτηρίαν; Παρακαλοῦντες, φησιν, ἀλλήλους καθ' ἑκάστην ἡμέραν, ἄχρις οὗ τὸ σήμερον καλεῖται.

Ἑβρ. γ. ιγ.

ΗΘΙΚΟΝ

Μὴ τοίνυν πάντα ἐπὶ τοὺς διδασκάλους ἐπιρρίπτετε, μὴ πάντα ἐπὶ τοὺς ἡγουμένους· δύνασθε καὶ ὑμεῖς, φησίν, ἀλλήλους οἰκοδομεῖν. ὃ καὶ Θεσσαλονικεῦσι γράφων ἔλεγεν, Εἷς τὸν ἕνα οἰκοδομεῖτε, καθὼς καὶ ποιεῖτε. καὶ πάλιν, Παρακαλεῖτε ἀλλήλους ἐν τοῖς λόγοις τούτοις. τοῦτο καὶ ὑμῖν παρακαλοῦμεν νῦν ἡμεῖς. πλείονα γὰρ ἡμῶν, ἐὰν βούλησθε, εἰς ἀλλήλους κατορθώσετε. καὶ γὰρ πλείονα σύνεστε χρόνον ἀλλήλοις, καὶ τὰ ἀλλήλων μᾶλλον ἡμῶν ἴστε, καὶ τὰ ἀλλήλων ἐλαττώματα οὐκ ἀγνοεῖτε, καὶ πλείονα καὶ παρρησίαν καὶ ἀγάπην ἔχετε, καὶ συνήθειαν. οὐ μικρὰ δὲ ταῦτα εἰς διδασκαλίαν, ἀλλ' εἴσοδοι μεγάλαι καὶ εὐκαιρίαι· καὶ μᾶλλον ἡμῶν ἐπιπλῆξαι καὶ παρακαλέσαι δυνήσεσθε. καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὅτι ἐγὼ μὲν εἷς εἰμι, ὑμεῖς δὲ πολλοί· καὶ δυνήσεσθε πάντες ὅσοι ἐστέ, εἶναι διδάσκαλοι. διό, παρακαλῶ, μὴ ἀμελεῖτε τοῦ χαρίσματος τούτου. ἕκαστος γυναῖκα ἔχει, φίλον ἔχει, οἰκέτην ἔχει, γείτονα ἔχει· τούτῳ ἐπιπληττέτω, τούτῳ παραινείτω. πῶς γὰρ οὐκ ἄτοπον, ὑπὲρ μὲν ἑορτῆς συσσίτια ποιεῖν, καὶ συμπόσια, καὶ ἡμέραν ἔχειν τακτὴν ὥστε συγκροτεῖσθαι ἀλλήλους, καὶ τὸ ἑκάστῳ λεῖπον καθ' ἑαυτὸν ὄντι ἀναπληροῦσθαι διὰ τῆς κοινωνίας, δεῖ, εἴτε εἰς ἐκφορὰν ἀπιέναι δέοι, εἴτε εἰς ἄριστα, εἴτε συμπρᾶξαι ἔν τινι τῷ πλησίον· εἰς δὲ ἀρετῆς διδασκαλίαν μὴ τοῦτο ποιεῖν; ναί, παρακαλῶ, μηδεὶς ἀμελείτω. μισθὸν γὰρ δέχεται παρὰ Θεοῦ πολύν. καὶ ἵνα μάθῃς, ὁ τὰ πέντε τάλαντα ἐμπιστευθείς, ἐστὶν ὁ διδάσκαλος· ὁ δὲ τὸ ἕν, ὁ μαθητής. ἐὰν δὲ εἴπῃ ὁ μαθητής, μαθητής εἰμι ἐγώ, οὐκ ἔχω κίνδυνον, καὶ ὃν ἔλαβε παρὰ τοῦ Θεοῦ λόγον, τοῦτον τὸν κοινὸν καὶ ψιλὸν κατακρύψῃ, καὶ μὴ παραινέσῃ, μὴ παρρησιάσηται, μὴ ἐλέγξῃ, μὴ νουθετήσῃ, εἰ δύναται, ἀλλὰ κατακρύψῃ ἐν τῇ γῇ (γῆ γὰρ ὄντως ἐστὶ καὶ σποδός, καρδία τὸ χάρισμα τοῦ Θεοῦ κατακρύπτουσα) ἂν τοίνυν κατακρύψῃ, ἢ δι' ὄκνον, ἢ διὰ πονηρίαν· οὐ προσήσεται αὐτοῦ τὸ εἰπεῖν, ὅτι ἓν τάλαντον εἶχον. ἓν τάλαντον εἶχες; ἔδει σε καὶ ἓν προσενεγκεῖν, καὶ διπλασιάσαι τὸ τάλαντον. εἰ προσήνεγκες ἕν, οὐκ ἂν ἐνεκλήθης. οὐδὲ γὰρ τῷ τὰ δύο προσενεγκόντι εἶπε, διὰ τί μὴ πέντε προσήνεγκας; ἀλλὰ τῆς αὐτῆς ἀξίας ἠξίωσε τῷ τὰ πέντε προσενεγκόντι. τί δήποτε; ὅτι ὅσον εἶχεν εἰργάσατο· καὶ οὐκ ἐπειδὴ ἐλάττονα τῶν τὰ πέντε ἐγχειρισθέντων ἔλαβε, διὰ τοῦτο ἐρραθύμησεν, οὐδὲ τῇ ὀλιγότητι εἰς ἀργίαν ἐχρήσατο. οὐδὲ σὲ ἐχρῆν πρὸς τὸν τὰ δύο ὁρᾶν. μᾶλλον δὲ πρὸς ἐκεῖνον ἔδει ἰδεῖν, καὶ ὥσπερ ἐκεῖνος ἐμιμήσατο τὸν τὰ πέντε, δύο ἔχων,

α. Θεσσ. ε. ια.

χ. ὁμιλήματα

χ. -τα διδασκαλίας, ἀλλ'

χ. κας

χ. -σατο· ἐχρῆν τοίνυν καὶ σὲ πρὸς ἡμᾶς, οὐκ ἐχρῆν σε πρὸς

ἀλλὰ πολὺ μείζονα καὶ πλείονα. ἐνταῦθα δὲ καὶ πλέον τι ἐν τοῖς πνευματικοῖς. ἀπὸ τούτου τοίνυν ἐπιχειρεῖ ὁ Παῦλος τὴν παραμυθίαν εἰσαγαγεῖν· καὶ τὴν κοινὴν [πάλιν] κρίσιν λαμβάνει, ἣν οὐδεὶς ἀντιστῆναι δύναται, οὐδὲ κοινῇ ψήφῳ μάχεσθαι. ὅταν γάρ τις παρὰ πάντων ὁμολογούμενον εἴπῃ, πάντες συγκατατίθενται, καὶ οὐδεὶς ἀντιπίπτει. λυπεῖσθε, φησί. τοῦτο κατὰ λόγον. τοιοῦτον γὰρ ἡ παιδεία, τὴν ἀρχὴν ἔχει τοιαύτην. ὅθεν καὶ οὕτως ἐπήγαγε, πᾶσα δὲ παιδεία πρὸς μὲν τὸ παρὸν οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλὰ λύπης. καλῶς εἶπεν, οὐ δοκεῖ. οὐδὲ γάρ ἐστι λύπης ἡ παιδεία, ἀλλὰ μόνον δοκεῖ· οὐδὲ ἡ μέν, ἡ δὲ οὔ, ἀλλὰ πᾶσα. πᾶσα γάρ, φησι, παιδεία οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλὰ λύπης· τουτέστι, καὶ ἡ ἀνθρωπίνη, καὶ ἡ πνευματική. ὁρᾷς αὐτὸν ἀπὸ τῆς κοινῆς ἐννοίας ἀγωνιζόμενον; δοκεῖ, φησι, λύπης εἶναι· ὥστε οὐκ ἔστι. ποία γὰρ λύπη τίκτουσα χαράν; οὐδεμία· ὥσπερ οὖν οὐδὲ ἡδονὴ τίκτουσα ἀθυμίαν. ὕστερον δέ, καρποὺς εἰρηνικοὺς τοῖς δι' αὐτῆς γεγυμνασμένοις ἀποδίδωσι δικαιοσύνης. οὐ καρπόν, ἀλλὰ καρποὺς εἶπε, τὸ πλῆθος ἐμφαίνων πολύ. τοῖς δι' αὐτῆς, φησι, γεγυμνασμένοις. τί ἐστι, τοῖς δι' αὐτῆς γεγυμνασμένοις; τοῖς ἀνασχομένοις ἐπὶ πολύ, καὶ καρτερήσασιν. ὁρᾷς πῶς καὶ εὐφήμῳ ὀνόματι κέχρηται; ἄρα γυμνασία ἐστὶν ἡ παιδεία, τὸν ἀθλητὴν ἰσχυρὸν ἐργαζομένη, καὶ ἀκαταγωνίστους ἐν τοῖς ἀγῶσι, καὶ ἀμάχους ἐν τοῖς πολέμοις. εἰ τοίνυν πᾶσα παιδεία τοιαύτη ἐστί, καὶ αὕτη τοιαύτη ἔσται. ὥστε χρηστὰ χρὴ προσδοκᾶν, καὶ τὸ τέλος ἡδὺ καὶ εἰρηνικόν. καὶ μὴ θαυμάσῃς, εἰ σκληρὰ οὖσα, καρποὺς ἔχει γλυκεῖς· ἐπεὶ καὶ ἐν τοῖς δένδροις ὁ μὲν φλοιός, ἄποιός τίς ἐστι σχεδὸν καὶ τραχύς· οἱ δὲ καρποὶ γλυκεῖς. ἀλλ' ἔλαβεν αὐτὸ ἀπὸ τῆς κοινῆς ἐννοίας. εἰ τοίνυν τοιαῦτα χρὴ προσδοκᾶν, τί ἀλγεῖτε; τί τὰ λυπηρὰ ὑπομένοντες, περὶ τὰ χρηστὰ ἐκλύεσθε; ἃ ἐχρῆν ὑπομεῖναι ἀνδρείως [?], ὑπεμείνατε· μὴ τοίνυν ἐκλυθῆτε περὶ τὴν ἀνταπόδοσιν. διὸ τὰς παρειμένας χεῖρας καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε, καὶ τροχιὰς ὀρθὰς ποιήσατε τοῖς ποσὶν ὑμῶν, ἵνα μὴ τὸ χωλὸν ἐκτραπῇ, ἰαθῇ δὲ μᾶλλον. ὡς πρὸς δρομεῖς καὶ πύκτας καὶ πολεμιστάς, διαλέγεται. ὁρᾷς πῶς αὐτοὺς καθοπλίζει, πῶς αὐτοὺς ἐπαίρει; ἐνταῦθα περὶ τῶν λογισμῶν αὐτῶν τοῦτο λέγει. ὀρθὰ βαδίζετε, φησί· τουτέστι, μὴ ἀμφιβάλλοντες. εἰ γὰρ ἀπὸ ἀγάπης ἡ παιδεία, εἰ ἀπὸ κηδεμονίας ἄρχεται, εἰ εἰς τέλος χρηστὸν τελευτᾷ (τοῦτο γὰρ καὶ διὰ πραγμάτων, καὶ διὰ ῥημάτων, καὶ διὰ πάντων ἀποδείκνυσι,) τίνος ἕνεκεν ἐκλύεσθε; τοιοῦτοι [γὰρ] οἱ ἀπογνόντες, οἱ μὴ τῇ ἐλπίδι ῥωννύμενοι τῶν μελλόντων. ὀρθά, φησι, βαδίζετε. ὥστε μὴ ἐπιταθῆναι τὴν χωλείαν, ἀλλὰ μεταβληθῆναι ἐπὶ τὰ πρότερα. ὁ γὰρ μετὰ χωλείας τρέχων, ἐπιτρίβει τὸ κακόν. ὁρᾷς ὅτι ἐν ἡμῖν ἐστι τὸ παντελῶς ἰατρευθῆναι;

χ. πάλιν τῆς παραμυθίας, καὶ τὴν κοινὴν

χ. διαλεγόμενος

χ. φυτὰ

χ. μέχρι τέλους

χ. πρὸς τὸ τέλος ὧν

χ. ὁ

χ. ἡ

14 Εἰρήνην διώκετε μετὰ πάντων, καὶ τὸν ἁγιασμόν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον.

Ἑβρ. ι. κε. Ὅπερ καὶ ἀνωτέρω ἔλεγε, Μὴ ἐγκαταλιπόντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν, τοῦτο καὶ ἐνταῦθα αἰνίττεται. οὐδὲν γὰρ οὕτω μάλιστα ἐν τοῖς πειρασμοῖς εὐκαταγωνίστους ποιεῖ, καὶ εὐχειρώτους, ὡς τὸ διεσπάσθαι. καὶ ὅρα πῶς. διάστασον φάλαγγα ἐν πολέμῳ, καὶ οὐδὲ πόνου δεηθήσονται οἱ πολέμιοι, ἀλλὰ δεδεμένους αὐτοὺς λήψονται, κατ' ἰδίαν εὑρόντες, καὶ ταύτῃ ὄντας ἀσθενεστέρους. Εἰρήνην διώκετε μετὰ πάντων, φησίν. ἆρα καὶ τῶν κακῶς ποιούντων; Ῥωμ. ιβ. ιη. τοῦτο καὶ ἀλλαχοῦ φησιν, Εἰ δυνατόν, τὸ ἐξ ὑμῶν, μετὰ πάντων ἀνθρώπων εἰρηνεύοντες. τὸ σὸν μέρος, φησίν, εἰρήνευε, μηδὲν τὴν εὐσέβειαν παραβλάπτων· ἀλλ' ἐν οἷς πάσχεις κακῶς, φέρε γενναίως. μέγα γὰρ ὅπλον ἐν τοῖς πειρασμοῖς ἀνεξικακία. οὕτω καὶ ὁ Χριστὸς τοὺς μαθητὰς ἰσχυροὺς ἐποίει λέγων, Ματθ. ι. ις. Ἰδοὺ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων. γίνεσθε οὖν φρόνιμοι, ὡς οἱ ὄφεις· καὶ ἀκέραιοι, ὡς αἱ περιστεραί. τί λέγεις; μεταξὺ λύκων ἐσμέν, καὶ ὡς πρόβατα κελεύεις εἶναι, καὶ ὡς περιστεράς; ναί, φησιν. οὐδὲν γὰρ οὕτως ἐντρέπει τοὺς ποιοῦντας κακῶς, ὡς τὸ φέρειν ὑμᾶς γενναίως τὰ ἐπαγόμενα, καὶ μήτε λόγῳ, μήτε ἔργῳ ἀμύνεσθαι. τοῦτο καὶ ἡμᾶς φιλοσοφωτέρους ποιεῖ, καὶ μείζονα παρέξει τὸν μισθόν, κἀκείνους ὠφελεῖ. ἀλλ'

χ. εἰπέ μοι

χ. ἡμᾶς

ὁ δεῖνα

οὐδὲν οὕτως ὑγείαν, οὐδὲν οὕτως ὀξύτητα αἰσθήσεων, οὐδὲν οὕτως ἐστὶ νόσου ἀπελαστικόν. ἄρα τὸ αὔταρκες μὲν, καὶ τροφή ἐστι, καὶ ἡδονὴ, καὶ ὑγεία· τὸ δὲ πλέον, καὶ λύμη, καὶ ἀηδία, καὶ νόσος. ἃ γὰρ ποιεῖ ὁ λιμὸς, ταῦτα ποιεῖ καὶ ἡ πλησμονή· μᾶλλον δὲ χαλεπώτερα. ἐκεῖνος μὲν γὰρ ἐν ὀλίγαις ἡμέραις ἀπήγαγε καὶ ἀπήλλαξε τὸν ἄνθρωπον· αὕτη δὲ διασπῶσα καὶ σήπουσα τὸ σῶμα, μακρᾷ παραδίδωσι νόσῳ, καὶ τότε θανάτῳ χαλεπωτάτῳ. ἡμεῖς δὲ τὸν μὲν λιμὸν ἀπευκτὸν πρᾶγμα νομίζομεν· ἐπὶ δὲ τὴν τούτου χαλεπωτέραν πλησμονὴν τρέχομεν. πόθεν * αὕτη ἡ νόσος; πόθεν αὕτη ἡ μανία; οὐ λέγω κατατρύχειν ἑαυτοὺς, ἀλλὰ τοσοῦτον σιτεῖσθαι, ὃ καὶ ἡδονὴν ἔχει τὴν ὄντως ἡδονὴν, καὶ θρέψαι δύναται τὸ σῶμα, καὶ εὔτακτον ὑμῖν, καὶ εὐάρμοστον πρὸς τὰς ἐνεργείας παρασχεῖν τῆς ψυχῆς, πεπηγὸς καλῶς καὶ συνηρμοσμένον. ὅταν δὲ ὑπέραντλον γένηται τῇ τροφῇ, οὐδὲ γόμφους αὐτοὺς, ὡς ἄν τις εἴποι, καὶ τὰς ἁρμονίας διαλύσασα τὰς συμπεπηγυίας, τὴν πλημμύραν οὐ δύναται κατασχεῖν. ἐπεισελθοῦσα γὰρ ἡ πλημμύρα τὸ πᾶν διαλύει καὶ διαχεῖ. Τῆς σαρκὸς, φησὶ, πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας. καὶ καλῶς εἶπεν, εἰς ἐπιθυμίας. ὕλη γάρ ἐστιν ἡ τρυφὴ ταῖς ἀτόποις ἐπιθυμίαις. κἂν πάντων ᾖ φιλοσοφώτερος ὁ τρυφῶν, ἀνάγκη τι παθεῖν αὐτὸν ἀπὸ τοῦ οἴνου, ἀπὸ τῶν σιτίων, ἀνάγκη διαχυθῆναι, ἀνάγκη τὴν φλόγα μείζονα ἐνεγκεῖν. ἐντεῦθεν πορνεῖαι, ἐντεῦθεν μοιχεῖαι. οὐ γὰρ δύναται πεινῶσα γαστὴρ ἔρωτα τίκτειν· μᾶλλον δὲ [οὐδὲ] αὐταρκείᾳ κεχρημένη. ἡ δὲ τίκτουσα τὰς ἀτόπους ἐπιθυμίας, ἐκείνη ἐστὶν ἡ σπαταλῶσα τῇ τρυφῇ. καὶ καθάπερ ἡ σφόδρα δίυγρος γῆ τίκτει τοὺς σκώληκας, καὶ ἡ κόπρος ἡ διαβρεχομένη, καὶ πολλὴν ἔχουσα τὴν νοτίδα, ἡ δὲ ἀπηλλαγμένη τῆς ὑγρασίας ἐκεῖ τις καρποὺς φέρει πολλοὺς, ὅταν μὴ ἀμετρίαν ἔχῃ (καὶ μὲν γὰρ μὴ γεωργῆται, χλόην ἐκδίδωσιν, ἂν δὲ γεωργῆται, καρπούς) οὕτω καὶ ἡμεῖς. μὴ τοίνυν ἄχρηστον τὴν σάρκα κατασκευάσωμεν, μηδὲ ἀνόνητον, μηδὲ ἐπιβλαβῆ, ἀλλὰ φυτεύσωμεν ἐν αὐτῇ χρησίμους καρποὺς, καὶ φυτὰ καρποφόρα, καὶ ἐπιμέλειαν ποιώμεθα, ὥστε μὴ αὐτὰ ἐκλῦσαι τῇ τρυφῇ. καὶ γὰρ καὶ ἐκεῖνα σκώληκας ἀντὶ καρπῶν ἐκβάλλει διασαπέντα. οὕτω καὶ ἡ ἔμφυτος ἐπιθυμία, ἐὰν αὐτὴν ὑπὲρ μέτρον διαβρέξῃς, ἀτόπους τίκτει ἡδονὰς, καὶ σφόδρα ἀτοπωτάτας. τὴν οὖν λύμην ταύτην ἐξέλωμεν παντὶ τρόπῳ· ἵνα δυνηθῶμεν ἐπιτυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

* ἐν

γρ. τρυφῇ. γρ. -μεν τῇ πλημμύρᾳ κατέχειν οὐ δύναται συμπεπηγυίας. ἡ

γρ. πλαδῶσα

Λογ. λ 11 ΠΑΣΑ ΔΕ ΠΑΙΔΕΙΑ ΠΡΟΣ ΜΕΝ ΤΟ ΠΑΡΟΝ οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλὰ λύπης· ὕστερον δὲ καρπὸν εἰρηνικὸν τοῖς δι' αὐτῆς γεγυμνασμένοις ἀποδίδωσι δικαιοσύνης.

12 Διὸ τὰς παρειμένας χεῖρας καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε,

13 Καὶ τροχιὰς ὀρθὰς ποιήσατε τοῖς ποσὶν ὑμῶν, ἵνα μὴ τὸ χωλὸν ἐκτραπῇ, ἰαθῇ δὲ μᾶλλον.

Οἱ τὰ φάρμακα πίνοντες τὰ πικρὰ, ἀνέχονται πρότερον ἀηδίας, καὶ τότε τῆς ὠφελείας αἰσθάνονται. τοιοῦτον γὰρ ἡ ἀρετὴ, τοιοῦτον ἡ κακία· ἐκεῖ πρώτη ἡ ἡδονὴ, εἶτα ἡ ἀθυμία· ἐνταῦθα πρώτη ἡ ἀθυμία, καὶ τότε ἡ ἡδονή. ἀλλ' οὐδὲν ἴσον. οὐ γάρ ἐστιν ἴσον πρότερον λυπηθέντα ὕστερον ἡσθῆναι, καὶ πρότερον ἡσθέντα ὕστερον λυπηθῆναι. πῶς; ἐνταῦθα μὲν γὰρ ἡ προσδοκία τῆς μελλούσης ἀθυμίας τὴν παροῦσαν ἐλάττονα ποιεῖ ἡδονήν· ἐκεῖ δὲ ἡ προσδοκία τῆς μελλούσης ἡδονῆς ὑποτέμνεται τὸ σφοδρὸν τῆς παρούσης ἀθυμίας· ὡς συμβαίνειν ἐκεῖ μὲν μηδέποτε ἡσθῆναι, ἐνταῦθα δὲ μηδέποτε λυπηθῆναι. οὐ ταύτῃ δὲ μόνον τὰ τῆς διαφορᾶς, ἀλλὰ καὶ ἑτέρως. πῶς; ὅτι οὐδὲ τὰ τῶν χρόνων ἴσα,

γρ. καταπ.

ἀλλὰ

τὸν υἱὸν τοῦ Θεοῦ, καὶ κατὰ χρημάτων" ἀλγοῦντες; τί δὲ αἱ τοῖς ἄρρεσιν ἐπιμιγνύμεναι; πάντες δὲ χ. ἐνιχ.
οἱ βασιλεῖς τῶν ἐθνῶν, Βαβυλωνίων, Αἰγυπτίων, οὐχὶ "κακῶς τὴν ζωὴν κατέστρεψαν; οὐ- χ. κακῶς κατέστρεψαν;
Ματθ. ια. η. χὶ ἐν κολάσει εἰσί; τὰ δὲ νῦν, εἰπέ μοι, οὐ τοιαῦτα; ἄκουε τοῦ Χριστοῦ λέγοντος, Οἱ τὰ μα-
λακὰ φοροῦντες, ἐν τοῖς οἴκοις τῶν βασιλέων εἰσί. [οἱ δὲ μὴ τὰ τοιαῦτα, ἐν τοῖς οὐρανοῖς.]
τὸ γὰρ μαλακὸν ἱμάτιον καὶ τὴν αὐστηρὰν ἐκλύει ψυχὴν, καὶ διακλᾷ, καὶ διαχεῖ. κἂν τραχὺ
λάβῃ σῶμα, καὶ σκληρὸν, ταχέως διὰ τῆς [τοιαύτης] τρυφεραγωγίας μαλακὸν ποιεῖ, καὶ ἀ-
σθενές. πόθεν γὰρ οἴεσθε ἑτέρως τὰς γυναῖκας οὕτως εἶναι ἀσθενεῖς, εἰπέ μοι, παρὰ ἀπὸ τῆς φύσεως
μόνης; οὐδαμῶς· ἀλλὰ καὶ ἀπὸ τῆς ἀγωγῆς, καὶ τῆς διαίτης. ἡ γὰρ σκιατροφία, ἡ ἀργία, τὰ λου-
τρὰ, τὰ μύρα, τῶν ἀρωμάτων τὸ πλῆθος, τῆς στρωμνῆς ἡ ἁπαλότης, τοιαύτας αὐτὰς ἀπεργάζεται.
καὶ ἵνα μάθῃς, πρόσεχε ὃ λέγω. [ἀπὸ κήπου, εἰπέ μοι,] τῶν ἐν τῇ ἐρήμῳ ἑστώτων δένδρων, καὶ δρο-
μένων ὑπὸ τῶν ἀνέμων λαβὼν φυτὸν, εἰς ὑγρὸν καὶ σύσκιον κατάθου τόπον· καὶ πολὺ ἀνάξιον εὑρήσεις
ἐκείνου, ἀφ' οὗ παρὰ τὴν ἀρχὴν αὐτὸ ἔλαβες. ὅτι δὲ τοῦτό ἐστιν ἀληθὲς, αἱ ἐπὶ τῶν ἀγρῶν τρεφό-
μεναι γυναῖκες, τῶν ἀστικῶν ἀνδρῶν εἰσιν ἰσχυρότεραι· καὶ πολλοὺς ἂν τοιούτους καταπαλαίσαιεν
ἐκεῖναι. τοῦ δὲ σώματος γινομένου μαλακωτέρου, ἀνάγκη καὶ τὴν ψυχὴν συναπολαύειν τῆς
λύμης. τὰ γὰρ πολλὰ, καὶ συνδιατίθενται αὐτῆς αἱ ἐνέργειαι τῇ τούτου διαθέσει. καὶ γὰρ
ἐν νόσοις ἑτεροῖοί ἐσμεν διὰ τὸ μαλακίζεσθαι, καὶ ὑγιαίνοντες πάλιν ἕτεροι. καθάπερ γὰρ ἐπὶ
λύρας, ὅταν ὦσιν οἱ φθόγγοι ἁπαλοὶ καὶ "μαλακοὶ, καὶ μὴ διατεταμένοι καλῶς, καὶ ἡ τῆς χ. μηδαμοῦ,
τέχνης ἀρετὴ ὑποτέμνεται, ἀναγκαζομένη δουλεύειν "τῇ μαλακίᾳ τῶν νευρῶν· οὕτω καὶ χ. τῇ τέχνῃ
ἐπὶ τοῦ σώματος, πολλὰς ἀπ' αὐτοῦ δέχεται βλάβας καὶ ἡ ψυχὴ, πολλὰς ἀνάγκας. ὅταν γὰρ
πολλῆς δέηται θεραπείας, πικρὰν ὑπομένει τὴν δουλείαν ἐκείνην. διὸ, παρακαλῶ, ἰσχυ-
ρὸν αὐτὸ ἐργαζώμεθα, καὶ μὴ νοσηλεύωμεν. * οὐ πρὸς ἄνδρας μόνον, ἀλλὰ καὶ πρὸς γυ- * καὶ
ναῖκας ὁ λόγος ἐμοί. τί γὰρ συνεχῶς "ἐκλύεις αὐτὸ τῇ τρυφῇ, καὶ ἐξίτηλον ποιεῖς, ὦ γύναι; χ. ἐκπλύνεις
τί τὴν ἰσχὺν λυμαίνῃ στέασι; τὸ στέαρ χαυνότης ἐστὶ "τοῦτο, οὐκ ἰσχύς. ἐὰν δὲ τούτων ἀπο- χ. τοῦτο
στῇς, ἑτέρως ἄγεις σαυτήν· τότε καὶ τὸ κάλλος τὸ σωματικὸν προχωρεῖ κατὰ γνώμην, "ὅταν χ. τότε
ἰσχὺς καὶ εὐεξία "παρῇ. ἂν μυρίαις αὐτὸ πολιορκῇς νόσοις, οὔτε ἄνθος χρώματος, οὔτε χ. πάρεστιν.
εὐεξία τις ἔσται. ἀεὶ γὰρ ἐν κατηφείᾳ ἔσῃ. ἴστε δὲ ὅτι ὥσπερ οἶκον καλὸν, ἐπειδὰν "γελάσῃ χ. πλάσῃ
ὁ ἀὴρ, λαμπρότερον δείκνυσιν, οὕτω καὶ ὄψιν ὡραίαν φαιδρότης [ἐπιγινομένη] ψυχῆς, κρείττονα
ποιεῖ· ἐὰν δὲ ἐν κατηφείᾳ ᾖ καὶ ὀδύναις, δυσειδεστέρα γίνεται. τὴν δὲ κατήφειαν αἱ νόσοι ποιοῦσι, καὶ
αἱ ὀδύναι· τὰς δὲ νόσους, τὸ μαλακώτερον γίνεσθαι τὸ σῶμα ἀπὸ τῆς πολλῆς τρυφῆς. ὥστε
καὶ κατὰ τοῦτο φεύγετε τὴν τρυφὴν, ἐάν ἐμοὶ πείθησθε. ἀλλ' ἡδονὴν, φησὶν, ἔχει τὸ τρυφᾶν.
ἀλλ' οὐ τοσαύτην, ὅσας δυσκολίας· "ἄλλως δὲ, ἡ ἡδονὴ μέχρι τοῦ φάρυγγος, μέχρι τῆς γλώτ- χ. ἐνὶ ἀλλ'
της ἐστί. τῆς γὰρ τραπέζης ἀρθείσης, ἢ τοῦ σιτίου καταποθέντος, ὅμοιος ἔσῃ τῷ μὴ μετεσχη-
κότι, μᾶλλον δὲ πολλῷ χείρων, βάρη φέρων ἐκεῖθεν, καὶ διατάσιν, καὶ καρηβαρίας, καὶ ὕπνον ἐ-
οικότα θανάτῳ· πολλάκις δὲ καὶ ἀγρυπνίαν ἀπὸ πλησμονῆς *, καὶ πνεύματος ἐμφράξεως, * ἐγγίνεται
καὶ ἐρυγῆς. καὶ μυρία ἂν κατηράσω τῇ γαστρὶ, δέον τῇ ἀμετρίᾳ "καταράσασθαι. μὴ λιπαί- χ. ἐᾶσαι
Ρωμ. ιγ. ιδ. νωμεν τοίνυν τὸ σῶμα, ἀλλ' ἀκούωμεν τοῦ Παύλου λέγοντος, Τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε
εἰς ἐπιθυμίας. ὥσπερ ἂν εἴ τις εἰς ἄμμον λαβὼν τὰ σιτία ἐμβάλλῃ, οὕτω καὶ ὁ εἰς
τὴν γαστέρα [ἐμβάλλων·] μᾶλλον δὲ οὐχ οὕτως, ἀλλὰ πολλῷ χεῖρον. ἐνταῦθα μὲν γὰρ
ἄμμον ἐργάζεται χωρὶς τῶν οἰκείων κακῶν· ἐκεῖ δὲ καὶ μυρία τίκτει τὰ νοσήματα. τὸ γὰρ τρέ-
φον, * ἡ αὐτάρκειά ἐστιν, ὃ καὶ κατεργασθῆναι δύναται· τὸ δὲ περιττὸν τῆς χρείας, οὐ μόνον οὐ * μόνον
τρέφει, ἀλλὰ καὶ ἐκεῖνο λυμαίνεται. ἀλλ' οὐδεὶς ταῦτα ὁρᾷ, ὑπὸ τῆς ἀκαίρου ἡδονῆς καὶ
τῆς ἐν συνηθείᾳ προλήψεως ἀπατώμενος. βούλει τρέφειν τὸ σῶμα; περίελε τὸ πλέον, τὸ
αὔταρκες δίδου, καὶ ὅσον κατεργάσασθαι δυνατόν. μὴ βάρυνε αὐτὸ, ἵνα μὴ καταποντίσῃς.
τὸ αὔταρκες, καὶ "τροφή ἐστι, καὶ ἡδονή. οὐδὲν γὰρ οὕτω ποιεῖ ἡδονὴν, ὡς σιτίον καλῶς κατεργασθέν· χ. τρυφὴ

οὐδὲν

φιλοῦντι χρήσιμοι, φιλώμεθα παρ' αὐτοῦ. φιλούμεθα γάρ, οὐχ ἵνα λάβῃ, ἀλλ' ἵνα δῷ· παιδεύει, πάντα ποιεῖ, πάντα σπουδάζει, ὥστε γενέσθαι ἡμᾶς δεκτικοὺς τῶν ἀγαθῶν τῶν αὐτοῦ. Οἱ μὲν γάρ, φησι, πρὸς ὀλίγας ἡμέρας κατὰ τὸ δοκοῦν αὐτοῖς ἐπαίδευον· ὁ δὲ ἐπὶ τὸ συμφέρον, εἰς τὸ μεταλαβεῖν τῆς ἁγιότητος αὐτοῦ. τί ἐστι, τῆς ἁγιότητος αὐτοῦ; τουτέστι, τῆς καθαρότητος, ὥστε ἀξίους αὐτοῦ γενέσθαι κατὰ δύναμιν. ἐκεῖνος σπουδάζει ἵνα λάβητε, καὶ πάντα ποιεῖ, ἵνα δῷ ὑμῖν· ὑμεῖς δὲ οὐ σπουδάζετε ἵνα λάβητε; Εἶπον, φησι, τῷ Κυρίῳ, Κύριός μου εἶ σύ· ὅτι τῶν ἀγαθῶν μου οὐ χρείαν ἔχεις. (Ψαλ. ιε. α.) 9 Εἶτα, φησι, τοὺς μὲν τῆς σαρκὸς ἡμῶν πατέρας εἴχομεν [παιδευτάς], καὶ ἐνετρεπόμεθα· οὐ πολλῷ [δὲ] μᾶλλον ὑποταγησόμεθα τῷ πατρὶ τῶν πνευμάτων, καὶ ζήσομεν; Τῷ πατρὶ τῶν πνευμάτων· ἤτοι τῶν χαρισμάτων λέγει, ἤτοι τῶν εὐχῶν, ἤτοι τῶν ἀσωμάτων δυνάμεων. ἐὰν οὕτως ἀποθνήσκωμεν, τότε ζησόμεθα. καὶ καλῶς εἶπεν. Οἱ μὲν γὰρ πρὸς ὀλίγας ἡμέρας ἐπαίδευον κατὰ τὸ δοκοῦν αὐτοῖς (οὐ γὰρ πανταχοῦ τὸ δοκοῦν, συμφέρει) οὗτος δὲ πρὸς τὸ συμφέρον.

ΗΘΙΚΟΝ

Ἄρα ἡ παιδεία συμφέρει, ἄρα ἡ παιδεία μετάληψις ἁγιότητός ἐστι. καὶ σφόδρα γε. ὅταν γὰρ ῥαθυμίαν ἐκβάλλῃ, ὅταν ἐπιθυμίαν πονηράν, ὅταν ἔρωτα τῶν βιωτικῶν πραγμάτων, ὅταν συστρέφῃ τὴν ψυχήν, ὅταν ποιῇ καταγινώσκειν τῶν ἐνταῦθα πάντων (τοιοῦτον γὰρ ἡ θλῖψις) οὐχὶ ἁγία γέγονεν, οὐχὶ τοῦ πνεύματος ἐπισπᾶται τὴν χάριν; ἐννοήσωμεν τοίνυν ἀεὶ τοὺς δικαίους, καὶ ἴδωμεν πόθεν πάντες ἔλαμψαν· καὶ πρὸ πάντων, ὁ Ἄβελ, ὁ Νῶε. ἆρα γὰρ οὐχὶ ἀπὸ θλίψεως; οὐ γὰρ ἔστι τὸν μόνον ὄντα ἐν τοσούτῳ πλήθει τῶν κακῶν, μὴ θλίβεσθαι. Νῶε γάρ, φησι, [μόνος] τέλειος ὢν ἐν τῇ γενεᾷ αὐτοῦ, τῷ Θεῷ εὐηρέστησεν. (Γεν. ς. θ.) ἐννόησον γάρ μοι, εἰ νῦν μυρίους ἔχοντες, ὧν ζηλώσομεν τὴν ἀρετήν, καὶ πατέρας, καὶ διδασκάλους, οὕτω θλιβόμεθα, τί παθεῖν ἐκεῖνον εἰκὸς ἦν μόνον μεταξὺ τοσούτων; ἀλλὰ τὰ κατὰ τὸν ὑετὸν [εἴπω] τὸν ξένον ἐκεῖνον καὶ παράδοξον; ἀλλὰ τὸν Ἀβραὰμ εἴπω, καὶ ἃ τοῦτον συνέβη παθεῖν, οἷον, τὰς ἀποδημίας τὰς ἐπαλλήλους, τὴν τῆς γυναικὸς ἁρπαγήν, τοὺς κινδύνους, τοὺς πολέμους, τοὺς πειρασμούς; ἀλλὰ τὸν Ἰακώβ, ὅσα πέπονθε δεινά, ἐλαυνόμενος πανταχόθεν, καὶ πονῶν εἰκῇ, καὶ ἑτέροις μοχθῶν; πάντας μὲν γὰρ αὐτοῦ τοὺς πειρασμοὺς καταλέγειν οὐκ ἀναγκαῖον, τὴν δὲ μαρτυρίαν παρενεγκεῖν εὔλογον, ἣν καὶ αὐτὸς διαλεγόμενος τῷ Φαραὼ ἔλεγε· Μικραὶ καὶ πονηραὶ αἱ ἡμέραι μου, καὶ οὐκ ἀφίκοντο εἰς τὰς ἡμέρας τῶν πατέρων μου. (Γεν. μζ. θ.) ἀλλὰ τὸν Ἰωσὴφ εἴπω; ἀλλὰ τὸν Μωϋσέα; ἀλλὰ τὸν Ἰησοῦν; ἀλλὰ τὸν Δαβίδ; ἀλλὰ τὸν Σαμουήλ; ἀλλὰ τὸν Ἠλίαν; ἀλλὰ τὸν Δανιήλ; ἀλλὰ τοὺς προφήτας πάντας; ἀλλὰ τούτους ἅπαντας ἀπὸ τῶν θλίψεων λαμπροὺς εὑρήσεις γενομένους. εἰπὲ οὖν μοι σύ, ἀπὸ ἀνέσεως καὶ τρυφῆς λαμπρὸς βούλει γενέσθαι; ἀλλ' οὐκ ἂν δύναιο. ἀλλὰ τοὺς ἀποστόλους εἴπω; ἀλλὰ καὶ οὗτοι πάντας ὑπερηκόντισαν τοῖς λυπηροῖς. τί ταῦτα λέγω; καὶ ὁ Χριστὸς τοῦτό φησιν· Ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε. (Ιωαν. ις. λγ.) καὶ πάλιν, Κλαύσετε καὶ θρηνήσετε ὑμεῖς· ὁ δὲ κόσμος χαρήσεται. (Ιωαν. ις. κ.) καὶ, ὅτι Στενὴ καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν. (Ματθ. ζ. ιδ.) ὁ τῆς ὁδοῦ Κύριος εἶπεν, ὅτι στενὴ καὶ τεθλιμμένη· σὺ δὲ τὴν πλατεῖαν ζητεῖς; καὶ πῶς οὐκ ἄτοπον; διὰ τοῦτο οὐκ ἐπιτεύξῃ τῆς ζωῆς, ἑτέραν βαδίζων, ἀλλὰ τῆς ἀπωλείας. τὴν γὰρ ἐκεῖ φέρουσαν εἵλου. βούλει εἴπω, καὶ παραγάγω εἰς μέσον τοὺς ἐν τρυφῇ; ἀπὸ τῶν ἐσχάτων ἐπὶ τοὺς πρώτους ἀνέλθωμεν. ὁ πλούσιος ὁ καιόμενος ἐν τῇ καμίνῳ, οἱ τῇ γαστρὶ ζῶντες Ἰουδαῖοι, ὧν ὁ Θεὸς ἡ κοιλία, οἱ ἐν τῇ ἐρήμῳ ἐπιζητοῦντες ἀεὶ ἄνεσιν. διὰ τί ἀπώλοντο, ὥσπερ καὶ οἱ ἐπὶ τοῦ Νῶε; οὐκ ἐπειδὴ τὸν ὑγρὸν τοῦτον καὶ διαλελυμένον εἵλοντο βίον; καὶ οἱ ἐν Σοδόμοις, διὰ γαστριμαργίαν. Ἐν πλησμονῇ γάρ, φησιν, ἄρτων ἐσπατάλων. (Ιεζεκ. ις. μθ.) τοῦτο περὶ τῶν ἐν Σοδόμοις εἴρηται. εἰ δὲ ἄρτων πλησμονὴ τοσοῦτον κακὸν εἰργάσατο, τί ἂν εἴποιμεν περὶ τῶν ἄλλων καρυκευμάτων; ὁ Ἡσαῦ οὐχὶ ἐν ἀνέσει ἦν; τί δὲ οἱ ἰδόντες τὰς γυναῖκας

[Margin: χ. -ψεως; καὶ ἀθυμήσωμεν, ἢ βέλει, ἄνωθεν καὶ ἐξ ἀρχῆς, ὁ Ἄβελ, αὐτὸς ὁ Νῶε. οὐ γάρ ἐστι · χ. παῖδας · χ. σῖτον, κατὰ · χ. λιμός; · χ. τοῦτο προεῖπε]

φησὶν, ὑπ' αὐτοῦ ἐλεγχόμενος. ἄρα τοῦ Θεοῦ ταῦτά ἐστι. καὶ τοῦτο δὲ εἰς παράκλησιν οὐ μικρὸν, ὅταν μάθωμεν, ὅτι τοῦ Θεοῦ ἔργον ἐστὶ τὸ τοιαῦτα δυνηθῆναι, ἐκείνου συγχωροῦντος, καθάπερ καὶ Παῦλός φησιν, Ὑπὲρ τούτου τρὶς τὸν Κύριον παρεκάλεσα, καὶ εἴρηκέ μοι, ἀρκεῖ σοι ἡ χάρις μου. ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. ὥστε ἐκεῖνός ἐστιν ὁ συγχωρῶν. Ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει· μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται. οὐκ ἔχεις, φησὶν, εἰπεῖν ὅτι ἐστί τις δίκαιος θλίψεως χωρίς· κἂν γὰρ οὕτω φαίνηται, ἀλλ' οὐκ ἴσμεν ἡμεῖς τὰς ἄλλας θλίψεις. ὥστε πάντα δίκαιον ἀνάγκη διὰ θλίψεως ἐλθεῖν. ἀπόφασις γάρ ἐστι τοῦ Χριστοῦ, ὅτι ἡ πλατεῖα καὶ εὐρύχωρος ὁδὸς ἀπάγει εἰς τὴν ἀπώλειαν· ἡ δὲ στενὴ καὶ τεθλιμμένη, εἰς τὴν ζωήν. εἰ τοίνυν ἐκεῖθέν ἐστιν ἐλθεῖν εἰς τὴν ζωὴν, ἄλλοθεν δὲ οὐκ ἔνι, ἄρα διὰ τῆς στενῆς πάντες εἰσῆλθον, ὅσοι πρὸς τὴν ζωὴν ἀπῆλθον.

β. Κορ. ιβ. θ.

γρ. γὰρ
γρ. λυθῆναι,
γρ. ἀλλαχόθεν οὐκ ἔστιν ἄρα
γρ. ἀπῆλθον

7 Εἰ παιδείαν ὑπομένετε, φησὶν, ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ Θεός. Τίς γάρ ἐστιν υἱὸς, ὃν οὐ παιδεύει πατήρ; [Εἰ παιδεύει, ἄρα εἰς διόρθωσιν, ἀλλ'] οὐκ εἰς κόλασιν, οὐδὲ εἰς τιμωρίαν, οὐδὲ εἰς τὸ κακῶς παθεῖν. ὅρα, ὅθεν ἐνόμιζον ἐγκαταλελεῖφθαι, ἀπὸ τούτων φησὶν αὐτοὺς πιστεύειν, ὅτι οὐκ ἐγκαταλελειμμένοι εἰσίν. ὡς ἂν εἰ ἔλεγεν, ἐπειδὴ τοσαῦτα ἐπάθετε κακὰ, νομίζετε ὅτι ἀφῆκεν ὑμᾶς ὁ Θεὸς καὶ μισεῖ; εἰ μὴ ἐπάθετε, τότε ἔδει τοῦτο ὑποπτεύειν. εἰ γὰρ πάντα υἱὸν μαστιγοῖ, ὃν παραδέχεται· ὁ μὴ μαστιζόμενος, [ἴσως] οὐχ υἱός. τί οὖν, φησί; πονηροὶ οὐ πάσχουσι κακῶς; πάσχουσι μέν. πῶς γὰρ οὔ; ἀλλ' οὐκ εἶπε, πᾶς ὁ μαστιζόμενος, υἱὸς, ἀλλὰ πᾶς ὁ υἱὸς μαστιγοῦται. ἀλλ' οὐκ ἂν ἔχοις εἰπεῖν. εἰσὶ μὲν γὰρ μαστιζόμενοι πολλοὶ, καὶ πονηροὶ οἷον ἀνδροφόνοι, λῃσταὶ, γόητες, τυμβωρύχοι. ἀλλ' ἐκεῖνοι τῆς ἰδίας πονηρίας διδόασι δίκην, καὶ οὐχ ὡς υἱοὶ μαστιγοῦνται, ἀλλ' ὡς κακοὶ κολάζονται· ὑμεῖς δὲ ὡς υἱοί. ὁρᾷς πῶς πανταχόθεν κινεῖ λογισμούς, ἀπὸ πραγμάτων τῶν ἐν τῇ γραφῇ, ἀπὸ ῥημάτων, ἀπὸ ἐννοιῶν οἰκείων, ἀπὸ παραδειγμάτων τῶν ἐν τῷ βίῳ; εἶτα πάλιν καὶ ἀπὸ τῆς κοινῆς συνηθείας·

γρ. ἐστί.
γρ. πᾶς ὁ υἱὸς εἶπεν, ὅτι πᾶς ὁ μαστ-

8 Εἰ δὲ χωρίς ἐστε παιδείας, ἧς μέτοχοι γεγόνασι πάντες, ἄρα νόθοι ἐστὲ, καὶ οὐχ υἱοί.

Ὁρᾷς ὅτι (ὅπερ ἔφθην εἰπὼν) οὐκ ἔνι μὴ παιδευόμενον εἶναι υἱόν; ὥσπερ γὰρ ἐν ταῖς οἰκίαις τῶν νόθων καταφρονοῦσιν οἱ πατέρες, κἂν μηδὲν μανθάνωσι, κἂν μὴ ἔνδοξοι γίνωνται· τῶν δὲ γνησίων ἕνεκεν υἱῶν δεδοίκασι μήποτε ῥαθυμήσωσι· τοῦτο καὶ ἐπὶ τοῦ παρόντος. εἰ τοίνυν τὸ μὴ παιδεύεσθαι νόθων ἐστὶ, δεῖ χαίρειν ἐπὶ τῇ παιδείᾳ, εἴγε γνησιότητος τοῦτο ἐστιν. Ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ Θεός. Διὰ τοῦτο αὐτός φησι,

γρ. τοῦτ. ὅ ἐστιν. Ὡς

9 Εἶτα τοὺς μὲν τῆς σαρκὸς ἡμῶν πατέρας εἴχομεν παιδευτὰς, καὶ ἐνετρεπόμεθα· οὐ πολλῷ μᾶλλον ὑποταγησόμεθα τῷ πατρὶ τῶν πνευμάτων, καὶ ζήσομεν; Πάλιν ἀπὸ τῶν οἰκείων παθημάτων, ἀφ' ὧν αὐτοὶ ἔπασχον, ἡ προτροπή. ὥσπερ γὰρ ἐκεῖ λέγει, Ἀναμιμνήσκεσθε τὰς πρότερον ἡμέρας· οὕτω καὶ ἐνταῦθα, ὁ Θεὸς, φησὶν, ὡς υἱοῖς ὑμῖν προσφέρεται, καὶ οὐκ ἂν ἔχοιτε εἰπεῖν, ὅτι οὐ δυνάμεθα φέρειν. καὶ ὡς υἱοῖς ποθεινοῖς. εἰ δὲ τοὺς πατέρας αἰδοῦνται τοὺς σαρκικοὺς ἐκεῖνοι, πῶς ὑμεῖς τὸν πατέρα τὸν ἐπουράνιον οὐκ αἰδεσθήσεσθε; καίτοι οὐκ ἀπὸ τούτου μόνον ἡ διαφορὰ, καὶ ἀπὸ προσώπων, ἀλλὰ καὶ ἀπ' αὐτῆς τῆς αἰτίας, καὶ ἀπὸ τοῦ πράγματος. οὐ γὰρ ἐπὶ τοῖς αὐτοῖς οὗτοί τε κἀκεῖνοι παιδεύουσι. διὸ καὶ ἐπάγει,

Εβρ. ι. λβ.

γρ. γὰρ

10 Οἱ μὲν γὰρ πρὸς ὀλίγας ἡμέρας κατὰ τὸ δοκοῦν αὐτοῖς ἐπαίδευον· Τουτέστιν, ἡδονὴν πληροῦντες πολλάκις, καὶ οὐ πανταχοῦ τὸ συμφέρον ὁρῶντες. ἐνταῦθα δὲ οὐκ ἔστι τοῦτο εἰπεῖν. οὐ γὰρ διά τι τῶν αὐτοῦ τοῦτο ποιεῖ, ἀλλὰ δι' ὑμᾶς, καὶ τὴν ὠφέλειαν μόνην τὴν ὑμετέραν. ἐκεῖνοι ἵνα καὶ αὐτοῖς χρήσιμοι γένησθε, πολλάκις δὲ καὶ εἰκῇ· ἐνταῦθα δὲ οὐδὲν τοιοῦτόν ἐστιν. ὁρᾷς ὅτι καὶ τοῦτο φέρει παράκλησιν; μάλιστα γὰρ ἐκείνοις οἰκειούμεθα, ὅταν ἴδωμεν ὅτι οὐ διά τι τῶν αὐτῶν ἢ ἐπιτάττουσιν, ἢ πράττουσιν, ἀλλ' ὁλόκληρος ἡ σπουδὴ διὰ τὸ ἡμέτερον γέγονε. τοῦτο γάρ ἐστιν εἰλικρινὴς ἀγάπη, καὶ ὄντως ἀγάπη, ὅταν μηδὲν ὄντες τῷ

γρ. -σιν· ἀλλ' ἐκεῖνοι μὲν πρὸς τὸ αὐτοῖς δοκοῦν, τουτέστιν
γρ. γένωνται

φιλοῦντι

προθυμίας ἅπαντα καταδέξασθαι; καὶ βασιλέα μὲν τὸν ἐπὶ γῆς ἵνα μόνον ἴδωμεν, πολλάκις ὑπὲρ τοῦ ἰδεῖν αὐτὸν, καὶ τὰ ἐν χερσὶ ῥίπτομεν, καὶ ἀναγκαῖα ὄντα· ὑπὲρ δὲ τοῦ βασιλέα καὶ νυμφίον ἐν οὐρανοῖς ἀμφότερα ὄντα, ὥστε μὴ μόνον καταξιωθῆναι ἰδεῖν, ἀλλὰ καὶ προπεμφθῆναι αὐτὸν μετὰ λαμπάδων, καὶ ἐγγὺς αὐτοῦ εἶναι, καὶ διαπαντὸς εἶναι μετ' αὐτοῦ, τί οὐκ ἔδει ποιεῖν; τί δὲ οὐ προσῆκε; τί δὲ οὐχ ὑπομένειν; δέομαι, παρακαλῶ, λάβωμέν τινα πόθον ἐκείνων τῶν ἀγαθῶν, ποθήσωμεν ἐκεῖνον τὸν νυμφίον, ὦμεν παρθένοι τὴν ἀληθῆ παρθενίαν. τὴν γὰρ τῆς ψυχῆς παρθενίαν ἐπιζητεῖ ὁ δεσπότης. μετὰ ταύτης εἰσέλθωμεν εἰς τὸν οὐρανὸν, μὴ ἔχοντες σπίλον ἢ ῥυτίδα, ἤ τι τῶν τοιούτων· ἵνα καὶ τῶν ἐπηγγελμένων ἡμῖν ἀγαθῶν ἐπιτύχωμεν· ὧν γένοιτο πάντας ἡμᾶς μετασχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

χ. ὁ Θεός.

Λογ. κθ. 4 ΟΥΠΩ ΜΕΧΡΙΣ ΑΙΜΑΤΟΣ ΑΝΤΙΚΑΤΕΣΤΗ-
τε, πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι· 5 Καὶ ἐκλέλησθε τῆς παρα-
κλήσεως, ἥτις ὑμῖν ὡς υἱοῖς διαλέγεται, Υἱέ μου, μὴ ὀλιγώρει παιδείας Κυ-
ρίου, μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος. 6 Ὃν γὰρ ἀγαπᾷ Κύ-
ριος, παιδεύει· μαστιγοῖ δὲ πάντα υἱὸν, ὃν παραδέχεται.
7 Εἰ παιδείαν ὑπομένετε, ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ Θεός (τίς γάρ
ἐστιν υἱὸς ὃν οὐ παιδεύει πατήρ;)

Ἔστιν εἴδη παρακλήσεως δύο, ἐναντία ἀλλήλοις εἶναι δοκοῦντα, πολλὴν δὲ ἑαυτοῖς συνεισφέροντα τὴν ἰσχὺν· ἅπερ ἀμφότερα ἐνταῦθα τέθεικε. ἓν μὲν γάρ ἐστιν, ὅταν πολλὰ λέγωμεν πεπονθέναι τινάς (ἡ γὰρ ψυχὴ διαναπαύεται, ὅταν ἔχῃ τῶν οἰκείων παθῶν μάρτυρας πολλούς. ὅπερ αὐτὸς πρώτον ἔθηκεν εἰπὼν, Ἀναμιμνήσκεσθε τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες, πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων) ἓν δὲ, ὅταν λέγωμεν, ὅτι οὐ μέγα τι πέπονθας. ἐπιστρεφόμεθα γὰρ τῷ λόγῳ, καὶ διανιστάμεθα, καὶ πάντα πρὸς τὸ παθεῖν γινόμεθα προθυμότεροι. καὶ τὸ μὲν ἀποτυχοῦσαν τὴν ψυχὴν διαναπαύει, καὶ ἀναπνεῖν ποιεῖ· τὸ δὲ, ῥαθυμοῦσαν αὐτὴν καὶ ὑπτίαν γινομένην ἐπιστρέφει, καὶ τοῦ φρονήματος καταστᾷ. ἵνα τοίνυν [μὴ] ἐκ τῆς μαρτυρίας φρόνημα αὐτοῖς τεχθῇ, ὅρα τί ποιεῖ. οὔπω, φησί, μέχρις αἵματος ἀντικατέστητε, πρὸς τὴν ἁμαρτίαν [ἀνταγωνιζόμενοι καὶ ἐκλέλησθε τῆς παρακλήσεως.] καὶ οὐκ εὐθέως ἐπήγαγε τὰ ἑξῆς, ἀλλὰ δείξας αὐτοῖς πάντας τοὺς μέχρις αἵματος στάντας, εἶτα ἐπαγαγὼν τὸ καύχημα τοῦ Χριστοῦ τὰ παθήματα, τότε εὐκόλως κατέδραμε. τοῦτο καὶ Κορινθίοις γράφων λέγει, Πειρασμὸς ὑμᾶς οὐκ εἴληφεν, εἰ μὴ ἀνθρώπινος· τουτέστι, μικρός. ἱκανὸν γὰρ τοῦτο διαναστῆσαι καὶ ἀνορθῶσαι ψυχὴν, ὅταν ἐννοήσῃ, ὅτι οὐ πρὸς τὸ πᾶν ἀπῆλθε, καὶ πείσῃ ἑαυτὴν ἀπὸ τῶν προλαβόντων. ὃ δὲ λέγει τοῦτό ἐστιν· οὔπω θάνατον ὑπέστητε, μέχρι χρημάτων ὑμῖν ἡ ζημία, μέχρι δόξης, μέχρι τοῦ ἐλαύνεσθαι. ὁ μέντοι Χριστὸς ὑπὲρ ὑμῶν τὸ αἷμα ἐξέχεεν, ὑμεῖς δὲ οὐδὲ ὑπὲρ ἑαυτῶν. αὐτὸς μέχρι θανάτου ἠγωνίσατο περὶ τῆς ἀληθείας, πολεμῶν ὑπὲρ ὑμῶν· ὑμεῖς δὲ οὐδέπω εἰς κινδύνους ἐπιβάντας θάνατον ἀπειλοῦντας. καὶ ἐκλέλησθε τῆς παρακλήσεως· τουτέστι, καὶ παρήκατε τὰς χεῖρας, ἐξελύθητε. οὔπω, φησί, μέχρις αἵματος ἀντικατέστητε, πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι. ἐνταῦθα δείκνυσι καὶ τὴν ἁμαρτίαν σφόδρα πνέουσαν, καὶ αὐτὴν ὁπλιζομένην. τὸ γὰρ ἀντικατέστητε, πρὸς τοὺς ἑστῶτας εἴρηται. ἥτις ὑμῖν, φησιν, ὡς υἱοῖς διαλέγεται, υἱέ μου, μὴ ὀλιγώρει παιδείας Κυρίου, μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος. ἐποιήσατο ἀπὸ τῶν πραγμάτων τὴν παράκλησιν, ἐκ περιουσίας καὶ τὴν ἀπὸ τῶν λόγων ἐπάγει, ἀπὸ τῆς μαρτυρίας ταύτης· μὴ ἐκλύου,

Ἑβρ. ι. λβ.

χ. ἵνα γὰρ

α. Κορ. ι. ιγ.

χ. αἰβάντα

γίνεσθαι, δι' ὑμᾶς, οὐ δι' ἐκείνους· οὐχ ἵνα ἐκείνους ἀπαλλάξω φθόνου, ἀλλ' ἵνα ὑμᾶς ἀπαλλάξω φαντασίας βιωτικῆς. βούλει φαίνεσθαι καλή; κἀγὼ τοῦτο βούλομαι, ἀλλὰ κάλλος, ὃ ὁ Θεὸς ζητεῖ, κάλλος, οὗ ἐπιθυμεῖ ὁ βασιλεύς. τίνα βούλει ἔχειν ἐραστήν; τὸν Θεόν, ἢ τοὺς ἀνθρώπους; ἐὰν ἐκεῖνο ἔχῃς τὸ κάλλος καλόν, ὁ Θεὸς ἐπιθυμήσει τοῦ κάλλους σου· ἂν δὲ τοῦτο χωρὶς ἐκείνου, ἐκεῖνος μέν σε βδελύξεται, ἔσονται δέ σου ἐρασταὶ ἄνδρες μιαροί. οὐδεὶς γὰρ ὑπ' ἀνδρὸς γυναικὸς ἐρῶν, ἀγαθός. τοῦτο καὶ ἐπὶ τοῦ κόσμου τοῦ ἔξωθεν λογίζου. ἐκεῖνος μὲν γὰρ ὁ κόσμος, ὁ τῆς ψυχῆς, λέγω, τὸν Θεὸν ἐπισπᾶται· οὗτος δὲ πάλιν τοὺς μιαροὺς ἄνδρας. ὁρᾷς ὅτι ὑμῶν κήδομαι, ὅτι ὑμῶν φροντίζω, ἵνα καλαὶ ἦτε, ὄντως καλαί, ὄντως ἐπίδοξοι, ἵνα ἀντὶ ἀνδρῶν μιαρῶν τὸν ἁπάντων δεσπότην Θεὸν ἔχητε ἐραστήν; ἡ δὲ ἐκεῖνον ἔχουσα ἐραστήν, τίνι ἔσται ὁμοία; μετὰ ἀγγέλων χορεύσει. εἰ γὰρ παρὰ βασιλέως φιλουμένην τις ὑπὸ πάντων μακαρίζεται· ἡ παρὰ τοῦ Θεοῦ φιλουμένη φιλίαν πολλήν, ποίας ἔσται ἀξία; κἂν τὴν οἰκουμένην "ἀντιστήσῃς, οὐδὲν τοῦ κάλλους ἐκείνου ἄξιον. τοῦτο τοίνυν ἀσκήσωμεν τὸ κάλλος, τούτῳ κοσμώμεθα τῷ κόσμῳ, ἵνα εἰς τοὺς οὐρανοὺς χωρήσωμεν, εἰς τὰς παστάδας τὰς πνευματικάς, εἰς τὸν νυμφῶνα τὸν ἀκήρατον. τοῦτο μὲν γὰρ τὸ κάλλος ὑπὸ πάντων ἁλίσκεται· καὶ ὅταν παραμείνῃ καλῶς, καὶ μήτε νόσος ἐνοχλήσῃ, μήτε φροντὶς (ὅπερ ἀδύνατον) οὐ παραμένει εἴκοσιν ἔτη· ἐκεῖνο δὲ ἀεὶ ἀνθεῖ, ἀεὶ ἀκμάζει· οὐκ ἔστιν ἐκεῖ δέξασθαι μεταβολήν, οὐ γῆρας ἐπελθὸν ῥυτίδα ἤγαγεν, οὐ νόσος καταστήσασα ἐμάρανεν, οὐκ ἀθυμίας φροντὶς ἐλυμήνατο, ἀλλὰ πάντων τούτων ἐστὶν ἀνώτερον. τοῦτο δὲ πρὶν ἢ φανῆναι, "ἀπέπτη· καὶ φανὲν οὐκ ἔχει πολλοὺς τοὺς θαυμαστάς. οἱ μὲν γὰρ κόσμιοι οὐ θαυμάζουσιν· οἱ δὲ θαυμάζοντες, μετὰ ἀσελγείας θαυμάζουσι. μὴ τοίνυν τοῦτο ἀσκῶμεν, ἀλλ' ἐκεῖνο. ἐκείνου ἐχώμεθα, ἵνα μετὰ λαμπάδων φαιδρῶν ἀπέλθωμεν εἰς τὸν νυμφῶνα. οὐ γὰρ ταῖς παρθένοις τοῦτο ἐπήγγελται μόνον, ἀλλὰ* ταῖς ψυχαῖς ταῖς παρθένοις. ἐπεὶ εἰ παρθένων ἦν ἁπλῶς τοῦτο, οὐκ ἂν αἱ πέντε ἀπεκλείσθησαν. πασῶν τοίνυν ἐστὶ τοῦτο, ὅσαι τὴν ψυχὴν εἰσὶ παρθένοι, ὅσαι τῶν νοημάτων τῶν βιωτικῶν εἰσιν ἀπηλλαγμέναι. φθείρουσι γὰρ τὰς ψυχὰς τὰ νοήματα ταῦτα. ἐὰν τοίνυν ἀκέραιοι μένωμεν, "ἀπελευσόμεθα ἐκεῖ, καὶ δεχθησόμεθα. Ἡρμοσάμην γὰρ ὑμᾶς, φησίν, ἑνὶ ἀνδρί, παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ. ταῦτα οὐ πρὸς τὰς παρθένους εἶπεν, ἀλλὰ πρὸς τὸ πλήρωμα τῆς ἐκκλησίας ἁπάσης. ἡ γὰρ ἄφθορος ψυχή, παρθένος ἐστί, κἂν ἄνδρα ἔχῃ· παρθένος ἐστὶ τὴν ὄντως παρθενίαν, τὴν θαυμαστήν. αὕτη γὰρ ἡ τοῦ σώματος ἐκείνης ἐστὶν ἐπακολούθημα καὶ σκιά· ἡ δὲ ἀληθὴς παρθενία ἐκείνη ἐστί. ταύτην ἀσκῶμεν, καὶ οὕτω δυνησόμεθα μετὰ φαιδροῦ προσώπου τὸν νυμφίον ἰδεῖν, μετὰ φαιδρῶν εἰσελθεῖν τῶν λαμπάδων, ἐὰν τὸ ἔλαιον ἡμᾶς μὴ ἐπιλίπῃ, ἐὰν τὰ χρυσία χωνεύσασαι ἔλαιον ἐργασώμεθα τοιοῦτον, ὃ ποιεῖ φαιδρὰς τὰς λαμπάδας. τὸ δὲ ἔλαιον ἐκεῖνό ἐστιν ἡ φιλανθρωπία. ἐὰν ἑτέροις μεταδῶμεν "τὰ ὄντα, ἐὰν ἔλεον αὐτὰ ἐργασώμεθα, τότε "ἡμῖν παρέσται, καὶ οὐκ ἐροῦμεν ἐν ἐκείνῳ τῷ καιρῷ, Δότε ἡμῖν ἔλαιον ὅτι σβέννυνται ἡμῶν αἱ λαμπάδες, οὐδὲ ἑτέρων δεηθησόμεθα, οὐδὲ ἀπελθοῦσαι πρὸς τοὺς πωλοῦντας, ἀποκλεισθησόμεθα, οὐδὲ ἀκουσόμεθα τῆς φωνῆς ἐκείνης τῆς φοβερᾶς καὶ φρικτῆς, κρουούσαι τὰς θύρας, Οὐκ οἶδα ὑμᾶς, ἀλλ' ἐπιγνώσεται ἡμᾶς, καὶ συνεισελευσόμεθα τῷ νυμφίῳ, καὶ εἰσελθόντες εἰς τὸν νυμφῶνα τὸν πνευματικόν, μυρίων ἀπολαύσομεν τῶν ἀγαθῶν. εἰ γὰρ ἐνταῦθα οὕτω φαιδρὸς ὁ νυμφών, οὕτω λαμπραὶ αἱ παστάδες, ὡς μηδένα κορέννυσθαι προσέχοντα· "πόσῳ μᾶλλον ἐκεῖ; θάλαμός ἐστιν ὁ οὐρανός, καὶ τοῦ οὐρανοῦ ὁ νυμφὼν βελτίων· ἐκεῖ εἰσελευσόμεθα. εἰ δὲ ὁ νυμφὼν οὕτω καλός, τίς ἄρα ἔσται ὁ νυμφίος; καὶ τί λέγω, τὰ χρυσία ἀποθέμεναι μεταδῶμεν τοῖς δεομένοις; εἰ γὰρ καὶ ἑαυτὰς πωλεῖν ἐχρῆν, εἰ γὰρ ἀντ' ἐλευθέρων γενέσθαι δούλας, ὥστε δυνηθῆναι μετ' ἐκείνου εἶναι τοῦ νυμφίου, τοῦ κάλλους ἀπολαύειν ἐκείνου, μόνον ὁρᾷν εἰς τὸ πρόσωπον "ἐκείνου· οὐκ ἐχρῆν μετὰ προθυμίας

Margin notes: χ. τίσεις λ-λω, · χ. ἀπέπτη · * καὶ · β. Κορ. ια. β. · χ. ἀπενεχθησόμεθα · χ. τῶν ὄντων, ἔλ- · Ματθ. κε. η. · χ. ἡμῖν · χ. πολλῷ · χ. ἐκεῖνο

Digitized by Google

περιχέων) ἐν βαλανείοις καὶ ἐν ἀγοραῖς; ἀλλ' ἐν βαλανείοις καὶ ἐν ἀγοραῖς οὐδὲν ἴσως θαυμαστόν· τὸ δὲ καὶ ἐν ἐκκλησίᾳ οὕτω σχηματιζομένην περιιέναι, πολὺς ὁ γέλως. τί γὰρ δήποτε εἰσέρχεται χρυσία φοροῦσα ἐνταῦθα, ἡ ὀφείλουσα εἰσελθεῖν, ἵνα ἀκούσῃ κοσμεῖν ἑαυτὰς, μὴ χρυσίῳ, μηδὲ μαργαρίταις, μηδὲ ἱματισμῷ πολυτελεῖ; τίνος οὖν ἕνεκεν εἰσέρχῃ, ὦ γύναι; ἆρα ὡς μαχομένη τῷ Παύλῳ, καὶ δεικνύουσα ὅτι κἂν μυριάκις ταῦτα λέγῃ, οὐκ ἐπιστρέφῃ, ἀλλ' ὡς τοὺς διδασκάλους ἡμᾶς ἐλέγξαι βουλομένη μάτην ταῦτα διαλεγομένους; εἰπὲ γάρ μοι· ἐάν τις Ἕλλην καὶ ἄπιστος ἀκούσας ἀναγινωσκομένου τοῦ χωρίου τούτου ἔνθα ταῦτα λέγει ὁ μακάριος Παῦλος, παρεγγυῶν ταῖς γυναιξὶ, μήτε χρυσῷ, μήτε μαργαρίταις, μήτε ἱματισμῷ πολυτελεῖ κοσμεῖν ἑαυτὰς, καὶ ἔχων γυναῖκα πιστὴν, ἴδῃ ὅτι πολλὴν ποιεῖται λόγον τοῦ καλλωπισμοῦ, καὶ χρυσία περιτίθεται, ἵνα προσέλθῃ ἐν ἐκκλησίᾳ, ἆρα οὐκ ἐρεῖ πρὸς ἑαυτὸν, ὁρῶν αὐτὴν ἐν τῷ κοιτωνίσκῳ ταῦτα περιτιθεμένην καὶ διατιθεῖσαν καλῶς, τί ἄρα μένει ἔνδον ἡ γυνὴ εἰς τὸν κοιτωνίσκον; τί βραδύνει; τί περιτίθεται τὰ χρυσία; ποῦ ἀπελθεῖν ἔχει; εἰς τὴν ἐκκλησίαν; διὰ τί; ἵνα ἀκούσῃ, Μὴ ἱματισμῷ πολυτελεῖ; οὐ γελάσεται; οὐκ ἀνακαγχάσει; οὐ χλεύην καὶ ἀπάτην εἶναι νομιεῖ τὰ ἡμέτερα; διὸ, παρακαλῶ, τὰ χρυσία ταῖς πομπαῖς ἀφῶμεν, ταῖς σκηναῖς, ταῖς παραθήκαις ταῖς ἐπὶ τῶν ἐργαστηρίων. ἡ δὲ τοῦ Θεοῦ εἰκὼν μὴ τούτοις καλλωπιζέσθω· ἡ ἐλευθέρα τῇ ἐλευθερίᾳ κοσμείσθω. ἐλευθερία δὲ, τὸ ἄτυφον, τὸ ἀκόμπαστον. εἰ δὲ καὶ δόξης βούλει τῆς παρὰ ἀνθρώποις ἐπιτυχεῖν, οὕτως ἐπιτεύξῃ. τὴν γὰρ ἀνδρὸς πλουτοῦντος οὖσαν γυναῖκα, οὐχ οὕτω θαυμασόμεθα χρυσία φοροῦσαν καὶ σηρικὰ (τοῦτο γὰρ κοινὸν ἁπασῶν) ὡς ὅταν λιτὸν ἱμάτιον, καὶ ἁπλοῦν, καὶ ἐξ ἐρίου εἰργασμένον μόνον περικειμένη τυγχάνῃ. τοῦτο θαυμάσονται πάντες, τοῦτο κροτήσουσιν. ἐν ἐκείνῳ μὲν γὰρ τῷ κόσμῳ, τῷ τῶν χρυσίων καὶ τῶν πολυτελῶν ἱματίων, πολλὰς ἔχει τὰς κοινωνούσας αὐτῇ. κἂν ταύτην ὑπερακοντίσῃ, ὑπὸ τῆς ἑτέρας ἡττᾶται· κἂν πάσας ὑπερβάλῃ, ὑπὸ τῆς βασιλίδος αὐτῆς νικᾶται· ἐνταῦθα δὲ πάσας νικᾷ, καὶ αὐτὴν τὴν τοῦ βασιλέως γυναῖκα. μόνη γὰρ ἐν πλούτῳ πολλῷ τὰ τῶν πενήτων εἵλετο. ὥστε καὶ εἰ δόξης ἐρῶμεν, ἐνταῦθα μείζων ἡ δόξα. οὐ πρὸς τὰς χήρας λέγω μόνον, οὐδὲ τὰς πλουσίας (ἐνταῦθα γὰρ δοκεῖ ἡ τῆς χηρείας ἀνάγκη τοῦτο ποιεῖν) ἀλλὰ καὶ πρὸς τὰς ὑπ' ἄνδρας οὔσας. ἀλλ' οὐκ ἀρέσκω, φησί, τῷ ἀνδρί. οὐ τῷ ἀνδρὶ βούλει ἀρέσκειν, ἀλλὰ τῷ πλήθει τῶν γυναικῶν τῶν πενιχρῶν· μᾶλλον δὲ οὐκ ἀρέσκειν, ἀλλὰ κατατήκειν αὐτὰς, καὶ ὀδυνᾷν, καὶ τὴν πενίαν μείζονα ποιεῖν. πόσα διὰ σὲ βλάσφημα φθέγγονται; μὴ ἔστω, φησί, πενία· ὁ Θεὸς μισεῖ τοὺς πενομένους, ὁ Θεὸς οὐ φιλεῖ τοὺς ἐν πενίᾳ. ὅτι γὰρ οὐ τῷ ἀνδρὶ βούλει ἀρέσκειν, καὶ ταύτης ἕνεκεν τῆς αἰτίας καλλωπίζῃ, δι' ὧν αὐτὴ ποιεῖς, [τοῦτο] δῆλον ἅπασι καθίστας. ὅταν γὰρ ὑπερβῇς τὸν οὐδὸν τοῦ θαλάμου, εὐθέως ἀποδύσασα ἀποτίθῃ, καὶ τὰ ἱμάτια, καὶ τὰ χρυσία, καὶ τοὺς μαργαρίτας· καὶ ἐπὶ τῆς οἰκίας μάλιστα οὐ φορεῖς. εἰ δ' ὅλως βούλει ἀρέσκειν τῷ ἀνδρὶ, ἔστι δι' ὧν ἀρέσκεις, δι' ἐπιεικείας, διὰ πραότητος, διὰ κοσμιότητος. πίστευε γάρ μοι, γύναι, κἂν μυριάκις ᾖ καταφερὴς ὁ ἀνὴρ, καὶ ἀκρατὴς, ταῦτα μᾶλλον αὐτὸν ἐφελκύσεται, ἐπιείκεια, κοσμιότης, τὸ ἄτυφον, τὸ ἀδάπανον, τὸ εὐτελές. τοὺς μὲν γὰρ ἀκολάστους, κἂν μυρία τοιαῦτα ἐπινοῇς, οὐ καθέξεις. καὶ ἴσασιν ὅσαι τοιούτους ἐσχήκασιν ἄνδρας. ὡς γὰρ ἐὰν καλλωπίσῃς σαυτὴν, ἐκεῖνος ἀκόλαστος ὢν πρὸς ἑτέραν ἄπεισι· τοὺς δὲ σώφρονας καὶ κοσμίους οὐ τούτοις αἱρήσεις, ἀλλὰ τοῖς ἐναντίοις· ἐν τούτοις δὲ καὶ λυπεῖς, σαυτῇ δόξαν περιτιθεῖσα φιλοκόσμου. εἰ γὰρ καὶ αἰδούμενος ὁ ἀνὴρ, καὶ τοῦτο ὡς σώφρων, οὐ λέγει, ἀλλ' ἔνδοθεν καταγνώσεταί σου· τοὺς δὲ φθόνους, καὶ τὰς βασκανίας οὐ περιστέλλεται. οὐ πᾶσαν ἡδονὴν ἐκβαλεῖς λοιπὸν, φθόνον ἐγείρουσα κατὰ σαυτῆς; τάχα δυσχερῶς ἀκούετε τῶν λεγομένων, καὶ ἀγανακτεῖτε, λέγουσαι, ὅτι τοὺς ἄνδρας προξενεῖ μᾶλλον κατὰ τῶν γυναικῶν. οὐ τοὺς ἄνδρας προξενῶν ταῦτα λέγω, ἀλλὰ περὶ ὑμῶν βουλόμενος ἐκεῖ τι ταῦτα

α. Τιμ. β. θ.

αἰσχύνην, ἀλλὰ πάντα μᾶλλον ἢ ταύτην. ἱμάτια ἔστω τὰ τῆς χρείας, μὴ περιττά. πλὴν ἀλλ' ἵνα μὴ εἰς πολλὴν στενοχωρίαν ὑμᾶς κατακλείσωμεν, ἐκεῖνο παραινῶ, ὅτι χρυσοπάστων ἡμῖν οὐ δεῖ, οὐδὲ λεπτῶν ὀθονίων. καὶ ταῦτα οὐκ ἐγὼ λέγω. ὅτι γὰρ οὐκ ἐμά ἐστι τὰ ῥήματα, ἄκουε τοῦ μακαρίου Παύλου λέγοντος, καὶ παραινοῦντος ταῖς γυναιξὶ κοσμεῖν ἑαυτὰς, μὴ ἐν πλέγμασιν, ἢ χρυσῷ, ἢ μαργαρίταις, ἢ ἱματισμῷ πολυτελεῖ. ἀλλὰ ποταπῷ βούλει, ὦ Παῦλε, εἰπέ. ἴσως γὰρ ἐροῦσιν, ὅτι τὰ χρυσᾶ μόνα ἐστὶ πολυτελῆ [τὰ δὲ σηρικὰ, οὐ πολυτελῆ.] Εἰπὲ ποταπῷ βούλει. Ἔχοντες δὲ διατροφὰς καὶ σκεπάσματα, τούτοις, φησὶν, ἀρκεσθησόμεθα. τοιοῦτον ἔστω τὸ ἱμάτιον, φησὶν, ὥστε σκέπειν μόνον. διὰ γὰρ τοῦτο ἔδωκεν ἡμῖν αὐτὰ ὁ Θεὸς, ἵνα σκέπωμεν τὴν γυμνότητα. τοῦτο δὲ οἱονδήποτε ἱμάτιον ποιῆσαι δύναται. ἁπλοῦς οὖν πο-μὸς. τάχα γελᾶτε αἱ τὰ σηρικὰ φοροῦσαι ἱμάτια. γελᾶσαι γὰρ ὄντως χρή. τί μὲν Παῦλος ἐπέταξε; τί δὲ ἡμεῖς πράττομεν; οὐ πρὸς τὰς γυναῖκας δέ μοι ὁ λόγος μόνον, ἀλλὰ καὶ πρὸς τοὺς ἄνδρας. πάντα γὰρ τὰ λοιπὰ, ἃ περιέχομεν, περιττά. μόνοι δὲ οἱ πένητες οὐ περιττὰ κέκτηνται. τάχα δὲ κἀκεῖνοι δι' ἀνάγκην· ὡς εἴγε ἐξῆν, οὐκ ἂν οὐδὲ ἐκεῖνοι ἀπέσχοντο. πλὴν ἀλλ' εἴτε προφάσει, εἴτε ἀληθείᾳ, τέως ἐκεῖνοι τὰ περιττὰ οὐκ ἔχουσι. τοιαῦτα τοίνυν φορῶμεν ἱμάτια, τὰ τὴν χρείαν πληροῦντα. τί γὰρ βούλεται ὁ πολὺς χρυσός; τοῖς ἐπὶ σκηνῆς ταῦτα ἁρμόττει, ταῦτα ἐκείνων τὰ φορήματα, πορνῶν ἐστι γυναικῶν, πάντα πρὸς τὸ θεαθῆναι ποιουσῶν. καλλωπιζέσθω ἐκείνη ἡ ἐπὶ τῆς σκηνῆς, ἡ ἐπὶ τῆς ὀρχήστρας. πάντας γὰρ βούλεται πρὸς ἑαυτὴν ἐπισπάσασθαι. ἡ δὲ ἐπαγγελλομένη θεοσέβειαν, μὴ οὕτω καλλωπιζέσθω, ἀλλ' ἑτέρως ἔχει καλλωπισμὸν πολὺ ἐκείνης μείζονα. ἔχεις καὶ σὺ θέατρον. πρὸς ἐκεῖνο καλλωπίζου τὸ θέατρον· ἐκεῖνον περιτίθεσο τὸν κόσμον. ποῖον σοί ἐστι τὸ θέατρον; ὁ οὐρανὸς, ὁ τῶν ἀγγέλων δῆμος· οὐχὶ τῶν παρθένων λέγω μόνον, ἀλλὰ καὶ τῶν κοσμικῶν. πᾶσαι, ὅσαι τὸν Χριστὸν πιστεύουσιν, ἐκεῖνο ἔχουσι τὸ θέατρον. τοιαῦτα φθεγγώμεθα, ἵνα ἐκείνους τέρπωμεν τοὺς θεατάς· τοιαῦτα περιτίθεσο, ἵνα ἐκείνους εὐφράνῃς. Εἰπὲ γάρ μοι, ἐὰν ἡ πόρνη γυνὴ ἀφεῖσα τὰ χρυσία, καὶ τὰ ἱμάτια, καὶ τὸν γέλωτα, καὶ τὰ ῥήματα τὰ ἄσεμνα, καὶ τὰ αἰσχρὰ, εὐτελὲς ἱμάτιον περιβάληται, καὶ ἀνεπιτηδεύτως συνθεῖσα ἑαυτὴν εἰσέλθῃ, καὶ θεοσεβῆ φθέγγηται ῥήματα, καὶ περὶ σωφροσύνης διαλέγηται, καὶ μηδὲν αἰσχρὸν λέγῃ, οὐχὶ διαστήσονται πάντες; οὐχὶ διαλυθήσεται τοῦτο τὸ θέατρον; οὐχὶ ἐκβαλοῦσιν αὐτὴν, ὡς οὐκ εἰδυῖαν ἁρμόσασθαι τῷ δήμῳ, καὶ ἀλλότρια λέγουσαν τοῦ θεάτρου ἐκείνου τοῦ σατανικοῦ; οὕτω καὶ σὺ, ἐὰν τὰ ἐκείνης περιθεμένη εἰς τὸ τῶν οὐρανῶν θέατρον εἰσέλθῃς, ἐκβαλοῦσί σε οἱ θεαταί. ἐκεῖ γὰρ οὐ τῶν χρυσῶν ἱματίων χρεία τούτων, ἀλλ' ἑτέρων τινῶν; οἵων ὁ προφήτης φησὶν, *Ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένη, πεποικιλμένη· *οὐχ ὥστε τὸ σῶμα λευκὸν ποιῆσαι, καὶ ἀποστίλβειν, ἀλλ' ὥστε τὴν ψυχὴν καλλωπίσαι. αὕτη γάρ ἐστιν ἡ ἀγωνιζομένη ἐκεῖ, καὶ ἀθλοῦσα. Πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν, φησί. ταῦτα περιέθου. μυρίων γὰρ καὶ ἄλλων ἀπαλλάττεις σαυτὴν κακῶν, καὶ τὸν ἄνδρα μερίμνης, καὶ σαυτὴν φροντίδος. οὕτω γὰρ αἰδέσιμος ἔσῃ τῷ ἀνδρὶ, ὅταν μὴ πολλῶν δέῃ. πᾶς γὰρ ὁ θεράπων εἴωθεν ἀκκίζεσθαι κατὰ τῶν δεομένων αὐτοῦ· ὅταν δὲ ἴδῃ μὴ χρείαν ἔχοντας, κατασπᾷ τὸ φρόνημα. ὥστε ὁμοτίμως *διαλέγεται*. ὅταν ἴδῃ ὁ ἀνὴρ ὅτι οὐ χρείαν αὐτοῦ ἔχεις ἐν οὐδενὶ, ὅτι καταφρονεῖς τῶν παρ' αὐτοῦ δωρεῶν, κἂν σφόδρα ᾖ φρονηματίας, τότε σε αἰδεσθήσεται μᾶλλον, ἢ τὰ χρυσία περικειμένην· καὶ οὐκέτι ἔσῃ αὐτοῦ δούλη. ὧν γὰρ χρείαν ἔχομεν, ὑποκύπτειν τούτοις ἀναγκαζόμεθα. ἐὰν δὲ ἀποστήσωμεν ἑαυτοὺς, οὐκέτι ἐσόμεθα ὑπόδικοι, ἀλλ' εἴδεν ὅτι διὰ τὸν τοῦ Θεοῦ φόβον ὑπακοήν τινα ἀπονέμομεν αὐτῷ, οὐ διὰ τὰ παρ' αὐτοῦ. νῦν μὲν γὰρ ὡς μεγάλα ἡμῖν χαριζόμενος, ὅσης ἂν ἀπολαύσῃ τῆς τιμῆς, οὐχ ἡγεῖται τῆς πάσης ἀπολελαυκέναι· τότε δὲ κἂν μικρᾶς τύχῃ, χάριν ἡγήσεται. οὐκ ὀνειδιεῖ, οὐκ ἀναγκασθήσεται οὐδὲ αὐτὸς πλεονεκτεῖν διὰ σέ. τί γὰρ ἀλογώτερον τοῦ χρυσία εἰς τοῦτο κατασκευάζειν, ἵνα

περίκεινται

Margin notes:

α. Τιμ. β. θ.

α. Τιμ. ϛ. η.

Ψαλ. μδ. ιδ.

γ. χρύσεια

γ. φορήματα

γ. λιτὸν ἱμάτιον

γ. -θεμένη

* Πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν,

* περιβάλλεσθαι γὰρ διδάσκει,

* πῶς

* ὁ προφήτης

τὸν σκώληκα τὸν ἀτελεύτητον; τί δυνήσῃ ἴσον εἰπεῖν τῶν ἐνταῦθα; πρὸς τὸν βρυγμὸν τῶν ὀδόντων, πρὸς τὰ δεσμά, πρὸς τὸ σκότος τὸ ἐξώτερον, πρὸς τὴν ὀργήν, πρὸς τὴν θλῖψιν, πρὸς τὴν στενοχωρίαν; ἀλλὰ τῷ χρόνῳ; καὶ τί μυρία ἔτη πρὸς ἀπείρους αἰῶνας καὶ ἀτελευτήτους; οὐχ ὅσον μικρὰ σταγὼν πρὸς ἄβυσσον ἄπειρον. ἀλλὰ πρὸς τὰ ἀγαθά; ἀλλ' ἐκεῖ μείζων ἡ ὑπερβολή. Ὀφθαλμὸς οὐκ εἶδε, φησί, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη· καὶ ταῦτα ἔσται πάλιν ἐν ἀπείροις αἰῶσιν. ὑπὲρ τούτων οὖν κατακοπῆναι μυριάκις οὐ καλόν; ἀναιρεθῆναι, κατακαῆναι, μυρίους ὑποστῆναι θανάτους, πᾶν ὁτιοῦν ὑπομεῖναι δεινόν, καὶ λόγῳ καὶ ἔργῳ; εἰ γὰρ ἐν πυρὶ ζῆν κατακαιόμενον ἔδει, οὐκ ἔδει πάντα ὑπομεῖναι ὑπὲρ τοῦ τυχεῖν τῶν ἐπηγγελμένων ἐκείνων ἀγαθῶν; ἀλλὰ τί λέγω ταῦτα ληρῶν πρὸς ἀνθρώπους οὐδὲ χρημάτων καταφρονῆσαι αἱρουμένους, ἀλλ' ὡς ἀθάνατοι αὐτῶν ἐχομένους, καὶ εἰ μικρὰ ἐκ πολλῶν δῶσι, τὸ πᾶν νομίζοντας ἠνυκέναι; οὐκ ἔστι τοῦτο ἐλεημοσύνη. ἐλεημοσύνη γάρ ἐστιν ἡ τῆς χήρας ἐκείνης, ἥτις τὸν βίον αὐτῆς πάντα ἐκένωσεν. εἰ δὲ οὐ χωρεῖς τοσοῦτον ὅσον ἡ χήρα καταβαλεῖν, ἀλλὰ κἂν τὸ περίσσευμα ὅλον κατάβαλε· ἔχε τὰ ἀρκοῦντα, μὴ τὰ περιττά. ἀλλ' οὐδείς ἐστιν οὐδὲ τὸ περίσσευμα καταβάλλων. ἕως γὰρ ἂν ἔχῃς οἰκέτας πολλούς, καὶ ἱμάτια σηρικά, πάντα ταῦτα περισσεύματά ἐστιν. οὐδὲν ἀναγκαῖον, οὐδὲ τῆς χρείας, ὧν ἄνευ δυνάμεθα ζῆν· ταῦτα περιττά, καὶ ἁπλῶς ἔξω περίκειται. τίνος οὖν ἄνευ οὐ δυνάμεθα ζῆν ἴδωμεν, εἰ δοκεῖ. καὶ δύο μόνους ἔχοντες οἰκέτας, δυνάμεθα ζῆν. ὅπου γὰρ εἰσί τινες χωρὶς οἰκετῶν ζῶντες, ποίαν ἡμεῖς ἕξομεν ἀπολογίαν, τοῖς δύο οὐκ ἀρκούμενοι; δυνάμεθα καὶ ἐκ πλίνθων ἔχειν οἰκίαν τριῶν οἰκημάτων, καὶ τοῦτο ἀρκεῖ ἡμῖν. εἰπὲ γάρ μοι, οὐκ εἰσί τινες μετὰ παίδων καὶ γυναικὸς ἕνα οἶκον ἔχοντες; ἔστωσαν δέ, εἰ βούλει, καὶ παῖδες δύο. καὶ πῶς οὐκ αἰσχύνη, φησίν, ἐστὶ τὸ μετὰ δύο οἰκετῶν τὴν ἐλευθέραν βαδίζειν; ἄπαγε. οὐκ ἔστι τοῦτο αἰσχύνη, μετὰ δύο οἰκετῶν [τὴν ἐλευθέραν] βαδίζειν, ἀλλ' αἰσχύνη ἐστὶ τὸ μετὰ πολλῶν περιϊέναι. τάχα γελᾶτε τούτων ἀκούοντες. πιστεύσατε, τοῦτό ἐστιν αἰσχύνη, τὸ μετὰ πολλῶν περιϊέναι. ὥσπερ οἱ προβατοπῶλαι, ἢ ὥσπερ οἱ τῶν ἀνδραπόδων κάπηλοι, οὕτω μέγα τι ἡγεῖσθε τὸ μετὰ πλειόνων οἰκετῶν περιϊέναι. τῦφος τοῦτο καὶ κενοδοξία· ἐκεῖνο φιλοσοφία καὶ σεμνότης. τὴν γὰρ ἐλευθέραν οὐκ ἀπὸ τοῦ πλήθους τῶν ἀκολούθων φαίνεσθαι δεῖ. ποία γὰρ ἀρετὴ ἀνδράποδα ἔχειν πολλά; τοῦτο οὐκ ἔστι ψυχῆς. ὅπερ δὲ οὐκ ἔστι ψυχῆς, οὐ δείκνυσιν ἐλευθέραν. ὅταν ὀλίγοις ἀρκῆται, τότε ἐστὶν ἐλευθέρα ὄντως· ὅταν δὲ πολλῶν δέηται, δούλη ἐστί, καὶ ἀνδραπόδων χείρων. εἰπέ μοι, οἱ ἄγγελοι οὐχὶ μόνοι περιπολοῦσι τὴν οἰκουμένην, καὶ οὐ δέονται οὐδενὸς τοῦ ἑψομένου; ἆρ' οὖν διὰ τοῦτο χείρους ἡμῶν εἰσι τῶν δεομένων οἱ μὴ δεόμενοι; εἰ τοίνυν τὸ μηδὲ ὅλως δεῖσθαι ἀκολούθου, ἀγγελικόν· τίς τοῦ ἀγγελικοῦ βίου ἐγγύς, ἡ πολλῶν δεομένη, ἢ ἡ ὀλίγων; οὐκ ἔστι τοῦτο αἰσχύνη. αἰσχύνη γάρ ἐστι τὸ ἄτοπόν τι πρᾶξαι. εἰπέ μοι, τίς ἐπιστρέφει τοὺς ἐν ἀγορᾷ, ἡ πολλοῖς ἐπαγομένη, ἢ ἡ ὀλίγοις; ταύτης δὲ τῆς ὀλίγοις ἐπαγομένης, οὐχὶ ἡ μόνη μᾶλλον ἀπεριεργοτέρα φαινομένη; ὁρᾷς ὅτι ἐκεῖνό ἐστιν αἰσχύνη; τίς * ἐπιστρέφει τοὺς ἐπ' ἀγορᾶς, ἡ τὰ καλὰ φοροῦσα ἱμάτια, ἢ ἡ ἁπλῶς περικειμένη, καὶ ἀνεπιτηδεύτως; τίς πάλιν ἐπιστρέφει τοὺς ἐπ' ἀγορᾶς, ἡ ἐπὶ ἡμιόνων φερομένη, καὶ χρυσοπάστων ὑφαπλωμάτων, ἢ ἡ ἁπλῶς, καὶ ὡς ἔτυχε, μετὰ κοσμιότητος βαδίζουσα; ἢ ταύτην μὲν οὐδὲ ἑωράκαμεν [κἂν ἴδωμεν]· ἐκείνην δὲ οὐ μόνον ἰδεῖν βιάζονται οἱ πολλοί, ἀλλὰ καὶ ἐρωτῶσι, τίς εἴη, καὶ πόθεν; καὶ παρίημι λέγειν ὅσος ὁ φθόνος ἐντεῦθεν τίκτεται. τί οὖν, εἰπέ μοι, αἰσχρόν, ὁρᾶσθαι, ἢ μὴ ὁρᾶσθαι; πότε μείζων ἡ αἰσχύνη, ὅταν πάντες εἰς αὐτὴν βλέπωσιν, ἢ ὅταν μηδείς; ὅταν μανθάνωσι περὶ αὐτῆς, ἢ ὅταν μηδὲ φροντίζωσιν; ὁρᾷς ὅτι οὐ δι' αἰσχύνην, ἀλλὰ διὰ κενοδοξίαν πάντα πράττομεν; πλὴν ἀλλ' ἐπειδὴ τούτου ἀδύνατον ὑμᾶς ἀπαγαγεῖν, ἀρκεῖ μοι τέως τὸ μαθεῖν ὑμᾶς, ὅτι οὐκ ἔστι τοῦτο αἰσχύνη. ἁμαρτία μόνη αἰσχύνη ἐστίν, ἣν οὐδεὶς οὐδὲ νομίζει αἰσχύνην,

Marginalia: χ. μόνα · α Κορ. β. θ. · Μαρ. ιβ. · χ. ἐστιν ἰσῶ · χ. περίκειται · χ. τοῦτο ἀρκεῖ ἡμῖν · χ. ἀκολουθοῦσιν · χ. ἐστιν ἀρετ. εἶπερ · χ. ἐστιν ἀρετ. · χ. ὁ περίοπτος · πᾶσιν · χ. ταύτην μὲν · χ. τοῦτο

πάντα εἴπερ, διὰ τῆς ἀπολογίας τὸ πᾶν ἐδήλωσε, "καὶ τὸ τοιαύτην" προσθεῖναι. τὰς γὰρ — χ. καὶ τὸ
ἐπὶ κόρρης πληγὰς, τὸν γέλωτα, τὰς ὕβρεις, τοὺς ὀνειδισμοὺς, τὰς χλευασίας, ταῦτα πάν- — χ. -ιας. τύπτεσθαι, τὰς ἐπὶ κόρρης
τα διὰ τῆς ἀπολογίας ἐνέφηνε· καὶ οὐκ ἐκεῖνα μόνα, ἀλλὰ καὶ τὰ παρὰ τὸν βίον ἅπαντα τὸν
τῆς διδασκαλίας.

ΗΘΙΚΟΝ — Ταῦτα τοίνυν, ἀγαπητοὶ, ἀεὶ ἀναλογιζώμεθα, καὶ νύκτωρ καὶ μεθ' ἡμέραν ἐν ταῖς διανοίαις
ἡμῶν στρέφωμεν, εἰδότες ὅτι μεγάλα ἐκ τούτου καρπωσόμεθα ἀγαθὰ, καὶ πολλὴν τὴν ὠ-
φέλειαν ἕξομεν. μέγα γὰρ, ὄντως μέγα παραμύθιον, καὶ τὰ τοῦ Χριστοῦ πάθη, καὶ τὰ τῶν
ἀποστόλων. "οὕτω γὰρ ᾔδει ταύτην βελτίω τῆς ἀρετῆς οὖσαν τὴν ὁδὸν, ὡς καὶ αὐτὸς ὁ μὴ δε- — χ. ὅπως ᾔδει ταύτην ὁδὸν, ὡς καὶ
όμενος αὐτῆς ταύτην ἐλθεῖν· οὕτως οἶδε τὴν θλῖψιν συμφέρουσαν ἡμῖν, καὶ ἀνέσεως ὑπό-
θεσιν μᾶλλον γινομένην. ἄκουε γὰρ αὐτοῦ τοῦ Χριστοῦ λέγοντος, Ἐὰν μή τις ἄρῃ τὸν σταυρὸν αὐτοῦ,
Ματθ. ι. λζ. — καὶ ἀκολουθήσῃ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος. μόνον γὰρ οὐχὶ τοῦτο διὰ τῆς τοιαύτης λέγει διδα-
σκαλίας· εἰ μαθητὴς εἶ, τὸν διδάσκαλον μιμοῦ. τοῦτο γάρ ἐστι μαθητοῦ. εἰ δὲ αὐτὸς
μὲν διὰ θλίψεως ἦλθε, σὺ δὲ δι' ἀνέσεως· οὐκέτι τὴν αὐτὴν βαδίζεις ὁδὸν, ἣν ἐκεῖνος ἐβάδισεν,
ἀλλ' ἑτέραν. πῶς οὖν ἀκολουθεῖς, μὴ ἀκολουθῶν; πῶς "εἶ μαθητὴς, μὴ τῷ διδασκά- — χ. ἔση
α Κορ. δ. ι. — λῳ ἑπόμενος; τοῦτο καὶ ὁ Παῦλός φησιν, Ἡμεῖς ἀσθενεῖς, ὑμεῖς δὲ ἰσχυροί· ἡμεῖς ἄτιμοι, ὑ-
μεῖς δὲ "ἔντιμοι. ἢ πῶς ἔχει λόγον, φησὶ, τοὐναντίον ἡμᾶς ζηλοῦν, καὶ ὑμᾶς μὲν εἶναι μαθη- — χ. -μοι. ὡσεὶ ἔλεγε, πῶς
τὰς, ἡμᾶς δὲ διδασκάλους; μέγα ἄρα θλῖψις, ἀγαπητοί. δύο γὰρ τὰ μέγιστα κατορθοῖ, καὶ — χ. ὑμᾶς
ἁμαρτίας ἐξαλείφει, καὶ στερροὺς ποιεῖ. τί οὖν, φησὶν, ἂν "περιτρέψῃ, καὶ ἀπολέσῃ; οὐχ ἡ θλῖ- — χ. ἐκτρέψῃ
ψις τοῦτο ποιεῖ, ἀλλ' ἡ ἡμετέρα νωθεία. πῶς, φησίν; ἐὰν γὰρ νήφωμεν, ἐὰν τὸν Θεὸν παρα-
καλῶμεν, ὥστε μὴ ἐᾶσαι ἡμᾶς πειρασθῆναι "ὑπὲρ ὃ δυνάμεθα, ἐὰν ἀεὶ αὐτοῦ ἐχώμεθα· — χ. παρ' ὃ
στησόμεθα γενναίως, καὶ παραταξόμεθα. ἕως ἂν αὐτὸν ἔχωμεν βοηθὸν, κἂν πάντων τῶν ἀνέ-
μων σφοδρότερον πνεύσωσιν οἱ πειρασμοὶ, κάρφος ἡμῖν ἔσονται, καὶ φύλλον ἁπλῶς φερό-
μενον. ἄκουε Παύλου λέγοντος*, Ἐν τούτοις, φησὶ, πᾶσιν ὑπερνικῶμεν. καὶ πάλιν, Λογίζο- — * πάλιν
Ρωμ. η. λζ. Ρωμ. η. ιη. — μαι γὰρ ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυ-
β. Κορ. δ. ιζ. — φθῆναι εἰς ἡμᾶς. καὶ πάλιν, Τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως, καθ' ὑπερβο-
λὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης ἡμῖν κατεργάζεται. ἐννόησον ἡλίκους κινδύνους,
ναυάγια, τὰς ἐπαλλήλους θλίψεις, καὶ ὅσα τοιαῦτα, ἐλαφρὰ καλεῖ· καὶ ζήλωσον τὸν ἀδά-
μαντα τοῦτον, τὸν ἁπλῶς καὶ εἰκῆ τὸ σῶμα τοῦτο περικείμενον. ἐν πενίᾳ εἶ; ἀλλ' οὐκ ἐν
τοσαύτῃ, ὅσῃ ὁ Παῦλος, ὁ καὶ ἐν λιμῷ ἐξεταζόμενος, καὶ δίψει, καὶ γυμνότητι. οὐ γὰρ μίαν ἡμέραν
τοῦτο ἔπαθεν, ἀλλὰ διηνεκῶς τοῦτο ὑπέμεινε. πόθεν τοῦτο δῆλον; ἄκουε αὐτοῦ λέγοντος,
α. Κορ. δ. ια. — Ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν, καὶ διψῶμεν, καὶ γυμνητεύομεν. βαβαὶ, πόσην ἔχων ἤδη
δόξαν ἐν τῷ κηρύγματι, τοσαῦτα ὑπέμενεν· εἰκοστὸν λοιπὸν ἔτος ἔχων, ὅτε ταῦτα ἔγρα-
φεν. Οἶδα γὰρ, φησὶν, ἄνθρωπον πρὸ ἐτῶν δεκατεσσάρων, εἴτε ἐν σώματι, εἴτε ἐκτὸς τοῦ
σώματος, οὐκ οἶδα. καὶ πάλιν, Μετὰ τρία ἔτη, φησὶν, ἀνῆλθον εἰς Ἱεροσόλυμα. καὶ πά-
β. Κορ. ιβ. β. — λιν ἄκουε αὐτοῦ λέγοντος, Καλόν μοι ἀποθανεῖν, ἢ τὸ καύχημά μου ἵνα τις κενώσῃ. οὐ μόνον
Γαλ. α. ιη. — δὲ τοῦτο, ἀλλὰ καὶ πάλιν γράφων ἔλεγεν, Ὡς περικαθάρματα τοῦ κόσμου ἐγενήθημεν. τί λι-
α Κορ. θ. ιε. α Κορ. δ. ιγ. — μοῦ χαλεπώτερον; τί κρυμοῦ; τί τῶν ἐπιβουλῶν τῶν παρὰ ἀδελφῶν; οὓς ψευδαδέλφους
β. Κορ. ια. κς. — λοιπὸν καλεῖ. οὐχὶ λυμεὼν ἐκαλεῖτο τῆς οἰκουμένης; οὐχὶ ἀπατεών; οὐχὶ διὰ σπυρίδος;
οὐχὶ κατεκόπτετο μαστιζόμενος; ταῦτα ἐν νῷ λάβωμεν, ἀγαπητοὶ, ταῦτα ἀναλογιζώμεθα,
ταῦτα μνημονεύωμεν, καὶ οὐδέποτε ἐκλυθησόμεθα, κἂν ἀδικώμεθα, κἂν ἁρπαζώμεθα, κἂν
μυρία πάσχωμεν "κακά. γένοιτο τὰ ἐν τοῖς οὐρανοῖς ἡμᾶς εὐδοκιμεῖν, καὶ πάντα φορητά. γέ- — χ. δεινά.
νοιτο δὲ πράττειν ἐκεῖ, καὶ τῶν ἐνταῦθα λόγος οὐδείς. σκιὰ ταῦτά ἐστι, καὶ ὄναρ· οἷα ἂν εἴη,
ἐλπιζομένων ἐκείνων καὶ προσδοκωμένων, οὐδέν ἐστι τῶν δεινῶν οὔτε τῇ φύσει, οὔτε τῷ χρό-
νῳ. τί γὰρ βούλει πρὸς τὰ δεινὰ ἐκεῖνα παραβάλωμεν; τί πρὸς τὸ πῦρ τὸ ἄσβεστον, πρὸς

τὸν

Digitized by Google

πλανᾷ τὸν ὄχλον. καὶ πάλιν, Ἐκεῖνος ὁ πλάνος εἶπεν ἔτι ζῶν, μετὰ τρεῖς ἡμέρας ἐγείρομαι. καὶ Ματθ. κζ. ξγ.
εἰς γοητείαν δὲ αὐτὸν διέβαλλον λέγοντες, Ἐν Βεελζεβοὺλ ἐκβάλλει τὰ δαιμόνια. καὶ ὅτι μαίνε- Ματθ. ιβ. κδ.
ται, καὶ δαιμόνιον ἔχει· Οὐ καλῶς ἐλέγομεν, φησιν, ὅτι δαιμόνιον ἔχεις, καὶ μαίνῃ; καὶ ταῦτα ἤ- Ιωαν. ι. κ.
κουε παρ' αὐτῶν, εὐεργετῶν, θαυματουργῶν, Θεοῦ ἔργα ἐπιδεικνύμενος. Εἰ μὲν γὰρ μηδὲν
ποιῶν ταῦτα ἤκουεν, οὐκ ἦν οὕτω θαυμαστόν. Εἰ δὲ διδάσκων τὰ περὶ ἀληθείας, πλάνος
ἤκουε, καὶ δαίμονας ἐκβάλλων, δαιμόνιον ἔχειν ἐλέγετο, καὶ πάντα ἀνατρέπων τὰ ἐναντία, γόης
ἐλέγετο· ποίαν ὑπερβολὴν θαύματος οὐκ ἔχει; ταῦτα γὰρ αὐτοῦ συνεχῶς κατηγόρουν. Εἰ
δὲ βούλει καὶ τὰ σκώμματα, καὶ τὰς εἰρωνείας μαθεῖν ἃς κατ' αὐτοῦ ἐποιοῦντο, ὃ μάλιστα δά-
κνει τὰς ἡμετέρας ψυχάς· ἄκουε περὶ τοὺς ἀπὸ τοῦ γένους. Οὐχ οὗτος, φησὶν, ἐστὶν ὁ τοῦ τέκ- Ματθ. ιγ. ιε.
τονος υἱὸς, οὗ ἡμεῖς ἴσμεν τὸν πατέρα καὶ τὴν μητέρα; οὐχ οἱ ἀδελφοὶ αὐτοῦ πάντες πρὸς ἡμᾶς
εἰσι; καὶ ἀπὸ τῆς πατρίδος αὐτὸν σκώπτοντες, ἔλεγον ἐκ Ναζαρὲθ αὐτὸν εἶναι. καὶ πάλιν,
γρ. δύναταί τι ἀγαθὸν εἶναι; Ἐρώτησον, φησὶ, καὶ ἴδε, ὅτι ἐκ τῆς Γαλιλαίας προφήτης οὐκ ἐγήγερται. καὶ ἔφερε τοσαῦτα Ιωαν. ζ. νε.
συκοφαντούμενος. καὶ πάλιν ἔλεγον, Οὐχὶ ἡ γραφή φησιν, ὅτι ἀπὸ Βηθλεὲμ τῆς κώμης ἔρ-
χεται ὁ Χριστός; Βούλει καὶ τὰς εἰρωνείας ἰδεῖν ἃς ἐποιοῦντο πρὸς αὐτὸν τὸν σταυρόν; προσκυ-
γρ. πῶς ἐλθόντες, φησὶ, παρ' αὐτῷ τῷ σταυρῷ, προσ-ες- νοῦντες αὐτῷ ἐμπαίζοντες, καὶ ἔπαιον αὐτὸν, καὶ ἐκολάφιζον, καὶ ἔλεγον, Εἰπὲ ἡμῖν τίς ἐστιν ὁ Ματθ. κζ. μ.
παίσας σε. καὶ ὄξος προσέφερον, καὶ ἔλεγον, Εἰ υἱὸς εἶ τοῦ Θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ. ἔτι
δὲ καὶ ὁ δοῦλος τοῦ ἀρχιερέως, ῥάπισμα ἔδωκεν αὐτῷ· καί φησιν, Εἰ μὲν κακῶς ἐλάλησα, μαρ- Ιωαν. ιη. κγ.
τύρησον περὶ τοῦ κακοῦ· εἰ δὲ καλῶς, τί με δέρεις; καὶ χλευάζοντες δὲ, χλαμύδα περιέθη-
καν αὐτῷ, καὶ ἐνέπτυον εἰς τὸ πρόσωπον αὐτοῦ· καὶ τὰς πείρας ἀεὶ προσῆγον, πειράζοντες
αὐτόν. Βούλει καὶ τὰς κατηγορίας ἰδεῖν, τὰς λάθρα, τὰς φανερῶς, τὰς παρὰ τῶν μα-
θητῶν; τὸ γὰρ, Μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν; καὶ τὸ, δαιμόνιον ἔχεις, παρὰ τῶν πιστευ- Ιωαν. ς. ξζ.
σάντων ἤδη ἐλέγετο. Εἰπὲ δέ μοι, οὐκ ἀεὶ ἔφευγε καὶ αὐτὸς, ποτὲ μὲν εἰς τὴν Γα-
λιλαίαν, ποτὲ δὲ εἰς τὴν Ἰουδαίαν; οὐχὶ ἐκ σπαργάνων αὐτῷ πολὺς ὁ πειρασμός; οὐχὶ
παιδίον [ὄντα] αὐτὸν ἡ μήτηρ λαβοῦσα κατῆλθεν εἰς Αἴγυπτον; διὰ ταῦτα τοίνυν πάντα,
φησὶν, ἀφορῶντες εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν Ἰησοῦν, ὃς ἀντὶ τῆς προκειμένης
αὐτῷ χαρᾶς ὑπέμεινε σταυρὸν, αἰσχύνης καταφρονήσας, ἐν δεξιᾷ τε τοῦ θρόνου τοῦ Θεοῦ
κεκάθικεν. Εἰς τοῦτον τοίνυν ἀφορῶμεν, καὶ εἰς τὰ τῶν μαθητῶν τῶν τούτου, ἀναγινώσκοντες
τὰ Παύλου, καὶ ἀκούοντες αὐτοῦ λέγοντος, Ἐν ὑπομονῇ πολλῇ, ἐν θλίψεσιν, ἐν ἀνάγκαις, ἐν β. Κορ. ϛ. δ.
διωγμοῖς, ἐν στενοχωρίαις, ἐν πληγαῖς, ἐν φυλακαῖς, [ἐν ἀκαταστασίαις, ἐν νηστείαις, ἐν κόποις, ἐν α. Κορ. δ. ια.
ἀγνότητι, ἐν γνώσει.] καὶ πάλιν, Μέχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν, καὶ διψῶμεν, καὶ γυμνητεύομεν, καὶ
κολαφιζόμεθα, καὶ ἀστατοῦμεν, καὶ κοπιῶμεν, ἐργαζόμενοι ταῖς ἰδίαις χερσί. λοιδορούμενοι, εὐλο-
γοῦμεν· διωκόμενοι, ἀνεχόμεθα· βλασφημούμενοι, παρακαλοῦμεν. ἆρα ἐξ ἡμῶν ἔχει τις εἰ-
γρ. ἆρά τις τὸ πεῖν, ὅτι τὸ πολλοστὸν τούτων μέρος ἔπαθεν; Ὡς πλάνοι γὰρ, φησιν, ὡς ἄτιμοι, ὡς μηδὲν ἔχον- β. Κορ. ια. κδ.
τες. καὶ πάλιν, Πεντάκις τεσσαράκοντα παρὰ μίαν ὑπὸ Ἰουδαίων ἔλαβον, τρὶς ἐρραβδί-
σθην, ἅπαξ ἐλιθάσθην, νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα· ὁδοιπορίαις πολλάκις, ἐν
θλίψεσιν, ἐν στενοχωρίᾳ, ἐν λιμῷ. καὶ ὅτι ταῦτα τῷ Θεῷ ἐδόκει, ἄκουε αὐτοῦ λέγοντος, Ὑπὲρ τού-
του τρὶς τὸν Κύριον παρεκάλεσα, καὶ εἴρηκέ μοι, Ἀρκεῖ σοι ἡ χάρις μου. ἡ γὰρ δύναμίς μου ἐν ἀ- β. Κορ. ιϛ. θ.
σθενείᾳ τελειοῦται. Διὸ καί φησιν, εὐδοκῶ ἐν ἀσθενείαις, ἐν θλίψεσιν, ἐν ἀνάγκαις, ἐν στε-
νοχωρίαις, ἐν πληγαῖς, ἐν φυλακαῖς, ἵνα ἐπισκηνώσῃ ἐπ' ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ. καὶ
αὐτοῦ δὲ ἀκούομεν τοῦ Χριστοῦ λέγοντος, Ἐν τῷ κόσμῳ θλίψιν ἕξετε.

3 Ἀναλογίσασθε γὰρ, φησι, τὸν τοιαύτην ὑπομεμενηκότα ὑπὸ τῶν ἁμαρτωλῶν εἰς Ιωαν. ις. λγ.
αὐτὸν ἀντιλογίαν, ἵνα μὴ κάμητε, ταῖς ψυχαῖς ὑμῶν ἐκλυόμενοι.

Εἰκότως ταῦτα ἐπήγαγεν. Εἰ γὰρ τὰ τῶν πλησίον πάθη διανίστησιν ἡμᾶς, τὰ τοῦ δε-
σπότου πόσῳ ἡμῖν οὐ παρέξει προθυμίαν; τί ἡμᾶς οὐκ ἐργάσεται; καὶ σκόπει πῶς παρ' εἰς

πάντα

εἰκότως εἶπε, πίστει. Μάρτυρας δὲ, οὐχὶ τοὺς ἐν τῇ καινῇ λέγει μόνον, ἀλλὰ καὶ τοὺς ἐν τῇ παλαιᾷ. καὶ γὰρ καὶ αὐτοὶ ἐμαρτύρησαν τῇ τοῦ Θεοῦ μεγαλειότητι, οἷον, ὡς οἱ τρεῖς παῖδες, οἱ περὶ τὸν Ἡλίαν, οἱ προφῆται πάντες. Ὄγκον ἀποθέμενοι πάντα. [Πάντα] τίνα; τουτέστι, τὸν ὕπνον, τὴν ὀλιγωρίαν, τοὺς λογισμοὺς τοὺς εὐτελεῖς, πάντα τὰ ἀνθρώπινα. Καὶ τὴν εὐπερίστατον ἁμαρτίαν. Εὐπερίστατον, ἤτοι τὴν εὐκόλως περιϊσταμένην ἡμᾶς, ἢ τὴν εὐκόλως περίστασιν δυναμένην παθεῖν, λέγει· μᾶλλον δὲ τοῦτο. ῥᾳδίως γὰρ, ἐὰν θέλωμεν, περιγενέσθαι τῆς ἁμαρτίας. Δι' ὑπομονῆς, φησὶ, τρέχωμεν τὸν προκείμενον ἡμῖν ἀγῶνα. Οὐκ εἶπε, πυκτεύωμεν, οὐδὲ, παλαίωμεν, οὐδὲ, πολεμῶμεν, ἀλλ', ὃ πάντων κουφότερον ἦν, τὸ τοῦ δρόμου, τοῦτο εἰς μέσον τέθεικεν. οὐδὲ εἶπε, προσθῶμεν τῷ δρόμῳ, ἀλλ', ἐν αὐτῷ τούτῳ ὑπομείνωμεν, μὴ ἐκλυθῶμεν, τρέχωμεν, φησι, τὸν προκείμενον ἡμῖν ἀγῶνα. Εἶτα τὸ κεφάλαιον τῆς παρακλήσεως, ὃ καὶ πρότερον, καὶ ὕστερον τίθησι, τὸν Χριστόν.

2 Ἀφορῶντες, φησιν, εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν Ἰησοῦν.

Ματθ. ι. κε. Ὅπερ οὖν καὶ αὐτὸς ὁ Χριστὸς τοῖς μαθηταῖς συνεχῶς ἔλεγεν, Εἰ τὸν οἰκοδεσπότην Βεελζεβοὺλ ἀπεκάλεσαν, πόσῳ μᾶλλον τοὺς οἰκιακοὺς αὐτοῦ; καὶ πάλιν, Οὐκ ἔστι μαθητὴς ὑπὲρ (γρ. ἑκάσ.) τὸν διδάσκαλον, οὐδὲ δοῦλος ὑπὲρ τὸν κύριον αὐτοῦ. ἀφορῶντες, φησι. τουτέστιν, ἵνα μάθωμεν τρέχειν, βλέπωμεν εἰς Χριστόν. καθάπερ γὰρ ἐπὶ τῶν τεχνῶν πασῶν, καὶ τῶν ἀγωνισμάτων, πρὸς τοὺς διδασκάλους ὁρῶντες, οὕτως ἐντυπούμεθα τῇ διανοίᾳ τὴν τέχνην, διὰ τῆς ὀπτικῆς χρήσεως τινὰς λαμβάνοντες· οὕτω δὴ καὶ ἐνταῦθα, εἰ βουλοίμεθα τρέχειν, καὶ μαθεῖν καλῶς τρέχειν, πρὸς τὸν Χριστὸν ὁρῶμεν, τὸν ἀρχηγὸν τῆς πίστεως καὶ τελειωτὴν Ἰησοῦν. τί δέ ἐστι τοῦτο; τουτέστιν, αὐτὸς ἐν ἡμῖν τὴν πίστιν ἐνέθηκεν, αὐτὸς τὴν ἀρχὴν δέδωκεν. ὃ καὶ πρὸς (γρ. ὅθεν καὶ πρὸς τοὺς μαθητὰς ἔλεγεν. Οὐχ) τοὺς μαθητὰς ὁ Χριστὸς εἶπεν, Οὐχ ὑμεῖς με ἐξελέξασθε, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς. (Ιωαν. ιε. ις.) καὶ ὁ Παῦλος δέ φησι, Τότε δὲ ἐπιγνώσομαι, καθὼς καὶ ἐπεγνώσθην. (α. Κορ. ιγ. ιβ.) Εἰ δὲ αὐτὸς τὴν ἀρχὴν ἡμῖν ἐνέθηκεν, αὐτὸς καὶ τὸ τέλος ἐπιθήσει. Ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ, φησι, χαρᾶς, ὑπέμεινε σταυρὸν, αἰσχύνης καταφρονήσας. Τουτέστιν, ἐξῆν αὐτῷ μηδὲν παθεῖν, εἴπερ ἐβούλετο. (Ησ. νγ. θ.) Οὐδὲ γὰρ ἁμαρτίαν ἐποίησεν, οὐδὲ δόλος εὑρέθη ἐν τῷ στόματι αὐτοῦ· καθὼς καὶ αὐτός φησιν ἐν τοῖς εὐαγγελίοις, Ἔρχεται ὁ τοῦ κόσμου ἄρχων, καὶ οὐκ ἔχει ἐν ἐμοὶ (Ιωαν. ιδ. λ.; γρ. ἔχει οὐδέν) οὐδέν. προὔκειτο τοίνυν αὐτῷ, εἴπερ ἐβούλετο, μὴ ἐλθεῖν εἰς τὸν σταυρόν. Ἐξουσίαν γὰρ (Ιωαν. ι. ιη.) ἔχω, φησὶ, θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν. Εἰ τοίνυν ὁ μηδεμίαν ἔχων ἀνάγκην τοῦ σταυρωθῆναι, ἐσταυρώθη ἡμῶν ἕνεκεν· πόσῳ μᾶλλον ἡμᾶς δίκαιον πάντα γενναίως ὑπομένειν; ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς, φησιν, ὑπέμεινε σταυρὸν, αἰσχύνης καταφρονήσας. τί δέ ἐστιν, αἰσχύνης καταφρονήσας; τὸν ἐπονείδιστον, φησιν, εἵλετο θάνατον. ἔστω γὰρ, ἀπέθνησκε· τί καὶ ἐπονειδίστως; δι' οὐδὲν ἕτερον, ἀλλ' ἡμᾶς διδάσκων μηδὲν ἡγεῖσθαι τὴν παρ' ἀνθρώπων δόξαν. διὰ τοῦτο, οὐχ ὑποκείμενος ἁμαρτίᾳ, εἵλετο αὐτὴν, παιδεύων ἡμᾶς καταπολμᾶν αὐτῆς, καὶ μηδὲν αὐτὴν τίθεσθαι. διὰ τί μὴ εἶπε λύπην, ἀλλὰ αἰσχύνην; ὅτι οὐ μετὰ λύπης ταῦτα ἔφερε. τί οὖν τὸ τέλος; ἄκουε. ἐπάγει γὰρ, Ἐν δεξιᾷ τε τοῦ θρόνου τοῦ Θεοῦ κεκάθικεν. Ὁρᾷς τὸ ἔπαθλον; ὅπερ (Φιλιπ. β. θ.) καὶ ὁ Παῦλος γράφων φησὶ, Διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ πᾶν γόνυ κάμψῃ. τὸ κατὰ σάρκα φησί. μάλιστα μὲν οὖν, εἰ καὶ μηδὲν ἦν ἔπαθλον, ἱκανὸν τὸ ὑπόδειγμα πεῖσαι πάντας ἑλέσθαι. (γρ. πάντα) νυνὶ δὲ καὶ ἔπαθλα ἡμῖν πρόκειται, οὐ τὰ τυχόντα, ἀλλὰ μεγάλα καὶ ἀπόρρητα. ὥστε καὶ ἡμεῖς ἐπειδάν τι πάθωμεν τοιοῦτον, πρὸ τῶν ἀποστόλων ἐννοῶμεν τὸν Χριστόν. Διὰ τί; ὅτι ὅλος ὁ βίος αὐτοῦ ὕβρεων ἔγεμε. καὶ γὰρ μαινόμενος ἤκουεν [ἀεὶ], καὶ πλάνος, καὶ γόης. (Ιωαν. θ. ις.; Ιωαν. ζ. ιβ.) καὶ * ποτὲ μὲν ἔλεγον οἱ Ἰουδαῖοι, Οὗτος οὐκ ἔστιν ἀπὸ τοῦ Θεοῦ· ποτὲ δὲ, Οὐχὶ, φησιν, ἀλλὰ (* γάρ)

πλανᾷ

διὰ τὸν Χριστόν, καὶ ταῦτα ἐποίουν οἱ Ἠλίᾳ τι ἔχοντες ἐγκαλεῖν; ἔκλαιον αὐτοί, καὶ ἐδιώκοντο, καὶ λιμῷ παλαίειν ἠναγκάζοντο; ταῦτα διέξεισιν ἃ καὶ οὗτοι τότε ἔπασχον. διὰ τοῦτο ἔλεγεν ἀλλαχοῦ, Ἐκρίναμεν γοῦν πέμψαι τοῖς ἀδελφοῖς τοῖς θλιβομένοις τῶν μαθητῶν. Καθὼς γὰρ ηὐπορεῖτό τις, ὥρισαν ἕκαστος αὐτῶν εἰς διακονίαν πέμψαι τοῖς κατοικοῦσιν ἐν τῇ Ἰουδαίᾳ ἀδελφοῖς. Πραξ. ια. κθ. [ὃ καὶ τοῦτον ἦν.] κακουχούμενοι, φησί· τουτέστι, κακῶς πάσχοντες, ἐν ταῖς ὁδοιπορίαις, ἐν τοῖς κινδύνοις. ὃ δὲ αὐτὸ τοῦτον ἦν. τὸ δέ, ἐν ἐρημίαις πλανώμενοι, καὶ ὄρεσι, καὶ σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς, οὐδὲν ἄλλο ἢ τοῦτο μονονουχὶ ἐμφαίνει, ὅτι περιῆλθον καθάπερ φυγάδες καὶ μετανάσται, καθάπερ ἐπὶ τοῖς αἰσχίστοις ἑαλωκότες, καθάπερ τῶν οὐδὲ τὸν ἥλιον ὁρᾷν ἄξιοι, καὶ οὐδὲ ἀπὸ τῆς ἐρημίας εὕρισκον καταφυγήν, ἀλλ' ἔδει φεύγειν ἀεί, ἔδει καταδύσεις ζητεῖν, ἔδει ζῶντας εἰς τὴν γῆν κατορύττειν ἑαυτούς, ἀεὶ ἐν φόβῳ εἶναι.

γρ. διώκεις. τὸ δὲ φεύγειν, τί δεῖ· ἐν ἐρημίαις, φησί, πλαν.

39 Καὶ οὗτοι πάντες μαρτυρηθέντες διὰ τῆς πίστεως, οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν,

40 Τοῦ Θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι.

Τίς οὖν ὁ μισθὸς τῆς τοσαύτης, φησίν, ἐλπίδος; τίς ἡ ἀνταπόδοσις; μεγάλη, καὶ οὕτω μεγάλη, ὡς μηδὲ λόγῳ δύνασθαι δηλωθῆναι. Ἃ γάρ, φησίν, ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, οὐδὲ ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη, ταῦτά ἐστιν ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. ἀλλ' οὔπω ἀπέλαβον, ἀλλ' ἔτι μένουσι· καὶ οὕτω τελευτήσαντες ἐν τοσαύτῃ θλίψει. καὶ ἐκεῖνοι μὲν χρόνοις ἔχουσι τοσούτοις νικήσαντες, καὶ οὐδέπω ἀπέλαβον. ὑμεῖς δὲ ἐν τῷ ἀγῶνι ἔτι ὄντες, ἀσχάλλετε; ἐννοήσατε [καὶ ὑμεῖς τί ἐστι, καὶ] ὅσον ἐστὶ τὸν Ἀβραὰμ καθῆσθαι, καὶ τὸν ἀπόστολον Παῦλον, περιμένοντας πότε σὺ τελειωθῇς, ἵνα δυνηθῶσι τότε λαβεῖν τὸν μισθόν. ἐὰν μὴ γὰρ καὶ ἡμεῖς παραγενώμεθα, προεῖπεν αὐτοῖς ὁ σωτὴρ μὴ δώσειν· καθάπερ εἰ πατὴρ φιλόστοργος, παισὶν εὐδοκίμοις, καὶ τὸ ἔργον ἠνυκόσι λέγοι, μὴ διδόναι φαγεῖν, ἐὰν μὴ ἔλθωσιν αὐτῶν οἱ ἀδελφοί. σὺ δὲ ἀσχάλλεις, ὅτι οὐδέπω τὸν μισθὸν ἔλαβες; τί οὖν ποιήσει Ἄβελ ὁ πρὸ πάντων νικήσας, καὶ ἀστεφάνωτος καθήμενος; τί δὲ Νῶε; τί δὲ οἱ α. Κορ. β. θ. κατ' ἐκείνους τοὺς χρόνους γεγονότες, ὅτι σε, καὶ τοὺς μετὰ σὲ ἀναμένουσιν; ὁρᾷς ὅτι ἡμεῖς πλεονεκτοῦμεν αὐτῶν; καὶ καλῶς διὰ τοῦτο εἶπε, τοῦ Θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου. ἵνα γὰρ μὴ δόξωσι πλεονεκτεῖν [ἡμῶν] τῷ πρότεροι στεφανοῦσθαι, ἕνα ὥρισε πᾶσι τῶν στεφάνων τὸν καιρόν, καὶ ὁ πρὸ τοσούτων ἐτῶν νενικηκώς, μετὰ σοῦ λαμβάνει τὸν στέφανον. ὁρᾷς κηδεμονίαν; καὶ οὐκ εἶπεν, ἵνα μὴ χωρὶς ἡμῶν στεφανωθῶσιν, ἀλλ' ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσιν· ὥστε καὶ τέλειοι τότε φαίνονται. προέλαβον κατὰ τοὺς ἀγῶνας, ἀλλ' οὐ προλαμβάνουσι κατὰ τοὺς στεφάνους. οὐκ ἐκείνους ἠδίκησεν, ἀλλ' ἡμᾶς ἐτίμησε. καὶ γὰρ καὶ αὐτοὶ τοὺς ἀδελφοὺς ἀναμένουσιν. εἰ γὰρ σῶμα ἓν οἱ πάντες ἐσμέν, μείζων γίνεται τῷ σώματι τούτῳ ἡ ἡδονή, ὅταν κοινῇ στεφανῶται, καὶ μὴ κατὰ μέρος. καὶ γὰρ οἱ δίκαιοι καὶ ἐν τούτῳ εἰσὶ θαυμαστοί, ὅτι χαίρουσιν ὡς ἐπὶ οἰκείοις ἀγαθοῖς, τοῖς τῶν ἀδελφῶν. ὥστε κἀκείνοις τοῦτο κατὰ γνώμην ἐστί, τὸ μετὰ τῶν μελῶν τῶν ἰδίων στεφανωθῆναι. τὸ γὰρ ὁμοῦ δοξασθῆναι, μεγάλη ἡδονή.

γρ. ἄπαντες ἐκεῖνοι χρόν. — γρ. ὁ πατὴρ — γρ. τῷ σώματι

1 Τοιγαροῦν καὶ ἡμεῖς τοσοῦτον ἔχοντες περικείμενον ἡμῖν νέφος μαρτύρων. κεφ. ιβ.

Πολλαχοῦ ἡ γραφὴ τὴν παραμυθίαν λαμβάνει τὴν ἐν τοῖς κακοῖς ἀπὸ τῶν συμβαινόντων πραγμάτων. ὡς ὅταν λέγῃ ὁ προφήτης, Ἀπὸ καύματος, καὶ ἀπὸ σκληρότητος, καὶ ὑετοῦ ῥύσεταί σε. Ησ. δ. ς. καὶ ὁ Δαβίδ· Ἡμέρας ὁ ἥλιος οὐ συγκαύσει σε, οὐδὲ ἡ σελήνη τὴν νύκτα. Ψαλ. ρκ. ς. τοῦτο γοῦν καὶ ἐνταῦθα λέγει, ὅτι ἡ μνήμη τῶν ἁγίων ἐκείνων, ὥσπερ νέφος τὸν φλεγόμενον ὑπὸ ἀκτῖνος θερμοτέρας σκιάζει· οὕτω τὴν ὑπὸ τῶν κακῶν καταπονουμένην ἀνίστησι* καὶ ἀνακτᾶται ψυχήν. καὶ οὐκ εἶπεν, ὑπεραιωρούμενον ἡμῖν, ἀλλὰ περικείμενον ἡμῖν, ὃ ἐκείνου πλεῖον ἦν· ὥστε δηλῶσαι διὰ τούτου, ὅτι περικείμενον κύκλῳ, ἐν μείζονι ἀδείᾳ

γρ. οὕτως ἡμῖν μαρτύρων ὄγκον. παλ.

* αὕτη — γρ. ὥστε ἐν μείζονι τῇ ἀδείᾳ. ποῖον νέφος μαρτύρων; εἰκότως μάρτυρας. ἔχει

Εἰκότως

λόγησις, ἀλλ' ἐπίδειξις καὶ κενοδοξία. ἐπίδειξίς ἐστι, φησίν, ἑαυτὸν ἁμαρτωλὸν καλεῖν; ναί. ταπεινοφροσύνης γὰρ λαμβάνομεν δόξαν, θαυμαζόμεθα, ἐγκωμιαζόμεθα. ἐὰν δὲ τοὐναντίον εἴπωμεν ἑαυτούς, καταφρονούμεθα. ὥστε καὶ τοῦτο δόξης ἕνεκεν ποιοῦμεν. τί δέ ἐστι ταπεινοφροσύνη; τὸ ἑτέρου ὀνειδίζοντος φέρειν, τὸ ἐπιγινώσκειν τὸ ἁμάρτημα, τὸ φέρειν τὰς κακηγορίας. καὶ οὐδὲ τοῦτο ταπεινοφροσύνης ἂν εἴη, ἀλλ' εὐγνωμοσύνης. νῦν δὲ ἑαυτοὺς μὲν λέγομεν ἁμαρτωλούς, ἀναξίους, μυρία ὅσα· ἂν δὲ ἕτερός τις ἡμῖν ἓν τούτων προσενέγκῃ, χαλεπαίνομεν, ἀγριαινόμεθα. ὁρᾷς ὅτι οὐκ ἔστιν ἐξομολόγησις, οὐδὲ εὐγνωμοσύνη; εἶπες σαυτὸν εἶναι τοιοῦτον· μὴ ἀγανάκτει καὶ παρ' ἑτέρων ἀκούων, καὶ ἐλεγχόμενος. οὕτω σοι τὰ ἁμαρτήματα κουφίζεται, ὅταν ἕτεροι ὀνειδίζωσιν. ἑαυτοῖς μὲν γὰρ βάρος ἐπιτιθέασι, σὲ δὲ εἰς φιλοσοφίαν ἀνάγουσιν. ἄκουε τί φησιν ὁ μακάριος Δαβίδ, ἡνίκα κατηρᾶτο αὐτῷ ὁ Σεμεΐ· Ἄφες αὐτόν, φησίν· ὁ Κύριος ἐνετείλατο αὐτῷ, ὅπως ἴδῃ τὴν ταπείνωσίν μου· καὶ ἀνταποδώσει μοι Κύριος ἀγαθὰ ἀντὶ τῆς κατάρας αὐτοῦ τῆς ἐν τῇ ἡμέρᾳ ταύτῃ. σὺ δὲ περὶ σαυτοῦ λέγων καὶ ὑπερβολὴν κακῶν, ἐὰν μὴ τὰ τῶν μεγάλων δικαίων ἐγκώμια παρ' ἑτέρων ἀκούσῃς, ἀγριαίνεις. ὁρᾷς ὅτι παίζεις ἐν οὐ παικτοῖς πράγμασι; καὶ γὰρ τοὺς ἐπαίνους ἐπαίνων ἑτέρων ἐπιθυμίᾳ διακρουόμεθα, ἵνα μειζόνων πάλιν τύχωμεν ἐγκωμίων, ἵνα μᾶλλον θαυμασθῶμεν. ὥστε οὐ περιελόμενοι τὰ ἐγκώμια, ἵνα αὐξήσωμεν αὐτά, τοῦτο ποιοῦμεν· καὶ πάντα πρὸς δόξαν ἡμῖν γίνεται, οὐ πρὸς ἀλήθειαν. διὰ τοῦτο πάντα κενά, πάντα ἄπορα. διὸ παρακαλῶ νῦν γοῦν ἀποστῆναι τῆς μητρὸς τῶν κακῶν, τῆς κενοδοξίας, καὶ ζητῆσαι κατὰ τὸ τῷ Θεῷ δοκοῦν· ὥστε καὶ τῶν μελλόντων ἐπιτυχεῖν ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

β. βασ. 15. 16 (margin)

χ. ταπειν. — χ. ἄφετε — χ. -δώσει (margin)

Λογ. κη. 37 ΠΕΡΙΗΛΘΟΝ ΕΝ ΜΗΛΩΤΑΙΣ, ΕΝ ΑΙγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι.

38 Ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος [ἐστί]· ἐν ἐρημίαις πλανώμενοι, καὶ ὄρεσι, καὶ σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς.

ΑΕὶ μέν, μάλιστα δὲ ὅταν τῶν ἁγίων ἐννοήσω τὰ κατορθώματα, τότε μοι ἐπέρχεται ἀπαγορεύειν τὰ κατ' ἐμαυτόν, ὅτι οὐδὲ ὄναρ πεῖραν ἐλάβομεν ὧν ἐκεῖνοι τὸν ἅπαντα χρόνον ἐνδιέτριψαν ἄνδρες, οὐχ ἁμαρτημάτων τίνοντες δίκην, ἀλλ' ἀεὶ κατορθοῦντες, καὶ ἀεὶ θλιβόμενοι. ἐννόησον γάρ μοι τὸν Ἠλίαν, εἰς ὃν ἡμῖν ὁ λόγος περιήνεγκε τήμερον. περὶ αὐτοῦ γάρ φησιν ἐνταῦθα τό, περιῆλθον ἐν μηλωταῖς, καὶ εἰς αὐτὸν αὐτῷ τελευτᾷ τὰ ὑποδείγματα. οὐδὲ αὐτὸ καταλιπών, ὅπερ οἰκεῖον αὐτοῖς ἦν, καὶ εἰπὼν τὰ κατὰ τοὺς ἀποστόλους, ὅτι ἐν φόνῳ μαχαίρας ἀπέθανον, ὅτι ἐλιθάσθησαν, ἄγει πάλιν ἐπὶ τὸν Ἠλίαν, τὸν τὰ αὐτὰ παθόντα τούτοις. ἐπειδὴ γὰρ εἰκὸς ἦν αὐτοὺς οὐδέπω περὶ τῶν ἀποστόλων δόξαν ἔχειν τοσαύτην, ἀπὸ τοῦ ἀναληφθέντος, καὶ μάλιστα θαυμασθέντος, φέρει τὴν παράκλησιν καὶ τὴν παραμυθίαν. περιῆλθον γάρ, φησίν, ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι· ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος ἐστί. οὐδὲ ἱμάτιον εἶχον, φησί, περιβαλέσθαι, τῇ ὑπερβολῇ τῆς θλίψεως· οὐ πόλιν, οὐκ οἰκίαν, οὐ καταγώγιον. τοῦτο, ὅπερ ὁ Χριστὸς ἔλεγεν, Ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ. τί λέγω, οὐ καταγώγιον; οὐ στάσιν. οὐδὲ γὰρ τὴν ἔρημον καταλαβόντες, ἡσυχίαν ἦγον. οὐ γὰρ εἶπεν, ἐν ἐρήμῳ ἐκάθηντο, ἀλλὰ καὶ ἐκεῖ ὅτε ἔφευγον, καὶ ἐκεῖθεν ἠλαύνοντο, οὐκ ἐκ τῆς οἰκουμένης μόνον, ἀλλὰ καὶ ἐκ τῆς ἀοικήτου. καὶ ἀναμιμνήσκει τόπων αὐτοὺς ἔνθα ἐκάθηντο, καὶ πραγμάτων ἐκεῖ γινομένων· ὑστερούμενοι, θλιβόμενοι. ἔσω, φησίν, ὑμῖν ἀνεκάλουν

διὰ

Ματθ. η κ. (margin)

χ. -νοι, ἀπολλύμενοι. ὧν — χ. -μος. ἔστιν ὅτι — χ. -μένων, ἐπίφασιν, ἐμοὶ δοκεῖν διὰ τὸ Χριστοῦ τοῦ Ἠλίου (margin)

καὶ ὁ Χριστός; ἀλλ' ὁ Χριστός, φησιν, οὐ δεῖται τοῦ πατρός, ἀλλ' αὐθεντικῶς ποιεῖ, καλῶς. ἐκεῖνο ὡμολόγησον πρῶτον καὶ εἰπέ, ὅτι οὐ δεῖται τοῦ πατρός, καὶ αὐθεντικῶς ποιεῖ· καὶ τότε σε ἐρήσομαι πάλιν, μᾶλλον δὲ διδάξω περὶ τῆς εὐχῆς, ἧς ποιεῖται, ὅτι συγκαταβάσεως καὶ οἰκονομίας ἦν (οὐ γὰρ διὰ τοῦ Ἰησοῦ τοῦ Ναυῆ ἐλάττων ἦν ὁ Χριστός) καὶ τοῦ δύνασθαι διδάσκειν ἡμᾶς χωρὶς εὐχῆς. ὥσπερ γὰρ διδασκάλου ἀκούων ψελλίζοντος, καὶ τὰ στοιχεῖα καταλέγοντος, οὐ φὴς αὐτὸν ἀγνοεῖν, καὶ ὅταν ἐρωτᾷ, ποῦ ἐστι τόδε τὸ στοιχεῖον; οἶδας ὅτι οὐκ ἀγνοῶν ἐρωτᾷ, ἀλλὰ τὸν μαθητευόμενον θέλων ἐναγαγεῖν· οὕτω καὶ ὁ Χριστὸς οὐ δεόμενος εὐχῆς ἐποιεῖτο τὴν εὐχήν, ἀλλά σε θέλων ἐναγαγεῖν, ἵνα συνεχῶς προσέχῃς τῇ εὐχῇ, ἵνα ἀδιαλείπτως, ἵνα νήφοντως, καὶ μετὰ πολλῆς τῆς ἀγρυπνίας ταύτην ποιῇς. ἀγρυπνεῖν δὲ οὐ τὸ νυκτὸς ἐγείρεσθαι λέγω μόνον, ἀλλὰ καὶ τὸ ἐν ἡμέρᾳ νήφειν ἐν ταῖς προσευχαῖς. ἄγρυπνος γὰρ καλεῖται ὁ τοιοῦτος. ἐπεὶ ἔστι καὶ νυκτὸς εὐχόμενον καθεύδειν, καὶ ἐν ἡμέρᾳ μὴ εὐχόμενον ἀγρυπνεῖν. πῶς τοῦτο, πῶς ἐκεῖνο; ὅταν ἡ ψυχὴ τεταμένη ᾖ πρὸς τὸν Θεόν, ὅταν ἐννοῇ τίνι διαλέγεται, πρὸς τίνα ὁ λόγος αὐτῇ, ὅταν λάβῃ ἐν νῷ, ὅτι ἄγγελοι παρεστήκασι μετὰ τρόμου καὶ φόβου, αὐτὸς δὲ πρόσεισι χασμώμενος καὶ κνώμενος. μέγα ὅπλον εὐχή, ἐὰν μετὰ τῆς προσηκούσης γίνηται διανοίας. καὶ ἵνα μάθῃς αὐτῆς τὴν ἰσχύν, σκόπει· ἐντεύξεις ἀναισχυντίας καὶ ἀδικίας καὶ ὠμότητος καὶ ἰταμότητος ἐκράτησεν ἡ συνεχὴς ἔντευξις. Ἀκούσατε γάρ, φησι, τί ὁ κριτὴς λέγει τῆς ἀδικίας. καὶ ὄκνου πάλιν ἐκράτησεν· καὶ ὅπερ οὐκ ἐποίησε φιλία, τοῦτο ἐποίησεν ἔντευξις συνεχής. καὶ εἰ μὴ διὰ τὸ φίλον αὐτοῦ εἶναι, φησι, δώσει αὐτῷ, ἀλλά γε διὰ τὴν ἀναίδειαν αὐτοῦ ἀναστὰς δώσει αὐτῷ. καὶ ἀναξίαν οὖσαν ἀξίαν ἐποίησεν ἡ συνεχὴς προσεδρεία. Οὐκ ἔστι, φησί, καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ βαλεῖν τοῖς κυναρίοις. ἡ δέ, ναί, φησι, Κύριε. καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν. προσέχωμεν τοίνυν τῇ εὐχῇ. μέγα ὅπλον ἐστίν, ἐὰν μετὰ ἐκτενείας γίνηται, ἐὰν χωρὶς κενοδοξίας, ἐὰν μετὰ ψυχῆς εἰλικρινοῦς. αὕτη πολεμίους ἐτρέψατο, αὕτη ἔθνος ὁλόκληρον καὶ ἀνάξιον εὐηργέτησεν. Ἤκουσα, φησι, τοῦ στεναγμοῦ αὐτῶν, καὶ κατέβην τοῦ ἐξελέσθαι αὐτούς. αὕτη φάρμακόν ἐστι σωτήριον, καὶ κωλυτικὸν τῶν ἁμαρτημάτων, καὶ ἰατρεῖον τῶν πλημμελημάτων. ταύτῃ καὶ ἡ χήρα ἡ μεμονωμένη προσήδρευεν. ἐὰν οὖν μετὰ ταπεινοφροσύνης εὐχώμεθα, ἐὰν τὸ στῆθος πλήττοντες, ὡς ὁ τελώνης, ἐὰν ἐκεῖνα φθεγγώμεθα ἅπερ ἐκεῖνος, ἐὰν λέγωμεν, Ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, πάντων ἐπιτευξόμεθα. Εἰ γὰρ καὶ μὴ τελῶναί ἐσμεν, ἀλλ' ἕτερα ἔχομεν ἐκείνου οὐχ ἥττονα ἁμαρτήματα. μὴ γάρ μοι εἴπῃς, ὅτι ἐν μικρῷ τινι διήμαρτες. τὴν γὰρ αὐτὴν ἔχει τὸ πρᾶγμα φύσιν. καὶ φονέα γὰρ ὁμοίως ἀνδροφόνος λέγεται, ὅ τε παῖδα ἀνελών, ὅ τε ἄνδρα· οὕτω καὶ πλεονέκτης, καὶ ὁ πολλά, καὶ ὁ μικρὰ πλεονεκτῶν. καὶ ἡ μνησικακία δὲ οὐ μικρόν, ἀλλὰ καὶ μέγα ἁμάρτημα. Μνησικάκων γάρ, φησιν, ὁδοὶ εἰς θάνατον. Καὶ ὁ ὀργιζόμενος εἰκῇ τῷ ἀδελφῷ αὐτοῦ, ἔνοχος ἔσται τῇ γεέννῃ, καὶ ὁ καλῶν τὸν ἀδελφὸν αὐτοῦ μωρόν, καὶ ἀνόητον, καὶ ὅσα τοιαῦτα. μεταλαμβάνομεν δὲ καὶ τῶν φρικτῶν μυστηρίων ἀναξίως, καὶ φθονοῦμεν, καὶ λοιδορούμεθα· τινὲς δὲ ἡμῶν καὶ ἐμεθύσθησαν πολλάκις. τούτων δὲ ἕκαστον καὶ αὐτὸ καθ' ἑαυτὸ ἱκανὸν ἐκβαλεῖν τῆς βασιλείας· ὅταν δὲ καὶ ὁμοῦ συμφέρηται, τίνα ἕξομεν ἀπολογίαν; πολλῆς ἡμῖν δεῖ τῆς μετανοίας, ἀγαπητοί, πολλῆς τῆς εὐχῆς, πολλῆς τῆς καρτερίας, πολλῆς τῆς προσεδρείας, ἵνα δυνηθῶμεν ἐπιτυχεῖν τῶν ἐπηγγελμένων ἡμῖν ἀγαθῶν. Εἴπωμεν οὖν καὶ ἡμεῖς, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. μᾶλλον δὲ μὴ εἴπωμεν μόνον, ἀλλὰ καὶ οὕτω φρονῶμεν· κἂν ἕτερός τις ἡμᾶς ἐγκαλέσῃ, μὴ ὀργιζώμεθα. ἤκουσεν ἐκεῖνος, Ὅτι οὐκ εἰμὶ ὡς οὗτος ὁ τελώνης· καὶ οὐ παρωξύνθη, ἀλλὰ κατενύγη. ἐδέξατο τὸ ὄνειδος, καὶ ἀπέθετο τὸ ὄνειδος. Εἶπεν ἐκεῖνος τὸ τραῦμα, ἐζήτησεν οὗτος τὸ φάρμακον. λέγωμεν τοίνυν, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. κἂν ἕτερος εἴπῃ, μὴ ἀγανακτῶμεν. ἐὰν δὲ αὐτοὶ μὲν λέγωμεν μυρία ἑαυτοὺς κακά, παρ' ἑτέρων δὲ ἀκούοντες δυσχεραίνωμεν, οὐκέτι τοῦτο ταπεινοφροσύνη ἐστίν, οὐδὲ ἐξομολόγησις,

Margin notes (left): κ. μᾶλλον ἄρα ἡ εὐχὴ συγκ. — κ. τῆς εὐχ. — ἴσ. τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ — κ. γὰρ — κ. ἥττονα — κ. συνεισφέρηται. κ. ἀπολογίαν;

Margin references (right): Λυκ. ιη. ε. — Ματθ. ιε. κς. — Ἐξοδ. β. ζ. — Λυκ. ιη. ιγ. — Παροιμ. ιβ. κη. — Ματθ. ε. κβ.

κόσμος. τί τοίνυν ἐμάθομεν ἐνταῦθα ἀπολαμβάνειν, ὅτι οὐδὲ τῶν ἐν τῷ κόσμῳ ἦν ἄξιος· ἐνταῦθα αὐτὸν διαγίνεσθαι τὴν ἀγωνίαν, παιδεύων μὴ προσηλῶσθαι τοῖς παροῦσιν, ἀλλὰ πάντων μείζω φρονεῖν τὸν ἐν τῷ παρόντι βίῳ, εἴπερ ὁ πᾶς κόσμος οὐκ ἔστιν αὐτοῦ ἄξιος. τί τοίνυν βούλει ἐνταῦθα λαβεῖν; οὐδεὶς γάρ ἐστιν, ἐὰν ἐνταῦθα λάβῃς τὸν μισθόν.

χ. λέγω

ΗΘΙΚΟΝ

Μὴ τοίνυν κοσμικὰ φρονῶμεν, μηδὲ ἐνταῦθα ζητῶμεν τὴν ἀνταπόδοσιν, μηδὲ οὕτως ὦμεν πένητες. εἰ γὰρ ὁ πᾶς κόσμος οὐκ ἄξιος αὐτῶν, τί τὸ μέρος ἐπιζητεῖς; καὶ εἰκότως. φίλοι γάρ εἰσι τοῦ Θεοῦ. κόσμον δὲ ἐνταῦθα ἄρα τὸ πλῆθός φησιν, ἢ τὴν κτίσιν αὐτήν; ἀμφότερα. ἀμφότερα γὰρ οἶδε λέγειν ἡ γραφή. εἰ πᾶσα ἡ κτίσις μετὰ τῶν ἀνθρώπων, φησὶ, ἐστὶ τῶν αὐτῆς, οὐδέπω ἀντάξιοι φαίνονται τούτων. καὶ εἰκότως. ὥσπερ γὰρ μυρίοι σταθμοὶ ἀχύρου καὶ χόρτου, δέκα μαργαριτῶν οὐκ ἂν εἶεν ἀντάξιοι· οὕτως οὐδὲ ἐκεῖνοι. Κρείσσων γὰρ εἷς ποιῶν θέλημα Κυρίου, ἢ μυρίοι παράνομοι. μυρίους οὐχὶ τοὺς πολλοὺς λέγει, ἀλλὰ τὸ πλῆθος τὸ ἄπειρον. ἐννόησον ὅσον ἐστὶν ὁ δίκαιος. εἶπεν Ἰησοῦς ὁ τοῦ Ναυῆ, Στήτω ὁ ἥλιος κατὰ Γαβαὼν, καὶ ἡ σελήνη κατὰ φάραγγα Ἐλώμ, καὶ ἐγένετο. ἐρχέσθω τοίνυν πᾶσα ἡ οἰκουμένη, μᾶλλον δὲ δύο, καὶ τρεῖς, καὶ τέσσαρες, καὶ δέκα, καὶ εἴκοσιν οἰκουμέναι, καὶ λεγέτωσαν, καὶ ποιείτωσαν τοῦτο· ἀλλ᾽ οὐ δυνήσονται. ὁ δὲ τοῦ Θεοῦ φίλος τοῖς τοῦ φίλου κτίσμασιν ἐπέταττε, μᾶλλον δὲ τὸν φίλον παρεκάλει, καὶ εἶκε τὰ δοῦλα, καὶ ὁ κάτω τοῖς ἄνω προσέταττεν. ὁρᾷς ὅτι εἰς δουλείαν ταῦτα γέγονε, τὸν δρόμον τὸν διατεταγμένον πληροῦντα; τοῦτο τῶν Μωϋσέως μεῖζον. τί δήποτε; οὐ γάρ ἐστιν ἴσον θαλάττῃ ἐπιτάξαι, καὶ τοῖς κατ᾽ οὐρανόν. μέγα μὲν γὰρ κἀκεῖνο, καὶ σφόδρα μέγα· πλὴν ἀλλ᾽ οὐδὲν ἴσον. [ἄκουε δὲ καὶ πόθεν τοιοῦτος γέγονε.] τί δήποτε; τύπος ἦν τοῦ Χριστοῦ τὸ τοῦ Ἰησοῦ ὄνομα. διὰ τοῦτο τοίνυν, ἐπεὶ τὴν τοιαύτην κλῆσιν εἶχεν ἐν τύπῳ, ἦν Ἰησοῦς, αὐτὴν τὴν προσηγορείαν ᾐδέσθη ἡ κτίσις. τί οὖν; ἄλλος οὐκ ἐκλήθη Ἰησοῦς; ἀλλ᾽ οὗτος ἐπὶ τούτῳ ἐκλήθη ἐν τύπῳ. καὶ γὰρ καὶ Αὐσῆς ἐλέγετο. διὰ τοῦτο μετεβλήθη τὸ ὄνομα. πρόῤῥησις γὰρ ἦν, καὶ προφητεία. οὗτος εἰσήγαγε τὸν λαὸν εἰς τὴν ἐπαγγελίαν, ὥσπερ ὁ Ἰησοῦς εἰς τὸν οὐρανόν· οὐχ ὁ νόμος, ὥσπερ οὐδὲ Μωϋσῆς, ἀλλ᾽ ἔξω ἔμεινεν. οὐκ ἰσχύει νόμος εἰσαγαγεῖν, ἀλλ᾽ ἡ χάρις. ὁρᾷς τοὺς τύπους ἄνωθεν προδιαγραφομένους; ἐπέταξε τῇ κτίσει, μᾶλλον δὲ τῷ κυρίῳ τῆς κτίσεως μέρει, αὐτῇ τῇ κεφαλῇ, κάτω ἑστώς· ἵνα ὅταν ἴδῃς ἐν ἀνθρώπου σχήματι τὸν Ἰησοῦν τὰ αὐτὰ λέγοντα, μὴ θορυβηθῇς, μηδὲ ξενισθῇς. ἀλλὰ καὶ Μωϋσέως ζῶντος, ἐξεπέπτωσαν τοὺς πολεμίους· οὗτος, καὶ τοῦ νόμου ζῶντος, τὰ πάντα διῴκει· ἀλλ᾽ οὐ φανερῶς. πλὴν ἴσμεν ὅσον ἡ ἀρετὴ τῶν ἁγίων. εἰ ἐνταῦθα τοιαῦτα ἐργάζονται, εἰ ἐνταῦθα τοιαῦτα ποιοῦσιν, ἅπερ οἱ ἄγγελοι, τί ἄρα ἐκεῖ; πόσην ἕξουσι τὴν λαμπρότητα; τάχα τις ὑμῶν ἕκαστος ἐβούλετο εἶναι τοιοῦτος, ὥστε δύνασθαι ἐπιτάττειν τῷ ἡλίῳ καὶ τῇ σελήνῃ. ἐνταῦθα οἱ λέγοντες τὸν οὐρανὸν σφαῖραν εἶναι, πρὸς τοῦτο τί ἂν εἴποιεν; διὰ τί γὰρ μὴ εἶπε, στήτω ὁ ἥλιος, ἀλλὰ προσέθηκε, στήτω ὁ ἥλιος κατὰ Γαβαὼν, καὶ ἡ σελήνη κατὰ φάραγγα Ἐλώμ, τουτέστι, μείζονα τὴν ἡμέραν ἐργάσασθαι; τοῦτο καὶ ἐπὶ τοῦ Ἐζεκίου γέγονεν. ἀνεπόδισε γὰρ ὁ ἥλιος. ἀλλὰ τοῦτο ἐκείνου θαυμαστότερον, τὸ τὴν ἐναντίαν ἐλθεῖν πάλιν ὁδὸν, μήπω διελθόντα τὸν δρόμον. ἀλλὰ τούτων ἡμεῖς μείζονα ἐπιτευξόμεθα, ἐὰν ἐθέλωμεν. τίνα γὰρ ἡμῖν ἐπηγγείλατο ὁ Χριστός; οὐχὶ ἥλιον στῆσαι, οὐδὲ σελήνην, οὐδὲ ἀναποδισμὸν ἡλίου, ἀλλὰ τί; Ἐλευσόμεθα πρὸς αὐτὸν ἐγὼ καὶ ὁ πατήρ, φησι, καὶ μονὴν παρ᾽ αὐτῷ ποιήσομεν. τί μοι δεῖ ἡλίου καὶ σελήνης, καὶ τῶν θαυμάτων τούτων, αὐτοῦ τοῦ δεσπότου πάντων παρ᾽ ἐμοὶ καταγινομένου καὶ ἐνιδρυμένου; οὐ δεῖ μοι τούτου. τί γὰρ δεῖ μοι τινὸς τούτων; αὐτὸς ἔσται μοι εἰς σελήνην, καὶ ἥλιον, καὶ εἰς φῶς. εἰπὲ γάρ μοι, τί ἐβούλου, εἰς βασίλεια εἰσελθεῖν, δυνηθῆναί τι τῶν πεπηγότων μεταῤῥυθμίσαι, ἢ τὸν βασιλέα οὕτως οἰκειώσασθαι, ὡς πεῖσαι πρὸς σὲ καταβῆναι; οὐ πολλῷ μᾶλλον τοῦτο, ἢ ἐκεῖνο; τί δαί; οὐ θαυμαστὸν, εἴπερ ἄνθρωπος ἐπιτάττει ταῦτα ἃ

καὶ

Ἰησ. ι. ιβ.

Ἰωαν. ιδ. κγ.

χ. αὐτὴν ἀμφότερα δὲ · τοίνυν · χ. ἤπω · χ. τῶ · χ. καὶ [διὰ] τὴν προσηγορείαν αὐτὴν ᾐδέσθη · χ. τοῖς ἔξω δὲ ἔμεινε · χ. κυρίῳ · χ. οὗτος · αὐτὸς · χ. ἀλλ᾽ οὐ · χ. τι μᾶλλον ἢ ἐκεῖνο τούτων. αὐτὸς

Digitized by Google

τοῖς μάρτυρσι λαμπρεῖν. οὐδὲ γὰρ τοῦτο προηγουμένως ἦν τὸ ζητούμενον· ἀλλὰ πίστεως τινὸς ἐξέτασις ἦν. εἰπὲ γάρ μοι, εἰ μὴ πίστει τὸ πᾶν ἤνυσαν; πῶς; διὰ πίστεως, φησί, κατηγωνίσαντο βασιλείας οἱ περὶ τὸν Γεδεών. Εἰργάσαντο δικαιοσύνην.

Τίνες; αὐτοὶ οὗτοι. ἤτοι τὴν φιλανθρωπίαν ἐνταῦθα δικαιοσύνην εἶπεν.

Ἐπέτυχον ἐπαγγελιῶν. Περὶ τοῦ Δαβὶδ οἶμαι αὐτὸν τοῦτο λέγειν. ποίων δὲ τούτων ἔτυχεν ἐπαγγελιῶν; ὧν ἔλεγεν, ὅτι τὸ σπέρμα αὐτοῦ καθίσει ἐπὶ τοῦ θρόνου αὐτοῦ. Ἔφραξαν στόματα λεόντων,

34 Ἔσβεσαν δύναμιν πυρὸς, ἔφυγον στόματα μαχαίρας. Ὅρα πῶς ἐν αὐτῷ τῷ θανάτῳ ἦσαν ὁ Δανιὴλ κυκλούμενος ὑπὸ τῶν λεόντων, οἱ παῖδες οἱ τρεῖς ἐν τῇ καμίνῳ

* οἱ Ἰσραηλῖται,

διατρίβοντες, * ὁ Ἀβραάμ, ὁ Ἰσαάκ, ὁ Ἰακὼβ ἐν διαφόροις πειρασμοῖς, καὶ οὐδὲ οὕτως ἀπέγνωσαν. τοῦτο γὰρ πίστις· ὅταν τὰ πράγματα πρὸς τὸ ἐναντίον ἐκβαίνῃ, τότε δεῖ πιστεύειν ὅτι οὐδὲν ἐναντίον γέγονεν, ἀλλὰ πάντα ἀκόλουθα. ἔφυγον στόματα μαχαίρας. περὶ τῶν τριῶν πάλιν οἶμαι παίδων λέγειν αὐτόν. Ἐνεδυναμώθησαν ἀπὸ ἀσθενείας, ἐγενήθησαν ἰσχυροὶ ἐν πολέμῳ, παρεμβολὰς ἔκλιναν ἀλλοτρίων.

Τὰ κατὰ τὴν ἐπάνοδον τὴν ἀπὸ Βαβυλῶνος ἐνταῦθα αἰνίττεται. ἀπὸ ἀσθενείας, φησί· τουτέστιν, ἀπὸ αἰχμαλωσίας. ὅτε ἤδη ἀπέγνωστο τὰ Ἰουδαϊκὰ, ὅτε ὀστῶν νεκρῶν οὐδὲν διενηνόχεσαν, τότε αὖθις γέγονε τὰ τῆς ἐπανόδου. τίς γὰρ ἂν ἤλπισεν ἀπὸ Βαβυλῶνος ἐπανήκειν αὐτούς, καὶ οὐκ ἐπανήκειν μόνον, ἀλλὰ καὶ ἰσχυροὺς γενήσεσθαι, καὶ κλῖναι παρεμβολὰς ἀλλοτρίων; ἀλλ᾽ ἡμῖν οὐδὲν τοιοῦτον συνέβη, φησίν. ἀλλὰ ταῦτα τύποι τῶν μελλόντων εἰσίν.

35 Ἔλαβον γυναῖκες ἐξ ἀναστάσεως τοὺς νεκροὺς αὐτῶν. Τὰ κατὰ τοὺς προφήτας ἐνταῦθα λέγει, τοῦ Ἐλισσαίου, τοῦ Ἠλίου. νεκροὺς γὰρ ἀνέστησαν οὗτοι.

Ἄλλοι δὲ ἐτυμπανίσθησαν, οὐ προσδεξάμενοι τὴν ἀπολύτρωσιν, ἵνα κρείττονος ἀναστάσεως τύχωσιν. Ἀλλ᾽ οὐχ ἡμεῖς ἀναστάσεως ἐτύχομεν. ἀλλ᾽ ἔχω δεῖξαι καὶ ἐκείνους, φησίν, ἀποτμηθέντας, καὶ μὴ δεξαμένους, ἵνα κρείττονος ἀναστάσεως τύχωσι. διατί γάρ, εἰπέ μοι, παρὸν ζῆσαι, οὐκ ἠβουλήθησαν; οὐκ ἄρα ὅτι κρείττονα προσεδόκων ζωήν; καὶ οἱ τοὺς ἄλλους ἀναστήσαντες, αὐτοὶ εἵλοντο ἀποθανεῖν, ὥστε κρείττονος ἀναστάσεως τυχεῖν, οὐ τοιαύτης, οἵας τὰ παιδία τῶν γυναικῶν. ἐνταῦθά μοι δοκεῖ καὶ τὸν Ἰωάννην αἰνίττεσθαι, καὶ τὸν Ἰάκωβον. ἀποτυμπανισμὸς γὰρ λέγεται ὁ ἀποκεφαλισμός. ἐξῆν'' αὐτοῖς ὁρᾶν τὸν ἥλιον, ἐξῆν

γρ. τοῖς στῆσαι, ἔξω

αὐτοῖς μὴ ἐλέγξαι, καὶ ὅμως εἵλοντο ἀποθανεῖν, καὶ οἱ ἀναστήσαντες ἄλλους, αὐτοὶ εἵλοντο ''ἀποθανεῖν, ἵνα κρείττονος ἀναστάσεως τύχωσιν.

γρ. ἀπελθεῖν,

36 Ἕτεροι δὲ ἐμπαιγμῶν καὶ μαστίγων πεῖραν ἔλαβον, ἔτι δὲ δεσμῶν καὶ φυλακῆς. ἐλιθάσθησαν, ἐπρίσθησαν, ἐπειράσθησαν*. Ἐν τούτοις τελευτᾷ ἐν τοῖς οἰκειοτέροις. μάλιστα γὰρ ταῦτα φέρει τὴν παράκλησιν, ὅταν τῆς αὐτῆς ὑποθέσεως ἡ λύπη ᾖ· ἐπεὶ κἂν σφοδρότερα εἴπῃς, μὴ ᾖ δὲ ἐκ τῆς αὐτῆς ὑποθέσεως'' πληθεῖσα, οὐδὲν ἐποίησας.

* ἐν φόνῳ μαχαίρας ἀπέθανον.

γρ. πληθῦνα,

διὰ τοῦτο εἰς τοῦτο τὸν λόγον συνέκλεισε, δεσμὰ λέγων, φυλακὰς, μάστιγας, λιθασμούς, τὰ κατὰ τὸν Στέφανον, τὰ κατὰ τὸν Ζαχαρίαν αἰνιττόμενος. διὸ ἐπήγαγεν, Ἐν φόνῳ μαχαίρας ἀπέθανον. Τί λέγεις; οἱ μὲν ἔφυγον στόματα μαχαίρας, οἱ δὲ ἐν φόνῳ μαχαίρας ἀπέθανον; τί ἐστι τοῦτο; ποῖον ἐπαινεῖς; ποῖον θαυμάζεις; τοῦτο, ἢ ἐκεῖνο; ναί, φησι, καὶ τοῦτο, κἀκεῖνο. τοῦτο μὲν, ὅτι ὑμῖν οἰκεῖον· ἐκεῖνο δὲ, ὅτι καὶ πρὸς αὐτὴν τὴν τελευτὴν ἴσχυσεν ἡ πίστις, καὶ τύπος τῶν μελλόντων ἐστί. δύο γὰρ ἐστὶ τὰ'' θαύματα τῆς πίστεως· ὅτι καὶ ἀνύει μεγάλα, καὶ πάσχει μεγάλα, καὶ ὅτι οὐδὲν ἡγεῖται πάσχειν. καὶ οὐκ ἔχεις εἰπεῖν, φησιν, ὅτι ἁμαρτωλοί τινες ἦσαν, καὶ οὐδαμινοί. κἂν γὰρ τὸν κόσμον ἀντιστήσῃς ὅλον, ἐκείνους εὑρίσκω καθέλκοντας τὸν ζυγόν, καὶ τιμιωτέρους ὄντας. διὰ τοῦτο καὶ οὕτως εἶπεν· ὧν οὐκ ἦν ἄξιος ὁ

γρ. θαυμαστά



Digitized by Google

τι καὶ ἔχριον, καὶ ἐθάῤῥησαν χρίσαντες. ὑμεῖς δὲ αὐτὸ τοῦ ἀμνοῦ δεχόμενοι τὸ αἷμα, οὐ θαρσεῖτε; πίστει διέβησαν τὴν ἐρυθρὰν θάλασσαν, ὡς διὰ ξηρᾶς γῆς. πάλιν λαοὶ ὁλόκληροι παρεμβάλλει λαῷ, ἵνα μὴ λέγωσιν, ὅτι οὐ δυνάμεθα κατὰ τοὺς ἁγίους γενέσθαι. πίστει, φησὶ, διέβησαν τὴν ἐρυθρὰν θάλασσαν, ὡς διὰ ξηρᾶς γῆς· ἧς πεῖραν λαβόντες οἱ Αἰγύπτιοι "κατεποντίσθησαν. ἐνταῦθα αὐτοὺς καὶ εἰς ὑπόμνησιν ἄγει τῶν παθημάτων τῶν ἐν Αἰγύπτῳ. πῶς πίστει; ὅτι ἤλπισαν διὰ τῆς θαλάσσης διαβήσεσθαι, καὶ διὰ τοῦτο ηὔξαντο· μᾶλλον δὲ Μωϋσῆς ἦν ὁ εὐξάμενος. ὁρᾷς ὅτι πανταχοῦ ἡ πίστις τοὺς λογισμοὺς ὑπερβαίνει τοὺς ἀνθρωπίνους, καὶ τὴν ἀσθένειαν, καὶ τὴν ταπεινότητα. ὁρᾷς, ὁμοῦ καὶ ἐπίστευον, καὶ τὴν κόλασιν ἐδεδοίκεσαν ἔν τε τῷ αἵματι τῶν θυρῶν, ἔν τε τῇ ἐρυθρᾷ θαλάττῃ. καὶ τοῦτο ἐδήλου, ὅτι ὕδωρ ἦν, διὰ τῶν ἐμπεσόντων καὶ ἀποπνιγέντων, καὶ ὅτι οὐκ ἦν φαντασία, ἀλλ᾽ ἀλήθεια. ὥσπερ δὲ ἐπὶ τῶν λεόντων οἱ διαλωθέντες ἐδείκνυον * τῶν πραγμάτων τὴν ἀλήθειαν, καὶ ἐπὶ τῆς καμίνου οἱ καέντες· οὕτω καὶ νῦν ὁρᾷς τὰ αὐτὰ πράγματα, τοῖς μὲν πρὸς σωτηρίας καὶ εὐδοκιμήσεως, τοῖς δὲ πρὸς ἀπωλείας γινόμενα. τοσοῦτόν ἐστιν ἡ πίστις ἀγαθόν. καὶ γὰρ ὅταν εἰς ἀμηχανίαν ἐμπέσωμεν, τότε ἀπαλλαττόμεθα, κἂν "πρὸς αὐτὸν τὸν θάνατον ἔλθωμεν, κἂν ἀπογνωσθῇ τὰ καθ᾽ ἡμᾶς. τί γὰρ ἄλλο ἦν λοιπόν; Αἰγύπτιοι καὶ θάλασσα αὐτοὺς ἀπέπλους ἐκύκλουν, καὶ ἢ ἀποπνιγῆναι ἔχρην φυγόντας, ἢ εἰς τὰς Αἰγυπτιακὰς χεῖρας ἐμπεσεῖν. ἀλλ᾽ ὅμως ἀπὸ ἀμηχάνων αὐτοὺς διέσωσε. τὸ αὐτὸ ὕδωρ τοῖς μὲν ὑπεστρώννυτο, καθάπερ γῆ· τοὺς δὲ κατεπόντιζε καθάπερ θάλαττα. ἐκεῖ μὲν τῆς φύσεως ἐπελανθάνετο, ἐνταῦθα δὲ καὶ ὡπλίζετο κατ᾽ αὐτῶν. πίστει τὰ τείχη Ἱεριχὼ ἔπεσε, κυκλωθέντα ἐπὶ ἑπτὰ ἡμέρας. οὐ γὰρ δὴ σαλπίγγων ἠχὴ λίθους οἷά τε καταβάλλειν ἐστὶ, κἂν μυρία τις ἔτη σαλπίζῃ, ἀλλ᾽ ἡ πίστις πάντα δύναται. ὁρᾷς πανταχοῦ, οὐχὶ ἀκολουθίᾳ, οὐδὲ φύσεως νόμῳ μεταβαλλομένων αὐτῶν, ἀλλὰ παρὰ προσδοκίαν ἅπαντα γινόμενα; οὐκοῦν καὶ ἐνταῦθα παρὰ προσδοκίαν ἅπαντα γέγονεν. ἐπειδὴ γὰρ ἄνω καὶ κάτω ἔλεγον, ὅτι δεῖ πιστεύειν ταῖς ἐλπίσι ταῖς μελλούσαις, εἰκότως τοῦτο ἅπαντα ὁ λόγος ἐκίνει, δεικνὺς, ὅτι οὐ νῦν, ἀλλὰ καὶ ἐξ ἀρχῆς πάντα τὰ θαύματα διὰ ταύτης ἤνυσται καὶ κατώρθωται. πίστει Ῥαὰβ ἡ πόρνη οὐ συναπώλετο τοῖς ἀπειθήσασι, δεξαμένη τοὺς κατασκόπους μετ᾽ εἰρήνης. οὐκοῦν αἰσχρὸν, εἰ καὶ πόρνης ἀπιστότεροι φανείητε· καίτοιγε ἐκείνη τῶν ἀνδρῶν ἤκουσεν "ἀπαγγελλόντων, καὶ εὐθέως ἐπίστευσε. τοιγαροῦν καὶ τὸ τέλος ἐπηκολούθησε. πάντων γὰρ ἀπολωλότων, μόνη διεσώθη. οὐκ εἶπε πρὸς ἑαυτὴν, ὅτι μετὰ πολλῶν ἔσομαι τῶν ἐμῶν, οὐκ εἶπεν, ἐγὼ "τοσούτων φρονιμωτέρα δύναμαι εἶναι ἀνδρῶν συνετῶν, οἵτινες ἀπιστοῦσι, καὶ ἐγὼ πιστεύσω; οὐδὲν τοιοῦτον, ὅπερ εἰκὸς ἦν ἄλλον καὶ εἰπεῖν καὶ παθεῖν, ἀλλὰ τοῖς λεγομένοις ἐπίστευσε.

32 Καὶ τί ἔτι λέγω; ἐπιλείψει γάρ με διηγούμενον ὁ χρόνος.

Οὐκέτι λοιπὸν τὰ ὀνόματα τίθησιν· ἀλλὰ πλατύνας εἰς τὴν πόρνην, καὶ ἐντρέψας διὰ τῆς τοῦ προσώπου ποιότητος, οὐκέτι πλατύνει τὰς ἱστορίας, ἵνα μὴ δόξῃ μακρηγορεῖν. οὐ μὴν αὐτὰς ἀφίησιν, ἀλλ᾽ ἐπιτρέχει σφόδρα συντόμως, τηρῶν ἀμφότερα, καὶ τὸν κόρον φυγὼν, καὶ τὴν πυκνότητα οὐ λυμαινόμενος. "οὔτε πάντη ἐσίγησεν, οὔτε λέγων ἠνώχλησεν, ἀλλ᾽ ἀμφότερα ποιεῖ. ὅταν γάρ τις ἰσχυρῶς ἀγωνίζηται, εἶτ᾽ ἐπιμένῃ ἀγωνιζόμενος, ἀποκναίει τὸν ἀκροατὴν, πεπεισμένον λοιπὸν ἐνοχλῶν, καὶ φιλοτιμίας λαμβάνει δόξαν. δεῖ γὰρ πρὸς τὸ λυσιτελὲς ἁρμόζεσθαι. καὶ τί ἔτι λέγω, φησίν; Ἐπιλείψει γάρ με διηγούμενον ὁ χρόνος περὶ Γεδεὼν, Βαράκ τε, καὶ Σαμψὼν, καὶ Ἰεφθάε, Δαβίδ τε καὶ Σαμουὴλ, καὶ τῶν προφητῶν. Ἐγκαλοῦσι τῷ Παύλῳ τινὲς, εἰ τὸν Βαρὰκ καὶ τὸν Σαμψὼν καὶ τὸν Ἰεφθάε ἐν τούτοις τίθησι τοῖς τόποις. τί λέγεις; ὁ τὴν πόρνην θεὶς, τούτους οὐ θήσει; μὴ γάρ μοι τὸν ἄλλον αὐτῶν βίον εἴπῃς, ἀλλ᾽ εἰ μὴ ἐπίστευσαν, καὶ ἔλαμψαν [ἐν] τῇ πίστει. καὶ τῶν προφητῶν, φησὶν,

33 Οἳ διὰ πίστεως κατηγωνίσαντο βασιλείας. Ὁρᾷς ὅτι οὐχὶ βίον ἐνταῦθα αὐ-

τοῖς

χ. κατεπόθησαν

* διὰ

χ. εἰς

χ. ἐπαγγελ.

χ. τούτων

χ. ἐν πάντι

μὲν οὖν μαλακίαν προσεποιήσατο, ἵνα δῆλον ἑαυτὸν ποιήσῃ· τὴν μέντοι σπουδὴν διὰ τὸ μὴ φαίνεσθαι διακρουόμενος; καὶ γὰρ ἐκεῖ οὐκ ἐποίησεν, ἀλλ' ἐπεχείρησε· καὶ ἐκώλυσαν οἱ ἀπόστολοι. ὥστε καὶ ἐνταῦθα εὐθέως διακρούσασθαι. καὶ ἐκεῖ μὲν δῆμος ὁλόκληρος ἦν· ἐνταῦθα δὲ τύραννος. τί οὖν αὐτὸν οὐκ ἀπήγαγε; περιλαβὼν εἶπεν, ὅτι οὐχ ὡς Θεῷ ἑαυτὸν ἐπὶ ἀραξεπῇ τοῦ σεβάσματος, ἀλλ' ἐπὶ μείζονι θαύματι. πῶς; ὅτι τοῦ Θεοῦ εἵνεκεν διὰ πάγματα τέθηκεν, ὁμολογῶν αὐτοῦ τὴν δεσποτείαν. ὥστε οὐκ ἠκρωτηρίαζε τὴν τιμήν. ἐκεῖνοι δὲ οὐχ οὕτως, ἀλλ' αὐτοὺς ἐνόμιζον εἶναι [τοὺς] θεούς. διὰ τοῦτο διεκρούοντο. ἄλλως δὲ, καὶ προσκυνήσας ἐνταῦθα, τότε ταῦτα ποιεῖ. οὐδὲ γὰρ ὡς Θεῷ προσεκύνησεν, ἀλλ' ὡς ἀνθρώπῳ σοφῷ. οὐ δῆλον δὲ οὐδὲ ὅτι ἔθυσεν. εἰ δὲ καὶ ἔθυσεν, ἀλλ' οὐ διεχρήσατο τοῦ Δανιήλ. τί δὲ, ὅτι αὐτὸν καὶ Βαλτάσαρ ἐκάλεσεν, τοῦ Θεοῦ αὐτοῦ τὸ ὄνομα; οὕτως οὐδὲν θαῦμα ἡγεῖτο αὐτοὺς τοὺς θεοὺς, ὅπου γε καὶ τὸν αἰχμάλωτον οὕτως ἐκάλει ὁ πότε μὲν κελεύων τὴν εἰκόνα προσκυνεῖν τὴν παντοδαπὴν καὶ ποικίλην, καὶ τὸν δράκοντα σέβων. καὶ ἐκεῖνοι πολὺ ἦσαν ἀνοητότεροι οἱ Βαβυλώνιοι τῶν ἐν Λύστροις· διὸ οὐκ εἶχον εὐθέως ἀγαγεῖν αὐτοὺς εἰς τοῦτο. καὶ πολλὰ ἄν τις εἴποι· πλὴν δὲ ταῦτα ἀρκεῖ. εἰ τοίνυν βουλόμεθα πάντων ἐπιτυχεῖν τῶν ἀγαθῶν, τὰ κατὰ Θεὸν ζητῶμεν. ὥσπερ γὰρ οἱ τὰ τοῦ κόσμου ζητοῦντες, καὶ τούτων καὶ ἐκείνων ἐκπίπτουσιν· οὕτως οἱ τὰ κατὰ Θεὸν προτιμῶντες, ἀμφοτέρων ἐπιτυγχάνουσι. μὴ δὴ ταῦτα λοιπὸν ζητῶμεν, ἀλλ' ἐκεῖνα· ἵνα καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν ἐπιτύχωμεν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

γ. ἐνταῦθα δὲ προσκυνήσας, τότε
γ. -λον οὖν ὅτι
γ. κατὰ τοῦτο καὶ

Λογ. κζ. 28 ΠΙΣΤΕΙ ΠΕΠΟΙΗΚΕ ΤΟ ΠΑΣΧΑ ΚΑΙ τὴν πρόσχυσιν τοῦ αἵματος, ἵνα μὴ ὁ ὀλοθρεύων τὰ πρωτότοκα, θίγῃ αὐτῶν. 29 Πίστει διέβησαν τὴν ἐρυθρὰν θάλασσαν, ὡς διὰ ξηρᾶς γῆς· ἧς πεῖραν λαβόντες οἱ Αἰγύπτιοι, κατεποντίσθησαν.
30 Πίστει τὰ τείχη Ἱεριχὼ ἔπεσε, κυκλωθέντα ἐπὶ ἑπτὰ ἡμέρας.
31 Πίστει Ῥαὰβ ἡ πόρνη οὐ συναπώλετο τοῖς ἀπειθήσασι, δεξαμένη τοὺς κατασκόπους μετ' εἰρήνης.

γ. -τεπόθησαν.
γ. ἔπεσαν.

ΠΟλλὰ μεταξὺ κατασκευάζειν ὁ Παῦλος εἴωθε, καὶ πυκνός ἐστι τοῖς νοήμασι. τοιαύτη γὰρ ἡ τοῦ πνεύματος χάρις· οὐκ ἐν πλήθει λόγων ὀλίγα παρέχει νοήματα, ἀλλὰ βραχύτητι ῥημάτων μεγάλην καὶ πολλὴν διάνοιαν ἐντίθησιν. ὅρα γοῦν πῶς ἐν τάξει παρακλήσεως, [καὶ] περὶ πίστεως διαλεγόμενος, οἵου ὑπομιμνήσκει τύπου καὶ μυστηρίου, οὗ τὴν ἀλήθειαν ἔχομεν. πίστει, φησὶ, πεποίηκε τὸ πάσχα καὶ τὴν πρόσχυσιν τοῦ αἵματος, ἵνα μὴ ὁ ὀλοθρεύων τὰ πρωτότοκα, θίγῃ αὐτῶν. τί δέ ἐστιν ἡ πρόσχυσις τοῦ αἵματος; πρόβατον ἔθυεν κατ' οἰκίαν, καὶ τὸ αἷμα αὐτοῦ ἐπεχρίετο ταῖς φλιαῖς, καὶ τοῦτο ἦν ἀποτείχισις τῆς ἀπωλείας τῆς Αἰγυπτιακῆς. εἰ τοίνυν αἷμα προβάτου, ἐν μέσοις Αἰγυπτίοις, καὶ ἐν ὀλέθρῳ τοσούτῳ ἀσινεῖς διεφύλαξε τοὺς Ἰουδαίους· πολλῷ μᾶλλον διασώσει ἡμᾶς, οὐκ ἐν ταῖς φλιαῖς, ἀλλ' ἐπὶ ταῖς ψυχαῖς τὸ αἷμα ἐπιχριόμενον τοῦ Χριστοῦ. καὶ γὰρ καὶ νῦν ὁ ὀλοθρεύων ἐν τῇ βαθείᾳ νυκτὶ ταύτῃ περιέρχεται. ἀλλ' ὁπλιζώμεθα ἐκείνῃ τῇ θυσίᾳ. πρόσχυσιν τὴν χρῖσιν καλεῖ. ἀπὸ γὰρ Αἰγύπτου ἐξήγαγεν ἡμᾶς ὁ Θεὸς, ἀπὸ τοῦ σκότους, ἀπὸ τῆς εἰδωλολατρείας. καίτοι τὸ γινόμενον οὐδὲν ἦν· τὸ δὲ κατορθούμενον, μέγα. τὸ μὲν γὰρ γινόμενον, αἷμα· τὸ δὲ κατορθούμενον, σωτηρία, καὶ ἔμφραξις, καὶ κώλυμα ἀπωλείας. ἐφοβήθη τὸ αἷμα ὁ ἄγγελος· ᾔδει γὰρ τίνος ἦν τύπος· ἔφριξε, τὸν δεσποτικὸν θάνατον ἐννοήσας· διὰ τοῦτο οὐχ ἥψατο τῶν φλιῶν. εἶπε Μωϋσῆς, χρίσα-

γ. ἐμβάλλει
γ. ἐν
γ. -χρισμένον

ἦν ὁ Παῦλος, καὶ ἔθυον αὐτῷ ὡς Θεῷ. ἐνταῦθα ζήτημα ἀνακύπτει. ἐρωτῶσι γὰρ πολλοὶ
λέγοντες, τί δήποτε οἱ μὲν ἀπόστολοι τὰς θυσίας ἀπεῖρξαν, καὶ διέρρηξαν αὐτῶν τὰ ἱμάτια, καὶ
Πραξ. ιδ. ιε. ἀπήγαγον αὐτοὺς τῆς ἐπιχειρήσεως, καὶ ἀπεδύοντο λέγοντες, Τί ποιεῖτε; καὶ ἡμεῖς ὁμοιοπα-
θεῖς ὑμῖν ἐσμεν ἄνθρωποι· ὁ δὲ Δανιὴλ οὐδὲν τοιοῦτον ἐποίησεν. ὅτι γὰρ καὶ αὐτὸς ταπεινὸς
ἦν, καὶ τούτων οὐχ ἧττον ἀνέφερε τῷ Θεῷ δόξαν, πολλαχόθεν δῆλον. μάλιστα μὲν γὰρ καὶ πρό-
τον καὶ δι' αὐτὸ τὸ φιλεῖσθαι παρὰ τοῦ Θεοῦ, τοῦτο δῆλον. οὐ γὰρ ἂν αὐτὸν σφετεριζόμενον τὴν
Θεοῦ τιμὴν εἴασε ζῆσαι, οὐ λέγω εὐδοκιμῆσαι. δεύτερον, ὅτι καὶ μετὰ πολλῆς τῆς παῤ- χ. εἴασεν
Δαν. β. λ. ῥησίας ἔλεγε, Καὶ ἐμοί, βασιλεῦ, οὐκ ἐν σοφίᾳ τῇ οὔσῃ ἐν ἐμοὶ ἀπεκαλύφθη τὸ μυστήριον
τοῦτο. καὶ τρίτον πάλιν, ὅτι ἐν λάκκῳ ὢν διὰ τὸν Θεόν· καὶ ἐπειδὴ τροφὴν αὐτῷ ἐκόμισεν ὁ
Δαν. ιδ. λζ. προφήτης, φησίν, Ἐμνήσθη γάρ μου ὁ Θεός. οὕτως ἦν ταπεινὸς καὶ συντετριμμένος· ἐν
λάκκῳ ὢν διὰ τὸν Θεόν, καὶ ἀνάξιον ἑαυτὸν ἡγεῖτο τῆς μνήμης, καὶ τοῦ ἀκουσθῆναι. ἡμεῖς δὲ χ. [illegible]
μυρία τολμῶντες μιαρά, καὶ πάντων ὄντες μιαρώτεροι, ἐὰν μὴ ἐκ προοιμίων τῆς εὐχῆς ἀκουσθῶ-
μεν, ἀναχωροῦμεν. ὄντως πολὺ τὸ μέσον ἐκείνων καὶ ἡμῶν, ὅσον τοῦ οὐρανοῦ πρὸς τὴν γῆν, χ. ὅσον
καὶ εἴ τι πλέον. τί λέγεις; μετὰ τοσαῦτα κατορθώματα, μετὰ τὸ ἐν λάκκῳ γενόμενον θαῦ-
μα, οὕτω σεαυτὸν ταπεινὸν ἡγῇ; ναί, φησιν. ὅσα γὰρ ἂν ἐργασώμεθα, ἀχρεῖοι δοῦλοί ἐσμεν.
Λουκ. ιζ. ι. οὕτω προλαβών, τὸ εὐαγγελικὸν παράγγελμα ἐπλήρου, καὶ οὐδὲν ἡγεῖτο ἑαυτόν. ἐμνήσθη χ. τὸ
γάρ μου ὁ Θεός, ἔλεγεν. καὶ ἡ εὐχὴ αὐτοῦ ὅρα πάλιν ὅσης ταπεινοφροσύνης γέμει. οὕτω καὶ οἱ
Δαν. γ. κθ. τρεῖς παῖδες ἔλεγον· Ἡμάρτομεν, ἠνομήσαμεν, καὶ πανταχοῦ τὸ ταπεινὸν ἑαυτῶν * διακώ- * οἱ τῷ χε-
δουσι. καίτοιγε εἶχεν ὁ Δανιὴλ μυρίας ἀφορμὰς τοῦ ἐπαίρεσθαι· ἀλλ' ᾔδει ὅτι καὶ ταῦτα ρό
αὐτῷ ὑπῆρχεν ἀπὸ τοῦ μὴ ἐπαίρεσθαι, καὶ οὐ διέφθειρε τὸν θησαυρόν. παρὰ πᾶσι γὰρ
ἀνθρώποις ᾔδετο, καὶ ἐν τῇ οἰκουμένῃ πάσῃ. οὐκ ἐπὶ τούτοις ᾔδετο μόνον· ὅτι ῥίψας ἑαυτὸν εἰς
πρόσωπον ὁ βασιλεὺς ἔσπεισεν αὐτῷ, ἀλλ' ὅτι καὶ Θεὸν ἐνόμισεν αὐτὸν ὁ πανταχοῦ τῆς γῆς
ὡς Θεὸς τιμώμενος. πάσης γὰρ αὐτὸς ἐκράτει· καὶ δῆλον ἀπὸ τῶν Ἱερεμίου. Ὡς ἀναβαλ-
Ἱερ. κζ. ς. λόμενος γάρ, φησι, τὴν γῆν, ὡς ἱμάτιον. καὶ πάλιν, Ἐγὼ ἔδωκα αὐτὴν Ναβουχοδονόσορ τῷ χ. τὸ
δούλῳ μου. καὶ δι' ὧν ἐπιστέλλει δῆλον τοῦτο πάλιν, ὅτι οὐκ ἐκεῖ μόνον ἐθαυμάζετο, ἔνθα ἦν,
ἀλλὰ καὶ πανταχοῦ, καὶ μείζων ἦν ἀκουόμενος, ἢ εἰ παρόντα εἶδον αὐτὸν τὰ λοιπὰ ἔθνη, ὁπότε
καὶ διὰ γραμμάτων ὡμολόγησε τὴν δουλείαν καὶ τὸ θαῦμα. ἀλλ' ὅμως καὶ ἐπὶ σοφίᾳ πά-
Ἰεζεκ. κη. γ. λιν ἐθαυμάζετο. Μὴ σοφώτερος γὰρ εἶ, φησι, σὺ τοῦ Δανιήλ; καὶ μετὰ ταῦτα πάντα οὕτως
ἦν ταπεινός, ὡς μυριάκις διὰ τὸν Θεὸν ἀποθανεῖν. τί δήποτ' οὖν οὕτω ταπεινὸς ὤν,
οὐ διεκρούσατο, οὔτε τὴν προσκύνησιν τὴν παρὰ τοῦ βασιλέως, οὔτε τὰς σπονδάς; τοῦτο οὐκ
ἐρῶ. ἀρκεῖ γάρ μοι τὸ ζήτημα μόνον εἰπεῖν· τὸ δὲ λοιπὸν ὑμῖν ἀφίημι, ἵνα κἂν οὕτω διαγυ-
μνασθῇ ὑμῶν ἡ διάνοια. ἐκεῖνο μέντοι παραγγέλλω, πάντα διὰ τὸν τοῦ Θεοῦ φόβον αἱρεῖ-
σθαι, ὑποδείγματα τοιαῦτα ἔχοντας· καὶ ὅτι ὄντως καὶ τῶν ἐνταῦθα ἐπιτευξόμεθα, ἐὰν τῶν
μελλόντων γνησίως ἀντιλαβώμεθα. ὅτι γὰρ οὐκ ἀπονοίᾳ τοῦτο ἐποίησε, δῆλον ἀπὸ τοῦ εἰ-
Δαν. ε. ιζ. πεῖν, Τὰ δόματά σου σοὶ ἔστω. καὶ γὰρ καὶ τοῦτο πάλιν ἕτερον ζήτημα, πῶς τῷ λόγῳ δια-
κρουσάμενος, διὰ τῶν ἔργων ἐδέξατο τὴν τιμήν, καὶ ἐφόρεσε τὸν μανιάκην. καὶ ὁ μὲν χ. ἐδέξατο
Πραξ. ιβ. κβ. Ἡρώδης ἀκούσας, Φωνὴ Θεοῦ, καὶ οὐκ ἀνθρώπου, ἐπειδὴ μὴ ἔδωκε δόξαν τῷ Θεῷ,
διεῤῥάγη, καὶ ἐξεχύθη τὰ σπλάγχνα αὐτοῦ. οὗτος δὲ καὶ Θεοῦ τιμὴν προσήκατο, οὐχὶ ῥή-
ματα μόνον. ἐνταῦθα ἀναγκαῖον εἰπεῖν. τί δή τοῦτό ἐστιν; ὅτι ἐκεῖ μὲν εἰς εἰδωλολα- χ. ἀλλ'
τρείαν ἐξέπιπτον οἱ ἄνθρωποι μείζονα· ἐνταῦθα δὲ οὐκέτι. πῶς; τὸ γὰρ νομισθῆναι τοῦτον
τοιοῦτον, τιμὴ εἰς τὸν Θεὸν ἦν. διὰ γὰρ τοῦτο προλαβὼν εἶπε, καὶ ἐμοὶ δὲ οὐκ ἐν σοφίᾳ
τῇ οὔσῃ ἐν ἐμοὶ ἀπεκαλύφθη· ἄλλως δέ, οὐδὲ φαίνεται) προσιέμενος τὰς σπονδάς. Εἶπε
μὲν γάρ, φησιν, ὅτι χρὴ σπεῖσαι· οὔπω δὲ δῆλον ἐγένετο, εἰ καὶ τὸ ἔργον παρηκολούθησεν. ἐκεῖ
δὲ ἦν ἐγγύς, ὥστε τοὺς ταύρους καταθῦσαι. καὶ ἐκάλουν τὸν μέν, Δία· τὸν δέ, Ἑρμῆν. τὸν

μὲν

τον ὡς ὁρῶν ἐκαρτέρησε. Τί λέγεις; ὅτι οὐκ ἐφοβήθη; καὶ μὴν ἡ γραφὴ τοῦτό φησιν, ὅτι ἀκούσας ἐφοβήθη, καὶ διὰ τοῦτο φυγῇ τὴν σωτηρίαν ἐπορίσατο, καὶ ἀπέδρα, καὶ ἐξέκλεψεν ἑαυτόν, καὶ * μετὰ ταῦτα περιδεὴς ἦν. πρόσεχε μετὰ ἀκριβείας τῷ εἰρημένῳ· τὸ, μὴ φοβηθεὶς τὸν θυμὸν τοῦ βασιλέως, πρὸς τὸ καὶ πάλιν ἐπιστῆναι εἴρηκε. φοβουμένου γὰρ ἦν μὴ ἅψασθαι τῆς προστασίας πάλιν, μηδὲ ἐγχειρῆσαι τῷ πράγματι. τὸ μέντοι ἅψασθαι πάλιν, τῷ Θεῷ τὸ πᾶν ἐπιτρέποντος ἦν. οὐ γὰρ εἶπεν [ὅτι] ζητεῖ με, καὶ περιεργάζεται, καὶ οὐκ ἀνέχομαι πάλιν τῶν αὐτῶν ἅψασθαι. ὥστε καὶ τὸ φυγεῖν, πίστεως ἦν. τί οὖν οὐκ ἔμεινε, φησίν; ὥστε μὴ εἰς προῦπτον ἑαυτὸν κίνδυνον ἐμβαλεῖν. τοῦτο γὰρ λοιπὸν πειράζοντος ἦν, τὸ ἅλλεσθαι εἰς μέσους κινδύνους, καὶ λέγειν, ἴδω εἰ σώζει με ὁ Θεός. τοῦτο καὶ τῷ Χριστῷ εἶπεν ὁ διάβολος· Ῥίψον σεαυτὸν κάτω. ὁρᾷς ὅτι τοῦτο διαβολικόν ἐστι, τὸ εἰκῇ καὶ μάτην ῥίπτειν ἑαυτοὺς εἰς κινδύνους, καὶ πειράζειν εἰ σώζει ὁ Θεός; προεστάναι γὰρ αὐτῶν οὐκέτι ἠδύνατο, οὕτως ἀγνωμόνως τῶν εὐεργετουμένων διακειμένων. μωρὸν τοίνυν ἦν, καὶ ἀνόητον, μένειν αὐτόθι. ταῦτα δὲ πάντα γέγονε, διότι ὡς ὁρῶν τὸν ἀόρατον, οὕτως ἐκαρτέρει.

Ἂν τοίνυν καὶ ἡμεῖς ὁρῶμεν ἀεὶ τὸν Θεὸν τῷ νῷ, ἂν ἀεὶ ἐν τῇ μνήμῃ αὐτοῦ στρέφωμεν τὴν διάνοιαν, πάντα ἡμῖν ῥᾷστα φανεῖται, πάντα φορητά, πάντα εὐκόλως οἴσομεν, πάντων ἀνώτεροι γενησόμεθα. εἰ γὰρ ἀγαπώμενόν τις ὁρῶν, μᾶλλον δὲ μεμνημένος τούτου, διανίσταται τὴν ψυχήν, καὶ ὑψηλὸς γίνεται τὴν διάνοιαν, καὶ πάντα εὐκόλως φέρει ἐντρυφῶν τῇ μνήμῃ· ὁ τὸν οὕτως ἀγαπῆσαι ἡμᾶς καταξιώσαντα ἔχων ἐν διανοίᾳ, καὶ μεμνημένος αὐτοῦ, πότε ἢ λυπηροῦ τινος αἰσθήσεται, ἢ φοβεροῦ τινὸς καὶ ἐπικινδύνου φοβηθήσεται; πότε δὲ ὀλιγοψυχήσει; οὐδέποτε. πάντα γὰρ ἡμῖν δύσκολα φαίνεται, ὅτι τοῦ Θεοῦ τὴν μνήμην οὐκ ἔχομεν, ὡς ἔχειν δεῖ· ὅτι οὐ περιφέρομεν αὐτὸν ἐν τῇ διανοίᾳ διαπαντός. εἴποι γὰρ ἂν δικαίως πρὸς ἡμᾶς, ἐπελάθου μου σύ, ἐπιλήσομαί σου κἀγώ. ὥστε διπλοῦν τὸ κακὸν γίνεται, ὅτι καὶ ἡμεῖς αὐτοῦ ἐπιλανθανόμεθα, καὶ * αὐτὸς ἡμῶν. ταῦτα γὰρ δύο ἐστὶν ἀλλήλοις μὲν συμπεπλεγμένα, δύο δὲ ὅμως ἐστί. μέγα μὲν γὰρ τὸ καὶ ἡμᾶς ἐν μνήμῃ ποιεῖσθαι τοῦ Θεοῦ, μέγα δὲ καὶ τὸ μνημονεύεσθαι αὐτὸν παρ' ἡμῶν. τοῦτο ποιεῖ αἱρεῖσθαι τὰ ἀγαθά· ἐκεῖνο δὲ αὔξειν, καὶ εἰς τέλος ἄγειν. διὰ τοῦτό φησιν ὁ προφήτης, Μνησθήσομαί σου ἐκ γῆς Ἰορδάνου, καὶ Ἑρμωνιεὶμ ἀπὸ ὄρους μικροῦ. ταῦτά φησιν ὁ λαὸς ὁ ἐν Βαβυλῶνι, ἐκεῖ ὢν μνησθήσομαί σου. καὶ ἡμεῖς τοίνυν ὥσπερ ἐν Βαβυλῶνι ὄντες ταῦτα λέγωμεν. εἰ γὰρ [καὶ] μὴ μεταξὺ τῶν πολεμίων καθήμεθα, ἀλλὰ μεταξὺ τῶν ἐχθρῶν ἐσμεν. οἱ μὲν γὰρ ὡς αἰχμάλωτοι ἐκάθηντο· οἱ δὲ οὐδὲ ᾐσθάνοντο τῆς αἰχμαλωσίας, ὡς ὁ Δανιήλ, ὡς οἱ τρεῖς παῖδες· οἳ καὶ ἐν αἰχμαλωσίᾳ ὄντες, αὐτοῦ τοῦ αἰχμαλωτίσαντος αὐτοὺς βασιλέως ἐγένοντο λαμπρότεροι, ἐν αὐτῇ τῇ χώρᾳ ἐκείνῃ. καὶ τοὺς αἰχμαλώτους γὰρ ὁ αἰχμαλωτεύσας προσεκύνει. εἶδες ὅσον ἀρετή ἐστιν; ἐν αὐτῇ τῇ αἰχμαλωσίᾳ ὄντας ἐθεράπευσεν ὡς δεσπότας. ἆρα ἐκεῖνος [ὁ] αἰχμάλωτος ἦν, μᾶλλον ἢ οὗτοι. οὐκ ἦν οὕτω θαυμαστόν, εἰ ἐν τῇ πατρίδι ὄντας ἐλθὼν προσεκύνησε τῇ ἑαυτῶν, ἢ βασιλεύοντας ἐκεῖ. τὸ δὲ θαυμαστόν, ὅτι δεσμεύσας αὐτούς, καὶ λαβὼν αἰχμαλώτους, καὶ ἔχων ἐν τῇ ἑαυτοῦ ἐξουσίᾳ, πάντων ὁρώντων οὐκ ᾐσχύνετο προσκυνῆσαι, καὶ μάννα σπεῖσαι *. ὁρᾶτε ὅτι τὰ ὄντως λαμπρὰ πράγματα τὰ τοῦ Θεοῦ ἐστι, τὰ δὲ ἀνθρώπινα σκιά; ἠγνόει ἆρα δεσπότας ἀπάγων ἑαυτῷ, καὶ οὓς ἔμελλε προσκυνεῖν ἐνέβαλεν εἰς κάμινον· ἀλλ' ὡς ὄναρ ταῦτα ἐκείνοις ἦν. φοβηθῶμεν οὖν, ἀγαπητοί, τὸν Θεόν, φοβηθῶμεν· κἂν ἐν αἰχμαλωσίᾳ ὦμεν, πάντων ἐσόμεθα λαμπρότεροι. φόβος παρέστω Θεοῦ, καὶ οὐδὲν ἔσται λυπηρόν, κἂν πενίαν εἴπῃς, κἂν νόσον, κἂν αἰχμαλωσίαν, κἂν δουλείαν, κἂν ὁτιοῦν τῶν λυπηρῶν· ἀλλὰ καὶ αὐτὰ ἐκεῖνα ἡμῖν συνεργήσει πρὸς τὰ ἐναντία. αἰχμάλωτοι ἦσαν οὗτοι, καὶ προσεκύνησεν αὐτοῖς ὁ βασιλεύς· σκηνοποιὸς

ἦν

Margin notes:
Ἐξοδ. β.
γ. ἐχρῆν τ.
γ. ἐξέλεψεν
* ὅμως
Ματθ. δ.
γ. αἰσθητόν
ΗΘΙΚΟΝ
γ. εἰσί
* ὅτι
γ. χωρὶς ... μεμνῆσθαι
Ψαλ. μα. η.
γ. αὐτῷ, οἱ βασιλ.
* κελεῦσαι αὐτῷ
γ. ἑαυτοῦ

ὑπ' ἀρχόντων προσδέξασθαι, καὶ ὅσα τοιαῦτα πίστεώς ἐστι, καὶ ὑπομονῆς. ἀλλ' ἐπειδὴ καὶ οὗτοι ἐπίστευσαν, εἶτα ὠλιγοψύχησαν, δείκνυσιν ὅτι καὶ ἡ πίστις ἡ ἐκείνων εἰς πολὺ παρεπέμπετο· οἵα ἡ τοῦ Ἀβραάμ, καίτοι τῶν πραγμάτων δοκούντων μάχεσθαι. γρ. περιεστὼ

Καὶ οὐκ ἐφοβήθησαν, φησί, τὸ διάταγμα τοῦ βασιλέως. Καίτοιγε ἐκεῖνο συνήρχετο· τοῦτο δὲ ἁπλῶς ψιλή τις ἦν προσδοκία. καὶ τοῦτο μὲν τῶν γονέων ἦν· αὐτὸς δὲ ὁ Μωϋσῆς οὐδὲν εἰσήνεγκεν. εἶτα πάλιν οἰκεῖον αὐτοῖς τὸ ὑπόδειγμα ἕτερον λέγει· μᾶλλον δὲ ἐκείνων μεῖζον. ποῖον δὴ τοῦτο; γρ. συνήρχει. γρ. τὸ ἐκεῖ-

24 Πίστει γάρ, φησι, Μωϋσῆς γενόμενος μέγας, ἠρνήσατο λέγεσθαι υἱὸς θυγατρὸς Φαραώ,

25 Μᾶλλον ἑλόμενος συγκακουχεῖσθαι τῷ λαῷ τοῦ Θεοῦ, ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν·

26 Μείζονα πλοῦτον ἡγησάμενος τῶν ἐν Αἰγύπτῳ θησαυρῶν τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ. ἀπέβλεπε γὰρ εἰς τὴν μισθαποδοσίαν. Ὡς ἂν εἰ ἔλεγε πρὸς αὐτούς, οὐδεὶς ὑμῶν ἀφῆκε βασίλεια, καὶ βασίλεια λαμπρά, οὐ θησαυροὺς τοιούτους· οὐδὲ ἐξὸν εἶναι βασιλέως υἱόν, κατεφρόνησε τούτου, καθὼς ὁ Μωϋσῆς πεποίηκε. καὶ ὅτι οὐχ ἁπλῶς ἀφῆκεν, ἐδήλωσεν εἰπών, ἠρνήσατο· τουτέστιν, ἐμίσησεν, ἀπεστράφη. τοῦ γὰρ οὐρανοῦ προκειμένου, περιττὸν ἦν τὰ βασίλεια θαυμάζειν τὰ Αἰγύπτου. καὶ βλέπε πῶς θαυμαστῶς αὐτὸ τέθεικεν ὁ Παῦλος. οὐκ εἶπε, μείζονα πλοῦτον ἡγησάμενος τῶν ἐν Αἰγύπτῳ θησαυρῶν τὸν οὐρανόν, καὶ τὰ ἐν τοῖς οὐρανοῖς· ἀλλὰ τί; τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ. τὸ γὰρ διὰ Χριστὸν ὀνειδίζεσθαι, βέλτιον ἡγήσατο τοῦ ἀνίεσθαι. οὕτω καὶ τοῦτο αὐτὸ καθ' ἑαυτὸ μισθὸς ἦν. μᾶλλον ἑλόμενος, φησί, συγκακουχεῖσθαι τῷ λαῷ τοῦ Θεοῦ. ὑμεῖς μὲν γὰρ ὑπὲρ ὑμῶν αὐτῶν πάσχετε, ἐκεῖνος δὲ ὑπὲρ ἄλλων εἵλετο· καὶ ἑκὼν ἑαυτὸν ἔρριψεν εἰς τοσούτους κινδύνους, ἐξὸν αὐτῷ καὶ εὐσεβεῖν, καὶ ἀπολαύειν τῶν ἀγαθῶν. ἢ πρόσκαιρον ἔχειν, φησίν, ἁμαρτίας ἀπόλαυσιν. ἁμαρτίαν εἶπε τὸ μὴ θελῆσαι τοῖς ἄλλοις συγκακουχεῖσθαι. τοῦτο ἁμαρτίαν, φησίν, ἐνόμισεν. εἰ τοίνυν ἐκεῖνος τὸ μὴ προθύμως συγκακουχηθῆναι τοῖς ἄλλοις, ἁμαρτίαν ἐνόμισε· μέγα ἄρα ἀγαθὸν ἡ κακουχία, ἐφ' ἣν ἀπὸ τῆς βασιλείας ἔρριψεν ἑαυτόν. ταῦτα δὲ ἐποίει, μεγάλα τινὰ προορῶν. διὸ καὶ οὕτως εἶπε· πλοῦτον μείζονα ἡγησάμενος τῶν ἐν Αἰγύπτῳ θησαυρῶν τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ. τί ἐστι, τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ; τουτέστι, τὸ ὀνειδίζεσθαι τοιαῦτα οἷα ὑμεῖς, τὸν ὀνειδισμὸν ὃν ὁ Χριστὸς ὑπέμεινεν· ἢ ὅτι διὰ τὸν Χριστὸν ὑπέμεινεν, ὅτε ὑπὲρ τῆς πέτρας ἐλοιδορεῖτο, ἐξ ἧς ὕδωρ ἐξήγαγεν. ἡ δὲ πέτρα, φησίν, ἦν ὁ Χριστός. πῶς δέ ἐστιν ὀνειδισμὸς τοῦ Χριστοῦ; ὅτι καταπτυόμενοι τῶν πατρῴων ὀνειδιζόμεθα, δι' ὧν πάσχομεν κακῶς Θεῷ προσδραμόντες. εἰκὸς δὲ ἦν κἀκεῖνον ὀνειδίζεσθαι, ὅτε ἤκουσε, Μὴ ἀνελεῖν με σὺ θέλεις ὃν τρόπον ἀνεῖλες χθὲς τὸν Αἰγύπτιον; τοῦτό ἐστιν ὀνειδισμὸς τοῦ Χριστοῦ, τὸ μέχρι τέλους καὶ ἐσχάτης ἀναπνοῆς πάσχειν κακῶς, ὥσπερ αὐτὸς ὠνειδίζετο καὶ ἤκουσεν, Εἰ υἱὸς εἶ τοῦ Θεοῦ, ὑπὸ τούτων ὑπὲρ ὧν ἐσταυροῦτο, ὑπὸ τούτων τῶν συμφυλετῶν. τοῦτό ἐστιν ὀνειδισμὸς τοῦ Χριστοῦ, ὅταν τις παρὰ οἰκείων, ὅταν ὑπὸ τῶν ὧν εὐεργέτησεν, ὀνειδίζηται. καὶ γὰρ ἐκεῖνος παρὰ τοῦ εὐεργετηθέντος ταῦτα ἔπασχεν. ἐν τούτῳ αὐτοὺς ἀνέστησε, δεικνὺς ὅτι καὶ ὁ Χριστὸς ταῦτα ἔπασχε, καὶ ὁ Μωϋσῆς, δύο πρόσωπα ἔνδοξα· ὥστε τοῦ Χριστοῦ μᾶλλόν ἐστιν οὗτος ὁ ὀνειδισμός, ἢ τοῦ Μωϋσέως, ἐπειδὴ παρὰ τῶν ἰδίων τοιαῦτα ἔπαθεν. ἀλλ' οὔτε ἐκεῖνος ἔπαθέ τι, οὔτε οὗτος κεραυνοὺς ἀφίει, ἀλλ' ὠνειδίζετο, καὶ ἔφερε πάντα, κινούντων ἐκείνων τὰς κεφαλάς. ἐπεὶ οὖν εἰκὸς ἦν τοιαῦτα ἀκούειν καὶ αὐτούς, καὶ ἐπιθυμεῖν τὴν ἀνταπόδοσιν, λέγει ὅτι καὶ ὁ Χριστὸς καὶ ὁ Μωϋσῆς τοιαῦτα πεπόνθασιν. ἄρα οὖν ἡ μὲν ἄνεσις, τῆς ἁμαρτίας ἐστί· τὸ δὲ ὀνειδίζεσθαι, τοῦ Χριστοῦ. τί γὰρ βούλει; τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ, ἢ τὴν ἄνεσιν;

α. Κορ. ι. δ. Ἐξοδ. β. ιδ. Ματθ. κζ. μ.

γρ. τὴν αἰχμ... θησ- γρ. αἰτεῖσθαι. γρ. -ναι. ἡ γὰρ πέτρα ἦν ὁ Χριστός. τὸ οὕτως ὀνειδίζεσθαι, ὡς ὑμεῖς. τί δέ ἐστιν ὀνειδισ- γρ. -ται, ἐπὶ ὀνειδ-

27 Πίστει κατέλιπεν Αἴγυπτον, μὴ φοβηθεὶς τὸν θυμὸν τοῦ βασιλέως. τὸν γὰρ ἀόρα-

τον

ἐπὶ τοῖς ἄθλοις αὐτὴν ἀναμένει πάντας, καὶ τοὺς περὶ τῶν ἐπάθλων ἀθλοῦν. καὶ τὰ κατὰ Ἰωσὴφ δὲ πίστεως μόνης ἐστίν. ὅτι γὰρ ἐπηγγείλατο τῷ Ἀβραάμ, [ὅτι ὑπέσχετο] σοὶ δώσω καὶ τῷ σπέρματί σου τὴν γῆν ταύτην, ἤκουσεν ὁ Ἰωσήφ· καὶ ἐν ἀλλοτρίᾳ ὤν, καὶ οὐδέπω ὁρῶν ἐκβεβηκυῖαν τὴν ὑπόσχεσιν, οὐδὲ οὕτω κατέπεσεν, ἀλλ' οὕτως ἐπίστευσεν, ὡς καὶ περὶ τῆς ἐξόδου εἰπεῖν, καὶ περὶ τῶν ὀστῶν αὐτοῦ ἐντείλασθαι. οὐκ ἄρα μόνος αὐτὸς ἐπίστευσεν, ἀλλὰ καὶ τοὺς ἄλλους ἐνῆγεν εἰς πίστιν. διὰ τοῦτο καὶ ἐντέλλεται, ἵνα ἀεὶ τῆς ἐξόδου μεμνημένοι ὦσιν. οὐκ ἂν δὲ περὶ τῶν ὀστῶν αὐτοῦ ἐνετείλατο, εἰ μὴ πεπληροφόρητο ἔσεσθαι τὴν ἐπάνοδον. ὥστε ὅταν τινὲς λέγωσιν, ἰδοὺ καὶ δίκαιοι ἐφρόντισαν μνημείων· λεγέσθω πρὸς αὐτοὺς ὅτι διὰ τοῦτο, ἄλλως δὲ οὐδαμῶς. ᾔδει γὰρ ὅτι τοῦ Κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς. οὐκ ἂν οὖν ἐν τοσαύτῃ ζήσας φιλοσοφίᾳ τοῦτο ἠγνόησεν, [ὁ τὸν ἅπαντα χρόνον ἐν Αἰγύπτῳ ζήσας.] καίτοιγε ἐξῆν, εἴγε ἐβούλετο, ἐπιμεληθῆναι, καὶ μὴ πενθῆσαι, μηδὲ δυσχεράναι. ἀλλ' εἰ καὶ τὸν πατέρα ἐκεῖθεν ἀνήγαγεν, τίνος ἕνεκεν καὶ τὰ αὐτοῦ ὀστᾶ ἀναγαγεῖν ἐκεῖθεν ἐπέσκηψεν; ἢ δῆλον ὅτι διὰ τοῦτο; τί δέ, εἰπέ μοι, τοῦ Μωϋσέως αὐτοῦ τὰ ὀστᾶ οὐκ ἐν ξένῃ κεῖται; τὰ δὲ Ἀαρών, τὰ δὲ τοῦ Δανιήλ, τὰ δὲ τοῦ Ἱερεμίου; τὰ δὲ τῶν ἀποστόλων οὐδὲ ἴσμεν τῶν πολλῶν ὅπου κεῖται. Πέτρου μὲν γάρ, καὶ Παύλου, καὶ Ἰωάννου, καὶ Θωμᾶ δῆλοι οἱ τάφοι· τῶν δὲ ἄλλων τοσούτων ὄντων, οὐδαμοῦ γνώριμοι γεγόνασι. μηδὲν τοίνυν ὑπὲρ τούτου κοπτώμεθα, μηδὲ οὕτω μικροψυχῶμεν. ὅπου γὰρ ἂν ταφῶμεν, τοῦ Κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς. πάντως τὸ δεῖ γενέσθαι, γίνεται. τὸ μέντοι πενθεῖν, καὶ κόπτεσθαι τοὺς ἀπελθόντας, καὶ ὀδύρεσθαι, ἀπὸ μικροψυχίας γίνεται.

23 Πίστει Μωϋσῆς γεννηθεὶς ἐκρύβη τρίμηνον ὑπὸ τῶν πατέρων αὐτοῦ.

Ὁρᾷς ὅτι ἐνταῦθα τὰ μετὰ θάνατον ἤλπιζον ἐν τῇ γῇ; καὶ πολλὰ ἐκβέβηκε μετὰ θάνατον αὐτῶν. τοῦτο πρὸς τὸ λέγειν τινὰς μετὰ θάνατον γίνεται ταῦτα ἐκείνοις, ὧν οὐκ ἔτυχον ζῶντες, ὅτε μετὰ θάνατον ἐπίστευον. καὶ οὐκ εἶπεν ὁ Ἰωσήφ, ζῶντί μοι τὴν γῆν οὐκ ἔδωκεν, οὐδὲ τῷ πατρὶ τῷ ἐμῷ, οὐδὲ τῷ πάππῳ τῷ ἐμῷ, οὗ καὶ τὴν ἀρετὴν αἰδεσθῆναι ἔδει· τούτους δὲ τοὺς μοχθηροὺς ἀξιώσει ὧν ἐκείνους οὐκ ἠξίωσεν; οὐδὲν τούτων εἶπεν, ἀλλὰ τῇ πίστει ταῦτα πάντα καὶ ἐνίκησε, καὶ ὑπερέβη. εἶπε τὸν Ἄβελ, τὸν Νῶε, τὸν Ἀβραάμ, τὸν Ἰσαάκ, τὸν Ἰακώβ, τὸν Ἰωσήφ, πάντας ἐπιδόξους καὶ θαυμαστούς. * πάλιν αὔξει τὴν παράκλησιν, εἰς πρόσωπα εὐτελῆ κατάγων τὸ πρᾶγμα. τὸ μὲν γὰρ θαυμαστὰ πρόσωπα τοῦτο παθεῖν, θαυμαστὸν οὐδέν· καὶ τὸ ἐκείνων ἐλάττους φανῆναι, οὐχ οὕτω δεινόν· τὸ δὲ καὶ ἀσήμων ἐλάττους ὀφθῆναι, τοῦτό ἐστι τὸ δεινόν. καὶ ἄρχεται ἀπὸ τῆς γενέσεως τοῦ Μωϋσέως, ἀσήμων τινῶν ἀνδρῶν, καὶ οὐδὲν τοσοῦτον ἐχόντων, ὅσον ὁ παῖς. διὰ τοῦτο καὶ προϊὼν αὔξει τὴν ἀτιμίαν, καὶ πόρνας γυναῖκας, καὶ χήρας καταλέγων. Πίστει γάρ, φησι, Ῥαὰβ ἡ πόρνη οὐ συναπώλετο τοῖς ἀπειθήσασι, δεξαμένη τοὺς κατασκόπους μετ' εἰρήνης. καὶ οὐ μόνον τῆς πίστεως, ἀλλὰ καὶ τῆς ἀπιστίας τίθησι τὰ ἐπίχειρα, ὡς ἐπὶ τοῦ Νῶε. πῶς δὲ περὶ τὴν γένεσιν τοῦ Μωϋσέως ἀναγκαῖον εἰπεῖν. πάντα τὰ ἄρρενα ἀπόλλυσθαι ἐκέλευσεν ὁ Φαραώ, καὶ οὐδεὶς ἐξέφυγε τὸν κίνδυνον. πόθεν οὖν οὗτοι προσεδόκησαν σῶσαι τὸ παιδίον; ἀπὸ πίστεως. ποίας πίστεως; Εἶδον, φησιν, ἀστεῖον τὸ παιδίον. Αὐτὴ ἡ ὄψις εὐθὺς πρὸς τὴν πίστιν ἐπεσπάσατο. οὕτως ἄνωθεν, καὶ ἐξ αὐτῶν τῶν σπαργάνων, πολλὴ τῷ δικαίῳ ἡ χάρις ἐπεκέχυτο, οὐ τῆς φύσεως, ἀλλὰ τοῦ Θεοῦ, τοῦτο ἐργαζομένης. σκόπει γάρ· εὐθέως τεχθὲν καλὸν φαίνεται τὸ παιδίον, ἀλλ' οὐχὶ εἰδεχθές. τίνος οὖν ἦν τοῦτο; οὐ τῆς φύσεως, ἀλλὰ τῆς χάριτος τοῦ Θεοῦ, ἣ καὶ τὴν βάρβαρον ἐκείνην γυναῖκα τὴν Αἰγυπτίαν διήγειρε, καὶ ἀνέρρωσε, καὶ εἷλε, καὶ ἐπεσπάσατο. καίτοιγε ἡ πίστις οὐχ ἱκανὴν εἶχεν ἐπὶ τούτων τὴν ὑπόθεσιν. τί γὰρ ἦν ἀπὸ τῆς ὄψεως * πιστεῦσαι; ἀλλ' ὑμεῖς, φησιν, ἀπὸ πραγμάτων πιστεύετε, καὶ πολλὰ τῆς πίστεως ἐνέχυρα ἔχοντες. τὸ γὰρ μετὰ χαρᾶς τὴν ἁρπαγὴν τῶν

ὑπαρχόντων

γ. τὸν Ἰακὼβ τι-

γ. ἔγραψε, προσεδόκησαν τὴν ἔξοδον. ὥστε

Ψαλ. κγ. α.

* καὶ

Ἑβρ. ια. λα.

γ. ἀπιστίας

γ. ἐπὶ. ἀνω

γ. αὐτῶ

γ. πίστεως

* ὄψεως

γ. ἐπιστεύετε

Λογ. κϛ.

20 ΠΙΣΤΕΙ * ΠΕΡΙ ΜΕΛΛΟΝΤΩΝ ΗΥΛΟΓΗσεν Ἰσαὰκ τὸν Ἰακὼβ καὶ τὸν Ἡσαῦ. 21 Πίστει Ἰακὼβ ἀποθνήσκων ἕκαστον τῶν υἱῶν Ἰωσὴφ ηὐλόγησε, καὶ προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ. 22 Πίστει Ἰωσὴφ τελευτῶν, περὶ τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἐμνημόνευσε, καὶ περὶ τῶν ὀστῶν αὐτοῦ ἐνετείλατο. • κ

Ματθ. ιγ. ιζ.

Πολλοί, φησι, προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε, καὶ οὐκ εἶδον· καὶ ἀκοῦσαι ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν. ἆρα πάντα τὰ μέλλοντα ᾔδεισαν οἱ δίκαιοι; καὶ σφόδρα. εἰ γὰρ καὶ διὰ τὴν ἀσθένειαν τῶν μὴ δυναμένων αὐτὸν δέξασθαι, οὐκ ἀπεκάλυψεν ὁ Θεός· τοῖς ἐν ἀρετῇ διαλάμπουσιν ὅμως ἀπεκάλυπτεν. οὕτω καὶ νῦν ὁ Παῦλός φησιν, ὅτι τὰ μέλλοντα ᾔδεισαν, τουτέστι, τὴν ἀνάστασιν τοῦ Χριστοῦ. ἢ οὐ τοῦτό φησιν, ἀλλ' ὅτι πίστει, περὶ μελλόντων, οὐ περὶ τοῦ μέλλοντος αἰῶνος, ἀλλὰ περὶ τῶν ἐνταῦθα μελλόντων ὕστερον γίνεσθαι, λέγει. εἰ γὰρ μὴ τοῦτο, πῶς ἂν ἄνθρωπος καθήμενος ἐν ξένῃ, τοιαύτας εὐλογίας ἠδύνατο διδόναι; πῶς δαὶ πάλιν ἐπέτυχεν εὐλογίας, καὶ οὐκ ἔλαβεν αὐτήν; ὁρᾷς ὅτι ὅπερ ἔφην ἐπὶ μὲν τοῦ Ἀβραάμ, καὶ ἐπὶ τοῦ Ἰακὼβ ἔστιν εἰπεῖν, ὅτι οὐκ ἀπώνατο τῆς εὐλογίας, ἀλλ' εἰς ἐκγόνους ἐξῆλθε τὰ τῆς εὐλογίας, αὐτὸς δὲ τῶν μελλόντων ἔτυχεν; εὑρίσκομεν γὰρ τὸν ἀδελφὸν μᾶλλον ἀπολελαυκότα. ὁ μὲν γὰρ ἐν δουλείᾳ καὶ θητείᾳ καὶ κινδύνοις καὶ ἐπιβουλαῖς καὶ ἀπάταις καὶ φόβοις τὸν ἅπαντα διετέλεσε χρόνον, ἐρωτώμενός τε παρὰ τοῦ Φαραώ, φησι, Μικραὶ καὶ πονηραὶ αἱ ἡμέραι μου γεγόνασιν· ἐκεῖνος δὲ ἐν ἀδείᾳ καὶ αὐθεντίᾳ πολλῇ, καὶ μετὰ ταῦτα ἦν αὐτῷ φοβερός. ποῦ οὖν ἐξέβησαν αἱ εὐλογίαι, ἀλλ' ἢ ἐν τῷ μέλλοντι; ὁρᾷς ὅτι ἄνωθεν οἱ πονηροὶ τῶν ἐνταῦθα ἀπήλαυον, οἱ δὲ δίκαιοι τοὐναντίον; οὐ μὴν πάντες. ἰδοὺ γὰρ ὁ Ἀβραὰμ δίκαιος ἦν, καὶ ἀπήλαυσε τῶν ἐνταῦθα, πλὴν μετὰ θλίψεως καὶ περισπασμῶν. καὶ γὰρ ὁ πλοῦτος ἦν αὐτῷ μόνον· ἐπεὶ τὰ ἄλλα πάντα θλίψεως ἔγεμε τὰ κατ' αὐτόν. οὐ γάρ ἐστι τὸν δίκαιον μὴ θλίβεσθαι, καὶ πλουτῇ. ὅταν γὰρ βούληται πλεονεκτεῖσθαι, ἀδικεῖσθαι, τὰ ἄλλα πάσχειν, ἀνάγκη θλίβεσθαι. ὥστε καὶ ἀπολαύῃ τοῦ πλούτου, οὐκ ἀλύπως. τί δήποτε; ὅτι ἐν θλίψει ἐστὶ καὶ ὀδύνῃ. εἰ δὲ τότε ἐν θλίψει οἱ δίκαιοι, πολλῷ μᾶλλον νῦν. πίστει περὶ μελλόντων, φησίν, εὐλόγησεν Ἰσαὰκ τὸν Ἰακὼβ καὶ τὸν Ἡσαῦ. καίτοι γε μείζων ἦν ὁ Ἡσαῦ· ἀλλὰ προτίθησιν ἀπὸ τῆς ἀρετῆς τὸν Ἰακώβ. ὁρᾷς ὅση ἦν ἡ πίστις; πόθεν γὰρ ἐπηγγείλατο τοῖς υἱοῖς τὰ τοσαῦτα ἀγαθά, ἢ ἀπὸ τοῦ πιστεύειν τῷ Θεῷ πάντως; πίστει Ἰακὼβ ἀποθνήσκων ἕκαστον τῶν υἱῶν Ἰωσὴφ εὐλόγησεν. ἐνταῦθα καὶ δεῖναι τὰς εὐλογίας ὅλας, ἵνα καὶ ἡ πίστις καὶ ἡ προφητεία αὐτοῦ κατάδηλος γένηται. καὶ προσεκύνησε, φησιν, ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ. ἐνταῦθα δείκνυσιν, ὅτι οὐ μόνον εἶπεν, ἀλλὰ καὶ οὕτως ἐθάρρει τοῖς ἐσομένοις, ὡς καὶ τῷ ἔργῳ αὐτὸ ἐπιδεῖξαι. ἐπειδὴ γὰρ ἔμελλεν ἀπὸ τοῦ Ἐφραὶμ ἀνίστασθαι βασιλεὺς ἕτερος, διὰ τοῦτό φησι, καὶ προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ. τουτέστι, καὶ γέρων ὤν, ἤδη προσεκύνει τῷ Ἰωσήφ, τὴν παντὸς τοῦ λαοῦ προσκύνησιν δηλῶν τὴν ἐσομένην αὐτῷ. καὶ τοῦτο ἐξέβη μὲν ἤδη, ὅτε αὐτῷ οἱ ἀδελφοὶ προσεκύνησαν· ἐκβήσεσθαι δὲ ἔμελλε καὶ ὕστερον διὰ τῶν δέκα φυλῶν. ὁρᾷς πῶς τὰ ὕστερον ἐσόμενα προεῖπεν; ὁρᾷς ὅσην εἶχον πίστιν; πῶς περὶ τῶν ἐσομένων ἐπίστευον; τὰ μὲν γὰρ ὑπομονῆς ἐνταῦθά ἐστιν ὑποδείγματα μόνης, τὰ παρόντα, καὶ τοῦ παθεῖν κακῶς, καὶ τοῦ μηδὲν ἀπολαμβάνειν ἀγαθόν· οἷον, τὸ ἐπὶ τοῦ Ἀβραάμ, τὸ ἐπὶ τοῦ Ἄβελ· τὰ δὲ, πίστεως· οἷον ἐπὶ τοῦ Νῶε, ὅτι ἔστιν ὁ Θεός, ὅτι ἐστὶν ἀνταπόδοσις. ἡ πίστις γὰρ πολύσημός ἐστι λέξις· καὶ νῦν μὲν τοῦτο, νῦν δὲ ἐκεῖνο σημαίνει. ἐνταῦθα δὲ σημαντική ἐστι τοῦ τὸ εἶναι ἀνταπόδοσιν, καὶ τοῦ μὴ

Γεν. μζ. θ.

κ. ·σιν, εἰκότως

κ. Παῦλος αἰνιττόμενος, ὅτι

κ. ·σαν, τί, πίστει περὶ μελλόντων, λέγει, τουτέστι.

κ. εὐλογίας ἐδίδου; ἀλλὰ πάλιν,

κ. ἐγγόνοις

κ. αὐτὸ

κ. δείξει

κ. πολύσημός ἐστιν ἐνταῦθα τὸ τι

οὐχὶ τὰς χεῖρας ὁρᾷς ἐμπεπλησμένας, ἀλλὰ καὶ αὐτὰ τὰ ἐδέσματα, οὐκ ἀποπηδᾷς, οὐκ ἀποφεύγεις, οὐκ ἐπιτιμᾷς· ἀλλ' ἐὰν ἐν δυναστείᾳ ᾖ, καὶ μέγα τὸ πρᾶγμα ἡγήσῃ, καὶ τὴν ψυχὴν ἀπολλύεις τὴν σαυτοῦ, τοιαῦτα σιτούμενος. πολὺς γὰρ βορβόρου ἡ πλεονεξία χείρων. ψυχὴν γὰρ, οὐ σῶμα μολύνει, καὶ ποιεῖ δυσέκπλυτον. σὺ τοίνυν ὁρῶν τοῦ βορβόρου τούτου ἀναπεπλησμένον [μὲν] τὸν κατακλινόμενον, καὶ τὰς χεῖρας, καὶ τὴν ὄψιν, ἐμπεπλησμένην δὲ * τὴν οἰκίαν, [ἐμπεπλησμένην δὲ] καὶ τὴν τράπεζαν (βολβίτων γὰρ, καὶ εἴ τι τούτων χεῖρον, ἀκαθαρτότερα ἐκεῖνα καὶ μιαρώτερα τὰ ἐδέσματα) ὡς ἐν τῷ μηδενὶ διάκεισαι, καὶ ὡς μέλλων τρυφᾷν; καὶ οὐδὲ τὸν Παῦλον δέδοικας, ὃς μὲν ἑλλήνων τράπεζαν, εἰ βουλοίμεθα, ἀκωλύτως συγχωρεῖ ἀπολαύειν, εἰς δὲ τὰς τῶν πλεονεκτῶν οὐδὲ βουλομένους ἐᾷ; Ἐὰν γάρ τις ἀδελφὸς ὀνομαζόμενος, ἤ, φησι, πόρνος· ἀδελφὸν ἐνταῦθα λέγων πάντα τὸν πιστὸν ἁπλῶς, οὐ τὸν μονάζοντα. τί γάρ ἐστι τὸ ποιοῦν τὴν ἀδελφότητα; τὸ λουτρὸν τῆς παλιγγενεσίας, τὸ δυνηθῆναι καλέσαι πατέρα τὸν Θεόν. ὥστε ὁ μὲν κατηχούμενος, κἂν μοναχὸς ᾖ, οὐκ ἀδελφός· ὁ δὲ πιστός, κἂν κοσμικὸς ᾖ, ἀδελφός ἐστιν. εἴ τις, φησιν, ἀδελφὸς ὀνομαζόμενος. οὐδὲ γὰρ ἴχνος τότε μονάζοντος ἦν, ἀλλὰ πάντα πρὸς κοσμικοὺς διελέγετο ὁ μακάριος οὗτος. ἐάν τις, φησιν, ἀδελφὸς ὀνομαζόμενος, ᾖ πόρνος, ἢ πλεονέκτης, ἢ μέθυσος, τῷ τοιούτῳ μηδὲ συνεσθίειν. ἀλλ' οὐκ ἐπὶ τῶν ἑλλήνων οὕτως, ἀλλὰ τί; Ἐάν τις ὑμᾶς καλέσῃ τῶν ἀπίστων, οὐ τοὺς ἕλληνας λέγων, καὶ θέλετε πορεύεσθαι, πᾶν τὸ παρατιθέμενον ὑμῖν ἐσθίετε. Ἐὰν δέ τις ἀδελφὸς ὀνομαζόμενος, ἤ, φησι, μέθυσος. βαβαί, πόση ἡ ἀκρίβεια; ἡμεῖς δὲ οὐ μόνον οὐ φεύγομεν τοὺς μεθύοντας, ἀλλὰ καὶ ἀπερχόμεθα πρὸς αὐτοὺς, μεθέξοντες τῶν παρ' αὐτῶν. διὰ τοῦτο πάντα ἄνω καὶ κάτω γεγένηται, πάντα συγκέχυται καὶ ἀνατέτραπται καὶ ἀπόλωλεν. Εἰπὲ γάρ μοι, εἰ καλέσειέ σέ τις τῶν ἐπὶ ἑστίασιν ἡτοιμασμένην, σὲ τὸν πένητα καὶ εὐτελῆ νομιζόμενον, εἶτα ἀκούσειε παρὰ σοῦ, ὅτι ἐπειδὴ ἀπὸ πλεονεξίας ἐστὶ τὰ παρατιθέμενα, οὐκ ἀνέξομαι μολῦναι τὴν ἐμαυτοῦ ψυχήν, οὐκ ἂν ᾐδέσθη; οὐκ ἂν ἐνετράπη; οὐκ ἂν κατησχύνθη; τοῦτο μόνον ἱκανὸν ἦν διορθῶσαι, καὶ ποιῆσαι ταλανίσαι μὲν ἐπὶ τῷ πλούτῳ ἑαυτόν, θαυμάσαι δὲ ἐπὶ τῇ πενίᾳ σε, εἰ ἴδοι ἑαυτὸν μετὰ τοσαύτης σπουδῆς καταφρονούμενον παρὰ σοῦ. ἀλλὰ γεγόναμεν δοῦλοι ἀνθρώπων, οὐκ οἶδα πόθεν, τοῦ Παύλου ἄνω καὶ κάτω βοῶντος, Μὴ γίνεσθε δοῦλοι ἀνθρώπων. πόθεν οὖν γεγόναμεν δοῦλοι ἀνθρώπων; ἐπειδὴ πρότερον γαστρὸς ἐγενόμεθα δοῦλοι, καὶ χρημάτων, καὶ δόξης, καὶ τῶν ἄλλων ἁπάντων. προεδώκαμεν τὴν ἐλευθερίαν, ἣν ἐχαρίσατο ἡμῖν ὁ Χριστός. τί οὖν μένει τὸν γενόμενον δοῦλον; εἰπέ μοι· ἄκουε τοῦ Χριστοῦ λέγοντος, Ὁ δοῦλος οὐ μένει ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα. ἔχεις ἀπόφασιν αὐτοτελῆ, ὅτι οὐδέποτε εἰς βασιλείαν εἰσέρχεται. ἡ γὰρ οἰκία τοῦτό ἐστιν. Ἐν γὰρ τῇ οἰκίᾳ, φησί, τοῦ πατρός μου, μοναὶ πολλαί εἰσιν. ὁ τοίνυν δοῦλος οὐ μένει ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα. δοῦλον ἐνταῦθα λέγει τὸν τῆς ἁμαρτίας δοῦλον. ὁ δὲ μὴ μένων ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα, ἐν τῇ γεέννῃ μένει εἰς τὸν αἰῶνα, οὐδαμόθεν ἔχων παραμυθίαν. ἀλλὰ γὰρ εἰς τοῦτο κακίας τὰ πράγματα ἤλασεν, ὡς καὶ ἐλεημοσύνας αὐτοὺς ἀπὸ τούτων ποιεῖν, καὶ πολλοὺς δέχεσθαι. διὰ τοῦτο ἡ παρρησία ὑμῶν ἐγκέκοπται, καὶ οὐδὲ ἐπιτιμῆσαί τινι δυνάμεθα. ἀλλ' ὅμως καὶ ἀπὸ τοῦ νῦν, φύγωμεν τὴν ἐντεῦθεν βλάβην. ὑμεῖς τε τὸν βόρβορον τοῦτον ἀνελίττοντες, παύσασθε τῆς τοιαύτης λύμης, καὶ ἐπίσχετε τὴν ἐν τοῖς τοιούτοις συμποσίοις ὁμιλίαν, εἴ πως καὶ νῦν δυνηθῶμεν ἐξιλεώσασθαι τὸν Θεόν, καὶ τυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

[Margin notes: * γ. | γ. καὶ μοναχὸς ὤν, ὢν κατηχούμενος ᾖ, ἐστ | γ. ἦν | γ. πρὸς αὐτοὺς ἀλλὰ παρ' αὐτοῖς | γ. πρότερον γαστρὸς, ἀλλὰ καὶ χρημ. | γ. ἐκεῖ | γ. ἀναρύοντες]

[Margin references: α. Κορ. ε. ια. | α. Κορ. ι. κζ. | α. Κορ. ζ. κγ. | Ιωαν. η. λε. | Ιωαν. ιδ. β.]



Digitized by Google

ἔχοντα μάχλων ἔχωμεν, τὸ ὑβρίζειν αὐτόν, ἡμᾶς αὐτοὺς ὑβρίζειν ἡγούμεθα. καὶ γὰρ πλουτοῦντες ἐκεῖνοι, καὶ ἡμεῖς τοῦ πλουτεῖσθαι ἄξιοι γινόμεθα. τί λέγεις, εἰπέ μοι; τῶν οὐρανῶν πολίτης ὤν, καὶ τὴν ἄνω φιλοσοφίαν ἔχων, μετὰ τῶν τὰ γήινα φρονούντων πλουτεῖς σεαυτόν; κἂν γὰρ μυρία χρήματα κέκτηται, κἂν ἐν δυναστείᾳ ᾖ, οὔπω οἶδε τὸ καλὸν τὸ σόν. μὴ ὑβρίσῃς σεαυτόν, ἐκεῖνον ὑβρίζων. σεαυτοῦ φεῖσαι, μὴ ἐκείνου· σεαυτὸν τίμησον, μὴ ἐκεῖνον. οὐχὶ παροιμία τοιαύτη ἐστίν, ὁ τιμῶν, ἑαυτὸν τιμᾷ; εἰκότως. οὐ γὰρ ἐκεῖνον τιμᾷ, ἀλλ' ἑαυτόν.

Σειρ. ι. λα. ἄκουε σοφοῦ τινος λέγοντος, Ποίησον τῇ ψυχῇ σου τιμὴν κατὰ τὴν ἀξίαν αὐτῆς. τί ἐστι, κατὰ τὴν ἀξίαν αὐτῆς; εἰ ἐπλεονέκτησε, φησί, μὴ πλεονεκτήσῃς, εἰ ὕβρισε, μὴ ὑβρίσῃς. εἰπέ μοι, παρακαλῶ, εἴ τις πένης πηλὸν ἐρριμμένον ἀπὸ τῆς αὐλῆς ἔλαβε τῆς σῆς, ἆρα ἂν ὑπὲρ τούτου δικαστήριον αὐτῷ συνεκρότησας; οὐδαμῶς. διὰ τί; ἵνα μὴ ὑβρίσῃς σεαυτόν, ἵνα μὴ πάντες σου καταγνῶσι. τοῦτο καὶ νῦν γίνεται. πένης γάρ ἐστιν ὁ πλούσιος· καὶ ὅσῳ πλουτεῖ, τοσούτῳ πένης γίνεται τὴν ὄντως πενίαν. πηλός ἐστιν ὁ χρυσός, ἐν αὐλῇ ἐρριμμένος, οὐκ ἐν τῇ οἰκίᾳ σου κείμενος. ἡ γὰρ οἰκία σου ὁ οὐρανός ἐστιν. ὑπὲρ τούτου οὖν συγκροτήσεις δικαστήριον, καὶ οὐ καταγνώσονταί σου οἱ ἄνω πολῖται; οὐκ ἐκβαλοῦσί σε τῆς ἑαυτῶν (γρ. αἰῶ) πατρίδος, τὸν οὕτω ταπεινόν, τὸν οὕτως εὐτελῆ, ὡς ὑπὲρ ὀλίγου πηλοῦ μάχεσθαι αἱρεῖσθαι; εἰ γὰρ ὁ κόσμος ἦν σός, εἶτα αὐτόν τις ἔλαβεν, ἐπιστραφῆναι ἐχρῆν; οὐκ οἶδας ὅτι δεκάκις τὴν οἰκουμένην ἐὰν θῇς, καὶ ἑκατοντάκις, καὶ μυριάκις, καὶ δὶς τοσοῦτον, οὐδὲ πρὸς τὸ πολλοστὸν μέρος τῶν ἐν τοῖς οὐρανοῖς ἐστιν ἀγαθῶν; ὁ τοίνυν τὰ ἐνταῦθα θαυμάζων, ἐκεῖνα ὕβρισεν, εἴγε ταῦτα ἄξια σπουδῆς ἡγεῖται, τοσοῦτον ἐκείνων ἀπολιμπανόμενα· μᾶλλον δὲ οὐδὲ θαυμάσαι ἐκεῖνα δυνήσεται. (γρ. καὶ ὅσον αὐτὰ ἄξια) πῶς γάρ, πρὸς ταῦτα ἐπτοημένος; διατέμωμεν ἤδη ποτέ, παρακαλῶ, τὰ σχοινία καὶ τὰς πλεκτάνας. (γρ. -πόθεται) τοῦτο γὰρ τὰ γήινα πράγματα. μέχρι πότε κάτω κύπτομεν; μέχρι τίνος ἀλλήλοις ἐπιβουλεύομεν, καθάπερ τὰ θηρία, καθάπερ οἱ ἰχθύες; μᾶλλον δέ, τὰ θηρία οὐκ ἐπιβουλεύει ἀλλήλοις, ἀλλὰ τοῖς ἀλλοφύλοις· οἷον, ἄρκτος ἄρκτον οὐκ ἀναιρεῖ ταχέως, οὐδὲ ὄφις ὄφιν ἀναιρεῖ, τὸ ὁμόφυλον αἰδούμενος. σὺ δὲ μετὰ τοῦ ὁμοφύλου καὶ μυρία ἔχων δικαιώματα, τὸ συγγενές, τὸ λογικόν, τὸ τὸν θεὸν εἰδέναι, τῆς φύσεως τὴν ἰσχύν, μυρία ἄλλα ἕτερα, τὸν συγγενῆ, καὶ τῆς αὐτῆς φύσεως κεκοινωνηκότα, τοῦτον ἀναιρεῖς, καὶ μυρίοις περιβάλλεις κακοῖς. τί γὰρ εἰ μὴ τὸ ξίφος ὠθεῖς, μηδὲ βαπτίζεις εἰς τὴν δέρην τὴν δεξιάν; ἕτερα χαλεπώτερα τούτου ποιεῖς, λύπαις διηνεκέσι περιβάλλων. ἐκεῖνο γὰρ εἰ εἰργάσω, ἀπήλλαξας ἂν αὐτὸν φροντίδος· νῦν δὲ λιμῷ καὶ δουλείᾳ περιβάλλεις, ἀποδυσπετήσεσι καὶ ἁμαρτίαις ἑτέραις πολλαῖς. ταῦτα λέγω, καὶ λέγων οὐ παύσομαι, οὐχὶ φοβεῖν ὑμᾶς παρασκευάζων, οὐδὲ ὡς ἐπὶ ἐλάττονι ἐκείνου κακὸν ἐργάσασθαι πρὸς τοῦτο προτρεπόμενος· ἀλλὰ μὴ θαρρῇ, ὡς μὴ μέλλοντας δώσειν δίκην.

Σειρ. λδ. κδ. Ὁ ἀφαιρούμενος γάρ, φησίν, ἐμβίωσιν τὸν πλησίον αὐτοῦ, καὶ ἄρτον, φονεύει αὐτόν. κατάσχωμεν τοίνυν ἑαυτοῖς τὰς χεῖράς ποτε, παρακαλῶ, κατάσχωμεν· μᾶλλον δέ, μὴ κατάσχωμεν, ἀλλ' ἐκτείνωμεν αὐτὰς καλῶς, μὴ πρὸς πλεονεξίαν, ἀλλὰ πρὸς ἐλεημοσύνην· μὴ ἄκαρπον ἔχωμεν τὴν χεῖρα, μηδὲ ξηράν. ἡ μὲν γὰρ μὴ ποιοῦσα ἐλεημοσύνην, ξηρά· ἡ δὲ καὶ πλεονεκτοῦσα, μιαρὰ καὶ ἀκάθαρτος. μηδεὶς μετὰ τοιούτων ἐσθιέτω χειρῶν. ὕβρις γὰρ τῶν κεκλημένων τοῦτο. εἰπὲ γάρ μοι, εἴ τις ἐπὶ ταπήτων, καὶ στρωμνῆς ἁπαλῆς, καὶ χρυσοπάστων σινδόνων κατακλίνας ἡμᾶς, ἐν οἴκῳ λαμπρῷ καὶ μεγάλῳ, καὶ πολὺ πλῆθος διακόνων παραστησάμενος, εἶτα πίνακα ἐξ ἀργύρου παρασκευασάμενος καὶ χρυσοῦ, καὶ πολλῶν ἐμπλήσας ἐδεσμάτων, καὶ πολυτελῶν καὶ παντοδαπῶν, ἠνάγκαζεν ἐσθίειν, εἰ μόνον δεξόμεθα αὐτοῦ τὰς χεῖρας εἰς βόρβορον χρίοντος, ἢ καὶ κόπρον ἀναδεύειν, (γρ. ἐὰν ἐμποναι ἐξ...) καὶ οὕτω συγκατακλινομένου· ἆρα ἄν τις ταύτην ἠνέσχετο τὴν κόλασιν, ἀλλ' οὐχ ὕβριν τὸ πρᾶγμα ἐνόμιζεν ἄν; ἔγωγε οἶμαι, καὶ εὐθέως ἂν ἀπεπήδησε. νῦν δὲ βορβόρου τοῦ ὄντως

οὐχὶ

ἀνθρώποις, βουλόμενος μὴ χάριτι αὐτὸ ποιῆσαι, ἀλλ' ὡς ὀφειλέτης, παρασκευάζει πρότερον ἄνθρωπον τὸν υἱὸν τὸν ἑαυτοῦ ἐπιδοῦναι ὑπὲρ τοῦ προστάγματος τοῦ Θεοῦ, ἵνα μὴ δόξῃ μέγα ποιεῖν, τὸν ἑαυτοῦ ἐπιδιδοὺς υἱὸν, ἐπείγε ἄνθρωπος πρὸ αὐτοῦ τοῦτο ἐποίησεν· ἵνα μὴ χάριτι μόνον τὸ τοιοῦτον ποιεῖν, ἀλλὰ καὶ ὀφειλήν. οὓς γὰρ ἂν φιλῶμεν, καὶ τοῦτο αὐτοῖς χαρίζεσθαι βουλόμεθα, τὸ δοκεῖν παρ' αὐτῶν τι πρότερον λαβόντας μικρὸν, οὕτως αὐτοῖς τὸ πᾶν διδόναι· καὶ καυχώμεθα ἐπὶ τῇ λήψει μᾶλλον ἢ ἐπὶ τῇ δόσει· καὶ οὐ λέγομεν, τόδε ἐδώκαμεν αὐτῷ, ἀλλὰ τόδε ἐλάβομεν παρ' αὐτοῦ. ὅθεν αὐτὸν, φησὶ, καὶ ἐν παραβολῇ ἐκομίσατο. τουτέστιν, ὡς ἐν αἰνίγματι (ὥσπερ γὰρ παραβολὴ ἦν ὁ κριὸς τοῦ Ἰσαὰκ) ἢ ὡς ἐν [τῷ] τύπῳ. ἐπειδὴ γὰρ ἀπήρτιστο ἡ θυσία, καὶ ἔσφακτο ὁ Ἰσαὰκ τῇ προαιρέσει, διὰ τοῦτο αὐτὸν χαρίζεται τῷ πατριάρχῃ.

Ὁρᾷς ὅτι ὃ ἀεὶ λέγω, τοῦτο καὶ νῦν δείκνυται; ὅταν γὰρ παραστήσωμεν ἡμεῖς τὴν διάνοιαν ἀπηρτισμένην, καὶ δείξωμεν ὅτι ὑπερορῶμεν τῶν γηΐνων πραγμάτων, τότε ἡμῖν καὶ τὰ γήϊνα χαρίζεται, πρότερον δὲ οὔ· ἵνα μὴ τὸ λαβεῖν, προσδεδεμένους ἡμᾶς αὐτοῖς, ἔτι προσδήσῃ. λῦσον, φησὶ, σαυτὸν πρότερον τῆς δουλείας, καὶ τότε λάβε· ἵνα μηκέτι ὡς δοῦλος λάβῃς, ἀλλ' ὡς δεσπότης. καταφρόνησον πλούτου, καὶ ἔσῃ πλούσιος· καταφρόνησον δόξης, καὶ ἔσῃ ἔνδοξος· καταφρόνησον τῆς τιμωρίας τῶν ἐχθρῶν, καὶ τότε αὐτῆς ἐπιτεύξῃ· καταφρόνησον ἀνέσεως, καὶ τότε αὐτὴν λήψῃ· ἵνα λαβὼν, μὴ ὡς δέσμιος λάβῃς, μηδὲ ὡς δοῦλος, ἀλλ' ὡς ἐλεύθερος. καθάπερ γὰρ ἐπὶ τῶν παιδίων τῶν μικρῶν, ὅταν μὲν ἐπιθυμῇ τὸ παιδίον παιδικῶν ἀθυρμάτων, μετὰ πολλῆς σπουδῆς ἐκεῖνα κρύπτομεν, οἷον σφαῖραν, καὶ ὅσα τοιαῦτα, ἵνα μὴ ἐμποδίζηται τῶν ἀναγκαίων· ὅταν δὲ αὐτῶν καταφρονήσῃ, καὶ μηκέτι ἐπιθυμῇ, ἀδεῶς αὐτῷ μεταδίδομεν, εἰδότες ὡς οὐδεμία βλάβη λοιπὸν αὐτῷ ἐντεῦθεν γένοιτ' ἄν, τῆς ἐπιθυμίας ἐκείνης οὐκέτι ἰσχυούσης ἀπαγαγεῖν αὐτὸν τῶν ἀναγκαίων· οὕτω καὶ ὁ Θεὸς, ὅταν ἴδῃ μηκέτι ἐπιθυμοῦντας τῶν ἐνταῦθα, λοιπὸν ἀφίησιν αὐτοῖς χρῆσθαι. ὡς γὰρ ἐλεύθεροι καὶ ἄνδρες αὐτὰ ἔχομεν, οὐχ ὡς παῖδες. ὅτι γὰρ ἐὰν καταφρονήσῃς τῆς τιμωρίας τῶν ἐχθρῶν, τότε ἐπιτεύξῃ, ἄκουε τί φησιν· Ἐὰν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν· ἐὰν διψᾷ, πότιζε αὐτόν· Ῥωμ. ιβ. κ. καὶ ἐπήγαγε, Τοῦτο γὰρ ποιῶν, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. καὶ πάλιν, ὅτι ἐὰν καταφρονήσῃς τοῦ πλούτου, τότε αὐτοῦ ἐπιτεύξῃ, ἄκουε τοῦ Χριστοῦ λέγοντος, Οὐκ ἔστιν ὃς ἀφῆκε πατέρα, ἢ μητέρα, ἢ οἰκίας, ἢ ἀδελφοὺς, ὃς οὐχὶ ἑκατονταπλασίονα λήψεται, Ματθ. ιθ. κθ. καὶ ζωὴν αἰώνιον κληρονομήσει. καὶ ὅτι ἐὰν καταφρονήσῃς δόξης, τότε αὐτῆς ἐπιτεύξῃ, ἄκουε αὐτοῦ πάλιν τοῦ Χριστοῦ λέγοντος, Ὁ θέλων ἐν ὑμῖν πρῶτος εἶναι, ἔστω ὑμῶν διάκονος. Ματθ. κ. κϛ. καὶ κγ. ιϛ. καὶ πάλιν, Ὃς γὰρ ἂν ταπεινώσῃ ἑαυτὸν, οὗτος ὑψωθήσεται. τί λέγεις; ἐὰν ποτίσω τὸν ἐχθρὸν, τότε αὐτὸν κολάζω; ἐὰν ἀφῶ τὰ ὑπάρχοντα, τότε αὐτὰ ἔχω; ἐὰν ταπεινώσω ἐμαυτὸν, τότε ὑψηλὸς ἔσομαι; ναὶ, φησί. τοιαύτη γάρ ἐστιν ἡ ἐμὴ δύναμις· διὰ τῶν ἐναντίων τὰ ἐναντία παρέχει. εὔπορός εἰμι, καὶ εὐμήχανος· μὴ δείσῃς. τῷ ἐμῷ θελήματι ἡ τῶν πραγμάτων ἀκολουθεῖ φύσις, οὐκ ἐγὼ τῇ φύσει ἕπομαι. ἐγὼ πάντα ἐργάζομαι, οὐκ ἐγὼ ὑπ' ἐκείνων ἄγομαι. διὸ καὶ μεταπλάττειν καὶ μεταρρυθμίζειν αὐτὰ δύναμαι. καὶ τί θαυμάζεις, εἰ ἐν τοῖς τοιούτοις γέγονε τὸ τοιοῦτο; τὸ αὐτὸ γὰρ καὶ ἐν τοῖς ἄλλοις ἅπασιν εὑρήσεις. ἐὰν γὰρ ἀδικήσῃς, ἠδικήθης· ἐὰν ἀδικηθῇς, τότε οὐκ ἠδικήθης· ἐὰν ἀμύνῃ, τότε οὐκ ἠμύνω, ἀλλὰ σαυτὸν ἠμύνω. Ὁ γὰρ ἀγαπῶν τὴν ἀδικίαν, φησὶ, μισεῖ τὴν ἑαυτοῦ ψυχήν. ὁρᾷς ὅτι οὐκ ἀδικεῖς, ἀλλ' ἠδικήθης; α Κορ. ϛ. ζ. διὰ τοῦτο καὶ ὁ Παῦλός φησι, Διατί οὐχὶ μᾶλλον ἀδικεῖσθε; εἶδες ὅτι οὐκ ἔστι τοῦτο ἀδικεῖσθαι; ὅταν ὑβρίσῃς, τότε ὑβρίσθης. καὶ τοῦτο ἐκ μέρους ἴσασι τῶν πολλοί. ὡς ὅταν λέγωσι πρὸς ἀλλήλους, ἄγωμεν ἐντεῦθεν, μὴ ὑβρίσῃς σαυτόν. διὰ τί; ὅτι πολὺ τὸ μέσον σου κἀκείνου. ὅσα γὰρ ἂν ὑβρίσῃς, ἐκεῖνος δόξαν ἡγεῖται. τοῦτο ἐπὶ πάντων ἐποιοῦμεν, καὶ γινόμεθα ὑψηλότεροι τῆς ὕβρεως. πῶς; ἐγὼ λέγω· ἐὰν πρὸς αὐτὸν τὴν ἀλουργίδα

ΗΘΙΚΟΝ

γρ. τό. γρ. προσλ. γρ. αὐτά. γρ. δύναμαι. γρ. ἐν τούτοις. γρ. γινόμεθα.

παρὰ τοῦ αὐτοῦ τοῦ ἐκεῖνα ἐπαγγειλαμένου, καὶ οὐκ ἐθορυβεῖτο, ἀλλ' ὡς σύμφωνα ἐπεραίνετο· [καὶ γὰρ ἦν σύμφωνα·] ἐναντία μὲν τοῖς λογισμοῖς τοῖς ἀνθρωπίνοις, σύμφωνα δὲ ἀπὸ τῆς πίστεως. καὶ πῶς, αὐτὸς ἡμᾶς ἐδίδαξεν ὁ ἀπόστολος, εἰπών, λογισάμενος ὅτι καὶ ἐκ νεκρῶν ἐγείρειν δυνατὸς ὁ Θεός. ὃ δὲ λέγει τοῦτό ἐστιν· ἀπὸ τῆς [αὐτῆς] πίστεως, φησίν, ἧς ἐπίστευσεν ὅτι οὐκ ὄντα παρέξει) παῖδα, ἀπὸ τῆς αὐτῆς καὶ νεκρὸν ἐγείρειν, καὶ ὅτι σφαγιασθέντα ἀναστήσει, ἐπίστευσε. ὁμοίως γὰρ ἄπορον ἦν ἀνθρωπίνῳ (λέγω) λογισμῷ, καὶ ἐκ μήτρας νεκρᾶς καὶ γεγηρακυίας, καὶ ἀτεκνούσης ἤδη γεγυμνασμένης πρὸς παιδοποιΐαν, δοῦναι παιδίον, καὶ σφαγιασθέντα ἀναστῆσαι. ἀλλ' ὅμως ἐπείθετο. προωδοποίει γὰρ ἡ πίστις ἡ πρὶν ἐλθοῦσα τοῖς μέλλουσιν· ἄλλως δὲ, καὶ ὁ μὲν εἶωρα τὰ χρηστὰ πρότερα, τὰ δὲ δυσχερῆ ὕστερα πρὸς τὸ γῆρας. ὑμεῖς δὲ τοὐναντίον, φησὶ, τὰ μὲν σκυθρωπὰ πρῶτα· τὰ δὲ χρηστὰ, τελευταῖα. τοῦτο πρὸς τοὺς λέγοντας πολλάκις, ὅτι μετὰ θάνατον ἡμῖν ἐπηγγείλατο τὰ ἀγαθά, ἠπάτησεν ἴσως ἡμᾶς. δείκνυσιν, ὅτι καὶ ἐκ νεκρῶν ἐγείρειν δυνατὸς ὁ Θεός. εἰ δὲ καὶ ἐκ νεκρῶν ἐγείρειν δυνατὸς ὁ Θεός, πάντως πάντα ἀποδώσει. εἰ δὲ Ἀβραὰμ ἐπίστευσε πρὸ τοσούτων ἐτῶν, ὅτι δυνατὸς ἐκ νεκρῶν ἐγείρειν ὁ Θεός, πολλῷ μᾶλλον ἡμεῖς πιστεύειν ὀφείλομεν. ὁρᾷς ὅτι (ὅπερ ἔφθην εἰπών) οὔπω εἰσῆλθεν ὁ θάνατος, καὶ εὐθέως αὐτοὺς εἰς τὴν τῆς ἀναστάσεως εἵλκυσεν ἐλπίδα, καὶ εἰς τοσαύτην πληροφορίαν ἤγαγεν, ὡς καὶ σφαγιάζειν τοὺς ἑαυτῶν υἱοὺς κελευομένους. καὶ ἀφ' ὧν προσεδόκων ἐμπλησθῆναι τὴν οἰκουμένην, ἑτοίμως τούτους προσάγειν; καὶ ἕτερον δὲ δείκνυσιν ἐνταῦθα διὰ τοῦ εἰπεῖν, ἐπείραζεν ὁ Θεὸς τὸν Ἀβραάμ. τί οὖν; οὐκ ᾔδει ὁ Θεὸς ὅτι γενναῖος ἦν καὶ δόκιμος ὁ ἀνήρ; σφόδρα γε. τίνος οὖν ἕνεκεν ἐπείραζεν αὐτὸν, εἰ ᾔδει; οὐχ ἵνα αὐτὸς μάθῃ, ἀλλ' ἵνα τοῖς ἄλλοις δείξῃ, καὶ κατάδηλον αὐτοῦ τὴν ἀνδρείαν πᾶσι καταστήσῃ. καὶ δείκνυσιν ἐνταῦθα καὶ τῶν πειρασμῶν τὴν αἰτίαν, ἵνα μὴ νομίζωσιν, ὡς ἐγκαταλελειμμένοι ταῦτα πάσχειν. ἐνταῦθα μὲν γὰρ καὶ ἀνάγκη πειράζεσθαι, διὰ τὸ πολλοὺς ἔχειν τοὺς ἐλαύνοντας, καὶ τοὺς ἐπιβουλεύοντας· ἐκεῖ δὲ ποία ἀνάγκη ἦν τοὺς οὐκ ὄντας αὐτῷ πειρασμοὺς ἐπάγειν; οὐκοῦν τοίνυν ὁ πειρασμὸς δῆλος ἦν ὅτι αὐτοῦ προστάττοντος ἐγένετο. τὸ μὲν οὖν ἄλλοι συγχωροῦντος αὐτοῦ συνέβαινον, οὗτοι δὲ καὶ προστάττοντος. εἰ τοίνυν οὕτω δοκίμους τὰς τῶν πειρασμῶν ποιεῖ, ὡς καὶ μὴ οὔσης αἰτίας τὸν Θεὸν γυμνάζειν τοὺς ἑαυτοῦ ἀθλητάς· πολλῷ μᾶλλον ἡμᾶς φέρειν πάντα χρὴ γενναίως. ἐμφαντικῶς δὲ εἶπεν ἐνταῦθα, ὅτι πίστει προσενήνοχε τὸν Ἰσαάκ, πειραζόμενος. οὐδεμία γὰρ ἄλλη αἰτία ἦν τῆς προσαγωγῆς, ἢ αὕτη. εἶτα ἐπεξέρχεται τῷ νοήματι. οὐκ ἔχει, φησίν, εἰπεῖν, ὅτι καὶ ἄλλους εἶχεν υἱοὺς, καὶ ἐξ ἐκείνου προσεδόκα τὴν ἐπαγγελίαν πληρωθήσεσθαι, καὶ διὰ τοῦτο θαρρῶν τοῦτον προσήνεγκε. καὶ τὸν μονογενῆ, φησὶ, προσέφερεν ὁ τὰς ἐπαγγελίας ἀναδεξάμενος. τί λέγεις μονογενῆ; τί οὖν ὁ Ἰσμαήλ; πόθεν ἦν; μονογενῆ λέγω, φησίν, ὅσον εἰς τὸν τῆς ἐπαγγελίας λόγον. διὰ γὰρ τοῦτο προσέθηκεν εἰπὼν μονογενῆ, δεικνὺς ὅτι διὰ τὸ τοι καὶ λέγει, πρὸς ὃν ἐλαλήθη ὅτι ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα, τουτέστιν, ἐξ αὐτοῦ. ὁρᾷς πῶς θαυμάζει τὸ παρὰ τοῦ πατριάρχου γινόμενον; ἐν Ἰσαὰκ, ἤκουσε, κληθήσεταί σοι σπέρμα, καὶ προσέφερε σφάγιον τὸν υἱόν. εἶτα ἵνα μή τις νομίσῃ, ὅτι ἀπογνοὺς τοῦτο ἐποίει, καὶ διὰ τοῦ προστάγματος τούτου τὴν πίστιν ἐξέβαλεν ἐκείνην, ἀλλὰ μάθῃ, ὅτι ὄντως καὶ τοῦτο πίστεως ἦν, φησὶν ὅτι κἀκείνην εἶχε τὴν πίστιν, καίτοι ἐδόκουν ταύτῃ μάχεσθαι· ἀλλ' οὐκ ἐμάχετο. οὐ γὰρ λογισμοῖς ἀνθρωπίνοις ἐμέτρει τοῦ Θεοῦ τὴν δύναμιν, ἀλλὰ τῇ πίστει πάντα ἐπέτρεπε. διὸ οὐδὲ δέδοικεν εἰπεῖν, ὅτι καὶ ἐκ νεκρῶν ἐγείρειν δυνατὸς ὁ Θεός· ὅθεν αὐτὸν καὶ ἐν παραβολῇ ἐκομίσατο. τουτέστιν, ἐν ὑποδείγματι, ἐν τῷ κριῷ, φησί. πῶς; τοῦ γὰρ κριοῦ σφαγιασθέντος, οὗτος ἐσώθη· ὥστε διὰ τοῦ κριοῦ αὐτὸν ἔλαβεν, ἀντὶ τούτου σφάξας ἐκεῖνον. ταῦτα δὲ τύποι τινὲς ἦσαν. ἐνταῦθα γὰρ ὁ υἱός ἐστι τοῦ Θεοῦ ὁ σφαγιαζόμενος. καὶ θέα μοι τὴν φιλανθρωπίαν, ὅσον ἦν. ἐπειδὴ γὰρ μεγάλη τις ἔμελλε δίδοσθαι χάρις τοῖς ... ἀνθρώποις,

χ. ἐγεῖραι, καὶ νεκρὸν ἐγείρειν ἀπὸ τῆς αὐτῆς, καὶ ὅτι

χ. καὶ ὅρα τὰ μὲν χρηστὰ

χ. ἡμῶν

χ. ἡμᾶς· ὅτι, φησὶ, καὶ

χ. δεξά-

χ. κατὰ

χ. τοῦτο

χ. τοῦτ' ἐστιν ἐρρέθη [ὅτι] ἐν

χ. σφαγιαζόμενον

Digitized by Google

εἰας, ὕβρεως, ὀργῆς ἀδίκου· καὶ θῶμεν ἑαυτοῖς νόμον, καὶ εἴπωμεν, σήμερον τόδε κατορθώσωμεν· καὶ ἐν τῷ μηνὶ τῷ ἄλλῳ τὴν ἀνεξικακίαν ἑαυτοὺς παιδεύσωμεν, καὶ ἐν ἑτέρῳ ἄλλην ἀρετήν. καὶ ὅταν ἐν ἕξει ταύτης γενώμεθα τῆς ἀρετῆς, ἐφ' ἑτέραν ἔλθωμεν, καθάπερ ἐπὶ τῶν μαθημάτων, τά τε ἤδη κτηθέντα φυλάττοντες, καὶ ἕτερα προσλαμβάνοντες. μετ' ἐκείνην ἔλθωμεν ἐπὶ τὴν τῶν χρημάτων ὑπεροψίαν. πρῶτον κατάσχωμεν τὰς χεῖρας ἀπὸ πλεονεξίας, καὶ τότε ποιήσωμεν ἐλεημοσύνην· μὴ πάντα ἁπλῶς συγχέωμεν, ταῖς αὐταῖς χερσὶ καὶ ἁρπάζοντες, καὶ ἐλεοῦντες δῆθεν. μετὰ τοῦτο ἐπ' ἄλλην ἀρετήν, καὶ μετ' ἐκείνην ἐπ' ἄλλην. Αἰσχρότης, φησί, καὶ μωρολογία καὶ εὐτραπελία μηδὲ ὀνομαζέσθω ἐν ὑμῖν. Ἐφ. ε. δ.

ταῦτα πῶς κατορθώσωμεν. οὐκ ἔστι χρεία δαπάνης, οὐκ ἔστι πόνων, οὐκ ἔστιν ἱδρώτων· ἀρκεῖ θελῆσαι μόνον, καὶ πάντα λέλυται. οὐ δεῖ μακρὰν ὁδὸν βαδίσαι, οὐδὲ πέλαγος διαλαβεῖν ἄπειρον, ἀλλὰ σπουδάσαι, καὶ προθυμηθῆναι, καὶ χαλινὸν ἐπιθεῖναι τῇ γλώττῃ πρὸς τὰς ὕβρεις τὰς ἀκαίρους. τὰς ὀργάς, τὰς ἐπιθυμίας τὰς ἀτόπους, τὴν τρυφήν, τὴν πολυτέλειαν ἐκβάλωμεν, τὴν ἐπιθυμίαν τῶν χρημάτων ἀπὸ τῆς ψυχῆς τῆς ἡμετέρας, τὰς ἐπιορκίας, τοὺς ὅρκους τοὺς συνεχεῖς. ἂν οὕτως ἑαυτοὺς γεωργῶμεν, τὰς περιττὰς ἀκάνθας ἐκτίλλοντες, καὶ τὸν οὐράνιον σπόρον ἐμβάλλοντες, δυνησόμεθα τυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν. ἥξει γὰρ ὁ γεωργός, καὶ ἀποθήσεται ἡμᾶς εἰς τὴν ἀποθήκην, καὶ ἐπιτευξόμεθα πάντων τῶν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

γρ. τὶ τοῦτο τοῦ — γρ. μαθητῶν — γρ. ἐργάζοντες — γρ. φιλοτιμίαν τὴν πολυτελῆ — γρ. ἀκάνθας

Λογ. κε. 17 ΠΙΣΤΕΙ ΠΡΟΣΕΝΗΝΟΧΕΝ ΑΒΡΑΑΜ τὸν Ἰσαὰκ πειραζόμενος, καὶ τὸν μονογενῆ προσέφερεν ὁ τὰς ἐπαγγελίας ἀναδεξάμενος. 18 Πρὸς ὃν ἐλαλήθη, Ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα· 19 Λογισάμενος ὅτι καὶ ἐκ νεκρῶν ἐγείρειν δυνατὸς ὁ Θεός. ὅθεν αὐτὸν καὶ ἐν παραβολῇ ἐκομίσατο.

γρ. ὅλαις

Μεγάλη οὕτως ἡ πίστις τοῦ Ἀβραάμ. ἐπὶ μὲν γὰρ τοῦ Ἄβελ καὶ τοῦ Νῶε καὶ τοῦ Ἐνώχ, λογισμῶν ἦν μάχη μόνων, καὶ οὐδὲ ἀνθρωπίνους ὑπερβῆναι ἐχρῆν λογισμούς. ἐνταῦθα δὲ οὐ τοὺς ἀνθρωπίνους μόνον ὑπερβῆναι ἐχρῆν λογισμούς, ἀλλὰ καὶ ἕτερόν τι πλέον ἐπιδείξασθαι. τὰ γὰρ τοῦ Θεοῦ ἐδόκει τοῖς τοῦ Θεοῦ μάχεσθαι, καὶ πίστις ἐμάχετο πίστει, καὶ πρόσταγμα ἐπαγγελίᾳ. οἷόν τι λέγω, εἶπεν, Ἔξελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, καὶ δώσω σοι τὴν γῆν ταύτην· καὶ οὐκ ἔδωκεν αὐτῷ ἐν αὐτῇ κληρονομίαν, οὐδὲ βῆμα ποδός. Γεν. ιβ. α.

γρ. Μέγα

ὁρᾷς πῶς τὰ γινόμενα τῇ ἐπαγγελίᾳ ἐμάχετο; πάλιν φησίν, Ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα, καὶ ἐπίστευσε· καὶ πάλιν λέγει, Θῦσόν μοι τοῦτον, τὸν μέλλοντα τὴν οἰκουμένην πᾶσαν ἐκ τοῦ σπέρματος αὐτοῦ πληρῶσαι. Γεν. κα. ι. εἶδες μάχην προσταγμάτων καὶ ἐπαγγελίας; ἐναντία τῇ ἐπαγγελίᾳ προσέταξε, καὶ οὐδὲ οὕτως ἰλιγγίασεν ὁ δίκαιος, οὐδὲ ἠπατῆσθαι ἔφη. ὑμεῖς μὲν γάρ, φησιν, οὐκ ἂν ἔχοιτε τοῦτο εἰπεῖν, ὅτι ἄνεσιν ἐπηγγείλατο, καὶ θλίψιν ἔδωκεν. ἐνταῦθα γὰρ ἅπερ ἐπηγγείλατο, ταῦτα καὶ ποιεῖ. πῶς; Ἐν τῷ κόσμῳ, φησί, θλίψιν ἕξετε. Ἰωαν. ις. λγ. Ὁ μὴ λαβὼν τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθῶν ἐμοί, οὐκ ἔστι μου ἄξιος. Ματθ. ι. λη. Ὁ μὴ μισῶν τὴν ψυχὴν αὐτοῦ, οὐ μὴ εὑρήσει αὐτήν. Καὶ ὃς οὐκ ἀποτάσσεται, φησί, πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ, καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος. Λυκ. ιδ. κς. λγ. καὶ πάλιν, Ἐπὶ ἡγεμόνας καὶ βασιλεῖς ἀχθήσεσθε ἕνεκεν ἐμοῦ. Ματθ. ι. ιη. λς. καὶ πάλιν, Ἐχθροὶ τοῦ ἀνθρώπου, οἱ οἰκιακοὶ αὐτοῦ. καὶ τὰ μὲν τῆς θλίψεως, ὧδε· τὰ δὲ τῆς ἀνέσεως, ἐκεῖ. ἐπὶ δὲ τοῦ Ἀβραὰμ τοὐναντίον. ἐναντία ταῖς ὑποσχέσεσι προσετέτακτο ποιεῖν· καὶ οὐδὲ οὕτως ἐθορυβήθη, οὐδὲ ἰλιγγίασεν, οὐδὲ ἠπατῆσθαι ἐνόμισεν. ὑμεῖς δὲ οὐδὲν ἔξωθεν τῆς ἐπαγγελίας ὑπομένετε, καὶ θορυβεῖσθε. ἐκεῖνος ἐναντία ὧν ἐπηγγείλατο ἤκουσε

γρ. ὅλα ἀντ-

λάζεις, ὡς οὐκ οἶδας; οὐκ οἶδα ἑτέρως. Εἶπον· τουτέστιν, ἀρνοῦμαι ὑμᾶς, καὶ παραιτοῦμαι.
ἀλλὰ μὴ γένοιτο ταύτην ἡμᾶς ἀκοῦσαι τὴν φωνὴν τὴν ὀλεθρίαν καὶ φρικώδη. Εἰ γὰρ    χ. φοβερὰν
οἱ δαίμονας ἐκβάλλοντες, καὶ προφητείας ἐργαζόμενοι, ἐπειδὴ βίον οὐκ εἶχον συμβαίνοντα
τοῖς λόγοις, ἠρνήθησαν· πόσῳ μᾶλλον ἡμεῖς; καὶ πῶς, φησὶν, ἐνῆν προφητείας ἐπιδειξαμένους,
καὶ σημεῖα πεποιηκότας, καὶ δαιμόνια ἐκβαλόντας, ἀρνηθῆναι; Εἰκὸς αὐτοὺς ὕστερον μεταβε-
βλῆσθαι, καὶ γεγενῆσθαι πονηρούς, ὅθεν οὐδὲν ἀπώναντο οὐδὲ τῆς προτέρας ἀρετῆς. Οὐ    χ. ὤναντο
γὰρ τὰ προοίμια δεῖ μόνον ἔχειν λαμπρά, ἀλλὰ καὶ τὸ τέλος λαμπρότερον. Εἰπὲ γάρ
μοι, ὁ ῥήτωρ οὐχὶ τὰ ἐν τῷ τέλει τοῦ λόγου σπουδάζει ποιεῖν λαμπρά, ὥστε μετὰ κρότου ἀ-
ναχωρεῖν; ὁ δὲ λειτουργῶν πόλει, οὐχὶ τὰ ἐπ' ἐξόδῳ τῆς λειτουργίας λαμπρότερα ἐπιδεί-
κνυται; ὁ ἀθλητὴς ἐὰν μὴ ἐκεῖνα δείξῃ λαμπρότερα, κἂν μέχρι πάλης νικήσῃ, καὶ πάντας
νικήσας νικηθῇ ὑπὸ τοῦ τελευταίου, οὐχὶ πάντα αὐτῷ διέρρευσε; ὁ κυβερνήτης ἂν ἅπαν τὸ
πέλαγος διαλαβὼν, πρὸς τῷ λιμένι καταρράξῃ τὸ σκάφος, οὐχὶ πάντα ἀπώλεσε τῶν    χ. διαλαβὼν,
ἔμπροσθεν πόνων; τί δὲ ὁ ἰατρός; ἐὰν ἀπαλλάξας τῆς νόσου τὸν κάμνοντα, ὅταν μέλλῃ τέλεον    χ. ῥήξῃ
ἀπαλλάττειν, τότε διαφθείρῃ, οὐχὶ τὸ πᾶν διέφθειρεν; οὕτω καὶ ἐπὶ τῆς ἀρετῆς, ὅσοι μὴ τῇ
ἀρχῇ ἀκόλουθον τὸ τέλος ἐπέθηκαν, καὶ σύμφωνον καὶ συνῳδόν, ἀπώλοντο καὶ διεφθάρησαν.
Τοιοῦτοί εἰσιν οἱ ἀπὸ μὲν τῆς βαλβῖδος αὐτῆς λαμπροὶ καὶ γαῦροι προπηδήσαντες,    χ. σεμνοί.
μετὰ ταῦτα δὲ ἐκλυθέντες, καὶ χαῦνοι γενόμενοι. Διὸ καὶ τοῦ βραβείου ἀπεστερήθησαν, καὶ
παρὰ τοῦ δεσπότου οὐκ ἐπεγνώσθησαν. Ἀκούσωμεν ταῦτα οἱ χρημάτων ἐρῶντες.    χ. ἐγνωρίσθησαν
α Τιμ. ς. ι. Ἡ γὰρ μεγίστη ἀνομία, αὕτη τυγχάνει. Ῥίζα γάρ ἐστι πάντων, φησὶ, τῶν κακῶν ἡ φιλαρ-
γυρία. Ἀκούσωμεν οἱ βουλόμενοι μείζονα τῶν ὑπαρχουσῶν οὐσίαν ποιεῖν, ἀκούσωμεν,
καὶ παυσώμεθα τῆς πλεονεξίας ποτέ, ἵνα μὴ ταῦτα ἀκούσωμεν ἅπερ κἀκεῖνοι. [νῦν αὐτὰ
ἀκούσωμεν, καὶ φυλαξώμεθα, ἵνα μή ποτε ἀκούσωμεν]. Νῦν ἀκούσωμεν μετὰ φόβου*, ἵνα    * καὶ φυλάξωμεν,
μὴ τότε ἀκούσωμεν μετὰ τιμωρίας. Ἀπέλθετε ἀπ' ἐμοῦ, φησὶν, οὐδέποτε ἔγνων ὑμᾶς.
Οὐδὲ τότε, φησὶν, ὅτε τὰς προφητείας ἐπεδείκνυσθε, καὶ τοὺς δαίμονας ἐξεβάλλετε.    χ. τουτέστιν,
Εἰκὸς αὐτοὺς ἐνταῦθα καὶ ἕτερόν τι αἰνίττεσθαι, ὅτι καὶ τότε βίου ἦσαν πονηροῦ. Παρὰ δὲ    ἐν
τὴν ἀρχὴν, καὶ δι' ἀναξίων ἐνήργει ἡ χάρις. Εἰ γὰρ καὶ διὰ Βαλαὰμ ἐνήργησε,
πολλῷ μᾶλλον δι' ἀναξίων, καὶ τοῦτο διὰ τοὺς μέλλοντας κερδαίνειν. Εἰ δὲ [καὶ] σημεῖα
καὶ τέρατα οὐκ ἴσχυσε κολάσεως ἀπαλλάξαι, πολλῷ μᾶλλον, κἂν ἐν ἀξιώματι ἱερα-
τικῷ τις ὢν τύχῃ, κἂν εἰς τὴν ἀνωτάτω τιμὴν φθάσῃ, κἂν εἰς τὴν χειροτονίαν ἐν-
εργήσῃ ἡ χάρις, καὶ εἰς τὰ ἄλλα πάντα διὰ τοὺς τῆς προστασίας δεομένους, ἀκούσεται
καὶ αὐτὸς, οὐδέποτέ σε ἔγνων, οὐδὲ τότε, ὅτε ἐνήργησεν ἐν σοὶ ἡ χάρις. Βαβαί, πόση τῆς
τοῦ βίου καθαρότητος ἡ ζήτησις ἐκεῖ; πῶς αὕτη καὶ καθ' ἑαυτὴν ἀρκεῖ εἰς τὴν βασιλείαν
ἡμᾶς εἰσαγαγεῖν; πῶς δὲ ἀποῦσα παραδίδωσι τὸν ἄνδρα, κἂν μυρία ἔχῃ τέρατα καὶ ση-
Ιω. ιε. ιδ. μεῖα ἐπιδείκνυσθαι; οὐδὲν γὰρ οὕτως εὐφραίνει τὸν Θεὸν, ὡς πολιτεία ἀρίστη. Ἐὰν ἀγα-
καὶ ιδ. ι. πᾶτέ με, φησὶν· οὐκ εἶπε, σημεῖα ποιήσατε, ἀλλὰ τί; τὰς ἐντολάς μου τηρήσατε. Καὶ πάλιν,
Φίλους ὑμᾶς λέγω, οὐχ ὅταν δαιμόνια ἐκβάλλητε, ἀλλ' ἐὰν τηρήσητε τοὺς λόγους τοὺς ἐ-
μούς. Ἐκεῖνα μὲν γὰρ τῆς τοῦ Θεοῦ δωρεᾶς ἐστι· ταῦτα δὲ μετὰ τὴν τοῦ Θεοῦ δωρεὰν, καὶ τῆς
ἡμετέρας σπουδῆς. Σπουδάσωμεν γενέσθαι φίλοι τοῦ Θεοῦ, καὶ μὴ μένωμεν ἐχθροί. Ἀεὶ ταῦτα
λέγομεν, ἀεὶ ταῦτα παραινοῦμεν, καὶ ἡμῖν αὐτοῖς, καὶ ὑμῖν· πλέον δὲ οὐδὲν γίνεται. Διὸ καὶ δέδοικα,
καὶ ἐβουλόμην λοιπὸν σιγῆσαι, ὥστε μὴ τὸν κίνδυνον ὑμῖν αὐξῆσαι. Τὸ γὰρ πολλάκις ἀκού-
οντα μηδὲ οὕτω ποιεῖν, παροξῦναι τὸν δεσπότην ἐστίν. Ἀλλὰ δέδοικα καὶ αὐτὸς τὸν ἕτερον
κίνδυνον τὸν τῆς σιγῆς, εἴγε εἰς λόγου διακονίαν τεταγμένος, μέλλοιμι σιγᾶν. Τί οὖν
ποιήσομεν, φησὶν, ἵνα σωθῶμεν; ἀρξώμεθα τῆς ἀρετῆς, ἕως καιρὸν ἔχομεν· διανείμωμεν ἑαυ-
τοῖς τὰς ἀρετάς, καθάπερ τὴν γεωργίαν οἱ γηπόνοι· ἐν τῷ μηνὶ τούτῳ κρατήσωμεν λοιδο-

ρίας,

πράγμασιν οὐκ ἐχρησάμεθα εἰς δέον, ἀλλὰ τὴν τάξιν ἀντεστρέψαμεν, διὰ τοῦτο ὀδυρόμεθα ὅτι χαίρειν ἐχρῆν, διὰ τοῦτο φρίττομεν, καθάπερ τινὲς ἀνδροφόνοι καὶ λῄσταρχοι, μέλλοντες δικαστηρίῳ παρίστασθαι, καὶ πάντα λογιζόμενοι ἅπερ ἔπραξαν, καὶ διὰ τοῦτο δεδοικότες καὶ τρέμοντες. ἀλλ' οὐκ ἐκεῖνοι τοιοῦτοι, ἀλλ' ἠπείγοντο· ὁ δὲ Παῦλος καὶ ἐστέναζε. καὶ ἄκουε αὐτοῦ λέγοντος, Καὶ γὰρ αὐτοὶ οἱ ἐν τῷ σκήνει ὄντες, στενάζομεν βαρούμενοι. τοιοῦτοι ἦσαν οἱ περὶ τὸν Ἀβραάμ. ξένοι [, φησίν,] ἦσαν τῆς οἰκουμένης ἁπάσης, καὶ πατρίδα ἐζήτουν. ποίαν δὴ ταύτην; ἆρα ἣν εἴασαν; οὐδαμῶς. τί γὰρ ἐκώλυεν αὐτούς, εἴγε ἐβούλοντο, ἀποστρέψαι πάλιν, καὶ γενέσθαι πολίτας; ἀλλ' ἐκείνην ἐζήτουν τὴν ἐν τοῖς οὐρανοῖς. οὕτω πρὸς τὴν ἀποδημίαν τὴν ἐνθένδε ἐσπούδαζον, καὶ οὕτως ἤρεσκον Θεῷ. διὸ οὐκ ἐπαισχύνεται αὐτοὺς ὁ Θεός, Θεὸς καλεῖσθαι αὐτῶν. βαβαί, ὅσον ἀξίωμα; Θεὸς καλεῖσθαι αὐτῶν κατεδέξατο. τί λέγεις; Θεὸς τῆς γῆς καλεῖται, καὶ Θεὸς τοῦ οὐρανοῦ, καὶ ὡς μέγα τι τέθεικας τὸ οὐκ ἐπαισχύνεσθαι Θεὸς καλεῖσθαι αὐτῶν; μέγα, καὶ ὄντως μέγα, καὶ πολλῆς μακαριότητος τοῦτο τεκμήριον. πῶς; ὅτι γῆς μὲν καὶ οὐρανοῦ οὕτω καλεῖται Θεός, ὡς καὶ ἐθνῶν· καὶ οὐρανοῦ μὲν καὶ γῆς Θεός, ἢ ἔκτισε καὶ ἐδημιούργησεν αὐτά· τῶν δὲ ἁγίων ἐκείνων, οὐχ οὕτως, ἀλλ' ὡς φίλος τις γνήσιος. ἐπὶ δὲ ὑποδείγματος ὑμῖν [αὐτὸ] ποιήσω φανερόν. ὥσπερ ἐπὶ τῶν ἐν ταῖς μεγάλαις οἰκίαις, ὅταν τινὲς εὐδοκιμῶσι τῶν προεστηκότων τῆς οἰκίας, καὶ σφόδρα εὐδοκιμῶσι, καὶ πάντα αὐτοὶ διέπωσι, καὶ πρὸς τὸν δεσπότην πολλὴν τὴν παρρησίαν ἔχωσιν, ἀπ' αὐτῶν ὁ δεσπότης καλεῖται· καὶ πολλοὺς ἄν τις εὕροι οὕτω καλουμένους. τί δὲ λέγω; ὥσπερ ἂν εἴποι, ὁ Θεός, οὐχ ὁ τῶν ἐθνῶν, ἀλλ' ὁ τῆς οἰκουμένης· οὕτως ἂν εἴποι ὁ Θεὸς Ἀβραάμ. ἀλλ' οὐκ ἴσμεν ὅσον ἐστὶ τὸ ἀξίωμα τοῦτο, ἐπεὶ μηδὲ τυγχάνομεν αὐτοῦ. ὥσπερ γὰρ νῦν ὁ Κύριος τῶν χερουβὶμ ἁπάντων λέγεται Θεός, καὶ ὅμως ὑπερβαίνει τὸ ὄνομα τὴν ἡμετέραν ἀξίαν· εἰ δὲ ἑνὸς κληθείη Θεός, ἐννόησον ὅσον τὸ μέγεθος. ὁ τῆς οἰκουμένης * Θεός, οὐκ ἐπαισχύνεται τριῶν καλεῖσθαι Θεός· εἰκότως. οὐ γὰρ τῆς οἰκουμένης, ἀλλὰ μυρίων τοιούτων εἰσὶν ἀντίρροποι οἱ ἅγιοι. Κρείττων γὰρ εἷς ποιῶν τὸ θέλημα Κυρίου, ἢ μύριοι παράνομοι. ὅτι δὲ οὕτως ἑαυτοὺς ξένους ἐκάλουν, δῆλον. ἔστω δὲ οὗτοι διὰ τὴν ξενίαν ἐλέγοντο ξένοι· τί δαὶ καὶ ὁ Δαβίδ; οὐχὶ βασιλεὺς ἦν; οὐχὶ προφήτης; οὐχὶ ἐν τῇ οἰκείᾳ πατρίδι διετέλεσε; τίνος οὖν ἕνεκεν φησί, Ξένος καὶ παρεπίδημός εἰμι; πῶς εἶ ξένος; Καθώς, φησι, πάντες οἱ πατέρες μου. ὁρᾷς ὅτι κἀκεῖνοι ξένοι ἦσαν; εἴχομεν πατρίδα, φησίν, ἀλλ' οὐ τὴν ὄντως πατρίδα. πῶς δὲ σὺ ξένος; τῆς γῆς. οὐκοῦν κἀκεῖνοι τῆς γῆς. καθὼς γὰρ ἐκεῖνοι, οὕτω καὶ οὗτος· καὶ καθὼς οὗτος, οὕτω κἀκεῖνοι.

Marginal notes: γρ. παρεστάναι. — β. Κορ. ε. δ. — γρ. -σιος. ἐπὶ δὲ ὑποδείγματος, ἐπὶ ὑποδ- — * καλούμενος — Σοφ. ις. α. — Ψαλ. λη. ιγ. — γρ. ... λέγει ἑαυτ., ξένος πῶς τῆς γῆς; ὥσπερ κἀκεῖνοι κα- καλοῦνται

ΗΘΙΚΟΝ

Γινώμεθα τοίνυν ξένοι κἂν νῦν καὶ ἡμεῖς, ἵνα μὴ ἐπαισχυνθῇ ἡμᾶς ὁ Θεός, Θεὸς ἐπικαλεῖσθαι ἡμῶν. αἰσχύνη γὰρ αὐτῷ, ὅταν ἀνθρώπων πονηρῶν καλῆται Θεός, καὶ ἐπαισχύνεται αὐτοὺς καὶ αὐτούς, ὥσπερ οὖν δοξάζεται, ὅταν ἀγαθῶν ᾖ, καὶ χρηστῶν, καὶ ἀσκούντων ἀρετήν. εἰ γὰρ ἡμεῖς παραιτούμεθα καλεῖσθαι δεσπόται πονηρῶν ἡμῶν δούλων, καὶ ἀφίεμεν αὐτούς· κἂν εἴπῃ τις προσελθών, ὁ δεῖνα μυρία ἐργάζεται κακά, ἆρα σὸς δοῦλός ἐστιν; εὐθέως φαμέν, [ὅτι] οὐδαμῶς, ἀποτριβόμενοι τὸ ὄνειδος (σχέσις γάρ ἐστι τῷ δούλῳ πρὸς τὸν δεσπότην, καὶ διαβαίνει ἡ ἀδοξία καὶ εἰς τοῦτον ἀπ' ἐκείνου) πολλῷ μᾶλλον ὁ Θεός. ἀλλ' ἐκεῖνοι οὕτως ἦσαν λαμπροί, οὕτω παρρησίας μεστοί, ὡς μὴ μόνον αὐτὸν μὴ ἐπαισχύνεσθαι τῶν ἐκείνων καλούμενον, ἀλλὰ καὶ ἑαυτὸν λέγειν, ὅτι Ἐγὼ ὁ Θεὸς Ἀβραάμ, καὶ ὁ Θεὸς Ἰσαάκ, καὶ ὁ Θεὸς Ἰακώβ. γενώμεθα καὶ ἡμεῖς, ἀγαπητοί, ξένοι· ἵνα μὴ ἐπαισχυνθῇ ἡμᾶς ὁ Θεός, ἵνα μὴ ἐπαισχυνθῇ, καὶ τῇ γεέννῃ παραδῷ. τοιοῦτοι ἦσαν ἐκεῖνοι οἱ λέγοντες, Κύριε, οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν, καὶ τῷ σῷ ὀνόματι δυνάμεις πολλὰς ἐποιήσαμεν; ἀλλ' ὅρα τί φθέγγεται πρὸς αὐτοὺς ὁ Χριστός· Οὐκ οἶδα ὑμᾶς. ὅπερ ἂν ποιήσειαν δεσπόται οἰκετῶν πονηρῶν προστρεχόντων αὐτοῖς, βουλόμενοι τὸ ὄνειδος ἀποτρίψασθαι, οὐκ οἶδα ὑμᾶς, φησι. πῶς οὖν κολάζεις,

Marginal notes: γρ. ἐργ. ὁ σός — γρ. ἡ δόξα — Ἐξοδ. γ. ϛ. — Ματθ. ζ. κβ. — γρ. ὅρα



Digitized by Google

τος εἰ καὶ μὴ δι᾽ ἔργων, ἀλλὰ διὰ λόγων καταδικάζουσιν ἅπερ πράττουσι, διὰ τοῦ συνειδότος, μᾶλλον δὲ, καὶ διὰ τῶν ἔργων. ὅταν γὰρ λανθάνοντες καὶ κρυπτόμενοι πράττωσι, μέγιστον ἐκφέρουσι δεῖγμα γνώμης, ἣν περὶ τοῦ πράγματος ἔχουσιν. οὕτω γὰρ δήλη ἐστὶν ἡ κακία, ὡς πάντας αὐτῆς εἶναι κατηγόρους, καὶ τοὺς μετιόντας αὐτήν. τοσοῦτον δέ ἐστιν ἡ ἀρετή, ὡς καὶ παρ᾽ ἐκείνων θαυμάζεσθαι τῶν μὴ ζηλούντων αὐτήν. καὶ γὰρ ὁ πόρνος ἐπαινέσεται τὴν σωφροσύνην, καὶ ὁ πλεονέκτης καταγνώσεται τῆς ἀδικίας, καὶ ὁ ὀργίλος τὴν ἀνεξικακίαν θαυμάσεται, καὶ τὴν μικροψυχίαν μέμψεται, καὶ τὴν ἀσέλγειαν ὁ ἀσελγής. πῶς οὖν αὐτὰ μετέρχεσθε, φησί; ἀπὸ ῥαθυμίας πολλῆς, οὐ κρίνας εἶναι καλόν. ἐπεὶ οὐδ᾽ ἂν ἠσχύνθη τῷ πράγματι, οὐδ᾽ ἂν ἠρνήσατο κατηγορουμένου ἑτέρου. πολλοὶ δὲ καὶ παραληφθέντες, τὴν αἰσχύνην οὐ φέροντες, καὶ ἀπήγξαντο. τοσαύτη τοῦ καλοῦ καὶ πρέποντος ἔνεστιν ἡμῖν ἡ μαρτυρία· οὕτως ἡλίου λαμπρότερα τὰ καλά, καὶ πάντων δυσειδέστερα τὰ ἐναντία. ξένοι καὶ παρεπίδημοι ἦσαν οἱ ἅγιοι. πῶς καὶ τίνι τρόπῳ; ποῦ δὲ ὁμολογεῖ ὁ Ἀβραὰμ ξένος εἶναι καὶ παρεπίδημος; ἴσως μὲν καὶ αὐτὸς ὡμολόγησεν. ὁ δὲ Δαβὶδ οὕτως ὡμολόγησε, πάνυ τοῦτο δῆλον. καὶ ἄκουε αὐτοῦ λέγοντος, Ὅτι ξένος [εἰμὶ] καὶ παρεπίδημος, καθὼς πάντες οἱ πατέρες μου. οἱ γὰρ ἐν σκηναῖς κατοικοῦντες, οἱ ἀργυρίου καὶ τάφους ὠνούμενοι, δῆλον ὅτι ξένοι τινὲς οὗτοι ἦσαν, ὥστε μηδὲ ὅπου θάψουσι τοὺς νεκροὺς ἑαυτῶν ἔχειν. τί οὖν; ἆρα τῆς γῆς ἐκείνης μόνον ἔλεγον εἶναι ξένοι τῆς ἐν Παλαιστίνῃ; οὐδαμῶς· ἀλλὰ τῆς οἰκουμένης πάσης. καὶ εἰκότως. οὐδὲν γὰρ ἑώρων ἐν αὐτῇ τούτων, ὧν ἐβούλοντο, ἀλλὰ πάντα ξένα καὶ ἀλλότρια. αὐτοὶ μὲν οὖν τὴν ἀρετὴν ἀσκεῖν ἐβούλοντο. ἐνταῦθα δὲ ἔνθα ἦν κακία πολλή, καὶ ἀπεξένωτο πρὸς αὐτοὺς τὰ πράγματα, οὐδένα φίλον, οὐδένα οἰκεῖον εἶχον, πλὴν ὀλίγων τινῶν. πῶς δὲ ξένοι ἦσαν; οὐκ ἐπιμελούμενοι τῶν ἐνταῦθα. καὶ τοῦτο οὐ διὰ ῥημάτων, ἀλλὰ καὶ διὰ πραγμάτων αὐτὸ ἐδείκνυον. πῶς καὶ τίνι τρόπῳ; Εἶπε τῷ Ἀβραάμ, ἄφες τὴν πατρίδα τὴν δοκοῦσαν, καὶ ἐλθὲ ἐπὶ τὴν ἀλλοτρίαν· καὶ οὐκ ἀντέσχετο τῶν οἰκείων, ἀλλ᾽ ὡς ξένην μέλλων ἀφιέναι, οὕτως ἀπαραπαθῶς αὐτὴν εἴασεν. Εἶπεν αὐτῷ, ἀνένεγκε τὸν υἱόν σου· καὶ ὡς οὐκ ἔχων υἱόν, [οὕτως αὐτὸν ἀνήνεγκεν,] ὡς οὐκ ἐνδεδυμένος τὴν φύσιν, οὕτως αὐτὸν ἀνήνεγκε. τὰ χρήματα κοινὰ ἐκέκτητο τοῖς παριοῦσιν ἅπασι, καὶ οὐδὲν τὸ πρᾶγμα ἡγεῖτο. τὰ πρωτεῖα ἑτέροις παρεχώρει, εἰς κινδύνους ἑαυτὸν ἐνέβαλλε, μυρία ἔπασχε δεινά, οὐκ οἰκίας ᾠκοδόμει λαμπράς, οὐδὲ ἐτρύφα, οὐχ ἱματίων ἐπεμελεῖτο, οὐκ ἄλλου οὐδενός, ἃ τῶν ἐνταῦθά ἐστιν· ἀλλὰ * πάντα τὰ τῆς ἐκεῖ πόλεως ἐπολιτεύετο, φιλοξενίαν ἐπεδείκνυτο, φιλαδελφίαν, ἐλεημοσύνην, ἀνεξικακίαν, ὑπεροψίαν χρημάτων, καὶ τῆς παρούσης δόξης, καὶ τῶν ἄλλων ἁπάντων. καὶ ὁ τούτου δὲ παῖς τοιοῦτος ἦν· ἐλαυνόμενος, πολεμούμενος εἶκε καὶ παρεχώρει, ἅτε ἐν ξένῃ ὤν. οἱ γὰρ ξένοι, ὅσα ἂν πάθωσι, φέρουσιν, ἅτε οὐκ ὄντες ἐν πατρίδι. καὶ τῆς γυναικὸς ἀφαιρουμένης, καὶ τοῦτο ἔφερεν, ἅτε ξένος. τὰ δὲ ἄλλα πάντα ἐπολιτεύετο, σωφροσύνην, κοσμιότητα ἐπιδεικνύμενος πᾶσαν, καὶ γὰρ μετὰ τὸ παιδοποιῆσαι, οὐκέτι ὡμίλησε τῇ γυναικί. καὶ παρελθούσης δὲ τῆς ἀκμῆς τῆς νεότητος, τότε αὐτὴν ἠγάγετο, δεικνὺς ὅτι οὐ πάθους ἕνεκεν τοῦτο ἐποίει, ἀλλ᾽ ὑπηρετούμενος τῇ ἐπαγγελίᾳ τοῦ Θεοῦ. τί δὲ ὁ Ἰακώβ; οὐχὶ ἄρτον ἐζήτει μόνον, καὶ ἱμάτιον, ἃ ξένων ἐστὶν ὄντως αἰτήματα τῶν εἰς πενίαν ἐλθόντων πολλήν; οὐχὶ ἐλαυνόμενος ἀνεχώρει, καθάπερ ξένος; οὐχὶ ἐθήτευεν; οὐχὶ μυρία ἔπασχε δεινά, περιιὼν πανταχοῦ, καθάπερ ξένος; Ταῦτα δὲ πάσχοντες ἔφερον, δεικνύντες ὅτι πατρίδα ἐπιζητοῦσιν ἑτέραν. βαβαί, πόση διαφορά; ἐκεῖνοι μὲν ὤδινον καθ᾽ ἑκάστην ἡμέραν, ἀπαλλαγῆναι βουλόμενοι ἐντεῦθεν, καὶ πρὸς τὴν αὐτῶν πατρίδα ἐπανελθεῖν. ἡμεῖς δὲ τοὐναντίον. ἂν γὰρ πυρετὸς ἐμπέσῃ, πάντα ἀφέντες, καθάπερ τὰ παιδία τὰ μικρά, τὰ κλαυθμυριζόμενα, τὸν θάνατον δεδοίκαμεν. καὶ εἰκότως τοῦτο πάσχομεν. ἐπειδὴ γὰρ οὐχ ὡς ξένοι διάγομεν ἐνταῦθα, οὐδὲ ὡς ἐπὶ πατρίδα σπεύδομεν, ἀλλ᾽ ὡς ἐπὶ κόλασιν ἀπιόντες ἐσμέν, διὰ τοῦτο ἀλγοῦμεν, ὅτι τοῖς πράγμασι

Left-margin notes:
Ψαλ. λη. ιγ.
Γεν. ιϛ. α.
Γεν. κϐ. β.

Right-margin notes:
γ. παραληφθ.
γ. ἐπιμελούμενοι
γ. ἀναπαθῶς
γ. ἐπεὶ
γ. αὐτῷ
* χαὶ
γ. ἅτε ὢν ἐν ξένῃ.
γ. δὲ, φασὶν, ἔλεγον, τὴν πατρίδα ζητοῦντες τὴν ἑαυτῶν.
γ. [illegible]θα, ἐν ὡς

Λογ. κδ. 13 ΚΑΤΑ ΠΙΣΤΙΝ ΑΠΕΘΑΝΟΝ ΟΥΤΟΙ πάντες, μὴ λαβόντες τὰς ἐπαγγελίας, ἀλλὰ πόρρωθεν αὐτὰς ἰδόντες, καὶ ἀσπασάμενοι, καὶ ὁμολογήσαντες ὅτι ξένοι καὶ παρεπίδημοί εἰσιν ἐπὶ τῆς γῆς.
14 Οἱ γὰρ τοιαῦτα λέγοντες, ἐμφανίζουσιν ὅτι πατρίδα ἐπιζητοῦσι.
15 Καὶ εἰ μὲν ἐκείνης ἐμνημόνευον, ἀφ᾽ ἧς ἐξῆλθον, εἶχον ἂν καιρὸν
ἀνακάμψαι· 16 Νυνὶ δὲ κρείττονος ὀρέγονται, τουτέστιν, ἐπουρανίου.
Διὸ οὐκ ἐπαισχύνεται αὐτοὺς ὁ Θεός, Θεὸς ἐπικαλεῖσθαι αὐτῶν· ἡτοίμασε γὰρ αὐτοῖς πόλιν.

Ἡ Πρώτη ἀρετὴ καὶ ἡ πᾶσα ἀρετή, τὸ ξένον εἶναι τοῦ κόσμου τούτου, καὶ παρεπίδημον, καὶ μηδὲν κοινὸν ἔχειν πρὸς τὰ ἐνταῦθα πράγματα, ἀλλ᾽ ἀπηρτῆσθαι αὐτῶν, ὥσπερ ξένων. καθάπερ οἱ μακάριοι [μαθηταὶ] ἐκεῖνοι, περὶ ὧν φησι, Περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι· ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος. ἐκεῖνοι μὲν οὖν ξένους ἔλεγον εἶναι ἑαυτούς· ὁ δὲ Παῦλος καὶ πολλῷ τι πλέον εἶπεν. οὐ γὰρ ξένον ἑαυτὸν ἁπλῶς εἶπεν, ἀλλὰ νεκρὸν εἶπε τῷ κόσμῳ*, καὶ τὸν κόσμον αὐτῷ νεκρόν. Ἐμοὶ γάρ, φησιν, ὁ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ. ἀλλ᾽ ἡμεῖς ὡς καὶ πολῖται, καὶ σφόδρα ζῶντες ὡς πολῖται, οὕτω πάντα ἐνταῦθα πραγματευόμεθα. καὶ ὅπερ* ἦσαν τῷ κόσμῳ οἱ δίκαιοι, ξένοι καὶ νεκροί, τοῦτο ἡμεῖς ἐσμεν τῷ οὐρανῷ· ὅπερ δὲ ἦσαν ἐκεῖνοι τῷ οὐρανῷ, ζῶντες καὶ πολιτευόμενοι, τοῦτο ἡμεῖς ἐσμεν τῷ κόσμῳ. Διὰ τοῦτο τεθνήκαμεν, ὅτι τὴν ὄντως ζωὴν ἠρνησάμεθα, καὶ τὴν πρόσκαιρον ταύτην εἱλόμεθα. διὰ τοῦτο" παροξύνομεν τὸν Θεόν, ὅτι προσκαίρων ἡμῖν τῆς ἐν τοῖς οὐρανοῖς ἀπολαύσεως, οὐδὲ ὕπο τὴν ἐπὶ τῆς γῆς ἀποστῆναι βουλόμεθα, ἀλλά, καθάπερ τινὲς σκώληκες, ἀπὸ τῆς γῆς εἰς τὴν γῆν, καὶ πάλιν ἀπὸ ταύτης εἰς ταύτην περιστρεφόμεθα, καὶ ὅλως οὐδὲ μικρὸν ἀνακύψαι βουλόμεθα, οὐδὲ ἀποστῆσαι ἑαυτοὺς τῶν ἀνθρωπίνων πραγμάτων, ἀλλ᾽ ὥσπερ ὑπό τινος κάρου καὶ ὕπνου καὶ μέθης καταβαπτισθέντες, καταπεπλήγμεθα φανταζόμενοι. καὶ καθάπερ οἱ γλυκεῖ κατεχόμενοι ὕπνῳ, οὐ μόνον ἐν νυκτί, ἀλλὰ καὶ αὐτοῦ τοῦ ὄρθρου καταλαβόντος, καὶ λάμποντος μεσημβρινῆς ἡμέρας κεῖνται ἐπὶ κλίνης, καὶ οὐκ αἰσχύνονται τῇ ἡδονῇ χαριζόμενοι, καὶ τὸν καιρὸν τῆς ἐργασίας καὶ τῆς σπουδῆς τοῦτον, καιρὸν ποιούμενοι ὕπνου καὶ ῥᾳθυμίας· οὕτω δὴ καὶ ἡμεῖς, τῆς ἡμέρας ἐγγιζούσης, τῆς νυκτὸς προκοπτούσης, μᾶλλον δὲ τῆς ἡμέρας (Ἐργάζεσθε γάρ, φησιν, ἕως ἐστὶν ἡμέρα) ἡμέρας οὔσης, τὰ τῆς νυκτὸς πράττομεν" ἅπαντα, καθεύδοντες, ὀνείρατα βλέποντες, φαντασίαις ἐντρυφῶντες. καὶ μεμύκασιν ἡμῖν οἱ τῆς διανοίας ὀφθαλμοί, καὶ οἱ τοῦ σώματος, παραφθεγγόμεθα, παραλαλοῦμεν· κἂν βαθεῖαν ἡμᾶς πλήξῃ τις πληγήν, οὐδὲ αἰσθανόμεθα, κἂν πᾶσαν ἡμῶν διαρπάσῃ τὴν οὐσίαν, κἂν αὐτὴν ἐμπρήσῃ τὴν οἰκίαν. μᾶλλον δὲ οὐδὲ μανθάνομεν ἑτέρους τοῦτο ποιεῖν, ἀλλ᾽ αὐτοὶ τοῦτο πράττομεν" κενοῦντες ἑαυτοὺς καθ᾽ ἑκάστην ἡμέραν, καὶ πλήττοντες, ἀσχημόνως κείμενοι, καὶ γεγυμνωμένοι πάσης εὐδοξίας, πάσης τιμῆς, καὶ τὰ αἰσχρὰ ἡμῶν ἔργα οὔτε αὐτοὶ συγκαλύπτοντες, οὔτε ἑτέροις ἐπιτρέποντες τοῦτο" ποιεῖν, ἀλλ᾽ εἰς μέσην ἀσχημοσύνην τοῖς ὁρῶσι καὶ" παριοῦσι προκείμενοι εἰς γέλωτα, εἰς σκώμματα μυρία. οὐκ οἴεσθε καὶ αὐτοὺς τοὺς πονηροὺς καταγελᾶν τῶν ὁμοτρόπων, καὶ καταγινώσκειν αὐτῶν; ἐπειδὴ γὰρ ἡμῖν ἐνέθηκεν ὁ Θεὸς δικαστήριον ἀδέκαστον, οὐδέποτε διαφθειρόμενον, κἂν εἰς αὐτὸ τὸ τῆς κακίας ἔλθωμεν τὸ πυθμένα· τούτου χάριν καὶ αὐτοὶ οἱ πονηροὶ καταδικάζουσιν ἑαυτούς, κἂν ἑαυτοὺς καλέσῃ τις τοῦτο, ὅπερ εἰσίν, αἰσχύνονται, ὀργίζονται, ὕβριν τὸ πρᾶγμά φασιν. οὕτως

Margin notes: χ. ξένοι · ἑαυτὸν · μὴ · χ. ξενιζόμεθα · χ. ἀπαιτῆς · χ. κενοῦντες · χ. ποιεῖν. ἐπιδίδωσι, οἷς · χ. παρόντος · χ. ἐξετάζεται.
Ἑβρ. ια. λζ. · Γαλ. ς. ιδ. · Ιωαν. θ. δ.

καὶ ἡ ὕβρις, καὶ ἡ ἐπιτίμησις εἰς ἓν ὁρᾶται μόνον, αὐτοῦ τὴν ὠφέλειαν. ὅταν πυρετὸς καταλάβῃ, καὶ δοῦλοι κρατοῦσι δεσποτῶν. ὅταν γὰρ ἐκεῖνος μὲν ἐπικρατῇ τὴν ψυχὴν συγχέων, ἀνδραπόδων δὲ ἐσμὸς παρασταίη, οὐδεὶς ἐπιγινώσκει τοὺς νόμους τοὺς δεσποτικοὺς ἐν τῇ βλάβῃ τοῦ δεσπότου. συστρέψωμεν ἑαυτούς, παρακαλῶ· πόλεμοι καθημερινοί, καταποντισμοί, ἀπώλειαι μυρίαι κύκλῳ, καὶ πανταχόθεν ἡ ὀργὴ τοῦ Θεοῦ ἡμᾶς περιστοιχίζεται. ἡμεῖς δὲ ὡς εὐαρεστοῦντες, οὕτως ἐσμὲν ἐν ἀδείᾳ. πάντες τὰς χεῖρας εἰς πλεονεξίαν εὐτρεπίζομεν, οὐδεὶς εἰς βοήθειαν· πάντες εἰς ἁρπαγήν, οὐδεὶς εἰς προστασίαν. ἕκαστος πῶς πλείονα τὰ ὄντα ποιήσει ἐσπούδακεν, οὐδεὶς πῶς βοηθήσει τῷ δεομένῳ· ἕκαστος πῶς προσθῇ τοῖς χρήμασι, πολλὴν ἔχει τὴν μέριμναν, οὐδεὶς ὅπως τὴν ψυχὴν τὴν ἑαυτοῦ διασώσῃ. φόβος εἷς ἔχει πάντας, μὴ πενιχροί, φησί, γενώμεθα· μὴ εἰς γέενναν δὲ ἐμπέσωμεν, οὐδεὶς ἀγωνιᾷ καὶ τρέμει. ταῦτα θρήνων, ταῦτα κατηγοριῶν, ταῦτα διαβολῆς ἄξια. [ἀλλ'] οὐ ταῦτα ἐβουλόμην λέγειν, ἀλλ' ὑπὸ τῆς ὀδύνης βιάζομαι. συγγνῶτε· ὑπὸ τοῦ πένθους ἀναγκαζόμεθα πολλὰ καὶ ὧν οὐ βουλόμεθα, φθέγξασθαι. χαλεπὴν ὁρῶ τὴν πληγήν, ἀπαραμύθητον τὴν συμφοράν, παρακλήσεως μείζονα τὰ καταλαβόντα ἡμᾶς δεινά· ἀπολώλαμεν. Τίς δώσει τῇ κεφαλῇ μου ὕδωρ, καὶ τοῖς ὀφθαλμοῖς μου πηγὴν δακρύων, ἵνα θρηνήσω; κλαύσωμεν, ἀγαπητοί, κλαύσωμεν, στενάξωμεν. τάχα τινές εἰσιν ἐνταῦθα λέγοντες, πάντα θρήνους ἡμῖν λέγει, πάντα δάκρυα. οὐκ ἐβουλόμην, πιστεύσατε, οὐκ ἐβουλόμην, ἀλλ' ἐγκώμια καὶ ἐπαίνους διεξιέναι. νυνὶ δὲ τούτων ὁ καιρός. οὐ τὸ θρηνεῖν, ἀγαπητοί, χαλεπόν, ἀλλὰ τὸ θρήνων ἄξια ποιεῖν. οὐ τὸ ὀδύρεσθαι, ἀποτρόπαιον, ἀλλὰ τὸ τὰ ὀδυρμῶν ἄξια πράττειν. μὴ κολασθῇς, καὶ οὐ πενθῶ· μὴ ἀποθάνῃς, καὶ οὐ κλαίω. ἀλλ' ἐὰν μὲν τὸ σῶμα κέηται νεκρόν, πάντας παρακαλεῖς συναλγεῖν, καὶ ἀσυμπαθεῖς ἡγῇ τοὺς μὴ πενθοῦντας· τῆς δὲ ψυχῆς ἀπολλυμένης, λέγεις μὴ πενθεῖν; ἀλλ' οὐ δύναμαι πατὴρ εἶναι μὴ δακρύων. πατήρ εἰμι φιλόστοργος. ἀκούετε οἷα βοᾷ ὁ Παῦλος· Τεκνία μου, οὓς πάλιν ὠδίνω. ποία μήτηρ τίκτουσα οὕτω πικρὰς ἀφίησι φωνάς, ὡς ἐκεῖνος; εἴθε ἐνῆν τὴν πυρὰν αὐτὴν τῆς διανοίας ἰδεῖν, καὶ εἶδες ἄν, ὅτι πάσης γυναικὸς καὶ κόρης χηρείαν ἄωρον ὑποστάσης πλέον καίομαι. οὐχ οὕτως ἐκείνη τὸν ἄνδρα πενθεῖ τὸν ἑαυτῆς, οὐδὲ μήτηρ υἱόν, ὡς ἐγὼ τὸ πλῆθος τοῦτο τὸ παρ' ἡμῖν. οὐδεμίαν ὁρῶ προκοπήν, πάντα εἰς διαβολὰς καὶ κατηγορίας. οὐδεὶς ἔργον τίθεται ἀρέσκειν Θεῷ· ἀλλὰ τὸν δεῖνα, φησίν, εἴπωμεν κακῶς, καὶ τὸν δεῖνα. ὁ δεῖνα ἀνάξιος τοῦ κλήρου, ὁ δεῖνα ἀσέμνως βιοῖ. ὀφείλοντες τὰ ἡμέτερα πενθεῖν κακά, κρίνομεν ἑτέρους, οὐδ' ὅτι καθαροὶ ἐσμὲν ἁμαρτημάτων ὀφείλοντες τοῦτο ποιεῖν. Τίς γάρ σε διακρίνει, φησί; τί δὲ ἔχεις ὃ οὐκ ἔλαβες; εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβών; σὺ δὲ τί κρίνεις τὸν ἀδελφόν σου, μυρίων αὐτὸς γέμων κακῶν; ὅταν εἴπῃς, ὁ δεῖνα πονηρός ἐστι καὶ λυμεὼν καὶ μοχθηρός, ἐννόησον σεαυτόν, καὶ ἐξέτασον ἀκριβῶς τὰ σαυτοῦ, καὶ μεταμελήσει σοι ἐπὶ τοῖς λεχθεῖσιν. οὐ γάρ ἐστιν, οὐκ ἔστι πρὸς ἀρετὴν προτροπή τις τοιαύτη, οἵα ἁμαρτημάτων ἀνάμνησις. ἐὰν ταῦτα τὰ δύο στρέφωμεν παρ' ἑαυτοῖς, δυνησόμεθα τυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν, δυνησόμεθα καθαίρειν ἑαυτοὺς καὶ ἀποσμήχειν· μόνον λάβωμεν ἔννοιάν ποτε, μεριμνήσωμεν τὸ πρᾶγμα, ἀγαπητοί· ἀλγήσωμεν ἐν τοῖς ἐνταῦθα λογισμοῖς, ἵνα μὴ ἀλγήσωμεν ἐκεῖ τῇ κολάσει, ἀλλ' ἵνα ἀπολαύσωμεν τῶν αἰωνίων ἀγαθῶν, ἔνθα ἀπέδρα ὀδύνη, λύπη, καὶ στεναγμός· ἵνα τύχωμεν τῶν ὑπερβαινόντων τὸν ἀνθρώπινον νοῦν αἰωνίων ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ.

Margin: γρ. ἐπισκιάσῃ · γρ. ἀπωλλύμεθα · Ἱερ. θ. α. · Γαλ. δ. ιθ. · γρ. ὠδῖνας · γρ. πατὴρ · α. Κορ. δ. ζ. · γρ. λόγισαι

μαστὴς καὶ παρασκευαστὴς ὁ Θεὸς ἀγαθῶν, ποῖα εἰκὸς εἶναι ταῦτα; Εἰ γὰρ ποιήσας ἡμᾶς
εὐθέως, οὐδενὸς παρ' ἡμῶν προϋπηργμένου, τοσαῦτα ἐχαρίσατο, παράδεισον, ὁμιλίαν τὴν
μετ' αὐτοῦ, ἀθανασίαν ὑπέσχετο, βίον μακάριον, καὶ φροντίδων ἀπηλλαγμένον· τοῖς τοσαῦ-
χ. πεπονηκόσι — τα πεποιηκόσι καὶ ἠθληκόσι, καὶ ὑπὲρ αὐτοῦ ὑπομείνασι, τί οὐ χαρίσεται; τὸν μονογενῆ οὐκ
ἐφείσατο δι' ἡμᾶς, τὸν υἱὸν αὐτοῦ τὸν γνήσιον εἰς θάνατον ἔδωκε δι' ἡμᾶς. Εἰ δὲ ἐχθροὺς ὄντας τοι-
ούτων κατηξίωσε, πῶς οὐ καταξιώσει φίλους γενομένους; πῶς οὐ μεταδώσει καταλλάξας ἑαυ-
τῷ; καὶ πλούσιός ἐστι σφόδρα, καὶ ἀπείρως ἐπιθυμεῖ καὶ σπουδάζει τῆς ἡμετέρας φιλίας τυχεῖν·
ἡμεῖς δὲ οὐδὲ τὸ πολλοστὸν ἐκείνου σπουδάζομεν, ἀγαπητοί. τί λέγω, οὐ σπουδάζομεν; οὐ θέ-
χ. -λει, διὸ — λομεν οὕτω τυχεῖν αὐτοῦ τῶν ἀγαθῶν, ὡς αὐτὸς θέλει. καὶ ὅτι πλέον ἐκεῖνος θέλει, δι' ὧν ἐποίησεν,
ἔδειξεν. ἡμεῖς μὲν γὰρ ὑπὲρ ἡμῶν αὐτῶν μόλις ὀλίγου καταφρονοῦμεν χρυσίου· αὐτὸς δὲ ὑπὲρ ἡμῶν
καὶ τὸν υἱὸν ἔδωκε τὸν αὐτοῦ. χρησώμεθα ὡς δεῖ τῇ ἀγάπῃ τοῦ Θεοῦ, ἀγαπητοί, ἀπολαύσωμεν αὐτοῦ
τῆς φιλίας. Ὑμεῖς γὰρ φίλοι μού ἐστε, φησὶν, ἐὰν ποιῆτε ἃ λέγω ὑμῖν. βαβαὶ τοὺς ἐχθροὺς — Ιωαν. ιε. ιδ.
χ. αὐτοῦ — τοὺς ἀπείρως αὐτοῦ διεστηκότας, ὧν ἀσυγκρίτῳ τῇ ὑπερβολῇ Χριστὸς πάντα διενήνοχε, τούτους
φίλους ἐποίησε, καὶ καλεῖ φίλους. τί οὖν οὐχ αἱρετὸν παθεῖν ὑπὲρ ταύτης τῆς φιλίας; ἀλλ'
ἡμεῖς ὑπὲρ ἀνθρώπων φιλίας μὲν πολλάκις καὶ κινδυνεύομεν· ὑπὲρ δὲ τῆς τοῦ Θεοῦ οὐδὲ
χρήματα προϊέμεθα. πένθους ὄντως ἄξια τὰ ἡμέτερα, πένθους καὶ δακρύων καὶ ὀδυρμῶν καὶ ὀ-
λοφυρμοῦ μεγάλου καὶ κοπετοῦ. τῆς ἐλπίδος ἡμῶν ἐξεπέσαμεν, ἐταπεινώθημεν ἀπὸ τοῦ
ὕψους ἡμῶν, ἀνάξιοι τῆς τιμῆς ἐφάνημεν τοῦ Θεοῦ, ἀγνώμονες, καὶ μετὰ τὰς εὐεργεσίας ἐφά-
χ. γεγόναμεν ἀχάριστοι. — νημεν ἄχρηστοι. ἐγύμνωσεν ἡμᾶς πάντων ὁ διάβολος τῶν ἀγαθῶν. οἱ καταξιωθέντες
εἶναι υἱοί, οἱ ἀδελφοὶ καὶ συγκληρονόμοι, τῶν ἐχθρῶν αὐτοῦ οὐδὲν διενηνόχαμεν τῶν ὑβριζόν-
των αὐτόν. τίς ἡμῖν ἔσται παραμυθία λοιπόν; αὐτὸς ἡμᾶς ἐκάλεσε πρὸς τὸν οὐρανόν, ἡμεῖς
δὲ ἑαυτοὺς πρὸς τὴν γέενναν ὠθήσαμεν. ἀρὰ καὶ ψεῦδος καὶ κλοπὴ καὶ μοιχεία κέχυται ἐπὶ
τῆς γῆς. οἱ μὲν αἵματα ἐφ' αἵμασι μιγνύουσιν· οἱ δὲ πράγματα πράττουσιν αἱμάτων
χείρονα. πολλοὶ τῶν ἀδικουμένων, πολλοὶ τῶν πλεονεκτουμένων, μυρίους εὔχονται θανά-
χ. ἐπὶ διαχείρισαντο — τους, ἢ ταῦτα παθεῖν· καὶ εἰ μὴ τὸν τοῦ Θεοῦ φόβον ἐδεδοίκεσαν, καὶ διεχειρίσαντο ἑαυτούς,
οὕτω φονεῖς καθ' ἑαυτῶν. ταῦτ' οὖν οὐχ αἱμάτων χείρω; Οἴμοι ψυχή (ἔλεγεν ἀποδυ- — Μιχ. ζ. β.
ρόμενος ὁ προφήτης) ὅτι ἀπόλωλεν εὐλαβὴς ἀπὸ τῆς γῆς, καὶ ὁ κατορθῶν ἐν ἀνθρώποις οὐχ
ὑπάρχει. νῦν δὲ καὶ ἡμεῖς τοῦτο βοήσομεν περὶ ἡμῶν αὐτῶν πρέποντι. ἀλλά μοι τοῦ θρήνου
χ. οἰμώζουσι — συλλάβεσθε. τάχα τινὲς οἰμώζοντες καὶ γελῶσι. πλὴν καὶ διὰ τοῦτο ἐπιτείνειν μᾶλλον
χρὴ τὸν θρῆνον, ὅτι οὕτω μαινόμεθα καὶ παραπαιόμεθα, ὅτι οὐδὲ εἰ μαινόμεθα ἴσμεν, ἀλλ' ἐφ'
οἷς ἐχρῆν στένειν, γελῶμεν. Ἀποκαλύπτεται ὀργὴ ἀπ' οὐρανοῦ ἐπὶ πᾶσαν ἀσέβειαν — Ρωμ. α. ιη.
καὶ ἀδικίαν ἀνθρώπων. Ὁ Θεὸς ἐμφανῶς ἥξει· πῦρ ἐνώπιον αὐτοῦ καυθήσεται, καὶ κύκλῳ αὐ- — Ψαλ. μθ. γ.
τοῦ καταιγὶς σφοδρά. πῦρ ἐναντίον αὐτοῦ προπορεύσεται, καὶ φλογιεῖ κύκλῳ τοὺς ἐχθροὺς αὐτοῦ.
χ. μῦθον μᾶλλον κα- — Ἡ ἡμέρα Κυρίου ὡς κλίβανος καιόμενος, καὶ οὐδεὶς ταῦτα εἰς νοῦν βάλλεται, ἀλλ' ἃ μῦθον — Μαλαχ. δ. α.
χ. δόγματα — μᾶλλον καταπεφρόνηται τὰ φρικώδη ταῦτα πράγματα καὶ φοβερά, καὶ πεπάτηται. ὁ
χ. πολλοί. — ἀκούων, οὐδείς· οἱ δὲ γελῶντες καὶ χλευάζοντες, πάντες. τίς ἡμῖν πόρος; πόθεν σωτη-
ρίας εὕρωμεν; ἀπολώλαμεν, παραπολλύμεθα, γεγόναμεν τῶν ἐχθρῶν ἡμῶν καταγέλως, καὶ
χλευασμὸς τῶν Ἑλλήνων καὶ τῶν δαιμόνων. μέγα φρονεῖ νῦν ὁ διάβολος, γαυροῦται καὶ χαί-
χ. γαυριᾷ — ρει. ἐν αἰχμῇ οἱ παραδόντες ἡμᾶς ἄγγελοι πάντες, ἐν κατηφείᾳ. οὐδεὶς ὁ ἐπιστρέ-
φων· εἰκῆ πάντα ἡμῖν ἀνάλωται, καὶ ἡμεῖς ὑμῖν δοκοῦμεν ληρεῖν. εὔκαιρον καὶ νῦν καλέσαι
τὸν οὐρανόν, ὅτι οὐδεὶς ὁ ἀκούων· διαμαρτύρεσθαι τὰ στοιχεῖα. Ἄκουε, οὐρανέ, καὶ ἐνωτίζου, ἡ — Ησα. α. β.
γῆ, ὅτι Κύριος ἐλάλησε. δότε χεῖρα, ὀρέξατε οἱ μηδέπω καταβαπτισθέντες, τοῖς ὑπὸ
τῆς μέθης ἀπολωλόσιν· οἱ ὑγιαίνοντες, τοῖς κάμνουσιν· οἱ νήφοντες, τοῖς μαινομένοις· οἱ ἑ-
δραῖοι τοῖς περιφερομένοις. μηδείς, παρακαλῶ, χάριν τῆς σωτηρίας τοῦ φίλου περὶ χρημάτων

μένην. Εἶπεν αὐτοῖς ὅτι δώσω ὑμῖν τὰ ἐν τῷ παρόντι. ὅτε δὲ εἶδε, μᾶλλον δὲ ὅτε ἔδειξεν αὐτοὺς μειζόνων ὄντας ἀξίους, τότε οὐκέτι αὐτοὺς ἀφίησι ταῦτα λαβεῖν, ἀλλ' ἐκεῖνα τὰ μείζονα, βουλόμενος ἡμῖν δεῖξαι ὅτι μειζόνων ἄξιοί εἰσι, μὴ θελήσαντες προσδιδόναι τούτοις. ὡς ἄν τις * συνετῷ ἐπαγγέλλοιτο παιδικά, οὐχ ἵνα λάβῃ, ἀλλ' ὅπως ἐλεύθερος αὐτοῦ τὴν φιλοσοφίαν, αἰτοῦντος ἐκείνου τὰ μείζονα. τοῦτο γάρ ἐστι δικαιοῦντος, ὅτι μετὰ τοσαύτης σπουδῆς ἀπείχοντο τῆς γῆς, ὅτι οὐδὲ διδόμενα ἐλάμβανον. τοιγαροῦν διὰ τοῦτο καὶ ἔκγονοι λαμβάνουσιν. αὐτοὶ γὰρ ἦσαν τῆς γῆς ἄξιοι. τί ἐστι, τὴν τοὺς θεμελίους ἔχουσαν πόλιν; οὗτοι γὰρ οὐκ εἰσὶ θεμέλιοι; πρὸς σύγκρισιν ἐκείνων οὐκ εἰσίν. ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός. βαβαί, οἷον τὸ ἐγκώμιον τῆς πόλεως ἐκείνης;

γρ. ἔδειξεν ἑαυτούς. * παιδίον

11 Πίστει καὶ αὐτὴ Σάρρα. Εντρεπτικῶς ἐνταῦθα ἤρξατο, εἴγε γυναικὸς ὀλιγοψυχότεροι φανεῖεν. ἀλλ' εἴποι ἄν τις, πῶς πιστὴ ἡ γελάσασα; ὁ μὲν οὖν γέλως, ἐξ ἀπιστίας· ὁ δὲ φόβος, ἀπὸ πίστεως. τὸ γὰρ εἰπεῖν, Οὐκ ἐγέλασα, ἀπὸ πίστεως γέγονε. τοιγαροῦν διὰ τοῦτο, κωλυθείσης τῆς ἀπιστίας, ἐπεισῆλθεν ἡ πίστις.

Γεν. ιη. ιε. — γρ. πίστει

Πίστει καὶ αὐτὴ Σάρρα δύναμιν εἰς καταβολὴν σπέρματος ἔλαβε, καὶ παρὰ καιρὸν ἡλικίας ἔτεκε. Τί ἐστιν εἰς καταβολὴν σπέρματος; εἰς τὸ κατασχεῖν τὸ σπέρμα, εἰς ὑποδοχὴν δύναμιν ἔλαβεν ἡ νενεκρωμένη, ἡ στεῖρα. διπλῆ γὰρ ἦν ἡ πήρωσις· ἡ μὲν ἀπὸ τοῦ γήρως (γεγηρακυῖα γὰρ ἦν οὕτως) ἡ δὲ ἀπὸ τῆς φύσεως. στεῖρα γὰρ ἦν.

12 Ὅθεν καὶ ἐξ ἑνὸς ἐγεννήθησαν καὶ ταῦτα, καὶ ταῦτα νενεκρωμένου, ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει, καὶ ὡσεὶ ἄμμος ἡ παρὰ τὸ χεῖλος τῆς θαλάσσης ἡ ἀναρίθμητος.

[Ὅθεν, φησί, καὶ ἐξ ἑνὸς ἐγεννήθησαν καὶ ταῦτα.] οὐ τοῦτο μόνον ἐνταῦθα λέγει, ὅτι ἐγέννησεν, ἀλλ' ὅτι καὶ τοσούτων ἐγένετο μήτηρ, ὅσων οὐδὲ αἱ εὔφοροι γαστέρες. ὡς τὰ ἄστρα, φησί. πῶς οὖν αὐτοὺς ἠρίθμησε πολλάκις, καίτοιγε εἰπὼν, Ὥσπερ οὐκ ἐξαριθμηθήσεται τὰ ἄστρα τοῦ οὐρανοῦ, οὕτως οὐδὲ τὸ σπέρμα ὑμῶν; ἤτοι καθ' ὑπερβολήν ἐστι τοῦτο, ἢ διὰ τοὺς ἀεὶ ἐπιγινομένους οὕτως εἶπε. μιᾶς μὲν γὰρ οἰκίας δυνατὸν τοὺς προγόνους ἀριθμῆσαι, οἷον, ὁ δεῖνα τοῦ δεῖνος, καὶ ὁ δεῖνα τοῦ δεῖνος· ἐνταῦθα δὲ, ὧν ὁ δῆμος τῷ πλήθει τῶν ἄστρων παρεικάζεται, οὐκ ἔστι. τοιαῦται αἱ ἐπαγγελίαι τοῦ Θεοῦ, οὕτως εὐμήχανοι αὐτοῦ αἱ ὑποσχέσεις. εἰ δὲ ἅπερ ἐν προσθήκης μέρει ὑπέσχετο, οὕτω θαυμαστὰ, οὕτω παράδοξα, οὕτω μεγαλόδωρα, τίνα ἔσται ἐκεῖνα, ὧν ταῦτα προσθήκη, ὧν ἐν προοιμίοις ταῦτα;

γρ. ἀριθμῆσαι. γρ. μεγαλόδωρα.

ΗΘΙΚΟΝ

Τί τοίνυν τῶν ἐπιτυγχανόντων μακαριώτεροι; τί τῶν ἀποτυγχανόντων ἀθλιώτεροι; εἰ γὰρ πατρίδος τις ἐκβεβλημένος, ὑπὸ πάντων ἐλεεῖται, καὶ κληρονομίας ἀπολέσας δοκεῖ παρὰ πᾶσιν ἐλεεινὸς εἶναι· ὁ τοῦ οὐρανοῦ ἐκπίπτων, καὶ τῶν ἀποκειμένων ἀγαθῶν ἐκεῖ, πόσοις ὀφείλει δάκρυσι δακρύεσθαι; μᾶλλον δὲ οὐδὲ δακρύεσθαι. δακρύεται γάρ τις ὅταν τι πάθῃ, ὧν οὐκ αὐτός ἐστιν αἴτιος· ὅταν δὲ ἐξ οἰκείας γνώμης ἑαυτὸν περιπείρῃ τῇ κακίᾳ, οὐ δακρύων, ἀλλὰ θρήνων ἐστὶν ἄξιος, μᾶλλον δὲ καὶ τότε πενθεῖς. ἐπεὶ καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὴν Ἱερουσαλὴμ, καίτοι ἀσεβοῦσαν, ἐπένθησε καὶ ἐδάκρυσεν. ὄντως μυρίων ὀδυρμῶν ἄξιοί ἐσμεν, μυρίων θρήνων. ἐὰν πᾶσα ἡ οἰκουμένη λαβοῦσα φωνὴν, καὶ λίθοι καὶ ξύλα καὶ δένδρα καὶ θηρία καὶ ὄρνιθες καὶ ἰχθύες, καὶ ἁπλῶς πᾶσα ἡ οἰκουμένη ἐὰν λαβοῦσα φωνὴν [ἡμᾶς] ὀδύρηται τοὺς ἐκπεπτωκότας τῶν ἀγαθῶν ἐκείνων, οὐδὲν κατ' ἀξίαν ὀδύρεται, οὐδὲ θρηνήσει. ποῖος γὰρ λόγος παραστῆσαι δυνήσεται, ποῖος νοῦς ἐκείνην τὴν μακαριότητα [καὶ τὴν ἀρετὴν ἐκείνην], τὴν ἡδονὴν, τὴν δόξαν, τὴν εὐφροσύνην, τὴν λαμπρότητα, ἃ ὀφθαλμός, φησιν, οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν; οὐκ εἶπεν ὅτι ὑπερβαίνει ἁπλῶς, ἀλλ' οὐδὲ ἐνενόησέ ποτέ τις, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. ὧν γὰρ ἑτοιμαστὴς

γρ. κτίσις. γρ. αἰσθανόμενα. * φησί.

μαστὴς

καὶ ἐξέπιπλε διαδιχάς. καὶ τὰ μὲν εἷλε πολέμῳ· τὰ δὲ, εἰ μὴ τῆς τοῦ Θεοῦ ῥοπῆς ἔτυχεν, ἀπώλεσεν ἄν. Διὰ τοῦτό φησι, [ὅτι] μετὰ τῶν κληρονόμων τῆς ἐπαγγελίας τῆς αὐτῆς. * οὐχὶ αὐτὸς μόνος, φησὶν, ἀλλὰ καὶ οὗτοι κληρονόμοι. Εἶτα καὶ ἐπειδή τι τῶν εἰρημένων τρέψοντες ἐπήγαγε λέγων,

*χ. ἀλλ' ὅτι

13 Κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες, μὴ κομισάμενοι τὰς ἐπαγγελίας.

Δύο ἐνταῦθα ζητῆσαι ἄξιον, πῶς εἰπὼν ὅτι μετέθηκε τὸν Ἐνὼχ, τοῦ μὴ ἰδεῖν θάνατον, καὶ οὐχ εὑρίσκετο, λέγει, κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες· καὶ πάλιν εἰπὼν, μὴ κομισάμενοι τὰς ἐπαγγελίας, τὸν Νῶε δείκνυσιν εἰληφέναι μισθὸν εἰς σωτηρίαν τοῦ οἴκου αὐτοῦ, καὶ τὸν Ἐνὼχ " μετατεθεῖσθαι, καὶ τὸν Ἄβελ ἔτι λαλεῖν, καὶ τὸν Ἀβραὰμ ἐπειλῆφθαι τῆς γῆς,

χ. τεθεῖσθαι

καί φησι, κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες, μὴ κομισάμενοι τὰς ἐπαγγελίας. πόσον ἐστὶν ὃ λέγει; ἀναγκαῖον δὲ πρότερον λῦσαι, εἶτα δὲ ἐπιπεῖν. κατὰ πίστιν ἀπέθανον, φησὶν, οὗτοι πάντες. δὲ, πάντες, ἐνταῦθα εἶπεν, οὐκ ἐπὶ πάντας ἀπέθανον, ἀλλ' ἐπὶ, ἐξηρημένου ἐκείνου, ἀπέθανον οὗτοι πάντες, οὓς ἴσμεν τεθνηκότας. ὃ δὲ, μὴ κομισάμενοι τὰς ἐπαγγελίας, ἀληθὲς τυγχάνει. οὐ γὰρ δὴ τοῦτο ἔμελλεν εἶναι ἡ ἐπαγγελία τοῦ Νῶε. ποίας δὲ καὶ ἐπαγγελίας φησί; ὁ μὲν γὰρ Ἰσαὰκ καὶ Ἰακὼβ ἔλαβον τὰς ἐπαγγελίας τῆς γῆς· οἱ δὲ περὶ Νῶε καὶ Ἄβελ καὶ Ἐνὼχ ποίας ἐπαγγελίας ἔλαβον; ἢ τοίνυν περὶ " τῶν τελευταίων φησὶ τούτων· ἢ εἰ καὶ περὶ ἐκείνων, οὐ τοῦτο ἦν ἡ ἐπαγγελία, ὃ θαυμασθῆναι τὸν Ἄβελ, οὐδὲ δὲ " μετατεθῆναι τὸν Ἐνὼχ, οὐδὲ δὲ διασωθῆναι τὸν Νῶε, ἀλλὰ καὶ ταῦτα μὲν αὐτοῖς διὰ τὴν ἀρετὴν ἐγένετο, γνώρισμα δέ τινα ἦν τῶν μελλόντων. ὁ γὰρ Θεὸς ἀπ' ἀρχῆς εἰδὼς

χ. τῶν πατριαρχῶν λέγει τούτων,

χ. μετατεθῆναι

ὅτι γένος δὲ ἀνθρώπινον πολλῆς δεόμενον συγκαταβάσεως, οὐ μόνον " τὰ ἐν τῷ μέλλοντι, ἀλλὰ καὶ τὰ ἐνταῦθα ἡμῖν παρέξεται. ὅτι ὥσπερ καὶ τοῖς μαθηταῖς ἔλεγεν ὁ Χριστὸς, Ὅστις ἀφῆκεν οἰκίας, ἢ ἀδελφοὺς, ἢ ἀδελφὰς, ἢ πατέρα, ἢ μητέρα, ἑκατονταπλασίονα λήψεται, Μαρκ. ι. γ.

χ. τὰ μέλλοντα, ἀλ.

καὶ ζωὴν αἰώνιον κληρονομήσει. καὶ πάλιν, Ζητεῖτε τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. ὁρᾷς καὶ ἐν προσθήκης μέρει ταῦτα παρ' αὐτοῦ διδόμενα, ὥστε μὴ ἀποκάμῃς; καθάπερ γὰρ οἱ ἀθληταὶ ἀπολαύουσι μὲν θεραπείας καὶ ἔτι ὄντες ἀγωνίζονται, πλὴν ἀλλ' οὐ πάσης τότε τῆς αἰτέσεως ἀπολαύουσιν, ὑπὸ νόμοις ζῶντες, ἀλλὰ πάσης μετὰ ταῦτα " ἀπολαύουσιν· οὕτω καὶ ὁ Θεὸς οὐ πάσης ἐνταῦθα δίδωσι μεταλαβεῖν τῆς αἰτέσεως. δίδωσι μὲν γὰρ καὶ ἐνταῦθα· πλὴν ὅμως τὴν πᾶσαν ἐν τῷ μέλλοντι ἐταμιεύσατο. καὶ ὅτι τοῦτό ἐστιν, ἐδήλωσεν αὐτὸ καὶ διὰ τῆς ἐπαγωγῆς, εἰπὼν, Ἀλλὰ πόῤῥωθεν αὐτὰς ἰδόντες καὶ ἀσπασάμενοι. Ἐνταῦθα ἡ μυστικὴ αἰνίττεται. δείκνυσι γὰρ ὅτι " προέλαβον πάντα τὰ περὶ τῶν μελλόντων εἰρημένα, τὰ περὶ ἀναστάσεως, τὰ περὶ βασιλείας οὐρανῶν, τὰ περὶ τῶν ἄλλων, ὧν ἐλθὼν ὁ Χριστὸς ἐκήρυξε. τὰς γὰρ ἐπαγγελίας ταύτας φησίν. ἢ τοῦτο οὖν φησιν, ἢ ὅτι οὐκ ἔλαβον μὲν αὐτὰς, θαῤῥήσαντες δὲ ὑπὲρ αὐτῶν ἀπῆλθον. ἐθάῤῥησαν δὲ τῇ πίστει μόνῃ. πόῤῥωθεν δὲ αὐτὰς ἰδόντες εἶπε, δηλῶν ὅτι περὶ τοσάρων γενεῶν. μετὰ γὰρ τοσαύτας μὲν ἦλθον εἰς Αἴγυπτον. καὶ ἀσπασάμενοι, φησι, καὶ ἰδόντες. οὕτως " πεπεισμένοι ἦσαν περὶ αὐτῶν, ὡς καὶ ἀσπάσασθαι αὐτάς. ἀπὸ μεταφορᾶς εἶπε τῶν πλεόντων καὶ πόῤῥωθεν ὁρώντων τὰς πόλεις τὰς ποθουμένας, " ἃς πρὶν ἢ εἰσελθεῖν εἰς αὐτὰς τῇ προσρήσει λαβόντες αὐτὰς οἰκειοῦνται.

χ. διαπυσχάνουσιν·

χ. προέλαβον

χ. ταῦτα πιστεύοντες ἰδόντες

χ. πεπεισμένοι

χ. ἃς

10 Ἐξεδέχετο γὰρ, φησι, τὴν τοὺς θεμελίους ἔχουσαν πόλιν, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός. Ὁρᾷς ὅτι " ὃ ἔλαβον " ὃ ἤδη δέξασθαι [ἐστὶ] καὶ θαῤῥῆσαι ὑπὲρ αὐτῶν; εἰ τοίνυν δὲ θαῤῥῆσαι λαβεῖν ἐστιν, ἔξεστι καὶ ὑμῖν λαβεῖν. οὗτοι γὰρ εἰ καὶ μὴ ἀπήλαυσαν τούτων, ἀλλ' ὅμως τῷ πόθῳ ἐθεώρουν αὐτάς. τί δὴ ταῦτα λέγει; ἵνα ἡμεῖς αἰσχυνθῶμεν, ὅτι ἐκεῖνοι μὲν, καὶ ἐπαγγελλομένων αὐτοῖς τῶν ἐν τῇ γῇ, οὐ προσεῖχον, ἀλλὰ τὴν μέλλουσαν πόλιν ἐζήτουν· ἡμεῖς δὲ αἰῶ καὶ κάτω ὁ Θεὸς περὶ τῆς ἄνω διαλέγεται πόλεως, καὶ τὴν ἐνταῦθα ζητοῦμεν.

χ. τοῦτο ἐν.

χ. τὸ ὑπ.

Digitized by Google

Λογ. κγ. 7 ΠΙΣΤΕΙ ΧΡΗΜΑΤΙΣΘΕΙΣ ΝΩΕ ΠΕΡΙ ΤΩΝ *μηδέπω βλεπομένων, εὐλαβηθεὶς κατεσκεύασε κιβωτὸν εἰς σωτηρίαν τοῦ οἴκου αὐτοῦ· δι' ἧς κατέκρινε τὸν κόσμον, καὶ τῆς κατὰ πίστιν δικαιοσύνης ἐγένετο κληρονόμος.*

Λουκ. ιζ. κς. Πίστει, φησί, χρηματισθεὶς Νῶε. ] καθάπερ ὁ υἱὸς τοῦ Θεοῦ περὶ τῆς ἑαυτοῦ παρουσίας διαλεγόμενος ἔλεγεν, Ἐν ταῖς ἡμέραις τοῦ Νῶε ἐγάμουν καὶ ἐγαμίσκοντο· οὕτω καὶ ἔσται φησιν. Εἰκότως δὲ αὐτοὺς οἰκείας εἰκόνος ἀνέμνησε. τὸ μὲν γὰρ ὑπόδειγμα τοῦ Ἐνὼχ, πίστεως ἦν ὑπόδειγμα μόνον· τὸ δὲ τοῦ Νῶε, καὶ ἀπιστίας. αὕτη δέ ἐστιν ἀπηρτισμένη παράκλησις καὶ παρατροπὴ, ὅταν μὴ μόνον τοὺς πιστεύσαντας εὑρίσκωνται εὐδοκιμοῦντας, ἀλλὰ καὶ τοὺς ἀπιστοῦντας τἀναντία πάσχοντας. τί γάρ φησι; πίστει χρηματισθεὶς Νῶε. τί ἐστι τοῦτο; προελέχθη ἦν αὐτῷ, φησί. χρηματισμὸν δὲ τὴν

*χ. διαθήκη*

Λουκ. β. κς. Ιωαν. ια. δ. προφητείαν καλεῖ. καὶ γὰρ ἀλλαχοῦ οὕτως εἶπε· Καὶ ἦν αὐτῷ κεχρηματισμένον ὑπὸ τοῦ πνεύματος. καὶ πάλιν, Καὶ τί λέγει ὁ χρηματισμός; ὁρᾷς τοῦ πνεύματος τὸ ἰσότιμον; ὥσπερ γὰρ ὁ Θεὸς χρηματίζει, οὕτω καὶ τὸ πνεῦμα τὸ ἅγιον. τίνος δὲ ἕνεκεν οὕτως εἶπεν; ἵνα δείξῃ ὅτι ὁ χρηματισμὸς προφητεία ἐστί. περὶ τῶν μηδέπω βλεπομένων φησί· τουτέστι, τοῦ ὑετοῦ. εὐλαβηθεὶς κατεσκεύασε κιβωτόν. ὁ μὲν λογισμὸς οὐδὲν τοιοῦτον ὑπέβαλλεν. ἐγάμουν γὰρ, καὶ ἐγαμίσκοντο, ἀὴρ ἦν καθαρὸς, σημεῖα οὐκ ἦν· ἀλλ' ὅμως ἐφοβήθη ἐκεῖνος. διὸ καὶ οὕτως εἶπε· πίστει χρηματισθεὶς Νῶε περὶ τῶν μηδέπω βλεπομένων, εὐλαβηθεὶς κατεσκεύασε κιβωτὸν εἰς σωτηρίαν τοῦ οἴκου αὐτοῦ. πῶς, δι' ἧς κατέκρινε τὸν κόσμον; ἔδειξεν αὐτοὺς ἀξίους ὄντας κολάσεως, οἵγε οὐδὲ διὰ τῆς κατασκευῆς ἐσωφρονίζοντο. καὶ τῆς κατὰ πίστιν, φησί, δικαιοσύνης ἐγένετο κληρονόμος· τουτέστιν, ἀπὸ τούτου δίκαιος ἐφάνη, ἀπὸ τοῦ πιστεῦσαι τῷ Θεῷ. τοῦτο γὰρ ψυχῆς ἐστι γνησίως πρὸς αὐτὸν διακειμένης, καὶ μηδὲν πιστότερον τῶν αὐτοῦ ῥημάτων εἶναι κρινούσης· ὥσπερ οὖν ἡ ἀπιστία τοὐναντίον. ἡ δὲ πίστις εὔδηλον ὅτι δικαιοσύνην ἐργάζεται. ὥσπερ ἡμεῖς ἐχρηματίσθημεν περὶ γεέννης, οὕτω κἀκεῖνος. καίτοιγε ἐγελᾶτο τότε, καὶ ὠνειδίζετο καὶ ἐχλευάζετο· ἀλλ' ὅμως πρὸς οὐδὲν τούτων εἶδε.

*χ. χρηματισμὸς δὲ τί ποτέ ἐστι λέγεται;*

*χ. χρηματίζει*

8 Πίστει καλούμενος Ἀβραὰμ, ὑπήκουσεν ἐξελθεῖν εἰς τὸν τόπον, ὃν ἤμελλε λαμβάνειν εἰς κληρονομίαν· καὶ ἐξῆλθε μὴ ἐπιστάμενος ποῦ ἔρχεται.

9 Πίστει παρῴκησεν εἰς τὴν γῆν τῆς ἐπαγγελίας ὡς ἀλλοτρίαν, ἐν σκηναῖς κατοικήσας μετὰ Ἰσαὰκ καὶ Ἰακὼβ τῶν συγκληρονόμων τῆς ἐπαγγελίας τῆς αὐτῆς. Τίνα γὰρ εἶδεν, ἵνα ζηλώσῃ, εἰπέ μοι; πατέρα Ἕλληνα εἶχε, καὶ εἰδωλολάτρην, προφητῶν οὐκ ἠκηκόει, οὐδὲ ᾔδει ποῦ ἤρχετο. ἐπειδὴ γὰρ εἰς τούτους ἑώρων τοὺς ἐξ Ἑβραίων πεπιστευκότας, ὡς μυρίων ἀπολαύσαντας ἀγαθῶν, δείκνυσιν ὅτι οὐδεὶς οὐδέπω οὐδὲν ἐκομίσατο, ἀλλ' ἐπὶ πάντες εἰσὶν ἀγέραστοι, καὶ ὅτι οὐδεὶς οὐδέπω ἐδέξατο τὰς ἀμοιβάς. τῆς πατρίδος ἐκεῖνος καὶ τῆς οἰκίας ἐξέπεσε, καὶ ἐξῆλθεν οὐκ εἰδὼς ποῦ ἔρχεται. καὶ τί θαυμαστὸν, εἰ αὐτὸς, ὅπουγε καὶ τὸ σπέρμα αὐτοῦ οὕτω κατῴκησεν; ὁρῶντες γοῦν ἐλεγχομένην τὴν ἐπαγγελίαν, οὐ κατενάρκησεν.

Γεν. ιβ. ζ. Εἶπε γὰρ, Σοὶ δώσω τὴν γῆν ταύτην, καὶ τῷ σπέρματί σου. εἶδε τὸν υἱὸν ἐκεῖ κατοικοῦντα· καὶ ὁ ἔκγονος πάλιν εἶδεν ἑαυτὸν ἐν ἀλλοτρίᾳ κατοικοῦντα, καὶ οὐδὲν ἐθορυβήθη. τὸ μὲν γὰρ τοῦ Ἀβραὰμ εἰκότως ἐγίγνετο, ἅτε μετὰ ταῦτα μελλούσης τῆς ἐπαγγελίας εἰς ἔργον ἐκβήσεσθαι εἰς τὸ γένος αὐτοῦ. καίτοιγε καὶ πρὸς αὐτὸν εἴρητο, ὅτι σοὶ καὶ τῷ σπέρματί σου. οὐ, διὰ τοῦ σπέρματός σου σοι, ἀλλά, σοὶ καὶ τῷ σπέρματί σου. καὶ οὔτε αὐτὸς, οὔτε ὁ Ἰσαὰκ, οὔτε ὁ Ἰακὼβ ἀπήλαυσαν τῆς ὑποσχέσεως. ὁ μὲν γὰρ μισθῷ ἐδούλευσεν, ὁ δὲ ἐξηλαύνετο· ἐστὶ δὲ

*χ. ἔχει*
*χ. ὑπομιμνήσκει ἐλεγχομένην τὴν ἐπαγγελίαν ἀνεῖπε*

καὶ

τὰς χεῖρας εἰς τὸν οὐρανὸν αἴρωμεν (ἔπαρσις, φησὶ, τῶν χειρῶν μου θυσία ἑσπερινή) ἐὰν μετὰ τῶν χειρῶν καὶ τὸν νοῦν ἀναλαμβάνωμεν. ἴστε οἱ μεμυημένοι τί λέγω· τάχα δὲ καὶ ἐπιγινώσκετε τὸ λεχθὲν, καὶ συννοεῖτε ὅπερ ᾐνιξάμην. ἐπάρωμεν εἰς ὕψος τὴν διάνοιαν. οἶδα πολλοὺς ἄνδρας ἐγὼ, σχεδὸν κρεμαμένους ἀπὸ τῆς γῆς, καὶ πέρα τοῦ μέτρου τὰς χεῖρας ἀνατείνοντας, καὶ ἀθυμοῦντας, ὅτι μὴ δυνατὸν μετεωρισθῆναι, καὶ οὕτως εὐχομένους μετὰ προθυμίας. οὕτως ὑμᾶς εἶναι βούλομαι ἀεί. εἰ δὲ μὴ ἀεὶ, κἂν πλεονάκις· εἰ δὲ μὴ πλεονάκις, κἂν ὀλιγάκις, κἂν ἐν ταῖς ἑωθιναῖς, κἂν ἐν ταῖς ἑσπεριναῖς. εἰπὲ γάρ μοι, ἐκτεῖναι τὰς χεῖρας οὐ δύνῃ; ἔκτεινον τὴν προαίρεσιν, ὅσον θέλεις· ταύτην ἔκτεινον κἂν εἰς αὐτὸν τὸν οὐρανόν. κἂν αὐτῆς βουληθῇς τῆς κορυφῆς ἅψασθαι, κἂν ἀνωτέρω ἀνελθὼν ἐμπεριπατῆσαι, ἔξεστί σοι. πάντως γὰρ πτερωτὸς καὶ κουφότερος καὶ ὑψηλότερος ὀρνίθων ὁ νοῦς. ὅταν δὲ καὶ τὴν παρὰ τοῦ πνεύματος λάβῃ χάριν, βαβαί, πῶς ἐστι ταχύς; πῶς ὀξύς; πῶς πάντα περινοστεῖ; πῶς οὐ καταφέρεται, οὐδὲ καταπίπτει πρὸς τὸ ἔδαφος; ταῦτα κατασκευάσωμεν ἡμῖν τὰ πτερά· διὰ τούτων καὶ τὸ πέλαγος διαπλεῦσαι δυνησόμεθα τοῦ κλύδωνος τοῦ παρόντος βίου. τὰ ὀξύτατα τῶν ὀρνίθων, καὶ ὄρη καὶ νάπας, καὶ πελάγη καὶ σκοπέλους ἐν βραχείᾳ καιροῦ ῥοπῇ διίπταται ἀπονί. τοιοῦτός ἐστι καὶ ὁ νοῦς, ὅταν πτερωθῇ, ὅταν τῶν βιωτικῶν ἀποστῇ, οὐδὲν αὐτοῦ ἐπιλαβέσθαι δύναται, πάντων ἐστὶν ἀνώτερος, καὶ τῶν βελῶν τῶν πεπυρωμένων τοῦ διαβόλου. οὐκ ἔστιν οὕτως εὔστοχος ὁ διάβολος, ὡς δυνηθῆναι τοῦ ὕψους ἐφικέσθαι· ἀλλὰ τί; ἀφίησι μὲν τὰ βέλη· ἀναίσχυντος γάρ ἐστιν· οὐκ ἐπιτυγχάνει δέ· ἀλλ' ὑποστρέφει πρὸς αὐτὸν κενὸν τὸ βέλος, καὶ οὐ μόνον κενὸν, ἀλλὰ καὶ εἰς τὴν αὐτοῦ κεφαλήν. δεῖ γὰρ πάντως πλῆξαι τὸ παρ' αὐτοῦ πεμπόμενον. ὥσπερ οὖν τὸ παρὰ ἀνθρώπων βληθὲν, ἢ τὸ καθ' οὗ πέμπεται, βάλλει, ἢ ὄρνεον, ἢ τοῖχον, ἢ ἱμάτιον, ἢ ξύλον, ἢ αὐτὸν τὸν ἀέρα διατέμνει· οὕτω καὶ τὸ τοῦ διαβόλου βέλος δεῖ μὲν πλῆξαι πάντως, ἂν δὲ τὸν βαλλόμενον μὴ πλήξῃ, πάντως τὸν πέμποντα ἔπληξε. καὶ ἔστι πολλαχόθεν τοῦτο μαθεῖν, ὅτι ὅταν ἡμεῖς μὴ πληγῶμεν, πάντως ἐκεῖνος πλήττεται. οἷον τί λέγω, ἐπεβούλευσε τῷ Ἰὼβ, οὐκ ἔπληξεν αὐτὸν, ἀλλ' ἐπλήγη αὐτός. ἐπεβούλευσε τῷ Παύλῳ, οὐκ ἔπληξεν αὐτὸν, ἀλλ' ἐπλήγη αὐτός. καὶ πανταχοῦ τοῦτο ἔστιν, ἐὰν νήφωμεν, ἰδεῖν γινόμενον. καὶ ὅταν μὲν γὰρ πλήξῃ, πλήττεται· πολλῷ δὲ πλέον, ὅτι κατ' ἐκείνου τοῖς ξίφεσι, καὶ τῷ θυρεῷ τῆς πίστεως καθοπλίσαντες καὶ τειχίσαντες ἑαυτοὺς, ἐν ἀσφαλείᾳ διατηρώμεθα, ὥστε ἀνάλωτοι γίνεσθαι. βέλος δέ ἐστι τοῦ διαβόλου, ἐπιθυμία πονηρά. ὀργὴ μάλιστα πῦρ ἐστι, φλόξ ἐστι, συναρπάζει, ἀναιρεῖ, κατακαίει. ἀλλ' ἡμεῖς τῇ μακροθυμίᾳ, τῇ ἀνοχῇ αὐτὴν σβέσωμεν. καθάπερ γὰρ πεπυρωμένος σίδηρος εἰς ὕδωρ βαφεὶς, τὸ πῦρ ἀπόλλυσιν· οὕτως ὀργὴ εἰς τὸν μακρόθυμον ἐμπεσοῦσα, οὐδὲν τὸν μακρόθυμον ἔβλαψεν, ἀλλὰ μᾶλλον ὠφέλησε, καὶ αὐτὸς διεχεατίθη πλέον. οὐδὲν γὰρ μακροθυμίας ἴσον. οὐδέποτε ὑβρίζεται ὁ τοιοῦτος· ἀλλ' ὥσπερ τὰ ἀδαμάντινα σώματα οὐ πλήττεται, οὕτως οὐδ' αἱ τοιαῦται ψυχαί. ἀνώτεραι γὰρ τῶν βελῶν εἰσιν. ὑψηλός ἐστι, καὶ οὕτως ὑψηλὸς ὁ μακρόθυμος, ὡς μὴ δέχεσθαι πληγὴν ἀπὸ τῆς βολῆς. ὅταν ἀγελαίῃ, σὺ γέλα· γέλα δὲ μὴ φανερῶς, ὥστε μὴ προξενῆσαι· ἀλλὰ γέλα κατὰ ψυχὴν, αὐτοῦ ἕνεκεν. καὶ γὰρ ἐπὶ τῶν παίδων, ὅταν πλήττωσιν ἡμᾶς μετὰ θυμοῦ, ὡς διαμυνόμενοι, γελῶμεν. ἂν τοίνυν γελάσῃς, τοσοῦτον ἔσται σοῦ κἀκείνου τὸ μέσον, ὅσον παιδὸς καὶ ἀνδρός· ἂν δὲ ἀγελαίνῃς, γέγονας παῖς. παίδων γὰρ ἀνοητότεροι οἱ ὀργιζόμενοι. εἰπὲ δή μοι, ἂν ἀπίδῃ τις πρὸς παῖδα ἀγελαίνοντα, οὐχὶ καταγελᾷ; τοῦτο καὶ ἐπὶ τῶν ὀργιζομένων συμβαῖνον ἔστιν ἰδεῖν. οἱ τοιοῦτοι καὶ ὀλιγόψυχοι· εἰ δὲ ὀλιγόψυχοι, καὶ ἄφρονες. Ὁ δὲ ὀλιγόψυχος, φησὶν, ἰσχυρῶς ἄφρων. [ὁ τοίνυν ἄφρων, νήπιός ἐστι.] καὶ ὁ μακρόθυμος, φησὶ, πολὺς ἐν φρονήσει.* Ταύτην τοίνυν τὴν μακροθυμίαν μεταδιώκωμεν, ἐπεὶ πολλὴ τοῖς κατορθοῦσι συνέσεις προσγίνεται· ἵνα τύχωμεν τῶν ἐπηγγελμένων ἡμῖν ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Marginal notes:
ψαλ. ρμ. β.
γρ. -τέρω περιπατῆσαι, ἔξ.
γρ. πέμπει,
γρ. τὸν καθ' οὗ πέμπεται, μὴ
γρ. ἐπιωθῶμεν τοίνυν κατ' ἐκείνου τὰ ξίφη, καὶ τῷ
Παροίμ. ιδ.
*κα
γρ. -σιν ἐν ᾗ πολλὴ αἴνεσις μετά.

διὰ τί μετετέθη, καὶ διὰ τί οὐκ ἀπέθανεν, οὔτε αὐτὸς, οὔτε ὁ Ἡλίας, καὶ εἰ ἔτι ζῶσι, πῶς ζῶσι, καὶ ἐν ποίῳ σχήματι εἰσίν. ἀλλὰ περιττὸν πάντη τὸ ταῦτα ζητεῖν. ὅτι μὲν γὰρ μετετέθη οὗτος, καὶ ὅτι ἀνελήφθη ἐκεῖνος, εἶπον αἱ γραφαί· ποῦ δὲ εἰσὶ, καὶ πῶς εἰσὶν, οὐκέτι προσέθηκαν. οὐδὲν γὰρ πλέον τῶν ἀναγκαίων λέγουσι. τοῦτο μὲν γὰρ γέγονε (λέγω δὲ τὸ τῆς μεταθέσεως) ἐκ προοιμίων εὐθέως, ὅπως ἡ ἀνθρωπίνη φύσις ἐλπίδα λάβῃ τῆς καταλύσεως τοῦ θανάτου, καὶ τῆς καθαιρέσεως τῆς τυραννίδος τῆς διαβολικῆς, καὶ ὅτι καταλυθήσεται ὁ θάνατος. μετετέθη γὰρ οὐ νεκρὸς, ἀλλ᾽ ὥστε μὴ ἰδεῖν θάνατον. διὰ τοῦτο προσέθηκε, ζῶν μετετέθη, ὅτι εὐηρέστησε. καθάπερ γὰρ τις ἀπειλήσας πατὴρ υἱῷ, βούλεται μὲν εὐθέως λῦσαι τὴν ἀπειλὴν, ὅταν ἀπειλήσῃ, ἀνέχεται δὲ καὶ καρτερεῖ, ἵνα τέως αὐτὸν σωφρονίσῃ καὶ νουθετήσῃ, ἀφεὶς βεβαίαν μένειν τὴν ἀπειλήν· οὕτω καὶ ὁ Θεὸς, σχεδὸν εἰπεῖν, ἀνθρωπίνως, οὐκ ἐκαρτέρησεν, ἀλλ᾽ εὐθέως ἔδειξεν, ὅτι λέλυται ὁ θάνατος. καὶ πρῶτον ἀφίησι τὸν θάνατον εἰς τὸν δίκαιον ἐλεύσεσθαι, φοβῆσαι βουλόμενος διὰ τοῦ παιδὸς τὸν πατέρα. θέλων γὰρ δεῖξαι, ὅτι οὕτως ἐστὶν ἡ ἀπόφασις βεβαία, οὐ τοὺς κακοὺς εὐθέως, ἀλλὰ καὶ τὸν εὐαρεστήσαντα ὑπεδέξατο τῇ τιμωρίᾳ, τὸν μακάριον ἐκεῖνον τὸν Ἄβελ λέγω. καὶ σχεδὸν μετὰ τοῦτον εὐθέως μετέθηκε τὸν Ἐνὼχ ζῶντα. καὶ οὐκ ἀνέστησεν ἐκεῖνον, ἵνα μὴ θαῤῥήσωσιν [εὐθέως, ἀλλὰ μετέθηκε τοῦτον ζῶντα·] διὰ μὲν τοῦ Ἄβελ φοβήσας, διὰ δὲ τούτου δοὺς ζῆλον τῆς εὐαρεστήσεως αὐτοῦ. ὥστε οἱ αὐτόματα πάντα ἄγεσθαι καὶ φέρεσθαι λέγοντες, καὶ μὴ προσδοκῶντες ἀντίδοσιν, οὐκ εὐαρεστοῦσιν· ὥσπερ οὐδὲ οἱ Ἕλληνες. τοῖς γὰρ ἐκζητοῦσιν αὐτὸν δι᾽ ἔργων, καὶ διὰ τῆς γνώσεως, μισθαποδότης ἐστί.

γρ. -θίνην τὴν ἀνθρωπίνην ψυχὴν λαμβάνουσαν ἐλπίδα τῆς

γρ. -τηρεῖ τὸ τῆς ἀπειλῆς· οὕτω καὶ ὁ Θεὸς ἀπειλήσας θάνατον, σχεδὸν εἰπεῖν, ἵνα

ΗΘΙΚΟΝ

Ἐπεὶ οὖν ἔχομεν μισθαποδότην, πάντα πράττωμεν, ὥστε μὴ ἀποστερηθῆναι τῶν μισθῶν τῶν ἐπὶ τῇ ἀρετῇ. καὶ γὰρ πολλῶν δακρύων ἄξιοι τοιαύτης ἀμοιβῆς ὑπεριδεῖν, τοιαύτης ἀντιδόσεως καταφρονῆσαι. ὥσπερ γὰρ τοῖς ἐκζητοῦσιν αὐτὸν μισθαποδότης ἐστὶν, οὕτω τοῖς μὴ ζητοῦσι, τὸ ἐναντίον. Ζητεῖτε, καὶ εὑρήσετε, φησί. πῶς δὲ ἔστι τὸν Κύριον εὑρεῖν; ἐννόησον πῶς εὑρίσκεται τὸ χρυσίον· μετὰ πολλοῦ πόνου. Ταῖς χερσί μου, φησὶ, νυκτὸς ἐναντίον αὐτοῦ, καὶ οὐκ ἠπατήθην· τουτέστιν, ὥσπερ τὸ ἀπολωλὸς ζητοῦμεν, οὕτω τὸν Θεὸν ζητήσωμεν. οὐχὶ τὸν νοῦν ἐκεῖ συστρέφομεν; οὐχὶ πάντας ἐξετάζομεν; οὐχὶ ἀποδημίαν ποιούμεθα; οὐχὶ χρήματα ἐπαγγελλόμεθα; οἷον, ἔστω τις ἡμῖν υἱὸς ἀπολωλώς. τί * οὐ πράττομεν; ποίαν γῆν, ποίαν θάλατταν οὐ περινοστοῦμεν; οὐχὶ καὶ χρήματα, καὶ οἰκίας, καὶ πάντα δεύτερα ἡγούμεθα τῆς εὑρέσεως; κἂν εὕρωμεν, κατέχομεν, ἐπισφίγγομεν, οὐκ ἐγκαταλιμπανόμεθα. καὶ μέλλοντες ζητεῖν, πάντα πραγματευόμεθα, ὥστε εὑρεῖν τὸ ζητούμενον. πόσῳ δὲ μᾶλλον ἐπὶ τοῦ Θεοῦ τοῦτο χρὴ ποιεῖν, ὥσπερ τι τῶν ἀναγκαίων ζητοῦντας; μᾶλλον δὲ οὐχ οὕτως, ἀλλὰ καὶ πολλῷ πλέον. πλὴν ἀλλ᾽ ἐπειδὴ ἀσθενέστεροι, κἂν ὡς τὰ χρήματά σου ζητεῖς, ἢ τὸν υἱὸν, ζήτησον τὸν Θεόν. οὐχὶ ἀποδημεῖς ὑπὲρ τούτου; [ἆρα οὐκ ἀπεδήμησάς ποτε ὑπὲρ χρημάτων;] οὐχὶ πάντα περιεργάζῃ; οὐχ ὅταν εὕρῃς, τότε θαῤῥεῖς; Ζητεῖτε, φησὶ, καὶ εὑρήσετε. τὸ γὰρ ζητούμενον πολλῆς δεῖται μερίμνης, καὶ μάλιστα ἐπὶ Θεοῦ. πολλὰ γὰρ τὰ κωλύματα, πολλὰ τὰ ἐπισκοτοῦντα, πολλὰ τὰ εἴργοντα ἡμῶν τὴν αἴσθησιν. ὥσπερ γὰρ ὁ ἥλιος ἐστὶ δῆλος, καὶ εἰς μέσον πᾶσι πρόκειται, καὶ οὐ δεόμεθα τοῦ ζητεῖν αὐτόν, ἂν μέντοι κατορύξωμεν ἑαυτοὺς, καὶ πάντα περιστρέφωμεν, πολλοῦ δεόμεθα πόνου, ὥστε ἰδεῖν πρὸς τὸν ἥλιον· οὕτω δὴ καὶ ἐνταῦθα, ἐὰν ἐν τῷ βυθῷ τῶν ἐπιθυμιῶν τῶν πονηρῶν, ἐὰν ἐν τῷ σκότῳ τῶν παθῶν καὶ τῶν βιωτικῶν πραγμάτων κατορύττωμεν ἑαυτοὺς, * μόλις διαβλέπομεν, μόλις ἀνακύπτομεν. ὁ κάτω κατορωρυγμένος, ὅσῳ ἂν ἄνω βλέπῃ, τοσούτῳ πρὸς τὸν ἥλιον ἔρχεται. ἀποτιναξώμεθα τοίνυν τὸν χοῦν, ἀναῤῥήξωμεν τὴν ἐπικειμένην ἡμῖν ἀχλύν. παχεῖά τίς ἐστι, καὶ στεγανὴ, καὶ οὐκ ἀφίησιν ἡμᾶς ἀναβλέψαι. καὶ πῶς διαῤῥήγνυται, φησὶν, ἡ νεφέλη αὕτη; ἐὰν ἐπισπασώμεθα [τοῦ νοητοῦ ἡλίου] τὰς ἀκτῖνας, τοῦ ἡλίου τῆς δικαιοσύνης, ἐὰν

Ματθ. ζ. ζ.

Ψαλ. οϛ. β.

Ματθ. ζ. ζ.

γρ. δ

* ἐφ

γρ. [illegible] πῶν

* μόλις ὁρῶμεν

γρ. αὐτῆς

τὰς

δι' αὐτῆς ἀποθανὼν ἔτι λαλεῖ. πῶς δὲ καὶ [ἄλλως] ἐμαρτυρήθη εἶναι δίκαιος; λέγεται πῦρ χ. -τοῦ ὁ Κύριος, ἐνεπ. κατελθὸν ἀναλαβεῖν τὰς θυσίας. αὐτὴ γὰρ τοῦ, Ἐπὶ Ἄβελ ἐπέβλεψε, καὶ ἐπὶ τὰς θυσίας '' αὐτοῦ ὁ Σύρος, καὶ ἐνεπύρισεν, εἶπεν. ὁ τοίνυν καὶ διὰ λόγων, καὶ δι' ἔργων μαρτυρήσας τῷ δικαίῳ, καὶ δι' αὐτὸν ὁρῶν ἀναιρούμενον, οὐκ ἤμυνεν, ἀλλ' εἴασε. τὸ δὲ ὑμέτερον, οὐ τοιοῦτον. πάσχετε γὰρ χ. οἱ καὶ πρ. ἔχοντες, '' μετὰ τὸ καὶ προφήτας παραδείγματα '' ἔχοντες, καὶ παρακλήσεις μυρίας, καὶ σημεῖα καὶ θαύματα γινόμενα· ὥστε ἐκεῖνο ὄντως πίστις ἦν. ποῖα γὰρ θαύματα εἶδεν ἐκεῖνος, ἵνα πιστεύσῃ ὅτι ἔσται τις αὐτῷ ἀντίδοσις τῶν ἀγαθῶν; οὐχὶ ἀπὸ πίστεως μόνης τὴν ἀρετὴν εἵλετο; τί ἐστι, καὶ δι' αὐτῆς ἀποθανὼν ἔτι λαλεῖ; ἵνα μὴ εἰς πολλὴν ἀπόγνωσιν αὐτοὺς ἐμβάλῃ, δείκνυσιν αὐτὸν ἐν μέρει ἀπολαύσαντα ἀμοιβῆς. χ. παρ' αὐ. πῶς; ἡ ἐπισκοπὴ ἡ '' ὑπὲρ αὐτοῦ, φησί, πολλή ἐστι. τοῦτο γὰρ ἠνίξατο εἰπών, καὶ ἔτι λαλεῖ· τουτέστι, αὔξει αὐτόν· ἀλλὰ οὕτως αὔξει αὐτῷ τὴν δόξαν καὶ τὴν ''' χ. μνήμην τιμήν. οὐ τέθνηκεν ἐκεῖνος· οὐκοῦν οὐδὲ ὑμεῖς τεθνήξεσθε. ὅσῳ γὰρ ἄν τις χαλεπώτερα πάθῃ, τοσούτῳ ἡ δόξα μείζων. πῶς οὖν ἔτι γὰρ λαλεῖ; τοῦτο καὶ τοῦ ζῆν σημεῖόν ἐστι, καὶ τοῦ παρὰ πάντων ᾄδεσθαι, θαυμάζεσθαι καὶ μακαρίζεσθαι. ὁ γὰρ παραινῶν τοῖς ἄλλοις δικαίοις εἶναι, λαλεῖ. οὐ τοσοῦτον γὰρ δύναιντο λόγοι, ὅσον τὸ πάθος τὸ ἐκείνου. ὥσπερ οὖν ὁ οὐρανὸς φαινόμενος μόνον λαλεῖ, οὕτω καὶ ἐκεῖνος μνημονευόμενος. οὐκ ἂν εἰ ἀνεκήρυξεν ἑαυτόν, οὐκ ἂν εἰ μυρίας εἶχε γλώττας, καὶ ἔζη, οὕτως ἐθαυμάζετο ὡς νῦν. τουτέστιν, οὐκ ἀτιμώρητα ταῦτα γέγονεν, οὐδὲ ἁπλῶς, οὐδὲ παρέρχεται.

5 Πίστει Ἐνὼχ μετετέθη, τοῦ μὴ ἰδεῖν θάνατον· καὶ οὐχ εὑρίσκετο, διότι μετέθηκεν αὐτὸν ὁ Θεός. πρὸ γὰρ τῆς μεταθέσεως αὐτοῦ μεμαρτύρηται εὐηρεστηκέναι τῷ Θεῷ.

6 Χωρὶς δὲ πίστεως ἀδύνατον εὐαρεστῆσαι. πιστεῦσαι γὰρ δεῖ [πρῶτον] τὸν προσερχόμενον τῷ Θεῷ, ὅτι ἐστί, καὶ τοῖς ἐκζητοῦσιν αὐτὸν μισθαποδότης γίνεται. Οὗτος μείζονα πίστιν τοῦ Ἄβελ ἐπεδείξατο. τί δήποτε; '' ὅτι εἰ καὶ μετ' ἐκεῖνον '' γέγονεν, ἀλλὰ τὰ εἰς ἐκεῖνον γινόμενα ἱκανὰ ἦν αὐτὸν ἀποστρέψαι. χ. ἐπὶ μετ' χ. -ναι, καὶ τὰ πῶς; προῄδει ὁ Θεὸς ὅτι ἀπόλλυται. εἶπε γὰρ τῷ Κάϊν, Ἥμαρτες, μὴ προσθῇς ἔτι. ἐτιμήθη παρ' αὐτοῦ· οὐκ ἤμυνεν αὐτῷ. καὶ οὐδὲ τοῦτο εἰς ῥᾳθυμίαν ἐνέβαλεν. οὐκ εἶπε πρὸς ἑαυτόν, τίς χρεία πόνων καὶ κινδύνων; ὁ Ἄβελ ἐτίμησε τὸν Θεόν, καὶ οὐκ ἤμυνεν αὐτῷ. τί γὰρ ὄφελος τῷ ἀπελθόντι '' τῆς τιμωρίας τῆς τοῦ ἀδελφοῦ; τί δὲ ἐκεῖθεν ἀπιᾶσθαι αὐτὸν δυνατόν; θῶμεν ὅτι χαλεπὴν δίδωσι δίκην. τί πρὸς τὸν ἀνῃρημένον; οὐδὲν τοιοῦτον οὐκ εἶπεν, οὐκ ἐνενόησεν *, ἀλλὰ ταῦτα πάντα ὑπερβάς, ἔγνω ὅτι εἰ Θεός ἐστι, πάντως καὶ ἀνταποδότης ἐστί. καίτοι οὔπω οὐδὲν περὶ ἀναστάσεως ᾔδεσαν. εἰ δὲ οἱ μηδὲν μηδέπω περὶ ἀναστάσεως εἰδότες, ἀλλὰ καὶ ἐνταῦθα τὰ ἐναντία ὁρῶντες οὕτως εὐηρέστησαν, πόσῳ μᾶλλον ὑμεῖς; οὔτε γὰρ περὶ ἀναστάσεως ᾔδεσαν ἐκεῖνοι, οὔτε εἰς παραδείγματα εἶχον ἰδεῖν. αὐτὸ μὲν οὖν τοῦτο αὐτὸν εὐαρεστῆσαι ἐποίησε, τὸ μηδὲν αὐτὸν ἀπολαβεῖν. εἰπὲ δή μοι· ᾔδει ὅτι μισθαποδότης ἐστὶν ὁ Θεός. '' πόθεν; οὔπω γὰρ οὐδὲ τῷ Ἄβελ ἀπέδωκεν. ὥστε ὁ λογισμὸς ἕτερα ὑπέβαλλεν, ἡ δὲ πίστις τὰ ἐναντία τῶν ὁρωμένων. καὶ ὑμεῖς οὖν, φησίν, ὁρᾶτε μηδὲν ἐνταῦθα ἀπολαμβάνοντας ὑμᾶς, μὴ θορυβεῖσθε. πῶς δὲ πίστει μετετέθη ὁ Ἐνώχ; ὅτι τῆς μεταθέσεως ἡ εὐαρέστησις αἰτία, τῆς δὲ εὐαρεστήσεως ἡ πίστις. εἰ γὰρ μὴ ᾔδει ὅτι λήψεται ἀμοιβάς, πῶς εὐηρέστει; χωρὶς δὲ πίστεως ἀδύνατον εὐαρεστῆσαι. πῶς; ἂν γάρ τις πιστεύσῃ εἶναι Θεόν, καὶ ἀντίδοσιν, ἕξει τὰς ἀμοιβάς. '' ἐντεῦθεν οὖν ἡ εὐαρέστησις. πιστεῦσαι γὰρ δεῖ τὸν προσερχόμενον τῷ Θεῷ, ὅτι ἐστίν, οὐ τὸ τί ἐστιν. εἰ δὲ τὸ ὅτι ἐστί, πίστεως, καὶ οὐ λογισμῶν δεῖται· τὸ τί ἐστι, λογισμῷ καταλαβεῖν '' δυνατόν; εἰ ὅτι μισθαποδότης ἐστί, πίστεως χρείαν ἔχει, καὶ οὐ λογισμῶν· πῶς τὰ τῆς οὐσίας λογισμῷ περιλαβεῖν ἔνι; ποῖος γὰρ δύναται λογισμὸς ἐφικέσθαι τούτων, τινὲς [γὰρ] αὐτόματά φασιν '' ἄγεσθαι τὰ ὄντα. ὁρᾷς ὅτι ἂν μὴ πιστεύωμεν περὶ πάντα, οὐ περὶ τὴν ἀντίδοσιν μόνον, ἀλλὰ καὶ περὶ αὐτὸ τὸ εἶναι Θεόν, οἴχεται ἡμῖν τὰ πάντα; πολλοὶ δὲ ζητοῦσι ποῦ μετετέθη ὁ Ἐνώχ, καὶ

Margin notes: χ. ἡ τιμωρία τοῦ ἀδελφοῦ τὸ παιδικὸς ; τί δὲ — '' εἰ καὶ εἰς ῥᾳθυμίαν αὐτὸν ἐνέβαλεν· — χ. -θεν; πρὸς Ἄβελ — χ. πόθεν — χ. ἀδύνατον. — χ. εἶναι

Ρωμ. α. ιβ.

ἰδεῖν συμβαίνοι· καθὼς ἐν ἄλλοις φησίν, Εἰς τὸ συμπαρακληθῆναι ἐν ὑμῖν, διὰ τῆς ἐν ἀλλήλοις πίστεως. σφόδρα γὰρ ἄπιστοι τὸ γένος τὸ ἀνθρώπινον, καὶ ἑαυτῷ οὐ δύναται θαῤῥεῖν, καὶ δέδοικεν ὑπὲρ ὧν ἂν κρίνῃ ὅ τι ἔχει, καὶ πολλὴν ἔχει τῆς τῶν πολλῶν δόξης φροντίδα. τί οὖν ὁ Παῦλος ποιεῖ; ἀπὸ τῶν πατέρων αὐτοὺς παρακαλεῖ καὶ περὶ τούτων, ἀπὸ τῆς κοινῆς ἐννοίας. ἐπειδὴ γὰρ ἡ πίστις τότε διεβάλλετο ὡς ἀναπόδεικτον πρᾶγμα, καὶ ἀπάτης μᾶλλον ὄν, διὰ τούτων δείκνυσιν, ὅτι τὰ μέγιστα διὰ πίστεως, καὶ οὐ διὰ λογισμῶν κατορθοῦται. καὶ πῶς τοῦτο δείκνυσιν; Εἰπέ μοι· πίστει νοοῦμεν, εἰπών, κατηρτίσθαι τοὺς αἰῶνας ῥήματι Θεοῦ, εἰς τὸ μὴ ἐκ φαινομένων τὰ βλεπόμενα γεγονέναι. δηλοῖ, φησίν, ὅτι ὅτι ἐξ οὐκ ὄντων τὰ ὄντα ἐποίησεν ὁ Θεός, ἐκ τῶν μὴ φαινομένων τὰ φαινόμενα, ἐκ τῶν οὐχ ὑφεστώτων τὰ ὑφεστῶτα. πόθεν δὲ δῆλον, ὅτι καὶ ῥήματι [τοῦτο] ἐποίησεν; ὁ μὲν γὰρ λογισμὸς οὐδὲν ὑποβάλλει τοιοῦτον, ἀλλὰ καὶ τοὐναντίον ἐκ τῶν φαινομένων τὰ μὴ φαινόμενα εἶναι. διὰ τοῦτο μάλιστα οἱ φιλόσοφοι οὐδέν φασιν ἐξ οὐκ ὄντων εἶναι, ψυχικοὶ ὄντες, καὶ οὐδὲν τῇ πίστει ἐπιτρέποντες. ἁλίσκονται δὲ καὶ αὐτοὶ ὅμως ὅταν μέγα τι καὶ γενναῖον εἴπωσι, τῇ πίστει αὐτὸ ἐπιτρέποντες· οἷον, λέγουσιν ὅτι ὁ Θεὸς ἄναρχός ἐστι καὶ ἀγέννητος. ὁ γὰρ λογισμὸς οὐχ ὑποβάλλει τοῦτο, ἀλλὰ * τοὐναντίον. θὲς δέ μοι καὶ τὴν πολλὴν μωρίαν αὐτῶν. τὸν Θεὸν ἄναρχον λέγουσιν, ὃ τοῦ ἐξ οὐκ ὄντων πολλῷ θαυμασιώτερον. τοῦ γὰρ εἰπεῖν, ὅτι ἐξ οὐκ ὄντων τὰ ὄντα ὁ Θεὸς ἐποίησε, τὸ εἰπεῖν, ὅτι ἄναρχός ἐστιν, καὶ ἀγέννητος, οὔτε ὑφ' ἑαυτοῦ, οὔτε ὑφ' ἑτέρου γεννηθείς, ἀπορώτερον. ἐνταῦθα μὲν γὰρ πολλὰ τὰ πιστά ἐστιν, ὅτι ἐποίησέ τις, ὅτι ἀρχὴν ἔχει τὸ ποιούμενον, ὅτι ἐποιήθη ὅλως. ἐκεῖ δὲ τὸ, αὐτόματος, ἀγέννητος, οὔτε ἀρχὴν ἔχει, οὔτε χρόνον, ταῦτα οὐχὶ πίστεως δεῖται, εἰπέ μοι; ἀλλ' οὐκ ἔθηκε τοῦτο ὃ πολλῷ πλέον ἦν, ἀλλὰ τὸ ἔλαττον, εἰπών, πίστει νοοῦμεν κατηρτίσθαι τοὺς αἰῶνας ῥήματι Θεοῦ. πόθεν οὖν λέγεις δῆλον, ὅτι ὁ Θεὸς ῥήματι πάντα ἐποίησε; λογισμὸς γὰρ τοῦτο οὐχ ὑποβάλλει, οὐδὲ πεῖράν τις ὅτι ταῦτα ἐγένετο. ἀπὸ πίστεως. πίστεως γὰρ ἔργον ἡ κατανόησις. διὸ καὶ οὕτως εἶπε, πίστει νοοῦμεν. τί νοοῦμεν πίστει, εἰπέ. ὅτι μὴ ἐκ φαινομένων τὰ βλεπόμενα γέγονε. τοῦτο γὰρ ἡ πίστις. εἰπὼν δὴ τὸ κοινόν, λοιπὸν ἐπὶ προσώπων αὐτὸ γυμνάζει. καὶ γὰρ τῆς οἰκουμένης ἐστὶν ἀντάξιος, ἔνδοξος ἀνήρ. τοῦτο γοῦν καὶ ὕστερον ᾐνίξατο. ἐπειδὴ γὰρ ἐπὶ προσώπων αὐτὸ ἑκατὸν

Εβρ. ια. λη.

ἢ διακοσίων ἀντέστησεν, εἶτα εἶδε τὸν ἀριθμὸν ὀλίγον τῇ ποσότητι, λοιπόν φησιν, Ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος. πίστει πλείονα θυσίαν Ἄβελ παρὰ Κάϊν προσήνεγκε τῷ Θεῷ. θέα τίνα πρῶτον τίθησι· τὸν παθόντα κακῶς, καὶ παρὰ ἀδελφοῦ οὐδὲν ἠδικημένου, ἀλλὰ διὰ τὸν

α. Θεσ. β. ιδ.

Θεὸν φθονηθέντος. οὐκοῦν οἰκεῖον τὸ πάθος. Καὶ γὰρ ὑμεῖς τὰ αὐτά, φησίν, ἐπάθετε ὑπὸ τῶν οἰκείων συμφυλετῶν. ἅμα καὶ δείκνυσιν ὅτι καὶ αὐτοὶ βασκαίνονται καὶ φθονοῦνται. ἐτίμησεν ἐκεῖνος τὸν Θεόν, καὶ ἀπέθανεν αὐτὸς ὧν ἐτίμησε, καὶ οὐδέπω ἀναστάσεως ἔτυχεν. ἀλλ' ἡ μὲν προθυμία αὐτοῦ δήλη, καὶ τὰ παρ' αὐτοῦ γέγονε· τὰ δὲ παρὰ τοῦ Θεοῦ οὐδέπω εἰς αὐτὸν εἰσενήνεκται. θυσίαν δὲ ἐνταῦθα πλείονα, τὴν ἐντιμοτέραν λέγει, τὴν λαμπροτέραν, τὴν ἀναγκαιοτέραν. καὶ οὐκ ἔχομεν, φησίν, εἰπεῖν, ὅτι οὐκ ἀπεδέχθη. ἀπεδέξατο γάρ, καὶ

Γεν. δ. ζ.

εἶπε πρὸς τὸν Κάϊν, Οὐκ ἂν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς. οὐκοῦν ὁ Ἄβελ καὶ ὀρθῶς προσήνεγκε, καὶ ὀρθῶς διεῖλεν. ἀλλ' ὅμως ἀντὶ τούτων τίνα τὴν ἀμοιβὴν ἔλαβεν; ἐσφάγη παρὰ τῆς ἀδελφικῆς χειρός· καὶ τὴν καταδίκην, ἣν ὁ πατὴρ ὑπέμεινε διὰ τὴν ἁμαρτίαν, ταύτην πρῶτος ἐδέξατο υἱὸς ὁ κατορθώσας· καὶ τοσοῦτο χαλεπὰ ἔπαθεν, ὅσῳ καὶ παρὰ ἀδελφοῦ, καὶ πρῶτος. καὶ ταῦτα κατώρθωσεν εἰς οὐδένα ἰδών. εἰς τίνα γὰρ εἶδε, καὶ οὕτως ἐτίμησε τὸν Θεόν; εἰς τὸν πατέρα καὶ τὴν μητέρα; ἀλλ' ἐκεῖνοι ὕβρισαν αὐτὸν ἀντὶ τῶν εὐεργεσιῶν. ἀλλ' εἰς τὸν ἀδελφόν; ἀλλὰ καὶ οὗτος ἠτίμασεν. ὥστε παρ' ἑαυτοῦ τὸ ἀγαθὸν ἐξεῦρε. καὶ ὁ τοσαύτης ὢν τιμῆς ἄξιος τί δὴ πάσχει; ἀναιρεῖται. εἶτα καὶ ἄλλο ἐγκώμιον τίθησι λέγων, δι' ἧς ἐμαρτυρήθη εἶναι δίκαιος, μαρτυροῦντος ἐπὶ τοῖς δώροις αὐτοῦ τοῦ Θεοῦ· καὶ

δι'

ν ἰδεῖν ἐπὶ τὸ συμπαρακληθῆναι ἐν ὑμῖν, φασί, διά·
χ. ἐν οὐ κρίνει
χ. περὶ τούτου,
τῶν ἀπὸ
χ. -τίον, ὅτι ἐκ φαινομένων τὰ φαιν.
* παῖ
χ. τι, ὅτι
χ. ἐποίησεν
χ. δὲ πίσ.
χ. ἔχον
χ. καὶ πρὸ τοῦ πατρ.
χ. -ραν τότε εἶπ.
χ. -φοῦ. ἔτι καὶ πρῶτος προσενήνεκται καὶ

οὐκ ἔχεις εἰπεῖν ὅτι μή με ἐξετάσῃς, ὁ Θεός, ὑπὲρ τῆς φλυαρίας. [τὸ γὰρ πρᾶγμα, φλυαρία ἐστί.] τί ἐξεπίμπλασας; τί ηὔξησας τὸ δεινόν; τοῦτο ἡμᾶς ἀπολέσαι ἔχει. διὰ τοῦτο ἔλεγεν ὁ Χριστός, Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε. ἀλλ' οὐδεὶς ἡμῖν τούτου λόγος, οὐδὲ τὰ κατὰ τὸν Φαρισαῖον ἡμᾶς σωφρονίζει. ἐκεῖνος εἶπεν ἀληθὲς πρᾶγμα, ὅτι Οὐκ εἰμὶ ὡς ὁ τελώνης οὗτος, καὶ εἶπεν, ἀκούοντος οὐδενός, καὶ κατεκρίθη. εἰ δὲ ἀληθὲς εἰρηκὼς κατεκρίθη, καὶ μηδενὸς ἀκούοντος εἰπών· τί τὰ ψευδῆ, καὶ ὑπὲρ ὧν οὐκ εἰσὶ πεπεισμένοι ταῦτα διαπορθμεύοντες πανταχοῦ, καθάπερ γυναῖκες φλυαροῦσι, τί οὐ πείσονται δεινόν; τί δὲ οὐχ ὑπομενοῦσι; θῶμεν λοιπὸν τῷ στόματι θύραν καὶ μοχλόν. μυρία γὰρ ἀπὸ φλυαρίας γέγονε κακά· οἰκίαι ἀνετράπησαν, φιλίαι διεσπάσθησαν, ἕτερα μυρία χαλεπὰ γέγονε. μὴ περιεργάζου τὰ τοῦ πλησίον, ἄνθρωπε· ἀλλὰ λάλος εἶ, καὶ ἐλάττωμα ἔχεις λαλεῖν; λάλει τὰ σὰ πρὸς τὸν Θεόν· οὕτως οὐκ ἔσται τὸ ἐλάττωμα, ἀλλὰ πλεονέκτημα. λάλει τὰ σὰ πρὸς τοὺς φίλους, τοὺς πάνυ φίλους καὶ δικαίους, καὶ οἷς θαρρεῖς, ὥστε εὔξασθαι ὑπὲρ τῶν σῶν ἁμαρτημάτων. ἂν τὰ ἑτέρων εἴπῃς, οὐδὲν ὠφελήθης, οὐδὲν ἐκέρδανας, ἀλλὰ καὶ ἀπώλου [?]. ἂν τὰ σαυτοῦ ἐξαγορεύσῃς τῷ δεσπότῃ, πολὺν ἔχεις τὸν μισθόν. Εἶπα γάρ, φησίν, ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου. θέλεις κρίνειν; τὰ σαυτοῦ κρῖνε. οὐδείς σοι ἐγκαλέσει ἐὰν καταδικάσῃς σαυτόν· ἐγκαλέσει δὲ ἐὰν μὴ καταδικάσῃς σαυτόν, ἐγκαλέσει ἐὰν μὴ ἐλέγξῃς σαυτόν, ἐγκαλέσει ἂν οὐκ ἀλγήσῃς. εἶδες τὸν δεῖνα ὀργιζόμενον, παροξυνόμενον, ἢ ἄλλο τι ἄτοπον ποιοῦντα; ἐννόησον εὐθέως καὶ σὺ τὰ σαυτοῦ, καὶ οὕτως οὐδὲ ἐκεῖνον καταδικάζεις σφοδρῶς, καὶ σαυτὸν ἐλευθερώσεις τοῦ φορτίου τῶν ἁμαρτημάτων. ἂν οὕτω τὸν ἑαυτῶν ῥυθμίζωμεν βίον, ἂν οὕτω πραγματευώμεθα ἡμῶν τὴν ζωήν, ἂν κατακρίνωμεν ἑαυτούς· οὐ πολλὰ ἁμαρτησόμεθα ἴσως, πολλὰ δὲ ἐργασόμεθα καλά, ἐπιεικεῖς ὄντες καὶ μέτριοι, καὶ πάντων ἀπολαύσομεν τῶν ἐπηγγελμένων τοῖς ἀγαπῶσι τὸν Θεὸν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. κβ. 3 ΠΙΣΤΕΙ ΝΟΟΥΜΕΝ ΚΑΤΗΡΤΙΣΘΑΙ ΤΟΥΣ αἰῶνας ῥήματι [τοῦ] Θεοῦ, εἰς τὸ μὴ ἐκ φαινομένων τὰ βλεπόμενα γεγονέναι. 4 Πίστει πλείονα θυσίαν Ἄβελ παρὰ Κάϊν προσήνεγκε τῷ Θεῷ, δι' ἧς ἐμαρτυρήθη εἶναι δίκαιος, μαρτυροῦντος ἐπὶ τοῖς δώροις αὐτοῦ τοῦ Θεοῦ· καὶ δι' αὐτῆς ἀποθανὼν ἔτι λαλεῖται.

ΤΟ τῆς πίστεως γενναίας καὶ νεανικῆς δεῖται ψυχῆς, καὶ πάντα ὑπερβαινούσης τὰ αἰσθητά, καὶ τὴν ἀσθένειαν τῶν λογισμῶν τῶν ἀνθρωπίνων παρερχομένης. οὐ γάρ ἐστιν ἑτέρως γενέσθαι πιστόν, ἂν μή τις ἑαυτὸν τῆς συνηθείας ὑπεραναγάγῃ τῆς κοινῆς. ἐπεὶ οὖν αἱ τῶν Ἑβραίων ἦσαν ἐξησθενημέναι ψυχαί, καὶ ἀπὸ πίστεως μὲν ἤρξαντο, ὑπὸ δὲ τῶν πραγμάτων (λέγω δὴ τῶν παθῶν, τῶν θλίψεων) ὀλιγόψυχοι λοιπὸν καὶ ἐμικρόψυχοι [?] καὶ περιεσαλεύοντο, πρῶτον μὲν αὐτοὺς ἀπὸ τῶν ἑαυτῶν παρεκάλεσεν, εἰπών, Ἀναμνήσθητε τὰς πρότερον ἡμέρας· ἔπειτα ἀπὸ τῆς γραφῆς τῆς λεγούσης, Ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται· ἔπειτα ἀπὸ τῶν λογισμῶν, εἰπών, ἔστι δὲ πίστις, ἐλπιζομένων ὑπόστασις, πραγμάτων ἔλεγχος, οὐ βλεπομένων. νῦν δὲ πάλιν ἀπὸ τῶν προπατόρων, τῶν μεγάλων ἀνδρῶν, τῶν θαυμαστῶν ἐκείνων, μονονουχὶ λέγων, εἰ ἔνθα παρὰ πόδας τὰ ἀγαθά, πάντες πίστει ἐσώθησαν, πολλῷ μᾶλλον ἡμεῖς. ὅταν γὰρ εὕρῃ τῶν αὐτῶν κοινωνὸν ἡ ψυχή, ἀναπαύεται καὶ ἀναπνεῖ. τοῦτο καὶ ἐπὶ τῆς πίστεως, τοῦτο καὶ ἐπὶ θλίψεώς ἐστιν

Margin notes: χ. πολλά — χ. κρῖναι, χ. δικάσῃς, ἐγ-, χ. -λεῖ ἀλγ. γνώσῃ — χ. γενναίας, καὶ — χ. ἐνήρξαντο — χ. πατέρων — Ματθ. ζ. α. — Λουκ. ιη. ια. — Ἑβρ. ι. λη. — Ἀμβακ. β. δ.

ἢ ἀδελφάς, ἕξουσι καὶ πατέρας καὶ μητέρας· καὶ τοῦτο διὰ τῶν ἔργων ὁρῶμεν πληρούμενον.
Ἰωαν. ις. λγ. Εἶπεν ὅτι Ἐν τῷ κόσμῳ θλίψιν ἕξετε, ἀλλὰ θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον (τουτέστιν,
Ματθ. ις. ιη. οὐδεὶς ὑμῶν περιέσται) καὶ τοῦτο διὰ τῶν πραγμάτων ὁρῶμεν ἐκβεβηκός. Εἶπεν ὅτι πύλαι
ᾅδου οὐ κατισχύσουσι τῆς ἐκκλησίας, καὶ ταῦτα διωκομένης, καὶ ὅτι οὐδεὶς σβέσει τὸ κήρυγμα·
καὶ μάρτυς καὶ ταύτῃ τῇ προρρήσει ἡ τῶν πραγμάτων πεῖρα. καίτοι σφόδρα ἀπίθανος
ἦν ταῦτα λέγων τότε. διὰ τί; ὅτι πάντα λόγοι ἦσαν, καὶ οὐδέπω ἀπόδειξιν *παρείχετο τῶν χ. ἐποιεῖτο
λεχθέντων. ὥστε πολλῷ μᾶλλον πιστότερα γέγονε νῦν. Εἶπεν ὅτι ὅταν κηρυχθῇ τὸ εὐαγγέ-
Ματθ. κδ. ιδ. λιον ἐν πᾶσι τοῖς ἔθνεσι, τότε ἥξει τὸ τέλος. καὶ ἰδοὺ [πρὸς] τὸ τέλος λοιπὸν ἐφθάσαμεν. τὸ γὰρ
πλέον τῆς οἰκουμένης κατηγγέλη· λοιπὸν οὖν τὸ τέλος ἐφέστηκε. φρίξωμεν, ἀγαπητοί.
τί δέ, εἰπέ μοι, περὶ συντελείας οὐ μεριμνᾷς; καὶ αὐτὴ μὲν γὰρ ἐγγὺς πάρεστιν· ἡ δὲ ἑκάστου
Ψαλ. πθ. ι. ζωὴ ἐγγυτέρα πολλῷ καὶ ἡ τελευτή. Αἱ ἡμέραι γὰρ τῶν ἐτῶν ἡμῶν, φησίν, ἐν αὐτοῖς ἑβδομήκοντα
ἔτη· ἐὰν δὲ ἐν δυναστείαις, ὀγδοήκοντα ἔτη. ἐγγὺς ἡ ἡμέρα τῆς κρίσεως· κἂν οὕτω φοβηθῶμεν.
Ἀδελφὸς οὐ λυτροῦται, λυτρώσεται ἄνθρωπος; πολλὰ μετανοήσομεν ἐκεῖ· Ἀλλ' ἐν τῷ
Ψαλ. μη. ζ. Ψαλ. ς. ς. θανάτῳ οὐδεὶς ἐξομολογήσεται αὐτῷ. διὰ τοῦτο λέγει, Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ
Ψαλ. ϟδ. β. ἐν ἐξομολογήσει· τουτέστι, τὴν προθεσμίαν αὐτοῦ. ἐνταῦθα μὲν γὰρ ὅπερ ἐὰν ποιήσωμεν, ἐ-
χρήσιμον· ἐκεῖ δὲ οὐκέτι. Εἴ τις ἡμᾶς, εἰπέ μοι, ἐν καμίνῳ φλεγομένους μικρὸν ἐπίσχοι χρό-
νον, οὐχὶ πάντα ὑποστησόμεθα ὑπὲρ τῆς ἀπαλλαγῆς, κἂν χρήματα δέῃ προέσθαι, κἂν δου-
λείαν ὑποστῆναι; πόσοι νόσοις *περιέπεσον χαλεπαῖς, καὶ πάντα ἑτοίμως εἵλοντο δοῦναι ἄν, χ. περιπεσόντες χαλεπαῖς ἢ πού-
ὥστε ἀπαλλαγῆναι, εἴγε *αἵρεσις προὔκειτο; εἰ τοίνυν ἐνταῦθα νόσος ὀλιγοχρόνιος οὕτως
ἡμᾶς αἱρεῖ, τί ποιήσομεν ἐκεῖ, ὅταν μηδὲν ὄφελος ᾖ τῆς μετανοίας; πόσον νῦν γέμομεν κα- χ. ἐὰν αἵρεσις
κῶν, καὶ οὐκ αἰσθανόμεθα; ἀλλήλους δάκνομεν, ἀλλήλους κατεσθίομεν, ἀδικοῦντες, κατηγο-
ροῦντες, διαβάλλοντες, ταῖς τῶν πλησίον δόξαις δακνόμενοι. καὶ ὅρα τὸ χαλεπόν. ὅταν
βουληθῇ τις διορύξαι τοῦ πλησίον τὴν ὑπόληψιν, φησί, τόδε εἶπεν ὁ δεῖνα περὶ αὐτοῦ, ὁ
Θεὸς συγχωρήσει μοι, μή με ἐξετάσῃς, ἀκοῆς λέγειν ὀφείλω. τί οὖν λέγεις ὅλως, εἰ οὐ
πιστεύεις; τί* λέγεις; τί πιστὴν *αὐτὴν ἐργάζῃ τῇ πολλῇ φήμῃ; τί διαπορθμεύεις τοὺς λόγους καὶ
οὐκ ἀληθεῖς ὄντας; σὺ ἀπιστεῖς, καὶ τὸν Θεὸν παρακαλεῖς ὥστε σε μὴ ἐξετάσαι; μὴ λέγε τοί- χ. αὐτὴν
νυν, ἀλλὰ σιώπα, καὶ πάντοθεν ἀπήλλαξαι. ἀλλ' οὐκ οἶδα πόθεν ἡ νόσος αὕτη ἐν τοῖς
ἀνθρώποις ἐμπέπτωκε. φλύαροι γεγόναμεν, οὐδὲν ἡμῶν ἐναπομένει τῇ ψυχῇ. ἄκουε σο-
Σειρ. ιθ. θ. ι. φοῦ τινος παραινοῦντος καὶ λέγοντος, Ἤκουσας λόγον; *ἐναποθανέτω σοι· θάρσει, οὐ μή σε χ. συναπο-
*ῥήξῃ. καὶ πάλιν, Ἤκουσε λόγον ὁ μωρός, καὶ ὠδίνησεν, ὡς ἀπὸ προσώπου βρέφους ἡ τίκτου- χ. ῥήξει
σα. πρὸς κατηγορίας ἐσμὲν ἕτοιμοι, πρὸς κατακρίσεις παρεσκευασμένοι. κἂν μηδὲν ἡ-
μῖν ἕτερον εἰργασμένοι εἶεν κακόν, τοῦτο ἱκανὸν ἦν ἡμᾶς ἀπολέσαι, καὶ εἰς γέενναν ἀπαγα-
γεῖν, τοῦτο μυρίοις περιβάλλει κακοῖς. καὶ ἵνα μάθῃς ἀκριβῶς, ἄκουε τοῦ προφήτου λέγον-
τος, Καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις. ἀλλ' οὐκ ἐγώ, φησίν, ἀλλ' ἐκεῖνος. σὺ
Ψαλ. μθ. κ. μὲν οὖν. εἰ γὰρ μὴ σὺ εἶπες, ἕτερος οὐκ ἂν ἤκουσεν· εἰ δὲ καὶ ἔμελλεν ἀκούειν, ἀλλὰ σὺ
τῆς ἁμαρτίας οὐκ ἦς αἴτιος. δέον συσκιάζειν καὶ συγκρύπτειν τὰ ἐλαττώματα τῶν πλησί-
ον· σὺ δὲ ἐκπομπεύεις προσχήματι φιλαληθείας; οὐ γίνῃ κατήγορος, ἀλλὰ φλύαρος, ἀγ-
λαλῆρος, ἀλλὰ μωρός. ὢ δεινότης. σαυτὸν αἰσχύνεις μετ' ἐκείνου, καὶ οὐκ αἰσθάνῃ; ὅρα *δὲ χ. γὰρ
ὅσα τὰ κακὰ ἐντεῦθεν γίγνεται· παροργίζεις τὸν Θεόν, λυπεῖς τὸν πλησίον, ὑπεύθυνον σεαυτὸν
τῇ κολάσει ποιεῖς. οὐκ ἀκούεις Παύλου λέγοντος περὶ *χηρῶν γυναικῶν; Οὐ μόνον δὲ ἀρ- χ. λήρων γυν.
α. Τιμ. ε. ιγ. γαί, φησί, μανθάνουσιν, ἀλλὰ καὶ φλύαροι καὶ περίεργοι, περιερχόμεναι τὰς οἰκίας, καὶ λαλοῦ-
σαι τὰ μὴ δέοντα· ὥστε καὶ ὅταν πιστεύσῃς τοῖς λεγομένοις κατὰ τοῦ ἀδελφοῦ σου, οὐδὲ οὕτω λέ-
γειν χρή· μήπω γε ἀπιστοῦντα. ἀλλὰ τὸ σαυτοῦ πανταχοῦ *σκοπεῖς, δεδοικὼς ἐξετασθῆναι χ. σαυτοῦ
παρὰ τοῦ Θεοῦ; δέδοικας οὖν μὴ καὶ ὑπὲρ τῆς φλυαρίας ἐξετασθῇς. ἐνταῦθα γὰρ
οὐκ

κ. τοῦτο μόνον φέρετε τὴν μέλλησιν, τῇ

κ. -ται δεῖς τὸν στέφανον, ἐπιδεικνὺς ἑαυτόν

στῆναι λοιπόν. τοῦτο μόνον φέρετε, τὴν μέλλησιν τοῦ στεφάνου. ὢ μέγεθος παρακλήσεως. οὕτως αὐτοὺς παρακαλεῖ, ὡς ἄν τις εἴποι πρὸς ἀθλητὴν πάντας καταβαλόντα, καὶ μηδένα ἔχοντα ἀνταγωνιστὴν, εἶτα μέλλοντα στεφανοῦσθαι, καὶ οὐ φέροντα τὸν χρόνον ἐκεῖνον, καθ' ὃν ὁ ἀγωνοθέτης ἔρχεται, καὶ ἐπιτίθησι τὸν στέφανον· ἐκεῖνος δὲ ἀκαρτερήτως ἔχων, θέλει ἐξελθεῖν καὶ φυγεῖν, ὡς μὴ φέρων τὸ δίψος καὶ τὸν φλογμόν. τοῦτο τοίνυν αὐτὸς ἀρτιζόμενος, τί φησιν;

37 Ἔτι μικρὸν ὅσον ὅσον, ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ.

Ἵνα γὰρ μὴ λέγωσι, καὶ πότε ἥξει; ἀπὸ τῶν γραφῶν αὐτοὺς παρακαλεῖ. ὥσπερ γὰρ τὸ, Νῦν ἐγγύτερον ἡμῶν ἡ σωτηρία, ὅταν λέγῃ ἀλλαχοῦ, παραμυθεῖται αὐτοὺς, ὡς ὀλίγου ὄντος τοῦ λειπομένου χρόνου. καὶ τοῦτο οὐκ ἀφ' ἑαυτοῦ φησιν, ἀλλ' ἀπὸ τῶν γραφῶν. εἰ δὲ ἐξ ἐκείνου ἐλέγετο, μικρὸν ὅσον ὅσον, ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ· δῆλον ὅτι νῦν ἐγγύτερός ἐστιν. ὥστε καὶ τὸ ἀναμένειν μισθός ἐστιν οὐ μικρός. Ῥωμ. ιγ. ια.

38 Ὁ δὲ δίκαιος, φησὶν, ἐκ πίστεως ζήσεται· καὶ ἐὰν ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ. Ἀββακ. β δ. Μεγάλη αὕτη ἡ παράκλησις, ὅταν δεικνύῃ τις τὸ πᾶν κατωρθωκότας, καὶ διὰ μικρᾶς ῥαθυμίας ἀπολλύντας αὐτό. 39 Ἡμεῖς δὲ οὐκ ἐσμὲν ὑποστολῆς εἰς ἀπώλειαν, ἀλλὰ πίστεως εἰς περιποίησιν ψυχῆς.

1 Ἔστι δὲ πίστις, ἐλπιζομένων ὑπόστασις, πραγμάτων ἔλεγχος, οὐ βλεπομένων. κεφ. ιβ.

κ. δῆλον.

2 Ἐν ταύτῃ γὰρ ἐμαρτυρήθησαν οἱ πρεσβύτεροι. Βαβαὶ, οἵαν λέξιν ἐχρήσατο εἰπὼν, ἔλεγχος οὐ βλεπομένων; ἔλεγχος γὰρ λέγεται ἐπὶ τῶν λίαν ἀδήλων. ἡ πίστις τοίνυν ἐστὶν ὄψις τῶν ἀδήλων, φησὶ, καὶ εἰς τὴν αὐτὴν τοῖς ὁρωμένοις φέρει πληροφορίαν τὰ μὴ ὁρώμενα. οὔτε οὖν [ἐν] τοῖς ὁρωμένοις ἀπιστῆσαί ἐστιν, οὔτε πάλιν, εἰ μὴ τῶν ὁρωμένων σαφέστερον περὶ τῶν ἀοράτων πεπληροφόρηταί τις, πίστις εἶναι δύναται. ἐπειδὴ γὰρ τὰ ἐν ἐλπίδι ἀνυπόστατα εἶναι δοκεῖ, ἡ πίστις ὑπόστασιν αὐτοῖς χαρίζεται· μᾶλλον δὲ, οὐ χαρίζεται, ἀλλ' αὐτό ἐστιν οὐσία αὐτῶν. οἷον, ἡ ἀνάστασις οὐ παραγέγονεν, οὐδέ ἐστιν ἐν ὑποστάσει, ἀλλ' ἡ ἐλπὶς ὑφίστησιν αὐτὴν ἐν τῇ ἡμετέρᾳ ψυχῇ. τοῦτό ἐστιν ὑπόστασις πραγμάτων ἐλπιζομένων. εἰ τοίνυν ἔλεγχός ἐστιν οὐ βλεπομένων, τί δὴ βούλεσθε αὐτὰ ἰδεῖν, ἵνα ἐκπέσητε τῆς πίστεως, καὶ τοῦ δίκαιοι εἶναι; ἐπεὶ ἐκ πίστεως ὁ δίκαιος ζήσεται. ὑμεῖς δὲ εἰ βούλεσθε αὐτὰ ἰδεῖν, οὐκέτι ἐστὲ πιστοί. ἐκάμετε, φησὶν, ἠθλήσατε· κἀγὼ τοῦτό φημι. ἀλλ' ἀναμείνατε. τοῦτο γάρ ἐστι πίστις. μὴ ἐνταῦθα ζητεῖτε τὸ πᾶν.

κ. -στεως; ὁ τοῦτο δικαίους ποιεῖ· εἰ γὰρ ἐκ πί-

ΗΘΙΚΟΝ

Ταῦτα εἴρηται μὲν πρὸς Ἑβραίους, κοινὴ δέ ἐστι παραίνεσις καὶ πρὸς πολλοὺς τῶν ἐνταῦθα συνειλεγμένων. πῶς καὶ τίνι τρόπῳ; πρὸς τοὺς ὀλιγοψύχους, πρὸς τοὺς μικροψύχους. ὅταν γὰρ ἴδωσι πονηροὺς εὐπραγοῦντας, ἑαυτοὺς δὲ δυσπραγοῦντας, ἀλύουσι, δυσανασχετοῦσιν· ὅταν ποθῶσιν ἐκείνων τὴν κόλασιν καὶ τὴν ἐκδικίαν, ἢ ὅταν τῶν οἰκείων πόνων τοὺς μισθοὺς ἐκδέχωνται. ἔτι μικρὸν ὅσον ὅσον, ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ, εἶπε τότε ὁ Παῦλος. καὶ ἡμεῖς τοίνυν πρὸς τοὺς ῥαθύμους ταῦτα λέγωμεν, πάντως ἔσται κόλασις, πάντως ἥξει, ἐπὶ θύραις λοιπὸν τὰ τῆς ἀναστάσεως. πόθεν δῆλον, φησίν; οὐ λέγω ἀπὸ προφητῶν, οὔτε γὰρ πρὸς χριστιανοὺς μόνον μοι νῦν ὁ λόγος· ἀλλὰ κἂν Ἕλλην ᾖ, θαρρῶ πάνυ, καὶ τὰς ἀποδείξεις παρέχω, καὶ διδάξω αὐτόν. καὶ πῶς, ἄκουε. πολλὰ προεῖπεν ὁ Χριστός. εἰ μὴ ἐξέβη ἐκεῖνα, μηδὲ τούτοις πιστεύσῃς· εἰ δὲ πάντα ἐξέβη, τί περὶ τῶν λειπομένων ἀμφιβάλλεις; καίτοι πολὺ ἀπίθανον ἦν, μηδενὸς ἐκβάντος, περὶ ἐκείνων πιστεύειν, ἢ ὅτι πάντα ἐξέβη, τούτοις ἀπιστεῖν. μᾶλλον δὲ ἐπὶ ὑποδείγματος ποιήσω τὸ πρᾶγμα φανερόν. εἶπεν ὁ Χριστὸς ὅτι τὰ Ἱεροσόλυμα ἁλώσεται, καὶ ἁλώσεται ἅλωσιν οἵαν οὐδέποτε, καὶ ὅτι οὐκ ἔτι ἀναστήσεται· καὶ ἐξέβη εἰς ἔργον ἡ πρόρρησις. Λουκ. ιθ. μγ. εἶπεν ὅτι θλίψις ἔσται μεγάλη, καὶ ἐξέβη. Μαρκ. ιγ. θ. εἶπεν ὅτι καθάπερ σίναπι σπαρὲν, οὕτως ἐκταθήσεται τὸ κήρυγμα· καὶ τοῦτο ὁρῶμεν καθ' ἑκάστην ἡμέραν τὴν οἰκουμένην ἐπιτρέχον. Λουκ. ιγ. ιθ. εἶπεν ὅτι ὁ καταλιπών τις πατέρα, ἢ μητέρα, ἢ ἀδελφοὺς, Ματθ. ιθ. κθ. ἢ ἀδελφάς,

κ. -ται ἰδεῖν

Digitized by Google

ταῦτα ἐπάθετε μὲν, ἠλγεῖτε δέ· ἀλλὰ καὶ σφόδρα ἐχαίρετε. καὶ τοῦτο ἐδήλωσεν εἰπὼν, τοῦτο δὲ κοινωνοὶ τῶν" οὕτως ἀναστρεφομένων γενηθέντες. καὶ γὰρ τοῖς δεσμίοις συνεπαθήσατε. καὶ αὐτοὺς φέρει εἰς μέσον τοὺς ἀποστόλους. οὐ μόνον, φησὶν, ἐπὶ τοῖς οἰκείοις οὐκ ᾐσχύνεσθε, ἀλλὰ καὶ τοῖς ἄλλοις ἐκοινωνεῖτε τοῖς ταῦτα πάσχουσι. τοῦτο καὶ παρακλήσεως αὐτοῖς ἐστιν. οὐκ εἶπε, φέρετε τὰς θλίψεις τὰς ἐμὰς, κοινωνεῖτέ μοι," ἀλλ' ἁπλῶς, τοῖς δεσμίοις συνεπαθήσατε. ὁρᾷς ὅτι περὶ ἑαυτοῦ φησι, καὶ τῶν ἄλλων τῶν δεδεμένων; οὕτως οὐχ ἡγήσασθε δεσμὰ εἶναι τὰ δεσμά· ἀλλ' ὥσπερ ἀθληταὶ γενναῖοι, οὕτως ἔστητε. ὅτι οὐ μόνον ἐν τοῖς ὑμετέροις οὐκ ἐδέεσθε παρακλήσεως, ἀλλὰ καὶ τοῖς ἄλλοις ἐγίνεσθε παράκλησις, καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε. βαβαὶ, πόση πληροφορία πίστεως; εἶτα καὶ τὴν αἰτίαν τίθησιν, οὐ μόνον πρὸς τὸν ἆθλον αὐτοὺς παρακαλῶν, ἀλλὰ καὶ πρὸς τὸ μὴ διασαλευθῆναι τῆς πίστεως. τὸν ὑμέτερον πλοῦτον, φησὶν, ἁρπαζόμενον ὁρῶντες, ἠνέγκατε. ἤδη γὰρ τὸν οὐ φαινόμενον, ὡς φαινόμενον ἑωρᾶτε· ὅπερ εἰλικρινοῦς πίστεως ἦν. καὶ δι' αὐτοῦ τοῦ ἔργου αὐτὴν ἐπεδείξασθε. τὸ μὲν οὖν ἁρπαγῆναι, ἴσως τῆς βίας ἦν τῶν ἁρπαζόντων, καὶ οὐδεὶς ἂν ἠδυνήθη κωλῦσαι. ὥστε οὐδέπω τοῦτο δῆλον, ὅτι διὰ τὴν πίστιν τὴν ἁρπαγὴν ὑπεμείνατε. καίτοιγε καὶ τοῦτο δῆλον. ἐνῆν γὰρ, εἴπερ ἐβούλεσθε, μὴ ἁρπαγῆναι μὴ πιστεύσαντας. ἀλλ' ὃ πολλῷ τούτου μεῖζόν ἐστιν ἐποιήσατε, τὸ καὶ μετὰ χαρᾶς ταῦτα" φέρειν. ὅπερ ἦν ὅλον ἀποστολικὸν, καὶ τῶν γενναίων ἐκείνων ἄξιον ψυχῶν, οἳ μαστιχθέντες ἐχαιρον. Ὑπέστρεψαν γὰρ, φησὶν, ἀπὸ προσώπου τοῦ συνεδρίου χαίροντες, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ ἀτιμασθῆναι. ὁ δὲ μετὰ χαρᾶς φέρων, δείκνυσιν ὅτι ἔχει μισθόν τινα, καὶ ὅτι οὐ ζημία, ἀλλὰ πρόσοδός ἐστι τὸ πρᾶγμα. καὶ τὸ, προσεδέξασθε, τὴν ἑκούσιον αὐτῶν ὑπομονὴν" δηλοῖ. πῶς οὖν εἵλεσθε καὶ κατεδέξασθε; γινώσκοντες, φησὶν, ἔχειν ἑαυτοῖς κρείττονα ὕπαρξιν ἐν οὐρανοῖς, καὶ μένουσαν. τί ἐστι μένουσαν; βεβαίαν, οὐχ οὕτως ἀπολλυμένην ὥσπερ ταύτην. εἶτα ἐπαινέσας αὐτοὺς φησί,

35 Μὴ οὖν ἀποβάλητε τὴν παῤῥησίαν ὑμῶν, ἥτις ἔχει μισθαποδοσίαν μεγάλην.

Τί λέγεις; οὐκ εἶπεν, ὅτι ἀπεβάλετε τὴν παῤῥησίαν ὑμῶν, καὶ ἀνακτήσασθε, ἵνα μὴ ἀπαγορεύσωσιν· ἀλλ' ὅτι ἔχετε αὐτὴν, μὴ ἀποβάλητε· ὃ μᾶλλον αὐτοὺς ἐψυχαγώγει, καὶ ἐπιῤῥωσθῆναι. ὅτι ἔχετε αὐτὴν, φησί. τὸ μὲν γὰρ ἀποβληθὲν ἀνακτήσασθαι πάλιν, καμάτου δεῖται πλείονος· τὸ δὲ κατεχόμενον μὴ ἀπολέσαι, οὐχ οὕτω. Γαλάταις δὲ τὸ ἐναντίον γράφει· Τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν. καὶ εἰκότως. ἐκεῖνοι μὲν γὰρ ὑπτιώτεροι διέκειντο, ὅθεν αὐτοῖς ἐκπληκτικωτέρου λόγου· οὗτοι δὲ μικροψυχότεροι, ὅθεν θεραπευτικωτέρου μᾶλλον ἐδέοντο. μὴ ἀποβάλητε οὖν, φησὶ, τὴν παῤῥησίαν ὑμῶν. ὥστε ἐν παῤῥησίᾳ ἦσαν πολλῇ πρὸς τὸν Θεόν. ἥτις ἔχει, φησὶ, μισθαποδοσίαν" μεγάλην. τί ἐστι τοῦτο; τότε αὐτὰ λήψεσθε," φησίν. οὐκοῦν εἰ κατὰ τὸ μέλλον ἀπόκειται, οὐ δεῖ ἐνταῦθα ζητεῖν. εἶτα ἵνα μή τις εἴπῃ, ἰδοὺ τὰ παρ' ἡμῶν πάντα ὑπῆρκται, διὰ τοῦτο προσέλαβεν αὐτοὺς καὶ τῇ αὐτῇ * ὑπολήψει, μονονουχὶ τοῦτο λέγων, εἰ ἐν οὐρανοῖς γινώσκετε ἔχειν ὕπαρξιν κρείττονα, μηδὲν ἐνταῦθα ζητεῖτε. ὑπομονῆς γὰρ ἔχετε χρείαν, οὐχὶ προσθήκης ἀγῶνος, ἵνα ἐν τοῖς αὐτοῖς μείνητε, ἵνα μὴ ῥίψητε τὸ ἐγχειρισθέν. οὐδενὸς ὑμῖν ἑτέρου δεῖ, ἀλλ' ἢ ὥστε στῆναι, ὡς ἑστήκατε, ἵνα πρὸς τὸ τέλος ἐλθόντες, κομίσησθε τὴν ἐπαγγελίαν.

36 Ὑπομονῆς γὰρ ἔχετε, φησὶ, χρείαν, ἵνα τὸ θέλημα τοῦ Θεοῦ ποιήσαντες, κομίσησθε τὴν ἐπαγγελίαν. Ἄρα ἑνὸς ὑμῖν δεῖ μόνου, ἵνα ἀναμείνητε τὴν μέλλησιν, οὐχ ἵνα ἀθλήσητε πάλιν. πρὸς τὸν στέφανον αὐτοί ἐστε, φησί, τοὺς ἀγῶνας πάντας ἠνέγκατε, τοὺς δεσμοὺς, τὰς θλίψεις, τὰ ὑπάρχοντα ὑμῶν ἡρπάγη. [τί οὖν;] πρὸς τὸ στεφανωθῆναι ἑστήκατε

Margin notes: γ. ὑπὸ πα- χέντων — γ. ἀλλὰ περὶ ὑμετέρων αὐ- τῶν, καὶ τ. — Πράξ. ε. μα. — γ. ὑπομείναντι — γ. λ. ἐπί- λεσθε, ἐπεὶ καὶ κατεδέξασθε — γ. ὁλίγα — Γαλατ. δ. ιθ. — γ. λοιπὸν καὶ τότε αὐτὰ λήψεσθε — γ. φησιν· ἰδὲ — γ. -του. ὁλὰ — * ἀπολήψει

ἐστι παραλαβόντα πατρῷον, καὶ μείναντα κακόν, εὖ ἴσθι ὅτι ἡ κόλασις αὐτῷ αὔξεται, καὶ τὰ τῆς τιμωρίας ἐπιτείνεται. μὴ δὴ τούτους ζηλῶμεν, ἀλλ' εἴ τις ἀρετὴν ἐπεδείξατο, εἴ τις πλοῦτον πνευματικὸν ἐκτήσατο. Οὐαὶ γάρ, φησιν, οἱ πεποιθότες ἐπὶ τῷ πλούτῳ αὐτῶν. καὶ πάλιν, Μακάριοι οἱ φοβούμενοι τὸν Κύριον. ποίων βούλει, εἰπέ μοι; πάντως τῶν μακαριζομένων. τούτους οὖν ζήλου, μὴ ἐκείνους, ἵνα καὶ τῶν ἀποκειμένων αὐτοῖς τύχῃς ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Ψαλ. μη. ζ.
Ψαλ. ρκζ. α.

Λογ. κα. 32 ΑΝΑΜΙΜΝΗΣΚΕΣΘΕ ΔΕ ΤΑΣ ΠΡΟΤΕΡΟΝ ἡμέρας, ἐν αἷς φωτισθέντες, πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων· 33 Τοῦτο μέν, ὀνειδισμοῖς τε καὶ θλίψεσι θεατριζόμενοι· τοῦτο δέ, κοινωνοὶ τῶν οὕτως ἀναστρεφομένων γενηθέντες. 34 Καὶ γὰρ τοῖς δεσμοῖς μου συνεπαθήσατε, καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε, γινώσκοντες ἔχειν κρείσσονα ὕπαρξιν ἑαυτοῖς ἐν οὐρανοῖς, καὶ μένουσαν.

x. δεσμίοις ἑαυτ-

ΟΙ τῶν ἰατρῶν ἄριστοι, ἐπειδὰν βαθεῖαν δῶσι τομήν, καὶ τὰς ἀλγηδόνας ἐπιτείνωσι διὰ τῆς πληγῆς, παραμυθούμενοι τὸν πονοῦντα, καὶ τεθορυβημένην ἀναπαύοντες καὶ ἀνακτώμενοι τὴν ψυχήν, ἑτέραν οὐκέτι προσάγουσι τομήν, ἀλλὰ καὶ τὸ ὀδυνῆσαι, φαρμάκοις [illegible], καὶ τὸ πολὺ τῆς ὀδύνης ἱκανοῖς ἀφελέσθαι, παραμυθοῦνται. τοῦτο καὶ ὁ Παῦλος ἐποίησε, κατασείσας αὐτῶν τὰς ψυχάς, καὶ κατανύξας τῇ μνήμῃ τῆς ποινῆς, καὶ πιστωσάμενος αὐτούς, ὅτι πάντως δεῖ ἀπολέσθαι τὸν ἐνυβρίσαντα εἰς τὴν τοῦ Θεοῦ χάριν. καὶ τοῦτο ἀπὸ τῶν Μωϋσέως δείξας νόμων, ὅτι καὶ ἀπολοῦνται, καὶ μειζόνως τιμωρηθήσονται), καὶ μαρτυρίαις ἑτέραις ἐπισφραγίσας τὰ εἰρημένα, καὶ εἰπών, φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος· ὥστε μὴ τῷ πολλῷ φόβῳ ἀπαγορεύσασαν τὴν ψυχὴν καταποθῆναι τῇ λύπῃ, παραμυθεῖται αὐτοὺς διὰ τῶν ἐγκωμίων, καὶ τῆς παρακλήσεως· καὶ [τὸν] ζῆλον οἴκοθεν αὐτοῖς προσφέρει. ἀναμιμνήσκεσθε γάρ, φησι, τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες, πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων. πολλὴ ἡ διὰ τῶν ἔργων παράκλησις. οἱ γὰρ ἀρχόμενοι πράγματος, προϊόντα ἐπιδιδόναι χρή. ὡς ἂν εἰ ἔλεγεν, ὅτε ἐνήρχεσθε, ὅτε ἐν τάξει μαθητῶν ἦτε, τοσαύτην προθυμίαν ἐπεδείξασθε, τοσαύτην γενναιότητα· νῦν δὲ οὐκέτι. καὶ ὁ παρακαλῶν, οὕτω μάλιστα παρακαλεῖ ἀπὸ τῶν οἰκείων. καὶ ὅρα, οὐχ ἁπλῶς εἶπεν, ἄθλησιν ὑπεμείνατε, ἀλλὰ [μετὰ προσθήκης τοῦ,] πολλήν. καὶ οὐκ εἶπε πειρασμούς, ἀλλὰ ἄθλησιν· ὅπερ ἐστὶν ἐγκωμίου ὄνομα, καὶ ἐπαίνων μεγίστων. εἶτα καὶ καταλέγει κατὰ μέρος, πλατύνων τὸν λόγον, καὶ τοὺς ἐπαίνους πολλοὺς ποιῶν. πῶς; τοῦτο μὲν ὀνειδισμοῖς, φησι, καὶ θλίψεσι θεατριζόμενοι. μέγα γὰρ ὀνειδισμὸς καθικέσθαι καρδίας, καὶ ἱκανὸν διαστρέψαι ψυχήν, καὶ σκοτῶσαι λογισμόν. ἄκουε γὰρ τί φησιν ὁ προφήτης· Ἐγενήθη τὰ δάκρυά μου ἐμοὶ ἄρτος ἡμέρας καὶ νυκτός, ἐν τῷ λέγεσθαί μοι καθ' ἑκάστην ἡμέραν, ποῦ ἐστιν ὁ Θεός σου; καὶ πάλιν, Εἰ ὁ ἐχθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν. ἐπειδὴ γὰρ σφόδρα κενόδοξόν ἐστι τὸ ἀνθρώπινον γένος, διὰ τοῦτο καὶ ὑπὸ τούτου ῥᾳδίως ἁλίσκεται. καὶ οὐχ ἁπλῶς εἶπεν, ὀνειδισμοῖς, ἀλλὰ καὶ αὐτὸ μετ' ἐπιτάσεως πολλῆς, θεατριζόμενοι, φησιν. ὅταν μὲν γάρ τις ὀνειδίζηται καθ' ἑαυτόν, λυπηρὸν μέν· πολλῷ δὲ πλέον, ὅταν ἐπὶ πάντων. ἐννόησον γάρ μοι ὅσον ἦν κακόν, ἀποστάντας τῆς Ἰουδαϊκῆς σαπρότητος, καὶ ὡς ἐπὶ ἄριστον βίον μετελθόντας, καὶ τῶν πατρῴων καταφρονήσαντας, * ὑπ' αὐτῶν τῶν οἰκείων πάσχειν κακῶς, καὶ μηδεμίαν ἔχειν ἀντίληψιν. οὐκ ἔχω, φησίν, εἰπεῖν, ὅτι ταῦτα

x. τιμωρίας

Ψαλ. μα. γ.
Ψαλ. νδ. ιβ.

x. μετὰ πίστεως πολλῆς,

x. ματαιότητος,

* καὶ

τῶν ἔργων ἐπιδειξάμενοι. εἰ γὰρ μόνον ζητοῖτο παρ' ἡμῶν, τὸ ἐπὶ πᾶσιν εὐχαριστεῖν τῷ Θεῷ, καὶ πάντα ἕξομεν μετὰ δαψιλείας. οἷόν τι λέγω, ἀπώλεσας χρυσοῦ λίτρας μυρίας; εὐχαρίστησον ἀξίως τῷ Θεῷ, καὶ δέκα μυριάδας ἐκτήσω διὰ τῆς φωνῆς ἐκείνης καὶ τῆς εὐχαριστίας. Εἰπὲ γάρ μοι, πότε μακαρίζεις τὸν Ἰώβ; ὅτε εἶχε τοσαύτας καμήλους, καὶ τὰ ποίμνια, Ἰωβ. α. κα. καὶ τὰ βουκόλια, ἢ ὅτε ἐκείνην τὴν φωνὴν ἀφῆκεν, Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο; καὶ γὰρ ὁ διάβολος διὰ τοῦτο ἡμᾶς ζημιοῖ, οὐχ ἵνα τὰ χρήματα μόνον ἀφέληται (οἶδε γὰρ ὅτι οὐδέν ἐστιν) ἀλλ' ἵνα διὰ τούτων ἀναγκάσῃ εἰπεῖν τι βλάσφημον. οὕτω καὶ ἐπὶ τοῦ μακαρίου Ἰὼβ τοῦτο ἐσπούδαζεν, οὐ πένητα αὐτὸν ποιῆσαι μόνον, ἀλλὰ βλάσφημον ἀποφῆναι. Ἰωβ. β. θ. ὅτι γοῦν πάντων αὐτὸν ἐγύμνωσεν, ὅρα τί φησι πρὸς αὐτὸν διὰ τῆς γυναικός· Εἰπόν τι ῥῆμα πρὸς Κύριον, καὶ τελεύτα. καίτοι, ὦ μιαρέ, πάντων αὐτὸν ἐγύμνωσας. ἀλλ' οὐ τοῦτο ἐσπούδαζον, φησί· δι' ὃ γὰρ πάντα ἐποίησα, οὐδέπω ἤνυσα. ἐσπούδασα γὰρ αὐτὸν γυμνῶσαι τῆς τοῦ Θεοῦ βοηθείας· διὰ τοῦτο καὶ τῶν χρημάτων ἐγύμνωσα. τοῦτο ἐστιν ὃ βούλομαι· ἐκεῖνο οὐδέν ἐστιν. ἂν τοῦτό μοι μὴ προσῇ, οὐ μόνον οὐδὲν ἠδικήθη, ἀλλὰ καὶ ὠφελήθη. ὁρᾷς ὅτι οἶδε καὶ ὁ πονηρὸς δαίμων ἐκεῖνος, ὅση τοῦ πράγματός ἐστιν ἡ ζημία; διὰ τοῦτο καὶ βλέπεις αὐτὸν διὰ τῆς γυναικὸς τὴν ἐπιβουλὴν ῥάπτοντα. ἀκούετε ὅσοι γυναῖκας ἄνδρες ἔχετε χρημάτων ἐρώσας, καὶ ἀναγκαζούσας ὑμᾶς βλασφημεῖν τὸν Θεόν· ἀναμνήσθητε τοῦ Ἰώβ. ἀλλ' ἴδωμεν αὐτοῦ τὴν πολλὴν (εἰ δοκεῖ) ἐπιείκειαν, καὶ ὅπως αὐτὴν ἐπεστόμισεν. Ἰωβ. β. ι. Ἵνα τί, φησιν, ὥσπερ μία τῶν ἀφρόνων γυναικῶν οὕτως ἐλάλησας; ἀληθῶς φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί. ἀεὶ μὲν οὖν φθείρουσι· μάλιστα δὲ ἐπὶ τῶν συμφορῶν. τότε οἱ τὰ φαῦλα παραινοῦντες ἔχουσιν ἰσχύν. Εἰ γὰρ καὶ ἀφ' ἑαυτῆς ἡ ψυχὴ πρὸς ἀποδυσπετῆσαι ἐστὶν ἕτοιμος, πόσῳ μᾶλλον, ὅταν καὶ ὁ συμβουλεύων ᾖ; οὐχὶ καὶ πρὸς βάραθρον ὠθεῖται; μέγα ἀγαθὸν γυνή, ὥσπερ οὖν καὶ κακὸν μέγα. καὶ ὅρα πόθεν ὀρύξαι τὸ τεῖχος ἐπιχείρησε τὸ ἰσχυρόν. ἐπειδὴ γὰρ οὐχ εἷλεν αὐτὸν ἡ τῶν χρημάτων ἀφαίρεσις, οὐδὲ μέγα τι εἰργάσατο ἡ τούτων ζημία, ἀλλὰ καὶ μάτην ἠλέγχθη, εἰπὼν, ἦ μὴν εἰς πρόσωπόν σε εὐλογήσει, διὰ τοῦτο ἐφοπλίζει αὐτῷ τὴν γυναῖκα. ὁρᾷς ποῦ ἔπαισεν; ἀλλ' οὐδὲν αὐτῷ πλέον ὑπῆρξε καὶ ἀπὸ ταύτης τῆς μηχανῆς. ἂν τοίνυν καὶ ἡμεῖς εὐχαρίστως φέρωμεν, καὶ ταῦτα ἀποληψόμεθα· κἂν μὴ ἀπολάβωμεν, μείζων ἔσται ἡμῖν ὁ μισθός. οὕτω καὶ ἐπὶ τοῦ ἀδάμαντος ἐκείνου γέγονεν. ὅτε γὰρ ἤθλησε γενναίως, τότε αὐτῷ καὶ ταῦτα ἀπέδωκεν· ὅτε ἔδειξε τὸν διάβολον, ὅτι οὐ διὰ ταῦτα αὐτὸν θεραπεύει, τότε καὶ αὐτὰ αὐτῷ ἔδωκε. γ. πάντα τοιοῦτος γάρ ἐστιν ὁ Θεός· ὅταν ἴδῃ ἡμᾶς μὴ προσηλωμένους τοῖς βιωτικοῖς, τότε ἡμῖν αὐτὰ δίδωσιν· ὅταν ἴδῃ τὰ πνευματικὰ προτιμῶντας, τότε καὶ τὰ σαρκικὰ παρέχεται. οὐ προτέροις δὲ δίδωσιν, ἵνα μὴ ἀπορραγῶμεν τῶν πνευματικῶν. φειδόμενος οὖν ἡμῶν οὐ δίδωσι τὰ σαρκικά, ἵνα καὶ ἄκοντας ἀποστήσῃ τούτων. οὔ, φησιν· ἀλλ' ἐὰν λάβω, ἐμπίπλαμαι, καὶ μᾶλλον εὐχαριστῶ. ψεύδῃ, ὦ ἄνθρωπε. γ. ψεύδος τότε γὰρ μάλιστα ἔσῃ ῥᾴθυμος. τί οὖν ὅτι, φησί, πολλοῖς δίδωσι; καὶ πόθεν δῆλον, ὅτι αὐτὸς δίδωσιν; ἀλλὰ τίς, φησιν, ἕτερος δίδωσιν; ἡ πλεονεξία αὐτῶν, ἡ ἁρπαγή. πῶς οὖν συγχωρεῖ γίνεσθαι ταῦτα; ὥσπερ καὶ φόνους, καὶ κλοπάς, καὶ βίας. τί οὖν ἐρεῖς, φησι, πρὸς τοὺς ἐκ πατέρων διαδεχομένους κλήρους, τοὺς μυρίων γέμοντας κακῶν; γ. -ειν αὐτοῦ μυρίων πῶς αὐτοὺς ἐᾷ [, φησι,] ὁ Θεὸς ἀπολαύειν τούτων; καὶ τί τοῦτο; ὥσπερ [οὖν] καὶ κλέπτας ἀφίησι, καὶ φονέας, καὶ τοὺς λοιποὺς κακούργους. οὐ γάρ ἐστιν ὁ καιρὸς τῆς κρίσεως νῦν, ἀλλὰ τῆς πολιτείας τῆς ἀρίστης. ὅπερ δὲ καὶ ἤδη εἶπον, τοῦτο καὶ νῦν λέγω· ὅτι μείζονα δώσουσι δίκην, ὅταν καὶ πάντων ἀπολαύσαντες τῶν ἀγαθῶν, μηδὲ οὕτω βελτίους γίνωνται. οὐ γὰρ πάντως ὁμοίως πάντες κολασθήσονται· ἀλλ' οἱ μὲν καὶ μετὰ τῆς εὐεργεσίας μείναντες κακοί, μειζόνως τιμωρηθήσονται· οἱ δὲ μετὰ πενίας, οὐχ οὕτω. καὶ ὅτι τοῦτό ἐστιν ἀληθές, ἄκουσον τί φησι τῷ Δαβίδ· β. Βασ. ιβ. η. Οὐχὶ ἔδωκά σοι πάντα τὰ τοῦ Κυρίου σου; ὅταν οὖν ἴδῃς νέους χωρὶς πόνων κλη-

ιως· σὺ δὲ σαυτὸν προσδήσας δεσμοῖς χαλεπωτάτοις, ἐπειδὰν ἀπαλλάγῃς τῆς δουλείας, ἀλγεῖς; οὕτως παραλλήλως εἰσὶν αἱ λῦπαι καὶ αἱ εὐφροσύναι. καθάπερ γὰρ ἀλλότρια ἔχοντες, οὕτως αὐτὰ τηροῦμεν. πῶς πρὸς τὰς γυναῖκάς μοι ὁ λόγος. εἶχέ τις γυνὴ πολλάκις ἀπὸ χρυσίου ὑφασμένον ἱμάτιον, καὶ τοῦτο ἰσάσι, περιβάλλει λίθοις, τηρεῖ μετὰ ἀσφαλείας, τρέμει ὑπὲρ αὐτοῦ, καὶ οὐκ ἀπολαύει αὐτοῦ. ἢ γὰρ ἐτελεύτησεν, ἢ ἐχήρευσεν· ἤ, κἂν μηδὲν τούτων συμβῇ, δέδοικε μὴ τῇ συνεχεῖ χρήσει δαπανήσασα αὐτό, ἀποστερήσειεν ἑαυτήν· κἂν ἄλλος οὐκ ἀποστερήσῃ, ἀποστερεῖ ἑαυτὴν τῇ φειδωλίᾳ. ἀλλὰ παραχωρεῖ * ἑτέρᾳ; ἀλλ' οὐδὲ τοῦτο δῆλον· εἰ δὲ καὶ παραχωρήσειε, κἀκείνη πάλιν ὁμοίως αὐτῷ χρήσεται. καὶ εἴ τις ἐρευνήσει τὰ ἐν ταῖς οἰκίαις, εὑρήσει τὰ μάλιστα τίμια τῶν ἱματίων, καὶ τὰ ἄλλα τὰ ὑπερέχοντα, ἐν πλείονι τιμῇ, ὥσπερ ἐμψύχους δεσπότας, θεραπευόμενα. οὐ γὰρ χρῆται αὐτοῖς συνεχῶς, ἀλλὰ δέδοικε καὶ τρέμει, ὅπως καὶ τὰ ἄλλα τὰ βιβρώσκειν εἰωθότα ἀποσοβοῦσα. καὶ τὰ πλείονα ἐν μύροις καὶ ἀρώμασι τιθεῖσα, * οὐδὲ πᾶσιν ἐπιτρέπουσα τῆς ὄψεως καταξιωθῆναι ἐκείνης, ἀλλ' αὐτὴ πολλάκις μετὰ τοῦ ἀνδρὸς ταῦτα διαπηροῦσα ἐπιμελῶς. οὐκ εἰκότως, εἰπέ μοι, εἰδωλολατρείαν τὴν πλεονεξίαν ἐκάλεσεν ὁ Παῦλος; ἴσην γὰρ ἐκεῖνοι τιμὴν περὶ τὰ εἴδωλα ἐπιδείκνυνται, τοσαύτην καὶ οὗτοι περὶ τὰ ἱμάτια, περὶ τὰ χρυσία. μέχρι τίνος βόρβορον ἀνακινοῦμεν; μέχρι τίνος τῷ πηλῷ καὶ τῇ πλινθείᾳ προσηλώμεθα; ὥσπερ γὰρ ἐκεῖνοι τῷ τῶν Αἰγυπτίων βασιλεῖ ἔκαμνον, οὕτω καὶ ἡμεῖς τῷ διαβόλῳ κάμνομεν, καὶ μαστιζόμεθα πολὺ χαλεπωτέρας μάστιγας. καὶ μὴ ἵνα ὑπερβολὴν καταγνῷς τοῦ λόγου. ὅσῳ γὰρ κρείττων σώματος ψυχή, τοσούτῳ φροντὶς μωλώπων. μαστιζόμεθα καθ' ἑκάστην ἡμέραν, δεδοικότες, φροντίζοντες, τρέμοντες. ἀλλ' ἐὰν θελήσωμεν στενάξαι, ἐὰν θελήσωμεν ἀναβλέψαι πρὸς τὸν Θεόν, πέμπει ἡμῖν οὐ Μωϋσέα, οὐδὲ Ἀαρών, ἀλλὰ τὸν αὐτοῦ λόγον, καὶ τὴν κατάνυξιν. ὅταν τοίνυν ἔλθῃ, καὶ καταλάβῃ ἡμῶν τὰς ψυχάς, ἐλευθερώσει τῆς δουλείας τῆς πικρᾶς ἡμᾶς, ἐξάξει ἡμᾶς ἐξ Αἰγύπτου, τῆς ἀνοήτου καὶ ματαιοπόνου σπουδῆς, τῆς δουλείας τῆς οὐδὲν κέρδος ἐχούσης. ἐκεῖνοι μὲν οὖν καὶ χρυσία λαβόντες ἐξῆλθον, * τὸν μισθὸν τῆς οἰκοδομῆς· ἡμεῖς δὲ οὐδέν. καὶ εἴθε μηδέν. νῦν δὲ καὶ ἡμεῖς λαμβάνομεν οὐ χρυσία, ἀλλὰ τὰ Αἰγύπτου κακά, ἁμαρτήματα καὶ κολάσεις καὶ τιμωρείας. μάθωμεν τοίνυν ὠφελεῖσθαι, μάθωμεν ἐπηρεάζεσθαι· τοῦτό ἐστι χριστιανοῦ. καταφρονήσωμεν τῶν χρυσῶν ἱματίων, καταφρονήσωμεν τῶν χρημάτων, ἵνα μὴ καταφρονήσωμεν τῆς σωτηρίας τῆς ἡμετέρας. καταφρονήσωμεν χρημάτων, καὶ μὴ καταφρονήσωμεν τῆς ψυχῆς. αὕτη γάρ ἐστιν ἡ κολαζομένη, αὕτη ἐστὶν ἡ τιμωρουμένη. ἐκεῖνα ἐνταῦθα μένει, αὕτη δὲ ἄπεισιν ἐκεῖ. τίνος ἕνεκεν, τίνος, εἰπέ μοι, κατακόπτεις σαυτόν, καὶ οὐκ αἰσθάνῃ; ταῦτα πρὸς τοὺς πλεονέκτας λέγω. καλὸν δὲ καὶ πρὸς τοὺς πλεονεκτουμένους εἰπεῖν, φέρετε γενναίως τὰς πλεονεξίας· ἑαυτοὺς ἀφαιροῦσιν ἐκεῖνοι, οὐχ ὑμᾶς. ὑμᾶς μὲν ἀποστεροῦσι χρημάτων· ἑαυτοὺς δὲ γυμνοῦσι τῆς εὐνοίας τοῦ Θεοῦ, καὶ τῆς βοηθείας. ὁ δὲ ἐκείνης γυμνωθείς, κἂν ἅπαντα περιβάλληται τῆς οἰκουμένης τὸν πλοῦτον, πάντων ἐστὶ πενέστερος· ὥσπερ οὖν καὶ ὁ πάντων πενέστερος, ἂν ταύτην ἔχῃ, πάντων ἐστὶν εὐπορώτερος. Κύριος γάρ, φησι, ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει. εἰπὲ δή μοι, εἴ τινα εἶχες ἄνδρα μέγαν καὶ θαυμαστόν, πάνυ σε φιλοῦντα καὶ κηδόμενον, εἶτα ἔγνως ὅτι διηνεκῶς ζήσεται, καὶ οὐ προτελευτήσει αὐτοῦ, καὶ πάντα σοι παρέξει μετὰ ἀδείας τὰ αὐτοῦ, ὥστε σε [ὡς τῶν σῶν] ἀπολαύειν· ἆρα ἂν ἠθέλησας κτήσασθαί τι; ἆρα ἂν εἰ πάντων ἐγυμνώθης, οὐχὶ πλουσιωτέραν ἐνόμιζες εἶναι διὰ τοῦτο; τί δήποτε οὖν πενθεῖς; ὅτι χρήματα οὐκ ἔχεις; ἀλλ' ἐννόει ὅτι ἀφῃρέθης τῶν ἁμαρτημάτων τὴν ὑπόθεσιν. ἀλλ' ὅτι οὐσίας ἀπεστερήθης; ἀλλ' ἐκτήσω τοῦ Θεοῦ τὴν εὔνοιαν. καὶ πῶς ἐκτησάμην, φησίν; εἰπέ, Διὰ τί μὴ μᾶλλον ἀδικεῖσθε; εἶπεν ὅτι, Ἐν παντὶ εὐχαριστεῖτε· εἶπεν ὅτι Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι. ἐπεὶ τοίνυν ὅσης εὐνοίας ἀπολαύσεις, ταῦτα διὰ

τὴν

* αὐτὸ κ. ἔπι

* ἢ

* ἔχοντες κ. ἢ γὰρ καὶ ἢ.

κ. πλουσιώτερος

κ. ὅτι ἔχουσα εἶπε.

κ. εἶπεν ὅτι μακάριοι οἱ πάντα εὐχαριστοῦντες. ἐν ὅσοις

Ψαλ. κβ. α.

α Θεσ. ε. ιη. Ματθ. ε. γ.

Digitized by Google

ἔλεος ἐκεῖ. καίτοιγε Μωϋσέως ὁ νόμος ἐστί· τὰ γὰρ πολλὰ αὐτὸς διετάξατο. τί ἐστιν, ἐπὶ δυσὶν ἢ τρισίν; ἐὰν δύο καὶ τρεῖς μαρτυρήσωσι, φησιν, εὐθέως τὴν δίκην ἔδοσαν. Εἰ τοίνυν ἐπὶ τῆς παλαιᾶς, ἔνθα ὁ Μωϋσέως ἀθετεῖται νόμος, τοσαύτη τιμωρία· πόσῳ μᾶλλον ἐνταῦθα; διὸ καὶ οὕτω φησί·

29 Πόσῳ (δοκεῖτε) χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν υἱὸν τοῦ Θεοῦ καταπατήσας, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος, καὶ τὸ πνεῦμα τῆς χάριτος ἐνυβρίσας;

Καὶ πῶς καταπατεῖ τις τὸν υἱὸν τοῦ Θεοῦ; ὅταν ὁ μετέχων αὐτοῦ ἐν τοῖς μυστηρίοις, ἁμαρτίαν ἐργάζηται, εἰπέ μοι, οὐχὶ κατεπάτησεν αὐτόν; οὐχὶ κατεφρόνησεν αὐτοῦ; [χ. γέγονε, φησιν, οὐχὶ] καθάπερ γὰρ τῶν καταπατουμένων οὐδένα λόγον ἔχομεν· οὕτω καὶ οἱ ἁμαρτάνοντες, τοῦ Χριστοῦ οὐδένα λόγον ἔσχον, ὅθεν καὶ οὕτως ἥμαρτον. γέγονας σῶμα Χριστοῦ, καὶ δίδως σαυτὸν τῷ διαβόλῳ, ὥστε καταπατεῖν σε; καὶ τὸ αἷμα, φησι, κοινὸν ἡγησάμενος. κοινὸν τί ἐστι; τὸ ἀκάθαρτον, ἢ τὸ μηδὲν πλέον ἔχον τῶν λοιπῶν. καὶ τὸ πνεῦμα τῆς χάριτος ἐνυβρίσας. ὁ γὰρ τὴν εὐεργεσίαν μὴ παραδεχόμενος, ὕβρισε τὸν εὐεργετήσαντα. ἐποίησέ σε υἱόν· σὺ δὲ θέλεις γενέσθαι δοῦλος; ἦλθε κατασκηνῶσαι παρὰ σέ· σὺ δὲ ἐπεισάγεις αὐτῷ πονηροὺς λογισμούς; ὁ Χριστὸς ἠθέλησεν ἱδρυνθῆναι πρὸς σέ· [χ. ἐπισυνάγεις] σὺ δὲ αὐτὸν καταπατεῖς διὰ τῆς κραιπάλης, διὰ τῆς μέθης; ἀκούσωμεν οἱ ἀναξίως τῶν μυστηρίων μετέχοντες, ἀκούσωμεν οἱ ἀναξίως προσιόντες τῇ τραπέζῃ ἐκείνῃ. [Ματθ. ζ. ς.] Μὴ δῶτε τὰ ἅγια, φησι, τοῖς κυσί, μήποτε καταπατήσωσιν ἐν τοῖς ποσὶν αὐτῶν· τουτέστι, μήπως καταφρονήσωσι, μὴ διαλύσωσιν. ἀλλ' οὐκ εἶπε τοῦτο, ἀλλ' ὃ τούτου φοβερώτερον ἦν. ἀπὸ γὰρ τοῦ φοβεροῦ ἐπιστρέφει τὰς ψυχάς. ἱκανὸν γὰρ καὶ τοῦτο ἐπιστρέψαι παραμυθίας οὐχ ἧττον. [καὶ] ὅμως τὴν διαφορὰν δείκνυσι, καὶ τὴν κόλασιν, καὶ τὴν κρίσιν αὐτοῖς ἐφίστησιν, ἀπὸ τοῦ πράγματος οὕτως φανεροῦ. [χ. ἀφίησιν, χ. φοβεροῦ] πόσῳ (δοκεῖτε) φησι, χείρονος ἀξιωθήσεται τιμωρίας; ἐνταῦθά μοι δοκεῖ καὶ περὶ τῶν μυστηρίων αἰνίττεσθαι. εἶτα καὶ μαρτυρίαν ἐπάγει λέγων,

31 Φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος.

30 Γέγραπται γάρ, Ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, λέγει Κύριος. καὶ πάλιν, Κύριος [Δευτ. λβ. ε. β. Βασ. κδ. ιδ] κρινεῖ τὸν λαὸν αὐτοῦ. Ἐμπεσούμεθα, φησιν, εἰς χεῖρας Κυρίου, καὶ μὴ εἰς χεῖρας ἀνθρώπων. [χ. Ἐμπεσούμεθα, φησιν, εἰς χεῖρας Θεοῦ ζῶντος, καὶ μὴ] ἀλλ' ἐὰν μὴ μετανοήσητε, εἰς χεῖρας Θεοῦ ἐμπεσεῖσθε. ἐκεῖνο φοβερόν· τοῦτο οὐδέν ἐστι, τὸ εἰς χεῖρας ἀνθρώπων ἐμπεσεῖν. ὅταν ἴδωμεν, φησί, τινὰ κολαζόμενον ἐνταῦθα, μὴ φοβηθῶμεν ἐπὶ τοῖς παροῦσιν, ἀλλὰ φρίξωμεν ἐπὶ τοῖς μέλλουσι. [Σειρ. ε ζ.] Κατὰ γὰρ τὸ ἔλεος αὐτοῦ καὶ ἡ ὀργὴ αὐτοῦ· καὶ ἐπὶ ἁμαρτωλοὺς καταπαύσει ὁ θυμὸς αὐτοῦ. ἄμα καὶ ἕτερόν τι αἰνίττεται ἐνταῦθα διὰ τοῦ εἰπεῖν, ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω. ἐπὶ τῶν ἐχθρῶν τοῦτο εἴρηται τῶν κακῶς ποιούντων, οὐ τῶν κακῶς παθόντων. ἐνταῦθα καὶ παραμυθεῖται αὐτούς, μονονουχὶ λέγων, μένει διαπαντὸς ὁ Θεὸς καὶ ζῇ· ὥστε κἂν μὴ νῦν ἀπολαύσωσιν, ὕστερον ἀπολήψονται. ἐκείνους δεῖ στενάζειν, οὐχ ἡμᾶς. ἡμεῖς μὲν γὰρ εἰς τὰς ἐκείνων ἐμπεσούμεθα χεῖρας, ἐκεῖνοι δὲ εἰς τὰς τοῦ Θεοῦ. οὐ γὰρ ὁ παθὼν πάσχει κακῶς, ἀλλ' ὁ ποιῶν· οὔτε ὁ εὐεργετούμενος εὐεργετήθη, ἀλλ' ὁ εὐεργετῶν.

ΗΘΙΚΟΝ

Ταῦτα οὖν εἰδότες, ἀνεξίκακοι ὦμεν περὶ τὸ πάσχειν κακῶς, περιχαρεῖς περὶ τὸ εὐεργετεῖν. τοῦτο δὲ ἔσται, ἂν χρημάτων καταφρονῶμεν καὶ δόξης. ὁ ταῦτα τὰ πάθη ἀποδυσάμενος, ἁπάντων ἀνθρώπων ἐστὶν ἐλευθερώτερος, καὶ αὐτοῦ τοῦ τὴν ἁλουργίδα περικειμένου εὐπορώτερος. οὐχ ὁρᾷς ὅσα γίνεται κακὰ διὰ τὰ χρήματα; οὐ λέγω ὅσα διὰ τὴν πλεονεξίαν, ἀλλ' ἐν τῇ περιουσίᾳ τούτων. οἶδ' ὅ τι λέγω, ἂν ἀπολέσῃ τις χρήματα, παντὸς θανάτου χαλεπώτερον βίον ζῇ. τί ἀλγεῖς, ἄνθρωπε; τί δακρύεις; ὅτι σε τῆς περιττῆς φυλακῆς ἀπήλλαξεν ὁ Θεός; ὅτι οὐ κάθῃ τρέμων καὶ δεδοικώς; εἶτα ἂν μέν σέ τις προσδήσῃ τῷ θησαυρῷ, κελεύων διαπαντὸς ἐκεῖ καθῆσθαι, καὶ ἀγρυπνεῖν ὑπὲρ ἀλλοτρίων, ἀλγεῖς, δυσχεραί-

Τῶν δένδρων ὥσπερ ἂν φυτευθέντα, καὶ χειρὸς γεωργικῆς καὶ τῆς ἄλλης ἐπιμελείας ἀπολαύσαντα, μηδεμίαν προφέρηται τὴν πόνων ἀμοιβὴν, πρόῤῥιζα ἀνασπασθέντα τῷ πυρὶ παραδίδοται· τοιοῦτον δή τι καὶ ἐπὶ τοῦ φωτίσματος γίνεται. ἐπειδὰν γὰρ ἡμᾶς ὁ Χριστὸς φυτεύσῃ, καὶ τῆς ἀρδείας ἀπολαύσωμεν τῆς πνευματικῆς, εἶτα βίον ἄκαρπον ἐπιδειξώμεθα, πῦρ ἡμᾶς ἀναμένει τὸ τῆς γεέννης, καὶ φλὸξ ἄσβεστος. ὁ τοίνυν Παῦλος παρακαλέσας εἰς ἀγάπην, καὶ καρποφορεῖν ἔργων ἀγαθῶν, προτρέψας τε ἀπὸ τῶν χρηστοτέρων (ποίων δὴ τούτων; οἷον ὅτι εἴσοδον ἔχομεν εἰς τὰ ἅγια, ἣν ἐνεκαίνισεν ἡμῖν ὁδὸν πρόσφατον) καὶ ἀπὸ τῶν σκυθρωποτέρων πάλιν τὸ αὐτὸ τοῦτο ποιεῖ, οὕτω λέγων. εἰπὼν γὰρ, μὴ ἐγκαταλείποντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν, καθὼς ἔθος τισὶν, ἀλλὰ παρακαλοῦντες, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ βλέπετε ἐγγίζουσαν τὴν ἡμέραν (ἀρκεῖ καὶ αὕτη γὰρ εἰς παράκλησιν ἱκανή) ἐπήγαγεν, ἑκουσίως γὰρ ἁμαρτανόντων ἡμῶν μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν τῆς ἀληθείας. δεῖ, φησὶν, ἔργων ἀγαθῶν, καὶ σφόδρα δεῖ. ἑκουσίως γὰρ ἡμῶν ἁμαρτανόντων μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν τῆς ἀληθείας, οὐκέτι περὶ ἁμαρτιῶν ἀπολείπεται θυσία. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἐκαθάρθης, ἀπηλλάγης ἐγκλημάτων, γέγονας υἱός. ἂν τοίνυν ἐπὶ τὸν πρότερον ἔμετον ἐπιστρέψῃς πάλιν, ἀποκήρυξις μένει καὶ πῦρ, καὶ ὅσα τοιαῦτα. οὐ γάρ ἐστι θυσία δευτέρα. πάλιν ἐνταῦθα ἡμῖν ἐπιφύονται οἱ τὴν μετάνοιαν ἀναιροῦντες, καὶ ὅσοι πρὸς τὸ βάπτισμα ὀκνοῦσιν ἐλθεῖν· ἐκεῖνοι μὲν λέγοντες, ὅτι οὐκ ἀσφαλὲς αὐτοῖς τῷ βαπτίσματι προσελθεῖν, εἴγε οὐκ ἔστιν ἄφεσις δευτέρα· οὗτοι δὲ φάσκοντες, οὐκ ἀσφαλὲς εἶναι μεταδοῦναι μυστηρίων τοῖς ἡμαρτηκόσιν, εἴγε μὴ ἔστιν ἄφεσις δευτέρα. τί οὖν πρὸς ἀμφοτέρους ἐροῦμεν; ὅτι οὐ σκοπῷ τοιούτῳ ἐνταῦθα τοῦτό φησιν, οὐδὲ τὴν μετάνοιαν ἀναιρεῖ, ἢ τὸν διὰ μετανοίας ἐξιλασμὸν, οὐδὲ ὠθεῖ καὶ καταβάλλει διὰ τῆς ἀπογνώσεως τὸν ἐπταικότα. οὐχ οὕτως ἐχθρός ἐστι τῆς σωτηρίας τῆς ἡμετέρας· ἀλλὰ τί; τὸ δεύτερον ἀναιρεῖ λουτρόν. οὐ γὰρ εἶπεν, οὐκέτι ἐστὶ μετάνοια, οὐδὲ, οὐκέτι ἐστὶν ἄφεσις, ἀλλὰ θυσία οὐκέτι ἐστί· τουτέστι, σταυρὸς δεύτερος οὐκέτι ἐστί. θυσίαν γὰρ τοῦτο καλεῖ. μιᾷ γὰρ θυσίᾳ, φησὶ, τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους· οὐχ ὥσπερ τὰ Ἰουδαϊκὰ, οὐδὲ πολλάκις. διὰ γὰρ τοῦτο τοσαῦτα ἄνω καὶ κάτω διελέχθη περὶ τῆς θυσίας, ὅτι μία, καὶ μία, οὐ τοῦτο μόνον βουλόμενος δηλῶσαι, ὅτι διενήνοχε τῶν Ἰουδαϊκῶν [τούτῳ], ἀλλὰ καὶ ἀσφαλεστέρους ποιῆσαι, ὥστε μηκέτι προσδοκᾶν κατὰ τὸν Ἰουδαϊκὸν νόμον ἄλλην θυσίαν. ἑκουσίως γὰρ, φησὶν, ἁμαρτανόντων ἡμῶν. ὁρᾷς πῶς συγγνωμονικός ἐστιν; ἑκουσίως, φησὶν, ἁμαρτανόντων ἡμῶν. ὥστε τοῖς ἀκουσίως συγγνώμη ἐστί. μετὰ τὴν ἐπίγνωσιν τῆς ἀληθείας. ἤτοι τοῦ Χριστοῦ φησὶν, ἢ τῶν δογμάτων ἁπάντων. οὐκέτι περὶ ἁμαρτιῶν ἀπολείπεται θυσία. ἀλλὰ τί; φοβερὰ δέ τις ἐκδοχὴ κρίσεως, καὶ πυρὸς ζῆλος ἐσθίειν μέλλοντος τοὺς ὑπεναντίους. ὑπεναντίους οὐ τοὺς ἀπίστους μόνον φησὶν, ἀλλὰ καὶ τοὺς ἐναντία πράττοντας τῇ ἀρετῇ. οὐδὲν οὖν ἄλλο ἐνταῦθα ἢ τοῦτο δηλοῖ, ὅτι καὶ τοὺς οἰκείους τὸ αὐτὸ λήψεται πῦρ, ὅπερ καὶ τοὺς ὑπεναντίους. εἶτα τὸ διαβρωτικὸν αὐτοῦ δηλῶν, ὥσπερ ἐψύχωσεν αὐτὸ, πυρὸς ζῆλος εἰπὼν ἐσθίειν μέλλοντος τοὺς ὑπεναντίους. καθάπερ γὰρ θηρίον παροξυνόμενον, καὶ σφόδρα χαλεπαῖνον, καὶ ἐξηγριωμένον οὐκ ἂν παύσαιτο, ἕως ἂν λάβοι τινὰ καὶ καταφάγοι· οὕτω καὶ τὸ πῦρ ἐκεῖνο, καθάπερ τις ὑπὸ ζήλου κεντούμενος, ὃν ἂν ἐπιλάβηται, οὐκ ἀφίησιν, ἀλλὰ τρώγει καὶ διασπᾷ. εἶτα καὶ τὸν λόγον ἐπάγει τῆς ἀπειλῆς, ὅτι εἰκότως, ὅτι δικαίως· ὅπερ εἰς πίστιν ἐστὶ συμβαλλόμενον, ὅταν δείξωμεν, ὅτι δικαίως γίνεται.

κ. προφέρηται καρποφορίας πρόσοδον, εἰς τὸ πῦρ βάλλεται. τι.

κ. καὶ ταύτην εἰς παραμυθίαν ὄντως τίθησιν ἱκανήν. ἑκουσίως

κ. ὑποστρέψῃ.

κ. ἤτοι περὶ πίστεως τοῦτο λέγει, ἢ τῶν ὀρθῶν δογ.

28. Ἀθετήσας γάρ, φησί, τις νόμον Μωϋσέως, χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει. Χωρὶς οἰκτιρμῶν, φησίν. ὥστε οὐδεμία συγγνώμη, οὐδεὶς

γοντες ἑαυτοῖς. καὶ τοῦτο ποιοῦμεν, μνησικακίᾳ χώραν οὐκ ἂν ἔχῃ. τίς γὰρ ἕλοιτο ἂν ἑαυτῷ μνησικακεῖν; τίς ἂν ἕλοιτο ἑαυτῷ ὀργίζεσθαι; οὐχὶ μάλιστα πάντων ἑαυτοῖς συγγινώσκομεν; ἐὰν οὕτω καὶ πρὸς τὸν πλησίον διακεώμεθα, οὐδέποτε ἔσται μνησικακία. καὶ πῶς δυνατόν, φησι, τὸν πλησίον οὕτως ἀγαπῆσαι, ὡς αὐτὸς ἑαυτόν; εἰ μὴ ἐποίησαν τοῦτο ἕτεροι, καλῶς ἀδύνατον εἶναι τοῦτο ἐνόμιζες. εἰ δὲ ἐποίησε, δῆλον ὅτι διὰ ῥᾳθυμίαν παρ' ἡμῶν οὐ γίνεται. ἄλλως δέ, οὐδὲν ἀδύνατον ἐπιτάττει ὁ Χριστός, ἐπειδὴ πολλοὶ καὶ ὑπερέβησαν αὐτοῦ τὰ προστάγματα. τίς οὖν ἐποίησε τοῦτο; ὁ Παῦλος, ὁ Πέτρος, πᾶς ὁ τῶν ἁγίων χορός. ἐγὼ δὲ ἐὰν μὲν εἴπω ὅτι τὸν πλησίον ἠγάπησαν, οὐδὲν μέγα ἐρῶ. τοὺς ἐχθροὺς οὕτως ἠγάπησαν, ὡς οὐκ ἄν τις ἀγαπήσειε τοὺς ὁμοψύχους. τίς γὰρ ἂν ἕλοιτο ὑπὲρ τῶν ὁμοψύχων εἰς γέενναν ἀπελθεῖν, μέλλων εἰς βασιλείαν ἀπιέναι; οὐδείς. ἀλλ' ὁ Παῦλος ὑπὲρ τῶν ἐχθρῶν τοῦτο εἵλετο, τῶν λιθασάντων αὐτόν, τῶν μαστιξάντων. ποία οὖν ἡμῖν ἔσται συγγνώμη, τίς παραίτησις, εἰ μηδὲ τὸ πολλοστὸν μέρος τῆς ἀγάπης, ἧς ἐπεδείξατο περὶ τοὺς ἐχθροὺς ὁ Παῦλος, ἡμεῖς περὶ τοὺς φίλους ἐπιδειξόμεθα; καὶ ὁ μακάριος δὲ Μωϋσῆς πρὸ τούτου ὑπὲρ τῶν ἐχθρῶν ἠθέλησε τῶν λιθασάντων αὐτὸν ἐξαλειφθῆναι τῆς βίβλου τοῦ Θεοῦ· καὶ ὁ Δαβὶδ τοὺς λυπήσαντας αὐτὸν ὁρῶν ἀναιρουμένους, φησίν, Ἐγὼ ὁ ποιμὴν ἥμαρτον, καὶ οὗτοι τί ἐποίησαν; καὶ τὸν Σαοὺλ εἰς χεῖρας λαβών, ἀνελεῖν οὐκ ἠβουλήθη, ἀλλὰ διέσωζε, καὶ ταῦτα μέλλων αὐτὸς κινδυνεύειν. εἰ δὲ ἐν τῇ παλαιᾷ ταῦτα, τίνα συγγνώμην ἕξομεν ἡμεῖς οἱ ἐν τῇ καινῇ πολιτευόμενοι, καὶ μηδὲ πρὸς τὸ αὐτὸ ἐκείνοις φθάνοντες μέτρον; εἰ γάρ, ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ἡμῶν πλέον τῶν Φαρισαίων καὶ γραμματέων, οὐκ εἰσελευσόμεθα εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· ὅταν καὶ * ἔλαττον ἐκείνων ἔχωμεν, πῶς εἰσελευσόμεθα; Ἀγαπᾶτε, φησι, τοὺς ἐχθροὺς ὑμῶν, καὶ ἔσεσθε ὅμοιοι τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς. ἀγάπησον τοίνυν τὸν ἐχθρόν. οὐ γὰρ ἐκεῖνον εὐεργετεῖς, ἀλλὰ σαυτόν. πῶς; ἴσος γίνῃ τοῦτο ποιῶν τῷ Θεῷ. ἐκεῖνος ἐὰν ἀγαπηθῇ παρὰ σοῦ, οὐδὲν μέγα ἐκέρδανε· παρὰ γὰρ ὁμοδούλου ἠγαπήθη. σὺ δὲ ἐὰν ἀγαπήσῃς τὸν ὁμόδουλον, μέγα ἐκέρδανας. γίνῃ γὰρ ὅμοιος τῷ Θεῷ. ὁρᾷς ὅτι οὐκ ἐκείνῳ χαρίζῃ, ἀλλὰ σαυτῷ; τὸ γὰρ ἔπαθλον οὐκ ἐκείνῳ τίθησιν, ἀλλὰ σοί. τί οὖν ἐὰν ᾖ πονηρός, φησι; τοσούτῳ μείζων ὁ μισθός. ἀλλὰ καὶ τῆς πονηρίας ὀφείλεις αὐτῷ χάριν εἰδέναι, κἂν μυρία εὐεργετούμενος κακὸς ᾖ. εἰ μὴ γὰρ σφόδρα κακὸς ἦν, οὐκ ἂν σοι σφόδρα ὁ μισθὸς ηὐξήθη. ὥστε ἡ αἰτία τοῦ μὴ ἀγαπᾷν, τὸ λέγειν ὅτι πονηρός ἐστιν, αὕτη αἰτία ἐστὶ τοῦ ἀγαπᾷν. ἆρον τὸν ἀνταγωνιστὴν, καὶ ἀναιρεῖς τῶν στεφάνων τὴν ἀφορμήν. οὐχ ὁρᾷς τοὺς ἀθλητάς, πῶς θυλάκους ἄμμου πληρώσαντες, οὕτω γυμνάζονται; σοὶ δὲ οὐ χρεία ἐπιτηδεῦσαι τοῦτο· γέμει ὁ βίος τῶν γυμναζόντων σε, καὶ ποιούντων ἰσχυρόν. οὐχ ὁρᾷς ὅτι καὶ τὰ δένδρα ὅσῳ ἂν ὑπὸ ἀνέμων ῥιπίζηται, τοσούτῳ μᾶλλον ἰσχυρότερα γίνεται, καὶ πυκνότερα; καὶ ἡμεῖς τοίνυν ἂν ὦμεν μακρόθυμοι, καὶ ἰσχυροὶ ἐσόμεθα. Ἀνὴρ γάρ, φησι, μακρόθυμος, πολὺς ἐν φρονήσει· ὁ δὲ ὀλιγόψυχος, ἰσχυρῶς ἄφρων. ὁρᾷς ὅτι τούτου τὸ ἐγκώμιον; ὁρᾷς ὅσον ἐκείνου τὸ κατηγόρημα; ἰσχυρῶς ἄφρων, τουτέστι, πάνυ. μὴ τοίνυν μικροψυχῶμεν πρὸς ἀλλήλους. οὐ γὰρ ἀπὸ τῆς ἔχθρας γίνεται τοῦτο, ἀλλ' ἀπὸ τοῦ ψυχὴν μικρὰν ἔχειν. ὡς ἐὰν ᾖ ἰσχυρά, πάντα οἴσει ῥᾳδίως, καὶ οὐδὲν αὐτὴν καταποντίσαι δυνήσεται, ἀλλ' εἰς τοὺς εὐδιεινοὺς ἀπάξει λιμένας· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. κ. 26 ΕΚΟΥΣΙΩΣ ΓΑΡ ΑΜΑΡΤΑΝΟΝΤΩΝ ΗΜΩΝ μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν τῆς ἀληθείας, οὐκέτι περὶ ἁμαρτιῶν ἀπολείπεται θυσία· 27 Φοβερὰ δέ τις ἐκδοχὴ κρίσεως, καὶ πυρὸς ζῆλος ἐσθίειν μέλλοντος τοὺς ὑπεναντίους.

Left margin notes:
β. Βασ. κδ.
Ματθ. ε. κ.
Ματθ. ε. μδ.
Παροιμ. ιδ. κθ.

Right margin notes:
κι ἐπιτίμησε
χ. μέλλοι ἂν εἰς
* τὸ
χ. πῶς ἐνι; ἴσος τῷ Θεῷ, μὴ ἀγαπῶν; ἀκούσ-
χ. πίπτει
χ. ἰδὲ
χ. πῶς ἂν
χ. ἴνα ἂν

Ταῦ

24 Καὶ κατανοῶμεν, φησὶν, ἀλλήλους εἰς παροξυσμὸν ἀγάπης καὶ καλῶν ἔργων,

25 Μὴ ἐγκαταλείποντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν, καθὼς ἔθος τισὶν, ἀλλὰ παρακαλοῦντες καὶ τοσούτῳ μᾶλλον, ὅσῳ βλέπετε ἐγγίζουσαν τὴν ἡμέραν. Καὶ πάλιν ἑτέρωθι, Ὁ Κύριος ἐγγὺς, μηδὲν μεριμνᾶτε. νῦν [γὰρ] ἐγγύτερον ἡμῶν ἡ σωτηρία. καὶ πάλιν, Ὁ καιρὸς συνεσταλμένος ἐστὶ λοιπόν. τί ἐστι, μὴ ἐγκαταλείποντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν; οἶδεν ἀπὸ τῆς συνουσίας καὶ τῆς ἐπισυναγωγῆς πολλὴν οὖσαν τὴν ἰσχύν. Ὅπου γάρ εἰσι δύο ἢ τρεῖς, φησὶ, συνηγμένοι εἰς τὸ ὄνομά μου, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν. καὶ πάλιν, Ἵνα ὦσιν ἓν, καθὼς καὶ ἡμεῖς ἕν ἐσμεν. καὶ πάλιν, Πλήθους δὲ ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία. οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλ' ἐπειδὴ καὶ τὰ τῆς ἀγάπης αὔξεται διὰ τῆς ἐπισυναγωγῆς· τῆς δὲ ἀγάπης αὐξανομένης, ἀνάγκη καὶ τὰ τοῦ Θεοῦ ἕπεσθαι. Προσευχὴ δὲ ἦν, φησιν, ἐκτενὴς ὑπὸ τοῦ λαοῦ γινομένη, καθὼς ἔθος τισίν. ἐνταῦθα οὐ μόνον παρῄνεσεν, ἀλλὰ καὶ ἐμέμψατο*. καὶ κατανοῶμεν, φησιν, ἀλλήλους εἰς παροξυσμὸν ἀγάπης καὶ καλῶν ἔργων. οἶδε καὶ τοῦτο γινόμενον ἀπὸ τῆς ἐπισυναγωγῆς αὐτῶν. καθάπερ γὰρ σίδηρος σίδηρον ὀξύνει, οὕτω καὶ ἡ συνουσία τὴν ἀγάπην αὔξει. Εἰ γὰρ λίθος πρὸς λίθον τριβόμενος πῦρ ἀφίησι, πόσῳ μᾶλλον ψυχὴ πρὸς ψυχὴν ἀναμιγνυμένη; ὅρα· οὐκ εἰς ζῆλον, φησιν, ἀλλ' εἰς παροξυσμὸν ἀγάπης. Τί ἐστιν, εἰς παροξυσμὸν ἀγάπης; εἰς τὸ μᾶλλον ἀγαπᾶν καὶ ἀγαπᾶσθαι. προστίθησι δὲ, καὶ καλῶν ἔργων, ὥστε ζῆλον λαβεῖν. Εἰκότως. Εἰ γὰρ τὸ ποιεῖν, φησι, τοῦ λέγειν μείζονα τὴν ἰσχὺν ἔχει πρὸς διδασκαλίαν· πολλοὺς ἔχετε καὶ ὑμεῖς διδασκάλους ἐν τῷ πλήθει, διὰ τῶν ἔργων τοῦτο ποιοῦντας. Τί ἐστι, προσερχώμεθα μετὰ ἀληθινῆς καρδίας; τουτέστι, χωρὶς ὑποκρίσεως. οὐαὶ γὰρ καρδίᾳ δειλῇ, καὶ χερσὶ παρειμέναις. μηδὲν ἔστω, φησὶ, ψεῦδος ἐν ὑμῖν· μὴ ἕτερα μὲν λέγωμεν, ἕτερα δὲ φρονῶμεν· τοῦτο γὰρ ψεῦδος· μηδὲ ὀλιγοψυχῶμεν· τοῦτο γὰρ οὐκ ἀληθινῆς καρδίας. ἀπὸ γὰρ τοῦ μὴ πιστεύειν τὸ ὀλιγοψυχεῖν γίνεται. πῶς δὲ ἔσται τοῦτο; ἐὰν πληροφορήσωμεν ἑαυτοὺς διὰ τῆς πίστεως. ἐρραντισμένοι τὰς καρδίας. διατί μὴ εἶπε, κεκαθαρμένοι, ἀλλ' ἐρραντισμένοι; τὴν διαφορὰν τῶν περιρραντηρίων δεῖξαι βουλόμενος, καὶ ὅτι τὸ μὲν τοῦ Θεοῦ, τὸ δὲ ἡμέτερον. τὸ μὲν γὰρ λοῦσαι καὶ περιρρᾶναι τὴν συνείδησιν, τοῦ Θεοῦ· τὸ δὲ μετ' ἀληθείας προσελθεῖν καὶ ἐν πληροφορίᾳ πίστεως, ἡμέτερον. Εἶτα καὶ τῇ πίστει δίδωσιν ἰσχὺν ἀπὸ τῆς ἀληθείας τοῦ ἐπαγγειλαμένου. τί ἐστι, καὶ λελουμένοι τὸ σῶμα ὕδατι καθαρῷ; ἤτοι τῷ καθαροὺς ποιοῦντι λέγει, ἢ τῷ μὴ ἔχοντι αἷμα. Εἶτα προστίθησι τὸ τέλειον, τὴν ἀγάπην. μὴ ἐγκαταλείποντες τὴν ἐπισυναγωγὴν, φησιν, ἑαυτῶν· ὅπερ τινὲς, φησι, ποιοῦσι, καὶ τὰς συνόδους διατέμνουσι. τοῦτο αὐτοῖς ἀπαγορεύει. Ἀδελφὸς γὰρ ὑπὸ ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρά. ἀλλὰ κατανοῶμεν ἀλλήλους εἰς παροξυσμὸν ἀγάπης. τί ἐστι, κατανοῶμεν ἀλλήλους; οἷον, εἴ τις ἐνάρετος, τοῦτον μιμώμεθα· βλέπωμεν εἰς αὐτὸν, ὥστε ἀγαπᾶν καὶ ἀγαπᾶσθαι. ἀπὸ γὰρ τῆς ἀγάπης τὰ καλὰ ἔργα γίνονται. μέγα* ἀγαθὸν ἡ σύνοδος. αὕτη γὰρ αὐτὴν θερμοτέραν ἐργάζεται· καὶ ἐξ αὐτῆς πάντα τίκτεται τὰ ἀγαθά. οὐδὲν γάρ ἐστιν ἀγαθὸν, ὃ μὴ διὰ ἀγάπης γίνεται.

ΗΘΙΚΟΝ

Ταύτην οὖν κυρώσωμεν εἰς ἀλλήλους. Πλήρωμα γὰρ νόμου ἐστὶν ἡ ἀγάπη. οὐ δεῖ πόνων ἡμῖν, οὐδὲ ἱδρώτων, ἐὰν ἀγαπῶμεν ἀλλήλους. αὐτόματός τις ἐστὶν ὁδὸς φέρουσα πρὸς τὴν ἀρετήν. καθάπερ γὰρ ἐπὶ τῆς λεωφόρου, ἐάν τις εὕρῃ τὴν ἀρχὴν, ὁδηγεῖται ὑπ' αὐτῆς, καὶ οὐ δεῖται χειραγωγοῦ· οὕτω καὶ ἐπὶ τῆς ἀγάπης, μόνον ἐπιλαβοῦ τῆς ἀρχῆς, καὶ εὐθέως χειραγωγῇ ὑπ' αὐτῆς, καὶ ἰθύνῃ. Ἡ ἀγάπη, φησὶ, μακροθυμεῖ, χρηστεύεται, οὐ λογίζεται τὸ κακόν. ἐὰν ἐννοήσῃ τις [ὡς ἑαυτὸν,] πῶς διάκειται πρὸς ἑαυτὸν, καὶ οὕτω πρὸς τὸν πλησίον διακείσθω. Οὐδεὶς φθονεῖ ἑαυτῷ, πάντα ἑαυτῷ εὔχεται τὰ ἀγαθὰ, πάντων ἑαυτὸν προτιμᾷ, πάντα ὑπὲρ ἑαυτοῦ βούλεται ποιεῖν. ἐὰν τοίνυν καὶ πρὸς τοὺς ἄλλους οὕτω διακεώμεθα, πάντα λέλυται τὰ δεινά· οὐκ ἔστιν ἔχθρα, οὐκ ἔστι πλεονεξία. τίς γὰρ ἂν ἕλοιτο πλεονεκτῆσαι ἑαυτόν; οὐδείς· ἀλλὰ μᾶλλον πᾶν τοὐναντίον. οὐκοῦν κοινὰ πάντα κτησώμεθα, καὶ μὴ παυσώμεθα συνά-

Marginal notes: Φιλιπ. δ. ε. — α. Κορ. ζ. κθ. — Ματθ. ιη. κ. — Ιωαν. ιζ. ια. — Πραξ. δ. λβ. — Πραξ. ιβ ε. — Παροιμ. ιη ιθ. — Ρωμ. ιγ. ι. — α. Κορ. ιγ δ. — χ. [illegible] ἐπέπληξεν, ἐπετίμα — χ. ὑμῖν — * γρ. [illegible] ἑαυτὴν [illegible] — χ. τὰ ἄτοπα

Δείξας δὲ τὴν διαφορὰν ὅσην τοῦ ἀρχιερέως, καὶ τῶν θυσιῶν, καὶ τῆς σκηνῆς, καὶ τῆς διαθήκης, καὶ τῆς ἐπαγγελίας, καὶ πολὺ τὸ μέσον (εἴγε τὰ μὲν πρόσκαιρα, τὰ δὲ αἰώνια, τὰ μὲν ἐγγὺς ἀφανισμοῦ, τὰ δὲ μένοντα, τὰ μὲν εὐτελῆ, τὰ δὲ τέλεια, τὰ μὲν τύποι, τὰ δὲ ἀλήθεια. Οὐ γὰρ κατὰ νόμον ἐντολῆς, φησὶ, σαρκικῆς, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου. καὶ πάλιν, Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα. ἰδοὺ τὸ διηνεκὲς τοῦ ἱερέως. καὶ περὶ τῆς διαθήκης, ἐκείνη, φησὶ, παλαιά· τὸ γὰρ παλαιούμενον καὶ γηράσκον ἐγγὺς ἀφανισμοῦ. αὕτη δὲ καινὴ, καὶ ἄφεσιν ἁμαρτιῶν ἔχουσα· ἐκείνη δὲ οὐδὲν τοιοῦτον. οὐδὲν γὰρ ἐτελείωσεν ὁ νόμος, φησί. καὶ πάλιν, Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας. καὶ ἐκείνη μὲν χειροποίητος, αὕτη δὲ ἀχειροποίητος, καὶ ἡ μὲν τράγων αἷμα ἔχουσα, αὕτη δὲ δεσπότου, καὶ ἡ μὲν ἑστῶτα τὸν ἱερέα, αὕτη δὲ καθήμενον) ἐπειδὴ τοίνυν πάντα ἐκεῖνα ἐλάττω, ταῦτα δὲ μείζω, διὰ τοῦτό φησιν, ἔχοντες οὖν, ἀδελφοὶ, παῤῥησίαν. παῤῥησίαν πόθεν; ἀπὸ τῆς ἀφέσεως. ὥσπερ γὰρ αἰσχύνην, φησὶ, ποιεῖ τὰ ἁμαρτήματα, οὕτω παῤῥησίαν τὸ πάντα ἀφεθῆναι ταῦτα ἡμῖν. οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ τὸ συγκληρονόμους γενέσθαι, καὶ τοσαύτης ἀπολαῦσαι ἀγάπης εἰς τὴν εἴσοδον τῶν ἁγίων. τί φησιν εἴσοδον ἐνταῦθα; τὸν οὐρανὸν, καὶ τὴν πρόσοδον τὴν εἰς τὰ πνευματικά. ἣν ἐνεκαίνισεν ἡμῖν. τουτέστιν, ἣν κατεσκεύασε, καὶ ἧς ἤρξατο. ἐγκαινισμὸς γὰρ λέγεται ἀρχὴ χρήσεως λοιπόν. ἣν κατεσκεύασε, φησὶ, καὶ δι᾽ ἧς αὐτὸς ἐβάδισεν. ὁδὸν πρόσφατον καὶ ζῶσαν. ἐνταῦθα τὴν πληροφορίαν τῆς ἐλπίδος ἐμφαίνει. πρόσφατον, φησί. βιάζεται δεῖξαι πάντα τὰ μείζονα ἐσχηκότας, εἴγε νῦν ἀνεῴχθησαν αἱ πύλαι τῶν οὐρανῶν, ὃ οὐδὲ ἐπὶ Ἀβραὰμ ἐγένετο. καὶ καλῶς ὁδὸν πρόσφατον φησὶ καὶ ζῶσαν. ἡ γὰρ προτέρα ὁδὸς, θανάτου ἦν, ἐπὶ τὸν ᾅδην ἄγουσα· αὕτη δὲ ζωῆς. καὶ οὐκ εἶπε, ζωῆς, ἀλλὰ ζῶσαν αὐτὴν ἐκάλεσε, τὴν μένουσαν οὕτω δηλῶν. διὰ τοῦ καταπετάσματος, φησι, τῆς σαρκὸς αὐτοῦ. ἡ γὰρ σὰρξ αὕτη ἔτεμε πρώτη τὴν ὁδὸν [αὐτῷ] ἐκείνην, ἣν καὶ ἐγκαινίσαι λέγει, τῷ καὶ αὐτὸς ἀξιῶσαι διὰ ταύτης βαδίσαι. καταπέτασμα δὲ εἰκότως ἐκάλεσε τὴν σάρκα. ὅτε γὰρ ἤρθη εἰς ὕψος, τότε ἐφάνη τὰ ἐν τοῖς οὐρανοῖς. προσερχώμεθα, φησὶ, μετὰ ἀληθινῆς καρδίας. τίνες προσερχώμεθα; εἴ τις ἅγιος τῇ πίστει, τῇ πνευματικῇ λατρείᾳ. μετὰ ἀληθινῆς καρδίας, ἐν πληροφορίᾳ πίστεως· τουτέστιν, ἐπειδὴ οὐδέν ἐστιν ὁρατὸν, οὔτε ὁ ἱερεὺς, οὔτε ἡ θυσία, οὔτε τὸ θυσιαστήριον ὁρᾶται. καίτοιγε οὐδὲ ἐκεῖνος ὁ ἱερεὺς ὁρατὸς ἦν, ἀλλ᾽ ἔνδον αὐτὸς εἱστήκει, ἐκεῖνοι δὲ ἔξω πάντες, ὁ λαὸς ἅπας. ἐνταῦθα δὲ οὐ μόνον τοῦτο δείκνυσιν, ὅτι ὁ ἱερεὺς εἰσῆλθεν εἰς τὰ ἅγια (τοῦτο γὰρ δηλοῖ τῷ λέγειν, καὶ ἱερέα μέγαν ἐπὶ τὸν οἶκον τοῦ Θεοῦ) ἀλλ᾽ ὅτι καὶ ἡμεῖς εἰσερχόμεθα. διὰ τοῦτό φησιν, ἐν πληροφορίᾳ πίστεως. ἔστι γὰρ καὶ πιστεύειν διστάζοντα· οἷοι πολλοί εἰσι καὶ νῦν λέγοντες, ὅτι τινῶν μέν ἐστιν ἀνάστασις, τινῶν δὲ οὔ. τοῦτο δὲ οὐκ ἔστι πληροφορία πίστεως. οὕτω γὰρ δεῖ πιστεύειν, ὡς περὶ ὁρωμένων· καὶ πολλῷ πλέον. ἐνταῦθα μὲν γὰρ καὶ σφαλῆναί ἐστιν ἐν τοῖς ὁρωμένοις, ἐκεῖ δὲ οὔ. καὶ ἐνταῦθα μὲν τῇ αἰσθήσει ἐπιτρέπομεν, ἐκεῖ δὲ τῷ πνεύματι. ἐῤῥαντισμένοι τὰς καρδίας ἀπὸ συνειδήσεως πονηρᾶς. ἐνταῦθα δείκνυσιν ὅτι οὐ πίστις μόνον, ἀλλὰ καὶ βίος ἐνάρετος ζητεῖται, καὶ τὸ μηδὲν ἑαυτοῖς συνειδέναι πονηρόν. οὐ γὰρ δέχεται τὰ ἅγια τοὺς μὴ οὕτω διακειμένους μετὰ πληροφορίας. ἅγια γάρ ἐστι, καὶ ἅγια ἁγίων. οὐκοῦν ἐνταῦθα ἄνθρωπος οὐδεὶς βέβηλος εἴσεισιν. ἐκεῖνοι τὸ σῶμα ἐῤῥαντίζοντο, ἡμεῖς τὴν συνείδησιν· ὥστε ἔστι καὶ νῦν περιῤῥαντίζεσθαι, ἀλλ᾽ αὐτῇ τῇ ἀρετῇ. καὶ λελουμένοι τὸ σῶμα ὕδατι καθαρῷ. τὸ λουτρὸν ἐνταῦθά φησιν, ὅπερ οὐκ ἔστι σωμάτων καθάρσιον, ἀλλὰ ψυχῆς. Πιστὸς γὰρ ὁ ἐπαγγειλάμενος. Καὶ τίς ὁ ἐπαγγειλάμενος; ἔστι πιστός; ὅτι δεῖ ἀπελθεῖν ἐκεῖ, καὶ εἰσελθεῖν εἰς τὴν βασιλείαν. μηδὲν τοίνυν περιεργάζου, μηδὲ λογισμοὺς ἀπαίτει· πίστεως δεῖται τὰ ἡμέτερα.

Ἑβρ. ζ. 16.

Ἑβρ. η. 13.

γρ. ἀΐδια, ταῦτα δὲ τὰ

γρ. -κεν, ὅτι παλαιά, δῆλον δι᾽ ὧν λέγει, τὸ γὰρ

γρ. -δον, ὁδὸν πρόσφατον λέγει ὅτε πρὸς [illegible]

γρ. [illegible] -ται τοῖς ἁγίοις, τῇ

σαι καλὸν αὐτὴν, μηδὲ ἀποφθεγγέσθω τοῦ Χριστοῦ, ὃς τελειότητα ταύτην ἔφησεν εἶναι τῆς ἀρετῆς, εἰπών, Εἰ θέλεις τέλειος εἶναι. τοῦτο γὰρ καὶ διὰ τῶν λόγων αὐτὸς εἶπε, καὶ διὰ τῶν ἔργων ἔδειξε, καὶ διὰ τῶν μαθητῶν ἐδίδαξε. διώξωμεν οὖν τὴν πενίαν. μέγιστον γάρ ἐστιν ἀγαθὸν αὕτη τοῖς νήφουσι. τάχα τινὲς καὶ οἰωνίζονται τῶν ἀκουόντων. οὐκ ἀπιστῶ. πολλὴ γὰρ ἡ νόσος αὕτη παρὰ τοῖς πλείοσι τῶν ἀνθρώπων, καὶ τοσαύτη τῶν χρημάτων ἡ τυραννὶς, ὡς μηδὲ μέχρι ῥήματος αὐτῆς τὴν παραίτησιν φέρειν, ἀλλὰ καὶ οἰωνίζεσθαι ταύτην. πόῤῥω ταῦτα τῆς τοῦ χριστιανοῦ ψυχῆς. οὐδεὶς γὰρ πλουσιώτερος τοῦ πενίαν αἱρουμένου ἑκοντὶ, καὶ μετὰ προθυμίας. πῶς; ἐγὼ λέγω· καὶ εἰ βούλεσθε, καὶ αὐτοῦ τοῦ βασιλέως πλουσιώτερον ὄντα ἀποφανῶ τὸν ἑκοντὶ τὴν πενίαν αἱρούμενον. ἐκεῖνος μὲν γὰρ δεῖται πολλῶν, καὶ ἐν φροντίδι ἐστὶ, καὶ δέδοικε μὴ ἐπιλίπῃ αὐτὸν τὰ τῆς τροφῆς τῆς στρατιωτικῆς· οὗτος δὲ πάντα ἀφθόνως ἔχει, καὶ περὶ οὐδενὸς δέδοικε· καὶ εἰ δέδοικεν, οὐχ ὑπὲρ τούτων. τίς οὖν, εἰπέ μοι, πλούσιος, ὁ καθ᾽ ἑκάστην ἡμέραν ἀπαιτῶν, καὶ σπουδάζων πολλὰ συλλέγειν, καὶ δεδοικὼς μή ποτε ἐπιλείπῃ· ἢ ὁ μηδὲν συλλέγων, καὶ ἐν ἀφθονίᾳ ὢν πολλῇ, καὶ μηδενὸς δεόμενος; τὴν παῤῥησίαν γὰρ ἀρετὴ δίδωσι, καὶ τοῦ Θεοῦ φόβος, οὐ τὰ χρήματα. ἐκεῖνα γὰρ καὶ καταδουλοῦνται. Ξένια γὰρ καὶ δῶρα, φησὶν, ἐκτυφλοῖ ὀφθαλμοὺς σοφῶν, καὶ ὡς φιμὸς ἐν στόματι ἀποτρέπει ἐλεγμούς. σκόπει πῶς ὁ πένης ἐκεῖνος Πέτρος Ἀνανίαν τὸν πλούσιον ἐκόλασεν. οὐχ ὁ μὲν πλούσιος ἦν, ὁ δὲ πένης; ἀλλ᾽ ὅρα τοῦτον μὲν μετὰ αὐθεντίας διαλεγόμενον, καὶ λέγοντα, Εἰπέ μοι, εἰ τοσούτου τὸ χωρίον ἀπέδοσθε· ἐκεῖνον δὲ μετὰ ὑποστολῆς λέγοντα, Ναὶ τοσούτου. καὶ τίς δώσει μοι, φησὶ, κατὰ Πέτρον εἶναι; ἔξεστί σοι κατὰ Πέτρον εἶναι, ἐὰν θέλῃς ῥῖψαι ἃ ἔχεις. σκόρπισον, δὸς πένησιν, ἀκολούθησον τῷ Χριστῷ, καὶ ἔσῃ τοιοῦτος. πῶς; ἐκεῖνος, φησὶ, σημεῖα ἐποίησε. τοῦτο οὖν ἐστιν, εἰπέ μοι, τὸ τὸν Πέτρον ποιῆσαι θαυμαστὸν, ἢ ἡ παῤῥησία ἡ ἀπὸ τῆς πολιτείας; οὐκ ἀκούεις τοῦ Χριστοῦ λέγοντος, [Μὴ χαίρετε ὅτι τὰ δαιμόνια ὑμῖν ὑπακούει;] Ἐὰν θέλῃς τέλειος εἶναι, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανοῖς; ἄκουσον τί καὶ ὁ Πέτρος φησίν· Ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι, ὃ δὲ ἔχω, τοῦτό σοι δίδωμι. εἴ τις ἔχει ἀργύριον καὶ χρυσίον, ἐκεῖνα οὐκ ἔχει. τί οὖν, φησὶν, ὅτι πολλοὶ οὔτε ἐκεῖνα, οὔτε ταῦτα ἔχουσιν; ὅτι οὐχ ἑκόντες πένονται. ἐπεὶ τὸν ἑκόντες πενόμενοι, πάντα ἔχουσι τὰ ἀγαθά. εἰ γὰρ καὶ μὴ νεκροὺς ἀνιστῶσι, μηδὲ χωλοὺς, ἀλλ᾽ ὃ πάντων μεῖζόν ἐστι, παῤῥησίαν ἔχουσι πρὸς τὸν Θεόν. ἀκούσονται κατ᾽ ἐκείνην τὴν ἡμέραν τῆς μακαρίας ἐκείνης φωνῆς τῆς λεγούσης, Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου. [τί τούτου κρεῖττον;] κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. ἐπείνασα γὰρ, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με· ξένος ἤμην, καὶ συνηγάγετέ με· γυμνὸς ἤμην, καὶ περιεβάλετέ με· ἀσθενὴς ἤμην, καὶ ἐν φυλακῇ, καὶ ἐπεσκέψασθέ με. κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. φεύγωμεν τοίνυν τὴν πλεονεξίαν, ἵνα τύχωμεν τῆς βασιλείας τῶν οὐρανῶν. τρέφωμεν τοὺς πένητας, ἵνα τρέφωμεν τὸν Χριστόν· ἵνα συγκληρονόμοι αὐτοῦ γενώμεθα, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Margin notes: ἴσ. παραίτησιν. — χ. τύχη. — χ. μειζόνως. — χ. ἐλέγχους. — χ. τίς ἔδωκε. — χ. -σιν; ὅσοι ἑκόντες πένονται, πάντα. — Ματθ. ιθ. κα. — Σηρ. κ. κθ. — Πραξ. ε. η. — Ματθ. ιθ. κα. — Πραξ. γ. ς. — Ματθ. κε. δ.

Λογ. ιθ. 19 ΕΧΟΝΤΕΣ ΟΥΝ, ΑΔΕΛΦΟΙ, ΠΑΡΡΗΣΙΑΝ εἰς τὴν εἴσοδον τῶν ἁγίων ἐν τῷ αἵματι Ἰησοῦ, 20 Ἣν ἐνεκαίνισεν ἡμῖν ὁδὸν πρόσφατον καὶ ζῶσαν διὰ τοῦ καταπετάσματος, τουτέστι, τῆς σαρκὸς αὐτοῦ, 21 Καὶ ἱερέα μέγαν ἐπὶ τὸν οἶκον τοῦ Θεοῦ, 22 Προσερχώμεθα μετὰ ἀληθινῆς καρδίας ἐν πληροφορίᾳ πίστεως, ἐῤῥαντισμένοι τὰς καρδίας ἀπὸ συνειδήσεως πονηρᾶς· 23 Καὶ λελουμένοι τὸ σῶμα ὕδατι καθαρῷ, κατέχωμεν τὴν ὁμολογίαν τῆς ἐλπίδος ἀκλινῆ.

Margin note: χ. ἐπαγγελίαν

ἐστι) ὁ ἔρως ὁ τῶν σωμάτων. μὴ τοίνυν τοῦ πλούτου ἐρῶμεν, ἀλλ᾽ ἀεὶ τὴν πενίαν ἀεὶ διώκωμεν. αὕτη γὰρ μέγα ἀγαθόν. ἀλλὰ ταπεινούς, φησι, καὶ εὐτελεῖς ποιεῖ. τοῦτο γὰρ ἡμῖν χρεία. χ. χρημάτων. χ. -νοῖ
Παροιμ. ι. δ. πολὺ γὰρ ἡμῖν τοῦτο συμβάλλεται. Πενία, φησίν, ἄνδρα ταπεινοῖ. καὶ πάλιν ὁ Χριστός,
Ματθ. ε. γ. Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι. διὰ τοῦτο σὺ ἀλγεῖς, ὅτι ἔχεις ὁδὸν εἰς ἀρετὴν χειραγωγοῦσαν; οὐκ οἶδας ὅτι αὕτη πολλὴν παρρησίαν ἡμῖν δίδωσιν; Ἀλλ᾽ ἡ σοφία, φησί, χ. -ῶν; καὶ πῶς, φησιν, εἴρηται, τοῦ-την
Ἐκκλησ. θ. ιϛ. τοῦ πένητος ἐστὶν ἐξουθενημένη. καὶ πάλιν ἕτερός τίς φησι, Πλοῦτον καὶ πενίαν μή μοι δῷς. καὶ, Ἐκ
Παροιμ. λ. η. καμίνου πενίας ῥῦσαί με. πῶς δὲ πάλιν, εἰ πλοῦτος καὶ πενία παρὰ Κυρίου, κακὸν ἡ πενία, ἢ ὁ πλοῦτος; τίνος [οὖν] ἕνεκεν ταῦτα εἴρηται; ταῦτα ἐλέγετο ἐν τῇ παλαιᾷ, ἔνθα πολὺς ὁ λόγος τοῦ πλούτου, ἔνθα τῆς πενίας πολλὴ ἦν ἡ ὑποψία, ἔνθα τὸ μὲν κατάρα ἦν, τὸ δὲ εὐλογία. ἀλλὰ νῦν οὐκέτι. ἀλλὰ θέλεις ἀκοῦσαι τῆς πενίας ἐγκώμια; αὐτὴν μετῆλθεν ὁ Χριστός, καί φησιν, Ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ. καὶ πάλιν
Ματθ. η. κ. Ματθ. ι. θ. τοῖς μαθηταῖς ἔλεγε, Μὴ κτήσησθε χρυσόν, μήτε ἄργυρον, μήτε δύο χιτῶνας. καὶ ὁ
β. Κορ. ϛ. ι. Παῦλος γράφων ἔλεγεν, Ὡς μηδὲν ἔχοντες, καὶ πάντα κατέχοντες. καὶ Πέτρος ἔλεγε τῷ ἐκ γενετῆς
Πράξ. γ. ϛ. χωλῷ, Ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι. καὶ ἐν αὐτῇ δὲ τῇ παλαιᾷ, ἔνθα ἐθαυμάζετο ὁ πλοῦτος, τίνες, εἰπέ μοι, ἦσαν οἱ θαυμαστοί; οὐχὶ Ἠλίας ὁ πλὴν τῆς μηλωτῆς μηδὲν ἔχων; οὐχὶ Ἐλισσαῖος; οὐχὶ Ἰωάννης; μηδεὶς τοίνυν ἔστω ταπεινὸς διὰ πενίαν. οὐκ ἔστι πενία ἡ ποιοῦσα ταπεινόν, ἀλλὰ πλοῦτος ὁ πολλῶν δεῖσθαι καταναγκάζων, καὶ πολλοῖς εἰδέναι χάριτας βια-
Γεν. κη. ζόμενος. τί δὲ ὁ Ἰακὼβ πενέστερον ἦν, εἰπέ μοι, ὃς ἔλεγεν, Ἐὰν δῷ μοι Κύριος ἄρτον φαγεῖν, καὶ ἱμάτιον περιβαλέσθαι; ἆρα ἀπαρρησίαστοι ἦσαν οἱ περὶ Ἠλίαν καὶ Ἰωάννην; οὐχ ὁ μὲν τὸν Ἀ-
Ματ. ιδ. γ. χαὰβ ἤλεγχεν, ὁ δὲ τὸν Ἡρώδην; ἐκεῖνος ἔλεγεν, Οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα Φιλίπ-
γ. Βασ. ιη. που τοῦ ἀδελφοῦ σου. ὁ δὲ Ἠλίας πρὸς τὸν Ἀχαὰβ μετὰ παρρησίας ἔλεγεν, Οὐκ ἐγὼ διαστρέφω τὸν Ἰσραήλ, ἀλλὰ σὺ καὶ ὁ οἶκος τοῦ πατρός σου. ὁρᾷς ὅτι τοῦτο μάλιστα ποιεῖ τὴν παρρησίαν, ἡ πενία; ὁ μὲν γὰρ πλούσιος δοῦλός ἐστιν, ὑπεύθυνος ὢν ζημίᾳ, καὶ παρέχων πᾶσι τοῖς βουλομένοις κακῶς αὐτὸν ποιεῖν· ὁ δὲ μηδὲν ἔχων, θάνατον οὐ δέδοικεν, οὐδὲ καταδίκην. οὐκ ἂν οὖν, εἰ ἡ πενία ἐποίει ἀπαρρησιάστους, ὁ Χριστὸς μετὰ πενίας ἔπεμπε τοὺς μαθητὰς εἰς πρᾶγμα παρρησίας πολλῆς δεόμενον. σφόδρα γὰρ ἰσχυρὸς ὁ πένης ἐστί· καὶ οὐκ ἔχει ὅθεν ἀδικηθῇ, ἢ πάθῃ κακῶς. ὁ μὲν γὰρ πλούσιος, πανταχόθεν εὐχείρωτος καθίσταται· καὶ ταὐτὸν γίνεται, οἷον ἄν τις τῶν πολλὰ σχοινία ἐπισυρομένων καὶ μακρά, ῥᾳδίως ἕλοι, τῶν δὲ γυμνῶν οὐκ εὐκόλως καταλάβοι διώκων. οὕτω καὶ ἐνταῦθα ἐπὶ τοῦ πλουσίου συμβαίνει. ἀνδράποδα, χρυσίον, ἀγροί, μυρία πράγματα, μυρίαι φροντίδες, περιστάσεις, ἀνάγκη πάντων αὐτὸν εὐχείρωτον ἐργάζονται. μηδεὶς τοίνυν λοιπὸν τὴν πενίαν τῆς ἀτιμίας αἰτίαν εἶναι νομιζέτω. ἐὰν [γὰρ] ἀρετὴ παρῇ, ἅπας ὁ τῆς οἰκουμένης πλοῦτος, οὐδὲ πηλός, οὐδὲ κάρφος ἐστὶ πρὸς αὐτήν. ταύτην τοίνυν διώκωμεν, εἰ βουλοίμεθα εἰσελθεῖν εἰς τὴν βασι- χ. -ουσι ἀλ-χείας, αἱ τῶν
Ματθ. ιθ. κα. λείαν τῶν οὐρανῶν. Πώλησον γάρ σου, φησι, τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θη-
Ματθ. ιθ. κγ. σαυρὸν ἐν οὐρανῷ. καὶ πάλιν, Δυσκόλως οἱ πλούσιοι εἰσελεύσονται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. ὁρᾷς ὅτι καὶ μὴ παροῦσαν αὐτὴν ἐπισπάσασθαι δεῖ; τοσοῦτόν ἐστιν ἀγαθὸν ἡ πενία. χειραγωγία γάρ τίς ἐστι τῆς πρὸς τὸν οὐρανὸν φερούσης ὁδοῦ, ἄλειμμα ἀθλητικόν, γυμνασία τις μεγάλη καὶ θαυμαστή, λιμὴν εὔδιος. ἀλλὰ χρείαν ἔχω πολλῶν, φησι, καὶ οὐ βούλομαί τινος χάριν λαβεῖν. ἀλλὰ καὶ ἐν τούτῳ σου ὁ πλούσιος ἐλάττωται. σὺ μὲν γὰρ ἴσως ὑπὲρ τροφῆς τὴν χάριν αἰτεῖς· ἐκεῖνος δὲ ὑπὲρ μυρίων ἀναιδεστέρων πραγμάτων, ὑπὲρ πλεονεξίας. ὥστε οἱ πλούσιοί εἰσιν οἱ πολλῶν δεόμενοι. τί λέγω πολλῶν; καὶ ἀναξίων ἑαυτῶν πολλάκις. οἷόν τι λέγω· τῶν ἐν τῇ τάξει στρατιωτῶν καὶ δούλων ὄντων πολλάκις ἐν χρείᾳ καθίστανται· ὁ δὲ πένης οὐδὲ αὐτοῦ δεῖται τοῦ βασιλέως· καὶ ἐὰν δεηθῇ, θαυμάζεται ὅτι εἰς τοῦτο κατέστησεν ἑαυτόν, παρὸν αὐτῷ πλουτεῖν. μηδεὶς τοίνυν αἰτιάσθω τὴν πενίαν, ὡς μυρίων οὖ-

χ. ἐπισπάσασθαι
ἴσ. οἷόν τι λέγω;

σαν

κατὰ μὲν τὸ αὐτὸ αὐτοῦ ἐστιν, εἰ καὶ ἐπιτάττει· ἀλλὰ τοῦτο μὲν αὐτοῦ, διὸ καὶ χωρὶς αἰτίας τίθησιν, ἐκεῖνο δὲ οὐκ αὐτοῦ, εἰ καὶ βούλεται, διὸ καὶ μετὰ αἰτίας προσκεῖται. προείρηκε γὰρ κατηγορῆσαι αὐτὰς, ὅτι κατεστρηνίασαν τοῦ Χριστοῦ, τότε φησὶ, βούλομαι νεωτέρας γαμεῖν, τεκνογονεῖν. οὕτω δὴ καὶ ἐνταῦθα συγκαταβαίνων οἰκονομεῖ. οὐκ αὐτοῦ θέλημα τὸ προσενηνέχθαι μόνον τὰς θυσίας γίνεται. οὕτω καὶ περὶ τοῦ θανάτου λέγων, Οὐ βούλομαι τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι αὐτὸν καὶ ζῆν αὐτόν, καὶ ἀλλαχοῦ λέγει, ὅτι οὐ μόνον * ἠβουλήθη, ἀλλὰ καὶ ἐπιθυμεῖ τοῦτο. καίτοιγε ἐναντία ταῦτα ἀλλήλοις. ἐπιθυμία γὰρ ἐπιτεταμένη ἡ βούλησίς ἐστι. πῶς οὖν οὐ θέλων, ἀλλαχοῦ ἐπιθυμεῖ, ὃ τοῦ σφόδρα θέλειν ἐστὶ σημεῖον, τοῦτο δὴ καὶ ἐνταῦθά ἐστιν εἰπεῖν. ἐν ᾧ θελήματι ἡγιασμένοι ἐσμέν, φησί. πῶς δὲ ἡγιασμένοι, αὐτὸς ἑρμηνεύων ἐπάγει, διὰ τῆς προσφορᾶς τοῦ σώματος Ἰησοῦ Χριστοῦ ἐφάπαξ. καὶ πᾶς μὲν ἱερεὺς ἕστηκε καθημέραν λειτουργῶν, καὶ τὰς αὐτὰς πολλάκις προσφέρων θυσίας. ἄρα τὸ ἑστάναι τοῦ λειτουργεῖν ἐστι σημεῖον· οὐκοῦν τὸ καθῆσθαι, τοῦ λειτουργεῖσθαι. οὗτος δὲ μίαν ὑπὲρ ἁμαρτιῶν προσενέγκας θυσίαν, εἰς τὸ διηνεκὲς ἐκάθισεν ἐν δεξιᾷ τοῦ Θεοῦ τὸ λοιπὸν ἐκδεχόμενος, ἕως τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ ὑποπόδιον τῶν ποδῶν αὐτοῦ. Ἠσ. κη. κγ.

14 Μιᾷ γὰρ προσφορᾷ τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους.

15 Μαρτυρεῖ δὲ ἡμῖν καὶ τὸ πνεῦμα τὸ ἅγιον. Εἰπὼν ὅτι ἐκεῖναι οὐ προσφέρονται, συνελογίσατο ἀπὸ τῶν γραφῶν. ἄλλως δὲ καὶ ῥητὸν τέθεικε προφητικὸν λέγον, ὅτι θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας. εἶπεν, ὅτι ἀφῆκε τὰς ἁμαρτίας. πάλιν καὶ τοῦτο ἀπὸ ἐγγράφου μαρτυρίας πιστοῦται. μαρτυρεῖ γὰρ ἡμῖν, φησί, τὸ πνεῦμα τὸ ἅγιον. μετὰ γὰρ τὸ εἰρηκέναι,

16 Αὕτη ἡ διαθήκη, ἣν διαθήσομαι πρὸς αὐτοὺς μετὰ τὰς ἡμέρας ἐκείνας, λέγει Κύριος, διδοὺς νόμους μου ἐπὶ καρδίας αὐτῶν, καὶ ἐπὶ τῶν διανοιῶν αὐτῶν ἐπιγράψω αὐτούς·

17 Καὶ τῶν ἁμαρτιῶν αὐτῶν, καὶ τῶν ἀνομιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι.

18 Ὅπου δὲ ἄφεσις τούτων, οὐκ ἔτι προσφορὰ περὶ ἁμαρτίας.

Οὐκοῦν ἀφῆκε τὰς ἁμαρτίας, ὅτε τὴν διαθήκην ἔδωκε. τὴν δὲ διαθήκην διὰ τῆς θυσίας ἔδωκεν. εἰ τοίνυν ἀφῆκε τὰς ἁμαρτίας διὰ τῆς μιᾶς θυσίας, οὐκ ἔτι χρεία δευτέρας. ἐκάθισεν ἐν δεξιᾷ τοῦ Θεοῦ, τὸ λοιπὸν ἐκδεχόμενος. καὶ τίνος ἕνεκεν ἡ ἀναβολή; ἵνα τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ ὑπὸ τοὺς πόδας αὐτοῦ. μιᾷ γάρ, φησι, προσφορᾷ τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους. ἀλλ' ἴσως εἴποι τις ἄν, καὶ τίνος ἕνεκεν οὐκ εὐθέως τέθεικε; διὰ τοὺς πιστοὺς τοὺς μέλλοντας τίκτεσθαι καὶ γίνεσθαι. πόθεν οὖν ὅτι τεθήσονται; διὰ τοῦ εἰπεῖν, ὅτι ἐκάθισεν. ἀνέμνησε πάλιν τῆς μαρτυρίας ἐκείνης τῆς λεγούσης, ἕως ἂν θῶ τοὺς ἐχθρούς ὑπὸ τοὺς πόδας αὐτοῦ. οἱ δὲ ἐχθροὶ αὐτοῦ, οἱ Ἰουδαῖοί εἰσιν. εἶτα ἐπειδὴ εἶπεν, ἕως τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ ὑπὸ τοὺς πόδας αὐτοῦ, σφόδρα δὲ ἠπείγοντο, τούτου χάριν πάντα τὰ μετὰ ταῦτα τίθησιν, ὅσα περὶ πίστεως διαλέγεται. τίνες δὲ οἱ ἐχθροί, εἰ μὴ οἱ ἄπιστοι πάντες, οἱ δαίμονες; οὐ γὰρ δὴ μόνοι Ἰουδαῖοι. καὶ τὸ πολὺ δὲ τῆς ὑποταγῆς ἀμφιστάμενος, οὐκ εἶπεν, ὑποταγῶσιν, ἀλλά, τεθῶσιν ὑπὸ τοὺς πόδας αὐτοῦ.

Μὴ τοίνυν γενώμεθα τῶν ἐχθρῶν. οὐ γὰρ ἐκεῖνοι μόνον ἐχθροί, οἱ ἄπιστοι καὶ Ἰουδαῖοι, ἀλλὰ καὶ οὗτοι οἱ βίου ἀκαθάρτου πλήρεις ὄντες. Τὸ γὰρ φρόνημα τῆς σαρκὸς, ἔχθρα εἰς Θεόν· τῷ γὰρ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται, οὐδὲ γὰρ δύναται. τί οὖν, φησιν; οὐκ ἔστιν ἔγκλημα τοῦτο; καὶ σφόδρα μὲν οὖν ἔγκλημα. ὁ γὰρ κακός, ἕως ἂν ᾖ κακός, οὐ δύναται ὑποτάττεσθαι· μεταβαλέσθαι μέντοι, καὶ γενέσθαι ἀγαθὸς δύναται. ἐκβάλωμεν τοίνυν τὰ φρονήματα τὰ σαρκικά. ποῖα δέ ἐστι σαρκικά; ὅσα τὸ μὲν σῶμα αὐθεῖν ποιεῖ καὶ εὐπαθεῖν, κακοῖ δὲ τὴν ψυχήν. οἷόν τι λέγω, ὁ πλοῦτος, ἡ τρυφή, ἡ δόξα (πάντα ταῦτα τῆς σαρκός ἐστιν) ΗΘΙΚΟΝ Ρωμ. η. ε.

Λογ. ιη. ἈΝΩΤΕΡΟΝ ΛΕΓΩΝ, ΟΤΙ ΘΥΣΙΑΝ ΚΑΙ γρ. ἀνωτέρω
προσφορὰν καὶ ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ἠθέλησας, οὐδὲ εὐ-
δόκησας (αἵτινες κατὰ νόμον προσφέρονται) 9 Τότε εἴρηκεν, ἰδοὺ ἥ-
κω τοῦ ποιῆσαι, ὁ Θεὸς, τὸ θέλημά σου. ἀναιρεῖ τὸ πρῶτον, ἵνα τὸ δεύτερον
στήσῃ. 10 Ἐν ᾧ θελήματι ἡγιασμένοι ἐσμὲν, διὰ τῆς προσφορᾶς
τοῦ σώματος Ἰησοῦ Χριστοῦ ἐφάπαξ. 11 Καὶ πᾶς μὲν ἱερεὺς ἕστηκε
καθ' ἡμέραν λειτουργῶν, καὶ τὰς αὐτὰς πολλάκις προσφέρων θυσίας, αἵτινες
οὐδέποτε δύνανται περιελεῖν ἁμαρτίας· 12 Οὗτος δὲ μίαν ὑπὲρ
ἁμαρτιῶν προσενέγκας θυσίαν, εἰς τὸ διηνεκὲς ἐκάθισεν ἐν δεξιᾷ τοῦ Θεοῦ,
13 Τὸ λοιπὸν ἐκδεχόμενος, ἕως τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ ὑποπόδιον τῶν
ποδῶν αὐτοῦ.

ΕΝ μὲν τοῖς ἔμπροσθεν ἔδειξεν ἀνωφελεῖς τὰς θυσίας οὔσας πρὸς τὴν τελείαν καθαρότητα, καὶ τύπους οὔσας, καὶ πολὺ λειπομένας. ἐπειδὴ οὖν ἀντέπιπτεν αὐτῷ τοῦτο, εἰ τύποι εἰσὶ, πῶς τῆς ἀληθείας ἐλθούσης, οὐκ ἐπαύσαντο, οὐδὲ ὑπεχώρησαν, ἀλλ' ἔτι ἐπιτελοῦνται; αὐτὸ δὴ τοῦτο ἐνταῦθα ἐργάζεται, δεικνὺς ὅτι οὐκέτι τελοῦνται*, οὐδὲ ὡς τύπος. οὐ γὰρ αὐτὰς προσίεται ὁ Θεός. καὶ τοῦτο οὐκ ἀπὸ τῆς καινῆς πάλιν, ἀλλ' ἀπὸ τῶν προφητῶν δείκνυσιν, ἄνωθεν τὴν ἰσχυροτάτην παράγων μαρτυρίαν, ὅτι λήγει καὶ παύεται, καὶ εἰκῆ πάντα πεπράττουσιν, ἀεὶ τῷ πνεύματι τῷ ἁγίῳ ἀντιπίπτοντες. καὶ δείκνυσιν ἐκ προοιμίων οὐ νῦν αὐτὰς πεπαυμένας, ἀλλὰ καὶ πρὸ αὐτῆς τοῦ Χριστοῦ τῆς παρουσίας· μᾶλλον δὲ, καὶ πρὸ τῆς αὐτοῦ παρουσίας. καὶ πῶς οὐ τελευταῖον ἔλυσεν αὐτὰς ὁ Χριστὸς, ἀλλὰ πρότερον ἐλύθησαν, καὶ τότε ἦλθε; πρότερον ἐπαύθησαν, καὶ τότε αὐτὸς παρεγένετο; ἵνα γὰρ μὴ λέγωσι*, ἐγχωρεῖ ταύτης τῆς θυσίας ἠδυνάμεθα εὐαρεστῆσαι τῷ Θεῷ, καὶ διὰ ἐκείνων ἀνέμενεν αὐτὰς ἐλεγχθῆναι, καὶ τότε αὐτὸς παρεγένετο. Θυσίαν γὰρ, φησὶ, καὶ προσφορὰν οὐκ ἠθέλησας. πάντα ἀνεῖλε διὰ τούτου. καὶ γενικῶς εἰπὼν, λέγει καὶ ἰδικῶς, ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ εὐδόκησας. προσφορὰ δὲ πᾶν τὸ ἐκτὸς τῆς οὐσίας ἦν. τότε εἶπον, ἰδοὺ ἥκω. περὶ τίνος τοῦτο εἴρηται; περὶ οὐδενὸς ἑτέρου, ἀλλ' ἢ περὶ τοῦ Χριστοῦ. ἐνταῦθα οὐδὲν αἰτιᾶται τοὺς προσφέροντας, δεικνὺς ὅτι οὐ διὰ τὰς πονηρίας αὐτῶν οὐ δέχεται, καθάπερ ἑτέρωθί φησιν, ἀλλὰ διὰ τὸ λοιπὸν ἐληλέγχθαι τὸ πρᾶγμα, καὶ παρακμάσαν οὐδεμίαν ἔχον ἰσχὺν, οὐδὲ καιρόν τινα προσήκοντα. τί οὖν τοῦτο πρὸς τὸ πολλάκις προσφέρεσθαι τὰς θυσίας; οὐκ ἀπὸ τοῦ πολλάκις μόνον δῆλον, φησὶν, ὅτι ἀσθενεῖς εἰσι, καὶ ὅτι οὐδὲν ἴσχυσαν, ἀλλὰ καὶ ἀπὸ τοῦ μὴ προσίεσθαι αὐτὰς τὸν Θεὸν, ὡς ἀνονήτους καὶ ἀνωφελεῖς. τοῦτο αὐτὸ δηλῶν καὶ ἀλλαχοῦ φησιν, ὅτι, Εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν. ἄρα καὶ διὰ τούτου δηλοῖ ὅτι οὐ θέλει. ἄρα οὖν οὐχ αἱ θυσίαι τὸ θέλημα τοῦ Θεοῦ, ἀλλ' ἡ τῶν θυσιῶν ἀναίρεσις. οὐκοῦν παρὰ τὸ θέλημα θύουσι. τί ἐστι, τοῦ ποιῆσαι τὸ θέλημά σου; τοῦ ἐμαυτὸν, φησὶν, ἐκδοῦναι. τοῦτο τοῦ Θεοῦ θέλημα· ἐν ᾧ θελήματι ἡγιασμένοι ἐσμέν. ἔτι διὰ τούτου καὶ ἄλλως δείκνυσιν, ὅτι οὐχ αἱ θυσίαι τῶν ἀνθρώπων καθαίρουσιν, ἀλλὰ τὸ θέλημα τοῦ Θεοῦ. [ἄρα οὖν τὸ θύειν οὐ θέλημα τοῦ Θεοῦ.] καὶ τί θαυμάζεις, εἰ νῦν οὐ θέλημά ἐστι τοῦ Θεοῦ, ὅπου γε μηδὲ ἐξ ἀρχῆς θέλημα ἦν; Τίς γὰρ ἐξεζήτησε ταῦτα, φησὶν, ἐκ τῶν χειρῶν ὑμῶν; πῶς οὖν αὐτὸς ἐπέταξε; συγκαταβαίνων. ὥσπερ καὶ ὁ Παῦλος φαίνεται λέγων, Θέλω πάντας ἀνθρώπους εἶναι ὡς καὶ ἐμαυτὸν ἐν ἐγκρατείᾳ. καὶ πάλιν ἑτέρωθι ἀλλαχοῦ φησι, Βούλομαι νεωτέρας γαμεῖν, τεκνογονεῖν. * δύο θελήματα τίθησιν, ἀλλ' οὐ τὰ δύο

αὐτοῦ

Marginalia: γρ. πάλιν; * λοιπὸν; * ὅτι; γρ. πᾶν τὸ ἐκτὸς τῆς οὐσίας ἦν; γρ. προσήκ.; Ψαλ. ν.; Ησ. α. 11.; α Κορ. ζ. 7.; α Τιμ. ε. 14.; * καὶ

Digitized by Google

βόρβορον ἀπηλλάχθαι ὑμᾶς, ἀλλὰ καὶ λευκοὺς εἶναι, καὶ ὡραίους. Εἰ γὰρ ὁ Βαβυλώνιος βασιλεὺς, ἀπὸ τῆς αἰχμαλωσίας ἐκλεγόμενος τοὺς νεανίσκους, καλοὺς τῷ εἴδει, καὶ ὡραίους τῇ ὄψει ἐξελέξατο· πολλῷ μᾶλλον ἡμᾶς παρισταμένους τῇ * τραπέζῃ τῇ βασιλικῇ, καλοὺς τῷ εἴδει εἶναι δεῖ τῷ τῆς ψυχῆς, τὸν κόσμον ἔχοντας χρυσοῦν, τὴν στολὴν καθαράν, τὰ ὑποδήματα βασιλικά, τὸ πρόσωπον τῆς ψυχῆς εὔμορφον, τὸν κόσμον αὐτῇ περικεῖσθαι τὸν χρυσοῦν, τὴν ζώνην τῆς ἀληθείας. ὁ τοιοῦτος προσίτω, καὶ ποτηρίων ἁπτέσθω βασιλικῶν. Εἰ δέ τις ῥάκια ἠμφιεσμένος, ῥυπῶν, αὐχμῶν ἐπεισιέναι τῇ βασιλικῇ βούλοιτο τραπέζῃ, ὅρα ὅσα πείσεται, οὐκ ἀρκουσῶν τῶν τεσσαράκοντα ἡμερῶν τὰ ἐν παντὶ τῷ χρόνῳ πεπλημμελημένα ἀπολούσασθαι. Εἰ γὰρ ἡ γέεννα οὐκ ἀρκεῖ, καίτοιγε αἰώνιος οὖσα (διὰ τοῦτο γὰρ καὶ αἰώνιός ἐστι) πολλῷ μᾶλλον ὁ βραχὺς οὗτος χρόνος. οὐ γὰρ μετάνοιαν ἰσχυρὰν ἐπεδειξάμεθα, ἀλλ' ἀσθενῆ. τοὺς ὄνυχας μάλιστα δεῖ παρεστάναι τῷ βασιλεῖ· ὄνυχας λέγω, τοὺς τὴν διάνοιαν λευκούς, μηδένα ἔχοντας ῥύπον, μηδὲ σπίλον, ὑψηλοὺς τῇ διανοίᾳ, τὸ ὄμμα ἥμερον τῆς ψυχῆς ἔχοντας καὶ ὀξυδερκές, εὐπερίστροφον καὶ γοργόν, ἀλλὰ μὴ ὑπνηλόν, μηδὲ ὕπτιον, ἐλευθερίας γέμον πολλῆς, πόρρω ἀναισχυντίας τε μὴν καὶ ἰταμότητος, ἐγρηγορός, ὑγιές, μήτε συννὸν σφόδρα καὶ κατηφές, μήτε διακεχυμένον καὶ ὑγρόν. οὗτοι ἡμεῖς κύριοι δημιουργῆσαι τὸν ὀφθαλμὸν, καὶ ὀξυδερκῆ ποιῆσαι καὶ καλόν. ὅταν γὰρ αὐτὸν μὴ πρὸς τὸν καπνὸν ἄγωμεν, μηδὲ πρὸς τὴν κόνιν (τοιαῦτα γὰρ πάντα τὰ ἀνθρώπινα πράγματα) ἀλλὰ πρὸς τὴν αὔραν τὴν λεπτήν, πρὸς τὸν κοῦφον ἀέρα, πρὸς τὰ μετέωρα καὶ ὑψηλά, καὶ ἡσυχίας γέμοντα πολλῆς καὶ καθαρότητος, καὶ πολλῆς τῆς τέρψεως, ἀνακτησόμεθα ταχέως αὐτόν, καὶ ῥώσομεν ἐντρυφῶντα τῇ τοιαύτῃ θέᾳ. Εἶδες πλεονεξίαν, καὶ πλοῦτον πολὺν ἔχοντά τινα; μὴ ἐπαγάγῃς ἐκεῖ τὸν ὀφθαλμόν σου· βόρβορός ἐστι τὸ πρᾶγμα, καπνός ἐστιν, ἀτμὶς πονηρός, σκότος καὶ στενοχωρία πολλή, καὶ φροντίδων πνιγμός. Εἶδες δικαιοσύνην ἀσκοῦντα ἄνθρωπον, ἀρκούμενον τοῖς αὐτοῦ, καὶ πολλὴν ἔχοντα τὴν εὐρυχωρίαν τῆς ἀδείας, οὐδὲν μεριμνῶντα, οὐδὲν φροντίζοντα τῶν ἐνταῦθα; στῆσον αὐτὸν ἐκεῖ, καὶ μετεώρισον· καὶ πολλῷ καλλίονα αὐτὸν ἐργάσῃ καὶ λαμπρότερον, οὐ τοῖς τῆς γῆς ἄνθεσιν βόσκων, ἀλλὰ τοῖς τῆς ἀρετῆς, σωφροσύνῃ, ἐπιεικείᾳ, καὶ τοῖς ἄλλοις ἅπασιν. οὐδὲν γὰρ οὕτω ταράττει ὀφθαλμόν, ὡς συνειδὸς πονηρόν. Ἐταράχθη, φησίν, ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου. οὐδὲν οὕτω σκοτοῖ. ταύτης αὐτὸν ἀπάλλαξον τῆς ἐπηρείας, καὶ φαιδρὸν ἐργάσῃ καὶ ἰσχυρόν, ἀεὶ τρεφόμενον ἐλπίσιν ἀγαθαῖς. Γένοιτο δὲ πάντας ἡμᾶς, καὶ τοῦτον καὶ τὰς ἄλλας τῆς ψυχῆς ἐνεργείας κατασκευάσαι τοιαύτας, οἵας ὁ Χριστὸς βούλεται· ἵνα τῆς ἐπικειμένης ἡμῖν κεφαλῆς ἄξιοι γενόμενοι, ἀπέλθωμεν ἔνθα θέλει. Φησὶ γάρ, Θέλω ἵνα, ὅπου ἐγὼ εἰμί, κἀκεῖνοι ὦσι μετ' ἐμοῦ, ἵνα τὴν δόξαν τὴν ἐμὴν ὁρῶσιν· ἧς γένοιτο ἀπολαῦσαι πάντας ἡμᾶς, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρί, καὶ τῷ ἁγίῳ πνεύματι δόξα.

Margin notes: * ἁγίᾳ — γ. ἔβρασον. — γ. ποῖ ψυχῶν, ὁ ὀφθαλμὸς ταύτης οὖν τὸν ἀπάλλαξον τῆς πηρώσεως. καὶ γ. ταύτην καὶ ἀλλ. τοῦτο — Ψαλμ. ϛ. ζ. — Ιωαν. ιζ. κδ.

τραπέζης ἀπολαύεις πνευματικῆς, τραπέζης βασιλικῆς, καὶ πάλιν φύρεις βορβόρῳ τὸ στόμα; μύρῳ χρίεις, καὶ πάλιν δυσωδίας πληροῖς; Εἰπέ μοι, παρακαλῶ, μετ' ἐνιαυτὸν τῆς μεταλήψεως μετέχων, τὰς τεσσαράκοντα ἡμέρας οἴει ἀρκεῖν σοι πρὸς καθαρμὸν τῶν ἁμαρτημάτων παντὸς τοῦ χρόνου; καὶ πάλιν, ἑβδομάδος παρελθούσης, ἐκδίδως σαυτὸν τοῖς προτέροις; Εἰπὲ δή μοι, ἐὰν ὑγιάνας τεσσαράκοντα ἡμέρας ἀπὸ νόσου μακρᾶς, πάλιν σαυτὸν τοῖς σιτίοις ἐκδῷς ἐκείνοις τοῖς νοσοποιοῖς, οὐχὶ [καὶ] τὸν πρότερον κόπον ἀπώλεσας; εὔδηλον ὅτι. Εἰ γὰρ τὰ φυσικὰ μεθίσταται, πολλῷ μᾶλλον τὰ τῆς προαιρέσεως. οἷόν τι λέγω, φύσει βλέπομεν, καὶ ὑγιεῖς ἔχομεν ὀφθαλμοὺς κατὰ φύσιν· ἀλλὰ πολλάκις ἀπὸ κακοχυμίας βλάπτεται ἡμῶν τὸ ὀπτικόν. εἰ τοίνυν τὰ ἐκ φύσεως μεθίσταται, οὐχὶ μάλιστα τὰ ἐκ προαιρέσεως; τεσσαράκοντα ἡμέρας ἀπονέμεις τῇ ὑγείᾳ τῆς ψυχῆς, τάχα δὲ οὐδὲ τεσσαράκοντα, καὶ προσδοκᾷς ἐξιλεώσασθαι τὸν Θεόν; παίζεις, ἄνθρωπε. Ταῦτα λέγω, οὐχὶ τῆς μιᾶς καὶ ἐπαυσιαίου προσόδου κωλύων ὑμᾶς, ἀλλὰ βουλόμενος μᾶλλον διαπαντὸς ὑμᾶς προσιέναι τοῖς ἁγίοις. Διὰ τοῦτο καὶ ὁ ἱερεὺς ἐπιφωνεῖ τότε τοὺς ἁγίους καλῶν, καὶ διὰ τῆς φωνῆς ταύτης μωμοσκοπεῖ ἅπαντας, ὥστε μὴ προσελθεῖν τινα ἀπαρασκεύαστον. καθάπερ γὰρ ἐπὶ ποίμνης, ἔνθα πολλὰ μὲν ὑγιαίνει πρόβατα, πολλὰ δὲ ψώρας ἀναπέπλησται, ἀνάγκη ταῦτα διείργεσθαι ἀπὸ τῶν ὑγιαινόντων· οὕτω καὶ ἐν τῇ ἐκκλησίᾳ, ἐπειδὴ τὰ μέν ἐστιν ὑγιαίνοντα πρόβατα, τὰ δὲ κεκακωμένα, διὰ τῆς φωνῆς ταύτης διείργει ταῦτα ἐκείνων, περιιὼν πανταχοῦ διὰ τῆς κραυγῆς ταύτης τῆς φρικωδεστάτης ὁ ἱερεύς, καὶ τοὺς ἁγίους καλῶν καὶ ἕλκων. ἐπειδὴ γὰρ οὐκ ἔνι ἄνθρωπον ὄντα εἰδέναι τὰ τοῦ πλησίον (Τίς γὰρ οἶδεν ἀνθρώπων, φησί, τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ;) ταύτην ἀφίησι τὴν φωνὴν μετὰ τὴν θυσίαν ἀπαρτισθεῖσαν πᾶσαν, ὥστε μηδένα ἁπλῶς, καὶ ὡς ἔτυχεν, ἐπὶ τὴν πηγὴν ἐλθεῖν τὴν πνευματικήν. καὶ γὰρ ἐπὶ τῆς ποίμνης (οὐδὲν γὰρ κωλύει τῷ αὐτῷ ὑποδείγματι πάλιν χρήσασθαι) τὰ μὲν νοσερὰ ἔνδον ἀποκλείομεν, καὶ ἐν σκότῳ κατέχομεν, καὶ ἑτέρας μεταδίδομεν τροφῆς, οὔτε ἀέρος καθαροῦ, οὔτε πόας εἰλικρινοῦς, οὔτε πηγῆς τῆς ἔξω συγχωροῦμεν τούτοις μεταλαβεῖν. καὶ ἐνταῦθα τοίνυν αὕτη ἡ φωνὴ ἀντὶ δεσμοῦ τινός ἐστιν. Οὐκ ἔχεις εἰπεῖν, οὐκ ᾔδειν, ἠγνόουν ὅτι κίνδυνος ἕπεται τῷ πράγματι· μάλιστα μὲν οὖν καὶ ὁ Παῦλος τοῦτο διεμαρτύρατο. ἀλλ' ἐρεῖς ὅτι οὐκ ἀνέγνων; οὐκ ἔστι τοῦτο ἀπολογία, ἀλλὰ καὶ ἔγκλημα. καθ' ἑκάστην ἡμέραν εἰσέρχῃ εἰς τὴν ἐκκλησίαν, καὶ ἔτι τοῦτο ἀγνοεῖς; πλὴν ἀλλ' ἵνα μηδὲ τοῦτο ἔχῃς προφασίζεσθαι, τοῦτο γὰρ μεγάλῃ τῇ φωνῇ, φρικτῇ τῇ βοῇ, καθάπερ τις κήρυξ τὴν χεῖρα αἴρων εἰς τὸ ὕψος, ὑψηλὸς ἑστώς, πᾶσι καταδήλως γεγονώς, καὶ μέγα ἐπ' ἐκείνῃ τῇ φρικτῇ ἡσυχίᾳ ἀνακραυγάζων, τοὺς μὲν καλεῖ, τοὺς δὲ ἀπείργει ὁ ἱερεύς, οὐ τῇ χειρὶ τοῦτο ποιῶν, ἀλλὰ τῇ γλώττῃ τῆς χειρὸς τρανότερον. ἡ γὰρ φωνὴ ἐκείνη εἰς τὴν ἀκοὴν ἐμπίπτουσα τὴν ἡμετέραν, καθάπερ χείρ, τοὺς μὲν ὠθεῖ καὶ ἐκβάλλει, τοὺς δὲ εἰσάγει καὶ παρίστησιν. Εἰπὲ δή μοι, παρακαλῶ, ἐν τοῖς Ὀλυμπιακοῖς ἀγῶσιν οὐχὶ ἕστηκεν ὁ κήρυξ βοῶν μέγα καὶ ὑψηλόν, Εἴ τις τούτου κατηγορεῖ, λέγων, μὴ δοῦλός ἐστι; μὴ κλέπτης; μὴ τρόπων πονηρῶν; καίτοι τὰ ἀγωνίσματα ἐκεῖνα οὐ ψυχῆς ἐστιν, οὔτε τρόπου ἀγαθοῦ, ἀλλὰ ῥώμης καὶ σώματος. Εἰ τοίνυν ἔνθα σωμάτων ἐστὶν ἄσκησις, πολλὴ προαιρέσεως ἐξέτασις γίνεται, πόσῳ μᾶλλον ἐνταῦθα, ἔνθα τὸ πᾶν ψυχὴ ἀθλεῖ; ἕστηκε τοίνυν καὶ νῦν ὁ παρ' ἡμῖν κήρυξ, οὐ τῆς κεφαλῆς ἕκαστον κατέχων, καὶ παράγων, ἀλλὰ πάντας ὁμοῦ τῆς κεφαλῆς τῆς ἔνδον κατέχων, οὐκ ἐφίστησιν ἄλλους αὐτοῖς κατηγόρους, ἀλλ' αὐτοὺς ἑαυτοῖς. οὐ γὰρ λέγει, μή τις τούτου κατηγορεῖ; ἀλλὰ τί; Εἴ τις ἑαυτοῦ κατηγορεῖ. ὅταν γὰρ εἴπῃ, τὰ ἅγια τοῖς ἁγίοις, τοῦτο λέγει, Εἴ τις οὐκ ἔστιν ἅγιος, μὴ προσίτω. οὐχ ἁπλῶς φησιν, ἁμαρτημάτων καθαρός, ἀλλ', ἅγιος. Τὸν γὰρ ἅγιον οὐχ ἡ τῶν ἁμαρτημάτων ἀπαλλαγὴ ποιεῖ μόνον, ἀλλὰ καὶ ἡ τοῦ πνεύματος παρουσία, καὶ ὁ τῶν ἀγαθῶν ἔργων πλοῦτος. οὐ βούλομαι μόνον, φησί, βορ-

βόρου

Marginal notes: χ. σῶμα — χ. διάκριτος — α. Κορ. β. ια. — χ. οὐκ ἔγνων, ἀλλ' οὐκ — χ. μὴ πε

χ. τραυμάτων

ταῖς αὐταῖς θυσίαις ἀεὶ θεραπεύων); Εἰ γὰρ πάντων ἦσαν ἀπηλλαγμένοι τῶν "ἁμαρτημάτων, οὐκ ἂν καθ' ἑκάστην ἡμέραν προσεφέροντο αἱ θυσίαι. καὶ γὰρ ἦσαν ὡρισμέναι, ὥστε ἀεὶ προσφέρεσθαι ὑπὲρ τοῦ λαοῦ παντός, καὶ ἐν ἑσπέρᾳ, καὶ ἐν ἡμέρᾳ. ὥστε κατηγορία ἁμαρτημάτων, καὶ οὐ λύσις ἁμαρτημάτων ἦν τὸ γινόμενον, κατηγορία ἀσθενείας, οὐκ ἰσχύος ἐπίδειξις. ἐπειδὴ γὰρ ἡ προτέρα οὐδὲν ἴσχυσεν, ἡ δευτέρα προσεφέρετο· καὶ ἐπειδὴ οὐδὲν αὕτη ἤνυσεν, ἑτέρα πάλιν· ὥστε ἔλεγχος ἁμαρτημάτων ἦν. τὸ μὲν οὖν προσφέρεσθαι, ἔλεγχος ἁμαρτημάτων· τὸ δὲ ἀεί, ἔλεγχος ἀσθενείας. ἐπὶ δὲ τοῦ Χριστοῦ, τοὐναντίον· ἅπαξ προσηνέχθη, καὶ εἰς τὸ διηνεκὲς ἤρκεσε. καὶ καλῶς εἶπεν ἐκεῖνα ἀντίτυπα. ἄρα τύπους εἶχε μόνον, οὐχὶ δὲ καὶ τὴν ἰσχύν· ὥσπερ ἐπὶ τῶν εἰκόνων, τύπον ἔχει τοῦ ἀνθρώπου ἡ εἰκών, οὐχὶ τὴν ἰσχύν. ὥστε τὸ ἀληθὲς καὶ ὁ τύπος κοινωνοῦσιν ἀλλήλοις. ὁ γὰρ τύπος ἴσος· ἡ δὲ ἰσχὺς οὐκέτι. οὕτω δὴ καὶ ἐπὶ τοῦ οὐρανοῦ, καὶ ἐπὶ "τῆς σκηνῆς. ὁ μὲν γὰρ τύπος ἴσος ἦν· ἅγια γὰρ ἦν· ἡ δὲ δύναμις καὶ τὰ ἄλλα, οὐ τὰ αὐτά. τί ἐστιν, εἰς ἀθέτησιν ἁμαρτίας, διὰ τῆς θυσίας αὐτοῦ πεφανέρωται; τί ἐστιν ἀθέτησις; τουτέστι, καταφρόνησις. οὐκέτι γὰρ παρρησίαν ἔχει ἡ ἁμαρτία· ἠθέτηται γάρ. πῶς; ὀφείλουσα μὲν ἀπολαβεῖν κόλασιν, οὐκ ἀπολαβοῦσα δέ. τουτέστι, βίαν ἔπαθεν· ὅτε προσεδόκησε πάντας ἀνελεῖν, τότε ἀνῃρέθη. διὰ τῆς θυσίας αὐτοῦ, φησί, πεφανέρωται. τουτέστιν, ἐφανερώθη τῷ Θεῷ καὶ προσῆλθε. μὴ οὖν, ἐπειδὴ ὁ ἱερεὺς πολλάκις τοῦτο ἐποίει τοῦ ἐνιαυτοῦ, νομίσῃς ὅτι ἁπλῶς, καὶ οὐχὶ διὰ ἀσθένειαν τοῦτο ἐγένετο. εἰ γὰρ μὴ δι' ἀσθένειαν, τί καὶ ἐγίνετο; μὴ ὄντων γὰρ τραυμάτων, οὐδὲ φαρμάκων λοιπὸν δεῖ τῶν ἐπιμελουμένων. διὰ τοῦτο προσέταξε, φησίν, ἀεὶ προσφέρεσθαι διὰ τὸ ἀσθενές, καὶ ὥστε ἀνάμνησιν ἁμαρτιῶν γίνεσθαι. τί οὖν; ἡμεῖς καθ' ἑκάστην ἡμέραν οὐ προσφέρομεν; προσφέρομεν μέν, ἀλλ' ἀνάμνησιν ποιούμενοι τοῦ θανάτου αὐτοῦ· καὶ μία ἐστὶν αὕτη, καὶ οὐ πολλαί. πῶς μία, καὶ οὐ πολλαί; ἐπειδὴ ἅπαξ προσηνέχθη, "ὥσπερ ἐκείνη ἡ εἰς τὰ ἅγια τῶν ἁγίων. τοῦτο ἐκείνης τύπος ἐστί, καὶ αὕτη ἐκείνης. τὸν γὰρ αὐτὸν ἀεὶ προσφέρομεν· οὐ νῦν μὲν ἕτερον [πρόβατον,] αὔριον δὲ ἕτερον, ἀλλ' ἀεὶ τὸ αὐτό. ὥστε μία ἐστὶν ἡ "θυσία. ἐπεὶ τῷ λόγῳ τούτῳ, ἐπειδὴ πολλαχοῦ προσφέρεται, καὶ πολλοὶ "χριστοί. ἀλλ' οὐδαμῶς· ἀλλ' εἷς [πανταχοῦ] ὁ Χριστός, καὶ ἐνταῦθα πλήρης ὤν, καὶ ἐκεῖ πλήρης, ἓν σῶμα. ὥσπερ οὖν πολλαχοῦ προσφερόμενος ἓν σῶμά ἐστι, καὶ οὐ πολλὰ σώματα· οὕτω καὶ μία θυσία. ὁ ἀρχιερεὺς ἡμῶν ἐκεῖνός ἐστιν ὁ τὴν θυσίαν τὴν καθαίρουσαν ἡμᾶς προσενεγκών. ἐκείνην προσφέρομεν καὶ νῦν, τὴν τότε προσενεχθεῖσαν, τὴν ἀνάλωτον. τοῦτο εἰς ἀνάμνησιν γίνεται τοῦ τότε γενομένου. Τοῦτο γὰρ ποιεῖτε, φησίν, εἰς τὴν ἐμὴν ἀνάμνησιν. οὐκ ἄλλην θυσίαν, καθάπερ ὁ ἀρχιερεὺς τότε, ἀλλὰ τὴν αὐτὴν ἀεὶ ποιοῦμεν· μᾶλλον δὲ ἀνάμνησιν ἐργαζόμεθα θυσίας.

χ. τῆς γῆς. ὁ μὲν τύ.

χ. ἐκείνη προσηνέχθη

χ. -σία ἀπὸ τοῦ λόγου τούτου. ἐπειδὴ

χ. χριστοὶ μηδαμῶς

ΗΘΙΚΟΝ

Ἀλλ' ἐπειδὴ τῆς θυσίας ταύτης ἐμνήσθην, βούλομαι μικρὰ πρὸς ὑμᾶς εἰπεῖν τοὺς μεμυημένους, μικρὰ μὲν τῷ μέτρῳ, μεγάλην δὲ ἔχοντα τὴν ἰσχὺν καὶ τὴν ὠφέλειαν. οὐ γὰρ ἡμέτερα ἐστιν, ἀλλὰ τοῦ θείου πνεύματος τὰ λεγόμενα. τί οὖν ἐστι; πολλοὶ τῆς θυσίας ταύτης ἅπαξ μεταλαμβάνουσι τοῦ παντὸς ἐνιαυτοῦ, ἄλλοι δὲ δίς, ἄλλοι δὲ πολλάκις. πρὸς οὖν ἅπαντας ἡμῖν ὁ λόγος ἐστίν, οὐ πρὸς τοὺς ἐνταῦθα δὲ μόνον, ἀλλὰ καὶ πρὸς τοὺς ἐν τῇ ἐρήμῳ καθεζομένους. ἐκεῖνοι γὰρ ἅπαξ τοῦ ἐνιαυτοῦ μετέχουσι, πολλάκις δὲ καὶ διὰ δύο ἐτῶν. τί οὖν; τίνας ἀποδεξόμεθα; τοὺς ἅπαξ; τοὺς πολλάκις; τοὺς ὀλιγάκις; οὔτε τοὺς ἅπαξ, οὔτε τοὺς πολλάκις, οὔτε τοὺς ὀλιγάκις, ἀλλὰ τοὺς μετὰ καθαροῦ συνειδότος, τοὺς μετὰ καθαρᾶς καρδίας, τοὺς μετὰ βίου ἀλήπτου. οἱ τοιοῦτοι ἀεὶ προσίτωσαν· οἱ δὲ μὴ τοιοῦτοι, μηδὲ ἅπαξ. τί δήποτε; ὅτι κρίμα ἑαυτοῖς λαμβάνουσι, καὶ κατάκριμα καὶ κόλασιν καὶ τιμωρίαν. καὶ μὴ θαυμάσῃς. ὥσπερ γὰρ ἡ τροφὴ φύσει οὖσα θρεπτική, ἐὰν εἰς κακόσιτον ἐμπέσῃ, πάντα ἀπόλλυσι καὶ διαφθείρει, καὶ γίνεται νόσου ἀφορμή· οὕτω δὴ καὶ ταῦτα τὰ τῶν φρικτῶν μυστηρίων.

τραπέζης

δηλονότι. ἐνταῦθα οὐδὲ ἱερέα δείκνυσιν αὐτὸν μόνον, ἀλλὰ καὶ θῦμα καὶ ἱερεῖον. Εἶτα προστίθησι τὴν αἰτίαν τοῦ, προσενεχθείς. ἅπαξ, φησὶ, προσενεχθεὶς, Εἰς τὸ πολλῶν ἀνενεγκεῖν ἁμαρτίας. Διατί δὲ πολλῶν εἶπε, καὶ μὴ πάντων; ἐπειδὴ μὴ πάντες ἐπίστευσαν. ὑπὲρ ἁπάντων μὲν γὰρ ἀπέθανεν, εἰς τὸ σῶσαι πάντας, τὸ αὐτοῦ μέρος. ἀντίρροπος γὰρ ἦν ὁ θάνατος ἐκεῖνος τῆς πάντων ἀπωλείας. οὐ πάντων δὲ τὰς ἁμαρτίας ἀνήνεγκε, διὰ τὸ μὴ θελῆσαι αὐτούς. τί δέ ἐστιν * ἀνενεγκεῖν ἁμαρτίας; ὥσπερ ἐπὶ τῆς προσφορᾶς, ἣς ἀναφέρομεν, προσφέρομεν καὶ τὰ ἁμαρτήματα λέγοντες, εἴτε ἑκόντες, εἴτε ἄκοντες ἡμάρτομεν, συγχώρησον, τουτέστι, μεμνήμεθα αὐτῶν πρότερον, καὶ τότε τὴν συγχώρησιν αἰτούμεθα· οὕτω δὴ καὶ ἐνταῦθα γέγονε. ποῦ τοῦτο πεποίηκεν ὁ Χριστός; ἄκουσον αὐτοῦ λέγοντος, Καὶ ὑπὲρ αὐτῶν ἁγιάζω ἐμαυτόν. ἰδοὺ ἀνήνεγκε τὰ ἁμαρτήματα. ἦρεν αὐτὰ ἀπὸ τῶν ἀνθρώπων, καὶ ἀνήνεγκε τῷ πατρί· οὐχ ἵνα τι ὁρίσῃ κατ' αὐτῶν, ἀλλ' ἵνα αὐτὰ ἀφῇ.

Ἐκ δευτέρου χωρὶς ἁμαρτίας ὀφθήσεται, φησὶ, τοῖς αὐτὸν ἀπεκδεχομένοις εἰς σωτηρίαν. Τί ἐστι, χωρὶς ἁμαρτίας; οὐχ ἁμαρτίας αἴρων, οὐδὲ δι' ἁμαρτίας ἐκ δευτέρου ἥξει, ἵνα πάλιν ἀποθάνῃ. οὐδὲ γὰρ ὁ ἅπαξ ἀπέθανεν, ὀφείλων ἀποθανεῖν ἀπέθανε. πῶς ὀφθήσεται; κολάζων. ἀλλ' οὐκ εἶπε τοῦτο, ἀλλὰ τὸ φαιδρὸν, χωρὶς ἁμαρτίας ὀφθήσεται τοῖς αὐτὸν ἀπεκδεχομένοις εἰς σωτηρίαν· ὡς μηκέτι λοιπὸν δεηθῆναι θυσίας, ὥστε σῶσαι αὐτοὺς, ἀλλ' ἀπὸ ἔργων τοῦτο ποιεῖν.



1 Σκιὰν γὰρ ἔχων, φησὶν, ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων· Τουτέστιν, οὐκ αὐτὴν τὴν ἀλήθειαν. ἕως μὲν γὰρ ἂν ὡς ἐν γραφῇ περιάγῃ τις τὰ χρώματα, σκιά τίς ἐστιν· ὅταν δὲ τὸ ἄνθος ἐπαλείψῃ τις, καὶ ἐπιχρίσῃ τὰ χρώματα, τότε εἰκὼν γίνεται. τοιοῦτόν τι καὶ ὁ νόμος ἦν. σκιὰν γὰρ, φησὶν, ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων· τουτέστι, τῆς θυσίας, τῆς ἀφέσεως. Κατ' ἐνιαυτὸν ταῖς αὐταῖς θυσίαις ἃς προσφέρουσιν εἰς τὸ διηνεκὲς, οὐδέποτε δύναται τοὺς προσερχομένους τελειῶσαι.

2 Ἐπεὶ οὐκ ἂν ἐπαύσαντο προσφερόμεναι, διὰ τὸ μηδεμίαν συνείδησιν ἔχειν ἁμαρτιῶν τοὺς λατρεύοντας, ἅπαξ κεκαθαρμένους·

3 Ἀλλ' ἐν αὐταῖς ἀνάμνησις ἁμαρτιῶν κατ' ἐνιαυτόν.

4 Ἀδύνατον γὰρ αἷμα ταύρων καὶ τράγων ἀφαιρεῖν ἁμαρτίας.

5 Διὸ εἰσερχόμενος εἰς τὸν κόσμον, λέγει, Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι.

6 Ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ εὐδόκησας·

7 Τότε εἶπον, ἰδοὺ ἥκω (ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ) τοῦ ποιῆσαι, ὁ Θεὸς, τὸ θέλημά σου.

8 Ἀνώτερον λέγων, ὅτι θυσίαν καὶ προσφορὰν καὶ ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ἠθέλησας, οὐδὲ εὐδόκησας (αἵτινες κατὰ τὸν νόμον προσφέρονται)

9 Τότε εἴπεν, ἰδοὺ ἥκω τοῦ ποιῆσαι, ὁ Θεὸς, τὸ θέλημά σου. ἀναιρεῖ τὸ πρῶτον, ἵνα τὸ δεύτερον στήσῃ. Ὁρᾷς πάλιν τὴν περιουσίαν; μία, φησὶν, αὕτη ἡ θυσία, ἐκεῖναι δὲ πολλαί. διὰ [γὰρ] τοῦτο οὐκ ἴσχυσαν, ἐπειδὴ πολλαί. τί γὰρ ἔδει πολλῶν, εἰπέ μοι, τῆς μιᾶς ἀρκούσης; ὥστε αἱ πολλαὶ, καὶ τὸ ἀεὶ προσφέρεσθαι, τὸ μηδέποτε αὐτοὺς καθαίρεσθαι δεικνύουσιν. ὥσπερ γὰρ φάρμακον, ὅταν ᾖ ἰσχυρὸν, καὶ ὑγιείας ποιητικὸν, καὶ δυνατὸν πᾶσαν ἀπαλλάξαι τὴν νόσον, ἅπαξ ἐπιτεθὲν τὸ πᾶν ποιεῖ, "ὅπερ ἐὰν ἅπαξ ἐπιτεθὲν τὸ πᾶν ἐργάσηται, δείκνυσιν αὐτοῦ τὴν ἰσχὺν τῷ μηκέτι ἐπιτίθεσθαι, καὶ τοῦτο αὐτοῦ "ἐστιν ἔργον τὸ μηκέτι ἐπιτίθεσθαι· ἐὰν δὲ ἀεὶ ἐπιτίθηται, δῆλον ὅτι "τοῦ μηδὲν "ἰσχυκέναι ἐστὶ σημεῖον (φαρμάκου γὰρ ἀρετὴ τὸ, ἅπαξ ἐπιτεθῆναι, καὶ μὴ πολλάκις) οὕτω δὴ καὶ ἐνταῦθα. τί δήποτε γὰρ

ταῖς

Ιωάν. ιζ. ιθ.

Ψαλ. μ. ζ.

* εἰς τὸ πολλῶν

χ. –ερῶ ἀναφέρομεν τά.

χ. – εἶτα. τί δήποτε σώζει

χ. ὥσπερ γὰρ ἐὰν

χ. δείκνυσι τὸ

χ. τοῦ μηδὲν

χ. – ται ἐπιτίθεται (φαρ.

τὴν περὶ τῶν τῆς γῆς ἐκεῖ ἤρχοντο, εἴτε ἀπὸ Βαβυλῶνος, εἴτε ἀπὸ Αἰθιοπίας. καὶ τοῦτο δηλοῖ ὁ Λουκᾶς ἐν ταῖς Πράξεσι λέγων, Ἦσαν δὲ ἐκεῖ κατοικοῦντες Πάρθοι καὶ Μῆδοι καὶ Ἐλαμῖται, καὶ οἱ κατοικοῦντες τὴν Μεσοποταμίαν, Ἰουδαίαν τε καὶ Καππαδοκίαν, Πόντον καὶ τὴν Ἀσίαν, Φρυγίαν τε καὶ Παμφυλίαν, Αἴγυπτον, καὶ τὰ μέρη τῆς Λιβύης τῆς κατὰ Κυρήνην. (Πράξ. β.) οἱ οὖν πανταχοῦ τῆς οἰκουμένης ὄντες, ἐκεῖ συνῆσαν, καὶ πολὺ τὸ ὄνομα τοῦ ναοῦ ἦν. τί οὖν ὁ Παῦλος ποιεῖ; ὥσπερ ἐπὶ τῆς θυσίας, οὕτω καὶ ἐνταῦθα ποιεῖ. ὡς γὰρ ἐκεῖ τὸν θάνατον ἀντέθηκε τοῦ Χριστοῦ, οὕτω καὶ ἐνταῦθα τὸν οὐρανὸν ὅλον ἀντέθηκε τῷ ναῷ. οὐ τούτῳ δὲ μόνον τὸ διάφορον ἔδειξεν, ἀλλὰ καὶ τῷ προσελθεῖν τὸν ἱερέα ἐγγύτερον γενόμενον τοῦ Θεοῦ. ἐμφανισθῆναι γάρ, φησι, τῷ προσώπῳ τοῦ Θεοῦ· ὥστε οὐ τῷ οὐρανῷ μόνον, ἀλλὰ καὶ τῇ εἰσόδῳ τὸ πρᾶγμα σεμνὸν ἐποίησεν. οὐ γὰρ ἁπλῶς, ὥσπερ ἐνταῦθα, διὰ συμβόλων, ἀλλ᾽ αὐτὸν ὁρᾷ τὸν Θεὸν ἐκεῖ. ὁρᾷς ὅτι συγκαταβάσεως ἕνεκεν πανταχοῦ τὰ ταπεινὰ εἴρηται; τί δὲ θαυμάζεις λοιπὸν εἰ ἐντυγχάνει, ὅπου γε αὐτὸν ἵστησιν ὡς ἀρχιερέα; οὐδ᾽ ἵνα πολλάκις προσφέρῃ ἑαυτόν, φησιν, ὥσπερ ὁ ἀρχιερεύς, εἰσέρχεται εἰς τὰ ἅγια κατ᾽ ἐνιαυτὸν ἐν αἵματι ἀλλοτρίῳ. οὐ γὰρ εἰς χειροποίητα ἅγια εἰσῆλθε, φησιν, ὁ Χριστός, ἀντίτυπα τῶν ἀληθινῶν. ἄρα ἐκεῖνα ἐστὶν ἀληθινά, ταῦτα δὲ τύποι. καὶ γὰρ ὁ ναὸς οὕτω κατεσκεύαστο, ὥσπερ ὁ οὐρανὸς τοῦ οὐρανοῦ. τί λέγεις; ἐὰν μὴ εἰσέλθῃ εἰς τὸν οὐρανόν, οὐκ ἐμφανίζεται ὁ πανταχοῦ παρών, καὶ τὰ πάντα πληρῶν; ὁρᾷς ὅτι τῆς σαρκός ἐστι ταῦτα πάντα. καὶ ἐμφανισθῆναι, φησι, τῷ προσώπῳ τοῦ Θεοῦ ὑπὲρ ἡμῶν. τί ἐστιν, ὑπὲρ ἡμῶν; μετὰ θυσίας ἀνῆλθε, φησί, δυναμένης ἐξιλεώσασθαι τὸν πατέρα. διὰ τί, εἰπέ μοι; μὴ γὰρ αὐτὸς ἦν ἐχθρός; οἱ ἄγγελοι ἐχθροὶ ἦσαν, αὐτὸς οὐκ ἦν ἐχθρός. ὅτι γὰρ οἱ ἄγγελοι ἐχθροὶ ἦσαν, ἄκουσον τί φησιν· Εἰρηνοποιήσας τὰ ἐπὶ τῆς γῆς, καὶ τὰ ἐν τοῖς οὐρανοῖς. (Κολοσ. α.) ὥστε καλῶς εἶπεν, ὅτι καὶ αὐτὸς εἰσῆλθεν εἰς τὸν οὐρανόν, νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ ὑπὲρ ἡμῶν. νῦν ἐμφανίζεται, ἀλλ᾽ ὑπὲρ ἡμῶν. οὐδ᾽ ἵνα πολλάκις προσφέρῃ ἑαυτόν, ὥσπερ ὁ ἀρχιερεὺς εἰσέρχεται εἰς τὰ ἅγια τῶν ἁγίων κατ᾽ ἐνιαυτὸν ἐν αἵματι ἀλλοτρίῳ. ὁρᾷς πόσαι αἱ διαφοραί; τοῦ πολλάκις, τὸ ἅπαξ· τοῦ ἐν αἵματι ἀλλοτρίῳ, τὸ ἐν ἰδίῳ. πολὺ τὸ μέσον. αὐτὸς οὖν καὶ ἱερεῖον καὶ ἱερεύς. ἐπεὶ ἔδει αὐτόν, φησι, πολλάκις παθεῖν ἀπὸ καταβολῆς κόσμου. ἐνταῦθά τι δόγμα ἀνακαλύπτει, καί φησιν, ὅτι εἰ θυσίας προσενεγκεῖν ἔδει πολλάκις, ἔδει πολλάκις καὶ σταυρωθῆναι. νῦν δὲ ἅπαξ ἐπὶ συντελείᾳ τῶν αἰώνων. διὰ τί ἐπὶ συντελείᾳ τῶν αἰώνων; μετὰ τὰ πολλὰ ἁμαρτήματα. εἰ μὲν οὖν παρὰ τὴν ἀρχὴν ἐγένετο, εἶτα οὐδεὶς ἐπίστευσεν, ἦν ἂν τὸ τῆς οἰκονομίας ἀνόνητον. οὐκ ἔδει γὰρ δεύτερον ἀποθανεῖν τὸν Χριστόν, ὥστε καὶ οὕτω κατορθωθῆναι τὸ σπουδαζόμενον. ἐπεὶ δὲ ὕστερον πολλὰ ἦν τὰ ἁμαρτήματα, εἰκότως τότε ἐφάνη. ὃ καὶ ἀλλαχοῦ λέγει, Ὅταν ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις. (Ρωμ. ε.) νῦν δέ φησιν, ἅπαξ ἐπὶ συντελείᾳ τῶν αἰώνων, εἰς ἀθέτησιν ἁμαρτίας διὰ τῆς θυσίας αὐτοῦ πεφανέρωται.

27 Καὶ καθ᾽ ὅσον ἀπόκειται τοῖς ἀνθρώποις ἅπαξ ἀποθανεῖν, μετὰ δὲ τοῦτο κρίσις.

Δείξας ὅτι οὐκ ἔδει πολλάκις ἀποθανεῖν, νῦν δείκνυσι καὶ διὰ τί ἅπαξ ἀπέθανεν· ὅτι ἑνὸς θανάτου ἀντίλυτρον ἐγένετο. ἀπέκειτο, φησί, τοῖς ἀνθρώποις ἅπαξ ἀποθανεῖν. τοῦτο οὖν τὸ ἅπαξ ἀπέθανεν ὑπὲρ ἀνθρώπων πάντων. τί οὖν; οὐκέτι ἀποθνήσκομεν τὸν θάνατον ἐκεῖνον; ἀποθνήσκομεν μέν, ἀλλ᾽ οὐ μένομεν ἐν αὐτῷ· ὅπερ οὐδὲ ἀποθανεῖν ἐστι. θανάτου γὰρ τυραννίς, καὶ θάνατος ὄντως ἐκεῖνός ἐστιν, ὅταν μηκέτι συγχωρηθῇ ὁ ἀποθανὼν εἰς ζωὴν ἐπανελθεῖν. ὅταν δὲ μετὰ τὸ ἀποθανεῖν ζήσῃ, καὶ ζωὴν βελτίονα, οὐ θάνατος τοῦτό ἐστιν, ἀλλὰ κοίμησις. ἐπεὶ οὖν ἔμελλε πάντας κατέχειν ὁ θάνατος, διὰ τοῦτο ἀπέθανεν, ἵνα ἡμᾶς ἀπαλλάξῃ.

28 Οὕτω καὶ ὁ Χριστὸς ἅπαξ προσενεχθείς. Ὑπὸ τίνος προσενεχθείς; ὑφ᾽ ἑαυτοῦ



δηλονότι.

ἐπιθεῖναι· ἀλλὰ παιδίον, μυρία ποιεῖ, καὶ τέρπει τοὺς θεατάς· τί δὲ χαλεπώτερον τοῦ σφαιρίζειν ἐν ξίφεσι; τί δὲ βαρύτερον, εἰπέ μοι, τοῦ τὸ βάθος τοῦ πελάγους διερευνᾶσθαι; καὶ μυρίας ἑτέρας ἄν τις ἔχοι τέχνας εἰπεῖν· ἀλλὰ πάντων τούτων εὐκολωτέρα ἡ ἀρετή, ἐὰν θέλωμεν, καὶ τὸ εἰς τὸν οὐρανὸν ἀναβῆναι. Θελῆσαι γὰρ δεῖ μόνον ἐνταῦθα, καὶ πάντα ἕπεται. Οὐκ ἔστι [γὰρ] εἰπεῖν, οὐ δύναμαι. Τοῦτο γὰρ κατηγορῆσαί ἐστι τοῦ δημιουργοῦ. Εἰ γὰρ ἀδυνάτους ἡμᾶς ἐποίησεν, εἶτα ἐπιτάττει, κατηγορία αὐτοῦ ἐστι. Πῶς οὖν, φησί, πολλοὶ οὐ δύνανται; ὅτι οὐ θέλουσι. Πόθεν δὲ οὐ θέλουσιν; ἀπὸ ῥᾳθυμίας. Ὥστε εἰ θελήσουσι, πάντως δυνήσονται. Διὰ τοῦτο καὶ ὁ Παῦλός φησι, Θέλω πάντας ἀνθρώπους εἶναι ὡς καὶ ἐμαυτόν, ἐπειδὴ ᾔδει ὅτι πάντες ἠδύναντο εἶναι ὡς καὶ αὐτός. Οὐδὲ γὰρ ἄν, εἴγε ἀδύνατον ἦν, τοῦτο εἶπε. Θέλεις γενέσθαι ἐνάρετος; τῆς ἀρχῆς ἐπιλαβοῦ μόνον. Εἰπὲ δή μοι, ἐν ταῖς τέχναις ἁπάσαις, ὅταν θέλωμεν ἐν αὐταῖς γενέσθαι, ἀρκούμεθα τῷ θέλειν, ἢ καὶ ἁπτόμεθα τοῦ πράγματος; οἷόν τι λέγω, βούλεταί τις γενέσθαι κυβερνήτης· οὐ λέγει, θέλω, καὶ τούτῳ ἀρκεῖται, ἀλλὰ καὶ τοῦ πράγματος ἅπτεται. Θέλει γενέσθαι ἔμπορος· οὐ λέγει, θέλω μόνον, ἀλλὰ καὶ τοῦ πράγματος ἅπτεται. Ἀποδημῆσαι πάλιν θέλει, καὶ οὐ λέγει, θέλω, ἀλλὰ καὶ τοῦ πράγματος ἅπτεται. Εἶτα ἐν πᾶσιν οὐκ ἀρκεῖ τὸ θελῆσαι μόνον, ἀλλὰ καὶ τὸ ἔργον προσθεῖναι δεῖ. Εἰς δὲ τὸν οὐρανὸν βουλόμενος ἀνελθεῖν, λέγεις, θέλω μόνον; Πῶς οὖν, φησίν, ἔλεγες, ὅτι τὸ θέλειν* ἀρκεῖ; τὸ θέλειν μετὰ τῶν ἔργων, τὸ ἀντιλαμβανόμενον τοῦ πράγματος, τὸ πονέσαντα. Ἔχομεν γὰρ συνεργοῦντα καὶ συμπράττοντα τὸν Θεόν· μόνον ἑλώμεθα, μόνον ὡς ἔργῳ προσστοιχηθῶμεν τῷ πράγματι, μόνον μεριμνήσωμεν, μόνον εἰσιέναι βουλώμεθα, καὶ πάντα ἕπεται. Ἐὰν δὲ καθεύδωμεν, καὶ ῥέγχοντες προσδοκῶμεν εἰσιέναι εἰς τὸν οὐρανόν, πότε δυνησόμεθα τὴν κληρονομίαν τῶν οὐρανῶν καταλαβεῖν; Βουληθῶμεν οὖν, παρακαλῶ, βουληθῶμεν. Τί πάντα πρὸς τὸν παρόντα βίον ἐμπορευόμεθα, ὃν αὔριον ἀπολείψομεν; ἑλώμεθα τοίνυν τὴν ἀρετήν, τὴν εἰς τὸν πάντα αἰῶνα ἡμῖν διαρκέσουσαν. Ἐν ᾧ ἐσόμεθα διηνεκῶς, καὶ τῶν αἰωνίων ἀγαθῶν ἀπολαύσομεν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

α. Κορ. ζ. (left margin, beside "νήσονται. Διὰ τοῦτο καὶ ὁ Παῦλός φησι")

χ. -μαι, ἐστὶ κατηγορῆσαι τὸ (right margin) — χ. ἂν γὰρ (right margin) — * μόνον — χ. τὸ πονέσαντα (right margin)

Λόγ. ιζ. 24 ΟΥ ΓΑΡ ΕΙΣ ΧΕΙΡΟΠΟΙΗΤΑ ΑΓΙΑ εἰσῆλθεν ὁ Χριστός, ἀντίτυπα τῶν ἀληθινῶν, ἀλλ' εἰς αὐτὸν τὸν οὐρανόν, νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ ὑπὲρ ἡμῶν.

25 Οὐδ' ἵνα πολλάκις προσφέρῃ ἑαυτόν, ὥσπερ ὁ ἀρχιερεὺς εἰσέρχεται εἰς τὰ ἅγια [τῶν ἁγίων] κατ' ἐνιαυτὸν ἐν αἵματι ἀλλοτρίῳ.

26 Ἐπεὶ ἔδει αὐτὸν πολλάκις παθεῖν ἀπὸ καταβολῆς κόσμου· νυνὶ δὲ ἅπαξ ἐπὶ συντελείᾳ τῶν αἰώνων, εἰς ἀθέτησιν ἁμαρτίας, διὰ τῆς θυσίας αὐτοῦ πεφανέρωται.

Ιερ. ζ. γ. ΜΕγα ἐφρόνουν οἱ Ἰουδαῖοι ἐπὶ τῷ ναῷ καὶ τῇ σκηνῇ. Διὸ ἔλεγον, Ναὸς Κυρίου, ναὸς Κυρίου*. Οὔτε γὰρ ἀλλαχοῦ γῆς κατεσκευάσθη τοιοῦτος ναός, οὐ πολυτελείας ἕνεκεν, οὐ κάλλους, οὐχ ἑτέρου τινός. Ὁ γὰρ διαταξάμενος Θεὸς ἐκέλευσεν αὐτὸν μετὰ φιλοτιμίας γενέσθαι πολλῆς, ἐπειδὴ κἀκεῖνοι τοῖς σωματικοῖς μᾶλλον ἐφείλκοντο καὶ ἐπεσπῶντο. Πλίνθους γὰρ εἶχε χρυσᾶς ἐν τοῖς τοίχοις· καὶ ἔξεστι τῷ βουλομένῳ, ἐν τῇ δευτέρᾳ τῶν Βασιλειῶν, καὶ ἐν τῷ Ἰεζεκιὴλ τοῦτο καταμαθεῖν, καὶ ὅσα χρυσοῦ τάλαντα ἀνηλώθη τότε. Ἡ δὲ δευτέρα λαμπροτέρα γέγονεν οἰκοδομία, καὶ κάλλους ἕνεκεν, καὶ τῶν ἄλλων ἁπάντων. Καὶ οὐ τούτῳ μόνον σεμνὸς ἦν, ἀλλὰ καὶ τῷ εἶναι εἷς, καὶ τῷ πάντας τῷ κάλλει ἐφέλκεσθαι. Ἀπὸ γὰρ

* ναὸς Κυρίου (right margin) — χ. ἴσος (right margin)

τῶν

γενὸ μὴ γ. αὐτό

αὐτοῦ ἐστιν, εἰ καὶ ἐπιτάττει· ἀλλὰ τοῦτο μὲν αὐτοῦ, διὸ καὶ χωρὶς αἰτίας τίθησιν, ἐκεῖνο δὲ οὐκ αὐτοῦ, εἰ καὶ βούλεται, διὸ καὶ μετὰ αἰτίας προσκεῖται. προείπε γὰρ κατηγορῆσαι αὐτὰς, ὅτι κατεστρηνίασαν τοῦ Χριστοῦ, τότε φησὶ, βούλομαι νεωτέρας γαμεῖν, τεκνογονεῖν. οὕτω δὴ καὶ ἐνταῦθα οὖν, καταβαίνων οἰκονομεῖ. οὐκ αὐτοῦ θέλημα ἦν προσηγορεύμενοι δὲ τὰς θυσίας γενέσθαι. οὕτω καὶ περὶ τοῦ θανάτου λέγων, Οὐ βούλομαι τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι αὐτὸν καὶ ζῆν αὐτόν, καὶ ἀλλαχοῦ λέγει, ὅτι οὐ μόνον *ἐβουλήθη, ἀλλὰ καὶ ἐπιθυμήσει τοῦτο. καίτοιγε ἐναντία ταῦτα ἀλλήλοις. ἐπιθυμία γὰρ ἐπιτεταμένη ἡ βούλησίς ἐστι. πῶς οὖν οὐ θέλων, ἀλλαχοῦ ἐπιθυμεῖ, ὅ τοῦ σφόδρα θέλειν ἐστὶ σημεῖον. τοῦτο δὴ καὶ ἐνταῦθά ἐστιν εἰπεῖν. ἐν ᾧ θελήματι ἡγιασμένοι ἐσμὲν, φησί. πῶς δὲ ἡγιασμένοι, αὐτὸς ἑρμηνεύσων ἐπάγει, διὰ τῆς προσφορᾶς τοῦ σώματος Ἰησοῦ Χριστοῦ ἐφάπαξ. καὶ πᾶς μὲν ἱερεὺς ἕστηκε καθημέραν λειτουργῶν, καὶ τὰς αὐτὰς πολλάκις προσφέρων θυσίας. ἄρα τὸ ἑστάναι τοῦ λειτουργεῖν ἐστι σημεῖον· οὐκοῦν τὸ καθῆσθαι, τοῦ λειτουργεῖσθαι. οὗτος δὲ μίαν ὑπὲρ ἁμαρτιῶν προσενέγκας θυσίαν, εἰς τὸ διηνεκὲς ἐκάθισεν ἐν δεξιᾷ τοῦ Θεοῦ τὸ λοιπὸν ἐκδεχόμενος, ἕως τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ ὑποπόδιον τῶν ποδῶν αὐτοῦ. Ἰεζεκ. κη. κγ.

14 Μιᾷ γὰρ προσφορᾷ τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους.

15 Μαρτυρεῖ δὲ ἡμῖν καὶ τὸ πνεῦμα τὸ ἅγιον. Εἰπὼν ὅτι ἐκεῖναι οὐ προσφέρονται, συνελογίσατο ἀπὸ τῶν γραφῶν. ἄλλως δὲ καὶ ῥητὸν παρέσχετο προφητικὸν λέγον, θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας. εἶπεν, ὅτι ἀφῆκε τὰς ἁμαρτίας. πάλιν καὶ τοῦτο ἀπὸ ἐγγράφου μαρτυρίας πιστοῦται. μαρτυρεῖ γὰρ ἡμῖν, φησὶ, τὸ πνεῦμα τὸ ἅγιον. μετὰ γὰρ τὸ εἰρηκέναι,

16 Αὕτη ἡ διαθήκη, ἣν διαθήσομαι πρὸς αὐτοὺς μετὰ τὰς ἡμέρας ἐκείνας, λέγει Κύριος, διδοὺς νόμους μου ἐπὶ καρδίας αὐτῶν, καὶ ἐπὶ τῶν διανοιῶν αὐτῶν ἐπιγράψω αὐτούς·

17 Καὶ τῶν ἁμαρτιῶν αὐτῶν, καὶ τῶν ἀνομιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι.

18 Ὅπου δὲ ἄφεσις τούτων, οὐκέτι προσφορὰ περὶ ἁμαρτίας.

Οὐκοῦν ἀφῆκε τὰς ἁμαρτίας, ὅτε τὴν διαθήκην ἔδωκε. τὴν δὲ διαθήκην διὰ τῆς θυσίας ἔδωκεν. εἰ τοίνυν ἀφῆκε τὰς ἁμαρτίας διὰ τῆς μιᾶς θυσίας, οὐκέτι χρεία δευτέρας. ἐκάθισεν ἐν δεξιᾷ τοῦ Θεοῦ, τὸ λοιπὸν ἐκδεχόμενος. καὶ τίνος ἕνεκεν ἡ ἀναβολή; ἵνα τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ ὑπὸ τοὺς πόδας αὐτοῦ. μιᾷ γὰρ, φησὶ, προσφορᾷ τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους. ἀλλ' ἴσως εἴποι τις ἄν, καὶ τίνος ἕνεκεν οὐκ εὐθέως ἔθηκε; διὰ τοὺς πιστοὺς τοὺς μέλλοντας τίκτεσθαι καὶ γεννᾶσθαι. πόθεν οὖν ὅτι τεθήσονται; διὰ τοῦ εἰπεῖν, ὅτι ἐκάθισεν. ἀνέμνησε πάλιν τῆς μαρτυρίας ἐκείνης τῆς λεγούσης, ἕως ἂν θῶ τοὺς ἐχθρούς ὑπὸ τοὺς πόδας αὐτοῦ. οἱ δὲ ἐχθροὶ αὐτοῦ, οἱ Ἰουδαῖοί εἰσιν. εἶτα ἐπειδὴ εἶπεν, ἕως τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ ὑπὸ τοὺς πόδας αὐτοῦ, σφόδρα δὲ ἠπείγοντο, τούτου χάριν πάντα τὰ μετὰ ταῦτα τίθησιν, ὅσα περὶ πίστεως διαλέγεται. τίνες δὲ οἱ ἐχθροί, ἀλλ' ἢ οἱ ἄπιστοι πάντες, οἱ δαίμονες; οὐ γὰρ δὴ μόνοι Ἰουδαῖοι. καὶ τὸ πολὺ δὲ τῆς ὑποταγῆς ἀμφιστάμενος, οὐκ εἶπεν, ὑποταγῶσιν, ἀλλὰ, τεθῶσιν ὑπὸ τοὺς πόδας αὐτοῦ.

Μὴ τοίνυν γενώμεθα τῶν ἐχθρῶν. οὐ γὰρ ἐκεῖνοι μόνον ἐχθροί, οἱ ἄπιστοι καὶ Ἰουδαῖοι, ἀλλὰ καὶ οὗτοι οἱ βίου ἀκαθάρτου πλήρεις ὄντες. Τὸ γὰρ φρόνημα τῆς σαρκὸς, ἔχθρα εἰς Θεόν· τῷ γὰρ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται, οὐδὲ γὰρ δύναται. τί οὖν, φησίν; οὐκ ἔστιν ἔγκλημα τοῦτο; καὶ σφόδρα μὲν οὖν ἔγκλημα. ὁ γὰρ κακὸς, ἕως ἂν ᾖ κακὸς, οὐ δύναται ὑποτάττεσθαι· μεταβαλέσθαι μέντοι, καὶ γενέσθαι ἀγαθὸς δύναται. ἐκβάλωμεν τοίνυν τὰ φρονήματα τὰ σαρκικά. ποῖα δέ ἐστι σαρκικά; ὅσα τὸ μὲν σῶμα αὔξειν ποιεῖ καὶ εὐπαθεῖν, κακοῖ δὲ τὴν ψυχήν. οἷόν τι λέγω, ὁ πλοῦτος, ἡ τρυφὴ, ἡ δόξα (πάντα ταῦτα τῆς σαρκός ἐστιν)

ΗΘΙΚΟΝ
Ρωμ. η. ζ.

Λογ. ιη. ΑΝΩΤΕΡΟΝ ΛΕΓΩΝ, ΟΤΙ ΘΥΣΙΑΝ ΚΑΙ γ. ἀνωτέρω
προσφορὰν καὶ ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ἠθέλησας, οὐδὲ εὐ-
δόκησας (αἵτινες κατὰ τὸν νόμον προσφέρονται)) 9 Τότε εἴρηκεν, ἰδοὺ ἥ-
κω τοῦ ποιῆσαι, ὁ Θεός, τὸ θέλημά σου. ἀναιρεῖ τὸ πρῶτον, ἵνα τὸ δεύτερον
στήσῃ. 10 Ἐν ᾧ θελήματι ἡγιασμένοι ἐσμέν, διὰ τῆς προσφορᾶς
τοῦ σώματος Ἰησοῦ Χριστοῦ ἐφάπαξ. 11 Καὶ πᾶς μὲν ἱερεὺς ἕστηκε
καθ' ἡμέραν λειτουργῶν, καὶ τὰς αὐτὰς πολλάκις προσφέρων θυσίας, αἵτινες
οὐδέποτε δύνανται περιελεῖν ἁμαρτίας· 12 Οὗτος δὲ μίαν ὑπὲρ
ἁμαρτιῶν προσενέγκας θυσίαν, εἰς τὸ διηνεκὲς ἐκάθισεν ἐν δεξιᾷ τοῦ Θεοῦ,
13 Τὸ λοιπὸν ἐκδεχόμενος, ἕως τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ ὑποπόδιον τῶν
ποδῶν αὐτοῦ.

Ἐν μὲν τοῖς ἔμπροσθεν ἔδειξεν ἀνωφελεῖς τὰς θυσίας οὔσας πρὸς τὴν τελείαν καθαρότητα, καὶ τύπους οὔσας, καὶ πολὺ λειπομένας. ἐπεὶ οὖν ἀντέπιπτεν αὐτῷ τοῦτο, εἰ τύποι εἰσί, πῶς τῆς ἀληθείας ἐλθούσης, οὐκ ἐπαύσαντο, οὐδὲ ὑπεχώρησαν, ἀλλ' ἔτι τελοῦνται; αὐτὸ δὴ τοῦτο ἐνταῦθα ἐργάζεται, δεικνὺς ὅτι οὐκέτι τελοῦνται*, οὐδὲ ὡς τύπος. οὐ γὰρ αὐτὰς προσίεται ὁ Θεός. καὶ τοῦτο οὐκ ἀπὸ τῆς καινῆς πάλιν, ἀλλ' ἀπὸ τῆς προφητικῆς δείκνυσι, ἄνωθεν τὴν ἰσχυροτάτην παράγων μαρτυρίαν, ὅτι λήγει καὶ παύεται, καὶ εἰκῆ πάντα προσάγουσιν, ἀεὶ τῷ πνεύματι τῷ ἁγίῳ ἀντιπίπτοντες. καὶ δείκνυσιν ἐκ περιουσίας οὐ νῦν αὐτὰς πεπαυμένας, ἀλλὰ καὶ πρὸ αὐτῆς τῆς Χριστοῦ τὴν παρουσίαν μᾶλλον δέ, καὶ πρὸ τῆς αὐτοῦ παρουσίας. καὶ πῶς οὐ τελευταῖον ἔλυσεν αὐτὰς ὁ Χριστός, ἀλλὰ πρότερον ἐλύθησαν, καὶ τότε ἦλθε; πρότερον ἐπαύθησαν, καὶ τότε αὐτὸς παρεγένετο; ἵνα γὰρ μὴ λέγωσι*, χωρὶς ταύτης τῆς θυσίας ἠδυνάμεθα εὐαρεστῆσαι τῷ Θεῷ, καὶ διὰ ἐκείνων ἀνέμενεν αὐτὰς ἐλεγχθῆναι, καὶ τότε αὐτὸς παρεγένετο. Θυσίαν γάρ, φησι, καὶ προσφορὰν οὐκ ἠθέλησας. πάντα ἀνεῖλε διὰ τούτου. καὶ γενικῶς εἰπών, λέγει καὶ ἰδικῶς, ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ εὐδόκησας. προσφορὰ δὲ πᾶν τὸ ἐκ τῆς οὐσίας ἦν. τότε εἶπον, ἰδοὺ ἥκω. περὶ τίνος τοῦτο εἴρηται; περὶ οὐδενὸς ἑτέρου, ἀλλ' ἢ περὶ τοῦ Χριστοῦ. ἐνταῦθα οὐδὲ αἰτιᾶται τοὺς προσφέροντας, δεικνὺς ὅτι οὐ διὰ τὰς πονηρίας αὐτῶν οὐ δέχεται, καθάπερ ἑτέρωθί φησιν, ἀλλὰ διὰ τὸ λοιπὸν ἐληλέγχθαι τὸ πρᾶγμα, καὶ πεφανερῶσθαι οὐδεμίαν ἔχον ἰσχύν, οὐδὲ καιρόν τινα προσήκοντα. τί οὖν τοῦτο πρὸς τὸ πολλάκις προσφέρεσθαι τὰς θυσίας; οὐκ ἀπὸ τοῦ πολλάκις μόνον δῆλον, φησιν, ὅτι ἀσθενεῖς εἰσί, καὶ ὅτι οὐδὲν ἴσχυσαν, ἀλλὰ καὶ ἀπὸ τοῦ μὴ προσίεσθαι αὐτὰς τὸν Θεόν, ὡς ἀνονήτους καὶ ἀνωφελεῖς. τοῦτο αὐτὸ δηλῶν καὶ ἀλλαχοῦ φησιν, ὅτι, Εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν. ἄρα καὶ διὰ τούτου δηλοῖ ὅτι οὐ θέλει. ἄρα οὖν οὐχ αἱ θυσίαι τὸ θέλημα τοῦ Θεοῦ, ἀλλ' ἡ τῶν θυσιῶν ἀναίρεσις. οὐκοῦν παρὰ τὸ θέλημα θύουσι. τί ἐστι, τοῦ ποιῆσαι τὸ θέλημά σου; τοῦ ἐμαυτόν, φησιν, ἐκδοῦναι. τοῦτο τοῦ Θεοῦ θέλημα· ἐν ᾧ θελήματι ἡγιασμένοι ἐσμέν. ἔτι διὰ τούτου καὶ ἄλλως δείκνυσιν, ὅτι οὐχ αἱ θυσίαι τῶν ἀνθρώπων καθαίρουσιν, ἀλλὰ τὸ θέλημα τοῦ Θεοῦ. [ἄρα οὖν τὸ θύειν οὐ θέλημα τοῦ Θεοῦ.] καὶ τί θαυμάζεις, εἰ νῦν οὐ θέλημά ἐστι τοῦ Θεοῦ, ὅπου γε μηδὲ ἐξ ἀρχῆς θέλημα ἦν; Τίς γὰρ ἐξεζήτησε ταῦτα, φησιν, ἐκ τῶν χειρῶν ὑμῶν; πῶς οὖν αὐτὸς ἐπέταξε; συγκαταβαίνων. ὥσπερ καὶ ὁ Παῦλος φαίνεται λέγων, Θέλω πάντας ἀνθρώπους εἶναι ὡς καὶ ἐμαυτὸν ἐν ἐγκρατείᾳ. καὶ πάλιν ἐναντίως ἀλλαχοῦ φησι, Βούλομαι νεωτέρας γαμεῖν, τεκνογονεῖν. * δύο θελήματα τίθησιν, ἀλλ' οὐ τὰ δύο αὐτοῦ

Margin notes: γ. πάλιν · * λοιπόν · * ὅτι · γ. πᾶν τὸ ἐκ τῆς ἰδίας ἦν. · γ. προσῆκον · Ψαλ. ν'. · Ησ. α. ιά. · α Κορ. ζ'. · α Τιμ. ε'. ιδ'. · * ἢ

βόρβορον ἀπηλλάχθαι ὑμᾶς, ἀλλὰ καὶ λευκοὺς εἶναι, καὶ ὡραίους. Εἰ γὰρ ὁ Βαβυλώνιος βασιλεὺς, ἀπὸ τῆς αἰχμαλωσίας ἐκλεγόμενος τοὺς νεανίσκους, καλοὺς τῷ εἴδει, καὶ ὡραίους τῇ ὄψει ἐξελέξατο· πολλῷ μᾶλλον ἡμᾶς παρεστάναι μέλλοντας τῇ* τραπέζῃ τῇ βασιλικῇ, καλοὺς τῷ εἴδει εἶναι δεῖ τῷ τῆς ψυχῆς, τὸν κόσμον ἔχοντας χρυσοῦν, τὴν στολὴν καθαράν, τὰ ὑποδήματα βασιλικά, τὸ πρόσωπον τῆς ψυχῆς εὔμορφον, τὸν κόσμον αὐτῇ περικεῖσθαι τὸν χρυσοῦν, τὴν ζώνην τῆς ἀληθείας. ὁ τοιοῦτος προσίτω, καὶ ποτηρίων ἀπτέσθω βασιλικῶν. Εἰ δέ τις ῥάκια ἠμφιεσμένος, ῥυπῶν, αὐχμῶν ἐπεισιέναι τῇ βασιλικῇ βούλοιτο τραπέζῃ, ὅρα ὅσα πείσεται, οὐκ ἀρκουσῶν τῶν τεσσαράκοντα ἡμερῶν τὰ ἐν παντὶ τῷ χρόνῳ πεπλημμελημένα ἀπολούσασθαι. Εἰ γὰρ ἡ γέεννα οὐκ ἀρκεῖ, καίτοιγε αἰώνιος οὖσα (διὰ τοῦτο γὰρ καὶ αἰώνιός ἐστι) πολλῷ μᾶλλον ὁ βραχὺς οὗτος χρόνος. οὐ γὰρ μετάνοιαν ἰσχυρὰν ἐπεδειξάμεθα, ἀλλ' ἀσθενῆ. Τοὺς εὐνούχους μάλιστα δεῖ παρεστάναι τῷ βασιλεῖ· εὐνούχους λέγω, τοὺς τὴν διάνοιαν λευκούς, μηδένα ἔχοντας ῥύπον, μηδὲ σπίλον, ὑψηλοὺς τῇ διανοίᾳ, τὸ ὄμμα ἥμερον τῆς ψυχῆς ἔχοντας καὶ ὀξυδερκές, εὐπερίστροφον καὶ γοργόν, ἀλλὰ μὴ ὑπνηλόν, μηδὲ ὕπτιον, ἐλευθερίας γέμον πολλῆς, πόρρω ἀναισχυντίας τε μὴν καὶ ἰταμότητος, ἐγρηγορός, ὑγιές, μήτε στυγνὸν σφόδρα καὶ κατηφές, μήτε διακεχυμένον καὶ ὑγρόν. Οὕτω ἡμεῖς κύριοι δημιουργῆσαι τὸν ὀφθαλμόν, καὶ ὀξυδερκῆ ποιῆσαι καὶ καλόν. ὅταν γὰρ αὐτὸν μὴ πρὸς τὸν καπνὸν ἀγάγωμεν, μηδὲ πρὸς τὴν κόνιν (τοιαῦτα γὰρ πάντα τὰ ἀνθρώπινα πράγματα) ἀλλὰ πρὸς τὸν ἀέρα τὸν λεπτόν, πρὸς τὸν κοῦφον ἀέρα, πρὸς τὰ μετέωρα καὶ ὑψηλά, καὶ ἡσυχίας γέμοντα πολλῆς καὶ καθαρότητος, καὶ πολλῆς τῆς τέρψεως, ἀνακτησόμεθα ταχέως αὐτόν, καὶ ῥώσομεν ἐντρυφῶντα τῇ τοιαύτῃ θέᾳ. Εἶδες πλεονεξίαν, καὶ πλοῦτον πολὺν ἔχοντά τινα; μὴ ἐπαγάγῃς ἐκεῖ τὸν ὀφθαλμόν σου· βόρβορός ἐστι τὸ πρᾶγμα, καπνός ἐστιν, ἀτμὶς πονηρά, σκότος καὶ στενοχωρία πολλή, καὶ φροντίδων πνιγμός. Εἶδες δικαιοσύνην ἀσκοῦντα ἄνθρωπον, ἀρκούμενον τοῖς αὐτοῦ, καὶ πολλὴν ἔχοντα τὴν εὐρυχωρίαν τῆς δόσεως, οὐδὲν μεριμνῶντα, οὐδὲν φροντίζοντα τῶν ἐνταῦθα; στῆσον αὐτὸν ἐκεῖ, καὶ ἐμ μετοίκισον· καὶ πολλῷ καλλίονα αὐτὸν ἐργάσῃ καὶ λαμπρότερον, οὐ τοῖς τῆς γῆς ἄνθεσιν εὐωχῶν, ἀλλὰ τοῖς τῆς ἀρετῆς, σωφροσύνῃ, ἐπιεικείᾳ, καὶ τοῖς ἄλλοις ἅπασιν. οὐδὲν γὰρ οὕτω ταράττει ὀφθαλμόν, ὡς συνειδὸς πονηρόν. Ἐταράχθη, φησίν, ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου. οὐδὲν οὕτω σκοτοῖ. ταύτης αὐτὸν ἀπάλλαξον τῆς ἐπηρείας, καὶ φαιδρὸν ἐργάσῃ καὶ ἰσχυρόν, ἀεὶ τρεφόμενον ἐλπίσιν ἀγαθαῖς. Γένοιτο δὲ πάντας ἡμᾶς, καὶ τοῦτον καὶ τὰς ἄλλας τῆς ψυχῆς ἐνεργείας κατασκευάσαι τοιαύτας, οἵας ὁ Χριστὸς βούλεται· ἵνα τῆς ἐπικειμένης ἡμῖν κεφαλῆς ἄξιοι γενόμενοι, ἀπέλθωμεν ἔνθα θέλει. Φησὶ γάρ, Θέλω ἵνα, ὅπου ἐγὼ εἰμί, κἀκεῖνοι ὦσι μετ' ἐμοῦ, ἵνα τὴν δόξαν τὴν ἐμὴν ὁρῶσιν· ἧς γένοιτο ἀπολαῦσαι πάντας ἡμᾶς, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρί, καὶ τῷ ἁγίῳ πνεύματι δόξα.

* ἀξίᾳ

ἢ ἔρασον.

Ψαλ. ς. ζ.

γρ. τοῦ ψυχικοῦ ὀφθαλμοῦ ταύτης οὖν τὸν ἀπάλλαξον τῆς πηρώσεως, καὶ γρ. ταύτην καὶ ἄλλ. τοῦτο

Ιωαν. ιζ. κδ.

Λογ. ιη.

τραπέζης ἀπολαύεις πνευματικῆς, τραπέζης βασιλικῆς, καὶ πάλιν φύρεις βορβόρῳ τὸ στόμα; (χ. στόματι) μύρου γέμεις, καὶ πάλιν δυσωδίας πληροῖς; Εἰπέ μοι, παρακαλῶ, μετ' ἐνιαυτὸν τῆς μεταλήψεως μετέχων, τὰς τεσσαράκοντα ἡμέρας οἴει ἀρκεῖν σοι πρὸς καθαρμὸν τῶν ἁμαρτημάτων παντὸς τοῦ χρόνου; καὶ πάλιν, ἑβδομάδος παρελθούσης, ἐκδίδως σαυτὸν τοῖς προτέροις; Εἰπὲ δή μοι, ἐὰν ὑγιάνας τεσσαράκοντα ἡμέρας ἀπὸ νόσου μακρᾶς, πάλιν σαυτὸν τοῖς σιτίοις ἐκδῷς ἐκείνοις τοῖς νοσοποιοῖς, οὐχὶ [καὶ] τὸν πρότερον κόπον ἀπώλεσας; εὔδηλον ὅτι. Εἰ γὰρ τὰ φυσικὰ μεθίσταται, πολλῷ μᾶλλον τὰ τῆς προαιρέσεως. οἷόν τι λέγω, φύσει βλέπομεν, καὶ ὑγιεῖς ἔχομεν ὀφθαλμοὺς κατὰ φύσιν· ἀλλὰ πολλάκις ἀπὸ καχεξίας βλάπτεται ἡμῶν τὸ ὀπτικόν. εἰ τοίνυν τὰ ἐκ φύσεως μεθίσταται, οὐχὶ μάλιστα τὰ ἐκ προαιρέσεως; τεσσαράκοντα ἡμέρας ἀπονέμεις τῇ ὑγιείᾳ τῆς ψυχῆς, τάχα δὲ οὐδὲ τεσσαράκοντα, καὶ προσδοκᾷς ἐξιλεώσασθαι τὸν Θεόν; παίζεις, ἄνθρωπε. Ταῦτα λέγω, οὐχὶ τῆς μιᾶς καὶ ἐνιαυσιαίου προσόδου κωλύων ὑμᾶς, ἀλλὰ βουλόμενος μᾶλλον διαπαντὸς ὑμᾶς προσιέναι τοῖς ἁγίοις. Διὰ τοῦτο καὶ ὁ ἱερεὺς ἐπιφωνεῖ τότε τοὺς ἁγίους καλῶν, καὶ διὰ τῆς φωνῆς (χ. διάκονος) ταύτης μωμοσκοπεῖ ἅπαντας, ὥστε μὴ προσελθεῖν τινα ἀπαράσκευον. καθάπερ γὰρ ἐπὶ ποίμνης, ἔνθα πολλὰ μὲν ὑγιαίνει πρόβατα, πολλὰ δὲ ψώρας ἀναπέπλησται, ἀνάγκη ταῦτα διείργεσθαι ἀπὸ τῶν ὑγιαινόντων· οὕτω καὶ ἐν τῇ ἐκκλησίᾳ, ἐπειδὴ τὰ μέν ἐστιν ὑγιεινὰ πρόβατα, τὰ δὲ κεκακωμένα, διὰ τῆς φωνῆς ταύτης διείργει ταῦτα ἐκείνων τῶν ὑγιῶν πανταχοῦ διὰ τῆς κραυγῆς ταύτης τῆς φρικωδεστάτης ὁ ἱερεὺς, καὶ τοὺς ἁγίους καλῶν καὶ ἕλκων. ἐπειδὴ (α. Κορ. β. ια.) γὰρ οὐκ ἔνι ἀνθρώπῳ ὄντα εἰδέναι τὰ τοῦ πλησίον (Τίς γὰρ οἶδεν ἀνθρώπων, φησί, τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ;) ταύτην ἀφίησι τὴν φωνὴν μετὰ τὸ τὴν θυσίαν ἀπαρτισθῆναι πᾶσαν, ὥστε μηδένα ἁπλῶς, καὶ ὡς ἔτυχεν, ἐπὶ τὴν πηγὴν ἐλθεῖν τὴν πνευματικήν. καὶ γὰρ ἐπὶ τῆς ποίμνης (οὐδὲν γὰρ κωλύει τῷ αὐτῷ ὑποδείγματι πάλιν χρήσασθαι) τὰ μὲν νοσερὰ ἔνδον ἀποκλειόμενα, καὶ ἐν σκότῳ κατεχόμενα, καὶ ἑτέρας μεταδιδόμενα τροφῆς, οὔτε ἀέρος καθαροῦ, οὔτε πόας εἰλικρινοῦς, οὔτε πηγῆς τῆς ἔξω συγχωρούμενα μεταλαβεῖν. καὶ ἐνταῦθα τοίνυν αὕτη ἡ φωνὴ ἀντὶ δεσμοῦ τινός ἐστιν. οὐκ ἔχεις εἰπεῖν, οὐκ ᾔδειν, ἠγνόουν ὅτι κίνδυνος ἕπεται τῷ πράγματι· μάλιστα μὲν οὖν καὶ ὁ Παῦλος τοῦτο διεμαρτύρατο. ἀλλ' ἐρεῖς ὅτι οὐκ ἀνέγνων; οὐκ ἔστι τοῦτο ἀπολογία, ἀλλὰ (χ. οὐκ ἔχων. ἀλλ' οὐκ) καὶ ἔγκλημα. καθ' ἑκάστην ἡμέραν εἰσέρχῃ εἰς τὴν ἐκκλησίαν, καὶ ἔτι τοῦτο ἀγνοεῖς; πλὴν ἀλλ' ἵνα μηδὲ τοῦτο ἔχῃς προφασίζεσθαι, τούτου χάριν μεγάλῃ τῇ φωνῇ, φρικτῇ τῇ βοῇ, καθάπερ τις κήρυξ τὴν χεῖρα αἴρων εἰς τὸ ὕψος, ὑψηλὸς ἑστώς, πᾶσι κατάδηλος γενόμενος, καὶ μέγα ἐπ' ἐκείνῃ τῇ φρικτῇ ἡσυχίᾳ ἀνακραυγάζων, τοὺς μὲν καλεῖ, τοὺς δὲ ἀπείργει ὁ ἱερεὺς, οὐ τῇ χειρὶ τοῦτο ποιῶν, ἀλλὰ τῇ γλώττῃ τῆς χειρὸς τρανότερον. ἡ γὰρ φωνὴ ἐκείνη εἰς τὴν ἀκοὴν ἐμπίπτουσα τὴν ἡμετέραν, καθάπερ χείρ, τοὺς μὲν ὠθεῖ καὶ ἐκβάλλει, τοὺς δὲ εἰσάγει καὶ παρίστησιν. Εἰπὲ δή μοι, παρακαλῶ, ἐν τοῖς Ὀλυμπιακοῖς ἀγῶσιν οὐχὶ ἕστηκεν ὁ κήρυξ βοῶν μέγα καὶ ὑψηλόν, Εἴ τις τούτου κατηγορεῖ, λέγων, μὴ δοῦλός ἐστι; μὴ κλέπτης; (χ. μή τι) μὴ τρόπων πονηρῶν; καίτοι τὰ ἀγωνίσματα ἐκεῖνα οὔτε ψυχῆς ἐστιν, οὔτε τρόπου ἀγαθοῦ, ἀλλὰ ῥώμης καὶ σώματος. Εἰ τοίνυν ἔνθα σωμάτων ἐστὶν ἄσκησις, πολλὴ προαιρέσεως ἐξέτασις γίνεται, πόσῳ μᾶλλον ἐνταῦθα, ἔνθα τὸ πᾶν ψυχὴ ἀθλεῖ; ἕστηκε τοίνυν καὶ νῦν ὁ παρ' ἡμῖν κήρυξ, οὐ τῆς κεφαλῆς ἕκαστον κατέχων, καὶ παράγων, ἀλλὰ πάντας ὁμοῦ τῆς κεφαλῆς τῆς ἔνδον κατέχων, οὐκ ἐφίστησιν ἄλλους αὐτοῖς κατηγόρους, ἀλλ' αὐτοὺς ἑαυτοῖς. οὐ γὰρ λέγει, μή τις τούτου κατηγορεῖ; ἀλλὰ τί; Εἴ τις ἑαυτοῦ κατηγορεῖ. ὅταν γὰρ εἴπῃ, τὰ ἅγια τοῖς ἁγίοις, τοῦτο λέγει, Εἴ τις οὐκ ἔστιν ἅγιος, μὴ προσίτω. οὐχ ἁπλῶς φησιν, ἁμαρτημάτων καθαρός, ἀλλ', ἅγιος. ἅγιον γὰρ οὐχ ἡ τῶν ἁμαρτημάτων ἀπαλλαγὴ ποιεῖ μόνον, ἀλλὰ καὶ ἡ τοῦ πνεύματος παρουσία, καὶ ὁ τῶν ἀγαθῶν ἔργων πλοῦτος. οὐ βούλομαι μόνον, φησί, βορ-

βόρου

γρ. τραυμάτων

ταῖς αὐταῖς θυσίαις ἀεὶ θεραπεύειν); Εἰ γὰρ πάντων ἦσαν ἀπηλλαγμένοι τῶν ἁμαρτημάτων, οὐκ ἂν καθ' ἑκάστην ἡμέραν προσεφέροντο αἱ θυσίαι. καὶ γὰρ ἦσαν ὡρισμέναι, ὥστε ἀεὶ προσφέρεσθαι ὑπὲρ τοῦ λαοῦ παντὸς, καὶ ἐν ἑσπέρᾳ, καὶ ἐν ἡμέρᾳ. ὥστε κατηγορία ἁμαρτημάτων, καὶ οὐ λύσις ἁμαρτημάτων ἦν τὸ γινόμενον, κατηγορία ἀσθενείας, οὐκ ἰσχύος ἐπίδειξις. ἐπειδὴ γὰρ ἡ προτέρα οὐδὲν ἴσχυεν, ἡ δευτέρα προσεφέρετο· καὶ ἐπειδὴ οὐδὲν αὕτη ἤνυεν, ἑτέρα πάλιν· ὥστε ἔλεγχος ἁμαρτημάτων ἦν. τὸ μὲν οὖν προσφέρεσθαι, ἔλεγχος ἁμαρτημάτων· τὸ δὲ ἀεὶ, ἔλεγχος ἀσθενείας. ἐπὶ δὲ τοῦ Χριστοῦ, τοὐναντίον· ἅπαξ προσηνέχθη, καὶ εἰς τὸ διηνεκὲς ἤρκεσε. καὶ καλῶς εἶπεν ἐκεῖνα ἀντίτυπα. ἄρα τύπον εἶχε μόνον, οὐχὶ δὲ καὶ τὴν ἰσχύν· ὥσπερ ἐπὶ τῶν εἰκόνων, τύπον ἔχει τοῦ ἀνθρώπου ἡ εἰκὼν, οὐχὶ τὴν ἰσχύν. ὥστε τὸ ἀληθὲς καὶ ὁ τύπος κοινωνοῦσιν ἀλλήλοις. ὁ γὰρ τύπος ἴσος· ἡ δὲ ἰσχὺς οὐκέτι. οὕτω δὴ καὶ ἐπὶ τοῦ οὐρανοῦ, καὶ ἐπὶ τῆς σκηνῆς.

γρ. τῆς γῆς. ὁ μὲν τύ.

ὁ μὲν γὰρ τύπος ἴσος ἦν· ἅγια γὰρ ἦν· ἡ δὲ δύναμις καὶ τὰ ἄλλα, οὐ τὰ αὐτά. τί ἐστιν, εἰς ἀθέτησιν ἁμαρτίας, διὰ τῆς θυσίας αὐτοῦ πεφανέρωται; τί ἐστιν ἀθέτησις; τουτέστι, καταφρόνησις. οὐκέτι γὰρ παρρησίαν ἔχει ἡ ἁμαρτία· ἠθέτηται γάρ. πῶς; ὀφείλουσα μὲν ἀπολαβεῖν κόλασιν, οὐκ ἀπολαβοῦσα δέ. τουτέστι, βίαν ἔπαθεν· ὅτε προσεδόκησε πάντας ἀνελεῖν, τότε ἀνῃρέθη. διὰ τῆς θυσίας αὐτοῦ, φησὶ, πεφανέρωται. τουτέστιν, ἐφανερώθη τῷ Θεῷ καὶ προσῆλθε. μὴ οὖν, ἐπειδὴ ὁ ἱερεὺς πολλάκις τοῦτο ἐποίει τοῦ ἐνιαυτοῦ, νομίσῃς ὅτι ἁπλῶς, καὶ οὐχὶ δι' ἀσθένειαν τοῦτο ἐποίει. εἰ γὰρ μὴ δι' ἀσθένειαν, τί καὶ ἐγίνετο; μὴ ὄντων γὰρ τραυμάτων, οὐδὲ φαρμάκων λοιπὸν δεῖ τῷ ἐπιμελουμένῳ. διὰ τοῦτο προσέταξε, φησὶν, ἀεὶ προσφέρεσθαι διὰ τὸ ἀσθενὲς, καὶ ὥστε ἀνάμνησιν ἁμαρτιῶν γίνεσθαι. τί οὖν; ἡμεῖς καθ' ἑκάστην ἡμέραν οὐ προσφέρομεν; προσφέρομεν μὲν, ἀλλ' ἀνάμνησιν ποιούμενοι τοῦ θανάτου αὐτοῦ· καὶ μία ἐστὶν αὕτη, καὶ οὐ πολλαί.

γρ. ἐκείνη εἰσηνέχθη

πῶς μία, καὶ οὐ πολλαί; ἐπειδὴ ἅπαξ προσηνέχθη, ὥσπερ ἐκείνη ἡ εἰς τὰ ἅγια τῶν ἁγίων. τοῦτο ἐκείνης τύπος ἐστὶ, καὶ αὕτη ἐκείνης. τὸν γὰρ αὐτὸν ἀεὶ προσφέρομεν· οὐ νῦν μὲν ἕτερον [πρόβατον,] αὔριον δὲ ἕτερον, ἀλλ' ἀεὶ τὸ αὐτό. ὥστε μία ἐστὶν ἡ θυσία.

γρ. -σία ἐπὶ τῷ λόγῳ τούτῳ. ἐπειδὴ

γρ. Χριστοὶ μηδαμῶς

ἐπεὶ τῷ λόγῳ τούτῳ, ἐπειδὴ πολλαχοῦ προσφέρεται, καὶ πολλοὶ χριστοί. ἀλλ' οὐδαμῶς· ἀλλ' εἷς [πανταχοῦ] ὁ Χριστὸς, καὶ ἐνταῦθα πλήρης ὢν, καὶ ἐκεῖ πλήρης, ἓν σῶμα. ὥσπερ οὖν πολλαχοῦ προσφερόμενος ἓν σῶμά ἐστι, καὶ οὐ πολλὰ σώματα· οὕτω καὶ μία θυσία. ὁ ἀρχιερεὺς ἡμῶν ἐκεῖνός ἐστιν ὁ τὴν θυσίαν τὴν καθαίρουσαν ἡμᾶς προσενεγκών. ἐκείνην προσφέρομεν καὶ νῦν, τὴν τότε προσενεχθεῖσαν, τὴν ἀνάλωτον. τοῦτο εἰς ἀνάμνησιν γίνεται τοῦ τότε γενομένου. Τοῦτο γὰρ ποιεῖτε, φησὶν, εἰς τὴν ἐμὴν ἀνάμνησιν. οὐκ ἄλλην θυσίαν, καθάπερ ὁ ἀρχιερεὺς τότε, ἀλλὰ τὴν αὐτὴν ἀεὶ ποιοῦμεν· μᾶλλον δὲ ἀνάμνησιν ἐργαζόμεθα θυσίας.

Ἀλλ' ἐπειδὴ τῆς θυσίας ταύτης ἐμνήσθην, βούλομαι μικρὰ πρὸς ὑμᾶς εἰπεῖν τοὺς μεμυημένους, μικρὰ μὲν τῷ μέτρῳ, μεγάλην δὲ ἔχοντα τὴν ἰσχὺν καὶ τὴν ὠφέλειαν. οὐ γὰρ ἡμέτερά ἐστιν, ἀλλὰ τοῦ θείου πνεύματος τὰ λεγόμενα. τί οὖν ἐστι; πολλοὶ τῆς θυσίας ταύτης ἅπαξ μεταλαμβάνουσι τοῦ παντὸς ἐνιαυτοῦ, ἄλλοι δὲ δὶς, ἄλλοι δὲ πολλάκις. πρὸς οὖν ἅπαντας ἡμῖν ὁ λόγος ἐστὶν, οὐ πρὸς τοὺς ἐνταῦθα δὲ μόνον, ἀλλὰ καὶ πρὸς τοὺς ἐν τῇ ἐρήμῳ καθεζομένους. ἐκεῖνοι γὰρ ἅπαξ τοῦ ἐνιαυτοῦ μετέχουσι, πολλάκις δὲ καὶ διὰ δύο ἐτῶν. τί οὖν; τίνας ἀποδεξόμεθα; τοὺς ἅπαξ; τοὺς πολλάκις; τοὺς ὀλιγάκις; οὔτε τοὺς ἅπαξ, οὔτε τοὺς πολλάκις, οὔτε τοὺς ὀλιγάκις, ἀλλὰ τοὺς μετὰ καθαροῦ συνειδότος, τοὺς μετὰ καθαρᾶς καρδίας, τοὺς μετὰ βίου ἀλήπτου. οἱ τοιοῦτοι ἀεὶ προσίτωσαν· οἱ δὲ μὴ τοιοῦτοι, μηδὲ ἅπαξ. τί δήποτε; ὅτι κρίμα ἑαυτοῖς λαμβάνουσι, καὶ κατάκριμα καὶ κόλασιν καὶ τιμωρίας. καὶ μὴ θαυμάσῃς. ὥσπερ γὰρ ἡ τροφὴ φύσει οὖσα θρεπτικὴ, ἐὰν εἰς κακόσιτον ἐμπέσῃ, πάντα ἀπόλλυσι καὶ διαφθείρει, καὶ γίνεται νόσου ἀφορμή· οὕτω δὴ καὶ ταῦτα τὰ τῶν φρικτῶν μυστηρίων.

ΗΘΙΚΟΝ

τραπέζης

δηλονότι. ἐνταῦθα οὐδὲ ἱερέα δείκνυσιν αὐτὸν μόνον, ἀλλὰ καὶ θῦμα καὶ ἱερεῖον. Εἶτα προστίθησι τὴν αἰτίαν τοῦ, προσενεχθείς. ἅπαξ, φησί, προσενεχθείς, Εἰς τὸ πολλῶν ἀνενεγκεῖν ἁμαρτίας. Διατί δὲ πολλῶν εἶπε, καὶ μὴ πάντων; ἐπειδὴ μὴ πάντες ἐπίστευσαν. ὑπὲρ ἁπάντων μὲν γὰρ ἀπέθανεν, εἰς τὸ σῶσαι πάντας, τὸ αὐτοῦ μέρος. ἀντίρροπος γὰρ ἦν ὁ θάνατος ἐκεῖνος τῆς πάντων ἀπωλείας. οὐ πάντων δὲ τὰς ἁμαρτίας ἀνήνεγκε, διὰ τὸ μὴ θελῆσαι αὐτούς. τί δέ ἐστιν* ἀνενεγκεῖν ἁμαρτίας; ὥσπερ ἐπὶ τῆς προσφορᾶς ἡμεῖς ἀναφέρομεν, προσφέρομεν καὶ τὰ ἁμαρτήματα λέγοντες, εἴτε ἑκόντες, εἴτε ἄκοντες ἡμάρτομεν, συγχώρησον, τουτέστι, μεμνήμεθα αὐτῶν πρότερον, καὶ τότε τὴν συγχώρησιν αἰτοῦμεν· οὕτω δὴ καὶ ἐνταῦθα γέγονε. ποῦ τοῦτο πεποίηκεν ὁ Χριστός; ἄκουσον αὐτοῦ λέγοντος, Καὶ ὑπὲρ αὐτῶν ἁγιάζω ἐμαυτόν. ἰδοὺ ἀνήνεγκε τὰ ἁμαρτήματα· ἦρεν αὐτὰ ἀπὸ τῶν ἀνθρώπων, καὶ ἀνήνεγκε τῷ πατρί· οὐχ ἵνα τι ὁρίσῃ κατ' αὐτῶν, ἀλλ' ἵνα αὐτὰ ἀφῇ.

Ιωαν. ιζ. ιθ.

* εἰς τὸ πολλῶν
γρ. ἐστὶ ἀναφέρομεν τά.

Ἐκ δευτέρου χωρὶς ἁμαρτίας ὀφθήσεται, φησί, τοῖς αὐτὸν ἀπεκδεχομένοις εἰς σωτηρίαν. Τί ἐστι, χωρὶς ἁμαρτίας; οὐχ ἁμαρτίας αἴρων, οὐδὲ διὰ ἁμαρτίας ἐκ δευτέρου ἥξει, ἵνα πάλιν ἀποθάνῃ. οὐδὲ γὰρ ὁ ἅπαξ ἀπέθανεν, ὀφείλων ἀποθανεῖν ἀπέθανε. πῶς ὀφθήσεται; κολάζων. ἀλλ' οὐκ εἶπε τοῦτο, ἀλλὰ τὸ φαιδρόν, χωρὶς ἁμαρτίας ὀφθήσεται τοῖς αὐτὸν ἀπεκδεχομένοις εἰς σωτηρίαν· ὡς μηκέτι λοιπὸν δεηθῆναι θυσίας, ὥστε σῶσαι αὐτούς, ἀλλ' ἀπὸ ἔργων τοῦτο ποιεῖν.

γρ. – εἰσ. τί δήποτε σῶσαι

κεφ. ι.

1 Σκιὰν γὰρ ἔχων, φησίν, ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων· Τουτέστιν, οὐκ αὐτὴν τὴν ἀλήθειαν. ἕως μὲν γὰρ ἂν ὡς ἐν γραφῇ περιάγῃ τις τὰ χρώματα, σκιά τίς ἐστιν· ὅταν δὲ τὸ ἄνθος ἐπαλείψῃ τις, καὶ ἐπιχέῃ τὰ χρώματα, τότε εἰκὼν γίνεται. τοιοῦτόν τι καὶ ὁ νόμος ἦν. σκιὰν γάρ, φησιν, ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων· τουτέστι, τῆς θυσίας, τῆς ἀφέσεως. Κατ' ἐνιαυτὸν ταῖς αὐταῖς θυσίαις ἃς προσφέρουσιν εἰς τὸ διηνεκές, οὐδέποτε δύναται τοὺς προσερχομένους τελειῶσαι.

2 Ἐπεὶ οὐκ ἂν ἐπαύσαντο προσφερόμεναι, διὰ τὸ μηδεμίαν συνείδησιν ἔχειν ἁμαρτιῶν τοὺς λατρεύοντας, ἅπαξ κεκαθαρμένους·

3 Ἀλλ' ἐν αὐταῖς ἀνάμνησις ἁμαρτιῶν κατ' ἐνιαυτόν.

4 Ἀδύνατον γὰρ αἷμα ταύρων καὶ τράγων ἀφαιρεῖν ἁμαρτίας.

Ψαλμ. μ.

5 Διὸ εἰσερχόμενος εἰς τὸν κόσμον, λέγει, Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι.

6 Ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ εὐδόκησας·

7 Τότε εἶπον, ἰδοὺ ἥκω (ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ) τοῦ ποιῆσαι, ὁ Θεός, τὸ θέλημά σου.

8 Ἀνώτερον λέγων, ὅτι θυσίαν καὶ προσφορὰν καὶ ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ἠθέλησας, οὐδὲ εὐδόκησας (αἵτινες κατὰ τὸν νόμον προσφέρονται)

9 Τότε εἴρηκεν, ἰδοὺ ἥκω τοῦ ποιῆσαι, ὁ Θεός, τὸ θέλημά σου. ἀναιρεῖ τὸ πρῶτον, ἵνα τὸ δεύτερον στήσῃ. Ὁρᾷς πάλιν τὴν περιουσίαν; μία, φησίν, αὕτη ἡ θυσία, ἐκεῖναι δὲ πολλαί. διὰ [γὰρ] τοῦτο οὐκ ἰσχυραί, ἐπειδὴ πολλαί. τί γὰρ ἔδει πολλῶν, εἰπέ μοι, τῆς μιᾶς ἀρκούσης; ὥστε αἱ πολλαὶ καὶ τὸ ἀεὶ προσφέρεσθαι, τὸ μηδέποτε αὐτοὺς καθαίρεσθαι δεικνύουσιν. ὥσπερ γὰρ φάρμακον, ὅταν ᾖ ἰσχυρόν, καὶ ὑγείας ποιητικόν, καὶ δυνατὸν πᾶσαν ἀπαλλάξαι τὴν νόσον, ἅπαξ ἐπιτεθὲν τὸ πᾶν ποιεῖ, ὅπερ ἐὰν ἅπαξ ἐπιτεθὲν τὸ πᾶν ἐργάσηται, δείκνυσιν αὐτοῦ τὴν ἰσχὺν τῷ μηκέτι ἐπιτίθεσθαι, καὶ τοῦτο αὐτοῦ ἐστιν ἔργον τὸ μηκέτι ἐπιτίθεσθαι· ἐὰν δὲ ἀεὶ ἐπιτίθηται, δῆλον ὅτι τοῦ μηδὲν ἰσχυκέναι ἐστὶ σημεῖον (φαρμάκου γὰρ ἀρετὴ τὸ, ἅπαξ ἐπιτεθῆναι, καὶ μὴ πολλάκις) οὕτω δὴ καὶ ἐνταῦθα. τί δήποτε γὰρ

γρ. ὥσπερ ἂν ἰαῇ
γρ. δεῖ σημεῖον τό
γρ. τὸ μηδ.
γρ. – ται ἐπιτίθηται (φαρ.

ταῖς

γρ. οἱ τε χοῦ τε

τὴν περάτων τῆς γῆς ἐκεῖ ἤρχοντο, εἴτε ἀπὸ Βαβυλῶνος, εἴτε ἀπὸ Αἰθιοπίας. καὶ τοῦτο δηλοῖ ὁ Λουκᾶς ἐν ταῖς πράξεσιν λέγων, Ἦσαν δὲ ἐκεῖ κατοικοῦντες Πάρθοι καὶ Μῆδοι καὶ Ἐλαμῖται, καὶ οἱ κατοικοῦντες τὴν Μεσοποταμίαν, Ἰουδαίαν τε καὶ Καππαδοκίαν, Πόντον καὶ τὴν Ἀσίαν, Φρυγίαν τε καὶ Παμφυλίαν, Αἴγυπτον, καὶ τὰ μέρη τῆς Λιβύης τῆς κατὰ Κυρήνην. Πράξ. β. ε. οἱ οὖν πανταχοῦ τῆς οἰκουμένης ὄντες, ἐκεῖ συνῄεσαν, καὶ πολὺ τὸ σχῆμα τοῦ ναοῦ ἦν. τί οὖν ὁ Παῦλος ποιεῖ; ὥσπερ ἐπὶ τῆς θυσίας, οὕτω καὶ ἐν ταῦτῃ ποιεῖ. ὡς γὰρ ἐκεῖ τὰ θύματα ἀντίτυπον τοῦ Χριστοῦ, οὕτω καὶ ἐνταῦθα τὸν οὐρανὸν ὅλον ἀντίτυπον τοῦ ναοῦ. οὐ τοῦτο δὲ μόνον τὸ διάφορον ἔδειξεν, ἀλλὰ καὶ τὸ προσθεῖναι, τὸν ἱερέα ἐγγύτερον εἶναι τοῦ Θεοῦ. ἐμφανισθῆναι γάρ, φησι, τῷ προσώπῳ τοῦ Θεοῦ· ὥστε οὐ τῷ οὐρανῷ μόνον, ἀλλὰ καὶ τῇ εἰσόδῳ τὸ πρᾶγμα σεμνὸν ἐποίησεν. οὐ γὰρ ἁπλῶς, ὥσπερ ἐν ταῦτα, διὰ συμβόλων, ἀλλ᾽ αὐτὸν ὁρᾷ τὸν Θεὸν ἐκεῖ. ὁρᾷς ὅτι συγκαταβάσεως ἕνεκεν πανταχοῦ τὰ ταπεινὰ εἴρηται; τί δὲ θαυμάζεις λοιπὸν εἰ ἐντυγχάνει, ὅπου γε αὐτὸν ἵστησιν ὡς ἀρχιερέα; οὐδ᾽ ἵνα πολλάκις προσφέρῃ ἑαυτόν, φησιν, ὥσπερ ὁ ἀρχιερεὺς, εἰσέρχεται εἰς τὰ ἅγια κατ᾽ ἐνιαυτὸν ἐν αἵματι ἀλλοτρίῳ. οὐ γὰρ εἰς χειροποίητα ἅγια εἰσῆλθε, φησιν, ὁ Χριστὸς, ἀντίτυπα τῶν ἀληθινῶν. ἄρα ἐκεῖνα ἐστὶν ἀληθινά, ταῦτα δὲ τύποι. καὶ γὰρ ὁ ναὸς οὕτω κατεσκεύαστο, ὥσπερ ὁ οὐρανὸς τοῦ οὐρανοῦ. τί λέγεις; ἐὰν μὴ εἰσέλθῃ εἰς τὸν οὐρανόν, οὐκ ἐμφανίζεται ὁ πανταχοῦ παρὼν, καὶ τὰ πάντα πληρῶν; ὁρᾷς ὅτι τῆς σαρκός ἐστι ταῦτα πάντα. καὶ ἐμφανισθῆναι, φησι, τῷ προσώπῳ τοῦ Θεοῦ ὑπὲρ ἡμῶν. τί ἐστιν, ὑπὲρ ἡμῶν; μετὰ θυσίας ἀνῆλθε, φησί, δυναμένης ἐξιλεώσασθαι τὸν πατέρα. διὰ τί, εἰπέ μοι; μὴ γὰρ αὐτὸς ἦν ὁ ἐχθρός; οἱ ἄγγελοι ἐχθροὶ ἦσαν, αὐτὸς οὐκ ἦν ἐχθρός. ὅτι γὰρ οἱ ἄγγελοι ἐχθροὶ ἦσαν, ἄκουσον τί φησιν· Εἰρηνοποιήσας τὰ ἐπὶ τῆς γῆς, καὶ τὰ ἐν τοῖς οὐρανοῖς. Κολοσ. α. κ. ὥστε καλῶς εἶπεν, ὅτι καὶ αὐτὸς εἰσῆλθεν εἰς τὸν οὐρανόν, νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ ὑπὲρ ἡμῶν. νῦν ἐμφανίζεται, ἀλλ᾽ ὑπὲρ ἡμῶν. οὐδ᾽ ἵνα πολλάκις προσφέρῃ ἑαυτόν, ὥσπερ ὁ ἀρχιερεὺς εἰσέρχεται εἰς τὰ ἅγια τῶν ἁγίων κατ᾽ ἐνιαυτὸν ἐν αἵματι ἀλλοτρίῳ. ὁρᾷς πόσαι αἱ διαφοραί; τοῦ πολλάκις, τὸ ἅπαξ· τοῦ ἐν αἵματι ἀλλοτρίῳ, τὸ ἐν ἰδίῳ. πολὺ τὸ μέσον. αὐτὸς οὖν καὶ ἱερεῖον καὶ ἱερεύς. ἐπεὶ ἔδει αὐτόν, φησι, πολλάκις παθεῖν ἀπὸ καταβολῆς κόσμου. ἐνταῦθα τι δόγμα ἀνακαλύπτει, καὶ φησιν, ὅτι εἰ θυσίας προσενεγκεῖν ἔδει πολλάκις, ἔδει πολλάκις καὶ σταυρωθῆναι. νῦν δὲ ἅπαξ ἐπὶ συντελείᾳ τῶν αἰώνων. διὰ τί ἐπὶ συντελείᾳ τῶν αἰώνων; μετὰ τὰ πολλὰ ἁμαρτήματα. εἰ μὲν οὖν παρὰ τὴν ἀρχὴν ἐγένετο, εἶτα οὐδεὶς ἐπίστευσεν, ἦν ἂν τὸ τῆς οἰκονομίας ἀνόνητον. οὐκ ἔδει γὰρ δεύτερον ἀποθανεῖν τὸν Χριστόν, ὥστε καὶ οὕτω κατορθωθῆναι τὸ σπουδαζόμενον. ἐπεὶ δὲ ὕστερον πολλὰ ἦν τὰ ἁμαρτήματα, εἰκότως τότε ἐφάνη. ὃ καὶ ἀλλαχοῦ λέγει, Οὗ δὲ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις. Ρωμ. ε. κ. νῦν δέ φησιν, ἅπαξ ἐπὶ συντελείᾳ τῶν αἰώνων, εἰς ἀθέτησιν ἁμαρτίας διὰ τῆς θυσίας αὐτοῦ πεφανέρωται.

γρ. ἐπὶ
γρ. τοῦτο
γρ. καὶ ἐπὶ τὸ μέτωπον
γρ. καὶ τό
γρ. νῦν δὲ ἐπὶ πολλά, φησί, τὰ ἁμαρτήματα.
γρ. ἀπεῖναι, ἐκεῖ δὲ ἡ λύπη ἐστὶν ἀποθανεῖν, αἰτία τοῦ θανάτου ἐπειδὴ

27 Καὶ καθ᾽ ὅσον ἀπόκειται τοῖς ἀνθρώποις ἅπαξ ἀποθανεῖν, μετὰ δὲ τοῦτο κρίσις.

Δείξας ὅτι οὐκ ἔδει πολλάκις ἀποθανεῖν, νῦν δείκνυσι καὶ διὰ τί ἅπαξ ἀπέθανεν· ὅτι εἰκὸς θανάτου ἀντίλυτρον ἐγένετο. ἀπόκειται, φησί, τοῖς ἀνθρώποις ἅπαξ ἀποθανεῖν. τοῦτο οὖν τὸ ἅπαξ ἀπέθανεν ὑπὲρ ἀνθρώπων πάντων. τί οὖν; οὐκέτι ἀποθνήσκομεν τὸν θάνατον ἐκεῖνον; ἀποθνήσκομεν μὲν, ἀλλ᾽ οὐ μένομεν ἐν αὐτῷ· ὅπερ οὐδὲ ἀποθανεῖν ἐστι. θανάτου γὰρ τυραννίς, καὶ θάνατος ὄντως ἐκεῖνός ἐστιν, ὅταν μηκέτι συγχωρηθῇ ὁ ἀποθανὼν εἰς ζωὴν ἐπανελθεῖν. ὅταν δὲ μετὰ τὸ ἀποθανεῖν ζήσῃ, καὶ ζωὴν βελτίονα, οὐ θάνατος τοῦτό ἐστιν, ἀλλὰ κοίμησις. ἐπεὶ οὖν ἔμελλε πάντας κατέχειν ὁ θάνατος, διὰ τοῦτο ἀπέθανεν, ἵνα ἡμᾶς ἀπαλλάξῃ.

γρ. ζήσει δέ

28 Οὕτω καὶ ὁ Χριστὸς ἅπαξ προσενεχθείς. Ὑπὸ τίνος προσενεχθείς; ὑφ᾽ ἑαυτοῦ δηλονότι.



Digitized by Google

ἐπιθέντα δύο παιδίον, μυρία ποιεῖ, καὶ τέρπει τοὺς θεατάς; τί δὲ χαλεπώτερον τοῦ σφαιρίζειν ἐν ξίφεσι; τί δὲ βαρύτερον, εἰπέ μοι, τοῦ τὸ βάθος τοῦ πελάγους διερευνᾶσθαι; καὶ μυρίας ἑτέρας ἄν τις ἔχοι τέχνας εἰπεῖν· ἀλλὰ πάντων τούτων εὐκολωτέρα ἡ ἀρετή, ἐὰν θέλωμεν, καὶ τὸ εἰς τὸν οὐρανὸν ἀναβῆναι. θελῆσαι γὰρ δεῖ μόνον ἐνταῦθα, καὶ πάντα ἕπεται. οὐκ ἔστι [γὰρ] εἰπεῖν, οὐ δύναμαι. τοῦτο γὰρ κατηγορῆσαί ἐστι τοῦ δημιουργοῦ. εἰ γὰρ ἀδυνάτους ἡμᾶς ἐποίησεν, εἶτα ἐπιτάττει, κατηγορία αὐτοῦ ἐστι. πῶς οὖν, φησι, πολλοὶ οὐ δύνανται; ὅτι οὐ θέλουσι. πόθεν δὲ οὐ θέλουσιν; ἀπὸ ῥαθυμίας. ὥστε εἰ θελήσουσι, πάντως δυνήσονται. *χ. -μαι, ἐπὶ κατηγορῆσαι τ.*

α. Κορ. ζ. ζ. Διὰ τοῦτο καὶ ὁ Παῦλός φησι, Θέλω πάντας ἀνθρώπους εἶναι ὡς καὶ ἐμαυτόν, ἐπειδὴ ᾔδει ὅτι πάντες ἠδύναντο εἶναι ὡς καὶ αὐτός. οὐδὲ γὰρ ἄν, εἴγε ἀδύνατον ἦν, τοῦτο εἶπε. *χ. οὐ γὰρ* θέλεις γενέσθαι ἐνάρετος; τῆς ἀρχῆς ἐπιλαβοῦ μόνον. εἰπὲ δή μοι, ἐν ταῖς τέχναις ἁπάσαις, ὅταν θέλωμεν ἐν αὐταῖς γενέσθαι, ἀρκούμεθα τῷ θέλειν, ἢ καὶ ἁπτόμεθα τοῦ πράγματος; οἷόν τι λέγω, βούλεταί τις γενέσθαι κυβερνήτης· οὐ λέγει, θέλω, καὶ τούτῳ ἀρκεῖται, ἀλλὰ καὶ τοῦ πράγματος ἅπτεται. θέλει γενέσθαι ἔμπορος· οὐ λέγει, θέλω μόνον, ἀλλὰ καὶ τοῦ πράγματος ἅπτεται. ἀποδημῆσαι πάλιν θέλει, καὶ οὐ λέγει, θέλω, ἀλλὰ καὶ τοῦ πράγματος ἅπτεται. εἶτα ἐν πᾶσιν οὐκ ἀρκεῖ τὸ θελῆσαι μόνον, ἀλλὰ καὶ τὸ ἔργον προσθεῖναι δεῖ. εἰς δὲ τὸν οὐρανὸν βουλόμενος ἀνελθεῖν, λέγεις, θέλω μόνον; πῶς οὖν, φησιν, ἔλεγες, ὅτι τὸ θέλειν * ἀρκεῖ; τὸ θέλειν μετὰ τῶν ἔργων, τὸ ἀντιλαμβανόμενον τοῦ πράγματος, τὸ πονέσαντα. ** μόνον* *χ. τὸ πονέσαντα.* ἔχομεν γὰρ συνεργοῦντα καὶ συμπράττοντα τὸν Θεόν· μόνον ἑλώμεθα, μόνον ὡς ἔργῳ προσσχεθῶμεν τῷ πράγματι, μόνον μεριμνήσωμεν, μόνον εἰσιέναι βουλώμεθα, καὶ πάντα ἕπεται. ἐὰν δὲ καθεύδωμεν, καὶ ῥέγχοντες προσδοκῶμεν εἰσιέναι εἰς τὸν οὐρανόν, πότε δυνησόμεθα τὴν κληρονομίαν τῶν οὐρανῶν κατασχεῖν; βουληθῶμεν οὖν, παρακαλῶ, βουληθῶμεν. τί πάντα πρὸς τὸν παρόντα βίον ἐμπορευόμεθα, ὃν αὔριον ἀπολείψομεν; ἑλώμεθα τοίνυν τὴν ἀρετὴν τὴν εἰς τὸν πάντα αἰῶνα ἡμῖν διαρκέσουσαν. ἐν ᾧ ἐσόμεθα διηνεκῶς, καὶ τῶν αἰωνίων ἀγαθῶν ἀπολαύσομεν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λευ. ιζ. 24 ΟΥ ΓΑΡ ΕΙΣ ΧΕΙΡΟΠΟΙΗΤΑ ΑΓΙΑ εἰσῆλθεν ὁ Χριστός, ἀντίτυπα τῶν ἀληθινῶν, ἀλλ' εἰς αὐτὸν τὸν οὐρανόν, νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ ὑπὲρ ἡμῶν.

25 Οὐδ' ἵνα πολλάκις προσφέρῃ ἑαυτόν, ὥσπερ ὁ ἀρχιερεὺς εἰσέρχεται εἰς τὰ ἅγια [τῶν ἁγίων] κατ' ἐνιαυτὸν ἐν αἵματι ἀλλοτρίῳ.

26 Ἐπεὶ ἔδει αὐτὸν πολλάκις παθεῖν ἀπὸ καταβολῆς κόσμου· νυνὶ δὲ ἅπαξ ἐπὶ συντελείᾳ τῶν αἰώνων, εἰς ἀθέτησιν ἁμαρτίας, διὰ τῆς θυσίας αὐτοῦ πεφανέρωται.

Ιερ. ζ. γ. ΜΕγα ἐφρόνουν οἱ Ἰουδαῖοι ἐπὶ τῷ ναῷ καὶ τῇ σκηνῇ. διὸ ἔλεγον, Ναὸς Κυρίου, ναὸς Κυρίου *. οὔτε γὰρ ἀλλαχοῦ γῆς κατεσκευάσθη τοιοῦτος ναός, οὐ πολυτελείας ἕνεκεν, οὐ κάλλους, οὐχ ἑτέρου τινός. ** ναὸς Κυρίου* ὁ γὰρ διαταξάμενος Θεὸς ἐκέλευσεν αὐτὸν μετὰ φιλοτιμίας γενέσθαι πολλῆς, ἐπειδὴ καὶ αὐτοὶ τοῖς σωματικοῖς μᾶλλον ἐφείλκοντο καὶ ἐπεσπῶντο. πλίνθους γὰρ εἶχε χρυσᾶς ἐν τοῖς τοίχοις· καὶ ἔξεστι τῷ βουλομένῳ, ἐν τῇ δευτέρᾳ τῶν βασιλειῶν, καὶ ἐν τῷ Ἰεζεκιὴλ τοῦτο καταμαθεῖν, καὶ ὅσα χρυσοῦ τάλαντα ἀνηλώθη τότε. ἡ δὲ δευτέρα λαμπροτέρα γέγονεν οἰκοδομία, καὶ κάλλους ἕνεκεν, καὶ τῶν ἄλλων ἁπάντων. καὶ οὐ τούτῳ μόνον σεμνὸς ἦν, ἀλλὰ καὶ τῷ εἶναι εἷς, καὶ τῷ πάντας τῷ κάλλει ἐφέλκεσθαι. ἀπὸ γὰρ *χ. ἴσος*

τῶν

εἶναι, ὥσπερ καὶ περιχαρέστερον ἐστί. ὅθεν τί λέγω, ὁ Θεὸς λέγεται εἶναι ἐν τῷ οὐρανῷ. διὰ τί; οὐ τόπῳ ἀποκλειόμενος, μὴ γένοιτο, οὐδὲ τὴν γῆν ἔρημον τῆς αὐτοῦ παρουσίας ἀφεὶς, ἀλλὰ τῇ σχέσει, καὶ τῇ οἰκειώσει τῇ πρὸς τοὺς ἀγγέλους. ἂν τοίνυν καὶ ἡμεῖς ἐγγὺς ὦμεν τοῦ Θεοῦ, ἐν οὐρανῷ ἐσμεν. τί γάρ μοι μέλει τοῦ οὐρανοῦ, ὅταν ὁρῶ τὸν δεσπότην τοῦ οὐρανοῦ, ὅταν αὐτὸς οὐρανὸς γένωμαι; Ἐλευσόμεθα γάρ, φησιν, ἐγὼ καὶ ὁ πατήρ μου, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν. ποιήσωμεν οὖν ἡμῶν τὴν ψυχὴν οὐρανόν. φαιδρός ἐστιν ὁ οὐρανὸς τῇ φύσει. οὐδὲ γὰρ ἐν χειμῶνι μέλας ἐστίν. οὐ γὰρ αὐτὸς μεταβάλλει τὴν ὄψιν, ἀλλ' αἱ νεφέλαι συνδραμοῦσαι καλύπτουσιν αὐτόν. ὁ οὐρανὸς ἥλιον ἔχει· ἔχομεν καὶ ἡμεῖς ἥλιον δικαιοσύνης. εἶπον, ἔξεστι γενέσθαι [ὡς] οὐρανόν· καὶ ὁρῶ, ὅτι καὶ βέλτιον γενέσθαι τοῦ οὐρανοῦ ἔξεστι. πῶς; ὅταν τὸν δεσπότην τοῦ ἡλίου ἔχωμεν. ὁ οὐρανὸς πανταχοῦ ἐστι καθαρὸς καὶ ἀκηλίδωτος, οὐκ ἐν χειμῶνι, οὐκ ἐν νυκτὶ * μεταβέβληται. μὴ τοίνυν μηδὲ ἡμεῖς, μήτε ἐν ταῖς θλίψεσι, μήτε ἐν ταῖς μεθοδείαις τοῦ διαβόλου τοῦτο πάσχωμεν, ἀλλὰ μένωμεν ἀκηλίδωτοι καὶ καθαροί. ὁ οὐρανός ἐστιν ὑψηλός, καὶ πολὺ τῆς γῆς ἀπέχων. τοῦτο καὶ ἡμεῖς ποιήσωμεν, ἀποστήσωμεν ἑαυτοὺς τῆς γῆς, καὶ πρὸς τὸ ὕψος ἀρθῶμεν ἐκεῖνο. καὶ πῶς τῆς γῆς ἑαυτοὺς ἀποστήσωμεν; ὅταν τὰ οὐράνια φανταζώμεθα. ὁ οὐρανός ἀνώτερός ἐστι καὶ ὑετῶν καὶ χειμώνων, καὶ ὑπ' οὐδενὸς ἁλίσκεται. τοῦτο καὶ ἡμεῖς δυνησόμεθα, ἐὰν θέλωμεν. οὗτος δοκεῖ μέν, οὐ μέντοι πάσχει. μὴ τοίνυν μηδὲ ἡμεῖς, κἂν δοκῶμεν πάσχειν, πάσχωμεν. ὥσπερ γὰρ ἐν τῷ χειμῶνι οἱ μὲν πολλοὶ τὸ κάλλος αὐτοῦ οὐκ ἴσασιν, ἀλλὰ νομίζουσιν αὐτὸν πεπονθέναι, οἱ δὲ φιλοσοφοῦντες ἴσασιν ὅτι οὐδὲν ἔπαθεν· οὕτω καὶ περὶ ἡμῶν ἐν ταῖς θλίψεσιν, οἱ μὲν πολλοὶ νομίζουσιν ἡμᾶς συμμεταβεβλῆσθαι, καὶ αὐτῆς ἡμῶν ἧφθαι τῆς καρδίας τὴν θλίψιν, οἱ δὲ φιλόσοφοι ἴσασιν ὅτι οὐχ ἥψατο ἡμῶν. γενώμεθα τοίνυν οὐρανός, ἀνέλθωμεν εἰς τὸ ὕψος ἐκεῖνο, καὶ οὕτως ὀψόμεθα τοὺς ἀνθρώπους μυρμήκων οὐδὲν διαφέροντας· οὐ τοὺς πένητας λέγω μόνον, οὐδὲ τοὺς πλουσίους, ἀλλὰ κἂν στρατηγός τις ᾖ, κἂν βασιλεύς, οὐκ ὀψόμεθα ἐκεῖ τὸν βασιλέα, οὐδὲ τὸν ἰδιώτην. οὐκ εἰσόμεθα τί μὲν χρυσός, τί δὲ ἄργυρος, τί δὲ ἱμάτιον σηρικόν, ἢ πορφυροῦν· πάντα ὥσπερ μυίας ὀψόμεθα, ἐὰν ἐν ἐκείνῳ τῷ ὕψει καθίσωμεν. οὐδεὶς θόρυβος ἐκεῖ, οὐδεμία ταραχή, οὐδὲ κραυγή. καὶ πῶς ἔνι, φησίν, εἰς ἐκεῖνο ἀρθῆναι τὸ ὕψος, ἐπὶ τῆς γῆς περιπατοῦντα; λόγῳ μὲν οὐ λέγω τοῦτο ἁπλῶς· ἀλλ', εἰ βούλει, ἐγώ σοι δείκνυμι ἔργῳ τοὺς εἰς τὸ ὕψος ἐκεῖνο φθάσαντας. τίνας δὲ τούτους; τοὺς περὶ Παῦλον λέγω· οἵτινες ἐν τῇ γῇ ὄντες, ἐν τῷ οὐρανῷ διετέλουν. καὶ τί λέγω ἐν τῷ οὐρανῷ; ὑψηλότεροι ἦσαν τοῦ οὐρανοῦ, [καὶ τοῦ ἄλλου οὐρανοῦ,] καὶ * πρὸς αὐτὸν ἀνῆλθον τὸν Θεόν. Τίς γὰρ ἡμᾶς χωρίσει, φησίν, ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλίψις, ἢ στενοχωρία, ἢ λιμός, ἢ διωγμός, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα; καὶ πάλιν, Μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα. ὁρᾷς ὅτι οὐδὲ ἑώρα τὰ ἐνταῦθα; ἵνα δὲ σοι δείξω ὅτι τῶν οὐρανῶν ἀνώτερος ἦν, ἄκουε αὐτοῦ λέγοντος, Πέπεισμαι γὰρ ὅτι οὔτε θάνατος, οὔτε ζωή, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε ὕψωμα, οὔτε βάθος, οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ. ὁρᾷς πῶς πάντα παραδραμὼν ὁ λογισμός, ἀνώτερον αὐτὸν ἐποίησεν, οὐ ταύτης μόνον τῆς κτίσεως, οὐδὲ τούτων τῶν οὐρανῶν, ἀλλὰ καὶ εἴ τινες ἕτεροι ἦσαν; εἶδες ὕψος διανοίας; εἶδες ὁ σκηνοποιὸς οἷος ἐγένετο ἐπειδὴ ἠθέλησεν, ὁ ἐπ' ἀγορᾶς τὸν ἅπαντα βίον διαγαγών; οὐδὲν γάρ ἐστι κώλυμα, οὐκ ἔστι, πάντα ὑπερβαίνεσθαι, εἴγε βουλοίμεθα. Εἰ γὰρ τέχνας οὕτω κατορθοῦμεν ὑπερβαινούσας τοὺς πολλούς, πολλῷ μᾶλλον ὃ μὴ τοσούτου δεῖται πόνου. τί γάρ, εἰπέ μοι, χαλεπώτερον τοῦ διὰ σχοίνου τεταμένης βαδίζειν, καθάπερ ἐπὶ ἰσοπέδου, καὶ ἄνω περιπατοῦντα ὑποδύεσθαι καὶ ἀποδύεσθαι, καθάπερ ἐπὶ κλίνης καθήμενον; οὐχὶ τοῦτο φρικτὸν ἡμῖν εἶναι τὸ πρᾶγμα δοκεῖ, ὡς μηδὲ θέλειν θεάσασθαι, ἀλλὰ δεδοικέναι καὶ τρέμειν καὶ πρὸς τὴν ὄψιν αὐτήν; τί δέ, εἰπέ μοι, χαλεπώτερον τοῦ κοντὸν ἐπὶ τοῦ προσώπου λαβεῖν, εἶτα

γρ. ἔχω

Ιωαν. ιδ. κγ.

γρ. αὐτὸν γὰρ τ

* γὰρ

γρ. -μεν ποιήσωμεν δέ, ἂν ἀπο-

γρ. -σεται αὐτὸς μὲν

* γὰρ

Ρωμ. η. λθ.

β. Κορ. δ. ιη.

Ρωμ. η. λη.

γρ. ἀνώτερον

γρ. μέτωπον



ἐπιθέντα

μετὰ ὑσσώπου; ὅτι πυκνὸν καὶ ἁπαλὸν ὑπάρχον, κρατητικὸν τοῦ αἵματος ἦν. τί δαὶ τὸ ὕδωρ; καὶ τοῦτο ὡς χαρακτηρίζον τὴν δι' ὕδατος κάθαρσιν. τί δὲ τὸ ἔριον; καὶ τοῦτο παρελαμβάνετο, ὥστε κατέχεσθαι τὸ αἷμα. δείκνυσιν ἐνταῦθα τὸ αὐτὸ ὅτι καὶ αἷμα καὶ ὕδωρ. τὸ γὰρ βάπτισμα "αὐτοῦ πάθους ἐστὶ σύμβολον. (γρ. αὐτὸ, τὸ πάθος ἐστί.)

21 Καὶ τὴν σκηνὴν δὲ, καὶ πάντα τὰ σκεύη τῆς λειτουργίας, τῷ αἵματι ὁμοίως ἐρράντισε.

22 Καὶ σχεδὸν ἐν αἵματι πάντα καθαρίζεται κατὰ τὸν νόμον, καὶ χωρὶς αἱματεκχυσίας οὐ γίνεται ἄφεσις. Διὰ τί τὸ σχεδὸν, εἶπε; διὰ τί αὐτὸ ἐκόλασεν; ἐπειδὴ ἐκεῖ οὐκ ἦν καθαρισμὸς τέλειος, οὐδὲ ἄφεσις τελεία, ἀλλὰ ἡμιτελὴς, καὶ ἐν ἐλαχίστῳ μέρει*. (* ἐγίνετο) ἐνταῦθα δὲ, (Ματθ. κϛ. κη.) Τοῦτο τὸ αἷμά, φησι, τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. ποῖον τοίνυν τὸ βιβλίον ἐκάθαρε τὰς διανοίας αὐτῶν; αὐτοὶ ἄρα ἦσαν βιβλία τῆς καινῆς διαθήκης. ποῦ δὲ τὰ σκεύη τῆς λειτουργίας; αὐτοί εἰσι. ποῦ δὲ ἡ σκηνή; αὐτοί εἰσι πάλιν. (β. Κορ. ϛ. ιϛ.) Ἐνοικήσω γὰρ ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω, φησίν. ἀλλ' οὐκ ἔριον κόκκινον, "οὐδὲ ὕσσωπον ἐρράντισεν ἐνταῦθα. (γρ. καὶ ὑσσώπῳ ἐρράντιζον.) τί δήποτε; οὐ γὰρ σωματικὸς ὁ καθαρισμὸς ἦν, ἀλλὰ "πνευματικὸς, καὶ τὸ αἷμα πνευματικόν. (γρ. -κὸς, ὥστε καὶ) πῶς; οὐκ ἀπὸ σώματος γὰρ ἔρρει ἀλόγων, ἀλλὰ σώματος ἀπὸ πνεύματος κατασκευασθέντος. τούτῳ ἡμᾶς οὐ Μωϋσῆς, ἀλλ' ὁ Χριστὸς ἐρράντισε τῷ αἵματι, διὰ τοῦ λόγου τοῦ λεχθέντος, (Ματθ. κϛ. κη.) Τοῦτο τὸ αἷμα τῆς καινῆς διαθήκης, εἰς ἄφεσιν ἁμαρτιῶν. οὗτος ὁ λόγος ἀντὶ ὑσσώπου τῷ αἵματι ἐμβαφεὶς, πάντας περιρραίνει. κἀκεῖ μὲν τὸ σῶμα ἔξωθεν ἐκαθαίρετο· σωματικὸς γὰρ ὁ καθαρισμὸς ἦν. ἐνταῦθα δὲ, ἐπειδὴ πνευματικός ἐστιν ὁ καθαρισμὸς, εἰς τὴν ψυχὴν "εἰσέρχεται, καὶ καθαίρει, οὐχ ἁπλῶς περιρραινόμενος, (γρ. -ται ὁ καθαρισμὸς, οὐχ) ἀλλὰ πηγάζων ἐν ταῖς ἡμετέραις ψυχαῖς. ἴσασιν οἱ μεμυημένοι τὰ λεγόμενα. καὶ ἐπὶ ἐκείνων μὲν, αὐτὴν τὴν ἐπιφάνειαν ἔρραινε, καὶ πάλιν ἀπένιπτεν ὁ ῥαντιζόμενος. οὐ γὰρ δὴ ἡμαγμένος ἀεὶ περιῄει. ἐπὶ δὲ τῆς ψυχῆς οὐχ οὕτως, ἀλλ' αὐτῇ τῇ οὐσίᾳ ἀναμίγνυται τὸ αἷμα, ῥωμαλέαν αὐτὴν ποιοῦν καὶ ἁγνὴν, * καὶ πρὸς αὐτὸ τὸ ἀμήχανον κάλλος ἄγον. (* ἀλλὰ μὴν) δείκνυσι δὴ λοιπὸν τὸν θάνατον, οὐ μόνον βεβαιώσεως, ἀλλὰ καὶ καθαρμοῦ αἴτιον. ἐπειδὴ γὰρ ἡ τελευτὴ μιαρὸν πρᾶγμα ἐδόκει εἶναι, καὶ μάλιστα ἡ διὰ σταυροῦ, λέγει ὅτι ἐκάθαρε. καὶ ἐκάθαρε τιμίαν κάθαρσιν, καὶ ἐπὶ μείζοσι. διὰ τοῦτο αἱ θυσίαι προέλαβον, διὰ τὸ αἷμα τοῦτο· διὰ τοῦτο ἀμνοί, διὰ τοῦτο ἅπαντα ἐγένετο.

23 Ἀνάγκη οὖν τὰ μὲν ὑποδείγματα τῶν ἐν τοῖς οὐρανοῖς, τούτοις καθαρίζεσθαι· αὐτὰ δὲ τὰ ἐπουράνια κρείττοσι θυσίαις παρὰ ταύτας.

Καὶ πῶς ἐστιν ὑποδείγματα τῶν ἐν τοῖς οὐρανοῖς; τίνα δὲ καλεῖ τὰ ἐν τοῖς οὐρανοῖς νῦν; ἄρα τὸν οὐρανόν; ἀλλὰ τοὺς ἀγγέλους; οὐδὲν τούτων, ἀλλὰ τὰ ἡμέτερα. ἄρα ἐν τοῖς οὐρανοῖς τὰ ἡμέτερα, καὶ ἐπουράνια [τὰ ἡμέτερα,] καίτοι ἐν τῇ γῇ ἐπιτελεῖται. ἐπεὶ καὶ ἄγγελοι ἐν τῇ γῇ εἰσιν, ἀλλ' ἐπουράνιοι λέγονται· καὶ τὰ χερουβὶμ ἐπὶ τῆς γῆς ἐφάνη, ἀλλ' ἐπουράνιά ἐστι. καὶ τί λέγω ἐφάνη; ἐπὶ τῆς γῆς μὲν οὖν διάγει, "ὥσπερ οὖν ἐν τῷ παραδείσῳ. (γρ. ὥσπερ καὶ ἐν τῷ οὐρανῷ.) ἀλλ' οὐδὲν ἐκώλυσε τοῦτο. ἐπουράνια γὰρ καὶ οὕτως ἐστί. (Φιλιπ. γ.) Καὶ ἡμῶν τὸ πολίτευμά ἐστιν ἐν οὐρανοῖς, καίτοι ἐνταῦθα πολιτευόμεθα. αὐτὰ δὲ τὰ ἐπουράνια, τουτέστι, τὴν φιλοσοφίαν τὴν παρ' ἡμῖν, τοὺς ἐκεῖ κεκλημένους. κρείττοσι θυσίαις παρὰ ταύτας. τὸ κρεῖττον, καλοῦ τινός ἐστι κρεῖττον. ἄρα καλὰ γεγόνασι καὶ τὰ ὑποδείγματα τῶν ἐν τοῖς οὐρανοῖς. οὐκ ἂν γὰρ οὐδὲ τὰ ὑποδείγματα πονηρὰ ἦν· ἐπεὶ κἀκεῖνα ἂν εἴη πονηρὰ ὧν ἐστιν ὑποδείγματα.

ΗΘΙΚΟΝ. Εἰ τοίνυν ἐπουράνιοι ἡμεῖς, καὶ τοιαύτης "οὐσίας ἐτύχομεν, φρίξωμεν· μηκέτι μένωμεν ἐν τῇ γῇ. (γρ. θυσίας) ἔξεστι γὰρ μὴ εἶναι ἐν τῇ γῇ καὶ νῦν τὸν βουλόμενον. τὸ γὰρ εἶναι ἐν τῇ γῇ, καὶ μὴ

εἶναι,

Εἰκὸς ἦν πολλοὺς τῶν ἀσθενεστέρων διακειμένων, καὶ ἀπὸ τῆς τελευτῆς τοῦ Χριστοῦ μάλιστα ἀπιστεῖν ταῖς ἐπαγγελίαις αὐτοῦ. ὁ τοίνυν Παῦλος τὴν τοιαύτην ὑπόνοιαν ἐκ περιουσίας ἀνατρέπων, τοῦτο τίθησι τὸ ὑπόδειγμα, ἀπὸ τῆς κοινῆς συνηθείας λαβών. ποῖον δὴ * τοῦτο; δι' αὐτὸ μὲν οὖν τοῦτο χρὴ θαρρεῖν, φησί. διὰ τί; ὅτι οὐ ζώντων τῶν διατιθεμένων, ἀλλ' ἀποθανόντων, τότε βέβαιοί εἰσιν αἱ διαθῆκαι, καὶ τὴν ἰσχὺν λαμβάνουσι. διὸ καὶ οὕτως ἄρχεται λέγων· καὶ διὰ τοῦτο, φησί, καινῆς διαθήκης μεσίτης ἐστίν. ἡ διαθήκη πρὸς τῇ ἐσχάτῃ ἡμέρᾳ γίνεται τῆς τελευτῆς. τοιαύτη δέ ἐστιν ἡ διαθήκη· τοὺς μὲν κληρονόμους ἔχει, τοὺς δὲ ἀποκληρονόμους. οὕτω καὶ ἐνταῦθα περὶ μὲν τῶν κληρονόμων φησὶν ὁ Χριστός, Θέλω ἵνα, ὅπου εἰμὶ ἐγώ, καὶ οὗτοι ὦσι. καὶ πάλιν περὶ τῶν ἀποκληρονόμων ἄκουε αὐτοῦ λέγοντος, Οὐ περὶ πάντων ἐρωτῶ, ἀλλὰ περὶ τῶν πιστευόντων διὰ τοῦ λόγου αὐτῶν εἰς ἐμέ. ἡ διαθήκη πάλιν, τὰ μὲν τοῦ διατιθεμένου ἔχει, τὰ δὲ τῶν δεχομένων· ὥστε τὰ μὲν αὐτοὺς λαβεῖν, τὰ δὲ ποιῆσαι. οὕτω καὶ ἐνταῦθα. μετὰ γὰρ τὸ ἐπαγγείλασθαι, μυρία ἀπαιτεῖ καὶ παρ' αὐτῶν, λέγων, Ἐντολὴν καινὴν δίδωμι ὑμῖν. πάλιν, ὀφείλει ἡ διαθήκη μάρτυρας ἔχειν. καὶ ἄκουε αὐτοῦ πάλιν λέγοντος, Ἐγώ εἰμι ὁ μαρτυρῶν περὶ ἐμαυτοῦ, καὶ μαρτυρεῖ περὶ ἐμοῦ ὁ πέμψας με πατήρ· καὶ πάλιν, Ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ· περὶ τοῦ παρακλήτου λέγων. καὶ τοὺς δώδεκα ἀποστόλους ἀπέστειλε λέγων, Διαμαρτύρεσθε ἐνώπιον τοῦ Θεοῦ. καὶ διὰ τοῦτο, φησί, διαθήκης καινῆς μεσίτης ἐστί. τί ἐστι μεσίτης; ὁ μεσίτης οὐκ ἔστι κύριος τοῦ πράγματος, οὗ ἐστι μεσίτης· ἀλλ' ἕτερον μὲν τὸ πρᾶγμα, ἕτερος δὲ ὁ μεσίτης. οἷον, μεσίτης γάμου γίνεται, οὐχ ὁ γαμῶν, ἀλλ' ὁ τῷ μέλλοντι ἄγεσθαι συμπράττων. οὕτω δὴ καὶ ἐνταῦθα, μεσίτης ὁ υἱὸς ἐγένετο τοῦ πατρὸς καὶ ἡμῶν. οὐκ ἤθελεν ἡμῖν ἀφεῖναι ὁ πατὴρ τὴν κληρονομίαν ταύτην, ἀλλ' ὠργίζετο πρὸς ἡμᾶς, καὶ ἐχαλέπαινεν ὡς πρὸς ἀπηλλοτριωμένους. μεσίτης τοίνυν ἐγένετο ἡμῶν καὶ αὐτοῦ, καὶ ἔπεισεν αὐτόν. καὶ ὅρα πῶς μεσίτης ἐγένετο. λόγους ἀπήγαγε καὶ ἤγαγε, τὰ παρὰ τοῦ πατρὸς ἡμῖν διαπορθμεύων, καὶ τὸν θάνατον προστιθείς. προσκεκρουκότες ἦμεν, ἀποθανεῖν ὠφείλομεν· ἀπέθανεν ὑπὲρ ἡμῶν, καὶ ἐποίησεν ἡμᾶς ἀξίους τῆς διαθήκης. ταύτῃ τοι καὶ βεβαία ἐστὶν ἡ διαθήκη, ὅτι οὐκ εἰς ἀναξίους λοιπὸν γίνεται. παρὰ μὲν οὖν τὴν ἀρχήν, ἅτε ὡς πατὴρ πρὸς υἱοὺς διέθετο. ἐπειδὴ δὲ ἀνάξιοι γεγόναμεν, οὐκέτι διαθήκης, ἀλλὰ τιμωρίας ἔδει. τί τοίνυν μέγα φέρεις, φησίν, ἐπὶ τῷ νόμῳ; εἰς τοσαύτην γὰρ ἡμᾶς κατέστησεν ἁμαρτίαν, ὡς μὴ ἂν σωθῆναί ποτε, εἰ μὴ * ὁ δεσπότης ἡμῶν ὑπὲρ ἡμῶν ἀπέθανεν, οὐκ ἂν ἴσχυσεν ὁ νόμος· ἀσθενὴς γὰρ ἦν. οὐκέτι δὲ αὐτὸ ἀπὸ τῆς κοινῆς συνηθείας βεβαιοῖ μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν ἐν τῇ παλαιᾷ συμβεβηκότων· ὃ μάλιστα αὐτοὺς ἔπειθεν. ἀλλ' οὐδείς, φησίν, ἦν ὁ τετελευτηκὼς ἐκεῖ· πῶς οὖν ἐκείνη βεβαία; διὰ τοῦ αὐτοῦ τρόπου, φησί. πῶς; καὶ γὰρ ἐκεῖ αἷμα, ὥσπερ ἐνταῦθα αἷμα. εἰ δὲ μὴ τὸ τοῦ Χριστοῦ αἷμα, μὴ θαυμάσῃς· τύπος γὰρ ἦν. διὸ καὶ λέγει, ὅθεν οὐδ' ἡ πρώτη χωρὶς αἵματος ἐγκεκαίνισται. τί ἐστιν, ἐγκεκαίνισται; βεβαία γέγονεν *, ἐκυρώθη. ὅθεν (τουτέστι, διὰ τοῦτο) φησίν, ἔδει τῆς διαθήκης τὸ σύμβολον εἶναι καὶ τῆς τελευτῆς. τίνος γὰρ εἵνεκεν, εἰπέ μοι, τὸ βιβλίον ἐρραντίζετο τῆς διαθήκης;

19 Λαληθείσης γάρ, φησί, πάσης τῆς ἐντολῆς κατὰ νόμον ὑπὸ Μωϋσέως παντὶ τῷ λαῷ, λαβὼν τὸ αἷμα τῶν μόσχων μετὰ ὕδατος καὶ ἐρίου κοκκίνου καὶ ὑσσώπου, αὐτό τε τὸ βιβλίον καὶ πάντα τὸν λαὸν ἐρράντισε,

20 Λέγων, τοῦτο τὸ αἷμα τῆς διαθήκης, ἧς ἐνετείλατο πρὸς ὑμᾶς ὁ Θεός.

Τίνος οὖν ἕνεκεν, εἰπέ μοι, τὸ βιβλίον ῥαντίζεται τῆς διαθήκης, καὶ ὁ λαός; ἢ * τοῦ τιμίου αἵματος ἄνωθεν σχηματιζομένου τύπος. τίς ἐκεῖνο τὸ αἷμα καὶ τὰ ἄλλα ἐγίνετο; τί δήποτε δὲ καὶ

Margin notes: Ioan. 17. κδ. — Ioan. 17. κ. — Ioan. 13. λδ. — Ioan. 8. 18. — Ioan. 15. κς. — Ioan. 15. κς. — α. Τιμ. ε. κα. — * ἴσ. — γ. αὐτῇ βεβ. ἐσ. — γ. γὰρ — * γὰρ — * φησί — * δίδοτ.

πᾶσι τοῖς ἄλλοις κοσμεῖς σαυτόν· ἐν ταῦθα δὲ ἔνθα τὰ ὄντως ἐστὶ βασίλεια, καὶ πλεῖστα οἷα τὰ οὐράνια, καὶ γελᾷς; σὺ μὲν οὕτως οἶδα ὅτι οὐχ ὁρᾷς. ἄκουε δὲ ὅτι ἄγγελοι πάρεισι πανταχοῦ, καὶ μάλιστα ἐν τῷ οἴκῳ τοῦ Θεοῦ παρεστήκασι τῷ βασιλεῖ, καὶ πάντα ἐμπέπλησται τῶν ἀσωμάτων ἐκείνων δυνάμεων. ἔστι ἐμοὶ καὶ πρὸς γυναῖκας ὁ λόγος, αἳ ἐπὶ μὲν τῶν ἀνδρῶν οὐ τολμῶσι τοῦτο ποιεῖν ταχέως· καὶ ποιῶσι δὲ, οὐκ ἀεί, ἀλλὰ παρά τινα καιρὸν τῆς αἰδοῦς· ἐνταῦθα δὲ ἀεί. κατακαλύπτεις, εἰπέ μοι, τὴν κεφαλήν, καὶ γελᾷς, ὦ γύναι, ἐν ἐκκλησίᾳ καθημένη; εἰσῆλθες ἐξομολογήσασθαι τὰ ἁμαρτήματα, προσπεσεῖν τῷ Θεῷ, δεηθῆναι καὶ ἱκετεῦσαι ὑπὲρ τῶν κακῶς σοι πεπλημμελημένων, καὶ μετὰ γέλωτος τοῦτο ποιεῖς; πῶς οὖν αὐτὸν ἐξιλεώσασθαι δυνήσῃ; καὶ τί κακὸν ὁ γέλως, φησίν; οὐ κακὸν ὁ γέλως, ἀλλὰ κακὸν τὸ παρὰ μέτρον, τὸ ἄκαιρον. ὁ γέλως ἔγκειται ἐν ἡμῖν, ἵν᾽, ὅταν φίλους ἴδωμεν διὰ μακροῦ χρόνου, τοῦτο ποιῶμεν, ὅταν τινὰς καταπεπληγμένους καὶ δεδοικότας, ἀνῶμεν αὐτοὺς τῷ μειδιάματι· οὐχ ἵνα ἀνακαγχάζωμεν, καὶ ἀεὶ γελῶμεν. ὁ γέλως ἔγκειται τῇ ψυχῇ τῇ ἡμετέρᾳ, ἵνα ἀνῆταί ποτε ἡ ψυχή, οὐχ ἵνα διαχέηται. ἐπεὶ καὶ ἐπιθυμία ἡμῖν ἔγκειται σωμάτων, καὶ οὐ πάντως ἀνάγκη διὰ τὸ ἐγκεῖσθαι, καὶ αὐτῇ χρῆσθαι, ἢ κεχρῆσθαι ἀμέτρως· ἀλλὰ καὶ κρατοῦμεν αὐτῆς, καὶ οὐ λέγομεν, ἐπειδὴ ἔγκειται, χρησώμεθα. μετὰ δακρύων δούλευε τῷ Θεῷ, ἵνα δυνηθῇς ἀπονίψασθαι τὰ ἡμαρτημένα. οἶδα ὅτι πολλοὶ διακωμῳδοῦσιν ἡμᾶς λέγοντες, εὐθέως δάκρυα. διὰ τοῦτο δακρύων καιρός. οἶδα ὅτι καὶ οἰωνίζονται οἱ λέγοντες, Φάγωμεν καὶ πίωμεν· αὔριον γὰρ ἀποθνήσκομεν. ἀλλ᾽ ἐννόησον ὅτι ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης. οὐκ ἐγὼ λέγω, ἀλλ᾽ αὐτὸς ὁ τὴν πεῖραν τῶν πραγμάτων πάντων λαβών, ταῦτά φησιν· Ὠκοδόμησά μοι οἰκίας, ἐφύτευσά μοι ἀμπελῶνας, ἐποίησά μοι κολυμβήθρας ὑδάτων, οἰνοχόους καὶ οἰνοχοούσας· καὶ τί δὴ μετὰ ταῦτα πάντα φησί; ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης. πενθήσωμεν τοίνυν, ἀγαπητοί, πενθήσωμεν, ἵνα ὄντως γελάσωμεν, ἵνα ὄντως ἡσθῶμεν ἐν τῷ καιρῷ τῆς χαρᾶς τῆς εἰλικρινοῦς. αὕτη μὲν γὰρ ἡ χαρὰ πάντως λύπῃ ἀναμέμικται, καὶ οὐδέποτε καθαρὰν αὐτὴν ἐστιν εὑρεῖν· ἐκείνη δὲ εἰλικρινής* ἐστι καὶ ἄδολος, καὶ οὐδὲν ἔχουσα ὕπουλον, οὐδὲ ἀναμεμιγμένον. ἐκείνην ἡσθῶμεν τὴν χαράν, ἐκείνην μεταδιώξωμεν. ἄλλως δὲ οὐκ ἔστιν αὐτῆς ἐπιτυχεῖν, ἢ διὰ τοῦ ἐνταῦθα μὴ τὰ ἡδέα, ἀλλὰ τὰ ὠφελοῦντα αἱρεῖσθαι, καὶ μικρὸν θλίβεσθαι ἑκόντας, καὶ μετ᾽ εὐχαριστίας ἅπαντα φέρειν τὰ συμπίπτοντα. οὕτω γὰρ δυνησόμεθα καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Margin: α. Κορ. ιε. λϛ. — Εκκλησ. β. δ. — γρ. χρῆσθαι αὐτῇ, ἢ κεχρ- — * πε — γρ. -ει πάντοτε — γρ. φέρειν πάντα

Λογ. ιϛ. 15 ΚΑΙ ΔΙΑ ΤΟΥΤΟ ΔΙΑΘΗΚΗΣ ΚΑΙ-
νῆς μεσίτης ἐστίν, ὅπως θανάτου γενομένου εἰς ἀπολύτρωσιν τῶν ἐπὶ τῇ
πρώτῃ διαθήκῃ παραβάσεων, τὴν ἐπαγγελίαν λάβωσιν οἱ κεκλημένοι
τῆς αἰωνίου κληρονομίας. 16 Ὅπου γὰρ διαθήκη, θάνατον ἀνάγ-
κη φέρεσθαι τοῦ διαθεμένου. 17 Διαθήκη γὰρ ἐπὶ νεκροῖς βε-
βαία· ἐπεὶ μήποτε ἰσχύει ὅτε ζῇ ὁ διαθέμενος. 18 Ὅθεν οὐδὲ ἡ
πρώτη χωρὶς αἵματος ἐγκεκαίνισται.

Εἰκὸς

καὶ μοναχὸς, καὶ ὅσιος ᾖ, περιττὴ δὲ ἡ μάθησις, καταδέχονται· τὸν δὲ μηδὲν περιττὸν ἔχοντας, καὶ πάντων ὄντα ἀθλιώτερον, χωρὶς τοῦ ἀργυρίου οὐ προσίενται. Τοῦτο καὶ ἐνταῦθα οὗτοι ποιοῦσι,

χ. δ' ἐλεδεί-ους, κτλ

τὸν μὲν ὀρθοὺς λογισμοὺς, ὅταν ἀργύριον μὴ ἔχωσιν, ἀποστρέφονται· τοῖς δὲ μιαροῖς καὶ ὄντως θεομάχοις συγγίνονται διὰ τὸ χρυσίον, καὶ ἀσχημόνως συγγίνονται· καὶ τὸ κάλλος ἀπολλύουσι τῆς ψυχῆς. Καθάπερ γὰρ ἔνιαι φύσει μὲν εἰδεχθεῖς καὶ μέλαιναι, καὶ ἀγριωπὲς καὶ παχεῖαι, καὶ ἄμορφοι καὶ κακόπλαστοι, καὶ πάντοθεν αἰσχραί· οὕτω καὶ αἱ τούτων γίνονται ψυχαί, οὐδὲ τοῖς ἔξωθεν ἐπιτρίμμασι τὴν ἀμορφίαν συγκαλύψαι δυνάμεναι. Ὅταν γὰρ ἐσχάτη ἡ δυσείδεια, ὅσα ἂν ἐπιπονήσωσιν, οὐδὲ ἀποκρύψασθαι δύνανται. Ὅτι γὰρ ἀναισχυντίαν πορνείας ποιεῖ,

χ. ταῖς δυσ.

ἄκουσον τοῦ προφήτου λέγοντος, Ἀπηναισχύντησας πρὸς πάντας, ὄψις πόρνης ἐγένετό σοι. Τοῦτο καὶ πρὸς τὸν πλεονέκτην ἐστὶν εἰπεῖν, ἀπηναισχύντησας πρὸς πάντας, οὐ πρὸς τούσδε καὶ τούσδε, ἀλλὰ πρὸς πάντας. Πῶς; οὐ πατέρα, οὐχ υἱόν, οὐ γυναῖκα, οὐ φίλον, οὐκ ἀδελφόν, οὐκ εὐεργέτην, οὐδένα ἁπλῶς αἰδεῖται ὁ τοιοῦτος. Καὶ τί λέγω φίλον καὶ ἀδελφὸν καὶ πατέρα; αὐτὸν οὐκ αἰδεῖται τὸν Θεόν, ἀλλὰ πάντα μῦθος αὐτῷ εἶναι δοκεῖ, καὶ γελᾷ ὑπὸ τῆς πολλῆς ἐπιθυμίας μεθύων, καὶ οὐδὲ τῇ ἀκοῇ παραδέχεσθαί τι τῶν ὠφελεῖν αὐτὸν δυναμένων. Ἀλλ' ὢ τῆς ἀτοπίας, καὶ οἷα φθέγγονται· οὐαί σοι, μαμωνᾶ, καὶ τῷ μὴ ἔχοντί σε. Ἐνταῦθα διαπρίομαι ὑπὸ τοῦ θυμοῦ. Οὐαὶ γὰρ τοῖς ταῦτα λέγουσι, κἂν ἐν γέλωτι λέγωσιν. Εἰπέ μοι γάρ, οὐ τοσαύτην ἀπειλὴν ἠπείλησεν ὁ Θεὸς λέγων, Οὐ δύνασθε δυσὶ κυρίοις δουλεύειν, σὺ δὲ ἐκλύεις τὴν ἀπειλήν, τοιαῦτα τολμῶν φθέγγεσθαι ἐπὶ κακῷ τῷ σαυτοῦ; Οὐκ εἰδωλολατρείαν αὐτὴν εἶναί φησιν ὁ Παῦλος, καὶ τὴν πλεονεξίαν εἰδωλολατρείαν καλεῖ; σὺ δὲ ἕστηκας γελῶν κατὰ τὰς βιωτικὰς γυναῖκας, πλατωνικῶς κατὰ τὰς ἐν τῇ σκηνῇ; τοῦτο πάντα ἀνέτρεψε, τοῦτο κατέβαλε. Γέλως γέγονε τὰ ἡμέτερα καὶ πολιτισμὸς καὶ ἀστειότης· οὐδὲν εὐσταθές, οὐδὲν σεμνόν. Οὐ πρὸς τοὺς βιωτικοὺς ἄνδρας μόνον λέγω ταῦτα, ἀλλ' οἶδα οἷς ἐντίθεμαι. Γέλωτος γὰρ ἐμπέπλησται ἡ ἐκκλησία. Ἂν ὁ δεῖνα ἀστεῖον εἴπῃ, γέλως εὐθέως ἐν τοῖς καθημένοις γίνεται. Καὶ τὸ θαυμαστόν, ἐν αὐτῷ τῷ καιρῷ τῆς εὐχῆς οὐ παύονται πολλοὶ τοῦ γελᾶν. Πανταχοῦ χορεύει ὁ διάβολος, πάντας ἐνέδυσε, πάντων κρατεῖ. Ἠτίμασται ὁ Χριστός, παρέωσται, οὐδὲν ἡ ἐκκλησία. Οὐκ ἀκούεις Παύλου λέγοντος, Αἰσχρότης καὶ μωρολογία καὶ εὐτραπελία ἀρθήτω ἀφ' ὑμῶν; μετὰ τῆς αἰσχρότητος τὴν εὐτραπελίαν τίθησι· σὺ δὲ γελᾷς; μωρολογία τί ἐστι; τὰ μηδὲν ἔχοντα χρήσιμον. Γελᾷς δὲ ὅλως, καὶ διαχεῖς τὸ πρόσωπον ὁ μονάζων; ὁ ἐσταυρωμένος, ὁ πενθῶν γελᾷς; εἰπέ μοι· ποῦ τὸν Χριστὸν τοῦτο ἤκουσας ποιοῦντος; οὐδαμοῦ, ἀλλὰ κατηφιῶντα μὲν * πολλάκις. Καὶ γὰρ ὅτε τὴν Ἱερουσαλὴμ εἶδεν, ἐδάκρυσε· καὶ ὅτε τὸν προδότην ἐννόησεν, ἐταράχθη· καὶ ὅτε τὸν Λάζαρον ἔμελλεν ἐγείρειν, ἔκλαυσε· σὺ δὲ γελᾷς; Εἰ ἐπὶ τοῖς ἑτέρων ἁμαρτήμασιν ὁ μὴ ἀλγῶν, κατηγορίας ἄξιος, ὁ ἐπὶ τοῖς αὐτοῦ ἀναλγήτως διακείμενος καὶ γελῶν, ποίας ἔσται συγγνώμης ἄξιος; πένθους ὁ παρὼν καιρὸς καὶ θλίψεως, ὑπωπιασμοῦ καὶ δουλαγωγίας, ἀγώνων καὶ ἱδρώτων· σὺ δὲ γελᾷς; οὐχ ὁρᾷς πῶς ἐπετιμήθη Σάρρα; οὐκ ἀκούεις τοῦ Χριστοῦ λέγοντος, Οὐαὶ τοῖς γελῶσιν, ὅτι κλαύσουσι; Ταῦτα ψάλλεις καθ' ἑκάστην ἡμέραν· τί γὰρ λέγεις, εἰπέ μοι; ὅτι ἐγέλασα; οὐδαμῶς· ἀλλὰ τί; Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου. Ἀλλὰ τάχα τινές εἰσιν οὕτω διακεχυμένοι καὶ χαῦνοι, ὡς καὶ ἐν τῇ ἐπιτιμήσει ταύτῃ γελᾶν, ὅτι δὴ περὶ γέλωτος ταῦτα διαλεγόμεθα. Καὶ γὰρ τοιοῦτόν ἐστιν ἡ παραφορά, τοιαύτη ἡ παραπληξία, οὐδὲ αἰσθάνεται τῆς ἐπιτιμήσεως. Ἕστηκεν ὁ ἱερεὺς τοῦ Θεοῦ τὴν πάντων εὐχὴν ἀναφέρων· σὺ δὲ γελᾷς, οὐδὲν δεδοικώς; καὶ ἐκεῖνος μὲν τρέμων ὑπὲρ σοῦ τὰς εὐχὰς ἀναφέρει, σὺ δὲ καταφρονεῖς; οὐκ ἀκούεις τῆς γραφῆς λεγούσης, Οὐαὶ οἱ καταφρονηταί; οὐ φρίττεις; οὐ συστέλλεις σαυτόν; καὶ εἰς μὲν βασίλεια εἰσιών, καὶ σχήματι καὶ βλέμματι καὶ βαδίσματι καὶ

πᾶσι

Margin notes: Ιερ. γ. γ. — χ. αἰκάλλων — Ματθ. ς. κδ. — χ. βαρύ. — χ. γέλωτος. — Εφεσ. ε. δ. — * καὶ — Λουκ. ς. κε. — χ. ὀφείλων δεδοικέναι;

Digitized by Google

ἄμωμον τῷ Θεῷ, καθαριεῖ τὴν συνείδησιν ὑμῶν ἀπὸ νεκρῶν ἔργων, εἰς τὸ λατρεύειν Θεῷ ζῶντι; Εἰ γὰρ σάρκα, φησί, δύναται καθαίρειν τὸ αἷμα τῶν ταύρων· πολλῷ μᾶλλον τῆς ψυχῆς τὸν ῥύπον ἀποσμήξει τὸ αἷμα τοῦ Χριστοῦ. ἵνα γὰρ μὴ ἀκούσας, ἁγιάζει, μέγα νομίσῃς· ἐπισημαίνεται καὶ δείκνυσι ἑκατέρου τοῦ καθαρμοῦ τὸ μέσον, καὶ πῶς ὁ μὲν ὑψηλός, ἐκεῖνος δὲ ταπεινός. καὶ λέγει, ὅτι εἰκότως· εἴγε ἐκεῖνο μὲν τὸ αἷμα ἦν ταύρων, τοῦτο δὲ τοῦ Χριστοῦ. καὶ οὐκ ἠρκέσθη τῷ ὀνόματι, ἀλλὰ καὶ τὸν τρόπον τίθησι τῆς προσφορᾶς· ὃς διὰ πνεύματος ἁγίου, φησίν, ἑαυτὸν προσήνεγκεν ἄμωμον τῷ Θεῷ. τουτέστι, τὸ ἱερεῖον ἄμωμον ἦν, ἁμαρτιῶν καθαρόν. τὸ δὲ, διὰ πνεύματος ἁγίου, δηλοῖ ὅτι οὐ διὰ πυρὸς προσηνέχθη, οὐδὲ δι' ἄλλων τινῶν. καθαριεῖ τὴν συνείδησιν ὑμῶν, φησίν, ἀπὸ νεκρῶν ἔργων. καὶ καλῶς εἶπεν, ἀπὸ νεκρῶν ἔργων. εἴ τις γὰρ ἥψατο τότε νεκροῦ, ἐμιαίνετο· καὶ ἐνταῦθα εἴ τις ἅψαιτο νεκροῦ ἔργου, μολύνεται διὰ τῆς συνειδήσεως. εἰς τὸ λατρεύειν Θεῷ ζῶντι, φησί, καὶ ἀληθινῷ. ἐνταῦθα ἐμφαίνει, ὅτι τὸν νεκρὰ ἔργα ἔχοντα οὐκ ἔνι δουλεύειν τῷ ζῶντι Θεῷ. ἀληθινῷ δὲ καὶ ζῶντι Θεῷ εἰκότως εἶπε, δηλῶν ἐντεῦθεν ὅτι καὶ τὰ προσαγόμενα αὐτῷ τοιαῦτα. ὥστε ταῦτα τὰ παρ' ἡμῖν, καὶ ζῶντα καὶ ἀληθινά· ἐκεῖνα δὲ τὰ παρὰ Ἰουδαίοις, καὶ νεκρὰ καὶ ψευδῆ· καὶ εἰκότως.

ΗΘΙΚΟΝ

Μηδεὶς τοίνυν νεκρὰ ἔργα ἔχων εἰσίτω ἐνταῦθα. εἰ γὰρ τὸν νεκροῦ σώματος ἁψάμενον οὐκ ἔδει εἰσιέναι, πολλῷ μᾶλλον τὸν νεκρὰ ἔργα ἔχοντα. μολυσμὸς γάρ ἐστι χαλεπώτατος. νεκρὰ δὲ ἔργα ἐστί, πάντα τὰ ζωὴν οὐκ ἔχοντα, τὰ δυσωδίας πνέοντα. ὥσπερ γὰρ τὸ νεκρὸν σῶμα πρὸς οὐδεμίαν αἴσθησίν ἐστι χρήσιμον, ἀλλὰ [καὶ] λυπεῖ τοὺς πλησιάζοντας· οὕτω καὶ ἡ ἁμαρτία εὐθέως τὸ λογιστικὸν πλήττει, καὶ οὐκ ἀφίησιν οὐδὲ αὐτὴν τὴν διάνοιαν ἠρεμεῖν, ἀλλὰ θορυβεῖ καὶ ταράττει. λέγεται δὲ καὶ λοιμὸς πικτόλμος διαφθείρειν τὰ σώματα. τοιαύτη ἐστὶ καὶ ἡ ἁμαρτία· λοιμοῦ οὐδὲν διενήνοχεν, οὐ τὸν ἀέρα διαφθείρουσα πρότερον, εἶτα τὰ σώματα, ἀλλ' εὐθέως εἰς τὴν ψυχὴν εἰσπηδῶσα. οὐχ ὁρᾷς τοὺς λοιμώττοντας, πῶς φλεγμαίνουσι, πῶς διαστρέφονται, πῶς δυσωδίας εἰσὶν ἐμπεπλησμένοι, πῶς αὐτῶν αἰσχραὶ αἱ ὄψεις, πῶς ὅλοι ἀκάθαρτοι; τοιοῦτοί εἰσι καὶ οἱ ἁμαρτάνοντες, κἂν μὴ βλέπωσιν. εἰπὲ μοι γάρ, πυρέττοντος πάντως οὐκ ἔστι χείρων ὁ τῇ ἐπιθυμίᾳ τῶν χρημάτων, ἢ τῶν σωμάτων ἁλούς; οὐχὶ ἀκαθαρτότερος τούτων πάντων ἐστί, πάντα τὰ ἀναίσχυντα καὶ ποιῶν καὶ πάσχων; τί γὰρ αἰσχρότερον ἀνδρὸς χρημάτων ἐρῶντος; ὅσα αἱ ἑταιριζόμεναι γυναῖκες, ὅσα αἱ ἐπὶ τῆς σκηνῆς οὐ παραιτοῦνται ποιεῖν, τοσαῦτα οὐδὲ οὗτος· μᾶλλον δὲ ἐκείνας εἰκός ἐστι παραιτήσασθαι, ἢ τοῦτον. τί λέγω, οὐ παραιτεῖται; καὶ δουλοπρεπῆ πράγματα ὑπομένει, κολακεύων οὓς οὐ δεῖ, θρασυνόμενος πάλιν ἔνθα μὴ δεῖ, πανταχοῦ ἀνώμαλος, πονηροὺς ἄνδρας, καὶ [γόητας, πολλάκις] διεφθαρμένους, πολλῷ καὶ πενεστέρους καὶ εὐτελεστέρους αὐτοῦ παρακάθηται κολακεύων, καὶ ἑτέρους ἀγαθοὺς καὶ πάντοθεν ἐναρέτους ὑβρίζων, καὶ θρασυνόμενος. εἶδες ἑκατέρωθεν τὴν ἀσχημοσύνην, τὴν ἀναισχυντίαν; καὶ ταπεινός ἐστι πέρα τοῦ μέτρου, καὶ ἀλαζών. ἀλλ' ἑστήκασιν ἐπὶ οἰκήματος αἱ πόρναι· καὶ τοῦτό ἐστι τὸ ἔγκλημα, ὅτι τὸ σῶμα πωλοῦσι χρημάτων ἕνεκεν. ἀλλ' ἔχουσί τινα ἀπολογίαν, τὴν πενίαν καὶ τὸν καταναγκάζοντα λιμόν. εἰ καὶ τὰ μάλιστα οὐδὲ τοῦτο ἱκανὸν εἰς ἀπολογίαν. ἔξεστι γὰρ ἐργαζομένας διατρέφεσθαι. ἐνταῦθα δὲ ἕστηκεν ὁ πλεονέκτης, οὐκ ἐπὶ οἰκήματος, ἀλλ' ἐπὶ τῆς πόλεως μέσης, οὐ σῶμα, ἀλλὰ τὴν ψυχὴν προδιδοὺς τῷ διαβόλῳ, ὥστε καὶ συγγίνεσθαι, καὶ εἰσέρχεσθαι πρὸς αὐτόν, ὥσπερ ὄντως πρὸς πόρνην. καὶ * τὴν ἐπιθυμίαν αὐτοῦ πᾶσαν πληρώσας ἐξέρχεται· καὶ ὁρῶσι πᾶσα ἡ πόλις, οὐ δύο ἄνδρες, καὶ τρεῖς. καὶ τοῦτο δὲ τῶν πορνῶν ἴδιόν ἐστιν, ὅτι τοῦ τὸ ἀργύριον διδόντος εἰσί. κἂν γὰρ δοῦλος ᾖ, κἂν ἐλεύθερος,

γ. γίνονται

* ὁ δὲ

κἂν

* κεῖται

9 Ἥτις παραβολὴ, φησὶν, εἰς τὸν καιρὸν τὸν ἐνεστηκότα*. Καιρὸν ἐνεστηκότα ποῖον λέγει; τὸν πρὸ τῆς τοῦ Χριστοῦ παρουσίας. μετὰ γὰρ τὴν παρουσίαν τοῦ Χριστοῦ, οὐκέτι καιρός ἐστιν ἐνεστώς. πῶς γὰρ, ἐπιγινόμενος, καὶ τέλος ἔχων; καὶ ἕτερον δὲ ἐμφαίνων, τοῦτό φησιν, ἥτις παραβολὴ εἰς τὸν καιρὸν τὸν ἐνεστηκότα. Τουτέστιν, ὁ τύπος γέγονε.

γ. ἐπιγινόμενος

ἴσ. ὃ

Καθ' ὃν δῶρά τε καὶ θυσίαι προσφέρονται, μὴ δυνάμεναι κατὰ συνείδησιν τελειῶσαι τὸν λατρεύοντα. Εἶδες πῶς σαφῶς ἔδειξεν ἐνταῦθα τί ἐστι τὸ, οὐδὲν ἐτελείωσεν ὁ νόμος, καὶ τὸ, Εἰ ἡ πρώτη ἦν ἄμεμπτος; * πῶς; κατὰ συνείδησιν. αἱ γὰρ θυσίαι οὐ τὸν ἀπὸ τῆς ψυχῆς ῥύπον ἠφίεσαν, ἀλλ' ἐπὶ περὶ σῶμα ἦσαν. Κατὰ νόμον γὰρ ἐντολῆς σαρκικῆς, φησιν. Εβρ. ζ. ιγ. οὐ γὰρ δὴ μοιχείαν, οὐδὲ φόνον, οὐδὲ ἱεροσυλίαν ἀφιέναι ἠδύναντο. οἷόν τε τόδε φάγε, τόδε μὴ φάγῃς· ἅπερ ἐστὶν ἀδιάφορα. Εβρ. η. ζ.

* ἡ τοίνυν οὐκ ἄμεμπτος

γ. θέλεις

10 Μόνον ἐπὶ βρώμασι καὶ πόμασι, καὶ διαφόροις βαπτισμοῖς.

Τί δαὶ πίε, φησί. καίτοι περὶ τοῦ ποτοῦ οὐδὲν ἦν διατεταγμένον· ἀλλ' ἐξευτελίζων αὐτὰ οὕτως εἶπε. καὶ διαφόροις βαπτισμοῖς, Καὶ δικαιώμασι σαρκὸς, μέχρι καιροῦ διορθώσεως ἐπικείμενα. Αὕτη γὰρ ἡ δικαιοσύνη τῆς σαρκός. ἐνταῦθα καταβάλλει τὰς θυσίας, δεικνὺς ὅτι οὐδεμίαν εἶχον ἰσχὺν, καὶ ὅτι μέχρι καιροῦ διορθώσεως ἦσαν· τουτέστιν, ἐκδεχόμενον τὸν καιρὸν τὸν διορθοῦντα πάντα.

11 Χριστὸς δὲ παραγενόμενος ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν, διὰ τῆς μείζονος καὶ τελειοτέρας σκηνῆς, οὐ χειροποιήτου. Τὴν σάρκα ἐνταῦθα λέγει. καλῶς δὲ καὶ μείζονα καὶ τελειοτέραν εἶπεν, εἴγε ὁ Θεὸς λόγος, καὶ πᾶσα ἡ τοῦ πνεύματος ἐνέργεια ἐνοικεῖ ἐν αὐτῇ. Οὐ γὰρ ἐκ μέτρου δίδωσιν ὁ Θεὸς τὸ πνεῦμα. ἢ τελειοτέρας, ἅτε καὶ ἀλύπτου οὔσης, λέγει, καὶ μείζονα κατορθούσης. Τουτέστιν, οὐ ταύτης τῆς κτίσεως. Ιωαν. γ. λδ.

γ. γενομένων

γ. οἰκεῖ

Ἰδοὺ πῶς μείζονος. οὐ γὰρ ἂν ἐκ πνεύματος, εἰ ἄνθρωπος αὐτὴν κατεσκεύασεν. οὐ ταύτης τῆς κτίσεως, φησὶ (τουτέστιν, οὐ τούτων τῶν κτισμάτων) ἀλλὰ πνευματικῆς· ἐκ πνεύματος γὰρ κατεσκεύαστο ἁγίου. ὁρᾷς πῶς καὶ σκηνὴν καὶ καταπέτασμα καὶ οὐρανὸν τὸ σῶμα καλεῖ; διὰ τῆς μείζονος καὶ τελειοτέρας, φησὶ, σκηνῆς. εἶτα, διὰ τοῦ καταπετάσματος, τουτέστι, τῆς σαρκὸς αὐτοῦ. καὶ πάλιν, εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος· καὶ πάλιν, εἰσερχομένην εἰς τὰ ἅγια τῶν ἁγίων, ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ. τίνος οὖν ἕνεκεν τοῦτο ποιεῖ; ἡμᾶς διδάξαι βουλόμενος, καθ' ἕτερον καὶ ἕτερον σημαινόμενον, τὸν αὐτὸν λόγον ὄντα. οἷόν τι λέγω, καταπέτασμα ὁ οὐρανός ἐστι. ὥσπερ γὰρ ἀποτειχίζει τὰ ἅγια καταπέτασμα, καὶ ἡ σὰρξ κρύπτουσα τὴν θεότητα· καὶ σκηνὴ ὁμοίως ἡ σὰρξ, ἔχουσα τὴν θεότητα· [καὶ] σκηνὴ πάλιν ὁ οὐρανός. ἐκεῖ γάρ ἐστιν ἔνδον ὁ ἱερεύς. Χριστὸς δὲ, φησὶ, παραγενόμενος ἀρχιερεύς. οὐκ εἶπε, γενόμενος, ἀλλὰ, παραγενόμενος· τουτέστιν, εἰς αὐτὸ τοῦτο ἐλθὼν, οὐχ ἕτερον διαδεξάμενος. οὐ πρότερον προεγένετο, καὶ τότε ἐγένετο· ἀλλὰ μᾶλλον ἦλθε. καὶ οὐκ εἶπε, παραγενόμενος ἀρχιερεὺς τῶν γινομένων, ἀλλὰ τῶν μελλόντων ἀγαθῶν· ὡς οὐκ ἰσχύοντος τοῦ λόγου παραστῆσαι τὸ πᾶν.

γ. ἀλλ' ἅμα ἦλθε.

γ. τῶν γενομένων

12 Οὐδὲ δι' αἵματος, φησὶ, τράγων καὶ μόσχων. Πάντα ἐξηλλαγμένα.

Διὰ δὲ τοῦ ἰδίου αἵματος, φησὶν, εἰσῆλθεν ἐφάπαξ εἰς τὰ ἅγια.

Ἰδοὺ τὸν οὐρανὸν τοῦτο ἐκάλεσεν. Ἐφάπαξ, φησὶν, εἰσῆλθεν εἰς τὰ ἅγια, αἰωνίαν λύτρωσιν εὑράμενος. Καὶ τὸ, εὑράμενος, σφόδρα τῶν ἀπόρων ἦν, καὶ τῶν παρὰ προσδοκίαν, πῶς διὰ μιᾶς εἰσόδου αἰωνίαν λύτρωσιν ηὕρατο. Εἶτα τὸ πιθανόν·

13 Εἰ γὰρ τὸ αἷμα ταύρων καὶ τράγων, καὶ σποδὸς δαμάλεως ῥαντίζουσα τοὺς κεκοινωμένους, ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς καθαρότητα·

14 Πόσῳ μᾶλλον τὸ αἷμα τοῦ Χριστοῦ, ὃς διὰ πνεύματος ἁγίου ἑαυτὸν προσήνεγκεν

ἄμωμον

οἱ Ἰουδαῖοι, οἱ προσήλυτοι, οἱ Ἕλληνες, οἱ Ναζωραῖοι. ἐπεὶ οὖν καὶ Ἕλλησι βατὴ ἦν, κοσμικὸν αὐτὸ καλεῖ. οὐ γὰρ δὴ οἱ Ἰουδαῖοι ὁ κόσμος ἦσαν. σκηνὴ γάρ, φησι, κατεσκευάσθη ἡ πρώτη, ἥτις λέγεται ἅγια· ἐν ᾗ ἥ τε λυχνία, καὶ ἡ τράπεζα, καὶ ἡ πρόθεσις τῶν ἄρτων. ταῦτα σύμβολα τοῦ κόσμου. μετὰ δὲ τὸ δεύτερον καταπέτασμα. ἄρα οὐκ ἦν καταπέτασμα ἕν, ἀλλὰ καὶ ἔξω καταπέτασμα ἦν. σκηνή, ἡ λεγομένη ἅγια ἁγίων. ὅρα πῶς πανταχοῦ σκηνὴν καλεῖ, παρὰ τὸ σκηνοῦν ἐκεῖ. χρυσοῦν ἔχουσα θυμιατήριον, φησι, καὶ τὴν κιβωτὸν τῆς διαθήκης περικεκαλυμμένην πάντοθεν χρυσίῳ· ἐν ᾗ στάμνος χρυσῆ ἔχουσα τὸ μάννα, καὶ ἡ ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα, καὶ αἱ πλάκες τῆς διαθήκης. πάντα ταῦτα σημαντικὰ ἦν καὶ λαμπρὰ τῆς Ἰουδαϊκῆς ἀγνωμοσύνης ὑπομνήματα. καὶ αἱ πλάκες τῆς διαθήκης. κατέαξαν γὰρ αὐτάς. καὶ τὸ μάννα. ἐγόγγυσαν γάρ· [καὶ διὰ τοῦτο εἰς ἐγγόνους παραπέμπων τὴν μνήμην, προσέταξεν εἰς τὴν στάμνον τὴν χρυσῆν ἀποτεθῆναι αὐτό]. καὶ ἡ ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα. [ἐπανέστησαν γάρ. ἐπεὶ οὖν καὶ ἀχάριστοι ἦσαν οἱ Ἰουδαῖοι, καὶ εὐεργετούμενοι συνεχῶς ἐπιλανθάνοντο, διὰ τοῦτο προστάξει τοῦ νομοθέτου εἰς τὴν στάμνον τὴν χρυσῆν ἀπέθεσαν αὐτά, καὶ οὕτως εἰς ἐγγόνους παρέπεμπον τὴν μνήμην.] ὑπεράνω δὲ αὐτῆς, χερουβὶμ δόξης κατασκιάζοντα τὸ ἱλαστήριον. τί ἐστι χερουβὶμ δόξης; ἤτοι τὰ ἔνδοξα, ἢ τὰ ὑποκάτω τοῦ Θεοῦ φησι. καλῶς δὲ καὶ ἐπαίρει ταῦτα τῷ λόγῳ, ἵνα δείξῃ μείζονα ὄντα τὰ μετὰ ταῦτα. περὶ ὧν οὐκ ἔστι, φησί, νῦν λέγειν κατὰ μέρος. ἐνταῦθα ᾐνίξατο, ὅτι οὐ ταῦτα ἦν μόνον τὰ ὁρώμενα, ἀλλὰ αἰνίγματά τινα ἦν. περὶ ὧν οὐκ ἔστι, φησί, νῦν λέγειν κατὰ μέρος· ἴσως ὡς μακροῦ δεομένων λόγου.

γ. ἄλλως δὲ

6 Τούτων δὲ οὕτω κατεσκευασμένων, εἰς μὲν τὴν πρώτην σκηνὴν διὰ παντὸς εἰσίασιν οἱ ἱερεῖς τὰς λατρείας ἐπιτελοῦντες. τουτέστιν, ἦν μὲν ταῦτα, οὐκ ἀπήλαυον δὲ τούτων αὐτῶν οἱ Ἰουδαῖοι. οὐ γὰρ ἑώρων αὐτά· ὥστε οὐκ ἐκείνοις μᾶλλον ἦν, ἢ οἷς προετυποῦτο.

γ. ἀλλ' οἷς προεγράφετο.

7 Εἰς δὲ τὴν δευτέραν ἅπαξ τοῦ ἐνιαυτοῦ μόνος ὁ ἀρχιερεύς, οὐ χωρὶς αἵματος, ὃ προσφέρει ὑπὲρ ἑαυτοῦ, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων. ὁρᾷς ἤδη τοὺς τύπους προκαταβεβλημένους; ἵνα γὰρ μὴ λέγωσιν, ὅτι πῶς μία θυσία, καὶ πῶς ὁ ἀρχιερεὺς ἅπαξ προσέφερε; δείκνυσιν αὐτοὺς ἄνωθεν οὕτως εἰθισμένους. εἴγε ἡ ἁγιωτέρα μία ἦν καὶ ἡ φρικτή. οὕτως εἰθίζοντο ἄνωθεν. καὶ γὰρ τότε ὁ ἀρχιερεύς, φησιν, ἅπαξ προσέφερε. καὶ καλῶς εἶπεν, οὐ χωρὶς αἵματος. οὐ χωρὶς μὲν αἵματος, οὐ μὴν τούτου τοῦ αἵματος. οὐ γὰρ τοσαύτη ἦν ἡ πραγματεία. δείκνυσιν ὅτι ἔσται θυσία, οὐ πυρὶ ἀναλουμένη, ἀλλὰ ἀπὸ αἵματος μᾶλλον διαπυρουμένη. ἐπειδὴ γὰρ θυσίαν ἐκάλεσε τὸν σταυρόν, οὔτε πῦρ ἔχοντα, οὔτε ξύλα, οὔτε πολλάκις προσφερόμενον, ἀλλὰ ἅπαξ ἐν αἵματι προσενεχθέντα· δείκνυσιν ὅτι καὶ ἡ παλαιὰ θυσία τοιαύτη ἦν, ἅπαξ προσεφέρετο ἐν αἵματι. ὁ προσφέρει, φησίν, ὑπὲρ ἑαυτοῦ * καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων. ὅρα· οὐκ εἶπεν, ἁμαρτημάτων, ἀλλ' ἀγνοημάτων· ἵνα μὴ μέγα φρονήσωσιν. εἰ γὰρ καὶ μὴ ἑκὼν ἥμαρτες, φησίν· ἀλλ' ἄκων ἠγνόησας, καὶ τούτου οὐδεὶς ἐστι καθαρός. καὶ πανταχοῦ δέ, ὑπὲρ ἑαυτοῦ, τίθησι, δεικνὺς ὅτι ὁ Χριστὸς πολλῷ μείζων ἐστὶ τοῦ παρὰ Ἰουδαίοις ἀρχιερέως. εἰ γὰρ κεχώρισται τῶν ἁμαρτωλῶν ἡμῶν, πῶς ὑπὲρ ἑαυτοῦ προσήνεγκε; τί οὖν ταῦτα εἶπες, φησί; [τοῦτο γὰρ κρείττονός ἐστι.] οὐδαμοῦ ἐνταῦθα θεωρία. λοιπὸν δὲ θεωρεῖ καί φησι,

* πάλιν ὑπὲρ ἑαυτοῦ

γ. τίνος οὖν ἕνεκεν ταῦτα εἶπεν, φησί;

8 Τοῦτο δηλοῦντος τοῦ πνεύματος τοῦ ἁγίου, μήπω πεφανερῶσθαι τὴν τῶν ἁγίων ὁδόν, ἔτι τῆς πρώτης σκηνῆς ἐχούσης στάσιν. διὰ τοῦτο, φησι, ταῦτα οὕτω κατεσκεύασται, ἵνα μάθωμεν ὅτι τὰ ἅγια τῶν ἁγίων (τουτέστιν, ὁ οὐρανός) ἔτι ἐστὶν ἄβατος. μὴ οὖν, ἐπειδὴ μὴ ἐπιβαίνομεν αὐτοῦ, φησι, νομίζωμεν αὐτὸν μηδὲ εἶναι· ἐπεὶ οὐδὲ τῶν ἁγίων ἐπέβημεν.

γ. θεωρεῖ

9 Ἥτις

διὰ μάλιστα ἑωθινῆς καὶ νυκτερινῆς. Ὀλύμπια πολλοὶ πολλάκις ὑμῶν ἐθεάσαντο· καὶ οὐκ ἐθεάσαντο μόνον, ἀλλὰ καὶ σπουδασταὶ καὶ θαυμασταὶ τῶν ἀγωνιζομένων ἐγένοντο, ὁ μὲν τούτου, ὁ δὲ ἐκείνου. Ἴστε οὖν ὅτι καὶ τὰς ἡμέρας τῶν ἀγώνων, καὶ τὰς νύκτας ἐκείνας, δι' ὅλης νυκτὸς ὁ κήρυξ οὐδὲν ἄλλο φροντίζει, οὐδὲν ἄλλο μεριμνᾷ, ἢ ὅπως ἐξελθὼν μὴ ἀσχημονήσῃ ὁ ἀγωνιζόμενος. Ἐκεῖνοι γὰρ οἱ παρακαθήμενοι τῷ σαλπιγκτῇ πρὸς ἔξοδον μηδὲ φθέγγεσθαί τινι, ὥστε μὴ τὸ πνεῦμα δαπανώμενοι γέλωτα ὄφλειν. Εἰ τοίνυν ὁ τῶν ἀνθρώπων ἀγωνίζεσθαι μέλλων, τοσαύτῃ κέχρηται προνοίᾳ· πολλῷ μᾶλλον ἡμῖν ἁρμόσει διηνεκῶς φροντίζειν καὶ μεριμνᾶν, οἷς ὁ πᾶς βίος ἀγών ἐστι. Πᾶσα τοίνυν ἔστω νὺξ παννυχίς, καὶ μεριμνῶμεν πῶς ἐξελθόντες τὴν ἡμέραν, μὴ γέλωτα ὄφλωμεν. Καὶ εἴθε γέλωτα μόνον. Νυνὶ δὲ κάθηται ἐν δεξιᾷ τοῦ πατρὸς ὁ ἀγωνοθέτης, ἀκούων ἀκριβῶς μήτι ἀπηχὲς φθεγγώμεθα, μήτι παρὰ μέλος. Οὐ γὰρ πραγμάτων μόνον, ἀλλὰ καὶ ῥημάτων ἐστὶ κριτής. Παννυχίσωμεν, ἀγαπητοί· ἔχομεν καὶ ἡμεῖς σπουδαστάς, ἐὰν θέλωμεν. Ἑκάστῳ ἡμῶν ἄγγελος παρακάθηται· ἡμεῖς δὲ ῥέγχομεν δι' ὅλης νυκτός. Καὶ εἴθε τοῦτο μόνον· πολλοὶ δὲ καὶ ἀσελγῆ πράττουσι πολλά, οἱ μὲν πρὸς αὐτὰ τὰ χαμαιτυπεῖα βαδίζοντες, οἱ δὲ τὰς οἰκίας πορνεῖα ποιοῦντες τὰς ἑταίρας ἄγειν ἐκεῖ. Παννυχ. οὐ γὰρ καλῶς μεριμνῶσιν ἀγωνίσασθαι. Ἕτεροι μεθύουσι καὶ παραφθέγγονται, ἄλλοι θορυβοῦσιν, ἕτεροι παννυχίζουσι κακῶς, καὶ τῶν καθευδόντων χεῖρον πλέκοντες δόλους· ἄλλοι τόκους ἀριθμοῦντες, ἕτεροι φροντίσι κοπτόμενοι, καὶ πάντα μᾶλλον ποιοῦντες, ἢ τὰ τῷ ἀγῶνι προσήκοντα. Δεῦρο, παρακαλῶ, πάντα ἀφέντες, εἰς ἓν ὁρῶμεν μόνον, ὅπως τὸ βραβεῖον λάβωμεν, καὶ τὸν στέφανον ἀναδησώμεθα. Πάντα πράττωμεν, δι' ὧν δυνησόμεθα τυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

γ. μὴ

γ. ὄφλῃ.

γ. τῷ ἀγωνιζομένῳ

Λογ. ιϛ. 1 ΕΙΧΕ ΜΕΝ ΟΥΝ ΚΑΙ Η ΠΡΩΤΗ ΔΙ-καιώματα λατρείας, τό τε ἅγιον κοσμικόν. 2 Σκηνὴ γὰρ κατεσκευάσθη ἡ πρώτη, ἐν ᾗ ἥ τε λυχνία καὶ ἡ τράπεζα, καὶ ἡ πρόθεσις τῶν ἄρτων, ἥτις λέγεται ἅγια. 3 Μετὰ δὲ τὸ δεύτερον καταπέτασμα, σκηνὴ ἡ λεγομένη ἅγια ἁγίων, 4 Χρυσοῦν ἔχουσα θυμιατήριον, καὶ τὴν κιβωτὸν τῆς διαθήκης περικεκαλυμμένην πάντοθεν χρυσίῳ· ἐν ᾗ στάμνος χρυσῆ ἔχουσα τὸ μάννα, καὶ ἡ ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα, καὶ αἱ πλάκες τῆς διαθήκης· 5 Ὑπεράνω δὲ αὐτῆς Χερουβὶμ δόξης, κατασκιάζοντα τὸ ἱλαστήριον· περὶ ὧν οὐκ ἔστι νῦν λέγειν κατὰ μέρος. κεφ. θ.

Ἔδειξεν ἀπὸ τοῦ ἱερέως, ἀπὸ τῆς ἱερωσύνης, ἀπὸ τῆς διαθήκης, ὅτι τέλος ἔμελλεν ἔχειν ἐκείνη. Δείκνυσι λοιπὸν καὶ ἀπ' αὐτῆς τῆς σκηνῆς τοῦ σχήματος. Πῶς; ἅγια λέγων, καὶ ἅγια ἁγίων. Τὰ μὲν οὖν ἅγια, τοῦ προτέρου καιροῦ σύμβολά ἐστιν. Ἐκεῖ γὰρ διὰ θυσιῶν πάντα γέγονε. Τὰ δὲ ἅγια τῶν ἁγίων, τούτου τοῦ νῦν ἐνεστῶτος. Λέγει δὲ ἅγια ἁγίων, τὸν οὐρανόν, τὸ αὐτὸ δὲ καὶ καταπέτασμα τοῦ οὐρανοῦ, καὶ τὴν σάρκα εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος, τουτέστι, διὰ τοῦ καταπετάσματος τῆς σαρκὸς αὐτοῦ. Καλὸν δὲ αὐτόθεν τοῦτο τὸ χωρίον ἀναλαβόντας εἰπεῖν. Τί οὖν φησιν; εἶχε μὲν οὖν καὶ ἡ πρώτη. Ἡ πρώτη τίς*; ἡ διαθήκη. Δικαιώματα λατρείας. Τί ἐστι, δικαιώματα*; σύμβολα, ἢ θεσμούς. Ὡσεὶ ἔλεγε, τότε εἶχε, νῦν οὐκ ἔχει. Δείκνυσιν ἤδη τότε αὐτὴν ἐκκεχωρηκυῖαν. Τότε γὰρ εἶχε, φησίν· ὥστε νῦν εἰ καὶ ἕστηκεν, οὐκ ἔστι. Τό τε ἅγιον κοσμικόν. Κοσμικὸν λέγει, ἐπειδὴ πᾶσιν ἐφίετο ἐπιβαίνειν, καὶ δῆλος ἦν ὁ τύπος ἐν τῷ αὐτοῦ οἴκῳ, ἔνθα οἱ ἱερεῖς εἱστήκεισαν, ὥσθα

οἱ

γ. πῶς; τοῦτο μὲν φησιν ἅγια, καὶ

γ. τὸν οὐρανόν,

* ἐστιν;

* λατρείας;

γ. ἱερεῦσι

καὶ ἀνωφελές, καὶ οὐδὲν ἐτελείωσεν ὁ νόμος· καὶ ὅτι εἰ ἡ πρώτη ἦν ἄμεμπτος, οὐκ ἂν δευτέρας ἐζητεῖτο τόπος. ἄμεμπτος τί ἐστι; χρήσιμος, ἰσχυρά. τοῦτο δὲ λέγει, οὐχ ὡς ἐγκλήματα ἀξία ὑποθέμενος, ἀλλ' ὡς οὐκ ἀρκούσαις ἰδιωτικώτερον ἐφθέγξατο. ὡς ἂν τις εἴποι, οὐκ ἔστιν ἄμεμπτος ἡ οἰκία, τουτέστιν, ἔχει ἐλάττωμα, σαθρά ἐστιν· ἢ ὅτι οὐκ ἔστιν ἄμεμπτον τὸ ἱμάτιον, τουτέστι, λοιπὸν διέρρωγε. οὐχ ὡς πονηρὰ τοίνυν ἐνταῦθά φησιν, ἀλλ' ὡς ἔχοντα αἰτίαμα καὶ ἐλάττωμα.

*χ. τὸ θ καὶ τουτέστι· χρήσιμος, οὐχ ὡς ἐγκλήματι τῶν ὑποθέμενος, ἀλλ' ὡς οὐκ ἀρκοῦντα ἰδιωτικῶς.*
*χ. ἔχοντα*

ΗΘΙΚΟΝ

Οὕτω δὴ καὶ ἡμεῖς καινοί ἐσμεν· μᾶλλον δὲ καινοὶ ἐγενόμεθα· νῦν δὲ πεπαλαιώμεθα. διὰ τοῦτο ἐγγύς ἐσμεν ἀφανισμοῦ καὶ ἀπωλείας. ἀλλ' ἂν ἐθέλωμεν, ἔστιν ἀποξύσαι τοῦτο τὸ γῆρας. λουτρῷ μὲν οὖν οὐκέτι δυνατόν· μετανοίᾳ δὲ ἐνταῦθα δυνατόν. εἴ τι παλαιὸν ἐν ἡμῖν, ῥίψωμεν· εἴ τις ῥυτίς, εἴ τις κηλίς, εἴ τις σπίλος, ἀπονιψώμεθα, καὶ καλοὶ γενώμεθα, ἵνα ἐπιθυμήσῃ ὁ βασιλεὺς τοῦ κάλλους ἡμῶν. ἔξεστι καὶ πρὸς ἐσχάτην δυσείδειαν καταπεσόντας ἀνακτήσασθαι τὸ κάλλος ἐκεῖνο, περὶ οὗ φησιν ὁ Δαβίδ,
Ψαλ. μδ. ιγ. Ἄκουσον, θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου, καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου. καὶ μὴν ἡ λήθη κάλλος οὐ ποιεῖ, [κάλλος] τὸ ψυχικόν. λήθη ποία; ἡ τῶν ἁμαρτιῶν. πρὸς γὰρ τὴν ἐκκλησίαν τὴν ἐξ ἐθνῶν διαλέγεται, παραινῶν αὐτῇ τῶν πατρῴων μὴ μνησθῆναι· τουτέστι, τῶν εἰδώλοις θυόντων. ἀπὸ γὰρ τῶν τοιούτων συνῆκται. καὶ οὐκ εἶπε, μὴ μετέλθῃς
Ψαλ. ιε. δ. αὐτά· ἀλλ' ὃ πλεῖόν ἐστι, μηδὲ εἰς νοῦν λάβῃς. ὃ καὶ ἀλλαχοῦ φησιν, Οὐ μὴ μνησθῶ τῶν ὀνο-
Ψαλ. ιϛ. δ. μάτων αὐτῶν διὰ χειλέων μου. καὶ πάλιν, Ὅπως ἂν μὴ λαλήσῃ τὸ στόμα μου τὰ ἔργα τῶν ἀνθρώπων. οὔπω τοῦτο μεγάλη ἀρετή. μᾶλλον δὲ μεγάλη μέν, ἀλλ' οὐ τοιαύτη. ἐνταῦθα γὰρ τί φησιν; οὐκ εἶπεν, οὐ μὴ λαλήσῃς τὰ τῶν * πατέρων, ἀλλὰ μηδὲ ἀναμνησθῇς αὐτῶν, * μηδὲ εἰς νοῦν λάβῃς. ὁρᾷς πόσον ἡμᾶς διαστήματι τῆς κακίας ἀπέχειν βούλεται; ὁ γὰρ μὴ μεμνημένος, οὐ λογίζεται· ὁ δὲ μὴ λογιζόμενος, οὐδὲ φθέγγεται· ὁ δὲ μὴ φθεγγόμενος, οὐδὲ πράξει. ὁρᾷς περὶ πόσον ἀπετείχισεν ἡμᾶς ὁδόν, περὶ πόσων διαστημάτων ἀπεμάκρυνε, καὶ ἐκ τοῦ πλείονος; ἀκούσωμεν τοίνυν καὶ ἡμεῖς, καὶ ἐπιλαθώμεθα τῶν ἡμετέρων κακῶν· οὐ τῶν ἡμαρτημένων ἡμῖν, λέγω. Μνήσθητι γάρ σύ, φησι, πρῶτος, καὶ οὐ μὴ μνησθῶ ἐγώ. οἷον τι λέγω· μηκέτι μνημονεύωμεν ἁρπαγῆς, ἀλλὰ καὶ τὰ πρότερα ἀποδῶμεν. τοῦτό ἐστιν ἐπιλαθέσθαι κακίας, καὶ ἐκβαλεῖν τὸν λογισμὸν τὸν ἁρπακτικόν, καὶ μηδέποτε αὐτὸν ἔτι δέξασθαι, ἀλλὰ καὶ τὰ ἤδη πεπλημμελημένα ἀπαλείφειν. πόθεν δ' ἂν γένοιτο ἡμῖν λήθη πονηρίας; ἀπὸ τῆς μνήμης τῶν ἀγαθῶν τοῦ Θεοῦ. ἐὰν τοῦ Θεοῦ διηνεκῶς μνημονεύωμεν, οὐ δυνάμεθα κἀκείνων μεμνῆσθαι.

*χ. τὸ μεγάλη μὲν γὰρ, ἀλλ' · ἀνθρώπων, · οὐδὲ μὴ εἴπῃς τὰ τῶν · τουτέστι,*
*χ. διὸ ἀπὸ τῆς μνήμης τῶν*

Ψαλ. ξβ. ζ. Εἰ ἐμνημόνευόν σου, φησίν, ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ. ἀεὶ μὲν οὖν, μάλιστα δὲ τότε χρὴ μεμνῆσθαι τοῦ Θεοῦ, ὅταν ἐν ἡσυχίᾳ ὁ λογισμὸς ᾖ, ὅταν διὰ τῆς μνήμης ἐκείνης ἑαυτὸν καταδικάζειν δυνάμεθα, ὅταν κατέχεσθαι ἐν τῇ μνήμῃ. ἐν ἡμέρᾳ μὲν γὰρ ἂν μνημονεύσωμεν, ἐπεισελθοῦσαι φροντίδες ἕτεραι καὶ θόρυβοι πάλιν αὐτὴν ἐκβάλλουσιν· ἐν νυκτὶ δὲ διηνεκῶς μεμνῆσθαι δυνατόν, ὅταν ἐν γαλήνῃ ᾖ καὶ ἀναπαύσει ἡ ψυχή, ὅταν ἐν λιμένι, ὅταν ἐν εὐδίᾳ. Ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε,
Ψαλ. δ. ε. φησίν. ἔδει μὲν γὰρ καὶ δι' ἡμέρας ταύτην ἔχειν τὴν μνήμην. ἐπειδὴ δὲ φροντίζετε ἀεί, καὶ περισπᾶσθε ἐν τοῖς βιωτικοῖς, κἂν τότε μνημονεύετε ἐπὶ τῆς κοίτης τοῦ Θεοῦ· ἐν τοῖς ὄρθροις μελετᾶτε ἐν αὐτῷ. ἂν ἐν τοῖς ὄρθροις μελετήσωμεν ταῦτα, μετὰ πολλῆς ἀσφαλείας χωρήσομεν εἰς τὰ πράγματα. ἂν ἵλεων πρῶτον τὸν Θεὸν ποιήσωμεν τῇ ἐντεύξει καὶ τῇ ἱκετηρίᾳ, οὕτω προβαίνοντες οὐδένα ἕξομεν ἐχθρόν. κἂν ἔχῃς δέ, καταγελάσῃ, ἵλεων ἔχων τὸν Θεόν. πόλεμός ἐστιν ἐν τῇ ἀγορᾷ, μάχη ἐστὶ τὰ πράγματα τὰ καθημερινά, κλυδώνιόν ἐστι καὶ χειμών. δεῖ τοίνυν ὅπλων ἡμῖν· μέγα δὲ ὅπλον εὐχή. δεῖ οὐρίων ἀνέμων, δεῖ μαθεῖν ἅπαντα, ὥστε τὸ μῆκος τῆς ἡμέρας χωρὶς ναυαγίων διανύσαι καὶ τραυμάτων. πολλοὶ γὰρ καθ' ἑκάστην ἡμέραν οἱ σκόπελοι καὶ πολλάκις προσέρραξε τὸ σκάφος, καὶ κατεποντίσθη. διὰ τοῦτο εὐχῆς ἡμῖν

*ἴσ. προσέρραξαν*

δεῖ

Ἢ ἄλλη ἐστὶ διαφορά, ἢ αὕτη; Εἰ δὲ τὴν διαφορὰν λέγει τις, οὐ κατὰ τοῦτο, ἀλλὰ κατὰ τὸ δοθῆναι εἰς τὰς καρδίας αὐτῶν· οὐ πραγμάτων εἰσάγει διαφοράν, ἀλλὰ τὸν τρόπον τῆς δόσεως δείκνυσιν. Οὐκ ἔτι γὰρ ἐν γράμμασι, φησίν, ἔσται ἡ διαθήκη, ἀλλ' ἐν καρδίαις. Δειξάτω τοίνυν τοῦτο γενόμενόν ποτε ὁ Ἰουδαῖος. Ἀλλ' οὐκ ἂν εὕροι. Πάλιν γὰρ ἐν γράμμασιν ἐγένετο, μετὰ τὴν ἐπάνοδον τὴν ἐκ Βαβυλῶνος. Ἐγὼ δὲ δείκνυμι τοὺς ἀποστόλους μηδὲν παραλαβόντας γραπτόν, ἀλλ' ἐν ταῖς καρδίαις δεξαμένους διὰ πνεύματος ἁγίου. Διὸ καὶ ἔλεγεν ὁ Χριστός, Ἐκεῖνος ἐλθὼν ἀναμνήσει ὑμᾶς πάντα, καὶ διδάξει ὑμᾶς. Ιωαν. ιδ. κϛ.

11 Καὶ οὐ μὴ διδάξωσιν ἕκαστος, φησί, τὸν [*γ. πολίτην] πλησίον αὐτοῦ, καὶ ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ, λέγων, γνῶθι τὸν Κύριον· ὅτι πάντες εἰδήσουσί με, ἀπὸ μικροῦ ἕως μεγάλου αὐτῶν.

12 Ὅτι ἵλεως ἔσομαι ταῖς ἀδικίαις αὐτῶν, καὶ τῶν ἀνομιῶν αὐτῶν καὶ τῶν ἁμαρτιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι. Ἰδοὺ καὶ ἄλλο σημεῖον· ἀπὸ μικροῦ, φησίν, ἕως μεγάλου αὐτῶν εἰδήσουσί με, καὶ οὐ μὴ εἴπωσι, γνῶθι τὸν Κύριον. Πότε τοῦτο γέγονεν, ἢ νῦν; Δῆλον γὰρ τὸ ἡμέτερον· τὸ δὲ ἐκείνων οὐ δῆλον, ἀλλ' ἀποκέκλειστο εἰς γωνίαν. [*γ. ἀγνοίαν] Ἄλλως δέ, καινὴ τότε λέγεται, ὅταν ἑτέρα ᾖ, καὶ δεικνύῃ εἴ τι τῆς παλαιᾶς πλέον ἔχει. Καινὴ δὲ καὶ αὕτη τυγχάνει, ὅταν αὐτῆς τὰ μὲν περιαιρεθῇ, τὰ δὲ μή. Οἷον (ἐπὶ ὑποδείγματος ἵνα εἴπω) εἴ τις οἰκίαν παλαιὰν μέλλουσαν καταπίπτειν ἀφεὶς τὸ πᾶν, τὸν θεμέλιον ὑποστηρίξειεν εὐθέως λεγομένην, ἐποίησεν αὐτὴν καινήν, ὅταν τὰ μὲν ἐξέλῃ, τὰ δὲ ἀντεισαγάγῃ. Καὶ γὰρ καὶ ὁ οὐρανὸς καινὸς λέγεται οὕτως, ὅταν μηκέτι χαλκοῦς ᾖ, ἀλλ' ὑετὸν διδῷ. Καὶ ἡ γῆ ὁμοίως καινή, ὅταν μὴ ἄκαρπος ᾖ, οὐχ ὅταν μεταβληθῇ. Καὶ οἶκος οὕτω καινός, ὅταν τὰ μὲν αὐτοῦ ἐξαιρεθῇ, τὰ δὲ μένῃ. Ὥστε καὶ διαθήκην καινὴν καλῶς εἶπεν· ἵνα δείξῃ ὅτι παλαιὰ γέγονεν ἡ διαθήκη ἐκείνη, κατὰ τὸ μηδένα δοῦναι καρπόν. Καὶ ἵνα μάθῃς ἀκριβῶς, ἀνάγνωθι τί φησιν ὁ Ἀγγαῖος, τί ὁ Ζαχαρίας, [τί ὁ ἄγγελος], * τί δὲ Ἔσδρας ἐγκαλεῖ. [πῶς οὕτω ἔλαβεν αὐτόν;] πῶς δὲ οὐδεὶς ἐρωτᾷ Κύριον, ὅπου γε καὶ αὐτοὶ προφῆται, καὶ οὐδὲ αὐτοὶ ᾔδεσαν; Ὁρᾷς πῶς βεβαιοῦται τὸ σόν; Ἐγὼ δὲ τὸ ἐμὸν τίθημι, ὅτι καινὴ κυρίως αὕτη ἂν λέγοιτο· ἄλλως δὲ οὐδὲ ἐκεῖνο συγχωρῶ περὶ τούτου εἰρῆσθαι, τό, Ἔσται καινὸς ὁ οὐρανός. Διὰ τί γὰρ μὴ λέγων * ἐν τῷ Δευτερονομίῳ, ὅτι ἔσται χαλκοῦς ὁ οὐρανός, τοῦτο ἔθηκεν ἐν τῇ διαστολῇ, ἐὰν δὲ εἰσακούσητε, ἔσται καινός;

*ὑπὸ ὅλη τῆς ἐπανόδου πλήρεις γεγονημένης, * τό.

Ησ. ξε. ιζ. Δευτ. κη. κγ.

Καὶ μὴν διὰ τοῦτό φησιν ἑτέραν διαθήκην δοῦναι, ἐπειδὴ τῇ προτέρᾳ οὐκ ἐνέμειναν. Τοῦτο ἐγὼ δείκνυμι δι' ὧν φησι, Τὸ γὰρ ἀδύνατον τοῦ νόμου, ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκός· καὶ πάλιν, Τί πειράζετε τὸν Θεόν, ἐπιθεῖναι ζυγὸν ἐπὶ τὸν τράχηλον τῶν μαθητῶν, ὃν οὔτε οἱ πατέρες ἡμῶν, οὔτε ἡμεῖς ἰσχύσαμεν βαστάσαι; Ὅτι αὐτοὶ οὐκ ἐνέμειναν, φησίν. Ἐν τούτῳ δείκνυσιν, ὅτι μειζόνων ἡμᾶς ἀξιοῖ, καὶ πνευματικῶν. Εἰς πᾶσαν γάρ, φησι, τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. Τουτέστιν, οὐ μὴ εἴπωσιν ἕκαστος τῷ πλησίον αὐτοῦ, γνῶθι τὸν Κύριον· καὶ πάλιν, Πλησθήσεται ἡ γῆ τοῦ γνῶναι τὸν Κύριον, ὡς ὕδωρ πολὺ κατακαλύψαι θαλάσσας.

Ρωμ. η. γ. Πραξ. ιε. ι. Ψαλ. ιη. δ. Αββακ. β. ιδ.

13 Ἐν τῷ λέγειν καινήν, φησί, πεπαλαίωκε τὴν πρώτην· τὸ δὲ παλαιούμενον καὶ γηράσκον ἐγγὺς ἀφανισμοῦ. Ὁρᾷς τὸ κρυπτόμενον, ὅπως ἐξεκάλυψεν αὐτὴν τοῦ προφήτου τὴν διάνοιαν. Ἐτίμησε τὸν νόμον, καὶ οὐκ ἠθέλησεν αὐτὸν εἰπεῖν παλαιὸν ὀνόματι· πλὴν μέντοι τοῦτο εἶπεν. Εἰ γὰρ ἐκεῖνο καινὸν ἦν, οὐκ ἂν καὶ τοῦτο τὸ μετὰ ταῦτα καινὸν ἐκάλεσεν. Ὥστε πλέον τι δίδοις καὶ ἕτερον, ἐπαλαιώθη, φησίν· οὐκοῦν καταλύεται καὶ ἀπόλλυται, καὶ οὐκέτι ἐστί. Λαβὼν παρὰ τοῦ προφήτου τὴν παρρησίαν, μᾶλλον αὐτοῦ καθάπτεται συμφερόντως, δείκνυς ὅτι τὰ ἡμέτερα νῦν ἀνθεῖ· τουτέστιν, ἔδειξεν οὖσαν παλαιάν. Εἶτα λαβὼν τὸ τῆς παλαιᾶς ὄνομα, καὶ ἕτερον παρ' ἑαυτοῦ προστίθησι, τὸ γῆρας, τὸ λειπόμενον ἀπὸ τῶν ἄλλων ἔλαβε, καί φησιν, ἐγγὺς ἀφανισμοῦ. Οὐκ ἄρα ἁπλῶς κατέπαυσεν ἡ καινὴ τὴν παλαιάν, ἀλλ' ὡς γεγηρακυῖαν, ὡς οὐ χρήσιμον. Διὰ τοῦτο ἔλεγε, διὰ τὸ ἀσθενὲς

Ὁρᾷς, φησιν, ὅσῳ βελτίων ἡ λειτουργία τῆς λειτουργίας, εἴγε ἐκείνη μὲν ὑπόδειγμα καὶ τύπος, αὕτη δὲ ἀλήθεια. ἀλλ' οὐδὲν τοῦτο ὠφελεῖ τοὺς ἀκούοντας, οὐδὲ εὐφραίνει. διά τοι τοῦτο ὃ μάλιστα αὐτοὺς εὐφραίνει, λέγει. Ἥτις ἐπὶ κρείττοσιν ἐπαγγελίαις νενομοθέτηται.

Ἐπάρας* ἀπὸ τοῦ τόπου καὶ τοῦ ἱερέως καὶ τῆς θυσίας, τότε καὶ τῆς διαθήκης τὸ μέσον τίθησι· εἰπὼν μὲν καὶ πρότερον, ὅτι ἐδείκνυ ὅτι ἀσθενὴς ἦν καὶ ἀνωφελής. καὶ ὅρα οἷα τίθησιν ἀσφαλίσματα, μέλλων αὐτῆς κατηγορεῖν. ἐκεῖ γὰρ εἰπών, κατὰ δύναμιν ζωῆς ἀκαταλύτου, τότε εἶπεν, ὅτι ἀθέτησις γίνεται προαγούσης ἐντολῆς. εἶτα καὶ ὕστερον μέγα τι ἔθηκεν εἰπών, δι' ἧς ἐγγίζομεν τῷ Θεῷ. ἐνταῦθα δὲ ὑμᾶς εἰς τὸν οὐρανὸν ἀναγαγών, καὶ δείξας ὅτι ἀντὶ τοῦ ἱεροῦ τὸν οὐρανὸν ἔχομεν, καὶ ὅτι τύποι ἦσαν τῶν ὑμετέρων ἐκεῖνα, καὶ τὴν λειτουργίαν ἐπάρας τούτοις, καὶ τὴν ἱερωσύνην εἰκότως ἐπαίρει λοιπόν. ἀλλ' (ὅπερ ἔφην) ὃ μάλιστα αὐτοὺς εὐφραίνει τίθησι λέγων, ἥτις ἐπὶ κρείττοσιν ἐπαγγελίαις νενομοθέτηται. πόθεν τοῦτο δῆλον; ἐξ ὧν αὕτη μὲν ἐξεβλήθη, ἐκείνη δὲ ἀντεισήχθη. διὰ γὰρ τοῦτο κρατεῖ, ὅτι βελτίων. ὥσπερ γὰρ λέγει, ὅτι εἰ [ἡ] τελείωσις δι' αὐτῆς ἦν, τίς ἔτι χρεία κατὰ τὴν τάξιν Μελχισεδὲκ ἕτερον ἀνίστασθαι ἱερέα; οὕτω καὶ ἐνταῦθα τῷ αὐτῷ συλλογισμῷ κέχρηται λέγων,

* ὑπ

7 Εἰ γὰρ ἡ πρώτη ἐκείνη ἦν ἄμεμπτος, οὐκ ἂν δευτέρας ἐζητεῖτο τόπος.

Τουτέστιν, εἰ οὐδὲν εἶχεν ἐλλιπές, εἰ ἀμέμπτους ἐποίει. ὅτι γὰρ περὶ τούτου φησίν, ἄκουε τὸ ἑξῆς·

8 Μεμφόμενος δὲ αὐτοῖς λέγει. Οὐκ εἶπε, μεμφόμενος δὲ αὐτῇ, ἀλλά, μεμφόμενος δὲ αὐτοῖς λέγει, Ἰδού, ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ συντελέσω ἐπὶ τὸν οἶκον τοῦ Ἰσραήλ, καὶ ἐπὶ τὸν οἶκον Ἰούδα διαθήκην καινήν·

Ἱερ. λα. λγ.

9 Οὐ κατὰ τὴν διαθήκην, ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν, ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν, ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου· ὅτι αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ διαθήκῃ μου, κἀγὼ ἠμέλησα αὐτῶν, λέγει Κύριος.

Ἑβρ. ζ. 19.

Ναί, φησι. καὶ πόθεν δῆλον, ὅτι τέλος ἔλαβεν; ἔδειξε μὲν οὖν καὶ ἀπὸ τοῦ ἱερέως τοῦτο· δείκνυσι δὲ τρανότερον νῦν αὐτολεξεί, ὅτι ἐκβέβληται. πῶς δέ; ἐπὶ κρείττοσιν ἐπαγγελίαις, εἰπών. ποῦ γὰρ ἴσον, εἰπέ μοι, γῆ καὶ οὐρανός; σὺ δὲ θεώρει πῶς κἀκεῖ ἐπαγγελίας φησίν, ἵνα μὴ ταύτης τοῦτο κατηγορῇς. καὶ γὰρ ἐκεῖ, δι' ἧς ἐγγίζομεν τῷ Θεῷ ἐλπίδος φησὶ κρείττονος, δεικνὺς ὅτι "κἀκεῖ ἐλπίς· καὶ ἐνταῦθα, ἐπαγγελίας κρείττονος, αἰνιττόμενος ὅτι καὶ ἐκεῖ ἐπηγγείλατο. ἐπειδὴ δὲ ἐνεκάλουν ἀεί, ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, φησι, καὶ συντελέσω ἐπὶ τὸν οἶκον Ἰσραήλ, καὶ ἐπὶ τὸν οἶκον Ἰούδα διαθήκην καινήν. οὐ παλαιάν τινα διαθήκην φησίν. ἵνα γὰρ μὴ τοῦτο ἔχωσι λέγειν, καὶ τὸν χρόνον ὥρισεν. οὐ γὰρ ἁπλῶς εἶπε, κατὰ τὴν διαθήκην, ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν, ἵνα μὴ τὴν πρὸς τὸν Ἀβραὰμ γεγενημένην εἴπῃς, ἢ τὴν πρὸς τὸν Νῶε· ἀλλὰ ποίαν δηλῶν, φησιν, οὐ κατὰ τὴν διαθήκην, ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν τοῖς ἐν τῇ ἐξόδῳ*. διὸ καὶ ἐπήγαγεν, ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν, ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου· ὅτι αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ διαθήκῃ μου, κἀγὼ ἠμέλησα αὐτῶν, λέγει Κύριος. ὁρᾷς πρότερον παρ' ἡμῶν ἀρχόμενα τὰ κακά; αὐτοί, φησι, πρότεροι οὐκ ἐνέμειναν. λοιπὸν καὶ παρ' ἡμῶν ἡ ἀμέλεια· τὰ δὲ ἀγαθὰ παρ' αὐτοῦ, τὰ τῆς εὐεργεσίας, λέγω. ἐνταῦθα ὥσπερ ἀπολογίαν τίθησιν, αὐτὴν τὴν αἰτίαν δεικνύς, δι' ἣν ἐγκαταλιμπάνει αὐτούς.

χ. κἀκεῖνο
* λέγων

10 Ὅτι αὕτη ἡ διαθήκη, φησίν, ἣν διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ μετὰ τὰς ἡμέρας ἐκείνας, λέγει Κύριος, διδοὺς νόμους μου εἰς τὴν διάνοιαν αὐτῶν, καὶ ἐπὶ καρδίας αὐτῶν ἐπιγράψω αὐτούς· καὶ ἔσομαι αὐτοῖς εἰς Θεόν, καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαόν.

Οὕτω περὶ τῆς "καινῆς ταῦτά φησιν, ὅτι λέγει, οὐ κατὰ τὴν διαθήκην, ἣν διεθέμην. ποία

χ. κοινῆς

δὲ

τοίνυν εἰσὶν οἱ λέγοντες κινεῖσθαι τὸν οὐρανόν; ποῦ εἰσιν οἱ σφαιροειδῆ αὐτὸν εἶναι ἀποφαινόμενοι; ἀμφότερα γὰρ ταῦτα ἀνῄρηται ἐνταῦθα. κεφάλαιον δέ, φησιν, ἐπὶ τοῖς λεγομένοις. κεφάλαιον ἀεὶ τὸ μέγιστον λέγεται. πάλιν κατάγει τὸν λόγον· εἰπὼν τὸ ὑψηλόν, ἀδεῶς φθέγγεται λοιπὸν τὰ ταπεινά. εἶτα, ἵνα μάθῃς ὅτι τὸ, λειτουργός, περὶ τῆς ἀνθρωπότητος εἴρηται, ὅρα πῶς πάλιν ἐπισημαίνεται.

3 Πᾶς γὰρ ἀρχιερεύς, φησιν, εἰς τὸ προσφέρειν δῶρά τε καὶ θυσίας καθίσταται· ὅθεν ἀναγκαῖον ἔχειν τι καὶ τοῦτον ὃ προσενέγκῃ.

Μή, ἐπειδὴ ἀκούεις ὅτι κάθηται, ψιλὸν εἶναι νομίσῃς τὸ ἀρχιερέα αὐτὸν εἰρῆσθαι. ἐκεῖνο μὲν γὰρ τῆς ἀξίας τοῦ Θεοῦ, τὸ καθῆσθαι· τοῦτο δὲ τῆς φιλανθρωπίας τῆς πολλῆς, καὶ τῆς εἰς ἡμᾶς κηδεμονίας. διὰ τοῦτο αὐτὸ λιπαίνει, καὶ τούτῳ πλέον ἐνδιατρίβει. δέδοικε γὰρ μὴ ἐκεῖνο ἀνατρέψῃ. διὰ τοῦτο πάλιν ἐπὶ τοῦτο κατάγει τὸν λόγον, ἐπειδὴ ἐζήτουν τινὲς τίνος ἕνεκεν ἀπέθανεν. ἱερεὺς ἦν· ἱερεὺς δὲ χωρὶς θυσίας οὐκ ἔστι. δεῖ τοίνυν καὶ τοῦτον ἔχειν θυσίαν. ἄλλως δέ, εἰπὼν ὅτι ἄνω ἐστί, λέγει καὶ δείκνυσιν ὅτι ἱερεύς ἐστι πάντοθεν, ἀπὸ τοῦ Μελχισεδέκ, ἀπὸ τοῦ ὅρκου, ἀπὸ τοῦ προσενεγκεῖν θυσίαν. ἐκ τούτου λοιπὸν καὶ ἀναγκαῖον ἄλλον πλέκει συλλογισμόν.

χ. -τεν. ἱερὰς ὢν ἱερ.

4 Εἰ μὲν γὰρ ἦν ἐπὶ γῆς, φησιν, οὐδ' ἂν ἦν ἱερεύς, ὄντων τῶν ἱερέων τῶν προσφερόντων κατὰ τὸν νόμον τὰ δῶρα. Εἰ τοίνυν ἐστὶν ἱερεύς, φησιν, ὥσπερ οὖν καὶ ἔστι· δεῖ αὐτὸν τόπον ζητῆσαι ἕτερον. ἐπὶ γῆς μὲν γὰρ ὤν, οὐκ ἂν ἦν ἱερεύς. πῶς γάρ; οὐ προσήνεγκεν, οὐχ ἱεράσατο. καὶ εἰκότως· ἦσαν γὰρ οἱ ἱερεῖς. καὶ δείκνυσιν, ὅτι οὐδὲ δυνατὸν ἐπὶ γῆς εἶναι ἱερέα. πῶς γάρ; ἐπεὶ οὐδὲ ἐπωμάσατο τις ἦν, φησιν. ἐνταῦθα ἀναγκαῖον συστῆσαι τὸν νοῦν, καὶ συνιδεῖν τὴν ἀποστολικὴν σύνεσιν. πάλιν γὰρ τὴν διαφορὰν δείκνυσι τῆς ἱερωσύνης.

γ. ἐφαπλῶσαι

5 Οἵτινες, φησιν, ὑποδείγματι καὶ σκιᾷ λατρεύουσι τῶν ἐπουρανίων.

Τίνα λέγει ἐνταῦθα ἐπουράνια; τὰ πνευματικά. εἰ γὰρ καὶ ἐπὶ γῆς τελεῖται, ἀλλ' ὅμως τῶν οὐρανῶν εἰσιν ἄξια. ὅταν γὰρ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς κεῖται ἐσφαγμένος, ὅταν Πνεῦμα παραγίνηται, ὅταν ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρὸς ἐνταῦθα ᾖ, ὅταν υἱοὶ γίνωνται διὰ τοῦ λουτροῦ, ὅταν πολῖται ὦσι τῶν ἐν οὐρανοῖς, ὅταν πατρίδα ἔχωμεν ἐκεῖ, καὶ πόλιν καὶ πολίτευμα, ὅταν ξένοι ὦμεν τῶν ἐνταῦθα, πῶς οὐκ ἐπουράνια ταῦτα πάντα τυγχάνει; ἀλλὰ τί; οἱ ὕμνοι οὐκ ἐπουράνιοι; οὐχ ἅπερ ἄνω ᾄδουσιν οἱ θεῖοι χοροὶ τῶν ἀσωμάτων δυνάμεων, ταῦτα καὶ ἡμεῖς οἱ κάτω συνῳδὰ ἐκείνοις φθεγγόμεθα; οὐχὶ καὶ τὸ θυσιαστήριον ἐπουράνιον; πῶς; οὐδὲν ἔχει σαρκικόν, πάντα πνευματικὰ γίνεται τὰ προκείμενα· οὐκ εἰς τέφραν, οὐκ εἰς καπνόν, οὐκ εἰς κνίσσαν διαχεῖται ἡ θυσία, ἀλλὰ λαμπρὰ καὶ φαιδρὰ ἐργάζεται τὰ προκείμενα. πῶς δὲ οὐκ οὐράνια τὰ τελούμενα, ὅταν οἱ διακονούμενοι αὐτοῖς ἀκούωσιν ἔτι ἐξ οὗ εἴρηται, Ἄν τινων κρατῆτε, κεκράτηνται· ἄν τινων ἀφῆτε, ἀφίενται; Ιωαν. κ. κγ. πῶς οὐκ οὐράνια πάντα, ὅταν οὗτοι καὶ τὰς κλεῖς ἔχωσι τοῦ οὐρανοῦ; οἵτινές, φησιν, ὑποδείγματι καὶ σκιᾷ λατρεύουσι τῶν ἐπουρανίων, Καθὼς κεχρημάτισται Μωϋσῆς, μέλλων ἐπιτελεῖν Ἐξοδ. κε μ. τὴν σκηνήν. ὅρα γάρ, φησι, ποιήσεις πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει.

Ἐπειδὴ ἡ ἀκοὴ ἡμῶν ἀμαθεστέρα τῆς ὄψεώς ἐστιν (οὐ γὰρ οὕτως ἅπερ ἂν ἀκούσωμεν, τῇ ψυχῇ παρακατατιθέμεθα, ὡς ἅπερ ἂν ἴδωμεν αὐταῖς ὄψεσιν) ἔδειξεν αὐτῷ πάντα. ἢ τοίνυν τοῦτο λέγει, ὑποδείγματι καὶ σκιᾷ· ἢ περὶ τοῦ ναοῦ αἰνίττεται. ἐπήγαγε γάρ, ὅρα, ποιήσεις πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει. ἆρα περὶ τῆς κατασκευῆς τοῦ ναοῦ μόνον, ἢ περὶ τῶν θυσιῶν εἶπε, καὶ τῶν ἄλλων ἁπάντων; μᾶλλον δὲ οὐκ ἄν τις ἁμάρτοι καὶ τοῦτο εἰπών. οὐρανία γάρ ἐστιν ἡ ἐκκλησία, καὶ οὐδέν ἐστιν ἄλλο, ἢ οὐρανός.

χ. ἄρα ἡ περὶ χ ἄλλα ἢ τι-εὶ
χ. -τον. μά.

6 Νυνὶ δὲ διαφορωτέρας τέτυχε λειτουργίας, ὅσῳ καὶ κρείττονός ἐστι διαθήκης μεσίτης.



Digitized by Google

χθῇ, καὶ οὐδὲν ἔρι, ἐὰν μὴ ταχὺ μεθύῃ. διὰ τί γὰρ ἐπ' ἀγορᾶς καθήμενος, κἂν ἐπὶ οἰκίας τοῦτο ποιῇς, ἐκεῖ οὐ ποιεῖς; ἆρα οὐχὶ διὰ τοὺς παρόντας; διὰ τί ἐπὶ τῆς γυναικός σου [ταχέως] δὲ αὐτὸ μὴ ποιεῖς; ἆρα οὐχ ἵνα μὴ αὐτὴν ὑβρίσῃς; ἵνα μὴ ὑβρίσῃς τοίνυν τὴν γυναῖκά σου, οὐ ποιεῖς· τὸν δὲ Θεὸν ὑβρίζων οὐκ ἐρυθριᾷς; πανταχοῦ γὰρ πάρεστι, καὶ πάντα ἀκούει. μὴ μέθυε, φησί. καλῶς. τοῦτο γὰρ καὶ αὐτὸ καθ' ἑαυτὸ οὐ κόλασις; οὐκ εἶπε, κατάτεινον τὸ σῶμα, ἀλλὰ τί; μὴ μέθυε· τουτέστι, μὴ οὕτως αὐτὸ ἐκτραχηλίσῃς, ὡς τῆς ψυχῆς ἀφελέσθαι τὴν ἀρχήν. τί οὖν; οὐ χρὴ προνοεῖσθαι τοῦ σώματος; μὴ γένοιτο· οὐ τοῦτο λέγω, ἀλλ' εἰς ἐπιθυμίας αὐτοῦ μὴ προνόει. οὕτω γὰρ καὶ Παῦλος ἐκέλευσε λέγων, Καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας. μὴ ἅρπαζε, φησί, τὰ μὴ σά, μὴ πλεονέκτει, μὴ ἐπιόρκει. ποίων πόνων ταῦτα δεῖται; ποίων ἱδρώτων; μὴ κακηγόρει, φησί, μηδὲ συκοφάντει. ποῖον ἔχει τοῦτο πόνον; τοὐναντίον μὲν οὖν πόνος. ὅταν μὲν γὰρ εἴπῃς κακῶς, εὐθέως ἐν κινδύνῳ εἶ, ἐν ὑποψίᾳ. μὴ ἤκουσε περὶ οὗ εἶπον, ἄν τε μέγας ᾖ, ἄν τε μικρός; ἂν μὲν γὰρ μέγας ᾖ, ἐν ἔργοις κινδυνεύσεις εὐθέως· ἂν δὲ μικρός, τοῖς ἴσοις σε ἀμείψεται, μᾶλλον δὲ καὶ πολλῷ χαλεπωτέροις. μειζόνως γάρ σε ἐρεῖ κακῶς. οὐδὲν δύσκολον, οὐδὲν φορτικὸν ἐπιτάγμεθα, ἂν βουλώμεθα· ἂν δὲ μὴ βουλώμεθα, καὶ τὰ ῥᾷστα φορτικὰ ἡμῖν φανεῖται. τί τοῦ φαγεῖν ῥᾷον; ἀλλ' ὑπὸ πολλῆς βλακείας πολλοὶ καὶ πρὸς τοῦτο δυσχεραίνουσι· πολλῶν δὲ ἀκούω λεγόντων, ὅτι καὶ τὸ φαγεῖν κάματος. οὐδὲν τούτων ἔχει κάματον, ἂν θέλῃς. ἐν γὰρ τῷ θέλειν πάντα κεῖται, μετὰ τὴν ἄνωθεν χάριν. θελήσωμεν οὖν τὰ ἀγαθά, ἵνα καὶ τῶν αἰωνίων τύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ.

Ῥωμ. ιγ. ιδ'.

γρ. χαίρει, γρ. ἐπὶ οἰκίας ποιεῖς,

γρ. κατηγόρει,

χιζ'. π.

## Λόγ. ιδ'. 1 ΚΕΦΑΛΑΙΟΝ ΔΕ ΕΠΙ ΤΟΙΣ ΛΕΓΟΜΕνοις, τοιοῦτον ἔχομεν ἀρχιερέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς· 2 Τῶν ἁγίων λειτουργὸς, καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ Κύριος, καὶ οὐκ ἄνθρωπος.

ἈΝαμίγνυσι τὰ ταπεινὰ τοῖς ὑψηλοῖς ὁ Παῦλος, ὁ ἀεὶ τὸν διδάσκαλον μιμούμενος τὸν αὐτοῦ, ὥστε τὰ ταπεινὰ τοῖς ὑψηλοῖς ἰδεῖν γενέσθαι, καὶ διὰ τούτων ἐπ' ἐκεῖνα χειραγωγηθῆναι, καὶ γινομένους ἐν τοῖς μεγάλοις, μανθάνειν ὅτι ταῦτα συγκαταβάσεως ἦν. τοῦτο γοῦν καὶ ἐνταῦθα ποιεῖ. εἰπὼν γὰρ ὅτι ἀνήνεγκεν ἑαυτόν, καὶ ἀρχιερέα δείξας, ἐπάγει, κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις, τοιοῦτον ἔχομεν ἀρχιερέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς. καίτοι τοῦτο οὐχὶ ἱερέως, ἀλλὰ τούτου ᾧ ἱερᾶσθαι ἐκεῖνον χρή. τῶν ἁγίων λειτουργὸς, [οὐδὲ λειτουργὸς ἁπλῶς, ἀλλὰ τῶν ἁγίων λειτουργός,] καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ Κύριος, καὶ οὐκ ἄνθρωπος. ὁρᾷς τὴν συγκατάβασιν; οὐχὶ πρὸ μικροῦ διῄει λέγων, Οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα; καὶ διὰ τοῦτο οὐδὲ ἀκούουσι, Κάθου ἐκ δεξιῶν μου· τοῦτο δέ φησιν, ὡς τοῦ καθημένου πάντως οὐκ ὄντος λειτουργοῦ. ὥστε τοῦτο ἀκούει διὰ τὴν σάρκα. σκηνὴν δὲ ἐνταῦθα τὸν οὐρανὸν λέγει. διὸ καὶ τὸ διαφορὰν δεικνὺς πρὸς τὴν Ἰουδαϊκήν, ἐπάγει λέγων, ἣν ἔπηξεν ὁ Κύριος, καὶ οὐκ ἄνθρωπος. ὅρα πῶς ἦρε τὰς ψυχὰς τῶν ἐξ Ἰουδαίων πεπιστευκότων, τοῦτο εἰπών. ἐπειδὴ γὰρ εἰκὸς ἦν αὐτοὺς φαντάζεσθαι, ὅτι σκηνὴν οὐκ ἔχομεν τοιαύτην· ἰδού, φησιν, ὁ ἱερεύς, καὶ μέγας, καὶ πολὺ μείζων ἐκείνου, καὶ θυσίαν θαυμασιωτέραν προσήνεγκεν. ἀλλ' ἆρα μὴ λόγος ταῦτα, μὴ κόμπος καὶ ψυχαγωγία; ἀλλὰ διὰ τοῦτο ἐπιστώσατο πρότερον ἀπὸ τοῦ ὅρκου, λοιπὸν δὲ καὶ ἀπὸ τῆς σκηνῆς. ἦν μὲν οὖν καὶ αὕτη δήλη ἡ διαφορά· ὅσον δὲ καὶ ἑτέραν ἐποίει. ἣν ἔπηξεν ὁ Κύριος, φησί, καὶ οὐκ ἄνθρωπος. ποῦ

Ἑβρ. α. ιδ'.

γρ. τοῦτο φησι Καθ.

τοίνυν

Digitized by Google

πέ μοι; ἵνα δὲ ἐπὶ ὑποδείγματος τὸ πρᾶγμα ποιήσω φανερώτερον, ἔστωσαν δύο στρατιῶται, καὶ ὁ μὲν κλεπτέτω, ἀδικείτω, πλεονεκτείτω· ὁ δὲ μηδὲν τοιοῦτον ἐργαζέσθω, ἀλλὰ ἀνδραγαθείτω, μεγάλα κατορθούτω, ἐν πολέμοις τρόπαια ἱστάτω, αἱματτέτω τὴν δεξιάν. εἶτα καιροῦ ἐπιστάντος, ὁ μὲν ἀπὸ τῆς ἀξίας ἐκείνης, ἐν ᾗ καὶ ὁ κλέπτης ἦν, ἀρθεὶς ἐπὶ τὸν βασιλικὸν θρόνον καὶ τὴν ἁλουργίδα ἀγέσθω. ἐκεῖνος δὲ ὁ κλέπτης ἐκεῖ μενέτω, ἔνθα ἦν· ἀπὸ δὲ τῆς φιλανθρωπίας μόνον τῆς βασιλικῆς μὴ διδότω δίκην ὧν ἔδρασεν. ἐν μέντοι τῷ ἐσχάτῳ τόπῳ ἔστω, καὶ ὑπὸ τῷ βασιλεῖ τελείσθω. ἆρα οἴσει τὴν ἀθυμίαν, εἰπέ μοι, ὅταν ἴδῃ τὸν μὲν μετ' αὐτοῦ πρὸς αὐτὴν ἄνω ἀνελθόντα τῶν ἀξιωμάτων τὴν κορυφήν, καὶ οὕτω λαμπρὸν γενόμενον, καὶ τῆς οἰκουμένης κρατοῦντα, ἑαυτὸν δὲ ἔτι κάτω μένοντα, καὶ οὐδὲ αὐτὸ τὸ μὴ κολασθῆναι μετὰ τιμῆς ἔχοντα, ἀλλ' ἀπὸ τῆς χάριτος καὶ τῆς φιλανθρωπίας τοῦ βασιλέως; κἂν γὰρ ἀφῇ ὁ βασιλεύς, καὶ ἐγκλημάτων ἀπαλλάξῃ, ἀλλ' ὅμως αἰσχυνόμενος εἴσεται. οὐ γὰρ δὴ καὶ ἄλλοι αὐτὸν θαυμάσονται. ἐν γὰρ ταῖς τοιαύταις συγχωρήσεσιν, οὐ τοὺς λαμβάνοντας τὰ δῶρα, ἀλλὰ τοὺς διδόντας θαυμάζομεν. καὶ ὅσῳ ἂν μείζονα δῶσι δῶρα, τοσούτῳ μᾶλλον καταισχύνονται οἱ λαμβάνοντες, ὅταν μεγάλα ᾖ αὐτοῖς τὰ ἡμαρτημένα. ποίοις οὖν ὀφθαλμοῖς ἀντιβλέψαι δυνήσεται ὁ τοιοῦτος τοῖς ἐν τοῖς βασιλείοις οὖσιν, ἐκείνων μυρίους ἱδρῶτας καὶ τραύματα ἐπιδεικνυμένων, αὐτὸς οὐδὲν ἔχων ἐπιδεῖξαι, ἀλλὰ καὶ αὐτὸ τὸ σωθῆναι ἀπὸ μόνης τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἔχων; ὥσπερ γὰρ εἴ τις ἀνδροφόνον, κλέπτην, μοιχὸν μέλλοντα ἀπάγεσθαι * ἐξαρπάσαιτο, καὶ κελεύσειεν εἶναι παρὰ τὰ πρόθυρα τῶν βασιλείων, οὐδενὶ δυνήσεται ἀντιβλέψαι ἐκεῖνος λοιπόν, εἰ καὶ τῆς τιμωρίας ἀπήλλακται· οὕτω δὴ καὶ ἐστί. μὴ γὰρ δή, ἐπειδὴ βασιλεία λέγεται, νομίσητε πάντας τῆς αὐτῆς τυγχάνειν. εἰ γὰρ ἐνταῦθα καὶ ὁ ὕπαρχος, καὶ πάντες οἱ περὶ τὸν βασιλέα, καὶ οἱ σφόδρα καταδεέστεροι, καὶ τὸν τῶν λεγομένων δεκανῶν τόπον ἐπέχοντες ἐν τοῖς βασιλείοις εἰσί, καίτοι τοσούτου ὄντος τοῦ μέσου τοῦ ὑπάρχου καὶ τοῦ δεκανοῦ· πολλῷ μᾶλλον ἐν τοῖς ἄνω βασιλείοις τοῦτο ἔσται. καὶ τοῦτο οὐκ ἀπ' ἐμαυτοῦ λέγω. καὶ γὰρ ἑτέραν τούτων μείζονα τίθησι διαφορὰν ὁ Παῦλος. ὅση γὰρ διαφορά, φησιν, ἀπὸ ἡλίου ἕως σελήνης καὶ ἀστέρων καὶ τοῦ μικροτάτου ἀστέρος, τοσαύτη καὶ τῶν ἐν τῇ βασιλείᾳ. καὶ ὅτι πολλῷ πλεῖον τοῦ δεκανοῦ λεγομένου καὶ τοῦ ὑπάρχου, τοῦ ἡλίου καὶ τοῦ μικροτάτου ἀστέρος τὸ διάφορον, δῆλον ἅπασιν. ὁ μὲν γὰρ ἥλιος πᾶσαν ὁμοῦ καταλάμπει τὴν οἰκουμένην, καὶ φαιδρὰν ποιεῖ, καὶ σελήνην καὶ ἀστέρας ἀποκρύπτει· ὁ δὲ πολλάκις οὐδὲ φαίνεται, καὶ ταῦτα ἐν σκότῳ. πολλοὶ γάρ εἰσι τῶν ἀστέρων, οὓς οὐχ ὁρῶμεν. ὅταν οὖν ἑτέρους ὁρῶμεν ἡλίους γινομένους, ἡμεῖς δὲ τῶν ἀστέρων τῶν σμικροτάτων τὴν τάξιν ἔχωμεν τῶν οὐδὲ φαινομένων, τίς ἔσται ἡμῖν παραμυθία; μή, παρακαλῶ, μὴ οὕτω νωθεῖς ὦμεν, μὴ οὕτως ἀργοί, μὴ πραγματευώμεθα τὴν παρὰ τοῦ Θεοῦ σωτηρίαν εἰς ῥᾳθυμίαν, ἀλλ' ἐμπορευώμεθα αὐτήν, καὶ πληθύνωμεν. κἂν γὰρ κατηχούμενός τις ᾖ, ἀλλὰ τὸν Χριστὸν οἶδεν, ἀλλὰ τὴν πίστιν ἔγνω, ἀλλὰ τῶν θείων ἐπακούει λόγων, ἀλλ' οὐ πόρρω ἐστὶ τῆς θείας γνώσεως, οἶδε τὸ θέλημα τοῦ δεσπότου αὐτοῦ. τίνος οὖν ἕνεκεν ἀναβάλλεται; τίνος ἕνεκεν μέλλει καὶ ὑπερτίθεται; οὐδὲν βίου κρεῖττον καλοῦ, καὶ ἐνταῦθα, κἀκεῖ, καὶ ἐπὶ φωτιζομένων, καὶ ἐπὶ κατηχουμένων. τί γάρ, εἰπέ μοι, φορτικὸν ἐπιταττόμεθα; ἔχε, φησί, γυναῖκα, καὶ σωφρόνει. τοῦτο φορτικόν, εἰπέ μοι; καὶ πῶς, ὅπου γε πολλοὶ καὶ χωρὶς γυναικὸς σωφρονοῦσιν, οὐ χριστιανοὶ μόνον, ἀλλὰ καὶ Ἕλληνες; ὃ ὑπερβαίνει τοίνυν ὁ Ἕλλην διὰ κενοδοξίαν, σὺ οὐδὲ τοῦτο τηρεῖς διὰ τὸν φόβον τοῦ Θεοῦ; δίδου, φησί, πένησιν ἐκ τῶν ὄντων. τοῦτο φορτικόν; ἀλλὰ καὶ ἐν τούτῳ κατῃσχύνουσιν ἡμᾶς Ἕλληνες, ὁλοκλήρους οὐσίας κενώσαντες διὰ κενοδοξίαν μόνην. μὴ αἰσχρολόγει. τοῦτο δύσκολον; εἰ γὰρ μὴ ἐπετέτακτο, ἐχρῆν αὐτὸ κατορθοῦν, ἵνα μὴ ἄτιμοι φαινώμεθα; ὅτι γὰρ τὸ ἐναντίον δύσκολον, τὸ αἰσχρολογεῖν λέγω, δῆλον ἐξ ὧν αἰδεῖται ἡ ψυχὴ καὶ ἐρυθριᾷ, ἐάν τι τοιοῦτον εἴπῃ παρα-

Margin notes: χ. τοῦ | χ. ὄντως | * πρὸς θάνατον, ἢ εἶναι | χ. βασίλεια | χ. τὸ περὶ τὸν ὕπαρχον καὶ τὸν δεκανόν | χ. μίχει | α Κορ. ιε μα. | χ. διὰ τοῦ Θεοῦ τὴν σωτηρίαν | χ. τὸ τί δύσκολον ἢ πῶς, | Τωβ. δ.

ἅπαξ προσενεχθεῖσα, τοσοῦτον ὅσον αἱ πᾶσαι οὐκ ἴσχυσαν. ἀλλ' οὔπω περὶ τούτου. τοσοῦτον δὲ πλέον φησί· τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ. τοῦτο, ποῖον; ἀναγκαῖον γὰρ ἔχειν, φησί, τι καὶ τοῦτον ὃ προσενέγκῃ· οὐ δὲ ὑπὲρ ἑαυτοῦ. πῶς γὰρ ὑπὲρ ἑαυτοῦ προσέφερεν ἀναμάρτητος ὤν; ἀλλ' ὑπὲρ τοῦ λαοῦ. τί λέγεις; καὶ οὐ δεῖται τοῦ προσφέρειν ὑπὲρ ἑαυτοῦ, ἀλλ' ἰσχύει τοσοῦτον; ναί, φησιν. ἵνα γὰρ μὴ νομίσῃς τὸ, ἐποίησεν ἐφάπαξ, καὶ περὶ αὐτοῦ εἴρησθαι, ἄκουσον τί ἐπάγει.

28 Ὁ νόμος γὰρ ἀνθρώπους καθίστησιν ἀρχιερεῖς ἔχοντας ἀσθένειαν.

* Διὰ τοῦτο καὶ ἀεὶ ὑπὲρ ἑαυτῶν προσφέρουσιν. ὁ μέντοι δυνατὸς ὤν, ὁ μὴ ἔχων ἁμαρτίαν, τίνος ἕνεκεν ὑπὲρ ἑαυτοῦ προσφέρῃ; ἄρα οὐχ ὑπὲρ ἑαυτοῦ, ἀλλ' ὑπὲρ τοῦ λαοῦ προσέφερε· καὶ τοῦτο ἐφάπαξ. Ὁ λόγος δὲ τῆς ὁρκωμοσίας τῆς μετὰ τὸν νόμον, υἱὸν εἰς τὸν αἰῶνα τετελειωμένον. [Τετελειωμένον τί ἐστι;] ὅρα· οὐ τίθησι τὰς ἀντιδιαστολὰς ὁ Παῦλος κυρίας. εἰπὼν γάρ, ἔχοντας ἀσθένειαν, οὐκ εἶπεν υἱὸν δυνατόν, ἀλλὰ τετελειωμένον· τουτέστι, δυνατόν, ὡς ἂν εἴποι τις. ὁρᾷς ὅτι * τὸ, υἱός, ὄνομα πρὸς ἀντιδιαστολὴν τοῦ δούλου εἴρηται; ἀσθένειαν δὲ, ἢ τὴν ἁμαρτίαν φησίν, ἢ τὸν θάνατον. τί ἐστιν, εἰς τὸν αἰῶνα; οὐ νῦν μόνον ἀναμάρτητον, φησιν, ἀλλ' ἀεί. εἰ τοίνυν τέλειός ἐστιν, εἰ μηδέποτε ἁμαρτάνει, εἰ ἀεὶ ζῇ, τίνος ἕνεκεν προσοίσει πολλάκις ὑπὲρ ἡμῶν θυσίας; ἀλλὰ τέως μὲν ὑπὲρ τούτου οὐκ ἰσχυρίζεται· ὑπὲρ δὲ τοῦ μὴ προσφέρειν αὐτὸν ὑπὲρ ἑαυτοῦ, τοῦτο ἰσχυρίζεται.

ΗΘΙΚΟΝ

Ἐπεὶ οὖν τοιοῦτον ἔχομεν ἀρχιερέα, μιμησώμεθα αὐτὸν, καὶ κατ' ἴχνος αὐτοῦ βαίνωμεν. οὐκ ἔστιν ἄλλη θυσία· μία ἡμᾶς ἐκαθάρισε. μετὰ δὲ τοῦτο, πῦρ καὶ γέεννα. καὶ γὰρ καὶ διὰ τοῦτο ἄνω καὶ κάτω στρέφει λέγων, ἕνα ἱερέα, μίαν θυσίαν· ἵνα μή τις νομίζων πολλὰς εἶναι, ἀδεῶς ἁμαρτάνῃ. ὅσοι τοίνυν κατηξιώθημεν τῆς σφραγῖδος, ὅσοι τῆς θυσίας ἀπηλαύσαμεν, ὅσοι τῆς ἀθανάτου τραπέζης μετέχομεν, μένωμεν φυλάττοντες τὴν εὐγένειαν καὶ τὴν τιμήν. οὐ γὰρ ἀκίνδυνος ἡ ἀπόπτωσις. ὅσοι δὲ μηδέπω κατηξιώθησαν τούτων, μηδὲ οὗτοι διὰ τοῦτο θαρρείτωσαν. ὅταν γάρ τις διὰ τοῦτο ἁμαρτάνῃ, ἵνα τὸ ἅγιον βάπτισμα πρὸς ἐσχάταις λάβῃ ταῖς ἀναπνοαῖς, πολλάκις οὐκ ἐπιτεύξεται. καὶ, πιστεύσατέ μοι, οὐ φοβῶν ὑμᾶς λέγω, ὃ μέλλω λέγειν. πολλοὺς οἶδα τοῦτο παθόντας ἐγώ, οἳ προσδοκίᾳ μὲν τοῦ φωτίσματος πολλὰ ἡμάρτανον· πρὸς δὲ τῇ ἡμέρᾳ τῆς τελευτῆς ἀπῆλθον κενοί. ὁ γὰρ Θεὸς διὰ τοῦτο τὸ βάπτισμα ἔδωκεν, ἵνα λύσῃ τὰς ἁμαρτίας, οὐχ ἵνα αὐξήσῃ [τὰς ἁμαρτίας]. εἰ δέ τις τούτῳ κέχρηται πρὸς ἄδειαν τοῦ πλείονα ἁμαρτάνειν, ῥᾳθυμίας λοιπὸν τοῦτο γέγονεν αἴτιον. εἰ γὰρ μὴ λουτρὸν ἦν, ἀσφαλέστερον ἔζων ἄν, ὡς οὐκ ἔχοντες ἄφεσιν. ὁρᾷς ὅτι τὸ, Ποιήσωμεν τὰ κακὰ, ἵνα ἔλθῃ τὰ ἀγαθά, ἡμεῖς ἐσμεν οἱ ποιοῦντες λέγεσθαι; διό, παρακαλῶ, καὶ ὑμεῖς οἱ ἀμύητοι νήφετε· μηδεὶς ὡς μισθωτὸς, μηδεὶς ὡς ἀγνώμων, οὕτω μετιέτω τὴν ἀρετήν, μηδεὶς ὡς βαρὺ καὶ φορτικόν. μετὰ προθυμίας τοίνυν ταύτην μετέλθωμεν, καὶ χαίροντες. εἰ γὰρ μὴ μισθὸς ἔκειτο, οὐκ ἐχρῆν εἶναι ἀγαθόν; ἀλλ' ὅμως καὶ μετὰ μισθοῦ γινώμεθα ἀγαθοί. πῶς γὰρ οὐκ αἰσχύνη τοῦτο, καὶ μεγίστη καταγνώσις, ἐὰν μὴ δῷς μοι μισθόν, φησιν, οὐ γίνομαι σώφρων; οὐκοῦν τολμῶ τι εἰπεῖν, οὐδέποτε ἔσῃ σώφρων, οὐδὲ ὅταν σωφρονῇς, εἴγε μισθοῦ αὐτὸ ποιεῖς. οὐδὲ γὰρ ἡγῇ τὴν ἀρετήν, εἴγε μὴ ἐρᾷς αὐτῆς. ἀλλ' ὁ Θεὸς διὰ τὴν πολλὴν ἡμῶν ἀσθένειαν, πῶς καὶ μισθῷ ἠθέλησεν αὐτὴν γενέσθαι· ἡμεῖς δὲ οὐδὲ οὕτω μετίεμεν αὐτήν. θῶμεν δὲ, εἰ βούλεσθε, ὅτι ἄνθρωπός τις μυρία ἐργασάμενος κακὰ ἀπιστεῖ, [καὶ] καταξιωθεὶς τοῦ βαπτίσματος· ὅπερ οὐ ταχέως οἶμαι συμβαίνειν· πῶς ἀπελεύσεται ἐκεῖ, εἰπέ μοι; ὑπὲρ μὲν τῶν εἰργασμένων οὐκ ἐγκαλούμενος, ἀπαρρησίαστος δὲ ὢν εἰκότως. ὅταν γὰρ ἑκατὸν ἔτη βιώσας, μηδὲν ἀγαθὸν ἔργον ἐπιδείξηται, ἀλλὰ μόνον ὅτι οὐχ ἥμαρτε, μᾶλλον δὲ μηδὲ τοῦτο, ἀλλ' ὅτι χάριτι μόνῃ διεσώθη, ἑτέρους δὲ ἐστεφανωμένους λαμπροὺς καὶ εὐδοκίμους ἴδῃ· κἂν εἰς γέενναν μὴ ἐμπέσῃ, ἆρα οἴσει τὴν ἀθυμίαν, εἰ-

πέ

Ρωμ. γ. η.

* ὁ οὖν · χ. τοῦ λαοῦ · χ. ἀεὶ τ. πολλάκις · * καὶ · χ. πολλάς · χ. βαπτίσματος · χ. εἶπε · χ. μισθοῦ · χ. γίνεσθαι

* ἢ θήκης γέγονεν ἔγγυος Ἰησοῦς, * καθότι ὤμοσεν αὐτῷ ἀεὶ αὐτὸν ἔσεσθαι ἱερέα, φησίν· οὐκ ἂν τοῦτο ποιήσας, εἰ μὴ ζῶν ἦν.

γ. ἀεὶ μείζων ἦν.

γ. πάντα

25 Ὅθεν καὶ σώζειν εἰς τὸ παντελὲς δύναται τοὺς προσερχομένους δι' αὐτοῦ τῷ Θεῷ, πάντοτε ζῶν εἰς τὸ ἐντυγχάνειν ὑπὲρ αὐτῶν. Ὁρᾷς ὅτι εἰς τὸ κατὰ σάρκα τοῦτό φησιν; ὅτε ἔδειξεν αὐτὸν ἱερέα, τότε εἰκότως λέγει τὸ ἐντυγχάνειν. ὥστε καὶ ὅταν λέγῃ Παῦλος, ὃς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν, τὸ αὐτὸ αἰνίττεται, ὅτι ἀρχιερεὺς ὢν ἐντυγχάνει. ἐπεὶ ὁ ἐγείρων τοὺς νεκροὺς οὓς θέλει, καὶ ζωοποιῶν οὕτως ὡς ὁ πατὴρ, πῶς ἔνθα σῶσαι δεῖ, ἐντυγχάνει; [ὁ πᾶσαν τὴν κρίσιν ἔχων, πῶς ἐντυγχάνει;] ὁ ἀποστέλλων τοὺς ἀγγέλους, ὥστε τοὺς μὲν εἰς κάμινον ἐμβαλεῖν, τοὺς δὲ σῶσαι, πῶς ἐντυγχάνει; ὅθεν, φησὶ, καὶ σώζειν δύναται. διὰ τοῦτο οὖν σώζει, ἐπειδὴ οὐκ ἀποθνήσκει. ἐπειδὴ ἀεὶ ζῇ, οὐκ ἔχει διάδοχον, φησίν· εἰ δὲ οὐκ ἔχει διάδοχον, καὶ δύναται πάντων προΐστασθαι. ἐνταῦθα μὲν γὰρ ὁ ἀρχιερεὺς, εἰ καὶ θαυμαστὸς ἦν, μέχρι τοῦ καιροῦ ἐκείνου ἐν ᾧ ἦν, οἷον ὁ Σαμουὴλ, καὶ ὅσοι τοιοῦτοι· μετὰ δὲ ταῦτα, οὐκέτι. ἐτεθνήκεισαν γάρ. ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ σώζει εἰς τὸ παντελές. τί ἐστιν, εἰς τὸ παντελές; μυστήριόν τι μέγα αἰνίττεται. οὐκ ἐνταῦθα μόνον, φησὶν, ἀλλὰ καὶ ἐκεῖ σώζει τοὺς προσερχομένους δι' αὐτοῦ τῷ Θεῷ. πῶς σώζει; πάντοτε ζῶν εἰς τὸ ἐντυγχάνειν ὑπὲρ αὐτῶν, φησίν. ὁρᾷς ὅσον τὸ ταπεινόν; εἶπε διὰ τὴν ἀνθρωπότητα; οὐ γὰρ ἅπαξ αὐτὸν ἐντυχόντα τοῦτο τυχεῖν λέγει, ἀλλ' ἀεὶ, καὶ ἡνίκα ἂν δέηται ἐντυγχάνειν ὑπὲρ αὐτῶν. τοῦτο γὰρ δηλοῖ τὸ, εἰς τὸ παντελές. τί ἐστιν εἰς τὸ παντελές; οὐ πρὸς τὸ παρὸν μόνον, φησὶν, ἀλλὰ καὶ ἐκεῖ ἐν τῇ μελλούσῃ ζωῇ. ἀεὶ οὖν δεῖται τοῦ εὔχεσθαι; καὶ πῶς ἂν ἔχοι λόγον; καὶ ἄνθρωποι μὲν πολλάκις δίκαιοι ἐκ μιᾶς αἰτήσεως τὸ πᾶν ἤνυσαν· αὐτὸς δὲ ἀεὶ δεῖται; τίνος οὖν ἕνεκεν συγκάθηται; ὁρᾷς ὅτι συγκατάβασίς ἐστι τὸ ταπεινὰ φθέγγεσθαι; ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· μὴ δὴ δείσητε, μηδὲ εἴπητε, ναὶ, φιλεῖ μὲν ἡμᾶς, καὶ παρρησίαν ἔχει πρὸς τὸν πατέρα, ἀλλ' οὐκ ἀεὶ δύναται ζῆν. ἀεὶ γὰρ ζῇ.

26 Τοιοῦτος γὰρ ἡμῖν ἔπρεπεν ἀρχιερεὺς, ὅσιος, ἄκακος, ἀμίαντος, κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν. Ὁρᾷς ὅτι περὶ τῆς ἀνθρωπότητος τὸ πᾶν εἴρηται; ὅταν δὲ εἴπω ἀνθρωπότητα, θεότητα ἔχουσαν λέγω, οὐ διαιρῶν, ἀλλὰ ἀφεὶς τὰ πρέποντα ὑπονοεῖν. εἶδες τὴν διαφορὰν τοῦ ἀρχιερέως; ἀνεκεφαλαιώσατο τὰ ἄνω λεχθέντα, ὅτι ἔλεγε, Πεπειρασμένον δὲ κατὰ πάντα καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας. Τοιοῦτος γὰρ ἡμῖν, φησὶν, ἔπρεπεν ἀρχιερεὺς, ὅσιος, ἄκακος. ἄκακος τί ἐστιν; ἀπόνηρος, οὐχ ὕπουλος. καὶ ὅτι τοιοῦτος, ἄκουε τοῦ προφήτου λέγοντος, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. τοῦτο οὖν ἄν τις περὶ Θεοῦ εἴποι; ὃ δὲ οὐκ αἰσχύνεται λέγων, ὅτι ὁ Θεὸς οὐκ ἔστιν ὕπουλος, οὐδὲ δολερός; περὶ μὲν οὖν τοῦ κατὰ σάρκα ἔχοι ἂν λόγον, ὅσιος, ἀμίαντος· καὶ τοῦτο [οὐ] περὶ τοῦ Θεοῦ εἴποι τις ἄν. * ἔχει γὰρ φύσιν [μὴ] μιαίνεσθαι. κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν. Τοῦτο οὖν μόνον δείκνυσι τὸ διάφορον, ἢ καὶ αὐτὴ ἡ θυσία; καὶ ἡ θυσία πῶς;

* ἐκ

27 Οὐκ ἔχει, φησὶ, καθ' ἡμέραν ἀνάγκην, ὥσπερ οἱ ἀρχιερεῖς, πρότερον ὑπὲρ τῶν ἰδίων ἁμαρτιῶν θυσίας ἀναφέρειν, ἔπειτα τῶν τοῦ λαοῦ. τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ, ἑαυτὸν ἀνενέγκας. Τοῦτο ποιῶν, ἐνταῦθα προανακρούεται λοιπὸν τῆς πνευματικῆς θυσίας τὴν ὑπερβολήν. καὶ τὸ μέσον εἶπε τὸ τοῦ ἱερέως, εἶπε τὸ τῆς διαθήκης, οὐχ ὅλον μὲν, εἶπε δὲ ὅμως. ἐνταῦθα προανακρούεται λοιπὸν καὶ αὐτὴν τὴν θυσίαν. μὴ τοίνυν αὐτὸν ἱερέα ἀκούσας, [ἀεὶ] ἱερᾶσθαι νόμιζε*. ἅπαξ γὰρ ἱεράσατο, καὶ λοιπὸν ἐκάθισεν. ἵνα γὰρ μὴ νομίσῃς ἄνω ἑστάναι αὐτὸν, καὶ λειτουργὸν εἶναι, δείκνυσιν ὅτι οἰκονομίας τὸ πρᾶγμα ἐστίν. ὥσπερ γὰρ δοῦλος ἐγένετο, οὕτω καὶ ἱερεὺς, καὶ λειτουργός. ἀλλ' ὥσπερ δοῦλος γενόμενος, οὐκ ἔμεινε δοῦλος· οὕτω καὶ λειτουργὸς γενόμενος, οὐκ ἔμεινε λειτουργός. οὐ γὰρ λειτουργοῦ τὸ καθῆσθαι, ἀλλὰ τὸ ἑστάναι. τοῦτο οὖν αἰνίττεται ἐνταῦθα τῆς θυσίας τὸ μέγεθος· ἣ ἤρκεσε μία οὖσα, καὶ ἅπαξ

* ἐν

Digitized by Google

μᾶλλον πιστεύομεν, ὅταν καὶ τὴν αἰτίαν μάθωμεν, καὶ τὸν λόγον καθ' ὃν γέγονε.

18 Ἀθέτησις μὲν γὰρ γίνεται, φησὶ, προαγούσης ἐντολῆς, διὰ τὸ αὐτῆς ἀσθενὲς καὶ ἀνωφελές. Ἐνταῦθα ἡμῖν τῶν αἱρετικῶν ἐπιφύονται λέγοντες, ἰδοὺ καὶ ὁ Παῦλος πονηρὰν τὴν ἐντολὴν εἴρηκεν. ἀλλὰ προσέχετε ἀκριβῶς· οὐκ εἶπε, διὰ τὸ πονηρὸν, οὐδὲ διὰ τὸ μοχθηρὸν, ἀλλὰ, διὰ τὸ αὐτῆς ἀσθενὲς καὶ ἀνωφελές. καὶ ἀλλαχοῦ δὲ δείκνυσι τὸ ἀσθενὲς ὡς ὅταν λέγῃ, ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκός. οὐκ ἄρα αὐτὴ ἀσθενὴς, ἀλλ' ἡμεῖς.

19 Οὐδὲν γὰρ ἐτελείωσεν ὁ νόμος. Τί ἐστιν, οὐδὲν ἐτελείωσεν; οὐδένα, φησὶ, τέλειον εἰργάσατο παρακουόμενος. ἄλλως δὲ, οὐδὲ εἰ ἠκούσθη, τέλειον ἐποίησεν ἂν, καὶ ἐνάρετον. πλὴν οὐ τοῦτό φησιν ὁ λόγος ἐνταῦθα, ἀλλ' ὅτι οὐδὲν ἴσχυσε. καὶ εἰκότως. γράμματα γὰρ ἦν κείμενα, τόδε πράττε, καὶ τόδε μὴ πράττε· ὑποτιθέμενα μόνον, οὐχὶ δὲ καὶ δύναμιν ἐντιθέντα. ἡ δὲ ἐλπὶς οὐ τοιαύτη. τί ἐστιν ἀθέτησις; ἄμειψις, ἐκβολή. τίνος [δὲ ταύτης] δηλοῖ, ἐπήγαγεν εἰπὼν, προαγούσης ἐντολῆς, οὕτω τὸν νόμον καλῶν, διότι ἐκβέβληται διὰ τὸ αὐτοῦ ἀσθενές. προαγόμενοι δὲ, τὸ πρότερον, καὶ παλαιωθὲν διὰ τὴν ἀσθένειαν. ὥστε ἡ ἀθέτησις, τῆς κρατούσης ἐστὶν ἀθέτησις. Καὶ δῆλον οὐκ τούτου λοιπὸν, ὅτι οὐκ ἐκράτει, ἀλλὰ καταφρονήθη, ἐπεὶ μηδὲν ἴσχυσεν. οὐδὲν οὖν ὠφέλησεν ὁ νόμος; ὠφέλησε μὲν, καὶ σφόδρα ὠφέλησεν· ἀλλὰ πρὸς τὸ ποιῆσαι τελείους, οὐκ ὠφέλησε. κατὰ τοῦτο τοίνυν λέγει τὸ, οὐδὲν γὰρ ἐτελείωσεν ὁ νόμος, καθὸ πάντα τύποι ἦσαν, πάντα σκιά, περιτομὴ, θυσία, σάββατον, ἃ οὐκ ἴσχυσε διαβῆναι εἰς τὴν ψυχήν. * διὰ τοῦτο παραχωρεῖ καὶ ὑπεξίσταται. Ἐπεισαγωγὴ δὲ κρείττονος ἐλπίδος, δι' ἧς ἐγγίζομεν τῷ Θεῷ·

20 Καὶ καθ' ὅσον οὐ χωρὶς ὁρκωμοσίας. Ὁρᾷς ὅτι ἀναγκαῖον οὕτω γέγονε τὸ τοῦ ὅρκου ἐνταῦθα; ὥστε διὰ τοῦτο πολλὰ ἄνω ἐφιλοσόφησεν ὅτι ὤμοσεν ὁ Θεὸς, καὶ ὤμοσεν ὑπὲρ πλείονος πληροφορίας. ἐπεισαγωγὴ δὲ κρείττονος ἐλπίδος. τί ἐστι τοῦτο; εἶχε καὶ ὁ νόμος ἐλπίδα, φησὶν, ἀλλ' οὐ τοιαύτην. ἤλπιζον γὰρ εὐαρεστήσαντες ἕξειν τὴν γῆν, μηδὲν πείσεσθαι δεινόν. ἐνταῦθα δὲ ἐλπίζομεν εὐαρεστήσαντες, οὐ γῆν καθέξειν, ἀλλὰ τὸν οὐρανόν· μᾶλλον δὲ (ὃ πολλῷ τούτου κρεῖττόν ἐστιν) ἐλπίζομεν ἐγγὺς στήσεσθαι τοῦ Θεοῦ, πρὸς αὐτὸν ἥξειν τὸν θρόνον τὸν πατρικὸν, λειτουργήσειν αὐτῷ μετὰ ἀγγέλων. καὶ ὅρα πῶς αὐτὰ τίθησι κατὰ μικρόν. ἐκεῖ μὲν γάρ φησιν, εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος· ἐνταῦθα δὲ, δι' ἧς ἐγγίζομεν τῷ Θεῷ. Καὶ καθ' ὅσον οὐ χωρὶς ὁρκωμοσίας. τί ἐστι, καὶ καθ' ὅσον οὐ χωρὶς ὁρκωμοσίας; τουτέστιν, οὐ χωρὶς ὅρκου. ἰδοὺ καὶ ἄλλη διαφορά. καὶ οὐδὲ ἁπλῶς ταῦτα ἐπήγγελται, φησίν.

21 Οἱ μὲν γὰρ χωρὶς ὁρκωμοσίας εἰσὶν ἱερεῖς γεγονότες· ὁ δὲ μεθ' ὁρκωμοσίας, διὰ τοῦ λέγοντος πρὸς αὐτὸν, ὤμοσε Κύριος, καὶ οὐ μεταμεληθήσεται, σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.

22 Κατὰ τοσοῦτον κρείττονος διαθήκης γέγονεν ἔγγυος Ἰησοῦς.

23 Καὶ οἱ μὲν πλείονές εἰσι γεγονότες ἱερεῖς, διὰ τὸ θανάτῳ κωλύεσθαι παραμένειν·

24 Ὁ δὲ διὰ τὸ μένειν αὐτὸν εἰς τὸν αἰῶνα, ἀπαράβατον ἔχει τὴν ἱερωσύνην.

Δύο τίθησι διαφορὰς, ὅτι οὐκ ἔχει τέλος, ὥσπερ ἡ νομικὴ, καὶ ὅτι μεθ' ὁρκωμοσίας. τοῦτο δὲ ποιεῖ ἀπὸ τοῦ Χριστοῦ τοῦ μετιόντος. κατὰ δύναμιν γὰρ, φησὶ, ζωῆς ἀκαταλύτου. ποιεῖ δὲ αὐτὸ καὶ ἀπὸ τοῦ ὅρκου, ὅτι ὤμοσε· καὶ ἀπὸ τοῦ πράγματος. εἰ γὰρ ἐπειδὴ ἀσθενὴς ἦν, φησὶν, ἐκείνη ἐξεβλήθη· αὕτη ἐπειδὴ δυνατή ἐστιν, ἕστηκε. ποιεῖ δὲ αὐτὸ καὶ ἀπὸ τοῦ ἱερέως. πῶς; δεικνὺς ὅτι εἷς ἐστι· καὶ οὐκ ἂν * εἷς ἦν, εἰ μὴ ἀθάνατος ἦν. ὥσπερ γὰρ πολλοὶ ἱερεῖς, διὰ τὸ θνητοὶ εἶναι· οὕτως εἷς ὁ εἷς, διὰ τὸ ἀθάνατος εἶναι. κατὰ τοσοῦτον κρείττονος διαθήκης

χ. ὅτι ἰδοὺ ἐξ οὗ

χ. διὸ λοιπὸν ἐπειδὴ

* λοιπὸν

χ. αὐτοῦ

χ. * ἀεὶ ἦν

Digitized by Google

ταῦτα εἰπεῖν ἠδύνατο. εἶπε, κατὰ τὴν τάξιν Μελχισεδέκ. τοῦτο τὴν Ἀαρὼν ἐξέβαλεν. οὐ γὰρ ἂν κατὰ τὴν τάξιν Μελχισεδὲκ εἶπεν, εἰ αὕτη ἀμείνων ἦν. εἰ τοίνυν ἱερωσύνη εἰσήχθη ἄλλη, διαθήκην εἶναι ἑτέραν. οὔτε γὰρ ἱερέα ἐστὶ διαθήκης χωρὶς εἶναι, καὶ νόμων καὶ προσταγμάτων· οὔτε ἑτέραν λαβόντα ἱερωσύνην ἐκείνῃ κεχρῆσθαι. εἶτα, ὅπερ ἀνθυποφορᾶς ἦν, πῶς ἱερεὺς ἂν εἴη μὴ ὢν Λευΐτης, τοῦτο διὰ τῶν ἄνω προκαταβαλὼν, οὐδὲ λύσεως ἀξιοῖ, ἀλλ' ἐν παραδρομῇ εἰσάγει αὐτό. εἰπὼν, φησὶν, ὅτι μετετέθη ἡ ἱερωσύνη. ἀκολούθως καὶ ἡ διαθήκη. μετετέθη δὲ οὐ τῷ τρόπῳ μόνον, οὐδὲ τοῖς προστάγμασιν, ἀλλὰ καὶ τῇ φυλῇ. ἔδει γὰρ καὶ τῇ φυλῇ. πῶς; μετατιθεμένης γὰρ τῆς ἱερωσύνης, φησί. τουτέστι, διὰ τοῦτο μετετέθη ἀπὸ φυλῆς εἰς φυλὴν, ἀπὸ τῆς ἱερατικῆς ἐπὶ τὴν βασιλικὴν, ἵνα ἡ αὐτὴ καὶ βασιλικὴ καὶ ἱερατικὴ. καὶ θέα τὸ μυστήριον. πρότερον [μὲν] ἦν βασιλικὴ, καὶ νῦν γέγονεν ἱερατικὴ ὥσπερ δὴ καὶ ἐπὶ τοῦ Χριστοῦ. βασιλεὺς μὲν γὰρ ἦν ἀεί· ἱερεὺς δὲ γέγονεν, ὅτε τὴν σάρκα ἀνέλαβεν, ὅτε τὴν θυσίαν προσήγαγεν. ὁρᾷς τὴν μεταβολήν; καὶ ἅπερ ἀνθυποφορᾶς ἦν, ταῦτα, ὡς τῆς τῶν πραγμάτων ἀκολουθίας ἀπαιτούσης, εἰσάγει. ἐφ' ὃν γὰρ λέγεται ταῦτα, φησὶ, φυλῆς ἑτέρας μετέσχηκεν, ἀφ' ἧς οὐδεὶς προσέσχηκε τῷ θυσιαστηρίῳ. πρόδηλον γὰρ ὅτι ἐξ Ἰούδα ἀνατέταλκεν ὁ Κύριος ἡμῶν· εἰς ἣν φυλὴν περὶ ἱερωσύνης οὐδὲν Μωϋσῆς ἐλάλησεν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· κἀγώ φημι καὶ οἶδα, ὅτι οὐδὲν ἱερωσύνης εἶχεν αὕτη ἡ φυλὴ, οὐδέ τις ἀπὸ ταύτης ἱεράτευσε (τοῦτο γὰρ δηλοῖ τὸ, οὐδεὶς προσέσχηκε τῷ θυσιαστηρίῳ) ἀλλὰ τὸ πᾶν μετάθεσίς ἐστιν. οὕτως ἀναγκαῖον ἦν τὸν νόμον καὶ τὴν παλαιὰν διαθήκην μετατεθῆναι, ὅτι καὶ αὐτὴ ἐνήλλακται ἡ φυλή. ὁρᾷς πῶς δείκνυσι καὶ ἄλλην διαφορὰν ἀπὸ τῆς ἐναλλαγῆς τῆς φυλῆς; οὐ μόνον δὲ καὶ ἀπὸ ταύτης δείκνυται ὅσον τὸ διαφέρει, ἀλλ' ἤδη καὶ ἀπὸ τοῦ προσώπου, καὶ ἀπὸ τῆς διαθήκης, καὶ ἀπὸ τοῦ [illegible], καὶ ἀπ' αὐτοῦ τοῦ τύπου.

(γ. τοῦτο) (γ. αὐτή) (γ. ἀρχιερεύς)

16 Ὃς οὐ κατὰ νόμον ἐντολῆς σαρκικῆς γέγονεν, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου.

Γέγονε, φησὶν, ἱερεὺς, ἀλλ' οὐ κατὰ νόμον σαρκικῆς ἐντολῆς. ὁ γὰρ νόμος ἐκεῖνος τὰ πολλὰ αἰσθητὸς ἦν. καὶ καλῶς αὐτοῦ ἐντολὴν ἐκάλεσε σαρκικήν. πάντα γὰρ ὅσα διώριζε, σαρκικὰ ἦν. τὸ γὰρ λέγειν, περίτεμε τὴν σάρκα, χρῖσον τὴν σάρκα, λοῦσον τὴν σάρκα, καθάρισον τὴν σάρκα, περίκειρον τὴν σάρκα, ἐπίδησον τὴν σάρκα, θρέψον τὴν σάρκα, ἀργησον τῇ σαρκί, ταῦτα, εἰπέ μοι, οὐχὶ σαρκικά; εἰ δὲ θέλεις μαθεῖν καὶ τίνα ἃ ἐπηγγέλλετο ἀγαθὰ, ἄκουε· πολλὴ ζωὴ, φησὶ, τῇ σαρκί, γάλα καὶ μέλι τῇ σαρκί, εἰρήνη τῇ σαρκί, τρυφὴ τῇ σαρκί. ἀπὸ τούτου τοῦ νόμου τὴν ἱερωσύνην ἔλαβεν ὁ Ἀαρών· ὁ μέντοι Μελχισεδὲκ, οὐχ οὕτω.

15 Καὶ περισσότερον ἔτι κατάδηλόν ἐστιν, εἰ κατὰ τὴν ὁμοιότητα Μελχισεδὲκ ἀνίσταται ἱερεὺς ἕτερος.

Τί ἐστι κατάδηλον; τὸ μέσον τῆς ἱερωσύνης ἑκατέρας, τὸ διάφορον· ὅσον κρείττων ὃς οὐ κατὰ νόμον ἐντολῆς σαρκικῆς γέγονε. [τίς; ὁ Μελχισεδὲκ οὗτος; οὔ· ἀλλ' ὁ Χριστός.] ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου.

17 Μαρτυρεῖται γὰρ, ὅτι σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.

Τουτέστιν, οὐ πρόσκαιρος, οὐδὲ πέρας ἔχων, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου. τοῦτο εἶπεν, ἵνα δηλώσῃ, ὅτι ἱερεὺς γέγονε διὰ δυνάμεως ἰδίας καὶ τοῦ πατρὸς, διὰ ζωῆς ἀπεράντου. καίτοι οὐκ ἔστιν ἀκόλουθον τοῦτό πω, ὃς οὐ κατὰ νόμον ἐντολῆς σαρκικῆς γέγονε. τὸ γὰρ ἀκόλουθον ἦν εἰπεῖν, ἀλλὰ κατὰ πνευματικῆς. ἀλλὰ διὰ τοῦ σαρκικοῦ τὸ πρόσκαιρον ἐδήλωσεν. ὥσπερ καὶ ἀλλαχοῦ λέγει, μέχρι καιροῦ διορθώσεως ἐπικείμενα τὰ δικαιώματα τῆς σαρκός. Ἑβρ. θ. ι. κατὰ δύναμιν ζωῆς· τουτέστιν, ὅτι οἰκείᾳ δυνάμει ζῇ. εἶπεν ὅτι νόμου μετάθεσις γέγονε, καὶ ἔδειξε πῶς. ζητεῖ λοιπὸν τὴν αἰτίαν. ὃ μάλιστα πάντων πληροφορεῖ τὰς τῶν ἀνθρώπων ψυχὰς, τὸ τὴν αἰτίαν πάντως εἰδέναι, καὶ εἰς πίστιν πλείονα ἄγει. τότε γὰρ

(γ. τουτέστι, διὰ δυνάμεως, διὰ ζωῆς ἀκαταλύτου. καίτοι γ. ...)

μᾶλλον

Λευϊτ. ιγ. 11 ΕΙ ΜΕΝ ΟΥΝ ΤΕΛΕΙΩΣΙΣ ΔΙΑ ΤΗΣ ΛΕΥϊτικῆς ἱερωσύνης ἦν (ὁ λαὸς γὰρ ἐπ' αὐτῇ νενομοθέτητο) τίς ἔτι χρεία, κατὰ τὴν τάξιν Μελχισεδὲκ ἕτερον ἀνίστασθαι ἱερέα, καὶ οὐ κατὰ τὴν τάξιν Ἀαρὼν λέγεσθαι; 12 Μετατιθεμένης γὰρ τῆς ἱερωσύνης, ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις γίνεται. 13 Ἐφ' ὃν γὰρ λέγεται ταῦτα, φυλῆς ἑτέρας μετέσχηκεν, ἀφ' ἧς οὐδεὶς προσέσχηκε τῷ θυσιαστηρίῳ.

14 Πρόδηλον γὰρ ὅτι ἐξ Ἰούδα ἀνατέταλκεν ὁ Κύριος ἡμῶν, εἰς ἣν φυλὴν οὐδὲν περὶ ἱερωσύνης Μωϋσῆς ἐλάλησεν.

Εἰ μὲν οὖν τελείωσις διὰ τῆς Λευϊτικῆς ἱερωσύνης ἦν, φησίν. Εἰπὼν περὶ τοῦ Μελχισεδέκ, καὶ δείξας ὅσῳ κρείττων ἦν τοῦ Ἀβραάμ, καὶ πολὺ τὸ διάφορον ἀποφήνας, ἐντεῦθεν ἄρχεται λοιπὸν τῆς διαθήκης αὐτῆς τὸ μέσον ἀποδεικνύναι, καὶ πῶς ἡ μὲν ἀτελής, ἡ δὲ τελεία. καὶ οὐδέπω εἰς αὐτὰ τὰ πράγματα ἐμβαίνει, ἀλλ' ἀπὸ τῆς ἱερωσύνης τέως μάχεται, καὶ τῆς διαθήκης. ἐπειδὴ γὰρ ταῦτα πιστότερα ἦν τοῖς ἀπίστοις, ὅταν ἀπὸ τῶν ἤδη προειλημμένων καὶ πεπιστευμένων ἡ ἀπόδειξις γίνηται, ἔδειξεν ὅτι πολὺ καὶ τοῦ Λευῒ καὶ τοῦ Ἀβραὰμ βελτίων ἦν ὁ Μελχισεδέκ, ἐν τάξει ἱερέως αὐτοῖς γενόμενος. ἐξ ἑτέρου δὲ πάλιν ἐπιχειρεῖ. ποίου δὴ τούτου; τῆς μὲν ἱερωσύνης, καὶ τῆς Ἰουδαϊκῆς. καὶ θέα μοι συνέσεως ὑπερβολήν. ἀφ' οὗ γὰρ εἰκὸς ἦν αὐτοὺς ἐκβάλλεσθαι τῆς ἱερωσύνης, ἐπειδὴ μὴ κατὰ τὴν τάξιν Ἀαρών, ἀπὸ τούτου τοῦτον μὲν εἰσάγει, ἐκβάλλει δὲ ἐκείνους. πῶς δὲ τοῦτο ἑαυτὸν εἰσάγων, ὥσπερ ἀπό τινος διαπορούμενος, τί δήποτε μὴ κατὰ τὴν τάξιν Ἀαρὼν λέγεται, οὕτω τὴν διαπόρησιν λύοντα. καὶ ἐγώ, φησι, τὸν αὐτὸν διαπορῶ, τίνος ἕνεκεν μὴ κατὰ τὴν τάξιν Ἀαρὼν λέγεται. τοῦτο γὰρ δηλοῖ τῷ εἰπεῖν, εἰ μὲν οὖν τελείωσις διὰ τῆς Λευϊτικῆς ἱερωσύνης ἦν. τὸ δέ, τίς ἔτι χρεία, πολλὴν ἔμφασιν ἔχει. εἰ μὲν οὖν πρότερον ὁ Χριστὸς ὁ κατὰ σάρκα κατὰ τὴν τάξιν Μελχισεδέκ, ἔπειτα ὁ νόμος γέγονε, καὶ τὰ κατὰ τὸν Ἀαρών, εἰκότως ἄν τις εἴποι, ἅτε ὄντα τελειότερα, ταῦτα ἐκεῖνα καταλύειν, ἅτε ἐπιτελεσθέντα. εἰ δὲ ὁ Χριστὸς ὕστερος, καὶ ὕστερον λαμβάνει τὸν τύπον τῆς ἱερωσύνης, δῆλον ὅτι ὡς ἀτελεστέρων ὄντων ἐκείνων. ταῦτα μὲν γάρ, φησι, τῷ λόγῳ, πάντα πεπληρῶσθαι, καὶ μηδὲν ἀτελὲς εἶναι ἐν τῇ ἱερωσύνῃ. τί οὖν ἔδει κατὰ τὴν τάξιν Μελχισεδὲκ λέγεσθαι, καὶ οὐ κατὰ τὴν τάξιν Ἀαρών; τίνος ἕνεκεν ἀφεὶς τὸν Ἀαρών, ἑτέραν εἰσήνεγκεν ἱερωσύνην, τὴν τοῦ Μελχισεδέκ; εἰ μὲν οὖν τελείωσις διὰ τῆς Λευϊτικῆς ἱερωσύνης, φησίν, ἦν, τουτέστι, τῆς τῶν πραγμάτων, τῆς τῶν δογμάτων, τοῦ βίου ἡ τελείωσις διὰ τῆς Λευϊτικῆς ἱερωσύνης ἦν. καὶ ὅρα πῶς ὁδῷ προβαίνει. εἰπὼν ὅτι κατὰ τὴν τάξιν Μελχισεδέκ, δείκνυς ὅτι βελτίων ἡ κατὰ τὴν τάξιν Μελχισεδέκ· πολὺ γὰρ βελτίων ἐκεῖνος. λοιπὸν δὲ καὶ ἀπὸ τοῦ χρόνου τοῦτο δείκνυσιν ὅτι μετὰ Ἀαρών, δηλονότι ὡς ἀμείνων. καὶ τί βούλεται τὸ ἑξῆς; ὁ λαὸς γὰρ [, φησιν,] ἐπ' αὐτῇ νενομοθέτητο. τί ἐστιν, ἐπ' αὐτῇ; αὐτῇ στοιχεῖ, φησι, δι' αὐτῆς ἅπαντα πράττει. οὐκ ἔστιν εἰπεῖν, ὅτι ἑτέροις ἐδόθη. ὁ λαὸς ἐπ' αὐτῇ νενομοθέτητο· τουτέστι, ἐχρῆτο αὐτῇ, καὶ ἐχρήσατο. οὐκ ἔστιν εἰπεῖν ὅτι τελεία μὲν ἦν, οὐ προσεισήχθη δὲ τῷ λαῷ. [ἐπ' αὐτῇ νενομοθέτητο· τουτέστιν, αὐτῇ ἐχρήσατο.] τίς οὖν ἑτέρας ἦν ἱερωσύνης χρεία, εἰ δὲ τέλειον εἶχε; μετατιθεμένης γὰρ τῆς ἱερωσύνης, ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις γίνεται. εἰ δὲ ἕτερον δεῖ ἱερέα εἶναι, μᾶλλον δὲ ἑτέραν ἱερωσύνην· ἀνάγκη καὶ νόμον ἕτερον εἶναι. τοῦτο πρὸς ἐκείνους λέγονται, τί ἔδει καινῆς διαθήκης; Ἱερ. λα. εἶχε μὲν γὰρ καὶ μαρτυρεῖν εἰπεῖν ἀπὸ προφητείας· αὕτη ἡ διαθήκη, ἣν διεθέμην τοῖς πατράσιν ὑμῶν. τέως δὲ ἀπὸ τῆς ἱερωσύνης μάχεται. καὶ ὅρα πῶς αἰνίττεται ταῦ-

τα

γ. ἀλλὰ περὶ ἱερέων οὐδὲν Μωϋσῆς

γ. ἐπειδὴ ταῦτα γὰρ πιστότερα ἦν

γ. ἱερέων

γ. τίνος εἰσάγει, φησίν, εἴποι, κατὰ τὴν τάξιν Ἀαρών

γ. ἐκβάλλει τοὺς ἱερεῖς τῆς ἱερωσύνης

γ. εἰ μὲν ὁ Χριστὸς κατὰ

ἰσ. προελθὼν

γ. τὸ κατὰ

γ. πῶς

γ. οὔπω δὲ ἐμβαίνει τὸ ἑξῆς ἀπαγγέλλων, καὶ λέγων, ὁ λαός

γ. τουτέστιν, αὐτῇ ἐχρήσατο ἐπ' αὐτῇ

Digitized by Google

ραι εἰπεῖν, ἐν ᾗ μὴ συνεχεῖς εἰσιν ἐκφοραί. ἀλλὰ πάντα μάτην, καὶ τῆς σκληρότητος ὑμῶν οὐδὲν καθικνεῖται. οὐδ' ἐν ταῖς ἑτέραις συμφοραῖς βελτίους γενέσθαι δυνάμεθα· μᾶλλον δὲ, οὐδὲ θέλομεν. ἀλλ' ὅταν αὐτοὶ μόνοι πειθώμεν, τότε συστελλόμεθα· κἂν ἀνῇ τὴν χεῖρα ὁ Θεὸς, πάλιν ἡμεῖς τὴν χεῖρα ἐπήραμεν. οὐδεὶς ἀνθρώπινα φρονεῖ, οὐδεὶς καταφρονεῖ τῶν ἐν τῇ γῇ, οὐδεὶς πρὸς τὸν οὐρανὸν ὁρᾷ. ἀλλ' ὥσπερ οἱ χοῖροι κάτω νεύοντες, πρὸς τὴν γαστέρα κύπτοντες, καὶ τῷ βορβόρῳ ἐγκαλινδούμενοι· οὕτω καὶ οἱ πολλοὶ τῶν ἀνθρώπων, βορβόρῳ χαλεπωτάτῳ ἑαυτοὺς μολύνοντες οὐκ αἰσθάνονται. βέλτιον γὰρ πηλῷ μολύνεσθαι ἀκαθάρτῳ, ἢ ἁμαρτήμασιν. ὁ μὲν γὰρ ἔξωθεν μολυνθεὶς, ἀπενίψατο ἐν βραχεῖ χρόνῳ, καὶ γέγονεν ὅμοιος τῷ μηδὲ ἐμπεσόντι [ὅλως] τὴν ἀρχὴν εἰς ἐκεῖνο τὸ πτῶμα· ὁ δὲ εἰς τὸ βάραθρον τῆς ἁμαρτίας ἐμπεσὼν, ἐδέξατο μολυσμὸν οὐχ ὕδατι καθαιρόμενον, ἀλλὰ πολλοῦ δεόμενον χρόνου, καὶ μετανοίας ἀκριβοῦς, καὶ δακρύων καὶ κοπετῶν, καὶ πλείονος θρήνου καὶ θερμοτέρου, ἢ ἐπὶ τοῖς φιλτάτοις ἐπιδείκνυσθε. οὗτος μὲν γὰρ ὁ ῥύπος ἔξωθεν ἡμῖν προσγίνεται· διὸ καὶ ταχέως αὐτὸν ἀποτιθέμεθα· ἐκεῖνος δὲ ἔνδοθεν τίκτεται· διὸ καὶ μόλις αὐτὸν ἀπονιπτόμενοι καθαιρόμεθα. Ἐκ γὰρ τῆς καρδίας, φησὶν, ἐξέρχονται διαλογισμοὶ πονηροὶ, πορ- Ματθ. ιε. ιθ.
νεῖαι, μοιχεῖαι, κλοπαὶ, ψευδομαρτυρίαι. διὸ καὶ ὁ προφήτης ἔλεγε, Καρδίαν καθαρὰν κτίσον Ψαλ. ν. ια.
ἐν ἐμοὶ, ὁ Θεός· ἕτερος δὲ, Ἀπόπλυνον ἀπὸ κακίας τὴν καρδίαν σου, Ἱερουσαλήμ. ὁρᾷς ὅτι Ιερ. δ.
τὸ κατορθοῦν καὶ ἡμῶν ἐστι καὶ τοῦ Θεοῦ; καὶ πάλιν, Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ Ματθ. ε. η.
τὸν Θεὸν ὄψονται. οὐκοῦν γενώμεθα καθαροὶ εἰς δύναμιν τὴν ἡμετέραν· ἀποσμήξωμεν Ησ. α. ις.
ἑαυτῶν τὰ ἁμαρτήματα. πῶς δὲ ἔστιν ἀποσμῆξαι; ὁ προφήτης διδάσκει, λέγων, Λούσασθε, καθαροὶ γίνεσθε· ἀφέλετε τὰς πονηρίας ὑμῶν ἀπὸ τῶν ψυχῶν ὑμῶν, ἀπέναντι τῶν ὀφθαλμῶν μου. τί ἐστιν, ἀπέναντι τῶν ὀφθαλμῶν μου; ἐπειδή τινες εἶναι δοκοῦσιν ἀπόνηροι, ἀλλὰ τοῖς ἀνθρώποις, τῷ δὲ Θεῷ δῆλοι ὄντες τάφοι κεκονιαμένοι, διὰ τοῦτό φησιν, οὕτως ἀφέλετε, ὡς ἐγὼ ὁρῶ· μάθετε καλὸν ποιεῖν, ἐκζητήσατε κρίσιν, ταπεινὸν καὶ πένητα δικαιώσατε. καὶ δεῦτε, καὶ διελεγχθῶμεν, λέγει Κύριος. καὶ, ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς Ησ. α.
φοινικοῦν, ὡς χιόνα λευκανῶ· ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡσεὶ ἔριον λευκανῶ. ὁρᾷς ὅτι πρότερον ἡμᾶς ἑαυτοὺς δεῖ καθαίρειν, καὶ τότε ὁ Θεὸς καθαίρει; πρότερον γὰρ εἰπὼν, Λούσασθε, καθαροὶ γένεσθε, τότε ἐπήγαγεν, ἐγὼ λευκανῶ. μηδεὶς τοίνυν τῶν εἰς ἐσχάτην κακίαν ἡκόντων, ἀπογινωσκέτω ἑαυτοῦ. κἂν [γὰρ] εἰς ἕξιν, φησὶν, ἔλθῃς, καὶ σχεδὸν εἰς φύσιν τῆς κακίας αὐτῆς, μὴ φοβηθῇς. διὰ γὰρ τοῦτο χρώματα οὐκ ἐξίτηλα, ἀλλὰ σχεδὸν συνουσιωμένα τοῖς ὑποκειμένοις λαβὼν, εἰς τὴν ἐναντίαν αὐτὰ ἔφησε κατάστασιν ἥξειν. οὐ γὰρ ἁπλῶς πλυνεῖν ἔφη, ἀλλ' ὡς χιόνα, καὶ ὡς ἔριον λευκαίνειν· ἵνα ἡμῖν χρηστὰς ὑποτείνῃ τὰς ἐλπίδας. ἄρα μεγάλη τῆς μετανοίας ἡ δύναμις, εἴγε ὡς χιόνα ἡμᾶς ἐργάζεται, καὶ ὡς ἔριον λευκαίνει, κἂν προλαβοῦσα ἡ ἁμαρτία βάψῃ τὰς ἡμετέρας ψυχάς. σπουδάσωμεν τοίνυν καθαροὶ γενέσθαι. οὐδὲν φορτικὸν ἐπέταξε. κρίνατε ὀρφανῷ, καὶ δικαιώσατε χήραν, φησίν. ὁρᾷς πανταχοῦ πῶς πολὺς τῷ Θεῷ ὁ τοῦ ἐλέους λόγος, καὶ τῆς τῶν ἀδικουμένων προστασίας; ταῦτα μετιῶμεν τὰ κατορθώματα, καὶ δυνησόμεθα τῇ χάριτι τοῦ Θεοῦ καὶ τῶν μελλόντων ἐπιτυχεῖν ἀγαθῶν.

χ. τὰ ποινά. ἄλ. ἑώρακε
χ. μὴ
χ. ἐπικρινόμεθα
χ. ὄντες δὲ τῷ Θεῷ δῆλοι τάφοι ὄντες κε-
χ. λευχχ.
χ. ἵνα καὶ ὁ Θεὸς τότε καθαίρῃ
χ. ἄξειν

ταχὺ δὲ προαίρεσις, πολλὰς δεχομένη μεταβολάς, καὶ νῦν μὲν τοῦτο, νῦν δὲ ἐκεῖνο αἱρουμένη. ὀξύρροπος γὰρ αὕτη πρὸς κακίαν.

ΗΘΙΚΟΝ

Ψαλ. ρκα. γ.

Διὸ χρὴ πάντοτε φυλάττειν ἑαυτούς, μήποτε ἀπονυστάξωμεν. Ἰδοὺ γάρ, φησιν, οὐ νυστάξει, οὐδὲ ὑπνώσει ὁ φυλάσσων τὸν Ἰσραήλ· καί, Μὴ δῷς εἰς σάλον τὸν πόδα σου. οὐκ εἶπε, μὴ σαλευθῇς, ἀλλὰ * μὴ δῷς. ἄρα ἐφ' ἡμῖν τὸ δοῦναι, καὶ οὐκ ἐφ' ἑτέρῳ τινί. ἂν γὰρ ἐθέλωμεν ἑστάναι ἑδραῖοι καὶ ἀμετακίνητοι, οὐ σαλευθησόμεθα. τὸ γὰρ οὕτως εἰπεῖν, τοῦτο ᾐνίξατο. τί οὖν; οὐδὲν ἐπὶ τῷ Θεῷ; πάντα μὲν ἐπὶ τῷ Θεῷ· ἀλλ' οὐχ οὕτως, ὥστε τὸ αὐτεξούσιον ἡμῶν βλάπτεσθαι. εἰ τοίνυν ἐπὶ τῷ Θεῷ, φησί, τί ἡμᾶς αἰτιᾶται; διὰ τοῦτο εἶπον οὐχ οὕτως, ὥστε τὸ αὐτεξούσιον ἡμῶν μὴ βλάπτεσθαι. ἐφ' ἡμῖν ἐστι τοίνυν, καὶ ἐπ' αὐτῷ. δεῖ γὰρ ἡμᾶς πρότερον ἑλέσθαι τὰ ἀγαθά· καὶ ὅταν ἑλώμεθα ἡμεῖς, τότε καὶ αὐτὸς τὰ παρ' ἑαυτοῦ εἰσάγει. οὐ προφθάνει τὰς ἡμετέρας βουλήσεις, ἵνα μὴ λυμήνηται τὸ αὐτεξούσιον ἡμῶν· ὅταν δὲ ἡμεῖς ἑλώμεθα, τότε πολλὴν εἰσάγει τὴν βοήθειαν ἡμῖν. πῶς οὖν,

Ρωμ. θ. ιε.

εἰ καὶ ἐφ' ἡμῖν ἐστιν, ὁ Παῦλός φησιν, Οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ; πρῶτον μέν, οὐχ ὡς ἰδίαν γνώμην εἰσήγαγεν, ἀλλ' ὡς ἐκ τοῦ προκειμένου αὐτὸ συνήγαγε, καὶ ἐκ τοῦ προβληθέντος.

Ρωμ. θ. ιϛ.

εἰπὼν γάρ, γέγραπται, Ἐλεήσω ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω ὃν ἂν οἰκτείρω, ἐπήγαγεν, Ἄρα οὖν οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ. [ἐρεῖς οὖν μοι, τί ἔτι μέμφεται;] δεύτερον δέ, ἐκεῖνό ἐστιν εἰπεῖν, "ὅτι οὗ τὸ πλεῖον ἐστί, τὸ πᾶν φησιν εἶναι. ἡμῶν γὰρ τὸ προελέσθαι καὶ βουληθῆναι· Θεοῦ δὲ τὸ ἀνύσαι, καὶ εἰς τέλος ἀγαγεῖν. ἐπεὶ οὖν ἐκείνου τὸ πλεῖόν ἐστι, τὸ πᾶν ἐκείνου εἶναί φησι, κατὰ τὴν συνήθειαν τὴν "ἀνθρωπίνην τοῦτο λέγων. οὕτω γὰρ καὶ ἡμεῖς ποιοῦμεν. οἷόν τι λέγω· ὁρῶμεν οἰκίαν ᾠκοδομημένην καλῶς, καὶ λέγομεν, τὸ πᾶν τοῦ τεχνίτου ἐστί· καίτοιγε οὐ τὸ πᾶν αὐτοῦ ἐστιν, ἀλλὰ καὶ τῶν ἐργατῶν, καὶ τοῦ τὴν ὕλην παρέχοντος δεσπότου, καὶ πολλῶν ἑτέρων· ἀλλ' ὅμως ἐπειδὴ τὸ πλεῖον ἐκεῖνος εἰσήνεγκεν, ἐκείνου τὸ πᾶν εἶναι λέγομεν. οὕτω δὴ καὶ ἐνταῦθα. καὶ πάλιν ἐπὶ πλήθους, ἔνθα μὲν οἱ πολλοί, πάντας εἶναί φαμεν· ἔνθα δὲ ὀλίγοι, οὐδένα· οὕτω καὶ Παῦλος ἐνταῦθά φησι τό, Οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ. τοῦτο δὲ λέγει, δύο τὰ μέγιστα κατορθοῖ· ἓν μέν, τὸ μὴ ἐπαίρεσθαι ἐφ' οἷς κατορθοῦμεν· δεύτερον δέ, τὸ κατορθοῦντας ἀνατιθέναι τῷ Θεῷ τὴν τῶν κατορθουμένων αἰτίαν. κἂν τρέχῃς τοίνυν, κἂν σπουδάζῃς, φησί, μὴ νόμιζε σὸν εἶναι τὸ κατόρθωμα. ἂν γὰρ μὴ τῆς ἄνωθεν τύχῃς ῥοπῆς, πάντα εἰκῆ. πλὴν ὅτι τεύξῃ τοῦ σπουδαζομένου, μετὰ τῆς ἐκεῖθεν συμμαχίας, εὔδηλόν ἐστιν· "ἀλλ' ἂν τρέχῃς καὶ σύ, ἂν θέλῃς. οὐ τοῦτο οὖν εἶπεν, ὅτι εἰκῇ τρέχομεν, ἀλλ' ὅτι εἰκῇ τρέχομεν, ἐὰν ἡμέτερον εἶναι τὸ πᾶν νομίζωμεν, ἐὰν μὴ τὸ πλεῖον ἀπονέμωμεν τῷ Θεῷ. οὔτε γὰρ αὐτοῦ εἶναι τὸ πᾶν ἠθέλησεν ὁ Θεός, ἵνα μὴ δόξῃ εἰκῇ στεφανοῦν ἡμᾶς· οὔτε ἡμῶν πάλιν, ἵνα μὴ εἰς ἀπόνοιαν ἐκπέσωμεν. εἰ γὰρ τὸ ἔλαττον μέρος ἔχοντες μέγα φρονοῦμεν, τί εἰ τοῦ ὅλου κύριοι ἦμεν; πολλὰ γὰρ ὁ Θεὸς ἐποίησεν ὑπὲρ τοῦ τὴν ἀλαζονείαν ἡμῶν ἐκκόψαι.

Ησ. ϛ.

Καὶ ἔτι ἡ χεὶρ αὐτοῦ ὑψηλή, φησί. πόσοις ἡμᾶς πάθεσι περιέβαλεν, ὥστε ἐκκόψαι ἡμῶν τὸ φρόνημα; πόσοις ἐκύκλωσε δεινοῖς; καὶ γὰρ ὅταν λέγωσί τινες, τί τοῦτο; εἰς τί τοῦτο; παρὰ τὸ τῷ Θεῷ δοκοῦν ταῦτά φασιν. ἐν τοσούτῳ σε φόβῳ κατέστησε, καὶ οὐδὲ οὕτω ταπεινοφρονεῖς· ἀλλὰ μικρᾶς εὐπραγίας ἂν ἐπιλάβῃ ποτέ, πρὸς αὐτὸν φθάνεις τὸν οὐρανὸν τῷ φρονήματι. διὰ τοῦτο αἱ τάχισται μεταβολαὶ καὶ μεταπλώσεις, καὶ οὐδὲ οὕτω παιδευόμεθα. διὰ τοῦτο θάνατοι συνεχεῖς καὶ ἄωροι, ἡμεῖς δὲ ὡς ἀθάνατοι φρονοῦμεν, ὡς οὐδέποτε τεθνηξόμενοι· οὕτως ἁρπάζομεν, οὕτω πλεονεκτοῦμεν, ὡς οὐδέποτε δώσοντες λόγον· οὕτως οἰκοδομοῦμεν, ὡς ἐνταῦθα μένοντες ἀεί. καὶ οὐδὲ ὁ τοῦ Θεοῦ λόγος καθ' ἑκάστην ἡμέραν ἡμῖν ἐνηχούμενος, οὐδὲ αὐτὰ παιδεύει τὰ πράγματα. οὐκ ἔστιν ἡμέραν, οὐκ ἔστιν ὥ-

ραν

* σὺ

γρ. ὅτι κἀκεῖνος εἶπεν· οὗ γὰρ τὸ πλεῖον, ἐκείνου καὶ τὸ πᾶν εἶναι ἀνάγκη ἡμ.

γρ. ταῦτ' εἰπών

γρ. ἕως ἂν τρέχῃς, ἕως ἂν θέλῃς.

τοι, οὐ τῶν ἱερέων, ἀλλὰ καὶ αὐτοῦ τοῦ προπάτορος τῶν ἱερέων βελτίων. τί ἄν τις εἴποι περὶ τῆς ἀληθείας; ὁρᾷς δὲ ὅσης περιουσίας δείκνυσι τὴν ὑπεροχήν; θεωρεῖτε δέ, φησι, πηλίκος οὗτος, ᾧ καὶ δεκάτην ἔδωκεν Ἀβραὰμ ἐκ τῶν ἀκροθινίων ὁ πατριάρχης. ἀκροθίνια τὰ λάφυρα λέγεται. καὶ οὐκ ἔστιν εἰπεῖν, ὅτι ὡς μεταδιδοὺς τοῦ πολέμου ἔδωκε. διὰ γὰρ τοῦτο εἶπεν, ὑπήντησεν ὑποστρέφοντι ἀπὸ τῆς κοπῆς τῶν βασιλέων· δηλῶν ὅτι οἴκοι ἐκάθητο, καὶ ὅτι τῶν αὐτῷ πεπονημένων τὰς ἀπαρχὰς ἔδωκε.

5 Καὶ οἱ μὲν ἐκ τῶν υἱῶν Λευὶ τὴν ἱερατείαν λαμβάνοντες, ἐντολὴν ἔχουσιν ἀποδεκατοῦν τὸν λαὸν κατὰ τὸν νόμον· τουτέστι, τοὺς ἀδελφοὺς αὐτῶν, καίπερ ἐξεληλυθότας ἐκ τῆς ὀσφύος Ἀβραάμ. Τοσαύτη, φησί, τῆς ἱερωσύνης ἡ ὑπερβολή, ὥστε τοὺς ὁμοτίμους ἀπὸ προγόνων, καὶ τὸν αὐτὸν ἔχοντας προπάτορα, πολλῷ βελτίους εἶναι τῶν ἄλλων. δεκάτας γοῦν παρ' ἐκείνων λαμβάνουσιν. ὅταν οὖν εὑρεθῇ τις παρ' αὐτῶν τούτων δεκάτας λαμβάνων, ἆρα οὐχ οὗτοι μὲν ἐν τάξει λαϊκῶν, ἐκεῖνος δὲ ἐν τοῖς ἱερεῦσι; καὶ οὐ τοῦτο μόνον, ἀλλ' οὐδὲ ὁμότιμος ἦν αὐτοῖς, ἀλλ' ἐξ ἑτέρου γένους. ὥστε οὐκ ἂν ἔδωκεν ἀλλοφύλῳ δεκάτας, εἰ μὴ πολλὴ ἦν ἡ τιμή. Βαβαί, τί εἰργάσατο; μεῖζον ἢ τὰ κατὰ τὴν πίστιν ἐν τῇ πρὸς Ῥωμαίους καινὴν ἐπιστολὴν διεσάφησεν. ἐκεῖ μὲν γὰρ καὶ τῆς ἡμετέρας καὶ τῆς Ἰουδαϊκῆς πολιτείας τὸν Ἀβραὰμ προπάτορα εἶναί φησιν· ἐνταῦθα δὲ αὐτοῦ σφόδρα κατατολμᾷ, καὶ δείκνυσι τὸν ἀκρόβυστον πολλῷ βελτίονα. πῶς οὖν ἔδειξεν ὅτι Λευὶ δεκάτας ἔδωκεν; ὁ Ἀβραάμ, φησιν, ἔδωκε. καὶ τί πρὸς ἡμᾶς τοῦτο; μάλιστα μὲν οὖν πρὸς ὑμᾶς. οὐ γὰρ δὴ φιλονεικήσετε τοὺς Λευίτας βελτίονας εἶναι τοῦ Ἀβραάμ.

γ. μεῖζον ἐνταῦθα ὃ ἐξῆλθεν, ἢ κατὰ τὴν πίστιν· ὅτι ἐν τῇ πρὸς Ῥωμ. τὸ αἴτιον. γ. ἀπὸ.

6 Ὁ δὲ μὴ γενεαλογούμενος ἐξ αὐτῶν, δεδεκάτωκε τὸν Ἀβραάμ.

Εἶτα καὶ οὐχ ἁπλῶς παρῆλθεν, ἀλλὰ προσέθηκε, Καὶ τὸν ἔχοντα τὰς ἐπαγγελίας εὐλόγησεν. Ἐπειδὴ ἄνω καὶ κάτω τοῦτο ἦν τὸ σεμνὸν Ἰουδαίοις, δείκνυσιν ἐκείνου ὄντα σεμνότερον ἐκεῖνον, καὶ ἀπὸ τῆς κοινῆς κρίσεως ἁπάντων.

γ. ἐκεῖνον γ. ἐκείνων ἀπὸ

7 Χωρὶς δὲ πάσης ἀντιλογίας, φησί, τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται.

Τουτέστι, πᾶσι δοκεῖ τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖσθαι. οὐκοῦν κρείττων ὁ τύπος τοῦ Χριστοῦ, καὶ αὐτοῦ τοῦ τὰς ἐπαγγελίας ἔχοντος.

γ. Κυρίου,

8 Καὶ ὧδε μὲν δεκάτας ἀποθνήσκοντες ἄνθρωποι λαμβάνουσιν· ἐκεῖ δέ, μαρτυρούμενος ὅτι ζῇ. Ἀλλ' ἵνα ἐκεῖνοι μὴ εἴπωσι, τί ἄνω ἀπ' ἀρχῆς; τί πρὸς τοὺς ἱερέας ἡμῶν, εἰ Ἀβραὰμ δεκάτην ἔδωκεν; εἶπε τὰ εἰς ἡμᾶς· ἐπάγει καὶ λέγει·

9 Καί, ὡς ἔπος εἰπεῖν. Καὶ καλῶς αὐτὸ ἐκόλασε, φανερῶς μὴ εἰπών, ἵνα μὴ πλήξῃ. Διὰ Ἀβραὰμ καὶ Λευὶ ὁ δεκάτας λαμβάνων δεδεκάτωται.

Πῶς;

10 Ἔτι γὰρ ἐν τῇ ὀσφύϊ τοῦ πατρὸς ἦν, ὅτε συνήντησεν αὐτῷ ὁ Μελχισεδέκ.

Τουτέστιν, ἐν αὐτῷ ἦν ὁ Λευὶ, καὶ μήπω τεχθεὶς δι' αὐτοῦ τὴν δεκάτην ἐδίδου. ὅρα, οὐκ εἶπεν, οἱ Λευῖται, ἀλλ' ὁ Λευὶ τὸ μεῖζον, ὡς ἤθελε, καίτοι ἔδει συναγαγεῖν εἰς ὑπερβολήν. εἶδες πόσον τὸ μέσον τοῦ Ἀβραάμ, καὶ τοῦ Μελχισεδὲκ τοῦ τὸν τύπον φέροντος τοῦ ἀρχιερέως τοῦ ἡμετέρου; καὶ δείκνυσι τὴν ὑπεροχὴν ἐξουσίᾳ, οὐκ ἀνάγκῃ γεγενημένην. ἐκεῖνος γὰρ ἔδωκε τὴν δεκάτην, ὅπερ ἐστὶν ἱερέως· οὗτος εὐλόγησεν, ὅπερ ἐστὶ κρείττονος. αὕτη ἡ ὑπεροχὴ καὶ εἰς τοὺς ἐκγόνους διαβαίνει. θαυμαστῶς καὶ προηγουμένως ἔρριψεν ἔξω τὰ Ἰουδαϊκά. διὰ τοῦτο ἄρα ἔλεγε, *νωθροὶ γεγόνατε, ἐπειδὴ ταῦτα καταβαλέσθαι ἐβούλετο, ὥστε μὴ ἀποσκιρτήσωσιν αὐτούς. τοιαύτη γὰρ ἡ σοφία τοῦ Παύλου· προκατασκευάζων πρότερον, οὕτως ἐμβάλλει εἰς ἃ βούλεται. δυσαλθὲς γὰρ τὸ γένος τὸ ἀνθρώπινον, καὶ πολλῆς δεόμενον ἐπιμελείας, καὶ πλείονος ἢ τὰ φυτά. ἐκεῖ μὲν γὰρ φύσις σωμάτων ἐστί, καὶ γῆς, εἴκουσα ταῖς τῶν γηπόνων χερσίν· ἐν-

γ. Λευί, εἰ καὶ μηδέπω ἐτέχθη. καὶ οὐκ εἶ.

* τί

γ. γῆ εἴκ.

διὰ τοῦ προειρηκέναι αὐτὴν τὴν αἰτίαν διὰ πολλῶν, καὶ διὰ φοβερῶν, καὶ διὰ χρηστοτέρων, τότε λοιπὸν καθίησιν εἰς τὸν τῆς διαφορᾶς λόγον. καὶ τί φησιν; οὗτος γὰρ ὁ Μελχισεδὲκ, βασιλεὺς Σαλὴμ, ἱερεὺς τοῦ Θεοῦ τοῦ ὑψίστου. καὶ τὸ δὴ θαυμαστὸν, ἐν τῷ τύπῳ δείκνυσι πολλὴν οὖσαν τὴν διαφοράν. ὅπερ γὰρ εἶπον, ἀπὸ τοῦ τύπου ἀεὶ πιστοῦται τὴν ἀλήθειαν, ἀπὸ τῶν προελθόντων τὰ ἑξῆς, διὰ τὴν ἀσθένειαν τῶν ἀκροατῶν. οὗτος γάρ, φησιν, ὁ Μελχισεδὲκ, βασιλεὺς Σαλὴμ, ἱερεὺς τοῦ Θεοῦ τοῦ ὑψίστου, ὁ συναντήσας Ἀβραὰμ ὑποστρέφοντι ἀπὸ τῆς κοπῆς τῶν βασιλέων, καὶ εὐλογήσας αὐτόν· ᾧ καὶ δεκάτην ἀπὸ πάντων ἐμέρισεν Ἀβραάμ. θεὶς τὴν διήγησιν πᾶσαν ἐν συντόμῳ, μυστικῶς αὐτὴν ἐθεώρησε· καὶ πρῶτον ἀπὸ τοῦ ὀνόματος· πρῶτον μὲν, φησιν, ἑρμηνευόμενος βασιλεὺς δικαιοσύνης. καλῶς. Σεδὲκ γὰρ δικαιοσύνη λέγεται, Μελχὶ δὲ βασιλεύς· ἄρα ὁ Μελχισεδὲκ, βασιλεὺς δικαιοσύνης ἐστίν. ὁρᾷς καὶ ἐν τοῖς ὀνόμασι τὴν ἀκρίβειαν; τίς δέ ἐστι βασιλεὺς δικαιοσύνης, ἀλλ᾽ ἢ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός; ἔπειτα δὲ καὶ βασιλεὺς Σαλὴμ, [ἀπὸ τῆς πόλεως·] τουτέστι, βασιλεὺς εἰρήνης. οὕτω γὰρ ἑρμηνεύεται τὸ, Σαλήμ. ὃ πάλιν ἐστὶ τοῦ Χριστοῦ. οὗτος γὰρ ἡμᾶς δικαίους ἐποίησε· καὶ εἰρηνοποίησε τὰ ἐν τοῖς οὐρανοῖς, καὶ τὰ ἐπὶ τῆς γῆς. τίς δαὶ ἄνθρωπος βασιλεὺς δικαιοσύνης καὶ εἰρήνης ἐστίν; οὐδεὶς ἕτερος, ἀλλ᾽ ἢ μόνος ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός. εἶτα καὶ ἑτέραν διαφορὰν ἐπάγει λέγων, ἀπάτωρ, ἀμήτωρ, ἀγενεαλόγητος, μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχων. ἀφωμοιωμένος δὲ τῷ υἱῷ τοῦ Θεοῦ, μένει ἱερεὺς εἰς τὸ διηνεκές. ἐπειδὴ τοίνυν αὐτὸ ἐπιτέθεικεν αὐτῷ τὸ, σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδὲκ, ἐκεῖνος δὲ ἐτεθνήκει, καὶ οὐκ ἐγένετο ἱερεὺς εἰς τὸν αἰῶνα· ὅρα πῶς αὐτὸ τεθεώρηκεν. ἵνα γὰρ μηδεὶς ἀντιτείνειν ἔχῃ λέγων, καὶ πῶς τοῦτο εἴποι ἂν περὶ ἀνθρώπου; οὕτω τῷ πράγματι, φησί, λέγω. τουτέστιν, οὐκ ἴσμεν ποτὲ ἵνα πατέρα ἔχει, ἢ ἵνα μητέρα, οὔποτε ἐδέξατο τὴν ἀρχὴν, οὔποτε ἐτελεύτησε. καὶ τί τοῦτο, φησί; μὴ γὰρ, ἐπειδὴ ἡμεῖς οὐκ ἴσμεν, οὐκ ἐτελεύτησεν, ἢ οὐκ ἐγεννήθη; καλῶς λέγεις, καὶ ἐτελεύτησε, καὶ ἐγεννήθη. πῶς οὖν ἀπάτωρ, ἀμήτωρ; πῶς μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχων; πῶς; τῷ μὴ ἐμφέρεσθαι τῇ γραφῇ. καὶ τί τοῦτο; ὅτι ὥσπερ οὗτος ἀπάτωρ τῷ μὴ γενεαλογεῖσθαι, οὕτως ὁ Χριστὸς αὐτῇ τῇ φύσει τοῦ πράγματος. ἰδοὺ τὸ ἄναρχον, ἰδοὺ τὸ ἀτελεύτητον. ὥσπερ τούτου οὐκ ἴσμεν οὔτε ἀρχὴν ἡμερῶν, οὔτε ζωῆς τέλος, διὰ τὸ μὴ γεγράφθαι· οὕτως οὐκ ἴσμεν οὐδὲ τοῦ Ἰησοῦ, οὐ διὰ τὸ μὴ γεγράφθαι, ἀλλὰ διὰ τὸ μὴ εἶναι. ἐκεῖνο μὲν γὰρ τύπος· καὶ διὰ τοῦτο ἀπὸ τοῦ μὴ γεγράφθαι· τοῦτο δὲ ἀλήθεια· καὶ διὰ τοῦτο ἀπὸ τοῦ μὴ εἶναι. ὥσπερ γὰρ καὶ ἐν τοῖς ὀνόμασιν· ἐνταῦθα μὲν γὰρ προσηγορίαι ἦσαν, βασιλεὺς δικαιοσύνης καὶ εἰρήνης, ἐκεῖ δὲ πραγμάτων ἀλήθεια· οὕτω καὶ ἐνταῦθα προσηγορίαι εἰσὶν, ἐκεῖ δὲ πραγμάτων ἀλήθεια. πῶς οὖν ἀρχὴν ἔχει; ὁρᾷς ἄναρχον τὸν υἱὸν, οὐ κατὰ τὸ μὴ ἔχειν αἴτιον (τοῦτο γὰρ ἀδύνατον. ἔχει γὰρ πατέρα. ἐπεὶ πῶς υἱός;) ἀλλὰ κατὰ τὸ μὴ ἔχειν ἀρχὴν ζωῆς, μήτε τέλος. ἀφωμοιωμένος δέ, φησι, τῷ υἱῷ τοῦ Θεοῦ. καὶ ποῦ ἡ ὁμοιότης; ὅτι καὶ τούτου κἀκείνου τὸ τέλος ἀγνοοῦμεν, καὶ τὴν ἀρχήν· ἀλλὰ τούτου μὲν παρὰ τὸ μὴ γεγράφθαι, ἐκείνου δὲ παρὰ τὸ μὴ εἶναι. ἐνταῦθα ἡ ὁμοιότης. εἰ δὲ πανταχοῦ ἔμελλεν ἡ ὁμοιότης εἶναι, οὐκέτι τύπος ἦν καὶ ἀλήθεια, ἀλλὰ τύπος ἂν ἀμφότερα. οὕτω καὶ ἐν ταῖς σκιαγραφουμέναις εἰκόσι γινόμενον ἴδοι τις ἄν. ἐν ἐκείναις γάρ ἐστι μέν τι καὶ ὅμοιον, ἔστι δὲ καὶ ἀνόμοιον. διὰ μὲν γὰρ τῆς ἁπλῶς γραφῆς, ὁμοιότης τίς ἐστι τοῦ χαρακτῆρος· τῶν χρωμάτων δὲ ἐπιτεθέντων, τότε φανερῶς δείκνυται ἡ διαφορά, καὶ τὸ ὅμοιον, καὶ τὸ ἀνόμοιον.

4 Θεωρεῖτε δέ, φησι, πηλίκος οὗτος, ᾧ καὶ δεκάτην Ἀβραὰμ μετέδωκεν ἐκ τῶν ἀκροθινίων ὁ πατριάρχης. Τέως ἥρμοσε τὸν τύπον· θαρρῶν λοιπὸν δείκνυσιν αὐτὸν τῶν ἀληθινῶν πραγμάτων τῶν παρὰ Ἰουδαίοις λαμπρότερον. Εἰ δὲ ὁ τύπος ἔχων τοῦ Χριστοῦ, τοσοῦτον,

κ. διδασκαλία

κ. πως

κ. κεφαλαίου

κ. λέγει

σκέπῃ. γινώμεθα ἐλεήμονες, οὐχ ἁπλῶς, ἀλλ' ὡς ὁ πατὴρ ἡμῶν ὁ οὐράνιος. αὐτὸς καὶ μοιχοὺς καὶ πόρνους καὶ γόητας τρέφει. καὶ τί λέγω; πᾶν εἶδος κακίας ἔχοντας. ἐν γὰρ τοσούτῳ κόσμῳ ἀνάγκη εἶναι καὶ τοιούτους πολλούς· ἀλλ' ὅμως ἅπαντας τρέφει, ἅπαντας ἐνδιδύσκει. οὐδεὶς λιμῷ διεφθάρη ποτέ, πλὴν εἴ τις ἑκών. οὕτω γινώμεθα οἰκτίρμονες. ἐὰν δέηται, καὶ ἐν ἀνάγκῃ ᾖ, βοηθῶμεν. νῦν δὲ εἰς τοσοῦτον ἤλθομεν ἀλογίας*, ὥστε μὴ μόνον ἐπὶ τῶν πτωχῶν τοῦτο ποιεῖν τῶν διὰ τῶν στενωπῶν βαδιζόντων, ἀλλὰ καὶ ἐπὶ μοναζόντων ἀνδρῶν. ὁ δεῖνα ἐπιθέτης ἐστί, φησίν. οὐχὶ τοῦτο ἐλέγομεν πρώην, ὅτι ἂν μὲν πᾶσιν ἀδιαφόρως διδῶμεν, ἀεὶ ἐλεήσομεν· ἐὰν δὲ ἀρξώμεθα περιεργάζεσθαι, οὐδέποτε ἐλεήσομεν; τί λέγεις; ἵνα ἄρτον λάβῃ, ἐπιθέτης ἐστίν; εἰ μὲν χρυσίου τάλαντα αἰτεῖ καὶ ἀργυρίου, ἢ ἱμάτια πολυτελῆ, ἢ ἀνδράποδα, ἢ ἄλλ' ὁτιοῦν, εἰκότως ἂν τοῦτον εἴποις ἀπατεῶνα· εἰ δὲ μηδὲν τούτων, ἀλλὰ διατροφὴν καὶ σκέπην, ἃ φιλοσοφίας ἐστί, τοῦτο ἀπατεῶνος, εἰπέ μοι; παυσώμεθα τῆς ἀκαίρου ταύτης φιλοπραγμοσύνης, τῆς σατανικῆς, τῆς ὀλεθρίας. εἰ μὲν γὰρ ἐν κλήρῳ κατειλεγμένον ἑαυτὸν εἶναι λέγοι, ἢ ἱερέα ἑαυτὸν ὀνομάζοι, περιεργάζου, πολυπραγμόνει. οὐ γὰρ ἀκίνδυνος ἐκεῖ ἡ ἀνεξέταστος κοινωνία· περὶ γὰρ μεγάλων ὁ κίνδυνος. ἂν δὲ διατροφῆς δέηται, μηκέτι ἐξέταζε. οὐ γὰρ δίδως, ἀλλὰ λαμβάνεις. ἐξέτασον, εἰ βούλει, πῶς Ἀβραὰμ τὴν φιλοξενίαν περὶ πάντας τοὺς προσιόντας ἐπεδείκνυτο. εἰ περίεργος ἦν περὶ τοὺς καταφεύγοντας πρὸς αὐτόν, οὐκ ἂν ἀγγέλους ἐξένισεν. ἴσως γὰρ ἂν μὴ νομίζων αὐτοὺς ἀγγέλους εἶναι, μετὰ τῶν ἄλλων καὶ τούτους ἀπώσατο. ἀλλ' ἐπειδὴ πάντας ἐδέχετο, ἐδέξατο καὶ ἀγγέλους. μὴ γὰρ ἀπὸ τοῦ βίου σοι τῶν λαμβανόντων τὸν μισθὸν δίδωσιν ὁ Θεός; ἀπὸ τῆς προαιρέσεως τῆς σῆς, ἀπὸ τῆς φιλοτιμίας τῆς οἰκείας, ἀπὸ τῆς φιλανθρωπίας τῆς πολλῆς, ἀπὸ τῆς ἀγαθότητος. αὕτη ἔστω, καὶ πάντων ἐπιτεύξῃ τῶν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

χ. εἰ μή τις τοῦτο πάθοι ἑκών.
*ἀπονοίας
χ. πρώην,
χ. περὶ

Λογ. ιβ. 1 ΟΥΤΟΣ ΓΑΡ Ο ΜΕΛΧΙΣΕΔΕΚ, ΒΑΣΙΛΕΥΣ Σαλήμ, ἱερεὺς τοῦ Θεοῦ τοῦ ὑψίστου, ὁ συναντήσας Ἀβραὰμ ὑποστρέφοντι ἀπὸ τῆς κοπῆς τῶν βασιλέων, καὶ εὐλογήσας αὐτόν· κεφ. ζ.

2 Ὧι καὶ δεκάτην ἐμέρισεν ἀπὸ πάντων Ἀβραάμ· πρῶτον μὲν ἑρμηνευόμενος βασιλεὺς δικαιοσύνης, ἔπειτα δὲ καὶ βασιλεὺς Σαλήμ· ὅ ἐστι βασιλεὺς εἰρήνης. 3 Ἀπάτωρ, ἀμήτωρ, ἀγενεαλόγητος, μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχων· ἀφωμοιωμένος δὲ τῷ υἱῷ τοῦ Θεοῦ, μένει [ἱερεὺς] εἰς τὸ διηνεκές.

χ. τὸν αἰῶνα

Βουλόμενος ὁ Παῦλος τὸ διάφορον δεῖξαι τῆς καινῆς καὶ τῆς παλαιᾶς, πολλαχοῦ αὐτὸ διασπείρει, καὶ ἀκροβολίζεται, καὶ διακωδωνίζει τὰς ἀκοὰς τῶν ἀκροατῶν, καὶ προγυμνάζει. εὐθέως γὰρ καὶ ἀπὸ τοῦ προοιμίου τοῦτο κατεβάλλετο, εἰπών, ὅτι ἐκείνοις μὲν ἐλάλησεν ἐν προφήταις, ἡμῖν δὲ ἐν υἱῷ· κἀκείνοις μὲν πολυμερῶς καὶ πολυτρόπως, ἡμῖν δὲ διὰ τοῦ υἱοῦ. εἶτα περὶ τοῦ υἱοῦ διαλεχθεὶς τίς εἴη, καὶ τί ἐργασάμενος, καὶ παραινέσας αὐτῷ πείθεσθαι, ἵνα μὴ τὰ αὐτὰ πάθωμεν τοῖς Ἰουδαίοις, καὶ εἰπὼν ὅτι ἀρχιερεύς ἐστι κατὰ τὴν τάξιν Μελχισεδέκ, καὶ πολλάκις εἰς τὴν διαφορὰν ταύτην ἐμβῆναι βουληθείς, καὶ πολλὰ προοικονομήσας, καὶ ἐπιτιμήσας αὐτοῖς ὡς ἀσθενέσι, καὶ πάλιν θεραπεύσας καὶ ἀνακτησάμενος ὥστε θαρρεῖν, τότε λοιπὸν εἰσάγει τὸν τῆς διαφορᾶς λόγον ἀκμαζούσαις ταῖς ἀκοαῖς. ὁ γὰρ ἀναπεπτωκὼς οὐκ ἂν εὐκόλως ἀκούσειε. καὶ ἵνα μάθῃς, ἄκουε τῆς γραφῆς λεγούσης, Καὶ οὐκ ἤκουσαν Μωϋσῆ διὰ τὴν ὀλιγοψυχίαν. Ἐξοδ. ϛ. θ.

χ. πείθειν

β. Θεσ. γ. ιγ. λέγοντος, Ὑμεῖς δὲ τὸ καλὸν ποιοῦντες μὴ ἐκκακήσητε; μετὰ γὰρ τὸ εἰπεῖν, ὁ μὴ ἐργαζόμενος μηδὲ ἐσθιέτω, τοῦτο ἐπήγαγεν. ἀλλ' ἐπιθέτης, φησὶν, ἐστί. τί φῂς, ἄνθρωπε; ἄρτου ἑνὸς ἕνεκεν καὶ ἱματίου ἐπιθέτην καλεῖς; ἀλλ' εὐθέως πωλεῖ αὐτὸ, φησι. σὺ δὲ πάντα τὰ σαυτοῦ καλῶς διοικεῖς; τί δαί; πάντες ἀπὸ ἀργίας πένονται; οὐδεὶς ἀπὸ ναυαγίων; οὐδεὶς ἀπὸ δικαστηρίων; οὐδεὶς ἀπὸ κλοπῆς; οὐδεὶς ἀπὸ κινδύνων; οὐδεὶς ἀπὸ νόσων; οὐδεὶς ἀπὸ ἄλλης περιστάσεως; ἀλλ' ἂν ἀκούσωμέν τινος τοιαῦτα ἀποδυρομένου, καὶ μεγάλα βοῶντος, καὶ γυμνοῦ ἀναβλέποντος εἰς τὸν οὐρανὸν, καὶ κομῶντος, καὶ ῥάκια ἠμφιεσμένου, εὐθέως τὸν ἐπιθέτην, τὸν ἀπατεῶνα, τὸν εἴρωνα καλοῦμεν. οὐκ αἰσχύνῃ ἵνα ἐπιθέτην καλεῖς; μηδὲν δῷς, καὶ μὴ κατηγορήσῃς τοῦ ἀνδρός. ἀλλ' ἔχει, φησὶ, καὶ σχηματίζεται. τοῦτο σοῦ κατηγορία, οὐκ ἐκείνου. οἶδε πρὸς ὠμοὺς ἔχων, πρὸς θηρία μᾶλλον ἢ πρὸς ἀνθρώπους, καὶ ὅτι κἂν ἐλεεινὸν φθέγξηται ῥῆμα, οὐδένα ἐφέλκεται· καὶ διὰ τοῦτο ἀναγκάζεται καὶ σχῆμα περιθεῖναι ἑαυτῷ ἐλεεινότερον, ἵνα σου καταμαλάξῃ τὴν ψυχήν. ἐὰν ἴδωμέν τινα ἐν ἐλευθερίῳ σχήματι προσιόντα, οὗτος ἐπιθέτης ἐστὶ, φησι, καὶ ἵνα δόξῃ ἀπὸ εὐγενῶν εἶναι, οὕτω πρόσεισιν· ἂν ἴδωμεν ἐν τῷ ἐναντίῳ σχήματι, καὶ τοῦτον κακίζομεν. τί πράξουσι λοιπόν; ὢ τῆς ὠμότητος, ὢ τῆς ''ἀπανθρωπίας. (χ. ἀπονοίας) καὶ τίνος ἕνεκεν, φησι, τὰ ἀκρωτηριασμένα μέλη γυμνοῦσι; διὰ σέ. εἰ ἐλεήμονες ἦμεν, οὐκ ἂν ἔδει τούτων αὐτοῖς τῶν τεχνῶν· εἰ ἐκ πρώτης προσόδου ἔπειθον, οὐκ ἂν τοσαῦτα ἐμηχανήσαντο. τίς ἐστιν οὕτως ἄθλιος, ὡς ἐθέλειν τοσαῦτα βοᾷν, ὡς ἐθέλειν ἀσχημονεῖν, ὡς ἐθέλειν ἀποδύρεσθαι δημοσίᾳ μετὰ τῆς γυναικὸς γεγυμνωμένης, * μετὰ τῶν παίδων σποδὸν καταπάττεσθαι; (* ὡς) πόσης ταῦτα πενίας χείρονα; ἀλλ' ὑπὸ τούτων οὐ μόνον οὐκ ἐλεοῦνται, ἀλλὰ καὶ κατηγοροῦνται παρ' ἡμῶν. ἔτι οὖν ἀγανακτήσομεν, ὅτι τοῦ Θεοῦ δεόμενοι οὐκ εἰσακουόμεθα; ἔτι οὖν δυσχεραίνομεν, ὅτι οὐ πειθόμεθα παρακαλοῦντες; οὐ φρίττομεν, ἀγαπητοί; ἀλλὰ πολλάκις ἔδωκα, φησι. σὺ δὲ οὐκ ἀεὶ ἐσθίεις; οὐδὲ παῖδας πολλάκις ἀπαιτοῦντας ἀπάγεις; ὢ τῆς ἀναισχυντίας. πάντας ἀναισχύντους καλεῖς; καὶ σὺ μὲν ἁρπάζων οὐκ ἀναίσχυντος· ἐκεῖνος δὲ ὑπὲρ ἄρτου δεόμενος ἀναίσχυντος; οὐκ οἶδας ὅση τῆς γαστρὸς ἡ ἀνάγκη; οὐχὶ πάντα διὰ ταύτην ποιεῖς; οὐχὶ τῶν πνευματικῶν διὰ ταύτην ἀμελεῖς; οὐχὶ οὐρανὸς πρόκειται καὶ οὐρανῶν βασιλεία, σὺ δὲ τὴν ἐκείνης δεδοικὼς τυραννίδα, πάντα ὑπομένεις, καὶ ἐκείνης [οὐ] καταφρονεῖς; αὕτη ἐστὶν ἀναισχυντία. οὐχ ὁρᾷς γέροντας ἀναπήρους; ἀλλ' ὢ τῆς ληρῳδίας. ὁ δεῖνα, φησι, τοσούσδε ''χρυσοῦς δανείζει, ὁ δεῖνα ''δὲ τόσους, καὶ ἐπαιτεῖ. (χ. χρυσίνους) (χ. τοσούσδε) παίδων μικρῶν μύθους διηγεῖσθε καὶ λήρους. καὶ γὰρ ἐκεῖνοι τοιούτους ἀεὶ μύθους παρὰ τῆς τίτθης ἀκούουσιν. οὐ πείθομαι, οὐ πιστεύω, μὴ γένοιτο. δανείζει τις, καὶ ἐν ἀφθονίᾳ ὢν προσαιτεῖ; τίνος ἕνεκεν, εἰπέ μοι; τί δὲ ἀσχημονέστερον τοῦ ἐπαιτεῖν; κρεῖσσον ἀποθανεῖν, ἢ ἐπαιτεῖν. μέχρι τίνος ἀπλῶς ἐσμεν; τί οὖν; πάντες δανείζουσι; πάντες ἐπιθέται εἰσίν; οὐδεὶς πένης ὄντως; ναί, φησι, καὶ πολλοί. τί οὖν ἐκείνοις οὐκ ἐπικουρεῖς; ἐπειδὴ ἀκριβὴς εἶ τὸν βίον αὐτῶν ἐξεταστής. σκῆψις ταῦτα καὶ πρόφασις.

Λουκ. ς. λ. Παντὶ τῷ αἰτοῦντί σε δίδου, καὶ τὸν θέλοντα δανείσασθαι ἀπὸ σοῦ μὴ ἀποστραφῇς· ἔκτεινον τὴν χεῖρά σου, μὴ ἔστω συνεσταλμένη. οὐχὶ τὸν βίον κατέστημεν ἐξετασταί, ἐπεὶ οὐδένα οὕτως ἐλεήσομεν. διὰ τί, ὅταν τὸν Θεὸν παρακαλῇς, λέγεις, μὴ μνησθῇς τῶν ἁμαρτιῶν μου; ὥστε εἰ καὶ σφόδρα ἐστὶν ἐκεῖνος ''ἁμαρτωλὸς, τοῦτο καὶ ἐπ' αὐτοῦ λογίζου, καὶ μὴ μιμνήσκου τῶν ἁμαρτιῶν αὐτοῦ. (χ. --λος, ἀλλ' οὖν ἐπ' αὐτοῦ μὴ λογίζου, μηδὲ μιμνήσ.) φιλανθρωπίας ἐστὶν ὁ καιρὸς, οὐκ ἀκριβοῦς ἐξετάσεως· ἐλέους, οὐ λογισμοῦ. διατραφῆναι βούλεται. ἂν μὲν βούλῃ, δός· ἂν δὲ μὴ βούλῃ, ἀπόπεμψον μὴ ''ἐπαπορήσας. (χ. --σῃς) διὰ τί ἄθλιος εἶ καὶ ταλαίπωρος; διὰ τί οὐδὲ αὐτὸς ἐλεεῖς, καὶ τοὺς θέλοντας ἀποτρέπεις; ὅταν γὰρ ὁ δεῖνα ἀκούσῃ παρὰ σοῦ, ὅτι οὗτος ἀπατεὼν, ὅτι ἐκεῖνος ὑποκριτής, ὅτι ''ἐκεῖνος δανείζει· οὔτε τούτοις δίδωσιν, οὔτε ἐκείνοις. (χ. ὅπε) πάντας γὰρ ὑποπτεύει τοιούτους εἶναι. ἴσμεν γὰρ ὅτι τὰ πονηρὰ εὐκόλως ὑποπτεύομεν, τὰ δὲ χρηστὰ, οὐκέτι.

ἐνταῦθα γὰρ τὴν ψυχὴν σὺ ἀναφέρεις θῦμα. ἔστι καὶ ἄλλα θύματα, τὰ ὄντως ὁλοκαυτώματα, τὰ τῶν ἁγίων μαρτύρων σώματα. ἐκεῖ ἁγία καὶ ψυχὴ καὶ σῶμα· ἐκεῖνα ὀσμὴν εὐωδίας ἔχει μεγάλην. δύνασαι καὶ σὺ, ἐὰν θέλῃς, τοιαύτην θυσίαν ἀναγαγεῖν. τί γὰρ, ἐὰν μὴ τῷ πυρὶ καύσῃς τὸ σῶμα; ἀλλ' ἑτέρῳ πυρὶ δύνασαι· οἷον, τῷ τῆς πενίας τῆς ἑκουσίου, τῷ τῆς θλίψεως. τὸ γὰρ ἐξὸν μετὰ τρυφῆς καὶ πολυτελείας διάγειν, τὸν δὲ ἐπίμοχθον καὶ κατάπικρον αἱρεῖσθαι βίον, καὶ τὸ σῶμα νεκροῦν, οὐχὶ ὁλοκαύτωσίς ἐστι; νέκρωσόν σου τὸ σῶμα, καὶ σταύρωσον, καὶ λήψῃ καὶ αὐτὸς τοῦ μαρτυρίου τοῦτον τὸν στέφανον. ὅπερ [γὰρ] ἐκεῖ τὸ ξίφος ἐργάζεται, τοῦτο ἐνταῦθα ἡ προθυμία ποιείτω. μὴ καιέτω, μηδὲ κατεχέτω χρημάτων ἔρως, ἀλλὰ κατασχεθέτω καὶ κατασβεννύσθω ἡ ἐπιθυμία αὕτη ἡ ἄτοπος τῷ πυρὶ τοῦ πνεύματος, καὶ κατακοπτέσθω τῇ μαχαίρᾳ τοῦ πνεύματος. αὕτη θυσία καλὴ, οὐ δεομένη ἱερέως, ἀλλ' αὐτοῦ τοῦ προσφέροντος αὐτήν· θυσία καλὴ, κάτω μὲν ἐπιτελουμένη, ἄνω δὲ εὐθέως ἀναλαμβανομένη. οὐχὶ θαυμάζομεν ὅτι τὸ παλαιὸν πῦρ κατιὸν ἅπαντα ἀνήλισκεν; ἔξεστι καὶ νῦν πῦρ κατελθεῖν πολὺ θαυμαστότερον ἐκείνου, καὶ πάντα ἀναλῶσαι τὰ προκείμενα· μᾶλλον δὲ, οὐκ ἀναλῶσαι, ἀλλ' ἀναγαγεῖν εἰς τὸν οὐρανόν. οὐ γὰρ τέφραν αὐτὰ ποιεῖ, ἀλλὰ δῶρα προσφέρει τῷ Θεῷ. τοιαῦται ἦσαν αἱ τοῦ Κορνηλίου προσφοραί. Αἱ προσευχαί σου γὰρ, φησὶ, καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ. (Πράξ. ι. δ.) ὁρᾷς συζυγίαν ἀρίστην; τότε ἀκουόμεθα, ὅταν καὶ αὐτοὶ ἀκούωμεν τῶν προσιόντων πενήτων. Ὃς ἀποφράσσει, φησὶ, τὰ ὦτα αὐτοῦ τοῦ μὴ ἀκοῦσαι πτωχοῦ, τῆς δεήσεως αὐτοῦ οὐκ εἰσακούσεται ὁ Θεός. (Παροιμ. κα. Ψαλμ. μ. α.) Μακάριος ὁ συνιῶν ἐπὶ πτωχὸν καὶ πένητα· ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ Κύριος. Οὐκ ἄλλη δὲ αὕτη ἐστὶν, ἀλλ' ἢ ἡ ἡμέρα ἐκείνη, ἡ πονηρὰ γίνεται τοῖς ἁμαρτωλοῖς. τί ἐστιν ὁ συνιῶν; ὁ νοῶν τί ἐστι πένης, ὁ τὴν θλίψιν αὐτοῦ καταμανθάνων. ὁ γὰρ μαθὼν αὐτοῦ τὴν θλῖψιν, πάντως καὶ εὐθέως αὐτὸν ἐλεήσει. ὅταν ἴδῃς πένητα, μὴ παραδράμῃς, ἀλλ' εὐθέως ἐννόησον τίς ἂν ἦς, εἰ σὺ ἦς ἐκεῖνος. τί οὐκ ἂν ἠθέλησας πάντας ποιεῖν; ὁ συνιῶν, φησίν. ἐννόησον ὅτι ὁμοίως σοὶ ἐλεύθερός ἐστι, καὶ τῆς αὐτῆς σοὶ κοινωνεῖ εὐγενείας, καὶ πάντα σοι κοινὰ κέκτηται· ἀλλὰ τοῦτον τὸν οὐδὲν ἔλαττον ἔχοντά σου, οὐδὲ τῶν κυνῶν πολλάκις τῶν σῶν ἴσον ποιεῖς. τὸν μὲν γὰρ ἄρτου κορέννυνται, οὗτος δὲ πολλάκις ἐκοιμήθη πεινῶν, καὶ τῶν δούλων τῶν σῶν ὁ ἐλεύθερος ἀτιμότερος γέγονεν. ἀλλ' ἐκεῖνοι ἡμῖν χρείας πληροῦσι, φησί. ποίαν δὴ ταύτην, εἰπέ μοι; ὅτι δουλεύουσί σοι καλῶς; ἐὰν οὖν δείξω καὶ τοῦτον χρείαν σοι πληροῦντα πολλῷ μείζονα ἐκείνων, τί ἐρεῖς; παραστήσεται γάρ σοι ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, καὶ ἐξαιρήσεταί σε τοῦ πυρός. τί τοιοῦτον οἱ δοῦλοι ποιοῦσι πάντες; ὅτε ἡ Ταβιθὰ ἐτελεύτησε, τίς ἀνέστησεν αὐτήν; δοῦλοι περιστάντες, ἢ πτωχοί; σὺ δὲ οὐδὲ τῶν δούλων τὸν ἐλεύθερον ἐν ἴσῳ ποιεῖν ἐθέλεις. πολύς ἐστιν ὁ κρυμὸς, καὶ ἔρριπται ἐπ' ἐδάφους ῥάκια ἔχων ὁ πένης, ἀποτεθνηκὼς ὑπὸ κρύους, κροτῶν τοὺς ὀδόντας, καὶ τῇ ὄψει καὶ τῷ σχήματι ἱκανὸς παρακαλέσαι· σὺ δὲ θερμαινόμενος καὶ μεθύων παρέρχῃ. καὶ πῶς ἀξιοῖς τὸν Θεὸν ἐν συμφορᾷ σε ὄντα ἐξελέσθαι; πολλάκις δὲ καὶ τοῦτο λέγεις, ἐγὼ εἰ ἤμην, καὶ ἔλαβον πολλὰ ἁμαρτόντα τινὰ, ἀφῆκα ἂν αὐτόν· καὶ ὁ Θεὸς οὐκ ἀφίησι; μὴ τοῦτο εἴπῃς. καὶ γάρ ἐστι τὸν οὐδὲν ἁμαρτόντα εἰς σὲ, ὃν δύνασαι ἀπαλλάξαι, τοῦτον παρορᾷς. εἰ δὲ τὸν τοιοῦτον σὺ παραλογίζῃ, πῶς ὁ Θεὸς εἰς αὐτὸν ἁμαρτάνοντά σε ἀφήσει; ἆρα οὐχὶ γεέννης ἄξια ταῦτα; καὶ τί θαυμαστόν*· σῶμα μὲν πολλάκις νεκρὸν καὶ ἀναίσθητον, οὐκέτι τῆς τιμῆς αἰσθανόμενον, μυρίοις καὶ ποικίλοις καὶ διαχρύσοις ἱματίοις περιστέλλεις· τὸ δὲ ἀλγοῦν καὶ κατατεινόμενον καὶ βασανιζόμενον καὶ καταπινόμενον ὑπὸ λιμοῦ καὶ κρυμοῦ περιορᾷς, καὶ πλέον τῇ κενοδοξίᾳ χαρίζῃ, ἢ τῷ φόβῳ τοῦ Θεοῦ. καὶ εἴθε μέχρι τούτου, ἀλλ' εὐθέως κατηγορεῖν κατὰ τοῦ προσιόντος. τί γὰρ οὐκ ἐργάζεται, φησί; τίνος δὲ ἀργὸν τρέφεται; εἰπέ μοι, σὺ δὲ ἐργαζόμενος ἔχεις ἃ ἔχεις, οὐχὶ κλῆρον πατρῷον παραλαβών; εἰ δὲ καὶ ἐργάζῃ, διὰ τοῦτο ὀνειδίζεις ἑτέρῳ; οὐκ ἀκούεις Παύλου

γ. ἐκεῖ καὶ

γ. αἱρεῖσθαι

γ. τίς ἐστι πονηρὰ, ἀλλ' ἢ ἡ ἡμέρα ἐκείνη τοῖς

γ. μαινόμενος

* εἰ τοῦτο ποιεῖς, ὃς

γ. τί ἐστιν, καὶ μὴ εὐθὺς ἐργάζῃ, ἵνα ὀνειδίζῃς ἑτέ-

ερ. ὥσπερ γὰρ ἡ ἄγκυρα ἐξαρτηθεῖσα τοῦ πλοίου, οὐκ ἀφίησιν αὐτὸ περιφέρεσθαι, κἂν μυρίοι περισαλεύωσιν ἄνεμοι, ἀλλ' [ἐξαρτηθεῖσα] ἑδραῖον ποιεῖ· οὕτω καὶ ἡ ἐλπίς. καὶ ὅρα πῶς σφόδρα ἁρμόδιον εὗρεν εἰκόνα. οὐ γὰρ εἶπε θεμέλιον, ὅπερ ἀπῇδεν, ἀλλὰ ἄγκυραν. τὸ γὰρ ἐν σάλῳ ὂν, καὶ οὐ σφόδρα δοκοῦν ἡδράσθαι, ἐπὶ τῆς ὑγρᾶς, ὡς ἐπὶ γῆς, ἕστηκε, καὶ σαλεύεται, καὶ οὐ σαλεύεται. ἐπὶ μὲν γὰρ τῶν σφόδρα στερρῶν καὶ φιλοσόφων, εἰκότως ἐκεῖνο τέθεικεν ὁ Χριστὸς λέγων, Ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν πέτραν· ἐπὶ δὲ τῶν ἀπαγορευόντων, καὶ ὀφειλόντων διὰ τῆς ἐλπίδος διαβαστάζεσθαι, οἰκείως τοῦτο τέθεικεν ὁ Παῦλος. ἡ μὲν γὰρ ζάλη καὶ ὁ πολὺς χειμὼν σαλεύει τὸ σκάφος· ἡ δὲ ἐλπὶς οὐκ ἀφίησι περιφέρεσθαι, κἂν μυρίοι περισαλεύωσιν ἄνεμοι. ὥστε εἰ μὴ ταύτην εἴχομεν, πάλαι ἂν κατεποντίσθημεν. οὐκ ἐν τοῖς πνευματικοῖς δὲ μόνον, ἀλλὰ καὶ ἐν τοῖς βιωτικοῖς πολλὴν ταύτης εὕροι τις ἂν τὴν ἰσχύν· οἷον, ἐπὶ ἐμπορείας, ἐπὶ γεωργίας, ἐπὶ στρατείας. ἐὰν γὰρ μὴ ταύτην εὐθέως τις προθῆται, οὐδ' ἂν ἅψαιτο ἔργου. ἄγκυραν δὲ οὐχ ἁπλῶς εἶπεν, ἀλλ' ἀσφαλῆ τε καὶ βεβαίαν· ἵνα δηλώσῃ τὸ ἀψευδὲς τῶν αὐτῇ ἐπερειδομένων εἰς σωτηρίαν· διὸ ἐπάγει, εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος. τί ἐστι τοῦτο; ἀντὶ τοῦ, διικνουμένην εἰς τὸν οὐρανόν. εἶτα καὶ τὴν πίστιν ἐπήγαγεν, ἵνα μὴ μόνον ἐλπὶς ᾖ, ἀλλὰ καὶ ἀληθὴς σφόδρα. μετὰ γὰρ τὸν ὅρκον καὶ ἑτέραν τίθησι, τὴν διὰ τῶν πραγμάτων ἀπόδειξιν, ὅτι πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν Ἰησοῦς. ὁ δὲ πρόδρομος, τινὸς ἐστὶ πρόδρομος· ὥσπερ Ἰωάννης τοῦ Χριστοῦ. καὶ οὐκ εἶπεν ἁπλῶς, εἰσῆλθεν, ἀλλ', ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν· ὡς καὶ ἡμῶν ὀφειλόντων καταλαβεῖν. οὐ πολὺ γὰρ τοῦ προδρόμου καὶ τῶν ἑπομένων ὀφείλει εἶναι τὸ μέσον· ἐπεὶ οὐδ' ἂν εἴη πρόδρομος. τὸν γὰρ πρόδρομον καὶ τοὺς ἑπομένους ἐν τῇ αὐτῇ χρὴ εἶναι ὁδῷ· καὶ τὸν μὲν ὁδεύειν, τοὺς δὲ ἐπικαταλαμβάνειν. κατὰ τὴν τάξιν, φησὶ, Μελχισεδὲκ, ἀρχιερεὺς γενόμενος εἰς τὸν αἰῶνα. ἰδοὺ καὶ ἄλλη παράκλησις· εἴγε ἄνω ὁ ἀρχιερεὺς ἡμῶν, καὶ πολὺ βελτίων τῶν παρὰ Ἰουδαίοις, οὐ τῷ τρόπῳ μόνον, ἀλλὰ καὶ τῷ τόπῳ, καὶ τῇ σκηνῇ, καὶ τῇ διαθήκῃ, καὶ τῷ προσώπῳ. καὶ τοῦτο δὲ εἰς τὸ κατὰ σάρκα εἴρηται. — Ματθ. ζ. κδ. — χ. καὶ ἤδη πλοίου. — χ. ἑτέραν τίθησι τὴν — χ. τὸ

ΗΘΙΚΟΝ

Χρὴ τοίνυν καὶ τοὺς ὧν ἐστιν ἱερεὺς, σφόδρα εἶναι βελτίους· καὶ ὥσπερ πολὺ τὸ μέσον Ἀαρὼν καὶ τοῦ Χριστοῦ, τοσοῦτον ἡμῶν καὶ τῶν Ἰουδαίων τὸ μέσον. ὅρα γάρ· ἄνω ἔχομεν τὸ ἱερεῖον, ἄνω τὸν ἱερέα, ἄνω τὴν θυσίαν. οὐκοῦν τοιαύτας ἀναφέρωμεν θυσίας τὰς ἐν ἐκείνῳ δυναμένας προσφέρεσθαι τῷ θυσιαστηρίῳ· οὐκέτι πρόβατα καὶ βόας, οὐκέτι αἷμα καὶ κνίσσαν. πάντα ταῦτα λέλυται, καὶ ἀντεισενήνεκται ἀντὶ τούτων ἡ λογικὴ λατρεία. τί δέ ἐστιν ἡ λογικὴ λατρεία; τὰ διὰ ψυχῆς, τὰ διὰ πνεύματος (Πνεῦμα, φησὶν, ὁ Θεός· καὶ τοὺς προσκυνοῦντας αὐτὸν, ἐν πνεύματι καὶ ἀληθείᾳ χρὴ προσκυνεῖν) ὅσα μὴ δεῖται σώματος, ὅσα μὴ δεῖται ὀργάνων, μὴ τόπων. τὰ δέ ἐστιν οἷον ἐπιείκεια, σωφροσύνη, ἐλεημοσύνη, ἀνεξικακία, μακροθυμία, ταπεινοφροσύνη. τὰ θύματα ταῦτα καὶ ἐν τῇ παλαιᾷ ἴδοι τις ἂν ἄνωθεν προδιατετυπωμένα. Θύσατε γὰρ, φησὶν ὁ Δαβὶδ, τῷ Θεῷ θυσίαν δικαιοσύνης. καὶ πάλιν, Θῦσον σοι θυσίαν αἰνέσεως, καὶ, Θυσία αἰνέσεως δοξάσει με, καὶ, Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, [καὶ, Τί Κύριος ἐκζητεῖ παρὰ σοῦ, ἀλλ' ἢ τὸ ἀκούειν αὐτοῦ;] Ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ηὐδόκησας. τότε εἶπον, ἰδοὺ ἥκω τοῦ ποιῆσαι, ὁ Θεὸς, τὸ θέλημά σου. καὶ πάλιν, Ἵνα τί μοι λίβανον ἐκ Σαβὰ φέρετε; καὶ ἑτέρως, Ἀπόστησον ἀπ' ἐμοῦ ἦχον ᾠδῶν σου, καὶ ψαλμοὶ ὀργάνων σου οὐκ ἀκούσομαι· ἀλλ' ἀντὶ τούτων, Ἔλεον θέλω, καὶ οὐ θυσίαν. ὁρᾷς οἵαις θυσίαις εὐαρεστεῖται ὁ Θεός; ὁρᾷς καὶ ἄνωθεν ἤδη τὰς μὲν ἐκκεχωρηκυίας, τὰς δὲ ἀντεισελθούσας; ταύτας τοίνυν προσάγωμεν. ἐκεῖναι μὲν γὰρ πλούτου καὶ τῶν ἐχόντων εἰσὶν, αὗται δὲ ἀρετῆς· ἐκεῖναι ἔξωθεν, αὗται ἔνδοθεν· ἐκείνας καὶ ὁ τυχὼν ἐργάσασθαι δυνήσεται ἄν, ταύτας δὲ ὀλίγοι. ὅσῳ δὲ προβάτου κρείττων ὁ ἄνθρωπος, τοσούτῳ αὕτη ἐκείνης ἡ θυσία. ἐν-

— Ιωαν. δ. κδ. — Ψαλ. δ. ε. — Ψαλ. ρκε. ζ. (?) — Ψαλ. μθ κδ. — Ψαλ. ν. ιθ. — Μιχ. ς. η. — Ψαλ. λθ. ι. — Ιερ. ς. κ. — Αμως. ε. κγ. — Ωσ. ς ς. — χ. Χριστοῦ, ἵνα καὶ ἡμῶν τὸ μέσον ἀνάγκη.

μὲν διὰ τοῦ λαοῦ. ἐπειδὴ γὰρ ὠλιγοψύχησαν, διὰ τοῦτο τῆς ἐπαγγελίας ἐπέτυχον οὐδαμῶς. τὸ δὲ ἐναντίον δείκνυσι διὰ τοῦ Ἀβραάμ. εἶτα πρὸς τῷ τέλει καὶ πλατεῖ τι ποιεῖ. δείκνυσι γὰρ ὅτι καὶ μακροθυμήσαντες οὐκ ἐπέτυχον, καὶ οὐδὲ οὕτως ἀγάλλονται. ἄνθρωποι μὲν γὰρ κατὰ τοῦ μείζονος ὀμνύουσι, καὶ πάσης αὐτοῖς ἀντιλογίας πέρας εἰς βεβαίωσιν ὁ ὅρκος· ὁ δὲ Θεὸς ἐπεὶ κατ' οὐδενὸς μείζονος εἶχεν ὀμόσαι, ὤμοσε καθ' ἑαυτοῦ. καλῶς. τίς οὖν ἐστιν ὁ ὀμόσας τῷ Ἀβραάμ; οὐχὶ ὁ υἱός; οὔ, φησί. πόθεν τοῦτο λέγεις; μάλιστα μὲν γὰρ αὐτὸς πλέον οὐκ ἀμφισβητῶ. ὅταν οὖν αὐτὸς ὀμνύῃ τὸν αὐτὸν ὅρκον, ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐ δῆλον ὅτι ἐκ τοῦ μὴ ἔχειν κατὰ μείζονος ὀμόσαι; ὥσπερ γὰρ ὁ πατὴρ ὤμοσεν, οὕτω καὶ ὁ υἱὸς ὀμνύει καθ' ἑαυτοῦ, λέγων, ἀμὴν ἀμὴν λέγω ὑμῖν. ἐνταῦθα αὐτοὺς ἀναμιμνήσκει ἐκείνων τῶν ὅρκων τῶν τοῦ Χριστοῦ, ὧν συνεχῶς ἔλεγεν, Ἀμὴν ἀμὴν λέγω σοι, ὁ πιστεύων εἰς ἐμέ, οὐ μὴ ἀποθάνῃ εἰς τὸν αἰῶνα. τί ἐστι, καὶ πάσης αὐτοῖς ἀντιλογίας πέρας εἰς βεβαίωσιν ὁ ὅρκος; ἀντὶ τοῦ, ἐκ τούτου λύεται πάσης ἀντιλογίας ἀμφισβήτησις· οὐ τῆσδε, ἢ τῆσδε, ἀλλὰ πάσης. ἔδει μὲν οὖν καὶ χωρὶς ὅρκου πιστεύεσθαι τὸν Θεόν.

γ. ὀμνύεις
γ. αὐτοῖς

Ιωαν. ια. κε.

17 Ἐν ᾧ περισσότερον βουλόμενος ὁ Θεός, φησίν, ἐπιδεῖξαι τοῖς κληρονόμοις τῆς ἐπαγγελίας τὸ ἀμετάθετον τῆς βουλῆς αὐτοῦ, ἐμεσίτευσεν ὅρκῳ. Ἐνταῦθα καὶ τοὺς πιστοὺς περιλαμβάνει. διὰ τοῦτο καὶ ταύτης τῆς ἐπαγγελίας μέμνηται τῆς πρὸς ἡμᾶς κοινῶς γενομένης. ἐμεσίτευσε, φησίν, ὅρκῳ. πάλιν ἐνταῦθα τὸν υἱόν φησι μεταξὺ ἀνθρώπων καὶ Θεοῦ μεσίτην γεγονέναι.

γ. τῆς προτέρας κοινῶς

18 Ἵνα διὰ δύο πραγμάτων ἀμεταθέτων, ἐν οἷς ἀδύνατον ψεύσασθαι τὸν Θεόν.

Ποίων, καὶ ποίου; τοῦ τε εἰπεῖν καὶ ὑποσχέσθαι, τοῦ τε ὅρκον προσθεῖναι τῇ ὑποσχέσει. ἐπειδὴ γὰρ παρὰ ἀνθρώποις τοῦτο δοκεῖ πιστότερον εἶναι τὸ τοῦ ὅρκου, διὰ τοῦτο καὶ αὐτὸ προσέθηκεν. ὁρᾷς ὅτι οὐ τὴν ἀξίαν τὴν ἑαυτοῦ σκοπεῖ, ἀλλ' ὅπως τοὺς ἀνθρώπους πείσῃ, καὶ ἀνάξια περὶ ἑαυτοῦ ἀνέχεται λέγεσθαι; * τουτέστι, πληροφορῆσαι θέλων. καὶ ἐπὶ [μὲν] τοῦ Ἀβραάμ, δείκνυσι τοῦ Θεοῦ ὂν τὸ πᾶν, οὐ τῆς μακροθυμίας ἐκείνου, εἴγε καὶ ὅρκον ὑπέσχετο προσθεῖναι, εἰ καθ' οὗ ὀμνύουσιν ἄνθρωποι, καὶ ὁ Θεὸς κατ' αὐτοῦ ὤμοσε, τουτέστι, καθ' ἑαυτοῦ. ἀλλ' ἐκεῖνοι μὲν ὡς μείζονος, οὗτος δὲ οὐχ ὡς μείζονος· καὶ ὅμως ἐποίησεν. οὐ γὰρ ἴσον, ἀνθρώπους καθ' ἑαυτοῦ ὀμόσαι, καὶ Θεόν. ὁ γὰρ ἄνθρωπος ἐξουσίαν ἑαυτοῦ οὐκ ἔχει. ὁρᾷς τοίνυν ὅτι οὐ πρὸς τὸν Ἀβραὰμ μᾶλλον ἢ πρὸς ἡμᾶς τοῦτο εἴρηται. Ἰσχυρὰν, φησί, παράκλησιν ἔχωμεν οἱ καταφυγόντες κρατῆσαι τῆς προκειμένης ἐλπίδος. Καὶ ἐνταῦθα πάλιν μακροθυμήσας ἐπέτυχε τῆς ἐπαγγελίας νῦν, φησί, καὶ οὐκ εἶπεν, ἐπειδὴ ὤμοσεν. ὅρκος δὲ τίς ἐστιν ἐδήλωσεν εἰπὼν τὸ, κατὰ τοῦ μείζονος ὀμόσαι. ἀλλ' ἐπειδὴ ἄπιστόν ἐστι τὸ τῶν ἀνθρώπων γένος, συγκατέβη εἰς τὰ αὐτὰ ἡμῖν. ὥσπερ οὖν ὄμνυσι δι' ἡμᾶς, καίτοι ἀνάξιον αὐτοῦ τὸ μὴ πιστεύεσθαι· οὕτω καὶ τὸ, ἔμαθεν ἀφ' ὧν ἔπαθεν, εἴρηκεν, ἐπειδὴ οἱ ἄνθρωποι τοῦτο νομίζουσι μᾶλλον εἶναι ἀξιοπιστότερον, τὸ διὰ τῆς πείρας ἐλθεῖν. τί ἐστι, τῆς προκειμένης ἐλπίδος; ἀπὸ τούτων τὰ μέλλοντα, φησί, στοχαζόμεθα. εἰ γὰρ ταῦτα μετὰ τοσοῦτον ἐξέβη χρόνον, πάντως κἀκεῖνα. ὥστε τὰ πρὸς τὸν Ἀβραὰμ γεγενημένα πιστοῦται ἡμᾶς καὶ περὶ τῶν μελλόντων.

* ἐν οἷς ἀδύνατον ψεύσασθαι Θεόν

γ. αὖ ἐπὶ τοῦ, μακροθ.
γ. νῦν φησιν ἰσχυρὰν παράκλησιν ἔχωμεν· καὶ

19 Ἣν ὡς ἄγκυραν ἔχομεν τῆς ψυχῆς ἀσφαλῆ τε καὶ βεβαίαν, καὶ εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος.

20 Ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν Ἰησοῦς, κατὰ τὴν τάξιν Μελχισεδέκ, ἀρχιερεὺς γενόμενος εἰς τὸν αἰῶνα. Ἐν τῷ κόσμῳ ἔτι ὄντας, καὶ οὐδέπω μεταστάντας τοῦ βίου, δείκνυσιν ἤδη ὄντας ἐν τοῖς ἐπηγγελμένοις. διὰ γὰρ τῆς ἐλπίδος ἤδη ἐν τῷ οὐρανῷ ἐσμεν. οὐκ εἶπεν, ἀναμείνατε· πάντως γὰρ ἔσται. ἀλλὰ πληροφορῶν λέγει, μᾶλλον δὲ, τῇ ἐλπίδι ἤδη ἐτύχετε. καὶ οὐκ εἶπεν, ἡμεῖς ἐσμεν ἔνδον, ἀλλ' αὐτὴ εἰσῆλθεν ἔνδον· ὅπερ ἀληθέστερον ἦν καὶ πιθανώτερον.

ὁ δὲ τὸν ἀγῶνα, οὐ καθαρῶς διὰ τὸν Θεὸν ἐργάζεται. καὶ ὁ μὲν φησι, μὴ φείσῃ χρημάτων, ἀλλὰ καὶ πάντα δέῃ κενῶσαι, δός. ἡμεῖς δὲ ἀγχομένους ὁρῶντες, ἀποδυρομένους, μυρίων θανάτων χαλεπώτερα πάσχοντας, καὶ ἀδίκως πολλάκις, φειδόμεθα τῶν χρημάτων, καὶ ἀφειδοῦμεν τῶν ἀδελφῶν· τῶν ἀψύχων μὲν κηδόμεθα, ψυχῆς δὲ ἀμελοῦμεν. καίτοιγε Παῦλος κελεύει ἐν πρᾳότητι παιδεύειν τοὺς ἀντιδιατιθεμένους, μήποτε, φησι, δῷ αὐτοῖς ὁ Θεὸς μετάνοιαν εἰς ἐπίγνωσιν τῆς ἀληθείας, καὶ ἀνανήψωσιν ἐκ τῆς τοῦ διαβόλου παγίδος, ἐζωγρημένοι ὑπ' αὐτοῦ εἰς τὸ ἐκείνου θέλημα. μήποτε, φησιν. ὁρᾷς πόσης μακροθυμίας τὸ ῥῆμα γέμει; τοῦτον καὶ ἡμεῖς μιμούμενοι, μηδένα ἀπελπίζωμεν. καὶ γὰρ καὶ ἁλιεῖς, πολλάκις τὸ ἄγκιστρον ῥίψαντες εἰς τὴν θάλατταν, οὐκ ἐπέτυχον· ὕστερον δὲ βαλόντες, τὸ πᾶν ἀπέλαβον· οὕτω καὶ ἡμεῖς οὐκ ἀπελπίζομεν, ἀλλὰ προσδοκῶμεν ἐπ' ἀθρόον ”δείξειν ἡμῖν καρπὸν ὥριμον. καὶ γὰρ ὁ γηπόνος ἐπειδὰν σπείρῃ, καὶ τὴν πρώτην ἡμέραν καὶ τὴν δευτέραν ἀναμένει, καὶ πολὺν χρόνον ἐκδέχεται· εἶτα ἀθρόον πάντοθεν ὁρᾷ τοὺς καρποὺς βλαστάνοντας. τοῦτο καὶ ἐφ' ὑμῶν ἔσεσθαι προσδοκῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ.

[margin: 2. Τιμ. 2] [margin: γ. δείξει]

Ανγ. ια.

13 ΤΩ ΓΑΡ ΑΒΡΑΑΜ ΕΠΑΓΓΕΙΛΑΜΕΝΟΣ Ο Θεὸς, ἐπεὶ κατ' οὐδενὸς μείζονος εἶχεν ὀμόσαι, ὤμοσε καθ' ἑαυτοῦ,

14 Λέγων, ἦ μὴν εὐλογῶν εὐλογήσω σε, καὶ πληθύνων πληθυνῶ σε.

15 Καὶ οὕτω μακροθυμήσας, ἐπέτυχε τῆς ἐπαγγελίας.

16 Ἄνθρωποι μὲν γὰρ κατὰ τοῦ μείζονος ὀμνύουσι, καὶ πάσης αὐτοῖς ἀντιλογίας πέρας εἰς βεβαίωσιν ὁ ὅρκος.

ΚΑθαψάμενος [γενναίως] τῶν Ἑβραίων, καὶ φοβήσας αὐτοὺς ἱκανῶς, ὕστερον μὲν τοῖς ἐγκωμίοις παραμυθεῖται, δεύτερον δὲ, ὃ καὶ ”ἰσχυρότερόν ἐστι, τῷ πάντως ἐπιτεύξεσθαι αὐτοὺς τῶν ἐλπιζομένων. καὶ τὴν παράκλησιν οὐκ ἀπὸ τῶν ”ἐνεστώτων ποιεῖται, ἀλλὰ πάλιν ἀπὸ τῶν παρελθόντων· ὃ δὴ μᾶλλον αὐτοὺς ἔπειθεν. ὥσπερ γὰρ ἐν τῇ κολάσει δι' ἐκείνων μᾶλλον φοβεῖ, οὕτω καὶ ἐν τοῖς ἐπάθλοις διὰ τούτων παρακαλεῖ, ὃ τοῦ Θεοῦ διηνεκὲς ἔθος. τοῦτο δέ ἐστι, τὸ μὴ ταχέως ἐπάγειν τὰ ἐπηγγελμένα, ἀλλὰ διὰ μακροῦ τοῦ χρόνου. ποιεῖ δὲ τοῦτο, τῆς τε αὐτοῦ δυνάμεως μέγιστον τεκμήριον ἐκφέρων, καὶ ἡμᾶς εἰς πίστιν ἐνάγων, ἵνα οἱ ἐν θλίψει ζῶντες, καὶ τὰς ἐπαγγελίας μὴ λαμβάνοντες, μηδὲ τοὺς μισθοὺς, μὴ ἀπαγορεύωσι πρὸς τοὺς καμάτους. καὶ πάντας ἀφεὶς, καίτοιγε ἔχων πολλοὺς εἰπεῖν, τὸν Ἀβραὰμ εἰς μέσον ἤγαγε διά τε τὸ ἀξίωμα τοῦ προσώπου, καὶ διὰ τὸ μάλιστα ἐπ' αὐτοῦ τοῦτο συμβεβηκέναι. καίτοιγε ἐν τῷ τέλει τῆς ἐπιστολῆς φησιν, ὅτι Οὗτοι πάντες πόρρωθεν αὐτὰς ἰδόντες καὶ ἀσπασάμενοι, οὐκ ἐκομίσαντο τὰς ἐπαγγελίας, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι. τῷ γὰρ Ἀβραὰμ, φησιν, ἐπαγγειλάμενος ὁ Θεὸς, ἐπεὶ κατ' οὐδενὸς μείζονος εἶχεν ὀμόσαι, ὤμοσε καθ' ἑαυτοῦ, λέγων, ἦ μὴν εὐλογῶν εὐλογήσω σε, καὶ πληθύνων πληθυνῶ σε. καὶ οὕτω μακροθυμήσας ἐπέτυχε τῆς ἐπαγγελίας. πῶς οὖν ἐν τῷ τέλει φησὶν, ὅτι οὐκ ἐκομίσαντο τὰς ἐπαγγελίας· ἐνταῦθα δὲ, ὅτι μακροθυμήσας ἐπέτυχε τῆς ἐπαγγελίας; πῶς ”οὐκ ἔλαβε; πῶς καὶ ἐπέτυχεν; οὐ περὶ τῶν αὐτῶν ἐνταῦθά φησι καλῶν, ἀλλὰ καὶ διπλῆν ποιεῖται τὴν παράκλησιν. ἐπηγγείλατο τῷ Ἀβραάμ. καὶ τὰ μὲν ἐνταῦθα μετὰ μακρὸν χρόνον ἔδωκε· τὰ δὲ ἐκεῖ, οὐδέπω· καὶ οὕτω μακροθυμήσας ἐπέτυχε τῆς ἐπαγγελίας. ὁρᾷς ὅτι οὐχ ἡ ἐπαγγελία μόνη τὸ πᾶν εἰργάσατο, ἀλλὰ καὶ ἡ μακροθυμία; ἐνταῦθα φοβεῖ αὐτοὺς, δεικνὺς ὅτι πολλάκις ”ἐγκόπτεται ἐπαγγελία δι' ὀλιγοψυχίαν. καὶ τοῦτο ἔδειξε

[margin: γ. ἰσχυρότερόν ἐστιν, ἐλπίδας αὐτοῖς περιποιεῖ τὸ πάντως] [margin: γ. μελλόντων] [margin: Ἑβρ. ια. λγ] [margin: γ. ὅτι] [margin: γ. ἐκκόπτεται]

μὲν

πιστός ἐστι. κἂν κοσμικὸς ᾖ τις, ἅγιός ἐστιν. Ἡγίασται γάρ, φησιν, ὁ ἀνὴρ ὁ ἄπιστος ἐν τῇ γυναικί, καὶ ἡ γυνὴ ἡ ἄπιστος ἐν τῷ ἀνδρί. ὅρα πῶς τὸν ἁγιασμὸν ἡ πίστις ποιεῖ. κἂν κοσμικὸν τοίνυν ἴδωμεν ἐν περιστάσει, ὀρέγωμεν χεῖρα· μὴ περὶ τοὺς ἐν ὄρεσι μόνον καθημένους ὦμεν σπουδαῖοι. ἅγιοι μὲν γὰρ ἐκεῖνοι καὶ βίῳ καὶ πίστει· ἅγιοι δὲ καὶ οὗτοι τῇ πίστει, πολλοὶ δὲ καὶ βίῳ. μή, ἐὰν ἴδωμεν μοναχὸν εἰς φυλακήν, τότε εἰσέλθωμεν· ἐὰν δὲ κοσμικόν, μὴ εἰσέλθωμεν. ἅγιός ἐστι κἀκεῖνος, καὶ ἀδελφός. τί οὖν, φησιν, ἐὰν ᾖ ἀκάθαρτος καὶ μιαρός; ἄκουε τοῦ Χριστοῦ λέγοντος, Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε. διὰ τὸν Θεὸν ποίησον. καὶ τί λέγω; κἂν Ἕλληνα ἴδωμεν ἐν περιστάσει, εὖ ποιεῖν δεῖ, καὶ ἁπλῶς πάντας ἀνθρώπους ἐν περιστάσει ὄντας, πολλῷ δὲ μᾶλλον πιστὸν κοσμικόν. ἄκουε Παύλου λέγοντος, Τὸ καλὸν ποιεῖτε πρὸς πάντας· μάλιστα δὲ πρὸς τοὺς οἰκείους τῆς πίστεως. ἀλλ᾽ οὐκ οἶδα πόθεν τοῦτο εἰσενήνεκται, καὶ πόθεν αὕτη κεκράτηκεν ἡ συνήθεια. ὁ γὰρ τοὺς μονάζοντας μόνον ἐπιζητῶν, κἀκείνους μόνους εὖ ποιεῖν θέλων, καὶ ἐκείνους δὲ πάλιν περιεργαζόμενος, καὶ λέγων, ἐὰν μὴ ᾖ ἄξιος, ἐὰν μὴ ᾖ δίκαιος, ἐὰν μὴ σημεῖα ποιῇ, οὐκ ὀρέγω χεῖρα, τὸ πλέον τῆς ἐλεημοσύνης ἐξέβαλε, καὶ τοῦτο δὲ αὐτὸ τῷ χρόνῳ πάλιν ἀναιρήσει· καίτοιγε ἐλεημοσύνη ἐκείνη ἐστίν, ἡ εἰς τοὺς ἁμαρτωλούς, ἡ εἰς τοὺς ὑπευθύνους γινομένη. ἐλεημοσύνη γὰρ τοῦτό ἐστιν, οὐ τὸ τοὺς κατορθωκότας, ἀλλὰ τὸ τοὺς πεπλημμεληκότας ἐλεεῖν. καὶ ἵνα μάθῃς, ἄκουε τί φησιν ὁ Χριστὸς διὰ τῆς παραβολῆς. Κατήει, φησί, τις ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχώ, καὶ λῃσταῖς περιέπεσε· καὶ τραυματίσαντες αὐτόν, εἴασαν παρὰ τὴν ὁδὸν ἡμιθανῆ τυγχάνοντα. κατὰ δὲ συγκυρίαν Λευΐτης τις παρὰ τὴν ὁδὸν ἦλθε, καὶ ἰδὼν αὐτόν, ἀντιπαρῆλθεν· ὁμοίως δὲ καὶ ἱερεὺς τὰ αὐτὰ ποιήσας παρέδραμεν. ὕστερον δὲ ἦλθέ τις Σαμαρείτης, καὶ πολλὴν τὴν κηδεμονίαν ἐποιήσατο αὐτοῦ. ἐπέδησε γὰρ τὰ τραύματα, ἐπέσταξεν ἔλαιον, ἀνεβίβασεν αὐτὸν ἐπὶ τὸν ὄνον, ἤγαγεν αὐτὸν εἰς τὸ πανδοχεῖον, εἶπε τῷ πανδοχεῖ, θεράπευσον αὐτόν. καὶ ὅρα τὴν φιλοτιμίαν τὴν πολλήν· καὶ ἐγώ σοι δώσω, φησίν, ὅσον ἂν ἀναλώσῃς. εἶτα πυνθάνεται, Τίς οὖν δοκεῖ σοι ἐκ τῶν τριῶν τούτων πλησίον αὐτοῦ γεγονέναι; ὁ δὲ νομικὸς εἰπών, ὁ ποιήσας τὸ ἔλεος μετ᾽ αὐτοῦ, ἀκούει, Πορεύου οὖν καὶ σύ, ποίει ὁμοίως. καὶ θέα ποίαν εἶπε παραβολήν· οὐκ εἶπεν ὅτι Ἰουδαῖος εἰς Σαμαρείτην ἐποίησεν, ἀλλ᾽ ὅτι Σαμαρείτης τὴν φιλοτιμίαν ἐκείνην ἅπασαν ἐνεδείξατο. ἐντεῦθεν μανθάνομεν, ἐξ ἴσης προνοεῖσθαι τῶν πάντων, οὐ τῶν οἰκείων τῆς πίστεως μόνον ἐπιμελουμένους, τῶν ἀλλοτρίων δὲ ἀμελοῦντας. οὕτω τοίνυν καὶ σύ, ἐὰν ἴδῃς τινὰ κακῶς πάσχοντα, μηδὲν περιεργάζου λοιπόν· ἔχει* τὸ δικαίωμα τῆς βοηθείας τὸ κακῶς παθεῖν αὐτόν. εἰ γὰρ ὄνον ἐὰν ἴδῃς ἀγχόμενον, ἐγείρεις αὐτόν, καὶ οὐ περιεργάζῃ τίνος ἐστί· πολλῷ μᾶλλον ἄνθρωπον οὐ δεῖ περιεργάζεσθαι, τίνος ἐστί. τοῦ Θεοῦ ἐστι, κἂν Ἕλλην ᾖ, κἂν Ἰουδαῖος. εἰ γὰρ καὶ ἄπιστος, ἀλλὰ βοηθείας δεῖται. εἰ μὲν γὰρ ἐξετάζειν καὶ κρίνειν ἐπετράπη σοι, καλῶς ταῦτα ἔλεγες· νῦν δὲ ἡ συμφορὰ ταῦτα οὐκ ἀφίησί σε ἐξετάζειν. εἰ γὰρ οὐδὲ ὑγιαίνοντας περιεργάζεσθαι χρή, οὐδὲ τὰ ἑτέρων πολυπραγμονεῖν· πολλῷ μᾶλλον τοὺς κακῶς πάσχοντας. ἄλλως δὲ [τί;] εἶδες αὐτὸν εὐθηνοῦντα, αὐτὸν εὐδοκιμοῦντα, ὅτι λέγεις, πονηρός ἐστι καὶ φαῦλος; κακῶς πάσχει. εἰ δὲ κακῶς πάσχοντα ὁρᾷς, μὴ λέγε ὅτι πονηρός ἐστιν. ὅταν μὲν γὰρ εὐδοκιμῇ, καλῶς ταῦτα λέγομεν· ὅταν δὲ ἐν συμφορᾷ ᾖ, καὶ βοηθείας δεῖται, οὐ χρὴ λέγειν ὅτι πονηρός ἐστιν. ὠμότητος γὰρ τοῦτο, καὶ ἀπανθρωπίας καὶ ἀλαζονείας. τί τῶν Ἰουδαίων ἀνομώτερον γέγονεν, εἰπέ μοι; ἀλλ᾽ ὅμως ἐκόλασεν αὐτοὺς ὁ Θεὸς καὶ δικαίως, καὶ σφόδρα δικαίως. καὶ ὅμως τοὺς μὲν συναλγοῦντας αὐτοῖς ἀπεδέξατο, τοὺς δὲ ἐφησθέντας ἐκόλασεν. Οὐκ ἔπασχον γάρ, φησιν, οὐδὲν ἐπὶ τῇ συντριβῇ τοῦ Ἰωσήφ. καὶ πάλιν φησίν, Ἐκπρίου κτεινομένους, μὴ φείσῃ. οὐκ εἶπε, περιεργάσαι, καὶ μάθε τίς ἐστι· καίτοι ὡς τὰ πολλὰ πονηροὶ οἱ ἀπαγόμενοι· ἀλλ᾽ εἶπεν ἁπλῶς, ἐκπρίου ὅστις ἂν ᾖ, φησί. τοῦτο γάρ ἐστι μάλιστα ἐλεημοσύνη. ὁ μὲν γὰρ φίλον εὖ ποιῶν, οὐ διὰ τὸν Θεὸν πάντως* ποιεῖ·

ὁ δὲ

Marginalia: α. Κορ. ζ. ιδ. — Ματθ. ζ. α. — Γαλ. ς. ι. — Λουκ. ι. λ. — Αμ. ς. ς. — Παροιμ. κδ. ια.

γρ. φάσει ὄντα εὐεργετεῖν χρή, πολλῷ μᾶλλον — γρ. καὶ λέγων, ἐὰν μὴ ᾖ ἄξιος, ἐὰν μὴ ᾖ δί- — γρ. ὀρέγων — γρ. καὶ πάξαντες — γρ. ὅπως ἐπιμελήσῃ αὐτοῦ. — γὰρ — γρ. ἵνα εἴπῃς ὅτι πονη- — γρ. ἐκπριοῦ. ἀλλ᾽ ἐκπρίω — * μόνον

Digitized by Google

τὸ θαυμαστόν ἐστι τῆς Παύλου συνέσεως, ὅτι οὐκ ἐνδείκνυται, ὅτι ἐνέδωκαν, ὅτι κατερρᾳθύμησαν. τὸ γὰρ εἰπεῖν, ἐπιθυμοῦμεν ἕκαστον ὑμῶν, τοῦτό ἐστιν, ὡς ἂν εἴποι τις, θέλω σε σπουδάζειν ἀεί, καὶ οἷος ἦς πρότερον, τοιοῦτον εἶναι καὶ νῦν, καὶ εἰς τὸ μέλλον. τοῦτο γὰρ τὸν ἔλεγχον προσηνέστερον καὶ εὐπαράδεκτον εἰργάζετο. καὶ οὐκ εἶπε, θέλω, ὅπερ ἦν διδασκαλικῆς αὐθεντίας, ἀλλ' ὃ πατρικῆς ἦν φιλοστοργίας καὶ πλέον τοῦ θέλειν, ἐπιθυμοῦμεν· μονονουχὶ λέγων, σύγγνωτε κἂν φορτικόν τι φθεγξώμεθα. ἐπιθυμοῦμεν γὰρ ἵνα ἕκαστον ὑμῶν τὴν αὐτὴν ἐνδείκνυσθαι σπουδὴν πρὸς τὴν πληροφορίαν τῆς ἐλπίδος ὑμῶν ἄχρι τέλους. τί ἐστι τοῦτο; ἡ ἐλπίς, φησι, διαβαστάζει, αὕτη ἀνακτᾶται πάλιν. μὴ ἐκλυθῆτε, μηδὲ ἀπελπίσητε, ἵνα μὴ περιττὴ ὑμῶν ἡ ἐλπὶς ᾖ. ὁ γὰρ ἀγαθὰ ἐργαζόμενος, καὶ ἀγαθὰ ἐλπίζει, καὶ οὐδέποτε ἀπελπίζει ἑαυτόν. ἵνα μὴ νωθροὶ γένησθε, ἀκμὴν γένησθε. καὶ μὴν δεύτερον ἔλεγεν, ἐπεὶ νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς. ἀλλ' ὅρα πῶς ἐκεῖ μέχρι τῆς ἀκοῆς τὴν νωθρότητα ἔστησεν. ἐνταῦθα εἰ καὶ αὐτὸ τοῦτο φθέγγεται, ἀλλ' ἑτέρῳ τινὶ ἀρτίζεται [?]. ἀντὶ γὰρ τοῦ εἰπεῖν, μὴ ἐναπομείνητε τῇ ῥᾳθυμίᾳ, μὴ νωθροὶ γένησθε εἶπε. πάλιν αὐτοὺς εἰς τὸν μέλλοντα ἐξάγει καιρὸν τὸν ἀνυπεύθυνον [, εἰπών, ἵνα μὴ νωθρότεροι γένησθε]. ἐκείνου γὰρ τοῦ μήπω παρόντος οὐκ ἂν εἴημεν ὑπεύθυνοι. ὁ μὲν γὰρ εἰς τὸ παρὸν παρακαλούμενος σπουδάζειν, ὡς ῥᾳθυμῶν ἴσως καὶ ὀκνηρότερος ἔσται· ὁ δὲ εἰς τὸ μέλλον, οὐχ οὕτως. ἐπιθυμοῦμεν δέ, φησιν, ἕκαστον ὑμῶν. πολλὴ ἡ φιλοστοργία· καὶ μεγάλων καὶ μικρῶν ὁμοίως κήδεται, καὶ πάντας οἶδε, καὶ οὐδένα παρορᾷ, ἀλλὰ τὴν αὐτὴν περὶ ἕκαστον κηδεμονίαν ἐπιδείκνυται, καὶ τὴν ἰσοτιμίαν πρὸς πάντας. ὅθεν καὶ μᾶλλον ἔπεισε δέξασθαι τὸ φορτικὸν τῶν ῥημάτων. ἵνα μὴ νωθροὶ γένησθε, φησι. καθάπερ γὰρ ἡ ἀργία τὸ σῶμα βλάπτει· οὕτω καὶ τὴν ψυχὴν ἡ ἀργία τῶν ἀγαθῶν ὑπτιωτέραν ἐργάζεται καὶ ἀσθενῆ. μιμηταὶ δέ, φησι, τῶν διὰ πίστεως καὶ μακροθυμίας κληρονομούντων τὰς ἐπαγγελίας. καὶ τίνες οὗτοί εἰσιν, ἑξῆς λέγει. πρότερον εἴρηκε, μιμήσασθε τὰ πρότερα ὑμῶν κατορθώματα. εἶτα ἵνα μὴ λέγωσι, ποῖα; αὐτοὺς ἀνάγει ἐπὶ τὸν πατριάρχην, τῶν μὲν κατορθωμάτων οἴκοθεν αὐτοῖς φέρων τὰ ὑποδείγματα, τοῦ δὲ νομίζειν ἐγκαταλελεῖφθαι, ἀπὸ τοῦ πατριάρχου. τοῦτο δὲ ποιεῖ, ἵνα μὴ λέγωσιν ὅτι ὡς οὐδενὸς ἄξιοι λόγου καταφρονηθέντες ἐγκατελείφθησαν, ἀλλ' εἰδέναι ἔχωσιν ὅτι τῶν μάλιστα γενναίων ἀνδρῶν τοῦτό ἐστι, τὸ διὰ πειρασμῶν ὁδεύειν τὸν βίον, καὶ ὅτι τοῖς θαυμαστοῖς καὶ μεγάλοις ἀνδράσιν οὕτω κέχρηται ὁ Θεός. δεῖ δέ, φησι, μετὰ μακροθυμίας ἅπαντα φέρειν. τοῦτο γάρ ἐστι καὶ πιστεῦσαι. ἐὰν δὲ εἴπῃ ὅτι δίδωσι, καὶ λάβῃς εὐθέως, τί καὶ ἐπίστευσας; οὐκέτι γὰρ τῆς πίστεώς ἐστι τοῦτο τῆς σῆς, ἀλλ' ἐμοῦ, φησι, τοῦ παρασχόντος τὴν ἐπαγγελίαν καὶ δεδωκότος. ἐὰν δὲ εἴπω ὅτι δίδωμι, καὶ μετὰ ἑκατὸν ἔτη δώσω, σὺ δὲ μὴ ἀπελπίσῃς· τότε με ἐνόμισας ἀξιόπιστον, τότε τὴν πρέπουσαν περὶ ἐμοῦ δόξαν ἔχεις. ὁρᾷς ὅτι πολλάκις ἡ ἀπιστία οὐκ ἐξ ἀνελπιστίας γίνεται μόνον, ἀλλὰ καὶ ἐκ τοῦ ὀλιγοψυχεῖν καὶ μὴ μακροθυμεῖν, οὐκ ἐκ τοῦ* ἐπαγγειλαμένου; οὐ γὰρ ἄδικος ὁ Θεός, φησιν, ἐπιλαθέσθαι τῆς ἀγάπης ὑμῶν, καὶ τῆς σπουδῆς ἧς ἐνεδείξασθε εἰς τὸ ὄνομα αὐτοῦ, διακονήσαντες τοῖς ἁγίοις, καὶ διακονοῦντες. μεγάλα αὐτοῖς μαρτυρεῖ, οὐκ ἔργα μόνον*, ἀλλὰ καὶ μετὰ προθυμίας ἔργα. ὃ καὶ ἀλλαχοῦ φησιν, Οὐ μόνον δέ, ἀλλὰ καὶ ἑαυτοὺς ἔδωκαν τῷ Κυρίῳ, καὶ ἡμῖν. ἧς ἐνεδείξασθε, φησιν, εἰς τὸ ὄνομα αὐτοῦ, διακονήσαντες τοῖς ἁγίοις, καὶ διακονοῦντες. ὅρα πῶς πάλιν αὐτοὺς θεραπεύει, ἐπαγαγὼν καὶ εἰπών, διακονοῦντες. ἔτι καὶ νῦν, λέγει, διακονοῦντες, διανιστῶν αὐτούς, καὶ δεικνὺς ὅτι οὐκ ἐκείνοις πεποιήκασιν, ἀλλὰ τῷ Θεῷ. ἣν ἐνεδείξασθε, φησιν· οὐχ ἁπλῶς εἰς τοὺς ἁγίους, ἀλλ' εἰς τὸν Θεόν. τοῦτο γάρ ἐστιν, εἰς τὸ ὄνομα αὐτοῦ· ὡσεὶ ἔλεγε διὰ τὸ ὄνομα αὐτοῦ πάντα πεποιήκατε. ὁ τοίνυν τοσαύτης παρ' ὑμῶν ἀπολαύων σπουδῆς καὶ ἀγάπης, οὐ καταφρονήσει ποτὲ ὑμῶν, οὐδὲ ἐπιλήσεται.

β. Κορ. η. ε.

γ. σαλευθῆτε

* κατηγορεῖ-ται τοῦ

* ἁπλῶς

ΗΘΙΚΟΝ

Ταῦτα ἀκούοντες, παρακαλῶ, διακονῶμεν τοῖς ἁγίοις. πᾶς γὰρ πιστὸς ἅγιος, καθὸ

πιστός

ὅτι οὔτε πάντα κολακεύει, ὥστε μὴ ἐπᾶραι, οὔτε πάντα πλήττει· ὥστε μὴ ἀπονωτέρους ποιῆσαι· ἀλλ' ὀλίγον ἐμβαλὼν τὸ πληκτικόν, πολὺ τὸ θεραπευτικὸν προσφέρει διὰ τῶν ἐπαγομένων, ὥστε ὃ βούλεται κατορθῶσαι. τί γάρ φησι;

9 Πεπείσμεθα δὲ περὶ ὑμῶν, ἀγαπητοί, τὰ κρείττονα, καὶ ἐχόμενα σωτηρίας, εἰ καὶ οὕτω λαλοῦμεν. Τουτέστιν, οὐχ ὡς κατεγνωκότες ὑμῶν ταῦτα λέγομεν, οὐδὲ ὡς νομίζοντες ὑμᾶς ἀκανθῶν πλήρεις, ἀλλὰ δεδοικότες μὴ τοῦτο γένηται. βέλτιον γὰρ ὑμᾶς τοῖς ῥήμασι φοβῆσαι, ἵνα μὴ τοῖς πράγμασιν ἀλγήσητε. καὶ τοῦτο τῆς συνέσεως Παύλου μάλιστα. καὶ οὐκ εἶπε, νομίζομεν, οὐδὲ στοχαζόμεθα, οὐδὲ προσδοκῶμεν, οὐδὲ ἐλπίζομεν, ἀλλὰ τί; πεπείσμεθα. ὃ καὶ Γαλάταις γράφων ἔλεγε, Πέποιθα δὲ εἰς ὑμᾶς ἐν Κυρίῳ, ὅτι οὐδὲν ἄλλο φρονήσετε. οὐκ εἶπε, φρονεῖτε, ἀλλά, φρονήσετε. ἐκεῖ μὲν γὰρ ἐπειδὴ σφόδρα κατεγνωσμένοι ἦσαν, καὶ οὐκ εἶχεν αὐτοὺς ἀπὸ τῶν παρόντων ἐπαινέσαι, ἀπὸ τῶν μελλόντων τοῦτο ποιεῖ, οὐδὲν ἄλλο φρονήσετε, λέγων. ἐνταῦθα δὲ ἀπὸ τῶν παρόντων· πεπείσμεθα δὲ περὶ ὑμῶν, ἀγαπητοί, τὰ κρείττω, καὶ ἐχόμενα σωτηρίας, εἰ καὶ οὕτω λαλοῦμεν. καὶ ἐπειδὴ ἀπὸ τῶν παρόντων οὐ τοσαῦτα εἶχεν εἰπεῖν, ἀπὸ τῶν παρελθόντων κατασκευάζει τὴν παραμυθίαν, καί φησιν,

10 Οὐ γὰρ ἄδικος ὁ Θεὸς ἐπιλαθέσθαι τοῦ ἔργου ὑμῶν, καὶ τοῦ κόπου τῆς ἀγάπης, ἧς ἐνεδείξασθε εἰς τὸ ὄνομα αὐτοῦ, διακονήσαντες τοῖς ἁγίοις καὶ διακονοῦντες.

Βαβαί, πῶς αὐτῶν ἀνεκτήσατο τὴν ψυχὴν καὶ ἀνέρρωσε, τῶν παλαιῶν ἀναμνήσας πραγμάτων, καὶ εἰς ἀνάγκην καταστήσας τοῦ μὴ προσδοκᾶν ἐπιλελῆσθαι τὸν Θεόν·
γρ. τῆς ἐλπίδος ἀνάγκη γὰρ ἐκεῖνον ἁμαρτάνειν τὸν μὴ πεπληροφορημένον περὶ τῆς τοῦ Θεοῦ δικαιοκρισίας, καὶ τῆς τῶν ἑκάστῳ βεβιωμένων κατ' ἀξίαν παρ' αὐτοῦ ἀνταποδόσεως, καὶ λέγει ὅτι ἄ-
καὶ λέγων
δικος ὁ Θεός. ὥστε συνηνάγκασεν αὐτοὺς πάντως προσδοκᾶν ἐκεῖνα τὰ μέλλοντα. τὸν γὰρ ἀπεγνωκότα ἀπὸ τῶν παρόντων καὶ ἀπαγορεύσαντα, ἀπὸ τῶν μελλόντων ἀναρρῶσαι δυνήσεταί τις· ὡς καὶ αὐτὸς Γαλάταις γράφων ἔλεγεν, Ἐτρέχετε καλῶς· τίς ὑμᾶς ἐνέκοψε; καὶ πάλιν, Τοσαῦτα ἐπάθετε εἰκῆ; εἴγε καὶ εἰκῆ. ὥσπερ δὲ ἐνταῦθα μετ' ἐπιπλήξεως τίθησι τὸ ἐγκώμιον, λέγων, ὀφείλοντες εἶναι διδάσκαλοι διὰ τὸν χρόνον· οὕτω καὶ ἐκεῖ, Θαυμά- Γαλ. ε. ι. Γαλ. ε. ζ. Γαλ. γ. δ. Γαλ. α. ϛ.
γρ. μετ' ἐπιπλήξεως ζω ὅτι οὕτω ταχέως μετατίθεσθε. μετ' ἐκπλήξεως τὸ ἐγκώμιον. περὶ γὰρ μεγάλων, ὅταν ἐκπίπτωσι, θαυμάζομεν. ὁρᾷς ἐγκεκρυμμένον τὸν ἔπαινον τῇ κατηγορίᾳ καὶ τῇ διαβολῇ; καὶ οὐ περὶ ἑαυτοῦ τοῦτο μόνον φησίν, ἀλλὰ καὶ περὶ πάντων. οὐ γὰρ εἶπε, πέπεισμαι, ἀλλά, πεπείσμεθα περὶ ὑμῶν τὰ κρείττονα· τουτέστι, τὰ χρηστά. ἤτοι περὶ πολιτείας, ἢ περὶ
γρ. -νε, καὶ χρηστά φησι.
ἀνταποδόσεως ταῦτά φησιν. εἶτα εἰπὼν ἀνωτέρω, ὅτι ἀδόκιμος καὶ κατάρας ἐγγύς, καὶ ὅτι εἰς καῦσιν ἔσται, ἵνα μὴ δόξῃ περὶ αὐτῶν τοῦτο λέγειν, ἐπήγαγεν εὐθέως τό, οὐ γὰρ ἄδικος ὁ Θεὸς ἐπιλαθέσθαι τοῦ ἔργου ὑμῶν, καὶ τοῦ κόπου τῆς ἀγάπης· δηλῶν, ὅτι εἰ καὶ οὕτω λαλοῦμεν, οὐ πάντως περὶ ὑμῶν τοῦτο λέγομεν. καὶ εἰ περὶ ἡμῶν οὐ λέγεις, τί δήποτε καθάπτῃ νωθρείας καλῶν, καὶ μεμνημένος ἀκανθῶν ἐκφοβεῖς; ἐπειδὴ
γρ. ἔσται, οὐ πάντως, φησί, περὶ ὑμῶν τοῦτο λέγομεν. οὐ
γρ. -πος. τίνος οὖν ἕνεκεν ταῦτα εἴπομεν; Ἐπιθυμοῦμεν δὲ ἕκαστον

11 Ἐπιθυμοῦμεν, φησίν, ἕνα ἕκαστον ὑμῶν τὴν αὐτὴν ἐνδείκνυσθαι σπουδὴν πρὸς τὴν πληροφορίαν τῆς ἐλπίδος ἄχρι τέλους·

12 Ἵνα μὴ νωθροὶ γένησθε, μιμηταὶ δὲ τῶν διὰ πίστεως καὶ μακροθυμίας κληρονομούντων τὰς ἐπαγγελίας. Ἐπιθυμοῦμεν, φησίν· οὐκ ἄρα μέχρι ῥημάτων τοῦτο βουλόμεθα μόνον. ἀλλὰ τί ἐπιθυμεῖς, εἰπέ. ἐπιθυμοῦμεν τῆς ἀρετῆς ὑμᾶς ἔχεσθαι· οὐχ ὡς τῶν προτέρων καταγινώσκοντες, φησίν, ἀλλ' ὑπὲρ τῶν μελλόντων δεδοικότες. καὶ οὐκ εἶπεν, ὅτι οὐχ ὡς τῶν προτέρων καταγινώσκοντες, ἀλλὰ τῶν παρόντων· ἐξελύθητε γάρ, ῥαθυμότεροι γεγόνατε. ἀλλ' ὅρα πῶς προσηνῶς ἐνέφηνε, καὶ οὐκ ἔπληξε. τί γάρ φησιν; ἐπιθυμοῦμεν δὲ ἕκαστον ὑμῶν τὴν αὐτὴν σπουδὴν ἐνδείκνυσθαι ἄχρι τέλους. τοῦτο γὰρ

Ρωμ. α. ιη. ἀνισμόν, καὶ ἀφοσιούμενοι; φοβηθῶμεν τοίνυν, ἀγαπητοί. Ἀποκαλύπτεται γὰρ ὀργὴ τοῦ Θεοῦ ἀπ' οὐρανοῦ. φοβηθῶμεν. ἀποκαλύπτεται γὰρ οὐκ ἐπ' ἀσέβειαν μόνον, ἀλλὰ καὶ ἐπὶ πᾶσαν ἀδικίαν, καὶ μικρὰν καὶ μεγάλην. ἐνταῦθα τοῦ Θεοῦ τὸ φιλάνθρωπον αἰνίττεται· (χ. -κίαν. τί ἐστιν, ἐπὶ πᾶσαν ἀδικίαν;) ὑετὸν δὲ τὴν διδασκαλίαν φησί. Εβρ. ε. ιβ. καὶ ὅπερ ἀνωτέρω ἔλεγεν, Ὀφείλοντες εἶναι διδάσκαλοι διὰ τὸν χρόνον, τοῦτο καὶ ἐνταῦθά φησι. καὶ πολλαχοῦ ὑετὸν τὴν διδασκαλίαν ἡ γραφὴ λέγει. (χ. -λιν, φησίν. ὑετ.) Ησ. ε. ϛ. Ἐντελοῦμαι γάρ, φησι, ταῖς νεφέλαις τοῦ μὴ βρέξαι εἰς αὐτὸν ὑετόν· περὶ τοῦ ἀμπελῶνος Αμως η. ια. λέγουσα. (χ. -σιν. λέγων. γῆ γὰρ ἡ πιοῦσα τὸν ὑετόν· πολλαχ.) ὅπερ ἀλλαχοῦ λιμὸν ἄρτου, καὶ δίψαν ὕδατος καλεῖ. Ψαλ. ξδ. ι. καὶ πάλιν, Ὁ ποταμὸς τοῦ Θεοῦ ἐπληρώθη ὑδάτων. γῆ γὰρ ἡ πιοῦσα, φησι, τὸν ἐπ' αὐτῆς πολλάκις ἐρχόμενον ὑετόν. ἐνταῦθα δηλοῖ, ὅτι καὶ ἐδέξαντο καὶ συνέπιον τὸν λόγον, καὶ πολλάκις τούτου ἔτυχον, καὶ οὐδ' οὕτως ἀπώναντο. εἰ μὲν γὰρ μὴ ἐγεωργήθης, φησίν, εἰ μὴ ἀπήλαυσας ὑετῶν, οὐκ ἦν τοσοῦτον τὸ κακόν. Ιωαν. ιε. κβ. Εἰ γὰρ μὴ ἦλθον, φησι, καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον. εἰ δὲ πολλάκις ἔπιες καὶ ἐδέξω, τίνος ἕνεκεν ἀντὶ καρπῶν ἕτερα ἐξήνεγκας; Ησ. ε. β. δ. Ἔμεινα γάρ, φησιν, ἵνα ποιήσῃ σταφυλήν, ἐποίησε δὲ ἀκάνθας. ὁρᾷς ὅτι πανταχοῦ ἡ γραφὴ ἀκάνθας καλεῖ τὰ ἁμαρτήματα; Ψαλ. λβ. δ. καὶ γὰρ καὶ ὁ Δαβίδ φησιν, Ἐστράφην εἰς ταλαιπωρίαν, ἐν τῷ ἐμπαγῆναί μοι ἄκανθαν. οὐ γὰρ ἁπλῶς ἐπέρχεται, ἀλλ' ἐμπήγνυται. κἂν μικρὸν αὐτῆς ἐναπομείνῃ, καὶ μὴ πᾶσαν αὐτὴν ἐξέλωμεν, αὐτὸ τὸ μικρὸν ὀδυνᾷ ὁμοίως, καθάπερ ἐπὶ τῆς ἀκάνθης. καὶ τί λέγω αὐτὸ τὸ μικρόν; καὶ μετὰ τὸ ἐξαιρεθῆναι, ἐπὶ πολὺ τῆς πληγῆς τὴν ὀδύνην ἐναφίησι. (χ. ἐμποιεῖ.) καὶ διὰ τοῦτο δεῖ θεραπείας πολλῆς καὶ ἰατρείας, ὥστε τέλεον αὐτῆς ἐλευθερωθῆναι. οὐδὲ γὰρ ἀρκεῖ τὸ ἐξελεῖν μόνον τὴν ἁμαρτίαν, ἀλλὰ δεῖ καὶ τὸν πληγέντα θεραπεῦσαι τόπον. ἀλλὰ δέδοικα μὴ πρὸς ἡμᾶς ᾖ τὸ λεγόμενον μᾶλλον ἢ πρὸς ἑτέρους, τό, γῆ ἡ πιοῦσα τὸν ἐπ' αὐτῆς πολλάκις ἐρχόμενον ὑετόν. ἀεὶ γὰρ πίνομεν, ἀεὶ ἀκούομεν· ἀλλ' εὐθέως τὴν ἰκμάδα ἀπόλλυμεν, τοῦ ἡλίου ἀνατείλαντος, καὶ διὰ τοῦτο ἀκάνθας ἐκφέρομεν. τίνες οὖν αἱ ἄκανθαι; Λουκ. η. ιδ. ἀκούσωμεν τοῦ Χριστοῦ λέγοντος, ὅτι ἡ μέριμνα τοῦ αἰῶνος τούτου, καὶ ἡ ἀπάτη τοῦ πλούτου συμπνίγει τὸν λόγον, καὶ ἄκαρπος γίνεται. γῆ γὰρ ἡ πιοῦσα, φησι, τὸν ἐπ' αὐτῆς πολλάκις ἐρχόμενον ὑετόν, καὶ τίκτουσα βοτάνην εὔθετον. οὐδὲν οὕτως εὔθετον, ὡς βίου καθαρότης, οὐδὲν οὕτως εὔρυθμον, ὡς βίος ἄριστος, οὐδὲν οὕτως εὔθετον, ὡς ἀρετή. καὶ τίκτουσα, φησι, βοτάνην εὔθετον ἐκείνοις δι' οὓς καὶ γεωργεῖται, μεταλαμβάνει εὐλογίας ἀπὸ τοῦ Θεοῦ. ἐνταῦθά φησι τὸν Θεὸν αἴτιον τῶν ἁπάντων γίνεσθαι, πλήττων τοὺς Ἕλληνας ἠρέμα, τοὺς τῇ δυνάμει τῆς γῆς τῶν καρπῶν τὴν γένεσιν ἐπιγράφοντας. οὐδὲ γὰρ αἱ γεωργικαὶ χεῖρες, φησίν, εἰσὶν αἱ τὴν γῆν πρὸς τὴν τῶν καρπῶν φορὰν διεγείρουσαι, ἀλλὰ τὸ παρὰ τοῦ Θεοῦ πρόσταγμα. διὰ τοῦτό φησι, μεταλαμβάνει εὐλογίας ἀπὸ τοῦ Θεοῦ. καὶ ὅρα πῶς ἐπὶ τῶν ἀκανθῶν οὐκ εἶπε, τίκτουσα ἀκάνθας, οὐδὲ τῷ χρησίμῳ τούτῳ ὀνόματι ἐχρήσατο, ἀλλὰ τί; ἐκφέρουσα ἀκάνθας· ὡς ἂν εἴποι τις, ἐκβράζουσα, ἐκβάλλουσα. ἀδόκιμος, φησι, καὶ κατάρας ἐγγύς. βαβαί, πόσην ἔχει παραμυθίαν ὁ λόγος; κατάρας [γὰρ] εἶπεν ἐγγύς, οὐ κατάρα. ὁ δὲ μηδέπω εἰς τὴν κατάραν ἐμπεσών, ἀλλ' ἐγγὺς γινόμενος, (χ. -νέσθ.) καὶ μακρὰν γενέσθαι δυνήσεται. καὶ οὐ τούτῳ μόνῳ παρεμυθήσατο, ἀλλὰ καὶ τῷ ἑξῆς. οὐ γὰρ εἶπεν, * ἀδόκιμος, καὶ κατάρας ἐγγύς, ἥτις καήσεται· ἀλλὰ τί; ἧς τὸ τέλος εἰς (* ἄν πη) καῦσιν· δηλῶν ὅτι ἐὰν μέχρι τέλους οὕτως ἐπιμείνῃ, τοῦτο πείσεται. (χ. γίνεται) ὥστε, ἐὰν ἐκτέμωμεν καὶ κατακαύσωμεν τὰς ἀκάνθας, δυνησόμεθα τῶν μυρίων ἀπολαῦσαι ἀγαθῶν, καὶ γενέσθαι δόκιμοι, καὶ εὐλογίας μετασχεῖν. Εἰκότως δὲ τὴν ἁμαρτίαν τρίβολον ἐκάλεσεν, εἰπών, ἐκφέρουσα δὲ ἀκάνθας καὶ τριβόλους. ὅθεν γὰρ ἂν αὐτὴν κατάσχῃς, πλήττει καὶ δάκνει, καὶ ἔστιν " ἀειδὴς καὶ τῷ ἰδεῖν. (χ. ἀειδὲς) καθαψάμενος τοίνυν αὐτῶν ἰσχυρῶς, καὶ φοβήσας καὶ πλήξας, θεραπεύει πάλιν, ὥστε μὴ πλέον καταβαλεῖν, καὶ ὑπτίους ἐργάσασθαι. ὁ γὰρ κατὰ θεὸν πλήττων, κατὰ θεὸν ἐργάζεται. οὔτε

οὖν

οὐκ ὄναρ, εἰπέ μοι; διὰ τί μὴ ταῦτα μᾶλλον λέγομεν ὄναρ; ὥσπερ γὰρ τὰ ὀνείρατα, τῆς ἡμέρας καταλαβούσης, ἐλέγχεται οὐδὲν ὄντα· οὕτω καὶ ταῦτα, τῆς νυκτὸς καταλαβούσης, ἐλέγχεται οὐδὲν ὄντα. Τὸ γὰρ ἴσον ἥ τε νὺξ καὶ ἡ ἡμέρα ἀπέλαβον τοῦ χρόνου, καὶ ἐξ ἴσης διενείμαντο τὸν πάντα [γρ. αἰῶνα] χρόνον. ὥσπερ τοίνυν ἐν ἡμέρᾳ τοῖς ἐν νυκτὶ γινομένοις οὐ χαίρει τις· οὕτως οὐδὲ ἐν νυκτὶ τῶν μεθ' ἡμέραν ἀπολαῦσαι δυνατόν. γέγονας ὕπατος; κἀγώ. ἀλλὰ σὺ ἐν ἡμέρᾳ, ἐγὼ δὲ ἐν νυκτί. καὶ τί τοῦτο; οὐδὲ οὕτω μου πλέον τι ἔχεις, εἰ μὴ ἄρα τὸ λέγεσθαι, ὁ δεῖνα ὁ ὕπατος, καὶ τὴν ἀπὸ τῶν ῥημάτων ἔχει ἡδονὴν πλέον ἔχειν ποιεῖ. οἶδ' ὅ τι λέγω (σαφέστερον γὰρ αὐτὸ ἐρῶ) ἐὰν εἴπω, ὁ δεῖνα ὕπατός ἐστι, καὶ παρείσωμαι τὸ ῥῆμα, [γρ. χαρίσωμαι τῷ λόγῳ] οὐχ ἅμα ἐλέχθη, καὶ ἀπῆλθεν; οὕτω καὶ τὰ πράγματά ἐστιν· ἅμα ἐφάνη ὕπατος, καὶ οὐκέτι ἐστί. τίθωμεν δὲ ἐνιαυτὸν εἶναι, καὶ δύο ἐνιαυτούς, καὶ τρεῖς καὶ τέσσαρας. ποῦ οὖν εἰσὶν οἱ δέκα ὕπατοι γενόμενοι; οὐδαμοῦ. ἀλλ' ὁ Παῦλος οὐχ οὕτως. ἦν μὲν γὰρ καὶ ζῶν λαμπρὸς διαπαντός, οὐ μίαν ἡμέραν, οὐδὲ δύο, οὐδὲ δέκα, οὐκ εἴκοσιν, οὐ τριάκοντα, οὐδὲ ἐνιαυτοὺς δέκα καὶ εἴκοσι καὶ τριάκοντα· ἀλλὰ ἐξ οὗ ἐτελεύτησε, τετρακοσιοστὸν λοιπὸν ἔτος παρελήλυθε, καὶ ἔτι καὶ νῦν λαμπρότερός ἐστι, καὶ πολλῷ λαμπρότερος ἢ ὅτε ἔζη. καὶ ταῦτα μὲν ἐν τῇ γῇ· τὴν δὲ ἐν τοῖς οὐρανοῖς λαμπρότητα τῶν ἁγίων τίς ἂν παραστήσειε λόγος; διό, παρακαλῶ, ταύτην ζητήσωμεν τὴν λαμπρότητα, ταύτην διώξωμεν, ἵνα αὐτῆς τύχωμεν. ἡ γὰρ ὄντως λαμπρότης, αὕτη ἐστίν. ἀποστῶμεν λοιπὸν τῆς βιωτικῆς, ἵνα εὕρωμεν χάριν καὶ ἔλεον ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Λογ. ι. 7 ΓΗ ΓΑΡ Η ΠΙΟΥΣΑ ΤΟΝ ΕΠ' ΑΥΤΗΣ ἐρχόμενον πολλάκις ὑετόν, καὶ τίκτουσα βοτάνην εὔθετον ἐκείνοις δι' οὓς καὶ γεωργεῖται, μεταλαμβάνει εὐλογίας ἀπὸ τοῦ Θεοῦ.

8 Ἐκφέρουσα δὲ ἀκάνθας καὶ τριβόλους, ἀδόκιμος καὶ κατάρας ἐγγύς· ἧς τὸ τέλος εἰς καῦσιν.

Μετὰ φόβου τῶν λογίων ἀκούωμεν τοῦ Θεοῦ, μετὰ φόβου καὶ τρόμου πολλοῦ. Δουλεύσατε γάρ, φησι, τῷ Κυρίῳ ἐν φόβῳ, καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ. [Ψαλ. β. ια.] Εἰ δὲ καὶ ἡ χαρὰ ἡμῶν, καὶ ἡ ἀγαλλίασις μετὰ τρόμου ὀφείλει γίνεσθαι· ὅταν καὶ φοβερὰ ᾖ τὰ λεγόμενα, οἷα τὰ νῦν, πῶς οὐκ ἐσμὲν ἄξιοι τιμωρίας, μὴ μετὰ φρίκης ἐπακούοντες τῶν λεγομένων; Εἰπὼν ὅτι ἀδύνατον τοὺς παραπεσόντας βαπτισθῆναι δεύτερον, καὶ τὴν διὰ τοῦ λουτροῦ ἄφεσιν πάλιν λαβεῖν, καὶ δείξας τὸ φρικτὸν τοῦ πράγματος, ἐπάγει, Γῆ γὰρ ἡ πιοῦσα τὸν ἐπ' αὐτῆς πολλάκις ἐρχόμενον ὑετόν, καὶ τίκτουσα βοτάνην εὔθετον ἐκείνοις δι' οὓς καὶ γεωργεῖται, μεταλαμβάνει εὐλογίας ἀπὸ τοῦ Θεοῦ. ἐκφέρουσα δὲ ἀκάνθας καὶ τριβόλους, ἀδόκιμος, καὶ κατάρας ἐγγύς· ἧς τὸ τέλος εἰς καῦσιν. Φοβηθῶμεν οὖν, ἀγαπητοί· οὐκ ἔστι Παύλου αὕτη ἡ ἀπειλή, οὐκ ἔστιν ἀνθρώπου τὰ ῥήματα· τοῦ πνεύματός εἰσι τοῦ ἁγίου, τοῦ Χριστοῦ τοῦ λαλοῦντος ἐν αὐτῷ. ἆρα τίς ἐστιν ὁ τούτων τῶν ἀκανθῶν καθαρός; εἰ δὲ καὶ ἦμεν καθαροί, οὐδὲ οὕτω θαρρεῖν ἐχρῆν, ἀλλὰ δεδοικέναι καὶ τρέμειν μή ποτε ἄκανθαι βλαστήσωσιν ἐν ἡμῖν. ὅταν δὲ ὅλοι δι' ὅλου ἄκανθαι ὦμεν [γρ. ἐσμὲν] καὶ τρίβολοι, πόθεν θαρροῦμεν, εἰπέ μοι, καὶ ὕπτιοι γινόμεθα; τί δὲ ποιοῦν ἡμᾶς ῥαθυμεῖ; εἰ ὁ δοκῶν ἑστάναι, ὀφείλει δεδοικέναι μὴ πέσῃ (Ὁ δοκῶν γὰρ ἑστάναι, φησί, βλεπέτω μὴ πέσῃ) ὁ πεσὼν πῶς * [* ἵνα] ὀφείλει μεριμνᾷν ὥστε [α Κορ. ι. ιβ.] ἀναστῆναι; εἰ Παῦλος φοβεῖται μή πως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένηται), καὶ δέδοικε τὸ μὴ γενέσθαι ἀδόκιμος, ὁ οὕτω δόκιμος· ἡμεῖς οἱ γενόμενοι ἤδη ἀδόκιμοι, [α Κορ. θ. κζ.] ἵνα ἔχωμεν ἀπολογίαν καὶ συγγνώμην, οὐδένα φόβον ἔχοντες, ἀλλ' ὡς συνήθη οὕτω πληροῦντες τὸν χριστι-

Ψαλ. ς. ς. στενάζω, ἀλλὰ δεῖ ἐκτενῶς, δακρύων πολλῶν, τῶν ἐν ἡμέρᾳ, τῶν ἐν νυκτί. Λούσω γάρ, φησι, καθ' ἑκάστην νύκτα τὴν κλίνην μου· ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω. Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου. Ψαλ. ρα. ι. καὶ πάλιν, Ὅτι σποδὸν ὡσεὶ ἄρτον ἔφαγον, καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκίρνων. καὶ μετὰ τὴν θλίψιν τὴν οὕτως ἐκτενῆ, ἐλεημοσύνης δεῖ πολλῆς. τοῦτο γὰρ μάλιστα ἰσχυρὸν ἐργαζόμενον τὸ φάρμακον τῆς μετανοίας, τοῦτό ἐστι. καὶ καθάπερ ἐπὶ τῶν ἰατρικῶν βοηθημάτων ἐστὶ φάρμακον πολλὰς μὲν λαμβάνον βοτάνας, μίαν δὲ τὴν κυριωτάτην· οὕτω καὶ ἐπὶ τῆς μετανοίας αὕτη ἡ βοτάνη κυριωτέρα, καὶ τὸ πᾶν αὕτη γένοιτο ἄν. Λουκ. ια. μα. ἄκουε γὰρ τί φησιν ἡ θεία γραφή· Δότε ἐλεημοσύνην, καὶ πάντα ἔσται καθαρά. καὶ πάλιν, Τωβ. δ. Ἐλεημοσύναις καὶ πίστεσιν ἀποκαθαίρονται ἁμαρτίαι. Σειρ. γ. λ. καὶ πάλιν, Πῦρ φλογιζόμενον ἀποσβέσει ὕδωρ, καὶ ἐλεημοσύνη καταπαύσει ἁμαρτίας μεγάλας. Εἶτα τὸ μὴ ὀργίζεσθαι, μηδὲ μνησικακεῖν, τὸ πᾶσιν ἀφιέναι τὰ ἁμαρτήματα. Σειρ. κη. γ. Ἄνθρωπος γὰρ ἀνθρώπῳ συντηρεῖ ὀργήν, φησι, καὶ παρὰ Κυρίου ζητεῖ ἴασιν. Ματθ. ς. ιδ. Λουκ. ς. λζ. Ἄφετε, ἵνα ἀφεθῇ ὑμῖν. καὶ τὸ ἐπιστρέφειν ἀδελφοὺς ἀπὸ τῆς πλάνης. Ἰακωβ. ε. ιε. Πορεύου γάρ, φησι, καὶ ἐπίστρεφε τοὺς ἀδελφούς σου, ἵνα ἀφεθῶσί σοι αἱ ἁμαρτίαι σου. τὸ πρὸς τοὺς ἱερέας ἔχειν οἰκείως. Κἂν γὰρ ἁμαρτίας ᾖ, φησι, πεποιηκώς τις, ἀφεθήσεται αὐτῷ. τὸ προΐστασθαι τῶν ἀδικουμένων, τὸ μὴ ἔχειν ὀργήν, τὸ πάντα πρᾴως φέρειν. ἆρα πρὸ μὲν τοῦ μαθεῖν ὅτι ἐστὶ διὰ μετανοίας ἀπολούσασθαι τὰ ἁμαρτήματα, οὐκ ἐναγώνιοι ἦτε, [γνόντες] ὅτι οὐκ ἔστιν ἑτέρως λουθῆναι, καὶ ἀπεγινώσκετε ἑαυτούς; νυνὶ δὲ μαθόντες δι' ὅσων ἡ μετάνοια καὶ ἡ ἄφεσις κατορθοῦται, καὶ ὅτι δυνησόμεθα τὸ πᾶν ἐκφυγεῖν, ἂν βουληθῶμεν αὐτῇ χρήσασθαι δεόντως, ποίας τύχοιμεν ἂν συγγνώμης οὐδὲ εἰς νοῦν ἐρχόμενοι τῶν ἡμετέρων ἁμαρτημάτων; εἰ γὰρ τοῦτο ἦν, πάντα ἤνυστο. ὥσπερ γὰρ ὁ τὴν θύραν εἰσελθών, ἔνδον ἐστίν· οὕτως ὁ τὰ οἰκεῖα λογιζόμενος κακά. ἂν γὰρ ἀναλογίζηται αὐτὰ καθ' ἑκάστην, καὶ ἐπὶ τὴν θεραπείαν αὐτῶν πάντως ἥξει. ἂν δὲ λέγῃ, ἁμαρτωλός εἰμι, μὴ ἀναλογίζηται δὲ αὐτὰ κατ' εἶδος, καὶ λέγῃ, ὅτι τόδε καὶ τόδε ἥμαρτον· οὐδέποτε παύσεται, ἀεὶ μὲν ὁμολογῶν, φροντίζων δὲ οὐδέποτε τῆς διορθώσεως. ἐὰν γὰρ ἄρξηται, πάντως καὶ τὰ ἄλλα ἕπεται, ἂν εἴσοδον ἐπιδείξηται. πανταχοῦ γὰρ ἡ ἀρχὴ καὶ τὰ προοίμια δύσκολα. ταῦτα οὖν καταβαλώμεθα, καὶ πάντα εὔκολα ἔσται καὶ ῥᾴδια. ἀρξώμεθα τοίνυν, παρακαλῶ, ὁ μὲν ἀπὸ τοῦ τὰς εὐχὰς ἐπιτεῖναι, ὁ δὲ ἀπὸ τοῦ δακρύειν συνεχῶς, ὁ δὲ ἀπὸ τοῦ κατηφεῖν. Ησ. νζ. ιζ. οὐδὲ γὰρ [οὐδὲ] τοῦτο τὸ οὕτω μικρόν, ἀνόητον. Εἶδον γάρ, φησιν, ὅτι ἐλυπήθη, καὶ ἐπορεύθη στυγνός, καὶ ἰασάμην τὰς ὁδοὺς αὐτοῦ. πάντες δὲ ἀπὸ ἐλεημοσύνης, καὶ τοῦ ἀφιέναι τοῖς πλησίον τὰ ἁμαρτήματα, καὶ ἀπὸ τοῦ μὴ μνησικακεῖν, μηδὲ ἀμύνεσθαι, ταπεινώσωμεν ἑαυτῶν τὰς ψυχάς. ἐὰν ἐννοῶμεν συνεχῶς τὰ ἡμαρτημένα ἡμῖν, οὐδὲν ἡμᾶς ἐπᾶραι τῶν ἔξωθεν δυνήσεται, οὐ πλοῦτος, οὐ δυναστεία, οὐκ ἀρχή, οὐ τιμή· ἀλλὰ κἂν εἰς αὐτὸ τὸ ὄχημα τὸ βασιλικὸν καθίσωμεν, στενάξομεν πικρόν. ἐπεὶ καὶ ὁ μακάριος Δαβὶδ βασιλεὺς ἦν, καὶ ἔλεγε, Ψαλ. ς. ς. Λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου· καὶ οὐδὲν ἀπὸ τῆς ἁλουργίδος καὶ τοῦ διαδήματος παρεβλάβη, καὶ οὐκ ἐτυφώθη. ᾔδει γὰρ ἑαυτὸν ἄνθρωπον ὄντα· καὶ ἐπεὶ συντετριμμένην εἶχε τὴν καρδίαν, ἐθρήνει. τί γάρ ἐστι τὰ ἀνθρώπινα πράγματα; τέφρα καὶ κόνις, καὶ ὡσεὶ χνοῦς κατὰ πρόσωπον ἀνέμου, καπνὸς καὶ σκιά, καὶ φύλλον παραφερόμενον, καὶ ἄνθος, ὄναρ, καὶ διήγημα, καὶ μῦθος, ἄνεμος καὶ ἀὴρ χαῦνος, ἁπλῶς * διαρρέων, πτερὸν οὐχ ἱστάμενον, ῥεῦμα παρατρέχον, καὶ εἴ τι τούτων εὐδαπανέστερον. τί γάρ, εἰπέ μοι, μέγα νομίζεις; ποῖον ἡγῇ μέγα ἀξίωμα εἶναι; τὸ τοῦ ὑπάτου; οὐδὲν γὰρ τούτου τοῦ ἀξιώματος εἶναι μεῖζον νομίζουσιν οἱ πολλοί. τοῦ ἐν τοσαύτῃ τοίνυν λαμπρότητι γινομένου, τοῦ μεγάλως θαυμασθέντος, ὁ μὴ ὕπατος ἔλαττον ἔχει οὐδέν. ἐν τῷ αὐτῷ καὶ οὗτος κἀκεῖνός ἐστιν ἀξιώματι· ὁμοίως ἑκάτεροι μετ' ὀλίγον οὐκ εἰσί. πότε ἐγένετο, πόσον χρόνον, εἰπέ μοι; ἡμέρας δύο; τοῦτο καὶ ἐν ὀνείροις γίνεται. ἀλλ' ὄναρ, φησίν, ἐστι. καὶ τί τοῦτο; τὸ γὰρ ἐν ἡμέρᾳ,

οὐκ

χ. οὕτως

χ. καὶ ἀφεθήσεται

χ. συν. καὶ ἀπὸ τοῦ πρὸς τοὺς

* καὶ

δῶρα. καὶ ἵνα μάθῃς, ἄκουσον· κατηξιώθης, φησί, τοσαύτης ἀφέσεως; ὁ ἐν σκότῳ καθεζόμενος, ὁ ἐχθρός, ὁ πολέμιος, ὁ ἀπηλλοτριωμένος, ὁ θεοστυγής, ὁ ἀπολλύμενος. ὁ τοίνυν οὕτως ἐξαίφνης φωτισθείς, πνεύματος ἀξιωθείς, δωρεᾶς ἐπουρανίου, υἱοθεσίας, βασιλείας οὐρανῶν, τῶν ἄλλων ἀγαθῶν, μυστηρίων ἀπορρήτων, καὶ οὐδὲ οὕτω βελτίων γενόμενος, ἀλλ᾽ ἄξιος μὲν ὢν ἀπωλείας, τυχὼν δὲ σωτηρίας καὶ τιμῆς, ὡς τὰ μεγάλα κατορθωκώς, πῶς ἂν δύναιτο βαπτισθῆναι πάλιν; δυσὶ τοίνυν τρόποις τὸ πρᾶγμα ἀδύνατον ἀπεφήνατο εἶναι. καὶ τὸ ἰσχυρότερον ὕστερον ἔθηκεν· ἑνὶ μέν, ὅτι οὐκ ἄξιος ὁ τοιούτων καταξιωθείς, καὶ πάντα προδοὺς τὰ δωρηθέντα αὐτῷ, πάλιν ἀνακαινισθῆναι· δευτέρῳ δέ, ὅτι οὐ δυνατόν ἐστιν αὐτὸν πάλιν ἀνασταυροῦσθαι. τοῦτο γάρ ἐστι παραδειγματίσαι. οὐκ ἔστι τοίνυν δεύτερον λουτρόν, οὐκ ἔστιν. εἰ δὲ ἔστι, καὶ τρίτον ἐστί, καὶ τέταρτόν ἐστι, καὶ ὑπὸ τοῦ ὑστέρου ἀεὶ τὸ πρότερον καταλύεται, καὶ τοῦτο πάλιν ὑπὸ τοῦ ἄλλου, καὶ οὕτως εἰς ἄπειρον. εἰπὼν δέ, καὶ καλὸν Θεοῦ γευσαμένους ῥῆμα, δυνάμεις τε αἰῶνος μέλλοντος, οὐκ ἀποκαλύπτει αὐτό, ἀλλ᾽ αἰνίττεται, καὶ μονονουχὶ ταῦτα λέγει· ὅτι τὸ ζῆν ὡς ἀγγέλους, τὸ μηδενὸς δεῖσθαι τῶν ἐνταῦθα, τὸ εἰδέναι ὅτι τῆς τῶν μελλόντων αἰώνων ἀπολαύσεως πρόξενος ἡμῖν ἡ υἱοθεσία γίνεται, τὸ εἰς τὰ ἄδυτα ἐκεῖνα εἰσελθεῖν προσδοκᾶν, διὰ τοῦ πνεύματός ἐστι ταῦτα μαθεῖν. τί ἐστι, δυνάμεις τε τοῦ μέλλοντος αἰῶνος; ἡ ζωὴ ἡ αἰώνιος, ἡ ἀγγελικὴ διαγωγή. τούτων ἤδη τὸν ἀρραβῶνα ἐλάβομεν διὰ τῆς πίστεως παρὰ τοῦ πνεύματος. εἰπέ μοι τοίνυν, εἰ εἰς βασίλεια εἰσαχθείς, καὶ πάντα ἐμπιστευθεὶς τὰ ἐκεῖ, εἶτα προέδωκας ἅπαντα, ἆρα ἂν ἐνεπιστεύθης τὰ ἐκεῖ πάλιν;

Τί οὖν; οὐκ ἔστι μετάνοια, φησίν; ἔστι μετάνοια· ἀλλὰ βάπτισμα οὐκ ἔστι δεύτερον. μετάνοια δέ ἐστι πολλὴν ἔχουσα τὴν ἰσχύν, καὶ τὸν σφόδρα τοῖς ἁμαρτήμασι βεβαπτισμένον, εἰ βουληθείη, δυναμένη ἀπαλλάξαι τοῦ τῶν ἁμαρτημάτων φορτίου, καὶ τὸν κινδυνεύοντα καταστῆσαι ἐν ἀσφαλείᾳ, κἂν πρὸς αὐτὸν ἔλθῃ τῆς κακίας τὸν πυθμένα. καὶ τοῦτο πολλαχόθεν δυνατὸν ἀποδεῖξαι. Μὴ ὁ πίπτων γάρ, φησίν, οὐκ ἀνίσταται, ἢ ὁ ἀποστρέφων οὐκ ἐπιστρέφει; ἔστιν, ἐὰν βουλώμεθα, μορφωθῆναι τὸν Χριστὸν ἐν ἡμῖν πάλιν. ἄκουε γὰρ Παύλου λέγοντος, Τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν. μόνον ἀψώμεθα τῆς μετανοίας. ὅρα γὰρ Θεοῦ φιλανθρωπίαν· ἔδει ἡμᾶς πάντη τρόπῳ κολασθῆναι παρὰ τὴν ἀρχήν, ὅτι καὶ νόμον λαβόντες τὸν φυσικόν, καὶ μυρίων ἀπολαύσαντες ἀγαθῶν, τόν τε δεσπότην ἠγνοήσαμεν, καὶ βίον ἀκάθαρτον βεβιώκαμεν· ὁ δὲ οὐ μόνον οὐκ ἐκόλασεν, ἀλλὰ καὶ μυρίων μετέδωκεν ἀγαθῶν, ὡς ἂν εἰ μεγάλα κατορθωκότες ἦμεν. πάλιν ἐξεπέσομεν, καὶ οὐδὲ οὕτω κολάζει, ἀλλ᾽ ἔδωκε τὸ τῆς μετανοίας φάρμακον, πάντα ἡμῶν τὰ ἁμαρτήματα ἱκανὸν ἀφανίσαι καὶ ἀπαλεῖψαι, μόνον ἐὰν εἰδῶμεν τὸ φάρμακον ὁποῖόν ἐστι, καὶ πῶς αὐτὸ ἐπιτιθέναι δεῖ. ποῖον οὖν ἐστι τὸ φάρμακον τῆς μετανοίας, καὶ πῶς αὐτὸ κατασκευάζεται; πρῶτον, ἀπὸ καταγνώσεως τῶν οἰκείων ἁμαρτημάτων, καὶ ἀπὸ ἐξαγορεύσεως. Τὴν ἀνομίαν γάρ μου, φησίν, ἐγνώρισα, καὶ τὴν ἁμαρτίαν μου οὐκ ἐκάλυψα· καί, Ἐξαγορεύσω κατ᾽ ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου. καὶ πάλιν, Λέγε σὺ τὰς ἁμαρτίας σου πρῶτος, ἵνα δικαιωθῇς. καί, Δίκαιος ἑαυτοῦ κατήγορος ἐν πρωτολογίᾳ. δεύτερον, ἀπὸ ταπεινοφροσύνης πολλῆς. ὥσπερ γάρ σειρά τίς ἐστι χρυσῆ· κἂν ἀρχὴν λάβῃ, πάντα ἕπεται. ἐὰν γὰρ ὁμολογήσῃς τὴν ἁμαρτίαν ὡς ὁμολογῆσαι χρή, ταπεινοῦται ἡ ψυχή. τὸ γὰρ συνειδὸς αὐτὴν συστρέφον, καταστέλλεσθαι ποιεῖ. δεῖ δὲ καὶ ἕτερα προσεῖναι τῇ ταπεινοφροσύνῃ, ἵνα τοιαύτη ἡ οἵαν ὁ μακάριος Δαβὶδ ηὔχετο λέγων, Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός. καὶ πάλιν, Καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. τὸ γὰρ συντετριμμένον οὐ διανίσταται, οὐ πλήττει· ἀλλὰ πρὸς τὸ παθεῖν κακῶς ἐστιν ἕτοιμον, αὐτὸ δὲ οὐ διανίσταται. τοιοῦτόν ἐστι συντριβὴ καρδίας· κἂν ὑβρισθῇ, κἂν πάθῃ κακῶς, ἡσυχάζει, καὶ οὐχ ὁρμᾷ πρὸς ἄμυναν. μετὰ δὲ τὴν ταπεινοφροσύνην,

χ. -σιως χεὶν. χ. -ωμένος, ἐξαίφνης. χ. τοῦτον. χ. -μένης. χ. -ἐπὶ ὄνον. χ. ἰδῶμεν. χ. -μάτων. εἶτα γὰρ ἐσι, ἐξηγορεύ. χ. εἶχε.

Ἱερεμ. η. δ. Γαλατ. δ. ιθ. Ψαλμ. λα. ε. ϛ. Ἡσ. μγ. κϛ. Παροιμ. ιη. ιζ. Ψαλμ. ν. ια. ιθ.

τήματα ἀπολούσασθαι, καὶ τῶν αὐτῶν τυχεῖν ὧνπερ καὶ πρότερον. σφάλλεσθε, φησί, ταῦτα νομίζοντες.

4 Ἀδύνατον γὰρ τοὺς ἅπαξ φωτισθέντας, γευσαμένους τε τῆς δωρεᾶς τῆς ἐπουρανίου, καὶ μετόχους γενηθέντας πνεύματος ἁγίου,

5 Καὶ καλὸν γευσαμένους Θεοῦ ῥῆμα, δυνάμεις τε μέλλοντος αἰῶνος,

6 Καὶ παραπεσόντας, πάλιν ἀνακαινίζειν εἰς μετάνοιαν, ἀνασταυροῦντας ἑαυτοῖς τὸν υἱὸν τοῦ Θεοῦ καὶ παραδειγματίζοντας. Καὶ ὅρα πῶς ἀποτρεπτικῶς, καὶ ἀπαγορευτικῶς ἄρχεται. ἀδύνατον, φησί. τουτέστι, μηκέτι προσδόκα τὸ μὴ δυνατόν. οὐ γὰρ εἶπεν, οὐ πρέπει, οὐδὲ συμφέρει, οὐδὲ ἔξεστιν, ἀλλ', ἀδύνατον· ὥστε εἰς ἀπόγνωσιν ἐμβαλεῖν, εἰ ὅλως ἐφωτίσθη τις ἅπαξ. εἶτα ἐπάγει, γευσαμένους τε τῆς δωρεᾶς τῆς ἐπουρανίου· τουτέστι, τῆς ἀφέσεως. καὶ μετόχους γενηθέντας πνεύματος ἁγίου, καὶ καλὸν γευσαμένους Θεοῦ ῥῆμα. τὴν διδασκαλίαν ἐνταῦθα λέγει. δυνάμεις τε μέλλοντος αἰῶνος. τίνας λέγει δυνάμεις; ἢ τὰ θαύματα ἐπιτελεῖν, ἢ τὸν ἀρραβῶνα τοῦ πνεύματος. καὶ παραπεσόντας, πάλιν ἀνακαινίζειν εἰς μετάνοιαν, ἀνασταυροῦντας ἑαυτοῖς τὸν υἱὸν τοῦ Θεοῦ καὶ παραδειγματίζοντας. ἀνακαινίζειν, φησίν, εἰς μετάνοιαν· τουτέστι, διὰ μετανοίας.* τί οὖν; ἐκβέβληται ἡ μετάνοια; οὐχ ἡ μετάνοια, μὴ γένοιτο, ἀλλ' ὁ διὰ λουτροῦ πάλιν ἀνακαινισμός. οὐ γὰρ εἶπεν, ἀδύνατον ἀνακαινισθῆναι εἰς μετάνοιαν, καὶ ἐσίγησεν· ἀλλ' εἰπὼν ἀδύνατον, ἐπήγαγεν, ἀνασταυροῦντας. ἀνακαινισθῆναι. τουτέστι, καινὸν γενέσθαι. τὸ γὰρ καινοὺς ποιῆσαι, τοῦ λουτροῦ μόνου ἐστίν. Ἀνακαινισθήσεται γάρ, φησιν, ὡς ἀετοῦ ἡ νεότης σου. τῆς δὲ μετανοίας ἐστὶ τὸ, καινοὺς γενομένους, εἶτα παλαιωθέντας ὑπὸ τῶν ἁμαρτημάτων, ἀπαλλάξαι τῆς παλαιότητος, καὶ καινοὺς ἐργάσασθαι. εἰς ἐκείνην μέντοι τὴν λαμπρότητα ἀγαγεῖν οὐκ ἔνι. ἐκεῖ γὰρ τὸ ὅλον ἡ χάρις ἦν. ἀνασταυροῦντας ἑαυτοῖς, φησι, τὸν υἱὸν τοῦ Θεοῦ καὶ παραδειγματίζοντας. ὃ δὲ λέγει, τοῦτό ἐστι· τὸ βάπτισμα σταυρός ἐστι. Συνεσταυρώθη γὰρ ὁ παλαιὸς ἡμῶν ἄνθρωπος. καὶ πάλιν, Σύμμορφοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ. καὶ πάλιν, Συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον. ὥσπερ οὖν οὐκ ἔνι δεύτερον σταυρωθῆναι τὸν Χριστὸν (τοῦτο γὰρ παραδειγματίσαι αὐτόν ἐστιν) οὕτως οὐδὲ βαπτισθῆναι. εἰ γὰρ θάνατος αὐτοῦ οὐκέτι κυριεύσει, εἰ ἀνέστη [τῇ ἀναστάσει] κρείττων γενόμενος τοῦ θανάτου, εἰ διὰ τοῦ θανάτου τὸν θάνατον κατεπάλαισεν, εἶτα πάλιν σταυροῦται· μῦθος πάντα ἐκεῖνα, καὶ παραδειγματισμός. ὁ τοίνυν δεύτερον ἑαυτὸν βαπτίζων, πάλιν αὐτὸν σταυροῖ. τί δέ ἐστιν, ἀνασταυροῦντας; ἄνωθεν πάλιν σταυροῦντας. ὥσπερ γὰρ ἀπέθανεν ὁ Χριστὸς ἐν τῷ σταυρῷ, οὕτως ἡμεῖς ἐν τῷ βαπτίσματι· οὐ τῇ σαρκί, ἀλλὰ τῇ ἁμαρτίᾳ. ὅρα θάνατον, καὶ θάνατον. ἐκεῖνος ἀπέθανεν ἐν τῇ σαρκί· ἡμεῖς δὲ τῇ ἁμαρτίᾳ. διὰ τοῦ βαπτίσματος ἡμῶν ὁ παλαιὸς ἄνθρωπος ἐτάφη, καὶ ἀνέστη ὁ καινός, ὁ σύμμορφος γενόμενος τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ. εἰ τοίνυν ἀνάγκη πάλιν βαπτισθῆναι, ἀνάγκη πάλιν αὐτὸν ἀποθανεῖν τοῦτον. τὸ γὰρ βάπτισμα οὐδέν ἐστιν ἄλλο, ἢ ἀναίρεσις τοῦ βαπτιζομένου, καὶ ἔγερσις ἐκείνου. καὶ καλῶς εἶπεν, ἑαυτοῖς ἀνασταυροῦντας. ὁ γὰρ τοῦτο ποιῶν, ὡς τῆς προτέρας χάριτος ἐπιλαθόμενος, καὶ ῥαθύμως τὸν ἑαυτοῦ βίον οἰκονομῶν, ὡς ὄντος ἑτέρου βαπτίσματος, οὕτω πάντα διαπράττεται. διόπερ προσέχειν χρή, καὶ ἀσφαλίζεσθαι. τί ἐστι, γευσαμένους τῆς δωρεᾶς τῆς ἐπουρανίου; τουτέστι, τῆς ἀφέσεως τῶν ἁμαρτημάτων. τοῦτο γὰρ Θεοῦ μόνου χαρίζεσθαι, καὶ ἡ χάρις ἅπαξ ἐστὶ χάρις. Τί οὖν; ἐπιμένωμεν τῇ ἁμαρτίᾳ, ἵνα ἡ χάρις πλεονάσῃ; μὴ γένοιτο. εἰ δὲ ἀεὶ μέλλομεν χάριτι σώζεσθαι, οὐδέποτε ἐσόμεθα ἀγαθοί. ὅπου γὰρ μία ἐστὶ χάρις, καὶ οὕτω ῥαθυμοῦμεν· εἰ ᾔδειμεν ὅτι πάλιν ἐστὶν ἀπολούσασθαι τὰ ἁμαρτήματα, ἆρα ἂν ἐπαυσάμεθα ἁμαρτάνοντες; οὐκ ἔγωγε οἶμαι. πολλὰ ἐνταῦθα δείκνυσι* τὰ δῶρα.

Marginal notes: Ψαλ. ρβ. ε. — Ρωμ. ϛ. ϛ. δ. — Ρωμ. ϛ. α. — χ. -λῶν. ποιεῖ δὲ, τοὺς ἅπαξ φωτισθέντας, ἐπάγαγε, γευσαμ. — * τὸ χ. εἰς μετάνοιαν. διὰ μετανοίας ἐστί. — χ. στερρῶς — χ. -τε, καὶ τί ὄν. — χ. -ττει, αὐτὸ διαπράττ. — * ταῦτα

τὸ θεμέλιον ἔχει, πάλιν τὴν ἀρχὴν τοῦ χριστιανισμοῦ ζητεῖ. ὅτι γὰρ ἡ πίστις θεμέλιον, τὸ δὲ λοιπὸν οἰκοδομή, ἄκουε αὐτοῦ λέγοντος, Ἐγὼ θεμέλιον τέθεικα, ἄλλος δὲ ἐποικοδομεῖ. εἴ τις ἐποικοδομεῖ [α. Κορ. γ. ι.] ἐπὶ τὸν θεμέλιον τοῦτον, χρυσόν, ἄργυρον, λίθους τιμίους, ξύλα, χόρτον, καλάμην. διὰ τοῦτο ἔλεγε, μὴ πάλιν θεμέλιον καταβαλλόμενοι μετανοίας ἀπὸ νεκρῶν ἔργων. τί δέ ἐστιν, ἐπὶ τὴν τελειότητα φερώμεθα; πρὸς αὐτὴν χωρῶμεν λοιπόν, φησι, τὴν κορυφήν· τουτέστι, βίον ἄριστον ἔχωμεν. ὥσπερ γὰρ ἐπὶ τῶν στοιχείων τὸ πᾶν τὸ ἄλφα συνέχει, καὶ ὁ θεμέλιος τὴν πᾶσαν* οἰκοδομήν· οὕτω καὶ τοῦ βίου τὴν καθαρότητα ἡ περὶ τὴν πίστιν* πληροφορία. [* Συνέχει * ἔχει] ταύτης δὲ ἄνευ οὐκ ἔστιν εἶναι χριστιανόν· ὥσπερ οὐδὲ θεμελίων ἄνευ οἰκοδομήν, οὐδὲ στοιχείων χωρὶς ἔμπειρον γραμμάτων εἶναι. ἀλλ' ὥσπερ ἐάν τις ἀεὶ περὶ τὰ στοιχεῖα καταγίνηται, ἢ εἴ τις περὶ τὸν θεμέλιον στρέφηται, καὶ οὐκ ἀνέρχηται ἐπὶ τὴν οἰκοδομήν, οὐδέποτε ἔσται αὐτῷ τι πλέον· οὕτω καὶ ἐφ' ἡμῶν. ἂν γὰρ ἀεὶ ἐπὶ τὴν ἀρχὴν τῆς πίστεως μένωμεν, οὐδέποτε πρὸς τὸ τέλειον ταύτης ἀναβησόμεθα. σὺ δὲ μὴ νομίσῃς ἠλαττῶσθαι τὴν πίστιν διὰ τὸ στοιχεῖον κληθῆναι. [ἡ γὰρ πᾶσα δύναμις αὕτη ἐστί.] ὅταν γὰρ λέγῃ, πᾶς γὰρ ὁ μετέχων γάλακτος, ἄπειρος λόγου δικαιοσύνης, νήπιος γάρ ἐστιν, οὐ γάλα ταύτην καλεῖ· ἀλλὰ τὸ ἀμφιβάλλειν ἔτι περὶ τούτων, τουτέστιν ἀσθενοῦς διανοίας, καὶ λόγων δεομένης πολλῶν. τὰ γὰρ δόγματα ταῦτα ἐστὶ τὰ ὑγιῆ. τέλειον γὰρ ἐκεῖνον καλοῦμεν τὸν μετὰ τῆς πίστεως βίον ἔχοντα ὀρθόν. ἐὰν δέ τις πίστιν μὲν ἔχῃ, πράττῃ δὲ πονηρά, καὶ περὶ αὐτῆς δὲ ταύτης ἀμφιβάλλῃ, καὶ ὑβρίζῃ τὴν διδασκαλίαν· εἰκότως αὐτὸν φήσομεν νήπιον, ἐπὶ τὴν ἀρχὴν ἀναδραμόντα. ὥστε κἂν μυρία ἔτη ἐν τῇ πίστει ἔχωμεν, καὶ μὴ βέβαιοι ὦμεν ἐν αὐτῇ, νήπιοί ἐσμεν· ὅταν βίον αὐτῇ μὴ συμβαίνοντα ἐπιδεικνυώμεθα, ὅταν ἔτι θεμέλιον καταβαλλώμεθα. [χ. συμφέροντα] τούτοις δὲ μετὰ τοῦ βίου καὶ ἄλλο ἐγκαλεῖ, ὡς παρασαλευθεῖσι, καὶ δεομένοις θεμέλιον καταβάλλειν μετανοίας ἀπὸ νεκρῶν ἔργων. τὸν γὰρ ἀπό τινος εἰς ἕτερον μετατιθέμενον, καὶ τὸ μὲν ἀφιέντα, τοῦτο δὲ αἱρούμενον, πρότερον αὐτοῦ καταγνῶναι χρή, καὶ ἀποστῆναι τῇ διαθέσει, καὶ τότε ἐλθεῖν ἐφ' ἕτερον. εἰ δὲ τοῦ προτέρου πάλιν ἔχεσθαι μέλλοι, πῶς τοῦ δευτέρου ἅψεται; τί οὖν, φησι, περὶ τοῦ νόμου; κατέγνωμεν αὐτοῦ, καὶ πάλιν ἐπ' αὐτὸν ἀναστρέφομεν. τοῦτο οὐκ ἔστι μετάθεσις· καὶ γὰρ ἐνταῦθα ἔχομεν νόμον. Νόμον οὖν, φησι, καταργοῦμεν διὰ τῆς [Ρωμ. γ. λα.] πίστεως; μὴ γένοιτο· ἀλλὰ νόμον ἱστῶμεν. ἐγὼ δὲ περὶ πονηρῶν εἶπον πραγμάτων. ὁ γὰρ μέλλων ἐπὶ ἀρετὴν μετιέναι, πρότερον τῆς κακίας καταγνῶναι ὀφείλει, καὶ τότε αὐτῆς μετελθεῖν. [χ. ἀρετῆ] οὐ γὰρ ἴσχυεν ἡ μετάνοια καθαροὺς αὐτοὺς δεῖξαι. διὰ τοῦτο εὐθέως ἐβαπτίζοντο· ἵν', ὅπερ ἀδυνάτως εἶχον ἐργάσασθαι δι' ἑαυτῶν, τοῦτο διὰ τῆς τοῦ Χριστοῦ γένηται χάριτος. οὔτε οὖν μετάνοια ἀρκεῖ πρὸς τὸν καθαρισμόν, ἀλλὰ δεῖ τὸ βάπτισμα παραλαβεῖν. ἐπὶ γοῦν τὸ βάπτισμα ἔρχεσθαι δεῖ, πρότερον καταγνόντα τῶν ἡμαρτημένων αὐτῷ, καὶ καταψηφισάμενον. τί δέ ἐστι βαπτισμῶν διδαχῆς; οὐχ ὡς πολλῶν ὄντων τῶν βαπτισμῶν, ἀλλ' ἑνός. τί οὖν αὐτὸ πληθυντικῶς εἶπε; διὰ τὸ εἰπεῖν, μὴ πάλιν θεμέλιον καταβαλλόμενοι μετανοίας. εἰ γὰρ πάλιν αὐτοὺς ἐβάπτισε, καὶ ἄνωθεν κατήχησε, καὶ πάλιν ἐξ ἀρχῆς βαπτισθέντες ἐδιδάσκοντο τὰ πρακτέα, καὶ τὰ μὴ πρακτέα, διηνεκῶς ἔμελλον ἀδιόρθωτοι μένειν. καὶ ἐπιθέσεως χειρῶν. οὕτω γὰρ τὸ πνεῦμα ἐλάμβανον. Ἐπιθέντος γὰρ αὐτοῖς τοῦ Παύλου τὰς χεῖρας, φησιν, ἦλθε τὸ πνεῦμα τὸ [Πραξ. ιθ. ς.] ἅγιον. ἀναστάσεώς τε νεκρῶν. τοῦτο γὰρ ἐν τῷ βαπτίσματι γίνεται, καὶ ἐν τῇ ὁμολογίᾳ βεβαιοῦται. καὶ κρίματος αἰωνίου. διατί δὲ ταῦτά φησιν; ἐπειδὴ εἰκὸς ἦν αὐτοὺς ἢ παρασαλεύεσθαι ἤδη πεπιστευκότας, ἢ κακῶς βιοῦν καὶ ῥαθύμως. ἀπάγων οὖν αὐτοὺς τῆς τοιαύτης ῥαθυμίας, καὶ προσεκτικωτέρους ποιῶν, τοῦτον τὸν λόγον κινεῖ. οὐκ ἔνι γὰρ εἰπεῖν ὅτι ἂν νῦν ῥαθύμως ζήσωμεν, πάλιν βαπτισθησόμεθα, πάλιν κατηχηθησόμεθα, καὶ πάλιν ληψόμεθα τὸ πνεῦμα· ἢ ὅτι ἂν νῦν τῆς πίστεως ἐκπέσωμεν, πάλιν δυνησόμεθα βαπτιζόμενοι τὰ ἁμαρ-



Digitized by Google

Ηκούσατε ὅσα Ἑβραίοις ἐνεκάλεσεν ὁ Παῦλος βουλομένοις ἀεὶ μανθάνειν περὶ τῶν αὐτῶν; καὶ εἰκότως. ὀφείλοντες γὰρ εἶναι διδάσκαλοι διὰ τὸν χρόνον, πάλιν χρείαν ἔχετε τοῦ διδάσκειν ὑμᾶς, τίνα τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ Θεοῦ. δέδοικα δὲ μὴ καὶ πρὸς ὑμᾶς ταῦτα χρεὼν ἂν εἴη λέγεσθαι· ὅτι ὀφείλοντες εἶναι διδάσκαλοι διὰ τὸν χρόνον, οὐδὲ μαθητῶν τάξιν ἐπέχετε, ἀλλ' ἀεὶ τὰ αὐτὰ ἀκούοντες, καὶ περὶ τῶν αὐτῶν, ὡς οὐδενὸς ἀκούοντες, οὕτω διάκεισθε. καὶ ἐρωτήσῃ τις ὑμᾶς, οὐδεὶς ἀποκρίνασθαι δυνήσεται, πλὴν ὀλίγων σφόδρα καὶ εὐαριθμήτων. τοῦτο δὲ οὐ μικρὰ ζημία. πολλάκις γὰρ τῶν διδασκάλων βουλομένων προελθεῖν περαιτέρω, καὶ μυστικωτέρων ἅψασθαι, καὶ ὑψηλοτέρων λόγων, οὐκ ἀφίησιν ἡ ἀπροσεξία τῶν μαθητευομένων. καθάπερ γὰρ ἐπὶ τῶν γραμματιστῶν, ἂν ἀεὶ τὰ στοιχεῖα ἀκούων ὁ παῖς μὴ κρατῇ, ἀεὶ ἔσται αὐτῷ ἀνάγκη τὰ αὐτὰ ἐνηχεῖν τῷ παιδί, καὶ οὐ πρότερον ἀποστήσεται διδάσκων, ἕως ἂν ἐκεῖνα μαθεῖν ἀκριβῶς δυνηθῇ (καὶ γὰρ ἀνοίας ἐστὶ πολλῆς, τὰ πρότερα μὴ εἰδότα καλῶς, ἐφ' ἕτερα ἄγειν αὐτόν) οὕτω δὴ καὶ ἐπὶ τῆς ἐκκλησίας, ἂν ἀεὶ τὰ αὐτὰ λεγόντων ἡμῶν μηδὲν πλέον μανθάνητε, οὐδέποτε τὰ αὐτὰ λέγοντες παυσόμεθα. εἰ μὲν γὰρ ἐπιδείξεως ἦν ἡμῖν ὁ λόγος, καὶ φιλοτιμίας, ἐχρῆν ἀεὶ μεταπηδᾷν καὶ μεταβαίνειν, οὐδὲν * φροντίζοντας ὑμῶν ἕνεκεν, ἀλλὰ τὸν κρότον μόνον τὸν παρ' ὑμῶν. ἐπεὶ δὲ οὐ πρὸς τοῦτο τὴν σπουδὴν ἔχομεν, ἀλλὰ πάντα ὑπὲρ τῆς ὠφελείας ἡμῖν ποιεῖται τῆς ὑμετέρας, οὐ παυσόμεθα περὶ τῶν αὐτῶν ὑμῖν διαλεγόμενοι, ἕως ἂν αὐτὰ κατορθώσητε. ἐπεὶ ἐχρῆν πολλὰ καὶ περὶ ἑλληνικῆς λέγειν δεισιδαιμονίας, καὶ περὶ Μανιχαίων, καὶ περὶ Μαρκιωνιστῶν, καὶ μετὰ πλήθους αὐτοὺς τῇ τοῦ Θεοῦ χάριτι. ἀλλ' οὐκ ἔχει χρεὼν ὁ λόγος. τοῖς γὰρ οὐδέπω τὰ ἑαυτῶν εἰδόσιν ἀκριβῶς, τοῖς οὐδέπω μεμαθηκόσιν ὅτι τὸ πλεονεκτεῖν κακὸν, τίς ἂν τοὺς τοιούτους εἴποι λόγους, καὶ ἐφ' ἕτερα ἀγάγοι πρὸ καιροῦ; ἡμεῖς μὲν οὖν οὐ παυσόμεθα τὰ αὐτὰ λέγοντες, ἄν τε πεισθῆτε, ἄν τε μή. δέδοικα δὲ μὴ τὸ συνεχῶς τὰ αὐτὰ λέγειν, ἐὰν μὴ ἀκούητε, μείζονα τοῖς παρακούουσι τὴν καταδίκην ἐργασόμεθα. οὐ πρὸς πάντας δέ μοι ταῦτα ῥητέον. οἶδα γὰρ πολλοὺς ὠφελουμένους ἀπὸ τῆς ἐνταῦθα εἰσόδου, οἳ δικαίως ἂν ἐκείνων καταβοήσαιεν, ὡς ἐνεδρευόντων αὐτοὺς διὰ τῆς οἰκείας ἀμαθίας καὶ ἀπροσεξίας. πλὴν ἀλλ' οὐδὲ οὕτως ἐνεδρευθήσονται. τὸ γὰρ συνεχῶς τὰ αὐτὰ ἀκούειν, καὶ τοῖς εἰδόσι χρήσιμον. ὃ γὰρ ἴσμεν πολλάκις ἀκούοντες, μᾶλλον κατανύγημεν*. οἷόν τι λέγω· ἴσμεν ὅτι καλὸν ἡ ταπεινοφροσύνη, καὶ ὅτι πολλάκις διελέχθη περὶ αὐτῆς ὁ Χριστός. ἀλλ' ὅταν καὶ αὐτὴν τὴν ῥῆσιν ἐπακούσωμεν, καὶ τὴν εἰς αὐτὰ θεωρημάτων, πλέον τι προσέχομεν, κἂν μυριάκις ἀκούσωμεν. ἀλλὰ χρεὼν οὖν καὶ ἡμᾶς νῦν εἰπεῖν ὑμῖν, διόπερ ἀφέντες τὸν τῆς ἀρχῆς τοῦ Χριστοῦ λόγον, ἐπὶ τὴν τελειότητα φερώμεθα. τί δέ ἐστιν ἡ ἀρχὴ τοῦ λόγου, αὐτὸς ἐφεξῆς ἑρμηνεύει, λέγων, μὴ πάλιν θεμέλιον, φησὶ, καταβαλλόμενοι μετανοίας ἀπὸ νεκρῶν ἔργων, καὶ πίστεως ἐπὶ Θεὸν, βαπτισμῶν διδαχῆς, ἐπιθέσεώς τε χειρῶν, ἀναστάσεώς τε νεκρῶν, καὶ κρίματος αἰωνίου. εἰ δὲ τοῦτο ἀρχὴ, τί ἄλλο ἐστὶ τὸ δόγμα τὸ ἡμέτερον, ἢ τὸ μετανοῆσαι ἀπὸ νεκρῶν ἔργων, καὶ διὰ τοῦ πνεύματος λαβεῖν τὴν πίστιν εἰς ἀνάστασιν νεκρῶν, καὶ κρίματος αἰωνίου; [τί δέ ἐστιν ἀρχή;] οὐδὲν ἄλλο, ἢ τοῦτο ἀρχὴν φησιν, ὅταν μὴ βίος ἀκριβὴς παρῇ. καθάπερ γὰρ τῶν εἰς τὴν μάθησιν τῶν γραμμάτων εἰσερχομένων, τὰ στοιχεῖα δεῖ πρῶτον ἀκοῦσαι· οὕτω καὶ τῶν χριστιανῶν ταῦτα εἰδέναι ἀκριβῶς πρῶτον χρὴ, καὶ μηδὲν ἀμφιβάλλειν περὶ αὐτῶν. εἰ δὲ δέοιτο πάλιν διδασκαλίας, οὔπω τὸν θεμέλιον ἔχει. τὸν γὰρ ἑδραῖον πεπηγέναι προσήκει, καὶ ἑστάναι, καὶ μὴ μετακινεῖσθαι. εἰ δὲ μέλλοι τις κατηχηθεὶς καὶ βαπτισθεὶς μετὰ δέκα ἔτη δεῖν περὶ πίστεως πάλιν ἀκούειν, καὶ ὅτι πιστεῦσαι χρὴ εἰς ἀνάστασιν νεκρῶν, οὔπω

* ἢ ὀλίγα
γ. ἔτι
* τί αἰτίᾳ μεδέντης
γ. τίς ἐστιν

✝

Digitized by Google

ὡπικοῖς· καὶ εἰ μὲν τὴν κυβερνητικὴν, ἢ τὴν τεκτονικὴν ἐπιστήμην γινώσκειν ἐθέλοι, ἢ εἰ τινὰ ἑτέραν, τὰ τῆς τέχνης αὐτοῦ ἀνάγκη μανθάνειν. ἐνταῦθα δὲ οὐδὲν τοιοῦτόν ἐστι πιστεύοντας ἰδεῖν· καὶ ταῦτα τῆς ἐπιστήμης ταύτης πολλῆς δεομένης τῆς ἀγρυπνίας. ὅτι γὰρ καὶ τοῦτο τέχνη ἐστὶ διδασκαλίας δεομένη, ἄκουσον τοῦ προφήτου λέγοντος, Δεῦτε, τέκνα, ἀκούσατέ μου, φόβον Κυρίου διδάξω ὑμᾶς. ἄρα ἀληθῶς διδασκαλίας δεῖται ὁ τοῦ Θεοῦ φόβος. εἶτα φησί, Τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωήν; ζωὴν τὴν ἐκεῖ λέγει. καὶ πάλιν, Παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ, καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον· ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν· ζήτησον εἰρήνην, καὶ δίωξον αὐτήν. ἆρα ἴστε τίς ταῦτα εἶπε προφήτης, ἢ ἱστοριογράφος, ἢ ἀπόστολος, ἢ εὐαγγελιστής; οὐκ ἔγωγε οἶμαι, πλὴν ὀλίγων· καὶ αὐτοὶ δὲ οὗτοι πάλιν, ἐὰν παραγάγωμεν μαρτυρίαν ἑτέραν, τὸ αὐτὸ ὑμῖν πείσονται. ἰδοὺ γὰρ ἐρῶ τὸ αὐτὸ τοῦτο ῥητόν, ῥήμασιν ἑτέροις εἰρημένον· Λούσασθε, καθαροὶ γένεσθε, ἀφέλετε τὰς πονηρίας ὑμῶν ἀπὸ τῶν ψυχῶν ὑμῶν ἀπέναντι τῶν ὀφθαλμῶν μου, μάθετε καλὸν ποιεῖν, ἐκζητήσατε κρίσιν, [παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν,] μάθετε καλὸν ποιεῖν. ὁρᾷς ὅτι διδασκαλίας δεῖται ἡ ἀρετή; οὗτος μὲν γὰρ λέγει, Φόβον Κυρίου διδάξω ὑμᾶς· ἐκεῖνος δέ, μάθετε καλὸν ποιεῖν. ἆρ' οὖν ἴστε ποῦ ταῦτα ἔγκειται; οὐκ ἔγωγε οἶμαι, πλὴν ὀλίγων. καίτοι καθ' ἑκάστην ἑβδομάδα δὶς ἢ καὶ τρὶς ταῦτα ὑμῖν ἀναγινώσκεται. καὶ ἀνελθὼν ὁ ἀναγνώστης λέγει πρότερον τὸ βιβλίον τίνος ἐστί (τοῦ δεῖνος τυχὸν προφήτου, ἢ ἀποστόλου, ἢ εὐαγγελιστοῦ) καὶ τότε λέγει ἃ λέγει, ὥστε εὐσημότερα ὑμῖν εἶναι, καὶ μὴ μόνον τὰ ἐγκείμενα εἰδέναι, ἀλλὰ καὶ τὴν αἰτίαν τῶν γεγραμμένων, καὶ τίς ταῦτα εἴρηκεν. ἀλλὰ πάντα εἰκῆ, [ἀλλὰ] πάντα μάτην. πᾶσα γὰρ ἡ σπουδὴ εἰς τὰ βιωτικὰ κεκένωται· καὶ τῶν πνευματικῶν λόγος οὐδείς. διὰ τοῦτο οὐδὲ ἐκεῖνα ὑμῖν κατὰ γνώμην ἐκβαίνει, ἀλλὰ πολλαὶ κἀκεῖ δυσκολίαι. ὁ μὲν οὖν Χριστός φησιν, Αἰτεῖτε τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. καὶ ταῦτα μὲν ἐν προσθήκης εἶπε μέρει δοθήσεσθαι· ἡμεῖς δὲ τὴν τάξιν ἀντιστρέψαντες, καὶ ζητοῦμεν τὴν γῆν, καὶ τὰ ἀγαθὰ τὰ ἐν τῇ γῇ, ὡς ἐκείνων ἐν προσθήκης μέρει δοθησομένων ἡμῖν. διὰ τοῦτο οὔτε ταῦτα, οὔτε ἐκεῖνα ἔχομεν. ἀνανήψωμεν οὖν ποτε, καὶ γενώμεθα τῶν μελλόντων ἀγαθῶν ἐπιθυμηταί. οὕτω γὰρ καὶ ταῦτα ἕψεται. οὐδὲ γὰρ ἔνι τὸν τὰ κατὰ Θεὸν ζητοῦντα, μὴ καὶ τῶν ἀνθρωπίνων ἐπιτυχεῖν. ἀπόφασίς ἐστι τῆς ἀληθείας αὐτῆς τοῦτο λεγούσης. μὴ τοίνυν ἄλλως ποιῶμεν, ἀλλ' ἀντεχώμεθα τῆς συμβουλῆς τοῦ Χριστοῦ, ἵνα μὴ πάντων ἐκπέσωμεν. ὁ δὲ Θεὸς ἱκανός ἐστι κατανύξαι ἡμᾶς, καὶ ποιῆσαι βελτίους ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Ψαλ. λγ. ιβ.

Ησ. α. ιϛ.

Ματθ. ϛ. λγ.

χ. γὰρ

χ. τὸν κατὰ Θεὸν ζῶντα, μὴ

χ. ἐχώμεθα

ἀλ. ἀντεχώμεθα

χ. ἵνα καὶ τῶν παρόντων καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ

Λογ. θ. 1 ΔΙΟ ΑΦΕΝΤΕΣ ΤΟΝ ΤΗΣ ΑΡΧΗΣ ΤΟΥ Χριστοῦ λόγον, ἐπὶ τὴν τελειότητα φερώμεθα· μὴ πάλιν θεμέλιον καταβαλλόμενοι μετανοίας ἀπὸ νεκρῶν ἔργων, καὶ πίστεως ἐπὶ Θεόν, χεξ. ϛ.

2 Βαπτισμῶν διδαχῆς, ἐπιθέσεώς τε χειρῶν, ἀναστάσεώς τε νεκρῶν, καὶ κρίματος αἰωνίου.

3 Καὶ τοῦτο ποιήσομεν, ἐάνπερ ἐπιτρέπῃ ὁ Θεός.

Ηκούσατε

Digitized by Google

κακοῦ, δυνησόμεθα τοὺς τοιούτους διακρίνειν. πῶς δὲ γεγυμνασμένα ἔχει ἡμῶν τὰ αἰσθητήρια; ἀπὸ τῆς συνεχοῦς ἀκροάσεως, ἀπὸ τῆς τῶν γραφῶν ἐμπειρίας. ὅταν γὰρ "προσθῶμεν αὐτῇ" τὴν πλείω, καὶ σήμερον ἀκούσῃς, καὶ αὔριον, καὶ δοκιμάσῃς μὴ καλῶς ἔχειν, ὃ πρὸ τούτου ἔμαθες, ὃ πρὸ τούτου ἔγνως. κἂν σήμερον μὴ καταλάβῃς, αὔριον καταλήψῃ. τὰ τὰ αἰσθητήρια, φησι, γεγυμνασμένα ἐχόντων. ὁρᾷς ὅτι χρὴ γυμνάζειν ἡμῶν τὴν ἀκοὴν ταῖς ἀκροάσεσι ταῖς θείαις, ὥστε μὴ ξενοφωνεῖσθαι; γεγυμνασμένα, φησί, πρὸς διάκρισιν· τουτέστιν, ἔμπειρα εἶναι. ὁ μὲν λέγει μὴ εἶναι ἀνάστασιν, ὁ δὲ οὐδὲν τῶν μελλόντων προσδοκᾷ, ἄλλος ἕτερον λέγει Θεόν, ἄλλος ἀπὸ Μαρίας αὐτὸν ἔχειν τὴν ἀρχήν. καὶ θέα εὐθέως πῶς ἐξ ἀμετρίας πάντες ἐξέπεσον, οἱ μὲν πλεονάσαντες, οἱ δὲ ἐλαττώσαντες. οἷον, πρώτη μὲν πάντων αἵρεσις, ἡ Μαρκίωνος· ἐκείνη ἕτερον Θεὸν ἐπεισήγαγε τὸν οὐκ ὄντα. ἰδοὺ τὸ πλέον. μετ' ἐκείνην ἡ Σαβελλίου, τὸν υἱὸν καὶ τὸν πατέρα καὶ τὸ πνεῦμα ἓν πρόσωπον εἶναι λέγουσα. Εἶτα ἡ Μαρκέλλου καὶ Φωτεινοῦ, καὶ αὕτη τὰ αὐτὰ πρεσβεύουσα. Εἶτα ἡ Παύλου τοῦ Σαμοσατέως, ἐκ Μαρίας λέγουσα τὴν ἀρχὴν αὐτὸν ἐσχηκέναι. Εἶτα ἡ Μανιχαίων· αὕτη γὰρ πασῶν νεωτέρα. μετ' ἐκείνας, ἡ Ἀρείου. Εἰσὶ δὲ καὶ ἕτεραι. ἡμεῖς δὲ διὰ τοῦτο τὴν πίστιν παρελάβομεν ἁπλῶς, ἵνα μὴ ἀναγκαζώμεθα μυρίαις ἐπιέναι αἱρέσεσι, καὶ πράγματα ἔχειν, ἀλλ' ὅπερ ἂν ἢ προσθεῖναι, ἢ ἀφελεῖν τις ἐπιχειρήσειεν ἐκείνης, τοῦτο νόθον εἶναι νομίζωμεν. καθάπερ γὰρ οἱ τοὺς κανόνας διδόντες οὐκ ἀναγκάζουσι μυρία μέτρα περιεργάζεσθαι, ἀλλὰ τὸ δοθὲν ἐκεῖνο κατέχειν κελεύουσιν· οὕτω καὶ ἐπὶ τῶν δογμάτων. ἀλλ' οὐδεὶς βούλεται ταῖς γραφαῖς προσέχειν. Εἰ γὰρ προσείχομεν, οὐ μόνον οὐκ ἂν "περιεπίπτομεν τῇ ἀπάτῃ, ἀλλὰ καὶ ἑτέρους ἀπατωμένους ἀπηλλάξαμεν ἄν, καὶ τῶν κινδύνων ἐξειλκύσαμεν. ὁ γὰρ ἰσχυρὸς στρατιώτης οὐ μόνον ἑαυτῷ ἀρκέσαι δύναται, ἀλλὰ καὶ τὸν παραστάτην διαφυλάξαι, καὶ τῆς τῶν πολεμίων βλάβης ἐλευθερῶσαι. νῦν δὲ οὐδὲ ὅτι γραφαί εἰσιν ἴσασί τινες. καίτοι τὸ πνεῦμα τὸ ἅγιον τοσαῦτα ᾠκονόμησεν, ὥστε αὐτὰς φυλαχθῆναι. καὶ ὅρα τὸ ἄνωθεν, ἵνα μάθῃς τοῦ Θεοῦ τὴν ἄφατον φιλανθρωπίαν. ἐνέπνευσε τῷ μακαρίῳ Μωϋσῇ, τὰς πλάκας ἐκόλαψε, κατέσχεν αὐτὸν τεσσαράκοντα ἡμέρας ἐπὶ τοῦ ὄρους, καὶ πάλιν τοσαύτας ἑτέρας, ὥστε δοῦναι τὸν νόμον. μετὰ δὲ ταῦτα προφήτας ἔπεμψε μυρία παθόντας δεινά. ἐπῆλθε πόλεμος, "ἀνεῖλον πάντας, κατέκοψαν, ἐνεπρήσθησαν αἱ βίβλοι. ἑτέρῳ πάλιν ἀνδρὶ θαυμαστῷ ἐνέπνευσεν, ὥστε αὐτὰς ἐκθέσθαι, τῷ Ἔσδρᾳ λέγω, καὶ ἀπὸ λειψάνων συντεθῆναι ἐποίησε. μετὰ δὲ τοῦτο ᾠκονόμησεν ἑρμηνευθῆναι αὐτὰς ὑπὸ τῶν ἑβδομήκοντα. [ἡρμήνευσαν ἐκεῖνοι.] παρεγένετο ὁ Χριστός, δέχεται αὐτάς, οἱ ἀπόστολοι εἰς πάντας αὐτὰς διασπείρουσι, σημεῖα ἐποίησε καὶ θαύματα ὁ Χριστός. "Εἶτα τί; μετὰ τοσαύτην πραγματείαν καὶ οἱ ἀπόστολοι ἔγραψαν, καθὼς καὶ Παῦλος εἶπεν, Ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησε. καὶ ὁ Χριστὸς *ἔλεγε, Πλανᾶσθε, μὴ εἰδότες τὰς γραφάς. καὶ Παῦλος πάλιν ἔλεγε, Διὰ τῆς ὑπομονῆς, καὶ τῆς παρακλήσεως τῶν γραφῶν, τὴν ἐλπίδα ἔχομεν. καὶ "πάλιν, Πᾶσα γραφὴ θεόπνευστος καὶ ὠφέλιμος· καί, Ὁ λόγος τοῦ Χριστοῦ ἐνοικείτω ἐν ὑμῖν πλουσίως. καὶ ὁ προφήτης, Ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός. καὶ ἑτέρωθι πάλιν, Πᾶσα διήγησίς σου ἔστω ἐν νόμῳ ὑψίστου. καὶ πάλιν, Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου (οὐκ εἶπε, τῇ ἀκοῇ μου, ἀλλὰ, τῷ λάρυγγί μου) ὑπὲρ μέλι καὶ κηρίον τῷ στόματί μου. καὶ ὁ Μωϋσῆς, Μελετήσεις ἐν αὐτοῖς, φησι, διαπαντός, ἀνιστάμενος, καθεζόμενος, κοιταζόμενος. διὰ τοῦτο καὶ ὁ Παῦλος γράφων πρὸς Τιμόθεον, ἔλεγεν· Ἐν αὐτοῖς ἴσθι, ταῦτα μελέτα. καὶ μυρία ἄν τις περὶ αὐτῶν εἴποι. ἀλλ' ὅμως μετὰ τοσαῦτα εἰσί τινες οὐδὲ εἰδότες ὅτι εἰσί ποτε γραφαί. διά τοι τοῦτο, οὐδὲν ὑγιές, οὐδὲν χρήσιμον παρ' ἡμῖν γέγονεν. ἀλλ' εἰ μὲν τὰ τῆς στρατείας εἰδέναι βούλοιτο, ἀνάγκη τοὺς νόμους αὐτὸν μανθάνειν τοὺς στρατι-

ωτικούς

Marginalia (right): χ. προσέχωμεν — χ. τῇ παι. — χ. προσείχομεν — χ. ἀνεῖλεν ἅπαντας, κατ. — χ. τί δαί; μετ. — * πάλιν — χ. ἀλλαχοῦ

Marginalia (left): α. Κορ. ι. ια. — Ματθ. κβ. κθ. — Ρωμ. ιε. δ. — β. Τιμ. γ. ις. — Κολοσ. γ. ις. — Ψαλ. α. β. — Σειρ. θ. κ. — Ψαλ. ριη. ργ. — Δευτ. ς. ζ. — α. Τιμ. δ. ιε.

χ. ὃ καὶ ὕστερον αὐτοῖς μαρτυ-

τας, ὃ ὕστερον αὐτοῦ τῷ πάθει μαρτυρεῖ. Καὶ γεγόνατε χρείαν ἔχοντες γάλακτος, καὶ οὐ στερεᾶς τροφῆς. Ἀεὶ δὲ γάλα τὸν ταπεινὸν λόγον καλεῖ, [καὶ ἐνταῦθα, καὶ ἐκεῖ]. ὀφείλοντες εἶναι, φησι, διδάσκαλοι διὰ τὸν χρόνον· ὡσεὶ ἔλεγε, δι' ὃ μάλιστα ἐξελύθητε, καὶ ὕπτιοι γεγόνατε, διὰ τοῦτο μάλιστα ὀφείλετε εἶναι ἰσχυροὶ, διὰ τὸν χρόνον. γάλα δὲ καλεῖ τὸν ταπεινὸν λόγον, διὰ τὸ τοῖς ἀφελεστέροις ἁρμόζειν· τοῦτο δὲ ἐναντίον τοῖς "τελειοτέροις, καὶ βλαβερὸν τὸ ἐν τούτοις διατρίβειν. ὥστε οὐκ ἔδει τὰ νομικὰ ἐπιφέρεσθαι νῦν, οὐδὲ ἀπὸ τούτων τὴν σύγκρισιν γίνεσθαι, ὅτι ἀρχιερεὺς, καὶ ὅτι ἔθυσε, καὶ ἐδεήθη μετὰ κραυγῆς καὶ ἱκετηρίας. ὁρᾷς γοῦν πῶς ἡμῖν ταῦτα προσίσταται· ἀλλ' ἐκείνους τότε ἔτρεφεν, οὐδαμοῦ προσιστάμενα αὐτοῖς. ἄρα οὖν ἀληθῶς τροφὴ τὰ λόγια τοῦ Θεοῦ, τρέφουσα τὴν ψυχήν. ὅτι δὲ ὁ λόγος τροφὴ, δῆλον ἐκεῖθεν· Δώσω γὰρ αὐτοῖς, φησιν, οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον Κυρίου. Γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα. οὐκ εἶπεν, ἔθρεψα, δεικνὺς ὅτι οὐκ ἔστι τὸ τοιοῦτον τροφὴ, ἀλλ' ὥσπερ ἐπὶ τῶν παιδίων τῶν μικρῶν τῶν οὐ δυναμένων ἄρτῳ τρέφεσθαι. (τὰ γὰρ τοιαῦτα οὐ ποτίζεται), ἀλλ' ἡ τροφὴ αὐτοῖς αὕτη ποτοῦ ἐστιν· οὕτω καὶ ἐνταῦθα. καὶ οὐκ εἶπε, χρείαν ἔχετε, ἀλλὰ, γεγόνατε χρείαν ἔχοντες γάλακτος, καὶ οὐ στερεᾶς τροφῆς. τουτέστιν, ὑμεῖς "ἠθελήσατε, ὑμεῖς ἑαυτοὺς εἰς τοῦτο κατεστήσατε, εἰς ταύτην τὴν χρείαν.

χ. πλείοσι,

Ἀμως. η.

α. Κορ. γ. β.

χ. -σατε εἰς ταύτην ἐλθεῖν τ

13 Πᾶς γὰρ ὁ μετέχων γάλακτος, ἄπειρος λόγου δικαιοσύνης· νήπιος γάρ ἐστι.

Τί ἐστιν ὁ λόγος τῆς δικαιοσύνης; ἐνταῦθά μοι δοκεῖ καὶ βίον αἰνίττεσθαι· ὅπερ καὶ ὁ Χριστὸς ἔλεγεν, Ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλεῖον τῶν γραμματέων καὶ Φαρισαίων. τοῦτο καὶ αὐτός φησιν. ἄπειρος λόγου δικαιοσύνης (τουτέστι, τῆς ἄνω φιλοσοφίας ἄπειρος) οὐ δύναται παραδέξασθαι βίον ἄκρον καὶ ἠκριβωμένον. ἢ καὶ δικαιοσύνην ἐνταῦθα τὸν Χριστόν φησι, καὶ τὸν ὑψηλὸν περὶ αὐτοῦ λόγον. ὅτι μὲν οὖν νωθροὶ γεγόνασιν, εἶπε· πόθεν δὲ, οὐκέτι προσέθηκεν, αὐτοῖς ἀφεὶς εἰδέναι, καὶ μὴ βουλόμενος ἐπαχθῆ "τὸν λόγον ἐργάσασθαι. ἐπὶ δὲ τῶν Γαλατῶν καὶ ἐθαύμασε καὶ ἠπόρησεν. ὃ πολλῷ μεῖζον πρὸς παραμυθίαν ἐστίν· ὡς οὐκ ἂν προσδοκήσαντός ποτε τοῦτο γενέσθαι. τοῦτο γάρ ἐστιν ἡ διαπόρησις. ὁρᾷς νηπιότητα ἑτέραν οὖσαν; ὁρᾷς * τελειότητα ἑτέραν; γενώμεθα τέλειοι τοίνυν ταύτην τὴν τελειότητα. ἔνεστι καὶ παῖδας ὄντας, καὶ νέους, πρὸς ἐκείνην ἐλθεῖν τὴν τελειότητα. οὐ γάρ ἐστι φύσεως, ἀλλ' ἀρετῆς.

Ματθ. ε. κ.

χ. ἑαυτοῦ

* καὶ.

14 Τελείων δέ ἐστιν ἡ στερεὰ τροφὴ, τῶν διὰ τὴν ἕξιν τὰ αἰσθητήρια γεγυμνασμένα ἐχόντων πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ. Τί δαί; οὐκ εἶχον τὰ αἰσθητήρια γεγυμνασμένα ἐκεῖνοι, οὐδὲ ᾔδεισαν τί καλὸν καὶ κακόν; νῦν οὐ περὶ βίου αὐτῷ ὁ λόγος, "ὅταν λέγῃ, πρὸς διάκρισιν καλοῦ καὶ κακοῦ (τοῦτο γὰρ παντὶ αἰσθέσθαι τῷ δυνατὸν εἰδέναι, καὶ εὔκολον) ἀλλὰ περὶ δογμάτων ὑγιῶν καὶ ὑψηλῶν, διεφθαρμένων τε καὶ ταπεινῶν. τὸ παιδίον οὐκ οἶδε τὴν φαύλην καὶ τὴν δόκιμον τροφὴν διαιρεῖν. πολλάκις γοῦν καὶ "χοῦν ἐνέβαλεν εἰς τὸ στόμα, καὶ τὸ βλαβερὸν ἐδέξατο, καὶ πάντα ἀδιακρίτως ποιεῖ· ἀλλ' οὐ τὸ τέλειον τοιοῦτον. τοιοῦτοί εἰσιν οἱ πᾶσιν ἁπλῶς προσέχοντες, καὶ ἀδιακρίτως τὰς ἀκοὰς ἐκδιδόντες ἀδοκίμοις. καὶ τούτους αἰτιᾶται, ὡς ἁπλῶς περιφερομένους, καὶ νῦν μὲν τούτοις, νῦν δὲ ἐκείνοις διδόντας ἑαυτούς. ὃ καὶ πρὸς τῷ τέλει ἠνίξατο λέγων, διδαχαῖς ποικίλαις καὶ ξέναις μὴ περιφέρεσθε. τοῦτό ἐστι, πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ. λάρυγξ μὲν γὰρ σιτα γεύεται, ψυχὴ δὲ δοκιμάζει λόγους.

χ. κἂν

χ. χοῦν

Καὶ ἡμεῖς τοίνυν τοῦτο μάθωμεν· καὶ μὴ, ἐὰν ἀκούσῃς, ὅτι οὐκ ἔστιν Ἕλλην, οὐδὲ Ἰουδαῖος, εὐθέως χριστιανὸν εἶναι νομίσῃς, ἀλλ' ἐξέταζε καὶ τὰ ἄλλα ἅπαντα. ἐπεὶ καὶ Μανιχαῖοι καὶ πᾶσαι αἱρέσεις τοῦτο ὑπέδυσαν τὸ προσωπεῖον, πρὸς τὸ οὕτως ἀπατᾶν τοὺς ἀφελεστέρους. ἀλλ' ἐὰν ἔχωμεν τὰ αἰσθητήρια τῆς ψυχῆς γεγυμνασμένα πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ, ΗΘΙΚΟΝ

Digitized by Google

Ρωμ. θ. κ. πιστωσάμενος τὸν ἀντιλέγοντα, καὶ εἰπών, Μενοῦνγε, ὦ ἄνθρωπε, σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ; τότε τὴν λύσιν ἐπάγει. ἐγὼ δὲ αὐτὸν οὔτε πάντη σεσιγηκέναι, ὅτι εἰρηκέναι οἶμαι, ἵνα εἰς πόθον ἀγάγῃ τὸν ἀκροατήν. μνημονεύσας γὰρ καὶ εἰπὼν μεγάλα τινὰ ἐναποκεῖσθαι ὧν λέγω, ὅρα πῶς μετ' ἐγκωμίου ποιεῖται τὴν ἐπιτίμησιν. τοῦτο γὰρ ἀεὶ τῆς σοφίας Παύλου, τὰ δυσχερῆ τοῖς χρηστοῖς ἀναμιγνύναι. ὃ καὶ ἐν τῇ πρὸς Γαλάτας ποιεῖ, λέγων, Ἐτρέχετε καλῶς, τίς ὑμᾶς ἐνέκοψε; καί, Τοσαῦτα ἐπάθετε εἰκῆ; εἴγε καὶ εἰκῆ. καί, Πέποιθα εἰς ὑμᾶς ἐν Κυρίῳ. ὃ καὶ τούτοις φησί, Πεπείσμεθα δὲ περὶ ὑμῶν τὰ κρείττονα, καὶ ἐχόμενα σωτηρίας. δύο γὰρ ταῦτα ποιεῖ· οὔτε ἐπιτείνει, οὔτε ἀφίησιν εὐθέως ἀναπεσεῖν*. Εἰκότως. εἰ γὰρ τὰ ἑτέρων παραδείγματα ἱκανὰ τὸν ἀκούοντα διαναστῆσαι, καὶ εἰς ζῆλον ἀγαγεῖν· ὅταν τις παρ' ἑαυτοῦ τὸ ὑπόδειγμα ἔχῃ, καὶ ἑαυτὸν παρακελεύηται ζηλοῦν, πολλῷ μᾶλλον ἐντεῦθεν ἤδη τὸ δυνατὸν τῆς διδασκαλίας εἰσάγεται. Καὶ τοῦτο οὖν δείκνυσι, καὶ οὐκ ἀφίησιν ὡς σφόδρα κατεγνωσμένους ἀναπεσεῖν, οὐδ' ὡς ἀεὶ ὄντας κακούς, ἀλλ' ὅτι ποτὲ ἐγένοντο καὶ χρηστοί, λέγει.

Margin (left): Γαλατ. ε. ζ. — Γαλατ. γ. δ. — καὶ ε. ι. — Εβρ. ς. θ.

Margin (right): κ. φιλοσοφίας — * ἀλλὰ καὶ διεγείρει πρὸς ἀρίστην πολιτείαν. — κ. ἐς

12 Καὶ γὰρ ὀφείλοντες εἶναι διδάσκαλοι διὰ τὸν χρόνον. Δείκνυσιν ἐνταῦθα περὶ πολλοῦ χρόνου πιστεύοντας αὐτούς. δείκνυσι δὲ ὅτι καὶ ἄλλους ὀφείλουσι κατηχεῖν. ὅρα γοῦν αὐτὸν συνεχῶς ὠδίνοντα τὸν περὶ τοῦ ἀρχιερέως εἰσαγαγεῖν λόγον, καὶ ἀεὶ ἀναβαλλόμενον. ἄκουε γὰρ πῶς ἤρξατο· ἔχοντες ἀρχιερέα μέγαν διεληλυθότα τοὺς οὐρανούς. καὶ πρὶν εἰπεῖν πῶς μέγαν, πάλιν φησί, πᾶς γὰρ ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος, ὑπὲρ ἀνθρώπων καθίσταται τὰ πρὸς τὸν Θεόν. καὶ πάλιν, οὕτω καὶ ὁ Χριστὸς οὐχ ἑαυτὸν ἐδόξασε γενηθῆναι ἀρχιερέα. καὶ πάλιν εἰπών, σὺ εἶ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ, πάλιν ἀναβάλλεται λέγων, ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ δεήσεις καὶ ἱκετηρίας προσενέγκας. ἐπεὶ οὖν τοσαυτάκις ἐξεκρούσθη, ὡσανεὶ ἀπολογούμενός φησιν, ἡ αἰτία παρ' ὑμᾶς. Βαβαί, πόση διαφορά; ὀφείλοντες ἄλλους διδάσκειν, οὐδὲ ἁπλῶς μαθηταί εἰσιν, ἀλλὰ μαθηταὶ ἔσχατοι. Καὶ γὰρ ὀφείλοντες εἶναι διδάσκαλοι διὰ τὸν χρόνον, φησί, πάλιν χρείαν ἔχετε τοῦ διδάσκειν ὑμᾶς τινα τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ Θεοῦ. Ἐνταῦθα στοιχεῖα ἀρχῆς τὴν ἀνθρωπότητά φησιν. ὥσπερ γὰρ ἐπὶ τῶν ἔξωθεν γραμμάτων πρῶτον τὰ στοιχεῖα δεῖ μαθεῖν, οὕτω καὶ ἐπὶ τῶν θείων λογίων πρῶτον περὶ τῆς ἀνθρωπότητος ἔδει διδάσκεσθαι. ὁρᾷς τίς ἡ αἰτία τοῦ ταπεινὰ φθέγγεσθαι; οὕτω καὶ Ἀθηναίοις ἐποίησεν ὁ Παῦλος διαλεγόμενος αὐτοῖς καὶ λέγων, Τοὺς μὲν οὖν χρόνους τῆς ἀγνοίας ὑπεριδὼν ὁ Θεός, τανῦν παραγγέλλει τοῖς ἀνθρώποις πᾶσι πανταχοῦ μετανοεῖν. καθότι ἔστησεν ἡμέραν, ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, ἐν ἀνδρὶ ᾧ ὥρισε, πίστιν παρασχὼν πᾶσιν, ἀναστήσας αὐτὸν ἐκ νεκρῶν. Διὰ τοῦτο εἰ μέν τι ὑψηλὸν λέγει, ἐν βραχεῖ τοῦτό φησι· τὰ δὲ ταπεινὰ πολλαχοῦ διέσπαρται τῆς ἐπιστολῆς. Καὶ οὕτω δὲ τὸ ὑψηλὸν δείκνυται. τὸ γὰρ σφόδρα ταπεινὸν οὐκ ἀφίησι περὶ τῆς θεότητος ταῦτα ὑποπτεύεσθαι. οὕτω καὶ ἐνταῦθα τὸ ἀσφαλὲς φυλάττων, τὰ ταπεινὰ προσάπτει τῇ ἀνθρωπότητι. καὶ τὸ αἴτιον, τὸ μὴ δύνασθαι αὐτοὺς τῶν τελείων ἀκούειν. τοῦτο μάλιστα ἐν τῇ πρὸς Κορινθίους ἐσήμανεν ἐπιστολῇ, εἰπών, Ὅπου γὰρ ἐν ὑμῖν ζῆλος καὶ ἔρις καὶ διχοστασίαι, οὐχὶ σαρκικοί ἐστε; σκόπει δέ μοι τὴν σύνεσιν αὐτοῦ τὴν πολλήν, πῶς καταλλήλως ἀεὶ τοῖς ὑποκειμένοις πάθεσι προσφέρεται. ἐκεῖ μὲν γὰρ ἡ ἀσθένεια ἀπὸ ἀμαθίας τὸ πλέον ἐγίνετο, μᾶλλον δὲ ἀπὸ ἁμαρτημάτων· ἐνταῦθα δὲ οὐκ ἀπὸ ἁμαρτημάτων μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν θλίψεων τῶν συνεχῶν. διὸ καὶ λέξεσι δείξασθαι δυναμέναις τὴν διαφορὰν κέχρηται, ἐκεῖ μὲν λέγων, Σαρκικοί ἐστε, ἐνταῦθα δέ, ἐπεὶ μείζων ἡ ὀδύνη, νωθροὶ γεγόνατε. καὶ ἐκεῖνοι μὲν οὐκ ἠδυνήθησαν ἐνεγκεῖν, ἅτε σαρκικοὶ ὄντες· οὗτοι δὲ ἠδυνήθησαν. τὸ γὰρ εἰπεῖν, ἐπεὶ νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς, δηλοῦντός ἐστιν ὅτι πάλαι ὑγίαινον, καὶ ἦσαν ἰσχυροί, τῇ προθυμίᾳ ζέον-

τες

Margin (left): Πραξ. ιζ. λ. — α. Κορ. γ. γ.

Margin (right): κ. λαϊκοί — ἴσ. διέξοδον

ὧν ἔπαθε, τὴν ὑπακοήν. ποίαν ὑπακοὴν ἔμαθεν, ὁ μέχρι θανάτου πρὸ τούτου ὑπακούσας, ὡς πατρὶ υἱός; πῶς δὲ καὶ ὕστερον ἔμαθεν; ὁρᾷς ὅτι περὶ τῆς σαρκὸς εἴρηται; Εἰπὲ δέ μοι, τοῦ πατρὸς ἐδεῖτο, ἵνα σωθῇ ἀπὸ τοῦ θανάτου, καὶ διὰ τοῦτο περίλυπος ἦν, καὶ ἔλεγεν, Εἰ δυνατὸν, παρελθέτω ἀπ᾽ ἐμοῦ τὸ ποτήριον τοῦτο; οὐδαμοῦ δὲ περὶ τῆς ἀναστάσεως ἐδεήθη τοῦ πατρὸς, ἀλλὰ καὶ τοὐναντίον αὐτὸς ἀποφαίνεται λέγων, Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐγὼ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. καί, Ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν. οὐδεὶς* αἴρει αὐτὴν ἀπ᾽ ἐμοῦ, ἀλλ᾽ ἐγὼ τίθημι αὐτὴν ἀπ᾽ ἐμαυτοῦ. τί οὖν ἐστι, καὶ τίνος ἕνεκεν ἐδεῖτο; καὶ πάλιν λέγει, Ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδοθήσεται τοῖς ἀρχιερεῦσι καὶ γραμματεῦσι, καὶ κατακρινοῦσιν αὐτὸν θανάτῳ, καὶ παραδώσουσιν αὐτὸν τοῖς ἔθνεσιν, εἰς τὸ ἐμπαῖξαι καὶ μαστιγῶσαι καὶ σταυρῶσαι· καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται. καὶ οὐκ εἶπεν, ὅτι ἀναστήσει με ὁ πατήρ. πῶς οὖν περὶ τούτου ἐδεήθη; ἀλλὰ περὶ τίνων ἐδεήθη; περὶ τῶν πιστευσάντων εἰς αὐτόν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· εἰσακούεται εὐκόλως. ἐπειδὴ γὰρ οὐδέπω περὶ αὐτοῦ δόξαν εἶχον τὴν προσήκουσαν, εἶπεν ὅτι εἰσηκούσθη· ὥσπερ καὶ αὐτὸς τοὺς μαθητὰς παραμυθούμενος, ἔλεγεν, Εἰ ἠγαπᾶτέ με, ἐχάρητε ἄν, ὅτι πρὸς τὸν πατέρα μου πορεύομαι, ὅτι ὁ πατήρ μου μείζων μού ἐστι. πῶς δὲ οὐχ ἑαυτὸν ἐδόξασεν ὁ ἑαυτὸν κενώσας, ὁ παραδοὺς ἑαυτόν; Παρέδωκε γὰρ, φησιν, ἑαυτὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν· καὶ πάλιν, Δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ πάντων ἡμῶν. [τί οὖν ἐστι;] ὁρᾷς ὅτι διὰ τὴν σάρκα ταπεινὰ φθέγγεται περὶ ἑαυτοῦ; οὕτω καὶ ἐνταῦθα, καίπερ ὢν υἱὸς, ἀπὸ τῆς εὐλαβείας εἰσηκούσθη, φησί. βούλεται γὰρ αὐτὸν δεῖξαι τὸ κατόρθωμα οὐ μᾶλλον ἢ τῆς χάριτος τοῦ Θεοῦ. τοσαύτη, φησίν, ἦν αὐτοῦ ἡ εὐλάβεια, ὡς καὶ ἀπὸ τούτου αἰδεσθῆναι αὐτὸν τὸν Θεόν. ἔμαθεν ὑπακούειν, φησί, τῷ Θεῷ. ἐνταῦθα πάλιν δείκνυσιν ὅσον τῶν παθημάτων τὸ κέρδος. καὶ τελειωθείς, φησιν, ἐγένετο πᾶσι τοῖς ὑπακούουσιν αὐτῷ αἴτιος σωτηρίας. εἰ δὲ ἐκεῖνος υἱὸς ὢν ἐκέρδανεν ἀπὸ τῶν παθημάτων τὴν ὑπακοὴν, πολλῷ μᾶλλον ἡμεῖς. ὁρᾷς ὅσα περὶ ὑπακοῆς διαλέγεται, ὥστε πεῖσαι αὐτούς; δοκοῦσι γάρ μοι συνεχῶς ἀφηνιάζειν, καὶ τοῖς λεγομένοις μὴ παρακολουθεῖν. τοῦτο γὰρ ἠνίξατο τῷ εἰπεῖν, νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς. [ἀφ᾽ ὧν ἔπαθε, φησι, συνεχῶς ἔμαθεν ὑπακούειν τῷ Θεῷ.] καὶ τελειωθεὶς διὰ τῶν παθημάτων, φησί. τοῦτο ἦν ἄρα τελείωσις, καὶ διὰ τούτου ἐλθεῖν εἰς τελείωσιν χρή. οὐ μόνον γὰρ αὐτὸς ἐσώθη, ἀλλὰ καὶ ἑτέροις τοῦτο γέγονεν ἐκ περιουσίας. τελειωθεὶς γὰρ ἐγένετο τοῖς ὑπακούουσιν αὐτῷ αἴτιος αἰωνίου σωτηρίας.

Προσαγορευθείς, φησιν, ὑπὸ τοῦ Θεοῦ ἀρχιερεὺς κατὰ τὴν τάξιν Μελχισεδέκ.

11 Περὶ οὗ πολὺς ἡμῖν ὁ λόγος, καὶ δυσερμήνευτος. Μέλλων καθιέναι τὸν λόγον εἰς τὴν διαφορὰν τῆς ἱερωσύνης, πρότερον αὐτοῖς ἐπιτιμᾷ, δεικνὺς ὅτι καὶ ἡ τοσαύτη συγκατάβασις γάλα ἦν, καὶ διὰ τὸ νηπίους εἶναι, πλέον ἐνδιέτριβε τῷ ταπεινῷ λόγῳ τῷ κατὰ σάρκα, καὶ ὡς περὶ τινὸς δικαίου διαλέγεται. καὶ θέα, οὔτε ἀπεσιώπησε τὸν λόγον πάντη, οὔτε εἶπε. τὸ μὲν γὰρ, ἵνα ἀναγάγῃ αὐτῶν τὴν διάνοιαν, καὶ ποιήσῃ τελείους εἶναι, καὶ μὴ ἀποστρέφεσθαι τῶν μεγάλων δογμάτων, πεποίηκε· τὸ δὲ, ἵνα μὴ καταχώσῃ αὐτῶν τὸν νοῦν.

Περὶ οὗ πολὺς ἡμῖν ὁ λόγος, φησί, καὶ δυσερμήνευτος λέγειν· ἐπεὶ νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς. *Ἐπειδὴ ἐκεῖνοι οὐκ ἀκούουσι, διὰ τοῦτο δυσερμήνευτος ὁ λόγος. ὅταν γάρ τις πρὸς ἀνθρώπους ἔχῃ μὴ παρακολουθοῦντας, μηδὲ τὰ λεγόμενα νοοῦντας, ἑρμηνεῦσαι καλῶς αὐτοῖς οὐ δύναται. ἀλλ᾽ ἴσως τις ὑμῶν τῶν ἐνταῦθα ἑστηκότων, ἰλιγγιᾷ, καὶ ἄπορον τὸ πρᾶγμα νομίζει, εἰ δὴ Ἑβραίους αὐτὸς ἐνεποδίσθη τὸν τελειότερον λαλῆσαι λόγον. τάχα μὲν οὖν καὶ ἐνταῦθα, πλὴν ὀλίγων, πολλοὺς εἶναι τοιούτους οἶμαι, ὥστε λέγεσθαι καὶ περὶ ὑμῶν τοῦτο. τῶν δὲ ὀλίγων ἕνεκεν ἐρῶ. ἆρ᾽ οὖν ἀπεσιώπησεν, ἢ πάλιν αὐτὸν ἀνέλαβεν ἐν τοῖς ἐφεξῆς, καὶ ταὐτὸν ἐποίησεν, οἷον ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ; καὶ γὰρ ἐκεῖ πρότερον ἐπιτιμήσας

Ματθ κϛ. λθ.
Ιωαν. β. ιθ.
Ιωαν. ι. ιη.
Ματθ. κ. ιη.
Ιωαν. ιδ. κη.
Γαλατ. α. δ.
α Τιμ. β. ϛ.

γ. ἐλέγετο εἰς αὐτὸν ἐστὶν ἡ ψυχή μου, ἐγὼ δεῖν.

* ἐξ

γ. ἔλεγεν

γ. καὶ αὐτὸ καὶ ἐνταῦθα χάριν

γ. γέγονε σωτηρίας σωτηρίας. τελειωθ.

* τί οὖν; γ. λόγος, ἐπειδὴ ... ἀλλ᾽ ὅταν τις γ. τὸν τελειότερον αὐτοῖς λόγον.

χη. ἡ γὰρ κατὰ σύγκρισιν ὑπεροχὴ οὕτω γίνεται, ὅταν ἐν μὲν τοῖς κοινωνῇ, ἐν δὲ τοῖς ὑπερέχῃ· εἰ δὲ μή, οὐκ ἔτι κατὰ σύγκρισιν γίνεται. πᾶς γὰρ ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος. τοῦτο κοινὸν τῷ Χριστῷ. ὑπὲρ ἀνθρώπων καθίσταται τὰ πρὸς τὸν Θεόν. Καὶ τοῦτο κοινόν. Ἵνα προσφέρῃ δῶρά τε καὶ θυσίας ὑπὲρ τοῦ λαοῦ. Καὶ τοῦτο, οὐχ ὅλον δέ. τὰ δὲ λειπόμενα, οὐκέτι. Μετριοπαθεῖν δυνάμενος τοῖς ἀγνοοῦσι καὶ πλανωμένοις. Ἐνταῦθα λοιπὸν ἡ ὑπεροχή. ἐπεὶ καὶ αὐτὸς περίκειται ἀσθένειαν, καὶ διὰ ταύτην ὀφείλει, καθὼς περὶ τοῦ λαοῦ, οὕτω καὶ περὶ ἑαυτοῦ προσφέρειν ὑπὲρ ἁμαρτιῶν. Εἶτα καὶ ἄλλο προστίθησιν· ὅτι ὑφ' ἑτέρου γίνεται, καὶ ὅτι οὐκ αὐτὸς ἐπιπηδᾷ. καὶ τοῦτο κοινόν.

4 Καὶ οὐχ ἑαυτῷ τις λαμβάνει τὴν τιμήν, ἀλλὰ καλούμενος ὑπὸ τοῦ Θεοῦ, καθὼς καὶ Ἀαρών. Ἐνταῦθα ἕτερόν τι πάλιν θεραπεύει, δεικνὺς ὅτι ἀπὸ τοῦ Θεοῦ ἀπεστάλη. ὃ δὴ καὶ κάτω Ἰουδαίοις διαλεγόμενος ἔλεγεν ὁ Χριστός· Ὁ πέμψας με μείζων μού ἐστι, καί, Ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα. ἐνταῦθά μοι δοκεῖ καὶ τῶν Ἰουδαίων αἰνίττεσθαι τοὺς ἱερέας, ὡς οὐκ ὄντας ἱερέας, τοὺς ἐπιπηδῶντας, καὶ τὸν νόμον τῆς ἱερωσύνης παραφθείροντας.

Ιωαν. η. μϛ.

χ. -δε. ἐμοὶ αὐτά μοι

5 Οὕτω καὶ ὁ Χριστὸς οὐχ ἑαυτὸν ἐδόξασε γενηθῆναι ἀρχιερέα.

Ποῦ οὖν ἐχειροτονήθη, φησίν; ὁ γὰρ Ἀαρὼν ἐχειροτονήθη πολλάκις, ὡς ἐπὶ τῆς ῥάβδου, καὶ ὅτε τὸ πῦρ κατῆλθε καὶ ἠφάνισε τοὺς ἐπιπηδῶντας τῇ ἱερωσύνῃ. ἐνταῦθα δὲ τοὐναντίον, οὐ μόνον οὐδὲν ἔπαθον, ἀλλὰ καὶ εὐδοκιμοῦσι. πόθεν οὖν τοῦτο δείκνυσιν; ἀπὸ τῆς προφητείας τοῦτο δείκνυσιν. οὐδὲν ἔχει αἰσθητόν, οὐδὲ ὁρατόν. διὰ τοῦτο ἀπὸ προφητείας, * ἀπὸ τῶν μελλόντων ἰσχυρίζεται. Ἀλλ' ὁ λαλήσας, φησί, πρὸς αὐτόν, Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε. Τί πρὸς τὸν υἱὸν τοῦτο; ναί, φησι, τοῦτο πρὸς τὸν υἱὸν εἴρηται. τί δαὶ συμβάλλεται τὸ τοιοῦτο πρὸς τὸ ζητούμενον; καὶ πάνυ γε. προκατασκευὴ γάρ ἐστι τοῦ ὑπὸ Θεοῦ χειροτονηθῆναι.

* καὶ

ψαλ. β. ζ.

ψαλ. ρι. δ.

6 Καθὼς καὶ ἐν ἑτέρῳ λέγει, Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.

Πρὸς τίνα δὲ εἴρηται τοῦτο; τίς ἐστι κατὰ τὴν τάξιν Μελχισεδέκ; οὐδεὶς ἕτερος, ἢ οὗτος. πάντες γὰρ ὑπὸ τὸν νόμον ἦσαν, πάντες ἐσαββάτιζον, πάντες περιετέμνοντο, οὐδένα ἂν ἔχοι τις ἕτερον, φησί, δεῖξαι.

7 Ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ, δεήσεις τε καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον σώζειν αὐτὸν ἐκ θανάτου, μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσενέγκας, καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας,

8 Καίπερ ὢν υἱός, ἔμαθεν ἀφ' ὧν ἔπαθε, τὴν ὑπακοήν. Ὁρᾷς ὅτι οὐδὲν ἄλλο [ποιεῖ,] ἢ τὸ κηδεμονικὸν ἐπιδείκνυσι, καὶ τῆς ἀγάπης τὴν ὑπερβολήν; τί γὰρ βούλεται τό, μετὰ κραυγῆς ἰσχυρᾶς; οὐδαμοῦ τοῦτο τὸ εὐαγγέλιόν φησιν, οὐδὲ ὅτι ἐδάκρυσεν εὐχόμενος, οὐδὲ ὅτι κραυγὴν ἀφῆκεν. ὁρᾷς ὅτι συγκατάβασις ἦν; οὐ γὰρ ἐνῆν εἰπεῖν ὅτι ηὔξατο, ἀλλὰ καὶ μετὰ κραυγῆς ἰσχυρᾶς; καὶ εἰσακουσθείς, φησιν, ἀπὸ τῆς εὐλαβείας, καίπερ ὢν υἱός, ἔμαθεν ἀφ' ὧν ἔπαθε, τὴν ὑπακοήν.

χ. -παράστασιν; ἢ γὰρ ἦν εἰπ.

9 Καὶ τελειωθείς, ἐγένετο πᾶσι τοῖς ὑπακούουσιν αὐτῷ αἴτιος σωτηρίας αἰωνίου·

10 Προσαγορευθεὶς ὑπὸ τοῦ Θεοῦ ἀρχιερεὺς κατὰ τὴν τάξιν Μελχισεδέκ.

Ἔστω μετὰ κραυγῆς· διὰ τί καὶ ἰσχυρᾶς; καὶ μετὰ δακρύων προσενέγκας, φησί, καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας. αἰσχυνέσθωσαν αἱρετικοὶ ἀθετοῦντες τὴν σάρκα. τί λέγεις; ὁ υἱὸς τοῦ Θεοῦ ἀπὸ εὐλαβείας εἰσηκούετο; καὶ τί περὶ τῶν προφητῶν πλέον ἂν εἴποι τις; ποία δὲ καὶ ἀκολουθία εἰπεῖν, εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας, καὶ ἐπαγαγεῖν, καίπερ ὢν υἱός, ἔμαθεν ἀφ' ὧν ἔπαθε, τὴν ὑπακοήν; ταῦτα περὶ Θεοῦ ἄν τις εἴποι; καὶ τίς οὕτω μέμηνε; τίς δὲ παραπαίων ἂν ταῦτα ἐφθέγξατο; εἰσακουσθείς, φησιν, ἀπὸ τῆς εὐλαβείας, ἔμαθεν ἀφ'

ὧν

Digitized by Google

πόλεσι. μὴ γὰρ ὁ κοσμικὸς ὀφείλει τι ἔχειν πλέον τοῦ μονάζοντος, ἢ τὸ γυναικὶ συνοικεῖν μόνον; ἐνταῦθα ἔχει τὴν συγγνώμην, ἐν δὲ τοῖς ἄλλοις οὐκέτι, ἀλλὰ πάντα ἐξίσης τῷ μονάζοντι πράττειν αὐτὸν προσήκει. καὶ οἱ μακαρισμοὶ δὲ οἱ παρὰ τοῦ Χριστοῦ, οὐ μονάζουσι μόνοις εἰσὶν εἰρημένοι· ἐπεὶ τὸ πᾶν ἀπώλετο τῆς οἰκουμένης, καὶ κατηγορήσαμεν ἂν ὠμότητα τοῦ Θεοῦ. εἰ δὲ οἱ μακαρισμοὶ τοῖς μονάζουσιν εἰσὶ μόνοις εἰρημένοι, καὶ τὸν κοσμικὸν οὐ δυνατὸν αὐτοὺς κατορθῶσαι, αὐτὸς δὲ τὸν γάμον ἐπέτρεψεν, ἄρα αὐτὸς πάντας ἀπώλεσεν. εἰ γὰρ οὐ δυνατὸν μετὰ γάμου τὰ τῶν μοναζόντων ποιεῖν, πάντα ἀπόλωλε καὶ διέφθαρται, καὶ εἰς στενὸν κατεκλείσθη τὰ τῆς ἀρετῆς. πῶς δὲ καὶ τίμιος ὁ γάμος, ὁ τοσοῦτον ἐμποδίζων ἡμῖν; τί οὖν ἐστιν εἰπεῖν; δυνατὸν, καὶ σφόδρα δυνατὸν καὶ γυναῖκας ἔχοντας τὴν ἀρετὴν μετιέναι, ἐὰν θέλωμεν. πῶς; ἐὰν ἔχοντες γυναῖκα, ὡς μὴ ἔχοντες ὦμεν, ἐὰν μὴ χαίρωμεν ἐπὶ κτήσεσιν, ἐὰν τῷ κόσμῳ χρώμεθα ὡς μὴ καταχρώμενοι. εἰ δέ τινες ἐνεποδίσθησαν ἀπὸ γάμου, ἰσέτωσαν ὅτι οὐχ ὁ γάμος ἐμπόδιον, ἀλλ' ἡ προαίρεσις ἡ κακῶς χρησαμένη τῷ γάμῳ. ἐπεὶ οὐδὲ ὁ οἶνος ποιεῖ τὴν μέθην, ἀλλ' ἡ κακὴ προαίρεσις, καὶ τὸ πέρα τοῦ μέτρου χρῆσθαι. μετὰ συμμετρίας τῷ γάμῳ χρῶ, καὶ πρῶτος ἐν τῇ βασιλείᾳ ἔσῃ, καὶ πάντων ἀπολαύσεις τῶν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. η. 1 ΠΑΣ ΓΑΡ ΑΡΧΙΕΡΕΥΣ ΕΞ ΑΝΘΡΩΠΩΝ λαμβανόμενος, ὑπὲρ ἀνθρώπων καθίσταται τὰ πρὸς τὸν Θεὸν, ἵνα προσφέρῃ δῶρά τε καὶ θυσίας ὑπὲρ ἁμαρτιῶν, κεφ. ε.

2 Μετριοπαθεῖν δυνάμενος τοῖς ἀγνοοῦσι καὶ πλανωμένοις, ἐπεὶ καὶ αὐτὸς περίκειται ἀσθένειαν, 3 Καὶ διὰ ταύτην ὀφείλει, καθὼς περὶ τοῦ λαοῦ, οὕτω καὶ περὶ ἑαυτοῦ προσφέρειν ὑπὲρ ἁμαρτιῶν.

ΘΕλει δεῖξαι λοιπὸν ὁ μακάριος Παῦλος, ὅτι πολλῷ βελτίων ἡ διαθήκη αὕτη τῆς παλαιᾶς. ποιεῖ δὲ τοῦτο, πόρρωθεν προκαταβάλλων τὸν λογισμόν. ἐπεὶ γὰρ οὐδὲν ἦν σωματικὸν, ἢ φαντασικὸν, οὐ ναὸς, οὐχ ἅγια ἁγίων, οὐχ ἱερεὺς τοιαύτην ἔχων κατασκευὴν, οὐ παρατηρήσεις νομικαὶ, ἀλλ' ὑψηλότερα καὶ τελειότερα πάντα, καὶ οὐδὲν τῶν σωματικῶν, τὸ δὲ πᾶν ἐν τοῖς πνευματικοῖς ἦν, οὐχ οὕτω δὲ τὰ πνευματικὰ τοὺς ἀσθενεστέρους ἐπῆγεν, ὡς τὰ σωματικά· τούτου χάριν τοῦτον ὅλον κινεῖ τὸν λόγον. καὶ διὰ τὴν σύνεσιν ἀπὸ τοῦ ἱερέως πρῶτον ποιεῖται τὴν ἀρχὴν, καὶ συνεχῶς αὐτὸν ἀρχιερέα καλεῖ, καὶ ἀπ' αὐτοῦ πρῶτον δείκνυσι τὴν διαφοράν. διὰ τοῦτο ὁρίζεται πρῶτον, τί ἐστιν ἱερεὺς, καὶ δείκνυσι τίνα ἔχει ἱερέως, καὶ τίνα σύμβολα τῆς ἱερωσύνης. καὶ ἐπειδήπερ ἀντέπιπτεν αὐτῷ, ὅτι οὐδὲ εὐγενὴς ἦν, οὔτε ἐκ φυλῆς ἦν ἱερατικῆς, οὔτε ἐπὶ τῆς γῆς ἱερεὺς, εἰκὸς δὲ ἦν διὰ τοῦτό τινας εἰπεῖν, πῶς οὖν ἱερεὺς ἐστί; ὅπερ ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ, τοῦτο καὶ νῦν ποιεῖ. Ῥωμ. δ. ἀπίθανον γὰρ λόγον λαβὼν, εἰ πίστις ἐργάζεται τοῦτο ὅπερ οὐκ ἴσχυσεν ὁ τοῦ νόμου πόνος, καὶ ὁ τῆς πολιτείας ἱδρὼς, καὶ θέλων δεῖξαι ὅτι τὸ δοκοῦν ἀδύνατον, γέγονε καὶ κατώρθωται, κατέφυγεν ἐπὶ τὸν πατριάρχην, καὶ εἰς ἐκεῖνον τὸν χρόνον τὸ πᾶν ἀνήγαγεν. οὕτω δὴ καὶ ἐνταῦθα τέμνει τῆς ἱερωσύνης τὴν ἑτέραν ὁδὸν, ἀπὸ τῶν φθασάντων αὐτὴν προφητείας. καὶ καθάπερ ἐπὶ τῆς κολάσεως, οὐ τὴν γέενναν παραφέρει μόνον, ἀλλὰ καὶ τὰ ἐπὶ τῶν πατέρων συμβάντα· οὕτω δὴ καὶ ἐνταῦθα, πρῶτον ἀπὸ τῶν προφητῶν τοῦτο βεβαιοῦται. ἔμελλε γὰρ ἀπὸ τῶν οὐρανίων τὰ ἐπίγεια πιστοῦσθαι· ἀλλ' ἴσως ἀσθενεῖς ἦσαν οἱ ἀκούοντες τὸ ἐναντίον τούτων. πῶς οὖν ἀκόλουθόν ἐστι, τίθησι πρῶτον· καὶ τότε δείκνυσιν ἐν ᾗ ὑπερέ-

Marginal notes: χ. τῷ — χ. πάντα — χ. εἰδέτωσαν — χ. τῶν σωματικῶν, εἶτεν — χ. οὐδὲν σε- σκευας..., τὸ δὲ — χ. καὶ εἰ τί σ. — χ. οὐδέ — χ. ἀνατέμνει

ὁ Θεός σε ἐτίμησε τῇ λευκότητι τῶν τριχῶν, ἔδωκέ σοι προεδρίαν πολλήν. τί προδίδως τὴν τιμήν; πῶς σε αἰδεσθήσεται ὁ νέος, ὅταν αὐτοῦ πλέον ἀσελγαίνῃς; ἡ γὰρ πολιὰ τότε αἰδέσιμος, ὅταν τὰ τῆς πολιᾶς πράττῃ· ὅταν δὲ νεωτερίζῃ, τῶν νέων καταγελαστότερος ἔσται. πῶς οὖν δυνήσεσθε τοῖς νέοις ταῦτα παραγγέλλειν ὑμεῖς οἱ γέροντες μεθύοντες ὑπὸ τῆς ἀταξίας; οὐ τῶν γερόντων δὲ κατηγορῶν ταῦτα λέγω (μὴ γένοιτο) ἀλλὰ τῶν νέων. οἱ γὰρ ταῦτα πράττοντες, ἐμοὶ δοκεῖ, κἂν εἰς ἑκατοστὸν ἔλθωσιν ἔτος, νέοι εἰσί· καθάπερ οἱ νέοι, κἂν παιδία μικρὰ ὦσι, σωφρονῶσι δὲ, τῶν γερόντων εἰσὶν ἀμείνους. καὶ οὐκ ἐμὸς οὗτος ὁ λόγος, ἀλλὰ καὶ ἡ γραφὴ ταύτην οἶδε τὴν διάκρισιν. Γῆρας γάρ, φησι, τίμιον, οὐ τὸ πολυχρόνιον· καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. καὶ γὰρ τὴν πολιὰν τιμῶμεν, οὐκ ἐπειδὴ τὸ λευκὸν χρῶμα τοῦ μέλανος προτιμῶμεν, ἀλλ' ὅτι τεκμήριόν ἐστι τῆς ἐναρέτου ζωῆς, καὶ ὁρῶντες ἀπὸ τούτου στοχαζόμεθα τὴν ἔνδον πολιάν. ἂν δὲ τὰ ἐναντία τῇ πολιᾷ διαπράττωνται, καταγέλαστοι γενήσονται διὰ τοῦτο μᾶλλον. ἐπεὶ καὶ τὸν βασιλέα τιμῶμεν, καὶ τὴν ἁλουργίδα καὶ τὸ διάδημα, ἐπειδὴ σύμβολά ἐστι τῆς ἀρχῆς. ἐὰν δὲ ἴδωμεν αὐτὸν μετὰ τῆς ἁλουργίδος ἐμπτυόμενον, ὑπὸ τῶν δορυφόρων καταπατούμενον, ἀγχόμενον, εἰς δεσμωτήριον ἐμβαλλόμενον, παρασπώμενον, ἆρα αἰδεσθησόμεθα τὴν ἁλουργίδα, ἢ τὸ διάδημα, εἰπέ μοι, ἀλλ' οὐχὶ καὶ αὐτὸ τὸ σχῆμα δακρύσομεν; μὴ ἀξίου τοίνυν διὰ τὴν πολιὰν τιμᾶσθαι, ὅταν αὐτὴν αὐτὸς ἀδικῇς. καὶ γὰρ καὶ αὐτὴ δίκην ὀφείλει παρὰ σοῦ λαβεῖν, ὅτι σχῆμα λαμπρὸν οὕτω καὶ τίμιον καταισχύνεις. οὐ κατὰ πάντων ταῦτα λέγομεν, οὐδὲ κατὰ τοῦ γήρως ἁπλῶς ἡμῖν ὁ λόγος (οὐχ οὕτω μέμηνα) ἀλλὰ κατὰ ψυχῆς νέας τὸ γῆρας αἰσχυνούσης. οὐδὲ ὑπὲρ τῶν γεγηρακότων ταῦτα ἀλγοῦντες λέγομεν, ἀλλὰ τῶν καταισχυνόντων τὴν πολιάν. βασιλεὺς γάρ ἐστιν ὁ γέρων, ἐὰν ἐθέλῃ, καὶ τοῦ τὴν ἁλουργίδα ἔχοντος βασιλικώτερος, τῶν παθῶν κρατῶν, καὶ ἐν τάξει δορυφόρων ὑποτάττων τὰ πάθη. ἐὰν δὲ ἕλκηται, καὶ καταβιβάζηται ἀπὸ τοῦ θρόνου, καὶ χρημάτων ἔρωτος, καὶ δόξης κενῆς, καὶ καλλωπισμοῦ, καὶ τρυφῆς καὶ μέθης καὶ ὀργῆς καὶ ἀφροδισίων γίνηται δοῦλος, καὶ καλλωπίζηται ἐλαίῳ τὴν τρίχα, καὶ τὴν ἡλικίαν ὑπὸ τῆς προαιρέσεως ὑβριζομένην δεικνύῃ· ποίας οὐκ ἂν εἴη κολάσεως ὁ τοιοῦτος ἄξιος; ἀλλὰ μὴ γένοισθε τοιοῦτοι οἱ νέοι· οὐδὲ γὰρ ὑμῖν συγγνώμη ἐστὶν ἁμαρτάνουσι. τί δήποτε; ὅτι ἔξεστι γέροντας εἶναι ἐν νεότητι· καὶ ὥσπερ ἐν γήρᾳ νέοι εἰσίν, οὕτω καὶ τοὐναντίον. ὥσπερ γὰρ ἐκεῖ οὐδὲν ἡ θρὶξ λευκαινομένη σώζει, οὕτως οὐδὲ ἐνταῦθα μέλαινα οὖσα ἐμποδίζει. εἰ γὰρ ἀσχημονέστερον τὸν γέροντα ταῦτα ποιεῖν, ἅπερ εἶπον, πολλῷ μᾶλλον τὸν νέον. ἀλλ' ὅμως οὐδὲ ὁ νέος κατηγορίας ἀπήλλακται. νέος γὰρ ἐκεῖ δύναται συγγνώμην ἔχειν μόνον, ὅταν εἰς διοίκησιν πραγμάτων καλῆται, ὅταν ἄπειρος ᾖ, ὅταν χρόνου δέηται καὶ πείρας· ὅταν δὲ δέῃ σωφροσύνην καὶ ἀνδρείαν ἐπιδείξασθαι, οὐκέτι, οὐδὲ ὅταν δέῃ χρημάτων κρατεῖν. ἔστι γὰρ ὅπου μᾶλλον τοῦ γέροντος κατηγορεῖται ὁ νέος. ἐκεῖνος μὲν γὰρ πολλῆς δεῖται θεραπείας, τοῦ γήρως ἐξασθενοῦντος αὐτόν· οὗτος δὲ δυνάμενος, ἐὰν θέλῃ, ἀρκεῖν ἑαυτῷ, ποίας ἂν τύχῃ συγγνώμης μὴ βουλόμενος, ὅταν ἁρπάζῃ μᾶλλον τοῦ γέροντος, ὅταν μνησικακῇ, ὅταν ἐξουθενῇ, ὅταν μὴ προΐστηται μᾶλλον τοῦ γέροντος, ὅταν πολλὰ φθέγγηται ἀκαίρως, ὅταν ὑβρίζῃ, ὅταν λοιδορῆται, ὅταν μεθύῃ; εἰ δὲ ἐν τῇ σωφροσύνῃ νομίζει μὴ δύνασθαι ἐγκαλεῖσθαι, ὁρᾷ αὐτὸν καὶ ἐνταῦθα πολλὰ ἔχοντα τὰ βοηθήματα, ἐάνπερ βούληται. εἰ γὰρ καὶ σφοδροτέρα αὐτὸν τοῦ γέροντος ἡ ἐπιθυμία ἐνοχλεῖ, ἀλλ' ὅμως ἐστὶ πολλά, ἃ μᾶλλον τοῦ γέροντος ποιῆσαι δυνήσεται, [καὶ ἐπᾴδειν τὸ θηρίον ἐκεῖνο]. ποῖα δὴ ταῦτά ἐστι; πόνοι, ἀναγνώσεις, παννυχίδες, νηστεῖαι. τί οὖν πρὸς ἡμᾶς ταῦτα φῂς τοὺς μὴ μονάζοντας; ταῦτα ἐμοὶ λέγεις; εἰπὲ Παύλῳ, ὅταν λέγῃ, Ἀγρυπνοῦντες ἐν πάσῃ προσκαρτερήσει καὶ δεήσει, ὅταν λέγῃ, Τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας. οὐ γὰρ δὴ μοναχοῖς ταῦτα ἔγραφε μόνον, ἀλλὰ πᾶσι τοῖς οὖσιν ἐν ταῖς πόλεσι.

Σοφ. δ. η.

κ. ὅτι

κ. παραπατούμενοι,

κ. νεαζούσης καὶ τὸ

κ. καὶ κατὰ τῶν κακῶς γηρ. τ. ἀ. λέγομεν, τῶν

Κολοσ. δ. Ρωμ. ιγ.

τοὺς ἀνακειμένους ἰδεῖν, ὅταν ἀπολάβωσι τοὺς κόλπους τοῦ πατριάρχου καὶ μέλλοντες τούτων ἀξιοῦσθαι· νῦν δὲ οὔπω. ἔτι γὰρ τὸ θέατρον συνέστηκεν, ἔτι ὁ ἀγὼν ἕστηκεν, ἔτι τὸ βραβεῖον μετέωρον. σπουδάσωμεν οὖν. καὶ γὰρ Παῦλός φησιν, Οὕτω τρέχω, ὡς οὐκ ἀδήλως. α. Κορ. θ.
δρόμου χρεία, καὶ δρόμου σφοδροῦ. ὁ τρέχων οὐδένα τῶν ἀπαντώντων ὁρᾷ, κἂν διὰ λειμώνων, κἂν δι' αὐχμηρῶν τόπων διαβαίνῃ· ὁ τρέχων οὐ πρὸς τοὺς θεατὰς ὁρᾷ, ἀλλὰ πρὸς τὸ βραβεῖον. κἂν πλούσιοι, κἂν πένητες ὦσι, κἂν σκώπτῃ τις, κἂν ἐπαινῇ, κἂν ὑβρίζῃ, κἂν λίθοις βάλλῃ, κἂν τὴν οἰκίαν διαρπάζῃ, κἂν παῖδας ἴδῃ, κἂν γυναῖκα, κἂν ὁτιοῦν, οὐδαμῶς ἐπιστρέφεται, ἀλλ' ἕν ἐστι μόνον τὸ τρέχειν, τὸ λαβεῖν τὸ βραβεῖον. ὁ τρέχων οὐδαμοῦ ἵσταται· ἐπεὶ κἂν μικρὸν ῥαθυμήσῃ, τὸ πᾶν ἀπώλεσεν. ὁ τρέχων οὐ μόνον οὐδὲν ὑφίησι πρὸς τὸ τέλος, ἀλλὰ καὶ τότε μάλιστα ἐπιτείνει τὸν δρόμον. τοῦτό μοι εἴρηται πρὸς τοὺς λέγοντας, ἐν νεότητι ἠσκήσαμεν, ἐν νεότητι ἐνηστεύσαμεν, γεγηράκαμεν νῦν. μάλιστα νῦν τὴν εὐλάβειαν ἐπιτείνειν χρή. μή μοι τὰ παλαιὰ ἀρίθμει κατορθώματα, νέαζε καὶ ἀκμάζε νῦν μᾶλλον. ὁ μὲν γὰρ τὸν σωματικὸν τοῦτον τρέχων δρόμον, εἰκότως, ἐπειδὰν ἡ πολιὰ καταλάβῃ, οὐκέτι ὁμοίως τρέχειν δύναται. ἐν γὰρ τῷ σώματι τὸ πᾶν τοῦ ἀγῶνός ἐστι. σὺ δὲ τίνος ἕνεκεν ἐλαττοῖς τὸν δρόμον; ψυχῆς γὰρ ἐνταῦθα χρεία, ψυχῆς διεγηγερμένης. ἡ δὲ ψυχὴ ἐν γήρᾳ ῥώννυται, μᾶλλον τότε ἀκμάζει, τότε γαυροῦται. καθάπερ γὰρ σῶμα ἕως μὲν ἂν πυρετοῖς συνέχηται καὶ ἐπαλλήλοις νοσήμασι, κἂν ἰσχυρὸν ᾖ, τεταλαιπώρηται, ἐπειδὰν δὲ ἀπαλλαγῇ τῆς πολιορκίας ἐκείνης, ἀνακτᾶται τὴν οἰκείαν δύναμιν· οὕτω καὶ ἡ ψυχὴ ἐν νεότητι μὲν οὖσα πυρέττει, καὶ δόξης αὐτὴν ἔρως κατέχει μάλιστα, καὶ τρυφῆς, καὶ ἀφροδισίων, καὶ πολλῶν ἄλλων φαντασιῶν, τοῦ δὲ γήρως αὐτῇ ἐπελθόντος, πάντα ταῦτα ἀπελαύνεται τὰ πάθη, τὰ μὲν διὰ τὸν καιρόν, τὰ δὲ διὰ τὴν φιλοσοφίαν. τοὺς μὲν γὰρ τόνους χαλάσαν τοῦ σώματος τὸ γῆρας, οὐδὲ βουλομένην ἀφίησιν αὐτοῖς χρῆσθαι τὴν ψυχήν, ἀλλ' ὥσπερ πολεμίους πανταχόθεν καταστεῖλαν, ἐν καθαρῷ θορύβων χωρίῳ καθίστησιν αὐτήν, καὶ πολλὴν ἐργάζεται τὴν γαλήνην, καὶ τὸν φόβον ἐπεισάγει πλείονα. εἰ γὰρ καὶ μηδεὶς ἕτερος, ἀλλ' οἱ γεγηρακότες ἴσασιν, ὅτι τελευτῶσι, καὶ ὅτι πάντως ἐγγὺς ἑστήκασι τοῦ θανάτου. ὅταν οὖν αἱ μὲν ἐπιθυμίαι ἐξίστανται αἱ βιωτικαί, ἡ δὲ τοῦ δικαστηρίου προσδοκία ἐπεισέρχηται, τὸ δυσπειθὲς αὐτῆς μαλάττουσα, οὐχὶ μᾶλλον προσεκτικωτέρα γίνεται, ἐὰν θέλῃ; τί οὖν, φησίν, ὅταν ἴδωμεν τῶν νέων χεῖρον τοὺς γέροντας; ὑπερβολήν μοι λέγεις κακίας. καὶ γὰρ ἐπὶ τῶν μαινομένων, οὐδεὶς ὁ τοιοῦτος, ὁρῶμεν αὐτοὺς κατὰ κρημνῶν χωροῦντας. ὅταν οὖν καὶ γέρων τὰ τῶν νέων νοσῇ, ὑπερβολὴ τοῦτο κακίας ἐστί, καὶ οὐδὲ ἐν νεότητι ὁ τοιοῦτος ἀπολογίαν ἂν ἔχοι. οὐ γὰρ δύναται λέγειν, Ἁμαρτίας νεότητός μου, καὶ ἀγνοίας μου μὴ μνησθῇς. Ψαλμ. κδ.
ὁ γὰρ ἐν γήρᾳ μένων ὁ αὐτός, δείκνυσιν ὅτι καὶ ἐν νεότητι ὑπὸ ῥᾳθυμίας ἥμαρτεν, οὐ δι' ἄγνοιαν, οὐδὲ δι' ἀπειρίαν, οὐδὲ διὰ τὴν ἡλικίαν τοιοῦτος ἦν, ἀλλὰ διὰ ῥαθυμίαν. ἐκεῖνος γὰρ δύναται λέγειν, ἁμαρτίας νεότητός μου, καὶ ἀγνοίας μου μὴ μνησθῇς, ὁ τὰ τῷ γήρει πρέποντα ποιῶν, ὁ ἐν τῷ γήρᾳ μεταβαλλόμενος. Εἰ δὲ καὶ ἐν γήρᾳ τὰ αὐτὰ ἀσχημονεῖ, πῶς ἄξιοι γέροντα τὸν τοιοῦτον ὀνομάζεσθαι, οὐδὲ τὴν ἡλικίαν αἰδούμενον; ὁ γὰρ λέγων, ἁμαρτίας νεότητός μου, καὶ ἀγνοίας μου μὴ μνησθῇς, ὡς ἐν τῷ γήρᾳ κατορθῶν, ταῦτά φησι. μὴ τοίνυν διὰ τῶν ἐν τῷ γήρᾳ γινομένων ἀποστερήσῃς σαυτὸν καὶ τῆς τῶν ἐπὶ τῇ νεότητι ἁμαρτημάτων συγγνώμης. πῶς γὰρ οὐκ ἄτοπον, καὶ συγγνώμης ἐπέκεινα τὸ γινόμενον; γέρων μεθύει. ἐν καπηλείοις καθέζεται. γέρων εἰς ἱπποδρομίας σπεύδει. γέρων εἰς θέατρα ἀναβαίνει, καθάπερ παιδίον τρέχων μετὰ τοῦ πλήθους. ὄντως αἰσχύνη καὶ γέλως, τῇ μὲν πολιᾷ κοσμεῖσθαι ἔξωθεν, ἔνδοθεν δὲ παιδὸς φρόνημα ἔχειν. κἂν μὲν ὑβρίσῃ τις νέος, εὐθέως προβάλλεται τὰς πολιάς. σὺ αὐτὰς αἰδέσθητι πρῶτος. Εἰ δὲ σὺ τὰς σαυτοῦ οὐκ αἰδῇ, καὶ ταῦτα γέρων ὤν, πῶς τὸν νέον τὰς σὰς αἰδεῖσθαι ἀξιοῖς πολιάς; οὐκ αἰδῇ τὰς πολιάς, ἀλλ' αἰσχύνεις αὐτάς.

γ. ἀπαντώντων

γ. σώματα δυνατὸν καὶ νῦν ἀκμάζειν ἰσχύοντα, μάλιστα. ὁ δὲ γ. νεάζει

γ. ὑπεξίστανται ἀλλ. ὑπεξίσταται

τῷ ἱερεῖ δίδωσιν, ἀλλὰ καὶ τὰ παρ' ἡμῶν ζητεῖ, λέγω δὴ τὴν ὁμολογίαν. ἔχοντες "οὖν, φησὶν, ἀρχιερέα μέγαν, διεληλυθότα τοὺς οὐρανοὺς, Ἰησοῦν τὸν υἱὸν τοῦ Θεοῦ, κρατῶμεν τῆς ὁμολογίας. ποίαν ὁμολογίαν λέγει; ὅτι ἀνάστασίς ἐστιν, ὅτι ἀνταπόδοσις, ὅτι μυρία ἀγαθὰ, ὅτι ὁ Χριστὸς Θεός ἐστιν, ὅτι ἡ πίστις ὀρθή. ταῦτα ὁμολογήσωμεν, ταῦτα κατέχωμεν. ὅτι δὲ ταῦτα ἀληθῆ, δῆλον ἐκ τοῦ τὸν ἀρχιερέα ἔνδον εἶναι. οὐκοῦν ὅτι οὐκ ἐξεπέσομεν, ὁμολογήσωμεν. εἰ καὶ μὴ πάρεστι τὰ πράγματα, ἀλλ' ἡμεῖς ὁμολογήσωμεν. εἰ ἄρτι παρῆν, ψευδὴς ἦν. ὥστε καὶ τοῦτο ἀληθὲς, τὸ ὑπερτίθεσθαι. καὶ γὰρ ὁ ἀρχιερεὺς ἡμῶν μέγας. οὐ γὰρ ἔχομεν ἀρχιερέα μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν. οὐκ ἔστι, φησὶν, ἀγνοῶν τὰ ἡμέτερα, ὡς πολλοὶ τῶν ἀρχιερέων, οἳ τοὺς ἐν θλίψεσιν οὐκ ἴσασιν, ἀλλ' οὐδὲ ὅτι ποτέ ἐστι θλίψις. ἐπὶ γὰρ τῶν ἀνθρώπων ἀδύνατον εἰδέναι τὴν κάκωσιν τοῦ κακουμένου τὸν μὴ πεῖραν λαβόντα, καὶ διὰ τῶν αἰσθητῶν ἐλθόντα. πάντα ὑπέστη ὁ ἀρχιερεὺς ὁ ἡμέτερος. διὰ γὰρ τοῦτο πρότερον ὑπέστη, καὶ τότε ἀνέβη, ἵνα δυνηθῇ συμπαθεῖν. χ. δὲ

Πεπειρασμένον δὲ κατὰ πάντα καθ' ὁμοιότητα, χωρὶς ἁμαρτίας.

Ὁρᾷς πῶς καὶ ἄνω τὸ παραπλησίως, ἔθηκε, καὶ ἐνταῦθα τὸ, καθ' ὁμοιότητα. τουτέστιν, ἐδιώχθη, ἐνεπτύσθη, κατηγορήθη, ἐσκώφθη, ἐσυκοφαντήθη, ἀπηλάθη, τὸ τέλος ἐσταυρώθη. καθ' ὁμοιότητα, χωρὶς ἁμαρτίας. ἐνταῦθα καὶ ἄλλο αἰνίττεται, ὅτι δυνατὸν χωρὶς ἁμαρτίας, καὶ ἐν θλίψεσιν ὄντα διενεγκεῖν. ὥστε καὶ ὅταν λέγῃ ἐν ὁμοιώματι σαρκὸς, οὐ τοῦτό φησιν, ὅτι ὁμοίωμα σαρκὸς, ἀλλ' ὅτι σάρκα ἀνέλαβε. διὰ τί οὖν εἶπεν, ἐν ὁμοιώματι; ὅτι περὶ ἁμαρτωλοῦ σαρκὸς ἔλεγεν. ὁμοία γὰρ ἦν τῇ σαρκὶ τῇ ἡμετέρᾳ. τῇ μὲν γὰρ φύσει ἡ αὐτὴ ἦν ἡμῖν· τῇ δὲ ἁμαρτίᾳ οὐκέτι ἡ αὐτή.

16 Προσερχώμεθα οὖν μετὰ παρρησίας τῷ θρόνῳ τῆς χάριτος αὐτοῦ, ἵνα λάβωμεν ἔλεον, καὶ χάριν εὕρωμεν εἰς εὔκαιρον βοήθειαν.

Ψαλ. ρθ. α. Θρόνον χάριτος τίνα φησί; τὸν θρόνον τὸν βασιλικὸν, περὶ οὗ φησιν, Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. ὥστε ἔλεγε, προσερχώμεθα μετὰ παρρησίας, ὅτι ἀναμάρτητον ἔχομεν ἀρχιερέα, καταγωνιζόμενον τὴν οἰκουμένην. Ἰωάν. ις. λγ. Θαρσεῖτε γὰρ, φησιν, ἐγὼ νενίκηκα τὸν κόσμον. τὸ γὰρ πάντα μὲν παθεῖν, καθαρὸν δὲ εἶναι ἁμαρτημάτων, τοῦτό ἐστι*. εἰ ἡμεῖς ὑπὸ ἁμαρτίαν ἐσμὲν, φησιν, "αὐτὸς δὲ ἀναμάρτητος, πῶς προσερχώμεθα μετὰ παρρησίας; ὅτι θρόνος χάριτός ἐστιν, οὐ θρόνος κρίσεως νῦν. διὰ τοῦτο προσερχώμεθα μετὰ παρρησίας, ἵνα λάβωμεν ἔλεον, ὃν ζητοῦμεν, φησί. φιλοτιμία γὰρ τὸ πρᾶγμά ἐστι, καὶ δωρεὰ βασιλική. καὶ χάριν εὕρωμεν εἰς εὔκαιρον βοήθειαν. καλῶς εἴρηκεν, εἰς εὔκαιρον βοήθειαν. ἂν νῦν προσέλθῃς, φησί, λήψῃ καὶ χάριν καὶ ἔλεον· εὐκαίρως γὰρ προσέρχῃ· ἂν δὲ τότε προσέλθῃς, οὐκέτι· ἄκαιρος γὰρ τότε ἡ πρόσοδος. οὐ γάρ ἐστι τότε θρόνος χάριτος. θρόνος χάριτός ἐστιν, ἕως κάθηται χαριζόμενος ὁ βασιλεύς· Ψαλ. πα. η. ὅταν δὲ ἡ συντέλεια γένηται, τότε ἐγείρεται εἰς κρίσιν. Ἀνάστα γὰρ, φησιν, ὁ Θεὸς, κρίνον τὴν γῆν. ἔστι καὶ ἕτερόν τι εἰπεῖν· προσερχώμεθα, φησι, μετὰ παρρησίας, τουτέστι, μηδὲν ἔχοντες συνειδὸς πονηρὸν, μὴ διστάζοντες. οὐ γὰρ δύναται μετὰ παρρησίας ὁ τοιοῦτος προσελθεῖν. Ἡσ. μθ. η. διὰ τοῦτο καὶ ἀλλαχοῦ λέγει, Καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι. ἐπεὶ καὶ νῦν τὸ μετὰ τὸ λουτρὸν ἁμαρτάνοντας εὑρίσκειν μετάνοιαν, χάριτός ἐστιν. ἵνα δὲ μὴ ἀκούσας αὐτὸν ἀρχιερέα, νομίσῃς "ἑστάναι, εὐθέως αὐτὸν ἐπὶ τὸν θρόνον ἄγει. ὁ δὲ ἱερεὺς οὐ κάθηται, ἀλλ' ἕστηκεν. ὁρᾷς ὅτι τὸ γενέσθαι ἀρχιερέα, οὐ φύσεώς ἐστιν, ἀλλὰ χάριτος καὶ συγκαταβάσεως καὶ κενώσεως;

χ. γ · * τῶν καθ' ὁμοιότητα. · χ. ἀλλ' αὐτὸς · χ. ἑστάναι αὐτὸν εὐθέως ἐπὶ

ΗΘΙΚΟΝ

Τοῦτο καὶ ἡμῖν εὔκαιρον νῦν εἰπεῖν, προσερχώμεθα μετὰ παρρησίας αἰτοῦντες· μόνον πίστιν προσαγάγωμεν, καὶ "πάντα δίδωσι. νῦν ὁ τῆς δωρεᾶς ἐστι καιρὸς, μηδεὶς ἑαυτὸν ἀπογινωσκέτω. τότε τῆς ἀπογνώσεως ὁ καιρὸς, ὅταν ὁ νυμφὼν κλεισθῇ, ὅταν εἰσέλθῃ ὁ βασιλεὺς

χ. [illegible]

τοὺς

Εἶδον ἐκεῖνοι τὴν γῆν; ἔλαβον ἀρραβῶνα, φησί, τῆς τοῦ Θεοῦ δυνάμεως, καὶ διὰ τὸ πιστεῦσαι, τῷ φόβῳ πλεῖον δόντες, καὶ μηδὲν μέγα περὶ τοῦ Θεοῦ φαντασθέντες, καὶ ὀλιγοψυχήσαντες, οὕτως ἀπώλοντο. ἔστι δὲ καὶ ἕτερόν τι εἰπεῖν δεῖ, ὅτι τὸ πλέον ἀνύσαντες τῆς ὁδοῦ, ὅτι πρὸς αὐταῖς ταῖς θύραις ἐγένοντο, πρὸς αὐτῷ τῷ λιμένι, κατεποντίσθησαν. τοῦτο καὶ περὶ ὑμῶν δέδοικα, φησί. τοῦτο γοῦν ἐστι τό, ἐν τῷ αὐτῷ ὑποδείγματι τῆς ἀπειθείας. ὅτι γὰρ καὶ οὗτοι πολλὰ ἔπαθον, ὕστερον αὐτοῖς μαρτυρεῖ λέγων, Ἀναμιμνήσκεσθε τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες, πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων. μηδεὶς οὖν ὀλιγοψυχείτω, μηδὲ πρὸς τὸ τέλος ἀπαγορεύων καταπιπτέτω. εἰσὶ γάρ, εἰσὶν οἳ παρὰ μὲν τὴν ἀρχὴν μετὰ ἀκμαζούσης προσβάλλουσι τῆς προθυμίας πρὸς τοὺς ἀγῶνας· ὕστερον δὲ μικρὸν τῷ πόνῳ τι προσθεῖναι μὴ βουληθέντες, τὸ πᾶν ἀπώλεσαν. ἱκανοί, φησιν, εἰσὶν οἱ πρότεροι παιδεῦσαι ὑμᾶς μὴ τοῖς αὐτοῖς περιπεσεῖν, ὥστε μὴ τὰ αὐτὰ παθεῖν, ἅπερ ἔπαθον. [τοῦτο δέ ἐστιν, ἐν τῷ αὐτῷ ὑποδείγματι τῆς ἀπειθείας.] οὐκοῦν μὴ ἐκλυώμεθα, φησιν. ὃ καὶ πρὸς τῷ τέλει λέγει, Τὰς παρειμένας χεῖρας καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε· *ἵνα μὴ ἐν τῷ αὐτῷ τις ὑποδείγματι, φησί, πέσῃ. τοῦτο γὰρ πεσεῖν οὕτως ἐστί. εἶτα ἵνα μὴ ἀκούσας, ἐν τῷ αὐτῷ ὑποδείγματι πέσῃ, τὸν αὐτὸν θάνατον ὑπολάβῃς, ὅνπερ κἀκεῖνοι ὑπέμειναν, ὅρα τί φησι· Ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ, καὶ ἐνεργής, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον. πάσης γὰρ μαχαίρας χαλεπώτερον εἰς τὰς τούτων ἐμπίπτων ψυχὰς ὁ λόγος, πληγὰς ἐργάζεται χαλεπάς, καὶ καιρίας δίδωσι τομάς. καὶ τούτων τὴν ἀπόδειξιν οὐ δέεται παράγειν, οὐδὲ κατασκευάσαι, ἔχων οὕτω τὴν διήγησιν φανεράν. ποῖος γὰρ πόλεμος ἐκείνους ἀπώλεσε, φησί; ποία μάχαιρα; οὐχ ἁπλῶς αὐτόματοι κατέπιπτον; ἵνα μὴ οὖν, ἐπεὶ μὴ ἐπάθομεν τὰ αὐτά, ἀμεριμνήσωμεν. μέχρις οὗ τὸ σήμερον λέγεται, ἔξεστιν ἡμῖν ἀνακτήσασθαι. ἀλλ' ἐπειδὴ οὕτως εἶπεν, ἵνα μὴ τὰ τῆς ψυχῆς ἀκούσαντες ῥαθυμήσωσι, προστίθησι καὶ τὰ τοῦ σώματος, δηλῶν, ὅτι καθάπερ τις βασιλεὺς ἄρχοντας ἁμαρτόντας μεγάλα, πρότερον ἀπογυμνοῖ τῆς στρατείας, εἶτα τὴν ζώνην ἀφελόμενος, καὶ τὸ ἀξίωμα, καὶ τὸν κήρυκα περιαιρησάμενος, τότε κολάζει· οὕτω καὶ τοῦ πνεύματος ἡ μάχαιρα τότε ἐργάζεται. εἶτα τοῦτο εἰπών, φοβερώτερον ἔτι τὸν λόγον ποιῶν, περὶ τοῦ υἱοῦ διαλέγεται, καί φησι, πρὸς ὃν ἡμῖν ὁ λόγος· ἀντὶ τοῦ, αὐτῷ μέλλομεν δοῦναι εὐθύνας τῶν πεπραγμένων. οὐκοῦν μὴ ἀναπέσωμεν, μηδὲ ὀλιγοψυχήσωμεν. ἱκανὰ μὲν οὖν καὶ τὰ εἰρημένα παιδεῦσαι· ὁ δὲ οὐκ ἀρκεῖται, ἀλλ' ἐπιπροστίθησι λέγων,

14 Ἔχοντες οὖν ἀρχιερέα μέγαν, διεληλυθότα τοὺς οὐρανούς, Ἰησοῦν τὸν υἱὸν τοῦ Θεοῦ.
Ὅτι γὰρ διὰ τοῦτο προσέθηκεν, ἐπήγαγεν,

15 Οὐ γὰρ ἔχομεν ἀρχιερέα μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν.

Διὰ τοῦτο ἀνωτέρω ἔλεγεν, ἐν ᾧ πέπονθεν αὐτὸς πειρασθείς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι. ὅρα γοῦν πῶς καὶ ἐνταῦθα τὸ αὐτὸ ποιεῖ. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἦλθε, φησίν, ὁδὸν τὴν ἡμετέραν, μᾶλλον δὲ καὶ τραχυτέραν. πάντων γὰρ ἔλαβε τῶν ἀνθρωπίνων πεῖραν. εἶπεν ἐκεῖ, οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ, τὴν θεότητα αἰνιττόμενος. εἶτα, ἐπειδὴ τῆς σαρκὸς ἐπελάβετο, *συγκαταβατικώτερον πάλιν διαλέγεται λέγων, ἔχοντες οὖν ἀρχιερέα μέγαν, διεληλυθότα τοὺς οὐρανούς· καὶ μείζονα δείκνυσι τὴν κηδεμονίαν, καὶ ὅτι ὥσπερ οἰκείων προΐσταται, καὶ οὐ θέλει αὐτοὺς ἐκπεσεῖν. Μωϋσῆς μὲν γάρ, φησιν, οὐκ εἰσῆλθεν εἰς τὴν κατάπαυσιν, αὐτὸς δὲ εἰσῆλθε. καὶ πῶς, ἐγὼ λέγω. οὐ θαυμαστὸν δέ, εἰ οὐδαμοῦ αὐτὸ τέθεικεν. ἢ γὰρ ἵνα μὴ δόξωσιν ἀπολογίαν εὑρίσκειν, συμπεριέλαβε καὶ αὐτόν· ἢ ἵνα μὴ δόξῃ κατηγορεῖν τοῦ ἀνδρός, φανερῶς αὐτὸ οὐκ εἶπεν. εἰ γάρ, οὐδενὸς τούτων λεχθέντος, ταῦτα προέφερον, λέγοντες, Κατὰ τοῦ Μωϋσέως καὶ κατὰ τοῦ νόμου τοῦτο εἴρηκε· πολλῷ μᾶλλον εἰ εἶπεν, οὐκ ἔστι Παλαιστίνη, ἀλλ' οὐρανός, μείζονα ἂν τούτων εἶπον. ἀλλ' οὐ τὸ πᾶν

γ. δίον τῷ φόβῳ πιστεῦσαι, οἱ δὲ πλεῖον καταφρονήσαντες, καὶ μη-

Ἑβρ. ι. λβ.

* ἀναμιμνήσκεσθε τὰς πρότερον ἡμέρας.

Ἑβρ. ιβ. ιβ.

γ. καιρίας

γ. φανεράν.

γ. μηδὲ γὰρ ἐπεὶ

γ. οὖν ἵνα γὰρ μὴ τὰ

* ἐνταῦθα

γ. καὶ πῶς αὐτὸ οὐδαμοῦ τέθεικε, θαυμαστὸν. ἵνα

Μέγα μὲν ἡ πίστις καὶ σωτήριον, καὶ ταύτης ἄνευ οὐκ ἔνι σωθῆναί ποτε· ἀλλ' οὐκ ἀρκεῖ καθ' ἑαυτὴν τοῦτο ἐργάσασθαι, ἀλλὰ δεῖ καὶ πολιτείας ὀρθῆς. ὥστε διὰ τοῦτο καὶ Παῦλος τοῖς ἤδη τῶν μυστηρίων καταξιωθεῖσι παραινεῖ λέγων, σπουδάσωμεν εἰσελθεῖν εἰς ἐκείνην τὴν κατάπαυσιν. σπουδάσωμεν, φησιν, ὡς οὐκ ἀρκούσης τῆς πίστεως, ἀλλ' ὀφείλοντος προστεθῆναι καὶ τοῦ βίου, καὶ πολλὴν τὴν σπουδὴν γενέσθαι. δεῖ γὰρ ἡμῖν ὄντως καὶ πολλῆς σπουδῆς, ὥστε ἀνελθεῖν εἰς τὸν οὐρανόν. εἰ γὰρ γῆς οὐκ ἠξιώθησαν οἱ τοσαῦτα ταλαιπωρηθέντες ἐν τῇ ἐρήμῳ, καὶ γῆς τυχεῖν οὐκ ἠδυνήθησαν, ἐπειδὴ ἐγόγγυσαν καὶ ἐπόρνευσαν· πῶς τῶν οὐρανῶν ἡμεῖς καταξιωθησόμεθα, ἀδιαφόρως ζῶντες καὶ ῥαθύμως; δεῖ τοίνυν ἡμῖν πολλῆς σπουδῆς. καὶ ὅρα, οὐ μέχρι τούτου τὴν ζημίαν ὁρίζει μόνον, τοῦ μὴ εἰσελθεῖν (οὐ γὰρ εἶπε, σπουδάσωμεν εἰσελθεῖν εἰς τὴν κατάπαυσιν, ἵνα μὴ ἐκπέσωμεν τοσούτων ἀγαθῶν) ἀλλ' ὃ μάλιστα τοὺς ἀνθρώπους διεγείρει, τοῦτο προσέθηκε. ποῖον δὴ τοῦτο; τὸ, ἵνα μὴ ἐν τῷ αὐτῷ τις ὑποδείγματι πέσῃ τῆς ἀπειθείας. τί ἐστι τοῦτο; τουτέστιν, ἵνα τὸν νοῦν ἔχωμεν ἐκεῖ, τὴν ἐλπίδα, τὴν προσδοκίαν, ἵνα μὴ ὁμοίως ἐκπέσωμεν. ὅτι γὰρ ἐκπεσούμεθα, τὸ ὑπόδειγμα δηλοῖ· μὴ ἐν τῷ αὐτῷ, φησιν. εἶτα ἵνα μὴ ἀκούων, ἐν τῷ αὐτῷ, τὴν αὐτὴν εἶναι νομίσῃς τιμωρίαν, ἄκουσον τί ἐπάγει· ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ, καὶ ἐνεργὴς, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διϊκνούμενος ἄχρι μερισμοῦ ψυχῆς τε καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν, καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας. δείκνυσι κἀνταῦθα, ὅτι κἀκεῖνα αὐτὸς εἰργάσατο ὁ τοῦ Θεοῦ λόγος, καὶ ζῇ, καὶ οὐκ ἐσβέσθη. μὴ τοίνυν, ἐπειδὴ λόγον ἤκουσας, ἁπλῶς λόγον νομίσῃς. μαχαίρας γάρ ἐστι, φησι, τομώτερος. ὅρα τὴν συγκατάβασιν, καὶ ἐντεῦθεν μάνθανε τίνος ἕνεκεν ἐδεήθησαν καὶ οἱ
Ψαλ. ζ. ιγ. προφῆται εἰπεῖν μάχαιραν καὶ τόξον καὶ ῥομφαίαν. Ἐὰν μὴ ἐπιστραφῆτε, φησι, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει, τὸ τόξον αὐτοῦ ἐνέτεινε, καὶ ἡτοίμασεν αὐτό. εἰ γὰρ νῦν μετὰ τοσοῦτον χρόνον καὶ τελείωσιν, οὐ δύναται τῷ τοῦ λόγου ὀνόματι καταπλῆξαι μόνον, ἀλλὰ δεῖται τούτων τῶν ῥημάτων, ἵνα δείξῃ τὴν ὑπεροχὴν τὴν ἐκ τῆς συγκρίσεως· πολλῷ μᾶλλον τότε. διϊκνούμενος, φησιν, ἄχρι μερισμοῦ ψυχῆς καὶ πνεύματος. τί ἐστι τοῦτο; φοβερόν τι ᾐνίξατο. ἢ γὰρ ὅτι τὸ πνεῦμα διαιρεῖ ἀπὸ τῆς ψυχῆς, λέγει· ἢ ὅτι καὶ αὐτῶν τῶν ἀσωμάτων διϊκνεῖται, οὐ καθὼς ἡ μάχαιρα μόνον τῶν σωμάτων. δείκνυσιν ἐνταῦθα, ὅτι καὶ ἡ ψυχὴ κολάζεται, καὶ ὅτι τὰ ἐνδότατα διερευνᾶται, καὶ ὅλον δι' ὅλου διϊκνεῖται τὸν ἄνθρωπον. καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας. καὶ οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ. ἐνταῦθα αὐτοὺς μάλιστα ἐφόβησεν. ὃ δὲ λέγει, τοῦτό ἐστι· μὴ γὰρ εἰ ἔτι, φησὶν, ἐν τῇ πίστει ἑστήκατε, μετὰ πληροφορίας δὲ, θαρρεῖτε. αὐτὸς τὰ ἐν τῇ καρδίᾳ κρίνει. ἐκεῖ γὰρ διαβαίνει καὶ κολάζων καὶ ἐξετάζων. καὶ τί λέγω περὶ ἀνθρώπων, φησί; κἂν γὰρ ἀγγέλους εἴπῃς, κἂν ἀρχαγγέλους, κἂν τὰ χερουβὶμ, κἂν τὰ σεραφὶμ, κἂν οἵαν δήποτε κτίσιν· πάντα ἐκκεκάλυπται τῷ ὀφθαλμῷ ἐκείνῳ, πάντα δῆλά ἐστι καὶ φανερὰ, οὐδέν ἐστι τὸ λαθεῖν αὐτὸν δυνατόν. πάντα γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ, πρὸς ὃν ἡμῖν ὁ λόγος. τετραχηλισμένα εἶπεν ἀπὸ μεταφορᾶς τῶν δερμάτων τῶν ἀπὸ τῶν σφαζομένων ἱερείων ἐξελκομένων. ὥσπερ γὰρ ἐκεῖνα, ἐπειδὰν σφάξας τις ἀπὸ τῆς σαρκὸς περιελκύσῃ τὸ δέρμα, πάντα τὰ ἔνδον ἀποκαλύπτεται, καὶ δῆλα γίνεται τοῖς ἡμετέροις ὀφθαλμοῖς· οὕτω καὶ τῷ Θεῷ δῆλα πρόκειται πάντα. σὺ δέ μοι θέα, πῶς ἀεὶ τῶν σωματικῶν εἰκόνων δεῖται· ὅπερ ἦν τῆς ἀσθενείας τῶν ἀκουόντων. ὅτι γὰρ ἀσθενεῖς ἦσαν, ἐδήλωσεν εἰπὼν νωθροὺς αὐτοὺς εἶναι, καὶ χρείαν ἔχοντας γάλακτος, οὐ στερεᾶς τροφῆς. πάντα γυμνὰ, φησι, καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ, πρὸς ὃν ἡμῖν ὁ λόγος. τί δέ ἐστιν, ἐν τῷ αὐτῷ ὑποδείγματι τῆς ἀπειθείας; ὡς ἄν τις ἀπολογούμενος εἴποι, διὰ τί οὐκ

εἶδον

γρ. τὴν ὑπερβολὴν τῆς

γρ. τὸν ἀνθρώπινον βίον.

γρ. ἐγκάρδια κρίνει.

ὑπὸ πολεμίων, μήτε ὑπὸ φροντίδων ἐνοχλεῖσθαι, ἀλλὰ τιμᾶσθαι μόνον, καὶ τρυφᾶν, καὶ
γρ. φόρους. πολλοὺς μὲν ἔχειν δορυφόρους, πάντοθεν δὲ τὸ χρυσίον αὐτῷ ἐπιρρεῖν, καὶ περίβλεπτον εἶναι, ποίαν
οἴεσθε ἔχειν αὐτὸν ψυχήν, εἰ τοὺς πολέμους τοὺς πανταχοῦ τῆς γῆς πεπαυμένους ἑώρα; τοι-
γρ. καὶ τὸ εἰς μέσον ἀριστεύειν. οὗτοί τινές εἰσι καὶ τότε, μᾶλλον δὲ οὔπω καὶ τῆς εἰκόνος ἐφικόμεθα ἐκείνης· διὸ χρὴ καὶ ἑτέραν
ἐπιζητῆσαι. ἐννόησον δή μοι παιδίον βασιλικόν, ὅπερ ἕως μὲν ἂν ἐν τῇ μήτρᾳ ᾖ, οὐδενὸς
ἐπαισθάνεται, εἰ δὲ συμβαίη ἄφνω ἐξελθὸν ἐκεῖθεν ἐπὶ τὸν θρόνον ἀνελθεῖν τὸν βασιλικόν,
μὴ ἠρέμα, ἀλλ' ἀθρόον πάντα παραλαβεῖν· οὕτως ἐστὶν ἡ κατάστασις αὕτη κἀκείνη. ἢ εἴ τις
δεσμώτης μυρία παθὼν κακά, ἀθρόον ἐπὶ τὸν βασιλικὸν ἁρπαγείη θρόνον. ἀλλ' οὐδὲ οὕ-
τως ἐφικόμεθα ἀκριβῶς τῆς εἰκόνος. ἐνταῦθα μὲν γὰρ ὧν ἄν τις ἐπιτύχῃ καλῶν, κἂν
αὐτὴν εἴπῃς τὴν βασιλείαν, παρὰ μὲν τὴν πρώτην ἡμέραν ἀκμάζοντα ἔχει τὸν πόθον,
καὶ παρὰ τὴν δευτέραν, καὶ τὴν τρίτην· χρόνου δὲ προϊόντος, μένει μὲν ἐν ἡδονῇ, οὐ τοσαύτῃ
δέ. λήγει γὰρ ὑπὸ τῆς συνηθείας ἀεί, οἷα ἂν ᾖ. ἐκεῖ δὲ οὐ μόνον οὐ μειοῦται, ἀλλὰ καὶ ἐπι-
δίδωσιν. ἐννόησον γὰρ ὅσον ἐστί, ψυχὴν ἀπελθοῦσαν ἐκεῖ, μηκέτι τέλος προσδοκᾶν τῶν ἀγαθῶν
*ἰχόντων *ζωὴν ἐκείνων, μηδὲ μεταβολὴν*, ἀλλ' ἐπίδοσιν, καὶ ζωὴν τέλος οὐκ ἔχουσαν, *πάντως μὲν
κινδύνου, πάσης δὲ ἀθυμίας καὶ φροντίδος ἀπηλλαγμένην, μεστὴν εὐθυμίας καὶ μυρίων ἀγα-
θῶν. εἰ γὰρ εἰς πεδίον ἐξιόντες, ἔνθα σκηνὰς ὁρῶμεν στρατιωτῶν ἐκ παραπετασμάτων
πεπηγυμένας, καὶ δόρατα, καὶ κράνη, καὶ ὀμφαλοὺς ἀσπίδων λάμποντας, μετέωροι γινόμεθα τῷ
θαύματι, εἰ δὲ καὶ τὸν βασιλέα συμβαίη μέσον ἰδεῖν τρέχοντα, ἢ καὶ ἵππον ἐλαύνοντα μετὰ ὅ-
πλων χρυσῶν, τὸ πᾶν ἔχειν νομίζομεν· τί οἴει, ὅταν τῶν ἁγίων ἴδῃς τὰς σκηνὰς τὰς αἰωνίους
ἐν τῷ οὐρανῷ πεπηγυίας (Δέξονται γὰρ ὑμᾶς, φησιν, εἰς τὰς αἰωνίους αὐτῶν σκηνάς) ὅ- Λουκ. ις. θ.
ταν αὐτῶν ἕκαστον ὑπὲρ τὰς ἀκτῖνας τὰς ἡλιακὰς ἴδῃς ἀπολάμποντα, οὐκ ἀπὸ χαλκοῦ καὶ
σιδήρου, ἀλλ' ἀπὸ τῆς δόξης ἐκείνης, ἧς τὰς μαρμαρυγὰς ἀνθρώπινος ὀφθαλμὸς οὐ δύνα-
ται ἰδεῖν; καὶ ταῦτα μὲν ἐπὶ τῶν ἀνθρώπων· τί δ' ἄν τις εἴποι τὰς χιλιάδας τῶν ἀγγέλων,
τῶν ἀρχαγγέλων, τῶν χερουβίμ, τῶν σεραφίμ, τῶν θρόνων, τῶν κυριοτήτων, τῶν ἀρχῶν,
τῶν ἐξουσιῶν, ὧν τὸ κάλλος ἀμήχανον, καὶ πάντα νοῦν ὑπερβαῖνον; ἀλλὰ γὰρ μέχρι τίνος
οὐ στησόμεθα διώκοντες ἀκίχητα; Οὔτε γὰρ ὀφθαλμὸς εἶδε, φησιν, οὔτε οὖς ἤκουσεν, οὔτε ἐπὶ α. Κορ. β. θ.
καρδίαν ἀνθρώπου ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. οὐκοῦν οὐδὲν ἐλεει-
νότερον τῶν ἀποτυγχανόντων, οὔτε μακαριώτερον τῶν ἐπιτυγχανόντων· γένοιτο δὲ καὶ ἡ-
μᾶς τῶν μακαρίων γενέσθαι, ἵνα καὶ τῶν αἰωνίων ἐπιτύχωμεν ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ
τῷ Κυρίῳ ἡμῶν.

Λογ. ζ 11 ΣΠΟΥΔΑΣΩΜΕΝ ΟΥΝ ΕΙΣΕΛΘΕΙΝ ΕΙΣ
ἐκείνην τὴν κατάπαυσιν, ἵνα μὴ ἐν τῷ αὐτῷ τις ὑποδείγματι πέσῃ τῆς
ἀπειθείας. 12 Ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ, καὶ ἐνεργής, καὶ τομώτερος
ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διϊκνούμενος ἄχρι μερισμοῦ ψυχῆς καὶ
πνεύματος, ἁρμῶν τε καὶ μυελῶν· καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρ-
δίας. 13 Καὶ οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ· πάντα δὲ
γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ, πρὸς ὃν ἡμῖν ὁ
λόγος.

Μέγα

Digitized by Google

προείρηται. Τί δέ ἐστιν ὅ φησιν; ἐπειδὴ οὖν ὀφείλουσί, φησί, τινὲς εἰσελθεῖν πάντως, ἐκεῖνοι δὲ οὐκ εἰσῆλθον, πάλιν ὁρίζει τινὰ ἄλλην κατάπαυσιν. ὅτι δὲ εἰσελθεῖν χρὴ, καὶ ὅτι τινὰς εἰσελθεῖν, ἀκούσωμεν πόθεν τοῦτο κατασκευάζει. ὅτι μετὰ τοσαῦτα ἔτη, φησί, λέγει πάλιν Δαβίδ, σήμερον, ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ.

8 Εἰ γὰρ αὐτοὺς Ἰησοῦς κατέπαυσεν, οὐκ ἂν περὶ ἄλλης ἐλάλει μετὰ ταῦτα ἡμέρας. Δῆλον οὖν ὅτι ὡς μελλόντων τινῶν τεύξεσθαί τινος ἀμοιβῆς, ταῦτά φησιν.

9 Ἄρα ἀπολείπεται σαββατισμὸς τῷ λαῷ τοῦ Θεοῦ. Πόθεν; ἐκ τοῦ παραγγέλλειν, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν. οὐ γὰρ ἄν, εἰ μὴ ἦν σαββατισμός, ταῦτα παρηγγέλλοντο, οὐδὲ ἐκέλευον μὴ τὰ αὐτὰ ποιεῖν, ἵνα μὴ τὰ αὐτὰ πάθωσιν, εἰ μὴ ἔμελλον τὰ αὐτὰ πείσεσθαι. πῶς δὲ ἔμελλον τὰ αὐτὰ πείσεσθαι οἱ τὴν Παλαιστίνην ἔχοντες, εἰ μὴ ἑτέρα τις ἦν κατάπαυσις; καὶ καλῶς συνεπέρανε τὸν λόγον. οὐ γὰρ εἶπε, κατάπαυσις, ἀλλά, σαββατισμός, τὸ οἰκεῖον ὄνομα, καὶ ᾧ ἔχαιρον καὶ ἐπέτρεχον, σαββατισμὸν τὴν βασιλείαν καλῶν. ὥσπερ γὰρ ἐν τῷ σαββάτῳ πάντων μὲν τῶν πονηρῶν ἀπέχεσθαι κελεύει, ἐκεῖνα δὲ μόνα γίνεσθαι τὰ πρὸς λατρείαν τοῦ Θεοῦ, ἅπερ οἱ ἱερεῖς ἐπετέλουν, καὶ ὅσα ψυχὴν ὠφελεῖ, καὶ μηδὲν ἕτερον· οὕτω καὶ τότε. ἀλλ᾽ αὐτὸς οὐχ οὕτως εἶπεν, ἀλλὰ πῶς;

χ. -γελλε, μὴ

10 Ὁ γὰρ εἰσελθὼν εἰς τὴν κατάπαυσιν αὐτοῦ, καὶ αὐτὸς κατέπαυσεν ἀπὸ * τῶν ἔργων αὐτοῦ, ὥσπερ ἀπὸ τῶν ἰδίων ὁ Θεός. Ὥσπερ ὁ Θεὸς κατέπαυσε, φησιν, ἀπὸ τῶν ἔργων αὐτοῦ, οὕτως ὁ εἰσελθὼν εἰς τὴν κατάπαυσιν αὐτοῦ. ἐπειδὴ γὰρ περὶ ἀναπαύσεως αὐτοῖς ὁ λόγος ἦν, καὶ τοῦτο σφόδρα ἐπιθύμουν ἀκοῦσαι πότε ἔσται· εἰς τοῦτο τὸν λόγον κατέκλεισε. τὸ δὲ, σήμερον, εἶπεν, ὥστε μηδέποτε ἀπελπίζειν αὐτούς. παρακαλεῖτε, φησιν, ἑαυτοὺς καθ᾽ ἑκάστην ἡμέραν, ἄχρις οὗ τὸ σήμερον καλεῖται. τουτέστι, κἂν τις ἡμαρτηκὼς ᾖ, ἕως ἂν ᾖ τὸ σήμερον, ἐλπίδας ἔχει. μηδεὶς τοίνυν ἀπογινωσκέτω, ἕως ἂν ζῇ. μάλιστα μὲν οὖν, φησι, μηδὲ ἔστω καρδία πονηρὰ ἀπιστίας. εἰ δὲ καὶ γένοιτο, μηδεὶς ἀπογινωσκέτω, ἀλλ᾽ ἀναλαμβανέτω ἑαυτόν. ἕως μὲν γάρ ἐσμεν ἐν τῷδε τῷ κόσμῳ, τὸ σήμερον ἔχει καιρόν. ἐνταῦθα δὲ οὐ τὴν ἀπιστίαν μόνον λέγει, ἀλλὰ καὶ τοὺς γογγυσμούς. ὧν τὰ κῶλα, φησιν, ἔπεσεν ἐν τῇ ἐρήμῳ. εἶτα ἵνα μὴ νομίσῃ τις ὅτι ἁπλῶς τῆς ἀναπαύσεως ἀποστερηθήσεται μόνον, ἐπάγει καὶ κόλασιν, εἰπών,

* πάντων

χ. -θήσονται

12 Ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ, καὶ ἐνεργής, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διϊκνούμενος ἄχρι μερισμοῦ ψυχῆς καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν· καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας. Ἐνταῦθα περὶ τῆς γεέννης διαλέγεται, καὶ περὶ τῆς κολάσεως· εἰς τὰ κρυπτά, φησι, δύεται τῆς καρδίας τῆς ἡμετέρας, καὶ διατέμνει τὴν ψυχήν. οὐ κῶλα ἐστὶ πεσεῖν ἐνταῦθα, οὐδὲ γῆς ἀποστερηθῆναι, καθάπερ ἐκεῖ, ἀλλὰ βασιλείας οὐρανῶν, καὶ γεέννῃ παραδοθῆναι αἰωνίᾳ, καὶ κολάσει ἀθανάτῳ καὶ τιμωρίᾳ.

Ἀλλὰ παρακαλεῖτε ἑαυτούς. Ὅρα τὸ ἥμερον καὶ προσηνές. οὐκ εἶπεν, ἐπιτιμᾶτε, ἀλλά, παρακαλεῖτε. οὕτως ἡμᾶς χρὴ τοῖς ἀπὸ θλίψεως στενοχωρουμένοις προσφέρεσθαι. τοῦτο καὶ Θεσσαλονικεῦσι γράφων φησί, Νουθετεῖτε τοὺς ἀτάκτους. περὶ δὲ τῶν ὀλιγοψύχων οὐχ οὕτως, ἀλλὰ τί; Παραμυθεῖσθε τοὺς ὀλιγοψύχους, ἀντέχεσθε τῶν ἀσθενῶν, μακροθυμεῖτε πρὸς πάντας. ὅ ἐστι, παρακαλεῖτε· ἀντὶ τοῦ, μὴ ἀπελπίσητε, μὴ ἀπογνῶτε. τὸν γὰρ ἀπὸ θλίψεως στενοχωρούμενον ὁ μὴ παρακαλῶν, σκληρότερον ποιεῖ. ἵνα * μὴ σκληρυνθῇ ἐξ ὑμῶν τις, φησιν, ἀπάτῃ τῆς ἁμαρτίας. ἢ τὴν ἀπάτην τοῦ διαβόλου φησίν (ἀπάτη γάρ ἐστιν ὄντως, τὸ μηδὲν περὶ τῶν μελλόντων προσδοκᾶν, τὸ νομίζειν ὅτι ἀθάνατα ἔσται τὰ ἡμέτερα, καὶ ὅτι τῶν πεπραγμένων ἡμῖν ἐνταῦθα οὐ δώσομεν δίκην, οὐδὲ ἔσται ἀνάστασις)

α Θεσ. ε. δ.

χ. τουτέστι, μὴ ἀπελ.

* γὸ

αὐτοῦ. Ἐάνπερ τὴν ἀρχὴν τῆς ὑποστάσεως μέχρι τέλους βεβαίαν κατάσχωμεν.

Τί ἐστιν ἀρχὴ τῆς ὑποστάσεως; τὴν πίστιν λέγει, δι᾽ ἧς ὑπέστημεν, καὶ * γεγενήμεθα, καὶ " συνουσιώθημεν, ὡς ἄν τις εἴποι. Εἶτα ἐπάγει,

* ἐν χ. ἐπώθημεν.

15 Ἐν τῷ λέγεσθαι, σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὥσπερ ἐν τῷ παραπικρασμῷ. Καθ᾽ ὑπερβατόν ἐστι τοῦτο· τὸ ἀκόλουθον δὲ οὕτως ἔχει,

κεφ. δ.

1 Φοβηθῶμεν οὖν, μήποτε καταλειπομένης ἐπαγγελίας εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ, δοκῇ τις ἐξ ὑμῶν ὑστερηκέναι.

2 Καὶ γάρ ἐσμεν εὐηγγελισμένοι, ὥσπερ κἀκεῖνοι, Ἐν τῷ λέγεσθαι, σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε. τὸ γὰρ σήμερον, ἀεί ἐστιν. Εἶτα ἐπάγει, Ἀλλ᾽ οὐκ ὠφέλησεν ὁ λόγος τῆς ἀκοῆς ἐκείνους, μὴ " συγκεκραμένους τῇ πίστει τοῖς ἀκούσασι. Δεικνὺς πῶς ὁ λόγος οὐκ ὠφέλησεν (ἐκ γὰρ τοῦ μὴ συγκραθῆναι, οὐκ ὠφελήθησαν) εἶτα βουλόμενος αὐτοὺς φοβῆσαι, δείκνυσιν αὐτοῖς τοῦτο, δι᾽ ὧν φησι,

" χ. -μένος τῇ πίστει τοῖς ἀκούσασι.

16 Τινὲς γὰρ ἀκούσαντες παρεπίκραναν, ἀλλ᾽ οὐ πάντες οἱ ἐξελθόντες ἐξ Αἰγύπτου διὰ Μωϋσέως·

17 Τίσι δὲ προσώχθισε τεσσαράκοντα ἔτη; οὐχὶ τοῖς ἁμαρτήσασιν, ὧν τὰ κῶλα ἔπεσεν ἐν τῇ ἐρήμῳ;

18 Τίσι δὲ ὤμοσε μὴ εἰσελεύσεσθαι εἰς τὴν κατάπαυσιν αὐτοῦ, εἰ μὴ τοῖς ἀπειθήσασι;

19 Καὶ βλέπομεν, ὅτι οὐκ ἠδυνήθησαν εἰσελθεῖν δι᾽ ἀπιστίαν. Εἰπὼν πάλιν τὴν μαρτυρίαν, " καὶ τὴν ἐρώτησιν ἐπάγει, ποιῶν τὸν λόγον σαφῆ. Εἶπε γάρ, φησι, σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ. τίνων μέμνηται, φησι, σκληρυνθέντων, τίνων δὲ ἀπειθησάντων; οὐχὶ τῶν Ἰουδαίων; ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἤκουσαν κἀκεῖνοι, φησίν, ὥσπερ ἡμεῖς ἀκούομεν, ἀλλ᾽ οὐδὲν ὄφελος αὐτοῖς γέγονε. μὴ τοίνυν νομίσητε ὅτι ἀπὸ τοῦ ἀκούειν τοῦ κηρύγματος ὠφεληθήσεσθε· ἐπεὶ κἀκεῖνοι ἤκουσαν, ἀλλ᾽ οὐδὲν ἀπώναντο, ἐπειδὴ μὴ ἐπίστευσαν. οἱ οὖν περὶ Χάλεβ καὶ Ἰησοῦν, ἐπειδὴ μὴ συνεκράθησαν τοῖς ἀπιστήσασι, τουτέστιν, οὐ συνεφώνησαν, διέφυγον τὴν κατ᾽ ἐκείνων ἐξενεχθεῖσαν τιμωρίαν. καὶ ὅρα τί θαυμαστόν. οὐκ εἶπεν, οὐ συνεφώνησαν, ἀλλ᾽, οὐ συνεκράθησαν· τουτέστιν, ἀστασιάστως διέστησαν, ἐκείνων πάντων μίαν καὶ τὴν αὐτὴν γνώμην ἐσχηκότων. ἐνταῦθά μοι δοκεῖ καὶ στάσιν αἰνίττεσθαι.

" χ. κατ᾽ ἐρώτησιν πάλιν ἡ.

3 Εἰσερχόμεθα γάρ, φησιν, εἰς τὴν κατάπαυσιν [οἱ πιστεύσαντες]. Εἶτα τοῦτο βεβαιῶν ἐπήγαγε, καθὼς εἴρηκεν, ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου· καίτοι τῶν ἔργων ἀπὸ καταβολῆς κόσμου γενηθέντων. Ἐπειδὴ εἰκὸς ἦν εἰπεῖν τινα, καὶ μὴν τοῦτο οὐ τοῦ ἡμᾶς εἰσελεύσεσθαι δηλωτικόν ἐστιν, ἀλλὰ τοῦ ἐκείνους μὴ εἰσεληλυθέναι, τί ποιεῖ; σπουδάζει δεῖξαι πῶς, ὅτι ὥσπερ ἡ κατάπαυσις ἐκείνη οὐ κωλύει ἑτέραν κατάπαυσιν λέγεσθαι, οὕτως οὐδὲ αὕτη τὴν τῶν οὐρανῶν. πῶς οὖν θέλει δεῖξαι, ὅτι οὐκ ἔτυχον ἐκεῖνοι τῆς καταπαύσεως. ὅτι γὰρ τοῦτο λέγει, δῆλον ἐξ ὧν ἐπάγει·

4 Εἴρηκε γάρ που περὶ τῆς ἑβδόμης οὕτω, καὶ κατέπαυσεν ὁ Θεὸς τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ·

5 Καὶ ἐν τούτῳ πάλιν, Εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου. Ὁρᾷς πῶς οὐ κωλύει ἐκείνη ταύτην εἶναι κατάπαυσιν;

6 Ἐπεὶ οὖν ἀπολείπεται, φησί, τινὰς εἰσελθεῖν εἰς αὐτήν, καὶ οἱ πρότερον εὐαγγελισθέντες οὐκ εἰσῆλθον δι᾽ ἀπείθειαν·

7 Πάλιν τινὰ ὁρίζει ἡμέραν, Σήμερον, ἐν Δαβὶδ λέγων μετὰ τοσοῦτον χρόνον, καθὼς προείρηται.

Digitized by Google

φθονὴν ἐξερείσατο, καὶ τὸ μάννα παρέσχε, καὶ ταῦτα ἀναμνησθέντας καὶ τὰ ἄλλα θαύματα ἅπερ εἰργάσατο, πιστεῦσαι τῷ Θεῷ· τούτων μὲν οὐδὲν ἐνενόησαν, ἀλλ᾽ ὡς μηδενὸς γενομένου, οὕτω καταπλαγέντες, πάλιν εἰς Αἴγυπτον ὑποστρέφειν ἐβούλοντο, λέγοντες, Ἐξήγαγεν ἡμᾶς ὧδε ὁ Θεὸς, ὥστε ἀνελεῖν ἡμᾶς μετὰ παίδων καὶ γυναικῶν. ὁ τοίνυν Θεὸς ὀργιζόμενος, ὅτι οὕτω ταχέως ἐξέβαλον τὴν τῶν γεγενημένων μνήμην, ὤμοσε μὴ εἰσελθεῖν τὴν γενεὰν ἐκείνην τὴν ταῦτα εἰρηκυῖαν εἰς τὴν κατάπαυσιν· καὶ πάντες ἀπώλοντο ἐν τῇ ἐρήμῳ. ἐπεὶ οὖν ὁ Δαβὶδ ὕστερον μετὰ τὴν γενεὰν τὴν ἐκείνην διελέγετο· σήμερον, ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, φησὶ, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ. διὰ τί; ἵνα μὴ τὰ αὐτὰ πάθητε, ἅπερ οἱ πρόγονοι οἱ ὑμέτεροι, καὶ ἀποστερηθῆτε τῆς καταπαύσεως· δῆλον ὅτι ὡς οὔσης τινὸς καταπαύσεως ταῦτα ἔλεγεν. ἐπεὶ εἰ ἀπειληφότες ἦσαν τὴν κατάπαυσιν, φησὶ, τίνος ἕνεκεν αὖθις πάλιν λέγει τὸ, σήμερον, ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, * ὡς ἐν τῷ παραπικρασμῷ; τίς οὖν ἐστιν ἄλλη κατάπαυσις, ἀλλ᾽ ἢ ἡ βασιλεία τῶν οὐρανῶν, ἧς εἰκὼν καὶ τύπος ἐστὶ τὸ σάββατον; εἶτα θεὶς τὴν μαρτυρίαν πᾶσαν (αὕτη δέ ἐστι, σήμερον, ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ, κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ· οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν, ἐδοκίμασάν με, καὶ εἶδον τὰ ἔργα μου τεσσαράκοντα ἔτη. διὸ προσώχθισα τῇ γενεᾷ ἐκείνῃ, καὶ εἶπον, ἀεὶ πλανῶνται τῇ καρδίᾳ· αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου. ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου) τότε ἐπάγει,

χ νῦν — Act. ζ. — * ὡς οἱ πατέρες ὑμῶν

12 Βλέπετε μή ποτε ἔσται ἔν τινι ὑμῶν καρδία πονηρὰ ἀπιστίας, ἐν τῷ ἀποστῆναι ἀπὸ Θεοῦ ζῶντος. Ἀπὸ γὰρ τῆς σκληρότητος ἡ ἀπιστία γίνεται. καὶ καθάπερ τὰ πεπωρωμένα τῶν σωμάτων καὶ σκληρὰ οὐκ εἴκει ταῖς τῶν ἰατρῶν χερσίν· οὕτω καὶ αἱ ψυχαὶ αἱ σκληρυνθεῖσαι οὐκ εἴκουσι τῷ λόγῳ τοῦ Θεοῦ. εἰκὸς γὰρ τινὰς καὶ ἀπιστεῖν λοιπὸν, ὡς οὐκ ὄντων ἀληθῶν τῶν γεγενημένων. διὰ τοῦτό φησι, βλέπετε μή ποτε ἔσται ἔν τινι ὑμῶν καρδία πονηρὰ ἀπιστίας, ἐν τῷ ἀποστῆναι ἀπὸ Θεοῦ ζῶντος. ἐπειδὴ γὰρ ὁ τῶν μελλόντων λόγος οὐκ ἔστιν οὕτω πιθανὸς, ὡς ὁ τῶν παρελθόντων, ἀναμιμνήσκει αὐτοὺς ἱστορίας, ἐν ᾗ πίστεως ἐδεήθησαν. εἰ γὰρ οἱ πατέρες ὑμῶν, φησὶν, ἐπειδὴ οὐκ ἤλπισαν, ὥσπερ ἐχρῆν ἐλπίσαι, ταῦτα ἔπαθον· πολλῷ μᾶλλον ὑμεῖς. καὶ γὰρ πρὸς αὐτοὺς οὗτός ἐστιν ὁ λόγος. τὸ γὰρ σήμερον, φησὶν, ἀεί ἐστιν, ἕως ἂν συνεστήκῃ ὁ κόσμος.

13 Ἀλλὰ παρακαλεῖτε ἑαυτοὺς καθ᾽ ἑκάστην ἡμέραν, ἄχρις οὗ τὸ σήμερον καλεῖται. Τουτέστιν, οἰκοδομεῖτε ἀλλήλους, διορθώσατε ἑαυτοὺς, ἵνα μὴ τὰ αὐτὰ γένηται.

χ λέγεται

Ἵνα μὴ σκληρυνθῇ τις ἐξ ὑμῶν ἀπάτῃ τῆς ἁμαρτίας. Ὁρᾷς ὅτι τὴν ἀπιστίαν ἡ ἁμαρτία ποιεῖ; ὥσπερ γὰρ ἡ ἀπιστία βίον τίκτει πονηρὸν, οὕτω καὶ ἡ ψυχὴ, ὅταν εἰς βάθος ἔλθῃ κακῶν, καταφρονεῖ· καταφρονήσασα δὲ, οὐδὲ πιστεύειν ἀνέχεται, ὥστε ἀπαλλάξαι φόβου ἑαυτήν. Εἶπον γὰρ, φησὶν, Οὐκ ὄψεται Κύριος, οὐδὲ συνήσει ὁ Θεὸς τοῦ Ἰακώβ. καὶ πάλιν, Τὰ χείλη ἡμῶν παρ᾽ ἡμῖν ἐστι· τίς ἡμῶν κύριός ἐστι; καὶ πάλιν, Ἕνεκεν τίνος παρώργισεν ὁ ἀσεβὴς τὸν Θεόν; καὶ πάλιν, Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι Θεός. διεφθάρησαν καὶ ἐβδελύχθησαν ἐν ἐπιτηδεύμασι. καὶ πάλιν, Οὐκ ἔστι φόβος Θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτοῦ. καὶ πάλιν, Ὅτι ἐδόλωσεν ἐνώπιον αὐτοῦ τοῦ εὑρεῖν τὴν ἀνομίαν αὐτοῦ, καὶ μισῆσαι. καὶ ὁ Χριστὸς δὲ αὐτὸ τοῦτο δηλοῖ, λέγων, Πᾶς ὁ φαῦλα πράσσων, μισεῖ τὸ φῶς, καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς. Εἶτα ἐπάγει,

χ. δὲ — Ψαλ. ϟγ. ζ. — Ψαλ. ια. δ. — Ψαλ. θ. λγ. — Ψαλ. ιγ. α. β. — Ψαλ. λε. β. — Ἰωάν. γ. κ.

14 Μέτοχοι γὰρ γεγόναμεν τοῦ Χριστοῦ. Τί ἐστι, μέτοχοι γεγόναμεν τοῦ Χριστοῦ; μετέχομεν αὐτοῦ, φησὶν, ἓν ἐγενόμεθα ἡμεῖς καὶ αὐτός. Εἴπερ αὐτὸς μὲν κεφαλὴ, σῶμα δὲ ἡμεῖς, συγκληρονόμοι καὶ σύσσωμοι. ἓν σῶμά ἐσμεν, ἐκ τῆς σαρκὸς αὐτοῦ, φησὶ, καὶ ἐκ τῶν ὀστέων αὐτοῦ.

χ καὶ

Digitized by Google

οὕτω, καὶ δυνησόμεθα περιγενέσθαι τῶν πολεμίων, καὶ τὸν στέφανον τῆς νίκης ἀναδήσασθαι, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Ψαλ. 95. Λογ. ς. 7 ΔΙΟ ΚΑΘΩΣ ΛΕΓΕΙ ΤΟ ΠΝΕΥΜΑ ΤΟ
ἅγιον, σήμερον, ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε,
8 Μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ, κατὰ τὴν
ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ· 9 Οὗ ἐπείρασάν με οἱ πα-
τέρες ὑμῶν, ἐδοκίμασάν με, καὶ εἶδον τὰ ἔργα μου τεσσαράκοντα ἔτη.
10 Διὸ προσώχθισα τῇ γενεᾷ ἐκείνῃ, καὶ εἶπον, ἀεὶ πλανῶνται τῇ καρ-
δίᾳ· αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου. 11 Ὡς ὤμοσα ἐν τῇ ὀργῇ
μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου.

Διαλεχθεὶς περὶ ἐλπίδος ὁ Παῦλος, καὶ εἰπὼν ὅτι οἶκός αὐτοῦ ἐσμεν, ἐάν περ τὴν παῤῥησίαν καὶ τὸ καύχημα τῆς ἐλπίδος μέχρι τέλους βεβαίαν κατάσχωμεν, δείκνυσι λοιπὸν ὅτι βεβαίως χρὴ προσδοκᾷν· καὶ τοῦτο πιστοῦται ἀπὸ τῶν γραφῶν. πρόσεχετε δέ. δυσκολώτερον γάρ πως αὐτὸ ἔφρασε, καὶ δυσκαταληπτότερον. διὸ χρὴ τὰ περὶ ἡμῶν πρότερον εἰπόντας, καὶ συντόμως τὴν πᾶσαν ὑμᾶς ὑπόθεσιν διδάξαντας, οὕτως ἐπαφεῖναι τὸν λόγον τοῖς γεγραμμένοις. οὐκέτι γὰρ ἡμῶν δεηθήσεσθε, ἐὰν τὸν σκοπὸν μάθητε τὸν ἀποστολικόν. περὶ ἐλπίδος ἦν αὐτῷ ὁ λόγος, καὶ ὅτι χρὴ ἐλπίζειν τὰ μέλλοντα, καὶ ὅτι ἔσται πάντως τοῖς ἐνταῦθα πονήσασι μισθός τις καὶ καρπὸς καὶ ἀνάπαυσις. τοῦτο οὖν ἀπὸ τοῦ προφήτου δείκνυσι· καὶ τί φησι; διὸ καθὼς λέγει τὸ πνεῦμα τὸ ἅγιον, σήμερον, ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ, κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ· οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν, ἐδοκίμασάν με, καὶ εἶδον τὰ ἔργα μου τεσσαράκοντα ἔτη. διὸ προσώχθισα τῇ γενεᾷ ἐκείνῃ, καὶ εἶπον, ἀεὶ πλανῶνται τῇ καρδίᾳ· αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου. ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου. τρεῖς φησι καταπαύσεις εἶναι· μίαν τὴν τοῦ σαββάτου, ἐν ᾗ ὁ Θεὸς κατέπαυσεν ἀπὸ τῶν ἔργων αὐτοῦ· δευτέραν τὴν τῆς Παλαιστίνης, εἰς ἣν εἰσελθόντες οἱ Ἰουδαῖοι ἔμελλον ἀναπαύσεσθαι ἀπὸ τῆς ταλαιπωρίας τῆς πολλῆς καὶ τῶν πόνων· τρίτην τὴν καὶ ὄντως ἀνάπαυσιν, τὴν βασιλείαν τῶν οὐρανῶν, ἧς οἱ τυχόντες ἀναπαύονται ἀληθῶς τῶν κόπων καὶ τῶν μόχθων. τῶν τριῶν τοίνυν ἐνταῦθα μέμνηται. καὶ τίνος ἕνεκεν περὶ τῆς μιᾶς διαλεγόμενος, τῶν τριῶν ἐμνημόνευσεν; ἵνα δείξῃ τὸν προφήτην περὶ ταύτης λέγοντα. περὶ μὲν γὰρ τῆς πρώτης οὐκ εἶπε [φησι]. πῶς γάρ, τῆς πάλαι γεγενημένης; ἀλλ' οὐδὲ περὶ τῆς δευτέρας τῆς ἐν Παλαιστίνῃ. πῶς γάρ, καὶ αὐτῆς τέλος ἤδη λαβούσης; λείπεται δὴ περὶ τῆς τρίτης αὐτὸν λέγειν λοιπόν. ἀναγκαῖον δὲ καὶ τὴν ἱστορίαν ἀναπτύξαι, ὥστε σαφέστερον ποιῆσαι τὸν λόγον. ἐπειδὴ γὰρ ἀπὸ τῆς Αἰγύπτου ἐξελθόντες, καὶ πολλὴν ὁδὸν διανύσαντες, καὶ μυρία τῆς τοῦ Θεοῦ δυνάμεως λαβόντες τεκμήρια, ἔν τε τῇ Αἰγύπτῳ, ἔν τε τῇ ἐρυθρᾷ θαλάττῃ, ἔν τε τῇ ἐρήμῳ, ἐβουλεύσαντο πέμψαι κατασκόπους τοὺς διασκεψομένους τὴν φύσιν τῆς γῆς, οἱ δὲ ἀπελθόντες ἐπανῆλθον, τὴν μὲν χώραν θαυμάζοντες, καὶ γενναίων καρπῶν εὔφορον εἶναι λέγοντες, ἀνθρώπων μέντοι ἀκαταμαχήτων εἶναι χώραν καὶ ἰσχυρῶν· οἱ ἀγνώμονες Ἰουδαῖοι καὶ ἀναίσθητοι, δέον αὐτοὺς τῶν προτέρων τοῦ Θεοῦ εὐεργεσιῶν ἀναμνησθῆναι, καὶ πῶς αὐτοὺς εἰς μέσον ἀπειλημμένους στρατοπέδων τοσούτων Αἰγυπτιακῶν, οὐ μόνον ἐξήρπασε τῶν κινδύνων, ἀλλὰ καὶ τῶν λαφύρων αὐτῶν ἐποίησε κυρίους, καὶ πῶς πάλιν ἐν τῇ ἐρήμῳ πέτραν ἔῤῥηξε, καὶ τῶν ὑδάτων τὴν ἀ-

φθονίαν

χ. -σονται

χ. γάρ; οὐδὲ εἰσελεύσονται, φησιν, εἰς τὴν κατάπαυσίν μου. λείπεται δὴ τὴν τρίτην εἶναι ταύτην λοιπόν.

χ. ἐβουλήθησαν

χ. εἶναι ἐντυχεῖν τῆς χώρ.

μὴ ἴδωσι. τοῦτο γὰρ οὐκ ἔστι στρατιώτου, ἀλλὰ στασιαστοῦ. ἐὰν δὲ ἡ τῆς εὐσεβείας σάλπιγξ καλῇ, εὐθέως ἔξιθι, καὶ καταφρόνησον τῆς ψυχῆς, καὶ ἔμβηθι μετὰ πολλῆς τῆς προθυμίας εἰς τοὺς ἀγῶνας, ῥῆξον τὴν φάλαγγα τῶν ἐναντίων, σύγκοψον τὸ πρόσωπον τοῦ διαβόλου, στῆσον τὸ τρόπαιον. ἐὰν δὲ μηδὲν ἡ εὐσέβεια παραβλάπτηται, μηδὲ πορθῇ τις τὰ ἡμέτερα δόγματα (τὰ κατὰ τὴν ψυχὴν λέγω) μηδὲ ἀναγκάζῃ τι ποιεῖν τῶν μὴ δοκούντων τῷ Θεῷ, μὴ περιττὸς ἔσο. αἱμάτων δὲ γέμει ὁ τῶν χριστιανῶν βίος, αἱμάτων, οὐκ ἐν τῷ τὰ ἀλλότρια ἐκχεῖν, ἀλλ' ἐν τῷ ἑτοίμους εἶναι τὸ ἑαυτῶν ἐκχεῖν. μετὰ τοσαύτης τοίνυν προθυμίας τὸ ἴδιον αἷμα ἐκχέωμεν, ὅταν ὑπὲρ τοῦ Χριστοῦ τοῦτο ᾖ, μεθ' ὅσης ἂν ὕδωρ τις ἐκχέοι (καὶ γὰρ ὕδωρ ἐστὶ τὸ αἷμα περιρρέον τὸ σῶμα) καὶ μετὰ τοσαύτης εὐκολίας τὴν σάρκα ἀποδυώμεθα, μεθ' ὅσης ἂν καὶ τὸ ἱμάτιον. τοῦτο δὲ ἔσται, ἐὰν μὴ χρήμασιν ὦμεν προσδεδεμένοι, ἂν μὴ οἰκίαις, ἂν μὴ προσπαθείᾳ τῶν παρόντων ὦμεν ἀπηρτημένοι. εἰ γὰρ οἱ τὸν στρατιωτικὸν τοῦτον βίον ζῶντες πᾶσιν ἀποτάσσονται, καὶ ἔνθα ἂν ὁ πόλεμος καλῇ, ἐκεῖ παραγίνονται, καὶ ὁδοιποροῦσι, καὶ πάντα μετὰ προθυμίας ὑπομένουσι· πολλῷ μᾶλλον ἡμᾶς τοὺς τοῦ Χριστοῦ στρατιώτας οὕτω παρασκευάζεσθαι χρή, καὶ παρατάττεσθαι πρὸς τὸν πόλεμον τῶν παθῶν. οὐκ ἔστι διωγμὸς νῦν, μηδὲ γένοιτο γενέσθαι ποτέ· ἀλλ' ἕτερος πόλεμός ἐστιν, ὁ τῆς τῶν χρημάτων ἐπιθυμίας, ὁ τῆς βασκανίας, ὁ τῶν ἄλλων παθῶν. τοῦτον τὸν πόλεμον διηγούμενος ὁ Παῦλός φησιν, Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα. ἀεὶ οὗτος ὁ πόλεμος ἐνέστηκε. διὰ τοῦτο ἀεὶ ὡπλισμένους ἡμᾶς εἶναι βούλεται. Στῆτε οὖν, φησί, περιζωσάμενοι. ὅπερ καὶ αὐτὸ ἐνεστῶτός ἐστι καιροῦ. καὶ ἐνέφηνεν, ὅτι ἀεὶ δεῖ ὁπλίζεσθαι. πολὺς γὰρ ὁ πόλεμος διὰ γλώσσης, πολὺς δι' ὀφθαλμῶν. τοῦτον τοίνυν κατέχωμεν. πολὺς ὁ τῶν ἐπιθυμιῶν. διὰ τοῦτο ἐκεῖθεν ἄρχεται καθοπλίζειν τὸν στρατιώτην τοῦ Χριστοῦ. στῆτε γάρ, φησι, περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν καὶ ἐπήγαγεν, ἐν ἀληθείᾳ. διὰ τί ἐν ἀληθείᾳ; ἐμπαιγμὸς γάρ ἐστι καὶ ψεῦδος ἡ ἐπιθυμία, ὥς που καὶ ὁ Δαβὶδ ἔφη, Αἱ ψύαι μου ἐπλήσθησαν ἐμπαιγμάτων. οὐκ ἔστιν ἡδονὴ τὸ πρᾶγμα, ἀλλὰ σκιὰ ἡδονῆς. διὰ τοῦτο περιζωσάμενοι, φησί, τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ· τουτέστι, τῇ ἀληθινῇ ἡδονῇ, τῇ σωφροσύνῃ, τῇ κοσμιότητι. διὰ ταῦτα δὲ παραινεῖ, εἰδὼς τῆς ἁμαρτίας τὴν ἀτοπίαν, καὶ βουλόμενος ἡμῶν τὰ μέλη πάντα περιπεφράχθαι. Θυμὸς γάρ, φησιν, ἄδικος οὐκ ἀθωωθήσεται. καὶ θώρακα ἡμᾶς περικεῖσθαι βούλεται, καὶ ἀσπίδα. θηρίον γάρ ἐστιν εὐκόλως ἐπιπηδῶν ὁ θυμός, καὶ μυρίων θριγκίων καὶ διαφραγμάτων ἡμῖν δεῖ πρὸς τὸ περιγενέσθαι καὶ κατασχεῖν. καὶ διὰ τοῦτο μάλιστα ἡμῖν τοῦτο τὸ μέρος, ὥσπερ ἔκ τινων λίθων, τῶν ὀστέων ᾠκοδόμησεν ὁ Θεὸς ἔρυσμα αὐτοῦ περιθεὶς ταῦτα, ὥστε μὴ διαρρῆξαι ποτέ, μηδὲ διατεμὸν εὐκόλως τὸ πᾶν λυμήνασθαι ζῶον. πῦρ γάρ ἐστι, φησί, καὶ ζάλη μεγάλη, καὶ οὐκ ἂν ἕτερον μέλος ταύτην τὴν βίαν ἀνάσχοιτο. λέγουσι δὲ καὶ ἰατρῶν παῖδες τούτου χάριν ὑπεστρῶσθαι τὸν πνεύμονα τῇ καρδίᾳ, ὥστε εἰς ἁπαλὸν αὐτὴν οὖσαν, καθάπερ εἴς τινα σπόγγον ἐναλλομένην, διαναπαύεσθαι [τὴν καρδίαν], ἀλλὰ μὴ εἰς τὸ ἀντίτυπον καὶ σκληρὸν τὸ στέρνον, καταβλάπτεσθαι τῇ πυκνότητι τῶν ἁλμάτων. δεῖ τοίνυν ἡμῖν θώρακος ἰσχυροῦ, ὥστε διαπαντὸς ἐν ἡσυχίᾳ τοῦτο τὸ θηρίον διατηρεῖν. δεῖ δὲ ἡμῖν καὶ περικεφαλαίας. ἐπειδὴ γὰρ ἐκεῖ τὸ λογιστικὸν τυγχάνει, καὶ ἀπὸ τούτου ἢ σωθῆναι δυνατόν, ἐὰν τὰ δέοντα γίγνωνται, ἢ ἀπολέσθαι ἔνι, εἰ τὰ μὴ δέοντα· διὰ τοῦτό φησι καὶ τὴν περικεφαλαίαν σωτηρίου. ὁ γὰρ ἐγκέφαλος φύσει μέν ἐστιν ἁπαλός. διὸ καὶ αὐτός, καθάπερ τινὶ ὀστράκῳ, τῷ βρέγματι καλύπτεται ἄνωθεν. πάντων δὲ ἡμῖν αἴτιος γίνεται τῶν ἀγαθῶν καὶ τῶν κακῶν, εἴτε τὰ δέοντα νοεῖ, εἴτε τὰ μὴ τοιαῦτα. καὶ οἱ πόδες δὲ καὶ αἱ χεῖρες ὅπλων ἡμῖν δέονται. οὐχ αὗται αἱ χεῖρες, οὐδὲ οὗτοι οἱ πόδες, ἀλλὰ πάλιν οἱ τῆς ψυχῆς· αἱ μὲν μελετῶσαι τὰ δέοντα, οἱ δὲ ἵνα πορεύωνται ἔνθα χρή. καθοπλίσωμεν τοίνυν ἑαυτοὺς

γρ. τοῦτο γένηται, μεθ'

γρ. δεῖ, ἂν μὴ πάντων ὦμεν. ἀλλ. ἂν δεῖ ἂν π. ὦμεν

γρ. τοῦ ἐνεστῶτος καιροῦ ἐστι, καὶ ὅτι δεῖ ἀεὶ ὁπλ.

γρ. κατορθοῦσιν

γρ. διὰ τοῦτο ταῦτα παραινεῖ,

γρ. ἐρείσματα

γρ. τῇ ῥύμῃ τῶν ἁλμάτων.

Ἐφεσ. ς. ιβ. καὶ ιδ.

Ψαλ. λζ. ζ.

Σειρ. α. ιθ.

τα. ὅταν οὖν εὐπραγῇ ὁ πονηρός, ἴσθι ὅτι ἐπὶ κακῷ τῆς ἑαυτοῦ κεφαλῆς. ἵνα γὰρ ἐκείνων τῶν ὀλίγων ἀγαθῶν τὴν ἀντίδοσιν ἐνταῦθα λαβών, ἐκεῖ λοιπὸν τέλεον κολάζηται, τούτου χάριν ἐνταῦθα ἀπολαμβάνει. καὶ μακάριος ἐκεῖνος μάλιστά ἐστιν ὁ ἐνταῦθα κολαζόμενος, ἵνα πάντα ἀποθέμενος τὰ ἁμαρτήματα, εὐδόκιμος καὶ καθαρὸς ἀπίῃ, καὶ ἀνεύθυνος. α. Κορ. ια. λ. καὶ τοῦτο διδάσκων ἡμᾶς ὁ Παῦλός φησι, Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι, καὶ κοιμῶνται ἱκανοί. α. Κορ. ε. ε. καὶ πάλιν, Παράδοτε τὸν τοιοῦτον τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός, ἵνα Ησ. μ. β. τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ ὁ προφήτης φησίν, ὅτι ἐδέξατο ἐκ χειρὸς Κυρίου [κ. πρὸς δὲ τοῦτο ἐδέξ.] Ψαλ. λθ. ιβ. διπλᾶ τὰ ἁμαρτήματα. καὶ πάλιν ὁ Δαβίδ, Ἴδε τοὺς ἐχθρούς μου, ὅτι ἐπληθύνθησαν ὑπὲρ [κ. [ὑπὲρ ἐμέ;]] Ψαλ. κδ. ιθ. τὰς τρίχας τῆς κεφαλῆς μου. καὶ μῖσος ἄδικον ἐμίσησάν με, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου. Ησ. κϛ. ιβ. καὶ πάλιν ἕτερος, Κύριε ὁ Θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν· πάντα γὰρ ἀπέδωκας ἡμῖν. ἀλλὰ ταῦτα μὲν δεικνύντος ἐστὶ τοὺς καλοὺς τὰς ὑπὲρ τῶν ἁμαρτημάτων δίκας ἐνταῦθα ἀπολαμβάνοντας. ποῦ δὲ τὰ ἀγαθὰ τοὺς πονηροὺς ἀπολαμβάνοντας ἐνταῦθα, ἐκεῖ τέλεον κολά- Λουκ. ιϛ. κε. ζονται; ἄκουε τοῦ Ἀβραὰμ λέγοντος πρὸς τὸν πλούσιον, Ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, καὶ Λάζαρος ὁμοίως τὰ κακά. ἐνταῦθα γὰρ τό, ἀπέλαβες, ἀλλ᾽ οὐχ ἔλαβες εἰπών, δείκνυσι κατὰ ὀφειλὴν ἑκατέρους ταῦτα, καὶ τὸν μὲν ἐν εὐπραγίᾳ, τὸν δὲ ἐν δυσπραγίᾳ γενόμενον· καί φησι, Διὰ τοῦτο ὧδε ἐνταῦθα παρακαλεῖται (ὁρᾷς γὰρ αὐτὸν καθαρὸν ἁμαρτημάτων) καὶ σὺ ὀδυνᾶσαι. μὴ τοίνυν ἀλύωμεν ὅταν εὐπαθοῦντας ὁρῶμεν ἐνταῦθα τοὺς ἁμαρτάνοντας· ἀλλ᾽ ὅταν κακῶς πάσχωμεν αὐτοί, χαίρωμεν. ἁμαρτιῶν γάρ ἐστι τὸ πρᾶγμα ἔκλυσις. μὴ ζητῶμεν ἄνεσιν· θλίψιν γὰρ ἐπηγγείλατο τοῖς αὐτοῦ μαθηταῖς ὁ Χριστός. καί φησιν ὁ Παῦλος, Πάντες οἱ θέλοντες ζῆν εὐσεβῶς ἐν Χριστῷ Ἰησοῦ, διωχθήσον- [κ. διὸ καὶ ἐπὶ ... γε, ἀλλ᾽ ὧδε μὲν παρακαλεῖται (ὁρᾷς γὰρ αὐτὸν ἐκπυρῶντα) σὺ δὲ ὀδυνᾶσαι.] β. Τιμ. γ. ιβ. ται. οὐδεὶς γενναῖος ἀθλητὴς ἐν τῷ σκάμματι * λουτρὰ ἐπιζητεῖ, καὶ τράπεζαν πληθύουσαν σιτίοις καὶ οἴνῳ. [* ὤν] τοῦτο οὐκ ἔστιν ἀθλητοῦ, ἀλλὰ βλακός. ὁ γὰρ ἀθλητὴς μάχεται κόνει, ἐλαίῳ, ἀκτῖνος θερμότητι, ἱδρῶτι πολλῷ, θλίψει, καὶ στενοχωρίᾳ ἀγωνίας. οὗτος ἐστὶ καὶ τοῦ πυκτεύειν ὁ καιρός· οὐκοῦν καὶ τὰ τραύματα λαμβάνειν καὶ αἱμάττεσθαι καὶ ἀλγεῖν. ἄκου- α. Κορ. θ. κϛ. σον τί φησιν ὁ μακάριος Παῦλος· Οὕτω πυκτεύω ὡς οὐκ ἀέρα * δέρων. [κ. δαίρων.] πάντα τὸν βίον ἐναγώνιον εἶναι νομίσωμεν, καὶ οὐδέποτε ἀνάπαυσιν ζητήσομεν, οὐδέποτε θλιβόμενοι ξενοπαθήσομεν. εἶπέ μοι, μηδὲ πύκτης, ὅτε ἐν ἀγῶνί ἐστι, ξενοπαθεῖ. ἕτερός ἐστιν ὁ τῆς ἀνέσεως καιρός. διὰ θλίψεως ἡμᾶς τελειωθῆναι δεῖ. εἰ καὶ μὴ διωγμός ἐστι, μηδὲ θλίψις, ἀλλ᾽ εἰσὶν ἕτεραι θλίψεις, αἱ καθ᾽ ἑκάστην ἡμέραν ἡμῖν συμπίπτουσαι. εἰ δὲ ταύτας οὐ φέρομεν, πολλῷ γε ἐκείνας ἐνέγκωμεν ἄν. α. Κορ. ι. ιγ. Πειρασμὸς ὑμᾶς οὐκ εἴληφε, φησίν, εἰ μὴ ἀνθρώπινος. εὐχώμεθα μὲν οὖν τῷ Θεῷ μὴ εἰσελθεῖν εἰς πειρασμόν· εἰσελθόντες δὲ φέρωμεν γενναίως. ἐκεῖνο μὲν γὰρ σωφρόνων ἀνδρῶν, τὸ μὴ κινδύνοις ἐπιρρίπτειν ἑαυτούς· τοῦτο δὲ γενναίων καὶ φιλοσόφων, τὸ ἵστασθαι ἐμπεσόντας. μήτε οὖν ἐπιρρίπτωμεν ἑαυτοὺς ἁπλῶς· θρασύτητος γάρ· μήτε ἀγόμενοι, καὶ τῶν πραγμάτων καλούντων, ἐνδιδῶμεν· δειλίας γάρ. ἀλλ᾽ ἐὰν μὲν τὸ κήρυγμα καλῇ, μὴ παραιτώμεθα· ἁπλῶς δὲ αἰτίας μὴ οὔσης, μήτε χρείας, μήτε ἀνάγκης τῆς κατὰ θεοσέβειαν καλούσης, μὴ ἐπιτρέχωμεν. ἐπίδειξις γάρ ἐστι τὸ πρᾶγμα, καὶ φιλοτιμία περιττή. ἐὰν δέ τι τὴν εὐσέβειαν παραβλαπτόμενον γένηται, κἂν μυρίους ὑποστῆναι δέῃ θανάτους, μηδὲν παραιτώμεθα. μὴ προσκαλοῦ τοὺς πειρασμούς, ὅταν σοι τὰ κατὰ τὴν εὐσέβειαν προχωρῇ ὡς ποθεῖς. τί περιττοὺς ἐπισπᾶσθαι κινδύνους οὐδὲν κέρδος ἔχοντας; ταῦτα λέγω, βουλόμενος ὑμᾶς φυλάττειν τοὺς νόμους τοῦ Χριστοῦ κελεύοντος εὔχεσθαι μὴ εἰσελθεῖν εἰς πειρασμόν, καὶ κελεύοντος πάλιν τὸν σταυρὸν λαβόντας ἀκολουθεῖν αὐτῷ. ταῦτα μὲν γὰρ οὐκ ἔστιν ἐναντία, ἀλλὰ καὶ σφόδρα συνᾴδοντα. σὺ μὲν οὖν οὕτω παρεσκεύασο ὡς στρατιώτης γενναῖος, ἐν τοῖς ὅπλοις ἔσο διηνεκῶς, νήφων, ἐγρηγορώς, ἀεὶ τὸν πολέμιον προσδοκῶν. πολέμους μέν τοι

μὴ

τὸ καύχημα τῆς ἐλπίδος μέχρι τέλους βεβαίαν κατάσχωμεν. ὥστε ὁ ἀλγῶν ἐν τοῖς πειρασμοῖς καὶ καταπίπτων, οὐ καυχᾶται· ὁ αἰσχυνόμενος, ὁ κρυπτόμενος, παῤῥησίαν οὐκ ἔχει· ὁ ἀλύων οὐ καυχᾶται. Εἶτα καὶ ἐγκωμιάζει αὐτοὺς λέγων, ἐάνπερ τὴν παῤῥησίαν καὶ τὸ καύχημα τῆς ἐλπίδος μέχρι τέλους βεβαίαν κατάσχωμεν, δεικνὺς ὅτι καὶ ἤρξαντο. δεῖ δὲ καὶ τοῦ τέλους, καὶ οὐχ ἁπλῶς ἑστάναι, ἀλλὰ βεβαίαν ἔχειν τὴν ἐλπίδα * ἐν πληροφορίᾳ πίστεως, μὴ παρασαλευομένους ὑπὸ τῶν πειρασμῶν. καὶ μὴ θαυμάσῃς, εἰ ἀνθρωπίνως περὶ τὸ αὐτὸ πειρασθεὶς, εἴρηται. εἰ γὰρ περὶ τοῦ πατρὸς τοῦ μὴ σαρκωθέντος φησὶν ἡ γραφὴ, Ἐκ τοῦ οὐρανοῦ διέκυψε Κύριος, καὶ εἶδε πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων, [τουτέστιν, ἀκριβῶς πάντα κατέμαθε,] καὶ πάλιν, Καταβὰς ὄψομαι εἰ κατὰ τὴν κραυγὴν αὐτῶν συντελοῦνται. [καὶ πάλιν, οὐ δύναται φέρειν ὁ Θεὸς τὰς κακίας τῶν ἀνθρώπων, τὸ πολὺ τῆς ὀργῆς ἐνδεικνυμένη ἡ θεία γραφή·] πολλῷ μᾶλλον περὶ τοῦ Χριστοῦ τοῦ καὶ παθόντος ἐν σαρκὶ λέγοιντ' ἂν ταῦτα τὰ ἀνθρωποπαθῆ. ἐπειδὴ γὰρ πολλοὶ τῶν ἀνθρώπων τὴν πεῖραν πάντων εἶναι πιστοτέραν νομίζουσι πρὸς γνῶσιν, βούλεται δεῖξαι, ὅτι ὁ παθὼν οἶδε τί πάσχει ἡ ἀνθρωπίνη φύσις. ὅθεν φησὶν, ἀδελφοὶ ἅγιοι. τὸ, ὅθεν, ἀντὶ τοῦ, διὰ τοῦτο, φησί. κλήσεως ἐπουρανίου μέτοχοι. μηδὲν τοίνυν ἐνταῦθα ζητεῖτε, εἰ ἐκεῖ κέκλησθε. ἐκεῖ γὰρ ὁ μισθὸς, ἐκεῖ ἡ ἀνταπόδοσις. τί οὖν; κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν Χριστὸν, πιστὸν ὄντα τῷ ποιήσαντι αὐτὸν, ὡς καὶ Μωϋσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ. τί ἐστι, πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν; τουτέστι, προνοοῦντα, προϊστάμενον τῶν αὐτοῦ, καὶ οὐκ ἐῶντα φέρεσθαι ἁπλῶς. ὡς καὶ Μωϋσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ. τουτέστι, γνῶτε τίς ἐστιν ὁ ἀρχιερεὺς, καὶ ποταπὸς, καὶ οὐ δεήσεσθε παραμυθίας ἑτέρας, οὐδὲ παρακλήσεως. ἀπόστολον δὲ αὐτὸν λέγει διὰ τὸ ἀπεστάλθαι· καὶ ἀρχιερέα φησὶ τῆς ὁμολογίας ἡμῶν, τουτέστι, τῆς πίστεως. καλῶς εἶπεν, ὡς Μωϋσῆς. καὶ γὰρ καὶ οὗτος λαοῦ, καθάπερ ἐκεῖνος προστασίαν λαοῦ, ἐγκεχείρισται, εἰ καὶ μείζονα, καὶ ἐπὶ μείζοσι. Μωϋσῆς μὲν γὰρ ὡς οἰκέτης, Χριστὸς δὲ ὡς υἱὸς, καὶ ὁ μὲν τῶν ἀλλοτρίων, οὗτος δὲ τῶν αὐτοῦ κήδεται. εἰς μαρτύριον τῶν λαληθησομένων. τί λέγεις; μαρτυρίαν ἀνθρώπου λαμβάνει ὁ Θεός; καὶ πάνυ γε. εἰ γὰρ οὐρανὸν μάρτυρας ἐπάγεται καὶ γῆν καὶ βουνοὺς, λέγων διὰ τοῦ προφήτου, Ἄκουε, οὐρανὲ, καὶ ἐνωτίζου, ἡ γῆ, ὅτι Κύριος ἐλάλησε, καὶ, Ἀκούσατε φάραγγες θεμέλια τῆς γῆς, ὅτι κρίσις τῷ Κυρίῳ πρὸς τὸν λαὸν αὐτοῦ· πολλῷ μᾶλλον ἀνθρώπους. τί ἐστιν, εἰς μαρτύριον; ἵνα ὦσι, φησὶ, μάρτυρες, ὅταν ἀναισχυντῶσιν αὐτοί. καὶ τὸ καύχημα τῆς ἐλπίδος. καλῶς εἶπε, τῆς ἐλπίδος, ἐπειδὴ πάντα ἐν ἐλπίσιν ἦν τὰ ἀγαθά. οὕτω δὲ αὐτὴν δεῖ κατέχειν, ὡς ἤδη καυχᾶσθαι ὡς ἐπὶ γεγενημένοις. διὰ τοῦτό φησι, τὸ καύχημα τῆς ἐλπίδος. καὶ ἐπάγει, μέχρι τέλους βεβαίαν κατάσχωμεν. τῇ γὰρ ἐλπίδι ἐσώθημεν. εἰ τοίνυν τῇ ἐλπίδι ἐσώθημεν, καὶ δι' ὑπομονῆς ἀπεκδεχόμεθα· μὴ οὖν ἀγάλλωμεν ἐπὶ τοῖς παροῦσι, μηδὲ ἤδη ζητῶμεν τὰ μετὰ ταῦτα ἐπαγγελθέντα. Ἐλπὶς γὰρ, φησὶ, βλεπομένη, οὐκ ἔστιν ἐλπίς. ἐπειδὴ γὰρ μεγάλα ἐστὶ τὰ ἀγαθὰ, φησὶν, ἐνταῦθα λαβεῖν οὐ δυνάμεθα αὐτὰ ἐν τῷ ἐπικήρῳ τούτῳ βίῳ. τίνος οὖν ἕνεκεν ἡμῖν καὶ προεῖπε ταῦτα, οὐ μέλλων αὐτὰ ἐνταῦθα διδόναι; ἵνα τῇ ἐπαγγελίᾳ τὰς ψυχὰς ἀνακτήσηται, ἵνα τῇ ὑποσχέσει ῥώσῃ τὴν προθυμίαν, ἵνα ἀλείψῃ καὶ διεγείρῃ τὴν ἡμετέραν διάνοιαν· διὰ δὴ τοῦτο πάντα ταῦτα γέγονεν.

γρ. ἀλλὰ δεικνὺς ὅτι ἦρξ- | * βέλτιον· τουτέστιν, | Ψαλμ. ιγ. γ. | τεν ἐν κα. | γρ. ἐν οἴκῳ. | Ησ. α. β. | Μιχ. ς. β. | γρ. ἔτι | γρ. ὧν | Ῥωμ. η. κδ.

ΗΘΙΚΟΝ

Μηδεὶς τοίνυν ὁρῶν πονηροὺς εὐπραγοῦντας θορυβείσθω. οὐκ ἔστιν ἐνταῦθα ἡ ἀνταπόδοσις, οὔτε τῆς πονηρίας, οὔτε τῆς ἀρετῆς. εἰ δέ που γίνεται καὶ τῆς πονηρίας καὶ τῆς ἀρετῆς, ἀλλ' οὐχὶ κατ' ἀξίαν, ἀλλ' ἁπλῶς, ὡσανεὶ γεῦμα τῆς κρίσεως, ἵνα οἱ τῇ ἀναστάσει ἀπιστοῦντες, κἂν ἐν τούτοις ἐνταῦθα σωφρονίζωνται. ὅταν οὖν ἴδωμεν πονηρὸν πλουτοῦντα, μὴ καταπίπτωμεν· ὅταν ἴδωμεν ἀγαθὸν κακῶς πάσχοντα, μὴ θορυβώμεθα. ἐκεῖ γὰρ οἱ στέφανοι, ἐκεῖ καὶ αἱ κολάσεις. καὶ ἄλλως δὲ οὐκ ἔστιν οὔτε τὸν κακὸν πάντῃ εἶναι κακὸν, ἀλλ' ἔστιν ἃ ἔχει αὐτὸς καὶ ἀγαθά· οὔτε τὸν ἀγαθὸν πάντῃ εἶναι ἀγαθὸν, ἀλλ' ἔχει ἃ καὶ ἁμαρτήματα.

Πραξ. γ. κϛ. Πραξ. ιγ. κϛ.

τοῦτο καὶ τὸν ἀπόστολον αὐτόθεν ἔλεγον· Ὑμῖν ἀναστήσας τὸν παῖδα αὐτοῦ ἀπέστειλεν εὐλογοῦντα ὑμᾶς. καὶ πάλιν, Ὑμῖν ὁ λόγος τῆς σωτηρίας ἀπεστάλη. τὴν ἀρχιερωσύνην ἐνταῦθα δείκνυσι τὴν Ἰουδαϊκήν, *λέγων, Εἰς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ. πῶς οὕτω φησίν. ὅτι γὰρ αὐτός ἐστιν ὁ τὰς ἁμαρτίας πάντων ἀφιείς, ἐδήλωσε καὶ ἐν τῷ παραλυτικῷ, εἰπών, Ἀφέωνταί σοι αἱ ἁμαρτίαι· καὶ ἐν τῷ βαπτίσματι. φησὶ γὰρ πρὸς τοὺς μαθητάς, Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ὅταν δὲ τῆς σαρκὸς ἐπιλάβηται ὁ Παῦλος, πάντα λοιπὸν ταπεινὰ φθέγγεται, οὐδὲν δεδοικώς. ὅρα γὰρ λοιπὸν τί φησιν.

* πῶς ἐπ

Μαρκ. β. ε. Ματθ. κη. ιθ.

κεφ. γ.

1 Ὅθεν, ἀδελφοὶ ἅγιοι, κλήσεως ἐπουρανίου μέτοχοι, κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν Χριστόν,

2 Πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν, ὡς καὶ Μωϋσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ.

Μέλλων αὐτὸν προτιθέναι τοῦ Μωϋσέως κατὰ σύγκρισιν, εἰς τὸν τῆς ἀρχιερωσύνης νόμον ἤγαγε τὸν λόγον. οὐ γὰρ μικρὰν περὶ Μωϋσέως δόξαν εἶχον ἅπαντες. καὶ περικαταβάλλεται ἤδη τὰ σπέρματα τῆς ὑπεροχῆς. ἄρχεται μὲν οὖν ἀπὸ τῆς σαρκός, ἄνεισι δὲ εἰς τὴν θεότητα, ἔνθα οὐκέτι σύγκρισις ἦν γίνεσθαι. ἤρξατο ἀπὸ τῆς σαρκὸς τέως τὸ ἴσον τιθέναι, καί φησιν, ὡς καὶ Μωϋσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ. καὶ οὐ παρὰ τὴν ἀρχὴν δείκνυσι τὴν ὑπεροχήν, ἵνα μὴ ἀποπηδήσῃ ὁ ἀκροατής, καὶ εὐθέως ἐμφράξῃ τὰς ἀκοάς. εἰ γὰρ καὶ πιστοὶ ἦσαν, ἀλλ' ὅμως ἔτι "πολὺ τὸ συνειδὸς εἶχον πρὸς Μωϋσέα. πιστὸν ὄντα, φησί, τῷ ποιήσαντι αὐτόν. τί ποιήσαντι; *ἀπόστολον καὶ ἀρχιερέα. οὐδὲν ἐνταῦθα περὶ οὐσίας φησίν, οὐδὲ περὶ τῆς θεότητος, ἀλλὰ τέως περὶ ἀξιωμάτων ἀνθρωπίνων. ὡς καὶ Μωϋσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ. τουτέστιν, ἐν τῷ λαῷ, ἢ ἐν τῷ ἱερῷ. ἐνταῦθα δὲ τὸ, ἐν τῷ οἴκῳ αὐτοῦ φησιν, ὡς ἂν εἴ τις εἴποι περὶ τῶν ἐν τῇ οἰκίᾳ. καθάπερ γάρ τις ἐπίτροπος καὶ οἰκονόμος οἰκίας, οὕτως ἦν ὁ Μωϋσῆς ἐν τῷ λαῷ. ὅτι γὰρ οἶκον ἐνταῦθα τὸν λαόν φησιν, ἐπήγαγεν, Οὗ οἶκός ἐσμεν ἡμεῖς. Τουτέστιν, ἐν τῇ "κτήσει αὐτοῦ ἐσμέν. εἶτα ἡ ὑπεροχή.

χ. πολὺ τὸ γνώριμον
* εἰπών
χ. κτίσει

3 Μείζονος γὰρ οὗτος δόξης παρὰ Μωϋσῆν ἠξίωται. Πάλιν περὶ τῆς σαρκός. Καθ' ὅσον πλείονα τιμὴν ἔχει τοῦ οἴκου ὁ κατασκευάσας αὐτόν.

Καὶ αὐτός, φησι, τῆς οἰκίας ἦν. καὶ οὐκ εἶπεν, οὗτος μὲν γὰρ δοῦλος, ἐκεῖνος δὲ δεσπότης, ἀλλὰ τοῦτο λανθανόντως ἐνέφηνεν. εἰ ὁ οἶκος οὖν ἦν ὁ λαός, καὶ αὐτὸς δὲ τοῦ λαοῦ ἦν, καὶ αὐτὸς ἄρα τῆς οἰκίας ἦν. οὕτω [γὰρ] καὶ ἡμῖν ἔθος λέγειν, ὁ δεῖνα τῆς οἰκίας τοῦ τοῦ δεῖνός ἐστιν. ἐνταῦθα δὲ οἶκον οὐ τὸν ναὸν λέγει. οὐ γὰρ ὁ Θεὸς αὐτὸν κατεσκεύασεν, ἀλλ' οἱ ἄνθρωποι. ὁ δὲ "ποιήσας" αὐτόν, ὁ Θεός. τὸν Μωϋσέα φησί. καὶ ὅρα πῶς δείκνυσι τὴν ὑπεροχὴν λανθανόντως. πιστός, φησιν, ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ, καὶ αὐτὸς ὢν τοῦ οἴκου, τουτέστι, τοῦ λαοῦ. πλείονα τιμὴν ἔχει *τοῦ ἔργου ὁ τεχνίτης, "ἀλλὰ καὶ τοῦ οἴκου ὁ κατασκευάσας αὐτόν.

χ. κατασκευάσας
χ. τὸν ποιη- τὴν τὸν μω-
* ὡς

4 Ὁ δὲ τὰ πάντα κατασκευάσας, Θεός. Ὁρᾷς ὅτι οὐ περὶ τοῦ ναοῦ λέγει, ἀλλὰ περὶ παντὸς τοῦ λαοῦ;

χ. ὅτι

5 Καὶ Μωϋσῆς μὲν πιστὸς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ, ὡς θεράπων, εἰς μαρτύριον τῶν λαληθησομένων. Ἰδοὺ καὶ ἄλλη ὑπεροχὴ ἡ ἀπὸ τοῦ υἱοῦ καὶ τοῦ δούλου. ὁρᾷς πάλιν ὅτι γνησιότητα διὰ τῆς τοῦ υἱοῦ προσηγορίας αἰνίττεται;

6 Χριστὸς δέ, ὡς υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ. Εἶδες πῶς τίθησι καὶ ποιεῖ τὴν διάστασιν, πῶς δοῦλον καὶ υἱόν; κἀκεῖνος μὲν εἰς τὰ πατρῷα, ὡς "δεσπότης εἰσέρχεται, οὗτος δὲ ὡς δοῦλος.

χ. ἤδη

Οὗ οἶκός ἐσμεν ἡμεῖς, ἐάνπερ τὴν παρρησίαν καὶ τὸ καύχημα τῆς ἐλπίδος μέχρι τέλους βεβαίαν κατάσχωμεν. Ἐνταῦθα πάλιν αὐτοὺς προτρέπει ἑστάναι γενναίως, καὶ μὴ καταπίπτειν. οἶκος γάρ, φησιν, ἐσόμεθα τοῦ Θεοῦ, ὥσπερ ἦν Μωϋσῆς, ἐάνπερ τὴν παρρησίαν καὶ



Digitized by Google

ὑπὸ πολέμων, μήτε ὑπὸ φροντίδων ἐνοχλεῖσθαι, ἀλλὰ τιμᾶσθαι μόνον, καὶ τρυφᾶν, καὶ πολλοὺς μὲν ἔχειν δορυφόρους, πάντοθεν δὲ τὸ χρυσίον αὐτῷ ἐπιῤῥεῖν, καὶ περίβλεπτον εἶναι, ποίαν οἴεσθε ἔχειν αὐτὸν ψυχήν, εἰ τοὺς πολέμους τοὺς πανταχοῦ τῆς γῆς πεπαυμένους ὁρᾷ; τοιοῦτοί τινές εἰσι καὶ τότε, μᾶλλον δὲ οὔπω καὶ τῆς εἰκόνος ἐφικόμην ἐκείνης· διὸ χρὴ καὶ ἑτέραν ἐπιζητῆσαι. Ἐννόησον δή μοι παιδίον βασιλικόν, ὅπερ ἕως μὲν ἂν ἐν τῇ μήτρᾳ ᾖ, οὐδενὸς ἐπαισθάνεται, εἰ δὲ συμβαίη ἄφνω ἐξελθὸν ἐκεῖθεν ἐπὶ τὸν θρόνον ἀνελθεῖν τὸν βασιλικόν, μὴ ἠρέμα, ἀλλ' ἀθρόον πάντα προσλαβεῖν· οὕτως ἐστὶν ἡ κατάστασις αὕτη κἀκείνη. Ἢ εἴ τις δεσμώτης μυρία παθὼν κακά, ἀθρόον ἐπὶ τὸν βασιλικὸν ἁρπαγείη θρόνον. Ἀλλ' οὐδὲ οὕτως ἐφικόμην ἀκριβῶς τῆς εἰκόνος. Ἐνταῦθα μὲν γὰρ ὧν ἄν τις ἐπιτύχῃ καλῶν, κἂν αὐτὴν εἴπῃς τὴν βασιλείαν, κατὰ μὲν τὴν πρώτην ἡμέραν ἀκμάζοντα ἔχει τὸν πόθον, καὶ κατὰ τὴν δευτέραν, καὶ τὴν τρίτην· χρόνου δὲ προϊόντος, μένει μὲν ἐν ἡδονῇ, οὐ τοσαύτῃ δέ. Λήγει γὰρ ὑπὸ τῆς συνηθείας ἀεί, οἷα ἂν ᾖ. Ἐκεῖ δὲ οὐ μόνον οὐ μειοῦται, ἀλλὰ καὶ ἐπιδίδωσιν. Ἐννόησον γὰρ ὅσον ἐστὶ, ψυχὴν ἀπελθοῦσαν ἐκεῖ, μηκέτι τέλος προσδοκᾶν τῶν ἀγαθῶν ἐκείνων, μηδὲ μεταβολήν *, ἀλλ' ἐπίδοσιν, καὶ ζωὴν τέλος οὐκ ἔχουσαν, * πάντων μὲν κινδύνου, πάσης δὲ ἀθυμίας καὶ φροντίδος ἀπηλλαγμένην, μεστὴν εὐθυμίας καὶ μυρίων ἀγαθῶν. Εἰ γὰρ εἰς πεδίον ἐξιόντες, ἔνθα σκηνὰς ὁρῶμεν στρατιωτῶν ἐκ παραπετασμάτων πεπηγμένας, καὶ δόρατα, καὶ κράνη, καὶ ὀμφαλοὺς ἀσπίδων λάμποντας, μετέωροι γινόμεθα τῷ θαύματι, εἰ δὲ καὶ τὸν βασιλέα συμβαίη μέσον ἰδεῖν τρέχοντα, ἢ καὶ ἵππον ἐλαύνοντα μετὰ ὅπλων χρυσῶν, τὸ πᾶν ἔχειν νομίζομεν· τί οἴει, ὅταν τῶν ἁγίων ἴδῃς τὰς σκηνὰς τὰς αἰωνίους ἐν τῷ οὐρανῷ πεπηγυίας (Δέξονται γὰρ ὑμᾶς, φησίν, εἰς τὰς αἰωνίους αὐτῶν σκηνάς) ὅταν αὐτῶν ἕκαστον ὑπὲρ τὰς ἀκτῖνας τὰς ἡλιακὰς ἴδῃς ἀπολάμποντα, οὐκ ἀπὸ χαλκοῦ καὶ σιδήρου, ἀλλ' ἀπὸ τῆς δόξης ἐκείνης, ἧς τὰς μαρμαρυγὰς ἀνθρώπινος ὀφθαλμὸς οὐ δύναται ἰδεῖν; καὶ ταῦτα μὲν ἐπὶ τῶν ἀνθρώπων· τί δ' ἄν τις εἴποι τὰς χιλιάδας τῶν ἀγγέλων, τῶν ἀρχαγγέλων, τῶν χερουβίμ, τῶν σεραφίμ, τῶν θρόνων, τῶν κυριοτήτων, τῶν ἀρχῶν, τῶν ἐξουσιῶν, ὧν τὸ κάλλος ἀμήχανον, καὶ πάντα νοῦν ὑπερβαῖνον; ἀλλὰ γὰρ μέχρι τίνος οὐ στησόμεθα διώκοντες ἀνέφικτα; Οὔτε γὰρ ὀφθαλμὸς εἶδε, φησίν, οὔτε οὖς ἤκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. Οὐκοῦν οὐδὲν ἐλεεινότεροι τῶν ἀποτυγχανόντων, οὔτε μακαριώτεροι τῶν ἐπιτυγχανόντων· γένοιτο δὲ καὶ ἡμᾶς τῶν μακαρίων γενέσθαι, ἵνα καὶ τῶν αἰωνίων ἐπιτύχωμεν ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Margin notes: γρ. φόρους, — γρ. καὶ τὸ εἰς μέσον προτεθῆν. — * ἐχόντων — * ζωὴν — Λουκ. ιϛ. θ. — α. Κορ. β. θ.

Λογ. ζ 11 ΣΠΟΥΔΑΣΩΜΕΝ ΟΥΝ ΕΙΣΕΛΘΕΙΝ ΕΙΣ ἐκείνην τὴν κατάπαυσιν, ἵνα μὴ ἐν τῷ αὐτῷ τις ὑποδείγματι πέσῃ τῆς ἀπειθείας.
12 Ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ, καὶ ἐνεργής, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διϊκνούμενος ἄχρι μερισμοῦ ψυχῆς καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν· καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας.
13 Καὶ οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ· πάντα δὲ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ, πρὸς ὃν ἡμῖν ὁ λόγος.

σασις) ἢ ἑτέρως ἀπάτη ἐστὶν ἡ ἀναλγησία, ἡ ἀπόγνωσις. τὸ γὰρ λέγειν, τί ἐστι λοιπόν; ἅπαξ ἥμαρτον, οὐκ ἔχω ἐλπίδα τοῦ ἀνακτήσασθαι ἐμαυτόν, ἀπάτη ἐστίν. [χ. ἢ] εἶτα ἐλπίδας αὐτοῖς ἐντίθησι, λέγων, Μέτοχοι γεγόναμεν τοῦ Χριστοῦ· Μονονουχὶ λέγων, ὁ οὕτως ἡμᾶς ἀγαπήσας, ὁ τοσούτων ἡμᾶς καταξιώσας, ὥστε ἑαυτοῦ σῶμα ποιῆσαι, οὐ περιόψεται ἀπολλυμένους. ἐννοήσωμεν, φησί, τίνων κατηξιώθημεν. ἡμεῖς καὶ ὁ Χριστὸς ἕν ἐσμεν. μὴ τοίνυν ἀπιστῶμεν αὐτῷ. [2. Τιμ. 2. 12.] καὶ πάλιν ἐκεῖνο αἰνίττεται τὸ εἰρημένον ἑτέρωθι, ὅτι Εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν. τοῦτο γάρ ἐστι, μέτοχοι γεγόναμεν, τῆς αὐτῆς μετέχομεν ὧν καὶ ὁ Χριστός. προετρέψατο ἀπὸ τῶν χρηστῶν· μέτοχοι γάρ ἐσμεν, φησί, τοῦ Χριστοῦ. εἶτα πάλιν ἀπὸ τῶν σκυθρωπῶν· Φοβηθῶμεν μήποτε καταλειπομένης ἐπαγγελίας εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ, δοκῇ τις ἐξ ὑμῶν ὑστερηκέναι. ἐκεῖνο γὰρ δῆλον καὶ ὡμολογημένον ἐστίν· ἐδοκίμασάν με, φησί, καὶ εἶδον τὰ ἔργα μου τεσσαράκοντα ἔτη. ὁρᾷς ὅτι οὐ δεῖ τὸν Θεὸν ἀπαιτεῖν εὐθύνας, ἀλλ', εἴτε προΐσταται, εἴτε μή, πιστεύειν αὐτῷ; ἐκείνοις γὰρ τοῦτο ἐγκαλεῖ νῦν, ὅτι ἐπείρασαν τὸν Θεόν. ὁ γὰρ βουλόμενος ἀπόδειξιν λαβεῖν, ἢ τῆς δυνάμεως, ἢ τῆς προνοίας, ἢ τῆς κηδεμονίας αὐτοῦ, οὔπω πιστεύει οὔτε δυνατὸν αὐτὸν εἶναι), οὔτε φιλάνθρωπον. τοῦτο καὶ πρὸς τούτους γράφων αἰνίττεται, βουλομένους ἴσως ἤδη τῆς δυνάμεως αὐτοῦ καὶ τῆς ὑπὲρ αὐτῶν προνοίας τὴν ἐξέτασιν καὶ τὸν ἔλεγχον λαβεῖν ἐν τοῖς πειρασμοῖς. ὁρᾷς ὅτι ἀπὸ ἀπιστίας πανταχοῦ ὁ παροξυσμὸς καὶ ὁ παροργισμός; τί οὖν φησιν; ἄρα ἀπολείπεται σαββατισμὸς τῷ λαῷ τοῦ Θεοῦ. ὅρα δὲ πῶς ὅλον τὸν λόγον συνελογίσατο. ὤμοσε, φησί, τοῖς προτέροις μὴ εἰσελθεῖν αὐτοὺς εἰς τὴν κατάπαυσιν, καὶ οὐκ εἰσῆλθον. εἶτα μετ' ἐκείνους χρόνῳ πολλῷ ὕστερον διαλεγόμενος τοῖς Ἰουδαίοις, φησί, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς οἱ πατέρες ὑμῶν· δηλῶν ὅτι ἔστιν ἄλλη κατάπαυσις. περὶ μὲν γὰρ τῆς Παλαιστίνης οὐκ ἂν εἶπεν. εἶχον γὰρ αὐτήν. περὶ δὲ τῆς ἑβδόμης οὐκ ἔστιν εἰπεῖν. [χ. ἂν εἶχον] οὐ γὰρ δήπου περὶ ταύτης διελέγετο τῆς πάλαι γεγενημένης. ἄρα ἑτέραν τινὰ αἰνίττεται τὴν ὄντως ἀνάπαυσιν.

[ΗΘΙΚΟΝ] Ὅπου γὰρ ἐκείνη ἐστὶν ἀνάπαυσις, ἔνθα ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός, ἔνθα οὐδὲ φροντίδες, οὔτε πόνοι, οὔτε ἀγωνία, οὔτε φόβος καταπλήττων καὶ σείων τὴν ψυχήν, ἀλλὰ μόνος ὁ τοῦ Θεοῦ φόβος ἡδονῆς πλήρης ὤν. [Γεν. γ.] οὐκ ἔστιν ἐκεῖ ἀκοῦσαι, Ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου· οὐδέ, Ἀκάνθας, οὐδέ, τριβόλους ἀνατελεῖ σοι. οὐκέτι ἄκανθαι καὶ τρίβολοι. οὐκ ἔστιν, Ἐν λύπαις τέξεις τέκνα. οὐδέ, Πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει. [χ. καὶ πρὸς] πάντα εἰρήνη ἐκεῖ, χαρά, εὐφροσύνη, ἡδονή, ἀγαθωσύνη, πρᾳότης, εὐθύτης, ἀγάπη. οὐκ ἔστιν ἐκεῖ ζηλοτυπία, οὐδὲ βασκανία, οὐ νόσος, οὐ θάνατος οὔτε ὁ τοῦ σώματος, οὐκ ἐκεῖνος ὁ τῆς ψυχῆς, οὐκ ἔστι σκότος, οὔτε νύξ· πάντα ἡμέρα, πάντα φῶς, πάντα ἄνεσις. [χ. -τα ἡμέρα λαμπρά. ἡ] οὐκ ἔστι κάμνειν, οὐκ ἔστι κόρον λαβεῖν, ἀλλ' ἀεὶ ἐν ἐπιθυμίᾳ τῶν ἀγαθῶν διατελέσομεν. βούλεσθε δῶ τινα καὶ εἰκόνα ὑμῖν τῆς ἐκεῖ καταστάσεως; οὐκ ἔστι δυνατόν. πλὴν ἀλλ' ὅμως, ὡς ἂν ᾖ δυνατόν, πειράσομαι ὑμῖν δοῦναί τινα εἰκόνα. ἀναβλέψωμεν εἰς τὸν οὐρανόν, ὅταν, μηδενὸς ἐνοχλοῦντος νέφους, φαίνῃ τὸν ἑαυτοῦ στέφανον. εἶτα πρὸς τὸ κάλλος τῆς ὄψεως αὐτοῦ πολὺν διατρίψαντες χρόνον, ἐννοήσωμεν ὅτι καὶ ἔδαφος ἕξομεν οὐ τοιοῦτον ὄν, ἀλλὰ τοσούτῳ ἡγούμενοι κάλλιον, ὅσῳ τῶν πηλίνων ὀρόφων ὁ χρυσοῦς. [χ. ἴσωθεν] εἶτα τὸν μετ' ἐκεῖνον πάλιν τὸν ἀνώτερον ὄροφον· ἔπειτα τοὺς ἀγγέλους, τοὺς ἀρχαγγέλους, τοὺς ἀπείρους δήμους τῶν ἀσωμάτων δυνάμεων, αὐτὰ τοῦ Θεοῦ τὰ βασίλεια, τὸν θρόνον τὸν πατρικόν. ἀλλ' οὐκ ἰσχύει (ὅπερ ἔφην) ὁ λόγος παραστῆσαι τὸ πᾶν· πείρας χρεία, καὶ τῆς διὰ πείρας γνώσεως. πῶς οἴεσθε, εἰπέ μοι, τὸν Ἀδὰμ εἶναι ἐν τῷ παραδείσῳ; πολὺ βελτίων ἐστὶν ἐκείνης αὕτη ἡ διαγωγή, ὅσῳ τῆς γῆς ὁ οὐρανός. πλὴν ἀλλὰ καὶ ἑτέραν εἰκόνα ἐπιζητήσωμεν. εἰ συνέβη τὸν βασιλεύοντα νῦν πάσης τῆς οἰκουμένης κρατῆσαι, εἶτα μήτε

ὑπὸ

προείρηται. Τί δέ ἐστιν ὅ φησι; ἐπεὶ οὖν ὀφείλουσί, φησί, τινες εἰσελθεῖν πάντως, ἐκεῖνοι δὲ οὐκ εἰσῆλθον, πάλιν ὁρίζει τινὰ τὴν ἄλλην κατάπαυσιν. ὅτι δὲ εἰσελθεῖν χρή, καὶ δεῖ τινας εἰσελθεῖν, ἀκούσωμεν πόθεν τοῦτο κατασκευάζει. ὅτι μετὰ τοσαῦτα ἔτη, φησί, λέγει πάλιν Δαβίδ, σήμερον, ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ.

8 Εἰ γὰρ αὐτοὺς Ἰησοῦς κατέπαυσεν, οὐκ ἂν περὶ ἄλλης ἐλάλει μετὰ ταῦτα ἡμέρας. Δῆλον οὖν ὅτι ὡς μελλόντων τινῶν τεύξεσθαί τινος ἀμοιβῆς, ταῦτά φησι.

9 Ἄρα ἀπολείπεται σαββατισμὸς τῷ λαῷ τοῦ Θεοῦ. Πόθεν; ἐκ τοῦ παραγγέλλειν, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν. οὐ γὰρ ἄν, εἰ μὴ ἦν σαββατισμός, ταῦτα παρηγγέλλετο, οὐδὲ ἐκέλευον μὴ τὰ αὐτὰ ποιεῖν, ἵνα μὴ τὰ αὐτὰ πάθωσιν, εἰ μὴ ἔμελλον τὰ αὐτὰ πείσεσθαι. πῶς δὲ ἔμελλον τὰ αὐτὰ πείσεσθαι τὴν Παλαιστίνην ἔχοντες, εἰ μὴ ἑτέρα τις ἦν κατάπαυσις; καὶ καλῶς συνεπέρανε τὸν λόγον. οὐ γὰρ εἶπε, κατάπαυσις, ἀλλά, σαββατισμός, τὸ οἰκεῖον ὄνομα, καὶ ᾧ ἔχαιρον καὶ ἐπέτεχον[?], σαββατισμὸν τὴν βασιλείαν καλῶν. ὥσπερ γὰρ ἐν τῷ σαββάτῳ πάντων μὲν τῶν πονηρῶν ἀπέχεσθαι κελεύει, ἐκεῖνα δὲ μόνα γίνεσθαι τὰ πρὸς λατρείαν τοῦ Θεοῦ, ἅπερ οἱ ἱερεῖς ἐπετέλουν, καὶ ὅσα ψυχὴν ὠφελεῖ, καὶ μηδὲν ἕτερον· οὕτω καὶ τότε. ἀλλ᾽ αὐτὸς οὐχ οὕτως εἶπεν, ἀλλὰ πῶς;

10 Ὁ γὰρ εἰσελθὼν εἰς τὴν κατάπαυσιν αὐτοῦ, καὶ αὐτὸς κατέπαυσεν ἀπὸ * τῶν ἔργων αὐτοῦ, ὥσπερ ἀπὸ τῶν ἰδίων ὁ Θεός. Ὥσπερ ὁ Θεὸς κατέπαυσε, φησίν, ἀπὸ τῶν ἔργων αὐτοῦ, οὕτως ὁ εἰσελθὼν εἰς τὴν κατάπαυσιν αὐτοῦ. ἐπειδὴ γὰρ περὶ ἀναπαύσεως αὐτοῖς ὁ λόγος ἦν, καὶ τοῦτο σφόδρα ἐπιθύμουν ἀκοῦσαι πότε ἔσται εἰς τοῦτο τὸν λόγον κατέκλεισε. τὸ δέ, σήμερον, εἶπεν, ὥστε μηδέποτε ἀπελπίζειν αὐτούς. παρακαλεῖτε, φησίν, ἑαυτοὺς καθ᾽ ἑκάστην ἡμέραν, ἄχρις οὗ τὸ σήμερον καλεῖται. τουτέστι, κἂν τις ἡμαρτηκὼς ᾖ· ἕως ἂν ᾖ τὸ σήμερον, ἐλπίδας ἔχει. μηδεὶς τοίνυν ἀπογινωσκέτω, ἕως ἂν ζῇ. μάλιστα μὲν οὖν, φησί, μηδὲ ἔστω καρδία πονηρὰ ἀπιστίας. εἰ δὲ καὶ γένοιτο, μηδεὶς ἀπογινωσκέτω, ἀλλὰ ἀναλαμβανέτω ἑαυτόν. ἕως μὲν γάρ ἐσμεν ἐν τῷδε τῷ κόσμῳ, τὸ σήμερον ἔχει καιρόν. ἐνταῦθα δὲ οὐ τὴν ἀπιστίαν μόνον λέγει, ἀλλὰ καὶ τοὺς γογγυσμούς. ὧν τὰ κῶλα, φησίν, ἔπεσεν ἐν τῇ ἐρήμῳ. εἶτα ἵνα μὴ νομίσῃ τις ὅτι ἁπλῶς τῆς ἀναπαύσεως ἀποστερηθήσονται μόνον, ἐπάγει καὶ κόλασιν, εἰπών,

12 Ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ, καὶ ἐνεργής, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διϊκνούμενος ἄχρι μερισμοῦ ψυχῆς καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν· καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας. Ἐνταῦθα περὶ τῆς γεέννης διαλέγεται, καὶ περὶ τῆς κολάσεως· εἰς τὰ κρυπτά, φησί, διϊκνεῖται τῆς καρδίας τῆς ἡμετέρας, καὶ διατέμνει τὴν ψυχήν. οὐ κῶλα ἐστὶ πεσεῖν ἐνταῦθα, οὐδὲ γῆς ἀποστερηθῆναι, καθάπερ ἐκεῖ, ἀλλὰ βασιλείας οὐρανῶν, καὶ γεέννῃ παραδοθῆναι αἰωνίᾳ, καὶ κολάσει ἀθανάτῳ καὶ τιμωρίᾳ.

Ἀλλὰ παρακαλεῖτε ἑαυτούς. Ὅρα τὸ ἡμερον καὶ προσηνές[?]. οὐκ εἶπεν, ἐπιτιμᾶτε, ἀλλά, παρακαλεῖτε. οὕτως ἡμᾶς χρὴ τοῖς ἀπὸ θλίψεως στενοχωρουμένοις προσφέρεσθαι. τοῦτο καὶ Θεσσαλονικεῦσι γράφων φησί, Νουθετεῖτε τοὺς ἀτάκτους. περὶ δὲ τῶν ὀλιγοψύχων οὐχ οὕτως, ἀλλὰ τί; Παραμυθεῖσθε τοὺς ὀλιγοψύχους, ἀντέχεσθε τῶν ἀσθενῶν, μακροθυμεῖτε πρὸς πάντας. ὅ τί ἐστι, παρακαλεῖτε; αἰτιῶ[?] τοῦ. μὴ ἀπελπίσητε, μὴ ἀπογνῶτε. οἱ γὰρ ἀπὸ θλίψεως στενοχωρούμενοι ὁ μὴ παρακαλῶν, σκληροτέρους ποιεῖ. ἵνα * μὴ σκληρυνθῇ ἐξ ὑμῶν τις, φησιν, ἀπάτῃ τῆς ἁμαρτίας. ἢ τὴν ἀπάτην τοῦ διαβόλου φησίν (ἀπάτη γάρ ἐστιν ὄντως, τὸ μηδὲν περὶ τῶν μελλόντων προσδοκᾶν, τὸ νομίζειν ὅτι αἰσθῦναι[?] ἔσται τὰ ἡμέτερα, καὶ ὅτι τῶν πεπραγμένων ἡμῖν ἐνταῦθα οὐ δώσομεν δίκην, οὐδὲ ἔσται ἀνάστασις)

χ. -γέλλει, μὴ

* πάντων[?]

χ. -σονται

ἁ Θεσ. ε. ιδ.

χ. τουτέστι, μὴ ἀπελ.

* πω[?]

αὐτοῦ. Ἐάνπερ τὴν ἀρχὴν τῆς ὑποστάσεως μέχρι τέλους βεβαίαν κατάσχωμεν.

Τί ἐστιν ἀρχὴ τῆς ὑποστάσεως; τὴν πίστιν λέγει, δι᾽ ἧς ὑπέστημεν, καὶ * γεγενήμεθα, καὶ ″συνουσιώθημεν, ὡς ἄν τις εἴποι. Εἶτα ἐπάγει, * ἐν χ. ἐσώθημεν.

15 Ἐν τῷ λέγεσθαι, σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὥσπερ ἐν τῷ παραπικρασμῷ. Καθ᾽ ὑπερβατόν ἐστι τοῦτο· τὸ ἀκόλουθον δὲ οὕτως ἔχει,

κεφ. δ.

1 Φοβηθῶμεν οὖν, μήποτε καταλειπομένης ἐπαγγελίας εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ, δοκῇ τις ἐξ ὑμῶν ὑστερηκέναι.

2 Καὶ γάρ ἐσμεν εὐηγγελισμένοι, ὥσπερ κἀκεῖνοι, Ἐν τῷ λέγεσθαι, σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε. τὸ γὰρ σήμερον, ἀεί ἐστιν. Εἶτα ἐπάγει, Ἀλλ᾽ οὐκ ὠφέλησεν ὁ λόγος τῆς ἀκοῆς ἐκείνους, μὴ ″συγκεκραμένος τῇ πίστει τοῖς ἀκούσασι. Δεικνὺς πῶς ὁ λόγος οὐκ ὠφέλησεν (ἐκ γὰρ τοῦ μὴ συγκραθῆναι, οὐκ ὠφελήθησαν) εἶτα βουλόμενος αὐτοὺς φοβῆσαι, δείκνυσιν αὐτοῖς τοῦτο, δι᾽ ὧν φησι, ″χ. -μένους τῇ πίστει τοὺς ἀκούσαντας.

16 Τινὲς γὰρ ἀκούσαντες παρεπίκραναν, ἀλλ᾽ οὐ πάντες οἱ ἐξελθόντες ἐξ Αἰγύπτου διὰ Μωϋσέως·

17 Τίσι δὲ προσώχθισε τεσσαράκοντα ἔτη; οὐχὶ τοῖς ἁμαρτήσασιν, ὧν τὰ κῶλα ἔπεσεν ἐν τῇ ἐρήμῳ;

18 Τίσι δὲ ὤμοσε μὴ εἰσελεύσεσθαι εἰς τὴν κατάπαυσιν αὐτοῦ, εἰ μὴ τοῖς ἀπειθήσασι;

19 Καὶ βλέπομεν, ὅτι οὐκ ἠδυνήθησαν εἰσελθεῖν δι᾽ ἀπιστίαν. Εἰπὼν πάλιν τὴν μαρτυρίαν, ″καὶ τὴν ἐρώτησιν ἐπάγει, ποιῶν τὸν λόγον σαφῆ. Εἶπε γάρ, φησι, σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ. τίνων μέμνηται, φησι, σκληρυνθέντων, τίνων δὲ ἀπειθησάντων; οὐχὶ τῶν Ἰουδαίων; ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἤκουσαν κἀκεῖνοι, φησιν, ὥσπερ ἡμεῖς ἀκούομεν, ἀλλ᾽ οὐδὲν ὄφελος αὐτοῖς γέγονε. μὴ τοίνυν νομίσητε ὅτι ἀπὸ τοῦ ἀκούειν τοῦ κηρύγματος ὠφεληθήσεσθε· ἐπεὶ κἀκεῖνοι ἤκουσαν, ἀλλ᾽ οὐδὲν ἀπώναντο, ἐπειδὴ μὴ ἐπίστευσαν. οἱ οὖν περὶ Χάλεβ καὶ Ἰησοῦν, ἐπειδὴ μὴ συνεκράθησαν τοῖς ἀπιστήσασι, τουτέστιν, οὐ συνεφώνησαν, διέφυγον τὴν κατ᾽ ἐκείνων ἐξενεχθεῖσαν τιμωρίαν. καὶ ὅρα τι θαυμαστόν. οὐκ εἶπεν, οὐ συνεφώνησαν, ἀλλ᾽, οὐ συνεκράθησαν· τουτέστιν, ἀστασιάστως διέστησαν, ἐκείνων πάντων μίαν καὶ τὴν αὐτὴν γνώμην ἐσχηκότων. ἐνταῦθά μοι δοκεῖ καὶ στάσιν αἰνίττεσθαι. ″χ. κατ᾽ ἐρώτησιν πάλιν ἐ.

3 Εἰσερχόμεθα γάρ, φησιν, εἰς τὴν κατάπαυσιν [οἱ πιστεύσαντες]. Εἶτα τοῦτο βεβαιῶν ἐπήγαγε, καθὼς εἴρηκεν, ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου· καίτοι τῶν ἔργων ἀπὸ καταβολῆς κόσμου γενηθέντων. Ἐπειδὴ εἰκὸς ἦν εἰπεῖν τινα, καὶ μὴν τοῦτο οὐ τοῦ ἡμᾶς εἰσελεύσεσθαι δηλωτικόν ἐστιν, ἀλλὰ τοῦ ἐκείνους μὴ εἰσεληλυθέναι, τί ποιεῖ; σπουδάζει δεῖξαι πῶς, ὅτι ὥσπερ ἡ κατάπαυσις ἐκείνη οὐ κωλύει ἑτέραν κατάπαυσιν λέγεσθαι, οὕτως οὐδὲ αὕτη τὴν τῶν οὐρανῶν. πῶς οὖν θέλει δεῖξαι, ὅτι οὐκ ἔτυχον ἐκεῖνοι τῆς καταπαύσεως. ὅτι γὰρ τοῦτο λέγει, δῆλον ἐξ ὧν ἐπάγει·

4 Εἴρηκε γάρ που περὶ τῆς ἑβδόμης οὕτω, καὶ κατέπαυσεν ὁ Θεὸς τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ·

5 Καὶ ἐν τούτῳ πάλιν, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου. Ὁρᾷς πῶς οὐ κωλύει ἐκείνη ταύτην εἶναι κατάπαυσιν;

6 Ἐπεὶ οὖν ἀπολείπεται, φησί, τινας εἰσελθεῖν εἰς αὐτήν, καὶ οἱ πρότερον εὐαγγελισθέντες οὐκ εἰσῆλθον δι᾽ ἀπείθειαν·

7 Πάλιν τινὰ ὁρίζει ἡμέραν, σήμερον, ἐν Δαβὶδ λέγων μετὰ τοσοῦτον χρόνον, καθὼς προείρηται.

φθονίαν ἐχαρίσατο, καὶ τὸ μάννα παρέσχε, καὶ ταῦτα ἀναμνησθέντας καὶ τὰ ἄλλα θαύματα ἅπερ εἰργάσατο, πιστεῦσαι τῷ Θεῷ· τούτων μὲν οὐδὲν ἐνενόησαν, ἀλλ' ὡς μηδενὸς γενομένου, οὕτω καταπλαγέντες, πάλιν εἰς Αἴγυπτον ὑποστρέφειν ἐβούλοντο, λέγοντες, Ἐξήγαγεν ἡμᾶς ὧδε ὁ Θεὸς, ὥστε ἀνελεῖν ἡμᾶς μετὰ παίδων καὶ γυναικῶν. ὁ τοίνυν Θεὸς ὀργιζόμενος, ὅτι οὕτω ταχέως ἐξέβαλον τὴν τῶν γεγενημένων μνήμην, ὤμοσε μὴ εἰσελθεῖν τὴν γενεὰν ἐκείνην τὴν ταῦτα εἰρηκυῖαν εἰς τὴν κατάπαυσιν· καὶ πάντες ἀπώλοντο ἐν τῇ ἐρήμῳ. ἐπεὶ οὖν ὁ Δαβὶδ ὕστερον μετὰ τὴν γενεὰν τὴν ἐκείνην διελέγετο· σήμερον, ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, φησι, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ. διὰ τί; ἵνα μὴ τὰ αὐτὰ πάθητε, ἅπερ οἱ πρόγονοι οἱ ὑμέτεροι, καὶ ἀποστερηθῆτε τῆς καταπαύσεως· δῆλον ὅτι ὡς οὔσης τινὸς καταπαύσεως ταῦτα ἔλεγεν. ἐπεὶ εἰ ἀπειληφότες ἦσαν τὴν κατάπαυσιν, φησι, τίνος ἕνεκεν αὖθις πάλιν λέγει τὸ, σήμερον, ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, * ὡς ἐν τῷ παραπικρασμῷ; τίς οὖν ἐστιν ἄλλη κατάπαυσις, ἀλλ' ἢ ἡ βασιλεία τῶν οὐρανῶν, ἧς εἰκὼν καὶ τύπος ἐστὶ τὸ σάββατον; εἶτα θεὶς τὴν μαρτυρίαν πᾶσαν (αὕτη δέ ἐστι, σήμερον, ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ, κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ· οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν, ἐδοκίμασάν με, καὶ εἶδον τὰ ἔργα μου τεσσαράκοντα ἔτη. διὸ προσώχθισα τῇ γενεᾷ ἐκείνῃ, καὶ εἶπον, ἀεὶ πλανῶνται τῇ καρδίᾳ· αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου. ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου) τότε ἐπάγει,

[Margin: χ δὲ — Ἀριθ. ιδ. — * ὡς οἱ πατέρες ὑμῶν]

12 Βλέπετε μή ποτε ἔσται ἔν τινι ὑμῶν καρδία πονηρὰ ἀπιστίας, ἐν τῷ ἀποστῆναι ἀπὸ Θεοῦ ζῶντος. Ἀπὸ γὰρ τῆς σκληρότητος ἡ ἀπιστία γίνεται. καὶ καθάπερ τὰ πεπωρωμένα τῶν σωμάτων καὶ σκληρὰ οὐκ εἴκει ταῖς τῶν ἰατρῶν χερσίν· οὕτω καὶ αἱ ψυχαὶ αἱ σκληρυνθεῖσαι οὐκ εἴκουσι τῷ λόγῳ τοῦ Θεοῦ. εἰκὸς γὰρ τινας καὶ ἀπιστεῖν λοιπὸν, ὡς οὐκ ὄντων ἀληθῶν τῶν γεγενημένων. διὰ τοῦτό φησι, Βλέπετε μή ποτε ἔσται ἔν τινι ὑμῶν καρδία πονηρὰ ἀπιστίας, ἐν τῷ ἀποστῆναι ἀπὸ Θεοῦ ζῶντος. ἐπειδὴ γὰρ ὁ τῶν μελλόντων λόγος οὐκ ἔστιν οὕτω πιθανὸς, ὡς ὁ τῶν παρελθόντων, ἀναμιμνήσκει αὐτοὺς ἱστορίας, ἐν ᾗ πίστεως ἐδεήθησαν. Εἰ γὰρ οἱ πατέρες ὑμῶν, φησὶν, ἐπειδὴ οὐκ ἤλπισαν, ὥσπερ ἐχρῆν ἐλπίσαι, ταῦτα ἔπαθον· πολλῷ μᾶλλον ὑμεῖς. καὶ γὰρ πρὸς αὐτοὺς οὗτός ἐστιν ὁ λόγος. τὸ γὰρ σήμερόν, φησιν, ἀεί ἐστιν, ἕως ἂν συνεστήκῃ ὁ κόσμος.

13 Ἀλλὰ παρακαλεῖτε ἑαυτοὺς καθ' ἑκάστην ἡμέραν, ἄχρις οὗ τὸ σήμερον καλεῖται.

Τουτέστιν, οἰκοδομεῖτε ἀλλήλους, ἀνορθώσατε ἑαυτοὺς, ἵνα μὴ τὰ αὐτὰ γένηται.

Ἵνα μὴ σκληρυνθῇ τις ἐξ ὑμῶν ἀπάτῃ τῆς ἁμαρτίας. Ὁρᾷς ὅτι τὴν ἀπιστίαν ἡ ἁμαρτία ποιεῖ; ὥσπερ γὰρ ἡ ἀπιστία βίον τίκτει πονηρὸν, οὕτω καὶ ἡ ψυχὴ, ὅταν εἰς βάθος ἔλθῃ κακῶν, καταφρονεῖ· καταφρονήσασα δὲ, οὐδὲ πιστεύειν ἀνέχεται, ὥστε ἀπαλλάξαι φόβου ἑαυτήν. Εἶπε γὰρ, φησιν, Οὐκ ὄψεται Κύριος, οὐδὲ συνήσει ὁ Θεὸς τοῦ Ἰακώβ. καὶ πάλιν, Τὰ χείλη ἡμῶν παρ' ἡμῖν ἐστι· τίς ἡμῶν κύριός ἐστι; καὶ πάλιν, Ἕνεκεν τίνος παρώξυνεν ὁ ἀσεβὴς τὸν Θεόν; καὶ πάλιν, Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι Θεός. διεφθάρησαν καὶ ἐβδελύχθησαν ἐν ἐπιτηδεύμασι. καὶ πάλιν, Οὐκ ἔστι φόβος Θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτοῦ. καὶ πάλιν, Ὅτι ἐδόλωσεν ἐνώπιον αὐτοῦ τοῦ εὑρεῖν τὴν ἀνομίαν αὐτοῦ, καὶ μισῆσαι. καὶ ὁ Χριστὸς δὲ αὐτὸ τοῦτο δηλοῖ, λέγων, Πᾶς ὁ φαῦλα πράσσων, μισεῖ τὸ φῶς, καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς. Εἶτα ἐπάγει,

[Margin: χ λέγεται — χ. ἰδὲ — Ψαλ. ϟγ. ζ. — Ψαλ. ια. δ. — Ψαλ. θ. λγ. — Ψαλ. ιγ. α. β. — Ψαλ. λε. β. — Ἰωαν. γ. κ.]

14 Μέτοχοι γὰρ γεγόναμεν τοῦ Χριστοῦ. Τί ἐστι, μέτοχοι γεγόναμεν τοῦ Χριστοῦ; μετέχομεν αὐτοῦ, φησιν, ἓν ἐγενόμεθα ἡμεῖς καὶ αὐτός· εἴπερ αὐτὸς μὲν κεφαλὴ, σῶμα δὲ ἡμεῖς, συγκληρονόμοι καὶ σύσσωμοι. ἓν σῶμά ἐσμεν, ἐκ τῆς σαρκὸς αὐτοῦ, φησι, καὶ ἐκ τῶν ὀστέων αὐτοῦ.

[Margin: χ καὶ ἐκ]

Digitized by Google

οὕτω, καὶ δυνησόμεθα περιγενέσθαι τῶν πολεμίων, καὶ τοὺς στεφάνους τῆς νίκης ἀναδήσασθαι, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Ψαλ. 4ε. Λογ. ϛ. 7 ΔΙΟ ΚΑΘΩΣ ΛΕΓΕΙ ΤΟ ΠΝΕΥΜΑ ΤΟ ἅγιον, σήμερον, ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε,
8 Μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ, κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ·
9 Οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν, ἐδοκίμασάν με, καὶ εἶδον τὰ ἔργα μου τεσσαράκοντα ἔτη.
10 Διὸ προσώχθισα τῇ γενεᾷ ἐκείνῃ, καὶ εἶπον, ἀεὶ πλανῶνται τῇ καρδίᾳ· αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου.
11 Ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου.

Διαλεχθεὶς περὶ ἐλπίδος ὁ Παῦλος, καὶ εἰπὼν ὅτι οἶκος αὐτοῦ ἐσμεν, ἐάνπερ τὴν παῤῥησίαν καὶ τὸ καύχημα τῆς ἐλπίδος μέχρι τέλους βεβαίαν κατάσχωμεν, δείκνυσι λοιπὸν ὅτι βεβαίως χρὴ προσδοκᾶν· καὶ τοῦτο πιστοῦται ἀπὸ τῶν γραφῶν. πρόσεχε δέ. δυσκολώτερον γάρ πως αὐτὸ ἔφρασε, καὶ δυσκαταληπτότερον. διὸ χρὴ τὰ παρ' ἡμῶν πρότερον εἰπόντας, καὶ συντόμως τὴν πᾶσαν ὑμᾶς ὑπόθεσιν διδάξαντας, οὕτως ἐπαφεῖναι τὸν λόγον τοῖς γεγραμμένοις. οὐκέτι γὰρ ἡμῖν δυσνοηθήσεται, ἐὰν τὸν σκοπὸν μάθητε τὸν ἀποστολικόν. περὶ ἐλπίδος ἦν αὐτῷ ὁ λόγος, καὶ ὅτι χρὴ ἐλπίζειν τὰ μέλλοντα, καὶ ὅτι ἔσται πάντως τοῖς ἐνταῦθα πονήσασι μισθός τις καὶ καρπὸς καὶ ἀνάπαυσις. τοῦτο οὖν ἀπὸ τοῦ προφήτου δείκνυσι· καὶ τί φησι; διὸ καθὼς λέγει τὸ πνεῦμα τὸ ἅγιον, σήμερον, ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ, κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ· οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν, ἐδοκίμασάν με, καὶ εἶδον τὰ ἔργα μου τεσσαράκοντα ἔτη. διὸ προσώχθισα τῇ γενεᾷ ἐκείνῃ, καὶ εἶπον, ἀεὶ πλανῶνται τῇ καρδίᾳ· αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου. ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου. τρεῖς φησι καταπαύσεις εἶναι· μίαν τὴν τοῦ σαββάτου, ἐν ᾗ ὁ Θεὸς κατέπαυσεν ἀπὸ τῶν ἔργων αὐτοῦ· δευτέραν τὴν τῆς Παλαιστίνης, εἰς ἣν εἰσελθόντες οἱ Ἰουδαῖοι ἔμελλον ἀναπαύεσθαι ἀπὸ τῆς ταλαιπωρίας τῆς πολλῆς καὶ τῶν πόνων· τρίτην τὴν καὶ ὄντως ἀνάπαυσιν, τὴν βασιλείαν τῶν οὐρανῶν, ἧς οἱ τυχόντες ἀναπαύονται ἀληθῶς τῶν κόπων καὶ τῶν μόχθων. τῶν τριῶν τοίνυν ἐνταῦθα μέμνηται. καὶ τίνος ἕνεκεν περὶ τῆς μιᾶς διαλεγόμενος, τῶν τριῶν ἐμνημόνευσεν; ἵνα δείξῃ τὸν προφήτην περὶ ταύτης λέγοντα. περὶ μὲν γὰρ τῆς πρώτης οὐκ εἶπε [φησι]. πῶς γάρ, τῆς πάλαι γεγενημένης; ἀλλ' οὐδὲ περὶ τῆς δευτέρας τῆς ἐν Παλαιστίνῃ. πῶς γάρ, καὶ αὐτῆς τέλος ἤδη λαβούσης; λείπεται δὴ περὶ τῆς τρίτης αὐτὸν λέγειν λοιπόν. ἀναγκαῖον δὲ καὶ τὴν ἱστορίαν ἀναπτύξαι, ὥστε σαφέστερον ποιῆσαι τὸν λόγον. ἐπειδὴ γὰρ ἀπὸ τῆς Αἰγύπτου ἐξελθόντες, καὶ πολλὴν ὁδὸν διανύσαντες, καὶ μυρία τῆς τοῦ Θεοῦ δυνάμεως λαβόντες τεκμήρια, ἔν τε τῇ Αἰγύπτῳ, ἔν τε τῇ ἐρυθρᾷ θαλάττῃ, ἔν τε τῇ ἐρήμῳ, ἐβουλεύσαντο πέμψαι κατασκόπους τοὺς διασκεψομένους τὴν φύσιν τῆς γῆς, οἱ δὲ ἀπελθόντες ἐπανῆλθον, τὴν μὲν χώραν θαυμάζοντες, καὶ γενναίων καρπῶν εὔφορον εἶναι λέγοντες, ἀνθρώπων μέντοι ἀκαταμαχήτων εἶναι χώραν καὶ ἰσχυρῶν· οἱ ἀγνώμονες Ἰουδαῖοι καὶ ἀναίσθητοι, δέον αὐτοὺς τῶν προτέρων τοῦ Θεοῦ εὐεργεσιῶν ἀναμνησθῆναι, καὶ πῶς αὐτοὺς εἰς μέσον ἀπειλημμένους στρατοπέδων τοσούτων Αἰγυπτιακῶν, οὐ μόνον ἐξήρπασε τῶν κινδύνων, ἀλλὰ καὶ τῶν λαφύρων αὐτῶν ἐποίησε κυρίους, καὶ πῶς πάλιν ἐν τῇ ἐρήμῳ πέτραν ἔῤῥηξε, καὶ τῶν ὑδάτων τὴν ἀ-

γ. ...σιν το

γ. γάρ; ἵνα εἰσελεύσονται, φησιν, εἰς τὴν κατάπαυσίν μου. λείπεται δὴ τὴν τρίτην εἶναι ταύτην λοιπόν.

γ. ἐβουλήθησαν

γ. εἶναι ἐν τῷ χώρᾳ(?) τὴν χώραν.

φθονίαν

μὴ ἴδοιτο. τοῦτο γὰρ οὐκ ἔστι στρατιώτου, ἀλλὰ στασιαστοῦ. ἐὰν δὲ ἡ τῆς εὐσεβείας σάλπιγξ καλῇ, εὐθέως ἔξιθι, καὶ καταφρόνησον τῆς ψυχῆς, καὶ ἔμβηθι μετὰ πολλῆς τῆς προθυμίας εἰς τοὺς ἀγῶνας, ῥῆξον τὴν φάλαγγα τῶν ἐναντίων, σύγκοψον τὸ πρόσωπον τοῦ διαβόλου, στῆσον τὸ τρόπαιον. ἐὰν δὲ μηδὲν ἡ εὐσέβεια παραβλάπτηται, μηδὲ πορθῇ τις τὰ ἡμέτερα δόγματα (τὰ κατὰ τὴν ψυχὴν λέγω) μηδὲ ἀναγκάζῃ τι ποιεῖν τῶν μὴ δοκούντων τῷ Θεῷ, μὴ περίεργος ἔσο. αἱμάτων δὲ γέμει τὸν τοῦ χριστιανοῦ βίον, αἱμάτων, οὐκ ἐν τῷ τὰ ἀλλότρια ἐκχεῖν, ἀλλ' ἐν τῷ ἕτοιμον εἶναι τὸ ἑαυτοῦ ἐκχεῖν. μετὰ τοσαύτης τοίνυν προθυμίας τὸ ἴδιον αἷμα ἐκχέωμεν, ὅταν ὑπὲρ τοῦ Χριστοῦ "τοῦτο ᾖ, μεθ' ὅσης ἂν ὕδωρ τις ἐκχέοι (καὶ γὰρ ὕδωρ ἐστὶ τὸ αἷμα περιρρέον τὸ σῶμα) καὶ μετὰ τοσαύτης εὐκολίας τὴν σάρκα ἀποδυώμεθα, μεθ' ὅσης ἂν καὶ τὸ ἱμάτιον. τοῦτο δὲ ἔσται, ἐὰν μὴ χρήμασιν ὦμεν προσδεδεμένοι, ἂν μὴ οἰκίαις, ἂν μὴ "προσπαθείᾳ τῶν παρόντων ὦμεν ἀπηρτημένοι. εἰ γὰρ οἱ τὸν στρατιωτικὸν τοῦτον βίον ζῶντες πᾶσιν ἀποτάσσονται, καὶ ἔνθα ἂν ὁ πόλεμος καλῇ, ἐκεῖ παραγίνονται, καὶ ὁδοιποροῦσι, καὶ πάντα μετὰ προθυμίας ὑπομένουσι· πολλῷ μᾶλλον ἡμᾶς τοὺς τοῦ Χριστοῦ στρατιώτας οὕτω παρασκευάζεσθαι χρή, καὶ παρατάττεσθαι πρὸς τὸν πόλεμον τῶν παθῶν. οὐκ ἔστι διωγμὸς νῦν, μηδὲ γένοιτο γενέσθαι ποτέ· ἀλλ' ἕτερος πόλεμός ἐστιν, ὁ τῆς τῶν χρημάτων ἐπιθυμίας, ὁ τῆς βασκανίας, ὁ τῶν ἄλλων παθῶν. τοῦτον τὸν πόλεμον διηγούμενος ὁ Παῦλός φησιν, Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα. ἀεὶ οὗτος ὁ πόλεμος ἐνέστηκε. διὰ τοῦτο ἀεὶ ὡπλισμένους ἡμᾶς εἶναι βούλεται. Στῆτε οὖν, φησί, περιζωσάμενοι. ὅπερ καὶ αὐτὸ "ἐνεστῶτός ἐστι καιροῦ. καὶ ἐνέφηνεν, ὅτι ἀεὶ δεῖ ὁπλίζεσθαι. πολὺς γὰρ ὁ πόλεμος διὰ γλώττης, πολὺς διὰ ὀφθαλμῶν. τοῦτον τοίνυν "κατέχωμεν. πολὺς ὁ τῶν ἐπιθυμιῶν. διὰ τοῦτο ἐκεῖθεν ἄρχεται καθοπλίζειν τὸν στρατιώτην τοῦ Χριστοῦ. Στῆτε γάρ, φησί, περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν καὶ ἐπήγαγεν, ἐν ἀληθείᾳ. διὰ τί ἐν ἀληθείᾳ; ἐμπαιγμὸς γάρ ἐστι καὶ ψεῦδος ἡ ἐπιθυμία, ὥς που καὶ ὁ Δαβὶδ ἔφη, Αἱ ψόαι μου ἐπλήσθησαν ἐμπαιγμάτων. οὐκ ἔστιν ἡδονὴ τὸ πρᾶγμα, ἀλλὰ σκιὰ ἡδονῆς. διὰ τοῦτο περιζωσάμενοι, φησί, τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ· τουτέστι, τῇ ἀληθινῇ ἡδονῇ, τῇ σωφροσύνῃ, τῇ κοσμιότητι. "διὰ ταῦτα δὲ παρεγγυᾷ, εἰδὼς τῆς ἁμαρτίας τὴν ἀτοπίαν, καὶ βουλόμενος ἡμῶν τὰ μέλη πάντα περιπεφράχθαι. Θυμὸς γάρ, φησίν, ἄδικος οὐκ ἀθωωθήσεται. καὶ θώρακα ἡμᾶς περικεῖσθαι βούλεται, καὶ ἀσπίδα. θηρίον γάρ ἐστιν εὐκόλως ἐπιπηδῶν ὁ θυμός, καὶ μυρίων θριγκίων καὶ διαφραγμάτων ἡμῖν δεῖ πρὸς τὸ περιγενέσθαι καὶ κατασχεῖν. καὶ διὰ τοῦτο μάλιστα ἡμῖν τοῦτο τὸ μέρος, ὥσπερ ἐκ τινῶν λίθων, τῶν ὀστέων ᾠκοδόμησεν ὁ Θεὸς "ἔρυσμα αὐτοῦ περιθεὶς ταῦτα, ὥστε μὴ διαρρῆξαι ποτέ, μηδὲ διατεμεῖν εὐκόλως τὸ πᾶν λυμήνασθαι ζῶον. πῦρ γάρ ἐστι, φησί, καὶ ζάλη μεγάλη, καὶ οὐκ ἂν ἕτερον μέρος ταύτην τὴν βίαν ἀνάσχοιτο. λέγουσι δὲ καὶ ἰατρῶν παῖδες τούτου χάριν ὑπεστρῶσθαι τὸν πνεύμονα τῇ καρδίᾳ, ὥστε εἰς ἁπαλὸν αὐτὴν οὖσαν, καθάπερ εἰς τινα σπόγγον ἐναλλομένην, διαναπαύεσθαι [τὴν καρδίαν], ἀλλὰ μὴ εἰς τὸ ἀντίτυπον καὶ σκληρὸν τὸ στέρνον, καταβλάπτεσθαι "τῇ πυκνότητι τῶν ἁλμάτων. δεῖ τοίνυν ἡμῖν θώρακος ἰσχυροῦ, ὥστε διαπαντὸς ἐν ἡσυχίᾳ τοῦτο τὸ θηρίον διατηρεῖν. δεῖ δὲ ἡμῖν καὶ περικεφαλαίας. ἐπειδὴ γὰρ ἐκεῖ τὸ λογιστικὸν τυγχάνει, καὶ ἀπὸ τούτου ἢ σωθῆναι δυνατόν, ἐὰν τὰ δέοντα γινώσκηται, ἢ ἀπολέσθαι, εἰ τὰ μὴ δέοντα· διὰ τοῦτό φησι καὶ τὴν περικεφαλαίαν σωτηρίου. ὁ γὰρ ἐγκέφαλος φύσει μέν ἐστιν ἁπαλός. διὸ καὶ αὐτός, καθάπερ τινὶ ὀστράκῳ, τῷ βρέγματι καλύπτεται ἄνωθεν. πάντων δὲ ἡμῖν αἴτιος γίνεται τῶν ἀγαθῶν καὶ τῶν κακῶν, εἴτε τὰ δέοντα νοεῖ, εἴτε τὰ μὴ τοιαῦτα. καὶ οἱ πόδες δὲ καὶ αἱ χεῖρες ὅπλων ἡμῖν δέονται. οὐχ αὗται αἱ χεῖρες, οὐδὲ οὗτοι οἱ πόδες, ἀλλὰ πάλιν οἱ τῆς ψυχῆς· αἱ μὲν μελετῶσαι τὰ δέοντα, οἱ δὲ ἵνα πορεύωνται ἔνθα χρή. καθοπλίσωμεν τοίνυν ἑαυτοὺς

Marginalia:

γ. τοῦτο χέοι ἐξ. μεθ'

γ. δεῖ, ἂν μὴ πάντων ὦμεν. ἀλλ' ἀνθιστῶσι τ. ὦμεν

Ἐφεσ. ϛ. ιβ. καὶ ιδ.

γ. τοῦ ἐνεστῶτος καιροῦ ἐστιν, καὶ ὅτι δεῖ ἀεὶ ὅπλ.

γ. κατορθώσωμεν.

Ψαλ. λζ. ζ.

γ. διὰ τοῦτο ταῦτα παρεγγυᾷ,

Σειρ. α. ιθ.

γ. ἐρείσματα

γ. τῇ ῥύμῃ τῶν αἱμάτων.

τα. ὅταν οὖν εὐπραγῇ ὁ πονηρὸς, ἴσθι ὅτι ἐπὶ κακῷ τῆς ἑαυτοῦ κεφαλῆς. ἵνα γὰρ ἐκεί-
νων τῶν ὀλίγων ἀγαθῶν τὴν ἀντίδοσιν ἐνταῦθα λαβὼν, ἐκεῖ λοιπὸν τέλεον κολάζηται,
τούτου χάριν ἐνταῦθα ἀπολαμβάνει. καὶ μακάριος ἐκεῖνος μάλιστά ἐστιν ὁ ἐνταῦθα κολα-
ζόμενος, ἵνα πάντα ἀποθέμενος τὰ ἁμαρτήματα, εὐδόκιμος καὶ καθαρὸς ἀπίῃ, καὶ ἀνεύθυνος.
α. Κορ. ια. λ. καὶ τοῦτο διδάσκων ἡμᾶς ὁ Παῦλός φησι, Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι, καὶ κοι-
α. Κορ. ε. ε. μῶνται ἱκανοί. καὶ πάλιν, Παράδοτε τὸν τοιοῦτον τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκὸς, ἵνα
Ησ. μ. β. τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ ὁ προφήτης φησὶν, ὅτι ἐδέξατο ἐκ χειρὸς Κυρίου — γρ. τῆς διπλᾶ ἐδέξ.
Ψαλ. λθ. ιβ. διπλᾶ τὰ ἁμαρτήματα. καὶ πάλιν ὁ Δαβὶδ, Ἴδε τοὺς ἐχθρούς μου, ὅτι ἐπληθύνθησαν ὑπὲρ — γρ. [ὑπὲρ ἡ-
Ψαλ. κδ. ιη. τὰς τρίχας τῆς κεφαλῆς μου. καὶ μῖσος ἄδικον ἐμίσησάν με, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου. — μᾶς,]
Ησ. κς. ιβ. καὶ πάλιν ἕτερος, Κύριε ὁ Θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν· πάντα γὰρ ἀπέδωκας ἡμῖν. ἀλλὰ
ταῦτα μὲν δεικνύντος ἐστὶ τοὺς καλοὺς τὰς ὑπὲρ τῶν ἁμαρτημάτων δίκας ἐνταῦθα ἀπο-
λαμβάνοντας. ποῦ δὲ τὰ ἀγαθὰ τοὺς πονηροὺς ἀπολαμβάνοντας ἐνταῦθα, ἐκεῖ τέλεον κολά-
Λουκ. ις. κε. ζονται; ἄκουε τοῦ Ἀβραὰμ λέγοντος πρὸς τὸν πλούσιον, Ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ
ζωῇ σου, καὶ Λάζαρος ὁμοίως τὰ κακά. ἐνταῦθα γὰρ τὸ, ἀπέλαβες, ἀλλὰ μὴ ἔλαβες εἰ-
πὼν, δείκνυσι κατ' ὀφειλὴν ἑκατέρους παθόντας, καὶ τὸν μὲν ἐν εὐπραγίᾳ, τὸν δὲ ἐν δυσπρα-
γίᾳ γενόμενον· καί φησι, Διὰ τοῦτο οὗτος ἐνταῦθα παρακαλεῖται (ὁρᾷς γὰρ αὐτὸν καθαρὸν — γρ. διὸ καὶ ἐπά-
ἁμαρτημάτων) καὶ σὺ ὀδυνᾶσαι. μὴ τοίνυν ἀλύωμεν ὅταν εὐπαθοῦντας ὁρῶμεν ἐνταῦθα — γει, ἀλλ' οὗτος
τοὺς ἁμαρτωλούς· ἀλλ' ὅταν κακῶς πάσχωμεν αὐτοὶ, χαίρωμεν. ἁμαρτιῶν γάρ ἐστι τὸ — μὲν παρακα-
πρᾶγμα ἔκλυσις. μὴ ζητῶμεν ἄνεσιν· θλίψιν γὰρ ἐπηγγείλατο τοῖς αὐτοῦ μαθηταῖς ὁ — λεῖται (ὁρᾷς
β Τιμ. γ. ιβ Χριστός. καί φησιν ὁ Παῦλος, Πάντες οἱ θέλοντες ζῆν εὐσεβῶς ἐν Χριστῷ Ἰησοῦ, διωχθήσον- — γὰρ αὐτὸν ἐν-
ται. οὐδεὶς γενναῖος ἀθλητὴς ἐν τῷ σκάμματι * λουτρὰ ἐπιζητεῖ, καὶ τράπεζαν πληθού- — πυρῶντα) σὺ
σαν σιτίοις καὶ οἴνῳ. τοῦτο οὐκ ἔστιν ἀθλητοῦ, ἀλλὰ βλακός. ὁ γὰρ ἀθλητὴς μάχεται κόνει, — δὲ ὀδυνᾷ.
ἐλαίῳ, ἀκτῖνος θερμότητι, ἱδρῶτι πολλῷ, θλίψει, καὶ στενοχωρίᾳ ἀγῶνος. οὐκ ἔστι καὶ τοῦ — * ἂν
πυκτεύειν ὁ καιρὸς· οὐκοῦν καὶ τὰ τραύματα λαμβάνειν καὶ αἱμάττεσθαι καὶ ἀλγεῖν. ἄκου-
α Κορ. θ. κς. σον τί φησιν ὁ μακάριος Παῦλος· Οὕτω πυκτεύω ὡς οὐκ ἀέρα δέρων. πάντα τὸν βίον εἰ — γρ. δαίρων.
ἀγῶνα εἶναι νομίσωμεν, καὶ οὐδέποτε ἀνάπαυσιν ζητήσομεν, οὐδέποτε θλιβόμενοι ξενοπα-
θήσομεν. εἶπε μηδεὶς πύκτης, ὅτε ἐν ἀγῶνί ἐστι, ξενοπαθεῖ. ἕτερός ἐστιν ὁ τῆς ἀνέσεως
καιρός. διὰ θλίψεως ἡμᾶς τελειωθῆναι δεῖ. εἰ δὲ μὴ διωγμός ἐστι, μηδὲ θλίψις,
ἀλλ' εἰσὶν ἕτεραι θλίψεις, αἱ καθ' ἑκάστην ἡμέραν ἡμῖν συμπίπτουσαι. εἰ δὲ ταύτας οὐ φέ-
α Κορ. ι. ιγ. ρομεν, σχολῇ γε ἐκείνας ἐνέγκωμεν ἄν. Πειρασμὸς ὑμᾶς οὐκ εἴληφε, φησὶν, εἰ
μὴ ἀνθρώπινος. εὐχώμεθα μὲν οὖν τῷ Θεῷ μὴ εἰσελθεῖν εἰς πειρασμόν· εἰσελθόντες
δὲ φέρωμεν γενναίως. ἐκεῖνο μὲν γὰρ σωφρόνων ἀνδρῶν, τὸ μὴ κινδύνοις ἐπιῤῥίπτειν ἑαυ-
τούς· τοῦτο δὲ γενναίων καὶ φιλοσόφων, τὸ ἵστασθαι ἐμπεσόντας. μήτε οὖν ἐπιῤῥίπτωμεν ἑαυ-
τοὺς ἁπλῶς· θρασύτητος γάρ· μήτε ἀγόμενοι, καὶ τῶν πραγμάτων καλούντων, ἐνδι-
δῶμεν· δειλίας γάρ· ἀλλ' ἐὰν μὲν τὸ κήρυγμα καλῇ, μὴ παραιτώμεθα· ἁπλῶς δὲ αἰτίας
μὴ οὔσης, μήτε χρείας, μήτε ἀνάγκης τῆς κατὰ θεοσέβειαν καλούσης, μὴ ἐπιτρέχωμεν. ἐπί-
δειξις γάρ ἐστι τὸ πρᾶγμα, καὶ φιλονεικία περιττή. ἐὰν δέ τι τὴν εὐσέβειαν παραβλα-
πτόντων γένηται, κἂν μυρίους ὑποστῆναι δέῃ θανάτους, μηδὲν παραιτώμεθα. μὴ προσκα-
λοῦ τοὺς πειρασμοὺς, ὅταν σοι τὰ κατὰ τὴν εὐσέβειαν προχωρῇ ὡς ποθεῖς. τί περιττοὺς ἐ-
πισπᾶται κινδύνους οὐδὲν κέρδος ἔχοντας; ταῦτα λέγω, βουλόμενος ὑμᾶς φυλάττειν τοὺς
νόμους τοῦ Χριστοῦ κελεύοντος εὔχεσθαι μὴ εἰσελθεῖν εἰς πειρασμὸν, καὶ κελεύοντος πάλιν
τὸν σταυρὸν λαβόντας ἀκολουθεῖν αὐτῷ. ταῦτα μὲν γὰρ οὐκ ἔστιν ἐναντία, ἀλλὰ καὶ σφό-
δρα συνᾴδοντα. σὺ μὲν οὖν οὕτω παρεσκεύασο ὡς στρατιώτης γενναῖος, ἐν τοῖς ὅπλοις
ἔσο διηνεκῶς, νήφων, ἐγρηγορὼς, ἀεὶ τὸν πολέμιον προσδοκῶν. πολέμους μέν τοι

μὴ

Digitized by Google

τὸ καύχημα τῆς ἐλπίδος μέχρι τέλους βεβαίαν κατάσχωμεν. ὥστε ὁ ἀλγῶν ἐν τοῖς πειρασμοῖς καὶ καταπίπτων, οὐ καυχᾶται· ὁ αἰσχυνόμενος, ὁ κρυπτόμενος, παῤῥησίαν οὐκ ἔχει· ὁ ἀλύων οὐ καυχᾶται. Εἶτα καὶ ἐγκωμιάζει αὐτοὺς λέγων, ἐάνπερ τὴν παῤῥησίαν καὶ τὸ καύχημα τῆς ἐλπίδος μέχρι τέλους βεβαίαν κατάσχωμεν, δεικνὺς ὅτι καὶ ἤρξαντο. δεῖ δὲ καὶ τοῦ τέλους, καὶ οὐχ ἁπλῶς ἑστάναι, ἀλλὰ βεβαίαν ἔχειν τὴν ἐλπίδα * ἐν πληροφορίᾳ πίστεως, μὴ παρασαλευομένους ὑπὸ τῶν πειρασμῶν. καὶ μὴ θαυμάσῃς, εἰ ἀνθρωπινώτερον τὸ, αὐτὸς πειρασθεὶς, εἴρηται. εἰ γὰρ περὶ τοῦ πατρὸς τοῦ μὴ σαρκωθέντος φησὶν ἡ γραφή, Ἐκ τοῦ οὐρανοῦ διέκυψεν ὁ Κύριος, καὶ εἶδε πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων, [τουτέστιν, ἀκριβῶς πάντα κατέμαθε,] καὶ πάλιν, Καταβὰς ὄψομαι εἰ κατὰ τὴν κραυγὴν αὐτῶν συντελοῦνται. [καὶ πάλιν, οὐ δύναται φέρειν ὁ Θεὸς τὰς κακίας τῶν ἀνθρώπων, τὸ πολὺ τῆς ὀργῆς ἐνδεικνυμένη ἡ θεία γραφή·] πολλῷ μᾶλλον περὶ τοῦ Χριστοῦ τοῦ καὶ παθόντος ἐν σαρκὶ λέγοιντ' ἂν ταῦτα τὰ ἀνθρωποπαθῆ. ἐπειδὴ γὰρ πολλοὶ τῶν ἀνθρώπων τὴν πεῖραν πάντων εἶναι πιστοτέραν νομίζουσι πρὸς γνῶσιν, βούλεται δεῖξαι, ὅτι ὁ παθὼν οἶδε τί πάσχει ἡ ἀνθρωπίνη φύσις. ὅθεν φησὶν, ἀδελφοὶ ἅγιοι. τὸ, ὅθεν, ἀντὶ τοῦ, διὰ τοῦτο, φησί. κλήσεως ἐπουρανίου μέτοχοι. μηδὲν τοίνυν ἐνταῦθα ζητεῖτε, εἰ ἐκεῖ κέκλησθε. ἐκεῖ γὰρ ὁ μισθὸς, ἐκεῖ ἡ ἀνταπόδοσις. τί οὖν; κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν Χριστὸν, πιστὸν ὄντα τῷ ποιήσαντι αὐτὸν, ὡς καὶ Μωϋσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ. τί ἐστι, πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν; τουτέστι, *προνοϊκὸν, προϊστάμενον τῶν αὐτοῦ, καὶ οὐκ ἐῶντα φέρεσθαι ἁπλῶς. ὡς καὶ Μωϋσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ. τουτέστι, γνῶτε τίς ἐστιν ὁ ἀρχιερεὺς, καὶ ποταπὸς, καὶ οὐ δεήσεσθε παραμυθίας ἑτέρας, οὐδὲ παρακλήσεως. ἀπόστολον δὲ αὐτὸν λέγει διὰ τὸ ἀπεστάλθαι· καὶ ἀρχιερέα φησὶ τῆς ὁμολογίας ἡμῶν, τουτέστι, τῆς πίστεως. καλῶς εἶπεν, ὡς Μωϋσῆς. καὶ γὰρ καὶ οὗτος λαοῦ, καθάπερ ἐκεῖνος προστασίαν λαοῦ, ἐγκεχείρισται, εἰ καὶ μείζονα, καὶ ἐπὶ μείζοσι. Μωϋσῆς μὲν γὰρ ὡς οἰκέτης, Χριστὸς δὲ ὡς υἱός, καὶ ὁ μὲν τῶν ἀλλοτρίων, οὗτος δὲ τῶν αὐτοῦ κήδεται. εἰς μαρτύριον τῶν λαληθησομένων. τί λέγεις; μαρτυρίαν ἀνθρώπου λαμβάνει ὁ Θεός; καὶ πάνυ γε. εἰ γὰρ οὐρανὸν μάρτυρας καλεῖ καὶ γῆν καὶ βουνοὺς, λέγων διὰ τοῦ προφήτου, Ἄκουε, οὐρανὲ, καὶ ἐνωτίζου, ἡ γῆ, ὅτι Κύριος ἐλάλησε, καὶ, Ἀκούσατε φάραγγες θεμέλια τῆς γῆς, ὅτι κρίσις τῷ Κυρίῳ πρὸς τὸν λαὸν αὐτοῦ· πολλῷ μᾶλλον ἀνθρώπους. τί ἐστιν, εἰς μαρτύριον; ἵνα ὦσι, φησι, μάρτυρες, ὅταν ἀναισχυντῶσιν *αὐτοί. καὶ τὸ καύχημα τῆς ἐλπίδος. καλῶς εἶπε, τῆς ἐλπίδος, ἐπειδὴ πάντα ἐν ἐλπίσιν ἦν τὰ ἀγαθά. οὕτω δὲ αὐτὴν δεῖ κατέχειν, ὡς ἤδη καυχᾶσθαι ὡς ἐπὶ γεγενημένοις. διὰ τοῦτό φησι, τὸ καύχημα τῆς ἐλπίδος. καὶ ἐπάγει, μέχρι τέλους βεβαίαν κατάσχωμεν. τῇ γὰρ ἐλπίδι ἐσώθημεν. εἰ τοίνυν τῇ ἐλπίδι ἐσώθημεν, καὶ δι' ὑπομονῆς ἀπεκδεχόμεθα· μὴ οὖν ἀγαλλώμεθα ἐπὶ τοῖς παροῦσι, μηδὲ ἤδη ζητῶμεν τὰ μετὰ ταῦτα ἐπαγγελθέντα. Ἐλπὶς γὰρ, φησι, βλεπομένη, οὐκ ἔστιν ἐλπίς. ἐπειδὴ *δὲ μεγάλα ἐστὶ τὰ ἀγαθὰ, φησιν, ἐνταῦθα λαβεῖν οὐ δυνάμεθα αὐτὰ ἐν τῷ ἐπικήρῳ τούτῳ βίῳ. τίνος οὖν ἕνεκεν ἡμῖν καὶ προεῖπε ταῦτα, οὐ μέλλων αὐτὰ ἐνταῦθα διδόναι; ἵνα τῇ ἐπαγγελίᾳ τὰς ψυχὰς ἀνακτήσηται, ἵνα τῇ ὑποσχέσει ῥώσῃ τὴν προθυμίαν, ἵνα ἀλείψῃ καὶ διεγείρῃ τὴν ἡμετέραν διάνοιαν· διὰ δὴ τοῦτο πάντα ταῦτα γέγονεν.

Margin (left): κ. ἀλλὰ δεικνὺς γὰρ ὅτι ἤρξ- — * βέλτιον τουτέστιν, — κ. εὐνοϊκὸν, — κ. ἐπὶ — κ. γὰρ

Margin (right): Ψαλμ. ιγ. γ. — Γεν. ιη. κα. — Ησ. α. β. — Μιχ. ς. β. — Ρωμ. η. κδ.

ΗΘΙΚΟΝ

Μηδεὶς τοίνυν ὁρῶν πονηροὺς εὐπραγοῦντας θορυβείσθω. οὐκ ἔστιν ἐνταῦθα ἡ ἀνταπόδοσις, οὔτε τῆς πονηρίας, οὔτε τῆς ἀρετῆς. εἰ δέ που γίνεται καὶ τῆς πονηρίας καὶ τῆς ἀρετῆς, ἀλλ' οὐχὶ κατ' ἀξίαν, ἀλλ' ἁπλῶς, ὡσανεὶ γεῦμα τῆς κρίσεως, ἵνα οἱ τῇ ἀναστάσει διαπιστοῦντες, κἂν ἐν τούτοις ἐνταῦθα σωφρονίζωνται. ὅταν οὖν ἴδωμεν πονηρὸν πλουτοῦντα, μὴ καταπίπτωμεν· ὅταν ἴδωμεν ἀγαθὸν κακῶς πάσχοντα, μὴ θορυβώμεθα. ἐκεῖ γὰρ οἱ στέφανοι, ἐκεῖ καὶ αἱ κολάσεις. καὶ ἄλλως δὲ οὐκ ἔστιν οὔτε τὸν κακὸν πάντη εἶναι κακόν, ἀλλ' ἔστι τινὰ ἔχει αὐτὸς καὶ ἀγαθά· οὔτε τὸν ἀγαθὸν πάντη εἶναι ἀγαθὸν, ἀλλ' ἔχει τινὰ καὶ ἁμαρτήματα.

Πραξ. γ. κς. Πραξ. ιγ. κς.

τοῦτο καὶ τὸν ἀπόστολον ἄνωθεν ἔλεγον· Ὑμῖν ἀναστήσας τὸν παῖδα αὐτοῦ ἀπέστειλεν εὐλογοῦντα ὑμᾶς. καὶ πάλιν, Ὑμῖν ὁ λόγος τῆς σωτηρίας ἀπεστάλη. τὴν εὐαγγελικὴν ἐνταῦθα δείκνυσι τὴν Ἰουδαϊκήν, *λέγων, Εἰς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ. τέως οὕτω φησίν. ὅτι γὰρ αὐτός ἐστιν ὁ τὰς ἁμαρτίας πάντων ἀφιείς, ἐδήλωσε καὶ ἐν τῷ παραλυτικῷ, εἰπών, Ἀφέωνταί σοι αἱ ἁμαρτίαι· καὶ ἐν τῷ βαπτίσματι. φησὶ γὰρ πρὸς τοὺς μαθητάς, Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ὅταν δὲ τῆς σαρκὸς ἐπιλάβηται ὁ Παῦλος, πάντα λοιπὸν τὰ ταπεινὰ φθέγγεται, οὐδὲν δεδοικώς. ὅρα γὰρ λοιπὸν τί φησιν.

* τέως ἴσω

Μαρκ. β. ε. Ματθ. κη. ιθ.

κεφ. γ.

1 Ὅθεν, ἀδελφοὶ ἅγιοι, κλήσεως ἐπουρανίου μέτοχοι, κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν Χριστόν,

2 Πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν, ὡς καὶ Μωϋσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ.

Μέλλων αὐτὸν προτιθέναι τοῦ Μωϋσέως κατὰ σύγκρισιν, εἰς τὸν τῆς ἀρχιερωσύνης νόμον ἤγαγε τὸν λόγον. οὐ γὰρ μικρὰν περὶ Μωϋσέως δόξαν εἶχον ἅπαντες. καὶ προκαταβάλλεται ἤδη τὰ σπέρματα τῆς ὑπεροχῆς. ἄρχεται μὲν οὖν ἀπὸ τῆς σαρκός, ἄνεισι δὲ εἰς τὴν θεότητα, ἔνθα οὐκέτι σύγκρισις ἦν γίνεσθαι. ἤρξατο ἀπὸ τῆς σαρκὸς τέως τὸ ἴσον τιθέναι, καί φησιν, ὡς καὶ Μωϋσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ. καὶ οὐ παρὰ τὴν ἀρχὴν δείκνυσι τὴν ὑπεροχήν, ἵνα μὴ ἀποπηδήσῃ ὁ ἀκροατής, καὶ εὐθέως ἐμφράξῃ τὰς ἀκοάς. εἰ γὰρ καὶ πιστοὶ ἦσαν, ἀλλ' ὅμως ἔτι "πολὺ τὸ συνειδὸς εἶχον πρὸς Μωϋσέα. πιστὸν ὄντα, φησί, τῷ ποιήσαντι αὐτόν. τί ποιήσαντι;* ἀπόστολον καὶ ἀρχιερέα. οὐδὲν ἐνταῦθα περὶ οὐσίας φησίν, οὐδὲ περὶ τῆς θεότητος, ἀλλὰ τέως περὶ ἀξιωμάτων ἀνθρωπίνων. ὡς καὶ Μωϋσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ. τουτέστιν, ἐν τῷ λαῷ, ἢ ἐν τῷ ἱερῷ. ἐνταῦθα δὲ τὸ, ἐν τῷ οἴκῳ αὐτοῦ φησιν, ὡς ἂν εἴ τις εἴποι περὶ τῶν ἐν τῇ οἰκίᾳ. καθάπερ γάρ τις ἐπίτροπος καὶ οἰκονόμος οἰκίας, οὕτως ἦν ὁ Μωϋσῆς ἐν τῷ λαῷ. ὅτι γὰρ οἶκον ἐνταῦθα τὸν λαόν φησιν, ἐπήγαγεν, Οὗ οἶκός ἐσμεν ἡμεῖς. Τουτέστιν, ἐν τῇ "κτήσει αὐτοῦ ἐσμεν. εἶτα ἡ ὑπεροχή.

γρ. πολλὴν ἔτι γνώμην * αὐτῷ

γρ. κτίσει

3 Μείζονος γὰρ οὗτος δόξης παρὰ Μωϋσῆν ἠξίωται. Πάλιν περὶ τῆς σαρκός.
Καθ' ὅσον πλείονα τιμὴν ἔχει τοῦ οἴκου ὁ κατασκευάσας αὐτόν.

Καὶ αὐτός, φησι, τῆς οἰκίας ἦν. καὶ οὐκ εἶπεν, οὗτος μὲν γὰρ δοῦλος, ἐκεῖνος δὲ δεσπότης, ἀλλὰ τοῦτο λανθανόντως ἐνέφηνεν. εἰ ὁ οἶκος οὖν ἦν ὁ λαός, καὶ αὐτὸς δὲ τοῦ λαοῦ ἦν, καὶ αὐτὸς ἄρα τῆς οἰκίας ἦν. οὕτω [γὰρ] καὶ ἡμῖν ἔθος λέγειν, ὁ δεῖνα τῆς οἰκίας τῆς τοῦ δεῖνός ἐστιν. ἐνταῦθα δὲ οἶκον οὐ τὸν ναὸν λέγει. οὐ γὰρ ὁ Θεὸς αὐτὸν κατεσκεύασεν, ἀλλ' οἱ ἄνθρωποι. ὁ δὲ "ποιήσας" αὐτόν, ὁ Θεός. τὸν Μωϋσέα φησί. καὶ ὅρα πῶς δείκνυσι τὴν ὑπεροχὴν λανθανόντως. πιστός, φησιν, ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ, καὶ αὐτὸς ὢν τοῦ οἴκου, τουτέστι, τοῦ λαοῦ. πλείονα τιμὴν ἔχει * τῶν ἔργων ὁ τεχνίτης, "ἀλλὰ καὶ τοῦ οἴκου ὁ κατασκευάσας αὐτόν.

γρ. κατασκευάσας
γρ. τὸν ποιητὴν τὸν μὲν
* ὡς

4 Ὁ δὲ τὰ πάντα κατασκευάσας, Θεός. Ὁρᾷς ὅτι οὐ περὶ τοῦ ναοῦ λέγει, ἀλλὰ περὶ παντὸς τοῦ λαοῦ;

γρ. ὅτι

5 Καὶ Μωϋσῆς μὲν πιστὸς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ, ὡς θεράπων, εἰς μαρτύριον τῶν λαληθησομένων. Ἰδοὺ καὶ ἄλλη ὑπεροχὴ ἡ ἀπὸ τοῦ υἱοῦ καὶ τῶν δούλων. ὁρᾷς πάλιν ὅτι γνησιότητα διὰ τῆς τοῦ υἱοῦ προσηγορίας αἰνίττεται;

6 Χριστὸς δέ, ὡς υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ. Εἶδες πῶς τὸ ποίημα καὶ ποιητὴν δείκνυσι, πῶς δοῦλον καὶ υἱόν; κἀκεῖνος μὲν εἰς τὰ πατρῷα, ὡς "δεσπότης εἰσέρχεται, οὗτος δὲ ὡς δοῦλος.

γρ. ἴδια

Οὗ οἶκός ἐσμεν ἡμεῖς, ἐάνπερ τὴν παρρησίαν καὶ τὸ καύχημα τῆς ἐλπίδος μέχρι τέλους βεβαίαν κατάσχωμεν. Ἐνταῦθα πάλιν αὐτοὺς προτρέπει ἑστάναι γενναίως, καὶ μὴ καταπίπτειν. οἶκος γάρ, φησιν, ἐσόμεθα τοῦ Θεοῦ, ὥσπερ ἦν Μωϋσῆς, ἐάνπερ τὴν παρρησίαν καὶ

ἀπαύγασμα τῆς δόξης, ὁ ὢν χαρακτὴρ τῆς ὑποστάσεως, ὁ τοὺς αἰῶνας πεποιηκώς, ὁ ἐν δεξιᾷ τοῦ πατρὸς καθήμενος, οὗτος ἠθέλησε καὶ ἐσπούδασεν ἀδελφὸς ἡμῶν ἐν ἅπασι γενέσθαι, καὶ διὰ τοῦτο ἀγγέλους ἀφῆκε καὶ τὰς ἄνω δυνάμεις, καὶ πρὸς ἡμᾶς κατῆλθε, καὶ ἡμῶν ἐπελάβετο. σκόπει δὲ καὶ ὅσα εἰργάσατο ἀγαθά. θάνατον ἔλυσε, τοῦ διαβόλου τῆς τυραννίδος ἐξέβαλεν ἡμᾶς, δουλείας ἀπήλλαξεν, ἀδελφὸς γενόμενος ἐτίμησεν· οὐ τῇ ἀδελφότητι δὲ μόνον τετίμηκεν, ἀλλὰ καὶ ἑτέροις μυρίοις. καὶ γὰρ ἀρχιερεὺς ἡμῶν γενέσθαι ἠθέλησε πρὸς τὸν πατέρα. ἐπάγει γοῦν, Ἵνα ἐλεήμων γένηται καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν Θεόν.

[Marg.: γ. τὴν μνείαν εἰσάγων τοῦ διαβόλου τῆς τυραννίδος ἐξέβαλεν ἡμᾶς ἀν-]

Διὰ τοῦτο, φησὶ, τὴν σάρκα ἀνέλαβε τὴν ἡμετέραν, διὰ φιλανθρωπίαν μόνην, ἵνα ἐλεήσῃ ἡμᾶς. οὐδὲ γάρ ἐστιν ἄλλη τις αἰτία τῆς οἰκονομίας, * ἡ μόνη αὕτη. εἶδε γὰρ χαμαὶ ἐρριμμένους, ἀπολλυμένους, ὑπὸ τοῦ θανάτου τυραννουμένους, καὶ ἠλέησεν. [Marg.: * ἀλλ']

Εἰς τὸ ἱλάσκεσθαι, φησὶ, τὰς ἁμαρτίας τοῦ λαοῦ, ἵνα ἐλεήμων γένηται καὶ πιστὸς ἀρχιερεύς. Τί ἐστι, πιστός; ἀληθὴς, δυνάμενος. ἀρχιερεὺς γάρ ἐστι μόνος πιστὸς ὁ υἱὸς, δυνάμενος τούτους, ὧν ἐστιν ἀρχιερεὺς, ἀπαλλάξαι τῶν ἁμαρτημάτων. ἵν' οὖν προσενέγκῃ θυσίαν δυναμένην ἡμᾶς καθαρεῖσαι, διὰ τοῦτο γέγονεν ἄνθρωπος. ἐπήγαγε γοῦν, τὰ πρὸς τὸν Θεόν· τουτέστι, τῶν πρὸς τὸν Θεὸν ἕνεκεν. ἐκπεπολεμωμένοι ἦμεν, φησὶ, τῷ Θεῷ, κατεγνωσμένοι, ἠτιμωμένοι· οὐδεὶς ἦν ὁ προσοίσων ὑπὲρ ἡμῶν θυσίαν. εἶδεν ἡμᾶς ἐν τούτοις ὄντας, καὶ ἠλέησεν, οὐ καταστήσας ἡμῖν ἀρχιερέα, ἀλλ' αὐτὸς γενόμενος ἀρχιερεὺς πιστός. εἶτα δεικνὺς πῶς πιστὸς, ἐπήγαγεν, Εἰς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ.

[Marg.: γ. βέβαιος] [Marg.: γ. ταῖς ἁμαρτίαις]

18 Ἐν ᾧ γὰρ πέπονθε, φησὶν, αὐτὸς πειρασθεὶς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι.

Πάνυ ταπεινὸν τοῦτο καὶ εὐτελὲς καὶ ἀνάξιον τοῦ Θεοῦ. ἐν ᾧ [γὰρ] πέπονθε, φησὶν, αὐτός. περὶ τοῦ σαρκωθέντος ἐνταῦθά φησι, τάχα δὲ καὶ πρὸς πληροφορίαν τῶν ἀκουόντων εἴρηται, καὶ διὰ τὴν αὐτῶν ἀσθένειαν. ὃ δὲ λέγει τοῦτό ἐστι· δι' αὐτῆς τῆς πείρας ὧν ἐπάθομεν, ἦλθε· νῦν οὐκ ἀγνοεῖ τὰ πάθη τὰ ἡμέτερα. οὐ γὰρ ὡς Θεὸς μόνον οἶδεν, ἀλλὰ καὶ ὡς ἄνθρωπος ἔγνω διὰ τῆς πείρας ἧς ἐπειράσθη· ἔπαθε πολλὰ, οἶδε συμπάσχειν. καίτοιγε ἀπαθής ὁ Θεός ἐστιν· ἀλλὰ τὰ τῆς σαρκώσεως ἐνταῦθα διηγεῖται, ὡς ἂν εἰ ἔλεγε, καὶ αὐτὴ ἡ σὰρξ ἡ τοῦ Χριστοῦ πολλὰ δεινὰ ἔπαθεν. οἶδε τί ἐστι θλίψις, οἶδε τί ἐστι πειρασμὸς, καὶ οὐχ ἧττον τῶν παθόντων ἡμῶν· καὶ γὰρ καὶ αὐτὸς ἔπαθε. τί οὖν ἐστι τὸ, δύναται τοῖς πειραζομένοις βοηθῆσαι; ὡς ἂν τις εἴποι, μετὰ πολλῆς προθυμίας ὀρέξει χεῖρα, συμπαθὴς ἔσται. ἐπειδὴ γὰρ ἐβούλοντο μέγα τι καὶ πλέον ἔχειν τῶν ἐξ ἐθνῶν, δείκνυσιν ἐν τούτῳ πλέον ἔχοντας, ἔνθα οὐδὲν κατέβλαπτε τοὺς ἐξ ἐθνῶν. ἐν ποίῳ δὴ τούτῳ; ὅτι ἐξ αὐτῶν ἐστιν ἡ σωτηρία, ὅτι ἐκείνων ἐπελάβετο πρῶτον, ὅτι ἐκεῖθεν ἀνέλαβε σάρκα. οὐ γὰρ ἀγγέλων, φησὶν, ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται. τιμᾷ καὶ τὸν πατριάρχην διὰ τούτου, καὶ δείκνυσι [καὶ] τί ἐστι, σπέρματος Ἀβραάμ. ἀναμιμνήσκει γὰρ αὐτοὺς τῆς πρὸς αὐτὸν γενομένης ἐπαγγελίας τῆς λεγούσης, Σοὶ καὶ τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην, διὰ τοῦ σμικροτάτου δεικνὺς τὴν ἐγγύτητα, τοῦ ἐξ ἑνὸς εἶναι πάντας. ἀλλ' ἐπειδὴ οὐ πολλὴ ἐκείνη ἦν ἡ ἐγγύτης, ἔρχεται πάλιν ἐπὶ ταύτην, καὶ ἐνδιατρίβει λοιπὸν τῇ οἰκονομίᾳ τῇ κατὰ σάρκα, καί φησιν, εἰς τὸ ἱλάσκεσθαι ταῖς ἁμαρτίαις τοῦ λαοῦ. ἦν μὲν γὰρ καὶ αὐτὸ τὸ θελῆσαι γενέσθαι ἄνθρωπον, πολλῆς κηδεμονίας καὶ ἀγάπης. νῦν δὲ οὐ τοῦτο μόνον ἐστὶν, ἀλλὰ καὶ τὰ ἀθάνατα ἀγαθὰ, τὰ δι' αὐτοῦ ἡμῖν παραχεθέντα. [Εἰς τὸ ἱλάσκεσθαι γὰρ, φησὶ, ταῖς ἁμαρτίαις τοῦ λαοῦ.] διατί μὴ εἶπε, τῆς οἰκουμένης, ἀλλὰ τοῦ λαοῦ; ὄντως γὰρ τὰς πάντων ἡμῶν ἁμαρτίας ἀνήνεγκεν. ὅτι τέως περὶ αὐτῶν ἦν ὁ λόγος αὐτῷ. ἐπεὶ καὶ ὁ ἄγγελος πρὸς τὸν Ἰωσὴφ ἔλεγε, Καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ. τοῦτο γὰρ καὶ πρῶτον ἔδει γενέσθαι, καὶ διὰ τοῦτο ἦλθεν, ὥστε τούτους σῶσαι, καὶ τότε διὰ τούτων ἐκείνους, εἰ καὶ τἀναντίον γέγονε.

[Marg.: γ. ὧν ἐπάθομεν, νῦν] [Marg.: γ. ἐνταῦθα] [Marg.: Γεν. ιγ. ιε.] [Marg.: γ. τῷ] [Marg.: Ματθ. α. κα.]

μένη ὑπὲρ πλείονος ἀσφαλείας. Βέλτιον γὰρ ἐμὲ θρασύν τινα καὶ ἰταμὸν καὶ αὐθάδη ὑποπτεύεσθαι παρ' ὑμῶν, ἢ ὑμᾶς τὰ τῷ Θεῷ μὴ δοκοῦντα ποιεῖν. Πιστεύομεν δὲ τῷ Θεῷ, ὅτι οὐκ ἀνόνητος ὑμῖν αὕτη ἡ ἐπιτίμησις ἔσται, ἀλλ' οὕτω μεταβληθήσεσθε, ὡς τούτους τοὺς λόγους εἰς τὰ ὑμέτερα ἐγκώμια ἀναλίσκεσθαι, καὶ εἰς τοὺς ἐπαίνους. Γένοιτο δὲ ἡμᾶς βιοῦν κατὰ τὸ δοκοῦν τῷ Θεῷ, ἵνα καταξιωθῶμεν ἅπαντες τυχεῖν τῶν ἀγαθῶν, ὧν ἐπηγγείλατο ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτὸν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Λογ. ε. 16 ΟΥ ΓΑΡ ΔΗΠΟΥ ΑΓΓΕΛΩΝ ΕΠΙΛΑΜΒΑνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται.

17 Ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι.

Τὴν πολλὴν τοῦ Θεοῦ φιλανθρωπίαν ὁ Παῦλος δεῖξαι βουλόμενος, καὶ τὴν ἀγάπην, ἣν περὶ τὸ γένος ἔσχε τὸ ἀνθρώπινον, μετὰ τὸ εἰπεῖν, Ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκεν αἵματος καὶ σαρκός, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, (Εβρ. β. ιδ.) ἐπεξέρχεται τούτῳ τῷ χωρίῳ, καί φησιν, (χ. λοιπὸν) Οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνεται. Μὴ [γὰρ] ἁπλῶς προσέχῃς τῷ λεχθέντι, μηδὲ ψιλόν τι πρᾶγμα τοῦτο εἶναι νομίσῃς, τὸ τὴν ἐξ ἡμῶν σάρκα αὐτὸν ἀναλαβεῖν. Οὐ γὰρ ἀγγέλοις τοῦτο ἐχαρίσατο· διὸ καὶ οὕτως εἴρηκεν, Οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραάμ. Τί ἐστιν ὅ φησιν; Οὐκ ἀγγέλου φύσιν ἀνεδέξατο, ἀλλ' ἀνθρώπου. [Τί δέ ἐστιν ἐπιλαμβάνεται;] Οὐκ ἐκείνης, φησίν, ἐδράξατο τῆς φύσεως τῶν ἀγγέλων, ἀλλὰ τῆς ἡμετέρας. Διὰ τί δὲ οὐκ εἶπεν, ἀνέλαβεν, ἀλλὰ ταύτῃ τῇ λέξει ἐχρήσατο τῇ, ἐπιλαμβάνεται; Ἀπὸ μεταφορᾶς τῶν διωκόντων τοὺς ἀποστρεφομένους αὐτούς, καὶ πάντα ποιούντων, ὥστε καταλαβεῖν φεύγοντας, καὶ ἐπιλαβέσθαι ἀποπηδώντων. Φεύγουσαν γὰρ ἀπ' αὐτοῦ τὴν ἀνθρωπίνην φύσιν, καὶ πόρρω (Εφεσ. β. ιβ.) φεύγουσαν (Ἦμεν γὰρ τοῦ Θεοῦ μακράν, φησιν, ἀπηλλοτριωμένοι, καὶ ἄθεοι ὄντες ἐν τῷ κόσμῳ) αὐτὸς καταδιώξας κατέλαβεν. Ἐντεῦθεν δείκνυται ὅτι φιλανθρωπία μόνη καὶ ἀγάπη καὶ κηδεμονία τοῦτο πεποίηκεν. Ὥσπερ οὖν ὅταν λέγῃ, Οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα, εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν; τὸ περισπούδαστον αὐτῷ τῆς ἀνθρωπίνης φύσεως δείκνυσι, καὶ ὅτι πολὺς τῷ Θεῷ ὁ λόγος αὐτῆς· οὕτω καὶ ἐνταῦθα τὸ πολὺ μεῖζον τίθησιν ἀπὸ συγκρίσεως λέγων, Οὐ γὰρ ἀγγέλων ἐπιλαμβάνεται. Καὶ γὰρ ὄντως μέγα καὶ θαυμαστὸν καὶ ἐκπλήξεως γέμον, τὴν ἐξ ἡμῶν σάρκα ἄνω καθῆσθαι, καὶ προσκυνεῖσθαι ὑπὸ ἀγγέλων καὶ ἀρχαγγέλων καὶ τῶν σεραφὶμ καὶ τῶν χερουβίμ. Τοῦτο πολλάκις εἰς νοῦν ἐγὼ λαβὼν, ἐξίσταμαι, καὶ μεγάλα περὶ τοῦ ἀνθρωπίνου γένους φαντάζομαι. Μεγάλα γὰρ ὁρῶ καὶ λαμπρὰ τὰ προοίμια, καὶ πολλὴν τῷ Θεῷ τὴν σπουδὴν ὑπὲρ τῆς φύσεως τῆς ἡμετέρας. Καὶ οὐκ εἶπεν ἀνθρώπων ἁπλῶς ἐπιλαμβάνεται, ἀλλὰ βουλόμενος αὐτοὺς ἐπᾶραι, καὶ δεῖξαι μέγα τὸ γένος αὐτῶν καὶ τίμιον, φησίν, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται. Ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι. Τί ἐστι, κατὰ πάντα; Ἐτέχθη, φησίν, ἐτράφη, ηὐξήθη, ἔπαθε πάντα ἅπερ ἐχρῆν, τέλος ἀπέθανε. Τοῦτό ἐστι κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι. Ἐπειδὴ γὰρ πολλὰ διελέχθη περὶ τῆς μεγαλειότητος αὐτοῦ καὶ τῆς ἄνω δόξης, λοιπὸν τὸν περὶ τῆς οἰκονομίας λόγον κινεῖ. Καὶ θέα μεθ' ὅσης συνέσεως καὶ δυνάμεως. Δείκνυσι γὰρ αὐτὸν πολλὴν τιθέμενον τὴν σπουδὴν, ὥστε ἡμῖν ὁμοιωθῆναι· ὅπερ κηδεμονίας ἦν πολλῆς. Εἰπὼν δὲ ἀνωτέρω, Ἐπεὶ οὖν (χ. ξὶ) τὰ παιδία κεκοινώνηκεν αἵματος καὶ σαρκός, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, [καὶ] ἐν- (χ. ὅδ) ταῦθά φησι, κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι· μονονουχὶ λέγων, ὁ οὕτω μέγας, ὁ ὢν ἀπαύγασμα

ἴσως φοβεῖ. ἰδοὺ τοίνυν καὶ ὑμῖν κἀκείναις δι' ὑμῶν παραινῶ, ὥστε μήτε ὑμᾶς καλεῖν τὰς τοιαύτας, μήτε ἐκείνας παραγίνεσθαι. καὶ γένοιτο μὲν τὸν λόγον τι ἐργάσασθαι πλέον, καὶ τὴν ἀπειλὴν ἰσχῦσαι. εἰ δὲ (ὅπερ ἀπείη) καταφρονηθείημεν, ἀναγκασθησόμεθα λοιπὸν εἰς ἔργον ἀγαγεῖν τὴν ἀπειλὴν, ὑμᾶς μὲν τοῖς νόμοις παιδεύοντες τοῖς ἐκκλησιαστικοῖς, ἐκείνας δὲ ὡς ἐκείναις προσῆκόν ἐστιν. εἰ δέ τις ἀπαυθαδιαζόμενος καταφρονεῖ, ἀκουέτω τοῦ Χριστοῦ λέγοντος καὶ νῦν, Ἐὰν ὁ ἀδελφός σου ἁμαρτήσῃ εἰς σὲ, ὕπαγε, ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου· εἰ δὲ μὴ πείθοιτο, παράλαβε μετὰ σαυτοῦ ἕνα ἢ δύο· εἰ δὲ καὶ οὕτως ἀντιλέγοι, εἰπὲ τῇ ἐκκλησίᾳ· εἰ δὲ καὶ τῆς ἐκκλησίας παρακούσειεν, ἔστω σοι ὡς ὁ ἐθνικὸς καὶ ὁ τελώνης. εἰ δὲ τὸν εἰς ἐμὲ ἁμαρτάνοντα, ἐπειδὰν μὴ πείθοιτο, οὕτως ἀποστρέφεσθαι κελεύει· τὸν εἰς ἑαυτὸν ἁμαρτάνοντα καὶ εἰς τὸν Θεὸν πῶς ἔχειν ὀφείλω, ὑμεῖς κρίνατε. ὑμεῖς γὰρ ἡμῶν καταγινώσκετε οὐ μαλακῶς προσφερομένων ὑμῖν. εἰ δέ τις καταφρονεῖ τῶν δεσμῶν τῶν παρ' ἡμῶν, πάλιν αὐτὸν ὁ Χριστὸς παιδευέτω λέγων, Ὅσα ἂν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ· καὶ ὅσα ἂν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τῷ οὐρανῷ. εἰ γὰρ καὶ ἡμεῖς ταλαίπωροι καὶ οὐδαμινοὶ καὶ τοῦ καταφρονεῖσθαι ἄξιοι, ὥσπερ οὖν καὶ ἄξιοι, ἀλλ' οὐχ ἑαυτοὺς ἐκδικοῦμεν, οὐδὲ ὀργὴν ἀμυνόμεθα, ἀλλὰ τῆς ὑμετέρας σωτηρίας φροντίζομεν. αἰδέσθητε, παρακαλῶ, καὶ ἐντράπητε. εἰ γὰρ φίλον τις φέρει σφοδρότερον τοῦ δέοντος ἐπιφερόμενον, τὸν σκοπὸν ἐξετάζων, καὶ ὅτι εὐνοϊκῶς, ἀλλ' οὐκ ἀλαζονευόμενος τοῦτο ποιεῖ· πολλῷ μᾶλλον διδάσκαλον ἐπιπλήττοντα, καὶ διδάσκαλον οὐδὲ αὐτὸν ἐξ αὐθεντίας ταῦτα λέγοντα, οὐδὲ ὡς ἐν τάξει ἄρχοντος, ἀλλ' ὡς ἐν τάξει κηδεμόνος. οὐ γὰρ ἐξουσίαν ἐπιδείξασθαι βουλόμενοι, ταῦτα λέγομεν (πῶς γὰρ τὸν μηδὲ εἰς πεῖραν αὐτῆς ἐλθεῖν εὐχόμενοι;) ἀλλ' ὑπὲρ ὑμῶν ἀλγοῦντες καὶ κοπτόμενοι. σύγγνωτε δὴ, καὶ μηδεὶς καταφρονείτω τῶν δεσμῶν τῶν ἐκκλησιαστικῶν. οὐ γὰρ ἄνθρωπός ἐστιν ὁ δεσμῶν, ἀλλ' ὁ Χριστὸς ὁ τὴν ἐξουσίαν ταύτην ἡμῖν δεδωκὼς, καὶ κυρίους ποιήσας ἀνθρώπους τῆς τοσαύτης τιμῆς. ἡμεῖς μὲν γὰρ εἰς τὸ λύειν βουλόμεθα κατακεχρῆσθαι τῇ ἐξουσίᾳ· μᾶλλον δὲ, οὐδὲ τούτου ἀνάγκην ἔχειν βουλόμεθα. οὐδένα γὰρ βουλόμεθα εἶναι δεσμώτην παρ' ἡμῖν· οὐχ οὕτως ἐσμὲν ἄθλιοι καὶ ταλαίπωροι, εἰ καὶ σφόδρα οὐδαμινοί τινές ἐσμεν. εἰ δὲ ἀναγκασθείημεν, σύγγνωτε. οὐ γὰρ ἑκόντες, οὐδὲ βουλόμενοι, ἀλλὰ μᾶλλον ὑμῶν τῶν δεδεμένων ἀλγοῦντες, τὰ δεσμὰ περιβάλλομεν. εἰ δέ τις καταφρονοίη τούτων, ἐπιστήσεται ὁ τῆς κρίσεως καιρὸς ὁ διδάσκων αὐτόν. τὸ δὲ λοιπὸν οὐ βούλομαι εἰπεῖν, ἵνα μὴ πλήξω τὴν διάνοιαν ὑμῶν. ἡμεῖς μὲν γὰρ πρῶτον μὲν εὐχόμεθα εἰς ἀνάγκην μὴ ἐλθεῖν· εἰ δὲ ἔλθοιμεν, τὸ ἑαυτῶν πληροῦμεν, περιβάλλομεν τὰ δεσμά. εἰ δέ τις διαρρήξειε ταῦτα, ἐγὼ τὸ ἐμαυτοῦ πεποίηκα, καὶ ἀνεύθυνός εἰμι λοιπόν· ὁ δὲ λόγος ἔσται σοι πρὸς τὸν ἐμὲ κελεύσαντα δῆσαι. οὐδὲ γὰρ εἰ, βασιλέως προκαθημένου, τῶν δορυφόρων τῶν παρεστώτων τις ἐκελεύσθη δῆσαί τινα τῶν ἐν τῇ τάξει, καὶ τὰ δεσμὰ περιέβαλεν, ἐκεῖνος δὲ οὐ μόνον ἀπώσαιτο τοῦτον, ἀλλὰ καὶ συνέτριψε τὰ δεσμά, ὁ δορυφόρος ἐστὶν ὁ τὴν ὕβριν πεπονθὼς, ἀλλ' ὁ βασιλεὺς πολλῷ μᾶλλον ὁ κελεύσας. εἰ γὰρ τὰ εἰς τοὺς πιστοὺς γινόμενα αὐτὸς οἰκειοῦται, ὅταν τοὺς εἰς τὸ διδάσκειν τεταγμένους ὑβρίζητε, πολλῷ μᾶλλον ὡς αὐτὸς ὑβριζόμενος ἐκδικήσεται. ἀλλὰ μὴ γένοιτό τινα τῶν ἐπὶ τῆς ἐκκλησίας ταύτης εἰς ἀνάγκην τῶν δεσμῶν τούτων ἐλθεῖν. ὥσπερ γὰρ τὸ μὴ ἁμαρτάνειν, καλόν· οὕτω τὸ φέρειν ἐπιτίμησιν, χρήσιμον. φέρωμεν τοίνυν τὴν ἐπίπληξιν, καὶ σπουδάζωμεν τὸ μὴ ἁμαρτάνειν· εἰ δὲ ἁμάρτοιμεν, φέρωμεν τὴν ἐπιτίμησιν. ὥσπερ γὰρ καλὸν μὲν τὸ μὴ πληγῆναι, εἰ δὲ τοῦτο γένοιτο, τὸ φάρμακον ἐπιθεῖναι τῇ πληγῇ χρήσιμον· οὕτω καὶ ἐνταῦθα. ἀλλὰ μὴ γένοιτό τινα τῶν τοιούτων δεηθῆναι φαρμάκων. Πεπείσμεθα δὲ περὶ ὑμῶν τὰ κρείττονα, καὶ ἐχόμενα σωτηρίας, εἰ καὶ οὕτω λαλοῦμεν. σφοδρότερον δὲ διελέχθημεν

Ματθ. ιη. ιε.
γ. ἡμῶν ὃ καταγινώσκετε ποιῶ μαν.
Ματθ. ιη. ιη.
γ. ὡς ἐξ
γ. τί μοι,
γ. ἡμῖν
Ἑβρ. ϛ. θ.

ἀλλ' οὐχ οὕτω δεινὸν τοῦτο. ὅταν δέ τις, ἢ γυνὴ, ἢ ἀνὴρ ἐσταυρῶσθαι τῷ κόσμῳ λέγων, ὁ μὲν γρ. χειρῶ
τρίχας τίλλῃ, ἡ δὲ κωκύῃ μεγάλα, τί τούτου ἀσχημονέστερον; πιστεύσατέ μοι λέγοντι· εἴπως
ἐξῆν ἐγίνετο, πολὺν ἔδει χρόνον τοὺς τοιούτους εἴργεσθαι τῶν οὐδῶν τῶν τῆς ἐκκλησίας.
οὗτοι γὰρ ὄντως ἄξιοι πένθους, οὗτοί εἰσιν, οἱ τὸν θάνατον δεδοικότες ἔτι καὶ φρίττοντες, οἱ τῇ ἀ-
ναστάσει διαπιστοῦντες. ἀλλ' οὐ τῇ ἀναστάσει διαπιστῶ, φησιν, ἀλλὰ τὴν συνήθειαν ἐπι-
ζητῶ. διατί οὖν, εἰπέ μοι, ὅταν ἀποδημῇ, καὶ ἀποδημίαν μακρὰν, οὐ τὰ αὐτὰ ποιεῖς;
ἀλλὰ κλαίω καὶ τότε, φησὶ, καὶ θρηνῶ ἐπιζητοῦσα. ἀλλ' ἐκεῖνο μὲν ὄντως συνήθειαν ἐπιζητού-
σης ἐστὶ, τοῦτο δὲ ἀπεγνωκυίας τὴν ἐπάνοδον. ἐννόησον τί ψάλλεις κατὰ τὸν καιρὸν ἐκεῖνον·
Ψαλ. ριδ. ζ. Ἐπίστρεψον, ψυχή μου, εἰς τὴν ἀνάπαυσίν σου, ὅτι Κύριος εὐηργέτησέ σε. καὶ πάλιν, Οὐ φο-
Ψαλ. λα. ζ. βηθήσομαι κακὰ, ὅτι σὺ μετ' ἐμοῦ εἶ. καὶ πάλιν, Σύ μου εἶ καταφυγὴ ἀπὸ θλίψεως τῆς
περιεχούσης με. ἐννόησον τί βούλονται οὗτοι οἱ ψαλμοί. ἀλλ' οὐ προσέχεις, ἀλλὰ μεθύεις
ὑπὸ τοῦ πένθους. κἂν ἐν τοῖς ἑτέρων κηδεύμασι κατανόησον ἀκριβῶς, ἵνα ἔχῃς φάρμα-
κον ἐν τοῖς σοῖς. ἐπίστρεψον, ψυχή μου, εἰς τὴν ἀνάπαυσίν σου, ὅτι Κύριος εὐηργέτησέ σε, λέ-
γεις, καὶ δακρύεις; οὐχὶ σκηνὴ ταῦτά ἐστιν, οὐχ ὑπόκρισις; εἰ μὲν γὰρ ὄντως πιστεύεις οἷς λέ- γρ. ὅλως
γεις, περιττῶς πενθεῖς· εἰ δὲ παίζεις καὶ ὑποκρίνῃ καὶ μύθους αὐτὰ εἶναι νομίζεις, τί καὶ ψάλλεις;
τί καὶ ἀνέχῃ τῶν παραγινομένων; διατί μὴ ἀπελαύνεις τοὺς ψάλλοντας; ἀλλὰ μαινομέ-
νων τοῦτό, φησι. κἀκεῖνο πολλῷ μᾶλλον. τέως μὲν οὖν παραινῶ· τοῦ χρόνου δὲ προϊόντος, σφο-
δρότερον τῷ πράγματι χρήσομαι. καὶ γὰρ μειζόνως δέδοικα, μὴ τούτῳ τῷ τρόπῳ χαλεπή
τις νόσος ἐν τῇ ἐκκλησίᾳ ὑπεισέλθῃ. τοῦτον οὖν νῦν κωλύσωμεν, ἵνα μὴ ὕστερον ἐπανορθωσώμεθα. γρ. -σόμεθα
πῶς δὲ παραγγέλλω καὶ διαμαρτύρομαι καὶ πλουσίοις καὶ πένησι καὶ γυναιξὶ καὶ ἀνδράσι. γένοι-
το μὲν οὖν πάντας ὑμᾶς ἀπενθήτους τὸν βίον ἐξελθεῖν, καὶ κατὰ νόμον τοὺς προσήκοντα πατέ- γρ. ἡμᾶς
ρας ὑπὸ τῶν υἱῶν γεγηρακότας προπέμπεσθαι, καὶ μητέρας ὑπὸ θυγατέρων καὶ ἐγγόνων
[καὶ μετεγγόνων] ἐν λιπαρῷ τῷ γήρᾳ, καὶ μηδαμοῦ γίνεσθαι ἄωρον θάνατον. γένοιτο μὲν γρ. -τεκγό-
οὖν τοῦτο, καὶ τοῦτο εὔχομαι, καὶ τοὺς προέδρους δὲ καὶ πάντας ὑμᾶς ὑπὲρ ἀλλήλων
παρακαλῶ δεηθῆναι τοῦ Θεοῦ, καὶ κοινὴν ποιήσασθαι ταύτην εὐχήν. εἰ δὲ (ὅπερ
ἀπείη, μηδὲ συμβαίη) πικρός τις γένηται θάνατος (πικρὸς δὲ λέγω, οὐ τῇ φύσει (οὐδὲ
γάρ ἐστι λοιπὸν πικρὸς ὁ θάνατος, ὕπνου γὰρ οὐδὲν διενήνοχεν) ἀλλὰ πικρὸς, [λέγω,]
πρὸς τὴν ἡμετέραν διάθεσιν) εἰ οὖν ἐκεῖ συμβαίη, καί τινες τὰς θρηνούσας ταύτας μι-
σθώσαιντο (πιστεύσατέ μοι λέγοντι, οὐκ ἄλλως γὰρ ἐρῶ, ἀλλ' ὡς ἔχω· ὁ βουλόμενος ὀρ-
γιζέσθω) πολὺν αὐτὸν χρόνον τῆς ἐκκλησίας ἀπείρξω ὡς τὸν εἰδωλολάτρην. εἰ γὰρ γρ. -ξομεν
Κολοσσ. γ. ε. τὴν πλεονεξίαν εἰδωλολατρείαν καλεῖ ὁ Παῦλος, πολλῷ μᾶλλον τὸν ἐπὶ πιστοῦ τὰ τῶν εἰ-
δωλολατρῶν ἐπεισφέροντα. τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, πρεσβυτέρους καλεῖς, καὶ τοὺς ψάλ-
λοντας; οὐχ ὥστε παραμυθήσασθαι, οὐχ ὥστε τιμῆσαι τὸν ἀπελθόντα; τί τοίνυν αὐτὸν ὑ-
βρίζεις; τί δὲ παραδειγματίζεις; τί δὲ παίζεις, ὥσπερ ἐν σκηνῇ; ἡμεῖς ἐρχόμεθα τὰ περὶ
ἀναστάσεως φιλοσοφοῦντες, πάντας παιδεύοντες, καὶ τοὺς μηδέπω πεπληγμένους, διὰ
τῆς εἰς ἐκεῖνον τιμῆς, εἴ ποτε συμβαίη τι τοιοῦτον, φέρειν γενναίως· σὺ δὲ ἄγεις τοὺς τὰ ἡμέ-
τερα καταιροῦντας, πόθεν αὐτῶν μέρος; τί τούτου τοῦ γέλωτος καὶ τῆς χλευασίας χεῖρον;
τί ταύτης τῆς ἀνωμαλίας βαρύτερον; αἰσχύνθητε καὶ ἐντράπητε. εἰ δὲ μὴ βούλεσθε,
α. Τιμ. ε. κ. ἡμεῖς οὐκ ἀνεχόμεθα ἔθη τοιαῦτα ὀλέθρια τῇ ἐκκλησίᾳ ἐπεισαγαγεῖν. Τοὺς γὰρ ἁ-
μαρτάνοντας, φησιν, ἐνώπιον πάντων ἔλεγχε. κἀκείναις δὲ ταῖς ταλαιπώροις καὶ ἀθλί-
αις δι' ὑμῶν ἀπαγορεύομεν, μηδέποτε ταῖς τῶν πιστῶν ἐκφοραῖς ἐπεισιέναι, ἵνα μὴ ὄντως τὰ
οἰκεῖα αὐτὰς ἀναγκάσωμεν θρηνεῖν κακὰ, καὶ παιδεύσωμεν μὴ ἐν ἀλλοτρίοις ταῦτα ποι-
εῖν, ἀλλὰ τὰς οἰκείας συμφορὰς μᾶλλον ὀδύρεσθαι. καὶ γὰρ καὶ πατὴρ φιλόστοργος, ὅταν
υἱὸν ἄτακτον ἔχῃ, οὐκ ἐκείνῳ μόνον παραινεῖ μὴ πλησιάζειν τοῖς πονηροῖς, ἀλλὰ καὶ ἐκεί-

νους

ἀθλητὴν προτρέποι, καὶ τὸν ἀγῶνα προτιθεὶς, ἐπαγγέλλοιτο μηκέτι εἰς θάνατον, ἀλλ' εἰς βασιλείαν ἀγαγεῖν. τίνα οὖν ἠθέλησας σὺ γενέσθαι, τὸν ἐν τῷ δεσμωτηρίῳ λιπαινόμενον μετὰ τὸ καθ' ἑκάστην ἡμέραν τὴν ἀπόφασιν προσδοκᾶν, ἢ τὸν ἀθλοῦντα πολλὰ, καὶ πονοῦντα ἔχοντι, ὥστε τὸ διάδημα τῆς βασιλείας ἀναδήσασθαι; ὁρᾷς πῶς αὐτὴν ἦρε τὴν ψυχὴν, καὶ μετεώρους εἰργάσατο; δείκνυσι δὲ οὐ τὸν θάνατον μόνον πεπαυμένον, ἀλλὰ διὰ τούτου κἀκεῖνον τὸν ἄσπονδον πρὸς ἡμᾶς ἀεὶ τὸν πόλεμον ἐπανῃρημένον καὶ ἐπιδεικνύμενον, τὸν διάβολον λέγω καταργηθέντα. ὁ γὰρ θάνατον μὴ δεδοικὼς, ἔξω τῆς τυραννίδος ἐστὶ τοῦ διαβόλου. εἰ γὰρ δέρμα ὑπὲρ δέρματος, καὶ πάντα δοίη ἄν τις ὑπὲρ τῆς ψυχῆς αὐτοῦ· ὅταν καὶ ταύτης κρίνῃ τις καταφρονεῖν, τίνος ἔσται δοῦλος λοιπόν; οὐδένα δέδοικεν, οὐδένα φοβεῖται, πάντων ἐστὶν ἀνώτερος, καὶ πάντων ἐλευθερώτερος. ὁ γὰρ τῆς ψυχῆς τῆς ἑαυτοῦ καταφρονῶν, πολλῷ μᾶλλον τῶν ἄλλων. ὅταν δὲ εὕρῃ ψυχὴν τοιαύτην ὁ διάβολος, οὐδὲν ἐργάσασθαι δύναται ἐν αὐτῇ τῶν ἑαυτοῦ. τί γὰρ, εἰπέ μοι; χρημάτων ζημίαν ἀπειλήσει, καὶ ἀτιμίαν, καὶ πατρίδος ἔκπτωσιν; ἀλλὰ ταῦτα μικρὰ τῷ μηδὲ τὴν ψυχὴν τιμίαν ἡγουμένῳ, κατὰ τὸν μακάριον Παῦλον. ὁρᾷς ὅτι τοῦ θανάτου τὴν τυραννίδα ἐκβαλὼν, συγκατέλυσε καὶ τοῦ διαβόλου τὴν ἰσχύν; ὁ γὰρ περὶ ἀναστάσεως μωρία φιλοσοφεῖν εἰδὼς, πῶς δέδοικε θάνατον; πῶς φρίττει λοιπόν;

Μὴ τοίνυν ἀσχάλλετε λέγοντες, διὰ τί ταῦτα καὶ ταῦτα πεπόνθαμεν; οὕτω γὰρ λαμπροτέρα ἡ νίκη γίνεται. οὐκ ἂν δὲ ἦν λαμπρὰ, εἰ μὴ θανάτῳ τὸν θάνατον ἔλυσε. τὸ δὲ θαυμαστὸν τοῦτό ἐστιν, ὅτι δι' αὐτῶν αὐτὸν ἐνίκησε, δι' ὧν ἴσχυσε, τὸ εὔπορον αὐτοῦ πανταχοῦ καὶ εὐμήχανον δεικνύς. μὴ δὴ προδῶμεν τὴν δοθεῖσαν ἡμῖν δωρεάν. Οὐ γὰρ ἐλάβομεν, φησὶ, πνεῦμα δειλίας, ἀλλὰ πνεῦμα δυνάμεως καὶ ἀγάπης καὶ σωφρονισμοῦ. στῶμεν οὖν γενναίως καταγελῶντες τοῦ θανάτου. ἀλλὰ γὰρ ἐπῆλθέ μοι στενάξαι πικρὸν, ποῦ μὲν ὁ Χριστὸς ἡμᾶς ἀνήγαγε, ποῦ δὲ ἑαυτοὺς κατηγάγομεν. ὅταν γὰρ ἴδω τοὺς κοπετοὺς τοὺς κατὰ τὴν ἀγορὰν, τὰς οἰμωγὰς, ἃς ἐπὶ τοῖς ἐξερχομένοις ποιοῦνται τοῦ βίου, τὰς ὀλολυγὰς, τὰς ἀσχημοσύνας τὰς ἄλλας, πιστεύσατε, * αἰσχύνομαι καὶ Ἕλληνας καὶ Ἰουδαίους καὶ αἱρετικοὺς τοὺς ὁρῶντας, καὶ πάντας ἁπλῶς τοὺς διὰ τοῦτο καταγελῶντας ἡμῶν. ὅσα γὰρ ἂν εἴπω λοιπὸν, εἰκῇ ἐρῶ περὶ ἀναστάσεως φιλοσοφῶν. τί δήποτε; ὅτι οὐ τοῖς λεγομένοις παρ' ἐμοῦ προσέχουσιν Ἕλληνες, ἀλλὰ τοῖς γινομένοις παρ' ὑμῶν. εὐθέως γὰρ ἐροῦσι, πότε τούτων τις καταφρονῆσαι θανάτου δυνήσεται, μηδὲ ἕτερον τεθνεῶτα δυνάμενος ἰδεῖν; καλὰ τὰ εἰρημένα ὑπὸ τοῦ Παύλου, καλὰ καὶ τῶν οὐρανῶν ἄξια, καὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας. τί γάρ φησι; καὶ ἀπαλλάξῃ τούτους, ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας. ἀλλ' οὐκ ἀφίετε ταῦτα πιστεύεσθαι ὑμεῖς, μαχόμενοι διὰ τῶν ἔργων αὐτοῖς· καίτοι πολλὰ ἐπιτειχίσαντος τοῦ Θεοῦ γενέσθαι * πρὸς τοῦτο, ἵνα ἀνέλῃ τὴν πονηρὰν ταύτην συνήθειαν. εἰπὲ γάρ μοι, τί βούλονται αἱ λαμπάδες αἱ φαιδραί; οὐχ ὡς ἀθλητὰς αὐτοὺς προπέμπομεν; τί δὲ οἱ ὕμνοι; οὐχὶ τὸν Θεὸν δοξάζομεν, καὶ εὐχαριστοῦμεν ὅτι λοιπὸν ἐστεφάνωσε τὸν ἀπελθόντα, ὅτι τῶν πόνων ἀπήλλαξεν, ὅτι τῆς δειλίας ἐκβαλὼν ἔχει παρ' ἑαυτῷ; οὐ διὰ τοῦτο ὕμνοι; οὐ διὰ τοῦτο ψαλμῳδίαι; ταῦτα πάντα χαιρόντων ἐστίν. Εὐθυμεῖ γάρ, φησί, τις; ψαλλέτω. ἀλλ' οὐ τούτοις προσέχουσιν Ἕλληνες. μὴ γάρ μοι, φησὶν, εἴπῃς τὸν ἐκτὸς τοῦ πάθους φιλοσοφοῦντα (τοῦτο γὰρ οὐδὲν μέγα, οὐδὲ θαυμαστὸν) ἀλλὰ δεῖξόν μοι τὸν ἐν αὐτῷ τῷ πάθει φιλοσοφοῦντα, καὶ τότε πιστεύσω τῇ ἀναστάσει. καὶ τὸ μὲν βιωτικὰς γυναῖκας τοῦτο ποιεῖν, θαυμαστὸν οὐδέν. καίτοιγε καὶ αὐτὸ δεινόν. καὶ γὰρ καὶ αὗται τὴν αὐτὴν ἀπαιτοῦνται φιλοσοφίαν. διὸ καὶ Παῦλός φησι, Περὶ δὲ τῶν κεκοιμημένων οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἵνα μὴ λυπῆσθε καθὼς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα. οὐχὶ μοναζούσαις ἔγραφε ταῦτα, οὐδὲ ἀειπαρθένοις, ἀλλὰ καὶ κοσμικαῖς γάμῳ ὁμιλησάσαις, καὶ βιωτικαῖς. πλὴν ἀλλ'

χ. αὖ

χ. μετεώρους ἐποίησε;

χ. -τον διὰ τούτου, ἀλλὰ καὶ

χ. ὑπερορᾶν αὐτῆς

χ. δείσει

χ. φρίξει

χ. δειλίας, ἀλλὰ πνεῦμα ὑγιείας. στῶμεν

χ. καταφρονοῦντες

* ὅτι

* παρ' ἡμῖν

χ. δειλίας, ἢ; εἶχε παρ' ἑαυτῷ, ἢ δεσπότης; ἀλλ' ἀδηλίας

χ. ἀεὶ

Ιωβ. β. δ.

ΗΘΙΚΟΝ

Ρωμ. η. ιε.

α. Τιμ. α. ζ.

Ιακ. ε. ιγ.

α. Θεσ. δ. ιγ.

ἔθνοι. ὁρᾷς ὅσον τὸ μέσον; ὁ μὲν γὰρ ἁγιάζει, ἡμεῖς δὲ ἁγιαζόμεθα. καὶ ἀνωτέρω τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτὸν ἔφη. εἷς γὰρ Θεὸς, ἐξ οὗ τὰ πάντα. δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν. ὁρᾷς πῶς πάλιν δείκνυσι τὴν ὑπεροχήν; τῷ γὰρ εἰπεῖν, οὐκ ἐπαισχύνεται, δείκνυσιν οὐ τῆς τοῦ πράγματος φύσεως, ἀλλὰ τῆς φιλοστοργίας τοῦ μὴ ἐπαισχυνομένου τὸ πᾶν ὄν, καὶ τῆς ταπεινοφροσύνης τῆς πολλῆς. εἰ γὰρ καὶ ἐξ ἑνὸς, ἀλλ' ὁ μὲν ἁγιάζει, ἡμεῖς δὲ ἁγιαζόμεθα. πολὺ δὲ τὸ μέσον. καὶ ὁ μὲν ἐκ τοῦ πατρὸς, ὡς υἱὸς γνήσιος, τουτέστιν, ἐκ τῆς οὐσίας αὐτοῦ· ἡμεῖς δὲ ὡς κτίσμα, τουτέστιν, ἐξ οὐκ ὄντων. ὥστε πολὺ τὸ μέσον. διό φησιν, οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν, λέγων,

Ψαλ. κβ. κγ. 12 Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου. Τὴν γὰρ σάρκα ἐνδυσάμενος, ἐνεδύσατο καὶ τὴν ἀδελφότητα, καὶ συνεισῆλθεν ὁμοῦ τῇ σαρκὶ καὶ ἡ ἀδελφότης. ἀλλὰ τοῦτο μὲν εἰκότως παρήγαγε· τὸ δὲ,

Ψαλ. ιη. γ. Ησ. η. ιη. 13 Ἐγὼ ἔσομαι πεποιθὼς ἐπ' αὐτῷ, Τί βούλεται; καὶ τὸ μετὰ ταῦτα δὲ εἰκότως· Ἰδοὺ ἐγὼ, καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ Θεός. χ. τὸ μὲν γὰρ εἰκότως·

Ὥσπερ γὰρ ἐνταῦθα πατέρα δείκνυσιν ἑαυτὸν, οὕτως ἐκεῖ ἀδελφόν. Ἀπαγγελῶ, φησὶ, τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου. καὶ πάλιν τὴν ὑπεροχὴν δείκνυσι, καὶ πολὺ τὸ μέσον, διὰ τῶν ἑξῆς.

14 Ἐπεὶ οὖν τὰ παιδία, φησὶ, κεκοινώνηκεν αἵματος καὶ σαρκός.

Ὁρᾷς ποῦ φησι τὸ ὅμοιον; κατὰ τὴν σάρκα. Παραπλησίως καὶ αὐτὸς μετέσχε τῶν αὐτῶν. Αἰσχυνέσθωσαν πάντες οἱ αἱρετικοὶ, ἐγκαλυπτέσθωσαν οἱ δοκήσει λέγοντες αὐτὸν παραγενέσθαι, καὶ οὐκ ἀληθείᾳ. οὐ γὰρ εἶπεν, ὅτι μετέσχε τούτων μόνον, καὶ ἐσίγησε (καίτοι καὶ εἰ οὕτως εἶπεν, ἱκανὸν ἦν) ἀλλ' ἐπειδή τι μεῖζον ἐνέφηνε, τὸ, παραπλησίως, προσέθηκεν. οὐ φαντασίᾳ, οὐδὲ εἰκόνι, φησὶν, ἀλλ' ἀληθείᾳ· ἐπεὶ τὸ, παραπλησίως, οὐ σώζεται. Εἶτα δείξας τὴν ἀδελφότητα, καὶ τὴν αἰτίαν τίθησι τῆς οἰκονομίας. Ὅπως διὰ τοῦ θανάτου, φησὶ, καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι, τὸν διάβολον. ε. παραγγ… ἄλ. καθ' ἧττον

Ἐνταῦθα τὸ θαυμαστὸν δείκνυσιν, ὅτι δι' οὗ ἐκράτησεν ὁ διάβολος, διὰ τούτου ἡττήθη, καὶ ὅπερ ἰσχυρὸν ἦν αὐτῷ ὅπλον κατὰ τῆς οἰκουμένης ὁ θάνατος, τούτῳ αὐτὸν ἔπληξεν ὁ Χριστός. καὶ τὸ πολὺ τῆς δυνάμεως τοῦ νικήσαντος ἐμφαίνει. ὁρᾷς ὅσον ὁ θάνατος εἰργάσατο καλόν; χ. ὡς ποιῶν

15 Καὶ ἀπαλλάξῃ, φησὶ, τούτους, ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας. Τίνος ἕνεκεν φρίττετε, φησὶ, τί δεδοίκατε τὸν καταργηθέντα; οὐκέτι φοβερός ἐστιν, ἀλλὰ πεπάτηται, καταπεφρόνηται, εὐτελής ἐστι, καὶ οὐδενὸς ἄξιος. τί δέ ἐστιν, ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας; τί τοῦτό, φησιν; ὅτι ὁ τὸν θάνατον δεδοικὼς, δοῦλός ἐστι, καὶ πάντα ὑφίσταται ὑπὲρ τοῦ μὴ ἀποθανεῖν· ἢ ἐκεῖνο, ὅτι πάντες δοῦλοι ἦσαν τοῦ θανάτου, φησὶ, καὶ τῷ μηδέπω αὐτὸν λελύσθαι ἐκρατοῦντο· ἢ [εἰ μὴ τοῦτο,] ὅτι φόβῳ διηνεκεῖ συνέζων οἱ ἄνθρωποι. ἀεὶ γὰρ ἀποτεθνήξεσθαι προσδοκῶντες, καὶ τὸν θάνατον δεδοικότες, οὐδεμιᾶς ἡδονῆς αἴσθησιν λαβεῖν ἠδύναντο, τοῦ φόβου τούτου παρόντος αὐτοῖς. τοῦτο γὰρ ἠνίξατο εἰπὼν, διὰ παντὸς τοῦ ζῆν. δείκνυσιν ἐνταῦθα τοὺς θλιβομένους, τοὺς ἐλαυνομένους, τοὺς διωκομένους, τοὺς καὶ πατρίδος καὶ οὐσίας καὶ τῶν ἄλλων ἁπάντων ἀπεστερημένους, ἤδη διάγοντας καὶ ἐλευθερωτέρους ἐκείνων τῶν ἐν τρυφῇ τὸ πάλαι τυγχανόντων, τῶν μηδὲν τοιοῦτον παθόντων, τῶν εὐθηνουμένων· εἴγε ἐκεῖνοι μὲν διὰ παντὸς τοῦ ζῆν ὑπὸ τῷ φόβῳ τούτῳ ἦσαν, καὶ δοῦλοι· αὐτοὶ δὲ τούτου εἰσὶν ἀπηλλαγμένοι, καὶ γελῶντες τοῦτο, ὅπερ ἐκεῖνοι πεφρίκασιν. ὥσπερ γὰρ εἴ τις δεσμώτην μέλλοντα τὴν ἐπὶ θάνατον ἄγεσθαι, καὶ ἀεὶ τοῦτο προσδοκῶντα λιπαίνοι πολλῇ τῇ τρυφῇ, τοιοῦτόν τι ἦν τὸ πάλαι ὁ θάνατος. νῦν δὲ ταὐτὸν γέγονεν, οἷον ἂν εἴ τις τὸν φόβον ἐκεῖνον ἐκβαλὼν μετὰ τῆς τρυφῆς, ἀ- χ. ἢ πάντων πάντες χ. ἀεὶ

θλεῖν

ἑαυτόν, φησιν, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν. τίνος ἕνεκεν; οὐκ ὠφείλετο τοῦτο ἡμῖν, ἀλλὰ χάριτι πεποίηκε. καὶ πάλιν ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ φησι, Πολλῷ μᾶλλον ἡ χάρις τοῦ Θεοῦ καὶ ἡ δωρεὰ ἐν χάριτι τῇ τοῦ ἑνὸς ἀνθρώπου Ἰησοῦ Χριστοῦ εἰς τοὺς πολλοὺς ἐπερίσσευσεν. ὅπως χάριτι Θεοῦ ὑπὲρ παντὸς γεύσηται θανάτου. οὐχ ὑπὲρ τῶν πιστῶν μόνον, ἀλλὰ καὶ τῆς οἰκουμένης ἁπάσης. αὐτὸς μὲν γὰρ ὑπὲρ πάντων ἀπέθανε. τί δὲ, εἰ μὴ πάντες ἐπίστευσαν; αὐτὸς τὸ ἑαυτοῦ πεπλήρωκε. καὶ κυρίως εἶπεν, ὑπὲρ παντὸς γεύσηται θανάτου· καὶ οὐκ εἶπεν, ἀποθάνῃ. ὥσπερ γὰρ ὄντως γευσάμενος, οὕτω μικρὸν ἐν αὐτῷ ποιήσας διάστημα, εὐθέως ἀνέστη. πῶς οὖν οὕτως εἶπεν, διὰ τὸ πάθημα τοῦ θανάτου, τὸν ὄντως θάνατον ἐσήμανε· πῶς δὲ, ἀγγέλων κρείττων, τὴν ἀνάστασιν ἐδήλωσεν. καθάπερ γὰρ ἰατρὸς οὐκ ἔχων ἀνάγκην τῶν τῷ ἀρρώστῳ προσκευασμένων σιτίων ἀπογεύσασθαι, διὰ τὴν περὶ ἐκεῖνον κηδεμονίαν πρότερος αὐτὸς ἀπογεύεται, ἵνα πείσῃ τὸν ἄρρωστον θαρσοῦντα καταστολμῆσαι τῆς βρώσεως· οὕτω καὶ ὁ Χριστὸς, ἐπειδὴ πάντες ἄνθρωποι τὸν θάνατον ἐδεδοίκεσαν, πείθων αὐτοὺς καταστολμᾶν τοῦ θανάτου, καὶ αὐτὸς ἀπεγεύσατο αὐτοῦ, οὐκ ἔχων ἀνάγκην. Ἔρχεται γὰρ, φησιν, ὁ τοῦ κόσμου τούτου ἄρχων, καὶ οὐχ εὑρίσκει ἐν ἐμοὶ οὐδέν. ὥστε καὶ τὸ, χάριτι, καὶ τὸ, ὑπὲρ παντὸς γεύσηται θανάτου, τοῦτο σημαίνει.

Ρωμ. ε. ιε.

χωρὶς ἐν τῇ χ.

γρ. ἑαυτοῦ.

Ιωαν. ιδ. γ.

10 Ἔπρεπε γὰρ αὐτῷ, δι' ὃν τὰ πάντα, καὶ δι' οὗ τὰ πάντα, πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγόντα, τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν διὰ παθημάτων τελειῶσαι. Περὶ τοῦ πατρὸς ἐνταῦθα λέγει. ὁρᾷς πῶς πάλιν τὸ, δι' οὗ, αὐτῷ ἁρμόζει; οὐκ ἂν τοῦτο ἐποίησεν, εἴγε ἐλαττώσεως ἦν, καὶ τῷ υἱῷ μόνον προσῆκεν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἄξια, φησι, τῆς φιλανθρωπίας αὐτοῦ πεποίηκε, τὸ τὸν πρωτότοκον λαμπρότερον ἀποδεῖξαι πάντων, καὶ ὥσπερ ἀθλητὴν γενναῖον καὶ τοὺς ἄλλους ὑπερέχοντα, τοῖς ἐπὶ γῆς ὑπόδειγμα θεῖναι. τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν. τουτέστι, τὸν αἴτιον τῆς σωτηρίας. ὁρᾷς ὅσον τὸ μέσον; καὶ οὗτος υἱὸς, καὶ ἡμεῖς υἱοί· ἀλλ' ὁ μὲν σώζει, ἡμεῖς δὲ σωζόμεθα. εἶδες πῶς ἡμᾶς καὶ συνάγει καὶ διίστησι; πολλοὺς, φησιν, υἱοὺς εἰς δόξαν ἀγαγόντα. ἐνταῦθα συνήγαγε. τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν. καὶ πάλιν διίστησι. διὰ παθημάτων τελειῶσαι. ἄρα τὰ παθήματα τελείωσις, καὶ αἰτία τῆς σωτηρίας. ὁρᾷς ὅτι τὸ παθεῖν κακῶς, οὐκ ἔστιν ἐγκαταλελειμμένων; εἴ γε τοῦτο πρῶτον τετίμηκε τὸν υἱὸν ὁ Θεὸς, τὸ διὰ παθημάτων αὐτὸν ἀγαγεῖν. καὶ ὄντως τοῦ τὸν κόσμον ποιῆσαι, καὶ ἐκ μὴ ὄντων παραγαγεῖν αὐτὸν, τὸ σάρκα ἀναλαβόντα παθεῖν ἅπερ ἔπαθε, πολλῷ μεῖζόν ἐστι. καὶ τοῦτο μὲν οὖν φιλανθρωπίας, ἐκεῖνο δὲ πολλῷ πλέον. καὶ δεικνὺς καὶ αὐτὸς τοῦτο αὐτό, φησιν, Ἵνα ἐνδείξηται ἐν τοῖς αἰῶσι τοῖς ἐπερχομένοις τὸν ὑπερβάλλοντα πλοῦτον τῆς χρηστότητος αὐτοῦ, καὶ συνήγειρε, καὶ συνεκάθισεν * ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ. ἔπρεπε γὰρ * αὐτῷ, δι' ὃν τὰ πάντα, καὶ δι' οὗ τὰ πάντα, πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγόντα, τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν διὰ παθημάτων τελειῶσαι. ἔπρεπε γὰρ αὐτῷ, φησι, τῷ κηδεμόνι ὄντι, καὶ πάντα εἰς τὸ εἶναι παραγαγόντι, ἐκδοῦναι τὸν υἱὸν ὑπὲρ τῆς τῶν λοιπῶν σωτηρίας, τὸν ἕνα ὑπὲρ τῶν πολλῶν. ἀλλ' οὐκ εἶπεν οὕτως, ἀλλὰ, διὰ παθημάτων τελειῶσαι, δεικνὺς ὅτι ὁ παθὼν ὑπέρ τινος, οὐκ ἐκεῖνον ὠφελεῖ μόνον, ἀλλὰ καὶ αὐτὸς λαμπρότερος γίνεται καὶ τελειότερος. καὶ τοῦτο δὲ πρὸς τοὺς πιστούς φησι, παραθαρρύνων αὐτούς. καὶ γὰρ ὁ Χριστὸς τότε ἐδοξάσθη, ὅτε ἔπαθεν. ὅταν δὲ εἴπω, ὅτι ἐδοξάσθη, μὴ νομίσῃς δόξης προσθήκην αὐτῷ γίνεσθαι. ἐκείνην γὰρ τὴν τῆς φύσεως εἶχεν ἀεὶ, οὐδὲν προσλαβών.

γρ. ἰδοὺ

γρ. μέσον

Εφεσ. β. ζ.

* ἡμᾶς

* φασιν

11 Ὅ τε γὰρ ἁγιάζων, φησὶ, καὶ οἱ ἁγιαζόμενοι, ἐξ ἑνὸς πάντες· δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν. Ἰδοὺ πάλιν πῶς συνάγει, τιμῶν αὐτοὺς καὶ παραμυθούμενος, καὶ ἀδελφοὺς αὐτοὺς ποιῶν τοῦ Χριστοῦ, κατὰ τοῦτο, τὸ ἐξ ἑνὸς εἶναι. εἶτα πάλιν ἀσφαλιζόμενος, καὶ δεικνὺς ὅτι τὸ κατὰ σάρκα φησὶν, ἐπήγαγε, τὸ, ὁ ἁγιάζων, καὶ οἱ ἁγιαζόμενοι.

γρ. ὅ τε γὰρ ἁγιάζων Χριστὸς, καὶ οἱ ἁγιαζόμενοι ἡμεῖς.

Digitized by Google

ἀγγέλους αὐτοῦ πνεύματα· πρὸς δὲ τὸν υἱόν, καὶ κατ' ἀρχὰς σύ, Κύριε, τὴν γῆν ἐθεμελίωσας. οὕτω καὶ ἐνταῦθά φησι, διεμαρτύρατο δέ πού τις λέγων. τοῦτο δὲ αὐτό, οἶμαι, τὸ κρύπτειν καὶ μὴ τιθέναι τὸν εἰρηκότα τὴν μαρτυρίαν, ἀλλ' ὡς περιφερομένην καὶ κατάδηλον οὖσαν εἰσάγειν, δεικνύντος ἐστὶν αὐτοὺς σφόδρα ἐμπείρους εἶναι τῶν γραφῶν. Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ· ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν;

χ. καὶ τοῦτο αὐτὸ οἶμαι κρύπτοντος αὐτὸν ἐστὶ δεικνύντος αὐτοὺς σφόδρα ἐμπείρους εἶναι τῶν γραφῶν, τὸ μὴ τιθέναι τὸν εἰρηκότα.

7 Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους· δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν, καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου.

8 Πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ. Ταῦτα δὲ εἰ καὶ εἰς τὴν κοινὴν ἀνθρωπότητα εἴρηται, ἀλλ' ὅμως κυριώτερον ἁρμόσειεν ἂν τῇ Χριστοῦ σαρκί. τὸ γάρ, πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ, ἐκείνου μᾶλλόν ἐστιν, ἢ ἡμῶν. ὁ γὰρ υἱὸς τοῦ Θεοῦ τότε ἡμᾶς οὕτως ἐπεσκέψατο· καὶ τὸ ἐξ ἡμῶν ἀναλαβών, καὶ ἑνώσας αὐτῷ, πάντων ἀνώτερος γέγονεν. Ἐν γὰρ τῷ ὑποτάξαι, φησίν, αὐτῷ τὰ πάντα, οὐδὲν ἀφῆκεν αὐτῷ ἀνυπότακτον. νῦν δὲ οὔπω ὁρῶμεν αὐτῷ τὰ πάντα ὑποτεταγμένα. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἐπειδὴ εἶπεν, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου, εἰκὸς δὲ ἦν αὐτοὺς ἔτι ἀσχάλλειν, εἶτα μετὰ ταῦτα ὀλίγα τινὰ παρενθείς, ταύτην τὴν μαρτυρίαν ἐπήγαγε βεβαιοῦσαν ἐκείνην. ἵνα γὰρ μὴ λέγωσι, πῶς τοὺς ἐχθροὺς ἔθηκεν ὑπὸ τοὺς πόδας αὐτοῦ, τοσαῦτα παθόντων ἡμῶν; ἠρέμα μὲν καὶ ἐν τῷ προτέρῳ αὐτὸ ᾐνίξατο (τὸ γάρ, ἕως, οὐ τὸ εὐθέως ἐδήλου γινόμενον, ἀλλὰ τὸ ἐν χρόνῳ) ἐνταῦθα δὲ αὐτὸ ἐπεξέρχεται. μὴ γάρ, ἐπειδὴ οὐδέπω ὑποτέτακται, φησι, νομίσῃς μηδὲ ὑποταγήσεσθαι. ὅτι μὲν γὰρ δεῖ ὑποταγῆναι, δῆλον. καὶ γὰρ ἡ προφητεία διὰ τοῦτο εἴρηται. Ἐν γὰρ τῷ ὑποτάξαι αὐτῷ, φησί, τὰ πάντα, οὐδὲν ἀφῆκεν αὐτῷ ἀνυπότακτον. πῶς οὖν οὐ πάντα ὑποτέτακται; ὅτι μέλλει ὑποτάσσεσθαι. εἰ τοίνυν πάντα μὲν ὑποταγῆναι ὀφείλει, οὔπω δὲ ὑποτέτακται, μὴ ἄσχαλλε, μηδὲ θορυβοῦ. Εἰ μὲν γὰρ τοῦ τέλους παραγινομένου, καὶ πάντων ὑποταγέντων, ταῦτα ἔπασχες, εἰκότως ἂν ἤλγεις· νῦν δὲ οὔπω ὁρῶμεν αὐτῷ τὰ πάντα ὑποτεταγμένα· οὔπω ἐκράτησεν ὁ βασιλεὺς καθαρῶς. τί τοίνυν θορυβῇ, πάσχων κακῶς; οὔπω πάντων περιεγένετο τὸ κήρυγμα, οὔπω καιρὸς τέλειον ὑποταγῆναι. Εἶτα πάλιν ἑτέρα παράκλησις· ἤδη ὁ μέλλων πάντας ἔχειν ὑποτεταγμένους, καὶ αὐτὸς ἀπέθανε, καὶ μυρία πέπονθε.

χ. ὁ δὲ

9 Τὸν δὲ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον βλέπομεν, φησιν, Ἰησοῦν, διὰ τὸ πάθημα τοῦ θανάτου. Εἶτα τὰ χρηστὰ πάλιν, Δόξῃ καὶ τιμῇ ἐστεφανωμένον. Εἶδες πῶς αὐτῷ πάντα ἥρμοσε; καὶ γὰρ τό, βραχύ, αὐτῷ ἂν ἁρμόσειε μᾶλλον, τῷ τρεῖς ἡμέρας γενομένῳ ἐν τῷ ᾅδῃ μόνας, ἀλλ' οὐχ ἡμῖν τοῖς ἐπιπολὺ φθειρομένοις. ὁμοίως καὶ τό, δόξῃ καὶ τιμῇ, ἐκείνῳ πολλῷ πλέον, ἢ ἡμῖν ἁρμόσει. πάλιν αὐτοὺς ἀναμιμνήσκει τοῦ σταυροῦ, δύο ταῦτα κατορθῶσαι σπουδάζων, καὶ τὴν κηδεμονίαν αὐτοῦ δεῖξαι, καὶ πεῖσαι αὐτοὺς πάντα φέρειν γενναίως, εἰς τὸν διδάσκαλον ἀφορῶντας. εἰ γὰρ ὁ προσκυνούμενος ὑπὸ ἀγγέλων, φησίν, ἠνέσχετο βραχύ τι παρ' ἀγγέλους ἐλαττωθῆναι διὰ σέ· πολλῷ μᾶλλον σὺ ὁ τῶν ἀγγέλων ἐλάττων, πάντα φέρειν ὀφείλεις δι' αὐτόν. εἶτα δείκνυσιν, ὅτι δόξα καὶ τιμὴ ὁ σταυρός ἐστιν· ὥσπερ οὖν καὶ αὐτὸς δόξαν αὐτὸν καλεῖ λέγων, Ἐλήλυθεν ἡ ὥρα, ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ ἀνθρώπου. εἰ οὖν ἐκεῖνος τὰ διὰ τοὺς δούλους δόξαν καλεῖ, πολλῷ μᾶλλον σὺ τὰ διὰ τὸν δεσπότην. ὁρᾷς τοῦ σταυροῦ τὸν καρπόν, ὅσος; μὴ φοβηθῇς τὸ πρᾶγμα. σκυθρωπὸν μὲν γὰρ εἶναί σοι δοκεῖ, μυρία δὲ τίκτει ἀγαθά. δείκνυσιν ἐκ τούτων τοῦ πειρασμοῦ τὸ ὄφελος. εἶτά φησιν,

Ioan. 12. d.

χ. δύο ποιῶν. χ. δεικνύς, καὶ πείθων πάντα

Ὅπως χάριτι Θεοῦ ὑπὲρ παντὸς γεύσηται θανάτου. Ὅπως, φησί, χάριτι Θεοῦ. κἀκεῖνος μὲν διὰ τὴν χάριν τοῦ Θεοῦ τὴν εἰς ἡμᾶς ταῦτα πέπονθεν· Ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο,

Ρωμ. η. λϛ.

χ. φοβηθῇς. χ. διό. εἶτά φησιν, ὅπως χάριτι Θεοῦ. δείκνυσιν ἐκ τούτων τοῦ πειρασμοῦ τὸ ὄφελος, καὶ ὅτι κἀκεῖνος διὰ

Digitized by Google

Ἠβουλόμην γνῶναι σαφῶς, εἴ τινες μετὰ τῆς προσηκούσης σπουδῆς τῶν λεγομένων ἀκούουσιν, εἰ μὴ παρὰ τὴν ὁδὸν τὰ σπέρματα ῥίπτομεν. οὕτω γὰρ ἂν προθυμότεροι τὴν διδασκαλίαν ἐποιησάμην. ἐροῦμεν γάρ, κἂν μηδεὶς ἀκούῃ, διὰ τὸν ἐπικείμενον παρὰ τοῦ σωτῆρος φόβον. Διαμαρτύραι γάρ, φησι, τῷ λαῷ τούτῳ κἂν μὴ ἀκούσωσιν, αὐτὸς ἀθῷος ἔσῃ. Εἰ δὲ ἐπεπείσμην περὶ τῆς ὑμετέρας σπουδῆς, οὐ διὰ τὸν φόβον ἔλεγον μόνον, ἀλλὰ καὶ μεθ' ἡδονῆς τοῦτ' ἐποίουν. νῦν μὲν γὰρ κἂν μηδεὶς ἀκούῃ, κἂν ἐμοὶ τὸ πρᾶγμα ἀκίνδυνον ᾖ τὸ ἐμαυτοῦ πληρῶσαι, ἀλλ' ὅμως οὐ μεθ' ἡδονῆς ὁ πόνος γίνεται. τί γὰρ ὄφελος, ὅταν μὴ ἐγκαλῶμαι μὲν ἐγώ, ὠφελῆται δὲ μηδείς; Εἰ δέ τινες μέλλοιεν προσέχειν, οὐ τοσαύτην ἀπὸ τοῦ μὴ κολάζεσθαι ληψόμεθα ὄνησιν, ὅσην ἀπὸ τῆς προκοπῆς τῆς ὑμετέρας. πῶς οὖν εἰσόμεθα τοῦτο; ἐπιτηρήσας ὑμῶν τινας τοὺς οὐ πάνυ προσέχοντας, τούτους ἐρήσομαι κατ' ἰδίαν ἐντυχών· κἂν εὕρω τινὰ τῶν εἰρημένων κατέχοντας (οὐ λέγω πάντα· τοῦτο γὰρ ὑμῖν οὐ σφόδρα εὔκολον) ἀλλὰ καὶ ὀλίγα ἐκ πολλῶν, εὔδηλον ὅτι περὶ τῶν πολλῶν οὐδὲν ἀμφιβάλλω λοιπόν. καὶ ἐχρῆν μὲν ἡμᾶς, μὴ προειπόντας τοῦτο, ἀφυλάκτοις ὑμῖν ἐπιτεθῆναι. πλὴν ἀλλ' ἀγαπητόν, εἰ καὶ οὕτω δυνηθείημεν ἐπιτυχεῖν. μᾶλλον δέ, καὶ οὕτω δυνάμεθα ἀφυλάκτοις ἐπιθέσθαι. ὅτι μὲν γὰρ ἐρήσομαι, προεῖπον· πότε δὲ ἐρήσομαι, οὐκέτι δῆλον καθίστημι. ἴσως γὰρ σήμερον, ἴσως δὲ αὔριον, ἴσως δὲ μετὰ εἴκοσιν ἢ καὶ τριάκοντα ἡμέρας, ἴσως δὲ μετὰ ἐλάττους, ἴσως δὲ καὶ μετὰ πλείους. οὕτω καὶ ὁ Θεὸς τὴν ἡμέραν ἡμῖν τῆς τελευτῆς ἄδηλον ἐποίησε. καὶ οὔτε εἰ σήμερον, οὔτε εἰ αὔριον, οὔτε εἰ μετ' ἐνιαυτὸν ὅλον, οὔτε εἰ μετὰ πλείονα ἔτη ἐπιστήσεται, δῆλον ἡμῖν ἀφῆκεν εἶναι· ἵνα τῷ τῆς προσδοκίας ἀδήλῳ διαπαντὸς ἐν ἀρετῇ κατέχωμεν ἑαυτούς. καὶ ὅτι μὲν ἀπελευσόμεθα, εἶπε· πότε δέ, οὐκέτι. οὕτω κἀγώ, ὅτι μὲν ἐρήσομαι, εἶπον· πότε δέ, οὐ προσέθηκα, βουλόμενος ὑμᾶς ἐν φροντίδι εἶναι διαπαντός. καὶ μή τις λεγέτω, ὅτι περὶ τεσσάρων ἑβδομάδων καὶ πέντε καὶ πλειόνων ταῦτα ἤκουσα, καὶ κατέχειν οὐ δύναμαι. τὸν γὰρ ἀκούοντα οὕτω βούλομαι κατέχειν, ὡς ἄληστον ἔχειν τὴν μνήμην, καὶ μὴ ἐξίτηλον, μηδὲ ἀποπνεῖν τὰ λεγόμενα. βούλομαι γὰρ ὑμᾶς κατέχειν, οὐχ ἵνα ἐμοὶ εἴπητε, ἀλλ' ἵνα ὑμεῖς κερδάνητε· καὶ τοῦτο ἐμοί ἐστι τὸ σπουδαζόμενον. ἀλλ' ἐπεὶ ὅσα ἐχρῆν εἰπεῖν εἰς ἀσφάλειαν, ἡμῖν εἴρηται, ἀναγκαῖον λοιπὸν ἄρξασθαι τῆς ἀκολουθίας. τί δὴ οὖν πρόκειται ἡμῖν εἰπεῖν σήμερον; οὐ γὰρ ἀγγέλοις, φησίν, ὑπέταξε τὴν οἰκουμένην τὴν μέλλουσαν, περὶ ἧς λαλοῦμεν. ἆρα μὴ περὶ ἑτέρας τινὸς διαλέγεται οἰκουμένης; οὐκ ἔστιν, ἀλλὰ περὶ ταύτης. διὰ γὰρ τοῦτο προσέθηκε, περὶ ἧς λαλοῦμεν, ἵνα μὴ ἀφῇ τὸν νοῦν πλανηθέντα ἑτέραν τινὰ ἐπιζητεῖν. πῶς οὖν αὐτὴν μέλλουσαν καλεῖ; ὥσπερ καὶ ἑτέρωθί φησιν, Ὅς ἐστι τύπος τοῦ μέλλοντος, περὶ τοῦ Ἀδὰμ καὶ τοῦ Χριστοῦ λέγων ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ, πρὸς τὸν χρόνον τοῦ Ἀδὰμ μέλλοντα τὸν κατὰ σάρκα Χριστὸν καλῶν (καὶ γὰρ ἔμελλεν) οὕτω καὶ νῦν, ὅπερ εἶπεν, ὅταν δὲ εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, ἵνα μὴ νομίσῃς ἑτέραν οἰκουμένην λέγειν αὐτόν, πολλαχόθεν μὲν οὖν καὶ ἄλλοθεν βεβαιοῦται, καὶ ἀπὸ κοινοῦ δὲ τοῦ εἰπεῖν [αὐτὴν] μέλλουσαν. ἔμελλε γὰρ ἡ οἰκουμένη· ὁ δὲ υἱὸς τοῦ Θεοῦ ἦν ἀεί. ταύτην οὖν τὴν μέλλουσαν ἔσεσθαι, οὐκ ἀγγέλοις ὑπέταξεν, ἀλλὰ τῷ Χριστῷ. ὅτι δὲ πρὸς τὸν υἱὸν εἴρηται, φησί, δῆλον. οὐδὲ γὰρ ἐκεῖνο δύναιτ' ἄν τις εἰπεῖν, ὅτι πρὸς ἀγγέλους. εἶτα καὶ ἑτέραν παράγει μαρτυρίαν, καί φησι, διεμαρτύρατο δέ πού τις λέγων. διατί μὴ τὸ ὄνομα τοῦ προφήτου εἶπεν, ἀλλ' ἔκρυψεν αὐτό; καὶ ἐν ἑτέραις δὲ μαρτυρίαις τοῦτο ποιεῖ· ὡς ὅταν λέγῃ, Ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει, Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ. καὶ πάλιν, Ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα. καὶ πρὸς μὲν τοὺς ἀγγέλους λέγει, Ὁ ποιῶν τοὺς

γ. ναὶ μὴν δὲ καὶ μηδὲν πεπεισμένοι, λέγομεν,

γ. πάνυ πιστεύοντες

γ. λοιπόν

γ. ἵνα κἂν οὕτω δυνηθείητε ἐπιτυχεῖν. ἄλλ. εἰ κἂν οὕτω δυνηθείην

γ. ἀλλά

γ. [illegible]

Ῥωμ. ε.

Ψαλ. ϟϛ. ζ.

β Βασ. ζ. ιδ.

Ψαλ. ργ. δ.

ἐφιστοιῶμεν κατὰ τὸ λοιπόν. λέγε μοι, ὅλως θέλεις χαρίσματα; ἐγὼ δείκνυμι ὑμῖν ὁδὸν χαρισμάτων, οὐχ ἁπλῶς ὑπερέχουσαν, ἀλλὰ καθ' ὑπερβολήν. εἶτά φησιν, Ἐὰν ταῖς γλώσσαις τῶν ἀγγέλων λαλῶ, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι· καὶ ἐὰν ἔχω πίστιν, ὥστε ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι. εἶδες χάρισμα; ἐκεῖνο ζήλωσον. τοῦτο τὸ χάρισμα. τοῦτο τοῦ νεκροὺς ἐγείρειν μεῖζον· τοῦτο τῶν ἄλλων ἁπάντων πολλῷ βέλτιον. καὶ ὅτι τοῦτο οὕτως ἔχει, ἄκουσον τί φησιν ὁ Χριστὸς τοῖς μαθηταῖς διαλεγόμενος· Ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε. εἶτα δεικνὺς ἐν ποίῳ, οὐκ εἶπε τὰ θαύματα, ἀλλὰ τί; Ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις. καὶ πάλιν πρὸς τὸν πατέρα φησίν, Ἐν τούτῳ γνώσονται, ὅτι σύ με ἀπέστειλας, ἐὰν ὦσιν ἕν. καὶ αὐτὸς ἔλεγε πρὸς τοὺς μαθητάς, Ἐντολὴν καινὴν δίδωμι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους. τῶν τοίνυν τοὺς νεκροὺς ἀνιστώντων σεμνότερος ὁ τοιοῦτος, καὶ λαμπρότερος εἰκότως. ἐκεῖνο μὲν γὰρ ὅλον τῆς τοῦ Θεοῦ χάριτός ἐστι· τοῦτο δὲ καὶ τῆς σῆς σπουδῆς. τοῦτο ὄντως χριστιανοῦ· τοῦτο δείκνυσι τὸν τοῦ Χριστοῦ μαθητήν, τὸν ἐσταυρωμένον, τὸν οὐδὲν ἔχοντα κοινὸν ἐν τῇ γῇ. τούτου χωρὶς οὐδὲ μαρτύριον ὠφελῆσαί τι δύναται. καὶ ἵνα μάθῃς, ὅρα τοῦτο σαφῶς. ἔλαβε δύο κορυφὰς ἀρετῶν ὁ μακάριος Παῦλος, μᾶλλον δὲ τρεῖς· τὰς ἐν τοῖς σημείοις, τὰς ἐν τῇ γνώσει, τὰς ἐν τῷ βίῳ. καὶ ταύτης ἄνευ οὐδὲν ἔφησεν εἶναι ταῦτα. πῶς δὲ οὐδέν ἐστι ταῦτα; ἐγὼ λέγω. Ἐὰν ψωμίσω, φησί, τὰ ὑπάρχοντά μου, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι. ἔστι γὰρ καὶ ψωμίζοντα μὴ εἶναι ἀγαπητικόν, καὶ χρήματα κενοῦντα. καὶ εἴρηται μὲν ἡμῖν ταῦτα ἀρκούντως ἐν τῷ τόπῳ τῷ περὶ τῆς ἀγάπης, καὶ ἐκεῖ παραπέμπομεν τοὺς ἐντυγχάνοντας. τέως δέ, ὅπερ ἔφην, ζηλώσωμεν τὸ χάρισμα, ἀγαπήσωμεν ἀλλήλους· καὶ οὐδενὸς ἑτέρου δεηθησόμεθα πρὸς τὴν τῆς ἀρετῆς κατόρθωσιν, ἀλλὰ πάντα ἡμῖν ἔσται εὔκολα χωρὶς ἱδρώτων, καὶ ἅπαντα κατορθώσομεν μετὰ πολλῆς τῆς σπουδῆς. ἀλλ' ἰδοὺ καὶ νῦν, φησίν, ἀγαπῶμεν ἀλλήλους. ὁ μὲν γὰρ ἔχει φίλους δύο, ἢ τρεῖς, ὁ δὲ τέσσαρας. ἀλλὰ τοῦτο οὐκ ἔστι διὰ τὸν Θεὸν ἀγαπᾶν, ἀλλὰ διὰ τὸ φιλεῖσθαι. ὁ δὲ διὰ τὸν Θεὸν ἀγαπᾶν, οὐ ταύτην ἔχει τὴν ἀρχὴν τῆς ἀγάπης, ἀλλὰ πρὸς πάντας, ὡς πρὸς ἀδελφούς, ὁ τοιοῦτος διακείσεται, τοὺς μὲν ὁμοπίστους, ἅτε γνησίους ὄντας ἀδελφούς φιλεῖ, τοὺς δὲ αἱρετικοὺς καὶ Ἕλληνας καὶ Ἰουδαίους, ὡς ἀδελφοὺς μὲν κατὰ τὴν φύσιν, φαύλους δὲ τυγχάνοντας καὶ ἀχρήστους, ἐλεεῖ, καὶ τηκόμενος ὑπὲρ αὐτῶν, καὶ δακρύων. ἐν τούτῳ * ὅμοιοι ἐσόμεθα τῷ Θεῷ, ἐὰν πάντας ἀγαπῶμεν, καὶ τοὺς ἐχθρούς· οὐκ ἐὰν σημεῖα ποιῶμεν. ἐπεὶ καὶ τὸν Θεὸν θαυμάζομεν μὲν καὶ ὅταν θαύματα ἐργάζηται· πολλῷ δὲ πλέον, ὅταν φιλανθρωπεύηται, ὅταν ἀνεξικακῇ. εἰ τοίνυν καὶ ἐπὶ τοῦ Θεοῦ ἐκεῖνο πολλοῦ θαύματος ἄξιον, πολλῷ μᾶλλον ἐπ' ἀνθρώπων εὔδηλον ὅτι τοῦτο ἡμᾶς θαυμαστοὺς ἀπεργάζεται. τοῦτο τοίνυν ζηλώσωμεν· καὶ Παύλου, καὶ Πέτρου, καὶ τῶν μυρίους ἀναστησάντων νεκροὺς οὐδὲν ἔλαττον ἕξομεν, κἂν πυρετοὺς ἀπελάσαι μὴ δυνώμεθα. ἐκείνης δὲ χωρίς, κἂν αὐτῶν τῶν ἀποστόλων μείζονα ἐργασώμεθα σημεῖα, κἂν μυρίους κινδύνους ἑαυτοὺς ὑπὲρ τῆς πίστεως παραβάλλωμεν, οὐδὲν ἡμῖν ἔσται ὄφελος. καὶ ταῦτα οὐκ ἐγὼ λέγω, ἀλλ' αὐτὸς ὁ τῆς ἀγάπης "τρόφιμος ταῦτα ἐπίστατο. ἐκείνῳ τοίνυν πειθώμεθα. οὕτω γὰρ δυνησόμεθα ἐπιτυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς μεταχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. η. 5 ΟΥ ΓΑΡ ΑΓΓΕΛΟΙΣ ΥΠΕΤΑΞΕ ΤΗΝ ΟΙΚΟΥΜΕΝΗΝ τὴν μέλλουσαν, περὶ ἧς λαλοῦμεν. 6 Διεμαρτύρατο δέ που τις λέγων, Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ; ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν; [7 Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους.]

Ἠλαττωμένον

Margin notes: α. Κορ. ιγ. α. — Ἰωαν. ιγ. λε. — Ἰωαν. ιζ. κα. — Ἰωαν. ιγ. λδ. — α. Κορ. ιγ. γ. — χ. ποιῶμεν — χ. ἀλλὰ — χ. ἐστι — χ. πις. πρὸς πάντας γὰρ ὡς — γὰρ — χ. μεθ' ἣν ἐκείνῳ πρὸς πάντα πειθώμεθα

-γνόμενος, ἕτερος ἂν ἦς. ἐπεὶ καὶ ὅταν ὦμεν κεκορεσμένοι, νομίζομεν ὅτι δυνάμεθα νηστεύειν· ὅταν δὲ μικρὸν διαλείπωμεν, ἕτερος ἡμᾶς ἐπεισέρχεται λογισμός. [χ. εἰσ-] πάλιν, ὅταν ὦμεν ἐκτὸς τῆς μέθης, νομίζομεν δύνασθαι περιγενέσθαι τοῦ πάθους· ὅταν δὲ ἁλῶμεν ὑπ' αὐτῆς, οὐκέτι. μὴ εἴπῃς εἰς τί οὐκ ἔλαβον χάρισμα διδασκαλικόν; εἰ εἶχον, μυρίους ἂν ᾠκοδόμησα. οὐκ οἶδας, εἰ εἶχες, μὴ εἰς κρῖμά σοι ἐγένετο, μὴ βασκανία, μὴ ὄκνος παρεσκεύαζε τὸ τάλαντον κρύπτειν. [χ. τὸ τοῦ κυρ.] νῦν μὲν οὖν ἀπὸ πάντων τούτων ἀπήλλαξαι, καὶ τὸ σιτομέτριον ἐὰν μὴ δῷς, οὐκ ἐγκαλῇ· τότε δὲ μυρίοις ἂν ὑπεύθυνος ἦς. ἄλλως δὲ, οὐδὲ νῦν ἐκτὸς εἶ τοῦ χαρίσματος. δεῖξον ἐν τῷ μικρῷ, οἷος εἶ, εἰ ἐκεῖνο εἶχες. Εἰ γὰρ ἐν τῷ μικρῷ οὐ γένεσθε, φησὶ, πιστοὶ, πῶς τὸ μέγα ὑμῖν τίς δώσει; [Λουκ. ις. ια.] δεῖξον ὡς ἡ χήρα. δύο γὰρ ὀβολοὺς εἶχεν ἐκείνη, καὶ [ὅλα] κατέβαλεν, ὅσα ἐκέκτητο. χρήματα ζητεῖς; δεῖξον ὅτι τῶν ὀλίγων καταφρονεῖς, ἵνα σοι πιστεύσω καὶ περὶ τῶν πολλῶν. εἰ δὲ μηδὲ τούτων καταφρονεῖς, πολλῷ μᾶλλον οὐδὲ ἐκείνων. πάλιν, ἐν τῷ λόγῳ δεῖξον ὅτι κέχρησαι δεόντως τῇ παραινέσει καὶ τῇ συμβουλῇ. [χ. -λίξ.] οὐκ ἔχεις εὐγλωττίαν τὴν ἔξωθεν; οὐκ ἔχεις νοημάτων ἀφθονίαν; ἀλλ' ὅμως ταῦτα τὰ κοινὰ οἶδας, παῖδα ἔχεις, γείτονα ἔχεις, φίλον ἔχεις, [χ. συγγενῆ] ἀδελφὸν ἔχεις, οἰκείους ἔχεις. κἂν δημοσίᾳ ἐπὶ τῆς ἐκκλησίας μὴ δύνῃ λόγον ἀποτείνειν μακρὸν, τούτοις ἰδίᾳ δύνασαι παραινεῖν. ἐνταῦθα οὐ ῥητορείας χρεία, οὐδὲ μακρᾶς ἀποτάσεως. δεῖξον ἐπὶ τούτων, ὅτι εἰ καὶ λόγον εἶχες, οὐκ ἂν ἠμέλησας. εἰ δὲ ἐν τῷ μικρῷ οὐ σπουδάζεις, [χ. σπουδάζεις] πῶς σοι πιστεύσω περὶ τοῦ μεγάλου; ὅτι γὰρ τοῦτο ἕκαστος δύναται, ἄκουσον πῶς καὶ λαϊκοῖς τοῦτο ἐπιτρέπει ὁ Παῦλος. Ἕκαστος, φησὶν, οἰκοδομεῖτε εἰς τὸν ἕνα, καθὼς καὶ ποιεῖτε· καὶ, Παρακαλεῖτε ἀλλήλους ἐν τοῖς λόγοις τούτοις. [α. Θεσ. ε. ια. καὶ δ. ιη.] οἶδεν ὁ Θεὸς πῶς ἑκάστῳ διανείμῃ. μὴ σὺ τοῦ Μωϋσέως εἶ βελτίων; ἄκουσον πῶς ἀποδυσπετεῖ. Μὴ ἐγὼ δύναμαι, φησὶ, βαστάζειν αὐτοὺς, ὅτι εἶπές μοι, ἆρον αὐτοὺς, ὡσεὶ ἄραι τιθηνὸς τὸν θηλάζοντα; [Ἀριθ. ια. ιϛ.] τί οὖν ὁ Θεός; ἀφεῖλεν ἀπὸ τοῦ πνεύματος αὐτοῦ, καὶ ἔδωκε τοῖς ἄλλοις, δεικνὺς ὅτι οὐδὲ ὅτε ἐβάσταζεν αὐτοὺς, αὐτοῦ τοῦτο τὸ χάρισμα ἦν, ἀλλὰ τοῦ πνεύματος. εἰ δὲ χάρισμα εἶχες, πολλάκις ἂν ἐπήρθης, πολλάκις ἂν ἐξετράπης. οὐκ οἶδας σὺ σαυτὸν, ὡς ὁ Θεὸς σε οἶδε. μὴ λέγωμεν, εἰς τί τοῦτο, καὶ διὰ τί τοῦτο; ὅταν οἰκονομῇ ὁ Θεὸς, μὴ ἀπαιτῶμεν αὐτὸν εὐθύνας. τοῦτο γὰρ ἐσχάτης ἀσεβείας καὶ ἀπονοίας ἐστί. δοῦλοί ἐσμεν, καὶ δοῦλοι πολὺ τοῦ δεσπότου διεστηκότες, οὐδὲ τὰ ἐν ποσὶν ἐπιστάμενοι. μὴ δὴ τὴν βουλὴν τοῦ Θεοῦ περιεργαζώμεθα· ἀλλ' ὅπερ δέδωκε, τοῦτο φυλάττωμεν, κἂν μικρὸν ᾖ, κἂν ἔσχατον, καὶ πάντως εὐδοκιμήσομεν. μᾶλλον δὲ, οὐδὲν μικρὸν τῶν τοῦ Θεοῦ δωρεῶν ἐστιν. ἀλγεῖς ὅτι οὐκ ἔχεις χάρισμα διδασκαλίας; εἰπὲ δή μοι, τί σοι δοκεῖ μεῖζον εἶναι, χάρισμα διδασκαλίας, ἢ χάρισμα ἰαμάτων; πάντως τοῦτο. τί δὲ, τοὺς νόσους ἀπελαύνειν οὐ δοκεῖ σοι μεῖζον εἶναι τὸ τυφλοὺς ὀμματοῦν; οὐ δοκεῖ σοι μεῖζον εἶναι τὸ νεκροὺς ἀνιστᾶν; τί δὲ, εἰπέ μοι, τοῦ λόγῳ τοῦτο ποιεῖν οὐ δοκεῖ σοι μεῖζον εἶναι τὸ σκιαῖς καὶ σουδαρίοις τοῦτο ἐργάζεσθαι; τί οὖν θέλεις, εἰπέ μοι, σκιαῖς καὶ σουδαρίοις νεκροὺς ἀνιστᾶν, ἢ τὸ χάρισμα τῆς διδασκαλίας ἔχειν; πάντως ἐκεῖνο ἐρεῖς, τὸ σκιαῖς καὶ σουδαρίοις νεκροὺς ἀνιστᾶν. ἂν οὖν σοι δείξω, ὅτι πολλῷ τούτου μεῖζόν ἐστιν ἕτερον χάρισμα, καὶ ἔξεστί σοι λαβεῖν, οὐ λαμβάνων, δικαίως καὶ τούτων ἀπεστέρησαι, τί ἐρεῖς; [χ. οὐ λαμβάνεις, ἐχ' δικαίως τούτων ἀπεστέρησαι; καὶ τοῦτο] πλὴν τοῦτο τὸ χάρισμα, οὐχ ἑνὶ, οὐδὲ δευτέρῳ, ἀλλὰ πᾶσιν ἔξεστιν ἔχειν. οἶδα ὅτι κεχήνατε καὶ ἐξεπλάγητε, εἴγε μέλλοιτε ἀκούσεσθαι, ὅτι ἔξεστιν ὑμῖν μεῖζον χάρισμα ἔχειν τοῦ νεκροὺς ἀνιστᾶν, καὶ τυφλοὺς ὀμματοῦν, καὶ ἐκεῖνα ποιεῖν, ἃ καὶ ἐπὶ τῶν ἀποστόλων. καὶ τάχα καὶ ἄπιστον ὑμῖν εἶναι δοκεῖ. τί οὖν τοῦτό ἐστι τὸ χάρισμα; ἡ ἀγάπη. ἀλλὰ πιστεύσατέ μοι. οὐκ ἐμὸς γάρ ἐστιν ὁ λόγος, ἀλλὰ τοῦ Χριστοῦ διὰ Παύλου φθεγγομένου. τί γάρ φησι; Ζηλοῦτε τὰ χαρίσματα τὰ κρείττονα, καὶ ἔτι καθ' ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι. [α. Κορ. ιβ. λα.] τί ἐστιν, ἔτι καθ' ὑπερβολήν; ὃ λέγει τοιοῦτόν ἐστι· Κορίνθιοι μέγα ἐφρόνουν ἐπὶ τοῖς χαρίσμασι τότε, καὶ μάλιστα οἱ ἔχοντες γλώσσας, τὸ ἐλάχιστον χάρισμα,

διὰ τοῦ Κυρίου· τουτέστι, παρ' αὐτῆς τῆς πηγῆς ἔσχε τὴν ἀρχήν. οὐκ ἄνθρωπος αὐτὴν διεπόρθμευσεν εἰς τὴν γῆν, οὐ κτιστὴ δύναμις, ἀλλ' αὐτὸς ὁ μονογενής. Ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη. τί ἐστιν, ἐβεβαιώθη; ἐπιστεύθη, ἢ ἐδόθη. τὸν γὰρ ἀρραβῶνα, φησίν, ἔχομεν· τουτέστιν, οὐκ ἐσβέσθη, οὐκ ἔληξεν, ἀλλὰ κρατεῖ καὶ περιγίνεται. τὸ δὲ αἴτιον, ἡ θεία δύναμις ἐνεργεῖ. τί ἐστιν, ὑπὸ τῶν ἀκουσάντων; τουτέστιν, οἱ παρὰ τοῦ Κυρίου ἀκούσαντες αὐτοὶ ἡμᾶς ἐβεβαίωσαν. μέγα τοῦτο καὶ ἀξιόπιστον. ὅπερ καὶ Λουκᾶς φησιν ἐν ἀρχῇ τοῦ εὐαγγελίου· Καθὼς παρέδοσαν ἡμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου. *πῶς οὖν ἐβεβαιώθη; τί οὖν εἰ οἱ ἀκούσαντες ἔπλασαν, φησί; τοῦτο τοίνυν ἀναιρῶν, καὶ δεικνὺς οὐκ ἀνθρωπίνην τὴν χάριν, ἐπήγαγε,

Λουκ. α. β.

4 Συνεπιμαρτυροῦντος τοῦ Θεοῦ. Οὐκ ἂν γάρ, εἰ ἔπλασαν, ὁ Θεὸς αὐτοῖς ἐμαρτύρησε. μαρτυροῦσι μὲν *κἀκεῖνοι, μαρτυρεῖ δὲ καὶ ὁ Θεός. πῶς μαρτυρεῖ; οὐ λέγω, οὐδὲ φωνῇ. ἦν μὲν γὰρ καὶ τοῦτο πιστόν. ἀλλὰ πῶς; Σημείοις, καὶ τέρασι, καὶ ποικίλαις δυνάμεσι.

* ἔτι ἐπί τινας εἰκὸς ἦν διαπορῆσαι εἰπεῖν.

* γὰρ

Καλῶς δέ, ποικίλαις δυνάμεσι, τέθεικε, τὴν ἀφθονίαν τῶν χαρισμάτων δηλῶν. ὅπερ οὐ γέγονεν ἐπὶ τῶν προτέρων, οὐδὲ τοσαῦτα σημεῖα, καὶ οὕτω διάφορα. τουτέστιν, οὐχ ἁπλῶς ἐπιστεύσαμεν ἐκείνοις, ἀλλὰ διὰ σημείων καὶ τεράτων. ὥστε οὐκ ἐκείνοις πιστεύομεν, ἀλλ' αὐτῷ τῷ Θεῷ. Καὶ πνεύματος ἁγίου μερισμοῖς, κατὰ τὴν αὐτοῦ θέλησιν.

Λουκ. ια. ιη.

Τί οὖν [ὅτι] καὶ γόητες σημεῖα ποιοῦσι, καὶ Ἰουδαῖοι ἐν Βεελζεβοὺλ ἔλεγον αὐτὸν ἐκβάλλειν τὰ δαιμόνια; ἀλλ' οὐ τοιαῦτα ποιοῦσι σημεῖα. διὰ τοῦτο εἶπε, ποικίλαις δυνάμεσιν. ἐκεῖνα γὰρ οὐ δυνάμεις, ἀλλ' ἀσθένεια καὶ φαντασία, καὶ διάκενα πράγματα. διὰ τοῦτο εἶπε, πνεύματος ἁγίου μερισμοῖς, κατὰ τὴν αὐτοῦ θέλησιν. ἐνταῦθα καί τι ἄλλο αἰνίττεσθαί μοι δοκεῖ. εἰκὸς γὰρ μὴ εἶναι πολλοὺς ἐκεῖ χαρίσματα ἔχοντας, ἐκλελοιπέναι δὲ ταῦτα, ἅτε ῥᾳθυμοτέρων αὐτῶν γινομένων. ἵν' οὖν αὐτοὺς καὶ ἐν τούτῳ παραμυθήσηται, καὶ μὴ ἀφῇ καταπεσεῖν, τὸ πᾶν ἀνέθηκε τῇ τοῦ Θεοῦ βουλῇ. αὐτὸς οἶδε τίνι τί συμφέρει, φησί, καὶ οὕτω καταμερίζει τὴν χάριν. ὅπερ καὶ ἐν τῇ πρὸς Κορινθίους ποιεῖ, λέγων, Ὁ Θεὸς ἔθετο ἕνα ἕκαστον ἡμῶν, καθὼς ἠθέλησε. καὶ πάλιν, Ἑκάστῳ δὲ ἡ φανέρωσις τοῦ πνεύματος δίδοται πρὸς τὸ συμφέρον, κατὰ τὴν αὐτοῦ θέλησιν. δείκνυσιν ὅτι τὸ χάρισμα κατὰ τὴν τοῦ πνεύματός ἐστι θέλησιν. πολλάκις δὲ καὶ δι' ἀκάθαρτον βίον καὶ νωθρὸν οὐκ ἔλαβον *πολλοὶ χάρισμα· ἐνίοτε δὲ καὶ καλὸν βίον ἔχοντες καὶ καθαρὸν οὐκ ἔλαβον. τί δήποτε; ὥστε μὴ ἐκτραχηλιασθῆναι, ὥστε μὴ φυσιωθῆναι, ὥστε μὴ ῥᾳθυμοτέρους γενέσθαι, ὥστε μὴ πλέον ἐπαρθῆναι. εἰ γὰρ καὶ χωρὶς χαρίσματος αὐτὴ τοῦ καθαροῦ βίου ἡ συνείδησις ἱκανὴ ἐπᾶραι, πολλῷ μᾶλλον, ὅταν καὶ ἡ χάρις προσῇ. ὥστε τοῖς ταπεινοῖς, τοῖς ἀφελέσι μᾶλλον ἐδίδοτο· καὶ μάλιστα τοῖς ἀφελέσι. Ἐν ἀφελότητι γάρ, φησι, καὶ ἐν ἀγαλλιάσει καρδίας. καὶ γὰρ καὶ ταύτῃ προέτρεψεν αὐτοὺς μᾶλλον· καὶ εἰ ῥᾳθυμότεροι ἦσαν, κατένυξεν. ὁ γὰρ ταπεινός, καὶ μὴ μεγάλα περὶ ἑαυτοῦ φανταζόμενος, σπουδαιότερος γίνεται, ὅταν λάβῃ χάρισμα, ἅτε παρ' ἀξίαν εἰληφώς, καὶ οὐκ ἄξιον ἑαυτὸν εἶναι κρίνων· ὁ δέ τι κατωρθωκέναι νομίζων, ὀφειλὴν εἶναι τὸ πρᾶγμα ἡγούμενος καὶ πεφυσίωται. ὥστε ὁ Θεὸς συμφερόντως τὸ πρᾶγμα οἰκονομεῖ τοῦτο. ὅπερ καὶ ἐν τῇ ἐκκλησίᾳ συμβαῖνον ἴδοι τις ἄν. ὁ μὲν γὰρ ἔχει λόγον διδασκαλικόν· ὁ δὲ οὐδὲ διᾶραι τὸ στόμα δύναται. μηδεὶς τοίνυν λυπείσθω διὰ τοῦτο. Ἑκάστῳ γὰρ ἡ φανέρωσις τοῦ πνεύματος δίδοται πρὸς τὸ συμφέρον. εἰ γὰρ ἄνθρωπος οἰκοδεσπότης οἶδε τίνι τί ἐγχειρίσῃ, πολλῷ μᾶλλον ὁ Θεὸς ὁ ἐπιστάμενος τὸν νοῦν τῶν ἀνθρώπων, ὁ τὰ πάντα εἰδὼς πρὶν γενέσεως αὐτῶν. ἕν ἐστι μόνον τὸ λύπης ἄξιον, τὸ ἁμαρτάνειν· ἄλλο δὲ οὐδέν.

α. Κορ. ιβ. ιη.
α. Κορ. ιβ. ζ.
Πραξ. β. μς.
α. Κορ. ιβ. ζ.

χ. παῖδες
* οἱ
χ. ἔτι
χ. διήγειρεν
χ. περὶ

ΗΘΙΚΟΝ

Μὴ εἴπῃς, διὰ τί οὐκ ἔχω χρήματα, ἢ, εἰ εἶχον, παρέσχον ἂν τοῖς πένησιν. οὐκ οἶδας, εἰ εἶχες, εἰ μὴ μᾶλλον καὶ πλεονέκτης ἦς. νῦν μὲν γὰρ ταῦτα λέγεις· ἐν δὲ τῇ πείρᾳ

χ. οἱ γὰρ

γενόμενος.

ἐπάγοντα ἀποφαίνεσθαι, ἀλλὰ κύριον ἀφιέναι τὸν ἀκροατὴν, ἵνα αὐτὸς ἐνέγκῃ τὴν ψῆφον. ὅπερ καὶ ἀγνωμονεστέρους ἐποίει φαίνεσθαι. ποιεῖ δὲ αὐτὸ καὶ ἐν τῇ παλαιᾷ ὁ προφήτης Νάθαν, καὶ ἐν τῷ Ματθαίῳ ὁ Χριστὸς λέγων, Τί ποιήσει τοῖς γεωργοῖς τοῦ ἀμπελῶνος ἐκείνοις; (Ματθ. κα. μ.) καὶ αὐτοὺς ἀναγκάζων τὴν ψῆφον ἐξενεγκεῖν. τοῦτο γὰρ ἡ μεγίστη νίκη. Εἶτα εἰπὼν, Εἰ γὰρ ὁ δι' ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος, οὐκ ἐπήγαγε, πολλῷ μᾶλλον ὁ διὰ τοῦ Χριστοῦ· ἀλλὰ τοῦτο μὲν εἴασεν, εἶπε δὲ τὸ ἔλαττον, πῶς ἡμεῖς ἐκφευξόμεθα, τηλικαύτης ἀμελήσαντες σωτηρίας; καὶ ὅρα πῶς ποιεῖται τὴν σύγκρισιν. Εἰ γὰρ ὁ δι' ἀγγέλων λόγος λαληθείς, φησιν. ἐκεῖ δι' ἀγγέλων, ἐνταῦθα δὲ διὰ τοῦ Κυρίου· κἀκεῖ μὲν λόγος, ἐνταῦθα δὲ σωτηρία. Εἶτα, ἵνα μὴ εἴπῃ τις, τί δαί; ἃ σὺ λέγεις, ὦ Παῦλε, ταῦτα τοῦ Χριστοῦ ἐστι; προλαμβάνων, καὶ ἀποδείκνυσι τὸ ἀξιόπιστον ὄντα. παρ' ἐκείνου γὰρ ἀκηκόεισαν αὐτά· τὸ ἀξιόπιστον δείκνυσι, καὶ τῷ νῦν ὑπὸ τοῦ Θεοῦ αὐτὰ λέγεσθαι, οὐχ ἁπλῶς φωνῆς φερομένης, καθάπερ ἐπὶ Μωϋσέως, ἀλλὰ σημείων γινομένων, καὶ πραγμάτων μαρτυρούντων. τί δέ ἐστιν, Εἰ γὰρ ὁ δι' ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος; καὶ ἐν τῇ πρὸς Γαλάτας οὕτω πως φησί, Διαταγεὶς δι' ἀγγέλων ἐν χειρὶ μεσίτου. (Γαλατ. γ. ιθ.) καὶ πάλιν, Ἐλάβετε τὸν νόμον εἰς διαταγὰς ἀγγέλων, καὶ οὐκ ἐφυλάξατε· (Πραξ. ζ. νγ.) καὶ πανταχοῦ δι' ἀγγέλων αὐτόν φησι δίδοσθαι. τινὲς μὲν οὖν τὸν Μωϋσέα φασὶν αἰνίττεσθαι· ἀλλ' οὐκ ἔχει λόγον. ἀγγέλους γὰρ ἐνταῦθα πολλούς φησι· καὶ ἀγγέλους δὲ ἐνταῦθα τούτους φησὶ τοὺς ἐν τῷ οὐρανῷ. τί οὖν ἐστιν εἰπεῖν; ἤτοι τὴν δεκάλογον φησὶ μόνον (ἐκεῖ γὰρ Μωϋσῆς ἐλάλει, καὶ ὁ Θεὸς ἀπεκρίνετο) ἢ ὅτι παρῆσαν ἄγγελοι, τοῦ Θεοῦ διαταττομένου, ἢ ὅτι περὶ τῶν ἐν τῇ παλαιᾷ λεγομένων καὶ πραττομένων ἁπάντων, (χ. -σαν οἱ πως. χ. γινομένων) ὡς ἀγγέλων κοινωνησάντων ἐν τούτοις ταῦτά φησι. πῶς δὲ ἀλλαχοῦ φησιν, ὅτι Ὁ νόμος διὰ Μωϋσέως ἐδόθη, (Ιωαν. α. ιζ.) ἐνταῦθα δὲ δι' ἀγγέλων; φησὶ γὰρ, Καὶ κατέβη ὁ Θεὸς ἐν γνόφῳ. (Εξοδ. κ. ιε.) Εἰ γὰρ ὁ δι' ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος. τί ἐστι, βέβαιος; ἀληθὴς, ὡς ἄν τις εἴποι, καὶ πιστός· διότι ἐν τῷ προσήκοντι καιρῷ πάντα ἐξέβη τὰ λεχθέντα. ἢ τοίνυν τοῦτό φησιν, ἢ ὅτι ἐκράτησε, καὶ αἱ ἀπειλαὶ εἰς ἔργον ἤρχοντο· ἢ λόγον φησὶ τὰ προστάγματα. (ἴσ. καὶ χ. -γον τὰ προστάγματα λέγει.) πολλὰ γὰρ χωρὶς νόμου προσέταξαν ἄγγελοι παρὰ Θεοῦ πεμπόμενοι· οἷον ἐπὶ τοῦ κλαυθμῶνος, ἐπὶ τῶν Κριτῶν, ἐπὶ τοῦ Σαμψών. (Κριτ. β. α.) διὰ γὰρ τοῦτο οὐκ εἶπε, νόμος, ἀλλὰ, λόγος. καὶ τάχα μοι δοκεῖ τοῦτο λέγειν δηλῶν διὰ τούτου μᾶλλον τὰ διὰ τῶν ἀγγέλων οἰκονομηθέντα. τί οὖν ἐροῦμεν; ὅτι παρῆσαν μὲν ἄγγελοι τότε, (χ. καὶ τὸ παρ-) μὲν τὸ ἔθνος ἐμπεπιστευμένοι, καὶ αὐτοὶ τὰς σάλπιγγας ἐποίουν, καὶ τὰ ἕτερα, τὸ πῦρ, τὸν γνόφον. καὶ πᾶσα παράβασις, φησι, καὶ παρακοὴ ἔλαβεν ἔνδικον μισθαποδοσίαν. οὐχ ἡ μὲν, ἡ δὲ οὔ, ἀλλὰ πᾶσα. οὐδὲν ἀνεκδίκητον ἔμεινε, φησιν, ἀλλ' ἔλαβεν ἔνδικον μισθαποδοσίαν [ἀντὶ τοῦ, κόλασιν]. καὶ τί δήποτε οὕτως εἶπεν; οὕτως ἔθος τῷ Παύλῳ μὴ πολὺν τῶν λέξεων ποιεῖσθαι λόγον, ἀλλ' ἀδιαφόρως καὶ ἐπὶ δυσφήμων τιθέναι κακέμφατα. οἷον καὶ ἀλλαχοῦ φησιν, Αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ. (β. Κορ. ι. ε.) καὶ πάλιν ἀλλαχοῦ τὴν ἀντιμισθίαν τέθεικεν ἀντὶ κολάσεως, καὶ ἐνταῦθα τὴν κόλασιν μισθὸν καλεῖ. Εἴ περ δίκαιον, φησι, παρὰ τῷ Θεῷ ἀνταποδοῦναι τοῖς θλίβουσιν ὑμᾶς θλῖψιν, καὶ ὑμῖν τοῖς θλιβομένοις ἄνεσιν. (β. Θεσ. α. ς.) τουτέστιν, οὐ παρεφθάρη τὸ δίκαιον, ἀλλ' ἐπεξῆλθεν ὁ Θεός, καὶ τὴν δίκην περιέτρεψεν ἐπὶ τοὺς ἡμαρτηκότας· (χ. παρεβάθη) καίτοι τῶν ἁμαρτημάτων οὐ πάντων εἰς φανερὸν γινομένων, εἰ μὴ παραβαθείη τὰ διατεταγμένα. πῶς οὖν ἡμεῖς, φησιν, ἐκφευξόμεθα, τηλικαύτης ἀμελήσαντες σωτηρίας; διὰ τούτου ἐδήλωσεν, ὅτι οὐ πολλή τις ἦν ἐκείνη ἡ σωτηρία. καλῶς δὲ καὶ τὸ, τηλικαύτης, προσέθηκεν. οὐ γὰρ ἐκ πολέμων, φησὶν, ἡμᾶς διασώσει νῦν, οὐδὲ τὴν γῆν καὶ τὰ ἐν τῇ γῇ ἀγαθὰ παρέξει, ἀλλὰ θανάτου κατάλυσις ἔσται, ἀλλὰ διαβόλου ἀπώλεια, ἀλλ' οὐρανῶν βασιλεία, ἀλλὰ ζωὴ αἰώνιος. ταῦτα γὰρ πάντα ἐν συντόμῳ ἐνέφηνεν εἰπὼν, τηλικαύτης ἀμελήσαντες σωτηρίας. Εἶτα καὶ τὸ ἀξιόπιστον ἐπάγει· ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι



Digitized by Google

γον, ἡμῖν " κάμνουσι, δι' ἡμᾶς περιτρέχουσι, ἡμῖν, ὡς ἂν εἴποι τις, ὑπηρετοῦσιν. αὕτη χ. λειτουργοῦσι,
ἐστὶν ἡ διακονία αὐτῶν, τὸ δι' ἡμᾶς πανταχοῦ πέμπεσθαι. καὶ τούτων τῶν ὑποδειγμάτων
μεστὴ μὲν ἡ παλαιά, μεστὴ δὲ καὶ ἡ καινή. ὅταν γὰρ ἄγγελοι ποιμέσιν εὐαγγελίζωνται, ὅταν τὴν
Μαριάμ, ὅταν τὸν Ἰωσήφ, ὅταν ἐπὶ τοῦ μνήματος καθέζωνται, ὅταν πέμπωνται εἰπεῖν
Πραξ. α. ια. τοῖς μαθηταῖς, Ἄνδρες Γαλιλαῖοι, τί ἑστήκατε βλέποντες εἰς τὸν οὐρανόν, ὅταν Πέτρον ἀ-
πολύωσι τοῦ δεσμωτηρίου, ὅταν Φιλίππῳ διαλέγωνται, πῶς ἡμῖν οὐχ ὑπουργοῦσιν; ἐν-
νόησον γοῦν τὴν τιμήν, ὅση τυγχάνει, ὅταν, ὡς πρὸς φίλους, πέμπῃ διακόνους τοὺς ἀγ-
γέλους ὁ Θεός, ὅταν Κορνηλίῳ ἄγγελος φαίνηται, ὅταν πάντας τοὺς ἀποστόλους ἀπὸ τοῦ δε-
σμωτηρίου ἄγγελος ἐκβάλλῃ, καὶ λέγῃ. Πορευθέντες στῆτε, καὶ λαλεῖτε ἐν τῷ ἱερῷ τῷ λαῷ
Πραξ. ε. κ. τὰ ῥήματα τῆς ζωῆς ταύτης. τί τὰ ἄλλα λέγω; καὶ αὐτῷ Παύλῳ ἄγγελος φαίνεται. ὁρᾷς
αὐτοὺς διακονοῦντας ἡμῖν διὰ τὸν Θεόν, καὶ εἰς τὰ μέγιστα διακονοῦντας; διὰ τοῦτό φησιν ὁ
Παῦλος, Πάντα " ὑμῶν *, εἴτε ζωή, εἴτε θάνατος, εἴτε κόσμος, εἴτε ἐνεστῶτα, εἴτε μέλλοντα. χ. ἡμῶν
α Κορ. γ. κβ. ἐπέμφθη μὲν οὖν καὶ ὁ υἱός, ἀλλ' οὐχ ὡς διάκονος, οὐδὲ ὡς λειτουργός, ἀλλ' ὡς υἱὸς καὶ μονο- * ἐκ Θεοῦ,
γενής, καὶ τὰ αὐτὰ τῷ πατρὶ βουλόμενος. μᾶλλον δέ, οὐδὲ ἐπέμφθη. οὐ γὰρ ἐκ τόπου εἰς
τόπον μετέβη, ἀλλὰ σάρκα ἀνέλαβεν. οὗτοι δὲ τόπους ἀμείβουσι, καὶ τοὺς προτέρους ἀφέντες ἐν
οἷς εἰσίν, οὕτως εἰς ἑτέρους ἔρχονται ἐν οἷς οὐκ ἦσαν. καὶ τοῦτο δὲ πάλιν παραθαρρύνων αὐτοὺς
λέγει, τί δεδοίκατε; ἄγγελοι διακονοῦσιν ἡμῖν. καὶ εἰπὼν περὶ τοῦ υἱοῦ, καὶ τὰ κατὰ τὴν οἰκονομίαν,
καὶ τὰ κατὰ τὴν δημιουργίαν, καὶ τὰ κατὰ τὴν βασιλείαν, καὶ τὸ ὁμότιμον δείξας, καὶ ὅτι ὡς δεσπό-
της κρατεῖ, οὐχὶ τῶν ἀνθρώπων μόνον, ἀλλὰ καὶ τῶν ἄνω δυνάμεων, λοιπὸν παρακαλεῖ αὐ-
τούς, κατασκευάσας τὸν λόγον, ὥστε προσέχειν ἡμᾶς τοῖς ἀκουσθεῖσι, καί φησι,

κεφ. β. 1 Διὸ χρὴ περισσοτέρως ἡμᾶς προσέχειν τοῖς ἀκουσθεῖσι.

Ἐνταῦθα βουλόμενος εἰπεῖν, ὅτι δεῖ περισσοτέρως τοῦ νόμου προσέχειν, ἐσιώπησεν αὐτό·
δῆλον δὲ ὅμως τοῦτο ποιεῖ ἐν τῇ κατασκευῇ, οὐκ ἐν συμβουλῇ, οὐδὲ ἐν παρακλήσει. οὕτω
γὰρ ἄμεινον ἦν.

2 Εἰ γὰρ ὁ δι' ἀγγέλων λαληθεὶς λόγος, φησίν, ἐγένετο βέβαιος, καὶ πᾶσα παράβασις καὶ
παρακοὴ ἔλαβεν ἔνδικον μισθαποδοσίαν·

3 Πῶς ἡμεῖς ἐκφευξόμεθα, τηλικαύτης ἀμελήσαντες σωτηρίας· ἥτις ἀρχὴν λαβοῦ-
σα λαλεῖσθαι διὰ τοῦ Κυρίου, εἰς ἡμᾶς ὑπὸ τῶν ἀκουσάντων ἐβεβαιώθη;

Διὰ τί περισσοτέρως ἡμᾶς δεῖ προσέχειν τοῖς ἀκουσθεῖσιν; οὐχὶ κἀκεῖνα Θεοῦ, καὶ ταῦτα;
ἢ τοίνυν περισσοτέρως τοῦ νόμου φησίν, ἢ ὅτι μεγάλως· οὐχὶ συγκρίνων, μὴ γένοιτο. ἐπειδὴ γὰρ
ὑπὸ τοῦ χρόνου τοῦ " πολλοῦ μεγάλην εἶχον περὶ τῆς παλαιᾶς ὑπόληψιν, ταῦτα δὲ ὡς
νέα ἔτι κατεπεφρόνητο, δείκνυσιν ἐκ περιουσίας, ὅτι τούτοις δεῖ μᾶλλον προσέχειν. πῶς; χ. Παύλου
μονονουχὶ λέγων, ὅτι τοῦ Θεοῦ μὲν καὶ ταῦτα, κἀκεῖνα, ἀλλ' οὐχ ὁμοίως. καὶ τοῦτο ἡμῖν ὕστε-
ρον δείκνυσι. τέως δὲ ἐπιπολαιότερον αὐτὸ κατασκευάζει, ὕστερον δὲ φανερώτερον, λέγων,
Εβρ. η. ζ. ιγ. Εἰ γὰρ ἡ πρώτη ἐκείνη ἦν ἄμεμπτος· καὶ πάλιν, Τὸ γὰρ παλαιούμενον καὶ γηράσκον ἐγγὺς
ἀφανισμοῦ· καὶ πολλὰ ἕτερα τοιαῦτα. ἀλλ' οὔπω τολμᾷ τοιοῦτον οὐδὲν εἰπεῖν ἐν προοι-
μίοις, ἕως ἂν προκαταλάβῃ καὶ κατάσχῃ τῇ πλείονι προκατασκευῇ τὸν ἀκροατήν. διὰ τί
τοίνυν δεῖ περισσοτέρως ἡμᾶς προσέχειν, εἰπέ. Μήποτε, φησί, παραρρυῶμεν. Τουτέστι, μὴ
ἀπολώμεθα, μὴ ἐκπέσωμεν. καὶ δείκνυσιν ἐνταῦθα τὸ χαλεπὸν τῆς ἐκπτώσεως, ὅτι δύσκολον τὸ
παραρρυὲν πάλιν ἐπανελθεῖν, καθότι ἐκ ῥαθυμίας τοῦτο συνέβη. ἔλαβε δὲ τὴν λέξιν ἀπὸ τῶν πα-
Παροιμ. γ. κα. ροιμιῶν. Υἱὲ γάρ, φησι, μὴ παραρρυῇς· καὶ τὸ εὔκολον τοῦ ὀλίσθου δηλοῖ, καὶ τὸ χαλεπὸν τῆς
ἀπωλείας. τουτέστιν, οὐκ ἀκίνδυνος ἡμῖν ἡ παρακοή. καὶ δι' ὧν μὲν κατασκευάζει, δείκνυ-
σιν ὅτι μείζων ἡ κόλασις. ἀφίησι δὲ πάλιν αὐτὴν ἐν τῇ περιζητήσει, καὶ οὐκ ἐν τῷ συμπε-
ράσματι. καὶ γὰρ τοῦτό ἐστιν ἀνεπαχθῆ τὸν λόγον ποιεῖν, μὴ ἀφ' ἑαυτοῦ πανταχοῦ τὴν κρίσιν
ἐπάγοντα

11 Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις. καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται,

12 Καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς, καὶ ἀλλαγήσονται· σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν. Ἵνα μὴ ἀκούσας, ὅταν δὲ εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, ὡς δωρεὰν νομίσῃς εἶναι ὕστερον αὐτῷ προσδοθὲν, τοῦτο καὶ ἄνω προδιωρθώσατο, * καὶ πάλιν ἐπιδιορθοῦται λέγων, κατ' ἀρχὰς οὐχὶ νῦν, ἀλλ' ἄνωθεν. ἰδοὺ πάλιν καὶ τὸν Σαμοσατέα Παῦλον καιρίᾳ πλήττει πληγῇ καὶ Ἄρειον, ἃ περὶ τοῦ πατρὸς ἐστὶ, ταῦτα ἁρμόσας τῷ υἱῷ. μετὰ δὲ τοῦτο καὶ τι ἄλλο παρέργως ᾐνίξατο, καὶ μεῖζον τούτου. καὶ γὰρ τὴν μετασχημάτισιν τοῦ κόσμου παρεδήλωσε λέγων, ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς, καὶ ἀλλαγήσονται. ὃ καὶ ἐν τῇ πρὸς Ῥωμαίους φησὶν, ὅτι μετασχηματίσει τὸν κόσμον. καὶ τὸ εὔκολον δηλῶν, ἐπήγαγεν, ἑλίξεις. ὥσπερ γὰρ ἄν εἴ τις περιβόλαιον ἑλίξῃ, οὕτως αὐτὸς τὸν κόσμον καὶ ἑλίξει καὶ ἀλλάξει. εἰ δὲ τὴν ἐπὶ τὸ βέλτιον [καὶ τὸ κρεῖττον] μετασχημάτισιν [καὶ δημιουργίαν] οὕτως εὐκόλως ἐργάζεται, ἐπὶ τῆς ἐλάττονος δημιουργίας ἑτέρου ἐδεῖτο; μέχρι τινος οὐκ αἰσχύνεσθε; ἀλλὰ δὲ καὶ παραμυθία μεγίστη τοῦτό ἐστι, τὸ γνῶναι ὅτι οὐκ ἔσται οὕτω τὰ πράγματα, ἀλλὰ τὰ πάντα τὴν μεταβολὴν* λήψεται, καὶ πάντα ἐκλείψει, ἐκλιπήσεται, αὐτὸς δὲ μένει διαπαντὸς ζῶν, καὶ ἀπείρως ζῶν· καὶ τὰ ἔτη σου, φησιν, οὐκ ἐκλείψουσι.

13 Τίνι δὲ τῶν ἀγγέλων εἴρηκέ ποτε, Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου; ἰδοὺ πάλιν αὐτοὺς παραθαρρύνει, εἴγε μέλλοιεν οἱ ἐχθροὶ αὐτῶν ἡττηθήσεσθαι, καὶ * ἐχθροὶ αὐτῶν τὸν αὐτοί εἰσιν, οἱ καὶ τοῦ Χριστοῦ. τοῦτο πάλιν βασιλείας, τοῦτο ὁμοτιμίας, τοῦτο τιμῆς οὐκ ἀδυναμίας, τὸ τὸν πατέρα ὀργίζεσθαι ὑπὲρ τῶν εἰς τὸν υἱὸν γεγενημένων. τοῦτο πολλῆς ἀγάπης δεῖγμα, καὶ γνησιότητος τῆς ὡς ἀπὸ πατρὸς πρὸς υἱόν. ὁ γὰρ ὀργιζόμενος ὑπὲρ αὐτοῦ, πῶς ἀλλότριος αὐτοῦ ἐστιν; ἕως ἂν θῶ τοὺς ἐχθρούς σου. ὅπερ καὶ ἐν τῷ δευτέρῳ ψαλμῷ φησιν, Ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτοὺς, καὶ ὁ Κύριος ἐκμυκτηριεῖ αὐτούς. τότε λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ, καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξει αὐτούς. καὶ πάλιν αὐτός φησι, Τοὺς μὴ θελήσαντάς με βασιλεῦσαι ἐπ' αὐτοὺς, ἀγάγετε ὧδε ἐνώπιόν μου, καὶ κατασφάξατε αὐτούς. ὅτι γὰρ αὐτοῦ ἐστι τὰ ῥήματα, ἄκουσον τί φησι καὶ ἑτέρωθι· Ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, καὶ οὐκ ἠθελήσατε; ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος. καὶ πάλιν, Ἀρθήσεται ἀφ' ὑμῶν ἡ βασιλεία, καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς. καὶ πάλιν, Ὁ πεσὼν ἐπὶ τὸν λίθον τοῦτον συνθλασθήσεται· ἐφ' ὃν δ' ἂν πέσῃ, λικμήσει αὐτόν. ἄλλως δὲ, ὁ μέλλων ἐκεῖ κρίνειν αὐτοὺς, πολλῷ μᾶλλον αὐτοὺς δίκην ἐνταῦθα τῆς εἰς αὐτὸν παροινίας ἀπῄτησεν. ὥστε τιμῆς μόνης ἐστὶ τῆς εἰς τὸν υἱὸν, τὸ, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.

14 Οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα, εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν; Τί θαυμαστὸν, φησιν, εἰ τῷ υἱῷ λειτουργοῦσιν, ὅταν καὶ πρὸς τὴν ἡμετέραν σωτηρίαν λειτουργῶσιν; ὅρα πῶς ἐπαίρει αὐτῶν τὰ φρονήματα, καὶ πολλὴν δείκνυσι τοῦ Θεοῦ τὴν εἰς ἡμᾶς τιμὴν, εἴπερ ἀγγέλους τοὺς ὑπὲρ ἡμᾶς ταύτην ἔταξεν ἔχειν διακονίαν, τὴν ὑπὲρ ἡμῶν. ὡς ἂν εἴποι τις, εἰς τοῦτο κέχρηνται αὐτοῖς, φησι, τοῦτο ἀγγέλων λειτουργία, τὸ διακονεῖν τῷ Θεῷ εἰς σωτηρίαν ἡμετέραν. ὥστε ἀγγελικὸν ἔργον τοῦτό ἐστι, τὸ πάντα ποιεῖν εἰς σωτηρίαν τῶν ἀδελφῶν· μᾶλλον δὲ αὐτοῦ τοῦ Χριστοῦ τὸ ἔργον ἐστίν. αὐτὸς μὲν γὰρ ὡς δεσπότης σώζει, οὗτοι δὲ ὡς δοῦλοι. καὶ ἡμεῖς εἰ καὶ δοῦλοι, ἀλλὰ σύνδουλοι ἀγγέλων. τί κεχήνατε πρὸς τοὺς ἀγγέλους, φησί; δοῦλοί εἰσι * τοῦ υἱοῦ τοῦ Θεοῦ, καὶ πολλαχοῦ δι' ἡμᾶς πέμπονται, καὶ πρὸς σωτηρίαν τὴν ἡμετέραν λειτουργοῦσιν· ὥστε ὁμόδουλοι ἡμῶν εἰσιν. ἐννοήσατε πῶς οὐ πολλὴν δίδωσι τοῖς κτίσμασι διαφοράν. καίτοι πολὺ τὸ μέσον ἀγγέλων καὶ ἀνθρώπων· ἀλλ' ὅμως πλησίον ἡμῶν αὐτοὺς ἵστησι, μονονουχὶ λέγων,

* εἶτα

* δὲ

γρ. τοὺς χρόνους μένει ὁ αὐτὸς ὢν καὶ ἀπείρως ὢν, καὶ

* ὅτι

γρ. τοῦτο τῆς τιμῆς τοῦ πατρὸς εἰς τὸν υἱὸν ἀγάπης, καὶ τιμῆς ὡς τα

Ψαλμ. β. ..

Λουκ. ιθ. κζ.

Λουκ. ιγ. λδ.

Ματθ. κα. μδ

γρ. μᾶλλον ἐκεῖ... τὰ δὲ αὐτῆς ἐν τοῖς ἐπιλοιπ. ἔστε

γρ. δοῦλοι ἀποστέλλονται.

* τοῦ Ἰησοῦ

γρ. λειτουργοῦσι,

Digitized by Google

γου φησὶ ταῦτα, ἀλλὰ περὶ τοῦ κατὰ σάρκα Χριστοῦ. εἰκότως. εἰ γὰρ ἐν τῷ κόσμῳ ἦν, κατὰ τὸν Ἰωάννην, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, πῶς ἑτέρως ἂν εἰσήχθη, ἀλλ' ἢ ἐν σαρκί; Καὶ προσκυνησάτωσαν αὐτῷ, φησὶ, πάντες ἄγγελοι Θεοῦ. ἐπειδὴ μέγα τι καὶ ὑψηλὸν λέγειν μέλλει, προκατασκευάζει αὐτὸ καὶ ποιεῖ εὐπαράδεκτον, [τὸ τὸν πατέρα ποιῆσαι εἰσαγαγόντα τὸν υἱόν.] σκόπει δὲ εἶπεν ἀνωτέρω, ὅτι οὐ διὰ προφητῶν ἐλάλησεν ἡμῖν, ἀλλὰ διὰ τοῦ υἱοῦ. ἔδειξεν ὅτι κρείττων ἀγγέλων ὁ υἱὸς, καὶ ἀπὸ τοῦ ὀνόματος δὲ τοῦτο κατασκευάσας, καὶ ἀπὸ τοῦ τὸν πατέρα ποιῆσαι εἰσάγοντα τὸν υἱόν. ἐνταῦθα δὲ λοιπὸν, καὶ ἀφ' ἑτέρου κατασκευάζει. ποίου δὴ τούτου; ἀπὸ τῆς προσκυνήσεως. τοῦτο δὲ καὶ ὅσῳ κρείττων ἐστὶ δείκνυσιν· ὅσῳ γὰρ δεσπότης δούλου. διὸ καὶ ὡς ἂν εἴ τις εἰσαγαγών τινα εἰς οἰκίαν βασιλέα, τοὺς προεστῶτας αὐτῆς εὐθέως κελεύει προσκυνεῖν αὐτῷ· οὕτω καὶ αὐτὸς ποιεῖ, περὶ τοῦ κατὰ σάρκα λέγων τὴν ἐν κόσμῳ εἰσαγωγὴν, καὶ τὸ, προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ, διὰ τοῦτο ἐπάγων. ἆρα οὖν ἄγγελοι μόνοι, οὐχὶ δὲ καὶ ἄλλαι δυνάμεις; ἄπαγε. ἄκουσον γὰρ τὴν ἑξῆς· καὶ πρὸς μὲν τοὺς ἀγγέλους αὐτοῦ φησιν, ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα· πρὸς δὲ τὸν υἱὸν, ὁ θρόνος σου, ὁ Θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. ἰδοὺ ἡ μεγίστη διαφορά· ὅτι οἱ μὲν κτιστοὶ, ὁ δὲ ἄκτιστος. καὶ διὰ τί πρὸς μὲν τοὺς ἀγγέλους αὐτοῦ φησιν, ὁ ποιῶν· πρὸς δὲ τὸν υἱὸν διὰ τί οὐκ εἶπεν, ὁ ποιῶν; καίτοι ἐνῆν τὴν διαφορὰν οὕτως εἰπεῖν, πρὸς μὲν τοὺς ἀγγέλους αὐτοῦ λέγει, ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα· πρὸς δὲ τὸν υἱὸν, Κύριος ἔκτισέ με, καὶ πάλιν, Κύριον αὐτὸν καὶ Χριστὸν ὁ Θεὸς ἐποίησεν. ἀλλ' οὔτε ἐκεῖνο περὶ τοῦ Χριστοῦ Κυρίου υἱοῦ εἴρηται, οὔτε τοῦτο περὶ τοῦ Θεοῦ λόγου, ἀλλὰ περὶ τοῦ κατὰ σάρκα*. ἔνθα γὰρ τὴν ἀληθῆ διαφορὰν ἠβούλετο δηλῶσαι, οὐκέτι ἀγγέλους παρέλαβε μόνον, ἀλλὰ καὶ πᾶσαν τὴν ἄνω δύναμιν τὴν λειτουργικήν. ὁρᾷς πῶς διαιρεῖ, καὶ μετὰ ὅσης τῆς σαφηνείας, κτίσματα καὶ κτίστην, λειτουργοὺς καὶ δεσπότην, καὶ κληρονόμον καὶ γνήσιον υἱὸν καὶ δούλους; πρὸς δὲ τὸν υἱόν φησιν, ὁ θρόνος σου, ὁ Θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. ἰδοὺ βασιλείας σύμβολον. ῥάβδος εὐθύτητος, ἡ ῥάβδος τῆς βασιλείας σου. ἰδοὺ πάλιν καὶ ἄλλο βασιλείας σύμβολον. εἶτα πάλιν εἰς τὸ κατὰ σάρκα·

χ. πράγματος.

χ. ὅτι οὔτε

* ἀμφότερα

9 Ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς, ὁ Θεός σου. Τί ἐστι, Θεός σου; ἐπειδὴ γὰρ μέγα ἐφθέγξατο, πάλιν αὐτὸ παραμυθεῖται. ἐνταῦθα καὶ Ἰουδαίους, καὶ τοὺς Παύλου τοῦ Σαμοσατέως, καὶ Ἀρειανοὺς, καὶ Μαρκέλλον, καὶ Σαβέλλιον ἔβαλε, καὶ Μαρκίωνα. πῶς; Ἰουδαίους μὲν, δύο τὸν αὐτὸν δεικνὺς, καὶ Θεὸν, καὶ ἄνθρωπον. τοὺς δὲ ἄλλους, τοὺς Παύλου λέγω τοῦ Σαμοσατέως, τῷ περὶ τῆς αἰωνίου ὑπάρξεως ταῦτα διαλέγεσθαι, καὶ τῆς ἀκτίστου οὐσίας. πρὸς γὰρ ἀντιδιαστολὴν τοῦ, ἐποίησε, τὸ, ὁ θρόνος σου, ὁ Θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, τέθεικε. πρὸς τε Ἀρειανοὺς, τοῦτό τε αὐτὸ πάλιν, καὶ ὅτι οὐ δοῦλος. εἰ δὲ κτίσμα, δοῦλος. πρὸς δὲ Μαρκέλλον καὶ τοὺς ἄλλους, ὅτι δύο ἐστὶ ταῦτα πρόσωπα διῃρημένα κατὰ τὴν ὑπόστασιν. πρὸς δὲ Μαρκιωνιστὰς, ὅτι ἡ θεότης οὐ χρίεται, ἀλλ' ἡ ἀνθρωπότης. εἶτα, Παρὰ τοὺς μετόχους σου, φησί.

χ. βάλλει

χ. προεῖναι

χ. -λθ, εἰ δὲ κτίσμα, οὐδὲ

Τίνες δὲ εἰσὶν οἱ μέτοχοι, ἀλλ' ἢ οἱ ἄνθρωποι; τουτέστι, τὸ πνεῦμα οὐκ ἐκ μέτρου ἔλαβεν ὁ Χριστός. ὁρᾷς πῶς συνάπτει ἀεὶ τὸν περὶ τῆς ἀκτίστου φύσεως, καὶ τὸν περὶ τῆς οἰκονομίας λόγον; τί τούτου σαφέστερον; εἶδες πῶς οὐκ ἔστι τὸ αὐτὸ, κτίσμα καὶ γέννημα; οὐ γὰρ ἂν διεῖλε, καὶ πρὸς ἀντιδιαστολὴν τοῦ ἐποίησεν, ἐπήγαγε τὸ, πρὸς δὲ τὸν υἱὸν εἶπεν, ὁ θρόνος σου, ὁ Θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, οὐδ' ἂν διαφορώτερον ὄνομα ἐκάλει τὸ υἱὸς ὄνομα, εἰ τοῦ αὐτοῦ ἦν σημαντικόν. ποῖον γὰρ τὸ διάφορον; εἰ γὰρ τὸ κτίσμα καὶ γέννημα ταυτὸν, ἐκεῖνοι δὲ ἐποιήθησαν, τί τὸ διαφορώτερον; ἰδοὺ πάλιν τὸ, ὁ Θεὸς, μετὰ τοῦ ἄρθρου. καὶ πάλιν φησί,

χ. ἐκλήθη

χ. τοῦ

10 Κατ' ἀρχὰς σὺ, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί.

θύρες ἐμπεπλησμένα καὶ δεσμωτήρια. ἀλλὰ μετὰ τῶν ἄλλων καὶ τοῦτο ἔχει κακὸν ὁ πλοῦτος, ὅτι ἐν πονηρίᾳ ἀτιμωρητὶ πλημμελεῖν ὁ τοῦτον κεκτημένος, οὐδέποτε ἵσταται τῶν πειθῶν, ἀλλὰ λήψεται τραύματα ἄνευ φαρμάκων, καὶ χρηστοῖς οὐδεὶς ἐπιθήσει αὐτῷ. Εἰ δὲ βούλοιτό τις, καὶ πρὸς ἡδονὴν εὕροι τὴν πενίαν πλείους παρέχουσαν ἡμῖν τὰς ἀφορμάς. πῶς; ὅτι φροντίδων ἀπήλλακται, μίσους, μάχης, φιλονεικίας, ἔριδος, μυρίων δεινῶν. μὴ τοίνυν διώκωμεν τὸν πλοῦτον, μηδὲ τοὺς ζηλῶμεν ἀεὶ τοὺς πολλὰ κεκτημένους· ἀλλ' οἱ μὲν ἔχοντες, εἰς δέον τῷ πλούτῳ χρώμεθα· οἱ δὲ μὴ ἔχοντες, μὴ ἀλγῶμεν διὰ τοῦτο, ἀλλ' εὐχαριστῶμεν ὑπὲρ ἁπάντων τῷ Θεῷ, ὅτι ἡμᾶς ἐν ὀλίγῳ πόνῳ τοῖς πλουσίοις ἢ καὶ μείζονα, ἂν θέλωμεν, παρασκευάζει μισθὸν λαβεῖν, καὶ ἐξ ὀλίγων μεγάλα κερδαίνομεν. ἐπεὶ καὶ ὁ τὰ δύο τάλαντα προσενέγκας, ἐθαυμάσθη, καὶ ἐτιμήθη ὁμοίως τῷ τὰ πέντε προσενεγκόντι. τί δήποτε; ὅτι εἰ καὶ δύο ἐπιστεύθη τάλαντα, ἀλλὰ τὰ παρ' ἑαυτοῦ πάντα ἐπλήρωσε, καὶ τὰ ἐμπιστευθέντα διπλᾶ εἰσήνεγκε. τί τοίνυν σπεύδομεν πιστευθῆναι πολλά, ὅταν ἐξῇ δι' ὀλίγων τὰ αὐτὰ καρπώσασθαι, ἢ καὶ πλείονα; ὅταν ὁ μὲν πόνος ἐλάττων ᾖ, ὁ δὲ μισθὸς πολλῷ πλείων; εὐκολώτεροι γὰρ πένης ἐκστήσεται τῶν αὐτοῦ, ἢ πλούσιος πολλὰ καὶ μεγάλα κεκτημένος. ἢ οὐκ ἴστε, ὅτι ὅσῳ ἂν πλείονα τις περιβάληται, τοσούτῳ πλειόνων ἐρᾷ; ἵν' οὖν μὴ τοῦτο πάθωμεν, μὴ ζητῶμεν πλοῦτον, μηδὲ δυσαρέστως ἔχωμεν πρὸς τὴν πενίαν, μηδὲ σπουδάζωμεν πλουτεῖν, ἀλλὰ καὶ οἱ ἔχοντες οὕτως αὐτῷ χρώμεθα, ὡς ὁ Παῦλος ἐκέλευσε (Οἱ ἔχοντες, φησιν, ὡς μὴ ἔχοντες, καὶ οἱ χρώμενοι τῷ κόσμῳ τούτῳ, ὡς μὴ καταχρώμενοι) ἵνα τύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

χ. χρώμεθα

χ. δυσαρέστως ἔχωμεν

α. Κορ. ζ. κθ. λα.

χ. ἀξιωθῆναι

Λογ. γ. 6 ΟΤΑΝ ΔΕ ΠΑΛΙΝ ΕΙΣΑΓΑΓΗ ΤΟΝ ΠΡΩτότοκον εἰς τὴν οἰκουμένην, λέγει, Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ. 7 Καὶ πρὸς μὲν τοὺς ἀγγέλους λέγει, Ο ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα·
8 Πρὸς δὲ τὸν υἱόν, Ο θρόνος σου, ὁ Θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ο Κύριος ἡμῶν Ιησοῦς Χριστὸς τὴν παρουσίαν αὐτοῦ τὴν ἔνσαρκον, ἔξοδον καλεῖ· οἷον ὡς ὅταν λέγῃ, Εξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι, καὶ πάλιν, Εγὼ ἐκ τοῦ πατρὸς μου ἐξῆλθον, καὶ ἥκω. καὶ πολλαχοῦ τοῦτο ἴδοι τις ἄν. ὁ δὲ Παῦλος εἴσοδον αὐτὴν καλεῖ λέγων, ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, εἰσαγωγὴν ταύτην λέγων τὴν τῆς σαρκὸς ἀνάληψιν. τί δήποτε δὲ περὶ αὐτοῦ διαφόρως ὁ λόγῳ κέχρηνται, καὶ κατὰ τί οὕτως εἴρηται; δῆλον ἐστὶ καὶ ἀπ' αὐτῶν τῶν σημαινομένων. ὁ μὲν γὰρ Χριστὸς ἔξοδον τὴν ἑαυτοῦ παρουσίαν εἰκότως καλεῖ· ἔξω γὰρ ἦμεν τοῦ Θεοῦ. καὶ καθάπερ ἐν τοῖς βασιλείοις, οἱ δεσμῶται, καὶ προσκεκρουκότες τῷ βασιλεῖ, ἔξω ἑστήκασιν, ὁ δὲ βουλόμενος αὐτοὺς καταλλάξαι, οὐκ ἔνδον τούτους εἰσάγων, ἀλλ' αὐτὸς ἐξιὼν ἔξω τούτοις διαλέγεται, ἕως ἂν αὐτοὺς καταστήσας ἀξίους τῆς ὄψεως τοῦ βασιλέως εἰσαγάγῃ· οὕτω καὶ ὁ Χριστὸς ἐποίησεν. ἐξῆλθε γὰρ πρὸς ἡμᾶς, τουτέστι, σάρκα ἀναλαβών, καὶ διαλεχθεὶς τὰ παρὰ τοῦ βασιλέως, οὕτως ἡμᾶς εἰσήγαγε, καθαρείσας τῶν ἁμαρτημάτων, καὶ καταλλάξας. ὁ δὲ Παῦλος εἴσοδον αὐτὴν ὀνομάζει, ἀπὸ μεταφορᾶς τῶν διὰ τοῦτο ἔξοδον αὐτὴν καλεῖ. ὁ δὲ Παῦλος εἴσοδον αὐτὴν ὀνομάζει, ἀπὸ μεταφορᾶς τῶν κληρονομούντων, καὶ νομὴν παραλαμβανόντων καὶ κτῆσίν τινα. τὸ γὰρ εἰπεῖν, ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, τοῦτό ἐστι δηλοῦντος, ὅταν ἐγχειρίσῃ αὐτῷ τὴν οἰκουμένην. τότε γὰρ αὐτὴν ἐκτήσατο πᾶσαν, ὅτε καὶ ἐγνώσθη. οὐ περὶ τοῦ Θεοῦ δὲ λόγου

Ματθ. ιγ. γ.
Ιωαν. ις. κη.

χ. τὸν

χ. εἰσάγει,

χ. κληρονομεῖν τινὰ παραλαμβάνοντα καὶ κτῆσιν



Digitized by Google

γα. βραχὺς γὰρ ὁ παρὼν καιρὸς· πρὸς δὲ τοὺς αἰῶνας τοὺς ἀτελευτήτους. μέγα φρονεῖς, ἄνθρωπε, ὅτι πλουτεῖς; τίνος ἕνεκεν; τοῦτο γὰρ καὶ λῃσταῖς παραγίνεται, καὶ κλέπταις, καὶ ἀνδροφόνοις, καὶ μαλακοῖς, καὶ πόρνοις, καὶ πᾶσι τοῖς πονηροῖς. διὰ τί οὖν μέγα φρονεῖς; εἰ μὲν γὰρ εἰς δέον αὐτῷ κέχρησαι, οὐκ ὀφείλεις μέγα φρονεῖν, ἵνα μὴ λυμήνῃ τὴν ἐντολήν· εἰ δὲ οὐκ εἰς δέον, ταύτῃ μάλιστα συστέλλεσθαι δεῖ, ὅτι δοῦλος γέγονας τῶν χρημάτων καὶ κτημάτων, καὶ κρατῇ ὑπ' αὐτῶν. εἰπὲ γάρ μοι, εἴ τις πυρέττων ὕδωρ ἐκπίοι πολύ, ὃ πρὸς βραχὺ μὲν σβεννύον τὴν δίψαν, ὕστερον δὲ ἀνάπτοι τὴν φλόγα, μέγα ὀφείλει φρονεῖν; τί δὲ εἴ τις πλείονα φροντίζει εἰκῇ, διὰ τοῦτο ὀφείλει μέγα φρονεῖν; διὰ τί, εἰπέ μοι; ἐπειδὴ πολλοὺς ἔχει δεσπότας; ἐπειδὴ μυρίας μερίμνας; ἐπειδὴ κολακεύουσί σε πολλοί; ἀλλὰ τοῦτο δουλεύειν ἐστί. καὶ ἵνα μάθῃς ὅτι δουλεύεις αὐτοῖς, ἄκουε [σαφῶς]. τὰ ἄλλα τῶν παθῶν τῶν ἐν ἡμῖν, ἔστιν ὅπου χρήσιμά ἐστιν. οἷον ἡ ὀργὴ πολλαχοῦ χρησίμη. Θυμὸς γάρ, φησιν, ἄδικος οὐκ ἀθῳωθήσεται· ὥστε ἔστι καὶ δικαίως θυμωθῆναι. καὶ πάλιν, Ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ, ἔνοχος ἔσται τῇ γεέννῃ. πάλιν ὁ ζῆλος καλόν, καὶ ἡ ἐπιθυμία· ἡ μέν, ὅταν εἰς παιδοποιΐαν γίνηται, ὁ δέ, ὅταν πρὸς τὰ καλὰ τὴν μίμησιν ἔχῃ. ὥσπερ καὶ Παῦλος λέγει, Καλὸν δὲ τὸ ζηλοῦσθαι ἐν καλῷ πάντοτε· καὶ πάλιν, Ζηλοῦτε τὰ χαρίσματα τὰ κρείττονα. ὥστε ἀμφότερα χρήσιμα. ἡ μέντοι ἀπόνοια οὐδαμοῦ καλόν, ἀλλὰ πανταχοῦ ἄχρηστον καὶ βλαβερόν. πλὴν εἰ δεῖ μέγα φρονεῖν, ἐπὶ πενίᾳ, οὐκ ἐπὶ πλούτῳ δεῖ. διὰ τί; ὅτι ὁ ἐν ὀλίγοις ζῆν δυνάμενος, τοῦ μὴ δυναμένου πολλῷ μείζων καὶ κρείττων ἐστίν. εἰπὲ γάρ μοι, εἰ κληθεῖεν εἰς βασιλικὴν πόλιν τινές, οἱ μὲν αὐτῶν μήτε ὑποζυγίων δέοιντο, μήτε οἰκετῶν, μήτε σκιαδίων, μήτε καταγωγίων, μήτε ὑποδημάτων, μήτε σκευῶν, ἀλλ' ἀπόχρη αὐτοῖς ἄρτον μόνον ἔχειν, καὶ ὕδωρ ἐκ τῶν πηγῶν λαμβάνειν, ἐκεῖνοι δὲ λέγοιεν ὅτι ἐὰν μὴ καὶ ὀχήματα δῶτε καὶ στρωμνὴν ἁπαλήν, οὐ δυνάμεθα παραγενέσθαι, ἐὰν μὴ καὶ πολλοὺς ἔχωμεν τοὺς ἀκολουθοῦντας, ἐὰν μὴ συνεχῶς ἐξῇ διαναπαύεσθαι, οὐ δυνάμεθα, ἐὰν μὴ ὑποζυγίοις χρώμεθα, καὶ μικρὸν ὁδεύωμεν τῆς ἡμέρας μέρος, δεῖ δὲ ἡμῖν καὶ ἑτέρων πλειόνων· τίνας ἂν θαυμάσαιμεν; ἐκείνους, ἢ τούτους; δῆλον ὅτι τούτους τοὺς οὐδενὸς δεομένους. οὕτω δὴ καὶ ἐνταῦθα. οἱ μὲν πρὸς τὴν ὁδὸν τοῦ βίου τούτου πολλῶν δέονται, οἱ δὲ οὐδενός. ὥστε τὸν ἐπὶ πενίᾳ μᾶλλον ἐχρῆν μέγα φρονεῖν. εἴγε καὶ ἐχρῆν. ἀλλ' εὐκαταφρόνητός ἐστιν ὁ πένης, φησίν. οὐκ ἐκεῖνος, ἀλλ' οἱ τούτου καταφρονοῦντες. διὰ τί γὰρ ἐγὼ μὴ καταφρονῶ τῶν οὐκ εἰδότων θαυμάζειν ἃ χρή; ἀλλ' ἂν μὲν ζωγράφος ᾖ τις, πάντων καταγελᾷ τῶν σκωπτόντων αὐτόν, ἕως ἂν ὦσιν ἀμαθεῖς, καὶ οὐ πρὸς τὰ παρ' ἐκείνων λεγόμενα ἐπιστρέφεται, ἀλλὰ τῇ ἑαυτοῦ ἀρκεῖται μαρτυρίᾳ· ἡμεῖς δὲ τῆς τῶν πολλῶν δόξης ἐξαρτήσομεν ἑαυτούς; καὶ ποῦ ταῦτα συγγνώμης ἄξια; διὰ τοῦτο ἐσμὲν ἄξιοι καταφρονεῖσθαι, ὅτι τῶν καταφρονούντων ἡμῶν διὰ τὴν πενίαν μὴ καταφρονοῦμεν, μηδὲ ταλανίζομεν αὐτούς. καὶ παρίημι ὅσα μὲν ἁμαρτήματα ἀπὸ τοῦ πλούτου τίκτεται, ὅσα δὲ ἀγαθὰ ἀπὸ τῆς πενίας. μᾶλλον δέ, οὐδὲ πλοῦτος, οὐδὲ πενία καθ' ἑαυτὸ καλόν, ἀλλὰ παρὰ τοὺς χρωμένους τούτῳ γίνεται. ὁ χριστιανὸς [δόκιμος] ἐν πενίᾳ μᾶλλον διαφαίνεται, ἢ ἐν τῷ πλούτῳ. πῶς; ἐν πενίᾳ μὲν γὰρ ὢν ἀτυφότερος ἔσται, σωφρονέστερος, σεμνότερος, ἐπιεικέστερος, συνετώτερος· ἐν δὲ τῷ πλούτῳ διάγων, πολλὰ πρὸς ταῦτα ἔχει τὰ κωλύματα. ἴδωμεν οὖν τίνα ἐστὶν ἃ ὁ πλούσιος ἐργάζεται, μᾶλλον δὲ ὁ κακῶς τῷ πλούτῳ κεχρημένος. ἐκεῖνος ἁρπάζει, πλεονεκτεῖ, βιάζεται. τί δαί; τοὺς *ἔρωτας τοὺς ἀτόπους, τὰς ἀθεμίτους μίξεις, τὰς γοητείας, τὰς φαρμακείας, τὰ ἄλλα πάντα δεινὰ οὐκ ἀπὸ τοῦ πλούτου εὑρήσεις τικτόμενα; ὁρᾷς ὅτι ἐν πενίᾳ μᾶλλον ἀκοπώτερόν ἐστιν, ἢ ἐν πλούτῳ τὴν ἀρετὴν μετιέναι; μὴ γάρ μοι, ἐπειδὴ δίκην οὐ διδόασιν ἐνταῦθα οἱ πλούσιοι, νομίσῃς αὐτοὺς μηδὲ ἁμαρτάνειν. ὡς εἴγε ἦν εὔκολον πλουσίους δίκην διδόναι, ἐκ τούτων ἂν

εὗρες

Σειρ. α. κβ.
Ματθ. ε. κβ.
Γαλατ. δ. ιη.
α Κορ. ιβ. λα.

χ. πλεῖον
χ. καὶ γὰρ δουλεύεις αὐτοῖς.
χ. διὰ τοῦτο καὶ σοφός τις εἰπὼν ἄδικος.
χ. τὸν ζῆλον
χ. χρώμεθα, ἐὰν μὴ καὶ
χ. -θεῖς τί λέγω τοῦτο; ἐὰν πρὸς
χ. οὐκ ἐξαρτήσομεν
χ. τὰ
ς
χ. μίξεις,
χ. εὐκολώτερον.

περὶ τῆς ἀναστάσεως καὶ τῆς ἀναλήψεως λέγει ἐπήγαγε. καὶ ὅρα τὴν σύνεσιν αὐτοῦ τὴν ἄφατον. Οὐκ εἶπεν, ἐκελεύσθη καθίσαι· ἀλλ', ἐκάθισεν. εἶτα πάλιν, ἵνα μὴ νομίσῃς αὐτὸν ἑστάναι, ἐπάγει, Τίνι γὰρ τῶν ἀγγέλων εἶπέ ποτε, κάθου ἐκ δεξιῶν μου;

Ἐκάθισε, φησὶν, ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς. τί ἐστιν, ἐν ὑψηλοῖς; εἰς τόπον περικλείει τὸν Θεόν; ἄπαγε· οὐχ ἵνα τοῦτο ὑποπτεύσωμεν, οὕτως εἴρηκεν. ἀλλ' ὥσπερ εἰπὼν, ἐν δεξιᾷ, οὐκ ἐσχημάτισεν αὐτὸν, ἀλλὰ τὸ ὁμότιμον ἔδειξε τὸ πρὸς τὸν πατέρα· οὕτως εἰπὼν, ἐν ὑψηλοῖς, οὐκ ἀπέκλεισεν αὐτὸν ἐκεῖ, ἀλλὰ πάντων ἔδειξεν ὑψηλότερον, καὶ πάντα ὑπερβεβηκότα. ὥσπερ ἔλεγεν, εἰς αὐτὸν ἔφθασε τὸν θρόνον τὸν πατρικόν. ὥσπερ οὖν ὁ πατὴρ ἐν ὑψηλοῖς, οὕτω καὶ αὐτός. ἡ γὰρ συνεδρία οὐδὲν ἕτερον δηλοῖ, ἢ τὸ ὁμότιμον. εἰ δὲ λέγοιεν, ὅτι εἶπε, κάθου, ἐρωτήσωμεν αὐτοὺς, τί οὖν; ἑστῶτι εἶπεν; ἀλλ' οὐκ ἂν ἔχοιεν δεῖξαι. ἄλλως δὲ οὐκ εἶπεν, ὅτι ἐκέλευσεν, ἢ προσέταξεν, ἀλλ' ὅτι εἶπε [κάθου] καὶ τοῦτο δὲ οὐδὲν ἕτερον, ἀλλ' ἵνα μὴ ἄναρχον αὐτὸν νομίσῃς καὶ ἀναίτιον. ὅτι γὰρ διὰ τοῦτο οὕτως εἴρηκε, δῆλον ἐκ τοῦ τόπου τῆς καθέδρας. εἰ γὰρ ἐλάττωσιν ἤθελε δηλῶσαι, οὐκ ἂν εἶπεν, ἐκ δεξιῶν, ἀλλ' ἐξ ἀριστερῶν.

γ. τ. πατρι. θρό. αὐτὸν

4 Τοσούτῳ κρείττων γενόμενος, φησὶ, τῶν ἀγγέλων, ὅσῳ διαφορώτερον παρ' αὐτοὺς κεκληρονόμηκεν ὄνομα. Τὸ, γενόμενος, ἐνταῦθα ἀντὶ τοῦ, ἀποδειχθεὶς, ὡς ἂν εἴποι τις, ἐστίν. εἶτα καὶ διϊσχυρίζεται. πόθεν; ἀπὸ τοῦ ὀνόματος. ὁρᾷς ὅτι οἶδε τὸ, υἱὸς, ὄνομα τὴν γνησιότητα δηλοῦν; καὶ μὴν εἰ μὴ γνήσιος ἦν, οὐκ ἂν τοῦτο εἶπε. πῶς; ὅτι δὲ οὐδὲν ἕτερον γνήσιός ἐστιν, ἀλλ' ἢ τὸ ἐξ αὐτοῦ εἶναι. ἀπὸ τούτου τοίνυν ἰσχυρίζεται. εἰ δὲ χάριτι ἐστὶν υἱὸς, οὐ μόνον οὐ διαφορώτερος, ἀλλὰ καὶ ἐλάττων ἐστὶν ἀγγέλων. πῶς; ὅτι καὶ ἄνθρωποι δίκαιοι ἐκλήθησαν υἱοί· καὶ τὸ, υἱὸς, ὄνομα, ἂν μὴ γνήσιος ᾖ, οὐκ ἰσχύει δεῖξαι τὸ διάφορον. καὶ δηλῶν ὅτι διαφορά τίς ἐστι κτισμάτων καὶ δημιουργοῦ, ἄκουσον τί φησι·

γ. ἦν ὁ υἱὸς (γνήσιος δὲ οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ ἐξ αὐτοῦ) πῶς ἀπὸ τούτου ἰσχυρίζεται; εἰ γὰρ χάριτι ἐστὶν υἱός.

5 Τίνι γὰρ εἶπέ ποτε τῶν ἀγγέλων, Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε; καὶ πάλιν, Ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν; Ταῦτα εἴρηται μὲν καὶ εἰς τὴν σάρκα. τὸ γὰρ, ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς υἱὸν, τῆς ἐνανθρωπήσεως ἐστὶ παραστατικόν· τὸ δὲ, υἱός μου εἶ σὺ, οὐδὲν ἕτερον δηλοῖ, ἢ ὅτι ἐξ αὐτοῦ ἐστιν. ὥσπερ δὲ, ὢν, λέγεται ἀπὸ τοῦ ἐνεστῶτος καιροῦ (ἔστι γὰρ μάλιστα ἁρμόζει αὐτῷ) οὕτω καὶ τὸ, σήμερον, * ἐνταῦθά μοι δοκεῖ εἰς τὴν σάρκα εἰρῆσθαι. ὅταν γὰρ αὐτῆς ἐπιλάβηται, πάντα λοιπὸν ἀδεῶς φθέγγεται. καὶ γὰρ ἡ σὰρξ κοινωνεῖ τῶν ὑψηλῶν, ὥσπερ οὖν καὶ ἡ θεότης τῶν ταπεινῶν. ὁ Θεὸς γὰρ ἄνθρωπος γενέσθαι μὴ ἀπαξιώσας, καὶ τὸ πρᾶγμα μὴ παραιτησάμενος, πῶς ἂν τὰ ῥήματα παρῃτήσατο;

γ. τὸ ἐν * (ἐγὼ σήμερον γεγέννηκά σε)

ΗΘΙΚΟΝ

Ταῦτ' οὖν εἰδότες, μηδὲν ἐπαισχυνώμεθα, μὴ μέγα φρονῶμεν. εἰ γὰρ αὐτὸς Θεὸς ὢν, καὶ δεσπότης, καὶ Θεοῦ υἱὸς, οὐ παρῃτήσατο μορφὴν δούλου λαβεῖν· πολλῷ μᾶλλον ἡμᾶς ἅπαντα δεῖ ποιεῖν, κἂν ταπεινὰ ᾖ. πόθεν γὰρ, εἰπέ μοι, ἄνθρωπε, μέγα φρονεῖς; ἀπὸ τῶν βιωτικῶν; ἀλλὰ ταῦτα πρὶν ἢ φανῆναι παρατρέχει. ἀλλ' ἀπὸ τῶν πνευματικῶν; ἀλλ' ἓν καὶ τοῦτο ἐστὶ κατόρθωμα πνευματικὸν, τὸ μὴ μέγα φρονεῖν. διὰ τί τοίνυν μέγα φρονεῖς; ὅτι κατορθοῖς; ἄκουσον τοῦ Χριστοῦ λέγοντος, Ὅταν ποιήσητε πάντα, λέγετε ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν. ἃ γὰρ ὠφείλομεν ποιῆσαι, πεποιήκαμεν. Λουκ. ιζ. ι. ἀλλὰ διὰ τὸν πλοῦτον μέγα φρονεῖς; διὰ τί, εἰπέ μοι; οὐκ ἤκουσας ὅτι γυμνοὶ εἰσήλθομεν εἰς τὸν βίον, γυμνοὶ καὶ ἀπελευσόμεθα; μᾶλλον δὲ, οὐχ ὁρᾷς τοὺς πρὸ σοῦ ἐρήμους καὶ γυμνοὺς ἀπελθόντας; τίς τὰ ἀλλότρια ἔχων μέγα φρονεῖ; οἱ γὰρ βουλόμενοι αὐτοῖς χρῆσθαι εἰς οἰκείαν μόνην ἀπόλαυσιν, ἀφαιροῦνται αὐτὰ καὶ ἄκοντες, καὶ πρὸ μὲν τῆς τελευτῆς πολλάκις, ἐν δὲ τῇ τελευτῇ πάντως. ἀλλ' ἡμεῖς ζῶντες αὐτοῖς, φησὶν, ὡς βουλόμεθα, χρώμεθα. μάλιστα μὲν οὐδένα ἂν τις ἴδοι ταχέως, ὡς βούλεται, τοῖς οὖσι χρώμενον. εἰ δέ τις καὶ χρῷτο ὡς βούλεται, οὐδὲ τοῦτο μέγα.

γ. οὐδὲν τοῦτ. ἔρ.

κέκληται, οὐδαμοῦ τῆς οὐσίας αὐτῆς ὄνομα εὑρών. οὔτε γὰρ ἡ μεγαλωσύνη, οὔτε ἡ δόξα τὸ ὄνομα "παρίστησιν, ὃ βούλεται εἰπεῖν, ἀλλ' οὐκ ἔχει ὄνομα εὑρεῖν. τοῦτο [γάρ] ἐστιν ὃ ἔλεγον ἐξ ἀρχῆς, ὅτι πολλάκις τινὰ νοοῦμεν, καὶ οὐ δυνάμεθα φράζειν· ἐπεὶ οὐδὲ τὸ, Θεὸς, ὄνομα οὐσίας ἐστὶν, οὐδὲ ἔστιν ὅλως τῆς οὐσίας ἐκείνης ὄνομα εὑρεῖν. καὶ τί θαυμαστὸν εἰ ἐπὶ Θεοῦ, ὅπου γε οὐδὲ ἐπὶ ἀγγέλου εὕροι τις ἂν ὄνομα τῆς οὐσίας δηλωτικόν; τάχα δὲ οὐδὲ ἐπὶ ψυχῆς. οὐ γάρ μοι δοκεῖ τοῦτο τὸ ὄνομα παραστατικὸν εἶναι τῆς οὐσίας αὐτῆς, ἀλλὰ τοῦ ψύχειν. τὴν γὰρ αὐτὴν, καὶ ψυχὴν, καὶ καρδίαν, καὶ νοῦν καλουμένην ἴδοι τις ἄν. Καρδίαν γάρ, φησι, καθαρὰν κτίσον ἐν ἐμοὶ, ὁ Θεός. οὐ μόνον δὲ ταῦτα, ἀλλὰ καὶ πνεῦμα [πολλαχοῦ] ἴδοι τις ἂν λεγομένην αὐτήν. Φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ. ὁρᾷς τί φησι; πῶς οὖν, εἰπέ μοι, λέγεις, αἱρετικὲ, διὰ τὸ λέγεσθαι παρὰ τῇ γραφῇ, Εἶπεν ὁ Θεὸς, γενηθήτω φῶς, ὅτι ὁ πατὴρ ἐπέταξεν, ὁ δὲ υἱὸς ὑπήκουσεν; [ἀλλ'] ἰδοὺ καὶ ἐνταῦθα ῥήματι αὐτὸς ποιεῖ. Φέρων τε γάρ, φησι, τὰ πάντα· τουτέστι, κυβερνῶν, τὰ διαπίπτοντα συγκρατῶν. τοῦ γὰρ ποιῆσαι τὸν κόσμον οὐχ ἧττόν ἐστι τὸ συγκρατεῖν· ἀλλ' (εἰ δεῖ τι καὶ θαυμαστὸν εἰπεῖν) καὶ μεῖζον. τὸ μὲν γὰρ, ἐξ οὐκ ὄντων ἐστί τι παραγαγεῖν· τὸ δὲ, τὰ γεγονότα εἰς τὸ μὴ εἶναι μέλλοντα ἀναχωρεῖν, συνέχειν τε καὶ συνάπτειν πρὸς ἄλληλα διαστασιάζοντα. τοῦτο ἐστὶ τὸ μέγα καὶ θαυμαστὸν, καὶ πολλῆς δυνάμεως τεκμήριον. Εἶτα καὶ τὸ εὔκολον δηλῶν, εἶπε, φέρων (οὐκ εἶπε, κυβερνῶν) ἀπὸ μεταφορᾶς τῶν [ἁπλῶς] τῷ δακτύλῳ τι κινούντων, καὶ ποιούντων "περιφέρεσθαι. ἐνταῦθα καὶ τὸν ὄγκον τῆς κτίσεως ἔδειξε μέγαν ὄντα, καὶ τὸ μέγα οὐδὲν αὐτῷ ὄν. Εἶτα πάλιν τὸ ἀπονητὶ δείκνυσιν, εἰπὼν, τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ. καλῶς εἶπε, τῷ ῥήματι. ἐπειδὴ γὰρ τὸ ῥῆμα παρ' ἡμῖν ψιλὸν εἶναι δοκεῖ, δείκνυσιν ὅτι οὐκ ἔστι ψιλὸν ἐπὶ Θεοῦ. ἀλλ' ὅτι μὲν τῷ ῥήματι φέρει, εἶπε· τὸ δὲ πῶς [τῷ ῥήματι φέρει], οὐκέτι προσέθηκεν· οὐδὲ γὰρ δυνατὸν εἰδέναι. Εἶτα ἐπήγαγε περὶ τῆς μεγαλειότητος αὐτοῦ. οὕτω γὰρ καὶ ὁ Ἰωάννης πεποίηκεν. εἰπὼν γὰρ ὅτι Θεός ἐστιν, ἐπήγαγε τῆς κτίσεως τὴν δημιουργίαν. ὅπερ γὰρ ἐκεῖνος ᾐνίξατο εἰπών, Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ πάντα δι' αὐτοῦ ἐγένετο, τοῦτο καὶ οὗτος διὰ τοῦ ῥήματος, καὶ τοῦ εἰπεῖν, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν, ἐνέφηνε. καὶ γὰρ καὶ δημιουργὸν, καὶ πρὸ πάντων ὄντα τῶν αἰώνων αὐτὸν δείκνυσι. τί οὖν*, ὅταν περὶ τοῦ πατρὸς μὲν λέγῃ ὁ προφήτης, Ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος σὺ εἶ· περὶ δὲ τοῦ υἱοῦ, ὅτι πρὸ πάντων ἐστὶ τῶν αἰώνων, καὶ τῶν ἁπάντων δημιουργός, τί ἂν εἴποιεν; μᾶλλον δὲ "ὅπερ περὶ τοῦ πατρὸς ἐλέγετο, ὁ ὑπάρχων πρὸ τῶν αἰώνων, τοῦτο καὶ περὶ τοῦ υἱοῦ ἴδοι τις ἂν εἰρημένον; καὶ ὥσπερ ἐκεῖνός φησι, ζωὴ ἦν, τὸ χαρακτηριστικὸν τῆς κτίσεως δηλῶν, ὅτι πάντων αὐτός ἐστιν ἡ ζωή· οὕτω καὶ οὗτός φησι, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ· οὐ καθάπερ Ἕλληνες, καὶ τῆς δημιουργίας αὐτῆς, τό γε εἰς αὐτοὺς ἧκον, ἀποστεροῦντες αὐτὸν, καὶ τῆς προνοίας μέχρι σελήνης συγκλείοντες αὐτοῦ τὴν δύναμιν. δι' ἑαυτοῦ γάρ, φησι, καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν. Εἰπὼν περὶ τῶν θαυμαστῶν ἐκείνων καὶ μεγάλων, τῶν "ἀρρωστάτων, λέγει λοιπὸν καὶ περὶ τῆς εἰς ἀνθρώπους αὐτοῦ κηδεμονίας. μάλιστα μὲν γὰρ καὶ ἐκεῖνο καθολικὸν ἦν, τὸ, φέρων τε τὰ πάντα· πλὴν ἀλλὰ τοῦτο πολλῷ μεῖζον. καὶ τοῦτο δὲ καθολικόν. τὸ γὰρ αὐτοῦ μέρος "πάντας ἔσωσεν. ἐπεὶ καὶ ὁ Ἰωάννης εἰπὼν, ζωὴ ἦν, καὶ τὴν πρόνοιαν αὐτοῦ δηλώσας, πάλιν "λέγει, ὅτι καὶ φῶς, τὸ αὐτὸ τοῦτο δηλῶν. δι' ἑαυτοῦ, φησι, καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς. δύο τίθησιν ἐνταῦθα τῆς κηδεμονίας αὐτοῦ τεκμήρια μέγιστα· τό τε καθαρίσαι τῶν ἁμαρτιῶν ἡμᾶς, καὶ τὸ δι' ἑαυτοῦ τοῦτο ποιῆσαι. καὶ πολλαχοῦ ὁρᾷς αὐτὸν ἐπὶ τούτῳ σεμνυνόμενον, οὐ μόνον ἐπὶ τῇ καταλλαγῇ τῇ πρὸς τὸν Θεὸν, ἀλλὰ καὶ ἐπὶ τῷ διὰ τοῦ υἱοῦ τοῦτο γεγενῆσθαι. καὶ γὰρ "οὕτω τὸ μέγα δῶρον μεῖζον γίνεται, [τῷ] διὰ τοῦ υἱοῦ. Εἰπὼν, ἐκάθισεν ἐν δεξιᾷ, καὶ, καθαρισμὸν δι' ἑαυτοῦ ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν, καὶ ἀναμνήσας τοῦ σταυροῦ, ταχέως

τῷ

Margin notes (left): Ψαλ. ν. ιβ. — Γεν. α. γ. — Ἰωαν. α. α. — Ψαλ. πθ. β.

Margin notes (right): χ. -σι. ἐθέλει [illegible] χ. φέρεσθαι — χ. φέρειν — * αὖ εἴποιμεν — χ. [illegible] — χ. -των — χ. πάντας ἔσωσε. — χ. -γει, καὶ φῶς ἦν. δι — χ. ὅπως μέγα τὸ δῶρον· καὶ μεῖζον γίγνηται — χ. τῷ

υἱὸς εἰς τὸ παραγαγεῖν τὰ πάντα. καὶ ὅτι τοῦτό ἐστιν, ὅρα πῶς πάλιν ἰσοτιμίαν δίδωσιν αὐτῷ τὴν αὐθεντίαν, καὶ τὸ, δι' οὗ, ἐξελών. ἐπειδὴ γὰρ εἰργάσατο δι' αὐτοῦ ὃ ἤθελε, λοιπὸν ἀποστὰς ἀπ' αὐτοῦ, τί φησι; Κατ' ἀρχὰς σὺ, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί. Ἑβρ. α. ι. οὐδαμοῦ τὸ, δι' οὗ, οὐδὲ ὅτι ἐποίησε δι' αὐτοῦ τοὺς αἰῶνας. τί οὖν; οὐχ ὑπ' αὐτοῦ γεγένηνται; ναί. ἀλλ' οὐχ ὡς σὺ λέγεις, οὐδ' ὡς ὑπουργοῦ, ὡς δι' ὀργάνου· οὐδὲ ὡς οὐκ ἂν ποιήσαντος, εἰ μὴ χεῖρα αὐτῷ ὤρεξεν ὁ πατήρ. ὥσπερ γὰρ οὐδένα κρίνει ἐκεῖνος, καὶ λέγεται κρίνειν διὰ τοῦ υἱοῦ, ὅτι κριτὴν αὐτὸν ἐγέννησεν· οὕτω καὶ δημιουργεῖν δι' αὐτοῦ, ὅτι δημιουργὸν αὐτὸν ἐγέννησεν. εἰ γὰρ αὐτοῦ αἴτιος ὁ πατὴρ, πολλῷ μᾶλλον τῶν δι' αὐτοῦ γεγενημένων. ὅταν μὲν οὖν βούληται δεῖξαι ὅτι ἐξ αὐτοῦ, ἀναγκαίως τὰ ταπεινὰ φθέγγεται. ὅταν δὲ βούληται ὑψηλὰ φθέγγεσθαι, λαβὴν Μάρκελλος λαμβάνει, καὶ Σαβέλλιος. ἀλλ' ἀμφοτέρων τὴν ἀμετρίαν φυγὼν, μέσην ὁδεύσει ὁδόν. οὔτε γὰρ ἐπὶ τῆς ταπεινότητος ἐμμένει, ἵνα μὴ Παῦλος ὁ Σαμοσατεὺς λάβῃ χώραν, οὔτε ἀεὶ τοῖς ὑψηλοῖς ἐναπομένει. καὶ δείκνυσιν αὐτοῦ πάλιν τὴν ἑνότητα τὴν πολλὴν, ἵνα μὴ Σαβέλλιος ἐπιπηδήσῃ. εἶπεν υἱὸν, καὶ εὐθέως ἐφέστηκε Παῦλος ὁ Σαμοσατεὺς, λέγων αὐτὸν εἶναι υἱὸν ὡς τοὺς πολλούς. ἀλλ' ἔδωκεν αὐτῷ καιρίαν πληγὴν, εἰπὼν κληρονόμον. ἀλλ' ἔτι ἀναισχυντεῖ μετὰ Ἀρείου. τὸ γὰρ, ἔθηκεν αὐτὸν κληρονόμον, ἀμφότεροι κατέχουσιν· ἐκεῖνος μὲν ἀσθενείας λέγων εἶναι, τοῦτο δὲ ἐπισκήπτει ἐπιφέρων καὶ τὰ ἑξῆς. εἰπὼν δὲ Παῦλος, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν, ἔβαλεν ὕπτιον ἀναισχυντοῦντα τὸν Σαμοσατέα. ὁ δὲ Ἄρειος ἔτι ἰσχυρὸς εἶναι δοκεῖ. ἀλλ' ὅρα καὶ τοῦτον πῶς καταβάλλει πάλιν εἰπὼν, ὃς ὢν ἀπαύγασμα τῆς δόξης αὐτοῦ. ἀλλ' ἰδοὺ πάλιν ἐπιπηδᾷ Σαβέλλιος, καὶ Μάρκελλος, καὶ Φωτεινός. ἀλλὰ κἀκείνοις πᾶσι μίαν πληγὴν δίδωσιν, εἰπὼν, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, [φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ]. ἐνταῦθα πάλιν καὶ Μαρκίωνα πλήττει· οὐ σφόδρα μὲν ἰσχυρῶς, πλήττει δὲ οὖν ὅμως. δι' ὅλης γὰρ τῆς ἐπιστολῆς πρὸς αὐτὸν μάχεται. ἀλλ' ὅπερ ἔφην, ἀπαύγασμα τῆς δόξης εἴρηκε τὸν υἱόν. καὶ ὅτι καλῶς, ἄκουε τοῦ Χριστοῦ λέγοντος περὶ αὐτοῦ, Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου. Ἰωάν. η. ιβ. διὰ τοῦτο δὲ ἀπαύγασμα εἶπεν αὐτὸς, ἵνα δείξῃ ὅτι κἀκεῖ οὕτως εἴρηται· δηλοῖ δὲ, ὡς φῶς ἐκ φωτός. οὐ τοῦτο δὲ μόνον δείκνυται, ἀλλ' ὅτι καὶ ἐφώτισε τὰς ἡμετέρας ψυχάς. διὰ δὲ τοῦ ἀπαυγάσματος τὸ ἴσον ἐσήμανε τῆς οὐσίας, καὶ τὴν πρὸς τὸν πατέρα ἑνότητα. ἐννόησον* τὴν λεπτότητα τῶν εἰρημένων· οὐσίαν μίαν ἔλαβε καὶ ὑπόστασιν εἰς δύο ὑποστάσεων παράστασιν. ὃ καὶ ἐπὶ τῆς γνώσεως τοῦ πνεύματος ποιεῖ. ὥσπερ γὰρ μίαν εἶναί φησι τὴν γνῶσιν τὴν τοῦ πατρὸς καὶ τοῦ πνεύματος, ὡς ὄντως μίαν, καὶ οὐδὲν πρὸς ἑαυτὴν διεστηκυῖαν· οὕτω καὶ ἐνταῦθα εἰκότως ἐπελάβετο ῥήματος εἰς τὴν τῶν δύο ὑποστάσεων δήλωσιν. εἶτα ἐπήγαγεν ὅτι καὶ χαρακτήρ. ὁ γὰρ χαρακτὴρ, ἄλλος τίς ἐστι παρὰ τὸ πρωτότυπον· ἄλλος δὲ οὐ πάντῃ, ἀλλὰ κατὰ τὸ ἐνυπόστατον εἶναι. ἐπεὶ καὶ ἐνταῦθα ὁ χαρακτὴρ τὸ ἀπαράλλακτον δηλοῖ οὗ ἐστι χαρακτὴρ, τὸ ὅμοιον κατὰ πάντα. ὅταν οὖν καὶ μορφὴν αὐτὸν καλῇ, καὶ χαρακτῆρα, τί ἐροῦσιν; ἀλλὰ καὶ εἰκὼν ὁ ἄνθρωπος, φησί. τί οὖν; οὕτως ὡς ὁ υἱός; οὔ, φησιν, ἀλλ' ὅτι εἰκὼν οὐ δείκνυσι τὸ ὅμοιον. Γεν. α. κς. καίτοιγε καθὸ εἴρηται ὁ ἄνθρωπος εἰκὼν, δείκνυσι τὸ ὅμοιον ὡς ἐν ἀνθρώπῳ. ὅπερ γάρ ἐστιν ὁ Θεὸς ἐν τῷ οὐρανῷ, τοῦτο ὁ ἄνθρωπος ἐπὶ τῆς γῆς, κατὰ τὴν ἀρχὴν λέγω. καὶ ὥσπερ τῶν ἐπὶ γῆς πάντων οὗτος κρατεῖ, οὕτω καὶ ὁ Θεὸς πάντων κρατεῖ τῶν ἐν [τῷ] οὐρανῷ καὶ [τῶν] ἐπὶ [τῆς] γῆς. ἄλλως δὲ, ὁ ἄνθρωπος οὐκ εἴρηται χαρακτὴρ, οὐκ εἴρηται ἀπαύγασμα, οὐκ εἴρηται μορφή· ὅπερ τὴν οὐσίαν ἐμφαίνει, ἢ καὶ ὁμοιότητα τὴν κατ' οὐσίαν. ὥσπερ οὖν ἡ μορφὴ τοῦ δούλου οὐδὲν ἄλλο ἐμφαίνει ἢ ἄνθρωπον ἀπαράλλακτον· οὕτως ἡ μορφὴ τοῦ Θεοῦ οὐδὲν ἄλλο ἐμφαίνει, ἢ Θεόν. Φιλιπ. β. ζ. ὃς ὢν ἀπαύγασμα, φησὶ, τῆς δόξης. ὅρα τί Παῦλος τί ποιεῖ. εἰπὼν, ὃς ὢν ἀπαύγασμα τῆς δόξης, ἐπήγαγε πάλιν, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης, ὀνόμασιν οἵοις

γρ. ὅτι ἐπὶ Θεὸς ἴσος τῷ πατρὶ, τὰ ὑψηλὰ φθέγγεται, ἵν' οὖν λαβὴν Μάρκελλος μὴ λάβῃ. ἀμφοτέρ. γρ. ἐκκλίνας φυγών.

γρ. φησὶν, ἀπαύγασμα, δεικνὺς ὅτι κἀκεῖνο ὑποστάσεως εἴρηται αὐτοῦ

γρ. εἶναι

γρ. καὶ εἰκὼν εἴρηται εἰκών

γρ. ὅρα οἵοις ὀνόμασι κέχρηται

νοοῦμεν, οὐ φράσαι δυνάμεθα· ἢ πολλὰ μὲν φράζομεν, νοῆσαι δὲ οὐκ ἰσχύομεν. οἷόν τι λέγω· ὅτι πανταχοῦ μὲν ὁ Θεὸς, ἴσμεν· πῶς δὲ, οὐκέτι νοοῦμεν. ὅτι ἐστί τις ἀσώματος δύναμις, πάντων αἰτία τῶν ἀγαθῶν, ἴσμεν· πῶς δὲ ἐστιν, ἢ τίς ἐστιν, οὐκ ἴσμεν. ἰδοὺ φράζομεν, καὶ οὐ νοοῦμεν. εἶπον ὅτι πανταχοῦ ἐστιν, ἀλλ' οὐ νοῶ. [Εἶπον ὅτι ἄναρχός ἐστιν, ἀλλ' οὐ νοῶ.] Εἶπον ὅτι ἐγέννησεν ἐξ ἑαυτοῦ, καὶ οὐκ οἶδα πῶς πάλιν νοήσω. ἔστι δέ τινα, ἃ μηδὲ φράσαι ἔνι. οἷόν τι λέγω· νοεῖ ἡ διάνοια, ἀλλ' εἰπεῖν οὐ δύναται. καὶ ἵνα εἰδῇς καὶ Παῦλον ἀσθενοῦντα, καὶ μὴ πρὸς ἀκρίβειαν τὰ ὑποδείγματα λέγοντα, καὶ φρίξῃς, καὶ μηδὲν περαιτέρω ζητήσῃς, ἄκουε. Εἰπὼν γὰρ υἱὸν, καὶ θεὶς δημιουργὸν, τί ἐπάγει; ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ. τοῦτο * μετ' εὐλαβείας ἐκλαμβάνειν δεῖ, καὶ τὰ ἄτοπα περικόψαι. ἀπαύγασμα τῆς δόξης, φησίν. ἀλλ' ὅρα πρὸς τί αὐτὸ ἐκλαμβάνει, καὶ οὕτω καὶ αὐτὸς δέχου· ὅτι ἐξ αὐτοῦ, ὅτι ἀπαθῶς, ὅτι οὐ μειωθέντος, οὐδὲ ἐλαττωθέντος· ἐπειδὴ εἰσί τινες ἄτοπά τινα ἐκ τοῦ ὑποδείγματος ἐκλαμβάνοντες. τὸ γὰρ ἀπαύγασμα, φασίν, ἐνυπόστατον οὐκ ἔστιν, ἀλλ' ἐν ἑτέρῳ ἔχει τὸ εἶναι. μὴ τοῦτον τοίνυν ἐκλάβῃς, ἄνθρωπε, μηδὲ Μαρκέλλου καὶ Φωτεινοῦ νοσήσῃς τὴν νόσον. ἐγγύθεν γάρ σε θεραπεύει, ὥστε μὴ εἰς ἐκείνην ἐμπεσεῖν σε τὴν διάνοιαν, οὐδὲ ἀφίησί σε εἰς τὸ ὀλέθριον ἐκεῖνο νόσημα κατενεχθῆναι. τί δέ φησι; καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ. δηλῶν διὰ τῆς ἐπαγωγῆς, ὅτι ὥσπερ ἐστὶν ὁ πατὴρ ἐνυπόστατος, καὶ πρὸς ὑπόστασιν οὐδενὸς δεόμενος· οὕτω καὶ ὁ υἱός. ἐνταῦθα γὰρ τὸ ἀπαράλλακτον δεικνὺς τοῦτό φησι, καὶ πρὸς τὸν ἰδιάζοντα χαρακτῆρα τοῦ πρωτοτύπου παραπέμπων σε, καὶ διδάσκων ὡς ἐν ὑποστάσει ἐστὶ καθ' ἑαυτόν. Εἰπὼν δὲ ἀνωτέρω, ὅτι δι' αὐτοῦ ἐποίησεν ὁ Θεὸς τὰ πάντα, ἐνταῦθα δίδωσιν αὐτῷ τὴν αὐθεντίαν. τί γὰρ ἐπάγει; φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ· ἵνα ἐκ τούτου μὴ μόνον τὸν χαρακτῆρα τῆς ὑποστάσεως ἐκλάβωμεν, ἀλλὰ καὶ τὸ μετ' αὐθεντίας ἅπαντα κυβερνᾷν. ὅρα τοίνυν πῶς, ὅπερ ἐστὶν ἴδιον τοῦ πατρὸς, τοῦτο περιΐστησι τῷ υἱῷ. διὰ γὰρ τοῦτο οὐχ ἁπλῶς εἶπε, φέρων τε τὰ πάντα, οὐδὲ εἶπε, τῇ δυνάμει αὐτοῦ, ἀλλὰ τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ. ὥσπερ γὰρ πρώην [ἡμῖν] ἀνῄει κατὰ μικρὸν καὶ κατῄει· οὕτω καὶ νῦν, καθάπερ ἀπό τινων βαθμῶν, ἀναβαίνει εἰς ὕψος, εἶτα πάλιν καταβαίνει, καί φησι, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν. ὅρα πῶς καὶ ἐνταῦθα δύο τέμνει ὁδούς. βουλόμενος γὰρ ἡμᾶς ἀπαγαγεῖν τῆς Σαβελλίου καὶ Ἀρείου καινοτομίας, τοῦ μὲν τὸ πρόσωπον τῆς ὑποστάσεως ἀναιροῦντος, τοῦ δὲ τὴν μίαν φύσιν εἰς ἀνισότητα κατατέμνοντος, ἐκ περιουσίας ἀμφότερα καθαιρεῖ. πῶς οὖν τοῦτο ποιεῖ; ἄνω καὶ κάτω τὰ αὐτὰ στρέφει καὶ φθέγγεται, ὥστε μὴ νομισθῆναι αὐτὸν ἄναρχον, μηδὲ ἀλλότριον τοῦ Θεοῦ. καὶ μὴ ξενισθῇς τῷ λόγῳ, ἀγαπητέ. εἰ γὰρ καὶ μετὰ τοσαύτην ἀπόδειξιν εἰσί τινες τὸν ἀλλότριον αὐτὸν εἶναι φήσαντες, καὶ ἕτερον αὐτῷ δόντες πατέρα, καὶ τούτῳ πολέμιον αὐτὸν λέγοντες· εἰ μὴ ταῦτα εἶπε, τί οὐκ ἂν ἐφθέγξαντο; ὅταν οὖν θεραπεύειν ἀναγκάζηται, τότε ἀναγκάζεται καὶ τὰ ταπεινὰ φθέγγεσθαι· οἷον ὅτι ἔθηκέ, φησιν, αὐτὸν κληρονόμον πάντων, καὶ ὅτι δι' αὐτοῦ τοὺς αἰῶνας ἐποίησεν. εἶτα ἵνα μὴ ἑτέρως λυμήνηται, ἀπὸ τῶν λόγων τῆς ταπεινότητος εἰς αὐθεντίαν πάλιν αὐτὸν ἀνάγει, καὶ δείκνυσιν ὁμότιμον ὄντα τῷ πατρὶ, καὶ οὕτως ὁμότιμον, ὡς πολλοὺς νομίσαι τὸν αὐτὸν εἶναι πατέρα. καὶ ἴδε τὴν σύνεσιν αὐτοῦ τὴν πολλήν· πρότερον ἐκεῖνο τίθησι, καὶ ἀσφαλίζεται αὐτὸ μετ' ἀκριβείας. καὶ ὅταν τοῦτο δειχθῇ, ὅτι τοῦ Θεοῦ ἐστιν υἱὸς, καὶ οὐκ ἀλλότριος αὐτοῦ, μετ' ἀδείας λοιπὸν ἅπαντα, ὅσα βούλεται, φθέγγεται τὰ ὑψηλά. ἐπειδὴ γὰρ τὸ μέγα τι περὶ αὐτοῦ εἰπεῖν εἰς ἐκείνην τὴν ἔννοιαν πολλοὺς ἤγαγε, πρότερον θεὶς τὰ ταπεινὰ, μετ' ἀσφαλείας τότε εἰς ὕψος ἀνέρχεται ὅσον βούλεται. καὶ εἰπὼν, ὃν ἔθηκε κληρονόμον πάντων, καὶ ὅτι δι' αὐτοῦ τοὺς αἰῶνας ἐποίησε, τότε ἐπάγει, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ. ὁ γὰρ ῥήματι μόνῳ τὰ πάντα διακυβερνῶν, οὐκ ἂν δεηθείη τι-

νὸς

* ἢ
χ. πάντα
χ. ἐν ἐπεισόδιον
χ. ἀπὸ ἀναβαθμῶν
χ. πῶς ἐν τῷ ποιεῖσθαι θεραπείαν
χ. ἀσφαλείας

σκότους καὶ ὀδύνης τοσαύτης ὦσι καὶ ἐμπρησμοί; διὸ δέομαι ταῦτα διαπαντὸς στρέφειν παρ' ἑαυτοῖς, καὶ τῆς ἀπὸ τῶν ῥημάτων λύπης ἀνέχεσθαι, ἵνα μὴ τὴν διὰ τῶν πραγμάτων ὑπομείνωμεν τιμωρίαν. πάντως γὰρ ταῦτα πάντα ἔσται, καὶ τὸν ἄξια πεπραχότα τῶν ἐκεῖ κολαστηρίων οὐδεὶς ἐξαιρήσεται, οὐ πατήρ, οὐ μήτηρ, οὐκ ἀδελφός, κἂν πολλὴν παῤῥησίαν ἔχῃ, κἂν μεγάλα ἰσχύῃ πρὸς τὸν Θεόν. Ἀδελφὸς γὰρ οὐ λυτροῦται, φησί· λυτρώσεται ἄνθρωπος; αὐτὸς γάρ ἐστιν ὁ ἀποδιδοὺς ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· καὶ ἀπὸ τούτων καὶ σωθῆναι ἔνι, καὶ κολασθῆναι. Ποιήσατε ὑμῖν φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας. Οὐκοῦν ὑπακούσωμεν (δεσποτικὴ γάρ ἐστιν ἐντολή) καὶ τὰ περιττὰ τοῦ πλούτου εἰς τοὺς δεομένους σκορπίσωμεν. ἐργασώμεθα ἐλεημοσύνην, ἕως ἐσμὲν κύριοι. τοῦτο γάρ ἐστι τό, φίλους ποιεῖν ἐκ τοῦ μαμωνᾶ. κενώσωμεν τὰ χρήματα εἰς τοὺς πένητας, ἵνα κενώσωμεν ἐκεῖνο τὸ πῦρ, ἵνα σβέσωμεν αὐτό, ἵνα ἔχωμεν παῤῥησίαν ἐκεῖ. καὶ γὰρ ἐκεῖ οὐχ οὗτοί εἰσιν οἱ δεχόμενοι ἡμᾶς, ἀλλὰ τὸ ἔργον τὸ ἡμέτερον. ὅτι γὰρ οὐχ ἁπλῶς τὸ φίλους ἡμῖν τούτους εἶναι σῶσαι δύναται, ἔνι τοῦτο μαθεῖν ἀπὸ τῆς προσθήκης. διατί γὰρ οὐκ εἶπε, ποιήσατε ὑμῖν φίλους, ἵνα δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους αὐτῶν σκηνάς, ἀλλὰ προσέθηκε καὶ τὸν τρόπον; εἰπὼν γάρ, ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας, ἔδειξεν ὅτι ἀπὸ τῶν χρημάτων προσήκει ποιῆσαι τούτους φίλους, δηλῶν ὅτι οὐχ ἁπλῶς προστήσεται ἡμῶν φιλία, ἐὰν μὴ ἔργα ἔχωμεν ἀγαθά, ἐὰν μὴ τὸν ἀδίκως συλλεγέντα πλοῦτον δικαίως κενώσωμεν. οὐ τοῦτο δὲ ὁ λόγος ἡμῖν ὁ τῆς ἐλεημοσύνης οὐ πρὸς τοὺς πλουσίους μόνον ἁρμόζει, ἀλλὰ καὶ πρὸς τοὺς πένητας. κἂν ἤ τις ἐκ τοῦ προσαιτεῖν τρεφόμενος, καὶ πρὸς αὐτόν ἐστιν ὁ λόγος οὗτος. οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὕτως οὐδεὶς πένης, κἂν σφόδρα πένης ᾖ, ὡς δύο λεπτῶν μὴ εὐπορεῖν. ἔνεστι γοῦν καὶ ἐξ ὀλίγων ὀλίγα δόντα, τοὺς πολλὰ κεκτημένους ὑπερβάλλεσθαι πλείονα διδόντας· καθάπερ κἀκείνη ἡ χήρα. οὐ γὰρ τῷ μέτρῳ τῶν διδομένων, ἀλλὰ τῇ δυνάμει καὶ τῇ προαιρέσει τῶν διδόντων κρίνεται τῆς ἐλεημοσύνης τὸ μέγεθος. ὥστε πανταχοῦ προαιρέσεως ἡμῖν δεῖ, πανταχοῦ τῆς πρὸς τὸν Θεὸν ἀγάπης. ἐὰν μετὰ ταύτης ἅπαντα πράττωμεν, κἂν μικρὰ ἔχοντες μικρὰ δῶμεν, οὐκ ἀποστρέψει ὁ Θεὸς τὸ πρόσωπον αὐτοῦ, ἀλλὰ δέξεται ὡς μεγάλα καὶ θαυμαστά. τῇ γὰρ προαιρέσει, οὐ τοῖς διδομένοις προσέχει. κἂν ἐκείνην ἴδῃ μεγάλην οὖσαν, ταύτῃ τίθεται τὰς ψήφους καὶ "κρίσεις, καὶ τῶν αἰωνίων ἀγαθῶν ποιεῖ μετόχους· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Ψαλμ. μη. [margin]

Λουκ. ις. 8. [margin]

γ. κρίσεις [margin]

Λογ. β. 3 ΟΣ ΩΝ ΑΠΑΥΓΑΣΜΑ ΤΗΣ ΔΟΞΗΣ, ΚΑΙ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, δι' ἑαυτοῦ καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν.

Πανταχοῦ μὲν εὐλαβείας δεῖ, μάλιστα δὲ ὅταν περὶ Θεοῦ λέγωμεν ἢ καὶ ἀκούωμεν. "οὔτε γὰρ γλῶσσα εἰπεῖν, οὔτε οὖς ἀκοῦσαι πρὸς ἀξίαν τοῦ Θεοῦ τι δύναται. καὶ τί λέγω γλῶτταν καὶ "οὖς; οὐδὲ γὰρ νοῦς ὁ πολὺ τούτων ὑπερέχων, δυνήσεταί τι περιλαβεῖν ἀκριβῶς, ὅταν περὶ Θεοῦ τι φθέγγεσθαι βουλώμεθα. εἰ γὰρ ἡ εἰρήνη τοῦ Θεοῦ ὑπερέχει πάντα νοῦν, καὶ τὰ ἡτοιμασμένα τοῖς ἀγαπῶσιν αὐτὸν ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη· πολλῷ μᾶλλον αὐτὸς ὁ τῆς εἰρήνης Θεός, ὁ τῶν ἁπάντων δημιουργός, ὑπερβαίνει πολλῷ τῷ μέτρῳ τὸν ἡμέτερον λογισμόν. διὸ πάντα μετὰ πίστεως καὶ εὐλαβείας ἅπαντα δέχεσθαι· καὶ ὅταν ὁ λόγος "ἐξασθενήσῃ, καὶ μὴ δύνηται παραστῆσαι τὰ λεγόμενα μετὰ ἀκριβείας, τότε μάλιστα δοξάζειν τὸν Θεόν, ὅτι Θεὸν τοιοῦτον ἔχομεν, καὶ τὴν διάνοιαν ἡμῶν καὶ τὸν λόγον ὑπερβαίνοντα. πολλὰ γὰρ ἃ περὶ Θεοῦ νοοῦμεν,

γ. ἐπεὶ μήτε εἰπεῖν ἡ γλῶττα, μήτε ἀκοῦσαι ἡ διάνοια πρὸς [margin]

γ. διάνοιαν; [margin]

γ. ἐξατονήσῃ [margin]

Matth. 5. κβ. βασιλείας ἀποστερεῖ τῶν οὐρανῶν. πῶς καὶ τίνι τρόπῳ; Ὁ καλῶν τὸν ἀδελφὸν αὐτοῦ μωρὸν ἔνοχός ἐστι, φησίν, εἰς τὴν γέενναν τοῦ πυρός. εἰ δὲ ὁ μωρὸν καλῶν, ὃ δοκεῖ πάντων ε[ἶναι κου]φότερον, καὶ παίδων * ὁμιλία, Matth. κε. μ. με. ὁ κακοήθη καλῶν, καὶ κακοῦργον, καὶ βάσκανον, κ[αὶ μυρίοις] ἑτέροις βάλλων ὀνείδεσι, τίνα οὐχ ὑποστήσεται κολάσεως δίκην; τί * φρικωδέστερ[ον]... ἀλλ' ἀνάσχεσθε, παρακαλῶ, τοῦ λόγου. εἰ γὰρ ὁ ποιῶν ἑνὶ τῶν ἐλαχίστων, αὐτῷ ποιεῖ, καὶ ὁ μὴ ποιῶν ἑνὶ τῶν ἐλαχίστων, αὐτῷ οὐ ποιεῖ· πῶς οὐχὶ καὶ ἐπὶ τῆς εὐφημίας, καὶ ἐπὶ τῆς κατηγορίας ταὐτόν ἐστιν; ὁ ὑβρίζων γὰρ τὸν ἀδελφὸν αὐτοῦ τὸν Θεὸν ὑβρίζει· καὶ ὁ τιμῶν τὸν ἀδελφὸν αὐτοῦ, τὸν Θεὸν τιμᾷ. παιδεύωμεν οὖν τὴν γλῶτταν εὔφημον εἶναι. Ψαλ. λγ. ιδ. Παῦσον γάρ, φησί, τὴν γλῶσσάν σου ἀπὸ κακοῦ. οὐ γὰρ διὰ τοῦτο αὐτὴν ἔδωκεν ὁ Θεός, ἵνα κακηγορῶμεν, ἵνα ὑβρίζωμεν, ἵνα ἀλλήλους διαβάλλωμεν· ἀλλ' ἵνα τὸν Θεὸν ὑμνῶμεν, ἵνα ταῦτα λαλῶμεν ἃ δίδωσι χάριν τοῖς ἀκούουσι, τὰ πρὸς οἰκοδομήν, τὰ πρὸς ὠφέλειαν. εἶπές τινα ἄξια κακῶς; τί κερδαίνεις, καὶ σαυτὸν μετ' ἐκείνου βλάβῃ περιβάλλων; δόξαν γὰρ ἔλαβες κακηγόρου. οὐ γὰρ ἔστιν, οὐκ ἔστιν οὐδὲν κακόν, ὃ μέχρι τοῦ πάσχοντος ἵσταται, ἀλλὰ καὶ τὸν ποιοῦντα περιλαμβάνει. οἷον, ὁ βάσκανος δοκεῖ μὲν ἐπιβουλεύειν ἑτέρῳ, πρότερος δὲ αὐτὸς ἀπολαύει τῆς ἀδικίας, τηκόμενος καὶ φθειρόμενος, καὶ παρὰ πάντων μισούμενος. γ. ἀλλ' ἔχει ὁ πλεονέκτης ἀποστερεῖ χρήματα ἕτερον· ἀλλὰ καὶ τὸ φιλεῖσθαι, ἑαυτόν· μᾶλλον δὲ παρὰ πάντων ποιεῖ κακηγορεῖσθαι. πολλῷ δὲ κρείττων ἀγαθὴ δόξα χρημάτων. τὴν μὲν γὰρ οὐ ῥᾴδιον ἀποτρίψασθαι· τὰ δὲ ῥᾴδιον ἀποκτήσασθαι. γ. κτήσασθαι. μᾶλλον δέ, τὰ μὲν οὐ παρόντα, οὐδὲν τὸν οὐκ ἔχοντα ἔβλαψεν· ἡ δὲ μὴ παροῦσα ἐπονείδιστον ποιεῖ καὶ καταγέλαστον, καὶ πᾶσιν ἐχθρὸν καὶ πολέμιον. ὁ ὀργίλος πάλιν πρότερον ἑαυτὸν τιμωρεῖται σπαράττων, καὶ τότε ἐκεῖνον ᾧ ὀργίζεται. οὕτως ὁ κακήγορος πρότερον ἑαυτὸν αἰσχύνει, καὶ τότε τὸν κακηγορούμενον. ἢ οὐδὲ τοῦτο ἴσως δεδύνηται, ἀλλ' ἀπῆλθεν οὗτος μὲν μετριότητος καὶ καταστολῆς δόξαν λαβών, ἐκεῖνον δὲ μᾶλλον φιλεῖσθαι παρασκευάζων. ὅταν γὰρ ἀκούων κακῶς, μὴ τοῖς αὐτοῖς αὐτὸν ἀμύνηται, ἀλλ' ἐπαινῇ καὶ θαυμάζῃ, οὐκ ἐκεῖνον ἐπαινέσεται, ἀλλ' ἑαυτόν. ὥσπερ γὰρ (ὅπερ ἔφθην εἰπών) αἱ κατὰ τῶν πλησίον κακηγορίαι τῶν ἐπιβουλευόντων ἅπτονται πρότερον· οὕτω καὶ τὰ εἰς τοὺς πλησίον ἀγαθὰ τοὺς ἐργαζομένους εὐφραίνει πρότερον. ὁ γὰρ τίκτων καὶ τὸ καλὸν καὶ τὸ κακόν, εἰκότως πρότερος αὐτὸς ἀπολαύει. καὶ καθάπερ ὕδωρ πηγαῖον τό τε ἁλμυρόν, τό τε πότιμον, καὶ τὰ τῶν προσαγόντων ἀγγεῖα πληροῖ, καὶ τὴν πηγὴν οὐκ ἐλαττοῖ τὴν ἐκφέρουσαν· οὕτω δὴ καὶ κακία καὶ ἀρετή, ὅθεν ἂν ἐξίῃ, ἐκείνην καὶ εὐφραίνει καὶ ἀπόλλυσι*. γ. αὔξει * πρότερον καὶ ταῦτα μὲν ἐνταῦθα· τὰ δὲ ἐκεῖ τίς διηγήσεται λόγος, ἢ τὰ ἀγαθά, ἢ τὰ κακά; οὐκ ἔστιν οὐδείς. τὰ χρηστὰ μὲν γὰρ καὶ πάντα νοῦν ὑπερβαίνει, οὐχὶ λόγον μόνον· τὰ ἐναντία δὲ εἴρηται μὲν τοῖς ὀνόμασι τοῖς συνήθεσιν ἡμῖν. πῦρ γάρ, φησίν, ἐστὶν ἐκεῖ, καὶ σκότος καὶ δεσμὰ καὶ σκώληξ ἀτελεύτητος. οὐ ταῦτα δὲ μόνον παρίστησιν, ἅπερ εἴρηται, ἀλλ' ἕτερα χαλεπώτερα. καὶ ἵνα μάθῃς, εὐθέως τοῦτο σκόπησον πρότερον. εἰπὲ γάρ, εἰ πῦρ ἐστι, πῶς καὶ σκότος ἐστίν; ὁρᾷς ὅτι χαλεπώτερον τούτου τὸ πῦρ ἐκεῖνο; οὐ γὰρ ἔχει φῶς. εἰ πῦρ ἐστι, πῶς ἀεὶ κατακαίει; γ. τοῦ πυρὸς ὁρᾷς ὅτι χαλεπώτερον τούτου τυγχάνει; οὐ γὰρ σβέννυται. διὰ γὰρ τοῦτο ἄσβεστον λέγεται. ἐννοήσωμεν τοίνυν ὅσον ἐστὶ κακὸν κατακαίεσθαι διαπαντός, καὶ ἐν σκότῳ εἶναι, καὶ μυρία οἰμώζειν, καὶ βρύχειν τοὺς ὀδόντας, καὶ μηδὲ ἀκούεσθαι. εἰ γὰρ εἰς δεσμωτήριόν τις ἐμβληθεὶς ἐνταῦθα τῶν εὐγενῶς τεθραμμένων, τὴν δυσωδίαν μόνον, καὶ τὸ ἐν σκότῳ κεῖσθαι, καὶ τὸ μετὰ ἀνδροφόνων δεδέσθαι παντὸς θανάτου χαλεπώτερον εἶναι φησίν· ἐννόησον τί ἐστιν, γ. τίνες ἐσόμεθα ὅταν μετὰ τῶν τῆς οἰκουμένης ἀνδροφόνων κατακαιώμεθα, μήτε ὁρῶντες, μήτε ὁρώμενοι, ἀλλ' ἐν πλήθει τοσούτῳ νομίζοντες εἶναι μόνοι. τὸ γὰρ σκότος [καὶ] τὸ ἀλαμπὲς οὐκ ἀφίησιν οὐδὲ τοὺς πλησίον ἡμᾶς διαγινώσκειν· ἀλλ' ὡς μόνος τοῦτο πάσχων ἕκαστος, οὕτω διακείσεται. εἰ δὲ σκότος θλίβει καθ' ἑαυτὸ τὰς ἡμετέρας ψυχὰς καὶ θορυβεῖ· τί ἔσται ἄρα, ὅταν μετὰ τοῦ

σκότους

Digitized by Google

εἰς ὑψηλὸν τόπον ἰδὼν, καὶ πρὸς αὐτὴν τοῦ οὐρανοῦ φθάνοντα τὴν κορυφήν. Εἴ τις παιδίον μικρὸν ἀναγαγεῖν βούλοιτο, ἠρέμα καὶ κατὰ μικρὸν τοῦτο ποιεῖ, διὰ τῶν κάτωθεν βαθμῶν αὐτὸ ἀνάγων· εἶτα ἐπειδὰν ἄνω στήσῃ, καὶ κελεύσῃ κάτω προσέχειν, καὶ ἴδῃ ἰλιγγιῶν καὶ θορυβούμενον καὶ "σκοτοδινιῶν," λαβόμενος αὐτοῦ κατάγει πάλιν ἐπὶ τὸ ταπεινότερον, παρέχων ἀναπνεῦσαι, εἶτα ὅταν ἀνακτήσηται αὐτὸ, πάλιν ἀνάγει, καὶ πάλιν κατάγει· οὕτω δὴ καὶ ὁ μακάριος Παῦλος ἐποίησε καὶ ἐπὶ τῶν Ἑβραίων καὶ πανταχοῦ, παρὰ τοῦ διδασκάλου τοῦτο μαθών. καὶ γὰρ καὶ αὐτὸς οὕτως ἐποίησε, ποτὲ μὲν ἀνάγων εἰς ὕψος, ποτὲ δὲ κατάγων τοὺς ἀκροατὰς, καὶ οὐκ ἀφεὶς ἐπὶ πολὺ κατὰ τὸ αὐτὸ ἐγχρονίζειν. ὅρα γοῦν αὐτὸν καὶ ἐνταῦθα. δι᾽ ὅσων αὐτοὺς ἀναγαγὼν ἀναβαθμῶν, καὶ πρὸς αὐτὴν στήσας τὴν κορυφὴν τῆς εὐσεβείας, πρὶν ἰλιγγιᾶσαι καὶ σκοτοδινιᾶσαι, πῶς κατάγει πάλιν αὐτοὺς κατωτέρω, καὶ δίδωσιν ἀναπνεῦσαι, φησιν, ἐλάλησεν ἡμῖν ἐν υἱῷ· καὶ πάλιν, ὃν ἔθηκε κληρονόμον πάντων. τὸ γὰρ τοῦ υἱοῦ ὄνομα, τέως κοινόν. ἔνθα μὲν γὰρ ἂν γνήσιος ὑπονοῆται, πάντων ἐστὶν ἀνώτερος· "τέως δὲ ὅπως ἂν ᾖ, κατασκευάζει λοιπὸν καὶ δείκνυσιν, ὅτι ἀληθὴς ἐστι. ὅρα δὲ καὶ πῶς πρῶτον ἐπὶ τὸν ταπεινότερον βαθμὸν ἵστησι λέγων, ὃν ἔθηκε κληρονόμον πάντων. τὸ γὰρ κληρονόμον ἔθηκε, ταπεινόν. εἶτα ἐπὶ τὸν ἀνώτερον, ἐπαναγαγὼν, δι᾽ οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν· εἶτα ἐπὶ τὸν ὑψηλότερον, καὶ μεθ᾽ ὃν οὐκ ἔστιν ἕτερος· ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ. ὄντως εἰς ἀπρόσιτον φῶς ἤγαγεν, εἰς αὐτὸ τὸ ἀπαύγασμα. καὶ πρὶν ἢ σκοτωθῶσιν, ὅρα πῶς πάλιν ἠρέμα κατάγει λέγων, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, δι᾽ ἑαυτοῦ καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης. οὐχ ἁπλῶς εἶπεν, ἐκάθισεν, ἀλλὰ "μετὰ τὸν καθαρισμὸν, ἐκάθισεν. ἐπελάβετο γὰρ τῆς σαρκώσεως, καὶ πάλιν ταπεινὰ φθέγγεται. εἶτα πάλιν φθεγξάμενος τι ὑψηλὸν (ἐν δεξιᾷ γάρ, φησι, τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς) πάλιν φθέγγεται τὸ ταπεινὸν διὰ τῆς ἐπαγωγῆς τῆς, τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων, ὅσῳ διαφορώτερον παρ᾽ αὐτοὺς κεκληρονόμηκεν ὄνομα. ἐνταῦθα γὰρ καὶ περὶ τῆς κατὰ σάρκα οἰκονομίας διαλέγεται. τὸ γὰρ, κρείττων γενόμενος, οὐκ οὐσίας δηλωτικόν ἐστι τῆς κατὰ πατέρα (ἐκείνη γὰρ οὐκ ἐγένετο, ἀλλὰ γεγέννηται) ἀλλὰ τῆς κατὰ σάρκα. αὕτη γὰρ ἐγένετο. ἀλλ᾽ οὐ περὶ οὐσιώσεως νῦν ὁ λόγος αὐτῷ. ἀλλ᾽ ὥσπερ Ἰωάννης λέγων, Ὁ ὀπίσω μου ἐρχόμενος, ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν, τοῦτο δηλοῖ, ὅτι ἐντιμότερος καὶ λαμπρότερος· οὕτω καὶ ἐνταῦθα Παῦλος εἰπὼν, τοσούτῳ κρείττων γενόμενος ἀγγέλων, ὅτι βελτίων ἐδήλωσε, καὶ εὐδοκιμώτερος. ὅσῳ διαφορώτερον παρ᾽ αὐτοὺς κεκληρονόμηκεν ὄνομα. ὁρᾷς ὅτι περὶ τῆς κατὰ σάρκα ὁ λόγος ἦν; "τοῦτο γὰρ τὸ ὄνομα, ὁ Θεὸς λόγος, ἀεὶ εἶχεν. οὐχ ὕστερον ἐκληρονόμησεν, οὐδὲ τότε τῶν ἀγγέλων κρείττων ἐγένετο, ὅτε καθαρισμὸν τῶν ἁμαρτιῶν ἡμῶν ἐποιήσατο· ἀλλ᾽ ἀεὶ κρείττων ἦν, καὶ κρείττων ἀσυγκρίτως. περὶ δὲ τῆς κατὰ σάρκα τοῦτο εἴρηται. οὕτω γοῦν καὶ ἡμῖν ἔθος περὶ ἀνθρώπου διαλεγομένοις, καὶ ὑψηλὰ καὶ ταπεινὰ φθέγγεσθαι. ὅταν μὲν γὰρ λέγωμεν, οὐδὲν ἄνθρωπος, γῆ ἄνθρωπος, σποδὸς ἄνθρωπος, ἀπὸ τοῦ χείρονος τὸ πᾶν καλοῦμεν· ὅταν δὲ λέγωμεν, ἀθάνατον ζῶον ὁ ἄνθρωπος, καὶ λογικὸς ὁ ἄνθρωπος, καὶ ὅτι τῶν ἄνω συγγενής, ἀπὸ τοῦ κρείττονος τὸ πᾶν πάλιν καλοῦμεν. οὕτω καὶ περὶ τοῦ Χριστοῦ, ποτὲ μὲν ἀπὸ τοῦ ἐλάττονος, ποτὲ δὲ ἀπὸ τοῦ κρείττονος διαλέγεται ὁ Παῦλος, καὶ τὴν οἰκονομίαν "συστῆσαι βουλόμενος, καὶ περὶ τῆς ἀκηράτου διδάξαι φύσεως.

γρ. σκότου καὶ δίνας πληρούμενον

γρ. λαμβανόμενος

γρ. ἔνθα δὲ ὅπως δύνηται, κατα-

γρ. μετὰ τὸ εἰπεῖν, καθαρισμὸν ποιησάμενος ἐκάθισε.

γρ. σαρκὸς

γρ. πάλιν ἐπὶ τὸ ταπεινὸν ποιεῖ.

Ioan. a. xζ.

γρ. τὸ γὰρ Θεὸς, ὄνομα ἀεὶ

γρ. εἰπεῖν

ΗΘΙΚΟΝ

Ἐπεὶ οὖν καθαρισμὸν ἐποίησε τῶν ἁμαρτιῶν ἡμῶν, μένωμεν καθαροὶ, καὶ μηδεμίαν δεξώμεθα κηλῖδα, ἀλλὰ τὸ κάλλος, ὅπερ ἡμῖν ἐνέθηκε, καὶ τὴν εὐπρέπειαν διαφυλάττειν οὕτω σπουδάζωμεν ἀμόλυντον καὶ καθαρὰν, ὥστε μηδένα σπίλον ἔχειν, ἢ ῥυτίδα, ἤ τι τῶν τοιούτων. σπίλος γάρ ἐστι καὶ ῥυτίς, καὶ τὰ μικρὰ τῶν ἁμαρτημάτων· οἷόν τι λέγω, λοιδορία, ὕβρις, ψεῦδος. μᾶλλον δὲ οὐδὲ ταῦτα μικρὰ, ἀλλὰ καὶ σφόδρα μεγάλα, καὶ οὕτω μεγάλα, ὡς καὶ τῆς

εἶπε ὡς ὁμολογούμενον ἐκεῖνο κατασκευάσας, ἀποφαίνεται) λοιπόν, ὅτι ἐκείνοις μὲν διὰ τῶν προφητῶν ἐλάλησεν, ἡμῖν δὲ διὰ τοῦ μονογενοῦς. Εἰ δὲ καὶ δι' ἀγγέλων ἐκείνοις (καὶ γὰρ καὶ ἄγγελοι ὡμίλησαν Ἰουδαίοις) ἀλλὰ καὶ τούτῳ τὸ πλέον ἡμεῖς ἔχομεν, καὶ τοσοῦτον, ὅσον ἡμῖν μὲν δεσπότης, ἐκείνοις δὲ δοῦλοι. καὶ ἄγγελοι γὰρ καὶ προφῆται ὁμόδουλοι. * καὶ καλῶς εἶπεν, ἐπ' ἐσχάτων τῶν ἡμερῶν. καὶ τοῦτο γὰρ αὐτοὺς διανίστησι, καὶ παρακαλεῖ ἀπειρηκότας λοιπόν. ὥσπερ γὰρ ἀλλαχοῦ λέγει, ὅτι Ὁ Κύριος ἐγγύς, μηδὲν μεριμνᾶτε, καὶ πάλιν, Νῦν γὰρ ἐγγύτερον ἡμῶν ἡ σωτηρία, ἢ ὅτε ἐπιστεύσαμεν, οὕτω καὶ ἐνταῦθα. τί οὖν ἐστιν ὃ λέγει; ὅτι πᾶς ὁ ἐν τῷ ἀγῶνι κατατρυχωθείς, ἐπειδὰν ἀκούσῃ τοῦ ἀγῶνος τὸ τέλος, ἀναπνεῖ λοιπόν, εἰδὼς ὅτι τῶν πόνων μέν ἐστι τὸ τέλος, τῆς δὲ ἀναπαύσεως ἀρχή. ἐπ' ἐσχάτων τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν υἱῷ. ἰδοὺ πάλιν τό, ἐν υἱῷ, διὰ τοῦ υἱοῦ φησι, πρὸς τοὺς λέγοντας τῷ πνεύματι τοῦτο ἁρμόζειν. ὁρᾷς ὅτι καὶ τό, ἐν, διά ἐστι; καὶ τό, πάλαι, καὶ τό, ἐπ' ἐσχάτων τῶν ἡμερῶν, πάλιν ἕτερόν τι αἰνίττεται. ποῖον δὴ τοῦτο; ὅτι πολλοῦ χρόνου γενομένου μέσου, ὅτε ἐμέλλομεν κολάζεσθαι, ὅτε ἐξελελοίπει τὰ χαρίσματα, ὅτε προσδοκία σωτηρίας οὐκ ἦν, ὅτε πανταχόθεν προσεδοκῶμεν ἔλαττον ἔχειν, τότε πλέον ἐσχήκαμεν. καὶ ὅρα πῶς συνετῶς αὐτὸ εἴρηκεν. οὐ γὰρ εἶπεν, ὁ Χριστὸς ἐλάλησε (καίτοιγε αὐτὸς ἦν ὁ λαλήσας) ἀλλ' ἐπειδὴ ἀσθενεῖς αὐτῶν ἦσαν αἱ ψυχαί, καὶ οὐδέπω ἀκούειν ἠδύναντο [τὰ] περὶ τοῦ Χριστοῦ, ἐλάλησεν ἡμῖν ἐν υἱῷ, φησι. τί λέγεις; ὁ Θεὸς διὰ τοῦ υἱοῦ ἐλάλησε; ναί. ποῦ οὖν ἡ ὑπεροχή; ἐνταῦθα μὲν γὰρ ἔδειξας, ὅτι καὶ ἡ καινὴ καὶ ἡ παλαιὰ μία ἐστὶ καὶ τοῦ αὐτοῦ· οὐ πολλὴν δὲ ταύτην ὑπεροχὴν οὖσαν. διὰ τοῦτο λοιπὸν τούτῳ ἐπεξέρχεται τῷ λόγῳ, λέγων, ἐλάλησεν ἡμῖν ἐν υἱῷ. [ὅρα πῶς αὐτὸ κοινοποιεῖ, καὶ ἐξισοῖ τοῖς μαθηταῖς ἑαυτὸν ὁ Παῦλος, λέγων, ἐλάλησεν ἡμῖν.] καίτοιγε αὐτῷ οὐκ ἐλάλησεν, ἀλλὰ τοῖς ἀποστόλοις, καὶ δι' αὐτῶν τοῖς πολλοῖς. ἀλλ' ἐπαίρει αὐτούς, καὶ δείκνυσιν, ὅτι καὶ αὐτοῖς ἐλάλησεν, ἅμα δὲ καὶ καθάπτεταί πως τῶν Ἰουδαίων. σχεδὸν γὰρ ἅπαντες, οἷς ἐλάλησαν οἱ προφῆται, μοχθηροί τινες ἦσαν καὶ μιαροί. καὶ οὔπω περὶ τούτων ποιεῖται τὸν λόγον· τέως δὲ περὶ τῶν ὑπηργμένων [παρὰ] τοῦ Θεοῦ δωρεῶν. διὰ τοῦτο καὶ ἐπάγει. ὃν ἔθηκε κληρονόμον ἁπάντων. * ἐνταῦθα τὴν σάρκα φησί· καθὼς καὶ ὁ Δαβὶδ ἐν τῷ δευτέρῳ ψαλμῷ λέγει. Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου. οὐκέτι γὰρ μερὶς Κυρίου Ἰακώβ, οὐδὲ κλῆρος αὐτοῦ ὁ Ἰσραήλ, ἀλλὰ πάντες. τί ἐστιν, ὃν ἔθηκε κληρονόμον; τουτέστι, τοῦτον κύριον ἁπάντων ἐποίησεν. ὃ καὶ ἐν ταῖς πράξεσιν ὁ Πέτρος ἔφη, Καὶ Κύριον καὶ Χριστὸν αὐτὸν ὁ Θεὸς ἐποίησε. τῷ δὲ τοῦ κληρονόμου ὀνόματι κέχρηται, δύο δηλῶν· καὶ τὸ τῆς υἱότητος γνήσιον, καὶ τὸ τῆς κυριότητος ἀναπόσπαστον. κληρονόμον πάντων· τουτέστι, τοῦ κόσμου παντός. εἶτα πάλιν ἐπὶ τὸ πρότερον ἐπανάγει τὸν λόγον· Δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησε. Ποῦ εἰσιν οἱ λέγοντες, ἦν ὅτε οὐκ ἦν; εἶτα ἀναβαθμοῖς χρώμενος, τὸ πολλῷ τούτων μεῖζον ὕστερον φθέγγεται λέγων,

3 Ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, δι' ἑαυτοῦ καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς·

4 Τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων, ὅσῳ διαφορώτερον παρ' αὐτοὺς κεκληρονόμηκεν ὄνομα. Βαβαὶ τῆς συνέσεως τῆς ἀποστολικῆς· μᾶλλον δὲ οὐ τὴν τοῦ Παύλου σύνεσιν, ἀλλὰ τὴν τοῦ πνεύματός ἐστι θαυμάσαι χάριν ἐνταῦθα. οὐ γὰρ δὴ ἐξ οἰκείας διανοίας ταῦτα ἐφθέγξατο, οὐδὲ τοσαύτην σοφίαν ἐξ ἑαυτοῦ εὗρεν. ἀπὸ τῆς σμίλης γὰρ καὶ τῶν δερμάτων, ἢ τοῦ ἐργαστηρίου, σοφία πόθεν; ἀλλὰ θείας ἐνεργείας ἦν τὸ οὕτως εἰπεῖν. οὐ γὰρ αὐτοῦ ταῦτα τὰ νοήματα ἔτικτεν ἡ διάνοια, τότε μὲν οὕτω ταπεινὴ καὶ εὐτελὴς οὖσα, ὡς τῶν ἀγοραίων μηδὲν ἔχειν πλέον (πῶς γὰρ ἡ περὶ συμβόλαια καὶ δέρματα καταναλωθεῖσα;) ἀλλ' ἡ τοῦ πνεύματος χάρις, ἣ δι' ὧν ἂν ἐθέλῃ, τὴν ἰσχὺν αὐτῆς ἐπιδείκνυται. καθάπερ γὰρ

Εἰς

Φιλιπ. δ. ε.
Ρωμ. ιγ. ια.
Ψαλ. β. η.
Πραξ. β. λς.

γρ. εἶπε δι' ἀγγέλων ἐκείνοις. καὶ τοῦτο πάλιν κατασκευάζει εἰκότως.
° ἐπ' ἐσχάτων τῶν ἡμερῶν.
γρ. ἐπειδάν τι,
γρ. πάντων
γρ. εἰ δ' ἦν μαθηταῖς τοῦτο ζητῇ, λοιπὸν
γρ. αὐτοὺς ὑποποιεῖ,
γρ. -σι, καὶ ἐκ καθάπτεται
° τί ἐστιν, ὃν ἔθηκε κληρονόμον ἁπάντων;
γρ. διὰ τὴν σάρκα οὕτως εἶπεν.
γρ. τῆς
γρ. συνέσεως.

θύρες ἐμπεπλησμένα τὰ δεσμωτήρια. ἀλλὰ μετὰ τῶν ἄλλων καὶ τοῦτο ἔχει κακὸν ὁ πλοῦτος, ὅτι ἐν πονηρίᾳ ἀτιμωρητὶ πλημμελεῖν ὁ τοῦτον κεκτημένος, οὐδέποτε στήσεται τῶν κακῶν, ἀλλὰ λήψεται τραύματα ἄνευ φαρμάκων, καὶ χαλινὸν οὐδεὶς ἐπιθήσει αὐτῷ. Εἰ δὲ βούλοιτό τις, καὶ πρὸς ἡδονὴν εὕροι τὴν πενίαν πλείους παρέχουσαν ἡμῖν τὰς ἀφορμάς. πῶς; ὅτι φροντίδων ἀπήλλακται, μίσους, μάχης, φιλονεικίας, ἔριδος, μυρίων ἑτέρων. μὴ τοίνυν διώκωμεν τὸ πλουτεῖν, μηδὲ τούτους ζηλώσωμεν ἀεὶ τοὺς πολλὰ κεκτημένους· ἀλλ' οἱ μὲν ἔχοντες, εἰς δέον τῷ πλούτῳ χρώμεθα· οἱ δὲ μὴ ἔχοντες, μὴ ἀλγῶμεν διὰ τοῦτο, ἀλλ' εὐχαριστῶμεν ὑπὲρ ἁπάντων τῷ Θεῷ, ὅτι ἡμᾶς ἐν ὀλίγῳ πόνῳ τὸν αὐτὸν τοῖς πλουσίοις ἢ καὶ μείζονα, ἂν θέλωμεν, παρασκευάζει μισθὸν λαβεῖν, καὶ ἐξ ὀλίγων μεγάλα κερδαίνωμεν. ἐπεὶ καὶ ὁ τὰ δύο τάλαντα προσενέγκας, ἐθαυμάσθη, καὶ ἐτιμήθη ὁμοίως τῷ τὰ πέντε προσενεγκόντι. τί δήποτε; ὅτι εἰ καὶ δύο ἐπιστεύθη τάλαντα, ἀλλὰ τὰ παρ' ἑαυτοῦ πάντα ἐπλήρωσε, καὶ τὰ ἐμπιστευθέντα διπλᾶ εἰσήνεγκε. τί τοίνυν σπεύδομεν πιστευθῆναι πολλά, ὅταν ἔξεστι δι' ὀλίγων τὰ αὐτὰ καρπώσασθαι, ἢ καὶ πλείονα; ὅταν ὁ μὲν πόνος ἐλάττων ᾖ, ὁ δὲ μισθὸς πολλῷ πλείων; εὐκολώτερον γὰρ πένης ἐκστήσεται τῶν αὐτοῦ, ἢ πλούσιος πολλὰ καὶ μεγάλα κεκτημένος. ἢ οὐκ ἴστε, ὅτι ὅσῳ ἂν πλείονα τις περιβάληται, τοσούτῳ πλειόνων ἐρᾷ; ἵν' οὖν μὴ τοῦτο πάθωμεν, μὴ ζητῶμεν πλοῦτον, μηδὲ δυσαναχέτως ἔχωμεν πρὸς τὴν πενίαν, μηδὲ σπεύδωμεν πλουτεῖν, ἀλλὰ καὶ οἱ ἔχοντες οὕτως αὐτῷ χρώμεθα, ὡς ὁ Παῦλος ἐκέλευσεν (Οἱ ἔχοντές, φησιν, ὡς μὴ ἔχοντες, καὶ οἱ χρώμενοι τῷ κόσμῳ τούτῳ, ὡς μὴ καταχρώμενοι) ἵνα τύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

χ. χρώμεθα
χ. δυσαναχετῶμεν
α. Κορ. ζ. κθ. λα.
χ. ἀξιωθείημεν

Λογ. γ. 6 ΟΤΑΝ ΔΕ ΠΑΛΙΝ ΕΙΣΑΓΑΓΗ ΤΟΝ ΠΡΩτότοκον εἰς τὴν οἰκουμένην, λέγει, Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ. 7 Καὶ πρὸς μὲν τοὺς ἀγγέλους λέγει, Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα·
8 Πρὸς δὲ τὸν υἱόν, Ὁ θρόνος σου, ὁ Θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ὁ μὲν Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὴν παρουσίαν αὐτοῦ τὴν ἔνσαρκον, ἔξοδον καλεῖ· οἷον ὡς ὅταν λέγῃ, Ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι, καὶ πάλιν, Ἐγὼ ἐκ τοῦ πατρός μου ἐξῆλθον, καὶ ἥκω. καὶ πολλαχοῦ τοῦτο ἴδοι τις ἄν. ὁ δὲ Παῦλος εἴσοδον αὐτὴν καλεῖ λέγων, ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, εἰσαγωγὴν ταύτην λέγων τὴν τῆς σαρκὸς ἀνάληψιν. τί δήποτε δὲ περὶ αὐτοῦ διαφόρως τῷ λόγῳ κέχρηνται, καὶ κατὰ τί οὕτως εἴρηται; δῆλόν ἐστι καὶ ἀπ' αὐτῶν τῶν σημαινομένων. ὁ μὲν γὰρ Χριστὸς ἔξοδον τὴν ἑαυτοῦ παρουσίαν εἰκότως καλεῖ· ἔξω γὰρ ἦμεν τοῦ Θεοῦ. καὶ καθάπερ ἐν τοῖς βασιλείοις, οἱ δεσμῶται, καὶ προσκεκρουκότες τῷ βασιλεῖ, ἔξω ἑστήκασιν, ὁ δὲ βουλόμενος αὐτοὺς καταλλάξαι, οὐκ εἴσω τούτους εἰσάγων, ἀλλ' αὐτὸς ἐξιὼν ἔξω τούτοις διαλέγεται, ἕως ἂν αὐτοὺς καταστήσας ἀξίους τῆς ὄψεως τοῦ βασιλέως εἰσαγάγῃ· οὕτω καὶ ὁ Χριστὸς ἐποίησεν. ἐξελθὼν γὰρ πρὸς ἡμᾶς, τουτέστι, σάρκα ἀναλαβών, καὶ διαλεχθεὶς τὰ παρὰ τοῦ βασιλέως, οὕτως ἡμᾶς εἰσήγαγε, καθαρίσας τῶν ἁμαρτημάτων, καὶ καταλλάξας. διὰ τοῦτο ἔξοδον αὐτὴν καλεῖ. ὁ δὲ Παῦλος εἴσοδον αὐτὴν ὀνομάζει, ἀπὸ μεταφορᾶς τῶν κληρονομούντων, καὶ νομὴν παραλαμβανόντων καὶ κτῆσίν τινα. τὸ γὰρ εἰπεῖν, ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, τοῦτό ἐστι δηλοῦντος, ὅταν ἐγχειρίσῃ αὐτῷ τὴν οἰκουμένην. τότε γὰρ αὐτὴν ἐκτήσατο πᾶσαν, ὅτε καὶ ἐγνώσθη. οὐ περὶ τοῦ Θεοῦ δὲ λό-

Ματθ. ιγ γ. Ιωαν. ιϛ. κη.
χ. τοῦτο
χ. εἰσάγει,
χ. κληρονομίαν τινὰ παραλαμβανόντων καὶ κτώντων.

γα. Βραχὺς γὰρ ὁ παρὼν καιρὸς πρὸς τοὺς αἰῶνας τοὺς ἀπελευτήτους. μέγα φρονεῖς, ἄνθρωπε, ὅτι πλουτεῖς; τίνος ἕνεκεν; τοῦτο γὰρ καὶ λῃσταῖς παραγίνεται, καὶ κλέπταις, καὶ ἀνδροφόνοις, καὶ μαλακοῖς, καὶ πόρνοις, καὶ πᾶσι τοῖς πονηροῖς. διατί οὖν μέγα φρονεῖς; εἰ μὲν γὰρ εἰς δέον αὐτῷ κέχρησαι, οὐκ ὀφείλεις μέγα φρονεῖν, ἵνα μὴ λυμήνῃ τὴν ἐντολήν· εἰ δὲ οὐκ εἰς δέον, ταύτῃ μάλιστα συστέλλεσθαι δεῖ, ὅτι δοῦλος γέγονας τῶν χρημάτων καὶ κτημάτων, καὶ κρατῇ ὑπ' αὐτῶν. εἰπὲ γάρ μοι, εἴ τις πυρέττων ὕδωρ ἐκπίοι πολὺ, ὃ πρὸς βραχὺ μὲν σβεννύον τὴν δίψαν, ὕστερον δὲ ἀνάπτει τὴν φλόγα, μέγα ὀφείλει φρονεῖν; τί δὲ εἴ τις πλείονα φροντίζει εἰκῆ, διατί τοῦτο ὀφείλει μέγα φρονεῖν; διατί, εἰπέ μοι; ἐπειδὴ πολλοὺς ἔχει δεσπότας; ἐπειδὴ μυρίας μερίμνας; ἐπειδὴ κολακεύουσί σε πολλοί; ἀλλὰ τοῦτο δουλεύειν ἐστί. καὶ ἵνα μάθῃς ὅτι δουλεύεις αὐτοῖς, ἄκουε [σαφῶς]. τὰ ἄλλα τῶν παθῶν τῶν ἐν ἡμῖν, ἐστὶν ὅπου χρήσιμά ἐστιν. οἷον ἡ ὀργὴ πολλαχοῦ χρησίμη. Θυμὸς γὰρ, φησιν, ἄδικος οὐκ ἀθωωθήσεται· ὥστε ἐστὶ καὶ δικαίως θυμωθῆναι. καὶ πάλιν, Ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῆ, ἔνοχος ἔσται τῇ κρίσει. πάλιν ὁ ζῆλος καλὸν, καὶ ἡ ἐπιθυμία· ἡ μὲν, ὅταν εἰς παιδοποιΐαν γίνηται, ὁ δὲ, ὅταν πρὸς τὰ καλὰ τὴν μίμησιν ἔχῃ. ὥσπερ καὶ Παῦλος λέγει, Καλὸν δὲ τὸ ζηλοῦσθαι ἐν καλῷ πάντοτε· καὶ πάλιν, Ζηλοῦτε τὰ χαρίσματα τὰ κρείττονα. ὥστε ἀμφότερα χρήσιμα. ἡ μέντοι ἀπόνοια οὐδαμοῦ καλὸν, ἀλλὰ πανταχοῦ ἄχρηστον καὶ βλαβερόν. πλὴν εἰ δεῖ μέγα φρονεῖν, ἐπὶ πενίᾳ, οὐκ ἐπὶ πλούτῳ δεῖ. διατί; ὅτι ὁ ἐν ὀλίγοις ζῇν δυνάμενος, τοῦ μὴ δυναμένου πολλῷ μείζων καὶ κρείττων ἐστί. εἰπὲ γάρ μοι, εἰ κληθέντων εἰς βασιλείαν πολλῶν τινῶν, οἱ μὲν αὐτῶν μήτε ὑποζυγίων δέοιντο, μήτε οἰκετῶν, μήτε σκιαδίων, μήτε καταγωγίων, μήτε ὑποδημάτων, μήτε σκευῶν, ἀλλ' ἀπόχρη αὐτοῖς ἄρτον μόνον ἔχειν, καὶ ὕδωρ ἐκ τῶν πηγῶν λαμβάνειν, ἐκεῖνοι δὲ λέγοιεν ὅτι ἐὰν μὴ καὶ ὀχήματα δῶτε καὶ στρωμνὴν ἁπαλὴν, οὐ δυνάμεθα παραγενέσθαι, ἐὰν μὴ καὶ πολλοὺς ἔχωμεν τοὺς ἀκολουθοῦντας, ἐὰν μὴ συνεχῶς ἐξῇ διαναπαύεσθαι, οὐ δυνάμεθα, ἐὰν μὴ ὑποζυγίοις χρώμεθα, καὶ μικρὸν ὁδεύωμεν τῆς ἡμέρας μέρος, δεῖ δὲ ἡμῖν καὶ ἑτέρων πλειόνων· τίνας ἂν θαυμάσαιμεν; ἐκείνους, ἢ τούτους; δῆλον ὅτι τούτους τοὺς οὐδενὸς δεομένους. οὕτω δὴ καὶ ἐνταῦθα, οἱ μὲν πρὸς τὴν ὁδὸν τοῦ βίου τούτου πολλῶν δέονται, οἱ δὲ οὐδενός. ὥστε τοὺς ἐπὶ πενίᾳ μᾶλλον ἐχρῆν μέγα φρονεῖν, εἴγε καὶ ἐχρῆν. ἀλλ' εὐκαταφρόνητός ἐστιν ὁ πένης, φησίν. οὐκ ἐκεῖνος, ἀλλ' οἱ τούτου καταφρονοῦντες. διατί γὰρ ἐγὼ μὴ καταφρονῶ τῶν οὐκ εἰδότων θαυμάζειν ἃ χρή; ἀλλ' ἂν μὲν ζωγράφος ᾖ τις, πάντων καταγελᾶται τῶν σκωπτόντων αὐτὸν, ἕως ἂν ὦσιν ἀμαθεῖς, καὶ οὐδὲ πρὸς τὰ παρ' ἐκείνων λεγόμενα ἐπιστρέφεται, ἀλλὰ τῇ ἑαυτοῦ ἀρκεῖται μαρτυρίᾳ· ἡμεῖς δὲ τῆς τῶν πολλῶν δόξης ἐξαρτήσομεν ἑαυτούς; καὶ ποῦ ταῦτα συγγνώμης ἄξια; διατοῦτό ἐσμεν ἄξιοι καταφρονεῖσθαι, ὅτι τῶν καταφρονούντων ἡμῶν διὰ τὴν πενίαν μὴ καταφρονοῦμεν, μηδὲ ταλανίζομεν αὐτούς. καὶ παρίημι ὅσα μὲν ἁμαρτήματα ἀπὸ τοῦ πλούτου τίκτεται, ὅσα δὲ ἀγαθὰ ἀπὸ τῆς πενίας. μᾶλλον δὲ, οὐδὲ πλοῦτος, οὐδὲ πενία καθ' ἑαυτὸ καλὸν, ἀλλὰ παρὰ τοὺς χρωμένους τοῦτο γίνεται. ὁ χριστιανὸς [δόκιμος] ἐν πενίᾳ μᾶλλον διαφαίνεται, ἢ ἐν τῷ πλούτῳ. πῶς; ἐν πενίᾳ μὲν γὰρ ὢν ἀτυφότερος ἔσται, σωφρονέστερος, σεμνότερος, ἐπιεικέστερος, συνετώτερος· ἐν δὲ τῷ πλούτῳ διάγων, πολλὰ πρὸς ταῦτα ἔχει τὰ κωλύματα. ἴδωμεν οὖν τίνα ἐστὶν ἃ ὁ πλούσιος ἐργάζεται, μᾶλλον δὲ ὁ κακῶς τῷ πλούτῳ κεχρημένος. ἐκεῖνος ἁρπάζει, πλεονεκτεῖ, βιάζεται. τί δαί; τοὺς *ἔρωτας τοὺς ἀτόπους, τὰς ἀθεμίτους μίξεις, τὰς γοητείας, τὰς φαρμακείας, τὰ ἄλλα πάντα δεινὰ οὐκ ἀπὸ τοῦ πλούτου εὑρόντες τολμώμενα; ὁρᾷς ὅτι ἐν πενίᾳ μᾶλλον εὐκοπώτερόν ἐστιν, ἢ ἐν πλούτῳ τὴν ἀρετὴν μετιέναι; μὴ γάρ μοι, ἐπειδὴ δίκην οὐ διδόασιν ἐνταῦθα οἱ πλούσιοι, νομίσῃς αὐτοὺς μηδὲ ἁμαρτάνειν. ὡς εἴγε ἦν εὔκολον πλουσίους δίκην διδόναι, ἐκ τούτων ἂν

εὗρες

Σειρ. α. κβ.
Ματθ. ε. κβ.
Γαλατ. δ. ιη.
α Κορ. ιβ. λα.

χ. πλεῖον
χ. καὶ γὰρ δουλεύεις αὐτοῖς.
χ. διὰ τοῦτο καὶ σοφός τις εἶπε, θυμὸς ἄδικος.
χ. τὸν ζῆλον
χ. χρώμεθα, ἐὰν μὴ καὶ
χ. ..δεῖς τὰ λεγόμενα ὑπ' ἐκείνων
χ. ἐξαρτήσωμεν
χ. παρὰ
χ. πράξεις,
χ. εὐκολώτερον.

τὸ περὶ τῆς ἀναστάσεως καὶ τῆς ἀναλήψεως λόγον ἐπήγαγε. καὶ ὅρα τὴν σύνεσιν αὐτοῦ τὴν ἄφατον. οὐκ εἶπεν, ἐκελεύσθη καθίσαι· ἀλλ', ἐκάθισεν. εἶτα πάλιν, ἵνα μὴ νομίσῃς αὐτὸν ἑστάναι, ἐπάγει, Τίνι γὰρ τῶν ἀγγέλων εἶπέ ποτε, κάθου ἐκ δεξιῶν μου;

Ἐκάθισε, φησὶν, ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς. τί ἐστιν, ἐν ὑψηλοῖς; εἰς τόπον περικλείει τὸν Θεόν; ἄπαγε· οὐχ ἵνα τοῦτο ὑποπτεύσωμεν, οὕτως εἴρηκεν. ἀλλ' ὥσπερ εἰπὼν, ἐν δεξιᾷ, οὐκ ἐσχημάτισεν αὐτὸν, ἀλλὰ τὸ ὁμότιμον ἔδειξε τὸ πρὸς τὸν πατέρα· οὕτως εἰπὼν, ἐν ὑψηλοῖς, οὐκ ἀπέκλεισεν αὐτὸν ἐκεῖ, ἀλλὰ πάντων ἔδειξεν ὑψηλότερον, καὶ πάντα ὑπερβεβηκότα. ὡσανεὶ ἔλεγεν, εἰς αὐτὸν ἔφθασε τὸν θρόνον τὸν πατρικόν. ὥσπερ οὖν ὁ πατὴρ ἐν ὑψηλοῖς, οὕτω καὶ αὐτός. ἡ γὰρ συνεδρία οὐδὲν ἕτερον δείκνυσιν, ἢ τὸ ὁμότιμον. εἰ δὲ λέγουσιν, ὅτι εἶπε, κάθου, ἐρώμεθα αὐτοὺς, τί οὖν; ἑστῶτι εἶπεν; ἀλλ' οὐκ ἂν ἔχοιεν δεῖξαι. ἄλλως δὲ οὐκ εἶπεν, ὅτι ἐκέλευσεν, ἢ προσέταξεν, ἀλλ' ὅτι εἶπε [κάθου] καὶ τοῦτο δι' οὐδὲν ἕτερον, ἀλλ' ἵνα μὴ ἄναρχον αὐτὸν νομίσῃς καὶ ἀναίτιον. ὅτι γὰρ διὰ τοῦτο οὕτως εἴρηκε, δῆλον ἐκ τοῦ τόπου τῆς καθέδρας. εἰ γὰρ ἐλάττωσιν ἤθελε δηλῶσαι, οὐκ ἂν εἶπεν, ἐκ δεξιῶν, ἀλλ' ἐξ ἀριστερῶν.

χ. τουτέστι, πρὸς αὐτὸν

4 Τοσούτῳ κρείττων γενόμενος, φησὶν, ἀγγέλων, ὅσῳ διαφορώτερον παρ' αὐτοὺς κεκληρονόμηκεν ὄνομα. Τὸ, γενόμενος, ἐνταῦθα ἀντὶ τοῦ, ἀποδειχθεὶς, ὡς ἂν εἴποι τις, ἐστίν. εἶτα καὶ διϊσχυρίζεται. πόθεν; ἀπὸ τοῦ ὀνόματος. ὁρᾷς ὅτι οἶδε τὸ, υἱὸς, ὄνομα τὴν γνησιότητα δηλοῦν; καὶ μὴν εἰ μὴ γνήσιος ἦν, οὐκ ἂν τοῦτο εἶπε. πῶς; ὅτι δι' οὐδὲν ἕτερον γνήσιός ἐστιν, ἀλλ' ἢ τὸ ἐξ αὐτοῦ εἶναι. ἀπὸ τούτου τοίνυν ἰσχυρίζεται. εἰ δὲ χάριτί ἐστιν υἱὸς, οὐ μόνον οὐ διαφορώτερος, ἀλλὰ καὶ ἐλάττων ἐστὶν ἀγγέλων. πῶς; ὅτι καὶ ἄνθρωποι δίκαιοι ἐκλήθησαν υἱοί· καὶ τὸ, υἱὸς, ὄνομα, ἂν μὴ γνήσιος ᾖ, οὐκ ἰσχύει δεῖξαι τὸ διάφορον. καὶ δηλῶν ὅτι διαφορά τις ἐστὶ κτισμάτων καὶ δημιουργοῦ, ἄκουσον τί φησι·

χ. ἦν ὁ υἱὸς (γνήσιος δὲ οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ ἐξ αὐτοῦ) πῶς ἀπὸ τούτου ἰσχυρίζεται; εἰ γὰρ χάριτι ἐστὶν υἱός

5 Τίνι γὰρ εἶπέ ποτε τῶν ἀγγέλων, Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε; καὶ πάλιν, Ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν; Ταῦτα εἴρηται μὲν καὶ εἰς τὴν σάρκα. τὸ γὰρ, ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς υἱὸν, τῆς ἐνανθρωπήσεώς ἐστι παραστατικόν· τὸ δὲ, υἱός μου εἶ σὺ, οὐδὲν ἕτερον δηλοῖ, ἢ ὅτι ἐξ αὐτοῦ ἐστιν. ὥσπερ δὲ, ὢν, λέγεται ἀπὸ τοῦ ἐνεστῶτος καιροῦ (τοῦτο γὰρ μάλιστα ἁρμόζει αὐτῷ) οὕτω καὶ τὸ, σήμερον, * ἐνταῦθά μοι δοκεῖ εἰς τὴν σάρκα εἰρῆσθαι. ὅταν γὰρ αὐτῆς ἐπιλάβηται, πάντα λοιπὸν ἀδεῶς φθέγγεται. καὶ γὰρ ἡ σὰρξ κοινωνεῖ τῶν ὑψηλῶν, ὥσπερ οὖν καὶ ἡ θεότης τῶν ταπεινῶν. ὁ Θεὸς γὰρ ἄνθρωπος γενέσθαι μὴ ἀπαξιώσας, καὶ τὸ πρᾶγμα μὴ παραιτησάμενος, πῶς ἂν τὰ ῥήματα παρῃτήσατο;

γ. τοῦτο * (ἐγὼ σήμερον γεγέννηκά σε)

ΗΘΙΚΟΝ

Ταῦτ' οὖν εἰδότες, μηδὲν ἐπαισχυνώμεθα, μὴ μέγα φρονῶμεν. εἰ γὰρ αὐτὸς Θεὸς ὢν, καὶ δεσπότης, καὶ Θεοῦ υἱὸς, οὐ παρῃτήσατο μορφὴν δούλου λαβεῖν· πολλῷ μᾶλλον ἡμᾶς ἅπαντα δεῖ ποιεῖν, κἂν ταπεινὰ ᾖ. πόθεν γὰρ, εἰπέ μοι, ἄνθρωπε, μέγα φρονεῖς; ἀπὸ τῶν βιωτικῶν; ἀλλὰ ταῦτα πρὶν ἢ φανῆναι παρατρέχει. ἀλλ' ἀπὸ τῶν πνευματικῶν; ἀλλ' ἓν καὶ τοῦτό ἐστι κατόρθωμα πνευματικὸν, τὸ μὴ μέγα φρονεῖν. διατί τοίνυν μέγα φρονεῖς; ὅτι κατορθοῖς; ἄκουσον τοῦ Χριστοῦ λέγοντος, Ὅταν ποιήσητε πάντα, λέγετε ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν. ἃ γὰρ ὠφείλομεν ποιῆσαι, πεποιήκαμεν. Λουκ. ιζ΄. ι΄. ἀλλὰ διὰ τὸν πλοῦτον μέγα φρονεῖς; διατί, εἰπέ μοι; οὐκ ἤκουσας ὅτι γυμνοὶ εἰσήλθομεν εἰς τὸν βίον, γυμνοὶ καὶ ἀπελευσόμεθα; μᾶλλον δὲ, οὐχ ὁρᾷς τοὺς πρὸ σοῦ ἐρήμους καὶ γυμνοὺς ἀπελθόντας; τίς τὰ ἀλλότρια ἔχων μέγα φρονεῖ; οἱ γὰρ βουλόμενοι αὐτοῖς χρῆσθαι εἰς οἰκείαν μόνην ἀπόλαυσιν, ἀφαιροῦνται αὐτὰ καὶ ἄκοντες, καὶ πρὸ μὲν τῆς τελευτῆς πολλάκις, ἐν δὲ τῇ τελευτῇ πάντως. ἀλλ' ἡμεῖς ζῶντες αὐτοῖς, φησὶν, ὡς βουλόμεθα, χρώμεθα. μάλιστα μὲν οὐκ ἔνι τινὰ ἰδεῖν ταχέως, ὡς βούλεται, τοῖς οὖσι χρώμενον. εἰ δέ τις καὶ χρῷτο ὡς βούλεται, οὐδὲ τοῦτο μέγα.

γ. οὐδ' ἔστι. ἔρ.

κέκληται, οὐδαμοῦ τῆς οὐσίας αὐτῆς ὄνομα εὑρών. οὔτε γὰρ ἡ μεγαλωσύνη, οὔτε ἡ δόξα τὸ ὄνομα * παρίστησιν, ὃ βούλεται εἰπεῖν, ἀλλ' οὐκ ἔχει ὄνομα εὑρεῖν. τοῦτο [γάρ] ἐστιν ὃ ἔλεγον ἐξ ἀρχῆς, ὅτι πολλάκις τινὰ νοοῦμεν, καὶ οὐ δυνάμεθα φράζειν· ἐπεὶ οὐδὲ τὸ, Θεός, ὄνομα οὐσίας ἐστὶν, οὐδὲ ἔστιν ὅλως τῆς οὐσίας ἐκείνης ὄνομα εὑρεῖν. καὶ τί θαυμαστὸν εἰ ἐπὶ Θεοῦ, ὅπουγε οὐδὲ ἐπὶ ἀγγέλου εὕροι τις ἂν ὄνομα τῆς οὐσίας δηλωτικόν; τάχα δὲ οὐδὲ ἐπὶ ψυχῆς. οὐ γάρ μοι δοκεῖ τοῦτο τὸ ὄνομα παραστατικὸν εἶναι τῆς οὐσίας αὐτῆς, ἀλλὰ τοῦ ψύχειν. τὸ γὰρ αὐτὴν, καὶ ψυχὴν, καὶ καρδίαν, καὶ νοῦν καλουμένην ἴδοι τις ἄν. Καρδίαν γὰρ, φησι, καθαρὰν κτίσον ἐν ἐμοὶ, ὁ Θεός. οὐ μόνον δὲ ταῦτα, ἀλλὰ καὶ πνεῦμα [πολλαχοῦ] ἴδοι τις ἂν λεγομένην αὐτήν. Φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ. ὁρᾷς τί φησι; πῶς εἶπεν, εἰπέ μοι, λέγεις, αἱρετικέ, διὰ τὸ λέγεσθαι παρὰ τῇ γραφῇ, Εἶπεν ὁ Θεός, γενηθήτω φῶς, ὅτι ὁ πατὴρ ἐπιτάττει, ὁ δὲ υἱὸς ὑπακούει; [ἀλλ'] ἰδοὺ καὶ ἐνταῦθα ῥήματι αὐτὸς ποιεῖ. Φέρων τε γὰρ, φησι, τὰ πάντα· τουτέστι, κυβερνῶν, τὰ διαπίπτοντα συγκρατῶν. οὐ γὰρ ποιῆσαι τὸν κόσμον οὐχ ἧττόν ἐστι τὸ συγκρατεῖν· ἀλλ' (εἰ δεῖ τι καὶ θαυμαστὸν εἰπεῖν) καὶ μεῖζον. τὸ μὲν γὰρ, ἐξ οὐκ ὄντων ἐστί τι παραγαγεῖν· τὸ δὲ, τὰ γενόμενα εἰς τὸ μὴ εἶναι μέλλοντα ἀναχωρεῖν, συνέχειν τε καὶ συνάπτειν πρὸς ἄλληλα διαστασιάζοντα. τοῦτο ἐστι τὸ μέγα καὶ θαυμαστὸν, καὶ πολλῆς δυνάμεως τεκμήριον. Εἶτα καὶ τὸ εὔκολον δηλῶν, εἶπε, φέρων (οὐκ εἶπε, κυβερνῶν) ἀπὸ μεταφορᾶς τῶν [ἁπλῶς] τῷ δακτύλῳ τι κινούντων, καὶ ποιούντων * περιφέρεσθαι. ἐνταῦθα καὶ τὸν ὄγκον τῆς κτίσεως ἔδειξε μέγαν ὄντα, καὶ τὸ μέγα οὐδὲν αὐτῷ ὄν. Εἶτα πάλιν τὸ ἀπόνητι δείκνυσιν, εἰπὼν, τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ. καλῶς εἶπε, τῷ ῥήματι. ἐπειδὴ γὰρ τὸ ῥῆμα παρ' ἡμῖν ψιλὸν εἶναι δοκεῖ, δείκνυσιν ὅτι οὐκ ἔστι ψιλὸν ἐπὶ Θεοῦ. ἀλλ' ὅτι μὲν τῷ ῥήματι φέρει, εἶπε· τὸ δὲ πῶς [τῷ ῥήματι φέρει], οὐκέτι προσέθηκεν. οὐδὲ γὰρ δυνατὸν εἰδέναι. Εἶτα ἐπήγαγε περὶ τῆς μεγαλειότητος αὐτοῦ. οὕτω γὰρ καὶ ὁ Ἰωάννης πεποίηκεν. Εἰπὼν γὰρ ὅτι Θεός ἐστιν, ἐπήγαγε τῆς κτίσεως τὴν δημιουργίαν. ὅπερ γὰρ ἐκεῖνος ἤρξατο εἰπών, Εν ἀρχῇ ἦν ὁ λόγος, καὶ πάντα δι' αὐτοῦ ἐγένετο, τοῦτο καὶ οὗτος διὰ τοῦ ῥήματος, καὶ τοῦ εἰπεῖν, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν, ἐνέφηνε. καὶ γὰρ καὶ δημιουργὸν, καὶ πρὸ πάντων ὄντα τῶν αἰώνων αὐτὸν δείκνυσι. τί εἶπεν*, ὅταν περὶ τοῦ πατρὸς μὲν λέγῃ ὁ προφήτης, Απὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος σὺ εἶ· περὶ δὲ τοῦ υἱοῦ, ὅτι πρὸ πάντων ἐστὶ τῶν αἰώνων, καὶ τῶν ἁπάντων δημιουργὸς, τί ἂν εἴποιεν; μᾶλλον δὲ * ὅπερ περὶ τοῦ πατρὸς ἔλεγεν, ὁ ὑπάρχων πρὸ τῶν αἰώνων, τοῦτο καὶ περὶ τοῦ υἱοῦ ἴδοι τις ἂν εἰρημένον; καὶ ὥσπερ ἐκεῖνός φησι, ζωὴ ἦν, τὸ διακρατητικὸν τῆς κτίσεως δηλῶν, ὅτι πάντων αὐτός ἐστιν ἡ ζωή· οὕτω καὶ οὗτός φησι, Φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ· οὐ καθάπερ Ελληνες, καὶ τῆς δημιουργίας αὐτῆς, τόγε εἰς αὐτοὺς ἧκον, ἀποστερήσαντες αὐτὸν, καὶ τῆς προνοίας μέχρι σελήνης συγκλείοντες αὐτοῦ τὴν δύναμιν. δι' ἑαυτοῦ γὰρ, φησι, καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν. Εἰπὼν περὶ τῶν θαυμαστῶν ἐκείνων καὶ μεγάλων, τῶν * μεγίστων, λέγει λοιπὸν καὶ περὶ τῆς εἰς ἀνθρώπους αὐτοῦ κηδεμονίας. μάλιστα μὲν γὰρ καὶ ἐκεῖνο καθολικὸν ἦν, τὸ, φέρων τε τὰ πάντα· πλὴν ἀλλὰ τοῦτο πολλῷ μεῖζον. καὶ τοῦτο δὲ καθολικόν. τὸ γὰρ αὐτοῦ μέρος * πάντας ἔσωσεν. ἐπεὶ καὶ ὁ Ἰωάννης εἰπὼν, ζωὴ ἦν, καὶ τὴν πρόνοιαν αὐτοῦ δηλώσας, πάλιν * λέγει, ὅτι καὶ φῶς, τὸ αὐτὸ τοῦτο δηλῶν. δι' ἑαυτοῦ, φησι, καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς. δύο τίθησιν ἐνταῦθα τῆς κηδεμονίας αὐτοῦ τεκμήρια μέγιστα· τό τε καθαρίσαι τῶν ἁμαρτιῶν ἡμᾶς, καὶ τὸ δι' ἑαυτοῦ τοῦτο ποιῆσαι. καὶ πολλαχοῦ ὁρᾷς αὐτὸν ἐπὶ τούτῳ σεμνυνόμενον, οὐ μόνον ἐπὶ τῇ καταλλαγῇ τῇ πρὸς τὸν Θεὸν, ἀλλὰ καὶ ἐπὶ τῷ διὰ τοῦ υἱοῦ τοῦτο γεγενῆσθαι. καὶ γὰρ * οὕτω τὸ μέγα δῶρον μεῖζον γεγένηται, [τῷ] διὰ τοῦ υἱοῦ. Εἰπὼν, ἐκάθισεν ἐν δεξιᾷ, καὶ, καθαρισμὸν δι' ἑαυτοῦ ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν, καὶ ἀναμνήσας τοῦ σταυροῦ, ταχέως

τὸν

Margin (left): Ψαλ. ν. ιϐ. — Γεν. α. γ. — Ιωάν. α. α. — Ψαλ. πθ. β.

Margin (right): χ. -στ. ἔσθ' βέλτιον / χ. φέρεσθαι — χ. φέρειν — * αἱ ποιοῦμεν — χ. ὅπερ ὁ περὶ — χ. -των — χ. πάντας ἀνέσωσε. — χ. -γει, καὶ φῶς ἦν. δι' — χ. οὕτως μεῖζον τὸ δῶρον μεῖζον γεγένηται — χ. τὸ

υἱὸς εἰς τὸ παραγαγεῖν τὰ πάντα. καὶ ὅτι τοῦτό ἐστιν, ὅρα πῶς πάλιν περὶ υἱοῦ δίδωσιν αὐτῷ τὴν αὐθεντίαν, καὶ τὸ, δι' οὗ, ἐξελών. ἐπειδὴ γὰρ εἰργάσατο δι' αὐτοῦ ὅπερ ἤθελε, λοιπὸν ἀποστὰς ἀπ' αὐτοῦ, τί φησι; Κατ' ἀρχὰς σὺ, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί. Ἑβρ. α. ι. οὐδαμοῦ τὸ, δι' οὗ, οὐδὲ ὅτι ἐποίησε δι' αὐτοῦ τοὺς αἰῶνας. τί οὖν; οὐχ ὑπ' αὐτοῦ γεγένηνται; ναί. ἀλλ' οὐχ ὡς σὺ λέγεις, οὐδὲ ὡς ὑπουργὸς, ὡς δι' ὀργάνου· οὐδὲ ὡς οὐκ ἂν ποιήσαντος, εἰ μὴ χεῖρα αὐτῷ ὤρεξεν ὁ πατήρ. ὥσπερ γὰρ οὐδένα κρίνει ἐκεῖνος, καὶ λέγεται κρίνειν διὰ τοῦ υἱοῦ, ὅτι κριτὴν αὐτὸν ἐγέννησεν· οὕτω καὶ δημιουργεῖν δι' αὐτοῦ, ὅτι δημιουργὸν αὐτὸν ἐγέννησεν. εἰ γὰρ αὐτοῦ αἴτιος ὁ πατὴρ, πολλῷ μᾶλλον τῶν δι' αὐτοῦ γεγενημένων. ὅταν μὲν οὖν βούληται δεῖξαι ὅτι ἐξ αὐτοῦ, ἀναγκαίως τὰ ταπεινὰ φθέγγεται. ὅταν δὲ βούληται ὑψηλὰ φθέγγεσθαι, λαβὴν Μάρκελλος λαμβάνει, καὶ Σαβέλλιος. ἀλλ' ἀμφοτέρων τὴν ἀμετρίαν φυγὼν, μέσην ὁδεύει ὁδόν. οὔτε γὰρ ἐπὶ τῆς ταπεινότητος ἐμμένει, ἵνα μὴ Παῦλος ὁ Σαμοσατεὺς λάβῃ χώραν, οὔτε ἀεὶ τοῖς ὑψηλοῖς ἐναπομένει. καὶ δείκνυσιν αὐτοῦ πάλιν τὴν ἐγγύτητα τὴν πολλὴν, ἵνα μὴ Σαβέλλιος ἐπιπηδήσῃ. εἶπεν υἱὸν, καὶ εὐθέως ἐφέστηκε Παῦλος ὁ Σαμοσατεὺς, λέγων αὐτὸν εἶναι υἱὸν ὡς τοὺς πολλούς. ἀλλ' ἔδωκεν αὐτῷ καιρίαν πληγὴν, εἰπὼν κληρονόμον. ἀλλ' ἔτι ἀναισχυντεῖ μετὰ Ἀρείου. τὸ γὰρ, ἔθηκεν αὐτὸν κληρονόμον, ἀμφότεροι κατέχουσιν· ἐκεῖνος μὲν ἀσθενείας λέγων εἶναι, οὗτος δὲ ἐπισκιάζειν ἐπιχειρῶν καὶ τὰ ἑξῆς. εἰπὼν δὲ Παῦλος, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν, ἔβαλεν ὕπτιον ἀναισχυντοῦντα τὸν Σαμοσατέα. ὁ δὲ Ἄρειος ἔτι ἰσχυρὸς εἶναι δοκεῖ. ἀλλ' ὅρα καὶ τοῦτον πῶς καταβάλλει πάλιν εἰπὼν, ὃς ὢν ἀπαύγασμα τῆς δόξης αὐτοῦ. ἀλλ' ἰδοὺ πάλιν ἐπιπηδᾷ Σαβέλλιος, καὶ Μάρκελλος, καὶ Φωτεινός. ἀλλὰ καὶ ἐκείνοις πᾶσι μίαν πληγὴν δίδωσιν, εἰπὼν, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, [φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ]. ἐνταῦθα πάλιν καὶ Μαρκίωνα πλήττει· οὐ σφόδρα μὲν ἰσχυρῶς, πλήττει δὲ οὖν ὅμως. δι' ὅλης γὰρ τῆς ἐπιστολῆς πρὸς αὐτοὺς μάχεται. ἀλλ' ὅπερ ἔφην, ἀπαύγασμα τῆς δόξης εἴρηκε τὸν υἱόν. καὶ ὅτι καλῶς, ἄκουε τοῦ Χριστοῦ λέγοντος περὶ αὐτοῦ, Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου. Ἰωαν. η. ιβ. διὰ τοῦτο δὲ ἀπαύγασμα εἶπεν αὐτὸς, ἵνα δείξῃ ὅτι καὶ οὕτως εἴρηται· δηλονότι, ὡς φῶς ἐκ φωτός. οὐ τοῦτο δὲ μόνον δείκνυται, ἀλλ' ὅτι καὶ ἐφώτισε τὰς ἡμετέρας ψυχάς. διὰ δὲ τοῦ ἀπαυγάσματος τὸ ἴσον ἐσήμανε τῆς οὐσίας, καὶ τὴν πρὸς τὸν πατέρα ἐγγύτητα. ἐννόησον* τὴν λεπτότητα τῶν εἰρημένων· οὐσίαν μίαν ἔλαβε καὶ ὑπόστασιν εἰς δύο ὑποστάσεων παράστασιν. ὃ καὶ ἐπὶ τῆς γνώσεως τοῦ πνεύματος ποιεῖ. ὥσπερ γὰρ μίαν εἶναί φησι τὴν γνῶσιν τὴν τοῦ πατρὸς καὶ τοῦ πνεύματος, ὡς ὄντως μίαν, καὶ οὐδὲν πρὸς ἑαυτὴν διεστηκυῖαν· οὕτω καὶ ἐνταῦθα ἑνός τινος ἐπελάβετο ῥήματος εἰς τὴν τῶν δύο ὑποστάσεων δήλωσιν. εἶτα ἐπήγαγεν ὅτι καὶ χαρακτήρ. ὁ γὰρ χαρακτὴρ, ἄλλος τίς ἐστι παρὰ τὸ πρωτότυπον· ἄλλος δὲ οὐ πάντη, ἀλλὰ κατὰ τὸ ἐνυπόστατον εἶναι. ἐπεὶ καὶ ἐνταῦθα ὁ χαρακτὴρ τὸ ἀπαράλλακτον δηλοῖ οὗ ἐστι χαρακτὴρ, τὸ ὅμοιον κατὰ πάντα. ὅταν οὖν καὶ μορφὴν αὐτὸν καλῇ, καὶ χαρακτῆρα, τί ἐροῦσιν; ἀλλὰ καὶ εἰκὼν ὁ ἄνθρωπος, φησί. τί οὖν; οὕτως ὡς ὁ υἱός; οὔ, φησιν, ἀλλ' ὅτι εἰκὼν οὐ δείκνυσι τὸ ὅμοιον. καίτοιγε καθὸ εἴρηται ὁ ἄνθρωπος εἰκὼν, δείκνυσι τὸ ὅμοιον ὡς ἐν ἀνθρώπῳ. Γεν. α. κς. ὅπερ γάρ ἐστιν ὁ Θεὸς ἐν τῷ οὐρανῷ, τοῦτο ὁ ἄνθρωπος ἐπὶ τῆς γῆς, κατὰ τὴν ἀρχὴν λέγω. καὶ ὥσπερ τῶν ἐπὶ γῆς πάντων οὗτος κρατεῖ, οὕτω καὶ ὁ Θεὸς πάντων κρατεῖ τῶν ἐν [τῷ] οὐρανῷ καὶ [τῶν] ἐπὶ [τῆς] γῆς. ἄλλως δὲ, ὁ ἄνθρωπος οὐκ εἴρηται χαρακτὴρ, οὐκ εἴρηται ἀπαύγασμα, οὐκ εἴρηται μορφή· ὅπερ τὴν οὐσίαν ἐμφαίνει, ἢ καὶ ὁμοιότητα τὴν κατ' οὐσίαν. ὥσπερ οὖν ἡ μορφὴ τοῦ δούλου οὐδὲν ἄλλο ἐμφαίνει ἢ ἄνθρωπον ἀπαράλλακτον· οὕτως ἡ μορφὴ τοῦ Θεοῦ οὐδὲν ἄλλο ἐμφαίνει, ἢ Θεόν. Φιλιπ. β. ζ. ὃς ὢν ἀπαύγασμα, φησί, τῆς δόξης. ὅρα τὸν Παῦλον τί ποιεῖ. εἰπὼν, ὃς ὢν ἀπαύγασμα τῆς δόξης, ἐπήγαγε πάλιν, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης, ὀνόμασιν οἵοις

κ. ὅτι Θεὸς ἴσος τῷ πατρί. τὰ ὑψηλὰ φθέγγεται, ἵν' ὃν λαβὴν Μάρκελλος μὴ λάβῃ. ὁ ἀμφοτέρ. κ. ἐκκλίνει φυγών,

κ. φησὶν, ἀπαύγασμα, δηλονότι ἐκεῖνο ὑποστῆναι αὐτὸ

κ. ἐν δὲ

κ. ὡς εἰκόνος ἴσης· εἰκὼν

κ. ὅρα οἵοις ὀνόμασι κέχρηται,

νοοῦμεν, οὐ φράσαι δυνάμεθα· ἢ πολλὰ μὲν φράζομεν, νοῆσαι δὲ οὐκ ἰσχύομεν. οἷόν τι λέγω· ὅτι πανταχοῦ μέν ἐστιν ὁ Θεὸς, ἴσμεν· πῶς δὲ, οὐκέτι νοοῦμεν. ὅτι ἐστί τις ἀσώματος δύναμις, πάντων αἰτία τῶν ἀγαθῶν, ἴσμεν· πῶς δέ ἐστιν, ἢ τίς ἐστιν, οὐκ ἴσμεν. ἰδοὺ φράζομεν, καὶ οὐ νοοῦμεν. εἶπον ὅτι πανταχοῦ ἐστιν, ἀλλ' οὐ νοῶ. [Εἶπον ὅτι ἄναρχός ἐστιν, ἀλλ' οὐ νοῶ.] Εἶπον ὅτι ἐγέννησεν ἐξ ἑαυτοῦ, καὶ οὐκ οἶδα πῶς πάλιν νοήσω. ἔστι δέ τινα, ἃ μηδὲ φράσαι ἔνι. οἷόν τι λέγω· νοεῖ ἡ διάνοια, ἀλλ' εἰπεῖν οὐ δύναται. καὶ ἵνα εἰδῇς καὶ Παῦλον ἀσθενοῦντα, καὶ μὴ πρὸς ἀκρίβειαν τὰ ὑποδείγματα λέγοντα, καὶ φρίξῃς, καὶ μηδὲν περαιτέρω ζητήσῃς, ἄκουε. Εἰπὼν γὰρ υἱὸν, καὶ θεὶς δημιουργὸν, τί ἐπάγει; ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ. τοῦτο * μετ' εὐλαβείας ἐκλαμβάνειν δεῖ, καὶ " τὰ ἄτοπα περικόψαι. ἀπαύγασμα τῆς δόξης, φησίν. ἀλλ' ὅρα πρὸς τί αὐτὸ ἐκλαμβάνει, καὶ οὕτω καὶ αὐτὸς δέξαι· ὅτι ἐξ αὐτοῦ, ὅτι ἀπαθῶς, ὅτι οὐ μειωθέντος, οὐδὲ ἐλαττωθέντος· ἐπειδὴ εἰσί τινες ἄτοπά τινα ἐκ τοῦ ὑποδείγματος ἐκλαμβάνοντες. τὸ γὰρ ἀπαύγασμα, φασὶν, ἐνυπόστατον οὐκ ἔστιν, ἀλλ' ἐν ἑτέρῳ ἔχει τὸ εἶναι. μὴ τοῦτο τοίνυν ἐκλάβῃς, ἄνθρωπε, μηδὲ Μαρκέλλου καὶ Φωτεινοῦ νοσήσῃς τὴν νόσον. ἐγγύθεν γάρ σε θεραπεύει, ὥστε μὴ εἰς ἐκείνην ἐμπεσεῖν σε τὴν διάνοιαν, οὐδὲ ἀφίησί σε εἰς τὸ ὀλέθριον ἐκεῖνο νόσημα καταπενεχθῆναι. τί δέ φησι; καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ. δηλῶν διὰ τῆς ἐπαγωγῆς, ὅτι ὥσπερ ἐστὶν ὁ πατὴρ ἐνυπόστατος, καὶ πρὸς ὑπόστασιν οὐδενὸς δεόμενος· οὕτω καὶ ὁ υἱός. ἐνταῦθα γὰρ τὸ ἀπαράλλακτον δεικνὺς τοῦτό φησι, καὶ πρὸς τὸν ἰδιάζοντα χαρακτῆρα τοῦ πρωτοτύπου παραπέμπων σε, καὶ διδάσκων ὡς ἐν ὑποστάσει ἐστὶ καθ' ἑαυτόν. Εἰπὼν δὲ ἀνωτέρω, ὅτι δι' αὐτοῦ ἐποίησεν ὁ Θεὸς τὰ πάντα, ἐνταῦθα δίδωσιν αὐτῷ τὴν αὐθεντίαν. τί γὰρ ἐπάγει; φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ· ἵνα ἐκ τούτου μὴ μόνον τὸν χαρακτῆρα τῆς ὑποστάσεως ἐκλάβωμεν, ἀλλὰ καὶ τὸ μετ' αὐθεντίας ἅπαντα κυβερνᾶν. ὅρα τοίνυν πῶς, ὅπερ ἐστὶν ἴδιον τοῦ πατρὸς, τοῦτο περιστέλλει τῷ υἱῷ. διὰ γὰρ τοῦτο οὐχ ἁπλῶς εἶπε, φέρων τε τὰ πάντα, οὐδὲ εἶπε, τῇ δυνάμει αὐτοῦ, ἀλλὰ τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ. ὥσπερ " γὰρ πρώην [ἡμῖν] ἀνῄει κατὰ μικρὸν καὶ κατῄει· οὕτω καὶ νῦν, καθάπερ " ἀπό τινων βαθμῶν, ἀναβαίνει εἰς ὕψος, εἶτα πάλιν καταβαίνει, καί φησι, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν. ὅρα πῶς καὶ ἐνταῦθα δύο τέμνει ὁδούς. βουλόμενος γὰρ ἡμᾶς ἀπαγαγεῖν τῆς Σαβελλίου καὶ Ἀρείου καινοτομίας, τοῦ μὲν τὸ διττὸν τῆς ὑποστάσεως ἀναιροῦντος, τοῦ δὲ τὴν μίαν φύσιν εἰς ἀνισότητα κατατέμνοντος, ἐκ περιουσίας ἀμφότερα καθαιρεῖ. πῶς οὖν τοῦτο ποιεῖ; ἄνω καὶ κάτω τὰ αὐτὰ στρέφει καὶ φθέγγεται, ὥστε μὴ νομισθῆναι αὐτὸν ἄναρχον, μηδὲ ἀλλότριον τοῦ Θεοῦ. καὶ μὴ ξενισθῇς τὸν λόγον, ἀγαπητέ. εἰ γὰρ καὶ μετὰ τοσαύτην ἀπόδειξιν εἰσί τινες τὸν ἀλλότριον αὐτὸν εἶναι φήσαντες, καὶ ἕτερον αὐτῷ δόντες πατέρα, καὶ τούτῳ πολεμεῖν αὐτὸν λέγοντες· εἰ μὴ ταῦτα εἶπε, τί οὐκ ἂν ἐφθέγξαντο; " ὅταν οὖν θεραπεύειν ἀναγκάζηται, τότε ἀναγκάζεται καὶ τὰ ταπεινὰ φθέγγεσθαι· οἷον ὅτι ἔθηκε, φησὶν, αὐτὸν κληρονόμον πάντων, καὶ ὅτι δι' αὐτοῦ τοὺς αἰῶνας ἐποίησεν. εἶτα ἵνα μὴ ἑτέρως λυμήνηται, ἀπὸ τῶν λόγων τῆς ταπεινότητος εἰς αὐθεντίαν πάλιν αὐτὸν ἀνάγει, καὶ δείκνυσιν ὁμότιμον ὄντα τῷ πατρὶ, καὶ οὕτως ὁμότιμον, ὡς πολλοὺς νομίσαι τὸν αὐτὸν εἶναι πατέρα. καὶ θέα τὴν σύνεσιν αὐτοῦ τὴν πολλήν· πρότερον ἐκεῖνο τίθησι, καὶ ἀσφαλίζεται αὐτὸ μετὰ ἀκριβείας. καὶ ὅταν τοῦτο δειχθῇ, ὅτι τοῦ Θεοῦ ἐστιν υἱὸς, καὶ ὅτι οὐκ ἀλλότριος αὐτοῦ, μετ' " ἀδείας λοιπὸν ἅπαντα, ὅσα βούλεται, φθέγγεται τὰ ὑψηλά. ὅπερ γὰρ τὸ μέγα τι περὶ αὐτοῦ εἰπεῖν εἰς ἐκείνην τὴν ἔννοιαν πολλοὺς ἤγαγε, προτίθησι τὰ ταπεινὰ, μετ' ἀσφαλείας τότε εἰς ὕψος ἀνέρχεται ὅσον βούλεται. καὶ εἰπὼν, ὃν ἔθηκε κληρονόμον πάντων, καὶ ὅτι δι' αὐτοῦ τοὺς αἰῶνας ἐποίησε, τότε ἐπάγει, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ. ὁ γὰρ ῥήματι μόνῳ τὰ πάντα διακυβερνῶν, οὐκ ἂν δεηθείη τι-

νος

* ᾗ

χ. πάντα

χ. ἐν ἐκ- [illegible]

χ. ἀπὸ ἀναβαθμῶν

χ. πῶς ἐν τῷ τι ποιεῖσθαι θεραπεύειν

χ. ἀσφαλείας

σκότους καὶ ὀδύναι τοσαῦται ὥσι καὶ ἐμπρησμοί; διὸ δέομαι ταῦτα διαπαντὸς στρέφειν παρ' ἑαυτοῖς, καὶ τῆς ἀπὸ τῶν ῥημάτων λύπης ἀνέχεσθαι, ἵνα μὴ τὴν διὰ τῶν πραγμάτων ὑπομείνωμεν τιμωρίαν. πάντως γὰρ ταῦτα πάντα ἔσται, καὶ τοὺς ἄξια πράξαντας τῆς ἐκεῖ κολαστηρίων οὐδεὶς ἐξαιρήσεται, οὐ πατήρ, οὐ μήτηρ, οὐκ ἀδελφός, κἂν πολλὴν παρρησίαν ἔχῃ, κἂν μεγάλα ἰσχύῃ πρὸς τὸν Θεόν. Ἀδελφὸς γὰρ οὐ λυτροῦται, φησί· λυτρώσεται ἄνθρωπος; αὐτὸς γάρ ἐστιν ὁ ἀποδιδοὺς ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· καὶ ἀπὸ τούτων καὶ σωθῆναι ἔνι, καὶ κολασθῆναι. Ποιήσατε ὑμῖν φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας. Οὐκοῦν ὑπακούσωμεν (δεσποτικὴ γάρ ἐστιν ἐντολή) καὶ τὰ περιττὰ τοῦ πλούτου εἰς τοὺς δεομένους σκορπίσωμεν. ἐργασώμεθα ἐλεημοσύνην, ἕως ἐσμὲν κύριοι. τοῦτο γάρ ἐστι τό, φίλους ποιεῖν ἐκ τοῦ μαμωνᾶ. κενώσωμεν τὰ χρήματα εἰς τοὺς πένητας, ἵνα κενώσωμεν ἐκεῖνο τὸ πῦρ, ἵνα σβέσωμεν αὐτό, ἵνα ἔχωμεν παρρησίαν ἐκεῖ. καὶ γὰρ ἐκεῖ οὐχ οὗτοί εἰσιν οἱ δεχόμενοι ἡμᾶς, ἀλλὰ τὸ ἔργον τὸ ἡμέτερον. ὅτι γὰρ οὐχ ἁπλῶς τὸ φίλους ἡμῖν τούτους εἶναι σῶσαι δύναται, ἔνι τοῦτο μαθεῖν ἀπὸ τῆς προσθήκης. διατί γὰρ οὐκ εἶπε, ποιήσατε ὑμῖν φίλους, ἵνα δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους αὐτῶν σκηνάς, ἀλλὰ προσέθηκε καὶ τὸν τρόπον; εἰπὼν γάρ, ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας, ἔδειξεν ὅτι ἀπὸ τῶν χρημάτων προσήκει ποιῆσαι τούτους φίλους, δηλῶν ὅτι οὐχ ἁπλῶς προστήσεται ἡμῶν φιλία, ἐὰν μὴ ἔργα ἔχωμεν ἀγαθά, ἐὰν μὴ τὸν ἀδίκως συλλεγέντα πλοῦτον δικαίως κενώσωμεν. οὗτος δὲ ὁ λόγος ἡμῖν ὁ τῆς ἐλεημοσύνης οὐ πρὸς τοὺς πλουσίους μόνον ἁρμόσει, ἀλλὰ καὶ πρὸς τοὺς πένητας. κἂν ἦ τις ἐκ τοῦ προσαιτεῖν τρεφόμενος, καὶ πρὸς αὐτόν ἐστιν ὁ λόγος οὗτος. οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὕτως οὐδεὶς πένης, κἂν σφόδρα πένης ᾖ, ὡς δύο λεπτῶν μὴ εὐπορεῖν. ἔνεστι γοῦν καὶ ἐξ ὀλίγων ὀλίγα δόντα, τοὺς πολλὰ κεκτημένους ὑπερβάλλεσθαι πλείονα διδόντας· καθάπερ κἀκείνη ἡ χήρα. οὐ γὰρ τῷ μέτρῳ τῶν διδομένων, ἀλλὰ τῇ δυνάμει καὶ τῇ προαιρέσει τῶν διδόντων κρίνεται τῆς ἐλεημοσύνης τὸ μέγεθος. ὥστε πανταχοῦ προαιρέσεως ἡμῖν δεῖ, πανταχοῦ τῆς πρὸς τὸν Θεὸν ἀγάπης. ἐὰν μετὰ ταύτης ἅπαντα πράττωμεν, κἂν μικρὰ ἔχοντες μικρὰ δῶμεν, οὐκ ἀποστρέψει ὁ Θεὸς τὸ πρόσωπον αὐτοῦ, ἀλλὰ δέξεται ὡς μεγάλα καὶ θαυμαστά. τῇ γὰρ προαιρέσει, οὐ τοῖς διδομένοις προσέχει. κἂν ἐκείνην ἴδῃ μεγάλην οὖσαν, ταύτῃ τίθεται τὰς ψήφους καὶ τὰς κρίσεις, καὶ τῶν αἰωνίων ἀγαθῶν ποιεῖ μετόχους· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. β. 3 ΟΣ ΩΝ ΑΠΑΥΓΑΣΜΑ ΤΗΣ ΔΟΞΗΣ, ΚΑΙ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, δι' ἑαυτοῦ καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν.

ΠΑνταχοῦ μὲν εὐλαβοῦς διανοίας δεῖ, μάλιστα δὲ ὅταν περὶ Θεοῦ λέγωμέν τι καὶ ἀκούωμεν. οὔτε γὰρ γλῶσσα εἰπεῖν, οὔτε οὖς ἀκοῦσαι πρὸς ἀξίαν τοῦ Θεοῦ τι δύναται. καὶ τί λέγω γλῶτταν καὶ οὖς; οὐδὲ γὰρ ὁ νοῦς ὁ πολὺ τούτων ὑπερέχων, δυνήσεταί τι περιλαβεῖν ἀκριβῶς, ὅταν περὶ Θεοῦ τι φθέγγεσθαι βουλώμεθα. εἰ γὰρ ἡ εἰρήνη τοῦ Θεοῦ ὑπερέχει πάντα νοῦν, καὶ τὰ ἡτοιμασμένα τοῖς ἀγαπῶσιν αὐτὸν ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη· πολλῷ μᾶλλον αὐτὸς ὁ τῆς εἰρήνης Θεός, ὁ τῶν ἁπάντων δημιουργός, ὑπερβαίνει πολλῷ τῷ μέτρῳ τὸν ἡμέτερον λογισμόν. δεῖ τοίνυν μετὰ πίστεως καὶ εὐλαβείας ἅπαντα δέχεσθαι· καὶ ὅταν ὁ λόγος ἐξασθενήσῃ, καὶ μὴ δύνηται παραστῆσαι τὰ λεγόμενα μετὰ ἀκριβείας, τότε μάλιστα δοξάζειν τὸν Θεόν, ὅτι Θεὸν τοιοῦτον ἔχομεν, καὶ τὴν διάνοιαν ἡμῶν καὶ τὸν λόγον ὑπερβαίνοντα. πολλὰ γὰρ ὧν περὶ Θεοῦ νοοῦμεν,

Ψαλμ. μη.

Λουκ. ις. θ.

γ. φέρει

γ. ἐπὶ μήτε εἰπεῖν ἡ γλῶττα, μήτε ἀκοῦσαι ἡ διάνοια πρὸς

γ. διάνοιαν;

γ. ἐξαπατήσῃ

Ματθ. ε. κβ. βασιλείας ἀποστερεῖ τῶν οὐρανῶν. πῶς καὶ τίνι τρόπῳ; Ὁ καλῶν τὸν ἀδελφὸν αὐτοῦ μωρὸν, ἔνοχός ἐστι, φησιν, εἰς τὴν γέενναν τοῦ πυρός. Εἰ δὲ ὁ μωρὸν καλῶν, ὃ δοκεῖ πάντων εἶναι κουφότερον, (Ματθ. κε. μ. μέ.) καὶ παίδων * ὁμιλία· ὁ κακοήθη καλῶν, καὶ κακοῦργον, καὶ βάσκανον, καὶ μυρία ἕτερα ἐμβάλλων ὀνείδη, τίνα οὐχ ὑποστήσεται κολάσεως δίκην; τί * φρικωδέστερον τούτου; ἀλλ' ἀνάσχεσθε, παρακαλῶ, τοῦ λόγου. Εἰ γὰρ ὁ ποιῶν ἑνὶ τῶν ἐλαχίστων, αὐτῷ ποιεῖ, καὶ ὁ μὴ ποιῶν ἑνὶ τῶν ἐλαχίστων, αὐτῷ οὐ ποιεῖ· πῶς οὐχὶ καὶ ἐπὶ τῆς εὐφημίας, καὶ ἐπὶ τῆς κατηγορίας ταὐτόν ἐστι; ὁ ὑβρίζων γὰρ τὸν ἀδελφὸν αὐτοῦ τὸν Θεὸν ὑβρίζει· καὶ ὁ τιμῶν τὸν ἀδελφὸν αὐτοῦ, τὸν Θεὸν τιμᾷ. παιδεύωμεν οὖν τὴν γλῶτταν εὔφημον εἶναι. (Ψαλ. λγ. ιδ.) Παῦσον γὰρ, φησι, τὴν γλῶσσάν σου ἀπὸ κακοῦ. οὐ γὰρ διὰ τοῦτο αὐτὴν ἔδωκεν ὁ Θεὸς, ἵνα κατηγορῶμεν, ἵνα ὑβρίζωμεν, ἵνα ἀλλήλους διαβάλλωμεν· ἀλλ' ἵνα τὸν Θεὸν ὑμνῶμεν, ἵνα ταῦτα λαλῶμεν ἃ δίδωσι χάριν τοῖς ἀκούουσι, τὰ πρὸς οἰκοδομὴν, τὰ πρὸς ὠφέλειαν. Εἶπες τὸν δεῖνα κακῶς; τί κερδαίνεις, καὶ σαυτὸν μετ' ἐκείνου βλάβῃ περιβάλλων; δόξαν γὰρ ἔλαβες κατηγόρου. οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδὲν κακὸν, ὃ μέχρι τοῦ πάσχοντος ἵσταται, ἀλλὰ καὶ τὸν ποιοῦντα περιλαμβάνει. οἷον, ὁ βάσκανος δοκεῖ μὲν ἐπιβουλεύειν ἑτέρῳ, πρότερος δὲ αὐτὸς ἀπολαύει τῆς ἀδικίας, τηκόμενος καὶ φθειρόμενος, καὶ παρὰ πάντων μισούμενος. (γρ. ἀλλ' ἐχθρ.) ὁ πλεονέκτης ἀποστερεῖ χρήματα ἕτερον· ἀλλὰ καὶ τὸ φιλεῖσθαι, ἑαυτόν· μᾶλλον δὲ παρὰ πάντων ποιεῖ κατηγορεῖσθαι. πολλῷ δὲ κρείττων ἀγαθὴ δόξα χρημάτων. τὴν μὲν γὰρ οὐ ῥᾴδιον ἀποτρίψασθαι· τὰ δὲ ῥᾴδιον ἀποκτήσασθαι. (γρ. κτήσασθ.) μᾶλλον δὲ, τὰ μὲν οὐ παρόντα, οὐδὲν τοὺς οὐκ ἔχοντας ἔβλαψεν· ἡ δὲ μὴ παροῦσα ἐπονειδίστους ποιεῖ καὶ καταγελάστους, καὶ πᾶσιν ἐχθροὺς καὶ πολεμίους. ὁ ὀργίλος πάλιν πρότερον ἑαυτὸν τιμωρεῖται σπαράττων, καὶ τότε ἐκεῖνον ᾧ ὀργίζεται. οὕτως ὁ κατήγορος πρότερον ἑαυτὸν αἰσχύνει, καὶ τότε τὸν κατηγορούμενον. ἢ οὐδὲ τοῦτο ἴσως δεδύνηται, ἀλλ' ἀπῆλθεν οὗτος μὲν μιαροῦ τινος καὶ καταπτύστου δόξαν λαβὼν, ἐκεῖνον δὲ μᾶλλον φιλεῖσθαι παρασκευάζων. ὅταν γὰρ ἀκούων κακῶς, μὴ τοῖς αὐτοῖς αὐτὸν ἀμείβηται, ἀλλ' ἐπαινῇ καὶ θαυμάζῃ· οὐκ ἐκεῖνον ἐπαινέσεται, ἀλλ' ἑαυτόν. ὥσπερ γὰρ (ὅπερ ἔφθην εἰπὼν) αἱ κατὰ τῶν πλησίον κατηγορίαι τοὺς ἐπιβουλεύοντας ἀπόλλυνται πρότερον· οὕτω καὶ τὰ εἰς τοὺς πλησίον ἀγαθὰ τοὺς ἐργαζομένους εὐφραίνει πρῶτον. ὁ γὰρ τίκτων καὶ τὸ καλὸν καὶ τὸ κακὸν, εἰκότως πρότερος αὐτὸς ἀπολαύει. καὶ καθάπερ ὕδωρ πηγαῖον τό τε ἁλμυρὸν, τό τε πότιμον, καὶ τὰ τῶν προσαγόντων ἀγγεῖα πληροῖ, καὶ τὴν πηγὴν οὐκ ἐλαττοῖ τὴν ἐκφέρουσαν· οὕτω δὴ καὶ κακία καὶ ἀρετὴ, ὅθεν ἂν ἐξίῃ, ἐκείνην καὶ εὐφραίνει καὶ ἀπόλλυσι*. (γρ. σώζει) (* πρότερον) καὶ ταῦτα μὲν ἐνταῦθα· τὰ δὲ ἐκεῖ τίς διηγήσεται λόγος, ἢ τὰ ἀγαθὰ, ἢ τὰ κακά; οὐκ ἔστιν οὐδείς. τὰ χρηστὰ μὲν γὰρ καὶ πάντα νοῦν ὑπερβαίνει, οὐχὶ λόγον μόνον· τὰ ἐναντία δὲ εἴρηται μὲν τοῖς ὀνόμασι τοῖς συντρόφοις ἡμῖν. πῦρ γάρ, φησίν, ἐστὶν ἐκεῖ, καὶ σκότος καὶ δεσμὰ καὶ σκώληξ ἀτελεύτητος. οὐ ταῦτα δὲ μόνον παρίστησιν, ἅπερ εἴρηται, ἀλλ' ἕτερα χαλεπώτερα. καὶ ἵνα μάθῃς, εὐθέως τοῦτο σκόπησον πρότερον. εἰπὲ γάρ, εἰ πῦρ ἐστι, πῶς καὶ σκότος ἐστίν; ὁρᾷς ὅτι χαλεπώτερον τούτου τὸ πῦρ ἐκεῖνο; οὐ γὰρ ἔχει φῶς. Εἰ πῦρ ἐστι, πῶς ἀεὶ κατακαίει; (γρ. τοῦ πυρὸς) ὁρᾷς ὅτι χαλεπώτερον τούτου τυγχάνει; οὐ γὰρ σβέννυται. διὰ γὰρ τοῦτο ἄσβεστον λέγεται. ἐννοήσωμεν τοίνυν ὅσον ἐστὶ κακὸν κατακαίεσθαι διαπαντὸς, καὶ ἐν σκότῳ εἶναι, καὶ μυρία οἰμώζειν, καὶ βρύχειν τοὺς ὀδόντας, καὶ μηδὲ ἀκούεσθαι. Εἰ γὰρ εἰς δεσμωτήριόν τις ἐμβληθεὶς ἐνταῦθα τῶν εὐγενῶς τεθραμμένων, τὴν δυσωδίαν μόνον, καὶ τὸ ἐν σκότῳ κεῖσθαι, καὶ τὸ μετὰ ἀνδροφόνων δεδέσθαι παντὸς θανάτου χαλεπώτερον εἶναί φησιν· ἐννόησον τί ἐστιν, (γρ. τίνες ἐσόμεθα) ὅταν μετὰ τῶν τῆς οἰκουμένης ἀνδροφόνων κατακαιώμεθα, μήτε ὁρῶντες, μήτε ὁρώμενοι, ἀλλ' ἐν πλήθει τοσούτῳ νομίζοντες εἶναι μόνοι. τὸ γὰρ σκότος [καὶ] τὸ ἀλαμπὲς οὐκ ἀφίησιν οὐδὲ τὸν πλησίον ἡμᾶς διαγινώσκειν· ἀλλ' ὡς μόνος τοῦτο πάσχων ἕκαστος, οὕτω διακείσεται. Εἰ δὲ σκότος θλίβει καθ' ἑαυτὸ τὰς ἡμετέρας ψυχὰς καὶ θορυβεῖ· τί ἔσται ἄρα, ὅταν μετὰ τοῦ

σκότους

εἰς ὑψηλὸν τόπον ἵνα, καὶ πρὸς αὐτὴν τοῦ οὐρανοῦ φθάνοντα τὴν κορυφήν, εἶτα παιδίον μικρὸν ἀναγαγεῖν βούλοιτο, ἠρέμα καὶ κατὰ μικρὸν τοῦτο ποιεῖ, διὰ τῶν κάτωθεν βαθμῶν αὐτὸ ἀνάγων· εἶτα ἐπειδὰν ἄνω στήσῃ, καὶ κελεύσῃ κάτω προσέχειν, καὶ ἴδῃ ἰλιγγιῶν καὶ θορυβούμενον καὶ "σκοτοδινιῶν," λαβόμενος αὐτὸ κατάγει πάλιν ἐπὶ τὸ ταπεινότερον, παρέχων ἀναπνεῦσαι, εἶτα ὅταν ἀνακτήσηται αὐτὸ, πάλιν ἀνάγει, καὶ πάλιν κατάγει· οὕτω δὴ καὶ ὁ μακάριος Παῦλος ἐποίησε καὶ ἐπὶ τῶν Ἑβραίων καὶ πανταχοῦ, παρὰ τοῦ διδασκάλου τοῦτο μαθών. καὶ γὰρ καὶ αὐτὸς οὕτως ἐποίησε, ποτὲ μὲν ἀνάγων εἰς ὕψος, ποτὲ δὲ κατάγων τοὺς ἀκροατὰς, καὶ οὐκ ἀφεὶς ἐπιπολὺ κατὰ τὸ αὐτὸ ἐγχρονίζειν. ὅρα γοῦν αὐτὸν καὶ ἐνταῦθα. δι' ὅσων αὐτοὺς ἀναγαγὼν ἀναβαθμῶν, καὶ πρὸς αὐτὴν στήσας τὴν κορυφὴν τῆς εὐσεβείας, πρὶν ἰλιγγιάσαι καὶ σκοτοδινίᾳ ἁλῶναι, πῶς κατάγει πάλιν αὐτοὺς κατώτερον, καὶ δίδωσιν ἀναπνεῦσαι, φησὶν, ἐλάλησεν ἡμῖν ἐν υἱῷ· καὶ πάλιν, ὃν ἔθηκε κληρονόμον πάντων. τὸ γὰρ τοῦ υἱοῦ ὄνομα, τέως κοινόν. ἔνθα μὲν γὰρ ἂν γνήσιος ὑπονοῆται, πάντων ἐστὶν ἀνώτερος· τέως δὲ ὅπως ἂν ᾖ, κατασκευάζει λοιπὸν καὶ δείκνυσιν, ὅτι ἀληθινόν ἐστιν. ὅρα δὲ καὶ πῶς πρότερον ἐπὶ τὸν ταπεινότερον βαθμὸν ἵστησι λέγων, ὃν ἔθηκε κληρονόμον πάντων. τὸ γὰρ, κληρονόμον ἔθηκε, ταπεινόν· εἶτα ἐπὶ τὸν ἀνώτερον, ἐπαγαγὼν, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν· εἶτα ἐπὶ τὸν ὑψηλότερον, καὶ μεθ' ὃν οὐκ ἔστιν ἕτερος· ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ. ὄντως εἰς ἀπρόσιτον φῶς ἤγαγεν, εἰς αὐτὸ τὸ ἀπαύγασμα. καὶ πρὶν ἢ σκοτοδινιάσαι, ὅρα πῶς πάλιν ἠρέμα κατάγει λέγων, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, δι' ἑαυτοῦ καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης. οὐχ ἁπλῶς εἶπεν, ἐκάθισεν, ἀλλὰ, "μετὰ τὸν καθαρισμὸν, ἐκάθισεν. ἐπελάβετο γὰρ τῆς σαρκώσεως· καὶ πάλιν ταπεινὰ φθέγγεται). εἶτα πάλιν φθεγξάμενος τὸ ὑψηλὸν (ἐν δεξιᾷ γὰρ, φησὶ, τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς) πάλιν φθέγγεται τὸ ταπεινὸν διὰ τῆς ἐπαγωγῆς τῆς, τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων, ὅσῳ διαφορώτερον παρ' αὐτοὺς κεκληρονόμηκεν ὄνομα. ἐνταῦθα γὰρ καὶ περὶ τῆς κατὰ σάρκα οἰκονομίας διαλέγεται). τὸ γὰρ, κρείττων γενόμενος, οὐκ οὐσίας δηλωτικόν ἐστι τῆς κατὰ πατέρα (ἐκείνη γὰρ οὐκ ἐγένετο, ἀλλὰ γεγέννηται)) ἀλλὰ τῆς κατὰ σάρκα. αὕτη γὰρ ἐγένετο. ἀλλ' οὐ περὶ οὐσιώσεως νῦν ὁ λόγος αὐτῷ. ἀλλ' ὥσπερ Ἰωάννης λέγων, Ὁ ὀπίσω μου ἐρχόμενος, ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν, τοῦτο δηλοῖ, ὅτι ἐντιμότερος καὶ λαμπρότερος· οὕτω καὶ ἐνταῦθα Παῦλος εἰπὼν, τοσούτῳ κρείττων γενόμενος ἀγγέλων, ὅτι βελτίων ἐδήλωσε, καὶ εὐδοκιμώτερος. ὅσῳ διαφορώτερον παρ' αὐτοὺς κεκληρονόμηκεν ὄνομα. ὁρᾷς ὅτι περὶ τοῦ κατὰ σάρκα ὁ λόγος ἦν; τοῦτο γὰρ τὸ ὄνομα, ὁ Θεὸς λόγος, ἀεὶ εἶχεν. οὐχ ὕστερον ἐκληρονόμησεν, οὐδὲ τότε τῶν ἀγγέλων κρείττων ἐγένετο, ὅτε καθαρισμὸν τῶν ἁμαρτιῶν ἡμῶν ἐποιήσατο· ἀλλ' ἀεὶ κρείττων ἦν, καὶ κρείττων ἀσυγκρίτως. περὶ δὲ τοῦ κατὰ σάρκα τοῦτο εἴρηται). οὕτω γοῦν καὶ ἡμῖν ἔθος περὶ ἀνθρώπου διαλεγομένοις, καὶ ὑψηλὰ καὶ ταπεινὰ φθέγγεσθαι. ὅταν μὲν γὰρ λέγωμεν, οὐδὲν ἄνθρωπος, γῆ ἄνθρωπος, σποδὸς ἄνθρωπος, ἀπὸ τοῦ χείρονος τὸ πᾶν καλοῦμεν· ὅταν δὲ λέγωμεν, ἀθάνατον ζῶον ὁ ἄνθρωπος, καὶ λογικὸς ὁ ἄνθρωπος, καὶ ὅτι τῶν ἄνω συγγενής, ἀπὸ τοῦ κρείττονος τὸ πᾶν πάλιν καλοῦμεν. οὕτω καὶ περὶ τοῦ Χριστοῦ, ποτὲ μὲν ἀπὸ τοῦ ἐλάττονος, ποτὲ δὲ ἀπὸ τοῦ κρείττονος διαλέγεται ὁ Παῦλος, καὶ τὴν οἰκονομίαν "συστῆσαι βουλόμενος, καὶ περὶ τῆς ἀκηράτου διδάξαι φύσεως.

[Margin: γρ. παῖδα καὶ δίναις περιφερόμενον — χ. λαμβανόμενος — χ. ἔνθα γὰρ ὅπως δήποτε, ὤν. — γρ. μετὰ τὸ εἰπεῖν, καθαρισμὸν ποιησάμενος. ἐπιλαβ. — χ. σαρκὸς — χ. πάλιν ἐπὶ τὸ ταπεινὸν ποιεῖ. — χ. τὸ γὰρ Θεοῦ, ὄνομα ἀεὶ — χ. σῶσαι — Ιωαν. α. κζ.]

ΗΘΙΚΟΝ

Ἐπεὶ οὖν καθαρισμὸν ἐποίησε τῶν ἁμαρτιῶν ἡμῶν, μένωμεν καθαροὶ, καὶ μηδεμίαν δεξώμεθα κηλῖδα, ἀλλὰ τὸ κάλλος, ὅπερ ἡμῖν ἐνέθηκε, καὶ τὴν εὐπρέπειαν διαφυλάττειν οὕτω σπουδάζωμεν ἀμόλυντον καὶ καθαρὰν, ὥστε μηδένα σπῖλον ἔχειν, ἢ ῥυτίδα, ἤ τι τῶν τοιούτων. σπῖλος γάρ ἐστι καὶ ῥυτὶς, καὶ τὰ μικρὰ τῶν ἁμαρτημάτων· οἷόν τι λέγω, λοιδορία, ὕβρις, ψεῦδος. μᾶλλον δὲ οὐδὲ ταῦτα μικρὰ, ἀλλὰ καὶ σφόδρα μεγάλα, καὶ οὕτω μεγάλα, ὡς καὶ τῆς



Digitized by Google

εἶτα ὡς ὁμολογουμένων ἐκεῖθεν κατασκευάσας, ἀποφαίνεται λοιπὸν, ὅτι ἐκείνοις μὲν διὰ τῶν προφητῶν ἐλάλησεν, ἡμῖν δὲ διὰ τοῦ μονογενοῦς. Εἰ δὲ καὶ δι' ἀγγέλων ἐκείνοις (ἦν γὰρ καὶ ἄγγελοι ὡμίλησαν Ἰουδαίοις) ἀλλὰ καὶ τούτῳ τὸ πλέον ἡμεῖς ἔχομεν, καὶ τοσοῦτον, ὅσον ἡμῖν μὲν ὁ δεσπότης, ἐκείνοις δὲ δοῦλοι. καὶ ἄγγελοι γὰρ καὶ προφῆται ὁμόδουλοι. * καὶ καλῶς εἶπεν, ἐπ' ἐσχάτων τῶν ἡμερῶν. καὶ τοῦτο γὰρ αὐτοὺς διανίστησι, καὶ παρακαλεῖ ἀπειρηκότας λοιπόν. ὥσπερ γὰρ ἀλλαχοῦ λέγει, ὅτι Ὁ Κύριος ἐγγύς, μηδὲν μεριμνᾶτε, καὶ πάλιν, Νῦν γὰρ ἐγγύτερον ἡμῶν ἡ σωτηρία, ἢ ὅτε ἐπιστεύσαμεν, οὕτω καὶ ἐνταῦθα. τί οὖν ἐστιν ὃ λέγει; ὅτι πᾶς ὁ ἐν τῷ ἀγῶνι κατατρυχωθεὶς, ἐπειδὰν ἀκούσῃ τοῦ ἀγῶνος τὸ τέλος, ἀναπνεῖ λοιπὸν, εἰδὼς ὅτι τῶν πόνων μέν ἐστι τὸ τέλος, τῆς δὲ ἀναπαύσεως ἀρχή. ἐπ' ἐσχάτων τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν υἱῷ. ἰδοὺ πάλιν τὸ, ἐν υἱῷ, διὰ τοῦ υἱοῦ φησι, πρὸς ἐκείνους λέγοντας τῷ πνεύματι τοῦτο ἁρμόζειν. ὁρᾷς ὅτι καὶ τὸ, ἐν, διά ἐστι; καὶ τὸ, πάλαι, καὶ τὸ, ἐπ' ἐσχάτων τῶν ἡμερῶν, πάλιν ἕτερόν τι αἰνίττεται. ποῖον δὴ τοῦτο; ὅτι πολλοῦ χρόνου γενομένου μέσον, ὅτε ἐμέλλομεν κολάζεσθαι, ὅτε ἐκλελοίπει τὰ χαρίσματα, ὅτε προσδοκία σωτηρίας οὐκ ἦν, ὅτε πανταχόθεν προσεδοκῶμεν ἔλαττον ἔχειν, τότε πλέον ἐσχήκαμεν. καὶ θέα πῶς συνετῶς αὐτὸ εἴρηκεν. οὐ γὰρ εἶπεν, ὁ Χριστὸς ἐλάλησε (καίτοιγε αὐτὸς ἦν ὁ λαλήσας) ἀλλ' ἐπειδὴ ἀσθενεῖς αὐτῶν ἦσαν αἱ ψυχαὶ, καὶ οὐδέπω ἀκούειν ἠδύναντο [τὰ] περὶ τοῦ Χριστοῦ, ἐλάλησεν ἡμῖν ἐν υἱῷ, φησι. τί λέγεις; ὁ Θεὸς διὰ τοῦ υἱοῦ ἐλάλησε; ναί. ποῦ οὖν ἡ ὑπεροχή; ἐνταῦθα μὲν γὰρ ἔδειξας, ὅτι καὶ ἡ καινὴ καὶ ἡ παλαιὰ μία ἐστὶ τοῦ αὐτοῦ· οὐ πολλὴν δὲ ταύτην ὑπεροχὴν οὖσαν. διὰ τοῦτο λοιπὸν τούτῳ ἐπεξέρχεται τῷ λόγῳ, λέγων, ἐλάλησεν ἡμῖν ἐν υἱῷ. [ὅρα πῶς αὐτὸ κοινοποιεῖ, καὶ ἐξισοῖ τοῖς μαθηταῖς ἑαυτὸν ὁ Παῦλος, λέγων, ἐλάλησεν ἡμῖν.] καίτοιγε αὐτῷ οὐκ ἐλάλησεν, ἀλλὰ τοῖς ἀποστόλοις, καὶ δι' αὐτῶν τοῖς πολλοῖς. ἀλλ' ἐπαίρει αὐτοὺς, καὶ δείκνυσιν, ὅτι καὶ αὐτοῖς ἐλάλησεν, ἅμα δὲ καὶ καθάπτεταί πως τῶν Ἰουδαίων. σχεδὸν γὰρ ἅπαντες, οἷς ἐλάλησαν οἱ προφῆται, μοχθηροί τινες ἦσαν καὶ μιαροί. καὶ οὔπω περὶ τούτων ποιεῖται τὸν λόγον· πῶς δὲ περὶ τῶν ὑπηργμένων [παρὰ] τοῦ Θεοῦ δωρεῶν. διὰ τοῦτο καὶ ἐπάγει. ὃν ἔθηκε κληρονόμον ἁπάντων. * ἐνταῦθα τὴν σάρκα φησί· καθὼς καὶ ὁ Δαβὶδ ἐν τῷ δευτέρῳ ψαλμῷ λέγει, Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου. οὐκέτι γὰρ μερὶς Κυρίου Ἰακὼβ, οὐδὲ κλῆρος αὐτοῦ ὁ Ἰσραὴλ, ἀλλὰ πάντες. τί ἐστιν, ὃν ἔθηκε κληρονόμον; τουτέστι, τοῦτον κύριον ἁπάντων ἐποίησεν. ὃ καὶ ἐν ταῖς πράξεσιν ὁ Πέτρος ἔφη, Καὶ Κύριον καὶ Χριστὸν αὐτὸν ὁ Θεὸς ἐποίησε. τῷ δὲ τοῦ κληρονόμου ὀνόματι κέχρηται, δύο δηλῶν· καὶ τὸ τῆς υἱότητος γνήσιον, καὶ τὸ τῆς κυριότητος ἀναπόσπαστον. κληρονόμον πάντων· τουτέστι, τοῦ κόσμου παντός. εἶτα πάλιν ἐπὶ τὸ πρότερον ἐπανάγει τὸν λόγον· Δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησε. Ποῦ εἰσιν οἱ λέγοντες, ἦν ὅτε οὐκ ἦν; εἶτα ἀναβαθμοῖς χρώμενος, τὸ πολλῷ τούτων μεῖζον ὕστερον φθέγγεται λέγων,

Margin (left): Φιλιπ. δ. ε. — Ρωμ. ιγ. ια. — Ψαλ. β. η. — Πραξ. β. λς.

Margin (right): χ. εἶτα δι' ἀγγέλων ἐκείνοις. καὶ τοῦτο πάλιν παρακαλέσει εἰκότως. * ἐπ' ἐσχάτων τῶν ἡμερῶν. χ. ἐπειδάν τι, — χ. πάντων — χ. ἰδὲ ἐν μεσιδιοῦ τοῦτο ζητεῖ, λοιπὸν χ. αὐτοὺς ἰσοτιμεῖ, χ. ... καὶ ... παρεδόθησαν — * τί ἐστιν, ὃν ἔθηκε κληρονόμον ἁπάντων; χ. διὰ τὴν σάρκα οὕτως εἰπών.

3 Ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, δι' ἑαυτοῦ καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς·

4 Τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων, ὅσῳ διαφορώτερον παρ' αὐτοὺς κεκληρονόμηκεν ὄνομα. Βαβαὶ τῆς συνέσεως τῆς ἀποστολικῆς· μᾶλλον δὲ οὐ τὴν τοῦ Παύλου σύνεσιν, ἀλλὰ τὴν τοῦ πνεύματός ἐστι θαυμάσαι χάριν ἐνταῦθα. οὐ γὰρ δὴ ἐξ οἰκείας διανοίας ταῦτα ἐφθέγξατο, οὐδὲ τοσαύτην σοφίαν ἐξ ἑαυτοῦ εὗρεν. ἀπὸ τῆς σμίλης γὰρ καὶ τῶν δερμάτων, ἢ τοῦ ἐργαστηρίου, σοφία πόθεν; ἀλλὰ θείας ἐνεργείας ἦν τὸ οὕτως εἰπεῖν. οὐ γὰρ αὐτοῦ ταῦτα τὰ νοήματα ἔτικτεν ἡ διάνοια, τότε μὲν οὕτω ταπεινὴ καὶ εὐτελὴς οὖσα, ὡς τῶν ἀγοραίων μηδὲν ἔχειν πλέον (πῶς γὰρ ἡ περὶ συμβόλαια καὶ δέρματα καταναλωθεῖσα;) ἀλλ' ἡ τοῦ πνεύματος χάρις, ἡ δι' ὧν ἂν ἐθέλῃ, τὴν ἰσχὺν αὐτῆς ἐπιδείκνυσι. καθάπερ γὰρ

Margin (right): χ. τῆς — χ. συνέσεως

# ΧΡΥΣΟΣΤΟΜΟΥ ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ

ἑρμηνεία.

Λογ. α. 1 ΠΟΛΥΜΕΡΩΣ ΚΑΙ ΠΟΛΥΤΡΟΠΩΣ ΠΑλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν υἱῷ. 2 Ὃν ἔθηκε κληρονόμον πάντων, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν. κεφ. α

ΟΝτως ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις. Ῥωμ. ε. κ. τοῦτο γοῦν καὶ ἐνταῦθα ἐν τῷ προοιμίῳ αἰνίττεται ὁ μακάριος Παῦλος πρὸς Ἑβραίους ἐπιστέλλων. ἐπειδὴ γὰρ εἰκὸς ἦν αὐτοὺς τεταλαιπωρημένους καὶ τετρυχωμένους ὑπὸ τῶν κακῶν, καὶ ἀπὸ τούτων τὰ πράγματα κρίνοντας, λογίζεσθαι ἑαυτοὺς ἐλάττους πάντων τῶν ἄλλων, δείκνυσι ταύτῃ μᾶλλον μείζονος ἀπολελαυκότας χάριτος, καὶ σφόδρα ὑπερεχούσης, ἀπ' αὐτῆς τοῦ λόγου τῆς εἰσβολῆς διεγείρων τὸν ἀκροατήν. διὰ τοῦτό φησι, πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν υἱῷ. διὰ τί μὴ ἀντέθηκεν ἑαυτὸν τοῖς προφήταις; καίτοιγε πολλῷ μείζων ἦν ἐκείνων, ὅσῳ καὶ μείζονα ἐπεπίστευτο. ἀλλ' οὐ ποιεῖ τοῦτο. τί δήποτε; πρῶτον μὲν τὸ περὶ ἑαυτοῦ μεγάλα λέγειν παραιτούμενος· δεύτερον δ', διὰ τὸ τοὺς ἀκροατὰς μηδέπω εἶναι τελείους· καὶ τρίτον, ἐπᾶραι μᾶλλον αὐτοὺς βουλόμενος, καὶ δεῖξαι πολλὴν οὖσαν τὴν ὑπεροχήν. ὡς ἂν εἰ ἔλεγε, τί μέγα ὅτι προφήτας ἔπεμψε πρὸς τοὺς πατέρας ἡμῶν; ἔπεμψε πρὸς ἡμᾶς αὐτὸν τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ. καὶ καλῶς ἤρξατο οὕτως εἰπών, πολυμερῶς καὶ πολυτρόπως. δείκνυσι γὰρ ὅτι οὐδὲ αὐτοὶ οἱ προφῆται τὸν Θεὸν εἶδον· ὁ μέντοι υἱὸς εἶδε. τὸ γάρ, πολυμερῶς καὶ πολυτρόπως, τουτέστι, διαφόρως. Ἐγὼ γάρ, φησιν, ὁράσεις ἐπλήθυνα· καὶ ἐν χερσὶ προφητῶν ὡμοιώθην. Ὠσ. ιβ ια. ὥστε οὐ κατὰ τοῦτο μόνον ἡ ὑπεροχή, ὅτι ἐκείνοις μὲν προφῆται ἀπεστάλησαν, ἡμῖν δὲ ὁ υἱός· ἀλλ' ὅτι ἐκείνων μὲν οὐδεὶς εἶδε τὸν Θεόν, ὁ δὲ υἱὸς ὁ μονογενὴς εἶδε. καὶ εὐθέως μὲν αὐτὸ οὐ τίθησι· διὰ δὲ τῶν ἑξῆς αὐτὸ κατασκευάζει, ὅταν * περὶ τῆς ἀνθρωπότητος λέγῃ, Πρὸς τίνα γὰρ τῶν ἀγγέλων εἴρηκεν, υἱός μου εἶ σύ, καί, κάθου ἐκ δεξιῶν μου; καὶ ὅρα τὴν σύνεσιν αὐτοῦ τὴν πολλήν. πρῶτον ἀπὸ προφητῶν δείκνυσι τὴν ὑπεροχήν.

Margin notes: χ. μέγα · χ. ἡμῶν; · Ὠσ. ιβ. · * χ

Εἶτα

τὴν τῆς ἀναστάσεως πίστιν σφόδρα αὐτῷ τοῦτο ἐχρησίμευεν. ἵνα γὰρ μὴ διὰ ὧν ἔπαθε διαπι- γ. ἦν
στῶσιν ὅτι ἀνέστη, ἀπὸ τῶν προφητῶν αὐτοὺς ἰσχυροποιεῖ. καὶ δείκνυσιν οὐκ ὄντα σεμνὰ τὰ Ἰουδαϊ-
Εβρ. ιγ. ιγ. κά, ἀλλὰ τὰ ἡμέτερα. καὶ ἐπειδὴ ἔτι ὁ ναὸς εἱστήκει, καὶ τὰ τῆς θυσίας, διὰ καὶ ἔλεγε, Τοίνυν
ἐξερχώμεθα ἔξω, τὸν ὀνειδισμὸν αὐτοῦ φέροντες. ἠνίξατο δὲ αὐτῷ καὶ τοῦτο. Εἰκὸς γὰρ ἦν
εἰπεῖν τινας, ὅτι εἰ ταῦτα σκιά, εἰ ταῦτα εἰκών, πῶς οὐ παρεχώρησεν, οὐδὲ παρ-
εξέστη τῆς ἀληθείας φανείσης, ἀλλ' ἔτι ταῦτα ἀνθεῖ; καὶ τοῦτο δὲ ἠρέμα ἠνίξατο ἐ-
σόμενον καὶ αὐτό, εἰς καιρὸν τὸν προσήκοντα. ὅτι δὲ πολὺν χρόνον γ. ἐν τοσούτῳ καὶ ὅτι πολὺν
Εβρ. ε. ιβ. εἶχον ἐν τῇ πίστει καὶ ταῖς θλίψεσιν ἐδήλωσε λέγων, Ὀφεί-
λοντες γὰρ εἶναι διδάσκαλοι διὰ τὸν χρόνον· καί,
Εβρ. γ. ιβ. Μήποτε ἔσται ἔν τινι ὑμῶν καρδία πονη-
Εβρ. ς. ιβ. ρὰ ἀπιστίας· καί, Μιμηταὶ γέ- γ. ἐγένεσθε
νησθε τῶν διὰ μα-
κροθυμίας κληρονο-
μούντων τὰς ἐπαγ-
γελίας.

[χ. τῷ] καὶ εἰκότως.] ἐν μὲν γὰρ τοῖς ἄλλοις ἔθνεσιν, ἔνθα καὶ Ἰουδαῖοι ἦσαν καὶ Ἕλληνες, οὐδὲν τοιοῦτον ἐγίνετο. ἐκεῖ δὲ ἐπειδή πως ἐδόκουν κρατεῖν καὶ αὐτονομεῖσθαι, καὶ πολλὰ καὶ τοῖς ἰδίοις νόμοις διῴκουν, οὔπω τῆς ἀρχῆς κατάστασιν ἐχούσης, οὐδὲ πλέον ὑπὸ Ῥωμαίοις κειμένης, εἰκότως πολλῇ τυραννίδι ἐκέχρηντο. εἰ γὰρ καὶ ἐν ἄλλαις πόλεσιν, ὥσπερ ἐν Κορίνθῳ, ἔτυπτον τὸν ἀρχισυνάγωγον ἔμπροσθεν τοῦ βήματος τοῦ ἀνθυπάτου, καὶ οὐδὲν τούτων τῷ Γαλλίωνι ἔμελεν· ἀλλ' οὐκ ἐν τῇ Ἰουδαίᾳ. ὁρᾷς γοῦν ὅτι ἐν μὲν ταῖς ἄλλαις πόλεσι τοῖς ἄρχουσιν αὐτὸν προσάγουσι, καὶ αὐτῶν δέονται εἰς βοήθειαν καὶ τῶν ἐθνῶν. [Πραξ. ιη. ιζ.] ἐνταῦθα δὲ οὐδεμίαν ἐποιοῦντο φροντίδα τούτου, ἀλλ' αὐτοὶ συνέδριον καθίζουσι, καὶ ἀναιροῦσιν οὓς ἂν ἐθέλωσιν. [χ. -ται τῶν ἐθνῶν εἰς βοήθειαν.] οὕτω γοῦν τὸν Στέφανον ἀνεῖλον, οὕτω τοὺς ἀποστόλους ἐμάστιξαν, οὐκ ἐπὶ ἄρχοντας ἀγαγόντες· οὕτω καὶ τὸν Παῦλον ἔμελλον ἀναιρεῖν, εἰ μὴ ὁ χιλίαρχος ἐπέρριψεν ἑαυτόν. ἔτι γὰρ τῶν ἱερέων ἑστώτων, ἔτι τοῦ ναοῦ, τῆς λατρείας τῶν θυσιῶν, τοῦτο ἐγίνετο. ὅρα γοῦν αὐτὸν τὸν Παῦλον ἐπὶ τοῦ ἱερέως κρινόμενον, καὶ λέγοντα, Οὐκ ᾔδειν ὅτι ἀρχιερεύς ἐστι, [Πραξ. κγ. ε.] καὶ ταῦτα ἐπὶ τοῦ ἄρχοντος. πολλὴν γὰρ εἶχε τότε ἐξουσίαν. ἐννόησον [οὖν] οἷα πάσχειν εἰκὸς ἦν τοὺς οἰκοῦντας τὰ Ἱεροσόλυμα καὶ τὴν Ἰουδαίαν. ὁ τοίνυν ἀνάθεμα ὑπὲρ τῶν μήπω πιστευσάντων εὐχόμενος γενέσθαι, καὶ τοῖς πιστοῖς οὕτω διακονῶν, ὡς καὶ αὐτὸς πορεύεσθαι, εἰ δέοι, καὶ πολλὴν πανταχοῦ πρόνοιαν αὐτῶν ποιησάμενος, τί θαυμαστὸν, εἰ καὶ διὰ γραμμάτων αὐτοὺς παρακαλεῖ καὶ παραμυθεῖται, καὶ ἀναπίπτοντας αὐτοὺς καὶ κειμένους ἀνορθοῖ; καὶ γὰρ τεταριχευμένοι λοιπὸν ἦσαν, καὶ ἀπεγνωκότες ταῖς πολλαῖς θλίψεσι. [χ. μὴ θαυμαστὸν, χ. τεταπεινωμένοι. χ. ἀπειρηκότες] καὶ τοῦτο πρὸς τῷ τέλει ἐμφαίνει λέγων, Διὸ τὰς παρειμένας χεῖρας καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε. [Ἑβρ. ιβ. ιβ.] καὶ πάλιν, Ἔτι μικρὸν ὅσον ὅσον, ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ. [Ἑβρ. ι λζ.] καὶ πάλιν, Εἰ ἐκτός ἐστε παιδείας, ἄρα νόθοι ἐστὲ, καὶ οὐχ υἱοί. [Ἑβρ. ιβ. η.] ἐπειδὴ γὰρ [καὶ] Ἰουδαῖοι ἦσαν, καὶ αὐτοὶ παρὰ τῶν πατέρων ἐμεμύηντο, ὅτι καὶ τὰ ἀγαθὰ καὶ τὰ κακὰ παρὰ πόδας ἐχρῆν προσδοκᾷν, καὶ οὕτω βιῶναι, τότε δὲ τοὐναντίον ἦν, τὰ μὲν ἀγαθὰ ἐν ἐλπίσι, καὶ μετὰ θάνατον, τὰ δὲ κακὰ ἐν χερσὶ, καὶ πο[illegible] καρτερησάντων αὐτῶν, εἰκὸς ἦν ὀλιγοψυχεῖν πολλούς, πολὺν ὑπὲρ τούτου ποιεῖται [illegible]λόγον. [χ. πόδας εἶχε, καὶ οὐκ ἰσχυὸν αὐτοῦ ...] ἀλλὰ ταῦτα μὲν ἐν καιρῷ τῷ προσήκοντι ἐπιλυσόμεθα· πῶς δὲ ὅτι ἀναγκαίως αὐτοῖς ἔγραφεν, ὧν τοσαύτην ἐποιεῖτο πρόνοιαν. καὶ γὰρ ἡ αἰτία, δι' ἣν οὐκ ἀπεστάλη πρὸς αὐτοὺς, δήλη ἦν. οὐ τοίνυν ἐκωλύετο γράφειν. ὅτι δὲ ὠλιγοψύχουν, δείκνυσιν, εἰπὼν, Τὰς παρειμένας χεῖρας καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε, καὶ τροχιὰς ὀρθὰς ποιήσατε. [Ἑβρ. ιβ. ιβ.] καὶ πάλιν, Οὐ γὰρ ἄδικος ὁ Θεὸς ἐπιλαθέσθαι τοῦ ἔργου ὑμῶν, καὶ τῆς ἀγάπης. [Ἑβρ. ς. ι.] ἡ ψυχὴ γὰρ * ὑπὸ πειρασμῶν πολλῶν καταληφθεῖσα, πολλάκις καὶ τῆς πίστεως ἐκτρέπεται. [χ. δὲ * αὐτῶν] διὸ παραινεῖ προσέχειν τοῖς ἀκουσθεῖσι, καὶ μὴ εἶναι καρδίαν πονηρὰν ἀπιστίας. [Ἑβρ. γ. ιβ.] διὰ τοῦτο καὶ ἐν ταύτῃ μάλιστα τῇ ἐπιστολῇ πολλὰ περὶ πίστεως διαλέγεται, καὶ παραδείγματα πολλὰ [χ. μετὰ] ἐν τῷ τέλει δείκνυσιν· ὅτι κἀκείνοις παρὰ πόδας τὰ ἀγαθὰ ἐπηγγέλλετο, καὶ οὐδὲν ἔδωκε. καὶ χωρὶς τούτων, ἵνα μὴ ἐγκαταλελεῖφθαι νομίσωσι, δύο ταῦτα κατασκευάζει· ἓν μὲν πρὸς τὸ φέρειν πάντα γενναίως τὰ συμπίπτοντα, ἕτερον δὲ πρὸς τὸ πάντως προσδοκᾷν τὴν ἀμοιβήν. οὐ γὰρ δὴ περιόψεται τοὺς περὶ Ἄβελ καὶ τοὺς καθεξῆς δικαίους ἀπεράστους. καὶ ποιεῖται τὴν παράκλησιν ἀπὸ τριῶν τρόπων. ἕνα μὲν, ἐξ ὧν ἔπαθεν ὁ Χριστὸς· καθὼς καὶ αὐτὸς λέγει, Οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ· [Ιωαν. ιγ. ις.] ἕτερον δὲ, ἐξ ὧν ἀπόκειται τοῖς πιστεύουσιν ἀγαθῶν· καὶ τρίτον, ἐκ τῶν κακῶν. καὶ τοῦτο οὐκ ἀπὸ τῶν μελλόντων ἰσχυρίζεται μόνον, ὅπερ ἧττον ἦν πιθανὸν, ἀλλὰ καὶ ἀπὸ τῶν προελθόντων, καὶ γενομένων εἰς τοὺς πατέρας αὐτῶν. τοῦτο καὶ ὁ Χριστὸς ποιεῖ, λέγων ποτὲ μὲν, Οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ· καὶ πάλιν, Πολλαὶ μοναί εἰσι παρὰ τῷ πατρί· [Ιωαν. ιδ. β.] καὶ μυρία ταλανίζει τοὺς μὴ πεπιστευκότας. ποιεῖται δὲ πολὺν λόγον καὶ περὶ τῆς καινῆς καὶ παλαιᾶς διαθήκης. καὶ γὰρ πρὸς

τὴν

ὅταν * τις ἐξ ἐθνῶν ἀποπηδήσῃ τινός, ἂν μὲν τῶν ἐλαχίστων ᾖ καὶ οὐδενὸς ἀξίων λόγου, οὐ πάνυ δάκνει τοὺς ἀφ' ὧν διεχώρησεν· ἂν δὲ τῶν θαυμαστῶν καὶ σφόδρα ζηλωτῶν, καὶ τὰ ἐκείνων φρονούντων, μάλιστα αὐτοὺς ἀλγυνεῖ, καὶ μεθ' ὑπερβολῆς λυπεῖ, ἅτε μάλιστα αὐτῶν καθαιροῦν τὸ δόγμα, τῷ προσελθεῖν ἄλλοις, ἐκείνων ἀποπηδήσαντα. καὶ ἄλλο δὲ τούτῳ πρόσεστι τὴν ἀπιστίαν ἐργαζόμενον. ποῖον δὴ τοῦτο; οἱ μὲν περὶ Πέτρον καὶ συνεγένοντο τῷ Χριστῷ, καὶ σημεῖα εἶδον καὶ θαύματα· οὗτος δὲ οὐδενὸς τούτων ἀπολελαυκώς, ἀλλὰ μετὰ Ἰουδαίων ὢν ἐξαίφνης ηὐτομόλησε, καὶ γέγονεν εἷς ἐξ αὐτῶν· ὃ μάλιστα ἤρκει τὰ ἡμέτερα ἐπαίρειν. ἐκεῖνοι μὲν γὰρ καὶ χάριτι ἐδόκουν μαρτυρεῖν· καὶ εἴποι ἄν τις * ὅτι τῶν διδασκάλων ποθοῦντες ταῦτα μαρτυροῦσιν. ὁ δὲ τῇ ἀναστάσει μαρτυρῶν, οὗτος μάλιστα ἦν, ὁ φωνῆς μόνης ἀκούσας. διὰ τοῦτο ὁρᾷς αὐτοὺς ἐκθύμως πολεμοῦντας αὐτῷ, καὶ πάντα ὑπὲρ τούτου πράττοντας καὶ στασιάζοντας, ὥστε ἀνελεῖν αὐτόν. ἀλλ' οἱ μὲν ἄπιστοι διὰ τοῦτο αὐτῷ ἀπεχθῶς εἶχον· οἱ δὲ πιστεύσαντες, τίνος ἕνεκεν; ἐπειδὴ ἠνάγκαζεν τοῖς ἔθνεσι κηρύττων καθαρῶς κηρύττειν τὸν χριστιανισμόν· καὶ εἴ που καὶ ἐν Ἰουδαίᾳ ἀπελήφθη, οὐκ ἐφρόντιζε. Πέτρος μὲν γὰρ καὶ οἱ περὶ αὐτόν, ἅτε ἐν Ἱεροσολύμοις κηρύττοντες, ἔνθα πολὺς ἦν ὁ ζῆλος, ἀνάγκην εἶχον τὸν νόμον [κελεύειν] τηρεῖν. οὗτος δὲ ἐν ἐλευθερίᾳ πολλῇ ἦν· καὶ πλείους ἦσαν οἱ ἐξ ἐθνῶν, ἢ οἱ Ἰουδαῖοι, ἅτε ἐκτὸς ὄντες. καὶ τούτῳ παρέλυε τὸν νόμον· καὶ οὐ τοσαύτην εἶχον περὶ αὐτοὺς εὐλάβειαν, ὅτι πάντα καθαρῶς ἐκήρυττεν. ἀμέλει * ἐν τούτῳ αὐτοὶ δοκοῦσι καταιδεῖν τὸ πλῆθος, λέγοντες, Θεωρεῖς, ἀδελφέ, πόσαι μυριάδες εἰσὶν Ἰουδαίων τῶν πεπιστευκότων. διὰ τοῦτο αὐτοὶ ἐμίσουν καὶ ἀπεστρέφοντο, ὅτι κατηχήθησαν, φησὶ, περὶ σοῦ, ὅτι ἀποστασίαν ἀπὸ τοῦ νόμου διδάσκεις. τίνος οὖν ἕνεκεν οὐκ ὢν τῶν Ἰουδαίων διδάσκαλος ἐπιστέλλει αὐτοῖς; ποῦ δὲ οὖσιν ἐπέστελλεν; ἐμοὶ δοκεῖ, ἐν Ἱεροσολύμοις καὶ Παλαιστίνῃ. πῶς οὖν ἐπιστέλλει; [α. Κορ. α. ιζ.] ὥσπερ καὶ βαπτίσαι οὐκ ἐπετράπη, καὶ ἐβάπτιζεν. Οὐ γὰρ ἀπέσταλκε με, φησὶ, βαπτίζειν· οὐ μὴν ἐκωλύθη, ἀλλ' ἐκ παρέργου τοῦτο ποιεῖ. πῶς δὲ οὐκ ἂν ἐπέστελλε τούτοις, ὑπὲρ ὧν καὶ [Ρωμ. θ. γ. Εβρ. ιγ. κγ.] ἀνάθεμα γενέσθαι ἤθελε; διὰ τοῦτο ἔλεγε, Γινώσκετε τὸν ἀδελφὸν Τιμόθεον ἀπολελυμένον· μεθ' οὗ, ἐὰν τάχιον ἔρχηται, ὄψομαι ὑμᾶς. οὔπω γὰρ συνειλημμένος ἦν. δύο μὲν οὖν ἔτη ἐποίησεν ἐν Ῥώμῃ δεδεμένος. εἶτα ἀφείθη· εἶτα εἰς τὰς Σπανίας ἦλθεν· εἶτα εἰς Ἰουδαίαν ἔβη, ὅτε καὶ Ἰουδαίους εἶδε. καὶ τότε πάλιν ἦλθεν εἰς Ῥώμην, ὅτε καὶ ὑπὸ Νέρωνος ἀνῃρέθη. ταύτης μὲν οὖν τῆς ἐπιστολῆς πρεσβυτέρα ἡ πρὸς Τιμόθεον. ἐκεῖ γὰρ [β. Τιμ. δ. ς. καὶ ις.] φησιν, Ἐγὼ γὰρ ἤδη σπένδομαι. καὶ ἐκεῖ πάλιν φησίν, Ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ οὐδείς μοι συμπαρεγένετο. πολλαχοῦ γὰρ ἤθλησε· καθὼς καὶ Θεσσαλονικεῦσιν ἐπιστέλλων λέγει, [α Θεσ. β. ιδ. Εβρ. ι. λδ.] Μιμηταὶ ἐγένεσθε τῶν ἐκκλησιῶν τῆς Ἰουδαίας. καὶ αὐτοῖς δὲ τούτοις γράφων φησί, Μετὰ χαρᾶς τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν προσεδέξασθε. ὁρᾷς ἀθλοῦντας αὐτούς; εἰ δὲ τοῖς ἀποστόλοις οὕτως ἐπεχείρουν οὐκ ἐν Ἰουδαίᾳ μόνον, ἀλλὰ καὶ ὅπου μεταξὺ ἐθνῶν ἦσαν, τί οὐκ ἂν ἐποίησαν τοῖς πιστοῖς; διὰ τοῦτο αὐτῶν μάλιστα ὁρᾷς αὐτὸν φροντίζοντα. [Ρωμ. ιε. κε. β. Κορ. η. γ. α. Κορ. ις. δ. Γαλατ. β. θ. καὶ ι.] ὅταν γὰρ λέγῃ, Πορεύομαι διακονῶν τοῖς ἁγίοις τοῖς ἐν Ἱεροσολύμοις· καὶ πάλιν ὅταν Κορινθίους παρακαλῇ πρὸς τὴν εὐποιΐαν, καὶ Μακεδόνας λέγῃ εἰσενηνοχέναι, καί φησιν, Ἐὰν ᾖ ἄξιον κἀμὲ πορεύεσθαι, τοῦτο λέγει. καὶ ὅταν λέγῃ, μόνον τῶν πτωχῶν ἵνα μνημονεύωμεν, ὃ καὶ ἐσπούδασα αὐτὸ τοῦτο ποιῆσαι, τοῦτο λέγει. καὶ ὅταν λέγῃ, Δεξιὰς ἔδωκαν ἐμοὶ καὶ Βαρνάβᾳ κοινωνίας, ἵνα ἡμεῖς μὲν εἰς τὰ ἔθνη, αὐτοὶ δὲ εἰς τὴν περιτομήν, τοῦτο λέγει. ταῦτα δὲ οὐχ ἁπλῶς φησι περὶ τῶν πτωχῶν τῶν ἐκεῖ, ἀλλ' ὥστε ἐν ἐκείνῳ κοινωνεῖν ἡμᾶς τῆς εὐποιΐας. οὐ γὰρ ὥσπερ τὸ κήρυγμα ἑαυτοῖς ἀπενειμάμεθα, καὶ ἡμεῖς μὲν εἰς τὰ ἔθνη, ἐκεῖνοι δὲ εἰς τὴν περιτομήν, οὕτω καὶ τὴν πρόνοιαν τῶν πτωχῶν, φησίν, ἐνειμάμεθα. καὶ πανταχοῦ ὁρᾷς αὐτῶν πολλὴν πρόνοιαν τὸν Παῦλον ποιούμενον·

[καὶ

Marginal notes (right): * γοῦν — χ. δεῖμα περὶ τοῖς πολλοῖς. καὶ — * εἰκότως. — χ. προσεῖχον — χ. ἔθνει — χ. ἀπελήφθη — χ. τοῦτο — χ. εἶχον — χ. χάριν — * χ. — χ. Σπανίας ἐλθὼν ὅτε καὶ Ἰουδαίους ἴδοι καὶ τότε πάλιν ἦλθεν εἰς Ῥώμην. — χ. παρεγένετο. — χ. ἐποίουν

Digitized by Google

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

# ΙΩΑΝΝΟΥ

## ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ

### ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

τοῦ Χρυσοστόμου ἑρμηνεία εἰς τὴν πρὸς Ἑβραίους ἐπιστολήν, ἐκτεθεῖσα ἀπὸ σημειώσεων μετὰ τὴν κοίμησιν αὐτοῦ, παρὰ Κωνσταντίνου πρεσβυτέρου Ἀντιοχείας.

χ. πρεσβύτου

## ΥΠΟΘΕΣΙΣ [ΚΑΙ ΑΙΤΙΟΛΟΓΙΑ] ΤΗΣ ἐπιστολῆς κεφαλαιώδης.

Ῥωμαίοις γράφων ὁ μακάριος Παῦλός φησιν, Ἐφ' ὅσον μὲν [οὖν] εἰμι ἐγὼ ἐθνῶν ἀπόστολος, τὴν διακονίαν μου δοξάζω· εἴ πως παραζηλώσω μου τὴν σάρκα. (Ῥωμ. ια. ιγ.) καὶ πάλιν ἀλλαχοῦ, Ὁ γὰρ ἐνεργήσας Πέτρῳ εἰς ἀποστολὴν τῆς περιτομῆς, ἐνήργησε κἀμοὶ εἰς τὰ ἔθνη. (Γαλ. β. η.) Εἰ τοίνυν ἐθνῶν ἀπόστολος ἦν (καὶ γὰρ καὶ ἐν ταῖς πράξεσί φησι πρὸς αὐτὸν ὁ Θεός, Πορεύου· ὅτι εἰς ἔθνη μακρὰν ἀποστελῶ σε) (Πράξ. κβ. κα.) τί κοινὸν πρὸς Ἑβραίους εἶχε; τί δὲ αὐτοῖς ἐπέστελλεν; οὐ μὴν ἀλλὰ καὶ αὐτοὶ πρὸς αὐτὸν ἀπεχθῶς διέκειντο· καὶ τοῦτο πολλαχόθεν ἐστὶν ἰδεῖν. ἄκουσον γὰρ τί φησιν ὁ Ἰάκωβος πρὸς αὐτόν· Θεωρεῖς, ἀδελφέ, πόσαι μυριάδες εἰσὶν Ἰουδαίων τῶν πεπιστευκότων; καὶ οὗτοι πάντες κατηχήθησαν περὶ σοῦ, ὅτι ἀποστασίαν ἀπὸ τοῦ νόμου διδάσκεις. (Πράξ. κα. κ.) καὶ πολλαὶ ζητήσεις αὐτῷ πολλάκις ἐγένοντο περὶ τούτου. τίνος οὖν ἕνεκεν ζητήσειεν ἄν τις, ὁ νομομαθὴς (παρὰ γὰρ τοὺς πόδας Γαμαλιὴλ τὸν νόμον ἐξεπαιδεύετο, καὶ πολὺς ἦν αὐτῷ ζῆλος τοῦ πράγματος) καὶ ταύτῃ μάλιστα δυνάμενος ἐντρέψαι, οὐχὶ πρὸς Ἰουδαίους ἔπεμπεν ὁ Θεός; ὅτι ταύτῃ μάλιστα πλέον διὰ αὐτὸν ἐξεπολεμώθησαν. τοῦτο τοίνυν προειδὼς ὁ Θεός, καὶ ὅτι οὐκ ἀνέξονται αὐτοῦ, Πορεύου εἰς τὰ ἔθνη, φησὶ πρὸς αὐτόν· Διότι οὐ παραδέξονταί σου τὴν μαρτυρίαν περὶ ἐμοῦ. (Πράξ. κβ. ιθ.) Εἶτα αὐτός φησι, Ναὶ, Κύριε, αὐτοὶ ἐπίστανται, ὅτι ἐγὼ ἤμην φυλακίζων καὶ δέρων κατὰ τὰς συναγωγὰς τοὺς πιστεύοντας ἐπὶ σέ· Καὶ ὅτι ἐξεχεῖτο τὸ αἷμα Στεφάνου τοῦ μάρτυρός σου, καὶ αὐτὸς ἤμην ἐφεστὼς καὶ συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ, φυλάττων τὰ ἱμάτια τῶν ἀναιρούντων αὐτόν. καὶ τοῦτο αὐτὸ δείκνυσι σημεῖον εἶναι [καὶ ἀπόδειξιν] τοῦ μὴ πιστεῦσαι αὐτῷ. καὶ γὰρ οὕτως εἶχεν·

ὅταν

χ. φαίνεται μὲν τ. ὁ Θεὸς λέγων, πορ. χ. Ἑβραίοις οὐδὲν ἔχων, ἐπέστελλεν αὐτοῖς, αὐτῶν πάντων σφόδρα ἀπεχθανομένων αὐτῷ; ὅτι δὲ πρὸς αὐτὸν ἀπεχθῶς διέκειντο πολλαχόθεν ἐστὶ τοῦτο ἰδεῖν.

Digitized by Google

Digitized by Google

τῷ αἵματι τοῦ ἀνδραπόδου· οὐχ ὑποτιθέμενος (μὴ γένοιτο) ἀλλὰ διδάσκων μὴ τὰ αὐτὰ πάθη, καθαρώτερον τὸν ἑαυτοῦ βίον ἐργάσεται). πολλῆς ἄρα τοῦτο κηδεμονίας ἐστί. καὶ, φησιν, ἀλλ' ἀπειλῆσαι μόνον ἐχρῆν, μὴ μέντοι καὶ κολάσαι. Εἰ κολάζει, καὶ λέγεις, ὅτι ἀπειλὴ τὸ πρᾶγμά ἐστι, καὶ διὰ τοῦτο ῥᾳθυμότερος γίνῃ, εἰ οὕτως ἀπειλὴ μόνον ἦν, οὐκ ἂν ὑπτιώτερος γένοιο; Οἱ Νινευῖται εἰ ᾔδεισαν ὅτι ἀπειλὴ τὸ πρᾶγμα ἦν, οὐκ ἂν μετενόησαν· ἐπειδὴ δὲ μετενόησαν, μέχρι ῥημάτων τὴν ἀπειλὴν ἔστησαν. βούλει αὐτὸ ἀπειλὴν εἶναι; σὺ κύριος εἶ τοῦ πράγματος· γενοῦ βελτίων, καὶ ἵσταται μέχρι τῆς ἀπειλῆς. ἂν δὲ, ὅπερ ἀπείη, καταφρονήσῃς τῆς ἀπειλῆς, ἥξεις ἐπὶ τὴν πεῖραν. Οἱ * τοῦ κατακλυσμοῦ, εἰ τὴν ἀπειλὴν ἔδεισαν, οὐκ ἂν τὴν πεῖραν ὑπέμειναν. καὶ ἡμεῖς, ἐὰν φοβηθῶμεν τὴν ἀπειλὴν, οὐχ ὑποστησόμεθα τὴν πεῖραν· μηδὲ γένοιτο, ἀλλὰ παράσχοι ὁ φιλάνθρωπος Θεὸς πάντας ἡμᾶς ἐντεῦθεν ἤδη σωφρονισθέντας, τῶν ἀπορρήτων ἐκείνων ἐπιτυχεῖν ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀμήν.

γ ἐργάζεται.

* πρὸ

μεν. Διελέχθην περὶ γεέννης πρὸς ὑμᾶς πρώην, καὶ ἀνεβαλόμην τὸν περὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας λόγον· σήμερον οὖν αὐτὸν ἀποδοῦναι καλόν. ὅτι μὲν οὖν ἔσται γέεννα, ἱκανῶς (ὡς ἐμαυτῷ δοκῶ) πάλαι ἀπεδείξαμεν, τὸν κατακλυσμὸν εἰς μέσον ἐνεγκόντες, καὶ τὰ πρότερα κακά, καὶ εἰπόντες ὅτι οὐχ οἷόν τε τὸν ἐκεῖνα ποιήσαντα ἀτιμωρήτους ἐᾶσαι τοὺς νῦν. (γ. τῶν) εἰ γὰρ τοὺς πρὸ τοῦ νόμου ἁμαρτόντας οὕτως ἐκόλασε, τοὺς μείζονα κακὰ ἐργασαμένους μετὰ τὴν χάριν ἀτιμωρήτους οὐκ ἀφήσει. ἐζητεῖτο τοίνυν, πῶς οὖν ἀγαθός; πῶς δὲ φιλάνθρωπος, εἴ γε κολάζει; καὶ ἀνεβαλόμεθα τὸν λόγον, ὥστε μὴ τῷ πλήθει καταχῶσαι τὰς ἀκοὰς τὰς ὑμετέρας. φέρε τήμερον ἀποδῶμεν τὸ χρέος, καὶ δείξωμεν πῶς ἀγαθὸς ὁ Θεὸς καὶ κολάζων. καὶ γὰρ καὶ πρὸς τοὺς αἱρετικοὺς ἡμῖν ὁ λόγος οὗτος ἁρμόσειεν ἄν· ὥστε μετὰ σπουδῆς προσέχωμεν. οὐδενὸς δεόμενος ὁ Θεὸς τῶν παρ' ἡμῶν, ἐποίησεν ἡμᾶς. ὅτι δὲ οὐδενὸς ἐδεῖτο, ἐδήλωσεν ἐκ τοῦ μετὰ ταῦτα ποιῆσαι. εἰ γὰρ ἐδεῖτο, πάλαι ἂν ἐποίησεν. εἰ δὲ καὶ χωρὶς ἡμῶν ἦν αὐτός, ἡμεῖς δὲ ἐν ὑστέροις χρόνοις γεγόναμεν, οὐ δεόμενος ἡμῶν ἐποίησεν ἡμᾶς. ἐποίησεν οὐρανόν, γῆν, θάλατταν, πάντα τὰ ὄντα δι' ἡμᾶς. ταῦτα οὐκ ἀγαθότητος, εἰπέ μοι; καὶ πολλὰ ἄν τις ἔχοι λέγειν. ἀλλ' ἵνα συντέμωμεν τὸν λόγον, ἀνατέλλει τὸν ἥλιον ἐπὶ πονηροὺς

Mat. ε. με. καὶ ἀγαθούς, βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους. τοῦτο οὐκ ἀγαθότητος; οὔ, φησι. καὶ γάρ ποτε πρός τινα Μαρκιωνιστὴν ἔλεγον, ἆρα οὐκ ἀγαθότητος ταῦτα; καὶ ἔφησεν, οὔ· εἰ μὴ τὸν λόγον ἀπῄτει τῶν ἁμαρτημάτων, ἀγαθότητος ἦν· εἰ δὲ ἀπαιτεῖ, οὐκ ἀγαθότητος. ἀλλ' ἐκεῖνος μὲν οὐ πάρεστι νῦν· φέρε δὲ τὰ τότε λεχθέντα εἴπωμεν, καὶ πλείονα τούτων. ἐγὼ γὰρ δείκνυμι ἐκ περιουσίας, ὅτι εἰ μὴ ἀπῄτει λόγον, οὐκ ἀγαθός· ἐπειδὴ δὲ ἀπαιτεῖ, διὰ τοῦτο ἀγαθός. εἰπὲ γάρ μοι, εἰ μὴ ἀπῄτει λόγον ἡμᾶς, ἆρα ἂν ἔστη ὁ βίος ὁ ἀνθρώπινος; ἆρα οὐκ ἂν εἰς θηρία ἐξεπέσομεν; εἰ γάρ, ἐπικειμένου φόβου, καὶ εὐθυνῶν, καὶ δικαστηρίων, τοὺς ἰχθῦς παρηλάσαμεν ἀλλήλους καταπίνοντες, τοὺς λέοντας καὶ τοὺς λύκους ἀπεκρύψαμεν τὰ ἀλλήλων ἁρπάζοντες, εἰ μὴ λόγον ἡμᾶς ἀπῄτει, καὶ τοῦτο πεπείσμεθα, πόσης ἂν συγχύσεως καὶ τύρβης ἐπληρώθη ὁ βίος; τίς ἦν ὁ μεθυόμενος διευρινῆς λοιπὸν πρὸς τὴν ἀταξίαν τὴν κοσμικήν; οὐκ ἂν εἶδες μυρίας ἀτοπίας καὶ ἀταξίας; τίς γὰρ ἂν ᾐδέσθη πατέρα λοιπόν; τίς δὲ ἂν ἐφείσατο μητρός; τίς δὲ ἂν πᾶσαν ἡδονήν, πᾶσαν κακίαν παρέλιπε; καὶ ὅτι ταῦτα οὕτως ἔχει, ἀπὸ μιᾶς οἰκίας μόνης ἐγώ σοι πιστῶσαι πειράσομαι. πῶς; ἐὰν ὑμῶν τῶν ταῦτα ἐρωτώντων, καὶ οἰκέτας ἐχόντων, δῆλον ποιήσω τούτοις, ὅτι κἂν διαφθείρωσι τὴν δεσποτείαν, καὶ εἰς τὸ σῶμα ἐκείνων ἐνυβρίσωσι, κἂν πάντα ἐκφέρωσι, κἂν τὰ ἄνω κάτω ἐργάσωνται, καὶ τὰ τῶν ἐχθρῶν αὐτῶν διαθῶσιν, οὐκ ἀπειλοῦσιν, οὐ κολάζουσιν, οὐ τιμωρήσονται, οὐδὲ μέχρι ῥημάτων λυπήσουσιν, ἆρα δοκεῖ ταῦτα ἀγαθότητος εἶναι; ἀλλ' ἐγὼ δείκνυμι, ὅτι ὠμότητός ἐστι τῆς ἐσχάτης, οὐ μόνον τῷ τὴν γυναῖκα καὶ τὰ παιδία προδίδοσθαι διὰ ταύτης τῆς ἀκαίρου χρηστότητος, ἀλλὰ καὶ τῷ αὐτοὺς ἐκείνους πρὸ τούτων ἀπόλλυσθαι. καὶ γὰρ μέθυσοι, καὶ ἀσελγεῖς, καὶ ἀκόλαστοι, καὶ ὑβρισταί, καὶ πάντων θηρίων ἔσονται ἀλογώτεροι. τοῦτο οὖν ἀγαθότητος, εἰπέ μοι, εὐγένειαν τῆς ψυχῆς καταπατῆσαι, καὶ ἑαυτοὺς καὶ ἀλλήλους προσαπολέσαι; ὁρᾷς ὅτι τὸ εὐθύνας ἀπαιτεῖν τοῦτό ἐστι τὸ πολλῆς χρηστότητος ὄν; καὶ τί λέγω οἰκέτας τοὺς προχειρότερον ἐπὶ τὰ ἁμαρτήματα ταῦτα ἐρχομένους. ἀλλ' ἐχέτω τις υἱούς, καὶ πάντα ἐπιτρεπέτω τολμᾶν ἐκείνοις, καὶ μὴ κολαζέτω, τίνος οὖν οὐκ ἔσονται χείρους, εἰπέ μοι; εἶτα ἐπὶ μὲν ἀνθρώπων τὸ κολάζειν ἀγαθότητος, τὸ δὲ μὴ κολάζειν ὠμότητος, ἐπὶ δὲ Θεοῦ οὐκέτι; ὥστε ἐπειδὴ ἀγαθός ἐστι, διὰ τοῦτο γέενναν προητοίμασε. βούλεσθε καὶ ἄλλην εἴπω ἀγαθότητα τοῦ Θεοῦ; οὐ τοῦτο μόνον, ἀλλ' ὅτι καὶ τοὺς ἀγαθοὺς οὐκ ἀφίησι λυμαίνεσθαι κακούς. εἰ γὰρ ἔμελλον τῆς αὐτῆς τυγχάνειν, πάντες ἂν ἐγένοντο κακοί· νῦν δὲ οὐ μικρῶς καὶ τοῦτο παραμυθεῖται τοὺς ἀγαθούς. ἄκουε γὰρ τοῦ προφήτου λέγοντος· Εὐφρανθήσεται δίκαιος, ὅταν ἴδῃ ἐκδίκησιν ἀσεβῶν, τὰς χεῖρας αὐτοῦ νίψεται ἐν

τῷ

μὴ δι' αὐτὸν ἐκεῖνον, ἀλλὰ διὰ τοῦτον εἰκὸς ἀκουσθῆναι. ὁ γὰρ ἐν θλίψει ὢν, καὶ τὰ αὑτοῦ ἀφεὶς, καὶ τὰ τῶν ἄλλων μεριμνῶν, ὀφείλει ἀκούεσθαι. καὶ ἄλλως δὲ ἐντρέπει αὐτὸν, εἴγε ὁ πολίτης ἐκείνου, καὶ συναιχμάλωτος γέγονεν αὐτῷ καὶ συγκακουχεῖται· οὗτος δὲ οὐδὲ χάριν δίδωσιν ὑπὲρ ἰδίου οἰκέτου. καὶ προσέθηκε, συναιχμάλωτός μου ἐν Χριστῷ Ἰησοῦ, ἀντὶ τοῦ, διὰ Χριστόν.

23 Μάρκος, Ἀρίσταρχος, Δημᾶς, Λουκᾶς, οἱ συνεργοί μου.

Τί δὴ τὸν Λουκᾶν τελευταῖον τέθεικε; καίτοιγε φησὶν ἀλλαχοῦ, Λουκᾶς ἐστι μόνος μετ' ἐμοῦ, καὶ Δημᾶς, φησὶν, εἷς τῶν ἐγκαταλιπόντων αὐτόν ἐστι, καὶ ἀγαπησάντων τὸν νῦν αἰῶνα. ταῦτα δὲ εἰ καὶ ἑτέρωθι εἴρηται, ἀλλ' ὅμως οὐκ ἀνεξέταστα δεῖ ἀφεῖναι, οὐδὲ ἁπλῶς ἀκούειν, οὐδὲ ὡς ἔτυχε. πῶς δὲ λέγει ἀσπάσασθαι αὐτοὺς τὸν ἐγκαταλιπόντα αὐτόν; Ἔραστος γάρ, φησιν, ἔμεινεν ἐν Κορίνθῳ. τὸν μὲν οὖν Ἐπαφρᾶν καὶ ὡς γνώριμον αὐτοῖς καὶ ἐκεῖθεν ὄντα προστίθησι, καὶ Μάρκον ὡς καὶ αὐτὸν θαυμαστόν. τί δαὶ τούτοις συναριθμεῖ τὸν Δημᾶν; ἴσως μετὰ ταῦτα γέγονε ῥαθυμότερος, ὅτε τοὺς κινδύνους εἶδε τοὺς πολλούς. ὁ μέντοι Λουκᾶς ἔσχατος ὢν, ἐγένετο πρῶτος. καὶ ἀπὸ τούτων δὲ αὐτὸν προσαγορεύων προτρέπει αὐτὸν πλέον εἰς τὴν ὑπακοὴν, καὶ συνεργοὺς καλεῖ, καὶ ταύτῃ δυσωπῶν αὐτὸν πρὸς τὴν αἴτησιν.

(Right margin: β. Τιμ. δ. ια. — β. Τιμ. δ. κ.)

(Left margin: χ. αὐτοῦ — χ. ἐντρέπων πλέον εἰς τὴν αἴτησιν, — χ. αὐτοὺς)

Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τοῦ πνεύματος ὑμῶν. Ἀμήν.

ΗΘΙΚΟΝ

Εὐχῇ τὴν ἐπιστολὴν κατέκλεισεν. ἡ δὲ εὐχὴ μέγα μὲν ἀγαθὸν, καὶ σωτήριον, καὶ τῶν ψυχῶν τῶν ἡμετέρων φυλακτήριον· μέγα δὲ, ὅταν ἄξια αὐτῆς πράττωμεν, καὶ μὴ ἀναξίους ἑαυτοὺς κατασκευάζωμεν. καὶ σὺ τοίνυν ὅταν προσέλθῃς τῷ ἱερεῖ, κἀκεῖνος εἴπῃ, ἐλεήσει σε ὁ Θεὸς, τέκνον, μὴ τῷ ῥήματι θάρρει μόνον, ἀλλὰ καὶ τὰ ἔργα πρόσθες· ποίει τὰ ἐλέους ἄξια. εὐλογήσει σε ὁ Θεὸς, τέκνον. εἰ μὲν ποιεῖς τὰ τῆς εὐλογίας, εὐλόγηται, εἰ ἐλεεῖς τὸν πλησίον. ὧν γὰρ βουλόμεθα τυχεῖν παρὰ τοῦ Θεοῦ, τούτων πρότερον μεταδιδόναι τοῖς πλησίον ὀφείλομεν. ἂν δὲ τοὺς πλησίον αὐτῶν ἀποστερῶμεν, πῶς τυχεῖν αὐτῶν βουλόμεθα; Μακάριοι, φησὶν, οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται. εἰ γὰρ ἄνθρωποι τοὺς τοιούτους ἐλεοῦσι, πολλῷ μᾶλλον ὁ Θεὸς, τοὺς δὲ μὴ ἐλεοῦντας, οὐκέτι. Ἀνίλεως γὰρ ἡ κρίσις τῷ μὴ ποιήσαντι ἔλεον. καλὸν τὸ πρᾶγμα; τί οὖν αὐτὸ οὐκ ἐποίησας ἑτέρῳ; βούλει συγγνωσθῆναι πλημμελῶν; τί οὖν αὐτὸς οὐ συνέγνως τῷ πεπλημμεληκότι; ἀλλὰ προσέρχῃ μὲν τῷ Θεῷ βασιλείαν οὐρανῶν αἰτῶν, αὐτὸς δὲ ἀργύριον αἰτηθεὶς οὐκ ἔδωκας. διὰ τοῦτο οὐκ ἐλεούμεθα, ἐπειδὴ οὐκ ἐλεοῦμεν. διὰ τί, φησί; καὶ μὴν τοῦτο ἔλεός ἐστι, τὸ τοὺς ἀνελεήμονας ἐλεεῖν. ὁ γὰρ τὸν ὠμὸν καὶ ἀπηνῆ καὶ μυρία τῷ πλησίον ἐνδεικνύμενον κακὰ φιλανθρωπευσάμενος, πῶς ἂν ἐλεήμων εἴη; τί οὖν φησι; τὸ λουτρὸν οὐχὶ μυρία ἡμᾶς ἐργασαμένους κακὰ ἔσωσε; ἀπήλλαξεν ἐκείνων, οὐχ ἵνα πάλιν αὐτὰ πράττωμεν, ἀλλ' ἵνα μὴ πράττωμεν. Εἰ γὰρ ἀπεθάνομεν, φησὶ, τῇ ἁμαρτίᾳ, πῶς ἔτι ζήσομεν ἐν αὐτῇ; Τί οὖν; ἁμαρτησόμεθα ὅτι οὐκ ἐσμὲν ὑπὸ νόμον; μὴ γένοιτο. διὰ τοῦτό σε ἐκείνων ἀπήλλαξεν, ἵνα μηκέτι παλινδρομήσῃς πρὸς τὴν ἀηδίαν ἐκείνην· ἐπεὶ καὶ ἰατροὶ τοὺς πυρέττοντας ἀπαλλάττουσι τῆς φλογὸς, οὐχ ἵνα τῇ ὑγείᾳ πρὸς κάκωσιν ἀποχρήσωνται καὶ ἀταξίαν (ἐπεὶ βέλτιον νοσεῖν, εἴγε μέλλοι τις διὰ τὸ ὑγιαίνειν, ἵνα πάλιν τῇ κλίνῃ προσηλώσῃ ἑαυτὸν) ἀλλ' ἵνα μαθόντες τὰ ἀπὸ τῆς ἀρρωστίας κακὰ, μηκέτι τοῖς αὐτοῖς περιπίπτωσιν, ἵνα ἀσφαλέστερον τῆς ὑγείας ἔχωνται, ἵνα πάντα πράττωσι τὰ πρὸς ταύτην συντελοῦντα. πῶς οὖν ἡ φιλανθρωπία τοῦ Θεοῦ, φησιν, εἴγε μὴ μέλλοι σώζειν τοὺς κακούς; πολλαχοῦ γὰρ καὶ τοῦτο πολλοὺς ἀκούω λέγοντας, ὅτι φιλάνθρωπός ἐστι, καὶ πάντως σώσει πάντας. ἵν' οὖν μὴ μάτην ἑαυτοὺς ἀπατῶμεν (καὶ γὰρ μέμνημαι τοιαύτην τινὰ ὑποσχόμενος ὑμῖν ὑπόσχεσιν) φέρε τήμερον τὸν λόγον τοῦτον κινήσω-

(Right margin: Ματθ. ε. — Ιακ. β. ιγ. — Ρωμ. ς. β. ιε.)

ἡ τῶν χρημάτων ζημία δάκνειν εἴωθε τοὺς ἀνθρώπους, ἵνα μηδὲ ὑπὲρ τούτων ἐγκαλέσῃ (εἰκὸς γὰρ αὐτὰ καὶ κατηναλῶσθαι) τότε τοῦτο τίθησι καί φησιν, εἰ δέ τι ἠδίκησεν. οὐκ εἶπεν, εἰ δὲ ἔκλεψεν, ἀλλὰ τί; εἴ τι ἠδίκησεν. ἅμα καὶ τὸ ἁμάρτημα ὡμολόγησε, καὶ οὐχ ὡς δούλου ἁμάρτημα, ἀλλ' ὡς φίλου πρὸς φίλον, τῷ τῆς ἀδικίας μᾶλλον, ἢ τῷ τῆς κλοπῆς ὀνόματι χρησάμενος. τοῦτο ἐμοὶ ἐλλόγει, φησί· τουτέστι, πρὸς ἐμὲ ἔχε τὴν ὀφειλήν, ἐγὼ ἀποτίσω. εἶτα καὶ μετὰ χάριτος τῆς πνευματικῆς· ἐγὼ Παῦλος ἔγραψα τῇ ἐμῇ χειρί. καὶ ἐντρεπτικῶς ἅμα καὶ χαριέντως, εἴγε ὑπὲρ τούτου καὶ γραμματεῖον ἐκτελέσαι Παύλου μὴ παραιτησαμένου, τοῦτον αὐτὸς παραιτήσεται προσλαβεῖν. τοῦτο σφόδρα καὶ αὐτὸν ἐδυσώπησε, καὶ τῆς ἐνοχλήσεως ἀπήλλαξε τὸν Ὀνήσιμον. καὶ τῇ ἐμῇ χειρί, φησιν, ἔγραψα. οὐδὲν τῶν σπλάγχνων θερμότερον τούτων, οὐδὲν σπουδαιότερον, οὐδὲν προθυμότερον. ὑπὲρ ἑνὸς ἀνδρὸς ὅρα πόσην ποιεῖται πρόνοιαν. ἵνα μὴ λέγω, φησί, σοι, ὅτι καὶ σεαυτόν μοι προσοφείλεις. εἶτα ἵνα μὴ δόξῃ εἶναι ὕβρις εἰς τὸν ἀξιούμενον, εἴγε μὴ ἐθάρρησεν ὑπὲρ κλοπῆς ἀξιῶσαι καὶ τυχεῖν, καὶ τοῦτό πως παραμυθεῖται· ἵνα μὴ λέγω, φησίν, ὅτι καὶ σεαυτόν μοι προσοφείλεις· οὐ τὰ σαυτοῦ μόνον, ἀλλὰ καὶ σεαυτόν. καὶ τοῦτο ἀπὸ ἀγάπης καὶ κατὰ τὸν τῆς φιλίας λόγον, καὶ τοῦ σφόδρα θαρρεῖν ἦν. ὅρα πῶς πανταχοῦ ἀμφοτέρων ἐπιμελεῖται, καὶ τοῦ μετὰ πολλῆς τῆς ἀσφαλείας ἀξιοῦν, καὶ τοῦ μὴ τοῦτο γενέσθαι τεκμήριον τοῦ σφόδρα θαρρεῖν αὐτῷ. χ. τῶν

19 Ναί, ἀδελφέ. Τί ἐστι ναί, ἀδελφέ;

Προσλαβοῦ, φησίν, αὐτόν. Τοῦτο γὰρ ἔξωθεν δεῖ προσυπακούειν. ἀφεὶς γὰρ τὸν χαριεντισμόν, πάλιν ἔχεται τῶν προτέρων, τῶν σπουδαίων. καίτοι καὶ ταῦτα σπουδαῖα. τὰ γὰρ παρὰ τῶν ἁγίων καὶ αὐτὰ σπουδαῖα, κἂν χαριεντίζωνταί τι. ναί, ἀδελφέ.

Ἐγώ σου ὀναίμην ἐν Κυρίῳ. ἀνάπαυσόν μου τὰ σπλάγχνα ἐν Χριστῷ.

Τουτέστι, τῷ Κυρίῳ δίδως τὴν χάριν, οὐκ ἐμοί, τὰ σπλάγχνα τὰ περὶ σέ.

20 Πεποιθὼς τῇ ὑπακοῇ σου ἔγραψά σοι. Ποῖον λίθον ταῦτα οὐκ ἂν ἐμάλαξε; ποῖον θηρίον ταῦτα οὐκ ἂν κατεπράϋνε, καὶ παρεσκεύασε γνησίως προσδέξασθαι; μετὰ τὸ ἐν κατορθώμασι τηλικούτοις αὐτοῦ μαρτυρῆσαι, οὐ παραιτεῖται καὶ πάλιν ἀπολογεῖσθαι. οὐχ ἁπλῶς φησιν, οὐδὲ ἐπιτάττων, οὐδὲ αὐθαδιαζόμενος, ἀλλά, πεποιθὼς τῇ ὑπακοῇ σου ἔγραψά σοι. ὅπερ καὶ ἀρχόμενος εἶπε, παρρησίαν ἔχων, τοῦτο καὶ ἐνταῦθα λέγει εἰς τὸ ἐπισφραγίσαι τὴν ἐπιστολήν. Εἰδὼς ὅτι καὶ ὑπὲρ ὃ λέγω, ποιήσεις. Ἅμα καὶ διήγειρεν εἰπὼν τοῦτο. ᾐσχύνθη γὰρ ἄν, εἰ καὶ μηδὲν ἕτερον, τοιαύτην δόξαν ἔχων παρ' αὐτοῦ, ὅτι καὶ ὑπὲρ ὃ λέγει ποιεῖ, μὴ ποιῆσαι τοσοῦτον.

21 Ἅμα δὲ καὶ ἑτοίμασόν μοι ξενίαν. ἐλπίζω γὰρ ὅτι διὰ τῶν προσευχῶν ὑμῶν χαρισθήσομαι ὑμῖν. Καὶ τοῦτο σφόδρα θαρροῦντος ἦν, μᾶλλον δὲ καὶ τοῦτο ὑπὲρ Ὀνησίμου, ἵνα μὴ ῥαθυμήσαντες, ἀλλ' εἰδότες ὅτι πάντως ἐπανελθὼν ἀκούσεται τὰ κατ' αὐτόν, πᾶσαν μνησικακίαν ἐξέλωσι, καὶ χάριν μᾶλλον δῶσι. πολλὴ γὰρ ἦν ἡ χάρις καὶ ἡ τιμὴ Παύλου ἐνδημοῦντος, Παύλου μετὰ ἡλικίαν, Παύλου μετὰ δεσμούς. πάλιν τῆς ἀγάπης αὐτῶν τεκμήριον τὸ εὔχεσθαι αὐτοὺς εἰπεῖν, καὶ τοσοῦτον αὐτοῖς δοῦναι, ὡς εὔχεσθαι ὑπὲρ αὐτοῦ. εἰ γὰρ καὶ ἐν κινδύνοις εἰμὶ νῦν, ἀλλ' ὅμως ὄψεσθέ με, ἐὰν εὔχησθε.

γρ. ἅμα δὲ καὶ [illegible] τὸ Ἑτοίμασον γάρ, φησι

22 Ἀσπάζεταί σε Ἐπαφρᾶς ὁ συναιχμάλωτός μου ἐν Χριστῷ Ἰησοῦ.

Κολοσ. α. Οὗτος παρὰ Κολοσσαέων ἦν ἀποσταλείς· ὥστε καὶ ἀπὸ τούτου δῆλον, ὅτι καὶ ἐν Κολοσσαῖς ἦν ὁ Φιλήμων. συναιχμάλωτον δὲ αὐτὸν καλεῖ, δεικνὺς καὶ αὐτὸν ἐν πολλῇ θλίψει. ὥστε εἰ καὶ

μὴ

Digitized by Google

λόμεθα, καὶ ὅσα ἂν ἔχωσιν ἡμῖν ἔχειν, πόσῳ μᾶλλον ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν, ὁ μετὰ τοσούτων τιμίῳ αἵματι ἡμᾶς πριάμενος; ἡμεῖς κατέβαλεν ὑπὲρ ἡμῶν, ὅσον οὐδεὶς οὐδὲ ὑπὲρ τέκνου καταβαλεῖν ἂν ἀνάσχοιτο, τὸ αἷμα ἐξέχεε τὸ ἑαυτοῦ. ἂν δέκα μυρίας ἔχοντες ψυχὰς, ταύτας πάσας καταθώμεθα, ἆρα τὴν ἴσην ἀποδώσομεν; οὐδαμῶς. διατί; ὅτι αὐτὸς οὐκ ὀφείλων ἡμῖν τοῦτο πεποίηκεν, ἀλλὰ τὸ πᾶν χάριτος γέγονεν, ἡμεῖς δὲ λοιπὸν ὀφείλομεν· καὶ αὐτὸς Θεὸς ὢν, δοῦλος γέγονε, καὶ οὐκ ὢν ὑπὸ θάνατον, ὑπὸ τὸν θάνατον γέγονεν ἐν σαρκί. ἡμεῖς, κἂν μὴ ὑπὲρ αὐτοῦ καταθώμεθα τὰς ψυχὰς, τῷ νόμῳ τῆς φύσεως πάντως καταθησόμεθα, ις. αὐτῷ καὶ ἄκοντες μικρὸν ὕστερον αὐτῆς ἀποστησόμεθα. οὕτω καὶ ἐπὶ τῶν χρημάτων, κἂν μὴ δι' αὐτὸν αὐτὰ δῶμεν, διὰ τὴν τῆς τελευτῆς ἀνάγκην ἀποδυσόμεθα. οὕτω καὶ ἐπὶ τῆς ταπεινοφροσύνης, κἂν μὴ δι' αὐτὸν ταπεινοφρονήσωμεν, διὰ τὰς θλίψεις, διὰ τὰς συμφορὰς, διὰ τὰς δυναστείας ταπεινωθησόμεθα. ὁρᾷς οὖν ὅση ἡ χάρις; οὐκ εἶπε, τί γὰρ μέγα ποιοῦσιν οἱ μάρτυρες; κἂν μὴ δι' ἐμὲ ἀποθάνωσι, τεθνήξονται πάντως· ἀλλὰ πολλὴν αὐτοῖς οἶδε χάριν, ὅτι ἑκόντες ἀποτίθενται, ὅπερ ὕστερον ἀπὸ τῆς φύσεως ἄκοντες ἔμελλον. οὐκ εἶπε, τί γὰρ μέγα ποιοῦσιν οἱ τὰ χρήματα κενοῦντες; πάντως αὐτὰ ἀποθήσονται καὶ ἄκοντες· ἀλλὰ πολλὴν καὶ τούτοις οἶδε χάριν, καὶ οὐκ αἰσχύνεται ἐπὶ πάντων χ. ὁμολογεῖν ὁμολογῶν, ὅτι ἐτράφη παρὰ τῶν δούλων ὁ δεσπότης. καὶ γὰρ καὶ τοῦτο δόξα δεσπότου, τὸ οἰκέτας ἔχειν εὐγνώμονας· καὶ τοῦτο δόξα δεσπότου, τὸ οὕτω φιλεῖν αὐτὸν τοὺς δούλους· καὶ τοῦτο δόξα δεσπότου, τὸ οἰκειοῦσθαι τὰ ἐκείνων· καὶ τοῦτο δόξα δεσπότου, τὸ μὴ ἐπαισχύνεσθαι ἐπὶ πάντων ὁμολογεῖν. αἰδεσθῶμεν τοίνυν τὴν τοσαύτην ἀγάπην τοῦ Χριστοῦ, διαθερμανθῶμεν τῷ φίλτρῳ. κἂν ταπεινὸς ᾖ τις, κἂν εὐτελὴς, ἀκούωμεν δὲ, ὅτι φιλεῖ ἡμᾶς, μάλιστα πάντων διαθερμαινόμεθα πρὸς αὐτὸν, καὶ εἰς τιμὴν αὐτὸν ἄγομεν σφοδράν· καὶ ἡμεῖς φιλοῦμεν, ὁ δὲ δεσπότης ἡμῶν ἡμᾶς φιλεῖ τοσοῦτον, καὶ οὐ διεγειρόμεθα; μὴ, παρακαλῶ, μὴ οὕτω ῥᾴθυμοι γινώμεθα περὶ τὴν σωτηρίαν τῶν ἡμετέρων ψυχῶν, ἀλλὰ καὶ ἀγαπῶμεν κατὰ δύναμιν τὴν ἡμετέραν, καὶ πάντα κενώσωμεν εἰς τὴν ἀγάπην αὐτοῦ, καὶ ψυχὴν, καὶ χρήματα, καὶ δόξαν, καὶ πᾶν ὁτιοῦν, μετὰ χαρᾶς, μετὰ εὐφροσύνης, μετὰ προθυμίας, μὴ ὡς ἐκείνῳ τι παρέχοντες, ἀλλ' ὡς ἡμῖν αὐτοῖς. τοιοῦτος γὰρ τῶν φιλούντων ὁ νόμος· εὐεργετεῖσθαι ἡγοῦνται, χ. φίλοις ὅταν κακῶς πάσχωσι διὰ τοὺς φιλουμένους. οὕτω τοίνυν καὶ ἡμεῖς διακείμεθα περὶ τὸν δεσπότην τὸν ἡμέτερον, ἵνα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν.

Λογ. γ. 17 ΕΙ ΟΥΝ ΜΕ ΕΧΕΙΣ ΚΟΙΝΩΝΟΝ, ΠΡΟΣλαβοῦ αὐτὸν ὡς ἐμέ. 18 Εἰ δέ τι ἠδίκησέ σε, ἢ ὀφείλει, ἐμοὶ τοῦτο ἐλλόγει. Ἐγὼ Παῦλος ἔγραψα τῇ ἐμῇ χειρὶ, ἐγὼ ἀποτίσω, ἵνα μὴ λέγω σοι, ὅτι καὶ σεαυτόν μοι προσοφείλεις.

Οὐδὲν οὕτω πρᾶγμα παραπείθειν οἶδεν, ὡς τὸ μὴ πάντα ἀθρόον αἰτεῖν. ὅρα γὰρ μετὰ πόσα ἐγκώμια, μετὰ πόσην κατασκευὴν τὸ μέγα τοῦτο ἔθηκε, μετὰ τὸ εἰπεῖν, ὅτι τέκνον μου, ὅτι κοινωνὸς τοῦ εὐαγγελίου, ὅτι σπλάγχνα, ὅτι ἀδελφὸν αὐτὸν ἀπέχεις, ὅτι ὡς ἀδελφὸν ἔχε, τότε ἐπήγαγεν, ὡς ἐμέ. καὶ οὐκ ᾐσχύνθη τοῦτο Παῦλος. ὁ γὰρ μὴ αἰσχυνόμενος δοῦλος κληθῆναι τῶν πιστῶν, ἀλλὰ καὶ ὁμολογῶν τοῦτο, πολλῷ μᾶλλον τοῦτο οὐκ ἂν παρῃτήσατο. ὃ δὲ λέγει, τοῦτό ἐστιν· εἰ τὰ αὐτά μοι φρονεῖς, ἐπὶ τοῖς αὐτοῖς τρέχεις, εἰ φίλον ἡγῇ, προσλαβοῦ αὐτὸν, ὡς ἐμέ. εἰ δέ τι ἠδίκησεν. ὅρα ποῦ τέθεικε καὶ πότε τὸ ἀδίκημα. ὕστερον μετὰ τὸ πολλὰ ὑπὲρ τούτου προειπεῖν. ἐπεὶ γὰρ μάλιστα

ἀλλ' ἐν καρδίᾳ συντετριμμένῃ, καὶ πνεύματι ταπεινώσεως προσδεχθείημεν. οὕτω καὶ μετὰ
τὸ ἐμπεσεῖν εἰς τὴν κάμινον, σφόδρα ἦσαν τεταπεινωμένοι, καὶ μᾶλλον ἢ πρὸ τοῦ ἐμπεσεῖν.
ἐπειδὴ γὰρ εἶδον τὸ θαῦμα τὸ γενόμενον, ἀναξίους νομίσαντες ἑαυτοὺς τῆς σωτηρίας, εἰς ταπεινοφροσύνην κατηνέχθησαν. ὅταν γὰρ πεισθῶμεν, ὅτι παρ' ἀξίαν μεγάλα εὐηργετήμεθα, τότε μάλιστα αἰνώμεθα. καίτοι τί παρ' ἀξίαν εὐηργετήθησαν ἐκεῖνοι; ἐξέδωκαν ἑαυτοὺς
εἰς κάμινον, ἐξηχμαλωτίσθησαν, ἑτέρων ἁμαρτόντων (ἔτι γὰρ νέοι ἦσαν) καὶ οὐκ ἐστέναξαν, οὐδὲ
ὠργίσθησαν, οὐδὲ εἶπον· ναί, τί γὰρ ἡμῖν ἀγαθόν, ὅτι δουλεύομεν τῷ Θεῷ; τί ὠφελήσαμεν
προσκυνοῦντες αὐτόν; οὗτος ἀσεβής ἐστι, καὶ γέγονεν ἡμῶν δεσπότης· μετὰ τῶν εἰδωλολατρῶν
ὑπὸ τοῦ εἰδωλολάτρου κολαζόμεθα, εἰς αἰχμαλωσίαν ἤχθημεν, πατρίδος ἐξεπέσομεν,
ἐλευθερίας, τῶν πατρῴων ἁπάντων, αἰχμάλωτοι καὶ δοῦλοι γεγόναμεν, βασιλεῖ βαρβάρῳ
δουλεύομεν. οὐδὲν τούτων εἶπον, ἀλλὰ τί; Ἡμάρτομεν, ἠνομήσαμεν, καὶ οὐδὲ ὑπὲρ ἑαυτῶν, ἀλλ' ὑπὲρ τῶν ἄλλων ποιοῦνται τὴν δέησιν, ὅτι βασιλεῖ, φασίν, ἐχθίστῳ καὶ πονηροτάτῳ
παρέδωκας ἡμᾶς. πάλιν ὁ Δανιὴλ δεύτερον εἰς λάκκον ἐμβεβλημένος, ἔλεγεν· Ἐμνήσθη
Δαν. ιδ. λζ. μου γὰρ ὁ Θεός. διὰ τί οὐκ ἂν ἐμνήσθη, ὦ Δανιήλ; ὅτι αὐτὸν ἐδόξασας ἐπὶ τοῦ βασιλέως,
Δαν. β. λ. λέγων, Καὶ ἐγὼ οὐκ ἐν τῇ σοφίᾳ τῇ οὔσῃ ἐν ἐμοί. ἀλλ' ὅτι ἐνεβλήθης εἰς λάκκον λεόντων
διὰ τὸ μὴ ὑπακοῦσαι τῷ πονηροτάτῳ δόγματι ἐκείνῳ. διὰ τί οὐκ ἂν ἐμνήσθη; δι' αὐτὸ
δὴ τοῦτο. οὐχὶ δι' αὐτὸν ἐμβέβλησαι νῦν; ναί, φησιν, ἀλλὰ πολλῶν ὀφειλέτης εἰμί. εἰ δὲ ἐκεῖνος τοιαῦτα μετὰ τοσαύτην ἀρετήν, τί ἂν εἴποιμεν λοιπὸν ἡμεῖς; ἀλλ' ὁ Δαβὶδ ἄκουε
β. Βασ. ιε. κϛ. τί φησι, Καὶ ἐὰν εἴπῃ μοι, οὐ τεθέληκά σε, ἰδοὺ ἐγώ, ποιείτω μοι τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ,
α. Βασ. γ. ιη. καίτοι μυρία ἔχων εἰπεῖν ἑαυτοῦ κατορθώματα· καὶ ὁ Ἠλεὶ δέ φησι, Κύριος αὐτὸς τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ ποιήσει. τοῦτο δούλων εὐγνωμόνων, μὴ μόνον ἐν ταῖς εὐεργεσίαις, ἀλλὰ καὶ
ἐν ταῖς κολάσεσι, καὶ ἐν ταῖς τιμωρίαις τὸ πᾶν αὐτῷ παραχωρεῖν. πῶς γὰρ οὐκ ἄτοπον, εἰ
ἡμεῖς μὲν δεσπότας τυγχάνοντας οἰκέτας ἴσμεν, εἰδότες ὅτι φείδονται αὐτῶν, ἅτε αὐτῶν
Ρωμ. ιδ. η. ὄντων ἐκείνων, ὁ δὲ Θεὸς κολάζων οὐ φείσεται; τοῦτο καὶ ὁ Παῦλος ᾐνίξατο εἰπών, Ἐάν τε ζῶμεν, ἐάν τε ἀποθνήσκωμεν, τοῦ Κυρίου ἐσμέν. οὐ βούλεται αὐτῷ, φησι, τὸν πλοῦτον ἐλαττωθῆναι· οἶδε πῶς κολάζει. οἰκείους κολάζει παῖδας. οὐδεὶς ἡμῶν μᾶλλον αὐτοῦ φείδεται τοῦ ἐκ
τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγόντος ἡμᾶς, τοῦ τὸν ἥλιον ἀνατέλλοντος, τοῦ βρέχοντος, τοῦ ψυχὴν
ἐμπνέοντος, τοῦ τὸν υἱὸν αὐτοῦ δεδωκότος ὑπὲρ ἡμῶν. ἀλλ' ὅπερ ἔφην, καὶ δι' ὃ πάντα μοι
ταῦτα εἴρηται, ταπεινοφρονῶμεν, ὡς χρή, μετριάζωμεν ὡς χρή. μὴ ἀφορμὴ ἡμῖν τοῦτο
γινέσθω ἐπάρσεως. ταπεινὸς εἶ, καὶ πάντων αὖ θεραπόντων ταπεινότερος; μὴ διὰ τοῦτο μέγα φρόνει, μηδὲ ἑτέροις ὀνείδιζε, μὴ ἀπολέσῃς τὸ καύχημα. διὰ τοῦτο ταπεινοφρονεῖς, ἵνα ἀπονοίας ἀπαλλαγῇς. ἂν τοίνυν δι' αὐτῆς εἰς ἀπόνοιαν πέσῃς, κρεῖττον μὴ ταπεινοφρονεῖν.
Ρωμ. ζ. ιγ. ἄκουε γὰρ Παύλου λέγοντος, Διὰ τοῦ ἀγαθοῦ μοι κατεργαζομένη θάνατον, ἵνα γένηται καθ'
ὑπερβολὴν ἁμαρτωλὸς ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς. ὅταν εἰς ἔννοιαν ἔλθῃς θαυμάσαι σεαυτὸν ἐπὶ ταπεινοφροσύνῃ, νόησον τὸν δεσπότην σου. ποῦ κατῆλθε, καὶ οὐκέτι θαυμάσεις σαυτόν, οὐδὲ ἐπαινέσεις, ἀλλὰ καὶ καταγελάσεις σαυτοῦ, ὡς οὐδὲν πεποιηκότος. πάντως ἑαυτὸν ὀφειλέτην εἶναι νόμιζε. ἅπερ ἂν ποιήσῃς, ἐκείνην ἀναμιμνήσκου τὴν παραβο-
Λουκ. ιζ. ζ. λήν, Τίς ἐξ ὑμῶν, φησιν, ὃς ἔχει δοῦλον, μὴ εἰσελθόντι αὐτῷ ἀνάπεσον λέγει; οὐχί, λέγω
ὑμῖν, ἀλλά, στῆθι, καὶ διακόνει μοι. μὴ χάριν ἴσμεν τοῖς οἰκέταις ἡμῶν διακονουμένοις ἡμῖν;
οὐδαμῶς. ἀλλ' ὁ Θεὸς ἡμῖν οἶδε χάριν οὐχ αὐτῷ διακονουμένοις, ἀλλὰ τὸ ἡμῖν συμφέρον
ποιοῦσι. πλὴν ἀλλὰ μὴ οὕτω διακονώμεθα, ὡς χάριν εἰδότος αὐτοῦ, ἵνα μᾶλλον εἰδῇ, ἀλλ'
ὡς ὀφειλὴν ἐκπληροῦντες. καὶ γὰρ ὄντως ὀφειλὴ τὸ πρᾶγμα, καὶ ὀφειλῆς ἐστι πάντα ἅπερ ἂν πράττωμεν. εἰ γὰρ ἀργυρωνήτους παῖδας ὠνούμενοι, πάντα ἡμῖν αὐτοὺς ζῆν βουλόμεθα, χ. πάντας

προσαύξων. καὶ οὐκ εἶπεν, ἐχώρισεν ἑαυτὸν, ἀλλ᾽, ἐχωρίσθη. οὐ γὰρ αὐτοῦ τὸ κατασκεύασμα τὸ ἐπὶ τούτῳ ἀναχωρῆσαι, οὐδὲ ἐστ᾽ ἐκείνῳ. ὅπερ καὶ Ἰωσὴφ ἀπολογούμενος πρὸς τοὺς ἀδελφοὺς φησιν, ὅτι Ὁ Θεὸς ἀπέστειλέ με ἐνταῦθα, τουτέστι, τῇ κακουργίᾳ αὐτῶν εἰς δέον ἐχρήσατο. (Γεν. με. ε.) διὰ τοῦτο ἐχωρίσθη, φησὶ, πρὸς ὥραν. καὶ τὸν χρόνον συστέλλει, καὶ τὸ ἁμάρτημα ὁμολογεῖ, καὶ τρέπει τὸ πᾶν εἰς οἰκονομίαν. ἵνα αἰώνιον αὐτὸν, φησιν, ἀπέχῃς, οὐκ ἐν τῷ παρόντι μόνον καιρῷ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι, ἵνα διαπαντὸς ἔχῃς αὐτὸν, οὐκέτι δοῦλον, ἀλλὰ τιμιώτερον δούλου. δοῦλον γὰρ μένοντα εὐνοϊκώτερον ἕξεις ἀδελφοῦ, ὥστε καὶ τῷ χρόνῳ κεκέρδακας καὶ τῇ ποιότητι· λοιπὸν γὰρ οὐκ ἀποπηδήσει. Ἵνα αἰώνιον αὐτὸν, φησιν, ἀπέχῃς. Ἀντὶ τοῦ, ἀπολαύσῃς.

16 Οὐκέτι ὡς δοῦλον, ἀλλ᾽ ὑπὲρ δοῦλον, ἀδελφὸν ἀγαπητὸν, μάλιστα ἐμοί.

Δοῦλον ἀπώλεσας πρὸς ὀλίγον, καὶ ἀδελφὸν εὑρήσεις τὸ διηνεκές, ἀδελφὸν οὐ σὸν μόνον, ἀλλὰ καὶ ἐμόν. ἐνταῦθα καὶ ἡ ἀρετὴ πολλή. εἰ δὲ ἐμὸς ἀδελφὸς, οὐκ ἐπαισχυνθήσῃ καὶ σύ. διὰ μὲν οὖν τοῦ τέκνου τὴν στοργὴν ἔδειξε, διὰ δὲ τοῦ ἀδελφοῦ τὴν εὔνοιαν τὴν πολλὴν καὶ τὴν ἰσοτιμίαν.

ΗΘΙΚΟΝ

Ταῦτα οὐχ ἁπλῶς ἀναγέγραπται, ἀλλ᾽ ἵνα μὴ ἀπογινώσκωμεν τῶν οἰκετῶν οἱ δεσπόται, μηδὲ σφόδρα αὐτοῖς ἐπιτιθώμεθα, ἀλλὰ μάθωμεν συγχωρεῖν τὰ ἁμαρτήματα τοῖς οἰκέταις τοῖς τοιούτοις, ἵνα μὴ ἀεὶ τραχεῖς ὦμεν, ἵνα μὴ ἀπὸ τῆς δουλείας ἐπαισχυνώμεθα καὶ κοινωνοὺς αὐτοὺς ἐν πᾶσι λαμβάνειν, ὅταν ὦσιν ἀγαθοί. εἰ γὰρ Παῦλος οὐκ ἐπῃσχύνθη καὶ τέκνον καλέσαι, καὶ σπλάγχνον, καὶ ἀδελφὸν, καὶ ἀγαπητὸν, πῶς ἂν ἡμεῖς ἐπαισχυνθῶμεν; καὶ τί λέγω, Παῦλος; ὁ Παύλου δεσπότης οὐκ ἐπαισχύνεται τοὺς ἡμετέρους δούλους ἀδελφοὺς αὐτοῦ καλεῖν, καὶ ἡμεῖς ἐπαισχυνούμεθα; ὅρα πῶς ἡμᾶς τιμᾷ. ἀδελφοὺς ἑαυτοῦ καλεῖ τοὺς ἡμετέρους δούλους, καὶ φίλους, καὶ συγκληρονόμους. ἰδοὺ ποῦ κατέβη. τί οὖν ποιήσαντες ἡμεῖς, τὸ πᾶν ἠνυκότες ἐσόμεθα; οὐδὲν ὅλως δυνησόμεθα, ἀλλ᾽ ὅπου δή ποτ᾽ ἂν ταπεινοφροσύνης ἔλθωμεν, τὸ πλέον αὐτῆς ὑπολέλειπται. σκόπει γάρ. ὅπερ ἂν ποιήσῃς σὺ, περὶ τὸν ὁμόδουλον ποιεῖς, ὁ δὲ σὸς δεσπότης περὶ τοὺς σοὺς δούλους πεποίηκεν. ἄκουσον, καὶ φρῖξον· μηδέποτε ἐπαρθῇς ἐπὶ ταπεινοφροσύνῃ. τάχα παράδοξον τὸ λεχθὲν, εἰ ταπεινοφροσύνη ἐπαίρει. ἀλλὰ μὴ θαυμάσητε· ἐπαίρει, ὅταν μὴ γνησία ᾖ. πῶς, καὶ τίνι τρόπῳ; ὅταν διὰ τὸ ἀρέσκεσθαι ἀνθρώπους γίνηται, καὶ οὐχὶ Θεὸν, ὅταν πρὸς τὸ ἐπαινεῖσθαι καὶ μεγαλοφρονεῖν. καὶ γὰρ τοῦτο διαβολικόν. ὥσπερ γὰρ πολλοὶ διὰ τὸ μὴ κενοδοξεῖν κενοδοξοῦσιν, οὕτω καὶ διὰ τὸ ταπεινοῦσθαι ἐπαίρονται διὰ τὸ μέγα φρονεῖν. οἷον, ἦλθέ τις ἀδελφὸς, ἢ καὶ οἰκέτης, περιέλαβον αὐτὸν, τοὺς πόδας ἔνιψας, εὐθέως μέγα ἐφρόνησας· ἐποίησα, λέγεις, ὃ οὐδεὶς ἐποίησε, κατώρθωσα τὴν ταπεινοφροσύνην. πῶς οὖν ἄν τις ἐν τῇ ταπεινοφροσύνῃ μένοι; εἰ μεμνημένος τῆς παραγγελίας τοῦ Χριστοῦ τῆς λεγούσης, Ὅταν πάντα ποιήσητε, λέγετε, ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν· (Λουκ. ιζ. ι.) καὶ πάλιν τοῦ διδασκάλου τῆς οἰκουμένης λέγοντος, Ἐγὼ ἐμαυτὸν οὐ λογίζομαι κατειληφέναι. (Φιλιπ. γ. ιγ.) ὁ πείσας ἑαυτὸν, ὅτι οὐδὲν μέγα κατώρθωσεν, ὅσα ἂν ποιήσῃ, οὗτος μόνος ταπεινοφρονεῖν δύναται, ὁ μὴ πρὸς τὸ τέλος ἥκειν νομίζων. πολλοὶ ἀπὸ ταπεινοφροσύνης ἐπήρθησαν· ἀλλὰ μὴ ἡμεῖς τοῦτο πάθωμεν. ἐποίησας τι ταπεινόν; μὴ φρονήσῃς μέγα, ἐπεὶ τὸ πᾶν ἀπώλεσας. τοιοῦτος ἦν ὁ Φαρισαῖος. ἐπήρθη ἐπειδὴ ἐδίδου τοῖς πένησι τὰς δεκάτας, καὶ τὸ πᾶν ἀπώλεσεν. ἀλλ᾽ οὐχ ὁ τελώνης οὕτως. ἄκουε Παύλου πάλιν λέγοντος, Οὐδὲν ἐμαυτῷ σύνοιδα, ἀλλ᾽ οὐκ ἐν τούτῳ δεδικαίωμαι. (α. Κορ. δ. δ.) ὁρᾷς ὅτι οὐκ ἐπῆρεν αὐτόν. ἀλλὰ πανταχόθεν συνέστελλε καὶ ἐταπείνου, καὶ ταῦτα εἰς τὴν ἄκραν κορυφὴν ἀνεληλυθώς; τί δὲ οἱ τρεῖς παῖδες ἐν πυρὶ ὄντες, καὶ ἐν μέσῃ τῇ καμίνῳ, καὶ τί ἔλεγον; Ἡμάρτομεν, ἠνομήσαμεν μετὰ τῶν πατέρων ἡμῶν. (Δαν. γ. κθ.) τοῦτό ἐστι καρδίαν συντετριμμένην ἔχειν. διὰ τοῦτο ἠδύναντο λέγειν, ἀλλ᾽

Digitized by Google

τοσαύτην ποιησάμενος αἴτησιν ἀναβάλλεται. ἴστε γὰρ τοῦ θυμοὺς τῶν δεσποτῶν κατὰ τῶν ἀποδεδρακότων οἰκετῶν, καὶ μάλιστα ὅταν μετὰ κλοπῆς τοῦτο ἐργάσωνται, κἂν χρηστοὺς ἔχωσι δεσπότας, πῶς αὔξεται ἡ ὀργή. ταύτην οὖν πᾶσι τούτοις προελέανε. καὶ παρέπεμψε πείσας τὸν ὁποιονοῦν ὑπουργῆσαι ἑτοίμως, καὶ παρασκευάσας αὐτοῦ τὴν ψυχὴν πρὸς πᾶσαν ὑπακοήν, τότε ἐπάγει τὴν δέησιν, καί φησι·

10 Παρακαλῶ σε, Καὶ μετὰ ἐγκωμίων, Περὶ τοῦ ἐμοῦ τέκνου, ὃν ἐγέννησα ἐν τοῖς δεσμοῖς μου. Πάλιν οἱ δεσμοὶ δυσωπητικοί, καὶ τότε τὸ ὄνομα. οὐ μόνον γὰρ τὸν θυμὸν ἔσβεσεν, ἀλλὰ καὶ ἡσθῆναι πεποίηκεν. οὐ γὰρ ἂν αὐτόν, φησι, τέκνον ἐκάλεσα, εἰ μὴ σφόδρα ἦν εὔχρηστος· ὅπερ Τιμόθεον ἐκάλεσα, τοῦτο καὶ τοῦτον. καὶ πολλαχοῦ τὴν φιλοστοργίαν δεικνύς, ἀπὸ τοῦ καιροῦ τῆς ὠδῖνος ἐντρέπει, δέσμιος αὐτὸν ἐγέννησα, φησίν. ὥστε καὶ διὰ τοῦτο ἄξιος πολλῆς τυχεῖν τῆς τιμῆς, ὅτι ἐν αὐτοῖς τοῖς ἄθλοις ἀπετέχθη, ἐν τοῖς ὑπὲρ τοῦ Χριστοῦ πειρασμοῖς. Ὀνήσιμον,

11 Τόν ποτέ σοι ἄχρηστον. Ὅρα πόση ἡ σύνεσις, πῶς ὁμολογεῖ αὐτοῦ τὸ ἁμάρτημα, καὶ τούτῳ σβεννὺς αὐτοῦ τὸν θυμόν. οἶδα, φησίν, ὅτι ἄχρηστος ἦν, νῦν δέ σοι, καὶ ἐμοὶ χρήσιμος ἔσται. οὐκ εἶπε, νῦν δέ σοι χρήσιμος ἔσται, ἵνα μὴ ἐκεῖνος ἀντείπῃ, ἀλλὰ καὶ τὸ αὐτοῦ πρόσωπον εἰσήγαγεν, ἵνα ἀξιόπιστοι ὦσιν αἱ ἐλπίδες. Νῦν δέ σοι, φησί, καὶ ἐμοὶ εὔχρηστον. Εἰ γὰρ Παύλῳ χρήσιμος τῷ τοσαύτην ἀκρίβειαν ἀπαιτοῦντι, πολλῷ μᾶλλον τῷ δεσπότῃ. Ὃν ἔπεμψα πρὸς σέ. Καὶ τούτῳ τὸν θυμὸν ἔσβεσε, τὸ παραδοῦναι αὐτόν. μάλιστα γὰρ οἱ δεσπόται τότε ὀργίζονται, ὅταν ὑπὲρ ἀπόντων παρακαλῶνται, ὥστε καὶ αὐτῷ τούτῳ μᾶλλον κατεπράϋνε.

12 Σὺ δὲ αὐτόν, τουτέστι, τὰ ἐμὰ σπλάγχνα, προσλαβοῦ. Καὶ πάλιν οὐ γυμνὸν τίθησι τὸ ὄνομα, ἀλλὰ μετὰ ῥήματος ἐντρεπτικοῦ, ὃ τοῦ τέκνου θερμότερόν ἐστιν. εἶπε, τέκνον, εἶπεν, ἐγέννησα· ὥστε μάλιστα αὐτὸν φιλεῖν εἰκός, ὅτι ἐν πειρασμοῖς αὐτὸν ἔτικτεν. ὅτι γὰρ περὶ ἐκεῖνα τὰ παιδία μάλιστα ἐκκαιόμεθα, δῆλον, ὅταν κινδύνους διαφύγωμεν, καὶ ἐν αὐτοῖς τέκωμεν· ὡς ὅταν λέγῃ ἡ γραφή, Οὐαὶ Βαρχαβήλ· καὶ πάλιν ὅταν καλῇ τὸν Βενιαμὶν ἡ Ῥαχήλ, υἱόν φησιν ὀδύνης μου· σὺ δὲ αὐτόν, φησι, τουτέστι, τὰ ἐμὰ σπλάγχνα, προσλαβοῦ. δείκνυσιν αὐτοῦ τὴν ἀγάπην τὴν πολλήν. οὐκ εἶπεν, ἀπόδεξαι, οὐκ εἶπε, μὴ ὀργισθῇς, ἀλλά, προσλαβοῦ· τουτέστιν, οὐχὶ συγγνώμης, ἀλλὰ τιμῆς ἐστιν ἄξιος. διὰ τί; τέκνον Παύλου γέγονεν.

Γεν. λε. ιη.

13 Ὃν ἐγὼ ἐβουλόμην ὑπὲρ σοῦ κατέχειν, ἵνα διακονῇ μοι ἐν τοῖς δεσμοῖς τοῦ εὐαγγελίου. Ὁρᾷς πόσα πρότερον κατασκευάσας, τότε αὐτὸν ἤγαγεν εἰς τὴν τοῦ δεσπότου τιμήν; καὶ ὅρα καὶ τοῦτο μεθ' ὅσης σοφίας· ὅρα κἀκεῖνον πόσου ὑπερβαίνοντα ποιεῖ, καὶ τοῦτον πῶς τιμᾷ. Ἀφῆκες, φησίν, ὅπως ἀποδῷς τὴν πρὸς ἐμὲ λειτουργίαν δι' αὐτοῦ. ἐνταῦθα δείκνυσιν, ὅτι τὸ αὐτοῦ μᾶλλον ἐσκόπησεν, ἢ τὸ τοῦ παιδός, ὅτι σφόδρα αὐτὸν αἰδεῖται.

14 Χωρὶς δὲ τῆς σῆς γνώμης, φησίν, οὐδὲν ἠθέλησα ποιῆσαι, ἵνα μὴ ὡς κατ' ἀνάγκην τὸ ἀγαθόν σου ᾖ, ἀλλὰ κατὰ ἑκούσιον. Τοῦτο μάλιστα χαίρουσι τὸν ἀξιούμενοι, ὅταν καὶ πράγματος ὄντος χρησίμου, μετὰ τῆς ἐκείνου γνώμης γίνηται. δύο γὰρ ἀγαθὰ ἐντεῦθεν γίνεται, κἀκεῖνος κερδαίνει, καὶ οὗτος ἀσφαλέστερος καθίσταται. καὶ οὐκ εἶπεν, ἵνα μὴ κατὰ ἀνάγκην, ἀλλ', ὡς κατὰ ἀνάγκην. ἤδει μὲν γάρ, φησιν, ὅτι καὶ μὴ μαθών, ἀλλὰ ἀθρόον γνούς, οὐκ ἂν ἠγανάκτησας, ἀλλ' ὅμως ἐκ πλείονος περιουσίας, ἵνα μὴ ὡς κατὰ ἀνάγκην.

15 Τάχα γὰρ διὰ τοῦτο ἐχωρίσθη πρὸς ὥραν, ἵνα αἰώνιον αὐτὸν ἀπέχῃς,

16 Μηκέτι ὡς δοῦλον. Καλῶς τό, τάχα, ἵνα εἴξῃ ὁ δεσπότης. ἐπειδὴ γὰρ ἀπὸ αὐθαδείας γέγονεν ἡ φυγὴ καὶ διεστραμμένης διανοίας, καὶ οὐκ ἀπὸ προαιρέσεως, λέγει, τάχα· καὶ οὐκ εἶπε, διὰ τοῦτο ἔφυγεν, ἀλλά, διὰ τοῦτο ἐχωρίσθη, εὐφημοτέρῳ ὀνόματι μᾶλλον πραΰνων.

διάδηλος γέγονε, καὶ μέχρις αὐτοῦ ἔφθασε· καίτοιγε οὐκ ὀλίγον τὸ μέσον ἦν Ῥώμης καὶ Φρυγίας. ἐκεῖθεν γάρ μοι δοκεῖ εἶναι ἀπὸ Ἀρχίππου. αἱ γὰρ Κολασσαὶ τῆς Φρυγίας εἰσί, πρὸς οὓς γράφων ἔλεγεν, Ὅταν ἀναγνωσθῇ παρ' ὑμῖν ἡ ἐπιστολή, ποιήσατε ἵνα καὶ ἐν τῇ Κολοσ. δ. ις. Λαοδικέων ἐκκλησίᾳ ἀναγνωσθῇ, καὶ τὴν ἐκ Λαοδικείας ἵνα καὶ ὑμεῖς ἀναγνῶτε. αὕτη δὲ τῆς Φρυγίας πόλις ἐστίν. εὐχόμενος, φησίν, ἵνα ἡ κοινωνία τῆς πίστεώς σου ἐνεργὴς γένηται. ὁρᾷς πρότερον αὐτὸν διδόντα πρὶν ἢ λαβεῖν, καὶ πρὶν ἢ τὴν χάριν αἰτῆσαι, τὴν αὐτοῦ παρέχοντα πολλῷ μείζονα; ὅπως, φησίν, ἡ κοινωνία τῆς πίστεώς σου ἐνεργὴς γένηται ἐν ἐπιγνώσει παντὸς ἀγαθοῦ τοῦ ἐν ὑμῖν εἰς Χριστὸν Ἰησοῦν. τουτέστιν, ἵνα πᾶσαν ἀρετὴν ἐπέλθῃς, ἵνα μηδὲν ἐλλειφθῇ. οὕτω γὰρ ἡ πίστις γίνεται ἐνεργής, ὅταν ἔργα ἔχῃ. χωρὶς γὰρ ἔργων ἡ πίστις νεκρά ἐστι. καὶ οὐκ εἶπεν, ἡ πίστις σου, ἀλλ', ἡ κοινωνία τῆς πίστεώς σου, συνάπτων αὐτὸν ἑαυτῷ, καὶ ἓν σῶμα δεικνύς, καὶ τούτῳ μάλιστα αὐτὸν δυσωπῶν, εἰ κοινωνὸς εἶ, φησί, κατὰ τὴν πίστιν, καὶ κατὰ τὰ ἄλλα ὀφείλεις κοινωνεῖν.

7 Χαρὰν γὰρ ἔχομεν καὶ πολλὴν παράκλησιν ἐπὶ τῇ ἀγάπῃ σου, ὅτι τὰ σπλάγχνα τῶν ἁγίων ἀναπέπαυται διὰ σοῦ, ἀδελφέ. Οὐδὲν οὕτω δυσωπεῖ, ὡς τὸ τὰς ἑτέρων εὐεργεσίας ἢ. προσφέρειν. προσφέρειν, καὶ μάλιστα ὅταν ἐκείνων αἰδεσιμώτεροι ᾖ. καὶ οὐκ εἶπεν, εἰ τοῖς ἄλλοις ποιεῖς, πολλῷ μᾶλλον ἐμοί· ἀλλὰ τὸ αὐτὸ μὲν ᾐνίξατο, ἑτέρως δὲ αὐτὸ μεθόδευσε προσηνέστερον. χαρὰν ἔχομεν· τουτέστι, σύ μοι παρρησίαν ἔδωκας ἐκ τῶν εἰς ἑτέρους γινομένων· καὶ παράκλησιν· τουτέστιν, οὐ μόνον ἡδόμεθα, ἀλλὰ καὶ παραμυθούμεθα. μέλος γὰρ ἡμῶν ἐκεῖνοι. εἰ τοίνυν τὴν συμφωνίαν τοσαύτην δεῖ εἶναι, ὡς ἐπὶ ταῖς ἑτέρων ἀναπαύσεσι τοὺς ἄλλους ἐν θλίψεσιν ὄντας, κἂν μὴ τύχωσί τινος, εὐφραίνεσθαι δι' ἐκείνους, ὡς ἑνὸς σώματος εὐεργετηθέντος, πολλῷ μᾶλλον εἰ καὶ ἡμᾶς ἀναπαύσεις. καὶ οὐκ εἶπεν, ὅτι εἴξεις, ὅτι πείθῃ, ἀλλὰ καὶ σφοδρότερον καὶ ἐμφαντικώτερον, ὅτι τὰ σπλάγχνα τῶν ἁγίων, ὡσανεὶ παιδίου ποθεινοῦ τοῖς πατράσιν ὄντος καὶ ἐπεράστου· οὕτως ἡ ἀγάπη, ἡ φιλοστοργία δείκνυσιν αὐτὸν καὶ σφόδρα ἀγαπώμενον παρ' αὐτῶν.

8 Διὸ πολλὴν παρρησίαν ἔχων ἐν Χριστῷ ἐπιτάσσειν σοι τὸ ἀνῆκον. Ὅρα πῶς ἀσφαλίζεται, μή τι καὶ τῶν ἀπὸ σφοδρᾶς ἀγάπης λεγομένων πλήξῃ τὸν ἀκροατήν, ὡς δυσανασχετεῖν. διὰ τοῦτο πρὶν ἢ εἰπεῖν, ἐπιτάσσειν σοι, ἐπειδὴ βαρὺ ἦν, καίτοιγε ἀπὸ ἀγάπης λεγόμενον μᾶλλον ἱκανὸν θεραπεῦσαι, ἀλλ' ὅμως ἐκ περιουσίας πολλὴν τίθεται τὴν διόρθωσιν, εἰπών, παρρησίαν ἔχων, ὅπερ μέγα δεικνῦντος ἦν τὸν Φιλήμονα, τουτέστι, παρρησίαν ἡμῖν ἔδωκας σύ. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὸ ἐν Χριστῷ ἐπήγαγεν, ὅπερ δηλοῦντός ἐστιν ὅτι οὐχ ὡς ἐν τῷ κόσμῳ λαμπρότερον, οὐδ' ὡς δυνατώτερον, ἀλλὰ διὰ τὴν πίστιν τὴν εἰς τὸν Χριστόν. καὶ τότε ἐπέθηκε τὸ, ἐπιτάσσειν σοι, καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὸ, ἀνῆκον, τουτέστιν, εὔλογον πρᾶγμα. καὶ ὅρα ἐκ πόσων αὐτὸ κατασκευάζει. σὺ ἄλλους εὖ ποιεῖς, φησί· καὶ ἐμέ, καὶ διὰ τὸν Χριστόν, καὶ ὅτι τὸ πρᾶγμα εὔλογον, καὶ ὅτι ἡ ἀγάπη δίδωσι. διὸ καὶ ἐπάγει,

9 Διὰ τὴν ἀγάπην μᾶλλον παρακαλῶ. Ὡσανεὶ εἶπεν, οἶδα μέν, ὅτι καὶ ἐπιτάττειν δύναμαι μετὰ πολλῆς τῆς ἐξουσίας, ἀπὸ τῶν προλαβόντων· πλὴν ἀλλ' ἐπειδὴ πολλὴν ὑπὲρ τοῦ πράγματος ποιοῦμαι σπουδήν, παρακαλῶ. ἀμφότερα ἔδειξεν ὁμοῦ, ὅτι καὶ θαρρεῖ αὐτῷ (ἐπέταξε γάρ) καὶ ὅτι σφόδρα τοῦ πράγματος ἀντιποιεῖται· διὸ παρακαλεῖ. Τοιοῦτος ὤν, φησίν, ὡς Παῦλος πρεσβύτης. Βαβαί, πόσα δυσωπητικά· Παῦλος ἀπὸ τῆς ποιότητος τοῦ προσώπου, ἀπὸ τῆς ἡλικίας, ὅτι πρεσβύτης, ἀπὸ τοῦ δικαιοτέρου πάντων, Ὅτι καὶ δέσμιος Ἰησοῦ Χριστοῦ. Τίς γὰρ οὐκ ἂν τὸν ἀθλητήν, καὶ στεφανίτην ἐδέξατο ὑπτίαις χερσί; τίς ὁρῶν διὰ Χριστὸν δεδεμένον, οὐκ ἂν μυρία ἐχαρίσατο; τούτοις δὴ προλεάνας αὐτοῦ τὴν ψυχήν, οὐδ' εὐθέως ἐνέβαλε τὸ ὄνομα, ἀλλὰ

τοσαύτην

Digitized by Google

ὅτι καὶ σὺ πολλὰ τοιαῦτα εἰς ἑτέρους ποιεῖς, καὶ εἰς αὐτὸν τὸν δεσπότην, καὶ λῦσε καὶ συγχώρησον. ἐννόησον ὅτι λέγεις, Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, καθὼς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. ἐννόησον ὅτι ἐὰν μὴ ἀφῇς, οὐ δυνήσῃ ὑπὸ μετὰ παρρησίας εἰπεῖν. ἂν δὲ ἀφῇς, ὀφειλὴν τὸ πρᾶγμα ἀπαιτεῖς, οὐ διὰ τὴν τοῦ πράγματος φύσιν, ἀλλὰ διὰ τὴν τοῦ δεδωκότος φιλανθρωπίαν. καὶ ποῦ ἴσον τὰ εἰς τοὺς ὁμοδούλους ἀφιέντα τὸν εἰς τὸν δεσπότην ἡμαρτηκότων τὴν ἄφεσιν λαβεῖν; ἀλλ' ὅμως τυγχάνομεν τῆς τοσαύτης φιλανθρωπίας, ἐπειδὴ πλούσιός ἐστιν ἐν ἐλέει καὶ οἰκτιρμοῖς. ἵνα δέ σοι δείξω, ὅτι καὶ χωρὶς τούτων, καὶ χωρὶς τῆς ἀφέσεως, ἀπὸ τοῦ ἀφιέναι μόνον σὺ καρποῦσαι τὸ κέρδος, ἐννόησον πόσους ὁ τοιοῦτος ἔχει φίλους, πῶς πανταχοῦ ἐγκώμια τοῦ τοιούτου ἅπαντες διεξέρχονται λέγοντες, ἀγαθὸς ἀνήρ, εὐκατάλλακτος, οὐκ οἶδε μνησικακῆσαι, ἅμα ἐπλήγη, καὶ ἅμα ἰάθη. τὸν τοιοῦτον περιστάσει τινὶ περιπεσόντα τίς οὐκ ἐλεήσει; τίς οὐ συγγνώσεται ἁμαρτόντι; τίς οὐ δώσει χάριν ὑπὲρ ἑτέρων ἀξιοῦντι; τίς οὐ θελήσει φίλος εἶναι καὶ δοῦλος ψυχῆς οὕτως ἀγαθῆς; ναί, παρακαλῶ, πάντα ὑπὲρ τούτου πράττωμεν, μὴ πρὸς φίλους, μὴ πρὸς συγγενεῖς μόνον, ἀλλὰ καὶ πρὸς τοὺς οἰκέτας. Ἀνιέντες γάρ, φησι, τὴν ἀπειλήν, εἰδότες ὅτι καὶ ὑμῶν ὁ Κύριός ἐστιν ἐν οὐρανοῖς. ἂν ἀφιῶμεν τοῖς πλησίον τὰ ἁμαρτήματα, ἀφεθήσεται καὶ ἡμῖν, ἂν ἐλεημοσύνας παρέχωμεν, ἂν ταπεινοὶ ὦμεν. καὶ γὰρ καὶ τοῦτο ἀφαιρεῖ ἁμαρτίας. εἰ γὰρ ὁ τελώνης, ἵνα μόνον εἴπῃ, Ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, κατῆλθε δεδικαιωμένος, πολλῷ μᾶλλον καὶ ἡμεῖς, ἂν ταπεινοὶ ὦμεν καὶ συντετριμμένοι, δυνησόμεθα πολλῆς φιλανθρωπίας τυχεῖν. ἂν ὁμολογῶμεν τὰ ἑαυτῶν ἁμαρτήματα, καὶ καταγινώσκωμεν ἑαυτῶν, τὸ πλέον ἀποσμηξόμεθα τοῦ ῥύπου. πολλαὶ γάρ αἱ ὁδοὶ αἱ καθαρεύουσαι. πάντοθεν τοίνυν πολεμῶμεν τῷ διαβόλῳ. οὐδὲ εἶπον δύσκολον, οὐδὲ δυσχερές. ἄφες τῷ λελυπηκότι, ἐλέησον τὸν δεόμενον, ταπείνωσόν σου τὴν ψυχήν. κἂν σφόδρα ᾖς ἁμαρτωλός, δυνήσῃ καὶ τῆς βασιλείας ἐπιτυχεῖν, διὰ τούτων αὐτὰ ἐκκαθαίρων τὰ ἁμαρτήματα, καὶ ἀποσμήχων τὴν κηλῖδα. γένοιτο δὲ ἡμᾶς πάντας ἐνταῦθα ἀποκαθηραμένους ἅπαντα τῶν ἁμαρτημάτων τὸν ῥύπον διὰ τῆς ἐξομολογήσεως, ἐκεῖ τυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν.

γ. εὐμετάλλακτος,

Ἐφ. ϛ. θ.

Λουκ. ιη. ιγ.

γ. καθαίρουσι δυνάμεθα.

γ. δεδηκότον,

Λόγ. β. 4 ΕΥΧΑΡΙΣΤΩ ΤΩ ΘΕΩ ΜΟΥ ΠΑΝΤΟΤΕ, μνείαν σου ποιούμενος ἐπὶ τῶν προσευχῶν μου, 5. Ἀκούων σου τὴν ἀγάπην καὶ τὴν πίστιν ἣν ἔχεις πρὸς τὸν Κύριον Ἰησοῦν καὶ εἰς πάντας τοὺς ἁγίους, 6 Ὅπως ἡ κοινωνία τῆς πίστεώς σου ἐνεργὴς γένηται ἐν ἐπιγνώσει παντὸς ἀγαθοῦ τοῦ ἐν ἡμῖν εἰς Χριστὸν Ἰησοῦν.

γ. ὑμῶν

ΟΥκ εὐθέως ἐκ προοιμίων αἰτεῖ τὴν χάριν, ἀλλὰ πρότερον τὸν ἄνδρα θαυμάσας, καὶ ἐπαινέσας ἐπὶ τοῖς κατορθώμασι, καὶ τῆς αὐτοῦ ἀγάπης δείξας τεκμήριον οὐ μικρόν, τὸ διαπαντὸς αὐτοῦ μεμνῆσθαι ἐν ταῖς προσευχαῖς, καὶ εἰπών, ὅτι πολλοὶ ἀναπαύονται πρὸς αὐτόν, καὶ πᾶσιν ὑπακούει καὶ πείθεται, τότε καὶ αὐτὴν τελευταῖον τίθησι, μάλιστα αὐτὸν δυσωπῶν τούτῳ. εἰ γὰρ ἕτεροι ἐπιτυγχάνουσιν ὧν δέονται, πολλῷ μᾶλλον Παῦλος· εἰ παρὰ τῶν ἄλλων ἐλθὼν ἄξιος ἦν τυχεῖν, πολλῷ μᾶλλον μετὰ τοὺς ἄλλους, καὶ πρᾶγμα αἰτῶν οὐκ εἰς αὐτὸν ἧκον, ἀλλ' ὑπὲρ ἑτέρου. εἶτα ἵνα μὴ δόξῃ τούτου ἕνεκεν γράφειν μόνον, μηδὲ εἴπῃ τις, ὡς εἰ μὴ Ὀνήσιμος ἦν, οὐκ ἂν ἔγραψας, ὅρα πῶς καὶ ἑτέρας αἰτίας τίθησι τῆς ἐπιστολῆς, πρῶτον μὲν τὴν ἀγάπην αὐτοῦ δηλῶν, ἔπειτα δὲ καὶ ξενίαν κελεύων ἑτοιμασθῆναι αὐτῷ. ἀκούων σου, φησί, τὴν ἀγάπην. θαυμαστὸν τοῦτο, καὶ τοῦ παρόντος ἰδοὺ τοῦτο πολλῷ μεῖζον. δῆλον γὰρ ὅτι ἐκ τῶν παραβαλλόντων ταύτην εἶναι, καὶ

πειρᾶται ἀπατῆσαι, καὶ ἀπολογεῖται πρὸς τοὺς ἐγκαλοῦντας, καὶ σχῆμα περιτίθησι τῇ ἀπολογίᾳ· τὸν δὲ Θεὸν μὴ δυνάμενος πεῖσαι, οὐ φροντίζει, οὐδὲ αἰδεῖται, οὐδὲ τιμᾷ. καὶ ὅταν μὲν ὁ βασιλεὺς κελεύσῃ ἀπέχεσθαι τῶν ἑτέρων χρημάτων, μᾶλλον δὲ καὶ τὰ αὐτοῦ δοῦναι, πάντες ἑτοίμως εἰσφέρομεν· τοῦ δὲ Θεοῦ κελεύοντος μὴ ἁρπάζειν, μηδὲ τὰ ἑτέρων συνάγειν, οὐκ ἀνεχόμεθα. ὁρᾷς ὅτι προτιμῶμεν ἀνθρώπους τοῦ Θεοῦ; φορτικὸν τὸ ῥῆμα καὶ ἐπαχθές. ἀλλὰ δείξατε ὅτι φορτικόν· φύγετε τὸ ἔργον. εἰ δὲ τὸ ἔργον οὐ δεδοίκατε, πῶς ὑμῖν πιστεῦσαι δυνάμεθα λέγουσιν, ὅτι τὰ ῥήματα δεδοίκαμεν, καὶ βαρεῖ ὑμᾶς; ὑμεῖς ἑαυτοὺς τῷ ἔργῳ βαρεῖτε, καὶ οὐδεὶς λόγος· ἐγὼ δὲ ἂν τὰ ῥήματα εἴπω, ὧν ὑμεῖς τὰ πράγματα πράττετε, ἀγανακτεῖτε; καὶ πῶς οὐκ ἄτοποι; γένοιτο ψευδῆ εἶναι τὰ παρ᾽ ἐμοῦ. βούλομαι αὐτὸς λοιδορίας δόξαν λαβεῖν κατ᾽ ἐκείνην τὴν ἡμέραν, ὡς εἰκῇ καὶ μάτην λοιδορησάμενος ὑμᾶς, ἢ ἰδεῖν ὑπὸ τοιούτων ἐγκαλουμένους. οὐ μόνον δὲ αὐτοὶ ἀνθρώπους προτιμᾶτε τοῦ Θεοῦ, ἀλλὰ καὶ ἑτέρους ἀναγκάζετε. πολλοὶ πολλοὺς οἰκέτας ἠνάγκασαν, καὶ παῖδας τοὺς μὲν εἰς γάμον εἵλκυσαν μὴ βουλομένους, τοὺς δὲ ὑπηρετήσασθαι διακονίαις ἀτόποις, καὶ ἔρωτι μιαρῷ, καὶ ἁρπαγαῖς, καὶ πλεονεξίαις, καὶ βίαις· ὥστε διπλοῦν εἶναι τὸ ἔγκλημα, καὶ μηδὲ ἀπὸ τῆς ἀνάγκης δύνασθαι συγγνώμην αὐτοῖς εὑρέσθαι. εἰ γὰρ αὐτὸς ἄκων πράττεις τὰ πονηρὰ καὶ διὰ τὸ ἐπίταγμα τοῦ ἄρχοντος, μάλιστα μὲν οὐδὲ οὕτως ἰσχυρὰ ἡ ἀπολογία, πλὴν χαλεπωτέρα γίνεται ἡ ἁμαρτία, ὅταν καὶ ἐκείνους ἀναγκάζῃς τοῖς αὐτοῖς περιπίπτειν. ποία γὰρ ἂν εἴη τῷ τοιούτῳ συγγνώμη λοιπόν; ταῦτα εἶπον, οὐχὶ καταπικρᾶναι βουλόμενος ὑμᾶς, ἀλλὰ δεῖξαι πόσον ἐσμὲν ὀφειλέται τῷ Θεῷ. εἰ γὰρ καὶ ἐξ ἴσου τιμῶντες ἀνθρώπους τῷ Θεῷ, ὑβρίζομεν τὸν Θεόν, πολλῷ μᾶλλον, ὅταν προτιμῶμεν ἀνθρώπους. εἰ δὲ ταῦτα τὰ ἁμαρτήματα τὰ εἰς ἀνθρώπους γινόμενα, εἰς Θεὸν πολλῷ μείζονα δείκνυται· πόσῳ μᾶλλον ὅταν καὶ αὐτὴ ἡ ἁμαρτία τῇ ποιότητι μείζων ᾖ, καὶ χαλεπωτέρα; ἐξεταζέτω τις ἑαυτόν, καὶ ὄψεται πάντα δι᾽ ἀνθρώπους ποιῶν. σφόδρα ἂν ἦμεν μακάριοι, εἰ τοσαῦτα διὰ τὸν Θεὸν ἐπράττομεν, ὅσα διὰ τοὺς ἀνθρώπους, καὶ τὴν παρὰ τῶν ἀνθρώπων δόξαν, καὶ τὸν φόβον, καὶ τὴν τιμήν. εἰ τοίνυν τοσούτων ἐσμὲν ὑπεύθυνοι, ὀφείλομεν μετὰ πάσης προθυμίας ἀφιέναι τοῖς ἀδικοῦσιν ἡμᾶς καὶ πλεονεκτοῦσι, καὶ μὴ μνησικακεῖν. οὐδὲ γάρ ἐστι λύσεως ἁμαρτημάτων, οὐ πόνων δεομένη, οὐδὲ δαπάνης χρημάτων, οὐδὲ ἄλλου οὐδενός, ἀλλ᾽ ἁπλῶς προαιρέσεως. οὐκ ἀποδημεῖν χρὴ στέλλεσθαι, οὐκ εἰς τὴν ὑπερορίαν ἐλθεῖν, οὐ κινδύνους ὑποστῆναι καὶ πόνους, ἀλλὰ θελῆσαι μόνον. ποίαν, εἰπέ μοι, συγγνώμην ἕξομεν ἐν τοῖς δοκοῦσιν εἶναι δυσκόλοις, ὅταν καὶ κοῦφον πρᾶγμα καὶ τοσοῦτον ἔχον κέρδος, καὶ τοσαύτην τὴν ὠφέλειαν, καὶ οὐδένα πόνον, μὴ πράττωμεν; οὐ δύνασαι χρημάτων καταφρονῆσαι; οὐ δύνασαι δαπανῆσαι τὰ ὄντα εἰς τοὺς δεομένους; θελῆσαι οὐ δύνασαί τι ἀγαθόν; ἀφεῖναι τῷ ἠδικηκότι οὐ δύνασαι; εἰ γὰρ μὴ τοσούτων ὑπεύθυνος ἦς, ἐκέλευσε δὲ μόνον ὁ Θεὸς ἀφεῖναι, οὐκ ἔδει; νῦν δὲ τοσούτων ὑπεύθυνος ὤν, οὐκ ἀφίης; καὶ ταῦτα εἰδὼς ὅτι ἀφ᾽ ὧν ἔχεις δεῖ κρινεῖν, ἀπαιτῇ; ἂν μὲν οὕτω ἡμεῖς πρὸς ὀφειλέτην ἔλθωμεν ἡμέτερον, ἐκεῖνος εἰδὼς τοῦτο, θεραπεύει καὶ ὑποδέχεται καὶ τιμᾷ, καὶ πᾶσαν ἐπιδείκνυται φιλοφροσύνην μετὰ δαψιλείας, καὶ ταῦτα οὐκ ἀπὸ τοῦ δανείσματος διαλυόμενος, ἀλλ᾽ ἡμέρας ἡμᾶς θέλων καταστῆσαι περὶ τὴν ἀπαίτησιν· σὺ δὲ τῷ Θεῷ ὀφείλων τοσαῦτα, καὶ κελευόμενος ἀφεῖναι, πάλιν ἵνα σὺ λάβῃς, οὐκ ἀφίης; τί δήποτε, παρακαλῶ; οἴμοι, πόσης μὲν ἀπολαύομεν φιλανθρωπίας; πόσην δὲ ἐπιδεικνύμεθα κακίαν; πόσον ὕπνον; πόσην ῥᾳθυμίαν; πῶς εὔκολον ἡ ἀρετὴ καὶ πολλὴν ἔχει ὠφέλειαν; πῶς ἐργῶδες ἡ κακία; ἡμεῖς δὲ τὸ οὕτως ἐλαφρὸν ἀποφυγόντες διώκομεν τὸ μολύβδου βαρύτερον. ἐνταῦθα οὐ σώματος ἰσχύος χρεία, οὐ πλούτου, οὐ χρημάτων, οὐ δυναστείας, οὐ φιλίας, οὐκ ἄλλου οὐδενός, ἀλλ᾽ ἀρκεῖ θελῆσαι μόνον, καὶ τὸ πᾶν ἤνυσται. ἐλύπησέ σε ὁ δεῖνα, καὶ ὕβρισε, καὶ ἔσκωψε; ἀλλ᾽ ἐννόησον

χλαυσαίνη

ὅτι

ἀνὴρ ἄγνωστος ἐποίει, ταῦτα ποιεῖ κἀκεῖνος ἀξιοῖ, ὥστε ἀντιλαβέσθαι τοῦ δεσπότου. οὐ γὰρ τὸ παρὰ πολλῶν ἀξιοῦσθαι μόνον, ἀλλὰ καὶ τὸ πρὸς πολλοὺς τὴν δέησιν γενέσθαι, φέρει τι εἰς τὸ αἰσχυνθῆναι τὸ ἀξιούμενον. διὰ τοῦτο ἔλεγε· καὶ Ἀρχίππῳ τῷ συστρατιώτῃ ἡμῶν. εἰ συστρατιώτης εἶ, καὶ ἐν τούτοις κοινωνεῖν ὀφείλεις. οὗτος δὲ ἐστὶν Ἀρχίππος, περὶ οὗ γράφων Κολασσαεῦσιν ἔλεγεν, Εἴπατε Ἀρχίππῳ, βλέπε τὴν διακονίαν, ἣν παρέλαβες ἐν Κυρίῳ, ἵνα αὐτὴν πληροῖς. δοκεῖ μοι οὗτος καὶ εἶναι τῶν ἐν κλήρῳ κατειλεγμένων, ὅτι καὶ παραλαμβάνει εἰς τὴν ἀξίωσιν· καὶ συστρατιώτην καλεῖ, ὥστε πάντη τούτῳ συναράσθαι. καὶ τῇ κατ' οἶκόν σου ἐκκλησίᾳ. οὐδὲ δούλους παρῆκεν ἐνταῦθα. οἶδε γὰρ πολλάκις καὶ ῥήματα δούλων διατρέψαι δυνάμενα τὸν δεσπότην, καὶ μάλιστα, ὅταν ὑπὲρ δούλου ἡ ἀξίωσις ᾖ· τὸν δὲ μάλιστα παροξυνόντες, ἴσως ἐκεῖνοι ἦσαν. οὐ τοίνυν ἀφίησιν αὐτοὺς εἰς φθόνον ἐμπεσεῖν, τῇ προσηγορίᾳ τιμήσας μετὰ τῶν δεσποτῶν. ἀλλ' οὐδὲ τὸν δεσπότην ἀγανακτῆσαι συγχωρεῖ. εἰ μὲν γὰρ ὀνομαστὶ εἶπεν, ἴσως ἂν ἠγανάκτησεν· εἰ δὲ μὴ ἐμνήσθη, κἂν ἐδυσχέρανεν. ὅρα οὖν πῶς συνετῶς εὗρε διὰ τοῦ μνησθῆναι καὶ τούτους τῇ μνήμῃ τιμῆσαι, κἀκεῖνον μὴ πλῆξαι. τὸ γὰρ τῆς ἐκκλησίας ὄνομα οὐκ ἀφίησι τὸν δεσπότην ἀγανακτεῖν, εἴγε συναριθμοῖτο τοῖς οἰκέταις. ἡ γὰρ ἐκκλησία οὐκ οἶδε δεσπότου, οὐκ οἶδεν οἰκέτου διαφοράν· ἀπὸ κατορθωμάτων καὶ ἁμαρτημάτων τούτους κἀκείνους ὁρίζει. εἰ τοίνυν ἐκκλησία ἐστί, μὴ ἀγανάκτει, ὅτι μετὰ σοῦ προσηγορεύθη ὁ δοῦλος. Ἐν γὰρ Χριστῷ Ἰησοῦ οὐ δοῦλος, οὐκ ἐλεύθερος.

Γαλ. γ. κη.

Χάρις ὑμῖν καὶ εἰρήνη. εἰς ὑπόμνησιν αὐτὸν ἤνεγκε τῶν οἰκείων ἁμαρτημάτων τῇ χάριτος ὑπομνήσας. ἐννόησον, φησίν, ὅσα σοι συνεχώρησεν ὁ Θεός, πῶς χάριτι σὺ ἐσώθης· μίμησαι τὸν δεσπότην. ἐπεύχεται δὲ αὐτῷ τὴν εἰρήνην. εἰκότως. τότε γὰρ παραγίνεται καὶ αὕτη, ὅταν μιμώμεθα αὐτόν, ὅταν ἐπιμένῃ ἡ χάρις· ἐπεὶ κἀκεῖνος ὁ δοῦλος ὁ περὶ τὸν σύνδουλον ἀνηλεὴς γενόμενος, ἕως ὅτε οὐκ ἀπῄτει τὰ ἑκατὸν δηνάρια, καὶ ἡ χάρις ἔμενεν ἡ δεσποτική· ἐπεὶ δὲ ἀπῄτησεν, ἀφῃρέθη καὶ παρεδόθη τοῖς βασανισταῖς.

Ματθ. ιη.

ΗΘΙΚΟΝ

Ταῦτα δὴ καὶ ἡμεῖς ἐννοοῦντες, οἰκτίρμονες ὦμεν, συγγνωμονικοὶ περὶ τοὺς ἁμαρτάνοντας εἰς ἡμᾶς. ἑκατὸν δηνάριά ἐστιν ἐνταῦθα τὰ εἰς ἡμᾶς ἁμαρτήματα, τὰ δὲ εἰς τὸν Θεὸν παρ' ἡμῶν, μυρία τάλαντα. ἴστε δὲ ὅτι καὶ τῇ ποιότητι τῶν προσώπων τὰ ἁμαρτήματα κρίνονται. οἷόν τι λέγω· ὁ τὸν ἰδιώτην ὑβρίσας, ἥμαρτεν, ἀλλ' οὐχ ὁμοίως ὡς ὁ τὸν ἄρχοντα· καὶ μειζόνως τούτου, ὁ τὸν μείζονα ἄρχοντα, ἀλλ' οὐχ ὁμοίως ὁ τὸν ἐλάττονα· ὁ δὲ τὸν βασιλέα, πολλῷ πλέον. καὶ ἡ μὲν ὕβρις ἐστὶν ἡ αὐτή, τῇ δὲ ὑπεροχῇ τοῦ προσώπου μείζων γίνεται. εἰ δὲ ὁ βασιλέα ὑβρίζων ἀφόρητον ἔχει τὴν τιμωρίαν διὰ τὴν τοῦ προσώπου ἀξιοπιστίαν, ὁ τὸν Θεὸν ὑβρίζων πόσων ἔσται ὑπεύθυνος ταλάντων; ὥστε κἂν τὰ αὐτὰ εἰς τὸν Θεὸν ἁμαρτάνωμεν, ἅπερ εἰς τοὺς ἀνθρώπους, οὐδὲ οὕτως τὸ ἴσον ἐστίν, ἀλλ' ὅσον μέσον Θεοῦ καὶ ἀνθρώπων, τοσοῦτον τῶν ἁμαρτημάτων ἐκείνων καὶ τούτων. νῦν δὲ καὶ πλείονα εὑρίσκω τὰ ἁμαρτήματα, οὐ τῇ ὑπεροχῇ τοῦ προσώπου μεγάλα μόνον γινόμενα, ἀλλὰ καὶ αὐτῇ τῇ φύσει. καὶ φρικτὸς μὲν ὁ λόγος, ὃν μέλλω λέγειν, καὶ φοβερὸς ὄντως, πλὴν ἀνάγκη λεχθῆναι, ἵνα κἂν οὕτως ἡμῶν τὴν διάνοιαν κατασείσῃ καὶ παρασαλεύσῃ, δεικνὺς ὅτι πολλῷ πλέον ἀνθρώπους φοβούμεθα, ἢ τὸν Θεόν, καὶ τιμῶμεν ἀνθρώπους, ἢ τὸν Θεόν. σκόπει γάρ. ὁ μοιχεύων οἶδεν ὅτι Θεὸς αὐτὸν ὁρᾷ, καὶ τούτου μὲν καταφρονεῖ· ἂν δὲ ἄνθρωπος ἴδῃ, κατέχει τὴν ἐπιθυμίαν. ὁ τοιοῦτος οὐχὶ προτιμᾷ ἀνθρώπους μόνον Θεοῦ, οὐχὶ μόνον ὑβρίζει τὸν Θεόν, ἀλλὰ καὶ τὸ πολλῷ χαλεπώτερον, ἐκείνους δεδοικώς, τούτου καταφρονεῖ. ἂν μὲν γὰρ ἐκεῖνος ἴδῃ, κατέχει τὴν φλόγα τῆς ἐπιθυμίας· μᾶλλον δὲ ποίαν φλόγα; οὐκ ἔστι φλόξ, ἀλλὰ ὕβρις. εἰ μὲν γὰρ μὴ ἐξῆν γυναικὶ κεχρῆσθαι, εἰκότως φλὸξ τὸ πρᾶγμα ἦν, νυνὶ δὲ ὕβρις καὶ στρῆνος. ἂν μὲν γὰρ ἄνθρωποι ἴδῃ, ἵσταται τῆς μανίας, τῆς δὲ τοῦ Θεοῦ μακροθυμίας ἔλαττον φροντίζει. πάλιν ἕτερος, ὁ κλέπτων συνοίδεν, ὅτι ἁρπάζει, καὶ ἀνθρώπους μὲν

πειρᾶται

χ. τῇ τοῦ ποιότητι τῶν προσώπων

χ. ὑπεροχῇ

χ. νυνὶ δὲ παρὰ τὸ [illegible] τὰ μὲν συγκεχωρημένα παρεσφετερισάμεθα, τὰ δὲ κεκωλυμένα παντελῶς σπουδάζομεν. ἴσως καὶ στρῆνος τὸ ὅλον ἐστί.

# ΧΡΥΣΟΣΤΟΜΟΥ
## ΕΙΣ ΤΗΝ ΠΡΟΣ
### ΦΙΛΗΜΟΝΑ ΕΠΙΣΤΟΛΗΝ
ἑρμηνεία.

Λογ. α. 1 ΠΑΥΛΟΣ ΔΕΣΜΙΟΣ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ, καὶ Τιμόθεος ὁ ἀδελφός, Φιλήμονι τῷ ἀγαπητῷ καὶ συνεργῷ ἡμῶν,
2 Καὶ Ἀπφίᾳ τῇ ἀγαπητῇ, καὶ Ἀρχίππῳ τῷ συστρατιώτῃ ἡμῶν, καὶ τῇ κατ' οἶκόν σου ἐκκλησίᾳ.
3 Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

ΥΠὲρ οἰκέτου πρὸς δεσπότην ἐστὶ ταῦτα. εὐθέως ἀπὸ τοῦ προοιμίου τὸ φρόνημα αὐτοῦ καθίστησιν, οὐκ ἀφῆκεν ἐπαισχυνθῆναι, τὸν θυμὸν ἔσβεσε, δέσμιον ἑαυτὸν καλῶν κατέπληξε, καὶ συνέστειλεν, οὐδὲν τὰ προσόντα ἐποίησε δοκεῖν εἶναι πράγματα. Εἰ γὰρ δεσμὸς οὐκ αἰσχύνη διὰ τὸν Χριστόν, ἀλλὰ καὶ καύχημα, πολλῷ μᾶλλον δουλεία οὐκ ἐπονείδιστον. καὶ ταῦτα λέγει οὐκ ἐπαίρων ἑαυτόν, ἀλλὰ συμφερόντως τοῦτο ποιῶν, καὶ τὸ ἀξιόπιστον ἐντεῦθεν δεικνύς, οὐχ ἑαυτοῦ ἕνεκεν, ἀλλ' ὑπὲρ τοῦ τὴν χάριν ἑτοιμότερον λαβεῖν. ὡς ἂν εἰ ἔλεγε, δι' ὑμᾶς τὸν δεσμὸν τοῦτον περίκειμαι. ὥσπερ οὖν καὶ εἶπεν ἀλλαχοῦ, ἐκεῖ μὲν τὴν κηδεμονίαν δεικνύς, ἐνταῦθα δὲ τὸ ἀξιόπιστον. οὐδὲν τοῦ καυχήματος τούτου μεῖζον τοῦ ἀκούειν, ὡς στιγματίας τοῦ Χριστοῦ. Ἐγὼ γὰρ τὰ στίγματα τοῦ Χριστοῦ, φησί, βαστάζω. ὁ δέσμιος τοῦ Χριστοῦ. διὰ γὰρ αὐτὸν δέδεμαι. τίς οὐκ ἂν αἰδεσθείη, τίς οὐκ ἂν δυσωπηθείη, Χριστοῦ δεσμὰ ἀκούων; τίς οὐκ ἂν καὶ τὴν ψυχὴν προοῖτο, μήτιγε οἰκέτην ἕνα; καὶ Τιμόθεος ὁ ἀδελφός. συμπαραλαμβάνει καὶ ἕτερον μεθ' ἑαυτοῦ, ὥστε κἀκεῖθεν ὑπὸ πολλῶν ἀξιούμενον μᾶλλον εἶξαι καὶ δοῦναι τὴν χάριν. Φιλήμονι τῷ ἀγαπητῷ, καὶ συνεργῷ ἡμῶν. Εἰ ἀγαπητός, οὐ τόλμα τὸ θαρρεῖν, οὐδὲ προπέτεια, ἀλλὰ πολλῆς φιλίας δεῖγμα. εἰ συνεργός, οὐ μόνον ἀξιοῦται ὑπὸ τοιούτων, ἀλλὰ καὶ χάριν εἰδέναι ὀφείλει. ἑαυτῷ γὰρ χαρίζεται, τὸ αὐτοῦ ἔργον οἰκοδομεῖσθαι. ὥστε καὶ χωρὶς ἀξιώσεως ἐχρῆν ἀνάγκην, φησίν, ἔχεις τοῦ δοῦναι τὴν χάριν. Εἰ γὰρ τῷ εὐαγγελίῳ ἐστὶ χρήσιμος, σὺ δὲ εἰς τὸ εὐαγγέλιον σπουδάζεις, ἄρα οὐκ ἀξιωθῆναι, ἀλλ' ἀξιῶσαι ὀφείλεις. καὶ Ἀπφίᾳ τῇ ἀγαπητῇ. ἐμοὶ δοκεῖ σύμβιον εἶναι τούτου. ὅρα Παύλου τὸ ταπεινόν. καὶ Τιμόθεον παραλαμβάνει πρὸς τὴν ἀξίωσιν, καὶ οὐ τὸν ἄνδρα μόνον ἀξιοῖ, ἀλλὰ καὶ τὴν γυναῖκα, καὶ ἕτερον τινὰ ἴσως φίλον. καὶ Ἀρχίππῳ, φησί, τῷ συστρατιώτῃ ἡμῶν. οὐκ ἐξ ἐπιτάγματος βουλόμενος τὰ τοιαῦτα ἀνύειν, οὐδὲ ἀγανακτῶν, εἰ μὴ εὐθέως κελεύσαντι ὑπακούει, ἀλλ' ἅπερ ἂν

β. Τιμ. β.
Γαλ. ς. ιζ.
Κολοσ. δ. ιζ.

φανταζόμεθα αὐτὴν τὴν ἀρετήν, καὶ διεγειρόμεθα καὶ προθυμότεροι γινόμεθα. Εἰ τὰ ῥήματα καὶ τὰς ἑτέρας αὐτῶν πράξεις ἠκούσαμεν, πολλῷ μᾶλλον. ἀλλὰ περὶ μὲν φίλου τις ἐρωτᾷ ποῦ διάγει, τί πράττει, ποῦ πρόεισι· περὶ δὲ τοῦ κοινοῦ τῆς οἰκουμένης διδασκάλου οὐκ ἔτι δεῖ ταῦτα μαθεῖν; Εἰπέ μοι· ὅταν γάρ τις πνευματικῶς ζῇ, καὶ σχήματα, καὶ βαδίσματα, καὶ ῥήματα, καὶ πράγματα τοῦ τοιούτου, καὶ πάντα ἁπλῶς τοὺς ἀκούοντας ὠφελεῖ, καὶ οὐδὲν ἐμποδίζει, οὐδὲ κώλυμα γίνεται. πλὴν ὅτι περὶ ἀναγκαίων ἡ ἐπιστολὴ διεπέμπετο, μαθεῖν ὑμᾶς χρήσιμον. ὅρα γοῦν πόσα κατορθοῦται ἐντεῦθεν. ἓν μὲν καὶ πρῶτον, τὸ σπουδαῖόν τινα εἶναι περὶ πάντα. εἰ γὰρ Παῦλος ὑπὲρ δραπέτου, ὑπὲρ λῃστοῦ καὶ κλέπτου τοσαύτην ποιεῖται πρόνοιαν, καὶ οὐ παραιτεῖται μετὰ πάντων αὐτὸν ἐγκωμίων ἀποπέμψαι, οὐδὲ αἰσχύνεται, πολλῷ μᾶλλον οὐδὲ ἡμᾶς προσήκει ῥαθύμους εἶναι περὶ τὰ τοιαῦτα. δεύτερον, ὅτι τὸ δουλικὸν γένος οὐ δεῖ ἀπογινώσκειν, κἂν εἰς ἐσχάτην ἐλάσῃ κακίαν. εἰ γὰρ ὁ κλέπτης, ὁ δραπέτης οὕτως ἐγένετο ἐνάρετος, ὡς θέλειν τὸν Παῦλον κοινωνὸν αὐτὸν καταστῆσαι, καὶ γράφων ἔλεγεν, Ἵνα ὑπὲρ σοῦ διακονῇ μοι, [Κολοσ. γ.] [γρ. καὶ χάριν τι λέγειν] πολλῷ μᾶλλον ἐλευθέρους ἀπογινώσκειν οὐ χρή. τρίτον, ὅτι τοὺς δούλους ἀποσπᾶν τῆς δεσποτείας οὐ προσήκει. Εἰ γὰρ Παῦλος ὁ οὕτω θαῤῥῶν τῷ Φιλήμονι, τὸν Ὀνήσιμον τὸν οὕτως εὔχρηστον καὶ χρήσιμον αὐτῷ πρὸς διακονίαν οὐκ ἠθέλησε κατασχεῖν παρὰ γνώμην τοῦ δεσπότου, πολλῷ μᾶλλον ἡμᾶς τοῦτο ποιεῖν οὐ χρή. Εἰ γὰρ θαυμαστός ἐστιν ὁ οἰκέτης, ταύτῃ μάλιστα μένειν αὐτὸν χρὴ ἐν τῇ δουλείᾳ, καὶ τὴν δεσποτείαν ἐπιγινώσκειν, ἵνα αἴτιος πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ ὠφελείας γένηται. τί τὸν λύχνον ἀπὸ τῆς λυχνίας ἐπὶ τὸν μόδιον ἄγεις; εἴθε ἦν τοὺς ἔξωθεν εἰς τὰς πόλεις εἰσαγαγεῖν ἐκείνους. τί οὖν, φησίν, ἂν καὶ αὐτὸς φαῦλος γένηται; διὰ τί, εἰπέ μοι, παρακαλῶ; ὅτι πρὸς πόλιν εἰσῆλθεν; ἀλλ' ἐννόει ὅτι καὶ ἔξω ὢν φαυλότερος ἔσται. ὁ γὰρ ἔνδον φαῦλος γενόμενος, πολλῷ μᾶλλον ἔξω ὤν. ἐνταῦθα μὲν γὰρ καὶ τῆς ἀναγκαίας φροντίδος ἀπήλλακται, τοῦ δεσπότου μεριμνῶντος· ἐκεῖ δὲ ἡ περὶ τούτων φροντὶς ἴσως ἀπάξει αὐτὸν καὶ τῶν ἀναγκαιοτέρων, καὶ πνευματικωτέρων. διὰ τοῦτο καὶ ὁ μακάριος Παῦλος [α Κορ. ζ. κα.] τὴν ἀρίστην αὐτοῖς εἰσάγων συμβουλὴν ἔλεγε· Δοῦλος ἐκλήθης; μή σοι μελέτω· ἀλλ' εἰ καὶ δύνασαι ἐλεύθερος γενέσθαι, μᾶλλον χρῆσαι· τουτέστι, τῇ δουλείᾳ παράμενε. τὸ δὲ πάντων ἀναγκαιότερον, ἵνα μὴ ὁ λόγος τοῦ Θεοῦ βλασφημῆται. καθὼς καὶ αὐτὸς γράφων ἔλεγεν, [α. Τιμ. ς. α.] Ὅσοι εἰσὶν ὑπὸ ζυγὸν δοῦλοι, τοὺς ἰδίους δεσπότας πάσης τιμῆς ἀξίους ἡγείσθωσαν, ἵνα μὴ τὸ ὄνομα τοῦ Θεοῦ καὶ ἡ διδασκαλία βλασφημῆται. ἐροῦσι γὰρ καὶ Ἕλληνες, ὅτι δύναται καὶ δουλεύων ἀρέσκειν τῷ Θεῷ. ἐπεὶ εἰς ἀνάγκην καθίστανται πολλοὶ τοῦ βλασφημεῖν καὶ λέγειν, ἐπὶ ἀνατροπῇ τῶν πάντων ὁ χριστιανισμὸς εἰς τὸν βίον εἰσενήνεκται, τῶν δεσποτῶν ἀφαιρουμένων τοὺς οἰκέτας, καὶ βίας τὸ πρᾶγμά ἐστιν. Εἴπω τι καὶ ἕτερον. διδάσκει ἡμᾶς μὴ ἐπαισχύνεσθαι τοὺς οἰκέτας, εἰ ἐνάρετοι εἶεν. Εἰ γὰρ Παῦλος πάντων ἀνθρώπων θαυμαστότερος τοσαῦτα περὶ τούτου φησί, πολλῷ μᾶλλον ἡμεῖς περὶ τῶν ἡμετέρων. τοσούτων οὖν ὄντων κατορθωμάτων, καίτοι οὔπω πάντα εἰρήκαμεν, περιττόν τις ἡγεῖται τὸ καὶ ταύτην τὴν ἐπιστολὴν ἐντετάχθαι; καὶ πῶς οὐκ ἐσχάτης ἀνοίας ἂν εἴη; προσέχωμεν τοίνυν, παρακαλῶ, τῇ παρὰ τοῦ ἀποστόλου γραφείσῃ ἐπιστολῇ. τοσαῦτα γὰρ ἤδη κερδάναντες, πλείονα κερδανοῦμεν ἀπὸ τῆς ὑφῆς.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

# ΙΩΑΝΝΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

τοῦ Χρυσοστόμου ὑπόθεσις τῆς πρὸς Φιλήμονα ἐπιστολῆς.

Πρῶτον ἀναγκαῖον τὴν ὑπόθεσιν εἰπεῖν τῆς ἐπιστολῆς, εἶτα καὶ τὰ ζητούμενα. τίς οὖν ἡ ὑπόθεσις; Φιλήμων ἀνήρ τις τῶν θαυμαστῶν καὶ γενναίων. ὅτι γὰρ θαυμαστὸς ἦν, δῆλον ἀπὸ τοῦ καὶ τὴν οἰκίαν αὐτοῦ πᾶσαν εἶναι πιστὴν, καὶ οὕτω πιστὴν, ὡς καὶ ἐκκλησίαν αὐτὴν ὀνομάζεσθαι. διὰ τοῦτο καὶ γράφων ἔλεγε, Καὶ τῇ κατ' οἶκόν σου ἐκκλησίᾳ. μαρτυρεῖ δὲ αὐτῷ καὶ πολλὴν ὑπακοὴν, καὶ ὅτι Τὰ σπλάγχνα τῶν ἁγίων ἀναπέπαυνται εἰς αὐτόν. καὶ αὐτὸς δὲ γράφων ἐν ταύτῃ τῇ ἐπιστολῇ παρήγγελλεν αὐτῷ ἑτοιμάσαι ξενίαν. οὕτω μοι δοκεῖ καταγώγιον εἶναι ἁγίων ἡ οἰκία ἡ ἐκείνου πάντων ἕνεκεν. οὗτος δὴ οὖν ὁ θαυμαστὸς ἀνὴρ παῖδά τινα εἶχεν Ὀνήσιμον· ὁ τοίνυν Ὀνήσιμος οὗτος κλέψας τι παρὰ τοῦ δεσπότου, ἐδραπέτευσεν. ὅτι γὰρ ἔκλεψεν, ἄκουσον τί φησιν· Εἰ δέ τι ἠδίκησέ σε, ἢ ὀφείλει, ἐγὼ ἀποτίσω. ἐλθὼν τοίνυν πρὸς τὸν Παῦλον εἰς τὴν Ῥώμην, καὶ εὑρὼν αὐτὸν ἐν τῷ δεσμωτηρίῳ, καὶ ἀπολαύσας τῆς παρ' αὐτοῦ διδασκαλίας, καὶ τοῦ βαπτίσματος ἔτυχεν ἐκεῖ. ὅτι γὰρ ἐκεῖ ἔτυχε τῆς τοῦ βαπτίσματος δωρεᾶς, δῆλον ἐκ τοῦ εἰπεῖν, Ὃν ἐγέννησα ἐν τοῖς δεσμοῖς μου. ὁ τοίνυν Παῦλος γράφει συνιστῶν αὐτὸν πρὸς τὸν δεσπότην, ὥστε πάντων ἕνεκεν λύσιν γενέσθαι, καὶ προσίεσθαι αὐτὸν ὡς ἀναγεννηθέντα νῦν. ἀλλ' ἐπειδή τινές φασι περιττὸν εἶναι τὸ καὶ ταύτην προσκεῖσθαι τὴν ἐπιστολὴν, εἴγε ὑπὲρ πράγματος μικροῦ ἠξίωσεν, ὑπὲρ ἑνὸς ἀνδρὸς, μαθέτωσαν ὅσοι ταῦτα ἐγκαλοῦσιν, ὅτι μυρίων εἰσὶν ἐγκλημάτων ἄξιοι. οὐ μόνον γὰρ τὰς οὕτω μικρὰς ἐπιστολὰς, καὶ ὑπὲρ οὕτω πραγμάτων ἀναγκαίων ἐπεσταλμένας ἔδει ἐγγεγράφθαι· ἀλλ' εἴθε γὰρ ἐνῆν εὐπορῆσαι τοῦ τὴν ἱστορίαν ἡμῖν παραδιδόντος τῶν ἀποστόλων, οὐ λέγω ὑπὲρ ὧν ἔγραψαν καὶ διελέχθησαν, ἀλλὰ καὶ τὴν ἄλλην αὐτῶν ἀναστροφὴν, καὶ τί ἔφαγον, καὶ πότε ἔφαγον, πότε ἐκάθισαν καὶ πῶς ἐβάδισαν, καὶ τί καθ' ἑκάστην ἡμέραν διεπράξαντο, ἐν ποίοις μέρεσι γεγόνασι, καὶ εἰς ποίαν οἰκίαν εἰσῆλθον, καὶ ποῦ κατήχθησαν, καὶ μετ' ἀκριβείας ἅπαντα διηγήσασθαι. οὕτω πάντα τὰ παρ' αὐτῶν γινόμενα πολλῆς ὠφελείας γέμει. ἀλλ' ἐπειδὴ μὴ ἴσασιν οἱ πλείους τὸ κέρδος τὸ ἐντεῦθεν, διὰ τοῦτο μέμφεσθαι ἐπιχειροῦσιν. εἰ γὰρ τόπους ὁρῶντές τινες μόνον, ἔνθα ἐκάθισαν ἢ ἐδέθησαν, τόπους ἀψύχους, πολλάκις ἐκεῖ παραπέμπομεν τὴν διάνοιαν, καὶ

χ. πιστῶν
χ. πιστῶν

Φιλημ. β.

Φιλημ. ζ.

Φιλημ. ιη.

Φιλημ. ι.

ν. ἐδέθησαν, ἄλλ. ἐδιδάχθησαν

Google

ἐστὶ πολλῆς διαστάσεως ἐνταῦθα. ὁ μέν τι ἀποφέρων χρυσίον καὶ ἀργύριον, τὰ τῆς ἀρετῆς λέγω κατορθώματα, οὐ μόνον φλέγειν ταῦτα οὐκ ἔχει τὸν πλησίον, ἀλλὰ καὶ πλησίον γινομένους καὶ συνδιάζοντας. πλὴν εἰ ὁ πλοῦτος αὐτοῖς ἀνάθημα ἐστι, τί ἡ πλεονεξία; τίνος ἕνεκεν ταύτην ἀπάγεις ἐκεῖ; ἵνα μείζονα τὴν φλόγα ἐργάσῃ, φορτία ὑποτιθεὶς τῷ πυρί; οὐ γὰρ ἀρκεῖ τὸ τῆς γεέννης πῦρ; ἐνόησον οἱ τρεῖς παῖδες πῶς περιεγένοντο τῆς καμίνου· [γ. ἐκεῖνο] ἐκείνην νόμισον γέενναν εἶναι. μετὰ θλίψεως ἐνέπεσον εἰς αὐτὴν δεδεμένοι καὶ συμπεποδημένοι· [γ. δεδεμένοι ἦσαν καὶ συμπεποδισμένοι.] ἀλλὰ πολλὴν εὗρον ἔνδον τὴν εὐρυχωρίαν. ἀλλ' οὐχ οἱ ἔξωθεν περιεστῶτες. τοιοῦτόν τι ἔσται καὶ νῦν, ἐὰν βουλώμεθα γενναίως καὶ ἀνδρείως ἵστασθαι πρὸς τοὺς ἐπαγομένους πειρασμούς. ἂν εἰς τὸν Θεὸν ἔχωμεν τὰς ἐλπίδας, ἐσόμεθα μὲν ἡμεῖς ἐν ἀσφαλείᾳ, ἐν εὐρυχωρίᾳ, οἱ δὲ ἐμβάλλοντες ἡμᾶς ἀπολοῦνται. Ὁ γὰρ ὀρύσσων βόθρον, φησίν, ἐμπεσεῖται εἰς αὐτόν. [Ψαλ. ζ. ιζ.] κἂν τὰς χεῖρας δήσωσι, κἂν τοὺς πόδας, ἡ θλίψις λῦσαι δυνήσεται. ὅρα γὰρ τὸ θαυμαστόν. οὓς ἔδησαν ἄνθρωποι, τούτους ἔλυσε τὸ πῦρ. καθάπερ γὰρ εἴ τις παραδοίη τινὰς τοῖς οἰκέταις τῶν φίλων, οὗτοι δὲ τὴν φιλίαν αἰδούμενοι τοῦ δεσπότου, οὐ μόνον αὐτοὺς οὐ λυμαίνονται, ἀλλὰ καὶ πολλῆς μεταδιδόασι τιμῆς· οὕτω καὶ τὸ πῦρ, ἐπειδὴ ἐπέγνω ὅτι φίλοι τοῦ δεσπότου αὐτοῦ εἰσιν οἱ παῖδες ἐκεῖνοι, καὶ διέρρηξεν αὐτῶν τὰ δεσμά, καὶ ἔλυσεν αὐτούς, καὶ ἀφῆκε, καὶ ἔδαφος αὐτοῖς ἐγένετο, καὶ κατεπατεῖτο ὑπ' αὐτῶν, εἰκότως. ὑπὲρ γὰρ τῆς δόξης ἐνεβέβληντο τοῦ Θεοῦ. ὅσοι ἐν θλίψεσίν ἐσμεν, ταῦτα κατέχωμεν τὰ ὑποδείγματα. ἀλλ' ἰδού, φησιν, ἐκεῖνοι ἀπηλλάγησαν τῆς θλίψεως, ἡμεῖς δὲ οὔ. καὶ εἰκότως, ἐπειδὴ οὐχ οὕτως ἐνέβησαν εἰς τὴν κάμινον ἐκεῖνοι, ὡς ἀπαλλαγησόμενοι, ἀλλ' ὡς τεθνηξόμενοι τέλεον. ἄκουε γὰρ αὐτῶν λεγόντων, Ἔστι Θεὸς ἐν οὐρανοῖς, ὃς ῥύσεται ἡμᾶς· καὶ ἐὰν μή, γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι [Δαν. γ. ιζ.] τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ἣ ἔστησας, οὐ προσκυνοῦμεν. ἡμεῖς δὲ ὡς πραγματευόμενοι τοῦ Θεοῦ τὰς παιδείας, καὶ χρόνον ὁρίζομεν λέγοντες· ἐὰν μέχρι ποσοῦ δὲ μὴ ἐλεήσῃ. διὰ τοῦτο οὐκ ἀπαλλαττόμεθα. ἐπεὶ καὶ ὁ Ἀβραὰμ οὐχ ὡς σῶον ληψόμενος τὸν υἱόν, οὕτως ἀπήρχετο, ἀλλ' ὡς σφαγιάσων· καὶ παρὰ προσδοκίαν σῶον ἔλαβε. καὶ σὺ ὅταν ἐμπέσῃς εἰς θλίψιν, μὴ ταχύνῃς, μὴ σπεύσῃς ἀπαλλαγῆναι, [γ. μή, φησιν, ἐν καιρῷ ἐπαγωγῆς.] παρασκεύασον τὴν διάνοιάν σου πρὸς πᾶσαν ὑπομονήν, καὶ ἀπαλλαγήσῃ ταχέως τῆς θλίψεως. διὰ γὰρ τοῦτο καὶ ἐπάγει αὐτὴν ὁ Θεός, ἵνα παιδεύσῃ. ὅταν οὖν ἐκ προοιμίων παιδευθῶμεν φέρειν, καὶ μὴ ἀλύωμεν, λύεται λοιπόν, ὡς τοῦ παντὸς κατωρθωμένου. βούλομαί τι διήγημα πρὸς ὑμᾶς εἰπεῖν χρήσιμον, καὶ πολλὴν ἔχον τὴν ὠφέλειαν. τί δὲ τοῦτό ἐστι; διωγμοῦ ποτε κατειληφότος, καὶ πολέμου σφοδροῦ κατὰ τῆς ἐκκλησίας ἀναρριπισθέντος, δύο τινὲς συνελήφθησαν ἄνδρες· καὶ ὁ μὲν ἕτοιμος ἦν πᾶν ὁτιοῦν παθεῖν, ὁ δὲ πρὸς μὲν τὸ ἀποτμηθῆναι τὴν κεφαλὴν καὶ αὐτὸς ἕτοιμος καὶ γενναῖος, πρὸς δὲ τὰς ἄλλας βασάνους δεδοικὼς καὶ τρέμων. ὅρα τοίνυν τὴν οἰκονομίαν. ἐπειδὴ ἐκάθισεν ὁ δικαστής, τὸν μὲν ἕτοιμον ὄντα πᾶν ὁτιοῦν παθεῖν, ἐκέλευσεν ἀποτμηθῆναι τὴν κεφαλήν· ἐκεῖνον δὲ ἀναρτήσας κατέξαινε, καὶ οὐχ ἅπαξ, οὐδὲ δεύτερον, ἀλλὰ πάσας περιάγων τὰς πόλεις. τί δήποτε τοῦτο συνεχωρήθη; ἵνα τὸ ἠμελημένον αὐτοῦ τῆς διανοίας ἀνακτήσηται διὰ τῶν βασάνων, ἵνα τὴν δειλίαν πᾶσαν ἐκβάλῃ, ἵνα μηκέτι ᾖ δεδοικώς, μηδὲ ὀκνῇ, μηδὲ τρέμων πρὸς τὸ πρᾶγμα. καὶ Ἰωσὴφ δὲ ὅτε μάλιστα ἠπείγετο ἐξελθεῖν, τότε μάλιστα ἐναπέμεινεν. ἄκουε γὰρ αὐτοῦ λέγοντος, Κλοπῇ [Γεν. μ. ιε.] ἐκλάπην ἐκ γῆς Ἑβραίων· καὶ μνήσθητί μου, φησί, πρὸς τὸν βασιλέα. διὰ τοῦτο ἐναπέμεινεν, ἵνα μάθῃ, ὅτι οὐ χρὴ θαρρεῖν, οὐδὲ ἐπελπίζειν ἀνθρώποις, ἀλλὰ τὸ πᾶν ἐπὶ τὸν Θεὸν ῥίπτειν. ταῦτα οὖν εἰδότες, χάριν ὁμολογῶμεν τῷ Θεῷ, καὶ πάντα πράττωμεν τὰ πρὸς τὸ συμφέρον· ἵνα τῶν μελλόντων ἀγαθῶν ἐπιτύχωμεν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, σὺν τῷ ἁγίῳ πνεύματι, νῦν καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

φέρειν, παιδεύων πλεονεξίας ἀφίστασθαι. ὁ γὰρ παιδευόμενος τῷ μὴ ἔχοντι δοῦναι, παιδευθήσεται τῷ χρόνῳ καὶ μὴ λαμβάνειν ἀπὸ τῶν ἐχόντων. τοῦτο ὁμοίους ποιεῖ τῷ Θεῷ. καίτοιγε ἡ παρθενία χαλεπώτερον αὐτῆς πόνον ἔχει, καὶ ἡ νηστεία, καὶ τὸ χαμευνεῖν· ἀλλ' οὐδὲν οὕτως ἰσχυρὸν καὶ δυνατὸν πρὸς τὸ σβέσαι τῶν ἁμαρτημάτων ἡμῶν τὴν πυρὰν, ὡς ἡ ἐλεημοσύνη. πάντων αὕτη μείζων ἐστὶ, παρ' αὐτὸν ἵστησι τὸν βασιλέα τοὺς αὐτῆς ἐραστάς· καὶ μάλα εἰκότως. παρθενία μὲν γὰρ, καὶ νηστεία, καὶ χαμευνία περὶ τὸν ποιοῦντα ἵστανται μόνον, ἕτερον δὲ ἔσωσεν οὐδένα· ἡ δὲ ἐλεημοσύνη εἰς πάντας ἐκτείνεται, καὶ τὰ μέλη περιπλέκεται τοῦ Χριστοῦ. πολὺ δὲ τῶν εἰς τὸ ἓν συνεσταλμένων τὰ πρὸς πολλοὺς ἐκτεινόμενα κατορθώματα μείζονα. αὕτη γὰρ μήτηρ ἀγάπης ἐστὶν, ἀγάπης τῆς τὸν χριστιανισμὸν χαρακτηριζούσης, τῆς τῶν σημείων ἁπάντων μείζονος· δι' ἧς οἱ μαθηταὶ φαίνονται τοῦ Χριστοῦ. αὕτη φάρμακόν ἐστι τῶν ἡμετέρων ἁμαρτημάτων, σμῆγμα τοῦ ῥύπου τῆς ἡμετέρας ψυχῆς, κλίμαξ εἰς τὸν οὐρανὸν ἐστηριγμένη· αὕτη τοῦ Χριστοῦ τὸ σῶμα συνδεῖ. βούλεσθε μαθεῖν ὅσον ἀγαθὸν αὕτη ἐστίν; ἐπὶ τῶν ἀποστόλων πάντες τὰ ἑαυτῶν πωλοῦντες ἔφερον πρὸς αὐτούς, ἃ καὶ διεδίδοτο. Διεδίδωσαν γὰρ, φησὶν, ἑκάστῳ, καθότι ἄν τις χρείαν εἶχεν. εἰπὲ γάρ μοι, χωρὶς τῶν μελλόντων (μήπω γὰρ περὶ τῆς βασιλείας νῦν κινῶμεν) ἀλλ' ἐν τῷ παρόντι ἴδωμεν, τίνες κερδαίνουσιν, οἱ λαμβάνοντες, ἢ οἱ δόντες. ἐκεῖνοι μὲν γὰρ ἐγόγγυζον, καὶ διεπληκτίζοντο πρὸς ἀλλήλους· οὗτοι δὲ εἶχον ψυχὴν μίαν. Ἦν γὰρ, φησὶν, ἁπάντων ἡ καρδία καὶ ἡ ψυχὴ μία, καὶ χάρις ἦν ἐπὶ πάντας αὐτούς, καὶ μετὰ πολλῆς ὠφελείας διῆγον. ὁρᾷς ὅτι καὶ ἐντεῦθεν ἐκεῖνοι ἐκέρδαινον; εἰπὲ δή μοι, τίνων ἂν ἠθέλησας εἶναι; τῶν τὰ αὐτῶν ῥιπτούντων, καὶ οὐδὲν ἐχόντων, ἢ τῶν καὶ τὰ ἑτέρων λαμβανόντων; ὅρα τὸν καρπὸν τῆς ἐλεημοσύνης· τὰ διαφράγματα καὶ τὰ κωλύματα ἀνῃρέθη, καὶ εὐθέως συνηρμόσθησαν αὐτῶν αἱ ψυχαί. πάντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία. ὥστε καὶ χωρὶς τῆς ἐλεημοσύνης, τὸ τὰ χρήματα κοινοῦν πολὺ ἔχει τὸ κέρδος. Ταῦτα δέ μοι εἴρηται, ἵνα οἱ κλῆρον παρὰ προγόνων μὴ διαδεξάμενοι, μὴ ἀλγῶσι, μηδὲ καταφρονῶσιν, ὡς ἔλαττον τῶν πλουτούντων ἔχοντες. μείζονα γὰρ ἕξουσιν, ἂν ἐθέλωσι. καὶ γὰρ καὶ πρὸς ἐλεημοσύνην μετὰ πλείονος ἥξουσι τῆς εὐκολίας, καθάπερ ἡ χήρα, καὶ τῆς πρὸς τὸν πλησίον ἔχθρας οὐδεμίαν ἕξουσιν ἀφορμήν, καὶ πάντων ἔσονται ἐλευθερώτεροι. οὐδεὶς ἀπειλῆσαι δυνήσεται τῷ τοιούτῳ δήμευσιν, ἀλλ' ἔστιν ἀνώτερος τοῦ παθεῖν κακῶς. καὶ καθάπερ τοὺς γυμνοὺς φεύγοντας οὐδεὶς ἂν ταχέως κατάσχοι, τὸν δὲ πολλὰ περιβεβλημένον καὶ ἐπισυρόμενον ῥᾳδίως ἄν τις ἐπιλάβοιτο· οὕτω καὶ ὁ πλούσιος, καὶ ὁ πένης ἐστίν. ὁ μὲν γὰρ, κἂν ἁλῷ, εὐκόλως διαδρᾶναι δυνήσεται· ὁ δὲ, κἂν μὴ κατασχεθῇ, τοῖς ἑαυτοῦ φορτίοις συμποδίζεται, φροντίσι μυρίαις, ἀθυμίαις, ὀργαῖς, παροξυσμοῖς. ταῦτα πάντα καταχωννύει τὴν ψυχήν· καὶ οὐ ταῦτα μόνα, ἀλλὰ καὶ ἄλλα πολλά, ἅπερ ἀπὸ τοῦ πλούτου ἐπισυρόμεθα. καὶ γὰρ μετριάζειν δυσκολώτερον τὸν πλούσιον, ἢ τὸν πένητα, καὶ ἐν εὐπορίᾳ ζῇν· καὶ θυμοῦ ἀπηλλάχθαι δυσκολώτερον τοῦτον, ἢ ἐκεῖνον. οὐκοῦν πλείονα, φησὶν, ἕξει μισθόν; οὐδαμῶς. διατί, εἴγε τὰ δύσκολα κατορθοῖ; ὅτι αὐτὸς ἑαυτῷ τὰς δυσκολίας ἐπενόησεν. οὐ γὰρ ἐπιτέτακται πλουτεῖν, ἀλλὰ καὶ τοὐναντίον· ἑαυτῷ δὲ μυρία σκάνδαλα καὶ κωλύματα κατασκευάζει. ἄλλοι δὲ οὐ μόνον τὰ χρήματα ἀποτίθενται, ἀλλὰ καὶ τοῦ σώματος τὸ πλέον κατατήκουσιν, ὡς στενὴν ὁδεύοντες ὁδόν· σὺ δὲ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ αὔξεις τὴν κάμινον τῶν παθῶν, [καὶ ὅπερ περιβάλλεις,] οὐκοῦν εἰς τὴν εὐρύχωρον ἄπιθι. ἐκείνη γάρ ἐστιν ἡ τοὺς τοιούτους δεχομένη· ἡ δὲ στενὴ τοὺς θλιβομένους, τοὺς ἐστενωμένους, τοὺς οὐδὲν βαστάζοντας, ἀλλ' ἢ ταῦτα τὰ φορτία, ἃ δι' αὐτῆς κομίζεσθαι δυνατόν, ἐλεημοσύνην, φιλανθρωπίαν, χρηστότητα, ἐπιείκειαν. ἂν ταῦτα βαστάζῃς, εὐκόλως δυνήσῃ εἰσελθεῖν· ἂν δὲ ἀπόνοιαν, καὶ φλεγμονὴν ψυχῆς, καὶ τὸ τῶν ἀχθῶν φορτίον, τὸν πλοῦτον, πολλῆς σοι δεῖ τῆς εὐρυχωρίας. οὐδὲ γὰρ εἰς τὸν ὄχλον ἐμβαλεῖν σοι δυνατὸν, ὥστε μὴ ἑτέρους παραθλίβειν ἔξωθεν ἐπιφερόμενον· ἀλλ'

ἐὰν

Margin: Πραξ. δ. λβ.

Margin notes: γρ. πανταχοῦ · γρ. πονηρῶν · γρ. πολλοί · γρ. διεπαίζοντο · γρ. λιπίοις · γρ. ἐπαίρεσθ. · γρ. σύ

15. Ἀσπάζονταί σε οἱ μετ' ἐμοῦ πάντες, ἄσπασαι τοὺς φιλοῦντας ἡμᾶς ἐν πίστει.

Ἤτοι τοὺς αὐτὸν φιλοῦντάς φησιν, ἢ τοὺς πιστοὺς ἄνδρας. Ἡ χάρις μετὰ πάντων ὑμῶν. ἀμήν. Πῶς οὖν αὐτῷ κελεύεις τοὺς ἀναπλέοντας ἐπισιτίζειν, εἰ παρεισάγει τούτους δεῖ, ὅταν ἐπὶ λύμῃ πάντα ποιῶσιν ἑαυτῶν; φησὶ δὲ προηγουμένως ἐπὶ τῷ ἐκείνων κέρδει μηδέποτε τοῦτο ποιεῖν. οὐδὲ γὰρ ἂν κερδαίνειν ποτὲ, ἅπαξ διεστραμμένοι τὴν γνώμην. εἰ μὲν γὰρ ἑτέροις λυμαίνοιντο, διεστάναι χρὴ καὶ μάχεσθαι καὶ μετὰ πολλῆς τῆς ἀνδρείας περιΐστασθαι· εἰ δὲ εἰς ἀνάγκην καταστῇς, ὁρῶν ἑτέρους διαφθειρομένους, μὴ σίγα, ἀλλ' ἐπιστόμιζε, τῶν μελλόντων ἀπόλλυσθαι κηδόμενος. ὅλως δὲ οὐκ ἔστι τῶν σπουδὴν ἐχόντων καὶ βίον ὀρθὸν, μάχαις ἀνέχεσθαι. πλὴν, ὡς εἶπον, οὕτω ποίει· ἀπὸ γὰρ ἀργίας καὶ τῆς περιττῆς φιλοσοφίας τὸ πρᾶγμα γίνεται, τὸ περὶ τὰ ῥήματα ἠσχολῆσθαι μόνον. καὶ γὰρ περιττὰ φθέγγεσθαι πολλὴ ζημία, δέον ἢ διδάσκειν, ἢ εὔχεσθαι, ἢ ἐνεργεῖν. οὐδὲ γὰρ χρημάτων μὲν φείδεσθαι ὀφείλομεν, ῥημάτων δὲ οὔ· ἀλλὰ μάλιστα τούτων, ἢ ἐκείνων, καὶ μὴ ἁπλῶς πᾶσιν ἑαυτοὺς ἐκδιδόναι. τί ἐστιν, ἵνα φροντίζωσι καλῶν ἔργων προΐστασθαι; ἵνα μὴ περιμένωσι τοὺς δεομένους ἐλθεῖν πρὸς αὐτοὺς, ἀλλὰ καὶ αὐτοὶ περιεργάζωνται τοὺς δεομένους τῆς αὐτῶν βοηθείας. ὁ γὰρ φροντίζων, οὕτω φροντίζει. οὕτω γὰρ μάλιστα καὶ μετὰ πολλῆς τῆς σπουδῆς τοῦτο ἐργάζεται. καὶ γὰρ ἐν οἷς εὖ πάσχουσιν, οὐ τοῖς πάσχουσι τοσοῦτον, ὅσον τοῖς εὖ ποιοῦσι πρόσοδον καὶ κέρδος φέρει τὸ γινόμενον. παρρησίαν γὰρ δίδωσιν αὐτοῖς πρὸς τὸν Θεόν· ἐκεῖ δὲ τῆς μάχης τέλος οὐδέν. τὸν ἀδιόρθωτον οὖν λέγει αἱρετικόν. ὥσπερ γὰρ τοὺς ἐλπίδας ἔχοντας μεταβολῆς προτρέπειν χρή, οὕτω τοὺς ἀνίατα νοσοῦντας θεραπεύειν, ἀνοίας καὶ τῆς ἐσχάτης παραπληξίας. θρασυτέρους γὰρ ἐργαζόμεθα ἐκείνους. μανθανέτωσαν δὲ, φησὶ, καὶ οἱ ἡμέτεροι καλῶν ἔργων προΐστασθαι εἰς τὰς ἀναγκαίας χρείας, ἵνα μὴ ὦσιν ἄκαρποι. ὁρᾷς ὅτι αὐτῶν φροντίζει μᾶλλον, ἢ τῶν λαμβανόντων; ἐκεῖνοι γὰρ ἴσως πολλαχόθεν τούτους περιπέμψαι, ἀλλὰ τῶν ἡμετέρων, φησὶ, φροντίζω. τί γὰρ ὄφελος, εἰπέ μοι; εἰ γὰρ θησαυροὺς ἀνορύττοντες ἔτρεφον τοὺς διδασκάλους ἕτεροι, τούτοις οὐδὲν οὐδέπω κέρδος ἦν· ἄκαρποι γὰρ ἔμενον. τί οὖν, εἰπέ μοι; οὐκ ἠδύνατο ὁ Χριστὸς ὁ ἀπὸ πέντε ἄρτων πεντακισχιλίους, καὶ ἀπὸ ἑπτὰ τετρακισχιλίους θρέψας, θρέψαι ἑαυτὸν καὶ τοὺς συνόντας αὐτῷ;

ΗΘΙΚΟΝ

Τίνος οὖν ἕνεκεν ὑπὸ γυναικῶν ἐτρέφετο; (Ἠκολούθουν γὰρ αὐτῷ, φησὶ, γυναῖκες, αἵτινες διηκόνουν αὐτῷ) διδάσκων ἡμᾶς ἄνωθεν ὅτι τῶν εὖ ποιούντων φροντίζει. οὐκ ἠδύνατο ὁ Παῦλος ὁ καὶ ἑτέροις ἐπαρκῶν διὰ τῶν ἑαυτοῦ χειρῶν, μηδαμόθεν λαμβάνειν; ἀλλ' ὁρᾷς αὐτὸν καὶ λαμβάνοντα καὶ αἰτοῦντα. καὶ ἄκουσον, διὰ τί· Ζητῶ γὰρ, φησὶν, οὐ τὸ δόμα, ἀλλὰ τὸν καρπὸν τὸν πλεονάζοντα εἰς λόγον ὑμῶν. καὶ παρὰ τὴν ἀρχὴν δὲ, ὅτε τὰ αὐτῶν ἅπαντα πιπράσκοντες ἐτίθεσαν παρὰ τοὺς πόδας τῶν ἀποστόλων, ὁρᾷς τοὺς ἀποστόλους αὐτῶν φροντίζοντας μᾶλλον, ἢ τῶν λαμβανόντων; εἰ γὰρ ὁπωσδήποτε μόνον τῶν πενήτων ἐφρόντιζον, οὐδ' ἂν λόγον ὑπὲρ τῆς Σαπφείρας καὶ τοῦ Ἀνανία ἐποιήσαντο, ἡνίκα ἐνοσφίσαντο τὰ χρήματα, οὐκ ἂν ἐκώλυσαν ἐξ ἀδικίας λαμβάνειν, οὐκ ἂν διετάξατο Παῦλος λέγων· Μὴ ἐκ λύπης, ἢ ἐξ ἀνάγκης. τί λέγεις, Παῦλε; ἐμποδίζεις τοῖς πένησιν; οὔ, φησίν. οὐ γὰρ τὸ ἐκείνων ὁρῶ, ἀλλὰ τὸ τῶν διδόντων. ὅρα δὲ καὶ τὸν προφήτην, ἡνίκα τῷ Ναβουχοδονόσορ συνεβούλευε τὴν ἀρίστην ἐκείνην γνώμην, οὐχὶ τῶν πενήτων μόνον φροντίζοντα. οὐ γὰρ εἶπε, δὸς τοῖς πένησιν ἁπλῶς, ἀλλὰ τί; Τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσαι, καὶ τὰς ἀδικίας σου ἐν οἰκτιρμοῖς πενήτων. κένωσον τὰ χρήματα, φησὶν, οὐχ ἵνα ἕτεροι τραφῶσι μόνον, ἀλλ' ἵνα ἀπαλλαγῇς αὐτὸς τῆς τιμωρίας. καὶ πάλιν ὁ Χριστός· Πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ δεῦρο ἀκολούθει μοι. ὁρᾷς ὅτι καὶ διὰ τὴν ἀκολούθησιν τοῦτο ἐπιτάττει; ἐπειδὴ γὰρ ἐμπόδιόν ἐστι τὰ χρήματα, διὰ τοῦτο διδόναι πένησιν ἐπέταξε, παιδεύων τὴν ψυχὴν ἐλεήμονα εἶναι καὶ οἰκτίρμονα, παιδεύων χρημάτων καταφρονεῖν,

γ. πλείους. γ. ἐκείνοις

γ. αἰτῆσαι. γ. διδόματα

γ. αὐτῷ. γ. πᾶς

Μαρκ. ιε. μα.

Φιλιπ. δ. ιζ.

β Κορ. θ. ζ.

Δαν. δ. κδ.

Ματθ. ιθ. κα.

Digitized by Google

Εἰπὼν περὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας καὶ περὶ τῆς ἀφάτου αὐτοῦ περὶ
ἡμᾶς κηδεμονίας, καὶ τίνας ὄντας ἡμᾶς τίνας εἰργάσατο, ἐπήγαγε καί
φησι· καὶ περὶ τούτων βούλομαί σε διαβεβαιοῦσθαι. ἵνα φροντίζωσι
καλῶν ἔργων προΐστασθαι οἱ πιστεύσαντες τῷ Θεῷ. τουτέστι, ταῦ- χ. καὶ
τα διαλέγεσθαι, καὶ ἀπὸ τούτων προτρέπειν ἐπὶ ἐλεημοσύνην. οὐ
γὰρ μόνον πρὸς ταπεινοφροσύνην ἡμῖν τὰ εἰρημένα ἁρμόσει, καὶ
πρὸς τὸ μὴ ἐπαίρεσθαι, καὶ ὀνειδίζειν ἑτέροις, ἀλλὰ καὶ πρὸς πᾶσαν τὴν ἄλλην ἀρετήν. χ. ἀλλήλοις,
C. Κορ. η. β. οὕτω γοῦν καὶ πρὸς Κορινθίους διαλεγόμενός φησι· Γινώσκετε ὅτι ὁ Κύριος ἐπτώχευσε πλού-
σιος ὤν, ἵνα ἡμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσωμεν. ἐννοήσας τοῦ Θεοῦ τὴν κηδεμονίαν καὶ
τὴν ὑπερβάλλουσαν αὐτοῦ φιλανθρωπίαν, ἐπὶ τὴν ἐλεημοσύνην αὐτοὺς προτρέπει, χ. προτρέ-πτει
οὐχ ἁπλῶς, οὐδὲ παρέργως· ἀλλὰ τί; ἵνα φροντίζωσι, φησι, καλῶν ἔργων προΐστασθαι, του-
τέστι, καὶ ἀδικουμένοις βοηθεῖν, μὴ χρήμασι μόνον, ἀλλὰ καὶ προστασίαις, καὶ χήραις ἐπαμύνειν
καὶ ὀρφανοῖς, καὶ πάντας τοὺς κακῶς πάσχοντας ἐν ἀσφαλείᾳ καθιστᾷν. τοῦτο γάρ ἐστι, καλῶν
ἔργων προΐστασθαι. ταῦτα γάρ ἐστι, φησι, καλὰ, καὶ ὠφέλιμα τοῖς ἀνθρώποις. μωρὰς δὲ
ζητήσεις καὶ γενεαλογίας καὶ ἔρεις καὶ μάχας νομικὰς περιΐστασο· εἰσὶ γὰρ ἀνωφελεῖς καὶ μά-
ταιοι. τί ποτε βούλονται αἱ γενεαλογίαι; καὶ γὰρ ἐν τῇ πρὸς Τιμόθεον ἐπιστολῇ τίθησι τὸ
α. Τιμ. α. δ. λέγειν· Μύθοις καὶ γενεαλογίαις ἀπεράντοις. [τάχα καὶ ἐνταῦθα καὶ ἐκεῖ αἰνιττόμενος Ἰουδαί-
ους, οἱ μέγα φρονοῦντες ἐπὶ τῷ πρόγονον ἔχειν τὸν Ἀβραὰμ τῆς καθ' ἑαυτοὺς ἠμέλουν.
διὰ τοῦτο καὶ μωρὰς αὐτὰς καλεῖ καὶ ἀνωφελεῖς. μωρίας γάρ ἐστιν ἀνωφελέσι πράγμασι τὸ
θαῤῥεῖν.] ἔρεις δέ φησι τὰς πρὸς τοὺς αἱρετικοὺς, ἵνα μὴ κάμνωμεν εἰκῆ, ὅταν μηδὲν ᾖ κέρ-
δος. τὸ γὰρ τέλος αὐτῶν οὐδέν. ὅταν γάρ τις ᾖ διεστραμμένος, καὶ μηδ' ἂν ὁτιοῦν γένηται,
προῃρημένος μεταθέσθαι τὴν γνώμην, τίνος ἕνεκεν εἰκῆ κάμνεις κατὰ πετρῶν σπείρων, δέον
ποιεῖν τὸν καλὸν τοῦτον πόνον εἰς τοὺς σοὺς, τὰ περὶ ἐλεημοσύνης αὐτοῖς διαλεγόμενος, καὶ τῆς
β. Τιμ. β. κε. ἄλλης ἀρετῆς; πῶς οὖν ἑτέρωθί φησι, Μή ποτε δῷ αὐτοῖς ὁ Θεὸς μετάνοιαν, ἐνταῦθα δὲ, αἱ-
ρετικὸν ἄνθρωπον μετὰ μίαν νουθεσίαν καὶ δευτέραν παραιτοῦ, εἰδὼς ὅτι ἐξέστραπται ὁ τοιοῦ-
τος, καὶ ἁμαρτάνει ὢν αὐτοκατάκριτος; ἐκεῖ μὲν περὶ τῶν ἐλπίδα ἐχόντων διορθώσεώς φησι, καὶ
περὶ τῶν ἀντιδιατιθεμένων ἁπλῶς· ὅταν δὲ δῆλος ᾖ πᾶσι καὶ φανερὸς, τίνος ἕνεκεν πυκτεύεις χ. παιεῖς
εἰκῆ; τί τὸν ἀέρα δέρεις; τί ἐστιν, ὢν αὐτοκατάκριτος; οὐ γὰρ ἔχει εἰπεῖν, ὅτι οὐδεὶς χ. δέρης
εἶπεν, οὐδεὶς ἐνουθέτησεν. ὅταν οὖν μετὰ τὴν παραίνεσιν ὁ αὐτὸς ἐπιμένῃ, αὐτοκατά-
κριτος γίνεται.

12 Ὅταν πέμψω Ἀρτεμᾶν πρὸς σὲ, ἢ Τυχικὸν, σπούδασον ἐλθεῖν πρός με εἰς Νικόπο-
λιν. Τί λέγεις; ἐπιστήσας αὐτὸν τῇ Κρήτῃ, πάλιν καλεῖς πρὸς σεαυτόν; οὐκ ἀπά- χ. ἑαυτὸν
γων αὐτὸν τῆς σχολῆς ἐκείνης, ἀλλὰ πλέον ῥυθμίζων. ὁ γὰρ οὐχ ὥστε περιάγειν αὐτὸν καὶ
πανταχοῦ ἔχειν ἀκολουθοῦντα καλεῖ πρὸς ἑαυτὸν, ἄκουσον τί φησιν. Ὅτι ἐκεῖ κέκρι-
κα παραχειμάσαι. Ἡ δὲ Νικόπολις, τῆς Θρᾴκης ἐστί. χ. Μακεδονίας

13 Ζηνᾶν τὸν νομικὸν καὶ Ἀπολλὼ σπουδαίως πρόπεμψον, ἵνα μηδὲν αὐτοῖς λείπῃ.
Αὐτοὶ δὲ οὐδέπω τῶν ἐγχειρισθέντων ἦσαν, ἀλλὰ τῶν συνόντων αὐτῷ· σφοδρότερος χ. ὅτι
δὲ ἦν ὁ Ἀπολλὼς, δυνατὸς ὢν ἐν ταῖς γραφαῖς, καὶ ἀνὴρ λόγιος. εἰ τοίνυν νομικὸς ἦν ἐκεῖ-
Πράξ. ιη. κδ. νος, οὐκ ἔδει παρ' ἑτέρων αὐτὸν, φησι, τρέφεσθαι. ἀλλὰ νομικὸν ἐνταῦθά φησι τὸν τῶν Ἰου-
δαϊκῶν νόμων ἔμπειρον· ὥστε ἔλεγχον, ἐν πάσῃ ἀφθονίᾳ αὐτοὺς κατάστησον, ἵνα μηδὲν αὐ- χ. τουτέστι,
τοῖς λείπῃ.

14 Μανθανέτωσαν δὲ καὶ οἱ ἡμέτεροι καλῶν ἔργων προΐστασθαι εἰς τὰς ἀναγκαίας
χρείας, ἵνα μὴ ὦσιν ἄκαρποι.

15 Ἀσπάζονταί

γάρ γε τὸ ἀξιόπιστον. ἀληθῆ ταῦτά ἐστι, φησί, καὶ δῆλον ἐκ τῶν φθασάντων. ὁ γὰρ τοσαύτης ἡμᾶς ἀνομίας ἀπαλλάξας καὶ τοσούτων κακῶν, εὔδηλον ὅτι καὶ τῶν μελλόντων ἡμῖν μεταδώσει πάντων ἐπιμείνασι τῇ χάριτι. ἀπὸ γὰρ τῆς αὐτῆς κηδεμονίας ἅπαντα ταῦτα.

γ. ἡμᾶς

ΗΘΙΚΟΝ

Εὐχαριστῶμεν οὖν τῷ Θεῷ, καὶ μηδὲν τοῖς ἄλλοις ὀνειδίζωμεν, μηδὲν ἐγκαλῶμεν, ἀλλὰ παρακαλῶμεν μᾶλλον. εὐχώμεθα ὑπὲρ αὐτῶν, συμβουλεύωμεν, * παραινῶμεν, κἂν ὑβρίζωσι, κἂν λακτίζωσι. τοιοῦτοι γάρ εἰσιν οἱ νοσοῦντες. ἀλλ' οἱ πρὸς τὴν ὑγίειαν ἐκείνων σπεύδοντες, πάντα φέρουσι, πάντα πράττουσι, κἂν μηδὲν ἀνύωσιν, ἵνα μὴ ἑαυτοῖς ἐγκαλῶσιν ὥσπερ ἠμεληκόσιν. ἢ οὐκ ἴστε ὅτι πολλάκις ἰατροῦ ἀπογνόντος τοῦ κάμνοντος, ἕτερός τις φησὶ τῶν προσηκόντων πρὸς αὐτὸν θεραπείαν πάλιν προσάγαγε, καὶ μηδὲν ἐλλίπῃς, ἵνα μηδὲν ἐμαυτῷ ἐγκαλῶ· ἵνα μηδὲν μέμφωμαι· ἵνα μὴ κατηγορεῖν ἔχω ἐμαυτοῦ, οὐχ ὁρᾶτε πόσην οἱ προσήκοντες περὶ τοὺς ἐπιτηδείους ποιοῦνται τὴν πρόνοιαν; πόσα ὑπὲρ τούτου πράττουσι, καὶ ἰατροὺς παρακαλοῦντες, * καὶ προσεδρεύοντες διηνεκῶς; κἂν τούτους μιμώμεθα· καίτοιγε οὐχ ὑπὲρ τῆς ἴσης ἡ φροντίς. νῦν δὲ τὸ μὲν σῶμα κάμνοντος τοῦ παιδὸς οὐκ ἂν παραιτήσαιτό τις καὶ μακρὰν ἀποδημίαν στείλασθαι, ὥστε λῦσαι τὴν νόσον· τῆς δὲ ψυχῆς κακῶς ἐχούσης, οὐδεὶς οὐδένα ποιεῖται λόγον, ἀλλὰ πάντες ἀναπεπτώκαμεν, πάντες ῥᾳθυμοῦμεν, πάντες ὀλιγωροῦμεν, καὶ παῖδας καὶ γυναῖκας καὶ ἡμᾶς αὐτοὺς περιορῶντες ἁλισκομένους ἀπὸ τῆς νόσου ταύτης τῆς χαλεπῆς. ἀλλ' ὕστερον λαμβάνομεν τὴν αἴσθησιν. ἐννοήσατε ὡς αἰσχρὸν καὶ σφόδρα καταγέλαστον ὕστερον λέγειν, οὐ προσεδοκῶμεν, οὐκ ἠλπίζομεν τοῦτο ἔσεσθαι· οὐκ αἰσχρὸν δὲ μόνον, ἀλλὰ καὶ ἐπικίνδυνον. εἰ γὰρ ἐν τῷ παρόντι βίῳ τῶν ἀνοήτων ἐστὶ τὸ τὰ μέλλοντα μὴ προορᾶν, πολλῷ μᾶλλον ἐν τῷ μέλλοντι, ὅτε καὶ ἀκούομεν νῦν πολλῶν συμβουλευόντων καὶ λεγόντων τὰ πρακτέα, καὶ τὰ μὴ πρακτέα. ἀντεχώμεθα τοίνυν τῆς φροντίδος ἐκείνης, φροντίζωμεν τῆς σωτηρίας τῆς ἡμετέρας, τὸν Θεὸν ἐπὶ πᾶσι παρακαλῶμεν, ὥστε χεῖρα ὀρέξαι. μέχρι τίνος ῥᾴθυμοι; μέχρι τίνος ἀμελεῖς; μέχρι τίνος καταφρονοῦμεν ἑαυτῶν, καὶ τῶν ὁμοδούλων ἡμῶν; αὐτὸς πλουσίως ἐξέχεεν εἰς ἡμᾶς τὴν τοῦ πνεύματος χάριν. ἐννοήσωμεν τοίνυν ὅσην χάριν περὶ ἡμᾶς ἐπεδείξατο, καὶ τοσαύτην καὶ ἡμεῖς σπουδὴν ἐπιδειξώμεθα· μᾶλλον δὲ τοσαύτην μὲν οὐ δυνατόν, κἂν γοῦν ἐλάττονα. ἂν γὰρ καὶ μετὰ τὴν χάριν ταύτην ὦμεν ἀναίσθητοι, μείζων ἡμῖν ἔσται ἡ κόλασις. Εἰ μὴ ἦλθον γάρ, φησί, καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσιν. ἀλλὰ μὴ γένοιτο ταῦτα περὶ ἡμῶν εἰπεῖν, ἀλλὰ γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἠγαπηκόσιν αὐτὸν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

* γ. ἐπιτιμῶμεν, διδάσκωμεν,
γ. ἑαυτῷ
γ. ἑαυτοῦ;
* καὶ χρήματα ἀναλίσκοντες,
γ. αἰσχυνομένους ὑπὸ
γ. χρὴ τὰ μέλλοντα,
γ. ἐλπίδος
γ. ἰδ
Ιωαν. ιε. κβ.

Λογ. ϛ. ΚΑΙ ΠΕΡΙ ΤΟΥΤΩΝ ΒΟΥΛΟΜΑΙ ΣΕ ΔΙΑΒΕβαιοῦσθαι, ἵνα φροντίζωσι καλῶν ἔργων προΐστασθαι οἱ πεπιστευκότες τῷ Θεῷ. ταῦτά ἐστι καλὰ καὶ ὠφέλιμα τοῖς ἀνθρώποις. 9 Μωρὰς δὲ ζητήσεις καὶ γενεαλογίας καὶ ἔρεις καὶ μάχας νομικὰς περιΐστασο· εἰσὶ γὰρ ἀνωφελεῖς καὶ μάταιοι. 10 Αἱρετικὸν ἄνθρωπον μετὰ μίαν νουθεσίαν καὶ δευτέραν παραιτοῦ, 11 Εἰδὼς ὅτι ἐξέστραπται ὁ τοιοῦτος, καὶ ἁμαρτάνει ὢν αὐτοκατάκριτος.

Εἰπὼν

Digitized by Google

λυεν ὁ Θεὸς ὁ παρ' αὐτοῖς, ἀλλὰ περιεώρα τὴν φύσιν ὑβριζομένην, καὶ ταῦτα τῶν ἐπισήμων οὖσαν. Εἰ δὲ οὐκ εἰκὸς, εἰ καὶ μηδὲ ἕτερόν τι, διὰ γοῦν τὴν τῶν πολλῶν δόξαν ἀντέχεσθαι τῆς ἀρετῆς, οὗτοι δὲ οὕτω σφοδρῶς κατὰ τῆς κακίας ἐφέροντο, τί εἰκὸς τοὺς πολλοὺς καὶ λανθάνοντας βιοῦντας διαπράττεσθαι; τί ποικιλώτερον ταύτης τῆς ἡδονῆς; ἠράσθη ἡ δεῖνα τοῦ δεῖνος· ἐπανελθόντα τὸν ἄνδρα ἔσφαξε διὰ τοῦ μοιχοῦ. Τάχα ἴστε τὸ διήγημα οἱ πολλοί. Τὸν μοιχὸν ἀνεῖλεν ὁ παῖς τοῦ φονευθέντος, κἀκείνην ἐπέθυσε, μετὰ ταῦτα ἐμάνη καὶ αὐτὸς, καὶ ταῖς Ἐριννύσιν ἠλαύνετο. Εἶτα αὐτὸς τὸν ὁ μανεὶς ἀπελθὼν ἔσφαξεν ἕτερον, καὶ τὴν ἐκείνου γυναῖκα λαμβάνει. τί τούτων χεῖρον τῶν συμφορῶν; τούτου χάριν ταῦτα λέγω ἀπὸ τῶν ἔξωθεν, ἵνα τοὺς Ἕλληνας πείσω, πόσα κατεῖχε τὴν οἰκουμένην κακά. Ἀλλ' εἰ βούλεσθε, καὶ ἀπὸ τῶν ἡμετέρων δεικνύωμεν. Ψαλ. ρε. λζ. Ἔθυσαν, φησὶ, τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν τοῖς δαιμονίοις. Ματθ. ιδ. καὶ πάλιν οἱ τὰ Σόδομα οἰκοῦντες δι' οὐδὲν ἕτερον ἀπώλοντο, ἢ ὅτι παισὶν ἐπεμίγνυντο. ἀλλὰ πάλιν ἐν προοιμίοις τῆς τοῦ Χριστοῦ παρουσίας οὐχὶ ἡ τοῦ (γρ. πάντων) βασιλέως θυγάτηρ ἐν μέσοις ὠρχεῖτο τοῖς συμποσίοις; ἐν ἀνθρώποις μεθύουσιν; οὐχὶ φόνοι Ψαλ. ρε. β. ἦσαν, καὶ ὀρχήσεως τιμὴν τὴν κεφαλὴν τοῦ προφήτου; Τίς λαλήσει τὰς δυναστείας τοῦ Κυρίου; στυγητοὶ, φησὶ, μισοῦντες ἀλλήλους. ἀνάγκη γὰρ πάντως, ὅταν πάσας τῇ ψυχῇ ἐπαφῶμεν τὰς ἡδονὰς, πολὺ τὸ μῖσος γίνεσθαι. (γρ. τῇ ψυχῇ) διὰ τί; ὅτι οὐ μετ' ἀρετῆς ἡ ἀγάπη. ὅτι οὐ- (γρ. ὅτι οὐ μετ' ἀρετῆς ἡ ἀγάπη, ὁ δὲ ἀλλ' ὅτι μετ' ἀρετῆς ἡ ἀγάπη. ὅτι τότε οὐδεὶς) α Κορ. ς. θ. δεὶς οὐδένα πλεονεκτεῖ. ὅρα καὶ ὁ Παῦλος τί φησι. Μὴ πλανᾶσθε· οὔτε πόρνοι, οὔτε εἰδωλολάτραι, οὔτε μοιχοὶ, οὔτε μαλακοὶ, οὔτε ἀρσενοκοῖται, οὔτε πλεονέκται, οὐ λοίδοροι, οὐ μέθυσοι βασιλείαν Θεοῦ κληρονομήσουσι· καὶ ταῦτά τινες ἦτε. ὁρᾷς πῶς πᾶν κακίας εἶδος ἐπεπόλαζε, καὶ πολλή τις ἦν ἡ ἀχλὺς, καὶ τὸ δίκαιον διεφθείρετο; Εἰ γὰρ οἱ προφητείας ἀπολαύοντες, καὶ τοσαῦτα ὁρῶντες γινόμενα κακὰ καὶ ἐν τοῖς πολεμίοις, καὶ ἐν ἑαυτοῖς, ὅμως οὐκ ἠνείχοντο, ἀλλὰ μυρία καινὰ εἰργάζοντο, τί ἂν οἱ ἄλλοι; ἀλλά τις πάλιν παρ' (γρ. κοινά) αὐτοῖς παρθένους γυμνὰς ἐκέλευε παλαίειν ἐπ' ὄψεσιν ἀνθρώπων. πολλὰ ὑμῖν γένοιτο ἀγαθὰ, ὅτι οὐδὲ τὸ ῥῆμα ἀκοῦσαι φέρετε· αὐτοὶ δὲ τὸ πρᾶγμα οἱ φιλόσοφοι οὐκ ᾐσχύνοντο. ἕτερος δέ τις φιλόσοφος ὁ κορυφαῖος αὐτῶν καὶ εἰς πολέμους αὐτὰς ἐξάγει, καὶ κοινὰς εἶναι κελεύει, ὡς μαστροπός τις ὢν καὶ προαγωγός. Ἐν κακίᾳ καὶ φθόνῳ διάγοντες, φησίν. Εἰ γὰρ οἱ φιλοσοφοῦντες παρ' αὐτοῖς τοιαῦτα ἐνομοθέτουν, τί ἂν εἴποιμεν περὶ τῶν μὴ φιλοσοφησάντων; εἰ οἱ τὸ γένειον ἔχοντες βαθὺ καὶ τὸν τρίβωνα ἀναβεβλημένοι τοιαῦτα λέγουσι, τί ἂν εἴποιμεν περὶ ἑτέρων; οὐ διὰ τοῦτο γέγονεν ἡ γυνὴ, ἄνθρωπε, ὥστε κοινὴ πᾶσι (γρ. ἅπασι, ἢ ἄρρεσι) προκεῖσθαι. ὦ πάντα ἀνατρέποντες ὑμεῖς, οἱ τοῖς μὲν ἄρρεσιν ὡς θηλείαις μιγνύμενοι, τὰς δὲ θηλείας ὡς ἄνδρας εἰς πόλεμον ἐξάγοντες. τοῦτο γὰρ ἔργον τοῦ διαβόλου, τὸ πάντα συγχέειν καὶ ἀνατρέπειν, καὶ τὰ ἐξ ἀρχῆς τεθέντα ὅρια διασαλεύειν καὶ μεταίρειν ἃ ὁ Θεὸς ἔθετο τῇ φύσει. τῇ μὲν γὰρ γυναικὶ τὸ οἰκουρεῖν μόνον ἔδωκεν ὁ Θεὸς, τῷ δὲ ἀνδρὶ τὰ δημόσια πράγματα· σὺ δὲ τὴν κεφαλὴν εἰς τοὺς πόδας κατάγεις, καὶ τοὺς πόδας εἰς τὴν κεφαλὴν ἀνάγεις. γυναῖκας ὁπλίζεις, καὶ οὐκ αἰσχύνῃ; τί δὲ ταῦτα λέγω; εἰσάγουσί τινα παρ' αὐτοῖς γυναῖκα καὶ παῖδας ἀνελοῦσαν, καὶ οὐκ αἰσχύνονται, οὐδὲ ἐντρέπονται, τοιαῦτα μυσαρὰ διηγήματα εἰς τὰς τῶν ἀνθρώπων ἀκοὰς ἐμβάλλοντες. ὅτε δὲ ἡ χρηστότης, φησὶ, καὶ ἡ φιλανθρωπία ἐπεφάνη τοῦ σωτῆρος ἡμῶν Θεοῦ, οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ, ὧν ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸν αὐτοῦ ἔλεον, ἔσωσεν ἡμᾶς διὰ λουτροῦ παλιγγενεσίας, καὶ ἀνακαινώσεως πνεύματος ἁγίου, οὗ ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως διὰ Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν, ἵνα δικαιωθέντες τῇ ἐκείνου χάριτι, κληρονόμοι γενηθῶμεν κατ' ἐλπίδα ζωῆς αἰωνίου. (γρ. γενώμεθα) τί ἐστι κατ' ἐλπίδα; τουτέστι, καθὼς ἠλπίσαμεν, οὕτως ἀπολαύσομεν· ἢ ὅτι ἤδη καὶ κληρονόμοι ἐστέ.

8 Πιστὸς ὁ λόγος. Ἐπειδὴ γὰρ περὶ μελλόντων διελέχθη καὶ οὔπω παρόντων, ἐπή-

γαγε

μωρία διὰ τὸ προφήτην, διὰ πάντων ὁ Θεὸς οἰκονομεῖ; μὴ ἠκούσαμεν; ἦμεν γάρ ποτε, φησὶ, καὶ ἡμεῖς πλανώμενοι;

4 Ὅτι δὲ ἡ χρηστότης καὶ ἡ φιλανθρωπία ἐπεφάνη τοῦ σωτῆρος ἡμῶν Θεοῦ. Πῶς;

5 Οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ, ὧν ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸν αὐτοῦ ἔλεον ἔσωσεν ἡμᾶς διὰ λουτροῦ παλιγγενεσίας καὶ ἀνακαινώσεως πνεύματος ἁγίου.

Βαβαί, πῶς ἦμεν ἐν τῇ κακίᾳ βεβαπτισμένοι, ὡς μὴ δύνασθαι καθαρθῆναι, ἀλλ' ἀναγεννήσεως δεηθῆναι; τοῦτο γάρ ἐστι παλιγγενεσία. καθάπερ γὰρ ἐπὶ οἰκίας σαθρᾶς διαχειμαζούσης οὐδεὶς ὑποστήριγμα τίθησιν, οὐδὲ συρράπτει τῇ παλαιᾷ οἰκοδομῇ, ἀλλὰ μέχρι τῶν θεμελίων αὐτὴν καταλύσας, οὕτως ἄνωθεν ἀνίστησι καὶ ἀνακαινίζει, οὕτω καὶ αὐτὸς ἐποίησεν. οὐκ ἐπεσκεύασεν ἡμᾶς, ἀλλ' ἄνωθεν κατεσκεύασε. τοῦτο γάρ ἐστι, καὶ ἀνακαινώσεως πνεύματος ἁγίου· ἄνωθεν ἐποίησε καινούς. πῶς; διὰ τοῦ πνεύματος. καὶ πάλιν, ἑτέρως τοῦτο δεικνὺς, ἐπάγει,

6 Οὗ ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως διὰ Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν. Οὕτω πολλοῦ δεῖ ἡμῖν τοῦ ἐλέους.

7 Ἵνα δικαιωθέντες τῇ ἐκείνου χάριτι. Πάλιν χάριτι, οὐκ ὀφειλῇ.

Κληρονόμοι γενηθῶμεν κατ' ἐλπίδα ζωῆς αἰωνίου. Ἅμα καὶ προτρέπει εἰς ταπεινοφροσύνην ἐστὶ, καὶ ἐλπὶς ὑπὲρ τῶν μελλόντων. εἰ γὰρ οὕτως ἀπεγνωσμένους, ὡς ἄνωθεν γεννηθῆναι, ὡς χάριτι σωθῆναι, ὡς μηδὲν ἔχειν ἀγαθὸν, ἔσωσε, πολλῷ μᾶλλον ἐν τῷ μέλλοντι τοῦτο ἐργάσεται. οὐδὲν γὰρ τῆς ἀνθρωπίνης θηριωδίας χεῖρον ἦν πρὸ τῆς τοῦ Χριστοῦ παρουσίας. ὥσπερ γὰρ ἐχθροὶ καὶ πολέμιοι, πάντες διέκειντο πρὸς ἀλλήλους· τοὺς παῖδας ἔσφαζον τοὺς ἑαυτῶν πατέρες, καὶ μητέρες παισὶν ἐπεμαίνοντο· οὐδεὶς ἦν ἑστηκὼς, οὐ φυσικὸς, οὐ γραπτὸς νόμος, ἀλλὰ ἀνατέτραπτο ἅπαντα. μοιχεῖαι διηνεκεῖς, φόνοι, καὶ εἴ τι φόνων χαλεπώτερον, κλοπαί (φησὶ δέ τις τῶν ἔξωθεν, ὅτι καὶ ἀρετῆς τὸ πρᾶγμα ἐδόκει εἶναι καὶ εἰκότως, ὅπου γε καὶ θεοὺς τοιούτους ἔσεβον) χρησμοὶ συνεχεῖς τὰ δίκαια ἀναιροῦντες, καὶ τὰ ἄδικα κελεύοντες. εἴπω τι τῶν κατ' ἐκεῖνον τὸν χρόνον; Ἀνδρόγεώς τις τοῦ Μίνωος υἱὸς ἐλθὼν εἰς Ἀθήνας καὶ πάλην νικήσας, δίκην ἐδίδου, καὶ ἀνῃρέθη. ὁ δὲ Ἀπόλλων χαλκοῦ τὸ κακὸν ἰώμενος, ἐκέλευσε δὶς ἑπτὰ παῖδας ἀπάγεσθαι ὑπὲρ τούτου. τί ταύτης τῆς τυραννίδος ὠμότερον; καὶ τοῦτο ἐγένετο, καὶ ἄνθρωπος τοῦ δαίμονος τὴν μανίαν λῦσαι ἐπελθὼν, ἔσφαξε τοὺς παῖδας ἐκείνους, ὅτι πρὸς αὐτοὺς ἡ ἀπάτη ἴσχυεν· ἐπεὶ δὲ διαμεμενήκαμεν καὶ ἡμεῖς ἐν αὐτοῖς, οὐκέτι. εἰ μὲν οὖν δικαίως τὸ πρᾶγμα ἐγένετο, οὐκ ἐχρῆν κωλυθῆναι· εἰ δὲ ἀδίκως, ὥσπερ οὖν καὶ ἀδίκως, οὐδὲ παρὰ τὴν ἀρχὴν ἐπιταγῆναι. πύκτας προσεκύνουν, καὶ παλαιστάς. πόλεμοι συνεχεῖς καὶ ἐπάλληλοι, κατὰ πόλιν, κατὰ κώμην, κατ' οἰκίαν. ἐπαιδεράστουν καὶ παρ' αὐτοῖς φιλόσοφός τις νομοθετεῖ, δούλοις ἐξεῖναι μήτε παιδεραστεῖν, μήτε ξηραλοιφεῖν, ὡς ἐναρέτου τοῦ πράγματος ὄντος καὶ πολλὴν ἔχοντος τιμήν. διὰ τοῦτο καὶ ἐπ' οἰκήματος εἱστήκεισαν φανερῶς τοῦτο ποιοῦντες. καὶ εἴ τις πάντα τις ἐπέλθοι τὰ κατ' αὐτοὺς, εὑρήσει φανερῶς ὅτι καὶ εἰς τὴν φύσιν αὐτὴν ἐνύβριζον, καὶ οὐδεὶς ὁ κωλύων ἦν· ἀλλὰ τὰ δράματα αὐτοῖς πάντα τούτων γέμει, μοιχείας, ἀσελγείας, διαφθορᾶς. παννυχίδες ἐγίνοντο μιαραί, καὶ γυναῖκες ἐνεχοροῦντο ἐπὶ τὴν θέαν. ὢ τῆς μιαρίας. ἐν νυκτὶ, ἐν θεάτρῳ παννυχὶς ἦν, καὶ παρθένος ἐκάθητο μεταξὺ νέων μεμηνότων καὶ μεθυόντος ὄχλου. τὸ σκότος ἦν ἡ πανήγυρις, καὶ τὰ μιαρὰ ἔργα τὰ ὑπ' αὐτὴν πληρούμενα. διὰ τοῦτό φησιν, Ἦμεν ποτε καὶ ἡμεῖς ἀνόητοι, ἀπειθεῖς, πλανώμενοι, δουλεύοντες ἐπιθυμίαις καὶ ἡδοναῖς ποικίλαις. ὁ δεῖνα τῆς μητρυιᾶς ἠράσθη, φησὶ, καὶ ἡ δεῖνα τοῦ προγόνου, καὶ ἀπήγξατο. τοὺς γὰρ τῶν παίδων ἔρωτας, οὕσπερ αὐτοὶ παιδικὰ καλεῖν ἔθος ἐστὶν, οὐδὲ εἰπεῖν ἔνι.* ἀλλὰ τί; βούλει μητρογαμίας ἰδεῖν; ἔστι καὶ τοῦτο παρ' αὐτοῖς, καὶ τὸ δὴ δεινὸν, ὑπὸ ἀγνοίας τὸ πρᾶγμα ἐγένετο, καὶ οὐκ ἐκώ-

λυει

γρ. γινώμεθα
γρ. τῷ
γρ. υἱοῦ
γρ. αἴρω τις
γρ. τοῦ ἀνδρὸς ὄρεξ' ὅτι ἐκεῖνος ἀπατώμενος; εἰ μὲν δικαίως
γρ. ὁ θαυμάσιος αὐτῶν φιλόσοφος
γρ. τοῦτο
γρ. τοῖς
γρ. σαφῶς
* περὶ ὧν ... ἐγκαλεῖσθαι

μέγας φησὶν, ἀλλ᾽ ἀπολύτως μέγας, μετ᾽ ἐν οὐκ ἂν εἴη μέγας, ἐπεὶ πρός τι ἐστίν. Εἰ δὲ πρός τι, κατὰ σύγκρισιν, καὶ οὐ φύσει μέγας· νῦν δὲ ἀσυγκρίτως μέγας. ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, φησὶν, ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας, καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον, τουτέστιν, ἐξειλεγμένον, οὐδὲν ἔχοντα κοινὸν πρὸς τοὺς λοιπούς. ζηλωτὴν καλῶν ἔργων. χ. ἐξηλλαγμ. ὁρᾷς ὅτι καὶ τὰ παρ᾽ ἡμῶν δεῖ. οὐχ ἁπλῶς ἔργων, ἀλλὰ ζηλωτὴν, τουτέστι, μετὰ προθυμίας πολλῆς ἐπ᾽ αὐτὴν ἰόντα τὴν ἀρετὴν, μετὰ σφοδρότητος τῆς προσηκούσης. χ. δὴ. Ὁ μὲν οὖν βεβαρημένους τοῖς κακοῖς καὶ ἀνίατα νοσοῦντας ἀπηλλάξαι, τῆς ἐκείνου φιλανθρωπίας ἦν· τὰ δὲ μετὰ ταῦτα, καὶ ἡμῶν καὶ ἐκείνου.

β Τιμ. δ. β. 14 Ταῦτα λάλει, καὶ παρακάλει, καὶ ἔλεγχε μετὰ πάσης ἐπιταγῆς. Ταῦτα λάλει, καὶ παρακάλει. ὁρᾷς πῶς Τιμοθέῳ μὲν προστάττει, καί φησιν, Ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον· ἐνταῦθα δὲ, ταῦτα λάλει, καὶ παρακάλει, καὶ ἔλεγχε μετὰ πάσης ἐπιταγῆς; χ. λέγων ἐπειδὴ τὸ ἦθος τούτων σκληρότερον ἦν, διὰ τοῦτο καὶ ἀποτόμως καὶ μετὰ πάσης ἐπιταγῆς ἐλέγχειν ἐπιτάττει. ἔστι γὰρ τῶν ἁμαρτημάτων, ἃ καὶ ἐπιτάγμασιν ἀπείργειν χρή. οἷον, τὸ μὲν χρημάτων καταφρονεῖν παραινοῦντας δεῖ πείθειν, καὶ τὸ ἐπιεικεῖς εἶναι, καὶ ὅσα τοιαῦτα· τὸν δὲ μοιχὸν, τὸν πόρνον, τὸν πλεονέκτην μετ᾽ ἐπιταγῆς· ἐπὶ δὲ βέλτιον δεῖ ἐπάγειν, τὸν οἰωνιζόμενον, χ. ἀπόγνοι τὸν κληδονιζόμενον, τὸν ἄλλα τοιαῦτα πράττοντα, * οὐδὲ ἁπλῶς ἐπιταγῆς, ἀλλὰ μετὰ * καὶ πάσης ἐπιταγῆς. ὁρᾷς πῶς βούλεται καὶ μετὰ αὐθεντίας, καὶ μετὰ ἐξουσίας πολλῆς ταῦτα αὐτὸν ἐπιτάττειν; Μηδείς σου περιφρονείτω*, ἀλλὰ *τουτέστι, καταφρονείτω

κεφ. γ. 1 Ὑπομίμνησκε αὐτοὺς ἀρχαῖς καὶ ἐξουσίαις ὑποτάσσεσθαι, πειθαρχεῖν, πρὸς πᾶν ἔργον ἀγαθὸν ἑτοίμους εἶναι,

2 Μηδένα βλασφημεῖν, ἀμάχους εἶναι. Τί οὖν; μηδὲ τοὺς κακῶς πράττοντας, μηδὲ ἐκείνους λοιδορεῖσθαι; ἀλλὰ πρὸς πᾶν ἔργον ἀγαθὸν ἑτοίμους εἶναι, μηδένα βλασφημεῖν. ἀκούσωμεν τῆς παραινέσεως. μηδένα, φησὶ, βλασφημεῖν. καθαρὸν εἶναι δεῖ ἡμῶν τὸ στόμα ἀπὸ λοιδορίας. Εἴτε γὰρ ἀληθεῖς εἰσιν αἱ λοιδορίαι, οὐχ ἡμῶν ταῦτα λέγειν, ἀλλὰ τοῦ κριτοῦ ἐξετάζειν. Σὺ γὰρ, φησι, τί κρίνεις τὸν ἀδελφόν σου; Εἴτε οὐκ ἀληθεῖς, ὅρα ὅσον τὸ

Ρωμ. ιδ. ι. πῦρ. ἄκουσον τοῦ λῃστοῦ λέγοντος πρὸς τὸν ἕτερον λῃστήν· Καὶ γὰρ καὶ αὐτοὶ ἐν τῷ αὐτῷ

Λουκ. κγ. μ. κρίματί ἐσμεν, τὸν αὐτὸν ἀγῶνα τρέχομεν. ἐὰν ὀνειδίζῃς ἑτέροις, ταχέως καὶ αὐτὸς τοῖς αὐτοῖς

α. Κορ. ι. ιβ. περιπέσῃ. διὰ τοῦτο παραινεῖ ὁ μακάριος οὗτος λέγων· Ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ. ἀμάχους εἶναι, φησιν, Ἐπιεικεῖς, πᾶσαν ἐνδεικνυμένους πρᾳότητα, Πρὸς πάντας ἀνθρώπους, καὶ Ἕλληνας καὶ Ἰουδαίους, καὶ μοχθηροὺς καὶ πονηρούς. ἐκεῖ μὲν γὰρ ἀπὸ τῶν μελλόντων φοβεῖ λέγων, Ὥστε ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ· ἐνταῦθα δὲ οὐκ ἀπὸ τῶν μελλόντων, ἀλλ᾽ ἀπὸ τῶν παρελθόντων ἐντρέπει, τὸ αὐτὸ ποιῶν, δι᾽ ὧν ἐπάγει, Ἦμεν γάρ ποτε

Γαλ. δ. γ. καὶ ἡμεῖς ἀνόητοι· ὅπερ ἐν τῇ πρὸς Γαλάτας ποιεῖ γράφων, Ὅτι ἦμεν νήπιοι, ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἦμεν δεδουλωμένοι. οὐκοῦν μηδενὶ ὀνειδίσῃς, φησί· τοιοῦτος γὰρ ἦς καὶ σύ.

3 Ἦμεν γάρ, φησί, ποτε καὶ ἡμεῖς ἀνόητοι, ἀπειθεῖς, πλανώμενοι, δουλεύοντες ἐπιθυμίαις καὶ ἡδοναῖς ποικίλαις, ἐν κακίᾳ καὶ φθόνῳ διάγοντες, στυγητοὶ, μισοῦντες ἀλλήλους.

Ὥστε πρὸς πάντας τοιούτους εἶναι δεῖ, ἡμέρως ἔχειν. ὁ γὰρ πρότερος ὢν πρότερον, καὶ ἀπαλλαγεὶς, οὐκ ὀνειδίζειν ὀφείλει πρὸς τοιούτους, ἀλλ᾽ εὔχεσθαι, καὶ χάριτας ἔχειν τῷ καὶ αὐτὸν χ. τοιοῦτος κἀκείνοις δόντι τὴν ἀπαλλαγὴν τῶν προτέρων κακῶν. μηδεὶς καυχάσθω· πάντες γὰρ ἥμαρτον. ὅταν οὖν ἐθέλῃς ὀνειδίσαι ἵνα κατορθοῖ αὐτὸς, καὶ τὸν πρότερόν σου ἐννόει βίον καὶ τὸ τοῦ μέλλοντος ἄδηλον τὴν ὀργὴν ἀναχαίτιζε. Εἰ γὰρ καὶ ἐκ πρώτης ἡλικίας ἐναρέ- χ. ὁρμῶν τως ἔζησας, ἀλλ᾽ ὅμως ἔχοις ἂν ἁμαρτήματα πολλά. Εἰ δὲ οὐκ ἔχεις, ὡς νομίζεις, ἐννόησον ὅτι οὐ τῆς σῆς ἀρετῆς τοῦτο γέγονεν, ἀλλὰ τῆς τοῦ Θεοῦ χάριτος. Εἰ γὰρ μὴ τοὺς προγόνους ἐκάλεσε τοὺς σοὺς, καὶ αὐτὸς ἂν ἦς ἀπειθής. ὅρα πῶς πᾶσαν κακίαν διεξῆλθον. οὐχὶ χ. ἐξήλθομεν

μωρία

σμικὴ ἐστιν ἐπιθυμία. μηδὲν πλέον πρὸς ταύτας ἔχωμεν. ἦλθεν ὁ Χριστὸς, ἵνα ἀρνησώμεθα τὴν ἀσέβειαν. ἀσέβειαν τὰ δόγματα τὰ ʺφησι, καὶ κοσμικὰς ἐπιθυμίας τῶν βίον τῶν ἐπὶ γῆ. σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι. ὁρᾷς ὅτι, ὅπερ ἀεὶ λέγω, σωφροσύνη οὐ τοῦτο μόνον ἐστὶ, τὸ πορνείας ἀπέχεσθαι, ἀλλὰ καὶ τὸ τῶν λοιπῶν παθῶν ἐκτὸς εἶναι; ἄρα καὶ ὁ χρημάτων ἐρῶν, οὐ σώφρων. ὥσπερ γὰρ ἐκεῖνος σωμάτων, οὕτω καὶ οὗτος χρημάτων, μᾶλλον δὲ οὗτος ἀκολαστότερος, ὅσῳ οὐδὲ τοσαύτην ἔχει βίαν τὴν ὠθοῦσαν αὐτόν. καὶ γὰρ ἡνίοχος ἐκεῖνος ἀκρατὴς μάλιστα ἂν λέγοιτο, οὐχ ὁ τὸν τραχὺν καὶ δυσήνιον μὴ κατέχων ἵππον, ἀλλ' ὁ τὸν ἤρεμα ἐπιεικέστερον μὴ δυνάμενος ὑποτάξαι. τί δὲ φησιν; ἡ τῶν χρημάτων ἐπιθυμία τῆς τῶν σωμάτων ἐλάττων; πάνυ γε τοῦτο δῆλον, καὶ πολλαχόθεν τοῦτο δείκνυται. καὶ πρῶτον μὲν, ὅτι ἀναγκαίως γέγονεν ἡ τῶν σωμάτων ἐπιθυμία. τὸ δὲ ἀναγκαίως γενόμενον δῆλον ὅτι καὶ μετὰ πολλοῦ κατορθοῦται τοῦ πόνου, ἐπεὶ καὶ ἐγκατέσπαρται τῇ φύσει. δεύτερον, ὅτι χρημάτων μὲν οὐ πολὺς τοῖς παλαιοῖς λόγος· γυναικῶν δὲ πολὺς σωφροσύνης ἕνεκεν. καὶ γυναικὶ μὲν συγγενομένῳ κατὰ νόμον οὐδεὶς ἂν μέμψαιτο μέχρι γήρως, χρηματιζομένῳ δὲ πάντες. καὶ τῶν ἔξωθεν φιλοσόφων πολλοὶ χρημάτων μὲν κατεφρόνησαν, γυναικῶν δὲ οὐκέτι. οὕτω τοῦτο ἐκείνου τυραννικώτερον. ἀλλ' ἐπειδὴ πρὸς τὴν ἐκκλησίαν ἡμῖν ὁ λόγος, μὴ ἀπὸ τῶν ἔξωθεν φέρωμεν τὰ ὑποδείγματα, ἀλλὰ ἀπὸ τῶν γραφῶν. τοῦτο μὲν οὖν καὶ ἐν ἐπιτάγματος σχεδὸν μέρει τίθησιν ὁ μακάριος οὗτος οὕτω λέγων, Ἔχοντες διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα· περὶ δὲ τῶν ʺγυναικῶν, Μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου, καὶ πάλιν ἐπὶ τὸ αὐτὸ συνέρχεσθε. καὶ πολλάκις ἴδοις ἂν αὐτὸν περὶ συνουσίας νομοθετοῦντα τῆς νομίμου. καὶ ταύτης μὲν ἀφίησιν ἀπολαύειν τῆς ἐπιθυμίας, καὶ δεύτερον προσιέναι γάμῳ, καὶ πολλὴν ποιεῖται τοῦ πράγματος τὴν ἐπιμέλειαν, καὶ οὐδαμοῦ ὑπὲρ τούτου κολάζει· τὸν δὲ χρημάτων ἐφιέμενον, πανταχοῦ καταδικάζει. καὶ περὶ μὲν χρημάτων ὁ Χριστὸς πολλαχοῦ ʺδιέταξεν, ὥστε φεύγειν τὴν ἐντεῦθεν λύμην· περὶ δὲ ἀποχῆς γυναικὸς, οὐχ οὕτως. ἄκουε γὰρ τί φησι περὶ χρημάτων· Ἐὰν μή τις ἀποτάξηται πᾶσι τοῖς ὑπάρχουσιν. οὐδαμοῦ εἶπεν, ἐὰν μή τις ἀποτάξηται γυναικί· οἶδε γὰρ οἵαν ἐνέθηκε τὴν τυραννίδα. καὶ ὁ μακάριος οὗτος φησι, Τίμιος ὁ γάμος, καὶ ἡ κοίτη ἀμίαντος. οὐδαμοῦ τιμίαν τὴν τῶν χρημάτων ἐπιμέλειαν καλεῖ, ἀλλὰ τὸ ἐναντίον· Οἱ δὲ βουλόμενοι πλουτεῖν ἐμπίπτουσιν εἰς πειρασμὸν καὶ παγίδα καὶ ἐπιθυμίας πολλὰς ἀνοήτους καὶ βλαβεράς. οὐκ εἶπε, πλεονεκτεῖν, ἀλλὰ, πλουτεῖν. ἵνα δὲ μάθῃς καὶ ἀπὸ τῶν κοινῶν ἐννοιῶν, ἀναγκαῖον καὶ τοῦτον τὸν λόγον εἰς μέσον παραγαγεῖν. χρημάτων μὲν γάρ τις καθάπαξ ἀποστερηθεὶς οὐκ ἔτ' ἂν ἐνοχλοῖτο ὑπὸ τῆς ἐπιθυμίας. οὐδὲν γὰρ οὕτω ποιεῖ χρημάτων ἐπιθυμεῖν, ὡς τὸ χρήματα ἔχειν. ἐπὶ δὲ τῆς τῶν σωμάτων ἐπιθυμίας οὐχ οὕτως, ἀλλὰ καὶ εὐνουχισθέντες πολλοὶ τὴν ἔνδον ἐνοχλοῦσαν πυρὰν οὐκ ἀπέθεντο. ἡ γὰρ ἐπιθυμία ἐν ἑτέροις κεῖται ὀργάνοις, ἔνδον ἐν τῇ φύσει ἐγκειμένη.. τίνος οὖν ἕνεκεν ἡμῖν ταῦτα εἴρηται; ὅτι καὶ πλεονέκται τῶν πορνευόντων ἀκολαστότεροι, ὅσῳ ὑπὸ ἐλάττονος ἐνοχλοῦνται ἐπιθυμίας, μᾶλλον δὲ οὐδὲ ʺἐπιθυμίας τὸ πρᾶγμά ἐστιν, ἀλλὰ ʺῥαθυμίας. ἐνταῦθα μὲν γὰρ οὕτως ἐστὶν ἡ ἐπιθυμία φυσική, ὥστε κἂν γυναικί τις μὴ πλησιάζῃ, ἡ φύσις τὸ αὐτὸ ποιεῖ καὶ ἐργάζεται· ἐκεῖ δὲ οὐδὲν τοιοῦτον γίνεται. καὶ εὐσεβῶς, φησι, ζήσωμεν ἐν τῷ νῦν αἰῶνι, καὶ ἐν τῷ μέλλοντι. καὶ τίς ἡ ἐλπίς; τί τὸ ἔπαθλον τῶν πόνων; προσδεχόμενοι, φησι, τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν. οὕτως γὰρ οὐδὲν ἐκείνης μακαριώτερον, οὐδὲν ζηλωτότερον. καὶ ταῦτα ʺλόγοι παραστῆσαι οὐ ʺδύνανται. καὶ γὰρ νοῦν ὑπερβαίνει τὰ τότε ἀγαθά. προσδεχόμενοι, φησι, τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν. ποῦ εἰσιν οἱ τοῦ πατρὸς ἐλάττονα τὸν υἱὸν λέγοντες; τοῦ μεγάλου, φησὶ, Θεοῦ, καὶ σωτῆρος. ὁ τοὺς ἐχθροὺς σώσας, τί οὐκ ἐργάσεται τότε [οὐκ] εὐδοκιμοῦντας λαβών; τοῦ μεγάλου, φησὶ, Θεοῦ. τὸ μέγας ἐπὶ Θεοῦ ὅταν λέγῃ, οὐ πρός τι

γ. λέγει

γ. παρθένων πάρεστιν; ἐπιταγὴν Κυρίου οὐκ ἔχω. καὶ πάλιν, θέλω τό.

γ. διετάξατο

γ. ἐπιθυμία

γ. ῥαθυμία

γ. λόγος

γ. δύναται

α Τιμ. ϛ. η.

α Κορ. ζ. ε.

Λουκ. ιδ. λγ.

Εβρ. ιγ. δ.

α Τιμ. ϛ. θ.

τινῶν ἐκπεπλήχασιν. ἐπεὶ οὖν τοσοῦτος ὁ καρπὸς τῆς ἀρετῆς, ταύτην διώκωμεν, ταύτην μετίωμεν. ἂν ταύτης ἐχώμεθα, οὐδὲν ἡμῖν ἔσται δεινόν, πάντα ῥᾴδια, πάντα εὔκολα. κἂν διὰ πυρὸς διαβαίνωμεν, κἂν δι' ὕδατος, πάντα εἴκει τῇ ἀρετῇ καὶ παραχωρεῖ, καὶ αὐτὸς ὁ θάνατος. ζηλώσωμεν τοίνυν αὐτήν, ἵνα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. γρ. ζηλῶμεν

Λογ. ε. 11 ΕΠΕΦΑΝΗ ΓΑΡ Η ΧΑΡΙΣ ΤΟΥ ΘΕΟΥ Η
σωτήριος πᾶσιν ἀνθρώποις, 12 Παιδεύουσα ἡμᾶς, ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι,
13 Προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ,
14 Ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας, καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον, ζηλωτὴν καλῶν ἔργων.

Πολλὴν παρὰ τῶν οἰκετῶν ἀπαιτήσας τὴν ἀρετὴν (καὶ γάρ ἐστι πολλή, ὥστε τὴν διδασκαλίαν τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν κοσμεῖν ἐν πᾶσι, καὶ μηδεμίαν διδόναι τοῖς δεσπόταις λαβήν, μηδὲ ἐν τῷ τυχόντι) ἐπάγει καὶ τὴν αἰτίαν δικαίαν, δι' ἣν ὀφείλουσι τοιοῦτοι εἶναι οἱ οἰκέται. γρ. τῷ ποίαν δὲ ταύτην; ἐπεφάνη γάρ, φησιν, ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος. οἱ Θεοῦ διδασκάλου τυγχάνοντες, πῶς οὐκ ἂν εἶεν εἰκότως τοιοῦτοι, οἵους ἄρτι δεδήλωκα ἐγώ, μυρίων ἁμαρτημάτων λύσιν εὑρόντες; ἴστε γὰρ ὅτι μετὰ τῶν ἄλλων, καὶ τοῦτο οὐχ ὡς ἔτυχεν ἐντρέπει καὶ συστέλλει ψυχήν, τὸ μυρίων ἁμαρτημάτων οὖσαν ὑπεύθυνον, μὴ δίκην δοῦναι, ἀλλὰ συγγνώμης τυχεῖν καὶ μυρίων ἀγαθῶν. γρ. δὴ εἰ γάρ τις, εἰπέ μοι, τῶν μυρία προσκρουσάντων οἰκέτην λαβών, μὴ καταπτείνοι ἱμᾶσιν, ἀλλ' ἐπ' ἐκείνοις μὲν συγγνώμην παρέχοι, ὑπὲρ δὲ τῶν μελλόντων αὐτὸν ἀπαιτοίη εὐθύνας, καὶ φυλάττεσθαι* παρακελεύοιτο, ὥστε μὴ τοῖς αὐτοῖς περιπεσεῖν, καὶ δωρεαῖς μεγάλαις τιμήσειε, ἵνα οὐκ ἂν οἴεσθε ἐντρέψαι τὴν τοσαύτην χάριν ἀκούοντα; ἀλλὰ μὴ νομίσῃς, ὅτι ἡ χάρις μέχρι τῆς τῶν προτέρων* συγχωρήσεως ἵσταται,* ἀλλὰ καὶ εἰς τὸ μέλλον ἡμᾶς ἀσφαλίζεται. καὶ γὰρ καὶ τοῦτο χάριτος. ἐπεὶ εἰ μέλλοι ἀεὶ κακῶς πράττοντας μὴ κολάζειν, οὐκέτι τὸ πρᾶγμα χάρις ἐστίν, ἀλλὰ πρὸς τρυφήν τις εἰς λύμην καὶ διαφθοράν. ἐπεφάνη γάρ, φησιν, ἡ χάρις τοῦ Θεοῦ παιδεύουσα ἡμᾶς, ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι, προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. ὅρα πῶς μετὰ τῶν ἐπάθλων τίθησι τὴν ἀρετήν. καὶ τοῦτο χάριτος, τὸ ἀπαλλάξαι τῶν βιωτικῶν, τὸ πρὸς τὸν οὐρανὸν ἀγαγεῖν. δύο δείκνυσιν ἐνταῦθα ἐπιφανείας. καὶ γὰρ εἰσὶ δύο, ἡ μὲν προτέρα, χάριτος· ἡ δὲ δευτέρα, ἀνταποδόσεως καὶ τοῦ δικαίου. ἵνα ἀρνησάμενοι, φησί, τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας. ἰδοὺ πάσης τῆς ἀρετῆς ἡ ὑπόθεσις. οὐκ εἶπεν, ἵνα φευξώμεθα, ἀλλ', ἵνα ἀρνησάμενοι. ἡ ἄρνησις πολλὴν δείκνυσι τὴν διάστασιν, πολὺ τὸ μῖσος, πολλὴν τὴν ἀποστροφήν. μεθ' ὅσης διαθέσεως, μεθ' ὅσης σπουδῆς τὰ εἴδωλα ἀπεστράφησαν, μετὰ τοσαύτης καὶ τὴν κακίαν αὐτήν* καὶ τὰς κοσμικὰς ἐπιθυμίας, φησί. καὶ γὰρ καὶ ταῦτα εἴδωλα, κοσμικὴ ἐπιθυμία καὶ πλεονεξία. καὶ ταύτην εἰδωλολατρείαν ὀνομάζει· καὶ ὅσα πρὸς τὸν παρόντα βίον ἡμῖν χρήσιμα, κοσμικαί εἰσιν ἐπιθυμίαι· πάντα ὅσα ἂν τῷ παρόντι βίῳ συγκαταλύεται, κοσμική

γρ. δὴ
* αὐτὸν
* ἁμαρτημάτων
* οὐ γὰρ μέχρι τούτου
* βούλεται
γρ. ἐκζητεῖν

ἀπολαύει κηδεμονίας; ἴστε δὲ πῶς πρὸς ὠμότητα τοῖς τὰ δεσμωτήρια ἐγκεχειρισμένοις τὸ ἦθος ἐξήσκηται. τὰς ἀλλοτρίας καρποῦνται συμφοράς, καὶ οὓς ἕτεροι κακῶς πάσχοντας τρέφουσι, τούτους οὗτοι ''παρασιτοῦσι. κέρδη κερδαίνοντες πολλῶν δακρύων ἄξια, θηρίων ὄντες ὠμότεροι. ἀφ' ὧν γὰρ ἐχρῆν ἐλεεῖν τοὺς ἐμβεβλημένους, ἀπὸ τούτων αὐτοὶ καρποῦνται. καὶ μὴ τοῦτο μόνον λογιζώμεθα, ἀλλ' ὅτι καὶ αὐτοὶ οὗτοι οὐχ ὁμοίως πᾶσι κέχρηνται τοῖς ἐμβεβλημένοις. τοὺς μὲν γὰρ ἐπὶ συκοφαντίαις καὶ ἐπηρεασθέντας ἁπλῶς καὶ δεθέντας καὶ ἐλεήσαιεν ἄν· τοὺς δὲ ἐπὶ τοῖς αἰσχίστοις καὶ δεινοτάτοις καὶ τολμήμασιν ἐμβεβλημένους μυρίαις αἰκίζονται πληγαῖς. ὥστε οὐ μόνον ἀπὸ τοῦ τρόπου ὠμὸς ἔμελλεν ἔσεσθαι ὁ δεσμοφύλαξ, ἀλλὰ καὶ ἀπὸ τῆς αἰτίας, δι' ἣν ἐνεβέβλητο. τίνα γὰρ οὐκ ἂν διήγειρε καθ' ἑαυτοῦ ὁ νεανίσκος, τοσαύτης μὲν ἀπολαύσας τιμῆς, ὑποπτευθεὶς δὲ τὴν δέσποιναν πειρᾶν, καὶ τοιαύταις τὸν εὐεργέτην ἀμειβόμενος ἀμοιβαῖς; ταῦτα οὖν ἐννοῶν ὁ δεσμοφύλαξ, καὶ τὴν τιμὴν τοῦ ἐμβεβλημένου, καὶ τὸ πρᾶγμα ἐφ' ᾧ ἐνεβέβλητο, οὐκ ἂν παντὸς θηρίου χαλεπώτερον ἐχρήσατο τῷ ἀνδρί; ἀλλὰ πάντων τούτων δυνατωτέρα γέγονεν ἡ ἐλπὶς ἡ εἰς τὸν Θεόν. οὕτως οἶδε καὶ θηρία καταπραΰνειν ψυχῆς ἀρετή. ἀπὸ γὰρ τῆς αὐτῆς ἐπιεικείας, ἀφ' ἧς τὸν δεσπότην εἷλεν, ἀπὸ τῆς αὐτῆς καὶ τὸν ἀρχιδεσμοφύλακα. καὶ πάλιν ἦν ἄρχων ὁ Ἰωσήφ, καὶ ἐν δεσμωτηρίῳ ἐκράτει, καὶ ἐν οἰκίᾳ. ἐπεὶ γὰρ ἔμελλε βασιλεύειν, εἰκότως πρότερον ἐμάνθανεν ἄρχεσθαι, καὶ ἀρχόμενος ἄρχων ἦν καὶ προέστη τῆς οἰκίας. εἰ γὰρ τὸν εἰς ἐκκλησίαν ἑλκόμενον ἀπαιτεῖ τοῦτο ὁ Παῦλος, οὕτω λέγων· Εἰ γάρ τις τοῦ ἰδίου οἴκου προστῆναι οὐκ οἶδε, πῶς ἐκκλησίας Θεοῦ ''ἐπιμελήσεται; καὶ τὸν εἰς ἀρχὴν ἐλθόντα πρότερον ἄριστον εἶναι χρὴ προεστάναι οἰκίας. προέστη δεσμωτηρίου, οὐχ ὡς δεσμωτηρίου, ἀλλ' ὡς οἰκίας. πᾶσι γὰρ ἐπεκούφιζε τὰς συμφοράς, καὶ τῶν ἐμβεβλημένων ὡς οἰκείων προΐστατο μελῶν, οὐ μόνον αὐτῶν τὰς συμφορὰς πολυπραγμονῶν καὶ παραμυθούμενος, ἀλλὰ καὶ εἰ σκυθρωποὺς εἶδέ τινας, προσῄει καὶ τὴν ''αἰτίαν ἐμάνθανεν, οὐδὲ ἁπλῶς ''κατηφοῦντας αἰσχυνόμενος ὁρᾶν, ἂν μὴ πρότερον αὐτοὺς ἀπαλλάξῃ τῆς κατηφείας. καίτοι τοσαύτην τις οὐδὲ περὶ τέκνα στοργὴν ''ἐπεδείξατο. ἀπὸ τούτων γοῦν αὐτῷ καὶ ἡ ἀρχὴ τῶν ἀγαθῶν ἐγένετο. δεῖ γὰρ τὰ παρ' ὑμῶν ὑπάρχειν πρότερον, καὶ τότε τὰ παρὰ τοῦ Θεοῦ. ὅτι γὰρ τοσαύτῃ ἐκέχρητο φειδοῖ καὶ ἐπιμελείᾳ, εἶδε, φησί, τοὺς εὐνούχους τοὺς ἐμβληθέντας ὑπὸ τοῦ Φαραώ, τὸν ἀρχιοινοχόον, καὶ τὸν ἀρχισιτοποιόν, καὶ εἶπε, τί σκυθρωπὰ τὰ πρόσωπα ὑμῶν σήμερον; καὶ οὐκ ἀπὸ τούτου μόνον, ἀλλὰ καὶ ἀφ' ὧν ἐκεῖνοι ἐποίησαν, καταμαθεῖν ἔστι τὴν ἀρετὴν τοῦ ἀνδρός. οὐ γὰρ ὡς βασιλέως ὄντες οἰκέται διέπτυσαν αὐτόν, οὐχ ὡς ἐν ἀθυμίᾳ ὄντες διεκρούσαντο, ἀλλ' ὡς ἀδελφῷ γνησίῳ καὶ συναλγεῖν εἰδότι πάντα αὐτῷ ἐξεκάλυπτον τὰ ἑαυτῶν. ''Ταῦτα δέ μοι πάντα εἴρηται, ὅτι κἂν ἐν δουλείᾳ, κἂν ἐν αἰχμαλωσίᾳ, κἂν ἐν δεσμωτηρίῳ, κἂν ὑπ' αὐτὴν τὴν γῆν γένηται ὁ ἐνάρετος, οὐδεὶς αὐτὸν καταγωνίσασθαι δυνήσεται. ταῦτά μοι * πρὸς τοὺς οἰκέτας λέλεκται, ὅτι κἂν θηρία ἔχωσι δεσπότας, ὡς τὸν Αἰγύπτιον, κἂν ὠμούς, ὡς τὸν ἀρχιδεσμοφύλακα, δυνήσονται αὐτοὺς ἑλεῖν, κἂν Ἕλληνες ὦσιν, ὡς ἐκεῖνοι, κἂν ὁτιοῦν, ταχέως μεταπείσουσιν. οὐδὲν γὰρ ἐμμελεστέρου τρόπου, οὐδὲν ἡδύτερον, οὐδὲν γλυκύτερον ἐπιεικείας καὶ πραότητος καὶ ὑπακοῆς. πᾶσιν ἐστὶν ἐπιτήδειος ὁ τοιοῦτος. καὶ οὔτε δουλείαν ἐπαισχύνονται οἱ τοιοῦτοι, οὔτε πενίαν φεύγουσιν, οὔτε ἀρρωστίαν καὶ κάμνοντα. πάντων γὰρ κρατεῖ καὶ πάντων ἡ ἀρετὴ περιγίνεται. Εἰ δὲ ἐν δουλείᾳ τοσαύτην ἔχει τὸ πρᾶγμα τὴν ἰσχύν, πόσῳ μᾶλλον ἐν ἐλευθερίᾳ; ταῦτα οὖν ἀσκῶμεν καὶ δοῦλοι καὶ ἐλεύθεροι, καὶ γυναῖκες καὶ ἄνδρες· οὕτω καὶ ἀνθρώποις, καὶ Θεῷ ἐσόμεθα ποθεινοί, καὶ ἀνθρώποις οὐ τοῖς ἐναρέτοις μόνον, ἀλλὰ καὶ τοῖς κακοῖς, καὶ μάλιστα ἐκείνοις. ἐκεῖνοι γάρ εἰσιν οἱ μάλιστα τιμῶντες καὶ αἰδούμενοι. ὥσπερ γὰρ τοὺς ἐπιεικεῖς οἱ ἀρχόμενοι μάλιστα τρέμουσιν, οὕτω καὶ τοὺς ἐναρέτους οἱ ἀκόλαστοι, εἰδότες

[Marginalia: χ. ἐπισιτί-ζουσι · χ. ἐπιμελή-σεται · α. Τιμ. γ. ε. · χ. αἰτίαν ἐζήτει · χ. σκυθρωπάζοντα · χ. ἐνεδείκνυτο · Γεν. μ. · χ. οὐχ ἁπλῶς ταῦτα διεξῆλθον, ἀλλ' ἵνα δείξω ὅτι]

ἡ τοῦ κηρύγματος δύναμις χαλινὸν περιθεῖσα πάντων εἰργάσατο κοσμιωτέρους, καὶ ἐπιεικεστέρους, κἂν σφόδρα πάντων ὦσιν ἀλογώτεροι οἱ δεσπόται, λήψονται ἔννοιαν μεγάλην περὶ τῶν δογμάτων τῶν παρ' ἡμῖν. δῆλον γὰρ ὅτι καὶ τὸν περὶ τῆς ἀναστάσεως φόβον καὶ τὸν τῆς κρίσεως καὶ τῶν ἄλλων ἁπάντων μετὰ τὸν θάνατον φιλοσοφουμένων παρ' ἡμῖν πρότερον ἐγκαταθέντες αὐτῶν τῇ ψυχῇ, οὕτως ἴσχυσαν ἀποκρούσασθαι τὴν κακίαν, ἀντίρροπόν τινα φόβον τῆς ἀπὸ τῶν κακῶν ἡδονῆς εἰς τὴν ἑαυτῶν ἐνιδρύσαντες ψυχήν. ὥστε οὐκ εἰκῆ οὐδὲ ἁπλῶς πολλὴν ὑπὲρ τούτων πανταχοῦ ποιεῖται τὸν λόγον. ὅσῳ γὰρ ἂν ὦσι κακοί, τοσούτῳ μάλιστα θαυμάζεται τοῦ κηρύγματος ἡ ἰσχύς. καὶ γὰρ ἰατρὸν τότε θαυμάζομεν, ὅταν τὸν ἀπεγνωσμένον καὶ οὐδεμιᾶς βοηθείας ἀπολαύοντα οὐδὲ κρατῆσαι τῆς ἀκαίρου ἐπιθυμίας δυνάμενον, ἀλλ' ἐν ταύταις ἐγκαλινδούμενον, ἐπαγάγῃ πρὸς ὑγείαν καὶ διορθώσηται. καὶ ὅρα τίνα παρ' αὐτῶν ἀπαιτεῖ· ἃ μάλιστα πάντων ἀναπαύει τὸν δεσπότην. μὴ ἀντιλέγοντας, μὴ νοσφιζομένους· τουτέστι, πολλὴν εὔνοιαν ἐπιδείκνυσθαι ἐν οἷς ἂν πιστευθῶσιν, ἐν τοῖς πρὸς τοὺς δεσπότας μάλιστα εἶναι ἀγαθούς, ὑπείκοντας ἐν τοῖς ἐπιτάγμασι.

ΗΘΙΚΟΝ

Μὴ τοίνυν νομίζετε ἁπλῶς με ταῦτα νῦν διεξιέναι. λοιπὸν γάρ μοι πρὸς τοὺς οἰκέτας ὁ λόγος. μὴ τοίνυν, ὦ βέλτιστε, σὺ πρὸς τοῦτο ἴδῃς, ὅτι ἀνθρώπῳ δουλεύεις, ἀλλ' ὅτι Θεῷ, ὅτι τὸ κήρυγμα κοσμεῖς· καὶ πάντα ὑποστήσῃ ποιεῖς, τῷ δεσπότῃ πειθόμενος καὶ φέρων ἀγανακτοῦντα ἀκαίρως καὶ δυσχεραίνοντα. ἐννόησον ὅτι οὐκ ἐκείνῳ τὴν χάριν δίδως, ἀλλὰ τὸ τοῦ Θεοῦ πρόσταγμα πληροῖς, καὶ πᾶν ὁτιοῦν ὑποστήσῃ ῥᾳδίως. ὅπερ δὲ ἀεὶ λέγω, τοῦτο καὶ νῦν ἐρῶ, ὅτι τῶν πνευματικῶν ἡμῖν κατορθουμένων καὶ τὰ τοῦ παρόντος ἕψεται βίου. τὸν γὰρ τοιοῦτον οἰκέτην, τὸν οὕτως εὔνουν, τὸν οὕτως ἐπιεικῆ, οὐχ ὁ Θεὸς ἀποδέξεται μόνον καὶ τῶν στεφάνων μεταδώσει τῶν λαμπρῶν ἐκείνων, ἀλλὰ καὶ αὐτὸς ὁ παθὼν εὖ δεσπότης, κἂν θηρίον ᾖ, κἂν λίθινός τις ᾖ καὶ ἀπάνθρωπος καὶ ὠμός, ἐπαινέσεται καὶ θαυμάσεται καὶ προτιμήσει τῶν ἄλλων ἁπάντων, καὶ τοῖς λοιποῖς αὐτὸν ἐπιστήσει, κἂν Ἕλλην ᾖ. καὶ ὅτι κἂν Ἕλληνες ὦσιν οἱ δεσπόται, κελεύει τὸν οἰκέτην τοιοῦτον ἑαυτὸν ἐπιδείκνυσθαι, εἰ βούλεσθε, ὑμῖν καὶ παράδειγμα διηγήσομαι. ὁ Ἰωσὴφ ἐπράθη πρὸς τὸν ἀρχιμάγειρον, καὶ δόξης ἑτέρας ἦν, οὐ τῆς Αἰγυπτιακῆς. τί οὖν ἐκεῖνος; ἐπειδὴ ἐνάρετον εἶδε τὸν νεανίσκον, οὐκ ἐνενόησε τὸ τῆς δόξης διεστηκός, ἀλλ' αὐτόν τε ἠγάπα καὶ ἐφίλει καὶ ἐθαύμαζε, καὶ τῶν ἄλλων αὐτῷ τὴν ἐπιστασίαν ἐνεχείρισεν ἅπασαν, * καὶ τῶν κατὰ τὴν οἰκίαν οὐδὲν ᾔδει δι' αὐτόν· ἀλλὰ δεύτερος δεσπότης ἐκεῖνος ἦν, μᾶλλον δὲ καὶ αὐτοῦ τοῦ δεσπότου κυριώτερος, εἴγε ὁ μὲν ἠγνόει τὰ αὐτοῦ, οὗτος δὲ τὰ ἐκείνου ᾔδει μᾶλλον τοῦ δεσπότου. καί μοι δοκεῖ καὶ ὕστερον, ὅτε ἐπίστευσε τῇ γυναικὶ τὴν παράνομον ἐκείνην συκοφαντίαν κατ' αὐτοῦ ποιησαμένῃ, τιμῶν τὸ δίκαιον ἀπὸ τῆς προτέρας αἰδοῦς καὶ τῆς τιμῆς, μέχρι τοῦ δεσμωτηρίου στῆσαι τὴν ὀργήν. εἰ γὰρ μὴ σφόδρα ᾐδεῖτο τὸν ἄνδρα, καὶ ἐθαύμαζεν ἀπὸ τῶν προϋπηργμένων αὐτῷ, κἂν εὐθέως αὐτὸν διεχειρίσατο, καὶ τὸ ξίφος ἤλασε διὰ τοῦ σώματος ἐκείνου. Μεστὸς γὰρ ζήλου, φησί, θυμὸς ἀνδρός, οὐκ ἀνταλλάξεται οὐδενὸς λύτρου τὴν ἔχθραν, οὐδὲ μὴ διαλυθῇ πολλῶν δώρων. εἰ δὲ παντὸς ἀνδρὸς τοιοῦτος ὁ ζῆλος, πολλῷ μᾶλλον ἐκείνου, Αἰγυπτίου τε ὄντος καὶ βαρβάρου, καὶ παρὰ τοῦ τιμηθέντος ἠδικημένου, ὡς ᾤετο. ἴστε γὰρ δήπου πάντες, ὅτι οὐχ ὁμοίως ἡμᾶς δάκνει τὰ παρὰ πάντων ἀδικήματα, ἀλλὰ σφοδρότερον τῶν ἄλλων καὶ πικρότερον τὰ παρὰ τῶν εὐνοϊκῶς πρὸς ἡμᾶς διατεθέντων, καὶ πιστευθέντων καὶ πιστευσάντων ἡμῖν, καὶ πολλὰ παρ' ἡμῶν εὖ παθόντων γινόμενα κακὰ ἡμᾶς ἀνιᾷ καὶ λυπεῖ. οὐκ ἐνενόησε πρὸς ἑαυτόν, οὐδὲ εἶπε, τί τοῦτο; οἰκέτην αὐτὸν λαβὼν πάντων μετέδωκα τῶν τῆς οἰκίας, ἐλεύθερον ἐποίησα καὶ ἐμοῦ τι μείζονα, καὶ τοιαύτας μοι τὰς ἀμοιβὰς ἀποδέδωκεν; οὐδὲν τούτων εἶπεν· οὕτως αὐτοῦ τὴν ψυχὴν ἡ προτέρα κατεῖχεν αἰδώς. καὶ τί θαυμαστόν, εἰ ἐν οἰκίᾳ τοσαύτης ἀπήλαυσε τιμῆς, ὅπου καὶ ἐν τῷ δεσμωτηρίῳ ὅρα αὐτόν, ὅσης

ἀπολαύει

χ. [illegible]

* δὲ

Παροι. ς. λδ.

σῶν, φησί, καὶ αἱ πρεσβύτεραι τὰς νεωτέρας, καὶ σὺ δὲ αὐτὸς παρακάλει τοὺς νεωτέρους σωφρονεῖν. ἔστω δὲ κοινὸν πᾶσι διδασκαλεῖον καὶ ὑπόδειγμα ἀρετῆς, ἡ τοῦ σοῦ βίου λαμπρότης εἰς μέσον πᾶσι προκειμένη, ὥσπερ ἀρχέτυπός τις εἰκὼν, πάντα ἔχουσα ἐν ἑαυτῇ τὰ καλὰ, μετὰ πολλῆς τῆς εὐκολίας τοῖς βουλομένοις ἐναπομάξασθαί τι τῶν ἐν αὐτῇ καλῶν παρέχουσα τὰ παραδείγματα. Ἐν τῇ διδασκαλίᾳ ἀδιαφθορίαν, σεμνότητα, * [illegible]

* ἀδιαφθορίαν

8 Λόγον ὑγιῆ, ἀκατάγνωστον, ἵνα ὁ ἐξ ἐναντίας ἐντραπῇ, μηδὲν ἔχων περὶ ἡμῶν λέγειν φαῦλον. Τὸν ἐξ ἐναντίας φησὶ τὸν διάβολον καὶ πάντας τοὺς ἐκείνῳ διακονουμένους. ὅταν γὰρ καὶ βίος λάμπῃ, καὶ λόγος ᾖ συμβαίνων, ἐπιεικὴς, ἥμερος, πρᾶος, μηδεμίαν τοῖς ἐναντίοις παρέχων λαβὴν, πολὺ καὶ ἄφατον τὸ κέρδος. πολλὴ ἄρα τῆς τοῦ λόγου διακονίας ἡ χρεία, λόγου οὐ τοῦ τυχόντος, ἀλλὰ δοκίμου τινὸς καὶ ἀλήπτου καὶ μηδεμίαν μηδαμόθεν παρέχοντος τοῖς βουλομένοις πρόφασιν.

9 Δούλους ἰδίοις δεσπόταις ὑποτάσσεσθαι, ἐν πᾶσιν εὐαρέστους εἶναι.

Ὁρᾷς τί προλαβὼν εἶπεν; ἵνα ὁ ἐξ ἐναντίας, φησὶν, ἐντραπῇ, μηδὲν ἔχων περὶ ἡμῶν λέγειν φαῦλον. ἄρα καταγνώσεως ἄξιος ὁ γυναῖκας ἀπὸ ἀνδρῶν ἀποζευγνὺς τῇ προφάσει τῆς ἐγκρατείας, καὶ ὁ δούλους δεσποτῶν ἀποστερῶν τῷ αὐτῷ δὴ τούτῳ προσχήματι. τοῦτο οὐκ ἔστιν ἀκατάγνωστος ὁ λόγος. πολλὴν δὲ καὶ τοῖς ἀπίστοις δίδωσι λαβὴν, καὶ τὰ πάντων καθ' ἡμῶν ἀνοίγει στόματα. Δούλους, φησὶν, ἰδίοις δεσπόταις ὑποτάσσεσθαι, ἐν πᾶσιν εὐαρέστους εἶναι. Μὴ ἀντιλέγοντας,

10 Μὴ νοσφιζομένους, ἀλλὰ πίστιν πᾶσαν ἐνδεικνυμένους ἀγαθὴν, ἵνα τὴν διδασκαλίαν τὴν τοῦ Θεοῦ σωτῆρος ἡμῶν κοσμῶσιν ἐν πᾶσιν. Εἰκότως ἄρα ἔλεγεν ἑτέρωθι, Ὡς τῷ Θεῷ δουλεύοντες, καὶ οὐκ ἀνθρώποις. κἂν γὰρ τῷ δεσπότῃ διακονῇς μετ' εὐνοίας, ἀλλ' ἡ πρόφασις ἀπὸ τοῦ φόβου τὴν ἀρχὴν ἔχει. ὥστε ὁ μετὰ τοσούτου φόβου ἐκείνῳ διακονῶν, μεγίστων ἐπιτεύξεται τῶν μισθῶν. Εἰ γὰρ χειρὸς μὴ κρατεῖ, μηδὲ γλώττης ἀκολάστου, πόθεν θαυμάσεται ὁ Ἕλλην τὸ δόγμα τὸ παρ' ἡμῖν; Εἰ δὲ τοὺς δούλους ἴδοιεν τοὺς ἐν Χριστῷ φιλοσοφοῦντας, τῶν παρ' αὐτοῖς φιλοσοφησάντων μείζονα τὴν ἐγκράτειαν ἐπιδεικνυμένους, καὶ μετὰ πολλῆς τῆς ἐπιεικείας, καὶ τῆς εὐνοίας διακονουμένους, πάντως που θαυμάσονται τὴν δύναμιν τοῦ κηρύγματος. οὐ γὰρ ἀπὸ δόγματος δόγματα, ἀλλ' ἀπὸ πραγμάτων καὶ βίου τὰ δόγματα κρίνουσιν Ἕλληνες. ἔστωσαν οὖν αὐτοῖς καὶ γυναῖκες, καὶ δοῦλοι διδάσκαλοι διὰ τῆς οἰκείας ἀναστροφῆς. καὶ γὰρ καὶ παρ' αὐτοῖς, καὶ πανταχοῦ τοῦτο ὁμολογεῖται, ὅτι τὸ τῶν δούλων γένος ἰταμόν πως ἐστὶ, δυσδιατύπωτον, δυστράπελον, οὐ σφόδρα ἐπιτήδειον πρὸς τὴν τῆς ἀρετῆς διδασκαλίαν, οὐ διὰ τὴν φύσιν, μὴ γένοιτο, ἀλλὰ διὰ τὴν ἀναστροφὴν, καὶ τὴν ἀμέλειαν τὴν παρὰ τῶν δεσποτῶν. ἐπειδὴ γὰρ πανταχοῦ οὐδενὸς ἑτέρου, ἀλλὰ τῆς αὐτῶν διακονίας οἱ κρατοῦντες αὐτῶν φροντίζουσιν, εἰ δέ που καὶ τῶν τρόπων ἐπιμεληθεῖεν, καὶ τοῦτο πάλιν διὰ τὴν αὐτῶν ἀνάπαυσιν πράττουσιν, ὥστε μὴ πράγματα αὐτοῖς παρέχειν ἢ πορνεύοντας, ἢ κλέπτοντας, ἢ μεθύοντας, εἰκότως ἠμελημένοι, καὶ οὐδένα τὸν πολυπραγμονοῦντα ἔχοντες, εἰς αὐτὰ τῆς κακίας τὰ βάραθρα καταποντίζονται. Εἰ γὰρ ἔνθα πατὴρ ἐφέστηκε, καὶ μήτηρ, καὶ παιδαγωγὸς, καὶ τροφὸς, καὶ διδάσκαλος, καὶ ἡλικιῶται, καὶ αὐτὴ ἡ τῆς ἐλευθερίας δόξα περικειμένη, καὶ πολλὰ ἕτερα, μόλις ἄν τις διαφύγοι τὰς τῶν πονηρῶν συνουσίας, τί οἴει τοὺς πάντων τούτων ἐρήμους ὄντας, καὶ μιαροῖς ἀναμιγνυμένους, καὶ μετὰ ἀδείας οἷς ἂν ἐθέλωσι συγγινομένους, οὐδενὸς ὄντος τοῦ τὰς φιλίας αὐτῶν πολυπραγμονοῦντος; τί οἴει τοὺς τοιούτους ἔσεσθαι; διὰ τοῦτο δύσκολον δούλους γενέσθαι ἀγαθούς. ἄλλως δὲ οὐδὲ διδασκαλίας ἀπολαύουσιν, οὔτε τῆς ἔξωθεν, οὔτε τῆς παρ' ἡμῖν. οὐ συναναστρέφονται ἀνδράσιν ἐλευθέροις, κοσμίοις, πολλὴν τῆς αὐτῶν δόξης ποιουμένοις φροντίδα. διὰ ταῦτα πάντα δύσκολον καὶ θαυμαστὸν, χρήσιμον οἰκέτην γενέσθαι ποτέ. ὅταν οὖν ἴδωσιν, ὅτι τὸ γένος τὸ οὕτως αὔθαδες

Ἐφεσ. ς. ζ.

τὴν μὲν παραινετικὴν ἐπιτρέπει λόγον ἐπ' οἰκίας, οὐδαμοῦ δὲ προκαθῆσθαι συγχωρεῖ, οὐδὲ μακρὸν ἀποτείνειν λόγον ἀφίησι. διὰ τοῦτο ἐπήγαγεν, οὐδὲ αὐθεντεῖν ἀνδρός. ἵνα σωφρονίζωσι, φησὶ, τὰς νέας. ὁρᾷς πῶς συμπλέκει καὶ συνάγει τὸν λαόν; πῶς ὑποτάττει τὰς νεωτέρας ταῖς γεγηρακυίαις; οὐ γὰρ περὶ θυγατέρων ἐνταῦθα διαλέγεται, ἀλλ' ἁπλῶς ἀπὸ τῆς ἡλικίας. ἑκάστη, φησὶ, πρεσβυτέρα τὴν νεωτέραν σωφρονιζέτω. φιλάνδρους εἶναι. τὸ κεφάλαιον τοῦτο τῶν κατὰ τὴν οἰκίαν ἀγαθῶν. Γυνὴ γὰρ, φησὶν, ἀνδρὶ συμπεριφερομένη. τούτου γὰρ ὄντος, οὐδὲν τῶν ἀηδῶν συμβήσεται. πῶς γὰρ, τῆς κεφαλῆς πρὸς τὸ σῶμα συνῳδηκυίας καὶ μηδεμιᾶς ἐκεῖ διαστάσεως οὔσης, οὐ πάντα τὰ λοιπὰ εἰρηνεύσεται; τῶν γὰρ ἀρχόντων ἐν εἰρήνῃ ὄντων, τίς ὁ διαιρῶν καὶ διαταράττων τὴν εἰρήνην; ὥσπερ αὖ τούτων κακῶς διακειμένων, οὐδὲν ὑγιὲς ἔσται κατὰ τὴν οἰκίαν. οὐδὲν οὖν τούτου μεῖζον καὶ χρημάτων καὶ εὐγενείας καὶ δυναστείας καὶ τῶν ἄλλων ἁπάντων τοῦτο λυσιτελέστερον. οὐκ εἶπεν ἁπλῶς, ἐν εἰρήνῃ εἶναι, ἀλλὰ, φιλεῖν τοὺς ἄνδρας. ὅταν γὰρ ἀγάπη ᾖ, οὐδὲν τῶν δυσκόλων παρείσοδον ἕξει. ἀπὸ ταύτης γὰρ καὶ τὰ λοιπὰ τίκτεται ἀγαθά. φιλοτέκνους, φησί. καλῶς. ἡ γὰρ τὴν ῥίζαν ἀγαπῶσα, πολλῷ μᾶλλον καὶ τοὺς καρπούς. σώφρονας, ἁγνὰς, οἰκουρούς, ἀγαθάς. πάντα ἀπ' ἐκείνης τίκτεται. καὶ γὰρ ἀγαθαὶ καὶ οἰκουροὶ ἀπὸ τῆς ἀγάπης καὶ τῆς περὶ τὸν ἄνδρα φιλίας γίνονται. ὑποτασσομένας τοῖς ἰδίοις ἀνδράσιν, ἵνα μὴ ὁ λόγος τοῦ Θεοῦ βλασφημῆται· ὡς ἥγε τοῦ ἀνδρὸς καταφρονοῦσα καὶ τῆς οἰκίας ἀμελεῖ. ἀπὸ δὲ τοῦ φιλεῖν καὶ σωφροσύνη πολλὴ τίκτεται, ἀπὸ τοῦ φιλεῖν πᾶσα ἀναιρεῖται φιλονεικία. κἂν Ἕλλην ᾖ, ταχέως πεισθήσεται· κἂν Χριστιανὸς, βελτίων ἔσται. ὁρᾷς τοῦ Παύλου τὴν συγκατάβασιν; ὁ πάντα πράττων ὥστε ἡμᾶς ἀποστῆσαι τῶν βιωτικῶν, περὶ τῶν κατὰ τὴν οἰκίαν νῦν πολλὴν ποιεῖται τὴν φροντίδα. τούτων γὰρ καλῶς διοικουμένων, καὶ τὰ πνευματικὰ χώραν ἕξει· ἑτέρως δὲ, κἀκεῖνα λυμαίνεται. ἡ γὰρ οἰκουρὸς γυνὴ καὶ σώφρων ἔσται, ἡ οἰκουρὸς καὶ οἰκονομική· οὔτε περὶ τρυφὴν, οὔτε περὶ * ἐξόδους ἀκαίρους, οὔτε περὶ ἄλλο τι τῶν τοιούτων ἀσχοληθήσεται. ἵνα μὴ ὁ λόγος τοῦ Θεοῦ, φησὶ, βλασφημῆται. ὁρᾷς ὅτι προηγουμένως τοῦ κηρύγματος φροντίζει, οὐχὶ τῶν κοσμικῶν πραγμάτων; καὶ γὰρ πρὸς Τιμόθεον γράφων φησὶν, Ἵνα ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι· καὶ ἐνταῦθα, ἵνα μὴ ὁ λόγος τοῦ Θεοῦ καὶ ἡ διδασκαλία βλασφημῆται. εἰ γὰρ συμβαίη γυναῖκα πιστὴν ἀπίστῳ συνοικοῦσαν μὴ εἶναι ἐνάρετον, ἡ βλασφημία ἐπὶ τὸν Θεὸν διαβαίνειν εἴωθεν· εἰ δὲ εἴη κοσμία, τὸ κήρυγμα καρποῦται τὴν δόξαν τὴν ἐξ ἐκείνης καὶ τῶν ὑπ' ἐκείνης κατορθουμένων. ἀκουέτωσαν αἱ γυναῖκες, ὅσαι μοχθηροῖς ἢ ἀπίστοις συνοικοῦσιν ἀνδράσιν· ἀκουέτωσαν, καὶ παιδευέσθωσαν διὰ τῶν οἰκείων τρόπων ἐνάγειν αὐτοὺς εἰς εὐσέβειαν. κἂν γὰρ μηδὲν ἕτερον κερδάνῃς, μηδὲ ἐφελκύσῃ τὸν ἄνδρα πρὸς τὴν τῶν ὀρθῶν δογμάτων κοινωνίαν, ἀλλὰ τὸ στόμα αὐτοῦ ἀπέρραψας, οὐκ ἐάσασα βλασφημεῖσθαι τὸν Χριστιανισμόν. τοῦτο δὲ οὐ μικρὸν, ἀλλὰ καὶ σφόδρα μέγα, θαυμάζεσθαι τὸ δόγμα ἐκ τῆς ἡμετέρας ἀναστροφῆς.

6 Τοὺς νεωτέρους ὡσαύτως παρακάλει σωφρονεῖν. Ὅρα πῶς πανταχοῦ παρακαλεῖ τὸ πρέπον φυλάττειν. τῆς μὲν γὰρ εἰς τὰς γυναῖκας διδασκαλίας ταῖς γυναιξὶ τὸ πλέον ἀπένειμε, τὰς γεγηρακυίας ταῖς νεωτέραις ἐπιστήσας· τῶν δὲ ἀνδρῶν τὸ πᾶν αὐτῷ δίδωσι καὶ ἀπονέμει. οὐδὲν γὰρ, οὐδὲν οὕτω δύσκολον καὶ χαλεπὸν τῇ ἡλικίᾳ ταύτῃ γένοιτ' ἂν, ὡς τὸ περιγενέσθαι τῶν ἡδονῶν τῶν ἀτόπων. οὔτε γὰρ χρημάτων ἔρως, οὔτε δόξης ἐπιθυμία, οὔτε ἄλλο οὐδὲν οὕτω ταύτην ἐνοχλεῖ τὴν ἡλικίαν, ὡς ὁ τῶν σωμάτων ἔρως. διὸ πάντα τὰ ἄλλα ἀφεὶς, περὶ τὸ καίριον αὐτοῖς τὴν παραίνεσιν ἵστησιν. εἶτα οὐδὲ τῶν ἄλλων ἕνεκεν ῥᾳθυμεῖ, ἀλλὰ τί φησι;

7 Περὶ πάντα ἑαυτὸν παρεχόμενος τύπον καλῶν ἔργων. Διδασκέτωσαν μᾶλλον,

Margin notes: Σειρ. κε. β. — α. Τιμ. β. β. — γρ. ῥυθμιζέτω. — γρ. διὰ — * ἐπίεξι — γρ. ὑπὸ — γρ. διδασκαλίαν,

γρ. πολλάκις

τον; καὶ ὁ μὲν δύο γυναῖκας ἔχων οὐκ ἦν ἀκάθαρτος, καὶ πολλὰς ἔχων ὁ Δαβὶδ οὐκ ἦν ἀκάθαρτος· ἐπεὶ δὲ μίαν ἔσχε παρανόμως, ἀκάθαρτος γέγονε. διὰ τί; ὅτι ἠδίκησεν, ὅτι ἐπλεονέκτησε. καὶ ὁ πόρνος δὲ οὐ διὰ τοῦτο ἀκάθαρτος διὰ τὴν μίξιν, ἀλλὰ διὰ τὸν τρόπον, ὅτι ἀδικεῖ τὸ γύναιον, καὶ ἀλλήλους ἀδικοῦσι τὴν γυναῖκα ποιοῦντες κοινήν, καὶ τοὺς τῆς φύσεως ἀνατρέποντες νόμους. ἕνα γὰρ αὐτὴν ἔδει εἶναι. Ἄρσεν γάρ, φησι, καὶ θῆλυ ἐποίησεν αὐτούς· καὶ εἶπεν, Ἔσονται οἱ δύο εἰς σάρκα μίαν· οὐχ οἱ πολλοί, ἀλλ' οἱ δύο εἰς σάρκα μίαν. καὶ ἐνταῦθα τοίνυν ἀδικία ἐστί, καὶ διὰ τοῦτο πονηρὸν τὸ πρᾶγμα. ὁ θυμὸς πάλιν ὅταν ὑπερβῇ τὰ μέτρα, ἀκάθαρτον ποιεῖ τὸν ἄνθρωπον, οὐ διὰ τὴν ὀργήν, ἀλλὰ διὰ τὸν τρόπον· ἐπεὶ καὶ τοῦτο προσέσκειται, Ὁ ὀργιζόμενος, οὐχ ἁπλῶς, ἀλλὰ εἰκῆ. ὥστε πανταχοῦ τὸ τοῦ πλείονος ἐφίεσθαι, ἀκάθαρτον. ἀπὸ γὰρ ἀπληστίας καὶ τοῦ ἀκορέστου τὸ πρᾶγμα τίκτεται. νήφωμεν τοίνυν, παρακαλῶ, κατορθωσώμεθα τὴν ἀληθῆ καθαρότητα, ἵνα τὸν Θεὸν ἰδεῖν καταξιωθῶμεν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Γεν. α. κη. β. κδ.

Ματθ. ε. κβ.

Λογ. η. 2 ΠΡΕΣΒΥΤΑΣ ΝΗΦΑΛΙΟΥΣ ΕΙΝΑΙ, σεμνούς, σώφρονας, ὑγιαίνοντας τῇ πίστει, τῇ ἀγάπῃ, τῇ ὑπομονῇ·

3 Πρεσβύτιδας ὡσαύτως ἐν καταστήματι ἱεροπρεπεῖς, μὴ διαβόλους, μὴ οἴνῳ πολλῷ δεδουλωμένας, καλοδιδασκάλους,

4 Ἵνα σωφρονίζωσι τὰς νέας φιλάνδρους εἶναι, φιλοτέκνους,

5 Σώφρονας, ἁγνάς, οἰκουρούς, ἀγαθάς, ὑποτασσομένας τοῖς οἰκείοις ἀνδράσιν, ἵνα μὴ ὁ λόγος τοῦ Θεοῦ βλασφημῆται.

γρ. Ἔστιν ὅτι γῆρας ἐλαττώματα ἔχει, τὴν νωθρίαν, τὴν ὀκνηρίαν, τὸ ληθαργικόν,

Ἔστιν ἃ καὶ τὸ γῆρας ἐλαττώματα ἔχει, καὶ οὐχ ἡ νεότης. καὶ ἔχει μέν τινα καὶ τὰ τῆς νεότητος· ἔχει δὲ ὅμως καὶ τὸ νωθρόν, τὸ ὀκνηρόν, τὸ ληθαργόν, τὸ ἀμβλύ, τὸ ἀκρόχολον. διὰ τοῦτο περὶ τούτων παραγγέλλων φησί· πρεσβύτας εἶναι νηφαλίους. πολλὰ γάρ ἐστι τὰ ποιοῦντα μὴ νήφειν ἐν τῇ ἡλικίᾳ τοιαύτῃ· καὶ πρῶτον αὐτό, ὅπερ ἔφην, τὸ πανταχόθεν ἀμβλύνεσθαι, καὶ δυσκόλως διεγείρεσθαι, καὶ δυσκόλως κινεῖσθαι. διὸ καὶ ἐπάγει, σεμνούς, σώφρονας. ἐνταῦθα τοὺς φρονίμους φησί. σωφροσύνη γὰρ τοῦτο λέγεται ἡ τῶν φρενῶν σωτηρία. Εἰσὶ γάρ, εἰσὶ καὶ ἐν τοῖς γεγηρακόσι λυττῶντες ἄνθρωποι, παράφρονες, οἱ μὲν ὑπὸ οἴνου, οἱ δὲ ὑπὸ λύπης. μικροψύχους γὰρ τὸ γῆρας ποιεῖ. ὑγιαίνοντας τῇ πίστει, τῇ ἀγάπῃ, τῇ ὑπομονῇ. καὶ καλῶς εἴρηκε, τῇ ὑπομονῇ· καὶ τοῦτο γὰρ μάλιστα τοῖς γέρουσιν ἁρμόζει. πρεσβύτιδας ὡσαύτως ἐν καταστήματι ἱεροπρεπεῖς, τουτέστιν, ἀπ' αὐτοῦ τοῦ σχήματος καὶ τῆς καταστολῆς δεικνυμένας τὴν κοσμιότητα. μὴ διαβόλους, μὴ οἴνῳ πολλῷ δεδουλωμένας. μάλιστα γὰρ τοῦτο γυναικῶν τὸ ἐλάττωμα καὶ τοῦ γήρως. διὰ γὰρ τὸ κατεψῦχθαι τὰς ἡλικίας πολλὴ καὶ τούτου γίνεται ἡ ἐπιθυμία. ὅθεν καὶ περὶ τούτου μάλιστα τὴν παραίνεσιν πρὸς αὐτὰς ποιεῖται, πανταχόθεν τὴν μέθην ἐκκόπτων, καὶ τοῦ νοσήματος τούτου ἐκτὸς αὐτὰς εἶναι βουλόμενος, καὶ διαφυγεῖν τὸν ἐντεῦθεν γέλωτα. καὶ γὰρ εὐκολώτερον καὶ οἱ κάτωθεν ἀτμοὶ ἀναφέρονται, καὶ αἱ μήνιγγες τὴν βλάβην δέχονται τῷ πεπαλαιῶσθαι αὐτὰς τῷ χρόνῳ, καὶ ἐντεῦθεν ἡ μέθη μάλιστα γίνεται. δεῖ μὲν οὖν οἴνου τῇ ἡλικίᾳ ταύτῃ μάλιστα (ἀσθενὴς γάρ) δεῖ δὲ οὐ πολλοῦ, ὥσπερ οὐδὲ ταῖς νέαις, οὐ διὰ τὴν αὐτὴν αἰτίαν, ἀλλὰ διὰ τὸ σφόδρα τὴν φλόγα τῆς ἐπιθυμίας ἀνάπτεσθαι. καλοδιδασκάλους. καὶ μὴν κωλύεις γυναῖκας διδάσκειν. πῶς οὖν ἐνταῦθα ἐπιτρέπεις, ἐν τοῖς ἑτέρωθι λέγων, Γυναικὶ δὲ διδάσκειν οὐκ ἐπιτρέπω; ἀλλ' ἄκουε τί ἐπήγαγεν, Οὐδὲ αὐθεντεῖν ἀνδρός. ἀνδράσι μὲν γὰρ ἐπιτέτραπται διδάσκειν ἄνωθεν καὶ ἄνδρας καὶ γυναῖκας, γυναιξὶ δὲ

γρ. λυττῶντες

γρ. παράφρονες

γρ. τῆς ἐπιθυμίας

α Τιμ. β. ιβ.

τὸν

Digitized by Google

θαρτα νομίζει. ἄρα οὖν οὐ τὸ παρατηρεῖσθαι, καθαρότητος· ἀλλὰ καθαρότητος τὸ πάντων κατατολμᾶν. ὁ γὰρ φύσει καθαρὸς, πάντων κατατολμᾷ· οἱ δὲ ἐρρυπωμένοι, οὐδενός. τοῦτο καὶ πρὸς Μαρκίωνα ἔστιν εἰπεῖν. ὁρᾷς ὅτι καθαρότητος τεκμήριον τίθεται τὸ πάντως ῥύπου ἀνώτερον εἶναι, τὸ δὲ μηδενὸς ἅπτεσθαι, ἀκαθαρσίας; οὕτω καὶ ἐπὶ Θεοῦ. ὅτι σάρκα ἀνέλαβε, τοῦτο καθαρότητος· εἰ δεδοικὼς δὲ οὐκ ἀνέλαβε, ῥύπου. ὁ τὰ δοκοῦντα εἶναι ἀκάθαρτα μὴ ἐσθίων, οὗτος ἐστὶν ἀκάθαρτος καὶ ἀσθενής· ὁ δὲ ἐσθίων, οὐκέτι. μὴ καθαροὺς τοίνυν καλῶμεν τοὺς τοιούτους· οὗτοι εἰσὶν οἱ ἀκάθαρτοι· ὁ δὲ πάντων κατατολμῶν, καθαρός. ταύτην τὴν εὐλάβειαν ἐπὶ τῶν ῥυπούντων τὴν ψυχὴν ἐπιδείκνυσθαι χρή. ἐκεῖνο γὰρ ἀκαθαρσία, ἐκεῖνο ῥύπος· τοῦτο δὲ οὐδὲν τοιοῦτον. ἐπεὶ καὶ οἱ τὸ στόμα ἔχοντες διεφθαρμένον νομίζουσι τὰ προσφερόμενα ἀκάθαρτα εἶναι, τοῦτο δὲ τοῦ πάθους ἐστί. χρὴ τοίνυν τὴν καθαρὰν σφόδρα εἰδέναι καὶ τὴν ἀκάθαρτον τὴν φύσιν.

ΗΘΙΚΟΝ

[Ἡσ. α. ις. — Ψαλ. ν. ιβ. — Ἡσ. νβ. ια. — Λευΐτ. ι. λθ. — Λευΐτ. ιγ. κ. ιγ.]

Τί οὖν ἐστιν ἀκάθαρτον; ἁμαρτία, κακία, πλεονεξία, πορνεία. [γ. πονηρία] Λούσασθε, φησὶ, καθαροὶ γίνεσθε, ἀφέλετε τὰς πονηρίας ὑμῶν ἀπὸ τῶν ψυχῶν ὑμῶν. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ, ὁ Θεός. Ἐξέλθετε ἐκ μέσου αὐτῶν, καὶ ἀφορίσθητε, φησὶ, καὶ ἀκαθάρτου μὴ ἅπτεσθε. ἐπεὶ καὶ αἱ παρατηρήσεις ἐκεῖναι σύμβολα ἦσαν καθαρσιῶν. Νεκροῦ, φησὶ, μὴ ἅψῃ. τοιοῦτον γὰρ ἡ ἁμαρτία, νεκρὸν καὶ ὀδωδός. Ὁ λεπρὸς, φησὶν, ἀκάθαρτός ἐστι. καὶ γὰρ ἡ ἁμαρτία, ποικίλον καὶ πολυειδές. καὶ ὅτι τοῦτο αἰνίττεται, ἐκ τῶν ἑξῆς δῆλον. ἐὰν γὰρ ᾖ διαπαντὸς ἡ λέπρα καὶ καθ' ὅλου τοῦ σώματος, καθαρός ἐστιν· ἐὰν δὲ ἐν μέρει, οὐκέτι. ὁρᾷς ὅτι τὸ ποικίλον καὶ ἐνηλλαγμένον ἐστὶ τὸ ἀκάθαρτον; πάλιν ὁ γονόρρυὴς ἀκάθαρτον ἐν τῇ ψυχῇ. [γ. ἀκάθαρτος] λόγισαι τὸν γονόρρυῆ τὸν τὰ σπέρματα ἀποβάλλοντα. ὁ μὴ περιτμηθεὶς πάλιν ἀκάθαρτος. ὁρᾷς πῶς οὐκ ἔστι ταῦτα ἀκαθαρσία, ἀλλὰ τύποι; ὁ μὴ περιελὼν, φησὶ, τῆς ψυχῆς τὴν κακίαν. ὁ ἐργαζόμενος ἐν τῷ σαββάτῳ, λιθάζεται· τουτέστιν, ὁ μὴ διαπαντὸς ἀνακείμενος τῷ Θεῷ, οὗτος ἀπόλλυται. εἴδετε πόσοι τύποι ἀκαθαρσιῶν; [Λευΐτ. ιβ. β.] ἡ ἀπὸ λεχοῦς, φησὶν, ἀκάθαρτός ἐστι. διὰ τί, εἰπέ μοι; οὐχὶ ἄρσεν καὶ θῆλυ αὐτοὺς ἐποίησε; τίνος οὖν ἕνεκεν ἀκάθαρτος ἡ γυνή, εἰ μὴ ἕτερόν τι αἰνίττετο; τί δὲ τοῦτό ἐστιν; εὐλαβεῖσθαι ἐνέφαινε τῇ ψυχῇ, [γ. δεῖ] τῆς πορνείας ἀπάγει πόρρω. εἰ γὰρ ἡ τίκτουσα ἀκάθαρτος, πολλῷ μᾶλλον ἡ πορνεύουσα. εἰ τὸ τῇ γυναικὶ τῇ ἑαυτοῦ πλησιάζειν οὐ σφόδρα καθαρὸν, τὸ ἀλλοτρίᾳ μίγνυσθαι πολλῷ μᾶλλον. [Λευΐτ. κα. α.] Ὁ ἀπὸ κήδους, φησὶν, ἀκάθαρτος· πολλῷ μᾶλλον ὁ ἀπὸ φόνου καὶ πολέμου. καὶ πολλοὺς ἂν εὕροι τις τύπους ἀκαθαρσιῶν, εἴγε δέοι πάντας διηγεῖσθαι. [γ. αἰνίξασθαι] ἀλλ' οὐ νῦν ταῦτα ἀπαιτούμεθα, ἀλλὰ μόνον εἰς τὴν ψυχὴν τὸ πᾶν. τὰ γὰρ σωματικὰ ἐξωτέρω ἡμῶν· διὰ τοῦτο ἀπὸ τούτου εἰσήγαγεν, ἀλλ' οὐ νῦν. οὐ γὰρ ἔδει παρακαθέζεσθαι τοῖς τύποις, οὐδὲ προσεδρεύειν ταῖς σκιαῖς, ἀλλὰ τῆς ἀληθείας ἔχεσθαι, καὶ ταύτης ἀντιλαμβάνεσθαι. [Σειρ. κα. β.] ἀκάθαρτον ἡ ἁμαρτία, ταύτην φεύγωμεν, ταύτης ἀπεχώμεθα. Ἐὰν προσέλθῃς, φησὶ, πρὸς αὐτὴν, δήξεταί σε. οὐδὲν πλεονεξίας ἀκαθαρτότερον. πόθεν τοῦτο δῆλον; ἀπ' αὐτῶν τῶν πραγμάτων. τί γὰρ οὐ μιαίνει, χεῖρας, ψυχὴν, αὐτὴν τὴν οἰκίαν, ἔνθα ἀπόκειται τὰ ἁρπαζόμενα; πρὸς Ἰουδαίους μὲν οὖν οὐδὲν τοῦτο εἶναι δοκεῖ. καίτοι ὀστᾶ ἐβάστασεν ὁ Μωϋσῆς τοῦ Ἰωσήφ, καὶ ὁ Σαμψὼν ἀπὸ σιαγόνος ὄνου ἔπιε, καὶ ἀπὸ λέοντος μέλι ἔφαγε, καὶ Ἡλίας ἀπὸ κοράκων ἐτρέφετο, καὶ παρὰ γυναικὸς χήρας. τί δὲ, [γ. δεῖ] εἰπέ μοι, εἰ τούτων ἕνεκεν ἀκριβολογεῖσθαι χρή, τὰ δέρματα τῶν βιβλίων αὐτῶν οὐ πάντων ἂν ἐναγέστερα; καὶ γὰρ ἀπὸ νεκρῶν ζώων ἐστίν. οὐχὶ ὁ πόρνος τοίνυν ἀκάθαρτος μόνον, ἀλλὰ καὶ ἕτεροι τούτου μᾶλλον, καὶ ὁ μοιχὸς ἀκάθαρτος· ἀκάθαρτος δὲ καὶ οὗτος κἀκεῖνος οὐ διὰ τὴν μίξιν (ἐπεὶ κατὰ τοῦτον τὸν λόγον καὶ ὁ γυναικὶ ἰδίᾳ πλησιάζων, ἀκάθαρτος) ἀλλὰ διὰ τὴν ἀδικίαν καὶ τὴν πλεονεξίαν, ὅτι τὸν ἀδελφὸν ἐπλεονέκτησεν ἐν τοῖς ἀναγκαιοτάτοις. ὁρᾷς ὅτι ἡ κακία ἀκάθαρ-

ἐν Κιλικίᾳ τόπον τὸν οὕτω Κρήτην λεγόμενον. πῶς δὲ οὗτοι ὑγιανοῦσι. διὰ τί χρὴ σφοδροτέρας αὐτοῖς τῆς πληγῆς. διὰ τί οὖν ἐπὶ Ῥωμαίων αὐτὸ οὐ ποιεῖ; ὅτι οὐ τοιαῦτα τὰ ἤθη ἐκείνων, ἀλλ' εὐγενέστεροι ἐτύγχανον. μὴ προσέχοντες, φησὶν, Ἰουδαϊκοῖς μύθοις. διπλῇ μῦθος τὰ Ἰουδαϊκά, καὶ ὅτι παρὰ ποίησις, καὶ ὅτι παρὰ καιρὸν τὸ πρᾶγμα. λοιπὸν γὰρ μῦθος ἐστίν. ὅταν γὰρ μὴ δέῃ αὐτὸ γίνεσθαι, καὶ γινόμενον βλάπτῃ, μῦθός ἐστιν [ὥσπερ ἄχρηστόν ἐστι]. ὥσπερ οὖν ἐκείνοις οὐ δεῖ πείθεσθαι, οὕτως οὐδὲ τούτοις. οὐ γάρ ἐστιν ὑγιαίνειν. εἰ γὰρ πιστεύεις τῇ πίστει, τί ἕτερα ἐπεισάγεις, ὡς οὐκ ἀρκούσης τῆς πίστεως δικαιῶσαι; τί καταδουλοῖς ἑαυτὸν καὶ ὑποβάλλεις τῷ νόμῳ; οὐ θαρρεῖς τῷ πράγματι; τοῦτο νοσοῦντός ἐστι καὶ ἀπιστοῦντος. πιστῆς γὰρ διανοίας μὴ ἀμφιβάλλειν· ἀμφιβάλλει δὲ ὁ τοιοῦτος.

15 Πάντα μὲν, φησὶ, καθαρὰ τοῖς καθαροῖς. Ὁρᾷς ὅτι πρὸς τί ἐστι τὸ εἰρημένον; Τοῖς δὲ μεμιαμμένοις, φησὶ, καὶ ἀπίστοις οὐδὲν καθαρόν. Οὐκ ἄρα παρὰ τὴν οἰκείαν φύσιν καθαρὰ ἢ ἀκάθαρτα, ἀλλὰ παρὰ τὴν προαίρεσιν τῶν μεταλαμβανόντων. Ἀλλὰ μεμίανται αὐτῶν, φησὶ, καὶ ὁ νοῦς καὶ ἡ συνείδησις.

16 Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται, βδελυκτοὶ ὄντες καὶ ἀπειθεῖς καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ἀδόκιμοι. Οὐκοῦν καὶ ὁ χοῖρος καθαρόν. τί οὖν ὡς ἀκάθαρτον ἀπηγόρευται; οὐ τῇ φύσει ἀκάθαρτον ἦν. πάντα γὰρ καθαρά· ἐπεὶ οὐδὲν ἰχθύος ἀκαθαρτότερον, ὅπου γε καὶ ἀνθρωπίνων ἀπογεύεται σωμάτων· ἀλλ' ἐπετέτραπτο, καὶ καθαρὸν εἶναι ἐδόκει. πάλιν οὐδὲν ὄρνιθος ἀκαθαρτότερον· σκώληκας γὰρ ἐσθίει· οὐδὲν * ἐλάφου· καὶ γὰρ καὶ παρὰ τοῦτό φασιν αὐτὸν καλεῖσθαι ἔλαφον, διὰ τὸ ὄφεις ἐσθίειν· ἀλλὰ πάντα ταῦτα ἠσθίετο. τίνος οὖν ἕνεκεν τὸν ὗν καὶ ἕτερά τινα τοιαῦτα ἀπηγόρευσεν; οὐχ ὡς ἀκάθαρτα, ἀλλὰ τὸ πλεῖον τῆς τρυφῆς περικόπτων. ἀλλ' εἰ μὲν τοῦτο εἶπεν, οὐκ ἂν ἔπεισε· νῦν δὲ τῷ φόβῳ τῆς ἀκαθαρσίας αὐτοὺς κατέσχε. τί γάρ, εἰπέ μοι, οἴνου ἀκαθαρτότερον, εἰ ταῦτα ἐξετάζειν χρή; τί δὲ ὕδατος, εἰπέ μοι, ᾧ μάλιστα ἐκαθαίροντο; νεκρῶν οὐχ ἥπτοντο, καὶ νεκρῷ καθηγνίζοντο. τὸ γὰρ σφαζόμενον, νεκρὸν, καὶ τούτῳ ἐκαθαίροντο. οὕτω παιδεία ἦν ἡ διδασκαλία. σκόπει δέ· ὁ οἶνος οὐχὶ ἀπὸ κόπρου τὴν σύστασιν ἔχει; ὥσπερ γὰρ ἀπὸ τῆς γῆς ἕλκει ἡ ἄμπελος τὴν νοτίδα, οὕτω καὶ ἀπὸ τῆς κόπρου τῆς παρακειμένης. καὶ ὅλως, εἰ βούλει μὲν ἀκριβολογεῖσθαι, πάντα ἀκάθαρτα. ἀλλ' οὐδὲν, εἰ βούλει μὲν μὴ ἀκριβολογεῖσθαι, ἀκάθαρτον, ἀλλὰ πάντα καθαρά. οὐδὲν ὁ Θεὸς ἀκάθαρτον ἐποίησεν. οὐδὲν γὰρ ἀκάθαρτον, εἰ μὴ ἡ ἁμαρτία μόνη. ψυχῆς γὰρ ἅπτεται, καὶ ταύτην ῥυποῖ. τὸ δὲ ἄλλο πρόληψίς ἐστιν ἀνθρωπίνη. τοῖς δὲ μεμιαμμένοις, φησὶ, καὶ ἀπίστοις οὐδὲν καθαρόν, ἀλλὰ μεμίανται αὐτῶν καὶ ὁ νοῦς καὶ ἡ συνείδησις. πῶς γὰρ ἐν τοῖς καθαροῖς ἀκάθαρτον ἂν εἴη; ὁ ψυχὴν ἔχων ἀσθενῆ, πάντα ῥυποῖ. εἰ δὲ ὁ σαπρὸς τοιοῦτος λογισμὸς τὸ καθαρὸν καὶ τὸ ἀκάθαρτον ζητεῖ, οὐδενὸς ἅψεται. οὐδὲ γὰρ ταῦτα καθαρά, ἰχθῦς λέγω, καὶ τὰ ἄλλα κατὰ τὸν αὐτῶν λογισμόν (μεμίανται αὐτῶν, φησὶ, καὶ ὁ νοῦς καὶ ἡ συνείδησις) ἀλλὰ πάντα μιαρά. ἀλλ' οὐκ εἶπεν οὕτως, ἀλλὰ τί; περιέτρεψεν εἰς αὐτοὺς τὸ πᾶν. οὐδὲν γὰρ ἀκάθαρτον, φησὶν, ἀλλ' αὐτοὶ, καὶ ὁ νοῦς καὶ ἡ συνείδησις αὐτῶν. τούτων οὐδέν ἐστιν ἀκαθαρτότερον. Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται, βδελυκτοὶ ὄντες καὶ ἀπειθεῖς, καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ἀδόκιμοι.

1 Σὺ δὲ λάλει ἃ πρέπει τῇ ὑγιαινούσῃ διδασκαλίᾳ. Τοῦτό ἐστιν ἀκαθαρσία. αὐτοί εἰσιν ἀκάθαρτοι· ἀλλὰ μὴ τούτων ἕνεκεν σιγήσῃς. κἂν μὴ δέχωνται, φησί, σὺ τὰ σαυτοῦ πρᾶττε· κἂν μὴ πείθωνται, σὺ παραίνει καὶ συμβούλευε. ἐνταῦθα πλέον αὐτοὺς διαβάλλει. καὶ γὰρ οἱ μαγγανευόμενοι οὐδὲν νομίζουσιν ἐστηκέναι· ἀλλ' οὐ παρὰ τὰ ὁρώμενα τοῦτο γίνεται, ἀλλὰ παρὰ τοὺς ὁρῶντας ὀφθαλμούς. ὅταν ἄστατοι εἶσι καὶ ἰλιγγιῶντες, νομίζουσι περιστρέφεσθαι αὐτοῖς τὴν γῆν, ἀλλ' οὐ περιστρέφεται, ἀλλ' ἕστηκε παγία. τοῦ γὰρ πάθους αὐτῶν ἡ ἀπόνοια, οὐ τοῦ στοιχείου τὸ πάθος. οὕτω καὶ ἐνταῦθα· ὅταν ψυχὴ ἀκάθαρτος ᾖ, πάντα ἀκάθαρτα

Margin notes:

γ. πῶς

* χοίρου

γ. εἰ γὰρ τὸ καθαρὸν καὶ τὸ ἀκάθαρτον ζητεῖς, οὐδενὸς ἅψῃ.

κεφ. β.

γ. ἀπόνοια,

πέγραπται, τοῦτον ἐγὼ καταγγέλλω ὑμῖν. τὸ δὲ --- Τοῦ γὰρ καὶ γένος ἐσμέν, περὶ τοῦ Διὸς εἴρηται τῷ Ἀράτῳ· ὃς ἐπεὶ ἀρχόμενος εἶπε, Μεσταὶ δὲ Διὸς μὲν ἀγυιαί, μεσταὶ δὲ θάλασσαι, τότε ἐπήγαγε τό --- Τοῦ γὰρ καὶ γένος ἐσμέν, δεικνὺς οἶμαι κἀχ[illegible]ος ὅτι γεγενήμεθα ἐκ Θεοῦ. πῶς οὖν ὁ Παῦλος τὰ περὶ τοῦ Διὸς εἰρημένα εἰς τὸν Θεὸν τῶν ὅλων εἵλκυσεν; οὐ τὰ περὶ τοῦ Διὸς εἰρημένα εἵλκυσεν εἰς τὸν Θεόν, ἀλλὰ τὰ προσήκοντα τῷ Θεῷ, καὶ οὐ γνησίως, οὐδὲ κυρίως ἐπιτεθέντα τῷ Διΐ, ταῦτα ἀποδίδωσι τῷ Θεῷ· ἐπεὶ καὶ τὸ, Θεός, ὄνομα αὐτοῦ μόνου ἐστί, καὶ παρανόμως ἐπέκειτο τοῖς εἰδώλοις. ἀλλὰ πόθεν ἐχρῆν αὐτοῖς διαλεχθῆναι; ἀπὸ τῶν προφητῶν; ἀλλ' οὐκ ἂν ἐπίστευσαν· ἐπεὶ καὶ Ἰουδαίοις οὐδὲν ἀπὸ τῶν εὐαγγελίων φθέγγεται, ἀλλ' ἀπὸ τῶν προφητῶν. διὰ τοῦτό φησιν, Ἐγενόμην τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, τοῖς ἀνόμοις ὡς ἄνομος, τοῖς ὑπὸ νόμον ὡς ὑπὸ νόμον. τοῦτο καὶ ὁ Θεὸς ποιεῖ, οἷον ἐπὶ τῶν μάγων, οὐ δι' ἀγγέλου αὐτοὺς ἄγει, οὐ διὰ προφήτου, οὐ δι' ἀποστόλου, οὐ δι' εὐαγγελιστοῦ, ἀλλὰ πόθεν; διὰ ἄστρου. ἐπειδὴ γὰρ περὶ ταῦτα τὴν τέχνην εἶχον, ἐκεῖθεν αὐτοὺς εἵλκυσε. πάλιν ἐπὶ τῶν βοῶν ἐπὶ τῆς κιβωτοῦ, Ἐὰν πορευθῶσι, φησι, τὴν δὲ τὴν ὁδόν, ἀληθής ἐστιν ἡ τοῦ Θεοῦ ἀγανάκτησις, καθάπερ οἱ μάντεις ὑπετίθεντο. οὐκοῦν ἀληθεύουσιν οἱ μάντεις; ἄπαγε· ἀλλ' ἀπὸ τῶν οἰκείων στομάτων αὐτοὺς ἐλέγχει καὶ καταπλήττει. πάλιν ἐπὶ τῆς ἐγγαστριμύθου. καὶ γὰρ ἐπειδὴ ταύτῃ ἐπίστευε, διὰ ταύτης ἐποίησεν ἀκοῦσαι τὸν Σαοὺλ τὰ μέλλοντα αὐτὸν καταλαμβάνειν. τίνος οὖν ἕνεκεν ἐπεστόμισε τὸν δαίμονα ὁ Παῦλος τὸν λέγοντα, Οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου εἰσίν, οἵτινες καταγγέλλουσιν ἡμῖν ὁδὸν σωτηρίας; τίνος δὲ ἕνεκεν καὶ ὁ Χριστὸς κωλύει τοὺς δαίμονας φθέγγεσθαι; ἐκεῖ μὲν εἰκότως. καὶ γὰρ τὰ σημεῖα προεχώρει. ἐπεὶ καὶ ἐνταῦθα οὐκ ἀστὴρ ἦν, ἀλλ' αὐτὸς ἑαυτὸν ἐκήρυττε, καὶ οἱ δαίμονες δὲ οὐ προσεκυνοῦντο. οὐκ ἦν γὰρ εἴδωλον τὸ φθεγγόμενον, ἵνα κωλυθῇ. καὶ τὸν Βαλαὰμ δὲ εἴασεν εὐλογῆσαι, καὶ οὐκ ἐκώλυσεν. οὕτω πανταχοῦ συγκαταβαίνει. καὶ τί τοῦτο θαυμάζεις; αὐτὸς περὶ ἑαυτοῦ ἀφίησι δόξας πονηρὰς καὶ ἀναξίους ἑαυτοῦ σκευάζεσθαι, οἷον ὅτι σῶμα ἦν πρότερον, ὅτι ὁρατός. πρὸς τοῦτο γοῦν λέγει, Πνεῦμα ὁ Θεός. πάλιν ὅτι χαίρει ταῖς θυσίαις (ὅπερ ἦν ἀλλότριον αὐτοῦ) καὶ ῥήματα φθέγγεται ἀπᾴδοντα αὐτοῦ τῆς ὁμολογίας, καὶ ὅσα τοιαῦτα. οὐδαμοῦ γὰρ αὐτὴν ἀξίαν ὁρᾷ τὴν αὐτοῦ, ἀλλὰ πανταχοῦ τὸ ἡμῖν χρήσιμον. εἰ γὰρ πατὴρ οὐχ ὁρᾷ τὴν ἀξίαν τὴν ἑαυτοῦ, ἀλλὰ συμψελλίζει τοῖς παιδίοις, καὶ τὴν τροφὴν καὶ ἐδέσματα καὶ πόματα οὐχ ἑλληνικοῖς ὀνόμασι καλεῖ, ἀλλὰ παιδικῇ τινι διαλέξει καὶ βαρβάρῳ, πολλῷ μᾶλλον ὁ Θεός· καὶ ὀνειδίζει συγκαταβατικῶς διὰ τοῦ προφήτου λέγων, Εἰ ἀλλάξονται ἔθνη θεοὺς αὐτῶν. καὶ πανταχοῦ συγκατάβασίς ἐστι τὰ ἐν ταῖς γραφαῖς καὶ ῥήματα καὶ πράγματα. δι' ἣν αἰτίαν, φησίν, ἔλεγχε αὐτοὺς ἀποτόμως, ἵνα ὑγιαίνωσι τῇ πίστει. διὰ τοῦτό φησιν, ἐπειδὴ ἦθος αὐτοῖς ἐστιν ἰταμὸν καὶ δολερὸν καὶ ἀκόλαστον. τὰ δὲ μυρία κακὰ αὐτοὶ ἔχουσιν. ὅταν καὶ ψεύδωνται προχείρως, καὶ δολεροὶ ὦσι, καὶ γαστρίμαργοι, καὶ ἀργοί, σφοδροῦ καὶ πληκτικοῦ τοῦ λόγου δεῖ. προσηνείᾳ γὰρ οὐκ ἂν ἀχθείη ὁ τοιοῦτος· ἔλεγχε οὖν αὐτούς. ἐνταῦθα οὐ τοὺς ἀλλοτρίους φησίν, ἀλλὰ τοὺς οἰκείους. ἀποτόμως. βαθυτέραν, φησί, δίδου τὴν πληγήν. οὐ γὰρ πᾶσιν ἑνὶ τρόπῳ προσενεκτέον, ἀλλὰ διαφόρως καὶ ποικίλως, καὶ πρὸς τὰ ὑποκείμενα. οὐδαμοῦ παρακαλεῖ ἐνταῦθα. ὥσπερ γὰρ ὁ τὸν ἐπιεικῆ καὶ εὐγενῆ πλήττων ἀναιρεῖ καὶ ἀπόλλυσιν, οὕτως ὁ τὸν δεόμενον σφοδρότητος κολακεύων διαφθείρει, καὶ οὐκ ἀφίησι διαναστῆναι. ἵνα ὑγιαίνωσι, φησίν, ἐν τῇ πίστει. ἄρα τοῦτο ὑγεία, τὸ μηδὲν νόθον, μηδὲ ἀλλότριον ἐπεισάγειν. εἰ δὲ οἱ βρώματα παρατηροῦντες οὐχ ὑγιαίνουσιν, ἀλλὰ νοσοῦσι καὶ ἀσθενοῦσι (Τὸν γὰρ ἀσθενοῦντα, φησί, τῇ πίστει προσλαμβάνεσθε μὴ εἰς διακρίσεις διαλογισμῶν) τί ἂν εἴποι τις περὶ τῶν τὰ αὐτὰ νηστευόντων αὐτοῖς; περὶ τῶν σαββατιζόντων; περὶ τῶν εἰς τόπους ἀπερχομένων ἐκείνοις ἀφιερωμένους; τὸν ἐν Δάφνῃ λέγω, τὸ τῆς Ματρώνης λεγόμενον σπήλαιον, τὸν

ἐν

Marginalia (left): α. Κορ. θ. κα. — Ματθ. β. — α. Βασ. ϛ. θ. — α. Βασ. κη. η. — Πραξ. ιϛ. ιζ. — Μαρκ. α. κδ. — Λουκ. δ. λδ. — Αριθ. κγ. — Ιωαν. δ. κδ. — Ιερ. β. ια. — Ρωμ. ιδ. α.

Marginalia (right): γ. μόνου — γ. Χριστιανοῖς — γ. ὅπερ — γ. ἐπιτηροῦντες — γ. ἐπωμε[illegible]

ἀναστέλλωμεν αὐτῆς τὰς πηγάς. αὗται δέ εἰσιν ἄνοια καὶ τὸ ταπεινὴν κεκτῆσθαι ψυχήν· ὡς ἐὰν ὑψηλὸν λάβωμεν φρόνημα, δυνησόμεθα καὶ τῆς παρὰ τῶν πολλῶν τιμῆς ὑπεριδεῖν, καὶ πρὸς τὸν οὐρανὸν τείνειν τὴν διάνοιαν, καὶ τῶν ἐκεῖ ἐπιτυχεῖν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. γ. 12 ΕΙΠΕ ΤΙΣ ΕΞ ΑΥΤΩΝ ΙΔΙΟΣ ΑΥΤΩΝ προφήτης· Κρῆτες ἀεὶ ψεῦσται, κακὰ θηρία, γαστέρες ἀργαί.

13 Η μαρτυρία αὕτη ἐστὶν ἀληθής· δι᾽ ἣν αἰτίαν ἔλεγχε αὐτοὺς ἀποτόμως, ἵνα ὑγιαίνωσιν ἐν τῇ πίστει, 14 Μὴ προσέχοντες Ἰουδαϊκοῖς μύθοις, καὶ ἐντολαῖς ἀνθρώπων ἀποστρεφομένων τὴν ἀλήθειαν.

Πολλὰ ἐνταῦθά ἐστι τὰ ζητούμενα, πρῶτον μὲν, τίς ὁ εἰρηκώς· δεύτερον δὲ, τί δήποτε ὁ Παῦλος αὐτοῖς ἐχρήσατο· τρίτον, ὅτι οὐδὲ ὀρθῶς ἐχούσας μαρτυρίας παρήγαγε. Φέρε οὖν καὶ ἕτερα προσθέντες οὕτω κυρείαν τὴν λύσιν ἐπαγάγωμεν. (χ. κυρίαν) καὶ γὰρ ὅτε τοῖς Ἀθηναίοις διελέγετο, μεταξὺ τῆς δημηγορίας φησὶν, Ἀγνώστῳ Θεῷ· (Πραξ. ιζ. κγ.) καὶ πάλιν, --- Τοῦ γὰρ καὶ γένος ἐσμὲν, ὡς καί τινες τῶν καθ᾽ ὑμᾶς ποιητῶν εἰρήκασιν. (κη.) Ἐπιμενίδης οὖν ἐστιν ὁ εἰρηκὼς, Κρὴς καὶ αὐτὸς ὤν· ἀλλὰ πόθεν κινούμενος, ἀναγκαῖον εἰπεῖν τὴν ὑπόθεσιν πρὸς ὑμᾶς. ἔχει δὲ οὕτως. Οἱ Κρῆτες τάφον ἔχουσι τοῦ Διὸς (ἴσ. ἐπεγράφοντο) ἐπιγράφοντες τοῦτο· Ἐνταῦθα Ζὰν κεῖται, ὃν Δία κικλήσκουσι. διὰ ταύτην οὖν τὴν ἐπιγραφὴν ὁ ποιητὴς ψεύστας τοὺς Κρῆτας κωμῳδῶν, προσιὼν πάλιν ἐπάγει, αὔξων μᾶλλον τὴν κωμῳδίαν· --- Καὶ γὰρ τάφον, ὦ ἄνα, σεῖο

Κρῆτες ἐτικτήναντο· σὺ δ᾽ οὐ θάνες, ἐσσὶ γὰρ αἰεί.

Εἰ τοίνυν αὕτη ἡ μαρτυρία ἀληθὴς, ὅρα τὸν κίνδυνον ὅσος. εἰ γὰρ ἀληθὴς ὁ ποιητὴς εἰπὼν ὅτι ἐψεύσαντο, τεθνηκέναι τὸν Δία εἰπόντες, ὡς φησιν ὁ ἀπόστολος, μέγας ὁ κίνδυνος. προσέχετε, ἀγαπητοὶ, μετὰ πολλῆς τῆς ἀκριβείας. (χ. προφήτης) εἶπεν ὁ ποιητὴς, ὅτι ψεύδονται οἱ Κρῆτες οἱ τὸν Δία εἰπόντες τετελευτηκέναι· ἐβεβαίωσε τὴν μαρτυρίαν αὐτὸς ὁ ἀπόστολος. οὐκοῦν κατὰ τὸν ἀπόστολον ἀθάνατος ὁ Ζεύς. αὕτη γὰρ, φησὶν, ἡ μαρτυρία ἀληθής ἐστι. τί οὖν ἐροῦμεν; μᾶλλον δὲ πῶς ἐστι τοῦτο ἐπιλύσασθαι; οὐ τοῦτο εἶπεν ὁ ἀπόστολος, ἀλλ᾽ ἁπλῶς οὕτως ἔλαβε τὴν μαρτυρίαν καὶ ἀφελῶς πρὸς τὸ ἦθος αὐτῶν τὸ ἐψευσμένον. διὰ τί γὰρ μὴ ἐπήγαγε τὸ, Καὶ γὰρ τάφον, ὦ ἄνα, σεῖο Κρῆτες ἐτικτήναντο; ὥστε οὐ τοῦτο εἶπεν ὁ ἀπόστολος, ἀλλ᾽ ὅτι καλῶς ἐκεῖνα εἶπεν, ὅτι ψεῦσταί εἰσιν οἱ Κρῆτες. οὐκ ἐντεῦθεν δὲ μόνον ἰσχυριζόμεθα, ὅτι οὐκ ἔστι Θεὸς ὁ Ζεύς. ἔνεστι γὰρ καὶ ἑτέρωθεν πολλαχόθεν κατασκευάζοντας, καὶ οὐχὶ ἀπὸ τῆς τῶν Κρητῶν μαρτυρίας, τοῦτο σαφῶς ἀποδεῖξαι· ἄλλως δὲ οὐκ ἐν τούτῳ εἶπεν αὐτοὺς ψεύδεσθαι. μᾶλλον δὲ εἰκὸς καὶ τοῦτο ψεύδεσθαι αὐτούς. καὶ γὰρ καὶ ἄλλους ἐνόμιζον θεούς. διὰ τοῦτο ὁ ἀπόστολος ψεύστας αὐτοὺς εἶπεν. ἀλλὰ τὸ ζητούμενον, τί δήποτε ἀπὸ τῶν ἑλληνικῶν ἄγει τὰς μαρτυρίας; ὅτι μάλιστα τούτοις ἐντρέπομεν αὐτοὺς, ὅταν οἴκοθεν ἐνέγκωμεν τὰς μαρτυρίας, καὶ τὰς κατηγορίας, ὅταν τοὺς παρ᾽ αὐτοῖς θαυμαστοὺς, τούτους ἐπιστήσωμεν αὐτοῖς αἰτιωμένους. διὰ τοῦτο καὶ ἑτέρωθι κέχρηται λέγων, Ἀγνώστῳ Θεῷ. (Πραξ. ιζ. κγ.) οἱ γὰρ Ἀθηναῖοι ἐπειδὴ οὐκ ἐξ ἀρχῆς τοὺς θεοὺς πάντας παρέλαβον, ἀλλὰ κατὰ χρόνους, καὶ ἄλλους τινὰς, ὡς τὰ ἐκ τῶν Ὑπερβορέων, ὡς τὰ τοῦ Πανὸς, ὡς τὰ μικρὰ, ὡς τὰ μεγάλα μυστήρια ἐπήγαγον ὕστερον· οὗτοι στοχαζόμενοι ἀπὸ τούτων, ὅτι εἰκὸς καὶ ἄλλον εἶναι Θεὸν, ὑπὸ αὐτῶν δὲ ἠγνοῆσθαι, ἵνα καὶ περὶ ἐκεῖνον ὦσιν εὐκαθοσίωτοι, τοῦτον βωμὸν ἔστησαν ἐπιγράψαντες, ἀγνώστῳ Θεῷ, μονονουχὶ τοῦτο δηλοῦντες, καὶ εἴ τις ἄγνωστος εἴη Θεός. Εἶπεν οὖν, ὅτι Οἱ προλαβόντες ὑμᾶς ἐ-

πήγνωτε

ται, καταπίνονται, οὐδ᾽, ἐὰν θέλῃ, μέγα φρονήσει ποτέ, ἀεὶ ἑαυτῷ μᾶλλον προσέχει. ὁ χ. ἀλλὰ
μέντοι πολλῆς ἀπολαύων τιμῆς, πρὸς τῷ καὶ ὀφλημάτων εἶναι μεγάλων ὑπεύθυνος, καὶ εἰς
ἀπόνοιαν αἴρεται καὶ εἰς κενοδοξίαν, καὶ γίνεται δοῦλος ἀνθρώπων. εἶτα τῆς δεσποτείας ταύ-
της αὐξανομένης, πολλὰ ἀναγκάζεται ποιεῖν, ὧν οὐ βούλεται. ὡς οὖν εἰδότες ὅτι τοῦτο βέλτιον
ἡμῖν, ἢ ἐκεῖνο, μήτε ζητῶμεν τιμάς, καὶ τὰς παρεχομένας διακρουώμεθα, ἀπορρίπτωμεν χ. χρώμεθα
ἀφ᾽ ἑαυτῶν, σβεννύωμεν τὴν ἐπιθυμίαν ταύτην. ταῦτα καὶ πρὸς ἄρχοντας, καὶ πρὸς ἀρ-
χομένους ἡμῖν εἴρηται. ψυχὴ γὰρ τιμῆς ἐπιθυμοῦσα καὶ τοῦ δοξάζεσθαι, οὐκ ὄψεται τὴν βα-
σιλείαν τῶν οὐρανῶν. οὐκ ἐμός ἐστιν ὁ λόγος, οὐδὲ ἐμαυτοῦ λέγω ῥήματα, ἀλλὰ τοῦ θείου
Ματθ. ς. α. πνεύματος. οὐκ ὄψεται, κἂν ἀρετὴν ἐργάζηται. Ἀπέχουσι γάρ, φησι, τὸν μισθὸν αὐτῶν.
ὁ τοίνυν μισθὸν μὴ λαμβάνων, πῶς ὄψεται τὴν βασιλείαν τῶν οὐρανῶν; οὐ κωλύω δόξης
Ῥωμ. β. κθ. ἐφίεσθαι, ἀλλὰ δόξης βούλομαι τῆς ἀληθοῦς τῆς παρὰ τοῦ Θεοῦ. Οὗ ὁ ἔπαινος, φησιν, οὐκ
ἐξ ἀνθρώπων, ἀλλ᾽ ἐκ τοῦ Θεοῦ. ἐν τῷ κρυπτῷ ὦμεν εὐλαβεῖς, μὴ περικείμενοι τῦφον
πολύν, καὶ σκηνήν, καὶ ὑπόκρισιν. ῥίψωμεν τὴν τοῦ προβάτου δοράν, μᾶλλον δὲ γενώμεθα
πρόβατα. οὐδὲν τῆς τῶν ἀνθρώπων δόξης οὐδαμινέστερον. εἰπὲ γάρ μοι· ἐὰν ἴδῃς παίδων
πλῆθος μικρῶν, ὑπομαζίων λέγω, ἆρα ἐπιθυμεῖς τῆς δόξης τῆς παρ᾽ ἐκείνων; * οὕτω πρὸς * ὁ ἐπὶ
τοὺς ἀνθρώπους διάκεισο πάντας δόξης ἕνεκεν. διὰ τοῦτο κενοδοξία λέγεται. οὐχ ὁρᾷς τὰ προ-
σωπεῖα, ἃ περιτίθενται οἱ ἐπὶ τῆς σκηνῆς; πῶς μὲν καλά; πῶς δὲ λαμπρά; πῶς δὲ εἰς
τὴν ἐσχάτην ἀκρίβειαν τῆς εὐμορφίας διαπεπλασμένα; ἔχεις μοι δεῖξαι ὄψιν τοιαύτην
ἐπὶ τῆς ἀληθείας; οὐδαμῶς. τί οὖν; ἆρα ἠράσθης αὐτῶν ποτε; οὔ. διὰ τί; ὅτι διάκενά
ἐστι, καὶ μιμεῖται κάλλος, οὐκ ἔστι δὲ κάλλος. οὕτω καὶ ἡ δόξα διάκενός ἐστι καὶ μιμεῖται δόξαν, οὐκ
ἔστι δὲ δόξα. ἐκείνη μόνη μένει ἡ φυσικὴ ἡ ἔνδον, αὕτη δὲ ἡ ἔξω ἐπικειμένη ἐπικρύπτει πολ- χ. ἐπιπόθημ.
λάκις τὴν ἀμορφίαν, ἐπικρύπτει παρὰ ἀνθρώποις, καὶ μέχρι τῆς ἑσπέρας. τοῦ δὲ θεά-
τρου λυθέντος καὶ τῶν προσωπείων ἀφαιρεθέντων, ἕκαστος, ὅπερ ἐστί, τοῦτο φαίνεται. μὴ τοί-
νυν ὡς ἐν σκηνῇ καὶ ὑποκρίσει, τὴν ἀλήθειαν μετέλθωμεν. εἰπὲ γάρ μοι, τί καλὸν ἔχει
τὸ περιβλέπεσθαι παρὰ τῶν πολλῶν; κενοδοξία ἐστί, καὶ οὐδὲν ἕτερον. ἐπεὶ ἄνελθε εἰς τὴν
οἰκίαν καὶ γενοῦ μόνος, καὶ εὐθέως διερρύη τὸ πᾶν. ἐνέβαλες εἰς τὴν ἀγοράν; ἐπέστρεψας τοὺς
παρόντας; καὶ τί τὸ πλέον; οὐδέν. ἐσβέσθη, καὶ ἀπῆλθεν ὡς καπνὸς διαλυθείς. τῶν οὖν χ. διαχυθεὶς
ἀνυποστάτων οὕτως ἐρῶμεν; καὶ πόσης ταῦτα ἀλογίας, εἰπέ μοι; πόσης ἀνοίας; πρὸς ὃν χ. ἐς αὐ ἐπ.
τοίνυν ὁρῶμεν μόνον, πῶς ὁ Θεὸς ἐπαινέσει. ἂν τοῦτο σκοπῶμεν, οὐδέποτε ζητήσομεν τὰ
παρὰ τῶν ἀνθρώπων, ἀλλὰ κἂν γένηται, καταφρονήσομεν, καταγελασόμεθα, διαπτύσομεν,
ὡς ἂν εἰ χρυσίου μὲν ἐφιέμενοι, πηλὸν δὲ λαμβάνοντες οὕτω διακεισόμεθα. μὴ ἐπαινείτω
σε ὁ δεῖνα· οὐδὲν γὰρ ὠφέλησε. κἂν ψέξῃ, οὐδὲν ἔβλαψεν. ἐπὶ δὲ τοῦ Θεοῦ ταῦτα ἀμφό-
τερα ἔχει καὶ κέρδος καὶ ζημίαν· τὰ δὲ παρὰ τῶν ἀνθρώπων πάντα μάταια. καὶ κατὰ τοῦτο χ. καὶ
ἐξισούμεθα τῷ Θεῷ, ὅτι οὐ δεῖται τῆς παρὰ ἀνθρώπων δόξης ἐκεῖνος. Δόξαν γάρ, φησι, παρὰ
Ἰωάν. ε. μα. ἀνθρώπων οὐ λαμβάνω. μικρὸν μὲν οὖν τοῦτο, εἰπέ μοι; ὅταν μὴ θέλῃς καταφρονεῖν χ. ἐν οἷς
δόξης, εἰπὲ ὅτι τῷ Θεῷ ἴσος γίνομαι καταφρονήσας, καὶ εὐθέως καταφρονήσεις. οὐ γὰρ
ἔστιν ἀνθρώπων δόξης δοῦλον, μὴ πάντων εἶναι δοῦλον, καὶ αὐτῶν τῶν ἀνδραπόδων δουλικώτε-
ρον. οὐ γὰρ ἐπιτάττομεν τοιαῦτα τοῖς δούλοις τοῖς ἡμετέροις, οἷα ἐκείνη τοῖς ὑπ᾽ αὐτῆς
ἁλοῦσι. αἰσχρὰ καὶ αἰσχύνης γέμοντα πράγματα καὶ φθέγγεσθαι ποιεῖ καὶ πάσχειν· καὶ μάλι-
στα ὅταν ἴδῃ ὑπακούοντας, ἐπιτείνει μᾶλλον τὰ ἐπιτάγματα. φύγωμεν οὖν, φύγωμεν,
παρακαλῶ, τὴν δουλείαν ταύτην. πῶς δέ, φησι, δυνησόμεθα; ἂν φιλοσοφήσωμεν περὶ
τῶν ἐνταῦθα, ἂν ἴδωμεν ὅτι τὰ παρόντα πράγματα ὄναρ ἐστὶ καὶ σκιά, καὶ οὐδὲν ἕτερον, εὐ-
κόλως αὐτῆς περιεσόμεθα, καὶ οὔτε ἐν τοῖς μικροῖς, οὔτε ἐν τοῖς μεγάλοις ἁλωσόμεθα. ἂν δὲ
μὴ ἐν τοῖς μικροῖς καταφρονῶμεν, καὶ ἐν τοῖς μεγίστοις ῥᾳδίως περιπεσούμεθα. πόρρωθεν οὖν

ἀναστέλλωμεν

Digitized by Google

εἰ γὰρ παρ' ἡμῖν τις λέγων, μὴ ζήτει γενέσθαι κριτής, εἰ μὴ ἰσχύεις ἐξᾶραι ἀδικίαν, πολλῷ μᾶλλον ἐν τούτοις ἂν εἴποι τις, μὴ ζήτει γενέσθαι διδάσκαλος, εἰ τῆς τοῦ πράγματος ἀξίας ἀπέχεις, ἀλλὰ καὶ ἑλκόμενος ἀποπήδα. ὁρᾷς πανταχοῦ τὴν φιλαργυρίαν, τὴν αἰσχροκέρδειαν αἰτίαν τούτων οὖσαν; διδάσκοντες, φησὶν, ἃ μὴ δεῖ αἰσχροῦ κέρδους χάριν.

ΗΘΙΚΟΝ

Οὐδὲν γάρ ἐστιν, ὃ μὴ λυμαίνεται ταῦτα τὰ πάθη. ἀλλ' ὥσπερ πνεύματά τινα ἄγρια εἰς γαληνὸν ἐμπεσόντα πέλαγος, ὅλον αὐτὸ κάτωθεν ἀναμοχλεύει, ὡς καὶ τὴν ἄμμον τοῖς κύμασιν ἀναμίγνυσθαι, οὕτω ταῦτα τὰ πάθη εἰς ψυχὴν εἰσιόντα, πάντα ἄνω καὶ κάτω ποιεῖ. πηροῖ δὲ τὸ διορατικὸν τῆς διανοίας, μάλιστα δὲ ἡ τῆς δόξης μανία. χρημάτων μὲν γὰρ εὔκολον καταφρονῆσαι τῷ βουλομένῳ· τῆς δὲ παρὰ τῶν πολλῶν τιμῆς ὑπεριδεῖν, πολλοῦ δεῖ πόνου, μεγάλης φιλοσοφίας, ψυχῆς τινος ἀγγελικῆς αὐτῆς ἁπτομένης τῆς κορυφῆς τοῦ οὐρανοῦ. οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδὲν οὕτω πάθος τυραννικὸν καὶ πανταχοῦ κρατοῦν, * ἐν πλείονος μὲν καὶ ἐλάττονος μέρεσι, πανταχοῦ δὲ ὅμως. πῶς ἂν οὖν αὐτοῦ περιγενοίμεθα, εἰ καὶ μὴ κατὰ κράτος, ἀλλὰ κἂν ἐξ ἐλαχίστου μέρους; ἂν εἰς τὸν οὐρανὸν ἀναβλέπωμεν, ἂν τὸν Θεὸν ἔχωμεν πρὸ ὀφθαλμῶν, ἂν μείζω τῶν γηΐνων λαμβάνωμεν λογισμόν. ἐννόησον ὅταν ἐπιθυμῇς δόξης, ὅτι αὐτῆς ἐπέτυχες, καὶ μάθε τὸ τέλος, καὶ οὐδὲν εὑρήσεις. ἐννόησον ὅσην ἔχει τὴν ζημίαν τὸ πρᾶγμα, ὅσων καὶ ἡλίκων ἀποστερεῖ ἀγαθῶν. τοὺς μὲν γὰρ πόνους ὑποστήσῃ καὶ τοὺς κινδύνους, τῶν δὲ καρπῶν ἀποστερηθήσῃ καὶ τῶν ἐπάθλων. ἐννόει ὅτι οἱ πλεῖστοι κακοὶ, καὶ καταφρόνησον αὐτῶν τῆς δόξης, καθ' ἕνα ἕκαστον ἀναλόγισαι τίς ἐστι· καὶ ὄψει τὸ πρᾶγμα γέλωτος γέμον· ἴδε ὅτι αἰσχύνη μᾶλλον ἢ δόξα τὸ πρᾶγμά ἐστι. καὶ μετὰ ταῦτα ἀνάγαγε τὸν λογισμὸν ἐπὶ τὸ ἄνω θέατρον, ὅταν ἀγαθόν τι πράττων ἐννοῇς ὅτι δεῖ καὶ ἀνθρώποις δεῖξαι, καὶ τινὰς ἐπιζητῇς θεατὰς τοῦ πράγματος, καὶ ὠδίνῃς ὥστε ὀφθῆναι. ἐννόησον ὅτι ὁ Θεὸς ὁρᾷ, καὶ πᾶσαν ἐκείνην σβεννύεις τὴν ἐπιθυμίαν. ἀναχώρησον ἐκ τῆς γῆς, πρὸς ἐκεῖνο ἰδὲ τὸ θέατρον τὸ ἐν τοῖς οὐρανοῖς. ἄνθρωποι κἂν ἐπαινέσωσιν, ἀλλ' ὕστερον ἐμέμψαντο, ἀλλὰ φθονοῦσιν, ἀλλ' ἐπιλαμβάνονται· κἂν μὴ τοῦτο ποιῶσιν, οὐδὲν ὅλως ὠφελήσουσι τὸν ἐπαινούμενον. ἐπὶ δὲ τοῦ Θεοῦ οὐχ οὕτως, ἀλλὰ χαίρει ἐπαινῶν ἡμῶν τὰ κατορθώματα. εἶπες ὀρθῶς, καὶ κρότων ἐπέτυχες; καὶ τί τὸ κέρδος; εἰ μὲν γὰρ ὠφελήθησαν οἱ κροτήσαντες καὶ μετεβάλοντο καὶ βελτίους ἐγένοντο καὶ τῶν προτέρων κακῶν ἀπέστησαν, δεῖ χαίρειν οὕτως, οὐκ ἐπὶ τοῖς ἐπαίνοις τοῖς γινομένοις, ἀλλ' ἐπὶ τῇ μεταβολῇ τῇ καλῇ καὶ θαυμαστῇ. εἰ δὲ διὰ παντὸς μὲν ἐπαινοῦντες καὶ θορυβοῦντες καὶ κροτοῦντες διατελοῦσι, καρποῦνται δὲ οὐδὲν ἀπὸ τῶν κρότων, ἀλγεῖν μᾶλλον χρὴ, ὅτι αὐτοῖς εἰς κρίμα * ταῦτα γίνεται. ἀλλ' ἐπὶ εὐλαβείᾳ δόξαν ἔχεις; ἂν μὲν οὕτως ᾖς εὐλαβὴς, καὶ μηδὲν ἑαυτῷ συνειδὼς πονηρὸν, χαίρειν δεῖ, οὐκ ἐπειδὴ δοκεῖς, ἀλλ' ἐπειδὴ εἶ· ἂν μέντοι μὴ ὢν, τῆς τῶν πολλῶν δόξης ἐπιθυμῇς, ἐννόει ὅτι οὐχ οὗτοι κρινοῦσιν ἡμῖν κατ' ἐκείνην τὴν ἡμέραν, ἀλλ' ὁ τὰ λανθάνοντα μετὰ ἀκριβείας ἐπιστάμενος. εἰ δὲ συνειδὼς ἑαυτῷ ἁμαρτήματα, καθαρὸς εἶναι παρὰ πᾶσιν ὑποπτεύῃ, οὐ μόνον οὐ χαίρειν δεῖ, ἀλλὰ καὶ ἀλγεῖν καὶ στένειν πικρὸν, τὴν ἡμέραν ἐννοοῦντα συνεχῶς, καθ' ἣν πάντα ἀποκαλύπτεται, καθ' ἣν τὰ κρυπτὰ τοῦ σκότους φωτίζεται. τιμῆς ἀπολαύεις; διάκρουσαι ταύτην, εἰδὼς ὅτι σε ὀφειλέτην καθίστησιν. οὐδείς σοι παρέχει τιμήν; καὶ χαίρειν δεῖ ἐπὶ τούτῳ. οὐ γάρ σοι μετὰ τῶν ἄλλων καὶ τοῦτο ὁ Θεὸς προσλογιεῖται, ὅτι τιμῆς ἀπήλαυσας. ἢ οὐχ ὁρᾷς, ὡς μετὰ τῶν ἄλλων εὐεργεσιῶν καὶ τοῦτο ἐγκαλεῖ ὁ Θεὸς διὰ τοῦ προφήτου, Ἔλαβον ἐκ τῶν υἱῶν ὑμῶν εἰς προφήτας, καὶ ἐκ τῶν νεανίσκων ὑμῶν εἰς ἁγιασμόν; κἂν τοῦτο τοίνυν κερδαίνεις, ὅτι οὐκ ἔστι ὑπεύθυνος μείζονι τιμωρίᾳ. ὁ μὲν γὰρ μὴ τιμώμενος ἐν τῷ παρόντι βίῳ καὶ καταφρονούμενος καὶ οὐδενὸς λόγου τινὸς ἀπολαύων, ἀλλὰ καὶ ὑβριζόμενος καὶ διαπτυόμενος, εἰ καὶ μηδὲν ἕτερον, τοῦτο γοῦν καρποῦται τὸ μὴ καὶ τούτου ὑπεύθυνος εἶναι τοῦ τιμηθῆναι παρὰ τῶν ὁμοδούλων. καὶ διὰ πολλὰ δὲ ἕτερα κερδαίνει ἐντεῦθεν. συστέλλεται·

Ἀμώς β. ια.

οἰκονόμον, μὴ αὐθάδη, μὴ ὀργίλον. πῶς γὰρ ἑτέρους παιδεύσει κρατεῖν τῶν παθῶν τούτων, ἑαυτὸν μὴ παιδεύσας; Εἰς πολλὰ γὰρ ἡ ἀρχὴ ἐξάγει, καὶ χαλεπωτέρους ποιεῖ καὶ δυσαρέστους· καὶ τὸν σφόδρα ἐπιεικῆ, μυρίας ἀνάγκας περιΐστησιν ὀργῆς· ἂν μὴ ᾖ τοῦτο μεμελετηκὼς πρότερον, καὶ χαλεπώτερος ἔσται, καὶ πολλὰ διαφθερεῖ καὶ ἀπολέσει τῶν τῆς ἀρχῆς. μὴ πάροινον, μὴ πλήκτην. τὰς ὕβρεις ἐνταῦθά φησι· νουθετοῦντα γὰρ ἢ ἐπιπλήττοντα πάντα χρὴ ποιεῖν, μὴ ὑβρίζοντα. ποία γὰρ ἀνάγκη ὕβρεως; εἰπέ μοι· φοβεῖν χρὴ τῇ τῆς γεέννης ἀπειλῇ, δεδίττεσθαι, καθικνεῖσθαι. ὁ γὰρ ὑβρισθεὶς, θρασύτερος γίνεται καὶ μᾶλλον καταφρονεῖ τοῦ ὑβρίζοντος. οὐδὲν γὰρ οὕτω ποιεῖ καταφρονεῖν, ὡς ὕβρεις, καὶ αἰσχύνειν τὸν ὑβρίζοντα μᾶλλον, καὶ οὐκ ἀφίησιν εἶναι αἰδέσιμον ὡς δεῖ. πολλῆς αὐτὸν εὐλαβείας γέμειν τὸν λόγον χρή, ἐν τοῖς ἁμαρτήμασι μνήμην ἔχειν τῆς μελλούσης κρίσεως, πάσης δὲ ὕβρεως εἶναι καθαρόν. Εἰ δέ τινες εἶεν οἱ κωλύοντες τὰ δέοντα ποιεῖν, μετὰ πάσης αὐθεντίας μετιέναι τὸ πρᾶγμα. μὴ πλήκτην, φησίν. ἰατρός ἐστιν ὁ διδάσκαλος τῶν ψυχῶν, ὁ δὲ ἰατρὸς οὐ πλήττει, ἀλλὰ τὰ πεπληγότα διορθοῦται καὶ θεραπεύει. Μὴ αἰσχροκερδῆ, γρ. διαφθείρει καὶ ἀπολύει

8 Ἀλλὰ φιλόξενον, φιλάγαθον, σώφρονα, δίκαιον, ὅσιον, ἐγκρατῆ,

9 Ἀντεχόμενον τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου. Εἶδες πόσην ἐπίτασιν ἀρετῆς ἀπῄτησε; μὴ αἰσχροκερδῆ, φησί· τουτέστι, πολλὴν ὑπεροψίαν χρημάτων ἐπιδεικνύμενον. φιλόξενον, φιλάγαθον, σώφρονα, δίκαιον, ὅσιον, τὰ αὐτοῦ πάντα τοῖς δεομένοις, φησί, προϊέμενον, ἐγκρατῆ. οὐ τὸν νηστευτὴν εἶπεν ἐνταῦθα, ἀλλὰ τὸν πάθους κρατοῦντα, τὸν καὶ γλώττης καὶ χειρὸς καὶ ὀφθαλμῶν ἀκολάστων. τοῦτο γάρ ἐστιν ἐγκράτεια, τὸ μηδενὶ ὑποσύρεσθαι πάθει. ἀντεχόμενον τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου. πιστοῦ ἐνταῦθα τοῦ ἀληθοῦς φησιν, ἢ τοῦ διὰ πίστεως παραδεδομένου, οὐ δεομένου συλλογισμῶν, οὐδὲ ζητημάτων· ἀντεχόμενον, φροντίζοντα, ἔργον τοῦτο ποιούμενον. τί οὖν ἂν λόγων ἄπειρος ᾖ τῶν ἔξωθεν; διὰ τοῦτο εἶπε, τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου. γρ. χειρῶν Ἵνα δυνατὸς ᾖ καὶ παρακαλεῖν, καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν. Ὥστε οὐ χρεία κόμπου ῥημάτων, ἀλλὰ φρενῶν, καὶ γραφῶν ἐμπειρίας, καὶ νοημάτων δυνάμεως. οὐχ ὁρᾷς Παῦλον τρεψάμενον τὴν οἰκουμένην ἅπασαν, καὶ μειζόνως ἰσχύσαντα καὶ Πλάτωνος καὶ τῶν ἄλλων ἁπάντων; ἀλλ' ἀπὸ τῶν σημείων, φησίν. οὐκ ἀπὸ τῶν σημείων μόνον. εἰ γὰρ ἐπέλθοις τὰς πράξεις τῶν ἀποστόλων, πολλαχοῦ αὐτὸν εὑρήσεις ἀπὸ τῆς διδασκαλίας κρατοῦντα καὶ πρὸ τῶν σημείων. ἵνα δυνατὸς ᾖ καὶ παρακαλεῖν ἐν τῇ διδασκαλίᾳ τῇ ὑγιαινούσῃ, τουτέστι, πρὸς φυλακὴν τῶν οἰκείων, πρὸς ἀνατροπὴν τῶν ἐχθρῶν. καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν. τούτου γὰρ μὴ ὄντος, πάντα οἴχεται. ὁ γὰρ οὐκ εἰδὼς μάχεσθαι τοῖς ἐχθροῖς, καὶ αἰχμαλωτίζειν πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ καὶ λογισμοὺς καθαιρεῖν, ὁ οὐκ εἰδὼς ἃ χρὴ περὶ τῆς ὀρθῆς διδάσκειν διδασκαλίας, πόρρω ἔστω θρόνου διδασκαλικοῦ. τὰ μὲν γὰρ ἄλλα καὶ ἐν τοῖς ἀρχομένοις εὕροι τις ἄν, οἷον τὸ ἀνεγκλήτους, τὸ τέκνα ἔχειν ἐν ὑποταγῇ, τὸ φιλοξένους, τὸ δικαίους, τὸ ὁσίους· ὃ δὲ μάλιστα χαρακτηρίζει τὸν διδάσκαλον, τοῦτό ἐστι, τὸ δύνασθαι κατηχεῖν τῷ λόγῳ, οὗ πρόνοια οὐδεμία τινῶν.

10 Εἰσὶ γὰρ πολλοὶ καὶ ἀνυπότακτοι, ματαιολόγοι, καὶ φρεναπάται, μάλιστα ἐκ περιτομῆς·

11 Οὓς δεῖ ἐπιστομίζειν. Ὁρᾷς πῶς δείκνυσι πόθεν εἰσὶ τοιοῦτοι; ἀπὸ τοῦ μὴ θέλειν ἄρχεσθαι, ἀλλὰ ἄρχειν. τοῦτο γὰρ ᾐνίξατο. γρ. οὐ βούλονται ὅταν οὖν πεῖσαι μὴ δυνηθῇς, μὴ ἐγκατάλειπε τούτους, ἀλλ' ἐπιστόμιζε εἰς τὴν τῶν ἄλλων ὠφέλειαν. τί οὖν τὸ κέρδος, ὅταν μὴ πείθωνται, οὐ καὶ εἰ ἀνυπότακτοί εἰσι; τίνος ἕνεκεν ἐπιστομίζειν χρή; ἵνα ὠφεληθῶσιν ἕτεροι ἔνδοθεν. Οἵτινες ὅλους οἴκους ἀνατρέπουσι, διδάσκοντες ἃ μὴ δεῖ αἰσχροῦ κέρδους χάριν. Εἰ γὰρ τὴν διδασκαλίαν ἀνεδέξατο, οὐχ ἱκανὸς δέ ἐστιν ἐκείνοις μάχεσθαι, οὐδὲ ἐπιστομίσαι αὐτοὺς οὕτως ἀναισχυντοῦντας, τῆς τῶν ἀπολλυμένων βλάβης καθ' ἕκαστον αἴτιος γενήσεται.

Εἰ

Digitized by Google

πολλὴ δυσκολία, αὐτὸς κατώρθου παρών· ἃ δὲ τιμὴν μᾶλλον ἔφερεν, ἢ ἔπαινον εἶχε, ταῦτα ἐπιτρέπει τῷ μαθητῇ, τὴν ἐπισκόπων λέγω χειροτονίας, καὶ τὰ ἄλλα πάντα, ὅσα ἐδεῖτό τινος ἐπιδιορθώσεως, ἢ ὡς ἂν εἴποι τις, πλείονος καταρτισμοῦ. Τί λέγεις, εἰπέ μοι; τὰ σὰ προσδιορθοῦται; καὶ οὐχ ἡγῇ τὸ πρᾶγμα αἰσχρὸν, οὐδὲ αἰσχύνην σοι φέρειν; οὐδαμῶς. πρὸς γὰρ τὸ κοινὸν κέρδος ὁρῶ μόνον. εἴτε δὲ δι' ἐμοῦ, εἴτε δι' ἑτέρου γένοιτο, οὐδὲν ἐμοὶ διαφέρει. οὕτω τὸν προεστῶτα χρὴ διακεῖσθαι, μὴ τὴν ἰδίαν τιμὴν ζητεῖν, ἀλλὰ τὸ κοινῇ συμφέρον. Καὶ καταστήσῃς, φησὶ, κατὰ πόλιν πρεσβυτέρους. τοὺς ἐπισκόπους ἐνταῦθά φησι, καθὼς ἀλλαχοῦ ἡμῖν εἴρηται. Ὡς ἐγώ σοι διεταξάμην· εἴ τις ἀνέγκλητος. Κατὰ πόλιν, φησίν. οὐ γὰρ ἐβούλετο πᾶσαν τὴν νῆσον ἐπιτετράφθαι ἑνὶ, ἀλλ' ἕκαστον ἰδίαν ἔχειν φροντίδα καὶ μέριμναν. οὕτω γὰρ αὐτῷ τε εἶναι τὸν πόνον κοῦφον, καὶ τοὺς ἀρχομένους πλείονος ἀπολαύσεσθαι τῆς ἐπιμελείας, εἴγε μὴ εἰς πολλῶν ἐκκλησιῶν προστασίας ὁ διδάσκαλος περιέρχοιτο, ἀλλὰ σχολάζοι μιᾷ μόνῃ, καὶ ταύτην κατακοσμοῖ. Εἴ τις, φησὶν, ἀνέγκλητος, μιᾶς γυναικὸς ἀνὴρ, τέκνα ἔχων πιστὰ, μὴ ἐν κατηγορίᾳ ἀσωτίας, ἢ ἀνυπότακτα. Τίνος ἕνεκεν καὶ τὸν τοιοῦτον εἰς μέσον παράγει; ἐπιστομίζει τοὺς αἱρετικοὺς τοὺς τὸν γάμον διαβάλλοντας, δεικνὺς ὅτι τὸ πρᾶγμα οὐκ ἔστιν ἐναγὲς, ἀλλ' οὕτω τίμιον, ὡς μετ' αὐτοῦ δύνασθαι καὶ ἐπὶ τὸν ἅγιον ἀναβαίνειν θρόνον, ἐν ταὐτῷ δὲ καὶ τοὺς ἀσελγεῖς κολάζων, καὶ οὐκ ἀφιεὶς μετὰ δευτέρου γάμου τὴν ἀρχὴν ἐγχειρίζεσθαι ταύτην. ὁ γὰρ πρὸς τὴν ἀπελθοῦσαν μηδεμίαν φυλάξας εὔνοιαν, πῶς ἂν οὗτος γένοιτο προστάτης καλός; τίνα δὲ οὐκ ἂν ὑποσταίη κατηγορίαν; ἴστε γὰρ ἅπαντες, ἴστε ὅτι εἰ μὴ κεκώλυται παρὰ τῶν νόμων τὸ δευτέροις ὁμιλεῖν γάμοις, ἀλλ' ὅμως πολλὰς ἔχει τὸ πρᾶγμα κατηγορίας. οὐδεμίαν οὖν παρέχειν λαβὴν τοῖς ἀρχομένοις τὸν ἄρχοντα βούλεται. διὰ τοῦτο * τίθησιν, εἴ τις ἀνέγκλητος, τουτέστιν, εἰ κατηγορίας ὁ βίος ἐλεύθερος αὐτοῦ γέγονεν, εἰ μηδεὶς ἔσχεν ἐπισκῆψαι ἐν τῇ ζωῇ. ἄκουε τοῦ Χριστοῦ λέγοντος· Εἰ γὰρ τὸ φῶς, φησὶ, τὸ ἐν σοὶ σκότος, τὸ σκότος πόσον; Matth. 6. κγ. Τέκνα ἔχων πιστὰ, μὴ ἐν κατηγορίᾳ ἀσωτίας, ἢ ἀνυπότακτα. σκοπήσωμεν πῶς πολλὴν καὶ περὶ τῶν παίδων ποιεῖται τὴν πρόνοιαν. ὁ γὰρ τῶν αὐτοῦ παίδων διδάσκαλος γενέσθαι μὴ δυνηθεὶς, πῶς ἂν ἑτέρων γένοιτο; εἰ οὓς ἐξ ἀρχῆς εἶχε μεθ' ἑαυτοῦ καὶ ἔτρεφε, καὶ καθ' ὧν καὶ παρὰ τῶν νόμων, καὶ παρὰ τῆς φύσεως εἶχεν ἐξουσίαν, τούτους ῥυθμίσαι οὐκ ἴσχυσε, πῶς ἂν τοὺς ἔξωθεν ὠφελῆσαι δυνήσεται; εἰ μὴ γὰρ πολλὴ νωθεία εἴη πατρὸς, οὐκ ἂν ὧν ἐξ ἀρχῆς ἔλαβεν ἐξουσίαν, τούτους περιεῖδε γενομένους κακούς. οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἐξ ἀρχῆς μετὰ πολλῆς τραφέντα τῆς ἐπιμελείας γενέσθαι κακὸν, καὶ πολλῆς ἀπολαύσαντα σπουδῆς. οὐ γάρ ἐστι φύσει τὰ ἁμαρτήματα, ἵνα τοσαύτης περιγένηται προνοίας. εἰ δὲ ἐν δευτέρῳ τὰ τῶν παίδων ἐτίθετο, περὶ τὰ χρήματα σχολάζων, καὶ οὐ τοσαύτην αὐτῶν ἐποιεῖτο σπουδὴν, καὶ οὕτως ἀνάξιος. εἰ γὰρ ὅπου ἡ φύσις ἠνάγκαζεν, οὕτως ἄστοργος ἦν, ἢ οὕτως ἀνόητος, ὡς μᾶλλον τῶν χρημάτων φροντίζειν αὐτὸν, ἢ αὐτῶν, πῶς ἂν οὗτος ἐπὶ τὸν θρόνον ἀναχθείη καὶ τὴν τοσαύτην ἀρχήν; εἰ μὲν γὰρ οὐκ ἠδύνατο, πολλὴ τῆς νωθείας ἡ κατηγορία· εἰ δὲ οὐκ ἐσπούδασε, πολλὴ τῆς ἀστοργίας ἡ μέμψις. ὁ τοίνυν τῶν παίδων ἀμελῶν τῶν ἑαυτοῦ, πῶς τῶν ἀλλοτρίων ἐπιμελήσεται; καὶ οὐκ εἶπε μὴ ἁπλῶς ἄσωτος, ἀλλὰ μηδὲ διαβολὴν ἔχειν τοιαύτην, μηδὲ πονηρᾶς εἶναι δόξης.

7 Δεῖ γὰρ τὸν ἐπίσκοπον, φησὶν, ἀνέγκλητον εἶναι, ὡς Θεοῦ οἰκονόμον, μὴ αὐθάδη, μὴ ὀργίλον, μὴ πάροινον, μὴ πλήκτην. Ὁ μὲν γὰρ ἔξωθεν ἄρχων, ἐπειδὴ νόμῳ κρατεῖ καὶ ἀνάγκῃ, εἰκότως οὐ πολλαχοῦ τῆς τῶν ἀρχομένων γνώμης κοινωνεῖ· ὁ μέντοι ἑκόντων ὀφείλων ἄρχειν καὶ * χάριν αὐτῷ τῆς ἀρχῆς εἰδότων, ἂν οὕτω τὸ πρᾶγμα καταστήσῃ, ὡς ἀπὸ τῆς οἰκείας γνώμης μόνον πάντα ποιεῖν, καὶ μηδενὶ μεταδιδῷ λόγου, τυραννικώτερον μᾶλλον, ἢ δημοτικώτερον τὴν ἐπιστασίαν πεποίηται. Δεῖ γὰρ, φησὶν, ἀνέγκλητον εἶναι, ὡς Θεοῦ

ἐς τόνον

γ. ἐπιδιορθώσεως

γ. πόλεις

γ. περιέλκοιτο

γ. ἀφεὶς

* περὶ τούτου

* περιστρεφομένων καὶ

γίας. ὁρᾷς τί φησι; οὐδὲ λόγον περιέσεσθαι παρὰ τοῦ πατρὸς τοῦ σοῦ, μήτιγε κίνδυνον τοσοῦτον ἀναδέχῃ. ἀλλὰ λούεσθαι, φησιν, οὐ χρή. διατί, εἰπέ μοι; ποῦ τοῦτο κεκώλυται; οὐδὲ γὰρ ὁ ῥύπος καλόν. οὐδαμοῦ ταῦτα ὁρῶμεν, οὔτε ἐγκαλούμενα, οὔτε θαυμαζόμενα. ἀλλὰ γάρ ἐστιν ἅπερ ἐπέταξε τὸν ἐπίσκοπον ἔχειν, ἀνεγκλήτους εἶναι, σώφρονας, κοσμίους, φιλοξένους, διδακτικούς. (Τιτ α. ζ.) ταῦτα ἀπαιτεῖ ὁ ἀπόστολος, ταῦτα χρὴ ἐπιζητεῖν παρὰ τοῦ ἄρχοντος, περαιτέρω δὲ μηδέν. οὐκ εἶ τοῦ Παύλου ἀκριβέστερος, μᾶλλον δὲ οὐκ εἶ τοῦ πνεύματος ἀκριβέστερος. ἂν ᾖ πλήκτης, ἢ καὶ πάροινος, ἂν ὠμὸς καὶ ἀνηλεὴς, κατηγόρει· ἀνάξια ταῦτα τοῦ ἐπισκόπου. ἂν τρυφᾷ, καὶ τοῦτο κατηγορία. ἂν δὲ θεραπεύῃ τὸ σῶμα ἵνα σοι διαρκῇ, ἂν ἐπιμελῆται ἵνα σοι χρήσιμος ᾖ, ὑπὲρ τούτων αὐτὸν ἐγκαλεῖσθαι δεῖ; οὐκ οἶδας ὅτι ἡ ἀσθένεια σωματικὴ τῆς κατὰ ψυχὴν ἀσθενείας οὐχ ἧττον καὶ ἡμᾶς βλάπτει, καὶ τὴν ἐκκλησίαν; διατί (γρ. αὐτῷ ἐγκαλεῖν) διορθοῦται αὐτὴν ὁ Παῦλος γράφων τῷ Τιμοθέῳ, Οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου (α. Τιμ ε. κγ.) καὶ τὰς πυκνάς σου ἀσθενείας; εἰ μὲν γὰρ ψυχῇ μόνῃ τὴν ἀρετὴν κατορθοῦμεν, οὐκ ἔδει φροντίζειν τοῦ σώματος. τί δὲ ὅλως καὶ γεγόναμεν; εἰ δὲ πολλὴ τούτου ἡ συντέλεια, πῶς οὐκ ἐσχάτης ἐστὶν ἀνοίας ἀμελεῖν τούτου; ἔστω γάρ τις ἀνὴρ ἐπισκοπῇ τετιμημένος καὶ τοῦ κοινοῦ τῆς ἐκκλησίας τὴν προστασίαν ἐγκεχειρισμένος, καὶ τὰ μὲν ἄλλα ἔστω ἐνάρετος καὶ πάντα ἔχων ἅπερ ἔχειν ἁρμόζει τὸν ἱερωμένον· διαπαντὸς δὲ τῇ κλίνῃ προσδεδέσθω ὑπὸ πολλῆς ἀρρωστίας, τί ἐστιν ὀνῆσαι δυνήσεται; ποίαν ἀποδημίαν στείλασθαι; ποίας ἐπισκέψεις ποιήσασθαι; τίνι ἐπιπλῆξαι; τίνα νουθετῆσαι; ταῦτα εἶπον, ἵνα εἰδῆτε μὴ ἁπλῶς ἐγκαλεῖν, ἵνα εἰδῆτε μᾶλλον ἀποδέχεσθαι, ἵνα καὶ εἴ τις ἐφίεται τῆς ἀρχῆς, τὰς ἐμφάσεις τῶν κατηγοριῶν ὁρῶν, τὴν τοιαύτην ἐπιθυμίαν σβεννύῃ. μέγας οὗτος κίνδυνος καὶ τῆς τοῦ Θεοῦ δεόμενος χάριτος καὶ τῆς εἰρήνης, ἣν ἐπεύχεσθε ἡμῖν εἶναι πολλὴν, καὶ ἡμεῖς ὑμῖν· ἵνα ἀμφότεροι κατορθώσαντες τὴν ἀρετὴν, οὕτω τύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Λογ. β. 5 ΤΟΥΤΟΥ ΧΑΡΙΝ ΚΑΤΕΛΙΠΟΝ ΣΕ ΕΝ Κρήτῃ, ἵνα τὰ λείποντα ἐπιδιορθώσῃ, καὶ καταστήσῃς κατὰ πόλιν πρεσβυτέρους, ὡς ἐγώ σοι διεταξάμην· 6 Εἴ τίς ἐστιν ἀνέγκλητος, μιᾶς γυναικὸς ἀνὴρ, τέκνα ἔχων πιστὰ, μὴ ἐν κατηγορίᾳ ἀσωτίας, ἢ ἀνυπότακτα.

ΤΟῖς μὲν παλαιοῖς ἀνθρώποις ἅπας ὁ βίος ἦν ἐνεργὸς καὶ ἐναγώνιος, ἡμῖν δὲ οὐχ οὕτως, ἀλλὰ ῥαθυμίας μεστός. ἐκεῖνοι μὲν γὰρ ᾔδεσαν ὅτι διὰ τοῦτο εἰς τὸν κόσμον παρήχθησαν, ἵνα δὴ παραγαγόντι κατὰ γνώμην ἐργάζωνται· ἡμεῖς δὲ ὡς διὰ τοῦτο παραχθέντες, ἵνα ἐσθίωμεν καὶ πίνωμεν καὶ τρυφῶμεν, οὕτως οὐδενὸς τῶν πνευματικῶν λόγον ποιούμεθα. οὐ περὶ τῶν ἀποστόλων λέγω μόνον, ἀλλὰ καὶ τῶν μετ' αὐτούς. ὁρᾷς γοῦν αὐτοὺς πάντα διατρέχοντας, καὶ ὥσπερ πρὸς ἔργον τοῦτο ἐπειλημμένους, καὶ (γρ. πάντας) ὅλους ἐν ξένῃ διατρίβοντας, ἅτε οὐκ ἔχοντας πόλιν ἐπὶ τῆς γῆς; ἄκουσον γοῦν τοῦ μακαρίου τούτου τί φησι· τούτου χάριν κατέλιπόν σε ἐν Κρήτῃ. καθάπερ οἰκίαν μίαν τὴν οἰκουμένην διανειμάμενοι οὕτως ἅπαντα διῴκουν, καὶ τῶν ἁπανταχοῦ ἐπεμελοῦντο, ὁ μὲν τοῦτο, ὁ δὲ ἐκεῖνο λαβὼν τὸ μέρος. τούτου γὰρ χάριν, φησὶ, κατέλιπόν σε ἐν τῇ Κρήτῃ, ἵνα τὰ λείποντα ἐπιδιορθώσῃ. οὐκ ἐπιτακτικῶς αὐτῷ προστάττει πως. ἵνα ἐπιδιορθώσῃ, φησίν. ὁρᾷς ψυχὴν φθόνου παντὸς καθαρὰν, πανταχοῦ τὸ τῶν μαθητευομένων χρήσιμον ζητοῦσαν, οὐκ ἀκριβολογουμένην, εἴτε δι' αὐτοῦ, εἴτε δι' ἑτέρου γένοιτο; ἔνθα μὲν γὰρ ἦν κίνδυνος καὶ

πολλὴ

ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον δώσοντες. ἀλλὰ τιμῆς ἐφίεσαι καὶ ἀρχῆς; καὶ τίς ἡ ἡδονὴ ταύτης τῆς τιμῆς; οὐ γὰρ δὴ οὐδὲ τοῦτο ὁρῶ. οὐ γάρ ἐστι δυνατὸν ἄρχοντα εἶναι ἀληθῶς. πῶς; ὅτι ἐν τῇ ἐξουσίᾳ κεῖται τῶν ἀρχομένων τὸ ὑπακούειν. καὶ εἴ τις ἀκριβῶς ἐξετάσειε τὸ πρᾶγμα, οὐκ ἐπὶ ἀρχὴν ἔρχεται ὁ τοιοῦτος, ἀλλ' ἵνα δουλεύῃ μυρίοις δεσπόταις ἐναντία καὶ ἐπιθυμοῦσι καὶ λέγουσιν. ὅπερ γὰρ ἐγκωμιάζει εἷς, μέμφεται ἕτερος· ὅπερ ψέγει οὗτος, θαυμάζει ἄλλος. τίνος οὖν ἀκοῦσαι χρή, τίνι πεισθῆναι, οὐκ ἔστι. καὶ ὁ μὲν ἀργυρώνητος, κἂν ἐναντία ὁ δεσπότης αὐτῷ προστάξῃ, καὶ δυσχεραίνει· σὺ δέ, ἂν τοσούτων δεσποτῶν ἐναντία ἐπιταττόντων ἀλγήσῃς, καὶ τούτου δίδως δίκην, τὰ πάντων ἐπὶ σὲ στόματα ἀνοίγων. τοῦτο οὖν, εἰπέ μοι, τιμή; τοῦτο ἀρχή; τοῦτο ἐξουσία; εἶπεν ὁ τὴν ἐπισκοπὴν ἔχων, εἰσενεγκεῖν χρήματα. ἂν μὴ θέλῃ, οὐ μόνον οὐκ εἰσήνεγκεν, ἀλλὰ καὶ ὑπὲρ τοῦ μὴ δόξαι ῥᾳθυμίας ἕνεκεν τοῦτο ποιεῖν, κατηγορεῖ τοῦ κελεύσαντος· κλέπτει, φησίν, ἁρπάζει, καταπίνει τὰ τῶν πενήτων, καταπαθίει τὰ τῶν πτωχῶν. παῦσαι λοιδορῶν. μέχρι τίνος ταῦτα φής; οὐ βούλει εἰσενεγκεῖν; οὐδεὶς ὁ καταναγκάζων, οὐδεὶς ὁ βιαζόμενος. τί καὶ λοιδορῇ τῷ παραινοῦντι καὶ συμβουλεύοντι; ἀλλ' εἰς χηρείαν τις κατέστη, καὶ οὐκ ὤρεξε χεῖρα μὴ δυνηθείς, ἢ καὶ ἑτέρωθι ἀσχοληθείς. οὐδεμία συγγνώμη, ἀλλὰ πάλιν κατηγορίαι χείρους τῶν προτέρων. τοῦτο γοῦν ἀρχή; καὶ ἀμύνασθαι οὐκ ἔχει. σπλάγχνα γάρ ἐστιν ἴδια. καὶ ὥσπερ τὰ σπλάγχνα, κἂν οἰδαίνῃ, κἂν πόνον παρέχῃ καὶ τῇ κεφαλῇ καὶ τῷ λοιπῷ σώματι, οὐ τολμῶμεν ἀμύνεσθαι (οὐ γὰρ λαβόντες ξίφος διαρρήγνυομεν) οὕτω κἂν τῶν ἀρχομένων τις τοιοῦτος ᾖ, πόνους ἡμῖν παρέχων καὶ ἀθυμίας ἐκ τῶν κατηγοριῶν τούτων, οὐ τολμῶμεν ἀμύνασθαι (πόρρω γὰρ ταῦτα πατρικῆς διανοίας) ἀλλ' ἀνάγκη φέρειν τὸν πόνον, ἕως ἂν ἐκεῖνος ὑγιανῇ καλῶς. ὁ ἀργυρώνητος οἰκέτης ἔχει τι ἔργον ἐπιτεταγμένον· κἂν τοῦτο ἀνύσῃ, λοιπὸν ἑαυτοῦ κύριός ἐστι. οὗτος δὲ πανταχόθεν περιέλκεται, πολλὰ καὶ τὴν ὑπὲρ δύναμιν ἀπαιτεῖται. ἂν μὴ εἰδῇ λέγειν, πολὺς ὁ γογγυσμός· ἂν δὲ εἰδῇ λέγειν, πάλιν κατηγορίαι· κενόδοξός ἐστιν. ἂν μὴ νεκροὺς ἀνιστᾷ, οὐδενὸς λόγου ἄξιος, φησίν. ὁ δεῖνα εὐλαβής ἐστιν, οὗτος δὲ οὔ. ἂν ἀπολαύσῃ συμμέτρου τροφῆς, πάλιν κατηγορίαι· ἔδει αὐτὸν ἀπηγχονίσθαι, φησίν. ἂν λουόμενον ἴδῃ τις, πολλαὶ κατηγορίαι· ὅλως οὐδὲ τὸν ἥλιον ὁρᾶν ὀφείλει, φησίν. εἰ δὲ τὰ αὐτὰ πράττει, ἅπερ ἐγώ, καὶ λούεται, καὶ ἐσθίει, καὶ πίνει, καὶ ἱμάτια περιβέβληται, καὶ οἰκίας φροντίζει καὶ οἰκετῶν, τίνος ἕνεκεν ἐμοῦ προέστηκεν; ἀλλὰ καὶ οἰκέτας ἔχει, φησί, τοὺς διακονουμένους αὐτῷ, καὶ ἐπὶ ὄνου ὀχεῖται. τίνος οὖν ἕνεκεν ἐμοῦ προέστηκεν; ἀλλὰ τί, εἰπέ μοι; οὐκ ὀφείλει τοὺς διακονουμένους ἔχειν, ἀλλ' αὐτὸς τὸ πῦρ ἀνακαίειν, καὶ ὑδροφορεῖν, καὶ ξύλα διακλᾶν, καὶ εἰς ἀγορὰν ἐμβάλλειν; καὶ πόση τούτου αἰσχύνη ἐστί; καὶ οἱ μὲν ἅγιοι ἐκεῖνοι ἄνδρες, οἱ ἀπόστολοι, τῷ λόγῳ προσκαρτεροῦντα οὐδὲ διακονίᾳ χηρῶν βούλονται προσανέχειν, ἀλλ' ἀνάξιον αὐτοῦ τὸ πρᾶγμα εἶναι νομίζουσι· σὺ δὲ αὐτὸν καὶ εἰς τὴν τῶν οἰκετῶν ὑπηρεσίαν καθέλκεις τὴν σήν; διὰ τί ὁ ταῦτα ἐπιτάττων οὐ παρέρχῃ σύ, καὶ ταῦτα πληροῖς; εἰπέ μοι, οὐχὶ μείζονα τῆς διακονίας ταύτης ὑπηρεσίας, ἢ οὐ τὰ σωματικά; διὰ τί μὴ τὸν παῖδα πέμπεις τὸν σὸν πρὸς τὴν τούτου ὑπηρεσίαν; ὁ Χριστὸς ἔνιψε τοὺς πόδας τῶν μαθητῶν, σὺ θεραπείας ἂν παράσχῃς τῷ διδασκάλῳ, μέγα τι ποιεῖς; ἀλλ' οὔτε σὺ βούλει παρασχεῖν, καὶ αὐτὸν κωλύεις. τί οὖν; ἀπὸ τοῦ οὐρανοῦ ζῆν ὀφείλει; ἀλλ' οὐ βούλεται οὕτως ὁ Θεός. τί οὖν; οἱ ἀπόστολοι, φησίν, ἐλευθέρους εἶχον δουλεύοντας; βούλει καὶ τοῦτο ἀκοῦσαι πῶς οἱ ἀπόστολοι διῆγον; ἀποδημίας ἐποιοῦντο, καὶ ἄνδρες ἐλεύθεροι καὶ εὐγενεῖς γυναῖκες ὑπὲρ τῆς ἐκείνων ἀναπαύσεως καὶ τὰς ψυχὰς καὶ τὰς κεφαλὰς ὑπετίθεσαν τὰς ἑαυτῶν. ἄκουε δὲ καὶ τοῦ μακαρίου τούτου παραινοῦντος καὶ λέγοντος· Τοὺς οὖν τοιούτους ἐντίμους ἔχετε. καὶ πάλιν, Διὰ τὸ ἔργον τοῦ Θεοῦ μέχρι θανάτου ἤγγισε, παραβουλευσάμενος τῇ ψυχῇ, ἵνα ἀναπληρώσῃ τὸ ὑμῶν ὑστέρημα τῆς πρός με λειτουρ- Φιλιπ. β. λ.

[Marginalia: γρ. ἀποδώσοντες. — γρ. δουλεύειν — γρ. ἐκεῖνος — γρ. ὧν. — γρ. καὶ ταῦτα ἰσχυρῶν, — γρ. πολεμαπιεῖν — γρ. πίνει καὶ — γρ. πόσης — γρ. αἰσχύνης — γρ. τούτου — γρ. παρέχεις — γρ. ἀλλ']

γενόμενοι μὴ μένειν γνήσιοι· ἔστιν οὐκ ὄντα γνήσιον γενέσθαι γνήσιον. οὐ γὰρ ἀνάγκῃ φύσεως ταῦτα καταχέκλεισται, ἀλλ' ἐξουσίᾳ προαιρέσεως, ὅθεν καὶ συνεχεῖς ἔχει τὰς " μεταβάσεις. ἦν Ὀνήσιμος τέκνον γνήσιον, ἀλλὰ καὶ οὐ γνήσιον ἦν. καὶ γὰρ ἄχρηστος ἐγένετο. ἀλλὰ πάλιν ἐγένετο γνήσιον οὕτως, ὡς καὶ αὐτὸν σπλάγχνα καλεῖσθαι ἀποστολικά. Τίτῳ γνησίῳ τέκνῳ κατὰ κοινὴν πίστιν. τί ἐστι, κατὰ κοινὴν πίστιν; ἐπειδὴ εἶπε, τέκνον, καὶ τὴν τοῦ πατρὸς αὐτὸν ἔλαβε τάξιν, πῶς καὶ ταύτην τὴν τιμὴν ἐλαττοῖ καὶ καταστέλλει, ἄκουσον. κατὰ κοινὴν γὰρ πίστιν ἐπήγαγε· τουτέστι, κατὰ πίστιν οὐδὲν ἔχω σου πλέον. κοινὴ γάρ ἐστι, καὶ διὰ τῆς αὐτῆς ἐγώ τε ἐτέχθην καὶ σύ. τέκνον οὖν πόθεν αὐτὸν καλεῖ; ἤτοι τὴν φιλοστοργίαν μόνον δηλῶσαι θέλων, ἢ τὸ, πρότερον εἶναι ἐν τῷ κηρύγματι, ἢ τὸ, δι' αὐτοῦ πεφωτίσθαι. διὰ τοῦτο καὶ τέκνα, καὶ ἀδελφοὺς καλεῖ. ἐπειδὴ ἀπὸ τῆς αὐτῆς πίστεως ἐτέχθησαν, ἀδελφοί· ἐπειδὴ διὰ τῶν ἐκείνου χειρῶν, τέκνα. τῷ οὖν κατὰ κοινὴν εἰπεῖν πίστιν τὴν ἀδελφότητα ᾐνίξατο. χάρις καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς καὶ Κυρίου Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν. ἐπειδὴ εἶπε, τέκνον, ἐπήγαγεν, ἀπὸ Θεοῦ πατρὸς, ὥστε διαναστῆσαι αὐτοῦ τὴν διάνοιαν, καὶ μαθεῖν τίνος ἐστὶ τέκνον, καὶ ὅτι οὐ τῷ κοινὴν πίστιν εἰπεῖν μόνον, ἀλλὰ καὶ τῷ ἐπαγαγεῖν, πατρὸς ἡμῶν, τὸ ὁμότιμον αὐτοῦ δείκνυσιν.

Φιλημ. ιβ.

γ. μεταβολὰς

ΗΘΙΚΟΝ

Ὁρᾷς πῶς ἃ τοῖς μαθηταῖς καὶ τοῖς πολλοῖς ἐπιλέγεται, ταῦτα καὶ τῷ διδασκάλῳ. ὁμοίως γὰρ καὶ αὐτὸς δεῖται τῶν τοιούτων εὐχῶν, καὶ πολλῷ μᾶλλον ἢ ἐκεῖνοι, ὅσῳ καὶ πλείονας ἐχθρὰς ἔχει, ὅσῳ καὶ πλείονας ἀνάγκας τοῦ παροξύνειν τὸν Θεόν. ὅσῳ γὰρ μέγα τὸ ἀξίωμα, τοσούτῳ μείζους καὶ οἱ κίνδυνοι τῷ τὴν ἱερωσύνην ἔχοντι. ἀρκεῖ γὰρ καὶ ἓν κατόρθωμα ἐπισκόπης διενεγκεῖν εἰς τὸν οὐρανόν, καὶ ἓν ἁμάρτημα εἰς αὐτὴν ἐμβαλεῖν τὴν γέενναν. ἵνα γὰρ τὰ ἄλλα πάντα ἀφῶ τὰ καθ' ἑκάστην ἡμέραν συμπίπτοντα, ἂν τύχῃ ποτέ τινα ἢ διὰ φιλίαν, ἢ δι' ἄλλην " τινὰ αἰτίαν ἀνάξιον εἰς ἐπισκοπὴν παραγαγεῖν, καὶ πόλεως ἐπιτρέψας μεγάλης ἀρχὴν, ὅρα πόσου πυρὸς ἑαυτὸν καθίστησιν ἔνοχον. οὐ γὰρ τῶν ψυχῶν τῶν ἀπολλυμένων μόνον (ἀπόλλυσι γὰρ αὐτὰς εὐλαβὴς ὤν) ἀλλὰ καὶ πάντων τῶν ὑπ' ἐκείνου πραττομένων αὐτὸς δώσει τὰς εὐθύνας. ὁ γὰρ ἐν τάξει ἰδιώτου ὢν οὐκ εὐλαβὴς, πολλῷ μᾶλλον, ὅταν ἐπιλάβηται τῆς ἀρχῆς. ἀγαπητὸν γὰρ τὸν εὐλαβῆ μένειν τοιοῦτον ἐπιλαβόμενον τῆς ἀρχῆς. καὶ γὰρ κενοδοξία τότε σφοδρότερον ἐπιτίθεται, καὶ χρημάτων ἔρως, καὶ αὐθάδεια, τῆς ἀρχῆς τὴν ἐξουσίαν παρεχούσης, καὶ προσκρούσματα, καὶ ὕβρεις, καὶ λοιδορίαι, καὶ μυρία ἕτερα. ἂν μὲν οὖν τις εὐλαβὴς ᾖ, μᾶλλον ἔσται εὐλαβέστερος τοιοῦτος γενόμενος. ὅταν οὖν τοιοῦτον ἐπιστήσῃ ἄρχοντα, πάντων τῶν ἁμαρτανομένων ὑπ' ἐκείνου, καὶ δήμων ὁλοκλήρων ὑπεύθυνος ἔσται. εἰ δὲ ὁ μίαν ψυχὴν σκανδαλίζων συμφέρει αὐτῷ, ἵνα μύλος ὀνικὸς κρεμασθῇ εἰς τὸν τράχηλον αὐτοῦ, καὶ καταποντισθῇ ἐν τῷ πελάγει τῆς θαλάσσης, ὁ [τὰς] τοσαύτας ψυχὰς σκανδαλίζων, πόλεις ὁλοκλήρους, καὶ δήμους, καὶ μυρίας " ψυχὰς, ἄνδρας, γυναῖκας, παῖδας, πολίτας, γεωργοὺς, τοὺς ἐν αὐτῇ τῇ πόλει, τοὺς ἐν ἑτέραις ταῖς ὑπ' ἐκείνην τὴν πόλιν, τί ὑποστήσεται; κἂν γὰρ τριπλασίονα ἑτέραν εἴπῃς, οὐδὲν ἐρεῖς· τοσαύτης ἔσται ὑπεύθυνος κολάσεως καὶ τιμωρίας. ὥστε μάλιστα οὗτος δεῖται τῆς χάριτος τοῦ Θεοῦ καὶ τῆς εἰρήνης. ἂν γὰρ μὴ μετὰ ταύτης " κυβερνῇ τὸν λαὸν, πάντα οἴχεται καὶ ἀπόλωλε, τῶν οἰάκων αὐτῷ οὐκ ὄντων. κἂν γὰρ ἔμπειρος ᾖ τῆς κυβερνητικῆς, ἂν μὴ τοὺς οἴακας τούτους ἔχῃ, τὴν χάριν καὶ τὴν εἰρήνην τὴν παρὰ τοῦ Θεοῦ, καταδύσει τὸ σκάφος καὶ τοὺς ἐμπλέοντας. ὅθεν ἔμοιγε θαυμάζειν ἔπεισι τοὺς ἐφιεμένους ὄγκου τοσούτου. ἄθλιε ἄνθρωπε καὶ ταλαίπωρε, οὐχ ὁρᾷς τίνος ἐφίεσαι; κατὰ σαυτὸν ἂν ᾖς καὶ ἀγνὼς καὶ ἄσημος, κἂν μυρία ἁμάρτῃς, ἀλλὰ μιᾶς ψυχῆς δώσεις λόγον, καὶ ταύτης εὐθύνας ὑφέξεις μόνον· ὅταν δὲ εἰς τὴν ἀρχὴν ταύτην ἀχθῇς, ἐννόησον ὅσων " κεφαλῶν ὑπεύθυνος εἶ τιμωρίας. ἄκουε γὰρ Παύλου λέγοντος· Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε, ὅτι αὐτοὶ ἀγρυπνοῦσιν

γ. τυχὸν

Ματθ. ιη. ς.

γ. οἰκίας

γ. κυβερνᾷ

γ. καὶ ἄλλων

Ἑβρ. ιγ. ιζ.

Digitized by Google

θεν ἠγάπησεν. οὐ μικρὸν δὲ τοῦτο τὸ ἄνωθεν ἠγαπῆσθαι καὶ ἐξ ἀρχῆς. ἣν ἐπηγγείλατο, φησὶν, ὁ ἀψευδὴς Θεός. Εἰ ἀψευδὴς, πάντως ἔσται, ὃ ἐπηγγείλατο· εἰ ἀψευδὴς, οὐ δεῖ ἀμφιβάλλειν, κἂν μετὰ θάνατον ᾖ. ἣν ἐπηγγείλατο, φησὶν, ὁ ἀψευδὴς Θεὸς πρὸ χρόνων αἰωνίων. καὶ ἀπὸ τοῦ εἰπεῖν, πρὸ χρόνων αἰωνίων, τὸ ἀξιόπιστον δείκνυσιν. οὐκ ἐπειδὴ Ἰουδαῖοι νῦν οὐ (ὁ καὶ δηλῶν ἐπάγει) προσῆλθον, φησὶ, διὰ τοῦτο ταῦτα, ἀλλ' οὕτως ἄνωθεν ἐτετύπωτο. ἄκουε γοῦν τί φησιν· ἐφανέρωσε δὲ καιροῖς ἰδίοις. τίς οὖν ἡ ἀναβολή; κηδεμονίας χάριν καὶ τοῦ εὐκαίρως ποιῆσαι. Καιρὸς, φησὶν ὁ προφήτης, τοῦ ποιῆσαι τῷ Κυρίῳ. (Ψαλ. ρκη. ρκϛ.) τὸ γὰρ ἰδίοις, τουτέστι, τοῖς προσήκουσι, τοῖς ὀφειλομένοις, τοῖς ἁρμόζουσιν. ἐφανέρωσε, φησὶ, καιροῖς ἰδίοις τὸν λόγον αὐτοῦ ἐν κηρύγματι, ὃ ἐπιστεύθην ἐγὼ, τουτέστι, τὸ κήρυγμα. τοῦτο γὰρ τὰ πάντα εἶχε τὸ εὐαγγέλιον, καὶ τὰ ἐνταῦθα, καὶ τὰ μέλλοντα, τὴν ζωὴν, τὴν εὐσέβειαν, τὴν πίστιν, πάντα ὁμοῦ. ἐν κηρύγματι τουτέστι, φανερῶς, μετὰ παῤῥησίας. τοῦτο γάρ ἐστι τὸ, ἐν κηρύγματι. ὥσπερ γὰρ ὁ κήρυξ πάντων παρόντων ἐν τῷ θεάτρῳ κηρύττει, οὕτω καὶ ἡμεῖς κηρύττομεν, ὥστε μηδὲν προσθεῖναι, ἀλλ' αὐτὰ ἃ ἠκούσαμεν εἰπεῖν. ἡ γὰρ τοῦ κήρυκος ἀρετὴ ἐν τῷ πᾶσιν εἰπεῖν ἐστι τὸ γεγονός, οὐκ ἐν τῷ προσθεῖναί τινα καὶ ἀφελεῖν. [Εἰ τοίνυν κηρύττειν δεῖ, μετὰ παῤῥησίας κηρύττειν δεῖ. ἐπεὶ οὐδὲ κηρύττειν ἐστί. διὰ τοῦτο οὐδὲ εἶπεν ὁ Χριστὸς, Εἴπατε ἐπὶ τῶν δωμάτων, ἀλλὰ, Κηρύξατε ἐπὶ τῶν δωμάτων, καὶ ἀπὸ τοῦ τόπου, καὶ ἀπὸ τοῦ σχήματος τὸ γεγονὸς (Ματθ. ι. κζ.) παριστῶν.] (χ. τῷ) ὃ ἐπιστεύθην ἐγὼ κατ' ἐπιταγὴν τοῦ σωτῆρος ἡμῶν Θεοῦ. καὶ τὸ ἐπιστεύθην, (ι. τῷ) καὶ τὸ κατ' ἐπιταγὴν, τὸ ἀξιόπιστον δείκνυσιν· ὥστε μηδένα ἀναξιοπαθεῖν, μηδὲ ἀκκίζεσθαι, (χ. ἀκκίζεσθαι) μηδὲ δυσχεραίνειν. Εἰ τοίνυν ἐπιταγή ἐστιν, οὐκ εἰμὶ κύριος. ἐπίταγμα γὰρ πληρῶ. τῶν γὰρ πρακτέων τὰ μὲν ἐφ' ἡμῖν κεῖται, τὰ δὲ οὐκ ἐφ' ἡμῖν. ἃ μὲν γὰρ ἐπιτάττων λέγει, ταῦτα οὐκ ἐφ' ἡμῖν· ἅπερ δὲ ἐπιτρέπων, ταῦτα ἐφ' ἡμῖν τυγχάνει. οἷον τὸ, Ἐάν τις εἴπῃ τῷ (Ματθ. ε. κβ. κγ.) ἀδελφῷ αὐτοῦ, μωρὲ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρὸς, τοῦτο ἐπίταγμα. καὶ τὸ, Ὅταν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον, καὶ γνῷς ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, ἄφες ἐκεῖ τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ ἀπελθὼν διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου· καὶ τοῦτο ἐπίταγμα, καὶ τὸν μὴ ποιήσαντα ἀνάγκη ὑπεύθυνον εἶναι κολάσει. ὅταν δὲ λέγῃ, Ἐὰν θέλῃς τέλειος εἶναι, πώλησόν σου τὰ ὑπάρχοντα· καὶ (Ματθ. ιθ. κα. ιβ.) πάλιν, Ὁ δυνάμενος χωρεῖν, χωρείτω, οὐκέτι ἐπίταγμά ἐστι. τὸν γὰρ ἀκροατὴν ποιεῖ κύριον τῶν λεχθέντων, καὶ τὴν αἵρεσιν αὐτῷ δίδωσι τῶν πρακτέων. ταῦτα μὲν γὰρ καὶ ποιῆσαι, καὶ μὴ ποιῆσαι ἐφ' ἡμῖν· τὰ δὲ ἐπιτάγματα οὐκ ἐφ' ἡμῖν, ἀλλ' ἀνάγκη ἢ ποιῆσαι, ἢ μὴ ποιήσαντα κολασθῆναι. τοῦτο οὖν λέγει, καὶ ὅταν λέγῃ, Ἀνάγκη γάρ μοι ἐπίκειται. οὐαὶ γάρ (α. Κορ. θ. ιϛ.) (χ. εὐαγγελίζωμαι) μοί ἐστιν, ἐὰν μὴ εὐαγγελίσωμαι. σαφέστερον δὲ ἐρῶ αὐτὸ, ἵνα πᾶσι κατάδηλον γένηται. οἷον, ὁ τὴν ἀρχὴν τῆς ἐκκλησίας ἐμπεπιστευμένος, καὶ τῇ τῆς ἐπισκοπῆς ἀξίᾳ τετιμημένος, ἂν μὴ διαγορεύῃ τῷ λαῷ τὰ πρακτέα, οὐκ ἀνεύθυνός ἐστιν· ὁ μέντοι λαϊκὸς οὐδεμίαν ἀνάγκην ἔχει τούτου. διὰ τοῦτό φησι καὶ ὁ Παῦλος, ὅτι κατ' ἐπιταγὴν τοῦ σωτῆρος ἡμῶν τοῦτο ποιῶ. καὶ ὅρα τὰ ἐπίθετα πῶς πρὸς ὃ εἶπον ἁρμόζει. ἀνωτέρω γὰρ εἰπὼν, ὁ ἀψευδὴς Θεὸς, ἐνταῦθά φησι, κατ' ἐπιταγὴν τοῦ σωτῆρος ἡμῶν Θεοῦ. Εἰ τοίνυν σωτήρ ἐστι, καὶ αὐτὸς ταῦτα ἐπιτάξει ἀπὸ τοῦ βούλεσθαι σώζεσθαι, οὐ τοίνυν φιλαρχίας τὸ πρᾶγμά ἐστι. πίστις γάρ ἐστι, καὶ ἐπιταγή ἐστι Θεοῦ σωτῆρος. Τίτῳ γνησίῳ τέκνῳ. ἔστι γὰρ καὶ μὴ γνήσια εἶναι τέκνα, ὡς ἐκεῖνος περὶ οὗ φησιν· Ἐάν τις ἀδελφὸς ὀνομαζόμενος ᾖ πόρνος, ἢ (α. Κορ. ε. ια.) πλεονέκτης, ἢ εἰδωλολάτρης, ἢ λοίδορος, ἢ μέθυσος, τῷ τοιούτῳ μηδὲ συνεσθίειν. ἰδοὺ καὶ τέκνον, καὶ οὐκ ἔστι γνήσιον τέκνον. τέκνον μέν ἐστιν, ἐπειδὴ ἅπαξ ἐδέξατο τὴν χάριν, καὶ ἀνεγεννήθη· (χ. ἀναγεννηθὲν ἐστιν) οὐ γνήσιον δὲ, ἐπειδὴ ἀνάξιον τοῦ πατρός ἐστιν, ἐπειδὴ πρὸς ἕτερον αὐτομολεῖ τύραννον. ἐπὶ μὲν γὰρ τῶν φυσικῶν παίδων τὸ γνήσιον καὶ μὴ γνήσιον ἀπὸ τῆς ὠδινούσης καὶ τοῦ σπείραντος ὁρίζεται· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλ' ἀπὸ τῆς προαιρέσεως. ἔστι γὰρ γνήσιον

γενόμενον

πόλλυοι. βραχέα μὲν οὖν ποιεῖ τὴν ἐπιστολὴν, εἰκότως. καὶ τοῦτο γὰρ τῆς ἀρετῆς τοῦ Τίτου τεκμήριον ἦν, τὸ μὴ δεῖσθαι λόγων πολλῶν, ἀλλ' ὥσπερ τινὸς ὑπομνήσεως. αὕτη δέ μοι δοκεῖ τῆς πρὸς Τιμόθεον εἶναι προτέρα ἐπιστολῆς. ἐκείνην μὲν γὰρ πρὸς τῷ τέλει ἐν δεσμοῖς ὢν ἔγρα- γρ. παρούσης
Τιτ. γ. ιβ. φε, ταύτην δὲ ἄφετος ὢν καὶ λελυμένος. τὸ γὰρ, Κέκρικα παραχειμάσαι ἐν Νικοπόλει, τεκμήριον ἦν τοῦ μηδέπω ἐν δεσμοῖς εἶναι· ἐκεῖ δὲ συνεχῶς ἑαυτὸν δέσμιον καλεῖ. τί οὖν φησι; Παῦλος δοῦλος Θεοῦ, ἀπόστολος δὲ Ἰησοῦ Χριστοῦ, κατὰ πίστιν ἐκλεκτῶν Θεοῦ. ὁρᾷς πῶς ἀδιαφόρως αὐτὰ τίθησι, ποτὲ μὲν ἑαυτὸν τοῦ Θεοῦ δοῦλον λέγων, τοῦ δὲ Χριστοῦ ἀπόστολον, ποτὲ δὲ τοῦ Χριστοῦ δοῦλον, Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ; οὕτως οὐδεμίαν οἶδε διαφορὰν μεταξὺ πατρὸς καὶ υἱοῦ. κατὰ πίστιν ἐκλεκτῶν τοῦ Θεοῦ, καὶ ἐπίγνωσιν ἀληθείας τῆς κατ' εὐσέβειαν ἐπ' ἐλπίδι ζωῆς αἰωνίου. κατὰ πίστιν ἐκλεκτῶν Θεοῦ. ὅτι ἐπίστευσας, ἢ ὅτι ἐπίστευσεν; οἶμαι αὐτὸν λέγειν, ὅτι αὐτὸς ἐπιστεύθη τῶν ἐκλεκτῶν τοῦ Θεοῦ. τουτέστιν, οὐκ ἀπὸ κατορθωμάτων, οὐδὲ ἀπὸ πόνων καὶ ἱδρώτων τὸ ἀξίωμα ἔλαβον· ἀλλ' ὃ πάντων τῆς τοῖς πιστεύσαντος εὐεργεσίας ἐγένετο. εἶτα, ἵνα μὴ ἄλογος ἡ χάρις νομισθῇ (οὕτω γὰρ τὸ πάντων αὐτοῦ· ἐπεὶ διὰ τί μὴ καὶ ἑτέροις ἐνεπίστευσε;) διὰ τοῦτο ἐπήγαγε τὸ, καὶ ἐπίγνωσιν ἀληθείας τῆς κατ' εὐσέβειαν. γρ. ἐπίστευσε
ἀπὸ ταύτης, φησὶν, ἐπιστεύθην, μᾶλλον δὲ καὶ τοῦτο ἐπιστεύθην ἐκ τῆς αὐτοῦ γρ. τὸ
Ιωαν. ιε. ιϛ. χάριτος. καὶ γὰρ καὶ τούτου αὐτὸς αἴτιος. διὰ τοῦτο γὰρ καὶ αὐτὸς ὁ Χριστός φησιν, Οὐχ ὑμεῖς με ἐξελέξασθε, ἀλλ' ἐγὼ ὑμᾶς ἐξελεξάμην· καὶ πάλιν αὐτὸς τοῦτο ὁ μακάριος
α. Κορ. ιγ. ιβ. ἑτέρωθι γράφων φησίν· Ἐπιγνώσομαι, καθὼς καὶ ἐπεγνώσθην· καὶ πάλιν, Εἰ καταλάβω,
Φιλιπ. γ. ιβ. ἐφ' ᾧ καὶ κατελήφθην ὑπὸ τοῦ Χριστοῦ Ἰησοῦ. πρότερον κατελήφθημεν, καὶ ὕστερον ἐπέγνωμεν· πρότερον ἐπεγνώσθημεν, καὶ τότε κατελάβομεν· πρότερον ἐκλήθημεν, γρ. ἐγνώσθημεν
καὶ τότε ὑπηκούσαμεν. τὸ δὲ κατὰ πίστιν εἰπεῖν, τὸ πᾶν ἐκείνοις λογίζεται, ὅτι δι' ἐκείνους εἰμὶ ἀπόστολος· οὐχὶ ὡς ἄξιος, ἀλλὰ διὰ τοὺς ἐκλεκτοὺς, ὅπερ καὶ ἀλλαχοῦ λέ-
α. Κορ. γ. κβ. γει· Πάντα γὰρ ὑμῶν ἐστιν, εἴτε Παῦλος, εἴτε Ἀπολλώς. καὶ ἐπίγνωσιν, φησιν, ἀληθείας τῆς κατ' εὐσέβειαν. ἔστι γὰρ ἀλήθεια πραγμάτων, ἀλλ' οὐ κατ' εὐσέβειαν· οἷον τὸ εἰδέναι τὰ γρ. καὶ
γεωργικὰ, τὸ εἰδέναι τέχνας, ἀληθῶς ἐστιν εἰδέναι· ἀλλ' αὕτη κατ' εὐσέβειαν ἡ ἀλήθεια. ἢ τὸ κατὰ πίστιν, ὅτι ἐπίστευσαν καθάπερ οἱ λοιποὶ ἐκλεκτοὶ, καὶ ἐπέγνωσαν τὴν ἀλήθειαν. ἀπὸ πίστεως ἄρα ἡ ἐπίγνωσις, οὐκ ἀπὸ λογισμῶν. ἐπ' ἐλπίδι ζωῆς αἰωνίου. εἶπε τὴν παροῦσαν τὴν ἐν τῇ χάριτι τοῦ Θεοῦ· λέγει καὶ τὴν μέλλουσαν, καὶ ἔπαθλα τίθησιν ἡμῖν ὑπὲρ ὧν ἡμᾶς εὐηργέτησεν. ἐπεὶ γὰρ ἐπιστεύσαμεν καὶ ἀπηλλάγημεν τῆς πλάνης, στεφανοῦν ἡμᾶς βούλεται. ὅρα πῶς γέμει τὸ προοίμιον τῆς εὐεργεσίας τοῦ Θεοῦ, καὶ ὅλη δὲ ὅλης ἡ ἐπιστολὴ αὕτη μάλιστα τοιαύτη τυγχάνει, καὶ αὐτὴν τὴν ἁγίων ἐκείνων διαλέγεται μᾶλλον πρὸς τοὺς πόνους, καὶ τοὺς μαθητευομένους. οὐδὲν γὰρ οὕτως ἡμᾶς ὠφελεῖ, ὡς τὸ συνεχῶς μεμνῆσθαι τῆς εὐεργεσίας τοῦ Θεοῦ, τῆς τε κοινῆς, καὶ τῆς ἰδίας. εἰ γὰρ φίλου εὐεργεσίας διενεγκόν- γρ. ἐν κοινῷ
τες, ἢ ῥῆμα προσηνὲς ἀκούσαντες, ἢ πρᾶγμα, διαθερμαινόμεθα, πολλῷ μᾶλλον, ὅταν ἴδωμεν πόσοις κινδύνοις περιεπέσομεν, καὶ ἀπὸ πάντων ἡμᾶς ἐξείλετο ὁ Θεὸς, προθυμότεροι πρὸς τὴν ὑπακοὴν ἐσόμεθα. καὶ ἐπίγνωσιν, φησιν, ἀληθείας. ἀλήθειαν δὲ ἐνταῦθα γρ. πρὸ
πρὸς τὸν τύπον οὕτως εἶπε. καὶ γὰρ καὶ ἐκείνη ἐπίγνωσις ἦν, καὶ εὐσέβεια ἦν, ἀλλ' οὐκ ἀληθείας, γρ. τύπον φησί.
οὐ μὴν οὐδὲ ψευδὴς, ἀλλὰ τύπου καὶ εἰκόνος. καλῶς εἶπεν, ἐπ' ἐλπίδι ζωῆς αἰωνίου,
Ρωμ. ι. ε. ὅτι ἐκείνη ἐπ' ἐλπίδι ἦν ζωῆς τῆς παρούσης. Ὁ γὰρ ποιήσας αὐτὰ, φησι, ζήσεται ἐν αὐτοῖς. ὁρᾷς πῶς ἐκ προοιμίων ἤδη δείκνυται τῆς χάριτος τὸ μέσον; ἐκεῖνοι οὐκ ἐκλεκτοὶ, ἀλλ' ἡμεῖς. εἰ γὰρ καὶ αὐτοὶ ἐλέγοντο ἐκλεκτοὶ, ἀλλ' οὐκέτι. ἣν ἐπηγγείλατό, φησιν, ὁ ἀψευδὴς Θεὸς πρὸ χρόνων αἰωνίων, τουτέστιν οὐ νῦν ἐκ μεταμελείας, ἀλλ' ἄνωθεν ταῦτα προεώριστο.
Ρωμ. α. α. πολλαχοῦ τοῦτο τίθησιν, ὡς ὅταν λέγῃ, Ἀφωρισμένος εἰς τὸ εὐαγγέλιον τοῦ Θεοῦ· καὶ πάλιν,
Ρωμ. η. λ. Οὓς προέγνω, καὶ προώρισε, δεικνὺς τὴν εὐγένειαν τὴν ἡμετέραν, ὅτι ἡμᾶς οὐ νῦν, ἀλλ' ἄνω-

θεν

Digitized by Google

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

# ΙΩΑΝΝΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

τοῦ Χρυσοστόμου τῆς πρὸς Τίτον ἐπιστολῆς ἑρμηνεία.

Λογ. α. 1 ΠΑΥΛΟΣ ΔΟΥΛΟΣ ΘΕΟΥ, ΑΠΟΣΤΟΛΟΣ κεφ. α.
δὲ Ἰησοῦ Χριστοῦ, κατὰ πίστιν ἐκλεκτῶν Θεοῦ, καὶ ἐπίγνωσιν ἀληθείας τῆς κατ'
εὐσέβειαν, 2 Ἐπ' ἐλπίδι ζωῆς αἰωνίου, ἣν ἐπηγγείλατο ὁ ἀψευδὴς
Θεὸς πρὸ χρόνων αἰωνίων, ἐφανέρωσε δὲ καιροῖς ἰδίοις, 3 Τὸν λόγον
αὐτοῦ ἐν κηρύγματι, ὃ ἐπιστεύθην ἐγὼ κατ' ἐπιταγὴν τοῦ σωτῆρος ἡμῶν
Θεοῦ, Τίτῳ γνησίῳ τέκνῳ κατὰ κοινὴν πίστιν· 4 Χάρις καὶ εἰρήνη ἀπὸ
Θεοῦ πατρός, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν.

Τῶν Παύλῳ συνόντων δόκιμος οὗτος ἦν. Εἰ μὴ γὰρ ἦν δόκιμος, οὐκ ἂν αὐτῷ τὴν νῆσον ὁλόκληρον ἐπέτρεψεν, οὐκ ἂν τὰ ἐλλειφθέντα ἀναπληρῶσαι προσέταξεν (Ἵνα γάρ, φησί, τὰ λείποντα ἐπιδιορθώσῃ) οὐκ ἂν τοσούτων ἐπισκόπων κρίσιν ἐπέτρεψεν, εἰ μὴ σφόδρα ἐθάῤῥει τῷ ἀνδρί. Φασὶ δὲ αὐτὸν καὶ νέον εἶναι, διὰ τὸ τέκνον αὐτὸν λέγειν· πλὴν ἀλλ' οὔπω τοῦτο δῆλον ἀπὸ τούτου. Οἶμαι δὲ αὐτοῦ καὶ ἐν ταῖς πράξεσιν εἶναι μνείαν. Τάχα καὶ Κορίνθιος ἦν, εἰ μή τις ἕτερος ἦν ὁμώνυμος αὐτῷ. Καὶ Ζηνᾶν μὲν καλεῖ πρὸς ἑαυτόν, καὶ Ἀπολλὼ πεμφθῆναι βούλεται, τοῦτον δὲ οὔ. Καὶ γὰρ ἐναντίον τοῦ αὐτοκράτορος μείζονα τούτοις ἐμαρτύρει τὴν ἀνδρείαν καὶ τὴν ἀρετήν. Δοκοῦσι δέ μοι χρόνοι εἶναι μέσοι τινές, καὶ ἐν ἀδείᾳ Παῦλος ὢν γράφει ταῦτα. Οὐδὲν γὰρ περὶ πειρασμῶν φησι. Συνεχῶς δὲ περιστρέφει τοῦ Θεοῦ τὴν χάριν καὶ ἄνω καὶ κάτω, ἱκανὴν οὖσαν παράκλησιν τοῖς πεπιστευκόσι πρὸς ἀρετήν. Τὸ γὰρ μαθεῖν τίνων μὲν ἦσαν ἄξιοι, πρὸς τί δὲ μετέστησαν, καὶ ταῦτα χάριτι, καὶ τίνων ἠξίωνται, οὐ μικρὰ προτροπή. Ἀποτείνεται δὲ καὶ πρὸς Ἰουδαίους. Εἰ δὲ καὶ ὁλόκληρον τὸ ἔθνος ὑβρίζει, μὴ θαυμάσῃς. Καὶ ἐπὶ Γαλατῶν γὰρ αὐτὸ ποιεῖ λέγων· Ὦ ἀνόητοι Γαλάται. Οὐχ ὑβριστικοῦ δὲ τοῦτο ἤθους, ἀλλ' ἐρωτικοῦ. Εἰ μὲν γὰρ τῶν αὐτοῦ ἕνεκεν ταῦτα ἐποίει, εἰκότως ἄν τις αὐτῷ ἐπεμέμψατο· εἰ δὲ πεπυρωμένος καὶ ζέων ὑπὲρ τοῦ κηρύγματος, οὐχ ὑβριστικῶς αὐτὸ ἐποίει. Καὶ ὁ Χριστὸς δὲ μυρία ἐλοιδορεῖτο τοῖς γραμματεῦσι, καὶ Φαρισαίοις, ἀλλ' οὐχ ἑαυτοῦ ἕνεκεν, ἀλλ' ὅτι τοὺς ἄλλους ἀπό[illegible] ἀπώλλυον.

Margin notes: Τιτ. α. ι. — χ. τῷ ἀνδρί. γ. τέκνῳ αὐτοῦ γάρ ἐστιν αὐτ. — Τιτ. γ. ιγ. — χ. ἐπιμεμφθῆ-τω — Γαλ. γ. α.

σιλείων τῶν οὐρανῶν. βίας χρεία καὶ ἁρπαγῆς. οὐ γὰρ ἁπλῶς πρόκειται, οὐδὲ δὲ ἑτοίμως. ὁ ἁρπάζων, διαπαντὸς νήφει, διεγήγερται, φροντίζει καὶ μεριμνᾷ, ὥστε εὐκαίρως ἐπιθέσθαι τῇ ἁρπαγῇ. οὐχ ὁρᾶτε ἐν τοῖς πολέμοις, ὅτι ὁ ἁρπάσαι βουλόμενος δι' ὅλης τῆς νυκτὸς ἀγρυπνεῖ; δι' ὅλης ὥπλισται; Εἰ τοίνυν οἱ τὰ βιωτικὰ ἁρπάζοντες, καὶ νύκτα ἀγρυπνοῦσι, καὶ ὁπλίζονται, πῶς τὰ τούτων μείζονος δεόμενα τῆς σπουδῆς, τὰ πνευματικὰ, ἁρπάσαι βουλόμενοι, καὶ ἐν ἡμέρᾳ καθεύδομεν, καὶ ῥέγχομεν, καὶ ἀεὶ ἄοπλοι καὶ γυμνοὶ διατελοῦμεν; ὁ γὰρ ἐν ἁμαρτίαις στρεφόμενος, ἄοπλός ἐστι καὶ γυμνός, ὥσπερ ὁ ἐν δικαιοσύνῃ, ὡπλισμένος. οὐκ ἐλεημοσύνῃ περιφραττόμεθα ἑαυτοὺς, οὐ τὰς ἀναπτομένας λαμπάδας ἑαυτοῖς εὐτρεπίζομεν, οὐ συμφραττόμεθα ὅπλοις πνευματικοῖς, οὐ τὴν ὁδὸν μανθάνομεν τὴν ἐκφέρουσαν, οὐ νήφομεν, οὐ διεγηγέρμεθα· διὰ τοῦτο ἁρπάσαι οὐδὲν δυνάμεθα. — χ. ὥπλισται.

Εἴ τις βασιλείαν ἐπιθέσθαι βούλοιτο, οὐχὶ στρατιώτας μυρίους ἑαυτῷ ὑποτίθησι πρότερον; οὐχὶ συμφραξάμενος; οὐχὶ μελετήσας* τὴν πολεμικήν; οὐχὶ πάντα ὑπὲρ τούτου πράττει, καὶ οὕτως ὁρμᾷ πρὸς τὴν ἐπίθεσιν; ἀλλ' οὐχ ἡμεῖς οὕτως, ἀλλὰ καθεύδοντες ἁρπάζειν βουλόμεθα. τοιγάρτοι διὰ τοῦτο κεναῖς ἄπιμεν χερσίν. οὐχ ὁρᾷς τοὺς ἁρπάζοντας, πῶς φεύγουσι; πῶς τρέχουσι; πῶς διατέμνουσιν ἅπαντα; δρόμου χρεία. εὐθέως γάρ σου κατατρέχει ὁ διάβολος, καὶ τοῖς ἔμπροσθεν κωλύει κατασχεῖν. ἀλλ' ἐὰν ᾖς ἰσχυρὸς, ἐὰν ᾖς διεγηγερμένος, τὸν μὲν ἐλάκτισας, τὸν δ' ἀπώσω, πάντας διέφυγες ὡς πτηνός. κἂν ἀπέλθῃς λοιπὸν ἐντεῦθεν, κἂν τὴν ἀγορὰν ὑπερβῇς, καὶ τὸν πολὺν θόρυβον, ὅπερ ἐστὶν ὁ βίος, καὶ πρὸς τὰ μετέωρα τούτων ἔλθῃς, ὅπερ ἐστὶν ὁ μέλλων αἰών. καθάπερ γὰρ ἐν ἐρημίᾳ, οὐδεὶς θόρυβος, οὐδεὶς ὁ ἐνοχλῶν, οὐδεὶς ὁ κατέχων. ἀνήρπασας; ὀλίγου δεῖ πόνου μετὰ τὴν ἁρπαγὴν, ὥστε μὴ ἀφαιρεθῆναι τὸ ληφθέν. ἂν τρέχωμεν, ἂν μηδὲν ὁρῶμεν τῶν περὶ τοὺς ὀφθαλμοὺς κειμένων, ἂν μηδὲν ἕτερον φροντίζωμεν, ἀλλ' ὥστε τοὺς κωλύοντας διαδρᾶναι, δυνησόμεθα τὰ ἁρπαγέντα κατέχειν μετ' ἀσφαλείας. ἥρπασας τὴν σωφροσύνην; μὴ μείνῃς, φεῦγε, πόρρω γενοῦ τοῦ διαβόλου. ἂν ἴδῃ, ὅτι οὐκέτι δύναται καταλαβεῖν, οὐδὲ διώξει. οὕτω καὶ ἡμεῖς, ὅταν τοὺς ἁρπάσαντάς τι μηκέτι βλέπωμεν, ὡς ἀπαγορεύσαντες, οὔτ' αὐτοὶ κατατρέχομεν, οὔτε ἑτέροις παρακελευόμεθα κατέχειν, ἀλλ' ἀφίεμεν ἀπελθόντας μένειν. — * τέχνην

οὕτω καὶ σὺ δράμε σφοδρῶς παρὰ τὴν ἀρχήν. ὅταν πόρρω γένῃ τοῦ διαβόλου, οὐδὲ ἐπιχειρήσει λοιπὸν, ἀλλ' ἔσῃ ἐν ἀσφαλείᾳ, τῶν ἀγαθῶν ἀπολαύων τῶν ἀπορρήτων μετ' ἀδείας, ὧν γένοιτο πάντας ὑμᾶς ἐπιτυχεῖν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ καὶ προσκύνησις, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀμήν.

ἐκεῖθεν ἂν ᾖς φοβερός, οὐχὶ ἀνθρώποις μόνον, ἀλλὰ καὶ δαίμοσι, καὶ αὐτῷ τῷ διαβόλῳ ἔσῃ φοβερός. ἂν δὲ ἀπὸ τῶν χρημάτων τῶν ἐνταῦθα ἐκείνοις εὐκαταφρόνητος ἔσῃ, πολλάκις δὲ καὶ ἀνθρώποις. ὅσα ἂν πλουτήσῃς, ἐν τοῖς δουλικοῖς πλουτήσεις· ἂν δὲ τούτων ὑπερίδῃς, ἐν τῷ οἴκῳ τῷ βασιλικῷ λαμπρὸς ἔσῃ. τοιοῦτοι ἦσαν οἱ ἀπόστολοι, καταφρονήσαντες τῆς δουλικῆς οἰκίας, καὶ τῶν ἐνταῦθα χρημάτων. καὶ ὅρα πῶς τοῖς δεσποτικοῖς ἐπέστησαν. ὁ δεῖνα, φησιν, ἀπηλλάχθω νόσου, ἕτερος δαιμόνων, καὶ δῆσον ἐκεῖνον, καὶ λῦσον τοῦτον. ἐπὶ γῆς τοῦτο ἐγίνετο, ἀλλ' ὡς ἐν οὐρανοῖς ἐπλήρου. Ὅσα γὰρ ἂν δήσητε, φησιν, ἐπὶ γῆς, Ματθ. ιη. ιη. ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ. καὶ μείζονα αὐτοῖς ἔδωκεν αὐτοῦ ἐξουσίαν. καὶ ὅτι οὐκ ἐψευσάμην, ἄκουε αὐτοῦ λέγοντος, Ὁ πιστεύων εἰς ἐμέ, μείζονα ποιήσει, ὧν ἐγὼ ποιῶ. τί δήποτε; Ἰωαν. ιδ. ιβ. ὅτι καὶ οὕτως εἰς τὸν δεσπότην ἡ τιμὴ διαβαίνει. ἐπεὶ καὶ ἐν τοῖς ἡμετέροις πράγμασιν, ὅταν μεγάλα δύνηται ὁ οἰκέτης, μᾶλλον θαυμάζεται ὁ δεσπότης. Εἰ γὰρ ὁ οἰκέτης τοσαῦτα δύναται, πόσῳ μᾶλλον ὁ κρατῶν αὐτοῦ; Εἰ δέ τις ἀφεὶς τὴν δεσποτικὴν ὑπηρεσίαν, φροντίζοι τῆς αὐτοῦ γυναικός, καὶ τοῦ παιδίου, καὶ τοῦ οἰκέτου, καὶ βούλοιτο πλουτεῖν, ἀποπίπτεται ἐκεῖ ἢ κλέπτων, ἢ λυμαινόμενος τοῖς δεσποτικοῖς, ταχέως καὶ ἑαυτὸν μετὰ τῶν χρημάτων προσαπώλεσεν. διὸ ταῦτα ἔχοντες τὰ ὑποδείγματα, παρακαλῶ, μὴ φροντίζωμεν τῶν ἡμετέρων, ἵνα φροντίζωμεν ἑαυτῶν· καταφρονῶμεν αὐτῶν, ἵνα κτησώμεθα αὐτά. ἂν ἡμεῖς αὐτῶν καταφρονήσωμεν, αὐτὸς αὐτῶν ἐπιμελήσεται· ἂν ἡμεῖς ἐπιμελησώμεθα αὐτῶν, ὁ Θεὸς αὐτῶν καταφρονήσει. ἐν τοῖς τοῦ Θεοῦ κάμνωμεν, μὴ ἐν τοῖς ἡμετέροις, μᾶλλον δὲ ἐν τοῖς ἡμετέροις. τὰ γὰρ αὐτοῦ ἡμέτερα. οὐ λέγω οὐρανόν, οὐ λέγω γῆν, οὐ λέγω τὰ ἐν κόσμῳ. ταῦτα γὰρ αὐτοῦ ἀνάξια, ταῦτα οὐχ ἡμῶν μόνον ἐστίν, ἀλλὰ καὶ τῶν ἀπίστων. ἀλλὰ τίνα λέγω αὐτοῦ; δόξαν, βασιλείαν. ταῦτα καὶ αὐτοῦ, καὶ ἡμέτερα δι' αὐτόν. πῶς; Εἰ συμπαθαίνομεν, β. Τιμ. β. ιβ. φησι, καὶ συζήσομεν· εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν. συγκληρονόμοι ἐγενόμεθα, καὶ ἀδελφοὶ λεγόμεθα. τί ἡμεῖς ἑαυτοὺς κάτω κατάγομεν, αὐτοῦ ἡμᾶς ἄνω καὶ πρὸς ἑαυτὸν ἕλκοντος; μέχρι πότε πενιχροί, μέχρι πότε πτωχοί; οὐρανὸς πρόκειται, καὶ ἡμεῖς περὶ τὴν γῆν στρεφόμεθα; οὐρανοῦ βασιλεία, καὶ ἡμεῖς τὴν ἐνθάδε πενίαν αἱρούμεθα; ζωὴ ἀθάνατος, καὶ ἡμεῖς περὶ ξύλα, καὶ λίθους, καὶ ἀγροὺς δαπανώμεθα; γενοῦ πλούσιος, τοῦτο κἀγὼ βούλομαι. πλεονέκτησον, καὶ ἅρπασον. ἐνταῦθα οὐκ ἔστι μέμψις· ἐνταῦθα τὸ μὴ πλεονεκτῆσαι, ἔγκλημα· ἐνταῦθα τὸ μὴ ἁρπάσαι, κατηγορία. τί δὴ τοῦτό ἐστιν; Ἡ βασιλεία, Ματθ. ια. ιβ. φησί, τῶν οὐρανῶν βιάζεται, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν. γενοῦ βίαιος ἐκεῖ, γενοῦ ἅρπαξ, οὐ μειοῦται τὸ ἁρπαζόμενον. οὐδὲ γὰρ μερίζεται ἡ ἀρετή, οὐ μειοῦται οὐδὲ ἡ εὐσέβεια, οὐδὲ ἡ βασιλεία τῶν οὐρανῶν. τότε αὔξεται ἡ ἀρετή, ὅταν ἁρπάσῃς· τότε τὰ σωματικὰ μειοῦται, ὅταν ἁρπάσῃς. καὶ δῆλον ἐκεῖθεν· ἔστωσαν ἐν πόλει μυρίοι ἄνδρες. οὗτοι ἂν μὲν πάντες ἁρπάζωσι τὴν ἀρετὴν καὶ τὴν δικαιοσύνην, ἐπλεόνασαν αὐτήν (ἐν γὰρ τοῖς μυρίοις γίνονται δίκαιοι) ἂν δὲ μὴ ἁρπάσωσιν, ἠλάττωσαν. οὐδαμοῦ γὰρ φαίνεται. ὁρᾷς ὅτι ἐν τῷ ἁρπάζεσθαι πλεονεκτεῖ μᾶλλον τὰ ἀγαθά; ταῦτα δὲ ἐν τῷ ἁρπάζεσθαι μειοῦται μᾶλλον; μὴ τοίνυν τῇ πενίᾳ προσκαθεζώμεθα, ἀλλὰ τὸν πλοῦτον ἑλώμεθα. πλοῦτος Θεοῦ ἐστι, τὸ πολλοὺς εἶναι τοὺς ἀπολαύοντας τῆς βασιλείας. Ὁ πλουτῶν, φησιν, εἰς πάντας, καὶ ἐπὶ Ρωμ. ι. ιβ. πάντας τοὺς ἐπικαλουμένους αὐτόν. αὔξησον αὐτοῦ τὴν οὐσίαν, αὐξήσεις δὲ ἂν ἁρπάσῃς, ἂν πλεονεκτήσῃς, ἂν βιάσῃ. βίας ὄντως χρεία. τί δήποτε; ὅτι πολλοὶ οἱ κωλύοντες, γυναῖκες, παῖδες, φροντίδες, τὰ κοσμικὰ πράγματα, μετὰ τούτων δαίμονες, καὶ αὐτὸς ὁ τῶν δαιμόνων ἀρχηγέτης ὁ διάβολος. δεῖ τοίνυν βίας, δεῖ καρτερίας. ὁ βιαζόμενος ἐν πόνοις ἐστί. πῶς; πάντα ὑπομένει. καὶ πρὸς ἀνάγκην ἵσταται. πῶς; σχεδὸν τοῖς ἀδυνάτοις ἐπιχειρεῖ. Εἰ τοίνυν οἱ μὲν βιαζόμενοι τοιοῦτοι, ἡμεῖς δὲ οὐδὲ τοῖς δυνατοῖς ἐπιχειροῦμεν, πότε ἐπιτευξόμεθα; πότε ἀπολαυσόμεθα τῶν σπουδαζομένων; βιασταί, φησιν, ἁρπάζουσι τὴν βασιλείαν

Digitized by Google

καὶ Κλαυδία. Τοῦτον τὸν Λῖνον ἱστοροῦσί τινες δεύτερον μετὰ τὸν Πέτρον ἐπίσκοπον τῆς Ῥωμαίων ἐκκλησίας γεγενῆσθαι. καὶ Λῖνος, φησὶ, καὶ Κλαυδία. Ὁρᾷς πῶς καὶ γυναῖκες ἦσαν διάπυροι περὶ τὴν πίστιν, καὶ θερμαί; οἷα ἡ Πρίσκιλλα; οἷα αὕτη ἡ Κλαυδία; ἤδη ἐσταυρωμέναι; ἤδη παρατεταγμέναι; καὶ τί γὰρ δήποτε πολλῶν ὄντων πιστῶν, τούτων μέμνηται τῶν γυναικῶν; ἢ δῆλον ὡς ἐκβεβηκότων ἤδη τῇ γνώμῃ τῶν κοσμικῶν πραγμάτων, ὡς μᾶλλον λαμπόντων. οὐ γὰρ ἦν ἐμποδίσαι γυναῖκα οὖσαν. καὶ γὰρ καὶ τοῦτο τῆς τοῦ Θεοῦ χάριτος ἔργον, τὸ τὴν φύσιν ταύτην ἐν τοῖς βιωτικοῖς μόνον ἐμποδίζειν, μᾶλλον δὲ οὐδὲ ἐκεῖ. οὐδὲ γὰρ μικρὸν τῆς πάσης διοικήσεως αἱ διαδέχεται μέρος ἡ γυνὴ, τὸ οἰκουρόν· ἀλλ' ἐκείνης χωρὶς, οὐδὲ τὰ πολιτικὰ δυνήσεται συστῆναί ποτε. Εἰ γὰρ μέλλοι θορύβου καὶ ταραχῆς ἐμπεπλῆσθαι τὰ κατὰ τὴν οἰκίαν, ἕκαστος τῶν πολιτευομένων ἔμελλεν οἴκοι καθῆσθαι, καὶ τὰ κατὰ τὴν πόλιν κακῶς ἂν διακείσεται. ὥστε οὐδὲ ἐν ἐκείνοις τὸ ἔλαττον ἔχει, οὐδὲ ἐν τοῖς πνευματικοῖς. δύναται γὰρ μυριάκις ἀποθανεῖν, εἴπερ βούλοιτο. πολλαὶ γοῦν καὶ ἐμαρτύρησαν. δύναται σωφροσύνην ἀσκῆσαι, καὶ μᾶλλον τῶν ἀνδρῶν (ἅτε οὐ τοσαύτης ἐνοχλούσης αὐτῇ φλογὸς) καὶ κοσμιότητα, καὶ σεμνότητα ἐπιδείξασθαι, καὶ ἁγιασμὸν, Οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον, καὶ χρημάτων ὑπεροψίαν, εἴγε θέλοιεν, καὶ πάντα ἁπλῶς τὰ ἄλλα. Εβρ. 12. 14. Σπούδασον, φησὶ, πρὸ χειμῶνος ἐλθεῖν. πῶς αὐτὸν κατεπείγει; καίτοι οὐδαμοῦ τὸ λυπηρὸν τέθεικεν· οὐ λέγει, πρὶν ἐμὲ τελευτῆσαι, ἵνα μὴ λυπήσῃ, ἀλλὰ, πρὸ χειμῶνος ἐλθεῖν, ἵνα μὴ καταχεθῇς. Ἀσπάζεταί σε, φησὶν, Εὔβουλος, καὶ Πούδης, καὶ Λῖνος, καὶ Κλαυδία, καὶ οἱ ἀδελφοὶ πάντες. Ὀνόματι αὐτῶν οὐ μέμνηται. ὁρᾷς ὅτι ἐκεῖνοι θερμότεροι ἦσαν;

22 Ὁ Κύριος Ἰησοῦς Χριστὸς μετὰ τοῦ πνεύματός σου. Οὐδὲν ταύτης τῆς εὐχῆς ἄμεινον. μὴ ἄλγει, φησὶν, ὅτι ἀφίσταμαι· ὁ Κύριος μετὰ σοῦ. καὶ οὐκ εἶπε, μετὰ σοῦ, ἀλλὰ, μετὰ τοῦ πνεύματός σου. διπλῆ ἡ βοήθεια, τῆς χάριτος τοῦ πνεύματος, καὶ τοῦ Θεοῦ βοηθοῦντος αὐτῇ. καὶ ἄλλως δὲ οὐκ ἔστιν εἶναι τὸν Θεὸν μεθ' ἡμῶν, μὴ τῆς χάριτος οὔσης τῆς πνευματικῆς. Εἰ γὰρ ἐγκαταλειφθείημεν, πῶς ἔσται μεθ' ἡμῶν; Ἡ χάρις μεθ' ἡμῶν, ἀμήν.

Καὶ ἑαυτῷ λοιπὸν ἐπεύχεται· τουτέστιν, ὥστε ἀεὶ εὐαρέστως εἶναι αὐτῷ, ὥστε χάριν ἔχειν μετὰ τοῦ χαρίσματος. ταύτης γὰρ οὔσης, οὐδὲν ἔσται λυπηρόν. ὥσπερ γὰρ ὁ τὸν βασιλέα ὁρῶν, καὶ χάριν ἔχων παρ' αὐτῷ, οὐδενὸς ἐπαισθάνεται λυπηροῦ, οὕτω κἂν τῶν φίλων ἀπολιμπανώμεθα, κἂν εἰς δεινόν τι περιπέσωμεν, οὐδενὸς αἴσθησιν λαμβανόμεθα, τῆς χάριτος οὔσης ἐκείνης καὶ περιεχούσης ἡμᾶς.

ΗΘΙΚΟΝ

Πῶς δὲ ἔνι τὴν χάριν ἐπισπάσασθαι λοιπόν; τὰ τῷ Θεῷ φίλα πράττοντα, καὶ ἐν πᾶσιν αὐτῷ ὑπακούοντα. ἢ καὶ ἐν ταῖς μεγάλαις οἰκίαις οὐκ ἐκείνους ὁρῶμεν χάριν ἔχοντας τῶν οἰκετῶν, ὅσοι μὴ τὰ αὐτῶν μεριμνῶσιν, ἀλλὰ τὰ τῶν δεσποτῶν πάσῃ ψυχῇ καὶ προθυμίᾳ, οὐ δι' ἀνάγκην μόνην δεσποτικὴν, ἀλλὰ καὶ διὰ προθυμίαν καὶ διὰ φιλοστοργίαν εὖ διαπράττωσιν ἅπαντα; ὅταν ἀεὶ τρέχωσιν; ὅταν ἀεὶ ἐν τοῖς ὀφθαλμοῖς ὦσι τοῖς αὐτῶν; ὅταν ἐπὶ τῆς οἰκίας στρέφωνται; ὅταν μηδὲν ἴδιον πραγματεύωνται, μηδὲ τῶν οἰκείων φροντίζωσι; μᾶλλον δὲ ἀντὶ τῶν ἰδίων ἔχωσι τὰ δεσποτικά. * ὁ γὰρ τὰ αὐτοῦ τοῦ δεσπότου ποιησάμενος, οὐ τὰ αὐτοῦ τοῦ δεσπότου πεποίηκεν, ἀλλὰ τὰ τοῦ δεσπότου αὐτοῦ· ὁμοίως αὐτῷ ἐπιτάττει ἐν τοῖς ἐκείνου, ὁμοίως ἐκείνῳ κρατεῖ. πολλοὶ δὲ τῶν οἰκετῶν μᾶλλον αὐτοὶ δεδοίκασι, καὶ ὅπερ ἂν εἴπῃ τις οὗτος, τοῦτο κἀκεῖνος· πάντες οἱ ἐχθροὶ λοιπὸν ἐν φόβῳ. Εἰ δὲ ὁ ἐν τοῖς βιωτικοῖς τῶν αὐτοῦ καταφρονήσας, καὶ τὰ τοῦ δεσπότου ἑλόμενος, οὐχὶ κατεφρόνησε τῶν αὐτοῦ, ἀλλὰ μᾶλλον μειζόνων ἐπέτυχε, πολλῷ μᾶλλον ἐν τοῖς πνευματικοῖς. καταφρόνησον τῶν σῶν, καὶ ἔλαβες τὰ τοῦ Θεοῦ· βούλεται αὐτὸς τοῦτο. καταφρόνησον τῆς γῆς, καὶ ἅρπασον τὴν βασιλείαν τῶν οὐρανῶν. ἐκεῖ δίαγε, μὴ ἐνταῦθα. ἐκεῖθεν ἔσο φοβερὸς, μὴ ἐνταῦθα.

* πῶς οὐκ εἰκότως αὐτοῖς ἔσται διὰ τοῦτο ἡ χάρις

ἐκεῖθεν

πρότερος ποιεῖ ἐν τοῖς τοιούτοις κατορθώμασιν. Ἄσπασαι, φησί, Πρίσκιλλαν καὶ Ἀκύλαν. Οὗτοί
εἰσιν ὧν συνεχῶς μέμνηται, παρ' οἷς καὶ κατήχθη, οἱ τὸν Ἀπολλὼ προσλαβόμενοι. Προσ- Πράξ. ιη.
τίθησι δὲ τὴν γυναῖκα, ἐμοὶ "δοκεῖν, ἅτε σπουδαιοτέραν οὖσαν καὶ πιστοτέραν (αὕτη γὰρ καὶ αὐτὴ
τότε προσελάβετο τὸν Ἀπολλώ) ἢ καὶ ἀδιαφόρως τοῦτο ποιεῖ. Οὐ μικρὰ δὲ τούτοις ἦν παρα-
μυθία ἡ "προσρῆσις, ἀλλὰ τιμῆς καὶ ἀγάπης εἶχεν ἔνδειξιν, καὶ πολλῆς μετάληψιν χάριτος.
Ἀρκεῖ γὰρ καὶ ἀσπασμὸς μόνος τοῦ ἁγίου καὶ μακαρίου ἐκείνου πολλῆς ἐμπλῆσαι χάριτος τοὺς
τὴν προσηγορίαν δεξαμένους.

γ. δοκεῖ, ἴσ. πρόσρησις

20 Ἔραστος ἔμεινεν ἐν Κορίνθῳ, Τρόφιμον δὲ ἀπέλιπον ἐν Μιλήτῳ ἀσθενοῦντα.

Τοῦτον καὶ τὸν Τυχικὸν ἔγνωμεν ἐν τῇ τῶν Πράξεων βίβλῳ συναναχθέντας αὐτῷ ἀπὸ
τῆς Ἰουδαίας, καὶ πανταχοῦ συνόντας, ἴσως ὡς σπουδαιοτέρους τῶν ἄλλων. Τρόφιμον δὲ ἀ-
πέλιπον ἐν Μιλήτῳ, φησίν, ἀσθενοῦντα. Διὰ τί γὰρ μὴ ἰάσω αὐτόν, ἀλλ' ἀπέλιπες; οὐ
πάντα ἴσχυον οἱ ἀπόστολοι, ἢ οὐ πάντα ᾠκονόμουν τῇ χάριτι, ἵνα μή τις [εἰς] αὐτοὺς λογί-
σηται ὑπὲρ ὃ βλέπει. Τοῦτο καὶ ἐπὶ τῶν μακαρίων τῶν πρὸ αὐτοῦ γενομένων δικαίων ὁρῶ-
μεν συμβαῖνον καθάπερ ἐπὶ τοῦ Μωϋσέως, "ἰσχνόφωνος ἦν. Διὰ τί μὴ μετέβαλεν αὐτοῦ Ἐξοδ. δ.
τὴν ἰσχνότητα; πολλάκις ὑπὸ λύπης ἐβάλλετο καὶ ἀθυμίας, εἰς τὴν γῆν τῆς ἐπαγγελίας
οὐκ "εἰσῆλθε. Πολλὰ γὰρ συνεχώρει ὁ Θεός, ὥστε δείκνυσθαι τὸ ἀσθενὲς τῆς ἀνθρωπίνης
φύσεως. Εἰ γὰρ καὶ τούτων γενομένων, ἔλεγον οἱ ἀναίσθητοι Ἰουδαῖοι, Ποῦ ἐστι Μωϋσῆς, ὃς
ἐξήγαγεν ἡμᾶς ἐκ γῆς Αἰγύπτου; εἰ καὶ εἰσήγαγεν αὐτοὺς εἰς τὴν γῆν τῆς ἐπαγγελίας, τί Ἐξοδ. λβ. α.
οὐκ ἂν ἔπαθον; εἰ μὴ συνεχώρησεν αὐτῷ κρατῆσαι τὸν φόβον τὸν τοῦ Φαραώ, οὐκ ἂν Θεὸν
αὐτὸν ἐνόμισαν; "οὕτω καὶ περὶ Παῦλον καὶ Βαρνάβαν τοὺς τὴν Λύστραν οἰκοῦντας ὁρῶμεν Πράξ. ιδ.
παθόντας ἐπ' αὐτῶν, καὶ θεοὺς αὐτοὺς νομίσαντας, ὅτε διαρρήξαντες αὐτῶν τὰ ἱμάτια, ἐξεπή-
δησαν εἰς τὸν ὄχλον κράζοντες καὶ λέγοντες· Ἄνδρες, τί ταῦτα ποιεῖτε; καὶ ἡμεῖς ὁμοιοπαθεῖς Πράξ. ιδ. ιε.
ὑμῖν ἐσμεν ἄνθρωποι. Καὶ ὁ Πέτρος πάλιν ἡνίκα τὸν ἐκ γενετῆς χωλὸν ἰάσατο, πάντων ἐκ-
πλαγέντων ἐπὶ τῷ γεγονότι, ἀπεκρίνατο λέγων, Ἄνδρες Ἰσραηλῖται, τί θαυμάζετε ἐπὶ Πράξ. γ. ιβ.
τούτῳ, ἢ ἡμῖν τί ἀτενίζετε, ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν; ἄ-
κουε δὲ πάλιν καὶ τοῦ μακαρίου Παύλου λέγοντος, Καὶ ἐδόθη μοι σκόλοψ τῇ σαρκί, ἵνα μὴ β. Κορ. ιβ. ζ.
ὑπεραίρωμαι. Ἀλλὰ ταπεινοφροσύνης, φησίν, ὁ λόγος. Ἄπαγε, οὐκ ἔστι τοῦτο. Οὐ γὰρ
διὰ τοῦτο ἐδόθη αὐτῷ σκόλοψ, ἵνα ταπεινοφρονῇ, οὐδὲ διὰ ταπεινοφροσύνην μόνον ἔφη τοῦ-
το, ἀλλὰ καὶ δι' ἄλλας αἰτίας. Ὅρα γοῦν πῶς ὁ Θεὸς ἀπολογούμενος, οὔ φησιν αὐτῷ, Ἀρκεῖ σοι
ἡ χάρις μου, ἵνα μὴ ὑπεραίρῃ, ἀλλὰ τί; Ἡ γὰρ δύναμίς μου, φησίν, ἐν ἀσθενείᾳ τελειοῦται.
Δύο τοίνυν "συνεγίνετο, καὶ φανερὰ ἐδείκνυτο τὰ γινόμενα, καὶ τὸ ὅλον ἐπιγράφειν τῷ Θεῷ.
Διὰ τοῦτο καὶ ἀλλαχοῦ ἔλεγεν, Ἔχομεν τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσι, τουτέστι, β. Κορ. δ. ζ.
παθητοῖς καὶ ἀσθενέσι σώμασι. Διὰ τί; Ἵνα ἡ ὑπερβολὴ τῆς δυνάμεως ᾖ τοῦ Θεοῦ, καὶ μὴ ἐξ
ἡμῶν. Εἰ μὴ παθητὰ ἦν τὰ σώματα, αὐτοῖς ἂν ἐπέγραφεν ἅπαντα. Καὶ ἀλλαχοῦ ὁρῶ-
μεν αὐτοὺς ἀλγοῦντας ἐπὶ ἀρρωστίᾳ (περὶ γὰρ τοῦ Ἐπαφροδίτου ἔλεγε· Καὶ γὰρ ἠσθένησε Φιλιπ. β. κζ.
παραπλήσιον θανάτῳ, ἀλλ' ὁ Θεὸς αὐτὸν ἠλέησε) καὶ πολλὰ δὲ καὶ ἄλλα ἀγνοοῦντα, συμφε-
ρόντως καὶ αὐτοῖς, καὶ τοῖς μαθητευομένοις. Τρόφιμον δέ, φησίν, ἀπέλιπον ἐν Μιλήτῳ ἀσθε-
νοῦντα. Ἡ Μίλητος τῆς Ἐφέσου ἐγγὺς οὖσα τυγχάνει. Ἆρα ὅτε ἀπέπλεεν ἐπὶ τὴν Ἰουδαί-
αν, ἢ τοῦτο καιροῦ ἄλλου φήσομεν; μετὰ μὲν γὰρ τὸ γενέσθαι ἐν Ῥώμῃ, πάλιν εἰς τὴν Σπανί-
αν ἀπῆλθεν. Εἰ δὲ ἐκεῖθεν πάλιν εἰς ταῦτα τὰ μέρη, οὐκ ἴσμεν. Πάντων γοῦν ὁρῶμεν
αὐτὸν μεμονωμένον. Δημᾶς με γὰρ ἐγκατέλιπε, φησί. Κρήσκης γὰρ εἰς Γαλατίαν,
Τίτος εἰς Δαλματίαν, Ἔραστος ἔμεινεν ἐν Κορίνθῳ· Τρόφιμον ἀπέλιπον ἐν Μιλήτῳ ἀ-
σθενοῦντα.

21 Σπούδασον πρὸ χειμῶνος ἐλθεῖν. Ἀσπάζεταί σε Εὔβουλος, καὶ Πούδης, καὶ Λῖνος,

γ. ὃν ἰσχνόφωνον ὄντα οὐ μετέβαλεν
γ. εἰσῆλθεν
γ. ὅτε καὶ Παῦλος καὶ Βαρνάβας ἐποίησαν, ὅτε καὶ τῶν Λύστρων οἰκοῦντες ὁρῶντες αὐτοὺς τι ποιοῦντας, καὶ ὡς θεοὺς ἀλλοτρίους δοξάσαντες ἐθαύμαζον
γ. συνέβαινεν ἐκ τούτου

τοίνυν ἐκεῖνον διὰ τῆς χάριτος ταῦτα ἐργάσασθαι, ἀλλ' οὐδὲ τούτων, οὐδὲ ὁπλίζει αὐτὸν κατ' αὐτοῦ, ἀλλ' ἀναχωρεῖν μόνον κελεύει, τῷ Θεῷ παραχωροῦντα τῆς τιμωρίας. καὶ πρὸς παραμυθίαν τῶν ἀσθενεστέρων τοῦτο εἴρηκε, τὸ, ἀποδώσει αὐτῷ· ὃ καὶ προφητεία ἐστὶν, οὐκ ἀρά. ὅτι δὲ ὑπὲρ τοῦ τὸν μαθητὴν ἀλεῖψαι ταῦτα λέγει, καὶ ἐκ τῶν ἑξῆς δῆλον. ἀλλ' ὅρα πάλιν πῶς ἑτέρους πειρασμοὺς αὐτοῦ '' διηγεῖται. γρ. ἀεὶ διηγεῖται.

16 Ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ, φησὶν, οὐδείς μοι συμπαρεγένετο, πάντες με ἐγκατέλιπον· μὴ αὐτοῖς λογισθείη. Ὁρᾷς πῶς φείδεται τῶν οἰκείων; καίτοι ἔργον εἰργάσαντο δεινόν. οὐ γάρ ἐστιν ἴσον παρὰ τῶν ἔξωθεν καταφρονεῖσθαι, καὶ παρὰ τῶν οἰκείων. ὁρᾷς ἐπιτεταμένην ἀθυμίαν; οὐκ ἔχεις εἰπεῖν, ὅτι παρὰ μὲν τῶν ἔξωθεν ἐπολεμούμην, εἶχον δὲ παραμυθίαν, τὴν θεραπείαν καὶ τὴν συμμαχίαν τῶν ἐμῶν. καὶ γὰρ καὶ ἐκεῖνοί με προέδωκαν. πάντες με ἐγκατέλιπον, φησίν. ἆρα οὐ μικρὸν ἁμάρτημα τοῦτο. εἰ γὰρ ἐν πολέμῳ τὸν κινδυνεύοντα ὁ ἀφεὶς, καὶ τῆς τῶν ἐχθρῶν ἑαυτὸν ὑπεξάγων χειρὸς, ὑπὸ τῶν οἰκείων πλήττεται εἰκότως, ὡς τὸ πᾶν διαφθείρας καὶ προδοὺς, πολλῷ μᾶλλον ἐν τῷ κηρύγματι. ποίαν δὲ πρώτην ἀπολογίαν λέγει; παρέστη ἤδη τῷ Νέρωνι, καὶ διέφυγεν. ἐπειδὴ δὲ τὸν οἰνοχόον αὐτοῦ κατήχησε, τότε αὐτὸν ἀπέτεμεν. ἰδοὺ πάλιν προτροπὴ τῷ μαθητῇ διὰ τῶν ἐπαγγελιῶν·

17 Ἀλλ' ὁ Κύριός μοι παρέστη, καὶ ἐνεδυνάμωσέ με. Τὸν γὰρ ὑπὸ ἀνθρώπων ἐγκαταλιμπανόμενον οὐκ ἀφίησί τι παθεῖν δεινὸν ὁ Θεός. καὶ ἐνεδυνάμωσέ με, φησί· τουτέστι, παρρησίαν ἐχαρίσατο, οὐκ ἀφῆκε καταπεσεῖν. Ἵνα δι' ἐμοῦ τὸ κήρυγμα πληροφορηθῇ· Τουτέστι, πληρωθῇ. ὅρα τὴν ταπεινοφροσύνην αὐτοῦ τὴν πολλήν. οὐχ ὡς ἄξιον τυχεῖν τῆς δωρεᾶς, φησὶν ἐνεδυνάμωσέ με, ἀλλ' ἵνα τὸ κήρυγμα πληροφορηθῇ, ὃ ἦμην ἐμπεπιστευμένος. ὡς ἂν εἴ τις ἁλουργίδα καὶ διάδημα βαστάζοι, καὶ δι' αὐτὴν σώζοιτο. Καὶ ἀκούσῃ, φησὶ, πάντα τὰ ἔθνη. Τί ἐστι τοῦτο; ἵνα πᾶσι, φησὶ, κατάδηλος γένηται καὶ τοῦ κηρύγματος ἡ περιφάνεια, καὶ τῆς περὶ ἐμὲ προνοίας ἡ κηδεμονία.

Καὶ '' ἐρρύσατό με ἐκ στόματος λέοντος. γρ. ἐρρύσθην

18 Καὶ ῥύσεταί με ὁ Κύριος ἀπὸ παντὸς ἔργου πονηροῦ. Ὅρα πῶς παρὰ μικρὸν ἦλθεν ἀποθανεῖν. εἰς αὐτὴν τοῦ λέοντος ἐνέπεσε τὴν φάρυγγα. λέοντα γὰρ τὸν Νέρωνά φησι, διὰ τὸ θηριῶδες, καὶ ἰσχυρὸν τῆς βασιλείας αὐτοῦ, καὶ ἀκατάπληκτον. καὶ ἐρρύσατό με, φησὶν, ὁ Κύριος, καὶ ῥύσεται. εἰ ῥύσεται πάλιν, πῶς ἔλεγεν, ὅτι ἤδη σπένδομαι; ἀλλὰ πρόσσχες τῇ φωνῇ. ἐρρύσατό με, φησὶν, ἐκ στόματος λέοντος· καὶ πάλιν ῥύσεται, οὐκέτι ἐκ στόματος, ἀλλὰ τί; ἀπὸ παντὸς ἔργου πονηροῦ. τότε μὲν γάρ με τῶν κινδύνων ἐξήρπασεν. ἐπειδὴ δὲ τὸ ἱκανὸν τῷ εὐαγγελίῳ γέγονε, ῥύσεταί με πάλιν ἀπὸ παντὸς ἁμαρτήματος, τουτέστιν, οὐκ ἀφήσει καταγνωσθέντα ἀπελθεῖν. καὶ γὰρ καὶ τοῦτο τὸ δυνηθῆναι μέχρις αἵματος ἀντικαταστῆναι πρὸς τὴν ἁμαρτίαν, καὶ μὴ ἐνδοῦναι, ἑτέρου λέοντός ἐστι '' ῥύσασθαι, τοῦ διαβόλου. ὥστε μείζων αὕτη τῆς προτέρας ἡ σωτηρία, ὅτι δοκεῖ ἐκδίδοσθαι. γρ. ῥυσθῆναι,

Καὶ σώσει εἰς τὴν βασιλείαν αὐτοῦ τὴν ἐπουράνιον, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ἆρα αὕτη ἐστὶν ἡ σωτηρία, ὅταν ἐκεῖ διαλάμπωμεν. τί ἐστι, σώσει εἰς τὴν βασιλείαν αὐτοῦ; ἐξαρπάσει με, φησὶ, πάσης αἰτίας, καὶ ἐκεῖ φυλάξει. τοῦτο γάρ ἐστι σωθῆναι εἰς τὴν βασιλείαν, τὸ ἐνταῦθα δι' αὐτὴν ἀποθανεῖν. Ἰωάν. ιβ. κε. Ὁ μισῶν γὰρ, φησὶ, τὴν ψυχὴν αὐτοῦ ἐν τῷ κόσμῳ τούτῳ, εἰς ζωὴν αἰώνιον φυλάξει αὐτήν. ᾧ ἡ δόξα. ἰδοὺ δοξολογία τοῦ υἱοῦ.*

* πῶς οὐκ ἴσος τῷ πατρὶ, ὃ τὴν αὐτὴν δοξολογίαν, ἣν καὶ ἐκεῖνος, λαμβάνει;

19 Ἄσπασαι Πρίσκιλλαν, καὶ Ἀκύλαν, καὶ τὸν Ὀνησιφόρου οἶκον.

Αὐτὸς γὰρ ἐκεῖ ἦν ἐν Ῥώμῃ, καθώς φησι· β. Τιμ. α. ιη. Δῴη αὐτῷ ὁ Κύριος εὑρεῖν ἔλεος παρὰ Κυρίου ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. διὰ τῆς προσηγορίας τῆς τούτου καὶ τοὺς ἐν τῇ οἰκίᾳ προθυμο-

τέρους

ἀλλ᾽ ἐπειδὴ μόνος εἰμί, φησιν, οὐδένα ἔχω τὸν συναντιλαμβανόμενόν μου. Δημᾶς μὲν γάρ ἐγκατέλιπεν, ἀγαπήσας τὸν νῦν αἰῶνα, καὶ ἐπορεύθη εἰς Θεσσαλονίκην· τουτέστι, τῆς ἀνέσεως ἐρασθεὶς, τοῦ ἀκινδύνου καὶ τοῦ ἀσφαλοῦς, μᾶλλον εἵλετο οἴκοι τρυφᾶν, ἢ μετ᾽ ἐμοῦ ταλαιπωρεῖσθαι, καὶ συνδιαφέρειν μοι τοὺς παρόντας κινδύνους. "τοῦτον διέβαλε μόνον, οὐκ αὐτὸν διαβαλεῖν βουλόμενος, ἀλλ᾽ ἡμᾶς στηρίξαι, ὥστε μὴ μαλακίζεσθαι ἐν τοῖς κινδύνοις, μηδὲ ἐν τοῖς πόνοις (τοῦτο γάρ ἐστι, τὸν παρόντα ἀγαπῆσαι αἰῶνα) ἅμα δὲ καὶ τὸν μαθητὴν ἐπισπάσασθαι βουλόμενος. Κρήσκης, φησὶν, εἰς Γαλατίαν, Τίτος εἰς Δαλματίαν. τούτους οὐκέτι διαβάλλει. καὶ γὰρ ὁ Τίτος τῶν σφόδρα θαυμαστῶν ἦν, "ὥστε αὐτῷ τὰ κατὰ τὴν νῆσον ἐγχειρίσαι, νῆσον οὐ μικρὰν, ἀλλὰ καὶ σφόδρα μεγάλην, τὴν Κρήτην λέγω. Λουκᾶς ἐστι μόνος μετ᾽ ἐμοῦ. αὐτὸς γὰρ σφόδρα ἀδιασπάστως εἶχεν αὐτοῦ [ὁ καὶ τὸ εὐαγγέλιον γράψας, καὶ τὰς καθολικὰς πράξεις] φιλόπονος ὢν, καὶ φιλομαθὴς, καὶ καρτερικός. περὶ τούτου φησὶ γράφων, Οὗ ὁ ἔπαινος ἐν τῷ εὐαγγελίῳ διὰ πασῶν τῶν ἐκκλησιῶν. Μάρκον ἀναλαβὼν, ἄγε μετὰ σεαυτοῦ. τίνος ἕνεκεν; ἔστι γάρ μοι εὔχρηστος εἰς διακονίαν. οὐκ εἰς τὴν ἀνάπαυσιν λέγει τὴν ἑαυτοῦ, ἀλλ᾽ εἰς τὴν διακονίαν τοῦ εὐαγγελίου. καὶ γὰρ ἐν δεσμοῖς ὢν, οὐκ ἐπαύετο κηρύττων. ἄρα καὶ τὸν Τιμόθεον τούτου ἕνεκεν ἐκάλει, οὐ τῆς αὐτοῦ ἕνεκεν, ἀλλ᾽ ὑπὲρ τοῦ εὐαγγελίου, ὥστε μηδεμίαν γενέσθαι ταραχὴν κατὰ τὴν αὐτοῦ τελευτὴν τοῖς πιστοῖς, τῶν αὐτοῦ μαθητῶν πολλῶν παρόντων, καὶ κωλυόντων θορύβους, καὶ παραμυθουμένων τοὺς ἀφορήτως φέροντας αὐτοῦ τὴν τελευτήν. καὶ γὰρ ἄνδρας ἀξιολόγους εἰκὸς ἦν εἶναι τοὺς πεπιστευκότας ἐπὶ τῆς Ῥώμης. Τυχικὸν δὲ ἀπέστειλα εἰς Ἔφεσον. τὸν "φελόνην, ὃν ἀπέλιπον ἐν Τρωάδι παρὰ Κάρπῳ, ἐρχόμενος φέρε, καὶ τὰ βιβλία, μάλιστα τὰς μεμβράνας. Φαιλόνην ἐνταῦθα τὸ ἱμάτιον λέγει· τινὲς δέ φασι τὸ γλωσσόκομον, ἔνθα τὰ βιβλία ἔκειτο. τί δὲ αὐτῷ τῶν βιβλίων ἔδει μέλλοντι ἀποδημεῖν πρὸς τὸν Θεόν; καὶ μάλιστα ἔδει, ὥστε αὐτὰ τοῖς πιστοῖς παραθέσθαι, καὶ ἀντὶ τῆς αὐτοῦ διδασκαλίας ἔχειν αὐτά. πάντας μὲν οὖν τοὺς πιστοὺς εἰκὸς τότε μεγάλην ἔχειν πληγὴν, μάλιστα δὲ τοὺς παρόντας τῇ τελευτῇ, καὶ ἀπολαύοντας αὐτοῦ τότε. τὸν δὲ "φελόνην ζητεῖ, ὥστε μὴ δεηθῆναι παρὰ ἑτέρου λαβεῖν. ὁρᾷς γὰρ αὐτὸν ὑπὲρ τούτου πολλὴν ποιούμενον τὴν σπουδὴν, καὶ λέγοντα ἑτέρωθι, ἡνίκα πρὸς τοὺς ἀπὸ τῆς Ἐφέσου διελέγετο· Γινώσκετε, ὅτι ταῖς χρείαις μου, καὶ τοῖς οὖσι μετ᾽ ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται. καὶ πάλιν, Μακάριόν ἐστι διδόναι μᾶλλον, ἢ λαμβάνειν.

[Marg.: ἴσ. τοῦτο — χ. ἢ ὥστε θαυμαστὸς, ὥστε τὴν νῆσον ἐγχειρισθῆναι — β. Κορ. η. ιη. — χ. φαιλόνην — χ. φαιλόνην — Πράξ. κ. λδ. λε.]

14 Ἀλέξανδρος ὁ χαλκεὺς πολλά μοι κακὰ ἐνεδείξατο. ἀποδῴη αὐτῷ ὁ Κύριος κατὰ τὰ ἔργα αὐτοῦ. Πάλιν ἐνταῦθα μέμνηται πειρασμοῦ, οὐχ ἁπλῶς ἐκεῖνον βουλόμενος διαβαλεῖν, οὐδὲ κατηγορῆσαι αὐτοῦ, ἀλλὰ τὸν μαθητὴν ἀλεῖψαι πρὸς τοὺς ἀγῶνας, ὥστε φέρειν γενναίως, κἂν εὐτελεῖς ὦσιν οἱ τὰς πείρας προσάγοντες, κἂν οὐδαμινοὶ, κἂν ἄτιμοι. δεῖ, φησι, πάντα φέρειν γενναίως. ὁ γὰρ ὑπὸ μεγάλου τινὸς παθὼν κακῶς, ἔχει παραμυθίαν οὐ μικρὰν, τὴν τοῦ ποιοῦντος ὑπεροχήν· ὁ δὲ ὑπὸ εὐτελοῦς καὶ ἀτιμωμένου, μείζονα ἔχει τὴν ὀδύνην. πολλά μοι κακὰ ἐνεδείξατο, τουτέστιν, ἔθλιψέ με διαφόρως. ἀλλ᾽ οὐκ ἀτιμώρητι, φησι, ταῦτα αὐτῷ προχωρήσει. ἀποδώσει γὰρ ὁ Κύριος κατὰ τὰ ἔργα αὐτοῦ. ὥσπερ γράφων ἔλεγεν ἀνωτέρω, Οἵους διωγμοὺς ὑπήνεγκα, καὶ ἐκ πάντων με ἐρρύσατο ὁ Κύριος, οὕτω καὶ ἐνταῦθα διπλῇ παρεκάλεσε τὸν μαθητὴν, τῷ τε κακῶς παθεῖν, καὶ τῷ ἐκεῖνον ἀπολήψεσθαι· οὐχ ὡς τῶν ἁγίων ταῖς τιμωρίαις "ἐπιχαιρόντων ἁπλῶς, ἀλλ᾽ ὡς τοῦ κηρύγματος δεομένου, καὶ τῶν ἀσθενεστέρων, τῆς ἐντεῦθεν παραμυθίας.

[Marg.: β. Τιμ. γ. ια. — χ. ἐπιχαιρόντων]

15 Ὃν καὶ σὺ, φησι, φυλάσσου. λίαν γὰρ ἀνθέστηκε τοῖς ἡμετέροις λόγοις· Τουτέστι, πολεμεῖ καὶ ἐναντιοῦται. καὶ οὐκ εἶπε, τιμώρησαι, κόλασον, ἀπέλασον, καί-

κερδαίνειν ἐκ τῶν δεινῶν, καὶ βλάπτεσθαι. οὐ παρὰ τὴν φύσιν τῶν δεινῶν τοῦτο γίνεται, ἀλλὰ παρὰ τὴν ἡμετέραν προαίρεσιν. οἷόν τι λέγω· ἔπαθε τοσαῦτα ὁ Ἰώβ, εὐχαρίστως ἤνεγκεν, ἐδικαιώθη, οὐκ ἐπειδὴ ἔπαθεν, ἀλλ' ἐπειδὴ παθὼν εὐχαρίστως ἤνεγκεν. ἕτερος τὰ αὐτὰ παθών, μᾶλλον δὲ οὐδὲ τὰ αὐτά (οὐδεὶς γάρ ἐστιν ὁ τοιαῦτα παθὼν) ἀλλὰ πολλῷ ἐλάττονα, ἐδυσφήμησεν, ἠγανάκτησε, κατηράσατο τῷ κόσμῳ πάντι, ἐδυσχέραινε πρὸς τὸν Θεόν. οὗτος κατεκρίθη καὶ κατεδικάσθη, οὐκ ἐπειδὴ πέπονθεν, ἀλλ' ἐπειδὴ ἐβλασφήμησεν. ἐβλασφήμησε δέ, οὐ παρὰ τὴν ἀνάγκην τῶν συμβάντων· ἐπεὶ εἰ ἡ ἀνάγκη τῶν συμβάντων τοῦτο ἐποίησεν, ἔδει καὶ τὸν Ἰὼβ βλασφημῆσαι. εἰ δὲ χαλεπώτερα παθὼν οὐδὲν τοιοῦτον εἰργάσατο, οὐ παρὰ τοῦτο ταῦτα συνέβη, ἀλλὰ παρὰ τὴν ἀσθένειαν τῆς προαιρέσεως. ἰσχυρὰς οὖν δεῖ ἡμῖν ψυχάς, καὶ οὐδὲν ἡμῖν χαλεπὸν φανεῖται, ὥσπερ ἀσθενούσαις, οὐδὲν ὅπερ οὐ χαλεπόν. παρὰ τὴν ἡμετέραν διάθεσιν πάντα καὶ φορητὰ καὶ ἀφόρητα γίνεται. ταύτην ὀχυρώσωμεν, καὶ πάντα οἴσομεν εὐκόλως. καὶ γὰρ τὸ δένδρον, ὅταν μὲν κατὰ βάθους παραπέμψῃ τὰς ῥίζας, οὐδὲ σφοδρὰ καταιγὶς αὐτὸ διασαλεῦσαι δυνήσεται· ἂν δὲ ἐξ ἐπιπολῆς ᾖ κείμενον, καὶ ὑπὸ τῆς ἐπιφανείας, κἂν μικρὰ προσπέσῃ ἀνέμου ῥοπή, πρόρριζον αὐτὸ ἀνέσπασεν· οὕτω καὶ ἐφ' ἡμῶν, ἐὰν καθηλώσωμεν τὰς σάρκας ἡμῶν τῷ φόβῳ τοῦ Θεοῦ, οὐδὲν παρασαλεῦσαι δυνήσεται· ἐὰν δὲ ἁπλῶς περιπατῶμεν, καὶ μικρὰ ῥοπὴ ἠφάνισε καὶ ἀπώλεσε. διὸ παρακαλῶ μετὰ πολλῆς τῆς προθυμίας ἅπαντα φέρειν, καὶ μιμεῖσθαι τὸν προφήτην τὸν λέγοντα, Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου. ὅρα τί φησιν, ἐκολλήθη ἡ ψυχή μου. οὐχ ἁπλῶς εἶπεν, ἤγγισεν, ἀλλ', ἐκολλήθη. καὶ πάλιν, Ἐδίψησέ σε ἡ ψυχή μου· οὐχ ἁπλῶς εἶπεν, ἐπεπόθησεν, ἵνα τὸ σφοδρὸν τοῦ πόθου διὰ τούτων ἐμφήνῃ τῶν λέξεων. καὶ πάλιν, Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου. βούλεται γὰρ ἡμᾶς ἀεὶ προσκολλᾶσθαι αὐτῷ, οὕτω καὶ συνδεδέσθαι, ὡς μηδέποτε αὐτοῦ ἀφίστασθαι. ἂν οὕτως ἐχώμεθα τοῦ Θεοῦ, ἂν προσηλώσωμεν αὐτῷ τὰς ἡμετέρας διανοίας, ἂν διψῶμεν αὐτοῦ τὸν πόθον, καὶ πάντα ἡμῖν ἔσται ἅπερ βουλόμεθα, καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτευξόμεθα.

Ψαλ. ξβ. κ. β. Ψαλ. ριη. ρκ.

γ. οὐχ ἁπλῶς ἤγγισεν, ἀλλ' ἐκολλήθη, καὶ ἐδίψησέ σε. οὐχ ἁπλῶς ἐπεπόθησε. καὶ καθήλωσον, φησιν, ἐκ τοῦ φόβου σου τὰς σάρκας μου.

Λογ. ι. 9 ΣΠΟΥΔΑΣΟΝ ἘΛΘΕΙΝ ΠΡΟΣ ΜΕ ΤΑΧΕΩΣ. 10 Δημᾶς γάρ με ἐγκατέλιπεν, ἀγαπήσας τὸν νῦν αἰῶνα, καὶ ἐπορεύθη εἰς Θεσσαλονίκην, Κρήσκης εἰς Γαλατίαν, Τίτος εἰς Δαλματίαν· 11 Λουκᾶς ἐστι μόνος μετ' ἐμοῦ. Μάρκον ἀναλαβὼν, ἄγε μετὰ σεαυτοῦ. ἔστι γάρ μοι εὔχρηστος εἰς διακονίαν.
12 Τυχικὸν δὲ ἀπέστειλα εἰς Ἔφεσον. 13 Τὸν φελόνην, ὃν ἀπέλιπον ἐν Τρωάδι παρὰ Κάρπῳ, ἐρχόμενος φέρε, καὶ τὰ βιβλία, μάλιστα τὰς μεμβράνας.

γ. φαιλόνην

Ἄξιον ζητῆσαι πῶς καλεῖ τὸν Τιμόθεον πρὸς ἑαυτόν, εἴγε ἐκκλησίαν πεπιστευμένος ἦν, καὶ ἔθνος ὁλόκληρον. οὐκ ἀπονοίας ἦν τὸ πρᾶγμα. αὐτὸς γὰρ ἕτοιμος ἦν ἐλθεῖν πρὸς αὐτόν. ἄκουε γοῦν αὐτοῦ λέγοντος, Ἐὰν δὲ βραδύνω, ἵνα εἰδῇς πῶς δεῖ ἐν οἴκῳ Θεοῦ ἀναστρέφεσθαι. ἀλλὰ τίνος ἕνεκεν; ἀνάγκη κατείληπτο πολλή, καὶ κύριος ἀποδημίας οὐκ ἔτι ἦν. δεσμωτήριον ᾤκει, καὶ συνεκέκλειστο ὑπὸ τοῦ Νέρωνος, καὶ ὅσον οὔπω ἔμελλε τελευτᾶν. ἵνα οὖν μὴ τοῦτο γένηται πρὸ τοῦ τὸν μαθητὴν ἰδεῖν, διὰ τοῦτο αὐτὸν καλεῖ, θεάσασθαι ποθῶν πρὸ τῆς τελευτῆς, καὶ ἴσως πολλὰ παραθέσθαι· διό φησι, σπούδασον πρὸ χειμῶνος ἐλθεῖν πρός με. Δημᾶς γάρ με ἐγκατέλιπεν, ἀγαπήσας τὸν νῦν αἰῶνα. καὶ οὐ λέγει, ἵνα σε ἴδω πρὶν ἀπελθεῖν ἐκ τοῦ βίου, ὃ μάλιστα ἐλύπει, ἀλλ'

α. Τιμ. γ. ιε.

Digitized by Google

φιλίαι τῶν ἀνθρώπων μόναι, ἀλλὰ καὶ ἀπειλαί, καὶ θάνατοι, καὶ μυρία ἕτερα. ἀλλὰ πρὸς ἅπαντα ἔστη. πῶς; νήφων καὶ ἐγρηγορώς. ἱκανὰ μὲν οὖν καὶ ταῦτα πρὸς παραμυθίαν τοῦ μαθητοῦ, αὐτὸς δὲ καὶ τὰ ἔπαθλα προστίθησι. ποῖα δὲ ταῦτα;

8 Λοιπὸν ἀπόκειταί μοι, φησιν, ὁ τῆς δικαιοσύνης στέφανος. Δικαιοσύνην ἐνταῦθα πάλιν τὴν καθόλου φησὶν ἀρετήν. οὐ τοίνυν ἀλγεῖν χρή, ὅτι ἄπειμι στεφανωσόμενος τὸν στέφανον τὸν ἀπὸ Χριστοῦ τιθέμενον ἐπὶ τῆς ἐμῆς κεφαλῆς· ἀλλ' εἰ ἐνταῦθα περιέμενον, οὕτως ἀλγεῖν ἐχρῆν μᾶλλον καὶ δεδοικέναι, μὴ παραπέσω, μὴ παραπόλωμαι.

Ὃν ἀποδώσει μοι ὁ Κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὁ δίκαιος κριτής, οὐ μόνον δὲ ἐμοί, ἀλλὰ καὶ πᾶσι τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ. Ἐνταῦθα καὶ αὐτὸν ἀνέστησεν. εἰ πᾶσι, πολλῷ μᾶλλον Τιμοθέῳ· ἀλλ' οὐκ εἶπε, καὶ σοί, ἀλλὰ πᾶσι· δηλῶν ὅτι εἰ πᾶσι, πολλῷ μᾶλλον αὐτῷ.

ΗΘΙΚΟΝ

Πῶς δὲ ἄν τις ἀγαπήσειε, φησι, τὴν ἐπιφάνειαν τοῦ Χριστοῦ; εἰ χαίροι ἐπὶ τῇ παρουσίᾳ αὐτοῦ. ὁ δὲ χαίρων ἐπὶ τῇ παρουσίᾳ αὐτοῦ, ἄξια πράττει τῆς χαρᾶς, τὰ ὑπάρχοντα προήσεται, εἰ δέοι, καὶ τὴν ψυχήν, ὥστε τῶν μελλόντων τυχεῖν ἀγαθῶν, ὥστε καταξιωθῆναι τὴν δευτέραν παρουσίαν μετὰ τοῦ προσήκοντος σχήματος ἰδεῖν, μετὰ παρρησίας, μετὰ δόξης καὶ λαμπρότητος. τοῦτό ἐστιν ἀγαπᾶν τὴν ἐπιφάνειαν αὐτοῦ. ὁ ἀγαπῶν αὐτοῦ τὴν ἐπιφάνειαν, πάντα πράξει ὥστε καὶ πρὸ ἐκείνης τῆς καθολικῆς γενέσθαι αὐτῷ τὴν μερικήν. καὶ πῶς ἔνι τοῦτο, φησιν; ἄκουε τοῦ Χριστοῦ λέγοντος, Ὁ ἀγαπῶν με τὰς ἐντολάς μου τηρήσει, καὶ πορευσόμεθα ἐγὼ καὶ ὁ πατήρ, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν. ἐννόησον δὲ ὅτι ἐστὶ τὸ κοινῇ πᾶσιν ἐπιφαίνεσθαι μέλλοντα, τοῦτον ἰδίᾳ ὑποσχέσθαι ἐπιφανῆναι ἡμῖν. ἐλευσόμεθα γάρ, φησι, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν. εἴ τις ἀγαπᾷ τὴν ἐπιφάνειαν αὐτοῦ, πάντα πράξει, ὥστε αὐτὸν καλέσαι πρὸς ἑαυτόν, καὶ ἔχει, ὥστε ἐπιλάμψαι αὐτῷ τὸ φῶς. μηδὲν ἀνάξιον ἔστω τῆς παρουσίας αὐτοῦ, καὶ ταχέως καταλύει παρ' ἡμῖν. ἐπιφάνεια δὲ λέγεται, διὰ τὸ ἐπάνω φανῆναι, καὶ ἄνωθεν ἀνατέλλειν. οὐκοῦν τὰ ἄνω ζητῶμεν, καὶ ταχέως τὰς ἀκτῖνας ἐκείνας ἐπισπασόμεθα. οὐδεὶς τῶν κάτω κυπτόντων, καὶ κατορυττόντων ἑαυτοὺς εἰς τὴν γῆν, δύναται τὸ ἡλιακὸν φῶς ἰδεῖν· οὐδεὶς τῶν καταμολυνόντων ἑαυτοὺς τοῖς βιωτικοῖς πράγμασι, δύναται τὸν ἥλιον τῆς δικαιοσύνης ἰδεῖν· οὐδενὶ ἐπιφαίνει τῶν τούτοις ἐνστρεφομένων. ἀνάνηψον μικρόν, ἀνάνηψον ἀπὸ τοῦ βάθους, ἀπὸ τοῦ κλύδωνος τοῦ βιωτικοῦ. εἰ βούλει τὸν ἥλιον ἰδεῖν, εἰ βούλει τῆς ἐπιφανείας τυχεῖν. ἂν τύχῃς νῦν τῆς ἐπιφανείας ταύτης, τότε αὐτὸν ὄψει μετὰ πολλῆς τῆς παρρησίας. φιλοσόφησον νῦν, μὴ ἔστω παρὰ σοὶ πνεῦμα ἀπονοίας, ἵνα μὴ ῥαπίσῃ σφοδρῶς, καὶ καταβάλῃ. μὴ ἔστω λελιθωμένη ἡ καρδία, καὶ σκότος, ἵνα μὴ περιαρράξῃς ἐκεῖ τὸ πλοῖον. μὴ ἔστω τις δόλος. καὶ γὰρ αἱ ὕφαλοι ναυάγια ἐργάζονται χαλεπώτατα. μὴ τρέφε θηρία, τὰ πάθη λέγω (θηρίων γὰρ ἐκεῖνα χαλεπώτερα) μὴ τοῖς ῥευστοῖς πράγμασι θάρρει, ἵνα δυνηθῇς ἑστάναι βεβαίως. οὐδεὶς ἐπὶ ὕδατος ἵσταται, ἐπὶ δὲ πέτρας ἅπαντες ἀσφαλῶς ἵστανται. ὕδωρ ἐστὶ τὰ βιωτικὰ πράγματα. Ἦλθον, φησιν, ὕδατα ἕως ψυχῆς μου, ὡς χειμάρρους παρέρρεον. πέτρα ἐστὶ τὰ πνευματικά. Ἐν πέτρᾳ γάρ, φησιν, ὕψωσας τοὺς πόδας μου. ἰλύς ἐστι καὶ πηλὸς τὰ βιωτικά. ἀνασπάσωμεν ἑαυτοὺς ἀπὸ τούτων. οὕτω γὰρ δυνησόμεθα τυχεῖν τῆς ἐπιφανείας τοῦ Χριστοῦ. πᾶν ὃ ἐὰν ἐπέλθῃ, φέρωμεν. ἔχομεν ἐν πᾶσι παραμυθίαν τὸ διὰ Χριστὸν παθεῖν. ταύτην τὴν θείαν ἐπῳδὴν ἐπιλέγωμεν, καὶ παύσεται τοῦ τραύματος ἡ ἀλγηδών. καὶ πῶς διὰ Χριστόν ἐστι παθεῖν, φησι; ἐσυκοφάντησέ σέ τις ἁπλῶς οὐ διὰ Χριστόν; ἂν ἐνέγκῃς γενναίως, ἐὰν εὐχαριστήσῃς, ἐὰν εὔξῃ ὑπὲρ ἐκείνου, ταῦτα πάντα διὰ Χριστὸν ποιεῖς. ἂν καταράσῃ, ἂν ἀποδυσπετήσῃς, ἂν ἐπιχειρήσῃς ἀμύνασθαι, κἂν μὴ δυνηθῇς, οὐκ ἔστι διὰ τὸν Χριστόν, ἀλλὰ ζημίαν ὑπήνεγκας, καὶ τοῦ καρποῦ ἀπεστέρησαι διὰ τὴν προαίρεσιν τὴν σήν. ἐν ἡμῖν γάρ ἐστι καὶ

Margin notes: χ. ἐλευσόμεθα — Ιωαν. ιδ. κγ. — Ψαλ. ξη. α. — Ψαλ. λθ. γ. — χ. ἔστησε — χ. ἀπεστέρησαι

6 Ἐγὼ γὰρ ἤδη σπένδομαι, φησὶ, καὶ ὁ καιρὸς τῆς ἐμῆς ἀναλύσεως ἐφέστηκεν.

Οὐκ εἶπε τὰς ἐμῆς θυσίας, ἀλλ' ὃ οἰκειότερόν ἐστι. τῆς μὲν γὰρ θυσίας οὐ τὸ πᾶν ἀναφέρεται τῷ Θεῷ, τῆς δὲ σπονδῆς τὸ ὅλον.

7 Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα.

Πολλάκις τὴν ἐπιστολὴν μετὰ χεῖρας λαβὼν ἐγὼ, καὶ τὸ χωρίον τοῦτο περισκεψάμενος, ἀπορῶν διετέλουν, τίνος ἕνεκεν οὕτω μεγαληγορεῖ Παῦλος λέγων, Τὸν καλὸν ἀγῶνα ἠγώνισμαι. νῦν δέ μοι δοκῶ εὑρηκέναι τῇ τοῦ Θεοῦ χάριτι. Τίνος οὖν ἕνεκεν ταῦτά φησι; τὴν ἀθυμίαν τοῦ μαθητοῦ παραμυθήσασθαι βούλεται, θαῤῥεῖν κελεύων ὡς ἐπὶ στέφανον ἀπιόντος αὐτοῦ, ὡς πάντα τετελεκότος, ὡς καλῆς ἐπιτυχόντος τελευτῆς. χαίρειν δεῖ, φησὶν, οὐκ ἀλγεῖν. διὰ τί; τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι. ὥσπερ ἂν εἴ τις πατὴρ παιδίον αὐτοῦ παρακαθήμενον, καὶ τὴν ὀρφανίαν οὐ φέρον, παραμυθοῖτο λέγων, Τέκνον, μὴ κλαῖε, ἐζήσαμεν καλῶς, εἰς γῆρας ἐλθόντες καταλιμπάνομέν σε, ἄληπτος ἡμῖν ὁ βίος γέγονε, μετὰ δόξης ἀπερχόμεθα, ἔχεις καὶ σὺ θαυμάζεσθαι ἀπὸ τῶν ἡμῖν πεπραγμένων, πολλὰς ἡμῖν ὁ βασιλεὺς οἶδε τὰς χάριτας· ὡς ἂν εἰ ἔλεγε, τρόπαια ἐστήσαμεν, τοὺς πολεμίους ἐνικήσαμεν· οὐ μεγαληγορῶν, ἄπαγε, ἀλλ' ἀνιστὰς τὸν παῖδα, καὶ παιδεύων τοῖς ἐγκωμίοις κούφως φέρειν τὰ συμβάντα, καὶ χρηστὰς ἔχειν ἐλπίδας, καὶ μὴ νομίζειν φορτικὸν τὸ πρᾶγμα. δεινὸν γὰρ, δεινὸν ὁ χωρισμός. καὶ ἄκουε αὐτοῦ λέγοντος, Ἡμεῖς δὲ ἀπορφανισθέντες ἀφ' ὑμῶν πρὸς καιρὸν, προσώπῳ, οὐ καρδίᾳ. εἰ οὖν αὐτὸς χωρισθεὶς τῶν μαθητῶν ταῦτα ἔπασχεν, οἷα οἴει τὸν Τιμόθεον πάσχειν, εἰ ζῶντος χωριζόμενος αὐτοῦ ἐδάκρυεν, ὥς λέγει αὐτὸν, Μεμνημένος σου τῶν δακρύων, ἵνα χαρᾶς πληρωθῶ, πόσῳ μᾶλλον τελευτήσαντος; ταῦτα οὖν παραμυθούμενος, ἔγραφε· καὶ πᾶσα δὲ ἡ ἐπιστολὴ παραμυθίας ἐστὶ πλήρης, καὶ ὡσανεὶ διαθήκη τίς ἐστι. Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον, φησὶ, τετέλεκα, τὴν πίστιν τετήρηκα. Τὸν ἀγῶνα, φησὶ, τὸν καλόν. οὐκοῦν καὶ σὺ αὐτοῦ ἐπιλαβοῦ. ἔνθα ἅλυσις, ἔνθα δεσμὰ, ἔνθα θάνατος, οὗτος ὁ ἀγὼν καλός; ναὶ, φησίν. ὑπὲρ γὰρ Χριστοῦ γίνεται, καὶ στεφάνους ἔχει μεγάλους. Τὸν ἀγῶνα τὸν καλόν. οὐδὲν τούτου βέλτιον τοῦ ἀγῶνος, οὐ λαμβάνει τέλος ὁ στέφανος οὗτος. οὗτος οὐκ ἀπὸ κοτίνων ἐστὶν, οὐκ ἔχει ἄνθρωπον ἀγωνοθέτην, οὐκ ἔχει ἀνθρώπους θεατάς. ἀπὸ ἀγγέλων σύγκειται τὸ θέατρον. ἐκεῖ ἐν ἡμέραις πολλαῖς πονοῦσι, καὶ ταλαιπωροῦνται, καὶ ἐν ὥρᾳ μιᾷ τὸν στέφανον ἔλαβον, καὶ παραχρῆμα ἀπέστη ταῖς τῆς ἡδονῆς· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ διαπαντὸς ἐν λαμπρότητι, ἐν δόξῃ, ἐν τιμῇ. διὸ λοιπὸν χαίρειν. εἰς γὰρ ἀνάπαυσιν ἔρχομαι, ἐξέρχομαι τὸ στάδιον. ἤκουσας ὅτι τὸ ἀναλῦσαι κρεῖσσον, καὶ σὺν Χριστῷ εἶναι. Τὸν δρόμον τετέλεκα. καὶ γὰρ ἀγωνίζεσθαι χρὴ καὶ τρέχειν· ἀγωνίζεσθαι μὲν καρτεροῦντα ταῖς θλίψεις, τρέχειν δὲ οὐχ ἁπλῶς, ἀλλὰ πρός τι χρήσιμον. οὗτος καλὸς ὁ ἀγὼν, οὐ τέρπων ἁπλῶς τὸν θεατὴν, ἀλλὰ ὠφελῶν· καὶ ὁ δρόμος οὐκ εἰς τὸ μηδὲν χωρῶν, οὐδὲ ἰσχύος ἐπίδειξίς ἐστι, καὶ φιλοτιμίας, ἀλλὰ πάντας ἕλκων εἰς τὸν οὐρανόν. οὗτος ὁ δρόμος τοῦ ἡλίου καθαρώτερος, ὃν ὁ Παῦλος ἔτρεχεν ἐπὶ τῆς γῆς, οὐχ ὃν ἐκεῖνος τρέχει ἐπὶ τοῦ οὐρανοῦ. πῶς δὲ τετέλεκε τὸν δρόμον; τὴν οἰκουμένην ἅπασαν περιῆλθεν, ἀρξάμενος ἀπὸ τῆς Γαλιλαίας, καὶ ἀπὸ τῆς Ἀραβίας, καὶ μέχρι τῶν περάτων τῆς γῆς ἐλθὼν (Ὥστε με, φησὶν, ἀπὸ Ἱερουσαλὴμ καὶ κύκλῳ μέχρι τοῦ Ἰλλυρικοῦ πεπληρωκέναι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ) καὶ πᾶσαν διέδραμεν τὴν οἰκουμένην καθάπερ τις πτηνὸς, μᾶλλον δὲ καὶ πτηνοῦ σφοδρότερον. ὁ μὲν γὰρ πτηνὸς ἁπλῶς διέτρεχεν, οὗτος δὲ οὐχ ἁπλῶς, ἀλλὰ τὸ πτερὸν ἔχων τοῦ πνεύματος, καὶ μυρία διακόπτων κωλύματα, θανάτους, ἐπιβουλὰς, συμφοράς. ὥστε καὶ πτηνοῦ ταχύτερος ἦν. εἰ πτηνὸς ἦν ἁπλῶς, καὶ κατηνέχθη ἂν καὶ ἀνάλωτο. ἐπεὶ δὲ ὑπὸ τοῦ πνεύματος ἐκουφίζετο, πάντων ὑπερηνέχθη τῶν δικτύων, ὡσανεὶ πτηνὸς πτερὰ ἔχων ἀπὸ πυρός. Τὴν πίστιν, φησὶ, τετήρηκα. πολλὰ γὰρ ἦν τὰ βουλόμενα αὐτὴν συλῆσαι, οὐχ αἱ φιλίαι

Marginal notes: α. Θεσ. ε. ιζ. — β. Τιμ. α. δ. — Φιλιπ. α. κγ. — Ρωμ. ιε. ι. — χ. ἔδραμον

2 Κήρυξον τὸν λόγον, ἐπίστηθι εὐκαίρως, ἀκαίρως, ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον ἐν πάσῃ μακροθυμίᾳ καὶ διδαχῇ. Τί ἐστιν, εὐκαίρως, ἀκαίρως; τουτέστι, μὴ καιρὸν ἔχε ὡρισμένον, ἀεί σοι καιρὸς ἔστω, μὴ ἐν εἰρήνῃ, μὴ ἐν ἀδείᾳ, μηδὲ ἐν ἐκκλησίᾳ καθήμενος μόνον· κἂν ἐν τοῖς κινδύνοις, κἂν ἐν δεσμωτηρίῳ ἦς, κἂν ἅλυσιν περικείμενος, κἂν μέλλῃς ἐξιέναι ἐπὶ θάνατον, καὶ παρ' αὐτὸν τὸν καιρὸν ἔλεγξον, μὴ ὑποστείλῃς ἐπιτιμῆσαι. Τότε γὰρ καὶ ἡ ἐπιτίμησις ἔχει καιρόν, ὅταν ὁ ἔλεγχος προχωρήσῃ, ὅταν ἀποδειχθῇ τὸ ἔργον. Παρακάλεσον, φησί. Καθάπερ ἐπὶ τῶν ἰατρῶν, εἰπὼν τὸ τραῦμα, ἔδωκε τὴν τομήν, ἐπήγαγε τὸ φάρμακον. Ὅπερ γὰρ ἂν τούτων ἀπολειφθῇ, τὸ ἕτερον ἄχρηστον γίνεται. Ἄν τε γὰρ χωρὶς ἐλέγχων ἐπιτιμήσῃς, δόξεις εἶναι θρασύς, καὶ οὐδεὶς ἀνέχεται· μετὰ δὲ τὸ ἀποδειχθῆναι, τότε καὶ καταδέχεται τὴν ἐπιτίμησιν, πρότερον δὲ ἰταμὸς ἔσται. Ἄν τε ἐλέγξῃς μέν, καὶ ἐπιτιμήσῃς, σφοδρῶς δέ, καὶ μὴ παράκλησιν προσαγάγῃς, πάλιν τὸ πᾶν ἀνατέτραπται. Ἀφόρητος γὰρ ἔλεγχος καθ' ἑαυτόν, ὅταν μὴ καὶ παράκλησιν ἀναμεμιγμένην ἔχῃ. Καθάπερ γὰρ ἡ τομή, καίτοι σωτήριος οὖσα, ἂν μὴ πολλὰ τὰ παραμυθούμενα τὰς ἀλγηδόνας ἔχῃ, οὐκ ἀνέχεται κοπτόμενος καὶ τεμνόμενος ὁ κάμνων, οὕτω καὶ ἐν τούτοις. Καὶ ἐν πάσῃ, φησί, μακροθυμίᾳ καὶ διδαχῇ. Καὶ γὰρ ὁ ἐλέγχων μακροθυμίας δεῖται, ὥστε μὴ ἁπλῶς πιστεύειν, καὶ ἡ ἐπιτίμησις παρακλήσεως, ὥστε δεχθῆναι. Τί ἐστιν ὅτι τῇ μακροθυμίᾳ προστίθησι λέγων, καὶ διδαχῇ; μὴ ὡς ὀργιζόμενος, μὴ ὡς ἀπεχθανόμενος, μὴ ὡς ἐπεμβαίνων, μὴ ὡς ἐχθρὸν εὑρηκώς (πάντα ταῦτα ἀφείσθω) ἀλλὰ τί; ὡς φιλῶν, ὡς συναλγῶν, ὡς μᾶλλον ἐκείνου πενθῶν, ὡς τηκόμενος ἐπὶ τοῖς ἐκείνου. Ἐν πάσῃ μακροθυμίᾳ, φησί, καὶ διδαχῇ, μὴ ἐν τῇ τυχούσῃ.

3 Ἔσται γὰρ καιρός, ὅτε τῆς ὑγιαινούσης διδασκαλίας οὐκ ἀνέξονται.

Πρὶν ἢ ἐκτραχηλιασθῆναι, προκατάλαβε πάντας αὐτούς. Διὰ τοῦτο εἶπε, καὶ εὐκαίρως, καὶ ἀκαίρως· ὡς ἔχεις ἔχοντας μαθητευομένους, πάντα πρᾶττε.

Ἀλλὰ κατὰ τὰς ἐπιθυμίας τὰς ἰδίας, φησίν, ἑαυτοῖς ἐπισωρεύσουσι διδασκάλους.

Οὐδὲν ἐμφατικώτερον τῆς λέξεως ταύτης. Τὸ γὰρ ἀδιάκριτον πλῆθος τῶν διδασκάλων διὰ τοῦ, σωρεύσουσιν, ἐδήλωσε, καὶ διὰ τοῦ παρὰ τῶν μαθητῶν χειροτονεῖσθαι. Ἑαυτοῖς ἐπισωρεύσουσι, φησί, διδασκάλους. Κνηθόμενοι τὴν ἀκοήν· Τῆς ἡδονῆς χάριν λέγοντας καὶ τέρποντας τὴν ἀκοὴν ἐπιζητοῦντες.

4 Καὶ ἀπὸ μὲν τῆς ἀληθείας τὴν ἀκοὴν ἀποστρέψουσιν, ἐπὶ δὲ τοὺς μύθους ἐκτραπήσονται. Ταῦτα προλέγει, οὐκ εἰς ἀθυμίαν βουλόμενος ἐμβαλεῖν, ἀλλ' ἵνα, ὅταν ἐκβῇ, γενναίως φέρῃ. Ὥσπερ οὖν καὶ ὁ Χριστὸς ἐποίει λέγων, ὅτι Παραδώσουσιν ὑμᾶς, καὶ μαστιγώσουσι, καὶ εἰς τὰς συναγωγὰς ἄξουσιν ἕνεκεν τοῦ ὀνόματός μου. (Matth. ι. ιζ.) Ἐπεὶ καὶ ἀλλαχοῦ φησιν ὁ μακάριος οὗτος· Ἐγὼ γὰρ οἶδα τοῦτο, ὅτι εἰσελεύσονται μετὰ τὴν ἄφιξίν μου λύκοι βαρεῖς εἰς ὑμᾶς, μὴ φειδόμενοι τοῦ ποιμνίου. (Πράξ. κ. κθ.) Ταῦτα δὲ ἔλεγεν, ὥστε νήφειν αὐτούς, ὥστε τῷ παρόντι καιρῷ κεχρῆσθαι εἰς δέον.

5 Σὺ δὲ νῆφε, φησίν, ἐν πᾶσι, κακοπάθησον. Ὁρᾷς ὅτι διὰ τοῦτο ταῦτα προλέγει; καὶ γὰρ καὶ ὁ Χριστὸς ἔλεγε πρὸς τῷ τέλει, ὅτι ἔσονται ψευδόχριστοι καὶ ψευδοπροφῆται· (Matth. κδ. κδ.) οὕτω καὶ οὗτος, ὅτε ἔμελλεν ἀποδημεῖν, ταῦτα ἔλεγε. Σὺ δὲ νῆφε ἐν πᾶσι. Κακοπάθησον, τουτέστι, κάμε, προκατάλαβε, πρὶν ἢ τὴν λύμην ἐκείνην ἐπελθεῖν, ἐν ἀσφαλεῖ τὰ πρόβατα κατάστησον, ἕως οὗ πάρεισιν οἱ λύκοι, πανταχοῦ κακοπάθησον.

Ἔργον ποίησον εὐαγγελιστοῦ, τὴν διακονίαν σου πληροφόρησον.

Ἄρα τοῦτο ἔργον εὐαγγελιστοῦ, τὸ κακοπαθεῖν καὶ παρ' ἑαυτοῦ, καὶ παρὰ τῶν ἔξωθεν. Τὴν διακονίαν σου πληροφόρησον· τουτέστι, πλήρωσον. Ἰδοὺ καὶ ἄλλη ἀνάγκη τοῦ κακοπαθεῖν.

6 Ἐγώ

Digitized by Google

συνέχοντι τῶν ἁπάντων· καὶ οὕτω πάντα εἰσόμεθα, ἃ εἰδέναι χρή, καὶ πάντων τῶν ἀγαθῶν ἐπιτευξόμεθα.

Λογ. θ. 16 ΠΑΣΑ ΓΡΑΦΗ ΘΕΟΠΝΕΥΣΤΟΣ, ΚΑΙ ὠφέλιμος πρὸς διδασκαλίαν, πρὸς ἔλεγχον, πρὸς ἐπανόρθωσιν, πρὸς παιδείαν τὴν ἐν δικαιοσύνῃ, 17 Ἵνα ἄρτιος ᾖ ὁ τοῦ Θεοῦ ἄνθρωπος, πρὸς πᾶν ἔργον ἀγαθὸν ἐξηρτισμένος.

ΠΟλλὴν παράκλησιν ποιησάμενος καὶ παραμυθίαν ἀπὸ πάντων, ἐπάγει καὶ τὴν ἀπὸ τῶν γραφῶν πλειοτέραν οὖσαν. Εἰκότως δὲ ποιεῖται τοσαύτην παράκλησιν, ἐπειδὴ μέγα τι καὶ λυπηρὸν ἔμελλεν ἐρεῖν. Εἰ γὰρ ὁ Ἐλισσαῖος μέχρις ἐσχάτης ἀναπνοῆς συνὼν τῷ διδασκάλῳ, καὶ [ἐν] τῷ ἐπὶ τῆς τελευτῆς ὁρᾶν αὐτὸν τελευτῶντα, διέρρηξε τὰ ἱμάτια αὐτοῦ, τί οἴει τοῦτον παθεῖν τὸν οὕτω μὲν ἀγαπώμενον, οὕτω δὲ ἀγαπῶντα, ἀκούοντα ὅτι μέλλει ἀποθνήσκειν ὁ διδάσκαλος, καὶ ὅτι οὐδὲ ἀπέλαυσεν αὐτοῦ τὸν χρόνον τὸν ἕως τοῦ θανάτου, ὃ μάλιστα πάντων εἴωθε λυπεῖν; οὐ γὰρ οὕτω χαίρειν ἴσμεν τῷ παρελθόντι χρόνῳ, ἀλλὰ τὸν ἑξῆς χρόνον ἀπολειφθῶμεν τῶν τετελευτηκότων. Διὰ τοῦτο, ὅτι πολλὴν ἐποιήσατο τὴν παράκλησιν, τότε περὶ τῆς τελευτῆς ἑαυτοῦ διαλέγεται. καὶ οὐχ ἁπλῶς, ἀλλὰ καὶ λέξεσι χρῆται ἱκαναῖς αὐτὸν παραμυθήσασθαι καὶ χαρᾶς ἐμπλῆσαι, ὡς θυσίαν νομισθῆναι εἶναι τὸ πρᾶγμα, ἢ τελευτήν, καὶ ἀποδημίαν μᾶλλον, ὅπερ οὖν καὶ ἦν, καὶ μετάστασιν πρὸς τὰ κρείττω. [β. Τιμ. δ. ς.] Ἐγὼ γὰρ ἤδη σπένδομαι, φησί. Διὰ τοῦτο ἔγραφε λέγων· [γρ. ἐπάγει] πᾶσα γραφὴ θεόπνευστος, καὶ ὠφέλιμος πρὸς διδασκαλίαν, πρὸς ἔλεγχον, πρὸς ἐπανόρθωσιν. πᾶσα, ποία; περὶ ἧς εἶπον, φησί, πᾶσα ἱερά· περὶ ἧς διελέγετο, ταῦτα εἴρητο, περὶ ἧς ἔλεγεν, [β. Τιμ. γ. ιε.] Ὅτι ἀπὸ βρέφους τὰ ἱερὰ γράμματα οἶδας. πᾶσα οὖν ἡ τοιαύτη θεόπνευστος. μηδὲν οὖν ἀμφίβαλλε, φησί. καὶ ὠφέλιμος πρὸς διδασκαλίαν, πρὸς ἔλεγχον, πρὸς ἐπανόρθωσιν, ἵνα ἄρτιος ᾖ ὁ τοῦ Θεοῦ ἄνθρωπος, πρὸς πᾶν ἔργον ἀγαθὸν ἐξηρτισμένος. πρὸς διδασκαλίαν. εἴ τι μαθεῖν, εἴ τι ἀγνοῆσαι χρή, ἐκεῖθεν εἰσόμεθα· εἰ ἐλέγξαι τὰ ψευδῆ, καὶ τοῦτο ἐκεῖθεν· εἰ ἐπανορθωθῆναι καὶ σωφρονισθῆναι. πρὸς παράκλησιν, πρὸς παραμυθίαν, φησί, πρὸς ἐπανόρθωσιν· τουτέστιν, εἴ τι λείπει, καὶ χρὴ προστεθῆναι. ἵνα ἄρτιος ᾖ ὁ τοῦ Θεοῦ ἄνθρωπος. διὰ τοῦτο, φησί, γέγονεν ἡ τῶν γραφῶν παράκλησις, ἵνα ἄρτιος ᾖ ὁ [γρ. τοῦ Θεοῦ] τοῦ Θεοῦ ἄνθρωπος. οὐκ ἄρα χωρὶς αὐτῆς ἄρτιον ἔνι γενέσθαι. ἀντ᾽ ἐμοῦ, φησί, τὰς γραφὰς ἔχεις· εἴ τι βούλει μαθεῖν, ἐκεῖθεν δυνήσῃ. εἰ δὲ Τιμοθέῳ ταῦτα ἔγραφε τῷ πνεύματος ἐμπεπλησμένῳ, πόσῳ μᾶλλον ἡμῖν; πρὸς πᾶν ἔργον ἀγαθὸν ἐξηρτισμένος. οὐχ ἁπλῶς μετέχων, φησίν, ἀλλὰ μετὰ ἀκριβείας ἐξηρτισμένος.

[κεφ. δ.] 1 Διαμαρτύρομαι οὖν ἐγὼ ἐνώπιον τοῦ Θεοῦ, καὶ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ τοῦ μέλλοντος κρίνειν ζῶντας καὶ νεκρούς. Ἤτοι ἁμαρτωλοὺς λέγει καὶ δικαίους, ἤτοι καὶ τοὺς ἀπελθόντας καὶ τοὺς νῦν ὄντας, ὅτι πολλοὶ καταλειφθήσονται ζῶντες. ἐφόβησεν αὐτὸν ἐν μὲν τῇ προτέρᾳ λέγων, [α. Τιμ. ς. ιγ.] Παραγγέλλω σοι ἐνώπιον τοῦ Θεοῦ τοῦ ζωοποιοῦντος τὰ πάντα, ἐνταῦθα δὲ τὸ φοβερώτερον τέθεικε, τοῦ μέλλοντος κρίνειν ζῶντας καὶ νεκρούς· τουτέστι, τοῦ μέλλοντος εὐθύνας ἀπαιτεῖν. Κατὰ τὴν ἐπιφάνειαν αὐτοῦ καὶ τὴν βασιλείαν αὐτοῦ.

Κρίνει πότε; ἐν τῇ ἐπιφανείᾳ αὐτοῦ τῇ μετὰ δόξης, τῇ μετὰ βασιλείας. ἢ τοίνυν τοῦτο λέγει, ὅτι οὐχ οὕτως ἥξει, ὡς νῦν· ἢ ὅτι διαμαρτύρομαί σοι τὴν ἐπιφάνειαν αὐτοῦ, καὶ τὴν βασιλείαν, μάρτυρα καλῶ ἐκεῖθεν δ᾽ ἔχεις ὅτι καὶ τούτου αὐτὸν ἀνέμνησεν. Εἶτα πῶς δεῖ κηρύττειν τὸν λόγον διδάσκων, ἐπάγει·

σῶσαι τὸν παῖδα, ἐκείνου ποιήσαντος αὐτὸν κύριον. καὶ γὰρ ἂν ἐλεῆσαι θέλῃ, δύναται, καὶ ἀφεῖναι, ἂν βουληθῇ, ὁμοίως δύναται. ἀπὸ γὰρ ἐκείνου γέγονεν. * ἂν εἴπῃ, ὅτι πλούσιος ἔσῃ ἢ πένης, ἀμφοτέρων κύριος αὐτός ἐστι. τὸ πλεῖον τοῦ κόσμου ὑπὸ τὰς τοῦ διαβόλου χεῖρας ἑαυτὸν ἔδωκεν. καὶ ἄλλως δὲ ὅταν ἐπιαθῇ ὁ ἄνθρωπος πιστεύῃ, πολὺ καὶ τοῦτο συμβάλλεται ἐκείνοις τοῖς ἀπατῶσιν. οὐδεὶς γὰρ ταῖς ἀποτυχίαις προσέχει, ἀλλ' εἴ που ἐπιτύχοιεν. εἰ δέ τινα ἔχουσι δύναμιν προγνωστικήν, ἐμοὶ τῷ πιστῷ τούτους ἄγε. οὐ μεγαληγορῶν λέγω. τὸ γὰρ τούτων ἀπηλλάχθαι, οὐ μεγαληγορίας. ἁμαρτημάτων μὲν γάρ εἰμι μεστός. τούτων δὲ ἕνεκεν οὐκ ἂν καταπεφρονήσαιμι. πάντων τῇ τοῦ Θεοῦ χάριτι καταπτύω. ἄγε πρὸς ἐμὲ τὸν ἄνδρα τὸν μάγον, εἴ τινα ἔχει δύναμιν προγνωστικήν, εἰπάτω τί μοι συμβήσεται, αὔριον τί ἔσται μοι. ἀλλ' οὐκ ἐρεῖ. ὑπὸ γὰρ τῆς τοῦ βασιλέως ἐξουσίας εἰμί, καὶ οὐκ ἔχει τὴν ἐμὴν ἀρχήν, οὐδὲ τὴν ὑποταγήν. πόρρω τῆς καταδύσεως αὐτοῦ, καὶ τῶν σπηλαίων τυγχάνω, τῷ βασιλεῖ στρατεύομαι. ἀλλ' ὁ δεῖνα ἐκλεψε, φησι, καὶ ὁ δεῖνα αὐτῷ κατεμήνυσε. μάλιστα μὲν οὖν οὐδὲ πανταχοῦ τοῦτο ἀληθές, ἀλλὰ γέλως καὶ ψεῦδος. οὐδὲν γὰρ ἴσασιν· εἰ δέ τι ἴσασι, μᾶλλον τὰ ἑαυτῶν ὤφειλον λέγειν, πῶς τὰ πολλὰ ἀναθήματα τῶν εἰδώλων ἐκλάπη, πῶς δὲ πολύχρυσοι ἐχωνεύθη, διὰ τί μὴ προεῖπον τοῖς ἱερεῦσιν αὐτῶν. ὥστε οὐδὲν ἴσασιν· ἀλλὰ χρημάτων μὲν ἕνεκεν οὐδ' εἰπεῖν ἐδύναντο, ὅταν οἱ ναοὶ αὐτῶν οἱ εἰδωλικοὶ ἐνεπίμπραντο, καὶ πολλοὶ συναπώλλυντο. διὰ τί μὴ φείδονται τῆς σωτηρίας τῆς αὐτῶν; ἀλλ' ἐπιτυχία μόνον τὸ πρᾶγμά ἐστιν, εἴ πού τι καὶ προείποιεν. εἰσὶ παρ' ἡμῖν προφῆται, ἀλλ' οὐκ ἀποτυγχάνουσιν. οὐ τοῦτο μὲν λέγουσιν, ἐκεῖνο δὲ ψεύδονται, ἀλλὰ πάντα ἀληθεύουσι. τοῦτο γὰρ προγνώσεώς ἐστι. παύσασθέ ποτε τῆς μανίας, παρακαλῶ, εἴγε τῷ Χριστῷ πιστεύετε· εἰ δὲ μὴ πιστεύετε, τί ἑαυτὸν διασύρετε, τί ἀπατᾶτε; ἕως πότε χωλανεῖτε ἐπ' ἀμφοτέραις ταῖς ἰγνύαις ὑμῶν; τίνος γὰρ ἕνεκεν προσέρχῃ; ἵν' ἐρωτᾷς; ἅμα προσῆλθες, ἅμα ἠρώτησας, ὑπὸ τὴν δουλείαν σαυτὸν ἐποίησας. ὡς γὰρ πιστεύων ἐρωτᾷς. οὔ, φησιν, οὐ πιστεύων αὐτὸν ἀληθεύειν, ἀλλὰ πειράζων. καὶ τὸ πειράζειν εἰ ἀληθεύει, οὐκ ἔστι πεπεισμένου, ὅτι ψεύδεται, ἀλλ' ἔτι ἀμφιβάλλοντος. τίνος οὖν ἕνεκεν ἐρωτᾷς τί ἔσται; εἰ μὲν γὰρ τοῦτο λέγει, ὅτι τόδε ἔσται, τόδε πρᾶξον καὶ διαφεύξῃ, μάλιστα μὲν οὐδ' οὕτως ἐχρῆν εἰδωλολατρεῖν, πλὴν ἀλλ' οὐ τοσαύτη ἡ ἀπόνοια. εἰ δὲ τὰ μέλλοντα προλέγουσιν, οὐδὲν ἄλλο κερδαίνει ὁ μαθών, ἢ λύπην προτέραν. τὸ μὲν γὰρ πρᾶγμα οὐκ ἐξέβη, τὴν δὲ λύπην ὑπομένει, ἐπαείχθυσεν ἑαυτόν. εἰ συνέφερε τοῦτο, οὐκ ἂν ἡμῖν ἐφθόνησεν ὁ Θεός· οὐκ ἂν ἐβάσκηνεν ὁ τὰ ἐν οὐρανοῖς εἰπών· Ὅσα γὰρ ἤκουσα παρὰ τοῦ πατρός, φησι, πάντα ἐγνώρισα ὑμῖν, καί, Πάντα ὅσα ἤκουσα παρὰ τοῦ πατρός, ἀπήγγειλα ὑμῖν· καί, Οὐ λέγω ὑμᾶς δούλους, ἀλλὰ φίλους· ὑμεῖς φίλοι μου ἐστέ. διὰ τί οὖν ταῦτα οὐκ ἐγνώρισεν ἡμῖν; ὅτι βούλεται μηδένα λόγον ἔχειν ἡμᾶς αὐτῶν. ἐπεὶ ὅτι οὐ βασκαίνει, τοῖς παλαιοῖς ταῦτα ἐλέγετο, καὶ περὶ ὄνου καὶ ἑτέρων ζώων, ἐπειδὴ νήπιοι ἦσαν. ἡμῖν δέ, ἐπειδὴ βούλεται μηδένα λόγον ἡμῖν εἶναι περὶ αὐτῶν, οὐδὲ φροντίδα ἔχει ταύτην τοῦ γνωρίσαι ἡμῖν. ἀλλὰ τί μανθάνομεν; ὅπερ οὐκ ἔμαθον ἐκεῖνοι; μικρὰ γὰρ ἅπαντα ἐκεῖνα· ἃ δὲ ἡμεῖς ἐμάθομεν, ἐστὶ ταῦτα, ὅτι ἐγειρόμεθα, ὅτι ἀθάνατοι ἐσόμεθα, ὅτι ἄφθαρτοι, ὅτι οὐκ ἔχει τέλος ἡ ζωή, ὅτι πάντα παρελεύσονται, ὅτι ἐν νεφέλαις ἁρπαγησόμεθα, ὅτι οἱ πονηροὶ κόλασιν τίσουσι, μυρία πρὸς τούτοις ἕτερα, καὶ οὐδέν ἐστι ψεῦδος. οὐ πολλῷ βέλτιον εἰδέναι ταῦτα, ἢ ὅτι ὁ ὄνος ὁ ἀπολόμενος εὑρέθη; ἰδοὺ ἔλαβες τὸν ὄνον, ἰδοὺ εὗρες. τί τὸ κέρδος; οὐ πάλιν ἀπολλύεις αὐτὸν ἑτέρῳ τρόπῳ; κἂν γὰρ αὐτός σε μὴ ἀφῇ, σὺ αὐτὸν ἀφήσεις τῇ τελευτῇ. τὰ δὲ πράγματα, ἅπερ ἐγὼ εἶπον, ἂν κρατεῖν βουλώμεθα, διηνεκῶς ἔχομεν. ἐκεῖνα τοίνυν διώκωμεν, ἐκείνων ἐχώμεθα τῶν μενόντων, τῶν βεβαίων. μὴ προσέχωμεν μάντεσι, μηδὲ χρησμολόγοις, μηδὲ ἀγύρταις, ἀλλ' ἢ τῷ Θεῷ τῷ πάντα εἰδότι σαφῶς, τῷ τὴν γνῶ-

*ἴσω καὶ ὁ μάγος

Ἰωάν. ιε. ιε.

πᾶσιν ὁμοίως ἐπιχειρεῖν, καλὸν, καὶ τὸ μὴ θέλειν πάντα τὰ βάθη εἰδέναι, οὐ μικρὸν τοῦ εἰδέναι τεκμήριον· ὡς ὅ γε βουλόμενος πάντος τοῦ μέρους τοῦ ποταμοῦ κατατολμᾷν, τοῦτο μάλιστα οὐκ οἶδε τῶν ποταμῶν τὰ ἰδιώματα, καὶ ἀπόλλυται πολλάκις ἀπὸ τῆς αὐτῆς θρασύτητος τοῦ βάθους κατατολμήσας, ἀφ' ἧς διέβαινε τὸ μὴ βαθύ. οὕτω καὶ ἐπὶ τοῦ Θεοῦ, ὁ πάντα θέλων εἰδέναι, καὶ πάντων κατατολμῶν, τοῦτο οὐκ οἶδε μάλιστα τί ἐστι Θεός. ἀλλ' ἐν μὲν τοῖς ποταμοῖς τὸ μὲν πλεῖον μέρος ἀσφαλὲς, ὀλίγα δὲ ἔχει τὰ βάθη· ἐπὶ δὲ τοῦ Θεοῦ τὸ πλεῖον ἐν ἀποκρύφοις, καὶ οὐκ ἔστιν ἐξιχνιάσαι τὰ ἔργα αὐτοῦ. τί τοίνυν βιάζῃ καταποντίσαι σαυτόν; τοῦτο μόνον ἴσθι, ὅτι πάντα ὁ Θεὸς οἰκονομεῖ, ὅτι πάντων προνοεῖ, ὅτι αὐτεξούσιοί ἐσμεν, ὅτι τὰ μὲν ἐνεργεῖ, τὰ δὲ συγχωρεῖ, ὅτι οὐδὲν πονηρὸν γίνεσθαι βούλεται, ὅτι οὐκ ἀπὸ τοῦ βουλήματος αὐτοῦ πάντα γίνεται, ἀλλὰ καὶ ἀπὸ τοῦ ἡμετέρου, πάντα τὰ κακὰ ἀπὸ τοῦ ἡμετέρου μόνον, πάντα τὰ ἀγαθὰ ἀπό τε τοῦ ἡμετέρου καὶ τῆς αὐτοῦ ῥοπῆς, ὅτι οὐδὲν αὐτὸν λανθάνει. διὰ τοῦτο πάντα ἐνεργεῖ. εἶτα σὺ τοῦτο εἰδὼς, ἀρίθμει τίνα μὲν τὰ ἀγαθὰ, τίνα δὲ τὰ κακὰ, καὶ τίνα τὰ ἀδιάφορα· οἷον, ἀγαθὸν ἡ ἀρετὴ, κακὸν ἡ φαυλότης, ἀδιάφορα πλοῦτος, πενία, ζωὴ, θάνατος. ἂν ταῦτα εἰδῇς, εἴσῃ καὶ μετὰ τούτων, ὅτι οἱ δίκαιοι διὰ τοῦτο θλίβονται, ἵνα στεφανωθῶσιν, οἱ ἁμαρτωλοὶ, ἵνα τῶν ἁμαρτιῶν δίκην ἐκτίσωσιν· οὐ πάντες δὲ οἱ ἁμαρτωλοὶ δίκην ἐνταῦθα τίνουσιν, ἵνα μὴ τῇ ἀναστάσει οἱ πολλοὶ ἀπιστῶσιν, ὥσπερ οὐ πάντες οἱ δίκαιοι θλίβονται, ἵνα μὴ τὴν κακίαν ἐπαινετὴν εἶναι νομίσῃς, ἀλλὰ τὴν ἀρετήν. οὗτοι κανόνες εἰσὶ, καὶ ὅροι. ἂν βούλει ἄγε ἐπ' αὐτοὺς, καὶ οὐ διαπορήσεις. ὥσπερ γάρ ἐστι παρὰ τοῖς γραμματισταῖς ὁ τῶν ἑξακισχιλίων ἀριθμὸς, καὶ ὑπὸ τοῦτον ἅπαντα ἄγεται, καὶ πάντα μερίζειν καὶ πολυπλασιάζειν δυνατὸν ἐν τῷ κανόνι τῶν ἑξακισχιλίων, καὶ διὰ τοῦ ἀριθμοῦ τούτου πάντα στρέφεται (καὶ ἴσασι ταῦτα ὅσοι γράμματα μεμαθήκασιν) οὕτω καὶ τοὺς κανόνας τούτους, οὓς πάλιν ἑτέρως συντομώτερον, ἄν τις εἰδῇ, οὐδέποτε σκανδαλίζεται. τίνες οὖν εἰσιν οὗτοι; ὅτι ἀγαθὸν ἀρετὴ, ὅτι φαῦλον κακία, ὅτι ἀδιάφορα νόσοι, πενία, ἐπιβουλαὶ, συκοφαντίαι, καὶ ὅσα τοιαῦτα, ὅτι οἱ δίκαιοι θλίβονται ἐνταῦθα· εἰ δέ τινες καὶ εὖ πάσχουσιν, ἵνα μὴ ἡ ἀρετὴ δόξῃ μισητὴ εἶναι. ὅτι οἱ πονηροὶ εὐφραίνονται, ἵνα ἐκεῖ κολασθῶσιν· εἰ δέ τινες καὶ κολάζονται, ὥστε μὴ τὴν κακίαν δόξαι εἶναι καλὸν, μηδὲ ἀτιμώρητα τὰ πράγματα. ὅπου οὐ κολάζονται πάντες, ἵνα μὴ τῆς ἀναστάσεως ὁ καιρὸς διαπιστηθῇ· ὅτι καὶ τῶν ἀγαθῶν εἰσί τινες οἱ φαῦλα ἔχοντες ἔργα, καὶ ἐνταῦθα αὐτὰ ἀποτίθενται, καὶ τῶν πονηρῶν οἱ χρηστὰ ἔχοντες, καὶ ἐνταῦθα ἀπολαμβάνουσιν, ἵνα ἐκεῖ τιμωρηθῶσιν· ὅτι ἀκατάληπτα τὰ πλείονα τοῦ Θεοῦ ἔργα, ὅτι πολὺ τὸ μέσον ἡμῶν καὶ αὐτοῦ, καὶ ὅσον οὐκ ἔστιν εἰπεῖν. ἂν ταῦτα ἀναλογιζώμεθα, οὐδὲν ἡμᾶς θορυβῆσαι δυνήσεται. ἂν τῶν γραφῶν ἀκούωμεν συνεχῶς, εὑρήσομεν καὶ παραδείγματα τοιαῦτα πολλά. τὰ δυνάμενά σε, φησὶ, σοφίσαι εἰς σωτηρίαν. καὶ γὰρ τὰ πρακτέα ὑποτίθενται αἱ γραφαὶ, καὶ τὰ μὴ πρακτέα. ἄκουε γὰρ τοῦ μακαρίου τούτου ἀλλαχοῦ
Ρωμ. β. ιθ. λέγοντος, Πέποιθάς σεαυτὸν ὁδηγὸν εἶναι τυφλῶν, φῶς τῶν ἐν σκότει, παιδευτὴν ἀφρόνων, διδάσκαλον νηπίων. ὁρᾷς ὅτι φῶς τῶν ἐν σκότει ὁ νόμος; εἰ δὲ ὁ τὸ γράμμα δεικνὺς, φῶς, τὸ γράμμα τὸ ἀποκτεῖνον, τί ἄρα ὁ τὸ πνεῦμα τὸ ζωοποιοῦν; εἰ ἡ παλαιὰ, φῶς, τί ἡ καινή, ἔνθα τοσαῦτα ἀνεπετάσθη; ἔνθα τοσοῦτόν ἐστι τὸ μέσον, ὅσον εἰ τοῖς οὐδὲν πλέον τῆς γῆς εἰδόσι τὸν οὐρανόν τις ἀνοίξειε, καὶ πάντα πείσειε κατοπτεῦσαι. περὶ γεέννης ἐμάθομεν, περὶ βασιλείας, περὶ κρίσεως. μὴ πιστεύωμεν ἀλόγοις πράγμασι, γελοῖα πάντα ἐκεῖνα. τί οὖν ὅτι λέγουσί, φησι, καὶ ἐκβαίνει; ἐπειδὴ σὺ πιστεύεις, εἴγε καὶ ἐκβαίνει. αἰχμάλωτόν σε ἔλαβε, κύριός ἐστι τοῦ βίου τοῦ σοῦ, ὡς θέλει αὐτὸν οἰκονομεῖ. εἰπέ μοι, εἴ τις λῃστάρχης υἱὸν βασιλέως αὐτῷ προσφυγόντα, καὶ ἐρημίαν καὶ τὴν ἐκείνου συνοίκησιν ἀγαπήσαντα ὑπὸ χεῖρας ἔχει καὶ ἐξουσίαν, δυνήσεται αὐτῷ εἰπεῖν, εἰ πλουτᾷ, εἰ ζῇ; καὶ σφόδρα γε δυνήσεται. τί δήποτε; οὐκ ἐπειδὴ προοίδε τὸ μέλλον, ἀλλ' ἐπειδὴ ἑκατέρου κύριος γίνεται, τοῦ ἀφανίσαι, καὶ

σῶσαι

οὐδεὶς ἀποδυσάμενος καὶ ἀλειψάμενος ἄνεσιν ἐπιζητεῖ. Εἰ δὲ ἄνεσιν ἐπιζητεῖς, τί ἀποδύσῃ; τί τὰς χεῖρας ἀνατείνεις; καὶ πῶς οὐκ ἀνατείνω, φησί, πῶς; ὅταν τὴν ἐπιθυμίαν μὴ κρατῇς, ὅταν πρὸς τὴν βίαν τῆς φύσεως μὴ μάχῃ.

14 Σὺ δὲ μένε ἐν οἷς ἔμαθες καὶ ἐπιστώθης, εἰδὼς παρὰ τίνος ἔμαθες,
15 Καὶ ὅτι ἀπὸ βρέφους τὰ ἱερὰ γράμματα οἶδας τὰ δυνάμενά σε σοφίσαι εἰς σωτηρίαν, διὰ πίστεως τῆς ἐν Χριστῷ Ἰησοῦ.

Τί ἐστι τοῦτο; καθάπερ ὁ προφήτης Δαβὶδ παρῄνεσε, Μὴ παραζήλου, εἰπών, ἐν πονηρευομένοις, τοῦτο καὶ αὐτὸς παραινεῖ λέγων· σὺ δὲ μένε ἐν οἷς ἔμαθες καὶ ἐπιστώθης. οὐχ ἁπλῶς ἔμαθες, ἀλλὰ καὶ ἐπιστώθης· τουτέστιν, ἐπίστευσας. τί δαὶ καὶ ἐπίστευσας; ὅτι αὕτη ἐστὶν ἡ ζωή. κἂν ἐναντία τοίνυν ὁρᾷς ἐνταῦθα ὧν ἐπίστευσας, μὴ θορυβοῦ, ἐπεὶ καὶ ὁ Ἀβραὰμ ἐναντία ἑώρα, ἀλλ' οὐδὲν ἔπαθεν. ἤκουσεν, ὅτι Ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα, καὶ τὸν Ἰσαὰκ σφάξαι ἐκελεύετο, καὶ οὐκ ἐθορυβεῖτο, οὐδὲ ἐταράττετο.

Ψαλ. λϛ. α.
Γεν. κα. ιβ.

ΗΘΙΚΟΝ

Μηδεὶς σκανδαλιζέσθω ἐπὶ τοῖς πονηροῖς, τοῦτο ἄνωθεν εἶπεν ἡ γραφή. Τί οὖν ὅταν καὶ ἀγαθοὶ εὐφραίνωνται, καὶ πονηροὶ κολάζωνται; τὸ μὲν ἕτερον εἰκὸς γενέσθαι, τὸ δὲ ἄλλο οὐκέτι. πονηροὺς μὲν γὰρ κολάζεσθαι ἔνι, ἀγαθοὺς δὲ εὐφραίνεσθαι ἀεὶ οὐκ ἔνι. Οὐδεὶς Παύλου ἴσος ἦν, ἀλλ' ὅμως ἐν θλίψει τὸν πάντα διῆγε χρόνον, ἐν δάκρυσιν, ἐν στεναγμοῖς νυκτὸς καὶ ἡμέρας. Μετὰ δακρύων γάρ, φησι, νύκτα καὶ ἡμέραν τριετίαν νουθετῶν οὐκ ἐπαυσάμην. καὶ πάλιν, Ἡ ἐπισύστασίς μου ἡ καθημερινή, φησίν. οὐ σήμερον μὲν ἔχαιρεν, αὔριον δὲ ἤλγει, ἀλλὰ καθ' ἡμέραν οὐ διελίμπανεν ὀδυνώμενος. πῶς οὖν φησι, πονηροὶ προκόψουσιν ἐπὶ τὸ χεῖρον; οὐκ εἶπεν, ὅτι ἀνέσεως τυγχάνουσιν, ἀλλ' ἐπὶ τὸ χεῖρον προκόψουσιν· εἰς τὸ χεῖρον ἡ προκοπὴ αὕτη. οὐκ εἶπεν, ἐν εὐθηνίᾳ ἔσονται. εἰ δὲ καὶ κολάζονται, διὰ τοῦτο κολάζονται, ἵνα μὴ νομίσῃς ἀτιμώρητα εἶναι τὰ ἁμαρτήματα. ἐπεὶ γὰρ ἡ γέεννα οὐκ ἰσχύει κωλῦσαι ὑμᾶς τῆς κακίας, φειδόμενος ἡμῶν διυπνίζει καὶ διανίστησιν ὑμᾶς. Εἰ μηδεὶς πονηρὸς ἐκολάζετο, οὐδεὶς ἂν ἐνόμιζεν ἐφεστάναι τὸν Θεὸν τοῖς ἀνθρωπίνοις πράγμασιν· εἰ πάντες ἐκολάζοντο, οὐδεὶς ἂν προσεδόκησεν ἔσεσθαι ἀνάστασιν, ὡς πάντων ἐνταῦθα ἀπολαμβανόντων. διὰ τοῦτο καὶ κολάζει, καὶ οὐ κολάζει. διὰ τοῦτο ἐνταῦθα δίκαιοι θλίβονται, ὅτι πάροικοί εἰσιν, ὅτι ξένοι, ὅτι ἐν ἀλλοτρίᾳ εἰσίν. οἱ δίκαιοι τοίνυν δοκιμῆς ἕνεκεν ταῦτα ὑπομένουσιν. ἄκουε γὰρ τοῦ Θεοῦ λέγοντος πρὸς τὸν Ἰώβ, Οἴει με ἄλλως σοι κεχρηματικέναι, ἢ ἵνα ἀναφανῇς δίκαιος; οἱ δὲ ἁμαρτωλοὶ ἐὰν καί ποτέ τι τοιοῦτον ὑπομείνωσι, δίκην τίνουσι τῶν ἁμαρτιῶν. ἐν πᾶσι τοίνυν εὐχαριστῶμεν τῷ Θεῷ, εἴτε οὕτως, εἴτε ἐκείνως. ἀμφότερα γὰρ χρήσιμα. οὐδὲν μισῶν, οὐδὲ ἀποστρεφόμενος ἡμᾶς ποιεῖ, ἀλλ' ἀμφότερα φροντίζων καὶ κηδόμενος. Εἰδώς, φησιν, ὅτι ἀπὸ βρέφους τὰ ἱερὰ γράμματα οἶδας· τουτέστιν, ἐκ πρώτης ἡλικίας τὰ ἱερὰ γράμματα ἔμαθες. ἱερὰ δὲ γράμματα τὰς θείας καλεῖ γραφάς. ἐν ταύταις ἀνετράφης, ὥστε καὶ διὰ τούτων στερρὰν εἶναί σοι τὴν πίστιν χρή, καὶ μηδὲν παραβλάπτεσθαι. κατὰ βάθους γὰρ ἡ ῥίζα κεῖται, οὐ χρόνῳ τραφεῖσα πολλῷ, οὐδεὶς αὐτὴν παρασπάσαι δύναται. Εἰπὼν δὲ τὰ ἱερὰ γράμματα, ἐπήγαγε, τὰ δυνάμενά σε σοφίσαι· τουτέστιν, οὐκ ἀφιᾶσιν ἀνόητόν τι παθεῖν, ὃ οἱ πολλοί. ὁ γὰρ τὰς γραφὰς εἰδώς, ὡς εἰδέναι χρή, οὐδενὶ τῶν γινομένων σκανδαλίζεται, πάντα φέρει γενναίως, τὰ μὲν τῇ πίστει ἐπιτρέπων καὶ τῷ ἀκαταλήπτῳ τῆς τοῦ Θεοῦ οἰκονομίας, τῶν δὲ καὶ λόγους εἰδώς, καὶ παραδείγματα εὑρίσκων ἐν ταῖς γραφαῖς. ἐπεὶ καὶ τὸ μὴ πάντα περιεργάζεσθαι, καὶ τὸ μὴ πάντα θέλειν εἰδέναι, μέγα τοῦ εἰδέναι τεκμήριον. καὶ εἰ βούλεσθε, ἐπὶ παραδείγματος ἐρῶ. ἔστω ποταμός, μᾶλλον δὲ ἔστωσαν ποταμοί, οὐ κατὰ συγχώρησιν λέγω, ἀλλ' ὅπερ εἰσὶν οἱ ποταμοί. οὐ πάντες κατὰ βάθος ἴσοι τυγχάνουσιν, ἀλλ' οἱ μὲν ψιλώτερον τὸ ἔδαφος ἔχοντες, ἕτεροι βαθὺ καὶ ἱκανοὶ ἀποπνίξαι τὸν ἀγνοοῦντα· καὶ ἐνταῦθα μὲν ἴλιγγοι, ἐκεῖ δὲ οὐκέτι. τὸ οὖν μὴ θέλειν

πᾶσι

Margin notes:
χ. ἐπαύετο
χ. νῦν
Πραξ. κ. λα.
β. Κορ. ια. κη.
Ἰωβ. μ. γ.
χ. χρήσιμος οἰκονομεῖ ὁ Θεός, οὐ μισῶν χ. ἡμᾶς ἀλλὰ φροντίζων τῆς σωτηρίας ἡ(?)ῶν καὶ κηδόμενος. ἡ(?) ἐστιν ἀπὸ
χ. αὐθεντεῖν
χ. ἐπιπολαιότεροι

πτήσουσιν, οὐδὲ συναρπάσουσι, κἂν παρὰ τὴν ἀρχὴν δόξωσί τινας παρακρούεσθαι, ἀλλ' ἀφώρατοι ταχέως ἔσονται. ὅτι γὰρ περὶ τούτου φησίν, ἄκουσον τί λέγει. ἡ γὰρ ἄνοια αὐτῶν ἔκδηλος ἔσται πᾶσι. πόθεν; πανταχόθεν· ὥσπερ καὶ ἡ ἐκείνων ἐγένετο. καὶ γὰρ πρότερον αἰσθήσονται τῆς πλάνης, εἰς τέλος οὐ διαμένει. τοιαῦτα γὰρ τὰ μὴ φύσει καλά. ἀλλὰ δοκοῦντα εἶναι καλά πρὸς καιρὸν ἀνθεῖ, καὶ φαίνεται, καὶ ἀπόλλυται. ἀλλ' οὐ τὰ ἡμέτερα τοιαῦτα· καὶ τούτων οἱ μάρτυρες. οὐ γὰρ ἐν ἀπάτῃ τὰ ἡμέτερα. πῶς γὰρ ἂν ὑπὲρ ἀπάτης καὶ ἀποθανεῖν εἵλοντο;

10 Σὺ δὲ παρηκολούθηκάς μου τῇ διδασκαλίᾳ, Ὥστε ἰσχυρὸς ἔσο. οὐ γὰρ ἁπλῶς παρεγένου, ἀλλὰ παρηκολούθηκας. ἐνταῦθα τὸν χρόνον σημαίνει πολὺν γεγενῆσθαι, διὰ τοῦ εἰπεῖν, παρηκολούθηκας τῇ διδασκαλίᾳ. τοῦτο περὶ λόγου. Τῇ ἀγωγῇ. Τοῦτο περὶ βίου. Τῇ προθέσει. Τοῦτο περὶ προθυμίας καὶ τοῦ παραστήματος τῆς ψυχῆς. οὐχὶ ἔλεγον μέν, φησι, ταῦτα, οὐκ ἐποίουν δέ, οὐδὲ ἐν λόγοις μόνον ἐφιλοσόφουν. Τῇ πίστει, τῇ μακροθυμίᾳ. Πῶς οὐδέν με τούτων, φησίν, ἐτάραττε; Τῇ ἀγάπῃ. Ὅπερ οὐκ εἶχον οὗτοι. Τῇ ὑπομονῇ.

Ὥσπερ οὐδὲ τοῦτο τῇ μακροθυμίᾳ, φησί. πρὸς τοὺς αἱρετικοὺς πολλὴν ἐπιδεικνύμενον τὴν μακροθυμίαν. τῇ ὑπομονῇ πρὸς τοὺς διωγμούς.

11 Τοῖς διωγμοῖς, τοῖς παθήμασι. Δύο γὰρ ταῦτα ταράττει τὸν διδάσκαλον, τὸ αἱρετικοὺς εἶναι πολλούς, καὶ τὸ μὴ καρτερεῖν ἐν τοῖς παθήμασιν. ἀλλ' ὅμως ὑπὲρ τούτων πολλὰ διήγηται, οἷά τε πάλαι ἦσαν, καὶ ἴσονται, καὶ χρόνος οὐδεὶς καθαρὸς τούτων, καὶ ὅτι ἡμᾶς οὐδὲν βλάψαι δυνήσονται, καὶ ὅτι ἐν τῷ κόσμῳ σκεύη χρυσᾶ καὶ ἀργυρᾶ ἐστιν. ὁρᾷς λοιπὸν αὐτὸν περὶ τῶν θλίψεων διαλεγόμενον; Οἷά μοι ἐγένετο ἐν Ἀντιοχείᾳ, ἐν Ἰκονίῳ, ἐν Λύστροις. Τί δήποτε ταῦτα μόνα εἴρηκεν ἀπὸ πολλῶν; ἐπειδὴ γνώριμα ἦν τῷ ἀνδρὶ τὰ λοιπά. καὶ ἴσως ὡς νεαρῶν τῶν πραγμάτων τούτων μέμνηται, οὐ τῶν πάλαι· καὶ οὐκ ἀπαριθμεῖται κατ' εἶδος. οὐ γάρ ἐστι κενόδοξος, οὐδὲ φιλότιμος. πρὸς γὰρ παραμυθίαν τοῦ μαθητοῦ, οὐ πρὸς ἐπίδειξιν λέγει. Ἀντιόχειαν δὲ τὴν τῆς Πισιδίας ἐνταῦθά φησι, καὶ Λύστραν, ὅθεν ἦν ὁ Τιμόθεος. Οἵους διωγμοὺς ὑπήνεγκα. Ἀμφότερα παρακλήσεως, ὅτι καὶ ἐγὼ προθυμίαν παρειχόμην γνησίαν, καὶ οὐκ ἐγκατελείφθην, καὶ οὐκ ἔστιν εἰπεῖν, ὅτι προδέδωκέ με ὁ Θεός, ἀλλὰ τὸν στέφανόν μοι λαμπρότερον εἰργάσατο. (γρ. διαλέχθη)

Οἵους διωγμοὺς ὑπήνεγκα, φησι, καὶ ἐκ πάντων με ἐρρύσατο ὁ Κύριος.

12 Καὶ πάντες δὲ οἱ θέλοντες εὐσεβῶς ζῆν ἐν Χριστῷ Ἰησοῦ, διωχθήσονται.

Τί δὲ ὅλως λέγω περὶ ἐμαυτοῦ, φησι; ἕκαστος τῶν θελόντων ζῆν εὐσεβῶς, διωχθήσεται. διωγμοὺς ἐνταῦθά φησι τὰς θλίψεις, τὰς ὀδύνας. καὶ γὰρ οὐκ ἔνι ἄνδρα τὴν τῆς ἀρετῆς ὁδὸν ὁδεύοντα λύπης εἶναι χωρίς, θλίψεως, ὀδύνης, πειρασμῶν. πῶς γάρ, ὁ στενὴν καὶ τεθλιμμένην ὁδεύων ὁδόν; ὁ ἀκούσας, Ὅτι ἐν τῷ κόσμῳ θλίψιν ἕξετε; Εἰ ἐν ἐκείνῳ τῷ χρόνῳ ἔλεγεν ὁ Ἰώβ, Πειρατήριον ὁ βίος ἀνθρώπου ἐπὶ τῆς γῆς, πόσῳ μᾶλλον τότε; (Ιωαν. ις. λγ. Ιωβ. ζ α.)

13 Πονηροὶ δὲ ἄνθρωποι καὶ γόητες, φησι, προκόψουσιν ἐπὶ τὸ χεῖρον, πλανῶντες καὶ πλανώμενοι. Μηδέν σε θορυβείτω τούτων, φησίν, εἰ ἐκεῖνοι μὲν ἐν εὐθηνίᾳ, σὺ δὲ ἐν πειρασμοῖς. τοιαύτη τοῦ πράγματος ἡ φύσις ἐστίν. ἐκ τῶν ἐμῶν δύνασαι μαθεῖν, ὅτι οὐκ ἔνι ἄνδρα πολεμοῦντα τοῖς πονηροῖς, μὴ εἶναι ἐν θλίψει. οὐκ ἔστι πυκτεύοντα ἐν τρυφῇ εἶναι, οὐκ ἔστι παλαίοντα εὐωχεῖσθαι. μηδεὶς τοίνυν τῶν ἀθλούντων ἄνεσιν ζητείτω, μηδεὶς ἐν εὐθυμίᾳ εἶναι. πάλη τὰ παρόντα, ἀγών, πόλεμος, θλίψις, στενοχωρία, πειρατήριον, τῶν ἀγώνων τὸ στάδιον. ἕτερος τῆς ἀνέσεως ὁ καιρός· οὗτος τῶν ἱδρώτων, οὗτος τῶν πόνων ὁ καιρός.

παρείληπται. εἰ δὲ τὴν χρείαν ὅταν θαυμάζειν βουλώμεθα, ταῖς γραφαῖς παρεικάζομεν, καὶ τὰς γραφομένας ὅταν θαυμάζειν βουλώμεθα, λέγομεν ὅτι λαλεῖ, ὅτι φθέγγεται· οὐ ποιοῦμεν δὲ τὸ αὐτό. ἐκεῖ μὲν γὰρ, ὅτι ἐγγὺς ὁμοιότητος ἦλθεν, ἐνταῦθα δὲ, ὅτι τοῦ κάλλους ἐγγύς. οὕτω καὶ ἐν τῇ μορφῇ, ἐκεῖ μὲν, ὅτι τύπος τις καὶ εἰκὼν, καὶ διδασκαλία, καὶ ἀρχέτυπον τῆς εὐσεβείας· ἐνταῦθα δὲ, ὅτι ἄψυχοι καὶ νεκροὶ, καὶ σχῆμα μόνον καὶ τύπον καὶ ὑπόκρισιν δηλοῖ. ἄρα σχῆμά ἐστι μόνον χωρὶς δυνάμεως πίστις, χωρὶς ἔργων. Εἰκότως. ὥσπερ γὰρ σῶμα καλὸν καὶ εὐειδὲς, ὅταν ἰσχὺν μὴ ἔχῃ, ἀλλὰ τοῖς ἐζωγραφημένοις ἢ προσεοικὸς, οὕτω πίστις ὀρθὴ χωρὶς ἔργων. πῶς μὲν γὰρ εἶναι φιλάργυρον, προδότην, προπετῆ· εἶτα πιστεύειν ὀρθῶς· τί τὸ κέρδος, ἂν μηδὲν ἔχῃ τῶν τῷ χριστιανῷ πρεπόντων; ὅταν μηδὲν πράττῃ τῶν τὴν εὐσέβειαν χαρακτηριζόντων, ἀλλὰ τοὺς ἕλληνας παρελαύνῃ τῇ ἀσεβείᾳ; ὅταν ἐπὶ λύμῃ τῶν συνόντων ᾖ; ὅταν ἐπὶ βλασφημίᾳ τοῦ Θεοῦ; ὅταν διαβάλλῃ τὸ δόγμα διὰ τῶν ἔργων;

Καὶ τούτους, φησὶν, ἀποτρέπου. Εἰ τοίνυν ἐν ὑστέροις καιροῖς τοιοῦτοι ἔσονται, πῶς φησι, καὶ τούτους ἀποτρέπου; Εἰκὸς μὲν καὶ τότε τοιούτους εἶναι τινας, εἰ καὶ μὴ μεθ' ὑπερβολῆς, ἀλλ' ὅμως εἶναι. τὸ δὲ ἀληθὲς δι' ἐκείνου πᾶσι παραινεῖ, ὥστε ἐκτρέπεσθαι τοὺς τοιούτους.

6 Ἐκ τούτων γάρ εἰσι, φησιν, οἱ ἐνδύνοντες εἰς τὰς οἰκίας, καὶ αἰχμαλωτίζοντες γυναικάρια σεσωρευμένα ἁμαρτίαις, ἀγόμενα ἐπιθυμίαις ποικίλαις,

7 Πάντοτε μανθάνοντα, καὶ μηδέποτε εἰς ἐπίγνωσιν ἀληθείας δυνάμενα ἐλθεῖν.

Ὁρᾷς αὐτοὺς τῇ τοῦ ἀρχαίου ἀπάτῃ κεχρημένους; τῷ ὅπλῳ, ᾧ ὁ διάβολος κατὰ τοῦ Ἀδὰμ ἐχρήσατο; ἐνδύνοντες εἰς τὰς οἰκίας, φησίν. Εἶδες τὸ ἀναίσχυντον πῶς ἐδήλωσε διὰ τοῦ εἰπεῖν, ἐνδύνοντες; τὸ ἄτιμον; τὴν ἀπάτην; τὴν κολακείαν; καὶ αἰχμαλωτίζοντες γυναικάρια. ὥστε γυναικάριον ὁ εὐεξαπάτητος, καὶ ἀνδρὸς πόρρω. γυναικῶν δὲ τὸ ἀπατᾶσθαι, μᾶλλον δὲ οὐδὲ γυναικῶν, ἀλλὰ γυναικαρίων. σεσωρευμένα. ὅρα πόθεν κἀκείναις γίνεται τὸ πείθεσθαι, ἀπὸ τῶν ἁμαρτιῶν, ἀπὸ τοῦ μηδὲν ἑαυταῖς συνειδέναι καλόν. καὶ σφόδρα κυρίως εἶπε, σεσωρευμένα. τὸ πλῆθος γὰρ τῶν ἁμαρτιῶν διὰ τούτου παρέστησε, καὶ τὸ ἄτακτον καὶ συγκεχυμένον. ἀγόμενα ἐπιθυμίαις ποικίλαις. οὐ τῆς φύσεως κατηγόρησεν. οὐ γὰρ ἁπλῶς γυναῖκας εἶπεν, ἀλλὰ τοιάσδε γυναῖκας. τί ἐστι, ποικίλαις; ἐνταῦθα πολλὰ ᾐνίξατο, τὴν τρυφὴν, τὴν ἀσχημοσύνην, τὴν λαγνείαν. ποικίλαις, φησὶν, ἐπιθυμίαις, τουτέστι, χρημάτων, δόξης, τρυφῆς, αὐθαδείας, τιμῆς, ἴσως δὲ καὶ ἑτέρας αἰσχρὰς ἐπιθυμίας αἰνίττεται. πάντοτε μανθάνοντα, καὶ μηδέποτε εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν δυνάμενα. διὰ τί ταῦτα φησι; οὐ συγγινώσκων αὐταῖς, ἀλλὰ καὶ σφόδρα καταπειλῶν. ἐπεὶ γὰρ ἑαυτὰς κατέχωσαν ταῖς ἐπιθυμίαις ἐκείναις καὶ τοῖς ἁμαρτήμασιν, ἐπωρώθη αὐτῶν ἡ διάνοια.

χρῶνται τῇ ἀρχαίᾳ ἀπάτῃ

8 Ὃν τρόπον δὲ Ἰαννῆς καὶ Ἰαμβρῆς ἀντέστησαν Μωϋσῇ, οὕτω καὶ οὗτοι ἀνθίστανται τῇ ἀληθείᾳ. Τίνες εἰσὶν οὗτοι; οἱ μάγοι οἱ ἐπὶ Μωϋσέως· πῶς δὲ αὐτῶν τὰ ὀνόματα οὐδαμοῦ ἐμφέρεται ἀλλαχοῦ; ἢ ἀγράφως παραδέδοται, ἢ ἀπὸ τοῦ πνεύματος εἰκὸς ἦν εἰδέναι τὸν Παῦλον. οὕτω καὶ οὗτοί, φησιν, ἀντιστήσονται τῇ ἀληθείᾳ, Ἄνθρωποι τὸν νοῦν κατεφθαρμένοι, ἀδόκιμοι περὶ τὴν πίστιν·

9 Ἀλλ' οὐ προκόψουσιν ἐπὶ πλεῖον. ἡ γὰρ ἄνοια αὐτῶν ἔκδηλος ἔσται πᾶσιν, ὡς καὶ ἡ ἐκείνων ἐγένετο. Ἀλλ' οὐ προκόψουσι, φησι. πῶς οὖν λέγει ἀλλαχοῦ, Ὅτι προκόψουσιν ἐπὶ πλεῖον ἀσεβείας; ἐνταῦθα δὲ, οὐ προκόψουσιν; ἐκεῖ τοῦτό φησιν, ὅτι ἀρχόμενοι καινοτομεῖν καὶ πλανᾶν, οὐ στήσονται τῆς πλάνης, ἀλλ' ἀεὶ ἐξευρήσουσιν ἀπάτας καινὰς καὶ δόγματα διεφθαρμένα. καὶ γὰρ ἡ πλάνη οὐδαμοῦ ἵσταται. ἐνταῦθα δὲ τοῦτό φησιν, ὅτι οὐκ ἀπα- β. Τιμ. β. ις.



Digitized by Google

τον εἶ) περὶ τὰς ἐλεημοσύνας ὑπῆρξεν· ὅπερ καὶ ἡμεῖς ποιήσωμεν, ἵνα τῶν αὐτῶν ἐπιτύχωμεν.

κεφ. γ. Λογ. η. 1 ΤΟΥΤΟ ΔΕ ΓΙΝΩΣΚΕ, ΟΤΙ ΕΝ ΕΣΧΑΤΑΙΣ ἡμέραις ἐνστήσονται καιροὶ χαλεποί. 2 Ἔσονται γὰρ οἱ ἄνθρωποι φίλαυτοι, φιλάργυροι, ἀλαζόνες, ὑπερήφανοι, βλάσφημοι, γονεῦσιν ἀπειθεῖς, ἀχάριστοι, ἀνόσιοι, ἄσπονδοι, 3 Ἄστοργοι, διάβολοι, ἀκρατεῖς, ἀνήμεροι, ἀφιλάγαθοι, 4 Προδόται, προπετεῖς, τετυφωμένοι, φιλήδονοι μᾶλλον ἢ φιλόθεοι.

ΕΙ τις ἐπὶ τοῖς αἱρετικοῖς ἀγάλλεται νῦν, ἐννοείτω, ὅτι ἐξ ἀρχῆς τοιαῦτα γέγονεν, ἀεὶ τοῦ διαβόλου τῇ ἀληθείᾳ τὸ ψεῦδος παρυφιστῶντος. ἐπηγγείλατο ὁ Θεὸς ἐξ ἀρχῆς τὰ ἀγαθά, ἦλθε καὶ ὁ διάβολος ἐπαγγελλόμενος· ἐφύτευσε παράδεισον, ἡ πάντων ἐκεῖνος, εἰπών, Ἔσεσθε ὡς θεοί. (Γεν. γ. ε.) ἐπεὶ γὰρ ἔργοις οὐδὲν ἐδείκνυ, ῥήμασι τὰ μείζονα ὑπισχνεῖται. τοιοῦτοι γὰρ οἱ ἀπατεῶνες. μετὰ ταῦτα ἦν ὁ Κάϊν καὶ ὁ Ἄβελ, εἶτα οἱ υἱοὶ τοῦ Σὴθ καὶ αἱ θυγατέρες τῶν ἀνθρώπων, εἶτα ὁ Χὰμ καὶ ὁ Ἰάφεθ, ὁ Ἀβραὰμ καὶ ὁ Φαραώ, ὁ Ἰακὼβ καὶ ὁ Ἡσαῦ, καὶ μέχρι τέλους οὕτως ἐστίν, ὁ Μωϋσῆς καὶ οἱ μάγοι, οἱ προφῆται καὶ οἱ ψευδοπροφῆται, οἱ ἀπόστολοι καὶ οἱ ψευδαπόστολοι, ὁ Χριστὸς καὶ ὁ ἀντίχριστος. καὶ πρότερον οὕτω, καὶ τότε τὰ αὐτὰ ἦν. τότε ὁ Θευδᾶς, τότε ὁ Σίμων, ὅτε οἱ ἀπόστολοι, καὶ νῦν οἱ περὶ Ἑρμογένην καὶ Φιλητόν. οὐκ ἔστιν οὖν ὅτε οὐ παρυφέστηκε τῇ ἀληθείᾳ τὸ ψεῦδος. μὴ τοίνυν ἀγάλλωμεν, ἄνωθεν ταῦτα εἴρηται. διὰ τοῦτο ἔλεγε, γίνωσκε, ὅτι ἐν ἐσχάταις ἡμέραις ἐνστήσονται καιροὶ χαλεποί. ἔσονται γὰρ οἱ ἄνθρωποι φίλαυτοι, φιλάργυροι, ἀλαζόνες, ὑπερήφανοι, βλάσφημοι, γονεῦσιν ἀπειθεῖς, ἀχάριστοι, ἀνόσιοι, ἄστοργοι. ἄρα ὁ ἀχάριστος ἀνόσιος. εἰκότως. ὁ γὰρ περὶ τὸν εὐεργέτην ἀχάριστος, τίς ἂν γένοιτό ποτε περὶ τοὺς ἄλλους; ὁ ἀχάριστος ἄσπονδος, ὁ ἀχάριστος ἄστοργος. διάβολοί, φησι τουτέστι, '' κατήγοροι. (χ. κατήγοροι.) οἱ γὰρ μηδὲν ἑαυτοῖς συνειδότες ἀγαθόν, ὥσπερ τινὰ παραμυθίαν ἔχοντες τὸ τῶν ἄλλων τὰς ὑπολήψεις βλασφημεῖν, μυρία πλημμελοῦσι καὶ ἁμαρτάνουσιν. ἀκρατεῖς, καὶ γλώσσης καὶ γαστρός, καὶ τῶν ἄλλων ἁπάντων. ἀνήμεροι. ἐντεῦθεν ἡ ὠμότης, ἐντεῦθεν ἡ ἀπήνεια, ὅταν τις φιλάργυρος ᾖ, ὅταν τις φίλαυτος, ὅταν ἀχάριστος, ὅταν '' λάγνος. (χ. ἀσέβελος) ἀφιλάγαθοι, προδόται, προπετεῖς. προδόται τῆς φιλίας. προπετεῖς τουτέστιν, οὐδὲν βέβαιον ἔχοντες. τετυφωμένοι ἀπονοίας πεπληρωμένοι. φιλήδονοι μᾶλλον ἢ φιλόθεοι.

5 Ἔχοντες μόρφωσιν εὐσεβείας, τὴν δὲ δύναμιν '' αὐτῆς ἠρνημένοι. (χ. ταύτης) Καὶ ἐν τῇ πρὸς Ῥωμαίους γράφων, οὕτω πως φησίν· (Ῥωμ. β. κ.) Ἔχοντες τὴν μόρφωσιν τῆς γνώσεως καὶ τῆς ἀληθείας ἐν τῷ νόμῳ. ἀλλ' ἐκεῖ μὲν ἐπαινῶν αὐτὸ τέθεικεν· ἐνταῦθα δὲ παρὰ πάντα τὰ ἐλαττώματα χαλεπώτερον τοῦτο δείκνυσι τὸ ἁμάρτημα. τί δήποτε; ὅτι οὐ κατὰ τὸ αὐτὸ σημαινόμενον αὐτὸ ἔλαβεν. ὥσπερ γὰρ τὴν εἰκόνα πολλάκις μὲν εἰς ὁμοίωσιν λαμβάνει, πολλάκις δὲ εἰς τὸ ἄψυχον καὶ οὐδαμινόν· οἷον καθάπερ καὶ αὐτός φησι Κορινθίοις γράφων· (α Κορ. ια. ζ.) Ἀνὴρ μὲν γὰρ οὐκ ὀφείλει κατακαλύπτεσθαι τὴν κεφαλήν, εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων. ὁ δὲ προφήτης· (Ψαλ. λη. θ.) Πλὴν ἐν εἰκόνι διαπορεύεται ἄνθρωπος. καὶ τὸν λέοντα ἡ γραφὴ ποτὲ μὲν εἰς τὸ βασιλικὸν λαμβάνει· (Γεν. μθ. θ.) Ἐκοιμήθη, φησίν, ὡς λέων, καὶ ὡς σκύμνος λέοντος, τίς ἐγερεῖ αὐτόν; ποτὲ δὲ εἰς τὸ ἁρπακτικόν· (Ψαλ. κα. ιγ.) Ὡς λέων ἁρπάζων καὶ ὠρυόμενος· οὕτω καὶ ἡμεῖς τὸ αὐτὸ ποιοῦμεν. ἐπειδὴ γὰρ τὰ πράγματα σύνθετά ἐστι, καὶ ποικίλα, εἰκότως εἰς πολλὰς εἰκόνας καὶ παραδείγματα παρείληπται.

Digitized by Google

λαι. εἰ γὰρ τοῦ γαμῆσαι τὸ μηδ' ὅλως γαμῆσαι βέλτιον, πολλῷ μᾶλλον τοῦτο ἐκείνου βέλτιον. ἀλλ' οὐκ ἤνεγκαν τινές, φησι, τὴν χηρείαν, ἀλλὰ συμφοραῖς περιέπεσον. οὐ γὰρ ἔγνωσαν τί ἐστι χηρεία. οὐ τοῦτό ἐστι χηρεία, τὸ μὴ δευτέροις ὁμιλῆσαι γάμοις, ὥσπερ οὐδὲ παρθενία τοῦτό ἐστι τὸ ἀπειρόγαμον εἶναι, ἀλλὰ τί; ὥσπερ ἐκεῖ τὸ εὔσχημον καὶ εὐπρόσεδρον, οὕτως ἐνταῦθα τὸ μεμονῶσθαι, τὸ προσκαρτερεῖν ταῖς δεήσεσι, τὸ τρυφῆς ἀπηλλάχθαι καὶ σπατάλης. Ἡ γὰρ σπαταλῶσα, φησι, ζῶσα τέθνηκεν. εἰ μέλλοις χήρα μένουσα τὸν αὐτὸν κόσμον ἔχειν, καὶ τὴν αὐτὴν φαντασίαν, καὶ τὴν αὐτὴν περιβολὴν, ἣν ζῶντος εἶχες τοῦ ἀνδρὸς, βέλτιον γαμῆσαι. οὐ γὰρ ἡ μίξις κακὸν, ἀλλ' ἡ πολυπραγμοσύνη. σὺ δὲ τὸ μὲν οὐκ ὂν κακὸν οὐ παραιτεῖς, τὸ δὲ οὐκ ἀδιάφορον, ἀλλ' ὑπὸ ἔγκλημα ὂν, τοῦτο ὑπομένεις. διὰ τοῦτο ἐξετράπησαν ὀπίσω τοῦ Σατανᾶ, ἐπειδὴ οὐκ ἔγνωσαν χηρεῦσαι καλῶς. βούλει μαθεῖν τί ἐστι χήρα, καὶ τί τὸ τῆς χήρας ἀξίωμα; ἄκουε Παύλου λέγοντος· Εἰ ἐτεκνοτρόφησεν, εἰ ἐξενοδόχησεν, εἰ ἁγίων πόδας ἔνιψεν, εἰ θλιβομένοις ἐπήρκεσεν, εἰ παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησεν. ὅταν γὰρ τοῦ ἀνδρὸς τελευτήσαντος ἧς πλούτου περιβεβλημένη πολὺν ὄγκον, εἰκότως οὐ φέρεις τὴν χηρείαν. μετάθες τοίνυν τὸν πλοῦτον τοῦτον εἰς τὸν οὐρανὸν, καὶ ἔσται σοι φορητὸν τῆς χηρείας τὸ φορτίον. τί οὖν ἂν παῖδας ἔχω τοῦ πατρῴου κλήρου διαδόχους, φησί; παῖδας καὶ ἐκείνους χρημάτων καταφρονεῖν· ταύτης μετάθες, ἐκείνοις ἀποθέμενα(?) τοσοῦτον ὅσον ἀρκεῖ. παῖδας καὶ ἐκείνους εἶναι χρημάτων κρείττους. τί οὖν ἂν περιρρέῃ, φησὶν, ἀνδραπόδων πλῆθος; ἐὰν πραγμάτων ἐσμός; χρυσίον; ἀργύρια; πῶς ἱκανὴ πρὸς ταύτην ἔσομαι τὴν φυλακὴν, δεομένη ἀνδρὸς προστασίας; σκήψεις ταῦτα καὶ προφάσεις· καὶ τοῦτο δηλοῖ πολλαχόθεν. εἰ γὰρ μὴ ἐφίεσαι χρημάτων, μηδὲ πλείω τὰ ὄντα ποιῆσαι θέλεις, κοῦφόν σοι τὸ φορτίον. φορτικώτερον τοῦ φυλάξαι πολλῷ πλέον ἐστὶ τὸ περιβάλλεσθαι. ἂν τοίνυν τοῦτο ἐκκόψῃς, τὸ περιβάλλεσθαι, φημὶ, καὶ ἐκ τῶν ὄντων τοῖς δεομένοις χορηγῇς, ὁ Θεὸς ὑπερασπιεῖ τὴν χήραν τὴν αὐτοῦ. κἂν ὅπως τῆς τῶν ὀρφανῶν κληρονομίας περιεστῶσα ταῦτα λέγῃς, οὐχὶ δὲ προφάσει ταύτης κέκτησαι φιλαργυρία, οἶδεν ὁ τὰς καρδίας ἐμβατεύων ἐν ἀσφαλεῖ τὸν ἐκείνων καταστῆσαι πλοῦτον, αὐτὸς ὁ ἐπιτάξας τεκνοτροφεῖν. οὐ γὰρ ἔστιν, οὐκ ἔστιν οἰκίαν ὑπὸ ἐλεημοσύνης ἐρριζωμένην παθεῖν τι δεινόν· ἀλλὰ κἂν πάθῃ πρὸς καιρὸν, εἰς ἀγαθὸν τελευτήσει. τοῦτο μᾶλλον ἀσπὶς καὶ δόρατος ἔσται πάσῃ τῇ οἰκίᾳ. ἄκουε τί φησιν ὁ διάβολος περὶ τοῦ Ἰώβ· Οὐ σὺ περιέφραξας αὐτοῦ τὰ ἔσω, καὶ τὰ ἔξω; διὰ τί; ἄκουε αὐτοῦ Ἰὼβ λέγοντος· Ὀφθαλμὸς ἤμην τυφλῶν, φησι, πούς χωλῶν, πατὴρ ὀρφανῶν. [Ιωβ. α. ι.] [Ιωβ. κθ. ιε.] ὥσπερ ὁ μὴ ἀποσχίζων ἑαυτὸν τῶν ἀλλοτρίων συμφορῶν, οὐδέποτε οὐδὲ ἐν τοῖς οἰκείοις πείσεταί τι κακὸν, ὅταν ἐν τῷ συναλγεῖν μανθάνῃ· οὕτως ὁ μὴ βουλόμενος τὴν ἀπὸ τῆς συμπαθείας φέρειν λύπην, ἐν τοῖς ἑαυτοῦ ταῦτα ὑποστήσεται πάντα. καὶ καθάπερ ἐπὶ τοῦ σώματος ἡ χεὶρ, τοῦ ποδὸς σηπομένου, ἂν μὴ συμπαθῇ, καὶ τραύματα καθαίρῃ, καὶ φάρμακον ἐπιθῇ, καὶ ἀποπλύνῃ ἰχῶρα, ἐν τοῖς ἑαυτῆς τοῦτο πείσεται κακοῖς, καὶ ἡ μὴ βουληθεῖσα διακονῆσαι ἑτέρῳ ἐκτὸς οὖσα τοῦ πάθους, αὐτὴ ἔνοχος ἔσται τῷ πάθει (ἐκεῖθεν γὰρ ἕρπον τὸ κακὸν ἥξει καὶ ἐπὶ ταύτην, καὶ οὐκέτι περὶ διακονίας ὁ λόγος αὐτῆς ἔσται, ἀλλὰ περὶ ἰατρείας καὶ ἀπαλλαγῆς) οὕτω δὴ καὶ ἐνταῦθα, ὁ μὴ βουλόμενος ἑτέροις συμπαθεῖν, αὐτὸς ἀλγήσει. περιέφραξας αὐτοῦ, φησι, τὰ ἔσω, καὶ τὰ ἔξω, καὶ οὐ τολμῶ ἐπελθεῖν. ἀλλ' ἔπαθε, φησι, δεινά. ἀλλὰ τὰ δεινὰ ἐκεῖνα πολλῶν ἐγένετο ἀγαθῶν αἴτια. διπλασίων ἡ οὐσία, μείζων ὁ μισθὸς, πλείων ἡ δικαιοσύνη, λαμπρότεροι οἱ στέφανοι, φαιδρὰ τὰ βραβεῖα, καὶ τὰ πνευματικά. καὶ τὰ βιωτικὰ ηὐξήθη. ἀπώλεσε παῖδας; ἀλλ' ἔλαβεν, οὐ τοὺς αὐτοὺς, ἀλλ' ἑτέρους ἀντ' ἐκείνων, καὶ ἐκείνους δὲ ἔσωζεν ἐν τῇ ἀναστάσει. εἰ τοὺς αὐτοὺς ἀνέλαβεν, ἠλάττωτο ἂν αὐτῷ τὰ τοῦ ἀριθμοῦ· νῦν δὲ ἑτέρους δοὺς ἀντ' ἐκείνων, καὶ ἐκείνους ἐν τῇ ἀναστάσει περιέσωσε. Ταῦτα πάντα αὐτῷ ἀπὸ τοῦ προέχειν αὐ-

Marginalia: χάλιν (beside line 7); α. Τιμ. ε. ς. (beside line 7); α. Τιμ. ε. ι. (beside line 11); * ων (beside line 24); ἴσ. αὐτῆ (beside line 36); γ. πλημ. (beside line 38)

ἡ τῆς ἀγάπης θερμότης ὅπουπερ ἂν ἐμπέσοι, πάντα αἴρει καὶ διακόπτει τὰ τοῦ θείου λυ-
μαινόμενα "σπόρῳ, καὶ τὴν γῆν καθαρὰν πρὸς ὑποδοχὴν τῶν σπερμάτων ἐργάζεται. χ. πόνῳ
ἔνθα ἐστὶν ἀγάπη, πάντα ἀνῄρηται τὰ κακά. οὐκ ἔστιν ἡ φιλαργυρία ἡ ῥίζα τῶν κακῶν, οὐκ
ἔστι φιλαργυρία, οὐκ ἔστιν ἀλαζονεία. τί γὰρ ἄν τις κατὰ τοῦ φίλου ἀλαζονεύσαιτο; οὐδὲν
μὲν οὖν οὕτω ποιεῖ ταπεινὸν ὡς ἀγάπη. καὶ γὰρ τὰ τῶν οἰκετῶν τοῖς φίλοις διακονούμεθα,
καὶ οὐκ αἰσχυνόμεθα, ἀλλὰ καὶ χάριν ἴσμεν τῆς δουλείας ταύτης αὐτοῖς. χρημάτων οὐ φει-
δόμεθα, ἀλλ' οὐδὲ σωμάτων πολλάκις. ἤδη γάρ τις καὶ ὑπερεκινδύνευσε τοῦ φιλουμένου. φθό-
νος οὐκ ἔστιν, οὐδὲ "κακηγορία, ἔνθα ἂν ᾖ γνησία φιλία. οὐ γὰρ μόνον οὐ διαβάλλομεν χ. κατηγορία,
τοὺς φίλους, ἀλλὰ καὶ τοὺς διαβάλλοντας ἐπιστομίζομεν. πάντα γαληνά, πάντα ἥμε-
Ρωμ. ιγ. ι. ρα, μάχης καὶ φιλονεικίας οὐδὲ ἴχνος φαίνεται· πάντα εἰρήνης μεστά (Πλήρωμα γὰρ νόμου,
φησίν, ἡ ἀγάπη) οὐδὲν ἀηδὲς παρ' αὐτῇ. πῶς; αὐτὰ γὰρ τὰ ἁμαρτήματα, πλεονεξία, ἁρ-
παγή, φθόνος, κακηγορία, ἀπόνοια, ἐπιορκία, ψεῦδος, ταῦτα πάντα καταλύεται, τῆς ἀ-
γάπης οὔσης. ἐπιορκοῦσι γὰρ οἱ ἐπιορκοῦντες ἁρπάσαι βουλόμενοι. τῶν δὲ ἀγαπωμένων
οὐδεὶς ἂν ἁρπάσειεν, ἀλλὰ καὶ προσθείη τὰ ἑαυτοῦ τῷ φιλουμένῳ. χάριν γὰρ ἔχομεν
μᾶλλον, ἢ εἰ λάβοιμεν παρ' αὐτοῦ. ἴσασι ταῦτα ὅσοι φίλους ἐσχήκασι· φίλους οὐ μέχρις ὀνό-
ματος λέγω, οὐδὲ ἐκ ψιλῆς προσηγορίας, ἀλλ' εἴ τις ἠγάπησεν ὡς ἀγαπᾶν ἔδει, εἴ
τις προσεδέθη τινί. εἰ δέ τινες οὐκ ἴσασι, παρὰ τῶν εἰδότων μαθέτωσαν. νῦν διηγήσο-
μαι ὑμῖν ἀπὸ τῶν γραφῶν φιλίαν θαυμαστήν. ὁ τοῦ Σαοὺλ υἱὸς Ἰωνάθαν ἐφίλησε τὸν Δα-
α. Βασ. ιη. α. βίδ, Καὶ συνεδέθη αὐτῷ, φησίν, ἡ ψυχὴ οὕτως, ὡς καὶ θρηνοῦντα αὐτὸν λέγειν, Ἐπέπεσεν ἐπ'
β. Βασ. α. κϛ. ἐμὲ ἡ ἀγάπησίς σου, ὡς ἡ ἀγάπησις τῶν γυναικῶν. Εἰς θάνατον ἐτραυματίσθης ἐμοί. τί
οὖν; ἐκεῖνος ἄρα ἐφθόνησεν αὐτῷ; οὐδαμῶς, καίτοιγε εἶχεν ἀνάγκην τοῦ φθονεῖν. πῶς;
ἀπὸ γὰρ τῶν πραγμάτων ἑώρα τὴν βασιλείαν ἐρχομένην εἰς αὐτόν, καὶ ὅμως οὐδὲν
ἔπαθε τοιοῦτον. οὐκ εἶπεν, οὗτός ἐστιν ὁ ἐμὲ ἀποστερήσων τῆς βασιλείας τῆς πατρικῆς, ἀλλὰ
συγκατεσκεύαζεν αὐτῷ τὴν ἀρχήν, καὶ τοῦ πατρὸς οὐκ ἐφείσατο διὰ τὸν φίλον. ἀλλὰ
μή τις αὐτὸν πατραλοίαν νομιζέτω. οὐ γὰρ ἠδίκει τὸν πατέρα, ἀλλὰ τὰς ἐπιβουλὰς καὶ
τὰς ἀδικίας κατεῖχε. μᾶλλον ἐφείδετο, ἢ ἠδίκει. οὐκ ἀφῆκεν αὐτὸν εἰς φόνον ἄδικον ἐκ-
βῆναι. ἠθέλησε καὶ ἀποθανεῖν πολλάκις δι' αὐτόν. οὐ κατηγόρησεν, ἀλλὰ καὶ τὸν πατέρα ἐπε-
στόμισεν. οὐκ ἐφθόνησεν, ἀλλὰ καὶ συγκατεσκεύασεν. οὐ χρημάτων αὐτῷ μετέδωκε μόνον,
ἀλλὰ καὶ σωτηρίας. τί λέγω χρημάτων; καὶ τὴν ψυχὴν ὑπὲρ αὐτοῦ προήκατο. οὐκ ᾐ-
δέσθη τὸν γεγεννηκότα διὰ τὸν φίλον, ἐπειδὴ ὁ μὲν ἀδίκοις ἐπεχείρει πράγμασιν, ὁ δὲ οὐδὲν
ἑαυτῷ συνῄδει τοιοῦτον. ἐκεῖ μὲν οὖν κατὰ τοῦ δικαίου ἦν ἡ φιλία. "οὗτος οὖν ὁ Ἰωνάθαν· ἴσ. οὕτως
ἴδωμεν δὲ λοιπὸν καὶ τὸν Δαβίδ. οὐκ ἔμελλεν αὐτῷ καιρὸς ἀποδοῦναι τὰς ἀμοιβάς. προ-
ανῃρέθη γὰρ ἐκεῖνος τῆς ἀρχῆς τοῦ Δαβίδ, καὶ πρὶν ἢ τὸν εὖ παθόντα ἐλθεῖν εἰς τὴν βα-
σιλείαν ὁ εὖ ποιῶν ἀπώλετο. τί οὖν; ἐν οἷς ἦν δυνατὸν καὶ ἐξῆν, ἴδωμεν πῶς ἐπεδείκνυτο
β. Βασ. α. κϛ. τὴν φιλίαν ὁ δίκαιος. Καλὸς ἐμοί, φησιν, Ἰωνάθαν· Εἰς θάνατον ἐτραυματίσθης ἐμοί. ἆρα
τοῦτο μόνον; οὐ μικρὸν γὰρ καὶ τοῦτο· πλὴν ἀλλὰ καὶ τὸν υἱὸν ἐκείνου, καὶ τὸν "ἔγγονον πολλάκις χ. ἔκγονον
κινδύνων ἐξήρπασεν, ἀπομνημονεύων τοῦ πατρὸς τὴν χάριν· καὶ διετέλει καθάπερ υἱοὺς ἰδίους
"ἔγγονα διατηρῶν καὶ διαφυλάττων. τοιαύτην ἐγὼ βούλομαι φιλίαν πάντας ἔχειν, καὶ χ. ἔκγονον
πρὸς ζῶντας, καὶ πρὸς ἀπελθόντας. αἱ γυναῖκες ἀκουέτωσαν (μάλιστα γὰρ διὰ τοῦ-
το εἶπον πρὸς ἀπελθόντας) αἱ δευτέροις ὁμιλοῦσαι γάμοις, καὶ τὴν εὐνὴν διαφθείρου-
σαι τοῦ τετελευτηκότος, "αἱ στέρξασαι τὸν πρότερον. οὐκ ἀπαγορεύων τὸν δεύτερον γάμον. χ. ἀποστέρξα-
οὐδὲ ἀκόλαστον εἶναι λέγων, ταῦτά φημι. οὐ γὰρ ἀφίησί με ὁ Παῦλος, χαλινὸν ἐπιτιθεὶς μου σαι
α Κορ. ζ. κη. μ τῷ στόματι, καὶ λέγων ταῖς γυναιξίν, Ἐὰν δὲ καὶ γήμῃ, οὐχ ἥμαρτεν. ἀλλ' ἴδωμεν καὶ τὸ ἑξῆς.
Μακαριωτέρα δέ ἐστιν, ἐὰν οὕτω μείνῃ· πολλῷ τοῦτο βέλτιον ἐκείνου. διὰ τί; διὰ πολ-
λά.

Digitized by Google

ἔλθῃ, τί τὸ κέρδος; οὕτως ἂν μάλιστα θάνατός σε κατέλαβεν, ἀρτοκόπων οὐκ ὄντων, γεωργῶν οὐκ ὄντων, θηρίων ἐπινεμομένων, δαιμόνων ἐκδειματούντων σου τὴν ψυχήν. καὶ νῦν μὲν αὐτὴν κατέχουσι δαίμονες καὶ πολλοί, τότε δὲ ἄν σε καὶ εἰς ἔκπληξιν ἤγαγον, κἂν εὐθέως ἀπώλεσαν. ἀλλ' οὐκ ἐβουλόμην, φησίν, ἀλλ' εἶναι καὶ γεωργούς, καὶ ἀρτοκόπους. ἀλλ' ἐμὲ μόνον κἀκείνοις δαπανᾶν. ἀλλ' οὐκ ἐβουλόμην αὐτοὺς δαπανᾶν· οὕτως ἀκόρεστος ἡ ἐπιθυμία αὕτη. τί γὰρ ἂν εἴη τούτου καταγελαστότερον; εἶδες ἀμηχανίαν πραγμάτων; βούλεται ἔχειν πολλοὺς τοὺς διακονουμένους αὐτῷ, καὶ ἀλγεῖ ὅτι ἐξ αὐτῆς οὗτοι μετέχουσιν, ἅτε ἐλαττοῦντες αὐτῷ τὴν οὐσίαν. τί οὖν, εἰπέ μοι; βούλει λίθους εἶναι τοὺς ἀνθρώπους; χλευασία ταῦτα πάντα, κύματα, καὶ ζάλη, καὶ χειμών, καὶ τρικυμία, καὶ πολὺς ὁ θόρυβος τῇ ψυχῇ. ἀεὶ πεινᾷ, ἀεὶ διψᾷ. εἰπὲ δή μοι, τοῦτον οὐκ ἐλεήσομεν, οὐδὲ δακρύσομεν; ἀλλ' ἐν μὲν τοῖς σώμασι τὸ τοιοῦτον κόλασίς ἐστιν ἡ χαλεπωτάτη, βουλιμία λεγομένη παρὰ τῶν ἰατρῶν, ὅταν τις πολλῶν ἐμφορούμενος, τοῦ λιμώττειν μὴ ἀπαλλάττηται· ἐπὶ δὲ τῆς ψυχῆς οὐ δακρύσομεν τὸ αὐτὸ τοῦτο πάθος; βουλιμία γὰρ ψυχῆς ἡ φιλαργυρία, ἣ πολλῶν μὲν ἐμπίπλαται, οὐδέποτε δὲ ἵσταται, ἀλλ' ὑπὸ τῆς ἐπιθυμίας ἀεὶ καταπίνεται. εἰ γὰρ ἐλλέβορον ἔδει πιεῖν, ἢ μυριάκις ὑποστῆναί τι τούτου βαρύτερον, ὥστε ἀπαλλαγῆναι τοῦ πάθους τούτου, οὐκ ἔδει προθύμως καταδέξασθαι; οὐκ ἔστι χρημάτων πλῆθος, ὃ τὴν ἀκόρεστον ἡδονὴν ἐμπλῆσαι δύναται. οὐκ αἰσχυνθησόμεθα τοίνυν ἡμεῖς, εἰ περὶ μὲν χρημάτων οὕτω τινὲς μεμήνασι, περὶ δὲ τὸν Θεὸν ἡμεῖς οὐδὲ τὸ πολλοστὸν μέρος τῆς ἀγάπης ἐπιδεικνύμεθα, ἀλλὰ ἀργυρίου γέγονεν ἀτιμότερος ἡμῖν ὁ Θεός; καὶ γὰρ ὑπὲρ μὲν ἀργυρίου, καὶ ἀγρυπνίας, καὶ ἀποδημίας, καὶ κινδύνους ἐπαλλήλους, καὶ μῖσος, καὶ ἐπιβουλάς, καὶ πάντα ὑπομένουσιν ἄνθρωποι· ἡμεῖς δὲ ὑπὲρ τοῦ Θεοῦ οὐδὲ ψιλὸν ῥῆμα προέσθαι ἀνεχόμεθα, οὐδὲ ἀπέχθειαν ἀναδέξασθαι. ἀλλ' ἂν δέῃ τινὶ τῶν καταπονουμένων ἀμῦναι, τὰς τῶν δυναστευόντων ἔχθρας ὑποστελλόμενοι καὶ τοὺς κινδύνους, προδιδόαμεν τὸν ἠδικημένον· καὶ δύναμιν λαβόντες παρὰ τοῦ Θεοῦ ὥστε βοηθεῖν, ἀπόλλυμεν αὐτὴν διὰ τὸ μὴ βούλεσθαι μισεῖσθαι, μηδὲ ἀπεχθάνεσθαι. καὶ εὐθέως τοῦτο προβάλλονται οἱ πολλοί, εἰκῆ φιλοῦ, λέγοντες, εἰκῆ μὴ μισοῦ. τοῦτο δὲ εἰκῆ μισεῖσθαί ἐστι; τί δὲ τοῦ μίσους τούτου κρεῖττον; τῆς γὰρ φιλίας τῆς διὰ τὸν Θεὸν τὸ μῖσος τὸ δι' αὐτὸν πολλῷ βέλτιον. ὅταν γὰρ φιλώμεθα διὰ τὸν Θεόν, ἡμεῖς ὀφειλέται ἐσμὲν τῆς τιμῆς· ὅταν δὲ μισώμεθα, αὐτὸς ἡμῖν ὀφειλέτης ἐστὶ τοῦ μισθοῦ. ὅσον ἂν ἀγαπήσωσι τὸν χρυσὸν οἱ φιλοχρήματοι, οὐκ ἴσασι μέτρον ἀγάπης· ἡμεῖς δὲ κἂν μικρόν τι ἐργασώμεθα, τὸ πᾶν ἠνυκέναι νομίζομεν. ὡς ἐκεῖνοι τὸν χρυσὸν φιλοῦσιν, ἡμεῖς τὸν Θεὸν οὐ φιλοῦμεν, ἀλλ' οὐδὲ τὸ πολλοστὸν μέρος. πολλὴ ἐκείνων κατηγορία, ὅτι τοσαύτην περὶ τὸν χρυσὸν τὴν μανίαν ἔχουσι· πολλὴ ἡμῶν κατάγνωσις ὅτι οὐ μαινόμεθα οὕτω περὶ τὸν Θεόν. ἀλλ' ὅσην τῇ γῇ (γῆ γὰρ ὁ χρυσὸς ὁ μεταλλικός) ὅσην τῇ γῇ τιμὴν ἀπονέμουσιν ἐκεῖνοι, τοσαύτην οὐκ ἀπονέμομεν ἡμεῖς τῷ πάντων δεσπότῃ. ἴδωμεν αὐτῶν τὴν μανίαν, καὶ αἰσχυνθῶμεν. τί γὰρ εἰ καὶ ἡμεῖς μὴ περιεχόμεθα τοῦ χρυσοῦ; ἀλλ' οὐδὲ τοῦ Θεοῦ δεόμεθα σπουδαίως. ἐνταῦθα μὲν γὰρ ἄνθρωποι γυναικὸς καταφρονοῦσι, καὶ παίδων, καὶ οὐσίας, καὶ αὐτῆς τῆς σωτηρίας αὐτῶν, καὶ ταῦτα οὐκ εἰδότες ὅτι τὴν οὐσίαν αὔξουσι τὴν ἑαυτῶν (πολλάκις γὰρ ἐν μέσαις ταῖς ἐλπίσι καὶ τὴν ψυχὴν ἀφέντες ἀπῆλθον εἰκῆ πονήσαντες) ἡμεῖς δὲ εἰδότες ὅτι ἐπιτευξόμεθα τοῦ ποθουμένου, ἂν αὐτὸν ἀγαπήσωμεν ὡς ἀγαπᾶν χρή, οὐδὲ οὕτω φιλοῦμεν, ἀλλὰ πάντα κατεψύξαμεν, τὴν πρὸς τὸν πλησίον ἀγάπην, τὴν πρὸς τὸν Θεόν· ἀπὸ τούτου τῆς πρὸς τὸν Θεόν, ἐπεὶ καὶ τῆς πρὸς τὸν πλησίον. οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἄνδρα οὐκ εἰδότα φιλεῖν, ἔχειν τι γενναῖον, καὶ φρόνημα ἀνδρεῖον. ἡ γὰρ ὑπόβαθρα πάντων τῶν ἀγαθῶν, οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἡ φιλία. Ἐν τούτῳ, φησίν, ὁ νόμος καὶ οἱ προφῆται κρέμανται. καθάπερ γὰρ εἰς ὕλην πῦρ εἰσελθὸν πάντα διακαθαίρειν εἴωθεν, οὕτω καὶ

γρ. του

γρ. ψυχὴν

γρ. διακείμεθα

Ματθ. κβ. μ.

εὐλαβής, πολλῷ μᾶλλον πρὸς τὸν Θεόν. ὁ πρὸς ὁμοδούλους ἐπιεικής, πολλῷ μᾶλλον πρὸς τὸν δεσπότην· ὁ δὲ τῶν ὁμοδούλων καταφρονῶν, οὗτος προβαίνων καὶ αὐτοῦ καταφρονήσει τοῦ Θεοῦ.

ΗΘΙΚΟΝ

Μὴ τοίνυν καταφρονῶμεν ἀλλήλων· διδασκαλία γὰρ αὕτη κακή, διδάσκουσα ἡμᾶς τοῦ Θεοῦ καταφρονεῖν. καὶ ἐν αὐτῷ μὲν γὰρ τούτῳ τοῦ Θεοῦ καταφρονοῦμεν, ὅταν ἀλλήλων καταφρονῶμεν, τοῦ κελεύσαντος πολλὴν εἰς ἀλλήλους ἐπιδείκνυσθαι τὴν σπουδήν. πλὴν καὶ ἑτέρως, εἰ βούλεσθε, ἐκ παραδειγμάτων τοῦτο ποιήσω φανερόν. κατεφρόνησε τοῦ ἀδελφοῦ ὁ Κάϊν, κατεφρόνησεν εὐθέως καὶ τοῦ Θεοῦ. πῶς κατεφρόνησεν; ὅρα πῶς ὑβρικῶς ἀποκρίνεται πρὸς τὸν Θεόν, Μὴ φύλαξ εἰμὶ τοῦ ἀδελφοῦ μου; κατεφρόνησε πάλιν τοῦ ἀδελφοῦ ὁ Ἠσαῦ, καὶ κατεφρόνησε τοῦ Θεοῦ. διὰ τοῦτο ἔλεγεν ὁ Θεός, Ὅτι τὸν Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἠσαῦ ἐμίσησα. διὸ καὶ Παῦλός φησι, Μή τις πόρνος ἢ βέβηλος, ὡς Ἠσαῦ. κατεφρόνησαν τοῦ Ἰωσὴφ οἱ ἀδελφοί, κατεφρόνησαν καὶ τοῦ Θεοῦ. οἱ Ἰσραηλῖται κατεφρόνησαν Μωϋσέως, διὰ τοῦτο κατεφρόνησαν καὶ τοῦ Θεοῦ. οὕτω καὶ οἱ υἱοὶ Ἡλεὶ κατεφρόνουν τοῦ λαοῦ, κατεφρόνουν καὶ τοῦ Θεοῦ. βούλει δὲ καὶ ἐκ τοῦ ἐναντίου ἰδεῖν; ὁ Ἀβραὰμ ἐφείσατο τοῦ ἀδελφιδοῦ, ὑπήκουσε καὶ τῷ Θεῷ. καὶ δῆλόν ἐστιν ἐκ τῆς ὑπακοῆς τῆς ἐπὶ τοῦ υἱοῦ Ἰσαάκ, καὶ τῆς ἄλλης ἁπάσης ἀρετῆς. πάλιν ὁ Ἄβελ ἐπιεικὴς ὢν πρὸς τὸν ἀδελφόν, εὐλαβὴς ἦν καὶ πρὸς τὸν Θεόν. μὴ τοίνυν καταφρονῶμεν ἀλλήλων, ἵνα μὴ μάθωμεν καὶ τοῦ Θεοῦ καταφρονεῖν. τιμῶμεν ἀλλήλους, ἵνα μάθωμεν καὶ τὸν Θεὸν τιμᾶν. ὁ θρασὺς κατὰ ἀνθρώπων, καὶ κατὰ τοῦ Θεοῦ γίνεται θρασύς. ὅταν δὲ καὶ φιλαργυρία, καὶ φιλαυτία, καὶ ἀπόνοια κατὰ ταὐτὸν συνέλθῃ, τί λοιπὸν λείπεται πρὸς τελείαν ἀπώλειαν; τὸ πᾶν διέφθαρται, καὶ πολὺς τῶν ἁμαρτημάτων ἐπιρρεῖ βόρβορος. ἀχάριστοι, φησί. πῶς γὰρ ὁ φιλάργυρος εὐχάριστος ἔσται; τίνι εἴσεται χάριν; οὐδενί. πάντας ἐχθροὺς ἡγεῖται, τὰ πάντων θέλων λαβεῖν. κἂν γὰρ τὴν πᾶσαν οὐσίαν κενώσῃς, οὐδεμίαν οἶδέ σοι χάριν. ἀγανακτεῖ ὅτι μὴ πολλὰς εἶχες, καὶ πολλῶν αὐτὸν πεποίηκας κύριον. κἂν τῆς οἰκουμένης αὐτὸν δεσπότην ποιήσῃς, οὐκ οἶδέ σοι χάριν. οὐδὲν γὰρ ἡγεῖται εἰληφέναι. ἀκόρεστος ἡ ἐπιθυμία τούτου. νόσου γάρ ἐστιν ἐπιθυμία. τοιαῦται δὲ αἱ τῶν νοσούντων ἐπιθυμίαι. καὶ ὁ πυρέττων οὐδέποτε ἐμφορηθῆναι δύναται, ἀλλ' ἀεὶ ἐν ἐπιθυμίᾳ μεθύων οὐδέποτε πληροῦται, ἀλλ' ἀεὶ διψᾷ· οὕτω καὶ ὁ περὶ χρήματα μαινόμενος, οὐδέποτε οἶδε τὴν ἐπιθυμίαν ἐμπλῆσαι· μηδέποτε δὲ ἐμπιπλάμενος, ὅσα ἂν χαρίσῃς, οὐκ εἴσεταί σοι χάριν. ἐκείνῳ γὰρ εἴσεται μόνῳ τῷ διδόντι ὅσα βούλεται· τοῦτο δὲ οὐδεὶς δυνήσεται ποιῆσαι. οὐ γὰρ ἔχει μέτρον ἃ βούλεται. οὐκοῦν οὐδενὶ εἴσεται χάριν. οὐδὲν οὕτως ἀχάριστον, ὡς φιλάργυρος· οὐδὲν οὕτως ἀναίσθητον, ὡς φιλοχρήματος. τῆς οἰκουμένης ἁπάσης ἐστὶν ἐχθρός. ἀγανακτεῖ ὅτι εἰσὶν ἄνθρωποι. βούλεται γὰρ πάντα ἐρημίας εἶναι μεστά, ὥστε τὰ πάντων ἔχειν αὐτός. καὶ πολλὰ τοιαῦτα φαντάζεται· Εἰ ἐγένετο σεισμὸς ἐν τῇ πόλει, φησίν, εἶτα πάντων καταχωσθέντων, ἐγὼ μόνος περιελείφθην, ὥστε τὰ πάντων λαβεῖν εἰ δυνατόν· εἰ ἐπῆλθε λοιμός, καὶ πάντας ἀπώλεσε τοῦ χρυσίου χωρίς· εἰ καταποντισμὸς ἐγένετο, εἰ θαλάττης ἐπίκλυσις, καὶ μυρία τοιαῦτα ἐπινοεῖ, χρηστὸν μὲν οὐδέν, σεισμοὺς δέ, καὶ σκηπτούς, καὶ πολέμους, καὶ λοιμούς, καὶ πάντα τὰ τοιαῦτα γενέσθαι εὔχεται. εἰπὲ δή μοι, ἄθλιε καὶ ταλαίπωρε καὶ παντὸς ἀνδραπόδου δουλικώτερε, εἰ πάντα ἦν χρυσός, οὐκ ἂν ἀπηλλάγης ὑπὸ τοῦ χρυσοῦ, λιμῷ διαφθαρείς. εἰ σεισμὸς ἐγένετο, τῆς οἰκουμένης καταποθείσης, ἀπολώλεις ἂν καὶ σὺ ὑπὸ τῆς ὀλεθρίας ταύτης ἐπιθυμίας. οὐ γὰρ ὄντος ἀνθρώπου ἐπὶ τῆς γῆς, οὐκ ἄν σοι τὰ τῆς ζωῆς συγκεκρότητο. θῶμεν γὰρ πάντας ἄρδην ἠφανίσθαι τοὺς κατὰ τὴν οἰκουμένην ἀνθρώπους, εἶτα τὸ χρυσίον αὐτῶν, καὶ τὸ ἀργύριον αὐτομάτως πως εἰς σὲ περιεληλυθέναι (καὶ γὰρ μωρά, καὶ ἀδύνατα φαντάζονται) καὶ τὸν πλοῦτον ἐκείνων, τὸν χρυσόν, τὸν ἄργυρον, τὰ ἱμάτια τὰ σηρικά, τὰ διάχρυσα πάντα αὐτομάτως εἰς τὰς σὰς χεῖρας ἐλθεῖν,

Γεν. δ. 9. Ρωμ. 9. ιγ. Μαλ. α. γ. Εβρ. ιβ. ιϛ.

Ιο. ε. 31

χ. ἐπινοεῖ

χ. ἀπηλλάγης ἂν τοῦ χρυσοῦ,

Λογ. ζ. 1 ΤΟΥΤΟ ΔΕ ΓΙΝΩΣΚΕ, ΟΤΙ ΕΝ ΕΣΧΑ-
ταις ἡμέραις ἐνστήσονται καιροὶ χαλεποί. 2 Ἔσονται γὰρ οἱ ἄνθρωποι
φίλαυτοι, φιλάργυροι, ἀλαζόνες, ὑπερήφανοι, βλάσφημοι, γονεῦσιν ἀ-
πειθεῖς, ἀχάριστοι, ἀνόσιοι, 3 Ἄσπονδοι, ἄστοργοι, διάβολοι, ἀκρατεῖς,
ἀνήμεροι, ἀφιλάγαθοι, 4 Προδόται, προπετεῖς, τετυφωμένοι, φι-
λήδονοι μᾶλλον, ἢ φιλόθεοι, 5 Ἔχοντες μόρφωσιν εὐσεβείας, τὴν δὲ δύ-
ναμιν αὐτῆς ἠρνημένοι. καὶ τούτους ἀποτρέπου. 6 Ἐκ τούτων γάρ εἰ-
σιν οἱ ἐνδύνοντες εἰς τὰς οἰκίας, καὶ αἰχμαλωτίζοντες γυναικάρια σεσω-
ρευμένα ἁμαρτίαις, ἀγόμενα ἐπιθυμίαις καὶ ἡδοναῖς ποικίλαις,
7 Πάντοτε μανθάνοντα, καὶ μηδέποτε εἰς ἐπίγνωσιν ἀληθείας δυνάμενα
ἐλθεῖν.

ΕΝ τῇ προτέρᾳ ἐπιστολῇ ἔλεγεν, Ὅτι δὲ πνεῦμα ῥητῶς λέγει, ὅτι ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως. (α. Τιμ. δ. α.) καὶ πάλιν ἐν ἑτέρῳ τόπῳ προφητεύει ἐν αὐτῇ τῇ ἐπιστολῇ τοιοῦτόν τι ὕστερον ἐσόμενον. καὶ ἐνταῦθα δὲ πάλιν τὸ αὐτὸ ποιεῖ λέγων· τοῦτο δὲ γίνωσκε ὅτι ἐν* ὑστέροις (*χ. ἐσχάταις ἡμέραις) καιροῖς ἐνστήσονται καιροὶ χαλεποί. καὶ οὐκ ἀπὸ τῶν ὑστέρων μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν φθασάντων τοῦτο δείκνυσιν. 8 Ὃν τρόπον, φησίν, Ἰαννῆς καὶ Ἰαμβρῆς ἀντέστησαν Μωϋσῇ. Καὶ ἀπὸ λογισμοῦ πάλιν· Ἐν μεγάλῃ δὲ οἰκίᾳ οὐκ ἔστι μόνον σκεύη χρυσᾶ καὶ ἀργυρᾶ. (β. Τιμ. β. κ.) τί δὴ τοῦτο ποιεῖ; ἵνα μὴ θορυβῆται Τιμόθεος, μηδὲ ἡμῶν τις, ὅταν ὦσιν ἄνδρες πονηροί. εἴγε ἐπὶ Μωϋσέως γεγόνασι, φησι, καὶ μετὰ ταῦτα ἔσονται, οὐδὲν θαυμαστὸν εἰ καὶ ἐφ' ἡμῶν. ἐν ὑστέροις καιροῖς ἐνστήσονται καιροὶ χαλεποί. οὐχὶ τὰς ἡμέρας διαβάλλων λέγει, οὐδὲ τοὺς καιρούς, ἀλλὰ τοὺς ἀνθρώπους τοὺς τότε ὄντας. καὶ γὰρ ἡμῖν οὕτω λέγειν ἔθος ἐστὶ καιροὺς πονηρούς, καὶ οὐ πονηρούς, ἀπὸ τῶν ἐν αὐτοῖς συμβαινόντων πραγμάτων ὑπὸ τῶν ἀνθρώπων. καὶ εὐθέως δὲ πάντων αἴτιον τίθησι τῶν κακῶν, καὶ τὴν ῥίζαν, καὶ τὴν πηγήν, ἐξ ἧς τὰ ἄλλα πάντα τίκτεται, τὴν ὑπερηφανίαν. ὁ τοιοῦτος ἀλλότρια τὰ πάθη οὐδὲ τὰ οἰκεῖα σκοπεῖ. ὅταν γὰρ μὴ τὰ τοῦ πλησίον τις σκοπῇ, ὅταν τῶν ἐκείνου ἀμελῇ, πῶς τὰ ἑαυτοῦ σκοπήσει; ὥσπερ γὰρ ὁ τὰ τοῦ πλησίον ὁρῶν, τὰ αὐτοῦ καλῶς θήσεται ἐν τοῖς ἐκείνου, οὕτως ὁ καταφρονῶν τὰ ἐκείνου, καὶ τὰ αὐτοῦ ὑπερόψεται. εἰ γὰρ μέλη ἀλλήλων ἐσμέν, ἡ τοῦ πλησίον σωτηρία οὐκ ἐκείνου μόνου ἐστίν, ἀλλὰ καὶ τοῦ λοιποῦ σώματος· καὶ ἡ τοῦ πλησίον βλάβη, οὐ μέχρις ἐκείνου μόνου ἵσταται, ἀλλὰ καὶ ἅπαντα λοιπὸν καταπίνει ταῖς ὀδύναις. εἰ οἰκοδομή ἐσμεν, ὅπερ ἂν πάθῃ μέρος, καὶ τὸ λοιπὸν λυμαίνεται· ἂν δὲ ᾖ στερρόν, καὶ τὸ λοιπὸν διαβαστάζειν δύναται. οὕτω δὴ καὶ ἐν τῇ ἐκκλησίᾳ. ὑπερεῖδες τὸν ἀδελφόν; σαυτὸν ἠδίκησας. πῶς; τὸ μέλος τὸ σὸν βλάβην ὑπέστη οὐ μικράν. εἰ γὰρ ὁ χρημάτων μὴ μεταδιδοὺς εἰς τὴν γέενναν ἄπεισιν, ὁ ἐν τοῖς ἀναγκαιοτέροις ὁρῶν κινδυνεύοντα, καὶ χεῖρα μὴ ὀρέγων, πολλῷ μᾶλλον ἐκείνου τοῦτο πείσεται, ὅσῳ καὶ ἐν μείζονι ἡ ζημία γίνεται. ἔσονται γάρ, φησιν, οἱ ἄνθρωποι φίλαυτοι. ὁ φίλαυτος οὗτος ἐστὶν ὁ μάλιστα ἑαυτὸν μὴ φιλῶν· ὁ δὲ φιλάδελφος, οὗτος μᾶλλόν ἐστιν ὁ ἑαυτὸν ἀγαπῶν. ἀπὸ τούτου ἡ φιλαργυρία. τὴν γὰρ ἀγάπην πλατεῖαν οὖσαν καὶ πανταχοῦ ἐκκεχυμένην συστέλλει, καὶ εἰς βραχὺ συνάγει τὸ τῆς φιλαυτίας ὀλέθριον καὶ μικρολόγον. φιλάργυροι. ἀπὸ τούτου ἀλαζονεία τίκτεται, ἀπὸ τῆς ἀλαζονείας ἡ ὑπερηφανία, ἀπὸ τῆς ὑπερηφανίας βλασφημία, ἀπὸ τῆς βλασφημίας ἀπόνοια καὶ ἀπείθεια. ὁ γὰρ κατὰ ἀνθρώπων ἐπαιρόμενος, εὐκόλως καὶ κατὰ τοῦ Θεοῦ. οὕτω καὶ τὰ ἁμαρτήματα τίκτεται. πολλάκις κάτωθεν * ἀνιοῦσιν. (*ἄνω) ὁ πρὸς τοὺς ἀνθρώπους

εὐλαβής,

νηθείᾳ καταστήσαιμεν ἑαυτοὺς τοῦ νηστεύεσθαι καὶ εὔχεσθαι, καὶ οὐκ ἂν μὴ νηψάμενοι τοῦτο ποιῆσαι. ἀλλ' ἡδέως οὐκ εὐξόμεθα, εἰ ἀνίπτοις χερσὶ τοῦτο ποιοῦμεν, ὡς προσκρούειν μέλλοντες Θεῷ, καὶ ὑπὸ συνειδότος πονηροὶ ὄντες. εἰ δὲ μικρὸν τοῦτο τοσαύτην ἔχει τὴν τυραννίδα, καὶ πάντως ἐκπληροῦται καθ' ἑκάστην ἡμέραν, εἰ ἐν ἐλεημοσύνης συνηθείᾳ καταστήσαιμεν ἑαυτούς, καὶ τοῦτο πληροῦν ἀεὶ ὠείσαμεν, μηδέποτε εἰσιέναι κεναῖς ταῖς χερσὶν εἰς οἶκον εὐκτήριον, κατώρθωτο ἂν δὲ πρᾶγμα. μεγάλη γὰρ καὶ ἐν τοῖς ἀγαθοῖς, καὶ ἐν τοῖς κακοῖς τῆς συνηθείας ἡ τυραννίς. οὐ δεησόμεθα πόνου λοιπόν, αὐτῆς ἑλκούσης ἡμᾶς. ἐν συνηθείᾳ πολλοὶ κατέστησαν τοῦ σφραγίζειν ἑαυτοὺς συνεχῶς, καὶ οὐκέτι δέονται τοῦ ὑπομιμνήσκοντος. ἀλλὰ καὶ τοῦ νοῦ πολλάκις ἀλλαχοῦ ῥεμβομένου, καθάπερ ὑπό τινος ἐμψύχου διδασκάλου τῆς συνηθείας, ἡ χεὶρ αὐτομάτως ἕλκεται πρὸς δὲ τὸ σημεῖον ἐργάσασθαι. ἐν συνηθείᾳ κατέστησαν ἑαυτούς τινες, ὥστε μὴ ὀμνύειν· καὶ οὔτε ἑκόντες, οὔτε ἄκοντες τοῦτο ʺπείσοιεν). καταστήσωμεν καὶ ἡμεῖς ἑαυτοὺς ἐν ταύτῃ τῇ συνηθείᾳ τῇ τῆς ἐλεημοσύνης. πόσων ἡμῖν ἔδει καμάτων, ὥστε εὑρεθῆναι τὸ φάρμακον τοῦτο; εἰπὲ γάρ μοι, εἰ μὴ ἦν ἡ τῆς ἐλεημοσύνης παραμυθία, εἶτα μυρία ἡμαρτηκότες ὑπευθύνους ἑαυτοὺς κατεσκευάζομεν τῇ τιμωρίᾳ, ἆρα οὐκ ἂν ἀπωδυρόμεθα πολλά; ἆρα οὐκ ἂν εἴπαμεν, εἴθε ἦν διὰ χρημάτων ἀπολούσασθαι τὰ ἁμαρτήματα, καὶ πάντα ἂν ἐκενώσαμεν· εἴθε ἦν διὰ χρημάτων ἐκβαλεῖν τὴν ὀργὴν τοῦ Θεοῦ, καὶ οὐκ ἂν ἐφεισάμεθα τῶν ὄντων; εἰ γὰρ ἐν νόσῳ τοῦτο ποιοῦμεν, καὶ ἐν θανάτῳ λέγομεν, ὅτι εἰ ἦν θάνατον πρίασθαι, πάντα ἂν ἔδωκεν ὁ δεῖνα τὰ ὑπάρχοντα, πολλῷ μᾶλλον ἐνταῦθα. καίτοι ὅρα τὴν φιλανθρωπίαν τοῦ Θεοῦ, ὅση τίς ἐστιν. οὐκ ἔδωκέ σοι θάνατον ἀγοράζειν τὸν πρόσκαιρον, ἀλλὰ θάνατον τὸν αἰώνιον. μὴ τὴν μικρὰν ἀγοράσῃς, φησί, ζωὴν ταύτην, ἀλλὰ ζωὴν ἐκείνην τὴν αἰώνιον· ἐκείνην σοι πωλῶ, οὐ ταύτην· οὐκ ἐμπαίζω σοι. κἂν λάβῃς ταύτην, οὐδὲν ἔλαβες. ἐγὼ οἶδα ὅτι ἐκείνη μεγάλη ἐστίν. ἀλλ' οὐχ οὕτως οἱ κάπηλοι, καὶ οἱ τὰ βιωτικὰ ἐμπορευόμενοι ποιοῦσιν· ἐκείνοις ἂν ἐξῆν ἐμπαῖξαι, οἷς βούλονται, καὶ δὲ μικρὸν διδόασιν ἀντὶ τοῦ μεγάλου. αὐτὸς δὲ οὐχ οὕτως· ἀλλ' ἀντὶ τῶν μικρῶν τὰ πολλῷ μείζονα δίδωσιν. εἰπέ μοι, εἰ πρὸς ἔμπορόν τινα ἀπελθὼν, δύο λίθων κειμένων, τοῦ μὲν εὐτελοῦς, τοῦ δὲ βαρυτίμου καὶ ἱκανοῦ ἐργαζομένου πλοῦτον, καταθεὶς ἐκείνου τοῦ μικροῦ τὸ τίμημα, τὸν μέγαν ἔλαβες, ἆρα ἂν ἐνεκάλεσας ἐκείνῳ; οὐδαμῶς, ἀλλὰ μᾶλλον ἐθαύμασας. οὕτω καὶ νῦν κεῖνται δύο ζωαί, ἡ πρόσκαιρος, καὶ ἡ αἰωνία. πωλεῖ δὲ ταύτας ὁ Θεός. ἀλλὰ ταύτην ἡμῖν πωλεῖ, οὐκ ἐκείνην. τί ἀγάλλομεν κατὰ τοὺς ἀνοήτους τῶν παίδων, ὅτι δὲ τίμιον λαμβάνομεν; ἔστιν οὖν ἀγοράσαι ζωὴν χρημάτων, φησί; ναί, ὅταν τὰ ἑαυτῶν, καὶ μὴ τὰ ἀλλότρια καταβάλλωμεν, ὅταν μὴ ἐπίθεσιν ποιῶμεν. ἀλλ' ἐμὰ λοιπόν ἐστι, φησίν. οὐκ ἔστι σὰ μετὰ τὴν ἁρπαγήν, ἀλλ' ἐκείνου ἐστίν· ἀλλότριά ἐστι, κἂν μυριάκις αὐτῶν κύριος ᾖς. οὐδὲ γὰρ εἰ παρακαταθήκην λάβοις, τὸν καιρὸν καθ' ὃν ὁ παρακαταθέμενος ἀποδημεῖ, σὰ ταῦτά ἐστι, καίτοι γε παρὰ σοὶ κεῖται. εἰ τοίνυν ἅπερ ἑκόντων καὶ χάριν εἰδότων τῶν παρακαταθεμένων λαμβάνομεν, οὐκ ἔστιν ἡμέτερα, οὐδὲ ἐκεῖνον τὸν καιρόν, καθ' ὃν ἔχομεν, πολλῷ μᾶλλον ταῦτα, ἅπερ ἀκόντων καὶ μὴ βουλομένων ἁρπάζομεν. ἐκεῖνός ἐστιν αὐτῶν κύριος, κἂν μυριάκις αὐτὰ ἔχῃς. ἡμέτερα ὄντως ἐστὶν ἡ ἀρετή, τὰ δὲ χρήματα οὐδὲ τὰ ἡμέτερα, ἡμέτερα, μήτι γε τὰ ἀλλότρια, ἀλλὰ νῦν μὲν ἡμῶν, αὔριον δὲ οὐχ ἡμῶν. τὰ δὲ τῆς ἀρετῆς ἡμέτερα. οὐ γὰρ ζημιοῦται αὕτη, καθάπερ ἐκεῖνα, ἀλλὰ πᾶσι πρόσεστιν ὁλόκληρος. ταύτην οὖν κτησώμεθα, καὶ χρημάτων καταφρονῶμεν, ἵνα δυνηθῶμεν τῶν ὄντως ἐπιτυχεῖν ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι.

γ. πάσχουσι



Digitized by Google

τῆς διαλέγεται ἄνω καὶ κάτω τὸν προφήτην. ἔλεον δὲ λέγω, οὐ τὸν μετὰ πλεονεξίας. οὐ γάρ ἐστι τοῦτο ἔλεος. οὐδὲ γὰρ ἀκάνθης ῥίζα ἔλαιον τίκτει ποτέ, ἀλλ' ἐλαίας· ὥσπερ οὖν οὐδὲ πλεονεξίας ῥίζα ἔλεον τίκτει, οὐδὲ ἀδικίας, οὐδὲ ἁρπαγῆς. μὴ διαβάλλῃς τὴν ἐλεημοσύνην, μὴ ποίει αὐτὴν κατηγορεῖσθαι ὑπὸ πάντων. εἰ γὰρ διὰ τοῦτο ἁρπάζεις, ἵνα ἐλεήσῃς, οὐδὲν τῆς ἐλεημοσύνης ταύτης χεῖρον. ὅταν γὰρ ἐξ ἁρπαγῆς τίκτηται, οὐκ ἔστι τοῦτο ἐλεημοσύνη· ἀπήνειά τίς ἐστι καὶ ὠμότης, ὕβρις τοῦτο εἰς τὸν Θεόν. εἰ ὁ τὰ ἐλάττονα τῶν αὑτοῦ προσενεγκὼν οὕτω προσέκρουσεν ὁ Κάϊν, ὁ τὰ ἀλλότρια προσφέρων πῶς οὐ προσκρούσει; προσφορὰ οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἡ θυσία, καθαρότης, οὐκ ἀκαθαρσία. καὶ ῥυπαραῖς μὲν χερσὶν οὐ τολμᾷς εὔξασθαι, ῥύπον δὲ καὶ ἀκαθαρσίαν προσφέρων ἐξ ἁρπαγῆς οὐδὲν ἡγῇ ποιεῖν δεινόν; τὰς χεῖρας οὐκ ἀφιεὶς ῥύπου καὶ ἀκαθαρσίας πληροῦσθαι, ἀλλὰ καθαρὰς εἶναι ποιήσας, οὕτω προσφέρεις· καίτοι οὐχ ὁ ῥύπος οὐδὲν ἔγκλημα φέρει, ἐκεῖνος δὲ κατηγορίας ἄξιος καὶ διαβολῆς. μὴ τοίνυν τοῦτο σκοπῶμεν, ὅπως καθαραῖς προσφέρωμεν καὶ εὐχώμεθα χερσίν, ἀλλ' ὅπως καὶ τὰ προσφερόμενα ᾖ καθαρά. ἐπεὶ τοῦτο γέλως ἐστίν, ὥσπερ ἂν εἴ τις τὸν πίνακα περιπλύνας δώρων ἀκαθάρτων τοῦτον ἐμπλήσειεν. οὐχὶ χλευασία τοῦτό ἐστι καὶ γέλως; ἵν' οὖν αἱ χεῖρες καθαραὶ ἔσονται, μὴ ὕδατι αὐτὰς ἀπονίπτωμεν μόνον, ἀλλὰ καὶ δικαιοσύνῃ πρότερον. τοῦτο χειρῶν καθάρσιον. ἂν δὲ γέμωμεν ἀδικίας, κἂν μυριάκις αὐτὰς περιπλύνῃς, κέρδος οὐδέν. Λούσασθε, φησί, καθαροὶ γίνεσθε. Ησ. α. ις.
τί οὖν; ἆρα προσθεὶς εἶπε, πορεύεσθε ἐπὶ τὰς πηγάς, πορεύεσθε ἐπὶ τὰ βαλανεῖα, καὶ τὰς λίμνας, καὶ τοὺς ποταμούς; οὐδὲν τούτων· ἀλλὰ τί; Ἀφέλετε τὰς πονηρίας ὑμῶν ἀπὸ τῶν ψυχῶν ὑμῶν· τουτέστι, καθαροὶ γίνεσθε. τοῦτο ἀπηλλάχθαι παντὸς μολυσμοῦ, αὕτη ἐστὶν ἡ ὄντως καθαρότης. ἐκείνη μὲν γὰρ οὐδὲν μέγα ὤνησεν, αὕτη δὲ παρρησίαν ἡμῖν χαρίζεται τὴν πρὸς τὸν Θεόν· κἀκείνην καὶ μοιχούς, καὶ κλέπτας, καὶ ἀνδροφόνους ἔχειν δυνατόν, καὶ βλάκας, καὶ ἐκλύτους ἄνδρας, καὶ πόρνους, καὶ ἡταιρηκότας, καὶ μάλιστα τούτους. οὗτοι γάρ εἰσιν οἱ τῆς τοῦ σώματος καθαρότητος ἐπιμελούμενοι μάλιστα πάντων, μύρων ὄζοντες συνεχῶς, ἀποσμύχοντες τὸ σῆμα. σῆμα γάρ ἐστιν αὐτοῖς τὸ σῶμα, τῆς ψυχῆς ἔνδον οὔσης νεκρᾶς. ὥστε ταύτης μὲν τῆς καθαρότητος κἀκείνοις μετεῖναι δυνατόν· τῆς δὲ ἔνδον οὐκέτι. οὐδὲν μέγα, ἐὰν τὸ σῶμα ἀποπλύνῃς. Ἰουδαϊκός ἐστιν οὗτος ὁ καθαρμός, ἀνόητος καὶ ἀνωφελής, τοῦ ἔνδον οὐκ ὄντος. ἔστω τις σηπεδόνα ἔχων, ἢ νομὴν τραυμάτων, περιπλυνέτω τὸ σῶμα. τί τὸ κέρδος; τί τὸ πέρας; εἰ δὲ τὴν ἐν σώματι σηπεδόνα οὐδὲν ὠφελῆσαι δυνήσεταί τις ἀπὸ τῆς ἐπιφανείας τῆς ἔξωθεν περικλυζομένης καὶ ἀφανιζομένης, ὅταν ἐν ψυχῇ ἡ σηπεδὼν ᾖ, τί ἀπὸ τῆς τοῦ σώματος καθαρότητος ὀνησόμεθα; οὐδέν. εὐχῶν ἡμῖν δεῖ καθαρῶν. εὐχαὶ δὲ οὐκ ἂν γένοιντο καθαραί, τῆς τικτούσης αὐτὰς ψυχῆς οὔσης μιαρᾶς. χ. ἐγένοντο
οὐδὲν γὰρ οὕτω ποιεῖ ψυχὴν μιαράν, ὡς πλεονεξία καὶ ἁρπαγή. ἀλλ' εἰσί τινες οἳ κατὰ τὴν ἑσπέραν μυρία διὰ τῆς ἡμέρας ἐργαζόμενοι κακά, λουόμενοι εἰσίασιν εἰς τὴν ἐκκλησίαν μετὰ πολλῆς τῆς παρρησίας τὰς χεῖρας ἀνατείνοντες, ὡς τὸ πᾶν διὰ τῆς τῶν ὑδάτων κολυμβήθρας ἀποθέμενοι. εἰ τοῦτο ἦν, μέγα τὸ κέρδος ἦν τὸ καθ' ἑκάστην ἡμέραν λούεσθαι. εἰ τοῦτο ἦν, οὐκ ἂν οὐδὲ αὐτὸς ἐπαυσάμην τὰ βαλανεῖα διενοχλῶν, εἰ καθαροὺς ἐποίει καὶ ἁμαρτημάτων ἀπήλλαττε. γέλως ταῦτα καὶ λῆρος, παίγνια καὶ παίδων ἀθύρματα. οὐκ ἀποστρέφεται σώματος ῥύπον ὁ Θεός, ἀλλ' ἀκαθαρσίαν ψυχῆς. ἄκουε γὰρ αὐτοῦ λέγοντος· Μακάριοι οἱ Ματθ. ε. η.
καθαροί, ἆρα τῷ σώματι; οὐδαμῶς, ἀλλ' οἱ τῇ καρδίᾳ καθαροί, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται. ὁ δὲ προφήτης τί φησι; Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός. καὶ πάλιν, Ἀπό- Ψαλ. ν. ιβ.
πλυναι ἀπὸ κακίας τὴν καρδίαν σου. Ιερ. δ. ιδ.
μέγα ἀγαθὸν ἐν συνηθείᾳ ἀγαθῶν εἶναι. ὅσα πως ἐστὶ μικρὰ ταῦτα καὶ ἀνόνητα. καὶ ἐπειδὰν προληφθῇ ἐν συνηθείᾳ ἡ ψυχή, οὐκ ἀφίσταται, οὐδὲ ἀνέχεται μὴ πρότερον αὐτὰ πληρώσασα προσελθεῖν τῇ εὐχῇ. οἷόν τι λέγω· ἐν συν-

ηθείᾳ

ὡς αὐτοί τινα πείθοντες, κἂν πείσωμεν. καὶ ζωγρηθέντες, φησὶν, ὑπ' αὐτοῦ εἰς τὸ ἐκείνου θέλημα. τοῦτο δὲ οὐ περὶ δογμάτων ἄν τις εἴποι, ἀλλὰ καὶ περὶ βίου. τὸ γὰρ θέλημα αὐτοῦ ἐστιν ὀρθῶς βιοῦν. εἰσὶ δέ τινες ἐν τῇ παγίδι τοῦ διαβόλου, καὶ βίου ἕνεκεν. οὐ τοίνυν οὐδὲ πρὸς τούτους ἀπεικεῖν χρή. μήποτε ἀνανήψωσι, φησὶν, ἐζωγρημένοι εἰς τὸ ἐκείνου θέλημα. τὸ δὲ, μήποτε, πολλῆς μακροθυμίας ἐστὶ δεικτικόν. τὸ γὰρ μὴ ποιεῖν τὸ θέλημα τοῦ Θεοῦ, παγὶς διαβολική. ὥσπερ γὰρ ὁ στρουθὸς, κἂν μὴ ἐξ ὅλου τοῦ μέρους κατέχηται, ἀλλ' ἐξ ἑνὸς τοῦ ποδὸς λέγω, ὑπὸ τὴν ἐξουσίαν ἐστὶ τοῦ τὴν παγίδα θέντος· οὕτω καὶ ἡμεῖς, κἂν μὴ ἐξ ὅλου κατεχώμεθα, καὶ ἐκ πίστεως καὶ ἐκ βίου, ἀλλ' ἐκ τοῦ βίου μόνου, ὑπὸ τὴν

Ματθ. ζ. κα. ἐξουσίαν ἐσμὲν τοῦ διαβόλου. Οὐ πᾶς ὁ λέγων μοι, Κύριε, Κύριε, φησὶν, εἰσελεύσεται εἰς

κγ. τὴν βασιλείαν τῶν οὐρανῶν. καὶ πάλιν, Οὐκ οἶδα ὑμᾶς, ἀποχωρεῖτε ἀπ' ἐμοῦ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. ὁρᾷς ὅτι κέρδος οὐδὲν ἐκ τῆς πίστεως, ὅταν ἡμᾶς ἀγνοῇ ὁ δε-

Ματθ. κε. ιβ. σπότης; καὶ ταῖς παρθένοις τὸ αὐτό φησιν· Οὐκ οἶδα ὑμᾶς. τί οὖν τὸ κέρδος τῆς παρθενίας καὶ τῶν πολλῶν ἱδρώτων, ὅταν ἀγνοῇ αὐτὰς ὁ δεσπότης; καὶ πολλαχοῦ δὲ εἰσάγει ὑπὸ μὲν πίστεως οὐδὲν ἐγκαλουμένους, ἀπὸ δὲ βίου πονηροῦ κολαζομένους μόνον· ὥσπερ ἀλλαχοῦ ὑπὸ βίου μὲν οὐδὲν ἐγκαλουμένους, διὰ δὲ δόγμα διεστραμμένον ἀπολλυμένους. ταῦτα γὰρ ἀλλήλων ἔχεται. ὁρᾷς ὅτι ὅταν μὴ ποιῶμεν τὸ θέλημα τοῦ Θεοῦ, ὑπὸ τὴν παγίδα τοῦ διαβόλου ἐσμέν; οὐκ ἀπὸ βίου δὲ μόνον, ἀλλὰ καὶ ἀπὸ ἑνὸς ἐλαττώματος πολλάκις εἰσερχόμεθα εἰς τὴν γέενναν, ὅταν μὴ τὰ ἄλλα ἀντίρροπα ᾖ ἀγαθά· ἐπεὶ καὶ αἱ παρθένοι οὐ πορνείας ἐνεκλήθησαν, οὐ μοιχείαν, οὐ φθόνον, οὐ βασκανίαν, οὐ μέθην, οὐ κακοπιστίαν, ἀλλ' ἔλλειψιν ἐλαίου· τουτέστιν, οὐκ ἐποίουν ἐλεημοσύνην. τὸ

Ματθ. κε. μα. γὰρ ἔλαιον, τοῦτό ἐστι. καὶ ἐκεῖνοι οἱ καταρασθέντες, Ἀπέλθετε οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον, οὐδὲν πλὴν τούτων ἐνεκαλοῦντο, ἀλλὰ καὶ αὐτοὶ, ὅτι οὐκ ἔθρεψαν τὸν Χριστόν.

ΗΘΙΚΟΝ. Ὁρᾷς ὅτι ἀρκεῖ ἐλεημοσύνη ἐλλειφθεῖσα εἰσαγαγεῖν εἰς τὸ τῆς γεέννης πῦρ; ποῦ γὰρ ἔσται χρήσιμος, εἰπέ μοι, ὁ ἐλεημοσύνην μὴ ποιῶν; νηστεύεις καθ' ἑκάστην ἡμέραν; ἀλλὰ καὶ αἱ παρθένοι τότε ἐκεῖναι, ἀλλ' οὐδὲν ἀπώναντο. εὔχῃ; καὶ τί τοῦτο; ἐλεημοσύνης χωρὶς ἄκαρπος ἡ εὐχή. πάντα ἀκάθαρτα ταύτης χωρὶς, πάντα ἀνόητα· τὸ πλέον τῆς ἀρετῆς

α. Ἰωαν. γ. ι. μέρος ἐκκόπτεται. Ὁ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ, φησὶ, τὸν Θεὸν οὐκ οἶδε. σὺ δὲ πῶς ἀγαπᾷς, μηδὲ τῶν μικρῶν τούτων καὶ εὐτελῶν αὐτῷ μεταδοῦναι βουλόμενος; εἰπὲ δή μοι, σωφρονεῖς; τίνος ἕνεκεν; οὐχὶ δεδοικὼς τὴν κόλασιν; οὐδαμῶς, ἀλλὰ φύσει τὸ πρᾶγμα μετέρχῃ. ἐπεὶ εἰ σωφρονεῖς δεδοικὼς τὴν κόλασιν, καὶ τοσαύτην ὑπομένεις βίαν καὶ τοσαύτην τυραννίδα, πολλῷ μᾶλλον ἐλεημοσύνας ποιεῖν ἔδει. οὐ γάρ ἐστιν ἴσον ἐπιθυμίας κρατῆσαι χρημάτων, καὶ σωμάτων, ἀλλὰ μείζων ὁ πόνος ἐν ταύτῃ. τί δήποτε; ὅτι ἡ μὲν ἡδονὴ φυσικὴ, καὶ ἐνέσπαρται καὶ ἐμπεφύτευται ἡμῶν τῷ σώματι· τὰ δὲ τῶν χρημάτων, οὐκέτι. τοῦτ' ἔστιν ᾧ ἐξομοιοῦσθαι δυνάμεθα τῷ Θεῷ, τῷ ἐλεεῖν καὶ οἰκτείρειν. ὅταν οὖν τοῦτο μὴ ἔχωμεν, τοῦ παντὸς ἀπεστερήμεθα. οὐκ εἶπεν, ἐὰν νηστεύητε, ὅμοιοι ἔσεσθε τῷ πατρὶ ὑμῶν. οὐκ εἶπεν, ἐὰν παρθενεύσητε, οὐδὲ εἶπεν, ἐὰν εὔχησθε, ὅμοιοι ἔσεσθε τῷ πατρὶ ὑμῶν. οὐδὲν γὰρ τούτων περὶ Θεὸν, οὐδὲ ἐργάζεταί τι τούτων ὁ Θεός. ἀλλὰ τί; Γίνεσθε οἰκτίρμονες, ὡς ὁ πατὴρ ὑμῶν ὁ ἐν

Λουκ. ς. λς. Ωσ. ς. ς. τοῖς οὐρανοῖς. τοῦτο Θεοῦ ἔργον. ἐὰν οὖν τοῦτο μὴ ἔχῃς, τί ἔχεις; Ἔλεον θέλω, φησὶ, καὶ οὐ θυσίαν. ἐποίησεν οὐρανὸν ὁ Θεὸς, ἐποίησε γῆν, θάλασσαν. μεγάλα ταῦτα, καὶ τῆς αὐτοῦ σοφίας ἄξια. ἀλλ' οὐδὲν τούτων ἐφελκύσατο τὴν ἀνθρωπίνην φύσιν, ὡς τὸ ἔλεος καὶ ἡ φιλανθρωπία (τοῦτο μὲν γὰρ σοφίας ἔργον καὶ δυνάμεως, καὶ ἀγαθότητος) πολλῷ δὲ μᾶλλον ὅτι δοῦλος ἐγένετο. οὐκ ἐπὶ τούτῳ μᾶλλον αὐτὸν θαυμάζομεν; οὐκ ἐπὶ τούτῳ μᾶλλον αὐτὸν ἐκπληττόμεθα; οὐδὲν οὕτως ἐπισπᾶται τὸν Θεὸν, ὡς ἔλεος· καὶ πολλὰ περὶ τούτων ἀπόν- γρ. σεμνυ-νόμεθα

τις

ος πρὸς ἀνάγνωσιν τὴν τοιούτων, ὥσπερ ὅταν λέγῃ, Πρόσεχε τῇ ἀναγνώσει· Τοῦτο γὰρ [α. Τιμ. δ. ιϛ.] ποιῶν καὶ σεαυτὸν σώσεις, καὶ τοὺς ἀκούοντάς σου. ἀλλ' οὐδὲν ἄχρηστον οὐ καὶ τὸ καθεῖναι ὅλως εἰς ἀγῶνας τοιούτους, καὶ ὅτι οὐδὲν τέλος ἔσται, ἀλλ' ἢ μάχη καὶ ἀπέχθεια, ὕβρεις καὶ λοιδορίαι. ταύτας οὖν τὰς ζητήσεις παραιτοῦ· ὥστε εἰσὶν ἕτεραι ζητήσεις, αἱ περὶ τὴν γραφήν, αἱ περὶ τῶν ἄλλων.

24 Δοῦλον δὲ Κυρίου οὐ δεῖ μάχεσθαι. Οὐκοῦν οὐ δεῖ μάχεσθαι οὐδὲ ἐν ζητήσει. πόρρω γὰρ μάχης εἶναι δεῖ τὸν τοῦ Θεοῦ δοῦλον. Εἰρήνης γάρ ἐστι Θεὸς ὁ Θεός· ὁ δὲ τοῦ Θεοῦ τῆς εἰρήνης δοῦλος, πῶς ἂν μαχέσοιτο; Ἀλλ' ἤπιον εἶναι πρὸς πάντας. Δοῦλον γὰρ Κυρίου οὐ δεῖ μάχεσθαι, φησιν, ἀλλ' ἤπιον εἶναι πρὸς πάντας. πῶς οὖν λέγει, Ἔ- [Τιτ. β. ιε.] λεγχε αὐτοὺς μετὰ πάσης ἐπιταγῆς; καὶ ἐνταῦθα πάλιν, Μηδείς σου τῆς νεότητος καταφρο- [α. Τιμ. δ. ιβ.] νείτω; καὶ πάλιν, Ἔλεγχε αὐτοὺς ἀποτόμως; ὅτι καὶ τοῦτο πρᾳότητός ἐστιν. ὁ γὰρ σφοδρὸς ἔ- [Τιτ. α. ιγ.] λεγχος, ὅταν μετ' ἐπιεικείας γίνηται, τοῦτό ἐστιν ὁ μάλιστα δάκνειν δυνάμενος. ἔνεστι γάρ, ἔνεστι μετὰ πρᾳότητος καθάψασθαι μᾶλλον, ἢ μετὰ θρασύτητος ἐντρέψαι.

Διδακτικόν· Τουτέστι, πρὸς πάντας τοὺς βουλομένους διδαχθῆναι. Αἱρετικὸν [Τιτ. γ. ι.] γάρ, φησιν, ἄνθρωπον μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ. Ἀνεξίκακον.

Καλῶς τοῦτο προσέθηκε. μάλιστα γὰρ τοῦτο ἔχειν χρὴ τὸν διδάσκαλον· ἐπεὶ πάντα μάταιά ἐστι. Εἰ γὰρ οἱ ἁλιεῖς πολλάκις δι' ὅλης ἡμέρας βάλλοντες τὰ δίκτυα, καὶ οὐκ ἐπιτυγχάνοντες οὐκ ἀπαγορεύουσι, πολλῷ μᾶλλον ἡμεῖς. ὅρα γὰρ τί ἐστι. συμβαίνει πολλάκις ἀπὸ τῆς συνεχοῦς διδασκαλίας εἰς τὸ βάθος τῆς ψυχῆς τὸ τοῦ λόγου ἄροτρον κατελθὸν ἐκκόψαι τὸ ἐνοχλοῦν αὐτῇ πάθος. ὁ γὰρ μυριάκις ἀκούσας, πείσεταί τι. οὐ γάρ ἐστιν ἄνθρωπον ἀκούοντα συνεχῶς, μηδὲν παθεῖν. ἔστιν οὖν ὅτι μέλλων πείθεσθαι, ἡμῶν ἀπαγορευσάντων, τὸ πᾶν ἀπώλεσεν. καὶ ταὐτόν ἐστιν, οἷον ἂν εἴ τις γεωργίας ἄπειρος τὴν ἄμπελον φυτευθεῖσαν σκάπτοι μὲν ἐνιαυτῷ τῷ πρώτῳ, ἐν δὲ τῷ δευτέρῳ ζητῶν λήψεσθαι καρπόν, καὶ πάλιν ἐν τῷ τρίτῳ, καὶ μὴ λαμβάνων, εἶτα τῶν τριῶν ἐτῶν παρελθόντων ἀπο- [χ. ἴσω] γνούς, τότε λοιπὸν αὐτὴν καταλείποι ἐν τῷ τετάρτῳ, ὅτε τῶν πόνων ἐκείνων ἔμελλε κομίζεσθαι τὴν ἀντίδοσιν. Εἰπὼν δὲ ἀνεξίκακον, οὐκ ἀρκεῖται, ἀλλ' ἐπάγει λέγων·

25 Ἐν πρᾳότητι παιδεύοντα τοὺς ἀντιδιατιθεμένους. Μάλιστα γὰρ τὸν διδάσκοντα τοῦτο χρὴ ποιεῖν ἐν πρᾳότητι· οὐ γὰρ ἂν ψυχὴν δυναμένην μαθεῖν, μετὰ θρασύτητος καὶ μάχης δυνηθείη τι τῶν χρησίμων συνιδεῖν. κἂν γὰρ μέλλῃ προσέχειν, ἀπορηθεῖσα οὐδὲν εἴσεται. δεῖ γὰρ τὸν μέλλοντά τι τῶν χρησίμων μαθεῖν, πρὸ τῶν ἄλλων πάντων ἡδέως ἔχειν πρὸς τὸν διδάσκοντα, τούτου δὲ μὴ προκατασκευασθέντος, οὐκ ἔτι ἀνέχεσθαί τι τῶν λεγόντων, οὐδὲ τῶν χρησίμων. ἡδέως δὲ οὐκ ἄν τις σχοίη πρὸς τὸν θρασυνόμενον καὶ ὑβρί- [χ. ἔχει] ζοντα. πῶς οὖν αἱρετικόν, φησιν, ἄνθρωπον μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ; τὸν ἀδιόρθωτον λέγει, ὃν οἶδεν ἀνίατα νοσοῦντα. Μή ποτε δῷ αὐτοῖς ὁ Θεὸς μετάνοιαν εἰς ἐπίγνωσιν ἀληθείας,

26 Καὶ ἀνανήψωσιν ἐκ τῆς τοῦ διαβόλου παγίδος. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἴσως ἔσται τις διόρθωσις. τὸ δέ, ἴσως, ἐπὶ τῶν ἀδήλων ἐστίν. ὥστε ἐκείνων μόνον ἀφίστασθαι χρή, περὶ ὧν δυνάμεθα σαφῶς ἀποφήνασθαι, καὶ ὑπὲρ ὧν πεπείσμεθα, ὅτι οὐδ' ἂν ὁτιοῦν γένηται, μεταστήσονται. ἐν πρᾳότητι, φησιν. ὁρᾷς ὅτι τοὺς βουλομένους μαθεῖν οὕτω χρὴ προσίεσθαι, καὶ μηδέποτε πρὸ τῆς ἀποδείξεως ἀφίστασθαι τῶν διαλέξεων;

Ἐζωγρημένοι ὑπ' αὐτοῦ εἰς τὸ ἐκείνου θέλημα. Καλῶς εἶπεν, ἐζωγρημένοι. τέως γὰρ ἐν πλάνῃ ἔχονται. ὅρα πῶς διδάσκει μετριοφρονεῖν. οὐκ εἶπε, μή ποτε δυνηθῇς, ἀλλά, μή ποτε δῷ αὐτοῖς ὁ Κύριος ἀνανῆψαι. κἂν γένηταί τι, τοῦ Κυρίου τὸ πᾶν ἐστι. σὺ φυτεύεις, σὺ ποτίζεις, ἐκεῖνος σπείρει καὶ ποιεῖ καρποφορεῖν. μή ποτε τοίνυν διαχεώμεθα,

ὡς

ἵνα πληροῖ, ἐπὶ δὲ τοῦ κόσμου οὐδαμῶς. εἰ καὶ μὴ πρὸς τοιαύτην ἐνέργειαν, ἀλλὰ κέχρηται αὐτοῖς τούτοις πρὸς ἕτερα ὁ Θεός· οἷον, ὁ κενόδοξος πολλὰ οἰκοδομεῖ, ὁ πλεονέκτης, ὁ ἔμπορος, ὁ κάπηλος, ὁ ἄρχων. ἔστιν ἔργα ἃ ἐν τῷ κόσμῳ αὐτοῖς ἁρμόζοντα. τὸ δὲ χρυσοῦν σκεῦος οὐδὲν τοιοῦτον· ἀλλὰ περὶ τὴν τράπεζαν στρέφεται τὴν βασιλικήν. οὐ τοῦτο οὖν φησιν, ὅτι ἀναγκαῖον πρᾶγμα ἡ πονηρία· πῶς γάρ; ἀλλ' ὅτι καὶ αὐτοὶ ἔχουσιν ἔργον. εἰ γὰρ πάντες ἦσαν χρυσοῖ καὶ ἀργυροῖ, οὐκ ἂν ἐδέησεν ἐκείνων· οἷον, εἰ πάντες ἦσαν καρτερικοὶ, οὐκ ἔδει οἰκοδομημάτων, εἰ πάντες τρυφῆς ἦσαν ἀπηλλαγμένοι, οὐκ ἔδει ἐνδυμάτων, εἰ τῆς χρείας ἐπεμέλοντο πάντες, οὐκ ἔδει λαμπρᾶς οἰκοδομῆς. ἐὰν οὖν τις ἐκκαθάρῃ ἑαυτὸν ἀπὸ τούτων, ἔσται σκεῦος εἰς τιμὴν ἡγιασμένον. ὁρᾷς ὅτι οὐ φύσεως, οὐδὲ ὑλικῆς ἀνάγκης ἐστὶ τὸ εἶναι χρυσοῦν ἢ ὀστράκινον, ἀλλὰ τῆς ἡμετέρας προαιρέσεως; ἐκεῖ μὲν γὰρ τὸ ὀστράκινον οὐκ ἂν ἔλθοι χρυσοῦν, οὐδὲ τοῦτο εἰς τὴν ἐκείνου καταπεσεῖν εὐτέλειαν δύναιτο· ἐνταῦθα δὲ πολλὴ ἡ μεταβολὴ καὶ ἡ μετάστασις. σκεῦος ὀστράκινον ἦν ὁ Παῦλος, ἀλλ' ἐγένετο χρυσοῦν. σκεῦος χρυσοῦν ἦν ὁ Ἰούδας, ἀλλ' ἐγένετο ὀστράκινον. ἄρα ἀπὸ ἀκαθαρσίας τὰ ὀστράκινα. ὁ πόρνος, ὁ πλεονέκτης, ὀστράκινος ἐστί. πῶς οὖν ἀλλαχοῦ φησιν, Ἔχοντες δὲ τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσιν; ὥστε τιμᾷ, καὶ οὐ διαβάλλει τὸ σκεῦος τὸ ὀστράκινον, θησαυροῦ δεκτικὸν αὐτὸ προσειπών. ἐκεῖ τὴν φύσιν αὐτὴν δηλοῖ, οὐ τὸ εἶδος τῆς ὕλης. ὃ δὲ λέγει τοῦτό ἐστι· σκεῦος ὀστράκινον ἡμῶν τὸ σῶμα. ὥσπερ γὰρ τὸ ὀστράκινον οὐδὲν ἄλλο ἐστὶν, ἢ πηλὸς ὠπτημένος, οὕτω καὶ τὸ σῶμα τὸ ἡμέτερον οὐδὲν ἄλλο ἐστὶν, ἢ πηλὸς τῇ θερμότητι τῆς ψυχῆς στερεούμενος. ὅτι γὰρ ὀστράκινόν ἐστι, δῆλον. πολλάκις γὰρ ὡς ἐκεῖνο τὸ σκεῦος πεσὸν κατεάγη καὶ συνετρίβη, οὕτω καὶ τὸ σῶμα θανάτῳ καταπεσὸν διαλύεται. τί γὰρ ὀστράκων διενήνοχε τὰ ὀστᾶ, οὕτως ὄντα κραταιά, οὕτως ὄντα ξηρά; τί δὲ πηλοῦ αἱ σάρκες; οὐχ ὁμοίως ἀπὸ ὕδατός εἰσι καὶ αὗται; ἀλλ', ὅπερ ἔφην, πῶς ἐκεῖ οὐ διαβάλλει τὸ πρᾶγμα; ἐκεῖ περὶ φύσεως διαλέγεται, ἐνταῦθα περὶ προαιρέσεως. ἐὰν οὖν τις ἐκκαθάρῃ ἑαυτὸν, φησιν. οὐκ εἶπε, καθάρῃ, ἀλλ', ἐκκαθάρῃ, τουτέστι, παντελῶς καθάρῃ, ἔσται σκεῦος εἰς τιμὴν ἡγιασμένον, εὔχρηστον τῷ δεσπότῃ. ἄρα ἐκεῖνα ἄχρηστα, εἰ καί τινα χρείαν ἐπιτελεῖ. εἰς πᾶν ἔργον ἀγαθὸν ἡτοιμασμένον. κἂν μὴ πράττῃ, ἀλλ' ὅμως ἐπιτήδειόν ἐστι, δεκτικόν. δεῖ οὖν πρὸς πάντα παρεσκευάσθαι, καὶ πρὸς θάνατον, καὶ πρὸς μαρτύριον δεῖ ἡτοιμάσθαι, καὶ πρὸς παρθενίαν, καὶ πρὸς ταῦτα πάντα.

[Margin: γ. γένοιτο / γ. μεταποιεῖ — β. Κορ. δ. ζ. — γ. πολλάκις πεσὸν κατεάχθη, καὶ συνετρίβη.]

22 Τὰς δὲ νεωτερικὰς ἐπιθυμίας φεῦγε. Νεωτερικαὶ οὐχ αὗται εἰσὶν αἱ τῆς πορνείας μόνον, ἀλλὰ πᾶσα ἐπιθυμία ἄτοπος, νεωτερική. ἀκουέτωσαν οἱ γεγηρακότες, ὅτι οὐ δεῖ τὰ τῶν νεωτέρων ποιεῖν. κἂν ὑβριστής τις, κἂν δυναστείας ἐρᾷ, κἂν χρημάτων, κἂν σωμάτων, κἂν ὁτουοῦν δήποτε, νεωτερικὴ ἡ ἐπιθυμία, ἀνόητος. οὔπω τῆς καρδίας βεβηκυίας, οὐδὲ τῶν φρενῶν ἐν βάθει πηγνυμένων, ἀλλ' ἠωρημένων, ἀνάγκη ταῦτα πάντα γίνεσθαι. ἵνα οὖν μηδεὶς τούτοις ἁλῷ, τί παραινεῖ; φαντασίας νεωτερικὰς φεῦγε· Δίωκε δὲ δικαιοσύνην, πίστιν, ἀγάπην, εἰρήνην μετὰ πάντων τῶν ἐπικαλουμένων τὸν Κύριον ἐκ καθαρᾶς καρδίας. Δικαιοσύνην τὴν καθόλου ἀρετὴν λέγει, τὴν ἐν τῷ βίῳ εὐσέβειαν, πίστιν, ἀγάπην, πραότητα. τί ἐστι μετὰ τῶν ἐπικαλουμένων τὸν Κύριον ἐκ καθαρᾶς καρδίας; ὥσπερ ἔλεγεν, ἐκείνοις θάρρει μόνοις, μὴ τοῖς ἁπλῶς ἐπικαλουμένοις, ἀλλὰ τοῖς ἀνυπούλως, τοῖς ἀνυποκρίτως, τοῖς οὐδὲν ἔχουσι δόλιον, τοῖς μετ' εἰρήνης προσιοῦσι, τοῖς ἀμάχοις· μετ' ἐκείνων ἀναμίγνυσο, μετὰ δὲ τῶν ἄλλων οὐ χρὴ πρᾶον εἶναι, ἀλλ' εἰρηνεύειν μόνον τὸ ἐξ αὐτοῦ.

[Margin: γ. αἴνετος]

23 Τὰς δὲ μωρὰς καὶ ἀπαιδεύτους ζητήσεις παραιτοῦ, εἰδὼς ὅτι γεννῶσι μάχας.

Ὁρᾷς πῶς πανταχοῦ αὐτὸν ἀπάγει τῶν ζητήσεων; οὐ διὰ τὸ μὴ ἔχειν ἱκανῶς ἀνατρέπειν αὐτάς· εἶχε γάρ. εἰ δὲ μὴ εἶχε, εἶπεν ἂν πρὸς αὐτὸν, ὅτι σπούδασον εἶναι ἐπιτήδει-

μένους ἴδω, εἰ δὲ καὶ ἀποθνήσκοντας, τί οὐ πείσεται; καὶ ταῦτα μὲν ἐνταῦθα· τὰ δὲ ἐκεῖ, οὐδὲ εἰπεῖν ἔνι, ὅση ἡ κόλασις, ὅσαι αἱ τιμωρίαι, ὅσαι αἱ βάσανοι, ὅσα τὰ δεσμωτήρια. ταῦτα λέγομεν ἡμεῖς· Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω. συνεχῶς περὶ αὐτῶν λέγομεν, οὐ βουλόμενοι λέγειν συνεχῶς, ἀλλ' ἀναγκαζόμενοι. ἐβουλόμεθα μὲν γὰρ μηδὲ τὴν ἀρχὴν ἡμῖν ἀνάγκην γίνεσθαι τῶν τοιούτων λόγων· εἰ δὲ μὴ, κἂν ἐξ ὀλίγης ἰατρείας ἀπαλλαγῆναι τοῦ νοσήματος, ἐπὶ τὴν ὑγείαν ὑμᾶς ἐπανάγειν. μενόντων δὲ ὑμῶν ἐν τῇ ἀρρωστίᾳ, ἐκλύτου καὶ βαναύσου ψυχῆς ἂν εἴη ἀποστῆναι τῆς μεθοδείας τῆς ἰατρικῆς, καὶ ἀπηνείας, καὶ ὠμότητος. εἰ γὰρ οὐδὲ τὰ σώματα ἀπαγορεύσαντας ἰατροὺς παρακαλοῦμεν, λέγοντες, μὴ ἀμελήσῃς, ἀλλ' ὅλως μέχρις ἐσχάτης ἀναπνοῆς τὰ παρὰ σαυτοῦ προσφέρων μὴ ἀνῇς, οὐ πολλῷ μᾶλλον ἡμεῖς ἑαυτοὺς παραινέσομεν; ἴσως γάρ ποτε ὁ ἐλθεῖν εἰς αὐτὰς τοῦ ᾅδου τὰς πύλας, καὶ τῆς κακίας αὐτῆς τὰ πρόθυρα, ἀνελθεῖν δυνήσεται, καὶ ἀνακτήσασθαι, καὶ ῥωσθῆναι, καὶ ἐπιλαβέσθαι τῆς αἰωνίου ζωῆς. πόσοι ἀπὸ μὲν δεκάτης ἀκροάσεως οὐδὲ αἴσθησιν ἔλαβον, ὕστερον δὲ ἀπὸ μιᾶς μόνης ἐπεστράφησαν; μᾶλλον δὲ οὐκ ἀπὸ μιᾶς. εἰ γὰρ καὶ ἀναισθήτως εἶχον ἐν ταῖς δέκα, ἀλλ' ὅμως ἐκέρδαινον, καὶ ὕστερον τὸν καρπὸν ἀθρόον ἐδείξαν. ὥσπερ γὰρ ἐπὶ δένδρου, ὁ δέκα λαβὼν τομὰς, καὶ μὴ καταπεσὸν ὑπὸ τῶν δέκα, ὕστερον δὲ μιᾶς ἐπαχθείσης πάνυ κατηνέχθη· οὐ τῆς μιᾶς δὲ γέγονε τομῆς, ἀλλὰ τῶν δέκα ἐστὶ τὸ τῆς ὑστέρας κατόρθωμα. καὶ ὁ μὲν πρὸς τὴν ῥίζαν ἰδὼν οἶδε τοῦτο, ὁ δὲ ἄνωθεν ἀπὸ τοῦ στελέχους καταμανθάνων οὐδὲν τοιοῦτο δύναται συνιδεῖν· οὕτω δὴ καὶ ἐνταῦθα. καὶ ἰατρῶν δὲ πολλάκις* πολλὰ προσενεγκόντων φάρμακα, οὐδεμία γέγονεν ὠφέλεια, ὕστερον δέ τις προσελθὼν, τὸ πᾶν κατώρθωσεν· οὐκ ἐκείνου δέ ἐστι μόνου τὸ ἔργον, ἀλλὰ καὶ ἐκείνων τῶν ἤδη κατειργασμένων τὸ πάθος. ὥστε κἂν μὴ νῦν δῶμεν τῆς ἀκροάσεως τοὺς καρποὺς, ὕστερον δώσομεν. ὅτι γὰρ δώσομεν, σφόδρα πέπεισμαι. οὐ γὰρ ἔστιν, οὐκ ἔστι τοσαύτην φιληκοΐαν, καὶ τοσοῦτον πόθον διαπεσεῖν· μὴ γένοιτο· ἀλλὰ πάντες ἄξιοι τῆς τοῦ Χριστοῦ παραινέσεως γενόμενοι, τύχοιμεν τῶν αἰωνίων ἀγαθῶν.

χ. ὑστέρων

*πολλῶν

χ. ἐμφράττο.

χ. ἐπιτυχοῦμεν.

Λογ. ς. 20 ΕΝ ΜΕΓΑΛΗ ΔΕ ΟΙΚΙΑ ΟΥΚ ΕΣΤΙ μόνον σκεύη χρυσᾶ καὶ ἀργυρᾶ, ἀλλὰ καὶ ξύλινα καὶ ὀστράκινα· καὶ ἃ μὲν εἰς τιμὴν, ἃ δὲ εἰς ἀτιμίαν. 21 Ἐὰν οὖν τις ἐκκαθάρῃ ἑαυτὸν ἀπὸ τούτων, ἔσται σκεῦος εἰς τιμὴν ἡγιασμένον, εὔχρηστον τῷ δεσπότῃ, εἰς πᾶν ἔργον ἀγαθὸν ἡτοιμασμένον.

ΠΟλλοὺς τῶν ἀνθρώπων θορυβεῖ ἔτι καὶ νῦν, τί δήποτε μένουσιν οἱ κακοὶ, καὶ οὐκ ἀπόλλυνται. εἰσὶ μὲν οὖν τούτου καὶ ἕτεραι πολλαὶ αἰτίαι, οἷον, ἵνα μεταβάλωνται, ἵνα διὰ τῆς κολάσεως ὑπόδειγμα γίνωνται τοῖς πολλοῖς. ἐνταῦθα δὲ ὁ Παῦλος πρᾶγμα, φησὶν εἰκός. ἐν μεγάλῃ γὰρ οἰκίᾳ, φησὶν, οὐκ ἔστι μόνον σκεύη χρυσᾶ καὶ ἀργυρᾶ, ἀλλὰ καὶ ξύλινα καὶ ὀστράκινα. δηλῶν διὰ τούτου ὅτι ὥσπερ ἐν τῇ μεγάλῃ οἰκίᾳ εἰκός ἐστι πολλὴν διαφορὰν σκευῶν, οὕτω καὶ ἐνταῦθα ἐν τῇ οἰκουμένῃ πάσῃ· οὐ περὶ τῆς ἐκκλησίας λέγων, ἀλλὰ περὶ τοῦ κόσμου παντός. μὴ γάρ μοι τὴν ἐκκλησίαν ὑπολάβῃς· ἐνταῦθα γὰρ οὐδὲν βούλεται εἶναι σκεῦος ξύλινον, οὐδὲ ὀστράκινον, ἀλλὰ πάντα χρυσᾶ καὶ ἀργυρᾶ, ἔνθα σῶμα Χριστοῦ, ἔνθα παρθένος ἁγνὴ μὴ ἔχουσα σπίλον, ἢ ῥυτίδα. ὃ δὲ λέγει, τοῦτό ἐστι· μὴ σκανδαλιζέτω, ὅτι εἰσὶν ἄνθρωποι πονηροὶ καὶ μιαροί. καὶ γὰρ ἐν μεγάλῃ οἰκίᾳ ἐστὶ σκεύη τοιαῦτα. τί οὖν; ἀλλ' οὐ τῆς αὐτῆς, φησὶν, ἀπολαύει τιμῆς, ἀλλὰ τὰ μὲν εἰς τιμήν ἐστι, τὰ δὲ εἰς ἀτιμίαν. ναὶ, φησὶν, ἀλλ' ἐνταῦθα μὲν χρήσιμα

χ. μεταπείθονται, ἢ

βείας; οὐχὶ πολέμους; οὐχὶ κατηγορίας; οὐ τὸ συνειδὸς μαστίζει ἡμᾶς συνεχῶς καὶ δάκνει, βουλόμενον, εἴγε δυνατὸν ἦν, ἐξελκύσαι τοῦ σώματος τὴν ψυχὴν τοῦ ἀδίκου, καὶ εἶδες ἂν αὐτὴν ὠχρὰν, τρέμουσαν, αἰσχυνομένην, * ἀγωνιῶσαν, καταδικάζουσαν ἑαυτήν. κἂν γὰρ εἰς αὐτὸν τὸν πυθμένα τῆς κακίας καταπέσωμεν, τὸ κριτήριον τοῦ νοῦ οὐ διαφθείρεται. ἀλλ' ἔμεινεν ἀδέκαστον. καὶ οὐδεὶς καλὸν εἶναι λέγων τὴν ἀδικίαν μετέρχεται, ἀλλὰ προφάσεις πλάττει, καὶ πάντα ποιεῖ, ὥστε καὶ διὰ ῥημάτων ἀποδύσασθαι τὸ ἔγκλημα· ἀλλ' οὐχὶ καὶ ἀπὸ τοῦ συνειδότος δυνήσεται. ἐνταῦθα μὲν γὰρ καὶ κομψεία λόγων, καὶ ἀρχόντων διαφθορὰ, καὶ πλήθη κολάκων δυνήσεται συσκιάσαι τὸ δίκαιον· ἔνδον δὲ ἐν τῷ συνειδότι οὐδὲν τούτων ἔστιν, οὐ πάρεισι κόλακες, οὐ πάρεστι χρήματα τὴν κρίσιν διαφθείροντα. φυσικῶς γὰρ ἡμῖν ἔγκειται τὸ κριτήριον παρὰ τοῦ Θεοῦ. τὸ δὲ παρὰ τοῦ Θεοῦ, οὐδὲν ἂν πάθοι τοιοῦτο. ἀλλὰ καὶ ὕπνοι ἀηδεῖς, καὶ φαντασίαι, καὶ συνεχῶς εἰς μνήμην ἐρχόμενον τὸ κακὸν λυμαίνεται τὴν ἀνάπαυσιν ἡμῶν· οἷον, οἰκίαν τις ἀφείλετο ἀδίκως τινός; οὐχ ὁ ἀποστερούμενος στένει μόνον, ἀλλὰ καὶ ὁ ἀποστερήσας, ἐὰν μὲν ᾖ περὶ τῆς κρίσεως πεπεισμένος· εἴ γέ τις πέπεισται, καὶ σφοδρῶς στένει, καὶ ὀδύρεται· ἐὰν δὲ μὴ πιστεύῃ τοῖς μέλλουσι, καὶ οὕτως ἐρυθριᾷ αἰσχυνόμενος· μᾶλλον δὲ οὐκ ἔστιν ἄνθρωπος, κἂν Ἕλλην ᾖ, κἂν Ἰουδαῖος, κἂν αἱρετικὸς, ὃς περὶ κρίσεως οὐ δέδοικε. κἂν μὴ περὶ τῶν μελλόντων φιλοσοφῇ, ἀλλὰ τὰ ἐνταῦθα δέδοικε καὶ τρέμει, μὴ εἰς χρήματα ἀπολάβῃ μειζόνως, μὴ εἰς τέκνα, μὴ εἰς οἰκείους, μὴ εἰς ψυχήν. καὶ γὰρ πολλὰ τοιαῦτα ποιεῖ ὁ Θεός. ἐπειδὴ γὰρ οὐκ ἰσχύει ὁ τῆς ἀναστάσεως λόγος σωφρονίσαι πάντας, καὶ ἐνταῦθα τῆς αὐτοῦ δικαιοκρισίας πολλὰ ἡμῖν τεκμήρια παρέχεται καὶ εἰς μέσον φέρει. ὁ δεῖνα πλεονεκτήσας οὐκ ἔσχε παῖδας, ὁ δεῖνα ἐν τῷ πολέμῳ ἔπεσεν, ἄλλος τὸ σῶμα ἐπηρώθη, ἕτερος παῖδα ἀπέβαλε. ταῦτα ἐννοεῖ, ταῦτα φαντάζεται· διηνεκεῖ φόβῳ συζῇ. οὐκ ἴστε ὅσα πάσχουσιν οἱ ἀδικοῦντες; ἢ οὐχὶ πικρὰ ταῦτα; εἰ δὲ καὶ μηδὲν εἴη τοιοῦτον, οὐχὶ πάντες αὐτοῦ καταγινώσκουσι; οὐχὶ πάντες μισοῦσι; οὐχὶ πάντες ἀποστρέφονται; οὐχὶ πάντες τῶν θηρίων ἀλογωτέρους εἶναί φασι, καὶ αὐτοὶ οἱ ἀδικοῦντες; εἰ γὰρ ἑαυτοὺς καταδικάζουσι, πολλῷ μᾶλλον ἑτέρους, τὸν ἅρπαγα, τὸν πλεονέκτην, τὸν λυμεῶνα ὀνομάζοντες. τί οὖν ἔχει ἡδύ; οὐδὲν ἕτερον, ἢ τὸ πλείονα προσκεῖσθαι φροντίδα ὑπὲρ τῆς φυλακῆς τῶν ἐκείνων, τὸ μᾶλλον φροντίζειν καὶ μεριμνᾶν. ὅσῳ γὰρ ἄν τις πλείονα περιβάληται χρήματα, τοσούτῳ μᾶλλον ἰσχυροτέραν αὐτῷ τὴν ἀγρυπνίαν ἐργάζεται. τί δὲ αἱ κατάραι αἱ τῶν ἀδικουμένων, αἱ ἐντυχίαι*; τί δὲ ἂν καὶ νόσος περιστῇ; οὐ γὰρ ἔστιν, οὐκ ἔστιν ἐν νόσῳ γενόμενον, κἂν ἁπάντων ἀθλιώτερος ᾖ, μὴ ἐκεῖνα μεριμνᾶν, μηδὲ φροντίζειν, ὅτι οὐδὲν δύναται ἐργάσασθαι. ἕως μὲν γὰρ ἐνταῦθα ὦμεν, ἡ ψυχὴ ἡδυπαθοῦσα οὐκ δέχεται τὴν λυπηράν· ἐπειδὰν δὲ ἀποπηδᾶν μέλλῃ τοῦ σώματος, τότε αὐτὴν μείζων φόβος συνέχει, ἅτε εἰς αὐτὰ τοῦ δικαστηρίου τὰ πρόθυρα ἥκουσαν. ἐπεὶ καὶ οἱ λῃσταὶ ἐν μὲν τῷ δεσμωτηρίῳ ζῶντες, ἀδεῶς ζῶσιν· ὅταν δὲ παρὰ τὸ παραπέτασμα ἀγαγών τις στήσῃ αὐτοὺς, διαλύονται τῷ φόβῳ. ὅταν γὰρ ὁ τοῦ θανάτου φόβος ἐπιστῇ, καθάπερ πῦρ πάντα ἐκεῖνα ἐκκόψας, φιλοσοφεῖν αὐτὴν ἀναγκάζει, καὶ τὰ ἐκεῖ μεριμνᾶν· οὐκέτι χρημάτων ἐπιθυμία κατέχει, οὐκέτι πλεονεξίας ἔρως, οὐκέτι σωμάτων. ὥσπερ οὖν νέφη ταῦτα παρελθόντα ἀφίησι τὸ κριτήριον εἶναι καθαρὸν, καὶ τῆς λύπης ἐπεισελθούσης καὶ μαλαττούσης τὸ σκληρόν. οὐδὲν γὰρ οὕτως ὡς σπατάλη πρὸς φιλοσοφίαν ἐναντίον, ὥσπερ οὖν καὶ τὸ ἐναντίον θλῖψις πρὸς φιλοσοφίαν ἐπιτήδειον. ἐννόει μοι τίς ἔσται ὁ πλεονέκτης τότε. Ὥρα γὰρ, φησι, κακώσεως ἐπιλησμονὴν ποιεῖ πολλῆς τρυφῆς. τίς ἔσται τοὺς ἡρπασμένους ἐννοῶν; τοὺς ἠδικημένους; τοὺς πλεονεκτηθέντας; τίς ἔσται ὁρῶν τῆς πλεονεξίας ἑτέρους ἀπολαύοντας, ἑαυτὸν δὲ μέλλοντα τὴν δίκην τίνειν; οὐ γὰρ ἔνι, οὐκ ἔνι ἐμπεσόντα μὴ καὶ ταῦτα ὑποπτεῦσαι. πολλάκις αὐτὰ ἡ ψυχὴ στρέφεται κάτωθεν ἀγωνιῶσα, τρέμουσα. πόση ἡ τότε πικρία, εἰπέ μοι; ταῦτα γὰρ καθ' ἑκάστην νόσον ἀνάγκη γίνεσθαι. οἱ δὲ καὶ κολαζομένους

Margin notes: * ἐγκαλυπτομένην — χ. ἀναστάσεως — χ. σῶμα — χ. παιδία, — χ. ποσάπερ, — * αἱ κατ' αὐτοῦ; — χ. πέτασμα — Σειρ. ια. κζ.

Digitized by Google

τοῦτο μόνον ἐστὶ τὸ δεινόν· ὅρα δὲ πόσα ἐξ αὐτοῦ τίκτεται. Εἰ γὰρ ἤδη ἡ ἀνάστασις, οὐ τοῦτο μόνον ζημιούμεθα ὅτι τῆς μεγάλης δόξης ἐκείνης ἀπεστερήμεθα, ἀλλ' ὅτι καὶ τὰ τῆς κρίσεως ἀνῄρηται. Εἰ ἤδη γέγονε, καὶ τὰ τῆς ἀνταποδόσεως. Εἰ γὰρ ἤδη γέγονεν ἡ ἀνάστασις, γέγονε καὶ ἡ ἀνταπόδοσις. Οὐκοῦν ἀπήλαυσαν μὲν οἱ ἀγαθοὶ τῶν θλίψεων καὶ τῶν ὀνειδῶν· οὐ κολάζονται δὲ οἱ πονηροί, καλῶς γε, οἱ ἐν τρυφῇ ὄντες πολλῇ. Βέλτιον ἦν εἰπεῖν, ὅτι οὐκ ἔστιν ἀνάστασις, ἢ ὅτι ἤδη γέγονε. Καὶ ἀνατρέπουσι, φησί, τήν τινων πίστιν. οὐ πάντων, ἀλλά τινων. Εἰ γὰρ ἀνάστασις οὐκ ἔστι, καὶ τὰ τῆς πίστεως ἀνατέτραπται. Εἰ ἀνάστασις οὐκ ἔστι, κενὸν τὸ κήρυγμα ἡμῶν, οὐδὲ Χριστὸς ἀνέστη. Εἰ δὲ μὴ ἀνέστη, οὐδὲ ἐγεννήθη, οὐδὲ εἰς οὐρανοὺς ἀνῆλθεν. Ὁρᾷς πῶς δοκεῖ μὲν τῷ τῆς ἀναστάσεως ἐμποδίζεσθαι λόγῳ, πολλὰ δὲ συνεφέλκεται δεινά. Τί οὖν, φησίν; οὐδὲν δεῖ ποιεῖν ὑπὲρ τῶν ἀνατρεπομένων;

γ. ταῦτα μόνα τὰ τῶν ἀνατρεπομένων· ἀλλὰ τῆς πίστεως τί φησιν;

19 Ὁ μέντοι, φησί, στερεὸς θεμέλιος τοῦ Θεοῦ ἕστηκεν, ἔχων τὴν σφραγῖδα ταύτην· ἔγνω Κύριος τοὺς ὄντας αὐτοῦ, καὶ ἀποστήτω ἀπὸ ἀδικίας πᾶς ὁ ὀνομάζων τὸ ὄνομα Κυρίου.

Δείκνυσιν ὅτι καὶ πρὶν ἀνατραπῆναι οὐκ ἦσαν βέβαιοι. οὐ γὰρ ἂν ἀνετράπησαν ἀπὸ τῆς πρώτης προσβολῆς, ὥσπερ οὐδὲ ὁ Ἀδὰμ περὶ τῆς ἐντολῆς βέβαιος ἦν. Ὁ γὰρ πεπηγὼς οὐ μόνον οὐδὲν πάσχει ὑπὸ τῶν ἀπατώντων, ἀλλὰ καὶ θαυμάζεται. Καὶ στερεός, φησι, καὶ θεμέλιος. οὕτως ἔχεσθαι δεῖ τῆς πίστεως. Ἔχων τὴν σφραγῖδα ταύτην· ἔγνω Κύριος τοὺς ὄντας αὐτοῦ. Τί ἐστι τοῦτο; ἀπὸ τοῦ Δευτερονομίου αὐτὸ ἔλαβε· τουτέστιν, αἱ στερεαὶ ψυχαὶ ἑστήκασι πεπηγυῖαι καὶ ἀκίνητοι. Πόθεν δὲ δῆλαί εἰσιν; ἀπὸ τοῦ τὰ γράμματα ταῦτα ἔχειν ἐπὶ τῶν πραγμάτων, ἀπὸ τοῦ γνωρίζεσθαι ὑπὸ τοῦ Θεοῦ, καὶ μὴ συναπόλλυσθαι, ἀπὸ τοῦ ἀφεστάναι ἀπὸ ἀδικίας. Καὶ ἀποστήτω, φησίν, ἀπὸ ἀδικίας πᾶς ὁ ὀνομάζων τὸ ὄνομα Κυρίου. Ταῦτα τὰ γνωρίσματα τοῦ θεμελίου. Καθάπερ θεμέλιος στερεὸς δείκνυται, ὡς ἄν τις ἐπὶ λίθον ἐπιγράψειεν, ἵνα ᾖ τὰ γράμματα σημαίνοντα· τὰ δὲ γράμματα ταῦτα δι' ἔργων δείκνυται. Ἔχων, φησί, τὴν σφραγῖδα ταύτην ἐμπεπηγμένην. Πᾶς ὁ ὀνομάζων, φησί, τὸ ὄνομα Κυρίου ἀποστήτω ἀπὸ ἀδικίας. ὥστε ὅταν ᾖ τις ἄδικος, οὐκ ἔστι τοῦ θεμελίου. ὥστε καὶ τοῦτο σφραγῖδος, τὸ μὴ πράττειν ἄδικα.

ΗΘΙΚΟΝ

Μὴ τοίνυν τὸ σήμαντρον τὸ βασιλικὸν καὶ τὸ γνώρισμα ἀποθώμεθα, ἵνα μὴ ἀσφράγιστοι ὦμεν, ἵνα μὴ σαθροί, ἵνα θεμέλιοι ὦμεν, καὶ θεμέλιοι στερεοί, ἵνα μὴ περιφερώμεθα. Τοῦτο δείκνυσι τοὺς τοῦ Θεοῦ, τοὺς ἀφισταμένους ἀπὸ ἀδικίας. Πῶς γάρ τις τοῦ Θεοῦ δύναται εἶναι δικαίου ὄντος, ὁ ἄδικα ποιῶν; ὁ μαχόμενος αὐτῷ διὰ τῶν ἔργων, καὶ ὑβρίζων αὐτὸν διὰ τῶν πράξεων; Πάλιν ἡμεῖς τῆς ἀδικίας κατηγοροῦμεν, καὶ πάλιν πολλοὺς ἕξομεν τοὺς ἀπεχθανομένους. Ὥσπερ γὰρ τύραννός τις τὰς ἁπάντων κατέλαβε ψυχὰς τοῦτο τὸ πάθος· καὶ τὸ δεινόν, ὅτι οὐκ ἀνάγκῃ, οὐδὲ βίᾳ, ἀλλὰ πειθοῖ, καὶ προθυμίᾳ, καὶ χάριν ἴσασι τῆς δουλείας ταύτης. Τοῦτο γὰρ ὄντως τὸ δεινόν· ὡς εἴ γε βίᾳ κατείχοντο, καὶ μὴ ἀγάπῃ, ταχέως ἂν ἀπέστησαν. Καὶ πόθεν ἡδὺ τὸ πρᾶγμα εἶναι δοκεῖ, σφόδρα πικρὸν ὄν; πόθεν δὲ πικρὸν ἡ δικαιοσύνη, σφόδρα ἡδὺ ὄν; παρὰ τὰ αἰσθητήρια τὰ ἡμέτερα. Οὕτω γοῦν καὶ μέλι πικρὸν ἐνόμισάν τινες, καὶ ἄλλο τι τῶν βλαβερῶν μεθ' ἡδονῆς προσίενται. Τὸ δὲ αἴτιον οὐ παρὰ τὴν τῶν πραγμάτων φύσιν, ἀλλὰ παρὰ τὴν τῶν κακουμένων διαστροφήν. Νόει τὸ κριτήριον τῆς ἡμετέρας ψυχῆς. Ἐπεὶ καὶ ζυγὸς ἐὰν ἔχῃ περισαλευομένην τὴν πλάστιγγα, οὐ κρίνει δικαίως τὰ σταθμητά, περιφερόμενος· καὶ ψυχὴ ἐὰν μὴ ἔχῃ τὴν πλάστιγγα τῶν οἰκείων λογισμῶν πεπηγυῖαν καὶ προσηλωμένην ἀσφαλῶς τῷ νόμῳ τοῦ Θεοῦ, οὐ δύναται κρῖναι καλῶς τὰ πράγματα, ἀλλὰ περιφέρεται καὶ καθέλκεται. Ἐπεὶ εἴ τις ἀκριβῶς ἐξετάσειε, πολλὴν ὄψεται τῆς ἀδικίας τὴν πικρίαν, οὐ τοῖς πάσχουσιν, ἀλλὰ τοῖς ποιοῦσι, καὶ τούτοις μᾶλλον, ἢ ἐκείνοις. Καὶ μήπω περὶ τῶν μελλόντων, ἀλλὰ πῶς περὶ τῶν ἐνταῦθα διαλεχθῶμεν. Οὐχὶ μάχας ἔχει καὶ δικαστήρια, καὶ καταγνώσεις, καὶ φθόνον, καὶ κατηγορίας; τί τούτων πικρότερον; οὐχὶ ἀη-

χ. οἴκῳ

γ. κακηγορίας

περὶ ἡμῶν βλάπτεται τῶν ἐρωτωμένων, δι' οὐδὲν ἕτερον ἀπαιτεῖ τὴν ὁμολογίαν ἡμῶν, ἀλλ' ἢ διὰ τὸ ἡμῖν χρήσιμον. ἐκεῖνος γὰρ ὁ αὐτὸς μένει καὶ ἀρνουμένων, καὶ μὴ ἀρνουμένων. ἀρνήσασθαι γὰρ ἑαυτὸν οὐ δύναται, τουτέστι, μὴ εἶναι. ἡμεῖς λέγομεν ὅτι οὐκ ἔστι, εἰ καὶ μὴ τὸ πρᾶγμα οὕτως ἔχει. οὐκ ἔχει φύσιν μὴ εἶναι, οὐ δυνατόν· τουτέστιν, εἰς τὸ μὴ εἶναι αὐτὸν χωρῆσαι. ἀεὶ μένει, ἀεὶ ἐστὶν αὐτοῦ ἡ ὑπόστασις. μὴ τοίνυν ὡς χαριζόμενοι αὐτῷ, οὕτω διακείμεθα, ἢ ὡς καταβλάπτοντες. εἶτα, ἵνα μή τις νομίσῃ τὸν Τιμόθεον τούτων δεῖσθαι, ἐπήγαγε· Ταῦτα ὑπομίμνησκε διαμαρτυρόμενος ἐνώπιον τοῦ Κυρίου μὴ λογομαχεῖν εἰς οὐδὲν χρήσιμον, ἐπὶ καταστροφῇ τῶν ἀκουόντων. φοβερὸν τοῦτο τὸ ἐπὶ μάρτυρος τοῦ Θεοῦ λέγειν. εἰ γὰρ ἀνθρώπου μαρτυρίαν καλουμένην οὐκ ἄν τις τολμήσειεν ἀθετῆσαι, πολλῷ μᾶλλον Θεοῦ. χ. γινομένην οἷόν τι λέγω. εἴ τις συνθήκας ποιούμενος, ἢ διαθήκας γράφων βούλεται ἀξιοπίστους μάρτυρας καλέσαι, ἆρα τολμήσει τις ἀθετῆσαι ἐκεῖνα τῶν ἔξωθέν τινι; οὐδαμῶς. κἂν βούληται, δεδοικὼς τὸ τῶν μαρτύρων ἀξιόπιστον, φυλάττεται. τί ἐστι, διαμαρτυρόμενος; μάρτυρα καλῶν τὸν Θεὸν τῶν λεγομένων, τῶν πραττομένων. μὴ λογομαχεῖν εἰς οὐδὲν χρήσιμον· οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἐπὶ καταστροφῇ τῶν ἀκουόντων. οὐ μόνον οὐδὲν ἐκ τούτου κέρδος, ἀλλὰ καὶ βλάβη πολλή. Ταῦτα τοίνυν ὑπομίμνησκε. κἂν καταφρονῶσιν, ὁ Θεὸς αὐτοὺς κρινεῖ. τί δήποτε καὶ περὶ τοῦ μὴ λογομαχεῖν παραινεῖ; οἶδεν ὅτι λίχνον τὸ πρᾶγμα, καὶ ὅτι ἀεὶ βούλεται ἡ ἀνθρωπίνη ψυχὴ μάχεσθαι καὶ λογομαχεῖν. ἵνα οὖν τοῦτο μὴ γίνηται, οὐχ ἁπλῶς φησὶ μὴ λογομαχεῖν, ἀλλὰ φοβερώτερον τὸν λόγον ποιῶν ἐπήγαγεν, ἐπὶ καταστροφῇ τῶν ἀκουόντων.

15 Σπούδασον σεαυτὸν δόκιμον παραστῆσαι τῷ Θεῷ, ἐργάτην ἀνεπαίσχυντον, ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀληθείας. Πανταχοῦ τὸ ἀνεπαίσχυντον. τί δήποτε πολλὴν περὶ τῆς αἰσχύνης ποιεῖται τὴν σπουδήν; ἐπειδὴ εἰκὸς ἦν πολλοὺς ἐπαισχύνεσθαι καὶ τὸν Παῦλον αὐτόν, ἅτε σκηνοποιὸν ὄντα, καὶ τὸ κήρυγμα, ὡς τῶν διδασκάλων ἀπολλυμένων. ὁ Χριστὸς γὰρ ἐσταυρώθη· οὗτος ἔμελλεν ἀποκεφαλίζεσθαι· ὁ Πέτρος κάτωθεν ἀνεσκολοπίσθη, καὶ ταῦτα ἔπαθον παρὰ ἀνθρώπων καταπολύτων καὶ ἰταμῶν. ἐπειδὴ οὖν οὗτοι ἐκράτουν, μὴ ἐπαισχυνθῇς, φησί, τουτέστι, μηδὲν ὅλως αἰσχύνου πράττειν τῶν εἰς εὐσέβειαν ἡκόντων, κἂν δουλεῦσαι δέῃ, κἂν ὁτιοῦν παθεῖν. πῶς δὲ γένοιτ' ἄν τις δόκιμος; ἐργάτης ὢν ἀνεπαίσχυντος. ὁ ἐργάτης οὐδὲν αἰσχύνεται πράττειν· οὕτως οὐδὲ ὁ τοῦ εὐαγγελίου ἐργάτης. πάντα γὰρ ὑφίστασθαι δεῖ. ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀληθείας. καλῶς τοῦτο εἶπε. πολλοὶ γὰρ αὐτὸν παρασπῶσι πανταχόθεν καὶ παρέλκουσι, πολλὰ ἔχει τὰ ἐπιφυόμενα. καὶ οὐκ εἶπεν, ἀπευθύνοντα, ἀλλ', ὀρθοτομοῦντα· τουτέστι, τέμνε τὰ νόθα, καὶ τὰ τοιαῦτα μετὰ πολλῆς τῆς σφοδρότητος ἐφίστασο καὶ ἔκκοπτε· καθάπερ ἐπὶ ἱμάντος τῇ μαχαίρᾳ τοῦ πνεύματος πανταχόθεν τὸ περιττὸν καὶ ἀλλότριον τοῦ κηρύγματος ἔκτεμνε.

16 Τὰς δὲ βεβήλους κενοφωνίας περιΐστασο. Οὐδὲ γὰρ μέχρι τούτου στήσονται. ὅταν γάρ τι καινὸν ἐπεισενεχθῇ, ἀεὶ καινοτομίας τίκτει· καὶ ἄπειρος ἡ πλάνη τοῦ ἐξελθόντος τὸν λιμένα τὸν εὔδιον, καὶ οὐδαμοῦ στήσεται. Ἐπὶ πλεῖον γὰρ προκόψουσιν ἀσεβείας, φησί, χ. ἐπισχεθῇ

17 Καὶ ὁ λόγος αὐτῶν, ὡς γάγγραινα, νομὴν ἕξει. Ἀκατάσχετον κακόν, οὐκέτι ἰατρείᾳ καταχεθῆναι δυνάμενον, ἀλλὰ τὸ πᾶν λυμαίνεται. δείκνυσιν ὅτι νόσος ἐστὶν ἡ κενοφωνία, μᾶλλον δὲ νόσου χαλεπωτέρα. ἐνταῦθα δὲ ἀδιορθώτους αὐτοὺς δηλοῖ, καὶ ὅτι οὐχ ἁπλῶς, ἀλλ' ἑκόντες ἀπεπλανήθησαν. ὅθεν καὶ μάλιστα οὗτοί εἰσιν ἀδιόρθωτοι. χ. ἀνάγκη

Ὧν ἐστιν Ὑμέναιος, καὶ Φιλητός, φησιν,

18 Οἵτινες περὶ τὴν ἀλήθειαν ἠστόχησαν, λέγοντες τὴν ἀνάστασιν ἤδη γεγονέναι, καὶ ἀνατρέπουσι τὴν τινων πίστιν. Καλῶς εἶπεν, ἐπὶ πλεῖον προκόψουσι. δοκεῖ μὲν γὰρ

τοῦτο

Λογ. ε. 11 ΠΙΣΤΟΣ Ο ΛΟΓΟΣ· ΕΙ ΓΑΡ ΣΥΝΑΠΕΘΑΝΟΜΕΝ, καὶ συζήσομεν· 12 Εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν· εἰ ἀρνησόμεθα, κἀκεῖνος ἀρνήσεται ἡμᾶς· 13 Εἰ ἀπιστοῦμεν, ἐκεῖνος πιστὸς μένει. ἀρνήσασθαι [γὰρ] ἑαυτὸν οὐ δύναται.

14 Ταῦτα ὑπομίμνησκε διαμαρτυρόμενος ἐνώπιον τοῦ Κυρίου, μὴ λογομαχεῖν εἰς οὐδὲν χρήσιμον, ἐπὶ καταστροφῇ τῶν ἀκουόντων.

χ. ἐξισχύουσι.

Πολλοὶ τῶν ἀσθενεστέρων ἀνθρώπων πρὸς μὲν τὰ τῆς πίστεως πόνοι ἀπαγορεύουσιν, οὐδὲ τὴν ἀναβολὴν τῆς ἐλπίδος φέρουσι· τὰ παρόντα δὲ ἐπιζητοῦσι, καὶ ἀπὸ τούτων τὰ μέλλοντα χαρακτηρίζουσιν. ἐπεὶ οὖν τὰ μὲν ἐνταῦθα θάνατος ἦν, βάσανοι, δεσμά, αὐτὸς δέ φησιν, ὅτι εἰς ζωὴν αἰώνιον ἥξουσιν, οὐκ ἂν δὲ τις ἐπίστευσεν, ἀλλ' εἶπεν ἄν, τί λέγεις; ὅτι ζῶ, ἀποθνήσκω, καὶ ὅταν ἀποθάνω, ζῶ; ἐν τῇ γῇ μοι οὐδὲν ἐπαγγέλλῃ, καὶ ἐν τῷ οὐρανῷ δίδως; τὰ μικρὰ οὐ δίδως, καὶ τὰ μεγάλα παρέχεις;

χ. ἀπαιτεῖς.

ἵνα τοίνυν μηδεὶς ταῦτα ἐννοῇ, ἀναμφίβολον ποιεῖται τούτου τὴν κατασκευήν, προκαταβάλλων μὲν αὐτὸ καὶ ἤδη, καὶ τεκμήρια διδούς. τὸ γάρ, μνημόνευε Χριστὸν Ἰησοῦν ἐγηγερμένον ἐκ νεκρῶν, τοῦτό ἐστιν, ὅτι μετὰ θάνατον ἀνέστη. νῦν δὲ τὸ αὐτὸ πάλιν δηλοῖ φησι, πιστὸς ὁ λόγος, ὅτι ὁ ζωῆς οὐρανίου τυχὼν, καὶ αἰωνίου τεύξεται. πόθεν πιστός; εἰ γὰρ συναπεθάνομεν, φησι, καὶ συζήσομεν. εἰπὲ γάρ μοι, ἐν τοῖς σκυθρωποῖς κοινωνοῦμεν αὐτῷ καὶ ἐν τοῖς κόπον ἔχουσι, καὶ ἐν τοῖς χρηστοῖς οὐκ ἔτι; ἀλλὰ τοῦτο οὐκ ἂν οὐδὲ ἄνθρωπος ποιήσειεν, ὥστε τοὺς ἑλομένους αὐτῷ συναποθανεῖν καὶ συνθλιβῆναι, εἴ ποτε ἐν ἀνέσει γένηται, ἀρνήσασθαι αὐτῷ γενέσθαι κοινωνόν. ποῖον δὲ συναπεθάνομεν; τοῦτον λέγει τὸν θάνατον, τόν τε διὰ τοῦ λουτροῦ, καὶ τὸν διὰ τῶν παθημάτων. φησὶ γάρ, Τὴν νέκρωσιν τοῦ Κυρίου ἐν τῷ σώματι περιφέροντες· καί, Συνετάφημεν αὐτῷ διὰ τοῦ βαπτίσματος· καί, Ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη, καί, Σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ. ἐνταῦθα δὲ καὶ τὸν τῶν πειρασμῶν λέγει μᾶλλον δὲ τοῦτον. καὶ γὰρ ἐν πειρασμοῖς ἦν, ὅτε ταῦτα ἔγραφεν. ὃ δὲ λέγει, τοῦτό ἐστιν· εἰ δι' αὐτὸν ἀπεθάνομεν, δι' αὐτὸν οὐ ζησόμεθα; ἀναμφισβήτητον τοῦτό ἐστιν. εἰ ὑπομένομεν, φησι, καὶ συμβασιλεύσομεν. οὐχ ἁπλῶς εἶπε, συμβασιλεύσομεν, ἀλλ', εἰ ὑπομένομεν, δεικνὺς ὅτι οὐκ ἀρκεῖ τὸ ἅπαξ ἀποθανεῖν (καθ' ἑκάστην ἡμέραν ἀπέθνησκεν ὁ μακάριος οὗτος) ἀλλὰ δεῖ πολλῆς ὑπομονῆς, ἧς μάλιστα ἔδει Τιμοθέῳ. μὴ γάρ μοι, φησι, τὰ πρότερα εἴπῃς, ἀλλ' εἰ διαπαντός. εἶτα καὶ ἀπὸ τοῦ ἄλλου μέρους προτρέπει, οὐκ ἀπὸ τῶν ἀγαθῶν, ἀλλὰ καὶ ἀπὸ τῶν κακῶν. εἰ γὰρ μέλλοιεν τῶν αὐτῶν μετέχειν καὶ οἱ πονηροί, οὐκ ἔστι τοῦτο παράκλησις. καὶ εἰ μέλλοιεν ὑπομείναντες μὲν συμβασιλεύειν, μὴ ὑπομείναντες δὲ τοῦτο μόνον παθεῖν, τὸ μὴ συμβασιλεύειν, δεινὸν μὲν καὶ τοῦτο, πλὴν ἀλλ' οὐ τοὺς πολλοὺς οὕτως ἱκανὸν δακεῖν. διὸ τὸ φοβερώτερον λέγει· Εἰ ἀρνησόμεθα αὐτόν, κἀκεῖνος ἀρνήσεται ἡμᾶς. ἆρα οὐκ ἐν τοῖς χρηστοῖς μόνον, ἀλλὰ καὶ ἐν τοῖς ἐναντίοις αἱ ἀμοιβαί. τοὺς δὲ ἀρνηθέντας ἐν τῇ βασιλείᾳ αὐτοῦ ἐννόησον τί παθεῖν εἰκός. Ὃς ἐὰν ἀρνήσηταί με, φησιν, ἀρνήσομαι κἀγὼ αὐτόν. οὐκ ἐξίσης ἡ ἀντίδοσις. εἰ καὶ οὕτω λέγων δοκεῖ. ἡμεῖς μὲν γὰρ ἄνθρωποι τὸν ἀρνούμενοι, ἐκεῖνος δὲ Θεός. ὅσον δὲ τὸ μέσον Θεοῦ καὶ ἀνθρώπων τί δεῖ λέγειν; ἄλλως δὲ ἡμεῖς ἐνταῦθα ἑαυτοὺς βλάπτομεν, ἐκεῖνον δὲ οὐδαμῶς, οὐδὲ δυνάμεθα. διὰ τοῦτο καὶ ἐπήγαγε τὸ αὐτὸ δηλῶν, Εἰ ἀπιστοῦμεν, ἐκεῖνος πιστὸς μένει· ἀρνήσασθαι γὰρ ἑαυτὸν οὐ δύναται. τουτέστιν, εἰ ἀπιστοῦμεν ὅτι ἀνέστη, οὐδὲν ἀπὸ τούτου βλάπτεται ἐκεῖνος. ἀληθής ἐστι, βέβαιός ἐστιν, ἄντε εἴπωμεν, ἄντε μὴ εἴπωμεν. Εἰ τοίνυν οὐδὲν

2.Κορ. δ. ι.
Ρωμ. ς. δ.
Ρωμ. ς. ε.
Ματθ. ι. λγ.

χ. ἄνω δὲ ἐλεγχόμενοι αὐτόν.

ταχοῦ. οὐ γὰρ ἡμῖν μόνον, ἀλλὰ καὶ παρὰ τοῖς ἐχθροῖς. ὅταν γὰρ ἐκλάμπῃ ἡ ἀλήθεια, οὐδὲ οἱ ἐχθροὶ ἀναισχυντεῖν ἔχουσιν. εἰ γὰρ καὶ μὴ τῆς πίστεως ἕνεκεν αὐτὸν θαυμάζουσιν, ἀλλὰ τῆς παρρησίας, ἀλλὰ τῆς ἀνδρείας. ἔστιν ἐν τοῖς ἁπάντων στόμασι πανταχοῦ καθ' ἑκάστην ἡμέραν στεφανούμενος ἀνακηρύττεται, ἐκεῖνος δὲ βαλλόμενος φόνοις καὶ κατηγορίαις. ποῖα τοίνυν τὰ λαμπρά; ἀλλὰ γὰρ ἔλαθον ἀπὸ [τοῦ] ὄνυχος τὸν λέοντα ἐπαινῶν, δέον τὰ ὄντως εἰπεῖν. ποῖα δὲ ταῦτά ἐστι; τὰ ἐν τοῖς οὐρανοῖς. πῶς ἥξει μετὰ τοῦ βασιλέως τῶν οὐρανῶν, μετὰ λαμπρότητος τοῦ σχήματος; πῶς ὁ Νέρων στήσεται τότε κατηφὴς, στυγνός; εἰ δὲ δοκῶ σοι ἄπιστα λέγειν καὶ καταγέλαστα, σὺ καταγέλαστος εἶ γελῶν τὰ μὴ γέλωτος ἄξια. εἰ γὰρ ἀπιστεῖς τοῖς μέλλουσιν, ἀπὸ τῶν φθασάντων πίστευσον. οὔπω τῶν στεφάνων ὁ καιρὸς, καὶ τοσαύτης ἀπήλαυσε τιμῆς ὁ ἀθλητής· ὅταν ὁ ἀγωνοθέτης ἔλθοι, πόσης ἀπολαύσεται τιμῆς; ἐν τοῖς ἀλλοτρίοις ξένος ὢν, ξένος καὶ παρεπίδημος, καὶ οὕτω θαυμάζεται· ὅταν ἐν τοῖς ἰδίοις ᾖ, τίνος οὐκ ἀπολαύσεται ἀγαθοῦ; [Κολασ. γ. γ.] Νῦν ἡ ζωὴ ἡμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ, καὶ ὅμως τῶν ζώντων ὁ τεθνηκὼς μᾶλλον ἐνεργεῖ καὶ τιμᾶται· ὅταν ἔλθῃ αὐτὴ ἡ ζωὴ ἡμῶν, τίνος οὐ μεθέξει; τίνος οὐκ ἐπιτεύξεται; διὰ τοῦτο ταύτης αὐτὸν τῆς τιμῆς ἀπολαῦσαι ἐποίησεν ὁ Θεὸς, οὐκ ἐπειδὴ ἐκεῖνος ἐδεῖτο. εἰ γὰρ ἐν σώματι ὢν κατεφρόνει τῆς παρὰ τῶν πολλῶν δόξης, πολλῷ μᾶλλον ἀπαλλαγεὶς τοῦ σώματος. οὐ διὰ τοῦτο δὲ ἐποίησεν αὐτὸν ἀπολαῦσαι μόνον, ἀλλ' ἵνα οἱ τοῖς μέλλουσιν ἀπιστοῦντες, καὶ ἐκ τῶν παρόντων ἐνάγωνται. λέγω ὅτι ἥξει Παῦλος μετὰ τοῦ βασιλέως τῶν οὐρανῶν, ὅτε ἀνάστασις ἔσται, ὅτι μυρίων ἀπολαύσεται τῶν ἀγαθῶν. ἀλλ' οὐ πιστεύει ὁ ἄπιστος· οὐκοῦν ἀπὸ τῶν παρόντων πιστευέτω. λαμπρότερος τοῦ βασιλέως ὁ σκηνοποιὸς, ἐντιμότερος τοῦ βασιλέως. οὐδεὶς βασιλεὺς τῆς Ῥώμης γενόμενος, τοσαύτης ἀπήλαυσε τιμῆς. ἀλλ' ὁ μὲν βασιλεὺς ἐρριμμένος ἔξω που κεῖται· ὁ δὲ τὸ μέσον κατέχει τῆς πόλεως, καθάπερ "βασιλεὺς ὢν καὶ ζῶν. [χ. βασιλέων] ἀπὸ τούτων πίστευσον καὶ περὶ τῶν μελλόντων. εἰ ἐνταῦθα, ἔνθα ἠλαύνετο, ἔνθα ἐδιώκετο, τοσαύτης ἀπήλαυσε τιμῆς, ὅταν ἔλθῃ, τί ἔσται; εἰ ὅπου σκηνοποιὸς ὢν, οὕτως ἐγένετο λαμπρὸς, ὅταν ἔλθῃ ἀντιλάμπων ταῖς ἡλιακαῖς ἀκτῖσι, τί ἔσται; εἰ μετὰ τοσαύτης εὐτελείας τοσαύτης μεγαλοπρεπείας περιεγένετο, ὅταν ἔλθῃ, τίνος οὐ περιέσται; μὴ ἐπὶ ψυχῆς τὰ πράγματα. τίνα οὐκ ἐντρέπει τὸ τὸν σκηνοποιὸν ἐντιμότερον γενέσθαι τοῦ πάντων βασιλέων μᾶλλον θαυμασθέντος; εἰ ἐνταῦθα τὰ ὑπὲρ φύσιν ἐγένετο, πολλῷ μᾶλλον ἐν τῷ μέλλοντι. πίστευσον, ἄνθρωπε, τοῖς παροῦσιν, εἰ μὴ θέλεις τοῖς μέλλουσι· πίστευσον, ἄνθρωπε, τοῖς ὁρωμένοις, εἰ μὴ βούλει τοῖς ἀοράτοις. μᾶλλον δὲ πίστευσον τοῖς ὁρωμένοις· οὕτω γὰρ καὶ τοῖς ἀοράτοις πιστεύσεις. εἰ δὲ οὐ θέλεις, [Πραξ. κ. κς.] εὔκαιρον τὸ τοῦ ἀποστόλου εἰπεῖν, Καθαροὶ ἡμεῖς ἀπὸ τοῦ αἵματος ὑμῶν. ἅπαντα γὰρ ὑμῖν διεμαρτυράμεθα, καὶ οὐδὲν ἐνελίπομεν τῶν ὀφειλόντων λεχθῆναι. ὑμεῖς ἑαυτοὺς αἰτιάσασθε, καὶ λογιεῖσθε τὴν ἐν τῇ γεέννῃ τιμωρίαν. ἡμεῖς δὲ, ὦ τέκνα ἀγαπητὰ, Παύλου μιμηταὶ μὴ κατὰ τὴν πίστιν μόνον, ἀλλὰ καὶ κατὰ τὸν βίον γενώμεθα. ἵνα τύχωμεν δόξης ἐπουρανίου, καταπατήσωμεν τὴν ἐνταῦθα δόξαν. μηδὲν ἡμᾶς ἐφελκέσθω τῶν παρόντων ἁπάντων· καταφρονήσωμεν τῶν ὁρωμένων, ἵνα τῶν οὐρανίων τύχωμεν, μᾶλλον δὲ καὶ τούτων ἐπιτευξώμεθα δι' ἐκείνων, πλὴν περισπουδαζομένως ἔστω ὁ σκοπὸς ἐκείνων ἐπιτυχεῖν, ὧν γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι.

Λογ. ε.

Λογ. ε. 11 ΠΙΣΤΟΣ Ο ΛΟΓΟΣ· ΕΙ ΓΑΡ ΣΥΝΑ-
πεθάνομεν, καὶ συζήσομεν· 12 Εἰ ὑπομένομεν, καὶ συμβασιλεύσο-
μεν· εἰ ἀρνησόμεθα, κἀκεῖνος ἀρνήσεται ἡμᾶς· 13 Εἰ ἀπιστοῦμεν,
ἐκεῖνος πιστὸς μένει. ἀρνήσασθαι [γὰρ] ἑαυτὸν οὐ δύναται.
14 Ταῦτα ὑπομίμνησκε διαμαρτυρόμενος ἐνώπιον τοῦ Κυρίου, μὴ λο-
γομαχεῖν εἰς οὐδὲν χρήσιμον, ἐπὶ καταστροφῇ τῶν ἀκουόντων.

χ. ἵνα ἰσχύσωσιν,

Πολλοὶ τῶν ἀσθενεστέρων ἀνθρώπων παρὰ μὲν τὸν τῆς πίστεως τόνον ἀπαγορεύουσιν, οὐδὲ τὴν ἀναβολὴν τῆς ἐλπίδος φέρουσι· τὰ παρόντα δὲ ἐπιζητοῦσι, καὶ ἀπὸ τούτων τὰ μέλλοντα χαρακτηρίζουσιν. ἐπεὶ οὖν τὰ μὲν ἐν ζωῇ θάνατος ἦν, βάσανοι, δεσμά, αὐτὸς δέ φησιν, ὅτι εἰς ζωὴν αἰώνιον ἥξουσιν, οὐκ ἂν δὲ ῥᾳδίως ἐπίστευσαν, ἀλλ' εἴποιεν ἄν, τί λέγεις; ὅτι ζῶ, ἀποθνήσκω, καὶ ὅταν ἀποθάνω, ζῶ; ἐν τῇ γῇ μοι οὐδὲν ἐπαγγέλλῃ, καὶ ἐν τῷ ὑστέρῳ δίδως; τὰ μικρὰ οὐ δίδως, καὶ τὰ μεγάλα παρέχεις; ἵνα τοίνυν μηδεὶς ταῦτα ἐννοῇ, ἀναμφίβολον ποιεῖται τούτου τὴν κατασκευήν, προκαταβάλλων μὲν αὐτὸ καὶ ἤδη, καὶ τεκμήρια διδούς. τὸ γάρ, μνημόνευε Χριστὸν Ἰησοῦν ἐγηγερμένον ἐκ νεκρῶν, τοῦτό ἐστιν, ὅτι μετὰ θάνατον ἀνέστη. νῦν δὲ τὸ αὐτὸ πάλιν δηλῶν φησι, πιστὸς ὁ λόγος, ὅτι ὁ ζωῆς οὐρανίου τυχὼν, καὶ αἰωνίου τεύξεται. πόθεν πιστός; εἰ γὰρ συναπεθάνομεν, φησι, καὶ συζήσομεν. εἰπὲ γάρ μοι, ἐν τοῖς σκυθρωποῖς κοινωνοῦμεν αὐτῷ καὶ ἐν τοῖς κόπον ἔχουσι, καὶ ἐν τοῖς χρηστοῖς οὐκέτι; ἀλλὰ τοῦτο οὐκ ἂν οὐδὲ ἄνθρωπος ποιήσειεν, ὥστε τοὺς ἑλομένους αὐτῷ συναποθανεῖν καὶ συνθλιβῆναι, εἴ ποτε ἐν ἀνέσει γένηται, ἀρνήσασθαι αὐτοῖς γενέσθαι κοινωνόν. ποῖον δὲ συναπεθάνομεν; τοῦτον λέγει τὸν θάνατον, τόν τε διὰ τοῦ λουτροῦ, καὶ τὸν διὰ τῶν παθημάτων. φησὶ γάρ, Τὴν νέκρωσιν τοῦ Κυρίου ἐν τῷ σώματι περιφέροντες· καὶ, Συνετάφημεν αὐτῷ διὰ τοῦ βαπτίσματος· καὶ, Ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη, καὶ, Σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ. ἐνταῦθα δὲ καὶ τὸν τῶν πειρασμῶν λέγει· μᾶλλον δὲ τοῦτον. καὶ γὰρ ἐν πειρασμοῖς ἦν, ὅτε ταῦτα ἔγραφεν. ὃ δὲ λέγει, τοῦτό ἐστιν· εἰ δι' αὐτὸν ἀποθνήσκομεν, δι' αὐτὸν οὐ ζησόμεθα; ἀναμφισβήτητον τοῦτό ἐστιν. εἰ ὑπομένομεν, φησι, καὶ συμβασιλεύσομεν. οὐχ ἁπλῶς εἶπε, συμβασιλεύσομεν, ἀλλ', εἰ ὑπομένομεν, δεικνὺς ὅτι οὐκ ἀρκεῖ τὸ ἅπαξ ἀποθανεῖν (καθ' ἑκάστην ἡμέραν ἀπέθνησκεν ὁ μακάριος οὗτος) ἀλλὰ δεῖ πολλῆς ὑπομονῆς, ἧς μάλιστα ἔδει Τιμοθέῳ. μὴ γάρ μοι, φησι, τὰ πρῶτα εἴπῃς, ἀλλ' εἰ διαπαντός. εἶτα καὶ ἀπὸ τοῦ ἄλλου μέρους προτρέπει, οὐκ ἀπὸ τῶν ἀγαθῶν, ἀλλὰ καὶ ἀπὸ τῶν κακῶν. εἰ γὰρ μέλλοιεν τῶν αὐτῶν μετέχειν καὶ οἱ πονηροί, οὐκ ἔστι τοῦτο παράκλησις. καὶ εἰ μέλλοιεν ὑπομείναντες μὲν συμβασιλεύειν, μὴ ὑπομείναντες δὲ τοῦτο μόνον πάσχειν, τὸ μὴ συμβασιλεύειν, δεινὸν μὲν καὶ τοῦτο, πλὴν ἀλλὰ τοὺς πολλοὺς οὐχ ἱκανὸν δακεῖν. διὸ τὸ φοβερώτερον λέγει· εἰ ἀρνησόμεθα αὐτὸν, κἀκεῖνος ἀρνήσεται ἡμᾶς. ἄρα οὐκ ἐν τοῖς χρηστοῖς μόνον, ἀλλὰ καὶ ἐν τοῖς ἐναντίοις αἱ ἀμοιβαί. τοὺς δὲ ἀρνηθέντας ἐν τῇ βασιλείᾳ αὐτοῦ ἐννοήσατε τί παθεῖν εἰκός. Ὃς ἐὰν ἀρνήσηταί με, φησιν, ἀρνήσομαι κἀγὼ αὐτόν. οὐκ ἐξ ἴσης ἡ ἀντίδοσις, εἰ καὶ οὕτω λέγων δοκεῖ. ἡμεῖς μὲν γὰρ ἄνθρωποι οἱ ἀρνούμενοι, ἐκεῖνος δὲ Θεός. ὅσον δὲ τὸ μέσον Θεοῦ καὶ ἀνθρώπων τί δεῖ λέγειν; ἄλλως δὲ ἡμεῖς ἐντεῦθεν ἑαυτοὺς βλάπτομεν, ἐκεῖνον δὲ οὐδαμῶς, οὐδὲ δυνάμεθα. διὰ τοῦτο καὶ ἐπήγαγε τὸ αὐτὸ δηλῶν, εἰ ἀπιστοῦμεν, ἐκεῖνος πιστὸς μένει· ἀρνήσασθαι γὰρ ἑαυτὸν οὐ δύναται. τουτέστιν, εἰ ἀπιστοῦμεν ὅτι ἀνέστη, οὐδὲν ἀπὸ τούτου βλάπτεται ἐκεῖνος. ἀληθής ἐστι, βέβαιός ἐστιν, ἄν τε εἴπωμεν, ἄν τε μὴ εἴπωμεν. εἰ τοίνυν οὐδὲν

Marginal notes: χ. οὐρανῷ; — β. Κορ. δ. ι. — Ρωμ. ς. δ. — Ρωμ. ς. ε. ς. — Ματθ. ι. λγ. — χ. ἄλλως δὲ εἰ βλάπτομεν αὐτόν.

ταχοῦ. οὐ γὰρ ἡμῖν μόνον, ἀλλὰ καὶ παρὰ τοῖς ἐχθροῖς. ὅταν γὰρ ἐκλάμπῃ ἡ ἀλήθεια, οὐδὲ οἱ ἐχθροὶ δυσαισχυντεῖν ἔχουσιν. εἰ γὰρ καὶ μὴ τῆς πίστεως ἕνεκεν αὐτὸν θαυμάζουσιν, ἀλλὰ τῆς παρρησίας, ἀλλὰ τῆς ἀνδρείας. ἔστιν ἐν τοῖς ἁπάντων στόμασι πανταχοῦ καθ' ἑκάστην ἡμέραν στεφανούμενος διακηρύττεται. ἐκεῖνος δὲ βαλλόμενος ψόγοις καὶ κατηγορίαις. ποῖα τοίνυν τὰ λαμπρά; ἀλλὰ γὰρ ἔλαθον ἀπὸ [τοῦ] ὄνυχος τὸν λέοντα ἐπαρῶν, δέον τὰ ὄντως εἰπεῖν. τίνα δὲ ταῦτά ἐστι; τὰ ἐν τοῖς οὐρανοῖς. πῶς ἥξει μετὰ τοῦ βασιλέως τῶν οὐρανῶν, μετὰ λαμπροῦ τοῦ σχήματος; πῶς ὁ Νέρων στήσεται τότε κατηφὴς, στυγνός; εἰ δὲ δοκῶ σοι ἄπιστα λέγειν καὶ καταγέλαστα, σὺ καταγέλαστος εἶ γελῶν τὰ μὴ γέλωτος ἄξια. εἰ γὰρ ἀπιστεῖς τοῖς μέλλουσιν, ἀπὸ τῶν φθασάντων πίστευσον. οὔπω τῶν στεφάνων ὁ καιρὸς, καὶ τοσαύτης ἀπέλαυσε τιμῆς ὁ ἀθλητής· ὅταν ὁ ἀγωνοθέτης ἔλθοι, πόσης ἀπολαύσεται τιμῆς; εἰ τοῖς ἀλλοτρίοις ξένος ὤν, ξένος καὶ παρεπίδημος, οὕτω θαυμάζεται· ὅταν ἐν τοῖς ἰδίοις ᾖ, τίνος οὐκ ἀπολαύσεται ἀγαθοῦ; Κολασ. γ. γ. Νῦν ἡ ζωὴ ἡμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ, καὶ ὅμως τῶν ζώντων ὁ τεθνηκὼς μᾶλλον ἐνεργεῖ καὶ τιμᾶται· ὅταν ἔλθῃ αὕτη ἡ ζωὴ ἡμῶν, τίνος οὐ μεθέξει; τίνος οὐκ ἐπιτεύξεται; διὰ τοῦτο ταύτης αὐτὸν τῆς τιμῆς ἀπολαῦσαι ἐποίησεν ὁ Θεὸς, οὐκ ἐπειδὴ ἐκεῖνος ἐδεῖτο. εἰ γὰρ ἐν σώματι ὢν κατεφρόνει τῆς παρὰ τῶν πολλῶν δόξης, πολλῷ μᾶλλον ἀπαλλαγεὶς τοῦ σώματος. οὐ διὰ τοῦτο δὲ ἐποίησεν αὐτὸν ἀπολαῦσαι μόνον, ἀλλ' ἵνα οἱ τοῖς μέλλουσιν ἀπιστοῦντες, κἂν ἐκ τῶν παρόντων ἐνάγωνται. λέγω ὅτι ἥξει Παῦλος μετὰ τοῦ βασιλέως τῶν οὐρανῶν, ὅτι ἀνάστασις ἔσται, ὅτι μυρίων ἀπολαύσεται τῶν ἀγαθῶν. ἀλλ' οὐ πιστεύει ὁ ἄπιστος· οὐκοῦν ἀπὸ τῶν παρόντων πιστευσάτω. λαμπρότερος τοῦ βασιλέως ὁ σκηνοποιὸς, ἐντιμότερος τοῦ βασιλέως. οὐδεὶς βασιλεὺς τῆς Ῥώμης γενόμενος, τοσαύτης ἀπέλαυσε τιμῆς. ἀλλ' ὁ μὲν βασιλεὺς ἐρριμμένος ἔξω που κεῖται· ὁ δὲ ἐν μέσοις κατέχει τῆς πόλεως, καθάπερ βασιλεὺς ὢν καὶ ζῶν. ἀπὸ τούτων πίστευσον καὶ περὶ τῶν μελλόντων. εἰ ἐνταῦθα, ἔνθα ἠλαύνετο, ἔνθα ἐδιώκετο, τοσαύτης ἀπέλαυσε τιμῆς, ὅταν ἔλθῃ, τί ἔσται; εἰ ὅπου σκηνοποιὸς ἦν, οὕτως ἐγένετο λαμπρὸς, ὅταν ἔλθῃ αὐτὸς λάμπων ταῖς ἡλιακαῖς ἀκτῖσι, τί ἔσται; εἰ μετὰ τοσαύτης εὐτελείας τοσαύτης μεγαλοπρεπείας περιεγένετο, ὅταν ἔλθῃ, τίνος οὐ περιέσται; μὴ ἔνι φυγεῖν τὰ πράγματα. τίνα οὐκ ἐκπλήττει τὸν σκηνοποιὸν ἐντιμότερον γενέσθαι τοῦ πάντων βασιλέων μᾶλλον θαυμασθέντος; εἰ ἐνταῦθα τὰ ὑπὲρ φύσιν ἐγένετο, πολλῷ μᾶλλον ἐν τῷ μέλλοντι. πίστευσον, ἄνθρωπε, τοῖς προοῦσιν, εἰ μὴ θέλεις τοῖς μέλλουσι· πίστευσον, ἄνθρωπε, τοῖς ὁρωμένοις, εἰ μὴ βούλει τοῖς ἀοράτοις. μᾶλλον δὲ πίστευσον τοῖς ὁρωμένοις· οὕτω γὰρ καὶ τοῖς ἀοράτοις πιστεύσεις. εἰ δὲ οὐ θέλεις, εὐκαιρόν ἐστι τοῦ ἀποστόλου εἰπεῖν, Πράξ. κ. κς. Καθαροὶ ἡμεῖς ἀπὸ τοῦ αἵματος ὑμῶν. ἅπαντα γὰρ ὑμῖν διεμαρτυράμεθα, καὶ οὐδὲν ἐνελίπομεν τῶν ὀφειλόντων λεχθῆναι. ὑμεῖς ἑαυτοὺς αἰτιάσασθε, καὶ λογιεῖσθε τὴν ἐν τῇ γεέννῃ τιμωρίαν. ἡμεῖς δὲ, ὦ τέκνα ἀγαπητὰ, Παύλου μιμηταὶ μὴ κατὰ τὴν πίστιν μόνον, ἀλλὰ καὶ κατὰ τὸν βίον γενώμεθα. ἵνα τύχωμεν δόξης ἐπουρανίου, καταπατήσωμεν τὴν ἐνταῦθα δόξαν. μηδὲν ἡμᾶς ἐφελκέσθω τῶν παρόντων ἁπάντων· καταφρονήσωμεν τῶν ὁρωμένων, ἵνα τῶν οὐρανίων τύχωμεν, μᾶλλον δὲ καὶ τούτων ἐπιτευξώμεθα δι' ἐκείνων, πλὴν προηγουμένως ἔστω ὁ σκοπὸς ἐκείνων ἐπιτυχεῖν, ὧν γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι.

χ. βασιλέων

Λογ. ε.

Ἑβραϊστὶ μόνον εἰδώς, γλῶτταν διαφορωτάτην παρὰ πάντων, καὶ μάλιστα παρὰ τὴν Ἰταλῶν. οὐ γὰρ οὕτω τὴν βάρβαρον, οὔτε τὴν Ἑλλάδα, οὔτε ἄλλην τινὰ ἔχονται γλῶτταν διαφέρουσαν, ὡς τὴν Σύρων. αὕτη δὲ πολλὴν ἔχει τὴν κοινωνίαν πρὸς ταύτην. καὶ μὴ θαυμάσῃς ὅτι ταύτην διέπτυον. εἰ γὰρ τὴν Ἑλλάδα τὴν θαυμαστὴν καὶ καλὴν διαπτύουσι, πολλῷ μᾶλλον τὴν Ἑβραίων. ἄνθρωπος πολλάκις ἐν λιμῷ ζήσας, καὶ κοιμηθεὶς πεινῶν, ἄνθρωπος γυμνός, οὔτε ὅ,τι περιβάλλοιτο ἔχων, Ἐν ψύχει καὶ γυμνότητι, φησίν, οὐ ταῦτα δὲ μόνον, ἀλλὰ καὶ ἐν δεσμοῖς γεγονώς. μετὰ γὰρ λῃστῶν, μετὰ γοήτων, μετὰ τυμβωρύχων, μετὰ ἀνδροφόνων αὐτὸν ἐκείνου κελεύσαντος ἐβέβλητο, καὶ ἐμαστίζετο ὡς κακοῦργος, ὅπερ οὖν καὶ αὐτός φησι. τίς οὖν λαμπρότερος; οὐχὶ ἐκείνου μὲν οὐδὲ ὄνομα ἴσασιν οἱ πολλοί, τοῦτον δὲ καὶ Ἕλληνες, καὶ βάρβαροι, καὶ Σκύθαι, καὶ οἱ πρὸς αὐτὰ τῆς οἰκουμένης τὰ πέρατα καθ' ἑκάστην ᾄδουσι τὴν ἡμέραν; ἀλλὰ μήπω τὰ νῦν, ἀλλὰ τὰ τότε ἐξετάσωμεν. τίς ἦν λαμπρότερος; τίς ἐπιδοξότερος; ὁ τὴν ἅλυσιν περικείμενος, καὶ δεδεμένος ἑλκόμενος ἐκ τοῦ δεσμωτηρίου, ἢ ὁ τὴν ἁλουργίδα περικείμενος, καὶ ἐκ τῶν βασιλείων προϊών; ὁ δεδεμένος πάντως. πῶς; ὅτι ἐκεῖνος μὲν καὶ στρατόπεδα ἔχων, καὶ ἐν λαμπρῷ τῷ σχήματι περικαθήμενος, ἅπερ ἤθελεν οὐκ ἴσχυσεν ἀνύειν· ὁ δὲ δεσμώτης, καὶ ὡς κακοῦργος ἐν εὐτελεῖ σχήματι, αὐθεντικώτερον πάντα ἔπραττε. πῶς καὶ τίνι τρόπῳ; ἐκεῖνος ἔλεγε, μὴ διασπείρῃς τὸν λόγον τῆς εὐσεβείας· οὗτος ἔλεγεν, οὐκ ἀνέξομαι. οὐ δέδεται γὰρ ὁ λόγος τοῦ Θεοῦ. καὶ διέπτυσεν ὁ Κίλιξ, ὁ δεσμώτης, ὁ σκηνοποιός, ὁ πένης, ὁ ἐν λιμῷ ζῶν τὸν ἀπὸ τῆς Ῥώμης, τὸν πλούσιον, τὸν βασιλεύοντα, τὸν πάντων κρατοῦντα, τὸν μυρίοις μυρία παρέχοντα. καὶ τοσούτων ὄντων στρατοπέδων, οὐδὲν ἴσχυσε. τίς ἄρα λαμπρὸς ἦν; τίς σεμνός; ὁ ἐν δεσμοῖς νικῶν, ἢ ὁ ἐν ἁλουργίδι νικώμενος; ὁ κάτω ἑστὼς καὶ βάλλων, ἢ ὁ ἄνω καθήμενος καὶ βαλλόμενος; ὁ ἐπιτάττων καὶ καταφρονούμενος, ἢ ὁ ἐπιταττόμενος καὶ οὐδένα λόγον ἔχων τῶν ἐπιταγμάτων; ὁ μόνος ὢν καὶ περιγινόμενος, ἢ ὁ μετὰ μυρίων στρατοπέδων ἡττώμενος; ἀπήρχετο οὖν ὁ βασιλεύς, τοῦ δεσμώτου κατ' αὐτοῦ τρόπαιον στήσαντος. εἰπὲ οὖν μοι, ποίας ἂν τις ἠβουλήθη μερίδος εἶναι; μὴ γάρ μοι τὰ μετὰ ταῦτα εἴπῃς, ἀλλὰ τέως ἐκεῖνα ἐξέτασον. ποίας μερίδος ἂν τις ἠθέλησεν εἶναι, τῆς τοῦ Παύλου, ἢ τῆς τοῦ Νέρωνος; οὐ λέγω κατὰ τὸν τῆς πίστεως λόγον (τοῦτο γὰρ δῆλον) ἀλλὰ κατὰ τὸν τῆς δόξης, καὶ τῆς σεμνότητος, καὶ τῆς λαμπρότητος. εἴ τις εὐγνώμων, τοῦ Παύλου ἔφησεν ἄν. εἰ γὰρ τὸ νικᾶν τοῦ νικᾶσθαι λαμπρότερον, ἐκεῖνος ἐπίδοξος. καὶ οὔπω τοῦτο μέγα, ὅτι ἐνίκησεν, ἀλλ' ὅτι ἐν τοιούτῳ σχήματι ὢν ἐν τοιούτῳ ἐνίκησε. πάλιν γὰρ ἐρῶ, καὶ οὐ παύσομαι τὰ αὐτὰ λέγων. ἅλυσιν περιέκειτο, καὶ τὸν ἀναδεδεμένον τὸ διάδημα ἔβαλε. τοιαύτη τοῦ Χριστοῦ ἡ δύναμις. ἅλυσις τὸν στέφανον ἐνίκα τὸν βασιλικόν, καὶ λαμπρότερον τοῦτο ἐκείνου τὸ σχῆμα ἐδείκνυτο. ῥάκια περιέκειτο αὐχμῶντα, ἅτε δεσμωτήριον οἰκῶν, καὶ μᾶλλον τῆς ἁλουργίδος πάντας ἐπέστρεφε πρὸς τὰ περικείμενα αὐτῷ δεσμά. ἐπὶ γῆς εἱστήκει κατηχούμενος καὶ κάτω νεύων, καὶ τὸν ἐπ' ὀχήματος χρυσοῦ ἅπαντες ἀφέντες ἐκείνῳ προσεῖχον. εἰκότως. τὸ μὲν γὰρ συνηθείας ἦν βασιλέα ἰδεῖν ἐπὶ ζεύγους καθήμενον λευκοῦ· τοῦτο δὲ ξένον καὶ παράδοξον, δεσμώτην ὁρᾶν μετὰ τοσαύτης παρρησίας βασιλεῖ διαλεγόμενον, μεθ' ὅσης ὁ βασιλεὺς πρὸς ἀνδράποδον οἰκεῖον καὶ ταλαίπωρον. ὄχλος περιειστήκει πολύς, καὶ δοῦλοι πάντες τοῦ βασιλέως ἦσαν. ἐθαύμαζον δὲ οὐ τὸν δεσπότην τὸν αὐτῶν, ἀλλὰ τὸν νικῶντα τὸν δεσπότην αὐτῶν· καὶ ὃν ἅπαντες ἐδεδοίκεσαν καὶ ἔτρεμον, τοῦτον μόνος ὢν κατεπάτει ἐκεῖνος. ἰδοὺ ἐν αὐτοῖς τοῖς δεσμοῖς πόση ἡ λαμπρότης. τί ἂν τις εἴποι τὰ μετὰ ταῦτα; ἐκείνου μὲν οὐδὲ τὸ μνῆμα δῆλον· οὗτος δὲ πάντων βασιλέων λαμπρότερος ἐν αὐτῇ κεῖται τῇ βασιλίδι, ἔνθα καὶ ἐνίκησεν, ἔνθα καὶ τὸ τρόπαιον ἔστησεν. ἐκείνου κἂν μνησθῇ τις, μετὰ ψόγου μέμνηται, καὶ τῶν οἰκείων (καὶ γὰρ καὶ ἀσελγὴς λέγεται γεγενῆσθαι) τούτου μετ' εὐφημίας ἡ μνήμη πανταχοῦ.

β. Κορ. ια. κζ.

κ. ἐγκέκλειστο

καταγωνίζεσθαι τοὺς δεδεκότας. Θεοῦ γάρ ἐστιν ὁ λόγος, οὐχ ἡμῶν. δεσμὰ δὲ αἱ ἀνθρώπινα Θεοῦ λόγον περιβαλεῖν οὐ δυνήσεται. Ταῦτα πάσχω διὰ τοὺς ἐκλεκτούς.

10 Διὰ τοῦτο γάρ, φησι, πάντα πάσχω διὰ τοὺς ἐκλεκτοὺς, ἵνα καὶ αὐτοὶ σωτηρίας τύχωσι τῆς ἐν Χριστῷ Ἰησοῦ μετὰ δόξης αἰωνίου. Ἰδοὺ καὶ ἄλλη προτροπή. οὐχ ὑπὲρ ἐμαυτοῦ, φησιν, ἀλλ᾽ ὑπὲρ τῆς ἑτέρων σωτηρίας ταῦτα ὑπομένω. ἐξὸν ἦν ἀκινδύνως ζῆν, ἐξὸν ἦν μηδὲν τούτων πάσχειν, εἴ γε τὰ ἐμαυτοῦ ἐσκόπουν. ἀλλὰ διὰ τίνα ταῦτα πάσχω; ὑπὲρ τῶν ἀλλοτρίων ἀγαθῶν, ἵνα ἄλλοι τύχωσι ζωῆς αἰωνίου. τί οὖν καὶ ἐπαγγέλλῃ; οὐχ ἁπλῶς εἶπε, διὰ τούσδε, ἀλλά, διὰ τοὺς ἐκλεκτούς. εἰ ὁ Θεὸς αὐτοὺς ἐξελέξατο, πάντα ἡμᾶς δεῖ πάσχειν ὑπὲρ αὐτῶν, ἵνα καὶ αὐτοὶ σωτηρίας τύχωσι. τὸ εἰπεῖν, καὶ αὐτοί, δεικνύντος ἐστὶ καὶ λέγοντος, ὡς καὶ ἡμεῖς. καὶ γὰρ καὶ ἡμᾶς ὁ Θεὸς ἐξελέξατο. καὶ ὥσπερ δι᾽ ἡμᾶς ὁ Θεὸς ἔπαθεν, οὕτω καὶ ἡμεῖς δι᾽ ἐκείνους. ὥστε ἀνταπόδοσίς ἐστι τὸ πρᾶγμα, οὐχὶ χάρις. ἐπὶ μὲν τοῦ Θεοῦ, χάρις ἦν (οὐ γὰρ προευπαθὼν εὐηργέτησεν) ἐπὶ δὲ ἡμῶν, ἀντίδοσις. προευπαθόντες ἡμεῖς παρὰ τοῦ Θεοῦ, πάσχομεν ὑπὲρ τούτων ὧν πάσχομεν, ἵνα σωτηρίας τύχωσι. τί λέγεις; ποίας σωτηρίας; ὁ σεαυτῷ αἴτιος μὴ ὢν σωτηρίας, ἀλλὰ ἀπολλύμενος, ἑτέροις σωτηρίας αἴτιος γίνῃ; διὰ τοῦτο προσέθηκεν· οὐ ταύτης, φησίν, ἀλλὰ τῆς ἐν Χριστῷ Ἰησοῦ, τῆς ὄντως σωτηρίας, μετὰ δόξης αἰωνίου. ὀδυνηρὰ τὰ παρόντα, ἀλλ᾽ ἐπὶ τῆς γῆς· καὶ τὰ ἡδέα τὰ παρόντα, ἀλλὰ πρόσκαιρα· ἀηδίας μεστὰ καὶ ὀδύνης, ἀλλὰ μέχρι σήμερον καὶ αὔριον μόνον. τὰ μέντοι χρηστά, οὐ τοιαῦτα, ἀλλ᾽ αἰώνια, ἀλλ᾽ ἐν οὐρανῷ. ὄντως ἐκείνη δόξα, αὕτη δὲ ἀτιμία.

ΗΘΙΚΟΝ Θέα γάρ μοι, ἀγαπητέ· οὐκ ἔστι δόξα ἐπὶ τῆς γῆς, ἀλλ᾽ ἡ ὄντως δόξα ἐν οὐρανοῖς ἐστιν. εἰ δέ τις δοξάζεσθαι βούλεται, ἀτιμαζέσθω· εἴ τις ἀνέσεως βούλεται τυχεῖν, θλιβέσθω· εἴ τις διαπαντὸς εὐδοκιμεῖν καὶ τρυφᾷν, τὰ πρόσκαιρα διαπτυέτω. ὅτι δὲ ἡ ἀτιμία δόξα ἐστίν, ἡ δὲ δόξα ἀτιμία, φέρε, κατὰ δύναμιν τοῦτο παραστήσωμεν, ἵνα τὴν ὄντως δόξαν ἴδωμεν. οὐκ ἔστιν ἐπὶ γῆς δοξάζεσθαι· εἰ δὲ βούλει δοξάζεσθαι, δι᾽ ἀτιμίας. καὶ φέρε ἐπὶ τῶν δύο προσώπων τοῦτο ἐξετάσωμεν, ἐπὶ τοῦ Νέρωνος, καὶ τοῦ Παύλου. ἐκεῖνος τὴν δόξαν εἶχε τοῦ κόσμου, οὗτος τὴν ἀτιμίαν. πῶς; τύραννος ἦν ἐκεῖνος, πολλὰ κατορθωκώς, τρόπαια στήσας, πλοῦτον ἔχων ἐπιρρέοντα, πανταχόθεν στρατόπεδα ἄπειρα, τὸ πλεῖον τῆς οἰκουμένης μέρος ὑποτεταγμένον, τὴν βασιλίδα πόλιν ὑποτεταγμένην, τὴν σύγκλητον ἅπασαν ὑποκύπτουσαν, τὰ βασίλεια αὐτὰ ἐν λαμπρῷ τῷ σχήματι προεχεῖ. ὅτε ὁπλίζεσθαι ἔδει, χρυσῷ καὶ λίθοις τιμίοις ὁπλιζόμενος ἔξεισιν· εἴτε ἐν εἰρήνῃ καθῆστο, ἁλουργίδα περικείμενος ἐκάθητο. πολλοὺς τοὺς δορυφόρους, πολλοὺς τοὺς ὑπασπιστὰς εἶχε, γῆς καὶ θαλάττης δεσπότης ἤκουεν, Αὐτοκράτωρ, Αὔγουστος, Καῖσαρ, Βασιλεύς, καὶ πολλὰ ἕτερα ὀνόματα τοιαῦτα, ἅπερ κολακείαν ἐπινόει καὶ θεραπείαν, καὶ οὐδὲν ἐνέλιπεν ὅλως τῶν εἰς δόξαν· ἀλλὰ καὶ σοφοί, καὶ δυνάσται, καὶ βασιλεῖς αὐτὸν ἔτρεμον καὶ ἐδεδοίκεισαν τὸν ἄνδρα. καὶ γὰρ καὶ ἄλλως ὠμός τις καὶ ἰταμὸς εἶναι ἐλέγετο. οὗτος καὶ Θεὸς εἶναι ἐβούλετο, καὶ πάντων καταφρονεῖν τῶν εἰδώλων, καὶ αὐτοῦ τοῦ ἐπὶ πάντων Θεοῦ, καὶ ὡς Θεὸς ἐθεραπεύετο. τί ταύτης τῆς δόξης κρεῖττον, μᾶλλον δὲ τί τῆς ἀτιμίας χεῖρον; ἀλλ᾽ οὐκ οἶδα πῶς ὑπὸ τῆς ἀληθείας παρέδραμε τὸ ῥῆμα, καὶ πρὸ τῆς κρίσεως τὴν ψῆφον ἤνεγκε. πῶς δὲ κατὰ τὴν τῶν πολλῶν ὑπόνοιαν τὸ πρᾶγμα ἐξετάσωμεν, κατὰ τὴν τῶν ἀπίστων, κατὰ τὴν κολακείαν. τί μεῖζον εἰς λόγον δόξης τοῦ καὶ Θεὸν νομισθῆναι αὐτόν; μεγάλη ὄντως τοῦτο ἀτιμία, τὸ ἄνθρωπον ὄντα τοιαῦτα λυττᾷν. ἀλλὰ πῶς κατὰ τὴν τῶν πολλῶν ὑπόνοιαν τὸ πρᾶγμα ἐξετάσωμεν. οὐδὲν τοίνυν ἐνέλιπεν αὐτῷ εἰς δόξαν τὴν ἀνθρωπίνην, ἀλλ᾽ ὡς Θεὸς παρὰ πάντων ἐθεραπεύετο. ἀλλὰ ἀντεξετάσωμεν αὐτῷ τὸν Παῦλον, εἰ δοκεῖ. Κίλιξ ὁ ἄνθρωπος ἦν (ὅσον δὲ Κιλικίας καὶ Ῥώμης τὸ μέσον, πάντες ἴσασι) σκυτοτόμος, πένης, τῆς ἔξωθεν σοφίας ἄπειρος,

κ. ἐξῆν

ἴσ. κολακεία ἦν καὶ θεραπεία

Ἑβραϊστὶ

φανωθῇ. καὶ λέγει καὶ τρίτον ὑπόδειγμα ὃ μάλιστα αὐτῷ ἁρμόζει. τὸ μὲν γὰρ τοῦ στρατιώτου, καὶ τὸ τοῦ ἀθλητοῦ καὶ τοῖς ἀρχομένοις κατάλληλον, τὸ δὲ τοῦ γεωργοῦ λοιπὸν τῷ διδασκάλῳ. μὴ ὡς στρατιώτης, μηδὲ ὡς ἀθλητὴς μόνον, ἀλλὰ καὶ ὡς γεωργός*. ὁ γεωργὸς οὐχ ἑαυτοῦ ἐπιμελεῖται μόνον, ἀλλὰ καὶ τῶν καρπῶν τῆς γῆς· τουτέστιν, οὐ μικρὰν ἀμοιβὴν τῶν πόνων καρποῦται καὶ ὁ γεωργός. ἐν ταῦτα καὶ τοῦ Θεοῦ τὸ ἀψευδὲς δείκνυσι, καὶ τὴν ἀντίδοσιν τῆς διδασκαλίας, πρᾶγμα εἰπὼν κοινόν. ὥσπερ, φησίν, ὁ γεωργὸς οὐκ ἀνόητα ποιεῖ, ἀλλὰ πρὸ τῶν ἄλλων αὐτὸς ἀπολαύει τῶν πόνων τῶν οἰκείων, οὕτω καὶ τὸν διδάσκαλον εἰκός. ἢ τοῦτο, ἢ περὶ τοῦ τιμᾶσθαι τοὺς διδασκάλους φησίν. ἀλλ' οὐκ ἔχει λόγον. πῶς γὰρ οὐχ ἁπλῶς γεωργὸν εἶπεν, ἀλλὰ τὸν κοπιῶντα; οὐδὲ ἁπλῶς τὸν κάμνοντα, ἀλλὰ τὸν κοπιώμενον; ἐνταῦθα καὶ περὶ τῆς μελλήσεως ἵνα μηδεὶς δυσχεραίνῃ, ἤδη, φησίν, ἀπολαμβάνεις, ἢ ὅτι ἐν αὐτῷ τῷ κόπῳ ἡ ἀντίδοσις. ἐπεὶ οὖν τὰ παραδείγματα ἔθηκε τὸ τῶν στρατιωτῶν, καὶ ἀθλητῶν, καὶ γεωργῶν, καὶ πάντα ἁπλῶς αἰνιγματωδῶς, οὐδείς, φησι, στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ. καὶ εἰπών, τὸν κοπιῶντα γεωργὸν δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν, ἐπήγαγε· Νόει ὃ λέγω· δῴη γάρ σοι ὁ Θεὸς σύνεσιν ἐν πᾶσι. τούτου γὰρ ἕνεκεν ταῦτα εἴρηται ἐν παροιμίᾳ, καὶ παραβολῇ. εἶτα πάλιν τὸ φιλόστοργον αὐτοῦ δεικνύς, οὐ παύεται ἐπαγόμενος αὐτῷ, ἅτε ὡς ὑπὲρ γνησίου τέκνου δεδοικώς, καί φησι·

8 Μνημόνευε Χριστὸν Ἰησοῦν ἐγηγερμένον ἐκ νεκρῶν, ἐκ σπέρματος Δαβίδ, κατὰ τὸ εὐαγγέλιόν μου.

9 Ἐν ᾧ ″ κακοπαθῶ μέχρι δεσμῶν, ὡς κακοῦργος. Τίνος ἕνεκεν ἐνταῦθα τούτου μέμνηται; μάλιστα μὲν οὖν καὶ πρὸς τοὺς αἱρετικοὺς ἀποτεινόμενος, ἅμα δὲ καὶ ἀνακτώμενος αὐτόν, καὶ δεικνὺς τῶν παθημάτων τὸ κέρδος, ὅτι καὶ αὐτὸς ὁ διδάσκαλος ἡμῶν ὁ Χριστὸς διὰ πάθους τὸν θάνατον κατηγωνίσατο. τοῦτο μνημόνευε, φησί, καὶ ἕξεις παράκλησιν ἱκανήν. μνημόνευε, φησί, Χριστὸν Ἰησοῦν ἐγηγερμένον ἐκ νεκρῶν, ἐκ σπέρματος Δαβίδ. ἤδη γὰρ ἐξ ἐκείνου ἤρξαντό τινες τὴν οἰκονομίαν διαστρέφειν, ἐπαισχυνόμενοι τῷ μεγέθει τῆς τοῦ Θεοῦ φιλανθρωπίας. τοιαῦτα γὰρ ἦν ἃ εὐηργέτησεν ἡμᾶς ὁ Θεός, ὡς οὐδὲ ἀνθρώπους αἰσχύνεσθαι παραιτεῖσθαι αὐτὰ τῷ Θεῷ, καὶ ἀπιστεῖν ὅτι τοσοῦτον κατέβη. κατὰ τὸ εὐαγγέλιόν μου, φησί. πολλαχοῦ τοῦτο τίθησι τῶν ἐπιστολῶν λέγων, κατὰ τὸ εὐαγγέλιόν μου, ἢ ἐπεὶ αὐτῷ πιστεύεσθαι ἐχρῆν, ἢ ἐπεὶ καὶ ἕτεροι ἦσαν εὐαγγελιζόμενοι ἕτερα. ἐν ᾧ κακοπαθῶ, φησί, μέχρι δεσμῶν, ὡς κακοῦργος. πάλιν περὶ ἑαυτοῦ τὴν παραμυθίαν εἰσάγει, πάλιν τὴν προτροπήν. ″ καὶ δύο τούτοις τὸν ἀκροατὴν ἀλείφει, τῷ τε εἰδέναι κακοπαθεῖν, καὶ τῷ μὴ ἐπ' οὐδενὶ χρησίμῳ τοῦτο ποιεῖν. οὕτω μὲν κερδαίνει, ἐκείνως δὲ καὶ βλαβήσεται. τί γὰρ ὄφελος, ἐὰν δείξῃς τὸν διδάσκαλον κακοπαθοῦντα μέν, ἐπ' οὐδενὶ δὲ χρησίμῳ; ἀλλ' ἐκεῖνο θαυμαστόν, εἰ ἐπί τινι χρησίμῳ, εἰ ἐπ' ὠφελείᾳ τῶν διδασκομένων. Ἀλλ' ὁ λόγος τοῦ Θεοῦ οὐ δέδεται.

Τουτέστιν, εἰ μὲν κοσμικοὶ ἦμεν στρατιῶται, φησίν, ἢ εἰ πόλεμον ἐπολεμοῦμεν αἰσθητόν, ἴσχυε ταῦτα τὰ δεσμὰ τὰς χεῖρας κατέχοντα· νῦν δὲ τοιούτους ἡμᾶς ἐποίησεν ὁ Θεός, ὡς μηδενὶ καταγωνίζεσθαι. δεσμοῦνται μὲν γὰρ αἱ χεῖρες, ἀλλ' οὐχ ἡ γλῶττα. γλῶτταν γὰρ οὐδὲν δῆσαι δύναται, ἀλλ' ἡ δειλία μόνον καὶ ἀπιστία. ὡς ἂν ταύτην μὴ ἔχωμεν, κἂν περιβάλῃς δεσμά, τὸ κήρυγμα οὐ δέδεται. οἷον γεωργόν τις ἐὰν δήσῃ, τὸν σπόρον ἐνεπόδισε (τῇ χειρὶ γὰρ σπείρει) διδάσκαλον ἐὰν δήσῃς, τὸν λόγον οὐκ ἐνεπόδισας. τῇ γλώττῃ γὰρ σπείρει, οὐ τῇ χειρί. οὐχ ὑποβάλλεται τοίνυν δεσμῷ ὁ λόγος ὁ ἡμέτερος. ἡμῶν γὰρ δεδεμένων, ἐκεῖνος λέλυται καὶ τρέχει. πῶς; φησίν; ὅτι ἰδοὺ καὶ δεδεμένοι κηρύττομεν. τοῦτο εἰς προτροπὴν τῶν λελυμένων. εἰ ἡμεῖς δεδεμένοι κηρύττομεν, πολλῷ μᾶλλον ὑμᾶς τοὺς λελυμένους τοῦτο ποιεῖν χρή. ἤκουσας ὅτι ὡς κακοῦργος ταῦτα πάσχω· μὴ κατηφὴς γίνου. πολὺ γὰρ τὸ θαῦμα δεδεμένον ὄντα τὰ τῶν λελυμένων ποιεῖν, δεδεμένον πάντων περιγίνεσθαι, δεδεμένον καταγωνίζεσθαι

*ἄλλ. ἡ τοῦ διδασκάλου τοιαῦτα.

χ. Κύριος

χ. ἐν κόπῳ

χ. ἄλ. ἡ δὲ εὐσέβεια, διὸ τόποι παραμυθεῖται. τί χρήσιμον εἰδέναι ὅτι οἱ διδάσκαλοι κακοπαθοῦντες, ἀλλ' ἐπ' οὐδενὶ χρησίμῳ; τί δ' ὁ χρήσιμον καὶ τὸ θαυμαστόν;

α. Κορ. ιε. α.

α Τιμ. α ια.

γματος φύσει ταῦτα πάντα συμβεβηκέναι. καὶ γὰρ καὶ αὐτὸς [ταῦτα εἰργάσατο, καὶ] διὰ τοῦτο ταῦτα διηγεῖται, ἵνα αὐτὸν ῥώσῃ καὶ ἀνακτήσηται. ὅτι γὰρ τούτου ἕνεκεν τοῦτο ἐποίει, διηγησάμενος αὐτῷ τὰς θλίψεις καὶ τοὺς πειρασμούς, ἐπήγαγε· σὺ οὖν, τέκνον μου, ἐνδυναμοῦ ἐν τῇ χάριτι τῇ ἐν Χριστῷ Ἰησοῦ. τί λέγεις; κατέπαυσας ἡμᾶς τοῦ φόβου. εἶπες ὅτι δέδοσαι, ὅτι ἐν θλίψει εἶ, ὅτι πάντες σε ἀπεστράφησαν· καὶ ὥσπερ εἰρηκώς, ὅτι οὐδὲν πέπονθας δεινόν, οὐδὲ ὑπό τινων ἐγκατελείφθης, οὕτως ἐπάγεις, σὺ οὖν, τέκνον μου, ἐνδυναμοῦ; Εἰκότως. ὅτι ταῦτά σε μᾶλλον ἐνεδυνάμωσεν, ἢ ἐκεῖνα. εἰ γὰρ ἐγὼ ὁ Παῦλος ταῦτα πάσχω, πολλῷ μᾶλλον σὺ ταῦτα φέρειν ὀφείλεις. εἰ ὁ διδάσκαλος, πολλῷ μᾶλλον ὁ μαθητής. καὶ μετὰ πολλῆς τῆς φιλοστοργίας τὴν παραίνεσιν προσάγει, τέκνον αὐτὸν καλῶν, καὶ οὐχ ἁπλῶς, ἀλλά, τέκνον ἐμόν. εἰ τέκνον εἶ, φησί, τὸν πατέρα μιμοῦ· εἰ τέκνον εἶ, ἐνδυναμοῦ οἷς εἶπον· μᾶλλον δὲ οὐκ ἀπὸ τῶν διηγημάτων μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς χάριτος τοῦ Θεοῦ. ἐνδυναμοῦ γάρ, φησίν, ἐν τῇ χάριτι τῇ ἐν Χριστῷ Ἰησοῦ. τουτέστι, διὰ τῆς χάριτος τοῦ Χριστοῦ· τουτέστι, στῆθι γενναίως, οἶδας τὴν παράταξιν. ἐπεὶ καὶ ἀλλαχοῦ λέγων, Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, οὐχὶ καταβάλλων αὐτοὺς λέγει, ἀλλὰ διεγείρων. οὐκοῦν νῆφε, φησί, γρηγόρει, ἔχεις τὴν χάριν τοῦ Κυρίου συμμαχοῦσαν καὶ συναγωνιζομένην, πολλῇ τῇ προθυμίᾳ καὶ τῇ προαιρέσει τὰ παρὰ σαυτοῦ εἴσφερε. καὶ ἃ ἤκουσας παρ' ἐμοῦ διὰ πολλῶν μαρτύρων, ταῦτα παράθου πιστοῖς ἀνθρώποις· πιστοῖς, οὐ ζητητικοῖς, οὐ συλλογιστικοῖς· πιστοῖς· ποίοις; τοῖς μὴ προδιδοῦσι τὸ κήρυγμα. ἃ ἤκουσας, οὐχ ἃ συνεζήτησας. Ἡ πίστις γὰρ ἐξ ἀκοῆς, ἡ δὲ ἀκοὴ διὰ ῥήματος Θεοῦ. τί ἐστι, διὰ πολλῶν μαρτύρων; ὡς ἂν εἰ ἔλεγεν, οὐ λάθρα ἤκουσας, οὐδὲ κρυφῇ, ἀλλὰ πολλῶν παρόντων, μετὰ παρρησίας. οὐκ εἶπεν, εἰπέ, ἀλλά, παράθου, καθάπερ ἐπὶ θησαυροῦ* τὸ παρατιθέμενον ἐν ἀσφαλείᾳ παρακατατίθεται. πάλιν φοβεῖ τὸν μαθητὴν καὶ ἀπὸ τῶν ἄνω, καὶ ἀπὸ τῶν κάτω. ἀλλ' οὐ πιστοῖς μόνον λέγει, παράθου. τί γὰρ ὄφελος ὅταν πιστὸς μὲν ᾖ, μὴ δύνηται δὲ εἰς ἑτέρους ἐξάγειν τὴν διδασκαλίαν; ὅταν αὐτὸς μὲν μὴ προδῷ τὴν πίστιν, ἑτέρους δὲ μὴ κατασκευάζῃ τοιούτους; δύο τοίνυν ἔχειν χρὴ τὸν διδάσκαλον, καὶ πιστὸν εἶναι, καὶ διδακτικόν. διὰ τοῦτό φησιν, οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους διδάξαι. σὺ οὖν κακοπάθησον ὡς καλὸς στρατιώτης Ἰησοῦ Χριστοῦ. βαβαί, πόσον τὸ ἀξίωμα, στρατιώτην εἶναι τοῦ Χριστοῦ; ἐννόησον τοὺς βασιλεῖς τοὺς ἐπὶ τῆς γῆς, πῶς μέγα τι εἶναι νομίζουσι τὸ ὑπ' αὐτοὺς στρατευόμενοι. εἰ τοίνυν τὸ κακοπαθεῖν βασιλικοῦ στρατιώτου, τὸ μὴ κακοπαθεῖν οὐκ ἔστι στρατιώτου. ὥστε οὐ χρὴ δυσχεραίνειν, εἰ κακοπαθεῖς (τοῦτο γὰρ ἐστὶ στρατιώτου) ἀλλὰ δυσχεραίνειν εἰ μὴ κακοπαθοίης. οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ. ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ. ταῦτα εἴρηται μὲν πρὸς Τιμόθεον, λέγεται δὲ πρὸς πάντα καὶ διδάσκαλον καὶ μαθητὴν δι' ἐκείνου. μηδεὶς τοίνυν ἀπαξιούτω τῶν τὴν ἐπισκοπὴν ἐχόντων ταῦτα ἀκούειν, ἀλλ' ἀπαξιούτω μὴ ταῦτα πράττειν. ἐὰν ἀθλῇ τις, φησίν, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ. τί ἐστιν, ἐὰν μὴ νομίμως; οὐκ, ἐὰν εἰς τὸν ἀγῶνα εἰσέλθῃ, ἀρκεῖ τοῦτο, οὐδ' ἐὰν ἀλείψηται, οὐδ' ἐὰν συμπλακῇ, ἀλλ' ἂν μὴ πάντα τὸν τῆς ἀθλήσεως νόμον φυλάττῃ, καὶ τὸν ἐπὶ σιτίων, καὶ τὸν ἐπὶ σωφροσύνης καὶ σεμνότητος, καὶ τὸν ἐν παλαίστρᾳ, καὶ πάντα ἁπλῶς διέλθοι τὰ τοῖς ἀθληταῖς προσήκοντα, οὐδέποτε στεφανοῦται. καὶ ὅρα τοῦ Παύλου τὴν σοφίαν. ἀθλήσεως καὶ στρατιωτῶν ἐμνήσθη, τὸ μέν, ὥστε ἑτοίμους εἶναι πρὸς σφαγὰς καὶ φόνους καὶ αἵματα· τὸ δὲ καρτερικόν, ἵνα πάντα γενναίως φέρῃ, ἵνα διαπαντὸς ἐν ἀσκήσει ᾖ. τὸν κοπιῶντα γεωργόν, φησί, δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν. εἶπεν ἀπὸ τῶν αὐτοῦ παραδειγμάτων, εἶπεν ἀπὸ τοῦ διδασκάλου, λέγει λοιπὸν καὶ ἀπὸ τῶν κοινῇ συμβαινόντων, τῶν ἀθλητῶν, τῶν στρατιωτῶν. καὶ τίθησιν ἐκεῖ τὰ ἔπαθλα, τὸ μέν, ἵνα ἀρέσῃ τῷ στρατολογήσαντι· τὸ δέ, ἵνα στεφανωθῇ.

Margin notes: χ. καθαιρεῖ — χ. πάσχων ὑποφέρω, — Εφεσ. ς΄ ιβ. — Ρωμ. ι. ιζ. — * βασιλικοῦ — γρ. ἀκούειν,

πτῇ, μᾶλλον ἂν τὴν πλεονεξίαν. ὥσπερ γὰρ κἂν τὴν τοῦ βασιλέως τις μοιχεύσῃ γυναῖκα, κἂν τὴν τοῦ πένητος, κἂν τὴν τοῦ δούλου, ὁμοίως ἐστὶ μοιχὸς, οὐ τῇ διαφορᾷ τῶν προσώπων τοῦ ἁμαρτήματος κρινομένου, ἀλλὰ τῇ μοχθηρίᾳ τῆς τοῦ τολμήσαντος προαιρέσεως· οὕτω δὴ καὶ ἐνταῦθα. καὶ μᾶλλον ἐγὼ μοιχὸν ἂν εἴποιμι τὸν εἰς τὴν τυχοῦσαν μοιχευόμενον, ἢ τὸν εἰς τὴν βασιλίδα αὐτήν. ἐκεῖ μὲν γὰρ ὁ πλοῦτος, καὶ ἡ ὥρα, καὶ πολλὰ ἕτερα ἦν τὰ ἐπισπώμενα, ἐνταῦθα δὲ οὐδέν· ὥστε μᾶλλον οὗτος ἂν εἴη μοιχός. πάλιν, μέθυσον ἐκεῖνον ἂν εἴποιμι μᾶλλον τὸν τῷ φαύλῳ οἴνῳ προσκεχηνμένον· οὕτω καὶ πλεονέκτην τὸν μηδὲ τῶν μικρῶν καταφρονοῦντα. ὁ μὲν γὰρ τὰ πολλὰ ἁρπάζων τῶν μικρῶν ἴσως καταφρονήσειεν ἄν· ὁ δὲ τὰ μικρὰ ὑφελόμενος, τῶν μεγάλων οὐδαμῶς· ὥστε μᾶλλον οὗτος κλέπτης ἐστίν. ὁ γὰρ μὴ καταφρονῶν ἀργυρίου, πῶς ἂν χρυσίου καταφρονήσειεν; ὥστε ὅταν τῶν ἀρχόντων κατηγορῶμεν, τὰ ἡμέτερα αὐτῶν ἀναλογισώμεθα, καὶ εὑρήσομεν μᾶλλον ἡμᾶς αὐτοὺς καὶ κλέπτοντας καὶ πλεονεκτοῦντας πλέον ἐκείνων, εἰ μὴ τῷ πράγματι, ἀλλὰ τῇ προαιρέσει ταῦτα κρίνομεν, ὥσπερ οὖν καὶ κρίνειν δίκαιον. εἰπὲ γάρ μοι, εἴ τις προσοικειωθείη τὰ τοῦ πένητος λαβὼν, ἕτερος δὲ τὰ τοῦ πλουσίου, οὐχ ὁμοίαν ἀμφότεροι τίσουσι δίκην; τί δαί; ὁ φονεὺς οὐχ ὁμοίως ἐστὶ φονεὺς, ἄντε ἀνάπηρον καὶ πένητα, ἄντε πλούσιον καὶ καλὸν ἀποκτείνῃ; ὅταν οὖν εἴπωμεν, ὅτι ὁ δεῖνα τοῦ δεῖνος τὸ χωρίον ἥρπασεν, ἐννοήσωμεν τὰ ἑαυτῶν, καὶ οὕτως οὔτε τοὺς ἄλλους κατακρινοῦμεν, καὶ τὸν Θεὸν θαυμασόμεθα τῆς μακροθυμίας, καὶ οὐκ ἀγανακτήσομεν, ὅτι ἡ κρίσις οὐκ ἔρχεται ἐπ᾽ αὐτούς, καὶ αὐτοὶ σωφρονέστεροι ἐσόμεθα πρὸς τὴν τῶν κακῶν ἐργασίαν. ὅταν γὰρ ἴδωμεν τοῖς αὐτοῖς ὑπευθύνους ὄντας καὶ ἡμᾶς αὐτοὺς, οὐκέτι ὁμοίως δυσχερανοῦμεν, ἀλλ᾽ ἀποστησόμεθα τῶν ἁμαρτημάτων, καὶ ἐπιτευξόμεθα τῶν μελλόντων ἀγαθῶν.

Λογ. δ. 1 ΣΥ ΟΥΝ, ΤΕΚΝΟΝ ΜΟΥ, ΕΝΔΥΝΑΜΟΥ
ἐν τῇ χάριτι τῇ ἐν Χριστῷ Ἰησοῦ. 2 Καὶ ἃ ἤκουσας παρ᾽ ἐμοῦ διὰ κεφ. β.
πολλῶν μαρτύρων, ταῦτα παράθου πιστοῖς ἀνθρώποις, οἵτινες ἱκανοὶ ἔσον-
ται καὶ ἑτέρους διδάξαι. 3 Σὺ οὖν κακοπάθησον, ὡς καλὸς στρατιώτης
Ἰησοῦ Χριστοῦ. 4 Οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου
πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ.
5 Ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ.
6 Τὸν κοπιῶντα γεωργὸν δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν.
7 Νόει ἃ λέγω· δῴη γάρ σοι ὁ Κύριος σύνεσιν ἐν πᾶσι.

ΦΕρει μὲν ἐν θαλάσσῃ πολὺ τὸ θάρσος τῷ μαθητῇ τὸν διδάσκαλον ἐν ναυαγίῳ θεάσασθαι, καὶ διασωθέντα. οὐ γὰρ ἡγήσεται λοιπὸν ἀπὸ τῆς οἰκείας ἀμαθίας συμπεπτωκέναι τοὺς χειμῶνας, ἀλλὰ ἀπὸ τῆς τῶν πραγμάτων φύσεως. τοῦτο δὲ εἰς ψυχαγωγίαν οὐ μικρόν. φέρει δὲ καὶ ἐν πολέμοις τῷ ταξιάρχῃ προθυμίαν τὸν στρατηγὸν τρωθέντα ὁρᾶν, καὶ ἀνενεγκόντα πάλιν. οὕτω δὴ καὶ τοῖς πιστοῖς φέρει τινὰ παραμυθίαν τὸν ἀπόστολον πολλὰ παθεῖν δεινὰ, καὶ ὑπ᾽ οὐδενὸς τούτων καταμαλακισθῆναι. οὐ γὰρ ἂν, εἰ μὴ τοῦτο ἦν, τὰ αὐτοῦ πάθη διηγεῖτο. ὁ γὰρ Τιμόθεος ἀκούων, ὅτι ὁ τοσαῦτα δυνάμενος καὶ πάσης τῆς οἰκουμένης κρατήσας, ἐν δεσμοῖς ἐστι καὶ ἐν θλίψεσι, καὶ οὐκ ἀσχάλλει, οὐδὲ δυσχεραίνει ὑπὸ τῶν οἰκείων ἐγκαταλειφθεὶς, εἰ καὶ αὐτὸς τὰ αὐτὰ ἔπαθεν, οὐκ ἂν ἡγήσατο ἀνθρωπίνης τὸ πρᾶγμα εἶναι ἀσθενείας, οὐδὲ διὰ τὸ μαθητὴς εἶναι καὶ ἐλάττων τοῦ Παύλου, ὅπου γε καὶ ὁ διδάσκαλος ταῦτα ἔπαθεν, ἀλλὰ διὰ τὴν τοῦ πρά-
γματος

γε καὶ τὴν πανωλεθρίαν ἐκείνην, ποτὲ δὲ τὴν τοῦ πυρός. καὶ νῦν δὲ ὁρῶμεν πολλοὺς κολαζομένους τῶν πονηρῶν, καὶ δίκην τιννύντας· ἅπερ ὑποδείγματα τῆς γεέννης ἐστίν. ἵνα γὰρ μὴ καθεύδωμεν, μηδὲ ῥαθυμῶμεν, μηδὲ ἐπιλανθανώμεθα τῶν ῥημάτων, διὰ τῶν ἔργων ἡμᾶς ὑπομιμνήσκει καὶ διεγείρει, ἐνταῦθα δικαστικὰ κριτήρια, δικαστήρια, εὐθύνας. Εἶτα παρὰ ἀνθρώποις μὲν τοσαύτη τοῦ δικαίου ἐπιμέλεια, παρὰ δὲ Θεῷ τῷ καὶ ταῦτα νομοθετήσαντι οὐδεὶς τούτων λόγος; καὶ πῶς ἂν ἔχοι ταῦτα πίστιν; καὶ γὰρ καὶ ἐν οἰκίᾳ, καὶ ἐν ἀγορᾷ, καὶ πανταχοῦ δικαστήριά ἐστιν ἰδεῖν. ἐν οἰκίᾳ μὲν γὰρ ὁ δεσπότης δούλους δικάζει καθ' ἑκάστην ἡμέραν, καὶ τῶν ἁμαρτημάτων αὐτῶν ἀπαιτεῖ εὐθύνας, καὶ τὰ μὲν κολάζει, τὰ δὲ ἀφίησιν. ἐν ἀγροῖς πάλιν ὁ γεωργός, καὶ ἡ γυνὴ δικάζεται καθ' ἑκάστην ἡμέραν. ἐν πλοίοις ὁ κυβερνήτης δικάζει, ἐν στρατοπέδοις ὁ στρατηγὸς τοὺς στρατιώτας. καὶ πολλὰ ἄν τις εὕροι δικαστήρια. ἐν τέχναις ὁ διδάσκαλος τῷ μαθητῇ. καὶ ἰδίᾳ τοίνυν, καὶ κοινῇ πάντες ἀλλήλοις δικάζουσι, καὶ οὐδαμοῦ τοῦ δικαίου τὸν λόγον παραμελούμενον ἴδοι τις ἄν, ἀλλὰ πάντας εὐθύνας διδόντας πανταχοῦ. Εἶτα ἐνταῦθα μὲν οὕτω διέσπαρται καὶ κατὰ πόλιν, καὶ κατ' οἰκίας, καὶ [Ψαλ. μζ. ι.] καθ' ἕνα ἕκαστον ἡ τοῦ δικαίου ζήτησις· ἐκεῖ δὲ ἔνθα δικαιοσύνης πλήρης ἡ δεξιὰ τοῦ Θεοῦ, καὶ [Ψαλ. λε. ς.] ἡ δικαιοσύνη αὐτοῦ ὡς ὄρη Θεοῦ, ἐκεῖ οὐδεὶς τοῦ δικαίου λόγος; καὶ πῶς ὁ Θεὸς ὁ κριτὴς καὶ δίκαιος καὶ ἰσχυρὸς καὶ μακρόθυμος ἀνέχεται, καὶ οὐκ ἀπαιτεῖ τὰς τιμωρίας; ἐνταῦθα ἔχεις τὴν αἰτίαν. μακρόθυμος, φησίν, ἐστί, μακροθυμεῖ δὲ εἰς μετάνοιάν σε ἕλκων. ἂν δὲ ἐπιμένῃς, [Ρωμ. β. ε] Κατὰ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν θησαυρίζεις σεαυτῷ ὀργήν. εἰ δίκαιος τοίνυν ἐστί, τὸ κατ' ἀξίαν ἀποδίδωσι, καὶ οὐ παρορᾷ ἀτιμωρητὶ τοὺς πάσχοντας κακῶς. τοῦτο γὰρ δικαίου. Εἰ ἰσχυρός, καὶ μετὰ θάνατον ἀποδίδωσι, καὶ ἐν τῇ δυναστείᾳ. τοῦτο γὰρ ἰσχυροῦ. Εἰ δὲ μακρόθυμος ὢν ἀνέχεται, μὴ θορυβηθῶμεν, μηδὲ λέγωμεν, διὰ τί ἐνταῦθα οὐκ ἐπεξέρχεται; Εἰ γὰρ τοῦτο ἐγίνετο, προανήρπαστο ἂν τὸ γένος τὸ ἀνθρώπινον, εἰ καθ' ἑκάστην ἡμέραν ἀπῄτει δίκας ἡμᾶς τῶν" πεπλημμελημένων. οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἡμέρα ἁμαρτημάτων καθαρά, ἀλλ' ἢ μέγα, ἢ μικρόν τι προσκρουόμενον. [γρ. πλημμελημάτων.] ὥστε οὐδ' ἂν ἐφθάσαμεν οὐδὲ εἰς εἰκοστὸν ἔτος ἕκαστος ἐλθεῖν, εἰ μὴ πολλὴ αὐτοῦ ἦν ἡ μακροθυμία, καὶ ἡ ἀγαθότης, πολλὴν ἡμῖν παρέχουσα τὴν προθεσμίαν τῆς μετανοίας, ὥστε ἀποδύσασθαι τὰ πεπλημμελημένα. ἕκαστος τοίνυν μετὰ συνειδότος ὀρθοῦ" εἰσιὼν εἰς τὰ πεπραγμένα [γρ. εἰσιόντων] αὐτῷ, καὶ τὸν βίον αὐτοῦ πάντα εἰς μέσον ἀγαγών, ἐπισκοπείτω, εἰ μὴ μυρίων τιμωριῶν ἄξιος καὶ κολάσεών ἐστι. καὶ ὅταν ἀγανακτῇ, διὰ τί μὴ ὁ δεῖνα μυρία πράξας φαῦλα δίκην δίδωσιν, ἐννοείτω τὰ ἑαυτοῦ, καὶ παύσεται τὴν ἀγανάκτησιν. ἐκεῖνα γὰρ μεγάλα φαίνεται, ἐπειδὴ ἐπὶ μεγάλοις γίνεται καὶ φανεροῖς. Εἰ δὲ τὰ ἑαυτοῦ ἐξετάσειεν, ἴσως εὑρήσει πλείονα. τὸ γὰρ ἁρπάζειν, καὶ πλεονεκτεῖν, ὅμοιόν ἐστιν, ἄν τε ἐπὶ χρυσίου, ἄν τε ἐπὶ ἀργυρίου γίνηται. ἀπὸ γὰρ τῆς αὐτῆς διανοίας ἀμφότερα τίκτεται, καὶ ὁ τὸ μικρὸν" ὑφελόμενος οὐ παραιτήσεται καὶ μέγα ὑφελέσθαι. [γρ. ἀφελ.] Εἰ δὲ μὴ πάρεστιν, οὐ παρ' ἐκεῖνον τοῦτο γέγονεν, ἀλλὰ παρὰ τὴν τοῦ πράγματος συντυχίαν. ὁ τὸν πένητα ἀδικῶν πένης, οὐκ ἄν, εἴγε ἐδύνατο, καὶ τὸν πλουτοῦντα παρῆκεν, ἀλλὰ τῆς ἀσθενείας, οὐ τῆς ἐκείνου προαιρέσεως τὸ πρᾶγμα γίνεται λοιπόν. ὁ δεῖνα ἄρχει, φησί, καὶ τὰ τῶν ἀρχομένων ἁρπάζει. σὺ δὲ οὐχ ἁρπάζεις, εἰπέ μοι; μὴ γάρ μοι εἴπῃς, ὅτι χρυσίου μὲν τάλαντα ἐκεῖνος, σὺ δὲ ὀβολοὺς δέκα· ἐπεὶ καὶ ἐν τῇ ἐλεημοσύνῃ τὸ [Λουκ. κα. α.] μὲν ἔβαλον χρυσίον, ἡ δὲ δύο λεπτά, καὶ οὐδὲν ἔλαττον εἰσήνεγκεν ἐκείνων. διὰ τί; ἡ γὰρ προαίρεσις κρίνεται, καὶ οὐχ ἡ δόσις. Εἶτα ἐπὶ μὲν τῆς ἐλεημοσύνης ἀξιοῖς οὕτω δικάζειν τὸν Θεόν, καὶ μηδὲν ἔλαττον διὰ τὴν πενίαν ἀποφέρεσθαι, εἰ δύο λεπτὰ καταβάλοις, τῶν μυρία τάλαντα καταθέντων χρυσίου, ἐπὶ δὲ τῆς πλεονεξίας οὐχ οὕτω; καὶ πῶς ἂν ἔχοι λόγον; ὥσπερ ἐκείνη δύο λεπτὰ καταβαλοῦσα ἀπὸ τῆς προαιρέσεως οὐδὲν ἔλαττον εἰσήνεγκεν, οὕτω καὶ σὺ δύο λεπτὰ" ὑφελόμενος, οὐδὲν ἀμείνων ἐκείνων διάκεισαι, ἀλλ' εἰ δεῖ τι καὶ θαυμαστὸν εἰπεῖν, [γρ. ἀφελόμενος,]

πεῖν,

μνείαις τῶν ἁγίων κοινωνοῦντες. Καὶ πῶς, φησὶν, ἔστι κοινωνεῖν; ὅταν θαυμάσῃς τὸν ἄνδρα, ὅταν ἐργάσῃ τι τούτων ἐφ' οἷς ἐκεῖνος ἐστεφανώθη, κεκοινώνηκας αὐτῷ τῶν ἄθλων, καὶ τῶν στεφάνων δηλονότι. Δῴη αὐτῷ, φησιν, ὁ Κύριος εὑρεῖν ἔλεος παρὰ Κυρίου ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. Ἠλέησέ με, φησιν· οὐκοῦν ἕξει τὴν ἀνταπόδοσιν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ τῇ φοβερᾷ καὶ φρικτῇ, ἔνθα πολλοῦ ἐλέους χρεία ἡμῖν. Δῴη αὐτῷ, φησιν, ὁ Κύριος εὑρεῖν ἔλεος παρὰ Κυρίου. Δύο Κύριοι; οὐδαμῶς, ἀλλ' ἡμῖν εἷς Κύριος Χριστὸς Ἰησοῦς, καὶ εἷς Θεός. Ἐντεῦθεν οἱ τὰ Μαρκίωνος νοσοῦντες ἐπιπηδῶσι τῷ εἰρημένῳ. Ἀλλὰ μανθανέτωσαν, ὡς ἔθος τῇ γραφῇ τοῦτο, καὶ πολλαχοῦ ἔστιν εὑρεῖν ταύτῃ τῇ συνηθείᾳ τὴν γραφὴν κεχρημένην, ὡς ὅταν λέγῃ, Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου. καὶ πάλιν, Εἶπε τῷ Κυρίῳ, Κύριός μου εἶ σύ· καὶ ἀλλαχοῦ, Ἔβρεξε Κύριος παρὰ Κυρίου· τοῦτο δὲ προσώπων ἐστὶ παραστατικὸν ὁμοουσίων, οὐ φύσεως διαιρετικόν. οὐ γὰρ ἵνα δύο οὐσίας διαφερούσας ἀλλήλων, ἀλλ' ἵνα δύο πρόσωπα νοήσωμεν τῆς αὐτῆς ὄντα οὐσίας ἑκάτερα, τοῦτο λέγει. Ὅρα δὲ πῶς καὶ εἶπε, Δῴη αὐτῷ Κύριος. Τί τοῦτο; οὐχ ἕτερον, ἀλλ' ἔλεος. ἐπεὶ γὰρ αὐτὸς ἐλέους ἔτυχε παρὰ Ὀνησιφόρου, τούτου τυχεῖν ἐπεύχεται καὶ αὐτὸν παρὰ τοῦ Θεοῦ.

Εἰ δὲ Ὀνησιφόρος ὁ κινδύνοις παραβαλὼν ἑαυτὸν ἀπὸ ἐλέους σώζεται, πολλῷ μᾶλλον ἡμεῖς. Φοβεραὶ γὰρ αἱ εὔθυναι, φοβεραὶ, καὶ πολλῆς δεόμεναι τῆς φιλανθρωπίας, ὥστε μὴ ἀκοῦσαι τὸ ῥῆμα τὸ φρικτὸν ἐκεῖνο, Ὑπάγετε, οὐκ οἶδα ὑμᾶς οἱ ἐργαζόμενοι τὴν ἀνομίαν· ὥστε μὴ ἀκοῦσαι πάλιν ἐκεῖνο τὸ φοβερὸν· Ἀπέλθετε οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ, καὶ τοῖς ἀγγέλοις αὐτοῦ· ὥστε μὴ ἀκοῦσαι, Χάος ἐστὶ μεταξὺ ἡμῶν καὶ ὑμῶν· ὥστε μὴ ἀκοῦσαι ἐκεῖνο τὸ φρίκης γέμον, Ἄρατε αὐτὸν, καὶ ἐμβάλετε εἰς τὸ σκότος τὸ ἐξώτερον· ὥστε μὴ ἀκοῦσαι ἐκεῖνο τὸ πολλοῦ φόβου γέμον, Πονηρὲ δοῦλε καὶ ὀκνηρέ. Φρικτὸν γὰρ σφόδρα τὸ δικαστήριον ἐκεῖνο καὶ φοβερὸν· καίτοι ὁ Θεὸς ἥμερός ἐστι, καίτοι πρᾶος. Θεὸς γὰρ οἰκτιρμῶν λέγεται, καὶ Θεὸς παρακλήσεως, καὶ ἀγαθὸς ὡς οὐδεὶς ἀγαθὸς, καὶ χρηστὸς, καὶ ἐπιεικὴς, καὶ πολυέλεος, καὶ οὐ βούλεται τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι, καὶ ζῆν αὐτόν. Πόθεν οὖν, πόθεν τοσαύτης ἀγωνίας ἡ ἡμέρα γέμει ἐκείνη; πυρὸς ἕλκεται ποταμὸς πρὸ προσώπου αὐτοῦ, βίβλοι τῶν πράξεων ἡμῶν ἀνοίγονται, αὐτὴ ἡ ἡμέρα ὡς κλίβανός ἐστι καιομένη, ἄγγελοι περιτρέχουσι, καὶ κάμινοι προτίθενται πολλαί. Πῶς οὖν φιλάνθρωπος; πῶς ἐλεήμων; πῶς ἀγαθός; φιλάνθρωπος μὲν οὖν καὶ οὕτω, καὶ ἐκ τούτων μάλιστα δείκνυται αὐτοῦ τῆς φιλανθρωπίας τὸ μέγεθος. Διὰ γὰρ τοῦτο τοσοῦτον ἡμῖν ἐπιστείει τὸν φόβον, ἵνα καὶ διὰ τούτων συνωθούμενοι πρὸς τὸν τῆς βασιλείας πόθον ποτὲ διεγερθῶμεν. Θέα δέ μοι, πῶς οὐχ ἁπλῶς τῷ Ὀνησιφόρῳ μαρτυρεῖ, ἀλλά φησι· πολλάκις με ἀνέψυξε. Καθάπερ ἀθλητὴν τινὰ ὑπὸ αὐχμοῦ πιεζόμενον, ὑπὸ τῶν θλίψεων, ἀνεκτήσατό, φησι, καὶ ἀνέρρωσε. Καὶ ὅσα ἐν Ἐφέσῳ διηκόνησε, βέλτιον σὺ γινώσκεις. οὐ μόνον ἐν Ἐφέσῳ, φησὶν, ἀλλὰ καὶ ἐνταῦθα. Τοιούτους γὰρ δεῖ εἶναι τοὺς πιστοὺς καὶ διεγηγερμένους, οὐχ ἅπαξ ἐργάζεσθαι, οὐδὲ δεύτερον, οὐδὲ τρίτον, ἀλλὰ δι' ὅλης τῆς ζωῆς. Ὥσπερ γὰρ τὸ σῶμα τὸ ἡμέτερον οὐχ ἅπαξ τραφὲν ἔχει τῆς ὅλης ζωῆς τὴν ὑπόστασιν, ἀλλὰ δεῖται καὶ τῆς καθημερινῆς τροφῆς· οὕτω δὴ καὶ ἐνταῦθα ἐπὶ τῆς εὐσεβείας, καθ' ἑκάστην ἡμέραν δεόμεθα τῆς ἀπὸ τῶν ἔργων βοηθείας. Πολλοῦ γὰρ ἡμῖν ἐλέου χρεία. Διὰ γὰρ τὰ ἁμαρτήματα ἡμῶν, καὶ ὁ φιλάνθρωπος Θεὸς ἐκεῖνα πάντα ποιεῖ, οὐδενὸς μὲν αὐτῶν δεόμενος, πάντα δὲ ποιῶν δι' ἡμᾶς. Διὰ γὰρ τοῦτο πάντα ἡμῖν ἔδειξε καὶ διηγήσατο, καὶ οὐ διηγήσατο μόνον, ἀλλὰ καὶ δι' ἔργων πιστοῦται. ἀξιόπιστος μὲν γὰρ ἦν καὶ ἀπὸ ῥημάτων μόνον. Ἀλλ' ἵνα μή τις ὑπερβολῆς, μηδὲ ἀπειλῆς μόνης εἶναι νομίσῃ τὰ ῥήματα, καὶ τὴν ἀπὸ τῶν ἔργων πληροφορίαν προστίθησι. Πῶς; καὶ ἰδίᾳ, καὶ κοινῇ τὰς τιμωρίας ἐπάγων. καὶ ἵνα μάθῃς δι' αὐτῶν τῶν πραγμάτων, ποτὲ μὲν τὸν Φαραὼ ἐκόλασε, ποτὲ κατακλυσμὸν τῶν ὑδάτων ἐπήγα-

Left margin (by lines 9–11): χ. ὁ δ' ὅτι, δῴη αὐτῷ ὁ Κύριος εὑρεῖν, ἀλλ' ἔλεος

Left margin (by line 39): χ. ἐλεεῖς

Right margin: Ψαλ. ρθ. α. | Ψαλ. ιι. α. | Γεν ιθ. κδ. | ΗΘΙΚΟΝ | Ματθ. ζ. κγ. | Ματθ. κε. μα. | Λουκ. ις. κς. | Ματθ. κβ. ιγ. | Ματθ. κε. κς. | Ιεζ. ιη.

πίασαν οἱ οἰκοδομοῦντες· ἐὰν μὴ Κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησαν οἱ φυλάσσοντες αὐτήν. τοῦτο τεῖχος ἡμῖν, τοῦτο φρούριον, τοῦτο καταφυγή. Εἰ τοίνυν ἐνοικεῖ, καὶ αὐτὸ φυλάσσει, τίς χρεία παραγγελίας; ἵνα αὐτό, φησι, κατέχωμεν, ἵνα αὐτὸ φυλάττωμεν, καὶ μὴ διώκωμεν διὰ τῶν φαύλων πράξεων. Εἶτα διηγεῖται τοὺς πειρασμούς, οὐχὶ καταβαλεῖν τὸν μαθητὴν βουλόμενος, ἀλλὰ διαναστῆσαι, ἵνα εἴ ποτε καὶ αὐτὸς περιπέσοι τούτοις, μὴ ξενοπαθῇ πρὸς τὸν διδάσκαλον ἀφορῶν, καὶ μεμνημένος πάντων τῶν συμβάντων αὐτῷ. τί οὖν φησιν; ἐπειδὴ εἰκὸς ἦν αὐτὸν συλληφθέντα ἐγκαταλειφθῆναι, καὶ μηδεμιᾶς ἀπολαῦσαι φιλανθρωπίας, μηδὲ ῥοπῆς, μηδὲ βοηθείας, ἀλλὰ καὶ ὑπ' αὐτῶν τῶν πιστῶν καὶ φίλων προδεδόσθαι, ἄκουε τί φησιν. οἶδας τοῦτο, ὅτι ἀπεστράφησάν με πάντες οἱ ἐν τῇ Ἀσίᾳ. Εἰκὸς ἦν ἐν Ῥώμῃ εἶναι πολλοὺς τότε ἀπὸ τῶν Ἀσίας μερῶν· ἀλλ' οὐδείς μοι προέστη, φησίν, οὐδείς με ἐγνώρισε, πάντες ἀπηλλοτριώθησαν. καὶ ὅρα τὴν φιλόσοφον αὐτοῦ ψυχήν. Εἶπε τὸ γινόμενον μόνον, οὐχὶ κατηράσατο αὐτοῖς· ἀλλὰ τὸν μὲν πράξαντα τοῦτο καὶ ἐπῄνεσε, καὶ ἐπεύχεται τούτῳ μυρία ἀγαθά, ἐκείνοις δὲ οὐ κατηράσατο. ἀλλὰ τί φησιν; ὧν ἐστι Φύγελλος καὶ Ἑρμογένης. Δῴη ἔλεος ὁ Κύριος, φησί, τῷ Ὀνησιφόρου οἴκῳ, ὅτι πολλάκις με ἀνέψυξε, καὶ τὴν ἅλυσίν μου οὐκ ἐπῃσχύνθη, ἀλλὰ γενόμενος ἐν Ῥώμῃ σπουδαιότερον ἐζήτησέ με καὶ εὗρε. θέα πῶς πανταχοῦ τὴν αἰχμαλωσίαν λέγει, οὐ τοὺς κινδύνους, ὥστε μὴ φοβηθῆναι τὸν Τιμόθεον, καίτοι κινδύνων τὸ πρᾶγμα ἔγεμε. προσέκρουσε γὰρ τότε τῷ Νέρωνι, τινὰ τῶν διακειμένων αὐτῷ οἰκειωσάμενος. ἀλλὰ γενόμενος, φησιν, ἐν Ῥώμῃ οὐ μόνον οὐκ ἔφυγέ μου τὴν συντυχίαν, ἀλλὰ καὶ ἐπεζήτησέ με, καὶ εὗρε. Δῴη αὐτῷ ὁ Κύριος εὑρεῖν ἔλεος παρὰ Κυρίου ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· καὶ ὅσα ἐν Ἐφέσῳ διηκόνησε, βέλτιον σὺ γινώσκεις. τοιούτους εἶναι χρὴ τοὺς πιστούς, μήτε φόβῳ, μήτε ἀπειλῇ, μήτε αἰχμαλωσίᾳ κωλύεσθαι, ἀλλὰ συμπράττειν ἀλλήλοις, καθάπερ ἐν πολέμῳ προεστάναι καὶ βοηθεῖν. οὐ γὰρ τοῖς κινδυνεύουσι τοσοῦτον, ὅσον ἑαυτοῖς χαρίζονται, κοινωνοὺς ἑαυτοὺς ποιοῦντες, διὰ τῶν εἰς ἐκείνους γεγενημένων, τῶν ἐκείνοις ὀφειλομένων στεφάνων. οἷον, ἐν θλίψει καθέστηκέ τις τῶν ἀνακειμένων Θεῷ, πολλὰ πάσχων δεινά, καὶ μετὰ πολλῆς τῆς καρτερίας ἀθλῶν· σὺ οὐδέπω πρὸς τὸν ἀγῶνα τοῦτον εἱλκύσθης· ἔξεστί σοι, εἰ βουληθείης, καὶ μὴ ἐμβάντι εἰς τὸ στάδιον, μέτοχον γενέσθαι τῶν ἀποκειμένων αὐτῷ στεφάνων, θάλποντι, ἀλείφοντι, προτρέποντι, διεγείροντι. καὶ ὅτι τοῦτο οὕτως ἔχει, ἄκουσον τί φησιν ἑτέροις γράφων, Πλὴν καλῶς ἐποιήσατε συγκοινωνήσαντές μου τῇ θλίψει· καὶ πάλιν,

Φιλ. δ. ιδ. ιε.

Ὅτι καὶ ἐν Θεσσαλονίκῃ, καὶ ἅπαξ, καὶ δὶς εἰς τὴν χρείαν μοι ἐπέμψατε. καὶ πῶς οἱ ἀπόντες τῷ μὴ παρόντι ἐκοινώνησαν τῆς θλίψεως; πῶς; ὅτι ἐπέμψατέ μοι, φησί, τὰ εἰς τὴν χρείαν καὶ ἅπαξ, καὶ δίς. καὶ πάλιν περὶ τοῦ Ἐπαφροδίτου λέγων φησίν·

Φιλ. β. λ.

Ὅτι ἤγγισε μέχρι θανάτου παραβουλευσάμενος τῇ ψυχῇ, ἵνα ἀναπληρώσῃ τὸ ὑμῶν ὑστέρημα τῆς πρός με λειτουργίας. καθάπερ γὰρ ἐπὶ τῶν βασιλέων οὐχ οἱ πολεμοῦντες μόνον, ἀλλὰ καὶ οἱ τὰ σκεύη φυλάσσοντες τιμῆς μετέχουσι, καὶ οὐχ ἁπλῶς, ἀλλὰ καὶ τῶν ἴσων πολλάκις ἐπέτυχον δώρων, καίτοιγε οὐδὲ τὰς χεῖρας αἱμάξαντες, οὐδὲ τὰ ὅπλα ἀράμενοι, ἀλλ' οὐδὲ ὅλως τὴν παράταξιν θεασάμενοι τῶν πολεμίων· πολλῷ μᾶλλον ἐπὶ τὸν τόπον τῶν θλίψεων. ὁ γὰρ βοηθῶν τῷ ἀθλητῇ λιμῷ τηκομένῳ, ὁ τρέφων, ὁ λόγοις παρακαλῶν, ὁ τὴν ἄλλην θεραπείαν ἅπασαν παρέχων, τὸ ἴσον ἔχει τῷ ἀθλοῦντι. μὴ γάρ μοι Παῦλον ἐννοήσῃς τὸν ἀθλητήν, τὸν ἄμαχον καὶ ἀκαταγώνιστον, ἀλλὰ ἄλλον τινὰ τῶν πολλῶν, ὃς εἰ μὴ ἔτυχε πολλῆς παραμυθίας, πολλῆς παρακλήσεως, οὐκ ἂν ἴσως ἔστη, οὐκ ἂν ἠγωνίσατο. ὥστε οἱ ἔξω τῶν ἀγώνων τῷ εἰς τοὺς ἀγῶνας ἐμβεβηκότι τῆς νίκης γεγόνασιν αἴτιοι, καὶ τῶν ἐπὶ τῇ νίκῃ κειμένων στεφάνων γένοιντ' ἂν μέτοχοι. καὶ τί θαυμαστόν, εἰ τοῖς ἔτι ζῶσι κοινωνῶν τις τῶν αὐτῶν ἀξιοῦται τοῖς ἀγωνιζομένοις; ὥσπερ οὖν καὶ τοῖς ἀπελθοῦσι, τοῖς ἤδη κειμένοις, τοῖς ἐστεφανωμένοις, τοῖς οὐδενὸς δεομένοις ἔστι κοινωνεῖν καὶ μετὰ θάνατον. ἄκουε γὰρ τοῦ Παύλου λέγοντος, Ταῖς

κ. ἀπέλαυον

κ. ἐστὶ

μνείαις

Digitized by Google

ἀφέστηκεν, ὅσον Ἰωάννης τοῦ Ἰησοῦ, ἀλλ' ὅμως ἐπ' αὐτὸν κατῆλθε τὸ πνεῦμα, ἵνα μάθῃς ὅτι τὸ πᾶν ὁ Θεὸς ἐργάζεται, ὅτι τὸ πᾶν ὁ Θεὸς ποιεῖ. βούλομαί τι παράδοξον εἰπεῖν· ἀλλὰ μὴ θαυμάσητε, μηδὲ θορυβηθῆτε. τί δὲ τοῦτό ἐστιν; ἡ προσφορὰ ἡ αὐτή ἐστι, κἂν ὁ τυχὼν προσενέγκῃ, κἂν Παῦλος, κἂν Πέτρος, ἡ αὐτή ἐστιν, ἣν ὁ Χριστὸς τοῖς μαθηταῖς ἔδωκε, καὶ ἣν νῦν οἱ ἱερεῖς ποιοῦσιν. οὐδὲν αὕτη ἐλάττων ἐκείνης, ὅτι καὶ ταύτην οὐκ ἄνθρωποι ἁγιάζουσιν, ἀλλ' αὐτὸς ὁ καὶ ἐκείνην ἁγιάσας. ὥσπερ γὰρ τὰ ῥήματα, ἅπερ ὁ Θεὸς ἐφθέγξατο, τὰ αὐτά ἐστιν, ἅπερ ὁ ἱερεὺς καὶ νῦν λέγει, οὕτω καὶ ἡ προσφορὰ ἡ αὐτή ἐστι, καὶ τὸ βάπτισμα ὅπερ ἔδωκεν. οὕτω τὸ πᾶν τῆς πίστεώς ἐστιν. ἐπεπήδησεν εὐθέως τὸ πνεῦμα ἐπὶ Κορνήλιον, ἐπειδὴ προλαβὼν τὰ παρ' ἑαυτοῦ ἐπεδείξατο, καὶ τὴν πίστιν εἰσήνεγκε. τοῦτο τοίνυν σῶμά ἐστι, κἀκεῖνο· ὁ δὲ νομίζων τοῦτο ἔλαττον ἐκείνου εἶναι, οὐκ οἶδεν ὅτι ὁ Χριστὸς καὶ νῦν πάρεστι, καὶ νῦν ἐνεργεῖ. Ταῦτα τοίνυν εἰδότες (οὐδὲ γὰρ ἁπλῶς εἴρηται ἡμῖν ταῦτα πάντα, ἀλλ' ἵνα διεγερθῶμεν ὑμῶν τὴν γνώμην, καὶ ἀσφαλεστέρους εἰς τὸ ἑξῆς ἐργασώμεθα) πολλὴν τῶν εἰρημένων τὴν φυλακὴν ἐπιδείξασθε. ἂν γὰρ ἀεὶ μὲν ἀκούωμεν, πράττωμεν δὲ μηδέποτε, οὐδὲν ἡμῖν ὄφελος ἔσται τῶν λεγομένων. προσέχωμεν τοίνυν ἀκριβῶς, προσέχωμεν τοῖς λεχθεῖσι μετ' ἐπιμελείας, ἀπογράψωμεν αὐτὰ ἐπὶ τῆς διανοίας τῆς ἡμετέρας, ἔχωμεν ἀεὶ κεκολλημμένα τῷ συνειδότι, καὶ διηνεκῶς δόξαν ἀναπέμψωμεν τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι.

Λογ. γ. 13 ΥΠΟΤΥΠΩΣΙΝ ΕΧΕ ΥΓΙΑΙΝΟΝΤΩΝ ΛΟΓΩΝ, ὧν παρ' ἐμοῦ ἤκουσας ἐν πίστει καὶ ἀγάπῃ τῇ ἐν Χριστῷ Ἰησοῦ.
14 Τὴν καλὴν παραθήκην φύλαξον διὰ πνεύματος ἁγίου τοῦ ἐνοικοῦντος ἐν ἡμῖν. 15 Οἶδας τοῦτο, ὅτι ἀπεστράφησάν με πάντες οἱ ἐν τῇ Ἀσίᾳ, ὧν ἐστι Φύγελλος, καὶ Ἑρμογένης. 16 Δῴη ἔλεος ὁ Κύριος τῷ Ὀνησιφόρου οἴκῳ, ὅτι πολλάκις με ἀνέψυξε, καὶ τὴν ἅλυσίν μου οὐκ ἐπῃσχύνθη, 17 Ἀλλὰ γενόμενος ἐν Ῥώμῃ σπουδαιότερόν με ἐζήτησε, καὶ εὗρε. 18 Δῴη αὐτῷ ὁ Κύριος εὑρεῖν ἔλεος παρὰ Κυρίου ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· καὶ ὅσα ἐν Ἐφέσῳ διηκόνησε, βέλτιον σὺ γινώσκεις.

ΟΥ διὰ γραμμάτων μόνον τὰ πρακτέα ὑπετίθετο τῷ μαθητῇ, ἀλλ' ἤδη καὶ διὰ ῥημάτων. καὶ τοῦτο πολλαχοῦ καὶ ἐν ἄλλοις ἐδήλωσε λέγων, Εἴτε διὰ λόγου, εἴτε δι' ἐπιστολῆς, ὡς δι' ἡμῶν· πολλῷ δὲ μᾶλλον καὶ ἐνταῦθα. [2. Θεσσ. β.] μὴ τοίνυν ἐλλιπῶς εἰρῆσθαι τὰ κατὰ τὴν διδασκαλίαν νομίσωμεν. [χειρογράφως] πολλὰ γὰρ αὐτῷ καὶ ἀγράφως παρέδωκεν, ἅπερ οὖν ἀναμιμνήσκων αὐτὸν ἔλεγεν, ὑποτύπωσιν ἔχε ὑγιαινόντων λόγων ὧν παρ' ἐμοῦ ἤκουσας. τί δέ ἐστιν ὅ φησι; καθάπερ ἐπὶ τῶν ζωγράφων ἐνετύπωσά σοι, φησὶν, εἰκόνα σοι τῆς ἀρετῆς, καὶ τῶν τῷ Θεῷ δοκούντων ἁπάντων ὥσπερ τινὰ κανόνα καὶ ἀρχέτυπον καὶ ὅρους καταβαλὼν εἰς τὴν σὴν ψυχήν. ταῦτα οὖν ἔχε· κἂν περὶ πίστεως, κἂν περὶ ἀγάπης, κἂν περὶ σωφρονισμοῦ δέῃ τι βουλεύσασθαι, ἐκεῖθεν λάμβανε τὰ παραδείγματα. οὐ δεήσει σοι παρ' ἑτέρων εἰκόνα ζητεῖν, πάντων ἐκεῖ κατακειμένων. τὴν καλὴν παραθήκην φύλαξον. πῶς; διὰ πνεύματος ἁγίου τοῦ ἐνοικοῦντος ἐν ἡμῖν. οὐ γάρ ἐστιν ἀνθρωπίνης ψυχῆς, οὐδὲ δυνάμεως τοσαῦτα ἐμπιστευθέντα, ἀρκέσαι πρὸς τὴν φυλακήν. διὰ τί; ὅτι πολλοὶ οἱ λῃσταί, σκότος βαθὺ ὁ διάβολος ἐφέστηκεν ἤδη καὶ ἐφεδρεύει. οὐκ οἴδαμεν ποίᾳ ὥρᾳ, ποίῳ καιρῷ ἐπιτίθεται. πῶς οὖν ἀρκέσομεν πρὸς τὴν φυλακήν, φησί; διὰ πνεύματος ἁγίου, τουτέστιν, ἐὰν τὸ πνεῦμα ἔχωμεν παρ' ἡμῖν* [* μόνον.]· ἐὰν μὴ τὴν χάριν φυγαδεύσωμεν, παρέσται. ἐὰν γὰρ μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν [Ψαλ. ρκς. α.]

τὸ στῆθος, οὐδὲ κάτω κύπτεις, οὐδὲ μιμῇ τὸν τελώνην; οὐκοῦν ἀπώλεσας σαυτὸν, κἂν βελτίων ᾖς. βελτίων εἶ; σίγα, ἵνα μείνῃς βελτίων. ἂν δὲ εἴπῃς, ἐκένωσας τὸ πᾶν· ἂν νομίσῃς, οὐχὶ ἂν μὴ νομίσῃς, πολὺ προσέθηκας. εἰ γὰρ ὁ ὢν ἁμαρτωλὸς, ἐπειδὴ ὡμολόγησε, κατῆλθε δεδικαιωμένος, ὁ μὴ ὢν σφόδρα ἁμαρτωλὸς, καὶ οὕτω πεπεισμένος, τί οὐ κερδαίνει; ἐξέτασόν σου τὸν βίον. οὐ κλέπτεις; ἀλλ' ἁρπάζεις, ἀλλὰ βιάζῃ, ἀλλὰ μυρία ἕτερα τοιαῦτα ποιεῖς. οὐκ ἐπαινῶν λέγω τὴν κλοπὴν, ἄπαγε, ἀλλὰ καὶ σφόδρα δακρύων, εἴ τις ἄρα ἐστὶ τοιοῦτος. οὐ γὰρ πείθομαι. ὅσον γὰρ ἡ ἱεροσυλία κακὸν, οὐδέ ἐστιν εἰπεῖν, ἀλλ' ὑμῶν φειδόμεθα. οὐ γὰρ βουλόμεθα τὴν ἀρετὴν τὴν ἡμετέραν κενοῦσθαι τῷ κατηγορεῖν ἑτέρων. τί τοῦ τελώνου χεῖρον, εἰπέ μοι; ἀληθὲς ἦν, ὅτι καὶ τελώνης ἦν, καὶ μυρίων ἔνοχος κακῶν· καὶ μόνον ἵνα εἴπῃ ὁ Φαρισαῖος, ὅτι οὐκ εἰμὶ ὡς οὗτος ὁ τελώνης, πάντα ἀπώλεσε. σὺ περὶ τοῦ ἱερέως λέγεις, ὅτι οὐκ εἰμὶ ὡς οὗτος ἱερόσυλος, καὶ οὐ πάντα κενοῖς; ταῦτα λέγειν ἀναγκάζομαι καὶ ἐπεξιέναι τούτῳ τῷ λόγῳ, οὐκ ἐπειδὴ ἐκείνων μοι μέλει τοσοῦτον, ἀλλ' ἐπειδὴ περὶ ὑμῶν δέδοικα, μὴ κενώσητε ὑμῶν τὴν ἀρετὴν διὰ τῆς καυχήσεως ταύτης, διὰ τῆς κατακρίσεως. ἄκουε γὰρ τοῦ

γρ. ἵνα εἴπῃ ἡ μόνον ἵνα εἴπῃ

Γαλ. ς. δ.

Παύλου παραινοῦντος καὶ λέγοντος· Τὸ δὲ ἔργον ἑαυτοῦ δοκιμαζέτω ἕκαστος, καὶ τότε εἰς ἑαυτὸν μόνον τὸ καύχημα ἕξει, καὶ οὐκ εἰς τὸν ἕτερον. εἰπέ μοι, ἂν εἰς ἰατρεῖον ἔλθῃς τραῦμα ἔχων μὴ ἀφεὶς φάρμακον ἐπιθεῖναι καὶ θεραπεῦσαι τὸ ἕλκος, περιεργάζῃ τὸν ἰατρὸν, εἴτε ἕλκος ἔχει, εἴτε οὐκ ἔχει; κἂν ἔχῃ δὲ, φροντίζεις; ἢ ἐπειδὴ ἔχει ἐκεῖνος, τὸ σαυτοῦ οὐ θεραπεύεις, καὶ λέγεις, ἐχρῆν αὐτὸν ὑγιαίνειν ἰατρὸν ὄντα· ἐπειδὴ οὐχ ὑγιαίνει ἰατρὸς ὢν, ἀφίημι κἀγὼ τὸ ἕλκος τὸ ἐμὸν ἀνίατον; μὴ γὰρ, ἂν ὁ ἱερεὺς ᾖ κακὸς, παραμυθία ἔσται τῷ ἀρχομένῳ; οὐδαμῶς, ἀλλὰ δώσει μὲν ἐκεῖνος δίκην τὴν ὡρισμένην· δώσεις δὲ καὶ σὺ τὴν ὀφειλομένην καὶ πρέπουσαν.

Ιωαν. ς. με. Ησ. νδ. ιγ. Ιερ. λα. λδ.

καὶ γὰρ ὁ διδάσκαλος τάξιν λοιπὸν πληροῖ μόνον. Ἔσονται γὰρ, φησὶ, πάντες διδακτοὶ Θεοῦ, καὶ οὐ μὴ εἴπωσι, γνῶθι τὸν Κύριον, ὅτι πάντες εἰδήσουσί με ἀπὸ μικροῦ ἕως μεγάλου αὐτῶν. τίνος οὖν ἕνεκεν, φησὶ, προκάθηται; τίνος οὖν ἕνεκεν ἐφέστηκε; μὴ λέγωμεν, παρακαλῶ, κακῶς τοὺς διδασκάλους, μηδὲ ἀκριβολογώμεθα περὶ τούτων, ἵνα μὴ κακῶς ἑαυτοὺς διαθῶμεν· τὰ ἡμέτερα ἐξετάζωμεν, καὶ οὐδὲν ἴσως ἐροῦμεν κακῶς. αἰδεσθῶμεν τὴν ἡμέραν ἐκείνην, καθ' ἣν ἡμᾶς ἐφώτισεν. ἂν πατέρα τις ἔχῃ, κἂν μυρία ἔχῃ δεινὰ, πάντα

Σειρ. γ. ι.

συσκιάζει. Μὴ δοξάζου γὰρ, φησὶν, ἐν ἀτιμίᾳ πατρός σου· οὐ γάρ ἐστί σοι δόξα ὡς ὄνειδος. κἂν ἀπολίπῃ σύνεσις, συγγνώμην ἔχε. εἰ δὲ ἐπὶ τῶν σωματικῶν πατέρων, πολλῷ μᾶλλον ἐπὶ τῶν πνευματικῶν πατέρων ταῦτα λεκτέον. αἰδέσθητι ὅτι καθ' ἑκάστην ἡμέραν σοι διακονεῖται, ἀναγινώσκεσθαι ποιεῖ τὰς γραφὰς, διὰ σὲ τὸν οἶκον κοσμεῖ, διὰ σὲ ἀγρυπνεῖ, διὰ σὲ εὔχεται, ὑπὲρ σοῦ ἕστηκε τὸν Θεὸν παρακαλῶν, διὰ σὲ λιτὰς ποιεῖ, ὑπὲρ σοῦ πᾶσα αὐτῷ ἡ θρησκεία. ταῦτα αἰδέσθητι, ταῦτα ἐννόησον, μετὰ πάσης εὐλαβείας πρόσιθι. εἰπέ μοι, φαῦλός ἐστι; καὶ τί τοῦτο; ὁ γὰρ μὴ φαῦλος αὐτὸς σοι χαρίζεται τὰ μεγάλα ἀγαθά; οὐδαμῶς. πρὸς τὴν πίστιν τὴν σὴν τὸ πᾶν ἐνεργεῖται. οὔτε ὁ δίκαιος ὠφελήσει τι, μὴ ὄν-

γρ. ὁ μὴ γὰρ ὁ φαῦλος

α. Βασ. ς.

τος σου πιστοῦ, οὔτε ὁ φαῦλος βλάψει τι, ὄντος σου πιστοῦ. διὰ βοῶν ἐνήργησεν ὁ Θεὸς ἐπὶ τῆς κιβωτοῦ, ὅτε ἐβούλετο σῶσαι τὸν λαόν. μὴ γὰρ ὁ βίος τοῦ ἱερέως, μὴ γὰρ ἡ ἀρετὴ τοσοῦτόν τι συντελεῖ; οὐκ ἔστι τοιαῦτα ἃ χαρίζεται ὁ Θεὸς, ὡς ὑπὸ ἱερατικῆς ἀρετῆς δύνασθαι. τὸ πᾶν τῆς χάριτός ἐστι, τούτου ἐστὶν ἀνοῖξαι μόνον τὸ στόμα· τὸ δὲ πᾶν ὁ Θεὸς ἐργάζεται, σύμ-

γρ. χαρίζεται

Ματθ. γ. ιδ. Ιωαν. α. ις.

βολον οὗτος πληροῖ μόνον. ἐννόησον ὅσον ἐστὶ τὸ μέσον Ἰωάννου καὶ τοῦ Ἰησοῦ. ἄκουε γὰρ Ἰωάννου λέγοντος, Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ, Οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος. ἀλλ' ὅμως καὶ τοσούτου ὄντος τοῦ μέσου, καὶ πνεῦμα κατηνέχθη, ὅπερ οὐκ εἶχεν Ἰωάννης. Ἐκ γὰρ τοῦ πληρώματος αὐτοῦ, φησὶν, ἡμεῖς πάντες ἐλάβομεν. ἀλλ' ὅμως πρὶν ἢ βαπτισθῆναι, οὐ κατηνέχθη· οὐ μὴν οὐδὲ Ἰωάννης ἐποίησεν αὐτὸ κατενεχθῆναι. τί οὖν τοῦτο γέγονεν; ἵνα μάθῃς ὅτι σύμβολον ὁ ἱερεὺς πληροῖ. οὐδεὶς ἀνθρώπων ἀνθρώπου τοσοῦτον

ἀφέστηκεν,

λαμβάνεις μισθόν· ᾧ καὶ κελεύει ὑποτάσσεσθαι, ἂν ὑπὲρ τὰ γῆς, πολλῷ μᾶλλον. Ἐπὶ τῆς Ματθ. κγ. β.
Μωϋσέως, φησὶ, καθέδρας ἐκάθισαν οἱ γραμματεῖς, καὶ οἱ Φαρισαῖοι· πάντα οὖν, ὅσα ἂν λέγωσιν ὑμῖν ποιεῖν, ποιεῖτε· κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε. οὐκ οἶδας τί ἐστιν ὁ ἱερεύς; ἄγγελος Κυρίου ἐστί. μὴ γὰρ τὰ ἑαυτοῦ λέγει; εἰ καταφρονεῖς αὐτοῦ, οὐκ αὐτοῦ καταφρονεῖς, ἀλλὰ τοῦ χειροτονήσαντος αὐτὸν Θεοῦ. καὶ πόθεν δῆλον ὅτι ὁ Θεὸς ἐχειροτόνησεν αὐτόν, φησίν; οὐκοῦν εἰ μὴ ταύτην ἔχεις τὴν ὑπόληψιν, ἡ ἐλπίς σου κεκένωται. Εἰ γὰρ μηδὲν ἐνεργεῖ ὁ Θεὸς δι' αὐτοῦ, οὔτε λουτρὸν ἔχεις, οὔτε μυστηρίων μετέχεις, οὔτε εὐλογιῶν ἀπολαύεις· οὐκ ἄρα χριστιανὸς εἶ. Τί οὖν, φησί; πάντας ὁ Θεὸς χειροτονεῖ, καὶ τοὺς ἀναξίους; πάντας μὲν ὁ Θεὸς οὐ χειροτονεῖ, διὰ πάντων δὲ αὐτὸς ἐνεργεῖ, εἰ καὶ αὐτοὶ εἶεν ἀνάξιοι, διὰ τὸ σωθῆναι τὸν λαόν. Εἰ γὰρ δι' ὄνου, καὶ διὰ Βαλαὰμ, διὰ μιαροῦ ἀνθρώπου, τοῦ λαοῦ ἕνεκεν ἐλά- Αριθ. κβ.
λησε, πολλῷ μᾶλλον διὰ τοῦ ἱερέως. τί γὰρ οὐ ποιεῖ ὁ Θεὸς τῆς σωτηρίας ἕνεκεν τῆς ἡμετέρας; τί γὰρ οὐ φθέγγεται; διὰ τίνος δὲ οὐκ ἐνεργεῖ; εἰ διὰ τοῦ Ἰούδα ἐνήργησε, καὶ διὰ τῶν προφητευόντων, οἷς φησιν, Οὐκ οἶδα ὑμᾶς, ἀποχωρεῖτε ἀπ' ἐμοῦ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, καὶ ἄλλοι δαίμονας ἐξέβαλον, πολλῷ μᾶλλον διὰ τῶν ἱερέων ἐνεργήσει. ἐπεὶ εἰ μέλ- Ματθ. ζ. κγ. Ψαλ. ς. θ.
λοιμεν τοὺς βίους ἐρευνᾷν τῶν ἀρχόντων, αὐτοὶ μέλλομεν εἶναι χειροτονηταὶ τῶν διδασκάλων, καὶ τὰ ἄνω κάτω γίνεται, ἄνω οἱ πόδες, καὶ κάτω ἡ κεφαλή. ἄκουε Παύλου λέγοντος· Ἐμοὶ δὲ εἰς α. Κορ. δ. γ.
ἐλάχιστόν ἐστιν, ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ, ἢ ὑπὸ ἀνθρωπίνης ἡμέρας· καὶ πάλιν, Σὺ τί κρίνεις Ρωμ. ιδ. ι.
τὸν ἀδελφόν σου; εἰ τὸν ἀδελφὸν οὐ δεῖ κρίνειν, πολλῷ μᾶλλον τὸν διδάσκαλον. εἰ μὲν γὰρ τοῦτο ἐπέταξεν ὁ Θεὸς, καλῶς ποιεῖς, καὶ ἁμαρτάνεις μὴ ποιῶν· εἰ δὲ τοὐναντίον, μὴ τόλμα, μηδὲ ὑπὲρ τὰ ἐσκαμμένα ἐπιχείρει. ὁ Ἀαρὼν μετὰ τὴν μοσχοποιΐαν ἐπανέστησαν οἱ περὶ Κορὲ, καὶ Δαθὰν, καὶ Ἀβειρών. τί οὖν; οὐκ ἀπώλοντο; ἕκαστος τὰ ἑαυτοῦ μεριμνάτω. εἰ μὲν γὰρ δόγμα ἔχει διεστραμμένον, κἂν ἄγγελος ᾖ, μὴ πείθου· εἰ δὲ ὀρθὰ διδάσκει, μὴ τῷ βίῳ πρόσεχε, ἀλλὰ τοῖς ῥήμασιν. ἔχεις Παῦλον καὶ δι' ἔργων, καὶ διὰ λόγων ῥυθμίζοντά σε πρὸς τὸ δέον. ἀλλ' οὐ δίδωσι πένησι, φησὶν, οὐδὲ καλῶς διοικεῖ. πόθεν σοι τοῦτο δῆλον; πρὶν ἢ μάθῃς, μὴ μέμφῃ, φοβήθητι τὰς εὐθύνας. πολλὰ ἀπὸ ὑπονοίας κρίνεται. μίμησαί σου τὸν δεσπότην, ἄκουε αὐτοῦ λέγοντος· Καταβὰς ὄψομαι εἰ κατὰ τὴν κραυγὴν αὐτῶν συντε- Γεν. ιη. κ.
λοῦνται· εἰ δὲ μὴ, ἵνα γνῶ. εἰ δὲ κατέμαθες, καὶ ἐξήτασας, καὶ εἶδες, ἀνάμεινον τὸν κριτὴν, μὴ προαρπάσῃς τοῦ Χριστοῦ τὴν τάξιν. ἐκείνου ταῦτά ἐστιν ἐξετάζειν, οὐ σοῦ. σὺ δοῦλος εἶ ἔσχατος, οὐ δεσπότης· σὺ πρόβατον εἶ· μὴ τοίνυν περιεργάζου τὸν ποιμένα, ἵνα μὴ καὶ ἐφ' οἷς ἐκεῖνον κατηγορεῖς, εὐθύνας δῷς. καὶ πῶς ἐμοὶ λέγει, φησὶν, αὐτὸς οὐ ποιῶν; οὐκ αὐτός σοι λέγει. εἰ αὐτῷ πείθῃ, μισθὸν οὐκ ἔχεις. ὁ Χριστός σοι ταῦτα παραινεῖ. καὶ τί λέγω; οὐδὲ Παύλῳ πείθεσθαι χρὴ, ἄν τι ἴδιον λέγῃ, ἄν τι ἀνθρώπινον, ἀλλὰ τῷ ἀποστόλῳ τῷ τὸν Χριστὸν ἔχοντι λαλοῦντα ἐν ἑαυτῷ. μὴ κρίνωμεν τὰ ἀλλήλων, ἀλλὰ τὰ ἑαυτοῦ ἕκαστος. ἐξέταζε σου τὸν βίον. ἀλλ' ἐκεῖνος ὀφείλει μου βελτίων εἶναι, φησί. διὰ τί; ὅτι ἱερεύς ἐστι. καὶ τί σου πλέον οὐκ ἔχει; οὐχὶ τοὺς μόχθους; οὐχὶ τοὺς κινδύνους; οὐχὶ τὴν ἀγωνίαν; οὐχὶ τὴν ταλαιπωρίαν; ταῦτα τοίνυν ἔχων πῶς οὐ βελτίων ἐστί σου; εἰ δὲ οὐκ ἔστι βελτίων, ἄρα ὀφείλεις, εἰπέ μοι, σὺ σαυτὸν ἀπολλύναι; ἀπονοίας ταῦτα τὰ ῥήματα. πόθεν γὰρ, ὅτι οὐκ ἔστι σου βελτίων; ἐὰν κλέπτῃ, φησὶ, καὶ ἱεροσυλῇ. πόθεν οἶδας, ἄνθρωπε; τί κατακρημνίζεις σαυτόν; καὶ σὺ μὲν, ἂν εἴπῃ τις, ὅτι ὁ δεῖνα πορφύραν ἔχει, κἂν εἰδὼς ᾖς, ἀποφράττεις τὰ ὦτα, κἂν ἐλέγξαι δυνάμενος ᾖς, ἀποπηδᾷς εὐθέως καὶ προσποιῇ μὴ εἰδέναι, περιττὸν κίνδυνον μὴ θέλων ἀναδέξασθαι. ἐνταῦθα δὲ οὐ μόνον οὐκ ἀποπηδᾷς, ἀλλὰ καὶ ἀναδέχῃ περιττὸν κίνδυνον. ταῦτα τὰ ῥήματα οὐκ ἔστιν ἀνεύθυνα. ἄκουε γὰρ τοῦ Χριστοῦ λέγοντος, Λέγω δὲ ὑμῖν ὅτι πᾶν ῥῆμα ἀργὸν, ὃ ἐὰν λαλήσωσιν οἱ ἄνθρωποι, δώσουσι περὶ Ματθ. ιβ. λς.
αὐτοῦ λόγον ἐν ἡμέρᾳ κρίσεως. ὅλως δὲ οἶδα τινὸς βελτίων εἶναι. καὶ οὐ συνάζεις, οὐδὲ κόπτεις

χ. ἐκ ἔστι λέγ σου βελτίων ἐστὶν ἐ- πειδὴ οὐκ ἔστι σου βελτίων, διὰ τί σὺ σαυτὸν ἀπολλύεις;

κ. κάθῃ

12 Δι' ἣν αἰτίαν καὶ ταῦτα, φησί, πάσχω, ἀλλ' οὐκ ἐπαισχύνομαι. οἶδα γὰρ ᾧ πεπίστευκα, καὶ πέπεισμαι, ὅτι δυνατός ἐστι τὴν παρακαταθήκην μου φυλάξαι εἰς ἐκείνην τὴν ἡμέραν. χ. φύλαξαι

Ἀλλ' οὐκ ἐπαισχύνομαι, φησίν. αἰσχύνης γάρ, εἰπέ μοι, τὰ δεσμά; αἰσχύνης τὰ πάθη; μὴ οὖν ἐπαισχυνθῇς. ὁρᾷς πῶς διὰ τῶν ἔργων ἐνδείκνυται τὴν διδασκαλίαν; Ταῦτα πάσχω, φησίν, εἰς δεσμωτήριον ἐμβέβλημαι, ἐλαύνομαι. οἶδα γὰρ ᾧ πεπίστευκα, καὶ πέπεισμαι, ὅτι δυνατός ἐστι τὴν παρακαταθήκην μου φυλάξαι εἰς ἐκείνην τὴν ἡμέραν. τί ἐστι παρακαταθήκη; ἡ πίστις, τὸ κήρυγμα. τοῦτο αὐτός, φησίν, ὁ παρακαταθέμενος ἀκέραιον φυλάξει. πάντα πάσχω ὥστε μὴ τὸν θησαυρὸν συληθῆναι. οὐκ ἐπαισχύνομαι τούτοις, ἕως ἂν αὕτη ἀκέραιος σώζηται. ἢ τοὺς πιστοὺς λέγει τὴν παρακαταθήκην, ἣν ὁ Θεὸς αὐτῷ παρακατέθετο, ἢ ἣν αὐτὸς τῷ Θεῷ. καὶ νῦν γάρ φησιν, ἰδοὺ παρατίθεμαι ὑμᾶς τῷ Κυρίῳ· τουτέστιν, οὐκ ἀνόητά μοι ταῦτα ἔσται. καὶ Τιμόθεος τῆς παραθήκης δείκνυσί μοι τὸν καρπόν. ὁρᾷς αὐτὸν οὐδὲ αἰσθανόμενον τῶν κακῶν διὰ τὴν ἐλπίδα τῶν μαθητῶν; χ. αὐτὸ χ. παρέθετο

ΗΘΙΚΟΝ

Τοιοῦτον εἶναι τὸν διδάσκαλον χρή, οὕτω κήδεσθαι τῶν μαθητῶν, τούτους πάντα ἡγεῖσθαι. Νῦν ζῶμεν, φησίν, ἐὰν ὑμεῖς στήκητε ἐν Κυρίῳ. (α. Θεσ. γ. η.) καὶ πάλιν, Τίς γὰρ ἡμῶν ἐλπὶς ἢ χαρὰ ἢ στέφανος καυχήσεως; ἢ οὐχὶ καὶ ὑμεῖς ἔμπροσθεν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ; (καὶ β. ιθ.) ὁρᾷς αὐτὸν ταῦτα μεριμνῶντα; * οὐχ ἧττον τῶν οἰκείων τὰ τῶν μαθητῶν; δεῖ γὰρ τοὺς φυσικοὺς πατέρας ὑπεραίρειν, δεῖ θερμοτέρους εἶναι. ἀλλὰ καὶ τοὺς παῖδας φιλοστόργως πρὸς αὐτοὺς διακεῖσθαι προσήκει. (* παραπέζοντα;) Πείθεσθε γάρ, φησί, τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε, εἰδότες ὅτι αὐτοὶ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες. (Ἑβρ. ιγ. ιζ.) Εἰπὲ γάρ μοι, αὐτὸς μὲν τοσούτῳ κινδύνῳ ἐστὶν ὑπεύθυνος· σὺ δὲ οὐδὲ πείθεσθαι αὐτῷ βούλει, καὶ ταῦτα εἰς τὸ σοὶ συμφέρειν; κἂν γὰρ τὰ καθ' ἑαυτὸν καλῶς διαθῆται, ἕως ἂν τὰ σὰ μὴ καλῶς ᾖ διακείμενα, ἐν ἀγῶνί ἐστι, διπλᾶς δίδωσι τὰς εὐθύνας. ἐννόησον δὲ ὅσον ἐστὶ καθ' ἕκαστον τῶν ἀρχομένων ἐξετάζεσθαι, καὶ ἀγωνιᾶν. πόσην βούλει δοῦναι τιμήν; πόσην θεραπείαν ἀντίρροπον τῶν κινδύνων τούτων; ἀλλ' οὐδὲν ἴσον ἐρεῖς. οὔπω γὰρ τὴν ψυχὴν ἐπιδέδωκας. αὐτὸς δὲ τὴν ψυχὴν τίθησιν ὑπὲρ σοῦ. κἂν μὴ δὴ ἐνταῦθα κινδύνου καλοῦντος, ἀπολλύει αὐτὴν ἐκεῖ. σὺ δὲ οὐδὲ μέχρι λόγου ὑποτάσσεσθαι βούλει. τοῦτο πάντων τῶν κακῶν αἴτιον, ὅτι τὰ τῶν ἀρχόντων ἠφάνισται, οὐδεμία αἰδώς, οὐδεὶς φόβος. πείθεσθε, φησί, τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε· νυνὶ δὲ πάντα κατεστράφη καὶ συγκέχυται. οὐχὶ τῶν ἡγουμένων ἕνεκεν ταῦτα λέγω. τί γὰρ ἀπὸ τῆς τιμῆς ὠφεληθήσονται τῆς ἡμετέρας, ἢ τοσοῦτον ὅσον πειθηνίους ἕξουσιν; ἀλλὰ διὰ τὸ ὑμῖν συμφέρειν. οὔτε μὲν γάρ, κἂν τιμηθῶσιν, οὐδὲν ὠφελοῦνται πρὸς τὸ μέλλον, ἀλλὰ μεῖζον αὐτοῖς τὸ κατάκριμα· κἂν ὑβρισθῶσιν, οὐδὲν ἐβλάβησαν πρὸς τὸ μέλλον, ἀλλὰ καὶ πλείων αὐτοῖς ἡ ἀπολογία. ἀλλ' ὑμῶν αὐτῶν ἕνεκεν ἅπαντα βούλομαι γενέσθαι. ὅταν γὰρ τιμῶνται παρὰ τῶν ἀρχομένων οἱ ἡγούμενοι, καὶ τοῦτο αὐτοῖς προσφέρεται, καθάπερ τῷ Ἠλὶ ἔλεγον, Ἔλαβόν σε ἐκ τοῦ οἴκου τοῦ πατρός σου· (α. Βασ. β. κη.) ὅταν δὲ ὑβρίζωνται, καθάπερ ἐπὶ τοῦ Σαμουήλ, Οὐ σέ, φησίν, ἐξουθενήκασιν, ἀλλ' ἢ ἐμέ. (καὶ η. ζ.) ὥστε ἡ μὲν ὕβρις, κέρδος αὐτοῖς ἐστιν· ἡ δὲ τιμή, βάρος. οὐκ αὐτῶν τοίνυν ἕνεκεν ταῦτα λέγω, ἀλλ' ὑμῶν αὐτῶν. Ὁ τιμῶν τὸν ἱερέα, καὶ τὸν Θεὸν τιμήσει· ὁ δὲ μαθὼν τοῦ ἱερέως καταφρονεῖν, ὁδῷ προβαίνων καὶ εἰς τὸν Θεὸν ὑβρίσει ποτέ. Ὁ δεχόμενος ὑμᾶς, φησίν, ἐμὲ δέχεται. (Ματθ. ι. μ.) Καὶ τοὺς ἱερέας αὐτοῦ, φησίν, ἐντίμους ἔχε. (Λευϊτ. ιε.) ἐπειδὴ ἔμαθον Ἰουδαῖοι τοῦ Θεοῦ καταφρονεῖν, ὅτι Μωϋσέως κατεφρόνησαν, ἐν αὐτῷ ἐλίθαζον. ὅταν γάρ τις πρὸς τὸν ἱερέα εὐλαβῶς διατεθῇ, πολλῷ μᾶλλον πρὸς τὸν Θεόν. κἂν ὁ ἱερεὺς φαῦλος ᾖ, ὁ Θεὸς ὁρῶν ὅτι διὰ τὴν πρὸς αὐτὸν τιμὴν καὶ τὸν οὐκ ἄξιον τιμῆς θεραπεύεις, αὐτὸς ἀποδώσει σοι τὴν ἀμοιβήν. Εἰ γὰρ ὁ δεχόμενος προφήτην, φησίν, εἰς ὄνομα προφήτου μισθὸν προφήτου λήψεται· (Ματθ. ι. μα.) καὶ ὁ τιμῶν, καὶ ὁ εἴκων καὶ ὑπακούων δηλονότι τῷ ἱερεῖ. Εἰ γὰρ ἔνθα φιλοξενίας λόγος, ἔνθα οὐκ οἶδας τὸν καταγόμενον, τοσοῦτον

λαμβάνεις

μηδὲ ἐμὲ τὸν δέσμιον αὐτοῦ, ἀλλὰ συγκακοπάθησον τῷ εὐαγγελίῳ. τουτέστι, κἂν αὐτὸς ταῦτα πάθῃς, μὴ αἰσχυνθῇς. ὅτι γὰρ τοῦτο ᾐνίξατο, καὶ διὰ τῶν ἀνωτέρω εἰρημένων δῆλον, διὰ τοῦ εἰπεῖν, Ἔδωκεν ἡμῖν ὁ Θεὸς πνεῦμα δυνάμεως καὶ ἀγάπης καὶ σωφρονισμοῦ· καὶ διὰ (β. Τιμ. α. ζ.) τῶν μετὰ ταῦτα πάλιν. ἀλλὰ συγκακοπάθησον, φησί· τουτέστι, μὴ ἁπλῶς μὴ ἐπαισχυνθῇς, ἀλλὰ τῇ πείρᾳ μὴ ἐπαισχυνθῇς. καὶ οὐκ εἶπε, μὴ φοβηθῇς, μηδὲ δείσῃς, ἀλλὰ μᾶλλον αὐτὸν θαρρύνων φησί, μὴ ἐπαισχυνθῇς, ὡς οὐκ ὄντος λοιπὸν κινδύνου, εἰ τῆς αἰσχύνης τις περιγένοιτο. τοῦτο γὰρ μόνον ἔχει φορτικὸν αἰσχύνη τὸ ἡττᾶσθαι αὐτῆς. μὴ τοίνυν ἐπαισχυνθῇς, εἰ ἐγὼ ὁ νεκροὺς ἐγείρων, ὁ μυρία ἐργαζόμενος σημεῖα, ὁ τὴν οἰκουμένην περιδραμὼν, δέδεμαι νῦν· οὐ γὰρ ὡς κακοῦργός εἰμι δεσμώτης, ἀλλὰ τοῦ σταυρωθέντος ἕνεκεν. εἰ σταυρὸν οὐκ ἐπῃσχύνθη μου ὁ δεσπότης, οὐδὲ τὰ δεσμὰ ἐγώ. καὶ καλῶς παρακαλῶν αὐτὸν μὴ ἐπαισχυνθῆναι, περιέπεσεν αὐτὸν τοῦ σταυροῦ ἀνέμνησεν. εἰ τὸν σταυρὸν οὐκ ἐπαισχύνῃ, φησί, μηδὲ δεσμά. εἰ ὁ δεσπότης ἡμῶν καὶ διδάσκαλος σταυρὸν ὑπέμεινε, πολλῷ μᾶλλον ἡμεῖς τὰ δεσμά. ἅπερ γὰρ αὐτὸς ὑπέμεινεν ὁ αἰσχυνόμενος, καὶ τὸν σταυρωθέντα ἐπαισχύνεται. οὐ γὰρ δι' ἐμαυτόν, φησι, φέρω ταῦτα τὰ δεσμά. μηδὲν οὖν ἀνθρώπινον πάθῃς, ἀλλὰ τοῖς αὐτοῖς κοινώνησον, ἀλλὰ συγκακοπάθησον, φησι, τῷ εὐαγγελίῳ, οὐχ ὡς τοῦ εὐαγγελίου κακοπαθοῦντος, ἀλλὰ τὸν μαθητὴν διεγείρων ὑπὲρ τοῦ εὐαγγελίου πάσχειν. κατὰ δύναμιν Θεοῦ, φησι, τοῦ σώσαντος ἡμᾶς καὶ καλέσαντος κλήσει ἁγίᾳ, οὐ κατὰ τὰ ἔργα ἡμῶν, ἀλλὰ κατ' ἰδίαν πρόθεσιν καὶ χάριν τὴν δοθεῖσαν ἡμῖν ἐν Χριστῷ Ἰησοῦ πρὸ χρόνων αἰωνίων. ἄλλως δὲ, ἐπεὶ φορτικὸν ἦν τὸ εἰπεῖν, κακοπάθησον, πάλιν αὐτὸν παραμυθεῖται λέγων, οὐ κατὰ τὰ ἔργα ἡμῶν· τουτέστι, μὴ τῇ δυνάμει λογίζου τῇ σῇ, ἀλλὰ τῇ τοῦ Θεοῦ τὸ ταῦτα φέρειν. σοὶ μὲν γὰρ τὸ ἑλέσθαι καὶ προθυμηθῆναι, Θεοῦ δὲ τὸ κουφίσαι καὶ παῦσαι. εἶτα καὶ τῆς δυνάμεως αὐτοῦ δείκνυσι τὰ τεκμήρια. πῶς ἐσώθης ἐννόει, πῶς ἐκλήθης. ὥσπερ φησὶν ἀλλαχοῦ, Κατὰ τὴν ἐνέργειαν αὐτοῦ τὴν ἐνεργουμένην ἐν ἡμῖν. οὕτω τοῦ ποιῆσαι τὸν οὐρανὸν (Εφ. γ. κ.) μείζων δύναμις αὕτη ἦν, τὸ πεῖσαι τὴν οἰκουμένην. πῶς οὖν ἐκλήθη, φησί; κλήσει ἁγίᾳ· τουτέστιν, ἁγίους εἰργάσατο ἁμαρτωλοὺς ὄντας καὶ ἐχθρούς. καὶ ταῦτα οὐκ ἐξ ἡμῶν, Θεοῦ τὸ δῶρον. εἰ τοίνυν καὶ δυνατός ἐστι τῷ καλέσαι, καὶ ἀγαθὸς ὢν κατὰ χάριν, ἀλλὰ μὴ κατὰ ὀφειλὴν τοῦτο ποιῆσαι, οὐ δεῖ δεδοικέναι. ὁ γὰρ, ἡνίκα ἡμᾶς ἔδει σωθῆναι, καὶ ἐχθροὺς ὄντας χάριτι σώσας, ὅταν καὶ ἐργαζομένους ἴδῃ, οὐ πολλῷ μᾶλλον συμπράξει; οὐ κατὰ τὰ ἔργα ἡμῶν, φησιν, ἀλλὰ κατ' ἰδίαν πρόθεσιν· τουτέστιν, οὐδενὸς ἀναγκάζοντος, οὐδενὸς συμβουλεύοντος, ἀλλ' ἐξ ἰδίας προθέσεως· οἴκοθεν ἐκ τῆς ἀγαθότητος αὐτοῦ ὁρμώμενος ἔσωσε. τοῦτο γάρ ἐστι τὸ, κατ' ἰδίαν πρόθεσιν. καὶ χάριν τὴν δοθεῖσαν ἡμῖν ἐν Χριστῷ Ἰησοῦ πρὸ χρόνων αἰωνίων· τουτέστιν, ἀνάρχως ταῦτα προετετύπωτο ἐν Χριστῷ Ἰησοῦ γενέσθαι. οὐ μικρὸν καὶ τοῦτο, τὸ ἄνωθεν βουλεύεσθαι. οὐκ ἐκ μετανοίας ἄρα. πῶς οὖν οὐκ ἀΐδιος ὁ υἱός; καὶ γὰρ καὶ αὐτὸς ταῦτα ἐβούλετο ἐξ ἀρχῆς.

10 Φανερωθεῖσαν δὲ νῦν διὰ τῆς ἐπιφανείας τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καταργήσαντος μὲν τὸν θάνατον, φωτίσαντος δὲ ζωὴν καὶ ἀφθαρσίαν διὰ τοῦ εὐαγγελίου. Εἶδες δύναμιν, εἶδες δωρεὰν οὐχὶ δι' ἔργων γινομένην, ἀλλὰ διὰ τοῦ εὐαγγελίου; ἐλπίδος γὰρ ταῦτά ἐστιν. ἐν μὲν γὰρ τῷ αὐτοῦ σώματι ἀμφότερα ταῦτα γεγένηται, ἐν δὲ τῷ ἡμετέρῳ ἔσται. πῶς; διὰ τοῦ εὐαγγελίου.

11 Εἰς ὃ ἐτέθην ἐγὼ κῆρυξ καὶ ἀπόστολος καὶ διδάσκαλος ἐθνῶν. Τί δή ποτε τοῦτο συνεχῶς λέγει, διδάσκαλον ἐθνῶν ἑαυτὸν καλῶν; πεῖσαι βουλόμενος, ὅπερ ἔφην, ὅτι χρὴ καὶ ἔθνεσι πλησιάζειν. μὴ καταπέσῃς τοίνυν ἐν τοῖς ἐμοῖς παθήμασι· καταβέβληται τοῦ θανάτου τὰ νεῦρα. οὐχ ὡς κακοῦργος ταῦτα ὑπομένω, ἀλλὰ διὰ τὴν διδασκαλίαν τῶν ἐθνῶν. ἅμα καὶ ἀξιόπιστον ποιεῖ τὸν λόγον.

βάνει τὴν ἐλεημοσύνην. ἂν δὲ ἀκάρπως ἀναπλήσῃς, οὐδὲν ὤνησας. εἰπὲ γάρ μοι, εἴ σε προσελθὼν ὁ βασιλεὺς ᾔτησε μετὰ τῆς ἁλουργίδος, οὐκ ἂν προθύμως ἅπαντα τὰ ὄντα δέδωκας; νῦν δὲ οὐχ ὑπὸ ἐπιγείου βασιλέως, ἀλλὰ τοῦ οὐρανίου διὰ τῶν πενήτων αἰτούμενος ἕστηκας προσορῶν καὶ τὴν δόσιν ὑπερτιθέμενος; καὶ πόσης οὐκ ἂν εἴης κολάσεως ἄξιος; οὐ γὰρ ἐν τῇ ἐκτάσει τῶν χειρῶν, οὐδὲ ἐν τῷ πλήθει τῶν ῥημάτων, ἀλλ' ἐν τοῖς ἔργοις τὸ ἐπακούεσθαί ἐστιν. Ἠσ. α. ιε. ἄκουε γὰρ τοῦ προφήτου λέγοντος· Ὅταν τὰς χεῖρας ὑμῶν ἐκτείνητε, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν, καὶ ἐὰν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν. δεῖ γὰρ σιγᾶν, καὶ μηδὲ ἀναβαίνειν εἰς τὸν οὐρανὸν τὸν ἐλέου δεόμενον, ὁ παρρησίαν ἔχων καὶ πολλὰ φθέγγεται. ἀλλὰ τί φησι; Κρίνατε ὀρφανῷ [καὶ ταπεινῷ,] καὶ δικαιώσατε χήραν, καὶ μάθετε καλὸν ποιεῖν. οὕτω δυνησόμεθα ἀκούεσθαι, κἂν κάτω τὰς χεῖρας ἔχωμεν, κἂν μὴ φθεγγώμεθα, μηδὲ ζητῶμεν. ταῦτα τοίνυν ζηλώσωμεν, ἵνα τύχωμεν τῶν ἐπηγγελμένων ἡμῖν ἀγαθῶν.

Λογ. β. 8 ΜΗ ΟΥΝ ΕΠΑΙΣΧΥΝΘΗΣ ΤΟ ΜΑΡ-
τύριον τοῦ Κυρίου ἡμῶν, μηδὲ ἐμὲ τὸν δέσμιον αὐτοῦ· ἀλλὰ συγκακοπά-
θησον τῷ εὐαγγελίῳ κατὰ δύναμιν Θεοῦ, 9 Τοῦ σώσαντος ἡμᾶς, καὶ
καλέσαντος κλήσει ἁγίᾳ, οὐ κατὰ τὰ ἔργα ἡμῶν, ἀλλὰ κατὰ ἰδίαν πρόθεσιν καὶ
χάριν τὴν δοθεῖσαν ἡμῖν ἐν Χριστῷ Ἰησοῦ πρὸ χρόνων αἰωνίων, 10 Φα-
νερωθεῖσαν δὲ νῦν διὰ τῆς ἐπιφανείας τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Οὐδὲν χεῖρον, ἢ ὅταν τις ἀνθρωπίνοις λογισμοῖς τὰ θεῖα κρίνῃ καὶ μετρῇ πράγματα. οὕτω γὰρ ἀποπεσεῖται τῆς πέτρας ἐκείνης ἐκ πολλοῦ τοῦ μέσου, καὶ τοῦ φωτὸς ἀποστερηθήσεται. εἰ γὰρ ὁ τὰς τοῦ ἡλίου ἀκτῖνας ἀνθρωπίνοις θέλων καταλαβεῖν ὀφθαλμοῖς, οὐ μόνον οὐ καταλήψεται, οὐδὲ ἀνθέξεται τοῦ προκειμένου, ἀλλὰ καὶ ἀποπεσεῖται καὶ μυρίαν ὑποστήσεται βλάβην· πολλῷ μᾶλλον ὁ βουλόμενος πρὸς ἐκεῖνο τὸ φῶς ἀτενὲς ἰδεῖν διὰ τῶν οἰκείων λογισμῶν, πείσεται τοῦτο, καὶ ὑβρίζει εἰς τὴν τοῦ Θεοῦ δωρεάν. ὁρᾷς γοῦν Μαρκίωνα καὶ Μάνην καὶ Οὐαλεντῖνον καὶ πάντας τοὺς τὰς λοιπὰς αἱρέσεις καὶ τὰ ὀλέθρια δόγματα ἐπεισαγαγόντας τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ, ὅπως ἀνθρωπίνοις λογισμοῖς τὰ τοῦ Θεοῦ μετρήσαντες ἠσχύνθησαν ἐπὶ τῇ οἰκονομίᾳ. καίτοι οὐκ αἰσχύνης, ἀλλὰ πολλοῦ καυχήματος ἄξια ἂν εἴη, τὸν σταυρὸν λέγω τοῦ Χριστοῦ. οὐδὲν γὰρ οὕτω τῆς αὐτοῦ φιλανθρωπίας τεκμήριον μέγα, οὐκ οὐρανός, οὐ θάλαττα, οὐ γῆ, οὐ τὸ ἐκ μὴ ὄντων εἰς τὸ εἶναι τὰ πάντα παραγαγεῖν, οὐ τὰ ἄλλα πάντα, ὡς ὁ σταυρός. διὸ καὶ Παῦλος ἐπ' αὐτῷ καυχᾶται λέγων, Γαλ. ς. ιδ. Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. ἀλλ' οἱ ψυχικοὶ καὶ μηδὲν πλέον Θεῷ νέμοντες τῶν ἀνθρώπων, καταπίπτουσι καὶ αἰσχύνονται. διὰ τοῦτο ἄνωθεν τῷ μαθητῇ παραινεῖ λέγων, καὶ δι' ἐκείνου πᾶσι. μὴ οὖν ἐπαισχυνθῇς τὸ μαρτύριον τοῦ Κυρίου ἡμῶν, τουτέστι, μὴ αἰσχύνου ὅτι τὸν ἐσταυρωμένον κηρύσσεις, ἀλλὰ καὶ ἐναβρύνου. αὐτὰ μὲν γὰρ καθ' ἑαυτά, θάνατος καὶ δεσμωτήρια καὶ δεσμά, αἰσχύνης ἄξια καὶ ὀνειδισμοῦ· ἀλλ' ἐάν τις τὴν αἰτίαν προσθῇ, καὶ τὸ μυστήριον ἴδῃ καλῶς, πολλοῦ καυχήματος, πολλῆς σεμνότητος ἑκάτερα ὄντα εὑρήσει. ὁ γὰρ θάνατος ἐκεῖνος τὴν οἰκουμένην ἀπολλυμένην ἔσωσεν, ὁ θάνατος ἐκεῖνος τῇ γῇ συνῆψε τὸν οὐρανόν, ὁ θάνατος ἐκεῖνος τὴν τυραννίδα τοῦ διαβόλου κατέλυσε, τοὺς ἀνθρώπους ἀγγέλους ἐποίησε καὶ Θεοῦ υἱούς· ὁ θάνατος ἐκεῖνος τὴν ἡμετέραν φύσιν ἀνήγαγεν εἰς τὸν θρόνον τὸν βασιλικόν. τὰ δεσμὰ ταῦτα πολλοὺς ἐπέστρεψε. μὴ οὖν ἐπαισχυνθῇς, φησί, τὸ μαρτύριον τοῦ Κυρίου ἡμῶν, μηδὲ

γ. ἀνθέλξεται

γ. τὰ περὶ τὴν οἰκονομίαν, καὶ ὁ σταυρὸς τοῦ Χριστοῦ.

γ. ἴδῃ

τῆς στρατείας. βέλτιον γὰρ ἄρτῳ κεχρῆσθαι μόνῳ καὶ ὕδατι, ἢ τοσαύτας φέρειν ἐπαχθείας. ὁ ἐν ἀρχῇ ὢν οὐδὲν ἐπιπονώτερόν φησι τοῦ τῶν ἄλλων τὰς ἀνάγκας θεραπεύειν. ὁ ἀρχόμενος οὐδὲν δουλικώτερόν φησιν ἑτέρων ἐξουσίᾳ ὑποκεῖσθαι. ὁ γεγαμηκὼς οὐδὲν χεῖρόν φησι γυναικὸς καὶ φροντίδος· ὁ μὴ γεγαμηκὼς οὐδὲν ἀνελευθεριώτερόν φησι τοῦ μὴ γαμεῖν, καὶ οἰκίας ἀπεστερῆσθαι καὶ ἀναπαύσεως. ὁ ἔμπορος τὸν γεωργὸν μακαρίζει τῆς ἀσφαλείας· ὁ γεωργὸς τὸν ἔμπορον τοῦ πλούτου. καὶ ὅλως δυσάρεστόν πως τὸ γένος τὸ ἀνθρώπινον, μεμψίμοιρον καὶ βαρύθυμόν ἐστιν. ὅτι πάντων τῶν ἀνθρώπων καταγινώσκει, τότε φησίν, οὐδὲν ἄνθρωπος, τὴν πᾶσαν λέγοντες φύσιν ἐπίμοχθον ζῷον καὶ ταλαίπωρον. πόσοι τὸ γῆρας θαυμάζουσι; πόσοι τὴν νεότητα μακαρίζουσιν; οὕτω καὶ ταῖς ἡλικίαις πολλὴ ἡ ἀθυμία. ὅταν ἴδωμεν κατηγορουμένους ἡμᾶς διὰ τὴν ἡλικίαν, φαμὲν, διατί μὴ ἦμεν γέροντες; ὅταν λευκαίνηται ἡ κεφαλὴ, πάλιν, ποῦ ἡ νεότης; καὶ ὅλως μυρίας ἔχομεν ἀφορμὰς τοῦ λυπεῖσθαι. μία μόνη ἐστὶν ὁδὸς ταύτης ἀπηλλαγμένη τῆς ἀνωμαλίας ἡ κατὰ ἀρετὴν, μᾶλλον δὲ καὶ αὕτη λύπην ἔχει· ἀλλὰ λύπην οὐκ ἀνόνητον, ἀλλὰ κέρδος καὶ ὠφέλειαν ἔχουσαν. ἢ γὰρ ἥμαρτέ τις, καὶ διὰ τῆς λύπης κατανυγεὶς ἀπενίψατο τὰ ἁμαρτήματα, ἢ ἀδελφῷ πεπτωκότι συνήλγησε, καὶ ἐνταῦθα πάλιν ἔχει τὸν μισθὸν οὐ μικρόν. τὸ γὰρ συναλγεῖν τοῖς ἐν συμφοραῖς οὖσι, πολλὴν ἡμῖν πρὸς Θεὸν δίδωσι τὴν παῤῥησίαν. ἄκουσον ὅσα περὶ τοῦ Ἰὼβ φιλοσοφεῖ ἡ θεία γραφή· ἄκουσον καὶ Παῦλος τί φησι· Κλαίειν μετὰ κλαιόντων· καὶ πάλιν, Τοῖς ταπεινοῖς συναπαγόμενοι. ἡ γὰρ κοινωνία τῶν λυπουμένων τὸ σφόδρα φορτικὸν τῆς λύπης ἀφαιρεῖν εἴωθεν. ὥσπερ γὰρ ἐπὶ φορτίου, ἂν τοῦ βάρους τις κοινωνήσῃ, ἐπελάφρυνε τὸν μόνον τὸ ἄχθος φέροντα, οὕτω καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων. νῦν δὲ τῶν μὲν οἰκείων ἡμῖν τινος τετελευτηκότος, πολλοὶ οἱ παρακαθήμενοι, πολλοὶ οἱ παραμυθούμενοι· καὶ ὄνον πεσόντα πολλάκις διεγείρομεν· τῶν δὲ ἀδελφῶν ὁρῶμεν τὰς ψυχὰς πιπτούσας, οὐ μᾶλλον παραβλέπομεν καὶ παρατρέχομεν. καὶ ἐὰν εἰς καπηλεῖον αὐτὸν ἴδωμεν ἀσέμνως εἰσιόντα, οὐκ ἀνακόπτομεν· κἂν μεθύοντα, οὐ κωλύομεν, κἂν ὁτιδήποτε ἕτερον ποιοῦντα τῶν ἀτόπων· ἀλλὰ μᾶλλον καὶ συμπράττομεν. διὰ τοῦτο Παῦλος ἔλεγεν, Οὐ μόνον αὐτὰ ποιοῦσιν, ἀλλὰ καὶ συνευδοκοῦσι τοῖς πράττουσι· καὶ συμμορίας πότου καὶ μέθης ποιοῦσιν οἱ πολλοί. ποίησον, ἄνθρωπε, συμμορίας, ὥστε ἀποθέσθαι τὴν μανίαν τῆς μέθης. τοῖς δεδεμένοις καλὰ ταῦτα τὰ φιλικὰ, τοῖς ἐν θλίψει οὖσι. τοιοῦτόν τι καὶ Κορινθίοις ἐπέταξεν ὁ Παῦλος, Ἵνα μὴ ὅταν ἔλθω, φησὶ, τότε λογίαι γίνωνται. νῦν δὲ μέθης μὲν καὶ τρυφῆς καὶ σπατάλης ἕνεκεν πάντα πράττομεν, καὶ κλίνην κοινὴν, καὶ τράπεζαν κοινὴν, καὶ οἶνον κοινὸν, καὶ ἀνάλωμα κοινὸν ποιοῦμεν· ἐλεημοσύνην δὲ οὐδεὶς ἐποιήσατο κοινήν. τοιαῦτα ἦν ἐπὶ τῶν ἀποστόλων τὰ φιλικὰ, πάντα εἰς μέσον κατετίθετο τὰ ὑπάρχοντα. ἐγὼ δὲ οὐ πάντα κελεύω, ἀλλὰ μέρος τι. Ὃ ἄν τις εὐοδῶται, φησὶν, ὁριζέτω ἕκαστος κατὰ μίαν τῶν σαββάτων, ὥσπερ τινὰ φόρον φέρειν ὑπὲρ τῶν ἑπτὰ ἡμερῶν, καὶ κατατίθεσθαι, καὶ οὕτω διδόναι ἐλεημοσύνην, κἂν μικρὸν, κἂν μέγα. Οὐκ ὀφθήσῃ γὰρ, φησὶ, κενὸς ἐνώπιον Κυρίου. Ἰουδαίοις ταῦτα ἐλέγετο, πόσῳ μᾶλλον ἡμῖν; διὰ τοῦτο ἑστήκασιν οἱ πένητες πρὸ τῶν θυρῶν, ἵνα μηδεὶς εἰσίῃ κενὸς, ἵνα μετὰ ἐλεημοσύνης εἰσίῃ. εἰσέρχῃ ἐλεηθῆναι· ἐλέησον πρότερον. ὁ δὲ ὕστερον ἐρχόμενος, πλέον ὀφείλει. ὅταν γὰρ ἀρξώμεθα ἡμεῖς, ὁ δεύτερος πλέον κατατίθησι. ποίησον σοὶ ὀφειλέτην τὸν Θεὸν, καὶ τότε αὐτὸν αἴτησαι. δάνεισον, καὶ τότε ἀπαίτει, ἵνα μετὰ τόκου λάβῃς. βούλεται τοῦτο ὁ Θεὸς, οὐκ ἀποφεύγει. ἂν μετὰ ἐλεημοσύνης αἰτῇς, χάριν ἔχει. ἂν μετὰ ἐλεημοσύνης ἀπαιτῇς, δανείζεις καὶ τόκους λαμβάνεις. ναὶ, παρακαλῶ. οὐκ ἐν τῇ ἐκτάσει τῶν χειρῶν τὸ ἀκούεσθαί ἐστιν. ἔκτεινόν σου τὰς χεῖρας μὴ εἰς τὸν οὐρανὸν, ἀλλ' εἰς τὰς τῶν πενήτων χεῖρας. ἂν εἰς τὰς τῶν πενήτων χεῖρας ἐκτείνῃς τὴν χεῖρα, αὐτῆς ἥψω τῆς κορυφῆς τοῦ οὐρανοῦ. ὁ γὰρ ἐκεῖ καθήμενος λαμ-

βάνει

Marginal notes: χ. καταγνῷ, ἰσ. λέγων · Ρωμ. ιβ. ιε. ιϛ. · Ρωμ. α. λβ. · χ. αὐτά · α. Κορ. ιϛ. β. · χ. εὐοδοῦται · α. Κορ. ιϛ. β. · Ἐξοδ. κγ. ιε. · Δευτ. ιϛ. ιϛ. · χ. εἰσελθ. · χ. αἴτησον. · χ. δι' ἐλεημοσύνης δανείζεις

σωφρονισμοῦ, ὥστε σωφρονίζεσθαι ἡμᾶς, κἂν τι δεινὸν γένηται, ἵνα σωφρονίζῃ ἡμᾶς, καὶ τὰ περιττὰ κόπτῃ.

ΗΘΙΚΟΝ
Σειρ. β. β.

Μὴ τοίνυν ἀλγῶμεν ἐπὶ τοῖς δεινοῖς τοῖς συμπίπτουσι. σωφρονισμὸς τοῦτό ἐστι. Μὴ σπεύσῃς, φησὶν, ἐν καιρῷ ἐπαγωγῆς. πολλοὶ πολλὰ κατ' οἶκον ἔχουσι λυπηρὰ, καὶ τῇ μὲν λύπῃ κοινωνοῦμεν ἀλλήλοις, τῇ δὲ ὑποθέσει οὐκέτι· ἀλλ' ὁ μὲν ἀπὸ γυναικὸς, ὁ δὲ ἀπὸ παιδὸς, ἕτερος ἀπὸ οἰκέτου, ἄλλος ἀπὸ φίλου, ἄλλος ἀπὸ ἐχθροῦ, ἄλλος ἀπὸ γείτονος, ἄλλος ἀπὸ ζημίας. καὶ πολλαὶ καὶ διάφοροί εἰσιν αἱ αἰτίαι τῆς λύπης· καὶ ὅλως οὐκ ἔστιν εὑρεῖν τινα λύπης καθαρὸν καὶ ἀθυμίας, ἀλλὰ ὁ μὲν μικρὰ, ὁ δὲ μείζονα ἔχει τὰ λυποῦντα. μὴ τοίνυν ἀγανακτῶμεν, μηδὲ αὐτοὶ μόνοι νομίζωμεν εἶναι ἐν λύπῃ. οὐ γάρ ἐστιν ἄνθρωπον ὄντα καὶ τὸν ἐπίκηρον τοῦτον ζῶντα βίον, λύπης εἶναι χωρίς. ἀλλ' ἂν μὴ σήμερον, αὔριον· ἂν μὴ αὔριον, μετὰ ταῦτα συμβαίνει τὸ λυπηρόν. ὥσπερ γὰρ οὐκ ἔνι τινὰ πλέοντα μὴ εἶναι ἐν ἀγωνίᾳ (πλέοντα λέγω πέλαγος μέγα) οὕτως οὐδὲ τὸν τοῦτον τὸν βίον ζῶντα οὐχ οἷόν τε μὴ εἶναι ἐν ἀθυμίᾳ, κἂν πλούσιον εἴπῃς· ἐπεὶ γὰρ πλούσιός ἐστι, πολλὰς ἀφορμὰς ἐπιθυμιῶν ἔχει· κἂν αὐτὸν τὸν βασιλέα. καὶ γὰρ καὶ αὐτὸς ὑπὸ πολλῶν κρατεῖται, καὶ οὐ πάντα κατὰ γνώμην πράττει, ἀλλὰ πολλὰ παρὰ τὸ δοκοῦν αὐτῷ ἀναγκάζεται, καὶ μάλιστα πάντων ἐκεῖνός ἐστιν ὁ πάντα πράττων ἃ μὴ θέλει. τί δήποτε; ὅτι πολλοὺς ἔχει τοὺς ἐκ τῆς ἐκείνου λαμβάνειν βουλομένους. ἐννόησον δὲ, ἐν ὅσῃ ἐστὶν ἀθυμίᾳ, ὅταν βούληται μέν τι πράττειν, μὴ δύναται δὲ, ἢ διὰ δέος, ἢ δι' ὑποψίαν, ἢ διὰ πολεμίους, ἢ διὰ φίλους; πολλάκις δὲ ὅταν καὶ φιλονεικήσῃ τι πρᾶξαι τῶν αὐτῷ δοκούντων, τὴν πᾶσαν αὐτῷ τῆς ἡδονῆς ὑφαιρεῖται ἐκ τῆς πράξεως ἐκείνης, πολλῶν ὄντων τῶν ἀπεχθανομένων αὐτῷ. ἆρα οὖν νομίζεις τοὺς ἀπράγμονα βίον ζῶντας εἶναι ἐν βίῳ λύπης καθαρούς; οὐκ ἔστιν. ὥσπερ γὰρ οὐκ ἔστιν εἶναι ἀθάνατον ἄνθρωπον ὄντα, οὕτως οὐδὲ λύπης χωρίς. πόσα εἰκὸς ὑπομένειν αὐτοὺς πράγματα, ἃ λόγῳ μὲν παραστῆσαι οὐκ ἔστιν, ἔργῳ δὲ ἐκεῖνοι μόνοι δυνατοὶ εἰδέναι; πόσοι μυριάκις ηὔξαντο ἀποθανεῖν ἐν ἐκείνῳ τῷ πλούτῳ, καὶ τῇ τρυφῇ; τὸ γὰρ τρυφᾶν, οὐ πάντως καὶ ἐκτὸς εἶναι λύπης ποιεῖ· μᾶλλον δὲ αὐτὸ τὸ τρυφᾶν μυρίας τίκτει λύπας, νόσους, ἀηδίας· καὶ χωρὶς τούτων αἰτίας πολλάκις μὴ ὑποκειμένης. ὅταν γὰρ ἡ ψυχὴ ἐν ἕξει τοιαύτῃ καταστῇ, καὶ ἁπλῶς οἶδεν ἀλγεῖν. καὶ γὰρ ἰατροὶ λέγουσι παῖδες ὅτι καὶ παρὰ στομάχου κατασκευὴν ἀσθενῆ ἀκαιρότεραι γίνονται λῦπαι. ἢ οὐχὶ καὶ παρ' ἡμῖν τοῦτο συμπίπτει, ὅταν ἀλγῶμεν, καὶ μὴ εἰδῶμεν τῆς λύπης τὴν ὑπόθεσιν; καὶ ὅλως οὐκ ἔστιν εὑρεῖν τινα λύπης χωρίς. εἰ δὲ οὐ τοσαύτην ἔχουσιν ἀφορμὴν λύπης, ὅσην ἡμεῖς, ὅμως οὕτως ἔχειν ἕκαστος νομίζει. τὸ γὰρ οἰκεῖον μᾶλλον αὐτὸν λυπεῖ τοῦ ἀλλοτρίου. ὥσπερ γὰρ οἱ τὰ μέρη τοῦ σώματος ἀλγοῦντες, νομίζουσι τοὺς πλησίον πλεονεκτεῖν ταῖς ἀλγηδόσι, καὶ ὁ τοὺς ὀφθαλμοὺς νοσῶν, οὐδὲν ἕτερον ἡγεῖται τοιοῦτον εἶναι πάθος, οἷον τὸ ἑαυτοῦ· πάλιν ὁ τὸν στόμαχον νοσῶν, τοῦτο πάντων χαλεπώτερον εἶναί φησι, καὶ ἕκαστος ἐν ᾧ κατέχεται, τοῦτο πάντων ὀδυνηρότερον εἶναι ἡγεῖται· οὕτω καὶ ἐπὶ τῆς ἀθυμίας ἕκαστος ὑπὸ τῆς λύπης, ἧς κατέχεται, ταύτην φησὶν εἶναι ἀλγεινοτέραν, μετὰ γὰρ τῆς πείρας τῆς οἰκείας τοῦτο κρίνει. οἷον ὁ παῖδας οὐκ ἔχων, οὐδὲν οὕτω δεινὸν νομίζει, ὡς ἀπαιδίαν· ὁ πολλοὺς ἔχων πάλιν μετὰ πενίας, οὐδὲν οὕτως ὡς πολυπαιδίαν αἰτιᾶται· ὁ ἕνα ἔχων, οὐδὲν χεῖρον τοῦ ἕνα ἔχειν νομίζει. ἐντεῦθεν γὰρ, φησι, καὶ ῥᾴθυμος γέγονε, καὶ ἐν λύπῃ τὸν πατέρα καθίστησιν, ἀεὶ περιπόθητος αὐτῷ τυγχάνων, καὶ οὐδεμίαν ἐπιστροφὴν δεχόμενος. ὁ καλὴν ἔχων γυναῖκα, οὐδὲν χεῖρόν φησι τοῦ καλὴν ἔχειν γυναῖκα (ὑποψίας γὰρ τὸ πρᾶγμα γέμει καὶ ἐπιβουλῆς) ὁ δυσειδῆ, οὐδὲν χεῖρόν φησι τοῦ ἄμορφον ἔχειν γυναῖκα (ἀηδίας γὰρ τὸ πρᾶγμα ἐμπέπλησται) ὁ ἰδιώτης οὐδὲν ἀχρηστότερον τοῦ βίου τούτου φησὶν, οὐδὲ ἀτιμότερον. ὁ στρατιώτης οὐδὲν μοχθηρότερόν φησιν, οὐδὲ ἐπισφαλέστερον

χ. τὰ λυπηρά.

χ. ἀθυμοῦσι

χ. ἐντεῦθεν

χ. -θίας

ἀ. καίειν

ὥστε πολλαί με ἦγον ἀνάγκαι πρὸς σέ. ἄρα οὖν ἔκλαιε. καὶ ἑτέραν τίθησιν αἰτίαν ἅμα καὶ παρακλητικήν,

5 Ὑπόμνησιν, φησί, λαμβάνων τῆς ἐν σοὶ ἀνυποκρίτου πίστεως.

Εἶτα καὶ ἄλλο ἐγκώμιον, ὅτι οὐκ ἐξ ἐθνῶν, οὐδὲ ἐξ ἀπίστων, ἀλλ' ἄνωθεν ἀπὸ οἰκίας ἦν τῷ Χριστῷ δουλευούσης. Ἥτις ἐνῴκησε, φησίν, ἐν τῇ μάμμῃ σου Λωΐδι, καὶ ἐν τῇ μητρί σου Εὐνείκῃ. Ἡ γάρ, φησί, γυναικὸς Ἰουδαίας πιστῆς. πῶς Ἰουδαίας; πῶς πιστῆς; οὐκ ἐξ ἐθνικῶν. διὰ δὲ τὸν πατέρα αὐτοῦ, ὅτι Ἕλλην ὑπῆρχε, καὶ διὰ τοὺς Ἰουδαίους τοὺς ὄντας ἐν τοῖς τόποις ἐκείνοις, ἔλαβε καὶ περιέτεμεν αὐτόν. ὁρᾷς πῶς ἤρχετο ὁ νόμος καταλύεσθαι, τῆς ἐπιμιξίας τούτων γινομένων; καὶ ὅρα πόσα ἔθηκε πληροφορῶν ὅτι οὐ κατεφρόνησεν. ἐγὼ λατρεύω τῷ Θεῷ, φησί· συνείδησιν ἔχω ἀληθῆ· σὺ δὲ τὰ δάκρυα. οὐ διὰ τὰ δάκρυα μόνον, ἀλλὰ καὶ διὰ τὴν πίστιν, ὅτι ἀληθείας εἶ ἐργάτης, ὅτι οὐδὲν δολερὸν παρὰ σοί. ὅταν οὖν καὶ σαυτὸν ἄξιον τοῦ φιλεῖσθαι παρέχῃς, οὕτω μὲν ὢν φιλόστοργος, οὕτω δὲ γνήσιος μαθητὴς τοῦ Χριστοῦ, ὅταν μηδὲ ἐγὼ τῶν ἀστόργων ὦ, ἀλλὰ τῶν ἀληθινῶς σπουδαζόντων, τί τὸ κωλῦον ἦν ἐμὲ ἐλθεῖν; Πέπεισμαι δὲ ὅτι καὶ ἐν σοί. Πράξ. ις. α.

Ἄνωθεν ἔχεις τοῦτο, φησί, τὸ καλόν, ἐκ προγόνων διεδέξω τὴν πίστιν τὴν ἀνυπόκριτον. τὰ γὰρ τῶν προγόνων ἐγκώμια, ὅταν μὲν αὐτοῖς κοινωνῶμεν, καὶ ἡμῶν ἐστιν· ὅταν δὲ μή, οὐδὲν ἰσχύει, ἀλλὰ καὶ μᾶλλον κατακρίνει. διὸ καὶ ἐπήγαγε, πέπεισμαι δὲ ὅτι καὶ ἐν σοί. οὐ στοχάζομαι, φησίν, ἀλλὰ πέπεισμαι καὶ πεπληροφόρημαι. εἰ τοίνυν οὐδὲν ἀνθρώπινον ἦλθες ἐπὶ τοῦτο, οὐδείς σε παρασαλεῦσαι δυνήσεται.

6 Δι' ἣν αἰτίαν ἀναμιμνήσκω σε ἀναζωπυρεῖν τὸ χάρισμα τοῦ Θεοῦ, ὅ ἐστιν ἐν σοὶ διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν μου. Ὅρα πῶς δείκνυσιν αὐτὸν ἐν ἀθυμίᾳ ὄντα πολλῇ, πῶς ἐν κατηφείᾳ. μονονουχὶ γὰρ τοῦτό φησι· μὴ νομίσῃς ὅτι κατεφρόνησά σου· ἀλλ' εἰδὼς ἔσο, ὅτι οὔτε κατέγνων, οὐδὲ ἐπελαθόμην. καὶ εἰ μηδένα ἕτερον, τὴν μάμμην καὶ τὴν μητέρα ἐννόει. διὸ ἐπειδὴ οἶδα ὅτι ἀνυπόκριτον ἔχεις πίστιν, ἀναμιμνήσκω. δεῖ γάρ σοι προθυμίας πρὸς τὸ ἀναζωπυρῆσαι τὸ χάρισμα τοῦ Θεοῦ. καθάπερ τὸ πῦρ δεῖται ξύλων, οὕτω καὶ ἡ χάρις τῆς προθυμίας τῆς ἡμετέρας, ἵνα ἀεὶ ἀνάζῃ. ἀναμιμνήσκω σε ἀναζωπυρεῖν τὸ χάρισμα τοῦ Θεοῦ, ὅ ἐστιν ἐν σοὶ διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν μου· τουτέστι, τὴν χάριν τοῦ πνεύματος, ἣν ἔλαβες εἰς προστασίαν τῆς ἐκκλησίας, εἰς σημεῖα, εἰς τὴν λατρείαν ἅπασαν. ἐν ἡμῖν γάρ ἐστι καὶ σβέσαι, καὶ ἀνάψαι τοῦτο. διό, ἀλλαχοῦ λέγει, Τὸ πνεῦμα μὴ σβέννυτε. ^a ὑπὸ μὲν γὰρ ἀκηδίας καὶ ῥᾳθυμίας σβέννυται, ὑπὸ δὲ νήψεως καὶ προσοχῆς διεγείρεται. ἔνεστι μὲν γὰρ ἐν σοί, πλὴν ἀλλὰ σφοδρότερον ἐργάζου αὐτό, τουτέστι, παρρησίας ἔμπλησον αὐτό, χαρᾶς, εὐφροσύνης. στῆθι γενναίως.

a Θεσ. ε. ιθ.

7 Οὐ γὰρ ἔδωκεν ἡμῖν ὁ Θεὸς πνεῦμα δειλίας, ἀλλὰ δυνάμεως καὶ ἀγάπης καὶ σωφρονισμοῦ. Τουτέστιν, οὐ διὰ τοῦτο τὸ πνεῦμα ἐλάβομεν, ἵνα ὑποστελλώμεθα, ἀλλ' ἵνα παρρησιαζώμεθα. πολλοῖς γὰρ δίδωσι πνεῦμα δειλίας, οἷον ἐπὶ τῶν πολέμων ἐν ταῖς βασιλείαις γέγονε. Καὶ ἔπεσε, φησί, πνεῦμα δειλίας ἐπ' αὐτούς, τουτέστι, φόβον αὐτοῖς ἐνέθηκεν. Ἐξόδ. ιε. ις. ἀλλὰ σοὶ ἔδωκε τοὐναντίον πνεῦμα δυνάμεως καὶ ἀγάπης τῆς εἰς αὐτόν. ἄρα καὶ τοῦτο ἀπὸ χάριτός ἐστιν, ἀλλ' οὐχ ἁπλῶς ἀπὸ χάριτος, ἀλλ' ὅταν καὶ ἡμεῖς πρότεροι ἐπιδειξώμεθα τὰ παρ' ἑαυτῶν. τὸ γὰρ ποιοῦν ἡμᾶς κράζειν ἀββᾶ ὁ πατήρ, καὶ τὴν ἀγάπην τίθησι τὴν πρὸς αὐτόν, καὶ τὴν πρὸς τὸν πλησίον· ἵνα ἀλλήλους, φησίν, ἀγαπῶμεν. ἀπὸ γὰρ τῆς δυνάμεως καὶ τοῦ μὴ δειλιᾶν ἡ ἀγάπη γίνεται. οὐδὲν γὰρ οὕτω φιλίαν διαλύειν εἴωθεν, ὡς δειλία καὶ προδοσίας φήμη. οὐ γὰρ ἔδωκεν ἡμῖν ὁ Θεός, φησί, πνεῦμα δειλίας, ἀλλ' ἀγάπης καὶ δυνάμεως καὶ σωφρονισμοῦ, ἤτοι σωφρονισμὸν τὴν ὑγείαν λέγει τῆς διανοίας καὶ τῆς ψυχῆς, ἢ

χ. σωφρονισμὸν λέγει τὴν τῆς διανοίας καὶ τῆς ψυχῆς εὐεξίαν, ἢ ὅτι σωφρονίζει ἡμᾶς καὶ πρὸς τὰ ἐναντία τὰ συμβαίνοντα.

σωφρονισμοῦ,

καὶ ἀλγεῖ ὑπὲρ αὐτῶν, Τεκνία μου λέγων, οὓς πάλιν ὠδίνω. μάλιστα δὲ πολλὴν αὐτῷ μαρτυρεῖ τὴν ἀρετήν, ἀγαπητὸν καλῶν. πῶς; ὅταν γὰρ μὴ ἐκ φύσεως ᾖ ἡ ἀγάπη, ἀπὸ ἀρετῆς ἐστι. τῶν γονέων δὲ ἡμῶν τὰ παιδία, οὐ διὰ τὴν ἀρετὴν μόνον ἡμῖν εἰσιν ἀγαπητοί, ἀλλὰ καὶ διὰ τὴν τῆς φύσεως ἀνάγκην· τὰ δὲ κατὰ πίστιν ὅταν ὦσιν ἀγαπητοί, δι' οὐδὲν ἕτερόν εἰσιν, ἀλλ' ἢ διὰ τὴν ἀρετήν. ἐπεὶ πόθεν ἄλλοθεν; καὶ μάλιστα παρὰ Παύλῳ τῷ οὐδὲν ποιοῦντι κατὰ πρόσκλισιν. ἄλλως δὲ δείκνυσι διὰ τοῦ εἰπεῖν τέκνῳ ἀγαπητῷ, ὅτι οὐκ ὀργιζόμενος πρὸς αὐτόν, οὐχὶ καταφρονῶν αὐτοῦ, οὐχὶ κατεγνωκὼς αὐτοῦ, οὐ παρέλυεν. χάρις, ἔλεος, εἰρήνη ἀπὸ Θεοῦ πατρὸς, καὶ Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου ἡμῶν. ἅπερ καὶ πρότερον, ταῦτα αὐτῷ καὶ νῦν ἐπεύχεται. καὶ ὅρα πῶς εὐθέως ἐν τῷ προοιμίῳ πρὸς ἐκεῖνον ἀπολογεῖται, ὅτι οὐκ

α. Τιμ. δ. ιγ. α. Τιμ. γ. ιδ. ἦλθε πρὸς αὐτόν, οὐδὲ εἶδεν αὐτόν. καὶ γὰρ τὸ, Ἕως ἔρχομαι, καὶ τὸ, Σπουδάζω ἐλθεῖν πρὸς σὲ τάχιον, ταχεῖαν ἐποίει προσδοκᾶν τὴν παρουσίαν. πρὸς τοῦτο οὖν εὐθέως ἀπολογεῖται. καὶ τὴν μὲν αἰτίαν εὐθέως οὐ λέγει, δι' ἣν οὐκ ἦλθεν, ἵνα μὴ σφόδρα λυπήσῃ. αὕτη δὲ ἦν, τὸ κατέχεσθαι αὐτὸν παρὰ τοῦ Καίσαρος. ὅτε δὲ αὐτὸν ἐκάλεσε πρὸς ἑαυτὸν πρὸς τῷ τέλει, τότε αὐτὴν ἐνέφηνεν. εὐθέως δὲ αὐτὸν ἐκ προοιμίων οὐκ ἐμβάλλει εἰς λύ-

ϐ. Τιμ. α. δ. καὶ δ. θ. πην, ἀλλ' ἐλπίδας ὑποφαίνει τοῦ αὐτὸν ὄψεσθαι. Ἐπιποθῶν σε ἰδεῖν, καὶ, Σπούδασον ἐλθεῖν πρὸς με ταχέως. εὐθέως οὖν ἐκ τοῦ προοιμίου ἀνίστησιν αὐτόν, καὶ τὰ ἑξῆς λέγει μετ' ἐγκωμίου.

3 Χάριν ἔχω τῷ Θεῷ, ᾧ λατρεύω ἀπὸ προγόνων ἐν καθαρᾷ συνειδήσει, ὡς ἀδιάλειπτον ἔχω τὴν περὶ σοῦ μνείαν ἐν ταῖς δεήσεσί μου νυκτὸς καὶ ἡμέρας,

4 Ἐπιποθῶν σε ἰδεῖν, μεμνημένος σου τῶν δακρύων, ἵνα χαρᾶς πληρωθῶ.

Εὐχαριστῶ τῷ Θεῷ, ὅτι μέμνημαί σου, φησίν, οὕτω σε φιλῶ. τοῦτο ὑπερβαλλούσης ἀγάπης, ὅταν καὶ κοσμῆταί τις τῇ φιλίᾳ ἐκ τοῦ σφόδρα φιλεῖν. Χάριν ἔχω, φησί, τῷ Θεῷ, ᾧ λατρεύω. πῶς; ἐν καθαρᾷ συνειδήσει ἀπὸ προγόνων· ὅτι τὸ συνειδὸς αὐτοῦ οὐκ ἦν βλαβέν. ἄλλως δὲ, ἐνταῦθα περὶ βίου φησί, καὶ πανταχοῦ τὴν συνείδησιν τὸν βίον λέγει· ἢ ὅτι οὐδὲν ὧν προεθυμούμην καλῶν δι' ἀνθρωπίνην αἰτίαν προὔδωκα, οὐδὲ τότε ὅτε ἐδίω-

α. Τιμ. α. ιγ. κον. διό φησιν, Ἀλλ' ἠλεήθην, ὅτι ἀγνοῶν ἐποίησα ἐν ἀπιστίᾳ, μονονουχὶ λέγων, μὴ ὑποπτεύσῃς τὸ πρᾶγμα κακίαν εἶναι. καλῶς συνίστησιν αὐτοῦ τὸ ἦθος, ἵνα ἀξιόπιστος δειχθῇ τὸ περὶ τὴν ἀγάπην. ὃ δὲ λέγει, τοῦτό ἐστιν· οὐδὲν ψεύδομαι, οὐδὲ ἄλλα ἔχω, καὶ ἄλλα λέγω. ὥστε καὶ τότε ἀναγκασθεὶς ἑαυτὸν ἐνεκωμίασεν, ὡς που τὸ τῶν πράξεων βιβλίον δηλοῖ.

Πραξ. κϐ. ιδ. ἐπειδὴ γὰρ ὡς στασιαστὴν αὐτὸν διέβαλλον καὶ νεωτεροποιόν, διὰ τοῦτο ἔλεγε, Καὶ εἶπεν Ἀνανίας πρὸς με, ὁ Θεὸς τῶν πατέρων ἡμῶν προεχειρίσατό σε γνῶναι τὸ θέλημα αὐτοῦ, καὶ ἰδεῖν τὸν δίκαιον, καὶ ἀκοῦσαι φωνὴν ἐκ στόματος αὐτοῦ, ὅτι ἔσῃ μάρτυς αὐτοῦ πρὸς πάντας ἀνθρώπους, ὧν ἑώρακας καὶ ἤκουσας. οὕτω καὶ ἐνταῦθα· ἵνα μὴ λάβῃ ἀφίλου καὶ ἀσυνειδήτου δόξαν ὡς ἐπιλελησμένος, εἰκότως ἑαυτὸν ἐγκωμιάζει λέγων, ὡς ἀδιάλειπτον ἔχω τὴν περὶ σοῦ μνείαν, καὶ οὐχ ἁπλῶς, ἀλλ', ἐν ταῖς δεήσεσί μου· τουτέστιν, εὐχῆς μοι ἔργον ἐστί, τὸν πάντα χρόνον διατελῶ τοῦτο ποιῶν διηνεκῶς. τοῦτο γὰρ ἐμφαίνει τῷ εἰπεῖν νυκτὸς καὶ ἡμέρας. ὑπὲρ τούτου τὸν Θεὸν παρακαλῶ, ἐπιποθῶν σε ἰδεῖν. ὁρᾷς ζέοντα πόθον; ὁρᾷς μανίαν ἀγάπης; ὁρᾷς ταπεινοφροσύνην; πῶς ἀπολογεῖται τῷ μαθητῇ; εἶτα δείκνυσιν ὅτι οὐχ ἁπλῶς, οὐδὲ εἰκῇ. ἔδειξε μὲν οὖν καὶ ἤδη, δείκνυσι δὲ καὶ ἐνταῦθα. φησὶ γάρ, μεμνημένος σου τῶν δακρύων. εἰκὸς ἦν αὐτὸν ἀποσχιζόμενον, κλαίειν καὶ ὀδύρεσθαι μᾶλλον, ἢ παιδίον τοῦ μαστοῦ καὶ τῆς τίτθης ἀποσπώμενον καὶ τοῦ γάλακτος. ἵνα χαρᾶς, φησί, πληρωθῶ, ἐπιποθῶ σε ἰδεῖν. οὐκ ἂν οὖν ἐμαυτὸν τοσαύτης ἀπεστέρησα ἡδονῆς, εἰ καὶ σφόδρα ἀναίσθητος ἤμην καὶ ὠμὸς καὶ θηριώδης· ἱκανὰ γὰρ ἦν τὰ δάκρυα ἐκεῖνα εἰς μνήμην ἐλθόντα κατακάμψαι. ἐγὼ δὲ οὐχ εἷς τῶν τοιούτων εἰμί, ἀλλὰ τῶν καθαρῶς λατρευόντων τῷ Θεῷ.

ὥστε

# ΧΡΥΣΟΣΤΟΜΟΥ

## ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ ΔΕΥΤΕΡΑΝ ἐπιστολήν.

Λογ. α. 1 ΠΑΥΛΟΣ ΑΠΟΣΤΟΛΟΣ ΙΗΣΟΥ ΧΡΙ- κεφ. α.
στοῦ διὰ θελήματος Θεοῦ, κατ' ἐπαγγελίαν ζωῆς τῆς ἐν Χριστῷ Ἰησοῦ,
2 Τιμοθέῳ ἀγαπητῷ τέκνῳ χάρις, ἔλεος, εἰρήνη ἀπὸ Θεοῦ πατρὸς, καὶ Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου ἡμῶν.

Τί δήποτε δευτέραν ἐπιστέλλει τῷ Τιμοθέῳ ἐπιστολήν; Εἶπεν, Ἐλπίζω ἐλθεῖν πρὸς σὲ τάχιον· οὐκ ἐξεγένετο τοῦτο. (α. Τιμ. γ. ιδ.) παραμυθεῖται αὐτὸν διὰ γραμμάτων, ἀντὶ τῆς παρουσίας, ἴσως τεθλιμμένον καὶ διὰ τοῦτο, καὶ διὰ τὸ ἀρχὰς ἤδη ἧφθαι τότε. καὶ γὰρ μεγάλοι τινὲς ἄνδρες ὦσιν, ὅταν ἀναδέξωνται τοὺς οἴακας καὶ τὴν κυβέρνησιν τῆς ἐκκλησίας, ξενοπαθοῦσι, πολλοῖς πολλαχόθεν βαπτιζόμενοι πραγμάτων κύμασι (γρ. φράγμασι), καὶ μάλιστα τότε, ὅτε ἡ ἀρχὴ τοῦ κηρύγματος ἦν, ὅτε πάντα ἀήθη, ὅτε πάντα ἐχθρὰ, ὅτε πάντα παρεσείσατο. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ αἱρέσεις ἦσαν ἐξ Ἰουδαικῶν διδασκάλων ἀρξάμεναι, ἅπερ καὶ ἐν τῇ προτέρᾳ ἐνέφηνεν ἐπιστολῇ. οὐ διὰ γραμμάτων δὲ αὐτὸν παραμυθεῖται μόνον, ἀλλὰ καὶ καλεῖ πρὸς ἑαυτόν. Σπούδασον γὰρ ἐλθεῖν πρός με ταχέως, (β. Τιμ. δ. θ. ιγ.) φησὶ, καὶ, Ἐρχόμενος φέρε τὰ βιβλία, μάλιστα τὰς μεμβράνας. δοκεῖ δέ μοι πρὸς τῷ τέλει εἶναι αὕτη ἡ ἐπιστολή. Ἐγὼ γὰρ ἤδη, φησὶ, σπένδομαι. καὶ πάλιν, Ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ οὐδείς μοι συμπαρεγένετο. (β. Τιμ. δ. ς. ις.) ταῦτα δὴ πάντα διορθούμενος, καὶ τὴν παράκλησιν ποιεῖται ἀπὸ τῶν οἰκείων πειρασμῶν, καί φησι· Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος Θεοῦ, κατ' ἐπαγγελίαν ζωῆς τῆς ἐν Χριστῷ Ἰησοῦ. Εὐθέως ἀνέστησεν αὐτοῦ τὴν ψυχὴν ἀπὸ τοῦ προοιμίου. μή μοι τοὺς ἐνταῦθα κινδύνους εἴπῃς, φησίν· οὗτοι τίκτουσιν ἡμῖν τὴν αἰώνιον ζωὴν, ἔνθα τοιοῦτον οὐδὲν ἐστιν, ἔνθα ἀπέδρα ὀδύνη, λύπη καὶ στεναγμός. οὐ γὰρ διὰ τοῦτο ἀποστόλους ἡμᾶς ἐποίησεν, ἵνα κινδυνεύσωμεν μόνον, φησὶν, ἀλλ' ἵνα καὶ ἀποθνήσκωμεν, ἵνα τοιαῦτα πάσχωμεν. ἐπειδὴ γὰρ τὸ τὰ οἰκεῖα διελθεῖν κακὰ οὐχὶ παράκλησις μόνον οὐκ ἦν, ἀλλὰ καὶ προσθήκη λύπης, εὐθέως ἀπὸ τῆς ἀρχῆς ποιεῖται τὴν παραμυθίαν, κατ' ἐπαγγελίαν λέγων ζωῆς τῆς ἐν Χριστῷ Ἰησοῦ. Εἰ δὲ ἐπαγγελία ἐστὶ, μὴ ζήτει αὐτὴν ἐνταῦθα. Ἐλπὶς γὰρ βλεπομένη, οὐκ ἔστιν ἐλπίς. Τιμοθέῳ ἀγαπητῷ τέκνῳ. (Ρωμ. η. κδ.) οὐχὶ ἁπλῶς, τέκνῳ, ἀλλὰ, ἀγαπητῷ. ἔστι γὰρ εἶναι καὶ τέκνα μὴ ἀγαπώμενα. ἀλλ' οὐ σὺ τοιοῦτος, φησὶν, οὐδὲ τέκνον σε καλῶ ἁπλῶς, ἀλλὰ τέκνον ἀγαπητόν. ἐπειδὴ καὶ Γαλάτας τέκνα καλεῖ, ἀλλ' ὅμως (Γαλ. δ. ιθ.)

Digitized by Google

ὅταν γὰρ ἐνδόθι ἄρχῃ αὐτοῦ τῶν δεσποτῶν τὸ πλῆθος, τὴν φιλαργυρίαν λέγω, τὴν φιληδονίαν, τὴν ὀργήν, τὰ ἄλλα πάθη, τί τοῦ διαδήματος ὄφελος; μείζων ἡ τυραννὶς τῶν παθῶν, ὅταν μηδὲ ὁ στέφανος αὐτὸν ἰσχύῃ ταύτης ἐξελέσθαι τῆς ὑποταγῆς. ὥσπερ ἂν εἰ παρὰ βαρβάροις βασιλεύς τις γενόμενος ἐδούλευεν, εἶτα ἐκεῖνοι βουλόμενοι μείζονα δεῖξαι τὴν ἀρχήν, μήτε τὴν ἁλουργίδα, μήτε τὸ διάδημα ἀφέλοιντο, ἀλλὰ μετ' ἐκείνων καὶ ὑδροφορεῖν, καὶ μαγειρεύειν, καὶ τὰ ἄλλα πάντα διακονεῖσθαι προστάττοιεν, ὥστε αὐτοῖς μὲν μείζονα τὴν τιμήν, ἐκείνῳ δὲ τὴν αἰσχύνην γενέσθαι· οὕτω καὶ νῦν, παντὸς βαρβάρου βαρβαρικώτερον ταῦτα τὰ πάθη ἡμῖν προσφέρεται. ὁ μὲν γὰρ τούτων καταφρονῶν, καὶ τῶν βαρβάρων καταγελάσεται· ὁ δὲ τούτοις ὑποκύπτων, πολλῷ δεινότερα πείσεται, ἢ παρὰ τῶν βαρβάρων. ὁ βάρβαρος, ὅταν μεγάλα ἰσχύσῃ, τὸ σῶμα αἰκίζεται· αὗται δὲ τὴν ψυχὴν βασανίζουσι, καὶ καταξαίνουσαι πάντοθεν. ὁ βάρβαρος ὅταν μεγάλα ἰσχύσῃ, θανάτῳ τούτῳ παρέδωκεν, αὗται δὲ τῷ μέλλοντι. ὥστε μόνος ἐλεύθερος ἐκεῖνος ὁ τὴν ἐλευθερίαν οἴκοθεν ἔχων, ὥσπερ καὶ δοῦλος ἐκεῖνος ὁ τοῖς ἀλόγοις πάθεσιν ὑποκύπτων. οὐδεὶς ἐπιτάττει δεσπότης, κἂν σφόδρα ἀπηνὴς ᾖ, τοιαῦτα ὠμὰ καὶ ἀπηνῆ προστάγματα. κατάξαινέ σου, φησί, τὴν ψυχὴν εἰκῇ καὶ μάτην, πρόσκρουσον τῷ Θεῷ, τὴν φύσιν αὐτὴν ἀγνόησον, κἂν πατὴρ ᾖ, κἂν μήτηρ, μηδεμίαν ἔχε αἰδῶ· στῆθι κατ' αὐτῶν. τοιαῦτα γὰρ τῆς φιλαργυρίας τὰ ἐπιτάγματα. θῦσόν μοι, φησί, μὴ μόσχους, ἀλλὰ ἀνθρώπους. καὶ ὁ μὲν προφήτης, Θύσατε, φησίν, ἀνθρώπους· Ὠσ. γ. ϛ. τοὺς μόσχους γὰρ ἐκλελοίπασιν· αὕτη δὲ οὐ τοῦτό φησιν, ἀλλά, μόσχων ὄντων, θῦσον ἀνθρώπους· κατάθυσον τοὺς μηδὲν ἠδικηκότας. κἂν εὐεργέτης ᾖς, ἀπόκτεινον. πάλιν, ἴσθι πολέμιος, κοινὸς ἐχθρὸς ἁπάντων παρεξέρχου, καὶ τῆς φύσεως αὐτῆς, καὶ τοῦ Θεοῦ. συνάγε χρυσίον, οὐχ ἵνα ἀπολαύσῃς, ἀλλ' ἵνα φυλάξῃς, ἵνα μείζονα ἐργάσῃ τὴν βάσανον. οὐ γὰρ ἔνι τὸν φιλάργυρον καὶ ἀπολαυστικὸν εἶναι. δέδοικε γὰρ μὴ ἐλαττωθῇ τὸ χρυσίον, μὴ πενιχροὶ γένωνται οἱ θησαυροί, ἀγρύπνει, φησί, πάντας ἔχε δι' ὑποψίας, καὶ οἰκέτας, καὶ φίλους. ἴσθι φύλαξ τῶν ἀλλοτρίων. ἂν ἴδῃς πένητα λιμῷ φθειρόμενον, μὴ μεταδῷς· ἀλλ', εἰ δυνατόν, καὶ τὸ δέρμα αὐτοῦ ἀπόδυσον. ἐπιόρκει, ψεύδου, ὄμνυε, κατηγόρει, συκοφάντει, κἂν εἰς πῦρ ἐμβῆναι δέῃ, μὴ παραιτήσῃ, κἂν μυρίους ὑποστῆναι θανάτους, κἂν λιμῷ διαφθαρῆναι, κἂν προσπαλαῖσαι νόσῳ. ἢ οὐχὶ ταῦτα νομοθετεῖ ἡ φιλαργυρία; ἰταμὸς ἔσο καὶ ἀναίσχυντος, ἀναιδὴς καὶ θρασύς, μιαρὸς καὶ μοχθηρός, ἀγνώμων, ἀναίσθητος, ἄφιλος, ἄσπονδος, ἄστοργος, πατραλοίας, θηρίον μᾶλλον ἢ ἄνθρωπος. παρέλασον πάντα ὄφιν τῇ πικρίᾳ, πάντα λύκον τῇ ἁρπαγῇ, ὑπέρβηθι καὶ τῆς φύσεως ἐκείνης τὴν θηριωδίαν. κἂν εἰς δαίμονος ἐλθεῖν κακίαν δέῃ, μὴ παραιτήσῃ· ἀγνόησον τὸν εὐεργέτην· οὐχὶ ταῦτα λέγει, καὶ ἀκούει; ὁ δὲ Θεὸς τὰ ἐναντία. ἔσο πᾶσι φίλος, ἔσο ἐπιεικής, παρὰ πάντων ἀγαπώμενος, μηδενὶ πρόσκρουε εἰκῇ καὶ μάτην, τίμα τὸν πατέρα, τίμα τὴν μητέρα, δόξης ἀπόλαυε χρηστῆς, ἔσο μὴ ἄνθρωπος, ἀλλὰ ἄγγελος· μηδὲν αἰσχρὸν εἴπῃς, μηδὲν ψευδές, ἀλλὰ μηδὲ ἐννοήσῃς. ἐπικούρει τοῖς δεομένοις, μὴ ἀναγκάζου πράγματα ἔχειν ἁρπάζων, μὴ ἔσο ὑβριστής, μηδὲ θρασύς, καὶ οὐδεὶς ὁ ἀκούων. ἆρα οὐ δικαίως ἡ γέεννα; οὐκ εἰκότως τὸ πῦρ; ὁ σκώληξ ὁ ἀτελεύτητος; μέχρι τίνος κατὰ κρημνῶν ὠθοῦμεν ἑαυτούς; μέχρι τίνος ἐπὶ τῶν ἀκανθῶν βαδίζομεν; μέχρι τίνος ἥλοις διαπείρομεν ἑαυτούς, καὶ χάριν ἔχομεν; ὠμοῖς τυράννοις ὑποκείμεθα, τῶν πρᾳείων δεσποτῶν παραιτούμεθα, τῶν οὐδὲν ἐπαχθὲς λεγόντων, οὐδὲ βάρβαρον, οὐδὲ φορτικόν, οὐδὲ

γ. ἀνόητον

"ἀνόνητον, ἀλλὰ πάντα χρήσιμα καὶ ἐπικερδῆ καὶ ὠφέλειαν ἡμῖν μεγάλην παρέχοντα. διαναστῶμέν ποτε, συστρέψωμεν ἑαυτούς, συγκροτήσωμεν, ἀγαπήσωμεν, ὡς δεῖ, τὸν Θεόν, ἵνα καταξιωθῶμεν τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτόν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρί, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, τιμή, κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

17 Τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελλε μὴ ὑψηλοφρονεῖν. Καλῶς εἶπεν, ἐν τῷ νῦν αἰῶνι. Εἰσὶ γὰρ καὶ ἄλλοι πλούσιοι ἐν τῷ μέλλοντι. Ταῦτα δὲ παραινεῖ εἰδὼς ὅτι οὐδὲν οὕτω τίκτει τῦφον, καὶ ἀπόνοιαν, καὶ ἀλαζονείαν, ὡς χρήματα. Εἶτα εὐθέως αὐτοὺς καταπαύει, εἰπών· Μηδὲ ἠλπικέναι ἐπὶ πλούτου ἀδηλότητι. Ἀπὸ γὰρ τούτου ἡ ἀπόνοια· ὡς ὅ γε εἰς Θεὸν ἐλπίζων, οὐκ ἐπαίρεται. τί ἐλπίζεις ἐπὶ τὸ ἀεὶ μεθιστάμενον; τοῦτο γὰρ ὁ πλοῦτος. καὶ πῶς εἰς ἐκεῖνον ἐλπίζεις ὑπὲρ οὗ θαρρῆσαι οὐκ ἔστι; πῶς δὲ δυνήσονται μὴ ὑψηλοφρονεῖν, φησίν; ἂν ἴδωσιν ὅτι οὗτος ἄστατος, ἀβέβαιος· ἂν ἴδωσιν ὅτι μείζων τοῦ πλούτου ἡ ἐλπὶς ἡ παρὰ τοῦ Θεοῦ· ἂν ἴδωσιν ὅτι καὶ τούτου αὐτοῦ αἴτιος ὁ Θεός.

Ἀλλ' ἐπὶ τῷ Θεῷ, φησί, τῷ ζῶντι, τῷ παρέχοντι ἡμῖν πάντα πλουσίως εἰς ἀπόλαυσιν.

Καλῶς εἶπε, πάντα πλουσίως, τὰς ἐτησίους τροπὰς αἰνιττόμενος, τὸν ἀέρα, τὸ φῶς, τὸ ὕδωρ, τὰ ἄλλα πάντα. ὁρᾷς πῶς πλουσίως παρέχει καὶ μετὰ πολλῆς τῆς ἀφθονίας; εἰ πλοῦτον ζητεῖς, ἐκεῖνον ζήτει τὸν μένοντα, τὸν βέβαιον, τὸν ἀπὸ τῶν ἔργων γινόμενον τῶν ἀγαθῶν. τοῦτο καὶ αὐτὸς δ[illegible]ων

18 Ἀγαθοεργεῖν, φησί, πλουτεῖν ἐν ἔργοις καλοῖς, εὐμεταδότους εἶναι, κοινωνικούς·

Τὸ μὲν τῶν χρημάτων, τὸ δὲ τῆς ἀγάπης. κοινωνικοὺς ὁμιλητικούς φησι, προσηνεῖς.

19 Ἀποθησαυρίζοντας ἑαυτοῖς θεμέλιον καλὸν εἰς τὸ μέλλον. Ἐκεῖ οὐδὲν ἄδηλον. ἔνθα δὲ βέβαιος ὁ θεμέλιος, οὐδὲν ἄστατον, ἀλλὰ πάντα βέβαια, ἀκίνητα, πάγια, μόνιμα. Ἵνα ἐπιλάβωνταί, φησι, τῆς αἰωνίου ζωῆς. Ἡ γὰρ τῶν ἀγαθῶν ἔργων πρᾶξις τὴν ἐκείνης ἡμῖν ἀπόλαυσιν προξενῆσαι δύναται.

20 Ὦ Τιμόθεε, τὴν παρακαταθήκην φύλαξον. Μὴ μειώσῃς· οὐκ ἔστι σά, τὰ ἀλλότρια ἐνεπιστεύθης· μηδὲν ἐλαττώσῃς. Ἐκτρεπόμενος, φησι, τὰς βεβήλους κενοφωνίας καὶ ἀντιθέσεις τῆς ψευδωνύμου γνώσεως. Καλῶς οὕτως εἶπεν. ὅταν γὰρ πίστις μὴ ᾖ, γνῶσις οὐκ ἔστιν. ὅταν ἐκ τῶν οἰκείων λογισμῶν τίκτηταί τι, γνῶσις οὐκ ἔστιν. ἢ τάχα τοῦτό φησι, διὰ τὸ τινὲς ἑαυτοὺς ἐκάλουν τότε Γνωστικούς, ὡς πλεῖόν τι τῶν ἄλλων εἰδότες. Ἥν τινες ἐπαγγελλόμενοι, φησί, περὶ τὴν πίστιν ἠστόχησαν. Ὁρᾷς πῶς πάλιν κελεύει μηδὲ ὅλως χωρεῖν πρὸς τοὺς τοιούτους; ἐκτρεπόμενος, φησι, τὰς ἀντιθέσεις. ἄρα εἰσὶν ἀντιθέσεις, πρὸς ἃς οὐδὲ ἀποκρίνεσθαι χρή. διὰ τί; ὅτι τῆς πίστεως ἐκβάλλουσιν, ὅτι οὐκ ἀφιᾶσιν ἑστάναι βεβαίως οὐδὲ πεπηγέναι.

ΗΘΙΚΟΝ Μὴ δὴ ταύτης ἐχώμεθα, ἀλλὰ τῆς πίστεως, τῆς πέτρας τῆς ἀρραγοῦς. οὔτε γὰρ ποταμοί, οὔτε ἄνεμοι προσπεσόντες δυνήσονταί τι λυμήνασθαι ἡμῖν. ἑστήκαμεν γὰρ ἐπὶ τῆς πέτρας ἀπερισάλευτοι. [ἴσ. τίνι] οὕτω καὶ ἐπὶ τοῦ βίου τούτου, ἂν ἐκεῖνον ἑλώμεθα τὸν ὄντως θεμέλιον, ἑστήκαμεν πάλιν οὐδὲν πάσχοντες δεινόν. ὁ τὸν πλοῦτον αἱρούμενος ἐκεῖνον, οὐδὲν πείσεται δεινόν, ὁ τὴν εὐδοκίμησιν, ὁ τὴν δόξαν, ὁ τὴν τιμήν, ὁ τὴν ἡδονήν. πάντα ἐκεῖνα βέβαια, μεταβολὴ οὐδεμία. πάντα τὰ ἐνταῦθα ἀπεοικότα καὶ τοῖς τροπὴν κεῖται, πάντα μεταβάλλεται. τί γὰρ βούλει; δόξαν; Οὐ συγκαταβήσεταί, φησιν, ἡ δόξα αὐτοῦ ὀπίσω αὐτοῦ· [Ψαλμ. μη.] πολλάκις δὲ οὐδὲ ζῶντι παραμένει. ἀλλ' οὐ τὰ τῆς ἀρετῆς τοιαῦτα· ἀλλὰ πάντα μένει. ὁ ἐνταῦθα ἔνδοξος ἀπὸ τῆς ἀρχῆς, ἑτέρου τὴν ἀρχὴν διαδεξαμένου, γέγονεν εὐτελής, καὶ τῶν ἀρχομένων εἷς. ὁ πλούσιος, ἢ λῃστῶν ἐπιθεμένων, ἢ συκοφαντῶν καὶ ἐπιβούλων, ἄφνω γέγονε πένης. ἀλλ' οὐ τὰ παρ' ἡμῖν οὕτως. ὁ σώφρων ἐὰν ἑαυτῷ προσέχῃ, οὐδεὶς αὐτοῦ τὴν σωφροσύνην ἀφελέσθαι δυνήσεται. τὸν ἄρχοντα ἑαυτοῦ καὶ κρατοῦντα οὐδεὶς ἰδιώτην, οὐδὲ ἀρχόμενον ἐργάσεται. ὅτι γὰρ αὕτη μείζων ἐκείνης ἡ ἀρχή, ἀπὸ τῆς ἐξετάσεως μάνθανε. τί γὰρ ὄφελος, εἰπέ μοι, ἐθνῶν ὁλοκλήρων ἄρχειν, καὶ δοῦλον εἶναι τῶν παθῶν; ποία δὲ βλάβη μηδενὸς ἀνθρώπων ἄρχειν, καὶ τὴν τῶν παθῶν τυραννίδος ἀνώτερον εἶναι; τοῦτο ἐλευθερία, τοῦτο ἀρχή, τοῦτο βασιλεία [καὶ δυναστεία]· ἐκεῖνα δουλεία, κἂν μυρία τις διαδήματα περικέηται. ὅ-

τερ

ΠΑλιν τὸν Θεὸν μαρτύρεται, περὶ μικροῦ τοῦτο ποιήσας, ὁμοῦ καὶ τὸν φόβον αὔξων, καὶ ἀσφαλέστερον καθιστὰς τὸν μαθητὴν, καὶ δεικνὺς, ὡς οὐκ ἀνθρώπινα τὰ παραγγέλματα, ἵνα ὡς παρ' αὐτοῦ τοῦ δεσπότου λαμβάνων τὴν παραγγελίαν, ἵνα ἀεὶ τὸν μάρτυρα ἐν διανοίᾳ ἔχων ἀφ' οὗ ἤκουσε, καταστήσηται τὴν διάνοιαν τῇ μνήμῃ. Παραγγέλλω σοι, φησὶν, ἐνώπιον τοῦ Θεοῦ τοῦ ζωοποιοῦντος τὰ πάντα. Ἐνταῦθα καὶ παράκλησίς ἐστι πρὸς τοὺς κινδύνους, καὶ τῆς ἀναστάσεως ὑπόμνησις. Καὶ Χριστοῦ Ἰησοῦ, φησὶ, τοῦ μαρτυρήσαντος ἐπὶ Ποντίου Πιλάτου. Πάλιν ἀπὸ τοῦ διδασκάλου ἡ προτροπή. Ὃ δὲ λέγει, τοῦτό ἐστιν· ὥσπερ ἐκεῖνος ἐποίησεν, οὕτω, φησὶ, καὶ ὑμᾶς χρὴ ποιεῖν. Διὰ τοῦτο γὰρ ἐμαρτύρησεν, ἵνα κατ' ἴχνος αὐτοῦ βαίνωμεν. Τὴν καλὴν ὁμολογίαν. Ὅπερ καὶ ἐν τῇ πρὸς Ἑβραίους ποιεῖ λέγων· Ἀφορῶντες εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν Ἰησοῦν, ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς ὑπέμεινε σταυρὸν, αἰσχύνης καταφρονήσας, ἐν δεξιᾷ τε τοῦ θρόνου τοῦ Θεοῦ κεκάθικε· καὶ πάλιν, Ἀναλογίσασθε γὰρ τὸν τοιαύτην ὑπομεμενηκότα ὑπὸ τῶν ἁμαρτωλῶν εἰς αὐτὸν ἀντιλογίαν, ἵνα μὴ κάμνητε ταῖς ψυχαῖς ὑμῶν ἐκλυόμενοι. Τοῦτο καὶ νῦν ποιεῖ πρὸς τὸν μαθητὴν· ὡς ἂν εἰ ἔλεγε, μὴ δείσῃς τὸν θάνατον· Θεοῦ γὰρ εἶ δοῦλος, τοῦ τὰ πάντα δυναμένου ζωογονεῖν. Ποίαν δὲ λέγει καλὴν ὁμολογίαν; τὴν διερωτῶντος Πιλάτου, Οὐκοῦν βασιλεὺς εἶ σύ; ἐγὼ εἰς τοῦτο γεγέννημαι, ἔφη. καὶ πάλιν, Ἐγὼ ἦλθον μαρτυρῆσαι τῇ ἀληθείᾳ. Ἴδε οὗτοί μου ἤκουσαν. ἢ οὖν διὰ τοῦτό φησιν, ἢ ὅτι εἶπεν, ἐρωτώμενος εἰ υἱὸς Θεοῦ ἐστι, σὺ λέγεις ὅτι υἱὸς Θεοῦ εἰμι ἐγώ. καὶ πολλὰ ἕτερα ἐμαρτύρησε καὶ ὡμολόγησε. Τηρῆσαί σε τὴν ἐντολὴν ἄσπιλον καὶ ἀνεπίληπτον μέχρι τῆς ἐπιφανείας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· τουτέστι, μέχρι τῆς σῆς τελευτῆς, μέχρι τῆς ἐξόδου. ἀλλ' οὐκ εἶπεν οὕτως, ἀλλὰ μέχρι τῆς ἐπιφανείας εἶπεν· ἵνα μᾶλλον αὐτὸν διεγείρῃ. τί ἐστι, τηρῆσαί σε τὴν ἐντολὴν ἄσπιλον; μήτε δογμάτων ἕνεκεν, μήτε βίου, κηλῖδα τινὰ προστριψάμενον. Ἣν καιροῖς ἰδίοις δείξει, φησὶν, ὁ μακάριος, καὶ μόνος δυνάστης, ὁ βασιλεὺς τῶν βασιλευόντων, καὶ Κύριος τῶν κυριευόντων, ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον. περὶ τίνος ταῦτα εἴρηται; ἆρα περὶ τοῦ πατρός; ἆρα περὶ τοῦ υἱοῦ; περὶ τοῦ υἱοῦ πάντως. ἣν καιροῖς ἰδίοις δείξει ὁ μακάριος καὶ μόνος δυνάστης. καὶ ταῦτα πάλιν εἰς παραμυθίαν, ἵνα μὴ θαυμάζῃ, μηδὲ δεδοίκῃ οὐδὲν ἐνταῦθα βασιλεῖς. καιροῖς ἰδίοις· τουτέστι, τοῖς προσήκουσι, τοῖς ὀφειλομένοις· ὥστε μὴ ἀσχάλλειν, ὅτι οὐδέπω γέγονε. καὶ πόθεν δῆλον ὅτι δείξει; ἐκ τοῦ εἶναι δυνάστην. μόνος γάρ ἐστι δυνάστης. οὐκοῦν δείξει ὁ μακάριος, ἡ αὐτομακαριότης. τοῦτο δὲ λέγει δηλῶν ὅτι οὐδὲν ἐκεῖ λυπηρὸν, οὐδὲν ἀηδές. τὸ δὲ, μόνος, ἢ πρὸς ἀντιδιαστολὴν τῶν ἀνθρώπων, ἢ διὰ τὸ ἀγέννητον εἴρηκεν, ὃ καὶ ἡμεῖς λέγομεν πολλάκις περὶ ἀνθρώπων, οὓς ἐξαιρεῖν βουλόμεθα. ὁ μόνος ἔχων ἀθανασίαν, φησί. τί οὖν; ὁ υἱὸς οὐκ ἔχει; οὐκ αὐτοαθανασία ἐστί; καὶ πῶς, τῆς αὐτῆς ὢν οὐσίας τῷ πατρί; Φῶς οἰκῶν ἀπρόσιτον, φησίν. ἄλλο δὲ φῶς αὐτὸς, καὶ ἄλλο ὃ οἰκεῖ; οὐκοῦν καὶ τόπῳ ἐμπεριείληπται. ἄπαγε. οὐχ ἵνα τοῦτο νοήσωμεν, ἀλλ' ἵνα τὸ ἀκατάληπτον τῆς θείας φύσεως παραστήσῃ, φῶς οἰκεῖν αὐτὸν εἶπεν ἀπρόσιτον, οὕτω θεολογήσας ὡς ἦν αὐτῷ δυνατόν. ὁρᾷς καὶ ὅταν μέγα τι φθέγξασθαι βουληθείη ἡ γλῶττα, πῶς ἐξασθενεῖ; ὃν εἶδεν οὐδεὶς ἀνθρώπων, φησὶν, οὐδὲ ἰδεῖν δύναται· ὥσπερ οὖν τὸν υἱὸν οὔτε εἶδέ τις, οὔτε ἰδεῖν δύναται. ᾧ τιμὴ καὶ κράτος αἰώνιον, ἀμήν. καλῶς ἐθεολόγησεν ἐνταῦθα, καὶ ἀναγκαίως. ἐπειδὴ γὰρ μάρτυρα αὐτὸν ἤγαγε, πολλὰ περὶ τοῦ μάρτυρος διαλέγεται, ὥστε μᾶλλον τὸν μαθητὴν ἐντρέψαι. τουτέστι, δόξα αὐτῷ· τοῦτο μόνον δυνάμεθα λέγειν, τοῦτο μόνον ποιεῖν, οὐ περιεργάζεσθαι, τίς ἐστιν. εἰ τοίνυν τὸ κράτος αὐτοῦ αἰώνιον, μὴ δείσῃς· κἂν νῦν μὴ γένηται, ἀεὶ τιμὴ αὐτῷ, ἀεὶ κράτος αὐτῷ.

Ἑβρ. ιβ. β. γ.

Ἰωάν. ιη λζ. κα.

καλῶς περιεσκεψώμεθα τῶν τῆς αἰωνίου ζωῆς, οὕτω δυνησόμεθα τούτου καταφρονεῖν. ἂν ἴδωμεν, ὅτι οὐδὲν ἡμᾶς ὀνίνησιν, οὐ πρὸς δόξαν, οὐ πρὸς ὑγείαν, οὐ πρὸς ἄλλο οὐδὲν, ἀλλὰ τοὐναντίον καὶ βυθίζει εἰς ὄλεθρον καὶ ἀπώλειαν. ἂν μάθῃς ὅτι ἐνταῦθα πλουτεῖς καὶ πολλοὺς ἔχεις ὑπὸ σαυτόν· ἐκεῖ δὲ ἀπελθὼν, ἔρημος ἀπελεύσῃ καὶ γυμνός. ἂν ταῦτα ἐπᾴδωμεν συνεχῶς, καὶ παρὰ τῶν ἄλλων ἀκούωμεν, ἴσως ἔσται τις ὑγεία, ἔσται τις ἀπαλλαγὴ τῆς κολάσεως ταύτης τῆς χαλεπῆς. καλὸν ὁ μαργαρίτης; ἀλλ' ἐννόησον ὅτι ὕδωρ ἐστὶ θαλάττιον, ὅτι ἐν τοῖς κόλποις αὐτῆς τὸ πρότερον ἦν ἐρριμμένος. καλὸν τὸ χρυσίον καὶ τὸ ἀργύριον; ἀλλ' ἐννόησον, ὅτι γῆ, καὶ σποδός ἐστι, καὶ ἔστι. καλὰ τὰ σηρικὰ ἱμάτια; ἀλλὰ σκωλήκων ἐστὶν ὕφασμα· ὑπόληψίς ἐστι καὶ πρόληψις ἀνθρωπίνη, οὐκ ἐν τῇ φύσει τὸ κάλλος ἔχει. τὰ γὰρ ἐν τῇ φύσει τὸ κάλλος ἔχοντα, οὐ δεῖται τῶν διδασκόντων. σὺ δὲ ἂν ἴδῃς νόμισμα χαλκοῦν ἁπλῶς ἀνακεχρωσμένον χρυσῷ, πρότερον μὲν θαυμάζεις, χρυσὸν αὐτὸ ὀνομάζων· ὅταν δὲ οἱ περὶ ταῦτα δεινοὶ τὴν ἀπάτην σε διδάξωσι, συνεξῆλθε τὸ θαῦμα μετὰ τῆς ἀπάτης. ὁρᾷς ὅτι οὐκ ἐν τῇ φύσει ἔχει τὸ καλόν; ἀλλ' οὐδὲ ὁ ἄργυρος. καὶ γὰρ ἂν ἴδῃς κασσίτερον, θαυμάζεις, ὡς ἄργυρον, ὥσπερ τὸν χαλκὸν ὡς χρυσόν· καὶ χρεία τῶν διδασκόντων ποῖα χρὴ θαυμάζειν. οὕτως οὐκ ἀρκοῦσιν ἡμῖν οἱ ὀφθαλμοὶ πρὸς τὴν διάγνωσιν. τὰ δὲ ἄνθη οὐ τοιαῦτα, ἀλλ' ἐκείνων βελτίω πολλῷ. ῥόδον ἂν ἴδῃς, οὐ χρεία τῶν διδασκόντων, ἀλλ' οἶδας ἀφ' ἑαυτοῦ τὴν ἀνεμώνην διαιρεῖν, καὶ ἴα, οὕτω καὶ κρίνα, καὶ ἕκαστον ἄνθος. οὐδὲν οὖν ἕτερον, ἢ πρόληψις, τὸ γινόμενον. καὶ ὅτι προλήψεώς ἐστι τὸ ὀλέθριον τοῦτο πάθος, φέρε, εἰπέ μοι, εἰ ἔδοξε τῷ βασιλεῖ τιμιώτερον νομοθετῆσαι τοῦ χρυσοῦ τὸ ἀργύριον, οὐ μετέθηκας ἂν τὸ θαῦμα καὶ τὸ φίλτρον; οὕτω πανταχοῦ τῆς πλεονεξίας ἐσμὲν, καὶ τῆς ὑπονοίας. καὶ ὅτι οὕτως ἐστὶ, καὶ τῷ σπανίῳ τιμᾶται, ἀλλ' οὐ τῇ φύσει, εἰσὶ καρποὶ παρ' ἡμῖν εὐτελεῖς, ἐν δὲ τῇ Καππαδοκῶν χώρᾳ τίμιοι, καὶ τῶν παρ' ἡμῖν τιμίων πολυτελέστεροι πάλιν ἐν τῇ Σηρῶν χώρᾳ ἕτεροι, ὅθεν τὰ ἱμάτια ταῦτα. ἐν δὲ τῇ ἀρωματοφόρῳ Ἀραβίᾳ καὶ Ἰνδίᾳ, ἔνθα εἰσὶν οἱ λίθοι, πολλὰ τοιαῦτά ἐστιν εὑρεῖν. οὕτω πρόληψίς ἐστιν, οὕτως ὑπόνοιά ἐστιν ἀνθρωπίνη τὰ τοιαῦτα· καὶ οὐδενὶ κρίσει περιάπτομεν, ἀλλ' ἁπλῶς, καὶ ὡς ἔτυχεν. ἀνανήψωμεν τοίνυν ποτὲ ἐκ τῆς μέθης ταύτης· ἴδωμεν τὸ ὄντως καλὸν, τὸ φύσει καλὸν, τὴν εὐσέβειαν, τὴν δικαιοσύνην, ἵνα ἐπιτύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν.

Λογ. ιη. 13 ΠΑΡΑΓΓΕΛΛΩ ΣΟΙ ΕΝΩΠΙΟΝ ΤΟΥ
Θεοῦ τοῦ ζωοποιοῦντος τὰ πάντα, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ τοῦ μαρτυρήσαντος ἐπὶ Ποντίου Πιλάτου τὴν καλὴν ὁμολογίαν,
14 Τηρῆσαί σε τὴν ἐντολὴν ἄσπιλον, ἀνεπίληπτον μέχρι τῆς ἐπιφανείας
τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ·
15 Ἣν καιροῖς ἰδίοις δείξει ὁ μακάριος,
καὶ μόνος δυνάστης, ὁ βασιλεὺς τῶν βασιλευόντων, καὶ Κύριος τῶν κυριευόντων,
16 Ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον, ὃν εἶδεν οὐδεὶς ἀνθρώπων, οὐδὲ ἰδεῖν δύναται, ᾧ τιμὴ καὶ κράτος αἰώνιον. Ἀμήν.



Digitized by Google

πρὸς τὸν ὑπὲρ τῆς ἀρετῆς πόνον. οὕτω καὶ ἐπὶ τῶν ἀγώνων τῶν ἔξωθεν τῷ μὲν μὴ σφόδρα ἐρῶντι τῶν στεφάνων, ἔξεστιν ἐκ πρὸ τῆς συμποσίοις καὶ μέθαις προσανέχειν (οὕτω γοῦν οἱ δειλοὶ καὶ ἄνανδροι τῶν πυκτευόντων ποιοῦσιν) οἱ δὲ πρὸς τὸν στέφανον ὁρῶντες, μυρίας ἀνέχονται πληγάς. τῇ γὰρ ἐλπίδι τῶν μελλόντων τρέφονται καὶ διαγωνίσασθαι.

γρ. ἀναδέχονται

ΗΘΙΚΟΝ

Φύγωμεν τοίνυν τὴν ῥίζαν τῶν κακῶν, καὶ πάντα φευξόμεθα. ἡ φιλαργυρία, φησίν, ἐστὶ ῥίζα. Παῦλος ἐφθέγξατο, μᾶλλον δὲ ὁ Χριστὸς διὰ Παύλου. ἴδωμεν δὲ τοῦτο πῶς. καὶ αὐτὴ τῶν πραγμάτων μαρτυρεῖ ἡ πεῖρα. τί γὰρ κακὸν οὐ διὰ τὰ χρήματα, μᾶλλον δὲ οὐ διὰ τὰ χρήματα, ἀλλὰ διὰ τὴν κακὴν προαίρεσιν τῶν οὐκ εἰδότων αὐτοῖς χρῆσθαι; ἐπεὶ ἔξεστι τοῖς χρήμασιν εἰς δέον χρῆσθαι, ἔξεστι καὶ βασιλείαν δι᾽ αὐτῶν κληρονομεῖν. νυνὶ δὲ ἅπερ ἐδόθη εἰς ἐπικουρίαν τῶν πενήτων, εἰς παραμυθίαν τῶν ἡμαρτημένων ἡμῖν, εἰς εὐδοκίμησιν καὶ ἀρέσκειαν Θεοῦ, τούτοις χρώμεθα κατὰ τῶν ἀθλίων πενήτων, μᾶλλον δὲ κατὰ τῆς ἑαυτῶν ψυχῆς, καὶ εἰς προσκρουσμὸν τοῦ Θεοῦ. τὸν μὲν γὰρ χρήματα ἀφείλετο ἴσως, καὶ πενίᾳ περιέβαλεν, ἑαυτὸν δὲ θανάτῳ. καὶ τοῦτον μὲν ἐνταῦθα τῇ πενίᾳ κατατείνει, ἑαυτὸν δὲ τῇ διηνεκεῖ τιμωρίᾳ. ἆρα μὴ ἴσον ἐστί; τί τοίνυν κακὸν οὐ διὰ ταῦτα; οὐχὶ πλεονεξίαι; οὐχ ἁρπαγαί; οὐκ ὀλοφυρμοί; οὐκ ἔχθραι; οὐ μάχαι; οὐ φιλονεικίαι; οὐχὶ μέχρι τῶν νεκρῶν τὰς χεῖρας ἐξέτεινον; οὐχὶ καὶ μέχρι πατέρων, καὶ ἀδελφῶν; οὐχὶ φύσεως νόμους, καὶ Θεοῦ προστάγματα, καὶ πάντα ἁπλῶς ἀνέτρεψαν, ὑπὸ τῆς ἐπιθυμίας ἐκείνης κατεχόμενοι; τὰ δικαστήρια οὐ τούτων ἕνεκεν; ἄνελε τοίνυν τὴν φιλοχρηματίαν, καὶ πέπαυται πόλεμος, πέπαυται μάχη, πέπαυται ἔχθρα, πέπαυται ἔρις καὶ φιλονεικία. ὥσπερ λυμεῶνας καὶ λύκους ἐλαύνεσθαι τοὺς τοιούτους ἐκ τῆς οἰκουμένης ἐχρῆν. καθάπερ γὰρ ἄνεμοί τινες ἐναντίοι καὶ σφοδροὶ εἰς γαλήνην ἐμπεσόντες πελάγους ἐκ βάθρων αὐτὸ ἀναστρέφουσιν, ὡς καὶ τὴν βύθιον ἄμμον τοῖς ἄνω μίγνυσθαι κύμασιν· οὕτως οἱ φιλοχρήματοι πάντα ἄνω καὶ κάτω ποιοῦσιν. οὐδένα οἶδεν ὁ φιλοχρήματος φίλον. τί δὲ λέγω φίλον; οὐδὲ αὐτὸν τὸν Θεὸν ἐπίσταται. ὑπὸ γὰρ τῆς ἐπιθυμίας ἐκείνης κατεχόμενος, μέμηνεν. οὐχ ὁρᾶτε τοὺς Τιτᾶνας ξιφήρεις περιϊόντας; ἐκεῖνα μανίας ἐστὶν ὑπόκρισις. οὗτοι δὲ οὐ τοιοῦτοι, ἀλλ᾽ ἀληθῶς μαινόμενοι καὶ ἐξεστηκότες. κἂν ἀποδύσῃς αὐτῶν τὴν ψυχήν, οὕτως εὑρήσεις ἐσκευασμένην, οὐχ ἓν ξίφος, οὐδὲ δύο, ἀλλὰ μυρία κατέχουσαν, οὐδένα ἐπιγινώσκουσαν, ἀλλὰ κατὰ πάντων λυττῶσαν, πᾶσιν ἐπιπηδῶσαν καὶ ὑλακτοῦσαν κατὰ πάντων, οὐ κύνας σφάζουσαν, ἀλλὰ ψυχὰς ἀνθρώπων, καὶ εἰς τὸν οὐρανὸν αὐτὸν μεγάλα βλασφημοῦσαν. ὑπὸ τούτων πάντα ἀνατέτραπται, πάντα διόλωλεν ἀπὸ τῆς τῶν χρημάτων μανίας. τίνας γάρ, τίνας αἰτιάσομαι, οὐκ οἶδα· οὕτως ἐστὶν ὁ λοιμὸς πάντας κατέχων. τοὺς μὲν ἐκ πλείονος, τοὺς δὲ ἐξ ἐλάττονος μοίρας, πάντας δὲ ὅμως. καὶ καθάπερ πυρά τις εἰς ὕλην ἐμπεσοῦσα καταστρέφει πάντα καὶ ἐρημοῖ, οὕτω καὶ αὕτη τὴν οἰκουμένην ἀνέστρεψε. βασιλεῖς, ἄρχοντες, ἰδιῶται, πένητες, γυναῖκες, ἄνδρες, παῖδες ἐξ ἴσης πάντες κατέχονται τῷ κακῷ. καθάπερ ζόφου τινὸς τὴν οἰκουμένην ἐπιπνέοντος, οὐδεὶς ἀνανήφει· ἀλλὰ κατηγορίαι μὲν μυρίαι κατὰ πλεονεξίας καὶ ἰδίᾳ καὶ δημοσίᾳ γίνονται, διόρθωσις δὲ οὐδαμοῦ. τί οὖν ἂν γένοιτο; πῶς σβέσομεν τὴν φλόγα; ἔνεστι γάρ, κἂν πρὸς αὐτὸν ἀρθῇ τὸν οὐρανόν· θελήσωμεν μόνον, καὶ πάντως περιεσόμεθα τῆς πυρᾶς. ὥσπερ γὰρ ἀπὸ τοῦ θέλειν ηὐξήθη, οὕτω καὶ ἀπὸ τοῦ θέλειν καθαιρεθήσεται. οὐχὶ ἡ προαίρεσις ἡ ἡμετέρα αὐτὴν ἐποίησεν; οὐκοῦν δυνήσεται καὶ ἡ προαίρεσις σβέσαι· μόνον βουληθῶμεν. πῶς δὲ τὸ θέλειν ἐγγενήσεται; ἂν ἴδωμεν αὐτῆς τὸ μάταιον καὶ περιττόν· ὅτι ἐκεῖ ἡμῖν συναπελθεῖν οὐ δυνήσεται, ὅτι καὶ ἐνταῦθα ἡμᾶς ἀφίησιν· ὅτι αὐτὴ μὲν ὧδε μένει, τὰ δὲ ἐξ αὐτῆς ἡμῖν τραύματα συναπέρχεται· ἂν ἴδωμεν, ὅτι πολὺς ἐκεῖ πλοῦτός ἐστιν· ἂν πρὸς ἐκεῖνον τοῦτον παραβάλωμεν, καὶ βορβόρου ἀτελέστερος φανεῖται· ἂν ἴδωμεν, ὅτι μυρίους ἔχει κινδύνους, ὅτι ἡδονὴν πρόσκαιρον, ὅτι ἡδονὴν ἀναμεμιγμένην ἀθυμίαις· ἂν ἐκεῖνον τὸν πλοῦτον

γρ. πένης

γρ. ἐπὶ τοσοῦτον, ὡς καὶ τὴν ἐν βάθει ἄμμον τῇ ἄνω ἐπιφανείᾳ ποιεῖν μίγνυσθαι.

γρ. μαινομένους πῶς ὀργίζεσθαι διὰ τὸ ἀργεῖν πολλάκις ξιφήρεις; ἀλλ᾽

γρ. ἀνέτρεψεν

γρ. οὐδαμοῦ.

καλῶς

Θεοῦ, ἀλλὰ κυρίως οἱ δίκαιοι, οὐ κατὰ τὸν τῆς δημιουργίας λόγον μόνον, ἀλλὰ καὶ κατὰ τὸν* τῆς οἰκειώσεως. Εἰ τοῦ Θεοῦ ἄνθρωπος, φησὶν, εἶ, μὴ ζήτει τὰ περιττὰ, τὰ οὐκ ἄγοντα πρὸς τὸν Θεόν. Ἀλλὰ ταῦτα φεῦγε· δίωκε δὲ δικαιοσύνην. Ἀμφότερα μετ' ἐπιτάσεως. οὐκ εἶπεν, ἀφίστασο, καὶ περίϊσθι, ἀλλὰ φεῦγε, καὶ δίωκε δικαιοσύνην, ὥστε μὴ πλεονεκτεῖν. Εὐσέβειαν, Τὴν τῶν δογμάτων. Πίστιν, Ἥπερ ἐστὶν ἐναντία τῇ ζητήσει. Ἀγάπην, ὑπομονὴν, πραότητα.

*τῆς εὐαρεστή-σεως κ.

12 Ἀγωνίζου τὸν καλὸν ἀγῶνα τῆς πίστεως, ἐπιλαβοῦ τῆς αἰωνίου ζωῆς.

Ἰδοὺ καὶ ὁ μισθός. Εἰς ἣν ἐκλήθης, καὶ ὡμολόγησας τὴν καλὴν ὁμολογίαν, ἐπὶ ἐλπίδι ζωῆς αἰωνίου, ἐνώπιον πολλῶν μαρτύρων. Τουτέστι, μὴ καταισχύνῃς τὴν παρρησίαν ἐκείνην. τί ἀνόητα κάμνεις; ποῖον δὲ πειρασμὸν καὶ παγίδα φησὶν ὑπομένειν τοὺς βουλομένους πλουτεῖν; τῆς γὰρ πίστεως αὐτοὺς ἀποπλανᾷ. κινδύνοις αὐτοὺς περιβάλλει, καὶ ἀτολμοτέρους ἐργάζεται. καὶ ἐπιθυμίας ἀνοήτους, φησί. πῶς γὰρ οὐκ ἀνόητος ἐπιθυμία, ὅταν μωροὺς ἔχωσιν, ὅταν νάνους, οὐ φιλανθρωπίας ἕνεκεν, ἀλλὰ τέρψεως; ὅταν ἰχθῦς ἀποκλείωσιν ἐν ταῖς αὐλαῖς, ὅταν θηρία τρέφωσιν, ὅταν περὶ κύνας ἠσχόληνται, ὅταν ἵππους κοσμῶσι, καὶ τῶν παίδων οὐχ ἧττον περὶ αὐτοὺς διακέωνται; πάντα ταῦτα ἀνόητα καὶ περιττὰ, οὐδὲν ἀναγκαῖον, οὐδὲν χρήσιμον. ἐπιθυμίας, φησὶν, ἀνοήτους καὶ βλαβεράς. ποῖαι βλαβεραί; ὅταν ἐρῶσιν ἔρωτας ἀτόπους, ὅταν τῶν τοῦ πλησίον ἐφίενται, ὅταν τῇ τρυφῇ προσαπαλαίωσιν, ὅταν μέθης ὀρέγωνται, ὅταν σφαγῆς καὶ τῆς ἑτέρων ἀπωλείας· πολλοὶ δὲ ἀπὸ τῶν τοιούτων ἐρώτων καὶ τυραννίδι ἐπέθεντο, καὶ ἀπώλοντο. οὕτως ὁ τοιοῦτος κάμνει εἰς ἀνόητα, μᾶλλον δὲ καὶ βλαβερά. καὶ καλῶς εἶπεν, ἀπεπλανήθησαν ἀπὸ τῆς πίστεως. οὐ γὰρ ἀφίησιν αὐτοὺς τὴν ὁδὸν ἰδεῖν ἀνθέλκουσα τοὺς ὀφθαλμοὺς πρὸς ἑαυτὴν ἡ φιλαργυρία, καὶ κατὰ μικρὸν ὑποκλέπτουσα. καθάπερ γάρ τις εὐθεῖαν ὁδὸν βαδίζων, καὶ πρὸς ἑτέρῳ τινὶ τὸν νοῦν ἐσχηκὼς, βαδίζει μὲν, οὐκ εἰδὼς δὲ παρέρχεται τὴν πόλιν πολλάκις ἐκείνην, εἰς ἣν ἔσπευδεν, ἑλκομένων αὐτῷ τῶν ποδῶν ἁπλῶς καὶ μάτην· τοιοῦτόν τι καὶ ἡ φιλαργυρία ἐστί. καὶ περιέπειραν ἑαυτοὺς ὀδύναις πολλαῖς. ὁρᾷς, τὸ περιέπειραν, τί ᾐνίξατο; ὃ δὲ βούλεται δηλοῦν διὰ τῆς ἐμφάσεως, τοῦτό ἐστιν. ἄκανθαί εἰσιν αἱ ἐπιθυμίαι. καὶ καθάπερ ἐν ἀκάνθαις, ὅθεν ἄν τις ἅψηται αὐτῶν, ᾕμαξε τὰς χεῖρας καὶ τραύματα ἐργάζεται, οὕτω καὶ ἀπὸ τῶν ἐπιθυμιῶν τὸ αὐτὸ πείσεται ὁ ταύταις ἐμπεσὼν, καὶ τὴν ψυχὴν ἀλγηδόσι περιβαλεῖ. πόσας ἔχουσι φροντίδας, πόσας ὀδύνας οἱ περιπαρέντες, εἰπέ μοι; οὐκ ἔστιν εἰπεῖν. διὰ τοῦτό φησι, ταῦτα φεῦγε, δίωκε δὲ δικαιοσύνην, εὐσέβειαν, πίστιν, ἀγάπην, ὑπομονὴν, πραότητα. ἀπὸ γὰρ τῆς ἀγάπης ἡ πραότης. ἀγωνίζου τὸν καλὸν ἀγῶνα. ἐνταῦθα αὐτοῦ τὴν παρρησίαν καὶ τὴν ἀνδρείαν ἐπαινεῖ· ὅτι μετὰ παρρησίας, φησὶν, ἐπὶ πάντων ὡμολόγησας. ἀναμιμνήσκει δὲ καὶ τῆς κατηχήσεως αὐτόν· ἐπιλαβοῦ, φησι, τῆς αἰωνίου ζωῆς. οὐκ ἄρα ὁμολογίας χρεία μόνον, ἀλλὰ καὶ ὑπομονῆς, ὥστε διαπαντὸς ἐμμεῖναι τῇ ὁμολογίᾳ, καὶ ἀγῶνος σφοδροῦ, καὶ μυρίων ἱδρώτων εἰκότως, ὥστε μὴ περιτραπῆναι. πολλὰ γὰρ τὰ σκάνδαλα, πολλὰ τὰ κωλύματα. διὰ τοῦτο στενὴ καὶ τεθλιμμένη ἡ ὁδός. πάντοθεν οὖν χρὴ συνεστράφθαι, πάντοθεν χρὴ εὔζωνον εἶναι. μυρίαι πανταχόθεν φαίνονται ἡδοναὶ ἕλκουσαι τῆς ψυχῆς τοὺς ὀφθαλμοὺς, αἱ τῶν σωμάτων, αἱ τῶν χρημάτων, αἱ τῆς τρυφῆς, αἱ τῆς ῥᾳθυμίας, αἱ τῆς δόξης, αἱ τῆς ὀργῆς, αἱ τῆς δυναστείας, αἱ τῆς φιλαρχίας, καὶ φαίνονται λαμπρὰς ὄψεις ἔχουσαι καὶ ἐπεράστους, ἱκανὰς ἐπισπάσασθαι τοὺς ἐπτοημένους, τοὺς μὴ σφόδρα τῆς ἀληθείας ἐρῶντας. αὕτη μὲν γὰρ ἀπεσκληκυῖά ἐστι, καὶ οὐδὲν ἐπιτερπὲς ἔχουσα. τί δήποτε; ὅτι πάσας τὰς ἡδονὰς ἐν τῷ μέλλοντι ὑπισχνεῖται. ἐκεῖναι δὲ περιτείνουσιν ἤδη τιμὰς, ἡδονὰς, ἀναπαύσεις οὐκ ἀληθεῖς, ἀλλ' ἐπικεχρωσμένας· αἳ τοίνυν βάναυσος ἥ τις, καὶ μαλακὸς, καὶ ἄνανδρος, ἐκείνων ἀνθέξεται, ἐκλυθεὶς

γρ. μὴ ἀνόητα κάμνε

γρ. ἀνόητα,

γρ. διαθρύ-πτονται

γρ. καὶ τυραννίδι μανίας ἐπιθ.

οὔτε δείκνυσιν, οὔτε συνιέναι ἀφίησιν. Οὐδὲ γὰρ εἴ τις μύσας τοὺς ὀφθαλμοὺς, βούλεται εὑρεῖν τι τῶν ζητουμένων, δυνήσεται, ἢ αὖ πάλιν, εἰ τούτων ἀνεῳγμένων, κατορύξας ἑαυτὸν, καὶ τὴν ἀκτῖνα ἀποστραφεὶς, ἐκεῖ ζητοίη, δυνήσεταί τι εὑρεῖν· οὕτω πίστεως χωρὶς οὐδεὶς εὑρίσκεται, ἀλλὰ μάχας ἀνάγκη τίκτεσθαι, ἐξ ὧν γίνονται βλασφημίαι, ὑπόνοιαι πονηραὶ, τουτέστι, δόξαι καὶ δόγματα πονηρὰ ἀπὸ τῶν ζητήσεων. τότε περὶ Θεοῦ, ἃ μὴ δεῖ, ὑποπτεύομεν, ὅταν εἰς ζητήσεις ἐμπέσωμεν. Διαπαρατριβαί· τουτέστι, σχολὴ, ἢ διατριβή. ἢ τοῦτό φησι, διαπαρατριβαί· καθάπερ τὰ ψωραλέα τῶν προβάτων παρατριβόμενα νόσου καὶ τὰ ὑγιαίνοντα ἐμπίπλησιν, οὕτω καὶ οὗτοι οἱ πονηροὶ ἄνδρες. καὶ ἀπεστερημένων, φησὶ, τῆς ἀληθείας, νομιζόντων πορισμὸν εἶναι τὴν εὐσέβειαν. ὁρᾷς πόσα τίκτουσι φησὶ αἱ λογομαχίαι; αἰσχροκέρδειαν, ἄγνοιαν, ἀπόνοιαν. τὴν γὰρ ἀπόνοιαν ἡ ἄγνοια τίκτει. ἀπὸ τούτων, φησὶν, ἀφίστασο. Οὐκ εἶπεν, ὁμόσε χώρει, ἀλλ', ἀφίστασο, τουτέστιν, ἐκτρέπου. Αἱρετικὸν γὰρ, φησιν, ἄνθρωπον μετὰ μίαν ἢ δευτέραν νουθεσίαν παραιτοῦ. Τιτ. γ. ι. δείκνυσιν αὐτοὺς οὐκ ἀπὸ ἀγνοίας τοσοῦτον, ὅσον ἀπὸ ῥᾳθυμίας καὶ αὐτὴν τὴν ἄγνοιαν ἔχοντας. ἀνθρώπους γὰρ χρημάτων ἕνεκεν μαχομένους πότε δυνήσῃ πεῖσαι; ἄλλως οὐ πείσεις τοὺς τοιούτους, ἂν μὴ δῷς πάλιν, καὶ οὐδὲ οὕτως αὐτῶν τὴν ἐπιθυμίαν ἐμπλήσεις. Πλεονέκτου γὰρ ὀφθαλμὸς, φησιν, οὐκ ἐμπίπλαται μερίδι. Σειρ. ιδ. θ. δεῖ τοίνυν αὐτοὺς ἀδιορθώτους ἔχοντας ἐκτρέπεσθαι. εἰ δὲ περὶ τοῦ μάχεσθαι πολλὴν ἔχοντι τὴν ἀνάγκην παραινεῖ μὴ ὁμόσε χωρεῖν, μηδὲ συμπλέκεσθαι, πολλῷ μᾶλλον τοῖς μαθητευομένοις ἡμῖν, τοῖς ἐν τάξει μαθητῶν οὖσιν. εἰπὼν δὲ ὅτι νομίζουσι πορισμὸν εἶναι τὴν εὐσέβειαν, ἐπήγαγεν· ἔστι δὲ πορισμὸς μέγας ἡ εὐσέβεια μετὰ αὐταρκείας, οὐχ ὅταν χρήματα ἔχῃ, ἀλλ' ὅταν μὴ ἔχῃ. ἵνα γὰρ μὴ καταπέσῃ εἰς ἀθυμίαν διὰ τὴν πενίαν, ἀνίστησιν αὐτὸν, καὶ ἀνορθοῖ. νομίζουσί, φησιν, ὅτι πορισμός ἐστιν. ἔστι μὲν γὰρ, ἀλλ' οὐχ οὕτως, ἀλλὰ μειζόνως. εἶτα περιτρέπει καταβαλὼν ἐκείνην, τότε ταύτην ἐπαίρει. ὅτι γὰρ οὐδέν ἐστιν ὁ πορισμὸς ἐκεῖ, δῆλον ἐκ τοῦ μένειν ἐνταῦθα, μηδὲ συμμεθίστασθαι ἡμῖν, μηδὲ συναποδημεῖν. πόθεν τοῦτο δῆλον; ὅτι οὐδὲν ἔχοντες, ἤλθομεν εἰς τὸν βίον, οὐκοῦν οὐδὲ ἀπελευσόμεθα ἔχοντες. γυμνὴ γὰρ παρεγένετο ἡ φύσις, γυμνὴ καὶ ἄπεισιν. οὐ τοίνυν ἡμῖν δεῖ τῶν περιττῶν. εἰ μηδὲν εἰσηνέγκαμεν, μηδὲ ἔχοντες ἀπελευσόμεθα.

8 Ἔχοντες δὲ διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα.

Τοσαῦτα ἐσθίειν χρὴ καὶ τοιαῦτα, ἃ θρέψαι ἀρκεῖ· τοιαῦτα ἀμφιέννυσθαι, ἃ σκεπάσαι μόνον ἡμᾶς ὀφείλει καὶ περιστεῖλαι τὴν γύμνωσιν, μηδὲν περιττόν. τοῦτο δὲ καὶ τὸ τυχὸν ποιῆσαι δύναται ἱμάτιον. εἶτα ἀπὸ τῶν ἐνταῦθα περιτρέπει.

9 Οἱ δὲ βουλόμενοι, φησὶ, πλουτεῖν. Οὐχ ἁπλῶς εἶπεν, οἱ πλουτοῦντες, ἀλλ', οἱ βουλόμενοι. ἔστι γάρ τινα καὶ χρήματα ἔχοντα καλῶς οἰκονομεῖν, καταφρονοῦντα αὐτῶν, καὶ εἰς πένητας διανέμοντα. οὐκ ἄρα τοὺς τοιούτους, ἀλλὰ τοὺς ἐπιθυμοῦντας διαβάλλει. Οἱ δὲ βουλόμενοι, φησὶ, πλουτεῖν, ἐμπίπτουσιν εἰς πειρασμὸν, καὶ παγίδα τοῦ διαβόλου, καὶ ἐπιθυμίας πολλὰς καὶ ἀνοήτους καὶ βλαβεράς, αἵτινες βυθίζουσι τοὺς ἀνθρώπους. χ. αἰσνύτες Καλῶς εἶπε, βυθίζουσιν, ὡς μηδὲ ἀνενεγκεῖν δύνασθαι. Εἰς ὄλεθρον καὶ ἀπώλειαν.

10 Ῥίζα γὰρ πάντων τῶν κακῶν ἐστὶν ἡ φιλαργυρία, ἧς τινὲς ὀρεγόμενοι ἀπεπλανήθησαν ἀπὸ τῆς πίστεως, καὶ περιέπειραν ἑαυτοὺς ὀδύναις πολλαῖς.

Ἰδοὺ δύο τίθησιν, ἀλλ' ὃ μᾶλλον αὐτοῖς ἰσχυρότερον εἶναι δοκεῖ, τοῦτο ἐνταῦθα ὕστερον τέθεικε, τὸ, ὀδύναις πολλαῖς. καὶ ταῦτα ἑτέρως οὐκ ἔστι μαθεῖν, ἢ τοῖς πλουσίοις προσοικοῦντα, πόσα ἀποδύρονται, πόσα θρηνοῦσι.

11 Σὺ δὲ, ὦ ἄνθρωπε τοῦ Θεοῦ. Μέγα ἀξίωμα. πάντες μὲν γὰρ ἄνθρωποι τοῦ Θεοῦ,

λύσωμεν αὐτὸ μετὰ φόβου καὶ τιμῆς, ἵνα τύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

## Λογ. ιζ. ΤΑΥΤΑ ΔΙΔΑΣΚΕ ΚΑΙ ΠΑΡΑΚΑΛΕΙ.

3 Εἴ τις ἑτεροδιδασκαλεῖ, καὶ μὴ προσέρχεται ὑγιαίνουσι λόγοις τοῖς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῇ κατ' εὐσέβειαν διδασκαλίᾳ,

4 Τετύφωται, μηδὲν ἐπιστάμενος, ἀλλὰ νοσῶν περὶ ζητήσεις καὶ λογομαχίας, ἐξ ὧν γίνεται φθόνος, ἔρις, βλασφημίαι, ὑπόνοιαι πονηραί,

5 Διαπαρατριβαὶ διεφθαρμένων ἀνθρώπων τὸν νοῦν, καὶ ἀπεστερημένων τῆς ἀληθείας, νομιζόντων πορισμὸν εἶναι τὴν εὐσέβειαν. ἀφίστασο ἀπὸ τῶν τοιούτων.

6 Ἔστι δὲ πορισμὸς μέγας ἡ εὐσέβεια μετὰ αὐταρκείας.

7 Οὐδὲν γὰρ εἰσηνέγκαμεν εἰς τὸν κόσμον τοῦτον, δῆλον ὅτι οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα.

Οὐκ αὐθεντίας δεῖ τῷ διδασκάλῳ μόνον, ἀλλὰ καὶ προσηνείας πολλῆς, ὥσπερ οὐ προσηνείας μόνον, ἀλλὰ καὶ αὐθεντίας. καὶ ταῦτα πάντα διδάσκει ὁ μακάριος Παῦλος, ποτὲ μὲν λέγων, [α. Τιμ. δ. ια.] Παράγγελλε ταῦτα καὶ δίδασκε, ποτὲ δέ, Ταῦτα δίδασκε καὶ παρακάλει. Εἰ γὰρ ἰατροὶ τοὺς κάμνοντας παρακαλοῦσιν, οὐχ ἵνα αὐτοὶ τῆς ὑγείας ἐπιτύχωσιν, ἀλλ' ἵνα ἐκείνους ἀπαλλάξωσι τῆς ἀσθενείας καὶ κειμένους ἀναστήσωσι· πολλῷ μᾶλλον ἡμᾶς τούτῳ πρὸς τοὺς διδασκομένους τῷ ἤθει κεχρῆσθαι χρὴ παρακαλοῦντας. οὐδὲ γὰρ δοῦλος αὐτῶν εἶναι παραιτεῖται ὁ μακάριος Παῦλος λέγων· [β Κορ. δ. ε.] Οὐ γὰρ ἑαυτοὺς κηρύσσομεν, [α Κορ. γ. κβ.] φησιν, ἀλλὰ Χριστὸν Ἰησοῦν, ἑαυτοὺς δὲ δούλους ὑμῶν διὰ Ἰησοῦν· καὶ πάλιν, Πάντα ὑμῶν ἐστιν, εἴτε Παῦλος, εἴτε Ἀπολλώς. καὶ δουλεύει τὴν δουλείαν ταύτην μετὰ προθυμίας. οὐ [Ἰωαν. η. λδ.] γάρ ἐστι δουλεία, ἀλλ' ἐλευθερίας βελτίων. Ἐκεῖνος γάρ ἐστι, φησι, δοῦλος ὁ ποιῶν τὴν ἁμαρτίαν. Εἴ τις ἑτεροδιδασκαλεῖ, καὶ μὴ προσέρχεται ὑγιαίνουσι λόγοις τοῖς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῇ κατ' εὐσέβειαν διδασκαλίᾳ, τετύφωται μηδὲν ἐπιστάμενος. οὐκ ἄρα ἐκ τοῦ εἰδέναι τὸ εἰς ἀπόνοιαν αἴρεσθαι συμβαίνει, ἀλλ' ἐκ τοῦ μὴ εἰδέναι. ὁ γὰρ εἰδὼς τοὺς κατ' εὐσέβειαν λόγους, οὗτος μάλιστα καὶ μετριάζειν οἶδεν· ὁ τοὺς ὑγιαίνοντας ἐπιστάμενος λόγους, οὐ νοσεῖ. ὅπερ γὰρ ἐπὶ σωμάτων φλεγμονή, τοῦτο ἐν ταῖς ψυχαῖς ἀπόνοια. ὥσπερ ἐκεῖ τὸ φλεγμαῖνον οὐ φαμὲν ὑγιαίνειν, οὕτως οὐδὲ ἐνταῦθα τοὺς ἀλαζόνας. ἄρα ἐστιν εἰδότα τι μηδὲν εἰδέναι. ὁ γὰρ μὴ εἰδὼς ἅπερ εἰδέναι χρή, οὐδὲν οἶδε. καὶ ὅτι ἐκ τοῦ μηδὲν [Φιλιπ. β. ζ.] εἰδέναι ὑπερηφανία γίνεται, δῆλον ἐκεῖθεν. ὁ Χριστὸς ἐκένωσεν ἑαυτόν. ὁ τοῦτο τοίνυν εἰδώς, οὐ μέγα φρονήσει ποτέ. οὐδὲν γὰρ ἔχει ἄνθρωπος, εἰ μὴ παρὰ τοῦ Θεοῦ. οὐκοῦν οὐ μέγα [α Κορ. δ. ζ.] φρονήσει. Τί γὰρ ἔχεις ὃ οὐκ ἔλαβες; αὐτὸς τοὺς πόδας ἔνιψε τῶν μαθητῶν. ὁ τοῦτο εἰ[Ἰωαν. ιγ.]δώς, πῶς ἐπαρθήσεται; διὰ τοῦτό φησιν, [Λουκ. ιζ. ι.] Ὅταν πάντα ποιήσητε, λέγετε ὅτι ἀχρεῖοι δοῦ[Λουκ. ιη.]λοί ἐσμεν. ὁ τελώνης ἀπὸ μόνης ταπεινοφροσύνης εὐδοκίμησεν, ὁ Φαρισαῖος δὲ ἀλαζονείας ἀπώλετο. ὁ τοίνυν τετυφωμένος οὐδὲν τούτων ἐπίσταται. αὐτὸς πάλιν ὁ Χριστός φησιν, [Ἰωαν. ιη. κγ.] Εἰ κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ· εἰ δὲ καλῶς, τί με δέρεις; ἀλλὰ νοσῶν, φησι, περὶ ζητήσεις. ἄρα νοσεῖν ἐστι τὸ ζητεῖν, καὶ λογομαχεῖν. Εἰκότως. ὅταν [χ. νόσων] γὰρ ὑπὸ τῶν λογισμῶν ἡ ψυχὴ πυρέττῃ, ὅταν χειμάζηται, τότε ζητεῖ· ὅταν δὲ ἐν ὑγείᾳ ᾖ, τότε οὐ ζητεῖ, ἀλλὰ τὴν πίστιν δέχεται. ἀπὸ δὲ ζητήσεως καὶ λογομαχίας οὐδέν ἐστιν εὑρεῖν. ἃ γὰρ ἡ πίστις ἐπαγγέλλεται μόνη, ἡ ζήτησις ἐπ' οὐδὲν ἀναδέξηται.

ὅτι

* τὴν ἐσχάτην ἀπῃτήσαντα βλάβην

χ. ἢ ἐὰν πολλοστὸν μέρος

ἀλήθειαν τὴν ἐν ταῦτα, τὴν πολλάκις τῆς δουλείας χαλεπωτέραν. πολλάκις γὰρ κατέλαβε λιμὸς, καὶ πικροτέρα δουλείας αὕτη ἡ ἐλευθερία γέγονε. καὶ τὸ δῶρον τοῦτο τὸ μέγιστον*. παρὰ δὲ τῷ Θεῷ οὐδὲν ἐπίχειρον, οὐδὲν φθαρτὸν, ἀλλὰ τί; βούλει μαθεῖν; ἄκουε. Οὐκ ἔτι λέγω ὑμᾶς δούλους, φησὶν, ὑμεῖς φίλοι μού ἐστε. (Ioan. 15. 15.) αἰσχυνθῶμεν, ἀγαπητοί, φοβηθῶμεν· καὶ ὡς οἱ οἰκέται ἡμῖν δουλεύουσι, δουλεύσωμεν ἡμεῖς τῷ δεσπότῃ μᾶλλον· ἢ πρὸς τὸ πολλοστὸν μέρος τὴν δουλείαν ἡμεῖς ἐπιδεικνύμεθα. ἐκεῖνοι μὲν διὰ τὴν ἀνάγκην φιλοσοφοῦσι, σκεπάσματα μόνον ἔχουσι καὶ τροφάς, ἡμεῖς δὲ μυρία, τὰ μὲν ἔχοντες, τὰ δὲ ἐλπίζοντες, ὑβρίζομεν τῇ τρυφῇ εἰς τὸν εὐεργέτην. εἰ μηδαμόθεν ἄλλοθεν, κἂν παρ' ἐκείνων δεξώμεθα τῆς φιλοσοφίας τοὺς κανόνας. οὐδὲ γὰρ ἡ γραφὴ οὐχὶ πρὸς οἰκέτας, ἀλλὰ καὶ πρὸς ἄλογα πέμπει τοὺς ἀνθρώπους· οἷον ὅταν τὴν μέλισσαν, ὅταν τοὺς μύρμηκας κελεύῃ μιμεῖσθαι. ἐγὼ δὲ καὶ τοὺς οἰκέτας μιμήσασθαι παραινῶ· ὅσα ἐκεῖνοι διὰ τὸν φόβον τὸν ἡμέτερον πράττουσι, καὶ τοσαῦτα διὰ τὸν τοῦ Θεοῦ φόβον ἡμεῖς πράττωμεν. οὐ γὰρ ὑβρίζομεν πράττοντας ὑμᾶς. ἐκεῖνοι μὲν διὰ τὸν ἡμέτερον φόβον ὑβρίζονται μυριάκις, καὶ πάντως φιλοσόφου μᾶλλον ἑστήκασι σιγῶντες. ὑβρίζονται καὶ δικαίως, καὶ ἀδίκως, καὶ οὐκ ἀντιλέγουσιν, ἀλλὰ παρακαλοῦσι, ἀδικοῦντες οὐδὲ πολλάκις. οὐδὲν ἐκεῖνοι πλέον τῆς χρείας λαμβάνοντες, πολλάκις δὲ καὶ ἔλαττον στέργουσι· καὶ ἐπὶ στιβάδος καθεύδοντες, καὶ ἄρτῳ μόνον πληρούμενοι, καὶ τὴν ἄλλην πᾶσαν δίαιταν ἔχοντες εὐτελῆ, οὐκ ἐγκαλοῦσιν, οὐδὲ δυσχεραίνουσιν ἐκεῖνοι διὰ τὸν παρ' ἡμῶν φόβον· ἐμπιστευόμενοι χρήματα, πάντα ἀποδιδόασι. μὴ γάρ μοι τοὺς μαστιγίας εἴπῃς τῶν οἰκετῶν, ἀλλὰ τοὺς μὴ λίαν κακούς. ἂν ἀπειλήσωμεν, εὐθέως συστέλλονται. ἆρα οὐ φιλοσοφίας ταῦτα; μὴ γὰρ ὅτι ἀνάγκη ἐστὶν, εἴπῃς, ὅτι καὶ ἐπὶ σοὶ ἀνάγκη τῆς γεέννης ἐπίκειται, καὶ οὐδὲ οὕτω σωφρονεῖς, οὐδὲ τοσαύτην παρέχεις τιμὴν τῷ Θεῷ, ὅσης ἀπολαύεις παρὰ τῶν οἰκετῶν. ἔχει ἕκαστος τῶν οἰκετῶν οἴκημα τὸ νενομοθετημένον, καὶ οὐκ ἐπεμβαίνει τῷ τοῦ πλησίον, οὐδὲ λυμαίνεται τῇ ἐπιθυμίᾳ τοῦ πλείονος. καὶ ταῦτα ἴδοι τις ἂν ἐν οἰκέταις διὰ τὸν τῶν δεσποτῶν φόβον φυλαττόμενα. καὶ σπανίως ἂν ἴδοις οἰκέτην τὰ τοῦ οἰκέτου ἁρπάζοντα, ἢ λυμαινόμενον, παρὰ δὲ ἀνθρώποις ἐλευθέροις τἀναντία τούτων ἐστί. ἀλλήλους δάκνομεν, κατεσθίομεν, οὐ δεδοίκαμεν τὸν δεσπότην, τὰ τῶν συνδούλων ἁρπάζομεν, κλέπτομεν, τύπτομεν, ὁρῶντος αὐτοῦ. τοῦτο δὲ οὐκ ἂν ποιήσειεν οἰκέτης, ἀλλὰ κἂν τύπτῃ, μὴ ὁρῶντος τοῦ δεσπότου, κἂν ὑβρίζῃ, μὴ ἀκούοντος· ἡμεῖς δὲ τοῦ Θεοῦ πάντα καὶ ὁρῶντος καὶ ἀκούοντος, τολμῶμεν. φόβος ὁ τοῦ δεσπότου πρὸ τῶν ὀφθαλμῶν ἐκείνων διαπαντός· ἡμῶν δὲ οὐδέποτε. διὰ τοῦτο πάντα ἄνω καὶ κάτω γέγονε, πάντα συγκέχυται καὶ διέφθαρται· καὶ αὐτοὶ μὲν οὐδὲ εἰς νοῦν λαμβανόμεθα τὰ ἡμαρτημένα ἡμῖν· τῶν δὲ οἰκετῶν τῶν ἡμετέρων ἁμαρτανόντων μετὰ ἀκριβείας ἅπαντα ἐξετάζομεν, καὶ τὰ μικρότατα. ταῦτα λέγω, οὐχὶ τοὺς οἰκέτας ὑπτίους ποιῆσαι βουλόμενος, ἀλλὰ τὸ ἡμέτερον ὕπτιον ἐπιστρέψαι, τὸ ῥᾴθυμον διεγεῖραι, ἵνα κἂν οὕτω δουλεύωμεν τῷ Θεῷ, ὡς ἡμῖν οἱ οἰκέται, οὕτω τῷ πεποιηκότι ἡμᾶς, ὡς ἡμῖν οἱ ὁμόδουλοι, καὶ μηδὲν τοιοῦτον ἔχοντες παρ' ἡμῶν. ἐλεύθεροι τῇ φύσει καὶ οὗτοί εἰσιν. Ἀρκέσουσι τοῖς ἰχθύσι, καὶ τούτοις εἴρηται. οὐκ ἔστιν αὕτη φύσεως ἡ δουλεία, (Tit. 2. 10.) ἀλλ' αἰτίας ἐστὶ καὶ περιστάσεως, ἀλλ' ὅμως πολλὴν ἡμῖν παρέχουσι τὴν τιμήν. ἡμεῖς δὲ τούτοις μὲν μετὰ πάσης ἀκριβείας ἐπιτιθέμεθα τῆς ἡμετέρας ἕνεκεν διακονίας· τῷ δὲ Θεῷ οὐδὲ τὸ πολλοστὸν παρέχομεν μέρος, καὶ ταῦτα πάλιν εἰς ἡμᾶς στρεφομένης τῆς ὠφελείας. ὅσῳ γὰρ ἂν σπουδαιότεροι δουλεύσωμεν τῷ Θεῷ, τοσούτῳ μᾶλλον ἑαυτοὺς οἰκονομοῦμεν, καὶ αὐτοὶ μᾶλλον κερδαίνομεν. μὴ δὴ τοσαύτης ἀποστερήσωμεν ὠφελείας ἡμᾶς αὐτούς. ὁ μὲν γὰρ Θεὸς αὐτάρκης ἐστὶ, καὶ ἀνενδεής· ἡ δὲ ἀμοιβὴ καὶ τὸ κέρδος πάλιν εἰς ἡμᾶς ἀνατρέχει. ὡς οὖν οὐ τὸν Θεὸν θεραπεύοντες, ἀλλ' ἡμᾶς αὐτοὺς, οὕτω διακείμεθα, παρακαλῶ, καὶ δουλεύσωμεν

ἡ. ἀξίαν

Digitized by Google

καὶ οὕτως ὑπείκειν χρὴ διὰ τὸ τοῦ Θεοῦ ὄνομα. 2 Οἱ γὰρ πιστοὺς ἔχοντες, φησί, δεσπότας μὴ καταφρονείτωσαν, ὅτι ἀδελφοί εἰσιν, ἀλλὰ μᾶλλον δουλευέτωσαν, ὅτι πιστοί εἰσι καὶ ἀγαπητοὶ οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι. Ὢ σοὶ ἔλεγον, εἰ τοσαύτης ἠξιώθητε τιμῆς. Φησίν, ὡς ἀδελφοὺς ἔχει τοὺς δεσπότας, διὰ τοῦτο μάλιστα ὀφείλετε εἴκειν. προάγουσαι, φησίν, εἰς κρίσιν· τουτέστι, τῶν πονηρῶν, φησί, πράξεων αἱ μὲν λανθάνουσιν ὧδε, αἱ δὲ οὔ. ἐκεῖ δὲ οὐδὲ τὰ κακά, οὐδὲ τὰ καλὰ λαθεῖν δύναται. τί ἐστι, προάγουσαι εἰς κρίσιν; οἷον ὅταν τις ἁμαρτάνῃ τὰ ἤδη αὐτὸν κατακρίνοντα, ὅταν τις ἀδιόρθωτος ᾖ, ὅταν τις ἐλπίζηται διορθώσασθαι, μηδὲν δὲ τοιοῦτον πράξῃ. τί οὖν, καὶ πρὸς τί τοῦτο εἴρηται; ὅτι κἂν ἐνταῦθά τινες λάθωσιν, ἀλλ' ἐκεῖ οὐ λήσονται. ἐκεῖ πάντα γυμνά ἐστιν. αὕτη δὲ μεγίστη παραμυθία τοῖς κατορθοῦσιν. εἶτα ἐπειδὴ εἶπε μηδὲν κατὰ πρόσκλησιν, ἀναγκαίως ἑρμηνεύων αὐτὸ ἐπήγαγε, τό, ὅσοι εἰσὶν ὑπὸ ζυγὸν δοῦλοι. καὶ τί τοῦτο πρὸς τὸν ἐπίσκοπον, φησί; καὶ πάνυ, ἵνα παραινῇ, ἵνα καὶ τούτους διδάσκῃ. καλῶς δὲ καὶ ἐνταῦθα περὶ τούτων διατάττεται. καὶ γὰρ ὁρῶμεν αὐτὸν πανταχοῦ τοῖς δούλοις μᾶλλον, ἢ τοῖς δεσπόταις ἐπιτάττοντα, καὶ τύπους ὑποταγῆς ὑποδεικνύοντα, καὶ πολὺν αὐτῶν ποιούμενον λόγον. ἐκείνοις μὲν οὖν μετὰ πολλῆς τῆς ἐπιεικείας ὑποτάττεσθαι παραινεῖ· τοῖς δὲ δεσπόταις ἀνιέναι τὸν φόβον παρακελεύεται, ἀνιέντες, λέγων, τὴν ἀπειλήν. καὶ τί δήποτε ταῦτα διατάττεται; ἐπὶ μὲν γὰρ τῶν ἀπίστων, εἰκότως (οὐ γὰρ εἶχε λόγον διαλέγεσθαι τοῖς μὴ προσέχουσιν) ἐπὶ δὲ τῶν πιστῶν, τίνος ἕνεκεν; ὅτι μείζονα παρὰ τῶν δεσποτῶν εἰσφέρεται τοῖς δούλοις, ἢ παρὰ τῶν οἰκετῶν τοῖς δεσπόταις. ἐκεῖνοι γάρ εἰσιν οἱ καὶ χρήματα καταβάλλοντες, καὶ ὑπὲρ τῆς τῶν ἀναγκαίων εὐπορίας, καὶ ὑπὲρ ἐνδυμάτων, καὶ τῶν ἄλλων μεριμνῶντες ἁπάντων. ὥστε μείζονα αὐτοῖς δουλείαν εἰσάγουσιν οἱ δεσπόται. ὅπερ καὶ ἐνταῦθα ᾐνίξατο εἰπών, ὅτι πιστοί εἰσι καὶ ἀγαπητοὶ οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι. κόπτονται καὶ ταλαιπωροῦνται ὑπὲρ τῆς ὑμετέρας ἀναπαύσεως, καὶ οὐκ ὀφείλουσι πολλῆς ἀπολαύειν τιμῆς παρὰ τῶν οἰκετῶν;

ΗΘΙΚΟΝ

Εἰ δὲ τοῖς δούλοις οὕτως ἐπιτάττει τοσαύτῃ κεχρῆσθαι τῇ ὑπακοῇ, ἐννοήσατε πῶς ἡμᾶς πρὸς τὸν δεσπότην διακεῖσθαι χρή, τὸν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἡμᾶς παραγαγόντα, τὸν τρέφοντα, τὸν ἐνδιδύσκοντα. εἰ καὶ μηδαμῶς οὖν ἑτέρως, κἂν ὡς οἱ οἰκέται οἱ ἡμέτεροι δουλεύσωμεν αὐτῷ. οὐχὶ πᾶσαν τὴν ζωὴν εἰς τοῦτο κατεστήσαντο ἐκεῖνοι εἰς τὸ ἀναπαύεσθαι τοὺς δεσπότας αὐτῶν, καὶ τοῦτο ἔργον αὐτοῖς ἐστι, καὶ ὅλος ὁ βίος τὰ δεσποτικὰ μεριμνᾶν; οὐχὶ τὰ τοῦ δεσπότου πᾶσαν τὴν ἡμέραν μεριμνῶσι; τὰ δὲ αὐτῶν πολλάκις μικρὸν ἑσπέρας μέρος; ἡμεῖς δὲ τοὐναντίον· τὰ μὲν ἡμέτερα διαπαντός· τὰ δὲ τοῦ δεσπότου οὐδὲ μικρὸν μέρος, καὶ ταῦτα οὐ δεομένου τῶν ἡμετέρων, καθάπερ οἱ δεσπόται τῶν δούλων, ἀλλὰ καὶ τούτων αὐτῶν πάλιν εἰς ἡμέτερον προχωρούντων κέρδος. ἐκεῖ μὲν γὰρ ἡ διακονία τοῦ οἰκέτου τὸν δεσπότην ὠφελεῖ· ἐνταῦθα δὲ ἡ διακονία τοῦ δούλου τὸν μὲν δεσπότην οὐδέν, πάλιν δὲ αὐτὸν τὸν οἰκέτην ὀνίνησι. Ψαλ. ιε. Τῶν ἀγαθῶν γάρ μου, φησίν, οὐ χρείαν ἔχεις. εἰπὲ γάρ μοι, τί τῷ Θεῷ κέρδος, ἐὰν ἐγὼ δίκαιος ὦ; ποία δὲ βλάβη, ἐὰν ἄδικος; οὐχὶ ἀκήρατος ἡ φύσις ἐκείνη; οὐχὶ ἀβλαβής; οὐχὶ πάντων ἀνωτέρα παθῶν; οἱ οἰκέται οὐδὲν ἴδιον ἔχουσιν, ἀλλὰ πάντα δεσποτικά, κἂν μυριάκις πλουτῶσιν· ἡμεῖς δὲ πολλὰ ἴδια ἔχομεν. οὐχ ἁπλῶς τοσαύτης τιμῆς ἀπολαύομεν παρὰ τοῦ τῶν ὅλων βασιλέως. ποῖος δεσπότης ὑπὲρ οἰκέτου τὸν υἱὸν ἔδωκε τὸν ἑαυτοῦ; οὐδείς· ἀλλὰ πάντες ἂν ἕλοιντο μᾶλλον τοὺς οἰκέτας ὑπὲρ τῶν παίδων δοῦναι. ἐνταῦθα δὲ τοὐναντίον· τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν, ὑπὲρ τῶν ἐχθρῶν, τῶν μισούντων αὐτόν. οἱ οἰκέται, κἂν βαρέα τινὰ ἐπιτάττωνται, οὐδὲ οὕτω δυσχεραίνουσι, καὶ μάλιστα οἱ ὄντως εὐγνώμονες· ἡμεῖς δὲ ἀποδυσπετοῦμεν μυρία. τοῖς οἰκέταις οὐδὲν ἐπαγγέλλεται τοιοῦτον ὁ δεσπότης, οἷον ἡμῖν ὁ Θεός· ἀλλὰ τί; ἐλευθερίαν

Digitized by Google

λάξῃς χωρὶς προκρίματος, μηδὲν ποιῶν κατὰ πρόσκλησιν· τουτέστιν, ἵνα κοινὸς ᾖς καὶ ἴσος τοῖς δικαζομένοις, τοῖς ἐπὶ σοῦ κρινομένοις, ἵνα σε μηδεὶς προκαταλάβῃ, μηδὲ προσοικειώσηται. τίνες δέ εἰσιν οἱ ἐκλεκτοὶ ἄγγελοι; ἄρα ὡς οὕτω λοιπὸν οὗτοι πείθονται· ἐπεὶ καὶ ὁ Ἰακὼβ τὸν Θεὸν λαμβάνει ἰδίᾳ μάρτυρα, καὶ τὸν βουνόν. οὕτω καὶ ἡμεῖς πολλάκις καὶ ὑπερέχοντα, καὶ ἐλάττονα πρόσωπα εἰς μαρτυρίαν λαμβάνομεν, οὕτω μέγα ἐστὶν ἡ μαρτυρία, ὡς ἂν εἰ ἔλεγε· μάρτυρα καλῶ τὸν Θεόν, καὶ τὸν υἱὸν αὐτοῦ, καὶ τοὺς δούλους αὐτοῦ, ὅτι παρήγγειλά σοι. ἐπ' αὐτῶν ἰδού σοι παραγγέλλω. φοβεῖ τὸν Τιμόθεον. εἶτα τοῦτο εἰπών, ὃ πάντων μάλιστα κυριώτατον ἦν, ἐπήγαγε, καὶ ὃ μάλιστα συνέχει τὴν ἐκκλησίαν, τὸ τῶν χειροτονιῶν. χεῖρας γάρ, φησι, ταχέως μηδενὶ ἐπιτίθει, μηδὲ κοινώνει ἁμαρτίαις ἀλλοτρίαις. τί ἐστι ταχέως; μὴ ἐκ πρώτης δοκιμασίας, μηδὲ δευτέρας, μηδὲ τρίτης, ἀλλὰ πολλάκις περισκεψάμενος καὶ ἀκριβῶς ἐξετάσας. οὐ γὰρ ἀκίνδυνον τὸ πρᾶγμα. τῶν γὰρ ἡμαρτημένων ἐκείνῳ καὶ σὺ δίκην ὑφέξεις ὁ τὴν ἀρχὴν παραγαγὼν καὶ τῶν παρελθουσῶν ἁμαρτιῶν καὶ τῶν μελλησομένων. ἀφεὶς γὰρ τὰς πρὸ τούτου ἀκαίρως, ὑπεύθυνος ἔσῃ καὶ τῶν ἐσομένων, τούτων μὲν ὡς αἴτιος ὢν σὺ τοῦ τὴν ἀρχὴν ἀγαγεῖν, τῶν τε παρελθουσῶν, ὡς οὐκ ἀφεὶς αὐτὰς πενθῆσαι, οὔτε ἐν κατανύξει γενέσθαι. ὥσπερ γὰρ τῶν κατορθωμάτων κοινωνεῖς, οὕτω καὶ τῶν ἁμαρτημάτων. σεαυτὸν ἁγνὸν τήρει. περὶ σωφροσύνης φησὶν ἐνταῦθα. μηκέτι ὑδροπότει, ἀλλ' οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου καὶ τὰς πυκνάς σου ἀσθενείας. εἰ δὲ ἀνδρὶ μέχρι τοσούτου νηστείαις προσεστηκότι, καὶ ἐπὶ τοσοῦτον ὕδατι κεχρημένῳ, ὡς καὶ ἀσθενεῖν, καὶ πυκνῶς ἀσθενεῖν, παραγγέλλει σωφρονεῖν, καὶ οὐκ ἀνθίσταται ἐκεῖνος, πολλῷ μᾶλλον ἡμεῖς, ὅταν ἀκούσωμεν νουθεσίαν παρά τινος, οὐκ ὀφείλομεν δυσχεραίνειν. τί δήποτε δὲ οὐκ ἔρρωσεν αὐτοῦ τὸν στόμαχον; οὐχ ὡς ἀδυνατῶν, ἀλλὰ μέγα τι καὶ ἐντεῦθεν οἰκονομῶν. ὁ γὰρ τὰ ἱμάτια νεκροὺς ἀνιστῶν, εὔδηλον ὅτι καὶ τοῦτο ἠδύνατο. τίνος οὖν ἕνεκεν; ἵνα κἂν τινας ἴδωμεν ἄνδρας μεγάλους καὶ ἐναρέτους ἀσθενοῦντας, μὴ σκανδαλιζώμεθα. καὶ γὰρ καὶ ἐκεῖνο συμφερόντως ἐγένετο. εἰ γὰρ αὐτῷ ἐδόθη ἄγγελος Σατᾶν, ἵνα μὴ ὑπεραίρηται, πολλῷ μᾶλλον Τιμοθέῳ. ἱκανὰ γὰρ ἦν τὰ σημεῖα εἰς ἀπόνοιαν ἆραι. διὰ τοῦτο νόμῳ ἰατρείας ἀφίησιν αὐτὸν διαλύεσθαι, ἵνα καὶ αὐτὸς μετριάζῃ, καὶ οἱ ἄλλοι μὴ σκανδαλίζωνται, καὶ μάθωσιν, ὅτι τῆς φύσεως ἦσαν κἀκεῖνοι τῆς ἡμετέρας, οὕτω κατορθοῦν ἅπερ κατώρθουν. δοκεῖ δέ μοι καὶ ἄλλως ἐπίπονος εἶναι, καὶ τοῦτο δείκνυσι λέγων, διὰ τὰς πυκνάς σου ἀσθενείας, ἀπό τε τοῦ στομάχου, ἀπό τε τῶν ἄλλων μερῶν. οὐ μὴν ἀφῆκεν αὐτὸν ἀδεῶς ἐμφορεῖσθαι τοῦ οἴνου, ἀλλ' ὅσον πρὸς ὑγείαν, οὐ πρὸς τρυφήν.

24 Τινῶν ἀνθρώπων αἱ ἁμαρτίαι πρόδηλοί εἰσι, προάγουσαι εἰς κρίσιν, τισὶ δὲ καὶ ἐπακολουθοῦσιν. Ἐπειδὴ περὶ χειροτονιῶν ἔλεγε, μὴ κοινώνει, φησίν, ἁμαρτίαις ἀλλοτρίαις, τί οὖν ἂν ἀγνοῶ, φησί; τινῶν αἱ ἁμαρτίαι πρόδηλοί εἰσι, προάγουσαι αὐτοὺς εἰς κρίσιν, τισὶ δὲ καὶ ἐπακολουθοῦσι. τινῶν μέν, φησι, δῆλοί εἰσιν, ὅτι προλαμβάνουσι· τινῶν δὲ οὔ, ἀλλ' ἐπακολουθοῦσιν.

25 Ὡσαύτως καὶ τὰ καλὰ ἔργα πρόδηλά ἐστι, καὶ τὰ ἄλλως ἔχοντα κρυβῆναι οὐ δύναται.

1 Ὅσοι εἰσὶν ὑπὸ ζυγὸν δοῦλοι, τοὺς ἰδίους δεσπότας ἀξίους πάσης τιμῆς ἡγείσθωσαν, κεφ. ϛ.
ἵνα μὴ τὸ ὄνομα τοῦ Θεοῦ καὶ ἡ διδασκαλία βλασφημῆται. Πάσης τιμῆς ἀξίους, φησίν, ἡγείσθωσαν. μὴ γὰρ ἐπειδὴ πιστὸς εἶ, νομίσῃς ἐλεύθερος εἶναι. τοῦτό ἐστιν ἐλευθερία τὸ μᾶλλον δουλεύειν. ὁ γὰρ ἄπιστος ἂν μὲν ἴδῃ διὰ τὴν πίστιν αὐθαδῶς προσφερομένους, βλασφημήσει πολλάκις ὡς στάσιν ἐμποιοῦν τὸ δόγμα· ὅταν δὲ ἴδῃ πειθομένους, μᾶλλον πεισθήσεται, μᾶλλον προσέξει τοῖς λεγομένοις. καὶ γὰρ καὶ ὁ Θεὸς καὶ τὸ κήρυγμα μέλλει βλασφημεῖσθαι, μὴ πειθομένων. τί οὖν φησιν; ἂν ἄπιστοι ὦσιν οἱ δεσπόται;

Ἰακ. λα. μδ.

γ. κυριώτατον

γ. πενθῆσαι

γ. ἀντιλέγει

γ. ἐκεῖνο

β. Κορ. ιβ. ζ.

γ. πολλ. / γ. ἐπιτιμήσει

φώτισον· μείζων ἡ εὐεργεσία ἐκείνη τοῦ τὸν ἥλιον ὁρᾷν τὸ ἐμὲ ἐπιγινώσκειν. ἄνθρωπον οὐ δύνασαι ποιῆσαι, ἀλλὰ δίκαιον δύνασαι ποιῆσαι καὶ εὐάρεστον τῷ Θεῷ. ἐγὼ τὴν οὐσίαν εἰργασάμην· σὺ κατακόσμησον τὴν προαίρεσιν. ὅρα πῶς σε φιλῶ, καὶ ἐν τοῖς μείζοσί σοι ἔδωκα τὴν ἰσχύν. ὁρᾶτε, ἀγαπητοί, πῶς τετιμήμεθα; καί τινες τῶν ἀλογίστων, καὶ ἀγνωμόνων λέγουσι, διὰ τί τῆς προαιρέσεώς ἐσμεν κύριοι. ταῦτα πάντα ὅσα διήλθομεν, ἐν οἷς δυνάμεθα μιμεῖσθαι τὸν Θεόν, εἰ μὴ προαίρεσις ἦν, οὐκ ἂν ἦν ἡμῖν δυνατὸν μιμήσασθαι. ἄρχω, φησίν, ἀγγέλων ἐγώ, καὶ σὺ διὰ τῆς ἀπαρχῆς. ἐπὶ θρόνου κάθημαι βασιλικοῦ· καὶ σὺ συγκάθησαι διὰ τῆς ἀπαρχῆς. Συνήγειρε, φησί, καὶ συνεκάθισεν ἡμᾶς ἐν δεξιᾷ τοῦ πατρός. προσκυνεῖ σε τὰ χερουβίμ, καὶ τὰ σεραφίμ, πᾶσα ἡ ἀγγελικὴ δύναμις, ἀρχαί, ἐξουσίαι, θρόνοι, κυριότητες διὰ τῆς ἀπαρχῆς. μὴ κατηγόρει τοῦ σώματος, ὃ τοσαύτης ἀπολαύει τιμῆς, ὃ τρέμουσι καὶ ἀσώματοι δυνάμεις. ἀλλὰ τί εἴπω; οὐ τούτοις τὸ φίλτρον ἐπιδείκνυμαι μόνοις, ἀλλὰ καὶ οἷς ἔπαθον. διὰ σὲ ἐνεπτύσθην, ἐρραπίσθην, τὴν δόξαν ἐκένωσα, τὸν πατέρα εἴασα, καὶ πρὸς σὲ ἦλθον τὸν μισοῦντά με, καὶ ἀποστρεφόμενον, καὶ οὐδὲ ἀκοῦσαι βουλόμενον τὸ ὄνομά μου. κατεδίωξα καὶ ἐπέδραμον, ἵνα σε κατάσχω. ἥνωσά σε καὶ συνῆψα ἐμαυτῷ. φάγε με, εἶπον, πίε με. καὶ ἄνω σε ἔχω, καὶ κάτω συμπλέκομαί σοι. οὐκ ἀρκεῖ σοι, ὅτι σου τὴν ἀπαρχὴν ἔχω ἄνω; οὐ παραμυθεῖται τὸν πόθον; καὶ κάτω πάλιν κατέβην, οὐχ ἁπλῶς μίγνυμαί σοι, ἀλλὰ συμπλέκομαι, τρώγομαι, λεπτύνομαι κατὰ μικρόν, ἵνα πολλὴ ἡ ἀνάκρασις γένηται, καὶ ἡ μίξις, καὶ ἡ ἕνωσις. τὰ γὰρ ἑνούμενα ἐν οἰκείοις ἕστηκεν ὅροις· ἐγὼ δὲ συνυφαίνομαί σοι. οὐ βούλομαι λοιπὸν εἶναί τι μέσον· ἓν εἶναι βούλομαι τὰ ἀμφότερα. ταῦτα οὖν εἰδότες, καὶ τὴν πολλὴν περὶ ἡμᾶς αὐτοῦ κηδεμονίαν, ἅπαντα πράττωμεν, ἅπερ ἂν ἡμᾶς μὴ ἀναξίους δύναται δεικνύναι τῶν μεγάλων αὐτοῦ δωρεῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν.

Εφ β ς.

Λογ. ις. 21 ΔΙΑΜΑΡΤΥΡΟΜΑΙ ΕΝΩΠΙΟΝ ΤΟΥ ΘΕΟΥ καὶ Κυρίου Ἰησοῦ Χριστοῦ καὶ τῶν ἐκλεκτῶν ἀγγέλων, ἵνα ταῦτα φυλάξῃς χωρὶς προκρίματος, μηδὲν ποιῶν κατὰ πρόσκλησιν. (χ. πρόσκλισιν)
22 Χεῖρας ταχέως μηδενὶ ἐπιτίθει, μηδὲ κοινώνει ἁμαρτίαις ἀλλοτρίαις. σεαυτὸν ἁγνὸν τήρει. 23 Μηκέτι ὑδροπότει, ἀλλ' οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου καὶ τὰς πυκνάς σου ἀσθενείας.

Διαλεχθεὶς περὶ ἐπισκόπων, περὶ διακόνων, ἀνδρῶν, γυναικῶν, περὶ χηρῶν, περὶ πρεσβυτέρων, περὶ τῶν ἄλλων ἁπάντων, καὶ δείξας ὅσον ἐστὶν ὁ ἐπίσκοπος κύριος, ὅτι περὶ κρίσεως ἐλέγχων, ἐπήγαγε· Διαμαρτύρομαι ἐνώπιον τοῦ Θεοῦ, καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῶν ἐκλεκτῶν ἀγγέλων, ἵνα ταῦτα φυλάξῃς χωρὶς προκρίματος, μηδὲν ποιῶν κατὰ πρόσκλησιν. καὶ φρικτῶς παραγγέλλει λοιπόν. οὐ γὰρ ἐπειδὴ Τιμόθεος ἦν τὸ τέκνον τὸ ἀγαπητόν, ἠδέσθη. ὁ γὰρ περὶ ἑαυτοῦ μὴ αἰσχυνθεὶς εἰπεῖν, Φοβοῦμαι μή πως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι, πολλῷ μᾶλλον περὶ Τιμοθέου οὐκ ἂν ἠδέσθη, οὐδὲ ᾐσχύνθη. ἀλλὰ τὸν μὲν πατέρα καὶ τὸν υἱὸν καλῶς παραλαμβάνει εἰς μαρτυρίαν, τοὺς δὲ ἐκλεκτοὺς ἀγγέλους τίνος ἕνεκεν; ἀπὸ πολλῆς ἐπιεικείας, ἐπεὶ καὶ Μωϋσῆς οὕτω φησί· Διαμαρτύρομαι ὑμῖν τόν τε οὐρανόν, καὶ τὴν γῆν, διὰ τὴν πολλὴν ἐπιείκειαν τοῦ διδάσκοντος. καὶ πάλιν, Ἀκούσατε φάραγγες θεμέλια τῆς γῆς. καλεῖ δὲ μάρτυρα τὸν πατέρα καὶ τὸν υἱὸν τῶν λεχθέντων, εἰς τὴν μέλλουσαν ἡμέραν ἀπολογούμενος αὐτοῖς, εἴ τι γένοιτο παρὰ τὸ δέον, ὡς τὸ πᾶν ἀποδυσάμενος. ἵνα ταῦτα, φησι, φυλάξῃς

α. Κορ. θ κζ.

Δευτ. δ κς.

λάξῃς

πρόοδος, ἔνθα πάντα αἰθρία, ἔνθα πάντα ἀκμάζει, ἔνθα παλαιούμενον οὐδέν, οὐδὲ γηράσκον, οὐδὲ ἐπὶ ἀφανισμόν. ποθήσωμεν, παρακαλῶ, γνησίως τὸν Θεόν, μὴ φόβῳ γεέννης, ἀλλ' ἐπιθυμίᾳ βασιλείας. τί γάρ, εἰπέ μοι, τοῦ τὸν Χριστὸν ἰδεῖν ἴσον; οὐδὲν οὐκ ἔστι. τί δὲ τοῦ ἀπολαῦσαι τῶν ἀγαθῶν ἐκείνων ἴσον; οὐκ ἔστιν οὐδέν. Εἰκότως. Οὔτε γὰρ ὀφθαλμὸς εἶδε, οὔτε οὖς ἤκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεός, φησί, τοῖς ἀγαπῶσιν αὐτόν. (α Κορ. β.) ἐκείνων ἐπιτυχεῖν σπουδάσωμεν, καταφρονήσωμεν τούτων. οὐχὶ μυριάκις αὐτῶν κατηγοροῦμεν, ὅτι οὐδὲν ὁ βίος ὁ ἀνθρώπινος; τί σπουδάζεις περὶ τὸ μηδέν; τί πόνους ὑφίστασαι περὶ τὸ μηδέν; ἀλλ' ὁρᾷς οἰκοδομὰς λαμπράς, καὶ τούτων ἀπατᾷ σε ἡ θέα; ἀλλ' εὐθέως ἴδε εἰς τὸν οὐρανόν, ἀνάβλεψον ἀπὸ τῶν λίθων καὶ τῶν κιόνων πρὸς ἐκεῖνο τὸ κάλλος, καὶ ὄψει ταῦτα ὅτι μυρμήκων καὶ κωνώπων ἐστὶν ἔργα. ἐμφιλοσόφησον τῇ θέᾳ. ἄνελθε πρὸς τὰ ἐν τῷ οὐρανῷ. ἐκεῖθεν κατάμαθε τὰς λαμπρὰς οἰκοδομάς, καὶ ὄψει οὐδὲν οὔσας, ἀλλὰ παίδων ἀθύρματα μικρῶν. (γρ. τοίους) Εἶδες πῶς λεπτότερος, πῶς κουφότερος, πῶς καθαρώτερος καὶ διαυγέστερος ὁ ἀήρ, ὅσῳ ἂν ἀναβαίνῃς εἰς ὕψος; ἐκεῖ τὴν ἐλεημοσύνην ἐργαζόμενοι τὰς οἰκίας ἔχουσι, τὰς σκηνάς. ταῦτα ἐν τῇ ἀναστάσει καταλύεται, μᾶλλον δὲ πρὸ τῆς ἀναστάσεως χρόνος ἐπελθὼν διέφθειρε καὶ ἠφάνισε καὶ διέλυσε. καὶ πρὸ τοῦ χρόνου δὲ ἐν αὐτῇ πολλάκις τῇ ἀκμῇ καὶ τῇ ὥρᾳ ἢ σεισμὸς κατήνεγκεν, ἢ ἐμπρησμὸς τὸ πᾶν ἐλυμήνατο. οὐ γὰρ δὴ ἐν ταῖς ἡλικίαις τῶν ἀνθρώπων, ἀλλὰ καὶ ἐν ταῖς οἰκοδομαῖς εἰσὶν ἄωροι θάνατοι. καὶ πολλάκις τὰ μὲν σαθρὰ τῷ χρόνῳ γενόμενα, τῆς γῆς τιναχθείσης, ἔμεινεν ἀκλινῆ· τὰ δὲ ἀπαστράπτοντα, καὶ πεπηγότα, καὶ νεοκατασκεύαστα, ἀπὸ βροντῆς μόνης κατεσείσθη καὶ ἀπώλετο. καὶ τοῦτο τοῦ Θεοῦ οἰκονομοῦντος οἶμαι, ἵνα μὴ μέγα φρονῶμεν ἐν ταῖς οἰκοδομαῖς. βούλει καὶ ἑτέρως μὴ ἀθυμεῖν; ἐπὶ τὰ κοινὰ ἐλθὲ οἰκοδομήματα, ὧν ἴσον μετέχεις καὶ σύ. οὐ γάρ ἐστιν, οὐκ ἔστιν οἰκία, κἂν σφόδρα ᾖ λαμπρά, τῶν δημοσίων οἰκοδομημάτων λαμπροτέρα. ἐνδιάτριψον ὅσον χρόνον θέλεις ἐκεῖ. σά ἐστιν ἐκεῖνα, σά ἐστι μετὰ τῶν ἄλλων, κοινά ἐστι, καὶ οὐκ ἴδια. ἀλλ' οὐ τέρπει ταῦτα, φησίν. οὐ τέρπει, πρῶτον μὲν τῇ συνηθείᾳ, δεύτερον δὲ τῇ πλεονεξίᾳ. ἄρα τὸ τερπνὸν ἡ πλεονεξία ἐστίν, οὐχὶ τὸ κάλλος, ἄρα ἡ τέρψις ἡ πλεονεξία ἐστί, καὶ τὸ τὰ πάντων βούλεσθαι ἰδιοποιεῖσθαι. μέχρι τίνος τούτοις προσηλώμεθα; μέχρι τίνος τῇ γῇ προσεπήγαμεν, καὶ καθάπερ οἱ σκώληκες, περὶ τὸν βόρβορον ἐγκαλινδούμεθα; τὸ σῶμα ἡμῖν ἔδωκεν ὁ Θεὸς ἀπὸ γῆς, ἵνα καὶ αὐτὸ εἰς οὐρανὸν ἀναγάγωμεν, οὐχ ἵνα δι' αὐτοῦ καὶ τὴν ψυχὴν εἰς γῆν κατασπῶμεν. (γρ. κατασπῶμεν) γεῶδές ἐστιν, ἀλλ', ἐὰν θέλω, οὐράνιον γίνεται. ὅρα πόσῃ τετίμηκεν ἡμᾶς τιμῇ, τοιοῦτον ἔργον ἐπιτρέψας ἡμῖν. ἐποίησα, φησίν, ἐγὼ γῆν καὶ οὐρανόν· δίδωμι καὶ σοὶ δημιουργίαν, ποίησον τὴν γῆν οὐρανόν. δύνασαι γάρ. Ὁ ποιῶν πάντα, καὶ μετασκευάζων αὐτά, περὶ τοῦ Θεοῦ εἴρηται. (Ἀμὼς ε. η.) ἀλλὰ ταύτην καὶ τοῖς ἀνθρώποις ἔδωκε τὴν ἐξουσίαν· καθάπερ τις πατὴρ φιλόστοργος ζωγραφῶν οὐκ αὐτὸς μόνος, ἀλλὰ καὶ τὸ παιδίον βούλεται ἄγειν εἰς τὴν ἴσην μάθησιν. ἐποίησα, φησίν, ἐγὼ σῶμα καλόν· δίδωμί σοι τοῦ κρείττονος τὴν δημιουργίαν· ποίησον σὺ ψυχὴν καλήν. Εἶπον ἐγώ, Ἐξαγαγέτω ἡ γῆ βοτάνην χόρτου, καὶ πᾶν ξύλον κάρπιμον. (Γεν. α. ια.) εἰπὲ καὶ σύ, Ἐξαγαγέτω ἡ γῆ αὕτη καρπὸν τὸν ἴδιον, καὶ ἐξελεύσεται ὃ ἐὰν θέλῃς ἐνεργῆσαι. ποιῶ θέρος, καὶ ὁμίχλην, στερεῶ βροντήν, καὶ κτίζω πνεῦμα, ἔπλασα δράκοντα ἐμπαίζειν αὐτῷ, τουτέστι, τὸν διάβολον. οὐδέ σοι ταύτης ἐφθόνησα τῆς ἐξουσίας. ἔμπαιξον καὶ σύ, εἰ θέλεις, δύνασαι γὰρ ὡς στρουθίον δῆσαι αὐτόν. ἀνατέλλω τὸν ἥλιον ἐπὶ πονηρούς, καὶ ἀγαθούς. μίμησαι καὶ σύ· μετάδος τῶν σῶν καὶ ἀγαθοῖς καὶ πονηροῖς. ὑβριζόμενος φέρω, καὶ εὐεργετῶ τοὺς ὑβρίζοντας. μίμησαι καὶ σύ· δύνασαι γάρ. εὖ ποιῶ, οὐκ ἐπὶ ἀντιδόσει· μίμησαι καὶ σύ, καὶ μὴ εὖ ποιήσῃς ἐπὶ ἀντιδόσει, μηδὲ ἐπὶ ἀμοιβῇ. ἀνῆψα φωστῆρας εἰς τὸν οὐρανόν, ἄναψον καὶ σὺ τούτων λαμπροτέρους (δύνασαι γάρ) τοὺς ἐν πλάνῃ

φίλτρου τοῦ περὶ ἡμᾶς. Εἰ μὴ ἠπειλήθη καταστροφὴ ἐπὶ Ἰωνᾶ, οὐκ ἂν ἐκωλύθη ἡ καταστροφή. Εἰ μὴ εἶπεν, ὅτι καταστραφήσεται Νινευΐ, οὐκ ἂν ἔστη Νινευΐ. Εἰ μὴ ἠπειλήθη γέεννα, ἅπαντες ἂν εἰς γέενναν ἐνεπίσομεν. Εἰ μὴ ἠπειλήθη πῦρ, οὐδεὶς ἂν διέφυγε τὸ πῦρ. ἐναντία ὧν βούλεται πράττειν λέγει, ἵνα πράττῃ ἃ βούλεται. οὐ βούλεται τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, καὶ λέγει τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἵνα μὴ ἐμβάλῃ εἰς θάνατον. οὐκ εἶπε ῥήματι μόνον, ἀλλὰ καὶ τὸ ἔργον δείκνυσιν, ἵνα φύγωμεν. ἵνα δὲ μή τις νομίσῃ ἀπειλὴν εἶναι τὸ πρᾶγμα μόνον, ἀλλὰ καὶ ὄντως εἶναι, ἀπὸ τῶν ἐνταῦθα γεγονότων δῆλον τοῦτο ἐποίησεν. ἢ οὐ δοκεῖ σοι τῆς γεέννης εἶναι σύμβολον ὁ κατακλυσμὸς, ὁ τῆς παντελοῦς πανωλεθρίας

Ματθ. κδ. λη. τοῦ ὑετοῦ τοῦ πυρός; Ὥσπερ γὰρ, φησιν, ἐν ταῖς ἡμέραις Νῶε ἦσαν γαμοῦντες καὶ ἐκγαμίζοντες, οὕτω καὶ νῦν. προεῖπε περὶ πλείονος χρόνου τότε, καὶ νῦν προλέγει περὶ ἐτῶν πεντακοσίων, ἢ καὶ πλειόνων, ἀλλ' οὐδεὶς ὁ προσέχων· πάντες μύθους τὸ πρᾶγμα εἶναι νομίζουσι, πάντες γελῶντα, οὐδένα φόβος ἔχει, οὐδεὶς δακρύει, οὐδεὶς πατάσσει τὸ στῆθος. ὁ ποταμὸς τοῦ πυρὸς ἀναβράσσεται, ἡ φλὸξ ἐκκαίεται, καὶ ἡμεῖς γελῶμεν, καὶ τρυφῶμεν, καὶ ἁμαρτάνομεν ἀδεῶς. οὐδεὶς εἰς νοῦν τὴν ἡμέραν ἐκείνην λαμβάνει ποτὲ, οὐδεὶς ἐννοεῖ, ὅτι παρέρχεται τὰ παρόντα, ὅτι πρόσκαιρα ταῦτα, καίτοι τῶν πραγμάτων καθ' ἑκάστην ἡμέραν βοώντων, καὶ φωνὴν ἀφιέντων. τὸν ἄωρον θάνατον, αἱ τῶν πραγμάτων μεταβολαὶ καὶ ζώντων ἡμῶν γινόμεναι οὐ παιδεύουσιν ἡμᾶς, αἱ ἀρρωστίαι, καὶ τὰ λοιπὰ νοσήματα. οὐκ ἐν τοῖς ἡμετέροις δὲ σώμασι τὰς μεταβολὰς μόνον, ἀλλὰ καὶ ἐν αὐτοῖς τοῖς στοιχείοις ἴδοι τις ἄν. καὶ ἐν τῇ ἡλικίᾳ δὲ καθ' ἑκάστην ἡμέραν τὸν θάνατον μελετῶμεν, καὶ ἐν πᾶσι τὸ ἄστατον πανταχοῦ διὰ τῶν πραγμάτων χαρακτηρίζεται. οὐδέποτε χειμὼν ἔμεινεν, οὐδέποτε θέρος, οὐδὲ ἔαρ, οὐδὲ μετόπωρον, ἀλλὰ πάντα τρέχει, καὶ ἀφίπταται, καὶ ῥεῖ. ἀλλὰ τί βούλει εἴπω τὰ ἄνθη; τὰ ἀξιώματα; τοὺς βασιλεῖς τοὺς νῦν ὄντας, καὶ αὔριον οὐκ ὄντας; ἀλλὰ τοὺς πλουτοῦντας; ἀλλὰ τὰ οἰκοδομήματα τὰ λαμπρά; ἀλλὰ νύκτα καὶ ἡμέραν; ἀλλὰ τὸν ἥλιον; ἀλλὰ τὴν σελήνην; οὐ φθίνει καὶ αὐτή; καὶ αὐτὸς δὲ ὁ ἥλιος οὐκ ἐκλείπει πολλάκις, οὐ σκοτίζεται; οὐ νέφος αὐτὸν κρύπτει; μή τι τῶν ὁρωμένων παραμένει διαπαντός; οὐδὲν, ἀλλ' ἡ ψυχὴ μόνη τῶν ἐν ἡμῖν, καὶ ταύτης ἀμελοῦμεν. τῶν μὲν ἀλλοιουμένων, ὡς μενόντων πολλὴν ποιούμεθα πρόνοιαν· τῆς δὲ μενούσης ἀεὶ ὡς παρερχομένης οὐδένα ἔχοντες λόγον. ὁ δεῖνα μεγάλα δύναται; ἀλλ' ἕως αὔριον, μετὰ δὲ ταῦτα ἀπόλλυται. καὶ δῆλον ἐκ τῶν μείζονα δυνηθέντων, καὶ νῦν οὐδαμοῦ φαινομένων. σκηνή τίς ἐστιν ὁ βίος, καὶ ὄναρ. καθάπερ γὰρ ἐπὶ τῆς σκηνῆς τοῦ σκηνώσεως ἀρθέντος αἱ ποικιλίαι διαλύονται, καὶ τὰ ὀνείρατα τῆς ἀκτῖνος φανείσης πάντα ἀφίπταται· οὕτω καὶ νῦν τῆς συντελείας γινομένης, καὶ τῆς κοινῆς, καὶ τῆς ἑνὸς ἑκάστου, πάντα λύεται καὶ ἀφανίζεται. καὶ ξύλον μὲν, ὃ ἐφύτευσας, μένει, καὶ ἡ οἰκία, ἣν οἰκοδόμησας, καὶ αὐτὴ μένει· ὁ δὲ τεχνίτης καὶ ὁ γεωργὸς ἀπάγεται καὶ διαφθείρεται. καὶ τούτων γινομένων, οὐδὲ οὕτως ἐντρεπόμεθα, ἀλλ' ὡς ἀθάνατοι ταῦτα πάντα κατασκευάζομεν, τρυφῶντες καὶ σπαταλῶντες. ἄκουσον τί φησιν ὁ Σολομὼν, ὁ ἔργῳ πεῖραν λαβὼν

Εκκλησ. β. δ. τῶν παρόντων πραγμάτων. Ὠκοδόμησά μοι οἰκίας, φησὶν, ἐφύτευσα κήπους, καὶ παραδείσους, ἀμπελῶνας, καὶ κολυμβήθρας ὑδάτων, ἀργύριον καὶ χρυσίον ἐγένετό μοι, ἐποίησά μοι ᾄδοντας καὶ ᾀδούσας, ποίμνια καὶ βουκόλια. οὐδεὶς γὰρ οὕτως ἐγένετο τρυφηλὸς, οὐδεὶς οὕτως ἔνδοξος, οὐδεὶς οὕτω σοφὸς, οὐδεὶς οὕτω ἄρχων, οὐδεὶς οὕτω κατὰ νοῦν πάντα εἶδεν αὐτῷ προσκεχωρηκότα. τί οὖν; οὐδὲν τούτων ἀπώνατο. ἀλλὰ τί φησι μετὰ ταῦτα πάντα; Ματαιότης γὰρ, φησι, ματαιοτήτων, τὰ πάντα ματαιότης· οὐχ ἁπλῶς ματαιότης, ἀλλὰ καθ' ὑπερβολήν. πειθώμεθα αὐτῷ, παρακαλῶ, τῷ διὰ πείρας ἥκοντι· πειθώμεθα αὐτῷ, καὶ ἐπιλαβώμεθα πραγμάτων, ἔνθα οὐκ ἔστι ματαιότης, ἔνθα ἀλήθεια, ἔνθα πάντα πάγια καὶ βέβαια, ἔνθα πάντα ἐπὶ τῆς πέτρας ᾠκοδόμηται, ἔνθα γῆρας οὐκ ἔνι, οὐδὲ

παρόδος,

γρ. ἐν ταχεῖ μὲν τῶν ἡλικιῶν ἡμῶν καὶ τῆς ἑκάστης ἡμέρας περιφερόμενοι τὸν θάνατον ἀπαρνούμεθα.

γρ. ἔχομεν

ἔχει· τίνα λέγει δέ, φησι; οὐ τὴν κομπώδη, οὐδὲ τὴν κομψείαν ἔχουσαν τὴν ἔξωθεν, ἀλλὰ τὴν ἰσχὺν πολλὴν κεκτημένην τοῦ πνεύματος, τῆς συνέσεως γέμοντα καὶ φρονήσεως. οὐ κατασκευῆς οὖν αὐτῷ καὶ φράσεως δεῖ, ἀλλὰ νοημάτων, ὅπως ἂν λέγηται, οὐδὲ συνθήκης, ἀλλὰ φρενῶν.

19 Κατὰ πρεσβυτέρου κατηγορίαν μὴ παραδέχου, ἐκτὸς εἰ μὴ ἐπὶ δύο ἢ τριῶν μαρτύρων.

Κατὰ γὰρ νεωτέρου δεῖ ἐκτὸς μαρτύρων κατηγορίαν δέχεσθαι; κατὰ δὲ ὅλως τινός, καὶ οὐχὶ μετὰ ἀκριβείας πάντοτε δεῖ τὰς κρίσεις ποιεῖσθαι; τί οὖν ἐστιν ὃ λέγει; οὐδὲ ἐπὶ ἄλλων, φησί, μάλιστα δὲ κατὰ πρεσβυτέρου. πρεσβύτερον γὰρ ἐνταῦθά φησιν, οὐχὶ τὸ ἀξίωμα, ἀλλὰ τὴν ἡλικίαν, ἐπειδήπερ εὐκολώτερον ἁμαρτάνουσιν οἱ νέοι τῶν πρεσβυτέρων. (χ. ὅτι) δῆλον δέ ἐστιν ἐντεῦθεν, ὅτι ἐκκλησίαν λοιπὸν ἦν ἐμπεπιστευμένος ὁ Τιμόθεος, ἢ καὶ ἔθνος ὁλόκληρον τὸ τῆς Ἀσίας. διὸ καὶ περὶ πρεσβυτέρων αὐτῷ διαλέγεται.

20 Τοὺς ἁμαρτάνοντας ἐνώπιον πάντων ἔλεγχε, ἵνα καὶ οἱ λοιποὶ φόβον ἔχωσι.

Τουτέστι, μὴ ταχέως ἐκκόπτε, ἀλλὰ μετὰ πολλῆς τῆς ἀκριβείας ἅπαντα περιεργάζου. ὅταν μέντοι μάθης σαφῶς, σφοδρῶς ἐπέξιθι, ἵνα οἱ ἄλλοι σωφρονισθῶσιν. ὥσπερ γὰρ τὸ ἁπλῶς κατακρίνειν βλαβερόν, οὕτω τὸ μὴ ἐπεξιέναι τοῖς φανεροῖς ἁμαρτήμασιν, ὁδόν ἐστι δοῦναι τοῖς ἄλλοις τὰ αὐτὰ ποιεῖν καὶ τολμᾶν. ἔλεγχε δέ, εἶπε, δηλῶν ὅτι οὐχ ἁπλῶς, ἀλλὰ μετὰ ἀποτομίας. οὕτω γὰρ καὶ οἱ λοιποὶ φόβον ἕξουσι. πῶς οὖν φησιν ὁ Χριστός, Ὕπαγε, ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου, ἐὰν εἰς σὲ ἁμάρτῃ; (Ματθ. ιη. ιε.) πλὴν κἀκεῖνον συγχωρεῖ ἐν τῇ ἐκκλησίᾳ ἐλέγχεσθαι. τί οὖν; οὐχὶ σκανδαλίζει μᾶλλον τὸ ἐνώπιον πάντων ἐλέγχεσθαι; πῶς; ὅταν γὰρ τὸ ἁμάρτημα ὦσιν εἰδότες, τὴν δὲ κόλασιν οὐκέτι, μᾶλλον σκανδαλίζονται. ὥσπερ γὰρ ἀτιμωρήτων μενόντων τῶν ἁμαρτανόντων, πολλοὶ οἱ πλημμελοῦντες, οὕτω κολαζομένων, πολλοὶ οἱ κατορθοῦντές εἰσιν. οὕτω καὶ ὁ Θεὸς ἐποίησε· τὸν Φαραὼ εἰς μέσον ἀγαγὼν ἐκόλασε, καὶ τὸν Ναβουχοδονόσορ, καὶ πολλοὺς ἑτέρους καὶ κατὰ πόλιν, καὶ κατὰ ἄνθρωπον ὁρῶμεν δίκην δεδωκότας. ἆρα βούλεται πάντας φόβον ἔχειν παρὰ τοῦ ἐπισκόπου, καὶ πᾶσιν αὐτὸν ἐφίστησιν. ἐπειδὴ γὰρ πολλὰ ἀπὸ ὑποψίας κρίνεται, δεῖ, φησιν, εἶναι τοὺς μαρτυροῦντας, καὶ διελέγχοντας αὐτὸν κατὰ τὸν παλαιὸν νόμον. Ἐπὶ γὰρ δύο ἢ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα. κατὰ πρεσβυτέρου, φησί, κατηγορίαν μὴ παραδέχου. (Δευτ. ιθ. ιε.) οὐκ εἶπε, μὴ κατακρίνῃς, ἀλλὰ μηδὲ δέξῃ κατηγορίαν, μηδὲ ὅλως εἰς κρίσιν καταστῆς. τί οὖν ἂν καὶ οἱ δύο ψεύδωνται; τοῦτο σπανιάκις συμβαίνει. ἵνα δὲ ἀπὸ τῆς κρίσεως ἐξεταζόμενοι καὶ τοῦτο γένηται δῆλον. τὰ γὰρ ἁμαρτήματα ἀγαπητὸν καὶ δύο μάρτυρας ἔχειν, διὰ τὸ λάθρα γίνεσθαι καὶ κεκρυμμένως. ὥστε πολλῆς δοκιμασίας σημεῖον τοῦτο. τί οὖν ἂν μὲν ὁμολογημένα ᾖ τὰ ἁμαρτήματα, μάρτυρας δὲ μὴ ἔχῃ, ἀλλὰ πονηρὰν ὑπόνοιαν; Εἶπον ἄνω, φησί, Δεῖ δὲ αὐτὸν καὶ μαρτυρίαν καλὴν ἔχειν ἀπὸ τῶν ἔξωθεν. (α. Τιμ. γ. ζ.) μετὰ φόβου τοίνυν ἀγαπῶμεν τὸν Θεόν. δικαίῳ μὲν γὰρ νόμος οὐ κεῖται· οἱ δὲ πολλοὶ καὶ τὴν ἀρετὴν ἀνάγκῃ μετερχόμενοι, καὶ οὐ προθέσει, μεγάλα ἀπὸ τοῦ φόβου καρποῦνται, πολλάκις τὰς ἐπιθυμίας ἐκκόπτοντες τὰς ἑαυτῶν.

ΗΘΙΚΟΝ

Διὰ τοῦτο περὶ γεέννης ἀκούωμεν, ἵνα πολύ τι καρπωσώμεθα ἀπὸ τῆς ἀπειλῆς καὶ τοῦ φόβου τούτου. εἰ γὰρ μέλλων ἐμβάλλειν εἰς αὐτὴν τοὺς ἁμαρτάνοντας, μὴ προεῖπε ταύτης τὴν ἀπειλήν, πολλοὶ ἐνέπεσον ἂν εἰς αὐτήν. εἰ γὰρ νῦν τοῦ φόβου κατασείοντος ἡμῶν τὰς ψυχάς, εἰσί τινες οἱ οὕτω ῥᾳδίως ἁμαρτάνοντες, ὡς οὐδὲ οὔσης αὐτῆς, εἰ μηδὲν τούτων εἴρητο μήτε ἠπείλητο, τί οὐκ ἂν εἰργασάμεθα δεινόν; ὥστε ὅπερ ἀεὶ φημί, τῆς βασιλείας οὐχ ἧττον ἡ γέεννα τοῦ Θεοῦ τὴν κηδεμονίαν δείκνυσιν. ἡ γέεννα γὰρ τῇ βασιλείᾳ συμπράττει, τοὺς ἀνθρώπους τῷ φόβῳ ὠθοῦσα πρὸς αὐτήν. μηδὲ ἀπηνείας, μηδὲ ὠμότητος εἶναι τὸ πρᾶγμα νομίσωμεν, ἀλλὰ ἐλέους, καὶ φιλανθρωπίας πολλῆς, καὶ κηδεμονίας, καὶ

βιωτικῶν· ἐπειδὴ δὲ κατώτεραι γεγόνασι, καὶ ἐν αὐτοῖς ἐγκέχυνται.
17 Οἱ καλῶς προεστῶτες πρεσβύτεροι διπλῆς τιμῆς ἀξιούσθωσαν, μάλιστα οἱ κοπι-
Δευτ. κε. μ. ῶντες ἐν λόγῳ καὶ διδασκαλίᾳ. 18 Λέγει γὰρ ἡ γραφή, Βοῦν ἀλοῶντα οὐ φιμώσεις·
Λουκ. ι. ζ. καί, Ἄξιος ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ. Τιμὴν ἐνταῦθα τὴν θεραπείαν λέγει, τὴν τῶν ἀναγ-
καίων χορηγίαν. ὃ γὰρ ἐπήγαγεν, οὐ φιμώσεις βοῦν ἀλοῶντα, καί, ἄξιος ὁ ἐργάτης τοῦ μι-
σθοῦ αὐτοῦ, τοῦτο δηλοῖ. ἄρα καὶ ὅταν λέγῃ, χήρας τίμα, τοῦτο λέγει περὶ τῆς τῶν ἀναγ- γρ. ποιεῖ
καίων τροφῆς, ἵνα ταῖς ὄντως χήραις ἐπαρκέσῃ, φησί. καὶ πάλιν, τίμα τὰς ὄντως χήρας· τουτέστι,
τὰς ἐν πενίᾳ. ὅσῳ γὰρ ἄν τις ἐν πενίᾳ ᾖ, τοσούτῳ μᾶλλόν ἐστι χήρα. τίθησι δὲ τοῦ νόμου, τίθη-
σι δὲ τοῦ Χριστοῦ, ἀμφότερα συμφωνοῦντα. ὁ μὲν γὰρ νόμος φησίν, οὐ φιμώσεις βοῦν ἀλο-
ῶντα. ὁρᾷς πῶς βούλεται κάμνειν τοὺς διδασκάλους; οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἄλλος πόνος τοι-
οῦτος, ὡς ὁ ἐκείνου. ἀλλ' ἐκεῖθεν μὲν τοῦ νόμου· πῶς δὲ καὶ τὸ τοῦ Χριστοῦ τίθησιν; ἄξιος γάρ, φη-
σιν, ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ. μὴ τῷ μισθῷ τοίνυν προσέχωμεν μόνῳ, ἀλλὰ καὶ πῶς
προσέταξε. φησὶ γάρ, ἄξιος ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ ἐστιν. ὥστε εἴ τις τρυφᾷ, καὶ
ἀνίεται, οὐκ ἔστιν ἄξιος· εἰ μή τις ἐστὶ βοῦς ἀλοῶν, καὶ πρὸς πνίγος, καὶ πρὸς ἀκάνθας δὲ
ζεῦγος ἀνέχων ἕλκει, καὶ οὐ πρότερον ἀφίσταται, ἕως ταῖς ἀποθήκαις τοὺς καρποὺς εἰσκομίσει,
οὐκ ἔστιν ἄξιος. ἄρα δεῖ μετὰ ἀφθονίας ἐπιρρέειν τοῖς διδασκάλοις τὴν τῶν ἀναγκαίων χο-
ρηγίαν, ἵνα μὴ κάμνωσι, μήτε ἐκλύωνται, μηδὲ περὶ τὰ μικρὰ ἀσχολαζόμενοι τῶν μεγάλων
ἀποστερῶσιν ἑαυτούς, ἵνα τὰ πνευματικὰ ἐργάζωνται, μηδένα τῶν βιωτικῶν ποιούμενοι λόγον.
τοιοῦτοι ἦσαν οἱ Λευῖται, οὐδὲν αὐτοῖς ἔμελε τῶν βιωτικῶν, ὅτι τοῖς λαϊκοῖς ἔμελε τῆς αὐ-
τῶν προνοίας. καὶ νόμῳ ἐτέτακτο τὰ τῶν προσόδων, οἷον αἱ δεκάται, [τὰ ἀπὸ τῶν χειρῶν,]
αἱ ἀπαρχαί, αἱ εὐχαί, καὶ πολλὰ ἕτερα. ἀλλ' ἐκείνοις μὲν εἰκότως ταῦτα ἐνομοθετεῖτο, ἅτε τὰ
παρόντα ζητοῦσιν· ἐγὼ δὲ πλέον οὐδὲν λέγω τοῦ δεῖ τοὺς προεστῶτας ἔχειν τροφὰς καὶ σκεπά-
σματα, ἵνα μὴ περιέλκωνται εἰς ταῦτα. τί δέ ἐστι, διπλῆς τιμῆς; διπλῆς τῆς πρὸς τὰς
χήρας, ἢ τῆς πρὸς τοὺς διακόνους, ἢ ἁπλῶς διπλῆς τιμῆς, πολλῆς φησι. μὴ τοῦτο τοίνυν
μόνον σκοπῶμεν, ὅτι διπλῆς αὐτοὺς τιμῆς ἠξίωσεν, ἀλλ' ὅτι προσέθηκε τοὺς καλῶς προε-
Ιωαν. ι. ια. στῶτας. τί δέ ἐστι, καλῶς προεστῶτας; ἀκούσωμεν τοῦ Χριστοῦ λέγοντος· Ὁ ποιμὴν ὁ κα-
λὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων. ἄρα τοῦτό ἐστι καλῶς προεστάναι, μη-
δενὸς φείδεσθαι τῆς ἐκείνων κηδεμονίας ἕνεκεν. μάλιστα, φησίν, οἱ κοπιῶντες ἐν λόγῳ καὶ δι-
δασκαλίᾳ. ποῦ νῦν εἰσιν οἱ λέγοντες μὴ δεῖν λόγου, μηδὲ διδασκαλίας; ἐπεὶ καὶ Τι-
α. Τιμ. δ. ιε. ιϛ. μοθέῳ τοσαῦτα παραινεῖ λέγων, Ταῦτα μελέτα, ἐν τούτοις ἴσθι. καὶ πάλιν, Πρόσεχε τῇ ἀνα-
γνώσει, τῇ παρακλήσει· τοῦτο γὰρ ποιῶν καὶ σεαυτὸν σώσεις, καὶ τοὺς ἀκούοντας. καὶ τούτους μά-
λιστα πάντων τῶν ἄλλων τιμᾶσθαι βούλεται· καὶ τὴν αἰτίαν τίθησιν, ὅτι πολλοὺς πόνους ὑπομένου-
σι, φησίν. εἰκότως. ὅταν γὰρ ὁ μὲν ἕτερος μήτε ἀγρυπνῇ, μήτε φροντίζῃ, ἀλλ' ἁπλῶς
συνεδρεύῃ ἐν ἀδείᾳ καὶ ἀμεριμνίᾳ, ἐκεῖνος δὲ κατατείνηται φροντίζων, μελετῶν, καὶ μάλιστα, ὅ-
ταν ἄπειρος ᾖ καὶ λόγων τῶν ἔξωθεν, πῶς οὐ δεῖ μάλιστα τιμῆς ἀπολαύειν καὶ πρὸ τῶν ἄλλων
ἁπάντων αὐτὸν εἰς τοσούτους πόνους ἑαυτὸν ἀφιέντα; μυρίαις γὰρ γλώσσαις ἐστὶν ὑπεύ-
θυνος. ὁ δεῖνα ἐμέμψατο, ἕτερος ἐπῄνεσεν, ἄλλος ἔσκωψεν, ἄλλος διέβαλε τὴν μνήμην
καὶ τὴν σύνθεσιν, καὶ δεῖ αὐτῷ πολλῆς ἰσχύος, ὥστε ταῦτα φέρειν. μέγα γὰρ τοῦτο, μέγα πρὸς
ἐκκλησίας οἰκοδομήν, καὶ πολὺ συντελεῖ, τὸ διδακτικοὺς εἶναι τοὺς προεστῶτας. καὶ τοῦτο
μὴ παρῇ, πολλὰ τῶν ἐν ταῖς ἐκκλησίαις οἴχεται. διὰ τοῦτο μετὰ τῶν ἄλλων, μετὰ τοῦ φιλο-
ξένου καὶ τοῦ ἐπιεικοῦς, μετὰ τοῦ ἀνεπιλήπτου, καὶ τοῦτο ἀριθμεῖ λέγων, διδακτικόν. ἐπεὶ διατί δι-
δάσκαλος λέγεται; ναί, φησίν, ἵνα τῷ βίῳ διδάσκῃ φιλοσοφίαν. ὥστε ταῦτα περιττά. καὶ οὐ
δεῖ τῆς ἀπὸ τῶν λόγων διδασκαλίας εἰς προκοπήν. καὶ πῶς ὁ Παῦλός φησι, μάλιστα οἱ κο-
πιῶντες ἐν λόγῳ καὶ διδασκαλίᾳ; ὅταν γὰρ περὶ δογμάτων ᾖ λόγος, ποῖος βίος ἐνταῦθα ἰσχὺν
ἔχει;

Digitized by Google

σωσι τοῦ Χριστοῦ, γαμεῖν θέλουσι. τί ἐστιν, ὅταν καταστρηνιάσωσιν; ὅταν ἀκκισθῶσιν, ὅταν θρύπτωνται. καθάπερ ὅταν ἐπὶ ἀνδρός τις ἐπιεικοῦς "λέγῃ, ἄφες" αὐτήν, ὅτι ἰταμὸς γέγονε. δείκνυσι τοίνυν ὅτι καὶ τὴν χηρείαν ἁπλῶς εἵλοντο, οὐ κρίνασαι. ἄρα δὲ ἡ χήρα τῷ Χριστῷ ἁρμόζεται ἐν τῇ χηρείᾳ. Ἐγὼ γάρ, φησι, προστάτης τῶν χηρῶν, καὶ πατὴρ τῶν ὀρφανῶν. δείκνυσιν ὅτι οὐδὲ τὴν χηρείαν ὀρθῶς αἱροῦνται, ἀλλὰ καταστρηνιῶσιν, ἀλλ' ὅμως φέρει. καὶ μὴν ἀλλαχοῦ φησιν· Ἡρμοσάμην ὑμᾶς ἑνὶ ἀνδρί, παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ. ὅταν ὀνομασθῶσιν αὐτῷ, φησι, γαμεῖν θέλουσιν, ἔχουσαι κρίμα, ὅτι τὴν πρώτην πίστιν ἠθέτησαν. πίστιν, τὴν συνθήκην λέγει, τὴν ἀλήθειαν, ὡσεὶ ἔλεγεν, ἐψεύσαντο αὐτόν, ἠθέτησαν, παρέβησαν τὰς συνθήκας. ἅμα δὲ καὶ ἀργαὶ μανθάνουσιν. οὐκ ἄρα ἀνδράσι μόνον ἐπιτάττει τὸ ἐργάζεσθαι, ἀλλὰ καὶ γυναιξί. πᾶσαν γὰρ τὴν κακίαν ἐδίδαξεν ἡ ἀργία. οὐ τούτῳ, φησί, τῷ κρίματι μόνον εἰσὶν ὑπεύθυνοι, ἀλλὰ καὶ ἑτέροις ἁμαρτήμασιν. εἰ ἄρα ἀνάρμοστον γυναικὶ τὸ περιιέναι τὰς οἰκίας, πολλῷ μᾶλλον παρθένῳ*. οὐ μόνον δέ, φησιν, ἀργαὶ μανθάνουσιν, ἀλλὰ καὶ φλύαροι, καὶ περίεργοι, λαλοῦσαι τὰ μὴ δέοντα. Βούλομαι οὖν νεωτέρας χήρας γαμεῖν, τεκνογονεῖν, οἰκοδεσποτεῖν. τί οὖν συμβαίνει; ὅταν καὶ ἡ τοῦ ἀνδρὸς μέριμνα ἀποστῇ, καὶ ἡ τοῦ Θεοῦ μὴ κατέχῃ, εἰκότως ἀργαί, λάλοι, περίεργοι γίνονται. ὁ γὰρ τὰ ἑαυτοῦ μὴ μεριμνῶν, τὰ ἑτέρου μεριμνήσει πάντως· ὥσπερ ὁ τὰ ἑαυτοῦ φροντίζων, τῶν ἑτέρων οὐδένα ποιήσεται λόγον, οὐδὲ μίαν ἕξει φροντίδα. λαλοῦσαι τὰ μὴ δέοντα. οὐδὲν οὕτως ἀνάρμοστον γυναικί, ὡς τὸ τὰ ἑτέρων περιεργάζεσθαι μάλιστα, οὐ μόνον δὲ γυναικί, ἀλλὰ καὶ ἀνδρί. ἀναισχυντίας γὰρ καὶ ἰταμότητος τεκμήριον τοῦτο μέγιστον. Βούλομαι οὖν. ἐπειδὴ αὗται βούλονται, βούλομαι κἀγὼ νεωτέρας χήρας γαμεῖν, τεκνογονεῖν, οἰκοδεσποτεῖν, οἰκουρεῖν. πολλῷ γὰρ τοῦ ποιεῖν ἐκεῖνα τοῦτο βέλτιον. ἔδει μὲν οὖν τὰ τοῦ Θεοῦ μεριμνᾶν, ἔδει τὴν πίστιν φυλάττειν· ἐπειδὴ δὲ ἐκεῖνα οὐ γίνεται, βέλτιον ταῦτα γενέσθαι, ἢ ἐκεῖνα. οὔτε γὰρ ὁ Θεὸς ἀθετεῖται, οὔτε αὗται ταῦτα μανθάνουσιν. ἀπὸ μὲν γὰρ τῆς χηρείας ἐκείνης οὐδὲν χρηστὸν ἔσται· ἀπὸ δὲ τοῦ γάμου τούτου πολλὰ ἀγαθά. ἐντεῦθεν τὸ κεχηνὸς καὶ ῥάθυμον τῆς διανοίας αὐτῆς ἐπιστρέψαι δυνήσεται. Καὶ τίνος ἕνεκεν, φησιν, οὐκ εἶπεν, ἐπειδὴ χῆραι ἐξέπεσον, πολλῆς αὐτὰς ἐπιμελείας δεῖ ἀπολαύειν, ὥστε μὴ παθεῖν ἅπερ εἶπον, ἀλλ' ἐπέταξε γάμον; ὅτι οὐ κεκώλυται, ὅτι ἐν ἀσφαλείᾳ καθίστησι. διὸ καὶ ἐπάγει, μηδεμίαν διδόναι ἀφορμὴν τῷ ἀντικειμένῳ λοιδορίας χάριν, μηδὲ λαβήν τινα. ἤδη γάρ τινες ἐξετράπησαν ὀπίσω τοῦ Σατανᾶ. κωλύει τοίνυν τὰς χήρας τὰς τοιαύτας, οὐ βουλόμενος μὴ εἶναι χήρας νεωτέρας, ἀλλὰ μὴ βουλόμενος μοιχαλίδας εἶναι, μὴ βουλόμενος ἀργὰς εἶναι καὶ περιέργους, λαλούσας τὰ μὴ δέοντα, μὴ βουλόμενος τὸν διάβολον ἀφορμὴν λαμβάνειν· ὡς εἰ μὴ "τοιοῦτον ἐγίνετο, οὐκ ἂν" ἐκώλυσεν.

γρ. λέγει. γρ. αὐτόν.

β. Κορ. ια β.

* πλείονα τῶν ἀσφαλειῶν ἐπιταχθῇ.

γρ. τοῦτο

16 Εἰ δέ τις πιστός, ἢ πιστὴ ἔχει χήρας, ἐπαρκείτω αὐταῖς, καὶ μὴ βαρείσθω ἡ ἐκκλησία, ἵνα ταῖς ὄντως χήραις ἐπαρκῇ. Ὁρᾷς πῶς πάλιν ὄντως χήρας λέγει ἐκείνας τὰς μεμονωμένας, τὰς οὐδαμόθεν ἐχούσας παραμυθίαν; οὕτω γὰρ βέλτιον ἦν. δύο γὰρ ἐγίνετο τὰ μέγιστα, καὶ ἐκεῖναι ἀφορμὴν ἐλάμβανον τοῦ εὖ ποιεῖν, καὶ αὗται διετρέφοντο καλῶς, καὶ ἡ ἐκκλησία οὐκ ἐβαρεῖτο. καλῶς προσέθηκεν, εἴ τις πιστός. παρὰ γὰρ τῶν ἀπίστων οὐκ ἔδει τὰς πιστὰς τρέφεσθαι, ἵνα μὴ δόξωσι δεῖσθαι αὐτῶν. καὶ ὅρα πῶς παραμυθητικῶς. οὐκ εἶπε, πολυτέλειαν τινὰ χορηγείτω, ἀλλ', ἐπαρκείτω αὐταῖς, ἵνα ἡ ἐκκλησία, φησί, ταῖς ὄντως χήραις ἐπαρκῇ. ἄρα καὶ ταύτης τὸν μισθὸν αὕτη ἔχει τῆς βοηθείας. ἡ γὰρ βοηθοῦσα ταύτῃ, οὐ ταύτῃ βοηθεῖ μόνον, ἀλλὰ καὶ ἐκείναις, μετ' εὐρυχωρίας ἀφθόνως αὐτὰς τρέφεσθαι. Βούλομαι νεωτέρας, τί; τρυφᾶν; ἀλλὰ σπαταλᾶν; οὐδὲν τοιοῦτον, ἀλλὰ γαμεῖν, τεκνογονεῖν, οἰκοδεσποτεῖν. ἵνα γὰρ μὴ νομίσῃς αὐτὸν εἰς τρυφὴν αὐτὰς προτρέπειν, ἐπήγαγε· μηδεμίαν διδόναι ἀφορμὴν τῷ ἀντικειμένῳ λοιδορίας χάριν. ἔδει μὲν γὰρ αὐτὰς εἶναι ἀνωτέρας τῶν

βιωτικῶν·

σκάνδαλα τοῦ διαβόλου· πολλάκις ἡ μηδέποτε ἐμποδίσασα, τότε ἐμποδίζει, ἢ ἀπὸ κενοδοξίας, ἢ ἀπὸ ἑτέρου τινός. ἐπεὶ καὶ ὁ Ἀβραάμ, καίτοι θαυμαστὴν ἔχων γυναῖκα, τὸν υἱὸν μέλλων ἀναφέρειν, ἔκρυπτε, καίτοιγε οὐκ εἰδὼς τὸ ἐκβησόμενον, ἀλλὰ πεπεισμένος, ὅτι πάντως ἀναιρήσει. τί οὖν ἔμελλε λέγειν, εἴ τις ἦν ἄνθρωπος τῶν πολλῶν; οὐκ ἂν εἶπε, τίς ἐστιν οὗτος ὁ ταῦτα διαπραττόμενος; οὐκ ἂν ἐπὶ ἀπηνείᾳ αὐτὸν διέβαλε καὶ ἀγροικίᾳ; οὐδὲ ἰδεῖν κατηξιώθη τὸ παιδίον τὸ ἑαυτῆς ἡ γυνή, οὐδὲ ὑστέρας ἀκοῦσαι φωνῆς, οὐδὲ ἀπαίρειν προσασπάσασθαι, ἀλλ' ὥσπερ αἰχμάλωτον λαβών, οὕτως ἀπήγαγεν. ἀλλ' οὐδὲν τούτων ἐνενόησεν ὁ δίκαιος ἐκεῖνος, μεθύων τῷ πόθῳ. οὐδὲν γὰρ ἄλλο ἑώρα, ἀλλὰ τὸ προσταττόμενον ὅπως ἐργάσαιτο, οὐδὲ παῖς ἦν ἐκεῖ, οὐδὲ γυνή· μᾶλλον δὲ οὐδὲ αὐτὸς ᾔδει τὸ ἐκβησόμενον. οὕτω πάντοτε ἐσπούδαζε καθαρὸν τὸ ἱερεῖον ἀναγαγεῖν, μὴ δάκρυσιν αὐτό, μὴ ἀπολογίᾳ μαλιῶσαι.

Γεν. κβ. ζ. η. ὅρα δὲ μεθ' ὅσης ἡμερότητος ὁ Ἰσαὰκ ἐρωτᾷ, καὶ τί φησι πρὸς αὐτόν· Ἰδοὺ τὰ ξύλα καὶ τὸ πῦρ, ποῦ τὸ πρόβατον; τί οὖν ὁ πατήρ; Ὁ Θεὸς ὄψεται ἑαυτῷ πρόβατον εἰς ὁλοκάρπωσιν, τέκνον. λέγεται δὲ τοῦτο καὶ ὡς προφητεία, ὅτι τὸν υἱὸν ὄψεται ἑαυτῷ Θεὸς εἰς ὁλοκάρπωσιν, καὶ ἅμα καὶ τότε ἐκβέβηκε. τί δὲ αὐτὸν κρύπτεις, εἰπέ, τὸν σφαγιασθησόμενον; ναί, φησι, δέδοικα μὴ ναρκήσῃ, δέδοικα μὴ ἀνάξιος ὀφθῇ. εἶδες πῶς μετὰ πολλῆς τῆς ἀκριβείας ἅπαντα ἔπραττεν; ἆρα καλῶς εἶπεν ἡ γραφή, Ματθ. ς. γ. Μὴ γνώτω ἡ ἀριστερά σου τί ποιεῖ ἡ δεξιά σου, τουτέστι, κἂν ὡς οἰκεῖον μέλος ἔχωμέν τινα, μὴ σπουδάζωμεν αὐτῷ δεικνύναι, πλὴν εἰ μὴ ἀνάγκη εἴη. πολλὰ γὰρ ἀπὸ τούτου γίνεται τὰ δεινά· εἰς κενοδοξίαν τις αἴρεται, κώλυμα γίνεται πολλάκις. διὰ δὴ τοῦτο καὶ ἑαυτοὺς λανθάνωμεν, εἰ δυνατόν, ἵνα τύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν.

Λογ. ιε. 11 ΝΕΩΤΕΡΑΣ ΔΕ ΧΗΡΑΣ ΠΑΡΑΙΤΟΥ· Ο-
ταν γὰρ καταστρηνιάσωσι τοῦ Χριστοῦ, γαμεῖν θέλουσιν, 12 Ἔχουσαι
κρίμα, ὅτι τὴν πρώτην πίστιν ἠθέτησαν· 13 Ἅμα δὲ καὶ ἀργαὶ μαν-
θάνουσι, περιερχόμεναι τὰς οἰκίας· οὐ μόνον δὲ ἀργαί, ἀλλὰ καὶ φλύαροι καὶ
περίεργοι, λαλοῦσαι τὰ μὴ δέοντα. 14 Βούλομαι οὖν νεωτέρας χήρας
γαμεῖν, οἰκοδεσποτεῖν, μηδεμίαν ἀφορμὴν διδόναι τῷ ἀντικειμένῳ λοιδορί-
ας χάριν. 15 Ἤδη γάρ τινες ἐξετράπησαν ὀπίσω τοῦ Σατανᾶ.

α. Τιμ. ε. θ. ΠΟλλὴν ὑπὲρ τῶν χηρῶν ὁ Παῦλος ποιησάμενος λόγον, καὶ χρόνον αὐτῶν διορίσας τῷ λέγειν, Χήρα καταλεγέσθω μὴ ἔλαττον ἐτῶν ἑξήκοντα γεγονυῖα, καὶ τὴν ποιότητα διδάξας τῆς χήρας τῷ εἰπεῖν, Εἰ ἐτεκνοτρόφησεν, εἰ ἐξενοδόχησεν, εἰ ἁγίων πόδας ἔνιψε, πάλιν ἐνταῦθά φησι· νεωτέρας δὲ χήρας παραιτοῦ. περὶ δὲ τῶν παρθένων, καίτοιγε πολὺ φορτικωτέρου τοῦ πράγματος ὄντος, οὐδὲν τοιοῦτον ᾐνίττετο. κ. ὅτι περὶ τῶν εἰκότως. διὰ τί; ὅτι ἐπὶ μείζοσιν ἀπεγράψαντο, καὶ ἀπὸ μείζονος τῆς διανοίας ἐκεῖ τὸ ἔργον προέβη τοῦτο. τὸ μὲν οὖν, εἰ ἐξενοδόχησεν, εἰ ἁγίων πόδας ἔνιψε, καὶ πάντα τὰ τοιαῦτα, διὰ τοῦ εὐπροσέδρου παρέστησε, καὶ τῷ λέγειν, Ἡ ἄγαμος μεριμνᾷ τὰ τοῦ Κυρίου. α. Κορ. ζ. λδ. εἰ δὲ χρόνων ἕνεκεν οὐδὲν ἀκριβολογεῖται, μὴ θαυμάσῃς. μάλιστα μὲν γὰρ ἀπὸ τούτου κἀκεῖνο δῆλον. ἄλλως δὲ εἶπον ὅτι ἀπὸ μείζονος διανοίας ἐκεῖναι τὴν παρθενίαν εἵλοντο. πρὸς δὲ τούτοις, ἐνταῦθα ἤδη πτώματα γέγονε, καὶ αὗται παρέσχον τὴν ἀφορμὴν τῆς τοιαύτης νομοθεσίας· ἐκεῖ δὲ τοιοῦτον οὐδὲν ἦν. ὅτι γὰρ ἐξέπεσόν τινες ἤδη, ἀπὸ τούτου δῆλον, ἀπὸ τοῦ λέγειν, ὅταν γὰρ καταστρηνιάσωσι τοῦ Χριστοῦ, γαμεῖν θέλουσι. καὶ πάλιν, ἤδη γὰρ ἐξετράπησάν τινες ὀπίσω τοῦ Σατανᾶ. νεωτέρας δὲ χήρας παραιτοῦ. διὰ τί; ὅταν γὰρ καταστρηνιά-

σωσι

Digitized by Google

οὐκ ἔστι δεσποτῶν ἀπόνοια, οὐκ ἔστι δούλων φόβος, οὐκ ἔστι γυναικῶν θόρυβος, οὐκ ἔστι παίδων ταραχή, οὐκ ἔστι κιβωτίων πλῆθος, οὐδὲ ἱματίων ἀπόθεσις περιττή, οὐ χρυσίον, οὐκ ἀργύριον, οὐκ εἰσὶν ἐκεῖ φυλακαί, καὶ προφυλακαί· οὐκ ἔστι ταμεῖον, οὐκ ἄλλο τοιοῦτον οὐδέν, ἀλλὰ πάντα εὐχῆς γέμει, πάντα ὕμνων, πάντα ᾠδίας πνευματικῆς, οὐδὲν ἐκεῖ σαρκικόν. λῃστῶν ἐφόδους οὐ δεδοίκασιν. οὐ γὰρ ἔχουσιν ὅτου ζημιωθῶσι, χρήματα οὐκ ἔστι, σῶμά ἐστι καὶ ψυχή· ἂν ταύτην ἀφέλωνται, οὐκ ἐζημίωσαν, ἀλλ᾽ ὤνησαν. Ἐμοὶ γὰρ τὸ ζῆν, φησί, Χριστός, καὶ τὸ ἀποθανεῖν κέρδος. (Φιλιπ. α. κα.) ἀπέλυσε τῶν δεσμῶν ἑαυτοὺς πάντων. οὕτως φωνὴ ἀγαλλιάσεως ἐν σκηναῖς δικαίων. (Ψαλ. ριζ. ιε.) οὐκ ἔστιν ἐκεῖ ὀλολυγῆς ἀκοῦσαί ποτε, οὐδὲ κωκυτοῦ· καθαρὸς τούτων τῶν ἀηδιῶν ὁ ὄροφος, καθαρὸς τῆς κραυγῆς ταύτης. ἀποθνήσκουσι μὲν γὰρ καὶ ἐν αὐτοῖς. οὐ γάρ εἰσιν ἀθάνατοι τὸ σῶμα, ἀλλ᾽ οὐκ ἴσασι θάνατον τὸν θάνατον. μεθ᾽ ὕμνων προπέμπουσι τοὺς ἀπελθόντας· προπομπὴν τὸ τοιοῦτον καλοῦσιν, οὐκ ἐκφοράν. κἂν ἀπαγγελθῇ, ὅτι ὁ δεῖνα τετελεύτηκε, πολλὴ ἡ εὐφροσύνη, πολλὴ ἡ ἡδονή. μᾶλλον δὲ οὐδὲ τολμᾷ τις εἰπεῖν, ὅτι ὁ δεῖνα τετελεύτηκεν, ἀλλ᾽ ὁ δεῖνα τετελείωται. εἶτα εὐχαριστία, δόξα πολλή, εὐφροσύνη, ἑκάστου εὐχομένου τέλος τοιοῦτον λαβεῖν, οὕτω τὸν ἀγῶνα τοῦτον ἐξελθεῖν, ἀναπαύσασθαι τῶν πόνων καὶ τῶν ἀγώνων, ἰδεῖν τὸν Χριστόν. κἂν ἀρρωστήσῃ, οὐ δάκρυα, οὐ θρῆνος, ἀλλ᾽ εὐχαὶ πάλιν. οὐκ ἰατρῶν χεῖρες, ἀλλὰ πίστις μόνη πολλάκις ἀπήλλαξε τὸν ἄρρωστον. εἰ δὲ καὶ ἰατρῶν δεηθείη, πολλὴ καὶ ἐνταῦθα ἡ φιλοσοφία, πολλὴ ἡ καρτερία. οὐ παρέστηκε γυνὴ λύουσα τὰς τρίχας, οὐδὲ παιδία τὴν οὐδέπω γενομένην ὀρφανίαν ἀποδυρόμενα, οὐδὲ οἰκέται παρακαλοῦντες τὸν ἀποπνέοντα μετ᾽ ἀσφαλείας αὐτούς τινι παρακαταθέσθαι, ἀλλὰ πάντων τούτων ἀπηλλαγμένη ἡ ψυχή, ἓν σκοπεῖ μόνον εἰς τὴν ἐσχάτην ἀναπνοήν, ὅπως ἀπέλθῃ τῷ Θεῷ φίλη. κἂν γένηται νόσος, οὐ γίνεται ἀπὸ γαστριμαργίας, οὐδὲ ἀπὸ καρηβαρίας, ἀλλὰ καὶ αὗται αἱ τῶν νόσων ὑποθέσεις ἐγκωμίων γέμουσιν, οὐχὶ κατηγορίας, ὡς αὗται. ἢ γὰρ ἀγρυπνίας, ἢ νηστείας ἐπίτασις, ἤ τι τῶν τοιούτων τὰς νόσους ἐργάζεται· ὅθεν καὶ εὐαπάλλακτοι γίνονται. ἀρκεῖ γὰρ μηκέτι κάμνοντας ὁμοίως πάντων ἀπηλλάχθαι τῶν δεινῶν. Εἰπὲ οὖν μοι, φησίν, εἰ ἁγίων τις πόδας ἔνιψεν ἐν τῇ ἐκκλησίᾳ, εἰ ἔνεστι καὶ ἐνταῦθα τοιούτους εὑρεῖν. ἔνεστι, καὶ πάνυ ἔνεστι· μόνον μὴ ἐπειδὴ ἐκείνων βίους διηγησάμεθα, τῶν ἐν ταῖς ἐκκλησίαις καταφρονῶμεν. πολλοὶ πολλάκις τοιοῦτοι καὶ ἐν μέσαις ταῖς ἐκκλησίαις εἰσίν, ἀλλ᾽ ἐν τῷ λανθάνοντι. μὴ γὰρ ἐπειδὴ οἰκίας περινοστοῦσι, μηδὲ ἐπειδὴ εἰς ἀγορὰν ἐμβάλλουσι, μηδὲ ἐπειδὴ προΐστανται, καταφρονῶμεν αὐτῶν. καὶ τοῦτο ὁ Θεὸς ἐπέταξε. Κρίνατε γάρ, φησίν, ὀρφανῷ, καὶ δικαιώσατε χήραν. (Ησ. α. ιζ.) πολλαὶ τῆς ἀρετῆς αἱ ὁδοί, ὥσπερ οὖν καὶ τῶν μαργαριτῶν πολλὴ ἡ διαφορά, καίτοι πάντες μαργαρῖται λέγονται· ἀλλ᾽ ὁ μέν ἐστι λαμπρὸς καὶ στρογγύλος πάντοθεν, ἕτερος δὲ οὕτω μὲν οὐκ ἔχει τὸ κάλλος, ἕτερον δέ. ποῖον δὴ τοῦτο; ὥσπερ ἀπό τινος τέχνης τὸ κοράλλιον ἐπιμήκη ἔχει τῶν γραμμῶν, καὶ τὰς γωνίας ἐκτετορευμένας, καὶ τοῦ λευκοῦ χρώματος ἕτερος ἐπιπρεπέστερος, ὁ δὲ πράσινος πολὺ πάσης χλωρότητος ἐπιπρεπέστερος· ἄλλος τοῦ αἵματος τὸ ἀνθηρὸν περιέχεται τῷ εὐανθεῖ, ἄλλος τῆς θαλάττης ἐστὶ κυανώτερος, ἄλλος τῆς ἁλουργίδος στιλβότερος. καὶ ἄλλα δὲ μυρία ἄν τις εὕροι τοῖς ἄνθεσιν ἁμιλλώμενα κατὰ τὸ ποικίλον, ἢ τοῖς τοῦ ἡλίου χρώμασιν ἐξισούμενα. τοιοῦτοι δὴ καὶ οἱ ἅγιοι. οἱ μὲν ἑαυτοὺς ἀσκοῦσιν· οἱ δὲ καὶ τὰς ἐκκλησίας. καλῶς ἄρα ἔλεγεν, εἰ ἁγίων πόδας ἔνιψεν, εἰ θλιβομένοις ἐπήρκεσεν. ὥστε γὰρ πάντας ἐπᾶραι πρὸς μίμησιν, διὰ τοῦτο οὕτως εἶπεν. οὐκοῦν καὶ ἡμεῖς ἐπιδράμωμεν τῷ πράγματι, ἵνα ἔχωμεν καυχᾶσθαι ἐκεῖ, ὅτι ἐνίψαμεν πόδας ἁγίων. εἰ δὲ πόδας αὐτῶν νίπτειν δεῖ, πολλῷ μᾶλλον καὶ ἐκ χειρὸς ἐπιδιδόναι αὐτοῖς τὰ χρήματα, καὶ σπουδάζειν λανθάνειν. Μὴ γνώτω, φησίν, ἡ ἀριστερά σου τί ποιεῖ ἡ δεξιά σου. (Ματθ. ς. γ.) τί μυρίους παραλαμβάνεις μάρτυρας; μηδὲ οἰκέτης ἰδέτω, εἰ δυνατόν, μηδὲ γυνή. πολλὰ τὰ

σκάνδαλα

γ. ἀηδῶν

γ. περέλθῃ

γ. αὐταί.

γ. ἁγίων πόδας ἔνιψεν. ἔνεστι καὶ ἐν ἐκκλησίαις τοιούτους εὑρεῖν. μὴ γὰρ

γ. κορύλλιον

γ. ἄλλα πολλὰ ἄνθη, καὶ ἡλίου δὲ χρώματα ἀεὶ πεῖ αὖ.

γ. εἰς χεῖρας

ἀλεκτρυὼν ἐφώνησε, καὶ εὐθέως ἐλθὼν ὁ προεστὼς, καὶ τῷ ποδὶ τοὺς κειμένους ἁπλῶς ὑπονύξας, πάντας ἀνέστησεν. οὐδὲ γὰρ γυμνοὺς ἐκεῖ καθεύδειν θέμις. Εἶτα διαναστάντες, εὐθέως ἑστήκασιν, ὕμνους ᾄδοντες προφητικοὺς μετὰ πολλῆς τῆς συμφωνίας, μετ' εὐρύθμων μελῶν. οὔτε κιθάρα, οὔτε σύριγγες, οὔτε οὐδὲν ἄλλο ὄργανον μουσικὸν τοιαύτην ἀφίησι φωνὴν, οἵαν ἐστὶν ἀκοῦσαι ἐν ἡσυχίᾳ βαθείᾳ καὶ ἐν ἐρημίᾳ τῶν ἁγίων ᾀδόντων ἐκείνων. καὶ αὐτὰ δὲ τὰ ᾄσματα πρόσφορα, καὶ φιλίας γέμοντα τῆς πρὸς τὸν Θεόν. ἐν ταῖς νυξὶ, φησὶν, ἐπάρατε τὰς χεῖρας ὑμῶν πρὸς τὸν Θεόν, καὶ πάλιν, Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σὲ ὁ Θεὸς, διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς. καὶ τὰ ᾄσματα τὰ Δαβιτικὰ, πολλὰς πηγὰς κινοῦντα δακρύων. ὅταν γὰρ ᾄδῃ λέγων· Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου, λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω· καὶ πάλιν, Ὅτι σποδὸν ὡσεὶ ἄρτον ἔφαγον· καὶ πάλιν, Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ; Ἄνθρωπος ματαιότητι ὡμοιώθη, καὶ αἱ ἡμέραι ἡμῶν ὡσεὶ σκιὰ παράγουσι· καὶ, Μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος, καὶ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ· καὶ πάλιν, Ὁ κατοικίζων μονοτρόπους ἐν οἴκῳ· καὶ, Ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου· καὶ πάλιν, Μεσονύκτιον ἐξηγειρόμην τοῦ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου· καὶ, Ὁ Θεὸς λυτρώσεται τὴν ψυχήν μου ἐκ χειρὸς ᾅδου· καὶ, Ἐὰν πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου, οὐ φοβηθήσομαι κακὰ, ὅτι σὺ μετ' ἐμοῦ εἶ· καὶ πάλιν, Οὐ φοβηθήσομαι ἀπὸ φόβου νυκτερινοῦ, ἀπὸ βέλους πετομένου ἡμέρας, ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου, ἀπὸ συμπτώματος, καὶ δαιμονίου μεσημβρινοῦ· καὶ πάλιν, Ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς· τὴν εἰς Θεὸν αὐτῶν διὰ τούτων ἀγάπην ἐνδείκνυνται· ὅταν δὲ πάλιν μετὰ τῶν ἀγγέλων ᾄδωσι (καὶ γὰρ καὶ ἄγγελοι τότε ᾄδουσιν) Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, λέγοντες, ἡμῶν χασμωμένων, κνωμένων, ῥεγχόντων, ἢ καὶ ὑπτίων ἁπλῶς κειμένων, καὶ μυρίας λογιζομένων ἀπάτας· οἵαν ἐστὶν ἐκείνους ἐν τούτῳ τὸ πᾶν τῆς νυκτὸς ἀναλίσκειν; ἐπειδὰν δὲ ἡμέρα μέλλῃ γίνεσθαι, διαναπαύονται λοιπόν. καὶ ὅταν ἡμεῖς ἀρχώμεθα τῶν ἔργων, ἐκεῖνοι καιρὸν ἔχουσι τῆς ἀναπαύσεως. ἡμέρας δὲ γινομένης, ἡμῶν ἕκαστος καλεῖ τὸν ἕτερον, τὸν λόγον ποιεῖ τῶν ἐξοδιαζομένων. Εἶς εἰς ἀγορὰν ἐμβάλλει, ἄρχοντι παρίσταται, τρέμει, δέδοικε τὰς εὐθύνας· ἕτερος ἐπὶ τῆς σκηνῆς, ἄλλος πρὸς τὸ ἐπιτήδευμα τὸ ἑαυτοῦ. ἐκεῖνοι δὲ πάλιν εὐχὰς ἑωθινὰς ἐπιτελέσαντες καὶ ὕμνους, πρὸς τὴν τῶν γραφῶν ἀνάγνωσιν τρέπονται. εἰσὶ δὲ οἳ καὶ βιβλία γράφειν μεμαθηκότες. ἕκαστος οἴκημα ἀποτεταγμένον εἰληφὼς, ἡσυχίαν διὰ παντὸς ἀσκεῖ, οὐδενὸς φλυαροῦντος, οὐδενὸς οὐδὲν λέγοντος. Εἶτα τρίτην, ἕκτην, ἐνάτην, καὶ τὰς ἑσπερινὰς εὐχὰς ἐπιτελοῦσι, καὶ εἰς τέσσαρα μέρη τὴν ἡμέραν διελόντες, καθ' ἕκαστον μέρος πληρούμενον, ψαλμῳδίαις, ὕμνοις γεραίρουσι τὸν Θεόν. πάντων δὲ ἀριστώντων τῶν ἄλλων, γελώντων, παιζόντων, διαρρηγνυμένων ὑπὸ τῆς γαστριμαργίας, οὗτοι τοῖς ὕμνοις προσανέχουσιν. οὐδαμοῦ τραπέζης καιρὸς, οὐδὲ τῶν αἰσθητῶν τούτων. πάλιν μετὰ τὸ ἄριστον τῶν αὐτῶν ἔχονται, ὕπνῳ πρότερον ἑαυτοὺς ἐκδεδωκότες. οἱ μὲν οὖν κοσμικοὶ καὶ τὴν ἡμέραν καθεύδουσιν· ἐκεῖνοι δὲ καὶ τὴν νύκτα ἐγρηγόρασιν. ὄντως υἱοὶ φωτός εἰσιν. Εἶτα ἐκεῖνοι τὸ πλέον ἀναλώσαντες ἐν τῷ ὕπνῳ τῆς ἡμέρας προΐασι βεβαρημένοι. οὗτοι δὲ ἔτι νήφουσιν, ἄσιτοι μένοντες ἕως ὀψὲ, καὶ τοῖς ὕμνοις προσανέχοντες. ἑσπέρας δὲ πάλιν καταλαβούσης, οἱ μὲν εἰς λουτρὰ καὶ ἀνέσεις σπεύδουσιν· ἐκεῖνοι δὲ τῶν πόνων ἀπολύσαντες ἑαυτοὺς, τότε τῇ τραπέζῃ προσανέχουσιν, οὐκ οἰκετῶν πλῆθος ἐγείροντες, οὐδὲ περιτρέχοντες τὴν οἰκίαν, οὐδὲ θορυβοῦντες, οὐδὲ ὄψα πολλὰ παρατιθέμενοι, οὐδὲ κνίσσης γέμοντα, ἀλλ' οἱ μὲν ἄρτον μόνον καὶ ἅλας, οἱ δὲ ἔλαιον προστιθέντες. ἕτεροι δὲ, ὅσοι ἀσθενέστεροί εἰσι, καὶ λαχάνων ἔχονται καὶ ὀσπρίων. Εἶτα μικρὸν καθίσαντες, μᾶλλον δὲ ὕμνοις τὸ πᾶν κατακλείσαντες, διαναπαύονται ἐπὶ στιβάδος ἕκαστος πρὸς ἀνάπαυσιν μόνον πεποιημένης, οὐ τρυφήν. Οὐκ ἔστι φόβος ἀρχόντων ἐκεῖ,

οὐκ

Ησ. κϛ. θ.
Ψαλ. ϛ. ϛ.
Ψαλ. ρα. ι.
Ψαλ. η. ε.
Ψαλ. ρμδ. δ.
Ψαλ. μη. ιζ.
Ψαλ. ξζ. ζ.
Ψαλ. ριη. ρξδ.
Ψαλ. ριη. ξβ.
Ψαλ. μη. ιϛ.
Ψαλ. κβ. δ.
Ψαλ. ϟ. ε.
Ψαλ. μγ. κβ.
Ψαλ. ρμη. α.

γρ. τῶν κειμένων ἕκαστον ἁπλῶς ὑπονύξας
γρ. κοιτῶνα
γρ. ἕτερον
γρ. ποιοῦσιν
γρ. πολυτελῆ
γρ. μετέχεια

μένοις ἐπαιτεῖν, ἰδοὺ προσανέχοντας τῷ Θεῷ. βάδιζε μακρὰν ὁδὸν, δίδου διὰ σαυτοῦ. πολλὰ γάρ ἐστι δι' ἑαυτοῦ ὠφελῆσαι, ἢ δι' ἑτέρων. ὁρᾷς σκηνὴν, καὶ καταγέλαστον ὁρᾷς ἐρημίαν; ὁρᾷς μόνωσιν; πολλάκις ἀπελθὼν ἐδαπάνησας χρήματα, ἔδωκας τὴν ψυχὴν ὁλόκληρον, καὶ κατηχήθης, καὶ γέγονας συναιχμάλωτος ἐκείνου, συνεξενίτευσας τῷ κόσμῳ. μέγα πρᾶγμα, καὶ πάντας ὁρᾷν. Ἀγαθὸν, φησὶν, εἰσελθεῖν εἰς οἰκίαν πένθους, ἢ εἰς οἰκίαν γέλωτος. ἐντεῦθεν ἡ ψυχὴ φλεγμαίνει. ἂν μὲν γὰρ ἔχῃς ὁμοίως τρυφᾶν, προθυμίαν ἔλαβες εἰς ἀπαλλαγήν· ἂν δὲ μὴ ἔχῃς, λύπην ἰδίξω. εἰς δὲ τὴν οἰκίαν τοῦ πένθους οὐδὲν τοιοῦτον, ἀλλὰ κἂν μὴ ἔχῃς τρυφᾶν, οὐκ ἤλγησας, κἂν ἔχῃς, καταστέλλῃ. ὄντως οἰκία πένθους, τὰ μοναστήρια, ἔνθα σάκκος καὶ σποδὸς, ἔνθα μόνωσις, ἔνθα γέλως οὐδεὶς, οὐδὲ βιωτικῶν πραγμάτων ὄχλος, ἔνθα νηστεία, ἔνθα χαμευνία, πάντα καθαρὰ κνίσσης, αἱμάτων, θορύβου, ταραχῆς, πολυοχλίας. λιμήν ἐστιν εὔδιος· ὥσπερ λαμπτῆρές εἰσιν ἀφ' ὑψηλοῦ τοῖς πόρρωθεν ἐπιβαίνουσι φαίνοντες, ἐπὶ λιμένος καθήμενοι, καὶ πρὸς γαλήνην τὴν αὐτῶν ἅπαντας ἕλκοντες, οὐκ ἐῶντες γενέσθαι ναυάγια τοῖς εἰς αὐτοὺς ὁρῶσιν, οὐκ ἐῶντες ἐν σκότῳ διάγειν τοὺς ἐκεῖ βλέποντας. ἄπιθι πρὸς αὐτοὺς, φιλοφρόνησον, πρόσιθι, ἅψαι ποδῶν ἁγίων. πολλῷ γὰρ ἐντιμότερον τῶν ἐκείνων ἅψασθαι ποδῶν, ἢ τῆς ἑτέρων κεφαλῆς. εἰπὲ γάρ μοι, εἰ ἀνδριάντων πόδας κατέχουσί τινες, ἐπειδὴ ὅλως τύπον ἔχουσι βασιλικὸν, σὺ τὸν αὐτὸν ἔχοντα τὸν Χριστὸν ἐν ἑαυτῷ, οὐ καθέξεις ἀπὸ τῶν ποδῶν, καὶ σωθήσῃ; ἅγιοί εἰσιν οἱ πόδες, κἂν εὐτελεῖς ὦσι· τῶν δὲ βεβήλων οὐδὲ ἡ κεφαλὴ τιμία. πόδες γὰρ ἁγίων μεγάλα ἴσχυσαν. διόπερ καὶ κολάζουσιν, ὅταν ἐξ ἑαυτῶν τὸν κονιορτὸν ἐκτινάξωσιν. ὅταν ἅγιος ᾖ παρ' ἡμῖν, μηδὲν ἐπαισχυνώμεθα τὸ αὐτῶν. ἅγιοι δέ εἰσι πάντες, ὅσοι πίστιν ὀρθὴν μετὰ βίου ἔχουσι· κἂν σημεῖα μὴ ἐργάζωνται, κἂν δαίμονας μὴ ἐκβάλλωσιν, ἅγιοί εἰσιν. ἄπιθι πρὸς τὰς τῶν ἁγίων σκηνάς. ὥσπερ ἀπὸ γῆς εἰς τὸν οὐρανὸν, οὕτως ἐστὶν εἰς μοναστήριον ἀνδρὸς ἁγίου καταφυγεῖν. οὐχ ὁρᾷς ἐκεῖ ταῦτα ἅπερ ἐν τῇ οἰκίᾳ. πάντων καθαρὸς ὁ χορὸς ἐκεῖνος· σιγὴ καὶ ἡσυχία πολλή. τὸ ἐμὸν οὐκ ἔνι, καὶ τὸ σὸν ἐκεῖ. αἱ δὲ καὶ ἡμέραι μίαν μείνῃς, ἢ καὶ δευτέραν, τότε πλείονα αἰσθήσῃ τῆς ἡδονῆς. ἡμέρα γὰρ, μᾶλλον δὲ πρὸ ἡμέρας ἀλεκτρυὼν ἐφώνησε, καὶ οὐκ ἔστιν, ὥσπερ ἐπὶ τῆς οἰκίας, ῥέγχοντας τοὺς οἰκέτας, αἱ θύραι κεκλεισμέναι, πάντες νεκροῖς ἐοίκασι καθεύδοντες, ὁ ὀρεωκόμος τοὺς κώδωνας σείει. οὐδὲν τοιοῦτον ἐκεῖ, ἀλλ' εὐθέως ἅπαντες μετ' εὐλαβείας τὸν ὕπνον ἀποθέμενοι διανίστανται, τοῦ προεστῶτος αὐτοὺς διεγείροντος, καὶ ἑστήκασι τὸν ἅγιον συστάμενοι χορὸν, καὶ τὰς χεῖρας εὐθέως ἀνατείναντες, τοὺς ἱεροὺς ᾄδουσιν ὕμνους. οὐ γὰρ δὴ, ὥσπερ ἡμεῖς, πολλῶν ὡρῶν δέονται πρὸς τὸ τὸν ὕπνον ἀποτινάξασθαι καὶ τὴν καρηβαρίαν. ἡμεῖς μὲν γὰρ ἅμα διαναστάντες, καθήμεθα ἐπὶ πολὺ διατεινόμενοι, πρὸς χρείαν ἀπερχόμεθα, εἶτα νιπτόμεθα τὴν ὄψιν, τὰς χεῖρας, μετὰ τοῦτο ὑποδήματα καὶ ἐνδύματα λαμβάνομεν, καὶ πολὺς ἀναλίσκεται καιρός. ἐκεῖ δὲ τοιοῦτον οὐδέν· οὐδεὶς οἰκέτην καλεῖ· ἕκαστος γὰρ ἀρκεῖ ἑαυτῷ. οὐ δεῖται ἱματίων πολλῶν, οὐ δεῖται τοῦ τὸν ὕπνον ἀποτινάξασθαι, ἀλλ' ἅμα τοὺς ὀφθαλμοὺς ἀνέῳξε, καὶ τῷ πολλῷ ἐγρηγορότι χρόνῳ προσέοικε τῆς νήψεως ἕνεκεν. ὅταν γὰρ ἡ καρδία μὴ βαρηθεῖσα τοῖς σιτίοις βαπτίζηται κάτω, οὐ δεῖται πολλοῦ τοῦ καιροῦ πρὸς τὸ ἀνενεγκεῖν, ἀλλ' εὐθέως ἐστὶν ἐν νήψει· χεῖρες ἀεὶ καθαραί. καὶ γὰρ ὁ ὕπνος εὔτακτος. οὐδεὶς ἀκούει ῥέγχοντος ἐκεῖ, οὐδεὶς ἀσθμαίνοντος· οὐδὲ ῥιπταζόμενοι ὁρῶνται κατὰ τὸν ὕπνον, οὐδὲ γυμνούμενοι, ἀλλὰ καθεύδουσι τῶν ἐγρηγορότων εὐσχημονέστεροι κείμενοι. τοῦτο δὲ ὅλον ἀπὸ τῆς εὐταξίας γίνεται τῆς ἐν τῇ ψυχῇ. ὄντως ἅγιοι οὗτοι, καὶ ἐν ἀνθρώποις ἄγγελοι. καὶ μὴ θαυμάσῃς ἀκούσας ταῦτα. ὁ γὰρ πολὺς φόβος ὁ τοῦ Θεοῦ, οὐκ ἀφίησι πρὸς τὰ βάθη τοῦ ὕπνου κατελθεῖν, καὶ βαπτίσαι τὴν διάνοιαν, ἀλλ' ἐξ ἐπιπολῆς ἐπίκειται διαναπαύων αὐτοὺς μόνον. τοιούτου δὲ αὐτοῖς ὄντος τοῦ ὕπνου, τοιαῦτα εἶναι αὐτῶν ἀνάγκη καὶ τὰ ὀνείρατα, οὐ φαντασιώδη, οὐδὲ τερατώδη. ἀλλ', ὅπερ ἔφην, ἀλεκτρυὼν

ἀλεκτρυὼν

χ. γυμνή.

χ. ξενοδοχεῖον.

χ. οὐ καθέξεις ἀπὸ τῶν ποδῶν, ἵνα σωθῇς;

χ. αὐτοῦ

Ἐκκλησ. ζ. γ.

οὐ πάντα τοῖς οἰκέταις ἐπέτρεπεν διακονεῖσθαι τὰ περὶ τὴν ὑποδοχήν, ἀλλὰ τὸ πλέον τῆς διακονίας καὶ αὐτὸς δι' ἑαυτοῦ ἔπραττε, καὶ τῇ γυναικὶ τὰ ἄλευρα φυρᾶν ἐπέταττε, καίτοι τριακοσίους δεκαοκτὼ ἔχων οἰκογενεῖς, ὧν εἰκὸς καὶ θεραπαινίδας εἶναι. ἀλλ' αὐτὸς ἐβούλετο τὸν μισθὸν ἔχειν μετὰ τῆς γαμετῆς, οὐ τῆς δαπάνης μόνης, ἀλλὰ καὶ τῆς διακονίας. οὕτω δεῖ φιλοξενίαν ἐπιδείκνυσθαι, δι' ἑαυτῶν πάντα πράττοντας, ἵν' ἡμεῖς ἁγιαζώμεθα, ἵν' αἱ χεῖρες αἱ ἡμέτεραι εὐλογῶνται. κἂν πένησι διδῷς, μὴ ἀπαξιώσῃς διὰ σαυτοῦ δοῦναι. οὐ γὰρ τῷ πένητι δίδως, ἀλλὰ τῷ Χριστῷ. τίς δὲ οὕτως ἄθλιος, ὡς ἀπαξιοῦν αὐτὸν τὴν χεῖρα ὀρέγειν τῷ Χριστῷ; τοῦτο φιλοξενία, τοῦτο ὄντως διὰ τὸν Θεόν ἐστι ποιῆσαι. ἂν δὲ μετὰ τύφου ἐπιτάττῃς, κἂν τὴν πρώτην κελεύῃς ἀπολαύειν, οὐκ ἔστι φιλοξενία τὸ τοιοῦτον, οὐδὲ διὰ τὸν Θεόν ἐστι. πολλῆς ὁ ξένος δεῖται τῆς θεραπείας, πολλῆς τῆς παρακλήσεως. ἀγαπητὸν γὰρ καὶ μετὰ τοσαῦτα τὸ μὴ ἐρυθριᾶν· ἐπεὶ τὸ πρᾶγμα φύσιν ἔχει τοιαύτην, ὥστε τὸν εὖ παθόντα αἰσχύνεσθαι. τῇ ὑπερβολῇ τῆς θεραπείας τὰ τῆς αἰσχύνης χρὴ περιαιρεῖν, καὶ δεικνύναι καὶ ῥήμασι καὶ πράγμασιν, ὅτι οὐκ εὖ ποιεῖ ὁ εὖ ποιῶν, ἀλλ' εὖ πάσχει αὐτὸς, καὶ εὐεργετεῖται μᾶλλον, ἢ εὐεργετεῖ. οὕτω πλεονάζεται τὸ γινόμενον ἀπὸ τῆς προαιρέσεως. (χ. ποιεῖ) ὥσπερ γὰρ ὁ ἡγούμενος ζημιοῦσθαι, πάντα ἀπώλεσε, καὶ ὁ ἡγούμενος εὖ ποιεῖν πάντα ἀπώλεσεν, οὕτως ὁ ἡγούμενος εὖ πάσχειν, πλέον ἔλαβεν. (β. Κορ. θ. ζ.) Ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ Θεός. ὥστε χάριν ὀφείλεις μᾶλλον τῷ πένητι τοῦ λαβεῖν. εἰ μὴ γὰρ πένητες ἦσαν, οὐκ ἂν τὸ πολὺ τῶν ἁμαρτημάτων ὑπετέμου. ἰατροὶ τῶν τραυμάτων εἰσὶ τῶν σῶν· φάρμακά σοι παρέχουσι τὰς ἑαυτῶν χεῖρας. οὐχ οὕτως ἰατρὸς χεῖρας ἐκτείνων, καὶ φάρμακον ἐπιτιθεὶς τὴν ἰατρείαν παρέχει, ὡς πένης χεῖρα ἐκτείνων, καὶ τὰ παρὰ σοῦ λαμβάνων, ἐκμαγεῖον τῶν σῶν ἐστι κακῶν. ἔδωκας τὸ ἀργύριον, συνεξῆλθε καὶ τὰ ἁμαρτήματα. τοιοῦτοι εἰσὶν οἱ ἱερεῖς· (Ωσ. δ. η.) Ἁμαρτίας, φησί, λαοῦ μου φάγονται. ὥστε μείζονα λαμβάνεις, ἢ δίδως, εὐεργετῇ μᾶλλον, ἢ εὐεργετεῖς. Θεῷ δανείζεις, οὐκ ἀνθρώποις, αὔξεις τὸν πλοῦτον, οὐ μειοῖς. μειοῖς δὲ, ἐὰν μὴ ἐλαττώσῃς, ἐὰν μὴ δῷς. Εἰ ἐξενοδόχησε, φησὶν, εἰ ἁγίων πόδας ἔνιψε. ποίων δὴ τούτων; τῶν θλιβομένων, οὐχ ἁπλῶς ἁγίων. ἔνεστι γὰρ ἁγίους εἶναι, καὶ πολλῆς ἀπολαύειν θεραπείας παρὰ πάντων. μὴ τούτους δίωκε τοὺς ἐν ἀφθονίᾳ ὄντας, ἀλλὰ τοὺς ἐν θλίψει, (Ματθ. κε μ.) τοὺς ἀγνῶτας, τοὺς οὐ παρὰ πολλῶν γνωριζομένους. Ὃς ἐποίησεν ἑνί, φησί, τούτων τῶν ἐλαχίστων, ἐμοὶ ἐποίησε.

ΗΘΙΚΟΝ. Μὴ δῷς τοῖς προεστῶσι τῆς ἐκκλησίας διανέμειν· σὺ διακόνησον αὐτό, (χ. αὐτός) ἵνα μὴ τοῦ ἀναλίσκειν, ἀλλὰ καὶ τοῦ ὑπηρετῆσαι ἔχῃς τὸν μισθόν. οἰκείαις χερσὶ δός. σὺ σπείρεις τὴν αὔλακα. οὐκ ἔνι ἄροτρον ἐνταῦθα πήξασθαι, οὐδὲ βοῶν ζεῦξαι, οὐδὲ καιρὸν ἀναμεῖναι, οὐδὲ γῆν ἀνατεμεῖν, οὐδὲ κρυμῷ παλαῖσαι. πάσης ταύτης τῆς περιεργασίας ἀπήλλακται οὗτος ὁ σπόρος. εἰς γὰρ τὸν οὐρανὸν σπείρεις, ἔνθα οὐ κρυμὸς, οὐδὲ χειμὼν, οὐκ ἄλλο οὐδέν· εἰς ψυχὰς σπείρεις, ἔνθα οὐδεὶς τὸ βαλλόμενον αἴρει, ἀλλὰ κατέχεται σφοδρῶς, καὶ μετὰ πολλῆς τῆς ἀκριβείας, καὶ μετὰ πολλῆς τῆς σπουδῆς. σὺ σπεῖρον. διατί σαυτὸν ἀποστερεῖς τοῦ μισθοῦ; μέγας μισθὸς, τὸ δύνασθαι καὶ τὰ τῶν ἄλλων οἰκονομεῖν. οὐ τοῦ δοῦναι μόνον μισθός ἐστιν, ἀλλὰ καὶ τοῦ καλῶς οἰκονομῆσαι τὰ διδόμενα. διατί μὴ σὺ λαμβάνεις τὸν μισθόν; ὅτι γὰρ καὶ τούτου ἐστὶ μισθὸς, ἄκουσον. κατέστησαν, φησὶν, οἱ ἀπόστολοι τοὺς περὶ (Πραξ. ς.) Στέφανον εἰς τὴν τῶν χηρῶν διακονίαν. * γενοῦ σὺ οἰκονόμος τῶν σαυτοῦ, αὐτή σε χειροτονεῖ ἡ φιλανθρωπία, ὁ τοῦ Θεοῦ φόβος. τοῦτο καὶ κενοδοξίας ἀπήλλακται, τοῦτο καὶ ψυχὰς ἀναπαύει, τοῦτο καὶ χεῖρας ἁγιάζει, τοῦτο καὶ φρόνημα κατασπᾷ, τοῦτο καὶ φιλοσοφίαν διδάσκει, τοῦτο προθυμοτέρους ἐργάζεται, τοῦτό σε τὰς εὐλογίας ποιεῖ λαβεῖν. ἄπεισιν ἡ κεφαλή σου δεχομένη πάσας τὰς παρὰ τῶν χηρῶν εὐλογίας. προθυμότερος γενοῦ ἐν ταῖς εὐχαῖς, περιεργάζου καὶ ἁγίους ἄνδρας, τοὺς ὄντως ἁγίους, τοὺς ἐν ταῖς ἐρημίαις καθημένους, τοὺς οὐ δυναμένους

* ἢ γε οὐ καλ. ἐστιν, εἰ μὴ σφόδρα ποιεῖ ἔχω τὸ πρᾶγμα γε ἐστιν.

ἀξία ἐστὶ τοῦ καταλόγου τῶν χηρῶν. Λέγει ἐνταῦθα τί δεῖ ἔχειν λοιπόν. Τί οὖν; ἀπὸ τῶν χρόνων αὐτὴν ἐγκρίνομεν; καὶ ποῖον τοῦτο κατόρθωμα; οὐ γὰρ αὐτῆς ἐστι τὸ ἑξήκοντα γεγονέναι ἐτῶν. Οὐκ ἀπὸ τῆς ἡλικίας, φησί, μόνον, ὡς ἂν εἰ καὶ ἐκείνην παρέλθοι τὴν ἡλικίαν, φησί, μὴ ἔχουσα τὰ ἔργα, μηδὲ τότε καταλεγέσθω. Τί δήποτε δὲ ὑπὲρ τῆς ἡλικίας ἀκριβολογεῖται, τὴν αἰτίαν ὕστερον τίθησιν, οὐ παρ' ἑαυτοῦ, ἀλλὰ παρ' αὐτῶν εἰσηνεγμένην τῶν χηρῶν. Πῶς δὲ τῶν ἑξῆς ἀκούσωμεν. Ἐν ἔργοις, φησί, καλοῖς μαρτυρουμένη. Ποίοις ἔργοις;

Εἰ ἐτεκνοτρόφησεν. Οὐ μικρὸν ὄντως τὸ ἔργον τοῦτο, τὸ παιδοτροφεῖν. Τὸ παιδοτροφεῖν δὲ οὐ τοῦτό ἐστιν ἁπλῶς τὸ τρέφειν μόνον τοὺς παῖδας, ἀλλὰ καὶ τὸ τρέφειν ὡς δεῖ, καθάπερ ἄνω φησίν· Ἐὰν ἐπιμείνωσι τῇ πίστει, καὶ τῇ ἀγάπῃ, καὶ τῷ ἁγιασμῷ. Ὁρᾷς πῶς πανταχοῦ a. Τιμ. β. ιε. τὰς οἰκείων τὰς εὐεργεσίας τῶν ἀλλοτρίων προτίθησι; Πρῶτον γάρ φησιν, Εἰ ἐτεκνοτρόφησε, καὶ τότε, Εἰ ἐξενοδόχησεν, εἰ ἁγίων πόδας ἔνιψεν, εἰ θλιβομένοις ἐπήρκεσεν, εἰ παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησε. Τί οὖν ἂν πένης ᾖ; οὐδὲ οὕτω τοῦ παιδοτροφεῖν, οὐδὲ τοῦ ξενοδοχεῖν, οὐδὲ τοῦ θλιβομένοις ἐπαρκεῖν ἀπεστέρηται. Οὐκ ἔστι τῆς τοὺς δύο ὀβολοὺς καταβαλούσης ἀπορωτέρα. Κἂν πένης ᾖ, οἰκίαν ἔχει· οὐ γὰρ δὴ αἴθριος μένει. Εἰ ἁγίων πόδας, φησίν, ἔνιψεν. Οὐκ ἔστι τοῦτο δαπάνης. Εἰ παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησεν. Ποῖον ἐπίταγμα λέγει ἐνταῦθα; τὴν σωματικὴν ὑπηρεσίαν εἰσφέρειν προστέτακται. Πρὸς γὰρ θεραπείαν μάλιστα ἐπιτηδείως ἔχουσιν αἱ γυναῖκες, κλίνην στρῶσαι, ἀναπαῦσαι. Βαβαί, πόσην ἀκρίβειαν ἀπαιτεῖ παρὰ τῆς χήρας, ὅσην σχεδὸν καὶ παρ' αὐτοῦ τοῦ τὴν ἐπισκοπὴν ἔχοντος. Τὸ γάρ, Εἰ παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησε, τοῦτο δηλοῦντός ἐστιν, ὅτι εἰ καὶ μὴ αὐτὴ αὐτὸ ἐργάσασθαι ἠδυνήθη, ἀλλ' ὅμως ἐκοινώνησεν, ὑπούργησε. Τὴν σπατάλην ἐκκόπτων, προσηνητικὴν αὐτὴν εἶναι βούλεται, οἰκονομικήν, εὐχαῖς διαπαντὸς προσκαρτερεῖν. Τοιαύτη ἦν ἡ Ἄννα. Ὅρα πόσην ἀπαιτεῖ τὴν ἀκρίβειαν παρὰ τῆς χήρας, ὅσην οὐδὲ παρὰ τῶν παρθένων· καίτοι καὶ ἐκείνας πολλὴν ἀπῄτησε τὴν ἀκρίβειαν, καὶ ἄκραν τὴν ἀρετήν. Τὸ γὰρ εἰπεῖν, εὔσχημον καὶ εὐπρόσεδρον τῷ Κυρίῳ ἀπερισπάστως, ἐν κεφαλαίῳ πως a. Κορ. ζ. λε. περιειλημμένου τὴν ἀρετὴν ἅπασαν. Ὁρᾷς ὅτι οὐ τὸ μὴ δευτέροις ὁμιλῆσαι γάμοις ἀρκεῖ δεῖξαι τὴν χήραν, ἀλλ' ἑτέρων δεῖ πολλῶν; Διατί γάρ, εἰπέ μοι, δευτέροις οὐχ ὁμιλῆσαι γάμοις προστέτακται; ἆρα κατέγνω τοῦ πράγματος; οὐδαμῶς. Τοῦτο γὰρ αἱρετικῶν, ἀλλ' ἀπησχολῆσθαι βουλόμενος λοιπὸν αὐτὴν ἐν τοῖς πνευματικοῖς, καὶ πρὸς τὴν ἀρετὴν μεταταξάσθαι. Οὐ γὰρ ἀκαθαρσίας, ἀλλὰ ἀσχολίας ὁ γάμος, ἐπεὶ καὶ ὅταν λέγῃ, ἵνα σχολάσωσιν, οὐ λέγει, ἵνα καθαρθῶσι. Πολλῆς γὰρ ἀσχολίας ὄντως ὁ γάμος αἴτιος. Εἰ τοίνυν διὰ τοῦτο μὴ γαμεῖς, ἵνα σχολάζῃς τῷ φόβῳ τοῦ Θεοῦ, μὴ σχολάζεις δέ, οὐδέν σοι τοῦ πράγματος ὄφελος, ἵνα τὴν θεραπείαν πᾶσαν περὶ ξένους, περὶ ἁγίους ἐπιδείκνυσαι. Ὅταν οὖν ταῦτα μὴ ποιῇς, ὡς τοῦ πράγματος καταγνοῦσα μᾶλλον ἀπέσχου τοῦ γάμου. Οὕτω καὶ ἡ παρθένος ἡ μὴ μετ' ἀκριβείας ἐσταυρωμένη, τῷ τοῦ γάμου κατεγνωκέναι ὡς μιαροῦ καὶ ἀκαθάρτου, τοῦτον παρῃτήσατο. Ὁρᾷς ὅτι ξενοδοχίαν λέγει, οὐ τὴν ἁπλῶς φιλοφροσύνην, ἀλλὰ τὴν μετὰ σπουδῆς, τὴν μετὰ προαιρέσεως ἱλαρᾶς, τὴν μετὰ προθυμίας, τὴν οὕτω τὸ πρᾶγμα μετιοῦσαν, ὡς αὐτὸν δεχομένην τὸν Χριστόν; Οὐ γὰρ δὴ ταῖς θεραπαινίσι βούλεται τὴν εἰς τούτους θεραπείαν ἐπιτάττεσθαι, ἀλλ' αὐτὰς δι' ἑαυτῶν ταῦτα ποιεῖν. Εἰ γὰρ ἐγώ, φησιν, ἔνιψα τοὺς Ιωαν. ιγ. ιδ. πόδας ὑμῶν ὁ διδάσκαλος, πολλῷ μᾶλλον ὑμεῖς ὀφείλετε τοῦτο ποιεῖν ἀλλήλοις. Κἂν γὰρ μυριάκις ᾖ τις πλουτοῦσα, κἂν ἐν περιφανείᾳ τῇ μεγίστῃ τυγχάνῃ οὖσα, καὶ ἐπὶ εὐγενείᾳ προγόνων μέγα φρονῇ, οὐκ ἔστι τοσοῦτον τὸ μέσον, ὅσον τοῦ Θεοῦ καὶ τῶν μαθητῶν. Εἰ ὡς τὸν Χριστὸν δέχῃ, μηδὲν ἐπαισχυνθῇς, μᾶλλον δὲ καὶ σεμνύνου ἐπὶ τῷ πράγματι. Εἰ δὲ μὴ ὡς τὸν Χριστὸν δέχῃ, μηδὲ δέξῃ. Ὁ δεχόμενος, φησιν, ὑμᾶς, ἐμὲ δέχεται. Ἐὰν μὴ οὕτω δέ- Ματθ. ι. μ. χῃ, οὐδὲ μισθὸν ἔχεις. Ὡς ἀνθρώπους παριόντας ὁδίτας, ὡς ἐνόμιζεν, ὁ Ἀβραὰμ ἐδέχετο, καὶ

Παύλῳ πειθόμενοι καὶ ἡμεῖς παραγγέλλωμεν ταῖς σπαταλώσαις τῶν χηρῶν ἐκτὸς εἶναι τοῦ καταλόγου τῶν χηρῶν. Εἰ γὰρ στρατιώτης λουτροῖς καὶ θεάτροις προσανέχων καὶ πραγματείαις, καθάπερ τις λειποτάκτης κρίνεται, πολλῷ μᾶλλον αἱ χῆραι. μὴ ζητῶμεν ἐνταῦθα τὴν ἄνεσιν, ἵνα ἐκεῖ αὐτὴν εὕρωμεν· μὴ σπαταλῶμεν ἐνταῦθα, ἵνα ἐκεῖ σπαταλήσωμεν τὴν ὄντως σπατάλην, τὴν ὄντως τρυφὴν, τὴν οὐδὲν τίκτουσαν κακὸν, τὴν μυρία ἀγαθὰ ἔχουσαν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν.

## Λεγ. ιδ. 8 ΕΙ ΔΕ ΤΙΣ ΤΩΝ ΙΔΙΩΝ, ΚΑΙ ΜΑΛΙΣΤΑ τῶν οἰκείων οὐ προνοεῖ, τὴν πίστιν ἤρνηται, καὶ ἔστιν ἀπίστου χείρων.

ΠΟλλοὶ νομίζουσιν ἀρκεῖν ἑαυτοῖς πρὸς σωτηρίαν τὴν οἰκείαν ἀρετὴν· κἂν τὰ κατὰ τὸν ἑαυτῶν βίον καλῶς διάθωνται, μηδὲν αὐτοῖς ἔτι λείπειν πρὸς σωτηρίαν. οὐ μὴν ὀρθῶς οἴονται. καὶ τοῦτο δείκνυσι μὲν ὁ τὸ τάλαντον κατορύξας τὸ ἕν. (Ματθ. κε.) οὐ γὰρ δὴ μειώσας αὐτὸ προσήνεγκεν, ἀλλ' ὁλόκληρον, καὶ τοιοῦτον, οἷον ὁ παρακαταθέμενος ἔδωκε. δείκνυσι δὲ καὶ ἐνταῦθα ὁ μακάριος Παῦλος οὕτω λέγων· εἰ δέ τις τῶν ἰδίων οὐ προνοεῖ. πρόνοιαν πᾶσαν λέγει τὴν κατὰ ψυχὴν, τὴν κατὰ σῶμα· ἐπεὶ καὶ αὕτη πρόνοιά ἐστιν. ὁ δὲ τῶν ἰδίων, καὶ μάλιστα τῶν οἰκείων, τουτέστι, τῶν πρὸς γένος διαφερόντων μὴ προνοῶν, ἀπίστου, φησὶν, ἐστὶ χείρων. ὃ λέγει καὶ Ησαΐας ὁ τῶν προφητῶν κορυφαῖος, (Ησ. νη. ζ.) Τοὺς οἰκείους τοῦ σπέρματός σου οὐχ ὑπερόψει. εἰ γάρ τις τοὺς γένει προσήκοντας, καὶ ἡνωμένους ὑπὸ ἀγχιστείας περιόψει, πῶς ἔσται περὶ τοὺς ἄλλους φιλόστοργος; οὐχὶ κενοδοξίαν τὸ πρᾶγμα πάντες ἐροῦσιν, ὅταν τοὺς ἀλλοτρίους εὖ ποιῶν τῶν αὑτοῦ καταφρονῇ, καὶ μὴ φείδηται; τί δὲ ὅταν ἄλλους κατηχῶν, τούτους ἐν πλάνῃ περιορᾷ, καίτοι πλείονα ἔχων εὐκολίαν καὶ μεῖζον δικαίωμα ἐν τῷ εὖ ποιεῖν; σφόδρα γε. οὐ γὰρ ἐροῦσι, φιλόστοργοι οἱ χριστιανοὶ οἱ τοὺς ἑαυτῶν περιορῶντες; καὶ ἔστι, φησὶν, ἀπίστου χείρων. διὰ τί; ὅτι ἐκεῖνος εἰ καὶ μὴ τοὺς ἀλλοτρίους, τοὺς γοῦν ἐγγὺς οὐ περιορᾷ. ὃ δὲ λέγει, τοῦτό ἐστι· καὶ τὸν τοῦ Θεοῦ νόμον, καὶ τὸν τῆς φύσεως ἀδικεῖ ὁ τῶν ἰδίων καταμελῶν. Εἰ δὲ ὁ μὴ προνοῶν τῶν οἰκείων τὴν πίστιν ἤρνηται, καὶ ἀπίστου χείρων ἐστὶν, ὁ καὶ ἀδικῶν τοὺς οἰκείους, ποῦ τετάξεται; μετὰ τίνος στήσεται; πῶς δὲ τὴν πίστιν ἤρνηται; (Τιτ. α. ις.) Θεὸν, φησὶν, ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται. τί δὲ ἐπέταξεν ὁ πιστεύσας Θεός; τοὺς οἰκείους τοῦ σπέρματος μὴ ὑπεροράν. πῶς δὲ πιστεύει ἀρνησίθεος ὁ τοιοῦτος γεγονώς; ἐννοήσωμεν ὅσοι χρημάτων φειδόμενοι τῶν οἰκείων καταφρονοῦμεν. ὁ Θεὸς διὰ τοῦτο καὶ τὴν ἀπὸ τῆς συγγενείας ἐπενόησεν ἕνωσιν, ἵνα πολλὰς ἔχωμεν ὑποθέσεις τοῦ ἀλλήλους εὖ ποιεῖν. ὅταν τοίνυν, ὅπερ ὁ ἄπιστος ποιεῖ, σὺ μὴ ποιῇς, οὐχὶ ἤρνησαι τὴν πίστιν; ἆρα οὐ τοῦτο πίστεως, ὁμολογίᾳ μόνον πιστεύειν, ἀλλὰ καὶ τὰ ἔργα ἐπιδείκνυσθαι ἄξια. καὶ καθ' ἕκαστόν ἐστι πιστεύειν, καὶ μὴ πιστεύειν. ἐπειδὴ γὰρ περὶ τρυφῆς διελέχθη καὶ σπατάλης, οὐ κατὰ τοῦτο μόνον, φησὶν, ἀπώλεσε, καθὸ τρυφᾷ, ἀλλ' ὅτι καὶ τοὺς οἰκείους ἀναγκάζεται περιορᾶν. Εἰκότως τοῦτό, φησιν. ἡ γὰρ τῇ γαστρὶ ζῶσα, καὶ κατὰ τοῦτο ἀπώλεσε, τὴν πίστιν ἀρνουμένη. πῶς δὲ ἐστὶν ἀπίστου χείρων; ὅτι οὐκ ἴσον τῶν οἰκείων περιορᾶν, καὶ τῶν πόῤῥω. πῶς γάρ; ἀλλὰ μεῖζον ἐνταῦθα τὸ ἔγκλημα, ἢ τῶν γνωρίμων ἢ τῶν ἀγνώτων, ἢ τῶν φίλων ἢ τῶν οὐ φίλων περιορᾶν.

*χ. ὁ μὲν γὰρ φίλος, ὁ δὲ καὶ πλέον· ὁ μὲν ἁπλῶς γνώριμος, ὁ δὲ ἀπὸ γένους συναπτόμενος.*

9 Χήρα καταλεγέσθω μὴ ἔλαττον ἐτῶν ἑξήκοντα, γεγονυῖα ἑνὸς ἀνδρὸς γυνὴ,

10 Ἐν ἔργοις καλοῖς μαρτυρουμένη. Εἶπε, Μανθανέτωσαν πρῶτον τὸν ἴδιον οἶκον εὐσεβεῖν, καὶ ἀμοιβὰς ἀποδιδόναι τοῖς προγόνοις· (α. Τιμ. γ. δ. καὶ ε. δ. η.) Εἶπεν, Ἡ σπαταλῶσα ζῶσα τέθνηκεν· Εἶπεν ὅτι τῶν οἰκείων εἰ μὴ προνοεῖ, ἀπίστου χείρων ἐστίν· Εἶπεν ἅπερ μὴ ἔχουσαν ἀνά-

ξιις

οὐδὲν ἄλλο ἐστὶ ἢ τὸ πλέον τῆς τρυφῆς, ἢ κόρου πλεονασμός. ἔχει γὰρ ἡ φύσις μέτρα, καὶ τὸ πλέον ἐκείνων, οὐκέτι τροφὴ, ἀλλὰ λύμη, καὶ κόρος πλείων. θρέψον τὸ σῶμα, μὴ ἀποκτείνῃς. διὰ τοῦτο τροφὴ κέκληται, οὐχ ἵνα ἀπολλύωμεν αὐτὸ, ἀλλ' ἵνα τρέφωμεν. διὰ τοῦτο οἶμαι καὶ τὴν τροφὴν εἰς τοῦτο ἐκκρίνεσθαι, ἵνα μὴ τῆς τρυφῆς ὦμεν ἐρασταί. ὡς εἰ μὴ τοῦτο ἦν, μηδὲ εἰς ἄχρηστον ἦγε, μηδὲ ἐλυμαίνετο τῷ σώματι, οὐκ ἂν ἐπαυσάμεθα ἀλλήλους καταπίνοντες. εἰ γὰρ ὅσον ἐβουλόμεθα δεχομένη ἡ γαστὴρ τὸ πᾶν εἰργάζετο, καὶ τῷ σώματι παρέπεμπε, πολλοὺς ἂν εἶδες πολέμους καὶ μάχας. εἰ γὰρ καὶ νῦν τῶν μὲν εἰς κόπρον ἐκκρινομένων, τῶν δὲ εἰς αἷμα καὶ φλέγμα ἄχρηστον καὶ νόθον, ὅμως ἐγκείμεθα τρυφῇ, καὶ πολλάκις οὐσίας ὁλοκλήρους ἐν τραπέζῃ μιᾷ κατεδηδόκαμεν· εἰ μὴ τοιοῦτον ἦν τὸ τέλος τῆς τρυφῆς, τί οὐκ ἂν εἰργασάμεθα; πλείονος δυσωδίας πληρούμεθα ἑαυτῶν, ὅταν μᾶλλον τρυφήσωμεν, καθάπερ ἀσκοί τινες, τοῦ σώματος πάντοθεν διαρρέοντος. ἐρεύγεταί τις τοιοῦτον, ὡς καὶ τὸν ἐγκέφαλον λυμαίνεσθαι τῶν ἔξωθεν. ἀτμοὶ πάντοθεν ἀπὸ τοῦ σώματος ζοφώδεις περιΐενται, καθάπερ ἀπὸ καμίνου τῆς θερμότητος σαπείσης ἔνδον. εἰ δὲ τὸν ἔξωθεν οὕτω δυσχεραίνουσι, τί οἴει παθεῖν τὸν ἐγκέφαλον ἔνδον, πληττόμενον συνεχῶς ὑπὸ τῶν ἀτμῶν; τί δὲ τοὺς ὀχετοὺς τοῦ αἵματος ζέοντος, καὶ ἐμφραττομένου; τί δὲ τὰς δεξαμενὰς ἐκείνας, τὸ ἧπαρ, τὸν σπλῆνα; τί δὲ αὐτὰς τὰς ἀμάρας τῆς κόπρου; καὶ τὸ χαλεπὸν, ὅτι ταύτας μὲν τὰς ἀμάρας τῆς κόπρου προνοούμεθα, ὅπως μὴ ἐμφραγῶσι, καὶ τὴν κόπρον εἰς τὰ ἄνω πέμψωσι, καὶ πάντα ὑπὲρ τούτου περιστέλλομεν, κοντοῖς ὠθοῦντες, μακέλλαις ὀρύττοντες· τὰς δὲ ἀμάρας τῆς ἡμετέρας γαστρὸς οὐ διακαθαίρομεν, ἀλλ' ἐμφράττομεν, καὶ πληροῦμεν· καὶ τῆς κόπρου ἀνιούσης ἄνω, ἔνθα ὁ βασιλεὺς αὐτὸς κάθηται, τὸν ἐγκέφαλον λέγω, οὐδεμίαν ποιούμεθα πρόνοιαν. διά τοι τοῦτο οὐχ ὡς βασιλέα ἔχοντες κόσμιον, οὕτω πάντα πράττομεν, ἀλλ' ὡς κυνά τινα ἀκάθαρτον. διὰ τοῦτο ὁ Θεὸς πόρρω ἀπῴκισεν ἐκεῖνα τὰ μέλη, ὥστε μηδεμίαν ἐξ αὐτῶν δέχεσθαι λύμην. ἀλλ' οὐκ ἐῶμεν ἡμεῖς, ἀλλὰ πάντα διαφθείρομεν τῇ ἀμετρίᾳ. τί δ' ἄν τις εἴποι τὰ ἄλλα κακά; ἀπόφραξον τοὺς ὀχετοὺς τῶν ἀμάρων, καὶ ὄψει λοιμὸν εὐθέως τικτόμενον. εἶτα ἡ μὲν ἔξωθεν περιστᾶσα δυσωδία λοιμὸν τίκτει· ἡ δὲ ἔνδον οὖσα, καὶ πάντοθεν ἐμπεφραγμένη τῷ στεγνῷ τοῦ σώματος, καὶ μὴ ἔχουσα πόθεν διαφορηθῇ, μυρίας οὐκ ἐργάζεται νόσους καὶ τῷ σώματι, καὶ τῇ ψυχῇ; καὶ τὸ δεινὸν, ὅτι πρὸς μὲν τὸν Θεὸν πολλοὶ δυσχεραίνουσι, τί ποτε τοῦτό ἐστι, λέγοντες· κόπρῳ βασανίζειν ἡμᾶς ἐνομοθέτησεν· αὐτοὶ δὲ τὴν κόπρον αὔξουσι. διὰ τοῦτο ὁ Θεὸς ἐνομοθέτησεν, ἵνα καὶ οὕτω τῆς τρυφῆς ἀπαλλάξῃ, ἵνα καὶ οὕτω πείσῃ μὴ προσηλῶσθαι τοῖς βιωτικοῖς. σὺ δὲ οὐδὲ οὕτως ἀνέχῃ παύσασθαι τῆς τρυφῆς, ἀλλὰ μέχρι τοῦ φάρυγγος, μέχρι τοῦ καιροῦ τῆς τραπέζης, μᾶλλον δὲ οὐδὲ μέχρι τότε τῆς ἡδονῆς παραμενούσης, ἐπιμένεις τῇ τρυφῇ. ἢ οὐχ ἅμα μὲν παρέδραμε τὴν γλῶτταν καὶ τὸν αὐχένα, καὶ ἔσβεσται τὰ τῆς ἡδονῆς; ἡ γὰρ αἴσθησις ἐν τῇ γεύσει, μετὰ δὲ ταῦτα οὐκέτι, ἀλλὰ πολλὴ ἡ ἀηδία, ἢ μὴ κατεργαζομένου τοῦ στομάχου, ἢ μετὰ πολλῆς τῆς δυσκολίας τοῦτο ποιοῦντος. εἰκότως ἄρα ἔλεγεν, ἡ σπαταλῶσα, ζῶσα τέθνηκεν. οὐδὲν γὰρ οὐκ ἔστιν, ὅ τι ἀκοῦσαι, ὅ τι εἴπῃ τὴν σπαταλῶσαν ψυχήν. μαλακὴ γίνεται, ἄτιμος, ἄνανδρος, ἀνελευθέρα, δειλὴ, θρασύτητος, κολακείας, ἀμαθίας πλήρης, θυμοῦ, ἀκροχολίας, πάντων τῶν κακῶν μεστὴ, τῶν δὲ ἐναντίων ἀγαθῶν ἔρημος. διὰ τοῦτό φησι,

χ. ἐπειδὰν ἐκ τρυφῶντες,

χ. πυρὶ

χ. φάρυγγα

7 Καὶ ταῦτα παράγγελλε, ἵνα ἀνεπίληπτοι ὦσιν. Ὁρᾷς ὅτι νομοθεσίας τὸ πρᾶγμά ἐστιν; οὐ τῇ προαιρέσει ἐπιτρέπει αὐτό; παράγγελλε, φησὶ, μὴ τρυφᾶν, ὡς ὡμολογημένου ὄντος κακοῦ, ὡς οὐκ ἐνὸν οὐδὲ ἐγχωροῦν τὸν τρυφῶντα μυστηρίων μετέχειν. καὶ ταῦτα παράγγελλε, ἵνα ἀνεπίληπτοι ὦσι, φησίν. ὁρᾷς ὅτι ἐν τοῖς ἁμαρτήμασι κεῖται τὸ πρᾶγμα; τὸ γὰρ ἐν τῇ προαιρέσει ὂν, κἂν μὴ πραχθῇ, οὐδὲν κωλύει ἀνεπιλήπτους εἶναι. οὐκοῦν τῷ

ἄχρηστα ἅπαντα ἐργάσηται· οὕτω καὶ ἡ ψυχή, ὅταν ὑπέραντλος γένηται τῇ πολλῇ τρυφῇ, θορυβοῦνται μὲν ἔνδον οἱ λογισμοί, τὸ δὲ ἤδη συναχθὲν οὐκ ἔχει κενῶσαι ἰσχύοντες, τῷ πάλιν ἕτερον ἐπεισελθεῖν πολὺς ὁ χειμὼν τίκτεται. μὴ γάρ μοι τὸ πρόσωπον ἴδῃς φαιδρὸν καὶ στιφρόν, ἀλλὰ τὰ ἔνδον ἐξέτασον, καὶ πολλῆς ὄψει γέμοντα τῆς κατηφείας. καὶ εἴ τις εἶχε τὴν ψυχὴν ἐκβαλόντα τοῖς τοῦ σώματος ὀφθαλμοῖς ὑποβαλεῖν, εἶδες ἂν τὴν τοῦ σπαταλῶντος κατηφῆ, σκυθρωπήν, ὀδυνηράν, κατισχνωμένην. ὅσῳ γὰρ ἂν τὸ σῶμα λιπαίνηται καὶ παχύνηται, τοσούτῳ μᾶλλον ἐκείνη κατισχναίνεται καὶ ἀσθενεστέρα γίνεται· καὶ ὅσῳ ἂν ἐκεῖνο θάλπηται, τοσούτῳ μᾶλλον αὕτη θλίβεται. καὶ καθάπερ ἐπὶ τῆς κόρης τῶν ὀφθαλμῶν ἂν μὲν οἱ ἔξωθεν ἐπικείμενοι χιτωνίσκοι ἔχωσι παχεῖς, οὐκ ἰσχύει τὸ διορατικὸν ἀφιέναι, καὶ ἀτενίσαι, τῆς ἀκτῖνος ἐκκρουομένης ὑπὸ τοῦ πάχους, καὶ σκότος γίνεται πολλάκις· οὕτω καὶ τὸ σῶμα, ἐπειδὰν λιπαίνηται συνεχῶς, πολλὴν εἰκὸς τὴν παχύτητα περικεῖσθαι. ἀλλ' οἱ τεθνεῶτες, φησί, σήπονται, καὶ διαφθείρονται, καὶ πολὺς ἀπ' αὐτῶν ἰχὼρ διαρρεῖ. οὕτω καὶ ἐπὶ τῆς σπαταλώσης ἔστιν ἰδεῖν, τὸ ῥεῦμα, τὸ φλέγμα, κόρυζα, λύγξ, ἔμετοι, ἐρυγαί. τὰ γὰρ ἄλλα, ἃ καὶ αἰσχρὸν εἰπεῖν, παρίημι. τοσαύτη γὰρ τῆς τρυφῆς ἡ τυραννίς, ὅτι ἃ μηδὲ εἰπεῖν ἀνεχόμεθα, ταῦτα ποιεῖ αὐτὰς ὑπομένειν. ἔτι οὖν ἐρωτᾷς, πῶς διαρρεῖ τὸ σῶμα πάντοθεν; ἀλλ' ἐσθίει καὶ πίνει. ἀλλ' οὐκ ἔστι τοῦτο ζωῆς ἀνθρωπίνης τεκμήριον, ἐπεὶ καὶ τὰ ἄλογα ἐσθίει καὶ πίνει. νεκρᾶς τοίνυν τῆς ψυχῆς κειμένης, τί τὸ ὄφελος τῆς βρώσεως καὶ τῆς πόσεως; ὥσπερ γὰρ τοῦ σώματος κειμένου νεκροῦ, οὐ λαμπρὰ ἱμάτια περιβεβλημένον οὐδὲν ὀνίνησιν, οὕτω καὶ σῶμα περικείμενον εὐθηνοῦν νεκρᾷ ψυχῇ, οὐδὲν ὠφελεῖ. ὅταν γὰρ ἀεὶ περὶ μαγείρων, περὶ τραπεζοποιῶν, περὶ σιτοποιῶν ὁ λόγος αὐτῇ γίνηται, καὶ μηδὲν εὐσεβὲς φθέγγηται, οὐχὶ τέθνηκε; τί γάρ ἐστιν ἄνθρωπος, ἴδωμεν. οἱ ἔξωθέν φασι ζῶον λογικόν, θνητόν, νοῦ καὶ ἐπιστήμης δεκτικόν. ἡμεῖς δὲ μὴ ἀπ' ἐκείνων τῶν ὅρων θώμεθα, ἀλλὰ πόθεν; ἀπὸ τῆς θείας γραφῆς. ποῦ τοίνυν ἡ γραφὴ ὅρον ἐξέθετο ἀνθρώπου; ἄκουε λεγούσης αὐτῆς·

Ἰωβ. α. β. Ἦν ἄνθρωπος δίκαιος, ἀληθινός, θεοσεβής, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος. τοῦτο ἄνθρωπος. καὶ πάλιν ἕτερός φησι· Μέγα ἄνθρωπος, καὶ τίμιον ἀνὴρ ἐλεήμων. οἱ δὲ μὴ τοιοῦτοι, κἂν νοῦ μετέχωσι, κἂν μυριάκις ἐπιστήμης ὦσι δεκτικοί, οὐκ οἶδεν ἡ γραφὴ λέγειν ἀνθρώπους, ἀλλὰ κύνας, καὶ ἵππους, καὶ ἔχεις, καὶ ὄφεις, καὶ ἀλώπεκας, καὶ λύκους, καὶ εἴ τι τούτων ἀτιμότερον θηρίον. εἰ τοίνυν τοῦτο ἄνθρωπος, ὁ σπαταλῶν οὐκ ἄνθρωπος. πῶς γάρ, ὁ μηδὲν τούτων φροντίζων; οὐ γὰρ ἔνι σπατάλην ὁμοῦ καὶ νῆψιν συνελθεῖν. ταῦτα ἀλλήλων ἐστὶν ἀναιρετικά. τοῦτο καὶ οἱ ἔξωθέν φασιν, ὅτι παχεῖα γαστὴρ λεπτὸν οὐ τίκτει νόον. οἶδε καὶ ἀψύχους ἀνθρώπους ἡ γραφὴ καλεῖν· Οὐ μὴ μείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις, διὰ τὸ εἶναι αὐτοὺς σάρκας. καίτοιγε καὶ ψυχὴν εἶχον, ἀλλ' ἐπειδὴ νεκρὰν αὐτὴν περιέφερον, σάρκας αὐτοὺς εἶπεν. ὥσπερ γὰρ περὶ τῶν ἐναρέτων, κἂν ἔχωσι σῶμα, ὅμως φαμέν, ὅλος ψυχή ἐστιν, ὅλος πνεῦμά ἐστιν, οὕτω καὶ περὶ τῶν οὐ τοιούτων τὰ ἐναντία.

Ρωμ. η. θ. οὕτω καὶ Παῦλος ἔλεγεν· Ὑμεῖς οὐκ ἐστὲ ἐν σαρκί, ἐπειδὴ μὴ τὰ τῆς σαρκὸς ἐπετελεῖτε. οὕτως οἱ σπαταλῶντες οὐκ εἰσὶν ἐν ψυχῇ, οὐδὲ ἐν πνεύματι. ἡ δὲ σπαταλῶσα, ζῶσα τέθνηκε, φησίν.

ΗΘΙΚΟΝ

Ἀκούσατε αἱ πάντα τὸν χρόνον ἐν κώμοις διατρίβουσαι καὶ μέθαις, αἱ τοὺς μὲν πένητας περιορῶσαι ὑπὸ λιμοῦ τηκομένους καὶ ἀποθνήσκοντας, διηνεκῶς δὲ ὑμεῖς ὑπὸ τῆς τρυφῆς ἀποθνήσκουσαι. δύο γὰρ θανάτους ἐργάζεσθε, τὸν τῶν θλιβομένων, καὶ τὸν ὑμῶν αὐτῶν, ἀμφοτέρους ἐξ ἀμετρίας. εἰ δὲ ἐκεράσατε τὴν ὑμετέραν πλησμονὴν ἐκείνων τῇ ἐνδείᾳ, δύο ζωὰς εἰργάζεσθε. τί διασπᾷς τὴν γαστέρα τὴν σὴν τῇ πλησμονῇ; τί κατατήκεις τὴν τοῦ πένητος ἐνδείᾳ; ταύτην πλέον τοῦ μέτρου καταπιαίνεις, ἐκείνην ὑπὸ τὸ μέτρον ξηραίνεις. ἐννόησον τίνα ἐστὶ τὰ ἀπὸ τῶν σιτίων*, ποῦ μεταβάλλεται, καὶ τί γίνεται. ἆρα οὐ δυσχεραίνεις καὶ πρὸς τὴν ἀκοήν; τί τοίνυν, ὥστε πλείονα ἐκεῖνα ἀποθέσθαι, σπουδάζεις; οὐδὲ

γρ. ἐργάσῃ

γρ. κατασήπει

* συμβαίνοντα

ἔχουσαν τέκνα, εἰπὼν, ὅτι τοῦτό ἐστι χήραν μάλιστα εἶναι, ὅταν μὴ τῆς παρὰ τοῦ ἀνδρὸς παραμυθίας, ἀλλὰ καὶ τῆς παρὰ τῶν τέκνων ἀπεστερημένη οὖσα τύχῃ. ἔχει γὰρ τὸν Θεὸν ἀντὶ πάντων. οὐ γὰρ μὴ ἔχουσα τέκνα ἐλάττων ἐστὶν, ἀλλὰ τὸ λεῖπον αὐτῇ διὰ τὴν τῶν παίδων ἀποβολὴν πληροῖ τῇ παραμυθίᾳ. ὃ οὖν λέγει, τοιοῦτό ἐστι· μὴ ἀλγεῖν ἐὰν ἀκούσῃς, ὅτι δεῖ παιδοτροφεῖν, ὡς οὐκ ἔχουσα τέκνα, ὡς ἐκ τούτου ἐλαττουμένου σοι τοῦ ἀξιώματος. οὕτως εἶ χήρα. ἡ δὲ σπαταλῶσα, ζῶσα τέθνηκεν. ἐπειδὴ γὰρ πολλαὶ τέκνα ἔχουσαι τὴν χηρείαν αἱροῦνται, οὐχ ἵνα τοῦ βίου τὰς ἀφορμὰς περικόψωσιν, ἀλλ' ἵνα μᾶλλον αὐτὰς ἐξάψωσιν, ἵνα μετὰ πλείονος αὐθεντίας ἅπαντα πράττωσι, καὶ κοσμικῶς μᾶλλον ἐκδιδῶσιν ἑαυτὰς ἐπιθυμίαις, διὰ τοῦτό φησιν, ἡ δὲ σπαταλῶσα, ζῶσα τέθνηκε. τί λέγεις, καὶ χήρα γυνὴ οὐκ ὀφείλει σπαταλᾶν; οὔ, φησιν. εἰ τοίνυν καὶ τῆς ἡλικίας, καὶ τῆς φύσεως ἀσθενούσης, οὐδὲ οὕτως ἀναγκαία ἡ σπατάλη, ἀλλὰ θανάτου ἐστὶ πρόξενος, θανάτου τοῦ αἰωνίου, τί ἂν εἴποιεν ἄνδρες σπαταλῶντες; εἰκότως δέ φησιν, ἡ δὲ σπαταλῶσα ζῶσα τέθνηκεν. ἀλλ' ἵνα μάθῃς, φέρε ἴδωμεν τί τῶν ζώντων ἔργον ἐστὶ, καὶ τί τῶν τεθνηκότων, καὶ ποῦ τάξομεν ταύτην. οἱ ζῶντες τὰ τῆς ζωῆς ἐνεργοῦσι, τῆς μελλούσης, τῆς ὄντως ζωῆς. τίνα δέ ἐστι τῆς μελλούσης ζωῆς, περὶ ἣν ἡμᾶς ὑπολῆφθαι προσήκει τὸν ἅπαντα χρόνον, ἄκουε τοῦ Χριστοῦ λέγοντος, Δεῦτε, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. (Ματθ κε. λδ.) ἐπείνασα γὰρ, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με. οἱ ζῶντες οὐχὶ τούτῳ διεστήκασι τῶν νεκρῶν μόνον, τῷ τὸν ἥλιον ὁρᾶν, καὶ πνεῖν τὸν ἀέρα· οὐ τούτῳ φαμὲν, ἀλλὰ τῷ ἀγαθόν τι ποιεῖν. ἐπεὶ εἰ μὴ τοῦτο παρέσῃ, τῶν τεθνεώτων οὐδὲν κρείττονες ἔσονται. καὶ ἵνα μάθῃς, ἄκουε πῶς ἐστι καὶ ἀποθανόντα ζῆν. Ὁ Θεὸς, φησιν, οὐκ ἔστι νεκρῶν, ἀλλὰ ζώντων. (Ματθ κβ. λβ.) ἀλλὰ τοῦτό, φησιν, αἴνιγμα πάλιν. οὐκοῦν τὰ ἀμφότερα ἐπιλυσώμεθα. τέθνηκέ τις ζῶν, ὅταν ἐν σπατάλῃ διάγῃ. πῶς; τῇ γαστρὶ ζῇ μόνῃ, ταῖς δὲ ἄλλαις αἰσθήσεσιν οὐδαμῶς· οἷόν πως, οὐχ ὁρᾷ ἃ χρὴ ὁρᾶν, οὐκ ἀκούει ἃ χρὴ ἀκούειν, οὐ φθέγγεται ἃ δεῖ φθέγγεσθαι, οὐδὲ τὰ τῶν ζώντων ἐνεργεῖ· ἀλλ' ὥσπερ ἐκεῖνος ὁ τεταμένος ἐπὶ τῆς κλίνης τοὺς ὀφθαλμοὺς μύσας, καὶ τὰ ὄμματα συνειλημμένος, τῶν ὄντων (γρ. μελλόντων) οὐδενὸς ἐπαισθάνεται· οὕτω καὶ οὗτος· μᾶλλον δὲ οὐχ οὕτως, ἀλλὰ πολλῷ χεῖρον (γρ. χεῖρον). ἐκεῖνος μὲν γὰρ καὶ τῶν ἀγαθῶν ὁμοίως, καὶ τῶν κακῶν ἀνεπαισθήτως ἔχει· οὗτος δὲ ἐκείνων αἰσθάνεται μόνων, τῶν κακῶν λέγω, πρὸς δὲ τὰ ἀγαθὰ τῷ κειμένῳ ὁμοίως ἐστὶν ἀκίνητος. οὕτω μὲν οὖν καὶ τέθνηκεν. οὐδὲν γὰρ αὐτὸν κινεῖ τῶν τῆς μελλούσης ζωῆς, ἀλλὰ καθάπερ εἰς κατάδυσίν τινα σκοτεινὴν καὶ ζοφώδη, καὶ δυσώδη πολλῆς ἀκαθαρσίας γέμοι λαβοῦσα εἰς τοὺς οἰκείους αὐτὸν κόλπους ἡ μέθη (γρ. ψυχῆς), διαπαντὸς ἐν σκότῳ ποιεῖ διατρίβειν, ὥσπερ τοὺς τεθνεῶτας. ὅταν γὰρ τὸν πάντα χρόνον τὸν μὲν ἀρίστων (γρ. ἐσκοτισμένον), τὸν δὲ μεθύων διατελῇ, οὐχὶ ἐν σκότῳ ἐστίν; οὐχὶ νεκρός ἐστι; καὶ πρὸς αὐτὴν δὲ τὴν ἕω, ἣν ἐδόκει νήφειν, οὐκ ἔχει νῆψιν καθαράν, τῷ μήπω τὸν ἑσπερινὸν ἤδη κεκενῶσθαι οἶνον καὶ ἀπηντλῆσθαι, καὶ τοῦ μέλλοντος σφόδρα τῇ ἐπιθυμίᾳ κατέχεσθαι, καὶ τὰς δείλης καὶ μεσημβρίας ἐν κώμοις διάγει, καὶ πᾶσαν τὴν νύκτα ἐν ὕπνῳ βαθεῖ, [καὶ τοῦ ὄρθρου τὸ πλέον.] τοῦτον οὖν, εἰπέ μοι, μετὰ τῶν ζώντων ἀριθμήσομεν; τί ἄν τις εἴποι τὸν πολὺν χειμῶνα τὸν ἀπὸ τῆς τρυφῆς, τὸν εἰς τὴν ψυχὴν, τὸν εἰς τὰ σώματα εἰσρεόμενον; καθάπερ γὰρ ἡ συνεχὴς συννεφία καὶ διηνεκὴς οὐκ ἀφίησι τὴν ἀκτῖνα διαλάμψαι ποτέ· οὕτως οἱ τῆς τρυφῆς καὶ τοῦ οἴνου ἀτμοὶ, καθάπερ τινὰ σκόπελον, τὸν ἐγκέφαλον ἀπολαβόντες, καὶ πυκνὸν ἐκεῖ στήσαντες νέφος, τὸ λογικὸν οὐκ ἀφιᾶσιν ἐκταθῆναί ποτε, ἐν πολλῇ σκοτομήνῃ κατέχοντες τὸν μεθύοντα. πόσον οἴει λοιπὸν ἔνδον εἶναι τὸν χειμῶνα τοῦ ταῦτα παθόντος; πόσον τὸν θόρυβον; καθάπερ γὰρ πλημμύρας γινομένης, καὶ τοῦ ὕδατος τῶν ἐργαστηρίων τὰ πρόθυρα ὑπερπηδήσαντος, τοὺς ἐνοικοῦντας ὁρῶμεν ἀεὶ θορυβουμένους, καὶ καδίσκους, καὶ ἀμφορέας, καὶ σπόγγους, καὶ ἕτερα πολλὰ ἐπινοοῦντας, ὥστε ἀποντλῆσαι, ἵνα μὴ καὶ τοὺς θεμελίους διασείσῃ, καὶ τὰ σκεύη

κεφ. ε.

1 Πρεσβυτέρῳ μὴ ἐπιπλήξῃς. Ἆρα τὸ ἀξίωμα νῦν φησιν; οὐκ ἔγωγε οἶμαι, ἀλλὰ περὶ παντὸς γεγηρακότος. τί οὖν, ἂν δέηται διορθώσεως; οὐκ ἐπιπλήξῃς, φησὶν, ἀλλ' ὡσανεὶ πρὸς πατέρα, φησὶ, προσενεχθείης ἁμαρτάνοντα, οὕτω καὶ πρὸς ἐκεῖνον διαλέγου.

2 Πρεσβυτέρας ὡς μητέρας, νεωτέρους ὡς ἀδελφοὺς, νεωτέρας ὡς ἀδελφὰς, ἐν πάσῃ ἁγνείᾳ. Αὕτη τοῦ πράγματος ἡ φύσις φορτικόν τι ἐστὶ, τὸ ἐλέγχεσθαι λέγω, καὶ μάλιστα ὅταν καὶ εἰς γέροντα γίνηται· ἂν δὲ καὶ παρὰ νέου, τριπλοῦν γίνεται τὸ τῆς προπετείας. παραμυθεῖται οὖν αὐτὸ τῷ τρόπῳ καὶ τῇ πρᾳότητι. ἔνεστι γὰρ ἀνεπαχθῶς ἐλέγχειν, εἴ τις θέλει τοῦτο ἀσκεῖν· πολλῆς μὲν γὰρ συνέσεως ἐστιν, ἔνεστι δέ. νεωτέρους ὡς ἀδελφοὺς, φησί. διὰ τί καὶ ἐνταῦθα τοῦτο προσέθηκεν; τὸ θρασὺ πάλιν διὰ τὴν ἡλικίαν αἰνιττόμενος. διὰ τοῦτο καὶ ἐνταῦθα παραμυθεῖται τὸ πρᾶγμα τῇ ἐπιεικείᾳ. νεωτέρας, φησὶν, ὡς ἀδελφὰς, καὶ προσέθηκεν, ἐν πάσῃ ἁγνείᾳ. μή μοι, φησὶ, τὴν τῆς μίξεως μόνον εἴπῃς ἁμαρτίαν, ἀλλὰ μηδὲ ὑποψίαν, φησὶ, δῷς. ἐπειδὴ γὰρ αἱ πρὸς τὰς νεωτέρας γινόμεναι ὁμιλίαι δυσκόλως διαφεύγουσιν ὑποψίαν, δεῖ δὲ γενέσθαι παρὰ τοῦ ἐπισκόπου καὶ τοῦτο, διὰ τοῦτο ἐν πάσῃ ἁγνείᾳ προσέθηκε, δηλῶν ὅτι μετὰ πάσης ἁγνείας προσήκει τὰς πρὸς αὐτὰς ὁμιλίας ποιεῖν. τί λέγεις, εἰπέ μοι; Τιμοθέῳ ταῦτα ἐπιτάττεις; ναί, φησι. δι' αὐτοῦ γὰρ τῇ οἰκουμένῃ διαλέγομαι. εἰ δὲ Τιμοθέῳ ταῦτα ἐπιτάττει, ἐννοείτω ἕκαστος τὴν ἄλλων ὁποῖος εἶναι ὀφείλει, μήτε ὑποψίαν παρέχων, μήτε σκιὰν προφάσεως τοῖς διαβάλλειν βουλομένοις.

3 Χήρας τίμα, τὰς ὄντως χήρας. Διὰ τί μηδὲν περὶ παρθενίας διαλέγεται, μηδὲ λέγει, παρθένους τίμα; ὅτι μοι δοκοῦσι μηδὲ εἶναι τότε, ἢ καὶ ἐκπεπτωκέναι. Ἤδη γὰρ, φησί, τινες ἐξετράπησαν ὀπίσω τοῦ Σατανᾶ. χήρας τίμα, τὰς ὄντως χήρας, φησίν. ἆρα ἐστὶ μὴ ἔχειν μὲν ἄνδρα, μὴ εἶναι δὲ χήραν. ὥσπερ γὰρ τὴν παρθένον οὐ τοῦτο ποιεῖ παρθένον, τὸ μὴ ὡμιληκέναι γάμῳ, ἀλλὰ πολλῶν καὶ ἑτέρων δεῖ, τοῦ ἀμέμπτου, τοῦ εὐπροσέδρου· οὕτω καὶ χήραν οὐχ ἡ τοῦ ἀνδρὸς ἐρημία ποιεῖ ἁπλῶς, ἀλλ' ἡ μετὰ σωφροσύνης ὑπομονὴ, ἡ ἐκ πάντων μόνωσις. τὰς τοιαύτας χήρας τιμᾷ δικαίως, εἰκότως. πολλῆς γὰρ δέονται τιμῆς μεμονωμέναι. ἄνδρας οὐκ ἔχουσι τοὺς προϊσταμένους· τὸ πρᾶγμα ἐπονείδιστον εἶναι δοκεῖ καὶ δυσοιώνιστον παρὰ τοῖς πολλοῖς. διὰ τοῦτο πολλῆς αὐτὴν βούλεται παρὰ τοῦ ἱερέως ἀπολαύειν τιμῆς. οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλ' ἐπειδὴ καὶ ἀξία ἐστίν.

α. Τιμ. α. 11.

4 Εἰ δέ τις χήρα τέκνα ἢ ἔκγονα ἔχει, μανθανέτωσαν πρῶτον τὸν ἴδιον οἶκον εὐσεβεῖν, καὶ ἀμοιβὰς ἀποδιδόναι τοῖς προγόνοις. Ὅρα τοῦ Παύλου τὸ συνετὸν, πῶς πολλαχοῦ ἀπὸ ἀνθρωπίνων προτρέπει λογισμῶν. οὐ γὰρ ἔθηκεν ἐνταῦθα μέγα τι καὶ ὑψηλὸν, ἀλλ' ὅπερ ἐστὶν εὐσυνείδητον· καὶ ἀμοιβὰς, φησιν, ἀποδιδόναι τοῖς προγόνοις. πῶς; τῆς ἀνατροφῆς, τῆς αὐξήσεως. οἷον, ἀπέλαυσας πολλῆς τῆς "ἐπιμελείας· ἀπῆλθον ἐκεῖνοι· οὐκ ἠδυνήθης αὐτοῖς ἀποδοῦναι τὴν ἀμοιβήν. οὐ γὰρ δὴ καὶ αὐτὸς ἐγέννησας αὐτοὺς, οὐδὲ ἀνέθρεψας. ἐν τοῖς ἐκγόνοις αὐτοῦ ἀμείβου, ἀποδίδου τὸ ὀφείλημα διὰ τῶν παίδων. μανθανέτωσαν, φησι, πρῶτον τὸν οἶκον ἴδιον εὐσεβεῖν. ἐνταῦθα τὸ αὐτὸ ποιεῖ "φησιν ἁπλούστερον. Εἶτα ἵνα μᾶλλον ἐπάρῃ, ἐπήγαγε, Τοῦτο γάρ ἐστιν ἀπόδεκτον ἐνώπιον τοῦ Θεοῦ. Ἐπειδὴ δὲ εἶπε τὰς ὄντως χήρας, λέγει τίς ἐστιν ἡ ὄντως χήρα.

χ. τιμῆς. χ. λέγει

5 Ἡ δὲ ὄντως χήρα καὶ μεμονωμένη ἤλπικεν ἐπὶ τὸν Θεὸν, καὶ προσμένει ταῖς δεήσεσι καὶ ταῖς προσευχαῖς νυκτὸς καὶ ἡμέρας·

6 Ἡ δὲ σπαταλῶσα, ζῶσα τέθνηκεν. "Εἴ τις, φησι, μὴ κοσμικὸν ἐπανῄρηται βίον, καὶ ἐν χηρείᾳ οὖσα, αὕτη ὄντως χήρα ἐστίν. ἡ ἐπὶ τὸν Θεὸν ἐλπίζουσα ὡς χρὴ, ἡ δεήσει προσανέχουσα, καὶ προσκαρτεροῦσα νυκτὸς καὶ ἡμέρας, αὕτη χήρα ἐστίν· οὐχ ὡς καὶ τῆς τέκνα ἐχούσης οὐχὶ χήρας οὔσης (καὶ γὰρ καὶ ἐκείνην θαυμάζει τὴν παιδοτροφοῦσαν, ὡς χρὴ) ἀλλ' "εἴ τις τέκνα μὴ ἔχει, τουτέστιν, ἡ μεμονωμένη οὖσα. Εἶτα παραμυθεῖται αὐτὴν, ὡς οὐκ

χ. Ἡ ἐπὶ χ. εἴπερ

ἔχουσαν

Digitized by Google

Εὐκαταφρόνητον γάρ πως πρᾶγμα ἡ νεότης ἀπὸ τῆς κοινῆς ὑπολήψεως γέγονε. Διὰ τοῦτό φησι, μηδείς σου τῆς νεότητος καταφρονείτω. Δεῖ γὰρ καὶ ἀκαταφρόνητον εἶναι τὸν διδάσκαλον. Ποῦ οὖν τὸ ἐπιεικές, φησί; ποῦ δὲ τὸ πρᾶον, ἂν μὴ καταφρονῆται; Ἐν μὲν τοῖς πρὸς ἑαυτὸν καταφρονείσθω καὶ φερέτω (οὕτω γὰρ διδασκαλία κατορθοῦται τῇ μακροθυμίᾳ) ἐν δὲ τοῖς πρὸς ἑτέρους μηκέτι. Τοῦτο γὰρ οὐκ ἔστιν ἐπιείκεια, ἀλλὰ ψυχρότης. Ἂν μὲν ὕβρεις ἐκδικῇ τὰς εἰς ἑαυτόν, ἂν λοιδορίας, ἂν ἐπιβουλάς, εἰκότως ἐγκαλεῖ· ἂν δὲ ὑπὲρ τῆς τῶν ἄλλων σωτηρίας, "ἐπιτάττῃ καὶ μετ' αὐθεντίας" προνοῇ. Ἐνταῦθα οὐκέτι ἐπιεικείας χρεία, ἀλλ' αὐθεντίας, ἵνα μὴ τῷ κοινῷ λυμαίνηται. Ἢ τοῦτό φησιν, ἢ ἐκεῖνο. Μηδεὶς διὰ τὴν νεότητα καταφρονήσῃ σου. Ἕως γὰρ ἂν ὑπέρτονον ἐπιδεικνύῃ βίον, οὐκέτι διὰ τὴν ἡλικίαν τις καταφρονήσει, ἀλλὰ καὶ θαυμάσει μᾶλλον. Διὰ τοῦτο καὶ ἐπάγει λέγων· ἀλλὰ τύπος γίνου τῶν πιστῶν ἐν λόγῳ, ἐν ἀναστροφῇ, ἐν ἀγάπῃ, ἐν πίστει, ἐν ἁγνείᾳ, περὶ πάντα σεαυτὸν παρεχόμενος τύπον καλῶν ἔργων· τουτέστι, τὸ ἀρχέτυπον τοῦ βίου αὐτὸς ἔσο, ὥσπερ εἰκὼν προκειμένη, ὥσπερ νόμος ἔμψυχος, ὥσπερ κανὼν καὶ ὅρος τῆς εὐζωΐας. Τοιοῦτον γὰρ διδάσκαλον εἶναι χρή. Ἐν λόγῳ, ὡς καὶ φθέγγεσθαι μετ' εὐκολίας· ἐν ἀναστροφῇ, ἐν ἀγάπῃ, ἐν πίστει, ἐν ἁγνείᾳ τῇ ὀρθῇ, ἐν σωφροσύνῃ. Ἕως ἔρχομαι πρόσεχε τῇ ἀναγνώσει, τῇ παρακλήσει, τῇ διδασκαλίᾳ. Τιμοθέῳ κελεύει προσέχειν τῇ ἀναγνώσει. Ἀκούωμεν ἅπαντες, καὶ παιδευώμεθα μὴ ἀμελεῖν τῆς τῶν θείων γραφῶν μελέτης. Ἰδοὺ πάλιν ἕως ἔρχομαι, φησίν. Ὅρα πῶς αὐτὸν παραμυθεῖται. Εἰκὸς γὰρ αὐτὸν ἀπορφανισθέντα ζητεῖν. Ἕως ἔρχομαι, φησί, πρόσεχε τῇ ἀναγνώσει τῇ τῶν θείων γραφῶν, τῇ παρακλήσει τῇ πρὸς ἀλλήλους, τῇ διδασκαλίᾳ τῇ πρὸς πάντας. Μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος, ὃ ἐδόθη σοι διὰ προφητείας. Τὴν διδασκαλίαν ἐνταῦθα προφητείαν λέγει. Μετ' ἐπιθέσεως τῶν χειρῶν τοῦ πρεσβυτερίου. Οὐ περὶ πρεσβυτέρων φησὶν ἐνταῦθα, ἀλλὰ περὶ ἐπισκόπων. Οὐ γὰρ δὴ πρεσβύτεροι τὸν ἐπίσκοπον ἐχειροτόνουν.

γ. ἐπιτάττῃ, γ. προνοῇ.

15 Ταῦτα μελέτα, ἐν τούτοις ἴσθι. Ὅρα πῶς πολλάκις περὶ τῶν αὐτῶν αὐτῷ παραινεῖ, δεῖξαι βουλόμενος, ὅτι μάλιστα πάντων ἐν τούτοις σπουδάζειν τὸν διδάσκαλον χρή.

16 Ἔπεχε σεαυτῷ, φησί, καὶ τῇ διδασκαλίᾳ, ἐπίμενε αὐτοῖς. Τουτέστι, πρόσεχε σεαυτῷ, καὶ δίδασκε καὶ τοὺς λοιπούς. Τοῦτο γὰρ ποιῶν, καὶ σεαυτὸν σώσεις, καὶ τοὺς ἀκούοντάς σου. Καλῶς εἶπε, καὶ σεαυτόν. Ὁ γὰρ τοῖς τῆς διδασκαλίας ἐντρεφόμενος λόγοις, πρότερος αὐτὸς καρποῦται τὴν ὠφέλειαν. Ἐν τῷ γὰρ παραινεῖν ἑτέροις, καὶ ἑαυτὸν κατανύσσει. Οὐ γὰρ δὴ πρὸς Τιμόθεον ταῦτα εἴρηται, ἀλλὰ πρὸς πάντας. Εἰ δὲ τῷ νεκροὺς ἀνιστῶντι τοιαῦτα παραινεῖ, τί ἐροῦμεν ἡμεῖς; Καὶ ὁ Χριστὸς δὲ τὸ περὶ τῶν διδασκάλων αἰνίττεται λέγων· Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὃς ἐκβάλλει ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ καὶ παλαιά. Ματθ. ιγ. ιϛ. Καὶ πάλιν ὁ μακάριος Παῦλος τὸ αὐτὸ παραινῶν φησιν· Ἵνα διὰ τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως τῶν γραφῶν τὴν ἐλπίδα ἔχωμεν. Ρωμ. ιε. δ. Καὶ μάλιστα πάντων αὐτὸς τοῦτο ἔπραττε, παρὰ τοὺς πόδας Γαμαλιὴλ "παιδευόμενος τὸν πατρῷον νόμον, ὥστε καὶ μετὰ ταῦτα αὐτὸν εἰκὸς προσέχειν τῇ ἀναγνώσει. Ὁ γὰρ ἑτέροις ταῦτα παραινῶν, ἑαυτῷ πολλῷ πρότερον παρῄνεσεν ἄν. Ὁρᾷς γοῦν αὐτὸν συνεχῶς ταῖς τῶν προφητῶν κεχρημένον μαρτυρίαις, καὶ θεωροῦντα τὰ ἐν αὐταῖς; Εἶτα Παῦλος μὲν προσεῖχε τῇ ἀναγνώσει (οὐ γάρ ἐστι μικρὰν ἀπὸ τῶν γραφῶν ὠφέλειαν καρπώσασθαι) ἡμεῖς δὲ ῥαθυμοῦμεν καὶ παρέργως ἀκούομεν; καὶ πόσης οὐκ ἂν εἶμεν κολάσεως ἄξιοι; Ἵνα σου γὰρ ἡ προκοπὴ φανερὰ ᾖ, φησίν, ἐν πᾶσιν. Ὁρᾷς ὅτι ἐβούλετο αὐτὸν καὶ ἐν τούτῳ μέγαν φαίνεσθαι, καὶ θαυμαστόν; Διὰ τοῦτο οὕτως εἶπε, δεικνὺς ὅτι ἐδεῖτο αὐτοῦ ἔτι. Τί ἐστιν, ἵνα σου ἡ προκοπὴ φανερὰ ᾖ ἐν πᾶσι; μὴ ἐν τῷ βίῳ, φησί, μόνον, ἀλλὰ καὶ ἐν τῷ λόγῳ τῷ διδασκαλικῷ.

γ. πεπαιδευμένος

1 Πρεσβυτέρῳ

ψυχὴν τὴν αὐτὴν, ὁμοίαν τὴν κατασκευὴν ἐν πᾶσιν, ἀπὸ γῆς τὰ πάντα, καὶ ἀπὸ ἑνὸς ἀνδρὸς πάντας, ἐν τῇ αὐτῇ οἰκίᾳ πάντας· ἀλλ' οὐδὲν τούτων ἡμᾶς ἐνέτρεψεν. ἐποίησε καὶ ἄλλα κοινά, οἷον λουτρά, πόλεις, ἀγοράς, περιπάτους. καὶ θέα πῶς ἐν τοῖς κοινοῖς οὐδεμία μάχη, ἀλλὰ πάντα εἰρηνικά. ὅταν δέ τις περισπάσαι τι ἐπιχειρήσῃ, καὶ ἴδιον ποιήσῃ, τότε ἡ ἔρις ἐπεισέρχεται, ὥσπερ αὐτῆς τῆς φύσεως ἀγανακτούσης, ὅτι δὴ πάντοθεν ἡμᾶς συνάγοντος τοῦ Θεοῦ, ἡμεῖς φιλονεικοῦμεν διαιρεῖν ἑαυτοὺς, καὶ ἀπαρτᾶν ἐν τῷ ἰδιοποιεῖσθαι, καὶ λέγειν τὸ σὸν, καὶ τὸ ἐμόν *. τότε γὰρ μάχη, τότε ἀηδία. ἔνθα δὲ τοῦτο οὐκ ἔστιν, οὐδὲ μάχη, οὐδὲ φιλονεικία τίκτεται· ὥστε τοῦτο μᾶλλον ἐκείνου συγκεκλήρωται ἡμῖν, καὶ κατὰ φύσιν ἐστί. διὰ τί μηδεὶς ὑπὲρ ἀγορᾶς ποτε δικάζεται; ἆρα οὐχ ὅτι κοινὴ πάντων ἐστίν; ὑπὲρ δὲ οἰκίας πάντας ὁρῶμεν δικαζομένους, ὑπὲρ χρημάτων. καὶ τὰ μὲν ἀναγκαῖα, κοινὰ ἡμῖν πρόκειται· ἡμεῖς δὲ οὐδὲ ἐν τοῖς ἐλαχίστοις τὸ κοινὸν φυλάττομεν. καὶ μὴν διὰ τοῦτο ἡμῖν ἐκεῖνα ἀνῆκεν, ἵνα παιδευθῶμεν ἀπ' ἐκείνων καὶ ταῦτα ἔχειν κοινῶς. ἡμεῖς δὲ οὐδὲ οὕτω παιδευόμεθα. ἀλλ' ὅπερ ἔφην, πῶς ὁ τὸν πλοῦτον ἔχων ἀγαθός; οὐκ ἔνι τοῦτο, ἀλλ' ἀγαθός, ἐὰν ἑτέροις μεταδῷ· ὅταν μὴ ἔχῃ, τότε ἀγαθός· ὅταν ἑτέροις αὐτὸν δῷ, τότε ἀγαθός. ἕως δ' ἂν ἔχῃ, οὐκ ἂν εἴη ἀγαθός. τοῦτο οὖν ἀγαθόν, ὃ κατεχόμενον μὲν πονηροὺς δείκνυσιν, ἡ ἀπόκτησις δὲ ἀγαθούς; οὐκ ἄρα τὸ ἔχειν χρήματα ἀγαθόν, ἀλλὰ τὸ μὴ ἔχειν ἀγαθοὺς ποιεῖ φαίνεσθαι. οὐκ ἄρα ὁ πλοῦτος ἀγαθόν. ἂν δὲ καὶ παρὸν λαβεῖν, μὴ λάβῃς, πάλιν ἀγαθός. εἰ τοίνυν καὶ ἔχοντες τοῦτον, ἂν τοῖς ἄλλοις μεταδιδῶμεν, ἢ διδόμενον οὐ λαμβάνοντες, τότε ἐσμὲν ἀγαθοί, ἂν δὲ λάβωμεν, ἢ κτησώμεθα, οὐκ ἀγαθοί, πῶς ἀγαθὸν ἂν γένηται ὁ πλοῦτος; μὴ τοίνυν κάλει τοῦτον ἀγαθόν. διὰ τοῦτο αὐτὸν οὐκ ἔχεις, ἐπειδὴ ἀγαθὸν αὐτὸν νομίζεις, ἐπειδὴ ἐπτόησαι περὶ αὐτόν. καθάρευσον τὴν διάνοιαν, τὴν κρίσιν ἔχε διηκριβωμένην, καὶ τότε ἔσῃ ἀγαθός. μάθε τίνα ἐστὶ τὰ ὄντως ἀγαθά. τίνα δὲ ταῦτά ἐστιν; ἀρετή, φιλανθρωπία, ταῦτα ἀγαθά, οὐκ ἐκεῖνος. κατὰ τοῦτον τὸν κανόνα ἐὰν ᾖς ἐλεήμων, ὅσῳ ἂν ᾖς πλείων, τοσούτῳ ἀγαθὸς καὶ εἶ, καὶ νομίζῃ· ἂν δὲ πλούσιος ᾖς, οὐκέτι. οὕτω γενώμεθα οὖν ἀγαθοί, ἵνα καὶ ὦμεν ἀγαθοί, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν.

* τὸ ψυχρὸν τοῦτο ῥῆμα.

γρ. [illegible]

## Λογ. ιγ. 11 ΠΑΡΑΓΓΕΛΛΕ ΤΑΥΤΑ ΚΑΙ ΔΙΔΑΣΚΕ.

12 Μηδείς σου τῆς νεότητος καταφρονείτω, ἀλλὰ τύπος γίνου τῶν πιστῶν ἐν λόγῳ, ἐν ἀναστροφῇ, ἐν ἀγάπῃ, ἐν πίστει, ἐν ἁγνείᾳ.

13 Ἕως ἔρχομαι πρόσεχε τῇ ἀναγνώσει, τῇ παρακλήσει, τῇ διδασκαλίᾳ.

14 Μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος, ὃ ἐδόθη σοι διὰ προφητείας, μετὰ ἐπιθέσεως τῶν χειρῶν τοῦ πρεσβυτερίου.

Τῶν πραγμάτων τὰ μὲν διδασκαλίας δεῖται, τὰ δὲ ἐπιταγῆς. ἂν τοίνυν ἐπιτάττῃς ὑπὲρ ὧν διδάσκειν χρή, καταγέλαστος ἔσῃ· πάλιν, ἂν διδάσκῃς ὑπὲρ ὧν ἐπιτάττειν χρή, τὸ αὐτὸ ὑπομένεις ὁμοίως. οἷόν τι λέγω· τὸ μὴ εἶναι πονηρὸν ὑπὲρ τούτου οὐ διδάσκειν χρή, ἀλλ' ἐπιτάττειν, καὶ ἀπαγορεύειν μετὰ πλείονος αὐθεντίας· τὸ μὴ Ἰουδαΐζειν, ἐπιταγῆς δεῖται. ἂν μέντοι λέγῃς, ὅτι δεῖ τὰ ὑπάρχοντα κενοῦν, ὅτι δεῖ παρθενεύειν, ἂν περὶ πίστεως διαλέγῃ, ἐκεῖ διδασκαλίας χρεία. διὰ τοῦτο ἀμφότερα τίθησιν ὁ Παῦλος. παράγγελλε καὶ δίδασκε, φησίν. οἷον εἴ τις ἔχει περίαπτα, ἢ εἴ τι ἕτερον τοιοῦτον, ὅταν εἰδότες αὐτὰ πονηρὰ ὄντα πράττωσι, παραγγελίας δεῖ μόνης· ὅταν δὲ μὴ εἰδότες, διδασκαλίας. μηδείς σου τῆς νεότητος καταφρονείτω, φησίν. ὁρᾷς ὅτι καὶ ἐπιτάττειν τὸν ἱερέα, καὶ αὐθεντικώτερον διαλέγεσθαι, μὴ πάντα διδάσκειν; οὐ κατα-

φρόνητον

θός; τί οὖν, εἰπέ μοι; ὅταν οἱ κεκτημένοι αὐτὰ πλεονεκτῶσιν, ἁρπάζωσιν, ἀγαθοὺς αὐτοὺς καλέσομεν; εἰ γὰρ ἀγαθὸν ὁ πλοῦτος, ἀπὸ δὲ πλεονεξίας συνάγεται, ὅσῳ ἂν αὔξηται, τοσούτῳ μᾶλλον τὸν ἔχοντα ἀγαθὸν ποιήσει νομίζεσθαι. ἆρα οὖν ἀγαθὸς ὁ πλεονέκτης. εἰ δὲ ὁ πλοῦτος ἀγαθός, ὑπὸ δὲ πλεονεξίας αὔξεται, ὅσῳ ἂν πλεονεκτῇ, ἀγαθώτερος ἔσται. Εἶδες τὴν ἐναντίωσιν; ἀλλ' ἂν μὴ πλεονεκτῇ, φησί. καὶ πῶς ἔνι γενέσθαι; ὀλέθριον γὰρ τὸ πάθος, καὶ οὐκ ἔστιν, οὐκ ἔστι μὴ ἀδικοῦντα πλουτεῖν. τοῦτο καὶ ὁ Χριστὸς ἀπεφήνατο λέγων, Ποιήσατε ὑμῖν φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας. τί οὖν, φησὶν, ἂν παρὰ πατρὸς δέξηται τὸν κλῆρον; τὰ ἐξ ἀδικίας συλλεγέντα ἐδέξατο. οὐ γὰρ δὴ ἀπὸ τοῦ Ἀδὰμ ὁ πρόγονος ἐκείνου πλούσιος ἦν, ἀλλὰ πολλοὺς ἑτέρους εἰκὸς πρὸ ἐκείνου γεγενῆσθαι, εἶτα ἐν τοῖς πολλοῖς εὑρεθῆναί τινα ἀδίκως τὰ τῶν ἄλλων εἰληφότα καὶ καρπούμενον. τί οὖν; Ἀβραάμ, φησιν, ἄδικον πλοῦτον εἶχε; τί δέ; ὁ Ἰώβ, ὁ ἄμεμπτος, ὁ δίκαιος, ὁ ἀληθινός, ὁ θεοσεβής, ὁ ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος; ὁ πλοῦτος ἐκείνοις οὐκ ἐν χρυσῷ ἦν, οὐδὲ ἐν ἀργυρίῳ, οὐδὲ ἐν οἰκοδομήμασιν, ἀλλ' ἐν θρέμμασιν. ἄλλως δὲ καὶ θεόπλουτος οὗτος ἦν. ὅτι γὰρ ἐν θρέμμασιν ἦν, δῆλον ἐκεῖθεν. καταλέγων γὰρ ὁ τὸ βιβλίον γράψας τὰ συμβεβηκότα τῷ μακαρίῳ ἐκείνῳ, καὶ λέγων, ὅτι ἀπώλοντο αὐτῷ κάμηλοι, καὶ ἵπποι θήλειαι, καὶ ὄνοι, οὐκ εἶπεν ὅτι καὶ χρυσοῦς θησαυροὺς ἐλθόντες ἀφήρπασαν. ἄλλως δὲ, καὶ ὁ Ἀβραὰμ πλούσιος ἦν· ἀλλ' ἐν οἰκέταις. τί οὖν; οὐκ ἠγόραζε τούτους; οὐδαμῶς. διὰ τοῦτο εἶπεν ἡ γραφή, Ὅτι οἰκογενεῖς ἦσαν οἱ τριακόσιοι δέκα καὶ ὀκτώ. καὶ πρόβατα, καὶ βόες ἦσαν αὐτῷ. πόθεν οὖν χρυσίον ἔπεμψε τῇ Ῥεβέκκᾳ; ἀπὸ τῆς Αἰγύπτου δῶρα λαβών, οὐ βιασάμενος, οὐδὲ ἀδικήσας. Εἰπὲ γάρ μοι, πόθεν σὺ πλουτεῖς; παρὰ τίνος λαβών; ὁ δὲ ἕτερος πόθεν; παρὰ τοῦ πάππου, φησί, παρὰ τοῦ πατρός. δυνήσῃ οὖν μέχρι πολλοῦ τοῦ γένους ἀνιών, οὕτω δεῖξαι τὴν κτῆσιν δικαίαν οὖσαν; ἀλλ' οὐκ ἂν ἔχοις· ἀλλ' ἀνάγκη τὴν ἀρχὴν αὐτῆς καὶ τὴν ῥίζαν ἀπὸ ἀδικίας εἶναί τινος. πόθεν; ὅτι ὁ Θεὸς ἐξ ἀρχῆς οὐ τὸν μὲν πλούσιον ἐποίησε, τὸν δὲ πένητα, οὐδὲ παραγαγών, τούτῳ μὲν ἔδειξε χρυσίου θησαυροὺς πολλούς, ἐκεῖνον δὲ ἀπεστέρησε τῆς εὑρέσεως, ἀλλὰ τὴν αὐτὴν πᾶσιν ἀφῆκε γῆν. πόθεν οὖν κοινῆς οὔσης, σὺ μὲν ἔχεις πλέθρα τόσα, καὶ τόσα· ὁ δὲ πλησίον οὐδὲ βῶλον γῆς; ὁ πατήρ μοι, φησί, παρέδωκεν. ἐκεῖνος δὲ παρὰ τίνος παρέλαβε; παρὰ τῶν προγόνων. ἀλλ' ἀνάγκη πάντως ἀνιόντα εὑρεῖν τὴν ἀρχήν. ἐγένετο πλούσιος ὁ Ἰακώβ, ἀλλὰ τῶν πόνων λαβὼν τὸν μισθόν. πλὴν ἀλλ' οὐδὲ ὑπὲρ τούτων ἀκριβολογοῦμαι. ἔστω δίκαιος ὁ πλοῦτος, καὶ πάσης ἁρπαγῆς ἀπηλλάχθω. οὐ γὰρ δὴ σὺ ὑπεύθυνος, εἰ ὁ πατήρ ἐπλεονέκτησεν. ἔχεις μὲν γὰρ τὰ ἐκ τῆς ἁρπαγῆς, ἀλλ' οὐχ ἥρπασας σύ. πλὴν ἀλλὰ συγκεχωρήσθω μηδὲ ἐκεῖνον ἡρπακέναι, ἀλλὰ ποθὲν ἀπὸ γῆς ἀναβλυσθέντα τὸν χρυσὸν ἔχειν. τί οὖν; παρὰ τοῦτο ἀγαθὸς ὁ πλοῦτος; οὐδαμῶς. ἀλλ' οὐδὲ πονηρός, φησιν. ἐὰν μὴ πλεονεκτῇ, οὐ πονηρός, ἐὰν μεταδίδωσι τοῖς δεομένοις· ἐὰν δὲ μὴ μεταδίδωσι, πονηρὸς καὶ ἐπίβουλος. ἕως ἂν μὴ ποιῇ, φησι, κακόν, οὐ κακός, κἂν ἀγαθὸν μὴ ἐργάζηται. καλῶς· τοῦτο δὲ οὐ κακὸν τὸ μόνον ἔχειν τὰ δεσποτικά, τὸ μόνον ἀπολαύειν τῶν κοινῶν; ἢ οὐχὶ τοῦ Θεοῦ ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς; εἰ τοίνυν τοῦ δεσπότου τοῦ κοινοῦ τὰ ἡμέτερα, ἄρα καὶ τῶν συνδούλων τῶν ἡμετέρων. τὰ γὰρ τοῦ δεσπότου πάντα κοινά. ἢ οὐχ ὁρῶμεν καὶ ἐν ταῖς μεγάλαις οἰκίαις οὕτω ταῦτα διατεταγμένα; οἷον, πᾶσιν ἐξ ἴσου τὸ σιτομέτριον δίδοται· ἀπὸ τῶν δεσποτικῶν γὰρ ἔξεισι θησαυρῶν. ἡ οἰκία ἡ δεσποτικὴ πᾶσιν ἀνέῳκται. κοινὰ καὶ τὰ βασιλικὰ πάντα, αἱ πόλεις, αἱ ἀγοραί, οἱ περίπατοι· πᾶσιν εἰσὶ κοινοί, πάντες τὸ ἴσον μετέχομεν. θέα γάρ μοι Θεοῦ οἰκονομίαν. ἐποίησεν εἶναί τινα κοινά, ἵνα κἂν ἀπ' ἐκείνων καταιδέσῃ τὸ ἀνθρώπινον γένος, οἷον τὸν ἀέρα, τὸν ἥλιον, τὸ ὕδωρ, τὴν γῆν, τὸν οὐρανόν, τὴν θάλατταν, τὸ φῶς, τοὺς ἀστέρας, καθάπερ ἀδελφοῖς πάντα ἐξ ἴσης διανέμει. ὀφθαλμοὺς πᾶσι τοὺς αὐτοὺς ἐδημιούργησε, σῶμα τὸ αὐτό,

ψυχὴν

Luc. 16. 9.

Gen. 14. 14.

γ. τὸ ἴσον

Digitized by Google

πλὴν τρυφῆς. ἀλλ' εἰ μὲν εἶπεν, ὅτι διὰ τρυφὴν μὴ ἐσθίετε, οὐκ ἂν ἠνέσχοντο. νῦν δὲ εἰς νόμους αὐτοὺς κατέκλεισεν ἀνάγκην, ἵνα τῷ μείζονι φόβῳ μᾶλλον ἀπέχωνται. ἐπεὶ ὅτι τοῦ ὑὸς ἀκαθαρτότερός ἐστιν ὁ ἰχθύς, παντί που δῆλον· ἀλλ' ὅμως ἐκείνων οὐκ ἀπήγαγεν. ὅσοι δὲ αὐτοῖς χαλεποὶ ἦσαν ἡ τρυφή, ἄκουε καὶ τοῦ Μωϋσέως λέγοντος· (Δευτ. λβ. 15.) Ἔφαγε, καὶ ἐλιπάνθη, καὶ ἐπαχύνθη, καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος. ἔστι δὲ καὶ ἄλλη αἰτία. ἵνα γὰρ στενοχωρηθέντες λοιπὸν ἐπὶ βόας ἔλθωσι, καὶ σφάττωσι πρόβατα, εἰκότως διὰ τοῦτο ἅπτου καὶ τοῦτο μέχρι τῶν λοιπῶν ἀπεῖρξεν. ἀκάθαρτος γὰρ ἐκεῖνος, ἀλλότριος, μιαρὸς καὶ βέβηλος. ταῦτα ὑποτίθεσο, ταῦτα μελέτα. ὃ γάρ, ἐντρεφόμενος τοῖς λόγοις τῆς πίστεως, τοῦτό ἐστι. μὴ τοῖς ἄλλοις μόνοις παραίνει, φησίν, ἀλλὰ καὶ αὐτὸς ἐν αὐτοῖς ἔχε τὴν μελέτην. ἐντρεφόμενος γάρ, φησί, τοῖς λόγοις τῆς πίστεως καὶ τῆς καλῆς διδασκαλίας, ᾗ παρηκολούθηκας. τοὺς δὲ βεβήλους καὶ γραώδεις μύθους παραιτοῦ. διατί μὴ εἶπεν, ἀπέχου τῶν τοιούτων, ἀλλά, παραιτοῦ; τὴν πλείονα ἀποφυγὴν αἰνιττόμενος διὰ τούτου. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· μηδὲ εἰς γυμνασίαν ποτὲ καταθῇς σεαυτὸν διαλεγόμενος πρὸς ἐκείνους, ἀλλὰ ταῦτα τοῖς αὐτοῦ παραίνει. (γ. αὐτῷ) οὐ γάρ ἐστι πρὸς τοὺς διεστραμμένους μαχομένους ὀνῆσαί τί ποτε, πλὴν εἴ ποτε οἰόμεθά τινα βλάβην γίνεσθαι, ὡς δι' ἀσθένειαν παραιτουμένων ἡμῶν τὴν πρὸς ἐκείνους διάλεξιν. γύμναζε δὲ σεαυτὸν πρὸς εὐσέβειαν, τουτέστι, πρὸς βίον καθαρόν, πρὸς πολιτείαν ἀρίστην. ὁ δὲ γυμναζόμενος, καὶ καιροῦ μὴ ὄντος ἀγώνων, αὐτὸς ὡς ἀγωνιζόμενος ἅπαντα ποιεῖ, πάντων ἀπέχεται, ἐναγώνιός ἐστιν, ἱδρῶτας ἔχει πολλούς. Γύμναζε, φησί, σεαυτὸν πρὸς εὐσέβειαν. ἡ γὰρ σωματικὴ γυμνασία πρὸς ὀλίγον ἐστὶν ὠφέλιμος· ἡ δὲ εὐσέβεια πρὸς πάντα ὠφέλιμός ἐστιν, ἐπαγγελίαν ἔχουσα ζωῆς τῆς νῦν, καὶ τῆς μελλούσης. καὶ τίνος ἕνεκεν, φησίν, ἐμνήσθη ταύτης τῆς σωματικῆς γυμνασίας; ἀπὸ συγκρίσεως τὴν ὑπεροχὴν ταύτης δηλῶν, ὅτι ἐκείνη μὲν καὶ πόνους ἔχουσα πολλούς, οὐδὲν ἔχει τὸ κέρδος, οὐδὲ ἄξιον λόγου· αὕτη δὲ διηνεκές, καὶ ἄφθονον. ὥσπερ ὅταν λέγῃ κοσμεῖν ἑαυτὰς μὴ ἐν πλέγμασιν, ἢ χρυσῷ, ἢ μαργαρίταις, ἢ (α Τιμ. β. θ.) ἱματισμῷ πολυτελεῖ, ἀλλ' ὃ πρέπει γυναιξὶν ἐπαγγελλομέναις θεοσέβειαν, δι' ἔργων ἀγαθῶν. πιστὸς ὁ λόγος, καὶ πάσης ἀποδοχῆς ἄξιος. εἰς τοῦτο γὰρ κοπιῶμεν καὶ ὀνειδιζόμεθα.

ΗΘΙΚΟΝ

Παῦλος ὠνειδίζετο, καὶ σὺ ἀγάλλῃ; Παῦλος ἐκοπία, καὶ σὺ τρυφᾶν βούλει; ἀλλ' οὐκ ἂν ἐκεῖνος τρυφῶν τοσούτων ἐπέτυχεν ἀγαθῶν. εἰ γὰρ τὰ βιωτικὰ πράγματα καὶ ἐπίκηρα (γ. ἐπίμονα) καὶ φθαρτά, πόνων χωρὶς καὶ ἱδρώτων οὐδέποτε παραγίνεται τοῖς ἀνθρώποις, πολλῷ μᾶλλον τὰ πνευματικά. ναί, φησίν, ἀλλ' ἀπὸ κληρονομίας πολλοῖς πολλάκις περιεγένετο. ἀλλὰ καὶ αὐτὰ παραγίνεται, ἡ φυλακὴ ἡ τούτων καὶ ἡ σωτηρία πόνων οὐκ ἔστι χωρίς, ἀλλὰ δεῖ πονεῖν καὶ ταλαιπωρεῖσθαι τῶν κεκτημένων οὐχ ἧττον. καὶ οὔπω λέγω, ὅτι πολλοὶ πονήσαντες, ἢ καὶ πολλὰ ταλαιπωρηθέντες, ἐνεβάθησαν πρὸς αὐτὰ τοῦ λιμένος τὰ στόματα, πνεύματός ποθεν ἐμπεσόντος, καὶ ἐν αὐταῖς ταῖς ἐλπίσι τῶν ἀγαθῶν τὸ ναυάγιον ἐργασαμένου. παρὰ δὲ ἡμῖν οὐδὲν τοιοῦτόν ἐστι. Θεὸς γάρ ἐστιν ὁ ἐπαγγελλόμενος, καὶ ἡ ἐλπὶς οὐ καταισχύνει. ἢ οὐκ ἴστε καὶ ὑμεῖς, οἱ ἐν τοῖς βιωτικοῖς στρεφόμενοι πράγμασι, πόσοι μετὰ μυρίους πόνους οὐκ ἀπώναντο τῶν καρπῶν, ἢ θανάτου πολλάκις προαπενεγκόντος αὐτούς, ἢ πραγμάτων μεταβολῆς γενομένης, ἢ νόσου προσαπτούσης, ἢ συκοφαντῶν ἐπιπεσόντων, ἢ καὶ ἄλλης τινὸς αἰτίας (πολλὰ δὲ τὰ ἀνθρώπινα) κεναῖς αὐτοὺς ἀπαγαγούσης χερσί; τί δέ, φησί, τοὺς ἐπιτυγχάνοντας οὐχ ὁρᾷς, τοὺς δι' ὀλίγων πόνων μεγάλα κτησαμένους ἀγαθά; ποῖα ἀγαθά; χρήματα, καὶ οἰκίας, καὶ πλέθρα γῆς τόσα καὶ τόσα, καὶ ἀνδραπόδων ἀγέλας, καὶ σταθμοὶ ἀργυρίου, καὶ χρυσίου. ταῦτα λέγεις ἀγαθά, καὶ οὐκ ἐγκαλύπτῃ, οὐδὲ καταδύῃ, ἄνθρωπος περὶ οὐρανοῦ φιλοσοφεῖν (γ. φιλοσοφεῖν) προστεταγμένος, καὶ πρὸς τὰ τῆς γῆς κεχηνὼς πράγματα, καὶ ἀγαθὰ καλῶν, ἃ μηδενός ἐστιν ἄξια λόγου; εἰ ταῦτα ἀγαθά, πάντως καὶ τοὺς κεκτημένους αὐτὰ ἀγαθοὺς δεῖ καλεῖν. ὁ γὰρ ἀγαθόν τι ἔχων, πῶς οὐκ ἀγα-

θός;

μοι σφόδρα μετὰ εἴκοσιν ἔτη τῷ μαστῷ προσάγεται ἑαυτὸν τῆς τίτθης, πῶς ἐστι καταγέλαστος διὰ τὸ ἄκαιρον; ὁρᾷς πῶς καὶ ἀκάθαρτα αὐτὰ εἶπε, καὶ γραώδη; τὸ μὲν διὰ τὸ παλαιόν, τὸ δὲ διὰ τὸ ἐμποδίζειν τῇ πίστει. τὸ γὰρ ὑπὸ φόβον ἄγειν τὴν ἀνωτέρω τούτων ἠνυσμένην ψυχήν, τῶν ἀκαθάρτων ἐστὶ παραγγελμάτων. γύμναζε δὲ σεαυτὸν πρὸς εὐσέβειαν, τουτέστι, πρὸς πίστιν καθαράν, καὶ βίον ὀρθόν. τοῦτο γάρ ἐστιν εὐσέβεια. γυμνασίας ἄρα χρεία ἡμῖν.

9 Η γὰρ σωματικὴ γυμνασία, φησί, πρὸς ὀλίγον ἐστὶν ὠφέλιμος.

Τινὲς περὶ τῆς νηστείας τοῦτό φασιν εἰρῆσθαι· ἄπαγε, οὐκ ἔστι σωματικὴ γυμνασία, ἀλλὰ πνευματική. Εἰ γὰρ σωματικὴ ἦν, τὸ σῶμα ἔτρεφεν ἄν· εἰ δὲ τήκει αὐτὸ καὶ λεπτύνει καὶ κατισχνοῖ, οὐκ ἔστι σωματική. οὐκ ἄρα περὶ τῆς τοῦ σώματος ἀσκήσεώς φησιν· ὥστε ἡμῖν δεῖ τῆς κατὰ ψυχὴν γυμνασίας. ἐκείνη γὰρ οὐκ ἔχει κέρδος, ἀλλ᾽ ὀλίγον ὠφελεῖ τὸ σῶμα, ἡ δὲ τῆς εὐσεβείας ἄσκησις τὸν καρπὸν καὶ ἐν τῷ μέλλοντι ἀποδίδωσι, καὶ ἐνταῦθα ἀνακτᾶται, καὶ ἐκεῖ.

10 Πιστὸς ὁ λόγος. Τουτέστιν, ἀληθής, ὅτι καὶ ἐνταῦθα καὶ ἐκεῖ. εἶδες πῶς πανταχοῦ τοῦτο ἐπάγει, οὐ δεῖται κατασκευῆς, ἀλλ᾽ ἀποφαίνεται. πρὸς γὰρ Τιμόθεον ἦν ὁ λόγος αὐτῷ. ἄρα καὶ ἐνταῦθα ἐν ἐλπίσιν ἐσμὲν χρησταῖς. ὁ γὰρ μηδὲν ἑαυτῷ συνειδὼς πονηρόν, ὁ μυρία κατορθῶν, καὶ ἐνταῦθα χαίρει· ὥσπερ οὖν ὁ πονηρὸς οὐκ ἐκεῖ μόνον, ἀλλὰ καὶ ἐνταῦθα κολάζεται. φόβῳ συζῶν διηνεκῶς, οὐδενὶ μετὰ παρρησίας ἀντιβλέψαι τολμῶν, τρέμων, ὀκνῶν, ἀγωνιῶν. οὐχ οὕτως οἱ πλεονέκται, οἱ κλέπται, οὐ θαρροῦντες ὑπὲρ ὧν ἔχουσιν; οἱ μοιχοί, οἱ ἀνδροφόνοι. οὐ χαλεπωτάτην ζῶσι ζωήν, μετὰ ὑποψίας τὸν ἥλιον ὁρῶντες αὐτόν; τοῦτο οὖν ζωή; οὐδαμῶς, ἀλλὰ θάνατος χαλεπός.

11 Εἰς τοῦτο γάρ, φησι, καὶ κοπιῶμεν, καὶ ὀνειδιζόμεθα, ὅτι ἠλπίκαμεν ἐπὶ Θεῷ ζῶντι, ὅς ἐστι σωτὴρ πάντων ἀνθρώπων, μάλιστα πιστῶν. Ὡσεὶ ἔλεγε, τίνος γὰρ ἕνεκεν κόπτομεν ἑαυτούς, εἰ μὴ τὰ μέλλοντα προσδοκῶμεν; τίνος δὲ ἕνεκεν πάντες ἡμῖν ὀνειδίζουσιν; οὐ δεινά, φησι, τοσαῦτα πεπόνθαμεν; οὐχ ὕβρεις, καὶ λοιδορίας, καὶ μυρία κακά; εἰκῇ οὖν ταῦτα ὑπεμείναμεν; εἰ μὴ ἐπὶ Θεῷ ζῶντι ἠλπίκαμεν, τίνος ἕνεκεν ταῦτα ὑπεμείναμεν; Εἰ δὲ τοὺς ἀπίστους σώζει ἐνταῦθα, πολλῷ μᾶλλον τοὺς πιστοὺς ἐκεῖ. ποίαν λέγει σωτηρίαν; τὴν ἐκεῖ. ὅς ἐστι, φησι, σωτὴρ πάντων, μάλιστα πιστῶν· τουτέστι, πλείονα σπουδὴν περὶ τοὺς πιστοὺς ἐνδείκνυται. τέως τὴν ἐνταῦθά φησι. καὶ πῶς τῶν πιστῶν ἐστί, φησι, σωτήρ; Εἰ μὴ γὰρ σωτὴρ ἦν, οὐδὲν ἂν ἐκώλυσεν ὑπὸ πάντων πολεμουμένους πάλαι διεφθάρθαι. ἐνταῦθα καὶ παρορμᾷ αὐτὸν πρὸς τοὺς κινδύνους, ὥστε μὴ ἐκλυθῆναι Θεὸν ἔχοντα τοιοῦτον, μήτε τῆς παρὰ ἑτέρων συμμαχίας δεῖσθαι, ἀλλ᾽ ἑκόντι πάντα φέρειν γενναίως· ἐπεὶ καὶ οἱ πρὸς τὰ βιωτικὰ κεχηνότες, πρὸς τὴν ἐλπίδα τοῦ κέρδους ὁρῶντες ἐγχειροῦσι τοῖς πράγμασιν. ἄρα ἔσχατός ἐστι λοιπὸν ὁ καιρός. Ἐν ὑστέροις γὰρ καιροῖς, φησιν, ἀποστήσονταί τινες τῆς πίστεως, προσέχοντες πνεύμασι πλάνοις καὶ διδασκαλίαις δαιμονίων, ἐν ὑποκρίσει ψευδολόγων, κεκαυτηριασμένων τὴν ἰδίαν συνείδησιν, κωλυόντων γαμεῖν. τί οὖν; ἡμεῖς οὐ κωλύομεν, φησι, γαμεῖν; οὐ κωλύομεν, μὴ γένοιτο, βουλομένους, ἀλλὰ τοὺς μὴ βουλομένους γαμεῖν προτρέπομεν ἐπὶ τὴν παρθενίαν. ἕτερον ἐστι κωλῦσαι, καὶ ἕτερον κύριον ἀφεῖναι τῆς προαιρέσεως. ὁ μὲν γὰρ κωλύων, καθάπαξ τοῦτο ποιεῖ· ὁ δὲ ὡς ἐπὶ μείζονα, τὴν παρθενίαν ἐνάγων, οὐ κωλύων γαμεῖν τοῦτο ποιεῖ. ἀλλὰ προτρέπων παρθενεύειν. Κωλυόντων, φησί, γαμεῖν, ἀπέχεσθαι βρωμάτων, ἃ ὁ Θεὸς ἔκτισεν εἰς μετάληψιν μετὰ εὐχαριστίας τοῖς πιστοῖς, καὶ ἐπεγνωκόσι τὴν ἀλήθειαν. καλῶς εἶπεν, ἐπεγνωκόσι τὴν ἀλήθειαν. ἄρα τὰ πρότερα τύπος ἦν. οὐδὲν γὰρ φύσει ἀκάθαρτον, ἀλλὰ παρὰ τὴν συνείδησιν τοῦ μεταλαμβάνοντος γίνεται. καὶ τίνος οὖν ἕνεκεν τῶν πολλῶν αὐτοὺς βρωμάτων ἀπήγαγε; τὴν πολλὴν ἐκκόπτων

ἔρωτος ὄντες βίου. τί δήποτε δὲ μόνους τούτους τοὺς αἱρετικοὺς λέγει; προεῖπεν ὁ Χριστὸς καὶ ἑτέρους λέγων, Ἀνάγκη ἐστὶν ἐλθεῖν τὰ σκάνδαλα. (Ματθ. ιη. ζ.) ἄλλως τε διὰ τῆς τοῦ σίτου σπορᾶς καὶ τῶν ζιζανίων τῆς βλάστης τούτους αὐτοὺς προεμήνυσε. σὺ δέ μοι θαύμασον τοῦ Παύλου τὴν προφητείαν. πρὸ γὰρ τῶν χρόνων, ὧν ἔμελλεν ἔσεσθαι, ἐδήλου καὶ τὸν χρόνον αὐτόν. μὴ θαυμάσῃς τοίνυν, εἰ νῦν ὅτε τὴν ἀρχὴν ἔχει τὰ τῆς πίστεως, ταῦτά τινες ἐπιχειροῦσι παραφέρειν τὰ ὀλέθρια δόγματα, ὅτι ὅταν παγῇ μετὰ χρόνον πολὺν ἀποστήσονταί τινες τῆς πίστεως. κωλυόντων, φησί, γαμεῖν, ἀπέχεσθαι βρωμάτων. τί δήποτε καὶ τὰς ἄλλας αἱρέσεις οὐκ εἶπεν; ἠνίξατο καὶ αὐτὰς εἰπών, πνεύμασι πλάνοις καὶ διδασκαλίαις δαιμονίων. οὐ γὰρ ἐβούλετο ἤδη κατασπεῖραι εἰς τὰς τῶν ἀνθρώπων ψυχὰς ταῦτα· ἀλλ' ὅπερ ἀρχὴν εἰλήφει, τοῦτο ἤδη προέδειξε, τὸ τῶν βρωμάτων. ἃ ὁ Θεός, φησιν, ἔκτισεν εἰς μετάληψιν τοῖς πιστοῖς καὶ ἐπεγνωκόσι τὴν ἀλήθειαν. διὰ τί μὴ φησι, καὶ τοῖς ἀπίστοις; πῶς τοῖς ἀπίστοις, ὁπότε νόμοις ἑαυτῶν τούτων ἀπείργουσι; τί οὖν; οὐ κεκώλυται ἡ τρυφή; καὶ σφόδρα. διὰ τί, εἰ εἰς μετάληψιν ἔκτισται; (χ. πιστοῖς) ὅτι καὶ ἄρτον ἔκτισε, καὶ κεκώλυται ἡ ἀμετρία, καὶ οἶνον ἔκτισε, καὶ κεκώλυται ἡ ἀμετρία. οὐχ ὡς ἀκάθαρτον νῦν τὴν τρυφὴν παραιτεῖσθαι κελεύει, ἀλλ' ὡς ἐκλύουσαν (χ. ἐν) διὰ τῆς ἀμετρίας τὴν ψυχήν. ὅτι πᾶν κτίσμα Θεοῦ καλόν, φησι, καὶ οὐδὲν ἀπόβλητον μετ' εὐχαριστίας λαμβανόμενον. (Γεν. α. λα.) εἰ κτίσμα Θεοῦ, καλόν· Πάντα γὰρ καλὰ λίαν. τῷ εἰπεῖν, κτίσμα Θεοῦ, περὶ τῶν ἐδωδίμων ἁπάντων ἠνίξατο· καὶ ἤδη προκατασπᾷ τὴν αἵρεσιν τῶν ἀγέννητον τὴν ὕλην εἰσαγόντων, καὶ ἐκείνης ταῦτα λεγόντων εἶναι. οὐκοῦν εἰ καλόν, τί ἐστιν ὅ φησι, τό, ἁγιάζεται διὰ λόγου καὶ ἐντεύξεως; δῆλον γὰρ ὅτι ἀκάθαρτον ὂν ἁγιάζεται. οὐ τοῦτο, ἀλλ' ἐνταῦθα πρὸς ἐκείνους φησὶ τοὺς κοινά τινα νομίζοντας ἐξ αὐτῶν εἶναι. δύο τοίνυν τίθησι κεφάλαια, ἓν μέν, ὅτι οὐδὲν κτίσμα κοινόν· δεύτερον δέ, ὅτι εἰ καὶ γένοιτο κοινόν, ἀλλ' ἔχεις τὸ φάρμακον· σφράγισον, εὐχαρίστησον, δόξασον τὸν Θεόν, καὶ πᾶσα ἀκαθαρσία ἀπέπτη. οὐκοῦν καὶ τὸ εἰδωλόθυτον, φησιν, οὕτω δυνάμεθα καθαίρειν; ἐὰν μὴ ᾔδεις, ὅτι εἰδωλόθυτόν ἐστιν· ἐὰν δὲ εἰδῇς λοιπόν, καὶ μεταλάβῃς, ἀκάθαρτος ἔσῃ, οὐχ ὅτι εἰδωλόθυτόν ἐστιν, ἀλλ' ὅτι παραγγελθεὶς μὴ κοινωνεῖν δαίμοσιν, ἐκοινώνησας δι' ἐκείνου. ὥστε οὐκ ἐκεῖνό ἐστι φύσει τοιοῦτον, ἀλλ' ἀπὸ τῆς προαιρέσεως γέγονε τῆς σῆς καὶ τῆς παρακοῆς. τί δαί; οὐκ ἀκάθαρτον τὸ ὕειον; οὐδαμῶς· ὅταν μετ' εὐχαριστίας λαμβάνηται, ὅταν μετὰ σφραγῖδος, οὐδὲ ἄλλο οὐδέν. ἀκάθαρτος ἡ προαίρεσις ἡ μὴ εὐχαριστοῦσα τῷ Θεῷ.

6 Ταῦτα ὑποτιθέμενος τοῖς ἀδελφοῖς, καλὸς ἔσῃ διάκονος Ἰησοῦ Χριστοῦ, ἐντρεφόμενος τοῖς λόγοις τῆς πίστεως καὶ τῆς καλῆς διδασκαλίας, ᾗ παρηκολούθηκας. Ταῦτα, ποῖα; ἅπερ εἶπεν, ὅτι τὸ μυστήριον μέγα ἐστίν, ὅτι τὸ τούτων ἀπέχεσθαι, δαιμόνιόν ἐστιν, ὅτι διὰ λόγου καὶ ἐντεύξεως Θεοῦ τὰ βρώματα καθαρίζεται. ἐντρεφόμενος, φησι, τοῖς λόγοις τῆς πίστεως, καὶ τῆς διδασκαλίας ᾗ παρηκολούθηκας.

7 Τοὺς δὲ βεβήλους καὶ γραώδεις μύθους παραιτοῦ. 8 Γύμναζε δὲ σεαυτὸν πρὸς εὐσέβειαν. Ταῦτα ὑποτιθέμενος, φησιν. ὁρᾷς οὐδαμοῦ τὴν αὐθεντίαν ἐν τῷ, ἀλλὰ τὴν συγκατάβασιν; ὑποτιθέμενος, φησιν· οὐκ εἶπεν, ἐπιτάττων, οὐκ εἶπε, παραγγέλλων, ἀλλά, ὑποτιθέμενος· τουτέστιν, ὡς συμβουλεύων ταῦτα ὑποτίθεσο, καὶ τοὺς λόγους ἀνακίνει τοὺς περὶ πίστεως. ἐντρεφόμενος, φησι, τὸ διηνεκὲς τῆς εἰς τὰ τοιαῦτα προσοχῆς δηλοῖ. ὥσπερ γὰρ τὴν τροφὴν ταύτην καθ' ἑκάστην ἡμέραν προσφερόμεθα, οὕτω, φησί, καὶ τοὺς (χ. αὐτῇ δὲ) περὶ πίστεως λόγους ἀεὶ λαμβανόμενοι, ἀεὶ τούτοις τρεφόμεθα. τί ἐστιν, ἐντρεφόμενος; μηρυκώμενος, συνεχῶς τὰ αὐτὰ στρέφων, ἀεὶ τὰ αὐτὰ μελετῶν. τροφὴν γὰρ ἔχει οὐ τὴν τυχοῦσαν. τοὺς δὲ βεβήλους καὶ γραώδεις μύθους παραιτοῦ. τίνας ἐνταῦθα λέγει; τὰς Ἰουδαϊκὰς παρατηρήσεις. καὶ μύθους αὐτὰς φησι; καὶ πάνυ, ἢ διὰ τὰς παραποιήσεις, ἢ διὰ τὸ ἄκαιρον. τὸ γὰρ ἐν καιρῷ χρήσιμον, χωρὶς δὲ τοῦ καιροῦ, οὐ μόνον ἄχρηστον, ἀλλὰ καὶ βλαβερόν. ἐννόησον γάρ

μοι

αὐτός, ἢ ὁ ἵππος τιμᾶται; τί ταύτης τῆς ἀλογίας χεῖρον, ἀνθρώπους διώκειν, ἵνα τὸ κτῆνος μετ' εὐρυχωρίας παρέλθῃ; ἀλλὰ τὸ ἵππῳ ὀχεῖσθαι σεμνόν; ἀλλὰ καὶ δοῦλοι τούτου μετέχουσιν. Εἰσὶ δέ τινες, οἱ τοσοῦτον ἔχουσι τύφου, ὡς μηδὲν δεόμενοι, ἐπίτηδες ποιεῖν ἀκολουθεῖν. ἆρα τί τούτων ἐστὶν ἀλογώτερον; ἀπὸ ἵππων, καὶ πολυτελείας ἱματίων, καὶ ἀκολούθων βούλονται φαίνεσθαι. τί ταύτης τῆς δόξης οὐδαμινέστερον, τῆς ἀπὸ ἵππων, καὶ οἰκετῶν συνισταμένης; ἐνάρετος εἶ; μηδενὶ τούτων κέχρησο· οἰκεῖον ἔχε τὸν κόσμον, μὴ τῇ ἑτέρου παρουσίᾳ καλλωπίζου. ταῦτα καὶ πονηροί, καὶ μιαροί, καὶ ἄγροικοι, καὶ πάντες ὅσοι πλούτου μετέχουσι, δύνανται ἔχειν. καὶ μῖμοι, καὶ ὀρχησταὶ ἐφ' ἵππων φέρονται, καὶ οἰκέτην περιτρέχοντα ἔχουσιν, ἀλλ' ὅμως μῖμοι εἰσί, καὶ ὀρχησταί, καὶ οὐ γεγόνασι σεμνοὶ ἀπὸ τῶν ἵππων καὶ τῶν ἀκολούθων. ὅταν γὰρ μηδὲν τῶν ἐν ψυχῇ καλῶν προσῇ τῷ τοιούτῳ, ταῦτα ἂν ἔξωθεν προστεθῇ εἰκῇ καὶ μάτην. καὶ καθάπερ ἀσθενεῖ τοίχῳ, ἢ διεφθορότι σώματι, ὅσα ἄν τις περιθῇ, μένει ἀηδὲς ὂν καὶ διεφθορός· οὕτω δὴ καὶ ἐνταῦθα, οὐδεμίαν ἡ ψυχὴ ὄνησιν ἀπὸ τῶν ἐκτὸς προσλαμβάνει, ἀλλὰ μένει τοῦτο οὖσα, κἂν μυρία τις αὐτῇ περιθῇ χρυσία. μὴ δὴ πρὸς ταῦτα ἐπτοημένοι ὦμεν, ἀποστήσωμεν ἑαυτοὺς τῶν προσκαίρων, τῶν μειζόνων ἐχώμεθα, τῶν πνευματικῶν, τῶν ὄντως αἰδεσίμους ποιούντων ἡμᾶς, ἵνα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν.

Λογ. ιβ. 1 ΤΟ ΔΕ ΠΝΕΥΜΑ ΡΗΤΩΣ ΛΕΓΕΙ, ΟΤΙ ΕΝ ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως, προσέχοντες πνεύμασι ″πλάνοις καὶ διδασκαλίαις δαιμόνων, 2 Εν ὑποκρίσει ψευδολόγων, κεκαυτηριασμένων τὴν ἰδίαν συνείδησιν, 3 Κωλυόντων γαμεῖν, ἀπέχεσθαι βρωμάτων, ἃ ὁ Θεὸς ἔκτισεν εἰς μετάληψιν μετὰ εὐχαριστίας τοῖς πιστοῖς καὶ ἐπεγνωκόσι τὴν ἀλήθειαν· 4 Οτι πᾶν κτίσμα Θεοῦ καλόν, καὶ οὐδὲν ἀπόβλητον μετὰ εὐχαριστίας λαμβανόμενον. 5 Αγιάζεται γὰρ διὰ λόγου Θεοῦ καὶ ἐντεύξεως. κεφ. δ.

γρ. πλάνης

Ὥσπερ οἱ τῆς πίστεως ἐχόμενοι ἐπ' ἀσφαλοῦς τῆς ἀγκύρας ″ὁρμίζονται, οὕτως οἱ ταύτης ἐκπεσόντες οὐδαμοῦ στῆναι δύνανται· ἀλλὰ πολλοὺς ἄνω καὶ κάτω πλανηθέντες πλάνους, τὸ τελευταῖον εἰς αὐτὰ τῆς ἀπωλείας φέρονται τὰ βάραθρα. καὶ τοῦτο ἤδη μὲν ἐδήλωσεν εἰπών, ὅτι ἤδη ἐναυάγησάν τινες περὶ τὴν πίστιν. καὶ νῦν δέ φησι· τὸ δὲ πνεῦμα ῥητῶς λέγει, ὅτι ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως, προσέχοντες πνεύμασι πλάνοις. περὶ Μανιχαίων, καὶ Εγκρατιτῶν, καὶ Μαρκιωνιστῶν, καὶ παντὸς αὐτῶν τοῦ ἐργαστηρίου ″τὰ τοιαῦτά φησιν, ὅτι ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως. ὁρᾷς ὅτι πάντων αἴτιον τῶν μετὰ ταῦτα κακῶν, τὸ τῆς πίστεως ἀποστῆναι; τί δέ ἐστι, ῥητῶς; φανερῶς, σαφῶς, ὁμολογουμένως, ὡς μὴ ἀμφιβάλλειν. μὴ θαυμάσῃς, φησίν, εἰ νῦν ἀπὸ τῆς πίστεώς τινες ἀποστάντες ἔτι Ἰουδαΐζουσιν· ἔσται καιρὸς ὅτι χαλεπώτερον αὐτοὶ οἱ τῆς πίστεως μετεσχηκότες τοῦτο ἐργάσονται, οὐ μέχρι βρωμάτων, ἀλλὰ καὶ μέχρι γάμων, καὶ πάντων τῶν τοιούτων τὴν ὀλέθριον συμβουλὴν εἰσάγοντες. οὐ περὶ Ἰουδαίων λέγει ταῦτα. πῶς γὰρ τὸ, ἐν ὑστέροις καιροῖς, καὶ τὸ, ἀποστήσονται τῆς πίστεως, ἔχει χώραν; ἀλλὰ περὶ Μανιχαίων, καὶ τῶν ἀρχηγετῶν τούτων. πνεύματα δὲ πλάνης ἐκάλεσεν αὐτούς, εἰκότως. ὑπὸ γὰρ ἐκείνων ἐνεργούμενοι, ταῦτα ἐφθέγξαντο. τί ἐστιν, ἐν ὑποκρίσει ψευδολόγων; αὐτὰ ἃ ψεύδονται οὐ κατὰ ἄγνοιαν, οὐδὲ οὐκ εἰδότες, ἀλλ' ὑποκρινόμενοι ψεύδονται, εἰδότες μὲν τὸ ἀληθές, τὸ δὲ συνειδὸς κεκαυτηριασμένοι, τουτέστι, πονη-

γρ. ἱδρύονται

γρ. ταῦτα



Digitized by Google

πρόσθεν αὐτὴν καταφρονήσῃς, διπλῆ γίνῃ πλούσιος, τῷ τε σοι πάντοθεν ταῦτα ἐπιῤῥεῖν, καὶ τῷ μηδενὸς δεῖσθαι ὧν οἱ πολλοί. οὐ γὰρ τὸ πολλὰ κεκτῆσθαι πλουτοῦντος, ἀλλὰ τὸ μὴ πολλῶν δεῖσθαι. ὥστε ἕως ἂν δέηται, οὐδὲν τοῦ πένητος ὁ βασιλεὺς διενήνοχε. πενία γὰρ τοῦτο ἐστι τὸ δεῖσθαι ἑτέρων. ὥστε καὶ ὁ βασιλεὺς κατὰ τοῦτον τὸν λόγον πένης ἐστί, καθὸ δεῖται τῶν ἀρχομένων. ἀλλ' οὐχ ὁ ἐσταυρωμένος οὕτως. οὐδενὸς γὰρ δεῖται, ἀρκοῦσιν αὐτῷ πρὸς διατροφὴν αἱ χεῖρες. Ἐμοὶ γάρ, φησι, καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται. [Πράξ. κ. λδ.] Ταῦτα ἐκεῖνος ἔλεγεν ὁ λέγων, Ὡς μηδὲν ἔχοντες, καὶ πάντα κατέχοντες, [β. Κορ. ς. ι.] ἐκεῖνος ὁ Θεὸς νομισθεὶς παρὰ τῶν ἐν Λύστρᾳ κατοικούντων. Εἰ βούλει τῶν ἐν τῷ κόσμῳ τυχεῖν, ζήτει τὸν οὐρανόν· [Πράξ. ιδ.] Εἰ βούλει δὲ τῶν ἐνταῦθα ἀπολαῦσαι, καταφρόνησον αὐτῶν. [Ματθ. ς. λγ.] Ζητεῖτε γάρ, φησι, πρῶτον τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. τί τὰ μικρὰ θαυμάζεις; τί κέχηνας περὶ τὰ μηδενὸς ἄξια λόγου; μέχρι πότε πένης; μέχρι πότε πτωχός; ἀνάβλεψον εἰς τὸν οὐρανόν, τὸν ἐκεῖ πλοῦτον ἐννόησον, καταγέλασον τοῦ χρυσοῦ, μάθε τὴν χρῆσιν αὐτοῦ, πόση τίς ἐστι. μέχρι τοῦ παρόντος μένει ἡ ἀπόλαυσις, μέχρι τοῦ παρόντος βίου τοῦ ἐπικήρου. ὅσον ψάμμος, μᾶλλον δὲ ὅσον σταγὼν πρὸς ἄβυσσον ἀμέτρητον, τοσοῦτον ὁ παρὼν βίος πρὸς τὰ μέλλοντα. οὐκ ἔστι κτῆσις τοῦτο, χρῆσίς ἐστιν, οὐκ ἔστι κυρεία. πῶς γάρ, ὅταν σὺ ἀποπνέοντος καὶ ἑκόντος καὶ ἄκοντος, ἕτεροι λαμβάνωσι πάντα τὰ ὄντα, καὶ αὐτοὶ πάλιν ἑτέροις δόντες, καὶ πάλιν ἐκεῖνοι ἑτέροις; πάντες γὰρ πάροικοί ἐσμεν, καὶ ὁ κύριος τῆς οἰκίας τάχα μᾶλλον ὁ μισθωτής ἐστι τῆς οἰκίας. [γ. μισθωτής] πολλάκις γὰρ ἐκείνου τελευτήσαντος, οὗτος ἔμεινε, πλέον ἀπολαύων τῆς οἰκίας. Εἰ δὲ οὗτος μετὰ μισθοῦ, ἀλλὰ κἀκεῖνος ὁ πρότερος μετὰ μισθοῦ. ᾠκοδόμησε γάρ, καὶ ἐταλαιπωρήθη, καὶ ἐπεσκεύασε. ῥήματι μόνον ἐστὶν ἡ δεσποτεία· τῷ δὲ ἔργῳ πάντες τῶν ἀλλοτρίων ἐσμὲν κύριοι. ἐκεῖνα μόνον ἐστὶν ἡμέτερα, ὅσα ἂν ἐκεῖ προπέμψωμεν· τὰ δὲ ἐνταῦθα, οὐχ ἡμέτερα, ἀλλὰ τῶν ζώντων· μᾶλλον δὲ καὶ ζῶντας ἡμᾶς ἀπολιμπάνει. ἐκεῖνα μόνα ἐστὶν ἡμέτερα, ὅσα τῆς ψυχῆς ἐστι κατορθώματα, ἐλεημοσύνη καὶ φιλανθρωπία. ταῦτα τὰ ἐκτὸς λέγεται καὶ παρὰ τοῖς ἔξωθεν. ἐκτὸς γὰρ ἡμῶν ἐστι. ποιήσωμεν εἶναι αὐτὰ τῶν ἐντός. οὐ γὰρ δυνατὸν χρήματα λαμβάνοντα ἀπελθεῖν, ἀλλὰ δυνατὸν ἐλεημοσύνην λαμβάνοντα ἀπελθεῖν. μᾶλλον δὲ καὶ προπέμψωμεν αὐτά, ὥστε ἑτοιμάσαι ἡμῖν σκηνὴν ἐν ταῖς αἰωνίαις μοναῖς. χρήματα λέγεται παρὰ τὸ χρῆσθαι, οὐ παρὰ τὸ κυρίους εἶναι. καὶ τὰ κτήματα δὲ αὐτὰ χρῆσίς ἐστιν, οὐ δεσποτεία. [γ. κτῆσις] Εἰπὲ γάρ μοι, πόσων κυρίων ἕκαστος ἀγρὸς γέγονε, καὶ πόσων ἔσται; λέγεταί τις καὶ παροιμία σοφωτάτη. οὐ γὰρ τῶν δημωδῶν παροιμιῶν δεῖ καταφρονεῖν, ἂν ἔχωσί τι σοφόν. ἀγρέ, φησι, πόσων ἦς, καὶ πόσων ἔσῃ; τοῦτο καὶ πρὸς οἰκίας, τοῦτο καὶ πρὸς χρήματα λεκτέον ἡμῖν. ἀρετὴ μόνον οἶδεν ἡμῖν συναποδημεῖν, ἀρετὴ μόνη διαβαίνει πρὸς τὴν ζωὴν τὴν ἐκεῖ. ἐκλύσωμέν ποτε, καὶ σβέσωμεν τῶν χρημάτων τὸν πόθον, ἵνα ἀνάψωμεν τὴν ἐκεῖ τὴν ἐπιθυμίαν. οὐ δύνανται οὗτοι οἱ δύο ἔρωτες μίαν κατέχειν ψυχήν. ἢ γὰρ τὸν ἕνα, φησί, φιλήσει, καὶ τὸν ἕτερον μισήσει, ἢ ἑνὸς [Ματθ. ς. κδ.] ἀνθέξεται, καὶ τοῦ ἑτέρου καταφρονήσει. ὁρᾷς, εἰπέ μοι, ἄνδρα ἀκολούθους ἔχοντα πολλούς, σοβοῦντα διὰ τῆς ἀγορᾶς, σηρικὰ ἠμφιεσμένον ἱμάτια, ἵππῳ ὀχούμενον, τὸν αὐχένα τείνοντα; μὴ καταπλαγῇς, ἀλλὰ γέλασον. ὥσπερ, ὅταν τὰ παιδία ὁρᾷς ἄρχοντα παίζοντα, καταγελᾷς, οὕτω καὶ ἐπὶ τούτου. οὐδὲν τοῦτο ἐκείνου διενήνοχε, μᾶλλον δὲ ἐκεῖνο καὶ τερπνότερον, ἅτε παρὰ παιδικῆς γινόμενον ἡλικίας μετὰ πολλῆς τῆς ἀφελείας. ἐκεῖ καὶ γέλως ἐστί, καὶ ἡδονή· ἐνταῦθα καταγέλαστός ἐστιν οὗτος, καὶ ἀσχημοσύνης πλήρης. δόξασον τὸν Θεόν, ὅτι σε τῆς σκηνῆς ταύτης, καὶ τοῦ φυσήματος ἀπήλλαξεν. [γ. [illegible]] ἂν γὰρ θέλῃς, σὺ ὁ χαμαὶ ἐρχόμενος, ὑψηλότερος ἔσῃ τοῦ καθημένου τὸ ὄχημα. πῶς; ὅτι ἐκεῖνος μὲν μικρὸν ἀνέστηκεν ἀπὸ τῆς γῆς τῷ σώματι, τῇ δὲ ψυχῇ προσαπέπηγεν (Ἐκολλήθη γάρ, φησιν, ἡ ἰσχύς μου τῇ σαρκί μου) [Ψαλμ. ξβ.] σὺ δὲ τῷ φρονήματι ἐν οὐρανῷ περιπατεῖς. ἀλλ' ἀκολούθους ἔχει πολλοὺς σοβοῦντας; καὶ τί μᾶλλον

αὐτός,

Πανταχοῦ τῆς οἰκουμένης ἠκούσθη, καὶ ἐπιστεύθη. καὶ δηλοῖ λέγων ὁ προφήτης, Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν. τοῦτο μὴ νομίσῃς ἁπλῶς ῥήματα εἶναι ψιλά. οὐ γάρ ἐστιν, ἀλλὰ πραγμάτων ἀπορρήτων πεπλήρωται. Ἀνελήφθη ἐν δόξῃ· Ψαλ. ιη. δ.

Τουτέστιν, ἐπὶ νεφελῶν. Οὗτος, φησὶν, Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ᾽ ὑμῶν, οὕτως ἐλεύσεται, Πραξ. α. ια. ὃν τρόπον ἐθεάσασθε. ὅρα μοι τὴν σύνεσιν τοῦ μακαρίου Παύλου. μέλλων παραινεῖν τοῖς τῆς διακονίας ἠξιωμένοις μὴ ἀνέδην ἐμφορεῖσθαι τοῦ οἴνου, οὐκ εἶπε μὴ μεθύειν, ἀλλὰ μηδὲ οἴνῳ πολλῷ προσέχοντας. εἰκότως. εἰ γὰρ οἱ εἰσιόντες εἰς τὸ ἱερὸν, οὐδὲ ὅλως μετελάμβανον οἴνου, πολλῷ μᾶλλον τούτους οὐ χρή. παραφορὰν γὰρ ἐργάζεται, φησὶ, κἂν μὴ μέθην ἐργάσηται, διαχεῖ τὸ τῆς ψυχῆς εὔτονον, διαλύει τὸ συγκεκροτημένον. σκόπει δὲ πῶς πανταχοῦ μυστήριον καλεῖ τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν. εἰκότως. οὐ γάρ ἐστι πᾶσιν ἀνθρώποις δῆλον, μᾶλλον δὲ οὐδὲ ἀγγέλοις ἦν δῆλον. πῶς γὰρ, ὅ γε φανὲν διὰ τῆς ἐκκλησίας; διὰ τοῦτό φησιν, ὁμολογουμένως μέγα ἐστί. καὶ γὰρ ὄντως μέγα. ἄνθρωπος γὰρ ἐγένετο ὁ Θεὸς, καὶ Θεὸς ὁ ἄνθρωπος. ἄνθρωπος ὤφθη ἀναμάρτητος, ἄνθρωπος ἀνελήφθη. ἐκηρύχθη ἐν κόσμῳ. μεθ᾽ ἡμῶν εἶδον αὐτὸν οἱ ἄγγελοι. μυστήριον τοίνυν ἐστί. μὴ τοίνυν ἐκπομπεύωμεν τὸ μυστήριον, μὴ πανταχοῦ αὐτὸ προτιθῶμεν, ἀξίως τοῦ μυστηρίου τούτου ζῶμεν. οἱ μυστήρια ἐμπιστευθέντες, μεγάλοι τινές εἰσιν. εἰ βασιλεὺς ἡμῖν τι μυστήριον ἐνεπίστευσεν, εἰπέ μοι, ἆρα οὐ μεγάλης φιλίας τοῦτο τεκμήριον ἐποιούμεθα; νῦν δὲ ὁ Θεὸς ἡμῖν τὸ μυστήριον αὐτοῦ ἐνεπίστευσε· καὶ ὡς μὴ μεγάλα εὐεργετηθέντες ἀχάριστοι περὶ τὸν εὐεργέτην γινόμεθα. φρίξωμεν ἀναισθήτως ἔτι διακείμενοι πρὸς τὴν εὐεργεσίαν. "μυστήριόν ἐστιν ὃ πάντες ἴσασι, μᾶλλον δὲ ὃ περὶ τούτου οὐ πάντες ᾔδεισαν, νῦν δὲ πᾶσι γέγονε δῆλον.

γρ. καὶ πῶς, φησὶ, μυστήριόν ἐστιν, ὃ πάντες ἴσασι; μάλιστα μὲν οὐ πάντες ἴσασι. περὶ δὲ τούτου οὐκ ᾔδεσαν τότε, νῦν δὲ γέγονε δῆλον.

Ἀξιόπιστοι τοίνυν γινώμεθα περὶ τὴν τοῦ μυστηρίου φυλακήν. αὐτὸς ἡμῖν τηλικοῦτον ἐπίστευσε μυστήριον· ἡμεῖς δὲ αὐτῷ οὐδὲ χρήματα πιστεύομεν. ἀλλ᾽ αὐτός μοι λέγει, ἀπόθεσθε αὐτὰ παρ᾽ ἐμοί, οὐδεὶς αὐτὰ ἁρπάσαι δύναται, οὐδὲ σὴς, οὐδὲ λῃστὴς λυμαίνεται, καὶ ἑκατονταπλασίονα δώσειν ὑπισχνεῖται, καὶ οὐ πειθόμεθα. καίτοι παρ᾽ οἷς ἂν παρακαταθώμεθα παρακαταθήκην, οὐδὲν ἀπολαμβάνομεν πλέον, ἀλλ᾽ ἂν ἔλθῃ ἀπολάβωμεν ὃ παρακατεθέμεθα, καὶ χάριν ἴσμεν. κἂν κλέπτης ὑφέληται, φησὶν, ἐνταῦθα, ἐμοὶ τοῦτο λόγισαι. οὐ λέγω σοι, λῃστὴς ἔλαβεν, οὐδὲ σὴς ἔφαγεν. ἑκατονταπλασίονα ἐνταῦθα ἀποδίδωσι, καὶ ἐκεῖ ζωὴν αἰώνιον προσδίδωσι, καὶ οὐδεὶς παρακατατίθεται. ἀλλὰ βραδέως μοι, φησὶν, ἀποδίδωσι. καὶ τοῦτο τῆς μεγαλοδωρεᾶς αὐτοῦ σημεῖον μέγιστον, τὸ μὴ ἐνταῦθα ἀποδίδοσθαι ἐν τῷ ἐπικήρῳ βίῳ τούτῳ· μᾶλλον δὲ καὶ ἐνταῦθα ἀποδίδωσιν [ἑκατονταπλασίονα]. Εἰπὲ γάρ μοι, ἐνταῦθα οὐχὶ σμίλην εἶχε Παῦλος; οὐχὶ κάλαμον καὶ ἄγκιστρον Πέτρος; οὐχὶ τελώνιον Ματθαῖος; οὐχὶ πᾶσα αὐτοῖς ἡ οἰκουμένη ἀνέῳκτο μᾶλλον, ἢ τοῖς βασιλεῦσιν; οὐ παρὰ τοὺς πόδας αὐτῶν ἐτίθεσαν πάντες τὰ χρήματα; οὐκ ἐκείνους ἐποίουν διοικητὰς, καὶ κυρίους; οὐχὶ καὶ τὰς ψυχὰς αὐτοῖς ἐνεχείριζον; οὐχὶ ὁλοκλήρους ἑαυτοὺς τῆς ἐκείνων βουλῆς ἐξήρτησαν; οὐχὶ καὶ ἑαυτοὺς δούλους κατέγραφον; καὶ νῦν δὲ οὐ πολλὰ τοιαῦτα ὁρῶμεν γινόμενα; πολλοὶ γὰρ πολλάκις ἀπὸ μικρῶν ὄντες καὶ εὐτελῶν, μάκελλαν μεταχειρίζοντες μόνον, καὶ οὐδὲ τῆς ἀναγκαίας μόνης "ἀποροῦντες τροφῆς, προσηγορίαν μονάζοντος ἔχοντες, πάντων μᾶλλον ἐφάνησαν, καὶ παρὰ βασιλέων ἐτιμήθησαν. ἀλλὰ μικρὰ ταῦτα; ἀλλ᾽ ἐννόησον ὅτι προσθήκη ταῦτα· τὸ δὲ κεφάλαιον ἐν τῷ μέλλοντι ταμιεύεται χρόνῳ. καταφρόνησον χρημάτων, εἰ βούλει χρήματα ἔχειν· εἰ βούλει πλουτῆσαι, γενοῦ πένης. τοιαῦτα γὰρ τοῦ Θεοῦ τὰ παράδοξα. οὐ βούλεταί σε ἐκ τῆς οἰκείας σπουδῆς, ἀλλ᾽ ἐκ τῆς αὐτοῦ χάριτος γενέσθαι πλούσιον. ἐμοὶ ταῦτα, φησὶν, ἄφες· σὺ τὰ πνευματικὰ μερίμνα, ἵνα μάθῃς μου καὶ τὴν δύναμιν. τὴν δουλείαν, καὶ τὸν ζυγὸν τὸν ἀπὸ τῶν χρημάτων φύγε. ἕως ὅτε αὐτῶν ἀντέχῃ, πένης εἶ· ἐ-

ΗΘΙΚΟΝ

ἴσ. εὐποροῦντες

φυτον. πῶς γὰρ οὐκ ἄτοπον, εἰς μὲν οἰκίαν νεώνητον οἰκέτην μὴ πρότερον ἐγχειρίζεσθαί τι τῶν ἔνδον, πρὶν ἂν διὰ πολλῆς τῆς πείρας τῆς αὐτοῦ γνώμης πολλὰ τεκμήρια δῷ, εἰς δὲ τὴν ἐκκλησίαν τοῦ Θεοῦ ἔξωθεν εἰσελθόντα, εἰς τοὺς προτέρους εὐθέως καταττάτεσθαι;

11 Γυναῖκας ὡσαύτως (διακόνους φησὶ) σεμνάς, μὴ διαβόλους, νηφαλίους, πιστὰς ἐν πᾶσι. χ. διλόγως.

Τινὲς ἁπλῶς περὶ γυναικῶν εἰρῆσθαι τοῦτό φασιν, οὐκ ἔστι δέ. τί γὰρ ἐβούλετο μεταξὺ τῶν εἰρημένων παρεμβαλεῖν τι περὶ γυναικῶν; ἀλλὰ περὶ τῶν τὸ ἀξίωμα τῆς διακονίας ἐχουσῶν λέγει.

12 Διάκονοι ἔστωσαν μιᾶς γυναικὸς ἄνδρες. Ταῦτα καὶ περὶ γυναικῶν διακόνων ἁρμόττει εἰρῆσθαι. σφόδρα γὰρ ἀναγκαῖον τοῦτο, καὶ χρήσιμον, καὶ κόσμιον ἐν τῇ ἐκκλησίᾳ. Διάκονοι ἔστωσαν μιᾶς γυναικός, φησιν, ἄνδρες. ὁρᾷς πῶς τὴν αὐτὴν ἀπαιτεῖ καὶ παρὰ διακόνων ἀρετήν; εἰ γὰρ καὶ μὴ τῆς αὐτῆς εἰσιν ἀξίας τῷ ἐπισκόπῳ, ἀλλ' ὅμως ὁμοίως ἀνεπίληπτοι, ὁμοίως ἁγνοὶ ὀφείλουσιν εἶναι. Τέκνων καλῶς προϊστάμενοι, καὶ τῶν ἰδίων οἴκων.

13 Οἱ γὰρ καλῶς διακονήσαντες, βαθμὸν καλὸν ἑαυτοῖς περιποιοῦνται, καὶ πολλὴν παρρησίαν ἐν πίστει τῇ ἐν Χριστῷ Ἰησοῦ. Πανταχοῦ τίθησι τὴν τῶν τέκνων προστασίαν, ἵνα μὴ ἀπὸ τούτου οἱ λοιποὶ σκανδαλίζωνται. Οἱ γὰρ καλῶς, φησι, διακονήσαντες, βαθμὸν καλὸν ἑαυτοῖς περιποιοῦνται· τουτέστι, προκοπὴν καὶ παρρησίαν πολλὴν τὴν ἐν πίστει Ἰησοῦ Χριστοῦ· ὡσεὶ ἔλεγεν, οἱ ἐν τοῖς κάτω δείξαντες ἑαυτοὺς διεγηγερμένους, ταχέως καὶ πρὸς ἐκεῖνα ἀνελεύσονται. χ. ἀνελ-σονται.

14 Ταῦτά σοι γράφω, ἐλπίζων ἐλθεῖν πρὸς σὲ τάχιον.

15 Ἐὰν δὲ βραδύνω, ἵνα εἰδῇς πῶς δεῖ ἐν οἴκῳ Θεοῦ ἀναστρέφεσθαι, ἥτις ἐστὶν ἐκκλησία Θεοῦ ζῶντος, στῦλος καὶ ἑδραίωμα τῆς ἀληθείας. Ἵνα μὴ τὸ περὶ τοιούτων αὐτὸν διαταττέσθαι εἰς ἀθυμίαν ἐμβάλῃ τὸν μαθητήν, φησιν, οὐ διὰ τοῦτο ταῦτα γράφω, ὡς οὐκέτι ἥξων, ἀλλ' ἥξω μέν· εἰ δὲ συμβῇ με βραδῦναι, ἵνα μὴ ἀσχάλλῃς, φησί. τοῦτο μὲν ὑπὲρ τοῦ παῦσαι τὴν ἀθυμίαν ταῦτα ἐπιστέλλει· τοῖς δὲ ἄλλοις ὑπὲρ τοῦ διεγεῖραι αὐτούς, καὶ ποιῆσαι σπουδαιοτέρους. ἡ γὰρ παρουσία αὐτοῦ καὶ ἐπαγγελλομένη, μεγάλα ἠδύνατο. μὴ θαυμάσῃς δέ, εἰ πνεύματι πάντα προορῶν, ἠγνόει τοῦτο λέγων, ἐλπίζω ἐλθεῖν, ἐὰν δὲ βραδύνω. τοῦτο γὰρ ἀγνοοῦντός ἐστιν. ἐπειδὴ γὰρ πνεύματι ἤγετο, καὶ οὐκ οἰκείᾳ γνώμῃ ἔπραττεν ἅπερ ἔπραττε, καὶ τοῦτο εἰκότως ἠγνόει. Ἵνα εἰδῇς, φησι, πῶς δεῖ ἐν οἴκῳ Θεοῦ ἀναστρέφεσθαι, ἥτις ἐστὶν ἐκκλησία Θεοῦ ζῶντος, στῦλος καὶ ἑδραίωμα τῆς ἀληθείας. οὐχ ὡς ἐκεῖνος ὁ Ἰουδαϊκός. τοῦτο γάρ ἐστι τὸ συνέχον τὴν πίστιν καὶ τὸ κήρυγμα. ἡ γὰρ ἀλήθεια ἐστὶ τῆς ἐκκλησίας καὶ στῦλος, καὶ ἑδραίωμα. χ. τύπον

16 Καὶ ὁμολογουμένως, φησί, μέγα ἐστὶ τὸ τῆς εὐσεβείας μυστήριον, Θεὸς ἐφανερώθη ἐν σαρκί, ἐδικαιώθη ἐν πνεύματι. Τουτέστιν, ἡ οἰκονομία ἡ ὑπὲρ ἡμῶν. μή μοι εἴπῃς τοὺς κώδωνας, μηδὲ τὰ ἅγια τῶν ἁγίων, μηδὲ τὸν ἀρχιερέα. στῦλος ἐστὶ τῆς οἰκουμένης ἡ ἐκκλησία. ἐννόησον τὸ μυστήριον, καὶ φρῖξαι ἔχεις. καὶ μυστήριόν ἐστι, καὶ μέγα, καὶ εὐσεβείας μυστήριον, καὶ ὁμολογουμένως, οὐ ζητουμένως. ἀναμφίβολον γάρ ἐστιν. ἐπειδὴ περὶ ἱερέων διαταττόμενος χ. Ἰουδαίων

Ματθ. ια. ιθ. οὐδὲν τοιοῦτον εἶπεν, οἷον ἐν τῷ Λευϊτικῷ, εἰς ἕτερον ἀνάγει τὸ πρᾶγμα λέγων, Θεὸς ἐφανερώθη ἐν σαρκί, τουτέστιν, ὁ δημιουργός. ὤφθη, φησί, ἐν σαρκί, ἐδικαιώθη ἐν πνεύματι. ἤτοι τοῦτο λέγει, καὶ ἐδικαιώθη ἡ σοφία ἀπὸ τῶν τέκνων αὐτῆς, ἢ ὅτι δόλον οὐκ ἐποίησεν· ὅπερ ὁ

Ησ. νγ. θ. προφήτης λέγει, Ὃς ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ.

Ὤφθη ἀγγέλοις. Ὥστε καὶ ἄγγελοι μεθ' ἡμῶν εἶδον τὸν υἱὸν τοῦ Θεοῦ, πρότερον οὐχ ὁρῶντες. ὄντως μέγα τὸ μυστήριον. Ἐκηρύχθη ἐν ἔθνεσιν, ἐπιστεύθη ἐν κόσμῳ.

Πανταχοῦ

Digitized by Google

χεῖ. πόθεν τοῦτο δῆλον; ἐγὼ ποιήσω φανερόν. Εἰπὲ γάρ μοι, εἴ τις κελευσθείη καυθῆναι, εἶτα καὶ τὸν παῖδα συγκαιόμενον αὐτῷ ἴδοι, καὶ κείσθω ἀπὸ τῶν χρεῶν λύσεως, οὐκ ἀποπνίξεται; σφόδρα γε. καὶ πῶς, ἐγὼ λέγω. εἰ γὰρ οἱ μὴ πάσχοντες, ταῦτα ὁρῶντες γινόμενα, ναρκῶσι καὶ ἐκλύονται· πολλῷ μᾶλλον οἱ κακούμενοι τοῦτο πείσονται. καὶ μὴ θαυμάσῃς. ἄκουε γάρ τινος σοφοῦ λέγοντος, Καὶ σὺ ἑάλως ὥσπερ καὶ ἡμεῖς, ἐν ἡμῖν δὲ κατελογίσθης. ἔχει Ησ. ιδ. ι. γάρ πως φύσει τὸ συμπαθὲς τὸ ἀνθρώπινον, καὶ ταῖς τῶν ἑτέρων κατακλώμεθα συμφοραῖς. Εἰπὲ δή μοι, ἆρα ὁ πατὴρ τὸν υἱὸν ὁρῶν ἐν τῇ αὐτῇ κείμενον δίκῃ, παραμυθίαν, ἢ παραθήκην λήψεται τῶν δεινῶν; τί δὲ ἀνὴρ τὴν γυναῖκα; τί δὲ ἄνθρωποι τοὺς ἀνθρώπους, οὐχὶ τότε μᾶλλον κατακλώμεθα; ναί, φησιν, ἀλλ' οὐκ ἔστιν ἐκεῖ ταῦτα τὰ πάθη· οἶδα κἀγώ· ἀλλ' ἕτερα πολλῷ χαλεπώτερα. κλαυθμὸς γὰρ ἔσται ἀπαραμύθητος τότε, πάντων ἀλλήλους ὁρώντων*, πάντων καιομένων. οἱ ἐν λιμῷ ὄντες, εἰπὲ, ἆρα παραμυθίαν λαμβάνουσι τὴν οἰκείων κακῶν ἐκ τῆς ἑτέρων κοινωνίας; τί δὲ ὅταν ἢ καὶ παῖς, ἢ καὶ πατὴρ, καὶ γυνὴ, καὶ ἔννοια τὴν αὐτὴν" τίνωνται δίκην; τί δὲ ὅταν φίλους ὁρῶμεν, ἆρα παραμυθίαν ἔχομεν; οὐκ ἔστιν, οὐκ ἔστιν, ἀλλὰ μᾶλλον ἐπιτείνεται ἡμῖν τὰ δεινά. χωρὶς δὲ τούτων ἐστὶ κακὰ, ἃ μὴ ἔχει παραμυθίαν ἀπὸ τῶν κοινῶν διὰ τὴν χαλεπότητα. οἷόν τι λέγω· ἔστω τις ἐν πυρὶ κείμενος, καὶ ἄλλος πάλιν. πῶς ἀλλήλους παραμυθήσονται; Εἰπέ μοι, παρακαλῶ, εἴ ποτε ἐν πυρετῷ γεγόναμεν σφοδρῷ, οὐχὶ πάντα τὰ τῆς παραμυθίας ἡμῖν ἐξέλιπεν; εἰκότως. ὅταν γὰρ ἐπικρατῇ τὰ δεινὰ, οὐκ ἔτι αὖ ἔχοι χώραν παραμυθεῖσθαι ἡ ψυχή. ἢ οὐχ ὁρᾷς τὰς τοὺς ἄνδρας ἀποβαλούσας, πόσας ἔχουσιν ἀριθμεῖν ἑτέρας γυναῖκας τὸ αὐτὸ παθούσας; ἀλλ' οὐδὲν ἀπὸ τούτου τὸ πένθος ἔλαττον γίνεται. μὴ δὴ ταύτῃ τρεφώμεθα τῇ ἐλπίδι, ἀλλὰ μίαν ἀρώμεθα παραμυθίαν, τὸ μετανοεῖν ἐπὶ τοῖς ἡμαρτημένοις, καὶ ἔχεσθαι τῆς ἀγαθῆς ὁδοῦ τῆς ἐπὶ τὸν οὐρανὸν φερούσης, ἵνα τῆς τῶν οὐρανῶν βασιλείας ἐπιτύχωμεν.

* ἐν τῷ χάει. " γρ. τίνωσι

Λογ. ια. 8 ΔΙΑΚΟΝΟΥΣ ΩΣΑΥΤΩΣ ΣΕΜΝΟΥΣ, μὴ διλόγους, μὴ οἴνῳ πολλῷ προσέχοντας, μὴ αἰσχροκερδεῖς,
9 Ἔχοντας τὸ μυστήριον τῆς πίστεως ἐν καθαρᾷ συνειδήσει.
10 Καὶ οὗτοι δὲ δοκιμαζέσθωσαν πρῶτον, εἶτα διακονείτωσαν ἀνέγκλητοι ὄντες.

Διαλεγόμενος περὶ ἐπισκόπων, καὶ χαρακτηρίσας αὐτὸν, καὶ εἰπὼν τίνα μὲν ἔχειν, τίνων δὲ ἀπέχεσθαι χρὴ, καὶ τὸ τῶν πρεσβυτέρων τάγμα ἀφεὶς, εἰς τοὺς διακόνους μεταπήδησε. τί δήποτε; ὅτι οὐ πολὺ τὸ μέσον αὐτῶν καὶ τῶν ἐπισκόπων. καὶ γὰρ καὶ αὐτοὶ διδασκαλίαν εἰσὶν ἀναδεδεγμένοι, καὶ προστασίαν τῆς ἐκκλησίας· καὶ ἃ περὶ ἐπισκόπων εἶπε, ταῦτα καὶ πρεσβυτέροις ἁρμόττει. τῇ γὰρ χειροτονίᾳ μόνῃ ὑπερβεβήκασι, καὶ τούτῳ μόνον δοκοῦσι πλεονεκτεῖν τοὺς πρεσβυτέρους. διακόνους ὡσαύτως· τουτέστι, τὰ αὐτὰ δεῖ, φησιν, ἔχειν καὶ αὐτούς. τί ἐστι τὰ αὐτά; οἶμαι τὸ ἀνεπιλήπτους εἶναι, τὸ σώφρονας, τὸ φιλοξένους, τὸ ἐπιεικεῖς, ἀμάχους, ἀφιλαργύρους. καὶ ὅτι τοιούτους αὐτοὺς εἶναι βουλόμενος εἶπε τὸ, ὡσαύτως, ἐδήλωσε διὰ τῆς ἐπαγωγῆς λέγων, σεμνούς, μὴ διλόγους· τουτέστι, μὴ ὑπούλους, μηδὲ δολερούς. οὐδὲν γὰρ οὕτω ποιεῖν εἴωθεν ἀγεννεῖς, ὡς τὸ δολερόν· οὐδὲν οὕτως ἄχρηστον ἐν τῇ ἐκκλησίᾳ, ὡς τὸ ὕπουλον. μὴ οἴνῳ πολλῷ, φησὶ, προσέχοντας, μὴ αἰσχροκερδεῖς, ἔχοντας τὸ μυστήριον τῆς πίστεως ἐν καθαρᾷ συνειδήσει. ἰδοὺ ἐσήμανε τί ἐστιν ἀνεπιλήπτους εἶναι. ὅρα δὲ πῶς τὸ μὴ νεόφυτον καὶ ἐνταῦθα τίθησι. τὸ γὰρ εἰπεῖν, καὶ οὗτοι δὲ δοκιμαζέσθωσαν πρῶτον, ὡς περὶ τοῦ ἐπισκόπου τοῦτο εἰρημένον αὐτῷ, οὕτω τὸν σύνδεσμον αὐτοῦ ἐπήγαγεν. οὐδὲν γὰρ τὸ μέσον μεταξύ. διὰ τοῦτο εἴρηται καὶ ἐκεῖ τὸ, μὴ νεό-

ἴσ. πῶς

νων, φησί, καὶ καλὴν μαρτυρίαν ἔχειν αὐτοί. λαμψάτω γὰρ τὰ ἔργα ὑμῶν. ὥσπερ οὖν οὐκ ἄν τις εἴποι τὸν ἥλιον σκοτεινὸν, οὐδ' αὐτὸς ὁ τυφλὸς (αἰσχύνεται γὰρ ταῖς πάντων μάχεσθαι δόξαις) οὕτω τὸν σφόδρα καλὸν οὐκ ἄν τις μέμψαιτο· ἀλλὰ τῶν μὲν δογμάτων ἕνεκεν πολλάκις ἂν αὐτὸν διαβάλλοιεν Ἕλληνες· βίου δὲ ὀρθοῦ οὐκ ἂν ἐπιλάβοιντο, ἀλλὰ καὶ μετὰ τῶν ἄλλων θαυμάζουσι καὶ ἐκπλήττονται).

ΗΘΙΚΟΝ

Οὕτω τοίνυν ζῶμεν, ὥστε μὴ βλασφημεῖσθαι τὸ ὄνομα τοῦ Θεοῦ. μήτε οὖν πρὸς δόξαν ἀνθρωπίνην βλέπωμεν, μήτε ὥστε πονηρὰν λαμβάνειν δόξαν, ἀλλ' ἐν ἑκατέρῳ τὴν συμμετρίαν τηρῶμεν. Ἐν οἷς φαίνεσθε, φησὶν, ὡς φωστῆρες ἐν κόσμῳ. (Φιλιπ. β. 15.) διὰ τοῦτο γὰρ ἡμᾶς εἴασεν, ἵν' ὡς φωστῆρες ὦμεν, ἵνα διδάσκαλοι τῶν ἄλλων καταστῶμεν, ἵν' ὡς ζύμη γινώμεθα, ἵν' ὡς ἄγγελοι μετὰ τῶν ἀνθρώπων περιπολῶμεν, ἵν' ὡς ἄνδρες μετὰ τῶν παίδων τῶν μικρῶν, ὡς πνευματικοὶ μετὰ τῶν ψυχικῶν, ἵνα κερδάνωσιν ἐκεῖνοι, ἵνα σπέρματα ὦμεν, ἵνα καρπὸν πολὺν φέρωμεν. οὐκ ἔδει λόγων, εἰ τοσοῦτον ἡμῶν ὁ βίος ἔλαμπεν· οὐκ ἔδει διδασκάλων, εἰ ἔργα ἐπεδεικνύμεθα. οὐδεὶς ἂν ἦν Ἕλλην, εἰ ἡμεῖς ἦμεν Χριστιανοὶ, ὡς δεῖ. εἰ τὰ τοῦ Χριστοῦ ἐφυλάττομεν, εἰ ἠδικούμεθα, εἰ ἐπλεονεκτούμεθα, εἰ λοιδορούμενοι εὐλογοῦμεν, εἰ κακῶς πάσχοντες εὐηργετοῦμεν, οὐδεὶς οὕτω θηρίον ἦν, ὡς μὴ ἐπιδραμεῖν τῇ εὐσεβείᾳ, εἰ παρὰ πάντων ταῦτα ἐγίνετο. καὶ ἵνα μάθῃς, εἷς ἦν ὁ Παῦλος, καὶ τοσούτους ἐπεσπάσατο. εἰ πάντες ἦμεν τοιοῦτοι, πόσας οἰκουμένας οὐκ ἂν ἐπεσπασάμεθα; ἰδοὺ πλείους εἰσὶν οἱ Χριστιανοὶ τῶν ἐθνικῶν. καὶ ἐν μὲν ταῖς ἄλλαις τέχναις εἷς ἑκατὸν ὁμοῦ παῖδας διδάξαι δύναται· ἐνταῦθα δὲ τῶν διδασκάλων πλειόνων ὄντων, καὶ τῶν μαθητῶν πολλῷ πλειόνων, οὐδεὶς προσέρχεται. οἱ γὰρ διδασκόμενοι πρὸς τὴν τῶν διδασκάλων ἀρετὴν ὁρῶσι. καὶ ὅταν ἴδωσι καὶ ἡμᾶς τῶν αὐτῶν ἐπιθυμοῦντας, τῶν αὐτῶν ἐφιεμένους, τοῦ ἄρχειν, τοῦ τιμᾶσθαι, πῶς δυνήσονται θαυμάσαι τὸν Χριστιανισμόν; ὁρῶσι βίους ἐπιληψίμους, ψυχὰς γηΐνας. τὰ χρήματα ὁμοίως αὐτοῖς θαυμάζομεν, πολλῷ δὲ καὶ πλέον. τὸν θάνατον ὁμοίως αὐτοῖς πεφρίκαμεν, πενίαν ὁμοίως φοβούμεθα, πρὸς νόσους ὁμοίως δυσχεραίνομεν, ὁμοίως δόξης ἐρῶμεν καὶ δυναστείας, ὑπὸ φιλαργυρίας κατακόπτοντες ἑαυτοὺς, τοὺς καιροὺς θεραπεύομεν. πόθεν οὖν ἔχουσι πιστεῦσαι; ἀπὸ σημείων; ἀλλ' οὐ γίνεται ταῦτα. ἀλλ' ἀπὸ τῆς ἀναστροφῆς; ἀλλ' ἀπώλετο. ἀλλ' ἀπὸ τῆς ἀγάπης; ἀλλ' οὐδαμοῦ οὐδὲ ἴχνος αὐτῆς ὁρᾶται. διὰ τοῦτο οὐ τῶν ἡμετέρων μόνον ἁμαρτημάτων, ἀλλὰ καὶ τῆς ἑτέρων βλάβης ἡμεῖς λόγον ὑφέξομεν. ἀνανήψωμέν ποτε, γρηγορήσωμεν, δείξωμεν πολιτείαν ἐπὶ γῆς οὐράνιον, (Φιλιπ. γ. 20.) λέγωμεν ὅτι ἡμῶν τὸ πολίτευμα ἐν οὐρανῷ ὑπάρχει, καὶ ἐπὶ γῆς τὴν ἄθλησιν ἐπιδειξώμεθα. ἀλλ' ἐγένοντο, φησὶ, παρ' ἡμῖν ἄνδρες μεγάλοι. πόθεν πιστεύσω, φησὶν ὁ Ἕλλην; οὐ γὰρ ὁρῶ ὑμᾶς τὰ αὐτὰ πράττοντας ἐκείνοις. ἐπεὶ εἰ δεῖ ταῦτα διηγεῖσθαι, ἔχομεν καὶ ἡμεῖς, φησὶ, μεγάλους φιλοσόφους, καὶ θαυμαστοὺς βίου ἕνεκεν. ἀλλὰ δεῖξόν μοι Παῦλον ἕτερον, καὶ Ἰωάννην. ἀλλ' οὐκ ἂν ἔχοις. πῶς οὖν οὐχὶ καταγελάσειεν οὕτω διαλεγομένων ἡμῶν; πῶς οὐχὶ καὶ ἔτι καθῆσθαι ἐν ἀγνοίᾳ ἀνέξεται ὁρῶν οὐκ ἐν ἔργοις, ἀλλ' ἐν λόγοις φιλοσοφοῦντας ἡμᾶς; νῦν γὰρ ὑπὲρ ὀβολοῦ ἑνὸς καὶ ἀναιρεῖσθαι, καὶ ἀναιρεῖν ἕτοιμοι ἕκαστος· ὑπὲρ κυάθου γῆς μυρία δικαστήρια συνιστᾷς· ὑπὲρ θανάτου παιδίου τὰ ἄνω κάτω ποιεῖς. τὰ γὰρ ἄλλα ἀφίημι τὰ πολλοῦ πένθους ἄξια, οἷον οἰωνισμοὺς, καὶ κληδονισμοὺς, παρατηρήσεις, γενέσεις, σύμβολα, περιάμματα, μαντείας, ἐπῳδὰς, μαγγανείας. οὕτω μεγάλα ταῦτα, καὶ ἱκανὰ τὴν ὀργὴν ἐκκαλέσασθαι τοῦ Θεοῦ, ὅτι καὶ μετὰ τὸ τὸν υἱὸν ἀποστεῖλαι τὸν ἑαυτοῦ, τοιαῦτα τολμῶμεν. τί οὖν ἐστιν ἄρα; οὐδὲν ἕτερον, ἢ πενθεῖν χρή. τὸ γὰρ πολλοστὸν τοῦ κόσμου μόλις διασώζεται. ἀλλ' οἱ ἀπολλύμενοι ἀκούοντες χαίρουσιν, ὡς οὐκ αὐτοὶ μόνοι τοῦτο ὑπομένοντες, ἀλλὰ μετὰ πλειόνων. καὶ ποίας ταῦτα χαρᾶς; καὶ γὰρ αὐτῆς τῆς χαρᾶς τίσουσι δίκην. μὴ γὰρ, ὡς ἐνταῦθα, νομίσῃς, τὸ κοινωνοὺς εἶναι τῆς συμφορᾶς φέρει παραμυθίαν, οὕτω κα-

κεῖ.

γρ. φῶς λάμψωμεν.

γρ. ἄπο

γρ. φέρειν

Digitized by Google

οὕτω καὶ ἐν τῇ ἐκκλησίᾳ οὐδὲν ἄλλο, ἢ τοῦτό ἐστι, παιδία, γυναῖκες, οἰκέται. Εἰ δὲ κοινωνὸς ἔχει τῆς ἀρχῆς ὁ τῆς ἐκκλησίας προεστὼς, ἀλλ' ἔχει κἀκεῖ ὁ ἀνὴρ κοινωνὸν τὴν γυναῖκα. ἀλλὰ τὰ πρὸς διατροφὴν ἐνταῦθα τῶν χηρῶν καὶ τῶν παρθένων φροντίζειν δεῖ; ἔχει κἀκεῖ ὁ ἀνὴρ οὐδὲ δούλους, τὰς θυγατέρας· (χ. δούλας) ἄλλως δὲ καὶ εὐκολώτερον τῆς οἰκίας ἄρχειν. ὁ τοίνυν ταῦτα καλῶς οὐκ οἰκονομήσας, πῶς τὰ τῆς ἐκκλησίας οἰκονομῆσαι δυνήσεται; Εἶτα εἰπὼν,

5 Εἰ δέ τις τοῦ ἰδίου οἴκου προστῆναι οὐκ οἶδε, πῶς ἐκκλησίας Θεοῦ ἐπιμελήσεται;

6 Μὴ νεόφυτον, φησίν. Οὐ τὸν νεώτερον ἐνταῦθα λέγει, ἀλλὰ τὸν νεοκατήχητον. Ἐγὼ (α. Κορ. γ. ϛ.) γὰρ, φησὶν, ἐφύτευσα, Ἀπολλὼς ἐπότισεν, ἀλλ' ὁ Θεὸς ηὔξανε. τοῦτο οὖν δηλῶσαι βουλόμενος, τοῦτ' εἶπεν. ἐπεὶ τί ἐκώλυεν εἰπεῖν, μὴ νεώτερον; τίνος οὖν ἕνεκεν αὐτὸς τὸν Τιμόθεον νεώτερον ὄντα ἐποίει, καὶ μαρτυρεῖ τοῦτο πρὸς αὐτὸν λέγων, Μηδείς σου τῆς νεότητος κα- (α. Τιμ. δ. ιβ.) ταφρονείτω; ἐπειδὴ γὰρ ἐξ Ἑλλήνων προσιέναι τότε καὶ ἐβαπτίζοντο, μὴ εὐθέως, φησὶ, νεόφυτον εἰς τὸν τῆς ἀρχῆς ὄγκον ἄγετε, τουτέστι, νεοκατήχητον. Εἰ γὰρ πρὶν ἢ γενέσθαι μαθητὴς, διδάσκαλος γένοιτο ταχέως, καὶ εἰς ἀπόνοιαν ἔρχεται· εἰ πρὶν ἢ μαθεῖν ἄρχεσθαι, τῶν ἀρχόντων γένοιτο, φυσᾶται. διὰ τοῦτ' ἐπήγαγεν· Ἵνα μὴ τυφωθεὶς εἰς κρίμα ἐμπέσῃ τοῦ διαβόλου· Τουτέστιν, εἰς τὴν καταδίκην τὴν αὐτὴν, ἣν ἐκεῖνος ἀπὸ τῆς ἀπονοίας ὑπέμεινε.

7 Δεῖ δὲ αὐτὸν καὶ μαρτυρίαν καλὴν ἔχειν ἀπὸ τῶν ἔξωθεν, ἵνα μὴ εἰς ὀνειδισμὸν ἐμπέσῃ καὶ παγίδα τοῦ διαβόλου. Καλῶς. μέλλει γὰρ ὀνειδίζεσθαι παρ' αὐτῶν. τάχα καὶ διὰ τοῦτο εἶπε, μιᾶς γυναικὸς ἄνδρα, καίτοι λέγων ἀλλαχοῦ, Θέλω πάντας ἀνθρώπους εἶναι, (α. Κορ. ζ. ζ.) ὡς καὶ ἐμαυτὸν, τουτέστιν, ἐν ἐγκρατείᾳ. ἵνα οὖν μὴ εἰς στενὸν περικλείσῃ τὸ πρᾶγμα, ἐπειδὴ (χ. ἱερετὴν) ἠκριβωμένην πολιτείαν ἀπαιτήσῃ, διὰ τοῦτο συμμεμετρημένην ἐζήτησεν ἀρετήν. ἔδει γὰρ καθίστασθαι καθ' ἑκάστην πόλιν τοὺς προστησομένους. ἄκουε γὰρ αὐτοῦ γράφοντος τῷ Τίτῳ, Ἵνα καταστήσῃς κατὰ πόλιν πρεσβυτέρους, ὡς ἐγώ σοι διεταξάμην. (Τιτ. α. ε.) τί δὲ, ἂν μαρτυρίαν ἔχῃ καλὴν, καὶ δόξαν ἀγαθὴν, μὴ ᾖ δὲ τοιοῦτος; μάλιστα μὲν οὖν δύσκολον τοῦτο. ἀγαπητὸν γὰρ οὐδὲ ὀρθοῖς ὀρθὴν ἔχειν δόξαν παρὰ τοῖς ἐχθροῖς· (χ. ἐχθρὰς) νῦν δὲ οὐδὲ τοῦτο μόνον εἴασεν. οὐ γὰρ εἶπε, δεῖ αὐτὸν μαρτυρίαν ἔχειν, ἀλλὰ δεῖ αὐτὸν καὶ μαρτυρίαν ἔχειν, ὡς μετὰ τῶν ἄλλων καὶ ταύτην. οὐ γὰρ διὰ ταύτην μόνον. τί οὖν ἂν κακῶς λέγωσιν αὐτὸν εἰκῇ, καὶ βασκαίνοντες, καὶ μάλιστα ἐπειδὴ Ἕλληνές εἰσιν; οὐκ ἔστι τοῦτο. τὸν γὰρ ἄληπτον ἔχοντα βίον κἀκεῖνοι αἰδοῦνται. πῶς, φησίν; ἄκουε αὐτοῦ περὶ ἑαυτοῦ λέγοντος, Διὰ δυσφημίας καὶ (β. Κορ. ϛ. η.) εὐφημίας. οὐ γὰρ τοῦ βίου αὐτῶν ἐπελαμβάνοντο, ἀλλὰ τοῦ κηρύγματος. διὰ τοῦτό φησι, διὰ δυσφημίας· ὡς πλάνοι καὶ γόητες διεβάλλοντο διὰ τὸ κήρυγμα. καὶ τοῦτο ἐποίουν, ἐπεὶ μὴ εἶχον τοῦ βίου αὐτῶν ἐπιλαμβάνεσθαι. διὰ τί γὰρ μηδεὶς εἶπε περὶ τῶν ἀποστόλων, ὅτι πόρνοι καὶ ἀσελγεῖς καὶ πλεονέκται, ἀλλὰ πλάνοι, ὃ τοῦ κηρύγματος ἦν μόνον; ἆρα οὐχ ὅτι βίον ἄληπτον εἶχον; εὔδηλον ὅτι. οὕτω τοίνυν καὶ ἡμεῖς ζῶμεν, καὶ οὐδεὶς ἡμᾶς ἐρεῖ κακῶς, κἂν ἐχθρὸς ᾖ, κἂν ἄπιστος. ὁ γὰρ βίον λάμποντα ἔχων, κἀκείνοις ἐστὶν αἰδέσιμος. ἡ γὰρ ἀλήθεια καὶ τοὺς ἐχθροὺς ἐπιστομίζει. εἰς παγίδα δὲ πῶς ἐμπίπτει; τοῖς αὐτοῖς ἁμαρτήμασι (χ. κἀκεῖνος) πολλάκις περιπίπτων, οἷς κἀκεῖνοι. εἰ γὰρ εἴη τοιοῦτος, ταχέως αὐτῷ καὶ ἄλλην παγίδα τίθησιν ὁ διάβολος, ταχέως αὐτὸν ἀναιροῦσιν ἐκεῖνοι. εἰ δὲ τὴν παρὰ τῶν ἐχθρῶν δεῖ μαρτυρίαν ἔχειν, πολλῷ μᾶλλον καὶ τὴν παρὰ τῶν φίλων. ὅτι γὰρ οὐκ ἔνι κακῶς ἀκοῦσαι τὸν ἀνεπίληπτον βίον κεκτημένον, ἄκουε τοῦ Χριστοῦ λέγοντος· Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν (Ματθ. ε. ιϛ.) τῶν ἀνθρώπων, ἵνα ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάζωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. τί οὖν ἂν συκοφαντῆται, φησὶ, καὶ ἐκ περιστάσεως τὴν διαβολὴν ὑπομένῃ; ἐγχωρεῖ μὲν καὶ τοῦτο. δεῖ δὲ μηδὲ τοῦτον εἰς τὸ μέσον ἄγεσθαι. τὸ γὰρ πολὺ τὸ δέος. δεῖ τοίνυν,

πρὸς ἐκεῖνον ὁρᾶν, καὶ πρὸς τὸν αὐτοῦ βίον τὸν οἰκεῖον χαρακτηρίζειν. ποιεῖ δὲ τοῦτο οὐχ ἁπλῶς τοσαύτῃ κεχρημένος τῇ παραινέσει· ἀλλ' ἐπειδὴ καὶ αὐτὸς ἔμελλεν ἐπισκόπους καθιστᾶν, ὅπερ καὶ Τίτῳ γράφων παρῄνει. (Τιτ. α.) καὶ ἐπειδὴ εἰκὸς ἦν πολλοὺς τοῦ πράγματος ἐπιθυμεῖν, διὰ τοῦτο ταῦτα παρεγγυᾷ. νηφάλιον, φησι, τουτέστι, διεγερτικόν, μυρίους ἔχοντα πανταχόθεν ὀφθαλμούς, ὀξὺ βλέποντα, καὶ μὴ ἀμβλυώττοντα τὸ τῆς διανοίας ὄμμα. πολλὰ γάρ ἐστι τὰ συμπίπτοντα, καὶ οὐκ ἐῶντα ὁρᾶν καθαρῶς, καὶ ὡς ἔχει τὰ πράγματα. καὶ γὰρ καὶ ἀθυμίαι, καὶ φροντίδες, καὶ πραγμάτων ὄχλος, καὶ πολλὰ πανταχόθεν ἐπιρρεῖ. ἄγρυπνον τοίνυν αὐτὸν εἶναι χρή, οὐ τὰ ἑαυτοῦ μεριμνῶντα μόνον, ἀλλὰ καὶ τὰ τῶν λοιπῶν. διεγηγέρθαι χρή, καὶ ζεῖν τῷ πνεύματι, καὶ πῦρ πνέειν, ὡς εἰπεῖν, καὶ μᾶλλον στρατηγοῦ καὶ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ τὸ στράτευμα περιϊόντος κάμνειν καὶ διακινδυνεύεσθαι, καὶ τὴν ὑπὲρ ἁπάντων ἔχειν φροντίδα καὶ μέριμναν. σώφρονα, κόσμιον, φιλόξενον. ταῦτα ἐπειδὴ καὶ τῶν ἀρχομένων ἔχουσιν οἱ πολλοὶ (δεῖ γὰρ καὶ αὐτοὺς εἰς τὰ τοιαῦτα τοῖς ἄρχουσιν ἴσους εἶναι) δεικνὺς τὸ τῶν ἐπισκόπων ἐξαίρετον, ἐπήγαγε· διδακτικόν. τοῦτο γὰρ οὐκέτι ὁ ἀρχόμενος ἀπαιτεῖται· μάλιστα δὲ τοῦτο πάντων προσεῖναι δεῖ τῷ ταύτην τὴν ἀρχὴν ἐγκεχειρισμένῳ. μὴ πάροινον. οὐ τὸν μέθυσον ἐνταῦθά φησιν, ἀλλὰ τὸν ὑβριστήν, τὸν αὐθάδη. μὴ πλήκτην. οὐ τὸν μὴ πλήττοντά φησι ταῖς χερσί. τί οὖν ἐστι, μὴ πλήκτην; ἐπειδὴ εἰσὶν ἀκαίρως τινὲς πλήττοντες τῶν ἀδελφῶν τὴν συνείδησιν, τούτους νῦν αἰνίττεσθαί μοι δοκεῖ. ἀλλ' ἐπιεικῆ, ἄμαχον, ἀφιλάργυρον, τοῦ ἰδίου οἴκου καλῶς προϊστάμενον, τέκνα ἔχοντα ἐν ὑποταγῇ μετὰ πάσης σεμνότητος. εἰ τοίνυν ὁ γαμήσας μεριμνᾷ τὰ τοῦ κόσμου, τὸν δὲ ἐπίσκοπον οὐ δεῖ τὰ τοῦ κόσμου μεριμνᾶν, πῶς φησι μιᾶς γυναικὸς ἄνδρα; τινὲς μὲν οὖν φασιν, ὅτι τὸν ἀπὸ γυναικὸς ἠνέξατο*. εἰ δὲ μὴ τοῦτο εἴη, ἔνεστι γυναῖκα ἔχοντα, ὡς μὴ ἔχοντα, εἶναι. τότε μὲν γὰρ καλῶς τοῦτο συνεχώρησεν, ὡς πρὸς τὴν τοῦ πράγματος φύσιν τὴν τότε οὖσαν. ἔνεστι δὲ αὐτῷ μεταχειρίσασθαι καλῶς, εἴ τις βούλοιτο. ὥσπερ γὰρ ὁ πλοῦτος δυσκόλως εἰσάγει εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, πολλάκις δὲ τῶν πλουτούντων εἰσῆλθον, οὕτω καὶ ὁ γάμος. τί δὲ λέγεις, εἰπέ μοι; περὶ ἐπισκόπου διαλεγόμενος ἔλεγεν, ὅτι δεῖ αὐτὸν μὴ μέθυσον εἶναι, ἀλλὰ φιλόξενον, δέον τὰ μείζονα τούτων εἰπεῖν. διὰ τί γὰρ οὐκ εἶπεν, ὅτι δεῖ τὸν ἐπίσκοπον ἄγγελον εἶναι, μηδενὶ πάθει ἀνθρωπίνῳ ὑποκεῖσθαι; ἐκεῖνα τὰ μεγάλα, ἃ Χριστὸς εἶπεν, ἃ καὶ τοὺς ἀρχομένους ἔχειν δεῖ, ἐσταυρῶσθαι, καὶ ἐν ταῖς χερσὶν ἀεὶ ἔχειν τὴν ψυχήν; ὃ καὶ ὁ Χριστὸς εἶπεν, (Ιωαν. ι. ια.) Ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων· καὶ πάλιν, (Ματθ. ι. λη.) Ἐὰν μή τις ἄρῃ τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθήσῃ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος. ἀλλὰ μὴ πάροινον, φησι. καλαὶ αἱ ἐλπίδες, εἰ περὶ τούτων ὀφείλει ὁ ἐπίσκοπος παραινεῖσθαι. διὰ τί γὰρ οὐκ εἶπες, δεῖ δὲ αὐτὸν ἤδη μετασταῆναι ἐκ τῆς γῆς; ἀλλὰ ἃ τοῖς κοσμικοῖς ἐπέταξας, ταῦτα τῷ ἐπισκόπῳ οὐκ ἐπιτάττεις. τί δὲ ἐκείνοις φησί; (Κολασ. γ. ε.) Νεκρώσατε τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς· καὶ πάλιν, (Ρωμ. ς. ζ.) Ὁ δὲ ἀποθανὼν δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας· καὶ πάλιν, (Γαλ. ε. κδ.) Οἱ δὲ τοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν· καὶ ὁ Χριστὸς πάλιν φησίν, (Λουκ. ιδ. λγ.) Ἐὰν μή τις ἀποτάξηται αὐτοῦ πᾶσι τοῖς ὑπάρχουσιν, οὐκ ἔστι μου ἄξιος. τίνος οὖν ἕνεκεν ταῦτα οὐκ εἴρηκεν; ἐπεὶ τοιούτους ὀλίγους εὑρεθῆναι ἐνῆν, ἐπισκόπων δὲ ἔδει πολλῶν, καὶ καθ' ἑκάστην πόλιν τῶν προηγησομένων. ἐπεὶ οὖν ἐνεδρεύεσθαι ἔμελλε τὰ τῶν ἐκκλησιῶν, διὰ τοῦτο συμμετρημένην εἶπεν ἀρετήν, οὐκ ἐκείνην τὴν ἄνω, τὴν ὑψηλήν. τὸ γὰρ νηφάλιον εἶναι καὶ κόσμιον καὶ σώφρονα, πολλῶν ἦν. τέκνα ἔχοντα, φησιν, ἐν ὑποταγῇ μετὰ πάσης σεμνότητος. δεῖ γὰρ οἴκοθεν προέχεσθαι τὰ παραδείγματα. τίς γὰρ πιστεύσει, ὅτι τὸν ἀλλότριον ὑποτάξει ὁ τὸν υἱὸν μὴ ὑποτάξας; τοῦ ἰδίου οἴκου καλῶς προϊστάμενον. τοῦτο καὶ οἱ ἔξωθέν φασιν, ὅτι ὁ οἰκονομικός, καὶ πολιτικὸς ἂν γένοιτο ταχέως. καὶ γὰρ τοῦτό ἐστιν ἡ ἐκκλησία, ὡσανεὶ μικρά τις οἰκία. καὶ ὥσπερ ἐν τῇ οἰκίᾳ εἰσὶ παιδία, γυνή, οἰκέται, καὶ πάντων ὁ ἀνὴρ ἀνήρηται τὴν ἀρχήν·

οὕτω

γ. ταῦτα καὶ τῶν ἀρχομένων ἔχουσιν οἱ πολλοί. ἐπειδὴ δεῖ αὐτὸν καὶ τὰ τῶν ἀρχόντων ἔχειν, διὰ τοῦτο

* μὴ ἔχοντα ἀλλὰ ἕτερον. ἢ ταύτην τὴν πρὸς γάμον τῶν τότε ἴσως. νῦν δὲ ἐκεῖνον δεῖ συγχωρεῖν. πλὴν ἔνεστι τὸ πρᾶγμα

γ. περὶ δὲ ἑπτὰ περιεκαλύφθη τὸ τεθεῖσθαι τὴν ψυχήν;

γ. αὐτοῦ τις

αὐτῷ, τὸν φύλακα οὐ κατέλιπες, ἀλλὰ τῶν εἰς ἔσχατον πενίας ἐληλακότων χείρονα ἐποίησας. τοῖς γὰρ μὴ ῥυθμισθεῖσι τῶν παίδων καλῶς, βέλτιον πλούτου πενία. ἐκείνη μὲν γὰρ καὶ ἄκοντας κατέχει ἐν ἀρετῇ· οὗτος δὲ οὐδὲ βουλομένους ἀφίησι σωφρονεῖν, ἀλλ' ἐξάγει, καὶ καταστρέφει, καὶ μυρίοις ἐμβάλλει δεινοῖς. αἱ μητέρες τὰς θυγατέρας μάλιστα διαφυείμαθε. εὔκολος ὑμῖν ἡ φυλακὴ αὕτη. περισκοπεῖτε, ὥστε οἰκουροὺς εἶναι· πρὸ δὲ πάντων εὐλαβεῖς αὐτὰς εἶναι παιδεύετε, κοσμίας, χρημάτων καταφρονεῖν, ἀκαλλωπίστους μένειν. οὕτω πρὸς τὸν γάμον ἐκδότε. ἂν οὕτως αὐτὰς διαπλάττωμεν, οὐκ αὐτὰς μόνον, ἀλλὰ καὶ τὸν ἄνδρα διασώσετε τὸν μέλλοντα αὐτὴν ἀγαγέσθαι· οὐ τὸν ἄνδρα, ἀλλὰ καὶ τὰ παιδία· οὐ τὰ παιδία, ἀλλὰ καὶ τὰ ἔκγονα. τῆς γὰρ ῥίζης γινομένης καλῆς, οἱ κλάδοι ἐπὶ τὸ βέλτιον ἐκταθήσονται, καὶ πάντων τούτων λήψεσθε τὸν μισθόν. ὡς οὖν οὐ μίαν ὠφελοῦντες ψυχήν, ἀλλὰ πολλὰς διὰ τῆς μιᾶς, οὕτω πάντα πράττωμεν. οὕτω γὰρ δεῖ ἐκ τῆς πατρικῆς οἰκίας ἐξιέναι πρὸς γάμον, καθάπερ ἀθλητὴν ἐκ παλαίστρας, πᾶσαν δι' ἀκριβείας ἔχουσαν τὴν ἐπιστήμην, καθάπερ ζύμην ὀφείλουσαν τὸ ὅλον φύραμα εἰς τὸ ἑαυτῆς μεταστῆσαι κάλλος. καὶ οἱ παῖδες πάλιν οὕτως ἔστωσαν αἰδέσιμοι, ὡς ἀπὸ τῆς κοσμιότητος καὶ τῆς σωφροσύνης μᾶλλον διαγινώσκεσθαι, ἵνα καὶ παρὰ ἀνθρώπων, καὶ παρὰ Θεοῦ πολὺν τὸν ἔπαινον ἔχωσι. μαθέτωσαν γαστρὸς κρατεῖν, πολυτελείας ἀπέχεσθαι, οἰκονομικοί τινες εἶναι, φιλόστοργοι, μαθέτωσαν ἄρχεσθαι. οὕτω γὰρ δυνήσονται πολὺν προξενῆσαι μισθὸν τοῖς γεννῶσιν· οὕτω πάντα ἔσται εἰς δόξαν Θεοῦ καὶ εἰς σωτηρίαν ἡμετέραν *, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

χ. βέλτιον

χ. διατείνατε.

ἴσ. διαπλάττωμεν,

* τὰ παρ' ἡμῶν σπουδαζόμενα,

## Λογ. ι. ΕΙ ΤΙΣ ΕΠΙΣΚΟΠΗΣ ΟΡΕΓΕΤΑΙ, ΚΑΛΟΥ ἔργου ἐπιθυμεῖ.

2 Δεῖ οὖν τὸν ἐπίσκοπον ἀνεπίληπτον εἶναι, μιᾶς γυναικὸς ἄνδρα, νηφάλιον, σώφρονα, κόσμιον, φιλόξενον, διδακτικόν,
3 Μὴ πάροινον, μὴ πλήκτην, μὴ αἰσχροκερδῆ· ἀλλ' ἐπιεικῆ, ἄμαχον, ἀφιλάργυρον,
4 Τοῦ ἰδίου οἴκου καλῶς προϊστάμενον, τέκνα ἔχοντα ἐν ὑποταγῇ μετὰ πάσης σεμνότητος.

ΜΕλλων κατιέναι εἰς τὸν περὶ τῆς ἐπισκοπῆς λόγον, δείκνυσι καθάπαξ ὁποῖον εἶναι χρὴ τὸν ἐπίσκοπον, οὐκ ἐν τάξει τῆς πρὸς Τιμόθεον αὐτὸ παραινέσεως ποιῶν, ἀλλ' ὡς πᾶσι διαλεγόμενος, καὶ δι' ἐκείνου πάντας ῥυθμίζων. καὶ τί φησιν; Εἴ τις ἐπισκοπῆς ὀρέγεται, οὐκ ἐγκαλῶ, φησί. προστασίας γὰρ ἔργον ἐστίν. εἴ τις ταύτην ἔχει τὴν ἐπιθυμίαν, ὥστε μὴ τῆς ἀρχῆς καὶ τῆς αὐθεντίας ἐφίεσθαι μόνον, ἀλλὰ τῆς προστασίας, οὐκ ἐγκαλῶ. καλοῦ γὰρ ἔργου ἐπιθυμεῖ, φησίν. ἐπεὶ καὶ Μωϋσῆς ἐπεθύμησε τοῦ πράγματος, ἀλλ' οὐ τῆς ἐξουσίας, καὶ οὕτως ἐπεθύμησεν, ὡς ἀκοῦσαι· Τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ' ἡμᾶς; εἴ τις οὕτως ἐπεθύμησεν, ἐπιθυμείτω. ἐπισκοπὴ γὰρ εἴρηται, παρὰ τὸ ἐπισκοπεῖν ἅπαντας. δεῖ οὖν, φησί, τὸν ἐπίσκοπον ἀνεπίληπτον εἶναι, μιᾶς γυναικὸς ἄνδρα. οὐ νομοθετῶν τοῦτο φησίν, ὡς μὴ εἶναι ἐξὸν ἄνευ τούτου γίνεσθαι, ἀλλὰ τὴν ἀμετρίαν κωλύων· ἐπειδὴ ἐπὶ τῶν Ἰουδαίων ἐξῆν καὶ δευτέροις ὁμιλεῖν γάμοις, καὶ δύο ἔχειν κατὰ ταυτὸν γυναῖκας. τίμιος γὰρ ὁ γάμος. τινὲς δέ, ἵνα μιᾶς γυναικὸς ἀνὴρ ᾖ, φασὶ τοῦτο εἰρῆσθαι. ἀνεπίληπτον. πᾶσαν εἶπεν ἀρετήν, ἀνεπίληπτον εἰπών. ὥστε εἴ τις συνοίδεν ἑαυτῷ τινα ἁμαρτήματα, οὐ καλῶς ποιεῖ, πράγματος ἐπιθυμῶν, οὗ διὰ τῶν ἔργων ἑαυτὸν ἐξέβαλεν. οὐ γὰρ ἄρχειν, ἀλλὰ ἄρχεσθαι δεῖ τὸν τοιοῦτον. τὸν γὰρ ἄρχοντα παντὸς λαμπτῆρος λαμπρότερον εἶναι δεῖ, καὶ βίον ἔχειν ἀκηλίδωτον, ὥστε πάντας

πρὸς

Τιτ. β. ιδ.

χ. λέγει,

κεχαρίσται. ἐὰν ἐπιμείνωσι, φησί, τῇ πίστει καὶ τῇ ἀγάπῃ καὶ τῷ ἁγιασμῷ μετὰ σωφροσύνης, τουτέστιν, ἐὰν αὐτοὺς ἐν ἀγάπῃ μετὰ τὸ τεκεῖν καὶ ἁγνείᾳ διατηρήσωσιν. ἐν τούτοις οὐ μικρὸν ἕξουσι τὸν ὑπὲρ τούτων μισθόν, ἀλλὰ καὶ σφόδρα μέγαν, ὅτι ἀθλητὰς ἀνέθρεψαν τῷ Χριστῷ. ἁγιασμὸν δὲ τὸν ὀρθὸν λέγει βίον, σωφροσύνην δὲ τὴν κοσμιότητα.

κεφ. γ. 1 Πιστὸς ὁ λόγος. Πρὸς τοῦτο εἴρηται, οὐ πρὸς τό, Εἴ τις ἐπισκοπῆς ὀρέγεται. ἐπειδὴ γὰρ τοῦτο ἀμφιβαλλόμενον ἦν, διὰ τοῦτο λέγει, πιστὸς ὁ λόγος, ὅτι δυνήσονται πατέρες ἀπολαύειν τῆς τῶν παίδων ἀρετῆς, καὶ μητέρες, ὅταν αὐτοὺς ἐκθρέψωσι καλῶς. τί οὖν ἂν αὐτὴ μὲν ᾖ μοχθηρὰ καὶ μυρίων κακῶν γέμουσα; ἆρα ἀπὸ τῆς παιδοτροφίας ὠφεληθήσεται; οὐκ εἰκὸς δὲ μᾶλλον τοιούτους αὐτοὺς τρέφειν ὁμοίους αὐτῇ; περὶ τῆς ἐναρέτου ταῦτά φησιν, οὐ τῆς τυχούσης, ὅτι πολὺν καὶ τούτου λήψεται μισθὸν καὶ ἀμοιβήν.

ΗΘΙΚΟΝ Ἀκούσατε ταῦτα πατέρες καὶ μητέρες, ὡς οὐκ ἄμισθος ὑμῖν ἔσται ἡ παιδοτροφία. τοῦτο οὖν καὶ περὶ χηρῶν φησιν, Ἐν ἔργοις καλοῖς μαρτυρουμένη, εἰ ἐτεκνοτρόφησε. (α. Τιμ. ε. ι.) μετὰ τῶν ἄλλων καὶ αὐτὸ τίθησιν. οὐ γάρ ἐστι τοῦτο μικρὸν τὸ τὰ δοθέντα παιδία παρὰ Θεοῦ, ταῦτα τῷ Θεῷ ἀνατιθέναι. ἂν γὰρ τὴν κρηπῖδα καὶ τοὺς θεμελίους καλοὺς ἔχωσι τῆς καταβολῆς, μέγαν ἕξουσι τὸν μισθόν, ὥσπερ οὖν ἀμελοῦντες, τὴν κόλασιν. ἐπεὶ καὶ ὁ Ἠλεὶ διὰ τοὺς παῖδας ἀπώλετο τοὺς ἑαυτοῦ. ἐχρῆν γὰρ αὐτοὺς νουθετεῖν. καὶ μὴν ἐνουθέτει, ἀλλ᾽ οὐχ ὡς ἔδει· ἀλλὰ μὴ βουληθεὶς αὐτοὺς λυπῆσαι, καὶ αὐτοὺς καὶ ἑαυτὸν προσαπώλεσεν. ἀκούσατε ταῦτα οἱ πατέρες, παιδεύετε ὑμῶν τὰ τέκνα ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου μετὰ πολλῆς τῆς ἐπιστροφῆς. ἄγριον ἡ νεότης, πολλῶν δεομένη τῶν ἐπιστατούντων, διδασκάλων, παιδαγωγῶν, ἀκολούθων, τροφέων. ἀγαπητὸν γὰρ μετὰ τοσαῦτα *καταχαλινῶσαι αὐτήν· καθάπερ τις ἵππος "ἀδάμαστος, καθάπερ τι θηρίον ἀτιθάσευτον, [τοιοῦτόν] ἐστιν ἡ νεότης. ἂν τοίνυν ἄνωθεν καὶ ἐκ πρώτης ἡλικίας ὅρους αὐτῇ πήξωμεν καλούς, οὐ δεησόμεθα πολλοῦ μετὰ ταῦτα πόνου· ἀλλ᾽ ἡ συνήθεια νόμος αὐτοῖς ἔσται λοιπόν. μηδὲ ἐῶμεν αὐτοὺς τῶν ἡδέων καὶ βλαβερῶν ποιεῖν, μηδὲ ὡς παισὶ χαριζώμεθα· ἐν σωφροσύνῃ μάλιστα διατηρῶμεν αὐτούς. τοῦτο γὰρ πάντων πλέον τὴν νεότητα λυμαίνεται. πρὸς τοῦτο πολλῶν ἡμῖν δεῖ τῶν ἀγώνων, πολλῆς τῆς προσοχῆς. ταχέως αὐτοῖς γυναῖκας ἀγάγωμεν, ὥστε καθαρὰ αὐτῶν καὶ ἀνέπαφα τὰ σώματα δέχεσθαι τὴν νύμφην· οὕτως οἱ ἔρωτες θερμότεροι. ὁ πρὸ τοῦ γάμου σωφρονῶν, πολλῷ μᾶλλον μετὰ τὸν γάμον· ὁ δὲ μαθὼν πορνεύειν πρὸ τοῦ γάμου, καὶ μετὰ τὸν γάμον τοῦτο ποιήσει. Ἀνδρὶ γάρ, φησι, πόρνῳ πᾶς ἄρτος ἡδύς. διὰ τοῦτο "στέφανοι ταῖς κεφαλαῖς" ἐπιτίθενται, σύμβολον τῆς νίκης, ὅτι ἀήττητοι γενόμενοι, οὕτω προσέρχονται τῇ εὐνῇ, ὅτι μὴ κατηγωνίσθησαν ὑπὸ τῆς ἡδονῆς. εἰ δὲ ἁλοὺς ὑπὸ τῆς ἡδονῆς πόρναις ἑαυτὸν ἐκδῷ, τίνος ἕνεκεν λοιπὸν καὶ στέφανον ἔχει ἐπὶ τῆς κεφαλῆς ἡττημένος; ταῦτα αὐτοῖς παραινῶμεν, τούτοις νουθετῶμεν, φοβῶμεν, ἀπειλῶμεν, νῦν μὲν τοῦτο, νῦν δὲ ἐκεῖνο ποιοῦντες. μεγάλην παρακαταθήκην ἔχομεν τὰ παιδία. φροντίζωμεν τοίνυν αὐτῶν, καὶ πάντα ποιῶμεν, μὴ ὁ πονηρὸς ἡμᾶς αὐτοὺς ἀφέληται. νῦν δὲ πάντα ἀπεναντίας γίνεται παρ᾽ ἡμῶν. ὅπως μὲν γὰρ ἔσται τὸ χωρίον καλόν, πάντα πράττομεν, καὶ ὅπως ἀνδρὶ πιστῷ τοῦτο ἐγχειρίσωμεν, καὶ ὀνηλάτην, καὶ ὀρεωκόμον, καὶ ἐπίτροπον, καὶ λογοθέτην εὐνούστατον ἐπιζητοῦμεν· ὃ δὲ πάντων ἡμῖν ἐστι τιμιώτερον, ὅπως τὸν υἱὸν ἐπιτρέψωμεν τινὶ τῷ δυναμένῳ αὐτοῦ τὴν σωφροσύνην διατηρῆσαι, οὐ σκοποῦμεν. καίτοι τοῦτο πάντων ἐστὶ τὸ κτῆμα τιμιώτερον, καὶ ἐκεῖνα διὰ τοῦτο γίνεται. τῶν μὲν οὖν κτημάτων αὐτοῖς φροντίζομεν· αὐτῶν δὲ οὐκέτι. ὁρᾷς τὴν ἀλογίαν; ἄσκησον τοῦ παιδὸς τὴν ψυχήν, κἀκεῖνα πάντα ἔσται λοιπόν· ταύτης μὲν γὰρ οὐκ οὔσης ἀγαθῆς, οὐδὲν ὄφελος αὐτῷ τῶν χρημάτων. ταύτης δὲ κατορθωμένης, οὐδὲν βλάβος ἀπὸ τῆς πενίας. βούλει καταλιπεῖν αὐτὸν πλούσιον; δίδαξον αὐτὸν εἶναι χρηστόν. οὕτω γὰρ καὶ τὰ κτήματα συγκροτῆσαι δυνήσεται. καὶ ἐὰν μὴ κτήσηται, τῶν κεκτημένων οὐδὲν ἔλαττον διακείσεται. ἂν δὲ πονηρὸς ᾖ, κἂν μυρία καταλίπῃς αὐτῷ,

* δαμάσαι
" χ. ἀνήμερος
χ. στέφανος
χ. ἐπιτίθεται

γάρ πως τὸ γένος ἐστί· διὰ τοῦτο πάντοθεν αὐτὸ καταστέλλει. Ἀδὰμ γάρ, φησι, πρῶτος ἐπλάσθη, εἶτα Εὔα. καὶ Ἀδὰμ οὐκ ἠπατήθη, ἡ δὲ γυνὴ ἀπατηθεῖσα ἐν παραβάσει γέγονε. τί οὖν ταῦτα πρὸς τὰς νῦν; ναί, φησι. τῆς πλείονος ἀπέλαυσε τιμῆς τὸ τῶν ἀνδρῶν γένος. πρῶτον ἐπλάσθη. ἀλλαχοῦ δὲ καὶ τὸ μεῖζον ἔδειξεν, οὕτω λέγων· Οὐ γὰρ ἐπλάσθη ὁ ἀνὴρ διὰ α.Κορ.ια.θ.
τὴν γυναῖκα, ἀλλ' ἡ γυνὴ διὰ τὸν ἄνδρα. τί οὖν τοῦτο λέγει; πολλαχόθεν βούλεται τὸν ἄνδρα πρωτεύειν. πρῶτον μὲν γὰρ ἀπὸ τούτου ἐχέτω τὰ πρωτεῖα, φησι, δεύτερον δὲ ἀπὸ τῶν ἤδη γενομένων. ἐδίδαξέ ποτε τὸν ἄνδρα, καὶ πάντα κατέστρεψε, καὶ τῇ παρακοῇ ὑπεύθυνον ἐποίησε. διὰ τοῦτο αὐτὴν ὑπέταξεν ὁ Θεός, ἐπειδὴ τῇ ἀρχῇ, μᾶλλον δὲ τῇ ὁμοτιμίᾳ κακῶς ἐχρήσατο. Πρὸς τὸν ἄνδρα σου, φησίν, ἡ ἀποστροφή σου. πρὸ δὲ τούτου οὐκ Γεν.γ.ις.
εἴρητο τοῦτο. πῶς δὲ Ἀδὰμ οὐκ ἠπατήθη; οὐκοῦν οὐ παρήκουσεν, εἴγε οὐκ ἠπατήθη. πρόσεχε ἀκριβῶς. ἡ γυνή φησιν, Ὁ ὄφις ἠπάτησέ με· ὁ δὲ Ἀδὰμ οὐ λέγει, ἡ γυνὴ ἠπά- Γεν.γ.ιγ.ιϛ.
τησέ με, ἀλλ' ὅτι αὕτη ἔδωκέ μοι, καὶ ἔφαγον. οὐκ ἔστι δὲ ἴσον παρὰ τῆς ὁμοφύλου καὶ συνήθους δέξασθαι τὴν ἀπάτην, καὶ παρὰ θηρίου, τοῦ δούλου, τοῦ ὑποτεταγμένου. ὥστε ἐκεῖνο ἀπάτης ἐστί. πρὸς οὖν τὴν σύγκρισιν τῆς γυναικός φησιν αὐτὸν μὴ ἠπατῆσθαι. ἡ ἐκείνη μὲν ὑπὸ τοῦ δούλου καὶ ὑποτεταγμένου, οὗτος δὲ ὑπὸ τῆς ἐλευθέρας. πάλιν δὲ οὐ περὶ τοῦ Ἀδὰμ εἴρηται, ὅτι εἶδε τὸ ξύλον ὅτι καλὸν εἰς βρῶσιν, ἀλλὰ περὶ τῆς γυναικός, καὶ ὅτι ἔφαγε, καὶ ἔδωκε καὶ τῷ ἀνδρὶ αὐτῆς· ὥστε οὗτος οὐκ ἐπιθυμίᾳ ἁλοὺς παρέβη, ἀλλὰ τῇ γυναικὶ πεισθεὶς ἁπλῶς. ἐδίδαξεν ἅπαξ ἡ γυνή, καὶ πάντα κατέστρεψε· διὰ τοῦτό φησι, μὴ διδασκέτω. τί οὖν πρὸς τὰς λοιπάς, εἰ ἐκείνη τοῦτο ἔπαθε; καὶ πάνυ. τὸ γὰρ γένος ἀσθενὲς καὶ κοῦφον. ἄλλως δέ, περὶ τῆς φύσεως ἐνταῦθα πάσης λέγεται. οὐ γὰρ εἶπεν, ἡ δὲ Εὔα ἀπατηθεῖσα, ἀλλ', ἡ γυνή, ὅπερ ἐστὶν ὄνομα τοῦ κοινοῦ γένους μᾶλλον ἢ ἐκείνης. τί οὖν, πᾶσα ἡ φύσις ἐν παραβάσει γέγονε δι' ἐκείνης; ὥσπερ περὶ τοῦ Ἀδάμ φησιν, ὅτι Ἐν Ρωμ.ε.ιδ.
ὁμοιώματι τῆς παραβάσεως Ἀδάμ, ὅς ἐστι τύπος τοῦ μέλλοντος, οὕτω καὶ ἐνταῦθα τὸ γυναικεῖον γένος παρέβη, [οὐ τὸ ἄρρεν.] τί οὖν; οὐκ ἔχει σωτηρίαν; ναί, φησι. ποίαν δὴ ταύτην; τὴν διὰ τῶν τέκνων. οὐ γὰρ δὴ περὶ τῆς Εὔας ἔλεγεν. ἐὰν μείνωσιν ἐν τῇ πίστει, καὶ τῇ ἀγάπῃ, καὶ τῷ ἁγιασμῷ μετὰ σωφροσύνης. ποίᾳ πίστει; ποίᾳ ἀγάπῃ; ποίῳ ἁγιασμῷ μετὰ σωφροσύνης; ὡς ἂν εἰ ἔλεγε· μὴ κατηφεῖς ἔστε αἱ γυναῖκες, ὅτι τὸ γένος ὑμῶν διεβλήθη. ἔδωκεν ὑμῖν ὁ Θεὸς καὶ ἑτέραν ἀφορμὴν σωτηρίας, τὴν παιδοτροφίαν· ὥστε μὴ μόνον δι' ἑαυτῶν, ἀλλὰ καὶ δι' ἑτέρων σώζεσθαι. ὅρα πόσα μετὰ ταῦτα ζητήματα τίκτεται. ἡ γυνὴ ἀπατηθεῖσα, φησιν, ἐν παραβάσει γέγονε. τίς; ἡ Εὔα. αὕτη οὖν σωθήσεται διὰ τῆς τεκνογονίας; οὐ τοῦτό φησιν, ἀλλ' ὅτι ἡ φύσις ἡ γυναικεία σωθήσεται. αὕτη δὲ οὐκ ἐν παραβάσει γέγονε; ναί, γέγονεν, ἀλλὰ παρέβη μὲν ἡ Εὔα, σωθήσεται δὲ τὸ γυναικεῖον γένος διὰ τῆς τεκνογονίας. διὰ τί γὰρ μὴ καὶ διὰ τῆς οἰκείας ἀρετῆς; μὴ γὰρ ἐκείνη τοῦτο ταῖς ἄλλαις ἀπέκλεισε; τί οὖν πρὸς τὰς παρθένους; τί δὲ πρὸς τὰς στείρας; τί δὲ πρὸς τὰς χήρας, τὰς πρὶν ἢ τεκεῖν τοὺς ἄνδρας ἀποβαλούσας; ἀπολώλασιν; ἐλπίδα οὐκ ἔχουσι; καὶ μὴν αἱ παρθένοι εἰσὶν αἱ μάλιστα εὐδοκιμοῦσαι. τί ποτε οὖν βούλεται εἰπεῖν; τινές φασιν, ὅτι ὥσπερ τὸ πᾶν γένος
γ. εἰρημένων ὑπέταξεν ἀπὸ τῆς διαπλάσεως διὰ τὴν εἰς τὴν πρώτην γενομένην γυναῖκα (ἐπειδὴ γὰρ ἡ Εὔα δευτέρα ἐπλάσθη καὶ ὑπετάγη, καὶ τὸ λοιπὸν γένος ὑποτετάχθω, φησίν) οὕτως ἄρα ἐπειδὴ καὶ παρέβη, καὶ τὸ λοιπὸν γένος γέγονεν ἐν τῇ παραβάσει. ἀλλ' οὐκ ἔχει λόγον. ἐκεῖ μὲν γὰρ τῆς τοῦ Θεοῦ δωρεᾶς γέγονε τὸ πᾶν, ἐνταῦθα δὲ τῆς ἁμαρτίας τῆς γυναικός. ὃ οὖν λέγει τοῦτό ἐστιν· ὅτι ὥσπερ πάντες ἀπέθανον οἱ ἄνθρωποι διὰ τοῦ ἑνός, ἐπειδὴ ὁ εἷς ἥμαρτεν, οὕτω καὶ πᾶν τὸ γυναικεῖον γένος παρέβη, ἐπειδὴ ἐν παραβάσει γέγονεν ἡ γυνή. μηδὲν οὖν ἀλγείτω· ἔδωκεν αὐτῇ ὁ Θεὸς παραμυθίαν οὐ μικράν, τὸ τεκεῖν παιδία. ἀλλὰ τοῦτο τῆς φύσεως, φησί. καὶ ἐκεῖνο τῆς φύσεως. οὐ γὰρ μόνον τὸ τῆς φύσεως, ἀλλὰ καὶ τὸ τῆς παιδοτροφίας κεχάρισται.

μόνον τῆς παρθενίας ἀπώλεσεν· οὐδεὶς τιμᾷ παρθένον, ὡς τιμᾶν χρή. ἑαυτὰς γὰρ ἀτιμάζεσθαι πεποιήκασιν. οὐκ ἔδει, ὥσπερ ἐξ οὐρανοῦ παραγινομένας, οὕτως εἶναι περιβλέπτους ἐν τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ; νυνὶ δὲ καταπεφρόνηνται δι' ἑαυτὰς, οὐ διὰ τὰς φρονίμους. ὅταν γὰρ ἴδῃ σε τὴν ἐσταυρωμένην εἶναι ὀφείλουσαν ἢ ἄνδρα ἔχουσα καὶ παιδία, καὶ οἰκίας προεστῶσα, μᾶλλον αὐτῆς τὸν κόσμον τοῦτον διώκουσαν, πῶς οὐ καταγελάσεται; πῶς οὐ καταφρονήσει; ὁρᾷς πόση ἡ σπουδή; πόση ἡ μελέτη; δι' ἀπωλείας ἱκανῆς τὴν κοσμουμένην τὰ πολυτελῆ, μᾶλλον αὐτῆς καλλωπιζομένην τῆς τὰ χρυσία περικειμένης. ἃ πρέπει σοι οὐ ζητεῖς, ἃ οὐ πρέπει σοι ἐκεῖνα μετέρχῃ, δέον σε τὰ ἀγαθὰ ἔργα μετιέναι. διὰ τοῦτο τῶν κοσμικῶν ἀτιμότεραι αἱ παρθένοι· οὐ γὰρ ἄξια τῆς παρθενίας τὰ ἔργα ἐπιδείκνυνται. ταῦτα εἰρήκαμεν οὐ πρὸς πάσας, μᾶλλον δὲ πρὸς πάσας, τὰς μὲν ῥαθυμούσας, ἵνα σωφρονῶσι, τὰς δὲ ἀρυθμίους, ἵνα ἐκείνας σωφρονίζωσιν. ἀλλ' ὁρᾶτε ὅπως μὴ εἰς ἔργον ἡ ἐπιτίμησις ἔλθῃ. οὐ γὰρ ἵνα λυπήσωμεν, εἴπομεν, ἀλλ' ἵνα διορθωσώμεθα, ἵνα καυχησώμεθα ἐν ὑμῖν. γένοιτο δὲ πάντας ἡμᾶς τὰ τῷ Θεῷ δοκοῦντα ποιεῖν, καὶ εἰς δόξαν αὐτοῦ ζῆν, ὥστε καὶ τῶν ἐπηγγελμένων τυχεῖν ἀγαθῶν.

γρ. περιβαλλομένην

γρ. ῥυθμίζωσιν ἐκείνας παρασκευάσωμεν ταῖς καθαρωτέραις ὁμιλίαις. ἢ παραινέσωμεν.

Λογ. θ. 11 ΓΥΝΗ ΕΝ ΗΣΥΧΙΑ ΜΑΝΘΑΝΕΤΩ ΕΝ πάσῃ ὑποταγῇ· 12 Γυναικὶ δὲ διδάσκειν οὐκ ἐπιτρέπω, οὐδὲ αὐθεντεῖν ἀνδρὸς, ἀλλ' εἶναι ἐν ἡσυχίᾳ. 13 Ἀδὰμ γὰρ πρῶτος ἐπλάσθη, εἶτα Εὔα. 14 Καὶ Ἀδὰμ οὐκ ἠπατήθη, ἡ δὲ γυνὴ ἀπατηθεῖσα ἐν παραβάσει γέγονε. 15 Σωθήσεται δὲ διὰ τῆς τεκνογονίας, ἐὰν μείνωσιν ἐν πίστει καὶ ἀγάπῃ καὶ ἁγιασμῷ μετὰ σωφροσύνης.

ΠΟλλὴν ἀπαιτεῖ τὴν αἰδῶ παρὰ τῶν γυναικῶν ὁ μακάριος Παῦλος, πολλὴν τὴν κοσμιότητα. διὰ τοῦτο οὐ μέχρι σχημάτων, οὐ μέχρι καταστολῆς πρόεισιν, ἀλλὰ καὶ μέχρι φωνῆς. καὶ τί φησι; γυνὴ ἐν ἡσυχίᾳ μανθανέτω. τί ἐστι τοῦτο; μηδὲ φθεγγέσθω, φησὶν, ἐν ἐκκλησίᾳ γυνή, ὅπερ καὶ ἐν τῇ πρὸς Κορινθίους ἐπιστολῇ γράφων ἔλεγεν· Αἰσχρὸν γάρ ἐστι γυναιξὶν ἐν ἐκκλησίᾳ λαλεῖν. τί δήποτε; ὅτι ὁ νόμος αὐτὰς, φησιν, ὑπέταξε. καὶ πάλιν ἐπήρωτα, Εἰ δέ τι μαθεῖν θέλουσιν, ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν. ἀλλὰ τότε μὲν αἱ γυναῖκες ἀπὸ τῆς τοιαύτης διδασκαλίας ἐσίγων· νυνὶ δὲ παρ' αὐταῖς πολὺς ὁ θόρυβος, πολλὴ ἡ κραυγὴ, πολλὴ ἡ διάλεξις, οὐδαμοῦ ἀλλαχοῦ τοσαύτη, ὅση ἐνταῦθα· πάσας διαλεγομένας ἴδοι τις ἄν, ὅσα οὔτε ἐν ἀγορᾷ, οὔτε ἐν βαλανείοις. ὥσπερ γὰρ δι' αὐτὸ τοῦτο παραγινόμεναι, ἵνα ἄνεσιν ἔχωσιν, οὕτω περὶ τὴν τῶν ἀνονήτων διάλεξιν ἠσχόληνται ἅπασαι. διὰ τοῦτο πάντα ἄνω καὶ κάτω γέγονε, καὶ οὐκ ἐννοοῦσιν, ὅτι οὐδὲ ἔστιν ἄλλως μαθεῖν τι τῶν χρησίμων μὴ ἡσυχαζούσας. ὅταν γὰρ ἐπείγηται μὲν πρὸς τὴν διάλεξιν ὁ λόγος, μηδεὶς δὲ προσέχῃ τοῖς λεγομένοις, τί τὸ ὄφελος; τοσοῦτον γὰρ αὐτὴν σιγηρὰν εἶναι δεῖ, φησιν, ὡς μὴ μόνον περὶ βιωτικῶν, ἀλλὰ μηδὲ περὶ πνευματικῶν φθέγγεσθαι ἐν ἐκκλησίᾳ. τοῦτο κόσμος, τοῦτο αἰδὼς, τοῦτο μᾶλλον αὐτὴν τῶν ἱματίων κοσμῆσαι δυνήσεται. ἂν οὕτως ἑαυτὴν περιστείλῃ, δυνήσεται καὶ μετὰ πολλῆς τῆς εὐκοσμίας τὰς εὐχὰς ποιεῖσθαι. γυναικὶ δὲ οὐκ ἐπιτρέπω διδάσκειν. οὐκ ἐπιτρέπω, φησί. ποίαν ἐνταῦθα τοῦτο ἔχει τὴν ἀκολουθίαν; καὶ πολλήν. περὶ ἡσυχίας διελέγετο, περὶ κοσμιότητος, περὶ αἰδοῦς, εἶπεν ὅτι λαλεῖν αὐτὰς οὐ βούλομαι. πάντοθεν τοίνυν βουλόμενος αὐτῶν περικόψαι τὴν ἀφορμὴν τῆς λαλιᾶς, μηδὲ διδασκέτωσαν, φησιν, ἀλλὰ τὴν τῶν μαθητευομένων ἐχέτωσαν τάξιν. οὕτω γὰρ διὰ τῆς σιγῆς καὶ τὴν ὑποταγὴν δείξουσι. λάλον γάρ

α. Κορ. ιδ. λε.

χεῖν περὶ τὰ στέρνα τὰς ῥυτίδας, πόσων σπεύδειν οὐχ ἱκανὸν τοῦτο δελεάσαι μᾶλλον. τί δὲ ὅταν τὸ ὑπόδημα ἐν τῷ μέλανι σφόδρα ἀποστίλβῃ δι᾽ αὐτοῦ, λῆγον εἰς ὀξύ, καὶ τὴν ἐν ταῖς ζωγραφίαις εὐφυΐαν ἢ μιμούμενον, ὥστε μήτε τὸ προσὸν αἶσχος πολύ; τί δὲ, ὅταν τὴν ὄψιν ἐπιτρίμμασι μὲν μὴ καλλωπίζῃς, ἀπονίπτῃς δὲ μετὰ πολλῆς τῆς ἀκριβείας καὶ τῆς σχολῆς, καὶ διαπείρης μετὰ τοῦ μετώπου πολὺ τῆς ὄψεως λευκότερον τὸ κάλυμμα, εἶτα ἄνωθεν τὸ φᾶρος ἐπιτιθῇς, ὡς ἀπὸ τοῦ λευκοῦ τὸ μέλαν ἐμπρέπειν; τί ἄν τις εἴποι περὶ τῶν ὀφθαλμῶν τὰς μυρίας ἐκείνας περιστροφάς; περὶ τῆς δέσεως, τῆς νῦν μὲν κρυπτομένης, νῦν δὲ γυμνουμένης ἐν τῇ δέσει τῆς περιστηθίδος; καὶ γὰρ καὶ τοῦτο γυμνοῦσι πολλάκις, ὥστε τοῦ ζώσματος τὴν ἀκρίβειαν φαίνεσθαι, τοῦ φάρους πάντοθεν περὶ τὴν κεφαλὴν περιαιρεθέντος. τὰς δὲ χεῖρας, καθάπερ ἐν τραγῳδίᾳ, οὕτω μετὰ ἀκριβείας ἐνδιδύσκουσιν, ὥστε νομίζειν προσπεφυκέναι μᾶλλον αὐταῖς. τί ἄν τις εἴποι τὴν βάδισιν, καὶ τὰ ἄλλα ἐπιτηδεύματα πάντα τῆς χρυσίων μᾶλλον δυνάμενα τοὺς θεωμένους ἑλεῖν; φοβηθῶμεν, ἀγαπητοί, μὴ ἀκούσωμεν καὶ ἡμεῖς, ἅπερ ὁ προφήτης ἔλεγε ταῖς τῶν Ἑβραίων γυναιξὶ περὶ τὸν κόσμον τὸν ἔξωθεν ἠσχολημέναις· Ἀντὶ ζώνης σχοινίῳ ζώσῃ, καὶ ἀντὶ τοῦ κόσμου τῆς κεφαλῆς σου, φαλάκρωμα ἕξεις. Ἡσ. γ. κγ. ὥστε ταῦτα μᾶλλον ἐπαγωγά τῶν χρυσίων ἐστὶν, ὡς πολλῶν ἑτέρων καὶ πρὸς τοῦτο ἐπιτηδευμένων, πρὸς τὸ ὁρᾶσθαι καὶ αἰχμαλωτίζειν τοὺς θεωμένους. (χ ἱσταμένων) οὐκ ἔστι μικρὸν τὸ ἁμάρτημα, ἀλλὰ καὶ σφόδρα μέγα, ἱκανὸν παροξῦναι τὸν Θεόν, ἱκανὸν πάντα τὸν πόνον τῆς παρθενίας λυμήνασθαι. Χριστὸν ἔχεις νυμφίον· τί ἐραστὰς ἀνθρώπους ἐπισπᾶσαι; μοιχείας σε τότε κρινεῖ. διὰ τί μὴ κοσμῇ τὸν κόσμον τὸν αὐτῷ ἀρέσκοντα, τὸν αὐτῷ φίλον, τὴν αἰδῶ, τὴν σωφροσύνην, τὴν κοσμιότητα, τὴν σώφρονα καταστολήν; αὕτη πορνική τίς ἐστι καὶ αἰσχρά. οὐκέτι διαγινώσκομεν τὰς πόρνας καὶ τὰς παρθένους. ὅρα εἰς πόσην ἀσχημοσύνην ἐξήγαγον ἑαυτάς. αἱ ἐπιτήδειοι εἶναι χρὴ τὴν παρθένον, ἁπλῶς καὶ εἰκῆ διεσκευασμένην· ἡ δὲ μυρία ἐπιτηδεύει πρὸς τὴν φαινομένην διασκευήν. παῦσαι τῆς μανίας, γύναι, ἐπὶ τὴν ψυχὴν μετάγαγε τὴν τοιαύτην σπουδήν, ἐπὶ τὴν ἔσω εὐπρέπειαν. αὐτὸς γὰρ ὁ κόσμος ὁ ἔξωθεν περικείμενος οὐκ ἀφίησι τὸν ἔνδον γενέσθαι καλόν. ὁ περὶ τοῦτον ἠσχολημένος, τοῦ ἔνδον καταφρονεῖ, ὥσπερ ὁ τούτου καταφρονῶν, πᾶσαν τὴν σπουδὴν περὶ τὸν ἔνδον ἐνδείκνυται. μή μοι εἴπῃς, οἴμοι, ἱμάτιον ἐκτετριμμένον φορῶ, ὑπόδημα εὐτελές, κάλυμμα οὐδαμινόν. ποῖος ταῦτα κόσμος; μὴ ἀπάτα σαυτήν. ἔνεστιν, ὅπερ ἔφην, διὰ τούτων μειζόνως καλλωπίζεσθαι, ἢ δι᾽ ἐκείνων, μάλιστα διὰ τῶν ἐκτετριμμένων ἱματίων, ἢ τῶν προσαπλασμένων τῷ σώματι, καὶ ἐκτετυπωμένων καλῶς πρὸς τὸ σχῆμα τὸ ἀναιδές, καὶ στιλβόντων χρωμάτων. ἐμοὶ ταῦτα λέγεις· τί δὲ τῷ Θεῷ ἐρεῖς τῷ τὴν διάνοιαν εἰδότι, μεθ᾽ ἧς ταῦτα ποιεῖς; ἀλλ᾽ οὐχ ὥστε πορνεῦσαι ποιεῖς· ἀλλὰ τί; ὥστε θαυμασθῆναι; καὶ οὐκ αἰσχύνῃ, οὐδὲ ἐρυθριᾷς ἐπὶ τούτοις βουλομένη θαυμάζεσθαι; ἀλλ᾽ ἁπλῶς, φησὶ, ταῦτα περίκειμαι, οὐδὲ ἐπὶ τούτῳ. οἶδεν ὁ Θεὸς ἃ φθέγγῃ πρὸς ἡμᾶς. μὴ γὰρ ἐμοὶ δίδως λόγον; ἐκείνῳ τῷ μέλλοντι τοῖς γινομένοις, καὶ τότε ἐξετάζοντι ταῦτα, ἐκείνῳ ᾧ γυμνὰ καὶ τετραχηλισμένα πάντα. διὰ τοῦτο καὶ ἡμεῖς ταῦτα λέγομεν νῦν, ἵνα ὑμᾶς τῶν αἰτιῶν ἐκείνων μὴ ποιήσωμεν ἐνόχους. φοβηθῶμεν μὴ καὶ ὑμῖν ὀνειδίσῃ, ἃ διὰ τοῦ προφήτου ταῖς Ἰουδαίων γυναιξὶν, Ἦλθον ἐφ᾽ ὑψηλαί μοι θρυπτόμεναι, καὶ τοῖς ποσὶν ἅμα παίζουσαι. Ἡσ. γ. ις. διεδείξατε ἀγῶνα μέγαν, ἔνθα ἀθλήσεως, οὐ καλλωπισμοῦ δεῖ, πυκτεύειν δεῖ, οὐ βλακεύειν. οὐχ ὁρᾷς τοὺς πυκτεύοντας, τοὺς ἀθλοῦντας; ἆρα βαδίσεως αὐτοῖς μέλει, καὶ σχήματος; οὐδαμῶς. ἀλλὰ ταῦτα πάντα ἀφέντες, ἱμάτιον ἐλαίῳ διαβεβρεγμένον ἀναβαλλόμενοι, πρὸς ἓν μόνον ὁρῶσι, τὸ πλῆξαι, καὶ μὴ πληγῆναι. ἕστηκεν ὁ διάβολος τρίζων τοὺς ὀδόντας πάντοθεν σε βουλόμενος καθελεῖν· σὺ δὲ μένεις ἀπησχολημένη περὶ τὸν κόσμον τοῦτον τὸν Σατανικόν. οὐδὲν βούλομαι λέγειν περὶ φωνῆς, πῶς πολλαὶ καὶ τοῦτο ἐπιτηδεύουσι, περὶ μύρων, καὶ τῆς ἄλλης βλακείας. διὰ ταῦτα γελῶσιν ἡμᾶς αἱ κοσμικαί. τὸ σε-

διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς; διαλογισμὸν τὴν ἀμφιβολίαν λέγει. ὡσαύτως καὶ τὰς γυναῖκας βούλομαι, φησί, Θεῷ προσιέναι χωρὶς ὀργῆς, χωρὶς διαλογισμοῦ, ὁσίους χεῖρας ἔχειν, μὴ ταῖς ἐπιθυμίαις ἐξακολουθεῖν ταῖς ἑαυτῶν, μὴ ἁρπάζειν, μὴ πλεονεκτεῖν. τί γὰρ κἂν αὐτὴ μὴ ἁρπάζῃ, διὰ δὲ τοῦ ἀνδρὸς τοῦτο ἐργάζηται; παρὰ δὲ τῶν γυναικῶν καὶ πλέον τι αἰτεῖ ὁ Παῦλος. ποῖον δὴ τοῦτο; τὸ μετὰ αἰδοῦς καὶ σωφροσύνης, φησίν, ἐν καταστολῇ κοσμίῳ κοσμεῖν ἑαυτάς, μὴ ἐν πλέγμασιν, ἢ χρυσῷ, ἢ μαργαρίταις, ἀλλ' (ὃ πρέπει γυναιξὶν ἐπαγγελλομέναις) θεοσέβειαν δι' ἔργων ἀγαθῶν. καταστολὴν τί φησι; τουτέστι, τὴν ἀμπεχόνην πάντοθεν περιεστάλθαι καλῶς, κοσμίως, μὴ περιέργως. ἐκεῖνο γὰρ κόσμιον, τοῦτο δὲ ἄκοσμον.

ΗΘΙΚΟΝ

Τί λέγεις; προσέρχῃ δεομένη τοῦ Θεοῦ, καὶ περίκεισαι χρυσία καὶ ἐμπλέγματα; μὴ γὰρ χορεύσαι ἦλθες; μὴ γὰρ γάμων μεθέξουσα; μὴ γὰρ εἰς πομπὴν [illegible]; ἐκεῖ τὰ χρυσία, ἐκεῖ τὰ ἐμπλέγματα, ἐκεῖ τὰ πολυτελῆ ἱμάτια ἔχειν καιρός· νῦν δὲ οὐδενὸς χρεία τούτων. ἦλθες παρακαλέσαι, δεηθῆναι ὑπὲρ ἁμαρτημάτων, ἐντευξομένη ὑπὲρ ὧν προσέκρουσας, αἰτουμένη τὸν δεσπότην, ἵλεω καταστήσουσα αὐτόν· τί κοσμεῖς σαυτήν; οὐκ ἔστι ταῦτα ἱκετευούσης τὰ σχήματα. πῶς δύνασαι στενάξαι; πῶς δύνασαι δακρῦσαι; πῶς μετ' ἐκτενείας εὔξασθαι, τοιοῦτον σχῆμα περικειμένη; κἂν δακρύσῃς, γέλως ἔσται τὰ δάκρυα τοῖς ὁρῶσιν. οὐ γὰρ χρυσοφορεῖν τὴν δακρύουσαν δεῖ. ἐπεὶ σκηνή ἐστι καὶ ὑπόκρισις. πῶς γὰρ οὐ σκηνή, ὅταν ἀπ' αὐτῆς τῆς διανοίας, ἀφ' ἧς ἡ τοσαύτη πολυτέλεια καὶ φιλοτιμία ἐτέχθη, ἀπὸ τῆς αὐτῆς καὶ δάκρυα προχέηται; περίελε πᾶσαν ἐκείνην τὴν ὑπόκρισιν· Θεὸς οὐ παίζεται. ταῦτα τῶν μίμων καὶ τῶν ὀρχηστῶν ἐστι τῶν ἐν ταῖς σκηναῖς διημερευόντων. γυναικὶ δὲ κοσμίᾳ οὐδὲν τούτων πρέπει. μετὰ αἰδοῦς, φησί, καὶ σωφροσύνης. μὴ τοίνυν τὰς ἑταιριζομένας μιμοῦ. διὰ γὰρ τούτου τοῦ σχήματος ἐκεῖναι πολλοὺς ἐπισπῶνται τοὺς ἐραστάς, κἀντεῦθεν πολλαὶ πονηρὰν ἔλαβον ὑπόληψιν πολλάκις, καὶ οὐδὲν ἐκ τοῦ κόσμου τούτου ἀπώναντο· πολλοὺς γὰρ διὰ τῆς δόξης ταύτης ἔβλαψαν. ὥσπερ γὰρ ἡ πεπορνευμένη κἂν ἔχῃ σώφρονος δόξαν, οὐδὲν τῆς δόξης ἀπώνατο, τοῦ τὰ κρύφια δικάζοντος τότε πάντα εἰς μέσον ἄγοντος· οὕτως οὐδὲ ἡ σώφρων, ἂν ἐπιτηδεύσῃ διὰ τοῦ σχήματος μοιχείας δόξαν λαβεῖν, ἀπώνατό τι τῆς σωφροσύνης. πολλοὶ γὰρ διὰ τῆς δόξης ταύτης ἐβλάβησαν. τί οὖν ἐγὼ πάθω, φησίν, ἂν ἕτερος ὑποπτεύσῃ; σὺ δίδως τὴν ἀφορμὴν διὰ τοῦ σχήματος, διὰ τοῦ βλέμματος, διὰ τῶν κινημάτων. διὰ τοῦτο πολὺς τῷ Παύλῳ λόγος τῆς ἀμφιάσεως, πολὺς τῆς αἰδοῦς. εἰ δὲ ἃ πλούτου μόνον ἐστὶ τεκμήρια ταῦτα περιεῖλε, χρυσόν, μαργαρίτας, ἱμάτια πολυτελῆ, πῶς οὐ πολλῷ μᾶλλον ἃ περιεργίας ἐστίν, οἷον ἐπιτρίμματα, ὑπογραφὰς ὀφθαλμῶν, διατεθρυμμένην βάδισιν, διακεκλασμένην φωνήν, ὄμμα ὑγρὸν καὶ πάσης πορνείας γέμον, περίεργον ἀναβολὴν τοῦ φάρους, τοῦ χιτωνίσκου, ζώνην περιεργοτέραν, ὑποδήματα ἀπηρτισμένα; ἅπαντα γὰρ ταῦτα διὰ τοῦ εἰπεῖν, ἐν καταστολῇ κοσμίᾳ, ᾐνίξατο, καὶ διὰ τοῦ εἰπεῖν μετὰ αἰδοῦς. ταῦτα γὰρ ἀναιδείας ἐστὶ καὶ ἀσχημοσύνης. ἀνάσχεσθέ μου, παρακαλῶ. γυμνότερον γὰρ ὁ λόγος τὸν ἔλεγχον προσάγει, οὐχ ἵνα πλήξῃ, οὐδ' ἵνα λυπήσῃ, ἀλλ' ἵνα τὸ ἀλλότριον τῆς ἀγέλης ἅπαν περιέλῃ. εἰ ταῖς ἄνδρας ἐχούσαις, εἰ ταῖς τρυφώσαις, εἰ ταῖς πλουτούσαις ταῦτα ἀπαγορεύει, πολλῷ μᾶλλον ταῖς παρθενίαν ἀναδεδεγμέναις. Καὶ τίς, φησί, παρθένος χρυσία περιτίθεται; τίς δὲ ἐμπλέγματα; τοσαύτη ἡ τοῦ λιτοῦ σχήματός ἐστι περιεργία, ὡς ταῦτα μηδὲν εἶναι πρὸς ἐκεῖνα. ἔνεστι γὰρ καὶ δι' εὐτελῶν ἱματίων μᾶλλον καλλωπίζεσθαι τῶν τὰ χρυσία περικειμένων. ὅταν γὰρ σφόδρα ᾖ κυανοῦς ὁ χιτών, καὶ τῇ ζώνῃ συνεσταλμένος μετὰ πολλῆς τῆς ἀκριβείας περὶ τὸ στῆθος, καθάπερ τούτων τῶν ἐπὶ τῆς σκηνῆς ὀρχουμένων, ὥστε μήτε εἰς πλάτος ἐκβαίνειν ἐξωγκωμένον, μήτε εἰς ἰσχνότητα συστέλλεσθαι, ἀλλ' ἀμφοτέρων εἶναι μέσον, καὶ πολλὰς ἔ-

ἔχει

γρ. ἐρωτίζ…

γρ. ἐπιτη… δυνάσται

γρ. λιτοῦ

Λογ. η. 8 ΒΟΥΛΟΜΑΙ ΟΥΝ ΠΡΟΣΕΥΧΕΣΘΑΙ ΤΟΥΣ ἄνδρας ἐν παντὶ τόπῳ, ἐπαίροντας ὁσίους χεῖρας χωρὶς ὀργῆς καὶ διαλογισμοῦ· 9 Ὡσαύτως καὶ τὰς γυναῖκας ἐν καταστολῇ κοσμίῳ μετὰ αἰδοῦς καὶ σωφροσύνης κοσμεῖν ἑαυτάς, μὴ ἐν πλέγμασιν, ἢ χρυσῷ, ἢ μαργαρίταις, ἢ ἱματισμῷ πολυτελεῖ, 10 Ἀλλ' (ὃ πρέπει γυναιξὶν ἐπαγγελλομέναις θεοσέβειαν) δι' ἔργων ἀγαθῶν.

χ. πλέγμασι

ΟΤαν προσεύχησθε, φησὶν ὁ Χριστός, μὴ γίνεσθε ὥσπερ οἱ ὑποκριταί, ὅτι φιλοῦσιν ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς γωνίαις τῶν πλατειῶν ἑστῶτες προσεύχεσθαι, ὅπως φανῶσι τοῖς ἀνθρώποις. ἀμὴν λέγω ὑμῖν, ὅτι ἀπέχουσι τὸν μισθὸν αὐτῶν. σὺ δὲ ὅταν προσεύχῃ, εἴσελθε εἰς τὸ ταμιεῖόν σου, καὶ κλείσας τὰς θύρας, πρόσευξαι τῷ πατρί σου τῷ ἐν τῷ κρυπτῷ, καὶ αὐτὸς ἀποδώσει σοι ἐν τῷ φανερῷ. τί οὖν ὁ Παῦλός φησι, βούλομαι προσεύχεσθαι τοὺς ἄνδρας ἐν παντὶ τόπῳ, ἐπαίροντας ὁσίους χεῖρας χωρὶς ὀργῆς καὶ διαλογισμοῦ; ἀλλ' οὐκ ἔστιν ἐναντίον ἐκείνοις τοῦτο (μὴ γένοιτο) ἀλλὰ καὶ σφόδρα συνᾷδον. πῶς καὶ τίνι τρόπῳ; δεῖ δὲ πρότερον εἰπεῖν, τί ἐστιν, εἴσελθε εἰς τὸ ταμιεῖόν σου, καὶ τί δήποτε τοῦτο προστάττει, εἰ ἐν παντὶ τόπῳ δεῖ εὔχεσθαι, καὶ εἰ ἐν ἐκκλησίᾳ μὴ δεῖ εὔχεσθαι, καὶ εἰ ἐν ἄλλῳ μηδενὶ τῆς οἰκίας μέρει, ἀλλ' ἐν τῷ ταμιείῳ μόνον. τί οὖν ἐστι τὸ λεγόμενον; τὸ ἀκενόδοξον δεικνὺς ἐνταῦθα ὁ Χριστός φησι, μὴ λάθρα ἁπλῶς, ἀλλὰ κεκρυμμένως τὰς εὐχὰς ποιοῦ. ὥσπερ γὰρ λέγων, Μὴ γνώτω ἡ ἀριστερά σου τί ποιεῖ ἡ δεξιά σου, οὐ περὶ χειρῶν διαλέγεται ἁπλῶς, ἀλλὰ τὴν ὑπερβολὴν τῆς πρὸς τὴν κενοδοξίαν φυγῆς παρίστησιν, οὕτω δὴ καὶ ἐνταῦθα τοῦτο αἰνίττεται. οὐ τοίνυν εἰς τὸν τόπον περιώρισε τὴν εὐχήν, ἀλλ' ἓν μόνον ἐπέταξε τὸ ἀκενόδοξον. ὁ δὲ Παῦλος ταῦτά φησι πρὸς ἀντιδιαστολὴν τῆς Ἰουδαϊκῆς εὐχῆς. ὅρα γάρ τί φησιν· ἐν παντὶ τόπῳ ἐπαίροντας ὁσίους χεῖρας, ὅπερ τοῖς Ἰουδαίοις θέμις οὐκ ἦν. οὐδὲ γὰρ ἐξῆν τῷ Θεῷ προσιέναι ἀλλαχοῦ, καὶ θύειν, καὶ τὰς λατρείας ἐπιτελεῖν, ἀλλ' εἰς ἕνα τόπον τοὺς πανταχόθεν ἐκ τῆς οἰκουμένης συντρέχοντας ἅπαντα τὰ τῆς ἁγιστείας ἐν τῷ ναῷ ἐπιτελεῖν ἔδει. τούτων ἀντίρροπον τὴν παραίνεσιν εἰσάγει. καὶ τῆς ἀνάγκης ἀπαλλάξας ἐκείνης, οὐκ ἔστι, φησί, τοιαῦτα τὰ ἡμέτερα, οἷα τὰ Ἰουδαϊκά. ὥσπερ γὰρ ὑπὲρ πάντων τὰς εὐχὰς κελεύει ποιεῖν (ὑπὲρ πάντων γὰρ καὶ ὁ Χριστὸς ἀπέθανε, καὶ ὑπὲρ πάντων, φησί, ταῦτα κηρύττω) οὕτω καὶ πανταχοῦ καλὸν εὔχεσθαι. ἡ δὲ παρατήρησις λοιπὸν μὴ περὶ τόπον ἔστω, ἀλλὰ περὶ τὸν τρόπον τῆς εὐχῆς. πανταχοῦ μὲν εὔχου, φησί, πανταχοῦ δὲ ὁσίους χεῖρας ἔπαιρε. τοῦτ' ἔστι τὸ ζητούμενον. ὁσίους δὲ τί ἐστι; καθαράς. καθαρὰς δὲ τί ἐστιν; οὐχ ὕδατι νιπτομένας, ἀλλὰ πλεονεξίας, φόνων, ἁρπαγῆς, πληγῶν καθαράς. χωρὶς ὀργῆς καὶ διαλογισμοῦ. τί δή τοῦτ' ἔστι; τίς δὲ εὐχόμενος ὀργίζεται; τουτέστι, χωρὶς μνησικακίας· καθαρὰ ἔστω τοῦ εὐχομένου ἡ διάνοια, παντὸς πάθους ἀπηλλαγμένη. μηδεὶς μετὰ ἔχθρας προσίτω τῷ Θεῷ· μηδεὶς μετὰ ἀηδίας, καὶ διαλογισμοῦ. τί ἐστι χωρὶς διαλογισμοῦ; ἐπακούσωμεν. ἄρα οὐ δεῖ ὅλως ἀμφιβάλλειν ὅτι ἐπακουσθησόμεθα. Ὅσα γὰρ ἂν αἰτήσητε, φησί, πιστεύοντες, λήψεσθε. καὶ πάλιν, Ὅταν στήκητε προσευχόμενοι, ἀφίετε, εἴ τι ἔχετε κατά τινος. τοῦτ' ἔστι χωρὶς ὀργῆς καὶ διαλογισμοῦ. καὶ πῶς, φησί, δυνησόμεθα πιστεύειν, ὅτι ἐπιτευξόμεθα τῆς αἰτήσεως; ἂν μηδὲν ἐναντίον αἰτῇς, ὧν δοῦναι ἐστὶν ἕτοιμος· ἂν μηδὲν ἀνάξιον τοῦ βασιλέως· ἂν μηδὲν βιωτικόν· ἂν πάντα πνευματικά· ἂν χωρὶς ὀργῆς προσίῃς· ἂν καθαρὰς ἔχων τὰς χεῖρας, ἂν ὁσίας. ὁσίαι εἰσὶν αἱ ἐλεημοσύνας ἐργαζόμεναι. ἂν οὕτω προσίῃς, πάντως ἐπιτεύξῃ τῆς αἰτήσεως. Εἰ γὰρ ὑμεῖς, φησί, πονηροὶ ὄντες οἴδατε δόματα ἀγαθὰ

Ματθ. ς. ε.

Ματθ. ς. γ.

χ. ὀλιγοψυχίας

χ. ἄφετε ἵνα ἀφεθήσεται ὑμῖν.

Ματθ. κα. κβ.

Ματθ. ζ. ια.

καὶ δεδουλωμένοι ἡμεῖς ταπεινοὶ καὶ γελοῖοι, ἡμεῖς σαρκικοί, ἡμεῖς ἀνόητοι. οὐ γὰρ ἐκείνων μεγάλη ἡ ἰσχύς. τί γὰρ δύναται, εἰπέ μοι; κωφά ἐστι, καὶ ἀναίσθητα. εἰ ὁ διάβολος οὐδέν ἐστιν, ὁ μιαρὸς δαίμων, ὁ οὕτω πονηρὸς καὶ πάντα κυκῶν, τὰ χρήματα τίνα ἔχει ἰσχύν; ἐὰν ἴδῃς ἄργυρον, νόμισον εἶναι κασσίτερον. ἀλλ' οὐ δύνασαι; ἐκεῖνο, ὅπερ ἐστὶν ἀληθές, τοῦτο νόμισον, ὅτι γῆ ἐστι. γῆ γάρ ἐστιν. ἀλλ' οὐδὲ τοῦτον δέχῃ τὸν λογισμόν; ἐννόησον ὅτι ἀπολλύμεθα καὶ ἡμεῖς, ὅτι πολλοὶ τῶν κεκτημένων οὐδὲ σχεδὸν αὐτῶν ἀπώναντο, ὅτι μυρίοι κομπάσαντες ἐν αὐτῷ, τέφρα ἐγένοντο καὶ κόνις, ὅτι καὶ νῦν δίκην τίνουσι τὴν ἐσχάτην, τῶν ἐν ὀστράκῳ καὶ ὑέλῳ διαιτηθέντων πολλῷ τυγχάνοντες πτωχότεροι, τῶν ἐν κοπρίᾳ πολλάκις τῶν ἐπὶ τῶν κλινῶν τῶν ἐλεφαντίνων ἀπορώτεροι. ἀλλὰ τέρπει τὰς ὄψεις; ἀλλὰ τούτων ἕτερα πολλὰ τέρπειν δύνανται μᾶλλον. καὶ γὰρ καὶ τὰ ἄνθη, καὶ ὁ ἀὴρ καθαρὸς ὤν, καὶ ὁ οὐρανός, καὶ ὁ ἥλιος πολλῷ μᾶλλον τέρπει. οὗτος μὲν γὰρ καὶ ἰὸν ἔχει πολύν, ὅθεν πολλοὶ καὶ μέλανα αὐτὸν εἶναι ἀπεφῄναντο. καὶ δῆλον ἀπὸ τῶν ἐκμαγείων τῶν μαργαρομένων. ἐν δὲ ἡλίῳ μέλαν οὐδέν, ἐν οὐρανῷ, ἐν ἄστροις. πολλὴ ἐν τούτοις τοῖς ἄνθεσιν ἡ ἀπόλαυσις, ἢ ἐν ἐκείνῳ τῷ χρώματι. οὐ τὸ ἄνθος τοίνυν ἐστὶ τὸ τέρπον, ἀλλ' ἡ πλεονεξία, ἡ ἀδικία. τοῦτο τέρπει τὰς ψυχάς, οὐχ ὁ ἄργυρος. ἔκβαλε ταύτην ἀπὸ τῆς ψυχῆς, καὶ ὄψει πηλοῦ τὸ δοκοῦν εἶναι τίμιον ἀτιμότερον. ἔκβαλε τὸ πάθος· ἐπεὶ καὶ οἱ πυρέττοντες, κἂν βόρβορον ἴδωσιν, ὡς πηγὰς ἐπιποθοῦσιν· οἱ ὑγιαίνοντες δὲ ὡς χρή, οὐδὲ ὕδατος ἐπιθυμοῦσι πολλάκις. ἔκβαλε τὴν νόσον, καὶ ὄψει τὰ πράγματα ὡς ἔστι. καὶ ἵνα μάθῃς, ὅτι οὐ ψεύδομαι, πολλοὺς ἔχω δεῖξαι τοῦτο πεποιηκότας. σβέσον τὸ πῦρ, καὶ ὄψει ὅτι ἀνθέων ταῦτά ἐστιν εὐτελέστερα. καλὸν δὲ χρυσίον; ἀλλ' εἰς ἐλεημοσύνην καλόν, εἰς ἐπικουρίαν πενήτων καλόν, οὐκ εἰς τὴν ἀνόητον χρῆσιν, ἵνα ἔνδον ἀποκέηται, ἵνα εἰς γῆν κατορύττηται, ἵνα περὶ χεῖρας καὶ πόδας καὶ κεφαλὰς περικέηται. διὰ τοῦτο εὑρέθη, οὐχ ἵνα τὴν εἰκόνα τοῦ Θεοῦ καταδεσμεύωμεν τούτῳ, ἀλλ' ἵνα λύωμεν τοὺς δεδεμένους. εἰς τοῦτο κέχρησο τῷ χρυσῷ· λῦσον τοὺς δεδεμένους, μὴ δήσῃς τοὺς λελυμένους. τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, τὴν οὐδαμινὴν πάντων περιτίθης; μὴ γάρ, ἐπειδὴ χρυσός ἐστιν, οὐκέτι δεσμὸν ποιεῖ; μὴ γὰρ ἡ ὕλη τὸν δεσμὸν ποιεῖ; ἄν τε χρυσὸς ᾖ, ἄν τε σίδηρος, ταὐτόν ἐστι· καίτοι τοῦτο ἐκείνου καὶ βαρύτερον. ἀλλὰ τί ποιεῖ κοῦφον τὸ πρᾶγμα; ἡ κενοδοξία, καὶ τὸ παρὰ πάντων ὁρᾶσθαι δεδεμένην, ἐφ' ᾧ ἐχρῆν μᾶλλον αἰσχύνεσθαι. ὅτι γὰρ τοῦτο ἀληθές ἐστι, κατάδησον, καὶ ἄφες ἐν ἐρημίᾳ, ἔνθα οὐδεὶς ὁ θεωρῶν, καὶ βαρύνεται τὸν δεσμὸν καὶ ἐπαχθῆ νομίζει. φοβηθῶμεν, ἀγαπητοί, μὴ ἀκούσωμεν ἐκεῖνα τὰ φοβερὰ ῥήματα, Δήσατε αὐτοῦ χεῖρας καὶ πόδας. τί ἤδη τοῦτο σαυτῇ ποιεῖς, γύναι; οὐδεὶς δεσμώτης χεῖρας καὶ πόδας δέδεται. τί καὶ τὴν κεφαλὴν δεσμεῖς; οὐ γὰρ ἀρκεῖ χεῖρας καὶ πόδας; τί καὶ τὸν τράχηλον μυρίοις δεσμοῖς περιβάλλεις; τὴν γὰρ ἀπὸ τούτων φροντίδα παρίημι, τὸ δέος, τὴν ἀγωνίαν, τὴν μάχην τὴν πρὸς αὐτὴν πρὸς τὸν ἄνδρα, εἴ ποτε αὐτῶν δεηθείη, τοὺς θανάτους οὓς ὑπομένουσιν, εἴ ποτε ἐκπέσοι τι τούτων. ταῦτα οὖν ἡδονή, εἰπέ μοι; ἵνα ἑτέρους τέρπῃ τὰς ὄψεις, σαυτὴν καὶ δεσμοῖς καὶ φροντίσι καὶ κινδύνοις καὶ ἀηδίαις καὶ μάχαις καθημεριναῖς ὑποβάλλεις; ἆρ' οὐ πάσης κατηγορίας καὶ καταγνώσεως ἄξιον τοῦτο; μή, παρακαλῶ, μὴ ταῦτα ποιῶμεν· ἀλλὰ λύωμεν πάντα σύνδεσμον ἀδικίας· διαθρύπτωμεν πεινῶντι τὸν ἄρτον· πάντα τὰ ἄλλα πράττωμεν, ἃ τὴν πρὸς τὸν Θεὸν ἡμῖν παρρησίαν προξενῆσαι δύναται, ἵνα τύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

γ. δαλυσμένοι

χ. ἀπολλύμ.

χ. πυρίνων

χ. χρυσῷ

Ματθ. κβ. ιγ.



Digitized by Google

γέγονεν, οὕτω καὶ Θεὸς ἦν. ἄνθρωπος οὐκ ἂν ἐγένετο μεσίτης· ἔδει γὰρ καὶ τῷ Θεῷ διαλέγεσθαι. Θεὸς οὐκ ἂν ἐγένετο μεσίτης· οὐ γὰρ ἂν ἐδέξαντο αὐτὸν οἷς ἐμεσίτευσεν. ὥσπερ ἐκεῖ φησιν, Εἷς Θεὸς ὁ πατὴρ, καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, οὕτω καὶ ἐνταῦθα, εἷς καὶ εἷς. οὐ τίθησι δύο. ἐπειδὴ γὰρ περὶ πολυθείας διελέγετο, ἵνα μή τις ἁρπάσῃ τὸν δύο τῶν ἀριθμὸν εἰς πολυθεΐαν, εἷς καὶ εἷς τέθεικεν. ὁρᾷς πῶς ἡ γραφὴ μετὰ πολλῆς τῆς ἀκριβείας κέχρηται τῷ λόγῳ; τὸ γὰρ, εἷς καὶ εἷς, δύο· ἀλλ' οὐκ εἴρηκε τοῦτο, καίτοι τοῦ λογισμοῦ ὑποβάλλοντος. ἐνταῦθα οὐ λέγεις, εἷς καὶ εἷς, δύο· ὅπερ δὲ οὐδὲ ὁ λογισμὸς ὑποβάλλει, τοῦτο λέγεις, εἰ ἐτόλμησεν, ἔπαθεν. (α. Κορ. η. ς.) (Ισ. ὅπερ δ' ἐλ θ)

Εἷς γὰρ ὁ Θεὸς, φησὶν, εἷς καὶ μεσίτης Θεοῦ καὶ ἀνθρώπων Ἰησοῦς Χριστὸς,

6 Ὁ δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ πάντων, τὸ μαρτύριον καιροῖς ἰδίοις.

Τί οὖν καὶ Ἑλλήνων, εἰπέ μοι; ναί. καὶ ὁ μὲν Χριστὸς καὶ ἀπέθανεν ὑπὲρ Ἑλλήνων· σὺ δὲ οὐδὲ εὔξασθαι οὐκ ἀνέχῃ; πῶς οὖν, φησὶν, οὐκ ἐπίστευσαν; ὅτι οὐκ ἠθέλησαν, τὸ δὲ αὐτοῦ μέρος ἐγένετο. μαρτύριον τὸ πάθος φησίν. Ἦλθε γὰρ μαρτυρήσων, φησὶ, τῇ ἀληθείᾳ τοῦ πατρὸς, καὶ ἐσφάγη. ὥστε οὐχ ὁ πατὴρ αὐτῷ μαρτυρεῖ μόνον, ἀλλὰ καὶ αὐτὸς τῷ πατρί. Ἐγὼ γὰρ ἦλθον ἐν τῷ ὀνόματι τοῦ πατρός μου, φησί· καὶ πάλιν, Τὸν Θεὸν οὐδεὶς ἑώρακε πώποτε· καὶ πάλιν, Ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεόν· καὶ πάλιν, Πνεῦμα ὁ Θεός. μέχρι θανάτου τοίνυν ἐμαρτύρησε. τὸ δὲ, καιροῖς ἰδίοις, τουτέστι, τοῖς προσήκουσι. (Ιωαν. ιη. λζ.) (Ιωαν. ε. μγ.) (Ιωαν. α. ιη.) (Ιωαν. ιζ. γ.) (Ιωαν. δ. κδ.)

7 Εἰς ὃ ἐτέθην ἐγὼ κῆρυξ καὶ ἀπόστολος (ἀλήθειαν λέγω, οὐ ψεύδομαι) διδάσκαλος ἐθνῶν ἐν πίστει καὶ ἀληθείᾳ. Ἐπειδὴ τοίνυν ὁ Χριστὸς ὑπὲρ ἐθνῶν ἔπαθε, καὶ ἐγὼ διδάσκαλος ἐθνῶν ἀφωρίσθην, τίνος ἕνεκεν σὺ οὐκ εὔχῃ ὑπὲρ αὐτῶν; καλῶς ἐνταῦθα τὸ ἑαυτοῦ ἀξιόπιστον δείκνυσι, τὸ, εἰς ὃ ἐτέθην ἐγὼ κῆρυξ, φησὶ, τουτέστιν, ἀφωρίσθην. πάνυ γὰρ ἐνάρκων πρὸς τοῦτο οἱ ἀπόστολοι. Εἶτα ἐπήγαγε, διδάσκαλος ἐθνῶν ἐν πίστει καὶ ἀληθείᾳ. ἐν πίστει πάλιν. ἀλλὰ μὴ νομίσῃς, ἐπειδὴ ἐν πίστει ἤκουσας, ὅτι ἀπάτη τὸ πρᾶγμά ἐστι. καὶ γὰρ ἐν ἀληθείᾳ φησίν. εἰ δὲ ἀλήθεια, οὐκ ἔστι ψεῦδος. ὁρᾷς τὴν χάριν ἐκτεταμένην; τοῖς γὰρ Ἰουδαίοις αἱ εὐχαὶ οὐχ ὑπὲρ τοιούτων ἐγίνοντο· νῦν δὲ ἡ χάρις ἐκτέταται. διὰ τοῦτο καὶ διδάσκαλον ἐθνῶν ἑαυτὸν εἶπεν ἀφωρίσθαι, τὴν πανταχοῦ τῆς οἰκουμένης χυθεῖσαν αἰνιττόμενος χάριν. ὁ δοὺς, φησὶν, ἑαυτὸν ἀντίλυτρον. πῶς οὖν παρεδόθη ὑπὸ τοῦ πατρός; ἄρα οὖν τῆς αὐτοῦ ἀγαθότητος γέγονεν. ἀντίλυτρον, τί ἐστιν; ἔμελλε τιμωρεῖσθαι αὐτούς· τοῦτο οὐκ ἐποίησεν. ἀπόλλυσθαι ἔμελλον· ἀλλ' ἀντ' ἐκείνων τὸν αὐτοῦ ἔδωκεν υἱὸν, καὶ κήρυκας ἡμᾶς ἔπεμψεν, ὥστε κηρύττειν τὸν σταυρόν. ἱκανὰ ταῦτα ἐπισπάσασθαι πάντας, καὶ τὴν ἀγάπην ἐνδείξασθαι τοῦ Χριστοῦ.

Οὕτως γὰρ μεγάλα καὶ ἀνεκδιήγητα τὰ παρὰ Θεοῦ εἰς ἡμᾶς ἐπιδεδειγμένα. κατέθυσεν ἑαυτὸν ὑπὲρ τῶν ἐχθρῶν, τῶν μισούντων, τῶν ἀποστρεφομένων αὐτόν. ὃ οὐδεὶς ὑπὲρ φίλων, οὐδὲ ὑπὲρ παίδων ποιήσειεν ἄν τις, οὐδὲ ὑπὲρ ἀδελφῶν, δεσπότης ὑπὲρ δούλων ἐποίησε, δεσπότης οὐ τοιοῦτος, οἷος τῶν δούλων, ἀλλὰ Θεὸς ὑπὲρ ἀνθρώπων, καὶ ἀνθρώπων οὐδὲ εὐδοκιμούντων. εἰ γὰρ εὐδοκιμηκότες ἦσαν, εἰ γὰρ εὐηρεστηκότες, οὐ τοσοῦτον ἦν θαυμαστόν. νῦν δὲ τοῦτο ἐστι τὸ πᾶσαν διάνοιαν ἐκπλῆττον, τὸ ὑπὲρ τοιούτων ἀχαρίστων καὶ ἀγνωμόνων ἀποθανεῖν. ὃ γὰρ ἀπὸ ἀνθρώπων πρὸς ὁμοφύλους οὐ γέγονε, τοῦτο ἐγένετο ἀπὸ Θεοῦ εἰς ἡμᾶς. καὶ τοσαύτης ἀπολαύσαντες ἀγάπης, ἀκκιζόμεθα ἔτι, καὶ οὐ φιλοῦμεν τὸν Χριστόν. αὐτὸς κατέθυσεν ἑαυτὸν ὑπὲρ ἡμῶν· ἡμεῖς δὲ αὐτὸν καὶ τῆς ἀναγκαίας τροφῆς ἀποροῦντα περιορῶμεν, καὶ νοσοῦντα, καὶ γυμνητεύοντα οὐκ ἐπισκεπτόμεθα. πόσης ὀργῆς ταῦτα ἄξια, πόσης κολάσεως, πόσης γεέννης; εἰ γὰρ μηδὲν ἕτερον, τοῦτο γοῦν αὐτὸ μόνον, ὅτι κατηξίωσε τὰ τῶν ἀνθρώπων πάθη οἰκειοῦσθαι, καὶ λέγειν ὅτι πεινῶ καὶ διψῶ, οὐχ ἱκανὸν ἦν πάντας προτρέψαι; ἀλλ' ὢ τῆς τῶν χρημάτων τυραννίδος, μᾶλλον δὲ ὢ τῆς τῶν ἑκόντι δεδουλωμένων αὐτοῖς μοχθηρίας. οὐκ ἐκεῖνα ἔχει μεγάλην τὴν ἰσχὺν, ἀλλ' ἡμεῖς σφόδρα ἐσμὲν ἔκλυτοι (ΗΘΙΚΟΝ) (ἴσ. οἷοι)

ἄκουε τοῦ μακαρίου τούτου πάλιν ἀλλαχοῦ λέγοντος· Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις (Tit. α. ιϛ.) ἀρνοῦνται. καὶ πάλιν, Τὴν πίστιν ἤρνηται, καὶ ἔστιν ἀπίστου χείρων. (α. Tim. ε. η.) καὶ πάλιν, Ἐάν τις ἀδελφὸς ὀνομαζόμενος ᾖ πόρνος, ἢ πλεονέκτης, ἢ εἰδωλολάτρης, ὁ τοιοῦτος οὐ τιμᾷ τὸν Θεόν. (α. Κορ. ε. ια.) καὶ πάλιν, Ὁ τὸν ἀδελφὸν αὐτοῦ μισῶν, τὸν Θεὸν ἀγνοεῖ. (α. Ιωαν. β. θ. ια.) ὁρᾷς πόσοι ἀσεβείας τρόποι; διὰ τοῦτό φησιν, ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι. (γρ. εὐσεβείᾳ) ἄσεμνος γὰρ οὐκ ἔστιν ὁ πόρνος μόνον, ἀλλὰ καὶ ὁ πλεονέκτης ἄσεμνος ἂν λέγοιτο καὶ ἀκόλαστος. καὶ γὰρ καὶ τοῦτο ἐπιθυμία οὐχ ἧττον τῆς τῶν σωμάτων. ὁ τοίνυν μὴ κολάζων αὐτήν, ἀκόλαστος λέγεται. διὰ γὰρ τὸ μὴ κολάζειν τὴν ἐπιθυμίαν ἀκόλαστοι λέγονται. ὥστε καὶ τὸν ὀργίλον ἀκόλαστον ἂν εἴποιμι ἔγωγε, καὶ τὸν βάσκανον, καὶ τὸν φιλάργυρον, καὶ τὸν ὕπουλον, καὶ πάντα τὸν ἐν ἁμαρτίᾳ ὄντα, ἀκόλαστον εἶναι καὶ ἄσεμνον καὶ ἀσελγῆ. τοῦτο γὰρ καλόν, καὶ ἀποδεκτόν, φησιν, ἐνώπιον τοῦ σωτῆρος ἡμῶν Θεοῦ. ποῖον τοῦτο; τὸ εὔχεσθαι ὑπὲρ πάντων, τοῦτο ἀποδέχεται ὁ Θεός, τοῦτο θέλει. πάντας γὰρ ἀνθρώπους θέλει σωθῆναι, φησι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. μιμοῦ τὸν Θεόν. εἰ πάντας ἀνθρώπους θέλει σωθῆναι, εἰκότως ὑπὲρ ἁπάντων δεῖ εὔχεσθαι. εἰ πάντας αὐτὸς ἠθέλησε σωθῆναι, θέλε καὶ σύ. εἰ δὲ θέλεις, εὔχου. τῶν γὰρ τοιούτων ἐστὶ τὸ εὔχεσθαι. ὁρᾷς πῶς πανταχόθεν τὴν ψυχὴν ἐπαίρει, ὥστε καὶ ὑπὲρ ἑλλήνων εὔχεσθαι; καὶ τὸ κέρδος δεικνὺς ὅσον (γρ. παιδεύει) ἐκ τούτου τίκτεται, ἵνα ἤρεμον, φησί, καὶ ἡσύχιον βίον διάγωμεν· καὶ τὸ πολλῷ τούτου μεῖζον, ὅτι καὶ τῷ Θεῷ τοῦτο δοκεῖ, καὶ ὅτι ὅμοιοι αὐτῷ κατὰ τοῦτο γινόμεθα, κατὰ τὸ τὰ αὐτὰ αὐτῷ θέλειν. ἱκανὰ ταῦτα δυσωπῆσαι καὶ θηρίον. μὴ τοίνυν φοβηθῇς ὑπὲρ ἑλλήνων εὐχόμενος· καὶ αὐτὸς τοῦτο βούλεται. φοβήθητι τὸ καταρᾶσθαι μόνον. τοῦτο γὰρ οὐ βούλεται. εἰ δὲ ὑπὲρ ἑλλήνων εὔχεσθαι χρή, καὶ ὑπὲρ αἱρετικῶν δῆλον ὅτι. ὑπὲρ γὰρ ἁπάντων ἀνθρώπων εὔχεσθαι δεῖ, οὐ διώκειν. τοῦτο δὲ καὶ ἄλλως καλὸν ἀπὸ τοῦ τῆς αὐτῆς ἡμᾶς φύσεως κοινωνεῖν· καὶ ὁ Θεὸς δὲ ἐπαινεῖ καὶ ἀποδέχεται τὴν εὔνοιαν, τὴν φιλοστοργίαν τὴν πρὸς ἀλλήλους. εἰ τοίνυν αὐτὸς θέλει, φησί, δύναται ὁ Κύριος, τί δεῖ εὐχῶν τῶν παρ' ἐμοῦ; πολὺ τοῦτο ἐκείνοις καὶ σοὶ συμβάλλεται. πρὸς ἀγάπην αὐτοὺς ἕλκει, σὲ πάλιν οὐκ ἀφίησιν ἐκθηριωθῆναι. ἱκανὰ δὲ ταῦτα πρὸς πίστιν ἐπισπάσασθαι. πολλοὶ γὰρ τῶν ἀνθρώπων διὰ φιλονεικίαν τὴν πρὸς ἀλλήλους ἀπέστησαν τοῦ Θεοῦ. (γρ. ἀνθρώποις) τοῦτο σωτηρίαν νῦν Θεοῦ καλεῖ, ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι, εἰπὼν ἐπειδὴ καὶ αὕτη ὄντως ἐστὶν ἡ σωτηρία. (γρ. σωτηρίαν δὲ νῦν ταύτην λέγει) ταύτης γὰρ χωρὶς οὐδὲν μέγα ἡ ἄλλη ἐστίν, ἀλλ' ὄνομα σωτηρίας ἐστὶ καὶ προσηγορία μόνον. καὶ εἰς ἐπίγνωσιν ἀληθείας, φησίν, ἐλθεῖν. ἀληθείας, ποίας; τῆς εἰς αὐτὸν πίστεως. καὶ διὰ προλαβὼν εἶπε, παράγγελλε μὴ ἑτεροδιδασκαλεῖν. ἵνα δὲ μή τις ὡς ἐχθροῖς αὐτοῖς προσέχῃ, μηδὲ μάχας ἀπὸ τούτου πλέκῃ, φησί, πάντας ἀνθρώπους θέλει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. εἶτα τοῦτο εἰπών, ἐπήγαγεν·

5 Εἷς γὰρ Θεός, εἷς καὶ μεσίτης Θεοῦ καὶ ἀνθρώπων. Εἶπεν, εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. δεικνὺς ὅτι οὐκ ἔστιν ἡ οἰκουμένη ἐν ἀληθείᾳ. εἶπε πάλιν, εἷς γὰρ Θεός, δεικνὺς ὅτι οὐ πολλοί, καθὼς τινες νομίζουσιν. εἶπεν ὅτι καὶ μεσίτην καὶ υἱὸν πέπομφε, δεικνὺς ὅτι σωθῆναι θέλει πάντας. τί οὖν; ὁ υἱὸς οὐ Θεός; καὶ σφόδρα. πῶς οὖν φησιν, εἷς; πρὸς ἀντιδιαστολὴν τῶν εἰδώλων, οὐ πρὸς τὸν υἱόν. περὶ γὰρ ἀληθείας καὶ πλάνης ἦν αὐτῷ ὁ λόγος. ὁ δὲ μεσίτης ὀφείλει ἀμφοτέροις κοινωνεῖν, ὧν ἐστὶ μεσίτης. μεσίτου γὰρ τοῦτό ἐστι, τὸ ἑκατέρων ἐχόμενον, ὧν ἐστι μεσίτης, κοινωνεῖν. ἐὰν δὲ τοῦ μὲν ἑνὸς ἔχηται, τοῦ δὲ ἑνὸς ἀπεσχισμένος ᾖ, οὐκ ἔτι μεσίτης ἐστίν. εἰ τοίνυν μὴ ἔχεται τῆς τοῦ πατρὸς φύσεως, οὐκ ἔστι μεσίτης, ἀλλ' ἀπεσχίσθη. ὥσπερ γὰρ τῆς τῶν ἀνθρώπων ἔχεται φύσεως, ἐπειδὴ πρὸς ἀνθρώπους ἤρχετο, οὕτω καὶ τῆς τοῦ Θεοῦ, ἐπειδὴ παρὰ Θεοῦ ἤρχετο. ἐπειδὴ γὰρ δύο φύσεων μέσος γέγονεν, ἐγγὺς τῶν δύο φύσεων αὐτὸν εἶναι δεῖ. ὥσπερ γὰρ τὸ τόπου τινὸς μέσον, ἑκατέρων ἐστὶ τῶν τόπων ἐγγύς, οὕτω καὶ τὸ τῶν φύσεων μέσον ἑκατέρων ὀφείλει εἶναι τῶν φύσεων ἐγγύς. ὥσπερ οὖν ἄνθρωπος γέγονεν,

Λογ. ζ. 2 ΙΝΑ ΗΡΕΜΟΝ ΚΑΙ ΗΣΥΧΙΟΝ ΒΙΟΝ διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι. 3 Τοῦτο γὰρ καλὸν καὶ ἀπόδεκτον ἐνώπιον τοῦ σωτῆρος ἡμῶν Θεοῦ, 4 Ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν.

ΕΙ τοῖς κοινοῖς βούλεται λύεσθαι πολέμους καὶ τὰς μάχας καὶ τὰς ταραχὰς, καὶ διὰ τοῦτο ὑπὲρ βασιλέων, καὶ ὑπὲρ ἀρχόντων παρακαλεῖ τὸν ἱερωμένον εὐχὰς ποιεῖσθαι, πολλῷ μᾶλλον καὶ τοῖς ἰδιώταις τοῦτο χρὴ ποιεῖν. τρία πολέμων γάρ ἐστιν εἴδη τὰ χαλεπώτερα. εἷς μὲν οὗτος ὁ κοινὸς, ὅταν τὰ ἡμῶν στρατόπεδα πολεμῶνται παρὰ βαρβάρων· δεύτερος, ὅταν καὶ εἰρήνης οὔσης, ἡμεῖς πρὸς ἀλλήλους πολεμῶμεν· τρίτος, ὅταν ἕκαστος πρὸς ἑαυτὸν πολεμῇ. οὗτος δὴ καὶ πάντων ἐστὶ χαλεπώτατος. ἐκεῖνος μὲν γὰρ ὁ παρὰ τῶν βαρβάρων οὐδὲν μέγα ἡμᾶς βλάψαι δυνήσεται. τί γὰρ, εἰπέ μοι; ἔσφαξε καὶ ἀνεῖλε; ἀλλ' οὐδὲν τὴν ψυχὴν ἐλυμήνατο. ἀλλ' οὐδὲ ὁ δεύτερος, ἐὰν μὴ βουλώμεθα, βλάψαι τι ἡμᾶς δυνήσεται. καὶ γὰρ ἑτέρων πρὸς ἡμᾶς πολεμούντων, ἔξεστιν ἡμῖν εἶναι εἰρηνικοῖς. ἄκουε γὰρ τοῦ προφήτου λέγοντος, Ἀντὶ τοῦ ἀγαπᾷν με, ἐνδιέβαλλόν με, ἐγὼ δὲ προσευχόμην. καὶ πάλιν, Μετὰ τῶν μισούντων τὴν εἰρήνην ἤμην εἰρηνικός. καὶ πάλιν, Ὅταν ἐλάλουν αὐτοῖς, ἐπολέμουν με δωρεάν. τὸν δὲ τρίτον οὐκ ἔνι ἀκινδύνως διαφυγεῖν. ὅταν γὰρ ἡμῖν διαστασιάζῃ τὸ σῶμα πρὸς τὴν ψυχὴν, καὶ χαλεπὰς ἐπιθυμίας ἐγείρῃ, καὶ τὰς ἡδονὰς ὁπλίζῃ τῶν σωμάτων, τῆς ὀργῆς, τοῦ φθόνου, οὐκ ἔνι, μὴ τοῦ πολέμου τούτου λυθέντος, ἐπιτυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν, ἀλλ' ἀνάγκη τὸν μὴ καταστέλλοντα ταύτην τὴν ταραχὴν, πεσεῖν καὶ τραύματα λαβεῖν, ἐκεῖθεν τὸν θάνατον τίκτοντα τὸν ἐν τῇ γεέννῃ. δεῖ τοίνυν ἡμῖν καθ' ἑκάστην ἡμέραν μερίμνης καὶ φροντίδος πολλῆς, ὥστε μήτε ἐγείρεσθαι ἐν ἡμῖν τοῦτον τὸν πόλεμον, μήτε διεγερθέντα μένειν, ἀλλὰ καταστέλλεσθαι καὶ κοιμίζεσθαι. τί γὰρ ἂν ὄφελος γένοιτο, ὅταν ἡ μὲν οἰκουμένη βαθείας ἀπολαύῃ εἰρήνης, σὺ δὲ πρὸς ἑαυτὸν πολεμῇς; ταύτην δεῖ τὴν εἰρήνην ἔχειν. ἂν ταύτην ἔχωμεν, οὐδὲν ἡμᾶς τῶν ἔξωθεν βλάψαι δυνήσεται. συντελεῖ δέ τι πρὸς ταύτην οὐ μικρὸν καὶ ἡ κοινὴ εἰρήνη. διὰ τοῦτό φησιν, ἵνα ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν. εἰ δέ τις, ἡσυχίας οὔσης, ταράττεται, σφόδρα ἄθλιός ἐστιν. ὁρᾷς ὅτι ταύτην λέγει τὴν εἰρήνην, ἣν ἐγώ φημι τὴν τρίτην; διὰ τοῦτο εἰπὼν, ἵνα ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν, οὐκ ἔστη μέχρι τούτου, ἀλλὰ προσέθηκεν, ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι. ἐν δὲ εὐσεβείᾳ καὶ σεμνότητι εἶναι οὐκ ἔνι, μὴ τῆς εἰρήνης ἐκείνης κατορθωθείσης. ὅταν γὰρ λογισμοὶ ζητητικοὶ ταράσσωσιν ἡμῶν τὴν πίστιν, ποία εἰρήνη; ὅταν ἀσελγείας πνεύματα, ποία εἰρήνη; ἵνα γὰρ μὴ νομίσῃς ὅτι τοῦτον ἁπλῶς λέγει τὸν βίον, ὃν πάντες ζῶσιν ἄνθρωποι, εἰπὼν, ἵνα ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν, ἐπάγει, ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι· ἐπεὶ ἔνεστι τὸν ἤρεμον καὶ ἡσύχιον βίον διάγειν καὶ Ἕλληνας, καὶ ἀκολάστους, καὶ σπαταλῶντας, καὶ τρυφῶντας ὥσπερ οἱ τοῦτον τὸν βίον ζῶντας. ἵνα οὖν μάθῃς ὅτι οὐ τοῦτόν φησι, προσέθηκε τὸ, ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι. ἐκεῖνος γὰρ ὁ βίος ἐπιβουλὰς ἔχει καὶ μάχας, τῆς ψυχῆς καθ' ἑκάστην ἡμέραν περισχιζομένης ὑπὸ τῶν θορύβων τῶν ἐν τοῖς λογισμοῖς. ὅτι δὲ τὸν βίον τοῦτον δηλοῦν βούλεται, δῆλον μὲν ἀπὸ τῆς ἐπαγωγῆς, δῆλον δὲ καὶ ἀπὸ τοῦ μὴ ἁπλῶς ἐν εὐσεβείᾳ εἰπεῖν, ἀλλὰ μετὰ προσθήκης τοῦ, πάσῃ. τοῦτο γὰρ εἰπὼν, ἔοικεν οὐ τὴν ἀπὸ τῶν δογμάτων μόνον ἀπαιτεῖν πολιτείαν, ἀλλὰ καὶ τὴν ἀπὸ τοῦ βίου ἀσφαλιζομένην. καὶ γὰρ ἐν ἀμφοτέροις τὴν εὐσέβειαν δεῖ ζητεῖν. τί γὰρ ὄφελος ἐν τῇ πίστει εὐσεβοῦντας διὰ τοῦ βίου ἀσεβεῖν; ὅτι γάρ ἐστι διὰ τοῦ βίου ἀσεβεῖν, ἄκουε

Ψαλ. ρη. γ.
Ψαλ. ριθ. ς.
Ψαλ. ρη. β.

χ. λογισμοῖς, ὁ δὲ τοῦτόν φησι τὸν βίον, ἀλλὰ τὸν ἐν πάσῃ εὐσεβείᾳ, μὴ τῇ τῶν δογμάτων μόνον, ἀλλὰ καὶ τῇ τοῦ βίου. καὶ γὰρ ἐκεῖ τὴν εὐσέβειαν δεῖ ζητεῖν.

Digitized by Google

ἄπιστοι οὐχί, οὐκέτι ὡς ἐν οὐρανῷ τὸ θέλημα αὐτοῦ ἦν, ἀλλὰ τί; ὥσπερ ἐν οὐρανῷ, φησίν, οὐδεὶς πονηρός, οὕτω μηδὲ ἐπὶ τῆς γῆς ἔστω· ἀλλὰ πάντας, φησίν, εἰς τὸν φόβον ἕλκυσον τὸν σαυτοῦ, πάντας ἀγγέλους ποίησον τοὺς ἀνθρώπους, κἂν ἐχθροὶ ἡμῶν ὦσι, κἂν πολέμιοι. οὐχ ὁρᾷς πόσα καθ' ἑκάστην ἡμέραν ὁ Θεὸς βλασφημεῖται; πόσα ὑβρίζεται, καὶ παρὰ τῶν ἀπίστων, καὶ παρὰ τῶν πιστῶν; καὶ διὰ ῥημάτων, καὶ διὰ πραγμάτων; τί οὖν; ἔσβεσε διὰ τοῦτο τὸν ἥλιον; ἐκοίμισε τὴν σελήνην; κατέρραξε τὸν οὐρανόν; ἀνετάραξε τὴν γῆν; ἐξήρανε τὴν θάλασσαν; ἀπέκλεισε τῶν ὑδάτων τὰς πηγάς; συνέχεε τὸν ἀέρα; οὐδαμῶς· ἀλλὰ πᾶν τοὐναντίον· ἀνατέλλει τὸν ἥλιον, βρέχει τὸν ὑετόν, δίδωσι καρπούς, δίδωσι τροφὰς ἐτησίους τοῖς βλασφήμοις, τοῖς ἀνοήτοις, τοῖς μιαροῖς, τοῖς διώκταις, οὐ μίαν ἡμέραν, οὐδὲ δευτέραν, οὐδὲ τρίτην, ἀλλὰ πάντα τὸν βίον. τοῦτον μίμησαι καὶ σύ· τοῦτον ζήλωσον κατὰ δύναμιν ἀνθρωπίνην. οὐ δύνασαι τὸν ἥλιον ἀνατεῖλαι; μὴ κακηγορήσῃς. οὐ δύνασαι ὑετὸν δοῦναι; μὴ λοιδορήσῃς. οὐ δύνασαι θρέψαι; μὴ περιυβρίσῃς. ἀρκεῖ ταῦτα παρὰ σοῦ δῶρα· παρὰ τοῦ Θεοῦ δι' ἔργων γίνεται εἰς τοὺς ἐχθροὺς ἡ εὐεργεσία· σὺ κἂν διὰ λόγων ποίησον· ὑπέρευξαι τοῦ ἐχθροῦ· οὕτως ἔσῃ ὅμοιος τῷ πατρί σου τῷ ἐν οὐρανοῖς. μυριάκις ὑπὲρ τούτων διελέχθημεν, καὶ διαλεγόμενοι οὐ παυόμεθα· μόνον γινέσθω τι πλέον. ἡμεῖς οὐ ναρκῶμεν, οὐδὲ ἀποκάμνομεν, ἡμεῖς οὐ περικακοῦμεν λέγοντες· μόνον ὑμεῖς μὴ ἀκούοντες δόξητε ἐνοχλεῖσθαι. δοκεῖ δέ τις ἐνοχλεῖσθαι, ὅταν μὴ ποιῇ τὰ λεγόμενα. ὁ γὰρ ποιῶν, συνεχῶς βούλεται τὰ αὐτὰ ἀκούειν, ὥσπερ οὐκ ἐνοχλούμενος, ἀλλ' ἐγκωμιαζόμενος. ὥστε οὐδαμόθεν ἄλλοθεν τοῦτο γίνεται, ἀλλ' ἐκ τοῦ μὴ ποιεῖν τὰ λεγόμενα· ἐκεῖθεν καὶ ὁ λέγων φορτικός ἐστιν. ἐάν τις ἐλεημοσύνην, εἰπέ μοι, ποιῇ, εἶτα ἄλλος περὶ ἐλεημοσύνης διαλέγηται, οὐ μόνον οὐκ ἀποκναίει πρὸς τὴν ἀκρόασιν, ἀλλὰ καὶ γάνυται, ἀκούων τῶν οἰκείων κατορθωμάτων λεγομένων καὶ ἀνακηρυττομένων· οὕτως οὖν καὶ ἡμεῖς, ἐπειδὴ οὐδὲν πρὸς ἀνεξικακίαν ἔχομεν κοινόν, οὐδὲ κατώρθωται ἡμῖν τοῦτο, διὰ τοῦτο δοκοῦμεν εἶναι καὶ πρὸς τὰ ῥήματα δυσχερεῖς· εἰ δὲ τὰ πράγματα ἦν, οὐκ ἂν λόγοι ἡμᾶς ἐλύπησαν. εἰ τοίνυν μὴ βούλεσθε ἡμᾶς φορτικοὺς εἶναι, μηδὲ ἐπαχθεῖς, οὕτω ποιήσατε, δι' ἔργων ἐπιδείξασθε τὸ πρᾶγμα· ὡς οὐδέποτε παυσόμεθα ὑπὲρ τῆς αὐτῆς ὑμῖν διαλεγόμενοι, ἕως ἂν κατορθωθῇ ἐν ὑμῖν. μάλιστα μὲν γὰρ καὶ κηδεμονίᾳ, καὶ φιλοστοργίᾳ τῇ πρὸς ὑμᾶς τοῦτο πράττομεν· ἔπειτα δὲ καὶ διὰ τὸν ἐπικείμενον ἡμῖν κίνδυνον. τὸν γὰρ σαλπίζοντα, κἂν μηδεὶς εἰς πόλεμον ἐξίῃ, σαλπίζειν δεῖ, τὸ αὐτοῦ πληροῦντα. οὐ τοίνυν μείζονα ὑμῖν τὴν κόλασιν ἐργάσασθαι βουλόμενοι, τοῦτο πράττομεν, ἀλλὰ τὸ καθ' ἑαυτοὺς ἀποδύσασθαι. μετὰ δὲ τούτου, καὶ ἡ ὑμετέρα ἡμᾶς ἀγάπη κατέχει. σπώμεθα γὰρ τὰ σπλάγχνα, καὶ δακνόμεθα, εἴ τι τοιοῦτο συμβαίη. ἀλλὰ μὴ γένοιτο. οὐκ ἔστι δαπάνης, ὅπερ εἴπομεν νῦν, οὐκ ἔστιν ἐπιζημίας χρημάτων, οὐκ ἔστιν ὁδοῦ μακρᾶς· θελῆσαι δεῖ μόνον, ῥημά ἐστι, προαίρεσίς ἐστι. φυλάττωμεν ἡμῶν τὸ στόμα, θύραν καὶ μοχλὸν ἐπιθῶμεν, ἵνα μηδὲν τῶν μὴ δοκούντων τῷ Θεῷ φθεγξώμεθα. ὑπὲρ ἡμῶν αὐτῶν γίνεται τοῦτο, οὐχ ὑπὲρ ὧν εὐχόμεθα. π. φθεγγόμεθα. τοῦτο ἀεὶ λογιζώμεθα, ὅτι καὶ ὁ εὐλογῶν τὸν ἐχθρόν, ἑαυτὸν εὐλογεῖ, καὶ ὁ καταρώμενος, ἑαυτὸν καταρᾶται, καὶ ὁ εὐχόμενος ὑπὲρ τοῦ ἐχθροῦ, ὑπὲρ ἑαυτοῦ εὔχεται, οὐχ ὑπὲρ ἐκείνου. ἂν οὕτω ταῦτα ποιῶμεν, δυνησόμεθα τὸ κατόρθωμα τοῦτο εἰς ἔργον ἀγαγεῖν, καὶ τυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν.



Digitized by Google

τοῦ; οὐχ ὁρᾷς τί διαπεράττη; μέμνησαι κἂν τὰ παιδία τὰ εἰς διδασκαλεῖον φοιτῶντα, ἅπερ ἐπειδὰν τὴν ἑαυτῶν συμμορίαν ἔνδον ἴδῃ τῶν μαθημάτων ἀπαιτουμένην τὰς εὐθύνας, καὶ διὰ τὴν ῥᾳθυμίαν ἅπαντας τυπτομένους, καὶ καθ' ἕνα ἕκαστον ἐξεταζόμενον πικρῶς καὶ κοπτόμενον ὑπὸ τῶν πληγῶν, ἀποτέθνηκεν ὑπὸ τοῦ δέους· κἂν μυρία τις αὐτὰ πλήξῃ τῶν συμφοιτητῶν, οὐκ ἀνέχεται ὀργισθῆναι, τοῦ φόβου τὴν ψυχὴν κατέχοντος, οὐδὲ ἐντυχεῖν τῷ διδασκάλῳ, ἀλλ' εἰς ἓν μόνον ὁρᾷ, τὸ εἰσελθεῖν καὶ ἀπαλλαγῆναι πληγῶν χωρίς, καὶ πρὸς ἐκεῖνον τὸν καιρὸν σκοπεῖ. κἂν ἐξέλθῃ, εἴτε πληγὰς λαβών, εἴτε μὴ λαβών, οὐδὲ εἰς νοῦν ἐκεῖνα λοιπὸν βάλλεται ὑπὸ τῆς ἡδονῆς. σὺ δὲ ἴσως καὶ μεριμνῶν ὑπὲρ τῶν ἁμαρτημάτων τῶν σῶν, οὐ φείδεις τῶν ἑτέρων μνημονεύων; καὶ πῶς τὸν Θεὸν παρακαλεῖς; δι' ὧν γὰρ αὐτὸν κατ' ἐκείνου ἀξιοῖς, διὰ τούτων καὶ τὰ σαυτοῦ πικρότερα ἐργάζῃ, οὐκ ἀφιεὶς αὐτὸν συγγνώμην δοῦναι τοῖς σοῖς. πῶς γάρ; εἰ θέλεις με γενέσθαι, φησίν, ἐξεταστὴν ἀκριβῆ τῶν εἰς σὲ πεπλημμελημένων, πῶς τῶν παρὰ σοῦ εἰς ἐμὲ γεγενημένων ἀξιοῖς γενέσθαι τὴν συγχώρησιν; μάθωμέν ποτε εἶναι χριστιανοί. εἰ εὔχεσθαι οὐκ ἴσμεν, ὅπερ ἐστὶν εὔκολον καὶ σφόδρα ῥᾴδιον, τί τῶν ἄλλων εἰσόμεθα; μάθωμεν εὔχεσθαι ὡς χριστιανοί. Ἑλλήνων εἰσὶν ἐκεῖναι αἱ εὐχαί, Ἰουδαίων ἐκεῖναι αἱ δεήσεις· τοῦ χριστιανοῦ δὲ ἐναντίαι, ἄφεσιν καὶ ἀμνησικακίαν αἰτεῖν τῶν εἰς ἡμᾶς πεπλημμελημένων. Λοιδορούμενοι, φησίν, εὐλογοῦμεν, διωκόμενοι ἀνεχόμεθα, βλασφημούμενοι παρακαλοῦμεν. ἄκουε τοῦ Στεφάνου λέγοντος, Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. οὐ μόνον οὐ κατηύχετο, ἀλλὰ καὶ ὑπερηύχετο· σὺ δὲ οὐ μόνον οὐχ ὑπερεύχῃ, ἀλλὰ καὶ κατεύχῃ. ὥσπερ ἐκεῖνο θαυμάσιος ἐκεῖνος, οὕτω σὺ κάκιστος. τίνα θαυμάζομεν, εἰπέ μοι; τοὺς ὑπὲρ ὧν ηὔξατο, ἢ τὸν ὑπερευχόμενον; τοῦτον δηλονότι. εἰ δὲ ἡμεῖς, πολλῷ μᾶλλον ὁ Θεός. βούλει πλῆξαι τὸν ἐχθρόν; εὖξαι ὑπὲρ αὐτοῦ, ἀλλὰ μὴ τοιαύτῃ διανοίᾳ, μὴ ὡς πλήξων. τοῦτο μὲν γὰρ γίνεται, σὺ δὲ μὴ τούτῳ ποίει τῷ σκοπῷ. καίτοι ὁ μακάριος ἐκεῖνος ἀδίκως πάντα ἔπασχε, καὶ ὑπερηύχετο· ἡμεῖς δὲ πολλὰ καὶ δικαίως πάσχομεν παρὰ τῶν ἐχθρῶν. εἰ δὲ ὁ ἀδίκως παθὼν οὐκ ἐτόλμησε μὴ ὑπερεύξασθαι, οἱ δίκαια πάσχοντες, καὶ μὴ μόνον οὐχ ὑπερευχόμενοι, ἀλλὰ καὶ κατευχόμενοι, τίνος οὐκ ἐσμὲν ἄξιοι τιμωρίας; δοκεῖς μὲν * ἐκείνῳ διδόναι τὴν πληγήν, τὸ δὲ ἀληθὲς κατὰ σαυτοῦ τὸ ξίφος ὠθεῖς, οὐκ ἀφιεὶς τὸν δικαστὴν ἐν τοῖς σοῖς ἁμαρτήμασι γενέσθαι ἥμερον, δι' ὧν αὐτὸν κατὰ ἑτέρων παροξύνεις. Ὧι γὰρ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν, φησί, καὶ ᾧ κρίματι κρίνετε, κριθήσεσθε. γενώμεθα τοίνυν συγγνωμονικοί *, ἵνα τοιούτου τύχωμεν τοῦ Θεοῦ. ταῦτα οὐκ ἀκούειν ὑμᾶς μόνον βούλομαι, ἀλλὰ καὶ φυλάττειν. ποῦ δὲ μέχρι ῥημάτων ἡ μνήμη μόνον, τάχα δὲ οὐδὲ μέχρι τούτων· ἀλλὰ διαλυθέντων ἡμῶν, ἂν ἐρωτήσῃ τις τῶν μὴ παραγενομένων, τί διελέχθημεν, οἱ μὲν οὐδὲ ἐροῦσιν, οἱ δὲ εἰδότες ἐροῦσι τὴν ὑπόθεσιν, εἰς ἣν εἰρήκαμεν μόνον, ὅτι ὡμίλησεν εἰς τὸ μὴ δεῖν μνησικακεῖν, ἀλλὰ καὶ ὑπερεύχεσθαι, εἶτα ἀφέντες εἰπεῖν τὰ λεχθέντα πάντα. οὐ γὰρ οἷόν τε μεμνῆσθαι. οἱ δὲ μικρὸν μέμνηνται, ἀλλ' ἐνίων. διὸ, παρακαλῶ, εἰ μηδὲν κερδαίνετε ἐκ τῶν λεγομένων, μηδὲ προσέχετε τῇ ἀκροάσει. τί γὰρ τὸ ὄφελος; μεῖζον τὸ κρίμα γίνεται, χαλεπωτέρα ἡ τιμωρία, ὅτι μετὰ μυρίας παραινέσεις τοῖς αὐτοῖς ἐπιμένομεν. διὰ τοῦτο εὐχὴν ἡμῖν ὥρισεν ὁ Θεός, ἵνα μηδὲν βιωτικόν, μηδὲ ἀνθρώπινον αἰτῶμεν. ἴστε δὴ οἱ πιστοὶ πῶς δεῖ εὔχεσθαι, πῶς πᾶσα κοινή ἐστιν ἡ εὐχή. ἀλλ' οὐκ εἴρηται, φησίν, ὑπὲρ τῶν ἀπίστων εὔχεσθαι ἐκεῖ. ἐπειδὴ μὴ ἴστε τῆς εὐχῆς τὴν δύναμιν, μηδὲ τὸ βάθος, καὶ τὸν θησαυρὸν αὐτῆς ἐπιγινώσκετε. εἰ γάρ τις αὐτὴν ἀναπτύξειεν, εὑρήσει καὶ τοῦτο κείμενον ἐν αὐτῇ. ὅταν γὰρ λέγῃ ὁ εὐχόμενος, Γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς, οὐδὲν ἄλλο ἢ τοῦτο αἰτεῖται. πῶς; ὅτι ἐν οὐρανῷ οὐδεὶς ἄπιστος, οὐδεὶς παροξύνων. εἰ τοίνυν περὶ τῶν πιστῶν μόνων ἦν, οὐκ εἶχε λόγον τὸ λεγόμενον. εἰ γὰρ οἱ πιστοὶ μὲν γίνονται τὸ θέλημα αὐτοῦ ποιοῦσι, οἱ δὲ ἄπιστοι

ν. ἐναποτέθνηκεν

ν. χείρονα

ν. δικαίως

* οὕτω ποιῶν

* πρὸς τοὺς λυπήσαντας ἡμᾶς,

ν. μηδὲν

* μόνον

α. Κορ. δ: ιϛ.
Πραξ. ζ. ξ.

Ματθ. ζ. β.

ἐρεῖ τις, ὅτι οὐχ ὑπὲρ πάντων εἶπεν, ἀλλ' ὑπὲρ τῶν πιστῶν. τί οὖν ὅταν λέγῃ ὑπὲρ βα-
σιλέων; οὐ γὰρ δὴ τότε θεοσεβεῖς ἦσαν βασιλεῖς, ἀλλὰ μέχρι πολλοῦ παρέμενον, ἀσεβεῖς ἀ-
σεβεῖς διαδεχόμενοι. εἶτα ἵνα μὴ κολακεία τὸ πρᾶγμα ᾖ, προλαβὼν εἶπεν, ὑπὲρ
πάντων, καὶ τότε, ὑπὲρ βασιλέων. εἰ γὰρ εἶπεν, ὑπὲρ βασιλέων μόνων, ἴσως ἄν τις τοῦτο
ὑπέλαβεν. εἶτα ἐπειδὴ εἰκὸς ἦν τὴν τοῦ χριστιανοῦ ψυχὴν ναρκᾶν ταῦτα ἀκούουσαν,
καὶ μὴ προσίεσθαι τὴν παραίνεσιν, εἴγε ὑπὲρ τοῦ Ἕλληνος ἐν τῷ τῶν μυστηρίων δεῖ καιρῷ
δεήσεις προσφέρειν, ὅρα τί φησι, καὶ πῶς τίθησι τὸ κέρδος, ἵνα κἂν οὕτω δέξῃ τὴν παραίνεσιν.
ἵνα ἤρεμον, φησι, καὶ ἡσύχιον βίον διάγωμεν. τουτέστιν, ἡ ἐκείνων σωτηρία, ἡμῶν ἀμεριμνία
ὑπάρχει. ὥσπερ καὶ ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ, παρατρέπων αὐτοὺς πείθεσθαι τοῖς
Ρωμ. ιγ. α. ἄρχουσι, φησιν· Εἰ μὴ διὰ τὴν ἀνάγκην, ἀλλὰ διὰ τὴν συνείδησιν. ὁ γὰρ Θεὸς εἰς
τὸ κοινῇ χρήσιμον τὰς ἀρχὰς διετάξατο. πῶς οὖν οὐκ ἄτοπον αὐτοὺς μὲν ὑπὲρ τούτου στρα-
τεύεσθαι, καὶ τὰ ὅπλα τίθεσθαι, ἵν' ἡμεῖς ἐν ἀδείᾳ ὦμεν· ἡμᾶς δὲ μηδὲ ὑπὲρ τῶν κινδυνευ-
όντων καὶ στρατευομένων ποιεῖσθαι δεήσεις; ὥστε οὐ κολακεία ἐστὶ τὸ πρᾶγμα, ἀλλὰ κατὰ
τὸν τοῦ δικαίου γίνεται λόγον. εἰ γὰρ μὴ ἐσώζοντο, μηδὲ εὐδοκίμουν ἐν τοῖς πολέμοις, ἀνάγκη
καὶ τὰ ἡμέτερα ἐν ταραχαῖς εἶναι καὶ θορύβοις. ἢ γὰρ καὶ αὐτοὺς ἡμᾶς στρατεύεσθαι ἔδει, κατα-
κοπέντων ἐκείνων, ἢ φεύγειν πανταχοῦ καὶ πλανᾶσθαι. καθάπερ γὰρ προβολοί τινές εἰ-
σι, φησι, προβεβλημένοι, καὶ τοὺς ἔνδον ἐν εἰρήνῃ φυλάττοντες. δεήσεις, φησὶ, προσευχάς,
ἐντεύξεις, εὐχαριστίας. δεῖ γὰρ εὐχαριστεῖν τῷ Θεῷ καὶ ὑπὲρ τῶν εἰς ἄλλους γινομένων
ἀγαθῶν, οἷον ὅτι τὸν ἥλιον ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, ὅτι βρέχει ἐπὶ δικαίους καὶ ἀ-
δίκους. ὁρᾷς ὅτι οὐ μόνον διὰ τῆς εὐχῆς, ἀλλὰ καὶ διὰ τῆς εὐχαριστίας ἑνοῖ καὶ συγκολλᾷ ἡ-
μᾶς; ὁ γὰρ ἀναγκαζόμενος εὐχαριστεῖν τῷ Θεῷ ὑπὲρ τῶν τοῦ πλησίον ἀγαθῶν, ἀναγκά-
ζεται καὶ φιλεῖν αὐτὸν καὶ οἰκείως πρὸς αὐτὸν διακεῖσθαι. εἰ δὲ ὑπὲρ τῶν τοῦ πλησίον εὐ-
χαριστεῖν δεῖ, πολλῷ μᾶλλον ὑπὲρ τῶν εἰς ἡμᾶς [καὶ τῶν λάθρα] γινομένων, καὶ ἑκόντων,
καὶ ἀκόντων, καὶ ὑπὲρ τῶν δοκούντων εἶναι λυπηρῶν. καὶ γὰρ πρὸς τὸ ἀγαθὸν ὁ Θεὸς ἡμῖν ἅ-
παντα οἰκονομεῖ.

ΗΘΙΚΟΝ Πᾶσα τοίνυν ἡμῖν εὐχὴ εὐχαριστίαν ἐχέτω. εἰ δὲ καὶ ὑπὲρ εὔχεσθαι τῶν πλησίον οὐχὶ πιστῶν
μόνον, ἀλλὰ καὶ ἀπίστων προστατόμεθα, ἐννόησον ὅσον ἐστὶ κακὸν κατεύχεσθαι τῶν ἀδελφῶν.
τί λέγεις; ἐκεῖνός σε ὑπὲρ ἐχθρῶν ἐκέλευσεν εὔχεσθαι, σὺ δὲ τοῦ ἀδελφοῦ κατεύχῃ; οὐκ
ἐκείνου κατεύχῃ, ἀλλὰ σαυτοῦ. τὸν γὰρ Θεὸν παροξύνεις, ἐκεῖνα τὰ ἀνόσια φθεγγόμενος
ῥήματα, οὕτω δεῖξον αὐτῷ, οὕτω ποίησον αὐτῷ, βάλε αὐτὸν, ἀπόδος αὐτῷ. πόρρω ταῦ-
τα τῶν τοῦ Χριστοῦ μαθητῶν, τῶν ἐπιεικῶν καὶ προσηνῶν. τοῦ στόματος τοῦ ἠξιωμένου
τοιαύτης μυσταγωγίας μηδὲν πικρὸν ἐκβαινέτω, μηδὲν ἀηδὲς ἡ τῷ θείῳ σώματι προσ-
ομιλοῦσα γλῶσσα. καθαρὰν αὐτὴν φυλάττωμεν, μὴ ἀρὰς προσφέρωμεν δι' αὐ-
α Κορ. ς. ι. τῆς. εἰ γὰρ λοίδοροι οὐ κληρονομήσουσι βασιλείαν, πολλῷ μᾶλλον οἱ κατευχόμενοι.
ἀνάγκη γὰρ καὶ ὑβρίζειν τὸν κατευχόμενον. ὕβρεις δὲ καὶ εὐχὴ ἀλλήλων ἀπεσχοίνισται. ἀρὰ καὶ
εὐχὴ πολὺ τὸ μέσον ἔχει· κατηγορία καὶ εὐχὴ πολὺ τὸ μέσον ἔχουσι. προσεύχῃ τὸν Θεὸν ἵλε-
Ματθ. ε. ων ποιῆσαι, καὶ ἑτέρου κατεύχῃ; ἐὰν μὴ ἀφῇς, οὐκ ἀφεθήσεταί σοι. καὶ αὐτὸς οὐ μόνον οὐκ
ἀφίης, ἀλλὰ καὶ τὸν Θεὸν μὴ ἀφεῖναι παρακαλεῖς; εἶδες ὑπερβολὴν κακίας; εἰ τῷ μὴ
ἀφιέντι οὐκ ἀφίεται, τῷ καὶ τὸν δεσπότην παρακαλοῦντι μὴ ἀφεῖναι, πῶς ἀφεθήσεται;
οὐκ ἐκεῖνον βλάπτεις, ἀλλὰ σαυτόν. τί δήποτε; εἰ γὰρ καὶ ἀκούεσθαι ἔμελλες ὑπὲρ τῶν
σαυτοῦ, διὰ ταῦτα οὐδέποτε εἰσακουσθήσῃ, ὅτι μιαρῷ στόματι τὰς εὐχὰς ποιεῖς. μιαρὸν γὰρ
ὄντως τὸ τοιοῦτον στόμα, καὶ ἀκάθαρτον, πάσης δυσωδίας ἐμπεπλησμένον, πάσης ἀκαθαρ-
σίας. δέον σε ὑπὲρ τῶν σῶν τρέμειν ἁμαρτημάτων, καὶ τὸν ἀγῶνα πάντα ὑπὲρ τούτων ποιεῖ-
σθαι, σὺ δὲ προσέρχῃ τὸν Θεὸν κινήσων κατὰ τοῦ ἀδελφοῦ; οὐ γὰρ δέδοικας, καὶ μεριμνᾷς τὰ σαυ-



Digitized by Google

ἐὰν τοῦτο πίνητε, τὸν θάνατον τοῦ Κυρίου καταγγέλλετε. οὐχ ὁρᾷς πῶς καιροῦ περιέγραψε τὴν θυσίαν; πῶς οὖν τότε, φησί, πάσχα λέγεται; ὅτι τότε ἔπαθεν ὁ Χριστὸς ὑπὲρ ἡμῶν. μηδεὶς τοίνυν ἑτέρως ἐκείνῳ προσίτω· καὶ τούτῳ ἄλλως. μία δύναμίς ἐστι, μία ἀξία, μία χάρις, ἓν σῶμα καὶ τὸ αὐτό. οὐκ ἐκεῖνο τούτου ἁγιώτερον, οὐδὲ τοῦτο ἐκείνου ἔλαττον. καὶ τοῦτο καὶ ὑμεῖς ἴστε, οὐδὲν καινότερον ὁρῶντες, πλὴν τῶν κοσμικῶν τούτων παραπετασμάτων καὶ τοῦ λαμπροῦ πλήθους. ἔχουσι δὲ καὶ πλέον αἱ ἡμέραι ἐκεῖναι τοῦτο, ὅτι ἀπ' αὐτῶν ἀρχὴν ἔλαβεν ἡ σωτήριος ἡμῶν ἡμέρα, ὅτε ἐν αὐτῇ ἐτύθη ὁ Χριστός, λοιπὸν δὲ κατὰ τὰ μυστήρια οὐδεμίαν προτέρησιν ἔχουσι. καὶ ἑορτῇ μὲν προσβάλλων αἰσθητῇ, νίπτεις τὰς χεῖρας, πλύνεις δὲ σῶμα· ἑορτῇ δὲ μέλλων προσιέναι πνευματικῇ, οὐ νίπτεις τὴν ψυχήν, ἀλλὰ γέμων ἀκαθαρσίας προσέρχῃ; καὶ τί; φησίν· οὐκ ἀρκοῦσιν αἱ τῶν τεσσαράκοντα ἡμερῶν ἱκετεῖαι τὸν πολὺν φορυτὸν καθᾶραι τῶν ἁμαρτημάτων; καὶ τί τὸ ὄφελος, εἰπέ μοι; ἂν τις μύρον ἀποθέσθαι θέλων καθαίρῃ τὸν τόπον, εἶτα πάλιν μικρὸν μετὰ τὸ ἐμβαλεῖν καὶ κόπρον ἐπιβάλῃ, οὐκ ἀπόλλυται ἡ εὐωδία; τοῦτο γίνεται καὶ ἡμῖν. ἐγενόμεθα ἄξιοι προσστρεχόμενοι κατὰ δύναμιν τὴν ἡμετέραν· εἶτα πάλιν μολύνομεν ἑαυτούς. ποῖον δὲ κέρδος; τοῦτο καὶ περὶ τῶν δυναμένων ἐν ταῖς τεσσαράκοντα ἡμέραις ἀποπλύνεσθαί φαμεν. μὴ δὴ ἀμελῶμεν τῆς ἡμετέρας σωτηρίας, παρακαλῶ, ἵνα μὴ γένηται κενὸς ὁ κόπος ἡμῶν. ἄνθρωπος γάρ, φησίν, ἀποστρέφων ἀπὸ ἁμαρτίας αὐτοῦ, καὶ πάλιν πορευόμενος, καὶ τὰ αὐτὰ ποιῶν, ὥσπερ κύων ἐστὶν ἐπὶ τὸν ἴδιον ἔμετον ἐπιστρέφων. ἂν οὕτω ποιῶμεν, καὶ οὕτω προσέχωμεν, δυνησόμεθα τῶν βραβείων ἀξιωθῆναι ἐκείνων, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν.

χ. συμβαίνει

Παροιμ. κϛ. ια

Λογ. ϛ. 1 ΠΑΡΑΚΑΛΩ ΟΥΝ ΠΡΩΤΟΝ ΠΑΝΤΩΝ ποιεῖσθαι δεήσεις, προσευχάς, ἐντεύξεις, εὐχαριστίας ὑπὲρ πάντων ἀνθρώπων, 2 Ὑπὲρ βασιλέων, καὶ πάντων τῶν ἐν ὑπεροχῇ ὄντων, ἵνα
*ἤρεμον, καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ, καὶ σεμνότητι.
3 Τοῦτο γὰρ καλὸν καὶ ἀπόδεκτον ἐνώπιον τοῦ σωτῆρος ἡμῶν Θεοῦ,
4 Ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν.

* ἐν τῇ γαλήνῃ αἰῶν.

Ὥσπερ κοινός τίς ἐστι πατὴρ τῆς οἰκουμένης ἁπάσης ὁ ἱερεύς. πάντων τοίνυν ἄξιον αὐτὸν κήδεσθαι, καθάπερ καὶ ὁ Θεός, ᾧ ἱερᾶται. διὰ τοῦτό φησι, παρακαλῶ οὖν πρῶτον πάντων ποιεῖσθαι δεήσεις, προσευχάς. δύο γὰρ ἐντεῦθεν γίνεται τὰ ἀγαθά, τό τε ἔχθος, ὃ πρὸς τοὺς ἔξω ἔχομεν, καταλύεται (οὐδεὶς γὰρ πρὸς τοῦτον ἀπεχθῶς ἔχειν δύναιτο, ὑπὲρ οὗ δεήσεις ποιεῖται) αὐτοί τε ἐκεῖνοι βελτίους γίνονται τῷ τε εὐχὰς ὑπὲρ αὐτῶν γίνεσθαι, τῷ τε μὴ ἐκθηριοῦσθαι πρὸς ἡμᾶς. οὐδὲν γὰρ οὕτω πρὸς διδασκαλίαν ἐπαγωγόν, ὡς τὸ φιλεῖν καὶ φιλεῖσθαι. ἐννόησον δὲ ὅσον ἦν ἀκούειν τοὺς ἐπιβουλεύοντας, τοὺς μαστίζοντας, τοὺς ἐλαύνοντας, τοὺς ἀποκτιννύντας, ὅτι οἱ τὰ τοιαῦτα πάσχοντες ὑπὲρ τῶν τὰ τοιαῦτα δρώντων προσευχὰς πρὸς τὸν Θεὸν ποιοῦνται ἐκτενεῖς. ὁρᾷς πῶς ἀνώτερον εἶναι βούλεται τὸν Χριστιανὸν πάντων; καθάπερ γὰρ ἐπὶ τῶν παίδων τῶν νηπίων, κἂν βασταζόμενον τὸ παιδίον τύπτῃ τοῦ πατρὸς τὴν ὄψιν, οὐδὲν ὑποτέμνεται τῆς φιλοστοργίας, οὕτω κἂν τυπτώμεθα παρὰ τῶν ἔξωθεν, οὐδὲν ὀφείλομεν ἐλαττοῦν τῆς εὐνοίας τῆς πρὸς αὐτούς. τί δέ ἐστι τό, πρῶτον πάντων; τουτέστιν, ἐν τῇ λατρείᾳ τῇ καθημερινῇ· καὶ τοῦτο ἴσασιν οἱ μύσται, πῶς καθ' ἑκάστην ἡμέραν γίνεται, καὶ ἐν ἑσπέρᾳ, καὶ ἐν πρωΐᾳ· πῶς ὑπὲρ παντὸς τοῦ κόσμου, καὶ βασιλέων, καὶ πάντων τῶν ἐν ὑπεροχῇ ὄντων ποιούμεθα τὴν δέησιν. ἀλλ' ἴσως

ἐρεῖ

κηφᾶς Ἀνανίαν, ἀλλὰ τῷ Σατανᾷ παρέδωκας; οὐχ ἵνα κολασθῶσιν, ἀλλ' ἵνα παιδευθῶσι. [α. Κορ. δ. κα.] καίτοι καὶ οὗτος εἶχεν ἰσχύν, ὡς ὅταν λέγῃ· Τί θέλετε; ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς; καὶ πάλιν· [β Κορ. ιγ. ζ. ι.] Οὐχ ἵνα ἡμεῖς δόκιμοι φανῶμεν, ἀλλ' ἵνα ὑμεῖς τὸ καλὸν ποιῆτε. καὶ πάλιν, Οὐκ εἰς καθαίρεσιν, ἀλλ' εἰς οἰκοδομήν. τί οὖν τὸν Σατανᾶν καλεῖ πρὸς τὴν τιμωρίαν; ἵνα μετὰ τῆς σφοδρότητος καὶ τῆς κολάσεως καὶ ἡ ὕβρις ᾖ μείζων. μᾶλλον δὲ τοὺς μὲν ἀπίστους αὐτοὶ ἐπαίδευον, τοὺς δὲ ἐκτραπέντας τῷ Σατανᾷ παρεδίδοσαν. τί δήποτε δὲ Πέτρος τὸν Ἀνανίαν; καὶ γὰρ ὁ Ἀνανίας ἄπιστος ἦν ἔτι πειράζων, ἵνα μάθωσι τοίνυν οἱ ἄπιστοι, ὅτι οὐ δύναται λαθεῖν, διὰ τοῦτο δι' ἑαυτῶν αὐτοὺς ἐτιμωροῦντο· τοὺς δὲ τοῦτο μαθόντας λοιπόν, εἶτα ἐκτραπέντας, τῷ Σατανᾷ παρεδίδοσαν, δεικνύντες ὅτι οὐκ οἰκείᾳ δυνάμει, ἀλλὰ τῇ αὐτῶν φυλακῇ συνείχοντο, καὶ "παρεδίδοντο ὅσοι εἰς ἀπόνοιαν ἤρθησαν. καθάπερ οὖν ἐπὶ τῶν βασιλέων, τοὺς μὲν πολεμίους καὶ οἰκείαις σφάττουσι χερσί, τοὺς δὲ ὑφ' ἑαυτοὺς τοῖς δημίοις παραδιδόασιν, οὕτω καὶ ἐνταῦθα. "δείκνυται δὲ ἀπὸ τούτου, ὅτι διὰ τὴν τῶν ἀποστόλων φυλακὴν τοῦτο ἐγίνετο· ἄλλως δὲ οὐδὲ μικρὸν ἦν τὸ δύνασθαι ἐπιτάττειν τῷ διαβόλῳ. τοῦτο γὰρ δεικνύντος ἦν, ὅτι δουλεύει καὶ εἴκει καὶ ἄκων τοῖς ἀποστόλοις ὁ διάβολος. ὥστε οὐκ ἔλαττον εἰς χάριν τοῦτο ἦν. [α Κορ. ε. δ.] πῶς δὲ παρέδωκεν, ἄκουσον. Συναχθέντων ὑμῶν, φησί, καὶ τοῦ ἐμοῦ πνεύματος σὺν τῇ δυνάμει τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, παραδοῦναι τὸν τοιοῦτον τῷ Σατανᾷ. ἐξεβάλλετο οὖν εὐθέως τοῦ κοινοῦ συνεδρίου, ἀπεσχίζετο τῆς ἀγέλης, ἐγίνετο ἔρημος καὶ γυμνός, παρεδίδοτο τῷ λύκῳ. ὥσπερ γὰρ ἡ νεφέλη τὸ στρατόπεδον τῶν Ἑβραίων, οὕτω τὴν ἐκκλησίαν τὸ πνεῦμα ἐτείχιζεν. εἴ τις τοίνυν ἐκτὸς ἐγένετο, κατεκαίετο· ἐγίνετο δὲ ἐκτὸς τῇ κρίσει τῶν ἀποστόλων. [Ιωαν. ιγ. κζ.] οὕτω καὶ ὁ Κύριος παρέδωκε τὸν Ἰούδαν τῷ Σατανᾷ. Εὐθέως γὰρ μετὰ τὸ ψωμίον εἰσῆλθεν εἰς ἐκεῖνον ὁ Σατανᾶς. ἔστι δὲ καὶ τοῦτο εἰπεῖν, ὅτι οὓς μὲν διορθώσασθαι ἐβούλοντο, οὐκ ἐκόλαζον αὐτοί· τοὺς δὲ ἀδιορθώτους αὐτοὶ ἐτιμωροῦντο· ἢ εἰ μὴ τοῦτο, ὅτι φοβερώτεροι μᾶλλον ἦσαν ἑτέροις ἐκδιδόντες αὐτούς. οὕτω καὶ ὁ Ἰὼβ παρεδόθη τῷ Σατανᾷ. ἀλλ' ἐκεῖνος οὐχ ὑπὲρ ἁμαρτημάτων, ἀλλ' ὑπὲρ πλείονος εὐδοκιμήσεως.

[γ. ἀπείχοντο] [γ. δείκνυσι δὲ]

ΗΘΙΚΟΝ

Πολλὰ τοιαῦτα γίνεται καὶ νῦν. ἐπειδὴ γὰρ οἱ ἱερεῖς οὐ πάντας ἴσασι τοὺς ἁμαρτωλοὺς καὶ ἀναξίως τῶν μυστηρίων μετέχοντας, ὁ Θεὸς πολλάκις τοῦτο ποιεῖ, καὶ παραδίδωσιν αὐτοὺς τῷ Σατανᾷ. ὅταν γὰρ νόσοι, ὅταν ἐπιβουλαί, ὅταν πένθη, καὶ συμφοραὶ συμβαίνωσιν, ὅταν ἄλλα τινὰ τοιαῦτα, διὰ τοῦτο γίνεται. [α. Κορ. ια. λ.] καὶ τοῦτο ὁ Παῦλος δηλοῖ οὕτω λέγων· Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι, καὶ κοιμῶνται ἱκανοί. καὶ πῶς, φησίν, ὅταν ἅπαξ "δι' ἐνιαυτοῦ προσερχώμεθα; τοῦτο γὰρ τὸ δεινόν, ὅτι οὐ καθαρότητι διανοίας, ἀλλὰ διαστήματι χρόνου τὴν ἀξίαν διορίζεις τῆς προσόδου· καὶ τοῦτο εὐλάβειαν εἶναι νομίζεις, τὸ μὴ πολλάκις προσελθεῖν, οὐκ εἰδὼς ὅτι τὸ ἀναξίως προσελθεῖν, κἂν ἅπαξ γένηται, ἐκηλίδωσε· τὸ δὲ ἀξίως, κἂν πολλάκις, ἔσωσεν. οὐκ ἔστι τόλμα τὸ πολλάκις προσιέναι, ἀλλὰ τὸ ἀναξίως, κἂν ἅπαξ τις τοῦ παντὸς χρόνου προσέλθῃ. ἡμεῖς δὲ οὕτως ἀνοήτως διακείμεθα καὶ ἀθλίως, ὅτι μυρία διὰ παντὸς ἐργαζόμενοι τοῦ ἐνιαυτοῦ κακά, τοῦ μὲν ἀποδύσασθαι ἐκεῖνα οὐδεμίαν ποιούμεθα φροντίδα, νομίζομεν δὲ * ἀρκεῖν τὸ μὴ συνεχῶς κατατολμᾶν καὶ ἐπιπηδᾶν ὑβριστικῶς τῷ σώματι τοῦ Χριστοῦ, οὐκ ἐννοοῦντες ὅτι καὶ οἱ τὸν Χριστὸν σταυρώσαντες ἅπαξ ἐσταύρωσαν. ἆρ' οὖν ἐπειδὴ ἅπαξ, ἔλαττον τὸ ἁμάρτημα; καὶ ὁ Ἰούδας δὲ ἅπαξ παρέδωκε. τί οὖν; τοῦτο αὐτὸν ἐξείλετο; διὰ τί γὰρ χρόνῳ τὸ πρᾶγμα μετρούμεθα; χρόνος προσόδου ἔστω ἡμῖν, ὁ καθαρὸς συνειδός. οὐδὲν πλέον ἔχει τὸ ἐν τῷ Πάσχα μυστήριον τοῦ νῦν τελουμένου. ἕν ἐστι καὶ τὸ αὐτό· ἡ αὐτὴ τοῦ πνεύματος χάρις· ἀεὶ Πάσχα ἐστίν. ἴσασιν οἱ μύσται τὸ εἰρημένον. καὶ ἐν παρασκευῇ, καὶ ἐν σαββάτῳ, καὶ ἐν κυριακῇ, καὶ ἐν ἡμέρᾳ μαρτύρων ἡ αὐτὴ θυσία ἐπιτελεῖται. [α. Κορ. ια. κϛ.] Ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον, φησί, τοῦτον, ἢ τὸ ποτή-

[γ. τοῦ] [* ἡμῖν]

χ. ἐρχόμενος.

οὐκ ἐγώ εἰμι ὁ παραγγέλλων, ἀλλ' ὁ ἐλόμενος. τὸ μὲν γὰρ κατὰ τὰς προαγούσας ἐπὶ σὲ προφητείας, τοῦτ' ἔστιν· ἐκείνων ἄκουσον, ἐκείναις πείθου. τί δὲ παραγγέλλεις, εἰπέ. ἵνα στρατεύῃ ἐν αὐταῖς τὴν καλὴν στρατείαν. [ἐκεῖναί σε εἵλοντο εἰς ὃ εἵλοντό σε, στρατεύου τὴν καλὴν στρατείαν.] καλὴν εἶπεν. ἔστι γὰρ καὶ κακὴ στρατεία, περὶ ἧς φησιν· Ὥσπερ γὰρ παρεστήσατε τὰ μέλη ὑμῶν ὅπλα τῇ ἁμαρτίᾳ καὶ τῇ ἀκαθαρσίᾳ. ἐκεῖνοι ὑπὸ τυράννῳ στρατεύονται, σὺ δὲ ὑπὸ βασιλεῖ. διὰ τί δὲ καλεῖ στρατείαν τὸ πρᾶγμα; δηλῶν ὅτι πόλεμος ἐγήγερται σφοδρὸς, πᾶσι μὲν, μάλιστα δὲ τῷ διδασκάλῳ, ὅτι ὅπλων ἡμῖν ἰσχυρῶν δεῖ, ὅτι νήψεως, ὅτι ἐγρηγόρσεως, ὅτι διηνεκοῦς ἀγρυπνίας, ὅτι πρὸς αἷμα καὶ μάχας παρεσκευάσθαι ὀφείλομεν, ὅτι παρατάττεσθαι, καὶ μηδὲν ἔχειν χαῦνον. ἵνα στρατεύῃ ἐν αὐταῖς, φησί. καθάπερ γὰρ ἐπὶ τῶν στρατοπέδων οὐ πάντες εἰς ἓν εἶδος στρατεύονται, ἀλλ' ἐν διαφόροις τάγμασιν, οὕτω καὶ ἐν τῇ ἐκκλησίᾳ, ὁ μὲν εἰς διδασκάλου τάξιν, ὁ δὲ εἰς μαθητοῦ, ὁ δὲ εἰς ἰδιώτου, [σὺ δὲ ἐν τούτῳ.] εἶτα ἵνα μή τις νομίσῃ ἀρκεῖν τοῦτο, τί φησιν; ἔχων πίστιν καὶ ἀγαθὴν συνείδησιν. τὸν γὰρ διδάσκοντα πρὸ ἑτέρων ἑαυτοῦ χρὴ εἶναι διδάσκαλον. ὥσπερ γὰρ ὁ στρατηγὸς, ἐὰν μὴ πρότερον ᾖ στρατιώτης ἄριστος, οὐδὲ στρατηγὸς ἔσται ποτέ, οὕτω καὶ ὁ διδάσκων. τοῦτο καὶ ἀλλαχοῦ φησι· Μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι. ἔχων, φησί, πίστιν καὶ ἀγαθὴν συνείδησιν, ἵν' οὕτω τῶν ἄλλων προΐστασθαι. Ταῦτα ἀκούοντες, μὴ ἀπαξιώσωμεν τὰς τῶν μειζόνων παραινέσεις, κἂν διδάσκαλοι ὦμεν. εἰ γὰρ Τιμόθεος, οὗ πάντες οὐκ ἐσμὲν ἀντάξιοι, δέχεται παραγγελίας καὶ διδάσκεται, καὶ ταῦτα ἐν τάξει διδασκάλου ὢν, πολλῷ μᾶλλον ἡμεῖς. ἥν τινες, φησίν, ἀπωσάμενοι, περὶ τὴν πίστιν ἐναυάγησαν. Εἰκότως. ὅταν γὰρ ὁ βίος ἀπεγνωσμένος, καὶ δόγμα τίκτεται τοιοῦτον. καὶ ἔστιν ἰδεῖν πολλοὺς ἐκ τούτου καταπεσόντας εἰς βυθὸν κακῶν, καὶ εἰς ἑλληνισμὸν ἐκτραπέντας. ἵνα γὰρ μὴ τῷ φόβῳ τῶν μελλόντων βασανίζωνται, σπουδάζουσι πεῖσαι τὴν ψυχὴν, ὅτι ψευδῆ πάντα τὰ παρ' ἡμῖν. καὶ πίστεώς τινες ἐκτρέπονται, οἱ λογισμοῖς τὸ πᾶν ζητοῦντες. ναυάγιον γὰρ ἐργάζεται ὁ λογισμὸς, καὶ ὥσπερ πλοῖον ἀσφαλές ἐστιν ἡ πίστις. τοὺς ἐκτραπέντας τοίνυν ἐκεῖθεν ἀνάγκη ναυαγεῖν. καὶ δείκνυσι τοῦτο ἀπὸ τοῦ ὑποδείγματος.

Ῥωμ. ϛ. ιθ.

χ. ἐγείρεται.

α. Κορ. θ. κζ.

20 Ὧν ἐστιν Ὑμέναιος, φησί, καὶ Ἀλέξανδρος. Καὶ ἀπὸ τούτων ἡμᾶς σωφρονίζει. ὁρᾶτε πῶς ἐξ ἐκείνων τῶν χρόνων ἦσαν οἱ παραδιδάσκοντες, οἱ πολυπραγμονοῦντες, οἱ τῆς πίστεως ἀποτυχόντες, οἱ ζητοῦντες λογισμοῖς οἰκείοις; ὁ ναυαγῶν, γυμνὸς καὶ πάντων ἐστὶν ἔρημος· οὕτω καὶ ὁ τῆς πίστεως ἐκπεσὼν, οὐδὲν ἔχει λοιπὸν, οὐχ ὅπου στῇ, οὐχ ὅπου κατάσχῃ, οὐ βίον ἔχει, δι' οὗ κερδαίνῃ τι ἐκεῖθεν. τῆς γὰρ κεφαλῆς διεφθαρμένης, τί τοῦ λοιποῦ σώματος ὄφελος; εἰ γὰρ ἡ πίστις βίου χωρὶς οὐδέν ἐστι, πολλῷ μᾶλλον πολιτεία. εἰ τῶν αὐτοῦ καταφρονεῖ ὁ Θεὸς δι' ἡμᾶς, πολλῷ μᾶλλον ἡμᾶς τῶν ἡμετέρων δι' αὐτὸν χρὴ καταφρονεῖν. οὕτω γάρ ἐστιν, ὅταν τις ἐκπέσῃ τῆς πίστεως, οὐδαμοῦ ἵσταται, ἀλλὰ ἄλλῃ ἄλλως ἄγεται, ἕως ἂν καταποντισθῇ πάλιν. Οὓς παρέδωκα, φησί, τῷ Σατανᾷ, ἵνα παιδευθῶσι μὴ βλασφημεῖν. Ὁρᾷς ὅτι βλασφημία ἐστὶ τὸ λογισμοῖς ζητεῖν τὰ θεῖα; Εἰκότως. τί γὰρ ἂν ἔχοι κοινὸν λογισμὸς ἀνθρώπινος πρὸς ἐκεῖνα; πῶς δὲ ὁ Σατανᾶς αὐτοὺς παιδεύει μὴ βλασφημεῖν; εἰ γὰρ τοὺς ἄλλους παιδεύει μὴ βλασφημεῖν, πολλῷ μᾶλλον ἑαυτὸν ἐχρῆν. εἰ δὲ ἑαυτὸν μέχρι τοῦ νῦν οὐ δύναται παιδεῦσαι, οὐδὲ τοὺς ἄλλους. οὐκ εἶπεν, ἵνα παιδεύσῃ αὐτοὺς μὴ βλασφημεῖν, ἀλλ', ἵνα παιδευθῶσι μὴ βλασφημεῖν. οὐκ ἐκεῖνος τοῦτο ἐργάζεται, ἀλλὰ τοῦτο ἐκβαίνει. ὥσπερ οὖν καὶ ἀλλαχοῦ φησιν ἐπὶ τοῦ πεπορνευκότος· Παράδοτε τὸν τοιοῦτον τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκὸς· οὐχ ἵνα σωθῇ τὸ σῶμα, ἀλλ' ἵνα σωθῇ τὸ πνεῦμα. τοῦτο δὲ ἀσαφέστερόν ἐστι. πῶς οὖν τοῦτο γίγνεται; ὥσπερ οὖν οἱ δήμιοι μυρίων γέμοντες κακῶν τοὺς ἄλλους σωφρονίζουσιν, οὕτω καὶ ἐνταῦθα ἐπὶ τοῦ πονηροῦ δαίμονος. καὶ διὰ τί μὴ σὺ αὐτοὺς ἐκόλασας, ὥσπερ ἐκεῖνον τὸν Βαριησοῦν, ὥσπερ

χ. περὶ τὰ θεῖα μυστήρια

α. Κορ. ε. ε.

χέως πορνεύσει. οὐδὲ γὰρ εὑρίσκει ταῦτα παρὰ τῇ πόρνῃ, ἀλλὰ τὰ τούτοις ἐναντία. μὴ τοίνυν διδάξῃς αὐτὴν ὑπὸ γέλωτος ἁλίσκεσθαι, μηδὲ ὑπὸ σχήματος ἐκκεχυμένου, ἵνα μὴ κατὰ σαυτῆς ἀρτύσῃς τὰ φάρμακα. παίδευε αὐτὴν κοσμιότητι χαίρειν· δυνήσῃ δὲ τοῦτο, ὅταν καὶ τὸ σχῆμα τοιοῦτον ᾖ. ἐπεὶ ἐὰν ἐταιρωμένη καὶ ἄσωτος ἧς οὖσα, πῶς δυνήσῃ προενεγκεῖν ῥῆμα σεμνόν; τίς δέ σου οὐ χλευάσεται καὶ γελάσει; πῶς δὲ ἔστι καὶ ἐν τῷ πνεύματι ἀρέσαι τῷ Θεῷ; ἀφεῖσα τὴν ἀσχημοσύνην, τὴν ψυχὴν καλλωπίζοντα. καὶ γὰρ ἐπ' αὐτὴν τοῦτο οὐ κεκώλυται. οὕτω δοξάζομεν τὸν Θεόν, ὅταν πανταχόθεν ὦμεν ἀγαθοί, καὶ δοξαζόμεθα καὶ ἡμεῖς ἐν

Ρωμ. η. ιη. τῇ ἡμέρᾳ ἐκείνῃ οὐχ ὁμοίως, ἀλλὰ πολλῷ μειζόνως. Λογίζομαι γάρ, φησιν, ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς, ἧς γένοιτο πάντας ἡμᾶς μετασχεῖν.

Λογ. ε. 18 ΤΑΥΤΗΝ ΤΗΝ ΠΑΡΑΓΓΕΛΙΑΝ ΠΑ-
ρατίθεμαί σοι, τέκνον Τιμόθεε, κατὰ τὰς προαγούσας ἐπὶ σὲ προφητείας, ἵνα στρατεύῃ ἐν αὐταῖς τὴν καλὴν στρατείαν, 19 Ἔχων πίστιν καὶ ἀγαθὴν συνείδησιν, ἥν τινες ἀπωσάμενοι, περὶ τὴν πίστιν ἐναυάγησαν.

ΤΟ τῆς διδασκαλίας, καὶ τὸ τῆς ἱερωσύνης ἀξίωμα, μέγα ἐστὶ καὶ θαυμαστόν, καὶ ὄντως τῆς τοῦ Θεοῦ δεόμενον ψήφου, ὥστε τὸν ἄξιον εἰς μέσον παραγαγεῖν. οὕτω καὶ τὸ παλαιὸν ἐγίνετο, οὕτω καὶ νῦν γίνεται, ὅταν χωρὶς πάθους ἀνθρωπίνου τὰς αἱρέσεις ποιώμεθα, ὅταν πρὸς μηδὲν ὁρῶντες βιωτικόν, μὴ πρὸς φιλίαν, μὴ πρὸς ἀπέχθειαν. εἰ γὰρ καὶ μὴ τοσούτου πνεύματος μετέχομεν, ἀλλ' ἀρκεῖ πρόθεσις ἀγαθὴ τοῦ Θεοῦ τὴν χειροτονίαν ἐπισπάσασθαι. ἐπεὶ οὐδὲ οἱ ἀπόστολοι πνεύματος μετέχοντες, ὅτι τὸν Ματθίαν ἐξελέξαντο, ἀλλ' εὐχῇ τὸ πρᾶγμα ἐπιτρέψαντες, ἐγκατέλεξαν αὐτὸν τῷ τῶν ἀποστόλων ἀριθμῷ. οὐ γὰρ πρὸς φιλίας ἀνθρωπίνην ἑώρων. οὕτως ἔδει καὶ νῦν ἐφ' ἡμῶν γίνεσθαι. ἀλλ' ἡμεῖς πρὸς ἔσχατον ῥαθυμίας ἐληλακότες, καὶ τὰ φανερὰ πρὸς ἀκρίβειαν παριέμεθα. ὅταν δὲ τὰ δῆλα παροράωμεν, πῶς τὰ ἄδηλα ἡμῖν ὁ Θεὸς ἐκκαλύψει; Εἰ ἐν τῷ μικρῷ, φησιν, οὐκ ἐγένεσθε πιστοί, τὸ μέγα καὶ ἀληθινὸν τίς ὑμῖν ἐγχειρίσει; τότε δέ, ἐπεὶ οὐδὲν ἀνθρώπινον ἐγίνετο, καὶ ἀπὸ προφητείας ἐγίνοντο οἱ ἱερεῖς. τί ἐστιν ἀπὸ προφητείας; ἀπὸ πνεύματος ἁγίου. προφητεία γάρ ἐστιν, οὐ τὸ τὰ μέλλοντα λέγειν, ἀλλὰ καὶ τὸ τὰ παρόντα, ἐπεὶ καὶ ὁ Σαοὺλ κατὰ προφητείαν ἐδείχθη ἐν τοῖς σκεύεσι κρυπτόμενος. ὁ γὰρ

α. Βασ. ι'. Πραξ. ιγ. β. Θεὸς τοῖς δικαίοις ἀποκαλύπτει. προφητεία ἦν καὶ τὸ λέγειν, Ἀφορίσατέ μοι τὸν Παῦλον, καὶ τὸν Βαρνάβαν. οὕτω καὶ ὁ Τιμόθεος ᾑρέθη. προφητείας δὲ ἐνταῦθα φησὶ τὰς πολλάς, ἴσως ἐκείνην μεθ' ἧς αὐτὸν ἔλαβεν ὅτε περιέτεμε, καὶ ὅτε ἐχειροτόνει, καθὼς καὶ αὐτὸς γράφων φησί· Μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος. διανιστὰς τοίνυν αὐτόν, καὶ νήφειν παρασκευάζων καὶ ἐγρηγορέναι, ἀναμιμνήσκει τοῦ ἑλομένου καὶ χειροτονήσαντος, ὡς ἂν εἰ ἔλεγεν· ὁ Θεός σε ἐξελέξατο, αὐτός σοι ἐνεπίστευσεν, οὐκ ἀνθρωπίνῃ γέγονας ψήφῳ· μὴ ὑβρίσῃς, μηδὲ καταισχύνῃς τοῦ Θεοῦ τὴν ψῆφον. εἶτα ἐπὶ τῆς παραγγελίας ἔφησε, καὶ φορτικώτερον ἦν, τί φησι; ταύτην τὴν παραγγελίαν παρατίθεμαί σοι, τέκνον Τιμόθεε. ὡς τέκνῳ, καὶ γνησίῳ παραγγέλλει. οὐ γὰρ αὐθεντικῶς, οὐδὲ δεσποτικῶς, οὐδὲ μετ' ἐξουσίας, ἀλλὰ πατρικῶς τέκνον, φησί, Τιμόθεε. τὸ δὲ παρατίθεσθαι, τῆς φυλακῆς τὸ ἀκριβὲς δηλοῖ, καὶ τὸ οὐχ ἡμέτερον. οὐ γὰρ ἡμεῖς αὐτὸ ἐκτησάμεθα, ἀλλ' ὁ Θεὸς ἡμῖν ἐχαρίσατο· οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ πίστιν καὶ ἀγαθὴν συνείδησιν. ἅπερ οὖν ἔδωκε, ταῦτα φυλάττωμεν. εἰ μὴ αὐτὸς ἦλθεν, οὔτε ἡ πίστις αὐτὴ ηὑρίσκετο, οὔτε ὁ βίος ὁ καθαρός, ὃν ἐκ παιδείας λαμβάνομεν. ὡς ἂν εἰ ἔλεγεν·

χ. πνευματικῶς εἶπεν.

α Τιμ. δ. ιδ.

οὐκ

ἀπὸ κάλλους, εἰπέ μοι; οὐδέν, ἀλλ' ἀγῶνες πλείονες, μείζονες ἐπήρειαι, καὶ οἱ κίνδυνοι, καὶ αἱ ὑποψίαι. τὴν μὲν γὰρ οὐ τοιαύτην οὐδ' ἂν ὑποπτεύσειέ τις. ἐκείνη δέ, ἂν μὴ πολλῇ τῇ κοσμιότητι καὶ μεθ' ὑπερβολῆς ᾖ κεχρημένη, εὐθέως δέξεται δόξαν πονηράν, καὶ ὁ ἀνὴρ δὲ μεθ' ὑποψίας συνοικεῖ (οὗ τί γένοιτ' ἂν χαλεπώτερον;) οὐ τοσαύτην ἀπὸ τῆς θέας καρποῦται τὴν ἡδονήν, ὅσην ἀπὸ τῆς ὑπονοίας καρποῦται τὴν λύπην. ἐκείνη μὲν γὰρ τῇ συνηθείᾳ μαραίνεται, βλακείας, διαχύσεως, ἀσελγείας δόξαν λαμβανούσης αὐτῆς τῆς ψυχῆς, βαναύσου γινομένης, ἀπονοίας πολλῆς πληρουμένης. πρὸς ταῦτα γὰρ πάντα μᾶλλον ἡ εὐμορφία ἕλκει. τὴν δὲ οὐ τοιαύτην οὐκ ἂν εὕροιμεν πολλὰ τὰ κωλύματα ἔχουσαν. οὔτε γὰρ οἱ ἐπιπηδῶντες κύνες εἰσίν, ἀλλὰ καθάπερ τις ἀμνάς, ἐν ἡσυχίᾳ πολλῇ βόσκεται, οὐδενὸς ἐνοχλοῦντος λύκου, οὐδὲ ἐπιπηδῶντος, ἅτε τοῦ ποιμένος παρακαθημένου αὐτῇ. οὐκ ἔστι πλεονεξία τὸ ἑτέραν μὲν εἶναι καλήν, ἑτέραν δὲ μὴ τοιαύτην. πλεονεξία ἐστὶ τὸ ἑτέραν μὲν περιττεύειν καὶ καλὴν μὴ οὖσαν, ἑτέραν δὲ εἶναι πονηράν. εἰπὲ γάρ μοι, τίς ἀρετὴ ὀφθαλμῶν; ἆρα τὸ ὑγροὺς εἶναι καὶ εὐστρόφους καὶ στρογγύλους καὶ κυανοῦς, ἢ τὸ ὀξεῖς καὶ διορατικούς; ἐγὼ μὲν τοῦτό φημι, καὶ δῆλον ἐκεῖθεν. τίς ἀρετὴ λύχνου; τὸ λαμπρὰ φαίνειν καὶ πᾶσαν καταυγάζειν τὴν οἰκίαν, ἢ τὸ καλῶς πεπλάσθαι καὶ στρογγύλον εἶναι; ἐκεῖνο πάντως ἂν εἴποιμεν. τοῦτο μὲν γὰρ ἀδιάφορον, τὸ δὲ ζητούμενον, ἐκεῖνο. διὰ τοῦτο καὶ σαφῶς περὶ λύχνον ἐποίησας, πρὸς τὴν ἐγκεκλεισμένην θεραπαινίδα ἀεὶ λέγομεν. οὕτω λύχνου τὸ φωτίζειν ἐστίν. οὐκοῦν καὶ ὀφθαλμός, ἐάν τε τοιόσδε, ἐάν τε τοιόσδε ᾖ, οὐδέν ἐστιν, ἕως ἂν μετὰ πάσης αὐταρκείας τὴν χρείαν πληροῖ (ὥσπερ οὖν καὶ σαφῶς λέγεται), ἐὰν ἀμβλυωπῇ, καὶ τὴν σύνθεσιν μὴ ἔχῃ πᾶσαν ἀπηρτισμένην. καὶ γὰρ τοὺς διεφθαρμένους τὰς ὄψεις καὶ μὴ βλέποντας, σαφῶς ἔχειν ὀφθαλμοὺς φαμέν. πάνυ γάρ, ὁ μὴ τὴν ἰδίαν χρείαν πληροῖ, σαφῶς λέγομεν· καὶ τοῦτο ὀφθαλμοῦ κακία. τῆς δὲ ῥινός, εἰπέ μοι, ποία ἀρετή; ἆρα τὸ εὐθεῖαν εἶναι, καὶ ἀπεξεσμένην ἑκατέρωθεν, καὶ τὴν ἀναλογίαν σύμμετρον ἔχειν, ἢ τὸ πρὸς τὴν ὄσφρησιν ἐπιτηδείαν εἶναι, καὶ δυναμένην ταχέως ἀντιλαμβάνεσθαι καὶ παραπέμψαι τῷ ἐγκεφάλῳ; τοῦτο δὴ παντί που δῆλόν ἐστι. φέρε δέ, καὶ ἐπὶ ὑποδείγματι τὸ πρᾶγμα προσεξετάσωμεν. εἰπὲ γάρ μοι, τοὺς ἅρπαγας, τὰ σκεύη, ποῖα φήσομεν κατεσκευάσθαι καλῶς, τὰ δυνάμενα ἁρπάζειν μετὰ ἀκριβείας καὶ κατέχειν, ἢ τὰ διαπεπλασμένα καλῶς; δῆλον ὅτι ἐκεῖνα. τί δὲ ὀδόντας, ποίους εἶναι φήσομεν καλούς; τοὺς τμητικοὺς καὶ εὐκόλως διατέμνοντας τὴν τροφήν*, ἢ τοὺς καλῶς συγκειμένους; δῆλον ὅτι ἐκείνους. καὶ ὅλως ἐπὶ παντὸς τοῦ σώματος τούτῳ προσάγοντες τῷ λόγῳ τὴν ζήτησιν, εὑρήσομεν πάντα τὰ ὑγιῆ καὶ καλά, ἕως ἂν ἐνεργῇ μετὰ ἀκριβείας τὰ οἰκεῖα τῶν μελῶν ἕκαστον. οὕτω καὶ σκεῦος ἕκαστον λέγομεν καλόν, καὶ ζῷον, καὶ φυτόν, οὐκ ἀπὸ τῆς διαπλάσεως, οὐδ' ἀπὸ τοῦ χρώματος, ἀλλ' ἀπὸ τῆς διακονίας. οὕτω καὶ οἰκέτην καλοῦμεν καλόν, τὸν ἐπιτήδειον ἡμῖν πρὸς διακονίαν, οὐ τὸν ὡραῖον καὶ βλάκα. ὁρᾷς πῶς ἐστιν εἶναι καλόν; ὅταν τοίνυν τῶν μεγίστων καὶ θαυμαστῶν ὁμοίως ἀπολαύωμεν, οὐδὲν πλεονεκτούμεθα. οἷόν τι λέγω· τὸν κόσμον τοῦτον ὁμοίως ὁρῶμεν, τὸν ἥλιον, τὴν σελήνην, τοὺς ἀστέρας, τὸν ἀέρα ὁμοίως ἕλκομεν, τοῦ ὕδατος, τῆς τροφῆς ὁμοίως μετέχομεν, κἄν τε εὔμορφοι ὦμεν, κἄν τε μή. εἰ δὲ χρή τι καὶ θαυμαστὸν εἰπεῖν, τῶν εὐμόρφων αἱ μὴ τοιαῦται μᾶλλον ὑγιεινότεραι. ἐκεῖναι μὲν γὰρ ὡς δὴ τὴν ὥραν διαφυλάττουσαι, καμάτοις ἑαυτὰς οὐ διδόασιν, ἀλλ' ἀργίᾳ καὶ σκιατροφίᾳ, ὑφ' ὧν μάλιστα αἱ τῶν μελῶν ἐνέργειαι ἀμβλύτεραι γίνονται· αὗται δὲ ἁπλῶς καὶ ἀδεῶς, ἅτε οὐδεμίαν περὶ ταῦτα ἔχουσαι τὴν σπουδήν, ἐκεῖ τὸ πᾶν ἀναλίσκουσι. δοξάσωμεν τοίνυν τὸν Θεόν· ἄρωμεν αὐτὸν ἐν τῷ σώματι ἡμῶν· μὴ καλλωπιζώμεθα· περιττὴ αὕτη ἡ σπουδὴ καὶ ἀνόητος· μὴ παιδεύωμεν τοὺς ἄνδρας μόνας ὄψεις φιλεῖν. ἂν γὰρ ᾖς οὕτω κοσμουμένη, ταχέως ὑπὸ τῆς ἑταιρικῆς μελετήσας ἐν τῇ ὄψει τῇ σῇ, ἁλίσκεται. ἂν μέντοι διδάξῃς αὐτὸν τρόπους φιλεῖν καὶ κοσμιότητα, οὐ ταχέως

* καὶ καλῶς καταλεαίνοντας

τὴν ἀκούσω, ὁ πατὴρ βασιλεὺς τῶν αἰώνων, τὸν υἱὸν ἀφαιρῶ τῆς δεσποτείας. κοινὰ γὰρ καὶ ἐκείνου καὶ τούτου ταῦτα. ἀμφότερα γὰρ ἑκατέρου ἐστίν. ἔκτισεν ὁ πατὴρ τὸν δημιουργὸν υἱὸν γεγεννηκέναι· βασιλεύει ὁ υἱὸς τῷ κύριος εἶναι τῆς κτίσεως. οὐ γὰρ μισθοῦ ἐργάζεται, καθάπερ τὸ παρ' ἡμῖν, οὐδὲ ἑτέρῳ ὑπακούων, καθάπερ οὗτοι, ἀλλὰ δι' οἰκείαν ἀγαθότητα καὶ φιλανθρωπίαν. εἰ δὲ ὁ υἱὸς ὡρίσθη ποτέ; οὐκ ἄν τις ἔχοι λέγειν. τί οὖν ἐστιν, ἀφθάρτῳ, ἀοράτῳ, μόνῳ σοφῷ Θεῷ; τί δὲ ὅταν λέγῃ, Οὐδὲ γάρ ἐστιν ὄνομα ἕτερον, ἐν ᾧ δεῖ σωθῆναι ἡμᾶς, καὶ πάλιν, Οὐκ ἔστιν ἐν ἄλλῳ οὐδενὶ ἡ σωτηρία; τιμὴ καὶ δόξα, φησίν, εἰς τοὺς αἰῶνας, ἀμήν. τιμὴ καὶ δόξα οὐ διὰ ῥημάτων μόνον. ἐπεὶ οὖν καὶ αὐτὸς οὐ διὰ ῥημάτων ἡμᾶς ἐτίμησεν, ἀλλὰ καὶ διὰ πραγμάτων καὶ δι' ἔργων, οὕτω καὶ ἡμεῖς αὐτὸν τιμήσωμεν καὶ διὰ πραγμάτων, καὶ δι' ἔργων. καίτοι αὕτη μὲν ἡ τιμὴ ἡμῶν ἅπτεται, ἐκείνου δὲ αὐτοῦ οὐδαμῶς. οὐ γὰρ δεῖται τῆς παρ' ἡμῶν, ἡμεῖς δὲ τῆς παρ' αὐτοῦ δεόμεθα· ὥστε κἂν τιμήσωμεν αὐτόν, πάλιν ἡμᾶς αὐτοὺς ἐτιμήσαμεν. ὥσπερ γὰρ ὁ τοὺς ὀφθαλμοὺς ἀνοίξας, ἵνα τὸ ἡλιακὸν ἴδῃ φῶς, ἑαυτὸν πάλιν ὤνησε, θαυμάζων τὸ κάλλος τοῦ ἄστρου, οὐκ ἐκείνῳ τι χαρίσαι (οὐ γὰρ λαμπρότερον αὐτὸ πεποίηκεν, ἀλλὰ μένει τὸ αὐτό) οὕτω καὶ πολλῷ μᾶλλον ἐπὶ τοῦ Θεοῦ ὁ θαυμάζων τὸν Θεὸν καὶ τιμῶν, ἑαυτὸν ἔσωσε, καὶ ὠφέλησεν ὠφέλειαν μεγίστην. πῶς; ὅτι τὴν ἀρετὴν μετέρχεται, καὶ παρ' αὐτοῦ δοξάζεται. Τοὺς γὰρ δοξάζοντάς με, φησί, δοξάσω. πῶς οὖν αὐτὸς δοξάζεται, φησίν, ἀπὸ τῆς δόξης τῆς ἡμετέρας οὐδὲν ἀπολαύων; ὥσπερ οὖν καὶ πεινῆν λέγεται, καὶ διψῆν. πάντα γὰρ οἰκειοῦται τὰ ἡμέτερα, ἵνα καὶ οὕτως ἡμᾶς ἐφελκύσηται, καὶ τὰς τιμάς, καὶ τὰς ὕβρεις, ἵνα κἂν οὕτω φοβηθῶμεν· καὶ οὐδὲ οὕτως ἐφελκόμεθα.

Πραξ. δ. 12.

α. Βασ. β. λ.

χ. μετερχόμενος

ΗΘΙΚΟΝ

Δοξάσωμεν δὴ τὸν Θεόν, ἄρωμεν τὸν Θεὸν ἐν τῷ σώματι, καὶ ἐν τῷ πνεύματι ἡμῶν. καὶ πῶς τις ἐν τῷ σώματι δοξάζει, φησί; πῶς δὲ ἐν τῷ πνεύματι; πνεῦμα ἐνταῦθα τὴν ψυχὴν λέγει, πρὸς ἀντιδιαστολὴν τοῦ σώματος. πῶς οὖν τις δοξάζει ἐν τῷ σώματι; πῶς δὲ ἐν τῇ ψυχῇ; ἐν σώματι δοξάζει, ὁ μὴ πορνεύων, ὁ μὴ μεθυσκόμενος, ὁ μὴ γαστριζόμενος, ὁ μὴ καλλωπιζόμενος, ὁ τοσαύτην αὐτοῦ ποιούμενος πρόνοιαν, ὅσον πρὸς ὑγίειαν ἀρκεῖ μόνον, ὁ μὴ μοιχεύων, ἡ μὴ μυριζομένη, ἡ μὴ χρώμασι διαγράφουσα τὸ πρόσωπον, ἡ ἀρκουμένη τῇ πλάσει τοῦ Θεοῦ, καὶ μηδὲν ἐπιτεχνωμένη. τί γάρ, εἰπέ μοι, προσάγεις τὰ παρὰ σαυτῆς τῇ ἀπηρτισμένῃ παρὰ τοῦ Θεοῦ δημιουργίᾳ; οὐκ αὐτάρκης σοι γέγονεν ἡ διάπλασις; ὡς βελτίων τοίνυν τεχνίτης ἐπιχειρεῖ ῥυθμίσαι τὸ ἔργον; οὐκ ἔστι τοῦτο, ἀλλὰ διὰ τοῦτο καλλωπίζῃ, καὶ ὑβρίζεις τὸν δημιουργόν, ἵνα μυρίους ἐραστὰς ἐπισπάσῃ; καὶ τί πάθω, φησίν; οὐδὲ γὰρ ἐγὼ βούλομαι, ἀλλὰ διὰ τὸν ἄνδρα ταῦτα ποιεῖν ἀναγκάζομαι. οὐκ ἔνι μὴ βουλομένην ἐρᾶσθαι. καλήν σε ὁ Θεὸς ἐποίησεν, ἵνα θαυμάζηται καὶ ἐπὶ τούτῳ, οὐχ ἵνα ὑβρίζηται. μὴ τοίνυν αὐτὸν ἀμείβου ταῖς ὕβρεσιν, ἀλλὰ σωφροσύνῃ, καὶ κοσμιότητι. καλήν σε ὁ Θεὸς ἐποίησεν, ἵνα σοι τοὺς τῆς κοσμιότητος ἄθλους αὐξήσῃ. οὐ γάρ ἐστιν ἴσον ἐπέραστον οὖσαν σωφρονεῖν, καὶ ὑπὸ οὐδενὸς γινομένην περιμάχητον. ἀκούεις τί φησιν ἡ γραφὴ περὶ τοῦ Ἰωσήφ; ὅτι ἦν ὡραῖος καὶ καλὸς τῇ ὄψει; τί ἡμᾶς τοῦτο ἀκούοντας ὠφελεῖ, ὅτι καλὸς ἦν Ἰωσήφ; ἵνα μᾶλλον αὐτοῦ τὸ κάλλος θαυμάζωμεν, καὶ τὴν κοσμιότητα. ἐποίησέ σε καλὴν ὁ Θεός; τί τοίνυν κατασκευάζεις ἄμορφον σαυτήν; ὥσπερ γὰρ ἂν εἴ τις χρυσῷ ἀνδριάντι ἐπιχρίσειε πηλὸν βορβόρου, οὕτως εἰσὶν αἱ τοῖς ἐπιτρίμμασι κεχρημέναι. γῆν καταπάσσεις σαυτήν, τὴν μὲν φοινικήν, τὴν δὲ λευκήν. ἀλλ' αἱ ἄμορφοι, φησίν, εἰκότως τοῦτο πράττουσι. τίνος ἕνεκεν, εἰπέ μοι; ἵνα τὴν ἀμορφίαν κρύψωσιν; ἀλλὰ ἀνόητα ποιοῦσι. πότε γάρ, εἰπέ μοι, τὸ φυσικὸν ὑπὸ τοῦ τεχνικοῦ καὶ ἐπιτετηδευμένου νικᾶται; τί δὲ ὅλως ἡ ἀμορφία λυπεῖ, ὅταν ψόγον μὴ ἔχῃ; ἄκουε γὰρ σοφοῦ τινος λέγοντος, Μὴ βδελύξῃ ἄνδρα ἐν ὁράσει αὐτοῦ, μηδὲ αἰνέσῃς ἄνδρα ἐν τῷ κάλλει αὐτοῦ. μᾶλλον μὲν οὖν Θεὸν θαύμασον τὸν ἀριστοτέχνην, ἐκεῖνον δὲ μηκέτι. οὐ γὰρ αὐτοῦ κατόρθωμα τὸ γινόμενον. ποῖον γὰρ κέρδος ἀπὸ

χ. ὅσ

χ. ἐπιχειρεῖς

χ. τοῦτο

Γεν. λθ.

Σειρ. ια. β.

χ. γινόμενον

σφόδρα μέγα καὶ μεθ' ὑπερβολῆς. ὥστε φθεγξάμενος, πρῶτός εἰμι ἐγὼ τῶν ἁμαρτωλῶν, καὶ βλάσφημος, καὶ διώκτης, καὶ ὑβριστής, καὶ οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος, καὶ ὅσα εἴρηκεν, ὅμως οὐδὲν οὕτω ταπεινὸν ἐφθέγξατο. καὶ ἐπὶ ὑποδείγματος δὲ τοῦτο σαφὲς ἔσται. ἔστω γὰρ πόλις πολυάνθρωπος πάντας τοὺς πολίτας ἔχουσα φαύλους, τοὺς μὲν ἧττον, τοὺς δὲ μᾶλλον, πάντας μέντοι κατεγνωσμένους· εἷς δέ τις ἐν τοῖς πολλοῖς ἐκείνοις πάντων μᾶλλον ἔστω κολάσεως καὶ τιμωρίας ἄξιος, καὶ πᾶν ἐπελθὼν εἶδος κακίας. ἂν τοίνυν λέγῃ τις, ὅτι πᾶσιν ἀφεῖναι βούλεται ὁ βασιλεὺς, οὐχ οὕτω πιστεύσουσι τῷ λόγῳ, ἕως ἂν ἴδωσι τὸν πάντων φαυλότερον αὐτῶν τούτου τυχόντα. οὐκ ἔστι γὰρ λοιπὸν ἀμφισβήτησις. τοῦτο καὶ Παῦλός φησιν, ὅτι βουλόμενος ὁ Θεὸς πληροφορῆσαι τοὺς ἀνθρώπους, ὅτι πάντα αὐτοῖς ἀφίησι, τὸν πάντων ἁμαρτωλότερον εἵλετο. οὐ γὰρ ἄν, ἐμοῦ τυχόντος συγχωρήσεως, φησὶ, περὶ τῶν ἄλλων ἀμφισβητήσειέ τις. ὡς ἂν εἰ ἔλεγέ τις καὶ ἐν τῇ συνηθείᾳ, ἐὰν δὲ τῷδε ὁ Θεὸς συγχωρήσῃ, οὐδένα τῶν ἄλλων κολάσει. καὶ δείκνυσι διὰ τούτου οὐδὲ ἄξιον ἑαυτὸν ὄντα συγχωρήσεως, ἀλλὰ διὰ τὴν εἰς ἑτέρους σωτηρίαν ταύτης περιττοτέρως ἀπολαύσαντα. μηδεὶς τοίνυν ἀμφιβαλλέτω, φησὶ, περὶ σωτηρίας, ἐπειδὴ ἐγὼ ἐσώθην. καὶ ὅρα τοῦ μακαρίου τούτου τὴν ταπεινοφροσύνην. οὐκ ἔφη, ἵνα ἐνδείξηται ἐν ἐμοὶ τὴν μακροθυμίαν, ἀλλὰ τὴν πᾶσαν μακροθυμίαν, ὡσανεὶ ἔλεγε· μᾶλλον ἐμοῦ ἐπ' ἄλλῳ οὐκ εἶχε μακροθυμῆσαι, οὐδὲ εὗρεν οὕτως ἁμαρτωλὸν, πάντως δεόμενον αὐτοῦ τοῦ ἐλέους, πάσης τῆς μακροθυμίας, οὐ μέρους, καθάπερ τοὺς ἐπὶ μέρους ἁμαρτάνοντας. πρὸς ὑποτύπωσιν, φησὶ, τῶν μελλόντων πιστεύειν ἐπ' αὐτῷ εἰς ζωὴν αἰώνιον, τουτέστι, πρὸς παράκλησιν, πρὸς προτροπήν. ἐπειδὴ δὲ μέγα τι περὶ τοῦ υἱοῦ ἐφθέγξατο, καὶ ὅτι τοσαύτην ἀγάπην ἐνεδείξατο, ἵνα μή τις νομίσῃ ταύτης ἀπεστερῆσθαι τὸν πατέρα, ἀναφέρει καὶ αὐτῷ δόξαν ἐπάγων, καί φησι·

χ. ἔχει

17 Τῷ δὲ βασιλεῖ τῶν αἰώνων ἀφθάρτῳ, ἀοράτῳ, μόνῳ σοφῷ Θεῷ τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. Ὑπὲρ δὴ τούτων, φησὶν, οὐ τὸν υἱὸν μόνον, ἀλλὰ καὶ τὸν πατέρα δοξάζομεν. ἐρώμεθα δὴ τοὺς αἱρετικούς· ἰδοὺ, μόνῳ Θεῷ, εἴρηκε περὶ πατρὸς λέγων· ἆρα οὐ Θεὸς ὁ υἱός; καὶ μόνῳ ἀφθάρτῳ· ἆρα οὐκ ἄφθαρτος ὁ υἱός; καὶ ὃ δίδωσιν ἡμῖν μετὰ ταῦτα, αὐτὸς οὐκ ἔχει; ναί, φησι, καὶ Θεὸς, καὶ ἄφθαρτος, ἀλλ' οὐ τοιοῦτος, οἷος ὁ πατήρ. τί φῄς; οὐ τοιοῦτος, καὶ ἐλάττονος οὐσίας ἐστίν; οὐκοῦν καὶ ἀφθαρσίας ἐλάττονος. τί δὲ ἐστὶ μείζων καὶ ἥττων ἀφθαρσία; ἡ γὰρ ἀφθαρσία οὐδὲν ἄλλο ἐστὶν, ἢ τὸ μὴ διαφθείρεσθαι. δόξα μὲν γὰρ μείζων, καὶ ἥττων ἐστὶν, ἀφθαρσία δὲ μείζων καὶ ἥττων οὐκ ἔστιν, ὥσπερ οὖν οὐδὲ ὑγεία ἥττων καὶ πλείων. ἢ γὰρ φθείρεσθαί τι δεῖ, ἢ μηδόλως. τί οὖν, φησιν; ἡμεῖς καὶ ἄφθαρτοι ὡσαύτως; μὴ γένοιτο· οὐδαμῶς. διὰ τί; ὅτι αὐτὸς μὲν φύσει τοῦτο ἔχει, ἡμεῖς δὲ ἐπεισάκτως. ἆρ' οὖν καὶ ἐπὶ τοῦ υἱοῦ οὕτως; οὐδαμῶς· ἀλλὰ καὶ αὐτὸς φύσει. τίνος οὖν ἕνεκεν ἡ διαφορά; ὅτι αὐτὸς μὲν, φησι, παρ' οὐδενὸς ἐγένετο τοιοῦτος, ὁ δὲ υἱὸς παρὰ τοῦ πατρός. καὶ ἡμεῖς τοῦτο ὁμολογοῦμεν. οὐδὲ γὰρ ἡμεῖς ἀρνούμεθα, ὅτι ἐκ τοῦ πατρὸς ὁ υἱὸς ἀφθάρτως γεγέννηται. * Ὑπὲρ τούτων, φησὶ, τὸν πατέρα δοξάζομεν, ὅτι τοιοῦτον αὐτὸν ἐγέννησεν. ὁρᾷς ὅτι τότε μάλιστα δοξάζεται ὁ πατὴρ, ὅταν μεγάλα ᾖ κατωρθωκὼς ὁ παῖς; εἰς αὐτὸν γὰρ ἀναφέρεται τὰ τοῦ υἱοῦ. οὐκοῦν, ὅταν δυνατὸν ᾖ γεγεννηκὼς, καὶ τοιοῦτον οἷος αὐτὸς, ἡ δόξα τοῦ υἱοῦ μᾶλλόν ἐστιν, ἢ τοῦ πατρὸς, ὅταν αὐτάρκη, ὅταν ἑαυτῷ ἀρκοῦντα, ὅταν μὴ ἀσθενῆ. τῷ δὲ βασιλεῖ τῶν αἰώνων. καὶ περὶ τοῦ υἱοῦ εἴρηται, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησε. τὸ αὐτό ἐστιν ἐνταῦθα. παρὰ μὲν γὰρ ἡμῖν διῄρηται ἀμφότερα, ἡ δημιουργία, λέγω, καὶ ἡ κτίσις, καὶ ἕτερος μὲν κατασκευάζει καὶ πονεῖται καὶ ταλαιπωρεῖ, ἕτερος δὲ κρατεῖ. διὰ τί; ὅτι ὁ κατασκευάζων, ἐλάττων ἐστίν. ἐκεῖ δὲ οὐδαμῶς. οὐχ ἑτέρου μὲν ἡ δεσποτεία, ἑτέρου δὲ ἡ δημιουργία. οὐδὲ γὰρ, ἐπειδὰν ἀκούσῃς, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν, ἀφαιρεῖς τὸν πατέρα τὸ δημιουργικόν· οὕτω δὲ ὅ-

* διὸ καὶ Παῦλος

γαν, οὕτω δὲ ἀίφνης διὰ πίστεως μόνης ἔμελλον τῶν προτέρων τεύξεσθαι. πολλὰ μὲν οὖν καὶ ἐν τῇ πρὸς Ῥωμαίους περὶ τούτου διαλέγεται τοῦ κεφαλαίου, πολλὰ δὲ καὶ ἐνταῦθα. Πιστὸς, φησὶν, ὁ λόγος καὶ πάσης ἀποδοχῆς ἄξιος, ὅτι Χριστὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ. ἐπειδὴ γὰρ Ἰουδαῖοι τούτῳ μάλιστα ἐφείλκοντο, πείθει αὐτοὺς τῷ νόμῳ προσέχειν, ὡς οὐκ ἐνὸν δι᾽ ἐκείνου σωθῆναι πίστεως χωρίς. πρὸς τοῦτο τοίνυν μάχεται. ἄπιστον γὰρ εἶναι ἐδόκει, εἰ ὁ ἄνθρωπος πάντα τὸν ἔμπροσθεν καταδαπανήσας βίον εἰκῇ καὶ μάτην ἐν πονηραῖς πράξεσι [καταναλώσας], ἔμελλε σώζεσθαι ὕστερον ἀπὸ πίστεως μόνης. διὰ τοῦτό φησι, Πιστὸς ὁ λόγος. ἀλλ᾽ ἴσως οὐκ ἠπίστουν μόνον, ἀλλὰ καὶ
Ρωμ. γ. η. καὶ ε. κ. ἐνεκάλουν, ὃ καὶ νῦν ποιοῦσιν Ἕλληνες λέγοντες, Ποιήσωμεν τὰ κακὰ, ἵνα ἔλθῃ τὰ ἀγαθά. ἐπειδὴ γὰρ ἤκουσαν λέγοντος, Ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις, διασύροντες τὰ ἡμέτερα ἐκεῖνοι ἔλεγον τοῦτο. οὕτω καὶ ὅταν περὶ γεέννης διαλεγώμεθα αὐτοῖς, καὶ ποῦ, φασι, ταῦτα ἄξια Θεοῦ; εἰ ἄνθρωπος μὲν τὸν οἰκέτην λαβὼν τὸν ἑαυτοῦ πολλὰ ἡμαρτηκότα, ἀφίησι καὶ συγγνώμης ἀξιοῖ, ὁ δὲ Θεὸς ἀθάνατα κολάζει; καὶ ὅταν περὶ λουτροῦ πάλιν αὐτοῖς διαλεγώμεθα καὶ τῆς διὰ τούτου τῶν ἁμαρτημάτων ἀφέσεως, ποῦ ταῦτα, φασιν, ἄξια Θεοῦ, τοὺς μυρία ἐργασαμένους κακὰ, ἀφεῖναι τῶν ἁμαρτημάτων; ὁρᾷς τὴν ἐνδιάστροφον γνώμην; πῶς πανταχοῦ τὴν οἰκείαν ἐνδείκνυται φιλονεικίαν; καὶ μὴν εἰ ἡ ἄφεσις κακὸν, καλὸν ἡ κόλασις· εἰ δὲ ἡ κόλασις οὐ καλὸν, ἡ ἄφεσις καλόν· κατὰ τὸν ἐκείνων φημὶ λόγον. κατὰ γὰρ τὸν ἡμέτερον, ἀμφότερα καλά. καὶ πῶς; ἐν ἑτέρῳ δείξομεν καιρῷ. οὐ γὰρ τοῦ παρόντος ἂν εἴη. βαθὺ γὰρ ὄντα καὶ πολλῆς δεόμενα τῆς ἐπεξεργασίας, ἐν καιρῷ δεῖ τοῦτον προσθεῖναι ἐπὶ τῆς ὑμετέρας ἀγάπης· τέως δὲ τῶν προκειμένων ἐχώμεθα. Πιστὸς, φησὶν, ὁ λόγος. πόθεν πιστός; καὶ ἀπὸ τῶν προειρημένων, καὶ ἀπὸ τῶν μετὰ ταῦτα. ὅρα πῶς καὶ προκατασκευάζει, καὶ μετὰ τὸ κατασκευάσαι αὐτὸ ἐνδιατρίβει. ὃ γὰρ εἶπε δι᾽, ὅτι βλάσφημον ὄντα καὶ διώκτην ἠλέησε, τοῦτο κατασκευάζοντός ἐστι. καὶ οὐκ ἠλέησε, φησὶ, μόνον, ἀλλὰ καὶ πιστὸν ἐποίησε. τοσοῦτον οὐ χρὴ, φησὶν, ἀπιστεῖν, ὅτι ἠλέησεν. οὐδεὶς γὰρ ὁρῶν τὸν δεσμώτην ἐν βασιλείοις στρεφόμενον, ὅτι ἠλεήθη ἀμφιβάλλει ποτέ, ὅπερ ἐπὶ τοῦ Παύλου ἦν ἰδεῖν. ἀφ᾽ ἑαυτοῦ γὰρ ποιεῖται τὸ σημεῖον, καὶ οὐκ αἰσχύνεται καλῶν ἑαυτὸν ἁμαρτωλὸν, ἀλλὰ καὶ μᾶλλον εὐφραίνεται. οὕτω γὰρ μάλιστα δύναται δεῖξαι τὸ μέγα τῆς τοῦ Θεοῦ κηδεμονίας

γ. περιέχοντος, καὶ τῶν μετὰ ταῦτα λεγομένων.
γ. πῶς
γ. ὅπως

Φιλιπ. γ. ς. θαῦμα, καὶ ὅτι φιλανθρωπίας ἠξιώθη τοσαύτης. καὶ πῶς ἀλλαχοῦ λέγων περὶ ἑαυτοῦ, Κατὰ δικαιοσύνην τὴν ἐν νόμῳ γενόμενος ἄμεμπτος, ἐνταῦθά φησιν ἁμαρτωλὸν εἶναι, καὶ πρῶτον τῶν ἁμαρτωλῶν; ὅτι πρὸς τὴν δικαιοσύνην, ἣν ὁ Θεὸς εἰργάσατο, καὶ τὴν ὄντως ζητου-
Ρωμ. γ. κγ. μένην, ἁμαρτωλοὶ καὶ οἱ ἐν τῷ νόμῳ. Πάντες γὰρ ἥμαρτον, καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ. διὰ τοῦτο οὐχ ἁπλῶς εἶπε δικαιοσύνην, ἀλλὰ τὴν ἐν νόμῳ. ὥσπερ γὰρ ὁ ἀργύριον πολὺ κεκτημένος καθ᾽ ἑαυτὸν μὲν πλούσιος φαίνεται, κατὰ δὲ τὴν σύγκρισιν τῶν θησαυρῶν τῶν βασιλικῶν σφόδρα πένης, καὶ πρῶτος πένης· οὕτω δὴ καὶ ἐνταῦθα, πρὸς τοὺς ἀγγέλους κρινόμενοι, ἁμαρτωλοὶ καὶ οἱ ἄνθρωποι, καὶ εἰ δίκαιοι. εἰ δὲ Παῦλος ὁ τὴν ἐν νόμῳ δικαιοσύνην ἐργασάμενος πρῶτος ἁμαρτωλὸς, τίς ἄρα τῶν ἄλλων δίκαιος ἂν κληθείη; οὐ γὰρ διαβάλλων αὐτοῦ τὸν βίον, ὡς ἀσελγῆ, τοῦτό φησι (μὴ γένοιτο) ἀλλὰ τὴν δικαιοσύνην ἐκείνην πρὸς ταύτην συγκρίνων, τὸ μηδὲν εἶναι δείκνυσιν· οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ ἁμαρτωλοὺς τοὺς ἔχοντας αὐτὴν ἀποφαίνει. ἀλλὰ διὰ τοῦτο ἠλεήθην, φησὶν, ἵνα ἐν ἐμοὶ πρώτῳ ἐνδείξηται Ἰησοῦς Χριστὸς τὴν πᾶσαν μακροθυμίαν, πρὸς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν εἰς αὐτὸν εἰς ζωὴν αἰώνιον. ὁρᾷς πῶς πάλιν ταπεινοῖ καὶ καταστέλλει ἑαυτὸν, ἑτέραν εὐτελεστέραν λέγων αἰτίαν; τὸ μὲν γὰρ δι᾽ ἄγνοιαν λέγειν ἐλεηθῆναι, οὐ σφόδρα δείκνυσιν ἁμαρτωλὸν τὸν ἐλεούμενον, οὐδὲ ἄγαν κατηγορούμενον. τὸ δὲ διὰ τοῦτο ἐλεηθῆναι, ἵνα μηδεὶς ἀπαγορεύῃ λοιπὸν τῶν ἡμαρτηκότων, ἀλλὰ θαρρῇ ὅτι καὶ αὐτὸς τῶν αὐτῶν τεύξεται,

γ. ἐπ᾽ αὐτῷ

σφόδρα

Digitized by Google

αὐτῷ χρώμεθα. πῶς; Τὸ φρόνημα τῆς σαρκός, φησὶν ὁ Παῦλος, ἔχθρα εἰς Θεόν. ἡμεῖς δὲ τοῦτο μὲν ἀεὶ περιφερόμεθα, τὸν δὲ Χριστὸν ἀεὶ βουλόμενον ἡμῖν ἐπιτρέχειν, καὶ πρὸς τὰς θύρας ἡμῶν ἐρχόμενον διώκομεν. αἱ γὰρ πονηραὶ πράξεις τοῦτο ἐργάζονται· καὶ ποιοῦμεν αὐτὸν ὑβρίζεσθαι καθ᾽ ἑκάστην ἡμέραν, διὰ τὰς πλεονεξίας ἡμῶν, διὰ τὰς ἁρπαγάς. δοξάζεταί τις εὐδοκιμῶν, καὶ τὰ αὐτοῦ φθεγγόμενος, καὶ τὴν ἐκκλησίαν ὠφελῶν; καὶ ἡμεῖς τούτῳ φθονοῦμεν, ὅτι τὰ τοῦ Θεοῦ ἐργάζεται. καὶ δοκοῦμεν μὲν φθονεῖν ἐκείνῳ, ὁ δὲ φθόνος διαβαίνει εἰς Χριστόν. οὔ, φησίν, ἀλλὰ βουλόμεθα οὐ δι᾽ ἑτέρων, ἀλλὰ δι᾽ ἡμῶν τὴν ὠφέλειαν γίνεσθαι· οὐ διὰ τὸν Χριστόν, ἀλλὰ δι᾽ ἡμᾶς· ἐπεὶ εἰ διὰ τὸν Χριστόν, ἀδιάφορον ἂν ἦν ἡμῖν τό, καὶ δι᾽ ἑτέρων, καὶ δι᾽ ἡμῶν ταῦτα γίνεσθαι. εἰπὲ γάρ μοι, εἴ τις ἰατρὸς παῖδα ἔχων τυφλοῦσθαι μέλλοντα, αὐτὸς μὲν ἐξασθενήσοι πρὸς τὴν ἰατρείαν, ἕτερος δὲ εὕροι δυνάμενον τοῦτο ἐργάζεσθαι, ἆρα ἂν ἀπήλασεν αὐτόν; οὐδαμῶς· ἀλλὰ * μονονουχὶ ἐρεῖ πρὸς αὐτόν· εἴτε διὰ σοῦ, εἴτε δι᾽ ἐμοῦ, τὰ τῆς ὠφελείας γενέσθω. τί δήποτε; ὅτι οὐ τὸ ἑαυτοῦ ὁρᾷ, ἀλλὰ τὸ τῷ παιδὶ συμφέρει. οὕτω καὶ ἡμεῖς, εἰ τὸ τοῦ Χριστοῦ ἑωρῶμεν, εἴποιμεν ἄν, εἴτε δι᾽ ἡμῶν, εἴτε δι᾽ ἑτέρου τινὸς τὸ λυσιτελὲς γενέσθω. Εἴτε ἀληθείᾳ, εἴτε προφάσει, φησί, Χριστὸς καταγγέλλεται. ἄκουε γὰρ τοῦ Μωϋσέως λέγοντος πρὸς τοὺς προξενῶσαι αὐτὸν βουλομένους, ἡνίκα τὸν Ἐλδὰδ καὶ Μωδὰδ προεφήτευον· Μὴ ζηλοῖς σὺ ἐμοί; καὶ τίς δώῃ πάντα τὸν λαὸν Κυρίου προφήτας εἶναι; ταῦτα δὲ πάντα ἀπὸ φιλοδοξίας γίνεται. ἆρα οὐκ ἐχθρῶν ταῦτα καὶ πολεμίων; εἶπέ σέ τις κακῶς; ἀγάπησον αὐτὸν σύ. καὶ πῶς δυνατόν; δυνατόν, καὶ σφόδρα δυνατόν, ἐὰν θέλῃς. ἂν δὲ καλῶς εἰπόντα φιλήσῃς, οὐκ ἔτι σοι χάρις. οὐ γὰρ διὰ τὸν Κύριον, ἀλλὰ διὰ τὴν εὐφημίαν τοῦτο πεποίηκας. ἔβλαψέ σέ τις; εὐεργέτησον. ἂν δὲ ὠφελήσαντα ὠφελήσῃς, οὐδὲν μέγα πεποίηκας. ἠδικήθης καὶ ἐζημιώθης τὰ μεγάλα; τοῖς ἐναντίοις ἀμείψασθαι σπούδασον. ναί, παρακαλῶ, οὕτω διατιθῶμεν τὰ καθ᾽ ἑαυτούς· παυσώμεθα τοῦ ἀδικεῖν, καὶ μισεῖν τοὺς ἐχθρούς. αὐτὸς τοὺς ἐχθροὺς κελεύει φιλεῖν, ἡμεῖς δὲ καὶ αὐτοὺς φιλοῦντας διώκομεν. μὴ γένοιτο, φησί. τῷ ῥήματι τοῦτο πάντες φθεγγόμεθα, διὰ δὲ τῶν ἔργων οὐ πάντες. τοσαύτη ἡ τῆς ἁμαρτίας σκότωσις, ὅτι ἅπερ οὐκ ἔστι λόγῳ φορητά, ταῦτα δι᾽ ἔργων φορητά ἐστιν. ἀποστῶμεν οὖν ποτε τῶν βλαπτόντων καὶ λυμαινομένων ἡμῶν τὴν σωτηρίαν, ἵνα τύχωμεν ὧν τοὺς φίλους εἰκὸς τυχεῖν. Θέλω γάρ, φησίν, ἵν᾽, ὅπου εἰμὶ ἐγώ, ὦσι καὶ οἱ * μαθηταί μου, ἵνα τὴν δόξαν ὁρῶσι τὴν ἐμήν, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν.

Ρωμ. η. ζ.
Φιλιπ. α. ιη.
Αριθ. ια. κθ.
Ιωαν. ιζ. κδ.

* καὶ προσεπιλάβοιτο ἄν, καὶ μηδὲν ὑπίδοιτο, καὶ τοιαῦτα
χ. ἔστι
χ. μᾶλλον δὲ οἱ αὐτοὶ τοὺς ἐχθροὺς κελεύει φιλεῖν, ἡμεῖς καὶ τοὺς φιλοῦντας μὲ διώκομεν.
χ. ὦσι,

Λογ. δ. 15 ΠΙΣΤΟΣ Ο ΛΟΓΟΣ ΚΑΙ ΠΑΣΗΣ ΑΠΟδοχῆς ἄξιος, ὅτι Χριστὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ. 16 Ἀλλὰ διὰ τοῦτο ἠλεήθην, ἵνα ἐν ἐμοὶ πρώτῳ ἐνδείξηται Ἰησοῦς Χριστὸς τὴν ἅπασαν μακροθυμίαν, πρὸς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν ἐπ᾽ αὐτῷ εἰς ζωὴν αἰώνιον.

ΟΥτω μεγάλαι εἰσὶν αἱ εὐεργεσίαι τοῦ Θεοῦ, καὶ πᾶσαν ἀνθρωπίνην ὑπερβαίνουσαι προσδοκίαν [καὶ ἐλπίδα,] ὡς πολλαχοῦ καὶ ἀπιστεῖσθαι. ἃ γὰρ μήτε ἐνενόησε, μήτε προσεδόκησε νοῦς ἀνθρώπινος, ταῦτα ἡμῖν ἐχαρίσατο. διὰ τοῦτο καὶ πολὺν ὁ ἀπόστολος λόγον ὑπὲρ τούτου ποιεῖται, ὥστε πιστευθῆναι τὰ δῶρα τὰ παρὰ τοῦ Θεοῦ ἡμῖν παρασχεθέντα. καθάπερ γὰρ ἐπὶ τῶν μεγάλων ἀγαθῶν τοῦτο πάσχομεν, ἆρα μὴ ὄναρ ἐστί, λέγοντες, τῷ ἀπιστεῖν, οὕτω καὶ ἐπὶ τῶν τοῦ Θεοῦ δωρεῶν. τί οὖν ἦν τὸ ἀπιστούμενον; εἰ οἱ ἐχθροί, εἰ οἱ ἁμαρτωλοί, εἰ οἱ ἐν νόμῳ μὴ δικαιωθέντες μηδὲ δι᾽ ἔργων,

χ. παρ᾽ ἡμῶν μεγάλων σφαλμάτων

λένοι, καὶ ὅτι οὐ μέχρι τούτου ἔστη μόνον, ἀλλὰ καὶ μεγάλων ἑτέρων ἠξίωσε, πάλιν ἐκεῖνο ἀσφαλίζεται τὸ τῶν ἀπίστων, τὸ μὴ λέγειν ὅτι ἡ προαίρεσις ἀνῄρηται. ἐπήγαγε γοῦν, μετὰ πίστεως καὶ ἀγάπης ἐν Χριστῷ Ἰησοῦ. τοσοῦτον μόνον, φησὶν, ἡμεῖς εἰσηνέγκαμεν· ἐπιστεύσαμεν, ὅτι δύναται ἡμᾶς σῶσαι.

ΗΘΙΚΟΝ

Ἀγαπήσωμεν τοίνυν αὐτὸν διὰ τοῦ Χριστοῦ. τί ἐστι, διὰ τοῦ Χριστοῦ; ὅτι αὐτὸς ἡμῖν τούτου πρόξενος γέγονεν, οὐχ ὁ νόμος. ὁρᾷς τίνων μὲν ὁ Χριστὸς αἴτιος ἡμῖν γέγονεν ἀγαθῶν, τίνων δὲ ὁ νόμος; καὶ οὐχ ἁπλῶς εἶπεν, ἐπλεόνασεν ἡ χάρις, ἀλλ', ὑπερεπλεόνασε. καὶ γὰρ ὄντως ὑπερεπλεόνασε, τοὺς μυρίων κολάσεων ἀξίους, τούτους εἰς υἱοθεσίαν ἀγαγοῦσα ἐξαίφνης. ἰδοὺ πάλιν τὸ, ἐν, διά ἐστιν. οὐ γὰρ πίστεως δεῖ μόνον, ἀλλὰ καὶ ἀγάπης· ἐπεὶ πολλοὶ καὶ νῦν εἰσιν, ὅτι μὲν ἔστιν ὁ Χριστὸς Θεὸς, πιστεύοντες, οὐκ ἀγαπῶντες δὲ αὐτὸν, οὐδὲ τὰ τῶν φιλούντων πράττοντες. πῶς γάρ, ὅταν πάντα αὐτοῦ προτιμῶσι, χρήματα, γένεσιν, εἱμαρμένην, παρατήρησιν, κληδονισμοὺς, οἰωνισμούς; ὅταν δὲ εἰς ὕβριν αὐτοῦ ζῶμεν, εἰπέ μοι, ποία ἀγάπη; εἴ τις ἔχει φίλον θερμὸν καὶ διάπυρον, κἂν οὕτω φιλείτω τὸν Χριστόν· καὶ οὕτω φιλείτω τὸν ὑπὲρ τῶν ἐχθρῶν τὴν ψυχὴν αὐτοῦ δεδωκότα, οὐδὲν ἡμῶν κατορθωκότων. τί λέγω, κατωρθωκότων; μεγάλα μὲν οὖν εἰργασμένων κακὰ, καὶ τετολμηκότων ἀτόλμητα, δι' οὐδενός. καὶ ὁ μὲν μετὰ τὰς μυρίας εὐεργεσίας καὶ κηδεμονίας, οὐδὲ οὕτως ἔρριψεν*, ἀλλὰ τότε μάλιστα τὸν υἱὸν ἔδωκεν, ὅτε μείζονα ἠδικήσαμεν· ἡμεῖς δὲ μετὰ τὸ τοσούτων τυχεῖν, μετὰ τὸ γενέσθαι φίλοι, μετὰ τὸ πάντων τῶν ἀγαθῶν ἀξιωθῆναι δι' αὐτοῦ, οὐδὲ ὡς φίλον ἠγαπήσαμεν. καὶ τίς ἡμῖν ἔσται ἐλπίς; τάχα φρίττετε πρὸς τὸ ῥῆμα· ἀλλ' εἴθε πρὸς τὰ πράγματα. καὶ πῶς, φησὶν, οὐδὲ ὡς τοὺς φίλους οὕτω φιλήσομεν τὸν Θεόν; πῶς; ἐγὼ πειράσομαι δεῖξαι. καὶ εὔχομαι μὲν μηδὲν δόξαι λέγειν, ἀλλὰ ληρεῖν· φοβοῦμαι δὲ μὴ κατὰ πράγματα ᾖ τὰ λεγόμενα [ῥήματα]. σκόπει δέ. ὑπὲρ φίλων, τῶν ὄντως φίλων, πολλοὶ καὶ ζημιωθῆναι εἵλοντο πολλάκις· τοῦ δὲ Χριστοῦ ἕνεκεν, οὐ μόνον ζημιωθῆναι, ἀλλὰ οἷς οὖσιν ἀρκεῖσθαι οὐδεὶς ἀνέχεται. ὑπὲρ φίλου πολλάκις καὶ ὑβρίσθημεν, καὶ ἔχθρας ἀνεδεξάμεθα· διὰ δὲ τὸν Χριστὸν οὐδεὶς ἔχθραν ἀναδέχεται, ἀλλ' εἰκῆ, φησι, φιλοῦ, εἰκῆ μὴ μισοῦ. τὸν φίλον λιμώττοντα οὐδέποτε περιοψόμεθα· τὸν δὲ Χριστὸν καθημέραν ἡμῖν προσιόντα οὐχ ὑπὲρ τινὸς μεγάλου, ἀλλ' ὑπὲρ ἄρτου μόνου, οὐδὲ προσιέμεθα, καὶ ταῦτα ἐρευγόμενοι δυσωδίας, καὶ διαρρηγνύμενοι, καὶ γαστριζόμενοι, καὶ τὸν ἀκρατέστατον οἶνον ἀποπνέοντες, καὶ τρυφῶντες, καὶ τὰ μὲν πόρναις διδόντες, τὰ δὲ παρασίτοις, τὰ δὲ κόλαξι, τὰ δὲ τέρασι καὶ μωροῖς καὶ νάνοις. καὶ γὰρ τὰ τῆς φύσεως ἁμαρτήματα ταῦτα φέρουσιν εἰς τέρψιν. καὶ φίλοις τοῖς ὄντως φίλοις οὐδέποτε φθονοῦμεν, οὐδὲ δακνόμεθα τῇ τούτων εὐπραγίᾳ· ἐπὶ δὲ τοῦ Χριστοῦ καὶ τοῦτο πάσχομεν. καὶ μείζονα ἴδοι τις ἂν τὴν φιλίαν ἰσχύουσαν, ἢ τὸν τοῦ Θεοῦ φόβον. καὶ γὰρ ὁ ὕπουλος καὶ ὁ φθονερὸς μᾶλλον τοῦ Θεοῦ τοὺς ἀνθρώπους αἰδεῖται. πῶς; ἐγὼ λέγω· ὅτι τοῦ μὲν Θεοῦ ὁρῶντος τὰ κατὰ καρδίαν, οὐκ ἀφίσταται ὁ ἄνθρωπος δόλους ῥάπτων· ἂν δὲ ἄνθρωποι ἴδῃ ὁ ἄνθρωπος, ἀπόλωλε, καὶ ἐρυθριᾷ. τί τοῦτο λέγω; πρὸς φίλον μὲν κακούμενον ἀπερχόμεθα· κἂν μικρόν τι ἀναβαλώμεθα, φοβούμεθα μὴ καταγνωσθῶμεν· τοῦ δὲ Χριστοῦ πολλάκις ἐν δεσμοῖς ἀποθανόντος, οὐδὲ ἐπισκεψάμεθα. καὶ πρὸς τοὺς φίλους δὲ τοὺς πιστοὺς, οὐκ ἐπειδὴ πιστοί εἰσιν, ἀπερχόμεθα, ἀλλ' ἐπειδὴ φίλοι. ὁρᾷς οὐδενὶ φόβῳ Θεοῦ γινομένην, οὐδὲ τῷ πρὸς αὐτὸν φίλτρῳ· ἀλλὰ τὰ μὲν φιλίᾳ, τὰ δὲ συνηθείᾳ; ὁρῶντες φίλον ἀποδημοῦντα, κλαίομεν, στένομεν, ἂν δὲ καὶ ἀποθανόντα ἴδωμεν, ὀλοφυρόμεθα, καίτοιγε εἰδότες ὅτι οὐ διαπαντὸς ἡμῶν διαστήσεται), ἀλλ' αὐτὸν ἐν τῇ ἀναστάσει ἀποληψόμεθα. τοῦ δὲ Χριστοῦ χωριζομένου ἡμῶν καθ' ἑκάστην ἡμέραν, μᾶλλον δὲ τὸν Χριστὸν καθ' ἑκάστην ἡμέραν ἀπελαύνοντες ἀφ' ἡμῶν, οὐκ ἀλγοῦμεν, οὐδὲ δεινόν τι ποιεῖν νομίζομεν, ἀδικοῦντες, λυποῦντες, παροξύνοντες, τὰ μὴ δοκοῦντα αὐτῷ πράττοντες. ἀλλ' οὔπω τοῦτο φρικτὸν, εἰ μηδὲ ὡς φίλῳ αὐτῷ κεχρήμεθα· ἐγὼ γὰρ δείξω, ὅτι καὶ ὡς ἐχθρῷ

αὐτῷ

κι. ἐποιοῦντο πῶς αὐτὸν φιλεῖ, πῶς αὐτῷ προσκεῖται, καὶ τίνα ὑπὲρ αὐτοῦ παθεῖν δεῖ παρεσκευασμένος· καὶ
* τὴν ἀγάπην,

κι. πάσχειν

[γ. ἀλλὰ καὶ πάλιν ἐπίτασιν τῆς διώξεως.] νοίδιον; οὐκ ἤρκει εἰπεῖν, βλάσφημον ὄντα καὶ διώκτην, ἀλλ' ὅτι καὶ μετ' ἐπιτάσεως ὑπερέβαλ-τι. οὐ μόνον γάρ, φησι, μέχρις ἐμαυτοῦ ἔστησα τὸ φαῦλον, οὐδὲ ἠρκούμην αὐτὸς βλασφημῶν, ἀλλὰ καὶ τοὺς βουλομένους εὐσεβεῖν ἐδίωκον. πολλὴ τῆς βλασφημίας ἡ μανία. ἀλλ' ἠλεήθην, ὅτι ἀγνοῶν ἐποίησα ἐν ἀπιστίᾳ. τίνος οὖν ἕνεκεν καὶ ἄλλοι Ἰουδαῖοι οὐκ ἠλεήθησαν; ὅτι οὐκ ἐξ ἀγνοίας, ἀλλὰ καὶ εἰδότες καὶ σφόδρα ἐπιστάμενοι ἔπραττον ἅπερ ἔπραττον. καὶ ἵνα μάθῃς ἀκριβῶς, ἄκουε τοῦ εὐαγγελιστοῦ λέγοντος, Ὅτι πολλοὶ ἐκ τῶν Φαρισαίων καὶ Ἰουδαίων ἐπίστευον μὲν, οὐχ ὡμολόγουν δέ. [Ιωαν. ιβ μβ.] ἠγάπησαν γὰρ τὴν δόξαν τῶν ἀνθρώπων μᾶλλον, ἤπερ τὴν δόξαν τοῦ Θεοῦ. καὶ πάλιν ὁ Χριστός φησι· Πῶς δύνασθε πιστεύειν, δόξαν παρὰ ἀλλήλων [Ιωαν. ε μδ.] [γ. ἀνθρώπων] λαμβάνοντες; καὶ πάλιν, Ταῦτα εἶπον, φησιν, οἱ γονεῖς τοῦ τυφλοῦ διὰ τοὺς Ἰουδαίους, ἵνα [Ιωαν. θ κβ.] μὴ ἀποσυνάγωγοι γένωνται. καὶ αὐτοὶ δὲ οἱ Ἰουδαῖοι πάλιν ἔλεγον, Ὁρᾶτε ὅτι οὐδὲν ὠφελοῦμεν, ὅτι πᾶς ὁ κόσμος ὑπάγει ὀπίσω αὐτοῦ. [Ιωαν. ιβ ιθ.] πανταχοῦ γὰρ αὐτοῖς τὸ τῆς φιλαρχίας πάθος ἠνώχλει. καὶ μὴν αὐτοὶ εἶπον, Ὅτι οὐδεὶς δύναται ἀφιέναι ἁμαρτίας, εἰ μὴ μόνος ὁ Θεός· [Λουκ. ε κα.] καὶ εὐθέως ἐποίησε τοῦτο, ὅπερ ἔφησαν εἶναι σημεῖον Θεοῦ· οὐκ ἦν οὖν ταῦτα ἀγνοίας. ποῦ δὲ ὁ Παῦλος ἦν τότε; ἴσως ἄν τις εἴποι παρὰ τοὺς πόδας Γαμαλιὴλ, οὐδὲν κοινὸν μετὰ τῶν ὄχλων ἔχων τῶν στασιαστῶν. ὁ δὲ Γαμαλιὴλ ἀνήρ τις ἦν οὐ φιλαρχίας ἕνεκέν τι ποιῶν. πῶς οὖν μετὰ ταῦτα εὑρίσκεται μετὰ τοῦ ὄχλου ὁ Παῦλος; ἑώρα αὖξον ὁμοῦ τὸ δόγμα, καὶ κρατοῦν λοιπὸν, καὶ πάντας αὐτὸν πειθομένους. [ισ. αὐτῷ] ἐπὶ μὲν γὰρ τοῦ Χριστοῦ ποτὲ μὲν αὐτῷ συνῄεσαν, ποτὲ δὲ τοῖς διδασκάλοις. [γ. τότε] ἐπεὶ δὲ τέλεον ἀπεχωρίσθη, [γ. ἀπεχώρησε,] τότε λοιπὸν, οὐχ ὡς οἱ λοιποὶ φιλαρχίας ἕνεκεν ἔπραττεν ἅπερ ἔπραττεν, ἀλλὰ ζήλου. τίνος γὰρ ἕνεκεν εἰς Δαμασκὸν ἐπορεύετο; λύμην τὸ πρᾶγμα ἐνόμιζε, καὶ ἐδεδοίκει μὴ πανταχοῦ διαδοθῇ τὸ κήρυγμα. οἱ δὲ Ἰουδαῖοι οὐχ οὕτως. οὐ γὰρ τῆς προστασίας τῶν πολλῶν ἕνεκεν, ἀλλὰ φιλαρχίας χάριν πάντα ἔπραττον. ὅρα γοῦν τί φασιν· Ἀροῦσιν ἡμῶν τὸ ἔθνος καὶ τὴν πόλιν. [Ιωαν. ια μη.] ποῖος αὐτοὺς κατέσχε φόβος; ἀνθρώπινος. ἐκεῖνο δὲ ἄξιον ἐξετάσαι, πῶς ἀκριβὴς ἂν περὶ τοὺς νόμους οὐδὲν ἔγνω. αὐτὸς γὰρ ἦν ὁ λέγων· Ὁ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ. [Ρωμ. α β.] πῶς οὖν οὐκ οἶδας [γ. εἶδε] ζηλωτὴς ὑπάρχων τῶν πατρῴων νόμων, παρὰ τοὺς πόδας Γαμαλιὴλ παιδευόμενος; [Πραξ. κϛ.] ἀλλ' οἱ μὲν ἐν λίμναις καὶ ποταμοῖς διατρίβοντες, καὶ πλοῖα περιέδραμον καὶ ἐδέξαντο, σὺ δὲ διώκεις ὁ νομομαθής. διὰ τοῦτο καταγινώσκει ἑαυτοῦ λέγων, Οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος· [α. Κορ. ιε θ.] διὰ τοῦτο τὴν ἄγνοιαν ὁμολογεῖ, ἣν ἡ ἀπιστία ἔτικτε· διὰ τοῦτό φησιν ἐλεηθῆναι. τί ἐστι, πιστόν με ἡγήσατο; οὐδὲν τῶν διακονικῶν προεδίδου· πάντα αὐτοῦ ἔλεγεν εἶναι, καὶ τὰ ἴδια· οὐκ ἐσφετερίζετο τὴν τοῦ Θεοῦ δόξαν. ἄκουε γὰρ αὐτοῦ καὶ ἀλλαχοῦ λέγοντος, Ἄνδρες, τί ἡμῖν προσέχετε; ἡμεῖς ὁμοιοπαθεῖς ὑμῖν ἐσμεν ἄνθρωποι. [Πραξ. ιδ ιε.] τοῦτ' ἔστι, πιστόν με ἡγήσατο. καὶ πάλιν ἀλλαχοῦ, Περισσότερον αὐτῶν πάντων ἐκοπίασα, [α. Κορ. ιε ι.] φησιν· οὐκ ἐγὼ δὲ, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοί. καὶ πάλιν, Ὁ ἐνεργῶν ἐν ἡμῖν καὶ τὸ θέλειν, καὶ τὸ ἐνεργεῖν. [Φιλιπ. β ιγ.] δείκνυσιν ἑαυτὸν ἐκ τούτου τιμωρίας ἄξιον. ὁ γὰρ ἔλεος ἐπὶ τούτοις γέγονε. καὶ πάλιν ἀλλαχοῦ φησι· Πώρωσις ἀπὸ μέρους τῷ Ἰσραὴλ γέγονεν. [Ρωμ. ια κε.] ἀλλ' ἡ χάρις τοῦ Θεοῦ, φησιν, ὑπερεπλεόνασε μετὰ πίστεως καὶ ἀγάπης τῆς ἐν Χριστῷ Ἰησοῦ. τί ἐστι τοῦτο; ἵνα μὴ ἀκούσας, ἠλεήθην, τοσοῦτον μόνον νομίσῃς*, βλάσφημος, φησιν, ἤμην καὶ διώκτης καὶ ὑβριστής· οὐκοῦν καὶ κολάσεως ἄξιος· ἀλλ' οὐκ ἐτιμωρήθην· ἠλεήθην γάρ. ἆρ' οὖν τοῦτο μόνον, καὶ μέχρι τούτου ὁ ἔλεος τοῦ μὴ δοῦναι τιμωρίαν; οὐδαμῶς, ἀλλὰ καὶ ἕτερα πολλὰ, καὶ μεγάλα. οὐ γὰρ τῆς ἐπηρτημένης ἡμᾶς δίκης μόνης ἀπήλλαξεν ὁ Θεὸς, ἀλλὰ καὶ δικαίους ἐποίησε, καὶ υἱοὺς, καὶ ἀδελφοὺς, καὶ φίλους, καὶ κληρονόμους, καὶ συγκληρονόμους. διὰ τοῦτό φησιν, ὑπερεπλεόνασεν ἡ χάρις, δηλῶν ὅτι ὑπερέβη καὶ τὸν ἔλεον τὰ δῶρα. [γ. ὑπερέβη καὶ τὸ ἔλεος τὰ μέτρα.] ταῦτα γὰρ οὐκ ἐλεοῦντός ἐστιν, ἀλλὰ φιλοῦντος, καὶ σφόδρα ἀγαπῶντος. εἰπὼν τοίνυν πολλὰ καὶ μεγάλα περὶ τῆς φιλανθρωπίας τοῦ Θεοῦ, ὅτι βλάσφημον ὄντα καὶ ὑβριστὴν καὶ διώκτην ἠ-

* ὅσον [illegible]

λέησε,

οὐκ ἔνι τοὺς ἔτι νόμῳ χρωμένους. ἀντίκειται γὰρ αὐτῷ ἔτι, καὶ τοσοῦτον αὐτοῦ ὁ μέσον, ὡς τοὺς ὑπ' ἐκείνου φερομένους μηδέπω ἀξίους εἶναι τούτου μετέχειν. ὥσπερ ἂν εἴ τις λέγοι, ὅτι τοὺς δεσμοῖς δεομένους τῆς δίκης, οὐ θέμις εἰς φιλοσόφων εἰσφέρειν χορόν. ἐπεὶ οὖν ἐφυσήθη, καὶ μέγα ἐφθέγξατο, ἅμα καὶ ἑαυτὸν καταστέλλει, καὶ τοὺς ἄλλους πείθει τὸ αὐτὸ δὴ τοῦτο ποιεῖν· γράφων τι, ὃ ἐπιστεύθην ἐγώ, ταχέως ἐπελάβετο ἑαυτοῦ, ἵνα μὴ νομίσῃς, ὅτι ἐξ ὑπερηφανίας τοῦτό φησιν. ὅρα τοίνυν ποίᾳ χρῆται διορθώσει ἐπάγων καὶ λέγων· χάριν ἔχω τῷ ἐνδυναμώσαντί με Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ὅτι πιστόν με ἡγήσατο, θέμενος εἰς διακονίαν. ὁρᾷς πῶς πανταχοῦ τὸ ἑαυτοῦ κατόρθωμα κρύπτει, καὶ τὸ πᾶν ἀνατίθησι τῷ Θεῷ; ἀλλ' ἐπὶ τοσοῦτον, ἐφ' ὅσον τὸ αὐτεξούσιον μὴ λυμήνασθαι. ἔφη γὰρ ἂν ἴσως ὁ ἄπιστος, εἰ τὸ πᾶν τοῦ Θεοῦ ἐστι, καὶ οὐδὲν παρ' ἡμῶν εἰσφέρεται, ἀλλ' ὡς ξύλα καὶ λίθους μετακινεῖ πρὸς φιλοσοφίαν ἀπὸ κακίας, τί δήποτε Παῦλον μὲν τοιοῦτον εἰργάσατο, τὸν δὲ Ἰούδαν οὐκέτι; ταύτην οὖν ἀναιρῶν τὴν αἴτησιν, ὅρα πῶς μετὰ συνέσεως τῷ λόγῳ κέχρηται. ἐπιστεύθην, φησίν, ἐγώ. τοῦτο αὐτοῦ κατόρθωμα καὶ ἀξίωμα, ἀλλ' οὐκ αὐτοῦ ὅλον. ὅρα γὰρ τί φησι. χάριν ἔχω τῷ ἐνδυναμώσαντί με Χριστῷ Ἰησοῦ. τοῦτο τοῦ Θεοῦ. εἶτα πάλιν τὸ αὐτοῦ, ὅτι πιστόν με ἡγήσατο· πάντως ἐπεὶ ἔμελλεν ἀφ' ἑαυτοῦ χρησιμεύειν. θέμενος, φησὶν, εἰς διακονίαν τὸν πρότερον ὄντα βλάσφημον καὶ διώκτην καὶ ὑβριστήν· ἀλλ' ἠλεήθην, ὅτι ἀγνοῶν ἐποίησα ἐν ἀπιστίᾳ. ὅρα πῶς καὶ τὸ αὐτοῦ τίθησι, καὶ τὸ τοῦ Θεοῦ, τὸ πλέον νέμων τῇ τοῦ Θεοῦ προνοίᾳ· τὸ δὲ αὐτοῦ συστέλλων, πλὴν ὅσον μὴ λυμήνασθαι, ὡς ἔφθην εἰπὼν, τῷ αὐτεξουσίῳ. τί δέ ἐστι, τῷ ἐνδυναμώσαντί με; ἄκουε. φορτίον ἐπέθηκε μέγα, καὶ πολλῆς ἐδεῖτο τῆς ἄνωθεν ῥοπῆς. ἐννόησον γὰρ ὅσον ἦν πρὸς καθημερινὰς ὕβρεις, λοιδορίας, ἐπιβουλάς, κινδύνους, σκώμματα, ὀνείδη, θανάτους ἵστασθαι, καὶ μὴ ἀποκάμνειν, [μηδὲ ὀλισθαίνειν,] μηδὲ περιτρέπεσθαι, ἀλλὰ πάντοθεν βαλλόμενον μυρίοις καθ' ἑκάστην ἡμέραν τοῖς βέλεσιν, ἀτενὲς ἔχοντα τὸ ὄμμα ἑστάναι καὶ ἀκατάπληκτον. τοῦτο οὐκ ἦν ἀνθρωπίνης ἰσχύος, ἀλλ' οὐδὲ τῆς τοῦ Θεοῦ ῥοπῆς μόνον, ἀλλὰ καὶ τῆς αὐτοῦ προαιρέσεως. ὅτι γὰρ προειδὼς αὐτὸν τίς ἔσται, εἵλετο αὐτόν,

Πραξ. θ. ιε. ἄκουσον τί φησι, πρὶν ἢ ἄρξασθαι αὐτὸν τοῦ κηρύγματος· Σκεῦος ἐκλογῆς μοί ἐστιν οὗτος, τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν καὶ βασιλέων. ὥσπερ γὰρ οἱ βαστάζοντες τὸ σημεῖον τὸ βασιλικὸν ἐν πολέμῳ [τὸ λεγόμενον τῇ συνηθείᾳ λάβουρον,] πολλῆς δέονται τῆς ἰσχύος καὶ τῆς ἐμπειρίας, ὥστε αὐτὸ μὴ παραδοῦναι τοῖς πολεμίοις· οὕτω καὶ οἱ τὸ ὄνομα τοῦ Χριστοῦ βαστάζοντες οὐκ ἐν πολέμῳ μόνον, ἀλλὰ καὶ ἐν εἰρήνῃ, πολλῆς δέονται τῆς δυνάμεως, ὥστε τοῖς κατηγόροις αὐτὸ μὴ ἐκδοῦναι στόμασιν, ἀλλὰ βαστάζειν" καλῶς καὶ φέρειν τὸν σταυρόν. πολλῆς γὰρ ὄντως δεῖ τῆς ἰσχύος, ὥστε βαστάσαι τὸ ὄνομα τοῦ Χριστοῦ. ὁ γὰρ ἀνάξιόν τι ἢ λέγων, ἢ πράττων, ἢ φρονῶν, οὐκ ἐβάστασε τὸ ὄνομα, οὐκ ἔχει τὸν Χριστὸν ἐν ἑαυτῷ. πομπεύει δὲ ὁ βαστάζων, οὐ δι' ἀγορᾶς, ἀλλὰ διὰ τῶν οὐρανῶν, καὶ πάντες περιεστήκασιν ἄγγελοι δορυφοροῦντες καὶ θαυμάζοντες. χάριν ἔχω, φησί, τῷ ἐνδυναμώσαντί με Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. ὅρα πῶς καὶ τὸ αὐτοῦ χάριν αὐτῷ "οἶδεν. ὅτι γὰρ σκεῦος ἐκλογῆς ἐστι, φησὶν αὐτῷ χάριν εἰδέναι. καίτοι τοῦτο σοὶ γέγονεν, ὦ μακάριε Παῦλε. οὐ γὰρ προσωπολήπτης ὁ Θεός. ἀλλὰ χάριν ἔχω, φησὶν, ὅτι κατηξίωσέ με τῆς διακονίας ταύτης. τοῦτο γὰρ μετὰ τοῦ πιστὸν εἶναι νομίζειν σημεῖον. καθάπερ γὰρ ἐν οἰκίᾳ οὐ τῷ πιστευθῆναι μόνον ὁ οἰκονόμος χάριν ἔχει τῷ δεσπότῃ, ἀλλὰ καὶ τὸ σημεῖον τίθησι τοῦτο, ὅτι αὐτὸν τῶν ἄλλων ἡγεῖται πιστότερον· οὕτω δὴ κἀνταῦθα. εἶτα σκόπει πῶς ἐπαίρει τὸν ἔλεον τοῦ Θεοῦ καὶ τὴν φιλανθρωπίαν, τὸν πρότερον αὐτοῦ βίον διηγούμενος. τὸν πρότερον ὄντα, φησί, βλάσφημον καὶ διώκτην καὶ ὑβριστήν. καὶ ὅταν μὲν περὶ Ἰουδαίων διαλέγηται

Ρωμ. ι. β. τῶν ἔτι ἀπίστων, μετὰ συστολῆς κέχρηται τῷ λόγῳ· Μαρτυρῶ γὰρ αὐτοῖς, φησίν, ὅτι ζῆλον Θεοῦ ἔχουσιν, ἀλλ' οὐ κατ' ἐπίγνωσιν. περὶ δὲ ἑαυτοῦ φησι, βλάσφημον ὄντα καὶ διώκτην καὶ ὑβριστήν. ὁρᾷς τὴν καταφορὰν αὐτοῦ; πῶς οὐκ ἔστι φίλαυτος; πῶς συνεσταλμένῃ κέχρηται τῇ διανοίᾳ;

χ. ὅτι

χ. νομίσῃ

χ. καὶ καλῶς φέρειν ἀεί. π.

χ. εἰδέναι λέγει

νοίᾳ;

Digitized by Google

τοῦτο τὸ ἄρωμα οὐ γῆ ἀναδίδωσιν, ἀλλ' ἀρετὴ τίκτει· οὐ μαραίνεται, ἀλλ' ἀνθεῖ. τοῦτο τιμίους τοὺς ἔχοντας ποιεῖ. τούτῳ χριόμεθα, ὅταν βαπτιζώμεθα, τότε καλὸν ἀποπνέομεν. τὸ δὲ καὶ εἰς τὸ ἑξῆς τοῦτο ἀποπνεῖν, τῆς ἡμετέρας ἐστὶ σπουδῆς. διὰ τοῦτο καὶ τὸ παλαιὸν μύρῳ ἐχρίοντο οἱ ἱερεῖς, τῆς ἀρετῆς σύμβολον διδόντες, ὅτι τὸν ἱερέα καλὸν ἀποπνεῖν δεῖ. τῆς δὲ ἁμαρτίας οὐδέν ἐστι δυσωδέστερον. ὅρα αὐτῆς πῶς διαγράφει τὴν φύσιν ὁ προφήτης· Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου. ὄντως γὰρ σηπεδόνος χείρων ἐστὶ καὶ δυσωδεστέρα ἡ ἁμαρτία. τί γὰρ, εἰπέ μοι, πορνείας δυσωδέστερον; εἰ δὲ μὴ αἰσθάνῃ ἐργαζόμενος, ἐννόησόν μοι τὴν ἁμαρτίαν μετὰ τὴν ἐργασίαν, καὶ τότε αὐτῆς ὄψει τὴν δυσωδίαν, τότε τὴν προστριβεῖσαν ἀκαθαρσίαν, τότε τὸ ἄγος, τότε τὸ μύσος. τοιαύτη πᾶσα ἁμαρτία. πρὶν ἢ μὲν ἐργάσασθαι, ἔχει τινὰ ἡδονήν, μετὰ δὲ τὸ τελεσθῆναι, τὸ μὲν ἡδὺ παύεται καὶ μαραίνεται, τὸ δὲ λυπηρὸν καὶ κατηφὲς ἐπεισέρχεται. ἡ δὲ δικαιοσύνη, τοὐναντίον· παρὰ μὲν τὴν ἀρχὴν ἔχει τοὺς πόνους, περὶ δὲ τῷ τέλει, τὴν ἡδονὴν καὶ τὴν ἀνάπαυσιν. οὐδὲ ἐκεῖ μὲν οὖν ἡ ἡδονὴ ἡδονὴ γίνεται, τῇ προσδοκίᾳ τῆς αἰσχύνης καὶ τῆς τιμωρίας· καὶ ἐνταῦθα δὲ πάλιν οὐδὲ ὁ πόνος πόνος, τῇ ἐλπίδι τῶν ἀμοιβῶν. τί δὲ ἡ μέθη, εἰπέ μοι; οὐκ ἐν τῷ πίνειν μόνον ἔχει τὴν ἡδονήν· μᾶλλον δὲ οὐδὲ ἐν τῷ πίνειν; ὅταν γὰρ εἰς ἀναισθησίαν ἐμπέσῃ, καὶ μηδένα τῶν παρόντων βλέπῃ, ἀλλὰ τῶν μαινομένων χεῖρον διάκειται, ποία λοιπὸν ἡδονή; μᾶλλον δὲ οὐδὲ ἐν αὐτῇ τῇ πορνείᾳ ἡδονή τίς ἐστιν. ὅταν γὰρ ὑπὸ πάθους ἡ ψυχὴ κατισχυμένη τὴν κρίσιν ἀφαιρῆται, ποία αὕτη ἡδονή; εἰ δὲ τοῦτο, καὶ ψώρα ἡδονή. ἡδονὴν δὲ ἐκείνην ἐγὼ εἴποιμι ἂν τὴν ἀληθῆ, ὅταν μὴ ᾖ ἐν πάθει ἡ ψυχὴ κατατεινομένη ὑπὸ τοῦ σώματος καὶ διασπωμένη. ποία γὰρ αὕτη ἡδονὴ, τρίζειν ὀδόντας, διαστρέφειν ὀφθαλμοὺς, γαργαλίζεσθαι καὶ θερμαίνεσθαι πέρα τοῦ δέοντος; οὕτω δὲ οὐκ ἔστιν ἡδονὴ, ὅτι σπεύδομεν αὐτῆς ἀπαλλαγῆναι ταχέως, καὶ ἀπαλλαγέντες ἀλγοῦμεν. εἰ ἡδονὴ ἐστι, μὴ ἀπαλλάττου αὐτῆς, ἀλλὰ μένε ἐν τῇ ἡδονῇ. ὁρᾷς ὅτι ὄνομά ἐστι μόνον ἡδονῆς*; ἀλλ' οὐ τὰ παρ' ἡμῖν τοιαῦτα· ἀλλ' ὅπως ἐστὶν ἡδέα, οὐ μετὰ φλογὸς ἔχοντα τὴν ἡδονὴν, ἀλλ' ἐλευθέραν ἀφιέντα τὴν ψυχὴν, καὶ εὐφραίνοντα καὶ διαχέοντα. τοιαύτη ἦν ἡ Παύλου ἡδονὴ λέγοντος, Ἐν τούτῳ χαίρω, ἀλλὰ καὶ χαρήσομαι· καὶ, Χαίρετε ἐν Κυρίῳ πάντοτε. ἐκείνη γὰρ τὴν αἰσχύνην ἔχει καὶ κατάγνωσιν· ἐκείνη καὶ λάθρα γίνεται, καὶ μυρίων ἐμπίπλησιν ἀηδιῶν· αὕτη δὲ πάντων τούτων ἀπήλλακται. ταύτην οὖν μεταδιώκωμεν, ἵνα τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν.

Ψαλ. λζ.

* ἢ ἀπὸ τῶν παθῶν

Φιλιπ. α. ιη. καὶ δ. δ.

Λογ. γ.

12 ΧΑΡΙΝ ΕΧΩ ΤΩ ΕΝΔΥΝΑΜΩΣΑΝΤΙ
με Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ὅτι πιστόν με ἡγήσατο θέμενος εἰς διακονίαν,
13 Τὸν πρότερον ὄντα βλάσφημον, καὶ διώκτην, καὶ ὑβριστήν· ἀλλ' ἠλεήθην, ὅτι ἀγνοῶν ἐποίησα ἐν ἀπιστίᾳ·
14 Ὑπερεπλεόνασε δὲ ἡ χάρις τοῦ Κυρίου ἡμῶν μετὰ πίστεως καὶ ἀγάπης τῆς ἐν Χριστῷ Ἰησοῦ.

Τὴν ταπεινοφροσύνην πολὺ μὲν ἔχουσαν κέρδος ὁρῶμεν, οὐδαμοῦ δὲ ταχέως εὑρισκομένην· ἀλλὰ ταπεινορρημοσύνην μὲν πολλὴν, καὶ πέρα τοῦ δέοντος, ταπεινοφροσύνην δὲ οὐδαμοῦ. ὁ δὲ μακάριος οὗτος αὐτὴν μετεδίωκε Παῦλος, ὡς καὶ ἐπινοεῖν πολλὰς πανταχοῦ προφάσεις πρὸς τὸ ταπεινοῦν αὐτοῦ τὴν διάνοιαν. ἐπεὶ γὰρ μάλιστα ἐκείνους εἰκὸς κάμνειν βουλομένους ταπεινοφρονεῖν, τοὺς μεγάλα συνειδότας ἑαυτοῖς κατορθώματα, πολλὴν δὲ εἰκὸς καὶ αὐτοὺς βίαν πάσχειν, ὑπὸ τοῦ συνειδότος τοῦ ἀγαθοῦ, καθάπερ ὑπό τινος ῥεύματος, ὀγκούμενοι· ὅρα τοίνυν καὶ ἐνταῦθα τί ποιεῖ. εἶπεν ὅτι ἐπιστεύθην ἐγὼ τὸ εὐαγγέλιον τῆς δόξης τοῦ Θεοῦ· εὐαγγέλιον, οὗ μετέχειν θέμις

οὐκ

πολιτεύονται· ἐκεῖ δὲ μὲν ἑαυτοῦ τὴν δόξαν ἔχει πανταχοῦ. καὶ καθάπερ οἱ ἄγγελοι, ὅπουπερ ἂν φαίνωσιν, ἐν ἑαυτοῖς τὴν δόξαν ἔχουσιν, οὕτω καὶ οἱ ἅγιοι. μᾶλλον δὲ καθάπερ ὁ ἥλιος οὐ δεῖται ἱματίου, οὐ δεῖται ἑτέρου τινός, ἀλλ' ἅμα τε ἐφάνη, καὶ τὴν ἑαυτοῦ δόξαν ἐξέλαμψεν, οὕτω καὶ τότε ἔσται. μεταδιώκωμεν τοίνυν τὴν δόξαν ἐκείνην, ἧς οὐδὲν αἰδεσιμώτερον· καταλείπωμεν ταύτην, ἧς οὐδὲν οὐδαμινώτερον. Ἐν περιβολῇ, φησίν, ἱματίων μὴ καυχήσῃ. (Σειρ. ια. δ.) Ταῦτα ἄνωθεν προσελέγετο τοῖς νηπίοις. καὶ γὰρ ὁ ὀρχηστὴς καὶ ἡ πόρνη καὶ ὁ σκηνικὸς χαριέστερα σοῦ ἠμφίεσται καὶ πολυτελέστερα. καὶ χωρὶς δὲ τούτων, καυχᾷ ἐπὶ πράγματι, ᾧ ἂν ἐπιθῶνται σῆτες, ἀπεστέρησαί σε τῆς ἀπολαύσεως. ὁρᾷς πῶς ἀβέβαιόν ἐστι τὸ πρᾶγμα, ἡ τοῦ παρόντος βίου δόξα; καυχᾷ ἐπὶ πράγματι, ὃ σκώληκες τίκτουσι, καὶ ἀπολλύουσι. λέγονται γὰρ Ἰνδικὰ ζῶα ζωύφια εἶναι, ὅθεν τὰ νήματα ταῦτα κατασκευάζεται. κτῆσαι ἱμάτιον, εἰ βούλει, τὸ ἐκ τῶν ἄνωθεν ὑφαντόν, τὴν περιβολὴν τὴν θαυμασίαν καὶ λαμπράν, τὸν ἱματισμὸν τὸν διάχρυσον ὄντως. ἐκεῖνος ὁ χρυσὸς οὐκ ἀπὸ μετάλλων ἐστίν, ἃ καταδίκων χεῖρες ὤρυξαν, ἀλλ' ἀπὸ ἀρετῆς τίκτεται. περιβαλώμεθα ἑαυτοῖς ἐκείνην τὴν στολήν, ἣν οὐκ ἂν θεράποντες πένητες καὶ δοῦλοι κατασκευάζουσιν, ἀλλ' αὐτὸς ὁ δεσπότης. ἀλλὰ ἐρεῖς ὅτι κατέσπαρται τῷ ἱματίῳ τούτῳ χρυσός; καὶ τί τοῦτο πρὸς σέ; τοὺς γὰρ ἐργασαμένους πάντες θαυμάζουσιν, οὐ τοὺς περικειμένους. ἐκείνου γὰρ ὄντως τὸ θαῦμα. ὥσπερ γὰρ ἐπὶ τῶν ἱματίων τῶν λιτῶν, οὐ τὸ ξύλον, ἐν ᾧ ἐντέταται τὸ ἱμάτιον ἐπὶ τὸ κναφεῖον, θαυμάζομεν, ἀλλὰ τοὺς ἐργαζομένους, καίτοι ξύλον αὐτὰ φορεῖ, καὶ ξύλῳ ἐνδέδεται. ὥσπερ οὖν ἐκεῖνα οὐ χρείας ἕνεκεν ἐνδέδεται, οὕτως οὐδὲ αὗται, ἀλλὰ τῆς τοῦ ἱματίου χρείας, ἵνα τινάσσηται, φησίν, ἵνα μὴ σητὶ κατατείνηται. (γ. τίνο) πῶς οὖν οὐκ ἐσχάτης τοῦτο ἀνοίας ἐστίν, ὑπὲρ τοῦ μηδενὸς τοσαύτην ποιεῖσθαι σπουδήν, καὶ πάντα μηχανᾶσθαι, καὶ τὴν ἑαυτῶν προδιδόναι σωτηρίαν, καὶ τῆς γεέννης καταφρονεῖν, καὶ εἰς Θεὸν ὑβρίζειν, καὶ περιορᾶν τὸν Χριστὸν πεινῶντα; τί ἄν τις εἴποι τὴν τῶν ἀρωμάτων πολυτέλειαν, τῶν Ἰνδικῶν, τῶν Ἀραβικῶν, τῶν Περσικῶν, τῶν ξηρῶν, τῶν ὑγρῶν, τῶν μύρων, τῶν θυμιαμάτων, ἅπερ ἅπαντα δαπάνην ἔχει πολλὴν καὶ ἀνόνητον; τί μυρίζεις, ὦ γύναι, τὸ σῶμα ἔσωθεν ἀκαθαρσίας γέμον; τί περὶ τὸ δυσῶδες ἀναλίσκῃς, καὶ ταὐτὸν ποιεῖς, ὥσπερ ἂν εἴ τις ἐπιβάλλοι βορβόρῳ μύρον, ἢ πλίνθον διαβρέχοι βαλσάμῳ; ἔστιν, εἰ βούλει, μύρον, ἔστιν ἄρωμα, ᾧ δυνήσῃ χρῖσαι τὴν ψυχήν, οὐκ ἐξ Ἀραβίας, οὐδὲ ἐξ Αἰθιοπίας, οὐδὲ ἀπὸ Περσίδος, ἀλλ' ἐξ αὐτοῦ φερόμενον τοῦ οὐρανοῦ, πωλούμενον οὐ χρυσίου, ἀλλὰ προαιρέσεως ἀγαθῆς, καὶ πίστεως ἀνυποκρίτου. τοῦτο ἀγόρασαι τὸ μύρον, οὗ ἡ ὀσμὴ τὴν οἰκουμένην ἐμπλῆσαι δύναται. τούτου ἀπέπνεον οἱ ἀπόστολοι. Ὀσμὴ γάρ ἐσμεν εὐωδίας, φησίν, οἷς μὲν εἰς θάνατον, οἷς δὲ εἰς ζωήν. (β Κορ. β ιε.) τί δὴ τοῦτό ἐστιν; ὅτι καὶ τὸ ἀποπνίγεσθαι λέγεται ἀπὸ τῆς εὐωδίας. οὐ τὸ σῶμα δὲ μόνον τῶν ἀποστόλων, ἀλλὰ καὶ τὰ ἱμάτια τοῦ μύρου τοῦ πνευματικοῦ ἀπέπνεον. (γ. ἐλαίου) οὕτω γὰρ ἦσαν καλὰ τὰ ἱμάτια Παύλου, ὡς δαίμονας ἀπελαύνειν. ποίου φύλλου, ποίας κασίας, ποίας σμύρνης οὐχὶ καὶ ἡδίων καὶ χρησιμωτέρα αὕτη ἡ εὐωδία; εἰ γὰρ δαίμονας ἀπήλαυνε, τί οὐκ ἂν ἕτερον εἰργάσατο; τοῦτο κατασκευάζωμεν τὸ μύρον. κατασκευάζει δὲ αὐτὸ δι' ἐλεημοσύνης ἡ πνευματικὴ χάρις. τούτου καὶ ἐκεῖ ἀπελθόντες μέλλομεν ἀποπνεῖν, καὶ τοὺς ἁγίους πρὸς ἑαυτοὺς ἐπιστρέφειν. καὶ καθάπερ ἐνταῦθα πάντας ἐπιστρέφουσιν οἱ ἀνακεχρωσμένοι ταῖς εὐωδίαις, κἄν τε εἰς βαλανεῖον, κἄν τε εἰς ἐκκλησίαν, κἄν τε εἰς ἕτερον πολυάνθρωπον τόπον ἀπέλθῃ ὁ τοῦτο ἀποπνέων, (γ. ἡ τοῦτο πνέουσα,) πάντες αὐτοῦ ἐξαρτῶνται, (γ. αὐτῆς) καὶ πάντες ἐπιστρέφονται· οὕτω καὶ ἐν ἐκείνῳ τῷ κόσμῳ τῶν ἀποπνεουσῶν ψυχῶν τῆς πνευματικῆς εὐωδίας εἰσιουσῶν, πάντες ὑπεξίστανται καὶ παραχωροῦσι. (γ. ἐξαίρονται) καὶ ἐνταῦθα δὲ καὶ δαίμονες, καὶ κακίαι πᾶσαι προσελθεῖν οὐ τολμῶσιν, οὐδὲ ὑπομένουσιν. ἀποπνίγονται γάρ. ἐκεῖνο τοίνυν τὸ ἄρωμα περιθώμεθα. τοῦτο μὲν γὰρ καὶ βλακείας δόξαν ἡμῖν περιτίθησιν· ἐκεῖνο δὲ ἀνδρείας, καὶ θαύματος ὅπως· καὶ παρρησίαν δὲ ἡμῖν παρέχει πολλήν.

τοῦτο

κατεργάζεται. τοῦτο πρὸς τοὺς ποιοῦντας τὸ κακόν. τί δὲ πρὸς τοὺς τιμῆς ἀξίους; Διὰ νόμου, Ρωμ. γ. κ. φησὶν, ἐπίγνωσις ἁμαρτίας. τί δαὶ πρὸς τοὺς δικαίους; δικαίῳ, φησὶ, νόμος οὐ κεῖται. διὰ τί; ὅτι κολάσεως ἐστὶν ἐκτὸς, καὶ ἔτι οὐ περιμένει τὰ πρακτέα παρ' ἐκείνου μαθεῖν, ἔχων ἔνδον ὑπαγορεύουσαν τὴν τοῦ πνεύματος χάριν. νόμος γὰρ ἐδόθη, ἵνα τῷ φόβῳ κολάζωνται καὶ τῇ ἀπειλῇ. οὐ δεῖ τοίνυν χαλινοῦ ἐπὶ τὸν εὐήνιον ἵππον, οὐδὲ παιδαγωγίας ἐπὶ τὸν οὐ δεόμενον παιδαγωγοῦ. Ἀνόμοις δὲ, φησὶ, καὶ ἀνυποτάκτοις, ἀσεβέσι καὶ ἁμαρτωλοῖς, ἀνοσίοις καὶ βεβήλοις, πατραλῴαις καὶ μητραλῴαις. Καὶ οὐ μέχρι τούτου ἔστη, οὐδὲ μέχρι τῶν ἁμαρτημάτων μόνον*, ἀλλὰ καὶ κατ' εἶδος ἐπεξῆλθε τὰ ἁμαρτήματα, ὥστε πεῖσαι ἐπαισχυνθῆναι τὴν τοῦ νόμου ἐπιστασίαν. Εἶτα καταλέξας κατ' εἶδος, εἶπε καὶ κατὰ περίληψιν, καίτοι καὶ τὰ εἰρημένα ἱκανὰ ἦν ἀπαγαγεῖν. περὶ τίνων οὖν ταῦτά φησι; περὶ Ἰουδαίων. οὗτοι γὰρ καὶ πατραλῴαι καὶ μητραλῴαι, καὶ αὐτοὶ καὶ βέβηλοι καὶ ἀνόσιοι. τούτους γὰρ αἰνίττεται, ἀσεβέσιν εἰπὼν καὶ ἁμαρτωλοῖς. τοιούτων δὲ ὄντων αὐτῶν ἀναγκαίως καὶ ὁ νόμος ἐδόθη. εἰπὲ γάρ μοι· οὐχὶ συνεχῶς εἰδώλοις προσεκύνουν; οὐ τὸν Μωϋσέα ἐλίθαζον; οὐ φόνων αὐτῶν αἱ χεῖρες ἔγεμον συγγενικῶν; οὐχὶ ἄνω καὶ κάτω ταῦτα αὐτοῖς ἐγκαλοῦσιν οἱ προφῆται; τοῖς δὲ τὰ ἐν οὐρανῷ φιλοσοφοῦσι περιττὰ ταῦτα. Πατραλῴαις, φησὶ, καὶ μητραλῴαις, ἀνδροφόνοις,

* κατίζη,

10 Πόρνοις, ἀρσενοκοίταις, ἀνδραποδισταῖς, ψεύσταις, ἐπιόρκοις, καὶ εἴ τι ἕτερον τῇ ὑγιαινούσῃ διδασκαλίᾳ ἀντίκειται. Καλῶς εἶπε τῇ ὑγιαινούσῃ διδασκαλίᾳ. ἐκεῖνα γὰρ πάντα, πάθη ψυχῆς ἦν διεφθαρμένης.

11 Κατὰ τὸ εὐαγγέλιον, φησὶ, τῆς δόξης τοῦ μακαρίου Θεοῦ, ὃ ἐπιστεύθην ἐγώ.

Ὥστε καὶ νῦν ἐπὶ βεβαιώσει τοῦ εὐαγγελίου δεῖ νόμου· τοῖς μέντοι πειθομένοις οὐ δεῖ. εὐαγγέλιον δὲ δόξης αὐτὸ καλεῖ, δι' οὐδὲν ἕτερον, ἀλλ' ἢ διὰ τοὺς αἰσχυνομένους ἐπὶ τοῖς διωγμοῖς, καὶ ἐπὶ τῷ πάθει τοῦ Χριστοῦ. τῶν τε οὖν ἄλλων ἕνεκεν, καὶ τούτων αὐτῶν, εὐαγγέλιον δόξης εἴρηκε, δηλῶν ὅτι δόξα ἐστὶ τὸ πάθος τοῦ Χριστοῦ· ἢ καὶ τὰ μέλλοντα αἰνίττεται. εἰ γὰρ τὰ παρόντα αἰσχύνης γέμει καὶ ὀνειδῶν, ἀλλὰ τὰ μέλλοντα οὐ τοιαῦτα. τὸ δὲ εὐαγγέλιον μελλόντων ἐστὶν, οὐ παρόντων. πῶς οὖν ὁ ἄγγελος, Ἰδοὺ εὐαγγελίζομαι ὑμῖν, ὅτι ἐτέχθη ὑμῖν Λουκ. β. ι. σωτήρ; ὅτι τεχθεὶς ἔμελλε τοῦτο γενέσθαι. οὐ γὰρ ἅμα ἐγεννήθη, εἰργάζετο τὰ σημεῖα. κατὰ τὸ εὐαγγέλιον, φησὶ, τῆς δόξης τοῦ μακαρίου Θεοῦ. τῆς δόξης, ἢ τὴν λατρείαν φησὶ τοῦ Θεοῦ, ἢ ὅτι εἰ τὰ παρόντα πάντα ἐμπέπλησται τῆς δόξης αὐτοῦ, πολλῷ δὲ μᾶλλον τὰ μέλλοντα. ὅταν τεθῶσι, φησιν, ὑπὸ τοὺς πόδας αὐτοῦ οἱ ἐχθροὶ αὐτοῦ, ὅταν ἀντικείμενον ᾖ μηδὲν, ὅταν ἴδωσιν οἱ δίκαιοι πάντα τὰ μακάρια ἐκεῖνα, ἃ μήτε ὀφθαλμὸς εἶδε, μήτε οὖς ἤκουσε, μήτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη. Θέλω γὰρ, φησιν, ἵν' ὅπου εἰμὶ ἐγὼ, καὶ οὗτοι ὦσιν, ἵνα Ἰωαν. ιζ. κδ. θεωρῶσι τὴν δόξαν τὴν ἐμὴν, ἣν ἔδωκάς μοι.

γ. πρὸς

Μάθωμεν τίνες ἄρα οὗτοί εἰσι, καὶ μακαρίσωμεν αὐτοὺς· ἐννοοῦντες ὅσων ἀπολαύσονται τότε ἀγαθῶν, ὅσης μεθέξουσι δόξης, ὅσου φωτός. ἡ μὲν γὰρ ἐνταῦθα δόξα, οὐδαμινή τίς ἐστι καὶ ἄστατος. κἂν παραμείνῃ δὲ, ἕως τελευτῆς παραμένει, καὶ λοιπὸν παντελῶς σβέννυται. Οὐ γὰρ συγκαταβήσεται αὐτῷ, φησὶν, ἡ δόξα αὐτοῦ ὀπίσω αὐτοῦ. πολλοῖς δὲ οὐδὲ ἐνταῦθα μέχρι τέλους παρέμεινε. περὶ δὲ ἐκείνης οὐκ ἔστιν ὑποτοπῆσαί τι τοιοῦτον· ἀλλὰ πᾶν τοὐναντίον, ὅτι μένει, καὶ οὐδὲ τέλος ἕξει ποτέ. τοιαῦτα γὰρ τὰ τοῦ Θεοῦ, μόνιμα καὶ μεταβολῆς κρείττω πάσης καὶ τέλους. οὐ γάρ ἐστιν ἡ δόξα τότε ἐκ τῶν ἔξω, ἀλλ' ἐκ τῶν ἔνδον. οἷόν τι λέγω· οὐκ ἀπὸ ἱματίων πολυτελῶν, οὐκ ἀπὸ πλήθους θεραπόντων, οὐκ ἀπὸ ὀχημάτων ἡ δόξα τότε γίνεται, ἀλλὰ τούτων χωρὶς αὐτὸς ὁ ἀνὴρ ἠμφίεσται τὴν δόξαν. νῦν μὲν γὰρ ἂν ταῦτα ἀπῇ, γυμνὸς τῆς δόξης ἔσται, ἐκεῖ δὲ οὐχ οὕτως. ἐν γοῦν βαλανείοις γυμνοὺς ὁρῶμεν ἐντίμους καὶ ἀτίμους, ὁρῶμεν δὲ καὶ φαύλους. τῶν ἐν ἀρχαῖς πολλοὶ γοῦν πολλάκις ἐκινδύνευσαν, τῶν παίδων αὐτοὺς κατά τινα χρείαν ἀ-

ΗΘΙΚΟΝ

Ψαλ. μη. ιη.

γ. χρημάτων

γῆς; ὅτι οὐ διὰ τὸ θέλειν νομοδιδάσκαλοι εἶναι μόνον, ἀλλὰ καὶ διὰ τὸ μὴ κατέχειν τὴν ἀγάπην τοῦτο ἔπαθον· ἄλλως δὲ καὶ ἡ ἄγνοια ἐκ τούτων ἐτέχθη. ὅταν γὰρ ἡ ψυχὴ πράγμασιν ἑαυτὴν ἐκδῷ σαρκικοῖς, πηροῦται αὐτῆς τὸ διορατικόν. ἐκπεσοῦσα δὲ τῆς ἀγάπης ἐμπίπτει εἰς φιλονεικίαν, καὶ πηροῦται τὸ τῆς διανοίας ὄμμα. ὁ γὰρ ὑπό τινος ἐπιθυμίας τούτων τῶν προσκαίρων κατεχόμενος, μεθύων τῷ πάθει, τῆς ἀληθείας οὐκ ἂν γένοιτο κριτὴς ἀδέκαστος. οὐκ ἴσασι, φησι, περὶ τίνων διαβεβαιοῦνται. εἰκὸς γὰρ ἦν αὐτοὺς περὶ τοῦ νόμου φθέγγεσθαι, καὶ πολλὰ περὶ καθαρσίων καὶ τῶν ἄλλων τῶν σωματικῶν λέγειν. εἶτα ἀφεὶς ἐκεῖνα ἐλέγξαι, ὡς οὐδὲν ὄντα, ἢ ″σκιὰν τῶν πνευματικῶν καὶ ″ὑπογραμμόν, ὃ μᾶλλον προσηνέστερον ἦν, τοῦτο ἐργάζεται. ποῖον δὴ τοῦτο; ἐπαινεῖ τὸν νόμον, νόμον ἐνταῦθα τὴν δεκάλογον καλῶν. ἀπὸ ″δὲ τούτου κἀκεῖνα ἐξέβαλεν. εἰ γὰρ ταῦτα αὐτὰ κολάζει τοὺς παραβάντας, καὶ ἄχρηστα ἡμῖν γέγονε, πολλῷ μᾶλλον ἐκεῖνα.

χ. σκιὰς
χ. ὑπογραμμὸς,
χ. γὰρ

8 Οἴδαμεν δέ, φησιν, ὅτι καλὸς ὁ νόμος, ἐάν τις αὐτῷ νομίμως χρῆται,

9 * Εἰδὼς τοῦτο, ὅτι δικαίῳ νόμος οὐ κεῖται. Καλός, φησι, καὶ οὐ καλός. τί δαί, φησιν, ἐὰν μὴ νομίμως τις χρῆται, οὐκ ἔστι καλός; καὶ οὕτω καλός. ἀλλ' ὃ λέγει τοῦτό ἐστιν, ὅταν ἐκπληρῶσιν αὐτὸν δι' ἔργων. τὸ γάρ, ἐάν τις αὐτῷ νομίμως χρῆται, τοῦτό ἐστιν ἐνταῦθα σημαῖνον. ὅταν δὲ ἐξηγῶνται μὲν αὐτὸν διὰ ῥημάτων, διὰ δὲ τῶν ἔργων παραβαίνωσι, τοῦτό ἐστιν ἀνόμως χρῆσθαι. χρῆται μὲν γὰρ καὶ οὗτος, ἀλλ' οὐκ εἰς οἰκείαν ὠφέλειαν. ἔστι καὶ ἄλλο πρὸς τούτῳ εἰπεῖν. ποῖον δὴ τοῦτο; ὅτι ἐὰν νομίμως χρήσῃ τῷ νόμῳ, παραπέμπει σε πρὸς τὸν Χριστόν. ὅταν γὰρ αὐτοῦ σκοπὸς ᾖ δικαιῶσαι τὸν ἄνθρωπον, μὴ δύνηται δέ, παραπέμπει πρὸς τὸν δυνάμενον. καὶ ἄλλως δὲ νομίμως χρήσασθαι τῷ νόμῳ ἐστίν, ὅταν ἐκ πολλῆς αὐτὸν φυλάττῃς τῆς περιουσίας. τί δέ ἐστιν, ἐκ περιουσίας; ὥσπερ τῷ χαλινῷ φύσει εὐτάκτως κέχρηται οὐχ ὁ σκιρτῶν ἵππος, οὐδὲ ὁ δάκνων, ἀλλ' ὁ ἁπλῶς αὐτὸν περικείμενος σχήματος ἕνεκεν, οὕτω καὶ νόμῳ νομίμως χρῆται ὁ μὴ διὰ τὴν ἐκ τῶν γραμμάτων ἀνάγκην σωφρονῶν. τίς δὲ αὐτῷ νομίμως χρήσεται; ὁ εἰδὼς ὅτι οὐ δεῖται αὐτοῦ. ὁ γὰρ πρὸς τοσοῦτον ἀρετῆς φθάσας, ὥστε μὴ διὰ τὸν ἐκείνου φόβον αὐτὸν κατορθοῦν, ἀλλὰ διὰ τὴν ἀρετήν, οὗτος νομίμως χρῆται αὐτῷ καὶ ἀσφαλῶς· ἐάν τις αὐτῷ οὕτω χρῆται, ὡς μὴ φοβούμενος αὐτόν, ἀλλὰ τῆς ἐκεῖ τιμωρίας κειμένης μᾶλλον τὴν κατάγνωσιν ἔχων πρὸ ὀφθαλμῶν. καὶ ἄλλως δὲ δίκαιον ἐνταῦθα καλεῖ τὸν κατωρθωκότα τὴν ἀρετήν. ἐκεῖνος τοίνυν κέχρηται τῷ νόμῳ καλῶς, ὁ μὴ καταξιῶν ἀπ' αὐτοῦ παιδεύεσθαι. ὥσπερ γὰρ αἱ στιγμαὶ τῶν γραμμάτων τοῖς παισὶ κεῖνται, ὁ δὲ τὰ ἀπ' αὐτῶν πληρῶν μὴ ἐξ αὐτῶν, ἀλλ' ἐξ ἑτέρων, μείζονος ἐπιστήμης ἂν εἴη ἔμπειρος, καὶ κρεῖττον μᾶλλον κέχρηται τοῖς γράμμασιν· οὕτως ὁ ὑπὲρ τὸν νόμον, οὐ παιδαγωγεῖται τῷ νόμῳ. ὁ γὰρ μὴ ἀπὸ τοῦ φόβου αὐτὸν πληρῶν, ἀλλ' ἀπὸ τῆς κατὰ τὴν ἀρετὴν ἐπιθυμίας, πλειόνως οὗτος μάλιστα αὐτὸν κατορθοῖ. οὐ γὰρ ὁμοίως ὁ κόλασιν δεδοικώς, καὶ ὁ τιμῆς ἐφιέμενος τὸν νόμον πληροῖ· οὐχ ὁμοίως ὁ ὑπὸ τὸν νόμον ὤν, καὶ ὑπὲρ τὸν νόμον. τὸ γὰρ ὑπὲρ νόμον ζῆσαι, τοῦτό ἐστι νομίμως χρῆσθαι. νόμῳ γὰρ ἐκεῖνος χρῆται καλῶς, καὶ φυλάττει ὁ μείζονα τοῦ νόμου κατορθῶν, ὁ μὴ καταξιῶν παιδευτὴν αὐτὸν ἔχειν. ὁ γὰρ νόμος, ὡς τὰ πολλά, κακῶν ἀπαγόρευσίς ἐστι· δίκαιον δὲ οὐ ποιεῖ * τοῦτο, ἀλλὰ καὶ ἀγαθῶν ἐργασία. ὥστε ὅσοι κακῶν ἀπέχονται ὡς δοῦλοι, οὗτοι οὐ πληροῦσιν αὐτοῦ τὸν σκοπόν. διὰ γὰρ τοῦτο κεῖται, ἵνα παραβάσιν κολάζῃ. ὥστε καὶ ἐκεῖνοι κέχρηνται αὐτῷ, ἀλλ' ἐν τῷ κόλασιν ″δεδοικέναι. Θέλεις γάρ, φησι, μὴ φοβεῖσθαι τὴν ἐξουσίαν; τὸ ἀγαθὸν ποίει· ὡς ἂν εἴποι τις, μόνοις γὰρ τοῖς πονηροῖς τιμωρεῖν διεγηγερμένος ἐστί. τῷ δὲ στεφάνων ἄξια ποιήσαντι ποῦ χρήσιμος ὁ νόμος; ὥσπερ οὖν ὁ ἰατρὸς τῷ τραῦμά τι ἔχοντι, οὐ τῷ ὑγιαίνοντι, οὐδὲ τῷ καλῶς διακειμένῳ. Ἀνόμοις δέ, φησι, καὶ ἀνυποτάκτοις, ἀσεβέσι καὶ ἁμαρτωλοῖς. Ἀνόμους Ἰουδαίους καλεῖ, τοὺς αὐτοὺς δὲ καὶ ἀνυποτάκτους. ὁ νόμος, φησίν, ὀργὴν κατεργάζεται.

* χρῆται γὰρ ὁ
* αἴτιον
χ. δεῖται.
Ρωμ. ιγ. γ.

ἀλλ' ἁπλῶς συγχωρεῖ. καὶ ταῦτα μὲν τὰ νῦν ἐπιπολαίως ἡμῖν εἴρηται, ὡς πρὸς ἀγνοοῦντας τὰς γραφάς. εἰ δὲ ἐβούλεσθέ τις ἀεὶ καὶ προσέχειν τοῖς θείοις λόγοις, οὐδὲν ἂν ἡμῖν τούτων ἔδει τῶν λόγων. ἐκ τούτων γὰρ πάντα ἂν ᾔδειμεν. ἵνα γὰρ μάθῃς ὅτι οὐδέν ἐστιν ὁ πλοῦτος, οὔτε ἡ ὑγεία, οὔτε ἡ δόξα, ἐγώ σοι δείκνυμι πολλοὺς, οἷς ἔξον κερδαίνειν, οὐ κερδαίνουσιν, οἷς ἔξον ὑγιαίνειν, κατατήκουσιν ἑαυτῶν τὰ σώματα, οἷς ἔξον δόξης ἀπολαύειν, πάντα πράττουσιν ὥστε καταφρονεῖσθαι. οὐδεὶς μέντοι ἀγαθὸς ὢν, σπουδάζει εἶναι κακός. οὐκοῦν παυσώμεθα τοῦ ζητεῖν τὰ ἐνταῦθα ἀγαθά, καὶ ζητήσωμεν τὰ ἐν οὐρανοῖς. οὕτω γὰρ αὐτῶν καὶ τυχεῖν δυνησόμεθα, καὶ τῆς αἰδίου ζωῆς ἀπολαύσομεν χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. β. 5 ΤΟ ΔΕ ΤΕΛΟΣ ΤΗΣ ΠΑΡΑΓΓΕΛΙΑΣ ἐστὶν ἀγάπη ἐκ καθαρᾶς καρδίας, καὶ συνειδήσεως ἀγαθῆς, καὶ πίστεως ἀνυποκρίτου·
6 Ὧν τινες ἀστοχήσαντες, ἐξετράπησαν εἰς ματαιολογίας,
7 Θέλοντες εἶναι νομοδιδάσκαλοι, μὴ νοοῦντες μήτε ἃ λέγουσι, μήτε περὶ τίνων διαβεβαιοῦνται.

Οὐδὲν οὕτω λυμαίνεται τὸν τῶν ἀνθρώπων βίον, ὡς τὸ φιλίας καταφρονεῖν, καὶ μὴ μετὰ πολλῆς αὐτὴν κατορθοῦν τῆς σπουδῆς, ὥσπερ οὖν οὐδὲν πάλιν ὀρθοῖ, ὡς τὸ πάντα ἀθεῖν μεταδιώκειν αὐτήν. καὶ τοῦτο δηλῶν ὁ Χριστός φησιν, Ἐὰν δύο συμφωνήσωσιν ἐπὶ τὸ αὐτὸ, πᾶν ὃ ἐὰν αἰτήσωσι, λήψονται. (Ματθ. ιη. ιθ.) καὶ πάλιν, Ὅταν πληθυνθῇ ἡ ἀνομία, (Ματθ. κδ. ιβ.) ψυγήσεται ἡ ἀγάπη. τοῦτο τὰς αἱρέσεις ἔτικτε πάσας. ἐκ γὰρ τοῦ μὴ φιλεῖν τοὺς ἀδελφοὺς τοὺς ἑαυτῶν, ἐφθόνουν τοῖς εὐδοκιμοῦσιν, ἐκ δὲ τοῦ φθονεῖν ἐφιλάρχουν, ἐκ δὲ τοῦ φιλαρχεῖν αἱρέσεις ἔτικτον. διὰ τοῦτο καὶ ὁ Παῦλος εἰπὼν, ἵνα παραγγείλῃς τισὶ μὴ ἑτεροδιδασκαλεῖν, καὶ τὸν τρόπον ὑφηγεῖται, καθ' ὃν τοῦτο γένεσθαι δυνατόν. τίς δὴ οὖν οὗτός ἐστιν; ἡ ἀγάπη. ὥσπερ οὖν ὅταν λέγῃ, Τέλος νόμου Χριστὸς, τουτέστι, συμπλήρωμα, καὶ (Ῥωμ. ι. δ.) τοῦτο ἐκείνου ἔχεται, οὕτως ἡ παραγγελία αὕτη ἐν ἔχεται τῇ ἀγάπῃ. τέλος ἰατρείας ὑγεία· ὥστε ὑγείας οὔσης, οὐ πολλῆς δεῖ κατασκευῆς· καὶ ἀγάπης οὔσης, οὐ πολλῆς δεῖ παραγγελίας. ἀγάπην δὲ ποίαν φησί; τὴν εἰλικρινῆ, οὐ τὴν μέχρι ῥημάτων, ἀλλὰ τὴν ἀπὸ διαθέσεως καὶ γνώμης καὶ τοῦ συναλγεῖν. ἐκ καθαρᾶς, φησί, καρδίας· ἤτοι περὶ πολιτείας φησὶν ὀρθῆς, ἢ περὶ γνησίας φιλίας. ποιεῖ γὰρ καὶ βίος ἀκάθαρτος σχίσματα. Πᾶς γὰρ ὁ φαῦλα (Ἰωαν. γ. κ.) πράσσων, μισεῖ τὸ φῶς. (χ. ὁ τὰ φαῦλα) ἔστι γὰρ φιλία καὶ ἡ τῶν φαύλων, οἷον καὶ λῃσταὶ λῃστὰς φιλοῦσι, καὶ ἀνδροφόνοι ἀνδροφόνους. ἀλλ' οὐκ ἔστι τοῦτο ἀπὸ συνειδήσεως ἀγαθῆς, ἀλλ' ἀπὸ φαύλης, οὐδ' ἐκ καθαρᾶς καρδίας, ἀλλ' ἐξ ἀκαθάρτου, οὐδ' ἐκ πίστεως ἀνυποκρίτου, ἀλλ' ἐπιπλάστου καὶ ὑποκεκριμένης. πίστις γὰρ τὸ ἀληθὲς δείκνυσιν· ἀπὸ δὲ πίστεως εἰλικρινοῦς ἡ ἀγάπη τίκτεται. ὁ γὰρ ὄντως εἰς Θεὸν πιστεύων, οὐκ ἀνέχεταί ποτε ταύτην ἀφεῖναι. ὧν τινες, φησίν, ἀστοχήσαντες, ἐξετράπησαν εἰς ματαιολογίας. καλῶς εἶπεν, ἀστοχήσαντες. τέχνης γὰρ δεῖ, ὥστε εὐθέα βάλλειν, καὶ μὴ ἔξω τοῦ σκοποῦ. (χ. ἀστοχε) ὥστε ὑπὸ τοῦ πνεύματος εὐθύνεσθαι. πολλὰ γὰρ τὰ τῆς εὐθείας παρεκτρέποντα, καὶ δεῖ πρὸς ἓν ὁρᾶν. θέλοντες, φησίν, εἶναι νομοδιδάσκαλοι. (χ. ἀεὶ) ὁρᾷς καὶ ἄλλην αἰτίαν, τὴν τῆς φιλαρχίας; διὰ τοῦτο ὁ Χριστὸς ἔλεγεν, Ὑμεῖς δὲ μηδένα καλέσητε ῥαββί. (Ματθ. κγ. η.) καὶ πάλιν ὁ ἀπόστολος· Οὐδὲ γὰρ αὐτοὶ οἱ περιτεμνόμενοι νόμον φυλάσσουσιν, ἀλλ' ἵνα ἐν τῇ ὑμετέρᾳ σαρκὶ καυχήσωνται. (Γαλ. ς. ιγ.) τοῦ ἀξιώματος ἐφίενται, φησί, διὰ τοῦτο πρὸς τὴν ἀλήθειαν οὐχ ὁρῶσι. μὴ νοοῦντες, φησί, μήτε ἃ λέγουσι, μήτε περὶ τίνων διαβεβαιοῦνται. ἐνταῦθα διαβάλλει αὐτοὺς, ὡς οὐκ εἰδότας τὸν τοῦ νόμου σκοπόν, οὐδὲ τὸν χρόνον μέχρι πότε κύριον αὐτὸν εἶναι ἔδει. πῶς οὖν εἰ ἐξ ἀγνοίας ἁμάρτημα τοῦτο λέ-

γενέσεως; ναί, φησι, καὶ εἵμαρται τῷ δεῖνι γενέσθαι σοφῷ μετὰ πόνων. καὶ δεῖξόν μοί τινα χωρὶς τοῦ πονεῖν μαθόντα τέχνην. ἀλλ' οὐκ ἂν ἔχοις. οὕτως οὐ τῆς γενέσεώς ἐστιν, ἀλλὰ τῶν πόνων. πόθεν οὖν ὁ δεῖνα πλούσιός ἐστι μιαρὸς ὤν, φησι, καὶ πονηρός, παρὰ πατρὸς "μὴ δεξάμενος τὴν κληρονομίαν· ἕτερος δὲ μυρία μοχθῶν, πένης ὑπάρχει; ταῦτα γὰρ συνεχῶς γυμνάζουσι πάντα ἐπὶ πλούτου καὶ πενίας κινοῦντες, οὐδεὶς ἐπὶ κακίας καὶ ἀρετῆς. ἀλλ' ἐνταῦθα μὴ τοῦτο εἴπῃς, ἀλλὰ δεῖξον εἴ τις κακὸς ἐγένετο σπουδάζων, εἴ τις ἀγαθὸς ῥαθυμῶν. εἰ γὰρ ἰσχὺν ἔχει ἡ εἱμαρμένη, ἐπὶ τῶν μεγίστων ἐνδεικνύσθω τὴν ἰσχὺν, ἐπὶ ἀρετῆς καὶ κακίας, μὴ ἐπὶ πλούτου καὶ πενίας. καὶ πόθεν ὁ δεῖνα ἐν νόσοις, φησὶν, ὁ δεῖνα ἐν ὑγιείᾳ; πόθεν ὁ δεῖνα εὐδοκιμεῖ, ἕτερος δὲ ἀσχημονεῖ; πόθεν ἐκείνῳ κατὰ γνώμην τὰ πράγματα προχωρεῖ, ἑτέρῳ δὲ μυρία ἐπὶ μυρίοις ἐμποδίσματα; ἀπόστηθι τῆς γενέσεως, καὶ εἴσῃ ταῦτα. ἀκριβῶς πίστευσον ὅτι θεός ἐστιν ὁ προνοῶν, καὶ εἴσῃ σαφῶς ταῦτα. ἀλλ' οὐ δύναμαι, φησιν. οὐ γὰρ ἀφίησιν ἡ σύγχυσις τῶν πραγμάτων τούτων ὑποπτεῦσαι προνοίαν, εἰ θεοῦ ταῦτα ἔργα. πῶς δύναμαι πιστεῦσαι ὅτι θεὸς ὁ ἀγαθὸς τῷ πόρνῳ, τῷ μιαρῷ, τῷ πλεονέκτῃ χρήματα δίδωσι, τῷ δὲ ἀγαθῷ οὐκέτι; πόθεν πιστεύσω; ἀπὸ γὰρ πραγμάτων δεῖ πιστεύειν. καλῶς· οὐκοῦν γενέσεως ἐκεῖνα δικαίας, ἢ ἀδίκου; ἀδίκου, φῄς. τίς οὖν ταύτην ἐποίησεν; ἆρα ὁ θεός; οὔ, φησιν, ἀλλ' ἀγέννητός ἐστι. καὶ πῶς ἀγέννητος οὖσα "τοιαῦτα ἐργάζεται; ἐναντία γὰρ ταῦτα. οὐκ ἔστιν οὖν ὅλως θεοῦ ταῦτα. οὐκοῦν ἐξετάσωμεν, τίς τὸν οὐρανὸν ἐποίησεν*; ἡ γένεσις, φησι. τίς τὴν γῆν, τίς τὴν θάλασσαν, τίς τὰς ὥρας; εἶτα ἐν μὲν τοῖς ἀψύχοις τοσαύτην εὐταξίαν ἐποίησε, τοσαύτην ἁρμονίαν, ἐν δὲ ἡμῖν, δι' οὓς τὰ πάντα, τοσαύτην ἀταξίαν; ὥσπερ ἂν εἴ τις τῆς μὲν οἰκίας, ὅπως ἔσται θαυμαστή, προνοήσειε, τῶν δὲ οἰκετῶν μηκέτι. τίς τὴν διαδοχὴν τῶν ὡρῶν φυλάττει; τίς τοὺς εὐτάκτους τῆς φύσεως νόμους τέθεικε; τίς ἡμέρας καὶ νυκτὸς δρόμους ἔταξε; ταῦτα ἐκείνης τῆς γενέσεως ἀνώτερά ἐστιν. οὔ, φησιν, ἀλλ' αὐτόματα γέγονε. καὶ πῶς ἂν εὐταξία τοσαύτη αὐτομάτη γένοιτο ἄν; πόθεν οὖν, φησιν, οἱ πλούσιοι, οἱ ὑγιαίνοντες, οἱ εὐδοκιμοῦντες, οἱ μὲν ἀπὸ πλεονεξίας, οἱ δὲ ἀπὸ κληρονομίας, οἱ δὲ ἀπὸ "βίας; τίνος οὖν ἕνεκεν εὐημερεῖν τοὺς κακοὺς συνεχώρησεν ὁ θεός; ὅτι οὐκ ἔστιν ἐνταῦθα ἡ τοῦ κατ' ἀξίαν ἀντίδοσις, ἀλλ' ἐν τῷ μέλλοντι καιρῷ. τότε μοι δεῖξον τοιοῦτόν τι γινόμενον. τέως ἐνταῦθά μοι δός, φησι, καὶ ἐκεῖ οὐ ζητῶ. ἀλλὰ διὰ τοῦτο οὐ λαμβάνεις, ἐπεὶ ζητεῖς. εἰ γὰρ ἐκτὸς ὢν τῆς ἡδονῆς "οὕτως αὐτὰ ζητεῖς, ὡς ἐκείνων προτιμᾶν, πολλῷ μᾶλλον, εἰ καὶ ἡδονῆς καθαρᾶς ἀπέλαυσες. διὰ τοῦτο ταῦτα δείκνυσί σοι, ὅτι οὐδέν εἰσιν, ὅτι ἀδιάφορά ἐστιν. οὐ γὰρ ἂν εἰ μὴ ἀδιάφορα ἦν, καὶ ἐκείνοις αὐτὰ ἔδωκεν ἄν. εἰπέ μοι, τὸ μέλανα εἶναι, ἢ μικρόν, ἢ μακρόν, οὐχὶ ἀδιάφορα; οὕτω καὶ ὁ πλοῦτος. εἰπὲ γάρ μοι, ἐπὶ τῶν ἀναγκαίων οὐκ ἐξίσης πᾶσι δίδοται; οἷον ἐπιτηδειότης πρὸς ἀρετήν; τῶν πνευματικῶν δωρεῶν ἡ διανομή; εἰ ᾔδεις τοῦ θεοῦ τὰς εὐεργεσίας, οὐκ ἂν ἐκείνων ἐξίσης ἀπολαύων ἐν τούτοις ἠγανάκτησας, οὐδ' ἂν ταύτην τὴν πλεονεξίαν ἐζήτησας, ἐκείνην τὴν ἰσομοιρίαν εἰδώς. ὥσπερ ἂν ὁ οἰκέτης τροφὰς μὲν τὰς παρὰ δεσπότου, καὶ ἐνδύματα, καὶ οἰκήματα καρπούμενος, καὶ πάντων τῶν ἄλλων ἐξίσης τοῖς ἄλλοις ἀπολαύων, εἰ τρίχας ἔχοι πλείους ἐπὶ τῆς κεφαλῆς, ἢ ὄνυχας μείζονας, πλέον ἔχειν νομίζοι τῶν ἄλλων· τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ τοιοῦτος μάτην ἐπὶ μέγα φρονεῖ, ἐφ' οἷς τὴν ἀπόλαυσιν πρόσκαιρον ἔχει. διὰ ταῦτα ἡμᾶς ἀφίησιν αὐτῶν, ἵνα τὴν μανίαν ταύτην σβέσῃ, ἵνα μετάγῃ τὸν πρὸς αὐτὰ πόθον εἰς τὸν οὐρανόν. ἡμεῖς δὲ οὐδὲ οὕτω σωφρονιζόμεθα. ὡς γὰρ τὸ παιδίον εἴ τι παιδικὸν ἔχοι, καὶ προτιμᾷ τοῦτο τῶν ἀναγκαίων, ἀποστερεῖ αὐτὸ ὁ πατὴρ τῶν παιδικῶν, ἵνα καὶ ἄκοντα μετάγῃ πρὸς τὸ τέλειον· οὕτω καὶ ὁ θεὸς πάντα ποιεῖ, ἵνα ἡμᾶς μετάγῃ εἰς τὸν οὐρανόν. πῶς οὖν τοὺς πονηροὺς ἀφίησι πλουτεῖν, φησι; ὅτι οὐ πολὺς αὐτῷ λόγος ἐκείνων. πῶς οὖν καὶ τοὺς δικαίους οὐκ αὐτούς,

ἀλλ'

γ. διαλεξάμενος

γ. ταῦτα

* καὶ τὰ ἐν τῷ οὐρανῷ;

γ. τέχνης

γ. πόρρω

τοῦ καταμαθεῖν καὶ εἰδέναι, οὐχ ἵνα ἀεὶ ζητῶμεν, ἀλλ' ἵνα παυσώμεθα ζητοῦντες. καὶ καλῶς εἶπε, Παραγγείλῃς τισὶ μὴ ἑτεροδιδασκαλεῖν, μηδὲ προσέχειν μύθοις καὶ γενεαλογίαις ἀπεράντοις, αἵτινες ζητήσεις παρέχουσι μᾶλλον, ἢ οἰκονομίαν Θεοῦ τὴν ἐν πίστει. Καλῶς εἶπεν, οἰκονομίαν Θεοῦ. μεγάλα γὰρ ἡμῖν δοῦναι ἠθέλησεν ὁ Θεός, ἀλλ' οὐ δέχεται ὁ λογισμὸς τὸ μέγεθος αὐτοῦ τῆς οἰκονομίας. διὰ πίστεως οὖν τοῦτο γενέσθαι δεῖ, ὅπερ ἐστὶ φάρμακον ψυχῶν μέγιστον. ἡ τοίνυν ζήτησις ἐναντία ἐστὶ τῇ οἰκονομίᾳ τοῦ Θεοῦ. τί γὰρ ἀπὸ πίστεως οἰκονομεῖται; δέξασθαι τὰς εὐεργεσίας αὐτοῦ, καὶ γενέσθαι βελτίους, καὶ περὶ μηδενὸς ἀμφισβητεῖν καὶ ἀμφιβάλλειν, ἀλλ' ἀναπαύεσθαι. ἅπερ γὰρ ἡ πίστις λύουσι, καὶ ᾠκοδόμησε, ταῦτα αὕτη καταστρέφει, * ζητήσεις παρέχουσα, καὶ τὴν πίστιν ἐκβάλλουσα. μηδὲ προσέχειν, φησί, μύθοις καὶ γενεαλογίαις ἀπεράντοις. καὶ αἱ γενεαλογίαι, φησί, τί ἔβλαπτον; ἔλεγεν ὁ Χριστός, ὅτι διὰ πίστεως δεῖ σωθῆναι· ἐκεῖνοι ἐζήτουν, καὶ ἔλεγον ὅτι οὐκ ἔνι τοῦτο. ἐπειδὴ γὰρ ἡ μὲν ἀπόφασις κατὰ τὸ παρὸν ἦν, ἡ δὲ ἔκβασις τῆς ἀποφάσεως ἐν τῷ μέλλοντι, πίστεως ἔδει· ἐκεῖνοι δὲ προκατειλημμένοι τοῖς νομικοῖς παρατηρήμασιν, ἐνεπόδιζον τῇ πίστει. οἶμαι δὲ καὶ Ἕλληνας αὐτὸν ἐνταῦθα αἰνίττεσθαι, ὅταν λέγῃ μύθοις καὶ γενεαλογίαις, ὡς τοὺς θεοὺς αὐτῶν καταλεγόντων.

χ. μηδ'

* πῶς δὲ περιτρέπει;

Μὴ τοίνυν προσέχωμεν τῇ ζητήσει. πιστοὶ γὰρ διὰ τοῦτο κεκλήμεθα, ἵνα ἀνενδοιάστως τοῖς λεγομένοις πιστεύωμεν, ἵνα μηδὲν ἀμφιβάλλωμεν. εἰ μὲν γὰρ ἀνθρώπινα τὰ λεγόμενα ἦν, ἐχρῆν αὐτὰ βασανίζεσθαι· εἰ δὲ Θεοῦ, τιμᾶσθαι αὐτὰ μόνον χρὴ καὶ πιστεύεσθαι. ἂν δὲ μὴ πιστεύωμεν, οὐδὲ ὅτι Θεός ἐστι πιστεύσομεν. πόθεν γὰρ οἶδας ὅτι Θεός ἐστιν, εὐθύνας αὐτὸν ἀπαιτῶν; τοῦτο πρῶτον τεκμήριον τοῦ τὸν Θεὸν εἰδέναι, τὸ πιστεύειν οἷς ἂν λέγῃ χωρὶς τεκμηρίων καὶ ἀποδείξεων. τοῦτο καὶ Ἕλληνες ἴσασιν. ἐπίστευον γὰρ τοῖς θεοῖς, φησί, καίτοιγε αὐτὸν τεκμήριον λέγουσι. τί δήποτε; ὅτι ἐκεῖνοι εἰσὶ θεοί. ὁρᾷς ὅτι καὶ Ἕλληνες τοῦτο ἴσασι; καὶ τί λέγω ἐπὶ θεῶν; ἐπὶ ἀνθρώπου τοῦ ἐπιθέτου γόητος καὶ μάγου, τοῦ Πυθαγόρου λέγω, αὐτὸς ἔφα· καὶ ἐπὶ ναοῦ ἡ σιγὴ ἄνωθεν ἐγέγραπτο, καὶ κατεῖχε τῷ δακτύλῳ τὸ στόμα, καὶ ἐπισφίγγουσα τὰ χείλη, πᾶσι τοῖς παριοῦσι σιγᾶν παρῄνει. Εἶτα ἐκεῖνα μὲν οὕτω σεμνά, τὰ δὲ ἡμέτερα οὐχ οὕτως, ἀλλὰ καταγέλαστα; καὶ πόσης οὐχὶ μανίας ἂν εἴη τοῦτο ὑπερβολή; τὰ μὲν γὰρ Ἑλλήνων εἰκότως ζητεῖται (τοιαῦτα γάρ ἐστι, μάχαι τῶν λογισμῶν, καὶ ἀμφισβητήσεις, καὶ συμπεράσματα) τὰ δὲ ἡμέτερα τούτων ἁπάντων κεχώρισται. ἐκεῖνα μὲν γὰρ ἀνθρωπίνη εὗρε σοφία, ταῦτα δὲ χάρις ἐδίδαξε πνευματική. ἐκεῖνα μωρίας καὶ ἀνοίας, ταῦτα τῆς ὄντως σοφίας δόγματα. ἐκεῖ οὐκ ἔστι μαθητής, οὐδὲ διδάσκαλος, ἀλλὰ πάντες συζητοῦσιν. ἐνταῦθα κἂν διδάσκαλος ᾖ, κἂν μαθητής, μαθεῖν παρ' οὗ μαθεῖν χρή, πείθεσθαι οὐκ ἀμφισβητεῖν, πιστεύειν οὐ συλλογίζεσθαι. διὰ πίστεως γὰρ πάντες διεδέξαντο οἱ παλαιοί, καὶ ταύτης ἄνευ πάντα διέφθαρται. καὶ τί λέγω περὶ τῶν οὐρανίων; καὶ τὰ ἐπὶ γῆς ἐξετάσωμεν, ταύτης εὑρήσομεν ἐχόμενα. οὔτε γὰρ συναλλάγματα, οὔτε τέχναι, οὔτε ἄλλο οὐδὲν ἔσται τοιοῦτον χωρὶς ταύτης. εἰ δὲ ἐνταῦθα, ἔνθα περὶ ψευδῶν πραγμάτων, ταύτης δεῖ, πολλῷ μᾶλλον ἐν ἐκείναις. ταύτης οὖν ἐχώμεθα, ταύτην μετίωμεν. οὕτω πάντα τὰ ὀλέθρια δόγματα τῆς ψυχῆς ἐκβαλοῦμεν τῆς ἡμετέρας, οἷον, γένεσιν λέγω καὶ εἱμαρμένην. ἂν πιστεύσῃς ὅτι ἔστιν ἀνάστασις καὶ κρίσις, πάντα τὰ τοιαῦτα δυνήσῃ τῆς ψυχῆς ἐκβαλεῖν. πίστευσον ὅτι ἔστι Θεὸς δίκαιος, καὶ οὐ πιστεύσεις ὅτι ἔσται γένεσις ἄδικος· πίστευσον ὅτι ἔστι Θεὸς προνοῶν, καὶ οὐ πιστεύσεις ὅτι ἔστι γένεσις πάντα συνέχουσα. πίστευσον ὅτι ἔστι κόλασις καὶ βασιλεία, καὶ οὐ πιστεύσεις ὅτι ἔστι γένεσις, τὸ μὲν ἐφ' ἡμῖν ἀναιροῦσα, ὑποβάλλουσα δὲ ἡμᾶς ἀνάγκῃ καὶ βίᾳ. μὴ σπείρῃς, μὴ φυτεύσῃς, μὴ στρατεύσῃ, μηδὲν ὅλως ἐργάσῃ, πάντως γὰρ καὶ ἑκόντος, καὶ ἄκοντος ἥξει τὰ τῆς γενέσεως. τί ἡμῖν δεῖ λοιπὸν εὐχῶν; διὰ τί δὲ θέλεις γενέσθαι χριστιανός, εἰ γένεσίς ἐστιν; οὐ γὰρ ὑπὸ ἔγκλημα εἶ. πόθεν τέχναι; ἀπὸ

ΗΘΙΚΟΝ

χ. αὐτῶν, τῶν περὶ τῶν ἡρώων μύθοις,

χ. τί δὲ ἐπὶ θεῶν;

χ. ἐκεῖνος γὰρ τῇ αὐτοῦ ἐραστὰς ἐκέλευε ἡ παροῦσι σιγὴ ἐκαθῆσθαι κατεῖχε τῷ δακτύλῳ τὸ στόμα, καὶ ἐπισφίγγων

ἴσ. ἐκείνοις

ἴσ. ἐστι

πάλιν ἐπὶ τῆς πίστεως. γνησίῳ γὰρ τέκνῳ ἐν πίστει, φησίν. ὅρα δὲ καὶ τὸ ἐγκώμιον ὅσον, εἴγε μὴ μόνον υἱὸν αὐτοῦ φησιν αὐτὸν, ἀλλὰ καὶ γνήσιον τέκνον.] Χάρις, ἔλεος, εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου ἡμῶν. Διὰ τί τῶν ἄλλων ἐπιστολῶν οὐδαμοῦ τὸ ἔλεον προσέταξεν, ἀλλ' ἐνταῦθα; καὶ τοῦτο ἀπὸ πολλῆς φιλοστοργίας. πλείονα γὰρ ἐπεύχεται τῷ παιδὶ, δεδοικὼς ὑπὲρ αὐτοῦ καὶ τρέμων. οὕτω γὰρ ἐδεδοίκει, ὡς, ὃ μη- α Τιμ. ε. κγ. δαμοῦ πεποίηκε, καὶ σωματικῶν ἕνεκεν ἐπιστέλλει αὐτῷ, ὡς ὅταν λέγῃ, Οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου καὶ τὰς πυκνάς σου ἀσθενείας. (χ. πρὸς αὐτόν,) πλείονος γὰρ μάλιστα οἱ διδάσκαλοι δέονται τοῦ ἐλέου. ἀπὸ Θεοῦ, φησὶ, πατρὸς ἡμῶν, καὶ Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου ἡμῶν. πάλιν ἐνταῦθα παραμυθία. Εἰ γὰρ πατὴρ ὁ Θεὸς, ὡς τέκνων κήδεται. ἄκουε γὰρ τοῦ Χριστοῦ Ματθ. ζ. θ. * λέγοντος, Τίς ἐστιν ἐξ ὑμῶν ἄνθρωπος, ὃν ἐὰν αἰτήσῃ ὁ υἱὸς αὐτοῦ ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ; (* τὸ αὐτὸ [illegible])

3 Καθὼς παρεκάλεσά σε προσμεῖναι ἐν Ἐφέσῳ, πορευόμενος εἰς Μακεδονίαν.

Ἄκουε δὲ προσηνές, πῶς οὐ διδασκάλου κέχρηται φωνῇ, ἀλλ' οἰκέτου σχεδόν. (χ. ἴδε τὸ προσηνὲς καὶ ἐπιεικὲς Παύλου) οὐ γὰρ εἶπεν, ἐπέταξα, οὐδὲ, ἐκέλευσα, οὐδὲ, παρῄνεσα· ἀλλὰ τί; παρεκάλεσά σε. οὐ μὴν πρὸς πάντας τοὺς μαθητὰς οὕτω διακεῖσθαι ἡμᾶς χρὴ, ἀλλὰ πρὸς τοὺς ἡμέρους καὶ ἐναρέτους· πρὸς δὲ τοὺς ἄλλους τοὺς διεφθαρμένους καὶ μὴ γνησίους, ἑτέρως· καθὼς καὶ αὐτὸς γράφων ἀλλαχοῦ φησιν, Ἔλεγχε αὐτοὺς μετὰ πάσης ἐπιταγῆς. καὶ ἐνταῦθα δὲ ὅρα τί φησιν, Ἵνα παραγγείλῃς τισὶν, Οὐχ ἵνα παρακαλέσῃς, ἀλλ' ἵνα Παραγγείλῃς μὴ ἑτεροδιδασκαλεῖν. Τί τοῦτό ἐστι; οὐ γὰρ ἤρκει ἡ Παύλου ἐπιστολὴ, ἣν ἐπέστελλεν αὐτοῖς; ἤρκει μέν· ἀλλὰ πρὸς τὰ γράμματα καταφρονητικώτερον οἱ ἄνθρωποι ἔχουσιν· (χ. οὐ πρὸς δὲ τὰ) ἢ οὕτω τοῦτό ἐστιν εἰπεῖν, ἢ ὅτι καὶ πρὸ τῶν γραμμάτων ταῦτα ἦν. καὶ αὐτὸς δὲ πολὺν ἐν τῇ πόλει ταύτῃ χρόνον πεποίηκε, καὶ ἐν ταύτῃ τὸ ἱερὸν τῆς Ἀρτέμιδος ἦν, ἐν ταύτῃ ἔπαθε τὰ * δεινὰ ἐκεῖνα. (* μυρία) μετὰ γὰρ τὸ λυθῆναι τὸ θέατρον καλέσας καὶ παρακαλέσας τοὺς μαθητὰς, οὕτως ἐξέπλει, καὶ πάλιν παρεκαλεῖτο αὐτοῖς. ἄξιον δὲ ζητῆσαι, εἰ νῦν ἐνίδρυσεν ἐκεῖ τὸν Τιμόθεον. φησὶ γάρ· ἵνα παραγγείλῃς τισὶ μὴ ἑτεροδιδασκαλεῖν. (χ. ἐκεῖ τὸν Τιμόθεον ἐπίσκοπον κατέστησε. διὰ τοῦτο χείρονα φησὶ, παράγγελλε) οὐ τίθησιν αὐτοὺς ὀνόματι, ἵνα μὴ ἀναισχυντοτέρους ἐργάσηται τῇ τοῦ ἐλέγχου παρρησίᾳ. (χ. ἐπηρείᾳ) ἐνταῦθα τινες ἦσαν ἐξ Ἰουδαίων ψευδαπόστολοι, βουλόμενοι πάλιν ἐπὶ τὸν νόμον ἕλκειν τοὺς πιστοὺς, ὃ πανταχοῦ τῶν ἐπιστολῶν αἰτιᾶται. ἐποίουν δὲ τοῦτο, οὐχ οὕτως ὑπὸ συνειδότος ἑλκόμενοι, ὡς ὑπὸ κενοδοξίας, καὶ τῷ θέλειν ἔχειν μαθητὰς, καὶ τῷ μακαρίῳ Παύλῳ φιλονεικοῦντες, καὶ πρὸς αὐτὸν ζηλοτύπως ἔχοντες. τοῦτό ἐστιν ἑτεροδιδασκαλεῖν.

4 Μηδὲ προσέχειν, φησὶ, μύθοις καὶ γενεαλογίαις. Μύθους οὐ τὸν νόμον φησὶν, ἄπαγε· ἀλλὰ τὰς παραποιήσεις, καὶ τὰ παραχαράγματα, καὶ τὰ παράσημα δόγματα. Εἰκὸς γὰρ τοὺς ἐξ Ἰουδαίων ἐν τοῖς ἀνοήτοις τὸν πάντα λόγον ἀναλίσκειν, (χ. αἰωνίοις) πάππους καὶ προπάππους ἀριθμοῦντας, ἵνα δῆθεν ἐμπειρίας πολλῆς καὶ ἱστορίας δόξαν ἔχωσιν. Ἵνα παραγγείλῃς τισὶ, φησὶ, μὴ ἑτεροδιδασκαλεῖν, μηδὲ προσέχειν μύθοις καὶ γενεαλογίαις ἀπεράντοις. Τί ἐστιν, ἀπεράντοις; ἤτοι πέρας οὐδὲν ἐχούσαις, ἢ οὐδὲν χρήσιμον, ἢ δυσκατάληπτον ἡμῖν. Εἶδες πῶς διαβάλλει τὴν ζήτησιν; ἔνθα γὰρ πίστις, οὐ χρεία ζητήσεως. ἔνθα μηδὲν δεῖ περιεργάζεσθαι, τί δεῖ ζητήσεως; ἡ ζήτησις τῆς πίστεώς ἐστιν ἀναιρετική. ὁ γὰρ ζητῶν, οὐδέπω εὗρεν· ὁ ζητῶν, πιστεῦσαι οὐ δύναται. διὰ τοῦτό φησι, μὴ ἀσχολώμεθα περὶ τὰς ζητήσεις· ἐπεὶ εἰ ζητοῦμεν, οὐκ ἔστι τοῦτο πίστις· ἡ γὰρ πίστις ἀναπαύει τὸν λογισμόν. πῶς οὖν Ματθ. ζ. ζ. Ἰωαν. ε. λθ. φησιν ὁ Χριστὸς, Ζητεῖτε, καὶ εὑρήσετε, κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν, καὶ, Ἐρευνᾶτε τὰς γραφὰς, ὅτι ὑμεῖς ἐν αὐταῖς δοκεῖτε ζωὴν αἰώνιον ἔχειν; ἐκεῖ μὲν τὸ, ζητεῖτε, περὶ αἰτήσεως λέγει καὶ σφοδροῦ πόθου· ἐνταῦθα δὲ τὸ, ἐρευνᾶτε τὰς γραφὰς, οὐ τοὺς ζητητικούς ἐστιν εἰσάγοντος πόνους, ἀλλ' ἐκβάλλοντος. εἶπε γὰρ, ἐρευνᾶτε τὰς γραφὰς, τουτέστιν, ὥστε τὴν ἀκρίβειαν αὐ-

τῶν

τοῦ ἀποστόλου, παιδεύων τὸν ἀκούοντα μὴ νομίζειν ἀνθρώπινα εἶναι τὰ λεγόμενα (ὁ γὰρ ἀπόστολος οὐδὲν ἂν ἴδιον λέγοι) καὶ εἰπὼν ἀπόστολον, εὐθέως τοῦ ἀκροατοῦ τὴν διάνοιαν εἰς τὸν ἀποστείλαντα παραπέμπει. διὰ τοῦτο πασῶν τῶν ἐπιστολῶν τοῦτο προτίθησιν, ἀξιόπιστον τὸν λόγον ποιῶν, καὶ οὕτω λέγει· Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ κατ' ἐπιταγὴν Θεοῦ σωτῆρος ἡμῶν. καὶ μὴν οὐδαμοῦ φαίνεται ὁ πατὴρ ἐπιτάξας, ἀλλ' ὁ πανταχοῦ ὁ Χριστὸς αὐτῷ διαλέγεται. τί γάρ φησι; Πορεύου, ὅτι ἐγὼ εἰς ἔθνη μακρὰν ἀποστελῶ σε. καὶ πάλιν, Καίσαρί σε δεῖ παραστῆναι. ἀλλ' ἅπερ ἂν ὁ υἱὸς ἐπιτάξῃ, ταῦτα τοῦ πατρὸς ἐπιτάγματα λέγει εἶναι· ὥσπερ καὶ τὰ τοῦ πνεύματος, τοῦ υἱοῦ. ἰδοὺ γὰρ ἐξεπέμφθη ὑπὸ τοῦ πνεύματος, ἀφωρίσθη ὑπὸ τοῦ πνεύματος, καί φησιν ἐπιταγὴν εἶναι Θεοῦ; τί οὖν; μὴ ἄρα ἐλαττοῖ τοῦ υἱοῦ τὴν ἐξουσίαν τὸ τὸν ἀπόστολον αὐτὸν κατ' ἐπιταγὴν τοῦ πατρὸς πεπέμφθαι; οὐδαμῶς. ὅρα γὰρ πῶς αὐτὴν κοινὴν ἐποίησεν. εἰπὼν γάρ, κατ' ἐπιταγὴν Θεοῦ σωτῆρος ἡμῶν, ἐπήγαγε, καὶ Κυρίου Χριστοῦ Ἰησοῦ, τῆς ἐλπίδος ἡμῶν. ὅρα πῶς κυρίως τὰ ἐπώνυμα τίθησι. καὶ μὴν ὁ ψαλμῳδὸς περὶ τοῦ πατρὸς τοῦτό φησι λέγων, Ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς· καὶ πάλιν ὁ μακάριος Παῦλος γράφων ἑτέρωθί φησιν, Εἰς τοῦτο γὰρ κοπιῶμεν καὶ ὀνειδιζόμεθα, ὅτι ἠλπίκαμεν ἐπὶ Θεῷ ζῶντι καὶ ἀληθινῷ. τὸν διδάσκαλον ἀναγκαῖον κινδύνοις ὑποκεῖσθαι, καὶ πολλῷ τῶν μαθητῶν πλείοσι. Πατάξω γάρ, φησι, τὸν ποιμένα, καὶ διασκορπισθήσεται τὰ πρόβατα. ἐπεὶ οὖν τοῦτο οἶδε, σφοδρότερον κατ' αὐτῶν ὁ διάβολος πνεῖ, ἅτε ἐν τῇ τούτων ἀναιρέσει καὶ τοῦ ποιμνίου διασκεδασθέντος. πρόβατα μὲν γὰρ ἀποκτείνας, τὸ ποίμνιον ἠλάττωσε· τὸν δὲ ποιμένα ἐκ μέσου ποιήσας, ὁλόκληρον τὴν ποίμνην ἐλυμήνατο. ἅτε οὖν ἐν ἐλάττονι πόνῳ μείζονα ἐργαζόμενος, καὶ ἐν μιᾷ ψυχῇ τὸ πᾶν λυμαινόμενος, τούτοις ἐφίσταται μᾶλλον. διὰ τοῦτο εὐθέως ἐκ προοιμίων αὐτοῦ τὴν ψυχὴν ἀνίστησι λέγων, σωτῆρα τὸν Θεὸν ἔχομεν, καὶ ἐλπίδα τὸν Χριστόν. πολλὰ πάσχομεν, ἀλλ' ἔχομεν ἐλπίδας μεγάλας. κινδυνεύομεν, ἐπιβουλευόμεθα· ἀλλ' ἔχομεν σώζοντα, οὐκ ἄνθρωπον, ἀλλὰ Θεόν. οὔτε οὖν ὁ σώζων ἀσθενὴς (Θεὸς γάρ ἐστι, καὶ οἷοι ἐὰν ὦσιν οἱ κίνδυνοι, οὐ περιέσονται ἡμῶν) οὔτε ἡ ἐλπὶς καταισχύνεται. Χριστὸς γάρ ἐστι. δύο γὰρ τούτοις φέρομεν τοὺς κινδύνους, ἢ ταχέως αὐτῶν ἀπαλλαττόμενοι, ἢ χρησταῖς ἐλπίσι τρεφόμενοι. πῶς δὲ οὐδαμοῦ τοῦ πατρὸς ἀπόστολον ἑαυτὸν εἶναί φησιν, ἀλλὰ τοῦ Χριστοῦ; πάντα κοινοποιεῖ, καὶ εὐαγγέλιον δὲ αὐτὸ λέγει τοῦ Θεοῦ. ὅσα γὰρ ἂν πάθωμεν, φησιν, οὐδέν ἐστι τὰ ἐνταῦθα. Τιμοθέῳ γνησίῳ τέκνῳ ἐν πίστει. καὶ τοῦτο παρακλητικόν. εἰ γὰρ τοσαύτην ἐπεδείξατο πίστιν, ὡς Παύλου γενέσθαι τέκνον, οὐχ ἁπλῶς, ἀλλὰ γνήσιον, θαρρείτω καὶ περὶ τῶν μελλόντων. πίστεως γάρ ἐστι, καὶ ἐναντία ταῖς ἐπαγγελίαις ᾖ τὰ γινόμενα, μὴ καταπίπτειν, μηδὲ θορυβεῖσθαι. ἀλλ' ἰδοὺ καὶ τέκνον, καὶ γνήσιον τέκνον, καὶ οὐδαμοῦ τῆς αὐτῆς ἐστιν οὐσίας. ἀλλὰ τί; ἄλογον ἦν; ἀλλ' οὐκ ἦν ἐκ Παύλου, φησίν· ὥστε οὐ τοῦ ἔκ τινος εἶναι τοῦτο δηλωτικόν. τί οὖν; ἑτεροούσιος ἦν; οὐδὲ τοῦτο. εἰπὼν γάρ, τέκνον, διὰ τοῦτο προσέθηκεν, ἐν πίστει, ὥστε δηλῶσαι ὅτι γνήσιος ἦν, καὶ ἐξ αὐτοῦ ἦν· οὐδὲν ἐνήλλακτο, κατὰ τὴν πίστιν τὸ ἐμφερὲς εἶχεν, ὃ καὶ ἐν τοῖς ἀνθρωπίνοις ἐπὶ τῆς οὐσίας ἐστίν. ὅμοιός ἐστιν υἱὸς τῷ πατρί, ἀλλ' οὐχ οὕτως, ὡς ἐπὶ Θεοῦ. πλείων γὰρ ἡ ἰσότης ἐκεῖ. ἐνταῦθα μὲν γάρ, εἰ καὶ τῇ οὐσίᾳ ταυτοὶ εἰσιν, ἀλλ' ἑτέροις πολλοῖς διεστήκασι, χρώματι, σχήματι, συνέσει, χρόνῳ, προαιρέσει, τοῖς περὶ ψυχήν, τοῖς περὶ σῶμα, τοῖς ἐκτός, καὶ πλείοσιν ἑτέροις διεστήκασιν ἀλλήλων, ἢ συνάπτονται πρὸς ἀλλήλους· ἐκεῖ δὲ τούτων οὐδέν ἐστι τῶν διαφερμάτων. τό, κατ' ἐπιταγήν, τοῦ, κλητός, ἐνεργέστερόν ἐστι, καθὼς καὶ ἀλλαχόθεν ἔστι μαθεῖν. ὅμοιον δὲ τοῦ, Τιμοθέῳ γνησίῳ τέκνῳ, καὶ Κορινθίοις φησίν, Ἐν Χριστῷ Ἰησοῦ ἐγὼ ὑμᾶς ἐγέννησα, τουτέστιν, ἐν πίστει. τὸ δέ, γνήσιον, προστίθησι, τὴν ἀκρίβειαν καὶ ὑπὲρ τοὺς ἄλλους πρὸς αὐτὸν ὁμοιότητα δεῖξαι βουλόμενος· οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ τὴν ἀγάπην τὴν πρὸς αὐτόν, καὶ τὴν διάθεσιν τὴν πολλήν. [ἰδοὺ δέ, ἐν, πάλιν

χ. ἐξαποστελῶ

Πραξ. κβ. κα. καὶ κζ. κδ.

χ. πατρὸς,

χ. παιδὸς

Πραξ. ιγ. δ. β.

ψαλ. ξδ. ε.

α. Τιμ. δ. ι.

χ. ὀνειδιζόμεθα,

Ζαχ. ιγ. ζ.

Ματθ. κς. λα.

χ. ἐπιτίθεται

χ. πίστεως γὰρ τοῦτ' ἔστι,

χ. ὅπως

χ. ὁ

χ. τουτέστιν

χ. ἐνεργητικώτερον

τον. Εἰ γὰρ καὶ κοσμικὸς εἴη, καὶ μηδὲ ἐν τούτοις χρησίμους γεγονώς, πῶς ἂν ἐμπιστευθῇ προστασίαν ἐκκλησίας; τίνος δὲ ἕνεκεν ἐπιστέλλει, φησί, τῷ μαθητῇ εἰς διδασκαλίαν τεταγμένῳ λοιπόν; οὐ γὰρ ἔδει περὶ πάντων ἀπηρτίσθαι αὐτόν, εἶτα πέμπεσθαι; ἀλλ' ἐδεῖτο διδασκαλίας, οὐ τῆς αὐτῆς, ἧς οἱ μαθηταί, ἀλλὰ τῆς διδασκάλῳ πρεπούσης. ὅρα οὖν αὐτὸν δι' ὅλης τῆς ἐπιστολῆς διδασκάλῳ προσήκουσαν ποιούμενον τὴν διδασκαλίαν. καὶ εὐθέως ἐκ τοῦ προοιμίου οὐκ εἶπεν, ἵνα μὴ προσέχῃς τοῖς ἑτεροδιδασκαλοῦσιν, ἀλλὰ τί; [illegible] [illegible]

α. Τιμ. α γ. Ἵνα παραγγείλῃς αὐτοῖς μὴ ἑτεροδιδασκαλεῖν.

# ΧΡΥΣΟΣΤΟΜΟΥ
## ΕΙΣ ΤΗΝ ΠΡΟΣ
## ΤΙΜΟΘΕΟΝ α. ΕΠΙΣΤΟΛΗΝ
### ἑρμηνεία.

κεφ. α. Λογ. α 1 ΠΑΥΛΟΣ ΑΠΟΣΤΟΛΟΣ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ κατ' ἐπιταγὴν Θεοῦ σωτῆρος ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ, τῆς ἐλπίδος ἡμῶν, 2 Τιμοθέῳ γνησίῳ τέκνῳ ἐν πίστει.

Μέγα τὸ τοῦ ἀποστόλου ἀξίωμα ἦν, μέγα καὶ θαυμαστόν. καὶ πανταχοῦ ὁρῶμεν τὸν Παῦλον προτιθέντα τὰς αἰτίας τοῦ ἀξιώματος, οὐχ ὡς ἁρπάζοντα τὴν τιμήν, ἀλλ' ὡς ἐγχειρισθέντα, καὶ ἀνάγκην ἔχοντα. καὶ γὰρ ὅταν λέγῃ κλητὸν ἑαυτόν, καὶ ὅταν λέγῃ, Διὰ θελήματος Θεοῦ, καὶ πάλιν ἀλλαχοῦ, Ἀνάγκη γάρ μοι ἐπίκειται, καὶ ὅταν εἰς τοῦτο ἀφωρίσθαι λέγῃ, ταῦτα πάντα ἀναίρεσις φιλοτιμίας καὶ ἀλαζονείας ἐστίν. ὥσπερ γὰρ ὁ ἐπιπηδῶν μὴ δεδομένην παρὰ Θεοῦ τιμήν, μέμψεως ἄξιος τῆς ἐσχάτης· οὕτως ὁ διακρουόμενος καὶ ἀποπηδῶν, ἑτέρου ἐστὶν ἐγκλήματος ὑπεύθυνος, τοῦ τῆς παρακοῆς καὶ ἀπειθείας. τοῦτο γοῦν καὶ νῦν ἐν ἀρχῇ τῆς πρὸς Τιμόθεον ἐπιστολῆς ὁ Παῦλός φησιν, οὕτω λέγων, Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ κατ' ἐπιταγὴν Θεοῦ. οὐκ εἶπεν ἐνταῦθα, Παῦλος κλητός, ἀλλά, κατ' ἐπιταγήν. ἵνα γὰρ μή τι ἀνθρώπινον πάθῃ ὁ Τιμόθεος, νομίζων ἐξ ἴσης αὐτῷ διαλέγεσθαι καὶ τοῖς μαθηταῖς, διὰ τοῦτο οὕτως ἤρξατο. καὶ ποῦ ἐπέταξεν αὐτῷ ὁ Θεός; εὑρίσκεται τὸ πνεῦμα λέγον ἐν ταῖς πράξεσι τῶν ἀποστόλων, Ἀφορίσατέ μοι τὸν Παῦλον καὶ τὸν Βαρνάβαν. καὶ πανταχοῦ δὲ γράφων προστίθησι τὸ ὄνομα τοῦ

Margin notes:
Ρωμ. α α.
α. Κορ. α α.
α. Κορ. θ. ις.
Ρωμ. α α.
γ. διδομ.
Πραξ. ιγ ϛ.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

# ΙΩΑΝΝΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

τοῦ Χρυσοστόμου ὑπόθεσις τῆς πρὸς Τιμόθεον ἐπιστολῆς προτέρας.

Πράξ. ιϛ. β.

γ. ἐμαρτυρεῖτο γάρ, φησιν, γ. οὕτος

Τῶν τοῦ ἀποστόλου μαθητῶν εἷς καὶ ὁ Τιμόθεος ἦν. καὶ μαρτυρεῖ μὲν ὁ Λουκᾶς, ὅτι θαυμαστός τις νέος ἦν, ἐμαρτυρούμενος ὑπὸ τῶν ἐν Λύστρᾳ καὶ Ἰκονίῳ ἀδελφῶν, ὃς ἅμα τε μαθητὴς ἐγένετο, καὶ διδάσκαλος· καὶ οὕτω σφόδρα συνετὸς ἦν, ὡς ἀκούων Παύλου χωρὶς περιτομῆς κηρύσσοντος, καὶ μαθὼν ὅτι καὶ Πέτρῳ αἰτίασι τούτου ἕνεκεν, ἑλέσθαι μὴ μόνον τὸ ἐναντίον μὴ κηρύξαι, ἀλλὰ καὶ παθεῖν. Περιέτεμε γὰρ αὐτόν, φησιν, ἐν ἡλικίᾳ τοιαύτῃ, οὕτω τε αὐτῷ πᾶσαν τὴν οἰκονομίαν ἐνεπίστευσεν. ἤρκει μὲν οὖν ὁ τοῦ Παύλου πόθος δεῖξαι τὸν ἄνδρα, ὅστις ἐστί. καὶ γὰρ καὶ ἀλλαχοῦ αὐτῷ μαρτυρεῖ γράφων [καὶ λέγων], Τὴν δὲ δοκιμὴν αὐτοῦ γινώσκετε, ὅτι ὡς πατρὶ τέκνον σὺν ἐμοὶ ἐδούλευσεν εἰς τὸ εὐαγγέλιον. καὶ Κορινθίοις πάλιν ἐπιστέλλει λέγων, Ἔπεμψα ὑμῖν Τιμόθεον, ὅς ἐστί μου τέκνον ἀγαπητὸν καὶ πιστὸν ἐν Κυρίῳ· καὶ πάλιν, Βλέπετε μή τις αὐτὸν ἐξουθενήσῃ· τὸ γὰρ ἔργον Κυρίου ἐργάζεται, ὡς κἀγώ. καὶ Ἑβραίοις δὲ γράφων ἔλεγε, Γινώσκετε τὸν ἀδελφὸν Τιμόθεον ἀπολελυμένον· καὶ πολλὴν πανταχόθεν εὕροι τις ἂν αὐτοῦ τὴν ἀγάπην. καὶ τὰ νῦν δὲ γινόμενα θαύματα δείκνυσιν αὐτοῦ τὴν παρρησίαν. Εἰ δέ τις ἐξετάζοι, τί δήποτε Τίτῳ καὶ Τιμοθέῳ γράφει μόνοις, καίτοιγε καὶ Σίλας τῶν εὐδοκίμων ἦν, καὶ Λουκᾶς ὁμοίως; φησὶ γὰρ αὐτὸς γράφων, Καὶ Λουκᾶς ἐστι μόνος μετ' ἐμοῦ. καὶ Κλήμης δὲ εἷς τῶν συνόντων αὐτῷ ἐτύγχανε. Φησὶ γὰρ καὶ περὶ αὐτοῦ, Μετὰ καὶ Κλήμεντος καὶ τῶν λοιπῶν συνεργῶν μου. τίνος οὖν ἕνεκεν Τίτῳ καὶ Τιμοθέῳ γράφει μόνοις; ὅτι τούτοις ἤδη ἐκκλησίας ἦν ἐγκεχειρικώς, ἐκείνους δὲ ἔτι μεθ' ἑαυτοῦ περιῆγε· τούτους δὲ φανεροῖς τισι τόποις ἀφώρισε. τοσαύτη γὰρ ἦν αὐτῷ ἡ ὑπερβολὴ τῆς ἀρετῆς, ὡς μηδὲν τὴν νεότητα ἐμποδίσαι. Διὰ τοῦτο γράφων φησί· Μηδείς σου τῆς νεότητος καταφρονείτω [καὶ πάλιν, Τὰς νεωτέρας, φησίν, ὡς ἀδελφάς.] ὅταν γὰρ ἡ ἀρετή, πάντα περιττά, καὶ οὐδὲν ἐμπόδιον γένοιτ' ἄν. καὶ γὰρ περὶ ἐπισκόπων διαλεγόμενος, καὶ πολλὰ περὶ αὐτῶν εἰπών, οὐδαμοῦ περὶ τῆς ἡλικίας ἀκριβολογεῖται. Εἰ δὲ λέγει [γράφων] Τέκνα ἐν ὑποταγῇ ἔχοντα, καί, Μιᾶς γυναικὸς ἄνδρα, οὐ τοῦτό φησιν, ὡς ἀναγκαῖον καὶ τέκνα ἔχειν καὶ γυναῖκα· ἀλλ' εἰ συμβαίη ποτὲ ἀπὸ κοσμικῶν ἄγεσθαι, ἵνα τοιοῦτοι ὦσιν, ὡς καὶ οἰκίας εἰδέναι προεστάναι, καὶ παίδων, καὶ τῶν ἄλλων ἁπάντων.

Πράξ. ιϛ. γ.
Φιλιπ. β κβ.
α. Κορ. δ ιζ. καὶ ιϛ ι.
Ἑβρ. ιγ. κγ.
γ. ἐξετάζει,
β. Τιμ. δ. ια.
Φιλιπ. δ γ.
γ. τόποις παντὶ τὸ ἀφορίσας
γ. μηδὲ
γ. ὅτι δὲ νέος ἦν, ἄλλως τε φησὶ μᾶλλον πρὸς αὐτόν·
α. Τιμ. δ. ιβ. καὶ ε. β.
γ. καταλέξαι,
α. Τιμ. γ. δ. β.

Digitized by Google

θυμοῦντα τούτοις, ὑπὲρ ὧν ἑτέροις ἐπιτιμᾷ. ἐπεὶ οὖν καὶ ἡμᾶς αὐτοὺς, κἀκείνους ὠφελοῦμεν, καὶ δι' ἐκείνων τὸν οἶκον, καὶ τῷ Θεῷ τοῦτο δοκεῖ προηγουμένως, μὴ ἀποκάμωμεν καὶ τῆς ἑαυτῶν, καὶ τῆς τῶν διακονουμένων ἡμῖν ψυχῆς κηδόμενοι, ἵν' ὑπὲρ ἁπάντων λάβωμεν τὴν ἀμοιβὴν, καὶ μετὰ πολλοῦ τοῦ πλούτου καταντήσωμεν εἰς τὴν ἁγίαν πόλιν τὴν μητέρα ἡμῶν, τὴν ἄνω Ἱερουσαλήμ· ἧς μὴ γένοιτό ποτε ἐκπεσεῖν, ἀλλ' ἐν τῇ ἀρίστῃ λάμψαντας πολιτείᾳ μετὰ πολλῆς τῆς παῤῥησίας ἀξιωθῆναι ἰδεῖν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

χ. κατὰ ξ.

Ἀμήν.

δεσπότην, ἵνα μὴ ὁ λόγος τοῦ Θεοῦ βλασφημῆται, καὶ ἡ διδασκαλία. ὅταν δὲ μὴ βλασφημῆται, ταχέως καὶ θαυμασθήσεται. καὶ οἶδα πολλὰς οἰκίας, ὅτι μεγάλα ἐκέρδαναν ἀπὸ τῆς τῶν δούλων ἀρετῆς. εἰ δὲ οἰκέτης ὑπ' ἐξουσίαν κείμενος τὸν δεσπότην ῥυθμίσαι δύναιτ' ἄν, πολλῷ μᾶλλον δεσπότης οἰκέτας. Διαδέξασθε παρ' ἐμοῦ, παρακαλῶ, ταύτην τὴν διακονίαν. ἐγὼ πᾶσι κοινῇ διαλέγομαι· ὑμεῖς ἰδίᾳ ἑκάστῳ. καὶ ἕκαστος ἐγχειριζέσθω τὴν σωτηρίαν τῶν πλησίον. ὅτι γὰρ δεῖ τὸν τῆς οἰκίας προεστάναι ἐν τούτοις, ἄκουσον ποῦ παραπέμπει τὰς γυναῖκας ὁ Παῦλος· ᵃ Εἰ δέ τι μαθεῖν θέλουσι, φησὶν, ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν, καὶ οὐ προσάγει αὐτὰς τῷ διδασκάλῳ. καθάπερ γὰρ ἐν ταῖς διατριβαῖς τῶν γραμμάτων εἰσὶ καὶ ἐν τοῖς μαθηταῖς διδάσκαλοι, οὕτω καὶ ἐν τῇ ἐκκλησίᾳ. βούλεται γὰρ μὴ ὑπὸ πάντων ἐνοχλεῖσθαι τὸν διδάσκαλον. διὰ τί; ὅτι μεγάλα ἀγαθὰ οὕτως ἔσται, οὐ μόνον ὅτι κοῦφος ἔσται ὁ πόνος τῷ διδασκάλῳ, ἀλλ' ὅτι καὶ τῶν μαθητῶν ἕκαστος μεριμνήσας, ταχέως γενέσθαι δύναται διδάσκαλος, ταύτην ἔχων τὴν φροντίδα. ὅρα γὰρ πόσην διακονίαν εἰσάγει ἡ γυνή. οἰκουρεῖ, καὶ τῶν κατὰ τὴν οἰκίαν πάντων φροντίζει, ταῖς θεραπαινίσιν ἐφέστηκεν, ἀμφιέννυσι ταῖς αὐτῆς χερσὶ, πατέρα σε ποιεῖ παίδων καλεῖσθαι, χαμαιτυπείων ἀπαλλάττει, πρὸς σωφροσύνην βοηθεῖ, τὸν οἶστρον τῆς φύσεως παύει. ἀλλ' εὐεργέτει αὐτὴν καὶ σύ. πῶς; ἐν τοῖς πνευματικοῖς ὄρεξον χεῖρα. ἅπερ ἂν ἀκούσῃς χρήσιμα, ταῦτα, καθάπερ αἱ χελιδόνες, τῷ στόματι διαβαστάζων ἀπάγαγε, καὶ ἔνθες εἰς τὸ στόμα καὶ τῆς μητρὸς καὶ τῶν νεοττῶν. πῶς γὰρ οὐκ ἄτοπον ἐν μὲν τοῖς ἄλλοις τὴν πρωτείαν ἀξιοῦν σαυτὸν, καὶ τὴν τῆς κεφαλῆς χώραν ἐπέχειν, ἐν δὲ τῇ διδασκαλίᾳ λείπειν τὴν τάξιν; τὸν ἄρχοντα τῶν ἀρχομένων οὐκ ἐν ταῖς τιμαῖς ὑπερέχειν δεῖ, ἀλλ' ἐν ταῖς ἀρεταῖς. τοῦτο γὰρ ἄρχοντος· ἐκεῖνο μὲν γὰρ τῶν ἀρχομένων ἐστί. τοῦτο δὲ αὐτοῦ τοῦ ἄρχοντος κατόρθωμα. ἂν πολλῆς ἀπολαύσῃς τιμῆς, οὐδὲν τοῦτο πρὸς σέ. ἔλαβες γὰρ παρ' ἑτέρων. ἂν πολλῇ λάμπῃς τῇ ἀρετῇ, τοῦτο ὅλον σόν. κεφαλὴ τῆς γυναικός ἐστι. οὐκοῦν ῥυθμιζέτω τὸ σῶμα τὸ λοιπὸν ἡ κεφαλή. οὐχ ὁρᾷς ὅτι οὐ τῷ τόπῳ τοσοῦτον ὑπερέχει τοῦ λοιποῦ σώματος, ὅσον τῇ προνοίᾳ, καθάπερ τις ˮκυβερνήτης, ἅπαν αὐτὸ εὐθύνουσα; ἐν γὰρ τῇ κεφαλῇ καὶ οἱ τοῦ σώματος, καὶ οἱ τῆς ψυχῆς ὀφθαλμοί. ἐκεῖθεν ἐπιρρεῖ τούτοις τὸ διορατικὸν, ἐκεῖθεν τὸ ἡγεμονικόν. καὶ τὸ μὲν λοιπὸν τέτακται εἰς διακονίαν, αὐτὴ δὲ εἰς τὸ ἐπιτάττειν κεῖται. πᾶσαι αἱ αἰσθήσεις ἐκεῖθεν ἔχουσι τὴν ἀρχὴν, καὶ τὴν πηγήν. τὰ φωνητικὰ ὄργανα ἐκεῖθεν ἀναπέμπεται, τὸ διορατικὸν, τὸ ὀσφρητικὸν, ἡ ἁφὴ πᾶσα. ἡ γὰρ τῶν νεύρων ῥίζα καὶ τῶν ὀστῶν ἐκεῖθεν συνέστηκεν. ὁρᾷς ὅτι τῇ προνοίᾳ μᾶλλον ὑπερέχει, ἢ τῇ τιμῇ; οὕτω καὶ τῶν γυναικῶν ἡμεῖς ἄρχωμεν· νικῶμεν αὐτὰς μὴ τῷ πλείονα τιμὴν ζητεῖν παρ' αὐτῶν, ἀλλὰ τῷ μειζόνως αὐτὰς εὐεργετεῖν παρ' ἡμῶν. ἔδειξα ὅτι οὐ μικρᾶς ἡμᾶς εὐεργεσίας εὐεργετοῦσιν· ἀλλ' ἐὰν θέλωμεν ἐν τοῖς πνευματικοῖς δοῦναι τὴν ἀντίδοσιν, ἡμεῖς νικῶμεν· ἐπεὶ ἐν τοῖς σωματικοῖς ἀντίρροπόν τι εἰσαγαγεῖν οὐ δυνατόν. τί γάρ; εἰσάγεις πολλὰ χρήματα; ἀλλ' ἐκείνη φυλάττει. ἀντίρροπος δὲ αὕτη ἐκείνης ἡ πρόνοια, καὶ οὕτως αὐτῆς δεῖται. διὰ τί; ὅτι πολλοὶ πολλὰ κεκτημένοι, ἐπειδὴ φυλάττουσαν οὐκ εἶχον, πάντα ἀπώλεσαν. ἀλλὰ τῶν παίδων ἕνεκεν κοινωνεῖτε ἀμφότεροι, καὶ ἴση παρ' ἑκατέρου ἡ εὐεργεσία· μᾶλλον δὲ ἐκείνη πολυπονωτέραν ἐν τούτοις ἔχει τὴν διακονίαν, διαπαντὸς φέρουσα τὸ κυόμενον, καὶ ταῖς ὠδῖσι διακοπτομένη. ὥστε ἐν τοῖς πνευματικοῖς μόνοις δυνήσῃ νικᾶν. μὴ φροντίζωμεν ὅπως ἡμῖν χρήματα ἔσται, ἀλλ' ὅπως ἃς ἐνεπιστεύθημεν ψυχὰς, μετὰ παρρησίας τῷ Θεῷ παραστήσωμεν. ἐν τῷ γὰρ ῥυθμίζειν ἐκείνας καὶ ἑαυτοὺς τὰ μέγιστα ὀνησόμεθα. ὁ γὰρ ἕτερον διδάσκων, εἰ καὶ μηδὲν ἕτερον, ἀλλ' ἐν τῷ λέγειν κατανύσσεται, καὶ μάλιστα ὅταν ἤδη ἑαυτὸν ὑπεύ-

θυνον

ᵃ Κεφ. ιδ. λε.

ˮ χ. κυβερνῆται

πεινώντων, καὶ τὴν οὐκ ἄλλως τῆς διαγγελίας ἀντιποιουμένων τροφῆς, ἢ ἀπὸ τῆς τῶν χειρῶν ἐργασίας διατελεῖται. οὐ γὰρ εἶπεν, ἵνα ἀπὸ πατέρων ἔχωσιν, ἀλλ' ἵνα ἐργαζόμενοι τὸν ἑαυτῶν ἄρτον ἐσθίωσιν. εἰ γὰρ ὁ κήρυξ ἐγώ, φησι, τοῦ λόγου τῆς διδασκαλίας ἐφοβήθην βαρῆσαι ὑμᾶς, πολλῷ μᾶλλον ὁ μηδὲν ὑμᾶς ὠφελῶν. τοῦτο γὰρ ὄντως βάρος ἐστί. βάρος δέ ἐστιν, ὅταν τις μὴ μετὰ προθυμίας πολλῆς διδῷ. ἀλλ' οὐ τοῦτο αἰνίττεται, ἀλλ' ὡς οὐκ ἐχόντων εὐκόλως. διατί γὰρ οὐκ ἐργάζῃ; χεῖράς σοι εἰς τοῦτο ἔδωκεν ὁ Θεός, οὐχ ἵνα παρ' ἑτέρων λαμβάνῃς, ἀλλ' ἵνα ἑτέροις παρέχῃς. ὁ δὲ Κύριος, φησι, μεθ' ὑμῶν. τοῦτο ἔξεστι καὶ ἡμῖν ἑαυτοῖς ἐπεύχεσθαι, ἂν τὰ τοῦ Κυρίου πράττωμεν. ἄκουε γὰρ τοῦ Χριστοῦ λέγοντος τοῖς μαθηταῖς· Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα, ὅσα ἐνετειλάμην ὑμῖν, καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος. οὐ μόνον ταῦτα πρὸς ἐκείνους εἴρηται, ἀλλὰ καὶ πρὸς ἡμᾶς. ὅτι γὰρ ἐκείνοις οὐκ ἐπήγγελται μόνον, δῆλον ἐκ τοῦ εἰπεῖν, ἕως τοῦ αἰῶνος τῆς συντελείας, ἀλλὰ καὶ τοῖς κατ' ἴχνος ἐκείνων βαίνουσι. Matth. xxv. ιθ.

Τί οὖν πρὸς τοὺς μὴ διδασκάλους φησίν; ἕκαστος ὑμῶν, εἰ βούλοιτο, διδάσκαλός ἐστιν· ΗΘΙΚΟΝ εἰ καὶ μὴ ἑτέρου, ἀλλ' ἑαυτοῦ. δίδαξον σεαυτὸν πρότερον. ἂν διδάξῃς πάντα, ὅσα ἐνετείλατό σοι τηρεῖν, διὰ τούτου πολλοὺς ἕξεις τοὺς ζηλοῦντας. ὥσπερ γὰρ ὁ λύχνος, ὅταν αὐτὸς γένηται λαμπρὸς, μυρίους δύναται ἀνάψαι· ἐσβεσμένος δὲ οὐδὲ ἑαυτῷ παρέξει φῶς, οὔτε ἑτέρους ἀνάψαι λύχνους δυνήσεται· οὕτω καὶ ἐπὶ τοῦ βίου τοῦ καθαροῦ, ἐὰν τὸ ἐν ἡμῖν φῶς λαμπρὸν ᾖ, μυρίους καὶ μαθητὰς, καὶ διδασκάλους ἐργασόμεθα, ὥσπερ ἀρχέτυποι προκείμενοι. οὐδὲ γὰρ οὕτω τὰ παρ' ἐμοῦ ῥήματα τοὺς ἀκούοντας ὠφελῆσαι δυνήσεται, ὡς ὁ βίος ὁ ὑμέτερος. ἔστω γὰρ, εἰ βούλει, ἀνήρ τις τῷ Θεῷ φίλος, καὶ ἐν ἀρετῇ διαλάμπων, καὶ γυναῖκα ἔχων (ἔξεστι γὰρ καὶ γυναῖκα ἔχοντα ἀρέσκειν Θεῷ), καὶ παιδία, καὶ οἰκέτας, καὶ φίλους· τοῦτον, εἰπέ μοι, οὐ πολλῷ μᾶλλον ἐμοῦ τούτους ὠφελῆσαι δυνήσεται; ἐμοῦ μὲν γὰρ ἅπαξ, ἢ δὶς παρεῖσι* τοῦ μηνὸς, ἢ οὐδὲ ἅπαξ, καὶ ἅπερ ἂν ἀκούσωσιν, ἴσως μέχρι τοῦ τῆς ἐκκλησίας οὐδοῦ φυλάξαντες, εὐθέως ἀποβάλλουσιν· ἐκείνου δὲ τὸν βίον ὁρῶντες διηνεκῶς, μεγάλα κερδαίνουσιν. ὅταν γὰρ ὑβρισθεὶς μὴ ἀνθυβρίσῃ, οὐχὶ σχεδὸν ἐνέπηξε καὶ ἐνεχάραξε τῆς ἐπιεικείας αὐτοῦ τὴν αἰδῶ εἰς τὴν τοῦ ὑβρίζοντος ψυχήν; κἂν μὴ παραυτίκα ὁμολογῇ τὴν ὠφέλειαν, ἀπὸ τοῦ θυμοῦ ἢ αἰσχυνόμενος, ἢ ἐντρεπόμενος, ἀλλ' ὅμως αἴσθησιν εὐθέως λαμβάνει· καὶ ἀδύνατον ἄνθρωπον ὑβριστὴν, κἂν θηρίον ᾖ, ἀνεξικάκῳ τινὶ προσμίξαντα, μὴ μεγάλα κερδήσαντα ἀπελθεῖν. τὰ γὰρ ἀγαθὰ κἂν μὴ πράττωμεν, ἀλλ' ὅμως ἐπαινοῦμεν ἅπαντες καὶ θαυμάζομεν. ἡ γυνὴ πάλιν ἂν ἴδῃ τὸν ἄνδρα ἐπιεικῆ, μεγάλα κερδαίνει ἀεὶ συνοῦσα, καὶ τὸ παιδίον. ἔξεστιν οὖν ἑκάστῳ διδασκάλῳ γενέσθαι. Οἰκοδομεῖτε γὰρ, φησιν, ἀλλήλους εἰς τὸν ἕνα, καθὼς καὶ ποιεῖτε. α. Θεῷ εἶναι ὅρα γάρ. προσέπεσε ζημία ἐπὶ τῆς οἰκίας; ἡ γυνὴ θορυβεῖται, ἅτε ἀσθενεστέρα οὖσα, καὶ πολυτελεστέρα, καὶ φιλόκοσμος; ὁ ἀνὴρ ἐὰν ᾖ φιλόσοφος καὶ καταγελάσῃ τῆς ζημίας, καὶ ἐκείνην παραμυθεῖται, καὶ πείθει φέρειν γενναίως. ἆρ' οὖν, εἰπέ μοι, οὐ πολλῷ μᾶλλον αὐτὴν τῶν ἡμετέρων ὠφελήσει λόγων; εἰπεῖν μὲν γὰρ πάνυ εὔκολον· πρᾶξαι δὲ, ὅταν εἰς χρείαν καταστῶμεν, σφόδρα δύσκολον. διὰ τοῦτο μᾶλλον ἀπὸ τῶν ἔργων ῥυθμίζεσθαι ἡ ἀνθρωπίνη φύσις εἴωθε. καὶ τοσαύτη τῆς ἀρετῆς ἡ ὑπερβολὴ, ὥστε καὶ δοῦλος πολλάκις ὁλόκληρον ὠφέλησεν οἰκίαν μετὰ τοῦ δεσπότου. οὐδὲ γὰρ εἰκῆ, οὐδὲ ἁπλῶς αὐτοῖς συνεχῶς ἐπιτάττει τὴν ἀρετὴν ἀσκεῖν ὁ Παῦλος, καὶ πειθηνίους εἶναι τοῖς δεσπόταις, οὐ τῆς διακονίας τοσοῦτον φροντίζων τῆς

* ἀκούονται

τὸ αὐτὸ ἀλλαχοῦ λέγοντος· [Ῥωμ. ιβ. ιη.] Εἰ δυνατὸν, τὸ ἐξ ὑμῶν, μετὰ πάντων ἀνθρώπων εἰρηνεύετε. οὐδὲν γὰρ οὕτω πρὸς τὸ κατορθῶσαι ἃ βουλόμεθα ἐπιτήδειον, ὡς τὸ εἰρηναίους καὶ ἀταράχους, ὡς τὸ ἀπεχθείας ἀπηλλάχθαι ἁπάσης, καὶ μηδένα ἔχειν ἐχθρόν. Ὁ Κύριος μετὰ πάντων ὑμῶν.

17 Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου, ὅ ἐστι σημεῖον ἐν πάσῃ ἐπιστολῇ· οὕτω γράφω,

18 Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν. Ἀμήν.

Τοῦτο λέγει γράφειν ἐν πάσῃ ἐπιστολῇ, ὥστε μηδενὶ ἐξεῖναι παραποιεῖν αὐτάς, τῆς ὑπογραφῆς ὥσπερ τεκμηρίου κειμένου μεγάλου. ἀσπασμὸν δὲ καλεῖ τὴν εὐχήν, δεικνὺς ὅτι πάντα πνευματικὰ ἔπραττεν τότε, καὶ ὅτι ἀσπάσασθαι ἔδει, μετὰ κέρδους τὸ πρᾶγμα ἦν· καὶ εὐχὴν, οὐχ ἁπλῶς φιλίας σύμβολον. ἀπὸ τούτου ἤρχετο, καὶ εἰς αὐτὸ ἔληγε, περιφράττων τειχίοις μεγάλοις τὰ λεγόμενα ἑκατέρωθεν, ἀσφαλῆ τε θεμελίους τιθεὶς, καὶ τὸ τέλος ἐπάγων ἀσφαλές. Χάρις ὑμῖν, φησὶ, καὶ εἰρήνη· καὶ πάλιν, Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν, ἀμήν. τοῦτο καὶ ὁ Κύριος ἐπηγγείλατο λέγων τοῖς μαθηταῖς, [Ματθ. κη. κ.] Ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος. ἀλλὰ τοῦτο γίνεται, ὅταν ἡμεῖς βουλώμεθα. οὐ γὰρ πάντως ἔσται μεθ' ἡμῶν, ἐὰν ἑαυτοὺς πόῤῥω ποιῶμεν. [γρ. ὅπως] μεθ' ὑμῶν, φησὶν, ἔσομαι διαπαντός· μὴ τοίνυν τὴν χάριν ἀπελάσωμεν. στέλλεσθαι ἡμᾶς βούλεται ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦντος. μέγα ἦν τότε τοῦτο τὸ κακὸν, τὸ ἀπὸ τοῦ πληρώματος ἀποσπασθῆναι τῶν ἀδελφῶν. τοῦτο γοῦν ἅπαντας ἐτιμωρεῖται, [α. Κορ. ε. ια.] καθὼς καὶ ἀλλαχοῦ γράφων Κορινθίοις ἔλεγε· Τῷ τοιούτῳ μηδὲ συνεσθίειν, φησίν. ἀλλ' οὐ νῦν μέγα αὐτὸ ἡγοῦνται οἱ πλείους, ἀλλὰ πάντα συγκέχυται, καὶ διέφθαρται. μετὰ μοιχῶν, μετὰ πόρνων, μετὰ πλεονεκτῶν ἁπλῶς καὶ ὡς ἔτυχεν ἀναμιγνύμεθα. εἰ ἀπὸ τοῦ ἀργῶς περιφοιτῶντος μόνον στέλλεσθαι ἔδει, πόσῳ μᾶλλον ἀπὸ τῶν ἄλλων; καὶ ἵνα μάθῃς ὅσον ἦν φοβερὸν τὸ χωρίζεσθαι ἀπὸ τοῦ συλλόγου τῶν ἀδελφῶν, καὶ ὅσον φέρει κέρδος τοῖς εὐγνωμόνως τὴν ἐπιτίμησιν δεχομένοις, ἄκουσον ὅπως ὁ πεφυσιωμένος ἐκεῖνος ἐπὶ ἁμαρτήματι, ὁ εἰς ἐσχάτην κακίαν ἐλάσας, ὁ πορνείαν πορνεύσας, οἵαν οὐδὲ ἐν τοῖς ἔθνεσιν ὀνομάζεται, ὁ ἀναισθήτως ἔχων τοῦ τραύματος (τοῦτο γάρ ἐστιν ὑπερβολὴ διαστροφῆς) οὗτος δὴ ὁ τοιοῦτος οὕτω κατεκάμφθη καὶ συνεστάλη, ὥστε τὸν Παῦλον εἰπεῖν· [β. Κορ. β. ϛ.] Ἀρκεῖ τῷ τοιούτῳ ἡ ἐπιτίμησις αὕτη ἡ ὑπὸ τῶν πλειόνων· ὥστε κυρῶσαι εἰς αὐτὸν ἀγάπην. καθάπερ γὰρ μέλος ἀποσπασθὲν τοῦ λοιποῦ σώματος, οὕτως ἦν τότε. τὸ δὲ αἴτιον, καὶ πόθεν ἦν τοῦτο φοβερὸν τότε; ἐπειδὴ καὶ τὸ εἶναι μετ' αὐτῶν, μέγα ἀγαθὸν αὐτοῖς ἐνομίζετο. καθάπερ γὰρ οἰκίαν μίαν οἰκοῦντες, καὶ ὑπὸ πατέρα ἕνα ὄντες, καὶ μιᾶς τραπέζης μετέχοντες, οὕτως ᾤκουν τότε καθ' ἑκάστην ἐκκλησίαν. τὸ τοίνυν τοσαύτης ἐκπεσεῖν ἀγάπης, πόσον κακὸν ἦν; νῦν δὲ οὐδὲ εἶναι μέγα δοκεῖ, διὰ τὸ μηδὲ μέγα τι νομίζεσθαι, ὅταν μετ' ἀλλήλων ὦμεν. ὅπερ ἐν τάξει τιμωρίας ἦν τότε, τοῦτο διὰ τὴν πολλὴν ψύξιν τῆς ἀγάπης καὶ χωρὶς τιμωρίας γίνεται νῦν, καὶ στελλόμεθα ἀπ' ἀλλήλων εἰκῆ, καὶ ἀπὸ ψυχρότητος. τὸ γὰρ πάντων αἴτιον τῶν κακῶν, τὸ μὴ εἶναι ἀγάπην. τοῦτο πάντα διέλυσε, καὶ ἠφάνισε τὰ σεμνὰ, καὶ λαμπρὰ τῆς ἐκκλησίας, ἐφ' οἷς ἀγάλλεσθαι ἔδει. μεγάλη διδασκάλου παῤῥησία, ὅταν ἐκ τῶν οἰκείων κατορθωμάτων ἔχῃ τοῖς [β. Θεσ. γ. ζ.] μαθηταῖς ἐπιτιμᾶν. διὸ καὶ Παῦλος ἔλεγεν· Αὐτοὶ γὰρ οἴδατε πῶς δεῖ μιμεῖσθαι ἡμᾶς· καὶ τοῦ βίου μᾶλλον ὀφείλει διδάσκαλος εἶναι, ἢ τοῦ λόγου. μηδεὶς δὲ νομιζέτω τοῦτο μεγαληγορίας εἶναι. εἰς γὰρ ἀνάγκην καταστὰς τοῦτο ἐφθέγξατο, καὶ πρὸς τὸ κοινῇ χρήσιμον. ὅτι οὐκ ἠτακτήσαμεν, φησὶν, ἐν ὑμῖν. ἀπὸ τούτου οὐχ ὁρᾷς τὴν ταπεινοφροσύνην, ἣν δωρεὰν καλεῖ καὶ ἀνταξίαν; οὐκ ἠτακτήσαμεν, φησὶν, ἐν ὑμῖν, οὐδὲ δωρεὰν ἄρτον ἐφάγομεν. [γρ. ἀναξίαν] δείκνυσιν ἐνταῦθα καὶ πένητας αὐτοὺς ἴσως ὄντας, καὶ μή μοι εἴπῃς ὅτι πένητες ἦσαν. περὶ γὰρ

πενήτων,

Digitized by Google

τε οὕτως διορθώσασθαι βουλόμεθα. οὐκ ἀγνοοῦμεν τὸν τρόπον τῆς ἐπιτιμήσεως. εἰπὲ γάρ μοι, εἰ σαρκικὸν εἶχες ἀδελφόν, ἆρα ἂν περιεῖδες αὐτὸν λιμῷ τηκόμενον; οὐκ ἔγωγε οἶμαι· ἀλλ' ἴσως καὶ ἐρρύθμισας αὐτόν. (marg.: ἀλλὰ καὶ ἐρυθρίασας)

14 Εἰ δέ τις οὐχ ὑπακούει τῷ λόγῳ ἡμῶν, διὰ τῆς ἐπιστολῆς. Ὅρα τὴν μετριοφροσύνην τοῦ Παύλου· οὐκ εἶπεν, ὁ παρακούων, ἐμοῦ παρακούει· ἀλλ' ἠρέμα ᾐνίξατο.

Τοῦτον σημειοῦσθε. Ὥστε μὴ λανθάνειν τοῦτον πᾶσι προτρέπει. Μὴ συναναμίγνυσθε αὐτῷ. Οὐ μικρὰ παίδευσις καὶ αὕτη. Εἶτα πάλιν· Ἵνα ἐντραπῇ, φησίν. οὕτως οὐκ ἀφίησι περαιτέρω προελθεῖν. ὥσπερ γὰρ εἰπών, Εἴ τις μὴ ἐργάζεται, μηδὲ ἐσθιέτω, δεδοικὼς μὴ λιμῷ ἀπόλωνται, ἐπήγαγεν, ὑμεῖς δὲ τὸ καλὸν ποιοῦντες μὴ ἐκκακήσητε· οὕτως εἰπών, στέλλεσθε, καὶ μὴ συναναμίγνυσθε αὐτῷ, εἶτα δείσας μὴ τοῦτο αὐτὸ ἐκκόψῃ αὐτὸν τῆς ἀδελφότητος (ὁ γὰρ ἀπογνοὺς ἑαυτοῦ, ταχέως ἀπολεῖται μὴ μεταλαβὼν παρρησίας) ἐπήγαγε·

15 Καὶ μὴ ὡς ἐχθρὸν ἡγεῖσθε, ἀλλὰ νουθετεῖτε ὡς ἀδελφόν.

Διὰ τοῦτο δείκνυσιν ὅτι μεγάλην ὠφελεῖ κατ' αὐτοῦ τιμωρίαν, τὴν τῆς παρρησίας αὐτὸν ἀποστερεῖσθαι. Εἰ γὰρ καὶ ὁ ἐστὶ μετὰ πολλῶν λαμβάνοντα αἰσχύνης ἄξιον, ὅταν καὶ ἐπιτιμῶντες παρέχωσι καὶ στέλλωνται, πόσου ὀνείδους τοῦτο; πῶς ἱκανὸν δακεῖν ψυχήν; εἰ γὰρ μόνον ὀκνηρότερον διδόντες, ἢ γογγύζοντες ἐμπυρίζουσι τοὺς λαμβάνοντας (μὴ γάρ μοι περὶ τῶν ἀναισχύντων ἐπαιτῶν εἴπῃς, ἀλλὰ περὶ τῶν πιστῶν) εἰ καὶ [illegible] ἐπιτιμῶν διδόντες, τί οὐκ ἂν εἰργάσαντο; πόσης οὐκ ἦν τιμωρίας ἄξιον; ἡμεῖς δὲ οὐχ οὕτως, ἀλλ' ὡς τὰ μέγιστα ἠδικημένοι, οὕτω τοὺς προσαιτοῦντας ὑβρίζομεν, ἀποστρεφόμεθα. οὐ δίδως τί καὶ λυπεῖς; νουθετεῖτε, εἶπεν, ὡς ἀδελφούς, οὐχ ὑβρίζετε ὡς ἐχθρούς. ὁ τὸν ἀδελφὸν νουθετῶν, οὐ δημοσίᾳ τοῦτο ποιεῖ, οὐκ ἐκπομπεύει τὴν ὕβριν, ἀλλὰ ἰδίᾳ καὶ μετὰ πολλῆς τῆς προσοχῆς, καὶ ἀλγῶν, καὶ δακνόμενος, καὶ δακρύων, καὶ ὀδυρόμενος. ἀπὸ ἀδελφικῆς τοίνυν παρέχωμεν τῆς διανοίας, ἀπὸ ἀδελφικῆς νουθετῶμεν τῆς προαιρέσεως· μὴ ὡς ἀλγοῦντες ἐπὶ τῷ διδόναι, ἀλλ' ὡς ἀλγοῦντες ἐπὶ τῷ ἐκεῖνον παραβαίνειν τὴν ἐντολήν. ἐπεὶ τί τὸ κέρδος; εἰ γὰρ καὶ μετὰ τὸ δοῦναι ὑβρίζεις, λυμαίνῃ τῇ τῆς δόσεως ἡδονῇ. ὅταν δὲ μὴ δῷς, καὶ ὑβρίσῃς, πόσον οὐκ εἰργάσω κακὸν τὸν ἄθλιον ἐκεῖνον καὶ ταλαίπωρον; προσῆλθεν ὡς ἐλεηθησόμενος παρὰ σοῦ· λαβὼν δὲ χρείαν τὴν πληγὴν ἀπῆλθε, καὶ μᾶλλον ἐδάκρυσεν. ὅταν γὰρ ἀναγκάζηται διὰ τὴν ἔνδειαν προσαιτεῖν, διὰ δὲ τὸ προσαιτεῖν ὑβρίζηται, ὅρα πόση τῶν ὑβριζόντων ἔσται ἡ τιμωρία. Ὁ ἀτιμάζων πένητα, φησί, παροξύνει τὸν ποιήσαντα αὐτόν. εἰπὲ γάρ μοι· αὐτὸς αὐτὸν ἀφῆκε πένεσθαι διὰ σέ, ἵνα σὺ ἔχῃς θεραπεύειν σαυτόν, καὶ σὺ τὸν διὰ σὲ πενόμενον ὑβρίζεις; πόσης ἀγνωμοσύνης ταῦτα, πόσης ἀσελγείας τοῦτο τὸ ἔργον; νουθετεῖτε, φησίν, ὡς ἀδελφούς· ὁ δὲ μετὰ τὸ δοῦναι νουθετεῖν ἐκέλευσεν. ὅταν δὲ καὶ χωρὶς τοῦ διδόναι ὑβρίζωμεν, τίς ἡμῖν ἔσται ἀπολογία; (marg.: Παροι. ιδ.) (marg.: καὶ αὐτὸν)

16 Αὐτὸς δὲ ὁ Κύριος τῆς εἰρήνης δῴη ὑμῖν τὴν εἰρήνην διαπαντὸς ἐν παντὶ τρόπῳ. Ὅρα πῶς, ὅταν τὰ πρακτικὰ παραγγείλῃ, ἐπισφραγίζεται αὐτὰ τῇ εὐχῇ, καθάπερ τινὰ σήμαντρα τὴν ἀποτεθεῖσαν τιθεὶς τὴν δέησιν καὶ τὴν ἱκετηρίαν. δῴη ὑμῖν, φησί, τὴν εἰρήνην ἐν παντὶ τρόπῳ. ἐπεὶ γὰρ ἀπὸ τούτων εἰκὸς μάχας γίνεσθαι, ἐκείνων τε τραχυτέρων γινομένων, τούτων τε οὐκέτι ὁμοίως τοῖς τοιούτοις παρεχόντων, εἰκότως τοῦτο ἐπηύξατο νῦν, δῴη ὑμῖν εἰπὼν τὴν εἰρήνην διαπαντός. τοῦτο γάρ ἐστι τὸ ζητούμενον, ὥστε ἀεὶ ἔχειν αὐτήν. τί ἐστιν, ἐν παντὶ τρόπῳ; πανταχόθεν βούλεται εἰρηνεύειν, ὥστε μηδαμόθεν ἔχειν φιλονεικίας ἀφορμήν. πανταχοῦ γὰρ εἰρήνη καλόν, ὅπου γε καὶ πρὸς τοὺς ἔξω. ἄκουε

9 Οὐχ ὅτι οὐκ ἔχομεν ἐξουσίαν, ἀλλ᾽ ἵνα ἑαυτοὺς τύπον δῶμεν ὑμῖν εἰς τὸ μιμεῖσθαι ἡμᾶς.

10 Καὶ γὰρ, ὅτε ἦμεν πρὸς ὑμᾶς, τοῦτο παρηγγέλλομεν ὑμῖν, ὅτι εἴ τις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω. Ὅρα πῶς ἐν μὲν τῇ προτέρᾳ ἐπιστολῇ προσηνέστερόν πως περὶ τούτων διαλέγεται, ὡς ὅταν λέγῃ, Παρακαλοῦμεν δὲ ὑμᾶς, ἀδελφοὶ, πε-
β. Θεσ. δ. ι. ιβ. ρισσεύειν μᾶλλον καὶ φιλοτιμεῖσθαι, καὶ οὐδαμοῦ, παραγγέλλομεν, οὐδὲ, ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅπερ ἦν φοβερὸν, καὶ κίνδυνον ἔχον, ἀλλὰ περισσεύειν φησὶ καὶ φιλοτιμεῖσθαι, ὃ ἦν εἰς ἀρετὴν προτρέποντος, ἵνα εὐσχημόνως, φησὶ, περιπατῆτε· ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον, ἀλλ᾽, εἴ τις οὐ θέλει ἐργάζεσθαι, φησὶ, μηδὲ ἐσθιέτω. Εἰ γὰρ Παῦλος ἀνάγκην οὐκ ἔχων, ἀλλ᾽ ἐξουσίαν ἔχων ἀργεῖν, καὶ τηλικοῦτον ἔργον ἀναδεδεγμένος, ὅμως εἰργάζετο, καὶ οὐχ ἁπλῶς εἰργάζετο, ἀλλὰ νύκτα καὶ ἡμέραν, ὥστε δύνασθαι καὶ ἑτέροις ἐπιχορηγεῖν, πολλῷ μᾶλλον τοὺς ἄλλους ἐχρῆν τοῦτο ποιεῖν.

11 Ἀκούομεν γὰρ τινας περιπατοῦντας ἐν ὑμῖν ἀτάκτως, μηδὲν ἐργαζομένους, ἀλλὰ
α. Θεσ. δ. ιβ. περιεργαζομένους. Τοῦτο ἐνταῦθα· ἐκεῖ δὲ ἐν τῇ προτέρᾳ, Ἵνα εὐσχημόνως, φησὶ, περιπατῆτε πρὸς τοὺς ἔξω. τίνος ἕνεκεν; ἴσως οὐδὲν οὐδέπω τοιοῦτον ἦν γεγονός. καὶ γὰρ
Πραξ. κ. λε. ἀλλαχοῦ παραινῶν ἔλεγε· Μακάριόν ἐστι μᾶλλον διδόναι, ἢ λαμβάνειν. τὸ δὲ, εὐσχημόνως περιπατεῖτε, οὐ περὶ ἀταξίας ἐστί. διὸ καὶ ἐπήγαγεν· ἵνα μηδενὸς χρείαν ἔχητε. ἐνταῦθα δὲ καὶ ἑτέραν ἀνάγκην τίθησιν, ὥστε τὸ καλὸν ποιεῖν καὶ ἀγαθὸν πρὸς πάντας. προϊὼν γὰρ φησί, Μὴ ἐκκακήσητε καλοποιοῦντες. πάντως γὰρ τοὺς ἀργοῦντας, καὶ δυναμένους ἐργάζεσθαι, ἀνάγκη περιέργους εἶναι. ἡ δὲ ἐλεημοσύνη ἐκείνοις δίδοται μόνοις, τοῖς οὐκ ἰσχύουσιν ἐκ τῆς τῶν χειρῶν ἐργασίας ἐπαρκέσαι ἑαυτοῖς, ἢ τοῖς διδάσκουσι καὶ τὸ πᾶν ἀπησχολημένοις
Δευτ. κε. δ. εἰς τὸν τῆς διδασκαλίας λόγον. Οὐ γὰρ φιμώσεις, φησὶ, βοῦν ἀλοῶντα· Καὶ ἄξιος ὁ
Ματθ. ι. ι. ἐργάτης τοῦ μισθοῦ αὐτοῦ. ὥστε οὐδὲ οὗτος ἀργός ἐστιν· ἀλλ᾽ ἐργασίας, καὶ ἐργασίας μεγάλης λαμβάνει τὸν μισθόν. τὸ δὲ εὔχεσθαι καί τινα εἶναι ἀργοῦντα, οὐκ ἔστιν ἔργον χειρῶν. ἐργασίαν γὰρ φησιν ἐνταῦθα τὴν διὰ τῶν χειρῶν. καὶ ἵνα μηδὲν τοιοῦτον ὑποπτεύσῃς, ἐπήγαγε· μηδὲν ἐργαζομένους, ἀλλὰ περιεργαζομένους.

12 Τοῖς δὲ τοιούτοις παραγγέλλομεν, καὶ παρακαλοῦμεν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἐπειδὴ σφόδρα καθήψατο, προσηνέστερον βουλόμενος ποιῆσαι τὸν λόγον, ἐπήγαγε, διὰ τοῦ Κυρίου, πάλιν τὸ ἀξιόπιστον καὶ φοβερὸν ταύτῃ δηλῶν. Ἵνα μεθ᾽ ἡσυχίας ἐργαζόμενοι, τὸν ἑαυτῶν ἄρτον ἐσθίωσι. Διὰ τί μὴ εἶπεν, εἰ δὲ μὴ ἀτακτοῦσι, τρεφέσθωσαν παρ᾽ ὑμῶν, ἀλλ᾽ ἀμφότερα ἀπαιτεῖ, καὶ τὸ ἐν ἡσυχίᾳ εἶναι, καὶ τὸ ἐργάζεσθαι; ὅτι βούλεται αὐτοὺς ἐργαζομένους τρέφειν ἑαυτούς. τοῦτο γάρ ἐστι, τὸ, ἵνα τὸν ἑαυτῶν ἄρτον ἐσθίωσι, τουτέστι, τὸν ἐξ οἰκείων πόνων, ἀλλὰ μὴ τὸν ἀλλότριον, τὸν ἀπὸ τοῦ προσαιτεῖν ἐκποριζόμενον.

13 Ὑμεῖς δὲ, ἀδελφοὶ, μὴ ἐκκακήσητε καλοποιοῦντες. Ὅρα πῶς εὐθέως κατεκλάσθη τὰ σπλάγχνα τὰ πατρικά. οὐκ ἴσχυσε περαιτέρω τὴν ἐπιτίμησιν προαγαγεῖν, ἀλλὰ πάλιν αὐτοὺς ἠλέησε. καὶ ὅρα μεθ᾽ ὅσης συνέσεως. οὐκ εἶπε, πλὴν συγγινώσκετε αὐτοῖς, ἕως ἂν διορθώσωνται· ἀλλὰ τί; ὑμεῖς δὲ τὸ καλὸν ποιοῦντες μὴ ἐκκακήσητε. στέλλεσθε μὲν, φησιν, ἀπ᾽ αὐτῶν καὶ ἐπιτιμᾶτε αὐτοῖς, μὴ μὴν περιίδητε λιμῷ διαφθαρέντας. τί οὖν, φησιν, ἂν ἔχων τὴν παρ᾽ ἡμῶν ἀφθονίαν ἐπιμένῃ ἀργῶν; ἐπὶ τούτῳ φάρμακον προσῆκε, φησίν, εἶπον, ὅτι στέλλεσθε ἀπ᾽ αὐτοῦ, τουτέστι, μὴ μεταδιδῶτε αὐτῷ παρρησίας, ἐνδείκνυσθε ὅτι ὀργίζεσθε. οὐ μικρὸν δὲ τοῦτο. τοιαύτη γὰρ ἡ πρὸς τοὺς ἀδελφοὺς ἐπιτίμησις, εἰ

Κυρίῳ, τέθεικε, τουτέστι, τῇ φιλανθρωπίᾳ αὐτοῦ πιστεύομεν. πάλιν αὐτῶν [χ. ἀντὶ] καθαιρεῖ, τὸ πᾶν [χ. ἐν] αἰαρτῶν ἐκεῖ. Εἰ μὲν γὰρ εἶπεν ὅτι πιστεύομεν δὲ ὑμῖν, ἦν μὲν τὸ ἐγκώμιον μέγα, ἀλλ' οὐκ ἂν ἔδειξεν αὐτῶν ἐξαρτᾶν εἰς τὸν Θεὸν ἅπαντα. Εἰ δὲ εἶπε, πεποίθαμεν δὲ ἐν Κυρίῳ, ὅτι φυλάξει ὑμᾶς, καὶ μὴ προσέθηκε τὸ, ἐφ' ὑμᾶς, καὶ τὸ, ἃ παρηγγείλαμεν ποιεῖτε καὶ ποιήσετε, ἀργοτέρους ἂν αὐτοὺς ἐποίησε, τὸ πᾶν ἐπὶ τὴν τοῦ Θεοῦ ῥίψας δύναμιν. διὸ μὴ γὰρ τὸ πᾶν ἐπ' αὐτὸν ῥίπτειν, ἀλλ' ἐνεργεῖν καὶ αὐτοὺς, τοῖς πόνοις ἐμβεβηκέναι, καὶ τοῖς ἀγῶσι. καὶ δείκνυσιν ἐνταῦθα, ὅτι εἰ καὶ ἀρχὴ ἡ ἀρετὴ καὶ μόνη οὖσα, ἀλλ' ὅμως χρὴ ἐξαρχῆς τε αὐτὴν εἶναι, καὶ μέχρι τοῦ ἐλθεῖν ἡμᾶς εἰς ἐσχάτας ἀναπνοὰς ἡμῖν συμπαρεῖναι. [γ. παρεῖται] ὁ δὲ Κύριος κατευθύναι ὑμῶν τὰς καρδίας εἰς τὴν ἀγάπην τοῦ Θεοῦ, καὶ εἰς τὴν ὑπομονὴν τοῦ Χριστοῦ. ἐγκωμιάζει πάλιν αὐτοὺς, καὶ εὔχεται, τὴν κηδεμονίαν αὐτοῦ δεικνύς. ἐπεὶ γὰρ μέλλει ἐμβαίνειν εἰς ἐπιτίμησιν, τούτοις αὐτῶν προκαταλαμβάνει τὰς καρδίας, πῶς τε λέγει, ὅτι θαρρῶ ὅτι ἀκούσεσθε, καὶ πῶς περὶ αὐτῶν εὐχὰς ἀπαιτεῖ, καὶ πῶς πάλιν αὐτοῖς ἐπεύχεται μυρία ἀγαθά. ὁ δὲ Κύριος κατευθύναι ὑμῶν, φησὶ, τὰς καρδίας εἰς τὴν ἀγάπην τοῦ Θεοῦ. πολλὰ γάρ ἐστι τὰ παρεκτρέποντα ἀπὸ τῆς ἀγάπης· καὶ πολλαὶ αἱ ἐκεῖθεν ἐξέλκουσαι ἀτραποί. [καὶ] πρῶτον μὲν ἡ τοῦ μαμωνᾶ κακία, καθάπερ τινὰς ἀναισχύντους χεῖρας ἐπαφιεῖσα ἡμῶν τῇ ψυχῇ, καὶ ἀφειδῶς ἐπιλαβομένη, ἕλκει καὶ σύρει καὶ μὴ βουλομένους ἐκεῖθεν. ἔπειτα κενοδοξία, καὶ θλίψεις δὲ πολλάκις, καὶ πειρασμοὶ περιέτρεψαν. διὰ τοῦτο καθάπερ τινὸς πνεύματος τῆς τοῦ Θεοῦ δεόμεθα βοηθείας, ἵνα ἡμῖν τὸ ἱστίον ὥσπερ ὑπό τινος σφοδροῦ πνεύματος παραπεμφθῇ πρὸς τὴν ἀγάπην τοῦ Θεοῦ. μὴ γάρ μοι εἴπῃς, ὅτι ἀγαπῶ αὐτὸν καὶ ὑπὲρ ἐμαυτόν. ταῦτα ῥήματά ἐστι· διὰ τῶν ἔργων δεῖξον, εἰ ἀγαπᾷς αὐτὸν ὑπὲρ σαυτόν. ὑπὲρ τὸ ἀργύριον ἀγάπησον, καὶ τότε πιστεύω, ὅτι καὶ ὑπὲρ σεαυτὸν ἀγαπᾷς. ὁ δὲ χρημάτων μὴ καταφρονῶν διὰ τὸν Θεὸν, πῶς σαυτοῦ καταφρονήσεις; τί δὲ λέγω χρημάτων; ὁ πλεονεξίας μὴ καταφρονῶν, ὃ καὶ χωρὶς τῶν ἐπιταγμάτων τοῦ Θεοῦ ἔδει ποιεῖν, πῶς καταφρονήσεις σαυτοῦ; καὶ εἰς τὴν ὑπομονήν, φησι, τοῦ Χριστοῦ. τί ἐστιν, εἰς τὴν ὑπομονήν; ἵνα ὑπομένωμεν ὡς ἐκεῖνος ὑπέμεινεν, ἢ ἵνα ἐκεῖνα περιμένωμεν, ἢ καὶ ἵνα μεθ' ὑπομονῆς ἀναμένωμεν αὐτὸν, τουτέστιν, ἵνα ἐμπαράσχωμεν ὦμεν. ἐπεὶ γὰρ πολλὰ ἐπηγγείλατο, καὶ αὐτὸς ἔρχεται κρῖναι ζῶντας καὶ νεκροὺς, ἀναμένωμεν αὐτὸν, καὶ ὑπομένωμεν. εἶτα δὲ ἂν ὑπομονὴν λέγῃ, πάντως θλίψιν αἰνίττεται. τοῦτο γάρ ἐστιν ἀγαπᾷν τὸν Θεὸν, τὸ ὑπομένειν, καὶ μὴ θορυβεῖσθαι.

6 Παραγγέλλομεν δὲ ὑμῖν, ἀδελφοὶ, ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, στέλλεσθαι ὑμᾶς ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦντος, καὶ μὴ κατὰ τὴν παράδοσιν, ἣν παρέλαβον παρ' ἡμῶν. Τουτέστιν, οὐχ ἡμεῖς ταῦτα λέγομεν, ἀλλ' ὁ Χριστός. τοῦτο γάρ ἐστιν, ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. οὕτως εἰπὼν, τὸ φοβερὸν τῆς παραγγελίας δείκνυσι. διὰ τοῦ Χριστοῦ, φησι, παραγγέλλομεν. οὐκ ἄρα ὁ Χριστὸς προσέταξεν οὐδαμοῦ ἀργεῖν. στέλλεσθαι ὑμᾶς, φησιν, ἀπὸ παντὸς ἀδελφοῦ. μή μοι τὸν πλούσιον εἴπῃς, μή μοι τὸν πένητα, μή μοι τὸν ἅγιον. τοῦτο ἀταξία ἐστί. περιπατοῦντος, φησι, τουτέστι, βιοῦντος, καὶ μὴ κατὰ τὴν παράδοσιν, ἣν παρέλαβον παρ' ἡμῶν. παράδοσιν τὴν διὰ τῶν ἔργων φησὶ, καὶ κυρίως ταύτην ἀεὶ λέγει παράδοσιν.

7 Αὐτοὶ γὰρ οἴδατε πῶς δεῖ μιμεῖσθαι ἡμᾶς, ὅτι οὐκ ἠτακτήσαμεν ἐν ὑμῖν,

[χ. ἄρτον] 8 Οὐδὲ δωρεὰν ἄρτον ἐφάγομεν παρά τινος. Καίτοι εἰ καὶ ἐφάγομεν, οὐκ ἦν δωρεάν. Ἄξιος γὰρ, φησιν, ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ. [Ματθ. ι.]

Ἀλλ' ἐν κόπῳ καὶ μόχθῳ, νύκτα καὶ ἡμέραν ἐργαζόμενοι πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ὑμῶν·

τὸ πλῆθος, καὶ πολλαπλάσιοι γίνεσθαι, καὶ ἄπειροι. καὶ γὰρ πατέρες, καίτοι ὑπὸ τῆς πολυπαιδίας πολλάκις κατατεινόμενοι, ὅμως οὐδένα βούλονται ἀποβαλεῖν. πάντα ἡμῖν καὶ ὑμῖν ἴσα, καὶ αὐτὰ τὰ κεφάλαια τῶν ἀγαθῶν. οὐ μετὰ πλείονος μὲν ἐγὼ διὰ φιλίας, ὑμεῖς δὲ μετ' ἐλάττονος μετέχομεν τῆς ἱερᾶς τραπέζης, ἀλλ' ὁμοίως ἑκάτεροι ταύτης ἐφαπτόμεθα. Εἰ δὲ ἐγὼ πρότερος, οὐδὲν τοῦτο μέγα, ἐπεὶ καὶ ἐν τοῖς παισὶν ὁ πρεσβύτερος πρότερος τὴν χεῖρα ἐκτείνει εἰς τὴν ἑστίασιν, ἀλλ' ὅμως οὐδὲν πλέον παρὰ τοῦτο γίνεται, ἀλλὰ πάντα ἴσα ἡμῖν. ἡ σωτήριος καὶ ἡ συνέχουσα τὰς ψυχὰς ἡμῶν ζωὴ μετὰ τῆς αὐτῆς τιμῆς ἑκατέροις δίδοται. οὐχ ἑτέρου μὲν ἐγὼ προβάτου, ἑτέρου δὲ ὑμεῖς, ἀλλὰ τοῦ αὐτοῦ μετέχομεν πάντες. τὸ βάπτισμα τὸ αὐτὸ ἔχομεν ἑκάτεροι· πνεύματος ἠξιώθημεν ἑνός· ἐπὶ τὴν αὐτὴν βασιλείαν σπεύδομεν ἑκάτεροι· ἀδελφοὶ ὁμοίως ἐσμὲν τοῦ Χριστοῦ· πάντα ἡμῖν κοινά. ποῦ οὖν τὸ πλέον ἐμοῦ; ἐν ταῖς φροντίσιν, ἐν τοῖς πόνοις, ἐν ταῖς μερίμναις, ἐν τῷ ἀλγεῖν ὑπὲρ ὑμῶν. ἀλλ' οὐδὲν ταύτης τῆς ἀλγηδόνος ἥδιον· ἐπεὶ καὶ μήτηρ ἀλγοῦσα ὑπὲρ τοῦ παιδὸς, ἥδεται τῇ ἀλγηδόνι. φροντίζει ὑπὲρ τῶν τεχθέντων, καὶ εὐφραίνεται ἐπὶ ταῖς φροντίσι· καίτοιγε ἡ φροντὶς καθ' ἑαυτὴν πικρόν· ἀλλ' ὅταν γε ὑπὲρ παίδων γένηται, πολλὴν ἔχει τὴν ἡδονήν. πολλοὺς ὑμῶν ἐγέννησα, ἀλλὰ μετὰ ταῦτα αἱ ὠδῖνες. ἐπὶ μὲν γὰρ τῶν σωματικῶν ″μητέρων πρότεραι αἱ ὠδῖνες, καὶ τότε ὁ τόκος· ἐνταῦθα δὲ μέχρις ἐσχάτης ἀναπνοῆς αἱ ὠδῖνες, μήπου τι καὶ μετὰ τὸν τόκον ἀμβλωθρίδιον γένηται. ″καὶ ἐπιποθῶ δὲ ἐγώ. Εἰ γὰρ καὶ ἕτερος ἐγέννησε [πολλάκις], ἀλλ' ὅμως ἐγὼ ταῖς φροντίσι διακόπτομαι. οὐδὲ γὰρ ἐξ ἑαυτῶν γεννῶμεν, ἀλλὰ τῆς χάριτός ἐστι τοῦ Θεοῦ τὸ πᾶν. Εἰ δὲ ἀμφότεροι διὰ πνεύματος τίκτομεν, οὐχ ἁμαρτήσεταί τις καὶ τοὺς παρ' ἐμοῦ τεχθέντας ἐκείνου προσειπών, καὶ τοὺς παρ' ἐκείνου ἐμούς. ταῦτα δὴ πάντα ἐννοήσαντες, καὶ χεῖρα ὀρέξατε, ἵνα καὶ ὑμεῖς καύχημα ἡμῶν γένησθε, καὶ ἡμεῖς ὑμῶν ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα γένοιτο μετὰ παρρησίας ἡμᾶς ἅπαντας ἰδεῖν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

χ. πατέρες

χ. διὰ τοῦτο καὶ σφόδρα ἐπιποθῶ.

Λογ. ε. 3 ΠΙΣΤΟΣ ΔΕ ΕΣΤΙΝ Ο ΚΥΡΙΟΣ, ΟΣ στηρίξει ὑμᾶς, καὶ φυλάξει ἀπὸ τοῦ πονηροῦ. 4 Πεποίθαμεν δὲ ἐν Κυρίῳ ἐφ' ὑμᾶς, ὅτι ἃ παραγγέλλομεν ὑμῖν, καὶ ποιεῖτε καὶ ποιήσετε. 5 Ὁ δὲ Κύριος ″κατευθύναι ὑμῶν τὰς καρδίας εἰς τὴν ἀγάπην τοῦ Θεοῦ καὶ εἰς τὴν ὑπομονὴν τοῦ Χριστοῦ.

χ. κατευθῦναι

ΟΥτι δὲ πάντα ταῖς εὐχαῖς τῶν ἁγίων ἐπιτρέψαντας αὐτοὺς ἀργεῖν χρή, [καὶ τῇ κακίᾳ περιτρέχειν,] καὶ μηδενὸς τῶν εἰς ἀρετὴν φερόντων ἀντιλαμβάνεσθαι, οὔτε πάλιν ἐργαζομένους τὰ ἀγαθὰ, καταφρονεῖν τῆς συμμαχίας ἐκείνης. μεγάλα μὲν γὰρ δύναται, μεγάλα ἡ εὐχὴ ἡ ὑπὲρ ἡμῶν, ἀλλ' ὅταν καὶ ἡμεῖς ἐργαζώμεθα. διὰ τοῦτο καὶ ὁ Παῦλος εὐξάμενος ὑπὲρ αὐτῶν, πάλιν τὸ ἀξιόπιστον τίθησιν ἀπὸ τῆς ἐπαγγελίας καί φησι· πιστὸς δέ ἐστιν ὁ Κύριος, ὃς στηρίξει ὑμᾶς, καὶ φυλάξει ἀπὸ τοῦ πονηροῦ. Εἰ γὰρ εἵλετο ὑμᾶς εἰς σωτηρίαν, οὐ ψεύσεται, οὐδὲ ἀφήσει πάντως ἀπολέσθαι. ἵνα δὲ μὴ διὰ τούτων εἰς ῥαθυμίαν ἀγάγῃ, καὶ τὸ πᾶν τοῦ Θεοῦ νομίσαντες εἶναι αὐτοὶ καθεύδωσιν, ὅρα πῶς καὶ τὴν παρ' αὐτῶν συνεργίαν ἀπαιτεῖ, λέγων· πεποίθαμεν δὲ ἐν Κυρίῳ ἐφ' ὑμᾶς, ὅτι ἃ παραγγέλλομεν, καὶ ποιεῖτε, καὶ ποιήσετε. πιστὸς μὲν οὖν ἐστί, φησιν, ὁ Θεός, καὶ ἐπαγγελλόμενος σῶσαι, πάντως σώσει· ἀλλ' ὡς ἐπηγγείλατο. πῶς δὲ ἐπηγγείλατο; ἐὰν θέλωμεν, καὶ ἀκούωμεν αὐτοῦ· οὐχ ἁπλῶς, οὐδέ, ὡς ξύλα καὶ λίθους, ἀργοῦντας. καλῶς δὲ καὶ τό, πεποίθαμεν ἐν Κυρίῳ,

συμμαχίαν καὶ τὴν βοήθειαν. ἂν τὰ ἡμέτερα εὐδοκιμῇ, καὶ τὰ ὑμέτερα λαμπρότερα ἔσται. ἂν ἐπιρρέῃ τὰ τῆς διδασκαλίας ἡμῖν, εἰς ὑμᾶς ὁ πλοῦτος διαβήσεται. ἄκουε τοῦ προφήτου λέγοντος, Μὴ ἑαυτοὺς ποιμαίνουσιν οἱ ποιμένες; ὁρᾷς τὸν Παῦλον ἐπιζητοῦντα συνεχῶς ταύτας τὰς εὐχάς; ἀκούεις ὅτι Πέτρος οὕτως ἐξηρπάγη τοῦ δεσμωτηρίου, ἐπειδὴ ἦν εὐχὴ ἐκτενὴς ὑπὲρ αὐτοῦ γινομένη; σφόδρα πιστεύω ὅτι πολλὰ δυνήσονται ὑμῶν ἡ εὐχή, μετὰ τοσαύτης συμφωνίας γινομένη. πόσον νομίζετε μεῖζον εἶναι τῆς ἡμετέρας σμικρότητος τὸ ὑπὲρ δήμου τοσούτου προσιέναι τῷ Θεῷ καὶ παρακαλεῖν; εἰ γὰρ αὐτὸς ὑπὲρ ἑαυτοῦ παρρησίαν δεηθῆναι οὐκ ἔχω, πολλῷ μᾶλλον ὑπὲρ ἑτέρων. τῶν γὰρ εὐδοκιμούντων ἐστὶ τοῦτο καὶ ἑτέροις ἀξιοῦν ἵλεων γενέσθαι τὸν Θεόν, τῶν ἑαυτοῖς εὐμενῆ κατασκευασάντων. ὁ δὲ καὶ αὐτὸς προσκεκρουκώς, πῶς ὑπὲρ ἄλλου δυνήσεται; ἀλλ' ὅμως ἐπειδὴ σπλάγχνοις ὑμᾶς περιπλέκομαι πατρικοῖς, ἐπειδὴ ἡ ἀγάπη πάντα τολμᾷ, οὐκ ἐπὶ τῆς ἐκκλησίας μόνον, ἀλλὰ καὶ κατ' οἶκον, περὶ τῶν ἄλλων ἁπάντων ὑπὲρ τῆς ὑμετέρας ὑγιείας τῆς κατὰ ψυχήν, τῆς κατὰ σῶμα ποιοῦμαι τὴν δέησιν. οὐ γάρ ἐστιν οὕτως ἱερεῖ πρέπουσα εὐχὴ ἑτέρα, ὡς τὸ ὑπὲρ τῶν τοῦ λαοῦ καλῶν, περὶ τῶν αὐτοῦ προσιέναι καὶ ἐντυγχάνειν τῷ Θεῷ. εἰ γὰρ ὁ Ἰὼβ ἀνιστάμενος εὐθέως ὑπὲρ τῶν τέκνων τοσαῦτα ἐποίει τῶν σαρκικῶν, πόσῳ μᾶλλον ὑπὲρ τῶν πνευματικῶν ἡμᾶς τοῦτο ποιεῖν ὀφείλομεν; τί δὲ ταῦτά φημι; ὅτι εἰ ἡμεῖς ὑπὲρ ἁπάντων ὑμῶν ποιούμεθα δεήσεις καὶ προσευχάς, καίτοιγε τοσοῦτον ἀπέχοντες τοῦ μεγέθους τοῦ πράγματος· πολλῷ μᾶλλον δίκαιον καὶ ὑμᾶς τοῦτο ποιεῖν. ἕνα μὲν γὰρ ὑπὲρ πολλῶν ἀξιοῦν, σφόδρα τολμηρὸν καὶ πολλῆς δεόμενον παρρησίας· πολλοὺς δὲ ὁμοῦ συνελθόντας ὑπὲρ ἑνὸς ποιεῖσθαι τὴν δέησιν, οὐδὲν φορτικόν. οὐ γὰρ τῇ οἰκείᾳ πιστεύων ἕκαστος ἀρετῇ τοῦτο ποιεῖ, ἀλλὰ τῷ πλήθει, καὶ τῇ ὁμονοίᾳ, ᾗ μάλιστα ὁ Θεὸς δυσωπεῖται πανταχοῦ. Ὅπου γὰρ ἂν ὦσι δύο, ἢ τρεῖς, φησι, συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν. εἰ, ὅπου δύο ἢ τρεῖς εἰσι συνηγμένοι, ἐν μέσῳ ἐστί, πολλῷ μᾶλλον ἐφ' ὑμῶν. ὃ γὰρ καθ' ἑαυτόν τις εὐχόμενος λαβεῖν οὐ δύναται, τοῦτο μετὰ τοῦ πλήθους εὐχόμενος λήψεται. διὰ τί; ὅτι εἰ καὶ μὴ ἡ οἰκεία ἀρετή, ἀλλ' ἡ συμφωνία πολλὴν ἔχει τὴν ἰσχύν. ὅπου ἐὰν ὦσι, φησι, δύο, ἢ τρεῖς συνηγμένοι. διὰ τί εἶπε, δύο; ἂν γὰρ εἷς ᾖ εἰς τὸ ὄνομά σου, διὰ τί μὴ εἶ ἐκεῖ; ὅτι πάντας ὁμοῦ βούλομαι εἶναι, καὶ μὴ διεσπάσθαι. συμφραττώμεθα τοίνυν ἀλλήλοις, συνδεσμώμεθα τῇ ἀγάπῃ, μηδεὶς ὑμᾶς χωριζέτω. εἴ τις ἐγκαλεῖ, εἴ τις λελύπηται, μὴ κατὰ διάνοιαν ἐχέτω, κἂν πρὸς τὸν πλησίον, κἂν πρὸς ἡμᾶς. ταύτην ὑμᾶς χάριν αἰτῶ, προσιέναι, καὶ ἐγκαλεῖν, καὶ ἀπολογίας δέχεσθαι παρ' ἡμῶν. Ἔλεγξον, φησι, μήποτε οὐκ εἶπεν· ἔλεγξον, μήποτε οὐκ ἐποίησεν· καὶ εἰ ἐποίησεν, ἵνα μὴ προσθῇ. ἢ γὰρ ἀπολογησόμεθα, ἢ καταγνωσθέντες συγγνώμην αἰτήσομεν, καὶ πειρώμεθα λοιπὸν μηκέτι περιπεσεῖν τοῖς αὐτοῖς. τοῦτο καὶ ὑμῖν συμφέρει, καὶ ἡμῖν. ὑμεῖς μὲν γὰρ ἴσως ἀλόγως ἐγκαλοῦντες, μαθόντες τοῦ πράγματος τὴν ἀλήθειαν, διορθωθήσεσθε· ἡμεῖς δὲ ἡμαρτηκότες ἀγνοοῦμεν, καὶ διορθούμεθα. ὑμῖν μὲν οὖν συμφέρει (καὶ γὰρ τιμωρία κεῖται τοῖς τὸ ῥῆμα ἀργὸν ἐκβάλλουσιν) ἡμεῖς δὲ ἀποδυόμεθα τὰ ἐγκλήματα, τὰ μέν τι ψευδῆ, τὰ δέ τι ἀληθῆ· τὰ μὲν ψευδῆ, ὅτι ψευδῆ ἐστι δείξαντες, τὰ δὲ ἀληθῆ, μηκέτι ποιοῦντες τὰ αὐτά. πολλὴ γὰρ ἀνάγκη τὸν τοσούτων φροντίζοντα, καὶ ἀγνοεῖν, καὶ ἐξ ἀγνοίας ἁμαρτάνειν. εἰ γὰρ οἰκίαν ἕκαστος ὑμῶν ἔχων, καὶ γυναικὸς καὶ παίδων προεστηκὼς καὶ ἀνδραπόδων, ὁ μὲν πλειόνων, ὁ δὲ ἐλαττόνων, ὅμως ἐν οὕτως εὐαριθμήτοις ψυχαῖς πολλὰ ἁμαρτάνει, οὐχ ὡς βούλεται, ἀναγκάζεται, ἢ μὴ εἰδώς, ἢ διορθῶσαί τι βουλόμενος· πολλῷ μᾶλλον ἡμεῖς δήμου τοσούτου προεστῶτες. καὶ ἔτι πληθύναι ὑμᾶς ὁ Κύριος, καὶ εὐλογήσαι ὑμᾶς, σὺν μικροῖς μετὰ τῶν μεγάλων. εἰ γὰρ καὶ μεγάλη ἡ φροντὶς ἀπὸ τοῦ πλήθους γίνεται, ὅμως οὐ παυόμεθα εὐχόμενοι αὐξηθῆναι τὴν φροντίδα ταύτην ἡμῖν, καὶ ἐπιδοθῆναι τοῦ-

Ἰεζεκ. λδ. β.
Πραξ. ιβ. ε.
χ. ὦ
Ματθ. ιη. κ.
Σειρ. ιθ. ιβ.
γ. τοσαῦτα

ἀτόπων, φησὶ, καὶ πονηρῶν ἀνθρώπων. οὐ γὰρ πάντων ἡ πίστις. ἆρα περὶ τῶν ἀντιλεγόντων τῷ κηρύγματι λέγει, ἢ περὶ τῶν ἀνθισταμένων καὶ μαχομένων τοῖς δόγμασι. τοῦτο γὰρ ᾐνίξατο εἰπών· οὐ γὰρ πάντων ἡ πίστις. οὐ κινδύνους ἐνταῦθα δέ μοι δοκεῖ αἰνίττεσθαι, ἀλλὰ τοὺς ἀντιλέγοντας, καὶ ἐμποδίζοντας αὐτοῦ τῷ λόγῳ, ὥσπερ ἦν ὁ Ὑμέναιος, ὥσπερ Ἀλέξανδρος ὁ χαλκεύς. (β. Τιμ. δ. ιδ.) Λίαν γὰρ, φησὶν, ἀνθέστηκε τοῖς ἡμετέροις λόγοις· ὡς ἂν περὶ κλήρου εἰ ἔλεγέ τις πατρικοῦ, ὅτι οὐ πάντων ἐστὶ τὸ στρατεύεσθαι ἐν τοῖς βασιλείοις· οὕτω καὶ αὐτὸς ἀφ' ὧν βούλεται ῥυσθῆναι πονηρῶν, εἰσὶ τοιοῦτοι, φησὶν, οἷς δέδοται τὸ μὴ πιστεύειν. ἅμα δὲ τοῦτο λέγων καὶ διανίστησιν αὐτούς. *

ΗΘΙΚΟΝ. Ἆρα μεγάλοι τινὲς ἦσαν, εἴγε τοσαύτην ἔχουσι παρρησίαν, ὡς δύνασθαι καὶ τὸν διδάσκαλον κινδύνων ἀπαλλάττειν, καὶ ἐξευμαρίζειν αὐτῷ τὸ κήρυγμα. οὐκοῦν καὶ ἡμεῖς τὰ αὐτὰ πρὸς ὑμᾶς λέγομεν. μηδεὶς ἡμῶν ἀπόνοιαν καταγινωσκέτω· μηδεὶς ὑμῶν ἐξ ἀμέτρου ταπεινοφροσύνης ἀποστερείτω ἡμᾶς τοσαύτης βοηθείας. οὔτε γὰρ ἀπὸ τῆς αὐτῆς διανοίας λέγομεν, ἀφ' ἧς Παῦλος ἔλεγεν. ἐκεῖνος μὲν γὰρ παρακαλέσαι τοὺς μαθητὰς βουλόμενος, ταῦτα ἔλεγεν· ἡμεῖς δὲ καρπώσασθαί τι μέγα καὶ χρηστόν. καὶ σφόδρα πιστεύομεν ὅτι πάντα κατορθώσομεν, ἂν ἐθελήσητε πάντες ὁμοθυμαδὸν τὰς χεῖρας ἐκτείνειν πρὸς τὸν Θεὸν ὑπὲρ τῆς ἡμετέρας σμικρότητος. οὕτω πολεμοῦμεν τοῖς ἐχθροῖς, εὐχαῖς καὶ ἱκετηρίαις. εἰ γὰρ τοῖς ἐνόπλοις οὕτως ἐπολέμουν οἱ παλαιοὶ, πολλῷ μᾶλλον τοῖς χωρὶς ὅπλων οὕτω δεῖ πολεμεῖν. οὕτως ἐτροπώσατο Ἐζεκίας τοὺς Ἀσσυρίους, οὕτως ὁ Μωϋσῆς τὸν Ἀμαλὴκ, οὕτω τοὺς Ἀσκαλωνίτας ὁ Σαμουὴλ, οὕτως ὁ Ἰσραὴλ τοὺς τριάκοντα δύο βασιλεῖς. εἰ ἔνθα ὅπλων ἔδει, καὶ παρατάξεως, καὶ μάχης, τὰ ὅπλα ἀφέντες ἐπὶ τὴν εὐχὴν κατέφυγον· ἔνθα εὐχαῖς μόνον δύνασθαι τὰ πράγματα χρὴ, πῶς οὐ πολλῷ μᾶλλον εὔχεσθαι δεῖ; ἀλλ' ἐκεῖ, φησὶν, οἱ ἡγούμενοι ὑπὲρ τοῦ λαοῦ παρεκάλουν· σὺ δὲ ἀξιοῖς τὸν λαὸν ὑπὲρ τοῦ ἡγουμένου παρακαλεῖν; οἶδα κἀγώ. τότε μὲν γὰρ οἱ ἀρχόμενοι ταλαίπωροί τινες ἦσαν καὶ εὐτελεῖς· διὰ τοῦτο ἀπὸ τῆς παρρησίας καὶ τῆς ἀρετῆς τοῦ στρατηγοῦ ἐσώζοντο μόνης. νυνὶ δὲ, ἐπεὶ ἡ τοῦ Θεοῦ χάρις ἐπέδωκε, καὶ ἐν τοῖς ἀρχομένοις πολλοὺς, μᾶλλον δὲ τοὺς πλείους εὑρήσομεν τῶν κρατούντων ἐκ πολλοῦ περιόντας τοῦ μέσου. μὴ δὴ τῆς συμμαχίας ἡμᾶς ἀποστερήσητε ταύτης· ἀνορθώσατε τὰς χεῖρας ἡμῶν, ἵνα μὴ ἐκλύωνται· ἀνοίξατε τὸ στόμα ἡμῶν, ἵνα μὴ ἐμφράττηται· παρακαλεῖτε τὸν Θεὸν, παρακαλεῖτε διὰ τοῦτο. ἔστι μὲν οὖν ὑπὲρ ἡμῶν τὸ γινόμενον· τὸ δὲ πᾶν ὑπὲρ ὑμῶν ἐστί. εἰς γὰρ τὸ ὑμῖν χρήσιμον κείμεθα, καὶ τὰ ὑμέτερα μεριμνῶμεν. παρακαλείτω ἕκαστος καὶ ἰδίᾳ, καὶ κοινῇ. (β. Κορ. α. ια.) ὅρα Παῦλον λέγοντα, ἵνα τὸ εἰς ἡμᾶς χάρισμα διὰ πολλῶν εὐχαριστηθῇ ὑπὲρ ἡμῶν, τουτέστιν, ἵνα πολλοῖς δῷ τὴν χάριν. εἰ ἐπὶ ἀνθρώπων καταδίκους ἄνδρας καὶ ἀπαγομένους εἰς θάνατον δῆμος περιστὰς ἐξῃτήσατο, καὶ τὸ πλῆθος δυσωπηθεὶς ὁ βασιλεὺς τὴν γνώμην ἀνέθετο· πολλῷ μᾶλλον καὶ ὑφ' ὑμῶν ὁ Θεὸς δυσωπηθήσεται, οὐ τῷ πλήθει, ἀλλὰ τῇ ἀρετῇ. σφοδροὺς γὰρ ἡμεῖς τοὺς πολεμίους ἔχομεν. ὑμῶν μὲν γὰρ ἕκαστος τὰ ἑαυτοῦ μεριμνᾷ καὶ φροντίζει· ἡμεῖς δὲ τὰ πάντων ὁμοῦ. εἰς τὸ μέρος ἑστήκαμεν τοῦ πολέμου τὸ πονοῦν, σφοδρότερον καθ' ἡμῶν ὁ διάβολος ὁπλίζεται. καὶ γὰρ ἐν τοῖς πολέμοις παρὰ τὴν ἄλλων ἁπάντων τὸν στρατηγὸν καταβαλεῖν ὁ δι' ἐναντίας ἐπιχειρεῖ. διὰ τοῦτο ἐκεῖ πάντες οἱ συνασπισταὶ τρέχουσι. διὰ τοῦτο πολὺς ὁ θόρυβος, ἐξελεῖν αὐτὸν ἑκάστου ἐπιχειροῦντος, καὶ ταῖς ἀσπίσι περιφράττουσι πάντοθεν, τὴν ἐκείνου βουλόμενοι διασῶσαι κεφαλήν. ἀκούσατε τί φησι πρὸς τὸν Δαβὶδ ἅπας ὁ δῆμος. οὐ τῷ Δαβὶδ ἑαυτὸν παραβάλλων ταῦτα λέγω (οὐχ οὕτω μέμηνα) ἀλλὰ δήμου φιλοστοργίαν πρὸς ἄρχοντα δεῖξαι βουλόμενος· (β. Βασ. κα. ιζ.) Μὴ ἐξέλθῃς, φησὶν, εἰς τὸν πόλεμον μεθ' ἡμῶν, ἵνα μὴ σβεσθῇ ὁ λύχνος τοῦ Ἰσραήλ. ὅρα ἐν πόσῃ φειδοῖ τὸν γέροντα εἶχον. σφόδρα δέομαι τῶν ὑμετέρων εὐχῶν. μηδείς με, ὅπερ ἔφην, ἐξ ἀμέτρου ταπεινοφροσύνης ἀφαιρείσθω ταύτην τὴν

συμμαχίαν

γρ. εἰ γὰρ

γρ. κατορθώσοιτε

γρ. τοῖς ἐχθροῖς

γρ. τὴν χεῖρα κατέθετο

γρ. συνασπιστ.

ματος, τουτέστιν, ἁγιάσαι διὰ πνεύματος καὶ πίστεως ἀληθοῦς. ἁγιάσαι ὑμᾶς διὰ τοῦ πνεύματος. ταῦτα γάρ ἡμῶν ἐστι τὰ συνεκτικὰ τῆς σωτηρίας· οὐδαμοῦ ἀπὸ ἔργων, οὐδαμοῦ ἀπὸ κατορθωμάτων, ἀλλὰ διὰ πίστεως ἀληθείας. ἰδοὺ τὸ, ἐν, πάλιν, διά ἐστιν. ἐν ἁγιασμῷ πνεύματός, φησιν,

14 Εἰς ὃ ἐκάλεσεν ὑμᾶς διὰ τοῦ εὐαγγελίου ἡμῶν εἰς περιποίησιν δόξης τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Οὐ μικρὸν καὶ τοῦτο, εἰ αὐτοῦ δόξαν τὴν ἡμετέραν σωτηρίαν ἡγεῖται ὁ Χριστός. δόξα γὰρ τοῦ φιλανθρώπου, τὸ πολλοὺς εἶναι τοὺς σωζομένους. ἆρα μέγας ἡμῶν ὁ Κύριος, εἰ οὕτως ἐφίεται τῆς σωτηρίας ἡμῶν· μέγα καὶ τὸ πνεῦμα τὸ ἅγιον ἐργαζόμενον ἡμῖν τὸν ἁγιασμόν. διὰ τί οὐ πρότερον εἶπε τὴν πίστιν, ἀλλὰ τὸν ἁγιασμόν; ὅτι καὶ μετὰ τὸν ἁγιασμὸν πολλῆς αὐτῆς ἔτι δεόμεθα, ὥστε μὴ παρασαλευθῆναι. ὁρᾷς πῶς οὐδὲν αὐτῶν δείκνυσιν ὄν, ἀλλὰ τὸ πᾶν τοῦ Θεοῦ;

15 Ἄρα οὖν, ἀδελφοί, στήκετε, καὶ κρατεῖτε τὰς παραδόσεις, ἃς ἐδιδάχθητε, εἴτε διὰ λόγου, εἴτε δι' ἐπιστολῆς ἡμῶν. Ἐντεῦθεν δῆλον ὅτι οὐ πάντα δι' ἐπιστολῆς παρεδίδοσαν, ἀλλὰ πολλὰ καὶ ἀγράφως· ὁμοίως δὲ κἀκεῖνα, καὶ ταῦτά ἐστιν ἀξιόπιστα. ὥστε καὶ τὴν παράδοσιν τῆς ἐκκλησίας ἀξιόπιστον ἡγώμεθα. παράδοσίς ἐστι, μηδὲν πλέον ζήτει. δείκνυσιν ἐνταῦθα πολλοὺς ὄντας τοὺς παρασαλευομένους.

16 Αὐτὸς δὲ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, καὶ ὁ Θεὸς καὶ πατὴρ * ἡμῶν, ὁ ἀγαπήσας ἡμᾶς, καὶ δοὺς παράκλησιν αἰωνίαν καὶ ἐλπίδα ἀγαθὴν ἐν χάριτι,

* τοῦ κυρίου

17 Παρακαλέσαι ὑμῶν τὰς καρδίας, καὶ στηρίξαι ἐν παντὶ ἔργῳ καὶ λόγῳ ἀγαθῷ.

γρ. Παρακαλέσει
γρ. στηρίξει

Πάλιν εὐχὴ μετὰ παραινέσεως· τοῦτο γάρ ἐστιν ὄντως βοηθεῖν. ὁ ἀγαπήσας ἡμᾶς, φησι, καὶ δοὺς παράκλησιν αἰώνιον καὶ ἐλπίδα ἀγαθὴν ἐν χάριτι. ποῦ νῦν εἰσιν οἱ τὸν υἱὸν ἐλαττοῦντες, ἐπειδὴ μετὰ τὸν πατέρα ἐν τῇ χάριτι τοῦ λουτροῦ ὀνομάζεται; ἰδοὺ γὰρ ἐνταῦθα τοὐναντίον ἐστίν. αὐτὸς φησι πρότερον, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός· εἶτα, ὁ Θεὸς καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν, ὁ ἀγαπήσας ἡμᾶς, καὶ δοὺς παράκλησιν αἰώνιον. ποίαν δὴ ταύτην; τὴν ἐλπίδα τῶν μελλόντων. ὁρᾷς πῶς ἐν τάξει εὐχῆς διανίστησιν αὐτῶν τὴν διάνοιαν, τὰ τῆς κηδεμονίας τοῦ Θεοῦ τῆς ἀφάτου τιθεὶς ἐνέχυρα, καὶ τεκμήρια; παρακαλέσαι, φησίν, ὑμῶν τὰς καρδίας ἐν παντὶ ἔργῳ καὶ λόγῳ ἀγαθῷ· τουτέστι, διὰ παντὸς ἔργου καὶ λόγου ἀγαθοῦ. χριστιανῶν γὰρ αὕτη παράκλησις, τὸ μὴ μόνον ποιῆσαι τὸ χρηστὸν βούλεσθαι, ἀλλὰ καὶ τῷ Θεῷ δοκοῦν. ὅρα πῶς αὐτῶν καταστέλλει τὸ φρόνημα. ὁ δοὺς παράκλησιν, φησι, καὶ ἐλπίδα ἀγαθὴν ἐν χάριτι, ἅμα καὶ εὐέλπιδας ὑπὲρ τῶν μελλόντων ποιεῖ. εἰ γὰρ τοσαῦτα χάριτι ἔδωκε, πολλῷ μᾶλλον τὰ μέλλοντα. ἐγὼ μέντοι οὕτως εἶπον, φησι, τὸ δὲ πᾶν τοῦ Θεοῦ ἐστι. στηρίξαι, βεβαιῶσαι, ὥστε μὴ σαλεύεσθαι, μηδὲ παρακλίνεσθαι. καὶ γὰρ ἡμῶν, καὶ αὐτοῦ τοῦτό ἐστιν. ὥστε καὶ δογμάτων, καὶ πράξεων ἕνεκεν. τοῦτο γάρ ἐστι παράκλησις, τὸ στηρίζεσθαι. ὅταν γάρ τις μὴ παραφέρηται, πάντα, ὥσπερ αἱ πάθη, μετὰ πολλῆς φέρει τῆς μακροθυμίας· ὡς ἐὰν παρασαλευθῇ ἡ διάνοια, οὐδὲν λοιπὸν ἐργάσεται τῶν ἀγαθῶν, καὶ γενναίων πράξεων, ἀλλ' ὡς αἴ τις τὰς χεῖρας ἐκλυθῇ, οὕτω καὶ ψυχὴ παρασαλεύεται, ὅταν μὴ πίστις ὀχυρὰ ᾖ, ὅτι ἐπὶ τι χρηστὸν ἀπαντᾷ τέλος.

γρ. ἐκ τούτου ὥσπερ γὰρ οἱ τε ἀθληταὶ μὴ κάμνοντες τῆς ἀγωνίας [illegible]

1 Τὸ λοιπὸν προσεύχεσθε, ἀδελφοί, περὶ ἡμῶν, ἵνα ὁ λόγος τοῦ Κυρίου τρέχῃ καὶ δοξάζηται, καθὼς καὶ πρὸς ὑμᾶς. κεφ. γ.

Αὐτὸς μὲν οὖν προσηύξατο περὶ αὐτῶν, ὥστε στηριχθῆναι. αἰτεῖ δὲ νῦν παρ' αὐτῶν, προσεύξασθαι ὑπὲρ αὐτοῦ ἀξιῶν, οὐχ ἵνα μὴ κινδυνεύῃ (εἰς τοῦτο γὰρ ἔκειτο) ἀλλ' ἵνα ὁ λόγος τοῦ Κυρίου τρέχῃ καὶ δοξάζηται, καθὼς καὶ πρὸς ὑμᾶς. καὶ μετ' ἐγκωμίου ἡ αἴτησις. καθάπερ, φησί, καὶ πρὸς ὑμᾶς.

2 Καὶ ἵνα ῥυσθῶμεν ἀπὸ τῶν ἀτόπων καὶ πονηρῶν ἀνθρώπων. οὐ γὰρ πάντων ἡ πίστις. Τοῦτο δηλοῦντός ἐστι καὶ τοὺς αὐτοῦ κινδύνους.. διὸ μάλιστα αὐτοὺς παρεκάλει. ἀπὸ τῶν

ἀτόπων,

ἵνα μὴ ἀπατηθῶσιν οἱ τότε. καὶ τέρασι, φησί, ψεύδους· ἤτοι διεψευσμένοις, ἢ εἰς ψεῦδος ἄγουσι.

10 Καὶ ἐν πάσῃ ἀπάτῃ τῆς ἀδικίας ἐν τοῖς ἀπολλυμένοις.

Τί οὖν συνεχώρησε, φησίν, ὁ Θεὸς τοῦτο γενέσθαι; καὶ ποία αὕτη οἰκονομία; τί δὲ τὸ κέρδος τῆς ἐκείνου παρουσίας ἐπὶ λύμῃ ἡμῶν παραγινομένου; μὴ φοβηθῇς, ἀγαπητέ, ἀλλ᾽ ἄκουε λέγοντος αὐτοῦ, ἐν τοῖς ἀπολλυμένοις ἰσχύει· οἵ, εἰ καὶ μὴ παρεγένετο ἐκεῖνος, οὐκ ἂν ἐπίστευσαν. τί οὖν τὸ κέρδος, φησίν; ὅτι αὐτοὶ οὗτοι οἱ ἀπολλύμενοι ἐπιστομισθήσονται. πῶς; ὅτι εἰ καὶ μὴ ἦλθεν ἐκεῖνος, οὐκ ἂν ἐπίστευσαν τῷ Χριστῷ. ἔρχεται οὖν ἐλέγξων αὐτούς. ἵνα γὰρ μὴ μέλλωσι λέγειν, ὅτι ἐπειδὴ Θεὸν ἔλεγεν ἑαυτὸν ὁ Χριστὸς, καίτοιγε οὐδαμοῦ εἶπε φανερῶς, πλὴν ἀλλ᾽ ἐπειδὴ οἱ μετὰ ταῦτα ἐκήρυξαν, οὐκ ἐπιστεύσαμεν, ἐπειδὴ ἠκούσαμεν ὅτι εἷς Θεὸς ἐξ οὗ τὰ πάντα, διὰ τοῦτο οὐκ ἐπιστεύσαμεν· ταύτην οὖν αὐτῶν τὴν πρόφασιν ὁ Ἀντίχριστος ἀφαιρήσει. ὅταν γὰρ ἔλθοι ἐκεῖνος, καὶ οὐδὲν ἐπιτάττων ὑγιὲς, ἀλλὰ πάντα παράνομα, ἀπὸ σημείων μόνον ψευδῶν πιστεύηται, ἀπορράψει τὸ στόμα αὐτοῖς. εἰ γὰρ τῷ Χριστῷ οὐ πιστεύεις, πολλῷ μᾶλλον οὐκ ἐχρῆν τῷ Ἀντιχρίστῳ πιστεῦσαι. ἐκεῖνος μὲν γὰρ ἔλεγε παρὰ τοῦ πατρὸς πεπέμφθαι, οὗτος δὲ τοὐναντίον. διὰ τοῦτο ἔλεγεν ὁ Χριστὸς, Ἐγὼ ἦλθον ἐν τῷ ὀνόματι τοῦ πατρός, καὶ οὐκ ἐδέξασθέ με· ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ὀνόματι τῷ ἰδίῳ, ἐκεῖνον λήψεσθε. ἀλλὰ σημεῖα εἴδομεν, φησίν. ἀλλὰ καὶ ἐπὶ τοῦ Χριστοῦ γέγονε πολλὰ, καὶ μεγάλα· οὐκοῦν πολλῷ μᾶλλον αὐτῷ πιστεῦσαι ἐχρῆν. καίτοι περὶ μὲν τούτου πολλὰ προειρήθη, ὅτι ὁ ἄνομος, ὅτι ὁ υἱὸς τῆς ἀπωλείας, ὅτι ἡ παρουσία αὐτοῦ κατ᾽ ἐνέργειαν τοῦ Σατανᾶ· περὶ δὲ ἐκείνου τὰ ἐναντία, ὅτι σωτὴρ, ὅτι μυρία ἀγαθὰ κομίζει.

Ἰωαν. ε. μγ.

Ἀνθ᾽ ὧν γὰρ τὴν ἀγάπην τῆς ἀληθείας οὐκ ἐδέξαντο εἰς τὸ σωθῆναι αὐτούς.

11 Διὰ τοῦτο πέμψει αὐτοῖς ὁ Θεὸς ἐνέργειαν πλάνης, εἰς τὸ πιστεῦσαι αὐτοὺς τῷ ψεύδει·

12 Ἵνα κριθῶσι πάντες οἱ μὴ πιστεύσαντες τῇ ἀληθείᾳ, ἀλλ᾽ εὐδοκήσαντες ἐν τῇ ἀδικίᾳ. Ἵνα κριθῶσιν. οὐκ εἶπεν, ἵνα κολασθῶσι (καὶ γὰρ καὶ χωρὶς τούτου ἔμελλον κολάζεσθαι) ἀλλ᾽ ἵνα κριθῶσι, τουτέστι, κατακριθῶσιν ἐπὶ τοῦ δικαστηρίου τοῦ φοβεροῦ, εἰς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους. τίνες δὲ εἰσὶν οὗτοι; αὐτὸς ἑρμηνεύων ἐπάγει, οἱ μὴ πιστεύσαντες τῇ ἀληθείᾳ, ἀλλ᾽ εὐδοκήσαντες ἐν τῇ ἀδικίᾳ. ἀγάπην δὲ ἀληθείας, τὸν Χριστὸν καλεῖ. ἀνθ᾽ ὧν γάρ, φησι, τὴν ἀγάπην τῆς ἀληθείας οὐκ ἐδέξαντο. ἀμφότερα γὰρ ἦν, καὶ δι᾽ ἀμφότερα παρεγένετο, καὶ ἀγαπῶν τοὺς ἀνθρώπους, καὶ ὑπὲρ ἀληθῶν πραγμάτων. ἀλλ᾽ εὐδοκήσαντες, φησίν, ἐν τῇ ἀδικίᾳ. ἐπὶ γὰρ λύμῃ τῶν ἀνθρώπων ἦλθε, καὶ ἀδικήσων αὐτούς. τί γὰρ οὐκ ἐργάσεται τότε; πάντα κινήσει, πάντα ταράξει καὶ ἐπιταγμάτων ἕνεκεν, καὶ φόβου. φοβερὸς ἔσται πάντοθεν, ἀπὸ τῆς ἐξουσίας, ἀπὸ τῆς ὠμότητος, ἀπὸ τῶν παρανόμων ἐπιταγμάτων. ἀλλὰ μὴ δείσῃς· ἐν τοῖς ἀπολλυμένοις, φησίν, ἕξει τὴν ἰσχύν. καὶ γὰρ καὶ ὁ Ἡλίας ἥξει τότε τοὺς πιστοὺς ἀσφαλιζόμενος. καὶ τοῦτο ὁ Χριστός φησιν, Ἡλίας ἔρχεται, καὶ ἀποκαταστήσει πάντα. διὰ τοῦτο εἴρηται περὶ Ἰωάννου δὲ, Ἐν δυνάμει καὶ πνεύματι Ἡλίου. οὔτε γὰρ σημεῖα εἰργάσατο, καθάπερ Ἡλίας, οὔτε θαύματα. Ἰωάννης μὲν γάρ, φησι, σημεῖον ἐποίησεν οὐδέν· πάντα δὲ, ὅσα εἶπεν Ἰωάννης περὶ τούτου, ἀληθῆ ἦν. πῶς οὖν ἐν δυνάμει καὶ πνεύματι Ἡλίου; τουτέστι, τὴν αὐτὴν ἀνεδέξατο διακονίαν. καθάπερ οὗτος πρόδρομος τῆς προτέρας παρουσίας, οὕτω κἀκεῖνος πρόδρομος τῆς δευτέρας καὶ ἐνδόξου αὐτοῦ παρουσίας, καὶ εἰς τοῦτο φυλάττεται. μὴ τοίνυν δείσωμεν. κατέστησε τὸν ἀκροατοῦ τὴν διάνοιαν, οὐκέτι ἐποίησε δεινὰ τὰ παρόντα νομίζειν, ἀλλ᾽ εὐχαριστίας ἄξια. διόπερ ἐπήγαγεν·

γ. ἐπὶ λύμῃ τῆς ἡμετέρας γίνεται φησί;

Ματθ. ιζ. ια. Μαρ. θ. ι. Λουκ. α. ιζ. Ιωαν. α. κα.

γ. Χειστοῦ

13 Ἡμεῖς δὲ ὀφείλομεν εὐχαριστεῖν τῷ Θεῷ πάντοτε περὶ ὑμῶν, ἀδελφοὶ ἠγαπημένοι ὑπὸ Κυρίου, ὅτι εἵλετο ὑμᾶς ὁ Θεὸς ἀπ᾽ ἀρχῆς εἰς σωτηρίαν ἐν ἁγιασμῷ πνεύματος, καὶ πίστει ἀληθείας. Πῶς εἰς σωτηρίαν εἵλετο; δείκνυσιν εἰπὼν, ἐν ἁγιασμῷ πνεύ-

ματος,

Λογ. ιη 6 ΚΑΙ ΝΥΝ ΤΟ ΚΑΤΕΧΟΝ ΟΙΔΑΤΕ, ΕΙΣ
τὸ ἀποκαλυφθῆναι αὐτὸν ἐν τῷ ἑαυτοῦ καιρῷ (7 Τὸ γὰρ μυστήριον
ἤδη ἐνεργεῖται τῆς ἀνομίας, μόνον ὁ κατέχων ἄρτι ἕως ἐκ μέσου γένηται)
8 Καὶ τότε ἀποκαλυφθήσεται ὁ ἄνομος, ὃν ὁ Κύριος Ἰησοῦς ἀναλώσει τῷ
πνεύματι τοῦ στόματος αὐτοῦ, καὶ καταργήσει τῇ ἐπιφανείᾳ τῆς παρουσίας
αὐτοῦ· 9 Οὗ ἐστιν ἡ παρουσία κατ' ἐνέργειαν τοῦ Σατανᾶ.

ΖΗτήσειεν ἄν τις πρῶτον εἰκότως, τί ποτέ ἐστι, τὸ κατέχον, καὶ μετὰ ταῦτα μαθεῖν, τί δήποτε ἀσαφῶς οὕτως αὐτὸ τέθεικεν ὁ Παῦλος. τί δήποτ' οὖν ἐστι τὸ κατέχον ἀποκαλυφθῆναι αὐτὸν, τουτέστι, τὸ κωλῦον; οἱ μὲν τοῦ πνεύματος τὴν χάριν φασίν, οἱ δὲ τὴν Ῥωμαϊκὴν ἀρχήν· οἷς ἔγωγε μάλιστα τίθεμαι. διατί; ὅτι εἰ τὸ πνεῦμα ἐβούλετο εἰπεῖν, οὐκ ἂν εἶπεν ἀσαφῶς, ἀλλὰ φανερῶς, ὅτι καὶ νῦν αὐτὸν κατέχει ἡ τοῦ πνεύματος χάρις, τουτέστι, τὰ χαρίσματα. ἄλλως δὲ ἔδει ἤδη παραγενέσθαι, εἴπερ ἔμελλε τῶν χαρισμάτων ἐκλειπόντων παραγίνεσθαι. καὶ γὰρ πάλαι ἐκλέλοιπεν. ἐπεὶ δὲ περὶ τῆς Ῥωμαϊκῆς ἀρχῆς τοῦτό φησιν, εἰκότως ᾐνίξατο, καὶ τέως φησὶ συνεσκιασμένως. οὐδὲ γὰρ ἐβούλετο περιττὰς ἔχθρας ἀναδέχεσθαι, καὶ ἀνονήτους κινδύνους. εἰ γὰρ εἶπεν, ὅτι μικρὸν ὕστερον καταλυθήσεται ἡ Ῥωμαίων ἀρχὴ, ἤδη εὐθέως ἂν αὐτὸν καὶ κατώρυξαν, ὡς λυμεῶνα, καὶ τοὺς πιστοὺς ἅπαντας, ὡς ἐπὶ τούτῳ ζῶντας, καὶ στρατευομένους. διὰ τοῦτο οὐκ εἶπεν οὕτως, οὐδ' ὅτι ταχέως ἔσται, καίτοιγε ἀεὶ αὐτὸ λέγει. ἀλλὰ τί; εἰς τὸ ἀποκαλυφθῆναι αὐτὸν ἐν τῷ ἑαυτοῦ καιρῷ, φησί. τὸ γὰρ μυστήριον ἤδη ἐνεργεῖται τῆς ἀνομίας. Νέρωνα ἐνταῦθά φησιν, ὡσανεὶ τύπον ὄντα τοῦ Ἀντιχρίστου. καὶ γὰρ οὗτος ἐβούλετο νομίζεσθαι Θεός. καὶ καλῶς εἶπε τὸ μυστήριον. οὐ γὰρ φανερῶς, ὡς ἐκεῖνος, οὐδὲ ἀπηρυθριασμένως. εἰ γὰρ περὶ τοῦ χρόνου ἐκείνου ἀνευρέθη, φησὶν, ὃς οὐ πολὺ τοῦ Ἀντιχρίστου ἐλείπετο κατὰ τὴν κακίαν, τί θαυμαστὸν, εἰ ἤδη ἔσται; οὕτω δὴ συνεσκιασμένως εἶπε, καὶ φανερὸν αὐτὸν οὐκ ἠθέλησε ποιῆσαι, οὐ διὰ δειλίαν, ἀλλὰ παιδεύων ἡμᾶς μὴ περιττὰς ἔχθρας ἀναδέχεσθαι, ὅταν μηδὲν ᾖ τὸ κατεπεῖγον. οὕτω δὴ καὶ ἐνταῦθά φησι· μόνον ὁ κατέχων ἄρτι ἕως ἐκ μέσου γένηται· τουτέστιν, ἡ ἀρχὴ ἡ Ῥωμαϊκὴ ὅταν ἀρθῇ ἐκ μέσου, τότε ἐκεῖνος ἥξει. καὶ εἰκότως. ἕως γὰρ ἂν ὁ ταύτης ᾖ τῆς ἀρχῆς φόβος, οὐδεὶς ταχέως ὑποταγήσεται. ὅταν δὲ αὕτη καταλυθῇ, ἐπιθήσεται τῇ ἀναρχίᾳ, καὶ τὴν τῶν ἀνθρώπων, καὶ τὴν τοῦ Θεοῦ ἐπιχειρήσει ἁρπάσαι ἀρχήν. ὥσπερ γὰρ αἱ περὶ τούτου κατελύθησαν βασιλεῖαι, οἷον ἡ Μήδων ὑπὸ τῶν Βαβυλωνίων, ἡ Βαβυλωνίων ὑπὸ Περσῶν, ἡ Περσῶν ὑπὸ Μακεδόνων, ἡ Μακεδόνων ὑπὸ Ῥωμαίων· οὕτω καὶ αὕτη ὑπὸ τοῦ Ἀντιχρίστου, κἀκεῖνος ὑπὸ τοῦ Χριστοῦ, καὶ οὐκέτι καθέξει. καὶ ταῦτα μετὰ πολλῆς τῆς σαφηνείας ὁ Δανιὴλ ἡμῖν παρακατατίθεται. καὶ τότε, φησὶν, ἀποκαλυφθήσεται ὁ ἄνομος. καὶ τί μετὰ ταῦτα; ἐγγὺς ἡ παραμυθία. ἐπάγει γὰρ· ὃν ὁ Κύριος Ἰησοῦς, φησὶν, ἀναλώσει τῷ πνεύματι τοῦ στόματος αὐτοῦ, καὶ καταργήσει τῇ ἐπιφανείᾳ τῆς παρουσίας αὐτοῦ· οὗ ἐστιν ἡ παρουσία κατ' ἐνέργειαν τοῦ Σατανᾶ. καθάπερ γὰρ πῦρ ἐπελθὸν ἁπλῶς τὰ μικρὰ ζωΰφια, καὶ πρὸ τῆς παρουσίας αὐτῆς πόρρωθεν ὄντα ναρκᾶν ποιεῖ καὶ ἀναλίσκει· οὕτω καὶ ὁ Χριστὸς τῷ ἐπιτάγματι μόνον, καὶ τῇ παρουσίᾳ τὸν Ἀντίχριστον ἀναλώσει. ἀρκεῖ παραφανῆναι αὐτὸν, καὶ ταῦτα πάντα ἀπόλωλε. στήσει τὴν ἀπάτην, καὶ φανεὶς μόνον. εἶτα δηλοῖ τίς ἐστιν οὗτος, οὗ ἡ παρουσία κατ' ἐνέργειαν τοῦ Σατανᾶ.

Ἐν πάσῃ δυνάμει, φησὶ, καὶ σημείοις καὶ τέρασι ψεύδους. Τουτέστι, πᾶσαν ἐπιδείξεται δύναμιν, ἀλλ' οὐδὲν ἀληθὲς, ἀλλὰ πρὸς ἀπάτην τὰ πάντα. ταῦτα προέφησεν,

ἵνα

χ. τοῦτο

κ. παῦσαι ἐκείνου τὰ τῆς πλάνης.

ἀκούουσιν. οὐ προσέχουσιν, οὐκ ἐννοοῦσιν ὅτι πρὸς τὸν Θεὸν εἰσέρχονται, ὅτι αὐτὸς αὐτοῖς διαλέγεται. ὅταν γὰρ ἀναστὰς ὁ ἀναγινώσκων λέγῃ, τάδε λέγει Κύριος· καὶ ὁ διάκονος ἑστὼς ἐπιστομίζῃ πάντας, οὐ τῷ ἀναγινώσκοντι τιμὴν ποιῶν τοῦτό φησιν, ἀλλὰ τῷ δι' ἐκείνου πᾶσι διαλεγομένῳ. εἰ ᾔδεισαν ὅτι Θεός ἐστιν ὁ ταῦτα λέγων διὰ τοῦ προφήτου, πάντα ἂν τὸν τῦφον ἔρριψαν. εἰ γὰρ ἀρχόντων αὐτοῖς διαλεγομένων οὐκ ἀνέχονται ἔξω προσέχειν, πολλῷ μᾶλλον τοῦ Θεοῦ. ἡμεῖς ὑπηρέται ἐσμέν, ἀγαπητοί· ἡμεῖς οὐ τὰ ἡμέτερα λέγομεν, ἀλλὰ τὰ τοῦ Θεοῦ. ἐπιστολαὶ καθ' ἑκάστην ἡμέραν ἀπὸ τοῦ οὐρανοῦ ἥκουσαι ἀναγινώσκονται. εἰπὲ δή μοι, παρακαλῶ· εἴ τις ἄρτι πάντων ἡμῶν παρόντων εἰσῆλθεν ἔχων ζώνην χρυσῆν, καὶ ἀνατεταμένος καὶ σοβαρὸς ἔφησε πεμφθῆναι παρὰ τοῦ βασιλέως τοῦ ἐπὶ τῆς γῆς, καὶ πρὸς τὴν πόλιν ἅπασαν τὴν ἐπιστολὴν κομίζειν περί τινων ἀναγκαίων, ἆρα οὐκ ἂν ἅπαντες συνεστράφητε; ἆρα οὐκ ἂν καὶ τοῦ διακόνου μὴ παρακελευομένου πολλὴν παρείχετε τὴν σιγήν; ἔγωγε οἶμαι. καὶ γὰρ ἤκουσα ἐπιστολῶν βασιλέων ἀναγινωσκομένων ἐν ταύτῃ. εἶτ' ἂν μέν τις παρὰ βασιλέως ἥκῃ, πάντες προσέχετε· παρὰ δὲ τοῦ Θεοῦ ἥκει, καὶ ἐκ τῶν οὐρανῶν φθέγγεται ὁ προφήτης, καὶ οὐδεὶς ὁ προσέχων; ἢ οὐ πιστεύετε, ὅτι παρὰ τοῦ Θεοῦ ταῦτα τὰ λεγόμενα; ἐπιστολαὶ αὗταί εἰσι πεμφθεῖσαι παρὰ τοῦ Θεοῦ. εἰσερχώμεθα τοίνυν μετὰ τῆς προσηκούσης τιμῆς εἰς τὰς ἐκκλησίας, καὶ μετὰ φόβου ἐπακούωμεν τῶν λεγομένων. τί εἰσέρχομαι, φησίν, εἰ οὐκ ἀκούω τινὸς ὁμιλοῦντος; τοῦτο πάντα ἀπώλεσε καὶ διέφθειρε. τίς γὰρ χρεία ὁμιλητοῦ; ἀπὸ τῆς ἡμετέρας ῥᾳθυμίας αὕτη ἡ χρεία γέγονε. διὰ τί γὰρ ὁμιλίας χρεία; πάντα σαφῆ καὶ εὐθέα τὰ παρὰ ταῖς θείαις γραφαῖς· πάντα τὰ ἀναγκαῖα δῆλα. γρ. ἐν ἀλλ' ἐπειδὴ τέρψεως ἐστὲ ἀκροαταί, διὰ τοῦτο καὶ ταῦτα ζητεῖτε. εἰπὲ γάρ μοι, ποίῳ κόμπῳ λόγου Παῦλος ἔλεγεν; ἀλλ' ὅμως τὴν οἰκουμένην ἐπέστρεψε. ποίῳ δὲ Πέτρος ὁ ἀγράμματος; ἀλλ' οὐκ οἶδα, φησί, τὰ ἐν ταῖς θείαις γραφαῖς κείμενα. διὰ τί οὐκ οἶδας; μὴ γὰρ Ἑβραϊστί, μὴ γὰρ Ῥωμαϊστί, μὴ γὰρ ἑτερογλώσσως εἴρηται; οὐχὶ Ἑλληνιστὶ λέγεται; ἀλλ' ἀσαφῶς, φησί. ποῖον ἀσαφές, εἰπέ μοι; οὐχὶ ἱστορίαι εἰσί; τὰ γὰρ σαφῆ οἶδας, ἵνα περὶ τῶν ἀσαφῶν ἐρωτήσῃς. μυρίαι ἱστορίαι εἰσὶν ἐν ταῖς γραφαῖς. εἰπέ μοι μίαν ἐξ ἐκείνων. ἀλλ' οὐκ ἐρεῖς. πρόφασις ταῦτα, καὶ λόγοι. καθ' ἡμέραν, φησί, τὰ αὐτά ἐστιν ἀκούειν. τί δέ, εἰπέ μοι, ἐν τοῖς θεάτροις οὐ τὰ αὐτὰ ἀκούεις; ἐν ταῖς ἱπποδρομίαις οὐ τὰ αὐτὰ ὁρᾷς; τὰ δὲ πράγματα πάντα οὐ τὰ αὐτά ἐστιν; ὁ δὲ ἥλιος οὐχ ὁ αὐτὸς ἀεὶ ἀνατέλλει; τροφαῖς δὲ οὐ ταῖς αὐταῖς χρώμεθα; ἐβουλόμην σου πυθέσθαι, ἐπειδὴ τὰ αὐτὰ λέγεις ἀκούειν καθ' ἑκάστην ἡμέραν, εἰπέ μοι, ποίου προφήτου ἐστὶ τὸ χωρίον τὸ ἀναγνωσθέν, καὶ ποίου ἀποστόλου, ἢ ποίας ἐπιστολῆς· ἀλλ' οὐκ ἂν ἔχοις εἰπεῖν, ἀλλὰ δοκεῖς ξένων ἀκούειν. ὅταν μὲν οὖν ῥᾳθυμῆσαι θέλῃς, τὰ αὐτὰ λέγεις εἶναι· ὅταν δὲ ἐρωτηθῇς, ὡς οὐδέποτε ἀκούσας διάκεισαι. εἰ τὰ αὐ- γρ. ἀκόνει -τά ἐστιν, ἐχρῆν αὐτὰ εἰδέναι· σὺ δὲ ἀγνοεῖς. θρήνων ἄξια τὰ παρόντα, θρήνων καὶ ὀδυρμῶν, ὅτι εἰς κενὸν ἀργυροκόπος ἀργυροκοπεῖ. ταύτῃ μάλιστα ἐχρῆν προσέχειν, ὅτι τὰ αὐτά ἐστιν, ὅτι οὐδένα παρέχομεν ὑμῖν πόνον, οὐδὲ ξένα τινὰ καὶ ἐνηλλαγμένα λέγομεν. τί οὖν; ἐπειδὴ ἐκεῖνα τὰ αὐτὰ λέγεις εἶναι, τὰ δὲ ἡμέτερα οὐ τὰ αὐτά ἐστιν, ἀλλ' ἀεὶ ξένα λέγομεν, τούτοις προσέχετε; οὐδαμῶς. ἀλλ' ἂν μὲν εἴπωμεν, διὰ τί οὐδὲ ταῦτα κατέχετε; ἅπαξ, φησίν, ἀκούομεν, καὶ πῶς ἔνι κατασχεῖν; ἂν εἴπωμεν, ἐκείνοις διὰ τί οὐ προσέχετε; φατέ, ἀεὶ τὰ αὐτὰ λέγεται· καὶ πάντοθεν ῥᾳθυμίας καὶ σκήψεως τὰ ῥήματα. ἀλλ' οὐ παραχωρήσει ταῦτα διαπαντός, ἀλλ' ἔσται καιρός, ὅτε θρηνήσομεν εἰκῇ, καὶ μάτην· ὅπερ μὴ γένοιτο. ἀλλὰ γένοιτο ἐνταῦθα μετανοήσαντας, καὶ μετὰ συνέσεως καὶ μετὰ εὐλαβείας προσέχοντας τοῖς λεγομένοις, πρὸς τὴν τῶν ἀγαθῶν ἔργων κατόρθωσιν ἐπείγεσθαι, καὶ μετὰ πάσης ἀκριβείας τὸν ἑαυτῶν βίον εὐθύνειν, ἵνα δυνηθῶμεν ἐπιτυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτόν, χάριτι καὶ φιλανθρωπίᾳ.

ρον, ὑμεῖς δὲ ποιεῖτε τὰ λεγόμενα, τῇ μνήμῃ διὰ τῶν ἔργων ἐπιδείκνυσθαι τοὺς καρπούς, τὰς ἀκάνθας προρρίζους ἀνασπᾷν. ἄκανθα γὰρ ὄντως ὁ πλοῦτος, οὐδένα καρπὸν ἔχων, δυσειδὴς δὲ ὀφθῆναι, καὶ χρήσασθαι ἀηδής, λυπῶν τοὺς ἁπτομένους, οὐ μόνον αὐτὸς οὐκ ἔχων καρπόν, ἀλλὰ καὶ τῷ βλαστάνοντι ἐμποδίζων. τοιοῦτόν ἐστιν ὁ πλοῦτος· οὐ μόνον αὐτὸς οὐ φέρει καρπὸν αἰώνιον, ἀλλὰ καὶ τοὺς βουλομένους κατέχων ἐμποδίζει. ἀλόγων εἰσὶ τροφαὶ αἱ ἄκανθαι καμήλων· πυρὸς [εἰσι] βρῶσις καὶ δαπάνη· πρὸς οὐδὲν χρήσιμοι. τοιοῦτον καὶ ὁ πλοῦτος, πρὸς οὐδὲν χρήσιμος, ἀλλ' ἢ πρὸς τὸ καῦσαι κάμινον, πρὸς τὸ τὴν ἡμέραν ἀνάψαι ἐκείνην τὴν ὡς κλίβανον καιομένην, πρὸς τὸ θρέψαι τὰ ἄλογα πάθη, μνησικακίαν καὶ ὀργήν. τοιοῦτον γὰρ καὶ ἡ τρώγουσα κάμηλος τὰς ἀκάνθας. λέγεται γὰρ ὑπὸ τῶν τὰ τοιαῦτα εἰδότων μηδὲν εἶναι ἐν τοῖς κτήνεσιν οὕτω βαρύμηνιν καὶ δύσθυμον καὶ μνησίκακον, ὡς ἡ κάμηλος. τοιοῦτον ὁ πλοῦτός ἐστι· τὰ ἄλογα πάθη τρέφει τῆς ψυχῆς, τὰ δὲ λογικὰ κεντεῖ καὶ τιτρώσκει, καθάπερ ἐπὶ τῶν ἀκανθῶν. σκληρόν τί ἐστι καὶ τραχὺ τοῦτο τὸ φυτόν, αὐτόματον φύεται. ἴδωμεν δὲ καὶ ποῦ φύεται, ἵνα ἐκκόψωμεν αὐτό. ἐν τοῖς ἀποκρήμνοις τῶν χωρίων, ἐν τοῖς λιθώδεσιν, ἐν τοῖς ξηροῖς, ἔνθα νοτὶς οὐκ ἔστιν. ὅταν οὖν τραχύς τις ἢ καὶ ἀπόκρημνος, τουτέστιν, ἀνελεήμων, ἡ ἄκανθα φύεται ἐν αὐτῷ. ἀλλ' ὅταν αὐτὰς ἐκκόψαι βούλωνται γεωργῶν παῖδες, οὐ σιδήρῳ τοῦτο ποιοῦσιν, ἀλλὰ πῶς; πῦρ ἐπαφιέντες, οὕτω πᾶσαν ἐξέλκουσι τὴν κακίαν τῆς γῆς. ἐπειδὴ γὰρ οὐκ ἀρκεῖ τὸ τεμεῖν ἄνωθεν, τῆς ῥίζης κάτω μενούσης, ἀλλ' οὐδὲ τὴν ῥίζαν ἐξελεῖν (ἀπὸ γὰρ τῆς κακίας ἐναπομένει τῇ γῇ, καὶ καθάπερ τοῖς λοιμοῦ εἰς σῶμα ἐνσκήψαντος ἐπιμένει τὰ λείψανα) πᾶσαν ἐκείνην τὴν νοτίδα τὴν τῶν ἀκανθῶν τὸ πῦρ ἄνωθεν ἀνιμώμενον, ὥσπερ τινὰ ἰόν, ἐξέλκει διὰ τῆς θερμότητος ἀπὸ τῶν λαγόνων τῆς γῆς. καθάπερ γὰρ ἡ σικύα ἐπιτιθεμένη πᾶσαν κακίαν ἕλκει πρὸς ἑαυτήν, οὕτω καὶ τὸ πῦρ πᾶσαν κακίαν τὴν ἐκ τῶν ἀκανθῶν ἀνιμᾶται, καὶ καθαρὰν αὐτὴν ποιεῖ. τίνος ἕνεκεν ταῦτα εἶπον; ὅτι δεῖ τὴν πρὸς τὸν πλοῦτον συμπάθειαν πάντοθεν ἐκκαθαίρειν. ἔστι καὶ παρ' ἡμῖν πῦρ, ἀπὸ ψυχῆς ταύτην ἕλκον τὴν κακίαν, τὸ τοῦ πνεύματος λέγω. ἂν τοῦτο ἐπαφῶμεν, οὐ τὰς ἀκάνθας μόνον, ἀλλὰ καὶ τὴν ἐξ αὐτῶν νοτίδα ἀναξηραίνειν δυνησόμεθα· ὡς ἕως ὧσιν ἐμπεπηγυῖαι, πάντα γίνεται μάτην. ὅρα γάρ· εἰσῆλθε πλούσιος ἐνταῦθα, ἢ καὶ πλουτοῦσα γυνή; οὐ φροντίζει πῶς ἀκούσει τῶν λογίων τοῦ Θεοῦ· ἀλλὰ πῶς ἐπιδείξεται, πῶς μετὰ πομπῆς καθίσει, πῶς μετὰ δόξης πολλῆς, πῶς πάσας τὰς ἄλλας ὑπερβάλληται τῇ τῶν ἱματίων πολυτελείᾳ, καὶ σχήματι καὶ βλέμματι καὶ βαδίσματι σεμνοτέραν ἑαυτὴν ἐργάσηται. καὶ πᾶσα ἡ φροντὶς καὶ ἡ μέριμνα αὕτη, ἆρα εἶδεν ἡ δεῖνα; ἆρα ἐθαύμασεν; ἆρα κοσμίως κεκαλλώπισμαι; ὥστε μὴ σπιλῶσαι τὰ ἱμάτια, ὥστε μὴ διαρραγῆναι; καὶ πᾶσα ἡ φροντὶς περὶ τούτου. ὁμοίως καὶ ὁ πλουτῶν ἀνὴρ εἰσέρχεται δείξων ἑαυτὸν τῷ πένητι, καὶ εἰς φόβον καταστήσων διὰ τῆς περιβολῆς τῶν ἱματίων, διὰ τὸ παῖδας ἔχειν πολλούς· καὶ παρεστήκασιν ἀποσοβοῦντες. ὁ δὲ ἀπὸ πολλοῦ τύφου οὐδὲ τοῦτο καταξιοῖ ποιεῖν· ἀλλ' οὕτως οἴεται ἀνάξιον εἶναι ἐλευθέρου τὸ ἔργον, ὅτι καίτοι σφόδρα τετυφωμένος οὐκ αἰσχύνεται τοῦτο ποιεῖν, ἀλλὰ τοῖς δούλοις ἐπιτρέπει, τοῖς ἀκολούθοις. τὸ γὰρ τοῦτο ποιεῖν, δουλικὸν ὄντως, καὶ ἰταμῶν ἠθῶν. εἶτα καθήμενοι εὐθέως ἐπεισέρχονται αἱ τῆς οἰκίας φροντίδες περισύρουσαι * πανταχοῦ, ὁ τῦφος ὁ κατέχων τὴν ψυχὴν περιρρεῖ. νομίζει χαρίζεσθαι καὶ ἡμῖν, καὶ τῷ λαῷ, τάχα δὲ καὶ τῷ Θεῷ, ὅτι εἰσῆλθεν εἰς τὸν τοῦ Θεοῦ οἶκον. ὁ δὲ οὕτω φλεγμαίνων, πῶς δυνήσεται θεραπευθῆναί ποτε; εἰπὲ δή μοι, εἴ τις εἰς ἰατρεῖον παραγένοιτο, καὶ μὴ χάριν αἰτοῖ τοῦ ἰαθῆναι, ἀλλὰ νομίζει χαρίζεσθαι ἐκείνῳ, καὶ ἀφεὶς φάρμακον αἰτῆσαι ἐπὶ τὸ τραῦμα, περὶ ἱμάτια ἀσχολοῖτο, ἆρα ἀπέλθοι τι ἂν ὁ τοιοῦτος λαβὼν ἀγαθόν; οὐκ ἔγωγε οἶμαι. τὸ δὲ αἴτιον τούτων ἁπάντων, εἰ βούλεσθε, ἐρῶ. νομίζουσι πρὸς ἡμᾶς εἰσιέναι, ὅταν εἰσίωσιν ἐνταῦθα, νομίζουσι παρ' ἡμῶν ἀκούειν ἅπερ

ἰσ. οἱ

* αὐτὸν

λόγου. ὃ δὲ λέγει, τοῦτό ἐστι· κἄν τις πνεῦμα προφητείας ἔχων τοῦτο εἴπῃ, μὴ πιστεύσητε. ὅτε γὰρ ἤμην πρὸς ὑμᾶς, ταῦτα εἶπον ὑμῖν. ὥστε οὐ δεῖ μεταπείθεσθαι, ἀφ' ὧν ἐδιδάχθητε. ἢ διὰ πνεύματος. τοὺς ψευδοπροφήτας οὕτω καλεῖ πνεύματι ἀκαθάρτῳ λαλοῦντας, ἅπερ ἐλάλουν. βουλόμενοι γὰρ οὗτοι μᾶλλον πιστεύεσθαι, οὐ μόνον διὰ πιθανολογίας ἐπιχείρησιν ἀπατᾶν (τοῦτο γὰρ ἐμφαίνει εἰπών, μήτε διὰ λόγου) ἀλλὰ καὶ πεπλασμένην ἐπιστολὴν ἐπεδείκνυον ὡς ἀπὸ τοῦ Παύλου τὸ αὐτὸ τοῦτο δηλοῦσαν. διὰ τοῦτο καὶ αὐτὸ ἐμφαίνων ἐπήγαγε, τὸ, μήτε δι' ἐπιστολῆς, ὡς δι' ἡμῶν. πανταχόθεν τοίνυν αὐτοὺς ἀσφαλισάμενος, οὕτω τὴν οἰκείαν γνώμην ἐκτίθεται, καὶ λέγει·

3 Μή τις ὑμᾶς ἐξαπατήσῃ κατὰ μηδένα τρόπον, ὅτι ἐὰν μὴ ἔλθῃ ἡ ἀποστασία πρῶτον, καὶ ἀποκαλυφθῇ ὁ ἄνθρωπος τῆς ἁμαρτίας, ὁ υἱὸς τῆς ἀπωλείας,

4 Ὁ ἀντικείμενος καὶ ὑπεραιρόμενος ἐπὶ πάντα λεγόμενον Θεὸν ἢ σέβασμα, ὥστε αὐτὸν εἰς τὸν ναὸν τοῦ Θεοῦ, ὡς Θεὸν καθίσαι, ἀποδεικνύντα ἑαυτὸν ὅτι ἐστὶ Θεός. Περὶ τοῦ Ἀντιχρίστου ἐνταῦθα διαλέγεται, καὶ μεγάλα ἀποκαλύπτει μυστήρια. τί ἐστιν ἡ ἀποστασία; αὐτὸν καλεῖ τὸν Ἀντίχριστον ἀποστασίαν, ὡς πολλοὺς μέλλοντα ἀπολλύναι, καὶ ἀφιστᾶν· (Ματθ. κδ. κδ.) Ὥστε, φησὶ, σκανδαλισθῆναι, εἰ δυνατὸν, καὶ τοὺς ἐκλεκτούς. καὶ ἄνθρωπον ἁμαρτίας αὐτὸν καλεῖ. μυρία γὰρ ἐργάσεται, καὶ παρασκευάσει ἑτέρους ἐργάσασθαι δεινά. υἱὸν δὲ τῆς ἀπωλείας φησὶν αὐτὸν, διὰ τὸ καὶ αὐτὸν ἀπόλλυσθαι. τίς δὲ οὗτός ἐστιν; ἆρα ὁ Σατανᾶς; οὐδαμῶς· ἀλλ' ἄνθρωπός τις πᾶσαν αὐτοῦ δεχόμενος τὴν ἐνέργειαν. καὶ ἀποκαλυφθῇ ὁ ἄνθρωπος, φησίν, ὁ ὑπεραιρόμενος ἐπὶ πάντα λεγόμενον Θεὸν ἢ σέβασμα. οὐ γὰρ εἰς εἰδωλολατρείας ἄξει ἐκεῖνος, ἀλλ' ἀντίθεός τις ἔσται, καὶ πάντας καταλύσει τοὺς θεοὺς, καὶ κελεύσει προσκυνεῖν αὐτὸν ἀντὶ τοῦ Θεοῦ. καὶ καθεσθήσεται εἰς τὸν ναὸν τοῦ Θεοῦ, οὐ τὸν ἐν Ἱεροσολύμοις μόνον, ἀλλὰ καὶ εἰς τὰς πανταχοῦ ἐκκλησίας. ἀποδεικνύντα, φησὶν, ἑαυτὸν Θεόν. οὐκ εἶπε, λέγοντα, ἀλλὰ, πειρώμενον ἀποδεικνύναι. καὶ γὰρ ἔργα μεγάλα ἐργάσεται, καὶ σημεῖα ἐπιδείξεται θαυμαστά.

5 Οὐ μνημονεύετε ὅτι ἔτι ὢν πρὸς ὑμᾶς ταῦτα ἔλεγον ὑμῖν;

Ὁρᾷς ὅτι ἀναγκαῖον συνεχῶς ταῦτα λέγειν, καὶ ἐπαναλαμβάνειν τοῖς αὐτοῖς ῥήμασιν; ἰδοὺ γὰρ καὶ παρόντος ἤκουσαν ταῦτα λέγοντος, καὶ πάλιν ἐδεήθησαν ὑπομνήσεως. καθάπερ γὰρ περὶ τῶν θλίψεων ἀκούσαντες (α. Θεσ. γ. δ.) (Καὶ γὰρ ὅτε ἦμεν, φησὶ, πρὸς ὑμᾶς προελέγομεν ὑμῖν, ὅτι μέλλομεν θλίβεσθαι) ὅμως ἐπελάθοντο, καὶ πάλιν αὐτοὺς στηρίζει διὰ τῶν γραμμάτων· οὕτω καὶ περὶ τῆς παρουσίας τοῦ Χριστοῦ ἀκούσαντες πάλιν ἐδέοντο γραμμάτων τῶν ῥυθμιζόντων αὐτούς. ἀναμιμνήσκει γοῦν αὐτοὺς, καὶ δείκνυσιν ὅτι οὐδὲν ξένον λέγει, ἀλλ' ἅπερ ἀεὶ ἔλεγεν.

ΗΘΙΚΟΝ

Καθάπερ γὰρ ἐπὶ τῶν γεωργῶν τὰ σπέρματα καταβάλλεται μὲν ἅπαξ, οὐ μένει δὲ διαπαντὸς, ἀλλὰ πολλῆς δεῖται τῆς συγκατασκευῆς (κ κατασκευῆς), κἂν μὴ τὴν γῆν ἀναμοχλεύσαντες περιστείλωσι τὰ καταβαλλόμενα, τοῖς σπερμολόγοις ὀρνέοις ἔσονται· οὕτω καὶ ἡμεῖς, ἂν μὴ τῇ συνεχεῖ μνήμῃ τὰ καταβληθέντα περιστείλωμεν, εἰς τὸν ἀέρα πάντα ἐρρίψαμεν. καὶ γὰρ καὶ ὁ διάβολος ἐξαρπάζει, καὶ ἡ ἡμετέρα ῥᾳθυμία ἀπόλλυσι, καὶ ἥλιος ξηραίνει, καὶ ὑετὸς ἐπικλύζει, καὶ ἄκανθαι ἀποπνίγουσιν. ὥστε οὐκ ἀρκεῖ μόνον ἅπαξ καταβαλόντα ἀπαλλάττεσθαι, ἀλλὰ πολλῆς δεῖ τῆς ἐπιμελείας καὶ τῆς προσεδρείας τῷ μέλλοντι τοὺς καρποὺς συγκομίζειν, ἀποσοβοῦντι τὰ πετεινὰ, τὰς ἀκάνθας ἐκκόπτοντι, τὰ πετρώδη γῆς πληροῦντι πολλῆς, πᾶσαν λύμην κωλύοντι καὶ ἀποτειχίζοντι καὶ ἀναιροῦντι. ἀλλ' ἐπὶ μὲν τῆς γῆς τὸ πᾶν τοῦ γεωργοῦ γίνεται. ἄψυχος γὰρ ἐκείνη ὑπόκειται, πρὸς τὸ παθεῖν ἕτοιμος οὖσα μόνον. ἐπὶ δὲ ταύτης τῆς γῆς τῆς πνευματικῆς οὐδαμῶς. οὐ τῶν διδασκάλων ἐστὶ τὸ πᾶν· ἀλλ', εἰ μὴ τὸ πλέον, τὸ γοῦν ἥμισυ καὶ τῶν μαθητῶν. ἡμῶν μὲν οὖν καταβαλεῖν ἐστι τὸν σπό-

ρον,

ποκρίνονται, μὴ μακάριζε μηδένα πρὸ τελευτῆς. καὶ γὰρ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ δείκνυνται οἱ πιστεύσαντες. Εἰς ὃ καὶ προσευχόμεθα, φησί, πάντοτε περὶ ὑμῶν, Ἵνα ὑμᾶς ἀξιώσῃ τῆς κλήσεως ὁ Θεὸς ἡμῶν, καὶ πληρώσῃ πᾶσαν εὐδοκίαν ἀγαθωσύνης, καὶ ἔργον πίστεως ἐν δυνάμει. Ἵνα ἀξιώσῃ, φησίν, ὑμᾶς τῆς κλήσεως, δείκνυσιν ὅτι πολλοὶ καὶ ἀπεβλήθησαν. Διὰ τοῦτο ἐπήγαγε, καὶ πληρώσῃ πᾶσαν εὐδοκίαν ἀγαθωσύνης. ἐπεὶ καὶ ὁ τὰ ῥυπαρὰ ἱμάτια ἐνδεδυμένος ἐκλήθη, ἀλλ᾽ οὐκ ἔμεινεν ἐν τῇ κλήσει. Διὰ τοῦτο καὶ μᾶλλον γέγονεν ἀπόβλητος τῆς κλήσεως τῆς εἰς τὸν νυμφῶνα. ἐπεὶ καὶ αἱ πέντε παρθένοι ἐκλήθησαν (Ἐγείρεσθε, φησίν, ὁ νυμφίος ἔρχεται) καὶ παρεσκευάσαντο, ἀλλ᾽ οὐκ εἰσῆλθον. δηλῶν Ματθ. κε. ς. οὖν ποίαν κλῆσιν λέγει, ἐπήγαγε· καὶ πληρώσῃ πᾶσαν εὐδοκίαν ἀγαθωσύνης, καὶ ἔργον πίστεως ἐν δυνάμει. Ταύτην ζητοῦμεν τὴν κλῆσιν, φησίν. ὅρα πῶς ἠρέμα αὐτοὺς καταστέλλει. ἵνα γὰρ μὴ τῇ τῶν ἐγκωμίων ὑπερβολῇ χαυνωθῶσιν, ὡς μεγάλα κατωρθωκότες, καὶ ῥᾳθυμότεροι γένωνται, δείκνυσιν ὅτι ἔτι αὐτοῖς λείπει, ἕως ἂν ὦσιν ἐν τῷ βίῳ τούτῳ. ὅπερ καὶ Ἑβραίοις γράφων ἔλεγεν· Οὔπω μέχρις αἵματος ἀντικατέστητε, πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι. Ἑβρ. ιβ. δ. Εἰς πᾶσαν, φησίν, εὐδοκίαν· τουτέστιν, ἀρέσκειαν, πεῖσμα, πληροφορίαν. ὥστε ἔλεγεν, ἵνα τὸ πεῖσμα τοῦ Θεοῦ γένηται, ἵνα μηδὲν ὑμῖν λείπῃ, ἵνα ὡς βούλεται οὕτως ἦτε. καὶ ἔργον, φησί, πίστεως ἐν δυνάμει. τί ἐστι τοῦτο; ἡ ὑπομονὴ τῶν διωγμῶν, ἵνα μὴ ἐκλυώμεθα, φησίν.

12 Ὅπως ἐνδοξασθῇ τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν ὑμῖν, καὶ ὑμεῖς ἐν αὐτῷ κατὰ τὴν χάριν τοῦ Θεοῦ ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ. Ὅρα· Εἶπεν ἐκεῖ δόξαν, εἶπε καὶ ἐνταῦθα. Εἶπεν ὅτι αὐτοὶ δοξάζονται, ὥστε καὶ καυχᾶσθαι. Εἶπεν ὃ πολλῷ πλέον ἦν, ὅτι καὶ τὸν Θεὸν δοξάζουσιν. Εἶπεν ὅτι ἀπολήψονται τὴν δόξαν ἐκείνην· ἀλλὰ καὶ ἐνταῦθά φησι. τοῦ γὰρ δεσπότου δοξαζομένου, καὶ οἱ δοῦλοι δοξάζονται. οἱ γὰρ τὸν δεσπότην δοξάζοντες, πολλῷ μᾶλλον αὐτοὶ δοξάζονται καὶ τούτῳ αὐτῷ, καὶ χωρὶς τούτου. δόξα γάρ ἐστιν ἡ θλῖψις ἡ διὰ Χριστόν, καὶ πανταχοῦ δόξαν τὸ πρᾶγμα ἔχει. καὶ ὅσῳ ἂν ἀτιμότερα πάθωμεν, τοσούτῳ μᾶλλον γινόμεθα λαμπροί. Εἶτα πάλιν δεικνὺς ὅτι καὶ τοῦτο αὐτὸ τοῦ Θεοῦ ἐστι, (γρ. ἀπὸ) φησὶ κατὰ τὴν χάριν τοῦ Θεοῦ ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ· τουτέστι, ταύτην τὴν χάριν ἡμῖν αὐτὸς ἔδωκεν ὁ Θεός, ἵνα δοξάζηται ἐν ἡμῖν, καὶ δοξάζῃ ἡμᾶς ἐν αὐτῷ. πῶς δοξάζεται ἐν ἡμῖν; ὅτι οὐδὲν αὐτοῦ προετιμῶμεν. πῶς δοξαζόμεθα ἐν αὐτῷ; ὅτι δύναμιν εἰλήφαμεν παρ᾽ αὐτοῦ ὥστε μηδὲ ἐνδιδόναι τοῖς ἐπαγομένοις δεινοῖς. ὅταν γὰρ ἰσχυρὸς πειρασμὸς συμβῇ, καὶ ὁ Θεὸς δοξάζεται, καὶ ἡμεῖς. αὐτοὶ μὲν γὰρ δοξάζουσιν, ὅτι οὕτως ἡμᾶς ἐνεύρωσεν· ἡμᾶς δὲ θαυμάζουσιν, ὅτι ἀξίους ἑαυτοὺς παρεσκευάσαμεν. πάντα δὲ ταῦτα ἀπὸ τῆς χάριτος τοῦ Θεοῦ γίνεται.

1 Ἐρωτῶμεν δὲ ὑμᾶς, ἀδελφοί, ὑπὲρ τῆς παρουσίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ κεφ. β. ἡμῶν ἐπισυναγωγῆς ἐπ᾽ αὐτόν,

2 Εἰς τὸ μὴ ταχέως σαλευθῆναι ὑμᾶς ἀπὸ τοῦ νοός. Πότε μὲν ἔσται ἀνάστασις, οὐκ εἴρηκεν· ὅτι δὲ νῦν οὐκ ἔσται, εἴρηκε. καὶ ἡμῶν, φησίν, ἐπισυναγωγῆς ἐπ᾽ αὐτόν. οὐ μικρὸν καὶ τοῦτο*. ὁρᾷς πῶς καὶ ἡ παραίνεσις πάλιν μετ᾽ ἐγκωμίου καὶ προτροπῆς, τῷ πάντας μεθ᾽ ἡμῶν αὐτῷ φέρεσθαι τὸν Κύριον καὶ τοὺς ἁγίους πάντας; περὶ τῆς παρουσίας τοῦ Χριστοῦ ἐνταῦθα διαλέγεται, καὶ περὶ τῆς ἐπισυναγωγῆς τῆς ἡμῶν. ὁμοῦ γὰρ ταῦτα ἔσται. ἐπαίρει τὴν διάνοιαν αὐτῶν· Εἰς τὸ μὴ σαλευθῆναι, φησί, ταχέως ὑμᾶς. Μήτε θροεῖσθε, μήτε διὰ πνεύματος, μήτε διὰ λόγου, μήτε δι᾽ ἐπιστολῆς, ὡς δι᾽ ἡμῶν, ὡς ὅτι ἐνέστηκεν ἡ ἡμέρα τοῦ Κυρίου. Ἐνταῦθα δοκεῖ μοι αἰνίττεσθαι περιεῖναί τινας ἐπιστολὴν πλάσαντας δῆθεν ἀπὸ τοῦ Παύλου, καὶ ταύτην ἐπιδεικνυμένους λέγειν, ὡς ἄρα ἐφέστηκεν ἡ τοῦ Κυρίου ἡμέρα, ἵνα πολλοὺς ἐντεῦθεν πλανήσωσιν. ὥστε οὖν μὴ ἀπατηθῆναι, ἀσφαλίζεται αὐτοὺς ὁ Παῦλος δι᾽ ὧν γράφει καί φησι· μὴ θροεῖσθε μήτε διὰ πνεύματος, μήτε διὰ

*εἰς ἐπίδειξιν τῆς ἀναστάσεως.

τοίγε πολλὴν ἡμῖν ἐκεῖνος δίδωσι προθεσμίαν, καὶ οὐκ ἀναρπάζει ἡμᾶς ἐν τοῖς μέσοις ἁμαρτήμασιν· ἀλλ' ἀφίησιν ἀποδύσασθαι, καὶ οὐδὲν τῶν εἰς αὐτὸν ἡκόντων παραλιμπάνει ἡ ἀγαθότης ἐκείνη καὶ ἡ φιλανθρωπία. ἀλλ' οὐδὲν γίνεται πλέον. διὰ τοῦτο μείζων ἡ τιμωρία. ἀλλὰ μὴ γένοιτο γενέσθαι. διό, παρακαλῶ, κἂν ἐκ τοῦ νῦν ἀνανήψωμεν· ἔχωμεν τὴν γέενναν πρὸ ὀφθαλμῶν· ἐννοῶμεν τὰς εὐθύνας ἐκείνας τὰς ἀπαραιτήτους· ἵνα ταῦτα λογιζόμενοι, καὶ τὴν κακίαν φύγωμεν, καὶ τὴν ἀρετὴν αἱρώμεθα, καὶ δυνηθῶμεν ἐπιτυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτόν, χάριτι καὶ φιλανθρωπίᾳ. χ. ἑλώμεθα,

λογ. γ. 9 ΟΙΤΙΝΕΣ ΔΙΚΗΝ ΤΙΣΟΥΣΙΝ, ΟΛΕΘΡΟΝ αἰώνιον, ἀπὸ προσώπου Κυρίου, καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ,
10 Ὅταν ἔλθῃ ἐνδοξασθῆναι ἐν τοῖς ἁγίοις αὐτοῦ, καὶ θαυμασθῆναι ἐν πᾶσι τοῖς πιστεύουσιν.

Εἰσὶ πολλοὶ τῶν ἀνθρώπων, οἳ τὰς ἐλπίδας τὰς χρηστὰς οὐκ ἐν τῷ τῶν ἁμαρτημάτων ἀπέχεσθαι ἔχουσιν, ἀλλ' ἐν τῷ νομίζειν τὴν γέενναν μὴ σφοδρὰν εἶναι, καθὼς λέγεται, ἀλλ' ἡμερωτέραν τῆς ἠπειλημένης, καὶ πρόσκαιρον, οὐκ αἰώνιον, καὶ πολλὰ περὶ τούτου φιλοσοφοῦσιν. ἐγὼ μὲν οὖν οὐ μόνον ὅτι τῆς ἠπειλημένης οὐκ ἔστιν ἡμερωτέρα, δὴ ὅτι καὶ σφοδροτέρα πολλῷ, πολλαχόθεν ἔχω παραστῆσαι, καὶ ἐξ αὐτῶν συλλογίσασθαι τῶν περὶ γεέννης ῥημάτων. πλὴν ἀλλ' οὐδὲν περὶ τούτων καινὸν λέγω νῦν. ἀρκεῖ γὰρ ὁ καὶ ἀπὸ ψιλῶν ῥημάτων φόβος, κἂν μὴ τὸν νοῦν αὐτῶν ἀναπτύξωμεν. ὅτι δὲ οὐκ ἔστι πρόσκαιρος, ἀκούουσι τοῦ Παύλου λέγοντος νῦν περὶ τῶν μὴ εἰδότων τὸν Θεόν, μηδὲ πιστευόντων ἐν τῷ εὐαγγελίῳ, ὅτι δίκην τίσουσιν, ὄλεθρον αἰώνιον. τὸ αἰώνιον οὖν πῶς πρόσκαιρον; ἀπὸ προσώπου, φησί, τοῦ Κυρίου. τί ἐστι τοῦτο; τὸ εὔκολον ἐνταῦθα βούλεται εἰπεῖν. ἐπεὶ γὰρ μέγα ἐφύσων τότε πλουτοῦντες, οὐ δεῖ, φησί, πολλῆς ἐργασίας· ἀλλ' ἀρκεῖ παραγενέσθαι μόνον καὶ ὀφθῆναι τὸν Θεόν, καὶ πάντες ἐν κολάσει καὶ τιμωρίᾳ γίνονται. ἡ παρουσία αὐτοῦ, τοῖς μὲν φῶς ἔσται, τοῖς δὲ τιμωρία. καὶ ἀπὸ τῆς δόξης, φησί, τῆς ἰσχύος αὐτοῦ, ὅταν ἔλθῃ ἐνδοξασθῆναι ἐν τοῖς ἁγίοις αὐτοῦ, καὶ θαυμασθῆναι ἐν πᾶσι τοῖς πιστεύουσι. τί λέγεις; Θεὸς ἐνδοξάζεται; ναί, ἐν πᾶσι, φησί, τοῖς ἁγίοις αὐτοῦ. πῶς; ὅταν γὰρ ἴδωσιν οἱ μέγα φυσῶντες τοὺς μαστιζομένους ὑπ' αὐτῶν, τοὺς καταφρονουμένους, τοὺς καταγελωμένους, τούτους ἐγγὺς ὄντας αὐτοῦ, δόξα αὐτοῦ γίνεται, μᾶλλον δὲ τοῦτο δόξα ἐστὶ καὶ αὐτῶν, καὶ αὐτοῦ· αὐτοῦ μέν, ὅτι αὐτοὺς οὐκ ἐγκατέλιπεν, ἀλλὰ λαμπροὺς ἀπέδειξεν· αὐτῶν δέ, ὅτι τοσαύτης κατηξιώθησαν τιμῆς. χ. λαμπροτέρους ὥσπερ γὰρ πλοῦτος αὐτοῦ ἐστι, τὸ εἶναι πιστούς, οὕτω καὶ δόξα αὐτοῦ ἐστι, τὸ εἶναι τοὺς μέλλοντας ἀπολαύειν αὐτοῦ τῶν ἀγαθῶν. δόξα ἐστὶ τοῦ ἀγαθοῦ, τὸ ἔχειν οἷς τῆς εὐεργεσίας μεταδῷ. χ. τοῖς καὶ θαυμασθῆναι, φησίν, ἐν πᾶσι τοῖς πιστεύουσι· τουτέστι, διὰ τῶν πιστευσάντων. ἰδοὺ πάλιν τὸ, ἐν, διά ἐστι. δι' ἐκείνων γὰρ θαυμαστὸς ἀποδείκνυται. χ. ἐπιδείκνυται. ὅταν γὰρ τοὺς οἰκτροὺς καὶ ταλαιπώρους καὶ μυρία παθόντας δεινά, καὶ πιστεύσαντας, εἰς τοσαύτην ἄγῃ λαμπρότητα, δείκνυται αὐτοῦ ἡ ἰσχὺς τότε, ὅτι, εἰ καὶ ἐνταῦθα ἐδόκουν ἐγκαταλελεῖφθαι, ἀλλ' ὅμως ἐκεῖ πολλῆς ἀπολαύουσι δόξης, τότε μάλιστα πᾶσα ἡ δόξα τοῦ Θεοῦ δείκνυται, καὶ ἡ ἰσχύς. καὶ πῶς, ἄκουε. ἐπάγει γάρ (Ὅτι ἐπιστεύθη τὸ μαρτύριον ἡμῶν ἐφ' ὑμᾶς) ἐν τῇ ἡμέρᾳ ἐκείνῃ,

11 Εἰς ὃ καὶ προσευχόμεθα πάντοτε περὶ ὑμῶν. Τουτέστιν, ὅταν παράγωνται εἰς μέσον οἱ μυρία παθόντες δεινά, ὥστε ἐκστῆναι τῆς πίστεως, καὶ μὴ ἐνδόντες, ἀλλὰ πιστοὶ μείναντες, δοξάζεται ὁ Θεός· τότε δείκνυται καὶ τούτων ἡ δόξα. ἐπεὶ τοίνυν πολλοὶ τὴν πίστιν ὑποκρίνονται,

ἂν ἴδοις, καὶ τὴν εἰκόνα τὴν βασιλικὴν ἐγχαράττοις. ἀποφράττωμεν τοίνυν ἡμῶν τὰς ἀκοὰς πρὸς τὰς ὁμιλίας τὰς εἰκῆ. οὐκ ἔστι μικρὸν τὸ κακόν. ἀπὸ τούτου γὰρ πάντα τὰ κακά. εἰ μεμαθήκει ἡμῶν ἡ διάνοια προσέχειν θείοις λόγοις, οὐκ ἂν προσεῖχεν ἑτέροις· οὐ προσέχουσα δὲ ἑτέροις, οὐκ ἂν οὐδὲ τὰ πράγματα μετῆλθε τὰ πονηρά. ὁδὸς γάρ ἐπὶ τὰ ἔργα λόγος ἐστί. πρῶτον ἐννοοῦμεν, εἶτα φθεγγόμεθα, εἶτα πράττομεν. πολλοὶ πολλάκις καὶ σωφρονοῦντες, ἀπὸ ῥημάτων αἰσχρῶν ἐπὶ πράξεις ἦλθον αἰσχράς. οὐ γάρ ἐστιν ἡ ψυχὴ οὔτε ἀγαθὴ φύσει, οὔτε κακή, ἀλλὰ προαιρέσει καὶ τοῦτο, κἀκεῖνο γίνεται. ὥσπερ οὖν τὸ ἱστίον, ὅπου περ ἂν πνεύσῃ ὁ ἄνεμος, μεταφέρει τὸ πλοῖον· μᾶλλον δὲ ὥσπερ ὁ οἴαξ μεταφέρει τὸ πλοῖον, ἂν δὲ οὔριος ὁ ἄνεμος ᾖ· οὕτω καὶ ὁ λογισμός, ἂν δὲ οὔριοι τὰ ῥήματα φέρηται τὰ καλά, πλεύσεται ἀκινδύνως· ἂν δὲ ἐναντία, πολλάκις καὶ καταδύσει τὸν λογισμόν. ὅπερ γάρ ἐστι τοῖς πλοίοις τὰ πνεύματα, τοῦτο ταῖς ψυχαῖς οἱ λόγοι. ὅπου περ ἂν θέλῃς, μετάγεις αὐτὴν καὶ μετατρέπεις. διὰ τοῦτο παραινῶν τίς φησι· Πᾶσα διήγησίς σου ἔστω ἐν νόμῳ ὑψίστου. [Σειρ. ϛ. κ.] διό, παρακαλῶ, ἀπὸ τῆς τίτθης τὰ παιδία λαμβάνοντες, μὴ μύθοις γραϊκοῖς αὐτὰ ἐκτρέφωμεν, ἀλλ' ἐκ πρώτης ἡλικίας μανθανέτω, ὅτι κρίσις ἐστίν· ὅτι κόλασις, ἐμπηγνύσθω αὐτῶν τῇ διανοίᾳ. οὗτος ὁ φόβος συῤῥιζωθεὶς, μεγάλα ἐργάζεται ἀγαθά. ψυχὴ γὰρ μαθοῦσα ἐκ πρώτης ἡλικίας τῇ προσδοκίᾳ ταύτῃ κατασείεσθαι, οὐ ταχέως ἀποσείσεται τοῦτον τὸν δέος· ἀλλ' ὥσπερ τις ἵππος εὐήνιος, ἐπικαθήμενον ἔχουσα τὸν τῆς γεέννης λογισμὸν εὔτακτα βαδίζουσα, καὶ φθέγξεται, καὶ ἐρεῖ χρήσιμα· καὶ οὔτε νεότης, οὔτε πλοῦτος, οὔτε ὀρφανία, οὔτε ἄλλο οὐδὲν αὐτὴν βλάψαι δυνήσεται, οὕτω στεῤῥὸν ἔχουσα τὸν λογισμὸν, καὶ [ἴσ' ἔχουσα] πρὸς πάντα ἀντέχειν δυνάμενον. τούτοις τοῖς λόγοις καὶ ἡμᾶς αὐτοὺς ῥυθμίζωμεν, καὶ γυναῖκας, καὶ δούλους, καὶ τέκνα, καὶ φίλους· εἰ δυνατόν, καὶ ἐχθρούς. δυνάμεθα γὰρ μετὰ τούτων τῶν λόγων τὰ πολλὰ τῶν ἁμαρτημάτων ὑποτεμέσθαι, καὶ βέλτιον ἐν λυπηροῖς ἐνδιατρίβειν, ἢ χρηστοῖς. καὶ δῆλον ἐκεῖθεν. εἰπὲ γάρ μοι· ἂν ἔλθῃς εἰς οἰκίαν, ἔνθα γάμοι ἐπιτελοῦνται, πρὸς μὲν ὥραν ἥσθης τῇ θέᾳ· ὕστερον δὲ ἀπελθὼν τήκεις σαυτὸν τῇ λύπῃ, ὅτι οὐκ ἔχεις τοσαῦτα. ἂν δὲ εἰς οἰκίαν πενθούντων εἰσέλθοις, [χ. εἰσέλθῃς] κἂν σφόδρα πλουτοῦντες ὦσιν, ἀπελθὼν διαναπαύσῃ μᾶλλον. οὐ γὰρ δὴ φθόνον ἐδέξω ἐκεῖθεν, ἀλλὰ παράκλησιν, καὶ παραμυθίαν ἐπὶ τῇ σῇ πενίᾳ. εἶδες διὰ τῶν πραγμάτων, ὡς οὐδὲν ὁ πλοῦτος ἀγαθόν, οὐδὲ ἡ πενία κακόν, ἀλλ' ἀδιάφορά ἐστι πράγματα; οὕτω καὶ νῦν ἂν περὶ τρυφῆς διαλέγῃ, μᾶλλον κολάζεις τὴν ψυχὴν οὐκ ἔχουσαν ἴσως τρυφᾶν· ὅταν δὲ κατὰ τρυφῆς, καὶ τοὺς τῆς γεέννης ἐμβάλῃς ἐν μέσῳ λόγους, εὐφραίνει σε τὸ πρᾶγμα, καὶ πολλὴν τέξεται τὴν ἡδονήν. ὅταν γὰρ ἐννοήσῃς, ὅτι ἡ τρυφὴ οὐδὲν ἡμῖν πρὸς τὸ πῦρ ἐκεῖνο δυνήσεται ἀμῦναι, οὐκ ἐπιζητήσεις αὐτήν. ἂν δὲ λογίσῃ, ὅτι καὶ μᾶλλον αὐτὸ ἀνάπτειν εἴωθεν, οὐ μόνον οὐκ ἐπιζητήσεις, ἀλλὰ καὶ ἀποστραφήσῃ καὶ ἀποκρούσῃ. μὴ δὴ φεύγωμεν τοὺς περὶ γεέννης λόγους, ἵνα φύγωμεν τὴν γέενναν. μὴ φεύγωμεν τὴν τῆς κολάσεως μνήμην, ἵνα μὴ κολασθῶμεν. εἰ ὁ πλούσιος ἐκεῖνος τὸ πῦρ ἐνενόει ἐκεῖνο, οὐκ ἂν ἥμαρτεν· ἐπειδὴ δὲ οὐδέποτε αὐτοῦ ἐμνήσθη, διὰ τοῦτο αὐτῷ περιέπεσεν. εἰπέ μοι, ἄνθρωπε, μέλλων παρίστασθαι τῷ βήματι τοῦ Χριστοῦ πάντα μᾶλλον φθέγγῃ, ἢ περὶ τούτου; καὶ πρᾶγμα μὲν ἔχων πρὸς δικαστήν, μέχρι ῥημάτων πολλάκις, οὐ νύκτα, οὐχ ἡμέραν, οὐ καιρόν, οὐχ ὥραν ἄλλο τι φθέγγῃ, ἀλλὰ διαπαντὸς περὶ ἐκείνου τοῦ πράγματος· μέλλων δὲ ὑπὲρ πάσης τῆς ζωῆς σου λόγον διδόναι, καὶ εὐθύνας ὑπέχειν, οὐδὲ ἄλλων σου διαμιμνησκόντων ὑπὲρ τῆς δίκης ἀνέχῃ; τοιγαροῦν διὰ τοῦτο πάντα ἀπόλωλε καὶ διέφθαρται, ὅτι βήματι μὲν ἀνθρωπίνῳ παραστήσεσθαι μέλλοντες περὶ πραγμάτων βιωτικῶν, πάντα κινοῦμεν, πάντας [χ. πάντα] ἀξιοῦμεν, διηνεκῶς περὶ τούτου μεριμνῶμεν· πάντα ὑπὲρ τούτου πράττομεν· εἰς δὲ τὸ βῆμα τοῦ Χριστοῦ μέλλοντες ἥκειν μετ' οὐ πολύ, οὐδὲν οὔτε δι' ἑαυτῶν, οὔτε δι' ἄλλων πράττομεν, οὐκ ἀξιοῦμεν τὸν δικαστήν. καί-

ἡ μὲν γὰρ τῶν ἡδέων διάλεξις οὐδὲν τὴν ψυχὴν ὠφελεῖ, ἀλλ' ἀτονωτέραν ἐργάζεται· ἡ δὲ τῶν λυπηρῶν καὶ σκυθρωπῶν πᾶν αὐτῆς περικόπτει τὸ διακεχυμένον καὶ διαρρέον, καὶ ἐπιστρέφει καὶ συστέλλει διαλελυμένην αὐτήν. ὁ περὶ θεάτρων καὶ μίμων διαλεγόμενος, οὐδὲν αὐτὴν ὤνησεν, ἀλλὰ καὶ μᾶλλον ἐξέκαυσε, καὶ περιπετεστέραν εἰργάσατο. ὁ τὰ ἀλλότρια μεριμνῶν καὶ πολυπραγμονῶν, πολλάκις αὐτῇ καὶ κινδύνους ἐκ τῆς περιεργίας ταύτης προσετρίψατο· ὁ μέντοι περὶ γεέννης διαλεγόμενος οὔτε κίνδυνον ἔχει τινά, καὶ σωφρονεστέραν ἐργάζεται. ἀλλὰ δέδοικας τὸ φορτικὸν τῶν ῥημάτων; μὴ γάρ, ἂν σιγήσῃς, τὴν γέενναν ἔσβεσας; μὴ γάρ, ἂν εἴπῃς, ἀνῆψας; οὔτε εἴπῃς, οὔτε μὴ εἴπῃς, ἀναβράσσεται τὸ πῦρ. λεγέσθω συνεχῶς περὶ αὐτῆς, ἵνα μηδέποτε ἐμπέσῃς εἰς αὐτήν. οὐκ ἔστι ψυχὴν μεριμνῶσαν περὶ γεέννης ἁμαρτεῖν ταχέως. ἄκουε γὰρ τῆς ἀρίστης παραινέσεως· Μιμνήσκου, φησί, τὰ ἔσχατά σου, καὶ εἰς τὸν αἰῶνα οὐ μὴ ἁμάρτῃς. οὐκ ἔστι ψυχὴν δεδοικυῖαν ὑπὲρ εὐθυνῶν μὴ ὀκνηρὰν εἶναι περὶ τὰ πλημμελήματα. φόβος γὰρ ἐνακμάζων διανοίᾳ οὐδὲν ἀφίησι κοσμικὸν εἶναι ἐν αὐτῇ. εἰ γὰρ λόγος περὶ αὐτῆς κινούμενος οὕτω ταπεινοῖ καὶ συστέλλει, λογισμὸς διαπαντὸς ἐνοικῶν ταῖς ψυχαῖς οὐχὶ παντὸς πυρὸς μᾶλλον ἐκκαθαίρει ψυχήν; βασιλείας μὴ οὕτω μνημονεύωμεν, ὡς γεέννης. μᾶλλον γὰρ ὁ φόβος ἰσχύει τῆς ἐπαγγελίας· καὶ οἶδα ὅτι πολλοὶ κατεφρόνησαν ἂν μυρίων ἀγαθῶν, εἰ τῆς κολάσεως ἦσαν ἀπηλλαγμένοι· ὅπου γε καὶ νῦν ἐμοὶ ἀρκεῖ τὸ μὴ τιμωρηθῆναι, τὸ μὴ κολασθῆναι. οὐδεὶς τὴν γέενναν ἔχων πρὸ ὀφθαλμῶν, εἰς γέενναν ἐμπεσεῖται· οὐδεὶς τῶν καταφρονούντων γεέννης ἐκφεύξεται γέενναν. καθάπερ γὰρ παρ' ἡμῖν οἱ μὲν δεδοικότες τὰ δικαστήρια, οὐχ ἁλώσονται δικαστηρίοις· οἱ δὲ καταφρονοῦντες, ἐκεῖνοι μάλιστά εἰσιν οἱ περιπίπτοντες, οὕτω κἀκεῖ. εἰ μὴ ἔδεισαν τὴν καταστροφὴν οἱ Νινευῖται, κατεστράφησαν ἄν· ἐπειδὴ δὲ ἔδεισαν, οὐ κατεστράφησαν. εἰ ἔδεισαν ἐπὶ τοῦ Νῶε τὸν κατακλυσμόν, οὐκ ἂν κατεκλύσθησαν. καὶ οἱ Σοδομῖται εἰ ἔδεισαν, οὐκ ἂν κατεκαύθησαν. μέγα κακὸν τὸ καταφρονεῖν ἀπειλῆς. ὁ καταφρονῶν ἀπειλῆς, ταχέως τῆς διὰ τῶν πραγμάτων αἰσθήσεται πείρας. οὐδὲν οὕτω χρήσιμον, ὡς τὸ περὶ γεέννης διαλέγεσθαι. ἀργύρου παντὸς καθαρωτέρας ἡμῖν ἐργάζεται τὰς ψυχάς. ἄκουε γὰρ τοῦ προφήτου λέγοντος, Ὅτι τὰ κρίματά σου ἐνώπιόν μού ἐστι διαπαντός· καὶ ὁ Χριστὸς δὲ συνεχῶς περὶ αὐτῆς διαλέγεται. εἰ γὰρ καὶ λυπεῖ τὸν ἀκροατήν, ἀλλ' ὠφελεῖ τὰ μέγιστα. τοιαῦτα γὰρ τὰ ὠφελοῦντα πάντα. καὶ μὴ θαυμάσῃς. καὶ γὰρ φάρμακα καὶ σιτία πρότερον λυποῦντα τὴν αἴσθησιν, τότε τὴν ὠφέλειαν ἐπάγει. εἰ δὲ ῥημάτων οὐκ ἀνεχόμεθα βαρύτητος, εὔδηλον, ὅτι τῆς διὰ τῶν πραγμάτων θλίψεως οὐκ ἀνεξόμεθα. εἰ τῶν περὶ γεέννης οὐδεὶς ἀνέχεται λόγων, εὔδηλον ὅτι, εἰ διωγμὸς κατέλαβε, πρὸς πῦρ, πρὸς σίδηρον οὐδεὶς ἂν ἔστη ποτέ. γυμνάσωμεν τὴν ἀκοὴν ἡμῶν μὴ μαλακίζεσθαι. ἀπὸ τούτου γὰρ καὶ ἐπὶ τὰ πράγματα ἥξομεν. ἂν ἐθισθῶμεν ἀκούειν φοβερά, ἐθισθησόμεθα καὶ ὑπομένειν φοβερά. ἂν δὲ οὕτως ὦμεν διαλελυμένοι, ὡς μηδὲ ῥήματα φέρειν, πότε πρὸς τὰ πράγματα στησόμεθα; ὁρᾷς πῶς καταφρονεῖ τῶν ἐνταῦθα πάντων, καὶ τῶν ἐπαλλήλων κινδύνων ὁ μακάριος Παῦλος; διὰ τί; ὅτι μεμελετήκει καὶ γεέννης καταφρονεῖν ὑπὲρ τῶν τῷ Θεῷ δοκούντων. ἐκεῖνος οὐδὲ τὴν πεῖραν τῆς γεέννης ἡγεῖτό τι εἶναι διὰ τὸν τοῦ Χριστοῦ πόθον, ἡμεῖς ὑπὲρ τῶν ἡμῖν συμφερόντων οὐδὲ τῶν περὶ αὐτῆς λόγων ἀνεχόμεθα. νῦν μὲν οὖν ὀλίγα ἀκούσαντες ἀπέρχεσθε. δέομαι δὲ ὑμῶν, εἴ τίς ἐστιν ἐν ὑμῖν ἀγάπη, διαπαντὸς τοὺς περὶ τούτων στρέφετε λόγους. οὐδὲν βλάψαι δυνήσονται, κἂν μὴ ὠφελήσωσι· πάντως δὲ καὶ ὠφελήσουσι. πρὸς γὰρ τὰς διαλέξεις καὶ ἡ ψυχὴ ποιοῦται. Φθείρουσι, φησίν, ἤθη χρηστὰ ὁμιλίαι κακαί· οὐκοῦν ὠφελοῦσιν ὁμιλίαι ἀγαθαί· οὐκοῦν καὶ σωφρονίζουσιν ὁμιλίαι φοβεραί. ὥσπερ γὰρ κηρός τίς ἐστιν ἡ ψυχή. ἂν μὲν γὰρ ψυχρὰς ἐπαγάγῃς ὁμιλίας, ἐπώρωσας αὐτὴν καὶ ἐσκλήρωσας· ἂν δὲ πεπυρωμένας, ἐμάλαξας· μαλάξας δέ, τυποῖς πρὸς ὅπερ

ἂν

χ. ἀλλὰ καὶ χαυνοτέραν αὐτὴν ἀπεργάζεται·

Σηρ. κη. ς.

ἴσ. οἱ ἐπὶ τοῦ Νῶε

Ψαλ. ιζ. κβ.

Digitized by Google

τὸ εἰπεῖν τοῦτο, ὡς ἐπὶ ὡμολογημένων, ὡς εἴ τις ἔλεγεν· εἰ μισεῖ τοὺς πονηροὺς ὁ Θεός· διὰ τοῦτο λέγων οὕτως, ἵνα ἐκείνους ἀναγκάσῃ εἰπεῖν, ὅτι μισεῖ. μάλιστα γὰρ αἱ τοιαῦται ψῆφοι ἀναμφίλεκτοί εἰσιν, ὡς καὶ αὐτῶν ἐκείνων εἰδότων, ὅτι δίκαιόν ἐστιν. εἰ γὰρ παρὰ ἀνθρώποις τοῦτο δίκαιον, πολλῷ μᾶλλον παρὰ τῷ Θεῷ. ἀνταποδοῦναι, φησὶ, τοῖς θλίβουσιν ὑμᾶς θλίψιν, καὶ ὑμῖν τοῖς θλιβομένοις μεθ' ἡμῶν ἄνεσιν. τί οὖν; ἴση ἡ ἀνταπόδοσις; οὐδαμῶς. ἀλλ' ὅρα διὰ τῶν ἑξῆς πῶς δείκνυσι σφοδροτέραν οὖσαν, καὶ τὴν ἄνεσιν πολλῷ μείζονα. ἰδοὺ καὶ ἑτέρα παράκλησις. κοινωνοὺς γὰρ τῶν θλίψεων, καὶ ἐν τῇ ἀνταποδόσει κοινωνοὺς ἔχειν φησί. τοῦτο γάρ ἐστι τὸ, μεθ' ἡμῶν, συναπτῶν αὐτοὺς ἐν τοῖς τροπαίοις, τοῖς τὰ μυρία κατωρθωκόσι καὶ μείζονα. εἶτα καὶ τὸν χρόνον προστίθησι, καὶ διὰ τῆς ὑπογραφῆς ἐπομάγει τὴν διάνοιαν αὐτῶν, μονονουχὶ ἀνοίγων τῷ ῥήματι τοὺς οὐρανοὺς ἤδη, καὶ τοῖς ὀφθαλμοῖς αὐτῶν παριστάς. καὶ περιτίθησιν αὐτῷ τὴν στρατιὰν τῶν ἀγγελικῶν, καὶ ἀπὸ τοῦ τόπου, καὶ ἀπὸ τῶν μετ' αὐτοῦ πλατυτέραν τὴν εἰκόνα ποιῶν, ὥστε αὐτοὺς ἀναπνεῦσαι μακρόν. καὶ ὑμῖν τοῖς θλιβομένοις ἄνεσιν μεθ' ἡμῶν, φησὶν, ἐν τῇ ἀποκαλύψει τοῦ Κυρίου Ἰησοῦ ἀπ' οὐρανοῦ μετ' ἀγγέλων δυνάμεως αὐτοῦ,

8 Ἐν πυρὶ φλογὸς, διδόντος ἐκδίκησιν τοῖς μὴ εἰδόσι Θεὸν, καὶ τοῖς μὴ ὑπακούουσι τῷ εὐαγγελίῳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Εἰ γὰρ τῷ εὐαγγελίῳ μὴ ὑπακούοντες διδόασι τιμωρίαν, οἱ καὶ μετὰ τοῦ μὴ ὑπακοῦσαι θλίβοντες ὑμᾶς, τί οὐ πείσονται; (χ. τὶ ἴσα) θέα δέ μοι σύνεσιν. οὐκ εἶπεν ἐνταῦθα, τοῖς θλίβουσιν ὑμᾶς, ἀλλὰ, τοῖς μὴ ὑπακούουσιν. ὥστε εἰ καὶ μὴ δι' ὑμᾶς, δι' ἑαυτοὺς ἀνάγκη, φησὶ, τιμωρηθῆναι αὐτούς. τοῦτο μὲν οὖν ὑπὲρ πληροφορίας εἴρηται, ὅτι πάντως αὐτοὺς κολασθῆναι δεῖ· τὸ δὲ πρότερον ὑπὲρ τοῦ καὶ αὐτοὺς τιμωρηθῆναι. τὸ μὲν οὖν πιστεῦσαι, ἡ ὑπὲρ τῆς τιμωρίας πληροφορία ποιεῖ· τὸ δὲ ἡσθῆναι, ὅτι ὑπὲρ τῶν εἰς αὐτοὺς γεγενημένων ταῦτα πάσχουσι.

ΗΘΙΚΟΝ

Ταῦτα εἴρηται μὲν πρὸς ἐκείνους, ἁρμόζει δὲ καὶ ἡμῖν. ὅταν οὖν ἐν θλίψεσιν ὦμεν, ταῦτα λογιζώμεθα. μὴ τῇ ἑτέρων τιμωρίᾳ χαίρωμεν ὡς ἐκδικούμενοι, ἀλλ' ὡς αὐτοὶ τοιαύτης ἀπαλλαττόμενοι κολάσεως καὶ τιμωρίας. τί γὰρ ἡμῖν ὄφελος, ὅταν ἕτεροι κολασθῶσι; μὴ ἔχωμεν, παρακαλῶ, τοιαύτας ψυχάς, ἀπὸ τῆς βασιλείας προτρεπώμεθα πρὸς ἀρετήν· ὁ μὲν γὰρ σφόδρα ἐνάρετος οὔτε ἀπὸ φόβου, οὔτε ἀπὸ βασιλείας ἐνάγεται. ἀλλὰ δι' αὐτὸν τὸν Χριστὸν καθάπερ Παῦλος ἐποίει. πλὴν ἡμεῖς ἐννοῶμεν τὰ ἐν τῇ βασιλείᾳ ἀγαθὰ, τὰ ἐν τῇ γεέννῃ κακὰ, καὶ κἂν οὕτως ἑαυτοὺς ῥυθμίζωμεν καὶ παιδαγωγῶμεν, οὕτως ἑαυτοὺς ἐνάγωμεν πρὸς τὰ πρακτέα. ὅταν ἴδῃς τι χρηστὸν καὶ μέγα ἐν τῷ παρόντι βίῳ, ἐννόησον τὴν βασιλείαν, καὶ οὐδὲν αὐτὸ νομίσεις· ὅταν φοβερὸν, ἐννόησον τὴν γέενναν, καὶ καταγελάσεις· ὅταν ὑπὸ ἐπιθυμίας κατέχῃ σωματικῆς, λογίζου τὸ πῦρ, λογίζου καὶ αὐτῆς τῆς ἁμαρτίας τὴν ἡδονὴν, ὅτι οὐδενός ἐστιν ἀξία, ὅτι οὐδὲ ἔχει ἡδονήν. εἰ γὰρ ὁ τῶν ἐνταῦθα κειμένων νόμων φόβος τοσαύτην ἔχει τὴν ἰσχὺν, (χ. ὅπ) ὥστε καὶ ἀπάγειν ἡμᾶς τῶν πονηρῶν πράξεων, πολλῷ μᾶλλον ἡ μνήμη τῶν μελλόντων, ἡ τιμωρία ἡ ἀθάνατος, ἡ κόλασις ἡ ἀΐδιος. εἰ ὁ τοῦ βασιλέως φόβος τοῦ ἐπὶ γῆς τοσούτων ἡμᾶς ἀπάγει κακῶν, πόσῳ μᾶλλον ὁ τοῦ αἰωνίου βασιλέως; πόθεν οὖν δυνάμεθα τὸν φόβον ἔχειν διηνεκῶς; ἂν συνεχῶς τῶν γραφῶν ἐπακούωμεν. εἰ γὰρ νεκρὸς ὁρώμενος μόνον οὕτως ἡμῶν συστέλλει τὴν διάνοιαν, πόσῳ μᾶλλον ἡ γέεννα καὶ τὸ πῦρ τὸ ἄσβεστον; πόσῳ μᾶλλον ὁ σκώληξ ὁ ἀτελεύτητος; ἂν τὴν γέενναν ἀεὶ λογιζώμεθα, οὐ ταχέως εἰς αὐτὴν ἐμπεσούμεθα. διὰ τοῦτο ἠπείλησε κόλασιν ὁ Θεός. ὡς εἰ μὴ εἶχέ τι μέγα κέρδος τὸ λογίζεσθαι, οὐκ ἂν αὐτὴν ἠπείλησεν ἤδη ὁ Θεός· ἀλλ' ἐπειδὴ ἰσχύει ἡ μνήμη αὐτῆς μεγάλα κατορθῶσαι, διὰ τοῦτο, καθάπερ τι φάρμακον σωτήριον, τὴν ἀπειλὴν αὐτῆς ἐγκατέθετο ἡμῶν ταῖς ψυχαῖς. μὴ δὴ περιορῶμεν τὸ τοσοῦτον κέρδος τὸ ἐντεῦθεν τικτόμενον, ἀλλὰ ταύτην συνεχῶς στρέφωμεν, ἐν ἀρίστοις, ἐν δείπνοις.

ἢ μὲν

λέγοντος, μὴ ἀπιστῇς τοῖς λεγομένοις, μὴ καταγέλα τῆς, ποίας ταῦτα φιλίας τεκμήριον; καὶ πλεονάζει, φησὶν, ἡ ἀγάπη ἑνὸς ἑκάστου πάντων ὑμῶν εἰς ἀλλήλους.

4 Ὥστε ἡμᾶς αὐτοὺς ἐν ὑμῖν καυχᾶσθαι ἐν ταῖς ἐκκλησίαις τοῦ Θεοῦ.

α. Θεσ. α. 8. Ἐν γοῦν τῇ προτέρᾳ ἐπιστολῇ τὰς ἐκκλησίας φησὶ ἁπάσας τῆς Μακεδονίας καὶ τῆς Ἀχαΐας ἐξηχῆσθαι μαθούσας τὰ κατὰ τὴν πίστιν αὐτῶν. ὥστε φησὶ μὴ χρείαν ἔχειν ἡμᾶς λαλεῖν τι. αὐτοὶ γὰρ περὶ ἡμῶν ἀπαγγέλλουσιν ὁποίαν εἴσοδον ἔσχομεν πρὸς ὑμᾶς. ἐνταῦθα δέ φησιν, ὥστε ἡμᾶς καυχᾶσθαι. τί δήποτ' οὖν ἐστι τὸ εἰρημένον; ἐκεῖ φησιν, ὅτι οὐ δέονται διδασκαλίας τῆς παρ' ἡμῶν· ἐνταῦθα δὲ οὐκ εἶπεν, ὅτι διδάσκομεν αὐτοὺς, ἀλλὰ, καυχώμεθα, καὶ σεμνυνόμεθα. εἰ τοίνυν ἡμεῖς ἐφ' ὑμῖν καὶ εὐχαριστοῦμεν τῷ Θεῷ, καὶ καυχώμεθα παρὰ ἀνθρώποις, πολλῷ μᾶλλον ὑμᾶς ἐπὶ τοῖς ἡμετέροις χρὴ καλοῖς τοῦτο ποιεῖν. εἰ γὰρ ἑτέροις καύχημά ἐστιν ἄξια τὰ κατορθώματα ὑμῶν, πῶς ἡμῖν ἀρκούντως; οὐκ ἔστιν εἰπεῖν. ὥστε ἡμᾶς αὐτοὺς, φησιν, ἐν ὑμῖν καυχᾶσθαι ἐν ταῖς ἐκκλησίαις τοῦ Θεοῦ

Ὑπὲρ τῆς ὑπομονῆς ὑμῶν καὶ πίστεως. Ἐνταῦθα δείκνυσι καὶ πολὺν παρελθόντα χρόνον. ἡ γὰρ ὑπομονὴ ἀπὸ χρόνου φαίνεται πολλοῦ, οὐκ ἐν δύο καὶ τρισὶν ἡμέραις. οὐχ ἁπλῶς δέ φησιν ὑπομονήν. μάλιστα μὲν οὖν καὶ τὸ τῶν ἐπηγγελμένων ἀγαθῶν μὴ ἤδη ἀπολαύειν, ὑπομονῆς ἐστι· νῦν δὲ καὶ μείζονα λέγει ὑπομονήν. ποίαν δὴ ταύτην; τὴν διὰ τῶν διωγμῶν. ὅτι δὲ ταύτην αἰνίττεται, δῆλον ἐξ ὧν ἐπάγει λέγει· Ἐν πᾶσι τοῖς διωγμοῖς ὑμῶν, καὶ ταῖς θλίψεσιν, αἷς ἀνέχεσθε. Πολεμίοις γὰρ συνέζων διηνεκῶς πάντοθεν βλάπτειν ἐπιχειροῦσι, καὶ στερρὰν τὴν ἀκίνητον τὴν ὑπομονὴν ἐπεδείκνυντο. αἰσχυνέσθωσαν ὅσοι διὰ προστασίαν ἀνθρώπων εἰς δόγματα μετέστησαν. ἔτι γὰρ ἀρχομένου οὔσης τοῦ κηρύγματος, ἄνθρωποι πάντες καὶ ἀπὸ τῆς καθημερινῆς ζῶντες ἐργασίας πρὸς ἄνδρας πολιτευομένους καὶ πρώτους τῆς πόλεως ἔχθρας ἀνεδέχοντο, οὔτε βασιλέως, οὔτε ἄρχοντος ὄντος που πιστοῦ, καὶ πόλεμον ἀκήρυκτον ὑφίσταντο, καὶ οὐδὲ οὕτως ἐξέστησαν.

5 Ἔνδειγμα τῆς δικαίας κρίσεως τοῦ Θεοῦ. Ὅρα πῶς αὐτοῖς συνάγει τὴν παραμυθίαν. εἶπεν ὅτι εὐχαριστοῦμεν τῷ Θεῷ, εἶπεν ὅτι καυχώμεθα παρὰ ἀνθρώποις. καλὰ μὲν οὖν καὶ ταῦτα· ἀλλ' ὃ μάλιστα ζητεῖ ὁ ὀδυνώμενος, τοῦτό ἐστιν, ἀπαλλαγὴν τῶν κακῶν, καὶ τιμωρίαν τῶν κακῶς αὐτοὺς διαθέντων. ὅταν γὰρ ἀσθενὴς ᾖ ἡ ψυχὴ, ταῦτα μάλιστα ἐπιζητεῖ. ὁ γὰρ φιλόσοφος, οὐδὲ τοῦτο. τί οὖν ἐστιν ὅ φησιν, ἔνδειγμα τῆς δικαίας κρίσεως τοῦ Θεοῦ; ἤδη τὴν ἀνταπόδοσιν ᾐνίξατο ἑκατέρων, καὶ τὴν τῶν ποιούντων κακῶς, καὶ τὴν τῶν πασχόντων· ὡς ἂν εἰ ἔλεγεν ἵν', ὅταν ὑμᾶς μὲν στεφανοῖ, ἐκείνους δὲ κολάζῃ, δεικνύηται τὸ δίκαιον τοῦ Θεοῦ. ἅμα αὐτοὺς καὶ παραμυθεῖται, δεικνὺς ὅτι ἀπὸ τῶν οἰκείων πόνων καὶ τῶν ἱδρώτων καὶ κατὰ τὸν τῆς δικαιοσύνης λόγον στεφανοῦνται. ἀλλὰ προτέραν τίθησι τὸ αὐτῶν. οὐ γὰρ καὶ σφόδρα ἐπιθυμεῖ τις τὴν ἐκδικίαν, ἀλλὰ προτέρων τῶν ἐπάθλων ὀρέγεται. διὰ τοῦτο καὶ ἐπάγει λέγων· Εἰς τὸ καταξιωθῆναι ὑμᾶς τῆς βασιλείας τοῦ Θεοῦ, ὑπὲρ ἧς καὶ πάσχετε. Οὐκ ἄρα οὖν ἀπὸ τοῦ δυνατωτέρους εἶναι σὺν ἀδικοῦνται τοῦτο γίνεται, ἀλλ'

Πραξ. ιδ. κγ. ἀπὸ τοῦ δεῖν οὕτως εἰς τὴν βασιλείαν εἰσιέναι. Διὰ πολλῶν γὰρ θλίψεων, φησι, δεῖ ὑμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ.

6 Εἴπερ δίκαιον παρὰ Θεῷ ἀνταποδοῦναι τοῖς θλίβουσιν ὑμᾶς θλίψιν.

7 Καὶ ὑμῖν τοῖς θλιβομένοις ἄνεσιν μεθ' ἡμῶν, ἐν τῇ ἀποκαλύψει τοῦ Κυρίου Ἰησοῦ ἀπ' οὐρανοῦ, μετ' ἀγγέλων δυνάμεως αὐτοῦ. Τὸ, εἴπερ, ἐνταῦθα, ἀντὶ τοῦ, ἐπεὶ, κεῖται· ὅπερ ἐπὶ τῶν σφόδρα ὁμολογουμένων καὶ ἡμεῖς τίθεμεν καὶ ἀναντιρρήτων· ἀντὶ τοῦ, σφόδρα δίκαιον, εἰ δίκαιόν ἐστι, φησι, παρὰ Θεῷ τούτους ἀμύνασθαι, πάντως ἀμυνεῖται. ὡς ἂν εἰ ἔλεγεν· εἰ μέλει τῷ Θεῷ τῶν πραγμάτων, εἰ φροντίζει ὁ Θεός. οὕτω καὶ αὐτὸς τίθησι

τὸ

χ. διαπθ. [margin, beside line beginning "καὶ τιμωρίαν"]

χ. ἀλλὰ [margin, beside line beginning "ρανοῦ"]

χ. ἀμύνεται [margin, beside line beginning "καιον"]

καὶ θλίψεσιν, ἀναμιμνησκόμενοι τῆς χάριτος, ἀφ' ἧς ἐσώθησαν ἐκ τῶν μειζόνων, ἐν τοῖς ἐλάττοσι μὴ ἀπογινώσκωσιν, ἀλλ' ἐκεῖθεν ἔχωσι τὴν παραμυθίαν. καθάπερ καὶ ἀλλαχοῦ γράφων ἔλεγεν· Εἰ γὰρ ἐχθροὶ ὄντες κατηλλάγημεν τῷ Θεῷ διὰ τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ, πολλῷ μᾶλλον καταλλαγέντες σωθησόμεθα ἐν τῇ ζωῇ αὐτοῦ. Ρωμ. ε. ι. Χάρις ὑμῖν, φησί, καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

3 Εὐχαριστεῖν ὀφείλομεν τῷ Θεῷ πάντοτε περὶ ὑμῶν, ἀδελφοί, καθὼς ἄξιόν ἐστιν.

γ. Πάνυ ταπεινοφροσύνης σημεῖον πολλῆς. ἄλλως γὰρ αὐτοῖς λογίζεσθαι

Ὅρα ταπεινοφροσύνης ὑπερβολήν. Εἰπών, εὐχαριστεῖν ὀφείλομεν, δίδωσιν αὐτοῖς συλλογίζεσθαι καὶ ἐννοεῖν, ὅτι εἰ ἄλλοι ὑπὲρ τῶν ἡμετέρων κατορθωμάτων οὐχ ἡμᾶς πρῶτον θαυμάζουσιν, ἀλλὰ τὸν Θεόν, πολλῷ μᾶλλον καὶ ἡμᾶς. ἄλλως δὲ καὶ ἐπαίρει αὐτῶν τὰ φρονήματα, ὅτι τοιαῦτα πάσχουσιν, οὐ δακρύων ἄξια, οὐδὲ θρήνων, ἀλλ' εὐχαριστίας τῆς εἰς τὸν Θεόν. Εἰ δὲ Παῦλος εὐχαριστεῖ ἐπὶ τοῖς ἀλλοτρίοις ἀγαθοῖς, τί πείσονται οἱ μὴ μόνον μὴ εὐχαριστοῦντες, ἀλλὰ καὶ τηκόμενοι; Ὅτι ὑπεραυξάνει ἡ πίστις ὑμῶν, καὶ πλεονάζει ἡ ἀγάπη ἑνὸς ἑκάστου πάντων ὑμῶν εἰς ἀλλήλους. Καὶ πῶς ἔνι πίστιν αὐξῆσαι, φησί; πῶς; ὅταν ὑπὲρ αὐτῆς πάσχωμέν τι δεινόν. μέγα μὲν οὖν καὶ τὸ ἑστηκέναι, καὶ ὑπὸ τῶν λογισμῶν μὴ παραφέρεσθαι· ὅταν δὲ καὶ ἄνεμοι προσαράττωσιν, ὅταν ποταμοὶ καταρρηγνύωνται, ὅταν αἴρηται πάντοθεν χαλεπὸς ὁ χειμών, ὅταν ἐπάλληλα τὰ κύματα ᾖ, εἶτα μὴ περισαλευώμεθα, οὐδενὸς ἑτέρου τεκμήριόν ἐστιν, ἀλλ' ἢ τοῦ αὐξηθῆναι, καὶ ὑπεραυξηθῆναι, καὶ ὑψηλοτέρους γενέσθαι. καθάπερ γὰρ ἐπὶ τοῦ κατακλυσμοῦ πάντα μὲν τὰ λοιπὰ, καὶ ταπεινὰ ἀπεκρύβη ταχέως, ὅσα δὲ ἦν ὑπεράνω, οὐκ ἐφικέσθη αὐτῶν· οὕτω καὶ ἡ πίστις ὑψηλὴ γενομένη, οὐκ ἔτι καταποντίζεται. διὰ τοῦτο οὐκ εἶπεν, αὐξάνει, ἀλλ', ὑπεραυξάνει ἡ πίστις ὑμῶν, καὶ πλεονάζει ἡ ἀγάπη ἑνὸς ἑκάστου πάντων ὑμῶν εἰς ἀλλήλους. ὁρᾷς ὅτι καὶ τοῦτο πρὸς τὰς θλίψεις συμβάλλεται, τὸ συμπεφυκέναι, τὸ ἀλλήλων ἔχεσθαι; ἀπὸ τούτου καὶ παράκλησις ἐγίνετο πολλή. τὴν μὲν οὖν ἀσθενῆ καὶ ἀγάπην, καὶ πίστιν θλίψεις περισαλεύουσι· τὴν δὲ ἰσχυράν, ἰσχυροτέραν ποιοῦσιν. ἡ μὲν γὰρ ἐν ὀδύνῃ ψυχή, ὅταν ἀσθενὴς ᾖ, οὐδὲν ἂν παράσχοιτο· ἡ δὲ ἰσχυρά, καὶ τότε μάλιστα. ὅρα ἀγάπην. οὐ τὴν μὲν ἠγάπων, τὴν δὲ οὔ· ἀλλ' ἴση ἦν παρὰ πάντων. τοῦτο γὰρ ᾐνίξατο τῷ εἰπεῖν, ἑνὸς ἑκάστου πάντων ὑμῶν εἰς ἀλλήλους· ὅτι ἰσόρροπός τις ἐστιν, ὥσπερ ἑνὸς σώματος. ἐπεὶ καὶ νῦν εὑρίσκομεν ἀγάπην οὖσαν παρὰ πολλοῖς, ἀλλὰ ταύτην τὴν ἀγάπην διαστάσεως αἰτίαν γινομένην. ὅταν γὰρ κατὰ δύο καὶ τρεῖς ὦμεν συνημμένοι, καὶ οἱ μὲν δύο πρὸς ἀλλήλους σφόδρα ὦσι συνδεδεμένοι, ἢ τρεῖς, ἢ τέσσαρες, τῶν δὲ λοιπῶν ἑαυτοὺς ἀφέλκωσι, τῷ πρὸς ἐκείνους ἔχειν καταφυγὴν καὶ ἐκείνοις πάντα θαρρεῖν, τοῦτο διάστασις ἀγάπης ἐστίν, οὐκ ἀγάπη. εἰπὲ γάρ μοι· εἰ ὁ ὀφθαλμὸς τὴν πρόνοιαν, ἣν ὑπὲρ τοῦ παντὸς σώματος ἔχει, εἰς τὴν χεῖρα περιστήσειε, καὶ τῶν ἄλλων ἑαυτὸν ἀποστρέψας μελῶν, ἐκείνῃ μόνῃ προσέχοι, οὐχὶ τὸ παντὶ λυμαίνεται; εἰκότως. οὕτω καὶ ἡμεῖς ἂν τὴν ἀγάπην τὴν εἰς πᾶσαν τὴν ἐκκλησίαν τοῦ Θεοῦ ὀφείλουσαν ἐκτείνεσθαι εἰς ἕνα, καὶ δύο περιστείλωμεν, καὶ ἡμῖν αὐτοῖς κἀκείνοις καὶ τῷ παντὶ λυμαινόμεθα. ταῦτα γὰρ οὐκ ἀγάπης ἐστίν, ἀλλὰ διαστάσεως σχίσματα, καὶ ῥήγματα διεσπασμένα. ἐπεὶ καὶ ἀπὸ τοῦ παντὸς ἀνθρώπου ἀποσπάσας λάβω μέρος, εἰ μὲν οὖν τὸ σχίσμα ἑαυτῷ ἥνωται, καὶ ἔστι συνεχές, καὶ συγκεκολλημένον πλέον, καὶ οὕτω σχίσμα ἐστίν, ἐπειδὴ τῷ λοιπῷ οὐχ ἥνωται σώματι. τί γὰρ ὄφελος, ὅτι τὸν δεῖνα φιλεῖς σφοδρῶς; ἀνθρωπίνη ἐστὶν ἡ ἀγάπη. εἰ δὲ οὐκ ἔστιν ἀνθρωπίνη, ἀλλὰ διὰ τὸν Θεὸν φιλεῖς, πάντας φίλει. ὁ γὰρ Θεὸς οὕτως ἐπέταξε καὶ τοὺς ἐχθροὺς φιλεῖν. εἰ δὲ τοὺς ἐχθροὺς ἐπέταξε φιλεῖν, πόσῳ μᾶλλον τοὺς οὐδὲν λελυπηκότας; ἀλλὰ φιλῶ, φησίν, ἀλλ' οὐχ οὕτω. μᾶλλον δὲ οὐδὲ φιλεῖς. ὅταν γὰρ κατηγορῇς, ὅταν φθονῇς, ὅταν ἐπιβουλεύῃς, πῶς φιλεῖς; ἀλλ' οὐδὲν τούτων ποιῶ, φησίν. ἀλλ' ὅταν ἀκούοντος κακῶς μὴ ἐμφράττῃς τὸ στόμα τοῦ λέγοντος,

γ. ἀπεπνίγη

γ. καταποντοῦται.

γ. ἀφέλκονται,

κατηγορῇς, τοῦ

μετέχει, πόθεν συνέστηκε, καὶ ποῦ τελευτᾷ. ἐννόησον, ὅταν κατακύδῃς, τίνος ἄξιος εἶ. οὐχὶ καὶ τὸ μικρόν σε θηρίον ἀνελεῖν δύναται; πολλοὺς γὰρ πολλάκις ἀπὸ τοῦ ὀρόφου κατενεχθὲν μικρὸν ζωΐφιον ἢ τὸν ὀφθαλμὸν ἐξέβαλεν, ἢ ἕτερόν τινος κινδύνου αἴτιον γέγονε. τί δέ; οὐχὶ πάντων ἐλάττων εἶ τῶν θηρίων; ἀλλὰ τί λέγεις; ὅτι λόγῳ κρατεῖς; ἀλλ' ἰδοὺ λόγον οὐκ ἔχεις. (ἴσ. λόγον) ἀλογίας γὰρ ἡ ὑπερηφανία τεκμήριον. ἐπὶ τίνι δὲ μέγα φρονεῖς, εἰπέ μοι; ὅλως ἐπὶ δεξιᾷ σώματος; ἀλλὰ παρὰ τοῖς ἀλόγοις τὰ νικητήρια. τοῦτο καὶ παρὰ λῃσταῖς, καὶ ἀνδροφόνοις, καὶ τυμβωρύχοις. ἀλλ' ἐπὶ συνέσει; ἀλλ' οὐκ ἔστι συνέσεως, τὸ μέγα φρονεῖν. τούτῳ μὲν οὖν πρῶτον σαυτὸν ἀποστερεῖς τοῦ γενέσθαι συνετός. καταστείλωμεν ἡμῶν τὰ φρονήματα, γενώμεθα μέτριοι καὶ ταπεινοὶ καὶ ἐπιεικεῖς. τοὺς τοιούτους γὰρ πρὸ πάντων καὶ ὁ Χριστὸς ἐμακάρισε λέγων· Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι· καὶ πάλιν ἐβόα λέγων· Μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾷός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ. (Ματθ. ε. γ. κ̓ ια. κθ.) διὰ τοῦτο τοὺς πόδας ἔνιψε τῶν μαθητῶν, ὑπόδειγμα παρέχων τῆς ταπεινοφροσύνης ἡμῖν. ἀπὸ τούτων ἁπάντων κερδᾶναι σπουδάσωμεν, ἵνα δυνηθῶμεν ἐπιτυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτόν, χάριτι καὶ φιλανθρωπίᾳ.

χειϛ. α. Λογ. β.

1 ΠΑΥΛΟΣ ΚΑΙ ΣΙΛΟΥΑΝΟΣ ΚΑΙ ΤΙΜΟ-
θεος τῇ ἐκκλησίᾳ Θεσσαλονικέων ἐν Θεῷ πατρὶ ἡμῶν, καὶ Κυρίῳ Ἰησοῦ
Χριστῷ· 2 Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν, καὶ Κυ-
ρίου Ἰησοῦ Χριστοῦ.

Οἱ πλείους τῶν ἀνθρώπων ἅπαντα πράττουσι καὶ μηχανῶνται, ὥστε καὶ παρὰ ἄρχουσι, καὶ παρὰ τοῖς αὐτῶν μείζοσι χάριν τινὰ ἔχειν· καὶ μέγα τίθενται τοῦτο, καὶ μακαρίους ἑαυτοὺς εἶναι νομίζουσιν, ἐὰν ἐπιτύχωσι τοῦ σπουδαζομένου. εἰ δὲ τὸ παρὰ ἀνθρώποις χάριτος τυχεῖν τοσοῦτον μέγα, τὸ παρὰ Θεοῦ χάριν εὑρεῖν, πόσον ἂν γένοιτο; διὰ τοῦτο τοῦτο προστίθησιν ἀεὶ τῆς αὐτοῦ ἐπιστολῆς, καὶ τοῦτο ἐπεύχεται, εἰδὼς ὅτι ἂν τοῦτο ᾖ, οὐδὲν ἔσται λοιπὸν τῶν ἀνιαρῶν· ἀλλ' ὅσα ἂν ᾖ δυσχερῆ, πάντα λυθήσεται. καὶ ἵνα μάθητε, ὁ Ἰωσὴφ δοῦλος ἦν, νέος, ἄπειρος, ἄπλαστος, καὶ ἐνεχειρίσθη ἀθρόον οἰκίας προστασίαν, καὶ ἀνδρὶ Αἰγυπτίῳ παρέχειν εὐθύνας. ἴστε δὲ πῶς ἀκρόχολον ἐκεῖνο τὸ ἔθνος, καὶ ἀσύγγνωστον. ὅταν δὲ καὶ ἀρχὴ προσῇ καὶ ἐξουσία, μείζων ὁ θυμὸς ὑπὸ τῆς ἐξουσίας αἰρόμενος. δηλοῖ δὲ τοῦτο καὶ ἐξ ὧν μετὰ ταῦτα ἐποίησε. τῆς γὰρ δεσποίνης κατηγορούσης, καὶ ἐχούσης· καίτοι οὐ τῶν τὰ ἱμάτια κατεχόντων ἦν τὸ βιάζεσθαι, ἀλλὰ τοῦ ἀποδιδυσκομένου. ἐξῆν γὰρ εἰπεῖν, ὅτι εἰ ἦρες τὴν φωνήν σου, ἔφυγεν ἄν, καὶ εἰ συνῄδει ἑαυτῷ, οὐκ ἂν περιέμεινε τοῦ δεσπότου τὴν παρουσίαν. ἀλλ' ὅμως οὐδὲν τοιοῦτον ἐνενόησεν ἐκεῖνος, ἀλλ' ἀλόγως τῷ θυμῷ τὸ πᾶν ἐπιτρέψας, εἰς δεσμωτήριον ἐνέβαλεν. οὕτως ἀλόγιστός τις ἦν. καίτοιγε ἐχρῆν καὶ ἀπὸ τῶν ἄλλων στοχάσασθαι τοῦ ἀνδρὸς τὴν εὔνοιαν, τὴν σύνεσιν. ἀλλ' ὅμως ἐπειδὴ σφόδρα ἄλογος ἦν, οὐδὲν τοιοῦτον ἐλογίσατο. (χ. τούτων) ὁ τοίνυν καὶ πρὸς δεσπότην ἔχων τοιοῦτον μοχθηρόν, καὶ διακονίαν ἐμπεπιστευμένος οἰκίας ὁλοκλήρου, καὶ ξένος, καὶ ἔρημος, καὶ ἄπειρος, ἐπειδὴ ὁ Θεὸς αὐτῷ κατεσκέδασε χάριν πολλήν, ὡς οὐδὲν ὄντας τοὺς πειρασμούς, οὕτω πάντα παρῆλθε, καὶ δεσποίνης συκοφαντίαν, καὶ κίνδυνον θανάτου, καὶ δεσμωτήριον. καὶ τελευταῖον ἐπὶ τὸν θρόνον ἦλθε τὸν βασιλικόν. εἶδες οὖν ὁ μακάριος οὗτος, ὅσον τοῦ Θεοῦ ἡ χάρις· καὶ διὰ τοῦτο ταύτην αὐτοῖς ἐπεύχεται. καὶ ἕτερον δέ τι κατασκευάζει. βουλόμενος γὰρ αὐτοὺς πρὸς τὰ μέλλοντα τῆς ἐπιστολῆς εὐγνώμονας καταστῆσαι, ἵνα, κἂν ἐπιτιμᾷ, κἂν ἐπιπλήττῃ, μὴ ἀποπηδῶσι, διὰ τοῦτο ὑπομιμνήσκει αὐτοὺς πρὸ πάντων τῆς χάριτος τοῦ Θεοῦ, λεαίνων αὐτῶν τὴν καρδίαν, ἵνα, (χ. καταλεαίνων)

οὐκ ἴσασι μὴ διασαλευθῶσι, δῆλον ἐκεῖθεν· ὅρα πόσα ὁ Φαρισαῖος εἰργάσατο, ἀλλ' οὐδὲν αὐτὸν ὤνησε. τὴν γὰρ ῥίζαν οὐκ ἐξέκοψεν, ἀλλ' αὐτὴ τοῖς πᾶσιν ἐλυμήνατο. ἐξ ἀπονοίας ὑπερηφανία πάντων γίνεται, ἐπιθυμία χρημάτων, ἔρως ἀρχῆς, πόθος δόξης. πρὸς ὕβριν ἀμυντικὸς ὁ τοιοῦτος. ὁ γὰρ ἀπονενοημένος, οὐδὲ παρὰ τῶν μειζόνων, μήτιγε παρὰ τῶν ἐλαττόνων ἀνέχεται ὑβρίζεσθαι. ὁ δὲ μὴ ἀνεχόμενος ὑβρίζεσθαι, οὐδὲ παθεῖν κακῶς ἀνέχεται. ὅρα πῶς ἀρχὴ ἁμαρτίας, ὑπερηφανία. πῶς δὲ ἀρχὴ ὑπερηφανίας, τὸ μὴ εἰδέναι τὸν Κύριον; εἰκότως. ὁ γὰρ εἰδὼς τὸν Θεὸν ὡς εἰδέναι χρή, ὁ εἰδὼς ὅτι ὁ υἱὸς τοῦ Θεοῦ τοσαύτην ἐταπεινοφρόνησεν,* οὐκ ἐπαίρεται· ὁ δὲ ταῦτα μὴ εἰδώς, ἐπαίρεται. πρὸς ἀπόνοιαν γὰρ ἀλείφει ἡ ὑπερηφανία. εἰπὲ γάρ μοι· πόθεν οὗτοι οἱ τὴν ἐκκλησίαν πολεμοῦντές φασιν εἰδέναι τὸν Θεόν; οὐχὶ ἀπὸ ἀπονοίας; ἰδοὺ τὸ μὴ εἰδέναι τὸν Κύριον, εἰς ὅσον κρημνὸν αὐτοὺς ἐνέβαλεν. εἰ γὰρ πνεῦμα συντετριμμένον ὁ Θεὸς φιλεῖ, ἐκ τοῦ ἐναντίου τοῖς ὑπερηφάνοις ἀντιτάσσεται, καὶ ταπεινοῖς δίδωσι χάριν. οὐδὲν οὖν ὑπερηφανίας ἴσον κακόν. δαίμονα τὸν ἄνθρωπον ἀπεργάζεται, ὑβριστήν, βλάσφημον, ἐπίορκον, θανάτων ποιεῖ καὶ φόνων ἐφίεσθαι. ὁ ὑπερήφανος ἀεὶ λύπαις συζῇ, ἀεὶ ἀγανακτεῖ, ἀεὶ ἀλύει· οὐδέν ἐστιν ὃ τὸ πάθος αὐτοῦ χορέσαι δυνήσεται. κἂν τὸν βασιλέα ἴδῃ ὑποκύπτοντα καὶ προσκυνοῦντα, οὐκ ἐκορέσθη, ἀλλὰ μᾶλλον ἐξήφθη. καθάπερ γὰρ οἱ φιλάργυροι, ὅσα ἂν λάβωσι, τοσούτων πλειόνων δέονται· οὕτω καὶ οἱ ἀπονενοημένοι, ὅσης ἂν ἀπολαύσωσι τιμῆς, τοσούτῳ πλείονος ἐπιθυμοῦσιν. αὔξεται γὰρ αὐτοῖς τὸ πάθος. πάθος γάρ ἐστι. πάθος δὲ ὅρον οὐκ οἶδεν, ἀλλὰ τότε ἵσταται, ὅταν ἀποκτείνῃ τὸν ἔχοντα. οὐχ ὁρᾷς τοὺς μεθύοντας, ὅτι ἀεὶ διψῶσι; πάθος γάρ ἐστιν οὐ φύσεως ἐπιθυμία, ἀλλὰ νόσος τις διεστραμμένη. οὐχ ὁρᾷς τοὺς καλουμένους βουλιμιῶντας, ὅτι ἀεὶ πεινῶσι; πάθος γάρ ἐστιν, ὥς φασιν ἰατρῶν παῖδες, ἐξελθὸν ἤδη τοὺς τῆς φύσεως ὅρους. οὕτω καὶ οἱ πολυπράγμονες καὶ περίεργοι ὅσα ἂν μάθωσιν, οὐχ ἵστανται. πάθος γάρ ἐστι, καὶ ὅρον οὐκ ἔχει. οἱ πορνείαις χαίροντες πάλιν, οὐδὲ αὐτοὶ ἵστανται. Ἀνθρώπῳ γάρ, φησί, πόρνῳ πᾶς ἄρτος ἡδύς· οὐ μὴ παύσηται, ἕως ἂν καταποθῇ. πάθος γάρ ἐστιν. ἀλλὰ πάθη μέν ἐστι ταῦτα, οὐ μήν τοι ἀνίατα, ἀλλ' ἔχοντα ἴασιν, καὶ πολλῷ μᾶλλον ἢ τὰ σωματικά. ἂν γὰρ θέλωμεν, δυνάμεθα αὐτὰ σβέσαι. πῶς οὖν ἔστιν ἀπόνοιαν σβέσαι; τὸν Θεὸν ἐπιγνόντα. εἰ γὰρ ἀπὸ τοῦ μὴ εἰδέναι τὸν Θεὸν γέγονεν, ἐὰν γνῶμεν αὐτόν, ἀπελαύνεται πᾶσα ἀπόνοια. ἐννόησον τὴν γέενναν, ἐννόησον τοὺς πολλῷ βελτίους σου, ἐννόησον ὅσας ὀφείλεις τῷ Θεῷ δίκας. ἂν ταῦτα ἐννοήσῃς, ταχέως ὑπέστειλας τὴν διάνοιαν, ταχέως αὐτὴν ἔκαμψας. ἀλλ' οὐ δύνασαι ταῦτα ποιῆσαι; ἀσθενέστερος εἶ; ἐννόησον τὰ παρόντα, αὐτὴν τὴν ἀνθρωπίνην φύσιν, πῶς οὐδὲν ἄνθρωπος. ὅταν ἴδῃς νεκροὺς ἐπ' ἀγορᾶς φερομένους, παῖδας ὀρφανοὺς ἀκολουθοῦντας, χήραν γυναῖκα κατακοπτομένην, οἰκέτας ὀδυρομένους, φίλους κατηφιῶντας, λόγισαι τὸ οὐδαμινὸν τῶν παρόντων πραγμάτων, καὶ ὅτι σκιᾶς καὶ ὀνειράτων οὐδὲν διενήνοχεν. ἀλλ' οὐ βούλει τοῦτο; ἐννόησον τοὺς πάλαι πλουτοῦντας, τοὺς ἐν πολέμοις ἀπολλυμένους ἁπλῶς. τὰς οἰκίας περισκόπει τὰς τῶν μεγάλων καὶ περιφανῶν, καὶ νῦν εἰς ἔδαφος κατενεχθείσας. ἐννόησον πόσα ἴσχυσαν, καὶ νῦν οὐδὲ μνήμη αὐτῶν ὑπολέλειπται. καθ' ἑκάστην γὰρ ἡμέραν, εἰ βούλει, εὑρίσκεις τούτων ὑποδείγματα· διαδοχὰς ἀρχόντων, δημεύσεις πλουτούντων. Πολλοὶ τύραννοι ἐκάθισαν ἐπ' ἐδάφους, ὁ δὲ ἀνυπονόητος ἐφόρεσε διάδημα. ταῦτα οὐχὶ καθ' ἑκάστην ἡμέραν γίνεται; οὐχὶ τροχῷ τινὶ τὰ ἡμέτερα ἔοικεν; ἀνάγνωθι, εἰ βούλει, καὶ τὰ παρ' ἡμῖν, καὶ τὰ ἔξωθεν (καὶ γὰρ καὶ ἐκεῖνα γέμει τούτων τῶν παραδειγμάτων) εἰ τῶν ἡμετέρων καταφρονεῖς ἐξ ἀπονοίας. εἰ τὰ τῶν φιλοσόφων θαυμάζεις, καὶ τούτοις πρόσεχε. ἐκεῖνοί σε διδάξουσι συμφορὰς παλαιὰς διηγούμενοι, καὶ ποιηταί, καὶ ῥήτορες, καὶ σοφισταί, καὶ λογογράφοι πάντες. πάντοθεν εὑρήσεις, εἰ βούλει, τὰ ὑποδείγματα. εἰ δὲ μηδὲν τούτων θέλεις, αὐτὴν ἀναλόγισαι τὴν φύσιν τὴν ἡμετέραν,

Margin notes:
* ὡς μορφὴν δούλου λαβὼν
Ψαλ. γ. λδ.
χ. πῶς
χ. πῶς
Σειρ. κγ.
χ. παύσεται,
Σειρ. ια. ε.

Digitized by Google

πλάττειν ὡς παρ' ἐκείνου γραφείσας. διὰ τοῦτο πᾶσαν αὐτοῖς ἀποτειχίζων ἔφοδον, φησί· [β. Θεσ. β. β.] Μὴ θροεῖσθε, μήτε διὰ πνεύματος, μήτε διὰ λόγου, μήτε δι' ἐπιστολῆς, ὡς δι' ἡμῶν. μήτε διὰ πνεύματός φησι, τοῖς ψευδοπροφήταις ἀντιτιθέμενος. πόθεν οὖν εἰσόμεθα, φησί; [β. Θεσ. γ. ιζ.] διὰ τῆς προσθήκης. διὰ γὰρ τοῦτο προσέθηκεν· Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου. ὅ ἐστι σημεῖον ἐν πάσῃ ἐπιστολῇ· οὕτω γράφω. ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν. οὐ τοῦτό φησιν, ὅτι τοῦτο σημεῖον (τοῦτο γὰρ εἰκὸς καὶ ἄλλους μιμήσασθαι) ἀλλ' ὅτι τὸν ἀσπασμὸν τῇ ἐμῇ χειρὶ γράφω· καθάπερ καὶ νῦν ἔθος ἡμῖν ἐστιν. ἀπὸ γὰρ τῆς ὑπογραφῆς δῆλα γίνεται τὰ γράμματα τῶν πεμπόντων. παρακαλεῖ δὲ αὐτοὺς σφόδρα τεταριχευμένους ὑπὸ τῶν κακῶν, ἀπό τε τῶν παρόντων ἐγκωμιάζων, ἀπό τε τῶν μελλόντων· καὶ ἀπὸ τῆς κολάσεως δὲ, καὶ τῆς ἀνταποδόσεως τῶν ἀγαθῶν τῶν ἡτοιμασμένων ˮαὐτοῖς [γρ. αὐτοὺς] προτρέπων, σαφέστερον ἐπεξέρχεται τῷ τόπῳ, τὸν μὲν καιρὸν οὐκ ἀποκαλύπτων αὐτοῖς, τὸ δὲ τοῦ καιροῦ σημεῖον, τὸν ἀντίχριστον, δηλῶν. μάλιστα γὰρ τότε πληροφορεῖται ψυχὴ ἀσθενής, οὐκ ἐὰν ἁπλῶς ἀκούσῃ, ἀλλ' ἐὰν μάθῃ τι πλέον. καὶ ὁ Χριστὸς δὲ πολλὴν ὑπὲρ τούτου ποιεῖται φροντίδα, ὅτι καθεσθεὶς ἐν τῷ ὄρει, πάντα μετὰ ἀκριβείας διελέγετο τοῖς μαθηταῖς τὰ περὶ τῆς συντελείας. διὰ τί; ἵνα μὴ ἔχωσι χώραν οἱ τὸν ἀντίχριστον εἰσάγοντες καὶ ψευδοχρίστους. [Ματθ. κδ. ιδ.] καὶ πολλὰ τίθησι τὰ αὐτοῦ σημεῖα, ἓν μὲν καὶ μέγιστον, λέγων, Ὅταν κηρυχθῇ εἰς [Ματθ. κδ. κζ.] πάντα τὰ ἔθνη τὸ εὐαγγέλιον· ἔπειτα δὲ, ὥστε μὴ πλανᾶσθαι περὶ τῆς παρουσίας αὐτοῦ. Ὡς ἀστραπή, φησιν, ἥξει, οὐκ ἐν γωνίᾳ τινὶ κρυπτομένη, ἀλλὰ πανταχοῦ λάμπουσα· οὐ δεῖται τοῦ μηνύσοντος (οὕτως ἐστὶ λαμπρά) ὥσπερ οὐδὲ ἡ ἀστραπὴ δεῖται τοῦ μηνύσοντος. εἶπε δέ που καὶ περὶ τοῦ ἀντιχρίστου, [Ιωάν. ε. μγ.] ἡνίκα ἔλεγεν, Ἐγὼ ἦλθον ἐν τῷ ὀνόματι τοῦ πατρός μου, καὶ οὐκ ἐδέξασθέ με· ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ὀνόματι τῷ ἰδίῳ, ἐκεῖνον λήψεσθε. καὶ τὰς ἐπαλλήλους δὲ καὶ ἀφάτους συμφοράς, τεκμήριον εἶναι τούτου ἔλεγε· καὶ ὅτι Ἠλίας δεῖ ἐλθεῖν. ἠπόρουν μὲν οὖν τότε οἱ Θεσσαλονικεῖς ταῦτα, ἡμῖν δὲ χρησίμη γέγονεν ἡ ἐκείνων ἀπορία. οὐ γὰρ πρὸς ἐκείνους μόνον, ἀλλὰ καὶ πρὸς ἡμᾶς ταῦτα χρήσιμα· ἵνα τῶν μύθων τῶν παιδικῶν καὶ τῶν λήρων μετὰ τῶν γραϊκῶν ἀπαλλαγῶμεν. ἢ οὐκ ἠκούσατέ τι πολλάκις ἐν παισὶν ὄντες καὶ περὶ τοῦ ὀνόματος τοῦ ἀντιχρίστου πολλὰ λεγόντων τινῶν, καὶ ὅτι κάμπτει τὰ γόνατα; ἔτι γὰρ ἁπαλαῖς οὔσαις ταῖς διανοίαις ταῖς ˮἡμετέραις [γρ. ὑμετέραις] ἐγκατασπείρει ταῦτα ὁ διάβολος, ἵνα ἡμῖν τὸ δόγμα συναυξηθῇ, ἵνα ἀπατῆσαι δυνηθῇ. οὐκ ἂν οὖν ταῦτα παρῆκεν ὁ Παῦλος περὶ τοῦ ἀντιχρίστου διαλεγόμενος, εἴγε χρήσιμα ἦν. μὴ δὴ ταῦτα ζητῶμεν. οὐ γὰρ οὕτως ἥξει κλίνων τὰ γόνατα, ἀλλ' ὑπεραιρόμενος ἐπὶ πάντα Θεὸν λεγόμενον, ἢ σέβασμα, ὥστε αὐτὸν εἰς τὸν ναὸν τοῦ Θεοῦ, ὡς Θεὸν καθίσαι, ἀποδεικνύντα ἑαυτὸν ὅτι ἐστὶ Θεός. καθάπερ γὰρ ὁ διάβολος ἐξ ἀπονοίας ἔπεσεν, οὕτω καὶ ὁ ἐνεργούμενος ὑπ' αὐτοῦ* εἰς ἀπόνοιαν ἀλειφόμενος. [* καὶ]

ΗΘΙΚΟΝ

Διό, παρακαλῶ, πάντες σπουδάζωμεν πόρρω γίνεσθαι τοῦ πάθους τούτου, ἵνα μὴ τῷ κρίματι τῷ ἐκείνου περιπέσωμεν, ἵνα μὴ τῆς κολάσεως ὑπεύθυνοι γινώμεθα τῆς αὐτῆς, ἵνα μὴ τῇ τιμωρίᾳ κοινωνήσωμεν τῇ αὐτοῦ. [α. Τιμ. γ. ς.] Μὴ νεόφυτον, φησιν, ἵνα μὴ τυφωθεὶς εἰς κρίμα [Σειρ. ι. ιβ. ιγ.] ἐμπέσῃ τοῦ διαβόλου. ἄρα ὁ τετυφωμένος τὴν αὐτὴν τῷ διαβόλῳ δίδωσι δίκην. Ἀρχὴ γάρ, φησιν, ὑπερηφανίας, τὸ μὴ εἰδέναι τὸν Κύριον· ἀρχὴ ἁμαρτίας, ὑπερηφανία· πρώτη ὁρμὴ καὶ κίνησις ἐπὶ τὸ κακόν· τάχα μὲν οὖν καὶ ῥίζα, καὶ ὑποβάθρα. ἡ γὰρ ἀρχὴ ἢ τὴν πρώτην ὁρμὴν δηλοῖ τὴν ἐπὶ ˮτῷ κακῷ [γρ. τὸ κακὸν], ἢ τὴν σύστασιν· ὡς ἂν εἴποι τις, ἀρχὴ σωφροσύνης, τὸ ἀπέχεσθαι τῶν ἀτόπων, τουτέστι, πρώτη ὁρμή. ἂν δὲ εἴπωμεν, ἀρχὴ σωφροσύνης νηστεία, τουτέστι, θεμέλιος καὶ σύστημα· οὕτω καὶ ἁμαρτίας ἀρχή ἐστιν ἡ ἀπόνοια. καὶ γὰρ ἀπ' αὐτῆς ἄρχεται πᾶσα ἁμαρτία, καὶ ὑπ' αὐτῆς συγκροτεῖται. ὅτι γάρ, ὅσα ἂν πράττωμεν ἀγαθά, οὐκ ἀφίησιν αὐτὰ ἡ κακία διαμεῖναι, καὶ μὴ διαπεσεῖν, ἀλλ' ὥσπερ ῥίζα τίς ἐστιν

οὐκ

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

# ΙΩΑΝΝΟΥ
## ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ
### ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ
τοῦ Χρυσοστόμου ὑπόμνημα εἰς τὴν πρὸς Θεσσαλονικεῖς β. ἐπιστολήν.

### ΥΠΟΘΕΣΙΣ. Λογ. α.

Εἰπὼν ἐν τῇ προτέρᾳ ἐπιστολῇ, ὅτι Εὐχόμεθα νύκτα καὶ ἡμέραν ἰδεῖν ὑμᾶς, καὶ ὅτι Οὐ στέγοντες, ἀλλ' ἐν Ἀθήναις κατελείφθημεν μόνοι, καὶ ὅτι Ἐπέμψαμεν Τιμόθεον, διὰ τούτων πάντων τὸν πόθον αὐτῶν δηλοῖ, ὃν εἶχεν, ὥστε παραγενέσθαι πρὸς αὐτούς. ἐπεὶ οὖν οὐκ ἔφθασεν ἴσως ἀπελθεῖν, καὶ καταρτίσαι τὰ ὑστερήματα τῆς πίστεως αὐτῶν, τοῦτο γὰρ ἦν, τὴν δευτέραν προστίθησιν ἐπιστολήν, τὸ ἐλλειφθὲν ἀπὸ τῆς παρουσίας διὰ τῶν γραμμάτων ἀναπληρῶν. ὅτι γὰρ οὐκ ἀπῆλθεν, ἐντεῦθεν ἔστι στοχάσασθαι. γράφων γάρ φησιν· Ἐρωτῶμεν δὲ ὑμᾶς ὑπὲρ τῆς παρουσίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. καὶ γὰρ ἐν τῇ προτέρᾳ ἐπιστολῇ ἔλεγεν, ὅτι Περὶ τῶν χρόνων καὶ τῶν καιρῶν οὐ χρείαν ἔχετε γράφεσθαι ὑμῖν. ὥστε εἰ παρεγένετο, οὐδὲν ἂν ἐδεήθη γράψαι. ἐπειδὴ δὲ τὸ ζήτημα ὑπερετέθη, τούτου χάριν προστίθησι ταύτην τὴν ἐπιστολήν, καθάπερ καὶ ἐν τῇ πρὸς Τιμόθεον φησίν, οἳ ἀνατρέπουσι τὴν τινῶν πίστιν τινές, λέγοντες τὴν ἀνάστασιν ἤδη γεγενῆσθαι. τοῦτο δὲ ἐποίουν, ἵνα μηδὲν μέγα λοιπόν, ἢ λαμπρὸν ἐλπίσαντες οἱ πιστοὶ ἀπαγορεύσωσι πρὸς τοὺς πόνους. ἐπεὶ γὰρ αὐτοὺς ἡ ἐλπὶς ἐβάσταζε, καὶ οὐκ ἠφίει πρὸς τὰ παρόντα ἐνδοῦναι, καθάπερ τινὰ ἄγκυραν ὁ διάβολος ἀποκόψαι βουλόμενος, ἐπειδὴ οὐκ ἴσχυσε πεῖσαι ὅτι ψευδῆ τὰ μέλλοντα, ἑτέραν ἦλθεν ὁδόν, καὶ καταθεὶς ἀνθρώπους τινὰς λυμεῶνας, ἐπεχείρει τοὺς πειθομένους ἀπατᾶν, ὅτι τὰ μεγάλα ἐκεῖνα καὶ λαμπρὰ τέλος εἴληφε. τότε μὲν οὖν ἔλεγον ἐκεῖνοι τὴν ἀνάστασιν ἤδη γεγενῆσθαι· νῦν δὲ ἔλεγον, ὅτι ἐνέστηκεν ἡ κρίσις, καὶ ἡ παρουσία τοῦ Χριστοῦ, ἵνα καὶ τὸν Χριστὸν αὐτὸν ψευδῆ ὑποβάλωσι, καὶ πείσαντες ὡς οὐκ ἔστι λοιπὸν ἀντίδοσις, οὐδὲ δικαστήριον καὶ κόλασις καὶ τιμωρία τοῖς κακῶς πεποιηκόσιν, ἐκείνους τε θρασυτέρους ἐργάσωνται, καὶ τούτους ταπεινοτέρους. καὶ τὸ δὴ πάντων χαλεπώτερον, ἐπεχείρουν τὸ μὲν ἁπλῶς ῥήματα ἀπαγγέλλειν, ὡς παρὰ τοῦ Παύλου ταῦτα λεγόμενα, τὸ δὲ καὶ ἐπιστολὰς

Right margin: α. Θεσ. γ. ι. — α. β. — β. Θεσ. β. α. — α. Θεσ. ε. α. — β. Τιμ. β. ιη.

Left margin: γρ. πόθον — γρ. ὃν — γρ. ὑφεστῶτα — ἰσ. καθεὶς. — γρ. νῦν δὲ πάλιν πρὸς — γρ. δείξαντες

ἵνα τὸν αἰώνιον πορίσωσι πλοῦτον, ἵνα ἐπιτύχωσι τῶν ἐν τοῖς οὐρανοῖς. καὶ τί θαυμάζεις εἰ εἰς τὰ πρόθυρα αὐτοῦ οὐκ ἀπαξιοῖ τοὺς τοιούτους καθίζειν; ἐπεὶ γὰρ τὴν τράπεζαν αὐτοῦ τὴν πνευματικὴν οὐκ ἀπαξιοῖ καλεῖν αὐτοὺς, καὶ μεταδοῦναι τῆς εὐωχίας ἐκείνης· ἀλλ' ὁ κυλλὸς, καὶ ὁ ἀνάπηρος, ὁ γέρων, καὶ ῥάκια ἠμφιεσμένος καὶ ῥυπῶν, καὶ κόρυζαν ἔχων, ἅμα τῷ νέῳ τῷ καλῷ, καὶ αὐτῷ τῷ τὴν ἁλουργίδα περικειμένῳ καὶ τὸ διάδημα ἐπὶ τῆς κεφαλῆς ἔχοντι, ἔρχεται τῆς τραπέζης μεθέξων, καὶ ἀξιοῦται τῆς εὐωχίας τῆς πνευματικῆς, καὶ τῶν αὐτῶν ἑκάτεροι ἀπολαύουσι, καὶ οὐδεμία ἐστὶ διαφορά. εἶτ' ὁ μὲν Χριστὸς οὐκ ἀπαξιοῖ εἰς τὴν τράπεζαν αὐτοὺς καλεῖν μετὰ τοῦ βασιλέως (ὁμοῦ γὰρ ἀμφότεροι καλοῦνται) σὺ δὲ ἴσως ἀπαξιοῖς καὶ ὀφθῆναι, διδοὺς ἢ πίνειν, ἢ καὶ προσδιαλεγόμενος; βαβαὶ τῆς ἀπονοίας, καὶ τοῦ τύφου. ὅρα μὴ τὰ αὐτὰ πάθωμεν τῷ ποτὲ πλουσίῳ. ἀπηξίου ἐκεῖνος καὶ ἰδεῖν τὸν Λάζαρον, καὶ ὀροφῆς αὐτῷ οὐ μετέδωκεν, οὐδὲ στέγης, ἀλλ' ἦν ἔξω παρὰ τὸν πυλῶνα ἐρριμμένος, ἀλλ' οὐδὲ ῥημάτων ἠξιώθη τῶν παρ' ἐκείνου. ἀλλ' ὅρα πῶς ἐν ἀνάγκῃ καὶ χρείᾳ καταστὰς αὐτοῦ τῆς βοηθείας, ἀπέτυχεν. εἰ γὰρ οὓς ὁ Χριστὸς οὐκ ἐπαισχύνεται, τούτους ἡμεῖς ἐπαισχυνόμεθα, τὸν Χριστὸν ἐπαισχυνόμεθα, τοὺς φίλους αὐτοῦ ἐπαισχυνόμενοι. πεπληρώσθω σου ἡ τράπεζα χωλῶν, ἀναπήρων. διὰ τούτων παραγίνεται ὁ Χριστὸς, οὐ διὰ τῶν πλουτούντων. τάχα γελᾷς ἀκούων. οὐκοῦν ἵνα μὴ νομίσῃς ὅτι ἐμόν ἐστι τὸ ῥῆμα, ἄκουσον αὐτοῦ τοῦ Χριστοῦ λέγοντος, ἵνα μὴ γελάσῃς, ἀλλ' ἵνα φρίξῃς· Ὅταν ποιῇς ἄριστον ἢ δεῖπνον, φησὶ, μὴ φώνει τοὺς φίλους σου, μηδὲ τοὺς ἀδελφούς σου, μηδὲ τοὺς συγγενεῖς σου, μήτε γείτονας πλουσίους, μήποτε καὶ αὐτοί σε ἀντικαλέσωσι, καὶ γένηταί σοι ἀνταπόδομα· ἀλλ' ὅταν ποιῇς δοχὴν, κάλει πτωχοὺς, ἀναπήρους, τυφλοὺς, καὶ μακάριος ἔσῃ, ὅτι οὐκ ἔχουσιν ἀνταποδοῦναί σοι. ἀνταποδοθήσεται γάρ σοι ἐν τῇ ἀναστάσει τῶν δικαίων· καὶ δόξα δὲ μείζων ἐνταῦθα γίνεται, εἴ γε ταύτης ἐρᾷς. ἐξ ἐκείνων μὲν γὰρ φθόνος, καὶ βασκανία, καὶ κατηγορία, καὶ λοιδορίαι, καὶ πολὺς ὁ φόβος μή τι παρὰ τὸ δέον γένηται· καὶ ὡς οἰκέτης δεσπότῃ, οὕτω παρέστηκας, ἂν μείζους οἱ καλούμενοι ὦσι, δεδοικὼς τὴν παρ' αὐτῶν μέμψιν, καὶ τὰ σκώμματα. ἐπὶ δὲ τούτων οὐδὲν τοιοῦτον, ἀλλ' ἅπερ ἂν αὐτοῖς παράσχῃς, μεθ' ἡδονῆς πάντα δέχονται· καὶ πολὺς ἐντεῦθεν ὁ κρότος, λαμπροτέρα ἡ δόξα, μεῖζον τὸ θαῦμα. οὐχ οὕτω κροτοῦσιν ἐκείνους, ὡς τούτους ἅπαντες οἱ ἀκούοντες. εἰ δὲ ἀπιστεῖς, πείρασον σὺ ὁ πλουτῶν, ὁ στρατηγοὺς καὶ ἡγεμόνας καλῶν· κάλεσον καὶ πένητας, καὶ ἀπὸ τούτων τὴν τράπεζαν πλήρωσον, ἂν μὴ παρὰ πάντων* κροτηθῇς, ἂν μὴ παρὰ πάντων φιληθῇς, ἂν μὴ πάντες ὡς πατέρα ἔχωσιν. ἐκείνων μὲν γὰρ τῶν δείπνων κέρδος οὐδὲν, ὑπὲρ τούτων δὲ οὐρανὸς ἀπόκειται, καὶ τὰ ἐν τοῖς οὐρανοῖς ἀγαθά· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Luc. 14. b.

γρ. πίνοντι

γρ. μὴ τοίνυν αὐτοὶ ἐπαισχυνώμεθα. καὶ γὰρ εἰ ὁ Χριστὸς, εἰ γὰρ ὁ δεσπότης οὐκ ἐπαισχύνεται τούτους, ἡμεῖς, εἰπέ μοι, αἰσχυνώμεθα; καὶ ποῖον ἂν ἔχοι λόγον; οἱ τοίνυν φίλους αὐτοῦ ἐπαισχυνόμενοι, τὸν Χριστὸν ἐπαισχύνονται πάντως.

γρ. ἐγγίνεται

* μάλιστα

Τοῦ

σου μακρά; ἀλλ' ἐκεῖνος ἀνίατον ἔχει. ἀπέβαλες τοὺς παῖδας; ἀλλ' ἐκεῖνος καὶ τὴν ὑγείαν τοῦ οἰκείου σώματος. ἐζημιώθης ζημίαν μεγάλην; ἀλλ' οὐδέπω πρὸς τὸ ἑτέρων δεῖσθαι κατέστης. εὐχαρίστει τῷ Θεῷ. ὁρᾷς ἐκείνους ἐν καμίνῳ πενίας, καὶ παρὰ πάντων μὲν αἰτοῦντας, παρ' ὀλίγων δὲ λαμβάνοντας. ὅταν ἀποκάμῃς εὐχόμενος, καὶ μὴ λαμβάνῃς, ἐννόησον ποσάκις ἤκουσας πένητός σε καλοῦντος, καὶ οὐκ ἐπήκουσας, καὶ οὐκ ἠγανάκτησεν ἐκεῖνος, οὐδὲ ὕβρισέ σε. καίτοι σὺ μὲν ἀπὸ ὠμότητος τοῦτο ποιεῖς, ὁ δὲ Θεὸς ἀπὸ φιλανθρωπίας καὶ τὸ μὴ ἀκούειν ποιεῖ. εἰ τοίνυν αὐτὸς τὸν ὁμόδουλον δι' ὠμότητα μὴ ἀκούων οὐκ ἀξιοῖς ἐγκαλεῖσθαι, τῷ δεσπότῃ τοῦ δούλου διὰ φιλανθρωπίαν οὐκ ἀκούοντι ἐγκαλεῖς; ὁρᾷς πόσοι τὸ ἄνισοι; πόσοι τὸ ἄδικοι; ταῦτα ἐννοῶμεν διαπαντός, τοὺς κατωτέρους, τοὺς ἐν μείζοσι συμφοραῖς, καὶ οὕτω δυνησόμεθα εὐχαριστεῖν τῷ Θεῷ. πολλῶν ὁ βίος γέμει τοιούτων ὑποδειγμάτων. ἔχει δὲ διδασκαλίαν οὐ μικρὰν ὁ νήφων καὶ βουλόμενος προσέχειν καὶ ἀπὸ τῶν εὐκτηρίων οἴκων. διὰ τοῦτο γὰρ καὶ ἐν ταῖς ἐκκλησίαις, καὶ ἐν τοῖς μαρτυρίοις προκάθηνται τῶν προπυλαίων οἱ πένητες, ὥστε ἡμᾶς ἐκ τῆς τούτων θέας πολλὴν δέχεσθαι τὴν ὠφέλειαν. ἐννόησον γάρ, ὅτι εἰς μὲν βασίλεια τὰ ἐπὶ γῆς εἰσερχομένων ἡμῶν, οὐδὲν τοιοῦτόν ἐστιν ἰδεῖν· ἀλλ' ἄνδρες καὶ σεμνοί, καὶ λαμπροί, καὶ πλουτοῦντες, καὶ συνετοί, πανταχοῦ διατρέχουσιν· εἰς δὲ τὰ ὄντως βασίλεια, τὴν ἐκκλησίαν λέγω, καὶ τοὺς εὐκτηρίους οἴκους τῶν μαρτύρων, δαιμονῶντες, ἀνάπηροι, πένητες, γέροντες, τυφλοί, διεστραμμένοι τὰ μέλη. τί δήποτε; ἵνα σὺ παιδευθῇς διὰ τῆς τούτων θέας, πρῶτον μὲν ἵνα, εἴ τινα τῦφον ἔξωθεν ἐπισυρόμενος εἰσέλθῃς, εἰς ἐκείνους βλέψας, καὶ ἀποθέμενος τὸν ὄγκον, καὶ συντρίψας τὴν καρδίαν, οὕτως εἰσέλθῃς, καὶ τῶν λεγομένων ἀκούσῃς. οὐ γάρ ἐστι μετὰ τύφου προσευχομένους ἀκούεσθαι. ἵν', ὅταν γέροντα ἴδῃς, μὴ ἐπὶ νεότητι μέγα φρονῇς. καὶ γὰρ οὗτοι οἱ γέροντες, νέοι ἐγένοντο. ἵν', ὅταν ἐπὶ στρατείᾳ καὶ δυναστείᾳ βασιλικῇ μέγα κομπάζῃς, ἐννοήσῃς ὅτι ἐκ τούτων εἰσὶ καὶ οἱ λαμπροὶ γενόμενοι ἐν ταῖς βασιλικαῖς αὐλαῖς. ὅταν ἐπὶ ὑγιείᾳ σώματος θαρρῇς, τούτοις προσέχων καταστέλλῃς σου τὸ φρόνημα. καὶ γὰρ ἐνταῦθα συνεχῶς εἰσιών, ὁ μὲν ὑγιαίνων οὐ μέγα φρονήσει ἐπὶ ὑγιείᾳ σώματος· ὁ δὲ κάμνων, λήψεται παραμυθίαν οὐ τὴν τυχοῦσαν. οὐ διὰ τοῦτο δὲ μόνον ἐνταῦθα παρακάθηνται, ἀλλ' ἵνα σε καὶ ἐλεήμονα ποιήσωσι, καὶ πρὸς ἔλεον ἐπικαμφθῇς, ἵνα θαυμάσῃς τοῦ Θεοῦ τὴν φιλανθρωπίαν. εἰ γὰρ ὁ Θεὸς οὐκ ἐπαισχύνεται αὐτούς, ἀλλ' ἐν τοῖς προπυλαίοις αὐτοῦ ἕστησε, πολλῷ μᾶλλον σύ. ἵνα μὴ μέγα φρονῇς ἐπὶ τοῖς βασιλείοις τοῖς ἐπὶ τῆς γῆς. μὴ τοίνυν ἐπαισχύνου παρὰ πένητος καλούμενος· κἂν προσέλθῃ, κἂν τὰ γόνατα κατέχῃ, μὴ ἀποσείσῃ. κύνες γάρ εἰσιν οὗτοί τινες θαυμαστοὶ τῶν αὐλῶν τῶν βασιλικῶν. οὐ γὰρ ἀτιμάζων αὐτοὺς κύνας ἐκάλεσα (μὴ γένοιτο) ἀλλὰ καὶ σφόδρα ἐπαινῶν. τὴν αὐλὴν φυλάττουσι τὴν βασιλικήν. θρέψον τοίνυν αὐτούς. ἡ γὰρ τιμὴ εἰς τὸν βασιλέα διαβαίνει. ἐκεῖ πάντα τῦφος, ἐν τοῖς βασιλείοις λέγω τοῖς ἐπὶ τῆς γῆς, ἐνταῦθα πάντα ταπεινοφροσύνη. ὅτι οὐδὲν τὰ ἀνθρώπινα, ἀπ' αὐτῶν μάλιστα τῶν προπυλαίων μανθάνεις· ὅτι οὐ τέρπεται πλούτῳ Θεός, ἀπ' αὐτῶν τῶν προκαθημένων διδάσκῃ. ἡ γὰρ τούτων καθέδρα καὶ ἡ συλλογή, μονονουχὶ παραίνεσίς ἐστι, πρὸς τὴν τῶν ἀπόρων ἀνθρώπων φύσιν φωνὴν ἀφιεῖσα λαμπράν, καὶ λέγουσα, ὅτι οὐδὲν τὰ ἀνθρώπινα πράγματα, ὅτι σκιὰ καὶ καπνός. εἰ καλὸν ἦν ὁ πλοῦτος, οὐκ ἂν πένητας προεκάθισεν ὁ Θεὸς τῶν οἰκείων προθύρων. εἰ δὲ καὶ πρόσεισι καὶ πλουτοῦντες, μὴ θαυμάσῃς. οὐ γὰρ διὰ τοῦτο πρόσεισιν, ἵνα μείνωσι πλουτοῦντες, ἀλλ' ἵνα ἀπαλλαγῶσι τοῦ ὄγκου. ἀκούουσι γὰρ τί φησιν αὐτοῖς ὁ Χριστός· Οὐ δύνασθε Θεῷ δουλεύειν, καὶ μαμωνᾷ. καὶ πάλιν, Δυσκόλως πλούσιος εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. καὶ πάλιν, Εὐκοπώτερόν ἐστι κάμηλον διὰ ῥαφίδος τρυπήματος εἰσελθεῖν, ἢ πλούσιον εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. διὰ ταῦτα δέχεται τοὺς πλουσίους, ἵνα ταῦτα ἀκούσωσι τὰ ῥήματα,

ἢ διαβαίνει

Matth. 6. κδ.

Matth. 19. κγ. κδ.

λαγῆς τῆς ἐκείνου συναπεμπολῆσαι καὶ τὴν γυναῖκα. ὁρῶσα τοίνυν ἡ κόρη ἑαυτὴν ἐν τοῖς ἀπόροις οὖσαν, ἐλθοῦσα πρός τι αἰδέσιμον πρόσωπον καὶ συνήθες τῇ δεσποίνῃ αὐτῆς, ὃ καὶ ἐμοὶ διηγησάμενοι, καὶ τῶν γονάτων ἁψαμένη, καὶ μυρία ἀποδυραμένη, παρεκάλεσεν ὥστε τὴν αὐτῆς ἀξιῶσαι δέσποιναν ὑπὲρ αὐτῆς· καὶ πολλοὺς ἀναλώσασα λόγους, ὕστερον καὶ τοῦτο προσέθηκεν, ὡς τούτῳ πείσουσα μάλιστα, ὅρκον τινὰ φρικωδέστατον ἐπάγουσα. ὁ δὲ ὅρκος ἦν οὗτος· οὕτω τὸν Χριστὸν ἴδοις ἐν ἡμέρᾳ κρίσεως, μὴ περιίδῃς μου τὴν ἀξίωσιν· καὶ ταῦτα εἰποῦσα ἀπῆλθεν. ἡ δὲ παρακληθεῖσα, φροντίδος τινὸς ἐμπεσούσης βιωτικῆς, οἷα συμβαίνει ἐν ταῖς οἰκίαις, ἐπελάθετο. εἶτα ἄφνω δείλης μεσημβρίας εἰς μνήμην ἦλθε τοῦ φρικωδεστάτου ὅρκου· καὶ κατενύγη σφοδρῶς, καὶ ἀπελθοῦσα ἠξίωσε μετὰ πολλῆς τῆς ἐπιμελείας, καὶ τὸ πρᾶγμα ἤνυσε. καὶ κατ᾽ ἐκείνην τὴν νύκτα ἄφνω τοὺς οὐρανοὺς εἶδεν ἀνεῳγότας, καὶ αὐτὸν τὸν Χριστὸν εἶδε δὲ, ὡς δυνατὸν γυναικὶ ἰδεῖν. ἐπειδὴ γὰρ ὅλως ἐφρόντισε τοῦ ὁρκισμοῦ, ἐπειδὴ ἐφοβήθη, τῆς ὀπτασίας κατηξιώθη ταύτης. ταῦτα δὲ εἶπον, ἵνα μὴ καταφρονῶμεν τῶν ὁρκισμῶν, μάλιστα ὅταν ὑπὲρ ἀγαθῶν πραγμάτων ἡμᾶς τινες παρακαλῶσιν, ὑπὲρ ἐλεημοσύνης, ὑπὲρ φιλανθρωπίας. νῦν δὲ κάθηνται πένητες ἐκκεκομμένοι τοὺς πόδας, ὁρῶντές σε παρατρέχουσαι. εἶτ᾽ ἐπειδὴ τοῖς ποσὶν ἐπακολουθῆσαι μὴ δύνανται, καθάπερ ἀγκίστρῳ τινὶ προσδοκῶσι κατέχειν τῷ φόβῳ τοῦ ὅρκου, καὶ τὰς χεῖρας ἐκτείνοντες ὁρκίζουσιν, ὥστε δοῦναι ὀβολὸν ἕνα, ἢ δύο μόνον· σὺ δὲ παρατρέχεις, τὸν δεσπότην ὁρκιζομένη τὸν σόν. καὶ ἂν μὲν κατὰ τῶν ὀφθαλμῶν ἢ τοῦ ἀνδρὸς τοῦ ἀποδημοῦντος ὁρκίσῃ, ἢ τοῦ παιδίου, ἢ τῆς θυγατρὸς, εὐθέως εἶξας, καὶ ἐμαλάχθη σου ἡ διάνοια, καὶ διεθερμάνθης· ἂν δὲ τὸν Κύριον ὁρκίσῃ, παρατρέχεις. πολλὰς δὲ οἶδα ἐγὼ, αἳ τὸν μὲν Χριστὸν ἀκούουσαι, παρέδραμον· εἰς δὲ κάλλος ἐπαινεθεῖσαι παρὰ τῶν προσιόντων, διεχύθησαν, ἐμαλάχθησαν, καὶ χεῖρα ὤρεξαν. τοιγαροῦν εἰς τοῦτο τοὺς πένητας κατέστησαν τοὺς ἀθλίους, εἰς τὸ γελωτοποιεῖν. ἐπειδὴ γὰρ τὰ σφοδρὰ ῥήματα καὶ πικρὰ λέγοντες οὐ καθάπτονται τῆς ψυχῆς, ἐπὶ ταύτην ἔρχονται τὴν ὁδὸν, δι᾽ ἧς μάλιστα τέρπουσι· καὶ τὸν ἐν συμφορᾷ ὄντα καὶ ὑπὸ τοῦ λιμοῦ ἀγχόμενον ἠνάγκασεν ἡ πολλὴ φαυλότης ἡμῶν κάλλους ἐγκώμια λέγειν τοὺς ἐπαιτοῦντας. καὶ εἴθε τοῦτο μόνον, ἀλλὰ καὶ ἕτερον εἶδος τούτου χαλεπώτερον· θαυματοποιοὺς τοὺς πένητας ἠναγκάσαμεν εἶναι, καὶ αἰσχρολόγους καὶ γελωτοποιούς. ὅταν γὰρ κύλικας καὶ κισσύβια καὶ ποτήρια τοῖς δακτύλοις ἐνείρων καὶ περιενεχθεὶς κυμβαλίζῃ, καὶ σύριγγα ἔχων ᾄδῃ δι᾽ αὐτῆς τὰ ᾄσματα τὰ αἰσχρὰ καὶ ἔρωτος γέμοντα, καὶ διὰ τῆς φωνῆς ἀναβοᾷ· εἶτα πολλοὶ περιεστήκασι, καὶ ὁ μὲν τρύφος ἄρτου, ὁ δὲ ὀβολὸν, ὁ δὲ ἕτερόν τι παρέχουσι, καὶ κατέχουσιν ἐπὶ πολὺ, καὶ τέρπονται καὶ ἄνδρες καὶ γυναῖκες, τί τούτου χαλεπώτερον; οὐχὶ πολλοῦ στεναγμοῦ ταῦτα ἄξια; μικρὰ μέν ἐστι, καὶ νομίζεται μικρά· μεγάλα δὲ ἐναποτίκτει τοῖς ἤθεσιν ἡμῶν τὰ ἁμαρτήματα. ὅταν γὰρ αἰσχρόν τι λεχθῇ καὶ ἡδὺ μέλος, ἐμάλαξε τὴν διάνοιαν, καὶ αὐτὴν ἐκείνην διέφθειρε τὴν ψυχήν. καὶ ὁ μὲν τὸν Θεὸν καλῶν πένης, καὶ ἐπευχόμενος ὑμῖν μυρία ἀγαθὰ, οὐδὲ λόγου ἀξιοῦται παρ᾽ ὑμῶν· ὁ δὲ ἀντὶ τούτων τὰ νεωτερικὰ ἐπεισάγων, θαυμάζεται. ὅ δή με νῦν ἐπῆλθεν εἰπεῖν πρὸς ὑμᾶς, ἐκεῖνο ἐρῶ. ποῖον δὴ τοῦτο; ὅταν πενίᾳ καὶ νόσῳ περιβληθῇς, εἰ καὶ μηδαμόθεν ἀλλαχόθεν, ἀπὸ γοῦν τῶν ἐπαιτούντων τῶν διὰ τῶν στενωπῶν χωρούντων μάθε εὐχαριστεῖν τῷ δεσπότῃ. οὗτοι γὰρ πάντα τὸν βίον ἐν τῷ ἐπαιτεῖν καταναλίσκοντες, οὐ βλασφημοῦσιν, οὐκ ἀγανακτοῦσιν, οὐδὲ δυσχεραίνουσιν, ἀλλὰ πᾶσαν τὴν τῆς ἐπαιτήσεως διήγησιν ἐν εὐχαριστίᾳ ποιοῦνται, μέγαν τὸν Θεὸν ποιοῦντες καὶ φιλάνθρωπον. ὁ μὲν λιμῷ φθειρόμενος, φιλάνθρωπον καλεῖ· σὺ δὲ ὁ ἐν ἀφθονίᾳ ζῶν, ἂν μὴ τὰ πάντα λάβῃς, ὠμὸν λέγεις. πόσῳ βελτίων ἐκεῖνος; πῶς ἡμᾶς τότε κατακρινεῖ; κοινοὺς διδασκάλους ἡμῖν τῶν συμφορῶν καὶ παραμυθίας ἀφῆκε διὰ τῆς οἰκουμένης ὁ Θεὸς τοὺς πένητας. ἔπαθές τι τῶν ἀβουλήτων; ἀλλ᾽ οὐδὲν τοιοῦτον, οἷον ἐκεῖνος. ἐξεκόπης τὸν ὀφθαλμόν; ἀλλ᾽ ἐκεῖνος τοὺς δύο. ἐνόσησας νό-

σοι

τὸ πνεῦμα καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα ἀμέμπτως ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τηρηθείη. τὸ πνεῦμα τί φησιν ἐνταῦθα; τὸ χάρισμα. ἂν μὲν γὰρ ἔχοντες λαμπρὰς τὰς λαμπάδας ἀπέλθωμεν, εἰσελευσόμεθα εἰς τὸν νυμφῶνα· ἂν δὲ ἐσβεσμένας, οὐκέτι. διὰ τοῦτό φησιν, ὁλόκληρον ὑμῶν τὸ πνεῦμα. ἐκείνου γὰρ μένοντος ἀκεραίου, καὶ τοῦτο μένει. καὶ ἡ ψυχή φησι, καὶ τὸ σῶμα. οὔτε γὰρ αὐτή τι πονηρὸν δέχεται, οὔτ' ἐκεῖνο.

24 Πιστὸς ὁ καλῶν ὑμᾶς, ὃς καὶ ποιήσει. Ὅρα τὴν ταπεινοφροσύνην. ἐπειδὴ γὰρ ηὔξατο, μὴ νομίσητε, φησίν, ὅτι ἀπὸ τῶν ἐμῶν εὐχῶν τοῦτο γίνεται, ἀλλ' ἐκ τῆς προθέσεως, ἧς ὑμᾶς ἐκάλεσεν. εἰ γὰρ εἰς σωτηρίαν ἐκάλεσεν, ἀληθὴς δέ ἐστι, πάντως σώσει βουλόμενος.

χ. βουλόμενος.

25 Ἀδελφοί, προσεύχεσθε καὶ περὶ ἡμῶν. Βαβαί, πόση ταπεινοφροσύνη; ἀλλ' ἐκεῖνος μὲν ταπεινοφροσύνης ἕνεκεν τοῦτο ἔλεγεν, ἡμεῖς δὲ οὐ ταπεινοφροσύνης ἕνεκεν, ἀλλ' ὠφελείας πολλῆς, καὶ μέγα τι παρ' ὑμῶν κερδᾶναι βουλόμενοι, λέγομεν, προσεύχεσθε καὶ περὶ ἡμῶν. εἰ γὰρ καὶ μηδὲν ὠφελῆσθε παρ' ἡμῶν μέγα, μηδὲ θαυμαστόν, ἀλλ' ὅμως διὰ τὴν τιμήν, διὰ τὴν προσηγορίαν. ἔχει τις παῖδας ποτέ, καὶ ὅμως εἰ καὶ μηδὲν ὠφελεῖται παρ' αὐτοῦ, ἀλλ' ἐπειδὴ πατὴρ γέγονε, τοῦτο ἴσως προβάλλεται λέγων, μὴ ἐν ἡμέρᾳ ἐκείνῃ ἐκλήθη πατήρ. διὰ τοῦτο καὶ ἡμεῖς λέγομεν, προσεύχεσθε καὶ περὶ ἡμῶν. οὐχ ἁπλῶς τοῦτο λέγω, ἀλλὰ πάνυ ἐφιέμενος τῶν ὑμετέρων εὐχῶν. εἰ γὰρ ὑπεύθυνος ἐγενόμην τῆς πάντων ὑμῶν προστασίας, καὶ λόγους ὑπέχειν μέλλω, πολλῷ μᾶλλον ὀφείλω τῆς παρ' ὑμῶν ἀπολαύειν εὐχῆς. αἱ εὐθῦναί μοι μείζους ἐγένοντο δι' ὑμᾶς, οὐκοῦν καὶ ἡ βοήθεια πλείων παρ' ὑμῶν.

26 Ἀσπάσασθε τοὺς ἀδελφοὺς πάντας ἐν ἁγίῳ φιλήματι.

Βαβαὶ τῆς θερμότητος, βαβαὶ τῆς διανοίας· ἐπειδὴ φιλήματι αὐτοὺς ἀσπάσασθαι οὐκ ἠδύνατο ἀπών, δι' ἑτέρων αὐτοὺς ἀσπάζεται· οὕτω καὶ ἡμεῖς ποιοῦμεν, ὡς ὅταν λέγωμεν, φίλησον αὐτὸν ἀντ' ἐμοῦ. οὕτω καὶ αὐτοὶ κατέχετε τὸ πῦρ τῆς ἀγάπης· οὐ γὰρ ἀνέχεται διαστημάτων, ἀλλὰ καὶ διὰ μέσου τῶν ὁδῶν ἑαυτὴν ἐκτείνει, καὶ πάντα χοροῦ πάρεστι.

27 Ὁρκίζω ὑμᾶς τὸν Κύριον, ἀναγνωσθῆναι τὴν ἐπιστολὴν πᾶσι τοῖς ἁγίοις ἀδελφοῖς. Καὶ τοῦτο πόθου μάλιστα, οὐ διδασκαλίας τοσοῦτον; ἵνα κἀκείνοις ὦ προσδιαλεγόμενος, φησίν.

28 Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ' ὑμῶν. ἀμήν. Καὶ οὐχ ἁπλῶς ἐπιτάττει, ἀλλ' ὁρκίζων, ἀπὸ θερμῆς διανοίας καὶ τοῦτο ποιῶν· ἵνα κἂν αὐτοὶ καταφρονήσωσι, διὰ τὸν ὁρκισμὸν πράξωσι τὸ ἐπιταχθέν.

Μέγαν γὰρ εἶχον τότε φόβον τοῦ πράγματος, νυνὶ δὲ καὶ τοῦτο πεπάτηται. καὶ ἔστι πολλάκις παῖς μαστιζόμενος, καὶ ὁρκίζων τὸν Θεὸν καὶ τὸν Χριστὸν αὐτοῦ, καὶ οὕτω χριστιανὸς ἀποθανεῖν, καὶ οὐδεὶς προσέχει, οὐδεὶς ἐπιστρέφεται. ἀν δὲ τὸν υἱὸν τὸν ἴδιον ὁρκίσῃ, ἀφίεως καὶ ἄκων, καὶ τρίζων τοὺς ὀδόντας, ὑφίησί τι τοῦ θυμοῦ. ἄλλος πάλιν ἑλκόμενος, ἀπαγόμενος ἐπὶ μέσης τῆς ἀγορᾶς, καὶ ἑλλήνων, καὶ Ἰουδαίων παρόντων, ὁρκοῖ τὸν ἀπάγοντα ὅρκους φρικωδεστάτους, καὶ οὐδεὶς προσέχει. τί οὐκ ἐροῦσιν οἱ ἕλληνες, ὅταν πιστὸς τὸν πιστὸν καὶ χριστιανὸν ὁρκοῖ, καὶ μηδεὶς γίνηται λόγος, ἀλλὰ καὶ καταφρονῶμεν; βούλεσθε ὑμῖν διηγήσομαί τι πρᾶγμα, ὅπερ καὶ αὐτὸς ἀκήκοα; οὐδὲ γὰρ πλάττων λέγω, ἀλλὰ παρὰ προσώπου ἀξιοπίστου ἀκηκοώς. παιδίσκη τις ἀνδρὶ πονηρῷ συνεζευγμένη, μιαρῷ, δραπέτῃ, αὕτη, πολλὰ τοῦ ἀνδρὸς ἡμαρτηκότος, καὶ μέλλοντος ἀπεμπολᾶσθαι παρὰ τῆς δεσποίνης· καὶ γὰρ μείζονα συγγνώμης ἦν τὰ ἁμαρτήματα, καὶ χήρα ἦν ἡ γυνή, καὶ κολάζειν αὐτὸν λυμαινόμενον αὐτῆς τὴν οἰκίαν οὐκ ἴσχυεν, ἀλλ' ἔγνω ἀποδόσθαι. εἶτα ἀνόσιον εἶναι νομίζουσα ἡ δέσποινα διασπάσαι τῆς γυναικὸς τὸν ἄνδρα, κατιδοῦσα καὶ χρησίμην οὖσαν τὴν κόρην, ὑπὲρ τῆς ἀπαλ-

χ. τρίζων

χ. παιδίσκην,

ΗΘΙΚΟΝ

μα· ἂν δὲ ἀνοίξῃς, ἀνάπτεται γάρ. μὴ τοίνυν αὐτὸ σβεννύωμεν. ἔστι δὲ πολλάκις καὶ μηδενὸς ἐπικειμένου* σβεσθῆναι τὴν φλόγα. ὅταν τὸ ἔλαιον ἐκλίπῃ, ὅταν ἐλεημοσύνην μὴ ποιῶμεν, σβέννυται τὸ πνεῦμα. καὶ γὰρ ἀπὸ ἐλεημοσύνης τῆς τοῦ Θεοῦ ἦλθε πρὸς σέ. εἶτα τοὺς καρποὺς τούτους ὁρᾷ μὴ ὄντα παρὰ σοί, καὶ ἀφίσταται. οὐ μένει γὰρ παρὰ ψυχῇ ἀνελεήμονι. σβεσθέντος δὲ τοῦ πνεύματος, τὰ λοιπὰ ἴστε ὅσοι ἐν ἀσελήνῳ νυκτὶ ἐβαδίσατε. εἰ δὲ τὴν ἀπὸ γῆς εἰς γῆν ὁδὸν βαδίζειν δυσχερὲς ἐν νυκτί, τὴν ἀπὸ γῆς εἰς οὐρανὸν φέρουσαν πῶς ἀσφαλές; οὐκ ἴστε πόσοι δαίμονες ἐν τῷ διαστήματι τούτῳ; πόσα θηρία; πόσα πνευματικὰ τῆς πονηρίας; ἂν μὲν οὖν ἐκεῖνο τὸ φῶς ἔχωμεν, οὐδὲν ἡμᾶς βλάψαι δυνήσονται· ἂν δὲ σβέσωμεν αὐτό, ταχέως ἡμᾶς ἁλίσκουσι, ταχέως πάντα τὰ ἡμῶν ἐκφορήσουσιν· ἐπεὶ καὶ οἱ λῃσταὶ πρότερον τὴν λαμπάδα σβέσαντες, τότε λῃστεύουσιν. ἐκεῖνοι μὲν γὰρ ὁρῶσιν ἐν τῷ σκότει τούτῳ, ἐπειδὴ τὰ τοῦ σκότους πράττουσιν· ἡμεῖς δὲ ἀήθεις ἐσμὲν ἐκείνου τοῦ φωτός. μὴ τοίνυν σβέσωμεν αὐτό. πᾶσα πονηρὰ πρᾶξις σβέννυσι τοῦτο τὸ φῶς, καὶ λοιδορία, καὶ ὕβρεις, καὶ ὅπερ ἂν εἴποις. καθάπερ γὰρ ἐπὶ τοῦ πυρός, πάντα τὰ ἀλλότρια αὐτοῦ, ἀναιρετικὰ αὐτοῦ ἐστιν· ἐκεῖνο δὲ ἀνάπτει αὐτό, ὅπερ αὐτοῦ συγγενές ἐστιν· οὕτω καὶ ἐπὶ τοῦ φωτός. εἴ τι ξηρόν, εἴ τι θερμόν, εἴ τι διάπυρον, ἀνάπτει τὴν φλόγα τοῦ πνεύματος. μηδὲν οὖν ψυχρόν, μηδὲν ὑγρὸν ἐπιφέρωμεν. ταῦτα γὰρ τούτου ἀναιρετικά. ἔστι δὲ καὶ ἄλλη ἐξήγησις. πολλοὶ παρ' αὐτοῖς, οἱ μὲν προεφήτευον ἀληθῶς, οἱ δὲ ἐψεύδοντο. τοῦτο καὶ ἐν τῇ πρὸς Κορινθίους φησί· Διακρίσεις πνευμάτων διὰ τοῦτο δεδωκέναι. μυριάκις γὰρ ὢν ὁ διάβολος ἠθέλησε διὰ τοῦ χαρίσματος τούτου τὸ πᾶν ἀνατρέψαι τῆς ἐκκλησίας. ἐπειδὴ γὰρ ἀμφότεροι περὶ μελλόντων προύλεγον, καὶ ὁ δαίμων, καὶ τὸ πνεῦμα, ἀλλ' ὁ μὲν ψευδόμενος, τὸ δὲ ἀληθεῦον· καὶ οὐδαμόθεν ἦν ἑκατέρου τεκμήριον λαβεῖν, ἀλλ' ἀνεμποδίστως ἑκάτεροι ἔλεγον, ὡς ὁ Ἱερεμίας καὶ ὁ Ἰεζεκιήλ, ἀλλ' ἐλθόντος τοῦ καιροῦ ἠλέγχθησαν, ἔδωκε καὶ διακρίσεις πνευμάτων. ἐπεὶ οὖν καὶ τότε παρὰ Θεσσαλονικεῦσι πολλοὶ προεφήτευον, ὡς καὶ αἰνίττεται λέγων, Μὴ θροεῖσθε μήτε διὰ λόγου, μήτε δι' ἐπιστολῆς, ὡς δι' ἡμῶν, ὡς ὅτι ἐνέστηκεν ἡ ἡμέρα τοῦ Κυρίου. εἰπών, τὸ πνεῦμα μὴ σβέννυτε, προσέθηκεν εὐκαίρως καὶ τὰ ἑξῆς, προφητείας, λέγων, μὴ ἐξουθενεῖτε. ὃ οὖν ἐνταῦθα δηλῶσαι βούλεται, τοῦτό ἐστι· μὴ ἐπειδή τινες ψευδοπροφῆται παρ' ὑμῖν εἰσι, δι' ἐκείνους καὶ τούτους κωλύσητε, καὶ ἀποστραφῆτε αὐτούς· [μὴ σβέννυτε αὐτούς,] τουτέστι, προφητείας μὴ ἐξουθενεῖτε. ὁρᾷς ὅτι τοῦτό ἐστιν ὅ φησι; πάντα δοκιμάζετε. ἐπειδὴ εἶπε, προφητείας μὴ ἐξουθενεῖτε, ἵνα μὴ νομίσωσιν ὅτι πᾶσιν ἀνέῳξε τὸ βῆμα, πάντα, φησί, δοκιμάζετε, τουτέστι, τὰς ὄντως προφητείας, τὸ δὲ καλὸν κατέχετε. ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπέχεσθε· μὴ τούτου, ἢ ἐκείνου, ἀλλ' ἀπὸ παντός· καὶ τὰ ψευδῆ, καὶ τὰ ἀληθῆ ἵνα μετὰ δοκιμασίας διακρίνητε, καὶ ἐκείνων ἀπέχησθε, καὶ τούτων ἔχησθε. οὕτω γὰρ κἀκείνων σφοδρὸν τὸ μῖσος ἔσται, καὶ τούτων ἡ ἀγάπη γένηται, ὅταν μὴ ἁπλῶς, μηδὲ ἀνεξετάστως, ἀλλὰ μετὰ ἀκριβείας ἅπαντα πράττωμεν.

23 Αὐτὸς δὲ ὁ Θεὸς τῆς εἰρήνης ἁγιάσαι ὑμᾶς ὁλοτελεῖς, καὶ ὁλόκληρον ὑμῶν τὸ πνεῦμα καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα ἀμέμπτως ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τηρηθείη. Ὅρα διδασκάλου φιλοστοργίαν. μετὰ τὴν παραίνεσιν, καὶ εὐχὴν ἐπάγει. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἐν τοῖς γράμμασι. δεῖ γὰρ καὶ συμβουλῆς, καὶ εὐχῆς. διὰ τοῦτο καὶ ἡμεῖς πρότερον συμβουλεύοντες, τότε τὰς ὑπὲρ ὑμῶν εὐχὰς ποιούμεθα· καὶ τοῦτο ἴσασιν οἱ μεμυημένοι. ἀλλ' ὁ μὲν Παῦλος εἰκότως τοῦτο ἐποίει, πολλὴν πρὸς τὸν Θεὸν τὴν παρρησίαν ἔχων· ἡμεῖς δὲ κατῃσχυμμένοι καὶ ἀπαρρησίαστοι ὄντες, ἀλλ' ἐπειδὴ εἰς τοῦτο ἐτάχθημεν, πράττομεν αὐτό, ἀνάξιοι μὲν ὄντες καὶ παρεστάναι, καὶ τὸν ἐσχάτων μαθητῶν τῶν τόπον ἐπέχειν. ἐπειδὴ δὲ καὶ δι' ἀναξίων ἡ χάρις ἐνεργεῖ, οὐ δι' αὐτούς, ἀλλὰ διὰ τοὺς μέλλοντας ὠφελεῖσθαι τὰ παρ' ἑαυτῶν εἰσφέρομεν. ἁγιάσαι ὑμᾶς, φησίν, ὁλοτελεῖς, καὶ ὁλόκληρον ὑμῶν

τὸ

Marginal notes: * πιεζομένου — γρ. αἰδήσουσι, γρ. ἐκφέρουσι — α. Κορ. ιβ. ι. — β Θεσ. β. β. — γρ. τοῦτο λέγει ἐνταῦθα· τουτέστι, μὴ — γρ. ἁγιάσει

Digitized by Google

ξει ὅτι δέδοικε τὸ ἠδικημένοι. οὕτω καὶ ἐπὶ τῶν χρημάτων, ὁ μὲν λάθρα λαβὼν, ταύτῃ τετίμηκε, τὸ λάθρα λαβεῖν· ὁ δὲ φανερῶς καὶ δημοσίᾳ, μετὰ τῆς ζημίας καὶ αἰσχύνην ἐπήγαγε. παυσώμεθα οὖν τὰ ἑτέρων ἁρπάζοντες, καὶ πένητες, καὶ πλούσιοι. οὐ γὰρ πρὸς τοὺς πλουσίους μοι μόνον τοῦτο ὁ λόγος, ἀλλὰ καὶ πρὸς τοὺς πένητας. καὶ γὰρ καὶ αὐτοὶ ἁρπάζουσι τοὺς αὐτῶν πενεστέρους, καὶ χειροτέχναι τῶν εὐπορώτεροι καὶ δυνατώτεροι τοὺς ἀπορωτέρους καὶ πενεστέρους ἀποπωλοῦσι, κάπηλοι καπήλους, καὶ πάντες τῶν ἐπὶ τῆς ἀγορᾶς. ὥστε πάντοθεν βούλομαι τὴν ἀδικίαν ἐξελεῖν. οὐ γὰρ ἐν τῷ μέτρῳ τῶν ἁρπαζομένων καὶ κλεπτομένων, ἀλλ' ἐν τῇ προαιρέσει τοῦ κλέπτοντος τὸ ἀδίκημα ἵσταται. ὅτι δὲ οὗτοι μᾶλλόν εἰσι κλέπται καὶ πλεονέκται, τῶν μηδὲ τῶν μικρῶν καταφρονοῦντες, οἶδα καὶ μέμνημαι πρὸς ὑμᾶς εἰρηκὼς, εἴγε καὶ ὑμεῖς μέμνησθε. πλὴν ἀλλὰ μηδὲν ἀκριβολογώμεθα· ἔστωσαν ὅμοιοι τοῖς πλουσίοις καὶ αὐτοί. παιδεύσωμεν τὴν διάνοιαν λοιπὸν τῶν μειζόνων μὴ ἐπιθυμεῖν, τοῦ πλείονος μὴ ὀρέγεσθαι. καὶ ἐν μὲν τοῖς οὐρανοῖς μηδέποτε ὅρον ἐχέτω ἡ ἐπιθυμία τοῦ πλείονος, ἀλλ' ἀεὶ τοῦ πλείονος ἕκαστος ὀρεγέσθω· ἐπὶ δὲ τῆς γῆς τῆς χρείας ἕκαστος ἔσω καὶ τῆς αὐταρκείας, καὶ μηδὲν πλέον ζητείτω, ἵν' οὕτω δυνησώμεθα τῶν ὄντως ἀγαθῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. ια. 19 ΤΟ ΠΝΕΥΜΑ ΜΗ ΣΒΕΝΝΥΤΕ· 20 ΠΡΟφητείας μὴ ἐξουθενεῖτε· 21 Πάντα δὲ δοκιμάζετε· τὸ καλὸν κατέχετε· 22 Ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπέχεσθε.

Ἀχλύς τις παχεῖα καὶ ζόφος καὶ νεφέλη κατακέχυται τῆς γῆς ἁπάσης. καὶ τοῦτο δηλῶν ὁ ἀπόστολος ἔλεγεν· Ἦμεν γάρ ποτε σκότος. καὶ πάλιν· Ὑμεῖς, ἀδελφοὶ, οὐκ ἐστὲ ἐν σκότει, ἵνα ἡ ἡμέρα ὑμᾶς ὡς κλέπτης καταλάβῃ. ἐπεὶ οὖν νὺξ ἐστιν, ὡς εἴπομεν, ἀσέληνος, καὶ ἐν ταύτῃ τῇ νυκτὶ βαδίζομεν, ἔδωκεν ἡμῖν λαμπάδα φαιδρὰν ὁ Θεὸς, τοῦ πνεύματος τοῦ ἁγίου τὴν χάριν ἀνάψας ἐν ταῖς ἡμετέραις ψυχαῖς. ἀλλὰ τοῦτο τὸ φῶς τῶν μὲν δεξάμενοι λαμπρότερον εἰργάσαντο καὶ φαιδρὸν, οἷον ὡς Παῦλος, ὡς Πέτρος, ὡς τῶν ἅγιοι πάντες ἐκεῖνοι· τῶν δὲ καὶ ἔσβεσαν, ὡς αἱ πέντε παρθένοι, ὡς ἐκεῖνοι τῶν περὶ τὴν πίστιν ναυαγήσαντες, ὡς ὁ ἐν Κορίνθῳ πεπορνευκὼς, ὡς Γαλάται μεθιστάμενοι. διὰ τοῦτο ὁ Παῦλος νῦν φησι, τὸ πνεῦμα μὴ σβέννυτε, τουτέστι, τὸ χάρισμα. οὕτω γὰρ αὐτῷ καλεῖν ἔθος τὸ χάρισμα τοῦ πνεύματος. σβέννυσι δὲ αὐτὸ βίος ἀκάθαρτος. καθάπερ γάρ τις ἐπὶ τοῦ λυχναίου τούτου φωτὸς ὕδωρ κατασκεδάσας, ἢ χοῦν, ἔσβεσε τὸ φῶς, καὶ εἰ μηδὲν τούτων, ἀλλά γε τὸ ἔλαιον ἐξελὼν, οὕτω καὶ ἐπὶ τοῦ χαρίσματος. ἄν τε γὰρ γήϊνα, καὶ τῶν διαρρεόντων πραγμάτων κατασκεδάσῃς φροντίδας, ἔσβεσας τὸ πνεῦμα· ἄν τε σὺ μηδὲν ἐργάσῃ τοιοῦτον, ἑτέρωθεν δέ ποθεν πειρασμὸς ἐπελθὼν προσβάλῃ σφοδρῶς, καθάπερ τι πνεῦμα, καὶ μὴ σφοδρὰ ᾖ ἡ φλὸξ, ἢ πολὺ τὸ ἔλαιον ἔχουσα, ἢ τὴν ὀπὴν μὴ ἐμφράξῃς, ἢ τὴν θύραν μὴ προσκλείσῃς, πάντα ἀπώλετο. τίς δέ ἐστιν ἡ ὀπή; ὥσπερ ἐπὶ τοῦ λύχνου, οὕτω καὶ ἐφ' ἡμῶν, ὀπή ἐστιν ὀφθαλμὸς καὶ ἀκοή. μὴ ἀφῇς ταύταις προσπίπτειν πνεῦμα σφοδρὸν πονηρίας, ἐπεὶ ἔσβεσε τὸν λύχνον, ἀλλ' ἀπόφραξον τῷ φόβῳ τοῦ Θεοῦ. θύρα τὸ στόμα ἐστί· κλεῖσον, προσκλεῖσον, ἵνα καὶ τὸ φῶς περιέχῃ, καὶ ἀποκρούηται τὴν ἔξωθεν προσβολήν. οἷον, ὕβρισέ τις; ἐλοιδόρησε; σὺ κλεῖσον τὸ στόμα. ἂν γὰρ ἀνοίξῃς, ἐρρίπισας τὸν ἄνεμον. οὐχ ὁρᾷς ἐν ταῖς οἰκίαις, ὅταν κατ' ἀντικρὺ καὶ ἐπ' εὐθείας δύο θύραι ἑστήκωσι, καὶ σφοδρὸς ἄνεμος ᾖ, πῶς ἂν τὴν ἑτέραν κλείσῃς, καὶ ἀντίπνοια μὴ γένηται, οὐδὲν ἰσχύσει ὁ ἄνεμος, ἀλλὰ τὸ πολὺ τῆς ἰσχύος ἀποτέμνεται; οὕτω καὶ νῦν. δύο εἰσὶ θύραι, τὸ στόμα τὸ σὸν, καὶ τὸ τοῦ ὑβρίζοντός σε, καὶ ἐμπαροινοῦντος. ἂν ἀποκλείσῃς τὸ σὸν, καὶ μὴ δῷς ἀντίπνοιαν, ἔσβεσας ὅλον τὸ πνεῦμα·

Margin notes: χ. ὅτι δὲ — Ἐφ. ε. η. — α Θεσ. ε. δ. — α Τιμ. α. ιθ. — α Κορ. ε. α. — Γαλ. γ. α. — χ. πνεῦμα τι — χ. ἑστήκωσι. — χ. ἰσχύει

Digitized by Google

ἔδωκε τοὺς παῖδας, ἵνα ἁρπάζωμεν τὰ ἑτέρων. ὅρα μὴ τῷ Θεῷ προξενήσῃς τοῦτο λέγων. Εἰ γὰρ τοῦτο λέγεις, ὅτι αὐτοί σοι τῆς ἁρπαγῆς γίνονται αἴτιοι καὶ τοῦ χρηματισμοῦ, δέδοικα μὴ αὐτῶν ἀποστερηθῇς, ὡς βλαπτόντων καὶ ἐπιβουλευόντων. ὁ Θεός σοι τοὺς παῖδας ἔδωκεν, ἵνα σε γηροκομῶσιν, ἵνα τὴν ἀρετὴν μανθάνωσι παρὰ σοῦ. διὰ γὰρ τοῦτο δὴ τὸ τῶν ἀνθρώπων γένος οὕτως ἠθέλησε συνεστάναι, δύο τὰ μέγιστα κατασκευάζων, ἓν μὲν, διδασκάλους ἐφιστῶν τοὺς πατέρας, ἕτερον δὲ, πολλὴν ἀγάπην * συντήκων. Εἰ γὰρ ἁπλῶς ἔμελλον οἱ ἄνθρωποι γίνεσθαι, οὐδεὶς ἂν πρὸς οὐδένα σχέσιν εἶχεν. Εἰ γὰρ νῦν πατέρων ὄντων καὶ παίδων καὶ ἐκγόνων, πολλοὶ πολλῶν οὐ φροντίζουσι, πολλῷ μᾶλλον τότε. διὰ τοῦτό σοι παῖδας δέδωκεν ὁ Θεός. μὴ τοίνυν κατηγόρει τῶν παίδων. Εἰ δὲ οἱ παῖδας ἔχοντες οὐδεμίαν ἔχουσιν ἀπολογίαν, οἱ μὴ ἔχοντες, καὶ κοπτόμενοι περὶ τὴν τοῦ πλούτου συλλογὴν, ποῖον ἂν εἴποιεν λόγον; ἀλλ' ἔστι τις καὶ αὐτοῖς λόγος πάσης ἀπολογίας ἀπεστερημένος. τίς δὴ οὗτός ἐστιν; ἵνα ἀντὶ τῶν παίδων, φησὶν, ἔχωμεν τὸν πλοῦτον ὑπόμνημα. ὄντως γέλως πολύς. ἀντὶ τῶν παίδων, φησὶν, ἡ οἰκία μνήμη ἀθάνατος ἔσται τῆς δόξης τῆς ἐμῆς. οὐ τῆς δόξης σου, ἄνθρωπε, ἀλλὰ τῆς πλεονεξίας σου ἔσται μνήμη. ἢ οὐχ ὁρᾷς νῦν πῶς πολλοὶ παριόντες τὰς λαμπρὰς οἰκίας τοιαῦτα διαλέγονται πρὸς ἀλλήλους· πόσα ὁ δεῖνα ἐπλεονέκτησε, πόσα ἥρπασεν, ἵνα ταύτην οἰκοδομήσῃ τὴν οἰκίαν; καὶ νῦν ἐκεῖνος μὲν γέγονε τέφρα καὶ κόνις, αὕτη δὲ εἰς ἑτέρων κλῆρον ἦλθεν. οὐ τῆς δόξης σου τοίνυν καταλιμπάνεις μνήμην, ἀλλὰ τῆς πλεονεξίας. καὶ τὸ μὲν σῶμά σου κέκρυπται τῇ γῇ, τῆς δὲ πλεονεξίας μνήμην λαθεῖν πλήθει τῶν χρόνων δυναμένην οὐκ ἀφίης, ἀλλ' ἀνακρούεσθαι καὶ ἀνασκάπτεσθαι ποιεῖς διὰ τῆς οἰκίας. ἕως γὰρ ἂν αὕτη ἑστήκῃ, τὴν ἐπωνυμίαν ἔχουσα τὴν σὴν, καὶ τοῦ δεῖνος λεγομένη, πάντως ἀνάγκη καὶ τὰ πάντων ἀνοιχθῆναι στόματα κατὰ σοῦ. ὁρᾷς ὅτι βέλτιον μηδὲν ἔχειν, ἢ ταύτην ὑπομένειν τὴν κατηγορίαν; καὶ ταῦτα μὲν ἐν τούτοις. ἐκεῖ δὲ τί ποιήσομεν, εἰπέ μοι, τοσούτων μὲν ἐνταῦθα γινόμενοι κύριοι, οὐδενὶ δὲ τῶν ὄντων μεταδόντες, ἢ σφόδρα ὀλίγοις; πῶς τὰς πλεονεξίας ἀποδυσόμεθα; ὁ γὰρ βουλόμενος "τὴν πλεονεξίαν ἀποδύσασθαι, οὐκ ὀλίγα ἀπὸ πολλῶν δίδωσιν, ἀλλὰ πολλαπλάσια τῶν ἁρπαγέντων, καὶ ἵσταται καὶ ἁρπάζων. ἄκουσον ὁ Ζακχαῖος τί λέγει· Καὶ ὅσων ἥρπασα, τετραπλάσια ἀποδίδωμι. σὺ δὲ ἁρπάζων μυρία τάλαντα, ἂν ὀλίγας δῷς δραχμὰς, καὶ οὕτω δὲ μόλις, τὸ πᾶν ἀποδεδωκέναι νομίζεις, καὶ ὡς πλεῖστα δεδωκὼς διάκεισαι· καίτοι δεῖ αὐτά τε ἀποδοῦναι ἐκεῖνα, καὶ ἐκ τῶν οἴκοθεν προσθεῖναι ἕτερα. καθάπερ γὰρ ὁ κλέπτης οὐκ ἐκεῖνα ἀποδοὺς μόνα ἀπολελόγηται, ἀλλὰ πολλάκις μὲν καὶ τὴν ψυχὴν προσέθηκε, πολλάκις δὲ πολλαπλάσια δοὺς "διελύσατο, οὕτω καὶ ὁ πλεονέκτης. καὶ γὰρ καὶ ὁ πλεονέκτης κλέπτης ἐστὶ, καὶ λῃστὴς ἐκείνου πολλῷ χαλεπώτερος, ὅσῳ καὶ τυραννικώτερος. ἐκεῖνος μὲν γὰρ καὶ τῷ κρύπτεσθαι, καὶ τῷ ἐν νυκτὶ ἐπιχειρεῖν, πολὺ τοῦ τολμήματος ὑποτέμνεται, ὡσανεὶ αἰσχυνόμενος, καὶ δεδοικὼς τὸ ἁμάρτημα· οὗτος δὲ ἀπηναισχυντήσας, γυμνῇ τῇ κεφαλῇ κατὰ μέσην ἀγορὰν ἁρπάζει τὰ πάντων, κλέπτης τε ὁμοῦ καὶ τύραννος ὤν. οὐ διορύττει τοίχους, οὐδὲ σβεννύει λαμπάδα, οὐδὲ κιβώτιον διοίγει, οὐδὲ σήμαντρα διαστρέφει, ἀλλὰ τί; τὰ τούτων νεανικώτερα ποιεῖ, ὁρώντων τῶν ἀδικουμένων, διὰ τῆς θύρας ἐκβάλλει, μετὰ παρρησίας πάντα διοίγει, αὐτοὺς ἐκείνους ἀναγκάζει τὰ αὐτῶν ἐκθέσθαι. τοσαύτη τῆς βίας ἡ ὑπερβολή. οὗτος ἐκείνου πολλῷ μιαρώτερος, ὅσῳ καὶ ἀναισχυντότερος καὶ τυραννικώτερος. ὁ μὲν γὰρ δόλῳ τι παθὼν, ἀλγεῖ μὲν, πλὴν ἀλλ' ἔχει παραμυθίαν οὐ μικρὰν, τὸ καὶ φοβηθῆναι αὐτὸν ἐκεῖνον τὸν ἀδικήσαντα, ὁ δὲ μετὰ τοῦ κακῶς παθεῖν καὶ καταφρονούμενος, οὐδὲ ἐλέγχειν τὴν βίαν δυνήσεται. μείζων γὰρ ὁ γέλως. Εἰπέ μοι, εἴ τις γυναῖκα ἐμοίχευσε λαθὼν, ἕτερος δὲ ὁρῶντος τοῦ ἀνδρὸς τοῦτο εἰργάσατο, τίς μᾶλλον ἐλύπησεν ἂν, καὶ δάκοι τὸν ἰσχυρῶς; οὐχ οὗτος; ὁ μὲν γὰρ μετὰ τοῦ κακῶς ποιῆσαι καὶ διέπτυσεν· ὁ δὲ, εἰ μηδὲν ἕτερον, ἐδεί-

ξει

γρ. τέκνων
* ἐπειδὰν
γρ. ἐγγόνων
γρ. ἔχειν
γρ. τὰς πλεονεξίας
Λουκ. ιθ. η.
γρ. διελύετο

ρᾷς, ὅτι τὸ κακῶς παθεῖν, ἐν τῷ κακῶς ποιῆσαί ἐστι, τὸ δὲ εὖ παθεῖν ἐν τῷ κακῶς παθεῖν; εἰπὲ γάρ μοι· εἴ τις λοιδορεῖτο τοῖς ἄρχουσιν, εἴ τις ὑβρίζοι τὸν κρατοῦντα, τίνα ἀδικεῖ; ἑαυτὸν, ἢ ἐκείνους; δῆλον ὅτι ἑαυτόν. Εἶτα ἄρχοντα μὲν ὁ ὑβρίζων, οὐκ ἐκεῖνον ὑβρίζει, ἀλλ' ἑαυτόν, ὁ δὲ τὸν ἄνθρωπον ὑβρίζων, δι' ἐκείνου τὸν Χριστὸν οὐχ ὑβρίζει; οὐδαμῶς, φησί. τί λέγεις; ὁ δὲ τὰς βασιλέως εἰκόνας λιθάζων, τίνα λιθάζει; οὐχ ἑαυτόν; Εἶτα εἰ ὁ εἰκόνα μὲν βασιλέως ἐπιγείου λιθάζων, ἑαυτὸν καταλύει, ὁ δὲ Χριστοῦ τὴν εἰκόνα ὑβρίζων (ἄνθρωπος γὰρ εἰκὼν Θεοῦ) οὐχ ἑαυτὸν ἀδικεῖ; μέχρι πότε χρημάτων ἐρῶμεν; οὐ παυσόμεθα γὰρ αὐτῶν καταβοῶν. ταῦτα γὰρ πάντων αἴτια τῶν κακῶν. μέχρι πότε οὐ λαμβανόμεθα κόρον τῆς ἀπλήστου ταύτης ἐπιθυμίας; τί ἔχει καλὸν τὸ χρυσίον; ἐκπέπληγμαι ἐπὶ τῷ πράγματι. οὕτως γοητεία τίς ἐστι τὸ πρᾶγμα, χρυσὸν, καὶ ἄργυρον οὕτω τιμᾶσθαι παρ' ἡμῖν. τὴν μὲν οὖν ψυχὴν ἡμῶν οὐδεὶς ἡμῖν λόγος, αἱ ψυχαὶ δὲ εἰκόνων πολλὴ ἡ θεραπεία. πόθεν ἐπεισῆλθε τὸ νόσημα τοῦτο τῇ οἰκουμένῃ; τίς ἐξολοθρεῦσαι αὐτὸ δυνήσεται; ποῖος ἐκκόψαι λόγος τὸ χαλεπὸν τοῦτο θηρίον, καὶ πανωλεθρίᾳ διαφθεῖραι; ἐνέσπαρται ταῖς τῶν ἀνθρώπων διανοίαις ἡ ἐπιθυμία, καὶ τῶν δοκούντων εἶναι ἐν εὐλαβείᾳ. αἰσχυνώμεθα ἐπὶ τοῖς εὐαγγελικοῖς παραγγέλμασι. ῥήματα κεῖται ἐν τῇ γραφῇ μόνον, ἐπὶ δὲ τῶν ἔργων οὐδαμοῦ δείκνυνται. ἀλλὰ τίς ὁ εὐπρόσωπος τῶν πολλῶν λόγος; παιδία ἔχω, φησί, καὶ αὐτὸς δέδοικα μήποτε εἰς ἀνάγκην καταστῶ λιμοῦ καὶ ἐνδείας, μήποτε ἑτέρων δεηθῶ. αἰσχύνομαι ἐπαιτεῖν. διὰ τοῦτο οὖν ἄλλους ποιεῖς ἐπαιτεῖν; οὐ δύναμαι, φησι, πεινῆν. διὰ τοῦτο οὖν ἑτέρους περιβάλλεις λιμῷ; οἶδας ὅσον δεινὸν τὸ ἐπαιτεῖν; ὅσον τῷ λιμῷ φθείρεσθαι; φεῖσαι καὶ τῶν ἀδελφῶν τῶν σῶν. αἰσχύνῃ πεινῆν, εἰπέ μοι, ἁρπάζειν δὲ οὐκ αἰσχύνῃ; δέδοικας λιμῷ φθείρεσθαι; ἑτέρους δὲ φθείρειν οὐ δέδοικας; καίτοι τὸ μὲν πεινῆν, οὐδὲ αἰσχύνην ἔχει, οὐδὲ ἔγκλημα· τὸ δὲ ἑτέροις περιβάλλειν τούτοις, οὐκ αἰσχύνην μόνον, ἀλλὰ καὶ κόλασιν ἐπιφέρει τὴν ἐσχάτην. σκήψεις πάντα ταῦτα, καὶ λῆροι, καὶ φλυαρίαι. ὅτι γὰρ οὐ παίδων ἕνεκεν ταῦτα ποιεῖτε, μαρτυροῦσιν, ὅσοι παῖδας μὲν οὐκ ἔχουσιν, οὐδὲ ἕξουσι, κοπιῶσι δὲ οὕτω καὶ ταλαιπωροῦσι, καὶ πλούτῳ περιβάλλονται, ὅσοι ἂν, εἰ μυρίοις εἶχον καταλεῖψαι παισίν. οὐκ ἔστι παίδων φροντὶς ἡ ποιοῦσα χρηματιστικὸν, ἀλλὰ ψυχῆς νόσος. διὰ τοῦτο καὶ οὐκ ἔχοντες παῖδας πολλοὶ μαίνονται διὰ τὰ χρήματα· ἕτεροι δὲ ἐν πολυπαιδίᾳ ζῶντες, καὶ τῶν ὄντων καταφρονοῦσιν. ἐκεῖνοί σου κατηγορήσουσιν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. εἰ γὰρ ἡ τῶν παίδων ἀνάγκη πρὸς τὴν τῶν χρημάτων ἐβιάζετο συλλογὴν, ἐχρῆν κἀκείνους τὸν αὐτὸν ἔχειν πόθον, τὴν αὐτὴν ἐπιθυμίαν· εἰ δὲ οὐκ ἔχουσιν, οὐκ ἀπὸ τῆς πολυπαιδίας, ἀλλ' ἀπὸ τῆς φιλοχρηματίας μαινόμεθα. καὶ τίνες εἰσί, φησιν, οἱ μετὰ παίδων καταφρονοῦντες χρημάτων; πολλοὶ, καὶ πολλαχοῦ. εἰ δὲ βούλει, καὶ ἐπὶ τῶν παλαιῶν ἐρῶ. οὐχὶ δώδεκα παῖδας εἶχεν ὁ Ἰακώβ; οὐχὶ τὸν δουλεύοντα ἔζη βίον; οὐκ ἠδικεῖτο παρὰ τοῦ κηδεστοῦ; οὐχὶ πολλάκις αὐτὸν ἠδίκησε; μὴ ἠνάγκασεν αὐτὸν ἡ πολυπαιδία βουλεύσασθαί τι τῶν μὴ δεόντων; τί δὲ ὁ Ἀβραάμ; οὐχὶ μετὰ τοῦ Ἰσαὰκ καὶ ἑτέρους πολλοὺς εἶχε παῖδας; τί οὖν; οὐχὶ τοῖς ξένοις τὰ ὄντα ἐκέκτητο; ὁρᾷς, ὅτι οὐ μόνον οὐκ ἠδίκει, ἀλλὰ καὶ τῶν ὄντων παρεχώρει, οὐκ εὖ ποιῶν μόνον, ἀλλὰ καὶ αἱρούμενος ἀδικεῖσθαι παρὰ τοῦ ἀδελφιδοῦ. τοῦ γὰρ εὖ ποιεῖν τὸ φέρειν ἁρπαζομένους διὰ τὸν Θεὸν πολλῷ μεῖζόν ἐστι. διὰ τί; ὅτι τὸ μὲν ψυχῆς ἐστι καρπὸς καὶ προαιρέσεως, ὅθεν καὶ εὐκόλως γίνεται· τοῦτο δὲ ἐπήρεια καὶ βία. καὶ εὐχερέστερον ἄν τις μυρία προοῖτο τάλαντα ἑκὼν, καὶ οὐδὲν ἡγήσεται πεπονθέναι δεινὸν, ἢ πρὸς ὀβολοὺς ἁρπαγεὶς, καὶ παρὰ γνώμην, οἴσει πράως. ὥστε τοῦτο φιλοσοφία μᾶλλον ψυχῆς. καὶ τοῦτο ὁρῶμεν γινόμενον ἐπὶ τοῦ Ἀβραάμ. εἶδε γάρ, φησι, τὴν περίχωρον ὁ Λὼτ, καὶ ἦν ποτιζομένη, ὡς ὁ παράδεισος τοῦ Θεοῦ, καὶ ἐξελέξατο αὐτήν. καὶ οὐδὲν ἐκεῖνος ἀντεῖπεν. ὁρᾷς, ὅτι οὐ μόνον οὐκ ἠδίκει, ἀλλὰ καὶ ἠδικεῖτο; τί κατηγορεῖς τῶν παίδων τῶν σαυτοῦ, ἄνθρωπε; οὐ διὰ τοῦτο ἡμῖν ὁ Θεὸς Γεν. ιγ. ι.

ἔδωκε

γὰρ τούτου τοῦ φαρμάκου ἴσον διδασκάλῳ μάλιστα, οὐδὲν οὕτω τοῖς ἀρχομένοις ἐπιτήδειον. πάντως ἐντρέψαι δύναται, πάντως δυσωπῆσαι καὶ τὸν πάντων ἀγριώτερον καὶ ἀναισχυντότερον.

15 Ὁρᾶτε μή τις κακὸν ἀντὶ κακοῦ τινι ἀποδῷ. Εἰ κακὸν ἀντὶ κακοῦ οὐ χρὴ ἀποδιδόναι, πολλῷ μᾶλλον κακὸν ἀντὶ ἀγαθοῦ· πολλῷ μᾶλλον, μὴ προϋπάρξαντος κακοῦ, * ἀποδοῦναι κακόν. ἀλλ' ὁ δεῖνα, φησὶ, πονηρός ἐστι, καὶ ἐλύπησε, καὶ πολλά με ἠδίκησε. βούλει αὐτὸν ἀμύνασθαι; μὴ ἀνταποδῷς· ἔασον ἀτιμώρητον. ἆρα μέχρι τούτου; οὐδαμῶς. Ἀλλὰ πάντοτε τὸ ἀγαθὸν διώκετε, καὶ εἰς ἀλλήλους, καὶ εἰς πάντας. Αὕτη μείζων ἡ φιλοσοφία, μὴ μόνον κακοῖς μὴ ἀμύνεσθαι τὰ κακὰ, ἀλλὰ ἀγαθοῖς. αὕτη γάρ ἐστιν ὄντως ἄμυνα κἀκείνῳ βλάβην ἔχουσα, καὶ ὠφέλειάν σοι· μᾶλλον δὲ κἀκείνῳ πολλὴν τὴν ὠφέλειαν, ἐὰν θέλῃ. καὶ ἵνα μὴ νομίσῃς ὅτι περὶ τῶν πιστῶν μόνων τοῦτο εἴρηται, διὰ τοῦτο εἶπε, καὶ εἰς ἀλλήλους, καὶ εἰς πάντας.

* ἐν χρ. κ. ταῦτα εἰπὼν, ἆρα ἐπὶ μέχρι τούτου; οὐδαμῶς. ἀλλὰ τί; καὶ πλεῖον ἐπάγει. Ἀλλὰ. κ. ὅτι

16 Πάντοτε χαίρετε. Τοῦτο περὶ τῶν πειρασμῶν τῶν θλίψεων[*] ἐμπιπτόντων. ἀκούετε, ὅσοι πενίᾳ περιπεπτώκατε, ὅσοι λυπηροῖς πράγμασιν· ἀπὸ τούτων γὰρ χαρὰ τίκτεται. ὅταν γὰρ τοιαύτην ἔχωμεν ψυχὴν, ὥστε μηδένα ἀμύνεσθαι, ἀλλὰ πάντας εὐεργετεῖν, πόθεν, εἰπέ μοι, τὸ τῆς λύπης κέντρον παρεισελθεῖν δυνήσεται; ὁ γὰρ οὕτω χαίρων τῷ παθεῖν κακῶς, ὡς καὶ εὐεργεσίαις ἀμύνεσθαι τὸν πεποιηκότα κακῶς, πόθεν δυνήσεται ἀνιαθῆναι λοιπόν; καὶ πῶς οἷόν τε τοῦτο, φησίν; ἂν ἐθέλωμεν, δυνατόν. εἶτα καὶ τὴν ὁδὸν ἔδειξεν.

κ. ἐχόντων

17 Ἀδιαλείπτως[*] προσεύχεσθε·

κ. δ' χαρ.

18 Ἐν παντὶ εὐχαριστεῖτε. τοῦτο γὰρ θέλημα Θεοῦ. Τὸ ἀεὶ εὐχαριστεῖν, τοῦτο φιλοσόφου ψυχῆς. ἔπαθές τι κακόν; ἀλλ' ἐὰν θέλῃς, οὐκ ἔστι κακόν. εὐχαρίστησον τῷ Θεῷ, καὶ μετεβλήθη τὸ κακὸν εἰς ἀγαθόν. εἰπὲ καὶ σὺ, ὡς Ἰὼβ, Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας. τί γὰρ, εἰπέ μοι, τοιοῦτον πέπονθας; νόσος ἐπέπεσεν; ἀλλ' οὐδὲν ξένον· θνητὸν γὰρ ἡμῶν τὸ σῶμα καὶ παθητόν. ἀλλὰ πενίᾳ συνῴκησας χρημάτων; ἀλλὰ καὶ ταῦτα κτητὰ, καὶ ἀπόκτητα, καὶ ἐνταῦθα μένοντα. ἀλλ' ἐπιβουλαὶ καὶ συκοφαντίαι παρὰ ἐχθρῶν; ἀλλ' οὐχ ἡμεῖς ἠδικήμεθα ἐν τούτοις, ἀλλ' ἐκεῖνοι οἱ πεποιηκότες. Ψυχὴ γὰρ, φησὶν, ἡ ἁμαρτάνουσα, αὐτὴ καὶ ἀποθανεῖται. ἥμαρτε δὲ οὐχ ὁ παθὼν κακῶς, ἀλλ' ὁ ποιήσας κακῶς.

κ. ἴσω

Ἰὼβ. α. κα.

Ἰεζεκ. ιη.

ΗΘΙΚΟΝ

Οὐ τοίνυν τὸν ἀποθνήσκοντα ἀμύνεσθαι χρὴ, ἀλλ' εὔχεσθαι ὑπὲρ αὐτοῦ, ὥστε αὐτὸν ἐξελέσθαι τοῦ θανάτου. οὐχ ὁρᾶτε τὴν μέλισσαν, ὅτι πλήξασα ἐναποθνήσκει τῷ κέντρῳ; δι' ἐκείνου τοῦ ζώου παιδεύει ἡμᾶς ὁ Θεὸς μὴ λυπεῖν τοὺς πλησίον. αὐτοὶ γὰρ τὸν θάνατον δεχόμεθα πρότεροι. ἐκείνους μὲν γὰρ πλήξαντες ἴσως πρὸς μικρὸν ἐλυπήσαμεν· αὐτοὶ δὲ οὐκέτι ζησόμεθα, καθάπερ οὐδὲ ἐκεῖνο τὸ ζῶον. καίτοιγε ἐπαινεῖ αὐτὸ ἡ γραφὴ λέγουσα, Ὡς ἐργάτις ἐστὶ, ἧς τὴν ἐργασίαν βασιλεῖς, καὶ ἰδιῶται πρὸς ὑγείαν προσφέρονται. ἀλλ' οὐδὲν αὐτῆς περιΐσταται εἰς τὸ μὴ ἀποθανεῖν, ἀλλὰ δεῖ πάντως ἀπολέσθαι. εἰ δὲ ἐκείνην οὐκ ἐξαιρεῖται ἡ λοιπὴ πλεονεξία ποιοῦσαν κακῶς, πολλῷ μᾶλλον ἡμᾶς. θηρίων γὰρ ὄντως χαλεπώτατον, τὸ, μηδενός σε ἀδικοῦντος, ἄρχειν ἀδικίας· μᾶλλον δὲ οὐδὲ θηρίων. ἐκεῖνα γὰρ ἂν ἀφῇς ἐπὶ τῆς ἐρημίας νέμεσθαι, καὶ μὴ στενοχωρήσας εἰς ἀνάγκην καταστήσῃς, οὐδέποτε λυμανεῖται, οὔτε προσελεύσεται, οὔτε δήξεται, ἀλλ' ἀπελεύσεται τὴν οἰκείαν ὁδόν. σὺ δὲ ἄνθρωπος ὢν λογικὸς, τετιμημένος ἀρχῇ τοσαύτῃ, καὶ τιμῇ καὶ δόξῃ, οὐδὲ τὰ θηρία μιμῇ περὶ τοὺς ὁμοφύλους, ἀλλὰ τὸν ἀδελφὸν ἀδικεῖς, καὶ κατεσθίεις; καὶ πόθεν ἀπολογήσασθαι δυνήσῃ; οὐκ ἀκούεις Παύλου λέγοντος, Διατί οὐχὶ μᾶλλον ἀδικεῖσθε; διατί οὐχὶ μᾶλλον ἀποστερεῖσθε; ἀλλ' ὑμεῖς ἀδικεῖτε καὶ ἀποστερεῖτε, καὶ ταῦτα ἀδελφούς. ὁ-

Παρ. ια. γ.

κ. καὶ

α. Κορ. ς. ζ.

ρᾶς

τοῖς ἡγουμένοις ὑμῶν, καὶ ὑπείκετε. καὶ ἐνταῦθα πάλιν· ἐρωτῶμεν δὲ ὑμᾶς, ἀδελφοί, εἰδέναι τοὺς κοπιῶντας ἐν ὑμῖν, καὶ προϊσταμένους ὑμῶν ἐν Κυρίῳ. ἐπειδὴ γὰρ εἶπεν, οἰκοδομεῖτε εἷς τὸν ἕνα, ἵνα μὴ νομίσωσιν, ὅτι εἰς τὸ τῶν διδασκάλων ἀξίωμα αὐτοὺς ἀνήγαγε, τοῦτο ἐπήγαγε, μονονουχὶ λέγων, ὅτι καὶ ὑμῖν ἐπέτρεψα οἰκοδομεῖν ἀλλήλους. οὐ γὰρ δυνατὸν πάντα τὸν διδάσκαλον εἰπεῖν. τοὺς κοπιῶντας, φησὶν, ἐν ὑμῖν, καὶ προϊσταμένους ὑμῶν ἐν Κυρίῳ, καὶ νουθετοῦντας ὑμᾶς. καὶ πῶς οὐκ ἄτοπον, φησί; τί λέγεις; σὺ μὲν, ἂν μὲν ἄνθρωπός σου προστῇ πρὸς ἀνθρώπους, πάντα πράττεις, πᾶσαν ὁμολογεῖς χάριν· οὗτος δὲ πρὸς τὸν Θεὸν προΐσταταί σου, καὶ οὐχ ὁμολογεῖς χάριν; καὶ πῶς προΐσταται, φησίν; ὅτι εὔχεται ὑπὲρ σοῦ, ὅτι τὴν πνευματικὴν δωρεὰν τὴν διὰ τοῦ βαπτίσματος ὑπηρετεῖται, ἐπισκέπτεται, παραινεῖ καὶ νουθετεῖ, μέσαις νυξὶν, ἂν καλέσῃς, ἥκει. οὐδὲν ἄλλο, ἢ μόνον ὑπόκειταί σου τῷ στόματι, καὶ τὰς βλασφημίας φέρει τὰς παρὰ σοῦ. ποίαν εἶχεν ἀνάγκην; καλῶς ἐποίησεν, ἢ κακῶς; σὺ μὲν καὶ γυναῖκα ἔχεις, καὶ τρυφᾷς, καὶ βίον αἱρῇ ἐμπορικόν· ὁ δὲ ἱερεὺς πρὸς τοῦτο ἑαυτὸν ἀπησχόλησεν· οὐδεὶς αὐτῷ βίος ἕτερος, ἀλλὰ περὶ τὴν ἐκκλησίαν στρέφεσθαι. ἡγεῖσθε αὐτοὺς, φησὶν, ὑπερεκπερισσοῦ ἐν ἀγάπῃ διὰ τὸ ἔργον αὐτῶν· εἰρηνεύετε ἐν αὐτοῖς. ὁρᾷς πῶς οἶδε μικροψυχίας γινομένας; μὴ ἁπλῶς φησιν, ἀγαπᾶτε, ἀλλ᾽, ὑπερεκπερισσοῦ, ὥσπερ οἱ παῖδες πατέρας. διὰ γὰρ αὐτῶν ἐγεννήθητε τὴν γέννησιν τὴν αἰώνιον, δι᾽ αὐτῶν τῆς βασιλείας ἐπιτύχετε, διὰ τῶν χειρῶν αὐτῶν πάντα γίνεται, δι᾽ αὐτῶν ὑμῖν πύλαι οὐράνιαι ἀνοίγονται. μηδεὶς στασιαζέτω, μηδεὶς φιλονεικείτω. ὁ τὸν Χριστὸν ἀγαπῶν, οἷος ἂν ᾖ ὁ ἱερεὺς, ἀγαπήσει αὐτὸν, ὅτι δι᾽ αὐτοῦ τῶν φρικτῶν μυστηρίων ἐπέτυχεν. εἰπέ μοι, εἰ βουληθεὶς ἰδεῖν τὰ βασίλεια πολλῷ καταλάμποντα [χ. καταλαμπόμενα] τῷ χρυσῷ, καὶ περιαστράπτοντα τῇ τῶν λίθων αἴγλῃ, εὕροις τὸν τὰς κλεῖς ἔχοντα· ὁ δὲ παρακληθεὶς, εὐθέως ἤνοιξε, καὶ παρέπεμψέ σε ἔνδον, οὐχὶ πάντων αὐτὸν προετίθεις; οὐχὶ τῶν ὀφθαλμῶν ἴσον ἠγάπησας [χ. ἠγάπας;]; οὐχὶ ἐφίλεις; τὸν οὐρανόν σοι ἀνέῳξεν οὗτος, καὶ οὐ φιλεῖς καὶ περιέπεις; εἰ γυναῖκα ἔχοις [χ. ἔχεις], οὐχὶ τὸν προξενήσαντα ποθεῖς πάντων μάλιστα; οὕτως, εἰ φιλεῖς τὸν Χριστὸν, εἰ φιλεῖς τὴν βασιλείαν τῶν οὐρανῶν, ἐπίγνωθι διὰ τίνων ἔσχες αὐτήν. διὰ τοῦτό φησι, διὰ τὸ ἔργον αὐτῶν, εἰρηνεύετε ἐν αὐτοῖς.

4 Παρακαλοῦμεν δὲ ὑμᾶς, ἀδελφοί, νουθετεῖτε τοὺς ἀτάκτους, παραμυθεῖτε τοὺς ὀλιγοψύχους, ἀντέχεσθε τῶν ἀσθενῶν, μακροθυμεῖτε πρὸς πάντας.

Ἐνταῦθα πρὸς τοὺς ἄρχοντας διαλέγεται. νουθετεῖτε, φησὶ, τοὺς ἀτάκτους· τουτέστι, μὴ ἀπὸ ἐξουσίας, μηδὲ ἀπὸ αὐθαδείας ἐπιπλήσσετε, ἀλλὰ μετ᾽ ἐπιεικείας, μετ᾽ ἡμερότητος. παραμυθεῖσθε τοὺς ὀλιγοψύχους, ἀντέχεσθε τῶν ἀσθενῶν, μακροθυμεῖτε πρὸς πάντας. ὁ γὰρ αὐστηρῶς ἐπιπληττόμενος, ἀπογνωσθεὶς ἑαυτοῦ, θρασύτερος γίνεται καταφρονῶν. διὰ τοῦτο τῇ νουθεσίᾳ χρὴ ἡδὺ κατασκευάζειν τὸ φάρμακον. τίνες δὲ εἰσὶν οἱ ἄτακτοι; πάντες οἱ παρὰ τὸ τῷ Θεῷ δοκοῦν πράττοντες. τάξις γάρ ἐστι τῆς στρατιωτικῆς ἁρμοδιωτέρα αὕτη ἡ τάξις τῆς ἐκκλησίας. ὥστε καὶ ὁ λοίδορος ἄτακτος, καὶ ὁ μέθυσος ἄτακτος, καὶ ὁ πλεονέκτης, καὶ πάντες οἱ ἁμαρτάνοντες. οὐ γὰρ τεταγμένα βαδίζουσιν ἐν τῇ φάλαγγι, ἀλλὰ παράφορα· διὸ καὶ περιτρέπονται [χ. περιτρ.]. ἀλλ᾽ ἔστι καὶ ἕτερον εἶδος τῶν κακῶν· οὐ τοιοῦτον μὲν, κακία δὲ καὶ αὐτό. ποῖον τοῦτο; ἡ μικροψυχία. καὶ γὰρ καὶ αὐτὴ ὁμοίως τῇ ῥᾳθυμίᾳ ἀπόλλυσιν. ὁ μὴ φέρων ὕβριν, ὀλιγόψυχος· ὁ μὴ φέρων πειρασμὸν, ὀλιγόψυχος. οὗτός ἐστιν ὁ ἐπὶ τῆς πέτρας σπαρείς. ἔστι καὶ ἄλλο εἶδος, τὸ τῆς ἀσθενείας. ἀντέχεσθε, φησὶ, τῶν ἀσθενῶν, ἀσθενῶν λέγων τῶν περὶ πίστιν. γίνεται γὰρ ἀσθένεια καὶ περὶ αὐτήν. ἀλλ᾽ ὅρα πῶς οὐκ ἀφίησιν αὐτοὺς διαπτύεσθαι. καὶ ἀλλαχοῦ δὲ γράφων ἔλεγε· Τοὺς ἀσθενοῦντας τῇ πίστει προσλαμβάνεσθε [Ρωμ. ιδ. α.]. καὶ γὰρ ἐν τοῖς σώμασι τοῖς ἡμετέροις τὸ ἀσθενοῦν μέρος οὐκ ἐῶμεν ἀπόλλυσθαι. μακροθυμεῖτε, φησὶ, πρὸς πάντας. τί οὖν; καὶ πρὸς τοὺς ἀτάκτους; καὶ σφόδρα. οὐδὲν

γὰρ

θῶσαι, καὶ μὴ κατορθώσωμεν, τίς ἡμῶν φείσεται; οὐδείς. ἐλεήσωμεν ἑαυτούς. ὅταν εὐχόμεθα τῷ Θεῷ λέγοντες, ἐλέησόν με, Κύριε, λέγωμεν πρὸς ἑαυτούς, καὶ ἑαυτοὺς ἐλεήσωμεν. ἡμεῖς ἐσμεν κύριοι τοῦ τὸν Θεὸν ἡμᾶς ἐλεῆσαι. αὐτὸς ἡμῖν τοῦτο ἐχαρίσατο. ἐὰν ἄξια ἐλέους πράττωμεν, ἐὰν ἄξια φιλανθρωπίας τῆς παρ' αὐτοῦ, ἐλεήσει ἡμᾶς ὁ Θεός. ἐὰν δὲ ἑαυτοὺς μὴ ἐλεῶμεν, τίς ἡμῶν φείσεται; ἐλέησον τὸν πλησίον, καὶ ἐλεηθήσῃ παρ' αὐτοῦ τοῦ Θεοῦ. πόσοι καθ' ἑκάστην ἡμέραν προσέρχονται λέγοντες, ἐλέησόν με, καὶ οὐδὲ ἐπιστρέφῃ; πόσοι γυμνοί, πόσοι ἀνάπηροι, καὶ οὐκ ἐπικαμπτόμεθα, ἀλλὰ διαπεμπόμεθα αὐτῶν τὰς ἱκετηρίας; πῶς οὖν ἀξιοῖς ἐλεηθῆναι, αὐτὸς οὐδὲν ἄξιον ἐλέου ποιῶν; γενώμεθα οἰκτίρμονες, γενώμεθα ἐλεήμονες· ἵν' οὕτως εὐαρεστήσωμεν τῷ Θεῷ, καὶ ἐπιτύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτόν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. ι 12 ΕΡΩΤΩΜΕΝ ΔΕ ΥΜΑΣ, ΑΔΕΛΦΟΙ, ΕΙΔΕναι τοὺς κοπιῶντας ἐν ὑμῖν, καὶ προϊσταμένους ὑμῶν ἐν Κυρίῳ, καὶ νουθετοῦντας ὑμᾶς, 13 Καὶ ἡγεῖσθαι αὐτοὺς ὑπερεκπερισσοῦ ἐν ἀγάπῃ διὰ τὸ ἔργον αὐτῶν· Εἰρηνεύετε ἐν αὐτοῖς.

Πολλὰς ἀνάγκη τοὺς ἄρχοντας μικροψυχιῶν ἀφορμὰς ἔχειν. καὶ καθάπερ ἰατρῶν παῖδες πολλὰ λυπεῖν ἀναγκάζονται τοὺς κάμνοντας, καὶ σιτία καὶ φάρμακα κατασκευάζοντες, ἡδονὴν μὲν οὐκ ἔχοντα, πολλὴν δὲ τὴν ὠφέλειαν· καὶ καθάπερ πατέρες πολλαχοῦ τοῖς υἱοῖς εἰσι φορτικοί· οὕτω καὶ οἱ διδάσκαλοι, καὶ πολλῷ μᾶλλον. ὁ μὲν γὰρ ἰατρὸς κἂν πρὸς τὸν κάμνοντα ἀπεχθάνηται, ἀλλὰ πρὸς τοὺς προσήκοντας αὐτῷ καὶ ἐπιτηδείους ἔχει ἡδέως, καὶ πρὸς αὐτὸν δὲ πολλάκις τὸν κάμνοντα· καὶ ὁ πατὴρ (χ. ἢ) (χ. πολλαχοῦ) δὲ ἀπό τε τῶν τῆς φύσεως, ἀπό τε τῶν νόμων τῶν ἔξωθεν μετὰ πολλῆς τῆς εὐκολίας κέχρηται τῇ κατὰ τοῦ παιδὸς ἀρχῇ. κἂν ἄκοντα παιδεύσῃ καὶ ἐπιπλήξῃ, οὐδεὶς ὁ κωλύσων, ἀλλ' οὐδὲ αὐτὸς ἐκεῖνος ἀντιβλέψαι δυνήσεται. ἐπὶ δὲ τοῦ ἱερέως, πολλὴ ἡ δυσκολία. πρὸ τοῦ μὲν οὖν ἑκόντων ἄρχειν ὀφείλει, καὶ χάριν αὐτῷ τῆς ἀρχῆς εἰδότων. τοῦτο δὲ οὐκ ἔνι συμβαίνειν ταχέως. ὁ γὰρ ἐλεγχόμενος καὶ ἐπιτιμώμενος, οἷος ἂν ᾖ, πάντως τὴν χάριν ἀφείς, ἀπεχθῶς ἔχει. ὡσαύτως καὶ ὁ παραινούμενος, καὶ ὁ νουθετούμενος, καὶ ὁ παρακαλούμενος ποιῆσαι. ἂν εἴπω τοίνυν, χρήματα κένωσον εἰς τοὺς δεομένους, ἐπαχθὲς εἶπόν τι καὶ φορτικόν· ἂν εἴπω, κόλασον τὴν ὀργήν, σβέσον τὸν θυμόν, παῦσον τὴν ἄτοπον ἐπιθυμίαν, ὑποτέμου τῆς τρυφῆς μέρος μικρόν· πάντα φορτικὰ καὶ ἐπαχθῆ. κἂν κολάσω ῥαθυμοῦντα, ἢ τῆς ἐκκλησίας ἀπαγάγω, ἢ τῆς κοινῆς εὐχῆς ἀπείρξω, ἀλγεῖ, οὐ διὰ τὸ τούτων ἐκπεσεῖν, ἀλλὰ διὰ τὴν κοινὴν αἰσχύνην. καὶ τοῦτο γὰρ τῆς νόσου ἐπίτασις, ὅτι τῶν πνευματικῶν κωλυόμενοι, οὐ (χ. δ) διὰ τὴν στέρησιν τῶν τοσούτων ἀγαθῶν ἀλγοῦμεν, ἀλλὰ διὰ τὴν τῶν ὁρώντων αἰσχύνην· οὐ φείττομεν, οὐ δεδοίκαμεν τὸ πρᾶγμα. διὰ τοῦτο ἄνω καὶ κάτω Παῦλος περὶ τούτων πολλὰ διαλέγεται. καὶ ὁ μὲν Χριστὸς αὐτοὺς μετὰ τοσαύτης ὑπέταξε τῆς ἀνάγκης, ὡς εἰπεῖν,

Ματθ. κγ. ς. Ἐπὶ τῆς Μωϋσέως καθέδρας ἐκάθισαν οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι. πάντα οὖν, ὅσα ἂν λέγωσιν ὑμῖν τηρεῖν, τηρεῖτε· κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε. καὶ πάλιν, ἡνίκα τὸν λεπρὸν

Ματθ. η. δ. ἐθεράπευσεν, ἔλεγεν, Ὕπαγε, δεῖξον σαυτὸν τῷ ἱερεῖ, καὶ προσένεγκε τὸ δῶρόν σου, ὃ προσέταξε Μωϋσῆς εἰς μαρτύριον αὐτοῖς. καὶ μὴν σὺ λέγεις· ποιεῖτε αὐτὸν υἱὸν γεέννης διπλότερον ὑμῶν. διὰ τοῦτο εἶπεν, φησίν, ἃ ποιοῦσι, μὴ ποιεῖτε. πᾶσαν τοίνυν ἐξέκλεισε πρόφασιν

α. Τιμ. ε. ιζ. τοῖς ἀρχομένοις ὁ Χριστός. καὶ δὲ καὶ Τιμοθέῳ γράφων ἔλεγεν· Οἱ καλῶς προεστῶτες πρεσ-

Εβρ. ιγ. ιζ. βύτεροι διπλῆς τιμῆς ἀξιούσθωσαν. καὶ πρὸς Ἑβραίους δὲ γράφων ἔλεγε· Πείθεσθε

τοῖς

Digitized by Google

χ. παύει

βαρεῖται μέθῃ, ἀλλ' ἐν νήψει καὶ ὑπεροχῇ τὴν τοιαύτην ὁδεύει ὁδόν. οὐδεὶς τοιαύτην ὁδεύων ὁδὸν, ἐπιφέρεταί τι τῶν περιττῶν. ἀγαπητὸν γὰρ εἰ γυμνοὶ ὄντες δυνηθεῖεν διαδραμεῖν. οὐδεὶς συμποδίζει τοὺς πόδας τοὺς ἑαυτοῦ, ἀλλ' εὐλύτους ἀφίησιν. ἡμεῖς δὲ μυρίαις φροντίσιν ἑαυτοὺς καταδεσμοῦντες, καὶ μυρία φορτία βιωτικὰ ἐπιφερόμενοι, κεχηνότες καὶ ἐκκεχυμένοι, πῶς τὴν στενὴν προσδοκῶμεν βαδίζειν ὁδόν; οὐχ ἁπλῶς εἶπεν, ὅτι στενή ἐστιν, ἀλλὰ μετὰ θαυμασμοῦ· ὅτι στενὴ ἡ ὁδὸς τουτέστι, σφόδρα στενή. τοῦτο καὶ ἡμεῖς ποιοῦμεν ἐπὶ τῶν πάνυ θαυμαζομένων. καὶ πάλιν, Τεθλιμμένη, φησὶν, ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν. (Ματθ. ζ. ιδ.) καὶ καλῶς εἶπε στενή. ὅταν γὰρ καὶ ῥημάτων, καὶ ἐννοιῶν, καὶ πράξεων, καὶ πάντων ὀφείλωμεν εὐθύνας ὑπέχειν, στενὴ ὄντως ἐστί. στενωτέραν δὲ αὐτὴν ποιοῦμεν ἡμεῖς, πλατύνοντες ἑαυτοὺς, καὶ [illegible], καὶ τοὺς πόδας ἐκχέοντες. ἡ γὰρ στενὴ, πᾶσι μὲν δυσχερὴς, μάλιστα δὲ τοῖς λιπαρουμένοις. ὡς ὄγκον κατατείνων ἑαυτὸν, οὐδὲ αἰσθάνεται τῆς στενοχωρίας· ὥστε ὁ μεμελετηκὼς θλίβεσθαι, οὐδὲ ἀποδυσπετήσει πρὸς τὸ πιέζεσθαι. μὴ τοίνυν μετὰ ἀνέσεως προσδοκάτω τις τὸν οὐρανὸν ὄψεσθαι. οὐ γάρ ἐστι. μηδεὶς μετὰ τρυφῆς ἐλπιζέτω τὴν στενὴν ὁδεύειν ὁδόν. οὐ γὰρ δυνατόν. μηδεὶς τὴν εὐρύχωρον βαδίζων, τὴν ζωὴν ἐλπιζέτω. ὅταν οὖν ἴδῃς λουτροῖς, τραπέζῃ πολυτελεῖ, ἢ θρυπτομένοις ἑτέροις ἐντρυφῶντα τὴν ἀδικίαν, μὴ ταλανίσῃς σαυτὸν, ὡς οὐ μετέχοντα τούτων, ἀλλὰ στέναζε ἐκεῖνον, ὅτι τὴν ἀπολλυμένην ὁδεύει ὁδόν. τί γὰρ ὄφελος ταύτης τῆς ὁδοῦ, ὅταν εἰς θλίψιν τελευτᾷ; ποῖον δὲ βλάβος ἀπ' ἐκείνης τῆς στενοχωρίας, ὅταν εἰς ἄνεσιν ἔρχηται; εἰπέ μοι. εἴ τις εἰς τὰ βασίλεια καλούμενος, διὰ στενωπῶν θλιβερῶν καὶ ἀποκρήμνων βαδίζοι, ἕτερος δέ τις τὴν ἐπὶ θάνατον ἀγόμενος διὰ μέσης ἕλκοιτο τῆς ἀγορᾶς, τίνα μακαριοῦμεν, τίνα στενάξομεν; οὐ τὸν διὰ τῆς εὐρυχώρου βαδίζοντα; οὕτω καὶ νῦν, μὴ τοὺς τρυφῶντας μακαρίζωμεν, ἀλλὰ τοὺς μὴ τρυφῶντας. οὗτοι πρὸς τὸν οὐρανὸν σπεύδουσιν, ἐκεῖνοι πρὸς τὴν γέενναν. καὶ ἴσως μετὰ ταῦτα πολλοὶ καὶ γελάσονται τὰ παρ' ἡμῶν λεγόμενα· ἐγὼ δὲ μάλιστα διὰ τοῦτο ὀδύρομαι καὶ θρηνῶ, ὅτι οὐδὲ ἴσασιν ἐφ' οἷς χρὴ γελᾶν, ὑπὲρ ὧν ἐχρῆν μάλιστα πενθεῖν· ἀλλὰ πάντα συγχέουσι, καὶ ταράττουσι, καὶ θορυβοῦσι. διὰ ταῦτα αὐτοὺς ἐγὼ θρηνῶ. τί λέγεις, ἄνθρωπε; μέλλων ἀναστήσεσθαι, καὶ λόγον ὑφέξειν τῶν σοι πεπραγμένων, καὶ τὴν ἐσχάτην ὑποστήσεσθαι δίκην, τούτων μὲν οὐδένα λόγον ποιῇ, γαστρίζεσθαι δὲ μελετᾷς καὶ μεθύειν; καὶ πρὸς τούτοις γελᾷς; ἀλλ' ἐγώ σε θρηνῶ, τὰ μένοντά σε ἐπιστάμενος κακὰ, τὴν διαδεξομένην σε τιμωρίαν. καὶ διὰ τοῦτο θρηνῶ μάλιστα, ὅτι γελᾷς. πένθησον σὺν ἐμοὶ, θρήνησον μετ' ἐμοῦ τὰ σὰ κακά. (χ. νεκρὸς φέρεται) εἰπέ μοι ἐάν τις σοι τῶν οἰκείων ἀπόληται, οὐχὶ τοὺς μὲν γελῶντας ἐπὶ τῇ τελευτῇ καὶ ἀποστρέφῃ, καὶ ἐχθροὺς ἡγῇ, τοὺς δὲ δακρύοντας καὶ συμπενθοῦντας φίλους; (χ. γέλωτα) εἶτα τῆς μὲν γυναικός σου κειμένης νεκρᾶς, τὸν γελῶντα ἀποστρέφῃ, τῆς δὲ ψυχῆς σοι τεθανατωμένης, τὸν δακρύοντα ἀποστρέφῃ, γελᾷς δὲ αὐτός; ὁρᾷς πῶς ἡμᾶς διέθηκεν ὁ διάβολος, ἐχθροὺς ἑαυτοῖς εἶναι, καὶ πολεμίους; ἀνανήψωμέν ποτε, διαβλέψωμεν, γρηγορήσωμεν, ἐπιλαβώμεθα τῆς αἰωνίου ζωῆς, καὶ τὸν πολὺν ὕπνον ἀποτιναξώμεθα. κρίσις ἐστὶ, κόλασίς ἐστιν, ἀνάστασίς ἐστιν, ἐξέτασις τῶν πεπραγμένων. Ὁ Κύριος ἔρχεται ἐν νεφέλαις, πῦρ ἐνώπιον αὐτοῦ καυθήσεται, καὶ κύκλῳ αὐτοῦ καταιγὶς σφοδρὰ, φησί. (Ψαλ. μθ. δ.) (χ. πορευόμενον) ποταμὸς πυρὸς σύρεται ἔμπροσθεν αὐτοῦ, σκώληξ ἀτελεύτητος, πῦρ ἄσβεστον, σκότος ἐξώτερον, βρυγμὸς τῶν ὀδόντων. κἂν μυριάκις ἐπὶ τούτοις δυσχεραίνητε, ἐγὼ λέγων οὐ παύσομαι. εἰ γὰρ ληθαζόμενοι οἱ προφῆται οὐκ ἐσίγων, πολλῷ μᾶλλον ἡμᾶς ἀπεχθείας δεῖ φέρειν, καὶ μὴ πρὸς χάριν ὑμῖν ὁμιλεῖν· ἵνα μὴ ἀπατήσαντες ὑμᾶς, αὐτοὶ διχοτομηθῶμεν. ἐκεῖ κόλασίς ἐστιν ἀθάνατος, ἀπαραμύθητος, ὁ παραστησόμενος οὐδείς. Τίς ἐλεήσει, φησὶν, ἐπαοιδὸν ὀφιόδηκτον; (Σειρ. ιβ. ιγ.) ὅταν ἡμεῖς ἑαυτοὺς μὴ ἐλεήσωμεν, τίς ἐλεήσει, εἰπέ μοι; ἐὰν ἴδῃς τινὰ ξίφος ἐγχώνοντα δι' ἑαυτοῦ, τούτου δυνήσῃ φείσασθαί ποτε; οὐδαμῶς· πολλῷ μᾶλλον, ὅταν [illegible] ἢ κατορ-



Digitized by Google

μὴ σφόδρα ἡμῶν περιεχέσθω, ὃς υἱὸν αὐτοῦ ἔδωκεν. ὥστε κἂν ἀποθάνῃς, ζήσῃ. καὶ γὰρ καὶ αὐτὸς ἀπέθανεν. οὔτε οὖν ἀποθάνωμεν, οὔτε ζῶμεν, μετ' αὐτοῦ ζησόμεθα. ἀδιάφορον τοῦτο ἐμοί· οὐδέν μοι μέλει, οὔτε ζῶ, οὔτε ἀποθάνω. μετ' ἐκείνου γὰρ ζησόμεθα.

ΗΘΙΚΟΝ

γρ. ὅσα

Πάντα οὖν ὑπὲρ ἐκείνης πράττωμεν τῆς ζωῆς, πάντα πρὸς ἐκείνην ὁρῶντες ἐργασώμεθα. σκότος ἐστὶν ἡ κακία, ἀγαπητέ, θάνατός ἐστι, νύξ ἐστιν, οὐδὲν ὁρῶμεν τῶν δεόντων, οὐδὲν πράττομεν τῶν προσηκόντων. καθάπερ οἱ νεκροὶ δυσειδεῖς εἰσὶ καὶ ὀδωδότες· οὕτω καὶ αἱ ψυχαὶ τῶν ἐν κακίᾳ πολλῆς εἰσιν ἀκαθαρσίας μεσταί. μέμυκεν αὐτῶν τὰ ὄμματα, τὸ στόμα συνείληπται, ἀκίνητοι μένουσιν ἐν τῇ κλίνῃ τῆς κακίας· μᾶλλον δὲ τῶν ταῦτα παθόντων ἐλεεινότεροι. οὗτοι μὲν γὰρ πρὸς ἑκάτερα νεκροί, ἐκεῖνοι δὲ πρὸς μὲν ἀρετὴν ἀναίσθητοι, ζῶντες δὲ πρὸς κακίαν. νεκρὸν κἂν πλήξῃ τις, οὐκ αἰσθάνεται, οὐδὲ ἀμύνεται, ἀλλ' ὥσπερ ξύλον αὖον, οὕτω καὶ ἡ ψυχὴ αὖον ὄντως ἐστίν, ἀποβαλοῦσα τὴν ζωήν. μυρία καθ' ἑκάστην ἡμέραν λαμβάνει τραύματα, καὶ οὐδενὸς αἰσθάνεται, ἀλλ' ἀνάλγητος πρὸς πάντα διάκειται. οὐκ ἄν τις ἁμάρτοι τοῖς μεμηνόσιν αὐτοὺς παραβάλλων, τοῖς μεθύουσι, τοῖς παραπαίουσι. πάντα δὲ ταῦτα ἔχει ἡ κακία, καὶ πάντων ἐστὶ χαλεπωτέρα. ὁ μαινόμενος ἔχει πολλὴν συγγνώμην παρὰ τῶν ὁρώντων (οὐ γάρ ἐστι προαιρέσεως τὸ νόσημα, ἀλλὰ φύσεως μόνης)· ὁ δὲ ἐν κακίᾳ διάγων, πόθεν συγγνωσθήσεται; πόθεν οὖν ἡ κακία; πόθεν οἱ πλείους κακοί; πόθεν ἐρωτᾷς; εἰπέ μοι σύ, πόθεν ἡ κακία τῶν νοσημάτων; πόθεν φρενῖτις; πόθεν ὕπνος βαρύς; οὐχὶ ἐξ ἀπροσεξίας; εἰ τὰ φυσικὰ νοσήματα ἀπὸ προαιρέσεως ἔχει τὴν ἀρχήν, πολλῷ μᾶλλον τὰ προαιρετικά. ἡ μέθη πόθεν; οὐχὶ ἐξ ἀκρασίας ψυχῆς; ἡ φρενῖτις οὐχὶ ἀπὸ ὑπερβολῆς πυρετοῦ; ὁ δὲ πυρετὸς οὐχὶ ἀπὸ πλεοναζόντων ἐν ἡμῖν στοιχείων; ἡ πλεονεξία δὲ τῶν ἐν ἡμῖν στοιχείων οὐχὶ ἐξ ἀπροσεξίας; ὅταν γὰρ ἢ ἔνδεια, ἢ πλεονεξία εἰς ἀμετρίαν τι τῶν ἐν ἡμῖν ἐξαγάγωμεν, ἀνάπτομεν ἐκεῖνο τὸ πῦρ. πάλιν, ἂν τῆς φλογὸς ἀφθείσης, ἐπιμένωμεν καταφρονοῦντες, καθ' ἑαυτῶν ἐργαζόμεθα πυράν, ἣν οὐδὲ σβέσαι δυνάμεθα. οὕτω καὶ ἐπὶ τῆς κακίας γίνεται. ὅταν ἀρχομένην αὐτὴν μὴ κωλύωμεν, μηδὲ ἐκκόπτωμεν, οὐδὲ ἐφικέσθαι δυνάμεθα τοῦ τέλους λοιπόν, ἀλλὰ μείζων γίνεται τῆς ἡμετέρας ἰσχύος. διό, παρακαλῶ, πάντα πράττωμεν, ὥστε μηδέποτε ἀπονυστάξαι. οὐχ ὁρᾶτε τοὺς φύλακας, ὅτι πολλάκις μικρὸν ἑαυτοὺς δόντες τῷ ὕπνῳ, οὐδὲν ἀπώναντο τῆς πολλῆς φυλακῆς; δι' ἐκείνου γὰρ τοῦ μικροῦ τὸ πᾶν διέφθειραν, τῷ βουλομένῳ κλέψαι πολλὴν δόντες τὴν ἄδειαν. καθάπερ γὰρ οὐχ οὕτως ἡμεῖς τοὺς κλέπτας ὁρῶμεν, ὡς ἐκεῖνοι ἡμᾶς ὁρῶσιν· οὕτω καὶ ὁ διάβολος μάλιστα πάντων ἐφέστηκε, καὶ ἐνεδρεύει, καὶ τρίζει τοὺς ὀδόντας. μὴ νυστάξωμεν τοίνυν· μὴ εἴπωμεν, παρὰ τοῦτο οὐδέν, παρ' ἐκεῖνο οὐδέν. ὅθεν οὐ προσεδοκήσαμεν, πολλάκις ἐσυλήθημεν. οὕτω καὶ ἐπὶ κακίας· ὅθεν οὐ προσεδοκήσαμεν, ἀπολλύμεθα. πάντα περισκοπῶμεν ἀκριβῶς. μὴ μεθυσκώμεθα, καὶ οὐχ ὑπνώσομεν. μὴ τρυφῶμεν, καὶ οὐ καθευδήσομεν. μὴ μαινώμεθα πρὸς τὰ ἔξω, καὶ ἐν νήψει διατελέσομεν. ῥυθμίζωμεν ἑαυτοὺς πάντοθεν. καὶ καθάπερ ἐπὶ σχοίνου τεταμένης βαδίζοντας οὐκ ἔνι ῥαθυμῆσαι οὐδὲ μικρόν (τὸ γὰρ μικρὸν μέγα ἐργάζεται κακόν· περιτραπεὶς γὰρ εὐθέως κατηνέχθη, καὶ ἀπώλετο)· οὕτως οὐδὲ ἡμᾶς δυνατὸν ῥαθυμεῖν. στενὴν βαδίζομεν ὁδόν, ὑπὸ κρημνῶν ἑκατέρωθεν ἀπειλημμένην, ὁμοῦ δύο πόδας οὐ δεχομένην. ὁρᾷς πόσης ἡμῖν ἀκριβείας δεῖ; οὐχ ὁρᾷς τοὺς ταῖς ἀμφικρήμνοις ὁδοιποροῦντας ὁδοῖς, πῶς οὐ τοὺς πόδας ἀσφαλίζονται μόνον, ἀλλὰ καὶ τοὺς ὀφθαλμούς; ἂν γὰρ δόξῃ ἑτέρωθι προσέχειν αὐτόν, κἂν ὁ ποὺς βεβαίως ἑστήκῃ, ἰλιγγιάσας ἀπὸ τοῦ βάθους ὁ ὀφθαλμὸς τὸ πᾶν κατήνεγκεν. ἀλλ' ἑαυτῷ δεῖ προσέχειν, καὶ τῇ βαδίσει. διὰ τοῦτό φησι, μήτε δεξιά, μήτε ἀριστερά. πολὺς ὁ βυθὸς τῆς κακίας ἐστί, μεγάλοι οἱ κρημνοί, πολὺ κάτω σκότος, στενὴ ἡ ὁδός· προσέχωμεν μετὰ φόβου, μετὰ τρόμου περιπατῶμεν. οὐδεὶς τοιαύτην ὁδεύων ὁδόν, ἐκκέχυται γέλωτι, οὐδὲ

γρ. τὰ νοσήματα;

γρ. κατηνέχθη καὶ ἀπώλετο

γρ. ποιοῦνται

γρ. δεξιὰ τὸ σῶμα

βαρεῖται

ρᾶ τὰ ὄντα, τουτέστι, τὰ πνευματικὰ, τὰ χρόνια, τὰ μένοντα· ἀλλὰ τὰ ῥέοντα, καὶ ἀφιπτάμενα, καὶ ἀποπηδῶντα ταχέως ἡμῶν. οὐκ ἀρκεῖ δὲ τὸ ἐγρηγορέναι καὶ νήφειν, ἀλλὰ δεῖ καὶ καθοπλίζεσθαι. καὶ γὰρ ἐγρηγορώς τις ᾖ καὶ νήφων, μὴ ἔχῃ δὲ ὅπλα, ταχέως αὐτὸν οἱ λῃσταὶ κατεργάζονται. ὅταν οὖν καὶ ἐγρηγορέναι χρὴ, καὶ νήφειν, καὶ καθοπλίζεσθαι, ἡμεῖς δὲ ἄοπλοι καὶ γυμνοὶ ὦμεν, καὶ καθεύδωμεν, τίς κωλύσει ἐκεῖνον πῆξαι τὴν μάχαιραν; διὸ καὶ τοῦτο δηλῶν, ὅτι ὅπλων ἡμῖν δεῖ, ἐπήγαγεν·

8 Ἡμεῖς δὲ ἡμέρας ὄντες νήφωμεν, ἐνδυσάμενοι θώρακα πίστεως καὶ ἀγάπης, καὶ περικεφαλαίαν, ἐλπίδα σωτηρίας. Πίστεως καὶ ἀγάπης, φησίν. ἐνταῦθα βίον μετὰ δογμάτων ὀρθῶν ἀπαιτεῖται. ὅρα πῶς ἐδήλωσε τί ἐστι τὸ ἐγρηγορέναι καὶ νήφειν, τὸ ἔχειν θώρακα, φησὶ, πίστεως καὶ ἀγάπης. πίστιν οὐ τὴν τυχοῦσαν φησὶν, ἀλλὰ τὴν ζέουσαν, τὴν εἰλικρινῆ, τὴν ἀτρώτους ποιοῦσαν τοὺς περιβεβλημένους αὐτήν. ὥσπερ τὸν *θώρακα οὐδεὶς ἂν διαπείρει ταχέως, ἀλλ' ἔστιν ἀφανές τι τεῖχος τῷ στήθει· οὕτω καὶ σὺ πίστιν καὶ ἀγάπην περιέλασον τῇ ψυχῇ, καὶ οὐδὲν τῶν πεπυρωμένων βελῶν τοῦ διαβόλου ἐμπαγῆναι δυνήσεται. ἔνθα γὰρ ἡ περικατειλημμένη τῷ τῆς ἀγάπης ὅπλῳ τῆς ψυχῆς ἡ δύναμις, πάντα εἰκῇ καὶ μάτην κατασκευάζουσιν οἱ ἐπιβουλεύοντες. οὔτε γὰρ πονηρία, οὐκ ἔχθρα, οὐ βασκανία, οὐ κολακεία, οὐχ ὑπόκρισις, οὐκ ἄλλο οὐδὲν καθικέσθαι δυνήσεται τῆς τοιαύτης ψυχῆς. οὐχ ἁπλῶς δὲ ἀγάπην εἶπεν, ἀλλ' ὡς θώρακα ἰσχυρὸν εἶπεν ἐνδύσασθαι. Εἶτα οὕτως εἰπὼν ἐπάγει καὶ περικεφαλαίαν, ἐλπίδα σωτηρίας. καθάπερ γὰρ ἡ περικεφαλαία τὸ καιριώτερον σώζει τῶν ἐν ἡμῖν, τὴν κεφαλὴν περιβάλλουσα καὶ πάντοθεν στεγάζουσα· οὕτω καὶ ἡ ἐλπὶς τὸν λογισμὸν οὐκ ἀφίησι διαπεσεῖν, ἀλλ' ὀρθὸν ἵστησιν ὥσπερ κεφαλὴν, οὐδὲν τῶν ἔξωθεν εἰς αὐτὸν πεσεῖν ἐῶσα. ἕως δ' ἂν μηδὲν καταφέρηται, οὐδὲ αὐτὴ ἐπολισθαίνει. τὸν γὰρ τούτοις πεφραγμένον τοῖς ὅπλοις οὐκ ἔνι ποτὲ πεσεῖν. Μένει γὰρ, φησὶ, πίστις, ἐλπὶς, ἀγάπη, τὰ τρία ταῦτα. α. Κορ. ιγ ιγ. Εἶτα εἰπὼν, ἐνδύσασθε καὶ περίθεσθε, αὐτὸς κατασκευάζει τὰ ὅπλα λοιπὸν, καὶ δείκνυσιν, ὅθεν ἂν τεχθείη πίστις, καὶ ἐλπὶς, καὶ ἀγάπη, καὶ τὰ ὅπλα ἰσχυρότερα γένοιτο, ἐπάγων καὶ λέγων·

* στερεωτικὸν

κ. σκέπουσα,

κ. οὐδὲ μὴ κατενεχθῇ

9 Ὅτι οὐκ ἔθετο ἡμᾶς ὁ Θεὸς εἰς ὀργὴν, ἀλλ' εἰς περιποίησιν σωτηρίας διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ

10 Τοῦ ἀποθανόντος ὑπὲρ ἡμῶν. Ὥστε οὐ πρὸς τοῦτο ἐκάλεσεν εἰς τὸ ἀπολέσαι, ἀλλ' εἰς τὸ σῶσαι. καὶ ὅτι τοῦτο βούλεται, πόθεν δῆλον; τὸν υἱὸν αὐτοῦ ἔδωκεν ὑπὲρ ἡμῶν, φησίν. οὕτως ἡμᾶς ἐπιθυμεῖ σωθῆναι, ὅτι τὸν υἱὸν αὐτοῦ ἔδωκε, καὶ οὐχ ἁπλῶς ἔδωκεν, ἀλλ' εἰς θάνατον. ἀπὸ τούτων τῶν λογισμῶν ἡ ἐλπὶς τίκτεται. μὴ γὰρ ἀπογνῷς, ἄνθρωπε, πρὸς τὸν Θεὸν ἀπερχόμενος, τὸν μηδὲ υἱοῦ φεισάμενον διὰ σέ· μὴ ἀπαγορεύσῃς τοῖς παροῦσι κακοῖς. ὁ τὸν μονογενῆ δοὺς, ἵνα σε σώσῃ καὶ τῆς γεέννης ἐξέληται, τίνος φείσεται λοιπὸν ὑπὲρ τῆς σῆς σωτηρίας; ὥστε ἐλπίζειν χρὴ πάντα χρηστά. οὐδὲ γὰρ εἰ πρὸς δικαστὴν ἀπῄειμεν μέλλοντα κρίνειν ἡμᾶς, καὶ τοσαύτην ἀγάπην ὑπὲρ ἡμῶν ἐπιδεδειγμένον, ὡς τὸν υἱὸν κατασφάξαι, ἐδεισάμεθ' ἄν. ἐλπίζωμεν οὖν χρηστὰ καὶ μεγάλα. τὸ γὰρ κεφάλαιον ἐλάβομεν, εἰ πιστεύομεν. εἴδομεν γὰρ τὸ ὑπόδειγμα· ἀγαπήσωμεν. ἐσχάτης γὰρ ἀνοίας τὸ μὴ τὸν οὕτω διατεθέντα ἀγαπῆσαι. Ἵνα, εἴτε γρηγορῶμεν, φησὶν, εἴτε καθεύδωμεν, ἅμα σὺν αὐτῷ ζήσωμεν.

κ. ἑαυτὸν

11 Διὸ παρακαλεῖτε ἀλλήλους, καὶ οἰκοδομεῖτε εἷς τὸν ἕνα, καθὼς καὶ ποιεῖτε.

Καὶ ἀλλαχοῦ πάλιν, εἴτε γρηγοροῦμεν, εἴτε καθεύδομεν. ἀλλ' ἑτέρως ἐκεῖ τὸν ὕπνον φησὶ, καὶ ἑτέρως ἐνταῦθα. ἐνταῦθα μὲν γὰρ τὸν θάνατον δηλοῖ τὸν σωματικόν· ἐκεῖ δὲ τὴν περὶ τὸν βίον ἀμέλειαν. ὃ οὖν δηλοῖ, τοῦτό ἐστι· τοὺς κινδύνους μὴ δεδοίκατε· κἂν ἀποθάνωμεν, ζησόμεθα. μὴ ἀπελπίσῃς, ὅτι κινδυνεύεις· ἔχεις ἐνέχυρον ἀσφαλές. οὐκ ἂν, εἰ

κριβὴς ἡ εἰκών. οὐ γὰρ πολλὰ τῆς ὠδῖνός ἐστι τὰ τεκμήρια. πολλαὶ γοῦν οὕτω καὶ ἐν ὁδοῖς, καὶ τῆς οἰκίας ἔξω μὴ προσδοκήσασαι ἔτεκον. οὐ τὸ ἄδηλον δὲ μόνον ἐνταῦθα ἠνίξατο, ἀλλὰ καὶ τὸ τῆς ὀδύνης πικρόν. ὥσπερ γὰρ ἐκείνη παίζουσα, γελῶσα, οὐδὲν ὅλως προορωμένη ἐξαίφνης ἀῤῥήτοις καταληφθεῖσα πόνοις διακόπτεται ταῖς ὠδῖσιν· οὕτω καὶ αἱ ψυχαὶ ἐκεῖναι, τῆς ἡμέρας ἐπελθούσης ἐκείνης. καὶ οὐ μὴ ἐκφύγωσιν. εἶτα δείξας ὅτι οὐ περὶ αὐτῶν ταῦτα λέγει, ἐπήγαγεν.

4 Ὑμεῖς δὲ, ἀδελφοὶ, οὐκ ἐστὲ ἐν σκότει, ἵνα ἡ ἡμέρα ὑμᾶς ὡς κλέπτης καταλάβῃ. Ἐνταῦθα τὸν σκοτεινὸν καὶ ἀκάθαρτον βίον φησί. καθάπερ γὰρ ἐν νυκτὶ πάντα πράττουσιν οἱ μιαροὶ καὶ πονηροὶ τῶν ἀνθρώπων πάντας λανθάνοντες, καὶ ἐν σκότῳ κατακλείοντες ἑαυτούς. εἰπὲ γάρ μοι, οὐχὶ τὴν ἑσπέραν παρατηρεῖ ὁ μοιχός; καὶ οὐχὶ τὴν νύκτα ὁ κλέπτης; ὁ τυμβωρύχος οὐχὶ πᾶσαν τὴν ἐργασίαν ἐν νυκτὶ ἔχει; τί οὖν; οὐχὶ ὡς κλέπτης αὐτοὺς καταλαμβάνει; οὐχὶ καὶ αὐτοῖς ἀδήλως ἐφίσταται; ἀλλὰ προσίασι; πῶς οὖν λέγει, οὐ χρείαν ἔχετε γράφεσθαι ὑμῖν; ἐνταῦθα οὐ πρὸς τὸ ἄδηλόν φησιν, ἀλλὰ πρὸς τὴν συμφοράν· τουτέστιν, οὐκ ἐπὶ κακῷ τῷ αὐτῶν ἥξει. ἀδήλως μὲν γὰρ ἥξει καὶ αὐτοῖς, πλὴν ἀλλ' οὐδενὶ περιβαλεῖ λυπηρῷ. ἵνα ἡ ἡμέρα, φησὶν, ὡς κλέπτης ὑμᾶς καταλάβῃ. ἐπὶ γὰρ τῶν ἐγρηγορότων καὶ ἐν φωτὶ ὄντων κἂν γένηταί τις εἴσοδος λῃστοῦ, οὐδὲν * λυμήνασθαι δυνήσεται, οὕτω καὶ ἐπὶ τῶν ὀρθῶς ζώντων· ἀλλ' ἐκείνους τοὺς καθεύδοντας πάντων γυμνώσας ἄπεισι, τοὺς τοῖς ἐνθάδε θαῤῥοῦντας. Εἶτα καὶ ἄλλο ὑπὲρ αὐτῶν. ἐπάγει γάρ·

* αὐτοὺς

5 Πάντες γὰρ ὑμεῖς, φησὶν, υἱοὶ φωτός ἐστε καὶ υἱοὶ ἡμέρας. Καὶ πῶς ἔνι, φησὶν, υἱοὺς ἡμέρας εἶναι; ὡς υἱοὺς ἀπωλείας, ὡς υἱοὺς γεέννης. διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγε τοῖς Φαρισαίοις· Οὐαὶ ὑμῖν, ὅτι περιάγετε τὴν θάλασσαν καὶ τὴν ξηρὰν, ποιῆσαι ἕνα προσήλυτον· καὶ ὅταν γένηται, ποιεῖτε αὐτὸν γεέννης υἱόν. καὶ ὁ Παῦλος· Δι' ἃ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας, τουτέστι, τοὺς τὰ τῆς γεέννης πράττοντας, τοὺς τὰ τῆς ἀπειθείας. ὥσπερ οὖν υἱοὶ τοῦ Θεοῦ οἱ τὰ τῷ Θεῷ δοκοῦντα πράττοντες, οὕτω καὶ υἱοὶ ἡμέρας καὶ υἱοὶ φωτὸς, οἱ τὰ τοῦ φωτὸς πράττοντες. Οὐκ ἐσμὲν νυκτὸς, οὐδὲ σκότους.

Ματθ. κγ. ιγ.
Κολοσ. γ. ς.

6 Ἄρα οὖν μὴ καθεύδωμεν, ὡς καὶ οἱ λοιποὶ, ἀλλὰ γρηγορῶμεν καὶ νήφωμεν.

7 Οἱ γὰρ καθεύδοντες, νυκτὸς καθεύδουσι· καὶ οἱ μεθυσκόμενοι, νυκτὸς μεθύουσιν·

8 Ἡμεῖς δὲ ἡμέρας ὄντες, νήφωμεν. Δείκνυσιν ἐνταῦθα ὅτι τὸ ἐν ἡμέρᾳ εἶναι, ἡμέτερόν ἐστι. καὶ ἐνταῦθα μὲν (ἐπὶ τῆς ἡμέρας ταύτης καὶ τῆς νυκτὸς λέγω) οὐχ ἡμέτερόν ἐστιν· ἀλλὰ καὶ ἀκόντων ἡμῶν ἔρχεται ἡ νὺξ, καὶ μὴ βουλομένοις ὁ ὕπνος ἐφίσταται. ἐπὶ δὲ τῆς νυκτὸς ἐκείνης καὶ τοῦ ὕπνου, οὐκέτι· ἀλλ' ἔξεστι διαπαντὸς ἐγρηγορέναι, ἔξεστι διαπαντὸς ἡμέραν ἄγειν. τοὺς γὰρ τῆς ψυχῆς ὀφθαλμοὺς κλεῖσαι, καὶ τὸν ἀπὸ τῆς κακίας ὕπνον ἐπαγαγεῖν οὐκ ἔστι φύσεως, ἀλλὰ προαιρέσεως. ἀλλὰ γρηγορῶμεν, φησὶ, καὶ νήφωμεν. ἔξεστι γὰρ ἐγρηγορότα καθεύδειν, μηδὲν πράττοντα ἀγαθόν. διὰ τοῦτο ἐπήγαγε, καὶ νήφωμεν. καὶ γὰρ ἐν ἡμέρᾳ ἂν γρηγορῇ τις, μὴ νήφῃ δὲ, μυρίοις περιπεσεῖται δεινοῖς. ὥστε γρηγορήσεως ἐπίτασις ἡ νῆψίς ἐστιν. Οἱ καθεύδοντες, φησὶ, νυκτὸς καθεύδουσι, καὶ οἱ μεθυσκόμενοι, νυκτὸς μεθύουσι. μέθην ἐνταῦθά φησιν, οὐ τὴν ἀπὸ τοῦ οἴνου μόνον, ἀλλὰ καὶ τὴν ἀπὸ πάντων τῶν κακῶν. καὶ γὰρ μέθη ψυχῆς πλοῦτος, καὶ χρημάτων ἐπιθυμία, καὶ σωμάτων ἔρως, καὶ πᾶν ὅπερ ἂν εἴποις, μέθη ψυχῆς ἐστι. διατί δὲ ὕπνον τὴν κακίαν ἐκάλεσεν; ὅτι πρῶτον μὲν ἀνενέργητός ἐστι πρὸς τὴν ἀρετὴν ὁ τοιοῦτος· ἔπειτα, ὅτι πάντα φαντασιοῦται, καὶ οὐδὲν ἀληθὲς ὁρᾷ, ἀλλ' ὀνειράτων ἐστὶ μεστὸς, καὶ ἀτόπων πολλάκις πραγμάτων. ἂν δέ τι χρηστὸν ἴδῃ, οὐδὲν ἔχει βέβαιον, οὐδὲ πεπηγός. τοιοῦτος ὁ παρὼν βίος ἐστίν· ὀνειράτων καὶ φαντασίας γέμει. ὁ πλοῦτος ὄναρ, ἡ δόξα, πάντα τὰ τοιαῦτα. ὁ καθεύδων, τὰ μὲν ὄντα καὶ ἀληθῶς ὑφεστῶτα οὐχ ὁρᾷ· τὰ δὲ μὴ ὄντα, ὡς ὄντα φαντάζεται. τοιαύτη ἡ κακία ἐστὶ, καὶ ὁ ἐν κακίᾳ βίος. οὐχ ὁ-

ρᾷ

πλήθει δὲ, καὶ ἀμύνεται τὸν ἐχθρὸν, καὶ περιττὸν ἡγεῖται ἀναπαῦσαι αὐτοῦ τὴν ψυχήν, οὕτως ἂν ἐδέξαντο τὴν τελευτήν. Εἴπω τι καὶ πλεῖον ἕτερον; οἱ φιλοζωοῦντες, καὶ σφόδρα τῆς ἐνταῦθα ἐφιέμενοι, ὑπὸ τῆς ἀθυμίας ἂν καὶ τῆς λύπης διεφθάρησαν. Εἰ γάρ τις τῶν νέων ᾔδει ὅτι παρὰ τοῦ γήρως δέξεται τὴν τελευτήν, ἠπίστατο, καθάπερ τὰ νεοθρέμματα τῶν θηρίων, ἐπειδὰν συλληφθῇ, μᾶλλον τοιαῦτα μετὰ προσδοκῶντα τὴν τελευτήν, οὕτως ἂν διετέθη καὶ οὗτος. Οὐδὲ αὐτοὶ οἱ γενναῖοι ἄνδρες μισθὸν ἂν εἶχον. Εἰ γὰρ ᾔδεσαν ὅτι πάντως μετὰ τρία ἔτη ἀπελθεῖν δεῖ, καὶ πρὸ ἐκείνων οὐ τεθνᾶσι, ποῖον ἂν εἶχον μισθὸν, κατατολμῶντες τῶν δεινῶν; Εἶπε γὰρ ἄν τις πρὸς αὐτούς· ὅτι ἐπεὶ θαρρεῖτε ὑπὲρ τὴν τριετίαν, διὰ τοῦτο τοῖς κινδύνοις ἑαυτοὺς ἐκδίδοτε, εἰδότες ὅτι ἄλλως οὐκ ἔνι ὑμᾶς ἀπελθεῖν· ὁ γὰρ ἐξ ἑνὸς κινδύνου προσδοκῶν τεθνήξεσθαι, καὶ εἰδὼς ὅτι ζήσεται μὲν μὴ παραβουλευσάμενος, τεθνήξεται δὲ τοιαῦτα τολμῶν, τῆς αὐτοῦ προθυμίας καὶ τοῦ καταφρονεῖν τῆς ἐνταῦθα ζωῆς μέγιστον ἐξελέγχει τεκμήριον. Ἀπὸ δὲ ὑποδείγματος τοῦτο ὑμῖν ποιήσω φανερόν. Εἰπέ μοι, εἰ ὁ πατριάρχης Ἀβραὰμ προῄδει ὅτι οὐ σφάξει τὸν υἱὸν αὐτοῦ, ἆρα ἂν εἶχέ τινα μισθόν; τί δέ, εἰ ὁ Παῦλος προῄδει ὅτι οὐ τεθνήξεται, ὑπέφερε τοὺς κινδύνους, ποῦ δὲ καὶ θαυμαστός; οὕτω γὰρ καὶ ὁ νωθέστατος εἰς πῦρ εἰσέλθοι ἄν, εἴ τινα ἀξιόπιστον ἐγγυητὴν εὕροι τῆς ἀσφαλείας. Ἀλλ' οὐχ οἱ τρεῖς παῖδες τοιοῦτοι· ἀλλὰ τί; ἄκουε αὐτῶν λεγόντων· Βασιλεῦ, ἔστι Θεὸς ἐν οὐρανῷ, ὃς ἐξελεῖται ἡμᾶς ἐκ τῶν χειρῶν σου καὶ ἐκ τῆς καμίνου ταύτης. καὶ ἐὰν μή, γνωστὸν ἔστω σοι, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησας, οὐ προσκυνοῦμεν. Ὁρᾶτε πόσα κέρδη ἐστί, καὶ πλεῖστα τούτων ἐκ τοῦ ἀγνοεῖν τὴν τελευτήν; τέως δὲ ταῦτα ἀπόχρη μαθεῖν. Διὰ τοῦτο ὡς κλέπτης ἐν νυκτί, οὕτως ἔρχεται· ἵνα μὴ εἰς κακίαν ἐξαγάγωμεν ἑαυτούς, ἵνα μὴ εἰς ῥαθυμίαν, ἵνα μὴ τὸν μισθὸν ἡμῶν ὑποτέμνηται. Αὐτοὶ γὰρ ἀκριβῶς, φησίν, οἴδατε. τί δεῖ περιεργάζεσθαι, εἰ πεπεισμένοι ἐστέ; ὅτι δὲ ἄδηλον τὸ μέλλον, ἐξ ὧν ὁ Χριστὸς εἶπε, μάνθανε· ὅτι δὲ διὰ τοῦτο εἶπεν, ἄκουσον τί φησι· Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε ποίᾳ ὥρᾳ ὁ κλέπτης ἔρχεται. Διὰ τοῦτο καὶ Παῦλος ἔλεγεν·

Δαν. γ. ιζ.

Ματθ. κδ. μς.

3 Ὅταν δὲ λέγωσιν, Εἰρήνη καὶ ἀσφάλεια, τότε αἰφνίδιος αὐτοῖς ἐφίσταται ὄλεθρος, ὥσπερ ἡ ὠδὶν τῇ ἐν γαστρὶ ἐχούσῃ, καὶ οὐ μὴ ἐκφύγωσιν. Ἐνταῦθα τοῦτο ᾐνίξατο, ὅπερ καὶ ἐν τῇ δευτέρᾳ εἶπεν ἐπιστολῇ. ἐπειδὴ γὰρ οὗτοι μὲν ἦσαν ἐν θλίψεσιν, οἱ δὲ πολεμοῦντες αὐτοὺς ἐν ἀδείᾳ καὶ ἐν τρυφῇ, εἶτα αὐτοὺς μὲν παρεμυθεῖτο τὰ περὶ τῆς ἀναστάσεως λόγῳ, ἐκεῖνοι δὲ ἐπηρέαζον ἐκ τῶν προειρημένων ἐνθυμημάτων φθεγγόμενοι, καὶ ἔλεγον, πότε ἔσται; (ὅπερ καὶ οἱ προφῆται ἔλεγον· Οὐαὶ οἱ λέγοντες, τὸ τάχος ἐγγισάτω, ἃ ποιήσει ὁ Θεός, ἵνα ἴδωμεν· καὶ ἐλθέτω ἡ βουλὴ τοῦ ἁγίου Ἰσραήλ, ἵνα γνῶμεν. καὶ πάλιν· Οὐαὶ οἱ ἐπιθυμοῦντες τὴν ἡμέραν Κυρίου. * οὐ γὰρ ἁπλῶς ἐπιθυμοῦντας λέγει, ἀλλὰ τοὺς ἐκ τοῦ ἀπιστεῖν ἐπιθυμοῦντας. καὶ, Ἡ ἡμέρα Κυρίου σκότος, φησί, καὶ οὐ φῶς) διὰ τοῦτο εἴρηκεν οὕτω, καὶ ὅρα πῶς αὐτοὺς παραμυθεῖται. ὡς ἂν εἰ ἔλεγε· μὴ τὸ ἐν ἀπαθείᾳ εἶναι αὐτοὺς, τεκμήριον ποιείσθωσαν τοῦ μὴ παραγίνεσθαι τὴν κρίσιν. οὕτω μὲν οὖν καὶ παραγίνεται. ἄξιον δὲ καὶ ἐκεῖνο ζητῆσαι· εἰ ὁ ἀντίχριστος ἔρχεται, καὶ ὁ Ἡλίας ἔρχεται, πῶς ὅταν λέγωσιν, εἰρήνη, καὶ ἀσφάλεια, τότε αὐτοῖς αἰφνίδιος ὄλεθρος ἐφίσταται; ταῦτα γὰρ οὐκ ἀφίησι μὴ εἰδέναι τὴν ἡμέραν, τεκμήρια ὄντα τῆς παρουσίας αὐτῆς. Ἀλλ' οὐ τοῦτον τὸν καιρὸν αἰνίττεται, τὸν ἀντιχρίστου λέγω, οὔτε τὴν ἡμέραν ἐκείνην φησίν, ὅτι σημεῖον ἔσται τῆς παρουσίας τοῦ Χριστοῦ, ἀλλ' ὅτι ὁ Χριστὸς οὐκ ἔχει σημεῖον, ἀλλ' ἀθρόον καὶ ἀπροσδοκήτως ἥξει. καὶ γὰρ τῇ κυούσῃ, φησίν, οὐκ ἐφίσταται ἀδήλως. οἶδε γὰρ ὅτι μετὰ ἐννεαμηνιαῖος ἔσται ὁ τόκος· καὶ σφόδρα μὲν οὖν ἀδήλως. αἱ μὲν γὰρ ἑπταμηνιαῖα ἔτεκον, αἱ δὲ ἐννεαμηνιαῖα· ἄλλως δὲ καὶ ἡ ἡμέρα καὶ ἡ ὥρα ἄδηλος τοῦ τόκου. πρὸς τοῦτο οὖν φησι ταῦτα ὁ Παῦλος καὶ ἀ-

Ησ. ε. ιθ.

Αμως ε. ιη.

* αἰ. ταύτης δηλῶν.



Digitized by Google

κάριος Παῦλός φησι· περὶ δὲ τῶν χρόνων καὶ τῶν καιρῶν, ἀδελφοὶ, οὐ χρείαν ἔχετε γράφεσθαι ὑμῖν. διατί μὴ εἶπεν, ὅτι οὐδεὶς οἶδε; διατί μὴ εἶπεν, ὅτι οὐκ ἀπεκαλύφθη, ἀλλ', οὐ χρείαν ἔχετε γράφεσθαι ὑμῖν; ὅτι ἐκείνως μὲν ἂν ἐλύπησε μᾶλλον· οὕτω δὲ παρεμυθήσατο εἰπών. τῷ γὰρ, οὐ χρείαν ἔχετε, καὶ ὡς περιττὸν, καὶ ὡς ἀσύμφορον, ζητεῖν οὐκ εἴασε. ποῖον γὰρ, εἰπέ μοι, τὸ κέρδος*; θῶμεν εἶναι τὴν συντέλειαν μετὰ εἴκοσιν ἔτη, μετὰ τριάκοντα, μετὰ ἑκατόν. τί τοῦτο πρὸς ἡμᾶς; οὐχὶ ἑκάστῳ ἡ συντέλεια τὸ τῆς αὐτοῦ ζωῆς πέρας ἐστί; τί πολυπραγμονεῖς, καὶ ὠδίνεις περὶ τοῦ κοινοῦ τέλους; ἀλλ' ὅπερ ἐν τοῖς ἄλλοις πάσχομεν, τοῦτο καὶ ἐν τούτῳ. καθάπερ γὰρ ἐν τοῖς ἄλλοις τὰ ἴδια ἀφέντες, τὰ κοινὰ μεριμνῶμεν λέγοντες· ὁ δεῖνα πόρνος, ὁ δεῖνα μοιχὸς, ἐκεῖνος ἥρπασεν, ἄλλος ἠδίκησε, τῶν δὲ ἑαυτοῦ οὐδεὶς λόγον ποιεῖται, ἀλλὰ πάντων φροντίζει μᾶλλον, ἢ τῶν οἰκείων· οὕτω καὶ ἐνταῦθα, ἀφέντες τὸ οἰκεῖον ἕκαστος τέλος μεριμνᾷν, τὴν κοινὴν βουλόμεθα κατάλυσιν μαθεῖν. τί γάρ σοι κοινὸν πρὸς ἐκείνην ἐστί; ἂν ταύτην καλῶς διαθῇς τὴν τελευτὴν, οὐδὲν παρ' ἐκείνης πείσῃ δεινόν. ἔστω πόῤῥω, ἔστω ἐγγύς· οὐδὲν τοῦτο πρὸς ἡμᾶς. διατί τοῦτο οὐκ εἶπεν ὁ Χριστός; ἐπειδὴ μὴ συνέφερε. καὶ πῶς οὐ συνέφερε, φησίν; αὐτὸς οἶδεν ὁ κρύψας. διατί μὴ συνέφερεν; ἄκουε γὰρ αὐτοῦ λέγοντος τοῖς ἀποστόλοις·

* ἐκ τοῦ μαθεῖν τοῦτο; κ. ἑκάστου

Πραξ. α. ζ. Οὐχ ὑμῶν ἐστι γνῶναι χρόνους ἢ καιροὺς, οὓς ὁ πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ. τί περιεργάζεσθε λοιπόν; οἱ περὶ Πέτρον τὸν κορυφαῖον ταῦτα ἤκουσαν, ὡς τὰ μείζονα ἑαυτῶν ζητοῦντες μαθεῖν. ναὶ, φησίν, ἀλλ' ἐκεῖνο τὰ τῶν Ἑλλήνων ἐπιστομίζει οὕτω στόματα. πῶς, εἰπέ μοι; ἐπειδὴ ἐκεῖνοι, φησι, τὸν κόσμον τοῦτον Θεὸν λέγουσιν εἶναι. εἰ δὲ τὸν καιρὸν ᾔδειμεν τῆς καταλύσεως, ἐπεστομίσαμεν ἂν αὐτῶν τὰ στόματα. πάνυ γε. τοῦτο γάρ ἐστι τὸ ἐπιστομίζον ἐκείνους, τὸ μαθεῖν, ὅτι ποτὲ καταλύεται, ἢ τὸ μαθεῖν πότε καταλύεται; εἰ ἐπιστομίζειν βούλεσθε, τοῦτο λέγετε πρὸς αὐτοὺς, ὅτι πέρας ἕξει. εἰ μὴ πείθονται τούτῳ, οὐδὲ ἐκείνῳ πείσονται. ἄκουσον τοῦ Παύλου λέγοντος· αὐτοὶ γὰρ ἀκριβῶς οἴδατε, ὅτι ἡ ἡμέρα Κυρίου, ὡς κλέπτης ἐν νυκτὶ, οὕτως ἔρχεται· οὐχ ἡ κοινὴ μόνον, ἀλλὰ καὶ ἡ ἑκάστου ἰδία. αὕτη γὰρ ἐκείνην μιμεῖται, ἐπειδὴ ὁμοία αὐτῇ ἐστι καὶ συγγενής. ὅπερ γὰρ ἀθρόως ἐκείνη, τοῦτο αὕτη καθ' ἕκαστον ποιεῖ. καὶ τῆς συντελείας ὁ καιρὸς ἀπὸ τοῦ Ἀδὰμ ἔλαβε τὴν ἀρχὴν, τὸ δὲ τέλος ἑκάστου ἡμῶν τῆς ζωῆς, εἰκὼν συντελείας ἐστί. καὶ οὐκ ἄν τις ἁμάρτοι συντέλειαν αὐτὸ εἰπών. ὅταν γὰρ μυρίοι καθ' ἑκάστην ἡμέραν τελευτῶσι, καὶ ἀναμένωσι τὴν ἡμέραν ἐκείνην ἅπαντες, καὶ περὶ ἐκείνης οὐδεὶς αἰσθάνεται, οὐχὶ ἐκείνης τὸ ἔργον ἐστίν; εἰ δὲ βούλεσθε μαθεῖν διατί ἀποκέκρυπται αὕτη, καὶ διατί ὡς κλέπτης ἐν νυκτὶ οὕτως ἔρχεται, ἐγὼ, ὡς ἐμαυτῷ δοκῶ καλῶς ἔχειν, ἐρῶ. οὐδεὶς ἂν ἀρετῆς ἐπεμελήθη ποτὲ παρὰ τὸν ἅπαντα βίον, εἰ δῆλον ἦν καὶ μὴ ἀπεκέκρυπτο· ἀλλ' εἰδὼς αὐτοῦ τὴν τελευταίαν ἡμέραν, καὶ μυρία ἐργασάμενος δεινὰ, καὶ τῷ λουτρῷ τότε προσελθὼν, οὕτως ἂν ἀπῆλθεν. εἰ γὰρ νῦν, τοῦ τῆς ἀδηλίας φόβου κατασείοντος τὰς ἁπάντων ψυχὰς, πάντες τὸν ἔμπροσθεν βίον ἅπαντα ἐν κακίᾳ καταδαπανήσαντες, εἰς ἐσχάτας ἀναπνοὰς τῷ βαπτίσματι διδόασιν ἑαυτούς· εἰ καὶ σφόδρα περὶ τούτου ἦσαν πεπεικότες ἑαυτοὺς, τίς ἄν ποτε ἀρετῆς ἐπεμελήθη; εἰ γὰρ καὶ φόβου ἐπικειμένου, πολλοὶ χωρὶς φωτίσματος ἀπῆλθον, καὶ οὐδὲ τοῦτο αὐτοὺς ὁ φόβος ἐπαίδευσε ταύτας ἐπιμελεῖσθαι τῶν τῷ Θεῷ δοκούντων, εἰ καὶ τοῦτ' ἀνῄρητο ὁ φόβος, τίς ἂν ἐγένετό ποτε σώφρων; τίς δὲ ἐπιεικής; οὐκ ἔστιν οὐδείς. καὶ ἑτέρως δὲ πάλιν. πολὺς ὁ τοῦ θανάτου φόβος κατέχει ἡμᾶς, καὶ ὁ τῆς ζωῆς ἔρως. εἰ δὲ ᾔδει ἕκαστος, ὅτι αὔριον πάντως τεθνήξεται, οὐδὲν ἂν παρῃτήσατο τολμῆσαι πρὸ τῆς ἡμέρας ἐκείνης, ἀλλὰ καὶ ἔσφαξεν ὃς ἂν ἠθέλησε, καὶ μυρία ἂν εἰργάσατο δεινὰ, τοὺς ἐχθροὺς ἀμυνόμενος. ἄνθρωπος γὰρ μιαρὸς καὶ τῆς ἐνταῦθα ζωῆς ἀπεγνωκὼς, οὐδὲ αὐτοῦ λόγον ἔχει τοῦ τὴν ἁλουργίδα περικειμένου. ὁ τοίνυν πεπεισμένος ὅτι πάντως ἀπελθεῖν

κ. μαθεῖν πότε καταλύεται, ἢ ὅτι ἡ

κ. οὕτως ἔρχεται

σιν τοῦ Παύλου λέγοντος· Τινῶν αἱ ἁμαρτίαι πρόδηλοί εἰσι, τισὶ δὲ καὶ ἐπακολουθοῦσι. πόσοι διέφυγον ἀνδροφόνοι; πόσοι τυμβωρύχοι; ἀλλ' ἀφείσθω ταῦτα. πόσους οὐχ ὁρᾷς κολαζομένους κόλασιν χαλεπήν; οἱ μὲν νόσῳ μακρᾷ προσεδέθησαν, οἱ δὲ βασάνοις διηνεκέσιν, οἱ δὲ ἐπηρείαις μυρίαις δεινοῖς. ὅταν οὖν ἴδῃς τὰ αὐτὰ ἐκείνοις τετολμηκότα, ἢ καὶ πολλῷ πλείονα, καὶ μὴ διδόντα δίκην, οὐχὶ καὶ ἄκων ὁμολογήσεις τὴν γέενναν; ἔκλεγε τούτους. σὺ ταῦτα τοὺς περὶ σοῦ κεκολασμένους χαλεπῶς· ἐννόει ὅτι ὁ Θεὸς προσωπολήπτης οὐκ ἔστι· καὶ ὅτι μυρία ἐργασάμενος κακὰ, οὐδὲν τοιοῦτον πέπονθας· καὶ ἕξεις τὴν ἔννοιαν τῆς γεέννης. οὕτω γὰρ ἡμῖν αὐτὴν ὁ Θεὸς ἐγκατέσπειρεν, ὡς μηδένα ἀγνοῆσαι τοῦτό ποτε. καὶ γὰρ ποιηταὶ, καὶ φιλόσοφοι, καὶ μυθολόγοι, καὶ πάντες ἁπλῶς ἄνθρωποι, περὶ τῆς ἀνταποδόσεως ἐφιλοσόφησαν τῆς ἐκεῖ, καὶ ἐν ᾅδου κολάζεσθαι εἰρήκασι τοὺς πολλούς. εἰ δὲ ἐκεῖνα μῦθοι, ἀλλ' οὐ τὰ παρ' ἡμῖν. ταῦτα οὐχ ἁπλῶς φοβῆσαι βουλόμενος εἶπον, οὐδὲ βαρῦναι τὰς ὑμετέρας ψυχὰς, ἀλλὰ σωφρονίσαι, καὶ κουφοτέρας ἐργάσασθαι. ἐβουλόμην καὶ αὐτὸς ἐγὼ μὴ εἶναι κόλασιν, καὶ μάλιστα πάντων ἐγώ. τί δήποτε; ὅτι ὑμῶν μὲν ἕκαστος ὑπὲρ τῆς ἑαυτοῦ ψυχῆς δέδοικεν· ἐγὼ δὲ καὶ τῆς προστασίας ταύτης εὐθύνας ὑφέξω. ὥστε μάλιστα πάντων ἐμὲ διαφυγεῖν ἀδύνατον. ἀλλ' οὐκ ἔστι μὴ εἶναι κόλασιν, καὶ γέενναν. τί πάθω; πάλιν ἐπαποροῦσι καί φασι, ποῦ οὖν τοῦ Θεοῦ τὸ φιλάνθρωπον; πάμπολυ. μᾶλλον δὲ ἐν ἑτέρῳ περὶ τούτου διαλέξομαι καιρῷ, ἵνα μὴ τοὺς περὶ γεέννης συγχέωμεν λόγους. τέως δὲ ὅπερ ἐκερδάναμεν ἀπὸ τῶν εἰρημένων, μὴ διαφθείρωμεν. κέρδος γὰρ οὐ μικρὸν πεπεῖσθαι περὶ γεέννης. ἡ γὰρ τῶν τοιούτων λόγων μνήμη, καθάπερ τι πικρὸν φάρμακον, πᾶσαν κακίαν ἀποσμῆξαι δυνήσεται, συνεχῶς ἡμῶν ἐνστάζουσα τῇ διανοίᾳ. χρώμεθα τοίνυν αὐτῇ, ἵνα καθαρὰν καρδίαν ἐντεῦθεν ἔχοντες, οὕτω καταξιωθῶμεν ἰδεῖν, ἃ μήτε ὀφθαλμὸς εἶδε, μήτε οὖς ἤκουσε, μήτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

[Margin: a Τιμ. ε κδ. — γρ. ἀπολαύσεσιν(?) — γρ. ἐπιχω. — γρ. πολλαχοῦ — γρ. ἡμῖν]

Λογ. θ. 1 ΠΕΡΙ ΔΕ ΤΩΝ ΧΡΟΝΩΝ ΚΑΙ ΤΩΝ ΚΑΙΡΩΝ, ἀδελφοί, οὐ χρείαν ἔχετε γράφεσθαι ὑμῖν. 2 Αὐτοὶ γὰρ ἀκριβῶς οἴδατε, ὅτι ἡ ἡμέρα Κυρίου, ὡς κλέπτης ἐν νυκτὶ, οὕτως ἔρχεται. κεφ. ε.

Οὐδὲν οὕτως, ὡς ἔοικε, περίεργόν ἐστι καὶ λίχνον πρὸς τὴν τῶν ἀφανῶν καὶ τῶν κεκαλυμμένων μάθησιν, ὡς ἡ τῶν ἀνθρώπων φύσις. τοῦτο δὲ αὐτῇ συμβαίνειν εἴωθεν, ὅταν ἀτελῆ καὶ μηδέπω κατηρτισμένην τὴν διάνοιαν ἔχῃ. καὶ γὰρ τῶν παιδίων τὰ ἀφελέστερα οὐ διαλιμπάνουσιν ἀποκναίοντες καὶ τροφέας* καὶ παιδαγωγοὺς καὶ πατέρας τῇ πυκνότητι τῶν πεύσεων, ἐν αἷς οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ, πότε τόδε ἐστὶ, καὶ πότε τόδε. συμβαίνει δὲ τοῦτο καὶ ἀπὸ τοῦ θρύπτεσθαι, καὶ ἀπὸ τοῦ μηδὲν ἔχειν ποιεῖν. πολλὰ μὲν οὖν ἐπείγεται μαθεῖν ἤδη καὶ καταλαμβάνειν ἡμῶν ἡ διάνοια, μάλιστα δὲ τὰ περὶ τῆς συντελείας καιροῦ. καὶ τί θαυμαστὸν, εἰ ἡμεῖς τοῦτο πάσχομεν; καὶ γὰρ αὐτοὶ οἱ ἅγιοι ἐκεῖνοι οἱ ἀπόστολοι μάλιστα αὐτὸ πάντων πεπόνθασι, καὶ πρὸ μὲν τοῦ πάθους προσελθόντες λέγουσι τῷ Χριστῷ· Εἰπὲ ἡμῖν, πότε ταῦτα ἔσται, καὶ τί τὸ σημεῖον τῆς σῆς παρουσίας, καὶ τῆς συντελείας τοῦ αἰῶνος; μετὰ δὲ τὸ πάθος καὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν, ἔλεγον πρὸς αὐτόν· Εἰπὲ ἡμῖν, εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ; καὶ οὐδὲν περὶ τούτου αὐτὸν ἤροντο. ἀλλ' οὐ μετὰ ταῦτα οὕτως. ὅτε γὰρ τοῦ πνεύματος τοῦ ἁγίου κατηξιώθησαν, οὐ μόνον αὐτοὶ οὐκ ἐρωτῶσιν, οὐδὲ ἀσχάλλουσι πρὸς τὴν ἄγνοιαν, ἀλλὰ καὶ τοὺς ταύτην τὴν ἄκαιρον νοσοῦντας πολυπραγμοσύνην καταστέλλουσιν. ἄκουσον γοῦν οἷα νῦν ὁ μακάριος

[Margin: γρ. κεκαλυμμένον — * καὶ ἀκολούθους — Ματθ. κδ γ. — Πραξ. α. ς.]

τῶν ἐξελθόντες ἄρτι κακῶν, καὶ νόμου σχεδὸν οὐκ ἀκούσαντες τοιούτου· ἡμεῖς δὲ ἐκ προγόνων τὰ σωτήρια παραλαβόντες δόγματα. ὥστε μείζονος κολάσεώς ἐσμεν ἄξιοι. βούλει καὶ ἕτερα ἀκοῦσαι, ὅσα ἔπαθον ἐν Παλαιστίνῃ, λιμούς, λοιμούς, πολέμους, αἰχμαλωσίας, τὰς ἐπὶ Βαβυλωνίων, τὰς ἐπὶ Ἀσσυρίων; τὰ ὑπὸ Μακεδόνων κακά; τὰ ἐπὶ Ἀδριανοῦ καὶ Οὐεσπασιανοῦ; βούλομαί σοι, ἀγαπητέ, τι διηγήσασθαι, ἀλλὰ μὴ ἀποπηδήσῃς· μᾶλλον δὲ περὶ τούτου ἑτέρωθι ἐρῶ. Λιμὸς ἐγένετό ποτε, φησί, καὶ ὁ βασιλεὺς ἐβάδιζεν ἐπὶ τοῦ τείχους. εἶτα γυνὴ προσελθοῦσα ταῦτα φθέγγεται πρὸς αὐτὸν τὰ ῥήματα· Βασιλεῦ, εἶπέ μοι ἡ γυνὴ αὕτη, ὀπτήσωμεν σὺ σήμερον τὸν υἱόν, καὶ φαγώμεθα, καὶ αὔριον τὸν ἐμόν· καὶ ὠπτήσαμεν, καὶ ἐφάγομεν· καὶ τὸν αὐτῆς οὐκέτι ἔδωκε. τί ταύτης τῆς συμφορᾶς χαλεπώτερον; πάλιν ἀλλαχοῦ ὁ προφήτης φησί· Χεῖρες γυναικῶν οἰκτιρμόνων ἥψησαν τὰ τέκνα αὐτῶν. Ἰουδαῖοι μὲν οὖν τοιαύτην ἔδοσαν δίκην· ἡμεῖς δὲ οὐ πολλῷ μᾶλλον δώσομεν; βούλει καὶ ἑτέρας αὐτῶν ἀκοῦσαι συμφοράς; τὰ Ἰωσήππου ἔπελθε, καὶ μαθήσῃ πᾶσαν ἐκείνων τραγῳδίαν, ἵν' ἄρα σε πείσωμεν ἀπὸ τούτων ὅτι ἔστι γέεννα. ἐννόησον γάρ. εἰ ἐκεῖνοι ἐκολάζοντο, διὰ τί ἡμεῖς μὴ κολαζόμεθα; ἢ πῶς εἰκὸς ἡμᾶς μὴ κολάζεσθαι, χείρονα ἐκείνων πταίοντας; ἢ δῆλον, ὅτι διὰ τὸ ἀποκεῖσθαι ἡμῖν τὴν κόλασιν. εἰ δὲ βούλει, καὶ ἐπὶ προσώπου ἑνὸς ἑκάστου ἐρῶ πῶς ἐκολάσθησαν. ἀδελφὸν ἀπέκτεινεν ὁ Κάϊν. δεινὸν μὲν τὸ ἁμάρτημα. πῶς γὰρ οὔ; ἀλλ' ἔδωκε δίκην, τὴν χαλεπήν, καὶ μυρίων ἀνταξίαν θανάτων, τὴν ὑπὲρ ἧς εἵλετο ἂν καὶ μυριάκις ἀποθανεῖν. ἄκουε γὰρ αὐτοῦ λέγοντος, Εἰ ἐκβάλλεις με ἀπὸ τῆς γῆς, καὶ ἀπὸ τοῦ προσώπου σου κρυβήσομαι, καὶ ἔσται πᾶς ὁ εὑρίσκων με ἀποκτενεῖ με. εἰπὲ οὖν μοι· οὐ τὰ αὐτὰ πράττουσιν ἐκείνῳ πολλοὶ καὶ νῦν; ὅταν γὰρ μὴ σαρκικόν, ἀλλὰ πνευματικὸν ἀνέλῃς ἀδελφόν, οὐχὶ ταὐτὸν εἰργάσω; τί γάρ, εἰ καὶ μὴ ξίφει, ἀλλ' ἑτέρῳ τρόπῳ; ὅταν δυνάμενος λῦσαι λιμόν, περιίδῃς. τί οὖν; οὐδεὶς ἐφθόνησε νῦν τῷ ἀδελφῷ; οὐδεὶς περιέβαλε κινδύνοις; ἀλλ' ἐνταῦθα οὐκ ἔδωκαν δίκην· ἀλλὰ δώσουσιν. εἶτα ὁ μὲν μὴ νόμων ἀκούσας γραπτῶν, μηδὲ προφητῶν, μήτε σημεῖα θεασάμενος μεγάλα, τοσαύτην δίδωσι τιμωρίαν· ὁ δὲ ἑτέρως τὰ αὐτὰ δεδρακώς, καὶ μηδὲ τοσούτοις παραδείγμασι σωφρονιζόμενος, ἀτιμώρητος ἔσται; καὶ ποῦ τὸ δίκαιον τοῦ Θεοῦ; ἢ ποῦ τὸ ἀγαθόν; πάλιν ξύλα τις συλλέξας ἐν τῷ σαββάτῳ κατελεύσθη. καίτοιγε μικρὰ αὕτη ἡ ἐντολή, καὶ τῆς περιτομῆς φαυλοτέρα. εἶτα ὁ μὲν ξύλα συλλέξας ἐν σαββάτῳ ἐλιθάσθη, οἱ δὲ μυρία ἐργασάμενοι πολλάκις παράνομα ἀπῆλθον ἀτιμώρητοι. ἂν οὖν μὴ γέεννα ᾖ, ποῦ τὸ δίκαιον; ποῦ τὸ ἀπροσωπόληπτον; καίτοι πολλὰ ἐγκαλεῖ αὐτοῖς τοιαῦτα, ὅτι τὰ σάββατα οὐ τηροῦσι. πάλιν ἄλλος τις ὁ Χαρμί, ἀνάθημα κλέψας, μετὰ τοῦ γένους ἐλιθάσθη παντός. τί οὖν; οὐδεὶς ἐξ ἐκείνου ἱερόσυλος γέγονεν; ὁ Σαοὺλ πάλιν φεισάμενος παρὰ τὸ τῷ Θεῷ δοκοῦν τοσαύτην ὑπέστη τιμωρίαν· οὐδεὶς οὖν ἐφείσατο ἐξ ἐκείνου; εἶτα μὲν οὖν τοῦτο. οὐχὶ μᾶλλον θηρίων ἀλλήλους κατεσθίομεν παρὰ τὸ τῷ Θεῷ δοκοῦν; καὶ οὐδεὶς ἔπεσεν ἐν πολέμῳ. πάλιν οἱ τοῦ Ἡλεὶ υἱοὶ ἐπειδὴ περὶ τοῦ θυμιάματος ἥμαρτον, δίκην ἔδοσαν χαλεπωτάτην μετὰ τοῦ πατρός. οὐδεὶς οὖν ἐγένετο πατὴρ ῥᾴθυμος περὶ παῖδας; οὔτε μιαροὶ παῖδες; ἀλλ' οὐδεὶς ἔδωκε δίκην. πότε οὖν δώσουσιν, ἂν γέεννα μὴ ᾖ; πάλιν μυρία ἄν τις ἔχοι καταλέγειν ἕτερα. τί δέ; ὁ Ἀνανίας καὶ ἡ Σάπφειρα, οὐκ ἐπειδὴ ἔκλεψαν ἐξ ὧν ἀνέθηκαν, παραχρῆμα ἐτιμωρήθησαν; οὐδεὶς οὖν ἄρα ἐξ ἐκείνου ταῦτα ἐποίησε; πῶς οὖν οὐκ ἔδωκαν τὴν αὐτὴν δίκην; ἆρά σε πείθομεν ὅτι γέεννά ἐστιν, ἢ πλειόνων σοι δεῖ παραδειγμάτων; οὐκοῦν καὶ ἐπὶ τὰ ἄγραφα ἥξομεν, τὰ νῦν ἐν τῷ βίῳ γινόμενα. ἀναγκαῖον γὰρ πάντοθεν ταύτην ἡμῖν συλλέγειν τὴν ἀπόδειξιν, ἵνα μὴ μάτην ἑαυτοὺς παραλογιζόμενοι, βλάπτωμεν ἑαυτούς. οὐχ ὁρᾷς πολλοὺς ἐν συμφοραῖς, τὰ σώματα ἀναπήρους, μυρία πάσχοντας δεινά; ἑτέρους δὲ εὐδοκιμοῦντας; διὰ τί οἱ μὲν φόνων διδόασι δίκας, οἱ δὲ οὔ; ἀκού-

σον

χ. δ. δάσμ.

χ. ὑπὸ

4. Βασ. ϛ. κη.

Θρήν. δ. ι.

χ. προσώπων τὰ τῶν κολάσεων ἰδίᾳ

χ. ἐκολάσθ.

καὶ τί λέγω λίθον καὶ ξύλα καὶ γῆν, ὅπουγε καὶ ἀὴρ καὶ τὰ ὕδατα μετέσχε τῆς συμφορᾶς; καθάπερ γὰρ σώματος ἐμπρησθέντος καὶ κατακαυθέντος, τὸ μὲν σχῆμα μένει, καὶ ὁ τύπος ἐν τῇ τοῦ πυρὸς ὄψει, καὶ ὄγκος, καὶ ἡ ἀναλογία, ἡ δὲ δύναμις οὐκέτι· οὕτω δὴ ἐκεῖ γῆν ἐστιν ἰδεῖν, ἀλλ' οὐδὲν ἔχουσαν γῆς, ἀλλὰ πάντα τεφρὰν· δένδρα, καὶ καρποὺς, ἀλλ' οὐδὲν ἔχοντα δένδρων, οὐδὲ καρπῶν· ἀέρα καὶ ὕδωρ· ἀλλ' οὐδὲν ἀέρος, οὐδὲ ὕδατος*. καὶ γὰρ καὶ ταῦτα πεπύρωται. καίτοι πῶς ἂν ἀὴρ ἐμπρησθείη ποτέ; πῶς δ' ἂν ὕδωρ μένον ὕδωρ; ξύλα μὲν γὰρ, καὶ λίθους δυνατὸν καίειν· ἀέρα δὲ καὶ ὕδωρ οὐδαμῶς δυνατόν. ἡμῖν οὐ δυνατὸν, τῷ δὲ αὐτὰ ποιήσαντι δυνατόν. τοιγαροῦν οὐδὲν ἕτερον, ἢ κάμινός ἐστιν ὁ ἀὴρ, κάμινος τὸ ὕδωρ. πάντα ἄκαρπα, πάντα ἄγονα, πάντα τῆς παραλαβούσης ὀργῆς εἰκόνες, τῆς μελλούσης τεκμήρια. μὴ καὶ ταῦτα ἀπὸ λαῒ ῥημάτων; μὴ καὶ ταῦτα ψόφοι ῥημάτων; ἐμοὶ μὲν γὰρ οὐδὲ τὰ πρότερα ἄπιστα, ἀλλ' ὁμοίως τοῖς ὁρωμένοις τὰ μὴ ὁρώμενα πιστά· ἔστω δὲ ἄπιστα· καὶ ταῦτα ἱκανὰ πίστιν παρασχεῖν. εἴ τις ἀπιστεῖ τῇ γεέννῃ, τὰ Σόδομα λογιζέσθω, τὰ Γόμορρα ἐννοείτω, τὴν τιμωρίαν τὴν γεγενημένην, καὶ ἔτι μένουσαν. τοῦτο τοῦ διαιωνίζειν τὴν κόλασιν τεκμήριον. φορτικὰ ταῦτα; ἐκεῖνα δὲ οὐ φορτικά, ὅταν λέγῃς, ὅτι οὐκ ἔστι γέεννα, ἀλλ' ἁπλῶς ἠπείλησεν ὁ Θεός; ὅταν ἐκλύσῃς τὰς χεῖρας τοῦ λαοῦ, σύ με ταῦτα ἀναγκάζεις λέγειν ὁ διαπιστῶν. εἰ τοῖς ῥήμασιν ἐπίστευσας τοῦ Χριστοῦ, οὐκ ἂν ἠναγκαζόμεθα τὴν ἀπὸ τῶν πραγμάτων πίστιν παραγαγεῖν. ἐπειδὴ δὲ ἐκεῖνα πέφευγας, καὶ ἑκὼν καὶ ἄκων πεισθήσῃ λοιπόν. τί γὰρ ἔχεις περὶ τῶν Σοδόμων εἰπεῖν; βούλει καὶ τὴν αἰτίαν μαθεῖν, δι' ἣν τότε ταῦτα ἐγένετο; ἓν ἦν ἁμάρτημα χαλεπὸν μὲν, καὶ ἐπάρατον, πλὴν ἀλλ' ἕν· παισὶν ἐπεμαίνοντο οἱ τότε, καὶ διὰ τοῦτο ταύτην ἔδοσαν τὴν δίκην. νῦν δὲ μυρία καὶ ἴσα, καὶ χαλεπώτερα γίνεται τούτων ἁμαρτήματα. εἶτα ὁ ὑπὲρ ἑνὸς ἁμαρτήματος τοσαύτην ἐκχέων ὀργὴν, καὶ μήτε τοῦ Ἀβραὰμ τὴν ἱκετηρίαν δυσωπηθεὶς, μήτε τὸν ἔνοικον Λὼτ, τὸν ὑπὲρ τῆς εἰς τοὺς δούλους αὐτοῦ τιμῆς τὰς θυγατέρας εἰς ὕβριν προϊέμενον τὰς ἑαυτοῦ, τοσούτων ὄντων τῶν ἁμαρτημάτων, φείσεται; γέλως ὄντως ταῦτα, καὶ λῆρος, καὶ πλάνη, καὶ διαβολικὴ ἀπάτη. βούλει καὶ ἕτερον ἐπαγάγω; τὸν Φαραὼ πάντως ἀκούεις τὸν Αἰγυπτίων βασιλέα· οὐκοῦν οἶδας καὶ τὴν δίκην ἣν ἔδωκε, καὶ πῶς αὐτοῖς ἅρμασι καὶ ἵπποις μετὰ τοῦ στρατοπέδου παντὸς εἰς τὸ ἐρυθραῖον κατεποντίσθη πέλαγος. βούλει καὶ ἕτερα μαθεῖν; ἐκεῖνος μὲν γὰρ ἴσως ἀσεβὴς ἦν, μᾶλλον δὲ οὐκ ἴσως, ἀλλ' ὄντως ἀσεβὴς ἦν. βούλει καὶ ἐκ τῶν πιστευόντων καὶ προσηκόντων τῷ Θεῷ, βίου δὲ οὐκ ὄντων ὀρθοῦ, τιμωρουμένους ἰδεῖν; ἄκουσον τοῦ Παύλου λέγοντος· Μηδὲ πορνεύωμεν, καθώς τινες αὐτῶν ἐξεπόρνευσαν, καὶ ἔπεσον ἐν μιᾷ ἡμέρᾳ εἰκοσιτρεῖς χιλιάδες· μηδὲ γογγύζωμεν, καθώς τινες αὐτῶν ἐγόγγυσαν,ᵃ καὶ ἀπώλοντο ὑπὸ τοῦ ὀλοθρευτοῦ· μηδὲ ἐκπειράζωμεν τὸν Χριστὸν, καθώς τινες αὐτῶν ἐπείρασαν, καὶ ὑπὸ τῶν ὄφεων ἀπώλοντο. εἰ δὲ πορνεία τοσοῦτον ἴσχυσεν, εἰ δὲ γογγυσμὸς, τί οὐκ ἐργάσεται τὰ ἡμέτερα; εἰ δὲ μὴ νῦν ἀπαιτεῖ δίκην, μὴ θαυμάσῃς. ἐκεῖνοι μὲν γὰρ οὐκ ᾔδεσαν τὴν γέενναν· διὸ ταῖς παρὰ πόδας ἐκολάζοντο τιμωρίαις. σὺ δὲ ὅσα ἂν ἁμάρτῃς, κἂν μηδεμίαν δίκην δῷς, πάντα ἀποτίσεις ἐκεῖ. εἶτα οὓς μὲν νηπιωδεστέρους, καὶ οὐ τοσαῦτα πταίοντας τοσαῦτα ἐκόλαζεν, ἡμῶν δὲ φείσεται; οὐκ ἂν ἔχοι λόγον. κἂν γὰρ τὰ αὐτὰ ἁμάρτωμεν ἐκείνοις, μείζονος ἐσμὲν κολάσεως ἄξιοι. διὰ τί; ὅτι πλείονος ἀπελαύσαμεν χάριτος. ὅταν δὲ καὶ πλείονα, καὶ μείζονα ἐκείνων πταίωμεν, πῶς οὐκ ὑποστησόμεθα δίκην; ἐκεῖνοι (καὶ μή με τις νομιζέτω θαυμάζοντα αὐτοὺς, ἢ συγγινώσκοντα αὐτοῖς λέγειν, μὴ γένοιτο. ὅταν γὰρ ὁ Θεὸς κολάζῃ, ὁ τὴν ἐναντίαν φέρων ψῆφον, ἀπὸ διαβολικῆς διανοίας τοῦτο ποιεῖ. οὐ τοίνυν ἐπαινῶν αὐτοὺς, οὐδὲ συγγινώσκων τοῦτό φημι, ἀλλὰ δεικνὺς τὴν ἡμετέραν κακίαν) ἐκεῖνοι τοίνυν, εἰ καὶ ἐγόγγυζον, ἀλλ' ἔρημοι ἤρχοντο· ἡμεῖς δὲ πατρίδα ἔχοντες, καὶ ἐν οἰκίαις ταῖς ἡμετέραις ὄντες, γογγύζομεν. ἐκεῖνοι, εἰ δὲ καὶ ἐπόρνευον, ἀλλ' ἀπὸ Αἰγυπτια-

κῶν

* ἐκεῖνην ἔχοντα.

a Κορ. ι. η.

χ. δίδωσι

τῆς ψυχῆς, καὶ ἐκπεπληγμένης, καὶ ἐξεστηκυίας. Εἰ τοίνυν σωματικὸς θάνατος οὕτως ἡμᾶς φοβεῖ, ὅταν αἰώνιος παραγίνηται, τί πεισόμεθα; καὶ τί λέγω περὶ τῶν ἀπαγομένων; ὄχλος περιέστηκε τότε, τῶν πλησίον οὐδὲν εἰδότες αὐτοί. Εἴ τις ἐκείνων τὰς ψυχὰς περιεσκόπησεν, * οὐδεὶς οὕτως ὠμός, οὐδεὶς οὕτω θρασύς, οὐδεὶς οὕτω μιαρός, ὃς οὐ καταπεπτωκυῖαν αὐτὴν εἶχε, παρειμένην ὑπὸ τοῦ φόβου καὶ τῆς ἀθυμίας. Εἰ δὲ ἑτέρων ἀναιρουμένων τῷ θανάτῳ τούτῳ τῷ ὕπνου οὐδὲν διαφέροντι, τῶν μηδὲν κοινωνούντων οὕτω διατίθενται· ὅταν ἡμεῖς αὐτοὶ τοῖς μείζοσι περιπίπτωμεν, τίς ἄρα ἔσται ἡ κατάστασις; οὐκ ἔστιν, οὐκ ἔστι, τις δύναται, παραστῆσαι λόγῳ τὸ πάθος. ναί, φησιν· ἀλλὰ φιλάνθρωπος ὁ Θεός, καὶ οὐδὲν τούτων ἔσται. οὐκοῦν εἰκῇ γέγραπται. οὔ, φησιν, ἀλλὰ πρὸς ἀπειλὴν μόνον, ἵνα σωφρονισθῶμεν. ἐὰν οὖν μὴ σωφρονισθῶμεν, ἀλλὰ μένωμεν κακοί, οὐκ ἐπάξει τὴν κόλασιν, εἰπέ μοι; οὐκοῦν οὐδὲ τοῖς ἀγαθοῖς ἀποδώσει τὰς ἀμοιβάς; ναί, φησιν. ἐκεῖνο γὰρ αὐτῷ πρέπον ἐστὶ καὶ παρὰ τὴν ἀξίαν εὐεργετεῖν. ὥστε ἐκεῖνα μὲν ἀληθῆ καὶ πάντως ἔσται· τὰ δὲ τῶν κολάσεων, οὐ πάντως, ἀλλ' ἀπειλῆς ἕνεκεν, * καὶ φόβου. πόθεν ὑμᾶς πείσω, οὐκ οἶδα. ἂν εἴπω ὅτι ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ οὐ σβεσθήσεται, ἐὰν εἴπω ὅτι ἀπελεύσονται εἰς πῦρ αἰώνιον, ἂν τὸν πλούσιον παραγάγω ἤδη κολαζόμενον, πάντα ἀπειλῆς εἶναι ἐρεῖτε. πόθεν οὖν ὑμᾶς πείσω; Σατανικὸς γὰρ οὗτος ὁ λογισμός, χάριν ἀνόητον χαριζόμενος, καὶ ῥαθύμους ποιῶν. πῶς οὖν αὐτὸν ἐξελῶμεν; ὅσα ἂν εἴπωμεν ἀπὸ τῶν γραφῶν, ἐρεῖτε ὅτι ἀπειλῆς ἕνεκεν. ἀλλὰ τοῦτο μὲν περὶ τῶν μελλόντων ἔχοι τις ἂν εἰπεῖν· περὶ δὲ τῶν ἐκβεβηκότων καὶ τέλος ἐσχηκότων, οὐκέτι. ἠκούσατε πάντες περὶ τοῦ κατακλυσμοῦ. μὴ καὶ ἐκεῖνα ἀπειλῆς ἕνεκεν εἴρηται; οὐχὶ καὶ ἐξέβη καὶ γέγονε; τοιαῦτα καὶ ἐκεῖνοι πολλὰ ἔλεγον· καὶ ἐν ἑκατὸν ἔτεσι τῆς κιβωτοῦ πηγνυμένης, καὶ τῶν ξύλων ὑφαινομένων, καὶ τοῦ δικαίου βοῶντος, οὐδεὶς ὁ πιστεύων ἦν. ἀλλ' ἐπειδὴ οὐκ ἐπίστευσαν τῇ διὰ τῶν ῥημάτων ἀπειλῇ, ὑπέστησαν τὴν διὰ τῶν πραγμάτων τιμωρίαν. τοῦτο καὶ ἡμεῖς πεισόμεθα, ἂν μὴ πιστεύσωμεν. διά τοι τοῦτο καὶ τὴν παρουσίαν αὐτοῦ ταῖς ἡμέραις παραβάλλει τοῦ Νῶε· ἐπειδὴ καθάπερ ἐκείνῳ τῷ κατακλυσμῷ ἠπίστησάν τινες, οὕτω καὶ τῷ κατακλυσμῷ τῆς γεέννης. μὴ ἀπειλὴ ἐκεῖνα ἐστί; οὐχὶ ἔργοις γέγονεν; εἶτα ὁ κόλασιν οὕτως ἀνθρώποις τότε ἐπαγαγών, οὐ πολλῷ μᾶλλον καὶ νῦν ἐπάξει; οὐ γὰρ δὴ ἐλάττονα τῶν τότε τὰ νῦν γινόμενα. πῶς; ὅτι τότε εἰσῆλθον, φησιν, οἱ υἱοὶ τοῦ Θεοῦ πρὸς τὰς θυγατέρας τῶν ἀνθρώπων, καὶ αἱ ἐπιμιξίαι ἦσαν τὸ δεινόν· νῦν δὲ οὐδέν ἐστιν εἶδος κακίας ὅπερ ἀτόλμητον. ἆρα οὖν τις ἀπιστεῖ ὅτι γέγονεν ὁ κατακλυσμός, ἢ λῆρος ὑμῖν δοκεῖ; καίτοιγε καὶ τὰ ὄρη, ἔνθα ἡ κιβωτὸς ἱδρύθη, μαρτυρεῖ. [τὰ Ἀρμενίας λέγω.] πλὴν ἐκ περιουσίας πολλῆς καὶ ἐφ' ἑτέρων ἐκείνου σαφεστέρων ἄξω τὸν λόγον. ἐπεδήμησέ τις ὑμῶν τῇ Παλαιστίνῃ ποτέ; λοιπὸν γὰρ οὐκέτι λόγους, ἀλλὰ πράγματα ἐρῶ. καίτοι καὶ τὰ πρότερα πραγμάτων σαφέστερα ἦν. ἅπερ γὰρ ἂν εἴπῃ ἡ γραφή, ταῦτα τῶν ὁρωμένων πιστότερα. ἐπεδήμησεν οὖν ὑμῶν τις τῇ Παλαιστίνῃ ποτέ; ἔγωγε οἶμαι. τί οὖν; μαρτυρήσατέ μοι ὑμεῖς οἱ τοὺς τόπους ἑωρακότες πρὸς τοὺς οὐ γινώσκοντας ἐκεῖ. Ἀσκάλωνος γὰρ ἄνω καὶ Γάζης εἰς αὐτὸ τοῦ Ἰορδάνου ποταμοῦ τὸ τέλος ἐστὶ χώρα πολλή τις, καὶ εὔφορος· μᾶλλον δὲ ἦν· νῦν γὰρ οὐκ ἔστιν. αὕτη δὴ οὖν ὡς παράδεισος ἦν. εἶδε γάρ, φησι, Λὼτ πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου, καὶ ἦν ποτιζομένη, ὡς παράδεισος τοῦ Θεοῦ. αὕτη δὴ οὖν ἡ οὕτως εὐθηνής, καὶ πρὸς πάσας τὰς χώρας ἁμιλλωμένη, ἡ φθάνουσα τῇ εὐθηνίᾳ τὸν παράδεισον τοῦ Θεοῦ, πασῶν τῶν ἐρήμων ἐρημοτέρα ἐστὶ νῦν. καὶ ἑστήκει μὲν δένδρα, καὶ καρπὸν ἔχει· ὁ δὲ καρπὸς τῆς τοῦ Θεοῦ ὀργῆς ἐστιν ὑπόμνημα. ἑστήκασι μὲν γὰρ ῥόαι (καὶ τὸ ξύλον λέγω, καὶ ὁ καρπός) λαμπρὰν τὴν ἐπιφάνειαν ἔχουσαι, καὶ τῷ ἀγνοοῦντι παρέχουσαι πολλὰς τὰς ἐλπίδας· εἰ δὲ λήψεται εἰς χεῖρας, διακλασθεῖσαι καρπὸν μὲν οὐδένα, κόνιν δὲ καὶ τέφραν πολλὴν δεικνύουσιν ἐναποκειμένην ἔνδον. τοιαύτη καὶ ἡ γῆ πᾶσα. κἂν λίθον εὕρῃς, τετεφρωμένον εὑρήσεις.

καὶ

Margin notes: χ. ἐξεστώσης. — * ἔχει αὐτὴν — * εἴρηται — Ματθ. θ. μδ. — χ. αὐθέντη — Γεν. ϛ. β. — Γεν. ιγ. ι.

ἕνεκεν ἁρπαγησόμεθα; τιμῆς ἕνεκεν. καὶ γὰρ βασιλέως εἰς πόλιν εἰσελαύνοντος, οἱ μὲν ἔντιμοι πρὸς ἀπάντησιν ἐξίασιν· οἱ δὲ κατάδικοι ἔνδον μένουσι τὸν κριτήν. καὶ παιδὸς φιλοστόργου πατρὸς ἐρχομένου, οἱ μὲν παῖδες, καὶ ἄξιοι παῖδες εἶναι, ἐπὶ ὀχήματος ἐξάγονται ὥστε ἰδεῖν καὶ καταφιλῆσαι· οἱ δὲ προσκεκρουκότες τῶν οἰκετῶν ἔνδον μένουσιν. ἐπὶ τοῦ ὀχήματος φερόμεθα τοῦ πατρός. καὶ γὰρ αὐτὸν ἐν νεφέλαις ὑπέλαβεν αὐτόν, καὶ ἡμεῖς ἐν νεφέλαις ἁρπαγησόμεθα. ὁρᾷς τὴν τιμὴν ὅση; καὶ τὴν ἀπάντησιν καταβαίνοντι ποιούμεθα, καὶ τὸ πάντων μακαριώτερον, οὕτω σὺν αὐτῷ ἐσόμεθα. Τίς λαλήσει τὰς δυναστείας τοῦ Κυρίου, ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ; ψαλ. ρε. ὅσων ἀγαθῶν ἠξίωσε τὸ γένος τὸ ἀνθρώπινον; πρότεροι οἱ τελευτήσαντες ἐγείρονται, καὶ οὕτως ὁμοῦ ἡ ἀπάντησις γίνεται. Ἄβελ ὁ πρὸ πάντων τετελευτηκὼς ὁμοῦ μετὰ τῶν ζώντων τότε ἀπαντήσει. ὥστε οὐδὲν ἔσται πλέον ἐκείνοις κατὰ τοῦτο. ἀλλ' ὁ διαφθαρείς, ὁ τοσαῦτα ἔχων ἐν τῇ γῇ ἔτη, μετ' ἐκείνων ἀπαντήσεται, γ. ἐκείνου καὶ ἅπαντες οἱ ἄλλοι. Εἰ γὰρ ἡμᾶς ἐκεῖνοι ἀνέμειναν ἵνα στεφανωθῶμεν, καθώς ἑτέρωθί φησι γράφων, Τοῦ Κυρίου περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι· Ἑβρ. ια. μ. πολλῷ μᾶλλον καὶ ἡμεῖς ἐκείνους. μᾶλλον δὲ ἐκεῖνοι μὲν ἀνέμειναν, ἡμεῖς δὲ οὐκέτι. ἐν γὰρ ἀτόμῳ ἡ ἀνάστασις γίνεται, ἐν ῥιπῇ ὀφθαλμοῦ. τὸ δὲ λέγειν, ὅτι συνάγονται, τοῦτο δηλοῖ, ὅτι ἀνίστανται μὲν πανταχοῦ, συνάγονται δὲ ὑπὸ τῶν ἀγγέλων. τὸ μὲν οὖν ἀναστῆναι, τῆς τοῦ Θεοῦ δυνάμεως ἔργον ἐστὶ τῇ γῇ κελεύοντος ἀφεῖναι τὴν παρακαταθήκην, καὶ οὐδεὶς ὁ ὑπηρετούμενος, ὥσπερ τότε ἐκάλεσε τὸν Λάζαρον, Λάζαρε, δεῦρο ἔξω· Ἰωαν. ια. μγ. τὸ δὲ ἀγαγεῖν, τῶν ὑπηρετῶν γίνεται. ἀλλ' εἰ συνάγουσι, καὶ περιτρέχουσιν ἄγγελοι, πῶς αὐτοὶ ἐνταῦθα ἁρπάζονται; μετὰ τὸ καταβῆναι ἁρπάζονται, μετὰ τὸ συναχθῆναι. ἅμα γὰρ οὐδενὸς εἰδότος τοῦτο γίνεται. ὅταν γὰρ ἴδωσι τὴν γῆν κλονουμένην, κόνιν ἀναμιγνυμένην, ἴσως πάντοθεν ἐγειρόμενα τὰ σώματα, οὐδενὸς πρὸς τοῦτο ὑπηρετοῦντος, ἀλλὰ τοῦ κελεύσματος ἀρκοῦντος τὴν γῆν πεπληρωμένην πᾶσαν κεκινῆσθαι (ἐννόησον γὰρ ὅσοι εἰσὶν ἀπὸ τοῦ Ἀδὰμ μέχρι τῆς αὐτοῦ παρουσίας πάντας ἐκείνους ἔσεσθαι τότε μετὰ γυναικῶν καὶ παίδων) ὅταν ἴδωσι τοσοῦτον ἐπὶ τῆς γῆς θόρυβον, τότε εἴσονται. ὥσπερ οὖν ἐπὶ τῆς κατὰ σάρκα οἰκονομίας οὐδὲν προεθορύβησεν, οὕτω καὶ τότε.

ΗΘΙΚΟΝ

Ὅταν οὖν ταῦτα γίνηται, τότε καὶ ἡ φωνὴ τοῦ ἀρχαγγέλου ἔσται τοῖς ἀγγέλοις ἐπιτάττοντος καὶ βοῶντος, καὶ αἱ σάλπιγγες, μᾶλλον δὲ ὁ τῶν σαλπίγγων ἦχος. ποῖος ἄρα τρόμος ἕξει, ποῖος φόβος τοὺς ἐπὶ τῆς γῆς ἀπομένοντας; Μία γὰρ ἁρπάζεται, καὶ μία καταλιμπάνεται· γ. ἀφίεται Ματθ. κδ. μ. καὶ εἷς παραλαμβάνεται, καὶ εἷς ἀφίεται. τίς ἔσται ἡ ψυχὴ ἐκείνων, ὅταν τοὺς μὲν αἰρομένους ὁρῶσιν, ἑαυτοὺς δὲ ἀφιεμένους; ἆρα οὐ πάσης γεέννης φοβερώτερον αὐτοὺς ταῦτα διασαλεῦσαι δυνήσεται; ὑποθώμεθα τοίνυν ἤδη τοῦτο παρεῖναι τῷ λόγῳ. Εἰ γὰρ θάνατος αἰφνίδιος, ἢ πόλεων σεισμοί, καὶ ἀπειλαὶ οὕτω ποιοῦσι τὰς ἡμετέρας ψυχάς· ὅταν τὴν γῆν ἀναρρηγνυμένην ἴδωμεν καὶ πεπληρωμένην πάντων ἐκείνων, ὅταν τῶν σαλπίγγων ἀκούσωμεν, ὅταν τῆς φωνῆς τοῦ ἀρχαγγέλου πάσης σάλπιγγος λαμπροτέρας οὔσης, ὅταν τοὺς οὐρανοὺς συστελλομένους, ὅταν αὐτὸν παραγινόμενον τὸν ἁπάντων βασιλέα τὸν Θεόν, τίς ἄρα ἡμῖν ἔσται ἡ ψυχή; φρίξωμεν, παρακαλῶ, καὶ φοβηθῶμεν, ὡς ἤδη τούτων γινομένων· μὴ τῇ μελλήσει παραμυθώμεθα ἑαυτούς. ὅταν γὰρ πάντως δέῃ γενέσθαι; οὐδὲν ἡ μέλλησις ὠφελεῖ. πόσος ὁ τρόμος; πόσος ὁ φόβος τότε; Εἴδετέ ποτε τοὺς ἀπαγομένους τοὺς ἐπὶ θάνατον; ποίαν νομίζετε αὐτοὺς ἔχειν τὴν ψυχήν, τὴν μέχρι τῆς πύλης ὁδὸν βαδίζοντας; πόσων θανάτων οὐ χείρονα; τί οὐκ ἂν ἕλοιντο καὶ πρᾶξαι καὶ παθεῖν, ὥστε ἀπαλλαγῆναι τῆς ἀχλύος ἐκείνης καὶ τοῦ νέφους; ἐγὼ πολλῶν ἤκουσα λεγόντων τῶν φιλανθρωπίᾳ βασιλικῇ μετὰ τὴν ἀπαγωγὴν εἰς τοὐπίσω κληθέντων, ὅτι οὐδὲ ἀνθρώπους ἑώρων τοὺς ἀνθρώπους, τεθορυβημένης

τῆς

εὔδιον λιμένα καταπλευσούμεθα μετὰ πολλῆς μὲν τῆς ἐμπορείας, μετὰ πάσης δὲ τῆς ἀσφαλείας· καὶ τῶν ἀποκειμένων τοῖς ἀγαπῶσιν αὐτὸν ἐπιτευξόμεθα ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. [γ. ἐμπορίας, γ. πολλῆς]

Λογ. η.
15 ΤΟΥΤΟ ΓΑΡ ΥΜΙΝ ΛΕΓΟΜΕΝ ΕΝ ΛΟΓΩ
Κυρίου, ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυ-
ρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας· 16 Ὅτι αὐτὸς ὁ Κύριος ἐν κε-
λεύσματι, ἐν φωνῇ ἀρχαγγέλου, καὶ ἐν σάλπιγγι Θεοῦ καταβήσεται ἀπ'
οὐρανοῦ, καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτον· 17 Ἔπειτα ἡμεῖς
οἱ ζῶντες οἱ περιλειπόμενοι ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις
εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, καὶ οὕτω πάντοτε σὺν Κυρίῳ
ἐσόμεθα.

Οἱ προφῆται μὲν τὸ ἀξιόπιστον τῶν λεγομένων δεῖξαι βουλόμενοι, πρὸ τῶν ἄλλων ἁπάντων τοῦτο λέγουσιν, Ὅρασις, ἣν εἶδεν Ἡσαΐας [Ησ. α.]· καὶ πάλιν, Ῥῆμα Κυρίου, ὃ ἐγενήθη πρὸς Ἱερεμίαν· καὶ πάλιν, Τάδε λέγει Κύριος, καὶ ὅσα τοιαῦτα. πολλοὶ δὲ καὶ αὐτοὶ καθήμενοι ὁρῶσι τὸν Θεόν, ὡς αὐτοῖς ἰδεῖν δυνατόν. ὁ δὲ Παῦλος οὐ καθήμενον ἰδών, ἀλλ' ἔχων ἐν ἑαυτῷ λαλοῦντα τὸν Χριστόν, ἀντὶ τοῦ, τάδε λέγει Κύριος, ἔλεγεν, Ἢ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ [β. Κορ. ιγ. γ.]· καὶ πάλιν, Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ, δηλῶν ὅτι οὐδὲν αὐτοῦ ἐστιν. ὁ γὰρ ἀπόστολος τὰ τοῦ ἀποστείλαντος φθέγγεται. καὶ πάλιν, Δοκῶ δὲ κἀγὼ πνεῦμα Θεοῦ ἔχειν [α. Κορ. ζ. μ.]. ἐκεῖνα μὲν οὖν πνεύματι πάντα ἐφθέγγετο, τοῦτο δέ, ὃ λέγει νῦν, καὶ ῥητῶς ἤκουσε παρὰ τοῦ Θεοῦ, ὥσπερ καὶ ἐκεῖνο, ὅπερ τοῖς Ἐφεσίων πρεσβυτέροις διαλεγόμενος ἔλεγε, Μακάριόν ἐστι μᾶλλον διδόναι, ἢ λαμβάνειν [Πραξ. κ. λε.], κατὰ τὸ σιωπώμενον ἤκουσεν. ἴδωμεν τοίνυν τί καὶ νῦν φησι. Τοῦτο γὰρ ὑμῖν λέγομεν ἐν λόγῳ Κυρίου, ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας· ὅτι αὐτὸς ὁ Κύριος ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου, καὶ ἐν σάλπιγγι τῇ ἐσχάτῃ καταβήσεται ἀπ' οὐρανοῦ. ὅπερ καὶ ὁ Χριστὸς τότε φησίν, αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται [Ματθ. κδ. κθ.]. τί δήποτε ἐν σάλπιγγι; καὶ γὰρ ἐν τῷ Σιναίῳ ὄρει τοῦτο ὁρῶμεν, καὶ ἀγγέλους ἐκεῖ. τί δὲ βούλεται ἡ φωνὴ τοῦ ἀρχαγγέλου; καθάπερ ἐπὶ τῶν παρθένων ἔλεγεν· Ἐγείρεσθε, ἦλθεν ὁ νυμφίος [Ματθ. κε. ς.]. ἤτοι τοῦτό φησιν, ἢ ὅτι καθάπερ ἐπὶ βασιλέως, οὕτω καὶ τότε ἔσται, ἀγγέλων πρὸς τὴν ἀνάστασιν ὑπηρετουμένων. λέγει γάρ, ἀναστῶσιν οἱ νεκροί· καὶ τὸ ἔργον, οὐ τῶν ἀγγέλων πρὸς τοῦτο ἰσχυόντων, ἀλλὰ τοῦ ῥήματος αὐτοῦ· ὡσανεὶ βασιλέως κελεύσαντος καὶ εἰπόντος, ἐξέλθοιεν οἱ συγκεκλεισμένοι, καὶ οἱ ὑπηρέται ἐξάγοιεν, οὐκέτι λοιπὸν ἀπὸ τῆς οἰκείας ἰσχύος, ἀλλ' ἀπὸ τῆς φωνῆς ἐκείνης τοῦτο ποιοῦσι. τοῦτο καὶ ἀλλαχοῦ ὁ Χριστὸς λέγει· Ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ μετὰ σάλπιγγος μεγάλης, καὶ ἐπισυνάξουσι τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐκ τῶν τεσσάρων ἀνέμων, ἀπ' ἄκρων οὐρανῶν ἕως ἄκρων αὐτῶν [Ματθ. κδ. λα.]. καὶ πανταχοῦ τοὺς ἀγγέλους ὁρᾷς διατρέχοντας. τῶν ἀρχαγγέλων οἶμαι τῶν ἐφεστώτων εἶναι τοῖς ἀποσταλμένοις βοῶντα τοῦτο, ὅτι ἑτοίμους ποιεῖτε πάντας· πάρεστι γὰρ ὁ κριτής. τί ἐστιν, ἐν τῇ ἐσχάτῃ σάλπιγγι; δείκνυσιν ἐνταῦθα πολλὰς τὰς σάλπιγγας γινομένας, καὶ πρὸς τῇ ἐσχάτῃ καταβαίνοντα τὸν κριτήν. καὶ οἱ νεκροί, φησίν, ἐν Χριστῷ ἀναστήσονται πρῶτον, ἔπειτα ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα.

18 Ὥστε παρακαλεῖτε ἀλλήλους ἐν τοῖς λόγοις τούτοις. Εἰ μέλλει καταβαίνειν, τίνος



Digitized by Google

τὴν ματαιότητα, καὶ τὴν γέννησιν τὴν ἀσώματον πολυπραγμονούντων τοῦ υἱοῦ. Τὰ καθ' ἑκάστην ἡμέραν γινόμενα, καὶ χερσὶν ὑποβαλλόμενα, καὶ μυριάκις ζητηθέντα οὐδεὶς οὐδέπω εὑρεῖν δεδύνηται· πῶς οὖν τὴν ἄρρητον ἐκείνην, καὶ ἄφραστον γέννησιν πολυπραγμονοῦσιν, εἰπέ μοι; Οὐκ ἀπέκαμεν ἡ διάνοια τῶν τοιούτων κατεμβατεύουσα; οὐκ εἰς μυρίους ἰλίγγους περιετράπη; οὐχὶ ἀχλύϊ γέγονε; καὶ ὅμως οὐδὲ οὕτω παιδεύονται. Περὶ σταφυλῶν καὶ σύκων οὐδὲν εἰπεῖν δυνάμενοι, περὶ τοῦ Θεοῦ πολυπραγμονοῦσιν. Εἰπὲ γάρ μοι, πῶς τὸ γίγαρτον ἐκεῖνο ἀναλύεται εἰς φύλλα, καὶ στελέχη; πῶς περὶ τούτου οὐκ ἦν ἐν αὐτῷ, οὐδὲ ἑωρᾶτο; ἀλλ' οὐ τὸ γίγαρτόν ἐστι, φησὶν, ἀλλὰ τῆς γῆς τὸ πᾶν. Καὶ πῶς χωρὶς τούτου οὐδὲν φέρει ἀφ' ἑαυτῆς; ἀλλὰ μὴ ἀνοηταίνωμεν. Οὔτε τῆς γῆς ἐστιν, οὔτε τῆς κέγχρου τὸ γινόμενον, ἀλλὰ τοῦ

χ. δημιουργοῦ

καὶ τῆς γῆς καὶ τῶν σπερμάτων κυρίου. Διὰ τοῦτο καὶ χωρὶς τούτων, καὶ μετὰ τούτων ταῦτα ἐποίησε γίνεσθαι· τὸ μὲν, τὴν αὐτοῦ δύναμιν δεικνὺς, ἡνίκα ἔλεγεν, Ἐξαγαγέτω ἡ γῆ βοτάνην χόρτου· τὸ δὲ, μετὰ τὸ δεῖξαι τὴν αὐτοῦ δύναμιν, καὶ ἡμᾶς παιδεύων εἶναι φιλοπόνους καὶ φιλέργους. Τί δὲ ταῦτα ἡμῖν εἴρηται; οὐχ ἁπλῶς, ἀλλ' ἵνα καὶ τῇ ἀναστάσει πιστεύωμεν· καὶ ὅταν τι πάλιν λογισμοῖς βουλόμενοι καταλαβεῖν οὐκ ἰσχύωμεν, μὴ δυσχεραίνωμεν, μηδὲ ἀγανακτῶμεν, ἀλλ' εὐγνωμόνως ὑποστρέφοντες, καὶ ἀναχαιτίζοντες τὸν λογισμὸν, καταφεύγωμεν ἐπὶ τὸ δυνατὸν τοῦ Θεοῦ καὶ ἀμήχανον.

Γεν. α. ια.

χ. μὴ δυνάμενοι

Ταῦτα οὖν εἰδότες, χαλινὸν ἐπιθῶμεν τοῖς λογισμοῖς· μὴ ὑπερβαίνωμεν τοὺς ὅρους, καὶ τὰ μέτρα τὰ δεδομένα τῆς γνώσεως ἡμῖν. Εἰ γάρ τις δοκεῖ, φησὶν, εἰδέναι τι, οὐδέπω οὐδὲν ἔγνωκε καθὼς δεῖ γνῶναι. Οὐ λέγω περὶ Θεοῦ μόνον, ἀλλὰ περὶ παντὸς πράγματος. Τί γὰρ βούλει μαθεῖν περὶ γῆς; τί οἶδας, εἰπέ μοι; πόσον τὸ μέτρον αὐτῆς; πηλίκον τὸ μέγεθος; ὁποία ἡ θέσις; τίς ἡ οὐσία; ποῖος ὁ τόπος; ποῦ ἕστηκε; καὶ ἐπὶ τίνος; ἀλλ' οὐδὲν ἂν τούτων ἔχοις εἰπεῖν· ἀλλ' ὅτι μέν ἐστι ψυχρὰ, καὶ ξηρὰ, καὶ μέλαινα, ταῦτα ἂν ἔχοις εἰπεῖν, περαιτέρω δὲ οὐδέν. Ἀλλὰ περὶ τὴν θάλασσαν; ἀλλ' ὁμοίως εἰς ἀμηχανίαν ἐμπίπτεις, οὐκ εἰδὼς πόθεν μὲν ἄρχεται, ποῦ δὲ λήγει, ἐπὶ τίνος δὲ φέρεται, τί τὸν πυθμένα αὐτῆς διαβαστάζει, ποῖος δὲ αὐτῇ τόπος ἐστὶ, πότερον δὲ καὶ μετ' αὐτήν ἐστιν ἤπειρος, ἢ εἰς ὕδωρ τελευτᾷ καὶ ἀέρα. [ἀλλὰ τῶν ἐν αὐτῇ τί οἶδας;] ἀλλὰ τὸν ἀέρα εἴπω; ἀλλὰ τὰ στοιχεῖα; ἀλλ' οὐδὲν ἐρεῖς. Ἄφες ταῦτα. Βούλει τῶν φυτῶν τὸ μικρότατον ἐκλεξώμεθα; τὴν χλόην τὴν ἄκαρπον, ἥνπερ ἅπαντες ἴσμεν, εἰπὲ πῶς τίκτεται; οὐχὶ ὕδωρ ἐστὶ τὸ ὑποκείμενον, καὶ γῆ, καὶ κόπρος; τί τὸ ποιοῦν αὐτὴν οὕτω καλὴν φαίνεσθαι, καὶ χρῶμα ἔχειν θαυμαστόν; πόθεν ἐκεῖνο τὸ κάλλος οὕτω [illegible]); οὐκ ἔστιν ὕδατος, οὐκ ἔστι γῆς τὸ ἔργον. Ὁρᾷς ὅτι πανταχοῦ πίστεως χρεία; πῶς ἡ γῆ τίκτει; πῶς ὠδίνει, εἰπέ μοι; ἀλλ' οὐδὲν ἂν τούτων ἔχοις εἰπεῖν. Παιδεύθητι, ὦ ἄνθρωπε, ἐν τοῖς κάτω καὶ τοῖς ἐνταῦθα, καὶ μὴ περιεργάζου, μηδὲ πολυπραγμόνει τὸν οὐρανόν· καὶ εἶτα τὸν οὐρανὸν, καὶ μὴ τοῦ οὐρανοῦ τὸν δεσπότην. Τὴν γῆν οὐκ οἶδας, εἰπέ μοι, ἀφ' ἧς ἐτέχθης, ἐν ᾗ ἐτράφης, ἣν οἰκεῖς, ἣν πατεῖς, ἧς ἄνευ οὐδὲ ἀναπνεῦσαι δύνασαι, καὶ τὰ τοσοῦτον ἀφεστηκότα πολυπραγμονεῖς; οὕτως ἄνθρωπος ματαιότης. Ὁ γὰρ τοιοῦτος ματαιότης ἐστί. Καὶ ἐὰν μέν τίς σε εἰς βυθὸν κελεύῃ καταβαίνειν, καὶ ἐξιχνεύειν τὰ ἐν τῷ πυθμένι τῆς θαλάσσης, οὐκ ἀνέξῃ τοῦ ἐπιτάγματος· οὐδενὸς δὲ ἀναγκάζοντος, αὐτὸς τὴν ἀνεξιχνίαστον ἄβυσσον βούλει καταλαβεῖν; Μὴ, παρακαλῶ· ἀλλ' οὕτω πλέωμεν, μὴ πειθόμενοι λογισμοῖς (ταχέως γὰρ ἀποστραμούμεθα, καὶ καταποντισθησόμεθα) ἀλλὰ ταῖς θείαις κεχρημένοι γραφαῖς, καθάπερ πλοίῳ τινὶ τὰ ἱστία τῆς πίστεως ἀναπετάσωμεν. Ἂν ἐν ταύταις πλέωμεν, καὶ κυβερνήτης ἡμῖν παρέσται ὁ λόγος τοῦ Θεοῦ· ἂν δὲ πειθώμεθα ἐν τοῖς λογισμοῖς τοῖς ἀνθρωπίνοις, οὐκέτι. Τίνι γὰρ τῶν οὕτω πειθομένων κυβερνήτης παρέσται; ὥστε διπλοῦς ὁ κίνδυνος, τῷ τε μὴ πλοῖον εἶναι, τῷ τε κυβερνήτην ἀπεῖναι. Εἰ γὰρ καὶ τὸ σκάφος αὐτὸ κυβερνήτου σφαλερὸν, ὅταν ἀμφότερα ἀπῇ, ποία σωτηρίας ἐλπίς; μὴ δὴ ῥίπτωμεν ἑαυτοὺς εἰς κίνδυνον φανερὸν, ἀλλ' ἐπ' ἀσφαλοῦς βαίνωμεν, τῆς ἱερᾶς ἀγκύρας ἐξαρτήσαντες ἑαυτούς. Οὕτω γὰρ εἰς τὸν

α. Κορ. η. β.

χ. εἰδέναι

χ. πάρεστι

ἀλλὰ τί φασιν; ὁ δεῖνα, φησί, ναυάγιον ὑπέστη, καὶ κατεποντίσθη, καὶ πεσόντα αὐτὸν ἰχθύες ἐδέξαντο πολλοί, καὶ τῶν ἰχθύων ἕκαστος μέλος ἔφαγεν. εἶτ' αὐτῶν δὴ τούτων ὁ μὲν ἐν τῷδε τῷ κόλπῳ, ὁ δὲ ἐν τῷδε συνελήφθη, καὶ ἐβρώθη ὑφ' ἑτέρου, καὶ οὗτος ὑπὸ ἄλλου. καὶ οὗτοι πάλιν ἐν ἄλλοις χωρίοις ἀπέθανον καὶ τοὺς ἰχθῦς φαγόντες τοὺς τὸν ἄνδρα καταφαγόντας, καὶ αὐτοὶ ἴσως ὑπὸ θηρίων. τοσαύτης δὲ τῆς συγχύσεως γενομένης καὶ διαφθορᾶς, πῶς πάλιν ἀναστήσεται ὁ ἀνήρ; τίς ὁ τὸν χοῦν συνάγων; διὰ τί γὰρ τοῦτο λέγεις, ἄνθρωπε, καὶ ὁρμαθοὺς λήρων ὑφαίνεις, καὶ ὡς ἀπορῶν πλάττεις; (γρ. ἐναγαγών) εἰπὲ γάρ μοι, ἂν μὴ εἰς θάλατταν καταπέσῃ, ἂν γὰρ μὴ ἰχθῦς φάγῃ, μηδὲ βρωθῇ πάλιν ὁ ἰχθὺς ὑπὸ μυρίων ἀνθρώπων, ἀλλὰ κηδευθεὶς ἐν λαρνακίῳ ὁ ἀνὴρ τεθῇ, καὶ μήτε σκώληκες, μήτε ἄλλο τι διενοχλήσῃ, πῶς ἀναστήσεται τὸ διαλυθέν; πῶς ἡ κόνις καὶ ἡ τέφρα συγκολληθήσεται; πόθεν τὸ ἄνθος λοιπὸν ἔσται τοῦ σώματος; τοῦτο δὲ οὐκ ἀπορεῖς; ἂν μὲν οὖν Ἕλληνες ὦσιν οἱ ταῦτα διαπορήσαντες, πρὸς αὐτοὺς μυρία ἐροῦμεν. τί δήποτε; εἰσὶ γὰρ παρ' αὐτοῖς οἱ τὰς ψυχὰς καὶ εἰς φυτὰ καὶ εἰς θάμνους ἄγοντες, καὶ εἰς κύνας. εἰπέ μοι, τί εὐκολώτερον, τὸ οἰκεῖον σῶμα ἀναλαβεῖν, ἢ τὸ ἀλλότριον; ἄλλοι πάλιν φασὶν ὑπὸ πυρὸς ἀναλίσκεσθαι, καὶ ἱματίων ἀνάστασιν γίνεσθαι καὶ ὑποδημάτων, καὶ οὐ καταγελῶνται. (γρ. ἀλίσκεσθαι. καὶ φασίν.) ἕτεροι ἀτόμους εἰσάγουσιν. ἀλλὰ πρὸς ἐκείνους οὐδεὶς ἡμῖν λόγος· πρὸς δὲ τοὺς πιστούς, εἴγε πιστοὺς δεῖ καλεῖν τοὺς ἐρωτῶντας, ὅμως ἐροῦμεν τὸ ἀποστολικόν, ὅτι πᾶσα ἡ ζωὴ ἀπὸ φθορᾶς γίνεται, πάντα φυτά, πάντα σπέρματα. οὐχ ὁρᾷς τὴν συκῆν ἡλίκον μὲν ἔχει κορμόν, ἡλίκα δὲ στελέχη; φύλλα δὲ πόσα; κλάδους; ἀνθέλικας; ῥίζας τοσοῦτον ἐπεχούσας καὶ ἐγκεκολπισμένας; (γρ. ἐκταθείσας καὶ ἐγκεκολπωμένας;) αὕτη τοίνυν ἡ τηλικαύτη καὶ τοιαύτη ἀπὸ τῆς κέγχρου γέγονεν ἐκείνης τῆς καταβληθείσης, καὶ αὐτῆς διαφθαρείσης πρότερον. κἂν μὴ σαπῇ καὶ διαλυθῇ, οὐδὲν τούτων ἔσται. εἰπέ μοι, πόθεν τοῦτο γέγονε; καὶ ἡ ἄμπελος δὲ ἡ οὕτω καλὴ καὶ ἰδεῖν, καὶ μετέχειν, ἀπὸ τοῦ εἴδους γέγονεν ἐκείνου. (ἴσ. γέγονε τε) τί δέ, εἰπέ μοι, οὐχὶ ὕδωρ ἐστὶν εἰ τὸ ἄνωθεν καταφερόμενον; καὶ πῶς εἰς τοσαῦτα μεταβάλλεται; τοῦτο γὰρ τῆς ἀναστάσεως θαυμασιώτερον. ἐκεῖ μὲν γὰρ καὶ τὸ αὐτὸ σπέρμα, καὶ τὸ αὐτὸ ὑπόκειται φυτόν, καὶ ἡ συγγένεια πολλή· ἐνταῦθα δέ, εἰπέ μοι, πῶς μίαν ἔχον ποιότητα καὶ μίαν φύσιν, εἰς τοσαῦτα τρέπεται; (γρ. μυρία) ἐν ἀμπέλῳ γίνεται οἶνος, οὐχὶ οἶνος μόνον, ἀλλὰ καὶ φύλλα, καὶ ὀπός (καὶ γὰρ οὐχ ὁ βότρυς μόνον, ἀλλὰ καὶ τὸ λοιπὸν τῆς ἀμπέλου αὐτῷ τρέφεται) πάλιν ἐν ἐλαίᾳ ἔλαιον· καὶ τὰ ἄλλα, ὅσα οὐκ ἔστιν εἰπεῖν. καὶ τὸ θαυμαστόν, ἐνταῦθα ὑγρόν, ἐκεῖ ξηρόν, ἐνταῦθα γλυκύ, ἐκεῖ ὀξύ, ἐκεῖ στρυφνόν, ἑτέρωθι πικρόν. πῶς, εἰπέ μοι, τρέπεται εἰς τοσαῦτα; εἰπὲ τὸν λόγον. ἀλλ' οὐκ ἂν ἔχοις. ἐπὶ δὲ σοῦ αὐτοῦ, εἰπέ μοι (ἐγγύτερον γὰρ τοῦτο) τὸ σπέρμα τὸ καταβαλλόμενον πῶς εἰς ὀφθαλμούς, πῶς εἰς ὦτα, πῶς εἰς χεῖρας, πῶς εἰς καρδίαν, πῶς εἰς τοσαῦτα ῥυθμίζεται καὶ διατυποῦται; οὐχὶ μυρίαι διαφοραὶ ἐν τῷ σώματι σχημάτων, μεγεθῶν, ποιοτήτων, θέσεων, δυνάμεων, ῥυθμῶν; πῶς νεῦρα, καὶ φλέβες, καὶ σάρκες, καὶ ὀστᾶ, καὶ ὑμένες, καὶ ἀρτηρίαι, καὶ ἄρθρα, καὶ χόνδροι, καὶ ὅσα ἕτερα τούτων πλείονα παῖδες ἰατρῶν ἀκριβολογοῦνται, ἃ τὴν ἡμετέραν συνέχει φύσιν; καὶ ταῦτα ἀπὸ τοῦ ἑνὸς σπέρματος. ἆρα πολλῷ (εἰ δοκεῖ τοῦτον εἶναι) τοῦτο ἀπορώτερον; πῶς τὸ ὑγρὸν καὶ μαλακὸν εἰς σκληρὸν καὶ ψυχρὸν πήγνυται, τὸ ὀστοῦν; πῶς εἰς θερμὸν καὶ ὑγρόν, καὶ τὸ αἷμα ἑνωθέν; πῶς εἰς ψυχρὸν καὶ μαλθακόν, τὸ νεῦρον· πῶς εἰς ψυχρὸν καὶ ὑγρόν, τὴν ἀρτηρίαν; πόθεν ταῦτα, εἰπέ μοι; ταῦτα οὐ διαπορεῖς; οὐχὶ ὁρᾷς καθ' ἑκάστην ἡμέραν ἀνάστασιν καὶ θάνατον ἐν ταῖς ἡλικίαις γινόμενον; ποῦ ἡ νεότης ἀπῆλθε; πόθεν τὸ γῆρας ἦλθε; πῶς ὁ γεγηρακὼς ἑαυτὸν μὲν νέον ποιῆσαι οὐ δύναται, ἕτερον δὲ παιδίον τίκτει νεώτατον, καὶ ὃ ἑαυτῷ οὐ δύναται παρασχεῖν, ἑτέρῳ παρέχει; τοῦτο καὶ ἐπὶ τῶν δένδρων, καὶ ἐπὶ τῶν ζώων ἐστὶν ἰδεῖν. καίτοι τὸ ἑτέρῳ παρέχον, ἑαυτῷ πρότερον ὀφείλει παρασχεῖν. ἀλλὰ ταῦτα μὲν ὁ λογισμὸς ὁ ἀνθρώπινος ἀπαιτεῖ. ὅταν δὲ ὁ Θεὸς δημιουργῇ, πάντα ὑποχωρείτω. (γρ. τοῦτο γ. μὲν) εἰ ταῦτα οὕτως ἄπορα, καὶ μεθ' ὑπερβολῆς ἄπορα, ὑπεισελθέτω μοι νῦν ἔννοια

τῶν

14 Εἰ γὰρ πιστεύομεν, φησὶν, ὅτι Ἰησοῦς ἀπέθανε καὶ ἀνέστη καὶ ἔζησεν, οὕτως ὁ Θεὸς καὶ τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ ἄξει σὺν αὐτῷ. Ποῦ εἰσιν οἱ τὴν σάρκα ἀθετοῦντες; εἰ γὰρ μὴ ἀνέλαβε σάρκα, οὐδὲ ἀπέθανεν· εἰ δὲ μὴ ἀπέθανεν, οὐδὲ ἀνέστη. πῶς οὖν ἡμᾶς ἀπὸ τούτων προτρέπει εἰς πίστιν; ἆρα οὐ ληρεῖς μᾶλλον ἢ καὶ αὐτοὺς, καὶ ἀπατεῶν; εἰ γὰρ τὸ ἀποθανεῖν ἁμαρτίας ἐστὶν, ὁ δὲ Χριστὸς οὐχ ἥμαρτε, πῶς ἡμᾶς προτρέπεται νῦν; διὰ τί δὲ καί φησιν, ὥσπερ καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα; ὥστε ἔλεγε, τίνας θρηνεῖτε, ἄνθρωποι; ὑπὲρ τίνων λυπεῖσθε; ὑπὲρ τῶν ἁμαρτωλῶν, ἢ ὑπὲρ τῶν ἁπλῶς ἀποθνησκόντων; ὥστε ἐκεῖνοι τίνας θρηνοῦσι; πάντα δὲ ταῦτα ἔοικεν αὐτοῖς εἶναι. Πρωτότοκος, φησὶν, ἐκ τῶν νεκρῶν, τουτέστιν, ἀπαρχή. οὐκοῦν καὶ λοιποὺς εἶναι δεῖ. καὶ ὅρα πῶς ἐνταῦθα οὐδὲν ἀπὸ λογισμῶν εἴρηκεν, ἐπειδὴ προσηνεῖς ἦσαν. Κορινθίοις δὲ γράφων, πολλὰ προσέθηκε καὶ ἀπὸ λογισμῶν ἐκίνησε, καὶ τότε ἐπήγαγεν· Ἄφρον, σὺ ὃ σπείρεις, οὐ ζωοποιεῖται. κυριώτερον μὲν γὰρ τοῦτο, ἀλλ' ὅταν τῷ πιστῷ διαλέγηται· πρὸς δὲ τοὺς ἔξω ποίαν ἰσχὺν ἂν ἔχοι τοῦτο, οὕτω φησὶν ὁ Θεός; καὶ τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ ἄξει σὺν αὐτῷ. πάλιν κοιμηθέντας, οὐδαμοῦ λέγει ἀποθανόντας. ἀλλ' ἐπὶ μὲν τοῦ Χριστοῦ τὸ, ἀπέθανεν, ἔθηκεν· ἐπειδὴ καὶ τὸ τῆς ἀναστάσεως εἶπεν· ἐνταῦθα δὲ τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ, ἢ τοῦτο λέγων, ὅτι τῇ πίστει τοῦ Ἰησοῦ κοιμηθέντας, ἢ ὅτι διὰ τοῦ Ἰησοῦ ἄξει τοὺς κοιμηθέντας, τουτέστι, τοὺς πιστούς. ἐνταῦθα οἱ αἱρετικοί φασιν ὅτι τοὺς βαπτισθέντας λέγει. τὸ οὖν, ὑπὸ, ποῦ ἵσταται; ὁ γὰρ Ἰησοῦς οὐκ ἐκοιμήθη διὰ τοῦ βαπτίσματος. τίνος δὲ ἕνεκεν φησὶ τοὺς κοιμηθέντας; ὥστε οὐ περὶ καθολικῆς, ἀλλὰ περὶ μερικῆς ἀναστάσεως διαλέγεται. ἄξει τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ φησὶ, καὶ πολλαχοῦ οὕτω λέγει.

Κολοσ. α. 18.

α. Κορ. 15. λϛ.

15 Τοῦτο γὰρ ὑμῖν λέγομεν ἐν λόγῳ Κυρίου, ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας·

Περὶ τῶν πιστῶν λέγων, καὶ οἱ κοιμηθέντες ἐν Χριστῷ· καὶ πάλιν, οἱ νεκροὶ ἀναστήσονται· ἔπειτα οὐ περὶ ἀναστάσεως αὐτῷ ὁ λόγος μόνον, ἀλλὰ καὶ περὶ ἀναστάσεως καὶ περὶ τιμῆς τῆς ἐν δόξῃ. ἀναστάσεως μὲν οὖν πάντες ἀπολαύσονται, φησίν· ἐν δόξῃ δὲ οὐ πάντες ἔσονται, ἀλλ' οἱ ἐν Χριστῷ. ἐπεὶ οὖν παραμυθήσασθαι βούλεται αὐτοὺς, οὐ τούτῳ μόνον παραμυθεῖται, ἀλλὰ καὶ τῇ τιμῇ τῇ πολλῇ, καὶ τῷ τάχει· ἐπεὶ ἐκεῖνο ᾔδεσαν. ὅτι γὰρ τῇ τιμῇ βούλεται αὐτοὺς παραμυθήσασθαι, πρόσχες φησὶ, καὶ πάντοτε σὺν Κυρίῳ ἐσόμεθα, καὶ ὅτι ἐν νεφέλαις ἁρπαγησόμεθα. πῶς δὲ οἱ πιστοὶ διὰ τοῦ Ἰησοῦ κοιμῶνται; δηλονότι τὸν Χριστὸν ἔχοντες ἐν ἑαυτοῖς. τὸ δὲ, ἄξει σὺν αὐτῷ, δείκνυσι πολλαχόθεν ἀγομένους. τοῦτο γὰρ ὑμῖν, φησὶ, λέγομεν ἐν λόγῳ Κυρίου. ξένον τι ἔμελλε λέγειν· διὰ τοῦτο καὶ τὸ ἀξιόπιστον τίθησιν. ἐν λόγῳ Κυρίου, φησί· τουτέστιν, οὐκ ἀφ' ἑαυτῶν, ἀλλὰ παρὰ τοῦ Χριστοῦ μαθόντες λέγομεν. ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας. ὅπερ ἐν τῇ πρὸς Κορινθίους φησὶν, Ὅτι ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ. ἐνταῦθα τὸ ἀξιόπιστον τῇ ἀναστάσει καὶ τῷ τρόπῳ περιέστησε. καὶ ἐπειδὴ τὸ πρᾶγμα ἐδόκει δύσκολον εἶναι, δείκνυσιν αὐτοῖς ὅτι ὥσπερ ἐστὶν εὔκολον τοὺς ζῶντας ἀρθῆναι, οὕτω καὶ τοὺς ἀπελθόντας. τὸ δὲ, ἡμεῖς, οὐ περὶ ἑαυτοῦ φησιν (οὐ γὰρ δὴ ἔμελλεν αὐτὸς μέχρι τῆς ἀναστάσεως μένειν) ἀλλὰ τοὺς πιστοὺς λέγει. διὰ τοῦτο προσέθηκεν, οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας· ὡς ἂν εἰ ἔλεγε, μὴ νομίσῃς ἐργωδίας εἶναι· ἵνα, ἀκούσῃς ὅτι οἱ ζῶντες τότε τοὺς διαλυθέντας, τοὺς σαπέντας, τοὺς μυρία ἔτη ἔχοντας οὐ μὴ προλάβωσι (Θεός ἐστιν ὁ ποιῶν) ἀλλ' ὥσπερ εὔκολον αὐτῷ ἐκείνους τοὺς ἀπηρτισμένους ἀγαγεῖν, οὕτω καὶ τοὺς διαλελυμένους.

α Κορ. 15. να.

ΗΘΙΚΟΝ

Ἀλλ' εἰσί τινες, οἳ διαπιστοῦσι τῷ πράγματι, ἐπειδὴ τὸν Θεὸν οὐκ ἴσασι. τί γάρ, εἰπέ μοι, εὐκολώτερον, ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγεῖν, ἢ διαλυθέντα ἀναστῆσαι πάλιν;

γ. ἀντὶ τοῦ ληρεῖς τις καὶ ἀπατεών, ὁ μὴ ἔχων λόγους

γ. ἔργον,

γ. προτρέπεται; νῦν δὲ περὶ τίνων φησί. τίνας θρηνεῖτε, ἄνθρωποι; ὑπὲρ τίνων λυπεῖσθε; ὑπὲρ τῶν ἁμαρτωλῶν; ἢ ὑπὲρ τῶν ἁπλῶς ἀποθνησκόντων; διὰ τί δέ φησιν, ὥσπερ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα; ἐκεῖνοι τίνας θρηνοῦσιν; ὥστε ταῦτα πάντα ἔοικεν αὐτοῖς.

γ. εἴπατε

γ. μερικῆς ἀναστάσεως, ἀλλὰ περὶ καθολικῆς

γ. φθάσωμεν

ἐν τῇ ἀναστάσει

γ. περὶ δὲ πιστῶν

πον· οὐ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν ἔχουσι, ἀλλὰ τὴν δόξαν ἐκείνην τὴν ἄρρητον, δι᾽ ἣν καὶ βασιλέων γίνονται λαμπρότεροι, καὶ τῶν πώποτε εὐδοκιμηκότων. ἐν γὰρ τοῖς βασιλείοις ἐκείνοις, οὐ πλοῦτος, οὐκ εὐγένεια, οὐκ ἄλλο οὐδὲν, ἀλλ᾽ ἀρετὴ ζητεῖται μόνον. καὶ ταύτης παρούσης, οὐδὲν οὐδεὶς πρὸς τὸ τῶν πρωτείων αὐτοῦ τυχεῖν. οὐδὲν ἡμῖν ἐστὶ δυσχερὲς, ἂν θέλωμεν φιλοσοφεῖν. αἰδέσθωσαν εἰς τὰς χήρας, καὶ ὅρα πόσῳ τῆς ὀροφῆς τῶν βασιλείων λαμπροτέρα ἐστί. εἰ δὲ τὸ ἔδαφος τῶν ἄνω βασιλείων παρὰ τοσοῦτόν ἐστι τῶν κάτω σεμνότερον, ὡς τοῦτο πρὸς ἐκεῖνο βόρβορον νομίζεσθαι, εἴ τις ἂν ἀξιωθῇ τὰ βασίλεια ἀκριβῶς ἰδεῖν, τίνος οὐκ ἔσται μακαριότητος ἄξιος; Ἡ δὲ ὄντως χήρα, φησὶ, καὶ μεμονωμένη ἤλπικεν ἐπὶ τὸν Θεόν. τοῦτο πρὸς τίνας εἴρηται; πρὸς τὰς ἐχούσας παῖδας, ὅτι εὐδοκιμώτεραι μᾶλλόν εἰσι, καὶ πλείονα ἀφορμὴν ἔχουσιν ἀρέσκειν Θεῷ· ὅτι πάντα αὐταῖς λύεται τὰ δεσμά. οὐδεὶς ὁ κατέχων, οὐδεὶς ὁ ἐπισύρων τὰς ἀλύσεις ἐκείνας ἀναγκάζων. ἀπηλλάγη τῆς τοῦ ἀνδρὸς, ἀλλ᾽ ἠνώθη τῷ Θεῷ. οὐκ ἔχεις συνομιλοῦντα τὸν ὁμόδουλον, ἀλλ᾽ ἔχεις τὸν δεσπότην. ὅταν εὔχῃ, οὐχὶ τῷ Θεῷ διαλέγῃ, εἰπέ μοι; ὅταν ἀναγινώσκῃς, ἄκουε αὐτοῦ σοι διαλεγομένου. τί δέ σοι διαλέγεται; πολλῷ τοῦ ἀνδρὸς ἡδίονα ῥήματα. ὁ μὲν γὰρ ἀνὴρ κἂν κολακεύῃ, οὐ πολλὴ ἡ τιμή (ὁμόδουλος γάρ ἐστιν) ὅταν δὲ ὁ δεσπότης τὴν δούλην κολακεύῃ, τότε πολλὴ ἡ θεραπεία. πῶς οὖν ἡμᾶς θεραπεύει; ἄκουσον δι᾽ ὅσων τοῦτο ποιεῖ. Δεῦτε, φησὶ, πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. καὶ πάλιν διὰ τοῦ προφήτου βοᾷ λέγων· Μὴ ἐπιλήσεται γυνὴ τοῦ ἐλεῆσαι τὰ ἔκγονα τῆς κοιλίας αὐτῆς; εἰ δὲ καὶ ἐπιλάθοιτο γυνὴ, ἀλλ᾽ ἐγὼ οὐκ ἐπιλήσομαι, λέγει Κύριος. πόσου ταῦτα φίλτρου τὰ ῥήματα; καὶ πάλιν, Ἐπιστράφητε πρός με· καὶ πάλιν ἀλλαχοῦ, Ἐπίστρεψον πρός με, καὶ σωθήσῃ. εἰ δέ τις καὶ ἐκ τῶν ᾀσμάτων βούλοιτο ἐκλέγειν, ἀκούσεται, μυστικώτερα αὐτὰ ἐκλαμβάνων, ἡ καλή μου, ἡ περιστερά μου, πρὸς ψυχὴν ἑκάστην αὐτοῦ τρέπουσαν διαλεγομένου. τί τούτων τῶν ῥημάτων ἥδιον; ὁρᾷς διάλεξιν Θεοῦ πρὸς ἀνθρώπους; τί δὲ, εἰπέ μοι; οὐχ ὁρᾷς, ὅσοι ἐκείνων τῶν μακαρίων γυναικῶν παῖδες ἀπῆλθον, καὶ ἐν τάφοις εἰσί; ὅσαι χαλεπώτερα πεπόνθασι, καὶ μετὰ τῶν ἀνδρῶν καὶ υἱοὺς ἀπέβαλον; τούτοις προσανέχωμεν, ταῦτα μεμνώμεθα. καὶ οὐδὲν ἡμῖν ἔσται λυπηρὸν, ἀλλὰ πάντα διαπλεύσομεν τὸν χρόνον μετὰ χαρᾶς πνευματικῆς διάγοντες, καὶ τῶν αἰωνίων ἀπολαύσομεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

[Margin: α Τιμ. ε. ε. — χ. κατηξιώθη — χ. σεμνότερα — Ματθ. ια. κη. — Ησ. μθ. ιε. — Ησ. κα. — Ησ. με.]

## Λογ. ζ.

13 ΟΥ ΘΕΛΩ ΔΕ ΥΜΑΣ ΑΓΝΟΕΙΝ, ΑΔΕΛφοὶ, περὶ τῶν κεκοιμημένων, ἵνα μὴ λυπῆσθε, καθὼς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα.

[Margin: χ. θέλομεν]

ΠΟλλὰ τῶν πραγμάτων ἐξ ἀγνοίας ἡμᾶς λυπεῖ μόνης· ὡς ἂν αὐτὰ καλῶς καταμάθωμεν, ἀποκρουσόμεθα τὴν ὀδύνην. τοῦτο γοῦν καὶ ὁ Παῦλος ἐμφαίνων ἔλεγεν, οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἵνα μὴ λυπῆσθε, ὡς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα. τί οὐ θέλεις αὐτοὺς ἀγνοεῖν; τὰ περὶ τῆς ἀναστάσεώς, φησι, λέγει. διατί δὲ μὴ λέγεις τὴν κόλασιν τὴν ἀποκειμένην τῷ ἀγνοεῖν τὰ περὶ τῆς ἀναστάσεως λέγει; διότι τοῦτο ἐκεῖθεν δῆλον ἐστὶ καὶ ὡμολογημένον. τέως δὲ μετ᾽ ἐκείνου καὶ τοῦτο ἔσται κέρδος οὐ μικρόν. ἐπειδὴ γὰρ οὐ τῇ ἀναστάσει ἐπίστευον, ἀλλ᾽ ὅμως ἐθρήνουν, διὰ τοῦτο οὕτω φησί. καὶ ἑτέρως μὲν τοῖς ἀπίστοις διαλέγεται, ἑτέρως δὲ τούτοις. οἱ γὰρ περὶ τῶν χρόνων καὶ τῶν καιρῶν ζητοῦντες, δῆλον ὅτι ἤδεισαν.

[Margin: χ. διὰ τοῦτο οὐ θέλεις αὐτοὺς ἀγνοεῖν — χ. ἴσως]



Digitized by Google

ρωμένου τὸν μονογενοῦς ἐπίστευσε· σὺ δὲ τοῦ ἀνδρὸς ἔτι μέμνησαι μετὰ τοσαῦτα ἀγαθά; τί τοιοῦτον ἐκεῖνος ἐχαρίσατο; τὸν ἥλιον αὐτὸς ἀνέτειλε, τὸν ὑετὸν ἔδωκε, ταῖς ἐτησίοις τροφαῖς τρέφει. οὐαὶ ἡμῖν ἐκ τῆς πολλῆς ἀχαριστίας. διὰ τοῦτο λαμβάνει τὸν ἄνδρα, ἵνα αὐτὸν μὴ ζητῇς· σὺ δὲ ἀπελθόντος ἔχῃ ἔτι, καὶ τὸν Θεὸν ἀφεὶς, δέον εὐχαριστεῖν, δέον δὲ πάντ' ἐπ' αὐτὸν ἐπιρρίπτειν; τί γάρ ἐστιν ἃ παρὰ τοῦ ἀνδρὸς ἔλαβες; ὠδῖνες, καὶ πόνοι, καὶ ὕβρεις, καὶ λοιδορίαι πολλάκις, καὶ ἐπιτιμήσεις καὶ ἀγανακτήσεις. οὐ ταῦτα τὰ παρὰ τῶν ἀνδρῶν; ἀλλ' ἔστι, φησὶ, καὶ ἕτερα χρηστά. ποῖα δὴ ταῦτα; ἐκαλλώπισέ σε ἱματίοις πολυτελέσι; χρυσία περιέθηκε τῷ προσώπῳ; αἰδέσιμον πᾶσιν ἐποίησε; ἀλλ' ἂν θέλῃς, ὁ ἀπελθὼν κοσμήσει κόσμῳ πολὺ βελτίονι. τὴν γὰρ χρυσῶν πολλῷ θαυμαστοτέραν τὴν ἔχουσαν ἡ σεμνότης ποιεῖ. ἔχει καὶ οὗτος ὁ βασιλεὺς ἱμάτια, οὐ τοιαῦτα, ἀλλὰ πολλῷ βελτίω. ἐκεῖνα, ἂν ἐθέλῃς, περιβαλοῦ. ποῖα δὴ ταῦτα; ἱματισμός ἐστι διαχρύσοις κροσσωτοῖς ἦν. ἐὰν ἐθέλῃς, τοῦτο περίβαλε τὴν ψυχήν. ἀλλ' οὐκ ἐποίησεν εὐκαταφρόνητον ἀνθρώποις ἐκεῖνος; καὶ τί τοῦτο μέγα; ἡ μέντοι χηρεία οὐκ ἀφίησί σε γίνεσθαι εὐκαταφρόνητον τοῖς δαίμοσι. τότε τῶν οἰκετῶν ἐκράτεις τῶν σῶν, εἴγε ὅλως ἐκράτεις· νῦν δὲ ἀντὶ τῶν οἰκετῶν τῶν ἀσωμάτων δυνάμεων, τῶν ἀρχῶν, τῶν ἐξουσιῶν, τῶν κοσμοκρατόρων κρατεῖς. τὰ δὲ λυπηρὰ οὐ λέγεις, ἐν οἷς ἐκοινώνησας αὐτῷ· εἴ ποτε ἀρχόντων φόβος, εἴ ποτε τῶν εὐδοκιμήσεις τῶν πλησίον. τούτων ἁπάντων ἀπήλλαξαι νῦν φόβου καὶ δέους. ἀλλὰ τίς σοι τὰ καταλειφθέντα θρέψει παιδία, μεριμνᾷς; ὁ πατὴρ τῶν ὀρφανῶν. τίς γὰρ αὐτὰ ἔδωκεν, εἰπέ μοι; οὐκ ἀκούεις τοῦ Χριστοῦ λέγοντος ἐν τοῖς εὐαγγελίοις, Οὐχὶ ἡ ψυχὴ πλεῖόν ἐστι τῆς τροφῆς, καὶ τὸ σῶμα τοῦ ἐνδύματος; ὁρᾷς ὅτι οὐκ ἀπὸ συνηθείας, ἀλλ' ἀπὸ ἀπιστίας ὁ θρῆνος γίνεται; ἀλλ' οὐκ ἔστι λαμπρὰ ὁμοίως τὰ παιδία τοῦ πατρὸς τελευτήσαντος. διὰ τί*; τὸν Θεὸν ἔχει πατέρα, καὶ οὐκ ἔστι λαμπρά; πόσους σοι ὑποδείξω ὑπὸ χηρῶν ἀνατραφέντας, καὶ γενομένους δοκίμους; πόσους δὲ ὑπὸ πατράσιν ὄντας, καὶ ἀπολωλότας; ἂν γὰρ αὐτὰ ἀνατρέφῃς ἐκ πρώτης ἡλικίας ὡς ἀνατρέφειν δεῖ, πολλῷ μᾶλλον τῆς προστασίας τῆς πατρικῆς ἀπολαύσονται εὐεργεσίας. ὅτι γὰρ χηρῶν ἐστι τὸ πρᾶγμα, τὸ τὰ παιδία λέγω καλῶς ἀνατρέφειν, ἄκουσον Παύλου λέγοντος, Εἰ ἐτεκνοτρόφησεν· καὶ πάλιν, Σωθήσεται δὲ διὰ τῆς τεκνογονίας (οὐκ εἶπε, διὰ τοῦ ἀνδρὸς) ἐὰν ἐπιμείνωσι τῇ πίστει, καὶ τῇ ἀγάπῃ, καὶ τῷ ἁγιασμῷ μετὰ σωφροσύνης. ἔνθετε αὐτοῖς τὸν φόβον τοῦ Θεοῦ ἐκ πρώτης ἡλικίας, καὶ παντὸς πατρὸς μᾶλλον αὐτοὺς διατηρήσει. τοῦτο τεῖχος ἔσται ἀρραγές. ὅταν γὰρ ἔνδοθεν ὁ φύλαξ ἐγκαθήμενος ᾖ, οὐδὲν ἡμῖν τῶν ἔξωθεν δεῖ ἐπιτεχνημάτων· ἐκείνου δὲ οὐκ ὄντος, πάντα εἰκῆ τὰ ἔξωθεν γίνεται. τοῦτο αὐτοῖς ἔσται, καὶ πλοῦτος, καὶ δόξα, καὶ εὐκοσμία, τοῦτο αὐτοὺς ποιήσει λαμπροὺς, οὐκ ἐπὶ τῆς γῆς, ἀλλὰ καὶ ἐν τοῖς οὐρανοῖς. μὴ γάρ μοι πρὸς ἐκείνους ἴδῃς τοὺς διεζωσμένους τὰς ζώνας τὰς χρυσᾶς, μηδὲ τοὺς ἐφ' ἵππων φερομένους, μηδὲ τοὺς ἐν τοῖς βασιλείοις λάμποντας διὰ τοὺς πατέρας, μηδὲ τοὺς ἀκολούθους ἔχοντας καὶ παιδαγωγούς. ταῦτα γὰρ ἴσως τὰς χεῖρας ἐπὶ τοῖς ὀφθαλμοῖς κόψασθαι ποιεῖ, ἐννοουμένας ὅτι καὶ οὗτος ὁ ἐμὸς παῖς, εἴγε ὁ πατὴρ αὐτῷ περιῆν, τοσαύτης ἂν ἀπέλαυσε μακαριότητος· νῦν δὲ ἐν κατηφείᾳ καὶ ἀτιμίᾳ, καὶ οὐδενὸς ἄξιος λόγου ἐστί. μὴ δὴ ταῦτα εἴπῃς, ὦ γύναι, ἀλλ' ἀναπέτασον τοῦ οὐρανοῦ τὰς πύλας τῷ λογισμῷ, κατάμαθε τὰ ἐκεῖ βασίλεια, ἰδὲ τὸν ἐκεῖ καθήμενον βασιλέα, λόγισαι εἰ οὗτοι μᾶλλον οἱ ἐπὶ τῆς γῆς τοῦ παιδὸς τοῦ σοῦ δύναιντ' ἐκεῖ εἶναι λαμπρότεροι, καὶ τότε στέναζον. ἂν δὲ ἐπὶ τῆς γῆς ὦσί τινες εὐδόκιμοι, οὐδενὸς τοῦτο ἄξιον λόγου. ἔξεστιν, ἂν θέλῃς, ἐν τοῖς οὐρανοῖς αὐτὸν στρατεῦσαι, εἰς ἐκείνην καταλέξαι τὴν στρατολογίαν. οἱ γὰρ ἐκεῖ καταλεγόμενοι, οὐκ ἐφ' ἵππων φέρονται, ἀλλ' ἐν νεφέλαις· οὐκ ἐπὶ γῆς βαδίζουσιν, ἀλλ' εἰς τὸν οὐρανὸν ἁρπάζονται· οὐ παῖδας ἔχουσι τοὺς προηγουμένους, ἀλλὰ τοὺς ἀγγέλους αὐτούς· οὐ βασιλεῖ παρεστήκασι θνητῷ, ἀλλὰ τῷ ἀθανάτῳ, τῷ βασιλεῖ τῶν βασιλευόντων, καὶ Κυρίῳ τῶν κυριευόν-

Matth. 6. 25.

* εἰπέ μοι;

ἴσ. μείζονος

1. Tim. 2. & 5. 10.

γ. εἰπεῖν



Digitized by Google

πῶς οὖν ταῖς τοιαύταις παραμυθησόμεθα; τί ἐροῦμεν; πῶς αὐτῶν τὴν ὀδύνην ἀποκρουσόμεθα; πρότερον αὐταῖς διελέγξαι πειρασόμεθα, ὅτι οὐ τούτων ἐστὶν ὁ θρῆνος τῶν ῥημάτων, ἀλλὰ πάθους ἀλογίστου. εἰ γὰρ ταῦτα πενθεῖς, ἐχρῆν διαπαντὸς πενθεῖν τὸν ἀπελθόντα. εἰ δὲ ἐνιαυτοῦ παρελθόντος ἐπιλέλησαι, ὡς οὐδὲ γενομένου τινός, οὐ τὸν ἀπελθόντα θρηνεῖς, οὐδὲ τὴν προστασίαν, ἀλλὰ τὸν χωρισμὸν οὐ φέρεις, οὐδὲ τὴν τῆς συνηθείας διακοπήν. τί δ' ἂν εἴποιεν αἱ καὶ δευτέροις ὁμιλοῦσαι γάμοις; * σφόδρα γε. οὐ γὰρ τοὺς προτέρους ἐπιζητοῦσιν. ἀλλὰ μὴ πρὸς ταύτας τὸν λόγον ἀποτείνωμεν, ἀλλὰ πρὸς τὰς τοῖς ἀπελθοῦσι τὴν εὔνοιαν φυλαττούσας. διὰ τί πενθεῖς τὸ παιδίον; διὰ τί τὸν ἄνδρα; τοῦ μὲν, ἐπειδὴ οὐκ ἀπέλαυσα, φησί· τοῦ δὲ, ἐπειδὴ προσεδόκησα ἐπὶ πλεῖον ἀπολαύσεσθαι. τοῦτο δὲ αὐτὸ, ὅσης ἀπιστίας τὸ νομίζειν, ὅτι ὁ ἀνὴρ ἢ τὸ παιδίον ἐν ἀσφαλείᾳ σε καθίστη, ἀλλ' οὐχ ὁ Θεός; πῶς οὐκ οἴει παροξύνειν αὐτόν; διὰ γὰρ τοῦτο αὐτοὺς λαμβάνει πολλάκις, ἵνα μὴ οὕτως αὐτοῖς ᾖς προσδεδεμένη, ὥστε ἀπ' ἐκείνων τὴν ἐλπίδα ἀπαγαγεῖν. Θεὸς γάρ ἐστι ζηλωτής, καὶ πάντων μάλιστα βούλεται παρ' ἡμῶν φιλεῖσθαι· καὶ τοῦτο, ἐπειδὴ σφόδρα ἡμᾶς φιλεῖ. ἴστε γὰρ ὅτι τοῦτο τῶν μανικῶς φιλούντων τὸ ἔθος. σφόδρα εἰσὶ ζηλότυποι, καὶ αἱροῦντο ἂν τὴν ψυχὴν προέσθαι, ἢ παρευδοκιμηθῆναι ὑπό τινος τῶν ἀντεραστῶν. διὰ ταῦτα καὶ ὁ Θεὸς αὐτὸν ἔλαβε, διὰ ταῦτα τὰ ῥήματα. ἐπεὶ τίνος ἕνεκεν, εἰπέ μοι, τὸ παλαιὸν οὐκ ἐγίνοντο χηρεῖαι, οὐδὲ ὀρφανίαι ἄωροι; διὰ τί τὸν Ἀβραὰμ καὶ Ἰσαὰκ ἀφῆκε πολὺν ζῆσαι χρόνον; πάντως, ὅτι καὶ ζῶντος αὐτοῦ, προετίμα τὸν Θεόν. εἶπε γοῦν, σφάξον· καὶ ἔσφαξε. διὰ τί τὴν Σάῤῥαν ἐπὶ τοσοῦτον ἤγαγε γήρως; ὅτι καὶ ζώσης αὐτῆς τοῦ Θεοῦ μᾶλλον ἤκουεν, ἢ αὐτῆς. διὰ τοῦτο ἔλεγε πρὸς αὐτὸν ὁ Θεός· Ἄκουσον Σάῤῥας τῆς γυναικός σου. οὔτε δι' ἀνδρὸς φιλίαν, οὔτε διὰ γυναικός, οὔτε διὰ παιδὸς προστασίαν παρώργιζέ τις τότε τὸν Θεόν. νῦν δὲ ἐπειδὴ κατωφερεῖς ἐσμεν, καὶ σφόδρα καταπεπτώκαμεν, καὶ ἄνδρες γυναῖκας τοῦ Θεοῦ πλέον φιλοῦμεν, καὶ γυναῖκες ἄνδρας τοῦ Θεοῦ πλέον προτιμῶμεν, τούτου χάριν καὶ ἄκοντας ἡμᾶς εἰς πόθον ἕλκει τὸν αὐτοῦ. μὴ φίλει τὸν ἄνδρα τοῦ Θεοῦ πλέον, καὶ οὐκ αἰσθήσει χηρείας ποτέ. μᾶλλον δὲ κἂν συμβῇ, οὐ λήψῃ τὴν αἴσθησιν. διὰ τί; ὅτι προστάτην ἔχεις τὸν μᾶλλον φιλοῦντα ἀθάνατον. εἰ μᾶλλον τὸν Θεὸν φιλεῖς, μὴ πένθει. ὁ γὰρ μᾶλλον φιλούμενος, ἀθάνατός ἐστι, καὶ οὐκ ἀφίησι τοῦ ἥττον φιλουμένου λαβεῖν αἴσθησιν. ἐπὶ ὑποδείγματος σοι τοῦτο ποιήσω φανερόν. εἰπέ μοι, εἰ ἄνδρα ἔχεις κατὰ γνώμην σοι πάντα πράττοντα, εὐδοκιμοῦντα, καὶ ποιοῦντά σε λαμπρὰν πανταχοῦ, καὶ ἀκαταφρόνητον, εὐδοκιμοῦντα παρὰ πᾶσι, συνετὸν, σοφὸν, φιλοῦντά σε, μακαριζομένην δι' αὐτόν, καὶ μετὰ τούτου τέκῃς καὶ παιδίον, εἶτα πρὶν ἢ εἰς ὥραν ἐλθεῖν ἡλικίας ἀπέλθοι τοῦτο. ἆρα αἰσθήσῃ τοῦ πένθους; οὐδαμῶς. ὁ γὰρ μᾶλλον φιλούμενος ἐκεῖνο ἀποκρύπτει. καὶ νῦν τὸν Θεὸν ἂν πλέον φιλῇς τοῦ ἀνδρὸς, μάλιστα μὲν οὐ ταχέως αὐτὸν λήψεται· εἰ δὲ ἄρα καὶ λάβοι, οὐχ ἕξεις αἴσθησιν τοῦ πένθους. διὰ τοῦτο καὶ ὁ μακάριος Ἰὼβ οὐδὲν ἔπασχε δεινὸν, τῶν παίδων ἀθρόον τὸν θάνατον ἀκούσας, ἐπειδὴ τὸν Θεὸν ἐφίλει πλέον αὐτῶν. τοῦ γὰρ πλέον φιλουμένου ζῶντος, οὐδὲν ἔμελλεν ἐκεῖνα λυπήσειν αὐτόν. τί λέγεις, ὦ γύναι; ὁ ἀνὴρ καὶ ὁ παῖς προΐστατό σου; ὁ δὲ Θεὸς οὐ φείδεταί σου; αὐτὸν δὲ ἐκεῖνον τίς σοι ἔδωκεν; οὐχὶ αὐτός; σὲ δὲ τίς ἐποίησεν; οὐχὶ αὐτός; ὁ μὲν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν, καὶ ψυχὴν μὲν ἐμπνεύσας, καὶ διάνοιαν ἐνθεὶς, καὶ τὴν αὐτοῦ γνῶσιν καταξιώσας χαρίσασθαι, καὶ τοῦ υἱοῦ αὐτοῦ τοῦ μονογενοῦς διὰ σὲ μὴ φεισάμενος, σοῦ οὐ φείδεται; ὁ δὲ ὁμόδουλος φείσεται; πόσης ταῦτα ὀργῆς τὰ ῥήματα; τί τοιοῦτον ἔχεις παρὰ τοῦ ἀνδρός; οὐδὲν ἂν ἔχοις εἰπεῖν. εἰ γάρ τί σε καὶ εὐηργέτησεν, οὐκ εὖ παθὼν, ἀλλὰ προϋπαρξάσης σου. ἐπὶ δὲ Θεοῦ οὐδὲν τοιοῦτον ἄν τις ἔχοι λέγειν. οὐ γὰρ εὖ παθὼν ὁ Θεὸς παρ' ἡμῶν, οὕτως ἡμᾶς εὐεργετεῖ· ἀλλ' ἀνενδεὴς ὢν, ἐξ ἀγαθότητος μόνης εὖ ποιεῖ τὸ τῶν ἀνθρώπων γένος. βασιλείαν σοι ἐπηγγείλατο, ζωὴν ἀθάνατον, δόξαν, ἀδελφότητα, υἱοθεσίαν ἔδωκε, συγκλη-

ρονόμον

Marginal notes: * ἄρα τὸν χωρισμόν; — γ. ἀπολαύσασθαι. — γ. εἶχον — Γεν. κα. ιϛ. — γ. φείσεται — γ. φείδεται;

ται; οὐκ εἶπεν, ἵνα μὴ ἀσχημονῆτε ἐπαιτοῦντες, ἀλλὰ τὸ αὐτὸ μὲν ᾐνίξατο, πραότερον δὲ αὐτὸ τίθησιν, ὥστε καὶ πλῆξαι, καὶ μὴ σφόδρα τούτους βαρῆσαι. (γ. τοῦτο ποιοῦσι.) εἰ γὰρ οἱ παρ' ἡμῖν σκανδαλίζονται τούτοις, πολλῷ μᾶλλον οἱ ἔξωθεν μυρίας εὑρίσκοντες κατηγορίας καὶ λαβάς, ὅταν ἄνθρωπον ὑγιαίνοντα, καὶ ἑαυτῷ ἀρκέσαι δυνάμενον ὁρῶσιν ἐπαιτοῦντα, καὶ ἑτέρων δεόμενον. διὸ καὶ Χριστεμπόρους καλοῦσιν ἡμᾶς. Διὰ τοῦτο τὸ ὄνομα, φησί, βλασφημεῖται τοῦ Θεοῦ. (Ρωμ. β κδ. Ησ. νβ. θ. Ιεζεκ λς. κγ.) ἀλλ' οὐδὲν τούτων ἔθηκεν, ἀλλ' ὃ μάλιστα αὐτῶν καθάψασθαι ἴσχυε, τὸ τῆς ἀσχημοσύνης.

13 Οὐ θέλομεν δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, περὶ τῶν κεκοιμημένων, ἵνα μὴ λυπῆσθε, καθὼς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα. Δύο ταῦτα μάλιστα ἐλυμαίνετο αὐτούς, (γ. ἐσάρει) πενία, καὶ ἀθυμία, ἃ καὶ πάντας ἀνθρώπους. ὅρα οὖν πῶς αὐτὰ θεραπεύει. πενία δὲ αὐτοῖς ἦν ἐκ τοῦ ἁρπάζεσθαι αὐτῶν τὰ χρήματα. εἰ δὲ ὧν τὰ χρήματα ἡρπάζετο διὰ τὸν Χριστόν, τούτους κελεύει ἐργαζομένους τρέφεσθαι, πολλῷ μᾶλλον τοὺς ἄλλους. ὅτι γὰρ ἡρπάγη, δῆλον ἐκ τοῦ εἰπεῖν, Ὑμεῖς μιμηταὶ ἐγενήθητε τῶν ἐκκλησιῶν τῶν ἐν Ἰουδαίᾳ. πῶς; ὅτι ἐκείναις γράφων ἔλεγε, Καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε. (α. Θεσσ. β. ιδ. Εβρ ι. λδ.) ἐνταῦθα λοιπὸν τὸν περὶ ἀναστάσεως λόγον κινεῖ. καὶ τί; οὐκ ἦν αὐτοῖς ἄρα περὶ τούτου διαλεχθείς; ἀλλ' ἐνταῦθα ἕτερόν τι αἰνίττεται μυστήριον. ποῖον δὴ τοῦτο; ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι, φησίν, εἰς τὴν παρουσίαν τοῦ Κυρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας. ἱκανὸς μὲν οὖν καὶ ὁ τῆς ἀναστάσεως λόγος παραμυθήσασθαι τὸν ἐν ὀδύνῃ· ἱκανὸν δὲ καὶ τὸ νῦν λεγόμενον ἀξιόπιστον ποιεῖν τὴν ἀνάστασιν. πρότερον δὲ ἐκεῖνο εἴπωμεν, ὃ καὶ αὐτὸς εἶπεν, οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, περὶ τῶν κεκοιμημένων, ἵνα μὴ λυπῆσθε, καθὼς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα. ὅρα πῶς καὶ ἐνταῦθα ἡμέρως. οὐκ εἶπεν, οὕτως ἀνόητοί ἐστε, καθάπερ πρὸς Κορινθίους, (γ. Γαλάτας) οὕτως ἄφρονες, ὅτι εἰδότες ἀνάστασιν, ὡς οἱ μὴ πιστεύοντες οὕτω λυπεῖσθε; (Γαλ. γ. γ.) ἀλλὰ σφόδρα ἡμέρως, οὐ θέλω, εἶπε, τὴν ἄλλην αὐτῶν ἀρετὴν αἰδούμενος. καὶ οὐκ εἶπε, περὶ τῶν ἀποθανόντων, εὐθέως ἀπὸ προοιμίων τὴν παράκλησιν καταβαλλόμενος. ἵνα μὴ λυπῆσθε, φησίν, ὡς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα. ἄρα τὸ κατακόπτεσθαι ἐπὶ τοῖς ἀπελθοῦσι, τῶν οὐκ ἐχόντων ἐστὶν ἐλπίδα. εἰκότως. ψυχὴ γὰρ οὐδὲν περὶ ἀναστάσεως ἐπισταμένη, ἀλλὰ τὸν θάνατον τοῦτον θάνατον εἶναι νομίζουσα, εἰκότως ὡς περὶ ἀπολωλότων κόπτεται, καὶ θρηνεῖ, καὶ ἀφορήτως πενθεῖ. σὺ δὲ ὁ προσδοκῶν ἀνάστασιν, τίνος ἕνεκεν ὀδύρῃ; ἄρα τῶν μὴ ἐχόντων ἐλπίδα ἐστὶ τὸ ὀδύρεσθαι.

ΗΘΙΚΟΝ

Ἀκούσατε τῶν γυναικῶν ὅσαι φιλόθρηνοι, ὅσαι πρὸς τὰ πένθη ἀφορήτως φέρεσθε, (γ. ἀμέτρως ἐφέρεσθε.) ὅτι τὰ τῶν ἐθνικῶν πράττετε. εἰ δὲ τὸ ἀλγεῖν ἐπὶ τοῖς ἀπελθοῦσιν, ἐθνικῶν, τὸ κατακόπτεσθαι καὶ καταξαίνειν τὰς παρειάς, τίνων ἄρα ἐστίν, εἰπέ μοι; τίνος ἕνεκεν θρηνεῖς, εἰ πιστεύεις ὅτι ἀναστήσεται, ὅτι οὐκ ἀπώλετο, ὅτι ὕπνος καὶ κοίμησις τὸ πρᾶγμά ἐστι; συνηθείας ἕνεκεν, φησί, καὶ προστασίας, πραγμάτων ἐπιμελείας, τῆς ἄλλης θεραπείας ἁπάσης. ὅταν οὖν παῖδα ἀπολέσῃς ἐν ἀώρῳ ἡλικίᾳ, οὐδὲν οὐδέπω πρᾶξαι δυνάμενον, τίνος ἕνεκεν θρηνεῖς; τί ἐπιζητεῖς; ἐλπίδας, φησί, χρηστὰς ἐνέφαινε, καὶ προσεδόκων ὅτι μου προστήσεται. διὰ τοῦτο ζητῶ τὸν ἄνδρα, διὰ τοῦτο τὸν υἱόν, διὰ τοῦτο κόπτομαι καὶ θρηνῶ, οὐκ ἀπιστοῦσα τῇ ἀναστάσει, ἀλλ' ἔρημος βοηθείας γενομένη, καὶ τὸν προστάτην ἀπολωλεκυῖα, τὸν σύνοικον, τὸν ἐν πᾶσι κοινωνοῦντα, τὸν προηγεμονοῦντα. διὰ ταῦτα πενθῶ. οἶδα ὅτι ἀναστήσεται· ἀλλ' οὐ φέρω τὸν μεταξὺ χωρισμόν. πολὺς τῶν πραγμάτων ὁ ὄχλος ἐπιρρεῖ, πᾶσι πρόκειμαι τοῖς βουλομένοις ἀδικεῖν. οἱ δεδοικότες πρότερον τῶν οἰκετῶν, καταφρονοῦσι νῦν, ἐπεμβαίνουσιν. εἴ τις εὐηργέτηται, τῆς εὐεργεσίας ἐπιλέλησται τῆς ἐκείνου· εἴ τις κακῶς ἔπαθε παρ' αὐτοῦ, τῷ ἀπελθόντι μνησικακῶν εἰς ἐμὲ τὴν ὀργὴν ἀφίησι. ταῦτα οὐκ ἀφίησί με τὴν χηρείαν φέρειν, πράως ὀδύρεσθαι. διὰ ταῦτα κόπτομαι, διὰ ταῦτα θρηνῶ.

πῶς

Digitized by Google

θέλει κεῖται τὸ πᾶν. διὰ τοῦτο καὶ κολαζόμεθα καὶ ἐπαινούμεθα. γένοιτο δὲ τῶν ἐπαινουμένων γενομένους ἡμᾶς τυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. ϛ. 9 ΠΕΡΙ ΔΕ ΤΗΣ ΦΙΛΑΔΕΛΦΙΑΣ ΟΥ ΧΡΕΙΑΝ ἔχομεν γράφειν ὑμῖν. αὐτοὶ γὰρ ὑμεῖς θεοδίδακτοί ἐστε εἰς τὸ ἀγαπᾶν ἀλλήλους. 10 Καὶ γὰρ ποιεῖτε αὐτὸ εἰς πάντας τοὺς ἀδελφοὺς τοὺς ἐν ὅλῃ τῇ Μακεδονίᾳ. κ. ϛ.

Τί δήποτε περὶ σωφροσύνης σφοδρῶς αὐτοῖς διαλεχθεὶς, καὶ περὶ τοῦ δεῖν ἐργάζεσθαι μέλλων διαλέγεσθαι, καὶ περὶ τοῦ μὴ λυπεῖσθαι τοὺς ἀπελθόντας, ὃ πάντων ἐστὶ κεφάλαιον τῶν ἀγαθῶν τὸ τῆς ἀγάπης, τοῦτο κατὰ παράλειψιν τίθησι λέγων· οὐ χρείαν ἔχομεν γράφειν ὑμῖν; καὶ τοῦτο ἀπὸ τῆς πολλῆς συνέσεως καὶ τῆς πνευματικῆς διδασκαλίας. δύο γὰρ ἐνταῦθα ἐμφαίνει· ἓν μὲν, ὅτι οὕτως ἀναγκαῖον τὸ πρᾶγμα, ὡς μηδὲ διδασκαλίας δεῖσθαι (τὰ γὰρ σφόδρα μεγάλα πᾶσίν ἐστι δῆλα) δεύτερον δὲ, μᾶλλον αὐτοὺς ἐντρέπει, ἢ εἰ παρῄνεσε τοῦτο εἰπών. ὁ γὰρ νομίζων αὐτοὺς κατορθωκέναι, καὶ διὰ τοῦτο μὴ παραινῶν, καὶ εἰ μὴ κατώρθωσαν, ἐνῆγεν ἂν μᾶλλον. καὶ ὅρα. οὐ λέγει περὶ τῆς ἀγάπης τῆς εἰς πάντας, ἀλλὰ τῆς εἰς τοὺς ἀδελφούς. οὐ χρείαν ἔχομεν γράφειν ὑμῖν. ἐχρῆν οὖν σιωπῆσαι, καὶ μηδὲν εἰπεῖν, εἰ μὴ χρεία ἦν. νῦν δὲ τῷ εἰπεῖν, οὐ χρεία ἐστὶ, μείζονα ἐποίησεν, ἢ εἰ εἶπεν. αὐτοὶ γὰρ ὑμεῖς θεοδίδακτοί ἐστε. καὶ ὅρα μὲν ὅσον ἐγκωμίου τὸ Θεὸν αὐτοῖς διδάσκαλον ἐπιστῆσαι τούτου. οὐ δεῖσθε, φησὶ, παρὰ ἀνθρώπου μαθεῖν. ὅπερ καὶ ὁ Ησ. νδ. ιγ. Ιερ. λα. λδ. προφήτης φησὶ, Καὶ ἔσονται πάντες διδακτοὶ Θεοῦ. αὐτοὶ γὰρ ὑμεῖς, φησὶ, θεοδίδακτοί ἐστε εἰς τὸ ἀγαπᾶν ἀλλήλους. καὶ γὰρ ποιεῖτε αὐτὸ εἰς πάντας τοὺς ἀδελφοὺς τοὺς ἐν ὅλῃ τῇ Μακεδονίᾳ, καὶ εἰς τοὺς ἄλλους πάντας, φησί. σφόδρα ταῦτα ἐντρεπτικὰ πρὸς τὸ ποιεῖν αὐτό. καὶ οὐχ ἁπλῶς λέγω, ὅτι θεοδίδακτοί ἐστε, ἀλλ᾽ οἶδα ἀφ᾽ ὧν ποιεῖτε. καὶ πολλὰ αὐτοῖς ἐμαρτύρησε τούτου ἕνεκεν. Παρακαλοῦμεν δὲ ὑμᾶς, ἀδελφοὶ, περισσεύειν μᾶλλον (τουτέστι, πλεονάζειν)

11 Καὶ φιλοτιμεῖσθαι ἡσυχάζειν, καὶ πράσσειν τὰ ἴδια, καὶ ἐργάζεσθαι ταῖς χερσὶν ὑμῶν, καθὼς παρηγγείλαμεν ὑμῖν,

12 Ἵνα περιπατῆτε εὐσχημόνως πρὸς τοὺς ἔξω, καὶ μηδενὸς χρείαν ἔχητε. Ἐνταῦθα δείκνυσιν ὅσων μὲν ἡ ἀργία κακῶν αἰτία, ὅσων δὲ ἡ ἐργασία καλῶν· καὶ ποιεῖ αὐτὸ σαφὲς ἀπὸ τῶν παρ᾽ ὑμῖν, ὃ πολλαχοῦ ποιεῖ. καὶ τοῦτο συνετῶς. μᾶλλον γὰρ τούτοις ἐνάγονται οἱ πλείους, ἢ τοῖς πνευματικοῖς. ἀγάπης γάρ ἐστι* τῆς εἰς τοὺς πλησίον, οὐχὶ παρ᾽ ἐκείνων λαμβάνειν, ἀλλ᾽ ἐκείνοις παρέχειν. [* δεῖγμα] καὶ θέα σύνεσιν. μέλλων παρακαλεῖν καὶ παραινεῖν, μέσον τὸ κατόρθωμα τίθησιν, ἵνα καὶ ἀπὸ τῆς προτέρας παραινέσεως ἀναπνεύσωσι, καὶ τῆς ἀπειλῆς, ἡνίκα ἔλεγε· Τοιγαροῦν ὁ ἀθετῶν, οὐκ ἄνθρωπον ἀθετεῖ, ἀλλὰ τὸν Θεόν· [α. Θεσ. δ. η.] καὶ ὅπως ταύτην [κ. πρὸς] μὴ ἀποσκιρτήσωσι. τοῦτο δὲ ἀπὸ τοῦ ἐργάζεσθαι γίνεται, ὥστε μὴ λαμβάνειν, μηδὲ ἀργεῖν, ἀλλ᾽ ἐργαζομένους ἑτέροις παρέχειν. Μακάριον γάρ ἐστι, φησὶ, διδόναι μᾶλλον, ἢ λαμβάνειν. [Πραξ. κ. λε.] καὶ ἐργάζεσθαι, φησὶ, ταῖς χερσὶν ὑμῶν. ποῦ τοίνυν εἰσὶν οἱ τὸ ἔργον ζητοῦντες τὸ πνευματικόν; ὁρᾷς πῶς αὐτοῖς πᾶσαν πρόφασιν ἐξέκοψεν εἰπὼν, ταῖς χερσὶν ὑμῶν; ἆρα νηστείαν ἐργάζεταί τις ταῖς χερσίν; ἀλλὰ παννυχίδας; ἀλλὰ χαμευνίας; οὐδεὶς τοῦτο ἂν εἴποι. ἀλλὰ περὶ ἔργου φησὶ τοῦ πνευματικοῦ. πνευματικὸν γὰρ ὄντως ἐστὶ, τὸ ἐργαζομένους ἑτέροις παρέχειν, καὶ οὐδὲν ἴσον τούτου. ἵνα περιπατῆτε, φησὶν, εὐσχημόνως. ὁρᾷς πόθεν αὐτῶν καθάπτεται;

Digitized by Google

χρήσασθαι σώματι δ' ἀκαθάρτῳ τινὶ κεχρημένῳ, καὶ οὐ τῷ παιδὶ τῷ σῷ μόνον, ἀλλὰ μυρίοις ἑτέροις χρησαμένῳ τινὶ [illegible] συμπλέκῃ, ἵνα μὴ ζητῆτε ἀκούσαντες, ἀλλ' ἐν τοῖς ἔργοις αἰσχυνθῆτε, μηδὲ τοῖς ῥήμασι [illegible] καὶ τὰ ἄλλα πάντα παραινῶ, ὃ τῶν ἠθῶν διεστραμμένον καὶ μιαρόν, ὃ τῆς ἄλλης ζωῆς [illegible] καὶ ἀνελεύθερον. Εἰπέ μοι, πρὸς τὴν αὐτὴν* καὶ σὺ καὶ ὁ οἰκέτης ὁ σός; καὶ εἰ οὐχ ὁ οἰκέτης μόνον, ἀλλὰ καὶ ὁ δήμιος. καὶ χεῖρας μὲν τοῦ δημίου οὐκ ἂν ἀνάσχοιο κατασχεῖν· τὴν δὲ ἐν ἐκείνῳ σῶμα γενομένην περιπλέκῃ καὶ καταφιλεῖς, καὶ οὐ φρίττεις, οὐδὲ δέδοικας; οὐκ αἰσχύνῃ; οὐκ ἐντρέπῃ; οὐκ ἀγωνιᾷς; Εἴποιμι μὲν πρὸς τοὺς πατέρας τοὺς ὑμετέρους, ὅτι διὰ ταχέως πρὸς γάμον οὐκ ἄγουσιν ὑμᾶς· ἀλλ' ὅμως οὐδὲ ὑμεῖς ἀνεύθυνοι τῆς κολάσεώς ἐστε. εἰ γὰρ μὴ καὶ ἄλλοι νέοι μᾶλλον ὑμῶν ἦσαν πολλοὶ ἐν σωφροσύνῃ ζῶντες, καὶ πάλαι, καὶ νῦν, ἴσως ἄν τις ὑμῖν ἦν ἀπολογία. Εἰ δὲ εἰσι, πόθεν ἔξετε εἰπεῖν, ὅτι οὐκ ἠδυνήθημεν κατασχεῖν τὴν φλόγα τῆς ἐπιθυμίας; ἐκεῖνοι γὰρ κατηγορήσουσιν ὑμῶν οἱ δυνηθέντες, τῆς αὐτῆς φύσεως μετέχοντες. ἀκούσατε τοῦ Παύλου λέγοντος· Εἰρήνην διώκετε καὶ τὸν ἁγιασμόν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον. ἡ ἀπειλὴ οὕτως οὐχ ἱκανή σε φοβῆσαι; ὁρᾷς ἑτέρους δι' ὅλου σωφρονοῦντας, καὶ ἐν σεμνότητι διάγοντας· καὶ σὺ οὐδὲ μέχρι τοῦ τῆς νεότητος χρόνου καρτερεῖς; ὁρᾷς ἑτέρους καταπαλαίσαντας μυριάκις τὴν ἡδονήν· καὶ σὺ οὐδὲ ἅπαξ ἀνέχῃ; Εἰ βούλεσθε, τὴν αἰτίαν ἐγὼ λέγω. οὐ γὰρ ἡ νεότης αἰτία (ἐπεὶ ἔμελλον πάντες οἱ νέοι ἀκόλαστοι εἶναι) ἀλλ' ἡμεῖς* ἑαυτοὺς ὠθοῦμεν εἰς τὴν πυράν. ὅταν γὰρ ἀνέλθῃς εἰς θέατρον, καὶ καθίσῃς γυμνοῖς μέλεσι γυναικῶν τοὺς ὀφθαλμοὺς ἑστιῶν, πρὸς μὲν καιρὸν ἥσθης, ὕστερον δὲ πολὺν ἐκεῖθεν ἔθρεψας τὸν πυρετόν. ὅταν ἴδῃς ὥσπερ σώματος τύπῳ γυναῖκας φαινομένας, ὅταν καὶ θεάματα καὶ ᾄσματα μηδὲν ἕτερον, ἀλλ' ἔρωτας ἀτόπους ἔχοντα, ἡ δεῖνα, φησί, τοῦ δεῖνος ἐφίλησε καὶ οὐκ ἐπέτυχε, καὶ ἀπήγξατο, καὶ εἰς μητέρας τοὺς ἀτόπους ἔρωτας ἐκκυλισθέντας, ὅταν καὶ διὰ ἀκοῆς ταῦτα δέχῃ, καὶ διὰ γυναικῶν, καὶ διὰ τόπων, ἤδη δὲ καὶ διὰ γερόντων ἀνδρῶν (καὶ γὰρ πολλοὶ προσωπεῖα περιθέντες ἑαυτοῖς ἐκεῖ γυναικίζονται) πόθεν, εἰπέ μοι, δυνήσῃ σωφρονῆσαι λοιπόν, ἐκείνων τῶν διηγημάτων, ἐκείνων τῶν θεαμάτων, ἐκείνων τῶν ἀκουσμάτων κατεχόντων σου τὴν ψυχήν, καὶ ὀνείρων τοιούτων διαδεχομένων λοιπόν; πέφυκε γὰρ ὡς τὰ πολλὰ τοιαῦτα φαντασιοῦσθαι ἡ ψυχή, οἷα ἂν ἐν ἡμέρᾳ βούλεται καὶ ἐπιθυμεῖ. ὅταν οὖν ἐκεῖ μὲν καὶ πράγματα βλέπῃς αἰσχρά, καὶ ῥήματα ἀκούῃς αἰσχρότερα, καὶ τὰ μὲν τραύματα δέχῃ, τὰ δὲ φάρμακα μὴ ἐπιτιθῇς, πῶς οὐκ εἰκότως ἡ σηπεδὼν αὐξηθήσεται; πῶς ἡ νόσος οὐκ ἐπιταθήσεται, καὶ πολλῷ μᾶλλον, ἢ ἐπὶ τοῖς ἡμετέροις σώμασι; κουφότερον γάρ, εἴγε ἐβουλόμεθα, τῶν σωμάτων ἡ προαίρεσις τὰ τῆς διορθώσεως ἐδέχετο. ἐκεῖ μὲν γὰρ καὶ φαρμάκων, καὶ ἰατρῶν, καὶ χρόνου δεῖ· ἐνταῦθα δὲ ἀρκεῖ θελήσαντα, καὶ ἀγαθὸν γενέσθαι καὶ κακόν. ὥστε μᾶλλον ἐδέξω τὴν νόσον. ὅταν μὲν οὖν τὰ μὲν βλάπτοντα συμφορῶμεν, μηδένα δὲ λόγον ποιώμεθα τῶν ὠφελούντων, πότε ἔσται τις ὑγεία; διὰ τοῦτο καὶ Παῦλος ἔλεγε, καθάπερ καὶ τὰ ἔθνη τὰ μὴ εἰδότα τὸν Θεόν. αἰσχυνθῶμεν, φοβηθῶμεν, εἰ τὰ μὴ εἰδότα τὸν Θεὸν ἔθνη πολλάκις σωφρονεῖ. ἐντραπῶμεν, ὅταν ἐκείνων χείρους ὦμεν. εὔκολον κατορθῶσαι σωφροσύνην, ἂν ἐθέλωμεν, ἂν ἀπάγωμεν τῶν βλαπτόντων ἑαυτούς· ἐπεὶ οὐδὲ πονηρίαν διαφυγεῖν εὔκολον, ἂν μὴ θέλωμεν. τί γὰρ τοῦ βαδίζειν ἐπ' ἀγορᾶς εὐκολώτερον; ἀλλ' ὑπὸ τῆς πολλῆς βλακείας δύσκολον γέγονεν, οὐκ ἐπὶ γυναικῶν μόνον, ἀλλ' ἤδη καὶ ἐπὶ ἀνδρῶν. τί τοῦ καθεύδειν εὐκολώτερον; ἀλλὰ καὶ τοῦτο δύσκολον πεποιήκαμεν. πολλοὶ γοῦν τῶν πλουσίων δι' ὅλης περιστρέφονται τῆς νυκτός, τῷ μὴ περιμένειν τὴν χρείαν τοῦ ὕπνου, καὶ τότε καθεύδειν. καὶ ὅλως οὐδὲν δύσκολον βουλομένων, ὥσπερ οὐδὲν εὔκολον μὴ βουλομένων ἡμῶν. πάντων γὰρ ἡμεῖς κύριοι. διὰ τοῦτο καὶ ἡ γραφή, Ἂν θέλητε, καὶ εἰσακούσητέ μου. καὶ πάλιν, Ἂν μὴ θέλητε, μηδὲ εἰσακούσητέ μου. ὥστε ἐν τῷ θέλειν, καὶ τῷ μὴ

θέλειν

Marginal notes: * εὐχῇ · γ. ἄγειν · γ. κατηγορήσουσιν · Ἑβρ. ιβ. ιδ. · * οἱ · γ. μητρυιάς · γ. λογίζεται · Ἡσ. α. ιθ. κ.

α. Κορ. ζ. ε.

ἀλλ' οὐκ αἰσχύνομαι ταῦτα λέγων· ἐπεὶ μηδὲ Παῦλος ᾐσχύνθη λέγων, Μὴ ἀποστερεῖτε ἀλλήλους, ὃ τούτου δοκεῖ αἰσχρότερον εἶναι. ἀλλ' οὐκ ᾐσχύνθη. οὐ γὰρ τοῖς ῥήμασι προσεῖχεν, ἀλλὰ τοῖς ἔργοις τοῖς ἀπὸ τῶν ῥημάτων κατορθουμένοις. ὅταν οὖν ὁ παῖς αὐξηθῇ, πρὸ στρατείας, πρὸ τοῦ βίου τοῦ ἄλλου, τὰ περὶ τοῦ γάμου φρόντιζε. κἂν ἐκεῖνος ἴδῃ ὅτι ταχέως αὐτῷ τὴν νύμφην ἄγεις, καὶ ὅτι βραχὺς ὁ καιρὸς ὁ ἐν μέσῳ, δυνήσεται διακαρτερῆσαι τὴν φλόγα. ἂν δὲ ἐννοήσῃ ὅτι ῥαθυμεῖς σὺ, καὶ βραδύνεις, καὶ περιμένεις, τότε προσόδους κτήσεται πολλὰς, καὶ τότε αὐτῷ τοὺς γάμους ποιήσεις, ἀπογνοὺς πρὸς τὸ μακρὸν τοῦ χρόνου ταχέως ὀλισθήσει πρὸς πορνείας. ἀλλ' οἴμοι, ἡ ῥίζα τῶν κακῶν κἀνταῦθα ἡ φιλαργυρία. ἐπεὶ γὰρ οὐδενὶ μέλει πῶς σώφρων, πῶς ἐπιεικὴς ὁ παῖς γίνηται, ἀλλὰ μεμήνασι πρὸς τὸ χρυσὸν ἅπαντες, τούτου ἕνεκεν οὐδεὶς ταύτην ποιεῖται τὴν σπουδήν. διὸ παρακαλῶ πρὸ τούτου αὐτῶν τὰς ψυχὰς ῥυθμίζειν. ἂν γὰρ ἁγνὴ τῇ νύμφῃ προσέλθῃ, ἂν ἐκείνης μόνον ἴδῃ τὸ σῶμα, καὶ ὁ πόθος ἔσται σφοδρὸς, καὶ ὁ τοῦ Θεοῦ φόβος μείζων, καὶ τίμιος ὁ γάμος ὄντως, καθαρὰ καὶ ἀμίαντα σώματα δεχόμενος, καὶ τὰ τικτόμενα πολλῆς εὐλογίας ἔσται μεστὰ, καὶ ἀλλήλοις εἴξουσιν, ὅ τε νυμφίος καὶ ἡ νύμφη. ἑτέρων γὰρ ἠθῶν ὄντες ἑκάτεροι ἄπειροι, ἀλλήλοις ὑποταγήσονται. νεώτερος δὲ ἀρχόμενος ἀσελγαίνειν, καὶ πορνικῶν ἠθῶν πεῖραν λαβὼν, μέχρι μὲν τῆς πρώτης ἑσπέρας, καὶ τῆς δευτέρας ἐπαρέσεται τῇ αὐτοῦ γυναικί· μετὰ δὲ ταῦτα ταχέως πρὸς ἐκείνην ἐξολισθήσει τὴν ἀσέλγειαν, τὸν ἐκκεχυμένον καὶ ἄτακτον γέλωτα ζητῶν, τὰ πολλῆς ἀνελευθερίας γέμοντα ῥήματα, τὰ σχήματα τὰ διακεκλασμένα, τὴν ἄλλην ἀσχημοσύνην πᾶσαν, ἣν ἡμᾶς οὐκ ἀνεκτὸν εἰπεῖν. ταῦτα δὲ ἡ ἐλευθέρα παρέχειν οὐκ ἀνέχεται, οὐδὲ καταρρυπαίνειν ἑαυτήν. ἐπὶ κοινωνίᾳ γὰρ βίου καὶ παιδοποιίᾳ κατηγγυήθη τῷ ἀνδρὶ, οὐκ ἐπὶ ἀσχημοσύνῃ καὶ γέλωτι· ἵνα οἰκουρῇ, ἵνα παιδεύῃ κἀκεῖνον εἶναι σεμνὸν, οὐχ ἵνα αὐτῷ ὑπεκκαύματα παρέχῃ πορνείας. ἀλλ' ἡδέα σοι φαίνεται τὰ τῆς πόρνης σχήματα; οἶδα κἀγώ. καὶ γὰρ ἡ γραφὴ τοῦτό φησι· Μέλι ἀποστάζει ἀπὸ χειλέων γυναικὸς πόρνης. διὰ γὰρ τοῦτο ταῦτα πάντα ποιῶ, ὥστε μὴ τοῦ μέλιτος ἐκείνου πεῖραν λαβεῖν. εἰς γὰρ χολὴν εὐθέως τρέπεται. καὶ τοῦτο αὐτὸ φησὶ καὶ ἡ γραφή· Ἥτις πρὸς καιρὸν λιπαίνει σὸν φάρυγγα, ὕστερον μέντοι πικρότερον χολῆς εὑρήσεις, καὶ ἠκονημένον μᾶλλον μαχαίρας διστόμου. τί λέγεις; ἀνάσχεσθέ μου τι καὶ ἀκάθαρτον [ὡς εἰπεῖν] φθεγγομένου, καὶ ἀπηναισχυντοῦντος, καὶ ἀπερυθριῶντος. οὐ γὰρ ἑκὼν τοῦτο πάσχω· ἀλλὰ διὰ τοὺς οὐκ αἰσχυνομένους τὰ πράγματα, τὰ ῥήματα αὐτὸς ἀναγκάζομαι λέγειν. πολλὰ δὲ καὶ ἐν ταῖς γραφαῖς ὁρῶμεν τοιαῦτα. καὶ γὰρ καὶ ὁ Ἰεζεκιὴλ ὀνειδίζων τὴν Ἱερουσαλὴμ, πολλὰ τοιαῦτα φθέγγεται, καὶ οὐκ αἰσχύνεται. καὶ εἰκότως. οὐ γὰρ ἐξ οἰκείου πάθους αὐτὰ ἔλεγεν, ἀλλ' ἀπὸ κηδεμονίας. κἂν γὰρ τὰ ῥήματα δοκῇ εἶναι ἀπρεπῆ, ἀλλ' ὁ σκοπὸς οὐκ ἀπρεπὴς, ἀλλὰ καὶ σφόδρα ἁρμόζων τῷ βουλομένῳ ἀκαθαρσίαν ἐκβαλεῖν ψυχῆς. ἂν γὰρ μὴ αὐτὰ τὰ ῥήματα ἀκούσῃ ἡ ἀναίσχυντος ψυχὴ, οὐκ ἐντρέπεται. καὶ γὰρ ἰατρὸς βουλόμενος σηπεδόνα ἐκβαλεῖν, πρότερον τοὺς δακτύλους εἰς τὸ τραῦμα καθίησι. κἂν μὴ πρότερον μολύνῃ τὰς ἰωμένας χεῖρας, ἰάσασθαι οὐ δυνήσεται. οὕτω κἀγώ. ἂν μὴ πρότερον τὸ στόμα μολύνω τὸ ἰώμενον ὑμῶν τὰ πάθη, οὐ δυνήσομαι ὑμᾶς ἰάσασθαι. μᾶλλον δὲ οὐδὲ τοῦτο μολύνεται, οὔτε ἐκεῖναι αἱ χεῖρες. τί δήποτε; ὅτι οὐκ ἔστιν ἡ ἀκαθαρσία φυσικὴ, οὐδὲ ἐκ τοῦ ἡμετέρου σώματος, ὥσπερ οὐδὲ ἐκεῖ ἐκ τῶν ἐκείνου χειρῶν, ἀλλ' ἐξ ἀλλοτρίων. εἰ δὲ εἶτα ἀλλότριον σῶμα, οὐ παραιτεῖται ἐκεῖνος βάψαι τὰς ἑαυτοῦ χεῖρας, εἶτα τὸ ἡμέτερον σῶμα, παραιτησόμεθα, εἰπέ μοι; σῶμα γὰρ ἡμέτερον ὑμεῖς, ἀσθενὲς μὲν καὶ ἀκάθαρτον, ἡμέτερον δέ. τί οὖν ἐστιν ὅ φημι, καὶ διὰ τί ὁ τοσαύτην ἐποιησάμην παραίνεσιν; ὅτι ἱμάτιον μὲν, ὅπερ ὁ δοῦλος ἔχει, οὐκ ἂν ἕλοιό ποτε φορέσαι βδελυττόμενος διὰ τὸν ῥύπον, ἀλλ' ἕλοιο ἂν γυμνὸς εἶναι, ἢ ἐκείνῳ χρήσασθαι·

Παροιμ. ε.

γ. ἐκεῖνο
γ. εἴδῃ
γ. λαμβάνει
γ. αἰσχύνεται

διό φησιν, ἔκδικος ὁ Κύριος περὶ πάντων τούτων. Καθὼς καὶ προείπομεν ὑμῖν, καὶ διεμαρτυράμεθα. Οὐδὲ γὰρ ἀτιμωρητὶ ταῦτα "πράξομεν, οὐδὲ τοσαύτης "ἀπολαύσομεν ἡδονῆς, ὅσην "ὑποστησόμεθα κόλασιν.

γρ. πείσομεν
γρ. ἀπολαυσόμεθα
γρ. ὑφεξόμεθα

7 Οὐ γὰρ ἐκάλεσεν ἡμᾶς ὁ Θεὸς ἐπὶ ἀκαθαρσίᾳ, ἀλλ' ἐν ἁγιασμῷ.

Ἐπειδὴ εἶπε, τὸν ἀδελφὸν, καὶ ἐπήγαγεν, ὅτι ὁ Θεὸς ἐκδικεῖ, δείκνυσιν ὅτι κἂν ἄπιστος ᾖ ὁ παθὼν, τιμωρίας ὁ πεποιηκὼς δώσει, οὕτως εἰπών. ὃ δὲ λέγει, τοῦτό ἐστιν· οὐκ ἐκεῖνον ἐκδικῶν τιμωρεῖταί σε, ἀλλ' ἐπειδὴ εἰς αὐτὸν ὕβρισας. αὐτός σε ἐκάλεσε, τὸν καλέσαντα ὕβρισας. διὸ καὶ τοῦτο ἐπήγαγε·

8 Τοιγαροῦν ὁ ἀθετῶν, οὐκ ἄνθρωπον ἀθετεῖ, ἀλλὰ τὸν Θεὸν * τὸν δόντα τὸ πνεῦμα τὸ ἅγιον αὐτοῦ εἰς "ἡμᾶς. Ὥστε κἂν τὴν βασιλίδα διαφθείρῃς, φησὶ, κἂν τὴν δούλην τὴν ὕπανδρον οὖσαν, ὅμοιον τὸ ἔγκλημα. διατί; ὅτι οὐ τὰ ἀδικούμενα ἐκδικεῖ πρόσωπα, ἀλλ' ἑαυτόν. σὺ γὰρ ὁμοίως ἐμολύνθης, ὁμοίως τὸν Θεὸν ὕβρισας. τὸ γὰρ καὶ τοῦτο κἀκεῖνο, μοιχεία· ἐπεὶ καὶ τοῦτο κἀκεῖνο, γάμος. κἂν μὴ μοιχεύσῃς, πορνεύσῃς δὲ, καίτοι οὐκ ἔχει ἄνδρα ἡ πόρνη, ἀλλ' ὅμως ὁ Θεὸς ἐκδικεῖ, ἐπειδὴ ἑαυτὸν ἐκδικεῖ. οὐ γὰρ οὕτως ἐκείνου καταφρονῶν τοῦτο ποιεῖς, ὡς τοῦ Θεοῦ. καὶ δῆλον ἐκεῖθεν. ἐκεῖνον μὲν γὰρ καὶ λανθάνων ποιεῖς, τὸν δὲ Θεὸν ὁρῶντα οὐ περιεσκοπῆ. εἰπὲ γάρ μοι, εἴ τις ἀλουργίδος ἀξιωθεὶς παρὰ τοῦ βασιλέως, καὶ μυρίας ἑτέρας τιμῆς, καὶ κελευσθεὶς ἀξίως ζῆν τῆς τιμῆς, ἀπελθὼν τινὶ προσφθαρείη γυναικί, τίνα ὕβρισεν; ἐκείνην, ἢ τὸν βασιλέα τὸν δεδωκότα; ὕβρισε μὲν κἀκείνην, ἀλλ' οὐχ ὁμοίως.

* καὶ
γρ. ὑμᾶς

Διὸ, παρακαλῶ, φυλαττώμεθα τὴν ἁμαρτίαν ταύτην. καθάπερ γὰρ ἡμεῖς τὰς γυναῖκας κολάζομεν, ὅταν ἡμῖν συνοικοῦσαι ἑτέροις ἑαυτὰς δῶσιν· οὕτω καὶ ἡμεῖς κολαζόμεθα, κἂν μὴ ὑπὸ τῶν νόμων [Ρωμαίων], ἀλλ' ὑπὸ τοῦ Θεοῦ. καὶ γὰρ καὶ τοῦτο μοιχεία ἐστί. μοιχεία γὰρ οὐ μόνον τὸ ἑτέρῳ συνεζευγμένην μοιχᾶσθαι, ἀλλὰ καὶ τὸ δεδεμένον αὐτὸν γυναικί. πρόσεχε ἀκριβῶς ᾧ λέγω. εἰ γὰρ καὶ φορτικὸν πολλοῖς τὸ λεγόμενον, ἀλλ' ἀναγκαῖον εἰπεῖν ὥστε διορθώσασθαι τοῦ λοιποῦ. οὐ τοῦτο δὲ μόνον ἐστὶ μοιχεία, ὅταν ἀνδρὶ συνεζευγμένην διαφθείρωμεν γυναῖκα, ἀλλὰ κἂν "ἀφετὴν, καὶ λελυμένην, αὐτοὶ δεδεμένοι γυναικί, μοιχεία τὸ πρᾶγμά ἐστι. τί γὰρ εἰ ἡ μοιχευομένη οὐ δέδεται; ἀλλὰ σὺ δέδεσαι· τὸν νόμον παρέβης· ἠδίκησας τὴν σάρκα τὴν σήν. διατί γὰρ, εἰπέ μοι, τὴν γυναῖκα κολάζεις, κἂν πορνευθῇ λελυμένῳ ἀνδρὶ καὶ μὴ ἔχοντι γυναῖκα; ὅτι μοιχεία ἐστί. καίτοι ὁ πορνεύσας αὐτὴν, οὐκ ἔχει γυναῖκα, ἀλλ' αὐτὴ δέδεται ἀνδρί. οὐκοῦν καὶ σὺ δέδεσαι γυναικί. ὥστε ὁμοίως καὶ τὸ σὸν, μοιχεία ἐστίν. Ὁ ἀπολύσας γὰρ, φησι, παρεκτὸς λόγου πορνείας τὴν γυναῖκα αὐτοῦ, ποιεῖ αὐτὴν μοιχευθῆναι· καὶ ὁ ἀπολελυμένην γαμῶν, μοιχᾶται. Ματθ. ε λβ. εἰ ὁ γαμῶν ἀπολελυμένην μοιχᾶται, ὁ μετὰ τῆς ἑαυτοῦ γυναικὸς καὶ ταύτῃ προσφθειρόμενος οὐ πολλῷ μᾶλλον τοῦτο ποιεῖ; παντί που δῆλον. ἀλλὰ πρὸς μὲν ὑμᾶς ἱκανῶς τοὺς ἄνδρας εἴρηται ταῦτα. περὶ γὰρ τῶν τοιούτων φησὶ καὶ ὁ Χριστὸς, Ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ Μαρκ. θ μδ. τὸ πῦρ οὐ σβεσθήσεται. τὸ δὲ νέον ἕνεκεν εἰπεῖν ἀναγκαῖον πρὸς ὑμᾶς, μᾶλλον δὲ οὐ τοσοῦτον δι' ἐκείνους, ὅσον δι' ὑμᾶς. οὐκ ἐκείνοις γὰρ, ἀλλὰ καὶ ὑμῖν ταῦτα ἁρμόδια. καὶ πῶς, ἤδη λέξω. ὁ μὴ μαθὼν πορνεύειν, οὐδὲ μοιχεύειν εἴσεται· ὁ δὲ πόρναις ἐγκαλινδούμενος, καὶ ἐπὶ τοῦτο ταχέως ἥξει· κἂν μὴ ὑπάνδροις, ἀλλὰ λελυμέναις συμφθαρήσεται γυναιξί. τί οὖν παραινῶ; ὥστε τὰς ῥίζας ἐκτέμνειν. ὅσοι παῖδας ἔχετε νέους, καὶ πρὸς τὸν κοσμικὸν αὐτοὺς βίον "ἀγαγεῖν μέλλετε, ταχέως * ὑπὸ τὸν τοῦ γάμου ζυγὸν ἕλκετε. ἐπειδὴ γὰρ ἔτι νέοις οὖσιν ἐνοχλεῖ τὰ τῆς ἐπιθυμίας, τὸν μὲν πρὸ τοῦ γάμου χρόνον παραινέσατε, ἀπειλαῖς, φόβοις, ἐπαγγελίαις, μυρίοις ἑτέροις αὐτοὺς κατέχετε· μετὰ δὲ τὸν τοῦ γάμου καιρὸν μηδεὶς ἀναβαλλέσθω (ἰδοὺ νυμφευτείας φθέγγομαι ῥήματα) ἁρμόζειν ὑμῖν τοὺς παῖδας.

ΗΘΙΚΟΝ

γρ. ἄφετον
γρ. ἀγαγεῖν
* τούτους

ἀλλ'

ξιν παραγγελίας αὐτοῖς λέγει. εἰκότως. ταῦτα γὰρ παραπτόμενα μὲν φέρει κόλασιν· μὴ παραπτόμενα δὲ, οὐδὲν ἐγκώμιον. τὰ μέντοι τῆς ἀρετῆς, οἷον τὸ κενῶσαι τὰ χρήματα, καὶ ὅσα τοιαῦτα, οὐκέτι ἐν παραγγελίας τάξει φησίν· ἀλλὰ τί; Ὁ δυνάμενος χωρεῖν χωρείτω. (Ματθ. ιθ. ιϐ.) Εἰκὸς δὲ αὐτὸν ἂν μετὰ πολλοῦ φόβου καὶ τρόμου ταῦτα παραγγεῖλαι αὐτοῖς, καὶ ἀναμιμνήσκει διὰ τῶν γραμμάτων τούτων ἐκείνης αὐτοὺς τῆς ἀσφαλείας. διόπερ οὐ τίθησιν αὐτά, ἀλλ' αὐτοὺς ἀναμιμνήσκει. οἴδατε γάρ, φησι, τίνας παραγγελίας ἐδώκαμεν ὑμῖν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. τοῦτο γάρ ἐστι θέλημα Θεοῦ, ὁ ἁγιασμὸς ὑμῶν. καὶ διὰ τί πῶς οὐδαμοῦ περὶ ἄλλου τινὸς οὕτω σφοδρῶς αἰτιᾶται, ὡς περὶ τούτου. καθάπερ καὶ ἀλλαχοῦ γράφων φησίν· (Εϐρ. ιϐ. ιδ.) Εἰρήνην διώκετε μετὰ πάντων, καὶ τὸν ἁγιασμόν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον. καὶ τί θαυμάζεις, εἰ τοῖς μαθηταῖς πανταχοῦ περὶ τούτου γράφει, ὅπου γε καὶ Τιμοθέῳ γράφων ἔλεγε· (α Τιμ. ε. κϐ.) Σεαυτὸν ἁγνὸν τήρει; καὶ ἐν τῇ δευτέρᾳ δὲ ἐπιστολῇ τῇ πρὸς Κορινθίους γράφων ἔλεγεν· (ϐ Κορ. ϛ. ϛ.) Ἐν ὑπομονῇ πολλῇ, ἐν νηστείαις, ἐν ἁγνότητι. καὶ πολλαχοῦ ἄν τις εὕροι τοῦτο· (Ρωμ. ϛ. ιθ.) καὶ ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ, καὶ ἐν πάσαις ταῖς ἐπιστολαῖς. οὕτως γὰρ πάντα τοῦτο λυμαίνεται τὸ κακόν. καὶ καθάπερ χοῖρος βορβόρου πεπληρωμένος, οὗ ἂν εἰσέλθῃ, δυσωδίας ἐνέπλησεν ἅπαντα, καὶ τὰς αἰσθήσεις ἐπλήρωσε κόπρου, οὕτω καὶ ἡ πορνεία. δυσέκνιπτον γάρ ἐστι τὸ κακόν. ὅταν δέ τινες καὶ γυναῖκας ἔχοντες τοῦτο παραπέσωσι, πόση τῆς ἀτοπίας ἡ ὑπερβολή;

3 Τοῦτο γάρ ἐστι, φησί, θέλημα Θεοῦ ὁ ἁγιασμὸς ὑμῶν, ἀπέχεσθαι ὑμᾶς ἀπὸ πάσης πορνείας. Πολλὰ γὰρ εἴδη ἀταξίας, πολύτροποι καὶ ποικίλαι τῆς ἀσελγείας αἱ ἡδοναί, ἃς οὐδὲ εἰπεῖν ἀνεκτόν. εἰπὼν δὲ ἀπὸ πάσης πορνείας, καταλιμπάνει τοῖς εἰδόσι.

4 Εἰδέναι ἕκαστον ὑμῶν τὸ ἑαυτοῦ σκεῦος κτᾶσθαι ἐν ἁγιασμῷ καὶ τιμῇ,

5 Μὴ ἐν πάθει ἐπιθυμίας, καθάπερ καὶ τὰ ἔθνη τὰ μὴ εἰδότα τὸν Θεόν.

Εἰδέναι, φησίν, ἵνα ἕκαστος ὑμῶν τὸ ἑαυτοῦ σκεῦος κτᾶσθαι. ἄρα μαθήσεώς ἐστι τὸ πρᾶγμα καὶ πολλῆς, ὥστε μὴ ἀσελγαίνειν. ἄρα ἡμεῖς αὐτὸ κτώμεθα, ὅταν μένῃ καθαρόν, καὶ ἔστιν ἐν ἁγιασμῷ· ὅταν δὲ ἀκάθαρτον, ἁμαρτία. εἰκότως. οὐ γὰρ ἃ βουλόμεθα πράττει λοιπόν· ἀλλ' ἃ ἐκείνη ἐπιτάττει. μὴ ἐν πάθει ἐπιθυμίας, φησίν. ἐνταῦθα δείκνυσι καὶ τὸν τρόπον, καθ' ὃν χρὴ σωφρονεῖν, ὥστε τὰ πάθη τῆς ἐπιθυμίας ἐκκόπτειν. καὶ γὰρ καὶ τρυφή, καὶ πλοῦτος, καὶ ῥᾳθυμία, καὶ ἀργία, καὶ σχολή, καὶ ἅπαντα ταῦτα εἰς ἐπιθυμίαν ἡμᾶς ἐξάγει τὴν ἄτοπον. καθάπερ, φησί, καὶ τὰ ἔθνη τὰ μὴ εἰδότα τὸν Θεόν. ἐκεῖνοι γὰρ τοιοῦτοί εἰσιν, οἱ μὴ προσδοκῶντες δώσειν δίκην.

6 Τὸ μὴ ὑπερβαίνειν καὶ πλεονεκτεῖν ἐν τῷ πράγματι τὸν ἀδελφόν.

Καλῶς εἶπε, μὴ ὑπερβαίνειν. καὶ γὰρ ἑκάστῳ ὁ Θεὸς ἀπένειμε γυναῖκα, καὶ ὅρους ἔθηκε τῇ φύσει, τὴν μίξιν ἐκείνην τὴν πρὸς τὴν μίαν. ὥστε ἡ πρὸς τὴν ἑτέραν, παράβασίς ἐστι, καὶ λῃστεία, καὶ πλεονεξία· μᾶλλον δὲ πάσης λῃστείας χαλεπωτέρα. οὐ γὰρ οὕτως ἀλγοῦμεν, τῶν χρημάτων ἡμῖν ἐκφορουμένων, ὡς τοῦ γάμου διορυττομένου. ἀδελφὸν καλεῖς, καὶ πλεονεκτεῖς, καὶ ἐν οἷς οὐ χρή; ἐνταῦθα περὶ μοιχείας φησίν· ἀνωτέρω δὲ καὶ περὶ πορνείας πάσης. ἐπειδὴ γὰρ ἔμελλε λέγειν μὴ ὑπερβαίνειν, μηδὲ πλεονεκτεῖν τὸν ἀδελφόν, προλαβὼν μὴ νομίσῃς, φησίν, ὅτι ἐπὶ τῶν ἀδελφῶν μόνον ταῦτά φημι, ἀλλ' οὐδὲ τὰς ἑτέρων γυναῖκας, οὐδὲ τὰς ἁπλῶς ἀνάνδρους, καὶ κοινὰς ἔχειν χρή. πάσης πορνείας ἀπέχεσθαι δεῖ, διό φησι· Διότι ἔκδικος ὁ Κύριος περὶ πάντων τούτων.

Παρεκάλεσε πρότερον, ἐνέτρεψεν εἰπών, καθάπερ καὶ τὰ ἔθνη· εἶτα ἀπὸ λογισμῶν τὸ ἄτοπον ἔδειξε. τοῦτο δέ ἐστι, τὸ πλεονεκτεῖν τὸν ἀδελφόν. ἐπάγει λοιπὸν τὸ κεφάλαιον·

διὸ

τῆς οὖν, εἴ τις κατέψυκται, λύσει τὴν πάχνην. πάχνη γάρ ἐστιν ὄντως καὶ κρυμὸς, ἡ μνησικακία. ἀλλὰ καλέσωμεν τὸν ἥλιον τῆς δικαιοσύνης, ἀξιώσωμεν αὐτὸν ἐπαφεῖναι τὰς ἀκτῖνας· καὶ οὐκέτι ἔσται πάχνη παχεῖα, ἀλλ' ὕδωρ πότιμον. ἂν ἅψηται δὲ τοῦ ἡλίου τῆς δικαιοσύνης πῦρ τῆς ἡμετέρας ψυχῆς, οὐδὲν ἐάσει πεπηγὸς, οὐδὲ σκληρὸν, οὐδὲν ἀκαυστικὸν, οὐδὲ ἄκαρπον· πάντα ὥριμα, πάντα γλυκέα, πάντα πολλῆς γέμοντα τῆς ἡδονῆς ἐπιδείξει. ἂν ἀγαπῶμεν ἀλλήλους, ἥξει κἀκείνη ἡ ἀκτίς. δότε μοι, παρακαλῶ, μετὰ προθυμίας ταῦτα λέγειν. ποιήσατέ με ἀκοῦσαι ὅτι ἀπὸ τῶν ῥημάτων τούτων ἠνύσαμέν τι· ὅτι ἐχθρόν τις ἀπελθὼν, αὐτίκα περιέβαλεν ἄμφω τὼ χεῖρε, περιεπλάκη, περιεχύθη, κατεφίλησεν, ἐδάκρυσεν. κἂν θηρίον ἄγριος ᾖ, κἂν λίθος, κἂν ὁτιοῦν, ὑπὸ τῆς αὐτῆς φιλοφροσύνης ἡμερωθήσεται. διὰ τί γὰρ σοι ἐχθρός ἐστιν; ὕβρισέ σε; ἀλλ' οὐδὲν ἠδίκησεν. ἀλλὰ χρημάτων ἕνεκεν περιορᾷς τὸν ἀδελφὸν ἐχθραίνοντα; μὴ, παρακαλῶ· πάντα λύσωμεν. ἡμέτερος ὁ καιρός· χρησώμεθα αὐτῷ εἰς δέον. τὰ χρονία τῶν ἁμαρτημάτων διακόψωμεν. πρὶν ἢ ἀπελθεῖν εἰς τὸ κριτήριον, αὐτοὶ κρίνωμεν ἀλλήλους. Ὁ ἥλιος, φησὶ, μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν. μηδεὶς ἀναβαλλέσθω. αἱ ἀναβολαὶ μνησικακίας τίκτουσιν. ἂν σήμερον ὑπαχθῇ, μᾶλλον ἐρυθριᾷς· καὶ τὴν αὔριον προσαχθῇς, μείζων ἡ αἰσχύνη καὶ τὴν τρίτην, ἔτι πλέον. μὴ δὴ καταισχύνωμεν ἑαυτοὺς, ἀλλ' ἀφῶμεν, ἵνα ἀφεθῇ ἡμῖν. εἰ δὲ ἀφεθῇ, πάντων ἐπιτευξόμεθα τῶν ἐν οὐρανῷ ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

γρ. ὄρνιον — γρ. σοι — Ἐφ. δ. κϛ.

Λογ. ϛ. 1 ΤΟ ΛΟΙΠΟΝ, ΑΔΕΛΦΟΙ, ΕΡΩΤΩΜΕΝ ὑμᾶς καὶ παρακαλοῦμεν ἐν Κυρίῳ Ἰησοῦ, καθὼς παρελάβετε παρ' ἡμῶν τὸ πῶς δεῖ περιπατεῖν ὑμᾶς, καὶ ἀρέσκειν Θεῷ, ἵνα περισσεύητε μᾶλλον. κεφ. δ.
2 Οἴδατε γὰρ τίνας παραγγελίας ἐδώκαμεν ὑμῖν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.
3 τοῦτο γάρ ἐστι θέλημα Θεοῦ, ὁ ἁγιασμὸς ὑμῶν.

Ὅταν περὶ τὰ κατεπείγοντα ᾖ καὶ τὰ ἐν χερσὶ, καὶ μέλλῃ πρὸς τὰ διηνεκῆ ἐμβαίνειν λοιπὸν, καὶ ἃ συνεχῶς ἀκοῦσαι χρὴ, τοῦτο προστίθησι τὸ ῥῆμα, τὸ λοιπὸν, τουτέστιν, ἀεὶ μὲν καὶ εἰς τὸ διηνεκὲς ἐρωτῶμεν ὑμᾶς καὶ παρακαλοῦμεν ἐν Κυρίῳ. Βαβαὶ, οὐδὲ πρὸς τὸ παρακαλεῖν ἑαυτὸν ἀξιόπιστον εἶναί φησι (καίτοι τίς οὕτως ἀξιόπιστος ἦν;) ἀλλὰ τὸν Χριστὸν παραλαμβάνει. Διὰ τοῦ Θεοῦ παρακαλοῦμεν ὑμᾶς, φησί. τοῦτο γάρ ἐστιν, ἐν Κυρίῳ. ὃ καὶ πρὸς Κορινθίους ἔλεγεν· Ὁ Θεὸς ὑμᾶς παρακαλεῖ δι' ἡμῶν. ἵνα καθὼς παρελάβετε παρ' ἡμῶν. τὸ, παρελάβετε, οὐχὶ ῥημάτων ἐστὶ μόνον, ἀλλὰ καὶ πραγμάτων. τὸ πῶς δεῖ ὑμᾶς περιπατεῖν. πᾶσαν ἐν τούτῳ τὴν ἀναστροφὴν τοῦ βίου δηλοῖ. καὶ ἀρέσκειν Θεῷ, ἵνα περισσεύητε μᾶλλον· τουτέστιν, ἵνα ἐκ πλείονος περιουσίας, μὴ μέχρι τῶν ἐντολῶν ἵστασθε, ἀλλ' ἵνα καὶ ὑπερβαίνητε. τοῦτο γάρ ἐστι τὸ, ἵνα περισσεύητε. ἐν μὲν γὰρ τοῖς προάγουσι, τῆς πίστεως αὐτῶν τῆς στερρᾶς τὸ θαῦμα ἀποδέχεται· ἐνταῦθα δὲ ῥυθμίζει τὸν βίον. τοῦτο γὰρ περισσεία, τὸ καὶ ὑπερβαίνειν τὰς ἐντολὰς, καὶ τὰ διατάγματα. οὐκ ἔτι γὰρ ἀπὸ τῆς διδασκαλικῆς ἀνάγκης, ἀλλ' ἀπὸ τῆς οἰκείας προαιρέσεως γίνεσθαι τὸ πᾶν. καθάπερ γὰρ τὴν γῆν οὐ τὰ καταβληθέντα δεῖ φέρειν μόνον, οὕτω καὶ τὴν ψυχὴν οὐ μέχρι ἐκείνων ἵστασθαι τῶν καταβληθέντων, ἀλλὰ καὶ ὑπερβαίνειν. ὁρᾷς ὅτι εἰκότως εἶπεν, ὑπερβαίνειν; εἰς δύο γὰρ ταῦτα ἀρετὴ διῄρηται, εἰς τὸ ἐκκλίνειν ἀπὸ κακοῦ, καὶ ποιεῖν ἀγαθόν. οὐ γὰρ ἀρκεῖ τῶν κακῶν ἡ ἀναχώρησις εἰς τὴν τῆς ἀρετῆς προσαγωγὴν, ἀλλ' ὁδός μοί τις ἐστι, καὶ ἀρχὴ ἐκεῖ φέρουσα. δεῖ δὲ πολλῆς ἡμῖν τῆς προθυμίας. τὰ μὲν οὖν φευκτέα ἐν τι-

β Κορ. ε. κ. — γρ. ὑπέκειντο — γρ. ἐπιτάγ.

Ῥωμ. η. λε. στὴς τοῦ Θεοῦ, ὁ ἀκαμπής. Τίς γὰρ ἡμᾶς, φησί, χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλῖψις, ἢ στενοχωρία, ἢ διωγμός, ἢ λιμός, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα; ὁ τοὺς πόνους τοίνυν ἀπλώτους καταπολεμῶν, καὶ γῆς καὶ θαλάσσης*, ὁ τῶν ἀδαμαντίνων τοῦ ᾅδου πυλῶν καταγελῶν, ὁ οὐδὲν ὑφιστάμενος ὅλως, οὗτος ἐπειδὴ υἱοὺς ἀγαπητοὺς εἶδε δάκρυα, οὕτω κατεκλάσθη, καὶ συνετρίβη ὁ ἀδάμας, ὡς μηδὲ κρύψαι τὸ πάθος, ἀλλ᾽ εἰπεῖν εὐθέως· Τί ποιεῖτε κλαίοντες, καὶ συνθρύπτοντές μου τὴν καρδίαν; τί λέγεις, εἰπέ μοι; ἐκείνην τὴν ἀδαμαντίνην ψυχὴν συντρίψαι δάκρυον ἴσχυσε; ναί, φησί· πρὸς πάντα γὰρ ἀντέχω, πλὴν τῆς ἀγάπης· αὕτη μου περιγίνεται καὶ κρατεῖ. τοῦτο τῷ Θεῷ δοκεῖ. ἄβυσσος αὐτὸν οὐ συνέτριψεν ὑδάτων, καὶ μικρὰ δάκρυα συνέτριψε. τί ποιεῖτε κλαίοντες, καὶ συντρίβοντές μου τὴν καρδίαν; πολλὴ γὰρ αὐτῆς ἡ ἰσχύς. Θέλεις αὐτὸν ἰδεῖν πάλιν κλαίοντα; ἄκουε

Πράξ. κ. λα. αὐτοῦ ἀλλαχοῦ λέγοντος, Τριετίαν, νύκτα καὶ ἡμέραν, φησίν, οὐκ ἐπαυσάμην μετὰ δακρύων

β Κορ. β. δ. νουθετῶν ἕνα ἕκαστον. ἀπὸ πολλῆς ἀγάπης ἐδεδοίκει, μή τις ἐπεισέλθῃ λύμη. καὶ πάλιν· Ἐκ γὰρ πολλῆς θλίψεως καὶ συνοχῆς καρδίας ἔγραψα ὑμῖν διὰ πολλῶν δακρύων. τί δὲ ὁ Ἰωσήφ, εἰπέ μοι, ὁ στερρός, ὁ πρὸς τυραννίδα τοσαύτην στάς, ὁ πρὸς τοσαύτην ἔρωτος πυρὰν οὕτω γενναῖος ὀφθείς, ὁ οὕτω καταγωνισάμενος, καὶ καταπαλαίσας τῆς δεσποίνης τὴν τοσαύτην μανίαν; τί γὰρ οὐκ ἔθελγε τότε; ὄψις εὐπρεπής, ἀξιώματος τῦφος, ἱματίων πολυτέλεια, ἀρωμάτων εὐοσμία (καὶ γὰρ καὶ ταῦτα καταμαγγανεύειν οἶδε ψυχήν) ῥήματα πάντων μαλακώτερα; ἴστε γὰρ ὅτι ἡ ἐρῶσα, καὶ οὕτω σφοδρῶς, οὐδὲν ταπεινὸν παραιτήσεται εἰπεῖν, σχῆμα ἱκέτιδος ἀναλαβοῦσα. οὕτω γὰρ κατεκλάσθη ἡ χρυσοφοροῦσα γυνή, καὶ ἐν ἀξιώματι οὖσα βασιλικῷ, ὡς τοῦ παιδὸς τοῦ αἰχμαλώτου πρὸς τὰ γόνατα ἴσως ἑαυτὴν ῥῖψαι· ἴσως δὲ καὶ παρακαλέσαι δακρύουσαν, καὶ τῶν γονάτων ἀπτομένην, καὶ τοῦτο οὐχ ἅπαξ, οὐδὲ δεύτερον, ἀλλὰ πολλάκις μηχανησαμένην. ἐκείνην δὲ ὀφθαλμοὶ ἰδεῖν τότε μάλιστα λάμποντα.

οὐ γὰρ ἁπλῶς* εἰκὸς αὐτήν, ἀλλὰ μετὰ πολλῆς τῆς περιεργίας καλλωπίζεσθαι, ἅτε βουλομένην πολλοῖς τοῖς δικτύοις ἑλεῖν τὸ θήριον τοῦ Χριστοῦ. πρόσθες μοι ἐνταῦθα καὶ μαγγανείας πολλάς. ἀλλ᾽ ὅμως ὁ ἀκαμπὴς οὗτος, ὁ στερρός, ὁ πεπυργωμένος, ἐπειδὴ τοὺς ἀδελφοὺς εἶδε τοὺς ἀπεμπολήσαντας, τοὺς εἰς λάκκον βαλόντας, τοὺς ἀποδομένους, τοὺς καὶ ἀποκτεῖναι βουλομένους, τοὺς καὶ τοῦ δεσμωτηρίου καὶ τῆς τιμῆς αἰτίους γενομένους· ἐπειδὴ ἤκουσε παρ᾽ αὐτῶν, ἃ περὶ τὸν πατέρα διέθηκαν (Εἴπωμεν γάρ, φησίν, ὅτι ὁ εἷς θηριόβρωτος γέγονε) κατε-

Γεν. μδ. κη. κλάσθη, συνεμαλάχθη, συνετρίβη, καὶ ἔκλαυσε· καὶ μὴ φέρων τὸ πάθος, εἰσελθὼν ἐνεχρα-

Γεν. μγ. λα. τεύσατο, τουτέστιν, ἀπεμάξατο. τί τοῦτο; δακρύεις, ὦ Ἰωσήφ; καὶ μὴν οὐκ ἄξια τὰ παρόντα δακρύων, ἀλλ᾽ ὀργῆς, καὶ θυμοῦ, καὶ ἀγανακτήσεως, μεγάλης τιμωρίας, καὶ ἀνταποδόσεως. ἔχεις εἰς χεῖρας τοὺς ἐχθρούς, τοὺς ἀδελφοκτόνους, δύνασαι τὸν θυμὸν ἐμπλῆσαι. καίτοι οὐδὲ τοῦτο ἀδικία· οὐ γὰρ αὐτὸς ἄρχεις χειρῶν ἀδίκων, ἀλλ᾽ ἀμύνῃ τοὺς ἠδικηκότας. μὴ γὰρ μοι πρὸς τὸ ἀξίωμα ἴδῃς. οὐ τῆς ἐκείνων ἐγένετο γνώμης, ἀλλὰ τοῦ Θεοῦ τοῦ καταγελάσαντος σοι τὴν χάριν. τί κλαίεις; ἀλλ᾽ εἴποι ἄν· μή μοι γένοιτο ἐν πᾶσιν εὐδοκιμήσαντι πάντα καταλῦσαι ἐκεῖνα διὰ ταύτης τῆς μνησικακίας. δακρύω ὄντως καιρός. οὐκ εἰμὶ τῶν θηρίων ἀγριώτερος. ἐκεῖνα πρὸς τὴν φύσιν αἰδεῖται, κἂν ὁποῖα πάθη δεινά. κλαίω, φησίν, ὅτι με ὅλως τοιαῦτα διέθηκαν. τοῦτον καὶ ἡμεῖς μιμώμεθα, καὶ πενθῶμεν τοὺς ἠδικηκότας· μὴ ὀργιζώμεθα πρὸς αὐτούς. ὄντως γὰρ δακρύων ἄξιοι, ἧς ἑαυτοὺς τιμωρίας καὶ καταδίκης ὑπευθύνους καθιστῶσιν. οἶδα πῶς κλαίετε νῦν, πῶς χαίρετε, καὶ τὸν Παῦλον θαυμάζοντες, καὶ τὸν Ἰωσὴφ ἐκπληττόμενοι, καὶ μακαρίζοντες. ἀλλ᾽ εἴ τις ἐχθρὸν ἔχει, εἰς μνήμην αὐτὸν νῦν λαμβανέτω, εἰς νοῦν βαλλέσθω· ἵνα, ἕως ἔτι ζῇ τῇ μνήμῃ τῶν ἁγίων ἡ καρδία, δυνηθῇ τὸ πεπηγὸς τῆς μνήμης λῦσαι, καὶ τὸ παχὺ καὶ ἀπεσκληκὸς καταμαλάξαι. οἶδα ὅτι μετὰ τὴν ἐντεῦθεν ἔξοδον, μετὰ τὸ παύσασθαί με λέγοντα, κἂν ἀπομείνῃ τι τῆς θέρμης καὶ τῆς ζέσεως, οὐ τοσοῦτόν ἐστιν, ὅσον νῦν ἐν τῇ ἀκροάσει. Εἴ

τις

* ἱστορῶν, χ. ἐπιτάσσων

χ. οὐχ ὁρᾶν αὐτὸν πάλιν κλαίοντα; ἢ τί κλαίεις, εἰπέ μοι.

χ. οὐχ ὁ ἐμός.

χ. τοσαύτην

χ. εὐωδία.

* οὐδὲ ἁπλῶς χρ.

χ. ἀλογώτερος.

ἴσ. ἴσον

13 Εἰς τὸ στηρίξαι ὑμῶν τὰς καρδίας ἀμέμπτους ἐν ἁγιωσύνῃ ἔμπροσθεν τοῦ Θεοῦ καὶ πατρὸς ἡμῶν, ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων τῶν ἁγίων αὐτοῦ.

Τὴν ἀγάπην δείκνυσιν αὐτοῖς κέρδος φέρουσαν, οὐ τοῖς φιλουμένοις. βούλομαι, φησί, πλεονάσαι τὴν ἀγάπην ταύτην, ἵνα μηδεὶς μῶμος γένηται. οὐκ εἶπεν, ὑμᾶς στηρίξαι, ἀλλὰ, τὰς καρδίας ὑμῶν. (κ. χρυσῶ.) ἐκ γὰρ τῆς καρδίας ἐξέρχονται διαλογισμοὶ πονηροί. (Matth. 15. 19.) ἔνεστι γὰρ μηδὲν πράττοντα, πονηρὸν εἶναι, οἷον βασκανίαν ἔχειν, ἀπιστίαν, δόλον, τὸ χαίρειν ἐπὶ τοῖς κακοῖς, τὸ μὴ εἶναι φιλικὸν, τὸ δόγματα ἔχειν διεστραμμένα. ταῦτα πάντα τῆς καρδίας ἐστί. τὸ δὲ τούτων καθαρεύειν, ἐστὶν ἁγιωσύνη. κυρίως μὲν γὰρ ἁγιωσύνη λέγεται ἡ σωφροσύνη κατ' ἐξοχὴν ἐπειδὴ καὶ ἀκαθαρσία, ἡ πορνεία καὶ ἡ μοιχεία. καθολικῶς δὲ πᾶσα ἁμαρτία, ἀκαθαρσία· καὶ πᾶσα ἀρετὴ, καθαρότης. Μακάριοι γάρ, φησιν, οἱ καθαροὶ τῇ καρδίᾳ. (Matth. 5. 8.) καθαροὺς, τοὺς πάντη καθαρούς φησιν. οἶδε γὰρ καὶ τὰ ἄλλα οὐχ ἧττον τὴν ψυχὴν ῥυποῦν. ὅτι γὰρ πονηρία μολύνει τὴν ψυχὴν, ἄκουε τοῦ προφήτου λέγοντος· Ἀπόπλυνε ἀπὸ κακίας τὴν καρδίαν σου, Ἱερουσαλήμ. (Ἰερ. δ. ιδ.) καὶ πάλιν, Λούσασθε, καθαροὶ γίνεσθε, ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν. (Ἡσ. α. ις.) οὐκ εἶπε, τὰς πορνείας. ὥστε οὐ πορνεία μόνον, ἀλλὰ καὶ τὰ ἄλλα μολύνει τὴν ψυχήν. (κ. ῥυπαίνειν δύναται) στηρίξαι ὑμῶν, φησί, τὰς καρδίας ἀμέμπτους ἐν ἁγιωσύνῃ ἔμπροσθεν τοῦ Θεοῦ καὶ πατρὸς ἡμῶν, ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων τῶν ἁγίων αὐτοῦ. κριτὴς ἄρα τότε ἔσται ὁ Χριστός. οὐκ ἔμπροσθεν δὲ αὐτοῦ, ἀλλὰ καὶ τοῦ πατρὸς παρεστήκασι κρινόμενοι. ἢ τοῦτό φησιν, ὅτι ἀμέμπτους ἔμπροσθεν τοῦ Θεοῦ διαγίνεσθαι. ὅπερ ἀεὶ λέγω, τὸ ἐνώπιον τοῦ Θεοῦ (αὕτη γὰρ ἡ ἀρετὴ εἰλικρινής) οὐκ ἐνώπιον ἀνθρώπων.

ΗΘΙΚΟΝ

Ἄρα ἡ ἀγάπη ἀμέμπτους ποιεῖ. καὶ γὰρ ὄντως ἀμέμπτους ποιεῖ. καὶ ἐμοῦ ποτε τοῦτο διηγουμένου πρός τινα, καὶ λέγοντος, ὅτι ἡ ἀγάπη ἀμέμπτους ποιεῖ, καὶ οὐκ ἀφίησιν ἡ πρὸς τὸν πλησίον φιλία παρείσδυσίν τινα γίνεσθαι τῆς πλημμελείας, καὶ τὰ ἄλλα πάντα διεξιόντος καὶ ἐπεξεργαζομένου τῷ λόγῳ, τῶν ἐμοί τις γνωρίμων ἀποδυσάμενος ἑαυτὸν φησί· τί οὖν ἡ πορνεία; οὐκ ἔνεστιν οὖν καὶ φιλεῖν, καὶ πορνεύειν; καὶ ἀπὸ φιλίας μὲν τοῦτο γίνεται. (κ. ἄπαγε, ἀπὸ φιλίας μάλιστα ἔστι τὸ μὴ πορνεύειν. ὁ δὲ) πλεονεξία μὲν οὖν, καὶ μοιχεία, καὶ φθόνος, καὶ ἐπιβουλαὶ, καὶ ὅσα τοιαῦτα ἀπὸ ἀγάπης τῆς τῶν πλησίον ἀνακόψαι δυνήσεται· ἡ δὲ πορνεία πῶς, φησίν; ἐγὼ τοίνυν εἶπον, ὅτι ἡ ἀγάπη καὶ τοῦτο δύναται ἀνακόψαι. εἰ γὰρ φιλοίη τις τὴν πορνευομένην γυναῖκα, καὶ τῶν ἄλλων αὐτὴν ἀνδρῶν ἀπαγαγεῖν πειράσεται, οὐχὶ δὲ καὶ αὐτὸς προσθεῖναι τῇ ἁμαρτίᾳ. ὥστε σφόδρα μισοῦντός ἐστι τὴν πορνευομένην, τὸ πορνεύειν εἰς αὐτήν· φιλοῦντος δὲ ὄντως, τὸ ἀπαγαγεῖν αὐτὴν τῆς μυσαρᾶς ἐκείνης πράξεως. καὶ οὐκ ἔστιν, οὐκ ἔστιν οὐδὲν ἁμάρτημα, ὃ μὴ καθάπερ πῦρ, ἀναλίσκει τῆς ἀγάπης ἡ δύναμις. εὐκολώτερον γὰρ φρύγανον εὐτελὲς ἀντιστῆναι πυρᾷ πολλῇ, ἢ τῆς ἁμαρτίας τὴν φύσιν τῇ τῆς ἀγάπης δυνάμει. ταύτην οὖν φυτεύσωμεν ἐν ταῖς ἑαυτῶν ψυχαῖς, ἵνα μετὰ τῶν ἁγίων πάντων στῶμεν. καὶ γὰρ ἐκεῖνοι πάντες εὐηρέστησαν ἀπὸ τῆς εἰς τὸν πλησίον ἀγάπης. πόθεν ᾑρέθη, καὶ οὐκ ἀνείλετο ὁ Ἄβελ; πάντως τῷ σφόδρα φιλεῖν τὸν ἀδελφὸν, οὐδὲ δέξασθαι τοιοῦτον ἠνείχετο λογισμόν. πόθεν ἐδέξατο τὸν τῆς βασκανίας ὄλεθρον ὁ Κάϊν; (οὐ γὰρ ἂν λοιπὸν εἴποιμι αὐτὸν τοῦ Ἄβελ ἀδελφόν) ὅτι οὐκ ἀσφαλῶς ἠρήρειστο παρ' αὐτῷ τὰ τῆς ἀγάπης θεμέλια. πόθεν εὐδοκίμησαν οἱ τοῦ Νῶε παῖδες; οὐκ ἐπειδὴ σφόδρα ἐφίλουν τὸν πατέρα, οὐδὲ τὴν γύμνωσιν ἠνέσχοντο ἰδεῖν; ὁ ἕτερος δὲ πόθεν κατηράθη; οὐκ ἀπὸ τοῦ μὴ φιλεῖν; ὁ δὲ Ἀβραὰμ πόθεν ηὐδοκίμησεν; οὐκ ἀπὸ τῆς ἀγάπης, τὰ περὶ τὸν ἀδελφιδοῦν διαπραξάμενος; τὰ περὶ τὴν ἱκετηρίαν τὴν ὑπὲρ τῶν Σοδομιτῶν; (κ. τῆς περὶ τὸν ἀδελφιδοῦν, ὑπὲρ δὲ καὶ τὴν ἱκετηρίαν τῶν ἐπὶ τῶν Σοδομιτῶν κατασχεῖν;) σφόδρα γὰρ, σφόδρα φιλόστοργοι ἦσαν οἱ ἅγιοι, καὶ συμπαθητικοί. ἐννόησον γάρ μοι πῶς διατίθεται ἐξ ἀγάπης ὁ καὶ πυρὸς καταπολλῶν Παῦλος, ὁ ἀδαμάντινος, ὁ στερρὸς, ὁ ἀκλινὴς, ὁ πάντοτε συγκεκροτημένος, ὁ καθηλωμένος τῷ φό-

μεθα. οὕτω τοὺς διδασκάλους διακεῖσθαι χρή, οὕτω τοὺς μαθητάς· καὶ οὐδὲν ἄτοπον ἔσται ποτέ. Εἶτα προσλιπαίνων αὐτό, ὅρα τί φησι.

9 Τίνα γὰρ εὐχαριστίαν δυνάμεθα τῷ Θεῷ ἀνταποδοῦναι περὶ ὑμῶν ἐπὶ πάσῃ τῇ χαρᾷ, ᾗ χαίρομεν δι' ὑμᾶς ἔμπροσθεν τοῦ Θεοῦ ἡμῶν,

10 Νυκτὸς καὶ ἡμέρας ὑπερεκπερισσοῦ δεόμενοι εἰς τὸ ἰδεῖν ὑμῶν τὸ πρόσωπον, καὶ καταρτίσαι τὰ ὑστερήματα τῆς πίστεως ὑμῶν;

Οὐχὶ ζωῆς, φησιν, αἴτιοι ἡμῖν γεγόνατε μόνον, ἀλλὰ καὶ εὐφροσύνης πολλῆς, καὶ τοσαύτης, ὡς μηδὲ εὐχαριστῆσαι δύνασθαι τῷ Θεῷ κατ' ἀξίαν. τὸ ἡμῶν κατόρθωμα, δῶρον εἶναι, φησι, τοῦ Θεοῦ ἡγούμεθα. τοιαῦτα ἡμᾶς εὐεργετήσατε, ὡς τοῦ Θεοῦ νομίζειν εἶναι· μᾶλλον δὲ καὶ ἔργον Θεοῦ. οὐ γὰρ ἦν ἀνθρωπίνης ψυχῆς, οὐδὲ σπουδῆς τοσοῦτον φρόνημα. Νυκτός, φησι, καὶ ἡμέρας ὑπερεκπερισσοῦ δεόμενοι. καὶ τοῦτο τῆς χαρᾶς σημεῖον. καθάπερ γάρ τις γεωργός, ἀκούων περὶ τῆς αὐτοῦ χώρας τῆς ποθεινῆς αὐτῷ, ὅτι βρίθεται τοῖς καρποῖς, ποθεῖ κατ' ὄψιν τὴν τοσαύτην ἰδεῖν ἡδονήν· οὕτω καὶ Παῦλος τὴν Μακεδονίαν. ὑπερεκπερισσοῦ δεόμενοι. ὅρα τὴν ὑπερβολήν. Εἰς τὸ ἰδεῖν ὑμῶν τὸ πρόσωπον, καὶ καταρτίσαι τὰ ὑστερήματα τῆς πίστεως ὑμῶν. ἐνταῦθα πολὺ τὸ ζήτημα. εἰ γὰρ ἡμῖν ζῆς ὅτι ἑστήκασι, καὶ Τιμόθεος εὐηγγελίσατό σοι τὴν πίστιν αὐτῶν καὶ τὴν ἀγάπην, καὶ τοσαύτης εἶ χαρᾶς μεστός, ὡς μηδὲ δύνασθαι τῷ Θεῷ κατ' ἀξίαν εὐχαριστῆσαι, πῶς ἐνταῦθα τὰ ὑστερήματα τῆς πίστεως αὐτῶν εἶναι φής; ἆρα μὴ κολακείας τὰ ῥήματα ἐκεῖνα; μηδαμῶς· μὴ γένοιτο. προλαβὼν γὰρ ἐμαρτύρησεν, ὅτι πολλοὺς ἄθλους ὑπέμειναν, καὶ οὐδὲν χεῖρον διετέθησαν τῶν ἐν τῇ Ἰουδαίᾳ ἐκκλησιῶν. τί οὖν ἐστι; οὐ πάσης ἀπήλαυσαν τῆς διδασκαλίας, οὐδὲ ὅσα ἐχρῆν μαθεῖν ἔμαθον. καὶ τοῦτο δηλοῖ πρὸς τῷ τέλει. ἴσως δὲ καὶ ἐζητεῖτο παρ' αὐτοῖς περὶ τῆς ἀναστάσεως, καὶ πολλοὶ ἦσαν οἱ θορυβοῦντες αὐτούς, οὐκέτι τοῖς πειρασμοῖς, οὐδὲ τοῖς κινδύνοις, ἀλλ' ὑποκρινόμενοι τοὺς διδασκάλους. τοῦτό φησι τὰ ὑστερήματα τῆς πίστεως. καὶ διὰ τοῦτο οὕτως ἐνέφηνε, καὶ οὐκ εἶπεν, εἰς τὸ στηρίξαι, ἀλλά, καταρτίσαι. ἔνθα μὲν γὰρ περὶ αὐτῆς τῆς πίστεως ἐδεδοίκει, ἔπεμψα, φησι, Τιμόθεον εἰς τὸ στηρίξαι ὑμᾶς· ἐνταῦθα δέ, τὰ ὑστερήματα λέγει καταρτίσαι, ὃ διδασκαλίας μᾶλλόν ἐστιν, ἢ βεβαιώσεως. καθάπερ καὶ ἀλλαχοῦ φησιν· Ἵνα ἦτε κατηρτισμένοι εἰς πᾶν ἔργον ἀγαθόν. τὸ δὲ κατηρτισμένον ἐκεῖνό ἐστιν, ᾧ ὀλίγον τι λείπεται. τοῦτο γὰρ καταρτίζεται.

α Κορ. α. ι.

γ. ἀσύχνα

11 Αὐτὸς δὲ ὁ Θεὸς καὶ πατὴρ ἡμῶν, καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς κατευθύναι τὴν ὁδὸν ἡμῶν πρὸς ὑμᾶς·

γ. κατευθύνοι

12 Ὑμᾶς δὲ ὁ Κύριος πλεονάσαι, καὶ περισσεύσαι τῇ ἀγάπῃ εἰς ἀλλήλους καὶ εἰς πάντας, καθάπερ καὶ ἡμεῖς εἰς ὑμᾶς. Τοῦτο ὑπερβαλλούσης ἀγάπης, τὸ μὴ μόνον καθ' ἑαυτὸν εὔχεσθαι, ἀλλὰ καὶ ἐν τῇ ἐπιστολῇ τὴν εὐχὴν ἐντιθέναι. τοῦτο ζεούσης ψυχῆς, καὶ ὄντως ἀκαρτερήτου. τοῦτο δεῖγμα καὶ τῶν ἐκ γεγενημένων εὐχῶν· ἅμα δὲ καὶ ἀπολογία, ὅτι οὐχ ἑκόντες, οὐδὲ ῥαθυμοῦντες οὐ παραγίνονται. ὡς ἂν εἰ ἔλεγεν· αὐτὸς δὲ ὁ Θεὸς ἐκκόψαι τοὺς πειρασμοὺς τοὺς πανταχοῦ περιέλκοντας ἡμᾶς, ὥστε ὀρθὴν ἐλθεῖν πρὸς ὑμᾶς. ὑμᾶς δὲ ὁ Κύριος πλεονάσαι, καὶ περισσεύσαι. ὁρᾷς τὴν μανίαν τῆς ἀγάπης τὴν ἀκάθεκτον, τὴν διὰ τῶν ῥημάτων δεικνυμένην; πλεονάσαι, φησί, καὶ περισσεύσαι, ἀντὶ τοῦ, αὐξῆσαι. ὡς ἂν εἴποι τις, ἐκ περιουσίας πως ἐπιθυμεῖ φιλεῖσθαι παρ' αὐτῶν. καθάπερ, φησί, καὶ ἡμεῖς εἰς ὑμᾶς. τουτέστι, τὸ μὲν ἡμέτερον ἤδη ἐστὶ· τὸ δὲ ὑμέτερον ἀξιοῦμεν γενέσθαι. ὁρᾷς πῶς βούλεται τὴν ἀγάπην ἐκτείνεσθαι; οὐκ εἰς ἀλλήλους μόνον, ἀλλὰ πανταχοῦ. τοῦτο γὰρ ὄντως ἀγάπης τῆς κατὰ Θεόν, τὸ πάντας περιπλέκεσθαι. ἂν δὲ τὸν διὰ μὲν ἀγαπᾷς, τὸν διὰ δὲ μηκέτι, κατὰ ἄνθρωπον ἡ φιλία. ἀλλ' οὐχ ἡ ἡμετέρα τοιαύτη· καθάπερ καὶ ἡμεῖς εἰς ὑμᾶς.

γ. πληρώσαι

γ. περιβάλλεσθαι.

13 Εἰς

Digitized by Google

Τιμόθεον, καὶ κοινωνὸν καὶ συνεργόν, τοῦτον ἐν αὐτοῖς τοῖς κινδύνοις πέμψαι πρὸς αὐτούς. Καὶ εἰς κενόν, φησί, γένηται ὁ κόπος ἡμῶν. διὰ τί; εἰ γὰρ καὶ περιετράπησαν, οὐ παρὰ τὴν σὴν αἰτίαν, οὐ παρὰ τὴν σὴν ῥαθυμίαν. ἀλλ' ὅμως καὶ τούτων ὄντων κεκενῶσθαί μοι τὸν κόπον νομίζω ἀπὸ τῆς πολλῆς φιλαδελφίας. μήπως ἐπείρασεν ὑμᾶς ὁ πειράζων. πειράζει δὲ οὐκ εἰδὼς εἰ καταβάλοι. εἶτ' ἐκεῖνος μὲν καὶ ὡς οὐκ εἰδὼς ἐπιχειρεῖ, ἡμεῖς δὲ εἰδότες ὅτι σφόδρα αὐτὸν περιεστήκαμεν, οὐ ποιοῦμεν; ὅτι δὲ οὐκ εἰδὼς ἡμῖν προσβάλλει, ἐπὶ τοῦ Ἰὼβ ἐδήλωσεν. ἔλεγε γὰρ πρὸς τὸν Θεὸν ὁ πονηρὸς ἐκεῖνος δαίμων· Οὐ σὺ περιέφραξας αὐτοῦ τὰ ἔσω, καὶ τὰ ἔξω; περίελε αὐτοῦ τὰ ὑπάρχοντα· ἢ μὴν εἰς πρόσωπόν σε εὐλογήσει. πειράζει δὲ ἂν ἴδῃ τι ἀσθενές, ἐπεχείρησεν· ἂν ἰσχυρόν, ἀπέστη. Καὶ εἰς κενόν, φησί, γένηται ὁ κόπος ἡμῶν. ἀκούσωμεν ἅπαντες, πῶς ἔκαμνεν ὁ Παῦλος. οὐκ εἶπεν, ἔργον, ἀλλ', ὁ κόπος· οὐκ εἶπε, καὶ ὑμεῖς ἀπολεῖσθε, ἀλλ', ὁ κόπος ἡμῶν. ὥστε εἰ καὶ συνέβη τι, εἰκὸς ἐγίνετο. ἐπειδὴ δὲ οὐ συνέβη, πολὺ τὸ θαῦμα. ταῦτα μὲν προσεδοκήσαμεν, φησίν, ἐξέβη δὲ τὰ ἐναντία. οὐ γὰρ μόνον προσθήκην θλίψεως οὐδεμίαν παρ' ὑμῶν ἐλάβομεν, ἀλλὰ καὶ παράκλησιν. ἄρτι δὲ ἐλθόντος Τιμοθέου, φησί, πρὸς ἡμᾶς ἀφ' ὑμῶν, καὶ εὐαγγελισαμένου ἡμῖν τὴν πίστιν, καὶ τὴν ἀγάπην ὑμῶν. καὶ εὐαγγελισαμένου, φησίν. ὁρᾷς τὴν περιχάρειαν Παύλου; οὐκ εἶπεν, ἀπαγγείλαντος, ἀλλ', εὐαγγελισαμένου. τοσοῦτον ἀγαθὸν ἡγεῖτο τὴν ἐκείνων βεβαίωσιν, καὶ τὴν ἀγάπην. ἀνάγκη γὰρ ἐκείνης βεβαίας μενούσης καὶ ταύτην ἑστηκέναι. καὶ τῇ ἀγάπῃ δὲ αὐτῶν ἔχαιρεν, ὅτι σημεῖον τῆς πίστεως ἦν, καὶ ὅτι ἔχετε, φησί, μνείαν ἡμῶν ἀγαθὴν, πάντοτε ἐπιποθοῦντες ἡμᾶς ἰδεῖν, καθάπερ καὶ ἡμεῖς ὑμᾶς. τουτέστι, μετ' ἐπαίνων. οὐχ ὅτε παρῆμεν, οὐδ' ὅτε ἐθαυματουργοῦμεν, ἀλλὰ καὶ νῦν, ὅτε πόῤῥω ἐσμέν, καὶ μαστιζόμεθα, καὶ μυρία πάσχομεν δεινά, μνείαν ἡμῶν ἀγαθὴν ἔχετε. ἀκούσατε πῶς θαυμάζονται μαθηταὶ μνείαν ἀγαθὴν περὶ διδασκάλων ἔχοντες, πῶς μακαρίζονται. μιμώμεθα τούτους. ἡμᾶς γὰρ αὐτοὺς ὠφελοῦμεν, οὐ τοὺς ἀγαπωμένους. ἐπιποθοῦντες ἡμᾶς, φησίν, ἰδεῖν, καθάπερ καὶ ἡμεῖς ὑμᾶς. καὶ τοῦτο δὲ αὐτοὺς εὔφρανε. τὸ γὰρ μαθεῖν τὸν φιλοῦντα, ὅτι τοῦτο οἶδεν ὁ φιλούμενος, ὅτι φιλεῖται, πολλὴ παραμυθία καὶ παράκλησις. Διὰ τοῦτο παρεκλήθημεν, ἀδελφοί, ἐφ' ὑμῖν, ἐπὶ πάσῃ τῇ θλίψει καὶ ἀνάγκῃ ἡμῶν διὰ τῆς ὑμῶν πίστεως· ὅτι νῦν ζῶμεν, ἐὰν ὑμεῖς στήκητε ἐν Κυρίῳ. τί Παύλου ἴσον γένοιτ' ἄν, ὃς τὴν τῶν πλησίον σωτηρίαν ἐνόμιζεν εἶναι τὴν ἑαυτοῦ, καθάπερ σῶμα πρὸς μέλη, οὕτω πρὸς πάντας διακείμενος; τίς δυνήσεται ταύτην ῥῆξαι τὴν φωνὴν νῦν, μᾶλλον δὲ τίς δυνήσεται οὕτω φρονῆσαί ποτε; οὐκ ἠξίου γὰρ αὐτοὺς εἰδέναι αὐτῷ τῶν πειρασμῶν τῶν κατ' αὐτῶν, ἀλλὰ χάριν αὐτοῖς οἶδεν, ὅτι οὐκ ἐσαλεύθησαν διὰ τοὺς πειρασμοὺς τοὺς αὐτοῦ. ὡς ἂν εἰ ἔλεγεν, ὅτι ὑμῖν μᾶλλον, ἢ ἡμῖν ἀπὸ τῶν πειρασμῶν ἐγένετο βλάβη. ὑμεῖς ἐπειράσθητε μᾶλλον ἢ ἡμεῖς, ὑμεῖς οἱ μηδὲν παθόντες, ἢ ἡμεῖς οἱ παθόντες. ἐπειδὴ ταῦτα, φησίν, εὐηγγελίσατο ἡμᾶς ὁ Τιμόθεος, οὐδὲν αἰσθανόμεθα τῶν λυπηρῶν, ἀλλὰ παρεκλήθημεν ἐπὶ πάσῃ τῇ θλίψει· οὐ ταύτῃ δὲ μόνον, ἀλλὰ καὶ τῇ ἀνάγκῃ ἡμῶν, φησίν. Εἰκότως. διδασκάλου γὰρ ἀγαθοῦ οὐδὲν ἂν ἅψαιτο λοιπόν, ἕως ἂν τὰ τῶν μαθητῶν κατὰ γνώμην αὐτῷ προχωρῇ. δι' ὑμῶν, φησί, παρεκλήθημεν, τουτέστιν, ὑμεῖς ἡμᾶς ἐστερεώσατε. καίτοι τοὐναντίον ἦν. τὸ γὰρ παθόντας μὴ ἐνδοῦναι, ἀλλὰ στῆναι γενναίως, ἱκανὸν τοὺς μαθητὰς στηρίξαι. ἀλλ' αὐτὸς ἀπὸ τοὐναντίου ποιεῖ, καὶ εἰς ἐκείνους περιτρέπει τὸ ἐγκώμιον. ὑμεῖς ἡμᾶς ἠλείψατε, φησίν· ὑμεῖς ἡμῖν ἀναπνεῦσαι δεδώκατε· ὑμεῖς οὐκ ἀφήκατε τῶν πειρασμῶν αἰσθέσθαι. καὶ οὐκ εἶπεν, ἀνεπνεύσαμεν, οὐδὲ παρεμυθήθημεν· ἀλλὰ τί; νῦν ζῶμεν. δεικνὺς ὅτι καὶ πειρασμὸν καὶ θάνατον οὐδὲν ἄλλο ἡγεῖται, ἢ τὸ σκάνδαλον τὸ ἐκείνων, ὥσπερ καὶ ζωὴν, τὴν ἐκείνων προκοπήν. πῶς ἂν ἄλλως ἢ τὴν λύπην τὴν ἐπὶ τῇ τῶν μαθητῶν ἀσθενείᾳ, ἢ τὴν χαρὰν ἐδήλωσεν; οὐκ εἶπε, χαίρομεν, ἀλλά, ζῶμεν· ζωὴν λέγων τὴν μέλλουσαν. ὥστε ἄνευ τούτου οὐδὲ ζῆν, τὸ ζῆν ἡγού-

κ. τῷ προσπίπτειν οὐχ ἁπλῶς, ἀλλ' ὅτι αὐτοὶ ὑφορῶνται.

ποῖ; ὅτι οὐ πάντα ἠδύναντο οἱ ἅγιοι· καὶ ὅτι οὐκ ἠδύναντο, πολλαχόθεν ἄν τις μάθοι, ἀπό τε τῶν προφητῶν, ἀπό τε τῶν μετὰ ταῦτα. καθάπερ Ἐλισσαῖος περὶ τῆς γυναικὸς ἠγνόησε· (δ. Βασ. δ.) καθάπερ Ἠλίας ἔλεγε πρὸς τὸν Θεόν, (γ. Βασ. ιθ. ι.) Ἐγὼ ὑπελείφθην μόνος, καὶ ζητοῦσι τὴν ψυχήν μου. διὰ τοῦτο ἤκουε παρὰ τοῦ Θεοῦ, ὅτι (ιη.) Κατέλιπον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας· καθάπερ ὁ Σαμουὴλ πάλιν, ἡνίκα ἀπεστάλη χρῖσαι τὸν Δαυΐδ. (α. Βασ. ιϛ. ζ.) Εἶπε, φησί, Κύριος πρὸς αὐτόν· μὴ προσέχῃς εἰς τὴν ὄψιν αὐτοῦ, μηδὲ εἰς τὴν ἕξιν τοῦ μεγέθους αὐτοῦ, ὅτι ἐξουδένωκα αὐτόν· ὅτι οὐχ ὡς ἄνθρωπος, ἐμβλέψεται ὁ Θεός· ὅτι ἄνθρωπος ὄψεται εἰς πρόσωπον, ὁ δὲ Θεὸς εἰς καρδίαν. τοῦτο δὲ γέγονε κατὰ πολλὴν τοῦ Θεοῦ κηδεμονίαν. πῶς καὶ τίνι τρόπῳ; αὐτῶν τε ἕνεκεν τῶν ἁγίων, καὶ τῶν πιστευόντων αὐτοῖς. καθάπερ γὰρ καὶ διωγμοὺς συγχωρεῖ γενέσθαι, οὕτως αὐτοὺς συγχωρεῖ πολλὰ καὶ ἀγνοεῖν, ἵνα καταστέλλωνται. διὰ τοῦτο καὶ Παῦλος ἔλεγεν· (β. Κορ. ιβ. ζ.) Ἐδόθη μοι σκόλοψ τῇ σαρκί, ἄγγελος Σατᾶν, ἵνα με κολαφίζῃ, ἵνα μὴ ὑπεραίρωμαι. καὶ πάλιν, ἵνα καὶ οἱ ἄλλοι μὴ μεγάλα περὶ αὐτῶν φαντάζωνται. εἰ γὰρ ἀπὸ σημείων θεοὺς αὐτοὺς εἶναι ἐνόμισαν, πολλῷ μᾶλλον, εἰ διαπαντὸς ἐπίσημοι τὰ πάντα εἰδότες. (β. Κορ. ιβ. ϛ.) καὶ τοῦτο καὶ αὐτὸς πάλιν φησίν· Ἵνα μή τις εἰς ἐμὲ λογίσηται ὑπὲρ ὃ βλέπει με, ἢ ἀκούει τι ἐξ ἐμοῦ. καὶ πάλιν ἄκουε τοῦ Πέτρου λέγοντος, ἡνίκα τὸν χωλὸν ἐθεράπευσε· (Πράξ. γ. ιβ.) Τί ἡμῖν ἀτενίζετε ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ τοῦτο πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν; Εἰ δὲ καὶ αὐτῶν τοῦτο λεγόντων καὶ ποιούντων, ὅμως καὶ ἀπὸ τῶν ὀλίγων καὶ μικρῶν οὕτως ἐπήρθησαν ὑπονοίαις, πόσῳ μᾶλλον ἀπὸ τῶν μεγάλων. καὶ δι' ἑτέραν δὲ ταῦτα συνεχωρεῖτο. ἵνα γὰρ μή τις ἔχῃ λέγειν, ὅτι οὐχ ὡς ἄνθρωποι ὄντες κατώρθωσαν ἅπερ κατώρθωσαν, καὶ οὕτω πάντες ὕπτιοι γίνωνται, διὰ τοῦτο δείκνυσι καὶ αὐτοὺς ὄντας ἐν ἀσθενείᾳ, ἵνα τῶν ἀγωνιουμένων μελλόντων πᾶσαν ἐκκόψῃ ῥᾳθυμίας πρόφασιν. διὰ τοῦτο ἀγνοεῖ, διὰ τοῦτο καὶ πολλάκις προσδοκῶν οὐκ ἔρχεται, ἵνα μάθωσιν, ὅτι πολλὰ οὐκ οἶδε. πολὺ γὰρ ἐκ τούτου τὸ κέρδος ἦν. ἢ γὰρ ἂν εἶπον ἔτι καὶ οὕτω λέγοντός τινες, ὅτι οὐκ ἔστιν ἡ δύναμις τοῦ Θεοῦ ἡ μεγάλη. [καὶ ἄλλοι τινές, ὅτι ὁ δεῖνα, καὶ ὁ δεῖνα,] εἰ μὴ ταῦτα ἐγίνετο, τί οὐκ ἂν ἐνόμισαν; ἐνταῦθα δὲ δοκεῖ μέν τις εἶναι αὐτῶν κατηγορία· ποιεῖ δὲ ἀκριβῶς σκοποῦντι καὶ πολὺ τὸ θαῦμα αὐτῶν ἐμφαίνει, καὶ τῶν πειρασμῶν ἡ ὑπερβολὴ δείκνυται. πῶς; πρόσεχε. Εἰ γὰρ προεῖπες αὐτοῖς ὅτι εἰς τοῦτο κείμεθα (καὶ μηδεὶς θορυβείσθω) τί πάλιν πέμπεις τὸν Τιμόθεον; ὥσπερ δεδοικὼς μή τι γένηται ὧν οὐ βούλει; τοῦτο μὲν οὖν ἀπὸ πολλῆς ἀγάπης ποιεῖ (οἱ γὰρ φιλοῦντες καὶ τὰ ἀσφαλῆ ὑποπτεύουσιν ἀπὸ τῆς πολλῆς θερμότητος). τοῦτο δὲ ἀπὸ τῶν πολλῶν πειρασμῶν. εἶπον μὲν γὰρ ὅτι εἰς τοῦτο κείμεθα· ἡ δὲ ὑπερβολὴ τῶν κακῶν ἐφόβησέ με. διὸ οὐκ εἶπεν, ὅτι καταγνοὺς ὑμῶν ἀποστέλλω, ἀλλά, μηκέτι στέγων· ὃ μᾶλλον φιλίας ἦν. τί ἐστι, μή πως ἐπείρασεν ὑμᾶς ὁ πειράζων; ὁρᾷς ὅτι τὸ ἐν ταῖς θλίψεσι σαλεύεσθαι, διαβολικόν ἐστι, καὶ τῆς ἐκείνου τέχνης; ὅταν γὰρ ἡμᾶς αὐτοὺς μὴ δυνηθῇ ἑτέρως, δι' ἡμῶν αὐτῶν ἀσθενεστέρους παρασαλεύει, ὅπερ ὑπερβαλλούσης ἀσθενείας ἐστί, καὶ οὐδεμίαν ἐχούσης ἀπολογίαν· καθάπερ ἐπὶ τοῦ Ἰὼβ πεποίηκε, τὴν γυναῖκα διεγείρας. (Ἰώβ. β. θ.) Εἰπέ τι ῥῆμα, φησί, πρὸς Κύριον, καὶ τελεύτα. ἴδε πῶς αὐτὴν ἐπείρασε. διατί δὲ μὴ εἶπεν, ἐσάλευσεν, ἀλλ', ἐπείρασεν; ὅτι τοσοῦτον, φησίν, ὑπώπτευσα μόνον, ὅτι πειρασθῆναι ὑμᾶς. οὐ γὰρ δὴ τὴν πεῖραν αὐτοῦ σαλεύει κἀλῆ. ὁ γὰρ δεχόμενος τὴν προσβολήν, ἐσαλεύθη. Βαβαί, πόση φιλοστοργία τοῦ Παύλου; οὐκ ἔμελεν αὐτῷ τῶν θλίψεων, οὐδὲ τῶν ἐπιβουλῶν. οἶμαι γὰρ αὐτὸν ἐκεῖ τότε μεμενηκέναι, καθάπερ φησὶν ὁ Λουκᾶς, ὅτι ἐν τῇ Ἑλλάδι (Πράξ. κ. γ.) ἔμεινε τρίμηνον, γενομένης αὐτῷ ἐπιβουλῆς ὑπὸ τῶν Ἰουδαίων. οὐκ ἔμελεν οὖν αὐτῷ τῶν κινδύνων, ἀλλὰ τῶν μαθητευομένων. ὁρᾷς ὅτι πάντα φυσικὸν πατέρα ὑπερηλύθη; ἡμεῖς μὲν γὰρ ἐν ταῖς θλίψεσι καὶ τοῖς κινδύνοις πάντων τὴν μνήμην ἐκβάλλομεν· αὐτὸς δὲ οὕτως ἐδεδοίκει καὶ ἔτρεμεν ὑπὲρ τῶν παίδων, ὡς καὶ ὃν μόνον εἶχε παραμυθίαν, τὸν

Τιμόθεον,

χ. καὶ
χ. πρὸς

χ. αὐτῶν τὴν ἀσθένειαν, ἵνα τῆς ῥᾳθυμίας πᾶσαν ἐκκόψῃ

χ. πολλῷ δὲ μᾶλλον καὶ
χ. διὰ τοὺς πολλοὺς πειρασμούς
χ. ὥστε δεῖξαι ὅτι καὶ τὴν προσβολὴν ἀπεκρούσαντο. ἐμφαίνων ὅτι οὐκ ἐσαλεύθησαν, μᾶλλον δὲ καὶ ποιεῖ ἑαυτὸν ὑποπτεύσαντα, ὅσον αὐτοὺς μόνον πειρασθῆναι, τοῦτο εἶπε. καὶ οὐ τὴν πεῖραν οὖν καλεῖ. εἰ ὁ ταύτην ἀποκρουσάμενος. ἀλλ' ὃς τὴν προσβολὴν δέχεται, οὗτος ἐσαλεύθη.

Digitized by Google

ματων καὶ τῶν πειρασμῶν, ὅταν ἴδῃς τὸν χειμῶνα ἐπιστάντα, καὶ τὰ πνευματικὰ τῆς πονηρίας ναυάγιον ἐργάσασθαι βουλόμενα, καὶ τὰ λείποντα τῶν χρημάτων ῥῖψον. ἐπῆλθεν κλοπή σοι; ποίησον ἐλεημοσύνην, καὶ κουφίζεις τὸ πλοῖον. ἥρπασαν τὰ λῃσταί; σὺ δὸς τὰ λείψανα τῷ Χριστῷ. οὕτω καὶ τὴν ἐπὶ τοῖς προτέροις παραμυθήσῃ πενίαν. κούφισον τὸ πλοῖον, μὴ κατάσχῃς τὰ μείζονα, ἵνα μὴ περικαλύπτηται τὸ σκάφος. ἐκεῖνοι, ἵνα σώματα φυλάξωσιν, ἐκβολὴν ποιοῦνται τῶν σκευῶν, καὶ οὐ περιμένουσι τὸ κῦμα ἐπελθὸν περιτρέψαι τὸ σκάφος· σὺ ἵνα ψυχὰς σώσῃς, οὐ παύσεις τὸ ναυάγιον; πειράσατε, εἰ ἀπιστεῖτε, παραγενόμενοι πειράσατε, καὶ ὄψεσθε τὴν δόξαν τοῦ Θεοῦ. ὅταν σοί τι λυπηρὸν συμβῇ, δὸς ἐλεημοσύνην εὐθέως· εὐχαρίστησον ὅτι συνέβη· καὶ ὄψει πόση χαρὰ ἐπεισέρχεται. τὸ γὰρ κέρδος τὸ πνευματικὸν κἂν ὀλίγον ᾖ, τοσοῦτόν ἐστιν, ὡς πᾶσαν ἀποκρύψαι ζημίαν σωματικήν. ἕως ἂν ἔχῃς διδόναι τῷ Χριστῷ, πλουτεῖς. εἰπέ μοι, εἰ συνέβη τί σοι προσελθὼν ὁ βασιλεὺς χεῖρα ὑποτείνει ἀξιῶν τι λαβεῖν παρὰ σοῦ, ἆρα οὐκ ἂν ἐνόμισας πάντων εἶναι πλουσιώτερος; εἰ μηδὲ μετὰ τοσαύτην πενίαν ἐπαιτεῖ σε ὁ βασιλεύς, μὴ συναρπαγῇς· μόνον χρήστευσον σαυτοῦ, καὶ κρατήσεις τῆς τοῦ διαβόλου ἐπιβουλῆς. ἔξεστί σοι κερδᾶναι μεγάλα. καταφρονήσωμεν πλούτου, ἵνα μὴ καταφρονήσωμεν τῆς ψυχῆς. πῶς δ' ἄν τις καταφρονήσειεν; οὐχ ὁρᾶτε τὰ λαμπρὰ τῶν σωμάτων, καὶ τοὺς ἐρῶντας αὐτῶν, ἕως μὲν ἂν ἐνέψωσιν ἢ, ἐκκαίεται τὸ πῦρ, λαμπροτέρα δύναται ἡ φλόξ· ἐπειδὰν δέ τις αὐτοὺς ἀπαγάγῃ πόῤῥω, πάντα ἔσβεσται, πάντα κεκοίμισται· οὕτω καὶ ἐπὶ τοῦ πλούτου. μηδεὶς χρυσία κατασκευαζέτω, μηδεὶς λίθους τιμίους, μηδεὶς περιδέῤῥαια. διεγείρει τοὺς ὀφθαλμοὺς ὁρώμενα. εἰ γὰρ βούλει πλουτεῖν ὡς οἱ παλαιοί, πλούτει μὴ ἐν χρυσίῳ, ἀλλ' ἐν τοῖς ἀναγκαίοις, ἵνα καὶ ἐξ ἑτοίμου παρέχῃς τοῖς ἄλλοις. μὴ φιλόκοσμος ἔσο. ὁ τοιοῦτος πλοῦτος καὶ τοῖς λῃσταῖς ἐστιν εὐεπιβούλευτος, καὶ ἡμῖν παρέχει φροντίδας. μὴ σκεύη χρυσᾶ καὶ ἀργυρᾶ κτῶ, ἀλλ' ἔστωσαν ἀποθῆκαι σίτου, οἴνου, ἐλαίου. ἔστωσαν, οὐχ ἵνα πάλιν διαπραθεῖσαι ἄργυρον ἐργάσωνται, ἀλλ' ἵνα τοῖς δεομένοις χορηγῶνται. οὕτω ἀπεργασόμενοι ἑαυτοὺς ἐκείνην τὴν περιστολήν, ἐπιτευξόμεθα τῶν οὐρανίων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν ἐν Χριστῷ Ἰησοῦ.

Λογ. δ. 5 ΔΙΑ ΤΟΥΤΟ ΚΑΓΩ ΜΗΚΕΤΙ ΣΤΕΓΩΝ ἔπεμψα εἰς τὸ γνῶναι τὴν πίστιν ὑμῶν, μή πως ἐπείρασεν ὑμᾶς ὁ πειράζων, καὶ εἰς κενὸν γένηται ὁ κόπος ἡμῶν. 6 Ἄρτι δὲ ἐλθόντος Τιμοθέου πρὸς ἡμᾶς ἀφ' ὑμῶν, καὶ εὐαγγελισαμένου ἡμῖν τὴν πίστιν καὶ τὴν ἀγάπην ὑμῶν, καὶ ὅτι ἔχετε μνείαν ἡμῶν πάντοτε ἀγαθὴν, ἐπιποθοῦντες ἡμᾶς ἰδεῖν, καθάπερ καὶ ἡμεῖς ὑμᾶς, 7 Διὰ τοῦτο παρεκλήθημεν, ἀδελφοί, ἐφ' ὑμῖν, ἐπὶ πάσῃ τῇ θλίψει καὶ ἀνάγκῃ ἡμῶν, διὰ τῆς ὑμῶν πίστεως· 8 Ὅτι νῦν ζῶμεν, ἐὰν ὑμεῖς στήκητε ἐν Κυρίῳ.

ΖΗτημα πρόκειται τήμερον ἡμῖν παρὰ πολλῶν ζητούμενον, καὶ πολλαχόθεν συλλεγόμενον. τί δὲ τὸ ζήτημά ἐστι; Διὰ τοῦτο, φησί, κἀγὼ μηκέτι στέγων ἔπεμψα Τιμόθεον εἰς τὸ γνῶναι τὴν πίστιν ὑμῶν. τί λέγεις; ὁ τοσαῦτα εἰδώς, ὁ ἀπόῤῥητα ἀκούσας ῥήματα, ὁ μέχρι τρίτου ἀνελθὼν οὐρανοῦ, οὐκ οἶδεν, καὶ ἐν Ἀθήναις ὤν; καίτοι οὐ πολλοῦ ὄντος τοῦ διαστήματος, οὐδὲ περὶ πολλοῦ χωρισθεὶς αὐτῶν (Ἀπορφανισθέντες γάρ, φησιν, ἀφ' ὑμῶν πρὸς καιρὸν ὥρας) οὐκ οἶδεν οὕτως ὁ τοιοῦτος τὰ Θεσσαλονικέων, ἀλλ' ἀναγκάζεται πέμψαι Τιμόθεον εἰς τὸ γνῶναι τὴν πίστιν αὐτῶν, μή πως ἐπείρασεν ὑμᾶς, φησίν, ὁ πειράζων, καὶ εἰς κενὸν γένηται ὁ κόπος ἡμῶν; τί οὖν ἂν εἴποι- a Θεσ. β 1ς.

μεν

χ. ὑπερεπλῆται

χ. αἴτων

χ. δὲ

χ. ἐπιποθοῦντες

πεῖν, ὁ Κύριος ἀφείλετο; μὴ θαυμάσῃς. καὶ γὰρ καὶ ὁ Ἰὼβ, ἃ ὁ διάβολος ἀφείλετο, ταῦτα ἔφησεν ὁ Κύριος ἀφείλετο. εἰ δὲ ἐκεῖνος οὕτως ἐθάρρησεν εἰπεῖν, πῶς ἃ ὁ κλέπτης ἔλαβεν, οὐκ ἐρεῖς σὺ, ὅτι ὁ Κύριος ἀφείλετο; τίνα θαυμάζεις, εἰπέ μοι; τὸν τὰ αὐτοῦ κενώσαντα εἰς πένητας, ἢ τὸν Ἰὼβ ἐπὶ τῶν ῥημάτων τούτων; ἆρα μὴ ἔλαττον ἔχει τῶν ἐλεημοσύνην δόντων ἐκεῖνος, ὁ μὴ δοὺς τότε; μὴ γὰρ εἴπῃς, οὐκ ἔχω χάριν· οὐκ ἐμῆς γνώμης τὸ πρᾶγμα ἦν, οὐκ εἰδότος, οὐδὲ βουλομένου, ὁ λῃστὴς ἔλαβε. ποῖος ἔσται μοι μισθός; οὐδὲ τοῦ Ἰὼβ εἰδότος, οὐδὲ βουλομένου, ταῦτα ″ἔλαβε. πῶς γάρ; ἀλλ᾽ ὅμως ἤθλησεν. ″ἔξεστι δέ σοι τοσοῦτον λαβεῖν μισθὸν, ὅσον ἂν, εἰ ἑκὼν ἔρριψας αὐτά. καὶ εἰκότως τοῦτον μᾶλλον θαυμάζομεν τὸν ἐπηρείας εὐχαρίστως φέροντα, ἢ τὸν ἑκόντα διδόντα. τί δήποτε; ὅτι ἐκεῖνος μὲν τοῖς ἐπαίνοις τρέφεται, καὶ τῷ συνειδότι, καὶ χρηστὰς ἔχει τὰς ἐλπίδας· καὶ πρότερον γενναίως ἐνεγκὼν τὴν στέρησιν τῶν χρημάτων, τότε αὐτὰ ἔρριψεν· οὗτος δὲ ἔτι προσδεδεμένος ἀφῃρέθη βίᾳ. οὐκ ἔστι δὲ ἴσον, πρότερον πεισθέντα ἀποστῆναι χρημάτων, οὕτως αὐτὰ κενῶσαι, καὶ ἔτι αὐτῶν″ κρατοῦντα ἀποστερηθῆναι. ἂν ταῦτα εἴπῃς τὰ ῥήματα, λήψῃ″ πολλαπλασίονα, καὶ πλείονα ἢ ὁ Ἰώβ. ἐκεῖνος μὲν γὰρ τὰ διπλασίονα ἐνταῦθα ἔλαβε· σοὶ δὲ ὁ Χριστὸς ἑκατονταπλασίονα ἐπηγγείλατο. οὐκ ἐβλασφήμησας διὰ τὸν φόβον τοῦ Θεοῦ; οὐκ ἐχρήσω μάντεσιν; εὐχαρίστησας κακῶς παθών; ὅμοιος εἶ τῷ καταπεφρονηκότι. καὶ γὰρ καὶ ταῦτα οὐ γίνεται, ἂν μὴ καταφρονήσῃς πρότερον. οὐκ ἔστι δὲ ἴσον ἐν πολλῷ χρόνῳ μελετῆσαι καταφρονῆσαι τῶν χρημάτων, καὶ ἀθρόον ζημίαν συμβᾶσαν ἐνεγκεῖν. οὕτω γίνεται κέρδος ἡ ζημία, καὶ οὐδὲν βλαβήσῃ, ἀλλὰ καὶ ὠφεληθήσῃ παρὰ τοῦ διαβόλου. πῶς δὲ καὶ ζημία γίνεται χαλεπή; ὅταν τὴν ψυχὴν ζημιωθῇς. εἰπὲ γάρ μοι, ἀπεστέρησέ σε χρημάτων ὁ κλέπτης; διὰ τί σὺ σαυτὸν ἀποστερεῖς σωτηρίας; διὰ τί ἀλγῶν ἐφ᾽ οἷς παρ᾽ ἑτέρων κακῶς ἔπαθες, αὐτὸς πλείοσι περιβάλλεις σαυτὸν κακοῖς; ἐκεῖνός σε ἴσως πενίᾳ περιέβαλε, σὺ δὲ σαυτὸν ἐν τοῖς χαλεποῖς μάλιστα καταβλάπτεις [κακούργως·] ἐκεῖνος ἀπεστέρησέ σε τὰ ἐκτός σου ὄντα, καὶ ὕστερον καὶ ἄκοντός σου ἀποπηδῶντα· σὺ δὲ τὸν αἰώνιον πλοῦτον σαυτὸν ἀφαιρῇ. ἐλύπησέ σε ὁ διάβολος ἀφελόμενος τὰ χρήματα; λύπησον αὐτὸν καὶ σὺ εὐχαριστήσας, καὶ μὴ εὐφράνῃς. ἂν πρὸς μάντεις ἀπέλθῃς, εὔφρανας· ἂν εὐχαριστήσῃς τῷ Θεῷ, καιρίαν ἔδωκας αὐτῷ τὴν πληγήν. καὶ ὅρα τί γίνεται. οὔτε αὐτὰ εὑρήσεις ἀπελθὼν πρὸς τοὺς μάντεις (οὐ γάρ ἐστιν ἐκείνων εἰδέναι) εἰ δέ που καὶ εἴποιεν ἐπιτυχόντες, καὶ τὴν ψυχὴν προσαπολλύεις, καὶ ὑπὸ τῶν ἀδελφῶν καταγελασθήσῃ τῶν σῶν, καὶ πάλιν αὐτὰ κακῶς ἀπολεῖς. ὁ γὰρ δαίμων εἰδὼς ὅτι ζημίαν οὐ φέρεις, ἀλλ᾽ ὑπὲρ τούτων καὶ τὸν Θεόν σου ἀρνῇ, πάλιν χρήματα δίδωσιν, ἵνα ἀφορμὴν ἔχῃ τοῦ πάλιν σε ἀπατῆσαι, καὶ ἀποστῆσαι. εἰ δὲ καὶ λέγουσιν οἱ μάντεις, μὴ θαυμάζετε. ἀσώματός ἐστιν ὁ δαίμων, πανταχοῦ περίεισιν· αὐτὸς αὐτοὺς ὁπλίζει τοὺς λῃστάς· οὐ γὰρ ἄνευ δαίμονος ταῦτα γίνεται. εἰ τοίνυν ὁπλίζει τούτους, καὶ οἶδε καὶ ποῦ κατατίθενται· οὐκ ἀγνοεῖ τοὺς αὐτοῦ ὑπηρέτας. οὐκ ἔστι δὲ θαυμαστὸν τοῦτο. ἂν ἴδῃ ἀλγοῦντά σε τῇ ζημίᾳ, καὶ ἑτέραν ἐπάγει· ἂν ἴδῃ καταγελῶντα, καὶ καταφρονοῦντα, ἀποστήσεται ταύτης τῆς ὁδοῦ. καθάπερ γὰρ ἡμεῖς ἐκεῖνα τοὺς ἐχθροὺς διατίθεμεν ἐν οἷς λυποῦμεν αὐτούς· ἂν δὲ ἴδωμεν ὅτι οὐκ ἀλγοῦσιν, ἀφιστάμεθα λοιπὸν, ὡς οὐκ ἔχοντες αὐτοὺς δάκνειν, οὕτω καὶ ὁ διάβολος. τί λέγεις; οὐχ ὁρᾷς τοὺς ἐν τῇ θαλάσσῃ πλέοντας, πῶς οὐ φροντίζουσι χρημάτων, χειμῶνος γινομένου, ἀλλὰ καὶ τὰ ὄντα ῥίπτουσι; καὶ οὐδεὶς λέγει, τί ποιεῖς, ἄνθρωπε; τῷ χειμῶνι συμπράττεις, καὶ τῷ ναυαγίῳ; πρὶν ἤ σε τὸ κῦμα τὸν πλοῦτον ἀφέληται, σὺ ταῖς σαυτοῦ χερσὶ τοῦτο ποιεῖς; τί πρὸ τοῦ ναυαγίου ναυαγίῳ περιβάλλεις σαυτόν; ἀλλὰ ταῦτα μὲν εἴποι ἀγροῖκος ἄνθρωπος, καὶ τῶν ἐν θαλάττῃ πειρασμῶν ἄπειρος· ὁ μέντοι ναυτικὸς, καὶ τί μὲν ἐργάζεται γαλήνῃ, τί δὲ ποιεῖ χειμῶνι ἀκριβῶς ἐπιστάμενος, καὶ καταγελάσεται τοῦ ταῦτα λέγοντος. διὰ γὰρ τοῦτο ῥίπτω, φησίν, ἵνα μὴ κλυδὼν γένηται). οὕτω καὶ ὁ ἔμπειρος τῶν ἐν τῷ βίῳ πραγμάτων

γμάτων

χ. ἠγώνιστο
ἄλ. ἐξέσται καὶ

χ. ποθοῦντα
χ. τὰ ἴσα,

ἵνα τοῦτο ποιῇ. διὰ τοῦτο σοφός τις ἔλεγε· Πλοῦτον δὲ καὶ πενίαν μή μοι δῷς. [Παρ. λ. η.] μᾶλλον δὲ οὐ πλοῦτος, οὐδὲ πενία, ἀλλ' ἡ μὴ δυναμένη τούτοις ἑκατέροις προαίρεσις χρήσασθαι. Ἐπίγνωθι, φησὶν, ὅτι ἐν μέσῳ παγίδων διαβαίνεις. [Σειρ. θ. ιγ.] θαυμαστῶς εἶπεν ὁ μακάριος Παῦλος, Εἰς τοῦτο κείμεθα. οὐκ εἶπεν ἁπλῶς, ὅτι πειραζόμεθα, ἀλλ', Εἰς τοῦτο κείμεθα, ἀντὶ τοῦ, Εἰς τοῦτο ἐγεννήθημεν. τοῦτο δὲ ἔργον ἡμῶν ἐστιν ὁ βίος, καὶ σὺ ἄνεσιν ζητεῖς; οὐκ ἐφέστηκεν ὁ δήμιος τὴν πλευρὰν καταξαίνων, καὶ θῦσαι καταναγκάζων· ἀλλ' ἐφέστηκεν ἐπιθυμία σφοδρὰ χρημάτων καὶ πλεονεξίας, ἐξορύττουσα τοὺς ὀφθαλμοὺς ἡμῖν. οὐδεὶς στρατιώτης πυρὰν ἡμῖν ἀνῆψεν, οὐδὲ ἔθηκεν ἐπὶ κρατικλῆς· ἀλλ' ὁ τῶν σωμάτων φλογμὸς μᾶλλον ἐκείνων ἐξάπτει τὴν ψυχήν. οὐ πάρεστι βασιλεὺς μυρία ἐπαγγελλόμενος ἀγαθὰ καὶ δυσωπῶν· ἀλλὰ πάρεστιν ἡ δοξομανία χάριν ἐκείνου γαργαλίζουσα. μέγας πόλεμος οὕτως, καὶ πολὺ μέγας, ἂν ἐθέλωμεν νήφειν. ἔχει στεφάνους καὶ ὁ παρὼν καιρός. ἄκουε Παύλου λέγοντος· Λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, ὃν ἀποδώσει μοι ὁ δίκαιος κριτής· οὐ μόνον δὲ ἐμοὶ, ἀλλὰ καὶ πᾶσι τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ. [β. Τιμ. δ. η.] [γ. ἀγαπῶσι] ὅταν ἀπολέσῃ παιδίον ἀγαπητὸν μονογενὲς, ἐν πλούτῳ πολλῷ τρεφόμενον, ἐλπίδας ὑποφαῖνον χρηστὰς, αὐτό σοι μέλλον μόνον διαδέχεσθαι τὸν κλῆρον, μὴ στέναξε, ἀλλ' εὐχαρίστησον τῷ Θεῷ, καὶ δόξαζε τὸν εἰληφότα· καὶ οὐδὲν ἔσῃ τοῦ Ἀβραὰμ κατὰ τοῦτο χείρων. καθάπερ γὰρ ἐκεῖνος τῷ Θεῷ ἔδωκε κελεύσαντι, οὕτω σὺ λαβόντος αὐτοῦ οὐκ ἐστέναξας. νόσῳ περιέπεσε χαλεπῇ, καὶ πολλοὶ παραγίνονται ἀναγκάζοντες, οἱ μὲν ἐπῳδαῖς, οἱ δὲ περιάμμασιν, οἱ δὲ ἑτέροις τισὶ παραμυθήσασθαι τὸ κακόν· σὺ δὲ διὰ τὸν τοῦ Θεοῦ φόβον ἤνεγκας γενναίως καὶ ἀκλινῶς, καὶ πάντα ἂν εἵλου παθεῖν ἢ ὑποστῆναί τι τῶν εἰδωλικῶν πρᾶξαι· τοῦτό σοι μαρτυρίου στέφανον φέρει. καὶ μὴ ἀμφίβαλλε. καὶ πῶς, καὶ τίνι τρόπῳ; ἐγὼ λέγω. ὅτι καθάπερ ἐκεῖνος τὰς ἀπὸ τῶν βασάνων ὀδύνας φέρει γενναίως, [γ. ἀκλινῶς,] ὥστε μὴ προσκυνῆσαι τὸ εἴδωλον, οὕτω καὶ σὺ τὰς ἀπὸ τῆς νόσου φέρεις ἀλγηδόνας, ὥστε μηδενὸς δεηθῆναι τῶν παρ' ἐκείνου, μηδὲ πρᾶξαι ἅπερ ἐπιτάττει. ἀλλὰ σφοδρότεραι ἐκεῖναι; ἀλλ' αὗται μακρότεραι, ὥστε εἰς ἴσον καταλήγει. πολλάκις δὲ καὶ σφοδρότεραι. τί γὰρ, εἰπέ μοι, ὅταν καύσων ἔνδον ἐνοχλῇ καὶ φλέγῃ, καὶ τῶν ἄλλων παραινούντων ἀποσείσῃ τὴν ἐπῳδὴν, οὐχὶ μαρτυρίου στέφανον ἀνεδήσω; πάλιν ἀπώλεσέ τις χρήματα· πολλοὶ τῶν παραινούντων πρὸς μάντεις ἀπελθεῖν· σὺ διὰ τὸν τοῦ Θεοῦ φόβον (ἐπειδὴ κεκώλυται) εἵλου μᾶλλον μὴ λαβεῖν τὰ χρήματα, ἢ παρακοῦσαι τοῦ Θεοῦ· ἴσον ἔχεις τὸν μισθὸν τῷ εἰς πένητας αὐτὰ δεδωκότι. ἂν ἀπολέσας εὐχαριστήσῃς, καὶ δυνάμενος πρὸς μάντεις ἀπελθεῖν, ἀνάσχῃ μὴ λαβεῖν αὐτὰ μᾶλλον, ἢ οὕτω λαβεῖν, ἴσον ἔχεις εἰς κέρδος τῷ διὰ τὸν Θεὸν κενώσαντι ταῦτα. καθάπερ γὰρ ἐκεῖνος διὰ τὸν τοῦ Θεοῦ φόβον εἰς τοὺς δεομένους ἐκένωσεν, οὕτω καὶ σὺ διὰ τὸν τοῦ Θεοῦ φόβον, ἁρπασάντων ἐκείνων, οὐκ ἀνέλαβες. ἡμεῖς κύριοι καὶ τοῦ ἀδικεῖν ἑαυτοὺς, καὶ τοῦ μὴ ἕτερος δὲ οὐδείς. καὶ, εἰ βούλεσθε, ἐπ' αὐτῆς τῆς κλοπῆς τὸ πρᾶγμα γυμνάσωμεν. διέτεμε τὸν τοῖχον ὁ κλέπτης, εἰσεπήδησεν εἰς τὸν θάλαμον, ἐξεφόρησε χρυσία πολυτίμητα, καὶ λίθους τιμίους, ἁπλῶς θησαυρὸν ὁλόκληρον ἐξέβαλε, καὶ οὐχ ἑάλω. τὸ μὲν γινόμενον, βαρὺ, καὶ δοκεῖ ζημία τὸ πρᾶγμα εἶναι, οὐκ ἔστι δὲ οὐδέπω· ἀλλ' ἐν σοὶ κεῖται ἢ ζημίαν αὐτὸ ποιῆσαι, ἢ κέρδος. καὶ πῶς ἂν γένοιτο τοῦτο κέρδος, φησίν; ἐγὼ τοῦτο ἀποδεῖξαι πειράσομαι πῶς. σοῦ βουλομένου, κέρδος ἔσται μέγα· μὴ βουληθέντος δὲ, χαλεπωτέρα τῆς γενομένης ζημία. καθάπερ γὰρ ἐπὶ τῶν τεχνιτῶν ὕλης ὑποκειμένης ὁ μὲν ἔμπειρος τῆς τέχνης εἰς δέον αὐτῇ κέχρηται, ὁ δὲ ἄπειρος ἠφάνισε, καὶ ἐποίησεν αὐτῷ ζημίαν· οὕτω καὶ ἐπὶ τῶν πραγμάτων. πῶς οὖν ἔσται κέρδος; ἂν εὐχαριστήσῃς τῷ Θεῷ, ἂν μὴ κωκύῃς ἔξω, ἂν τὰ τοῦ Ἰὼβ εἴπῃς ῥήματα· Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι. [Ἰωβ α. κα.] τί λέγεις, ὁ Κύριος ἀφείλετο; ὁ κλέπτης ἀφείλετο, καὶ πῶς δυνήσῃ, φησὶν, εἰπεῖν,

χεὶ ῥημάτων, λέγω; πόθεν ἡ καύχησις; πόθεν δυνάσαι παῤῥησίαν ἔχειν; τοσαῦτα ἔπαθε δι᾽ ἡμᾶς ἐχθροὺς ὄντας ὁ Χριστός· τί δυνάμεθα ἐπιδεῖξαι ἡμεῖς ὧν δι᾽ αὐτὸν πεπόνθαμεν; ὧν μὲν πεπόνθαμεν, οὐδέν· ὧν δὲ πάσχομεν παρ᾽ αὐτοῦ καλῶν, μυρία. πόθεν ἡμῖν ἡ παῤῥησία ἔσται κατ᾽ ἐκείνην τὴν ἡμέραν; οὐκ ἴστε, ὅτι καὶ ὁ στρατιώτης, ὅταν μυρία τραύματα καὶ ὠτειλὰς ἐπιδεικνύηται, τότε δυνήσεται λαμπρὸς εἶναι παρὰ τῷ βασιλεῖ; ἂν δὲ μηδὲν ἔχῃ δεῖξαι κατόρθωμα, κἂν μηδὲν ἦ προσκεκρουκὼς, ἐν τοῖς ἐσχάτοις τάττεται; ἀλλ᾽ οὐκ ἔστι πολέμου καιρὸς, φησίν. εἰ γὰρ ἦν, εἰπέ μοι, τίς ἂν ἠγωνίσατο; τίς ἂν ἐπεπήδησε; τίς ἂν τὴν φάλαγγα διέξωσε; τάχα οὐδείς. ὅταν γὰρ ἴδω ὅτι χρημάτων οὐ καταφρονεῖς ἕνεκεν τοῦ Χρι- κ. διέωσε
στοῦ, πῶς σοι πιστεύσω ὅτι πληγῶν καταφρονήσεις; εἰπέ, φέρε τοὺς ὑβρίζοντας ἠνείχου, καὶ εὐλογεῖτε αὐτούς. τοῦτο οὐ ποιεῖς, ἀλλὰ παροξύνῃ. ὁ κίνδυνον οὐκ ἔχει, οὐ ποιεῖς, καὶ πληγὰς οἴσεις, εἰπέ μοι, ἔνθα πολὺ τὸ τῆς ὀδύνης καὶ τῆς ἀλγηδόνος; οὐκ ἴστε ὅτι ἐν εἰρήνῃ τὰ τοῦ πολέμου γυμνάζεσθαι χρή; οὐχ ὁρᾶτε τοὺς στρατιώτας τούτους, οἳ καὶ μηδενὸς ἐνοχλοῦντος πολέμου, ἀλλ᾽ εἰρήνης οὔσης βαθείας, τὰ ὅπλα ἀποσμηξάμενοι, καὶ μετὰ τῶν διδασκάλων τῶν τὰ τακτικὰ διδασκόντων αὐτοὺς, εἰς ὕπαιθρα πεδία καὶ διορύχωσα καθ᾽ ἑκάστην, ὡς εἰπεῖν, ἡμέραν ἐξιόντες, τὰ τοῦ πολέμου γυμνάζονται μετὰ πολλῆς τῆς ἀκριβείας; τίς τοῦτο εἰργάσατο τῶν πνευματικῶν στρατιωτῶν; οὐδὲ εἷς. διὰ τοῦτο ἐν τοῖς πολέμοις γυμνοὶ καὶ βλυάωσοι, καὶ πᾶσιν εὐάλωτοι γινόμεθα. πόσης δὲ νωθείας τὸ μὴ ἡγεῖσθαι πολέμου καιρὸν εἶναι τὸν
β. Τιμ. γ. ι. παρόντα, τοῦ Παύλου βοῶντος, Πάντες δὲ οἱ θέλοντες εὐσεβῶς ζῆν ἐν Χριστῷ Ἰησοῦ διωχθή-
Ιωαν. ις. λγ. σονται; καὶ τοῦ Χριστοῦ λέγοντος, Ἐν τῷ κόσμῳ θλίψιν ἕξετε; καὶ πάλιν τοῦ μακαρίου Παύλου
Εφ. ς. ιβ. ιδ. λαμπρᾷ τῇ φωνῇ βοῶντος, καὶ λέγοντος, Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα; καὶ πάλιν, Στῆτε οὖν περιζωσάμενοι τὴν ὀσφῦν ὑμῶν ἐν ἀληθείᾳ; καὶ οὐδεὶς ἐκείνων εἶπε τότε, τί ὁπλίζεις ἡμᾶς, πολέμου οὐκ ὄντος; τί μάτην ἡμῖν πράγματα παρέχεις; θωρακίζεις τοὺς στρατιώτας, ἐξὸν ἀναπαύεσθαι καὶ ἡσυχάζειν. ἀλλ᾽ εἴπερ τις εἶπε ταῦτα, αἰθυπώεγκει ἄν, μάλιστα μὲν οὖν, εἰ καὶ μὴ ἦν πόλεμος, ἔδει τὰ τοῦ πολέμου μεριμνᾶν. ὁ γὰρ ἐν εἰρήνῃ τὴν τῆς μάχης φροντίζων, φοβερὸς ἔσται ἐν τῷ καιρῷ τῆς μάχης· ὁ δὲ ἄπειρος τῶν πολεμικῶν, μᾶλλον θορυβηθήσεται καὶ ἐν εἰρήνῃ. τί δήποτε; ὅτι δακρύσεται παρ᾽ ὧν ἔχει, καὶ ὅτι μὴ δυνάμενος παρμαχεῖν αὐτῶν, ὀδυνηθήσεται. τοῦ γὰρ δειλοῦ καὶ ἀπείρου καὶ πρὸς τὰς μάχας βαναύσου τὰ κτήματα, πάντων ἐστὶ τῶν ἀνδρείων καὶ πολεμεῖν εἰδότων. ὥστε διὰ τοῦτο προτρέπων ὑμᾶς ὁπλίζω. ἔπειτα δὲ καὶ πολέμου καιρὸς πᾶς ὁ τῆς ζωῆς ἡμῶν ἐστι χρόνος. πῶς καὶ τίνι τρόπῳ; ὁ διάβολος ἐφέστηκεν ἀεί. ἀκούσατε τί περὶ αὐτοῦ φησι·
α. Πετ. ε. η. Περιέρχεται ὠρυόμενος, ὡς λέων ἁρπάσαι θέλων. σωματικὰ πάθη μυρία ἐπιτίθεται ἡμῖν, ἃ παρ᾽ ἀνάγκην διελθεῖν, ἵνα μὴ μάτην ἑαυτοὺς ἀπατῶμεν. τί γὰρ, εἰπέ μοι, ἡμῖν οὐ πολεμεῖ; οὐ πλοῦτος, κάλλος, τρυφὴ, δυναστεία, ἐξουσία, βασκανία, δόξα, ἀπόνοια; οὐ γὰρ μόνον ἡ ἡμετέρα δόξα πολεμεῖ κωλύουσα πρὸς ταπεινοφροσύνην καταπίπτειν, ἀλλὰ καὶ κ. κατακύπτειν
ἡ ἑτέρων εἰς φθόνον ἡμᾶς καὶ βασκανίαν ἐξάγουσα. τί δὲ τὰ ἐναντία, πενία, ἀτιμία, τὸ καταφρονεῖσθαι, τὸ ἀπεῤῥίφθαι, τὸ μηδεμίαν ἔχειν ἰσχύν; ἀλλὰ ταῦτα μὲν ἐν ἡμῖν· τὰ δὲ παρὰ ἀνθρώπων, πονηρίαι, ἐπιβουλαί, δόλοι, συκοφαντίαι, περιστάσεις μυρίαι. ὁμοίως καὶ τὰ παρὰ τῶν δαιμόνων, ἀρχαί, ἐξουσίαι, κοσμοκράτορες τοῦ σκότους τοῦ αἰῶνος τούτου, τὰ πνευματικὰ τῆς πονηρίας. ἄλλοι ἐσμὲν χαίροντες, ἄλλοι ἀλγοῦντες. ἀμφότερα παρέχει τροπή. ἀλλ᾽ ὑγεία, ἀλλ᾽ ἀσθένεια. πόθεν οὐχ ἁμαρτήσεταί τις; βούλεσθε καὶ ἀπὸ τοῦ Ἀδὰμ ἀρξάμενος ὑμῖν εἴπω ἄνωθεν ἀπὸ τῆς ἀρχῆς; τί τὸν πρωτόπλαστον εἷλεν; ἡδονὴ, καὶ βρώματα, καὶ φιλαρχίας ἔρως. τί [τὸν μετ᾽ ἐκεῖνον] τὸν υἱὸν τὸν ἐκείνου; βασκανία, καὶ φθόνος. τί τοὺς ἐπὶ Νῶε; σωματικαὶ ἡδοναὶ, καὶ τὰ ἀπὸ τούτων τικτόμενα κακά. τί τὸν υἱὸν τὸν τούτου; ὕβρεις, καὶ ἄδεια. τί τοὺς Σοδομίτας; ὕβρεις, καὶ ἀσέλγεια, καὶ πλησμονὴ ἄρτων. πολλάκις δὲ καὶ πε- κ. ὕβρεις

νία

μῖν, φησιν, ἀγάλλομαι, ἢ ἐπὶ στεφάνῳ. ἐννόησον γὰρ ὅσον ἐστὶν ἐκκλησίαν ὁλόκληρον παρεῖναι φυτευθεῖσαν καὶ ῥιζωθεῖσαν ὑπὸ Παύλου. τίς οὐκ ἂν ἐπὶ τοσαύτῃ πολυπαιδίᾳ καὶ εὐπαιδίᾳ ἀγάλλοιτο; ὥστε οὐδὲ τοῦτο κολακείας ἐστίν. οὐ γὰρ εἶπεν, ὑμεῖς ἁπλῶς, ἀλλὰ, καὶ ὑμεῖς μετὰ τῶν ἄλλων.

20 Ὑμεῖς γάρ ἐστε ἡ δόξα ἡμῶν καὶ ἡ χαρά.

1 Διὸ μηκέτι στέγοντες εὐδοκήσαμεν καταλειφθῆναι ἐν Ἀθήναις μόνοι. Τοῦτο εἶπεν ἀντὶ τοῦ, εἱλόμεθα. κεφ. γ.

2 Καὶ ἐπέμψαμεν Τιμόθεον τὸν ἀδελφὸν ἡμῶν, καὶ διάκονον τοῦ Θεοῦ, καὶ συνεργὸν ἡμῶν ἐν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ. Καὶ τοῦτο οὐ τὸν Τιμόθεον ἐπαίρων, φησὶν, ἀλλ' αὐτοὺς τιμῶν, ὅτι τὸν συνεργὸν, καὶ διάκονον τοῦ εὐαγγελίου αὐτοῖς ἔπεμψεν· ὡς ἂν εἰ ἔλεγεν, ἀποστάντες ἀπὸ τῶν ἔργων ἐπέμψαμεν πρὸς ὑμᾶς τὸν διάκονον τοῦ Θεοῦ, καὶ συνεργὸν ἡμῶν ἐν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ. Εἶτα καὶ ἡ αἰτία· Εἰς τὸ στηρίξαι ὑμᾶς καὶ παρακαλέσαι ὑπὲρ τῆς πίστεως ὑμῶν,

3 Τῷ μηδένα σαίνεσθαι ἐν ταῖς θλίψεσι ταύταις. Τί δὲ ἐνταῦθά φησιν; ἐπειδὴ τῶν διδασκάλων οἱ πειρασμοὶ θορυβοῦσι τοὺς μαθητὰς, τότε δὲ πολλοῖς περιέπεσε πειρασμοῖς, ὡς καὶ αὐτός φησιν, ὅτι ἐνέκοψεν ἡμᾶς ὁ Σατανᾶς. ἀγανακτοῦντος αὐτοῦ οὕτως εἴρηκεν. ὃ δὲ λέγει τοῦτό ἐστι· καὶ ἅπαξ καὶ δεύτερον ἤθελον ἐλθεῖν, καὶ οὐκ ἴσχυσα· ὃ πολλῆς βίας ἦν. Εἰκὸς δὲ τοῦτο θορυβῆσαι αὐτούς (οὐ γὰρ οὕτως ἐπὶ τοῖς οἰκείοις πειρασμοῖς, ὡς ἐπὶ τοῖς τῶν διδασκάλων θορυβοῦνται οἱ μαθηταί· ὥσπερ οὐδὲ οὕτως ἐπὶ τῶν οἰκείων θορυβεῖται πειρασμῶν στρατιώτης, ὡς ὅταν τὸν στρατηγὸν ἴδῃ βεβλημένον) Εἰς τὸ στηρίξαι ὑμᾶς, φησιν. ἄρα διὰ τὸ μὴ θορυβηθῆναι ἔπεμψεν, ἀλλ' οὐχ ὡς ἐλλείποντάς τι τῆς πίστεως, οὐδ' ὡς ὀφείλοντάς τι μαθεῖν. καὶ παρακαλέσαι ὑπὲρ τῆς πίστεως ὑμῶν, τὸ μηδένα σαίνεσθαι ἐν ταῖς θλίψεσι ταύταις. Αὐτοὶ γὰρ οἴδατε ὅτι εἰς τοῦτο κείμεθα.

καὶ τοῦτο λέγων. καὶ ἅπαξ, φησὶ, καὶ δὶς ἤθελ.

4 Καὶ γὰρ ὅτε πρὸς ὑμᾶς ἦμεν, προελέγομεν ὑμῖν, ὅτι μέλλομεν θλίβεσθαι, καθὼς καὶ ἐγένετο, καὶ οἴδατε. Οὐ δεῖ θορυβεῖσθαί, φησι. καὶ γὰρ οὐδὲν ξένον, οὐδὲν παρ' ἐλπίδα συμβαίνει· ὅπερ ἱκανὸν ἦν αὐτοὺς διαναστῆσαι. ὁρᾷς ὅτι διὰ τοῦτο καὶ ὁ Χριστὸς προέλεγε τοῖς μαθηταῖς; ἄκουσον γὰρ αὐτοῦ λέγοντος· Ἀπάρτι εἶπον ὑμῖν πρὸ τοῦ γενέσθαι, ἵν', ὅταν γένηται, πιστεύσητε. (Ἰωάν. ιδ. κθ.) μέγα γὰρ, ὄντως μέγα εἰς παραμυθίαν τῶν ἄλλων, τὸ παρὰ τῶν διδασκάλων ἀκοῦσαι τὰ γινόμενα. ὥσπερ γὰρ ὁ κάμνων παρὰ τοῦ ἰατροῦ ἐὰν ἀκούσῃ ὅτι τόδε γίνεται, καὶ τόδε, οὐ σφόδρα θορυβεῖται· ἐὰν δὲ ἀπροσδοκήτως ἐκβῇ, ὡς κἀκείνου ἀπορηθέντος, καὶ τοῦ νοσήματος μείζονος τῆς τέχνης γινομένου, ἀλύει καὶ θορυβεῖται· οὕτω καὶ ἐνταῦθα. ἄνωθεν προειδὼς ὁ Παῦλος, προεῖπεν αὐτοῖς ὅτι μέλλομεν θλίβεσθαι, καθώς, φησι, καὶ ἐγένετο καὶ οἴδατε. οὐχ ὅτι ἐγένετο τοῦτο λέγει μόνον, ἀλλ' ὅτι πολλὰ καὶ ἄλλα προεῖπε, καὶ ἐξέβη. Εἰς τοῦτο κείμεθα. ὥστε οὐχ ὑπὲρ τῶν παρελθόντων μόνον οὐ δεῖ θορυβεῖσθαι καὶ ταράττεσθαι (τοῦτο γάρ ἐστι σαίνεσθαι) ἀλλ' οὐδ' ὑπὲρ τῶν μελλόντων, εἴ τι συμβαίη τοιοῦτον. Εἰς τοῦτο γὰρ κείμεθα.

ΗΘΙΚΟΝ

Ἀκούσωμεν οἷς ἐστιν ὦτα ἀκούειν. Εἰς τοῦτο κεῖται ὁ χριστιανός. τὸ, Εἰς τοῦτο κείμεθα, περὶ πάντων λέγει τῶν πιστῶν. Εἰς τοῦτο κείμεθα· καὶ ἡμεῖς ὡσανεὶ εἰς ἄνεσιν κείμενοι, ξενοπαθοῦμεν; μᾶλλον δὲ τίνος ἕνεκεν ξενοπαθοῦμεν; οὐδὲ γὰρ θλίψεως καιρὸς, οὐδὲ πειρασμὸς κατέλαβεν, εἰ μὴ ἀνθρώπινος. Εὔκαιρον καὶ πρὸς ὑμᾶς εἰπεῖν, Οὔπω μέχρις αἵματος ἀντικατέστητε πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι. (Ἑβρ. ιβ. δ.) μᾶλλον δὲ οὐ τοῦτο εὔκαιρον εἰπεῖν πρὸς ὑμᾶς, ἀλλὰ ποῖον; οὔπω χρημάτων κατεφρονήσατε. ἐκείνοις μὲν γὰρ τοῖς τὰ αὐτῶν ἀπολωλεκόσιν ἅπαντα εἰκότως ταῦτα ἐλέγετο· τοῖς δὲ τὰ αὐτῶν ἔχουσι, τοῦτο· τίς ἥρπαγη χρήματα διὰ Χριστόν; τίς ἐρραπίσθη; τίς ὑβρίσθη μέ-

χει

καὶ προφητευομένην. 17 Ἡμεῖς δὲ, ἀδελφοὶ, ἀπορφανισθέντες ἀφ' ὑμῶν πρὸς καιρὸν ὥρας, προσώπῳ, οὐ καρδίᾳ, περισσοτέρως ἐσπουδάσαμεν τὸ πρόσωπον ὑμῶν ἰδεῖν ἐν πολλῇ ἐπιθυμίᾳ.

Οὐκ εἶπε, χωρισθέντες, ἀλλ' ὃ πλέον ἦν. Εἶπεν ἀνωτέρω περὶ τῆς κολακείας, δεικνὺς ὅτι οὐ κολακεύει, ὅτι οὐ ζητεῖ δόξαν. λέγει ἐνταῦθα περὶ τῆς ἀγάπης. ἐπειδὴ εἶπεν ἀνωτέρω, ὡς πατὴρ τέκνα, ὡς τροφὸς, ἐνταῦθα καὶ ἕτερόν φησιν, ἀπορφανισθέντες, ὅπερ ἐστὶ παίδων πατέρας ζητούντων. καὶ μὴν ἐκεῖνοι ἀπωρφανίσθησαν; οὔ, φησιν, ἀλλ' ἡμεῖς. Εἰ γάρ τις τὸν πόθον ἐξετάσειε, καθάπερ παιδία μικρὰ ἀπροστάτευτα ἄωρον ὀρφανίαν ὑποστάντα ἐν πολλῷ πόθῳ τῶν γονέων εἰσὶν, οὐ διὰ τὴν φύσιν μόνον αὐτὴν, ἀλλὰ καὶ διὰ τὴν ἐρημίαν, οὕτω δὴ καὶ ἡμεῖς. ἐκ τούτου καὶ τὴν ἀθυμίαν αὐτοῦ δείκνυσιν, ἐν ᾗ ἦν διὰ τὸν χωρισμόν. καὶ ταῦτα, φησιν, οὐκ ἔνι εἰπεῖν, ὅτι πολὺν χρόνον διεμείναμεν, ἀλλὰ πρὸς καιρὸν καὶ τοῦτο προσώπῳ, οὐ καρδίᾳ. ἀεὶ γὰρ ὑμᾶς εἴχομεν ἐν τῇ διανοίᾳ. ὅρα ὅση ἀγάπη. καίτοι ἔχων αὐτοὺς διαπαντὸς ἐν καρδίᾳ, καὶ τὴν κατ' ὄψιν ἐζήτει παρουσίαν. μή μοι λέγε τὴν περιττὴν φιλοσοφίαν. τοῦτο ἀληθῶς θερμῆς ἀγάπης, τὸ καὶ ἰδεῖν, καὶ ἀκοῦσαι, καὶ εἰπεῖν. καὶ πολλὰ ἂν τοῦτο συμβάλλοιτο. περισσοτέρως, φησὶν, ἐσπουδάσαμεν. τί ἐστι, περισσοτέρως; ἢ τοῦτό ἐστιν εἰπεῖν, ὅτι σφόδρα ὑμῶν ἐξεχόμεθα, ἢ ὡς εἰκὸς ἦν, ὥραν ἀπολειφθέντες ἐσπουδάσαμεν τὸ πρόσωπον ὑμῶν ἰδεῖν. ὅρα τὸν μακάριον Παῦλον, ὅταν μὴ δι' ἑαυτοῦ δύνηται πληρῶσαι αὐτοῦ τὸν πόθον, δι' ἑτέρων τοῦτο ποιοῦντα, ὥσπερ ὅτε πρὸς Φιλιππησίους τὸν Τιμόθεον πέμπει, καὶ πρὸς Κορινθίους πάλιν τὸν αὐτὸν, δι' ἑτέρων αὐτοῖς συγγινόμενος, ὅταν μὴ δύνηται δι' ἑαυτοῦ. ἐρωμένος γὰρ ἦν μανικός τις, καὶ ἀκάθεκτος, καὶ ἀκαρτέρητος εἰς φιλίαν.

18 Διὸ ἠθελήσαμεν ἐλθεῖν πρὸς ὑμᾶς· Ὅπερ ἐστὶν ἀγάπης. καίτοιγε ἐνταῦθα οὐδεμίαν ἑτέραν χρείαν φησὶν, ἀλλ' ἵνα ἴδωμεν ὑμᾶς. Ἐγὼ μὲν Παῦλος, καὶ ἅπαξ

Ρωμ. ιε. κϛ. καὶ δίς· καὶ ἐνέκοψεν ἡμᾶς ὁ Σατανᾶς. Τί λέγεις; ὁ Σατανᾶς ἐγκόπτει; ναί. οὐ γὰρ Θεοῦ τοῦτο ἔργον ἦν. ἐπὶ μὲν γὰρ τῶν Ῥωμαίων φησὶν, ὅτι ὁ Θεὸς ἐκώλυσε. καὶ ἀλλαχοῦ δὲ

Πραξ. ιϛ. ϛ. φησιν ὁ Λουκᾶς, ὅτι τὸ πνεῦμα διεκώλυσεν αὐτοὺς ἐλθεῖν εἰς τὴν Ἀσίαν. καὶ Κορινθίοις (γρ. ἐπὶ Κορινθίων)

τοῦ πνεύματός φησιν εἶναι τὸ ἔργον, ἐνταῦθα δὲ μόνον τοῦ Σατανᾶ. ποίαν δὲ λέγει ἐγκοπὴν τοῦ

Πραξ. κ. γ. Σατανᾶ; πειρασμούς τινας ἀπροσδοκήτους, καὶ σφοδρούς. γενομένης γὰρ αὐτῷ, φησιν, ἐπιβουλῆς ὑπὸ τῶν Ἰουδαίων, κατείχετο ἐν τῇ Ἑλλάδι τρεῖς μῆνας. ὅπερ δέ ἐστιν οἰκονομίας

Ρωμ. ιε. κγ. ἕνεκεν παραμένειν καὶ ἑκόντα, καὶ ἕτερον ἐγκοπτόμενον. ἐκεῖ μὲν γάρ φησι· Διὸ μηκέτι τό-

β. Κορ. α. κγ. πον ἔχων ἐν τοῖς κλίμασι τούτοις, καὶ, Φειδόμενος ὑμῶν οὐκέτι ἦλθον εἰς Κόρινθον· ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον· ἀλλὰ τί; ὅτι ὁ Σατανᾶς ἐνέκοψεν. ἐγὼ μὲν, φησι, Παῦλος, καὶ ἅπαξ, καὶ δίς. ὅρα πῶς φιλοτιμεῖται, καὶ ἐγκαλλωπίζεται, θέλων δεῖξαι, ὅτι μάλιστα πάντων αὐτοὺς ἐφίλει. τὸ, ἐγὼ μὲν Παῦλος, ἀντὶ τοῦ, εἰ καὶ μὴ οἱ ἄλλοι, φησί. κἀκεῖνοι μὲν γὰρ ἤθελον μόνον, ἐγὼ δὲ καὶ ἐπεχείρησα.

19 Τίς γὰρ ἡμῶν ἐλπὶς, ἢ χαρὰ, ἢ στέφανος καυχήσεως; ἢ οὐχὶ καὶ ὑμεῖς ἔμπροσθεν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ; Μακεδόνες εἰσὶν, εἰπέ μοι, ἡ ἐλπίς σου, ὦ μακάριε Παῦλε; οὐχ οὗτοι μόνοι, φησί. διὰ τοῦτο ἐπήγαγεν· ἢ οὐχὶ καὶ ὑμεῖς; τίς γάρ ἐστιν ἡμῖν, φησιν, ἐλπὶς, ἢ χαρὰ, ἢ στέφανος καυχήσεως; ἆρα ἐπιγινώσκετε τὰ ῥήματα, γυναικῶν ὄντα πάνυ διαθερμαινομένων τοῖς σπλάγχνοις, καὶ πρὸς παιδία μικρὰ διαλεγομένων; καὶ στέφανος, φησι, καυχήσεως. οὐ γὰρ ἤρκει τὸ, στέφανος, ὄνομα δεῖξαι τὴν λαμπρότητα, ἀλλὰ προσέθηκε, καὶ καυχήσεως. πόσης πυρώσεως τοῦτο; οὐκ ἄν ποτε μήτηρ, οὐδὲ πατὴρ, εἶτα ὁμοῦ συνῆλθον, καὶ τὸν ἑαυτῶν ἀνέμιξαν τὸν πόθον, ἠδυνήθησαν δεῖξαι ἰσόρροπον ὄντα τῷ Παύλῳ τὸν ἑαυτῶν πόθον. χαρὰ, φησι, καὶ στέφανος· τουτέστι, μᾶλλον ἐφ' ὑμῖν,

κοῆς παρ' ἡμῶν τοῦ Θεοῦ, ἐδέξασθε οὐ λόγον ἀνθρώπων, ἀλλὰ (καθώς ἐστιν ἀληθῶς) λόγον Θεοῦ, ὃς καὶ ἐνεργεῖται ἐν ὑμῖν τοῖς πιστεύουσιν. Οὐκ ἔστιν εἰπεῖν, φησὶν, ὅτι ἡμεῖς μὲν πάντα ἀμέμπτως παρέσχομεν, ὑμεῖς δὲ ἀνάξια τῆς ἡμετέρας ἀναστροφῆς ἐποιήσατε. οὐ γὰρ, ὡς ἂν ἀνθρώπων ἀκούοντες, διέκεισθε ἡμῶν ἀκούοντες· ἀλλ' ὡς αὐτοῦ τοῦ Θεοῦ παραινοῦντος, οὕτω προσείχετε. πόθεν δῆλον; ὥσπερ γὰρ τὸ μὴ ἐν κολακείᾳ, μηδὲ ἐν κενοδοξίᾳ κηρύξαι ἀπὸ τῶν οἰκείων πειρασμῶν δείκνυσι, καὶ τῆς ἐκείνων μαρτυρίας, καὶ τῶν ἐπέπραττεν· οὕτω καὶ τὸ ἐκείνους ὀρθῶς δέξασθαι τὸν λόγον, ἀπὸ τῶν πειρασμῶν. πόθεν γὰρ, φησιν, εἰ μὴ ὡς τοῦ Θεοῦ λέγοντος ἠκούετε, τοιούτους ἐφέρετε κινδύνους; καὶ ὅσα τὸ ἀξίωμα.

14 Ὑμεῖς γὰρ, φησι, μιμηταὶ ἐγενήθητε, ἀδελφοὶ, τῶν ἐκκλησιῶν τοῦ Θεοῦ τῶν οὐσῶν ἐν τῇ Ἰουδαίᾳ, ἐν Χριστῷ Ἰησοῦ· ὅτι τὰ αὐτὰ ἐπάθετε καὶ ὑμεῖς ὑπὸ τῶν ἰδίων συμφυλετῶν, καθὼς καὶ αὐτοὶ ὑπὸ τῶν Ἰουδαίων,

15 Τῶν καὶ τὸν Κύριον ἀποκτεινάντων Ἰησοῦν, καὶ τοὺς ἰδίους προφήτας, καὶ ἡμᾶς ἐκδιωξάντων, καὶ Θεῷ μὴ ἀρεσκόντων, καὶ πᾶσιν ἀνθρώποις ἐναντίων,

16 Κωλυόντων ἡμᾶς τοῖς ἔθνεσι λαλῆσαι ἵνα σωθῶσιν, εἰς τὸ ἀναπληρῶσαι αὐτῶν τὰς ἁμαρτίας πάντοτε. ἔφθασε δὲ ἐπ' αὐτοὺς ἡ ὀργὴ εἰς τέλος. Ὑμεῖς, φησὶ, μιμηταὶ ἐγενήθητε τῶν ἐκκλησιῶν τοῦ Θεοῦ τῶν οὐσῶν ἐν τῇ Ἰουδαίᾳ. πολλὴ ἡ παραμυθία. οὐδὲν, φησὶ, θαυμαστὸν εἰς ὑμᾶς ταῦτα περιῆλθεν αὐτῶν, ὅπου γε καὶ εἰς τοὺς συμφυλέτας αὐτῶν. καὶ τοῦτο δὲ τοῦ κηρύγματος εἶναι ἀληθὲς οὐ μικρὸν τεκμήριον, ὅπου γε καὶ Ἰουδαῖοι πάντα ἠνέχοντο ὑπομένειν. ὅτι καὶ ὑμεῖς τὰ αὐτὰ, φησιν, ἐπάθετε ὑπὸ τῶν ἰδίων συμφυλετῶν, καθάπερ κἀκεῖνοι ὑπὸ τῶν Ἰουδαίων. ἔχει τι πλέον τὸ εἰπεῖν, κἀκεῖνοι ἐν τῇ Ἰουδαίᾳ. δεικνῦσι γὰρ ὅτι ἥδοντο πανταχοῦ, ὡς ἀθλήσαντες. λέγει οὖν, ὅτι καὶ ὑμεῖς τὰ αὐτὰ ἐπάθετε. καὶ τί θαυμαστὸν πάλιν εἰ καὶ εἰς ὑμᾶς, ὅπου γε καὶ εἰς τὸν δεσπότην τὰ αὐτὰ ἐτόλμων; ὁρᾷς, πῶς αὐτὸ εἰσήγαγε μεγάλην ἔχον τὴν παραμυθίαν, καὶ συνεχῶς τοῦτο στρέφει, καὶ ἐν πάσαις σχεδὸν εὕροι τις ἂν αὐτὸ ταῖς ἐπιστολαῖς ἀκριβῶς ἐξετάζων, πῶς ἐν τοῖς πειρασμοῖς ἀεὶ τὸν Χριστὸν παραφέρει διαφόρως. ὅρα γοῦν καὶ ἐνταῦθα κατηγορῶν τῶν Ἰουδαίων, εἰς ἀνάμνησιν αὐτοὺς φέρει τοῦ δεσπότου, καὶ τῶν τοῦ δεσπότου παθημάτων. οὕτως οἶδε μεγίστην παραμυθίαν ἔχον τὸ πρᾶγμα. τῶν καὶ τὸν Κύριον ἀποκτεινάντων, φησίν. ἀλλ' ἠγνόησαν αὐτὸν ἴσως· μάλιστα μὲν οὖν ᾔδεισαν. τί δαί; οὐχὶ καὶ τοὺς ἰδίους προφήτας ἀπέκτειναν, καὶ ἐλιθοβόλησαν, ὧν καὶ τὰ βιβλία περιφέρουσι; καὶ μὴν ταῦτα οὐκ ἀληθείας ἕνεκεν διεπράξαντο. οὐκ ἄρα παραμυθία μόνον ἐστὶν ἐπὶ τοῖς πειρασμοῖς, ἀλλὰ καὶ ὑπόμνησις τοῦ μὴ νομίζειν ὅτι δι' ἀλήθειαν ταῦτα ποιοῦσι, καὶ διὰ τοῦτο θορυβεῖσθαι. καὶ ἡμᾶς, φησιν, ἐκδιωξάντων. καὶ ἡμεῖς, φησι, μυρία δεινὰ πεπόνθαμεν. καὶ Θεῷ μὴ ἀρεσκόντων, καὶ πᾶσιν ἀνθρώποις ἐναντίων, κωλυόντων ἡμᾶς τοῖς ἔθνεσι λαλῆσαι ἵνα σωθῶσι. πᾶσιν ἀνθρώποις, φησὶν, ἐναντίων. πῶς; εἰ γὰρ τῇ οἰκουμένῃ δεῖ λαλῆσαι, οὗτοι δὲ κωλύουσι, κοινοὶ τῆς οἰκουμένης εἰσὶν ἐχθροί. τὸν Χριστὸν ἐφόνευσαν, τοὺς προφήτας, τὸν Θεὸν ὑβρίζουσι, κοινοὶ τῆς οἰκουμένης εἰσὶν ἐχθροί, ἡμᾶς ἐλαύνουσι τοὺς ἐπὶ σωτηρίᾳ παραγενομένους· τί θαυμαστὸν εἰ καὶ εἰς ὑμᾶς τοιαῦτα ἐπεδείξαντο, ὅπου γε καὶ ἐν τῇ Ἰουδαίᾳ; κωλυόντων ἡμᾶς, φησι, τοῖς ἔθνεσι λαλῆσαι ἵνα σωθῶσι. βασκανίας ἄρα ἐστὶ τὸ τὴν τῶν πάντων ἐμποδίζειν σωτηρίαν. εἰς τὸ ἀναπληρῶσαι αὐτῶν τὰς ἁμαρτίας πάντοτε. ἔφθασε δὲ ἐπ' αὐτοὺς ἡ ὀργὴ εἰς τέλος. οὐκέτι ταῦτα ἔσται οἷα τὰ πρότερα· οὐκέτι ἐπάνοδος, οὐκέτι πέρας· ἀλλ' ἤδη ἐφέστηκεν ἡ ὀργή. πόθεν δῆλον; ἀπὸ τούτου, ἀφ' οὗ προεῖπεν ὁ Χριστός. οὐ γὰρ τοῦτο μόνον ἔχει παραμυθίαν, τὸ κοινωνοὺς τῶν θλίψεων λαβεῖν, ἀλλὰ καὶ τὸ τοὺς θλίβοντας ἀκοῦσαι τιμωρουμένους. εἰ δὲ ἡ ἀναβολὴ λυπεῖ, παραμυθείσθω τὸ μηκέτι ἀναιδεύειν αὐτούς. μᾶλλον δὲ καὶ τὴν ἀναβολὴν συνέστειλε τῷ εἰπεῖν, ἡ ὀργή, δείκνυσι πάλιν ὀφειλομένην καὶ προωρισμένην

γ. ἥδοντο πανταχοῦ ἀθλήσαντες.

γ. ἐκεῖν διὰ τοῦτο ἐχθ

ἴσ. πάλαι

Τοὺς διδασκάλους οὐδὲν οὕτως ἐπαχθεῖς χρὴ λογίζεσθαι τὴν εἰς σωτηρίαν τῶν μαθητῶν συντεινόντων. εἰ γὰρ ὁ μακάριος Ἰακὼβ νύκτας καὶ ἡμέρας κατεκόπτετο εἰς τὴν τῶν ποιμνίων φυλακήν, πολλῷ μᾶλλον τὸν τὰς ψυχὰς ἐμπιστευθέντα, κἂν ἐπίμοχθον ἔργον ᾖ, κἂν εὐτελές, πάντα δεῖ ποιεῖν, πρὸς ἓν ὁρῶντα μόνον, τὴν σωτηρίαν τῶν μαθητευομένων, καὶ τὴν ἐκεῖθεν δόξαν γινομένην τῷ Θεῷ. ὅρα γοῦν πῶς καὶ ὁ Παῦλος κῆρυξ καὶ ἀπόστολος ὢν τῆς οἰκουμένης, καὶ τοιαύτην τιμὴν ἐπωμηρημένος, εἰργάζετο ταῖς χερσὶ πρὸς τὸ μὴ ἐπιβαρῆσαι τοὺς μαθητευομένους. μνημονεύετε γάρ, φησιν, ἀδελφοί, τὸν κόπον ἡμῶν καὶ τὸν μόχθον. εἶπε προλαβών, Ὅτι δυνάμενοι ἐν βάρει εἶναι, ὡς Χριστοῦ ἀπόστολοι· ὅπερ καὶ ἐν τῇ πρὸς Κορινθίους φησίν· Οὐκ οἴδατε ὅτι οἱ τὰ ἱερὰ ἐργαζόμενοι ἐκ τοῦ ἱεροῦ ἐσθίουσιν; οὕτω καὶ ὁ Χριστὸς διέταξε τοῖς τὸ εὐαγγέλιον καταγγέλλουσιν ἐκ τοῦ εὐαγγελίου ζῆν. ἀλλ᾽ ἐγώ, φησιν, οὐκ ἠθέλησα, ἀλλ᾽ ἐκοπίων. καὶ οὐχ ἁπλῶς εἰργάζετο, ἀλλὰ μετὰ πολλῆς τῆς σπουδῆς. καὶ ὅρα τί φησι. μνημονεύετε γάρ· οὐκ εἶπε, τὰς εὐεργεσίας τὰς παρ᾽ ἐμοῦ, ἀλλά, τὸν κόπον ἡμῶν καὶ τὸν μόχθον. νυκτὸς καὶ ἡμέρας ἐργαζόμενοι πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ὑμῶν, οὕτως ἐκηρύξαμεν εἰς ὑμᾶς τὸ εὐαγγέλιον τοῦ Θεοῦ. Κορινθίοις δὲ ἑτέρως φησίν· Ἄλλας ἐκκλησίας ἐσύλησα, λαβὼν ὀψώνιον εἰς τὴν ὑμῶν διακονίαν. καίτοι καὶ ἐκεῖ εἰργάζετο· ἀλλ᾽ οὐκ ἀνέμνησε τούτου, ἀλλ᾽ ἕτερον ἔθηκε πληκτικώτερον, ὡς ἂν εἰ ἔλεγεν· ὅτι παρ᾽ ἑτέρων ἐτρεφόμην ὑμῖν ὑπηρετῶν. ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ τί; νυκτὸς καὶ ἡμέρας ἐργαζόμενοι. καὶ ἐκεῖ μέν φησι· Καὶ παρὼν πρὸς ὑμᾶς καὶ ὑστερηθεὶς οὐ κατενάρκησα οὐδενός, καί, Ἔλαβον ὀψώνιον πρὸς τὴν ὑμῶν διακονίαν. ἐνταῦθα δὲ δείκνυσιν ἐν πενίᾳ ὄντας τοὺς ἄνδρας [, ἐκεῖ δὲ οὐχ οὕτω]. διὰ τοῦτο συνεχῶς αὐτοὺς παραφέρει μάρτυρας. ὑμεῖς γάρ, φησι, μάρτυρες καὶ ὁ Θεός, ἀξιόπιστον ποιῶν τὸν λόγον, κἀκεῖνο τιθείς, ὃ αὐτοὺς μάλιστα ἐπληροφόρει. ἐκεῖνο μὲν γὰρ ἄδηλον τοῖς ἀγνοοῦσι, τοῦτο δὲ πᾶσι λοιπὸν ἀναμφίβολον. καὶ μὴ θαυμάσῃς. οὐδὲ γὰρ ἔβλεπον, ὅτι Παῦλος ἦν ὁ ταῦτα λέγων· ἀλλ᾽ ἐκ πολλοῦ τοῦ περιόντος βούλεται αὐτοὺς πληροφορεῖν. διὰ τοῦτό φησιν, ὑμεῖς μάρτυρες καὶ ὁ Θεός, ὡς ὁσίως καὶ δικαίως καὶ ἀμέμπτως ὑμῖν τοῖς πιστεύουσιν ἐγενήθημεν. ἔδει αὐτοὺς πάλιν ἐπαινεῖν. διὰ τοῦτο ταῦτα προστίθησιν, εἰ ἦν ἱκανὰ αὐτοὺς ἐπᾶραι. συλλογίζεται γάρ, ὅτι ὁ ἐν χρείᾳ καταστὰς καὶ μὴ λαβών, πολλῷ μᾶλλον νῦν. ὡς ὁσίως καὶ δικαίως καὶ ἀμέμπτως ὑμῖν τοῖς πιστεύουσιν ἐγενήθημεν, καθάπερ οἴδατε, ὡς ἕνα ἕκαστον ὑμῶν, ὡς πατὴρ τέκνα ἑαυτοῦ, παρακαλοῦντες ὑμᾶς, καὶ παραμυθούμενοι. ἀνωτέρω τὸ τῆς ἀναστροφῆς εἰπών, ἐνταῦθα τὸ τῆς ἀγάπης φησίν· ὃ καὶ μᾶλλον ἦν ἢ τῆς προστασίας. καὶ τοῦ ἀτύφου τὸ εἰρημένον· ὡς πατὴρ τέκνα ἑαυτοῦ, παρακαλοῦντες ὑμᾶς, καὶ παραμυθούμενοι, καὶ μαρτυρόμενοι εἰς τὸ περιπατῆσαι ὑμᾶς ἀξίως τοῦ Θεοῦ τοῦ καλοῦντος ὑμᾶς εἰς τὴν ἑαυτοῦ βασιλείαν καὶ δόξαν. ὅτε εἶπε, καὶ διαμαρτυρόμενοι, τότε πατέρων μέμνηται, δεικνὺς ὅτι εἰ καὶ διεμαρτυρόμεθα, ἀλλὰ τοῦτο οὐ σφοδρῶς, ἀλλ᾽ ὡς πατέρες. ἕνα ἕκαστον ὑμῶν. βαβαί, ἐν τοσούτῳ πλήθει μηδένα παραλιπεῖν, μὴ μικρόν, μὴ μέγαν, μὴ πλούσιον, μὴ πένητα. παρακαλοῦντες πρὸς τί εἶπε; πρὸς τὸ φέρειν πάντα. καὶ παραμυθούμενοι, καὶ διαμαρτυρόμενοι. παρακαλοῦντες, οὐκ ἄρα δόξαν ἐζήτουν· καὶ διαμαρτυρόμενοι, οὐκ ἄρα ἐκολάκευον. εἰς τὸ περιπατῆσαι ὑμᾶς ἀξίως τοῦ Θεοῦ τοῦ καλοῦντος ὑμᾶς εἰς τὴν αὐτοῦ βασιλείαν καὶ δόξαν. ὅρα πάλιν πῶς διηγούμενος, καὶ διδάσκει, καὶ παραμυθεῖται. εἰ γὰρ εἰς βασιλείαν ἐκάλεσε, πάντα δεῖ φέρειν. παρακαλοῦμεν οὐχ ἵνα ἡμῖν χαρίσησθέ τι, ἀλλ᾽ ἵν᾽ ἐπιτύχητε τῆς βασιλείας τῶν οὐρανῶν.

13 Διὰ τοῦτο καὶ ἡμεῖς εὐχαριστοῦμεν τῷ Θεῷ ἀδιαλείπτως, ὅτι παραλαβόντες λόγον ἀ-

κοῆς

α Θεσ. β. ε. — α Κορ. θ. ιγ. — β Κορ. ια. η. — β Κορ. ιβ. ιγ.

γ. ἐπαχθεῖς χρὴ ποιεῖν — χ. Κύριος — χ. ἀλλ᾽ αὐτὸς οὐκ ἠθέλησε. τοῦτο γάρ ἐστι, οὐκ ἐχρησάμην τούτῳ τινί· ἀλλ᾽ εἰργάζετο καὶ ἐκοπία. καὶ οὐδὲ ἁπλῶς τοῦτο ἐποίει, — χ. ὁ γὰρ ἐν χρείᾳ, φησίν, ἐκεῖ καταστὰς — χ. ἀναστροφῆς — χ. Διὸ

ποιῶν, μηδὲν μέγα δόξῃ ποιεῖν. ὅταν μὲν γὰρ μὴ ᾖ φιλία, καὶ ὀνειδίζομεν τὰς εὐεργεσίας, καὶ τὰς μικρὰς ἐπαίρομεν· ὅταν δὲ φιλία ᾖ, καὶ κρύπτομεν αὐτάς, καὶ τὰς μεγάλας μικρὰς βουλόμεθα δοκεῖν εἶναι, ἵνα μὴ δόξωμεν ὀφειλέτην ἔχειν τὸν φίλον, ἀλλ' αὐτοὶ αὐτῷ ὀφειλέται εἶναι, ἐν τῷ ὀφειλέτην ἔχειν αὐτόν. οἶδα ὅτι οὐδὲ συνιᾶσιν οἱ πολλοὶ τὰ λεγόμενα. τὸ δὲ αἴτιον, περὶ πράγματος διαλέγομαι τοῦ οὐρανὸν οἰκοῦντος νῦν. ὥσπερ οὖν εἰ περί τινος ἔλεγον φυτοῦ ἐν Ἰνδίᾳ τικτομένου, οὗ μηδεὶς μηδέποτε πεῖραν ἔλαβεν, οὐκ ἂν ἴσχυσεν ὁ λόγος παραστῆσαι, κἂν εἰ μυρία εἴποι· οὕτω καὶ νῦν ὅσα ἂν εἴπω, εἰκῇ ἐρῶ. οὐδεὶς γὰρ ἐπιστῆσαι δυνήσεται. ἐν οὐρανῷ πεφύτευται τοῦτο τὸ φυτόν, κλάδους ἔχον οὐ μαργαρίτας βεβριθότας, ἀλλὰ βίον ἐνάρετον πολλῷ τούτων ἡδίω. ποίαν βούλει εἰπεῖν ἡδονήν; τὴν αἰσχράν; τὴν σεμνήν; ἀλλὰ πάσας ὑπερβάλλει ἡ τῆς φιλίας, κἂν τὴν τοῦ μέλιτος εἴπῃς. τοῦτο γὰρ προσκορές ἐστι· φίλος δὲ οὐδέποτε, ἕως ἂν ᾖ φίλος, ἀλλὰ μᾶλλον αὔξεται ἡ ἐπιθυμία, καὶ κόρον οὐδέποτε ἡ τοιαύτη λαμβάνει ἡδονή. καὶ τῆς παρούσης ζωῆς ὁ φίλος ἡδύτερος. πολλοὶ γοῦν μετὰ τὴν τῶν φίλων τελευτὴν οὐκ ηὔξαντο ζῆσαι λοιπόν. μετὰ φίλου καὶ ὑπερορίαν τις ἡδέως ἂν ἐνέγκοι· χωρὶς δὲ φίλου οὐδὲ τὴν αὐτοῦ οἴκησιν ἕλοιτο ἄν. μετὰ φίλου, καὶ πενία φορητόν· τούτου δὲ ἄνευ, καὶ ὑγεία, καὶ πλοῦτος ἀφόρητοι. ὁ τοιοῦτος ἄλλον ἑαυτὸν ἔχει. ἀποπνίγομαι ὅτι οὐ δύναμαι ἐπὶ παραδείγματος εἰπεῖν. ἡ γὰρ ἂν ἐγνώρισα ὅτι πολλῷ ἐλάττονα τοῦ δέοντος τὰ εἰρημένα. καὶ ταῦτα μὲν ἐνταῦθα. παρὰ δὲ Θεοῦ τοσοῦτος μισθὸς τῆς φιλίας, ὅσος οὐδὲ ἔστιν εἰπεῖν. μισθὸν ἡμῖν δίδωσιν, ἵνα φιλῶμεν ἀλλήλους. φίλει γάρ, φησί, καὶ λάβε μισθόν, ὑπὲρ οὗ μισθὸν ὀφείλομεν πράγματος. εὖξαι, φησί, καὶ λάβε μισθόν, ὑπὲρ οὗ μισθὸν ὀφείλομεν. ὅτι αἰτοῦμεν τὰ ἀγαθά, ὑπὲρ οὗ αἰτεῖς, φησί, λάβε μισθόν. νήστευσον, καὶ λάβε μισθόν. γενοῦ ἐνάρετος, καὶ λάβε μισθόν, καίτοι μισθὸν ὀφείλων. ἀλλ' ὥσπερ οἱ πατέρες, ὅταν ἐναρέτους ποιήσωσι τοὺς παῖδας, τότε καὶ αὐτοῖς μισθὸν διδόασιν (ὀφειλέται γάρ εἰσιν, ὅτι αὐτοὺς ἐν ἡδονῇ κατέστησαν) οὕτω καὶ ὁ Θεός. μισθόν, φησί, λάβε, ἂν ἐνάρετος γένῃ· εὐφραίνεις γὰρ τὸν πατέρα, καὶ τούτου σοι ὀφείλω μισθόν. ἂν δὲ κακός, οὐκέτι· παροξύνεις γὰρ τὸν γεννήσαντα. μὴ δὴ παροξύνωμεν τὸν Θεόν, ἀλλ' εὐφραίνωμεν, ἵνα τύχωμεν τῆς βασιλείας τῶν οὐρανῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

χ. ὅπισί μι

χ. αἴτει

Λογ. γ. 9 ΜΝΗΜΟΝΕΥΕΤΕ ΓΑΡ, ΑΔΕΛΦΟΙ, ΤΟΝ κόπον ἡμῶν καὶ τὸν μόχθον. νυκτὸς γὰρ καὶ ἡμέρας ἐργαζόμενοι πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ὑμῶν, ἐκηρύξαμεν εἰς ὑμᾶς τὸ εὐαγγέλιον τοῦ Θεοῦ. 10 Ὑμεῖς μάρτυρες καὶ ὁ Θεός, ὡς ὁσίως καὶ ἀμέμπτως καὶ δικαίως ὑμῖν τοῖς πιστεύουσιν ἐγενήθημεν,

11 Καθάπερ οἴδατε, ὡς ἕνα ἕκαστον ὑμῶν (ὡς πατὴρ τέκνα ἑαυτοῦ) παρακαλοῦντες ὑμᾶς καὶ παραμυθούμενοι, 12 Καὶ μαρτυρόμενοι εἰς τὸ περιπατῆσαι ὑμᾶς ἀξίως τοῦ Θεοῦ τοῦ καλέσαντος ὑμᾶς εἰς τὴν ἑαυτοῦ βασιλείαν καὶ δόξαν.



Digitized by Google

Εἴπω μὲν τῆς φιλίας πόσην ἔχει τὴν ἡδονήν. γαίνυται ὁρῶν αὐτὸν καὶ διαχεῖται, συμπλέκεται συμπλοκὴν αὐτῷ ἴσα κατὰ τῆς ψυχῆς ἄρρητον ἔχουσαν τὴν ἡδονήν. κἂν ἀναμνησθῇ μόνον αὐτοῦ, διανίσταται τῇ διανοίᾳ καὶ ἀναπτεροῦται. περὶ τῶν φίλων λέγω τῶν γνησίων, τῶν ὁμοψύχων, τῶν αἱρουμένων καὶ ὑπεραποθανεῖν, τῶν θερμῶς φιλούντων. μή μοι τοὺς ἁπλῶς φιλοῦντας ἐννοοῦντες, καὶ κοινωνοὺς τῆς τραπέζης, καὶ ἀπὸ προσηγορίας φίλους, νομίζετε τὸν λόγον ἐλέγχεσθαι. εἴ τις ἔχει φίλον οἷον λέγω, ἐπιγνώσεται τὰ ῥήματα. κἂν ἴδῃ τοῦτον καθ' ἑκάστην ἡμέραν, οὐκ ἐμπίπλαται· ταῦτα αὐτῷ ἐπεύχεται, ἅπερ καὶ ἑαυτῷ. οἶδα ἐγώ τινα, ὃς ὑπὲρ φίλου τοὺς ἁγίους ἄνδρας παρακαλῶν, παρεκάλει εὔχεσθαι πρότερον ὑπὲρ αὐτοῦ, καὶ τότε ὑπὲρ ἑαυτοῦ. τοσοῦτόν ἐστι φίλος ἀγαθός, ὡς καὶ τόπους καὶ χρόνους φιλεῖσθαι δι' αὐτόν. καθάπερ γὰρ τὰ λαμπρὰ τῶν σωμάτων αὐγὴν ἀποῤῥίπτει εἰς τοὺς πλησίον τόπους, οὕτω καὶ οἱ φίλοι, οἷς ἂν παραγένωνται τόποις, τὴν ἑαυτῶν χάριν ἀφιᾶσι. καὶ πολλάκις χωρὶς φίλων ἐπιστάντες τοῖς τόποις ἐκείνοις, ἐδακρύσαμεν τῶν ἡμερῶν ἀναμνησθέντες, ἐν αἷς συνεγινόμεθα, καὶ ἐστενάξαμεν. οὐκ ἔνι τῷ λόγῳ παραστῆσαι τὴν ἡδονὴν ὅσην ἐντίθησιν ἡ παρουσία φίλων· μόνοι δὲ οἱ πεῖραν ἔχοντες ἴσασι. καὶ χάριν αἰτῆσαι, καὶ χάριν λαβεῖν ἀνυπόπτως παρὰ φίλου ἔστιν. ὅταν ἡμῖν ἐπιτάττωσι, τότε αὐτοῖς χάριν ἴσμεν· ὅταν δὲ ὀκνῶσι, τότε λυπούμεθα. οὐδὲν ἔχομεν ὅπερ μὴ ἐκείνων ἐστί. πολλάκις τῶν ἐνταῦθα καταφρονοῦντες, δι' ἐκείνους οὐ βουλόμεθα ἀπελθεῖν ἐντεῦθεν. καὶ τοῦ φωτὸς ἐκεῖνοι ποθεινότεροι. καὶ γὰρ ὄντως καὶ τοῦ φωτὸς αὐτοῦ ποθεινότερος φίλος· τὸν γνήσιον λέγω. καὶ μὴ θαυμάσῃς. βέλτιον γὰρ ἡμῖν σβεσθῆναι τὸν ἥλιον, ἢ φίλων ἀποστερηθῆναι. βέλτιον ἐν σκότῳ διάγειν, ἢ φίλων εἶναι χωρίς. καὶ πῶς, ἐγὼ λέγω. ὅτι πολλοὶ τὸν ἥλιον ὁρῶντες* ἐν σκότῳ εἰσί, φίλων δὲ εὐποροῦντες, οὐδ' ἂν ἐν θλίψει γένοιντο. περὶ φίλων λέγω τῶν πνευματικῶν, τῶν οὐδὲν προτιμώντων φιλίας. τοιοῦτος Παῦλος ἦν, καὶ τὴν ψυχὴν ἡδέως ἐδίδου τὴν ἑαυτοῦ, καὶ μὴ αἰτηθείς, καὶ εἰς γέενναν ἡδέως ἂν ἐνέπεσεν. οὕτω χρὴ φιλεῖν διαθέσει πεπυρωμένῃ. βούλομαι ὑπόδειγμα δοῦναι φιλίας. πεπείρασθε καὶ ὑμεῖς ὑπερβαίνουσι φίλοι, φίλοι τῶν κατὰ Χριστόν. μὴ γάρ μοι τοὺς νῦν εἴπῃς, ἐπεὶ μετὰ τῶν ἄλλων καὶ τοῦτο ἀπέστη τὸ καλόν· ἀλλ' ἐννόησον ὅτι ἐπὶ τῶν ἀποστόλων, οὐ λέγω τοὺς κορυφαίους, ἀλλ' αὐτοὺς τοὺς πιστεύσαντας·

Πράξ. δ. λβ. Πάντων ἦν, φησίν, ἡ ψυχὴ καὶ ἡ καρδία μία· καὶ οὐδὲ εἷς τι τῶν ὑπαρχόντων ἔλεγεν ἴδιον εἶναι. καὶ διεδίδοτο ἑκάστῳ, καθότι ἄν τις χρείαν εἶχεν. οὐκ ἦν τότε τὸ ἐμὸν, καὶ τὸ σόν. τοῦτό ἐστι φιλία, ἵνα μὴ τὰ αὐτοῦ ἑαυτοῦ τις νομίζῃ, ἀλλὰ τοῦ πλησίον· τὰ δὲ αὐτοῦ, ἀλλότρια· ἵνα οὕτω φείδηται τῆς ἐκείνου ψυχῆς, ὡς τῆς ἑαυτοῦ· κἀκεῖνος ὁμοίως τὴν αὐτὴν διάθεσιν ἐπιδεικνύηται. καὶ ποῦ δυνατόν, φησί, τοιοῦτον εὑρεθῆναι; ναί, οὐ δυνατόν, ἐπειδὴ μὴ βουλόμεθα. ὡς εἴγε ἐβουλόμεθα, καὶ σφόδρα δυνατόν· εἰ γὰρ μὴ δυνατὸν ἦν, οὐδ' ἂν ἐπέταξεν ὁ Χριστός, οὐκ ἂν τοσαῦτα περὶ ἀγάπης διελέχθη. μέγα φιλία· καὶ πόσον μέγα, οὐδεὶς ἂν δυνήσαιτο μαθεῖν, οὔτε τις παραστῆσαι λόγος, πλὴν τῆς πείρας αὐτῆς. τοῦτο τὰς αἱρέσεις εἰργάσατο· τοῦτο τοὺς Ἕλληνας ἔτι ποιεῖ Ἕλληνας εἶναι. ὁ φιλῶν οὐκ ἐπιτάττειν βούλεται, οὐδὲ ἄρχειν, ἀλλὰ χάριν ἔχει μᾶλλον ἀρχόμενος καὶ ἐπιταττόμενος· χαρίζεσθαι βούλεται μᾶλλον, ἢ χάριν λαμβάνειν. φιλεῖ γὰρ καὶ ὡς οὐκ ἐμπλήσας αὐτοῦ τὴν ἐπιθυμίαν, οὕτω διάκειται. οὐχ οὕτως εὖ πάσχων τέρπεται, ὡς εὖ ποιῶν. βούλεται γὰρ κατέχειν αὐτὸν μᾶλλον, ἢ ὀφείλειν αὐτῷ· μᾶλλον δὲ καὶ ὀφείλειν αὐτῷ βούλεται, καὶ ὀφειλέτην αὐτὸν ἔχειν. καὶ βούλεται χαρίζεσθαι, καὶ οὐ βούλεται δοκεῖν χαρίζεσθαι, ἀλλ' ὀφειλέτην αὐτὸν εἶναι. τάχα πολλοὺς ὑμῶν ἀγνοεῖν οἶμαι τὸ εἰρημένον· οὐκοῦν ἀναγκαῖον αὖθις πάλιν εἰπεῖν. καὶ ἄρχειν βούλεται εὐεργεσίας, καὶ μὴ δοκεῖν ἄρχειν, ἀλλ' ἀποδιδόναι· ὅπερ καὶ ὁ Θεὸς ἐποίησεν ἐπὶ τῶν ἀνθρώπων. ἔμελλε τὸν υἱὸν αὐτοῦ χαρίζεσθαι ὑπὲρ ἡμῶν· ἀλλ' ἵνα μὴ δόξῃ χαρίζεσθαι, ἀλλ' ὀφείλειν ἡμῖν, προσέταξε τῷ Ἀβραὰμ δοῦναι τὸν υἱὸν αὐτοῦ, ἵνα μέγα ποιῶν,

χ. συνουσία

* ἀθυμίᾳ

γενόμενοι πρὸς ὑμᾶς εἶναι ἐν τιμῇ, πολλῷ μᾶλλον ὑμεῖς. καὶ οὐκ εἶπεν ὅτι ἠτιμάσθημεν, οὐδὲ ὅτι οὐκ ἀπελαύσαμεν τιμῆς, ὅπερ ἦν ὀνειδίζοντος αὐτούς· ἀλλ', οὐκ ἐζητήσαμεν. Τουτέστιν, ἐξὸν ζητῆσαι, μὴ ζητήσαντες, καὶ τῷ κηρύγματι τοῦτο ἀπαιτοῦντες, πῶς δόξης ἕνεκεν τι περιεποιούμεθα; καίτοιγε εἰ καὶ ἐζητήσαμεν, οὐδὲ οὕτως ἦν ἔγκλημα. Εἰκὸς γὰρ τοὺς παρὰ Θεοῦ πρεσβευτὰς ἀποσταλέντας, ὥσπερ ἀπὸ τοῦ οὐρανοῦ νῦν ἥκοντας πρέσβεις, πολλῆς ἀπολαῦσαι τιμῆς. ἀλλ' ἐκ περιουσίας ἡμεῖς οὐδὲν τούτων περιεποιούμεθα, ἵνα τὰ τῶν ἐναντίων ἐμφράξωμεν στόματα. καὶ οὐκ εἶπεν ὅτι παρ' ὑμῶν οὕτω, παρ' ἑτέρους δὲ οὐχ οὕτως· οὕτω γὰρ καὶ Κορινθίοις γράφων ἔλεγεν· Ἀνέχεσθε γὰρ, εἴ τις ὑμᾶς καταδουλοῖ, εἴ τις κατεσθίει, εἴ τις λαμβάνει, εἴ τις ἐπαίρεται, εἴ τις ὑμᾶς εἰς πρόσωπον δέρει. καὶ πάλιν, Ἡ δὲ παρουσία τοῦ σώματος ἀσθενὴς, καὶ ὁ λόγος ἐξουθενημένος. καὶ πάλιν, Χαρίσασθέ μοι τὴν ἀδικίαν ταύτην. δείκνυσι γὰρ κἀκεῖ, ὅτι σφόδρα ταπεινὸς ἦν ἀπὸ τοῦ τοσαῦτα παθεῖν. ἐνταῦθα δὲ περὶ χρημάτων φησὶ δὲ, δυνάμενοι ἐν βάρει εἶναι ὡς Χριστοῦ ἀπόστολοι. [illegible]

7 Ἀλλ' ἐγενήθημεν ἤπιοι ἐν μέσῳ ὑμῶν, ὡς ἂν τροφὸς θάλπῃ τὰ ἑαυτῆς τέκνα.

8 Οὕτως ἱμειρόμενοι ὑμῶν, εὐδοκοῦμεν μεταδοῦναι ὑμῖν οὐ μόνον τὸ εὐαγγέλιον τοῦ Θεοῦ, ἀλλὰ καὶ τὰς ἑαυτῶν ψυχὰς, διότι ἀγαπητοὶ ἡμῖν ἐγενήθητε. Ἀλλ' ἐγενήθημεν, φησιν, ἤπιοι, τουτέστιν, οὐδὲν φορτικὸν, οὐδὲ ἐπαχθὲς, οὐδὲ βαρὺ, οὐδὲ κόμπον ἔχον ἐπιδειξάμεθα. καὶ τὸ ἐν μέσῳ ὑμῶν τοιοῦτόν ἐστιν, ὡς ἂν εἴποι τις, εἷς ἐξ ὑμῶν, οὐχὶ τὴν ἄνω λαβόντες λῆξιν. ὡς ἂν τροφὸς, φησι, θάλπῃ τὰ ἑαυτῆς τέκνα· οὕτω δεῖ τὸν διδάσκαλον εἶναι. μὴ ἡ τροφὸς κολακεύει, ἵνα δόξης τύχῃ; μὴ χρήματα αἰτεῖ παρὰ τῶν παιδίων τῶν μικρῶν; μὴ βαρεῖα αὐτοῖς ἐστι, καὶ φορτική; οὐχὶ μᾶλλον τῶν μητέρων εἰσὶ προσηνέστεραι; ἐνταῦθα τὸ φιλόστοργον δείκνυσιν. οὕτως, φησὶν, ἱμειρόμενοι ὑμῶν, τουτέστιν, ἐπιθυμοῦντες, οὕτως ὑμῖν προσεδέθημεν, φησιν, ὅτι οὐ μόνον οὐδὲν λαμβάνομεν, ἀλλ' εἰ δεῖ καὶ τὰς ψυχὰς μεταδοῦναι, οὐκ ἂν παρῃτησάμεθα. τοῦτο οἷον εἰπέ μοι, αἰσθάνεσθαι ὑπερβολῆς διανοίας; καὶ τίς οὕτως ἀγαπῶν, ὡς τοῦτο εἰπεῖν; εὐδοκοῦμεν, φησὶ, μεταδοῦναι ὑμῖν, οὐ μόνον τὸ εὐαγγέλιον τοῦ Θεοῦ, ἀλλὰ καὶ τὰς ἑαυτῶν ψυχάς· ἄρα τοῦτο μεῖζον ἐκείνου. καὶ τί τὸ κέρδος; ἀπὸ μὲν γὰρ τοῦ εὐαγγελίου κέρδος· τὸ δὲ τὴν ψυχὴν δοῦναι, κατὰ τὴν δυσκολίαν μεῖζον ἐκείνου. οὐ γάρ ἐστιν ἴσον ἁπλῶς κηρύξαι, καὶ ψυχὴν δοῦναι. ἐκεῖνο μὲν γὰρ τιμιώτερον, τοῦτο δὲ πλείονος δυσκολίας ἦν. ἠδυνάμεθα, φησὶ, εἴγε ἐβούλεσθε, καὶ τὰς ψυχὰς εἰς ὑμᾶς κενῶσαι. ἐπειδὴ ἐπῄνεσε καὶ ἐπαινεῖ, ἵνα μὴ δόξῃ τοῦτο λέγειν ὅτι οὐ χρήματα ζητοῦντες, οὐ κολακεύοντες ὑμᾶς, οὐ δόξης ἐφιέμενοι, ταῦτα πεποιήκαμεν. τί γάρ; εἰ πολλὰ ἦσαν οἱ λυποῦντες, καὶ παραδόξως ἔδει αὐτοὺς ἐπαινεῖσθαι καὶ θαυμάζεσθαι, ὥστε προθυμοτέρους γενέσθαι, εἰ γένοιτο ἔπαινος ἐν σοφίᾳ. διὰ τοῦτο ἀποκρινόμενος τῆς ἐν σοφίᾳ, εὐδοκοῦμεν, λέγει. καὶ πάλιν, ἵνα μὴ νομισθῇ διὰ τοὺς κινδύνους λέγειν, αἰσχυνόμενος ὑπὲρ αὐτῶν, καὶ ὀφείλων τι μεταδοῦναι ὑπὲρ αὐτῶν, ὑπὲρ τούτου καὶ τὸ εἰπεῖν τοὺς κινδύνους ἐπήγαγε, διότι ἀγαπητοὶ ἡμῖν γεγόνατε, δηλῶν ὅτι διὰ τοῦτο καὶ τὰς ψυχὰς ἰδίως ἂν ἡμῶν ἐδώκαμεν, ὅτι σφόδρα ὑμῖν προσεδέθημεν. τὸ μὲν οὖν εὐαγγέλιον, ὅτι ὁ Θεὸς ἐκέλευσε, καταγγέλλομεν· τοσοῦτον δὲ ὑμᾶς φιλοῦμεν, ὅτι εἰ οἷόν τε, καὶ τὰς ψυχὰς ἂν ἐδώκαμεν. [illegible]

Οὕτω δεῖ φιλεῖν. ἐπεὶ φιλῶν τὸν ἑταῖρον, εἰ καὶ τὴν ψυχὴν αἰτηθῇ, καὶ δυνατὸν ᾖ, μὴ κωλύσῃ· τὸ λέγω αἰτηθῇ; ἀλλ' ὥστε αὐτὸς ἐπιτρέχειν τῇ τοιαύτῃ δόσει. οὐδὲν γὰρ, οὐδὲν τῆς τοιαύτης ἀγάπης γλυκύτερον. οὐδὲν ὅσα λυπηρὰ συμπεσεῖται. Φίλος πιστὸς, φάρμακον ζωῆς. ὄντως φίλος πιστὸς, σκέπη κραταιά. τί γὰρ οὐκ ἂν ἐργάσαιτο φίλος γνήσιος; πόσην ἡδονὴν οὐκ ἂν ἐμποιήσειεν; πόσην δὲ ὠφέλειαν; πόσην δὲ ἀσφάλειαν; κἂν μυρίους θησαυροὺς εἴπῃς, οὐδὲν ἀντάξιον γνησίου φίλου. καὶ πρῶτον αὐτοῦ πρότερον

ΗΘΙΚΟΝ



β Κορ. ια. κ.
β Κορ. ι. ι.
β. Κορ. ιβ. ιγ.
γ. παθεῖν.
γ. ἐπαίνοις.

ὁρᾷς πῶς πάλιν τὸ πᾶν ἀνατίθησι τῷ Θεῷ; λαλῆσαι πρὸς ὑμᾶς τὸ εὐαγγέλιον τοῦ Θεοῦ ἐν πολλῷ ἀγῶνι. οὐκ ἔστι, φησὶν, εἰπεῖν, ὅτι ἐκεῖ μὲν ἐκινδυνεύσαμεν, ἐνταῦθα δὲ οὔ. ἴστε καὶ ὑμεῖς ὅσος ὁ κίνδυνος, καὶ μεθ' ὅσης ἀγωνίας ἐγενόμεθα πρὸς ὑμᾶς. ὅπερ καὶ πρὸς Κορινθίους φησὶ γράφων· Ὅτι ἐν ἀσθενείᾳ, καὶ ἐν πόνῳ, καὶ ἐν φόβῳ, καὶ ἐν τρόμῳ πολλῷ ἐγενόμην πρὸς ὑμᾶς. (a Κορ. β. γ.)

3 Ἡ γὰρ παράκλησις ἡμῶν οὐκ ἐκ πλάνης, οὐδὲ ἐξ ἀκαθαρσίας, οὔτε ἐν δόλῳ·

4 Ἀλλὰ καθὼς δεδοκιμάσμεθα ὑπὸ τοῦ Θεοῦ πιστευθῆναι τὸ εὐαγγέλιον, οὕτω λαλοῦμεν, οὐχ ὡς ἀνθρώποις ἀρέσκοντες, ἀλλὰ τῷ Θεῷ τῷ δοκιμάζοντι τὰς καρδίας ἡμῶν.

Ὁρᾷς ὅτι ὅπερ ἔφην, ἀπὸ τῆς ἐνστάσεως αὐτῶν ποιεῖται τεκμήριον τοῦ θεῖον εἶναι τὸ κήρυγμα; οὐ γὰρ ἂν, εἰ μὴ τοῦτο ἦν, εἰ ἀπάτη ἦν, τοσούτους κινδύνους ὑπεμείναμεν ἄν. οὐδὲ ἀναπνεῦσαι διδόντας ἡμῖν. τί ποτ' οὖν ἐστιν; εἰ μή τι τῶν μελλόντων διήγειρεν ἡμᾶς, εἰ μὴ ἐπεπείσμεθα ὅτι ἐλπίς ἐστιν ἀγαθὴ, οὐκ ἂν προθυμότεροι πάσχοντες διεκείμεθα. τίς γὰρ ἂν εἵλετο ὑπὲρ τῶν ἐνταῦθα τοσαῦτα ὑπομένειν, καὶ βίον ἐναγώνιον ζῆν, καὶ κινδύνων γέμοντα; τίνα γὰρ ἂν ἔπεισαν; αὐτὰ γὰρ ταῦτα οὐχ ἱκανὰ θορυβῆσαι τοὺς μαθητὰς, ὅταν τοὺς διδασκάλους ὁρῶσιν ἐν κινδύνοις; ἀλλ' οὐχ ὑμεῖς τοῦτο πεπόνθατε. ἡ γὰρ παράκλησις ἡμῶν, τουτέστιν, ἡ διδαχὴ, οὐκ ἐκ πλάνης. οὐκ ἔστι δόλος, φησὶ, τὸ πρᾶγμα, οὐδὲ ἀπάτη, ἵνα ἐνδῶμεν. οὐκ ἔστιν ὑπὲρ μυσαρῶν πραγμάτων, οἷα γοήτων καὶ μάγων. τοῦτο γάρ ἐστιν, ἐξ ἀκαθαρσίας. οὔτε ἐν δόλῳ, οὔτε ἐν ἐπιστάσει τινὶ, ὅπερ ὁ Θευδᾶς ἐποίησεν· ἀλλὰ καθὼς δεδοκιμάσμεθα ὑπὸ τοῦ Θεοῦ πιστευθῆναι τὸ εὐαγγέλιον, οὕτω λαλοῦμεν, οὐχ ὡς ἀνθρώποις ἀρέσκοντες, ἀλλὰ τῷ Θεῷ. ὁρᾷς, ὅτι οὐκ ἔστι κενοδοξία; ἀλλὰ τῷ Θεῷ, φησὶ, τῷ δοκιμάζοντι τὰς καρδίας ἡμῶν. οὐδὲν πρὸς ἀρέσκειαν ἀνθρώπων πράττομεν, φησί. τίνος γὰρ ἕνεκεν ταῦτα ἂν ἐπράξαμεν; εἶτα ἐπαινέσας αὐτοὺς, τῷ λέγειν, οὐχ ὡς ἀνθρώποις θέλοντες ἀρέσαι, οὔτε τὰς παρὰ ἀνθρώπων ἐπιζητοῦντες τιμὰς, ἐπήγαγεν· ἀλλὰ καθὼς δεδοκιμάσμεθα ὑπὸ τοῦ Θεοῦ πιστευθῆναι τὸ εὐαγγέλιον. ὡς εἰ ἔλεγεν, εἰ μὴ εἶδε πάντων ἀπηλλαγμένους βιωτικοῦ, οὐκ ἂν ἡμᾶς εἵλετο. καθὼς οὖν ἐδοκίμασε, τοιοῦτοι καὶ μένομεν. δεδοκιμάσμεθα, φησὶν, ὑπὸ τοῦ Θεοῦ· τουτέστιν, ἡμᾶς ἐδοκίμασε καὶ ἐνεπίστευσε τὸ εὐαγγέλιον. ὡς οὖν δόκιμοι ἐφάνημεν τῷ Θεῷ, οὕτω καὶ μένομεν. ταύτης τῆς ἀρετῆς τεκμήριον, τὸ πιστευθῆναι τὸ εὐαγγέλιον. οὐκ ἂν δὲ εἴ τι φαῦλον ἐν ἡμῖν ἦν, ὁ Θεὸς ἡμᾶς ἐδοκίμασε. τὸ δὲ, ἐδοκίμασεν, ἐνταῦθα ἀντὶ τοῦ, εὗρε δοκίμους καὶ ἐπίστευσεν, οὐχὶ ἐρευνῆσαί ἐστιν. ἡμεῖς μὲν γὰρ ἀπὸ τοῦ δοκιμάσαι πράττομεν, αὐτὸς δὲ χωρὶς δοκιμῆς. οὐκοῦν οὕτω λαλοῦμεν, ὥσπερ εἰκὸς τοὺς ὑπὸ τοῦ Θεοῦ δοκιμασθέντας καὶ πιστευθέντας ἀξίους εἶναι τοῦ εὐαγγελίου. καὶ λαλοῦμεν, οὐχ ὡς ἀνθρώποις ἀρέσκοντες, τουτέστιν, οὐ δι' ὑμᾶς ταῦτα πάντα ποιοῦμεν. ἐπειδὴ * παρακαλῶν αὐτοὺς ἐπῄνεσεν, ἵνα μὴ εἰς ὑπόνοιαν ἀγάγῃ τὸν λόγον, φησίν· (ἴσ. ἐπεὶ δὲ * γὰρ)

5 Οὔτε γάρ ποτε ἐν λόγῳ κολακείας ἐγενήθημεν, καθὼς οἴδατε, οὔτε ἐν προφάσει πλεονεξίας (ὁ Θεὸς μάρτυς)

6 Οὔτε ζητοῦντες ἐξ ἀνθρώπων δόξαν, οὔτε ἀφ' ὑμῶν, οὔτε ἀπ' ἄλλων, δυνάμενοι ἐν βάρει εἶναι ὡς Χριστοῦ ἀπόστολοι. Οὔτε γάρ ποτε ἐν λόγῳ κολακείας ἐγενήθημεν, φησὶ, τουτέστιν, οὐκ ἐκολακεύσαμεν, ὅπερ ἐστὶ τῶν ἀπατώντων, τῶν βουλομένων καταχεῖν καὶ κρατῆσαι. οὐκ ἔστιν εἰπεῖν ὅτι ἐκολακεύσαμεν, ἵνα κρατήσωμεν· οὐδὲ ὅτι χρημάτων ἕνεκεν ἐπὶ τοῦτο ἥκομεν. τούτου λοιπὸν, ὅπερ ἦν δῆλον, αὐτοὺς καλεῖ μάρτυρας. εἰ ἐκολακεύσαμεν, ὑμεῖς οἴδατε, φησίν. ὅπερ δὲ ἄδηλον ἦν, τὸ, εἰ τρόπῳ πλεονεξίας, Θεὸν καλεῖ μάρτυρα. οὔτε ζητοῦντες ἐξ ἀνθρώπων δόξαν, οὔτε ἀφ' ὑμῶν, οὔτε ἀπ' ἄλλων, δυνάμενοι ἐν βάρει εἶναι ὡς Χριστοῦ ἀπόστολοι· τουτέστιν, οὔτε τιμὰς ἐπιζητοῦντες, καὶ κομπάζοντες, καὶ δορυφορούμενοι. καίτοι εἰ καὶ τοῦτο εἰργασάμεθα, οὐδὲν ἀλλότριον ἐποιοῦμεν. εἰ γὰρ παρὰ βασιλέων ἀπο-

στελλόμενοι

ἐξελήλυθεν. ὅρα πῶς ὡς περὶ ἐμψύχου διαλεγόμενος τοῦ, ἐξελήλυθε, τέθεικε. τοῦτο δὲ καὶ ἀπὸ τῆς σφοδρότητος αὐτῶν γέγονεν. Εἶτα δηλῶν ὅτι οὕτω τὴν πίστιν αὐτῶν σφοδρὰν καὶ ἐνεργῆ ἐπεδείξαντο, ἐπάγει· ὥστε μὴ χρείαν ἡμᾶς ἔχειν λαλεῖν τι. αὐτοὶ γὰρ περὶ ἡμῶν ἀπαγγέλλουσιν ὁποίαν εἴσοδον ἔσχομεν πρὸς ὑμᾶς. *οὐ περιμένουσιν ἀκοῦσαι περὶ ὑμῶν, ἀλλὰ τοὺς παρόντας καὶ τεθεαμένους τὰ ὑμέτερα κατορθώματα τοὺς μὴ παρόντας μηδὲ τεθεαμένους προλαμβάνουσιν. οὕτω δήλη πανταχοῦ γέγονε ταῖς ἀκοαῖς. οὐκοῦν οὐ δυνησόμεθα τὰ ὑμέτερα διηγούμενοι, εἰς ζῆλον αὐτοὺς ἀγαγεῖν τοὺς ἴσους. ἃ γὰρ αὐτοὺς ἐχρῆν παρ' ἡμῶν ἀκούειν, ταῦτα αὐτοὶ προλαβόντες λέγουσι. καίτοιγε πολλαχοῦ ἐπὶ τῶν τοιούτων φθόνος ἐστίν. ἀλλ' ἡ ὑπερβολὴ καὶ "τοῦτον ἐνίκησε, καὶ αὐτοὶ κήρυκές εἰσι τῶν ὑμετέρων ἄθλων. καίτοι ἀπολιμπανόμενοι, οὐδὲ οὕτω σιγῶσιν, ἀλλὰ προφθάνουσι. τοιούτοις δὲ οὖσιν οὐκ ἔστιν ἡμῖν λέγουσιν ἀπιστῆσαι. τί ἐστιν, ὁποίαν εἴσοδον ἔσχομεν πρὸς ὑμᾶς; ὅτι κινδύνων ἐγέμομεν, ὅτι "θανάτων μυρίων, ὅτι τούτων οὐδὲν ὑμᾶς ἐτάραξεν· ἀλλ', ὡς οὐδενὸς γινομένου, οὕτως ἡμᾶς εἴχετε· ὡς οὐδὲν παθόντας κακόν, ἀλλ' ὡς μυρίων ἀπολαύσαντας ἀγαθῶν, οὕτως ἡμᾶς ἐδέξασθε μετὰ ταῦτα. δευτέρα γὰρ ἦν εἴσοδος αὕτη. οἱ δὲ ἀπῆλθον εἰς Βέῤῥοιαν, ἐδιώχθησαν. καὶ μετὰ ταῦτα ἐλθόντας αὐτοὺς οὕτως ἐδέξαντο, ὡς τιμηθῆναι καὶ παρ' αὐτῶν, ὥστε καὶ τὴν ψυχὴν αὐτῶν ὑπὲρ αὐτῶν ἔθηκαν. τὸ δὲ, ὁποίαν εἴσοδον ἔσχομεν, συμπεπλεγμένον ἐστί· καὶ τούτων γὰρ, καὶ αὐτῶν ἔχει ἐγκώμιον. ἀλλ' αὐτὸς τοῦτο ἔτρεψεν εἰς τὸ αὐτῶν. καὶ πῶς ἐπεστρέψατε, φησι, πρὸς τὸν Θεὸν ἀπὸ τῶν εἰδώλων δουλεύειν Θεῷ ζῶντι καὶ ἀληθινῷ; τουτέστιν, ὅτι εὐκόλως, ὅτι μετὰ πολλῆς τῆς σφοδρότητος, ὅτι οὐκ ἐδεήθητε πολλῆς πραγματείας εἰς τὸ δουλεύειν Θεῷ ζῶντι καὶ ἀληθινῷ. ἐνταῦθα καὶ παραίνεσιν εἰσήγαγεν, ὅπερ ἐστὶν ἀνεπαχθέστερον τὸν λόγον ποιοῦντος. καὶ ἀναμένειν, φησὶ, τὸν υἱὸν αὐτοῦ ἐκ τῶν οὐρανῶν (ὃν ἤγειρεν ἐκ τῶν νεκρῶν) Ἰησοῦν τὸν ῥυόμενον ἡμᾶς ἀπὸ τῆς ὀργῆς τῆς ἐρχομένης. καὶ ἀναμένειν φησὶ τὸν υἱὸν αὐτοῦ ἐκ τῶν οὐρανῶν, τὸν ἐσταυρωμένον, τὸν ταφέντα. διὸ καὶ τοῦτο δηλῶν ἐπάγει, ὃν ἤγειρεν ἐκ τῶν νεκρῶν. εἶδες ὁμοῦ πάντα, καὶ τὴν ἀνάστασιν, καὶ τὴν ἀνάληψιν, καὶ τὴν δευτέραν παρουσίαν, τὴν κρίσιν, τὴν τῶν δικαίων ἀνταπόδοσιν, τὴν τῶν πονηρῶν τιμωρίαν; Ἰησοῦν τὸν ῥυόμενον ἡμᾶς, φησιν, ἀπὸ τῆς ὀργῆς τῆς ἐρχομένης. τοῦτο καὶ παραμυθία, καὶ παράκλησις, καὶ προτροπὴ ἐκείνων. εἰ γὰρ ἤγειρεν ἐκ τῶν νεκρῶν, καὶ ἐν οὐρανῷ ἐστι, καὶ ἐκεῖθεν ἐλεύσεται. τοῦτο δὲ οὕτως ἔχειν ἐπιστεύσατε. οὐ γὰρ ἂν εἰ μὴ ἐπιστεύσατε, τοσαῦτα ἐπάθετε. ἱκανὴ παραμυθία καὶ ταῦτα. εἰ δὲ καὶ δώσουσι πάντως οὗτοι δίκην, ὅπερ δὴ καὶ ἐν τῇ δευτέρᾳ ἐπιστολῇ φησιν, ἑτέραν καὶ ὑμεῖς ἕξετε παραμυθίαν οὐ μικράν. ἄλλως δὲ, καὶ ἀναμένειν εἶπε τὸν υἱὸν αὐτοῦ ἐκ τῶν οὐρανῶν, δηλῶν ὅτι τὰ μὲν δεινὰ ἐν χερσὶ, τὰ δὲ χρηστὰ ἐν μέλλουσιν, ὅταν ὁ Χριστὸς ἀπὸ τῶν οὐρανῶν ἔλθῃ. ὅρα πόσης δεῖται ἐλπίδος, ὅτι ὁ σταυρωθεὶς ἠγέρθη, ὅτι ἀνελήφθη εἰς τοὺς οὐρανοὺς, ὅτι ἔρχεται κρῖναι ζῶντας καὶ νεκρούς. β. Θεσ. α. 8.

1 Αὐτοὶ γὰρ οἴδατε, ἀδελφοὶ, τὴν εἴσοδον ἡμῶν τὴν πρὸς ὑμᾶς, ὅτι οὐ κενὴ γέγονεν. κεφ. β.

2 Ἀλλὰ προπαθόντες καὶ ὑβρισθέντες, καθὼς οἴδατε, ἐν Φιλίπποις, ἐπαῤῥησιασάμεθα ἐν τῷ Θεῷ ἡμῶν λαλῆσαι πρὸς ὑμᾶς τὸ εὐαγγέλιον τοῦ Θεοῦ ἐν πολλῷ ἀγῶνι.

Μεγάλα μὲν καὶ τὰ ὑμέτερα· πλὴν ἀλλ' οὐδὲ ἡμεῖς ἀνθρωπίνῳ λόγῳ ἐχρησάμεθα. [ἀλλ'] ὅπερ ἄνω" φησὶ, τοῦτο καὶ ἐνταῦθα, ὅτι ἀμφοτέρωθεν δείκνυται τὸ κήρυγμα οἷόν ἐστιν, ἀπό τε τῶν σημείων, ἀπό τε τῆς τῶν κηρυττόντων προαιρέσεως, ἀπό τε τῆς τῶν δεχομένων θερμότητος καὶ σπουδῆς. αὐτοὶ γὰρ οἴδατε, φησι, τὴν εἴσοδον ἡμῶν τὴν πρὸς ὑμᾶς, ὅτι οὐ κενὴ γέγονε· τουτέστιν, ὅτι οὐκ ἀνθρωπίνη, οὐδὲ ἡ τυχοῦσα. ἀπὸ γὰρ κινδύνων ὄντες μεγάλων, καὶ θανάτων, καὶ πληγῶν, εὐθέως εἰς κινδύνους ἐνεπέσομεν. ἀλλὰ προπαθόντες, φησὶ, καὶ ὑβρισθέντες, καθὼς οἴδατε ἐν Φιλίπποις, ἐπαῤῥησιασάμεθα ἐν τῷ Θεῷ ἡμῶν.

*τοπίον.

χ. τοῦτ

χ. θαυμάτων

χ. ἄνω.

Γεν. ϛ. θ. Ἰωβ. α. περὶ τοῦ Νῶε δὲ λέγει, Δίκαιος, τέλειος ἐν τῇ γενεᾷ αὐτοῦ ἦν Νῶε· καὶ περὶ τοῦ Ἰὼβ, ἄμεμπτος, δίκαιος, ἀληθινός, θεοσεβής. τούτους οὖν ζηλῶσαι, καὶ Δανιὴλ, ὃν καὶ Θεὸν ἐνόμισαν οἱ Χαλδαῖοι, οὐκ ἐξελεῖν ἰσχύσαι φησὶν υἱοὺς αὐτῶν καὶ θυγατέρας. Ταῦτα τοίνυν εἰδότες, μήτε καταφρονῶμεν τῶν εὐχῶν τῶν ἁγίων, μήτε τὸ πᾶν αὐταῖς ἐπιρρίψωμεν· τοῦτο μὲν, ἵνα μὴ ῥᾳθυμῶμεν, καὶ εἰκῆ ζῶμεν· ἐκεῖνο δὲ, ἵνα μὴ πολλοῦ κέρδους ἐκπέσωμεν. ἀλλὰ καὶ παρακαλῶμεν εὔχεσθαι ὑπὲρ ἡμῶν καὶ χεῖρα ὀρέγειν, καὶ αὐτοὶ ἐχώμεθα τῆς ἀρετῆς· ἵνα δυνηθῶμεν ἐπιτυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. β. 8 ΑΦ' ΥΜΩΝ ΓΑΡ ΕΞΗΧΗΤΑΙ Ο ΛΟΓΟΣ ΤΟΥ Κυρίου, οὐ μόνον ἐν τῇ Μακεδονίᾳ καὶ Ἀχαΐᾳ, ἀλλὰ καὶ ἐν παντὶ τόπῳ ἡ πίστις ὑμῶν ἡ πρὸς τὸν Θεὸν ἐξελήλυθεν, ὥστε μὴ χρείαν ἡμᾶς ἔχειν λαλεῖν τι.
9 Αὐτοὶ γὰρ περὶ ἡμῶν ἀπαγγέλλουσιν ὁποίαν εἴσοδον ἔχομεν πρὸς ὑμᾶς, καὶ πῶς ἐπεστρέψατε πρὸς τὸν Θεὸν ἀπὸ τῶν εἰδώλων, δουλεύειν Θεῷ ζῶντι καὶ ἀληθινῷ,
10 Καὶ ἀναμένειν τὸν υἱὸν αὐτοῦ ἐκ τῶν οὐρανῶν (ὃν ἤγειρεν ἐκ τῶν νεκρῶν) Ἰησοῦν τὸν ῥυόμενον ἡμᾶς ἀπὸ τῆς ὀργῆς τῆς ἐρχομένης.

Καθάπερ μύρον εὐῶδες τὴν εὐωδίαν οὐκ ἐν ἑαυτῷ συγκλεῖσαι ἔχει, ἀλλὰ πόρρωθεν ἀφίησι, καὶ τὸν ἀέρα ἀναχρῶσαι τῆς ὀσμῆς, οὕτως ἐνεῖναι καὶ ταῖς τῶν πλησίον αἰσθήσεσιν· οὕτω δὴ καὶ οἱ γενναῖοι καὶ θαυμαστοὶ ἄνδρες οὐκ ἐν ἑαυτοῖς τὴν ἀρετὴν συγκλείσαντες ἔχουσιν, ἀλλὰ πολλοὺς διὰ τῆς φήμης αὐτῶν ὠφελοῦσι καὶ ἀμείνους ἐργάζονται. ὅπερ οὖν καὶ τότε γεγένηται. διὰ τοῦτο ἔλεγεν· ὥστε ὑμᾶς τύπους γενέσθαι πᾶσι τοῖς πιστεύουσιν ἐν Ἀχαΐᾳ καὶ τῇ Μακεδονίᾳ. ἀφ' ὑμῶν γὰρ, φησιν, ἐξήχηται ὁ λόγος τοῦ Κυρίου, οὐ μόνον ἐν τῇ Μακεδονίᾳ καὶ Ἀχαΐᾳ, ἀλλὰ καὶ ἐν παντὶ τόπῳ ἡ πίστις ὑμῶν ἡ πρὸς τὸν Θεὸν ἐξελήλυθε. τῆς μὲν οὖν παιδεύσεως τοὺς πλησίον πάντας ἐνεπλήσατε, φησι, τοῦ δὲ θαύματος τὴν οἰκουμένην. τὸ γὰρ ἐν παντὶ τόπῳ, τοῦτό ἐστι. καὶ οὐκ εἶπε, διατεθρύλληται ἡ πίστις ὑμῶν, ἀλλ', ἐξήχηται, δηλῶν ὅτι ὥσπερ σάλπιγγος λαμπρὸν ἠχούσης ὁ πλησίον ἅπας πληροῦται τόπος, οὕτω τῆς ὑμετέρας ἀνδρείας ἡ φήμη, καθάπερ ἐκείνη σαλπίζουσα, ἱκανὴ τὴν οἰκουμένην ἐμπλῆσαι, καὶ πᾶσι τοῖς πανταχοῦ μετὰ τῆς ἴσης ἠχῆς προσπεσεῖν. τὰ γὰρ μεγάλα τῶν πραγμάτων ἔνθα μὲν ἂν γένηται λαμπρότερον ᾄδεται, πόρρω δὲ ᾄδεται μὲν, οὐχ οὕτω δέ· ἀφ' ὑμῶν δὲ οὖν οὐχ οὕτως, ἀλλ' ἡ ἠχὴ εὔσημος πανταχοῦ τῆς γῆς ἐξελήλυθε. καὶ μή τις ὑπερβολῆς εἶναι νομίσῃ τὰ ῥήματα. καὶ γὰρ τοῦτο τὸ ἔθνος τὸ τῶν Μακεδόνων πρὸ τῆς τοῦ Χριστοῦ παρουσίας ἐπίσημον ἦν, καὶ πανταχοῦ ᾔδετο Ῥωμαίων μᾶλλον. καὶ Ῥωμαῖοι διὰ τοῦτο θαυμαστοὶ, ὅτι τούτους εἷλον. ἃ γὰρ ὁ Μακεδόνων βασιλεὺς εἰργάσατο, πάντα ὑπερέβαινε λόγον, ἀπὸ μικρᾶς μὲν ὁρμηθεὶς πόλεως, τὴν δὲ οἰκουμένην καταλαβών. διὰ τοῦτο καὶ πάρδαλιν αὐτὸν ὁρᾷ ὁ προφήτης, τὸ τάχος, καὶ τὸ σφοδρὸν, καὶ τὸ πυρῶδες, καὶ τὸ ἄφνω που διαπτῆναι τὴν οἰκουμένην μετὰ τροπαίων καὶ νίκης δηλῶν. Δαν. ζ. ϛ. λέγουσι δὲ, ὅτι καὶ φιλοσόφου τινὸς ἀκούσας λέγοντος, ὅτι ἄπειροι κόσμοι εἰσί, πικρὸν ἐστέναξεν, εἴγε ἀπείρων ὄντων, μηδὲ ἑνός πω κεκράτηκεν. οὕτως ἦν μεγαλόφρων καὶ μεγαλόψυχος, καὶ πανταχοῦ τῆς οἰκουμένης ᾔδετο. τῇ γοῦν τοῦ βασιλέως φήμῃ συνανῄει καὶ ἡ τοῦ ἔθνους δόξα. Ἀλέξανδρος γὰρ ὁ Μακεδὼν ἐλέγετο. ὥστε διαβοωμένου ἐκείνου, εἰκότως καὶ τὰ ἐκεῖ γενόμενα πανταχοῦ ᾄδεσθαι. τῶν γὰρ ἐπισήμων οὐδὲν δύναται λαθεῖν. οὐχ ἧττον οὖν τῶν Ῥωμαίων τὰ Μακεδόνων ἦν. ἡ πίστις ὑμῶν ἡ πρὸς τὸν Θεὸν, φησιν, ἐξελήλυθεν.

γρ. ἐνεδιδῶμεν.

γρ. ὑπερχομ.

κατὰ τὸ τῆς εὐωδίας ἐν ἑαυτῷ συγκλεῖσαι ἔχει, ἀλλ' ἀναχεῖν τὸν παρακείμενον ἀέρα καὶ τῆς ὀσμῆς πληρῶσαι, οὕτω καὶ ταῖς τῶν πόρρωθεν καὶ τῶν πλησίον αἰσθήσεσι τὴν εὐωδίαν ἐνιέναι.

γρ. πλησίου

γάλα. ἀλλ' ὅταν καὶ ἡμεῖς προστεθῶμεν τι, συμπροστίθενται μὲν γὰρ εὐχαὶ καὶ βοηθοῦσι. συμπροστίθει δέ τις καὶ βοηθεῖ τῷ καὶ αὐτῷ ἐργαζομένῳ· ἂν δὲ ἀργὸς μένῃς, οὐδὲν μέγα ὠφεληθήσῃ. ἐπεὶ εἰ ἴσχυον αἱ εὐχαὶ ἀργοῦντας ἡμᾶς εἰσαγαγεῖν εἰς τὴν βασιλείαν, διὰ τί μὴ πάντες Ἕλληνες γίνονται χριστιανοί; οὐχὶ ὑπὲρ παντὸς τοῦ κόσμου εὐχόμεθα; οὐχὶ καὶ Παῦλος τοῦτο ἐποίει; οὐχὶ πάντας ἀξιοῦμεν ἐπιστραφῆναι; εἰπὲ γάρ, διὰ τί οἱ πονηροὶ μὴ γίνονται χρηστοί; ἆρα οὐχὶ δῆλον, ὅτι διὰ τὸ μὴ δύνασθαι παρ' ἑαυτῶν τι εἰσενεγκεῖν; [χ. ἐὰν μὴ παρ' ἑαυτῶν τι εἰσενέγκωσι· χ. ὅσον] μεγάλα τοίνυν ὠφελοῦσιν αἱ εὐχαί, ὅταν καὶ ἡμεῖς τὰ παρ' ἑαυτῶν εἰσφέρωμεν. βούλει μαθεῖν ὅσα ὠφέλησαν εὐχαί; ἐννόει μοι τὸν Κορνήλιον, τὴν Ταβιθάν. [Πραξ. ι. γ.] [Πραξ. θ. λς.] ἄκουε δὲ καὶ τοῦ Ἰακὼβ λέγοντος πρὸς τὸν Λάβαν· Εἰ μὴ ὁ φόβος τοῦ πατρός μου ἦν μοι, νῦν ἄν με κενὸν ἐξαπέστειλας. [Γεν. λα. μβ.] ἄκουε δὲ καὶ τοῦ Θεοῦ πάλιν λέγοντος· Ὑπερασπιῶ τῆς πόλεως ταύτης δι' ἐμέ, καὶ διὰ Δαβὶδ τὸν παῖδά μου. [δ. Βασ. ιθ. λδ. καὶ κ. ς.] ἀλλὰ πότε; ἐπὶ Ἐζεκίου δικαίου ὄντος. ἐπεὶ εἴγε ἴσχυον εὐχαί, καὶ ἐπὶ τῶν σφόδρα πονηρῶν, [χ. σφοδρῶν] διὰ τί μὴ καί, ὅτε ὁ Ναβουχοδονόσορ ἦλθεν, εἶπε τοῦτο ὁ Θεός, ἀλλ' ἐξέδωκε τὴν πόλιν; ἐπειδὴ μεῖζον ἴσχυσεν ἡ πονηρία. πάλιν αὐτός ἐστιν ὁ Σαμουὴλ ηὔξατο ὑπὲρ τῶν Ἰσραηλιτῶν, καὶ ἴσχυσεν. ἀλλὰ πότε; ὅτε καὶ αὐτοὶ εὐηρέστουν, τότε ἐτροπώσαντο τοὺς ἐχθρούς. καὶ τίς χρεία, φησί, τῆς παρ' ἑτέρου εὐχῆς, [χ. ἑτέρων] ὅταν ἐγὼ εὐαρεστῶ; μηδέποτε τοῦτο εἴπῃς, ἄνθρωπε. χρεία, καὶ πολλῆς χρεία εὐχῆς. ἄκουε γὰρ τοῦ Θεοῦ λέγοντος περὶ τῶν φίλων τοῦ Ἰώβ· Καὶ προσεύξεται, φησί, περὶ ὑμῶν, καὶ ἀφεθήσεται ὑμῖν ἡ ἁμαρτία· [Ιωβ. μβ. η.] ἐπειδὴ ἥμαρτον μέν, οὐχ ἁμαρτίαν δὲ μεγάλην. ἀλλ' αὐτὸς ἐστὶν ὁ δίκαιος ὁ σώσας τοὺς φίλους αὐτοῦ τότε ἀπὸ εὐχῆς, ἐν δὲ τῷ καιρῷ τῷ Ἰουδαϊκῷ οὐκ ἠδυνήθη σῶσαι τοὺς Ἰουδαίους ἀπολλυμένους. καὶ ἵνα μάθῃς, ἄκουε τοῦ Θεοῦ λέγοντος διὰ τοῦ προφήτου· Ἂν στῇ Νῶε, καὶ Ἰώβ, καὶ Δανιήλ, οὐκ ἐξελοῦνται τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας· [Ιεζεκ. ιδ. ιδ.] ἐπειδὴ ὑπερίσχυσεν ἡ κακία. καὶ πάλιν· Ἐὰν στῇ Μωϋσῆς καὶ Σαμουήλ. [Ιερ. ιε. α.] καὶ ὅρα πῶς πρὸς τοὺς δύο προφήτας τοῦτο λέγεται, ἐπειδὴ ἀμφότεροι ἠξίωσαν ὑπὲρ αὐτῶν, καὶ οὐκ ἐπέτυχον. καὶ γὰρ ὁ Ἰεζεκιὴλ ἐπειδὴ ἔλεγεν, Οἴμοι, Κύριε, ἐξαλείφεις σὺ τὸ κατάλοιπον τοῦ [Ιεζεκ. θ. η.] Ἰσραήλ· ὁ Θεὸς δηλῶν ὅτι δικαίως τοῦτο ποιεῖ, καὶ οὐκ αὐτοῦ καταφρονῶν, οὐ δέχεται τὴν ὑπὲρ αὐτῶν ἱκεσίαν, δείκνυσιν αὐτῷ τὰ ἁμαρτήματα αὐτῶν, μονονουχὶ λέγων, ἱκανὰ μὲν οὖν καὶ ταῦτά σε πεῖσαι ὅτι οὐ καταφρονῶν σου, ἀλλὰ διὰ τὰς ἁμαρτίας αὐτῶν τὰς πολλὰς οὐ δέχομαι τὴν ἱκετηρίαν. ἀλλ' ὅμως ἐπάγει καὶ τοῦτο, Ἐὰν στῇ Νῶε, καὶ Ἰώβ, καὶ Δανιήλ. [Ιεζεκ. ιδ. ιδ.] καὶ εἰκότως ἐκείνῳ μᾶλλον ταῦτα λέγει, ἐπειδὴ ὁ πολλὰ παθὼν, οὗτός ἐστιν. Εἶπές μοι, φησίν, ἐπὶ βολβίτων φαγεῖν, καὶ ἔφαγον· εἶπές μοι, καὶ ἐξυράμην· εἶπές μοι, καὶ ἐπὶ τοῦ ἑνὸς πλευροῦ ἐκοιμήθην· εἶπές μοι δι' ὀπῆς ἐξελθεῖν βασταζόμενον, καὶ ἐξῆλθον· ἔλαβές μου τὴν γυναῖκα, καὶ εἶπές μοι μὴ πενθῆσαι, καὶ οὐκ ἐπένθησα, ἀλλ' ἤνεγκα γενναίως. μυρία ἕτερα εἰργασάμην δι' αὐτούς· καὶ ἐγώ σε ἀξιῶ ὑπὲρ αὐτῶν, καὶ οὐ πείθῃ; δείκνυσι τοίνυν ὁ Θεός, ὅτι οὐ καταφρονῶν αὐτοῦ τοῦτο ποιεῖ, λέγει· κἂν Νῶε, κἂν Ἰώβ, κἂν Δανιὴλ ᾖ, καὶ ὑπὲρ υἱῶν ἀξιώσωσι καὶ θυγατέρων, οὐ πείθομαι. [χ. αὐτά] καὶ τῷ Ἱερεμίᾳ πάλιν ἐλάττονα μὲν πάσχοντι ἀπὸ τῶν τοῦ Θεοῦ προσταγμάτων, πλείονα δὲ ἀπὸ τῆς αὐτῶν πονηρίας, τί φησιν; [Ιερ. ζ. ιζ.] Ἢ οὐχ ὁρᾷς τί οὗτοι ποιοῦσι; ναί, φησι, ποιοῦσιν· ἀλλὰ δι' ἐμὲ ποίησον. διὰ τοῦτό φησι πρὸς αὐτόν· Ἐὰν στῇ Μωϋσῆς [Ιερ. ιε. α.] καὶ Σαμουήλ, Μωϋσῆς ὁ πρῶτος νομοθέτης, ὁ πολλάκις αὐτοὺς ἐξελόμενος κινδύνων, ὁ εἰπών, Εἰ μὲν ἀφῇς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μή, κἀμὲ ἐξάλειψον. [Εξοδ. λβ. λα.] εἰ τοίνυν οὗτος ἦν νῦν, καὶ ταῦτα ἔλεγεν, οὐκ ἂν ἐπέτυχε. καὶ εἰ Σαμουὴλ πάλιν, ὁ καὶ αὐτὸς ἐξελόμενος αὐτούς, ὁ ἐκ πρώτης ἡλικίας θαυμασθείς. πρὸς μὲν γὰρ ἐκεῖνον εἶπεν, ὅτι ὡσανεὶ φίλος πρὸς φίλον, οὕτω διελέχθην, καὶ οὐ δι' αἰνιγμάτων· πρὸς δὲ τοῦτον εἶπεν, ὅτι ἐν πρώτῃ ἡλικίᾳ ὤφθην αὐτῷ, καὶ διὰ τοῦτον δυσωπηθεὶς ἀποκλεισθεῖσαν τὴν προφητείαν ἀνέῳξα. [χ. τοῦτον] Καὶ γὰρ ἦν, [α. Βασ. γ. α.] φησι, ῥῆμα τίμιον, καὶ οὐκ ἦν ὅρασις διαστέλλουσα. ἐὰν οὗτοι τοίνυν στῶσιν, οὐδὲν ὀνήσουσι. καὶ

περὶ

ἐκ φοῦ τῆς τοῦ πυρὸς φύσεως τὸ δροσίζειν, ἀλλὰ τοῦ πνεύματος τοῦ διασυρίζοντος· οὕτω καὶ ἐνταῦθα, οὐ τῆς φύσεως τῆς θλίψεως τὸ τὴν χαρὰν τίκτειν, ἀλλὰ τοῦ διὰ τὸν Χριστὸν πάσχειν, καὶ τοῦ πνεύματος τοῦ δροσίζοντος, καὶ διὰ τῆς καμίνου τὴν πεφρασμένην ἐν ἀνέσει ποιοῦντος. μετὰ χαρᾶς φησιν, οὐχ ἁπλῶς, ἀλλὰ πολλῆς. τοῦτο γάρ ἐστι πνεύματος ἁγίου.

7 Ὥστε γενέσθαι ὑμᾶς τύπους πᾶσι τοῖς πιστεύουσιν ἐν τῇ Μακεδονίᾳ καὶ Ἀχαΐᾳ.

Καίτοι μὲν ἐν ὑστέρῳ ἦλθε πρὸς αὐτούς. ἀλλ᾽ οὕτως ἐλάμψατε, φησιν, ὡς τῶν προλαβόντων γενέσθαι διδάσκαλοι. καὶ τοῦτο ἀποστολικόν. οὐ γὰρ εἶπεν, ὥστε τύπους γενέσθαι πρὸς τὸ πιστεῦσαι, ἀλλὰ τοῖς ἤδη πιστεύουσι τύπος ἐγένεσθε, τουτέστι, πῶς δεῖ πιστεύειν εἰς Θεὸν, ὑμεῖς ἐδιδάξατε, καὶ ἀπὸ προοιμίων εἰς τοὺς ἀγῶνας ἐμβάντες. καὶ ἐν τῇ Ἀχαΐᾳ, φησὶ τουτέστι, τῇ Ἑλλάδι. ὁρᾷς ὅσον ἐστὶ προθυμία; ὅτι χρόνου οὐ δεῖται, οὐδὲ μελλήσεως, οὐδὲ ἀναβολῆς· ἀλλ᾽ ἀρκεῖ προσπεσεῖν μόνον ἑαυτὸν, καὶ πάντα λέλυσται. ὕστεροι γοῦν καὶ οὗτοι ὕστεροι προσελθόντες τῷ κηρύγματι, τῶν προτέρων ἐγένοντο διδάσκαλοι.

ΗΘΙΚΟΝ Μηδεὶς οὖν ἀπογινωσκέτω, κἂν πολλὸν ἀναλώσας χρόνον μηδὲν ἐργασάμενος ᾖ. ἔνεστιν αὐτῷ καὶ διὰ μικροῦ τοσοῦτον ἐργάσασθαι, ὅσον οὐδὲ ἐν τῷ ἔμπροσθεν χρόνῳ. εἰ γὰρ ὁ μηδέπω πιστεύσας τοσοῦτον ἔλαμψεν ἐν ἀρχῇ, πολλῷ μᾶλλον οἱ ἤδη πιστεύσαντες. μηδεὶς πάλιν τοῦτο ἐννοῶν ῥαθυμείτω, μαθὼν ὅτι ἔξον ἐν βραχεῖ χρόνῳ τὸ πᾶν ἀνακτήσασθαι. τὸ γὰρ μέλλον ἄδηλον, καὶ κλέπτης ἐστὶν ἡ ἡμέρα τοῦ Κυρίου, ἀφθέγκτοις ἡμῖν καθεύδουσιν ἐπιτιθεμένη. ἀλλ᾽ ἐὰν μὴ καθεύδωμεν, οὐχ ὡς κλέπτης ἡμῖν ἐπιθήσεται, οὐδὲ ἀπαρασκευάστους ἀπάξει. ἐὰν γὰρ γρηγορῶμεν καὶ νήφωμεν, οὐκ ἔτι ἡμῖν ὡς κλέπτης ἐπιθήσεται, ἀλλ᾽ ὡς ἄγγελος βασιλικὸς καλῶν ἡμᾶς ἐπὶ τὰ ἡτοιμασμένα ἡμῖν ἀγαθά. ἂν δὲ καθεύδωμεν, ὡς κλέπτης ἐφίσταται. μηδεὶς τοίνυν καθευδέτω, μηδεὶς ἀργὸς ἔστω πρὸς ἀρετήν. τοῦτο γάρ ἐστιν ὕπνος. οὐκ ἴστε, ὅταν καθεύδωμεν, πῶς οὐκ ἔστιν ἐν ἀσφαλεῖ τὰ ἡμέτερα; πῶς εὐεπιβούλευτα; ὅταν δὲ γρηγορῶμεν, οὐ δεῖ τοσαύτης ἡμῖν φυλακῆς. ὅταν καθεύδωμεν, καὶ μετὰ πολλῆς φυλακῆς ἀπολλύμεθα πολλάκις· καὶ θύραι, καὶ μοχλοὶ, καὶ φύλακες, καὶ προφύλακες, καὶ ὅμως ἐπεισῆλθεν ὁ κλέπτης. τί δὴ ταῦτα λέγω; ὅτι ἂν γρηγορῶμεν, οὐ δεησόμεθα τῆς ἑτέρων βοηθείας· ἂν δὲ καθεύδωμεν, οὐδὲν ἡμᾶς ἡ ἑτέρων ὀνήσει βοήθεια· ἀλλὰ καὶ μετ᾽ ἐκείνης * ἀπολλύμεθα. καλὸν εὐχῆς ἀπολαύειν τῆς τῶν ἁγίων· ἀλλ᾽ ὅταν καὶ αὐτοὶ ἐνεργοὶ ὦμεν. καὶ τί μοι δεῖ, φησιν, εὐχῆς τῆς παρὰ ἑτέρων, ὅταν ἐνεργὸς ὦ, καὶ μὴ καταστήσω ἐμαυτὸν ἐν χρείᾳ; οὐδὲ ἐγὼ βούλομαι· ἀλλ᾽ ἀεὶ ἐν χρείᾳ ἐσμὲν, ἐὰν εὖ φρονῶμεν. Παῦλος οὐκ εἶπε, τί μοι δεῖ εὐχῆς; καίτοιγε τῶν εὐχομένων οὐκ ὄντων ἀξίων αὐτοῦ, μᾶλλον δὲ οὐδὲ ἴσων· καὶ σὺ λέγεις, τί μοι δεῖ εὐχῆς; Πέτρος οὐκ εἶπε, τί μοι δεῖ εὐχῆς; Εὐχὴ γὰρ ἦν, φησιν, ἐκτενὴς γινομένη ὑπὸ τῆς ἐκκλησίας πρὸς τὸν Θεὸν ὑπὲρ αὐτοῦ· καὶ σὺ λέγεις τί μοι δεῖ εὐχῆς; διὰ τοῦτό σοι δεῖ, ἐπειδὴ νομίζεις μηδὲν δεῖσθαι. κἂν ὡς Παῦλος γένῃ, χρείαν ἔχεις εὐχῆς. μὴ ὕψου σαυτὸν, ἵνα μὴ ταπεινωθῇς. ἀλλ᾽ ὅπερ ἔφην, ἂν μὲν ἐνεργοὶ ὦμεν καὶ αὐτοὶ, ἀνύουσι καὶ αἱ ὑπὲρ ὑμῶν εὐχαί. ἄκουε Παύλου λέγοντος· Οἶδα γὰρ, φησιν, ὅτι τοῦτό μοι ἀποβήσεται εἰς σωτηρίαν διὰ τῆς ὑμῶν δεήσεως καὶ ἐπιχορηγίας τοῦ πνεύματος Ἰησοῦ Χριστοῦ. καὶ πάλιν, Ἵνα ἐκ πολλῶν προσώπων τὸ εἰς ἡμᾶς χάρισμα διὰ πολλῶν εὐχαριστηθῇ ὑπὲρ ἡμῶν [καὶ σὺ λέγεις, τί μοι δεῖ εὐχῆς;] ἂν δὲ ἀργῶμεν, οὐδεὶς ἡμᾶς εὐχόμενος ὀνῆσαι δυνήσεται. τί ὠφέλησεν Ἱερεμίας τοὺς Ἰουδαίους; οὐχὶ τρίτον προσῆλθε τῷ Θεῷ, καὶ τρίτον ἤκουσε, Μὴ προσεύχου, μηδὲ ἀξίου ὑπὲρ τοῦ λαοῦ τούτου, ὅτι οὐκ εἰσακούσομαί σου; τί ὠφέλησε τὸν Σαοὺλ ὁ Σαμουήλ; οὐχὶ μέχρις ἐσχάτης ἡμέρας ἐπένθει περὶ αὐτοῦ, οὐχ ἁπλῶς ηὔχετο μόνον; τί ὠφέλησε τοὺς Ἰσραηλίτας; οὐχὶ ἔλεγεν, Ἐμοὶ δὲ μὴ γένοιτο ἁμαρτεῖν διαλιπόντα εὐχόμενον ὑπὲρ ὑμῶν; οὐχὶ πάντες ἀπώλοντο; οὐδὲν οὖν ὠφελοῦσι, φησιν, αἱ εὐχαί; ὠφελοῦσι καὶ μεγάλα.

Margin notes: γρ. ἐπιτιθ. — * αὐτῆς — γρ. καταστήσω σαυτὸν — Πράξ. ιβ. ε. — Φιλιπ. α. ιθ. — β. Κορ. α. ια. — Ἱερ. ζ. ιϛ. — α. Βασ. ιβ. κγ.

πατέρας ἡμῶν. καλῶς οὕτως εἶπε. ταῦτα γὰρ πάντα ἀπὸ πίστεως καὶ ἐλπίδος. ὥστε οὐ τὴν ἀνδρείαν αὐτῶν μόνον ἐδήλου τὰ γινόμενα, ἀλλ' ὅτι καὶ μετὰ πληροφορίας ἐπίστευον τοῖς ἀποκειμένοις ἐπάθλοις. διὰ γὰρ τοῦτο συνεχώρει ὁ Θεὸς εὐθέως γίνεσθαι διωγμοὺς, ἵνα μή τις εἴπῃ, ὅτι ἁπλῶς καὶ κολακείᾳ τὸ κήρυγμα συνίστατο, καὶ ἵνα τὸ θερμὸν αὐτῶν δειχθῇ, καὶ ὅτι οὐ πεισμονὴ ἀνθρωπίνη, ἀλλὰ Θεοῦ δύναμις ἦν ἡ τὰς τῶν πιστευόντων ψυχὰς πείθουσα, ὥστε καὶ πρὸς θανάτους μυρίους παρεσκευάσθαι, ὅπερ οὐκ ἂν ἦν, εἰ μὴ εὐθέως κατὰ βάθους τὸ κήρυγμα ἐπεπήγει καὶ εἶχεν ἀκλινῶς.

4 Εἰδότες, ἀδελφοὶ ἠγαπημένοι, ὑπὸ Θεοῦ τὴν ἐκλογὴν ὑμῶν,

χ. εἰς — 5 Ὅτι τὸ εὐαγγέλιον ἡμῶν οὐκ ἐγενήθη πρὸς ὑμᾶς ἐν λόγῳ μόνον, ἀλλὰ καὶ ἐν δυνάμει, καὶ ἐν πνεύματι ἁγίῳ, καὶ ἐν πληροφορίᾳ πολλῇ· καθὼς οἴδατε οἷοι ἐγενήθημεν ἐν ὑμῖν δι' ὑμᾶς. Τί ἐστιν ὃ λέγει, οἴδατε οἷοι ἐγενήθημεν ἐν ὑμῖν; ἐνταῦθα καὶ τῶν αὐτοῦ κατορθωμάτων ἅπτεται, ἀλλ' ἐπεσκιασμένως. βούλεται γὰρ περαιτέρω τοῖς ἐκείνων ἐγκωμίοις ἐπεξελθεῖν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἤδειμεν ὅτι τοὺς γενναίους καὶ μεγάλους ἄνδρας, ὅτι τοὺς ἐκλεκτούς· διὰ τοῦτο καὶ ἡμεῖς πάντα ὑπομένομεν δι' ὑμᾶς. τὸ γὰρ, οἷοι ἐγενήθημεν ἐν ὑμῖν, (χ. πάσης) τοῦτό ἐστι δηλοῦντος, ὅτι μετὰ πολλῆς προθυμίας καὶ πολλῆς σφοδρότητος ἕτοιμοί ἐσμεν τὰς ψυχὰς ἡμῶν ἐκδοῦναι δι' ὑμᾶς. καὶ τοῦτο δὲ οὐχ ἡμῖν χάρις, ἀλλ' ὑμῖν, ὅτι ἐκλεκτοί ἐστε. διὰ τοῦτο καὶ ἀλλαχοῦ φησι· Καὶ ταῦτα πάσχω διὰ τοὺς ἐκλεκτούς. ὑπὲρ γὰρ (2 Τιμ. 2.) τῆς τοῦ Θεοῦ ἀγάπης τί οὐκ ἄν τις πάθοι; καὶ εἰπὼν, τὸ αὐτῶν, μονονουχί φησιν· Εἰ γὰρ καὶ ἀγαπητοὶ καὶ ἐκλεκτοὶ, πάντα εἰκότως ὑπομένομεν. οὐ γὰρ δὴ τὸ ἐπαινεῖν αὐτοὺς ἐρρωμένους μόνον, ἀλλὰ καὶ τὸ ὑπομιμνήσκειν, ὅτι καὶ αὐτοὶ τῆς ἐκείνων προθυμίας ἀντίρροποι ἀνδρείαν ἐπεδείξαντο. φησὶ γοῦν·

6 Καὶ ὑμεῖς μιμηταὶ ἡμῶν ἐγενήθητε καὶ τοῦ Κυρίου, δεξάμενοι τὸν λόγον ἐν θλίψει πολλῇ, μετὰ χαρᾶς πνεύματος ἁγίου. Βαβαί, πόσον τὸ ἐγκώμιον; οἱ μαθηταὶ ἐξαίφνης ἐγένοντο διδάσκαλοι. οὐκ ἤκουσαν μόνον τὸν λόγον, ἀλλὰ καὶ πρὸς τὴν αὐτὴν κορυφὴν τῷ Παύλῳ ἔφθασαν. ἀλλ' οὐδὲ τοῦτο πρὸς τὸ ἑξῆς. ἔδει γὰρ ποῦ αὐτοὺς ἀνάγκη λέγειν, μιμηταὶ ἐγένεσθε τοῦ Κυρίου. πῶς; δεξάμενοι τὸν λόγον ἐν θλίψει πολλῇ, μετὰ χαρᾶς πνεύματος ἁγίου. οὐχ ἁπλῶς μετὰ θλίψεως, ἀλλὰ μετὰ πολλῆς. καὶ ἔνεστι τοῦτο ἀπὸ τῶν πράξεων τῶν ἀποστολικῶν μαθεῖν, πῶς ἐπήγειρον τὸν διωγμὸν ἐπ' αὐτούς. (Πραξ. ιζ.) καὶ πάντας, φησὶ, τοὺς πολιτάρχας ἐτάραξαν, καὶ τὴν πόλιν ἀνεστατώσαντο κατ' αὐτῶν. καὶ οὐκ ἔστιν εἰπεῖν, ὅτι ἐθλίβητε μὲν καὶ ἐπιστεύσατε, ἀλγοῦντες δὲ, ἀλλὰ καὶ χαίροντες σφόδρα· ὅπερ καὶ οἱ ἀπόστολοι ἐποίουν, Χαίροντες, φησιν, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ ἀτιμασθῆναι. (Πραξ. ε. μα.) τὸ γὰρ θαυμαστὸν, τοῦτό ἐστιν· εἰ καὶ οὐδὲ ἐκεῖνο μικρὸν, τὸ φέρειν ὅπως δήποτε θλίψεις. τοῦτο δὲ ἤδη τὴν τὴν ἀνθρωπίνην φύσιν ὑπερβαίνοντος ἦν, καὶ ὥσπερ ἀπαθὲς σῶμα ἐχόντων. πῶς δὲ μιμηταὶ τοῦ Κυρίου ἐγένοντο; ὅτι καὶ αὐτὸς πολλὰ παθήματα ὑπομείνας, οὐκ ἤλγει, ἀλλ' ἔχαιρεν. ἑκὼν γὰρ ἐπὶ τοῦτο ἤρχετο. δι' ἡμᾶς ἑαυτὸν ἐκένωσεν, ἔμελλεν ἐμπτύεσθαι καὶ ῥαπίζεσθαι καὶ σταυροῦσθαι, καὶ οὕτως ἔχαιρε ταῦτα πάσχων, ὡς τῷ πατρὶ λέγειν, Δόξασόν με. μετὰ χαρᾶς, φησι, πνεύματος ἁγίου. ἵνα μή τις εἴπῃ, πῶς θλίψεως λέγεις; πῶς (Ιωαν. ιζ. α. ε.) χαρᾶς; πῶς ἀμφότερα εἰς συνῆλθε; ἐπήγαγε· μετὰ χαρᾶς πνεύματος ἁγίου. ἡ θλίψις ἐν τοῖς σωματικοῖς, ἡ χαρὰ ἐν τοῖς πνευματικοῖς. πῶς; τὰ μὲν γινόμενα, λυπηρά· τὰ δὲ ἐξ αὐτῶν τικτόμενα, οὐκέτι. οὐ γὰρ ἀφίησι τὸ πνεῦμα. ὥστε ἔνεστι καὶ πάσχοντα μὴ χαίρειν, ὅταν ὑπὲρ ἁμαρτημάτων τις πάσχῃ· καὶ μαστιζόμενον ἥδεσθαι, ὅταν διὰ τὸν Χριστόν τις πάσχῃ. (χ. ἰξέλιπε) τοιαύτη γὰρ ἡ τοῦ πνεύματος χαρά· ἀντὶ τῶν δοκούντων εἶναι ἀνιαρῶν, ἐκφύει τὴν ἡδονήν. ἔθλιψαν ὑμᾶς, φησι, καὶ ἐδίωξαν, ἀλλ' οὐκ ἀφῆκεν ὑμᾶς τὸ πνεῦμα [οὐδὲ] ἐν ἐκείνοις· ἀλλ' ὥσπερ ἐν πυρὶ ἐδροσίζοντο οἱ παῖδες οἱ τρεῖς, οὕτω καὶ ὑμεῖς ἐν ταῖς θλίψεσιν. ὥσπερ δὲ

ἐκεῖ

σύστημα πολὺ ἦν, οὐ τίθησι τοῦτο. ἐπειδὴ δὲ ὄνομα πλήθους ἐστὶν, ὡς τὰ πολλὰ, τὸ τῆς ἐκκλησίας ὄνομα, καὶ συστήματος ἤδη συγκεκροτημένου, διὰ τοῦτο αὐτοὺς οὕτω καλεῖ. ἐν Θεῷ, φησὶ, πατρὶ, καὶ Κυρίῳ Ἰησοῦ Χριστῷ. τῇ ἐκκλησίᾳ, φησὶ, Θεσσαλονικέων τῇ ἐν Θεῷ. ἰδοὺ πάλιν τὸ, ὁ Θεὸς, ἐπὶ τοῦ πατρὸς, καὶ ἐπὶ τοῦ υἱοῦ. τὸ δὲ, ἐν Θεῷ, φησὶν, ἐπειδὴ πολλαὶ ἐκκλησίαι καὶ Ἰουδαϊκαὶ, καὶ ἑλληνικαὶ ἦσαν. μέγα τὸ ἀξίωμα, καὶ οὐκ ἴσον οὐδὲν, εἰ ἐν Θεῷ ἐστι. γένοιτο τοίνυν καὶ ταύτην τὴν ἐκκλησίαν οὕτω καλεῖσθαι. δέδοικα δὲ μὴ μακρὰν ᾖ τῆς προσηγορίας ταύτης. εἴ τις γὰρ ἁμαρτίας δοῦλος, οὐ δύναται λέγεσθαι ἐν Θεῷ. χάρις ὑμῖν καὶ εἰρήνη. εἶδες εὐθὺς ἀπὸ ἐγκωμίων τὸ προοίμιον τῆς ἐπιστολῆς; εὐχαριστοῦμεν τῷ Θεῷ πάντοτε περὶ πάντων ὑμῶν, μνείαν ὑμῶν ποιούμενοι ἐπὶ τῶν προσευχῶν ἡμῶν. τὸ γὰρ εὐχαριστεῖν τῷ Θεῷ ὑπὲρ αὐτῶν, μαρτυροῦντός ἐστιν αὐτοῖς πολλὴν προκοπὴν, ὅταν μὴ μόνοι ἐπαινῶνται αὐτοὶ, ἀλλὰ καὶ Θεὸς εὐχαριστῆται, ὡς αὐτὸς ἐργασάμενος τὸ πᾶν. διδάσκει δὲ αὐτοὺς καὶ μετριάζειν, μονονουχὶ λέγων, ὅτι τῆς τοῦ Θεοῦ δυνάμεώς ἐστι τὸ πᾶν. τὸ μὲν οὖν εὐχαριστεῖν, τῶν κατορθωμάτων ἕνεκεν τίθησι, τὸ δὲ μεμνῆσθαι αὐτῶν ἐπὶ τῶν προσευχῶν, τῆς ἀγάπης τῆς πρὸς αὐτούς. εἶτα δείκνυσιν ὅτι οὐ μόνον ἐπὶ τῶν προσευχῶν μέμνηται, ἀλλὰ καὶ χωρὶς τῶν εὐχῶν. ὅπερ πολλάκις ποιεῖ, ἀδιαλείπτως, φησὶ, μνημονεύοντες ὑμῶν τοῦ ἔργου τῆς πίστεως, καὶ τοῦ κόπου τῆς ἀγάπης, καὶ τῆς ὑπομονῆς τῆς ἐλπίδος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἔμπροσθεν τοῦ Θεοῦ καὶ πατρὸς ἡμῶν. τί ἐστιν, ἀδιαλείπτως μνημονεύοντες; ἤτοι μνημονεύοντες ἔμπροσθεν τοῦ Θεοῦ καὶ πατρὸς, ἢ τοῦ κόπου τῆς ἀγάπης μνημονεύοντες τοῦ ὄντος ἔμπροσθεν τοῦ Θεοῦ καὶ πατρὸς ἡμῶν. οὐχ ἁπλῶς δὲ εἶπεν, ἀδιαλείπτως μνημονεύοντες, ἀλλ' ὑμῶν. εἶτα πάλιν, ἵνα μὴ νομίσῃς ἁπλῶς μηδὲ τὸ ὑμῶν εἰρῆσθαι, ἐπήγαγεν, ἔμπροσθεν τοῦ Θεοῦ καὶ πατρὸς ἡμῶν. ἐπειδὴ γὰρ οὐδεὶς ἑώρα τῶν ἀνθρώπων τὰ γινόμενα, οὐδεὶς μισθὸν ἀπεδίδου, καὶ τοῦτο προστίθησι, μονονουχὶ λέγων, θαῤῥεῖτε, ἔμπροσθεν τοῦ Θεοῦ κάμνετε. τί ἐστι, τοῦ ἔργου τῆς πίστεως; ὅτι οὐδὲν ὑμῶν περιέκλασε τὴν ἔνστασιν. τοῦτο γὰρ ἔργον πίστεως. εἰ πιστεύεις, πάντα πάσχε· εἰ δὲ μὴ πάσχεις, οὐ πιστεύεις. μὴ γὰρ οὐ τοιαῦτά ἐστι τὰ ἐπηγγελμένα, ὡς καὶ μυρίους θανάτους πείσεσθαι τὸν πιστεύοντα ἀνελέσθαι; οὐρανῶν βασιλεία πρόκειται, καὶ ἀθανασία, καὶ ζωὴ αἰώνιος. ὁ τοίνυν πιστεύων, πάντα πείσεται. ἄρα ἡ πίστις διὰ τῶν ἔργων δείκνυται. Εἰκότως οὖν οὕτως εἶπε δηλῶν, ὅτι οὐχ ἁπλῶς, ἀλλὰ διὰ τῶν ἔργων αὐτὴν ἐπεδείξασθε, διὰ τῆς ἐνστάσεως, διὰ τῆς προθυμίας. καὶ τοῦ κόπου τῆς ἀγάπης. ποῖος γὰρ κόπος τὸ φιλεῖν ἁπλῶς; οὐδείς. τὸ δὲ γνησίως φιλεῖν, κόπος πολύς. ὅταν γὰρ, εἰπέ μοι, μυρία κινῆται τῆς ἀγάπης ἡμᾶς ἀφελκῦσαι βουλόμενα, ἡμεῖς δὲ πρὸς πάντα ἀντιτεινώμεθα, οὐχὶ κόπος ἐστί; τί γὰρ οὐκ ἔπαθον οὗτοι, ὥστε μὴ ἀποστῆναι τῆς ἀγάπης; οὐχὶ ἐπὶ τὴν ὑποδοχὴν Παύλου ἦλθον οἱ πολεμοῦντες τῷ κηρύγματι, καὶ μὴ εὑρόντες αὐτὸν ἔσυρον τὸν Ἰάσονα ἐπὶ τοὺς πολιτάρχας; μικρὸς οὗτος κόπος, εἰπέ μοι, μηδέπω τῶν σπερμάτων παγέντων, τοσοῦτον χειμῶνα φέρειν, τοσούτους πειρασμούς; καὶ ἱκανὰ αὐτὸν ἀπῄτησαν. Καὶ εὐθέως, φησὶ, διὰ νυκτὸς ἐξέπεμψαν τὸν Παῦλον. μικρὸν τοῦτο, εἰπέ μοι; οὐχὶ καὶ ἑαυτὸν ἀντ' ἐκείνου τῷ κινδύνῳ ὑπέθηκε; τοῦτο κόπον φησὶν ἀγάπης, ὅτι οὕτω προσεδέθησαν. καὶ ὅρα πρότερον ἐκείνων λέγει τὰ κατορθώματα, καὶ τότε τὰ ἑαυτοῦ, ἵνα μὴ δόξῃ μεγαληγορεῖν, μηδὲ προλήψει φιλεῖν αὐτούς. καὶ τῆς ὑπομονῆς, φησίν. οὐ γὰρ πρὸς ἕνα χρόνον ὁ διωγμὸς ἐκεῖνος γέγονεν, ἀλλὰ διαπαντὸς, οὐδὲ τῷ διδασκάλῳ μόνον Παύλῳ ἐπολέμουν, ἀλλὰ καὶ τοῖς μαθητευομένοις. εἰ γὰρ πρὸς ἐκείνους οὕτω διέκειντο τοὺς θαύματα ἐργαζομένους, τοὺς αἰδεσίμους, τί οἴει πρὸς τοὺς συνοικοῦντας αὐτοῖς, καὶ συμπολίτας, καὶ ἀθρόον ἀποστάντας; ὅπερ οὖν αὐτοῖς καὶ μαρτυρεῖ λέγων· Ὅτι μιμηταὶ ἐγένεσθε τῶν ἐκκλησιῶν τοῦ Θεοῦ τῶν οὐσῶν ἐν τῇ Ἰουδαίᾳ. καὶ τῆς ἐλπίδος, φησὶ, τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἔμπροσθεν τοῦ Θεοῦ καὶ πατρὸς

χ. ἐν Θεῷ

χρ. εἰκότως οὖν τοῦτο εἶπεν οὐχ ἁπλῶς, ἀλλὰ διὰ τῶν ἔργων αὐτὴν ἐπιδείξασθε.

χ. δυνάμεθα.

Πραξ. ιζ. ε.

Πραξ. ιζ. θ. ι.

α. Θεσ. β. ιδ.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

# ΙΩΑΝΝΟΥ
## ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ
### ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

τοῦ Χρυσοστόμου ἑρμηνεία εἰς τὴν πρὸς Θεσσαλονικεῖς ἐπιστολήν, α.

Λογ. α. 1 ΠΑΥΛΟΣ ΚΑΙ ΣΙΛΟΥΑΝΟΣ ΚΑΙ ΤΙΜΟθεος τῇ ἐκκλησίᾳ Θεσσαλονικέων, ἐν Θεῷ πατρί, καὶ Κυρίῳ Ἰησοῦ Χριστῷ, χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ. κεφ. α.
2 Εὐχαριστοῦμεν τῷ Θεῷ πάντοτε περὶ ὑμῶν, μνείαν ὑμῶν ποιούμενοι ἐπὶ τῶν προσευχῶν ἡμῶν, 3 Ἀδιαλείπτως μνημονεύοντες ὑμῶν τοῦ ἔργου τῆς πίστεως, καὶ τοῦ κόπου τῆς ἀγάπης, καὶ τῆς ὑπομονῆς τῆς ἐλπίδος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἔμπροσθεν τοῦ Θεοῦ καὶ πατρὸς ἡμῶν.

Τί δήποτε Ἐφεσίοις μὲν ἐπιστέλλων, καὶ τὸν Τιμόθεον ἔχων μεθ' ἑαυτοῦ (χ. μεθ' ἑαυτοῦ), οὐχὶ συνέταξεν ἑαυτῷ, καίτοι γνωριζόμενον παρ' αὐτοῖς, καὶ θαυμαζόμενον; Τὴν γὰρ δοκιμὴν αὐτοῦ γινώσκετε, φησὶν, ὅτι ὡς πατρὶ τέκνον σὺν ἐμοὶ ἐδούλευσε. (Φιλιπ. β. κβ.) καὶ πάλιν, Οὐδένα ἔχω ἰσόψυχον, ὅστις γνησίως τὰ περὶ ὑμῶν μεριμνήσει. ἐνταῦθα δὲ συντάττει αὐτὸν ἑαυτῷ. ἐμοὶ δοκεῖ, ὅτι ἔμελλεν αὐτὸν πέμπειν εὐθέως, καὶ περιττὸν ἦν ἐπιστέλλειν τὰ γράμματα ὅσον οὔπω καταληψόμενον. φησὶ γὰρ, Τοῦτον μὲν ἐλπίζω πέμψαι δι' αὐτῆς. (Φιλιπ. β. κγ.) ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλ' ἐπανεληλυθὼς ἦν· ὥστε εἰκότως ἐπιστέλλει. Ἄρτι γὰρ ἐλθόντος Τιμοθέου, φησί, πρὸς ἡμᾶς ἀφ' ὑμῶν. (α. Θεσ. γ. ς.) Διὰ τί δὲ αὐτοῦ προτίθησι τὸν Σιλουανόν, καίτοι μυρία αὐτῷ μαρτυρῶν ἀγαθά, καὶ πάντων αὐτὸν προτιθείς; ἴσως [μὲν] ἀξιοῦντος τοῦτο αὐτοῦ κατὰ πολλὴν ταπεινοφροσύνην, καὶ παρακαλοῦντος. ἐπειδὴ γὰρ τὸν διδάσκαλον ἑώρα οὕτω ταπεινοφρονοῦντα, ὡς τὸν μαθητὴν ἑαυτῷ συντάττειν, πολλῷ μᾶλλον τοῦτο αὐτὸς ἐζήτησεν ἄν. Παῦλος γάρ, φησι, καὶ Σιλουανὸς καὶ Τιμόθεος τῇ ἐκκλησίᾳ Θεσσαλονικέων. οὐδὲν ἐνταῦθα περὶ ἑαυτοῦ τίθησιν, οὐχ, ὁ ἀπόστολος, οὐχ, ὁ δοῦλος. ἐμοὶ δοκεῖ διὰ τὸ νεοκατηχήτους εἶναι τοὺς ἄνδρας, καὶ μηδέπω αὐτοῦ πεῖραν εἰληφέναι, οὐ τίθησι τὸ ἀξίωμα. ἄλλως δὲ καὶ ἀρχὴ τοῦ κηρύγματος ἔτι ἦν τοῦ πρὸς αὐτούς. τῇ ἐκκλησίᾳ, φησί, Θεσσαλονικέων. καλῶς. ἐπεὶ γὰρ εἰκὸς ἦν ὀλίγους εἶναι καὶ οὐδέπω συνεστάναι, διὰ τοῦτο αὐτοὺς παραμυθεῖται διὰ τοῦ ὀνόματος τῆς ἐκκλησίας. (κ. 3) ἔνθα γὰρ πολὺς παρελήλυθε χρόνος, καὶ τὸ τῆς ἐκκλησίας

Digitized by Google

αὐτὴν οὐκ ὠφελήσεις, ἀλλὰ καὶ βλάψεις δούλην ἀντ' ἐλευθέρας ποιοῦσα. οὐ τοσαύτην γὰρ ἀπὸ τῶν χρυσίων καρπώσεται τὴν ἡδονήν, ὅσην ἀπὸ τοῦ δουλεύειν τὴν ἀηδίαν. ἀλλὰ μὴ ζήτει ταῦτα, ἀλλὰ μάλιστα μὲν ὁμότιμον· εἰ δὲ μὴ δυνατόν, πενέστερον μᾶλλον, ἢ εὐπορώτερον. εἴ γε μὴ ἀποδόσθαι δεσπότῃ, ἀλλ' ἐκδοῦναι ἀνδρὶ βούλει τὴν θυγατέρα. ὅταν ἀκριβῶς ἐξετάσῃς τοῦ ἀνδρὸς τὴν ἀρετήν, καὶ μέλλῃς ἐκδιδόναι, παρακάλεσον τὸν Χριστὸν παραγενέσθαι. οὐ γὰρ ἐπαισχυνθήσεται. μυστήριόν ἐστι τῆς αὐτοῦ παρουσίας. μάλιστα μὲν οὕτω καὶ τότε παρακάλει, ὥστε μνηστῆρα τοιοῦτον δοῦναι. μὴ γένῃ τοῦ παιδὸς τοῦ Ἀβραὰμ χείρων, ὃς εἰς τοσαύτην ἀποδημίαν πεμπόμενος, εἶδεν ἔνθα χρὴ καταφυγεῖν. διὸ καὶ πάντων ἐπέτυχεν. ὅταν περιεργάζῃ καὶ ζητῇς τὸν ἄνδρα, εὔχου. εἰπὲ τῷ Θεῷ, ὃν ἂν θέλῃς, σὺ οἰκονόμησον. ἐγχείρισον αὐτῷ τὸ πρᾶγμα, καὶ τιμηθεὶς ταύτῃ παρὰ σοῦ τῇ τιμῇ ἀμείψεταί σε. δύο δὴ ποιεῖν χρή, αὐτῷ τε ἐγχειρίζειν, καὶ τοιοῦτον ζητεῖν, οἷον ἂν αὐτὸς βούλεται, κόσμιον, σώφρονα. ὅταν οὕτω τοὺς γάμους ποιῇς, μὴ περιέλθῃς οἰκίας, κάτοπτρα καὶ ἱμάτια χρωμένη. οὐ γὰρ πρὸς ἐπίδειξιν τὸ πρᾶγμά ἐστιν, οὐδὲ εἰς πομπὴν εἰσάγεις τὴν θυγατέρα· ἀλλὰ φαιδρύνουσα τὴν οἰκίαν τοῖς ἐνοῦσι, κάλει γείτονας, καὶ φίλους, καὶ συγγενεῖς. ὅσους ἂν οἶδας ἐπιεικεῖς, τούτους κάλει· καὶ τοῖς οὖσιν ἀρκεῖσθαι παραίνει. μηδεὶς τῶν ἀπὸ τῆς ὀρχήστρας παρέστω. ἐκεῖ γὰρ δαπάνη περιττὴ καὶ ἄσχημος. κάλεσον τὸν Χριστὸν πρὸ τῶν ἄλλων ἁπάντων. οἶδας διὰ τίνος αὐτὸν καλέσεις; Ὃς ἂν ποιήσῃ, φησίν, ἑνὶ τούτων τῶν ἐλαχίστων, ἐμοὶ ἐποίησε. Ματθ. κε. μ. μὴ νομίσῃς τὸ πρᾶγμα δυσάρεστον εἶναι, τὸ πένητας καλεῖν διὰ τὸν Χριστόν. δυσάρεστον τὸ πόρνας καλεῖν. τὸ γὰρ πένητας καλεῖν, τοῦτο ἀφορμὴ πλούτου, ἐκεῖνο δὲ ἀνατροπῆς. κόσμει τὴν νύμφην μὴ τούτοις τοῖς κοσμίοις τοῖς ἀπὸ τοῦ χρυσοῦ, ἀλλ' ἐπιεικείᾳ καὶ αἰδοῖ καὶ τοῖς συνήθεσιν ἱματίοις, ἀντὶ παντὸς κόσμου χρυσοῦ καὶ ἐμπλεγμάτων, τὸ ἐρυθριᾶν, τὸ αἰσχύνεσθαι περιθεῖσα, καὶ τὸ μὴ ζητεῖν ἐκεῖνα. μηδεὶς ἔστω θόρυβος, μηδεμία ταραχή. καλείσθω ὁ νυμφίος, δεχέσθω τὴν παρθένον. τὰ ἄριστα καὶ τὰ δεῖπνα μὴ μέθης ἔστω πλήρη, ἀλλὰ πνευματικῆς ἡδονῆς. μυρία γὰρ ἐκ τοῦ τοιούτου γάμου ἔσται τὰ καλά, καὶ τὰ τοῦ βίου ἐν ἀσφαλείᾳ. ἐκ δὲ τῶν νῦν γινομένων γάμων (εἴ γε γάμους, ἀλλὰ μὴ πομπὰς αὐτὰ δεῖ καλεῖν) ὅσα τὰ κακά; διελύθησαν αἱ παστάδες, καὶ εὐθέως μέριμνα καὶ φόβος, μή τι παραπέσῃ τῶν κεχρημένων, καὶ διαδέχεται τὴν ἡδονὴν ἀθυμία ἀφόρητος. ἀλλ' αὕτη μὲν τῆς κηδεστρίας ἡ ἀγωνία, μᾶλλον δὲ οὐδὲ αὕτη ἀπήλλακται ἡ νύμφη· τὰ γὰρ μετὰ ταῦτα αὐτῆς τῆς νύμφης ἐστὶν ἅπαντα. τὸ γὰρ ὁρᾶν καταλυόμενα ἅπαντα, ἀθυμίας ὑπόθεσις, τὸ ὁρᾶν ἔρημον τὴν οἰκίαν, κατηφείας ἀφορμή. ἐκεῖ ὁ Χριστός, ἐνταῦθα ὁ Σατανᾶς· ἐκεῖ θυμηδία, ἐνταῦθα φροντίς· ἐκεῖ ἡδονή, ἐνταῦθα λύπη· ἐκεῖ δαπάνη, ἐνταῦθα οὐδὲν τοιοῦτον· ἐκεῖ ἀσχημοσύνη, ἐνταῦθα εὐκοσμία· ἐκεῖ φθόνος, ἐνταῦθα ἀφθονία· ἐκεῖ μέθη, ἐνταῦθα νῆψις, ἐνταῦθα ὑγίεια, ἐνταῦθα σωφροσύνη. ταῦτα δὴ πάντα ἐννοοῦντες, στήσωμεν τὸ κακὸν μέχρι τούτου, ἵνα ἀρέσωμεν τῷ Θεῷ, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν ἐπιτυχεῖν καταξιωθῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ.

χ. ἔδει

σέλγεια καὶ ἡ ἀκολασία. τὸ οὕτω τοὺς γάμους γίνεσθαι [τὸ διαφθείρεσθαι] τὸ πρᾶγμα
Εβρ. ιγ. κδ. διέβαλεν· ἐπεὶ Τίμιος ὁ γάμος, καὶ ἡ κοίτη ἀμίαντος. τί αἰσχύνῃ τοῦ τιμίου; τί ἐρυθριᾷς
ἐπὶ τῷ ἀμιάντῳ; ταῦτα αἱρετικῶν ἐστι*, ταῦτα τῶν τὰς πόρνας ἐπεισαγόντων. διὰ τοῦτο * δόγματα
αὐτὸν ἐκκαθαίρεσθαι βούλομαι, ὥστε ἐπὶ τὴν οἰκείαν εὐγένειαν ἀναγαγεῖν, ὥστε τῶν αἱρετικῶν ἐμ-
φράξαι τὰ στόματα. ὑβρίζεται τὸ τοῦ Θεοῦ δῶρον, ἡ ῥίζα τῆς ἡμετέρας γενέσεως. πολλὴ γὰρ
περὶ τὴν ῥίζαν ἡ κόπρος καὶ ὁ βόρβορος. τοῦτον οὖν ἐκκαθαίρωμεν τῷ λόγῳ. ἀνέχεσθε τοί-
νυν μικρὸν, ἐπεὶ καὶ ὁ βόρβορον κατέχων δυσωδίας ἀνέχεται. βούλομαι δεῖξαι ὅτι οὐ χρὴ ἐπὶ
τούτοις αἰσχύνεσθαι, ἀλλ' ἐπὶ τούτοις οἷς ποιεῖτε· σὺ δὲ ἐπ' ἐκείνοις αἰσχύνεσθαι ἀφεὶς, τούτοις
αἰσχύνῃ· οὐκοῦν τοῦ Θεοῦ καταγινώσκεις τοῦ οὕτω θεσπίσαντος. εἴπω πῶς καὶ μυστήριον
τῆς ἐκκλησίας ἐστίν. ὁ Χριστὸς ἦλθε πρὸς τὴν ἐκκλησίαν, καὶ ἐξ αὐτῆς γέγονε, καὶ αὐτῇ
β. Κορ ια. β. "συνεισῆλθε συνουσίᾳ πνευματικῇ. Ἡρμοσάμην γὰρ ὑμᾶς, φησὶν, ἑνὶ ἀνδρὶ παρθένον ἴσ. συνῆλθε
ἁγνήν. ὅτι δὲ ἐξ αὐτοῦ ἐσμεν, ἄκουε πῶς φησιν· ἐκ τῶν μελῶν αὐτοῦ, καὶ ἐκ τῆς σαρκὸς
αὐτοῦ πάντες ἡμεῖς. ταῦτα δὴ πάντα ἐννοοῦντες, μὴ αἰσχυνώμεθα τὸ τηλικοῦτον μυστήριον.
τύπος τῆς τοῦ Χριστοῦ παρουσίας ἐστὶν ὁ γάμος, σὺ δὲ μεθύεις; εἰπέ μοι, εἰ εἰκόνα εἶδες
τοῦ βασιλέως, ἆρα ἂν αὐτὴν ᾔσχυνες; οὐδαμῶς. δοκεῖ μὲν οὖν ἀδιάφορα εἶναι τὰ περὶ
Εφ. ε. δ. τῶν γάμων γινόμενα, ἔστι δὲ μεγάλων αἴτια κακῶν. πάντα παρανομίας γέμει. Αἰσχρότης
καὶ μωρολογία καὶ εὐτραπελία μὴ ἐκπορευέσθω, φησὶν, ἐκ τοῦ στόματος ὑμῶν· πάντα δὲ
ἐκεῖ, αἰσχρότης καὶ μωρολογία καὶ εὐτραπελία, οὐχ ἁπλῶς, ἀλλὰ μετὰ ἐπιτάσεως. τέ-
χνη γὰρ τὸ πρᾶγμά ἐστι, καὶ ἐγκώμια μεγάλα τοῖς αὐτὴν μετιοῦσι. τὰ ἁμαρτήματα τέ-
χνη γέγονεν. οὐχ ἁπλῶς αὐτὰ μετερχόμεθα, ἀλλὰ μετὰ σπουδῆς, μετὰ ἐπιστήμης· καὶ στρα-
τηγεῖ λοιπὸν ὁ διάβολος τῶν αὐτοῦ" ταγμάτων. ὅπου γὰρ μέθη, ἀκολασία· ὅπου αἰσχρολο- γρ. πραγ.
γία, ὁ διάβολος πάρεστι τὰ παρ' ἑαυτοῦ εἰσφέρων. τούτοις ἑστιώμενος, εἰπέ μοι, μυστήριον
Χριστοῦ τελεῖς, καὶ τὸν διάβολον καλεῖς; τάχα με φορτικὸν εἶναι νομίζετε. καὶ γὰρ καὶ τοῦτο τῆς
διαστροφῆς τῆς πολλῆς, ὅτι καὶ ὁ ἐπιτιμῶν,* γέλωτα ὀφλισκάνει ὡς αὐστηρός. οὐκ ἀκού- * οὐδ' ὧν ὑ-
α. Κορ ι. λα. ετε Παύλου λέγοντος, Πᾶν ὅ,τι ἂν ποιῆτε, εἴτε ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα φεῖ τὸ ἀπο-
εἰς δόξαν Θεοῦ ποιεῖτε; ὑμεῖς δὲ εἰς δυσφημίαν καὶ ἀδοξίαν. οὐκ ἀκούετε τοῦ προφήτου λαύειν,
Ψαλ. β. ια. λέγοντος, Δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ, καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ; ὑμεῖς δὲ διαχεῖσθε.
μὴ γὰρ, οὐκ ἔστι καὶ ἡδέως, καὶ μετὰ ἀσφαλείας; βούλει μελῶν ἀκοῦσαι καλῶν; μάλιστα μὲν οὐδὲ
ἔδει. πλὴν συγκαταβαίνω, εἰ βούλει μὴ τῶν σατανικῶν ἀκούσῃς, ἀλλὰ τῶν πνευ-
ματικῶν. βούλει χορεύοντας ἰδεῖν; ὅρα τῶν ἀγγέλων τὸν χορόν. καὶ πῶς δυνατόν, φησιν,
ἰδεῖν; ἐὰν ταῦτα ἀπελάσῃς, ἐλεύσεται καὶ ὁ Χριστὸς εἰς τοὺς τοιούτους γάμους· τοῦ δὲ Χριστοῦ
παρόντος, καὶ ὁ τῶν ἀγγέλων πάρεστι χορός. ἂν θέλῃς, καὶ νῦν θαύματα ἐργάσεται, καθά-
περ καὶ τότε. ποιήσει καὶ νῦν τὸ ὕδωρ οἶνον· καὶ πολλῷ θαυμασιώτερον, τὴν διαχεομένην ἐπι-
στρέψει τὴν διαρρέουσαν καὶ ψυχρὰν ἐπιθυμίαν, καὶ ἐπὶ τὴν πνευματικὴν μεταστήσει.
τοῦτό ἐστιν ἐξ ὕδατος οἶνον ποιῆσαι. ἔνθα αὐληταὶ, οὐδαμοῦ ὁ Χριστός· ἀλλὰ κἂν εἰσέλ-
θῃ, τὸ πρῶτον ἐκβάλλει τούτους, καὶ τότε θαυματουργεῖ. τί τῆς σατανικῆς πομπῆς ἀηδέ-
στερον, ἔνθα ἄναρθρα πάντα, ἔνθα πάντα ἄσημα; ἂν δέ τι καὶ ἔναρθρον, πάλιν πάντα
αἰσχρὰ, πάντα ἀηδῆ. οὐδὲν τῆς ἀρετῆς ἥδιον, οὐδὲν κοσμιότητος γλυκύτερον, οὐδὲν σε-
μνότητος ποθεινότερον. ποιείτω τις γάμους, οἵους ἐγὼ λέγω, καὶ ὄψεται τὴν ἡδονήν. ποίους
δὲ γάμους, πρόσεχε. πρῶτον μὲν ἄνδρα ζήτει τῇ παρθένῳ ὄντως ἄνδρα καὶ προστάτην,
ὡς σώματι μέλλων ἐπιθήσειν κεφαλὴν, ὡς οὐκ ἀνδράποδον, ἀλλὰ θυγατέρα αὐτῷ
μέλλων παραδώσειν· μὴ χρήματα ζήτει, μὴ γένους λαμπρότητα, μὴ πατρίδος μέγεθος,
πάντα ταῦτα περιττά· ἀλλὰ ψυχῆς εὐλάβειαν, ἐπιείκειαν, τὴν ἀληθῆ σύνεσιν, τοῦ Θεοῦ
τὸν φόβον, εἰ βούλει μεθ' ἡδονῆς τὸ θυγάτριον ζῆν. πλουσιώτερον γὰρ ζητοῦσα, οὐ μόνον
αὐτὴν

παρθένος, ἐν σωφροσύνῃ μενέτω. Ἐν γὰρ Χριστῷ Ἰησοῦ οὔτε δοῦλος, οὔτε ἐλεύθερος. Μὴ γὰρ θέατρόν ἐστιν ὁ γάμος; μυστήριόν ἐστι, καὶ τύπος μεγάλου πράγματος. κἂν αὐτὸν μὴ αἰδῇ, αἰδέσθητι οὗ τύπος ἐστί. Τὸ μυστήριον τοῦτο, φησὶ, μέγα ἐστίν. ἐγὼ δὲ λέγω εἰς Χριστὸν, καὶ εἰς τὴν ἐκκλησίαν. τῆς ἐκκλησίας τύπος ἐστὶ καὶ τοῦ Χριστοῦ, καὶ πόρνας εἰσάγεις; ἂν τοίνυν, φησὶ, μήτε παρθένοι ὀρχῶνται, μήτε γεγαμημέναι, τίς ὀρχήσεται; μηδείς. ποία γὰρ ὀρχήσεως ἀνάγκη; ἐν τοῖς τῶν ἑλλήνων μυστηρίοις αἱ ὀρχήσεις, ἐν δὲ τοῖς ἡμετέροις σιγὴ καὶ εὐκοσμία, αἰδὼς καὶ καταστολή. μυστήριον τελεῖται μέγα· ἔξω αἱ πόρναι, ἔξω οἱ βέβηλοι. πῶς μυστήριόν ἐστι; συνέρχονται, καὶ ποιοῦσιν οἱ δύο ἕνα. διὰ τί, ὅτε μὲν εἰσῄει, οὐκ ὄρχησις, οὐ κύμβαλα, ἀλλὰ πολλὴ σιγὴ, πολλὴ ἡσυχία· ὅταν δὲ συνίωσιν, οὐκ εἰκόνα ἄψυχον, οὐδὲ εἰκόνα τινὸς τῶν ἐπὶ γῆς, ἀλλ' αὐτοῦ ποιοῦντες τοῦ Θεοῦ, τοσοῦτον ἐπεισάγεις θόρυβον, καὶ παραλύεις τοὺς ὄντας, καὶ αἰσχύνεις τὴν ψυχὴν, καὶ θορυβεῖς; ἔρχονται ἓν σῶμα γενησόμενοι. ἰδοὺ πάλιν ἀγάπης μυστήριον. ἂν οἱ δύο μὴ γένωνται ἕν, οὐκ ἐργάζονται πολλοὺς, ἕως ἂν δύο μένωσιν· ὅταν δὲ εἰς ἑνότητα ἔλθωσι, τότε ἐργάζονται. τί μανθάνομεν ἀπὸ τούτου; ὅτι πολλὴ τῆς ἑνώσεως ἡ ἰσχύς. ὁ εὐμήχανος τοῦ Θεοῦ τὸν ἕνα εἰς δύο διεῖλε παρ' ἀρχὰς, καὶ θέλων δεῖξαι ὅτι μετὰ τὸ διαιρεθῆναι καὶ εἷς μένει, οὐκ ἀφῆκεν ἕνα ἀρκεῖν πρὸς τὴν γέννησιν. οὐ γάρ ἐστιν εἷς ὁ οὐδέπω, ἀλλ' ἥμισυ τοῦ ἑνός. καὶ δῆλον, ὅτι οὐ παιδοποιεῖ, καθάπερ καὶ πρότερον. εἶδες τοῦ γάμου τὸ μυστήριον; ἐποίησεν ἐξ ἑνὸς ἕνα, καὶ πάλιν τοὺς δύο τούτους ἕνα ποιήσας, οὕτω ποιεῖ ἕνα· ὥστε καὶ νῦν ἐξ ἑνὸς τίκτεται ἄνθρωπος. γυνὴ γὰρ καὶ ἀνὴρ οὐκ εἰσὶν ἄνθρωποι δύο, ἀλλ' ἄνθρωπος εἷς. καὶ τοῦτο καὶ πολλαχόθεν αὐτὸ πιστώσασθαι ἔστιν· ἀπὸ τοῦ Ἰακώβου, ἀπὸ τῆς Μαρίας τῆς μητρὸς τοῦ Χριστοῦ, ἀπὸ τοῦ λέγειν, Ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς. Γεν. α. κζ. εἰ ὁ μὲν κεφαλὴ, ἡ δὲ σῶμα, πῶς δύο; διὰ τοῦτο ἡ μὲν μαθητοῦ, ὁ δὲ διδασκάλου τάξιν ἐπέχει· ὁ μὲν ἄρχοντος, ἡ δὲ ἀρχομένης. καὶ ἀπ' αὐτῆς δὲ τῆς τοῦ σώματος διαπλάσεως ἴδοι τις ἂν, ὅτι ἕν εἰσιν. ἀπὸ γὰρ τῆς πλευρᾶς γέγονε, καὶ ὥσπερ ἡμίτομα δύο εἰσί. διὰ τοῦτο καὶ βοηθὸν καλεῖ, ἵνα δείξῃ ὅτι ἕν εἰσι. διὰ τοῦτο καὶ πατρὸς καὶ μητρὸς προτιμᾷ τὴν συνοίκησιν, ἵνα δείξῃ ὅτι ἕν εἰσι. καὶ ὁ πατὴρ ὁμοίως χαίρει καὶ θυγατρὸς καὶ υἱοῦ γαμουμένων, ὡς πρὸς οἰκεῖον μέλος ἐπειγομένου τοῦ σώματος. καὶ τοσαύτη δαπάνη γίνεται καὶ χρημάτων ἐλάττωσις, καὶ ὅμως οὐκ ἀνέχεται ἄγαμον περιορᾷν. ὥσπερ γὰρ ἀποσχισθείσης αὐτῇ τῆς σαρκὸς, ἀτελὴς πρὸς παιδοποιΐαν ἑκάτερος, ἀτελής ἐστι πρὸς βίου σύστασιν τοῦ παρόντος ἑκάτερος. διὰ τοῦτο καὶ ὁ προφήτης φησὶν, Ὑπόλειμμα πνεύματός σου. Βασ. δ. β. ιε. πῶς δὲ καὶ γίνονται εἰς σάρκα μίαν; καθάπερ χρυσοῦ τὸ καθαρώτατον ἂν ἀφέλῃς καὶ ἑτέρῳ ἀναμίξῃς χρυσῷ, οὕτω δὴ καὶ ἐνταῦθα, τὸ πιότατον τῆς ἡδονῆς χωνευούσης ἡ γυνὴ δεξαμένη τρέφει καὶ θάλπει, καὶ τὰ παρ' ἑαυτῆς συνεισενεγκαμένη ἀνδρὶ ἀποδίδωσι. καὶ γέφυρά τίς ἐστι τὸ παιδίον· ὥστε οἱ τρεῖς σὰρξ γίνονται μία, τοῦ παιδὸς ἑκατέρωθεν ἑκατέρους συνάπτοντος. ὥσπερ γὰρ εἰ δύο πόλεων οὐσῶν, καὶ ποταμοῦ διόλου διαιροῦντος, μία γίνεται πόλις, γεφύρας ἑκατέρωθεν ἀπολαμβανούσης· οὕτως ἐστὶ κἀνταῦθα, καὶ πλέον. αὐτὴ γὰρ ἡ γέφυρα ἐκ τῆς ἑκατέρων οὐσίας. καὶ ἐγὼ λέγω τοῦτο ἕν εἰσιν, ὡς τὸ σῶμα καὶ κεφαλὴ ἓν σῶμα. τῷ γὰρ τραχήλῳ διαιρεῖται· ἀλλ' οὐ διαιροῦνται μᾶλλον, ἢ συνάπτονται. μέσος γὰρ ὢν ἑκατέρους συνάγει. καὶ ταυτὸν γίνεται, ὥσπερ ἂν εἰ χορὸς διεσπασμένος τὸ μὲν ἐν αὐτῷ μέρος ἐντεῦθεν λαβὼν, τὸ δὲ ἕτερον ἐκ τῆς δεξιᾶς ἕνα ποιήσειεν· ἢ ὥσπερ οἱ συνεσταλμένοι οὗτοι καὶ τὰς χεῖρας ἐκτείνοντες ἓν γίνονται. αἱ γὰρ χεῖρες ἐκταθεῖσαι, οὐκ ἀφιᾶσιν εἶναι δύο. διὰ τοῦτο γοῦν καὶ ἀκριβῶς εἶπεν, οὐκ ἔσονται μία σὰρξ, ἀλλ', Εἰς σάρκα μίαν, τὴν τοῦ παιδὸς συναπτόμενοι δηλονότι. Γεν. β. κδ. τί οὖν, ὅταν παιδίον μὴ ᾖ, οὐκ ἔσονται δύο καὶ τότε; εὔδηλον. ἡ μίξις γὰρ τοῦτο ἐργάζεται, ἀναχέουσα καὶ ἀναμίξασα ἀμφοτέρων τὰ σώματα. καὶ ὥσπερ εἰς ἔλαιον μύρον ἐμβαλὼν, τὸ πᾶν ἐποίησεν ἕν, οὕτω δὴ καὶ ἐνταῦθα. οἶδα ὅτι πολλοὶ αἰσχύνονται τοῖς λεγομένοις· καὶ τούτου αἴτιον, ἡ ἀ-

Marginal references: Γαλ. γ. κη. — Εφεσ. ε. λϐ.

χ. ὡς τοῦ σώματος πάντα τὰ μέλη συναρμολογούμενα πρὸς τὴν κεφαλὴν ἓν γίνεται σῶμα, εἰ καὶ τῷ τραχήλῳ διαιρεῖται. ἴσ. εἰ δύο εἰς

τήν. οὐδὲν ἥδιον ὀφθαλμῶν δεδακρυμένων. ὃ γὰρ εὐσχημονέστερον ἐν ἡμῖν μέλος καὶ ὡραιότερον καὶ τῆς ψυχῆς, τοῦτό ἐστιν. ἅπτεσθαι [ὡς] αὐτὴν τὴν ψυχὴν ὁρῶντες ἀποδυρομένην, οὕτω κατανυττόμεθα. ταῦτα ὑμῖν οὐχ ἁπλῶς εἴρηται, ἀλλ' ὥστε ὑμᾶς μὴ γάμοις, μὴ ὀρχήμασι, μὴ χορείαις παραγίνεσθαι σατανικαῖς. ὅρα γὰρ τί εὗρεν ὁ διάβολος. ἐπειδὴ τῆς σκηνῆς καὶ τῶν ἀσέμνων τῶν ἐκεῖ ἡ φύσις αὐτὴ τὰς γυναῖκας ἀπήγαγεν, εἰς τὴν γυναικωνῖτιν εἰσήγαγε τὰ τοῦ θεάτρου, μαλακοὺς λέγω καὶ πόρνας. ταύτην τὴν λύμην ὁ τῶν γάμων ἐπεισήγαγε νόμος· μᾶλλον δὲ οὐχ ὁ τοῦ γάμου (μὴ γένοιτο) ἀλλὰ τῆς ἡμετέρας βλακείας. τί ποιεῖς, ἄνθρωπε; οὐκ οἶδας τί πράττεις; γυναῖκα ἄγῃ ἐπὶ σωφροσύνῃ καὶ παιδοποιΐᾳ. τί οὖν αἱ πόρναι βούλονται; ἵνα ἡ εὐφροσύνη, φησί, γένηται μείζων. καὶ μὴν ταῦτα οὐκ εὐφροσύνης; ὑβρίζεις τὴν νύμφην, ὑβρίζεις τὰς κεκλημένας. εἰ γὰρ τοιούτοις τέρπονται, ὕβρις τὸ πρᾶγμα. εἰ δὲ γυναῖκας πόρνας ὁρᾶν ἀσχημονούσας φέρει τινὰ φιλοτιμίαν, * διατί μὴ καὶ τὴν νύμφην ἕλκεις, ἵνα κἀκείνη θεωρῇ; πάντως ἄσχημον καὶ αἰσχρὸν, μαλακοὺς ἄνδρας καὶ ὀρχουμένους, καὶ πᾶσαν τὴν πομπὴν τὴν σατανικὴν ἐπεισάγειν τῇ οἰκίᾳ. (* ἀλλ' οὐχ ὑπὲρ τῶν παρόντων,) Μνημονεύετέ μου, φησὶ, τῶν δεσμῶν. δεσμός ἐστιν ὁ γάμος, δεσμὸς ὡρισμένος παρὰ θεοῦ· λύσις ἡ πόρνη, καὶ διάλυσις. ἔξεστιν ἑτέροις φαιδρῦναι τὸν γάμον, οἷον τραπέζαις πληθυούσαις, ἱματίοις. οὐ περικόπτω ταῦτα, ἵνα μὴ δόξω σφόδρα εἶναι ἄγροικος. καίτοι ἤρκεσε τῇ Ῥεβέκκᾳ θέριστροι μόνον· ἀλλ' οὐ περικόπτω. ἔξεστιν ἱματίοις φαιδρύνεσθαι, ἔξεστι παρουσίαις αἰδεσίμων ἀνδρῶν αἰδεσίμων γυναικῶν. ἵνα τί τὰ ἐπιχάρματα ἐκεῖνα, τί τὰ τέρατα ἐπεισάγῃς; εἰπὲ ἃ ἀκούεις παρ' αὐτῶν. ἀλλ' ἐρυθριᾷς εἰπεῖν; σὺ ἐρυθριᾷς, κἀκείνους ἀναγκάζεις ποιεῖν; εἰ καλὸν, διατί μὴ καὶ αὐτὸς ποιεῖς; εἰ δὲ αἰσχρὸν, διατί ἑτέρους ἀναγκάζεις; πάντα σωφροσύνης ἐμπεπλῆσθαι δεῖ, πάντα σεμνότητος, πάντα κοσμιότητος. νῦν δὲ τοὐναντίον ὁρῶ, σκιρτῶντας ὡς αἱ κάμηλοι, ὡς αἱ ἡμίονοι. τῇ παρθένῳ θάλαμος "ἐπιτήδειος μόνον. (γρ. ἐπιτήδειον) ἀλλὰ πενιχρά ἐστι, φησίν. ἐπειδὴ πενιχρά ἐστι, καὶ κόσμιος ὀφείλει εἶναι. ἐχέτω τὸν τρόπον ἀντὶ πλούτου. οὐκ ἔχει προῖκα ἐπιδοῦναι; τί αὐτὴν καὶ ἑτέρως εὐκαταφρόνητον ποιεῖς * ἀπὸ τῆς ἀναστροφῆς; ἐπαινῶ ὅτι παρθένοι παραγίνονται τὴν ὁμήλικα τιμῶσαι, ὅτι παραγίνονται γυναῖκες τὴν εἰς αὐτὰς καταλεχθεῖσαν τιμῶσαι. (* ἐχέτω τὴν αἰδῶ.) καλῶς τοῦτο ὥρισται. δύο γάρ εἰσιν οὗτοι χοροὶ, ὁ τῶν παρθένων, καὶ ὁ τῶν γεγαμημένων. αὗται παραδιδόασιν, ἐκεῖναι δέχονται· ἡ νύμφη μεταξὺ τούτων ἐστὶν, οὔτε παρθένος, οὔτε γυνή. ἐκεῖθεν μὲν γὰρ ἐξέρχεται, ταύτης δὲ ἐπιβαίνει τῆς συμμορίας. αἱ δὲ πόρναι, διατί; δέον αὐτὰς ἐγκαλύπτεσθαι ὅταν γάμος ᾖ, δέον αὐτὰς κατορύττεσθαι. φθορὰ γὰρ γάμου πορνεία· ἡμεῖς δὲ ἄγομεν αὐτὰς εἰς γάμους. καὶ ὅταν μέν τι ποιῆτε, καὶ μέχρι ῥήματος οἰωνίζεσθε τὰ ἐναντία· οἷον, ὅταν ἀπείρῃς, ὅταν ἀπαντλῇς τὸν "ὑπολειπόμενον τὸν οἶνον, τὰ ὀξίνην σημαίνοντα οὐδ' ἂν ἀποκρίναιο· ἐνταῦθα δὲ σωφροσύνης γινομένης, ἐπεισάγεις τὴν ὀξίνην; τοῦτο γὰρ ἡ πόρνη. ὅταν μύρον κατασκευάζητε, οὐδὲν δυσῶδες ἀφίετε πλησιάζειν. μύρον ἐστὶν ὁ γάμος· τί τοίνυν τὴν τοῦ βορβόρου δυσωδίαν ἐπεισάγεις τῇ τοῦ μύρου κατασκευῇ; τί λέγεις; ὀρχεῖται ἡ παρθένος, καὶ οὐκ αἰσχύνεται τὴν ὁμήλικα; ταύτης γὰρ σεμνοτέραν αὐτὴν εἶναι δεῖ. ἐξ ἀγκάλης γε, οὐκ ἐκ παλαίστρας ἐξῆλθε. (γρ. ὑπολειπόμενον καὶ οἶνον μὴ ἐκεῖ τὰ ὄξινον σημαίνοντα ἀποκρίνεις) φαίνεσθαι γὰρ ὅλως ἐν γάμοις τὴν "παρθένον οὐ δεῖ. οὐχ ὁρᾷς ἐν τοῖς βασιλείοις, ὅτι οἱ μὲν τετιμημένοι ἔνδον περὶ τὸν βασιλέα εἰσίν, οἱ δὲ ἄτιμοι ἔξω; καὶ σὺ ἔνδον ἔσο περὶ τὴν νύμφην· ἀλλὰ ἀγνὸς μένε ἐπὶ τῆς οἰκίας, μὴ ἐκπόμπευε τὴν "παρθενίαν. (γρ. ἐν ἔνδον.) (γρ. παρθένον.) παρέστηκεν ἑκάτερος ὁ χορὸς, ὁ μὲν οἷον διδόασι δεξιάς, ὁ δὲ ἵνα ταύτην φυλάττωσι. τί καταισχύνεις τὴν παρθενίαν; εἰ γὰρ σὺ τοιαύτη, τοιαῦτα καὶ περὶ ἐκείνης ὁ νυμφίος ὑποπτεύσει. εἰ σὺ ἐρᾶσθαι θέλεις, παντοπώλιδος καὶ λαχανοπώλιδος καὶ δημιουργοῦ ταῦτα. οὐκ ἔστι ταῦτα αἰσχύνη; αἰσχύνη ἐστὶ δὲ ἀσχημονεῖν, κἂν βασιλέως θυγάτηρ ᾖ. μὴ γὰρ ἡ πενία κωλύει; μὴ γὰρ δὲ ἐπιτήδευμα; κἂν δούλη τις ᾖ

παρθένος,

πατέρες ἡμῶν. καλῶς οὕτως εἶπε. ταῦτα γὰρ πάντα ἀπὸ πίστεως καὶ τῆς ἐλπίδος. ὥστε οὐ τὴν ἀνδρείαν αὐτῶν μόνον ἐδήλου τὰ γινόμενα, ἀλλ' ὅτι καὶ μετὰ πληροφορίας ἐπίστευον τοῖς ἀποκειμένοις ἐπάθλοις. διὰ γὰρ τοῦτο συνεχώρει ὁ Θεὸς εὐθέως γενέσθαι διωγμοὺς, ἵνα μή τις εἴπῃ, ὅτι ἁπλῶς καὶ κολακείᾳ τὸ κήρυγμα συνέστατο, καὶ ἵνα τὸ θερμὸν αὐτῶν δειχθῇ, καὶ ὅτι οὐ πεισμονὴ ἀνθρωπίνη, ἀλλὰ Θεοῦ δύναμις ἦν ἡ τὰς τῶν πιστευόντων ψυχὰς πείθουσα, ὥστε καὶ πρὸς θανάτους μυρίους παρεσκευάσθαι· ὅπερ οὐκ ἂν ἦν, εἰ μὴ εὐθέως κατὰ βάθους τὸ κήρυγμα ἐπεπήγει καὶ εἱστήκει ἀκλινές.

4 Εἰδότες, ἀδελφοὶ ἠγαπημένοι, ὑπὸ Θεοῦ τὴν ἐκλογὴν ὑμῶν,

χ. ἐν 5 Ὅτι τὸ εὐαγγέλιον ἡμῶν οὐκ ἐγενήθη εἰς ὑμᾶς ἐν λόγῳ μόνον, ἀλλὰ καὶ ἐν δυνάμει, καὶ ἐν πνεύματι ἁγίῳ, καὶ ἐν πληροφορίᾳ πολλῇ· καθὼς οἴδατε οἷοι ἐγενήθημεν ἐν ὑμῖν δι' ὑμᾶς. Τί ἐστιν ὃ λέγει, οἴδατε οἷοι ἐγενήθημεν ἐν ὑμῖν; ἐνταῦθα καὶ τῶν αὐτοῦ κατορθωμάτων ἅπτεται, ἀλλ' ἐπεσκιασμένως. βούλεται γὰρ περαιτέρω τοῖς ἐκείνων ἐγκωμίοις ἐπεξελθεῖν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ᾔδειμεν ὅτι τῶν γενναίων ἐστὲ καὶ μεγάλων ἀνδρῶν, ὅτι τῶν ἐκλεκτῶν· διὰ τοῦτο καὶ ἡμεῖς πάντα ὑπομένομεν δι' ὑμᾶς. τὸ γὰρ, οἷοι ἐγενήθημεν ἐν ὑμῖν, τοῦτό ἐστι δηλοῦντος, ὅτι μετὰ πολλῆς προθυμίας καὶ πολλῆς σφοδρότητος ἕτοιμοί ἐσμεν τὰς ψυχὰς ἡμῶν ἐκδοῦναι δι' ὑμᾶς. (χ. πάσης) καὶ τοῦτο δὲ οὐχ ἡμῖν χάρις, ἀλλ' ὑμῖν, ὅτι ἐκλεκτοί ἐστε. διὰ τοῦτο καὶ ἀλλαχοῦ φησι· Καὶ ταῦτα πάσχω διὰ τοὺς ἐκλεκτούς. (β. Τιμ. β. ι.) ὑπὲρ γὰρ τῶν τοῦ Θεοῦ ἀγαπητῶν τί οὐκ ἄν τις πάθοι; καὶ εἰπὼν, τὸ αὐτοῦ, μονονουχί φησιν· εἰ γὰρ καὶ ἀγαπητοὶ καὶ ἐκλεκτοὶ, πάντα εἰκότως ὑπομένομεν. οὐ γὰρ δὴ τὸ ἐπαινεῖν αὐτοὺς ἐρρωμένους μόνον, ἀλλὰ καὶ τὸ ὑπομιμνήσκειν, ὅτι καὶ αὐτοὶ τῆς ἐκείνων προθυμίας ἀντίρροπον ἀνδρείαν ἐπεδείξαντο. φησὶ γοῦν·

6 Καὶ ὑμεῖς μιμηταὶ ἡμῶν ἐγενήθητε καὶ τοῦ Κυρίου, δεξάμενοι τὸν λόγον ἐν θλίψει πολλῇ, μετὰ χαρᾶς πνεύματος ἁγίου. Βαβαὶ, πόσον τὸ ἐγκώμιον; οἱ μαθηταὶ ἐξαίφνης ἐγένοντο διδάσκαλοι. οὐκ ἤκουσαν μόνον τὸν λόγον, ἀλλὰ καὶ πρὸς τὴν αὐτὴν κορυφὴν τῷ Παύλῳ ἔφθασαν. ἀλλ' οὐδὲν τοῦτο πρὸς τὸ ἑξῆς. ὅρα γὰρ πῶς αὐτοὺς ἀνάγει λέγων, μιμηταὶ ἐγένεσθε τοῦ Κυρίου. πῶς; δεξάμενοι τὸν λόγον ἐν θλίψει πολλῇ, μετὰ χαρᾶς πνεύματος ἁγίου. οὐχ ἁπλῶς μετὰ θλίψεως, ἀλλὰ μετὰ πολλῆς. καὶ ἔνεστι τοῦτο ἀπὸ τῶν πράξεων τῶν ἀποστολικῶν μαθεῖν, πῶς ἐπήγειραν τὸν διωγμὸν ἐπ' αὐτούς. (Πράξ. ιζ.) καὶ πάντας, φησὶ, τοὺς πολιτάρχας ἐτάραξαν, καὶ τὴν πόλιν ἀνεστάτωσαν κατ' αὐτῶν. καὶ οὐκ ἔστιν εἰπεῖν, ὅτι ἐθλίβητε μὲν καὶ ἐπιστεύσατε, ἀλγοῦντες δὲ, ἀλλὰ καὶ χαίροντες σφόδρα· ὅπερ καὶ οἱ ἀπόστολοι ἐποίουν, Χαίροντες, φησὶν, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ ἀτιμασθῆναι. (Πράξ. ε. μα.) τὸ γὰρ θαυμαστὸν, τοῦτό ἐστιν· εἰ καὶ οὐδὲ ἐκεῖνο μικρὸν, τὸ φέρειν ὅπως δήποτε θλίψεις. τοῦτο δὲ ἤδη τῶν τὴν ἀνθρωπίνην φύσιν ὑπερβαινόντων ἦν, καὶ ὥσπερ ἀπαθὲς σῶμα ἐχόντων. πῶς δὲ μιμηταὶ τοῦ Κυρίου ἐγένοντο; ὅτι καὶ αὐτὸς πολλὰ παθήματα ὑπέμεινε, καὶ οὐκ ἤλγει, ἀλλ' ἔχαιρεν. ἑκὼν γὰρ ἐπὶ τοῦτο ἤρχετο. δι' ἡμᾶς ἑαυτὸν ἐκένωσεν, ἔμελλεν ἐμπτύεσθαι καὶ ῥαπίζεσθαι καὶ σταυροῦσθαι· καὶ οὕτως ἔχαιρε ταῦτα πάσχων, ὡς τῷ πατρὶ λέγειν, Δόξασόν με. (Ἰωάν. ιζ. α. ε.) μετὰ χαρᾶς, φησὶ, πνεύματος ἁγίου. ἵνα μή τις εἴπῃ, πῶς θλίψεως λέγεις; πῶς χαρᾶς; πῶς ἀμφότερα ἔνι συνελθεῖν; ἐπήγαγε· μετὰ χαρᾶς πνεύματος ἁγίου. ἡ θλίψις ἐν τοῖς σωματικοῖς, καὶ ἡ χαρὰ ἐν τοῖς πνευματικοῖς. πῶς; τὰ μὲν γινόμενα, λυπηρά· τὰ δὲ ἐξ αὐτῶν τικτόμενα, οὐκέτι. οὐ γὰρ ἀφίησι τὸ πνεῦμα. ὥστε ἔνεστι καὶ πάσχοντα μὴ χαίρειν, ὅταν ὑπὲρ ἁμαρτημάτων τις πάσχῃ· καὶ μαστιζόμενον ἥδεσθαι, ὅταν διὰ τὸν Χριστόν τις πάσχῃ. (χ. ἐξάγει) τοιαύτη γὰρ ἡ τοῦ πνεύματος χαρά· ἀντὶ τῶν δοκούντων εἶναι ἀνιαρῶν, ἐκφύει τὴν ἡδονήν. ἔθλιψαν ὑμᾶς, φησὶ, καὶ ἐδίωξαν, ἀλλ' οὐκ ἀφῆκεν ὑμᾶς τὸ πνεῦμα [οὐδὲ] ἐν ἐκείνοις· ἀλλ' ὥσπερ ἐν πυρὶ ἐδροσίζοντο οἱ παῖδες οἱ τρεῖς, οὕτω καὶ ὑμεῖς ἐν ταῖς θλίψεσιν. ὥσπερ δὲ

ἐκεῖ

Digitized by Google

σύστημα πολὺ ἦν, οὐ τίθησι τοῦτο. ἐπειδὴ δὲ ὄνομα πλήθους ἐστὶν, ὡς τὰ πολλὰ, τὸ τῆς ἐκκλησίας ὄνομα, καὶ συστήματος ἤδη συγκεκροτημένου, διὰ τοῦτο αὐτοὺς οὕτω καλεῖ. ἐν Θεῷ, φησὶ, πατρὶ, καὶ Κυρίῳ Ἰησοῦ Χριστῷ. τῇ ἐκκλησίᾳ, φησὶ, Θεσσαλονικέων τῇ ἐν Θεῷ. ἰδοὺ πάλιν τὸ, Θεὸς, ἐπὶ τοῦ πατρὸς, καὶ ἐπὶ τοῦ υἱοῦ. τὸ δὲ, ἐν Θεῷ, φησὶν, ἐπειδὴ πολλαὶ ἐκκλησίαι καὶ Ἰουδαϊκαὶ, καὶ ἑλληνικαὶ ἦσαν. μέγα τὸ ἀξίωμα, καὶ οὐκ ἴσον οὐδὲν, εἰ ἐν Θεῷ ἐστι. γένοιτο τοίνυν καὶ ταύτην τὴν ἐκκλησίαν οὕτω καλεῖσθαι. δέδοικα δὲ μὴ μακρὰν ᾖ τῆς προσηγορίας ταύτης. εἴ τις γὰρ ἁμαρτίας δοῦλος, οὐ δύναται λέγεσθαι ἐν Θεῷ. χάρις ὑμῖν καὶ εἰρήνη. εἶδες εὐθὺς ἀπὸ ἐγκωμίων τὸ προοίμιον τῆς ἐπιστολῆς; εὐχαριστοῦμεν τῷ Θεῷ πάντοτε περὶ πάντων ὑμῶν, μνείαν ὑμῶν ποιούμενοι ἐπὶ τῶν προσευχῶν ἡμῶν. τὸ γὰρ εὐχαριστεῖν τῷ Θεῷ ὑπὲρ αὐτῶν, μαρτυροῦντός ἐστιν αὐτοῖς πολλὴν προκοπὴν, ὅταν μὴ μόνοι ἐπαινῶνται αὐτοὶ, ἀλλὰ καὶ Θεὸς εὐχαριστῆται, ὡς αὐτὸς ἐργασάμενος τὸ πᾶν. διδάσκει δὲ αὐτοὺς καὶ μετριάζειν, μονονουχὶ λέγων, ὅτι τῆς τοῦ Θεοῦ δυνάμεώς ἐστι τὸ πᾶν. τὸ μὲν οὖν εὐχαριστεῖν, τῶν κατορθωμάτων ἕνεκεν τίθησι, τὸ δὲ μεμνῆσθαι αὐτῶν ἐπὶ τῶν προσευχῶν, τῆς ἀγάπης τῆς πρὸς αὐτούς. εἶτα δεικνὺς ὅτι οὐ μόνον ἐπὶ τῶν προσευχῶν μέμνηται, ἀλλὰ καὶ χωρὶς τῶν εὐχῶν. ὅπερ πολλάκις ποιεῖ, ἀδιαλείπτως, φησὶ, μνημονεύοντες ὑμῶν τοῦ ἔργου τῆς πίστεως, καὶ τοῦ κόπου τῆς ἀγάπης, καὶ τῆς ὑπομονῆς τῆς ἐλπίδος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἔμπροσθεν τοῦ Θεοῦ καὶ πατρὸς ὑμῶν. τί ἐστιν, ἀδιαλείπτως μνημονεύοντες; ἤτοι μνημονεύοντες ἔμπροσθεν τοῦ Θεοῦ καὶ πατρὸς, ἢ τοῦ κόπου τῆς ἀγάπης μνημονεύοντες τοῦ ὄντος ἔμπροσθεν τοῦ Θεοῦ καὶ πατρὸς ἡμῶν. οὐχ ἁπλῶς δὲ εἶπεν, ἀδιαλείπτως μνημονεύοντες, ἀλλ' ὑμῶν. εἶτα πάλιν, ἵνα μὴ νομίσῃς ἁπλῶς μηδὲ τὸ ὑμῶν εἰρῆσθαι, ἐπήγαγεν, ἔμπροσθεν τοῦ Θεοῦ καὶ πατρὸς ἡμῶν. ἐπειδὴ γὰρ οὐδεὶς ἑώρα τῶν ἀνθρώπων τὰ γινόμενα, οὐδεὶς μισθὸν ἀπεδίδου, καὶ τοῦτο προστίθησι, μονονουχὶ λέγων, θαρρεῖτε, ἔμπροσθεν τοῦ Θεοῦ κάμνετε. τί ἐστι, τοῦ ἔργου τῆς πίστεως; ὅτι οὐδὲν ὑμᾶς παρέκλινε τὴν ἔνστασιν. τοῦτο γὰρ ἔργον πίστεως. εἰ πιστεύεις, πάντα πάσχε· εἰ δὲ μὴ πάσχεις, οὐ πιστεύεις. μὴ γὰρ οὐ τοιαῦτά ἐστι τὰ ἐπηγγελμένα, ὡς καὶ μυρίους θανάτους πείσεσθαι καὶ πιστεύοντα ἀνέχεσθαι; οὐρανῶν βασιλεία πρόκειται, καὶ ἀθανασία, καὶ ζωὴ αἰώνιος. ὁ τοίνυν πιστεύων, πάντα πείσεται. ἄρα ἡ πίστις διὰ τῶν ἔργων δείκνυται. εἰκότως οὖν οὕτως εἶπε δηλῶν, ὅτι οὐχ ἁπλῶς, ἀλλὰ διὰ τῶν ἔργων αὐτὴν ἐπεδείξασθε, διὰ τῆς ἐνστάσεως, διὰ τῆς προθυμίας. καὶ τοῦ κόπου τῆς ἀγάπης. ποῖος γὰρ κόπος τὸ φιλεῖν ἁπλῶς; οὐδείς. τὸ δὲ γνησίως φιλεῖν, κόπος πολύς. ὅταν γὰρ, εἰπέ μοι, μυρία κινῆται τῆς ἀγάπης ἡμᾶς ἀφελκύσαι βουλόμενα, ἡμεῖς δὲ πρὸς πάντα ἀντιτείνωμεν, οὐχὶ κόπος ἐστί; τί γὰρ οὐκ ἔπαθον οὗτοι, ὥστε μὴ ἀποστῆναι τῆς ἀγάπης; οὐχὶ ἐπὶ τὴν ὑποδοχὴν Παύλου ἦλθον οἱ πολεμοῦντες τῷ κηρύγματι, καὶ μὴ εὑρόντες αὐτὸν ἔσυρον τὸν Ἰάσονα ἐπὶ τοὺς πολιτάρχας; μικρὸς οὗτος κόπος, εἰπέ μοι, μηδέπω τῶν σπερμάτων παγέντων, τοσοῦτον χειμῶνα φέρειν, τοσούτους πειρασμούς; καὶ ἱκανὰ αὐτῶν ἀπῄτησαν. Καὶ ἱκανά, φησι, δοὺς, ἐξέπεμψε τὸν Παῦλον. μικρὸν τοῦτο, εἰπέ μοι; οὐχὶ καὶ ἑαυτὸν ἀντ' ἐκείνου τῷ κινδύνῳ ὑπέθηκε; τοῦτο κόπον φησὶν ἀγάπης, ὅτι οὕτω προσεδέθησαν. καὶ ὅρα πρότερον ἐκείνων λέγει τὰ κατορθώματα, καὶ τότε τὰ ἑαυτοῦ, ἵνα μὴ δόξῃ μεγαληγορεῖν, μηδὲ προλήψει φιλεῖν αὐτούς. καὶ τῆς ὑπομονῆς, φησίν. οὐ γὰρ πρὸς ἕνα χρόνον ὁ διωγμὸς ἐκεῖνος γέγονεν, ἀλλὰ διαπαντός, οὐδὲ τῷ διδασκάλῳ μόνον Παύλῳ ἐπολέμουν, ἀλλὰ καὶ τοῖς μαθητευομένοις. εἰ γὰρ πρὸς ἐκείνους οὕτω διέκειντο τοὺς θαύματα ἐργαζομένους, τοὺς αἰδεσίμους, τί οἴει πρὸς τοὺς συνοικοῦντας αὐτοῖς, καὶ συμπολίτας, καὶ ἀθρόον ἀποστάντας; ὅπερ οὖν αὐτοῖς καὶ μαρτυρεῖ λέγων· Ὅτι μιμηταὶ ἐγενήθητε τῶν ἐκκλησιῶν τοῦ Θεοῦ τῶν οὐσῶν ἐν τῇ Ἰουδαίᾳ. καὶ τῆς ἐλπίδος, φησὶ, τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἔμπροσθεν τοῦ Θεοῦ καὶ πατρὸς

Margin notes:

γ. ἐν Θεῷ

γρ. εἰκότως εἶπεν ὅτι οὐχ ἁπλῶς, ἀλλὰ διὰ τῶν ἔργων αὐτὴν ἐπιδείξασθε.

γ. δυνάμενα

Πραξ. ιζ. ε.

Πραξ. ιζ. θ. ι.

α. Θεσ. β. ιδ.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

# ΙΩΑΝΝΟΥ

## ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ

### ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

τοῦ Χρυσοστόμου ἑρμηνεία εἰς τὴν πρὸς Θεσσαλονικεῖς ἐπιστολὴν, α.

Λογ. α. 1 ΠΑΥΛΟΣ ΚΑΙ ΣΙΛΟΥΑΝΟΣ ΚΑΙ ΤΙΜΟ- κεφ. α.
θεος τῇ ἐκκλησίᾳ Θεσσαλονικέων, ἐν Θεῷ πατρὶ, καὶ Κυρίῳ Ἰησοῦ Χριστῷ,
χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.
2 Εὐχαριστοῦμεν τῷ Θεῷ πάντοτε περὶ ὑμῶν, μνείαν ὑμῶν ποιούμενοι ἐπὶ
τῶν προσευχῶν ἡμῶν, 3 Ἀδιαλείπτως μνημονεύοντες ὑμῶν τοῦ ἔρ-
γου τῆς πίστεως, καὶ τοῦ κόπου τῆς ἀγάπης, καὶ τῆς ὑπομονῆς τῆς ἐλπίδος τοῦ
Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἔμπροσθεν τοῦ Θεοῦ καὶ πατρὸς ἡμῶν.

Τί δήποτε Ἐφεσίοις μὲν ἐπιστέλλων, καὶ τὸν Τιμόθεον ἔχων μεθ' ἑαυτοῦ, οὐχὶ συνέταξεν ἑαυτῷ, καίτοι γνωριζόμενον παρ' αὐτοῖς, καὶ θαυμαζόμενον; Τὴν γὰρ δοκιμὴν αὐτοῦ γινώσκετε, φησὶν, ὅτι ὡς πατρὶ τέκνον σὺν ἐμοὶ ἐδούλευσε. καὶ πάλιν, Οὐδένα ἔχω ἰσόψυχον, ὅστις γνησίως τὰ περὶ ὑμῶν μεριμνήσει. ἐνταῦθα δὲ συντάττει αὐτὸν ἑαυτῷ. ἐμοὶ δοκεῖ, ὅτι ἔμελλεν αὐτὸν πέμπειν εὐθέως, καὶ περιττὸν ἦν ἐπιστέλλειν τὰ γράμματα ὅσον οὔπω καταληψόμενον. Φησὶ γὰρ, Τοῦτον μὲν ἐλπίζω πέμψαι ἐξ αὐτῆς. ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλ' ἐπανεληλυθὼς ἦν· ὥστε εἰκότως ἐπιστέλλει. Ἄρτι γὰρ ἐλθόντος Τιμοθέου, φησὶ, πρὸς ἡμᾶς ἀφ' ὑμῶν. Διὰ τί δὲ αὐτοῦ προτίθησι τὸν Σιλουανόν, καίτοι μυρία αὐτῷ μαρτυρῶν ἀγαθὰ, καὶ πρῶτον αὐτὸν προστιθείς; ἴσως [μὲν] ἀξιοῦντος τοῦτο αὐτοῦ κατὰ πολλὴν ταπεινοφροσύνην, καὶ παρακαλοῦντος. ἐπειδὴ γὰρ τὸν διδάσκαλον ἑώρα οὕτω ταπεινοφρονοῦντα, ὡς τὸν μαθητὴν ἑαυτῷ συντάττειν, πολλῷ μᾶλλον τοῦτο αὐτὸς ἐζήτησεν ἄν. Παῦλος γὰρ, φησὶ, καὶ Σιλουανὸς καὶ Τιμόθεος τῇ ἐκκλησίᾳ Θεσσαλονικέων. οὐδὲν ἐνταῦθα περὶ ἑαυτοῦ τίθησιν, οὐχ, ὁ ἀπόστολος, οὐχ, ὁ δοῦλος. ἐμοὶ δοκεῖ διὰ τὸ νεοκατηχήτους εἶναι τοὺς ἄνδρας, καὶ μηδέπω αὐτοῦ πεῖραν εἰληφέναι, οὐ τίθησι τὸ ἀξίωμα. ἄλλως δὲ καὶ ἀρχὴ τοῦ κηρύγματος ἔτι ἦν τοῦ πρὸς αὐτούς. τῇ ἐκκλησίᾳ, φησὶ, Θεσσαλονικέων. καλῶς. ἐπεὶ γὰρ εἰκὸς ἦν ὀλίγους εἶναι καὶ οὐδέπω συνεστάναι, διὰ τοῦτο αὐτοὺς παραμυθεῖται διὰ τοῦ ὀνόματος τῆς ἐκκλησίας. ἔνθα γὰρ πολὺς παρελήλυθε χρόνος, καὶ τὸ τῆς ἐκκλησίας

γρ. μεθ' ἑαυτοῦ, — Φιλιπ. β. κβ. — Φιλιπ. β. κγ. — α. Θεσ. γ. ς. — κ. 3

Digitized by Google

αὐτὴν ἐστὶν ὠφέλησις, ἀλλὰ καὶ βλάψῃς δούλην ἀντ' ἐλευθέρας ποιοῦσα. οὐ τοσαύτην γὰρ ἀπὸ τῶν χρυσίων καρπώσεται τὴν ἡδονὴν, ὅσην ἀπὸ τοῦ δουλεύειν τὴν ἀηδίαν. ἀλλὰ μὴ ζήτει ταῦτα, ἀλλὰ μάλιστα μὲν ἔντιμον· εἰ δὲ μὴ δυνατὸν, πενιχρότερον μᾶλλον ἢ εὐπορώτερον, εἴ γε μὴ ἀποδόσθαι δεσπότῃ, ἀλλ' ἐκδοῦναι ἀνδρὶ βούλει τὴν θυγατέρα. ὅταν ἀκριβῶς ἐξετάσῃς τοῦ ἀνδρὸς τὴν ἀρετὴν, καὶ μέλλῃς ἐκδιδόναι, παρακάλεσον τὸν Χριστὸν παραγενέσθαι. οὐ γὰρ ἐπαισχυνθήσεται. μυστήριόν ἐστι τῆς αὐτοῦ παρουσίας. μάλιστα μὲν οὕτω καὶ τότε παρακάλει, ὥστε μνηστῆρα τοιοῦτον δοῦναι. μὴ γίνῃ τοῦ παιδὸς τοῦ Ἀβραὰμ χείρων, ὃς εἰς τοσαύτην ἀποδημίαν πεμπόμενος, εἶδεν ἔνθα χρὴ καταφυγεῖν. διὸ καὶ πάντων ἐπέτυχεν. ὅταν περιεργάζῃ καὶ ζητῇς τὸν ἄνδρα, εὔχου. εἰπὲ τῷ Θεῷ, ὃν ἂν θέλῃς, σὺ οἰκονόμησον. ἐγχείρισον αὐτῷ τὸ πρᾶγμα, καὶ τιμηθεὶς ταύτῃ παρὰ σοῦ τῇ τιμῇ ἀμείψεταί σε. δύο δὴ ποιεῖν χρὴ, αὐτῷ τε ἐγχειρίζειν, καὶ τοιοῦτον ζητεῖν, οἷον ἂν αὐτὸς βούλεται, κόσμιον, σώφρονα. ὅταν οὖν τὸν γάμον ποιῇς, μὴ περιέλθῃς οἰκίας, κάτοπτρα καὶ ἱμάτια χρωμένη. οὐ γὰρ πρὸς ἐπίδειξιν τὸ πρᾶγμά ἐστιν, οὐδὲ εἰς πομπὴν εἰσάγεις τὸ θυγάτριον· ἀλλὰ φαιδρύνουσα τὴν οἰκίαν τοῖς ἔνδον, κάλει γείτονας, καὶ φίλους, καὶ συγγενεῖς. ὅσους ἂν οἶδας ἐπιεικεῖς, τούτους κάλει· καὶ τοῖς οὖσιν ἀρκεῖσθαι παραίνει. μηδεὶς τῶν ἀπὸ τῆς ὀρχήστρας παρέστω. ἐκεῖ γὰρ δαπάνη περιττὴ καὶ ἄσχημος. κάλεσον τὸν Χριστὸν πρὸ τῶν ἄλλων ἁπάντων. οἶδας διὰ τίνος αὐτὸν καλέσεις; Ὃς ἂν ποιήσῃ, φησὶν, ἑνὶ τούτων τῶν ἐλαχίστων, ἐμοὶ ἐποίησε. Ματθ. κε. μ. μὴ νομίσῃς τὸ πρᾶγμα δυσάρεστον εἶναι, τὸ πένητας καλεῖν διὰ τὸν Χριστόν. δυσάρεστον τὸ πόρνας καλεῖν. τὸ γὰρ πένητας καλεῖν, τοῦτο ἀφορμὴ πλούτου, ἐκεῖνο δὲ ἀνατροπῆς. κόσμει τὴν νύμφην μὴ τούτοις τοῖς κοσμίοις τοῖς ἀπὸ τοῦ χρυσοῦ, ἀλλ' ἐπιεικείᾳ καὶ αἰδοῖ καὶ τοῖς συνήθεσιν ἱματίοις, ἀντὶ παντὸς κόσμου χρυσοῦ καὶ ἐμπλεγμάτων, τὸ ἐρυθριᾷν, τὸ αἰσχύνεσθαι περιθεῖσα, καὶ τὸ μὴ ζητεῖν ἐκεῖνα. μηδεὶς ἔστω θόρυβος, μηδεμία ταραχή. καλείσθω ὁ νυμφίος, δεχέσθω τὴν παρθένον. τὰ ἄριστα δὲ καὶ τὰ δεῖπνα μὴ μέθης ἔστω πλήρη, ἀλλὰ πνευματικῆς ἡδονῆς. μυρία γὰρ ἐκ τοῦ τοιούτου γάμου ἔσται τὰ καλὰ, καὶ τὰ τοῦ βίου ἐν ἀσφαλείᾳ. ἐκ δὲ τῶν νῦν γινομένων γάμων (εἴ γε γάμους, ἀλλὰ μὴ πομπὰς αὐτὰ δεῖ καλεῖν) ὅσα τὰ κακά; διελύθησαν αἱ παστάδες, καὶ εὐθέως μέριμνα καὶ φόβος, μή τι παραπέσῃ τῶν κεχρημένων, καὶ διαδέχεται τὴν ἡδονὴν ἀθυμία ἀφόρητος. ἀλλ' αὕτη μὲν τῆς κηδεστρίας ἡ ἀγωνία, μᾶλλον δὲ οὐδὲ αὕτη ἀπήλλακται ἡ νύμφη· τὰ γὰρ νῦν μετὰ ταῦτα αὐτῆς τῆς νύμφης ἐστὶν ἅπαντα. τὸ γὰρ ὁρᾷν καταλυόμενα ἅπαντα, ἀθυμίας ὑπόθεσις, τὸ ὁρᾷν ἔρημον τὴν οἰκίαν, κατηφείας ἀφορμή. ἐκεῖ ὁ Χριστὸς, ἐνταῦθα ὁ Σατανᾶς· ἐκεῖ θυμηδία, ἐνταῦθα φροντίς· ἐκεῖ ἡδονὴ, ἐνταῦθα λύπη· ἐκεῖ δαπάνη, ἐνταῦθα οὐδὲν τοιοῦτον· ἐκεῖ ἀσχημοσύνη, ἐνταῦθα εὐκοσμία· ἐκεῖ φθόνος, ἐνταῦθα ἀφθονία· ἐκεῖ μέθη, ἐνταῦθα νῆψις, ἐνταῦθα ὑγίεια, ἐνταῦθα σωφροσύνη. ταῦτα δὴ πάντα ἐννοοῦντες, στήσωμεν τὸ κακὸν μέχρι τούτου, ἵνα ἀρέσωμεν τῷ Θεῷ, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν ἐπιτυχεῖν καταξιωθῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ.

σέλγεια καὶ ἡ ἀκολασία. τὸ οὕτω τοὺς γάμους γίνεσθαι [τὸ διαφθείρεσθαι] τὸ πρᾶγμα διέβαλεν· ἐπεὶ Τίμιος ὁ γάμος, καὶ ἡ κοίτη ἀμίαντος. [Ἑβρ. ιγ. κδ.] τί αἰσχύνῃ τοῦ τιμίου; τί ἐρυθριᾷς ἐπὶ τῷ ἀμιάντῳ; ταῦτα αἱρετικῶν ἐστι*, ταῦτα τῶν τὰς πόρνας ἐπεισαγόντων. [* δόγματα] διὰ τοῦτο αὐτὸν ἐκκαθαίρεσθαι βούλομαι, ὥστε ἐπὶ τὴν οἰκείαν εὐγένειαν ἀναγαγεῖν, ὥστε τῶν αἱρετικῶν ἐμφράξαι τὰ στόματα. ὑβρίζεται τὸ τοῦ Θεοῦ δῶρον, ἡ ῥίζα τῆς ἡμετέρας γενέσεως. πολλὴ γὰρ περὶ τὴν ῥίζαν ἡ κόπρος καὶ ὁ βόρβορος. τοῦτον οὖν ἐκκαθάρωμεν τῷ λόγῳ. ἀνέχεσθε τοίνυν μικρόν, ἐπεὶ καὶ ὁ βόρβορον κατέχων δυσωδίας ἀνέχεται. βούλομαι δεῖξαι ὅτι οὐ χρὴ ἐπὶ τούτοις αἰσχύνεσθαι, ἀλλ᾽ ἐπὶ τούτοις οἷς ποιεῖτε· σὺ δὲ ἐπ᾽ ἐκείνοις αἰσχύνεσθαι ἀφείς, τούτοις αἰσχύνῃ· οὐκοῦν τοῦ Θεοῦ καταγινώσκεις τοῦ οὕτω διατάξαντος. εἴπω πῶς καὶ μυστήριον τῆς ἐκκλησίας ἐστίν. ὁ Χριστὸς ἦλθε πρὸς τὴν ἐκκλησίαν, καὶ ἐξ αὐτῆς γέγονε, καὶ αὐτῇ *συνῆλθε συνουσίᾳ πνευματικῇ. [ἴσ. συνῆλθε] Ἡρμοσάμην γὰρ ὑμᾶς, φησίν, ἑνὶ ἀνδρὶ παρθένον ἁγνήν. [Β. Κορ. ια. β.] ὅτι δὲ ἐξ αὐτοῦ ἐσμεν, ἄκουε πῶς φησιν· ἐκ τῶν μελῶν αὐτοῦ, καὶ ἐκ τῆς σαρκὸς αὐτοῦ πάντες ἡμεῖς. ταῦτα δὴ πάντα ἐννοοῦντες, μὴ αἰσχυνώμεθα τὸ τηλικοῦτον μυστήριον. τύπος τῆς τοῦ Χριστοῦ παρουσίας ἐστὶν ὁ γάμος, σὺ δὲ μεθύεις; εἰπέ μοι, εἰ εἰκόνα εἶδες τοῦ βασιλέως, ἆρα ἂν αὐτὴν ᾔσχυνες; οὐδαμῶς. δοκεῖ μὲν οὖν ἀδιάφορα εἶναι τὰ περὶ τοὺς γάμους γινόμενα, ἔστι δὲ μεγάλων αἴτια κακῶν. πάντα παρανομίας γέμει. Αἰσχρότης καὶ μωρολογία καὶ εὐτραπελία μὴ ἐκπορευέσθω, φησίν, ἐκ τοῦ στόματος ὑμῶν· [Ἐφ. ε. δ.] πάντα δὲ ἐκεῖ, αἰσχρότης καὶ μωρολογία καὶ εὐτραπελία, οὐχ ἁπλῶς, ἀλλὰ μετὰ ἐπιτάσεως. τέχνη γὰρ τὸ πρᾶγμά ἐστι, καὶ ἐγκώμια μεγάλα τοῖς αὐτὴν μετιοῦσι. τὰ ἁμαρτήματα τέχνη γέγονεν. οὐχ ἁπλῶς αὐτὰ μετερχόμεθα, ἀλλὰ μετὰ σπουδῆς, μετὰ ἐπιστήμης· καὶ στρατηγὸς λοιπὸν ὁ διάβολος τῶν αὐτοῦ* ταγμάτων. [* χορηγ.] ὅπου γὰρ μέθη, ἀκολασία· ὅπου αἰσχρολογία, ὁ διάβολος πάρεστι τὰ παρ᾽ ἑαυτοῦ εἰσφέρων. τούτοις ἑστιώμενος, εἰπέ μοι, μυστήριον Χριστοῦ καλεῖς, καὶ τὸν διάβολον καλεῖς; τάχα με φορτικὸν εἶναι νομίζετε. καὶ γὰρ καὶ τοῦτο τῆς διαστροφῆς τῆς πολλῆς, ὅτι καὶ ὁ ἐπιτιμῶν,* γέλωτα ὀφλισκάνει ὡς αὐστηρός. [* [illegible]] οὐκ ἀκούετε Παύλου λέγοντος, Πᾶν ὅ,τι ἂν ποιῆτε, εἴτε ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε; [α. Κορ. ι. λα.] ὑμεῖς δὲ εἰς δυσφημίαν καὶ ἀδοξίαν. οὐκ ἀκούετε τοῦ προφήτου λέγοντος, Δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ, καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ; [Ψαλ. β. ια.] ὑμεῖς δὲ διαχεῖσθε. μὴ γὰρ οὐκ ἔστι καὶ ἡσθῆναι, καὶ μετὰ ἀσφαλείας; βούλει μελῶν ἀκοῦσαι καλῶν; μάλιστα μὲν οὐδὲ ἔδει. πλὴν συγκαταβαίνω, εἰ βούλει μὴ τῶν σατανικῶν ἀκούσῃς, ἀλλὰ τῶν πνευματικῶν. βούλει χορεύοντας ἰδεῖν; ὅρα τῶν ἀγγέλων τὸν χορόν. καὶ πῶς δυνατόν, φησίν, ἰδεῖν; ἐὰν ταῦτα ἀπελάσῃς, ἐλεύσεται καὶ ὁ Χριστὸς εἰς τοὺς τοιούτους γάμους· τοῦ δὲ Χριστοῦ παρόντος, καὶ ὁ τῶν ἀγγέλων πάρεστι χορός. ἂν θέλῃς, καὶ νῦν θαύματα ἐργάσεται, καθάπερ καὶ τότε. ποιήσει καὶ νῦν τὸ ὕδωρ οἶνον· καὶ πολλῷ θαυμασιώτερον, τὴν διακεχυμένην ἐπιστρέψει καὶ διαρρέουσαν καὶ ψυχρὰν ἐπιθυμίαν, καὶ ἐπὶ τὴν πνευματικὴν μεταστήσει. τοῦτό ἐστιν ἐξ ὕδατος οἶνον ποιῆσαι. ἔνθα αὐληταί, οὐδαμοῦ ὁ Χριστός· ἀλλὰ κἂν εἰσέλθῃ, τὸ πρότερον ἐκβάλλει τούτους, καὶ τότε θαυματουργεῖ. τί τῆς σατανικῆς πομπῆς ἀηδέστερον, ἔνθα ἄναρθρα πάντα, ἔνθα πάντα ἄσημα; κἂν δέ τι καὶ ἔναρθρον, πάλιν πάντα αἰσχρά, πάντα ἀηδῆ. οὐδὲν τῆς ἀρετῆς ἥδιον, οὐδὲν κοσμιότητος γλυκύτερον, οὐδὲν σεμνότητος ποθεινότερον. ποιείτω τις γάμους, οἵους ἐγὼ λέγω, καὶ ὄψεται τὴν ἡδονήν. ποίους δὲ γάμους, προσέχετε. πρότερον μὲν ἄνδρα ζητείτω τῇ παρθένῳ ὄντως ἄνδρα καὶ προστάτην, ὡς σώματι μέλλων ἐπιθήσειν κεφαλήν, ὡς οὐκ ἀνδράποδον, ἀλλὰ θυγατέρα αὐτῷ μέλλων παραδώσειν· μὴ χρήματα ζήτει, μὴ γένους λαμπρότητα, μὴ πατρίδος μέγεθος, πάντα ταῦτα περιττά· ἀλλὰ ψυχῆς εὐλάβειαν, ἐπιείκειαν, τὴν ἀληθῆ σύνεσιν, τοῦ Θεοῦ τὸν φόβον, εἰ βούλει μεθ᾽ ἡδονῆς τὸ θυγάτριον ζῆν. πλουσιώτερον γὰρ ζητοῦσα, οὐ μόνον

αὐτὴν

παρθένος, ἐν σωφροσύνῃ μένουσα. Ἐν γὰρ Χριστῷ Ἰησοῦ οὔτε δοῦλος, οὔτε ἐλεύθερος. μὴ γὰρ θέατρόν ἐστιν ὁ γάμος; μυστήριόν ἐστι, καὶ τύπος μεγάλου πράγματος. κἂν αὐτὸ μὴ αἰδῇς, αἰδέσθητι οὗ τύπος ἐστί. Τὸ μυστήριον τοῦτο, φησί, μέγα ἐστίν. ἐγὼ δὲ λέγω εἰς Χριστὸν, καὶ εἰς τὴν ἐκκλησίαν. τῆς ἐκκλησίας τύπος ἐστὶ καὶ τοῦ Χριστοῦ, καὶ πόρνας εἰσάγεις; ἂν τοίνυν, φησί, μήτε παρθένοι ὀρχῶνται, μήτε γεγαμημέναι, τίς ὀρχήσεται; μηδείς. ποία γὰρ ὀρχήσεως ἀνάγκη; ἐν τοῖς τῶν Ἑλλήνων μυστηρίοις αἱ ὀρχήσεις, ἐν δὲ τοῖς ἡμετέροις σιγὴ καὶ εὐκοσμία, αἰδὼς καὶ καταστολή. μυστήριον τελεῖται μέγα· ἔξω αἱ πόρναι, ἔξω οἱ βέβηλοι. πῶς μυστήριόν ἐστι; συνέρχονται, καὶ ποιοῦσι τοὺς δύο ἕνα. διὰ τί, ὅτε μὲν εἰσῄει, οὐκ ὄρχησις, οὐ κύμβαλα, ἀλλὰ πολλὴ σιγή, πολλὴ ἡσυχία· ὅταν δὲ συνίωσιν, οὐκ εἰκόνα ἄψυχον, οὐδὲ εἰκόνα τινὸς τῶν ἐπὶ γῆς, ἀλλ᾽ αὐτοῦ ποιοῦντες τοῦ Θεοῦ, τοσοῦτον ἐπεισάγεις θόρυβον, καὶ ταράττεις τοὺς ὄντας, καὶ αἰσχύνεις τὴν ψυχήν, καὶ θορυβεῖς; ἔρχονται ἓν σῶμα γενησόμενοι. ἰδοὺ πάλιν ἀγάπης μυστήριον. ἂν οἱ δύο μὴ γένωνται ἕν, οὐκ ἐργάζονται πολλούς, ἕως ἂν δύο μένωσιν· ὅταν δὲ εἰς ἑνότητα ἔλθωσι, τότε ἐργάζονται. τί μανθάνομεν ἀπὸ τούτου; ὅτι πολλὴ τῆς ἑνώσεως ἡ ἰσχύς. ὁ εὐμήχανος τοῦ Θεοῦ τὸν ἕνα εἰς δύο διεῖλε παρὰ τὴν ἀρχήν, καὶ θέλων δεῖξαι ὅτι καὶ μετὰ τὸ διαιρεθῆναι καὶ ἓν μένει, οὐκ ἀφῆκεν ἕνα ἀρκεῖν πρὸς τὴν γέννησιν. οὐ γάρ ἐστιν εἷς ὁ οὐδέπω, ἀλλ᾽ ἥμισυ τοῦ ἑνός. καὶ δῆλον, ὅτι οὐ παιδοποιεῖ, καθάπερ καὶ πρότερον. Εἶδες τοῦ γάμου τὸ μυστήριον; ἐποίησεν ἐξ ἑνὸς ἕνα, καὶ πάλιν τοὺς δύο τούτους ἕνα ποιήσας οὕτω ποιεῖ ἕνα· ὥστε καὶ νῦν ἐξ ἑνὸς τίκτεται ἄνθρωπος. γυνὴ γὰρ καὶ ἀνὴρ οὐκ εἰσὶν ἄνθρωποι δύο, ἀλλ᾽ ἄνθρωπος εἷς. καὶ πρὸ τούτου καὶ πολλαχόθεν αὐτὸ πιστώσασθαι ἔστιν ἀπὸ τοῦ Ἰακώβου, ἀπὸ τῆς Μαρίας τῆς μητρὸς τοῦ Χριστοῦ, ἀπὸ τοῦ λέγειν, Ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς. Εἰ ὁ μὲν κεφαλή, ἡ δὲ σῶμα, πῶς δύο; διὰ τοῦτο ἡ μὲν μαθητοῦ, ὁ δὲ διδασκάλου τάξιν ἐπέχει, ὁ μὲν ἄρχοντος, ἡ δὲ ἀρχομένης. καὶ ἀπ᾽ αὐτῆς δὲ τῆς τοῦ σώματος διαπλάσεως ἴδοι τις ἄν, ὅτι ἕν εἰσιν. ἀπὸ γὰρ τῆς πλευρᾶς γέγονε, καὶ ὥσπερ ἡμίτομα δύο εἰσί. διὰ τοῦτο καὶ βοηθὸν καλεῖ, ἵνα δείξῃ ὅτι ἕν εἰσι. διὰ τοῦτο καὶ πατρὸς καὶ μητρὸς προτιμᾷ τὴν συνοίκησιν, ἵνα δείξῃ ὅτι ἕν εἰσι. καὶ ὁ πατὴρ ὁμοίως χαίρει καὶ θυγατρὸς καὶ υἱοῦ γαμούντων, ὡς πρὸς οἰκεῖον μέλος ἐπειγομένου τοῦ σώματος. καὶ τοσαύτη δαπάνη γίνεται καὶ χρημάτων ἐλάττωσις, καὶ ὅμως οὐκ ἀνέχεται ἄγαμον περιορᾶν. ὥσπερ γὰρ ἀπεσχισμένης αὐτῆς τῆς σαρκός, ἀτελὴς πρὸς παιδοποιΐαν ἑκάτερος, ἀτελής ἐστι πρὸς βίου σύστασιν τοῦ παρόντος ἑκάτερος. διὰ τοῦτο καὶ ὁ προφήτης φησίν, Ὑπόλειμμα πνεύματός σου. πῶς δὲ καὶ γίνονται εἰς σάρκα μίαν; καθάπερ χρυσοῦ τὸ καθαρώτατον ἂν ἀφέλῃς καὶ ἑτέρῳ ἀναμίξῃς χρυσῷ, οὕτω δὴ καὶ ἐνταῦθα, τὸ πιότατον τῆς ἡδονῆς χωνευούσης ἡ γυνὴ δεχομένη τρέφει καὶ θάλπει, καὶ τὰ παρ᾽ ἑαυτῆς συνεισενεγκαμένη ἄνδρα ἀποδίδωσι. καὶ γέφυρά τίς ἐστι τὸ παιδίον· ὥστε τοὺς τρεῖς σὰρξ γίνονται μία, τοῦ παιδὸς ἑκατέρωθεν ἑκατέρους συνάπτοντος. ὥσπερ γὰρ εἰ δύο πόλεων οὐσῶν, καὶ ποταμοῦ διόλου διαιροῦντος, μία γίνεται πόλις, γεφύρας ἑκατέρωθεν ἁπτομένης· οὕτως ἐστὶ κἀνταῦθα, καὶ πλέον. αὐτὴ γὰρ ἡ γέφυρα ἐκ τῆς ἑκατέρων οὐσίας. καὶ τῷ λόγῳ τούτῳ ἕν εἰσιν, ὡς τὸ σῶμα καὶ κεφαλὴ ἓν σῶμα. τῷ γὰρ τραχήλῳ διαιρεῖται· ἀλλ᾽ οὐ διαιροῦνται μᾶλλον, ἢ συνάπτονται. μέσος γὰρ ὢν ἑκατέρους συνάγει· καὶ ταὐτὸν γίνεται, ὥσπερ ἂν εἰ χορὸς διεσπασμένος τὸ μὲν ἓν αὐτοῦ μέρος ἐντεῦθεν λαβών, τὸ δὲ ἕτερον ἐκ τῆς δεξιᾶς ἕνα ποιήσειεν· ἢ ὥσπερ οἱ συνεσταλμένοι οὗτοι καὶ τὰς χεῖρας ἐκτείνοντες ἓν γίνονται. αἱ γὰρ χεῖρες ἐκταθεῖσαι, οὐκ ἀφιᾶσιν εἶναι δύο. διὰ τοῦτο γοῦν καὶ ἀκριβῶς εἶπεν, οὐκ ἔσονται μία σάρξ, ἀλλ᾽, Εἰς σάρκα μίαν, τὴν τοῦ παιδὸς συναπτόμενοι δηλονότι. τί οὖν, ὅταν παιδίον μὴ ᾖ, οὐκ ἔσονται δύο καὶ τότε; εὔδηλον. ἡ μίξις γὰρ τοῦτο ἐργάζεται, ἀναχέουσα καὶ ἀναμίξασα ἀμφοτέρων τὰ σώματα. καὶ ὥσπερ εἰς ἔλαιον μύρον ἐμβαλών, τὸ πᾶν ἐποίησεν ἕν, οὕτω δὴ καὶ ἐνταῦθα. οἶδα ὅτι πολλοὶ αἰσχύνονται τοῖς λεγομένοις· καὶ τούτου αἴτιον, ἡ ἀ-

Margin notes: Γαλ. γ. κη. — Ἐφεσ. ε. λβ. — Γεν. α. κζ. — Μαλαχ. β. ιε. — Γεν. β. κδ.

γρ. ὡς τὸ σώματος πρὸς τὰ μέλη συναρμολογούμενα πρὸς τὴν κεφαλὴν ἓν γίνεται σῶμα, εἰ καὶ τῷ τραχήλῳ διαιρεῖται.
ἴσ. εἰ δύο εἶς

τὴν. οὐδὲν ἥδιον ὀφθαλμῶν δεδακρυμένων. τὸ γὰρ εὐγενέστερον ἐν ἡμῖν μέλος καὶ ὡραιότερον καὶ τῆς ψυχῆς, τοῦτό ἐστιν. ὥσπερ οὖν [ὡς] αὐτὴν τὴν ψυχὴν ὁρῶντες ἀποδυρομένην, οὕτω κατακλώμεθα. ταῦτα ὑμῖν οὐχ ἁπλῶς εἴρηται, ἀλλ' ὥστε ὑμᾶς μὴ γάμοις, μὴ ὀρχήμασι, μὴ χοροῖς παραγίνεσθαι σατανικοῖς. ὅρα γὰρ τί εὗρεν ὁ διάβολος. ἐπειδὴ τῆς σκηνῆς καὶ τῶν ἀσέμνων τῶν ἐκεῖ ἡ φύσις αὐτὴ τὰς γυναῖκας ἀπήγαγεν, εἰς τὴν γυναικωνῖτιν εἰσήγαγε τὰ τοῦ θεάτρου, μαλακοὺς λέγω καὶ πόρνας. ταύτην τὴν λύμην ὁ τῶν γάμων ἐπεισήγαγε νόμος· μᾶλλον δὲ οὐχ ὁ τοῦ γάμου (μὴ γένοιτο) ἀλλὰ τῆς ἡμετέρας βλακείας. τί ποιεῖς, ἄνθρωπε; οὐκ οἶδας τί πράττεις; γυναῖκα ἄγῃ ἐπὶ σωφροσύνῃ καὶ παιδοποιΐᾳ. τί οὖν αἱ πόρναι βούλονται; ἵνα ἡ εὐφροσύνη, φησὶ, γένηται μείζων. καὶ μὴν ταῦτα οὐκ εὐφροσύνης; ὑβρίζεις τὴν νύμφην, ὑβρίζεις τὰς κεκλημένας. εἰ γὰρ τοιούτοις τέρπονται, ὕβρεως τὸ πρᾶγμα. εἰ δὲ γυναῖκας πόρνας ὁρᾶν ἀσχημονούσας φέρει τινὰ φιλοτιμίαν, * διατί μὴ καὶ τὴν νύμφην ἕλκεις, ἵνα κἀκείνη θεωρῇ; πάντως ἄσχημον καὶ αἰσχρὸν, μαλακοὺς ἄνδρας καὶ ὀρχουμένους, καὶ πᾶσαν τὴν πομπὴν τὴν σατανικὴν ἐπεισάγειν τῇ οἰκίᾳ. Μνημονεύετέ μου, φησὶ, τῶν δεσμῶν. δεσμός ἐστιν ὁ γάμος, δεσμὸς ὡρισμένος παρὰ Θεοῦ· λύσις ἡ πόρνη, καὶ διάλυσις. ἔξεστιν ἑτέροις φαιδρῦναι τὸν γάμον, οἷς τραπέζαις πληθούσαις, ἱματίοις. οὐ περικόπτω ταῦτα, ἵνα μὴ δόξω σφόδρα εἶναι ἄγριος. καίτοι ἤρκεσε τῇ Ῥεβέκκᾳ θέριστρον μόνον· ἀλλ' οὐ περικόπτω. ἔξεστιν ἱματίοις φαιδρύνεσθαι, ἔξεστι παρουσίαις αἰδεσίμων ἀνδρῶν, αἰδεσίμων γυναικῶν. τί τὰ ἐπισκώμματα ἐκεῖνα, τί τὰ τέρατα ἐπεισάγεις; εἰπέ μοι, αἰσχύνεις παρ' αὐτῶν. ἀλλ' ἐρυθριᾷς εἰπεῖν; σὺ ἐρυθριᾷς, κἀκείνους ἀναγκάζεις ποιεῖν; εἰ καλὸν, διατί μὴ καὶ αὐτὸς ποιεῖς; εἰ δὲ αἰσχρὸν, διατί ἑτέρους ἀναγκάζεις; πάντα σωφροσύνης ἐμπεπλῆσθαι δεῖ, πάντα σεμνότητος, πάντα κοσμιότητος. νῦν δὲ τοὐναντίον ὁρῶ, σκιρτώσας ὡς αἱ κάμηλοι, ὡς αἱ ἡμίονοι. τῇ παρθένῳ θάλαμος ἐπιτήδειος μόνον. ἀλλὰ πενιχρά ἐστι, φησίν. ἐπειδὴ πενιχρά ἐστι, καὶ κόσμιος ὀφείλει εἶναι. ἐχέτω τὸν τρόπον ἀντὶ πλούτου. οὐκ ἔχει προῖκα ἐπιδοῦναι; τί αὐτὴν καὶ ἑτέρως εὐκαταφρόνητον ποιεῖς * ἀπὸ τῆς ἀναστροφῆς; ἐπαινῶ ὅτι παρθένοι παραγίνονται τὴν ὁμήλικα τιμῶσαι, ὅτι παραγίνονται γυναῖκες τὴν εἰς αὐτὰς καταλεχθεῖσαν τιμῶσαι. καλῶς τοῦτο ὥρισται. δύο γάρ εἰσιν οὗτοι χοροὶ, ὁ τῶν παρθένων, καὶ ὁ τῶν γεγαμημένων. αὗται παραδιδόασιν, ἐκεῖναι δέχονται· ἡ νύμφη μεταξὺ τούτων ἐστὶν, οὔτε παρθένος, οὔτε γυνή. ἐκεῖθεν μὲν γὰρ ἐξέρχεται, ταύτης δὲ ἐπιβαίνει τῆς συμμορίας. αἱ δὲ πόρναι, διατί; δέον αὐτὰς ἐγκαλύπτεσθαι, ὅταν γάμος ᾖ, δέον αὐτὰς κατορύττεσθαι. φθορὰ γὰρ γάμου πορνεία· ἡμεῖς δὲ ἄγομεν αὐτὰς εἰς γάμους. καὶ ὅταν μέν τι ποιῆτε, καὶ μέχρι ῥήματος οἰωνίζεσθε τὰ ἐναντία· οἷον, ὅταν ἀνοίγῃς, ὅταν ἀπαντλῇς τῶν "ὑποπολλείων τῶν οἴνων, τὰ ὄξινον σημαίνοντα οὐδ' ἂν ἀποκρίναιο· ἐνταῦθα δὲ σωφροσύνης γινομένης, ἐπισπᾶσαι τὴν ὀξίνην; τοῦτο γὰρ ἡ πόρνη. ὅταν μύρα κατασκευάζητε, οὐδὲν δυσῶδες ἀφίετε πλησιάζειν. μύρον ἐστὶν ὁ γάμος· τί τοίνυν τὴν τοῦ βορβόρου δυσωδίαν ἐπεισάγεις τῇ τοῦ μύρου κατασκευῇ; τί λέγεις; ὀρχεῖται ἡ παρθένος, καὶ οὐκ αἰσχύνεται τὴν ὁμήλικα; ταύτης γὰρ σεμνοτέραν αὐτὴν εἶναι δεῖ. ἐξ ἀγκάλης γε, οὐκ ἐκ παλαίστρας ἐξῆλθε. φαίνεσθαι γὰρ ὅλως ἐν γάμοις τὴν παρθένον "οὐ δεῖ. οὐχ ὁρᾷς ἐν τοῖς βασιλείοις, ὅτι οἱ μὲν τετιμημένοι ἔνδον περὶ τὸν βασιλέα εἰσὶν, οἱ δὲ ἄτιμοι ἔξω; καὶ σὺ ἔνδον ἔσο περὶ τὴν νύμφην· ἀλλὰ ἁγνὸς μένε ἐπὶ τῆς οἰκίας, μὴ ἐκπόμπευε τὴν "παρθενίαν. παρέστηκεν ἑκάτερος ὁ χορὸς, ὁ μὲν οἷον διδάσκει δεχθεῖσα, ὁ δὲ ἵνα ταύτην φυλάττωσι. τί καταισχύνεις τὴν παρθενίαν; εἰ γὰρ σὺ τοιαύτη, τοιαῦτα καὶ περὶ ἐκείνης ὁ νυμφίος ὑποπτεύσει. εἰ σὺ ἐρᾶσθαι θέλεις, παντοπώλιδες καὶ λαχανοπώλιδες καὶ δημιουργοὶ ταῦτα. οὐκ ἔστι ταῦτα αἰσχρά; αἰσχρόν ἐστι τὸ ἀσχημονεῖν, κἂν βασιλέως θυγάτηρ ᾖ. μὴ γὰρ ἡ πενία κωλύει; μὴ γὰρ τὸ ἐπιτήδευμα; καὶ δούλη τις ἡ παρθένος,

* ἀλλ' οὐχ ὕβρεις τοῦτο καὶ παρρησίαν,

γρ. ἐπιτήδειον

* ἐχέτω τὸ αἰδέσιμον

γρ. ὑπολλείων καὶ οἴνων μὴ ἐκεῖ τὰ ὄξινον σημαίνοντα ἀποκρίνεις

γρ. ἐν ἔσω.

γρ. παρθένον

ἑτέρους ἁμαρτάνειν, ἀλλ' ὥστε ἁμαρτάνοντας αὐτοὺς ἡμᾶς κατακλᾶσθαι, τούτων μνημονεύωμεν τῶν δακρύων, τούτων τῶν δεσμῶν. (χ. τὰ δεσμά) ἄρα καὶ ἐπὶ τῶν δεσμῶν δάκρυα κατέβαινεν· οὐκ ἠφίει δὲ αὐτὸν τῆς ἀπὸ τῶν δεσμῶν ἡδονῆς αἰσθάνεσθαι τῶν ἀπολλυμένων ὁ θάνατος τῶν δεσμούντων. καὶ γὰρ ὑπὲρ ἐκείνων ἤλγει. μαθητὴς γὰρ ἦν ἐκείνου τοῦ δακρύοντος τοὺς ἱερέας τῶν Ἰουδαίων, οὐχ ὅτι αὐτὸν ἔμελλον σταυροῦν, ἀλλ' ὅτι αὐτοὶ ἀπώλλυντο. καὶ οὐκ αὐτὸς μόνος αὐτὸ ποιεῖ, ἀλλὰ καὶ τοὺς ἄλλους οὕτω παρακαλεῖ λέγων· Μὴ κλαίετε ἐπ' ἐμέ, θυγατέρες Ἱερουσαλήμ. (Λουκ. κγ. κη.) Εἶδον τὸν παράδεισον οὗτοι οἱ ὀφθαλμοί, εἶδον τὸν τρίτον οὐρανόν· ἀλλ' οὐ μακαρίζω αὐτοὺς τῆς θέας ταύτης ἕνεκεν οὕτως, ὡς τῶν δακρύων ἐκείνων, δι' ὧν εἶδον τὸν Χριστόν. μακάριον μὲν ὄντως τοῦτο. καὶ γὰρ καὶ αὐτὸς ἐπ' αὐτῷ σεμνύνεται λέγων, Οὐχὶ Ἰησοῦν (α Κορ. θ. α.) Χριστὸν τὸν Κύριον ἡμῶν ἑώρακα; ἀλλὰ μακαριώτερον τὸ δακρύσαι οὕτως. ἐκείνου πολλοὶ κεκοινωνήκασι τοῦ θεάματος, καὶ τοὺς μὴ κοινωνήσαντας μακαρίζει πάλιν Χριστὸς λέγων, Μακάριοι οἱ μὴ ἰδόντες, καὶ πιστεύσαντες· τούτου δὲ οὐ πολλοὶ ἐπέτυχον. (Ιωαν. κ κθ.) Εἰ γὰρ τὸ μένειν διὰ Χριστὸν ἐνταῦθα τοῦ ἀναλῦσαι πρὸς αὐτὸν ἀναγκαιότερον διὰ τὴν σωτηρίαν τῶν ἄλλων, ἄρα καὶ τοῦ ἰδεῖν αὐτὸν τὸ δι' αὐτοὺς στενάξαι ἀναγκαιότερον. Εἰ γὰρ τοῦ σὺν αὐτῷ εἶναι τὸ δι' αὐτὸν εἰς γέενναν εἶναι ποθεινότερον, καὶ τοῦ συνεῖναι αὐτῷ τὸ χωρίζεσθαι αὐτοῦ δι' αὐτὸν ποθεινότερον (τοῦτο γάρ ἐστιν ὅπερ ἔλεγεν, Ηὐχόμην ἀνάθεμα εἶναι αὐτὸς ἐγὼ ἀπὸ Χριστοῦ) (Ρωμ. θ. γ.) πολλῷ μᾶλλον καὶ τὸ δακρύειν δι' αὐτόν. Οὐκ ἐπαυσάμην, φησί, μετὰ δακρύων νουθετῶν ἕνα (Πραξ. κ λα.) ἕκαστον. διὰ τί; οὐχὶ τοὺς κινδύνους δεδοικώς· ἀλλ' ὥσπερ ἄν τις ἀσθενοῦντι παρακαθήμενος, καὶ μὴ εἰδὼς τὸ τέλος, δακρύει διὰ πόθον, δεδοικὼς μὴ ἐκπέσῃ τῆς ζωῆς· οὕτω καὶ αὐτός, ὅταν εἶδεν ἀσθενοῦντα, καὶ ἐπιπλῆξαι οὐκ ἴσχυσεν, ἐδάκρυε λοιπόν. τοῦτο καὶ ὁ Χριστὸς ἐποίησεν, ἵνα κἂν τὰ δάκρυα αἰδεσθῶσιν. οἷον, ἥμαρτέ τις, ἐπετίμα· κατεφρόνει αὐτοῦ ὁ ἐπιτιμώμενος, καὶ ἀπεπήδα· ἐδάκρυεν, ἵνα κἂν οὕτως ἐπισπάσηται. τούτων μνημονεύωμεν τῶν δακρύων· οὕτω τὰς θυγατέρας ἀνατρέφωμεν τὰς ἑαυτῶν, οὕτω τοὺς παῖδας, δακρύοντες ὅταν ἴδωμεν ἐν κακοῖς ὄντας. ὅσαι ἐρᾶσθαι βούλονται, μνημονευέτωσαν τῶν δακρύων Παύλου, καὶ στεναζέτωσαν. ὅσαι μακαρίζεσθε, ὅσαι ἐν θαλάμοις ἐστέ, ὅσαι ἐν ἡδονῇ, τούτων μνημονεύετε. ὅσαι ἐν πένθει, ἀλλάττεσθε δάκρυα δακρύων. οὐ τοὺς τεθνεῶτας ἐκεῖνος ἐπένθει, ἀλλὰ τοὺς ἀπολλυμένους καὶ ζῶντας. Εἴπω καὶ ἕτερα δάκρυα; καὶ Τιμόθεος ἔκλαιε· μαθητὴς γὰρ ἦν τούτου. διὸ καὶ γράφων αὐτῷ ἔλεγε· Μεμνημένος σου τῶν δακρύων, ἵνα χαρᾶς (β. Τιμ. α. δ.) πληρωθῶ. πολλοὶ καὶ ἐξ ἡδονῆς ὀδύρονται. οὕτω καὶ ἡδονῆς ἐστι τὸ πρᾶγμα, καὶ ἡδονῆς μάλιστα ἐπιτεταμένης. οὕτως οὐ φορτικὰ τὰ δάκρυα τὰ ἐξ ὀδύνης τοιαύτης, ἀλλὰ καὶ ἐκείνων πολλῷ βελτίονα τῶν δι' ἡδονὴν κοσμικήν. ἄκουε τοῦ προφήτου λέγοντος· Ἤκουσε (Ψαλ. ς. η.) Κύριος τῆς φωνῆς τοῦ κλαυθμοῦ μου. ποῦ γὰρ οὐ χρήσιμον τὸ δάκρυον; ἐν εὐχαῖς, ἐν παραινέσεσιν; ἡμεῖς αὐτὰ διαβάλλομεν, οὐκ εἰς ἃ δέδοται κεχρημένοι. ὅταν ἀδελφὸν παρακαλῶμεν ἁμαρτάνοντα, κλαίειν δεῖ ὀδυρομένους καὶ στενάζοντας· (χ. παραινῶμεν) ὅταν παραινῶμέν τινι, ὁ δὲ μὴ προσέχῃ, ἀλλ' ἀπόλλυται, κλαίειν δεῖ. ταῦτα φιλοσοφίας τὰ δάκρυα· ὅταν μέντοι πένης τις γένηται, ὅταν ἐν νόσῳ ᾖ σωματικῇ, ὅταν ἀποθάνῃ, οὐκέτι. ταῦτα γὰρ οὐ δακρύων ἄξια. ὥσπερ οὖν καὶ τὸν γέλωτα διαβάλλομεν, ἀκαίρως αὐτῷ κεχρημένοι, οὕτω καὶ τὰ δάκρυα, ἀκαίρως αὐτὰ μεταχειρίζοντες. ἡ γὰρ ἑκάστου ἀρετὴ τότε φαίνεται, ὅταν πρὸς τὸ ἐπιτήδειον ἔργον ἄγηται· ὅταν δὲ πρὸς τὸ ἀλλότριον, οὐκέτι. οἷον, ὁ οἶνος πρὸς εὐφροσύνην δέδοται, ἀλλ' οὐ πρὸς μέθην· ὁ ἄρτος πρὸς τροφήν· ἡ μίξις πρὸς παιδοποιΐαν· ὥσπερ οὖν ταῦτα διαβέβληται παραχρώμενα, οὕτω καὶ τὰ δάκρυα. ἐπικείσθω νόμος, ἐν εὐχαῖς μόναις καὶ παραινέσεσι κεχρῆσθαι τούτοις, καὶ ὅρα πῶς καὶ ποθεινὸν ἔσται τὸ πρᾶγμα. οὐδὲν οὕτως ἀποσμήχει τὰ ἁμαρτήματα, ὡς δάκρυα. καὶ ταύτην τὴν σωματικὴν ὄψιν ὡραίαν δείκνυσι τὰ δάκρυα. πρὸς ἔλεον γὰρ ἐπισπᾶται τὸν ὁρῶντα, σεμνὴν ποιεῖ ἡμῖν αὐτήν.

τῶν Παύλου λόγων, καὶ ὅτι ὅπου ἐν θλίψει ἐστὶν, οὐκ ἐγκαταλείψεως ἐστὶ τεκμήριον. Θέλεις σηρικὰ φορεῖν ἱμάτια; μνημόνευε τῶν Παύλου δεσμῶν, καὶ ταῦτά σοι φανεῖται τῶν ῥακίων ἀτιμότερα τῶν βεβορβορωμένων. Θέλεις χρυσία περιθέσθαι; ἐν νῷ λάβε τὰ Παύλου δεσμὰ, καὶ σχοίνου παλαιᾶς οὐδὲν ἀμείνον εἶναι δόξει ταῦτα διακεῖσθαι. Θέλεις διαπλέξαι τὰς τρίχας, καὶ καλὴ φαίνεσθαι; ἐννόησον τὸν αὐχμὸν τοῦ Παύλου τὸν ἐν τῷ δεσμωτηρίῳ, καὶ ἐκκαυθήσῃ πρὸς ἐκεῖνο τὸ κάλλος, καὶ τοῦτο ἐσχάτην ἡγήσῃ δυσείδειαν, καὶ στενάξεις πικρῶς ἐπιθυμοῦσα ἐκείνων τῶν δεσμῶν. Θέλεις ἐπιτρίμματα καὶ ὑπογραφὰς ἑαυτῇ περιθεῖναι, καὶ ὅσα τοιαῦτα; ἐννόησον τὰ ἐκείνου δάκρυα. τριετίαν, νύκτα καὶ ἡμέραν οὐκ ἐπαύετο δακρύων. τούτῳ τῷ κόσμῳ καλλώπιζε τὴν παρειάν. ταῦτα τὰ δάκρυα λαμπρὰν αὐτὴν ἐργάζεται. οὐ λέγω, ἵνα ὑπὲρ τῶν ἄλλων δακρύῃς (βούλομαι μὲν [γὰρ] καὶ τοῦτο· ἀλλ' ἀδύνατόν ἐστι τοῦτο) ἀλλ' ὑπὲρ τῶν σῶν ἁμαρτημάτων τοῦτο παραινῶ ποιεῖν. ἐκέλευσας δεσμευθῆναι παῖδα, καὶ ὠργίσθης, καὶ παρωξύνθης; μνημόνευε τῶν Παύλου δεσμῶν, καὶ εὐθέως παύσεις τὴν ὀργήν. ἀναμνήσθητι ὅτι τῶν δεδεμένων ἡμεῖς, ἀλλ' οὐ τῶν δεόντων, τῶν συντετριμμένων τὴν καρδίαν, ἀλλ' οὐ τῶν συντριβόντων. διεχύθης, καὶ ἀνεκάγχασας μέγα; ἐννοίᾳ λάβε τὸν ἐκείνου ὀδυρμὸν, καὶ στέναξε. πολλῷ σε λαμπροτέραν τὰ δάκρυα ταῦτα δείκνυσιν. εἶδες τρυφῶντας καὶ ὀρχουμένους; μνημόνευσον αὐτοῦ τῶν δακρύων. ποία πηγὴ τοσαῦτα ἀνέβλυσε νάματα, ὡς οἱ ὀφθαλμοὶ ἐκεῖνοι τὰ δάκρυα; Μνημονεύετέ μου, φησὶ, τῶν δακρύων, ὥσπερ τῶν δεσμῶν ἐνταῦθα. καὶ εἰκότως ἐκείνοις ταῦτα εἶπεν, ἡνίκα ἀπὸ τῆς Ἐφέσου αὐτοὺς μετεστείλατο εἰς τὴν Μίλητον. διδασκάλοις γὰρ ἔλεγεν· ὥστε ἐκείνους μὲν καὶ τὸ συναλγεῖν ἀπαιτεῖ, τούτους δὲ τὸ κινδυνεύειν μόνον. ποίαν βούλει παραβαλεῖν πηγὴν τοῖς δάκρυσι τούτοις; τὴν ἐν τῷ παραδείσῳ, τὴν ποτίζουσαν τὴν γῆν ἅπασαν; ἀλλ' οὐδὲν ἴσον ἐρεῖς. αὕτη γὰρ ἡ τῶν δακρύων πηγὴ ψυχὰς ἐπότιζεν, οὐ γῆν. εἴ τις ἡμῖν δεδακρυμένον ἔδειξε Παῦλον καὶ στενάζοντα, οὐ πολλῷ βέλτιον ἰδεῖν, ἢ χοροὺς μυρίους φαιδρῶς ἐστεφανωμένους; οὐ λέγω περὶ ὑμῶν. ἀλλ' εἴ τις ἀπὸ τοῦ θεάτρου καὶ τῆς σκηνῆς ἀποσπάσας τινὰ τῶν ἀκολάστων ἐκκαιόμενον καὶ βακχευόμενον ὑπὸ τῶν σωμάτων ἔρωτι, ἐδείκνυ κόρην παρθένον ἐν αὐτῷ τῆς ἡλικίας τῷ ἄνθει τά τε ἄλλα νικῶσαν τὰς ὁμήλικας, καὶ τὴν ὄψιν ὑπὲρ τὰ λοιπὰ μέλη, ὀφθαλμοὺς ἔχουσαν ἁπαλοὺς καὶ μαλακοὺς ἐγκαθημένους [ἠρέμα,] περιστρεφομένους ἠρέμα, ὑγρόν, ἥμερον, γαληνὸν μειδιῶντα, καὶ πολλὴν μὲν περιεσταλμένον τὴν αἰδῶ, πολλὴν δὲ τὴν χάριν, βλεφάροις κυανοῖς κάτωθεν καὶ ἄνωθεν ἐστεφανωμένην, τὴν κόρην ἔμψυχον, ὡς εἰπεῖν, ἔχουσαν, λαμπρὸν τὸ μέτωπον, κάτωθεν πάλιν τὴν παρειὰν εἰς ἀκριβῆ ἐρυθρότητα ἀφικνουμένην, μεταξὺ δίκην λείαν ὑποκειμένην, ὁμαλήν· εἶτά μοι ἔδειξε Παῦλον δακρύοντα, ταύτην ἂν ἀφεὶς ἐπεπήδησε τῇ τούτου θέᾳ. κάλλος γὰρ ἀπέλαμπεν ἀπὸ τούτων τῶν ὀφθαλμῶν πνευματικόν. ἐκεῖνο μὲν γὰρ τινῶν ἐξίστασθαι νέων ψυχὰς ἐκκαίει, καὶ φλέγει· τοῦτο δὲ τοὐναντίον καταστέλλει. τούτου ἰδὼν ὀφθαλμοὺς ὁ ἐρῶν ὡραιότερον τῆς ψυχῆς ἐργάσεται, κατασπᾷ γαστέρα, φιλοσοφίας ἐμπίπλησι, συμπαθείας πολλῆς, καὶ ἀδαμαντίνην μαλάξαι δύναται ψυχήν. τούτοις ἄρδεται ἡ ἐκκλησία, τούτοις ψυχαὶ φυτεύονται τοῖς δάκρυσι. κἂν πῦρ ᾖ, ταῦτα τὰ δάκρυα σβέσαι δυνατά, καὶ αἰσθητὸν καὶ σωματικόν. ταῦτα τὰ δάκρυα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέννυσι. μνημονεύωμεν τοίνυν τῶν δακρύων αὐτοῦ, καὶ πάντων καταγελασόμεθα τῶν παρόντων. ταῦτα ἐμακάριζεν ὁ Χριστὸς τὰ δάκρυα λέγων· Μακάριοι οἱ πενθοῦντες, καὶ μακάριοι οἱ κλαίοντες, ὅτι αὐτοὶ γελάσονται. τοιαῦτα καὶ Ἡσαΐας, καὶ Ἱερεμίας ἠφίει δάκρυα· καὶ ὁ μὲν ἔλεγεν, Ἄφετέ με, πικρῶς κλαύσομαι· ὁ δὲ ἔλεγε, Τίς δώσει τῇ κεφαλῇ μου ὕδωρ, καὶ τοῖς ὀφθαλμοῖς μου πηγὰς δακρύων, ὡς οὐκ ἀρκούσης τῆς φυσικῆς. οὐδὲν τῶν δακρύων τούτων ἥδιον. παντὸς γέλωτος ταῦτα ἡδύτερα. ἴσασιν οἱ πενθοῦντες, πόσην ἔχει τὸ πρᾶγμα παραμυθίαν. μὴ ἀπευκτὸν αὐτὸ εἶναι νομίζωμεν, ἀλλὰ καὶ σφόδρα εὐκτόν. οὐχ ὥστε

ἑτέρους

Margin notes: κ. δεσμῷ — κ. σαυτῇ — κ. δεσμίων — Πράξ. κ. λα. — κ. ἐξίστασθαι — Λουκ. ϛ. κα. — Ησ. κβ. δ. — Ιερ. θ. α.

Digitized by Google

18 Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου. Τοῦτο γνησιότητος καὶ φιλίας τεκμήριον, τὸ καὶ τὰ γράμματα ὁρᾶν, καὶ πάσχειν τι πρὸς ταῦτα. Μνημονεύετέ μου τῶν δεσμῶν. Βαβαί, πόση παράκλησις; τοῦτο γὰρ ἱκανὸν εἰς πάντα αὐτοὺς προτρέψαι καὶ γενναιοτέρους ποιῆσαι πρὸς τοὺς ἀγῶνας, οὐ μόνον δὲ γενναιοτέρους, ἀλλὰ καὶ οἰκειοτέρους αὐτοὺς ἐποίει. Ἡ χάρις μεθ' ὑμῶν. Ἀμήν. Μέγα ἐγκώμιον, καὶ μεῖζον τῶν ἄλλων ἁπάντων, τὸ λέγειν περὶ τοῦ Ἐπαφρᾶ, Ὁ ἐξ ὑμῶν δοῦλος Χριστοῦ. καὶ διάκονον αὐτὸν ὑπὲρ αὐτῶν φησιν, ὥσπερ καὶ ἑαυτὸν τῆς ἐκκλησίας λέγει διάκονον, ὡς ὅταν λέγῃ· Ἧς ἐγενόμην ἐγὼ Παῦλος διάκονος. Εἰς τὸ αὐτὸ ἀξίωμα ἀναφέρει τὸν ἄνδρα, καὶ σύνδουλον ἀνωτέρω καλεῖ, καὶ ἐνταῦθα δοῦλον. ὁ ἐξ ὑμῶν, φησίν· ὡς πρὸς μητέρα διαλεγόμενος καὶ λέγων, ὁ ἐκ τῆς γαστρὸς τῆς σῆς. ἀλλὰ τοῦτο φθόνον ἂν ἔτεκε τὸ ἐγκώμιον. διὰ τοῦτο οὐκ ἀπὸ τούτων αὐτὸν συνίστησι μόνον, ἀλλὰ καὶ ἐκ τῶν πρὸς αὐτούς. καὶ ἐκεῖ φθόνον λύει, καὶ ἐνταῦθα. πάντοτε, φησίν, ἀγωνιζόμενος ὑπὲρ ὑμῶν· οὐ νῦν μόνον παρ' ἡμῖν, ὥστε ἐπιδείξασθαι, οὐδὲ παρ' ὑμῖν μόνον, ὥστε ὑμῖν ἐπιδείξασθαι. μεγάλην προθυμίαν ἔδειξε τὸ εἰπεῖν, ἀγωνιζόμενος. Εἶτα, ἵνα μὴ δόξῃ κολακεύειν αὐτούς, ἐπήγαγεν, ὅτι ζῆλον ἔχει πολὺν ὑπὲρ ὑμῶν, καὶ τῶν ἐν Λαοδικείᾳ, καὶ τῶν ἐν Ἱεραπόλει. καὶ τό, ἵνα στῆτε τέλειοι, καὶ τοῦτο οὐ κολακείας, ἀλλ' αἰδεσίμου διδασκάλου. καὶ πεπληρωμένοι, φησί, καὶ τέλειοι. τὸ μὲν ἔδωκε, τὸ δὲ εἶπεν ὑστερεῖν. καὶ οὐκ εἶπεν, ἵνα μὴ σαλεύησθε, ἀλλ', ἵνα στῆτε. τὸ μέντοι παρὰ πολλῶν ἀσπάζεσθαι αὐτούς, ἀνακτᾶται αὐτούς, ὅταν μὴ μόνον οἱ οἰκεῖοι ἐξ αὐτῶν, ἀλλὰ καὶ ἕτεροι αὐτῶν μνημονεύωσι. καί, Εἴπατε Ἀρχίππῳ, βλέπε τὴν διακονίαν, ἣν παρέλαβες ἐν Κυρίῳ, μάλιστα αὐτοὺς αὐτῷ ὑποτάττει. οὐκέτι γὰρ ἂν ἔχοιεν ἐγκαλεῖν ἐκείνῳ ἐπιτιμῶντι αὐτοῖς, ὅταν αὐτοὶ ὦσιν ἀναδεδεγμένοι τὸ πᾶν· ἐπεὶ οὐκ ἔχει λόγον τοῖς μαθηταῖς περὶ τοῦ διδασκάλου λέγειν· ἀλλ' ἐπιστομίζων αὐτούς, ταῦτα γράφει. Εἴπατε, φησίν, Ἀρχίππῳ, βλέπε. φοβοῦντός ἐστι τοῦτο τὸ ῥῆμα πανταχοῦ, ὡς ὅταν λέγῃ, Βλέπετε τοὺς κύνας· Βλέπετε μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν· Βλέπετε μή πως ἡ ἐξουσία ὑμῶν αὕτη πρόσκομμα γένηται τοῖς ἀσθενοῦσι. καὶ πανταχοῦ οὕτω φησὶν ὅταν φοβῇ. βλέπε, φησί, τὴν διακονίαν, ἣν παρέλαβες ἐν Κυρίῳ, ἵνα αὐτὴν πληροῖς. οὐδὲ ἀφίησιν αὐτὸν κύριον εἶναι, καθάπερ αὐτὸς ἔλεγεν· Εἰ γὰρ ἑκὼν τοῦτο πράσσω, μισθὸν ἔχω· εἰ δὲ ἄκων, οἰκονομίαν πεπίστευμαι. ἵνα αὐτὴν πληροῖς· διηνεκῶς κεχρημένος σπουδῇ. ἣν παρέλαβες ἐν Κυρίῳ. πάλιν τό, ἐν, διὰ Κυρίου, ἐστίν· αὐτός σοι ἔδωκεν, οὐχ ἡμεῖς. κἀκείνους ὑποτάττει αὐτῷ, τὴν διακονίαν παρὰ Θεοῦ αὐτοῖς ἐγκεχειρισμένον. μνημονεύετέ μου τῶν δεσμῶν. ἡ χάρις μεθ' ὑμῶν. Ἀμήν. Τὸν φόβον ἔλυσεν. εἰ γὰρ ὁ διδάσκαλος ἐν δεσμοῖς, ἀλλ' ἡ χάρις αὐτὸν λύει, καὶ τοῦτο τῆς χάριτος τὸ συγχωρεῖν αὐτὸν δεθῆναι. ἄκουε γὰρ τοῦ Λουκᾶ λέγοντος, Οἱ ὑπέστρεφον οἱ ἀπόστολοι ἀπὸ προσώπου τοῦ συνεδρίου χαίροντες ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ ἀτιμασθῆναι. καταξιωθῆναι γὰρ οὕτως ἐστί, καὶ τὸ ἀτιμασθῆναι, καὶ τὸ δεθῆναι. εἰ γὰρ ἐρώμενόν τις ἔχων, κέρδος ἡγεῖται τὸ δι' ἐκεῖνόν τι παθεῖν, πολλῷ μᾶλλον τὸ διὰ τὸν Χριστόν.

Κολασ. α. κε. — ἰσ. τῷ — Φιλιπ. γ. β. — Κολασ. β. η. — α. Κορ. η. θ. — α. Κορ. θ. ιζ. — Πραξ. ε. μα.

ΗΘΙΚΟΝ

Μὴ τοίνυν ἀσχάλλωμεν περὶ τὰς θλίψεις διὰ Χριστόν, ἀλλὰ μνημονεύωμεν τῶν δεσμῶν Παύλου καὶ ἡμεῖς, καὶ τοῦτο ἔστω ἡμῖν προτροπή. εἰ παραινεῖς τισι, πένησι δοῦναι διὰ Χριστόν· ἀναμίμνησον αὐτοὺς τῶν Παύλου δεσμῶν, καὶ σαυτὸν κἀκείνους ταλάνισον, εἰ ἐκεῖνος μὲν καὶ τὸ σῶμα ἐξέδωκε δεσμοῖς δι' αὐτόν, σὺ δὲ οὐδὲ τροφῆς μεταδίδως. ἐπήρθης ἐπὶ κατορθώμασι; μνημόνευσον τῶν Παύλου δεσμῶν, καὶ ὅτι οὐδὲν τοιοῦτον ἔπαθες, καὶ οὐκέτι ἐπαρθήσῃ. ἐπεθύμησας τῶν τοῦ πλησίον; μνημόνευσον τῶν Παύλου δεσμῶν, καὶ ὄψει πῶς ἄτοπον ἐκεῖνον μὲν ἐν κινδύνοις εἶναι, σὲ δὲ τρυφᾶν. ἐπεθύμησας πάλιν τρυφῆς; ἐν νῷ λάβε τὸ δεσμωτήριον Παύλου. ἐκείνου μαθητὴς εἶ, ἐκείνου συστρατιώτης. πῶς ἔχει λόγον, τὸν μὲν συστρατιώτην ἐν δεσμοῖς εἶναι, σὲ δὲ ἐν τρυφῇ; ἐν θλίψει γέγονας, ἐνόμισας ἐγκαταλελεῖφθαι; ἄκουε

χ. ἐν ἐπιθυμίᾳ.

τῶν

ΚΑὶ ἀρχόμενος τῆς ἐπιστολῆς, συνίστησι τὸν ἄνδρα ἀπὸ ἀγάπης, ἀγάπην δὲ δείκνυσι καὶ τὸ ἐγκωμιάζειν· ὅπερ ἐξ ἀρχῆς εἶπεν, Ὁ δηλώσας ἡμῖν, φησὶ, τὴν ὑμῶν ἀγάπην ἐν πνεύματι. (Κολασ. α. η.) ἀγάπην δείκνυσι καὶ ποιεῖ φιλεῖσθαι, καὶ τὸ ὑπερεύχεσθαι. συνίστησι δὲ αὐτὸν, ἀνοίγων θύραν τῷ λόγῳ αὐτοῦ (τὸ γὰρ αἰδέσιμον εἶναι τὸν διδάσκαλον, μαθητῶν ὠφέλεια) καὶ πάλιν τὸ εἰπεῖν, ἐξ ὑμῶν, ἵνα καὶ σεμνύνωνται ἐπὶ τῷ ἀνδρὶ, ἅτε τοιούτους φέροντες ἄνδρας. καὶ πάντοτε, φησὶν, ἀγωνιζόμενος ὑπὲρ ὑμῶν ἐν ταῖς προσευχαῖς. οὐχ ἁπλῶς εἶπεν, εὐχόμενος, ἀλλ᾽, ἀγωνιζόμενος, τρέμων, καὶ δεδοικώς. μαρτυρῶ γὰρ αὐτῷ, φησὶν, ὅτι ἔχει ζῆλον ὑπὲρ ὑμῶν. ἀξιόπιστος μάρτυς. ὅτι ἔχει, φησὶ, ζῆλον πολὺν ὑπὲρ ὑμῶν· τουτέστιν, ὅτι σφόδρα ὑμᾶς ἀγαπᾷ, καὶ ἐκκαίεται τῷ περὶ ὑμᾶς φίλτρῳ. καὶ τῶν ἐν Λαοδικείᾳ, φησὶ, καὶ τῶν ἐν Ἱεραπόλει. κἀκείνοις αὐτὸν συνίστησιν. ἀλλὰ πόθεν τοῦτο ἔμελλον εἰδέναι; εἰκὸς μὲν οὖν αὐτοὺς ἀκοῦσαι· πλὴν καὶ τῆς ἐπιστολῆς ἀναγινωσκομένης, ἐμάνθανον. (Κολασ. δ. ιϛ.) Ποιήσατε γὰρ, φησὶν, ἵνα καὶ ἐν τῇ Λαοδικέων ἐκκλησίᾳ ἀναγνωσθῇ. ἵνα στῆτε, φησὶ, τέλειοι. ἅμα καὶ κατηγορεῖ αὐτῶν, καὶ ἀνεπαχθῶς παραινεῖ καὶ συμβουλεύει. ἔνι γὰρ καὶ τέλειον εἶναι, καὶ μὴ ἑστάναι, ὡς ἐάν τις πάντα μὲν εἰδῇ, σαλεύηται δὲ ἔτι· ἔνι καὶ μὴ τέλειον εἶναι, καὶ ἑστάναι, ὡς ἐάν τις μέρος μὲν εἰδῇ, ἕστηκε δὲ οὐ βεβαίως. (κ. ἑστήκῃ) ἀλλ᾽ οὗτος ἀμφότερα εὔχεται, ἵνα στῆτε, φησὶ, τέλειοι. ὅρα πῶς πάλιν αὐτοὺς ὑπομιμνήσκει τοῦ περὶ τῶν ἀγγέλων λόγου, καὶ περὶ τοῦ βίου. καὶ πεπληρωμένοι, φησὶν, ἐν παντὶ θελήματι τοῦ Θεοῦ. οὐ γὰρ ἁπλῶς ἀρκεῖ τὸ θέλημα ποιεῖν. ὁ πεπληρωμένος οὐκ ἀφίησιν ἄλλο θέλημα εἶναι ἐν αὐτῷ, ἐπεὶ οὐ πεπληροφόρηται. μαρτυρῶ γὰρ αὐτῷ, φησὶν, ὅτι ἔχει ζῆλον πολύν· καὶ ζῆλον, καὶ πολύν· ἀμφότερα ἐπιτάσεως· ὥσπερ καὶ αὐτός φησι (β. Κορ. ια. β.) Κορινθίοις γράφων, Ζηλῶ γὰρ ὑμᾶς Θεοῦ ζήλῳ.

14 Ἀσπάζεται ὑμᾶς Λουκᾶς ὁ ἰατρὸς ὁ ἀγαπητός. Οὗτός ἐστιν ὁ εὐαγγελιστής. οὐ τοῦτον δὲ ταπεινῶν, ὕστερον τίθησιν, ἀλλ᾽ ἐκεῖνον ἐπαίρει τὸν Ἐπαφρᾶν. (κ. Ἐπαφρόδιτον.) Εἰκὸς εἶναι καὶ ἄλλους καλουμένους τῷ ὀνόματι τούτῳ. Καὶ Δημᾶς. Εἰπὼν δὲ, ἀσπάζεται ὑμᾶς Λουκᾶς ὁ ἰατρὸς, προσέθηκεν, ὁ ἀγαπητός. ἐγκώμιον καὶ τοῦτο οὐ μικρὸν, ἀλλὰ καὶ σφόδρα μέγα, τὸ Παύλου εἶναι ἀγαπητόν.

15 Ἀσπάσασθε τοὺς ἐν Λαοδικείᾳ ἀδελφοὺς, καὶ Νυμφᾶν, καὶ τὴν κατ᾽ οἶκον αὐτοῦ ἐκκλησίαν. Ὅρα πῶς αὐτοὺς συγκολλᾷ καὶ συνάπτει πρὸς ἑαυτοὺς, οὐ τῷ ἀσπάσασθαι μόνον, ἀλλὰ καὶ τῷ τὰς ἐπιστολὰς ἀντιδοῦναι. Εἶτα πάλιν χαρίζεται, κατ᾽ ἰδίαν αὐτοῖς προσαγορεύων. ποιεῖ δὲ τοῦτο οὐχ ἁπλῶς, ἀλλὰ καὶ τοὺς ἄλλους εἰς τὸν αὐτὸν ἄγων ζῆλον. οὐδὲ γὰρ μικρόν ἐστιν, ὅταν μὴ μετὰ τῶν λοιπῶν ἀριθμῆται. ὅρα γοῦν πῶς δείκνυσι μέγαν τὸν ἄνδρα, εἴγε ἡ οἰκία αὐτοῦ ἐκκλησία ἦν.

16 Καὶ ὅταν ἀναγνωσθῇ παρ᾽ ὑμῖν ἡ ἐπιστολὴ, ποιήσατε ἵνα καὶ ἐν τῇ Λαοδικέων ἐκκλησίᾳ ἀναγνωσθῇ. Ἐμοὶ δοκεῖ εἶναι τινὰ τῶν γραφέντων ἐκεῖ, ἃ καὶ τούτους ἐχρῆν ἀκοῦσαι. καὶ τούτοις μείζων ἦν ἡ ὠφέλεια, ὅταν ἑτέρων ἐγκαλουμένων, τὰ οἰκεῖα ἁμαρτήματα ἐπιγινώσκωσι. Καὶ τὴν ἐκ Λαοδικείας, ἵνα καὶ ὑμεῖς ἀναγνῶτε.

Τινές λέγουσιν ὅτι οὐχὶ τὴν Παύλου πρὸς αὐτοὺς ἀπεσταλμένην, ἀλλὰ τὴν παρ᾽ αὐτῶν Παύλῳ. οὐ γὰρ εἶπε, τὴν πρὸς Λαοδικέας, ἀλλὰ, τὴν ἐκ Λαοδικείας φησὶ γραφεῖσαν.

17 Καὶ εἴπατε Ἀρχίππῳ, βλέπε τὴν διακονίαν, ἣν παρέλαβες ἐν Κυρίῳ, ἵνα αὐτὴν πληροῖς. Τίνος ἕνεκεν οὐ γράφει πρὸς αὐτόν; ἴσως οὐκ ἔδει, ἀλλὰ ψιλῆς μόνης ὑπομνήσεως, ὥστε σπουδαιότερος εἶναι.

ἣν ἴδῃς, ἔδειξα ἄν σοι τοῦτον ἐκείνου σεμνότερον, μᾶλλον ἀποστίλβοντα. πατήσωμεν τὰ κέντρα τῆς βασκανίας. ἐὰν γὰρ ἐν τούτοις ὠφελώμεθα, ἀγαπητοί, αὐτοὶ ἀναδησόμεθα τὸν στέφανον. ὁ βασκαίνων τῷ Θεῷ μάχεται, οὐκ ἐκείνῳ. ὅταν γὰρ ἴδῃ χάριν ἔχοντα, καὶ ἀλγῇ, καὶ βούλεται καθαιρεῖσθαι τὴν ἐκκλησίαν, οὐκ ἐκείνῳ μάχεται, ἀλλὰ τῷ Θεῷ. εἰπὲ γάρ μοι· εἴ τις κόρην ἐκαλλώπιζε βασιλέως, καὶ εὐδοκίμει καλλωπίζων αὐτὴν καὶ σεμνὴν ἐργαζόμενος, ἕτερος δέ τις ἐβούλετο ταύτην ἀσχημονῆσαι, καὶ μὴ δυνηθείη καλλωπίσαι, τίνι ἂν ἐπεβούλευσε, τούτῳ, ἢ ἐκείνῃ, καὶ τῷ ταύτης πατρί; οὕτω καὶ νῦν· σὺ ὁ βασκαίνων μάχῃ τῇ ἐκκλησίᾳ, τῷ Θεῷ πολεμεῖς. ἐπειδὴ γὰρ τῇ εὐδοκιμήσει τοῦ ἀδελφοῦ συμπέπλεκται καὶ ἡ τῆς ἐκκλησίας ὠφέλεια, ἀνάγκη, ταύτης καταλυομένης, κἀκείνην καταλύεσθαι· ὥστε κατὰ τοῦτο, ἔργον Σατανικὸν ποιεῖς, ἐπιβουλεύων τῷ σώματι τοῦ Χριστοῦ. πρὸς τοῦτον ἀλγεῖς τὸν οὐδὲν ἠδικηκότα, πολλῷ δὲ μᾶλλον πρὸς τὸν Χριστόν. τί σε ἠδίκησεν, ὅτι οὐκ ἀφῆκε τὸ σῶμα αὐτοῦ καλλωπισθῆναι τῷ κάλλει; ὅτι οὐκ ἀφῆκε τὴν νύμφην κοσμηθῆναι; εἶτα δέ μοι τὴν τιμωρίαν, ὅση. τοὺς ἐχθροὺς εὐφραίνεις τοὺς σούς, καὶ αὐτὸν ἐκεῖνον τὸν εὐδοκιμοῦντα. ὃν βούλει λυπῆσαι φθονῶν, μᾶλλον αὐτὸν εὐφραίνεις, μᾶλλον δεικνύεις, ὅτι ηὐδοκίμησε βασκαίνων· οὐ γὰρ ἂν ἐβάσκηνας· μᾶλλον δεικνύεις ὅτι τιμωρῇ. αἰσχύνομαι μὲν οὖν ἀπὸ τούτων προτρέπων· πλὴν ἀλλ' ἐπειδὴ οὕτως ἀσθενῶς διακείμεθα, καὶ ἀπὸ τούτων παιδευθέντες τοῦ ὀλεθρίου τούτου πάθους ἀπαλλαγῶμεν. ἀλγεῖς ὅτι ηὐδοκίμησε; τί οὖν τὴν εὐδοκίμησιν αὐτοῦ ἐπαίρεις φθονῶν; βούλει αὐτὸν τιμωρήσασθαι; ἢ οὖν δεικνύεις ὅτι ἀλγεῖς; τὴν τιμωρίαν σαυτὸν ἀπαιτεῖς ἐμπεσεῖν τοῦτο, ὃν βούλει μὴ εὐδοκιμεῖν; διπλῆ λοιπὸν ἔσται ἡ ἡδονὴ τούτῳ, καὶ σοὶ ἡ τιμωρία· οὐ μόνον ὅτι μέγαν δεικνύεις αὐτόν, ἀλλ' ὅτι καὶ ἑτέραν αὐτῷ ἐντίκτεις ἡδονήν, τιμωρούμενος σαυτόν, καὶ πάλιν ὑπὲρ ὧν ἀλγεῖς, ἐκεῖνος ἥδεται, σοῦ φθονοῦντος. ὅρα πῶς πληγὰς χαλεπὰς ἑαυτοῖς δίδομεν, καὶ οὐκ αἰσθανόμεθα. ἀλλ' ἐχθρός ἐστι. καίτοιγε διὰ τί ἐχθρός; τί ἠδίκησεν; ἀλλ' ὅμως τὸν ἐχθρὸν λαμπρότερον ποιοῦμεν, καὶ ἡμᾶς αὐτοὺς πλέον κολάζομεν. τούτῳ πάλιν ἑαυτοὺς τιμωρούμεθα, ἂν αἰσθώμεθα ὅτι ἔγνω ἐκεῖνος. ἴσως μὲν γὰρ ἐκεῖνος οὐχ ἥδεται· ἡμεῖς δὲ νομίζοντες ὅτι ἥδεται, πάλιν διὰ τοῦτο ἀλγοῦμεν. οὐκοῦν παῦσαι φθονῶν. τί τραύματα ἑαυτῷ περιέχεις; ταῦτα ἐννοήσωμεν, ἀγαπητοί, τοὺς στεφάνους τοὺς διπλοῦς τῶν μὴ φθονούντων, τοὺς ἐπαίνους τοὺς παρὰ ἀνθρώπων, τοὺς παρὰ Θεοῦ, τὰ κακὰ τὰ ἀπὸ τῆς βασκανίας· καὶ οὕτω δυνησόμεθα σβέσαι τὸ θηρίον, καὶ εὐδοκιμῆσαι ἔμπροσθεν τοῦ Θεοῦ, καὶ τῶν αὐτῶν τυχεῖν τοῖς εὐδοκιμοῦσι. τευξόμεθα γὰρ ἴσως· κἂν μὴ τύχωμεν δέ, διὰ τὸ συμφέρον οὐ τευξόμεθα· πλὴν καὶ οὕτω δυνησόμεθα εἰς δόξαν Θεοῦ ζήσαντες, τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν τυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

γ. μὴ δυνηθεὶς

γ. σεαυτῷ

Λογ. ιβ. 12 ΑΣΠΑΖΕΤΑΙ ΥΜΑΣ ΕΠΑΦΡΑΣ Ο ΕΞ ΥΜΩΝ δοῦλος Χριστοῦ, πάντοτε ἀγωνιζόμενος ὑπὲρ ὑμῶν ἐν ταῖς προσευχαῖς, ἵνα στῆτε τέλειοι καὶ πεπληρωμένοι ἐν παντὶ θελήματι τοῦ Θεοῦ.

13 Μαρτυρῶ γὰρ αὐτῷ, ὅτι ἔχει ζῆλον πολὺν ὑπὲρ ὑμῶν, καὶ τῶν ἐν Λαοδικείᾳ, καὶ τῶν ἐν Ἱεραπόλει.

Καὶ

κζ. λ.



μὴ εἴπῃς, ἐκείνου ἡ εὐδοκίμησις· ἐγὼ τίνος ἕνεκεν χαίρω; οὐκ ἀδελφοῦ ταῦτα τὰ ῥήματα, ἀλλὰ πολεμίου. ἂν θέλῃς, οὐκ ἐκείνου ἐστὶν, ἀλλὰ σοῦ. σὺ κύριος ποιῆσαι αὐτὴν μείζονα, ἂν μὴ κατηφὴς ᾖς, ἀλλ' ἡσθῇς, ἂν φαιδρὸς ᾖς, ἂν γεγανωμένος. καὶ ὅτι οὕτως ἔχει τὸ πρᾶγμα, ἐντεῦθεν δῆλον. οἱ φθονοῦντες οὐκ ἐκείνοις φθονοῦσι μόνοις τοῖς εὐδοκιμοῦσιν, ἀλλὰ καὶ τοῖς ταῖς ἐκείνων εὐδοκιμήσεσι χαίρουσιν. οὕτως ἴσασιν ὅτι καὶ οὗτοι ἐν τῇ εὐδοκιμήσει εἰσὶ, καὶ οὗτοι μάλιστά εἰσιν οἱ σεμνυνόμενοι. ἐκεῖνος μὲν γὰρ καὶ ἐρυθριᾷ σφόδρα ἐγκωμιαζόμενος, οὗτος δὲ μετὰ πολλῆς τῆς ἡδονῆς ἐγκαλλωπίζεται. οὐχ ὁρᾷς ἐπὶ τῶν ἀθλητῶν πῶς ὁ μὲν στεφανοῦται, ὁ δὲ οὐ στεφανοῦται; ἡ δὲ ὀδύνη καὶ χαρὰ, τῶν ἐραστῶν ἐστι καὶ τῶν μισούντων· ἐκεῖνοι πηδῶσιν, ἐκεῖνοι σκιρτῶσιν. ὅρα πόσον ἐστὶ τὸ μὴ φθονεῖν. ἑτέρου ὁ πόνος, καὶ σοῦ ἡ ἡδονή· ἕτερος τὸν στέφανον περίκειται, καὶ σὺ σκιρτᾷς, σὺ ἐγκαλλωπίζῃ. εἰπὲ γάρ μοι, ἄλλος νενίκηκε, σὺ τί πηδᾷς; ἀλλ' ἴσασι κἀκεῖνοι καλῶς, ὅτι κοινὸν τὸ γινόμενον. διὰ τοῦτο τούτῳ μὲν οὐκ ἐγκαλοῦσιν οἱ φθονοῦντες, πειρῶνται δὲ καταβάλλειν τὴν νίκην· καὶ ἀκούεις ῥήματα τοιαῦτα λεγόντων αὐτῶν, ἐξήλειψά σε, καὶ κατέβαλόν σε· καίτοι γε ἑτέρου τὸ ἔργον, ἀλλὰ τὸ ἐγκώμιον σόν. εἰ δὲ ἐν τοῖς ἔξωθεν τοσοῦτον ἀγαθὸν τὸ μὴ φθονεῖν, ἀλλ' οἰκειοῦσθαι τὰ ἑτέρου ἀγαθὰ, πολλῷ μᾶλλον ἐπὶ τῇ νίκῃ τοῦ διαβόλου. τότε γὰρ καθ' ἡμῶν πλέον πνεῖ, δηλονότι ὡς πλέον ἡδόμενον. καίτοιγε μιαρὸς ὢν οἶδεν ἀκριβῶς ὅτι μεγάλη αὕτη ἡ ἡδονή. θέλεις αὐτὸν λυπῆσαι; ἥσθητι, καὶ χάρηθι. θέλεις αὐτὸν εὐφρᾶναι; σκυθρωπὸς γενοῦ. τὴν ἐκ τῆς νίκης τοῦ ἀδελφοῦ γενομένην αὐτῷ λύπην ἐπικουφίζεις διὰ τῆς σῆς ἀθυμίας, μετ' ἐκείνου ἵστασαι ἀποσχισθεὶς τοῦ ἀδελφοῦ. μεῖζον ἢ ἐκεῖνος ποιεῖς κακόν. οὐ γάρ ἐστιν ἴσον ἐχθρὸν ὄντα τὰ τῶν ἐχθρῶν ποιεῖν, καὶ φίλον ὄντα μετὰ τῶν ἐχθρῶν ἵστασθαι. οὗτος τῶν ἐχθρῶν μιαρώτερος. εἰ εὐδοκίμησεν ὁ ἀδελφὸς, ἢ λέγων, ἢ ἐπιδεικνύμενος, ἢ κατορθῶν, γενοῦ κοινωνὸς τῆς εὐδοκιμήσεως· δεῖξον ὅτι μέλος ἐστὶ σόν. καὶ πῶς, φησίν; ἐγὼ γὰρ οὐκ εὐδοκιμῶ. μὴ φθέγξῃ ποτὲ τὸ ῥῆμα τοῦτο· συνέλε τὰ χείλη. εἴ γε πλησίον μου τις ὁ ταῦτα λέγων, ἐπέθηκα ἂν τὴν χεῖρα τοῖς χείλεσι, μή ποτε ἀκούσῃ ὁ ἐχθρός. πολλάκις πρὸς ἀλλήλους ἔχθρας ἔχομεν, καὶ τοῖς ἐχθροῖς οὐκ ἐπιδεικνύμεθα· τῷ διαβόλῳ δὲ ἐπιδείκνυσαι σύ. μὴ εἴπῃς τοῦτο, μὴ ἐννοήσῃς· ἀλλὰ καὶ τοὐναντίον, μέλος ἐστὶν ἐμόν. εἰς τὸ σῶμα διαβαίνει ἡ δόξα. τί οὖν φησιν, ὅτι οἱ ἔξωθεν οὐχ οὕτω διάκεινται; ὅτι σὺ αἴτιος. ὅταν ἴδωσί σε ἀλλοτριούμενον αὐτοῦ τὴν ἡδονὴν, καὶ αὐτοὶ ἀλλοτριοῦνται· ὡς ἂν ἴδωσί σε οἰκειούμενον, οὐ τολμῶσιν. ἀλλ' ὁμοίως εἶ καὶ σὺ λαμπρός. οὐκ ηὐδοκίμησας λέγων, ἀλλ' ηὐδοκίμησας συνηδόμενος μειζόνως, ἢ ἐκεῖνος. εἰ γὰρ ἡ ἀγάπη μέγα καὶ πάντων κεφάλαιον, σὺ μὲν ἐκ ταύτης ἔλαβες στέφανον· ἐκεῖνος δὲ ἐκ τῆς ῥητορείας, σὺ δὲ ἐκ τοῦ σφόδρα φιλεῖν· ἐκεῖνος ἐπεδείξατο ῥημάτων ἰσχὺν, σὺ διὰ τῶν ἔργων τὸν φθόνον κατέβαλες, ἐπάτησας τὴν βασκανίαν. ὥστε εἰκότως ἂν μᾶλλον ἐκείνου στεφανωθείης· λαμπρότερος ὁ σὸς ἀγών. οὐκ ἐπάτησας μόνον τὴν βασκανίαν, ἀλλὰ καὶ ἑτέραν τινὰ πεποίηκας. ἐκεῖνος ἕνα ἔχει στέφανον μόνον, σὺ δὲ δύο, καὶ τούτους δύο τοῦ ἑνὸς λαμπροτέρους. ποίους τούτους; ἕνα μὲν τὸν ἆθλον κατὰ τοῦ φθόνου, δεύτερον δὲ τὸν αἰδέσιον ἐκ τῆς ἀγάπης. οὐ γὰρ τοῦ καθαρὸν εἶναι φθόνου τεκμήριον μόνον τὸ συνήδεσθαι, ἀλλὰ καὶ τοῦ ἀγάπην ἔχειν ἐρριζωμένην. ἐκεῖνον πολλάκις καὶ ἀνθρώπινόν τι διενοχλεῖ πάθος, οἷον ἡ κενοδοξία· σὺ δὲ πάντων εἶ παθῶν καθαρός. οὐ γὰρ δὴ κενοδοξῶν χαίρεις ἐπὶ τοῖς ἑτέρου καλοῖς. ὤρθωσε τὴν ἐκκλησίαν ἐκεῖνος, εἰπέ μοι; ηὔξησε τὸν σύλλογον; ἐπαίνεσον πάλιν. ἔχεις διπλοῦς τούτου στεφάνους· τὸν φθόνον κατέβαλες, τὴν ἀγάπην ᾐδέσω. ναὶ δέομαι, καὶ ἀντιβολῶ. βούλει καὶ τρίτον ἀκοῦσαι στέφανον; τοῦτον οἱ κάτω κροτοῦσιν ἄνθρωποι, σὲ οἱ ἄνω ἄγγελοι. οὐ γάρ ἐστιν ἴσον εὐέπειαν ἐπιδείκνυσθαι, καὶ πάθους κρατεῖν. οὗτος ὁ ἔπαινος πρόσκαιρος· ἐκεῖνος αἰώνιος· οὗτος ἐξ ἀνθρώπων, ἐκεῖνος ἐκ Θεοῦ· οὗτος φαίνεται ἐστεφανωμένος, σὺ δὲ ἐν τῷ κρυπτῷ στεφανοῦσαι, ὅπου ὁ πατήρ σου ὁρᾷ. εἰ δὲ σῶμα ἀποσχίσαντα τὴν ἑκάστου ψυχὴν

χ. ἐπαινούμενος.

ἣν

μένοι. ἀλλ' ἑκατέρου τὴν ἀρετὴν λαβών, τὴν κακίαν φύγε, καθάπερ ἡ μέλιττα, τοῦ μὲν τὸ φαιδρόν, τοῦ δὲ τὸ σιμόν. εἰ γὰρ ἰατρὸς οὐχ ὁμοίως πᾶσι χρήσεται τοῖς σώμασι, πολλῷ μᾶλλον διδάσκαλος. καίτοι μᾶλλον ἂν τὰ σώματα ἀκατάλληλα φάρμακα ἐνέγκοι, ἢ ψυχὴ λόγον. οἷον, προσιόντα ἔλαβες, καὶ γέγονέ σοι φίλος; μηδὲν αὐτῷ περὶ τούτου διαλεχθῇς, ἕως ἂν γένηται πάνυ φίλος· καὶ ὅταν γένηται, ἠρέμα. ὅρα γὰρ καὶ ὁ Παῦλος ἡνίκα εἰς τὰς Ἀθήνας παρεγένετο, πῶς αὐτοῖς διελέγετο. οὐκ εἶπεν, ὦ μιαροὶ καὶ παμμίαροι, ἀλλὰ τί; Ἄνδρες Ἀθηναῖοι, κατὰ πάντα ὡς δεισιδαιμονεστέρους ὑμᾶς θεωρῶ. πάλιν ὅτε ὑβρίσαι ἔδει, οὐ παρῃτήσατο· ἀλλὰ μετὰ πολλῆς τῆς σφοδρότητος ἔλεγε τῷ Ἐλύμᾳ, Ὦ πλήρης παντὸς δόλου καὶ πάσης ῥᾳδιουργίας, υἱὲ διαβόλου, ἐχθρὲ πάσης δικαιοσύνης. ὥσπερ γὰρ ἐκείνους ὑβρίσαι ἀνοίας ἦν, οὕτω τοῦτον μὴ ὑβρίσαι μαλακίας ἦν. πάλιν, εἰσάγεται πρὸς ἄρχοντα διὰ πρᾶγμα· τὰς προσηκούσας ἀπονέμει τιμάς. Πάντα ὑμῖν, φησι, γνωρίσουσι τὰ ὧδε. Διὰ τί μὴ συνῆλθον, φησι; τί δέ ἐστι, πάντα ὑμῖν γνωρίσουσι τὰ ὧδε; τουτέστι, τὰ δεσμά, καὶ τὰ ἄλλα πάντα τὰ κατέχοντά με. οὐκ ἂν οὖν ὁ προσιέμενος αὐτοὺς ἰδεῖν, ὁ καὶ ἑτέρους ἀποστέλλων, αὐτὸς ὑστέρησα, μὴ μεγάλης με κατεχούσης ἀνάγκης. καὶ μὴν τοῦτο οὐκ ἦν ἐγκαλοῦντος, καὶ μὴν σφόδρα ἐγκαλοῦντος. τὸ γὰρ μαθεῖν ὅτι καὶ πειρασμοῖς περιέπεσε, καὶ ἤνεγκε γενναίως, τοῦ πιστουμένου ἦν τὸ πρᾶγμα, καὶ ἀνορθοῦντος τὰς ἐκείνων ψυχάς.

Πράξ. ιζ. κβ.
Πράξ. ιγ. ι.
χ. ἀπανθρωπίας
χ. σφοδρότερον

9 Σὺν Ὀνησίμῳ, φησί, τῷ ἀγαπητῷ καὶ πιστῷ ἀδελφῷ. Ἀδελφὸν τὸν δοῦλον ὁ Παῦλος φησιν εἰκότως· ὅπουγε καὶ ἑαυτὸν δοῦλον ὀνομάζει τῶν πιστῶν. κατενέγκωμεν πάντα τὸν τῦφον, καταπατήσωμεν τὴν ἀλαζονείαν. δοῦλον ὀνομάζει ἑαυτὸν Παῦλος, ὁ τῆς οἰκουμένης ἀντάξιος καὶ μυρίων οὐρανῶν, καὶ σὺ μέγα φρονεῖς; ὁ πάντα ἄγων καὶ φέρων ὡς ἤθελεν, ὁ τὰ πρωτεῖα ἔχων ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ὁ στεφανωθείς, ὁ εἰς τρίτον ἀνελθὼν οὐρανόν, τοὺς δούλους ἀδελφοὺς καλεῖ, καὶ συνδούλους. ποῦ ἡ μανία; ποῦ ἡ ἀλαζονεία; οὕτως ἀξιόπιστος γέγονεν ὁ Ὀνήσιμος, ὥστε καὶ τοιαῦτα πιστεύεσθαι.

χ. καλεῖ

10 Καὶ Μάρκος, φησίν, ὁ ἀνεψιὸς Βαρνάβα, περὶ οὗ ἐλάβετε ἐντολάς, δέξασθε αὐτόν. Ἴσως παρὰ Βαρνάβα ἐντολὰς ἔλαβον. Οἱ ὄντες ἐκ περιτομῆς.

Καταστέλλει τῶν Ἰουδαίων τὸ φύσημα· ἐπαίρει τούτων τὰς ψυχάς, ὅτι ὀλίγοι μὲν ἐκ περιτομῆς· οἱ δὲ πλείους ἐκ τῶν ἐθνῶν. Οἵτινες ἐγενήθησάν μοι, φησι, παρηγορία.

Δείκνυσιν ἑαυτὸν ἐν πειρασμοῖς ὄντα μεγάλοις. ὥστε οὐδὲ τοῦτο μικρόν, ὅταν τοὺς ἁγίους παρακαλῶμεν καὶ παρουσίᾳ καὶ λόγῳ καὶ προεδρείᾳ, ὅταν συγκαυχώμεθα. τοῖς δεσμίοις γάρ, φησιν, ὡς συνδεδεμένοι· ὅταν τὰ ἐκείνων ἡμέτερα ποιῶμεν πάθη, καὶ ἐν τοῖς στεφάνοις κοινωνήσομεν. οὐχ εἱλκύσθης εἰς τὸ στάδιον; οὐ κατέβης εἰς τὸν ἀγῶνα; ἄλλος ἀπεδύσατο, ἄλλος παλαίει. ἀλλ' ἐὰν θέλῃς, κοινωνήσεις καὶ σύ. ἄλειφον ἐκεῖνον, γενοῦ αὐτοῦ φιλητὴς καὶ σπουδαστής, ἔξωθεν ἐπιβόα μεγάλα, διέγειρε τὴν δύναμιν, ἀνάκτα τὴν ψυχήν· ταῦτα ἐπὶ τῶν ἄλλων ἁπάντων γίνεσθαι ἀκόλουθον. Παῦλος γὰρ οὐκ ἐδεῖτο, ἀλλ' ἐκείνους ἐπαίρων ἔλεγε ταῦτα. σὺ τοίνυν ἐπὶ τῶν ἄλλων ἁπάντων τοὺς βουλομένους κακίζειν ἐπιστόμιζε· κατασκεύαζε αὐτῷ ἐραστάς· ὑποδέξαι ἐξιόντα μετὰ πολλῆς τῆς θεραπείας. οὕτω κοινωνήσεις τῶν στεφάνων, οὕτω τῆς δόξης. κἂν μηδὲν ἕτερον ποιήσῃς, ἡσθῇς δὲ ἐπὶ τοῖς γινομένοις, καὶ οὕτως ἐκοινώνησας, οὐχ ὡς ἔτυχεν. εἰσήνεγκας γὰρ ἀγάπην, τὸ πάντων κεφάλαιον τῶν ἀγαθῶν. εἰ γὰρ οἱ κλαίοντες δοκοῦσι τοῦ πένθους κοινωνεῖν, καὶ μεγάλα χαρίζονται τοῖς πενθοῦσι, καὶ τὸ πολὺ τῆς ὀδύνης ἀφαιροῦσι, πολλῷ μᾶλλον καὶ οἱ χαίροντες μείζονα ποιοῦσι τὴν ἡδονήν. ὅσον γὰρ κακὸν τὸ μὴ ἔχειν τοὺς συλλυπουμένους, ἄκουε τοῦ προφήτου λέγοντος· Καὶ ὑπέμεινα συλλυπούμενον, καὶ οὐχ ὑπῆρξε. διὰ τοῦτο καὶ Παῦλός φησι, Χαίρειν μετὰ χαιρόντων, καὶ κλαίειν μετὰ κλαιόντων. αὔξησον τὴν ἡδονήν, ἂν ἴδῃς τὸν ἀδελφὸν εὐδοκιμοῦντα.

Ἑβρ. ιγ. γ.
χ. ἐραστάς
χ. αἰσχρὸν
Ψαλ. ξη. κα.
Ρωμ. ιβ. ιε.

χώμενοι κοπιῶν ἀποδίδωσιν, εἰπὼν δὲ ἰδιάζοντα ἑκάστου· Οἵτινες ἐκ περιτομῆς· οὗτοι μόνοι συνεργοὶ εἰς τὴν βασιλείαν τοῦ Θεοῦ, οἵτινες ἐγενήθησάν μοι παρηγορία. κ. δ΄

Ἐπειδὴ εἶπε, συναιχμάλωτος, ἵνα μὴ συγκατενέγκῃ τὴν ψυχὴν τῶν ἀκουόντων, ὅρα πῶς τοῦτο τίθησι, καὶ διανίστησιν αὐτούς. συνεργοί, φησιν, εἰς τὴν βασιλείαν τοῦ Θεοῦ· ὥστε τῶν πειρασμῶν κοινωνοῦντες, τῆς βασιλείας κοινωνοῦσιν. οἵτινες ἐγενήθησάν μοι παρηγορία. ἐνίκησεν αὐτοὺς μεγάλως, εἴγε Παύλῳ παρηγορία γεγένηνται. ἀλλ' ἴδωμεν τὴν σύνεσιν Παύλου.

5 Ἐν σοφίᾳ, φησί, περιπατεῖτε πρὸς τοὺς ἔξω, τὸν καιρὸν ἐξαγοραζόμενοι·

Τουτέστιν, οὐκ ἔστιν ὑμέτερος ὁ καιρός, ἀλλ' ἐκείνων ἐστί. μὴ τοίνυν βούλεσθε αὐθεντεῖν, ἀλλ' ἐξαγοράζετε τὸν καιρόν. καὶ οὐκ εἶπεν ἁπλῶς, ἀγοράζετε, ἀλλ', ἐξαγοράζετε, δηλῶν ὅτι οὕτω διαπραττόμενοι, ὑμέτερον αὐτὸν ποιεῖτε ἑτέρως. αἰτίας γὰρ περιττῆς, πολέμων καὶ ἀπεχθείας προφάσεις ἐπινοεῖν. πρὸς γὰρ τοὺς κινδύνους περιττοὺς ὑπομένειν καὶ κέρδος οὐκ ἔχοντας, καὶ ἑτέρα γίνεται βλάβη, τὸ τοὺς Ἕλληνας μὴ προσιέναι ὑμῖν. ἐν γὰρ τοῖς ἀδελφοῖς ὅταν μὲν ᾖς, εἰκότως θαρρεῖς· ἔξω δὲ οὐχ οὕτω χρή. ὁρᾷς πῶς πανταχοῦ τοὺς ἔξω, τοὺς Ἕλληνας λέγει. α. Τιμ. γ. ζ. διὰ τοῦτο καὶ Τιμοθέῳ γράφων ἔλεγε· Δεῖ δὲ αὐτὸν καὶ μαρτυρίαν καλὴν ἔχειν ἀπὸ τῶν α. Κορ. ε. ιβ. ἔξωθεν. καὶ πάλιν, Τί γάρ μοι καὶ τοὺς ἔξω κρίνειν; ἐν σοφίᾳ, φησί, περιπατεῖτε πρὸς τοὺς ἔξω. ἔξω γάρ εἰσι, κἂν τὸν αὐτὸν κόσμον οἰκῶσιν ἡμῖν, τῆς βασιλείας ὄντες ἔξω καὶ τοῦ οἰκίσκου τοῦ πατρικοῦ. ἅμα καὶ παραμυθεῖται αὐτούς, ἔξω ἐκείνους καλῶν· ὅπερ ἔλεγεν ἀνω- Κολασ. γ. γ. τέρω, Ὅτι ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ. τότε, φησί, δόξας ζητεῖτε, τότε τιμάς, τότε τὰ ἄλλα πάντα· νῦν δὲ μή, ἀλλ' ἐκείνοις παρέχετε. εἶτα, ἵνα μὴ νομίσῃς χρήματα λέγειν αὐτόν, ἐπάγει,

6 Ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος, εἰδέναι ὑμᾶς πῶς δεῖ ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι. Ἵνα μὴ ὑποκρίσεως γέμῃ, φησί. τοῦτο γὰρ οὐ χάρις, οὐδὲ ἅλατι ἤρτυται. οἷον, ἐὰν δέῃ θεραπεῦσαι ἀκινδύνως, μὴ παραιτήσῃ· ἂν καιρὸς ᾖ προσηνῶς διαλεχθῆναι, μὴ νομίσῃς τὸ πρᾶγμα κολακείαν. πάντα μέντοι τὰ εἰς τιμὴν ἀνήκοντα, ἄνευ τοῦ βλάπτεσθαι τὴν εὐσέβειαν. οὐχ ὁρᾷς πῶς Δανιὴλ ἄνθρωπον ἀσεβῆ θεραπεύει; οὐχ ὁρᾷς τοὺς τρεῖς παῖδας, πῶς μετὰ σοφίας τῷ βασιλεῖ προσεφέροντο, καὶ ἀνδρείαν δεικνῦντες, καὶ παρρησίαν, καὶ οὐδὲν θρασύ, οὐδὲ ἀπεχθές; τοῦτο γὰρ οὐκ ἔτι παρρησίας, ἀλλὰ κενοδοξίας. εἰδέναι, φησί, πῶς δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι. ἑτέρως γὰρ τῷ ἄρχοντι, ἄλλως τῷ ἀρχομένῳ· ἄλλως τῷ πλουτοῦντι, ἄλλως τῷ πένητι. διατί; ὅτι αἱ τῶν πλουτούντων καὶ ἀρχόντων ψυχαὶ ἀσθενέστεραι τυγχάνουσιν οὖσαι μᾶλλον, φλεγμαίνουσαι μᾶλλον, διαρρέουσαι, ὥστε ἐκεῖ συγκαταβατικὸν εἶναι δεῖ· αἱ δὲ τῶν πενήτων καὶ ἀρχομένων, στερρότεραι καὶ συνεστώτεραι· ὥστε ἐνταῦθα καὶ παρρησίᾳ χρὴ μείζονι κεχρῆσθαι, πρὸς ἓν ὁρῶντα, τὴν οἰκοδομήν. μὴ ἐπειδὴ ὁ μὲν πλούσιος, ὁ δὲ πένης, ὁ μὲν πλέον τιμάσθω, ὁ δὲ ἔλαττον· ἀλλὰ διὰ τὴν ἀσθένειαν ὁ μὲν διαβασταζέσθω, ὁ δὲ μὴ οὕτως. οἷον, αἰτίας οὐκ οὔσης, μὴ κάλει τὸν Ἕλληνα μιαρόν, μηδὲ ἔσο ὑβριστής· ἀλλ' ἂν μὲν ἐρωτηθῇς περὶ τοῦ δόγματος, ἀπόκριναι ὅτι μιαρὸν καὶ ἀσεβές· οὐδενὸς δὲ ἐρωτῶντος οὐδὲ ἀναγκάζοντος λέγειν, οὐ προσήκει ἁπλῶς ἀπεχθείας ἀναδέχεσθαι. ποία γὰρ ἀνάγκη περιττὰς ἔχθρας κατασκευάζειν; πάλιν ἄν τινα κατηχῇς, λέγε δὲ ἐξ ὑποθέσεως ὑποκειμένης· ἐπεὶ σίγα. ἐὰν ᾖ ἅλατι ἠρτυμένος ὁ λόγος, κἂν εἰς διαρρέουσαν ἐμπέσῃ ψυχήν, ἐπισφίγξει τὴν χαύνην· κἂν εἰς τραχεῖαν, λεανεῖ τὸ σκληρόν. ἐπίχαρις ὤν, μήτε φορτικὸς ἔστω, μήτε πάλιν χαῦνος, ἀλλὰ καὶ τὸ στύφον ἐχέτω, καὶ τὸ μετὰ ἡδονῆς. ἄν τε γὰρ ἀμέτρως ἐπιστύφῃ, μᾶλλον ἔβλαψεν, ἢ ὠφέλησεν· ἐὰν δὲ ἀμέτρως χαριεντίσηται, μᾶλλον ἐλύπησεν, ἢ ὤνησεν· ὥστε πανταχοῦ μέτρα δεῖ εἶναι. μήτε κατηφὴς ἔσο καὶ σκυθρωπός· ἀηδὲς γάρ· μήτε διακεχυμένος· εὐκαταφρόνητον γὰρ καὶ πεπατημένον.

Digitized by Google

θεράποις. καίτοιγε ἂν θεράποι τῆς ἑαυτῶν ψυχῆς ἀπεγνωκότες, καὶ ὑβρίζειν καὶ πᾶν ὁτιοῦν ποιεῖν ἠδύναντο. ἀλλὰ διὰ τοῦτο ἀπέγνωσαν τῆς ψυχῆς, ἵνα μὴ κενοδοξῶσι (κενοδοξίας γάρ τοῦτο ἐστι) ἀλλ᾽ ἵνα κηρύσσωσι, καὶ ἵνα μετὰ παῤῥησίας πάντα φθέγγωνται. ἐκεῖνο δὲ ἀμετρίας ἐστίν. ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος· τουτέστι, μὴ εἰς ἀδιαφορίαν τὸ χαρίεν ἐκπίπτῃ. ἔνι γὰρ καὶ χαριεντίζεσθαι, ἔνι καὶ μετὰ τῆς προσηκούσης κοσμιότητος τοῦτο ποιεῖν. εἰδέναι πῶς δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι. ὥστε οὐχ ὁμοίως πᾶσι διαλέγεσθαι χρή, ἕλλησι λέγω, καὶ ἀδελφοῖς. οὐδαμῶς· ἐπεὶ τοῦτο τῆς ἐσχάτης ἀνοίας ἐστί.

7 Τὰ κατ᾽ ἐμὲ πάντα γνωρίσει ὑμῖν Τυχικὸς ὁ ἀγαπητὸς ἀδελφὸς, καὶ πιστὸς διάκονος, καὶ σύνδουλος ἐν Κυρίῳ. Βαβαὶ, ὅση σοφία Παύλου; πῶς οὐ πάντα ἐντίθησιν εἰς τὰς ἐπιστολὰς, ἀλλὰ τὰ ἀναγκαῖα, καὶ τὰ κατεπείγοντα; πρῶτον μὲν, οὐ βουλόμενος αὐτὰς εἰς μῆκος ἐκτείνειν· δεύτερον δὲ, καὶ τὸν ἀπερχόμενον αἰδεσιμώτερον ποιῶν, ἵνα ἔχῃ τι καὶ διηγεῖσθαι· τρίτον, δεικνὺς πῶς πρὸς αὐτὸν διάκειται. οὐ γὰρ ἂν αὐτῷ ταῦτα ἐνεχείρισεν. ἔπειτα ἦν, ἃ οὐκ ἔδει διὰ γραμμάτων δηλωθῆναι. ὁ ἀγαπητὸς, φησιν, ἀδελφός. εἰ ἀγαπητὸς, πάντα οἶδε, καὶ οὐδὲν αὐτὸν ἔκρυψε. καὶ πιστὸς διάκονος καὶ σύνδουλος ἐν Κυρίῳ. εἰ πιστὸς, οὐδὲν ψεύσεται· εἰ σύνδουλος, κεκοινώνηκε τῶν πειρασμῶν· ὥστε αὐτῷ πάντοθεν τὸ ἀξιόπιστον συνήγαγεν.

8 Ὃν ἔπεμψα πρὸς ὑμᾶς εἰς αὐτὸ τοῦτο. Ἐνταῦθα τὴν ἀγάπην δείκνυσι τὴν πολλὴν, εἴγε καὶ διὰ τοῦτο αὐτὸν ἀπέσταλκε. καὶ τῆς ἀποδημίας αἰτία αὕτη γέγονεν· ὃ καὶ Θεσσαλονικεῦσι γράφων ἔλεγε, Διὸ μηκέτι στέγοντες ηὐδοκήσαμεν καταλειφθῆναι ἐν Ἀθήναις μόνοι, καὶ ἐπέμψαμεν Τιμόθεον τὸν ἀδελφὸν ἡμῶν. καὶ Ἐφεσίοις δὲ αὐτὸν τοῦτον πέμπει, καὶ ὑπὲρ τῆς αὐτῆς αἰτίας. Ἵνα γνῷ, φησι, τὰ περὶ ὑμῶν, καὶ παρακαλέσῃ τὰς καρδίας ὑμῶν. Ὅρα τί φησιν. οὐχ ἵνα ὑμεῖς τὰ ἐμὰ μάθητε, ἀλλ᾽ ἵνα ἐγὼ τὰ ὑμέτερα. οὕτως οὐδαμοῦ τὸ αὐτοῦ τίθησι. δείκνυσιν αὐτοὺς καὶ ἐν πειρασμοῖς ὄντας· τὸ γὰρ εἰπεῖν, ἵνα παρακαλέσῃ τὰς καρδίας ὑμῶν.

9 Σὺν Ὀνησίμῳ τῷ ἀγαπητῷ καὶ πιστῷ ἀδελφῷ, ὅς ἐστιν ἐξ ὑμῶν. πάντα ὑμῖν γνωριοῦσι τὰ ὧδε. Ὀνήσιμος οὗτός ἐστι, περὶ οὗ γράφων τῷ Φιλήμονι ἔλεγεν, Ὃν ἐβουλόμην πρὸς ἐμαυτὸν κατέχειν, ἵνα ὑπὲρ σοῦ μοι διακονῇ ἐν τοῖς δεσμοῖς τοῦ εὐαγγελίου· χωρὶς δὲ τῆς σῆς γνώμης οὐδὲν ἠθέλησα ποιῆσαι. καὶ τὸ ἐγκώμιον δὲ προστίθησι τῆς πόλεως, ἵνα καὶ ἐγκαλλωπίζωνται, (μὴ μόνον ἐπαισχύνωνται), ὅς ἐστι, φησιν, ἐξ ὑμῶν. πάντα ὑμῖν γνωριοῦσι τὰ ὧδε.

*ἴσ. μὴ μόνον εἰ. ἵν.*

10 Ἀσπάζεται ὑμᾶς Ἀρίσταρχος ὁ συναιχμάλωτός μου. Οὐδὲν τούτου τοῦ ἐγκωμίου μεῖζον. οὗτός ἐστιν ὁ ἀπὸ Ἱεροσολύμων ἀναχθεὶς μετ᾽ αὐτοῦ. μείζων εἶπε τῶν προφητῶν οὗτος. ἐκεῖνοι μὲν γὰρ ξένους καὶ παρεπιδήμους ἑαυτοὺς καλοῦσιν, οὗτος δὲ καὶ αἰχμάλωτον. καθάπερ γὰρ αἰχμάλωτος, οὕτως ἤγετο καὶ ἐφέρετο, καὶ πᾶσιν εἰς τὸ κακῶς πάσχειν προὔκειτο, μᾶλλον δὲ καὶ ἐκείνων χεῖρον. ἐκείνους μὲν γὰρ, ἐπειδὰν λάβωσιν οἱ πολέμιοι, ἐν πολλῇ θεραπείᾳ λοιπὸν ἔχουσιν, ἅτε ὡς οἰκείων κτημάτων ἐπιμελούμενοι· τούτῳ δὲ ὡς ἐχθρῷ καὶ πολέμιοι πάντες ἦγον καὶ ἔφερον, δέροντες, μαστίζοντες, ὑβρίζοντες, συκοφαντοῦντες. τοῦτο καὶ ἐκείνοις παράκλησις ἦν. ὅταν γὰρ καὶ ὁ διδάσκαλος ἐν τοῖς τοιούτοις ᾖ, μᾶλλον παρακαλοῦνται οἱ μαθηταί. Καὶ Μάρκος ὁ ἀνεψιὸς Βαρνάβα. Καὶ τούτους ἐνεκωμίασε τέως ἀπὸ τῆς συγγενείας. μέγας γὰρ ἦν ἀνὴρ ὁ Βαρνάβας. Περὶ οὗ ἐλάβετε ἐντολάς· ἐὰν ἔλθῃ πρὸς ὑμᾶς, δέξασθε αὐτόν. Τί γάρ; οὐκ ἐδέχοντο καὶ χωρὶς τούτου; ναί· ἀλλὰ μετὰ πολλῆς τῆς σπουδῆς βούλομαι, φησι. καὶ τοῦτο τὸν ἄνδρα δείκνυσι μέγαν. πόθεν τὰς ἐντολὰς ἔλαβον, οὐ λέγει.

*ἴσ. μείζων*

11 Καὶ Ἰησοῦς ὁ λεγόμενος Ἰοῦστος. Ἴσως Κορίνθιος ἦν οὗτος. Εἶτα πᾶσι τὸ ἐγ-

*α Θεσ. γ. α.*
*Ἐφεσ. ς. κα.*
*Φιλημ. ιγ.*

τικτόμενοι, ἀλλ' ἔξωθεν ἀκινδύνως ἔχει (εἰς γὰρ ἀπονοίαν ἀλείφει, καὶ τῦφον) νῦν δὲ καὶ ἕτερα πολλὰ τίκτεται ἐκ τοῦ καλλωπισμοῦ. ὑποψίαι φλυαρίαι, δαπάναι ἄκαιροι, βλασφημίαι, πλεονεξιῶν ὑποθέσεις. τί γὰρ καλλωπίζῃ, εἰπέ μοι; ἵνα ἀρέσῃς τῷ ἀνδρί; οὐκοῦν ἐπὶ τῆς οἰκίας τοῦτο ποίει. ἐνταῦθα δὲ τοὐναντίον γίνεται. εἰ γὰρ τῷ οἰκείῳ ἀρέσαι θέλεις ἀνδρὶ, τοῖς ἄλλοις μὴ ἄρεσκε· εἰ δὲ τοῖς ἄλλοις ἀρέσκῃς, οὐ δυνήσῃ ἀρέσκειν τῷ οἰκείῳ. ὥστε πάντα ἀποτίθεσθαι τὸν κόσμον ἐχρῆν εἰς ἀγορὰν ἐμβάλλουσαν, εἰς ἐκκλησίαν περιιοῦσαν· ἄλλως δὲ, μὴ ἀπὸ τούτων ἀρέσκειν τῷ ἀνδρὶ, ἀφ' ὧν καὶ αἱ πόρναι, ἀλλ' ἀπὸ τούτων μᾶλλον, ἀφ' ὧν αἱ γυναῖκες αἱ ἐλεύθεραι. τίνι γὰρ, εἰπέ μοι, διέστηκε γυνὴ πόρνης; ὅτι ἡ μὲν πρὸς ἓν μόνον ὁρᾷ, ὅπως τῷ κάλλει τοῦ σώματος ἐφελκύσηται τοὺς ἐρωμένους· αὕτη δὲ καὶ οἰκίας προΐσταται, καὶ τέκνων κήδεται, καὶ τῶν ἄλλων ἁπάντων. θυγατέρα ἔχεις; ὅρα μὴ διαδέξηται τὴν βλάβην. φιλεῖ γάρ πως πρὸς τὰς ἀνατροφὰς τὰ ἤθη ῥυθμίζεσθαι, καὶ μιμεῖσθαι τὰ τῶν μητέρων ἤθη. ἔσο ὑπόδειγμα τῇ θυγατρὶ σωφροσύνης· κόσμησον τὸν κόσμον ἐκεῖνον, καὶ ὅρα πῶς τούτου καταφρονήσεις. οὕτως γὰρ ἐκεῖνα κόσμος ἐστὶ, ταῦτα δὲ ἀκοσμία. ἀρκεῖ τὰ εἰρημένα. ὁ δὲ Θεὸς ὁ τὸν κόσμον ποιήσας, καὶ δοὺς ἡμῖν τὸν τῆς ψυχῆς κόσμον, κοσμήσειεν ἡμᾶς, καὶ τῇ αὐτοῦ δόξῃ ἀμφιάσειεν· ἵνα πάντες ἐν ἀγαθοῖς ἔργοις διαλάμποντες, καὶ εἰς δόξαν αὐτοῦ ζῶντες, δόξαν ἀναπέμψωμεν τῷ πατρὶ, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι.

Λογ. ια. 5 ΕΝ ΣΟΦΙΑ ΠΕΡΙΠΑΤΕΙΤΕ ΠΡΟΣ ΤΟΥΣ ἔξω, τὸν καιρὸν ἐξαγοραζόμενοι. 6 Ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος, εἰδέναι πῶς δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι.

Ματθ. ι. κς. Ὅπερ ὁ Χριστὸς πρὸς τοὺς μαθητὰς ἔλεγε, τοῦτο καὶ νῦν Παῦλος παραινεῖ. τί δὲ ὁ Χριστὸς ἔλεγεν; Ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων· γίνεσθε οὖν φρόνιμοι ὡσεὶ ὄφεις, καὶ ἀκέραιοι ὡσεὶ περιστεραί. τουτέστι, φυλακτικοὶ γίνεσθε, μηδεμίαν αὐτοῖς λαβὴν διδόντες καθ' ὑμῶν. διὰ γὰρ τοῦτο προσέθηκε, πρὸς τοὺς ἔξω· ἵνα μάθωμεν ὅτι πρὸς τὰ μέλη τὰ οἰκεῖα οὐ τοσαύτης ἡμῖν δεῖ ἀσφαλείας, ὅσης πρὸς τοὺς ἔξω. ἔνθα γὰρ ἀδελφοὶ, εἰσὶ καὶ συγγνώμαι πολλαὶ, καὶ ἀγάπαι. δεῖ μὲν καὶ ἐνταῦθα ἀσφάλειαν εἶναι, πολλῷ δὲ πλέον ἔξω. οὐ γὰρ ἐστὶν ἴσον μεταξὺ ἐχθρῶν καὶ πολεμίων εἶναι καὶ φίλων. εἶτα ἐπειδὴ ἐφόβησεν, ὅρα πῶς πάλιν θαρρύνει. τὸν καιρὸν, φησὶν, ἐξαγοραζόμενοι· τουτέστι, βραχὺς ὁ παρὼν καιρός. ταῦτα δὲ ἔλεγεν, οὐ ποικίλους εἶναι βουλόμενος, οὐδὲ ὑποκριτάς. τοῦτο γὰρ οὐ σοφίας, ἀλλὰ ἀνοίας. ἀλλὰ τί; ἐν οἷς μὴ βλάπτονται, φησὶ, μηδεμίαν αὐτοῖς δίδοτε λαβήν· ὃ καὶ πρὸς Ῥωμαίους γράφων φησίν· Ἀπόδοτε πᾶσι τὰς ὀφειλάς, τῷ τὸν φόρον, τὸν φόρον· τῷ τὸ τέλος, τὸ τέλος· τῷ τὴν τιμὴν, τὴν τιμήν. διὰ τὸ κήρυγμα μόνον ἔστω σοι πόλεμος, φησί. μηδεμίαν ἑτέραν ὁ πόλεμος οὗτος ἀρχὴν λαμβανέτω. εἰ γὰρ μέλλοιεν ἡμῖν καὶ δι' ἕτερα ἀπεχθάνεσθαι, οὔτε μισθὸς ὑμῖν ἔσται, καὶ αὐτοὶ χείρους ἔσονται, καὶ δόξουσιν ἡμῖν δίκαια ἐγκαλεῖν· δεῖ τὰ τελέσματα ἂν μὴ καταβάλλωμεν· τὰς τιμὰς τὰς προσηκούσας ἐὰν μὴ ἀποδιδῶμεν, ἂν μὴ ὦμεν ταπεινοί. οὐχ ὁρᾷς Παῦλον, ἔνθα μηδὲν ἔβλαπτε τὸ κήρυγμα, πῶς ἐστι καθυφιείς; ἄκουε γὰρ αὐτοῦ λέγοντος πρὸς τὸν Ἀγρίππαν· Μακάριον ἐμαυτὸν ἥγημαι ἐπὶ σοῦ μέλλων ἀπολογεῖσθαι σήμερον, μάλιστα γνώστην ὄντα σε τῶν κατὰ Ἰουδαίους ἐθῶν τε καὶ ζητημάτων. εἰ δὲ ἐνόμιζε δεῖν ὑβρίζειν τὸν ἄρχοντα, πάντα ἂν ἀνέτρεψεν. ἄκουε δὲ καὶ τὸν περὶ τὸν μακάριον Πέτρον, πῶς ἐπιεικῶς ἀποκρίνονται τοῖς Ἰουδαίοις λέγοντες· Πειθαρχεῖν δεῖ Θεῷ μᾶλλον, ἢ ἀνθρώποις.

(Margin notes: Ρωμ. ιγ. ζ. — Πραξ. κς. β. — Πραξ. ε. κθ.)

Digitized by Google

πρὸς τὸν οὐρανὸν βλέπουσα, ἐπτερωμένη. Εἴ τίς μοι Παῦλον ἐδίδου ἀπὸ τοῦ οὐρανοῦ διακύπτοντα ἰδεῖν καὶ φωνὴν ἀφιέντα, ἢ ἐκ τοῦ δεσμωτηρίου, ἐκ τοῦ δεσμωτηρίου ἂν εἱλόμην. Ὁ μὲν γὰρ ἐκ τοῦ οὐρανοῦ πρὸς αὐτὸν ἔρχεται, ὅταν εἰς τὸ δεσμωτήριον ᾖ. Ὁ σύνδεσμος τοῦ κηρύγματος, τὰ δεσμὰ Παύλου· ὁ θεμέλιος, ἡ ἅλυσις ἐκείνη. Ἐκεῖνα τὰ δεσμὰ ποθήσωμεν. Καὶ πῶς, φησὶν, ἔνι; ἐὰν ταῦτα συντρίψωμεν καὶ διακλάσωμεν; οὐδὲν ἡμῖν ἀπὸ τούτων ὄφελος τῶν δεσμῶν, ἀλλὰ καὶ βλάβη. Δεσμώτας ἡμᾶς ἐκεῖ δείξει ταῦτα, τὰ δὲ Παύλου δεσμὰ λύσει ἐκεῖνα τὰ δεσμά. Ἡ τούτοις ἐνταῦθα δεδεμένη, καὶ τοῖς ἀθανάτοις ἐκεῖ δεσμοῖς δεθήσεται χεῖρας καὶ πόδας· ἡ τοῖς Παύλου δεδεμένη ἕξει καθάπερ κόσμον περικείμενον αὐτῇ τότε. Λῦσον καὶ σαυτὴν τοῦ δεσμοῦ, καὶ τὸν πεινῶντα τοῦ λιμοῦ. Τί τῶν ἁμαρτημάτων τὰς σειρὰς ἐπισφίγγεις; πῶς, φησίν; * ὅταν σὺ μὲν χρυσοφορῇς, ἕτερος δὲ ἀπόλλυται, ὅταν σὺ μὲν ἕνεκεν δόξης τύχῃς τῆς κενῆς, τοσοῦτον λαμβάνουσα χρυσίον, ἕτερος δὲ μὴ φαγεῖν ἔχῃ, οὐχὶ τὰς ἁμαρτίας ἐπέσφιγξας; Περίθου τὸν Χριστὸν, καὶ μὴ τὸν χρυσόν. Ἔνθα μαμμωνᾶς, ἐκεῖ Χριστὸς οὐκ ἔστιν· ἔνθα Χριστὸς, ἐκεῖ μαμμωνᾶς οὐκ ἔστιν. Οὐ βούλει τὸν βασιλέα αὐτὸν περικεῖσθαι τῶν πάντων; Εἴ τίς σοι τὴν ἁλουργίδα καὶ τὸ διάδημα ἔδωκεν, οὐκ ἂν ἐδέξω αὐτὰ πάντως τοῦ χρυσίου; ἐγώ σοι οὐ τὸν κόσμον δίδωμι τὸν βασιλικὸν, ἀλλ' αὐτὸν περιθέσθαι τὸν βασιλέα παρέχω. Καὶ πῶς ἄν τις περιθεῖτο τὸν Χριστὸν, φησίν; ἄκουσον τοῦ Παύλου λέγοντος· Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. Ἄκουσον τῆς παραινέσεως τῆς ἀποστολικῆς· Τῆς σαρκὸς, φησὶ, πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίαν. Οὕτω τις ἐνδύεται τὸν Χριστὸν, μὴ προνοῶν τῆς σαρκὸς εἰς ἐπιθυμίας. Ἂν τὸν Χριστὸν ἐνδύσῃ, καὶ δαίμονές σε φοβηθήσονται· ἂν δὲ τὸν χρυσὸν, καὶ ἄνθρωποι καταγελάσονται. Ἐὰν ἐνδύσῃ τὸν Χριστὸν, καὶ ἄνθρωποί σε αἰδεσθήσονται. Βούλει φαίνεσθαι καλὴ καὶ εὐπρεπής; ἀρκέσθητι τῇ τοῦ δημιουργοῦ πλάσει. Τί τὰ χρυσία ἐπεισάγεις, ὡς διορθωσομένη τὸ τοῦ Θεοῦ τὸ πλάσμα; Θέλεις εὐπρεπὴς φαίνεσθαι; περιβαλοῦ ἐλεημοσύνην, περιβαλοῦ φιλανθρωπίαν, περιβαλοῦ σωφροσύνην, ἀτυφίαν. Ταῦτα πάντα χρυσοῦ τιμιώτερα. Ταῦτα καὶ τὴν ὡραίαν εὐπρεπεστέραν ποιεῖ· ταῦτα καὶ τὴν οὐκ εὔμορφον, εὔμορφον ἐργάζεται. Ὅταν γάρ τις μετ' εὐνοίας ὄψιν ὁρᾷ, ἀπὸ ἀγάπης φέρει τὰς ψήφους· τὴν δὲ πονηρὰν οὐ δύναταί τις οὐδὲ καλὴν οὖσαν, καλὴν εἰπεῖν. Πεπλημμελημένη γὰρ ἡ διάνοια οὐ φέρει τὴν ψῆφον ὀρθήν. Ἐκοσμήθη ποτὲ ἡ Αἰγυπτία, ἐκοσμήθη καὶ ὁ Ἰωσήφ. Τίς ἦν ὡραιότερος; οὐ λέγω ὅτε ἐν τοῖς βασιλείοις ἦν ἐκείνη, οὗτος δὲ ἐν τῷ δεσμωτηρίῳ. Γυμνὸς ἦν οὗτος, ἀλλ' ἐνεδέδυτο τῆς σωφροσύνης τὰ ἱμάτια· ἐνδεδυμένη ἦν ἐκείνη, ἀλλὰ γυμνῆς ἦν αἰσχροτέρα. Σωφροσύνην γὰρ οὐκ εἶχεν. Ὅταν σφοδρῶς κοσμήσῃ, ὦ γύναι, τότε τῆς γυμνῆς αἰσχροτέρα γέγονας. Ἀπεδύσω γὰρ τὴν εὐκοσμίαν. Ἦν καὶ ἡ Εὔα γυμνή· ἀλλ' ὅτε ἐνεδύσατο, τότε ἦν αἰσχροτέρα. Ὅτι μὲν γὰρ ἦν γυμνὴ, κεκόσμητο τῇ δόξῃ τοῦ Θεοῦ· ὅτι δὲ τὸ τῆς ἁμαρτίας ἱμάτιον ἐνεδύσατο, τότε ἦν αἰσχρά. Καὶ σὺ τῆς φιλοκοσμίας ἐνδυομένη τὸ ἱμάτιον, τότε αἰσχροτέρα φαίνῃ. Ὅτι γὰρ ἡ πολυτέλεια οὐκ ἀρκεῖ δεῖξαι εὔμορφον, ἀλλ' ἔστι καὶ ἐνδεδυμένην τῆς γυμνῆς μᾶλλον ἀσχημονεῖν, ἐγὼ ἐρῶ. Εἴ ποτε αὐλητοῦ, ἢ χοραύλου σκευὴν ἐνεδύσω, ἆρα οὐκ ἦν ἀσχημοσύνη; καίτοιγε χρυσᾶ τὰ ἱμάτιά εἰσιν, ἀλλὰ διὰ τοῦτο ἀσχημοσύνη, ὅτι χρυσᾶ. Ἡ γὰρ πολυτέλεια τῆς σκηνῆς ἁρμόζει τοῖς τραγῳδοῖς, τοῖς ὑποκριταῖς, τοῖς μίμοις, τοῖς ὀρχησταῖς, τοῖς πρὸς τὰ θεῖα παρηγμένοις· γυναικὶ δὲ πιστῇ ἕτερα δέδοται ἱμάτια παρὰ τοῦ Θεοῦ, αὐτὸς ὁ μονογενὴς τοῦ Θεοῦ παῖς. Ὅσοι γὰρ, φησὶν, εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. Εἰπέ μοι, εἴ τίς σοι βασιλικὸν ἔδωκεν ἱμάτιον, σὺ δὲ ἐπάνω ἐκείνου τὸ τοῦ εἵλωτος λαβοῦσα περιέθου, ἆρα οὐκ ἂν μετὰ τοῦ ἀσχημονεῖν καὶ ἐκολάσθης; Τὸν τοῦ οὐρανοῦ δεσπότην καὶ τῶν ἀγγέλων ἐνεδύσω, καὶ περὶ τὴν γῆν ἔτι στρέφῃ; Ταῦτά μοι εἴρηται, ὅτι μέγα μὲν καὶ καθ' ἑαυτὸ κακὸν ἡ φιλοκοσμία, κἂν μηδὲν ἦν ἕτερον ἐντεῦθεν

γρ. ἐ

* ἐρωτᾷς πῶς; ἄκουε.

Γαλ. γ. κζ.
Ῥωμ. ιγ. ιδ.

γρ. ἐπαίρεις

Γαλ. γ. κζ.

κ. φέρια

προσκυνῶ. οὐκ ἔστι μόνον θαυμαστὸν, ὅτι ἁλιεῖς, ὅτι ἰδιῶται ἦσαν οἱ κήρυκες, ἀλλ' ὅτι καὶ ἕτερα κωλύματα, φύσει κωλύματα ἦν, καὶ πλείων γέγονεν ἡ ἐπίδοσις. οὐ μόνον οὐδὲν ἐκώλυσεν ἡ ἰδιωτεία, ἀλλὰ καὶ αὐτὸ τοῦτο φανερωθῆναι ἐποίησε τὸ κήρυγμα. ἄκουε γὰρ τοῦ Λουκᾶ λέγοντος· Καὶ καταλαβόμενοί, φησιν, ὅτι ἄνθρωποι ἀγράμματοί εἰσι καὶ ἰδιῶται, ἐθαύμαζον. οὐ μόνον οὐδὲν ἐκώλυεν ὁ δεσμὸς, ἀλλὰ καὶ αὐτὸ τοῦτο ἐποίησεν αὐτοὺς θαρσαλεωτέρους. οὐχ οὕτως ἐθάρρουν οἱ μαθηταὶ, λελυμένου τοῦ Παύλου, ὡς δεδεμένου. Περισσοτέρως γάρ, φησι, τολμᾶν ἀφόβως τὸν λόγον τοῦ Θεοῦ λαλεῖν. ποῦ οἱ ἀντιερωτῶντες, ὅτι οὐ θεῖον τὸ κήρυγμα; ἡ ἰδιωτεία οὐκ ἦν ἱκανὴ ποιῆσαι καταγνωσθῆναι αὐτούς; οὐκοῦν ἔδει καὶ ταῦτα φοβῆσαι αὐτούς; ἴστε γὰρ ὅτι δύο πάθεσι τούτοις τὸ πλῆθος κατέχεται, κενοδοξίᾳ, καὶ δειλίᾳ. ἡ ἰδιωτεία οὐκ ἠφίει ἐπαισχύνεσθαι· οἱ κίνδυνοι εἰς δειλίαν ἐμβαλεῖν ὤφειλον· ἀλλὰ θαύματά, φησιν, ἐποίουν. πιστεύετε οὖν ὅτι ἐποίουν θαύματα; ἀλλ' οὐκ ἐποίουν. τοῦτο μεῖζον θαῦμα τοῦ ποιεῖν, εἰ χωρὶς θαυμάτων προσήγοντο. ἐδέθη καὶ Σωκράτης παρὰ Ἕλλησι. τί οὖν; οὐκ εὐθέως ἔφυγον εἰς Μέγαρα οἱ μαθηταί; πάνυ γε. οὐ γὰρ τοὺς περὶ ἀθανασίας ἐδέξαντο λόγους. ἀλλ' ὅρα ἐνταῦθα. ἐδέθη Παῦλος, καὶ μᾶλλον ἐθάρρουν οἱ μαθηταί. εἰκότως. ἑώρων γὰρ οὐκ ἐμποδιζόμενον τὸ κήρυγμα. μὴ γὰρ γλῶτταν δύνασαι δῆσαι; ταύτῃ μάλιστα τρέχει. ὥσπερ γὰρ, δρομέως ἂν μὴ δήσῃς τοὺς πόδας, οὐκ ἐκώλυσας τοῦ δρόμου, οὕτω καὶ εὐαγγελιστοῦ ἐὰν μὴ δήσῃς τὴν γλῶτταν, οὐκ ἐκώλυσας τοῦ δρόμου. καὶ ὥσπερ ἐκεῖνος, ἐὰν δήσῃς τὴν ὀσφῦν, μᾶλλον τρέχει καὶ διαβαστάζεται, οὕτω καὶ οὗτος μᾶλλον κηρύττει, καὶ μετὰ πλείονος τῆς παρρησίας. δειλίᾳ ὁ δέσμιος, ὅταν δεσμὸς ᾖ μόνον· ὁ δὲ τοῦ θανάτου καταφρονῶν πῶς ἂν ἐδέθη; ταὐτὸν ἐποίουν, οἷον ἂν εἰ τὴν σκιὰν ἐδέσμουν Παύλου, καὶ τὸ στόμα αὐτῆς ἐνέφραττον. σκιομαχία γὰρ ἦν. τοῖς τε γὰρ οἰκείοις ποθεινότερος μᾶλλον ἦν, τοῖς τε ἐχθροῖς αἰδεσιμώτερος, ἀπὸ ἀνδρείας φέρων ἔπαθλον, τὸν δεσμόν. στέφανος κοσμεῖ κεφαλὴν, ἀλλ' οὐκ αἰσχύνει, ἀλλὰ καὶ λαμπροτέραν ποιεῖ. ἄκοντες ἐστεφάνουν αὐτὸν τῇ ἁλύσει. εἰπὲ γάρ μοι, σίδηρον εἶχε δῆσαι ὁ τὰς ἀδαμαντίνας τοῦ θανάτου καταπολεμήσας πύλας; ἔλθωμεν εἰς ζῆλον, ἀγαπητοὶ, τῶν δεσμῶν τούτων. ὅσαι γυναῖκες χρυσία περίκεισθε, τὰ Παύλου δεσμὰ ποθήσατε. οὐχ οὕτως ὑμῖν περὶ τὸν τράχηλον τὰ περιδέραια ἀπολάμπει, ὡς ἐκείνου περὶ τὴν ψυχὴν ὁ τῶν σιδηρῶν δεσμῶν ἔστιλβε κόσμος. εἴ τις ἐκεῖνα ποθεῖ, ταῦτα μισείτω. τίς γὰρ κοινωνία βλακείᾳ πρὸς ἀνδρείαν, καλλωπισμῷ σωματικῷ πρὸς φιλοσοφίαν; ἐκεῖνα τὰ δεσμὰ ἄγγελοι αἰδοῦνται, τούτων καὶ καταπαίζουσιν· ἐκεῖνα τὰ δεσμὰ πρὸς τὸν οὐρανὸν ἀπὸ τῆς γῆς ἕλκειν εἴωθε, ταῦτα τὰ δεσμὰ πρὸς τὴν γῆν ἀπὸ τοῦ οὐρανοῦ κατάγει. ὄντως γὰρ ταῦτα δεσμά, οὐκ ἐκεῖνα· ἐκεῖνα κόσμος, ταῦτα δεσμά. ταῦτα μετὰ τοῦ σώματος καὶ τὴν ψυχὴν θλίβει· ἐκεῖνα μετὰ τοῦ σώματος καὶ τὴν ψυχὴν κοσμεῖ. βούλει μαθεῖν ὅτι ἐκεῖνα κόσμος ἐστίν; εἰπέ μοι, τίς μᾶλλον ἐπεσπάσατο τοὺς ὁρῶντας, σὺ, ἢ Παῦλος; καὶ τί λέγω, σύ; αὐτὴ ἡ βασιλὶς ἡ πάντα χρυσοῖ περικειμένη, οὐκ ἂν μᾶλλον ἐπεσπάσατο τοὺς ὁρῶντας. ἀλλ' εἰ συνέβη καὶ Παῦλον μετὰ τῶν αὐτοῦ χειρῶν δεδεμένον, καὶ τὴν βασιλίδα εἰς τὴν ἐκκλησίαν εἰσελθεῖν, πάντες ἂν ἀπ' ἐκείνης ἐπὶ τοῦτον μετήγαγον τοὺς ὀφθαλμούς. καὶ εἰκότως. τὸ γὰρ ὁρᾶν ἄνδρα τῆς φύσεως τῆς ἀνθρωπίνης μείζονα, καὶ οὐδὲν ἔχοντα ἀνθρώπινον, ἀλλ' ἄγγελον ἐπὶ γῆς, θαυμασιώτερον τοῦ ὁρᾶν γυναῖκα κεκαλλωπισμένην. ταῦτα μὲν γὰρ καὶ ἐν θεάτροις, καὶ ἐν πομπαῖς, καὶ ἐν βαλανείοις, καὶ πολλαχοῦ ἐστιν ἰδεῖν· ἄνθρωπον δὲ δεσμὰ περικείμενον, καὶ νομίζοντα τὸν μέγιστον κόσμον ἔχειν, καὶ οὐκ εἴκοντα τοῖς δεσμοῖς, οὐκ ἔστι γῆς θέαμα ἰδεῖν τοὺς ὁρῶντας, ἀλλ' οὐρανῶν ἄξιον τὸ θέαμα. ἡ ταῦτα περικειμένη ψυχὴ περισκοπεῖ, τίς εἶδε, τίς οὐκ εἶδε, τύφου πεπλήρωται, φροντίσι κατέχεται, μυρίοις ἑτέροις δέδεται πάθεσιν· ὁ δὲ ἐκεῖνα περικείμενος, ἄτυφος· ἡ ψυχὴ γαυροῦται, πάσης ἀπήλλακται φροντίδος, γέγηθε,

πρὸς

Κολασ. α. ιδ.

Ισ. κωλύματα ἦν, ἀλλὰ καὶ

3 Προσευχόμενοι ἅμα καὶ περὶ ἡμῶν. Ὅρα τὴν ταπεινοφροσύνην. μετ' ἐκείνους ἑαυτὸν τίθησιν. Ἵνα ὁ Θεὸς ἀνοίξῃ ἡμῖν θύραν τοῦ λόγου, λαλῆσαι τὸ μυστήριον τοῦ Χριστοῦ. Εἴσοδον φησὶ καὶ παῤῥησίαν. βαβαί, ὁ ἀθλητὴς ὁ τοσοῦτος οὐκ εἶπεν, ἵνα ἀπαλλαγῶ τῶν δεσμῶν· ἀλλὰ δέσμιος ὢν ἑτέρους παρεκάλει, καὶ παρεκάλει ἐπὶ πράγματι μεγάλῳ, ἵνα παῤῥησίαν λάβῃ. τὰ δύο μεγάλα, καὶ ἡ ποιότης τοῦ προσώπου, καὶ ἡ τοῦ πράγματος. βαβαί, ὅσον τὸ ἀξίωμα; τὸ μυστήριον, φησί, τοῦ Χριστοῦ. δείκνυσιν ὅτι οὐδὲν αὐτῷ τούτου ποθεινότερον, τοῦ λαλῆσαι. Δι' ὃ καὶ δέδεμαι,

4 Ἵνα φανερώσω αὐτό, ὡς δεῖ με λαλῆσαι. Μετὰ πολλῆς φησὶ τῆς παῤῥησίας, καὶ μηδὲν ὑποστελλόμενον. ὁρᾷς, τὰ δεσμὰ φανεροῖ αὐτόν, οὐ συσκιάζει. μετὰ πολλῆς φησὶ τῆς παῤῥησίας. Εἰπέ μοι, σὺ δέδεσαι, καὶ ἄλλους παρακαλεῖς; ναί, φησί. μείζονα μοι παῤῥησίαν δίδωσι τὰ δεσμά. ἀλλὰ δέομαι τῆς τοῦ Θεοῦ ῥοπῆς. ἤκουσα γὰρ τοῦ Χριστοῦ λέγοντος· Ὅταν παραδιδῶσιν ὑμᾶς, μὴ μεριμνήσητε πῶς, ἢ τί λαλήσητε. καὶ ὅρα πῶς μεταφορικῶς εἶπεν· ἵνα ὁ Θεὸς ἀνοίξῃ ἡμῖν θύραν τοῦ λόγου. ὅρα πῶς ἄτυφός ἐστι· πῶς ἐν τοῖς δεσμοῖς ὢν ταπεινὰ φθέγγεται· τουτέστιν, ἵνα μαλάξῃ τὰς καρδίας αὐτῶν. καὶ οὐκ εἶπεν οὕτως· ἀλλ' ἵνα ἡμῖν παῤῥησίαν δῷ, ταπεινοφρονῶν οὕτως εἴρηκε, καὶ τοῦτο ὅπερ εἶχεν, ἀξιοῖ λαβεῖν. δείκνυσιν ἐν ταύτῃ τῇ ἐπιστολῇ διατί τότε οὐκ ἦλθεν ὁ Χριστός, τὴν σκιὰν ἐκεῖνα καλέσας. τὸ δὲ σῶμα, φησί, τοῦ Χριστοῦ. ὥστε ἔδει ἐν τῇ σκιᾷ ἐθισθῆναι. ἅμα καὶ τῆς ἀγάπης τῆς εἰς αὐτοὺς μέγιστον ἐμφαίνει τεκμήριον· ἵνα ὑμεῖς, φησίν, ἀκούσητε, ἐγὼ δέδεμαι.

*Marginal notes:* ε. καὶ πολλῷ μᾶλλον ἂν εἰ μὴ ἐδέδετο. — Ματθ. ι. ιθ. — ε. ἀνοίξῃ — Κολοσ. β. ιζ.

ΗΘΙΚΟΝ

Πάλιν τὸν δεσμὸν εἰς μέσον τίθησιν, οὗ σφόδρα ἐρῶ, ὃς διανίστησί μοι τὴν καρδίαν, καὶ ἀεὶ εἰς ἐπιθυμίαν ἄγει τὸν Παῦλον δεδεμένον ἰδεῖν, καὶ ἐν δεσμοῖς γράφοντα, καὶ κηρύττοντα, καὶ βαπτίζοντα, καὶ κατηχοῦντα. ὑπὲρ τῶν ἐκκλησιῶν τῶν ἁπανταχοῦ ἀνεφέρετο αὐτῷ δεδεμένῳ, μυρία ᾠκοδόμει δεδεμένος. τότε ἄλυτος μᾶλλον ἦν. ἄκουε γὰρ αὐτοῦ λέγοντος· Ὥστε τοὺς πλείονας τῶν ἀδελφῶν πεποιθότας τοῖς δεσμοῖς μου περισσοτέρως τολμᾷν ἀφόβως τὸν λόγον λαλεῖν. καὶ αὐτὸς δὲ πάλιν τοῦτο ὁμολογεῖ λέγων· Ὅταν γὰρ ἀσθενῶ, τότε δυνατός εἰμι. διὰ τοῦτο καὶ ἔλεγεν· Ἀλλ' ὁ λόγος τοῦ Θεοῦ οὐ δέδεται. ἐδεσμεῖτο μετὰ τῶν κακούργων, μετὰ τῶν δεσμωτῶν, μετὰ τῶν ἀνδροφόνων ὁ τῆς οἰκουμένης διδάσκαλος, ὁ εἰς τρίτον ἀνελθὼν οὐρανόν, ὁ τὰ ἄῤῥητα ῥήματα ἀκούσας· ἐδέδετο, ἀλλὰ τότε ταχύτερος ὁ δρόμος ἦν. ὁ δεθεὶς ἐλέλυτο, καὶ ὁ μὴ δεδεμένος ἐδέδετο. οὗτος μὲν γάρ, ὅπερ ἤθελεν, ἔπραττεν· ἐκεῖνος δὲ αὐτὸν οὐκ ἐκώλυεν, οὐδὲ τὴν ἰδίαν ἐπλήρου προαίρεσιν. τί ποιεῖς, ὦ ἀνόητε; μὴ γὰρ σωματικός ἐστι δρομεύς; μὴ γὰρ ἐν σταδίῳ τῷ παρ' ἡμῖν ἀγωνίζεται; ἐν οὐρανῷ πολιτεύεται. τὸν ἐν οὐρανῷ τρέχοντα δῆσαι τὰ ἐπὶ γῆς οὐ δύναται, οὐδὲ κατασχεῖν. οὐχ ὁρᾷς τουτονὶ τὸν ἥλιον; περίβαλε δεσμὰ ταῖς ἀκτῖσι, στῆσον τοῦ δρόμου. ἀλλ' οὐ δυνήσῃ. οὐκοῦν οὐδὲ Παῦλον· καὶ πολλῷ μᾶλλον τοῦτον, ἢ ἐκεῖνον. πλείονος γὰρ οὗτος, ἢ ἐκεῖνος ἀπήλαυσε προνοίας, ἅτε φῶς φέρων οὐ τοιοῦτον ἡμῖν, ἀλλὰ τὸ ἀληθινὸν βαστάζων. ποῦ νῦν εἰσιν οἱ μηδὲν βουλόμενοι διὰ τὸν Χριστὸν πάσχειν; τί δὲ λέγω πάσχειν, ὅπου γε οὐδὲ χρήματα βούλονται προέσθαι; ἐδεσμεῖτο καὶ Παῦλός ποτε, καὶ ἐνέβαλλεν εἰς δεσμωτήριον· ἀλλ' ἐπειδὴ τοῦ Χριστοῦ γέγονε δοῦλος, οὐ τῷ ποιεῖν λοιπόν, ἀλλὰ τῷ πάσχειν σεμνύνεται. καὶ τοῦτο δὲ τοῦ κηρύγματος θαῦμα, ὅταν διὰ τῶν πασχόντων αὐτῶν, ἀλλ' οὐ τῶν ποιούντων κακῶς, οὕτως ἐγείρηται καὶ αὔξηται. ποῦ τις εἶδεν ἀγῶνας τοιούτους; ὁ πάσχων κακῶς, νικᾷ· καὶ ὁ ποιῶν κακῶς, ἡττᾶται. οὗτος ἐκείνου λαμπρότερος. διὰ δεσμῶν τὸ κήρυγμα εἰσῆλθεν. οὐκ αἰσχύνομαι, ἀλλὰ καὶ σεμνύνομαι, φησί, τὸν ἐσταυρωμένον κηρύττων. ἐννόησον γάρ μοι· ἡ οἰκουμένη πᾶσα τοὺς λελυμένους ἀφεῖσα, τοῖς δεδεμένοις προσῄει· τοὺς δεσμοῦντας ἀποστρεφομένη, τοὺς τὴν ἅλυσιν περικειμένους τιμᾷ· τοὺς σταυρώσαντας μισήσασα, τὸν ἐσταυρωμένον προσκυνεῖ.

*Marginal notes:* Φιλιπ. α. ιδ. — β. Κορ. ιβ. ι. — β. Τιμ. β. θ.

Digitized by Google

ας καὶ προαιρέσεως. καὶ τίς ὁ μισθός; Εἰδότες, φησὶν, ὅτι ἀπὸ Κυρίου λήψεσθε τὴν ἀνταπόδοσιν τῆς κληρονομίας ὑμῶν. Τῷ γὰρ Κυρίῳ δουλεύετε. ἐκεῖνο περὶ αὐτοῦ δηλοῖ ὅτι λήψεσθε τὸν μισθόν. καὶ ὅτι τῷ Κυρίῳ δουλεύετε, δηλοῖ ἐκ τούτου. ὁ δὲ ἀδικῶν, φησὶ, κομιεῖται ὃ ἠδίκησεν. ἐνταῦθα βεβαιοῖ τὸν προειρημένον λόγον. ἵνα γὰρ μὴ δόξῃ κολακείας εἶναι τὰ ῥήματα, λήψεται, φησὶν, ὁ ἀδικήσας, τουτέστι, καὶ τιμωρίαν δίδωσιν. οὐ γάρ ἐστι προσωποληψία παρὰ τῷ Θεῷ. τί γὰρ εἰ δοῦλος εἶ; οὐκ αἰσχύνη. καὶ μὴν τοῦτο τοὺς δεσπότας ἔδει εἰπεῖν, ὥσπερ καὶ ἐν τῇ πρὸς Ἐφεσίους. ἀλλ' ἐνταῦθά μοι δοκεῖ τοὺς Ἕλληνας αἰνίττεσθαι δεσπότας. τί γὰρ εἰ ἐκεῖνος μὲν Ἕλλην, σὺ δὲ χριστιανὸς; οὐ τὰ πρόσωπα, ἀλλὰ τὰ πράγματα ἐξετάζεται. ὥστε καὶ οὕτω μετ' εὐνοίας καὶ ἐκ ψυχῆς δεῖ δουλεύειν. Οἱ κύριοι, τὸ δίκαιον καὶ τὴν ἰσότητα τοῖς δούλοις παρέχεσθε. τί δέ ἐστι τὸ δίκαιον; τί δέ ἐστιν ἰσότης; πάντων ἐν ἀφθονίᾳ καθιστᾶν, καὶ μὴ ἐᾶν ἑτέρων δεῖσθαι, ἀλλὰ ἀμείβεσθαι αὐτοὺς τῶν πόνων. μὴ γὰρ, ἐπειδὴ εἶπον, ὅτι παρὰ Θεοῦ ἔχουσι τὸν μισθὸν, διὰ τοῦτο σὺ ἀποστερήσῃς. ἑτέρωθι δέ φησιν, Ἀνιέντες τὴν ἀπειλὴν, ἡμερωτέρους ἐργάσασθαι βουλόμενος. τέλειοι γὰρ ἦσαν ἐκεῖνοι. τουτέστιν, ἐν ᾧ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν. καὶ τὸ, Οὐκ ἔστι προσωποληψία, πρὸς τούτους εἴρηται. κεῖται δὲ ἐπ' ἐκείνων, ἵνα οὕτοι δέξωνται. ὅταν γὰρ ἑτέρῳ ἁρμόζον πρὸς ἕτερον εἴπωμεν, οὐκ ἐκεῖνον τοσοῦτον, ὅσον τὸν ὑπεύθυνον κατορθώσωμεν. καὶ ὑμεῖς μετ' ἐκείνων, φησίν. ἐνταῦθα κοινὴν ἐποίησε τὴν δουλείαν· Εἰδότες γὰρ, φησιν, ὅτι καὶ ὑμεῖς ἔχετε κύριον ἐν οὐρανοῖς.

[Margin: Ephes. 6. — Ephes. 6. 9. — ἐν τῆς διανοίας]

2 Τῇ προσευχῇ προσκαρτερεῖτε, γρηγοροῦντες ἐν αὐτῇ ἐν εὐχαριστίᾳ.

Ἐπειδὴ γὰρ τὸ καρτερεῖν ἐν ταῖς εὐχαῖς ῥᾳθυμεῖν πολλάκις ποιεῖ, διὰ τοῦτό φησι, γρηγοροῦντες, τουτέστι, νήφοντες, μὴ ῥεμβόμενοι. οἶδε γὰρ, οἶδεν ὁ διάβολος ὅσον ἀγαθὸν εὐχή. διὸ βαρὺς ἔγκειται. οἶδε δὲ καὶ Παῦλος πῶς ἀκηδιῶσι πολλοὶ εὐχόμενοι. διό φησι, προσκαρτερεῖτε τῇ προσευχῇ, ὡς περί τινος ἐπιπόνου, γρηγοροῦντες ἐν αὐτῇ ἐν εὐχαριστίᾳ. Τοῦτο γὰρ, φησιν, ἔργον ὑμῶν ἔστω, ἐν ταῖς εὐχαῖς εὐχαριστεῖν, καὶ ὑπὲρ τῶν φανερῶν, καὶ ὑπὲρ τῶν ἀφανῶν, καὶ ὑπὲρ ὧν ἑκόντας, καὶ ὑπὲρ ὧν ἄκοντας ἐποίησεν εὖ, καὶ ὑπὲρ βασιλείας, καὶ ὑπὲρ γεέννης, καὶ ὑπὲρ θλίψεως, καὶ ὑπὲρ ἀνέσεως. οὕτω γὰρ ἔθος τοῖς ἁγίοις εὔχεσθαι, καὶ ὑπὲρ τῶν κοινῶν εὐεργεσιῶν εὐχαριστεῖν. οἶδα ἐγώ τινα ἅγιον ἄνδρα οὕτως εὐχόμενον. οὐδὲν πρὸ τούτου τοῦ ῥήματος ἔλεγεν, ἀλλ' ὅτι· « Εὐχαριστοῦμέν σοι ὑπὲρ πασῶν τῶν εὐεργεσιῶν σου τῶν ἐκ πρώτης ἡμέρας μέχρι τῆς παρούσης εἰς ἡμᾶς τοὺς ἀναξίους ἐπικεχυμένων· ὑπὲρ ὧν ἴσμεν, καὶ οὐκ ἴσμεν· ὑπὲρ τῶν φανερῶν, ὑπὲρ τῶν ἀφανῶν· τῶν ἐν ἔργῳ γενομένων, τῶν ἐν λόγῳ· τῶν ἑκόντι, τῶν ἄκοντι· πασῶν τῶν εἰς τοὺς ἀναξίους ἡμᾶς γεγενημένων· ὑπὲρ θλίψεων, ὑπὲρ ἀνέσεων, ὑπὲρ τῆς γεέννης, ὑπὲρ τῆς κολάσεως, ὑπὲρ βασιλείας τῶν οὐρανῶν. παρακαλοῦμέν σε φυλάξαι τὴν ψυχὴν ἡμῶν ἁγίαν, καθαρὰν συνείδησιν ἔχουσαν, τέλος ἄξιον τῆς φιλανθρωπίας σου. ὁ ἀγαπήσας ἡμᾶς ὥστε τὸν μονογενῆ σου δοῦναι ὑπὲρ ἡμῶν, καταξίωσον ἀξίους γενέσθαι τῆς σῆς ἀγάπης· δὸς ἐν τῷ λόγῳ σου σοφίαν, καὶ ἐν τῷ φόβῳ σου μονογενὲς Χριστέ· ἔμπνευσον ἰσχὺν τὴν παρὰ σοῦ, ὁ τὸν μονογενῆ δοὺς ὑπὲρ ἡμῶν, καὶ τὸ πνεῦμά σου τὸ ἅγιον ἐξαποστείλας εἰς ἄφεσιν τῶν ἡμετέρων ἁμαρτιῶν. εἴ τι ἑκόντες ἢ ἄκοντες ἡμάρτομεν, συγχώρησον καὶ μὴ λογίσῃ. μνήσθητι πάντων τῶν ἐπικαλουμένων τὸ ὄνομά σου ἐν ἀληθείᾳ· μνήσθητι πάντων τῶν εὖ, καὶ τἀναντία ἡμῖν θελόντων. πάντες γὰρ ἄνθρωποί ἐσμεν. » εἶτα ἐπιθεὶς τὴν εὐχὴν τῶν πιστῶν, ἐνταῦθα ἔπαυεν, ὡς κορωνίδα τινὰ καὶ σύνδεσμον ὑπὲρ πάντων τὴν εὐχὴν ποιησάμενος. πολλὰ γὰρ ἡμᾶς ὁ Θεὸς καὶ ἄκοντας εὖ ποιεῖ, πολλὰ καὶ οὐκ εἰδότας, καὶ μείζονα. ὅταν γὰρ τἀναντία εὐχώμεθα, αὐτὸς δὲ τἀναντία ποιῇ, δῆλον ὅτι καὶ οὐκ εἰδότας εὖ ποιεῖ.

[Margin: χ. πολλοί — χ. ἐπιτελουμένων — χ. πλείονα]

3 Προσευχόμενοι

ὑποτασσομένην. ὁ γὰρ φιλοῦντι ὑποταγῆναι, οὐδεμίαν ἔχει δυσκολίαν. μὴ φοβοῦ ἐρῶν. ἔχεις γὰρ αὐτὴν εἴκουσαν. οὐκ ἂν ἄλλως οὗτος ἐγένετο σύνδεσμος. ἀναγκαίαν τοίνυν ἔχεις ἀπὸ τῆς φύσεως τὴν ἀρχήν· ἔχε καὶ τὸν δεσμὸν τὸν ἀπὸ τῆς ἀγάπης. τὴν γὰρ ἀσθενεστέραν ἀνεκτὴν εἴασε. Τὰ τέκνα, ὑπακούετε τοῖς γονεῦσι κατὰ πάντα. τοῦτο γάρ ἐστιν εὐάρεστον ἐν Κυρίῳ. πάλιν, τὸ, ἐν Κυρίῳ, τέθεικε, καὶ νόμους τίθησιν ὑπακοῆς, καὶ ἐντρέπων, καὶ καταβάλλων. τοῦτο γάρ, φησίν, ἐστιν εὐάρεστον τῷ Κυρίῳ. ὅρα πῶς οὐκ ἀπὸ τῆς φύσεως μόνης, ἀλλὰ πρὸ ταύτης ἀπὸ τῶν τῷ Θεῷ δοκούντων βούλεται ἡμᾶς ἅπαντα πράττειν, ἵνα καὶ μισθὸν ἔχωμεν. Οἱ πατέρες, μὴ ἐρεθίζετε τὰ τέκνα ὑμῶν, ἵνα μὴ ἀθυμῶσιν. ἰδοὺ πάλιν καὶ ἐνταῦθα ὑποταγὴ, καὶ φίλτρον. καὶ οὐκ εἶπεν, ἀγαπᾶτε τὰ τέκνα (περιττὸν γὰρ ἦν· αὐτὴ γὰρ ἡ φύσις καταναγκάζει) ἀλλ' ὅπερ ἔδει διόρθωσε, τὸ, καὶ τὸ φίλτρον ἐνταῦθα εἶναι σφοδρότερον, ἐπεὶ καὶ ἡ ὑπακοὴ μείζων. οὐδαμοῦ γὰρ τίθησιν ὑπόδειγμα τὸ τοῦ ἀνδρὸς καὶ τὸ τῆς γυναικός, ἀλλὰ τί; ἄκουε τοῦ προφήτου λέγοντος· Καθὼς οἰκτείρει πατὴρ υἱοὺς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν. καὶ πάλιν ὁ Χριστός Ψαλ. ρβ. ιγ.
φησι, Τίς ἐστιν ἐξ ὑμῶν ἄνθρωπος, ὃν ἐὰν αἰτήσῃ ὁ υἱὸς ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ; Ματθ. ζ. θ.
καὶ ἐὰν ἰχθὺν αἰτήσῃ, μὴ ὄφιν ἐπιδώσει αὐτῷ; Οἱ πατέρες, μὴ ἐρεθίζετε τὰ τέκνα ὑμῶν, ἵνα μὴ ἀθυμῶσιν. ὃ μάλιστα αὐτοὺς ἦν δυνατὸν δακεῖν, τοῦτο τέθεικε, καὶ φιλικώτερον εἶπεν ἐπιτάττων αὐτοῖς. καὶ οὐδαμοῦ τὸν Θεὸν τίθησιν. ἐπέκλασε γὰρ τοὺς γονέας, καὶ κατέ-
γρ. κατακάμψαι καμψεν αὐτῶν τὰ σπλάγχνα. τὸ δὲ, μὴ ἐρεθίζετε, τοῦτ' ἐστι, μὴ φιλονεικοτέρους αὐτοὺς ποιεῖτε. ἔστιν ὅπου καὶ συγχωρεῖν ὀφείλετε. Εἶτα ἐπὶ τρίτην ἦλθεν ἀρχήν, Οἱ δοῦλοι, λέγων, ὑπακούετε τοῖς κατὰ σάρκα κυρίοις. ἐνταῦθά ἐστι μέν τι καὶ φίλτρον, ἀλλ' οὐκέτι φυσικὸν, καθάπερ ἄνω, ἀλλὰ συνηθείας, καὶ ἀπ' αὐτῆς τῆς ἀρχῆς, καὶ ἀπὸ τῶν ἔργων. ἐπεὶ οὖν ἐνταῦθα τὸ μὲν τοῦ φίλτρου ὑποτέτμηται, τὸ δὲ τῆς ὑπακοῆς ἐπιτέταται, τούτῳ ἐνδιατρίβει, βουλόμενος, ὅπερ οἱ πρῶτοι ἔχουσιν ἀπὸ τῆς φύσεως, τοῦτο δοῦναι τούτοις ἀπὸ τῆς ὑπακοῆς. ὥστε οὐχ ὑπὲρ τῶν δεσποτῶν τοῖς οἰκέταις μόνοις διαλέγεται, ἀλλὰ καὶ ὑπὲρ αὐτῶν, ἵνα ποθεινοὺς ἑαυτοὺς ἐργάζωνται τοῖς δεσπόταις. ἀλλ' οὐ τίθησι τοῦτο φανερῶς. ἢ γὰρ ἂν ὑπτίους αὐτοὺς ἐποίησεν. Οἱ δοῦλοι, φησιν, ὑπακούετε κατὰ πάντα τοῖς κατὰ σάρκα κυρίοις. καὶ ὅρα πῶς ἀεὶ τὰ ὀνόματα τίθησι, γυναῖκες, τὰ τέκνα, οἱ δοῦλοι, ὡς δικαίωμα τοῦ ὑπακούειν. ἀλλ' ἵνα μὴ ἀλγήσῃ, ἐπήγαγε· τοῖς κατὰ σάρκα κυρίοις. τὸ κρεῖττόν σου ἡ ψυχὴ ἠλευθέρωται, φησί· πρόσκαιρός ἡ δουλεία. ἐκεῖνο τοίνυν ὑπόταξον, ἵνα μηκέτι ἀνάγκης ᾖ ἡ δουλεία. Μὴ ἐν ὀφθαλμοδουλείαις, ὡς ἀνθρωπάρεσκοι. ποίησον, φησι, τὴν ἀπὸ τοῦ νόμου δουλείαν ἀπὸ τοῦ φόβου γίνεσθαι τοῦ Χριστοῦ. κἂν γὰρ μὴ ὁρῶντος ἐκείνου πράττῃς τὰ δέοντα καὶ τὰ πρὸς τιμὴν τοῦ δεσπότου, δηλονότι διὰ τὸν ἀκοίμητον ὀφθαλμὸν ποιεῖς. μὴ κατ' ὀφθαλμοδουλείαν, φησίν, ὡς ἀνθρωπάρεσκοι. ὥστε ὑμεῖς τὴν βλάβην ὑποστήσεσθε. ἄκουε γὰρ τοῦ προφήτου λέγοντος· Διεσκόρπισε Κύ- Ψαλ. νβ. ζ.
ριος ὀστᾶ ἀνθρωπαρέσκων. ὅρα τοίνυν πῶς αὐτῶν φείδεται, καὶ αὐτοὺς ῥυθμίζει. ἀλλ' ἐν ἁπλότητι, φησὶ, καρδίας, φοβούμενοι τὸν Θεόν. ἐκεῖνο γὰρ οὐχ ἁπλότης, ἀλλ' ὑπόκρισις, ἕτερον ἔχειν, καὶ ἕτερον ποιεῖν· ἄλλον μὲν παρόντος φαίνεσθαι τοῦ δεσπότου, ἄλλον δὲ ἀπόντος. οὐκοῦν οὐχ ἁπλῶς εἶπεν, ἐν ἁπλότητι καρδίας, ἀλλὰ, φοβούμενοι τὸν Θεόν. τοῦτο γάρ ἐστι φοβεῖσθαι τὸν Θεὸν, ὅταν μηδενὸς ὁρῶντος, μηδὲν πράττωμεν πονηρόν. ἂν δὲ πράττωμεν, οὐχὶ τὸν Θεὸν, ἀλλὰ τοὺς ἀνθρώπους φοβούμεθα. ὁρᾷς ὅτι ἐκείνους ῥυθμίζει; πᾶν ὅ, τι ἂν ποιῆτε, φησιν, ἐκ ψυχῆς ἐργάζεσθε, ὡς τῷ Κυρίῳ, καὶ οὐκ ἀνθρώποις. οὐ μόνον ὑποκρίσεως, ἀλλὰ καὶ ἀργίας αὐτοὺς ἀπαλλάξαι βούλεται. ἐλευθέρους αὐτοὺς ἐποίησεν ἀντὶ δούλων, ὅταν μὴ δέωνται τῆς τῶν δεσποτῶν ἐπιστασίας. τὸ γὰρ ἐκ ψυχῆς, τοῦτο ἐστι, τὸ μετ' εὐνοίας, μὴ μετὰ δουλικῆς ἀνάγκης, ἀλλὰ μετ' ἐλευθερί-

ας

Λογ. ι. 18 ΑΙ ΓΥΝΑΙΚΕΣ, ΥΠΟΤΑΣΣΕΣΘΕ ΤΟΙΣ ἀνδράσιν, ὡς ἀνῆκεν ἐν Κυρίῳ. 19 Οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυναῖκας, καὶ μὴ πικραίνεσθε πρὸς αὐτάς. 20 Τὰ τέκνα, ὑπακούετε τοῖς γονεῦσι κατὰ πάντα. τοῦτο γάρ ἐστιν εὐάρεστον Κυρίῳ. 21 Οἱ πατέρες, μὴ ἐρεθίζετε τὰ τέκνα ὑμῶν, ἵνα μὴ ἀθυμῶσιν. 22 Οἱ δοῦλοι, ὑπακούετε κατὰ πάντα τοῖς κατὰ σάρκα κυρίοις, μὴ κατ' ὀφθαλμοδουλείαν, ὡς ἀνθρωπάρεσκοι, ἀλλ' ἐν ἁπλότητι καρδίας, φοβούμενοι τὸν Θεόν. 23 Πᾶν ὅ,τι ἂν ποιῆτε, ἐκ ψυχῆς ἐργάζεσθε, ὡς τῷ Κυρίῳ, καὶ οὐκ ἀνθρώποις, 24 Εἰδότες ὅτι παρὰ Κυρίου λήψεσθε τὴν ἀνταπόδοσιν τῆς κληρονομίας. τῷ γὰρ Κυρίῳ Χριστῷ δουλεύετε. 25 Ὁ δὲ ἀδικῶν, κομιεῖται ὃ ἠδίκησε, καὶ οὐκ ἔστι προσωποληψία παρὰ τῷ Θεῷ.

κεφ. δ. 1 Οἱ κύριοι, τὸ δίκαιον καὶ τὴν ἰσότητα τοῖς δούλοις παρέχετε, εἰδότες ὅτι καὶ ὑμεῖς ἔχετε κύριον ἐν οὐρανοῖς.

Διὰ τί μὴ πανταχοῦ καὶ ἐν πάσαις ταῖς ἐπιστολαῖς ταῦτα ἐπιτάττει, ἀλλ' ἐνταῦθα, καὶ τῇ πρὸς Ἐφεσίους, καὶ τῇ πρὸς Τιμόθεον, καὶ τῇ πρὸς Τίτον; ὅτι εἰκὸς ἐν ταύταις ταῖς πόλεσιν εἶναι τὰς διχοστασίας, ἢ εἰκὸς τὰ μὲν ἄλλα αὐταῖς κατωρθῶσθαι· τούτων δὲ οὕτως ὑστερεῖν, ὥστε δέον εἶναι καὶ περὶ τούτων αὐτοὺς ἀκοῦσαι. μᾶλλον δὲ ἃ πρὸς τούτους λέγει, πρὸς πάντας λέγει. πολλὴν δὲ ἐμφέρειαν ἔχει αὕτη ἡ ἐπιστολὴ τῇ πρὸς Ἐφεσίους. ἀλλαχοῦ δὲ τοῦτο οὐ ποιεῖ, ἢ ὅτι ἀνδράσι λοιπὸν εἰρηνεύουσιν, οὓς ἐχρῆν περὶ δογμάτων μανθάνειν ὑψηλῶν ἔτι ἐλλειπόντων αὐτοῖς, οὐκ ἐχρῆν περὶ τούτων γράφειν· ἢ ὅτι παρακληθέντας* ἐπὶ τοῖς πειρασμοῖς περιττὸν ἦν περὶ τούτων ἀκούειν. ὥστε στοχαζόμεθα ἐνταῦθα λοιπὸν ἑδραίαν εἶναι τὴν ἐκκλησίαν, καὶ πρὸς τῷ τέλει ταῦτα λέγεσθαι. αἱ γυναῖκες, ὑποτάσσεσθε τοῖς ἀνδράσιν, ὡς ἀνῆκεν ἐν Κυρίῳ· ἀντὶ τοῦ, ὑποτάσσεσθε διὰ τὸν Θεόν. ἐπειδὴ τοῦτο ὑμᾶς κοσμεῖ, φησιν, οὐκ ἐκείνους. οὐ γὰρ δεσποτικὴν ὑποταγὴν, οὐδὲ τὴν ἀπὸ φύσεως μόνον, ἀλλὰ τὴν διὰ Θεὸν φημι. οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυναῖκας, καὶ μὴ πικραίνεσθε πρὸς αὐτάς. ὅρα πῶς πάλιν τὸ κατάλληλον παρῄνεσε. καθάπερ ἐκεῖ φόβον καὶ ἀγάπην τίθησιν, οὕτω καὶ ἐνταῦθα. ἔστι γὰρ καὶ ἀγαπῶντα πικραίνεσθαι. ὃ τοίνυν φησὶ, τοῦτό ἐστι· μὴ μάχεσθε. οὐδὲν γὰρ οὕτω τῆς μάχης ταύτης πικρότερον, ὅταν παρὰ ἀνδρὸς πρὸς γυναῖκα γίνηται. αἱ γὰρ πρὸς τὰ φιλούμενα πρόσωπα γινόμεναι μάχαι, αὗταί εἰσι πικραί. καὶ δείκνυσιν ὅτι ἀπὸ πολλῆς πικρίας τοῦτο γίνεται, ὅταν πρὸς τὸ μέλος αὐτοῦ, φησί, τις διαστασιάζῃ. τὸ μὲν οὖν ἀγαπᾷν, τῶν ἀνδρῶν ἐστι· τὸ δὲ εἴκειν, ἐκείνων. ἐὰν οὖν ἕκαστος τὸ ἑαυτοῦ εἰσενέγκῃ, ἕστηκε πάντα βέβαια. ἀπὸ μὲν γὰρ τοῦ ἀγαπᾶσθαι γίνεται καὶ ἡ γυνὴ φιλική· ἀπὸ δὲ τοῦ ὑποτάσσεσθαι ὁ ἀνὴρ ἐπιεικής. ὅρα δὲ ὅτι καὶ ἐν τῇ φύσει οὕτω κατεσκεύασται, ὥστε τὸν μὲν φιλεῖν, τὴν δὲ ὑπακούειν. ὅταν γὰρ ὁ ἄρχων τὸν ἀρχόμενον φιλῇ, τότε τὰ πάντα συνέστηκεν. οὐχ οὕτως ἡ παρὰ τοῦ ἀρχομένου ἀγάπη, ὡς ἡ παρὰ τοῦ ἄρχοντος ζητεῖται πρὸς τὸν ἀρχόμενον. παρ' ἐκείνου γὰρ ἡ ὑπακοή. τὸ γὰρ ἐν ὥρᾳ εἶναι τὴν γυναῖκα, τοῦτον δὲ ἐν ἐπιθυμίᾳ, οὐδὲν ἄλλο δείκνυσιν, ἀλλ' ἢ ὅτι διὰ τὴν ἀγάπην οὕτω γεγένηται. μὴ τοίνυν, ἐπειδὴ ὑποτέτακται ἡ γυνὴ, αὐθέντει· μηδὲ σὺ, ἐπειδὴ ὁ ἀνὴρ ἀγαπᾷ, φυσιοῦ. μήτε ἡ τοῦ ἀνδρὸς φιλία τὴν γυναῖκα ἐπαιρέτω, μήτε ἡ τῆς γυναικὸς ὑποταγὴ φυσάτω τὸν ἄνδρα. διὰ τοῦτό σοι ὑπέταξεν αὐτὴν, ἵνα μᾶλλον φιλῆται· διὰ τοῦτό σε φιλεῖσθαι ἐποίησεν, ὦ γύναι, ἵνα εὐκόλως φέρῃς τὸ ὑποτετάχθαι. μὴ φοβοῦ ὑποτασσομένη.

* ἐκείνους

Ισ. ὅταν

ὅ,τι ἂν ποιῆτε, φησὶν, ἐν λόγῳ, ἢ ἐν ἔργῳ, πάντα ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εὐχαριστοῦντες τῷ Θεῷ καὶ πατρὶ δι' αὐτοῦ. ἐὰν γὰρ οὕτω ποιῶμεν, οὐδὲν ἔσται μιαρὸν, οὐδὲν ἀκάθαρτον, ἔνθα ἂν ὁ Χριστὸς καλῆται. ἐὰν ἐσθίῃς, ἐὰν πίνῃς, ἐὰν γαμῇς, ἐὰν ἀποδημῇς, πάντα ἐν ὀνόματι τοῦ Θεοῦ πράττε· τουτέστιν, αὐτὸν καλῶν βοηθὸν, ἐπὶ πάντων προευχόμενος αὐτῷ, οὕτως ἅπτου τῶν πραγμάτων. βούλει τι φθέγξασθαι; τοῦτο πρότασσε. (γ. τοῦτο) διὰ τοῦτο καὶ ἡμεῖς τὴν ἐπιστολὴν προτάσσομεν τὸ ὄνομα Κυρίου. (γ. Παῦλος ταῖς ἑαυτοῦ ἐπιστολαῖς προτάττει) ἔνθα ἂν ᾖ τὸ ὄνομα Κυρίου, πάντα αἴσια. εἰ γὰρ ὑπάτων ὀνόματα ἀσφαλῆ τὰ γραμματεῖα ποιεῖ, πολλῷ μᾶλλον τὸ τοῦ Χριστοῦ ὄνομα. ἢ τοῦτό φησι, κατὰ Θεὸν πάντα καὶ λέγετε, καὶ πράττετε· μὴ τοὺς ἀγγέλους ἐπεισάγετε. ἐσθίεις; εὐχαρίστησον τῷ Θεῷ καὶ μέλλων, καὶ μετὰ ταῦτα. καθεύδεις; εὐχαρίστησον τῷ Θεῷ καὶ μέλλων, καὶ μετὰ ταῦτα. εἰς ἀγορὰν ἐμβάλλεις; ταὐτὸ ποίει. μηδὲν κοσμικὸν, μηδὲν βιωτικόν· πάντα ἐν ὀνόματι Κυρίου ποίει, καὶ πάντα σοι εὐοδωθήσεται. ὅπου ἂν ἐπιτεθῇ τὸ ὄνομα τοῦ Θεοῦ, πάντα αἴσια. εἰ δαίμονας ἐκβάλλει, εἰ νόσους ἀπελαύνει, πολλῷ μᾶλλον εὐκολίαν πραγμάτων ποιήσει. καὶ τί ἐστι ποιῆσαι ἐν λόγῳ, ἢ ἐν ἔργῳ; ἢ ἀξιοῦντα, ἢ ὁτιοῦν ποιοῦντα. ἄκουσον πῶς ὁ Ἀβραὰμ ἐν ὀνόματι Θεοῦ τὸν οἰκέτην ἀπέστελλεν, ὁ Δαβὶδ ἐν ὀνόματι Θεοῦ τὸν Γολιὰθ κατέβαλε. θαυμαστὸν τὸ ὄνομα αὐτοῦ καὶ μέγα. πάλιν ὁ Ἰακὼβ τοὺς υἱοὺς πέμπων φησίν· Ὁ δὲ Θεός μου δῴη ὑμῖν χάριν ἐνώπιον τοῦ ἀνθρώπου. (Γεν μγ. ιδ.) ὁ γὰρ τοῦτο ποιῶν, ἔχει σύμμαχον τὸν Θεὸν, οὗ χωρὶς οὐδὲν ἐτόλμησε ποιῆσαι. ἅτε οὖν τιμηθεὶς τῇ κλήσει, ἀντιτιμήσει τῷ ἐξομαλίσαι τὰ πράγματα. κάλει τὸν υἱὸν, εὐχαρίστει τῷ πατρί. καὶ γὰρ τοῦ υἱοῦ καλουμένου ὁ πατὴρ καλεῖται, καὶ αὐτοῦ εὐχαριστουμένου ὁ υἱὸς εὐχαριστεῖται. ταῦτα μανθάνωμεν μὴ μέχρι ῥημάτων, ἀλλὰ καὶ διὰ τῶν ἔργων πληροῦν. οὐδὲν τοῦ ὀνόματος τούτου ἴσον. τοῦτο πανταχοῦ θαυμάσιον. Μύρον, φησὶν, ἐκκενωθὲν ὄνομά σου. (Ασμ. α β.) ὁ τοῦτο εἰπὼν εὐθέως εὐωδίας ἐνεπλήσθη. Οὐδεὶς δύναται εἰπεῖν Κύριον Ἰησοῦν, φησὶν, εἰ μὴ ἐν πνεύματι ἁγίῳ. (α Κορ ιβ. γ.) τοῦτο τὸ ὄνομα τοσαῦτα ἐργάζεται. ἐὰν εἴπῃς, ἐν ὀνόματι πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος μετὰ πίστεως, πάντα ἤνυσας. ὅρα πόσα ἐποίησας. (ἴσ. τοῦτο) ἐδημιούργησας ἄνθρωπον, καὶ τὰ ἄλλα πάντα ἀπὸ τοῦ βαπτίσματος εἰργάσω. οὕτω ταῖς νόσοις ἐπιταττόμενον φοβερὸν τὸ ὄνομα. διὰ ταῦτα ὁ διάβολος τὰ τῶν ἀγγέλων ἐπεισήγαγε, βασκαίνων ἡμῖν τῆς τιμῆς. τῶν δαιμόνων τοιαῦται αἱ ἐπῳδαί. κἂν ἄγγελος ᾖ, κἂν ἀρχάγγελος, κἂν τὰ χερουβὶμ, μὴ ἀνέχου. ἐπεὶ οὐδὲ αὐταὶ αἱ δυνάμεις καταδέξονται, ἀλλὰ καὶ ἀποσείσονται, ὅταν ἴδωσι τὸν δεσπότην ἀτιμαζόμενον. ἐγώ σε ἐτίμησα, φησὶ, καὶ εἶπον, ἐμὲ κάλει· καὶ σὺ ἀτιμάζεις αὐτόν; ἂν ταύτην ᾄδῃς τὴν ἐπῳδὴν μετὰ πίστεως, καὶ νόσους καὶ δαίμονας ἀπελάσεις. κἂν μὴ ἀπελάσῃς τὴν νόσον, οὐ παρὰ ἀσθένειαν, ἀλλὰ παρὰ τὸ συμφέρον. Κατὰ τὴν μεγαλωσύνην σου, φησὶν, οὕτω καὶ ἡ αἴνεσίς σου. διὰ τοῦ ὀνόματος τούτου ἡ οἰκουμένη ἐπεστράφη, ἡ τυραννὶς ἐλύθη, ὁ διάβολος ἐπατήθη, οἱ οὐρανοὶ ἀνεῴχθησαν. καὶ τί λέγω τοὺς οὐρανούς; ἡμεῖς ἀνεγεννήθημεν διὰ τοῦ ὀνόματος τούτου. ἐὰν τοῦτο ἔχωμεν, λάμπομεν. τοῦτο καὶ μάρτυρας ποιεῖ, καὶ ὁμολογητάς. τοῦτο κατέχωμεν ἀντὶ μεγάλου δώρου, ἵνα ἐν δόξῃ ζήσωμεν, καὶ εὐαρεστήσωμεν τῷ Θεῷ, καὶ καταξιωθῶμεν τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν, χάριτι καὶ φιλανθρωπίᾳ.

ὅσα τοιαῦτα. ὅταν τούτοις ἐκ παιδὸς ἐθίσῃς αὐτὸν, κατὰ μικρὸν καὶ ἐπὶ τὰ ὑψηλότερα ἄξεις. Οἱ ψαλμοὶ πάντα ἔχουσιν, οἱ δὲ ὕμνοι πάλιν οὐδὲν ἀνθρώπινον. ὅταν ἐν τοῖς ψαλμοῖς μάθῃ, τότε καὶ ὕμνους εἴσεται, ἅτε θειότερον πρᾶγμα. αἱ γὰρ ἄνω δυνάμεις ὑμνοῦσιν, οὐ ψάλλουσιν. [Σειρ. ιε. θ.] Οὐ γὰρ ὡραῖος ὕμνος ἐν στόματι, φησὶν, ἁμαρτωλοῦ· καὶ πάλιν, [Ψαλ. ρ. ϛ.] Οἱ ὀφθαλμοί μου ἐπὶ τοὺς πιστοὺς τῆς γῆς, τοῦ συγκαθῆσθαι αὐτοὺς μετ' ἐμοῦ. καὶ πάλιν, Οὐ κατῴκει ἐν μέσῳ τῆς οἰκίας μου ποιῶν ὑπερηφανίαν. καὶ πάλιν, Πορευόμενος ἐν ὁδῷ ἀμώμῳ, οὗτός μοι ἐλειτούργει. ὥστε μὴ μόνον φίλους, ἀλλὰ μηδὲ οἰκέτας ἀναμιγνύναι ἑαυτοῖς ἀσφαλίζεσθε. [γρ. ἀνάγκη ἀσφαλίζεσθαι] τὰ γὰρ μυρία κακὰ τοῖς ἐλευθέροις, ὅταν δούλους αὐτοῖς ἐπιστήσωμεν διεφθαρμένους. Εἰ γὰρ πατέρων ἀπολαύοντες καὶ φιλοστοργίας καὶ φιλοσοφίας τοσαύτης, μόλις διασώζονται, ὅταν αὐτοὺς ἐκδῶμεν τῇ ἀφειδίᾳ τῶν οἰκετῶν, τίνες ἔσονται; καθάπερ ἐχθροῖς αὐτοῖς κέχρηνται, νομίζοντες αὐτοὶ τῶν δεσποτῶν εἶναι ἡμερώτεροι, ἂν μωροὺς αὐτοὺς ἀπεργάσωνται καὶ φαύλους καὶ οὐδενὸς λόγου ἀξίους. περὶ τῶν ἄλλων οὖν ἁπάντων ταῦτα σπουδάζωμεν. Ἠγάπησα, φησὶ, τοὺς ἀγαπῶντας τὸν νόμον σου. τούτους οὖν καὶ ἡμεῖς ζηλώσωμεν, καὶ τούτους ἀγαπῶμεν. ἵνα δὲ πάλιν σωφρονῶσιν οἱ παῖδες, ἀκουέτωσαν τοῦ προφήτου λέγοντος· [Ψαλ. λζ. ζ.] Ὅτι αἱ ψόαι μου ἐπλήσθησαν ἐμπαιγμάτων· καὶ πάλιν, [Ψαλ. οβ. κζ.] Ἐξολόθρευσας πάντα τὸν πορνεύοντα ἀπὸ σοῦ. καὶ ὅτι δεῖ κατέχειν γαστρὸς, ἀκουέτωσαν πάλιν· [Ψαλ. οζ. λα.] Καὶ ἀπέκτεινε, φησὶν, ἐν τοῖς πλείοσιν αὐτῶν, ἔτι τῆς βρώσεως οὔσης ἐν τῷ στόματι αὐτῶν. [γρ. πίοσι] καὶ ὅτι δεῖ δώρων κρατεῖν, ἐντεῦθεν μαθήσονται. [Ψαλ. ξα. ι.] Πλοῦτος, φησὶν, ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίαν. καὶ ὅτι δόξης κρατεῖν καὶ τοῦτο εὑρήσουσιν· [Ψαλ. μη. ιη.] Οὐδὲ συγκαταβήσεται αὐτῷ ὀπίσω αὐτοῦ ἡ δόξα αὐτοῦ. τοὺς πονηροὺς μὴ ζηλοῦν· [Ψαλ. λϛ. α.] Μὴ παραζήλου ἐν πονηρευομένοις. τὰς δυναστείας ἡγεῖσθαι οὐδέν· [Ψαλ. λϛ. λζ.] Εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον καὶ ἐπαιρόμενον ὡς τὰς κέδρους τοῦ Λιβάνου, καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν. μηδὲν τὰ παρόντα ἡγεῖσθαι· [Ψαλ. ρμγ. ιε.] Ἐμακάρισαν τὸν λαὸν, ᾧ ταῦτά ἐστι. μακάριος ὁ λαὸς οὗ Κύριος ὁ Θεὸς βοηθὸς αὐτοῦ. ὅτι οὐχ ἁπλῶς ἁμαρτάνομεν, ἀλλ' ἔστιν ἀνταπόδοσις· [Ψαλ. ξα. ιγ.] Ὅτι σὺ ἀποδώσεις, φησὶν, ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. διατί δὲ οὐ καθημέραν ἀποδίδωσιν· [Ψαλ. ζ. ιβ.] Ὁ Θεὸς κριτὴς, φησὶ, δίκαιος καὶ ἰσχυρὸς καὶ μακρόθυμος. ὅτι ἡ ταπεινοφροσύνη καλόν· [Ψαλ. ρλ. α.] Κύριε, φησὶν, οὐχ ὑψώθη ἡ καρδία μου. ὅτι ὑπερηφανία κακόν· [Ψαλ. οβ. ϛ.] Διὰ τοῦτο, φησὶν, ἐκράτησεν αὐτοὺς ἡ ὑπερηφανία εἰς τέλος. καὶ πάλιν, [Ψαλ. γ. λδ.] Κύριος ὑπερηφάνοις ἀντιτάσσεται. καὶ πάλιν, [Ψαλ. οβ. ζ.] Ἐξελεύσεται ὡς ἐκ στέατος ἡ ἀδικία αὐτῶν. [γρ. στέατος] ὅτι ἡ ἐλεημοσύνη καλόν· [Ψαλ. ρια. θ.] Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν· ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα. ὅτι δὲ ἐλεεῖν ἐπαινετόν· [Ψαλ. ρια. ε.] Χρηστὸς ἀνὴρ ὁ οἰκτείρων καὶ κιχρῶν. καὶ πολλὰ τούτων πλείονα εὑρήσεις ἐκεῖ ἐμφιλόσοφα δόγματα, [γρ. ἐν φιλοσόφοις] οἷον ὅτι κακῶς λέγειν οὐ δεῖ· [Ψαλ. ρ. ε.] Τὸν καταλαλοῦντα, φησὶ, λάθρα τὸν πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον. τίς ὁ ὕμνος τῶν ἄνω; τί λέγει τὰ χερουβὶμ, ἴσασιν οἱ πιστοί. τί ἔλεγον οἱ ἄγγελοι κάτω; [Λουκ. β.] Δόξα ἐν ὑψίστοις Θεῷ. διὰ τοῦτο μετὰ τὰς ψαλμῳδίας ὕμνοι, ἅτε τελειότερόν τι πρᾶγμα. Ψαλμοῖς, φησὶν, ὕμνοις, ᾠδαῖς πνευματικαῖς ἐν τῇ χάριτι ᾄδοντες ἐν ταῖς καρδίαις ὑμῶν τῷ Θεῷ. ἢ τοῦτό φησιν, ὅτι διὰ χάριν ἡμῖν ταῦτα ἔδωκεν ὁ Θεὸς, ἢ ταῖς ἐν τῇ χάριτι ᾠδαῖς, ἢ νουθετοῦντες ἑαυτοὺς καὶ διδάσκοντες ἐν χάριτι, ἢ ὅτι ἐν χάριτι εἶχον ταῦτα τὰ χαρίσματα, ἢ ἐπεξήγησίς ἐστιν. ἀπὸ τῆς χάριτος τοῦ πνεύματος, φησιν. ᾄδοντες ἐν ταῖς καρδίαις ὑμῶν τῷ Θεῷ. μὴ ἁπλῶς, φησὶ, τῷ στόματι, ἀλλὰ μετὰ προσοχῆς. τοῦτο γάρ ἐστι τῷ Θεῷ ᾄδειν. ἐκεῖνο δὲ τῷ ἀέρι. διαχεῖται γὰρ ἁπλῶς ἡ φωνή. μὴ πρὸς ἐπίδειξιν, φησί. κἂν ἐν ἀγορᾷ ᾖς, δύνασαι συστρέψαι σαυτὸν καὶ ᾄδειν τῷ Θεῷ, μηδενὸς ἀκούοντος· [Ἐξόδ. ιδ. ιε.] ἐπεὶ καὶ Μωϋσῆς οὕτως ηὔχετο, καὶ ἠκούσθη. Φησὶ γὰρ, Τί βοᾷς πρός με; καίτοι οὐδὲν εἶπεν, ἀλλ' ἐβόα κατὰ διάνοιαν μετὰ καρδίας συντετριμμένης. διὸ καὶ ὁ Θεὸς ἤκουσε μόνος. οὐ κεκώλυται γὰρ καὶ περιπατοῦντα εὔχεσθαι κατὰ καρδίαν, καὶ ἄνω εἶναι. καὶ πῶς

τὰ λόγια τοῦ Θεοῦ· οὐδείς σε διδάσκει ὡς ἐκεῖνα. ἐπεὶ ἀνὴρ γὰρ πολλὰ καὶ διὰ κενοδοξίαν καὶ διὰ βασκανίαν ἐπικρύπτει πολλάκις. ἀκούσατε, παρακαλῶ, πάντες οἱ βιωτικοὶ, καὶ κτᾶσθε βιβλία φάρμακα τῆς ψυχῆς. εἰ μηδὲν ἕτερον βούλεσθε, τὴν γοῦν καινὴν κτήσασθε, τὸν ἀπόστολον, τὰς πράξεις, τὰ εὐαγγέλια διδασκάλους διηνεκεῖς. ἂν λύπη συμβῇ, ὥσπερ εἰς ἀποθήκην φαρμάκων ἔγκυψον· λάβε παραμυθίαν ἐκεῖθεν τοῦ δεινοῦ, ἂν ζημία, ἂν θάνατος, ἂν ἀποβολὴ οἰκείων. μᾶλλον δὲ μὴ ἐγκύψῃς, ἀλλὰ ἀνάλαβε πάντα. ἔχε ἐπὶ τῆς διανοίας. τοῦτο πάντων αἴτιον τῶν κακῶν, τὸ μὴ εἰδέναι τὰς γραφάς. χωρὶς ὅπλων εἰς πόλεμον βαδίζομεν· καὶ πῶς ἔδει σωθῆναι; ἀγαπητὸν μετὰ τούτων σωθῆναι, μήτοιγε χωρὶς τούτων. μὴ τὰ πάντα ἐφ' ἡμᾶς ῥιπτεῖτε. πρόβατά ἐστε· ἀλλ' οὐκ ἄλογα, ἀλλὰ λογικά. πολλὰ καὶ ὑμῖν ὁ Παῦλος ἐπιτρέπει. οἱ διδασκόμενοι οὐ διαπαντὸς ἐπὶ τὸ μαθεῖν διατελοῦσιν, ἐπεὶ οὐ διδάσκονται. ἂν ἀεὶ μανθάνῃς, οὐδέποτε μαθήσῃ. μὴ οὕτως ἔρχου, ὡς ἀεὶ μαθησόμενος (ἐπεὶ οὐδέποτε εἴσῃ) ἀλλ' ὡς καὶ ἀπομαθησόμενος, καὶ διδάξων ἑτέρους. εἰπὲ δέ μοι, οὐχὶ ὡρισμένους καιροὺς παραμένουσιν ἅπαντες ἐν τοῖς μαθήμασι, καὶ ἐν πάσαις ἁπλῶς ταῖς τέχναις; οὕτως ἅπαντες ὁρίζομεν φανεροῖς καιροῖς. ἂν δὲ ἀεὶ μανθάνῃ, τεκμήριόν ἐστι τοῦ μηδὲν μαθεῖν. τοῦτο δὲ ὀνειδίζων τοῖς Ἰουδαίοις ὁ Θεὸς εἶπεν· Αἰρόμενοι ἐκ κοιλίας, καὶ παιδευόμενοι ἕως γήρως. εἰ μὴ ἀεὶ τοῦτο προσεδοκᾶτε, οὐκ ἂν οὕτως εἰς τὸ πίσω πάντα ἀπῄει. εἰ γὰρ ἐκείνων τῶν μὲν ἦτε μεμαθηκότες, τῶν δὲ μέλλοντες, προέκοψεν ἂν τὸ ἔργον· ὑμῖν παρεχωρήσατε ἂν ἑτέροις, καὶ συναντελάβεσθε καὶ ἡμῖν. εἰπέ μοι, εἰ πρὸς γραμματιστὴν τινὲς ἀπιόντες, εἶτα μένοιεν ἀεὶ τὰ στοιχεῖα μανθάνοντες, οὐ πολλὴν τῷ διδασκάλῳ πόνον παρέξουσι; μέχρι τίνος ὑμῖν περὶ βίου διαλεγόμεθα; ἐπὶ τῶν ἀποστόλων οὕτως οὐκ ἦν· ἀλλὰ συνεχῶς μετεπήδων, τοὺς προτέρους μανθάνοντας διδασκάλους καθιστῶντες ἑτέρων ἤδη μαθητευομένων. οὕτως ἠδυνήθησαν τὴν οἰκουμένην περιελθεῖν, τῷ μὴ προσδεδέσθαι τόπῳ ἑνί. πόσης οἴεσθε διδασκαλίας δεῖσθαι τοὺς ὑμετέρους ἀδελφοὺς τοὺς ἐπὶ τῶν ἀγρῶν, καὶ τοὺς ἐκείνων διδασκάλους; ἀλλ' ὑμεῖς με κατέχετε προσηλώσαντες. πρὶν ἢ γὰρ τὴν κεφαλὴν καλῶς διατεθῆναι, περιττὸν ἐπὶ τὸ λοιπὸν σῶμα ἰέναι. πάντα ἡμῖν ἐπιῤῥίπτετε. ὑμᾶς ἐχρῆν παρ' ἡμῶν μανθάνειν μόνον· τὰς δὲ γυναῖκας παρ' ὑμῶν, τὰ παιδία παρ' ὑμῶν. ἀλλὰ ταῦτα ἡμῖν καταλιμπάνετε. διὰ τοῦτο πολὺς ὁ κόπος. διδάσκοντες, φησὶ, καὶ νουθετοῦντες ἑαυτοὺς ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς. ὅρα καὶ τὸ ἀνεπαχθὲς τοῦ Παύλου. ἐπειδὴ ἡ ἀνάγνωσις ἔχει πόνον, καὶ πολὺ τὸ φορτικὸν, οὐκ ἐφ' ἱστορίας ἤγαγεν, ἀλλ' ἐπὶ ψαλμοὺς, ἵνα ὁμοῦ καὶ τέρψῃς τὴν ψυχὴν ᾄδων, καὶ ὑποκλέπτῃς τὸν πόνον. ὕμνοις, φησὶ, καὶ ᾠδαῖς πνευματικαῖς. νῦν δὲ σατανικὰς μὲν ᾠδὰς καὶ ὀρχήσεις ᾄδουσιν οἱ παῖδες οἱ ὑμέτεροι, καθάπερ οἱ μάγειροι, καὶ οἱ ὀψωνοί, καὶ οἱ χορευταί· ψαλμὸν δὲ οὐδεὶς οὐδένα οἶδεν· ἀλλὰ καὶ αἰσχύνη τὸ πρᾶγμα δοκεῖ εἶναι, καὶ χλευασία, καὶ γέλως. ἐκεῖθεν ἅπαντα τὰ κακὰ σύζεται. οἷα γὰρ ἂν ᾖ ἡ γῆ τὸ φυτὸν, τοιοῦτον φέρει τὸν καρπόν. ἂν ᾖ ἀμμώδης καὶ ἁλμυρὰ, τοιοῦτον· ἂν ᾖ γλυκεῖα καὶ λιπαρὰ, πάλιν ὅμοιον. οὕτω πηγή τίς ἐστι τὰ διδάγματα. δίδαξον αὐτὸν ᾄδειν ψαλμοὺς ἐκείνους τοὺς φιλοσοφίας γέμοντας· οἷον περὶ σωφροσύνης εὐθέως· μᾶλλον δὲ πρὸ πάντων περὶ τοῦ μὴ συνεῖναι πονηροῖς, εὐθέως ἀπ' αὐτῆς τῆς ἀρχῆς τοῦ βιβλίου. διὰ γὰρ τοῦτο καὶ ἐντεῦθεν ἤρξατο ὁ προφήτης λέγων, Μακάριος ἀνὴρ ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν· καὶ πάλιν, Οὐκ ἐκάθισα μετὰ συνεδρίου ματαιότητος· καὶ πάλιν, Ἐξουδένωται ἐνώπιον αὐτοῦ πονηρευόμενος· τοὺς δὲ φοβουμένους τὸν Κύριον δοξάζει· περὶ τοῦ συνεῖναι ἀγαθοῖς (καὶ ταῦτα εὑρήσεις ἐκεῖ, καὶ ἄλλα πολλὰ) περὶ τοῦ γαστρὸς κρατεῖν, περὶ τοῦ χεῖρας κατέχειν, περὶ τοῦ μὴ πλεονεκτεῖν· ὅτι οὐδὲν τὰ χρήματα, οὐδὲ ἡ δόξα, καὶ

Margin: γρ. διαφθονοῦντες — γρ. μανθάνοντες — Ἡσ. μϛ. — γρ. ἡμῶν — γρ. ἴσασιν — Ψαλ. α. α. — Ψαλ. κε. δ. — Ψαλ. ιε. δ.

Λογ. θ. 16 Ο ΛΟΓΟΣ ΤΟΥ ΧΡΙΣΤΟΥ ΕΝΟΙΚΕΙΤΩ
ἐν ὑμῖν πλουσίως, ἐν πάσῃ σοφίᾳ, διδάσκοντες καὶ νουθετοῦντες ἑαυτοὺς
ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς ἐν χάριτι, ᾄδοντες ἐν ταῖς καρ-
δίαις ὑμῶν τῷ Κυρίῳ, 17 Καὶ πᾶν ὅ,τι ἂν ποιῆτε ἐν λόγῳ, ἢ ἐν
ἔργῳ, πάντα ἐν ὀνόματι τοῦ Κυρίου Ἰησοῦ, εὐχαριστοῦντες τῷ Θεῷ καὶ
πατρὶ δι᾽ αὐτοῦ.

ΠΑραινέσας εὐχαρίστους εἶναι, καὶ τὴν ὁδὸν δείκνυσι. ποίαν δὴ ταύτην; ἣν προέφην ἡμεῖς διελέχθημεν πρὸς ὑμᾶς. τί λέγων; ὁ λόγος τοῦ Χριστοῦ ἐνοικείτω ἐν ὑμῖν πλουσίως· μᾶλλον δὲ οὐ ταύτην μόνον, ἀλλὰ καὶ ἑτέραν. ἐγὼ μὲν γὰρ εἶπον, ὅτι δεῖ τοὺς τὰ δεινότερα πεπονθότας ἀναλέγειν, καὶ τοὺς τὰ χαλεπώτερα ὧν ἐπάθομεν ὑπομείναντας ἀναλογίζεσθαι, καὶ εὐχαριστεῖν ὑπὲρ τοῦ μὴ συμβῆναι ἐκεῖνα. αὐτὸς δὲ τί φησιν; ὁ λόγος τοῦ Χριστοῦ ἐνοικείτω ἐν ὑμῖν πλουσίως, τουτέστιν, ἡ διδασκαλία, τὰ δόγματα, ἡ παραίνεσις, ἐν αἷς οὐδὲ τὴν παροῦσαν ζωὴν εἶναί φησιν, οὐδὲ τὰ ταύτης ἀγαθά. ἐὰν γὰρ ταῦτα ἴδωμεν, οὐδενὶ τῶν δυσχερῶν εἰξόμεθα. ἐνοικείτω, φησὶν, ἐν ὑμῖν πλουσίως, μὴ ἁπλῶς, ἀλλὰ μετὰ πολλῆς τῆς περιουσίας. ἀκούσατε ὅσοι ἐστὲ κοσμικοὶ, καὶ γυναικὸς καὶ παίδων προΐστασθε, πῶς καὶ ὑμῖν ἐπιτρέπει μάλιστα τὰς γραφὰς ἀναγινώσκειν· καὶ οὐχ ἁπλῶς, οὐδὲ ὡς ἔτυχεν, ἀλλὰ μετὰ πολλῆς τῆς σπουδῆς. ὥσπερ γὰρ ὁ πλούσιος ἐν χρήμασι ζημίαν καὶ καταδίκην ἐνεγκεῖν δύναται, οὕτως ὁ πλουτῶν ἐν δόγμασι φιλοσοφίας οὐχὶ πενίαν μόνον, ἀλλὰ καὶ πάσας τὰς συμφορὰς εὐκόλως οἴσει, καὶ ἐκείνου εὐκολώτερον. ἐκεῖ μὲν γὰρ ἐν τῇ διαλύσει τῆς ζημίας ἀνάγκη τὸν ὄντα πλούσιον ἐλαττοῦσθαι καὶ ἐλέγχεσθαι· κἂν πολλάκις τοῦτο πάθῃ, οὐκέτι δυνήσεται ἐνεγκεῖν· ἐνταῦθα δὲ οὐχ οὕτως. οὐ γὰρ δαπανῶμεν τοὺς ὑγιεῖς λογισμοὺς, ὅταν ἐνεγκεῖν τι δέῃ τῶν ἀβουλήτων, ἀλλὰ μένουσι διαπαντός. καὶ ὅρα τὴν σύνεσιν τοῦ μακαρίου τούτου. οὐκ εἶπεν, ὁ λόγος τοῦ Χριστοῦ ἐν ὑμῖν ἔστω ἁπλῶς, ἀλλὰ τί; ἐνοικείτω, καὶ πλουσίως. ἐν πάσῃ σοφίᾳ διδάσκοντες καὶ νουθετοῦντες ἑαυτούς. τὴν ἀρετὴν φησὶ σοφίαν. εἰκότως. καὶ ἡ ταπεινοφροσύνη γὰρ καὶ ἡ ἐλεημοσύνη, καὶ ὅσα τοιαῦτα, σοφία ἐστίν· ὥσπερ οὖν τὰ ἐναντία, ἄνοια. καὶ γὰρ ὠμότης ἐξ ἀνοίας. ὅθεν πολλαχοῦ τὴν πᾶσαν ἁμαρτίαν, ἀφροσύνην καλεῖ. Εἶπε, φησὶν, ἄφρων ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι Θεός. καὶ πάλιν, Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου. τί γὰρ ἀνοητότερον, εἰπέ μοι, τοῦ ἑαυτοῦ μὲν ἱμάτια περιβάλλοντος, τοὺς δὲ ἀδελφοὺς τοὺς αὐτοῦ γυμνοὺς παραβλέποντος; τοὺς κύνας μὲν τρέφοντος, τὴν δὲ εἰκόνα τοῦ Θεοῦ περιορῶντος ἐν λιμῷ; τοῦ πεπεισμένου ἁπλῶς, ὅτι οὐδὲν τὰ ἀνθρώπινα πράγματα, καὶ ὥσπερ ἀθανάτοις αὐτοῖς προσεστηκότος; ὥσπερ οὖν οὐδὲν τοῦ τοιούτου ἀνοητότερον, οὕτως οὐδὲν σοφώτερον τοῦ τὴν ἀρετὴν κατορθοῦντος. ὅρα γάρ, πῶς σοφός ἐστι, φησί. μεταδίδωσι τῶν ὄντων, ἐλεήμων ἐστὶ, φιλάνθρωπος· ἐπέγνω τὴν φύσιν, ὅτι κοινή· ἐπέγνω τὴν τῶν χρημάτων χρῆσιν, ὅτι οὐδενὸς ἀξία λόγου· ὅτι τῶν σωμάτων τῶν οἰκείων δεῖ φείδεσθαι μᾶλλον, ἢ τῶν χρημάτων. διὸ δόξης καταφρονεῖ καὶ φιλόσοφός ἐστιν· οἶδε γὰρ τὰ ἀνθρώπινα πράγματα. τῶν θείων καὶ ἀνθρωπίνων πραγμάτων γνῶσις, ἡ φιλοσοφία. οὐκοῦν οἶδε μὲν ποῖα θεῖα, ποῖα δὲ ἀνθρώπινα· καὶ τῶν μὲν ἀπέχεται, ταῦτα δὲ ἐργάζεται· οἶδε καὶ εὐχαριστεῖν τῷ Θεῷ ἐν πᾶσιν· οὐδὲν εἶναι νομίζει τὸν παρόντα βίον· διὰ τοῦτο οὔτε ἥδεται τοῖς χρηστοῖς, οὔτε λυπεῖται τοῖς ἐναντίοις. μηδὲ περιμείνῃς ἕτερον διδάσκαλον· ἔχεις τὰ

Ψαλ. ιγ. α.
Ψαλ. λζ. ϛ.

γρ. τὰ μὲν ἱμάτια τὰ ἑαυτῶν περιβαλομένους, γρ. περιορῶντος;
γρ. φιλόσοφος

δι' ἐκείνου ἔχεις καὶ τοῦτο; διὰ τί ἀχάριστος εἶ, τὸ δῶρον τοῦ δωρησαμένου πλέον ἀγαπῶν; ἀλλ' ἀσθενὴς εἰμί, φησι, καὶ οὐ φέρω τοῦ Θεοῦ τὸν φόβον. εἰ γὰρ ἐν τοῖς σωματικοῖς κακοῖς τὸ μεῖζον τὸ ἔλαττον κρύπτει, πολλῷ μᾶλλον ἐν τῇ ψυχῇ φόβος εἰ πάρεστι, φόβος φόβον ἂν ἔλυσε, καὶ λύπη λύπην. καλὸν ἦν τὸ παιδίον; ἀλλ' οἶδ' ἂν ᾖ, οὐκ ἔστιν ὡραιότερον τοῦ Ἰσαάκ· μονογενὴς ἦν κἀκεῖνος. ἐν γήρᾳ σοι γέγονε; κἀκεῖνος. ἀλλ' ἀστεῖόν ἐστιν; ἀλλ' οἶδ' ἂν ᾖ, οὐκ ἔστιν ὡραιότερον τοῦ Μωϋσέως, ὃ καὶ βαρβαρικὴν ὄψιν ἐπεσπάσατο πρὸς πόθον, καὶ ταῦτα ἐν ἐκείνῳ τῆς ἡλικίας τῷ καιρῷ, ἔνθα οὐδέπω φαίνεται ἡ ὥρα· ἀλλ' ὅμως τὸ φιληθὲν τοῦτο ἐρρίπτετο εἰς ποταμὸν ὑπὸ τῶν γονέων. σὺ μὲν καὶ ὁρᾷς κείμενον, καὶ ταφῇ παραδίδως, καὶ εἰς τὸ σῆμα ἄπει· ἐκεῖνοι δὲ οὐδὲ ᾔδεισαν πότερον ἰχθύσιν ἔσται βορά, πότερον κυσί, πότερον ἑτέρῳ θηρίῳ τῶν κατὰ τὴν θάλατταν βοσκομένων· καὶ ταῦτα ἐποίουν, οὐδέπω περὶ βασιλείας οὐδὲν εἰδότες, οὐδὲ ἀναστάσεως. ἀλλ' οὐκ ἔστι μονογενής, ἀλλὰ μετὰ πολλοὺς καὶ αὐτὸ ἀπῆλθεν; ἀλλ' οὐχ οὕτως ὡς ἐπὶ τοῦ Ἰὼβ ἀθρόα ἡ συμφορά, καὶ σκυθρωποτέρα· οὐ στέγης κατενεχθείσης, οὐκ ἀριστώντων μεταξύ, οὐ τῶν συμφορῶν προσαγγελθεισῶν. ἀλλ' ἐφιλεῖτο παρὰ σοῦ; ἀλλ' οὐχὶ μᾶλλον τοῦ Ἰωσὴφ τοῦ θηριοβρώτου γενομένου, ἀλλ' ὅμως ἤνεγκε τὴν συμφοράν, καὶ τὴν μετ' ἐκείνην, καὶ τὴν μετὰ ταύτην ὁ πατήρ. ἔκλαυσεν, ἀλλ' οὐκ ἠσέβησεν· ἐπένθησεν, ἀλλ' οὐκ ἀπεδυσπέτησεν, ἀλλὰ μέχρι τούτων ἔστη τῶν ῥημάτων, λέγων, Ἰωσὴφ οὐκ ἔστι, Συμεὼν οὐκ ἔστι, καὶ τὸν Βενιαμὶν λήψεσθε; ἐπ' ἐμὲ ἐγένετο ταῦτα πάντα; [Γεν. μβ. λϛ.] ὁρᾷς πῶς ἐκεῖνον λιμοῦ τυραννὶς ἔπεισε καταφρονῆσαι τῶν παίδων, παρὰ δὲ σοὶ οὐκ ἰσχύει ὁ τοῦ Θεοῦ φόβος ὅσον ὁ λιμός; κλαῦσον, οὐ κωλύω, ἀλλὰ μηδὲν βλάσφημον μήτε εἴπῃς, μήτε πράξῃς. οἷος ἐὰν ᾖ ὁ παῖς, οὐκ ἔστι κατὰ τὸν Ἄβελ· ἀλλ' οὐδὲν τοιοῦτον εἶπεν ὁ Ἀδάμ. καίτοι χαλεπὴ ἐκείνη ἡ συμφορά. τί γὰρ χαλεπώτερον τοῦ τὸν ἀδελφὸν ἀνῃρηκέναι; ἀλλὰ γὰρ καὶ ἀδελφοκτόνων εὐκαίρως ἄλλων ἀνεμνήσθην· οἶδ' ὅτι Ἀβεσαλὼμ τὸν Ἀμνὼν ἀνεῖλε τὸν [Β. Βασ. ιγ.] πρωτότοκον, καὶ Δαβὶδ ὁ βασιλεὺς ἠγάπα τὸ παιδίον. καὶ ἐν σάκκῳ μὲν ἐκάθητο καὶ σποδῷ, οὐ πάντως δὲ μάντεις ἤγαγεν, οὐκ ἐπῳδούς (καίτοι ἦσαν τότε, καὶ δηλοῖ ὁ Σαούλ) ἀλλὰ τὸν Θεὸν ἱκέτευε. τοῦτο καὶ σὺ ποίει. ὅπερ ὁ δίκαιος ἐποίησε, ποίησον καὶ σύ. τὰ αὐτὰ εἰπὲ ῥήματα, ὅταν ἀποθάνῃ τὸ παιδίον. Ἐγὼ μὲν ἀπελεύσομαι πρὸς αὐτό, αὐτὸ δὲ οὐχ ἥξει πρός με. [Β. Βασ. ιβ. κγ.] τοῦτο φιλοσοφίας, τοῦτο φιλοστοργίας. ὡς ἂν φιλῇς τὸ παιδίον, οὐ φιλεῖς τοσοῦτον ὅσον ἐκεῖνος τότε. τῷ μακαρίῳ ἐκείνῳ ἤκμαζεν ὁ περὶ τὴν μητέρα πόθος, εἰ καὶ ἐκ μοιχείας ἦν. ἴστε δὲ ὅτι κοπτικὰ τὰ λακτίσματα τοῦ φίλτρου τῶν τικτόντων. καὶ τοσοῦτος ὁ ἔρως ἦν, ὡς καὶ κατηγορεῖν αὐτὸν οὐ βούλεσθαι ζῆν· ἀλλ' ὅμως ηὐχαρίστησε τῷ Θεῷ. τί οἴει πάσχειν τὴν Ῥεβέκκαν, ὅτε ὁ ἀδελφὸς ἠπείλησε τῷ Ἰακώβ; οὐκ ἐλύπησε τὸν ἄνδρα, ἀλλ' ἐκέλευσεν ἀποπέμψαι. ἐννόησον τὰ τούτων χείρω, ὅταν τι δεινὸν πάθῃς, καὶ ἱκανὴν ἕξεις παραμυθίαν. καὶ λογίζου, τί δὲ εἰ ἐν πολέμῳ τεθνήκει; τί δὲ εἰ ἐν πυρί; καὶ ὧν ἂν πάθωμεν, τὰ δεινότερα ἐννοῶμεν, καὶ [χ. ἀλγεινότ.] ἕξομεν ἀρκοῦσαν παραμυθίαν· καὶ εἰς τὰ δεινότερα πεπονθότας ἀεὶ περισκοπῶμεν, καὶ εἰ αὐτοὶ βαρύτερα ἐπάθομέν ποτε. οὕτω καὶ Παῦλος προτρέπει, ὡς ὅταν λέγῃ· Οὔπω [Ἑβρ. ιβ. δ.] μέχρις αἵματος ἀντικατέστητε πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι. καὶ πάλιν, Πειρασμὸς [α. Κορ. ι. ιγ.] ὑμᾶς οὐκ εἴληφεν, εἰ μὴ ἀνθρώπινος. ὧν οὖν ἂν πάθωμεν, τὰ χείρω περισκοπῶμεν (εὑρήσομεν γάρ) καὶ οὕτως ἐσόμεθα εὐχάριστοι. πρὸ δὲ πάντων εὐχαριστῶμεν ἐπὶ πᾶσι διηνεκῶς. οὕτω γὰρ καὶ ταῦτα παύσεται, καὶ ἡμεῖς εἰς δόξαν Θεοῦ ζήσομεν, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν ἐπιτευξόμεθα, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.



Digitized by Google

παιδίον ἰδεῖν, ἢ εἰδωλολατρείας ἀνασχέσθαι. ὥσπερ οὖν αὕτη μάρτυς, ἄν τε ἐφ' ἑαυτῆς, ἄν τε ἐπὶ τοῦ παιδὸς ἐργάζηται τοῦτο, ἄν τε ἐπὶ τοῦ ἀνδρὸς, ἢ ἑτέρου τινὸς τῶν φιλτάτων, οὕτως ἡ ἑτέρα εἰδωλολάτρις. δῆλον γὰρ ὅτι ἔθυσεν ἄν, εἰ ἐνῆν θῦσαι· μᾶλλον δὲ ἤδη ἐποίησε τὸ τῆς θυσίας. τὰ γὰρ περίαπτα, κἂν μυρία φιλοσοφῶσιν οἱ ἐκ τούτων χρηματιζόμενοι, λέγοντες ὅτι τὸν Θεὸν καλοῦμεν, καὶ οὐδὲν πλέον ποιοῦμεν, καὶ ὅσα τοιαῦτα, καὶ χριστιανή ἐστιν ἡ γραῦς καὶ πιστὴ, εἰδωλολατρεία τὸ πρᾶγμά ἐστι. πιστὴ εἶ; σφράγισον, εἰπὲ, τοῦτο ἔχω τὸ ὅπλον μόνον, τοῦτο τὸ φάρμακον· ἄλλο δὲ οὐκ οἶδα. εἰπέ μοι, ἐὰν προσελθὼν ἰατρὸς, καὶ τὰ τῆς ἰατρικῆς φάρμακα ἀφεὶς, ἐπᾴδῃ, τοῦτον ἰατρὸν ἐροῦμεν; οὐδαμῶς. τὰ γὰρ τῆς ἰατρικῆς οὐχ ὁρῶμεν φάρμακα. οὕτως οὐδὲ ἐνταῦθα τὰ τοῦ χριστιανισμοῦ. ἕτεραι δὲ πάλιν ποταμῶν ὀνόματα περιάπτουσι, καὶ μυρία τοιαῦτα τολμῶσιν. ἰδοὺ λέγω, καὶ προλέγω πᾶσιν ὑμῖν, ὅτι ἐάν τις ἁλῷ, οὐ φείσομαι πάλιν, ἄν τε περίαπτον, ἄν τε ἐπῳδὴν, ἄν τε ἄλλο τι τῆς τέχνης τῆς τοιαύτης ποιῇ. τί οὖν, ἀποθάνῃ, φησὶ, τὸ παιδίον; ἂν οὕτω ζήσῃ, τότε ἀπέθανεν· ἂν δὲ ἄνευ ἐκείνων ἀποθάνῃ, τότε ἔζησε. νῦν δὲ ἂν μὲν πόρναις ἴδῃς προσέχοντα, εὔχῃ κατορυγῆναι, καὶ λέγεις, τί γὰρ ὄφελος τοῦ ζῆν; ὑπὲρ δὲ σωτηρίας ὁρῶσα κινδυνεύοντα, βούλει ζῶντα ὁρᾶν;

Ματθ. ι. λθ.

οὐκ ἤκουσας τοῦ Χριστοῦ λέγοντος, Ὅτι ὁ ἀπολέσας τὴν ψυχὴν αὐτοῦ, εὑρήσει αὐτήν· ὁ δὲ εὑρὼν ἀπολέσει αὐτήν; πιστεύεις τοῖς εἰρημένοις, ἢ μῦθοί σοι δοκοῦσιν εἶναι; εἰπὲ δή μοι, ἐὰν εἴπῃ τις, ὅτι ἄπαγαγε εἰς εἰδωλεῖον, καὶ ζήσεται, ἀνέξῃ; οὒ, φησί. διὰ τί; ὅτι εἰδωλολατρεῖν ἀναγκάζει· ἐνταῦθα δὲ οὐκ ἔστιν εἰδωλολατρεία, ἀλλ' ἁπλῶς ἐπῳδὴ, φησίν. αὕτη γὰρ ἡ σατανικὴ ἔννοια, αὕτη ἡ μεθοδεία ἡ διαβολικὴ, συγκαλύπτειν τὴν πλάνην, καὶ μέλιτι τὸ δηλητήριον διδόναι φάρμακον. ἐπειδὴ οἶδεν ἐκεῖθεν οὐ πείθων, ταύτην ἐβάδισε τὴν ὁδὸν, εἰς περιάμματα καὶ γραώδεις μύθους. καὶ ὁ μὲν σταυρὸς ἠτίμωται, τὰ δὲ γράμματα προτετίμηται· ὁ Χριστὸς ἐκβέβληται, καὶ εἰσάγεται μεθύουσα γραῦς καὶ ληροῦσα· τὸ μυστήριον πεπάτηται τὸ ἡμέτερον, καὶ ἡ πλάνη χορεύει τοῦ διαβόλου. τίνος οὖν ἕνεκεν οὐκ ἐλέγχει, φησὶν, ὁ Θεὸς τὴν ἀπὸ τῶν τοιούτων βοήθειαν; πολλαχοῦ ἤλεγξε, καὶ οὐκ ἔπεισέ σε· λοιπὸν ἀφίησι τῇ πλάνῃ.

Ἴσ. καὶ ἐσμίλευ
γ. ἐάσωσι
γ. ῥάμματα
γ. ῥάμματα

Ρωμ. α. κη.

Παρέδωκε γὰρ αὐτοὺς, φησὶν, ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν. ταῦτα δὲ οὐδ' ἂν Ἕλλην νοῦν ἔχων ἀνάσχοιτο. λέγεταί τις δημαγωγός ποτε ἐν Ἀθήναις ταῦτα περιτεθεῖσθαι· εἶτα φιλόσοφός τις ἐκείνου διδάσκαλος ἰδὼν, ἐπετίμησεν, ἐμέμψατο, ἔδακεν, ἐκωμῴδησεν· ἡμεῖς δὲ οὕτως ἀθλίως διακείμεθα, ὡς καὶ τούτοις πιστεύειν. καὶ διὰ τί μὴ εἰσὶ νῦν οἱ ἀνιστῶντες, φησὶ, νεκροὺς, καὶ ἰάσεις ἐπιτελοῦντες; διὰ τί, πῶς οὐ λέγω. ἀλλὰ τί δὲ μὴ εἰσὶ νῦν οἱ τῆς παρούσης καταφρονοῦντες ζωῆς; ἀλλὰ τί, ἐπὶ μισθῷ δουλεύομεν τῷ Θεῷ; ὅτε ἀσθενεστέρα διέκειτο ἡ φύσις ἡ ἀνθρωπίνη, ὅτε φυτευθῆναι τὴν πίστιν ἔδει, ἦσαν καὶ τοιοῦτοι πολλοί· νῦν δὲ οὐ βούλεται ἡμᾶς τούτων ἠρτῆσθαι τῶν σημείων, ἀλλ' ἑτοίμους εἶναι πρὸς θάνατον. τί τοίνυν τῆς παρούσης ἔχῃ ζωῆς; ἵνα τὰ μέλλοντα οὐχ ὁρᾷς; καὶ ὑπὲρ μὲν ταύτης, καὶ εἰδωλολατρεῖν ἀνέχῃ· ὑπὲρ δὲ ἐκείνης, οὐδὲ ἀθυμίας καταφρονεῖς; ἀλλὰ ταῦτα οὐκ εἰσὶ νῦν τοιοῦτοι, ὅτι ἄτιμος ἡμῖν ἐφάνη ἐκείνη ἡ ζωὴ, εἴγε ὑπὲρ μὲν ἐκείνης οὐδὲν πράττομεν, ὑπὲρ δὲ ταύτης οὐδὲν παραιτούμεθα ὑπομένειν. τί δὲ καὶ ὁ ἄλλος γέλως; σποδὸς καὶ ἄσβολη καὶ ἅλες, καὶ πάλιν ἡ γραῦς εἰς τὸ μέσον. γέλως ὄντως, καὶ αἰσχύνη. καὶ ὀφθαλμὸς, φησὶν, ἥρπασε τὸ παιδίον. μέχρι τίνος ταῦτα τὰ σατανικά; πῶς οὐ γελάσονται Ἕλληνες; πῶς οὐ χλευάσουσιν; ὅταν αὐτοῖς λέγωμεν, μεγάλη ἡ δύναμις τοῦ σταυροῦ, πῶς πεισθήσονται ὅταν ὁρῶσι τούτων δεομένους, ὧν αὐτοὶ καταγελῶσι; διὰ ταῦτα ὁ Θεὸς ἰατροὺς ἔδωκε, καὶ φάρμακα; τί οὖν ἂν μὴ κρατήσωσιν ἐκεῖνοι, ἀλλὰ ἀπέρχηται τὸ παιδίον; ποῦ ἄπεισιν, εἰπέ μοι, ἄθλιε καὶ ταλαίπωρε; πρὸς τοὺς δαίμονας ἄπεισι; πρὸς τινὰ τύραννον ἄπεισιν; οὐχὶ πρὸς τὸν οὐρανὸν ἄπεισιν; οὐχὶ πρὸς τὸν οἰκεῖον δεσπότην; τί οὖν ἀλγεῖς; τί κλαίεις; τί πενθεῖς; τί τοῦ δεσπότου σου πλέον τὸ παιδίον φιλεῖς; οὐχὶ

γ. αἰσχύνη
γ. ὀφθαλμιῶν

δι'

γ. αἰσθανόμεθα,

ἀλγυνόμεθα, οὕτω δὴ καὶ ἐπὶ τῶν παθῶν. ἀκάθαρτον ποιεῖ τὴν ψυχήν, παθητικὴν ποιεῖ τὴν ψυχὴν τὴν ἀθάνατον. πῶς εἰδωλολατρεία εἴρηται ἡ πλεονεξία, πολλάκις εἰρήκαμεν. τὰ τυραννοῦντα γὰρ μάλιστα τὸ τῶν ἀνθρώπων γένος, ταῦτά ἐστι, πλεονεξία, καὶ ἀκολασία, καὶ ἐπιθυμία κακή. Δι' ἃ ἔρχεται, φησιν, ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας. υἱοὺς ἀπειθείας λέγει, ἀποστερῶν αὐτοὺς συγγνώμης, καὶ δεικνὺς ὅτι παρὰ τὸ μὴ πεισθῆναι ἐν τούτοις εἰσίν. Ἐν οἷς καὶ ὑμεῖς, φησι, περιεπατήσατέ ποτε, ὅτε ἐπείθητε. δείκνυσιν αὐτοὺς ἔτι ἐν αὐτοῖς, καὶ ἐγκωμιάζει οὕτω λέγων· νυνὶ δὲ καὶ ὑμεῖς ἀπόθεσθε τὰ πάντα, ὀργήν, θυμόν, κακίαν, βλασφημίαν, αἰσχρολογίαν. οὐκ ἐπ' αὐτῶν, ἀλλ' ἐφ' ἑτέρους τρέπει τὸν λόγον, ὥστε μὴ πλῆξαι. καὶ βλασφημίας δὲ τὰς λοιδορίας λέγει, καθάπερ θυμὸν τὸν πονηρὸν καλεῖ. ἀλλαχοῦ δὲ ἐντρεπτικῶς, Ὅτι ἀλλήλων ἐσμὲν μέλη. ὥσπερ δημιουργὸς αὐτὸν κατασκευάζει τὸν ἄνθρωπον, τῶν μὲν ῥιπτουμένων, τῶν δὲ δεχομένων. Εἶπεν ἐκεῖ, τὰ μέλη, ἐνταῦθα πάντα φησί, τὴν καρδίαν, τὸν θυμόν, τὸ στόμα, τὴν βλασφημίαν, τοὺς ὀφθαλμούς, τὴν πορνείαν, τὴν πλεονεξίαν, χεῖρας καὶ πόδας, ψεῦδος, τὴν διάνοιαν αὐτήν, καὶ τὸν νοῦν τὸν παλαιόν. μίαν ἔχει μορφὴν βασιλικὴν τὴν τοῦ Χριστοῦ. δοκοῦσί μοι ἐξ ἐθνῶν εἶναι μᾶλλον οὗτοι, πρὸς οὓς καὶ ἀποτείνεται, δεικνὺς ὅτι μίαν ἔχει μορφὴν βασιλικὴν τὰ μέλη, κἂν ὁ μὲν μείζων ᾖ, ὁ δὲ ἐλάττων. καθάπερ γὰρ ἡ γῆ ψάμμος οὖσα τὴν οἰκείαν ἀπολλῦσα προτέραν μορφήν, ὕστερον χρυσὸς γίνεται· καὶ καθάπερ τὰ ἔρια, οἷα ἂν ᾖ, ἑτέραν δέχεται ὄψιν, καὶ τὴν προτέραν ἔκρυψεν· οὕτω δὴ καὶ ὁ πιστός. ἀνεχόμενοι, φησιν, ἀλλήλων. ἔδειξε τὸ δίκαιον· ἀνέχου σὺ ἐκείνου, καὶ ἐκεῖνός σου, ὅπερ ἐν τῇ πρὸς Γαλάτας φησίν, Ἀλλήλων τὰ βάρη βαστάζετε. καὶ εὐχάριστοι, φησί, γίνεσθε. μάλιστα μὲν πανταχοῦ τοῦτο ζητεῖ. τὸ κεφάλαιον τῶν ἀγαθῶν γὰρ τοῦτό ἐστιν.

γ. ὅτε ἐζῆτε ἐν αὐτοῖς.

γ. ὑπὸ τοῦ θυμοῦ

γ. λέγει.

Ἐφ. δ. κε.

Γαλ. ς. β.

ΗΘΙΚΟΝ

Εὐχαριστῶμεν τοίνυν ἐν πᾶσιν, ὅπερ ἂν γίνηται. τοῦτο γὰρ εὐχαριστία. τὸ μὲν γὰρ ἐν τῇ εὐπραγίᾳ τοῦτο ποιεῖν, οὐ μέγα· αὐτὴ γὰρ τῶν πραγμάτων ἡ φύσις ἐπὶ τοῦτο ὠθεῖ. ὅταν δὲ ἐν τοῖς ἐσχάτοις ὄντες εὐχαριστῶμεν, τότε ἐστὶ θαυμαστόν. ὅταν γὰρ ἐφ' οἷς ἕτεροι βλασφημοῦσι καὶ ἀποδυσπετοῦσιν, ἡμεῖς εὐχαριστῶμεν, ὅρα πόση ἡ φιλοσοφία. πρῶτον, τὸν Θεὸν εὔφρανας· δεύτερον, τὸν διάβολον κατῄσχυνας· τρίτον, καὶ τὸ γενόμενον οὐδὲν ἀπέφηνας. ὁμοῦ γὰρ σύ τε εὐχαριστεῖς, καὶ ὁ Θεὸς τὴν ὀδύνην ὑποτέμνεται, καὶ ὁ διάβολος ἀφίσταται. ἂν μὲν γὰρ ἀποδυσπετήσῃς, ἅτε ἀνύσας ὅπερ ἤθελεν, ἐφέστηκε· καὶ ὁ Θεὸς ἅτε βλασφημηθείς, ἐγκαταλιμπάνει, καὶ ἐπιτείνεται τὸ δεινόν. ἐὰν δὲ εὐχαριστήσῃς, ἅτε μηδὲν ὠφελῶν, ἀφίσταται· καὶ ὁ Θεὸς ἅτε τιμηθείς, ἀντιτιμᾷ μειζόνως. καὶ οὐκ ἔστιν ἄνθρωπον εὐχαριστοῦντα ἐπὶ τοῖς κακοῖς αἰσθέσθαι τῶν κακῶν. χαίρει γὰρ ἡ ψυχὴ ἅτε κατορθοῦσα, εὐθέως φαιδρὸν ἔχει τὸ συνειδός, γάνυται τοῖς ἐγκωμίοις τοῖς ἑαυτῆς· τὴν δὲ φαιδρὰν οὐκ ἔνι σκυθρωπὴν εἶναι. ἐκεῖ δὲ μετὰ τῆς συμφορᾶς καὶ τὸ συνειδὸς ἐπίκειται μαστίζον· ἐνταῦθα δὲ στεφανοῖ καὶ ἀνακηρύττει. οὐδὲν τῆς γλώττης ἐκείνης ἁγιώτερον τῆς ἐν τοῖς κακοῖς εὐχαριστούσης τῷ Θεῷ. ὄντως τῆς τῶν μαρτύρων οὐδὲν ἀποδεῖ. ὁμοίως καὶ αὐτή, κἀκείνη στεφανοῦται. καὶ γὰρ καὶ ταύτῃ ἐφέστηκε δήμιος ἀναγκάζων ἀρνήσασθαι τὸν Θεὸν διὰ τῆς βλασφημίας, ἐφέστηκεν ὁ διάβολος δημίοις λογισμοῖς καταξαίνων, ἀθυμίαις σκοτῶν. ἂν τοίνυν ἐνέγκῃ τὰς ἀλγηδόνας τις, καὶ εὐχαριστήσῃ, μαρτυρίου στέφανον ἔλαχεν. οἷον, τὸ παιδίον νοσεῖ, καὶ εὐχαριστεῖ τῷ Θεῷ; τοῦτο αὐτῇ στέφανος. πόσης βασάνου οὐ χείρων ἡ ἀθυμία; ἀλλ' οὐκ ἀναγκάζει ῥῆμα ἐκβαλεῖν πικρόν. ἀποθνήσκει· πάλιν ηὐχαρίστησε; γέγονε θυγάτηρ τοῦ Ἀβραάμ. εἰ γὰρ μὴ τῇ ἰδίᾳ ἔσφαξε χειρί, ἀλλ' ἐπὶ τῇ θυσίᾳ ἥσθη, ὅπερ ἴσον ἐστίν. οὐ γὰρ ἠγανάκτησε λαμβανομένου τοῦ δώρου. πάλιν ἐνόσησεν; οὐκ ἐποίησε περίαπτα· μαρτύριον αὐτῇ λογίζεται. κατέθυσε γὰρ τὸν υἱὸν τῇ γνώμῃ. τί γὰρ εἰ καὶ μηδὲν ὠφελεῖ ἐκεῖνα, ἀλλ' ἀπάτης ἐστὶ καὶ χλεύης; ἀλλ' ὅμως ἦσαν οἱ πείθοντες ὅτι ὠφελεῖ· καὶ εἵλετο μᾶλλον νεκρὸν τὸ

γ. καταλιμπάνει,

ἴσ. κἀκείνη

ἐσμεν; πῶς δὲ ἓν σῶμά ἐσμεν; διὰ τὴν εἰρήνην σῶμα ἕν ἐσμεν, καὶ διὰ τὸ σῶμα ἓν εἶναι, εἰρηνεύομεν. διὰ τί δὲ οὐκ εἶπεν, ἡ εἰρήνη τοῦ Θεοῦ νικάτω, ἀλλά, βραβευέτω; ἀξιοπιστοτέραν αὐτὴν ἐποίησε. τὸν πονηρὸν λογισμὸν οὐκ ἀφῆκεν αὐτῇ προσπαλαίειν, ἀλλὰ κατωτέρω ἵστασθαι. καὶ τὸ τοῦ βραβείου ὄνομα ἤγειρε τὸν ἀκροατήν. ἂν γὰρ δῷς βραβεῖον τῷ ἀγαθῷ λογισμῷ, ὅσα ἂν ἀναισχυντῇ ἐκεῖνος, οὐδὲν ὄφελος λοιπόν. ἄλλως δὲ ἐκεῖνος εἰδὼς ὅτι ὅσα ἂν ἐργάσηται, οὐ λήψεται τὸ βραβεῖον· ὅσα ἂν πηδήσῃ καὶ ἐπιχειρήσῃ σφοδρότερον προσβάλλειν, ἅτε ἀνόητα ποιῶν ἀποστήσεται. καὶ καλῶς προσέθηκε, καὶ εὐχάριστοι γίνεσθε. τοῦτο γάρ ἐστιν εὐχαρίστους εἶναι καὶ σφόδρα ἀποστολικῶς, τὸ ὁμοίως κεχρῆσθαι τοῖς ὁμοδούλοις, ὥσπερ αὐτῷ ὁ Θεός, τὸ εἶξαι τῷ δεσπότῃ, τὸ πείθεσθαι, τὸ ὑπὲρ πάντων χάριν ὁμολογεῖν, κἂν ὑβρίσῃ τις, κἂν πλήξῃ. οὐ γὰρ δὴ ὁ τῷ Θεῷ χάριν ὁμολογῶν, ὑπὲρ ὧν ἔπαθε, τὸν ποιήσαντα ἀμύνεται· ὡς ὅγε ἀμυνόμενος οὐχ ὁμολογεῖ χάριν. ἀλλὰ μὴ
Ματθ. ιη. λδ. κατ' ἐκεῖνον τὸν τὰ ἑκατὸν δηνάρια ὀφείλοντα γινώμεθα, ἵνα μὴ ἀκούσωμεν, Πονηρὲ δοῦλε. οὐδὲν γὰρ τῆς ἀχαριστίας ταύτης χεῖρον. ὥστε ἀχάριστοι οἱ ἀμυνόμενοι. διὰ τί δὲ ἐπὶ τὴν πορνείαν πρώτην ἦλθε; εἰπὼν γάρ, νεκρώσατε οὖν τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, εὐθύς φησι πορνείαν, καὶ τοῦτο σχεδὸν πανταχοῦ ποιεῖ· ὅτι μάλιστα τοῦτο κρατεῖ τὸ πάθος. καὶ γὰρ καὶ ἐν τῇ πρὸς Θεσσαλονικεῖς γράφων, τοῦτο ἐποίησε. καὶ τί θαυμαστόν; ὅπουγε καὶ Τιμοθέῳ φησί, Σεαυτὸν ἁγνὸν τήρει· καὶ πάλιν ἀλλαχοῦ, Εἰρήνην διώκετε μετὰ πάντων, καὶ τὸν ἁγιασμόν,
α. Τιμ. ε. κβ. Εβρ. ιβ. ιδ. οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον. νεκρώσατε, φησί, τὰ μέλη ὑμῶν. τὸ νεκρὸν ἴστε οἷόν ἐστι, μισητόν, βδελυκτόν, διαρρέον. ἂν νεκρώσῃς, οὐ μένει νεκρόν, ἀλλὰ φθείρεται εὐθέως, καθάπερ τὸ σῶμα. σβέσον οὖν τὴν θερμότητα, καὶ οὐδὲν νεκρὸν μένει. δείκνυσιν αὐτὸν τοῦτο ἐργαζόμενον, ὅπερ ὁ Χριστὸς ἐπὶ τοῦ λουτροῦ. διὰ τοῦτο καὶ μέλη καλεῖ, καθάπερ ἀριστεία τινὰ εἰσάγων, καὶ εἰς μείζονα ἄγων ἔμφασιν. καὶ καλῶς εἶπε, τὰ ἐπὶ τῆς γῆς. ἐνταῦθα γὰρ μένει, καὶ ἐνταῦθα φθείρεται, πολλῷ μᾶλλον τῶν μελῶν τούτων. ὥστε οὐχ οὕτω τὸ σῶμά ἐστιν ἀπὸ γῆς, ὡς ἡ ἁμαρτία γηΐνη. τοῦτο μὲν γὰρ καὶ καλὸν φαίνεταί ποτε, ἐκεῖνα δὲ οὐδέποτε. καὶ πάντων τῶν ἐπὶ γῆς ἐπιθυμεῖ ταῦτα τὰ μέλη. ἂν ὀφθαλμὸς ᾖ τοιοῦτος, οὐχ ὁρᾷ τὰ ἐν οὐρανοῖς· ἂν ἀκοή, ἂν χείρ, ἂν ὁτιοῦν εἴποις μέλος. ὀφθαλμός; σώματα ὁρᾷ καὶ κάλλη καὶ χρήματα. ταῦτα τὰ ἀπὸ γῆς, τούτοις τέρπεται. ἡ ἀκοή, μέλη μαλθακά, κιθάρα, καὶ σύριγγι, καὶ αἰσχρολογία. ταῦτα δὲ περὶ γῆν. ἐπεὶ οὖν ἔστησεν αὐτὸν ἄνω παρὰ τὸν θρόνον, τότε φησί, νεκρώσατε τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς. οὐ γὰρ ἔνι στῆναι ἄνω μετὰ τούτων τῶν μελῶν. οὐκ ἔνι γὰρ ἐκεῖ, εἰς ὃ ἐνεργεῖν δεῖ. καὶ ἔστιν ὁ πηλὸς χείρων ἐκείνου. ἐκεῖνος μὲν γὰρ ὁ πηλὸς γίνεται χρυσός (Δεῖ γάρ, φησι, τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν) οὗτος δὲ ὁ πη-
α. Κορ. ιε. νγ. λὸς οὐκέτι ἀναχωνευθῆναι δύναται. ὥστε ταῦτα μᾶλλον ἐπὶ τῆς γῆς, ἢ ἐκεῖνα. διὰ τοῦτο οὐκ εἶπεν, ἀπὸ γῆς, ἀλλά, τὰ ἐπὶ τῆς γῆς. ἔνι γὰρ ταῦτα μὴ εἶναι ἀπὸ γῆς. ταῦτα μὲν γὰρ ἀνάγκη ἐπὶ γῆς εἶναι, ἐκεῖνα δὲ οὐκέτι ἀνάγκη. ὅταν γὰρ ἀκοὴ μηδὲν ἀκούῃ τῶν ἐνταῦθα, ἀλλὰ τῶν ἐν οὐρανοῖς λαλουμένων, ὅταν ὀφθαλμὸς μηδὲν ὁρᾷ τῶν ἐνταῦθα, ἀλλὰ τῶν ἄνω, οὐκ ἐπὶ γῆς ἐστιν. ὅταν τὸ στόμα μηδὲν φθέγγηται τῶν ἐνταῦθα, οὐκ ἐπὶ γῆς ἐστιν· ὅταν ἡ χεὶρ μηδὲν πράττῃ τῶν πονηρῶν, οὐκ ἔστι τῶν ἐπὶ γῆς, ἀλλὰ τῶν ἐν τοῖς οὐρανοῖς. τοῦτο καὶ ὁ Χρι-
Ματθ. ε. κθ. στός φησιν, Ἐὰν ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζῃ σε, τουτέστιν, ἐὰν ἀκολάστως ὁρᾷς, ἔκκοψον αὐτόν· τουτέστι, τὸν λογισμὸν τὸν πονηρόν. ἐμοὶ δὲ δοκεῖ πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν, τοῦτο λέγειν τὴν πορνείαν, διὰ πάντων τούτων ἀπάγων ἡμᾶς τοῦ πράγματος. πάθος γὰρ ὄντως τοῦτό ἐστι. καὶ καθάπερ τὸ σῶμα πάσχει, ἢ πυρέττει, ἢ τραυματίζεται, οὕτω καὶ τοῦτο. καὶ οὐκ εἶπεν, ἐπίσχετε, ἀλλά, νεκρώσατε, ὥστε μηδὲ ἀναστῆναι λοιπόν. καὶ ἀπόθεσθε. τὸ νεκρούμενον ἀποτιθέμεθα. οἷον, τύλοι ἂν ὦσιν ἐν τῷ σώματι, τὸ σῶμα νεκρόν ἐστι, καὶ ἀποτιθέμεθα αὐτό. ἀλλ' ἐὰν μὲν ζῶν κόψῃς, ἀλγηδόνα παρέχει· ἂν δὲ νενεκρωμένον, οὐδὲ

ἀλγυνόμεθα

χρηστότητος γὰρ ταπεινοφροσύνη, καὶ ἀπὸ ταύτης μακροθυμία. ἀνεχόμενοι, φησὶν, ἀλλήλων, τουτέστι, παραπεμπόμενοι. καὶ ὅρα πῶς αὐτὸ οὐδὲν ἔδειξε, μομφὴν καλέσας. Εἶτα ἐπάγει· καθὼς καὶ ὁ Χριστὸς ἐχαρίσατο ὑμῖν. μέγα τὸ ὑπόδειγμα· ὅπερ ἀεὶ ποιεῖ, ἀπὸ τοῦ Χριστοῦ προτρέπων αὐτούς. μομφὴν φησίν. ἐκεῖ μὲν μικρὸν αὐτὸ ἔδειξεν· ὅτι δὲ τὸ ὑπόδειγμα παρήγαγεν, ἔπεισεν ὅτι κἂν μεγάλα ἔχωμεν ἐγκαλεῖν, δεῖ χαρίζεσθαι. τὸ γὰρ, καθὼς ὁ Χριστὸς, τοῦτο σημαίνει· καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὅτι καὶ ἐξ ὅλης καρδίας· καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὅτι καὶ φιλεῖν δεῖ. ὁ γὰρ Χριστὸς εἰσελθὼν εἰς τὸ μέσον, πάντα εἰσάγει ταῦτα· καὶ ὅτι κἂν μεγάλα ᾖ, κἂν μὴ προηδικηκότες τυγχάνωμεν, κἂν ἡμεῖς μὲν μεγάλοι, ἐκεῖνοι δὲ μικροὶ, κἂν μέλλωσιν ὑβρίζειν ἡμᾶς καὶ μετὰ ταῦτα, καὶ ὅτι τὴν ψυχὴν δεῖ ὑπὲρ αὐτῶν θεῖναι. τὸ γὰρ, καθὼς, ταῦτα ἀπαιτεῖ. καὶ ὅτι οὐδὲ μέχρι θανάτου μόνον στῆναι δεῖ, ἀλλ', εἰ δυνατὸν, καὶ μετὰ ταῦτα.

χ. παρελκόμενοι.

14 Ἐπὶ πᾶσι δὲ τούτοις τὴν ἀγάπην, ἥτις ἐστὶ σύνδεσμος τῆς τελειότητος. Ὁρᾷς ὅτι τοῦτο λέγει; ἐπειδὴ γὰρ ἔνι χαριζομένους μὴ φιλεῖν, ναὶ, φησὶ, καὶ φιλεῖν. καὶ ὁδὸν δείκνυσι, δι' ἧς δυνατὸν χαρίζεσθαι. ἔστι γὰρ καὶ χρηστοὺς εἶναι, καὶ πρᾳεῖς, καὶ ταπεινόφρονας, καὶ μακροθύμους, καὶ μὴ ποθεῖν. διὸ ἀρξάμενος εἶπε, σπλάγχνα οἰκτιρμοῦ, καὶ ἀγάπην, καὶ ἔλεον. ἐπὶ πᾶσι δὲ τούτοις τὴν ἀγάπην, ἥτις ἐστὶ σύνδεσμος τῆς τελειότητος. ὃ δὲ θέλει εἰπεῖν, τοῦτό ἐστιν· ὅτι οὐδὲν ἐκείνων ὄφελος (διαλύεται γὰρ πάντα ἐκεῖνα) ἂν μὴ μετ' ἀγάπης γένηται. πάντα ἐκεῖνα αὕτη συσφίγγει· ὅπερ ἂν εἴποις ἀγαθὸν, ταύτης ἀπούσης, οὐδέν ἐστιν, ἀλλὰ διαρρεῖ. καὶ ὥσπερ ἐπὶ πλοίου, κἂν μεγάλα ᾖ τὰ σχοινία, καὶ τὰ ὑποζώματα μὴ ᾖ, οὐδὲν ὄφελος· καὶ ἐπὶ οἰκίας ἐὰν μὴ ὦσιν αἱ ἱμαντώσεις· καὶ ἐπὶ σώματος κἂν μεγάλα ᾖ τὰ ὀστᾶ, οἱ δὲ σύνδεσμοι μὴ ὦσιν, οὐδὲν ὄφελος. οἷα γὰρ ἐὰν τις ἔχῃ κατορθώματα, πάντα φροῦδα, ἀγάπης μὴ οὔσης. οὐκ εἶπεν, ὅτι κορυφή ἐστιν, ἀλλ' ὃ μεῖζόν ἐστι, σύνδεσμος. ἀναγκαιότερον τοῦτο, ἢ ἐκεῖνο. κορυφὴ μὲν γὰρ ἐπίτασις τελειότητος· σύνδεσμος δὲ συγκράτησις τῶν τὴν τελειότητα ποιούντων, ὥσπερ ἡ ῥίζα.

15 Καὶ ἡ εἰρήνη τοῦ Θεοῦ βραβευέτω ἐν ταῖς καρδίαις ὑμῶν, εἰς ἣν καὶ ἐκλήθητε ἐν σώματι ἑνὶ καὶ εὐχάριστοι γίνεσθε. Ἡ εἰρήνη τοῦ Θεοῦ ἡ πεπηγυῖα καὶ βεβαία αὕτη ἐστίν. ἂν μὲν δι' ἄνθρωπον ἔχῃς εἰρήνην, ταχέως διαλύεται· ἐὰν δὲ διὰ τὸν Θεὸν, οὐκέτι. καίτοι τὸ καθολικὸν εἶπε τὴν ἀγάπην, ἀλλὰ πάλιν ἐπὶ τὸ ἰδικὸν ἔρχεται. ἔστι γὰρ καὶ ἄμετρος ἀγάπη, οἷον, ὅταν ἀπὸ πολλῆς τις ἀγάπης ἐγκαλῇ εἰκῇ, καὶ μάχας ἔχῃ καὶ ἀποστρέφηται. οὐ, φησὶν, οὐ τοῦτο βούλομαι· ἀλλ' ὡς ἐποίησεν εἰρήνην πρὸς ὑμᾶς ὁ Θεὸς, οὕτω καὶ ὑμεῖς ποιεῖτε. πῶς δὲ ἐποίησεν; αὐτὸς θελήσας, οὐ παρ' ὑμῶν τι λαβών. τί ἐστιν, ἡ εἰρήνη τοῦ Θεοῦ βραβευέτω ἐν ταῖς καρδίαις ὑμῶν; ἐὰν μάχωνται λογισμοὶ δύο, μὴ στήσῃς τὸν θυμὸν, μὴ στήσῃς τὴν ἐπήρειαν κατέχουσαν τὸ βραβεῖον, ἀλλὰ τὴν εἰρήνην. οἷον, ἔστω τις ὑβρισθεὶς ἀδίκως· ἀπὸ τῆς ὕβρεως ἐτέχθησαν λογισμοὶ δύο, ὁ μὲν κελεύων ἀμύνασθαι, ὁ δὲ ἐνεγκεῖν, καὶ παλαίουσιν ἀλλήλοις. ἐὰν ἡ εἰρήνη τοῦ Θεοῦ ἑστήκῃ βραβεύουσα, τῷ κελεύοντι φέρειν δίδωσι τὸ βραβεῖον, καὶ καταισχύνει ἐκεῖνον. πῶς; πείθουσα ὅτι ὁ Θεὸς εἰρήνη ἐστὶν, ὅτι εἰρήνευσεν ἡμῖν. οὐχ ἁπλῶς δείκνυσι πολλὴν τὴν ἀγωνίαν τοῦ πράγματος. μὴ θυμὸς, φησὶ, βραβευέτω, μὴ φιλονεικία, μὴ ἡ ἀνθρωπίνη εἰρήνη. ἡ γὰρ ἀνθρωπίνη εἰρήνη ἐκ τοῦ ἀμύνασθαι γίνεται, ἐκ τοῦ μηδὲν παθεῖν δεινόν. ἀλλ' οὐ ταύτην βούλομαι, φησὶν, ἀλλ' ἐκείνην, ἣν ὁ Χριστὸς ἀφῆκεν αὐτός. στάδιον ἔνδον ἐποίησεν ἐν τοῖς λογισμοῖς, καὶ ἀγῶνα, καὶ ἀθλητὴν, καὶ βραβευτήν. εἶτα πάλιν προτρέπει. εἰς ἣν ἐκλήθητε, φησί· τουτέστιν, ἐφ' ᾗ ἐκλήθητε. ἀνέμνησεν ὅσων ἀγαθῶν αἰτία ἡ εἰρήνη. διὰ ταύτην σε ἐκάλεσεν, ἐπὶ ταύτῃ ἐκάλεσεν, ὥστε ἀξιόπιστον ἀναδέξασθαι τὸ βραβεῖον. διὰ τί γὰρ ἓν σῶμα ἐποίησεν; οὐχ ἵνα αὐτὴ κρατῇ; οὐχ ἵνα ἀφορμὴν ἔχωμεν τοῦ εἰρηνεύειν; διὰ τί πάντες ἓν σῶμά ἐσμεν;

χ. ᾗ

Digitized by Google

μας, ἀλλ' ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας *. ἐν οἷς καὶ ὑμεῖς περιεπατήσατέ ποτε, ὅτε ἐζῆτε ἐν αὐτοῖς. ἐντρεπτικῶς, ὅτε ἐζῆτε, φησὶν, ἐν αὐτοῖς· καὶ μετ' ἐγκωμίου, ὡς νῦν οὐ ζώντων τότε ἔζω. *ἵνα μὴ [illegible] ρίσῃ*

8 Νυνὶ δὲ ἀπόθεσθε καὶ ὑμεῖς τὰ πάντα. Καὶ καθολικῶς ἀεὶ λέγει, καὶ ἰδικῶς. τοῦτο δέ ἐστι διαθέσεως. Ὀργὴν, θυμὸν, κακίαν, βλασφημίαν, αἰσχρολογίαν ἐκ τοῦ στόματος ὑμῶν.

9 Μὴ ψεύδεσθε εἰς ἀλλήλους. Αἰσχρολογίαν, φησὶν, ἐκ τοῦ στόματος ὑμῶν ἐμφαντικῶς, ἐπὶ αὐτὸ ῥυποῖ. Ἀπεκδυσάμενοι τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ,

10 Καὶ ἐνδυσάμενοι τὸν νέον τὸν ἀνακαινούμενον εἰς ἐπίγνωσιν κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν. Ἄξιον ἐνταῦθα ζητῆσαι, τί δήποτε μέλη καὶ ἄνθρωπον καὶ σῶμα καλεῖ τὸν διεφθαρμένον βίον, καὶ τὸν ἐνάρετον πάλιν τὸ αὐτό. καὶ εἰ ὁ ἄνθρωπός εἰσιν αἱ ἁμαρτίαι, πῶς φησι, σὺν ταῖς πράξεσιν αὐτοῦ; ἅπαξ γὰρ εἶπε παλαιὸν ἄνθρωπον, δείξας ὅτι οὐ τοῦτό ἐστιν ἄνθρωπος, ἀλλ' ἐκεῖνο. (γ. ναι) τῆς οὐσίας γὰρ ἡ προαίρεσις κυριωτέρα, καὶ τοῦτο μᾶλλον ἄνθρωπος, ἢ ἐκεῖνο. οὐ γὰρ ἡ οὐσία ἐμβάλλει εἰς γέενναν, οὐδὲ εἰς βασιλείαν εἰσάγει, ἀλλ' αὐτὴ ἡ προαίρεσις. καὶ οὐδένα οὔτε φιλοῦμεν, οὔτε μισοῦμεν ᾗ ἄνθρωπος, ἀλλ' ᾗ τοιόσδε, ἢ τοιόσδε ἄνθρωπος. εἰ τοίνυν ἡ μὲν οὐσία τὸ σῶμά ἐστιν, αὕτη δὲ ἀνεπίδεκτος ἐν ἑκατέροις, πῶς αὐτὸ κακὸν εἶναί φησι; τί δέ φησι, σὺν ταῖς πράξεσι; τὴν προαίρεσιν μετὰ τῶν ἔργων. παλαιὸν δὲ αὐτὸν καλεῖ, τὸ αἰσχρὸν αὐτοῦ βουλόμενος δεῖξαι καὶ τὸ δυσειδὲς καὶ τὸ ἀσθενικόν· καὶ νέον, ἀντὶ τοῦ, μὴ προσδοκήσητε, φησὶν, ὅτι καὶ τοῦτο τὸ αὐτὸ πείσεται, ἀλλὰ τοὐναντίον. ὅσῳ γὰρ ἂν προΐῃ, οὐ πρὸς γῆρας ἐπείγεται, ἀλλὰ πρὸς νεότητα μείζονα τῆς προτέρας. ὅταν γὰρ πλείονα λάβῃ τὴν γνῶσιν, καὶ μειζόνων ἀξιοῦται, καὶ μᾶλλον ἀκμάζει, μᾶλλον ἰσχύει. οὐκ ἀπὸ τῆς νεότητος μόνον, ἀλλὰ καὶ τοῦ εἴδους πρὸς ὅ ἐστιν. ἰδοὺ κτίσις ἡ ἀρίστη πολιτεία λέγεται. κατ' εἰκόνα Χριστοῦ. τοῦτο γάρ ἐστι κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν· ἐπεὶ καὶ ὁ Χριστὸς οὐ πρὸς γῆρας ἐτελεύτησεν, ἀλλ' οὕτως ἦν καλὸς, ὡς μηδὲ εἰπεῖν ἔστι.

11 Ὅπου οὐκ ἔνι Ἕλλην καὶ Ἰουδαῖος, περιτομὴ καὶ ἀκροβυστία, βάρβαρος, Σκύθης, δοῦλος, ἐλεύθερος, ἀλλὰ τὰ πάντα, καὶ ἐν πᾶσι Χριστός. Ἰδοὺ ἕτερον ἐγκώμιον τοῦ ἀνδρὸς τούτου, (γ. τοῦτο) ὅταν μήτε ἔθνους, μήτε ἀξιώματος, μήτε προγόνων διαφορὰ ἐπεισέρχηται, ὅταν ἔχῃ τὴν ἔξωθεν μηδὲν, μηδὲ δέηται τούτων. τοιαῦτα γὰρ πάντα τὰ ἔξωθεν. περιτομὴ καὶ ἀκροβυστία· δοῦλος, ἐλεύθερος, Ἕλλην, τουτέστι, προσήλυτος· καὶ Ἰουδαῖος, τουτέστιν, ἐκ προγόνων. ἂν τοῦτο ἔχῃς μόνον, τὴν αὐτὴν ἐπιδείξῃ τοῖς ἄλλοις τοῖς ἔχουσιν. ἀλλὰ τὰ πάντα, καὶ ἐν πᾶσι, φησι, Χριστός· τουτέστι, πάντα ὑμῖν ὁ Χριστὸς ἔσται, καὶ ἀξίωμα, καὶ γένος, καὶ ἐν πᾶσιν ὑμῖν αὐτός. ἢ ἕτερόν τί φησιν, ὅτι πάντες Χριστὸς εἷς ἐγένεσθε, σῶμα αὐτοῦ ὄντες.

12 Ἐνδύσασθε οὖν, ὡς ἐκλεκτοὶ τοῦ Θεοῦ, ἅγιοι καὶ ἠγαπημένοι. Τὸ εὔκολον δείκνυσι τῆς ἀρετῆς, ὥστε καὶ διηνεκῶς αὐτὴν ἔχειν, καὶ ὥστε ὡς μεγίστῳ κόσμῳ κεχρῆσθαι. καὶ μετ' ἐγκωμίου ἡ παραίνεσις. τότε γὰρ μάλιστα ἰσχύει. ἐγένοντο γὰρ ἅγιοι, ἀλλ' οὐκ ἐκλεκτοί· νυνὶ δὲ καὶ ἐκλεκτοὶ καὶ ἅγιοι καὶ ἠγαπημένοι. Σπλάγχνα οἰκτιρμοῦ.

Οὐκ εἶπεν ἔλεον, ἀλλ' ἐμφαντικώτερον διὰ τῶν δύο. καὶ οὐκ εἶπεν, ὅτι ὡς ἀδελφοῖς οὕτω διακεῖσθαι δεῖ, ἀλλ' ὡς παισὶ πατέρες. μὴ γάρ μοι εἴπῃς, ὅτι ἥμαρτε· διὰ τοῦτο εἶπε σπλάγχνα. (γ. εἶπον) καὶ οὐκ εἶπεν, οἰκτιρμὸν, ἵνα μὴ ἐκείνους ἐξευτελίσῃ, ἀλλὰ, σπλάγχνα οἰκτιρμοῦ. Χρηστότητα, ταπεινοφροσύνην, πραότητα, μακροθυμίαν.

13 Ἀνεχόμενοι ἀλλήλων, καὶ χαριζόμενοι ἑαυτοῖς, ἐάν τις πρός τινα ἔχῃ μομφήν· καθὼς καὶ ὁ Χριστὸς ἐχαρίσατο ὑμῖν, οὕτω καὶ ὑμεῖς. Πάλιν κατ' εἶδος λέγει. ἀπὸ

χρηστότητος

Digitized by Google

Λογ. η. 5 ΝΕΚΡΩΣΑΤΕ ΤΑ ΜΕΛΗ ΥΜΩΝ ΤΑ ΕΠΙ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακὴν, καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν εἰδωλολατρεία, 6 Διʼ ἃ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας, 7 Ἐν οἷς καὶ ὑμεῖς περιεπατήσατέ ποτε, ὅτε ἐζῆτε ἐν αὐτοῖς.

Εἶδα πολλοὺς ἀπηχθανομένους ἐν τῇ περὶ ταύτης διαλέξει· ἀλλὰ τί πάθω; ἠκούσατε τί ἐπέταξεν ὁ δεσπότης; μὴ γὰρ ἐγὼ αἴτιος; τί ποιήσω; οὐχ ὁρᾶτε τοὺς ἀπαιτοῦντας, ὅταν ἀγνωμονῶσιν οἱ ὑπεύθυνοι, πῶς κλοιὰ τούτοις περιτιθέασιν; ἠκούσατε τί σήμερον ὁ Παῦλος ἐβόα; νεκρώσατε, φησὶ, τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακὴν, καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν εἰδωλολατρεία. τί τῆς τοιαύτης πλεονεξίας χεῖρον; τοῦτο βαρύτερον, ὅπερ ἔλεγον, ἡ μανία, καὶ ἡ βλακεία ἡ περὶ ἄργυρον. καὶ τὴν πλεονεξίαν, φησὶν, ἥτις ἐστὶν εἰδωλολατρεία. ὁρᾶτε πόσον τὸ κακὸν τελευτᾷ; μὴ δὴ δυσχεραίνετε. οὐ γὰρ ἑκὼν, οὐδὲ ἁπλῶς ἐχθροὺς ἔχειν θέλω, ἀλλʼ ἐβουλόμην ὑμᾶς εἰς τοῦτο ἀρετῆς ἥκειν, ὡς ἐμὲ παρʼ ὑμῶν ἀκούειν τὰ δέοντα. ὥστε οὐκ αὐθεντίας ἐστὶν, οὐδὲ ἀξιώματος, ἀλλʼ ὀδύνης καὶ ἀλγηδόνος. σύγγνωτέ μοι, συγγνῶτε· οὐ θέλω ἀηδιάζειν ὑπὲρ τοιούτων διαλεγόμενος, ἀλλʼ ἀναγκάζομαι. οὐχ ὑπὲρ τῆς ἐμαυτοῦ ὀδύνης ταῦτα λέγω, ἀλλʼ ὑπὲρ τῆς ὑμετέρας σωτηρίας. ἀπολοῦνται γὰρ, ἀπολοῦνται καὶ μὴ θρέψαντες τὸν Χριστόν. τί γὰρ εἰ τρέφεις πεινῶντα; ἀλλʼ ἕως ἂν ὑπὸ σπατάλης καὶ ὑπὸ τρυφῆς, πάντα περιττά. οὐ γὰρ τὸ δοῦναι ζητεῖται πολλὰ, ἀλλὰ τὸ μὴ ἔλαττον τῆς οἰκείας οὐσίας. τοῦτο γὰρ παίζοντός ἐστι. νεκρώσατε οὖν τὰ μέλη ὑμῶν, φησὶ, τὰ ἐπὶ τῆς γῆς. τί λέγεις; οὐ σὺ εἶπας, ὅτι ἐτάφητε; ὅτι συνετάφητε; ὅτι περιετμήθητε; ὅτι ἀπεξεδυσάμεθα τὸ σῶμα τῶν ἁμαρτιῶν τῆς σαρκός; πῶς οὖν πάλιν λέγεις, νεκρώσατε; μὴ παίζῃς. ὡς ὄντων αὐτῶν ἐν ἡμῖν οὕτω διαλέγῃ; οὐκ ἔστιν ἐναντιολογία. ἀλλʼ ὥσπερ εἴ τις ἐρρυπωμένον ἀνδριάντα ἀποσμήξας, μᾶλλον δὲ ἀναχαλκεύσας, καὶ λαμπρὸν δείξας ἄνωθεν λέγοι μὲν, ὅτι κατεπόθη ὁ ἰὸς καὶ ἀπώλετο, παραινοίη δὲ πάλιν [σπουδάζειν] ἀποτίθεσθαι τὸν ἰὸν, οὐκ ἐναντιολογεῖ (οὐ γὰρ ὃν ἀπέσμηξεν ἰὸν, ἀλλὰ τὸν ἐπιγινόμενον μετὰ ταῦτα παραινεῖ ἀποτίθεσθαι) οὕτως οὐ τὴν προτέραν νέκρωσιν λέγει, οὐδὲ τὰς πορνείας ἐκείνας, ἀλλὰ τὰς ἐπιγινομένας ὕστερον. ἀλλʼ ἰδοὺ, φασὶν αἱρετικοὶ, τὴν δημιουργίαν Παῦλος διαβάλλει. εἶπε γὰρ ἔμπροσθεν, τὰ ἄνω φρονεῖτε, μὴ τὰ ἐπὶ γῆς. πάλιν φησὶ, νεκρώσατε ὑμῶν τὰ μέλη τὰ ἐπὶ τῆς γῆς. ἀλλὰ τὰ ἐπὶ γῆς ἐνταῦθα δηλωτικόν ἐστιν ἁμαρτίας, οὐ δημιουργίας διαβολή. οὕτω γὰρ τὰ ἐπὶ γῆς αὐτὰ καλεῖ τὰ ἁμαρτήματα, ἢ τῷ ἀπὸ γεώδους λογισμοῦ καὶ ἐπὶ γῆς ἐνεργεῖσθαι, ἢ τῷ γηΐνους δείκνυσθαι τοὺς ἁμαρτάνοντας. πορνείαν, ἀκαθαρσίαν φησί. παρῆκε τὰ πράγματα, ἃ οὐδὲ εἰπεῖν καλὸν, καὶ διὰ τῆς ἀκαθαρσίας ἅπαντα ἐνέφηνε. πάθος, φησὶν, ἐπιθυμίαν κακήν. ἰδοὺ γενικῶς τὸ πᾶν εἶπε. πάντα γὰρ ἐπιθυμία κακὴ, βασκανία, ὀργὴ, λύπη. καὶ τὴν πλεονεξίαν, φησὶν, ἥτις ἐστὶν εἰδωλολατρεία. διὰ ταῦτα γὰρ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας. διὰ πολλῶν ἀπήγαγεν αὐτούς· διὰ τῶν εὐεργεσιῶν τῶν ὑπαρξασῶν, διὰ τῶν μελλόντων, διʼ ὧν ἀπηλλάγημεν κακῶν, τίνες ὄντες, καὶ διὰ τί. καὶ ὅλα ἐκεῖνα· οἷον, τίνες ἦμεν, καὶ εἶπεν, καὶ ὅτι ἀπηλλάγημεν αὐτῶν, πῶς καὶ τίνι τρόπῳ, καὶ ἐπὶ τίσι. ταῦτα ἱκανὰ ἀποστρέψαι· ἀλλὰ πάντων σφοδρότερον τοῦτο, ἀηδὲς μὲν εἰπεῖν, οὐ μὴν ἀνωφελὲς, ἀλλὰ καὶ ὠφέλιμον· διʼ ἃ ἔρχεταί, φησιν, ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας. οὐκ εἶπεν, ἐφʼ ὑμᾶς,

κεῖον εἶδος τεράτων ἀναλαβὸν μορφήν. Εἰκὸς γὰρ αὐτὰς ἐπιθυμῆσαι καὶ τρίχας ἔχειν χρυσᾶς. ἢ ὁμολογήσατε ὅτι οὐκ ἐπάθετέ τι πρὸς τὸ λεχθὲν, καὶ διαμένετε, καὶ εἰς ἐπιθυμίαν ἐνεπέσατε· καὶ εἰ μή γε ἡ αἰσχύνη κατεῖχεν, οὐκ ἂν παρῃτήσασθε. Εἰ γὰρ καὶ τὰ τούτων ἀτοπώτερα τολμᾶτε, πολλῷ μᾶλλον καὶ τρίχας ἔχειν οἶμαι ταύτας ἐπιθυμήσαι χρυσᾶς, καὶ τὰ χείλη, καὶ τὰς ὀφρῦς, καὶ πάντα χρυσοῖ κατατηκύσας οὕτω περιιέναι. Εἰ δὲ ἀπιστεῖτε, καὶ νομίζετε γέλωτά με λέγειν, ἐγὼ διηγήσομαι ὅπερ ἤκουσα, μᾶλλον δὲ καὶ ἔστιν ἰδεῖν. ὁ τῶν Περσῶν βασιλεὺς χρυσοῦν ἔχει τὸ γένειον, τῶν περὶ ταῦτα δεινῶν, καθάπερ τῇ κρόκῃ, οὕτω καὶ ταῖς ἐκείνου θριξὶν ἐνειλισσόντων τὰ πέταλα τοῦ χρυσοῦ· καὶ ἀνάκειται, καθάπερ τέρας. Δόξα σοι, Χριστὲ, πόσων ἐνέπλησας ἀγαθῶν ἡμᾶς; πῶς ἡμᾶς ὑγιαίνειν παρεσκεύασας; πόσης τερατωδίας, πόσης ἀλογίας ἡμᾶς ἀπήλλαξας; ἰδοὺ προλέγω. οὐκέτι παραινῶ, ἀλλ' ἐπιτάττω καὶ παραγγέλλω. ὁ βουλόμενος ἀκουέτω, ὁ δὲ μὴ βουλόμενος ἀπερχέσθω. ὅτι ἂν ἐπιμένητε ταῦτα ποιοῦσαι, οὐκ ἀνέξομαι, οὐδὲ δέξομαι ὑμᾶς, οὐδὲ ἀφήσω τὴν οὐδὸν ὑπερβῆναι τοῦτον. τί γάρ μοι δεῖ πλήθους νοσούντων; τί δὲ, εἰ παιδοτριβῶ ὑμᾶς; οὐ κωλύω τὰ μὴ περιττά· καίτοιγε ὧν Παῦλος ἐκώλυσε, καὶ χρυσὸν, καὶ μαργαρίτας; γελώμεθα παρὰ τῶν Ἑλλήνων, μῦθος εἶναι δοκεῖ τὰ ἡμέτερα. καὶ τοῖς ἀνδράσι παραινῶ ταῦτα. Εἰς διδασκαλεῖον παραγίνῃ, παιδευόμενος φιλοσοφίαν πνευματικήν; περίελε τὸν τῦφον ἐκεῖνον. τοῦτο καὶ ἀνδράσι παραινῶ καὶ γυναιξί. καὶ ἑτέρως τις ποιῇ, λοιπὸν οὐκ ἀνέχομαι. δώδεκα ἦσαν οἱ μαθηταὶ, καὶ ἄκουσον τί φησιν ὁ Χριστὸς πρὸς αὐτούς· Μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν; ἂν γὰρ ἀεὶ κολακεύωμεν, πότε ἀνακτησόμεθα, πότε ὠφελήσομεν; ἀλλ' εἰσί, φησιν, αἱρέσεις ἕτεραι, καὶ μετατίθενται. ψυχρὸς οὗτος ὁ λόγος. Κρεῖσσον εἰς ποιοῦντα τὸ θέλημα Κυρίου, ἢ μυρίους παρανόμους. ἐπεὶ καὶ σὺ τί βούλει, εἰπέ μοι; μυρίους δραπέτας ἔχειν καὶ κλέπτας οἰκέτας, ἢ ἕνα εὔνουν; ἰδοὺ παραινῶ, καὶ παρεγγυῶ καὶ τὸν καλλωπισμὸν τὸν περὶ τὴν ὄψιν, καὶ τὰ σκεύη τὰ τοιαῦτα συντρίβειν, καὶ πένησι διδόναι, καὶ μὴ οὕτω μεμηνέναι. ὁ βουλόμενος ἀποπηδάτω, ὁ βουλόμενος ἐγκαλείτω. οὐκ ἀνέχομαι οὐδενός. ὅταν μέλλω κρίνεσθαι ἐπὶ τοῦ βήματος τοῦ Χριστοῦ, μακρὰν ὑμεῖς ἑστήκατε, καὶ ἡ παρ' ὑμῶν χάρις εἰς οὐδὲν, ἐμοῦ τὰς εὐθύνας παρέχοντος. ταῦτα τὰ ῥήματα τὰ πάντα διέφθειρεν. ἵνα ἀπέλθῃ, φησί, καὶ μετατεθῇ πρὸς ἑτέραν αἵρεσιν. ἀσθενής ἐστι, συγκατάβηθι. μέχρι τίνος; μέχρι πότε; ἅπαξ, καὶ δὶς, καὶ τρὶς, μὴ διαπαντός. ἰδοὺ παρεγγυῶ πάλιν, καὶ διαμαρτύρομαι κατὰ τὸν μακάριον Παῦλον, Ὅτι ἂν ἔλθω εἰς τὸ πάλιν, οὐ φείσομαι. ὅταν δὲ κατορθώσητε, τότε εἴσεσθε ὅσον τὸ κέρδος, ὅση ἡ ὠφέλεια. καὶ, παρακαλῶ, καὶ ἀντιβολῶ, καὶ τῶν γονάτων οὐκ ἂν παραιτησαίμην ἅψασθαι, καὶ ἱκετηρίαν θεῖναι ὑπὲρ τούτου. τίς ἡ βλακεία; τίς ἡ τρυφή; μᾶλλον δὲ τίς ἡ ὕβρις; (οὐ τρυφὴ τοῦτο, ἀλλ' ὕβρις) τίς ἡ ἄνοια; τίς ἡ μανία; πένητες τοσοῦτοι τὴν ἐκκλησίαν περιεστήκασι, καὶ τέκνα ἔχουσα τοσαῦτα ἡ ἐκκλησία οὕτω πλουτοῦντα οὐδενὶ πένητι ἐπαμῦναι δύναται· ἀλλ' ὁ μὲν πεινᾷ, ὁ δὲ μεθύει· ὁ μὲν καὶ ἐν ἀργύρῳ ἀποπατεῖ, ὁ δὲ οὐδὲ ἄρτου μετέχει. τίς ἡ μανία; τίς ἡ θηριωδία ἡ τοσαύτη; γένοιτο μὴ ἐλθεῖν ἡμᾶς εἰς τὴν πεῖραν τοῦ ἐπεξελθεῖν τοῖς ἀπειθοῦσι, μηδὲ εἰς ἀγανάκτησιν τοῦ ταῦτα ἐπιτρέψαι, ἀλλ' ἑκόντας καὶ ἀνεχομένους ταῦτα πάντα περιστεῖλαι, ἵνα εἰς δόξαν τοῦ Θεοῦ ζήσωμεν, καὶ τῆς ἐκεῖ κολάσεως ἀπαλλαγῶμεν, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ.

Ιωαν. ς. ξζ.

χ. α. ις. ε.

β. Κορ. ιγ β.

χ. περισσῶν



Digitized by Google

ποις; μᾶλλον τῶν ἱπποκενταύρους ἀναπλαττόντων, καὶ τὰς χιμαίρας, καὶ τοὺς δρακοντόποδας, καὶ τὰς σκύλλας, καὶ τὰ τέρατα, ἴδοι τις ἂν αὐτοὺς ἀναπλάττοντας. κἂν θελήσῃς αὐτῶν μίαν ἐπιθυμίαν ἀναπλάσαι, οὐδὲν οὔτε σκύλλα, οὔτε χίμαιρα, οὔτε ἱπποκένταυρος φανήσεται παρὰ τὴν τερατωδίαν ἐκείνην, ἀλλ' εὑρήσεις πάντα ὁμοῦ ἔχουσαν τὰ θηρία. καὶ τάχα μέν τις οἰήσεται ἐν πλούτῳ γεγυμνάσθαι πολλῷ οὕτως ἐπαληθεύοντα τοῖς γραφομένοις. λέγεταί τις (παρέξομαι γὰρ ἀπὸ τῶν παρὰ τοῖς Ἕλλησιν ᾀδομένων τοὺς λόγους πιστώσομαι) λέγεταί τις τῶν αὐτῶν βασιλεὺς τοσοῦτον ἐνδοῦναι τῇ τρυφῇ, ὥστε πλάτανον ποιῆσαι χρυσῆν, καὶ οὐρανὸν ἄνωθεν, καὶ ὑπ' αὐτὴν καθίσαι, καὶ ταῦτα ἐπιστρατεύων ἀνθρώποις πολεμεῖν μεμαθηκόσιν. ἆρα οὐχ ἱπποκενταύρων αὕτη ἡ ἐπιθυμία; ἆρα οὐ σκύλλης; ἕτερος πάλιν εἰς βοῦν ξύλινον ἐνέβαλλε τοὺς ἀνθρώπους. ἆρα οὐ σκύλλα τοῦτο; πῶς δὲ ὁ ἕτερος ἐξ ἀνδρὸς γυναῖκα ἐποίησε τὸν βασιλέα, τὸν στρατιώτην ἀπὸ γυναικός, τί εἴπω; θηρίων ἀλόγων. καὶ ἔτι τούτου χεῖρον. τὰ γὰρ θηρία, ὑπὸ δένδρων ἂν ᾖ, ἀνέχονται τῆς φύσεως, καὶ πλέον οὐδὲν ἐπιζητοῦσιν· οὗτοι δὲ καὶ τὴν θηρίων τὴν φύσιν ὑπερηκόντισαν. ἆρα τί γένοιτ' ἂν τῶν πλουτούντων ἀνοητότερον; τοῦτο δὲ ἀπὸ τῆς πλεονεξίας τῶν ἐπιθυμιῶν γέγονε. ἆρα οὐχὶ πολλοὶ θαυμάζουσιν αὐτούς; τοιγάρτοι τοῦ γέλωτος κηπωροῦσιν αὐτοί. τοῦτο οὐ τὸν πλοῦτον ἐδείκνυ, ἀλλὰ τὴν ἄνοιαν. πόσῳ τῆς χρυσῆς ἐκείνης πλατάνου ἡ τῆς γῆς βελτίων; τὰ γὰρ κατὰ φύσιν τῶν παρὰ φύσιν ἡδίω. τί δέ σοι ὁ χρυσοῦς οὐρανὸς ἐβούλετο, ἀνόητε; ὁρᾷς πῶς μαινομένους ὁ πλοῦτος ποιεῖ τοὺς πολλούς; πῶς φλεγμαίνειν; οἶμαι αὐτοὺς καὶ τὴν θάλατταν ἀγροεῖν, καὶ τάχα βαδίζειν βούλεσθαι ἐπ' αὐτῆς. ἆρα οὐ χίμαιρα ταῦτα; ἆρα οὐχ ἱπποκένταυροι; ἀλλ' εἰσὶ καὶ νῦν τινὲς τῶν οὐδὲν ἐκείνου ἀποδέουσιν, ἀλλὰ πολλῷ ἀνοητότεροι τυγχάνουσιν ὄντες. τί γάρ, εἰπέ μοι, τῆς χρυσῆς πλατάνου διαφέρουσι κατὰ ἄνοιαν οἱ κεράμια ποιοῦντες χρυσᾶ, καὶ χύτρας, καὶ ἀλάβαστρα; τί δὲ αἱ γυναῖκες (αἰσχυνόμενος μὲν ὅμως, πλὴν ἀναγκαῖον εἰπεῖν) ἀμίδας ἀργυρᾶς ποιοῦσαι; ὑμᾶς αἰσχύνεσθαι ἔδει τὰς ταῦτα ποιούσας. τοῦ Χριστοῦ λιμώττοντος, σὺ οὕτω τρυφᾷς; μᾶλλον δὲ ἀνοηταίνεις; ποίαν αὗται κόλασιν οὐ τίσουσιν; ἔτι οὖν ἐρωτᾷς, διατί λῃσταί, διατί ἀνδροφόνοι, διατί τὰ κακά, οὕτως ὑμᾶς τοῦ διαβόλου παρασύραντος; τὸ μὲν γὰρ πινάκια ἔχειν ἀργυρᾶ, οὐδὲ τοῦτο μὲν κατὰ φιλόσοφον ψυχήν, ἀλλὰ τρυφῆς τὸ πᾶν· τὸ δὲ καὶ σκεύη ἀκάθαρτα ποιεῖσθαι ἐξ ἀργύρου, ἆρα τρυφῆς; ἀλλ' οὐκ ἂν εἴποιμι τρυφῆς, ἀλλ' ἀνοίας· ἀλλ' οὐδὲ τοῦτο, ἀλλὰ μανίας, μᾶλλον δὲ καὶ μανίας χεῖρον. οἶδα ὅτι πολλοί με κωμῳδοῦσιν ἐπὶ τούτῳ, ἀλλ' οὐκ ἐπιστρέφομαι. μόνον γενέσθω τι πλέον. ὄντως ἀνοήτους ποιεῖ τὸ πλουτεῖν, καὶ μαινομένους. εἰ τοσαύτη ἦν ἡ περιουσία, ἐβουλήθησαν ἂν καὶ τὴν γῆν εἶναι χρυσῆν καὶ τοίχους χρυσοῦς, τάχα καὶ τὸν οὐρανὸν καὶ τὸν ἀέρα ἀπὸ χρυσοῦ. τίς ἡ μανία; τίς ἡ παρανομία; τίς ὁ πυρετός; ἕτερος τῷ κρυμῷ διαφθείρεται ὁ κατ' εἰκόνα Θεοῦ, σὺ δὲ τοιαῦτα κατασκευάζεις; ὢ τοῦ τύφου. τί ἂν πλέον μαινόμενος ἐποίησε; τὰ ἀποπατήματα οὕτω τιμᾷς, ὥστε ἀργύρῳ ὑποδέχεσθαι; οἶδα ὅτι ναρκᾶτε ἀκούοντες, ἀλλ' αἱ ποιοῦσαι ναρκᾶν ὀφείλουσι, καὶ οἱ τοῖς τοιούτοις νοσήμασιν ἄνδρες ὑπηρετούμενοι. ἀκολασία γάρ ἐστι, καὶ ὠμότης, καὶ ἀπανθρωπία, καὶ θηριωδία, καὶ ἀσέλγεια τοῦτο. ποία σκύλλα, ποία χίμαιρα, ποῖος δράκων, μᾶλλον δὲ ποῖος δαίμων, ποῖος διάβολος ταῦτα ἂν ἐποίησε; τί τοῦ Χριστοῦ ὄφελος, τί δὲ τῆς πίστεως ὄφελος, ὅταν ἀνθρώπων ἀνέχηταί τις ἑλλήνων, μᾶλλον δὲ οὐχ ἑλλήνων, ἀλλὰ δαιμόνων; εἰ χρυσῷ καὶ μαργαρίταις τὴν κεφαλὴν κοσμεῖν οὐ δεῖ, ὁ τῷ ἀργύρῳ εἰς ἀκάθαρτον οὕτως ὑπηρεσίαν κεχρημένος, ποίας συγγνώμης τεύξεται; οὐκ ἀρκεῖ τὰ λοιπά; καίτοιγε οὐδὲ ἐκεῖνα ἀνεκτά, καθέδραι, καὶ ὑποπόδια ἐξ ἀργύρου πάντα. καίτοι καὶ ταῦτα ἀνοίας· ἀλλὰ πανταχοῦ ὁ τῦφος ὁ περιττός, πανταχοῦ ἡ κενοδοξία· οὐδαμοῦ τῆς χρείας, ἀλλὰ πανταχοῦ τῶν περιττῶν. ἐγὼ δέδοικα μὴ ὑπὸ τῆς μανίας ταύτης προβαίνοι τὸ γυναι-

κεῖον

κ. λεγομένοις

κ. ἐπισύραντος

Εἰπὲ γάρ μοι· εἰ σε φίλον ἔχοντα πάντες ἐτίμων, ὡμολόγουν δέ σε μηδενὸς ἄξιον εἶναι, ἀναγκάζεσθαι δὲ δι' ἐκεῖνον τιμᾶν, ἦν ὅπως ἄν σε ἑτέρως ἠτίμασαν; ὥστε ἀτιμίας αἴτιος ὁ πλοῦτος ἡμῖν, αὐτῶν τῶν κεκτημένων τιμιώτερος ὤν, καὶ ἀσθενείας, ἢ δυναστείας τεκμήριον. πῶς οὖν οὐκ ἄτοπον γῆς καὶ σποδοῦ (τοῦτο γὰρ ὁ χρυσός) μὴ νομίζεσθαι ἡμᾶς ἀξίους εἶναι, ἀλλ' ἡμᾶς δι' ἐκεῖνον τιμᾶσθαι; εἰκότως. ἀλλ' οὐχ ὁ τοῦ πλούτου καταφρονῶν, οὕτω. κρεῖττον γὰρ μὴ τιμᾶσθαι, ἢ οὕτω τιμᾶσθαι. Εἰπὲ γάρ μοι· εἴ τις εἴποι σοι, ὅτι σε οὐδεμιᾶς ἡγοῦμαι ἄξιον τιμῆς, διὰ δὲ τὸν οἰκέτην σου τιμῶ σε, ἆρα τί ταύτης τῆς ἀτιμίας γένοιτο ἂν χεῖρον; εἰ δὲ τὸ δι' οἰκέτας τιμᾶσθαι αἰσχρὸν τοὺς τῆς αὐτῆς ψυχῆς ἡμῖν κοινωνοῦντας καὶ φύσεως, πολλῷ μᾶλλον * διὰ τούτων, ἅπερ ἐστὶν εὐτελέστερα, τοίχους λέγω οἰκιῶν, καὶ αὐλάς, καὶ σκεύη χρυσᾶ, καὶ ἱμάτια. γέλως ὄντως καὶ αἰσχύνη ταῦτα. βέλτιον ἀποθανεῖν, ἢ οὕτω τιμηθῆναι. Εἰπὲ γάρ μοι, εἴ τις σε κινδυνεύοντα ἐν τῷ τύφῳ τούτῳ εὐτελὴς καὶ κατάπτυστος ἐξελέσθαι ἠθέλησε τοῦ κινδύνου, τί ἂν τούτου χεῖρον ἦν; ὅπερ δὲ περὶ τῆς πόλεως πρὸς ἀλλήλους λέγετε, βούλομαι πρὸς ὑμᾶς εἰπεῖν. προσέκρουσέ ποτε κρατοῦντι ἡ πόλις ἡ ἡμετέρα, καὶ πᾶσαν αὐτὴν ἐκέλευσεν ἄρδην ἀπολέσθαι μετ' ἀνδρῶν καὶ παίδων καὶ οἰκημάτων. τοιοῦτοι γὰρ οἱ θυμοὶ οἱ βασιλικοί· τῇ ἐξουσίᾳ ὅσον ἂν θέλωσι, χαρίζονται. τοιοῦτον ἡ ἐξουσία κακόν. ἦν οὖν ἐν κινδύνοις τοῖς ἐσχάτοις. ἡ γείτων πόλις, αὕτη ἡ ἐπιθαλάσσιος, ἐλθοῦσα παρεκάλεσε τὸν βασιλέα ὑπὲρ ἡμῶν. οἱ δὲ τὴν πόλιν οἰκοῦντες τὴν ἡμετέραν ἔλεγον τοῦτο χεῖρον εἶναι τοῦ κατασκαφῆναι τὴν πόλιν. οὕτω τοῦ ἀτιμασθῆναι τὸ οὕτω τιμᾶσθαι χεῖρόν ἐστιν. ὅρα γὰρ πόθεν ἔχει τὴν ῥίζαν ἡ τιμή. μαγείρων χεῖρες ποιοῦσιν ἡμᾶς τιμᾶσθαι, ὥστε ἐκείνοις ὀφείλομεν χάριν ἔχειν, καὶ σιτοποιοῖς παρέχουσι πλουσίαν τὴν τράπεζαν, καὶ ὑφάνταις, καὶ ὑελοῖς, καὶ οἱ μέταλλα ἐργαζόμενοι, καὶ πλακουντοποιοί, καὶ τραπεζοποιοί. τοῦ τοίνυν τούτοις εἰδέναι χάριν τῆς τιμῆς οὐ βέλτιον τὸ μὴ τιμᾶσθαι; καὶ χωρὶς δὲ τούτου, ὅτι ἀτιμίας γέμει τὸ πλουτεῖν, ἐγὼ σαφῶς ἀποδεῖξαι πειράσομαι. τὴν ψυχὴν αἰσχρὰν ἐργάζεται. τί δὲ τούτου ἀτιμότερον; Εἰπὲ γάρ μοι· εἰ τὸ σῶμα ὡραῖον ἦν, καὶ πάντας ἐνίκα τῷ κάλλει, ὁ δὲ πλοῦτος προσελθὼν ἐπηγγέλλετο ποιήσειν αἰσχρόν, καὶ ἀντὶ μὲν ὑγιοῦς νοσῶδες, ἀντὶ δὲ κατεσταλμένου φλεγμαῖνον, καὶ πάντα τὰ μέλη ὑδέρου πληρώσας ἐξώγκωσε μὲν τὴν ὄψιν καὶ πάντοθεν ἐποίησεν οἰδαίνειν, ἐξώγκωσε δὲ πόδας καὶ τὴν δεξιὰν βαρυτέρους ἐποίησεν, ἐξώγκωσε δὲ γαστέρα καὶ παντὸς πίθου μείζονα εἰργάσατο, καὶ μετὰ τοῦτο οὐδὲ τοῖς βουλομένοις θεραπεύειν ἐπέτελλεν συγχωρήσειν (τοῦτο γὰρ ἡ ἐξουσία) ἀλλὰ τοσαύτην δώσειν ἐλευθερίαν, ὥστε ἄν τις προσιὼν ἀπάγοι τῶν βλαπτόντων κωλύσειν αὐτόν, ἆρα ἦν ἄν τι τούτου ὠμότερον, εἰπέ μοι; οὐκοῦν τὸ πλουτεῖν, ὅταν τὴν ψυχὴν ταῦτα ἐργάζηται, πῶς ἂν εἴη καλόν; ἀλλ' ἡ ἐξουσία αὐτῆς τῆς νόσου χαλεπωτέρα. τὸ γὰρ νοσοῦντα μηδὲ τοῖς ἰατροῖς πείθεσθαι, τοῦ νοσεῖν χαλεπώτερον· ὅπερ ὁ πλοῦτος ἔχει, πανταχόθεν φλεγμαίνειν ποιῶν τὴν ψυχήν, καὶ τὴν ἰατρείαν προσιέναι κωλύων. ὥστε διὰ τὴν ἐξουσίαν μὴ μακαρίζωμεν τούτους, ἀλλ' ἐλεῶμεν. οὐδὲ γὰρ ὑδερικὸν ἰδὼν κατακείμενον, καὶ μηδένα κωλύοντα ἐμφορεῖσθαι πομάτων, ὅσωνπερ ἤθελε, καὶ κρεῶν τῶν βλαπτόντων, ἐμακάρισας ἂν αὐτὸν διὰ τὴν ἐξουσίαν. οὐ γὰρ πανταχοῦ ἡ ἐξουσία καλόν, ὥσπερ οὖν οὐδὲ αἱ τιμαί. καὶ γὰρ καὶ αὗται φρονήματος πληροῦσι πολλοῦ. εἰ δὲ τὸ σῶμα οὐκ ἂν εἵλου μετὰ πλούτου ταύτην δέξασθαι τὴν νόσον, πῶς τὴν ψυχὴν περιορᾷς οὐχὶ τοῦτο μόνον, ἀλλὰ καὶ ἑτέραν κόλασιν δεχομένην; καὶ γὰρ πυρετοῖς πάντοθεν φλέγεται, καὶ φλεγμοναῖς, καὶ τοὺς πυρετοὺς ἐκείνους οὐδεὶς σβέσαι δύναται. οὐ γὰρ ἀφίησιν ὁ πλοῦτος, ἅπερ ἐστὶν ἐλαττώματα, ταῦτα πείσας εἶναι πλεονεκτήματα· οἷον, τὸ μηδενὸς ἀνέχεσθαι, καὶ ἐξουσίᾳ πάντα ποιεῖν. οὐ γὰρ εὑρήσει τις ἄλλην ψυχὴν τοσούτων γέμουσαν ἐπιθυμιῶν καὶ οὕτως ἀτόπων, ὡς τὰς τῶν βουλομένων πλουτεῖν. πόσας γὰρ λῃρῳδίας οὐχ ὑπογράφουσιν ἑαυτοῖς;

οἱ

κ. -χώρει

κ. συνέχεται

ἴσ. ποιοῦσι

μέχρι γὰρ αὕτη κέκρυπται, ἕως ἂν ᾖ ἐν τῷ ἑτέρῳ. αὐτὸ οὖν ὑποζευξώμεθα, μὴ ἀλγῶμεν, ἐπειδὴ τοιοῦτο πάσχωμεν. οὐ γάρ ἐστιν ἡμῶν ζωὴ αὕτη ἡ ζωή. ξένοι καὶ παρεπίδημοί ἐσμεν. ἀπεθάνετε γάρ, φησί. τίς οὕτως ἀνόητος, ὡς τῷ νεκρῷ σώματι, τὸν τάφον ἢ οἰκίαν ἀγοράζειν, ἢ οἰκίας οἰκοδομεῖν, ἢ ἱμάτια κατασκευάζειν πολυτελῆ; οὐδείς. μὴ τοίνυν μηδὲ ὑμεῖς. ἀλλ᾽ ὥσπερ ἐν μόνοι ζητοῦμεν, ὥστε μὴ γεγυμνῶσθαι, οὕτω καὶ ἐνταῦθα ἐν μόνοι ζητῶμεν. ἐτάφη ἡμῶν ὁ πρότερος ἄνθρωπος· ἐτάφη οὐκ ἐν γῇ, ἀλλ᾽ ἐν ὕδατι, οὐ τοῦ θανάτου αὐτὸν καταλύοντος, ἀλλὰ τοῦ τὸν θάνατον καταλύσαντος θάψαντος αὐτὸν οὐ φύσεως νόμῳ, ἀλλὰ τῷ τῆς φύσεως ἰσχυροτέρῳ προστάγματι τῆς δεσποτείας. τὰ μὲν γὰρ ἀπὸ φύσεως γινόμενα καὶ ἀνάλυσιν ἔχει τινά, τὰ δὲ ἀπὸ τοῦ προστάγματος αὐτοῦ, οὐκ ἔτι. οὐδὲν ταύτης μακαριώτερον τῆς ταφῆς, ἐφ᾽ ᾗ πάντες χαίρουσι καὶ ἄγγελοι, καὶ ἄνθρωποι, καὶ ὁ τῶν ἀγγέλων δεσπότης. ταύτῃ τῇ ταφῇ οὐχ ἱματίων, οὐ λάρνακος, οὐκ ἄλλου τῶν τοιούτων οὐδενὸς χρεία. βούλει δὲ σύμβολον ἰδεῖν; δείξω σοι κολυμβήθραν, ἐν ᾗ ὁ μὲν ἐτάφη, ὁ δὲ ἀνέστη. ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ κατεποντίσθησαν Αἰγύπτιοι, ἀνῆλθον δὲ Ἰσραηλῖται· καὶ τὸ αὐτὸ πρᾶγμα τὸν μὲν θάπτει, τὸν δὲ γεννᾷ. μὴ θαυμάσῃς, εἰ γένεσις καὶ φθορὰ γίνεται ἐν τῷ βαπτίσματι. ἐπεί, εἰπέ μοι, τὸ λύειν τῷ συγκολλᾷν οὐκ ἐναντίον; παντί τῳ δῆλον. τοῦτο τὸ πῦρ ποιεῖ. κέραμον μὲν γὰρ διαλύει καὶ ἀπόλλυσι, χρυσὸν δὲ μεταλλικὸν συγκολλᾷ καὶ χρυσὸν ἐργάζεται. οὕτω δὴ καὶ ἐνταῦθα τοὺς κεραμέους ἀνδριάντας ἀφανίσασα ἡ τοῦ πυρὸς δύναμις, ἔδειξε χρυσοῦν ἀντ᾽ ἐκείνου. πήλινοι γὰρ ὄντως ἦμεν πρὸ τοῦ λουτροῦ, χρυσοῖ δὲ μετὰ τοῦτο. πόθεν δῆλον; ἄκουσον αὐτοῦ λέγοντος· Ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός, ὁ δεύτερος ἄνθρωπος ὁ Κύριος ἐξ οὐρανοῦ. α. Κορ. ιε μζ. ἐγὼ μὲν ὅσον πηλίνου πρὸς χρυσὸν τὸ μέσον εἶπον, εὑρίσκω δὲ μείζονα διαφορὰν οὐρανίου καὶ γηΐνου. οὐ τοσοῦτον δὲ πηλίνου καὶ χρυσοῦ τὸ μέσον, ὅσον τῶν γηΐνων καὶ τῶν οὐρανίων. κέραμοι ἦμεν, καὶ πήλινοι. καὶ γὰρ ἡ τῆς ἐπιθυμίας ἡμᾶς ἔπηξε φλὸξ πολλῷ μᾶλλον, ἢ τὸν κέραμον τὸ πῦρ· καὶ ὁ τυχὼν ἡμᾶς συνέκλα πειρασμὸς πολλῷ μᾶλλον, ἢ τοὺς πηλίνους ὁ λίθος. καί, εἰ βούλεσθε, ὑπογράψωμεν τὸν παρόντα βίον, εἰ μὴ πάντα ἐστὶ γῆ καὶ ὕδωρ, καὶ τὸ βέλτιστον ἔχοντα, καὶ τὸν κονιορτόν, καὶ τὸ ἄστατον καὶ διαρρέον. καί, εἰ βούλεσθε, μὴ τὰ παρόντα, ἀλλὰ τὰ προὔχοντα ἐξετάσωμεν, εἰ μὴ κονιορτὸν καὶ ὕδωρ εὑρήσομεν πάντα τὰ ὄντα. τί γὰρ βούλεσθε; τὰς ἀρχὰς καὶ τὰς δυναστείας; τούτου γὰρ οὐδὲν δοκεῖ ζηλωτότερον εἶναι ἐν τῷ παρόντι βίῳ. ἀλλὰ τὸν κονιορτὸν εὕροις ἂν μᾶλλον ἐπὶ τοῦ ἀέρος ἱστάμενον, ἢ ταῦτα, μάλιστα νῦν. τίνι γὰρ οὐχ ὑπόκειται; τοῖς ἐρῶσιν αὐτῶν, τοῖς εὐνούχοις, τοῖς τῶν χρημάτων ἕνεκεν ἅπαντα πράττουσι, θυμῷ δήμου, ὀργαῖς τῶν δυνατωτέρων. ὁ χθὲς ἐπὶ τοῦ βήματος ὑψηλός, ὁ κήρυκας ἔχων λαμπρᾷ τῇ φωνῇ βοῶντας, καὶ πολλοὺς τοὺς προτρέχοντας καὶ σοβοῦντας κατὰ τὴν ἀγοράν, σήμερον εὐτελὴς καὶ ταπεινὸς καὶ πάντων ἐκείνων ἔρημος καὶ γυμνός, καθάπερ κονιορτὸς ἀναρριπισθείς, καθάπερ ῥεῦμα παρελθόν. καθάπερ δὲ ἡ κόνις ἀπὸ τῶν ποδῶν ἐγείρεται τῶν ἡμετέρων, οὕτω δὴ καὶ αἱ ἀρχαὶ ἀπὸ τούτων τίκτονται τῶν περὶ τὰ χρήματα στρεφομένων, καὶ ποδῶν τάξιν ἐχόντων ἐν παντὶ τῷ βίῳ. καὶ καθάπερ ἡ κόνις, ὅταν μὲν αἴρηται, πολὺ μέρος κατέχει τοῦ ἀέρος, αὐτὴ δέ ἐστιν ὀλίγη, οὕτω καὶ ἡ ἀρχή. καὶ καθάπερ ἡ κόνις τυφλοῖ τοὺς ὀφθαλμούς, οὕτω καὶ τῆς ἀρχῆς ὁ τῦφος πηροῖ τοὺς ὀφθαλμοὺς τῆς διανοίας. ἀλλὰ τί; βούλει δὲ τὸ πολύευκτον πρᾶγμα ἐξετάσωμεν, τὸν πλοῦτον; φέρε κατὰ μέρος αὐτὸν ἐξετάσωμεν. ἔχει τρυφήν, ἔχει τιμάς, ἔχει δὲ δυναστείαν. πρότερον οὖν, εἰ βούλει, τὴν τρυφὴν ἐξετάσωμεν. οὐχὶ κονιορτός ἐστι*; μᾶλλον δὲ καὶ τούτου ταχύτερον παρατρέχει; μέχρι γὰρ τῆς γλώττης ἡ ἡδονὴ τῆς τρυφῆς. ὅταν δὲ ἐμπλησθῇ ἡ γαστήρ, οὐδὲ μέχρι τῆς γλώττης. ἀλλ᾽ αὗται αἱ τιμαί, πρᾶγμα ἡδύ, φησί. καὶ τί τῆς τιμῆς ἐκείνης ἀηδέστερον, ὅταν διὰ χρείαν γίνηται χρημάτων; ὅταν μὴ ἐκ προαιρέσεως, μηδὲ ἀπὸ προθυμίας τινός, οὐ σὺ καρποῦσαι τὴν τιμήν, ἀλλ᾽ ὁ πλοῦτος. ὥστε μάλιστα πάντων ἄτιμον ποιεῖ τὸν πλουτοῦντα τοῦτο αὐτό.

γρ. ἰδῶμεν

* αὐτῆς γρ. παρέρχεται;

ὡς ζῶντες ἐν κόσμῳ δογματίζεσθε τοῖς στοιχείοις; ἀλλὰ τοῦτο ἀφείς, τί φησι;

21 Μὴ ἅψῃ, μηδὲ γεύσῃ, μηδὲ θίγῃς·

22 Ἅ ἐστι πάντα εἰς φθορὰν τῇ ἀποχρήσει, κατὰ τὰ ἐντάλματα καὶ διδασκαλίας τῶν ἀνθρώπων. Οὐκ ἐστὲ ἐν τῷ κόσμῳ, φησί· καὶ πῶς τοῖς στοιχείοις ὑπόκεισθε; πῶς ταῖς τοῦ κόσμου παρατηρήσεσι; καὶ ὅρα πῶς αὐτῶν [κω]μῳδεῖ, μὴ θίγῃς, μὴ ἅψῃ, μὴ γεύσῃ, ὡς μεγάλων τινῶν ἀπεχομένους. ἅ ἐστι πάντα εἰς φθορὰν τῇ ἀποχρήσει. καθεῖλε τῶν πολλῶν τὴν φυσίωσιν, καὶ ἐπήγαγε· κατὰ τὰ ἐντάλματα καὶ διδασκαλίας τῶν ἀνθρώπων. τί λέγεις; καὶ τὸν νόμον εἴπῃς, λοιπὸν διδασκαλία ἐστὶν ἀνθρώπου μετὰ τὸν καιρόν. ἢ ὅτι παρεποίουν αὐτὸν οὕτως εἶπεν, ἢ τὰ τῶν ἑλλήνων αἰνίττεται. ὅλον ἀνθρώπινον τὸ δόγμα ἐστί, φησιν.

23 Ἅτινά ἐστι λόγον μὲν ἔχοντα σοφίας ἐν ἐθελοθρησκείᾳ καὶ ταπεινοφροσύνῃ καὶ ἀφειδίᾳ σώματος, οὐκ ἐν τιμῇ τινι πρὸς πλησμονὴν τῆς σαρκός. Λόγον, φησί, οὐ δύναμιν· ἄρα οὐκ ἀλήθειαν. ὥστε κἂν λόγον ἔχῃ σοφίας, ἀποστρεφώμεθα. δοκεῖ γὰρ εὐλαβής τις εἶναι καὶ μέτριος καὶ τοῦ σώματος καταφρονεῖν· οὐκ ἔστι δέ. οὐκ ἐν τιμῇ τινι πρὸς πλησμονὴν τῆς σαρκός. ὁ Θεὸς γὰρ τιμὴν ἔδωκεν, αὐτοὶ δὲ οὐκ ἐν τιμῇ κέχρηνται. οὕτως ὅταν δόγμα ᾖ, οἶδεν αὐτὸ τιμὴν καλεῖν. ἀτιμάζουσι τὴν σάρκα, φησίν, ἀποστεροῦντες αὐτὴν, καὶ τὴν ἐξουσίαν ἀφαιρούμενοι, οὐχ ἑκόντας κρατεῖν συγχωροῦντες. ὁ Θεὸς τὴν σάρκα ἐτίμησεν.

κεφ. γ. 1 Εἰ οὖν συνηγέρθητε τῷ Χριστῷ. Συνάγει αὐτῶν λοιπὸν ἄνω κατασκευάσας ὅτι ἀπέθανε. διὰ τοῦτό φησιν, Εἰ οὖν συνηγέρθητε τῷ Χριστῷ, τὰ ἄνω ζητεῖτε. οὐκ ἔστιν ἐκεῖ παρατήρησις. Τὰ ἄνω ζητεῖτε, οὗ ὁ Χριστός ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος. Βαβαί, ποῦ τὸν νοῦν ἀνήγαγε τὸν ἡμέτερον; πῶς φρονήματος αὐτοὺς ἐπλήρωσε μεγάλου; οὐκ ἤρκει τὰ ἄνω εἰπεῖν, οὐδὲ οὗ ὁ Χριστός ἐστιν, ἀλλὰ προστίθησιν, ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος. ἐκεῖθεν λοιπὸν οὐ τὴν γῆν ὁρᾶν παρεσκεύαζε.

2 Τὰ ἄνω φρονεῖτε, μὴ τὰ ἐπὶ τῆς γῆς.

3 Ἀπεθάνετε γάρ, καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ.

4 Ὅταν ὁ Χριστὸς φανερωθῇ, ἡ ζωὴ ὑμῶν, τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ. Οὐκ ἔστιν αὕτη, φησίν, ἡ ζωὴ ὑμῶν· ἡ ὑμετέρα ζωὴ ἑτέρα τίς ἐστιν. ἤδη βιάζεται μεταστῆσαι αὐτούς, καὶ φιλονεικεῖ δεῖξαι καθημένους ἄνω, καὶ νεκροὺς ὄντας, ἐξ ἑκατέρων κατασκευάζων μὴ ζητεῖν τὰ ἐνταῦθα. εἴτε γὰρ νεκροί ἐστε, οὐκ ὀφείλετε ζητεῖν· εἴτε ἄνω ἐστέ, οὐκ ὀφείλετε ζητεῖν. μὴ φαίνεται ὁ Χριστός· οὐκοῦν οὐδὲ ἡ ζωὴ ὑμῶν. ἐν τῷ Θεῷ ἄνω ἐστί. τί οὖν; πότε ζησόμεθα; ὅταν ὁ Χριστὸς φανερωθῇ, ἡ ζωὴ ὑμῶν, τότε τὴν δόξαν ζητεῖτε, τότε τὴν ζωήν, τότε τὴν τρυφήν. ταῦτα πάντα κατασκευαστικὰ τοῦ τῆς τρυφῆς αὐτοὺς ἀπαγαγεῖν καὶ τῆς αἱρέσεως. τοιοῦτον ἔθος αὐτῷ ἄλλα κατασκευάζοντι εἰς ἄλλα μεταπηδᾶν· οἷον, ὥσπερ περὶ τῶν παραλαμβανόντων εἰς τὰ δεῖπνα διαλεγόμενος, ἐνέπεσεν ἀθρόον εἰς τὴν τῶν μυστηρίων παρατήρησιν. μέγα γὰρ ἔχει ἔλεγχος, ὅταν αὐτοπτῶς α. Κορ. ια, κα. γίνηται. κέκρυπται, φησίν, ἀφ' ὑμῶν. τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε· ὥστε νῦν οὐ φαίνεσθε. ὅρα πῶς αὐτοὺς εἰς αὐτὸν τὸν οὐρανὸν μετέστησεν. ὅπερ γὰρ ἔφην, ἀεὶ φιλονεικεῖ δεῖξαι τὰ αὐτὰ ἔχοντας ἅπερ καὶ ὁ Χριστός, καὶ διὰ πασῶν αὐτοῦ τῶν ἐπιστολῶν τοῦτο ὁ λόγος ἐν πᾶσι κοινωνοῦντας αὐτῷ δεῖξαι. διὰ τοῦτο καὶ κεφαλήν, καὶ σῶμα λέγει, καὶ πάντα ποιεῖ, ἵνα τοῦτο παραστήσῃ.

ΗΘΙΚΟΝ

Εἰ τοίνυν τότε φανερούμεθα, μὴ ἀλγῶμεν, ὅταν τιμῆς μὴ ἀπολαύωμεν. εἰ μή ἐστιν αὕτη ἡ ζωή, ζωή, ἀλλὰ κέκρυπται, ὡς νεκροὶ ζῆν ὀφείλομεν ταύτην τὴν ζωήν. τότε καὶ ὑμεῖς, φησί, σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ. ἐν δόξῃ εἶπεν, οὐχ ἁπλῶς *. ἐπεὶ καὶ ὁ

μαργαρίτης

γρ. ἑκόντας

γρ. δόξα

γρ. μέγαν γρ. ἔλεγχον.

* ἀλλ' ἐμφατικῶς.

Πρότερον αἰνιγματωδῶς εἰπών, Βλέπετε μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων, καὶ πάλιν ἀνωτέρω, Τοῦτο δὲ λέγω, ἵνα μή τις ὑμᾶς παραλογίζηται ἐν πιθανολογίᾳ, καὶ προκαταλαβὼν τὴν ψυχὴν καὶ μεμεριμνημένην ἐργασάμενος, εἶτα παρενθεὶς τὰς εὐεργεσίας, καὶ μειζόνως τοῦτο ποιήσας, τότε ἐπάγει τοὺς ἐλέγχους ὕστερον, καί φησι· Μὴ οὖν τις ὑμᾶς κρινέτω ἐν βρώσει, ἢ ἐν πόσει, ἢ ἐν μέρει ἑορτῆς, ἢ νεομηνίας, ἢ σαββάτων. Ὁρᾷς πῶς αὐτὰ καθαιρεῖ; Εἰ τοιούτων τετυχήκατε, φησί, τί τοῖς μικροῖς ὑπευθύνους ἑαυτοὺς ποιεῖτε; καὶ ἐξευτελίζει λέγων, Ἢ ἐν μέρει ἑορτῆς. Οὐ γὰρ δὴ πάντα κατεῖχον τὰ πρότερα. Ἢ νουμηνίας, ἢ σαββάτων. Οὐκ εἶπε, μὴ τοίνυν φυλάττετε, ἀλλά, μή τις ὑμᾶς κρινέτω. Ἔδειξεν αὐτοὺς παραβαίνοντας καὶ λύοντας, ἐφ' ἑτέρους δὲ τὸ ἔγκλημα ἤνεγκε. Μὴ ἀνέχεσθε τῶν κρινόντων, φησίν. Ἀλλ' οὐδὲ τοῦτο· ἀλλ' ἐκείνοις διαλέγεται μόνον, οὐχὶ ἐπιστομίζων αὐτούς, ὅτι οὐκ ὀφείλετε ἀνακρίνειν. Ἀλλ' οὐκ ἂν τούτων καθήψατο. Οὐκ εἶπεν, ἐν καθαροῖς καὶ ἀκαθάρτοις, οὐδὲ εἶπεν, ἐν σκηνοπηγίαις, καὶ ἀζύμοις, καὶ πεντηκοστῇ, ἀλλ', ἐν μέρει ἑορτῆς. Οὐ γὰρ ἐτόλμων τὸ πᾶν φυλάττειν· καὶ εἰ ἐφύλαττον, οὐχ ὥστε ἑορτάζειν. Ἐν μέρει, φησί· δεικνὺς ὅτι τὸ πλέον λέλυται. Εἰ γὰρ καὶ ἐσαββάτιζον, ἀλλ' οὐκ ἀκριβῶς. Ἅ ἐστι σκιὰ τῶν μελλόντων, τῆς καινῆς, φησί, διαθήκης. Τὸ δὲ σῶμα Χριστοῦ. Τινὲς μὲν οὖν τοῦτο στίζουσι, Τὸ δὲ σῶμα, Χριστοῦ· ἡ δὲ ἀλήθεια ἐπὶ Χριστοῦ γέγονεν· τινὲς δέ, Τὸ δὲ σῶμα Χριστοῦ μηδεὶς ὑμᾶς καταβραβευέτω, τουτέστιν, ἐπηρεαζέτω. Καταβραβεύεσθαι γάρ ἐστιν, ὅταν παρ' ἑτέρου μὲν ἡ νίκη ᾖ, παρ' ἑτέρου δὲ τὸ βραβεῖον, ὅταν ἐπηρεάζῃ νικήσαντα. Ἄνωθεν ἐνίκας τοῦ διαβόλου καὶ τῆς ἁμαρτίας· τί πάλιν ὑποτάσσεις σαυτὸν τῇ ἁμαρτίᾳ; Διὰ τοῦτο ἔλεγεν, ὅτι Ὀφειλέτης ἐστὶν ὅλον τὸν νόμον πληρῶσαι· καὶ πάλιν, Εὑρέθη Χριστὸς ἁμαρτίας διάκονος, ὃ ἐν τῇ πρὸς Γαλάτας γράφων ἔλεγεν. Ὅτι τοίνυν αὐτοὺς ἐνέπλησε θυμοῦ διὰ τοῦ εἰπεῖν, καταβραβευέτω, τί φησι; Θέλων, φησίν, ἐν ταπεινοφροσύνῃ καὶ θρησκείᾳ τῶν ἀγγέλων, ἃ μὴ ἑώρακεν ἐμβατεύων, εἰκῆ φυσιούμενος ὑπὸ τοῦ νοὸς τῆς σαρκὸς αὐτοῦ. Πῶς ἐν ταπεινοφροσύνῃ; ἢ πῶς φυσιούμενος; δείκνυσι κενοδοξίας ὂν τὸ πᾶν. Τί δὲ ὅλως ἐστὶ τὸ λεγόμενον; Ἦσάν τινες οἱ λέγοντες, οὐ δεῖ ἡμᾶς διὰ τοῦ Χριστοῦ προσάγεσθαι, ἀλλὰ διὰ τῶν ἀγγέλων. Ἐκεῖνο γὰρ μεῖζόν ἐστιν, ἢ καθ' ἡμᾶς. Διὰ τοῦτο ἄνω καὶ κάτω στρέφει τὰ ὑπὲρ τοῦ Χριστοῦ λεχθέντα αὐτῷ, Διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ κατηλλάγημεν, Ὅτι ὑπὲρ ἡμῶν ἔπαθεν, Ὅτι ἠγάπησεν ἡμᾶς. Καὶ ἐν αὐτῷ δὲ τούτῳ ἐπιμένει πάλιν. Καὶ οὐκ εἶπε προσαγωγήν, ἀλλὰ θρησκείαν. Ἃ μὴ ἑώρακεν, ἐμβατεύων. Οὐ γὰρ εἶδεν ἀγγέλους, καὶ οὕτω διάκειται ὡς ἰδών. Διὰ τοῦτό φησι, Φυσιούμενος ὑπὸ τοῦ νοὸς τῆς σαρκὸς αὐτοῦ εἰκῆ. Οὐδὲ γὰρ ἐπί τινι ἀληθεῖ πράγματι, ἐπὶ τῷ δόγματι πεφύσηται. Καὶ περιβάλλεται ταπεινοφροσύνης σχῆμα· ὥσπερ ἔλεγε, σαρκικῆς διανοίας, οὐ πνευματικῆς, ἀνθρώπινος ὁ λογισμός. Καὶ οὐ κρατῶν τὴν κεφαλήν, φησιν, ἐξ οὗ πᾶν τὸ σῶμα, τουτέστιν, ἐκεῖθεν ἔχει τὸ εἶναι, καὶ τὸ καλῶς εἶναι. Τί τοίνυν τὴν κεφαλὴν ἀφεὶς, ἔχῃ τῶν μελῶν; ἐὰν ἐκεῖθεν ἐκπέσῃς, ἀπώλεσας. Ἐξ οὗ πᾶν τὸ σῶμα. Ὅστις ἂν ᾖ, φησιν, οὐ τὸ ζῆν, ἀλλὰ καὶ τὸ συντίθεσθαι ἐκεῖθεν αὐτῷ. Πᾶσα ἡ ἐκκλησία, ἕως ἂν ἔχῃ τὴν κεφαλήν, αὔξει. Ἐπεὶ οὐκέτι ἀπονοίας καὶ κενοδοξίας τὸ πάθος, ἀνθρωπίνης ἐννοίας τὸ εὕρημα. Ἰδοὺ τό, ἐξ οὗ, ἐπὶ τοῦ υἱοῦ. Διὰ τῶν ἁφῶν καὶ συνδέσμων, φησίν, ἐπιχορηγούμενον καὶ συμβιβαζόμενον, αὔξει τὴν αὔξησιν τοῦ Θεοῦ. Τὴν κατὰ Θεόν, φησι, τὴν ἀπὸ τῆς πολιτείας τῆς ἀρίστης.

20 Εἰ οὖν ἀπεθάνετε σὺν Χριστῷ. Μέσον ἐκεῖνο τέθεικε, καὶ τὸ σφοδρότερον ἑκατέρωθεν. Εἰ ἀπεθάνετε σὺν Χριστῷ Ἀπὸ τῶν τοῦ κόσμου στοιχείων, φησί, τί ὡς ζῶντες ἐν κόσμῳ δογματίζεσθε; Οὐκ ἔχει ἀκολουθίαν. Ἔδει γὰρ εἰπεῖν, πῶς

Κολοσ. β. κ. δ.

κ. ἐπιστομίζων. κ. οὐ γὰρ ἂν οὗτοι καθήψατο.

ἴσ. ἐπηρεάσῃ.

Γαλ. ε. γ. καὶ β. ιζ.

ζωὴν αἰώνιον, ὡμολόγησεν ἑτέραν κτίσιν. ἔλαβε χοῦν ἀπὸ τῆς γῆς, καὶ ἔπλασε τὸν ἄνθρωπον· λοιπὸν δὲ οὐκέτι χοῦν, ἀλλὰ πνεῦμα ἅγιον. τοῦτο πλάττεται, τοῦτο ῥυθμίζεται, καθάπερ καὶ αὐτὸς ἐν τῇ μήτρᾳ τῆς παρθένου. οὐκ εἶπεν, ἐν παραδείσῳ, ἀλλ', ἐν οὐρανῷ. μὴ γὰρ, ἐπειδὴ γῆ ὑπόκειται, νομίσῃς εἶναι ἐν γῇ. μετέστη ἐκεῖ πρὸς τὸν οὐρανόν· ἐκεῖ ταῦτα γίνεται, μεταξὺ ἀγγέλων. ἄνω σου λαμβάνει τὴν ψυχὴν ὁ Θεὸς, ἄνω μεταρρυθμίζει, παρὰ τὸν θρόνον ἵστασαι τὸν βασιλικόν. πλάττεται ἐν τῷ ὕδατι, λαμβάνει δὲ ἀντίψυχον πνεῦμα. μετὰ δὲ τὸ πλασθῆναι οὐκ ἄγει πρὸς αὐτὸν θηρία, ἀλλὰ δαίμονας καὶ τὸν ἀρχηγὸν αὐτῶν, καὶ λέγει, Πατεῖτε ἐπάνω ὄφεων καὶ σκορπίων. οὐ λέγει, Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν, ἀλλὰ τί; Δίδωσιν αὐτοῖς υἱοῖς Θεοῦ γενέσθαι, οἳ οὐκ ἐξ αἱμάτων, ἀλλ' ἐκ Θεοῦ, φησὶν, ἐγεννήθησαν. εἶτα ἵνα μὴ τοῦ ὄφεως ἀκούσῃς, εὐθέως διδάσκει λέγειν, ἀποτασσόμεθά σοι, ἀντὶ τοῦ, ὅπερ ἂν εἴπῃς, οὐκ ἀκουσόμεθά σου. εἶτα ἵνα μὴ δι' ἑτέρων σε ἕλῃ, φησὶ, καὶ τῇ πομπῇ σου, καὶ τῇ λατρείᾳ σου, καὶ τοῖς ἀγγέλοις σου. εἶτα αὐτὸν οὐκέτι φυλάσσειν τὸν παράδεισον, ἀλλὰ πολιτεύεσθαι ἐν οὐρανῷ. εὐθέως γὰρ ἀνελθὼν, ταῦτα φθέγγεται τὰ ῥήματα· Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς.. οὐκ ἔσω ὄψει πίπτει τὸ πρᾶγμα. οὐ ξύλον ὁρᾷς, οὐδὲ πηγὴν, ἀλλ' αὐτὸν εὐθέως παραλαμβάνεις τὸν δεσπότην, ἀνακεραννύσαι τῷ σώματι, ἀναφύρῃ τῷ σώματι τῷ ἄνω κειμένῳ, ἔνθα προσελθεῖν οὐκ ἔνι τῷ διαβόλῳ. οὐκ ἔστι γυνὴ, ἵνα προσέλθῃ, καὶ ὡς ἀσθενεστέραν ἀπατήσῃ. Οὐκ ἔστι γὰρ, φησὶ, θῆλυ, οὐδὲ ἄρσεν. ἂν μὴ σὺ κατέλθῃς πρὸς αὐτὸν, οὐ δυνήσεται ἐπιβῆναι ἔνθα εἶ. ἐν γὰρ τῷ οὐρανῷ εἶ, ὁ δὲ οὐρανὸς ἄβατος τῷ διαβόλῳ. οὐκ ἔχει ξύλον γνωστὸν καλοῦ καὶ πονηροῦ, ἀλλὰ τὸ ξύλον τῆς ζωῆς μόνον. οὐκέτι ἀπὸ τῆς πλευρᾶς σε γεννᾷ, ἀλλὰ πάντες ἐσμὲν ἀπὸ τῆς πλευρᾶς τοῦ Χριστοῦ. εἰ γὰρ οἱ ἠλειμμένοι ὑπὸ ἀνθρώπων οὐδὲν πάσχουσιν ὑπὸ ὄφεων, οὐδὲ σὺ πείσῃ τι, ἕως ἂν ᾖς ἠλειμμένος, ἵνα δυνηθῇς κατέχειν τὸν ὄφιν καὶ ἀποπνίγειν, πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων. ἀλλ' ὥσπερ μεγάλα τὰ δῶρα, οὕτω μεγάλη ἡμῖν καὶ ἡ τιμωρία. οὐκ ἔνι ἐκπεσόντα τοῦ παραδείσου ἀπέναντι οἰκῆσαι τοῦ παραδείσου, οὐδὲ ἐπανελθεῖν ὅθεν ἐξεπέσομεν. ἀλλὰ τί μετὰ ταῦτα; γέεννα, καὶ σκώληξ ἀτελεύτητος. ἀλλὰ μὴ γένοιτό τινα ἡμῶν ὑπεύθυνον γενέσθαι ταύτῃ τῇ τιμωρίᾳ· ἀλλ' ἐναρέτως ζῶντες σπουδάσωμεν τὰ αὐτῷ δοκοῦντα διαπράττεσθαι· εὐαρεστήσωμεν τῷ Θεῷ, ἵνα δυνηθῶμεν καὶ τῆς κολάσεως ἀπαλλαγῆναι, καὶ τῶν αἰωνίων ἀγαθῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λουκ. ι. ιθ. Γεν. α. κς. Ἰωάν. α. ιγ. Γαλ. γ. κη.

χ. ἴσασι χ. μετὰ χ. διδάσκει

Λόγ. ζ. 16 ΜΗ ΟΥΝ ΤΙΣ ΥΜΑΣ ΚΡΙΝΕΤΩ ΕΝ ΒΡΩΣΕΙ,
ἢ ἐν πόσει, ἢ ἐν μέρει ἑορτῆς, ἢ νουμηνίας, ἢ σαββάτων, 17 Ἅ ἐστι
σκιὰ τῶν μελλόντων, τὸ δὲ σῶμα Χριστοῦ· 18 Μηδεὶς ὑμᾶς κατα-
βραβευέτω θέλων ἐν ταπεινοφροσύνῃ, καὶ θρησκείᾳ τῶν ἀγγέλων, ἃ
μὴ ἑώρακεν ἐμβατεύων, εἰκῆ φυσιούμενος ὑπὸ τοῦ νοὸς τῆς σαρκὸς αὐτοῦ,
19 Καὶ οὐ κρατῶν τὴν κεφαλὴν, ἐξ οὗ πᾶν τὸ σῶμα διὰ τῶν ἁ-
φῶν καὶ συνδέσμων ἐπιχορηγούμενον καὶ συμβιβαζόμενον, αὔξει τὴν αὔ-
ξησιν τοῦ Θεοῦ.



Digitized by Google

καλῶς εἶπε τοῦτο. οὐδέποτε γὰρ οὕτως ὁ διάβολος ἐζημιώθη. προσδοκῶν γὰρ αὐτὸν ἔχειν, καὶ ὅσους εἶχεν ἀπώλεσε, καὶ τοῦ σώματος προσηλωμένου, οἱ νεκροὶ ἀνίσταντο. ἐκεῖ τὴν πληγὴν ἔλαβεν ὁ διάβολος, ὑπὸ σώματος νεκροῦ τὴν καιρίαν λαβών. καὶ καθάπερ ἀθλητὴς νομίζων τὸν ἀντίπαλον βεβληκέναι, καιρίαν αὐτὸς ὑπ' αὐτοῦ λαμβάνει πληγήν· οὕτω δὴ καὶ οὗτος δείκνυσιν, ὅτι τὸ μετὰ παρρησίας ἀποθανεῖν, ἀσχημοσύνη ἐστὶ τοῦ διαβόλου. πάντα γὰρ ἂν ἐποίησεν ἐκεῖνος, εἴγε ἠδύνατο, ὥστε πεῖσαι τοὺς ἀνθρώπους, ὅτι οὐκ ἀπέθανεν. ἐπειδὴ γὰρ τὸ μὲν ἀναστάσεως ὁ μετὰ ταῦτα πᾶς καιρὸς τεκμήριον ἦν, τοῦ δὲ θανάτου, εἰ μὴ ἐκεῖνος ἐγένετο, οὐκ ἂν ἐγένετο ἕτερος καιρός, διὰ τοῦτο ἀπέθανε μὲν δημοσίᾳ πάντων ὁρώντων, οὐκ ἀνέστη δὲ δημοσίᾳ, εἰδὼς τὸν μετὰ ταῦτα χρόνον μαρτυρήσοντα τῇ ἀληθείᾳ. τὸ γὰρ τοῦ κόσμου ὁρῶντος ἄνω ἐν τῷ ξύλῳ τὸν ὄφιν σφαγιασθῆναι, τοῦτό ἐστι τὸ θαυμαστόν. καὶ τί γὰρ οὐκ ἐποίησεν ὁ διάβολος, ὥστε λαθόντα αὐτὸν ἀποθανεῖν; ἄκουε τοῦ Πιλάτου λέγοντος· Λάβετε αὐτὸν ὑμεῖς, καὶ σταυρώσατε· ἐγὼ γὰρ οὐδεμίαν αἰτίαν ἐν αὐτῷ εὑρίσκω. καὶ * πάλιν Ἰουδαῖοι ἔλεγον αὐτῷ, Εἰ υἱὸς εἶ τοῦ Θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ. λοιπὸν οὖν ἐπειδὴ καιρίαν ἔλαβε, καὶ οὐ κατέβη, διὰ τοῦτο καὶ ταφῇ παρεδόθη. ἐπεὶ δυνατὸν ἦν εὐθέως ἀναστῆναι, ἀλλ' ἵνα πιστευθῇ τὸ πρᾶγμα. καίτοι ἐν μὲν ταῖς ἰδιωτικαῖς τελευταῖς ἔνεστιν ὀλιγοψυχίαν αἰτιάσασθαι· ἐνταῦθα δὲ οὐδὲ τοῦτο. καὶ γὰρ καὶ οἱ στρατιῶται οὐ κατέαξαν αὐτοῦ τὰ σκέλη, καθάπερ τῶν ἄλλων, ἵνα φανερωθῇ ὅτι τέθνηκε. καὶ φανεροί εἰσιν οἱ τὸ σῶμα θάψαντες. διὰ τοῦτο καὶ αὐτοὶ σφραγίζουσιν οἱ Ἰουδαῖοι τὸν λίθον μετὰ τῶν στρατιωτῶν. τὸ γὰρ μάλιστα πάντων σπουδαζόμενον τοῦτο ἦν, τὸ μὴ συσκιασθῆναι. καὶ οἱ μάρτυρες, παρὰ τῶν ἐχθρῶν, παρὰ τῶν Ἰουδαίων. ἄκουε αὐτῶν λεγόντων τῷ Πιλάτῳ· Εἶπεν ὁ πλάνος ἐκεῖνος ἔτι ζῶν, μετὰ τρεῖς ἡμέρας ἐγείρομαι. κέλευσον οὖν παρὰ τῶν στρατιωτῶν φυλαχθῆναι τὸν τάφον. κἀκείνων σφραγιζομένων τοῦτο ἐγένετο. ἄκουε δὲ αὐτῶν τοῦτο καὶ μετὰ ταῦτα λεγόντων τοῖς ἀποστόλοις, Βούλεσθε ἐπαγαγεῖν ἐφ' ὑμᾶς τὸ αἷμα τοῦ ἀνθρώπου τούτου. τὸν τρόπον αὐτοῦ τοῦ σταυροῦ οὐκ ἀφῆκεν ἀγνοεῖσθαι. ἐπειδὴ γὰρ οἱ ἄγγελοι οὐδὲν τοιοῦτον πεπόνθασι, διὰ τοῦτο ὑπὲρ τούτου πάντα ποιεῖ, δεικνὺς ὅτι μέγα κατώρθωσεν ὁ θάνατος. ὥσπερ γὰρ μονομάχιον γέγονεν. ἔπληξε τὸν Χριστὸν ὁ θάνατος· ἀλλ' ὁ Χριστὸς πληγεὶς, ὕστερον αὐτὸν ἀνεῖλε. νεκρῷ σώματι κατελύετο ὁ δοκῶν ἀθάνατος εἶναι, καὶ τοῦτο ἡ οἰκουμένη ἑώρα. καὶ τὸ δὴ θαυμαστὸν, οὐκ ἐπίστευσεν ἑτέρῳ τοῦτο. ἀλλὰ γέγονεν ἕτερον χειρόγραφον πάλιν, οὐ τοιοῦτον, οἷον τὸ πρότερον. ὁρᾶτε οὖν μὴ τούτῳ ἁλῶμεν, μετὰ τὸ εἰπεῖν ἀποτασσόμεθά σοι Σατανᾶ, καὶ συντασσόμεθά σοι, Χριστέ. μᾶλλον δὲ οὐκ ἂν κληθείη τοῦτο χειρόγραφον, ἀλλὰ συνθήκη. χειρόγραφον γάρ ἐστιν, ὅταν τις ὀφλημάτων ὑπεύθυνος κατέχηται· τοῦτο δὲ συνθήκη ἐστίν. οὐκ ἔχει τιμωρίας, οὐδὲ λέγει, ἐὰν τόδε, ἢ μὴ τόδε. ὁ δὲ αἷμα τῆς διαθήκης ῥαντίζων Μωϋσῆς εἶπεν οὕτω, καὶ ὁ Θεὸς ζωὴν αἰώνιον ἐπηγγείλατο. ταῦτα πάντα συνθήκη ἐστίν. ἐκεῖ δοῦλος πρὸς δεσπότην, ἐνταῦθα φίλος πρὸς φίλον. ἐκεῖ, Ἡ ἂν ἡμέρᾳ φάγῃ, φησὶν, ἀποθανῇ εὐθέως ἀπειλή· ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον. ἐνταῦθα γυμνότης, κἀκεῖ γυμνότης. ἀλλ' ἐκεῖ μὲν ἁμαρτήσας ἐγυμνώθη, ἐπειδὴ ἥμαρτεν· ἐνταῦθα δὲ, ἵνα ἀπαλλαγῇ, γυμνοῦται. ἀπεδύσατο τότε τὴν δόξαν, ἣν εἶχεν, ἐκεῖνος· ἀποδύεται νῦν τὸν παλαιὸν ἄνθρωπον οὗτος, καὶ πρὶν ἢ ἐπιβῆναι, οὕτως εὐκόλως ἀποδύεται, ὥσπερ τὰ ἱμάτια. ἀλείφεται, ὥσπερ οἱ ἀθληταὶ εἰς στάδιον ἐμβησόμενοι. ἅμα γὰρ τίκτεται, καὶ οὐ καθάπερ ἐκεῖνος ὁ πρῶτος κατὰ μικρὸν, ἀλλ' εὐθέως· οὐ καθάπερ οἱ ἱερεῖς τὸ παλαιὸν τὴν κεφαλὴν μόνον, μᾶλλον δὲ μειζόνως. ἐκεῖνος μὲν γὰρ τὴν κεφαλὴν, τὸ οὖς τὸ δεξιὸν, τὴν χεῖρα, ἵνα καὶ πρὸς ὑπακοὴν καὶ ἔργα ἀγαθὰ αὐτὸν διεγείρῃ· οὗτος δὲ τὸ πᾶν. οὐ γὰρ διδαχθησόμενος ἔρχεται μόνον, ἀλλὰ καὶ ἀθλήσων καὶ γυμνασθησόμενος εἰς ἑτέραν ἀνάγεται κτίσιν. ὅταν γὰρ ὁμολογῇ εἰς

χ. βαλὼν

* μυρία αἰτιασάμενοι

Ιωαν. ιθ. ϛ.

Ματθ. κζ. μϛ.

Ματθ. κζ. ξγ.

Πραξ. ε. κη.

χ. ἀποταξόμεθα

χ. συνταξόμεθα

Γεν. β. ιζ.

χ. ὥσπερ τις ἱμάτιον ἀποδύεται.

Λευιτ. η. ιϛ. κδ.

χ. ἑαυτὸν



Digitized by Google

11 Ἐν ᾧ καὶ περιετμήθητε περιτομῇ ἀχειροποιήτῳ, ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῶν ἁμαρτιῶν τῆς σαρκὸς, ἐν τῇ περιτομῇ τοῦ Χριστοῦ. Ὅρα πῶς εἰς ὕψος αἴρει τοῦ πράγματος. ἐν τῇ ἀπεκδύσει, φησίν· οὐκ εἶπεν, ἐκδύσει. τοῦ σώματος τῶν ἁμαρτιῶν· τὸν παλαιὸν φησὶ βίον. συνεχῶς ταῦτα στρέφει καὶ διαφόρως, ὥσπερ καὶ ἄνω ἔλεγεν· Ὃς ἐῤῥύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους, καὶ ἀποκατήλλαξεν ἀπηλλοτριωμένους εἰς τὸ εἶναι ἡμᾶς ἁγίους καὶ ἀμώμους. οὐκέτι, φησίν, ἐν μαχαίρᾳ ἡ περιτομὴ, ἀλλ' ἐν αὐτῷ τῷ Χριστῷ. οὐ γὰρ χεὶρ ἐπάγει, καθὼς ἐκεῖ, τὴν περιτομὴν ταύτην, ἀλλὰ τὸ πνεῦμα· οὐ μέρος, ἀλλ' ὅλον ἄνθρωπον περιτέμνει. σῶμα καὶ τοῦτο, σῶμα κἀκεῖνο· ἀλλὰ τὸ μὲν σαρκικῶς, τὸ δὲ πνευματικῶς περιτέμνεται· ἀλλ' οὐχ ὡς Ἰουδαῖοι. οὐ γὰρ σάρκα, ἀλλὰ ἁμαρτήματα ἀπεξεδύσασθε. πότε, καὶ ποῦ; ἐν τῷ βαπτίσματι. καὶ ὃ καλεῖ περιτομὴν, πάλιν τάφον καλεῖ. ὅρα πῶς πάλιν ἐπὶ τὰ δικαιώματα διαβαίνει. τῶν ἁμαρτιῶν, φησὶ, τῶν τῆς σαρκὸς, τουτέστιν, ἅπερ ἐν τῇ σαρκὶ ἐπράξατε. μεῖζον τῆς περιτομῆς λέγει. οὐ γὰρ ἔῤῥιψαν τὸ περιτμηθὲν, ἀλλ' ἀπώλεσαν, ἀλλ' ἔθαψαν.

12 Συνταφέντες αὐτῷ, φησιν, ἐν τῷ βαπτισμῷ, ἐν ᾧ καὶ συνηγέρθητε διὰ τῆς πίστεως τῆς ἐνεργείας τοῦ Θεοῦ τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν.

Ἀλλ' οὐ τάφος μόνον ἐστίν. ὅρα γὰρ τί φησιν. ἐν ᾧ καὶ συνηγέρθητε διὰ τῆς πίστεως τῆς ἐνεργείας τοῦ Θεοῦ τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν. καλῶς εἶπε. πίστεως γὰρ ὅλον ἐστίν. ἐπιστεύσατε ὅτι δύναται ὁ Θεὸς ἐγεῖραι, καὶ οὕτως ἠγέρθητε. εἶτα καὶ τὸ ἀξιόπιστον, τοῦ ἐγείραντος αὐτὸν, φησιν, ἐκ νεκρῶν. ἤδη δείκνυσι τὴν ἀνάστασιν.

13 Καὶ ἡμᾶς ποτε ὄντας νεκροὺς τοῖς παραπτώμασι καὶ τῇ ἀκροβυστίᾳ τῆς σαρκὸς ἡμῶν, συνεζωοποίησε σὺν αὐτῷ. Ὑπὸ γὰρ τὴν δίκην ἔκεισθε ἀποθανεῖν. εἰ δὲ καὶ ἀπεθάνετε, ἀλλ' οὐχ ἁπλῶς, ἀλλὰ θάνατον χρήσιμον. ὅρα πῶς πάλιν δείκνυσι τίνων ἦσαν ἄξιοι, δι' ὧν ἐπήγαγε· Χαρισάμενος ἡμῖν πάντα τὰ παραπτώματα.

14 Ἐξαλείψας τὸ καθ' ἡμῶν χειρόγραφον τοῖς δόγμασιν, ὃ ἦν ὑπεναντίον ἡμῖν, καὶ αὐτὸ ἦρκεν ἐκ τοῦ μέσου, προσηλώσας αὐτὸ τῷ σταυρῷ,

15 Ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, ἐδειγμάτισεν ἐν παῤῥησίᾳ, θριαμβεύσας αὐτοὺς ἐν αὐτῷ. Χαρισάμενος ἡμῖν, φησὶ, πάντα τὰ παραπτώματα. ποῖα; ἃ τὴν νεκρότητα ἐποίει. καὶ τί; ἆρα ἀφῆκε μένειν; οὐχὶ, ἀλλὰ καὶ ἐξήλειψεν. οὐκ ἐχάραξε μόνον, ἀλλ' ἐξήλειψεν, ὥστε μηδὲ φαίνεσθαι. τοῖς δόγμασι, φησί. ποίοις δόγμασι; τῇ πίστει. ἐξαρκοῦν ἀρκεῖ πιστεῦσαι. οὐχὶ ἔργοις ἔργα, ἀλλὰ πίστει ἔργα προέθηκε. καὶ τί μετὰ ταῦτα; ἐπίτασις τοῦ ἀφανισμοῦ τὸ ἐξαλεῖψαι πάλιν. καὶ αὐτὸ ἦρκε, φησιν, ἐκ τοῦ μέσου. καὶ οὐδὲ οὕτως ἐφύλαξεν, ἀλλὰ καὶ διέῤῥηξεν αὐτὸ προσηλώσας τῷ σταυρῷ. ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας ἐδειγμάτισεν ἐν παῤῥησίᾳ, θριαμβεύσας αὐτοὺς ἐν αὐτῷ. οὐδαμοῦ οὕτω μεγαλοφώνως ἐφθέγξατο. ὁρᾷς σπουδὴν τοῦ ἀφανισθῆναι τὸ χειρόγραφον ὅσην ἐποιήσατο; οὐκοῦν πάντες ἦμεν ὑφ' ἁμαρτίαν καὶ κόλασιν, αὐτὸς κολασθεὶς ἔλυσε καὶ τὴν ἁμαρτίαν καὶ τὴν κόλασιν· ἐκολάσθη δὲ ἐν τῷ σταυρῷ. ἐκεῖ οὖν αὐτὸ προσέπηξεν. εἶτα ὡς ἐξουσίαν ἔχων λοιπὸν διέῤῥηξε. ποῖον χειρόγραφον; ἢ τοῦτό φησιν, ὃ ἔλεγον πρὸς τὸν Μωϋσέα, Ὅτι πάντα ὅσα εἶπεν ὁ Θεὸς ποιήσομεν, καὶ ἀκουσόμεθα· ἢ εἰ μὴ τοῦτο, ὅτι ὀφείλομεν τῷ Θεῷ ὑπακοήν· ἢ εἰ μὴ τοῦτο, ὅτι κατεῖχεν ὁ διάβολος τὸ χειρόγραφον, ὃ ἐποίησε πρὸς τὸν Ἀδὰμ ὁ Θεὸς εἰπών· Ἡ ἂν ἡμέρᾳ φάγῃς ἀπὸ τοῦ ξύλου, ἀποθανῇ. κατεῖχεν οὖν τὸ χειρόγραφον τοῦτο ὁ διάβολος· καὶ οὐκ ἔδωκεν ἡμῖν αὐτὸ ὁ Χριστὸς, ἀλλ' αὐτὸς αὐτὸ ἔσχισεν, ὅπερ τοῦ μετὰ χαρᾶς ἀφιέντος ἐστίν. ἀπεκδυσάμενος τὰς ἀρχὰς, καὶ τὰς ἐξουσίας· τὰς διαβολικὰς δυνάμεις λέγει, ἢ ἐπεὶ αὐτὰς ἡ ἀνθρωπίνη φύσις ἐνεδέδυτο, ἢ ἐπεὶ αὐτὰς ὥσπερ λαβὴν εἶχον, ἄνθρωπος γενόμενος ἀπεδύσατο τὴν λαβήν. τουτέστιν, ἐδειγμάτισε. καὶ

καλῶς

Margin notes:
Κολασ. α. κα.
Ἐξοδ. κδ. γ.
Γεν. β. ιζ.
γρ. ὅτι εἰς [illegible]
γρ. τί ἐστιν, ἐδειγμάτισε [illegible]

ἣν οὐδὲ ἀπάτην δεῖ καλεῖν· ὥσπερ ὅταν φησὶν ὁ Ἱερεμίας, Ἠπάτησάς με, Κύριε, καὶ ἠπατήθην. τὸ γὰρ τοιοῦτον, οὐδὲ ἀπάτην δεῖ καλεῖν. ἐπεὶ καὶ τὸν πατέρα ἠπάτησεν ὁ Ἰακὼβ, ἀλλ᾽ οὐκ ἀπάτη, ἀλλ᾽ οἰκονομία ἦν. Διὰ τῆς φιλοσοφίας, φησὶ, καὶ κενῆς ἀπάτης. Κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων, κατὰ τὰ στοιχεῖα τοῦ κόσμου, καὶ οὐ κατὰ Χριστόν. Τέως τοῦ ἐλέγχου ἅπτεται τῆς τῶν ἡμερῶν παρατηρήσεως, στοιχεῖα κόσμου, ἥλιον καὶ σελήνην λέγων, καθάπερ καὶ ἐν τῇ πρὸς Γαλάτας ἔλεγε. Πῶς πάλιν ἐπιστρέφετε ἐπὶ τὰ ἀσθενῆ καὶ πτωχὰ στοιχεῖα; καὶ οὐκ εἶπεν ἡμερῶν παρατηρήσεις, ἀλλὰ τοῦ κόσμου τοῦ παρόντος, ἵνα τὸ εὐτελὲς δείξῃ. Εἰ γὰρ ὁ κόσμος οὐδὲν, πολλῷ μᾶλλον καὶ τὰ στοιχεῖα. δείξας οὖν πρότερον ὅσα εὐηργετήθησαν, ὅσα εὖ ἔπαθον, τότε ἐπάγει τὴν κατηγορίαν, ἵνα μείζονα δείξῃ, καὶ ἕλῃ τοὺς ἀκούοντας. τοῦτο καὶ οἱ προφῆται ποιοῦσιν, ἀεὶ πρότερον τὰς εὐεργεσίας δεικνύοντες, καὶ τότε τὰς κατηγορίας αὔξοντες, καθάπερ ὁ Ἡσαΐας φησίν· Υἱοὺς ἐγέννησα, καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν. καὶ πάλιν. Λαός μου, τί ἐποίησά σοι; ἢ τί ἐλύπησά σε; ἢ τί παρηνώχλησά σοι; καὶ ὁ Δαβὶδ, ὡς ὅταν λέγῃ· Ἐπήκουσά σου ἐν ἀποκρύφῳ καταιγίδος. καὶ πάλιν, Ἄνοιξον τὸ στόμα σου, καὶ πληρώσω αὐτό· καὶ πανταχοῦ οὕτως εὑρήσεις. μάλιστα μὲν οὖν οὐδὲ εἴ τι ἔλεγον, πείθεσθαι ἔδει· νῦν δὲ καὶ χωρὶς τῶν εὐεργεσιῶν φλύαρα ἐκεῖνα δὲ, καὶ οὐ κατὰ Χριστόν, φησί. μάλιστα μὲν γὰρ, εἰ καὶ οὕτως ἦν ἐξ ἡμισείας, ὥστε δύνασθαι καὶ τούτῳ κἀκείνῳ δουλεύειν, οὐδὲ οὕτως ἔδει· νῦν δὲ οὐκ ἀφίησιν ὑμᾶς εἶναι κατὰ Χριστόν· ἐκεῖθεν αὐτὰ φέρουσι. πρότερον διασαλεύσας τὰς Ἑλληνικὰς παρατηρήσεις, τότε καὶ τὰς Ἰουδαϊκὰς ἀναιρεῖ. καὶ γὰρ Ἕλληνες, καὶ Ἰουδαῖοι παρετήρουν πολλά· ἀλλ᾽ οἱ μὲν ἀπὸ φιλοσοφίας, οἱ δὲ ἀπὸ νόμου. πρότερον τοίνυν πρόσεισι τούτοις, ἔνθα μείζων ἡ κατηγορία. πῶς οὐ κατὰ Χριστόν; Ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς, καὶ ἐστὲ ἐν αὐτῷ πεπληρωμένοι, ὅς ἐστιν ἡ κεφαλὴ πάσης ἀρχῆς καὶ ἐξουσίας. ὅρα πῶς ἐν τῇ τούτων κατηγορίᾳ ἐνδιατρίβει, πρότερον θεὶς τὴν λύσιν, καὶ τότε τὴν ἀντίθεσιν. ἀνύποπτος γὰρ ἡ τοιαύτη λύσις, καὶ μᾶλλον δέχεται ὁ ἀκροατὴς, ὡς οὐ τοῦτο σπουδάζοντος τοῦ λέγοντος. ἐκεῖ μὲν γὰρ καὶ φιλονεικεῖ μὴ πεισθῆναι, ἐνταῦθα δὲ οὔ.

9 Ὅτι ἐν αὐτῷ κατοικεῖ. Τουτέστιν, ὅτι ὁ Θεὸς ἐν αὐτῷ οἰκεῖ. ἀλλ᾽ ἵνα μὴ νομίσῃς αὐτὸν συγκεκλεῖσθαι, ὡς ἐν σώματι, φησί· Πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς,

10 Καὶ ἐστὲ ἐν αὐτῷ πεπληρωμένοι. Ἄλλοι φασὶν ὅτι τὴν ἐκκλησίαν λέγει πεπληρωμένην ὑπὸ τῆς θεότητος αὐτοῦ, καθὼς ἀλλαχοῦ φησι· Τοῦ πάντα ἐν πᾶσι πληρουμένου. τὸ δὲ, σωματικῶς ἐνταῦθα, ὡς ἐν κεφαλῇ σῶμα. πῶς οὖν οὐκ ἐπήγαγεν, ἥτις ἐστὶν ἡ ἐκκλησία; ἔνιοι δὲ περὶ τοῦ πατρός φασι λέγειν, ὅτι τῆς θεότητος τὸ πλήρωμα ἐν αὐτῷ οἰκεῖ· ἀλλὰ κακῶς. πρῶτον μὲν, ὅτι τὸ οἰκεῖν, οὐ κυρίως λέγεται ἐπὶ Θεοῦ· δεύτερον, ὅτι τὸ πλήρωμα, οὐ τὸ δεχόμενόν ἐστι. Τοῦ γὰρ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς. καὶ πάλιν ὁ ἀπόστολος, Ἄχρις οὗ τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ. τὸ ὅλον λέγεται πλήρωμα. ἔπειτα τὸ, σωματικῶς, τί βούλεται δηλοῦν; ὡς ἐν κεφαλῇ. τί δὲ πάλιν τὸ αὐτὸ λέγει; καὶ ἐστὲ ἐν αὐτῷ πεπληρωμένοι. τί οὖν ἐστιν; ὅτι οὐδὲν ἔλαττον ἔχετε αὐτοῦ. ὥσπερ ἐν ἐκείνῳ ᾤκησεν, οὕτω καὶ ἐν ὑμῖν. βιάζεται γὰρ ἀεὶ Παῦλος ἐγγὺς ἡμᾶς ἀγαγεῖν τοῦ Χριστοῦ, ὡς ὅταν λέγῃ· Συνήγειρε καὶ συνεκάθισεν ἡμᾶς· καὶ, Εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν· καὶ, Πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται; καὶ συγκληρονόμους καλεῖ. Εἶτα περὶ τοῦ ἀξιώματος. Καὶ αὐτός ἐστιν ἡ κεφαλὴ πάσης ἀρχῆς καὶ ἐξουσίας. Πάντων ἀνώτερος, αἰτία, οὐχὶ ὁμοούσιος; Εἶτα τὸ τῆς εὐεργεσίας θαυμαστῶς πως ἐπήγαγε, καὶ πολλῷ τῆς πρὸς Ῥωμαίους θαυμαστότερον. ἐκεῖ μὲν γάρ φησι, Περιτομὴ καρδίας ἐν πνεύματι, οὐ γράμματι· ἐνταῦθα δὲ, ἐν τῷ Χριστῷ.

11 Ἐν

Margin notes: Ἱερ. κ ζ. — Γαλ. δ. θ. — χ. τὴν κατηγορίαν — Ἡσ. α β. — Μιχ. ϛ. γ. — Ψαλ. π. ϛ. ια. — χ. πλάτυνον — χ. πλείονα — Ἐφ. α. κγ. — Ψαλ. κγ. α. — Ῥωμ. ια. κε. — Ἐφ. β. ϛ. — β. Τιμ. β ιβ. — Ῥωμ. η. λβ. — Ῥωμ. η. ιζ. — Ῥωμ. β. κθ.

Digitized by Google

κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἡμετέραν, καὶ καθίσταται ἐπὶ τῆς ἀρχῆς τῶν ἀλόγων πάντων. οὕτως οὐ διὰ ῥημάτων, ἀλλὰ διὰ πραγμάτων ἡμᾶς ἐπαίδευσε. τὸ δὲ ἀνακεχωρηκὸς τῆς φύσεως ὁ παράδεισος ἐδήλου, καὶ τὸ πάντων εἶναι βελτίωνα τὸν ἄνθρωπον. ἔμελλεν χ. βελτίω ἀνίστασθαι ὁ Χριστός. ὅρα λοιπὸν πόσα τούτου τεκμήρια. ὁ Ἐνώχ, ὁ Ἡλίας, ὁ Ἰωνᾶς, τὰ ἐν τῇ καμίνῳ, τὸ ἐπὶ τοῦ Νῶε, τὸ βάπτισμα, τὰ σπέρματα, τὰ φυτά, ἡ γέννησις ἡ ἡμετέρα, ἡ τῶν ζώων πάντων. ἐπειδὴ γὰρ ἐν τούτῳ πάντα ἐκινδύνευεν, τοῦτο μάλιστα πάντων πολλοὺς εἶχε τοὺς τύπους. ὅτι οὐκ ἀπρονόητα τὰ πάντα ἐστίν, ἀπὸ τῶν παρ' ἡμῖν δυνατὸν στοχάσασθαι. οὐδὲν γὰρ ἀπρονόητον μένει, ἀλλὰ καὶ ἀγέλαι καὶ τὰ ἄλλα πάντα ἀρχῆς δεῖται. καὶ ὅτι οὐκ αὐτόματα γέγονε τὰ πάντα, δείκνυσιν ἡ γέεννα, ἔδειξε δὲ ὁ κατακλυσμὸς ὁ ἐπὶ Νῶε, τὸ πῦρ, ὁ καταποντισμὸς ὁ τῶν Αἰγυπτίων, τὰ ἐν τῇ ἐρήμῳ. ἔδει καὶ τοῦ βαπτίσματος πολλὰ προσηγήσασθαι. γέγονεν, ὅσα ἐν ὕδατι, καὶ μυρία ἄλλα, οἷον τὰ ἐν τῇ πολσιᾳ, τὰ ἐν τῇ κολυμβήθρᾳ, τὸ τὸν μὴ ὑγιαίνοντα καθαίρεσθαι, αὐτὸς ὁ κατακλυσμός, τὸ βάπτισμα Ἰωάννου. ἔδει πιστευθῆναι ὅτι τὸν υἱὸν αὐτοῦ ἐκδίδωσιν ὁ Θεός. προλαβὼν ἐποίησε τοῦτο ἄνθρωπος. τίς οὗτος; Ἀβραὰμ ὁ πατριάρχης. πάντων οὖν τούτων τύπους, ἂν θέλωμεν, εὑρήσομεν, ἂν ζητῶμεν ἐν τῇ γραφῇ. ἀλλὰ μὴ ἀποκάμωμεν, ἀλλ' ἐν τούτοις ῥυθμίζωμεν ἑαυτούς, στερρὰν ἔχωμεν τὴν πίστιν, καὶ ἀκρίβειαν πολιτείας ἐπιδειξώμεθα, ἵνα διὰ πάντων εὐαρεστήσαντες τῷ Θεῷ, καταξιωθῶμεν τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτόν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. ϛ. 6 ΩΣ ΟΥΝ ΠΑΡΕΛΑΒΕΤΕ ΤΟΝ ΧΡΙΣΤΟΝ Ἰησοῦν τὸν Κύριον, ἐν αὐτῷ περιπατεῖτε, 7 Ἐρριζωμένοι καὶ ἐποικοδομούμενοι ἐν αὐτῷ, καὶ βεβαιούμενοι ἐν τῇ πίστει, καθὼς ἐδιδάχθητε, περισσεύοντες ἐν αὐτῇ ἐν εὐχαριστίᾳ.

ΠΑλιν αὐτοὺς τῇ οἰκείᾳ προκαταλαμβάνει μαρτυρίᾳ λέγων, ὡς οὖν παρελάβετε. οὐδὲν ξένον, φησίν, ἐπεισάγομεν· οὐκοῦν μηδὲ ὑμεῖς. ἐν αὐτῷ περιπατεῖτε (αὐτὸς γάρ ἐστιν ἡ ὁδὸς ἡ προσάγουσα εἰς τὸν πατέρα) μὴ ἐν τοῖς ἀγγέλοις. οὐ φέρει αὕτη ἡ ὁδὸς ἐκεῖ. ἐρριζωμένοι· τουτέστι, πεπηγότες· μὴ ποτὲ μὲν ταύτην, ποτὲ δὲ ἐκείνην, ἀλλ' ἐρριζωμένοι. τὸ γὰρ ἐρριζωμένοι οὐκ ἄν ποτε μετασταίη. χ. γὰρ ὅρα πῶς κυρίας τὰς λέξεις τίθησι. καὶ ἐποικοδομούμενοι, φησί· τουτέστι, τῇ διανοίᾳ φθάνοντες εἰς αὐτόν. καὶ βεβαιούμενοι ἐν αὐτῷ, τουτέστι, κατέχοντες αὐτόν, καὶ ὡς ἐπὶ θεμελίου οἰκοδομούμενοι. δείκνυσιν αὐτοὺς καταπεσόντας. τὸ γάρ, οἰκοδομούμενοι, τοῦτο δηλοῖ. οἰκοδομὴ γάρ ἐστιν ὄντως ἡ πίστις, καὶ δεῖ καὶ τοῦ θεμελίου ἰσχυροῦ, καὶ τῆς οἰκοδομίας ἀσφαλοῦς. χ. οἰκοδομῆ ἄν τε γὰρ μὴ ἐπ' ἀσφαλείᾳ τις οἰκοδομήσῃ, σαλεύεται· ἄν τε ἐπ' ἀσφαλείας, καὶ μὴ ἑστήκοι, οὐκ ἐπίσταται. καθὼς ἐδιδάχθητε. πάλιν τό, καθώς, δηλωτικόν ἐστι τοῦ μηδὲν καινὸν λέγειν. περισσεύοντες, φησίν, ἐν αὐτῇ ἐν εὐχαριστίᾳ. τοῦτο γὰρ εὐγνωμόνων· οὐ λέγω ἁπλῶς εὐχαριστεῖν, ἀλλὰ μετὰ πολλῆς τῆς περιουσίας, πλέον ἢ ἐμάθετε, εἰ οἷόν τε, μετὰ πολλῆς τῆς φιλοτιμίας.

8 Βλέπετε μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν. Ὁρᾷς πῶς ἔδειξε κλέπτην ὄντα, καὶ ἀλλότριον, καὶ ἠρέμα ἐπεισιόντα; ἤδη γὰρ περιέστησιν αὐτοῖς εἰσιόντα. καὶ καλῶς εἶπε, συλαγωγῶν. ὥσπερ ἄν τις χοῦν καὶ τὸν θησαυρὸν διορύττων μὴ παρέχῃ αἴσθησιν, τὸ δὲ ὑποποιεῖ, οὕτω καὶ ἐκεῖνος ποιεῖ. βλέπετε οὖν. τοῦτο γὰρ ἔργον ἐκείνῳ τὸ μηδὲ αἴσθησιν παρέχειν.

* Διὰ τῆς φιλοσοφίας. Εἶτα ἐπειδὴ δοκεῖ σεμνὸν εἶναι τὸ τῆς φιλοσοφίας, προσέθηκε, Καὶ κενῆς ἀπάτης. Ἔστι γὰρ καὶ καλὴ ἀπάτη, οἵαν ἠπατήθησαν πολλοί,

* καὶ τὰ ἐν δείκνυσιν διὰ τῆς ... ὁδοῦ,

ἣν

Digitized by Google

στροφή, ἢ κυκλοφορικῶς. ἢ εἰ μὴ τοῦτο, αὔξησις, μείωσις, γένεσις, φθορά, ἀλλοίωσις. ἀλλ' οὐδεμίαν τούτων κινεῖται. ἀλλ' οἵαν ὁ νοῦς κίνησιν κινεῖται; ἀλλ' οὐδὲ τοῦτο. μὴ γένοιτο. πολλὰ γὰρ καὶ ἀτόπως ὁ νοῦς κινεῖται. τὸ θέλειν ἐστὶ τὸ ἐνεργεῖν; πολλάκις δὲ ἄνθρωποι θέλουσιν ἀγαθοὶ εἶναι καὶ σωφρονεῖν· πῶς οὖν γίνεται; ἀλλ' ἕτερον τὸ θέλειν, ἄλλο δὲ τὸ ἐνεργεῖν. ἐκεῖ οὐκ ἀρκεῖ πρὸς ἐνέργειαν τὸ θέλειν. πῶς οὖν λέγει ἡ γραφή, Πάντα, ὅσα ἠθέλησεν, ἐποίησε; καὶ πάλιν ὁ λεπρὸς φησὶ πρὸς Χριστῷ, Ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι*. Ψαλ. ριγ. ια. Ματθ. η. β. βούλεσθε καὶ ἄλλο εἴπω; πῶς ἐξ οὐκ ὄντων τὰ ὄντα γέγονε; πῶς εἰς τὸ μηδὲν ἀναλύεται; τί ἀνώτερον τοῦ οὐρανοῦ; κἀκείνου δὲ πάλιν τί; κἀκείνου τί; καὶ μετ' ἐκεῖνο τί; καὶ τοῦτο ἕως ἄπειρον. τί κατώτερον τῆς γῆς; θάλαττα. καὶ μετὰ ταύτην τί; καὶ μετ' ἐκεῖνο πάλιν τί; ἀλλ' εἰς τὰ δεξιά, εἰς τὰ ἀριστερά, οὐχ ἡ αὐτὴ ἀπορία; ἀλλὰ ταῦτα μὲν ἀόρατα. βούλεσθε ἐπὶ τῶν ὁρωμένων ἀγάγω τὸν λόγον; ἐπὶ τῶν ἤδη συμβάντων; Εἰπέ μοι, πῶς τὸ θηρίον τὸν Ἰωνᾶν εἶχεν ἐν τῇ γαστρί, καὶ οὐκ ἀπώλλυτο; οὐχὶ ἄλογόν ἐστιν; οὐχὶ ἁπλῶς κινεῖται; πῶς ἐφείσατο τοῦ δικαίου; πῶς αὐτὸν οὐκ ἀπέπνιξεν ἡ θέρμη; πῶς οὐκ ἔσηψεν; εἰ γὰρ τὸ ἐν βυθῷ εἶναι μόνον ἄπορον, τὸ καὶ ἐν σπλάγχνοις καὶ τῇ θέρμῃ ἐκείνῃ, πολλῷ μᾶλλον ἀπορώτερον. πῶς γὰρ τὸν ἐκεῖθεν ἀέρα ἀνέπνει; πῶς ἤρκει δύο ζώοις ἡ ἀναπνοή; πῶς δὲ αὐτὸν καὶ ἤμεσεν ἀσινῆ; πῶς δὲ καὶ ἐφθέγγετο; πῶς δὲ καὶ ἐν ἑαυτῷ ἦν, καὶ προσηύχετο; ἆρα ταῦτα οὐκ ἄπιστα; ἂν λογισμῷ ἐξετάζωμεν, ἄπιστα· ἂν δὲ πίστει, σφόδρα πιστά. Εἴπω τί τούτου πλέον; ὁ σῖτος ἐν τῷ κόλπῳ τῆς γῆς φθείρεται, καὶ ἀνίσταται. ὅρα τὰ θαύματα ἐναντία, καὶ ἀλλήλα τίκτοντα. θαυμαστὸν τὸ μὴ σαπῆναι, θαυμαστὸν τὸ σαπέντα ἀναστῆναι. ποῦ εἰσὶν οἱ τῇ ἀναστάσει διαπιστοῦντες καὶ λέγοντες, τόδε τὸ ὀστοῦν πῶς τῷδε συγκολλᾶται, καὶ μυρία ἕτερα τοιαῦτα εἰσάγοντες; Εἰπέ μοι, πῶς ὁ Ἠλίας ἀνῆλθεν ἐν πυρὸς ἅρματι; τὸ πῦρ καίειν εἴωθεν, οὐκ ἀνάγειν. πῶς τοσοῦτον ζῇ χρόνον; ἐν τίνι τόπῳ ἐστί; διὰ τί τοῦτο γέγονε; ποῦ δὲ Ἐνὼχ μετετέθη; τροφῆς ἀπολαύει, οἵας καὶ ἡμεῖς; καὶ τί τὸ κωλῦον ἐνταῦθα αὐτὸν εἶναι; ἀλλ' οὐκ ἀπολαύει· καὶ διὰ τί μετετέθη; ὅρα τὸν Θεὸν κατὰ μικρὸν ἡμᾶς παιδαγωγοῦντα. μετέθηκε τὸν Ἐνὼχ· οὐ πάνυ μέγα τοῦτο. ἐπαίδευσεν ἡμᾶς τοῦτο εἰς τὴν ἀναγωγὴν τοῦ Ἠλία. πάλιν ἐναπέκλεισε τὸν Νῶε τῇ κιβωτῷ. οὐ πάνυ μέγα οὐδὲ τοῦτο. ἐπαίδευσεν ἡμᾶς τοῦτο εἰς τὴν ἀπόκλεισιν τοῦ προφήτου τὴν ἐν τῷ κήτει. οὕτω καὶ τὰ παλαιὰ προδρόμων ἐδείχθη καὶ τύπων. καθάπερ γὰρ ἐπὶ κλίμακος ὁ πρῶτος βαθμὸς παραπέμπει τῷ δευτέρῳ, ἀπὸ δὲ τοῦ πρώτου οὐκ ἔνι ἐπὶ τὸν τέταρτον ἐλθεῖν, καὶ ἔστιν ἐκείνῳ, ἵνα ἐκ τούτου γένηται ὁδός, οὐδὲ πρὸ τοῦ πρώτου δυνατὸν ἐπὶ τὸν δεύτερον ἐλθεῖν· οὕτω καὶ ἐνταῦθα. καὶ ἴδια σημεῖα σημείων· καὶ τοῦτο ἐπὶ τῆς κλίμακος, ἣν εἶδεν Ἰακώβ. Ἄνω, φησίν, ὁ Κύριος ἐπεστήρικτο, κάτω δὲ ἄγγελοι ἀνέβαινον καὶ κατέβαινον. Γεν. κη. ιγ. προεφήτευεν ὅτι υἱὸν ἔχει ὁ πατήρ. ἔδει τοῦτο πιστευθῆναι. πόθεν ἤθελες αὐτοῦ τὰ σημεῖα δείξω; ἄνωθεν κάτω, ἢ κάτωθεν ἄνω; ἔδει γνωσθῆναι ὅτι ἀπαθῶς γεννᾷ; διὰ τοῦτο ἐγέννησε πρότερον στεῖρα. μᾶλλον δὲ ἀνωτέρω ἀναγάγωμεν τὸν λόγον. ἔδει πιστευθῆναι, ὅτι ἐκ παρθένου. τί οὖν; γίνεται τοῦτο; ἀμυδρῶς μὲν, ἅτε ἐν τύπῳ καὶ σκιᾷ, πλὴν γίνεται. καὶ πρότερον σαφέστερόν πως γίνεται. ἐξ ἀνθρώπου μόνου γυνή, καὶ μένει ἐκεῖνος ὁλόκληρος. πάλιν τῆς ἐκ παρθένου κυήσεως ἔδει γενέσθαι τεκμήριον. τίκτει στεῖρα οὐχ ἅπαξ, ἀλλὰ καὶ δεύτερον, καὶ τρίτον, καὶ πολλάκις. τῆς μὲν οὖν ἐκ παρθένου γεννήσεως τύπος, ἡ στεῖρα· καὶ αὕτη παραπέμπει τῇ πίστει τὴν διάνοιαν. πάλιν τοῦτο τύπος ἐγένετο τοῦ μόνον δύνασθαι γεννῆσαι τὸν Θεόν. Εἰ γὰρ κυριώτερον ἄνθρωπος, καὶ χωρὶς τούτου τίκτεται, πολλῷ μᾶλλον ἐκ τοῦ κυριωτέρου γεννᾶται. ἔστι καὶ ἄλλη γέννησις τῆς ἀληθείας τύπος, ἡ ἡμετέρα ἡ ἐκ πνεύματος. ταύτης πάλιν ἡ στεῖρα τύπος, ὅτι οὐκ ἐξ αἱμάτων· αὕτη τῆς ἄνω γεννήσεως. ἡ μὲν οὖν αὐτῆς τὸ ἀπαθὲς δείκνυσιν, ἡ δὲ τὸ ἐκ μόνου δύνασθαι γεννᾶσθαι. ἔστι Χριστὸς ἄνω πάντων κρατῶν. ἔδει πιστευθῆναι τοῦτο. γίνεται τοῦτο ἐν τῇ γῇ ἐπὶ τοῦ ἀνθρώπου. Ποιήσωμεν γάρ, φησίν, ἄνθρωπον Γεν. α. κϛ.

κατ'

* εἰ γὰρ μὴ τῷ θελήματι εἶπε τοῦτο, οὐκ ἂν οὕτως εἶπεν.

γρ. ἐν ἐκείνῳ τὸν ἀέρα ἀναπνέων. γρ. [illegible]

γρ. ἀλλ' ἀδύνατον ἐπὶ τὸν τρίτον πρὸ τοῦ πρώτου. καὶ οὕτως ἐπὶ τὸν τέταρτον.

τοῦτο εἶπον, φησὶ, ταῦτα, ἵνα μὴ παρὰ ἀνθρώπων ζητῆτε. παραλογίζηταί, φησὶν, ἐν πιθανολογίᾳ. τί γὰρ, εἰ πιθανῶς λέγει;

5 Εἰ γὰρ τῇ σαρκὶ ἄπειμι, ἀλλὰ τῷ πνεύματι σὺν ὑμῖν εἰμι.

Τὸ ἀκόλουθον τοῦτο ἦν εἰπεῖν, εἰ γὰρ καὶ τῇ σαρκὶ ἄπειμι, ἀλλ' ὅμως οἶδα τοὺς ἀπατῶντας· νῦν δὲ εἰς ἐγκώμιον κατέληξε. Χαίρων καὶ βλέπων ὑμῶν τὴν τάξιν καὶ τὸ στερέωμα τῆς εἰς Χριστὸν πίστεως ὑμῶν. Τὴν τάξιν, τὴν εὐταξίαν φησί. καὶ τὸ στερέωμα τῆς εἰς Χριστὸν πίστεως. Ταῦτα ἐγκωμίων μᾶλλόν ἐστι. καὶ οὐκ εἶπε, τὴν πίστιν, ἀλλὰ, τὸ στερέωμα, καθάπερ τοὺς στρατιώτας εὐτάκτως ἑστῶτας καὶ βεβαίως. τὸ στερρὸν οὐκ ἀπάτη, οὐ πειρασμὸς διασαλεύει. οὐ μόνον, φησὶν, οὐ πεπτώκατε, ἀλλ' οὐδὲ τὴν τάξιν ὑμῶν συνέχεέ τις. ἐπέστησεν ἑαυτὸν αὐτοῖς, ἵνα ὡς παρόντα φοβῶνται. ἡ γὰρ τάξις οὕτω φυλάττεται. [ἀπὸ τοῦ στερεώματος τὸ πεπυκνωμένον.] οὕτω γὰρ γίνεται στερέωμα· ὅταν πολλὰ συναγαγὼν συγκολλήσῃς πυκνῶς καὶ ἀδιασπάστως, τότε στερέωμα γίνεται, οἷον ἐπὶ τοίχου. τοῦτο δὲ τῆς ἀγάπης ἔργον ἐστί. τοὺς γὰρ καθ' ἑαυτοὺς ὄντας, ὅταν ἀκριβῶς συγκολλήσῃ καὶ συνάψῃ, στερροὺς ἐργάζεται. καὶ ἡ πίστις πάλιν τὸ αὐτὸ ποιεῖ, ὅταν μὴ ἀφῇ λογισμοὺς ἐπεισελθεῖν. ὥσπερ γὰρ οἱ λογισμοὶ διαιροῦσι καὶ σαλεύουσιν, οὕτως ἡ πίστις στερεοῖ καὶ παγίαν ποιεῖ.

χ. ἐπὶ

ΗΘΙΚΟΝ

Ἐπειδὴ γὰρ μείζονα, ἢ κατὰ ἀνθρώπινον λογισμὸν εὐηργέτησεν ἡμᾶς ὁ Θεὸς, εἰκότως τῇ πίστει ἐπεσυνήγαγεν. οὐκ ἔστι γὰρ εἶναι στερρὸν τὸν λογισμοὺς ἀπαιτοῦντα. ἰδοὺ γὰρ τὰ σεμνὰ ἡμῶν πάντα πῶς ἔρημα λογισμῶν, καὶ πίστεως ἔχεται μόνης. οὐκ ἔστιν οὐδαμοῦ ὁ Θεὸς, καὶ πανταχοῦ ἐστι. τί τούτου ἀλογώτερον; ἕκαστον καθ' ἑαυτὸ ἀπορίας γέμει. οὐ γὰρ δὴ ἐν τόπῳ ἐστὶν, οὐδὲ τόπος ἐστὶ τις ἐν ᾧ ἐστιν. οὐκ ἐγένετο, οὐχ ἑαυτὸν ἐποίησεν, οὐκ ἤρξατο τοῦ εἶναι. ποῖος ταῦτα λογισμὸς καταδέξεται, ἂν μὴ πίστις ᾖ; ἢ οὐχὶ καταγέλως εἶναι δοκεῖ; καὶ αἰνίγματος μᾶλλον οὐκ ἔχει πλέον; τὸ μὲν οὖν ἄναρχον αὐτὸν καὶ ἀγέννητον καὶ ἀπερίγραφον καὶ ἄπειρον, οὕτως ἄπορον· τὸ δὲ ἀσώματον ἴδωμεν, μήποτε λογισμῷ ἐξετάσαι δυνώμεθα. ἀσώματός ἐστιν ὁ Θεός. τί ἐστιν, ἀσώματος; ῥῆμα ψιλὸν μόνον. ἡ γὰρ ἔννοια οὐδὲν ἐδέξατο, οὐδὲ ἐνετύπωσεν ἑαυτῇ. κἂν γὰρ ἀνατυπώσῃ, εἰς φύσιν ἔρχεται, καὶ τὰ τοῦ σώματος ποιητικά· ὥστε λέγει μὲν τὸ στόμα, οὐκ οἶδε δὲ ἡ διάνοια τί λέγει· ἢ ἓν μόνον, ὅτι οὐκ ἔστι σῶμα, τοῦτο μόνον οἶδε. καὶ τί λέγω ἐπὶ Θεοῦ; ἐπὶ γὰρ ψυχῆς, τί ἐστι τὸ ἀσώματον, τῆς γινομένης, τῆς ἐγκεκλεισμένης, τῆς περιγραφομένης εἰπὲ, δεῖξον. ἀλλ' οὐκ ἂν ἔχοις. ἀήρ ἐστι; ἀλλ' ὁ ἀὴρ σῶμα, εἰ καὶ μὴ ναστόν. καὶ πολλαχόθεν δῆλον ὅτι σῶμά ἐστι χαῦνον. πῦρ δέ; ἀλλὰ τὸ πῦρ σῶμά ἐστιν, ἡ δὲ ἐνέργεια τῆς ψυχῆς ἀσώματον. διὰ τί; ὅτι πανταχοῦ δήκει. εἰ δὲ αὐτὴ σῶμα, ἔσται ἐν τόπῳ τὸ ἀσώματον· οὐκοῦν καὶ περιγράφεται· τὸ δὲ περιγραφόμενον, ἐν σχήματί ἐστι· τὰ δὲ σχήματα ἀπὸ γραμμῶν· αἱ δὲ γραμμαὶ σωμάτων. πάλιν τὸ ἀσχημάτιστον ποίαν ἔννοιαν ἔχει; οὐ σχῆμα ἔχει, οὐκ εἶδος, οὐ τύπον. ὁρᾷς πῶς ἰλιγγιᾷ ἡ διάνοια; πάλιν ἄδεκτος ἡ φύσις κακῶν ἐκείνη. ἀλλὰ καὶ ἑκὼν ἐστιν ἀγαθός; οὐκοῦν δεκτική. ἀλλ' οὐκ ἔστιν εἰπεῖν. μὴ γένοιτο. πάλιν θέλων εἰς τὸ εἶναι παρήγαγεν, ἢ μὴ θέλων; ἀλλ' οὐδὲ τοῦτο ἔστιν εἰπεῖν. πάλιν περιγράφει τὴν οἰκουμένην, ἢ οὔ; εἰ μὲν γὰρ μὴ περιγράφει, αὐτὸς περιγράφεται· εἰ δὲ περιγράφει, ἄπειρός ἐστι τῇ φύσει. πάλιν ἑαυτὸν περιγράφει; ἀλλ' εἰ περιγράφει ἑαυτὸν, ἄρα οὐκ ἄναρχος ἑαυτῷ, ἀλλ' ἡμῖν. οὐκοῦν οὐ φύσει ἄναρχος. πανταχοῦ τὰ ἐναντία ἔξεστι δοῦναι. ὁρᾷς τὸν ζόφον ὅσος, καὶ ὅτι πανταχοῦ πίστεως δεῖ; αὕτη ἐστὶν ἡ στερρά. ἀλλ', εἰ βούλεσθε, ἐπὶ τὰ τούτων ἐλάττω ἔλθωμεν. ἔχει ἐνέργειαν ἐκείνη ἡ οὐσία. καὶ τί ἐστιν ἐνέργεια ἐπ' αὐτοῦ; ἆρα κίνησίς τις; οὐκοῦν οὐκ ἄτρεπτος· τὸ γὰρ κινούμενον οὐκ ἄτρεπτον. ἐξ ἀκινησίας γὰρ κινεῖται· ἀλλ' ὅμως κινεῖται, καὶ οὐδέποτε ἵσταται. ποίαν δὲ κίνησιν, εἰπέ μοι; παρὰ γὰρ ἡμῖν ἑπτά τινές εἰσιν, ἢ κάτω, ἢ ἄνω, ἢ ἐντὸς, ἢ ἐκτὸς, ἢ δεξιὰ, ἢ ἀριστερὰ,

ἴσ. μὴ σῶμ.

χ. ἀλλ' ἐκεῖνο ὁ γὰρ ἄκων, ἔσται καὶ δεκτικόν. ἀλλ' οὐκ ἔστι τοῦτο

γ. τέλειον

μακάριος Παῦλος τέλειον ποιῆσαι. ἄρα τοῦτο *τελειότης, ἐκεῖνο δὲ ἀτελές. ὥστε καὶ μὴ πᾶσάν τις ἔχῃ τὴν σοφίαν, ἀτελής ἐστι. τέλειον ἐν Χριστῷ Ἰησοῦ, οὐκ ἐν νόμῳ, οὐδὲ ἐν ἀγγέλοις. ἐκεῖνο γὰρ οὐ τέλειον. ἐν Χριστῷ, τουτέστιν, ἐν τῇ γνώσει τοῦ Χριστοῦ. ὁ εἰδὼς τί ἐποίησεν ὁ Χριστὸς, μεῖζον φρονήσει ἀγγέλων. Ἐν Χριστῷ Ἰησοῦ·

29 Εἰς ὃ καὶ κοπιῶ ἀγωνιζόμενος. Οὐχ ἁπλῶς σπουδάζω, φησὶν, οὐδὲ ὡς ἔτυχεν· ἀλλὰ κοπιῶ ἀγωνιζόμενος μετὰ πολλῆς τῆς σπουδῆς, τουτέστι, μετὰ πολλῆς τῆς ἀγρυπνίας. Εἰ ἐγὼ ὑπὲρ τῶν ὑμετέρων ἀγαθῶν οὕτως ἀγρυπνῶ, πολλῷ μᾶλλον ὑμᾶς ὀφείλετε. Εἶτα πάλιν δείκνυς θεῖον ὂν, Κατὰ τὴν ἐνέργειαν αὐτοῦ, φησὶ, τὴν ἐνεργουμένην ἐν ἐμοὶ ἐν δυνάμει. Δείκνυσιν ὅτι τοῦ Θεοῦ τοῦτο ἔργον ἐστίν. ὁ τοίνυν ἰσχυρόν με ποιῶν εἰς τοῦτο, δῆλον ὅτι τοῦτο βούλεται. διὸ καὶ ἀρχόμενός φησι, Διὰ θελήματος Θεοῦ. ὥστε οὐ μόνον μετεωρίζων αὐτὸ τέθεικεν, ἀλλὰ καὶ ἐπαληθεύων τῷ λόγῳ, καὶ ἀγωνιζόμενος. τοῦτο εἰπὼν, δείκνυσιν ὅτι πολλοὶ μάχονται πρὸς αὐτόν. Εἶτα ἡ φιλοστοργία πολλή. Κολασ. α. α.

1 Θέλω γὰρ ὑμᾶς εἰδέναι ἡλίκον ἀγῶνα ἔχω περὶ ὑμῶν, καὶ τῶν ἐν Λαοδικείᾳ. κεφ. β.

Εἶτα ἵνα μὴ δόξῃ τῆς αὐτῶν ἀσθενείας εἶναι τοῦτο, συνῆψε καὶ ἑτέρους, καὶ οὐδέπω κατέγνω.

γρ. ξένον τι * λέγει

Καὶ ὅσοι οὐχ ἑωράκασι τὸ πρόσωπόν μου ἐν σαρκί. "Θείως δείκνυσιν ἐνταῦθα, *ὅτι ἑώρων συνεχῶς ἐν πνεύματι. μαρτυρεῖ δὲ αὐτοῖς ἀγάπην πολλήν. διὸ καὶ ἐπήγαγεν·

2 Ἵνα παρακληθῶσιν αἱ καρδίαι αὐτῶν, συμβιβασθέντων ἐν ἀγάπῃ, καὶ εἰς πάντα πλοῦτον τῆς πληροφορίας τῆς συνέσεως, εἰς ἐπίγνωσιν τοῦ μυστηρίου τοῦ Θεοῦ πατρὸς καὶ τοῦ Χριστοῦ,

3 Ἐν ᾧ εἰσι πάντες οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἀπόκρυφοι.

Ἤδη λοιπὸν σπεύδει καὶ ὠδίνει ἐμβαλεῖν εἰς τὸ δόγμα, οὔτε κατηγορῶν, οὔτε ἀπαλλάττων αὐτοὺς τῆς κατηγορίας. ἀγῶνα, φησὶν, ἔχω. ἵνα τί γένηται; ἵνα συμβιβασθῶσιν. ὃ δὲ λέγει τοῦτό ἐστιν· ἵνα ὦσι βέβαιοι ἐν τῇ πίστει. ἀλλ' οὐ τίθησιν οὕτως, ἀλλ' ὑποτέμνεται τὰ τῆς κατηγορίας. τουτέστιν, ἵνα ἑνωθῶσι μετὰ ἀγάπης· οὐδὲ μετὰ ἀνάγκης, οὐδὲ μετὰ βίας. ὅταν γὰρ εἴπω, ἀνεπαχθής ἐστιν αἰεὶ αὐτοῖς ἐπιτρέπων, καὶ διὰ τοῦτό φησιν, ἀγωνιῶ, ἐπεὶ μετὰ ἀγάπης, καὶ ἑκόντας βούλομαι. οὐ γὰρ ἁπλῶς τὴν συναγωγὴν βούλομαι γίνεσθαι, οὐχ ἁπλῶς τῷ σώματι, ἀλλ' ἵνα αἱ καρδίαι αὐτῶν παρακληθῶσι. συμβιβασθέντων ἐν ἀγάπῃ εἰς πάντα πλοῦτον τῆς πληροφορίας τῆς συνέσεως· τουτέστιν, ἵνα ὑπὲρ μηδενὸς ἀμφιβάλλωσιν, ἵν' ὑπὲρ πάντων πεπληροφορημένοι ὦσι. πληροφορίαν δὲ εἶπε τὴν διὰ πίστεως. ἔστι γὰρ πληροφορία καὶ ἡ διὰ λογισμῶν, ἀλλ' οὐδενὸς λόγου ἐκείνη ἀξία. οἶδα, φησὶν, ὅτι πιστεύετε, ἀλλὰ πληροφορηθῆναι ὑμᾶς βούλομαι, οὐκ εἰς τὸν πλοῦτον μόνον, ἀλλ' εἰς πάντα τὸν πλοῦτον, ἵνα καὶ ἐν πᾶσι καὶ ἐπιτεταμένως πεπληροφορημένοι ἦτε. καὶ θέα τὴν σύνεσιν τοῦ μακαρίου τούτου. οὐκ εἶπεν, ὅτι κακῶς ποιεῖτε, ὅτι οὐ πεπληροφόρησθε, καὶ κατηγόρησεν· ἀλλ' οὐκ ἴστε πῶς σπουδάζω, ἵνα πληροφορηθῆτε μετὰ συνέσεως, καὶ οὐχ ἁπλῶς. ἐπεὶ γὰρ εἶπε πίστιν, μὴ νομίσητε, φησὶν, ὅτι ἁπλῶς καὶ ἀνοήτως εἶπον, ἀλλὰ μετὰ συνέσεως, μετὰ ἀγάπης. εἰς ἐπίγνωσιν τοῦ μυστηρίου τοῦ Θεοῦ πατρὸς, καὶ τοῦ Χριστοῦ. ὥστε τοῦ Θεοῦ τοῦτό ἐστι τὸ μυστήριον, τὸ διὰ τοῦ υἱοῦ προσάγεσθαι. καὶ τοῦ Χριστοῦ, ἐν ᾧ εἰσι πάντες οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἀπόκρυφοι. εἰ δὲ ἐν αὐτῷ εἰσιν, ἄρα σοφὸς καὶ νῦν ἦλθε. τίνος οὖν ἕνεκεν ἐγκαλοῦσί τινες τῶν ἀνοήτων; ὅρα πῶς τοῖς ἀπλουστέροις διαλέγεται· ἐν ᾧ εἰσι πάντες οἱ θησαυροί. αὐτὸς πάντα οἶδεν. ἀπόκρυφοι. μὴ γὰρ δὴ νομίσητε ἤδη τὸ πᾶν ἔχειν· ἀπόκρυφοί εἰσι καὶ ἀπὸ ἀγγέλων, οὐκ ἀφ' ὑμῶν μόνον· ὥστε παρ' αὐτοῦ δεῖ πάντα αἰτεῖν. αὐτὸς δίδωσι σοφίαν, καὶ γνῶσιν. τῷ μὲν οὖν, θησαυροὶ, εἰπεῖν, τὸ πολὺ δείκνυσι· τῷ δὲ, πάντες, τὸ μηδὲν ἀγνοεῖν· τῷ δὲ, ἀπόκρυφοι, τὸ μόνον εἰδέναι.

4 Τοῦτο δὲ λέγω, ἵνα μή τις ὑμᾶς παραλογίζηται ἐν πιθανολογίᾳ. Ὁρᾷς ὅτι διὰ

τοῦτο

ποιῶν, ἢ ἀφιεὶς αὐτὸν ἐπὶ κατορθώματι μέγα φρονεῖν. τίς ὁ πλοῦτος τῆς δόξης τοῦ μυστηρίου τούτου ἐν τοῖς ἔθνεσι, σεμνῶς εἶπε, καὶ ὄγκον ἐπέθηκεν, ἀπὸ πολλῆς διαθέσεως ἐπιτάσεις ζητῶν ἐπιτάσεων. καὶ γὰρ καὶ τοῦτο ἐπιτάσεως, τὸ ἀορίστως εἰπεῖν, ὁ πλοῦτος τῆς δόξης τοῦ μυστηρίου τούτου ἐν τοῖς ἔθνεσι. μάλιστα μὲν γὰρ ἐν τοῖς ἔθνεσι φαίνεται, καθὼς καὶ ἀλλαχοῦ φησι, (Ρωμ. ιε. θ.) Τὰ δὲ ἔθνη ὑπὲρ ἐλέους δοξάσαι τὸν Θεόν· φαίνεται δὲ καὶ ἐν ἑτέροις, πολλῷ δὲ πλέον ἐν τούτοις ἡ πολλὴ τοῦ μυστηρίου δόξα. τὸ γὰρ ἄφνω ἀνθρώπους λίθων ἀναισθητοτέρους εἰς ἀγγέλων ἀγαγεῖν ἀξίωμα ἁπλῶς διὰ ψιλῶν ῥημάτων καὶ πίστεως μόνης χωρὶς ἐργασίας πάσης, ὄντως δόξα καὶ πλοῦτος μυστηρίου· ὥσπερ ἂν εἴ τις κύνα λιμῷ καὶ ψώρᾳ διεφθαρμένον, αἰσχρόν τινα καὶ δυσειδῆ, καὶ οὐδὲ κινεῖσθαι δυνάμενον, ἀλλ' ἐρριμμένον, ἐξαίφνης καὶ ἄνθρωπον ποιήσειε, καὶ ἐπὶ τοῦ θρόνου δείξειε τοῦ βασιλικοῦ. ὅρα γάρ. τοὺς λίθους προσεκύνουν, καὶ τὴν γῆν. ἔμαθον ὅτι καὶ οὐρανοῦ καὶ ἡλίου ἀμείνους εἰσί, καὶ ὁ κόσμος ἅπας αὐτοῖς δουλεύει. αἰχμάλωτοι καὶ δεσμῶται ἦσαν τοῦ διαβόλου· ἄφνω γεγόνασιν αὐτοῦ τῆς κεφαλῆς ἐπάνω, καὶ ἐπέταττον αὐτῷ, καὶ ἐμάστιζον αὐτόν. δαιμόνων ὄντες θεράποντες καὶ δοῦλοι, τοῦ τῶν ἀγγέλων δεσπότου καὶ τῶν ἀρχαγγέλων γεγόνασι σῶμα. οὐδὲ τί ἐστι Θεὸς εἰδότες, γεγόνασιν ἐξαίφνης καὶ σύνθρονοι τοῦ Θεοῦ. βούλει μυρίους ἰδεῖν ἀναβαθμούς, οὓς ὑπερεπήδησε; ἔδει μαθεῖν πρότερον, ὅτι οἱ λίθοι οὐ θεοί· δεύτερον, ὅτι οὐ μόνον οὐ θεοί, ἀλλὰ καὶ ἀνθρώπων ἐλάττους· τρίτον, ὅτι καὶ ἀλόγων· τέταρτον, ὅτι καὶ φυτῶν· πέμπτον, ὅτι τὰ ἄκρα συνήγαγεν εἰς ταὐτόν, ὅτι οὐ μόνον λίθοι, ἀλλ' οὐδὲ γῆ, οὐδὲ ζῶα, οὐδὲ φυτά, οὐδὲ ἄνθρωπος, οὐδὲ οὐρανός, ἢ ἄνωθεν πάλιν, ὅτι οὐ λίθοι, οὐ ζῶα, οὐ φυτά, οὐ στοιχεῖα, οὐ τὰ ἄνω, οὐ τὰ κάτω, οὐκ ἄνθρωπος, οὐ δαίμονες, οὐκ ἄγγελοι, οὐκ ἀρχάγγελοι, οὐχ ἑτέρα τις τῶν ἄνω δυνάμεων ἐκείνων ὑπὸ τῆς ἀνθρωπίνης φύσεως θεραπεύεσθαι ὀφείλει. καθάπερ ἀπό τινος βυθοῦ ἀνιμωμένους ἔδει μαθεῖν, ὅτι ὁ πάντων δεσπότης οὗτος Θεός ἐστιν, ὅτι θεραπεύειν αὐτὸν μόνον χρή, ὅτι καλὴ ἡ θαυμαστὴ πολιτεία, ὅτι ὁ παρὼν θάνατος οὐ θάνατος, ὅτι ἡ ζωὴ οὐ ζωή, ὅτι τὸ σῶμα ἀνίσταται, ὅλον ἄφθαρτον γίνεται, ὅτι εἰς οὐρανοὺς ἄνεισιν, ὅτι ἀθανασίας ἐπιτυγχάνει, ὅτι μετὰ ἀγγέλων ἕστηκεν, ὅτι καθίσταται. ἀλλὰ τοῦτον τὸν ἐκεῖ κάτω, ταῦτα πάντα ὑπερπηδήσαντα, ἄνω ἐκάθισεν ἐπὶ τοῦ θρόνου, τῶν ἀγγέλων καὶ τῶν ἀρχαγγέλων καὶ τῶν θρόνων καὶ τῶν κυριοτήτων ποιήσας κυριώτερον τὸν ὑποκάτω λίθων ὄντα. ὄντως καλῶς εἶπε, τίς ὁ πλοῦτος τῆς δόξης τοῦ μυστηρίου τούτου; ὥσπερ ἂν εἴ τις μωρόν τινα φιλόσοφον ἐξαίφνης δείξειε. μᾶλλον δὲ ὅσα ἂν εἴποι τις, οὐδὲν ἐρεῖ. καὶ γὰρ καὶ τὰ τοῦ Παύλου ἀόριστά ἐστι. τίς ὁ πλοῦτος, φησί, τῆς δόξης τοῦ μυστηρίου τούτου ἐν τοῖς ἔθνεσιν, ὅς ἐστι Χριστὸς ἐν ὑμῖν; πάλιν ἔδει μαθεῖν, ὅτι ὁ πάντων ἀνώτερος, καὶ ὁ ἀγγέλων ἀρχῶν, καὶ τῶν ἄλλων ἁπασῶν δυνάμεων κρατῶν, κατέβη κάτω, καὶ ἄνθρωπος γέγονε, καὶ μυρία ἔπαθε, καὶ ἀνέστη, καὶ ἀνελήφθη. ταῦτα πάντα μυστήρια ἦν, καὶ μετ' ἐγκωμίων τίθησι λέγων, ὅς ἐστι Χριστὸς ἐν ὑμῖν. εἰ δὲ ἐν ὑμῖν ἐστι, τί ἀγγέλους ζητεῖτε διδασκάλους τοῦ μυστηρίου τούτου; ἔστι γὰρ καὶ ἄλλο μυστήριον. ἀλλὰ τοῦτο ὄντως μυστήριον, ὃ οὐδεὶς οἶδεν, ὅ ἐστι θαυμαστόν, ὃ παρὰ τὴν κοινὴν προσδοκίαν, ὃ ἐκρύπτετο, ὅς ἐστι Χριστὸς ἐν ὑμῖν, φησίν, ἡ ἐλπὶς τῆς δόξης, ὃν ἡμεῖς καταγγέλλομεν, ἄνωθεν αὐτὸν φέροντες. ὃν ἡμεῖς, οὐκ ἄγγελοι. διδάσκοντες καὶ νουθετοῦντες, οὐκ ἐπιτακτικῶς, οὐδὲ μετὰ ἀνάγκης. καὶ γὰρ καὶ τοῦτο τῆς τοῦ Θεοῦ φιλανθρωπίας, τὸ μὴ τυραννικῶς προσάγεσθαι. ἐπεὶ δὲ, διδάσκοντες, μέγα ἦν, ἐπήγαγε, νουθετοῦντες, ὅπερ ἦν μᾶλλον πατρὸς ἢ διδασκάλου. ὃν ἡμεῖς, φησί, καταγγέλλομεν, νουθετοῦντες πάντα ἄνθρωπον, καὶ διδάσκοντες πάντα ἄνθρωπον ἐν πάσῃ σοφίᾳ· τουτέστι, μετὰ πάσης σοφίας καὶ συνέσεως, ἢ πάντα ἐν σοφίᾳ λέγοντες. ὥστε σοφίας δεῖ πάσης. τὸ γὰρ τὰ τοιαῦτα δυνηθῆναι μαθεῖν, οὐ τῶν τυχόντων ἐστίν. ἵνα παραστήσωμεν πάντα ἄνθρωπον τέλειον ἐν Χριστῷ Ἰησοῦ. τί λέγεις; πάντα ἄνθρωπον; ναί, φησί, τοῦτο σπουδάζομεν. τί γάρ; εἰ καὶ μὴ γέγονε τοῦτο, ἐσπούδαζεν ὁ

μακάριος

γ. ἀθρόον

γ. αἰχμάλωτοι

γ. ὅρα

Digitized by Google

νοδοξία, ἐπιθυμία, ἀλογία, θυμός, βασκανία· οὕτω καὶ ἐν τοῖς Ἰουδαίοις πάντα ταῦτα ἐκράτει. ἐνέπτυον, ἔτυπτον τὸν Μωϋσέα. καὶ καθάπερ παιδίον λαμβάνει λίθον, καὶ πάντας βοῶμεν, ὦ μὴ ῥίψῃς, οὕτω καὶ ἐκεῖνοι λίθους ἐλάμβανον κατὰ τοῦ πατρός, ὁ δὲ ἔφευγε. καὶ καθάπερ εἰ κόσμον τινὰ ἔχοι ὁ πατήρ, τοῦτον δὲ παιδίον αἰτεῖ παρ' αὐτοῦ φιλόκοσμον ὄν, οὕτω δὴ οἱ περὶ Δαθὰν καὶ Ἀβειρὼν πεποιήκασι τῇ ἱερωσύνῃ ἐπιμανέντες. καὶ βάσκανοι δὲ μάλιστα πάντων ἦσαν, καὶ μικρόψυχοι, καὶ κατὰ πάντα ἀτελεῖς. ὅτι δὲ οὐκ ἔδει φαυλίσαι τὸν Χριστόν, εἰπέ μοι· τότε τὰ διατάγματα ταῦτα δοῦναι τὰ φιλόσοφα, ὅτε ἐμαίνοντο ὑπὸ τῆς ἐπιθυμίας, (γρ. διδάγματα) ὅτε ἵπποι ἦσαν θηλυμανεῖς, ὅτε χρημάτων δοῦλοι, ὅτε γαστρός; ἀλλ' ἐξ ἀρχῆς ἔδει τὰ τῆς φιλοσοφίας διδάγματα ἀνοήτοις οὖσι διαλεγόμενος; καὶ οὔτε ταῦτα, οὔτε ἐκεῖνα ἔμαθον ἄν. καὶ ὥσπερ ὁ πρὸ τῶν στοιχείων ἀναγινώσκειν διδάσκων, οὐδέποτε οὐδὲ τὰ στοιχεῖα διδάξει, οὕτω δὴ καὶ τότε. ἀλλ' οὐ νῦν· ἀλλὰ τῇ χάριτι τοῦ Θεοῦ πολλὴ ἡ ἐπιείκεια, πολλὴ ἡ ἀρετὴ πανταχοῦ καταπεφύτευται. εὐεργετούμεθα οὖν ὑπὸ πάντων, καὶ μὴ πολυπραγμονῶμεν. τὸν γὰρ καιρὸν οὐχ ἡμεῖς ἴσμεν, ἀλλ' ὁ τοῦ καιροῦ ποιητής, καὶ τῶν αἰώνων δημιουργός. πάντων τοίνυν αὐτῷ παραχωρῶμεν. τοῦτο γάρ ἐστι δοξάζειν τὸν Θεόν, τὸ μὴ ἀπαιτεῖν εὐθύνας ὧν ποιεῖ. οὕτω καὶ Ἀβραὰμ δόξαν ἔδωκε τῷ Θεῷ, Πληροφορηθεὶς ὅτι ὃ ἐπήγγελται, δυνατός (Ρωμ. δ. κα.) ἐστι καὶ ποιῆσαι. ἐκεῖνος οὐδὲ τὸ μέλλον ἠρώτησεν· ἡμεῖς δὲ καὶ τῶν παρελθόντων ἐξετάζομεν (γρ. ζητοῦμεν) τὸν λόγον. ὅρα πόση ἡ ἄνοια; πόση ἡ ἀγνωμοσύνη; ἀλλὰ παυσώμεθα λοιπόν. οὐδὲν γὰρ ἀπὸ τούτου κέρδος, ἀλλὰ καὶ πολλὴ ἡ βλάβη. καὶ εὐγνωμόνως διατιθώμεθα περὶ τὸν ἡμέτερον δεσπότην, καὶ δόξαν ἀναπέμπωμεν τῷ Θεῷ ἵνα ὑπὸ πάντων τὴν εὐχαριστίαν ἀναφέροντες, τῆς παρ' αὐτοῦ φιλανθρωπίας ἀξιωθῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. ε. 26 ΤΟ ΜΥΣΤΗΡΙΟΝ ΤΟ ΑΠΟΚΕΚΡΥΜΜΕΝΟΝ
ἀπὸ τῶν αἰώνων καὶ ἀπὸ τῶν γενεῶν· νυνὶ δὲ ἐφανερώθη τοῖς ἁγίοις αὐτοῦ,
27 Οἷς ἠθέλησεν ὁ Θεὸς γνωρίσαι τίς ὁ πλοῦτος τῆς δόξης τοῦ μυστηρίου
ἐν τοῖς ἔθνεσιν, ὅς ἐστι Χριστὸς ἐν ὑμῖν, ἡ ἐλπὶς τῆς δόξης, 28 Ὃν ἡμεῖς
καταγγέλλομεν, νουθετοῦντες πάντα ἄνθρωπον, καὶ διδάσκοντες πάντα
ἄνθρωπον ἐν πάσῃ σοφίᾳ, ἵνα παραστήσωμεν πάντα ἄνθρωπον τέλειον ἐν
Χριστῷ Ἰησοῦ.

Ε Ἰπὼν ὧν ἐτύχομεν, καὶ δείξας τοῦ Θεοῦ τὴν φιλανθρωπίαν καὶ τὴν πολλὴν τιμὴν μετὰ τῶν δοθέντων, πάλιν ἑτέραν ἐπίτασιν εἰσάγει, ὅτι οὐδεὶς πρὸ ἡμῶν τις αὐτὸ ἔμαθεν· ὃ καὶ ἐν τῇ πρὸς Ἐφεσίους ποιεῖ λέγων, Οὔτε ἄγγελοι, οὔτε ἀρχαί, οὔτε ἄλλη τις κτιστὴ δύναμις, ἀλλὰ (Ἐφ. γ. ι.) μόνος ὁ τοῦ Θεοῦ υἱὸς ᾔδει. διὸ καὶ οὐχ ἁπλῶς κεκρυμμένον εἶπεν, ἀλλ', ἀποκεκρυμμένον. καὶ ὅτι οὐ νῦν γέγονεν, ἀλλὰ παλαιόν ἐστι, καὶ ἄνωθεν ταῦτα ὁ Θεὸς ἐβούλετο, καὶ οὕτω διετετύπωτο· διὰ τί δὲ οὐκ ἐδήλου λέγει. ἀπὸ τῶν αἰώνων, φησίν, ἐξ ἀρχῆς. καὶ μυστήριον εἰκότως καλεῖ, ὃ οὐδεὶς ᾔδει πλὴν ὁ Θεός. καὶ ποῦ κεκρυμμένον; ἐν τῷ Χριστῷ, ὥσπερ ἐν τῇ πρὸς Ἐφεσίους λέγει· ἢ ὥσπερ ὅταν λέγῃ ὁ (Ἐφεσ. γ. θ.) προφήτης, Ἀπὸ τοῦ αἰῶνος, καὶ ἕως τοῦ αἰῶνος σὺ εἶ. νυνὶ δὲ ἐφανερώθη, φησί, τοῖς ἁγίοις (Ψαλ. πθ. β.) αὐτοῦ. ὥστε τῆς τοῦ Θεοῦ οἰκονομίας ἐστὶ τὸ ὅλον. νυνὶ δέ, φησίν, ἐφανερώθη. οὐκ εἶπεν, ἐγένετο, ἀλλ' ἐφανερώθη τοῖς ἁγίοις αὐτοῦ. ὥστε καὶ νῦν ἐπικρύπτεται, εἴπερ τοῖς ἁγίοις ἐφανερώθη μόνοις. μὴ τοίνυν ὑμᾶς ἀπατάτωσαν ἐκεῖνοι. οὐ γὰρ ἴσασι. ἀλλὰ τί; μόνοις οἷς ἠθέλησε, φησίν. ὅρα πῶς πανταχοῦ ἐπιστομίζει τὰς ἐρωτήσεις αὐτῶν. οἷς ἠθέλησεν ὁ Θεός, φησί, γνωρίσαι. τὸ δὲ θέλειν αὐτοῦ, οὐκ ἄλογον. τοῦτο δὲ εἶπε χάριτος μᾶλλον ὑπευθύνους



Digitized by Google

καθάπερ μαθήματα διδοὺς, εἶτα ἀπαιτῶν, * καὶ οὐχ εὑρίσκων, ἐκόλαζεν. οἷόν τι λέγω·

* τὴν [illegible] ἀσάλευ[illegible]

γράμματα τῆς δυνάμεως τοῦ Θεοῦ ἦσαν γνωριστικὰ τὰ ἐν Αἰγύπτῳ. ναὶ, φησίν· ἀλλὰ
ταῦτα τὰ γράμματα τὰς πληγὰς ἐδήλου, καὶ ὅτι τοὺς ἐχθροὺς κολάζει, καὶ διδασκαλεῖον αὐτοῖς
ἦν ἀκριβές. τί γάρ ἦν ἄλλο ἡ κόλασις τῶν ἐχθρῶν, ἀλλ᾽ ἢ ἡμετέρα εὐεργεσία; ἄλλως δὲ καὶ
εὐηργέτει ἡμᾶς. καὶ τοῦτο γένοιτ᾽ ἂν, οἷον ἄν εἴ τις λέγῃ μὲν εἰδέναι τὰ στοιχεῖα, ἀποστάδην δὲ
ἐρωτώμενος μὴ εὑρίσκῃ, καὶ τύπτοιτο· οὕτω κἀκεῖνοι ἔλεγον μὲν εἰδέναι τὴν δύναμιν τοῦ
Θεοῦ, ἀποστάδην δὲ ἀπαιτούμενοι τὴν γνῶσιν, αὐτὴν οὐ παρεῖχον· διὸ καὶ ἐτύπτοντο. εἶδες ὕ-
δωρ; ὀφείλεις ἀναμνησθῆναι τοῦ ὕδατος τοῦ ἐν Αἰγύπτῳ. ὁ γὰρ ἀπὸ ὕδατος αἷμα ποιή-
σας, δυνήσεται καὶ τοῦτο ποιῆσαι· ὥσπερ καὶ ἡμεῖς λέγομεν πολλάκις τοῖς παιδίοις, ὅταν ἴδῃς ἐν
τῷ βιβλίῳ τὸ, α, στοιχεῖον, ἀναμνήσθητι ὅτι ἐν τῇ πινακίδι αὐτὸ εἶχες. εἶδες λιμόν; ἀναμνή-
σθητι ὅτι αὐτὸς ἦν ὁ τὰ γεννήματα ἀπολέσας. εἶδες πολέμους; ἀναμνήσθητι τοῦ καταποντι-
σμοῦ. εἶδες ὅτι μεγάλοι εἰσὶ τὴν γῆν οἰκοῦντες; ἀλλ᾽ οὐ τῶν Αἰγυπτίων μείζους. εἶτα ὁ
ἐκ μέσου αὐτῶν σε λαβὼν, οὐ πολλῷ μᾶλλον ἔξωθεν ὄντα σώσειεν ἄν; ἀλλ᾽ οὐκ ᾔδεσαν σκορ-
πιστὰ ἐρωτᾶσθαι τὰ στοιχεῖα· διὰ τοῦτο ἐτύπτοντο. ἔφαγον καὶ ἔπιον, καὶ ἀπελάκτισαν. ἔδει
ἐν τῷ μάννα μὴ ζητεῖν τρυφὴν, τὸ ἀπὸ ταύτης μαθόντας κακόν. καὶ ταῦτ᾽ ἐποίουν, οἷον
εἰ ἐλεύθερος παῖς εἰς διδασκαλεῖον πεμπόμενος, ἐπιζητοίη τὸ μετὰ τῶν δούλων ἄγεσθαι, καὶ
ὑπηρετεῖν αὐτοῖς, καὶ τὴν ἀναγκαίαν καὶ ἐλευθέραν παρεῖσαν τροφὴν λαβὼν, καὶ ἐν τῇ τοῦ
παιδὸς τραπέζῃ καθήμενος, τῶν τῶν οἰκετῶν ἀπολαύειν θέλοι τῆς δυσωδίας, τῆς ταραχῆς ἐμπε-

Ἐξοδ. ιθ.

πλησμένης· οὕτω καὶ οὗτοι Αἰγύπτιοι ἐζήτουν, καὶ ἔλεγον τῷ Μωσῇ, Ναὶ, κύριε, πάντα, ὅσα ἂν
εἴπῃς ποιήσομεν, καὶ ἀκουσόμεθα. καὶ ὅπερ ἐπὶ τῶν σφόδρα δυσδιορθώτων παίδων γίνεται, τοῦ

γρ. αὐτῶν

παιδὸς αὐτὸ ἀνελεῖν βουλομένου ὁ διδάσκαλος παραιτεῖται, συνεχῶς τοῦτο καὶ τότε ἐγίνετο.
τί δὴ ταῦτα ἡμῖν εἴρηται; ὅτι παίδων οὐδὲν διαφέρομεν. βούλει ἀκοῦσαι καὶ τὰ δόγματα αὐ-

Δευτ. ιθ. κα.

τῶν, πῶς παίδων ἐστίν; Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, φησί, καὶ ὀδόντα ἀντὶ ὀδόντος. εἰκότως.
οὐδὲν γὰρ οὕτω πρὸς ἄμυναν ὥρμηται, ὡς παιδικὴ διάνοια. ὅπου γὰρ ἀλογίας ἐστὶ τὸ
πάθος, πολλὴ δὲ ἡ ἀλογία, καὶ πολλὴ τοῦ λογισμοῦ ἡ ἐρημία ἐν ἐκείνῃ τῇ ἡλικίᾳ, εἰκότως τυ-
ραννεῖται ὑπὸ θυμοῦ τὸ παιδίον· καὶ τοσαύτη ἡ τυραννὶς τοῦ θυμοῦ, ὥστε πολλάκις προσ-
πταίσαντα καὶ διαπεσόντα, ἢ γόνυ τύπτειν ἀγανακτοῦντα, ἢ τὸ ὑποπόδιον ἀναστρέφειν, καὶ
οὕτως ἀναπαύειν αὐτῶν τὴν ὀδύνην καὶ τὴν ὀργὴν σβεννύναι. τοιοῦτόν τι καὶ ὁ Θεὸς ἐποίη-

γρ. προσπταίσαντα ἢ καταστρέφειν,

σεν, ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ δοὺς ἐκκόπτειν, καὶ ὀδόντα ἀντὶ ὀδόντος, καὶ Αἰγυπτίους ἀ-
ναιρῶν, καὶ Ἀμαληκίτας τοὺς λελυπηκότας αὐτούς. καὶ τοιαῦτα ἐπαγγέλλεται, ὥσπερ ἂν εἴποι
τις, πάτερ, ὁ δεῖνα με ἐτύπτησεν· εἶτ᾽ ἐρεῖ ὁ πατὴρ, κακὸς ἄνθρωπος ὁ δεῖνα, καὶ μισήσωμεν αὐ-

Ἐξοδ. κγ. κϛ.

τόν· οὕτω καὶ ὁ Θεὸς, Τοῖς ἐχθραίνουσί σοι, φησίν, ἐχθρεύσω, καὶ τοὺς μισοῦντάς σε μισήσω· καὶ
πάλιν, ὅτε ὁ Βαλαὰμ ηὔχετο, παιδικὴ ἦν ἡ συγκατάβασις ἡ γεγονυῖα αὐτοῖς. καθάπερ
γὰρ ἐπὶ τῶν παιδίων, ὅταν τι τῶν οὐ φοβερῶν ἴδωσιν, οἷον ἢ ἔρεον, ἢ ἄλλο τι τοιοῦτον, ἐξαίφ-
νης φοβοῦνται· ὥστε δὲ μὴ ἐναπομεῖναι αὐτοῖς τὸν φόβον, ἄγομεν ὑπὸ τὰς ἐκείνων χεῖρας
αὐτὸ, καὶ πτῆθας ποιοῦμεν ὑποδεικνύειν, οὕτω καὶ ὁ Θεὸς ἐποίησεν. ἐπειδὴ γὰρ φοβερὸς ἦν ὁ
μάντις, ἔστρεψεν αὐτοῖς τὸν φόβον εἰς θάρσος. καὶ καθάπερ τὰ ἀπογαλακτιζόμενα τῶν παιδίων
ἐν καλαθίσκοις πάντα ἔχουσιν, οὕτω κἀκείνοις πάντα ἐδίδου, καὶ πολλὴν τὴν τρυφὴν ἐχορήγει.
ἀλλὰ ὡς παιδίον τὴν θηλὴν ἐπιζητεῖ, οὕτω καὶ οὗτοι τὴν Αἴγυπτον, καὶ τὰ ἐκεῖ κρέα· ὥστε καὶ διδά-
σκαλον, καὶ τροφέα, καὶ παιδαγωγὸν οὐκ ἄν τις ἁμάρτοι τὸν Μωϋσέα προσειπών. πολλὴ γὰρ ἡ σο-
φία τοῦ ἀνδρός. οὐκ ἔστι δὲ ἴσον ἀνδρῶν ἤδη φιλοσοφεῖν δυναμένων ἡγεῖσθαι, καὶ παίδων ἀλογί-
στων ἄρχειν. καὶ, εἰ βούλεσθε, καὶ ἑτέρων τι ἀκούσατε. καθάπερ ἡ τροφὸς τῷ παιδίῳ λέγει, ὅ-
ταν ἀποπατήσῃς, ἀνάστειλόν σου τὰ ἱμάτια, καὶ μέχρι τοσούτου, ὅταν καθίζῃς· οὕτω καὶ ὁ Μωϋσῆς
ἐποίει. καὶ ὥσπερ πάντα τὰ πάθη τυραννεῖ ἐν τοῖς παισὶν (οὐδέπω γὰρ ἔχει τὸν ἡνίοχον) κε-
νοδοξία,

τός; μὴ τοῦτο ἀφῶμεν λέγειν αὐτόν, ἀλλ', Εἰ μὴ κατώρθωσεν, ἐρωτῶμεν. ὥσπερ γὰρ εἰ δὲ παρὰ τὴν ἀρχὴν ἦλθε καὶ μὴ κατώρθωσεν, οὐκ ἤρκει ἡμῖν πρὸς ἀπολογίαν ὁ καιρός· οὕτως, ἐπεὶ κατώρθωσεν, οὐκ ἂν εἴημεν δίκαιοι τοῦ καιροῦ τὰς εὐθύνας ὑπέχειν. οὐδὲ γὰρ ἰατρόν τις τὴν νόσον λύσαντα καὶ ἐπὶ ὑγείαν ἀγαγόντα ἀπαιτεῖ τῆς ἰατρείας τὰς εὐθύνας, οὐδὲ στρατηγὸν νενικηκότα τις ἐξετάζει, διατί τῷδε τῷ καιρῷ, καὶ διατί ἐν τῷδε τῷ τόπῳ. ταῦτα γὰρ, μὴ κατορθωσάντες, ἦν ἐρωτᾷν· κατορθωσάντος δὲ, καὶ ἀποδέχεσθαι. τίς γὰρ, εἰπέ μοι, ἀξιοπιστότερος; ὁ σὸς λογισμὸς καὶ ἡ συκοφαντία, ἢ ἡ τοῦ πράγματος τελειότης; ἐνίκησεν, ἢ οὐκ ἐνίκησε; τοῦτο δεῖξον. ἐκράτησεν, ἢ οὐκ ἐκράτησεν; ἐξήγαγεν εἰς τέλος ἅπερ εἶπεν, ἢ οὔ; αὗται εἰσὶν αἱ εὐθῦναι. Εἰπὲ δή μοι· Θεὸν πάντως ὁμολογεῖς εἶναι, εἰ καὶ μὴ Χριστόν. ἐρωτῶ δή σε· ἄναρχος ὁ Θεός; πάντως ἐρεῖς. Εἰπὲ δή μοι, διατί μὴ πρὸ μυρίων ἐτῶν τὸν ἄνθρωπον ἐποίησε; πλείονα γὰρ ἔμελλον ζήσεσθαι χρόνον. Εἰ γὰρ καλὸν τὸ εἶναι, πολλῷ μᾶλλον τὸ ἐπιπλέον εἶναι. νῦν δὲ ἐζημιώθησαν, οἱ οὐκ ἐγένοντο πρότερον. ἀλλ' οὐκ ἐζημιώθησαν. τὸ δὲ πῶς, αὐτὸς οἶδεν ὁ πεποιηκώς. πάλιν σε ἐρωτῶ, διατί μὴ πάντας ἀθανάτους ἐποίησεν, ἀλλ' ἡ μὲν τοῦ δεῖνος ψυχὴ τοῦ πρώτου γενομένου τοσαῦτα ἔτη ἔχει οὖσα, ἡ δὲ ἑτέρα νῦν πλάττεται, ἢ μηδέπω γενομένη; διατί τὸν μὲν πρότερον, τὸν δὲ ὕστερον ἐποίησεν εἰς τόνδε παραχθῆναι τὸν κόσμον; ἔστι τοιαῦτα οὕτως ζητήσεως ἄξια, ἀλλ' οὐ πολυπραγμοσύνης. τοῦτο γὰρ οὐδὲ ζητήσεως. ἐγὼ δὲ ἐρῶ τὴν αἰτίαν ἥνπερ εἶπον. ὑπόθου γάρ μοι τὴν ἀνθρωπίνην φύσιν ὥσπερ μίαν τινὰ ἡλικίαν, καὶ τὸν μὲν πρότερον χρόνον μειρακίου τάξιν ἔχειν τὸν πρὸ τοῦ ἡμετέρου, τὸν δὲ μετ' ἐκεῖνο νεανίσκου, τοῦτον δὲ τὸν ἑξῆς τοῦ γήρως πρεσβύτου. λοιπὸν ὅταν ἡ ψυχὴ ἀκμάζῃ, τῶν τοῦ σώματος μελῶν χαλασθέντων, καὶ τοῦ πολέμου λυθέντος, τότε ἤγαγεν αὐτὴν ἐπὶ τὴν φιλοσοφίαν. καὶ μὴν τοὐναντίον, φησί· μειράκια ὄντα διδάσκομεν*, ἀλλ' οὐ τὰ μεγάλα δόγματα, ἀλλὰ ῥητορείαν, ἀλλὰ δεινότητα λόγων· ταῦτα μὲν δὴ, ὅταν ἀκμάζοντα γένηται. ὅρα καὶ τὸν Θεὸν ταῦτα ποιοῦντα ἐπὶ τῶν Ἰουδαίων. καθάπερ γὰρ παιδίοις τοῖς Ἰουδαίοις, γραμματιστὴν τὸν Μωϋσέα οὕτως αὐτοῖς ἐπέστησε, καὶ ὡς παιδία, οὕτως αὐτοὺς διήγαγεν ἐκεῖνος σκιαγραφῶν, καθάπερ ἡμεῖς τὰ στοιχεῖα. Σκιὰν γὰρ ἦν ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων. καθάπερ οὖν ἡμεῖς τοῖς παιδίοις καὶ πλακοῦντας ὠνούμεθα, καὶ ἀργύρια δίδομεν, ἓν μόνον παρ' αὐτῶν ἀπαιτοῦντες, τὸ τέως βαδίζειν ἐπὶ τὸ διδασκαλεῖον· οὕτω καὶ ὁ Θεὸς τότε καὶ πλοῦτον ἔδωκε καὶ τρυφὴν, ἓν παρ' αὐτῶν ὠνούμενος μόνον διὰ τῆς πολλῆς συγχωρήσεως, τὸ ἀκούειν Μωϋσέως. διὰ τοῦτο αὐτοὺς διδασκάλῳ παρέδωκεν, ἵνα μὴ αὐτοῦ καταφρονῶσιν, ἀλλὰ προσέχωνται καθάπερ παιδὸς φιλοστόργου. ὅρα γὰρ πῶς ἐκεῖνον μόνον ἐδεδοίκεσαν. οὐ γὰρ εἶπον, ποῦ ἐστιν ὁ Θεός; ἀλλὰ, ποῦ ἐστι Μωϋσῆς; καὶ παρ' αὐτῶν μόνον φοβερὸς ἦν. ὅτε γοῦν κακῶς ἔπραξαν, ὅρα πῶς αὐτοὺς ἐκόλασεν. ὁ μὲν γὰρ Θεὸς αὐτοὺς ἀποκηρύξαι ἐβούλετο, αὐτὸς δὲ οὐκ ἀφίησι· μᾶλλον δὲ τὸ ὅλον τοῦ Θεοῦ γέγονε, καθάπερ παιδὸς ἀπειλοῦντος· ἐκείνου δὲ αὐτὸν οἰονεὶ διδασκάλου παραιτουμένου, καὶ λέγοντος· ἐπὶ ἐμοὶ συγχώρησον, καὶ ἐκ τοῦ νῦν ἀναδέχομαι. οὕτως ἐγίνετο διδασκαλεῖον ἡ ἔρημος. καὶ καθάπερ παιδία χρονίσαντα ἐπὶ τῆς διατριβῆς ἀναχωρῆσαι βούλεται, οὕτω καὶ ἐκεῖνοι τότε συνεχῶς τὴν Αἴγυπτον ἐζήτουν, καὶ ἔκλαιον λέγοντες, Ἀπολώλαμεν, ἐξανηλώμεθα, παραπολώλαμεν. καὶ τὴν πινακίδα αὐτῶν συνέτριψεν ὁ Μωϋσῆς, ἐφ' ἧς γράψας αὐτοῖς ἦν καθάπερ ὀνόματά τινα, ταὐτὸ ποιῶν, ὅπερ καὶ διδάσκαλος ποιήσειεν ἄν, τὴν δέλτον λαβὼν, καὶ ἰδὼν κακῶς γεγραμμένην, καὶ αὐτὴν ῥίπτει τὴν δέλτον, πολὺν τὸν θυμὸν ἐνδείξασθαι βουλόμενος. κἂν κατεάξῃ, ὁ πατὴρ οὐ χολᾷ. αὐτὸς μὲν γὰρ ἐνέκειτο γράφων· ἐκεῖνοι δὲ οὐχ ὁρῶντες εἰς αὐτὸν, ἀλλ' ἑτέρωθι ἐστραμμένοι ἠτάκτουν· καὶ καθάπερ ἐν τῇ διατριβῇ ἀλλήλους τύπτουσι τὰ παιδία, οὕτω καὶ τότε ἀλλήλους τύπτειν ἐκέλευσε καὶ διώρισε. καὶ πάλιν

γρ. αὐτὸν ἀπαιτεῖ.

* τὰ παιδία

γρ. μείζω

γρ. καὶ καθάπερ παιδίοις ταῦτα ἔπραττεν αὐτός.

Ἑβρ. ι.

Ἐξοδ. 15.

Λευϊ. 16.

λέγει ὅτι διὰ τόνδε ταῦτα ποιῶ. ὥστε οὐκ ἐπαισχύνεται καὶ ταῦτα αὐτοῦ παθήματα λέγειν. οὐ γὰρ μόνον ἀπέθανεν ὑπὲρ ἡμῶν, ἀλλὰ καὶ μετὰ τὸ ἀποθανεῖν ἕτοιμός ἐστι θλιβῆναι δι' ἡμᾶς. ἐφιλονείκησε καὶ ἐβιάσατο δεῖξαι αὐτὸν καὶ νῦν κινδυνεύοντα ὑπὲρ τῆς ἐκκλησίας διὰ τοῦ ἰδίου σώματος. καὶ πρὸς ἐκεῖνο ἀποτείνεται, ὅτι οὐ δι' ἡμῶν προσαίτεσθε, ἀλλὰ δι' αὐτοῦ, κἂν ἡμεῖς ταῦτα ποιῶμεν. οὐ γὰρ οἰκεῖον ἔργον ἀνεδεξάμεθα, ἀλλὰ τὸ ἐκείνου. καὶ ταὐτόν ἐστιν, ὥσπερ ἂν εἴ τις τάξις λαχοῦσα στρατηγὸν τὸν ὑπερασπίζοντα αὐτῆς, καὶ ἐν τῷ πολέμῳ στήκοι, εἶτα ἀπελθόντος ἐκείνου, ὁ ὑποστράτηγος τὰ ἐκείνου τραύματα ἀναδέξοιτο μέχρι τοῦ λυθῆναι τὸν πόλεμον. Εἶτα ὅτι καὶ δι' αὐτὸν ταῦτα ποιεῖ, ἄκουσον. ὑπὲρ τοῦ σώματος αὐτοῦ, φησί· τοῦτο θέλων εἰπεῖν, ὅτι οὐχ ὑμῖν χαρίζομαι, ἀλλὰ τῷ Χριστῷ. ἃ γὰρ ἐκεῖνον ἔδει παθεῖν, ἐγὼ πάσχω ἀντ' αὐτοῦ. ὅρα πόσα κατασκευάζει. δείκνυσι πολὺ τὸ φίλτρον. ὥσπερ ἐν τῇ δευτέρᾳ πρὸς Κορινθίους ἐπιστολῇ γράφων ἔλεγεν, Εἰ ἡμῖν ἔθετο τὴν διακονίαν τῆς καταλλαγῆς· καὶ πάλιν, Ὑπὲρ Χριστοῦ πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν· τοῦτο καὶ ἐνταῦθά φησιν, ὑπὲρ αὐτοῦ πάσχω, ἵνα μᾶλλον αὐτὸν ἐπισπάσηται· τουτέστιν, εἰ καὶ ὁ ὀφείλων ὑμῖν ἀπῆλθεν, ἀλλ' ἐγὼ ἀποδίδωμι. διὰ γὰρ τοῦτο καὶ ὑστερήματα εἶπεν, ἵνα δείξῃ ὅτι οὐδὲ τὸ πᾶν ἡγεῖται οὐδέπω πεπονθέναι ὑπὲρ ὑμῶν· φησί, καὶ μετὰ θάνατον πάσχει, εἴ τι ἐπ' ἐλλείμματα ἔμεινε. τοῦτο ἐν τῇ πρὸς Ῥωμαίους ἑτέρως ποιεῖ λέγων, Ὃς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν, δεικνὺς ὅτι οὐκ ἠρκέσθη τῷ θανάτῳ μόνον, ἀλλὰ καὶ μετὰ ταῦτα μυρία ποιεῖ. οὐ τοίνυν ἑαυτὸν ἐπαίρων ταῦτα λέγει, ἀλλὰ τὸν Χριστὸν δεῖξαι βουλόμενος ἔτι καὶ νῦν ὑπὲρ αὐτῶν φροντίζοντα· καὶ τὸν λόγον ἀξιόπιστον δείκνυσι τῷ ἐπαγαγεῖν, ὑπὲρ τοῦ σώματος αὐτοῦ. ὅτι γὰρ οὕτως ἔχει, καὶ οὐδὲν ἀπεικός, δῆλον ἐκ τοῦ ὑπὲρ τοῦ σώματος αὐτοῦ ταῦτα γίνεσθαι. ὅρα πῶς ἡμᾶς συνῆψεν ἑαυτῷ. τί τοίνυν ἐπεισάγετε διὰ μέσου ἀγγέλους; ἧς ἐγὼ ἐγενόμην, φησί, διάκονος. τί ἑτέρους ἐπεισάγετε ἀγγέλους; ἐγὼ εἰμὶ διάκονος. Εἶτα δείκνυσιν ὅτι οὐδὲν αὐτὸς ἐποίησεν εἴ γε διάκονός ἐστιν.

[Margin: β. Κορ. ε. ιη. κ. — Ρωμ. η λδ. — γ. ἔχοντα — γ. ἑστῶτι]

25 Ἧς ἐγενόμην ἐγώ, φησί, διάκονος κατὰ τὴν οἰκονομίαν τοῦ Θεοῦ τὴν δοθεῖσάν μοι εἰς ὑμᾶς, πληρῶσαι τὸν λόγον τοῦ Θεοῦ. Οἰκονομίαν. ἤτοι τοῦτό φησιν, ὅτι οὕτως ἠθέλησεν, αὐτοῦ ἀπελθόντος, ἡμᾶς διαδέξασθαι τὴν οἰκονομίαν, ἵνα μὴ ὡς ἐγκαταλελειμμένοι διάκεισθε (αὐτὸς γάρ ἐστιν ὁ παθών, αὐτὸς ὁ πρεσβεύων) ἢ τοῦτό φησιν, ὅτι ἐμὲ τὸν μάλιστα πάντων διώκτην διὰ τοῦτο εἴασε δεῖξαι, ἵνα ἀξιόπιστος ὦ κηρύσσων· ἢ οἰκονομίαν φησίν, ὅτι οὐκ ἔργα ἐζήτησεν, οὐδὲ πράξεις, οὐδὲ κατορθώματα, ἀλλὰ πίστιν καὶ βάπτισμα. οὐ γὰρ ἂν ἑτέρως ἐδέξασθε τὸν λόγον. Εἰς ὑμᾶς, φησί, πληρῶσαι τὸν λόγον τοῦ Θεοῦ. περὶ τῶν ἐθνῶν * λέγει, δεικνὺς αὐτοὺς ἔτι σαλευομένους τῷ εἰπεῖν, πληρῶσαι. τὸ γὰρ ἔθνη ἀπερριμμένα δυνηθῆναι τοσοῦτον ὕψος δογμάτων δέξασθαι, οὐχὶ Παύλου ἦν, ἀλλ' οἰκονομίας τῆς τοῦ Θεοῦ· ἐπεὶ ἐγὼ οὐκ ἂν ἴσχυσα, φησί. δείξας δὲ τὸ μεῖζον, τὰ αὐτοῦ παθήματα τοῦ Χριστοῦ ὄντα, τότε τὸ σαφέστερον ἐπάγει, ὅτι καὶ τοῦτο τοῦ Θεοῦ ἐστι, τὸ πληρῶσαι τὸν λόγον εἰς ὑμᾶς. καὶ δείκνυσιν ἐνταῦθα [οὐ] φανερῶς, ὅτι καὶ τοῦτο οἰκονομίας, τὸ νῦν λεχθῆναι ὅτι δύνασθε ἀκούειν. ἀλλ' οὐκ ἀμελείας, ἀλλ' ὥστε δεκτικοὺς γενέσθαι. ὁ γὰρ Θεὸς οὐκ ἀθρόως πάντα ποιεῖ, ἀλλὰ κέχρηται συγκαταβάσει διὰ τὴν πολλὴν αὐτοῦ φιλανθρωπίαν. καὶ τοῦτο αἴτιον τοῦ νῦν παραγενέσθαι τὸν Χριστόν, ἀλλὰ μὴ πάλαι. οὕτω καὶ δείκνυσιν ἐν τῷ εὐαγγελίῳ ὅτι διὰ τοῦτο τοὺς δούλους ἀπέστειλε προτέρους, ἵνα μὴ ἐπὶ τὸν φόνον ἔλθωσι τοῦ υἱοῦ. Εἰ γὰρ οὐδὲ μετὰ τοὺς δούλους ἐλθόντα τὸν υἱὸν ᾐδέσθησαν, πολλῷ μᾶλλον πρὸ τούτων. Εἰ τῶν ἐλαττόνων οὐκ ἤκουον προσταγμάτων, πῶς τῶν μειζόνων ἤκουσαν ἄν; τί οὖν φησιν; οὐκ εἰσὶν Ἰουδαῖοι καὶ νῦν, καὶ Ἕλληνες ἀτελέστερον διακείμενοι; τοῦτο λοιπὸν ὑπερβολὴ ῥαθυμίας. τὸ γὰρ μετὰ τοσοῦτον χρόνον, μετὰ τοσαῦτα διδάγματα ἔτι μένειν ἀτελεῖς, πολλῆς νωθείας ἐστίν. ὅταν οὖν λέγωσιν Ἕλληνες, διὰ τί νῦν ἦλθεν ὁ Χρι-

[Margin: * τοῦτο]

κατήλλαξεν ἐν τῷ σώματι τῆς σαρκὸς αὐτοῦ διὰ τοῦ θανάτου, παραστῆσαι ὑμᾶς ἁγίους καὶ ἀμώμους καὶ ἀνεγκλήτους κατενώπιον αὐτοῦ. ἐνταῦθα τίθησι καὶ τὸν τρόπον τῆς καταλλαγῆς, ὅτι ἐν τῷ σώματι, καὶ ὅτι οὐχ ἁπλῶς πληγεὶς, οὐδὲ μαστιχθεὶς, [οὐδὲ πραθεὶς,] ἀλλὰ καὶ ἀποθανὼν τῷ αἰσχίστῳ θανάτῳ. πάλιν τοῦ σταυροῦ μέμνηται, καὶ πάλιν ἑτέραν τίθησιν εὐεργεσίαν. οὐ γὰρ ἀπήλλαξε μόνον, ἀλλὰ καὶ * ὅ φησιν αἰωνίως, Τῷ ἱκανώσαντι ἡμᾶς, τοῦτο δὴ καὶ ἐνταῦθα αἰνίττεται. διὰ τοῦ θανάτου αὐτοῦ, φησι, παραστῆσαι ὑμᾶς ἁγίους καὶ ἀμώμους καὶ ἀνεγκλήτους κατενώπιον αὐτοῦ. οὐ γὰρ δὴ μόνον τῶν ἁμαρτημάτων ἀπήλλαξεν, ἀλλὰ καὶ ἐν τοῖς εὐδοκιμηκόσι κατέστησεν. οὐ γὰρ ἵνα κακῶν ἀπαλλάξῃ μόνον τοσαῦτα ἔπαθεν, ἀλλ' ἵνα καὶ τῶν προφητῶν ἐπιτύχωμεν· ὥσπερ ἂν εἴ τις καταδίκους μὴ μόνον τῆς τιμωρίας ἐλευθερώσῃ, ἀλλὰ καὶ εἰς τιμὴν ἀναγάγῃ. καὶ τοῖς οὐδὲν ἡμαρτηκόσιν ἐγκατέταξε. μᾶλλον δὲ οὐ τοῖς μὴ ἡμαρτηκόσι μόνον, ἀλλὰ καὶ τοῖς κατορθωκόσι τὰ μέγιστα. καὶ τὸ δὴ μεῖζον, ὅτι ἁγιωσύνην τὴν κατενώπιον αὐτοῦ δέδωκε. τὸ δὲ ἀνέγκλητοι, ἐπίτασις τοῦ ἀμώμου. ἀνέγκλητος γὰρ τότε λέγεται, ὅταν μηδὲ μέχρι καταγνώσεως, μηδὲ μέχρι ἐγκλήματός τι πεπραγμένον ἡμῖν. ἀλλ' ἐπειδὴ τὸ ὅλον αὐτοῦ τέθεικεν εἰπὼν, ὅτι διὰ τοῦ θανάτου ταῦτα κατώρθωσεν, ἵνα μή τις εἴπῃ, ἐκ τοῦ οἴκοι οὐδενὸς χρήζομεν, διὰ τοῦτο ἐπήγαγεν·

23 Εἴγε ἐπιμένετε τῇ πίστει τεθεμελιωμένοι καὶ ἑδραῖοι, καὶ μὴ μετακινούμενοι ἀπὸ τῆς ἐλπίδος τοῦ εὐαγγελίου. Τὴν ῥᾳθυμίαν αὐτῶν ἐνταῦθα ἐπικόπτει. καὶ οὐχ ἁπλῶς εἶπεν, ἐπιμένετε. ἔστι γὰρ ἐπιμένειν σαλευόμενον, καὶ διχοστατοῦντα. ἔστι ἑστάναι καὶ μένειν περιφερόμενον. εἴπερ ἐπιμένετε, φησὶ, τεθεμελιωμένοι, καὶ ἑδραῖοι, καὶ μὴ μετακινούμενοι. βαβαὶ, ἡλίκῃ κέχρηται λέξει· οὐ μόνον μὴ σαλευόμενοι, φησιν, ἀλλὰ μηδὲ κινούμενοι. καὶ ὅρα. οὐδὲν φορτικὸν πως τίθησιν, οὐδὲ ἐπίπονον, ἀλλὰ πίστιν καὶ ἐλπίδα· τουτέστιν, ἐὰν μὴ ἀπιστοῦντες, ὅτι ἀληθὴς ἡ ἐλπὶς τῶν μελλόντων. ἐνταῦθα μὲν γὰρ" δυνατὸν ἐπὶ δὲ τῆς ἀρετῆς οὐκ ἔνι μὴ μετασαλευθῆναι κἂν μικρόν. οὕτως οὐκ ἔστιν ἐπαχθής. ἀπὸ τῆς ἐλπίδος, φησὶ, τοῦ εὐαγγελίου, Οὗ ἠκούσατε, τοῦ κηρυχθέντος ἐν πάσῃ κτίσει τῇ ὑπὸ τὸν οὐρανόν. Τίς δέ ἐστιν ἡ ἐλπὶς τοῦ εὐαγγελίου, ἀλλ' ἢ ὁ Χριστός; αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν, καὶ πάντα ταῦτα ὁ ἐργασάμενος. ὥστε ὁ ἐπέρως ἐπιγράφων, μετακεκίνηται. πάντα γὰρ ἀπώλεσεν, ἐὰν μὴ εἰς τὸν Χριστὸν πιστεύῃ. ἠκούσατε, φησι. πάλιν αὐτοὺς φέρει μάρτυρας, εἶτα τὴν οἰκουμένην ἅπασαν. οὐ λέγει, τοῦ κηρυττομένου, ἀλλ', ἤδη τοῦ πιστευθέντος καὶ κηρυχθέντος. ὅπερ καὶ ἀρχόμενος ἐποίησεν, ἀπὸ τῆς τῶν πολλῶν μαρτυρίας καὶ τούτους στῆσαι βουλόμενος.

Οὗ ἐγενόμην ἐγὼ Παῦλος διάκονος. Καὶ τοῦτο εἰς τὸ ἀξιόπιστον συντελεῖ. ἐγὼ, φησι, Παῦλος διάκονος. μέγα γὰρ αὐτοῦ ἦν τὸ ἀξίωμα λοιπὸν πανταχοῦ ᾀδομένου, καὶ τῆς οἰκουμένης ὄντος διδασκάλου.

24 Νῦν χαίρω ἐν τοῖς παθήμασί μου ὑπὲρ ὑμῶν, καὶ ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου ὑπὲρ τοῦ σώματος αὐτοῦ, ὅ ἐστιν ἡ ἐκκλησία.

Καὶ ποία αὕτη ἀκολουθία; δοκεῖ μὲν ἀπηρτῆσθαι, πολλὴν δὲ ἔχει τὴν ἀκολουθίαν. καὶ διάκονός φησιν, αἰτία τοῦ, οὐδὲν παρ' ἐμαυτοῦ εἰσφέρων, ἀλλὰ τὰ ἑτέρου καταγγέλλων. οὕτω δὲ πιστεύω, ὅτι καὶ πάσχω ὑπὲρ αὐτοῦ· καὶ οὐ πάσχω μόνον, ἀλλὰ καὶ χαίρω πάσχων, πρὸς τὴν ἐλπίδα τὴν μέλλουσαν ἀφορῶν. καὶ πάσχω οὐχ ὑπὲρ ἐμαυτοῦ, ἀλλ' ὑπὲρ ὑμῶν. καὶ ἀνταναπληρῶ, φησι, τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου. δοκεῖ μὲν μέγα εἶναι ὅπερ ἐφθέγξατο, ἀλλ' οὐκ ἔστιν ἀπονοίας (μὴ γένοιτο) ἀλλὰ καὶ πολλῆς φιλοστοργίας τῆς περὶ τὸν Χριστόν. οὐ γὰρ βούλεται αὐτοῦ εἶναι, ἀλλ' ἐκείνου τὰ πάθη. οὕτω δὲ εἶπε, τούτους οἰκειώσασθαι αὐτῷ βουλόμενος. καὶ ἃ ἐγὼ πάσχω, δι' ἐκεῖνον πάσχω, φησίν. ὥστε μὴ ἐμοὶ χάριν ὁμολογεῖτε, ἀλλ' ἐκείνῳ. αὐτὸς γὰρ πάσχει ταῦτα. ὥσπερ ἂν εἴ τις πεμφθεὶς πρός τινα, ἔπειτα ἀξιώσειε λέγων, παρακαλῶ σε, ὑπὲρ ἐμοῦ ἀπελθεῖν πρὸς τόνδε· εἶτα ἐκεῖνος

Margin notes: * ἰσχύσαντι · Κολοσ. α. ιϛ. · γρ. ἀξιωθῆ · γρ. δυνατὸν ἀπὸ τῆς ἀρετῆς μετασαλευθῆναι κατὰ μικρόν· ἐκεῖ δὲ οὐκ ἔνι τοῦτο παθεῖν. οὕτως οὐκ ἔστιν ἐπαχθὴς παραινῶν. · γρ. ὁρῶν.



Digitized by Google

λαγῆς. τῶν πρέσβεις, οἷοίπερ ἂν ὦσι, διὰ τὸ τῆς πρεσβείας ἀξίωμα πολλῆς ἀπολαύουσι τῆς τιμῆς. ὅρα γάρ. εἰς μέσην βαρβάρων ἔρχονται τὴν γῆν μόνοι, μεταξὺ τοσούτων πολεμίων. καὶ ἐπειδὴ μεγάλα ὁ τῆς πρεσβείας ἰσχύει νόμος, πάντες αὐτοὺς τιμῶσι, πάντες εἰς αὐτοὺς ἀποβλέπουσι, πάντες μετὰ ἀσφαλείας ἐκπέμπουσι. καὶ ἡμεῖς τοίνυν πρεσβείας αὐτὸς δεξάμεθα λόγον, καὶ ἥκομεν παρὰ τοῦ Θεοῦ. τοῦτο γάρ ἐστι τὸ τῆς ἐπισκοπῆς ἀξίωμα. ἥκομεν πρὸς ὑμᾶς πρεσβεύοντες, ἀξιοῦντες καταλῦσαι τὸν πόλεμον, καὶ λέγομεν ἐπὶ τίσιν· οὐ πόλεις ἐπαγγελλόμενοι δώσειν, οὐδὲ σίτου μέτρα τόσα καὶ τόσα, οὐδὲ ἀνδράποδα, οὐδὲ χρυσίον, ἀλλὰ βασιλείαν οὐρανῶν, ζωὴν αἰώνιον, συνουσίαν τὴν μετὰ Χριστοῦ, τὰ ἄλλα ἀγαθά, ἃ μήτε εἰπεῖν δυνατὸν ἡμῖν, μήτε ὑμῖν ἀκοῦσαι, ἕως ἂν ἐν τῇ σαρκὶ ταύτῃ ὦμεν καὶ τῷ παρόντι βίῳ. πρεσβεύομεν τοίνυν· ἀπολαύειν δὲ βουλόμεθα τιμῆς· οὐ δι' ἡμᾶς (μὴ γένοιτο. ἴσμεν γὰρ αὐτῆς τὸ εὐτελές) ἀλλὰ δι' ὑμᾶς· ἵνα ὑμεῖς μετὰ σπουδῆς τὰ παρ' ἡμῶν ἀκούητε, ἵνα ὑμεῖς ὠφεληθῆτε, ἵνα μὴ μετὰ ῥαθυμίας ἢ ἀπροσεξίας προσέχητε τοῖς λεγομένοις. οὐχ ὁρᾶτε τοὺς πρέσβεις πῶς πάντες αὐτοὺς περιέπουσι; ἡμεῖς Θεοῦ πρέσβεις ἐσμὲν πρὸς ἀνθρώπους. εἰ δὲ προσίσαντες ὑμῖν τοῦτο, οὐχ ἡμεῖς, ἀλλ' αὐτὴ ἡ ἐπισκοπή· οὐχὶ ὁ δεῖνα, ἀλλ' ὁ ἐπίσκοπος. μηδεὶς ἐμοῦ ἀκουέτω, ἀλλὰ τοῦ ἀξιώματος. πάντα τοίνυν ποιῶμεν κατὰ τὸ τῷ Θεῷ δοκοῦν, ἵνα εἰς δόξαν Θεοῦ ζήσωμεν, καὶ καταξιωθῶμεν τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτόν, χάριτι καὶ φιλανθρωπίᾳ.

Λογ. δ. 21 ΚΑΙ ΥΜΑΣ ΠΟΤΕ ΕΧΘΡΟΥΣ ΟΝΤΑΣ ΚΑΙ ἀπηλλοτριωμένους τῇ διανοίᾳ ἐν τοῖς ἔργοις τοῖς πονηροῖς, 22 Νυνὶ δὲ ἀποκατήλλαξε τῷ σώματι τῆς σαρκὸς αὐτοῦ διὰ τοῦ θανάτου, παραστῆσαι ὑμᾶς ἁγίους καὶ ἀμώμους καὶ ἀνεγκλήτους κατενώπιον αὐτοῦ. γρ. -ξεν, ἐν τῷ σωμ.

ΕΝταῦθα λοιπὸν δείκνυσιν, ὅτι καὶ ἀναξίους ὄντας κατ' ἀγάπης κατήλλαξε. τὸ μὲν γὰρ εἰπεῖν, ὅτι ὑπὸ τὴν ἐξουσίαν τοῦ σκότους ἦσαν, δείκνυσι τὴν συμφορὰν, ἐν ᾗ ἦσαν. ἀλλ' ἵνα μὴ ἀκούσας ἐξουσίαν σκότους, ἀνάγκην νομίσῃς εἶναι, ἐπάγει· καὶ ὑμᾶς ὄντας ἀπηλλοτριωμένους· ὥστε δοκεῖ μὲν τὸ αὐτὸ λέγειν, οὐκ ἔστι δέ. οὐ γάρ ἐστιν ἴσον ἀνάγκῃ κακῶς παθόντα, καὶ ἑκόντα τοῦτο ὑπομείναντα ἀπαλλάξαι τῶν δεινῶν. ἐκεῖνος μὲν γὰρ ἐλεεῖσθαι ἄξιος, οὗτος δὲ μισεῖσθαι. ἀλλ' ὅμως ὑμᾶς, φησιν, οὐχὶ ἄκοντας, οὐδὲ ἀναγκαζομένους, ἀλλ' ἑκόντας καὶ μετὰ τοῦ βούλεσθαι ἀποπηδῶντας αὐτοῦ, καὶ ἀναξίους ὄντας ἀπήλλαξε. καὶ ἐπειδὴ τῶν ἐν τοῖς οὐρανοῖς ἐμνήσθη, δείκνυσιν ὅτι ἡ ἔχθρα πᾶσα ἐντεῦθεν εἶχε τὴν ἀρχὴν, οὐκ ἐκεῖθεν. ἐκεῖνοι μὲν γὰρ πάλαι ἐβούλοντο, καὶ ὁ Θεός· ὑμεῖς δὲ οὐκ ἠθελήσατε. καὶ δῆλον· δείκνυσι τοὺς ἀγγέλους μηδὲν ἰσχύσαντας ἐν τοῖς κάτω χρόνοις, εἴγε ἔμενον ἐχθροί, καὶ οὔτε πεῖσαι ἠδύναντο, οὔτε πεισθέντας ἀπαλλάξαι τοῦ διαβόλου. οὐδὲ γὰρ τὸ πεῖσαι εἶχέ τι κέρδος, τοῦ κατέχοντος μὴ ἀφιέντος· οὐδὲ τὸ δυνηθῆναι εἶχέ τι κέρδος, τῶν κατεχομένων μὴ βουλομένων ἐπανελθεῖν. ἀλλ' ἀμφότερα ἔδει, ὧν ἐκεῖνοι μὲν οὐδέν, ὁ Χριστὸς δὲ ἀμφότερα πεποίηκεν. ὥστε τὸ τὸν θάνατον λῦσαι, θαυμαστότερον τὸ πεῖσαι. ἐκεῖνο μὲν γὰρ ὅλον αὐτοῦ ἦν, καὶ αὐτὸς μόνος κύριος ἦν· τούτου δὲ οὐχὶ αὐτὸς μόνος, ἀλλὰ καὶ ἡμεῖς. εὐκολώτερον δὲ ταῦτα λύομεν, ὧν αὐτοὶ κύριοί ἐσμεν. ἅτε οὖν καὶ μεῖζον ὄν, ὕστερον αὐτὸ τίθησι. καὶ οὐχ ἁπλῶς εἶπεν, ἐχθραίνοντας, ἀλλὰ, ἀπηλλοτριωμένους, ὃ πολλῆς ἔχθρας ἐστίν· οὐδὲ ἀλλοτριουμένους, ἀλλὰ μηδὲ προσδοκῶντας ἐπανελθεῖν. καὶ ἐχθρούς, φησι, τῇ διανοίᾳ, διὰ τούτου δηλῶν, ὅτι οὐχὶ μέχρι τῆς προαιρέσεως μόνον ἡ ἀλλοτρίωσις ἦν αὐτῶν, ἀλλὰ τί; καὶ ἐν τοῖς ἔργοις τοῖς πονηροῖς. καὶ ἐχθροὶ ἦτε, φησι, καὶ τὰ τῶν ἐχθρῶν ἐπράττετε· νυνὶ δὲ ἀπο-

κατήλλαξεν

Digitized by Google

δι᾽ αὐτὸν καὶ δοῦλος ἐγένετο, καὶ ἐσφάγη· σὺ δὲ οὐδὲν αὐτὸν εἶναι νομίζεις; οὐκοῦν μάχη καὶ κατὰ τοῦ Θεοῦ, τὰς ἐναντίας αὐτῷ φέρων ψήφους. ὅταν εἰσέλθῃ ὁ τῆς ἐκκλησίας προεστὼς, εὐθέως λέγει· Εἰρήνη πᾶσιν· ὅταν ὁμιλῇ, Εἰρήνη πᾶσιν· ὅταν εὐλογῇ, Εἰρήνη πᾶσιν· ὅταν ἀσπάζεσθαι κελεύῃ, Εἰρήνη πᾶσιν· ὅταν ἡ θυσία τελεσθῇ, Εἰρήνη πᾶσι*. καὶ μεταξὺ πάλιν, χάρις ὑμῖν καὶ εἰρήνη. πῶς οὖν οὐκ ἄτοπον, εἰ τοσαυτάκις ἀκούοντες εἰρήνην ἔχειν, "ἐκπεπολεμώμεθα πρὸς ἀλλήλους, καὶ λαμβάνοντες καὶ ἀντιδιδόντες, τῷ διδόντι τὴν εἰρήνην πολεμοῦμεν; λέγεις, καὶ τῷ πνεύματί σου, καὶ διαβάλλεις αὐτὸν ἔξω; οἴμοι, ὅτι τὰ σεμνὰ τῆς ἐκκλησίας, σχήματα γέγονε" πραγμάτων μόνον, ἀλλ᾽ οὐκ ἀλήθειαι. οἴμοι, ὅτι μέχρι ῥημάτων τὰ σύμβολα μένει τοῦ στρατοπέδου τούτου. ὅθεν καὶ ἀγνοοῦντες διὰ τί λέγεται, Εἰρήνη πᾶσιν. ἀλλ᾽ ἀκούετε" τῶν ἑξῆς, ἅ φησιν ὁ Χριστός. Εἰς ἣν δ᾽ ἂν πόλιν ἢ κώμην εἰσέλθητε, εἰσερχόμενοι εἰς τὴν οἰκίαν ἀσπάσασθε αὐτήν. καὶ ἐὰν μὲν ᾖ ἡ οἰκία ἀξία, ἐλθέτω ἡ εἰρήνη ὑμῶν ἐπ᾽ αὐτήν· ἐὰν δὲ μὴ ᾖ ἀξία, ἡ εἰρήνη ὑμῶν πρὸς ὑμᾶς ἐπιστραφήτω. διὰ τοῦτο οὐκ ἴσμεν, ὅτι τύπον ῥημάτων νομίζομεν ταῦτα εἶναι, καὶ οὐ συνιέμεθα τῷ νῷ. μὴ γὰρ ἐγὼ δίδωμι τὴν εἰρήνην; ὁ Χριστὸς δι᾽ ἡμῶν φθέγγεσθαι καταξιοῖ. εἰ καὶ τῶν ἄλλων ἅπαντα χρόνον κενοὶ τῆς χάριτός ἐσμεν, ἀλλ᾽ οὐ νῦν δι᾽ ὑμᾶς. εἰ γὰρ εἰς ὄνον ἐνήργησε καὶ εἰς μάντιν ἡ τοῦ Θεοῦ χάρις, δι᾽ οἰκονομίαν καὶ τὴν τῶν Ἰσραηλιτῶν ὠφέλειαν· εὔδηλον ὅτι οὐδὲ εἰς ἡμᾶς παραιτήσεται ἐνεργεῖν, ἀλλ᾽ ἀνέξεται καὶ τοῦτο δι᾽ ὑμᾶς. μηδεὶς τοίνυν εἴπῃ, ὅτι "εὐτελὴς ἐγὼ, καὶ ταπεινὸς, καὶ οὐδενὸς ἄξιος λόγου· καὶ οὕτω μοι προσεχέτω. εἰμὶ γὰρ τοιοῦτος. ἀλλ᾽ ἀεὶ ἔθος τῷ Θεῷ διὰ τοὺς πολλοὺς καὶ τοῖς τοιούτοις ἐφίστασθαι. καὶ ἵνα μάθητε, τῷ Κάϊν κατηξίωσε λαλῆσαι διὰ τὸν Ἄβελ, τῷ διαβόλῳ διὰ τὸν Ἰὼβ, τῷ Φαραὼ διὰ τὸν Ἰωσὴφ, τῷ Ναβουχοδονόσορ διὰ τὸν Δανιὴλ, τῷ Βαλτάσαρ διὰ τὸν αὐτόν. καὶ μάγοι δι᾽ ἀποκαλύψεως ἔτυχον, καὶ Καϊάφας προεφήτευσε χριστοκτόνος ὢν καὶ ἀνάξιος, διὰ τὸ τῆς ἱερωσύνης ἀξίωμα. λέγεται καὶ Ἀαρὼν διὰ τοῦτο μὴ λεπρωθῆναι. διὰ τί γὰρ, εἰπέ μοι, ἀμφοτέρων καταλαλησάντων, ἐκείνη μόνη τὴν δίκην ἔδωκε; μὴ θαυμάσῃς. εἰ γὰρ ἐν τοῖς ἔξωθεν ἀξιώμασι, κἂν μυρία τις κατηγορῆται, οὐ πρότερον εἰς δικαστήριον ἄγεται, ἕως ἂν ἀποθῆται τὴν ἀρχὴν, ἵνα μὴ καὶ ἐκείνη μετ᾽ αὐτοῦ ὑβρίζηται· πολλῷ μᾶλλον ἐπὶ τῆς ἀρχῆς τῆς πνευματικῆς, κἂν ὁστισοῦν ᾖ, ἐνεργεῖ ἡ τοῦ Θεοῦ χάρις· ἐπεὶ "πάντα ἀπόλωλεν· ὅταν δὲ αὐτὴν ἀποθῆται, εἴτε ἀπηξιώθη, εἴτε καὶ* ἐν ζωῇ, τότε δὴ, τότε χαλεπωτέραν δώσει τὴν δίκην. μὴ δὴ νομίζετε παρ᾽ ἡμῶν ταῦτα λέγεσθαι. ἡ τοῦ Θεοῦ χάρις ἐστὶν ἡ καὶ εἰς ἀνάξιον ἐνεργοῦσα, οὐ δι᾽ ἡμᾶς, ἀλλὰ δι᾽ ὑμᾶς. ἀκούσατε οὖν τί φησιν ὁ Χριστός. Ἐὰν ᾖ ἡ οἰκία ἀξία, ἐλθέτω ἡ εἰρήνη ὑμῶν ἐπ᾽ αὐτήν. πῶς δὲ ἀξία ἐστί; ἐὰν δέξωνται ὑμᾶς, φησίν. Ἐὰν δὲ μὴ δέξωνται ὑμᾶς, μηδὲ ἀκούσωσι τῶν λόγων ὑμῶν, ἀμὴν λέγω ὑμῖν, ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόρρας ἐν ἡμέρᾳ κρίσεως, ἢ τῇ πόλει ἐκείνῃ. τί οὖν ὄφελος, ὅτι δέχεσθε ἡμᾶς, καὶ οὐκ ἀκούετε τῶν παρ᾽ ἡμῶν λεγομένων; τί δὲ κέρδος, ὅτι θεραπεύετε, καὶ οὐ προσέχετε τοῖς λεγομένοις ὑμῖν; ἐκείνη ἐστὶ τιμὴ ἡμῶν, ἐκείνη θεραπεία θαυμαστὴ, ἡ καὶ ἡμᾶς ὠφελοῦσα καὶ ὑμᾶς, ἐὰν ἡμῶν ἀκούητε. ἀκούετε καὶ τοῦ Παύλου λέγοντος, Οὐκ ᾔδειν, ἀδελφοὶ, ὅτι ἀρχιερεύς ἐστιν. ἄκουε καὶ τοῦ Χριστοῦ λέγοντος, Πάντα ὅσα ἂν λέγωσιν ὑμῖν τηρεῖν, τηρεῖτε καὶ ποιεῖτε. οὐκ ἐμοῦ καταφρονεῖς, ἀλλὰ τῆς ἱερωσύνης. ἂν ἴδῃς ταύτης γυμνὸν, τότε καταφρόνει· τότε οὐδὲ ἐγὼ ἀνέχομαι ἐπιτάττειν. ἕως δ᾽ ἂν ἐπὶ τοῦ θρόνου τούτου" καθήμεθα, ἕως ἂν τὴν προεδρίαν ἔχωμεν, ἔχομεν καὶ τὴν ἀξίαν καὶ τὴν ἰσχὺν, εἰ καὶ ἀνάξιοί ἐσμεν. εἰ ὁ Μωϋσέως θρόνος οὕτως ἦν αἰδέσιμος, ὡς δι᾽ ἐκεῖνον ἀκούεσθαι, πολλῷ μᾶλλον ὁ τοῦ Χριστοῦ θρόνος. ἐκεῖνον ἡμεῖς διεδεξάμεθα· ἀπὸ τούτου φθεγγόμεθα, ἀφ᾽ οὗ καὶ ὁ Χριστὸς ἔθετο ἐν ἡμῖν τὴν διακονίαν τῆς καταλλαγῆς.

Margin notes: * ἐπιλέγεται. — χ. ἐκπολεμούμεθα — χ. καὶ ῥήματα — χ. τὰ — χ. ἁπλῶς — χ. εἰ ὁ τυχὼν καὶ ὡς ἔτυχε, πάντα ἂν ἀπόλοιτο. — * μᾶλλον — χ. καθίμεθα

Ματθ. ι. ιβ. — Ματθ. ι. ιγ. — Πραξ. κγ. ε. — Ματθ. κγ. γ.

ἐπὶ ἀγγέλοις θαῤῥεῖτε, φησί; πόσον γὰρ ἀπέχουσιν ἐκεῖνοι πρὸς τὸ σῶσαι ὑμᾶς, ὅτι καὶ ἐκπεπολεμωμένοι ἦτέ ποτε καὶ, εἰ μὴ ὁ Θεὸς αὐτὸς ὑμᾶς ἐκείνοις κατήλλαξεν, οὐκ ἂν εἰρηνεύσατε. τί τοίνυν ἐκείνοις προστρέχετε; χ. εἰρηνεύσατε.

ΗΘΙΚΟΝ Βούλει μαθεῖν τῶν ἀγγέλων τὸ μῖσος ὅσον εἶχον πρὸς ἡμᾶς; καὶ πῶς ἀπεστρέφοντο αὐτούς; Εἰς τιμωρίαν ἐπέμποντο ἐπὶ τῶν Ἰσραηλιτῶν, ἐπὶ τοῦ Δαβίδ, ἐπὶ τῶν Σοδομιτῶν, ἐπὶ τῆς κοιλάδος τοῦ κλαυθμῶνος. ἀλλ' οὐ νῦν· ἀλλ' ἐξ ἐναντίας, ἐπὶ γῆς ᾔδεσαν σφόδρα χαίροντες· καὶ τούτους κατήγαγε πρὸς αὐτούς, καὶ τὸν ἄνθρωπον ἀνήγαγεν ἐκεῖ. καὶ θαῦμα καὶ τὸ παράδοξον. τούτους πρὸ τούτου κατήγαγεν ὧδε, καὶ τότε τὸν ἄνθρωπον ἀνήγαγε πρὸς αὐτούς. οὐρανὸς ἡ γῆ γέγονεν, ἐπειδὴ τὰ τῆς γῆς ἔμελλεν οὐρανὸς δέχεσθαι. διὰ τοῦτο εὐχαριστοῦντες λέγομεν, Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. ἰδού, ἴσ. αὐτοῖς ἔχαιρον.
Λουκ. 2. ιδ. φησί, καὶ ἄνθρωποι ἐφάνησαν εὐαρεστοῦντες λοιπόν. τί ἐστιν, εὐδοκία; καταλλαγή. οὐκέτι μεσότειχόν ἐστιν ὁ οὐρανός. τὸ πρότερον κατὰ ἀριθμὸν ἐθνῶν ἦσαν οἱ ἄγγελοι· νῦν δὲ οὐ κατὰ ἀριθμὸν
Δευτ. 32. η. ἐθνῶν, ἀλλὰ κατὰ ἀριθμὸν πιστῶν. πόθεν δῆλον; ἄκουε τοῦ Χριστοῦ λέγοντος· Ὁρᾶτε
Ματθ. 18. ι. μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων. οἱ γὰρ ἄγγελοι αὐτῶν διαπαντὸς βλέπουσι τὸ πρόσωπον τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς. ἕκαστος γὰρ πιστὸς ἄγγελον ἔχει. ἐπεὶ καὶ ἐξ ἀρχῆς ἕκαστος αὐτῶν τῶν εὐδοκίμων ἄγγελον εἶχε· καθώς φησιν ὁ Ἰακώβ, Ὁ ἄγγελος ὁ τρέ-
Γεν. μη. ις. φων με, καὶ ὁ ῥυόμενός με ἐκ νεότητός μου. εἰ τοίνυν ἀγγέλους ἔχομεν, νήφωμεν, καθάπερ παιδαγωγῶν ἔνδον ἡμῖν παρόντων. πάρεστι γὰρ καὶ δαίμων. διὰ τοῦτο εὐχόμεθα, καὶ λέγομεν αἰτοῦντες τὸν ἄγγελον τῆς εἰρήνης· καὶ πανταχοῦ εἰρήνην αἰτούμεθα. οὐδὲν γὰρ ταύτης ἴσον. ἐν ταῖς ἐκκλησίαις εἰρήνην, ἐν ταῖς εὐχαῖς, ἐν ταῖς λιταῖς, ἐν ταῖς προσρήσεσι. καὶ ἅπαξ, καὶ δίς, καὶ τρίς, καὶ πολλάκις αὐτὴν δίδωσιν ὁ τῆς ἐκκλησίας προεστώς, εἰρήνη ὑμῖν ἐπιλέγων. διὰ τί; ὅτι αὕτη μήτηρ πάντων τῶν ἀγαθῶν ἐστιν, αὕτη τῆς χαρᾶς ὑπόθεσις. διὰ τοῦτο καὶ ὁ Χριστὸς εἰσιοῦσιν εἰς τὰς οἰκίας τοῖς ἀποστόλοις τοῦτο λέγειν προσέτα- κ. προσρήσεσι
Ματθ. 10. ιβ. ξεν εὐθέως, καθάπερ τι σύμβολον τῶν ἀγαθῶν. Εἰσερχόμενοι γάρ, φησίν, εἰς τὰς οἰκίας, λέγετε, εἰρήνη ὑμῖν. ταύτης γὰρ οὐκ οὔσης, πάντα περιττά. καὶ πάλιν τοῖς μαθηταῖς ἔλε-
Ἰωαν. 14. κζ. γεν, Εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν. αὕτη τὴν ἀγάπην προοδοποιεῖ. καὶ οὐ λέγει ὁ τῆς ἐκκλησίας προεστώς, εἰρήνη ὑμῖν ἁπλῶς, ἀλλ', εἰρήνη πᾶσι. τί γὰρ ὄφελος ἂν μετὰ τοῦδε μὲν εἰρήνην ἔχωμεν, μετ' ἑτέρου δὲ πόλεμον καὶ μάχην; τί δὲ κέρδος; οὐδὲ γὰρ ἐν τῷ σώματι, ἂν τὰ μὲν ἡσυχάζῃ τῶν στοιχείων, τὰ δὲ διαστασιάζῃ, δυνατὸν ὑγείαν συνεστάναι ποτέ, ἀλλὰ διὰ τῆς ἁπάντων εὐταξίας καὶ συμφωνίας καὶ εἰρήνης. κἂν μὴ πάντα ἡσυχάζῃ καὶ ἐπὶ τῶν οἰκείων ὅρων μένῃ, πάντα διατραπήσεται. καὶ ἐν τῇ διανοίᾳ δὲ τῇ ἡμετέρᾳ ἐὰν μὴ πάντες ἡσυχάζωσιν οἱ λογισμοί, εἰρήνη οὐκ ἔσται. τοσοῦτόν ἐστιν ἀγαθὸν ἡ εἰρήνη, ὡς υἱοὺς Θεοῦ καλεῖσθαι τοὺς αὐτῆς ποιητὰς καὶ δημιουργούς. εἰκότως. ἐπεὶ καὶ ὁ υἱὸς τοῦ Θεοῦ ἐπὶ τοῦτο ἦλθεν εἰς τὴν γῆν εἰρηνοποιήσων τὰ ἐν τῇ γῇ, καὶ τὰ ἐν τοῖς οὐρανοῖς. εἰ δὲ οἱ εἰρηνοποιοὶ υἱοὶ τοῦ Θεοῦ, οἱ νεωτεροποιοὶ υἱοὶ διαβόλου. τί λέ- χ. ὥστε εἰρηνοποιῆσαι
γεις; ἔριδας καὶ μάχας ἐμβάλλεις; καὶ τίς οὕτως ἄθλιος, φησί; εἰσὶ γὰρ πολλοὶ χαίροντες ἐπὶ τοῖς κακοῖς, καὶ τὸ σῶμα τοῦ Χριστοῦ διασπῶντες μᾶλλον, ἢ οἱ στρατιῶται τῇ λόγχῃ διέπειρον, ἢ οἱ Ἰουδαῖοι τοῖς ἥλοις διέκοψαν. ἐκείνου τοῦτο ἔλαττον τὸ κακόν. ἐκεῖνα διατμηθέντα τὰ μέλη πάλιν συνήφθη· ταῦτα δὲ ἀποσπασθέντα, ἂν ἐνταῦθα μὴ συναφθῇ, οὐκέτι συναφθήσεται, ἀλλὰ μένει τοῦ πληρώματος ἔξω. ὅταν βούλῃ τῷ ἀδελφῷ πολεμῆσαι, ἐννόησον ὅτι τοῖς μέλεσι τοῦ Χριστοῦ πολεμεῖς, καὶ παῦσαι τῆς μανίας. τί γάρ, εἰ
Ματθ. 18. ι. ἀπεῤῥιμμένος ἐστίν, * εἰ εὐτελής; τί γάρ, εἰ εὐκαταφρόνητος; Οὕτως οὐκ ἔστι θέλημα, φησίν, ἔμπροσθεν τοῦ πατρός μου, ἵνα ἀπόληται εἷς τῶν μικρῶν τούτων. καὶ πάλιν, Οἱ ἄγγελοι αὐτῶν διαπαντὸς βλέπουσι τὸ πρόσωπον τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς. ὁ Θεὸς * τί γάρ

δι'

ματον, ἐν τῇ ὑστέρᾳ γενέσει ἐφιλονείκησε πρῶτον αὐτὸν δεῖξαι. καίτοι γε ἀλλαχοῦ πρωτότοκόν φησι τὸν Ἀδάμ. ὥσπερ οὖν καὶ ἔστιν· ἀλλὰ τὴν ἐκκλησίαν ἔλαβεν ἀντὶ τοῦ παντὸς ἀνθρώπων [α. Κορ. ιε. μϛ.] γένους. τῆς γὰρ ἐκκλησίας πρωτότοκός ἐστι, καὶ τῶν μὲν ἀνθρώπων, καθάπερ τῆς κτίσεως, πρῶτος κατὰ σάρκα. καὶ διὰ τοῦτο ἐνταῦθα τὸ πρωτότοκον τίθησι. τί ἐστιν ἐνταῦθα, ὁ πρωτότοκος; ὁ πρῶτος κτισθεὶς, ἢ ὁ πρὸ πάντων ἀναστὰς, ὥσπερ καὶ ἐκεῖ, ὁ πρὸ πάντων ὤν. καὶ ἐνταῦθα μὲν ἀπαρχὴν τεθεικὼς εἰπών· Ὅς ἐστιν ἀπαρχὴ πρωτότοκος ἐκ τῶν νεκρῶν, ἵνα γένηται αὐτὸς πρωτεύων· δεικνὺς ὅτι καὶ οἱ ἄλλοι τοιοῦτοι. ἐκεῖ δὲ οὐκ ἀπαρχὴν τῆς κτίσεως. καὶ ἐκεῖ μὲν, Εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, καὶ τότε τὸ, πρωτότοκος.

19 Ὅτι ἐν αὐτῷ ηὐδόκησε πᾶν τὸ πλήρωμα κατοικῆσαι.

20 Καὶ δι' αὐτοῦ ἀποκαταλλάξαι τὰ πάντα εἰς αὐτὸν, εἰρηνοποιήσας διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ, εἴτε τὰ ἐπὶ τῆς γῆς, εἴτε τὰ ἐν τοῖς οὐρανοῖς.

Ὅσα τοῦ πατρὸς, φησι, ταῦτα καὶ τοῦ υἱοῦ, καὶ μετὰ πλείονος σπουδῆς, ὅτι καὶ νεκρὸς γέγονε, καὶ ἥνωσεν ἑαυτῷ ἡμῖν. ἀπαρχὴν δὲ εἶπε, καθάπερ ἐπὶ καρποῦ τινος. οὐκ εἶπεν, ἀνάστασις, ἀλλ' ἀπαρχὴ, δεικνὺς ὅτι πάντας ἡμᾶς ἡγίασε, καὶ ὥσπερ θυσίαν προσήνεγκε. τὸ πλήρωμα περὶ τῆς θεότητος εἴρηκε, καθάπερ ὁ Ἰωάννης ἔλεγεν· Ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς [Ιωαν. α. ιϛ.] πάντες ἐλάβομεν· τουτέστιν, εἴτι ἦν ὁ υἱὸς, εἴτε ὁ λόγος, ἐκεῖ ᾤκησεν· οὐχὶ ἐνέργειά τις, ἀλλ' οὐσία. οὐκ ἔχει αἰτίαν εἰπεῖν οὐδεμίαν, ἀλλὰ τὴν θέλησιν τοῦ Θεοῦ. τοῦτο γάρ ἐστιν, ὅτι ἐν αὐτῷ ηὐδόκησε. καὶ δι' αὐτοῦ ἀποκαταλλάξαι τὰ πάντα εἰς αὐτόν. ἵνα μὴ νομίσῃς, ὅτι ὑπηρέτου τάξιν ἀνέλαβεν, εἰς ἑαυτὸν φησί. καὶ μὴν ἀλλαχοῦ φησιν, ὅτι τῷ Θεῷ καταλλάττει, καθάπερ ἐν τῇ πρὸς Κορινθίους ἐπιστολῇ γράφων ἔλεγε. καὶ καλῶς εἶπε, δι' αὐτοῦ ἀποκαταλλάξαι. ἤδη γὰρ ἦσαν καταλλαγμένοι. ἀλλὰ τελείως ἔδει, καὶ ὥστε μηκέτι ἐχθραίνειν [β. Κορ. ε. ιη.] αὐτῷ. πῶς δὲ γέγονε τοῦτο, διηγεῖται λοιπὸν, οὐ μόνον τὴν καταλλαγὴν, ἀλλὰ καὶ τὸν τρόπον τῆς καταλλαγῆς ἀναγγέλλων. εἰρηνοποιήσας διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ. τὸ μὲν τὴν ἔχθραν δείκνυσι τὸ καταλλάξαι· τὸ δὲ τὸν πόλεμον, τὸ εἰρηνοποιήσας. διὰ τοῦ αἵματός, φησι, τοῦ σταυροῦ αὐτοῦ δι' αὐτοῦ, εἴτε τὰ ἐπὶ τῆς γῆς, εἴτε τὰ ἐπὶ τοῖς οὐρανοῖς. μέγα μὲν τὸ καταλλάξαι, τὸ δὲ καὶ δι' αὐτοῦ, μεῖζον· καὶ τὸ τούτου μεῖζον, τὸ διὰ τοῦ αἵματος αὐτοῦ· καὶ οὐχ ἁπλῶς, αἵ- [γρ. ἑαυτοῦ] ματος, ἀλλὰ τὸ τούτου μεῖζον, διὰ τοῦ σταυροῦ. ὥστε πέντε ἐστὶ τὰ θαυμαστὰ, τῷ Θεῷ κατήλλαξε, δι' αὐτοῦ, διὰ θανάτου, διὰ σταυροῦ. βαβαὶ, πῶς ἀνέμιξε πάλιν; ἵνα γὰρ μὴ νομίσῃς ἓν εἶναι, μηδὲ τὸν σταυρὸν εἶναι τὸ καθ' ἑαυτὸ, λέγει, δι' ἑαυτοῦ. πῶς οἶδε μέγα τοῦτο ὄν; ὅτι οὐ ῥήματα εἰπὼν, ἀλλ' ἑαυτὸν ἐκδοὺς ὑπὲρ τῆς καταλλαγῆς, οὕτως ἅπαντα εἰργάσατο. τί δέ ἐστι, τὰ ἐν τοῖς οὐρανοῖς; τὰ μὲν γὰρ ἐπὶ τῆς γῆς, εἰκότως· ἔχθρας γὰρ ἐμπέπληστο, καὶ εἰς πολλὰ διῄρητο· καὶ πρὸς ἑαυτὸν ἕκαστος ἡμῶν διεστασίαζε, καὶ πρὸς τοὺς πολλούς· τὰ δὲ ἐν τοῖς οὐρανοῖς πῶς εἰρηνοποίησε; καὶ ἐκεῖ πόλεμος ἦν καὶ μάχη; καὶ πῶς εὐχόμεθα λέγοντες, Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς; τί οὖν ἐστιν εἰ- [Ματθ. ϛ. ι.] πεῖν; ἀπέσχιστο ἡ γῆ τοῦ οὐρανοῦ, ἐκπεπολεμωμένοι ἦσαν οἱ ἄγγελοι πρὸς τοὺς ἀνθρώπους, τὸν δεσπότην ὁρῶντες τὸν αὐτῶν ὑβριζόμενον. Ἀνακεφαλαιώσασθαι, φησι, τὰ πάντα ἐν [Εφεσ. α. ι.] τῷ Χριστῷ, τά ἐν τοῖς οὐρανοῖς, καὶ τὰ ἐπὶ τῆς γῆς. πῶς; τὰ μὲν ἐν τοῖς οὐρανοῖς οὕτω. μετέστησεν ἐκεῖ τὸν ἄνθρωπον, ἀνήγαγεν αὐτοῖς τὸν ἐχθρὸν, τὸν μισούμενον. οὐ μόνον τὰ ἐπὶ τῆς γῆς ἐποίησεν εἰρηνεύειν, ἀλλ' ἀνήγαγεν αὐτὸν πρὸς αὐτοὺς, τὸν ἐχθρὸν καὶ πολέμιον. τοῦτο εἰρήνη βαθεῖα. ἄγγελοι πάλιν ἐπὶ γῆς ἐφαίνοντο λοιπὸν, ἐπειδὴ καὶ ἄνθρωπος ἐν οὐρανῷ ἐφάνη. δοκεῖ δέ μοι καὶ ἡ ἁρπαγὴ τοῦ Παύλου, τούτου γε ἕνεκεν γεγενῆσθαι, καὶ τοῦ δεῖξαι ὅτι καὶ ὁ υἱὸς ἐκεῖ ἀνελήφθη. ἐν μὲν γὰρ τῇ γῇ διπλῆ ἡ εἰρήνη; καὶ πρὸς τὰ ἐπουράνια, καὶ πρὸς ἑαυτά· ἐν δὲ τοῖς οὐρανοῖς ἁπλῆ. εἰ γὰρ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι χαίρουσιν οἱ ἄγγελοι, πολλῷ μᾶλλον ἐπὶ τοσούτοις. ταῦτα πάντα ἡ τοῦ Θεοῦ ἰσχὺς κατώρθωσε. τί

οὖν

Digitized by Google

προσέχειν ἡμᾶς ἀξιώσομεν; καὶ τίς ἂν τοῦτο νοῦν ἐχόντων εἴποι; τὸ γάρ, πρωτότοκος, οὐχὶ ἀξίας καὶ τιμῆς, ἀλλὰ χρόνου μόνον ἐστὶ σημαντικόν. ἂν τοίνυν πλέον ἡμῶν οὐδὲν ἔχῃ, τάχα κατὰ τοῦτον τὸν λόγον πάντων ἐστὶ πρωτότοκος, καὶ ὁμοούσιος ἔσται ὁ Θεὸς λόγος καὶ λίθων καὶ ξύλων καὶ τῶν λοιπῶν. πρωτότοκος γάρ, φησι, πάσης κτίσεως. ἀλλὰ πρωτότοκος εἴρηται; φησιν, οὐκοῦν ἔκτισται. καλῶς, ἐὰν τοῦτο ᾖ, καὶ μὴ ἀδελφά τινα ἔχῃ καὶ ἄλλα, οἷον τό, Πρωτότοκος ἐκ νεκρῶν, Πρωτότοκος ἐν πολλοῖς ἀδελφοῖς. τό, πρωτότοκος ἐκ τῶν νεκρῶν, τίνος ἐστὶ δηλωτικόν, εἰπέ μοι; οὐ γὰρ τοῦ, ὅτι πρῶτος ἀνέστη, ἐρεῖς. οὐ γὰρ εἶπεν ἁπλῶς νεκρῶν, ἀλλὰ πρωτότοκος ἐκ τῶν νεκρῶν· οὐδὲ ὅτι ἀπέθανε πρῶτος, ἀλλ' ὅτι πρωτότοκος ἐκ τῶν νεκρῶν ἀνέστη. ὥστε οὐδὲν ἕτερον δηλοῖ, ἢ τοῦτο, ὅτι τῆς ἀναστάσεως ἀρχὴ γέγονεν. οὐκοῦν οὐδὲ ἐνταῦθα. εἶτα λοιπὸν ἐμβαίνει εἰς τὸ δόγμα αὐτοῦ. ἵνα γὰρ μὴ νομίσωσι νεώτερον αὐτὸν εἶναι, διὰ τὸ πάλαι μὲν δι' ἀγγέλων προσάγεσθαι, νῦν δὲ δι' αὐτοῦ, δείκνυσι πρῶτον, ὅτι οὐδὲν ἴσχυσαν ἐκεῖνοι (οὐ γὰρ ἂν ἀπὸ σκότους αὐτοὺς ἦγαγεν) δεύτερον, ὅτι καὶ πρὸ αὐτῶν ἐστι. καὶ σημεῖον ποιεῖται τοῦ πρὸ αὐτῶν εἶναι, τὸ δι' αὐτοῦ αὐτοὺς ἐκτίσθαι· ὅτι ἐν αὐτῷ, φησιν, ἐκτίσθη τὰ πάντα. τί λέγουσιν ἐνταῦθα οἱ τὰ Παύλου τοῦ Σαμοσατέως φρονοῦντες; ὅτι τὰ πάντα ἐν αὐτῷ γέγονεν. ἰδοὺ γὰρ εἴρηται ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα· ἀλλὰ τὰ ἐν τοῖς οὐρανοῖς, καὶ τὰ ἐπὶ τῆς γῆς εἶπεν. ὅπερ ἀμφισβητούμενον ἦν, πρῶτον ἕλκει. εἶτα ἐπάγει τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, ἀόρατα τὴν ψυχὴν λέγων, ὁρατὰ πάντας ἀνθρώπους. καὶ τὸ μὲν ὁμολογούμενον ἀφίησι· τὸ δὲ ἀμφιβαλλόμενον τίθησιν. εἶτά φησιν, εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχαί, εἴτε ἐξουσίαι. τὸ, εἴτε, τοῦ παντὸς περιληπτικόν ἐστι· τὸ δὲ πνεῦμα οὐ μετὰ τῶν ἐξουσιῶν ἀριθμούμενος, ἀλλὰ ἀπὸ τῶν μειζόνων καὶ τὰ ἐλάττω δεικνύμενος ἐστί. τὰ πάντα, φησί, δι' αὐτοῦ, καὶ εἰς αὐτὸν ἔκτισται. ἰδοὺ τὸ, ἐν αὐτῷ, δι' αὐτοῦ ἐστιν. εἰπὼν γάρ, ἐν αὐτῷ, ἐπήγαγε, δι' αὐτοῦ. τὸ δέ, εἰς αὐτόν, τί ἐστι; τουτέστιν, εἰς αὐτὸν κρέμαται ἡ πάντων ὑπόστασις. οὐ μόνον αὐτὸς αὐτὰ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήγαγεν, ἀλλὰ καὶ αὐτὸς αὐτὰ συγκρατεῖ νῦν. ὥστε ἂν ἀποσπασθῇ τῆς αὐτοῦ προνοίας, ἀπώλετο καὶ διέφθαρται. [ἀλλ'] οὐκ εἶπε, διακρατεῖ, ὅπερ ἦν παχύτερον, ἀλλὰ τὸ λεπτότερον, ὅτι εἰς αὐτὸν κρέμαται. μόνον γὰρ τὸ πρὸς αὐτὸν νεύειν, ἱκανὸν διακρατῆσαι καὶ συσφίγξαι. οὕτω καὶ τὸ πρωτότοκος, ὡς θεμέλιος λέγεται. τοῦτο δὲ οὐ τὸ ὁμοούσιον τῶν κτισμάτων, ἀλλὰ τὸ δι' αὐτοῦ πάντα εἶναι, καὶ ἐν αὐτῷ δηλοῖ. οὕτω καὶ ἀλλαχοῦ ὅταν λέγῃ, Θεμέλιον τέθεικα, οὐ περὶ τῆς οὐσίας φησίν, ἀλλὰ τῆς ἐνεργείας. ἵνα γὰρ μὴ νομίσῃς ὑπηρέτην εἶναι αὐτόν, φησὶν αὐτὸν αὐτὰ διακρατεῖν, ὅπερ οὐχ ἧττον τοῦ ποιῆσαί ἐστι· καίτοι ἐφ' ἡμῶν καὶ μεῖζον. ἐκεῖνο μὲν γὰρ ἡ τέχνη εἰσάγει· τοῦτο δὲ οὐκέτι. οὐδὲ γὰρ φθειρόμενον κατέχει. καὶ αὐτός ἐστι πρὸ πάντων, φησί. τοῦτο Θεῷ ἁρμόζον. ποῦ Παῦλος ὁ Σαμοσατεύς; καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκε, τουτέστιν, εἰς αὐτὸν ἔκτισται. συνεχῶς αὐτὰ στρέφει, τῇ συνεχείᾳ τῶν ῥημάτων, καθάπερ συχναῖς τισι πληγαῖς πρόρριζον ἀνασπῶν τὸ δόγμα τὸ ὀλέθριον. εἰ γὰρ καὶ τοσαῦτα εἴρηται, καὶ μετὰ τοσοῦτον χρόνον ἀνέφυ Παῦλος ὁ Σαμοσατεύς, πόσῳ μᾶλλον, εἰ μὴ ταῦτα προείρητο. καὶ τὰ πάντα, φησίν, ἐν αὐτῷ συνέστηκε. πῶς συνέστηκεν ἐν τῷ οὐκ ὄντι; ὥστε καὶ τὰ δι' ἀγγέλων, αὐτοῦ ἐστι. καὶ αὐτός ἐστιν ἡ κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας. εἰπὼν περὶ τῆς ἀξίας, λέγει λοιπὸν καὶ περὶ τῆς φιλανθρωπίας. αὐτός ἐστι, φησιν, ἡ κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας. οὐκ εἶπε, τοῦ πληρώματος, αὐτὸ μὲν τοῦτο καὶ οὕτω δηλῶν, θέλων δὲ ἡμῖν οἰκειότερον δεῖξαι αὐτόν, ὅτι ὁ οὕτως ἄνω καὶ πάντων ἀνώτερος, τοῖς κάτω ἑαυτὸν συνῆψε. πανταχοῦ γὰρ πρῶτος. ἄνω πρῶτος, ἐν τῇ ἐκκλησίᾳ πρῶτος (κεφαλὴ γάρ ἐστιν) ἐν τῇ ἀναστάσει πρῶτος. τοῦτο γάρ ἐστιν, ἵνα γένηται αὐτὸς πρωτεύων. ὥστε καὶ ἐν γενέσει πρῶτος. καὶ τοῦτο ἐστι μάλιστα τὸ σπουδαζόμενον τῷ Παύλῳ δεῖξαι. ἂν γὰρ τοῦτο κατασκευασθῇ, ὅτι πρὸ πάντων ἦν τῶν ἀγγέλων, κἀκεῖνο συνεισάγεται, ὅτι τὰ ἐκείνων αὐτὸς ἐποίει ἐπιτάττων. καὶ τὸ δὴ θαυμαστόν,

μαστόν,

Κολοσ. α. ιη. Ρωμ. η. κθ.

α. Κορ. γ. ι.

γρ. ἐρρύσατο

γρ. τὰ ἐν τοῖς οὐρανοῖς, ὅπερ ἀμφισβητούμενον ἦν, πρῶτον τέθεικε, καὶ τὰ ἐπὶ τῆς γῆς. εἶτά φησι τὰ ὁρατὰ, καὶ τὰ ἀόρατα. οἷον ψυχὴ ἐν οὐρανῷ γίνεται. ὁρατά, οἷον οἱ ἄνθρωποι· ὁ Ἠλίας, ὁ Παῦλος. εἴτε θρόνοι.

γρ. πυκναῖς

ἀδικίας γέμει, ἐχθρὸς ἀλογίας, ἐχθρὸς ὠμότητος, ἐχθρὸς ἀπανθρωπίας· οὐκ ἔστι δικαιοσύνης τῆς κατ' ἀξίαν ἀπονεμητικός· καὶ ὅμως αὐτὸν οὐ παραδέχονται. Τὸ δὲ αἴτιον, ἡ ἀργία. ἐπεὶ οὐδεὶς τοιοῦτον ἔχων, ἐχθρὸν δέχεται. καὶ γὰρ καὶ ἐν Ἕλλησιν οἱ μὲν τὴν ἡδονὴν ὁρίζοντες, τέλος εἶναι φασὶν· ἐχθροὶ αὐτὸν ἐδέξαντο· οἱ δὲ τὴν ἀρετὴν ἀγαπήσαντες, οὐκ ἔτι, ἀλλ' ἐξέβαλον ὡς ἄλογον. Εἰ δὲ ἐν Ἕλλησι τοῦτο, πολλῷ μᾶλλον καὶ ἐν τῷ περὶ τῆς ἀναστάσεως λόγῳ οὕτω. θέα δέ μοι πῶς δύο ἐναντία κατασκευάζει ὁ διάβολος. ἵνα γὰρ ἀμελῶμεν ἀρετῆς, καὶ ἵνα θεραπεύωμεν δαίμονας, τὴν ἀνάγκην εἰσήγαγε, καὶ δι' ἑκατέρων ἀμφότερα ἐποίει. τίνα οὖν δυνήσονται λόγον δοῦναι οἱ διαπιστοῦντες πράγματι οὕτω θαυμαστῷ, καὶ τοῖς ἐχθρὰ ληροῦσι πειθόμενοι; μὴ τοίνυν μηδὲ αὐτή σε ἡ παραμυθία τρεφέτω, ὡς τύχῃς συγγνώμης· ἀλλὰ συστρέψαντες ἑαυτοὺς, διεγείρωμεν πρὸς ἀρετὴν, καὶ ζήσωμεν ἀληθῶς τῷ Θεῷ, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Λογ. γ. 15 ΟΣ ΕΣΤΙΝ ΕΙΚΩΝ ΤΟΥ ΘΕΟΥ ΤΟΥ ΑΟΡΑΤΟΥ, πρωτότοκος πάσης κτίσεως· 16 Ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα, τὰ ἐν τοῖς οὐρανοῖς, καὶ τὰ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχαὶ, εἴτε ἐξουσίαι· τὰ πάντα δι' αὐτοῦ, καὶ εἰς αὐτὸν ἔκτισται, 17 Καὶ αὐτός ἐστι πρὸ πάντων, καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκε· 18 Καὶ αὐτός ἐστιν ἡ κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας.

Τήμερον ἀποδοῦναι ἀναγκαῖον τὸ ὄφλημα, ὅπερ χθὲς ἀνεβαλόμην, ὥστε ἀκμαζούσαις ὑμῶν προσβαλεῖν ταῖς διανοίαις. περὶ τῆς τοῦ υἱοῦ ἀξίας διαλεγόμενος ὁ Παῦλος ταῦτά φησιν, ὥσπερ καὶ ἀπεδείξαμεν· ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου. τίνος οὖν αὐτὸν οἴει λέγει εἰκόνα εἶναι; εἰ μὲν τοῦ Θεοῦ, καλῶς. Θεὸς γὰρ καὶ Θεοῦ υἱός· Θεοῦ δὲ εἰκὼν τὸ ἀπαράλλακτον δείκνυσιν. οὐκοῦν ἀπαράλλακτος κατὰ τοῦτο. Εἰ δὲ ἀνθρώπου, εἰπὲ, καὶ ὡς μαινομένου λοιπὸν ἀποστήσομαι. διὰ τί δὲ μηδαμοῦ μήτε εἰκὼν, μήτε υἱὸς, ἄγγελος κέκληται, ἀλλ' ἄνθρωπος ἀμφότερα; διὰ τί; ὅτι ἐκεῖ μὲν τὸ τῆς φύσεως ἀνηριθμοὶ ταχέως ἂν οὐδὲ πολλοὺς εἰς ταύτην τὴν ἀσέβειαν ἐνέβαλεν· ἐνταῦθα δὲ τὸ εὐτελὲς καὶ ταπεινὸν ἐργάζεται τὴν ἀσφάλειαν, καὶ οὐδὲ βουλομένους ἀφίησιν ὑποπτεῦσαί τι τοιοῦτον, καὶ καταγαγεῖν τὸν λόγον κάτω. διὰ τοῦτο ἔνθα μὲν ἦν πολλὴ ταπεινότης, θαῤῥούντως ἡ γραφὴ τίθησι τὴν τιμήν· ἔνθα δὲ μείζων ἡ φύσις, οὐκέτι. ἀλλ' εἰκὼν τοῦ ἀοράτου, φησίν. οὐκοῦν εἰ ἐκεῖνος ἀόρατος, καὶ αὕτη ὁμοίως ἀόρατος· ἐπεὶ οὐδὲ ἂν εἰκὼν εἴη. τὴν γὰρ εἰκόνα, καθὸ ἐστιν εἰκὼν, καὶ παρ' ἡμῖν ἀπαράλλακτον δεῖ εἶναι, οἷον τὸν χαρακτῆρα, καὶ τῆς ὁμοιώσεως. ἀλλ' ἐνταῦθα μὲν οὐδαμῶς τοῦτο δυνατόν. τέχνη γὰρ ἐστιν ἀνθρωπίνη ἡ πολλαχοῦ διαπίπτουσα, μᾶλλον δὲ πανταχοῦ, ἐὰν τὰ τῆς ἀκριβείας ζητῇς· ἔνθα δὲ ὁ Θεός, οὐδαμοῦ σφάλλεται, οὐδὲ διάπτωσίς τις γίνεται. Εἰ δὲ κτίσμα, πῶς εἰκὼν τοῦ κτίσαντος; οὐδὲ γὰρ ἵππος ἀνθρώπου εἰκών. Εἰ μὴ τὸ ἀπαράλλακτον τοῦ ἀοράτου δηλοῖ ἡ εἰκὼν, τί κωλύει καὶ ἀγγέλους εἰκόνα εἶναι; καὶ γὰρ καὶ αὐτοὶ ἀόρατοι, ἀλλ' οὐχ ἑαυτοῖς· καὶ ψυχὴ ἀόρατος· ἀλλ' ἐπειδὴ ἀόρατος ἁπλῶς, διὰ τοῦτο εἰκὼν, εἰ καὶ μὴ οὕτως, ὥσπερ αὐτός. πρωτότοκος πάσης κτίσεως. τί οὖν φησιν; ἰδοὺ ἔκτισται. πόθεν, εἰπέ μοι; ἐπειδὴ πρωτότοκος εἶπε. καὶ μὴν οὐ, πρωτόκτιστος, εἶπεν, ἀλλὰ, πρωτότοκος. ἔπειτα εἰ διὰ τὸ πρωτότοκον λέγεσθαι, ἐκτίσθαι αὐτὸν φῂς, τί εἴπῃς, ὅταν ἀδελφοὺς αὐτοῦ ἀκούσῃ λεγομένους; καὶ γὰρ ἀδελφοὺς αὐτὸν καλεῖ ἡ γραφὴ κατὰ πάντα ἡμῖν ὁμοιωθέντα. ἆρα οὖν διὰ τοῦτο καὶ τὸ εἶναι αὐτὸν δημιουργὸν ἀφαιρησόμεθα, καὶ οὔτε ἀξιώματι, οὔτε ἄλλῳ τινὶ

προέχει

χ. ὥσπερ καὶ ἀλλαχοῦ, ὅπου καὶ ἐν παιδεία φησιν·

χ. εἰκὼν χ. τοῦ Θεοῦ; οὐκοῦν ἀπαράλλακτος ὁ υἱὸς. εἰ μὲν γὰρ ὡς ἀνθρώπου εἰκὼν, εἰπὲ, καὶ λοιπὸν ὡς μαινομένου ἀποστήσομαι. εἰ δὲ ὡς Θεὸς καὶ Θεοῦ υἱὸς, Θεοῦ εἰκὼν τὸ ἀπαράλλακτον δείκνυσι.

χ. αἰγυπτίων

τῷ δεσπότῃ· οὐ σπουδάσουσιν ἀρέσαι, ἵνα μὴ τὰ αὐτὰ πάθῃς, οὐχ ἕξει τινὰ συγγνώμην, εἰπέ μοι; οὐκ ἐπικλάσει καὶ κατακάμψει τὸν δεσπότην; ἂν δὲ ταῦτα ἀφεὶς τὰ ῥήματα, λέγῃ ἐκεῖνα, οἷον, ὅτι τὸ κατ' ἀξίαν ἑκάστῳ οὐκ ἀποδίδωσιν, ὅτι ἁπλῶς πάντα ἀναμέμικται, καὶ τὰ καλὰ, καὶ τὰ κακὰ, ὅτι οὐκ ἔστιν εὐταξία ἐν τῷ οἴκῳ τούτῳ, τίνα νομίζεις τὸν δεσπότην τοιοῦτον ἔχειν περὶ αὐτοῦ; ἆρα οὐχὶ τῶν οἰκείων ἁμαρτημάτων μείζονα δώσει δίκην; Εἰκότως. ἐκεῖ μὲν γὰρ τὸ πάθος ἀπολογήσεται, εἰ καὶ ἀσθενῶς· ἐνταῦθα δὲ οὐδέν. Εἰ μηδένα τοίνυν ἕτερον, τὸν γοῦν πλούσιον μίμησαι τὸν ἐν τῇ γεέννῃ, τὸν λέγοντα, Πάτερ Ἀβραὰμ, πέμψον Λάζαρον ἐπὶ τοὺς συγγενεῖς μου, ἵνα μὴ ἔλθωσιν εἰς τὸν τόπον τοῦτον, ἐπειδὴ αὐτὸς ἀπελθεῖν οὐκ ἠδυνάτο, ὥστε μὴ τοῖς αὐτοῖς ἐκείνους περιπεσεῖν. ἀποστῶμεν τῶν ῥημάτων τούτων τῶν Σατανικῶν. τί οὖν, ὅταν Ἕλληνες ἡμᾶς ἐρωτῶσι, φησίν; οὐκ ἐκείνους βούλει θεραπεῦσαι· ἀλλ' εἰς ἀπειρίαν ἐμβαλὼν τὸν Χριστιανὸν προσχήματι τοῦ τὸν Ἕλληνα θεραπεύειν, κυρῶσαι βούλει τὸ δόγμα τὸ Σατανικόν. ἐπειδὴ γὰρ αὐτὸς μόνῃ τῇ ψυχῇ διαλεγόμενος ὑπὲρ τούτων οὐ πείθεις, ἑτέρους θέλεις παραγαγεῖν μάρτυρας. εἰ δὲ Ἕλληνι χρὴ διαλέγεσθαι, οὐκ ἐντεῦθεν ἡ ἀρχὴ τῆς διαλέξεως, ἀλλ' εἰ Θεὸς ὁ Χριστὸς, καὶ Θεοῦ παῖς· εἰ δαίμονες οἱ παρ' ἐκείνοις θεοί. ἐὰν ταῦτα κατασκευασθῇ, πάντα τὰ ἄλλα ἕπεται. πρὶν δὲ τὴν ἀρχὴν μαθεῖν, ματαίως περὶ τῆς τελευτῆς διαλέγεσθαι. πρὶν ἢ τὰ πρῶτα στοιχεῖα μαθεῖν, περιττὸν καὶ ἀνόητον περὶ τὸ τέλος ἔρχεσθαι. ἀπιστεῖ ὁ Ἕλλην τῇ κρίσει, καὶ αὐτὸς τὸ αὐτό σοι πάσχει· ἐπεὶ ἔχει καὶ αὐτὸς πολλοὺς ὑπὲρ τούτων φιλοσοφήσαντας, εἰ καὶ τὸ σῶμα ἀποσχίσαντες τῆς ψυχῆς τοῦτο εἶπον. ἀλλ' ὅμως δικαστήριον ἐκάθισαν. καὶ τοσαύτη ἐστὶ τοῦ πράγματος ἡ περιφάνεια, ὡς μηδένα σχεδὸν ἀγνοῆσαι τοῦτο, ἀλλὰ καὶ ποιητὰς, καὶ πάντας συμφωνῆσαι ἑαυτοῖς καὶ περὶ δικαστηρίου, καὶ περὶ κρίσεως. ὥστε κἀκεῖνος τοῖς οἰκείοις οὐκ ἀπιστεῖ, οὔτε Ἰουδαῖος ἀμφισβητεῖ περὶ τούτου, οὔτε τις ἁπλῶς ἄνθρωπος. τί τοίνυν ἀπατῶμεν ἑαυτούς; ἰδοὺ ταῦτα λέγεις πρὸς ἐμέ, τί πρὸς τὸν Θεὸν ἐρεῖς τὸν πλάσαντα καταμόνας τὰς καρδίας ἡμῶν; τὸν εἰδότα τὰ ἐν τῇ διανοίᾳ πάντα; τὸν ζῶντα καὶ ἐνεργοῦντα, καὶ τομώτατον ὑπὲρ πᾶσαν μάχαιραν δίστομον; εἰπὲ γάρ μοι μετ' ἀληθείας· σὺ οὐ καταγινώσκεις σαυτοῦ ἁμαρτάνοντος; [ἔστι δὲ τις τῶν ἀνθρώπων, ὃς ἑαυτῷ οὐ μέμφεται ῥαθυμοῦντι;] καὶ πῶς ἂν ἀπὸ ταὐτομάτου τοσαύτη σοφία γένοιτο, ὥστε αὐτὸν τὸν ἁμαρτάνοντα καταγινώσκειν ἑαυτοῦ; τοῦτο γὰρ μεγάλης σοφίας ἐστί. σὺ σαυτοῦ καταγινώσκεις· ὁ δὲ τοιαύτην σοι δεδωκὼς διάνοιαν πάντα ἁπλῶς ἀφήσει φέρεσθαι; κοινὸν οὖν τοῦτ' ἔσται καθολικὸς, καὶ ὅρος. οὐδεὶς τῶν ἐν ἀρετῇ ζώντων διαπιστεῖ τῷ τῆς κρίσεως λόγῳ, κἂν Ἕλλην ᾖ, κἂν αἱρετικός. οὐδεὶς τῶν ἐν κακίᾳ ἀναστρεφομένων πολλῇ, πλὴν ὀλίγων, παραδέχεται τὸν τῆς ἀναστάσεως λόγον. καὶ τοῦτό φησιν ὁ ψαλμῳδός· Ἀντανῄρηται τὰ κρίματά σου ἀπὸ προσώπου αὐτοῦ. διὰ τί; Ὅτι βεβηλοῦνται αἱ ὁδοὶ αὐτοῦ ἐν παντὶ καιρῷ. Φάγωμεν γὰρ, φησὶ, καὶ πίωμεν· αὔριον γὰρ ἀποθνήσκομεν. ὁρᾷς ὅτι τῶν τρυφώντων ἐστὶ ταῦτα λέγειν; ἀπὸ τοῦ τρώγειν καὶ πίνειν ταῦτα τὰ ῥήματά ἐστι τὰ ἀνατρεπτικὰ τῆς ἀναστάσεως. οὐ φέρει γὰρ, οὐ φέρει δὲ ἀπὸ τοῦ συνειδότος κρινομένη ἡ ψυχή. καὶ ταὐτὸν γίνεται, οἷον ὁ ἀνδροφόνος περίπτερος ὑποδεχόμενος ἑαυτῷ ὅτι οὐχ ἁλώσεται, οὕτω φοβεῖται· ἐπεὶ, τοῦ συνειδότος αὐτὸν κρίνοντος, οὐκ ἂν ταχέως ἦλθεν ἐπὶ τὸ τόλμημα. καὶ οἶδεν οὖν, καὶ ἀγνοεῖν προσποιεῖται, ἵνα μὴ βασανίζηται τῷ συνειδότι καὶ τῷ φόβῳ· ἢ γὰρ ἂν ἀσθενέστερος γένοιτο πρὸς τὸν φόνον. οὕτω δὴ καὶ οἱ ἁμαρτάνοντες ἴσασιν, ὅτι τὸ ἁμαρτάνειν κακόν· καὶ καθ' ἑκάστην ἐν τοῖς αὐτοῖς κακοῖς κυλινδούμενοι, οὐ θέλουσιν εἰδέναι, καίτοι τοῦ συνειδότος αὐτῶν ἐπιλαμβανομένου. ἀλλὰ μὴ ἐκείνοις προσέχωμεν. ἔσται γὰρ, ἔσται πάντως κρίσις καὶ ἀνάστασις, καὶ οὐκ ἀφήσει εἰκῇ τοσαῦτα ἔργα ὁ Θεός. διὸ, παρακαλῶ, τῆς κακίας ἀποσχόμενοι, τῆς ἀρετῆς ἐχώμεθα, ἵνα τὸν ἀληθῆ λόγον παραδεχώμεθα ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. καίτοι τί εὐκολώτερον, τὸν περὶ ἀναστάσεως δέξασθαι λόγον, ἢ τὸν περὶ τῆς εἱμαρμένης; ἐκεῖνος ἀ-

δικίας

Margin notes: χ. ἐλεῖς. — ἴσ. ἐπὶ τοὺ συγγενείας — χ. ὅτι — χ. ὅτι — χ. παρασκευ-ασθῇ — χ. τομώτερον — Ψαλ. θ. κζ. — χ. τὸ τόλμη-μα. — χ. δεξώμ.

Digitized by Google

ἀλλ' ἀρχὴ τιμωρίας ὁ θάνατος ἀπιστούντων ὅτι ἔστι κρίσις. καὶ τίς ἐκεῖθεν ἦλθε, φησί, καὶ ταῦτα ἐδήλωσεν; εἰ μὲν παίζων ταῦτα λέγεις, οὐδὲ οὕτω καλῶς. οὐ γὰρ δεῖ ἐν τοῖς τοιούτοις παίζειν. οὐ γὰρ ἐν παικτοῖς, ἀλλ' ἐπικινδύνως παίζομεν. εἰ δὲ οὕτως οὕτως ἔχων, (γρ. ἐπὶ κινδύνοις) καὶ οὐκ οἴει εἶναί τι μετὰ ταῦτα, πῶς εἶναι φῂς χριστιανός; οὐδεὶς γάρ μοι τὴν ἔξω λέγοις. διατί τί λουτρὸν λαμβάνεις; διατί τῆς ἐκκλησίας ἐπιβαίνεις; μὴ γὰρ ἀρχαὶ ὑπισχνούμεθα; πᾶσα ἡμῶν ἐλπὶς ἐν τοῖς μέλλουσι. τί τοίνυν προσέρχῃ, εἰ οὐ πιστεύεις ταῖς γραφαῖς, εἰ μὴ πιστεύεις τῷ Χριστῷ; οὐκ ἂν εἴποιμι τὸν τοιοῦτον χριστιανὸν εἶναι, μὴ γένοιτο, ἀλλὰ καὶ Ἑλλήνων χείρω. κατὰ τί; κατὰ τοῦτο, ὅτι τὸν Χριστὸν νομίζων εἶναι Θεὸν, οὐ πιστεύεις ὡς Θεῷ. ἐκείνη μὲν γὰρ ἀκολουθίας ἔχεται ἡ ἀσέβεια. τὸν γὰρ μὴ νομίζοντα εἶναι Θεὸν τὸν Χριστὸν, ἀνάγκη μηδὲ πιστεύειν· αὕτη δὲ ἡ ἀσέβεια οὐδὲ ἀκολουθίαν ἔχει, Θεὸν ὁμολογεῖν, καὶ μὴ νομίζειν ἀξιόπιστον εἶναι ὑπὲρ ὧν ἔφη. τῆς μέθης ταῦτα τὰ ῥήματα, τῆς τρυφῆς, τῆς σπατάλης. Φάγωμεν, καὶ πίωμεν· αὔριον γὰρ ἀποθνήσκομεν. οὐκ αὔριον, ἀλλ' ὅταν (α Κορ. ιε. λβ) ταῦτα λέγητε, ἤδη τεθνήκατε. οὐδὲ οὖν τῶν χοίρων διοίσομεν, οὐδὲ τῶν ὄνων, εἰπέ μοι; εἰ γὰρ μήτε κρίσις ἐστὶ, μήτε ἀντίδοσις, μήτε δικαστήριον, τίνος ἕνεκεν τοιούτῳ τετιμήμεθα δώρῳ, τῷ λόγῳ, καὶ πάντα ἔχομεν ὑποτεταγμένα; διατί ἡμεῖς μὲν ἄρχομεν, ἐκεῖνα δὲ ἄρχονται; ὅρα πῶς πανταχόθεν ὁ διάβολος ἐπείγεται ἡμᾶς πεῖσαι ἀγνοῆσαι τὴν δωρεὰν τοῦ Θεοῦ. τοὺς δούλους ἀναμίγνυσι τοῖς δεσπόταις· καθάπερ τις ἀνδραποδιστὴς καὶ οἰκέτης ἀγνώμων, τὸν ἐλεύθερον εἰς τὴν αὐτὴν βιάζεται τῷ προσκεκρουκότι καταγαγεῖν εὐτέλειαν. καὶ δοκεῖ μὲν τὴν κρίσιν ἀναιρεῖν, ἀναιρεῖ δὲ τὸ εἶναι Θεόν. τοιοῦτος γὰρ ἀεὶ ὁ διάβολος. μεθοδεία πάντα, καὶ οὐκ ἐξ εὐθείας προσβάλλει, ἵνα φυλαττώμεθα. εἰ κρίσις οὐκ ἔστιν, οὐκ ἔστι δίκαιος ὁ Θεὸς (κατὰ ἄνθρωπον λέγω) εἰ δίκαιος οὐκ ἔστιν ὁ Θεὸς, οὐδὲ Θεός ἐστιν· εἰ Θεὸς οὐκ ἔστιν, ἁπλῶς ἅπαντα φέρεται· οὐδὲν ἀρετὴ, οὐδὲν κακία. ἀλλ' οὐδὲν τούτων λέγει φανερῶς. εἶδες τοῦ σατανικοῦ ἐνθυμήματος τὴν διάνοιαν; πῶς ἐξ ἀνθρώπων ἄλογα βούλεται ποιῆσαι, μᾶλλον δὲ θηρία, μᾶλλον δὲ δαίμονας; μὴ τοίνυν πειθώμεθα. ἔστι γὰρ κρίσις, ἄθλιε καὶ ταλαίπωρε. οἶδα πόθεν ἔρχῃ ἐπὶ τούτους τοὺς λόγους. πολλά σοι ἡμάρτηται, προσκέκρουκας, παῤῥησίαν οὐκ ἔχεις· οἴει τοῖς σοῖς λόγοις ἀκολουθεῖν καὶ τὴν τῶν πραγμάτων φύσιν. τέως μὴ ὀδυνήσω, φησὶ, τὴν ψυχὴν τῇ προσδοκίᾳ τῆς γεέννης. κἂν ἡ γέεννα, πείσω αὐτὴν ὅτι οὐκ ἔστι· τέως ἐνταῦθα τρυφήσω. διατί προστίθεις ἁμαρτήματα ἁμαρτήμασιν; ἂν ἁμαρτήσας πιστεύσῃς εἶναι γέενναν, ἀπολαύσῃ τὴν ἁμαρτημάτων μόνων τίσων δίκην· ἂν δὲ καὶ τοῦτο προσθῇς τὸ ἀσέβημα, καὶ τῆς ἀσεβείας καὶ τοῦ λογισμοῦ τούτου δώσεις τὴν ἐσχάτην κόλασιν· καὶ ἡ ἐν βραχεῖ γινομένη σοι παραμυθία ψυχρὰ ἔσται σοι διηνεκοῦς κολάσεως ὑπόθεσις. ἔστω, ἥμαρτες. τί καὶ τοὺς ἄλλους ἁμαρτάνειν προτρέπεις, (γρ. ἐπαίτας) λέγων μὴ εἶναι γέενναν; τί ἀπατᾷς τοὺς ἀφελεστέρους; τί τὰς χεῖρας ἐκλύεις τοῦ λαοῦ; τὸ σὸν μέρος, ἅπαντα ἀνατέτραπται. οὔτε οἱ σπουδαῖοι σπουδαιότεροι ἔσονται, ἀλλὰ ῥᾴθυμοι, οὔτε οἱ κακοὶ ἀποστήσονται τῆς κακίας. μὴ γὰρ, ἂν ἑτέρους διαφθείρωμεν, συγγνώμην ἔχομεν τῶν ἁμαρτημάτων; οὐχ ὁρᾷς τὸν διάβολον πῶς ἐπιχείρησε κατενεγκεῖν τὸν Ἀδάμ; ἆρα τούτῳ συγγνώμη γέγονε; μείζονος μὲν οὖν κολάσεως ἀφορμή. ἵνα γὰρ μὴ ὑπὲρ τῶν οἰκείων, ἀλλὰ καὶ ὑπὲρ τῶν ἀλλοτρίων ἁμαρτημάτων κολαζώμεθα, πάντα μηχανᾶται. μὴ νομίζωμεν τοίνυν τὸ ἑτέρους καταφέρειν (γρ. καταστρέφειν) εἰς τὴν αὐτὴν ἡμῖν ἀπώλειαν, ἡμερώτερον ἡμῖν τὸ δικαστήριον ἐργάζεσθαι· τοῦτο μὲν οὖν χαλεπώτερον αὐτὸ ποιήσει. τί ὠθοῦμεν ἑαυτοὺς, καὶ ἀπόλλυμεν; σατανικὸν τοῦτο ὅλον ἐστίν. ἄνθρωπε, ἥμαρτες; φιλάνθρωπον ἔχεις τὸν δεσπότην· παρακάλει, ἱκέτευε, δάκρυε, στέναξε, καὶ τοὺς ἄλλους φόβει καὶ ἀξίου μὴ τοῖς αὐτοῖς περιπεσεῖν. εἴ τις ἐν οἰκίᾳ δοῦλος ὢν τῶν προσκεκρουκότων λέγει πρὸς τὸν ἑαυτοῦ παῖδα· τέκνον, ἐγὼ προσέκρουσα

ΗΘΙΚΟΝ

Τέως δὲ ἐκεῖνο εἰπόντες καταπαῦσαι τὸν λόγον ἀνάγκη. ποῖον δὴ τοῦτο; ὅτι τοσαύτης ἀπολαύσαντες εὐεργεσίας ἀεὶ ταύτης μεμνῆσθαι ὀφείλομεν, καὶ στρέφειν διαπαντὸς ἐν ἑαυτοῖς τὴν τοῦ Θεοῦ δωρεάν, καὶ τίνων ἀπηλλάγημεν, καὶ τίνων ἐτύχομεν ἐννοεῖν· καὶ οὕτως ἐσόμεθα εὐχάριστοι, οὕτω τὴν ἀγάπην τὴν πρὸς αὐτὸν ἐπιτεινόμεθα. τί λέγεις, ἄνθρωπε; εἰς βασιλείαν κέκλησαι, εἰς βασιλείαν υἱοῦ τοῦ Θεοῦ, καὶ χάσμης πληρεύουσαι, καὶ κνᾶσαι, καὶ ναρκᾷς; εἰ γὰρ εἰς μυρίους θανάτους πηδῆσαι ἑκάστης τῆς ἡμέρας ἔδει, οὐ πάντα ἐχρῆν ὑπομεῖναι; ἀλλ' ὑπὲρ μὲν ἀρχῆς πολλὴν σπουδὴν ποιεῖς, τῆς δὲ βασιλείας μέλλων κοινωνεῖν τῆς τοῦ μονογενοῦς οὐ καθάλλῃ κατὰ μυρίων ξιφῶν; οὐκ ἐμπηδᾷς εἰς πῦρ; καὶ οὔπω τοῦτο δεινόν· ἀλλ' ὅτι καὶ μέλλων ἀπιέναι θρηνεῖς, καὶ ἐμφιλοχωρεῖς τοῖς ἐνταῦθα φιλοσώματος ὤν. τί δὴ τοῦτο; καὶ τὸν θάνατον φρικτὸν πρᾶγμα εἶναι νομίζεις; ἡ τρυφὴ τούτων αἰτία, ἡ ἄνεσις. ἐπεὶ εἴγε κατάπικρον βίον ζῶν, καὶ ἐλευθερωθῆναι ἕλοιτο ἂν καὶ ἀπαλλαγῆναι ἐντεῦθεν. νῦν δὲ ταυτὸν πάσχομεν, οἷον οἱ νεοττοὶ μαλακισθέντες διαπαντὸς ἐπὶ τῆς καλιᾶς μένειν ἐθέλοντες. ἀλλ' ὅσῳπερ ἂν μένωμεν, τοσούτῳ ἐσόμεθα ἀσθενέστεροι. καλιὰ γάρ ὁ παρὼν βίος ἐστίν, ἀπὸ καρφῶν καὶ πηλοῦ συγκεκολλημένος. κἂν τὰς μεγάλας μοι δείξῃς οἰκίας, κἂν αὐτὰ τὰ βασίλεια λάμποντα πολλῷ τῷ χρυσῷ καὶ τοῖς λίθοις, οὐδὲν οἴσομαι διαφέρειν καλιᾶς χελιδόνων. τοῦ γὰρ χειμῶνος ἐπιστάντος, αὐτόματα πάντα πεσεῖται. χειμῶνα δὲ τὴν ἡμέραν ἐκείνην λέγω· οὐχὶ πᾶσι χειμῶνα *· ἐπεὶ καὶ ὁ Θεὸς νύκτα τε ὁμοῦ καὶ ἡμέραν τὸν καιρὸν ἐκεῖνον καλεῖ, τὸ μὲν πρὸς τοὺς ἁμαρτωλούς, τὸ δὲ πρὸς τοὺς δικαίους. οὕτω καὶ ἐγὼ νῦν χειμῶνα αὐτὴν καλῶ. ἂν ἐν τῷ θέρει μὴ ἐκπτερωθῶμεν καλῶς, ὥστε δύνασθαι ἵπτασθαι τοῦ χειμῶνος ἐπιστάντος, οὐ λήψονται ἡμᾶς αἱ μητέρες, ἀλλ' ἐάσουσι τῷ λιμῷ διαφθαρῆναι, ἢ τῆς καλιᾶς πεσούσης ἀπολέσθαι. καθάπερ γὰρ καλιάν, μᾶλλον δὲ καὶ εὐκολώτερον ταύτης, ἅπαντα καθαιρεῖ τότε ὁ Θεός, ἀνασκευάζων καὶ μεταρρυθμίζων ἅπαντα. οἱ δὲ ἄπτηνες καὶ ἀπαντῆσαι αὐτῷ μὴ δυνάμενοι εἰς τὸν ἀέρα, ἀλλ' οὕτω βλακείως τραφέντες, ὡς μὴ ἔχειν τὸ πτερὸν κοῦφον, πείσονται ἅπαντα ταῦτα, ἅπερ εἰκὸς τοὺς οὕτω διακειμένους παθεῖν. ἡ μὲν οὖν τῶν χελιδόνων νεοττιὰ ὅταν καταπέσοι, ταχέως ἀπόλλυται· ἡμεῖς δὲ οὐκ * ἀπολλύμεθα, ἀλλὰ κολαζόμεθα διηνεκῶς. χειμὼν ἔσται ὁ τότε καιρός, μᾶλλον δὲ χειμῶνος χαλεπώτερος. οὐ γὰρ χείμαρροι κατασύρονται ὕδατος, ἀλλὰ ποταμοὶ πυρός· οὐ σκότος ἀπὸ νεφῶν γίνεται, ἀλλὰ σκότος ἄλυτον καὶ ἀφεγγές, ὥστε μήτε τὸν οὐρανὸν ἰδεῖν, μήτε τὸν ἀέρα, ἀλλὰ τῶν εἰς γῆν κατορωρυγμένων μᾶλλον στενοχωρεῖσθαι. πολλάκις ταῦτα λέγομεν· ἀλλ' οὐ πειθόμεθά τινας. καὶ οὐδὲν θαυμαστόν, εἴγε ἡμεῖς ἄνθρωποι εὐτελεῖς ταῦτα πάσχομεν ὑπὲρ τούτων διαλεγόμενοι, ὅπου γε καὶ οἱ προφῆται ἔπασχον ταῦτα, οὐχ ὑπὲρ τούτων μόνον πραγμάτων διαλεγόμενοι, ἀλλὰ καὶ ὑπὲρ πολέμου καὶ αἰχμαλωσίας. καὶ ὁ Σεδεκίας ὑπὸ Ἱερεμίου ἠλέγχετο, καὶ οὐκ ἠμύνετο. διὰ τοῦτο ἔλεγον οἱ προφῆται· Οὐαὶ οἱ λέγοντες, ἐγγισάτω τὸ τάχος ἃ ποιήσει ὁ Θεός, ἵνα ἴδωμεν· καὶ ἐλθέτω ἡ βουλὴ τοῦ ἁγίου Ἰσραήλ, ἵνα γνῶμεν. μὴ θαυμάζωμεν τοῦτο. οὐδὲ γὰρ οἱ ἐπὶ τῆς κιβωτοῦ ἐπίστευον, ἀλλ' ἐπίστευσαν ὅτε τῆς πίστεως κέρδος ἦν οὐδέν. οὐδὲ οἱ ἐν Σοδόμοις προσεδόκησαν, ἀλλ' ἐπίστευσαν καὶ αὐτοί, ὅτε οὐδὲν πλέον αὐτοῖς γέγονε. καὶ τί λέγω τὰ μέλλοντα; τίς ἂν ταῦτα προσεδόκησε τὰ νῦν γινόμενα κατὰ διαφόρους τόπους, τοὺς σεισμοὺς τῶν πόλεων, τὰς ἀναιρέσεις; καίτοιγε ταῦτα ἐκείνων πιστότερα, τῆς κιβωτοῦ λέγω. πόθεν δῆλον; ὅτι ἐκεῖνοι μὲν οὐκ εἶχον εἰς ἄλλο παράδειγμα ἰδεῖν, οὐδὲ τῶν γραφῶν ἤκουσαν· ἐνταῦθα δὲ μυρία ὅσα γέγονε, καὶ ἐπὶ τῶν ἐτῶν τῶν ἡμετέρων, καὶ ἐπὶ τῶν προτέρων. ἀλλὰ πόθεν ἡ ἀπιστία τῶν τοιούτων; ἀπὸ μαλακῆς ψυχῆς. ἔπινον καὶ ἤσθιον, καὶ διὰ τοῦτο οὐκ ἐπίστευον. ἃ γὰρ βούλεταί τις, ταῦτα καὶ οἴεται, ταῦτα καὶ προσδοκᾷ· οἱ δὲ ἀπειλοῦντες, λῆροί εἰσιν. ἀλλὰ μὴ ἀπατῶμεν ἑαυτούς. οὐ γὰρ κατακλυσμὸς ἔσται λοιπόν, οὐδὲ μέχρι τελευτῆς ἡ κόλασις, ἀλλ'

Ἡσ. ε. ιθ.

* ἀλλὰ τοῖς ῥαθύμοις ἀπονοουμένοις.

* ἀπολλύμεθα.

ἴσ. ἀλλ'

λεῖ ἐσμεν. ἃ γὰρ ὠφείλομεν ποιῆσαι, πεποιήκαμεν. Εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτί. τουτέστι, τῇ γνώσει. δοκεῖ δέ μοι καὶ περὶ τῶν παρόντων, καὶ περὶ τῶν μελλόντων ὁμοῦ λέγειν. Εἶτα δεικνὺς ὅτι οὐκ ἠξιώθημεν. οὐ γὰρ τοῦτο μόνον ἐστὶ τὸ θαυμαστόν, ὅτι βασιλείας ἠξιώθημεν, ἀλλ᾽ ὅτι τοιοῦτοι ὄντες, διὰ τὸ προσαθῆναι (οὐ γάρ ἐστιν ἴσον) ὅπερ καὶ ἐν τῇ πρὸς Ῥωμαίους ποιεῖ λέγων· Μόλις γὰρ ὑπὲρ τοῦ δικαίου τις ἀποθανεῖται, ὑπὲρ γὰρ τοῦ ἀγαθοῦ τάχα τις καὶ τολμᾷ ἀποθανεῖν. Ῥωμ. ε. ζ.

13 Ὃς ἐρρύσατο ἡμᾶς, φησιν, ἀπὸ τῆς ἐξουσίας τοῦ σκότους. Αὐτοῦ τὸ πᾶν ἐστι, καὶ τὸ τὰ δῶρα, καὶ τὰ ἄλλα. οὐδαμοῦ γὰρ ἡμῶν κατόρθωμα. ἀπὸ τῆς ἐξουσίας τοῦ σκότους, φησί, τουτέστι, τῆς πλάνης, τοῦ διαβόλου τῆς τυραννίδος. οὐκ εἶπεν ἁπλῶς, σκότους, ἀλλ᾽, ἐξουσίας. πολλὴν γὰρ ἡμῶν εἶχε τὴν ἐξουσίαν, καὶ ἐκράτει ἡμῶν. χαλεπὸν μὲν γὰρ καὶ τὸ ἁπλῶς εἶναι ὑπὸ τῷ διαβόλῳ· τὸ δὲ καὶ μετ᾽ ἐξουσίας, τοῦτο χαλεπώτερον.

Καὶ μετέστησε, φησιν, εἰς τὴν βασιλείαν τοῦ υἱοῦ τῆς ἀγάπης αὐτοῦ.

Οὐκ ἄρα εἰς τὴν ἀπαλλαγὴν τοῦ σκότους μόνον ἔδειξεν αὐτοῦ τὴν φιλανθρωπίαν. μέγα μὲν οὖν καὶ τὸ τοῦ σκότους ἀπαλλάξαι· τὸ δὲ καὶ εἰς βασιλείαν εἰσαγαγεῖν, πολλῷ μεῖζον. ὅρα πῶς πολύπλοκος γίνεται ἡ δωρεά, ὅτι ἐν τῷ πυθμένι κειμένους ἀπήλλαξεν ἡμᾶς, ὅτι οὐκ ἀπήλλαξε μόνον, ἀλλὰ καὶ μετέθηκεν εἰς βασιλείαν. ὃς ἐρρύσατο ἡμᾶς. οὐκ εἶπεν, ἐξέβαλεν, ἀλλ᾽, ἐρρύσατο, τὴν πολλὴν ταλαιπωρίαν δεικνὺς ἡμῶν, καὶ ἐκείνων τὴν αἰχμαλωσίαν. Εἶτα καὶ τὸ εὔκολον τῆς τοῦ Θεοῦ δυνάμεως, καὶ μετέστησε, φησίν, ὥσπερ ἄν εἴ τις στρατιώτην ἀπὸ τόπου εἰς τόπον μεταγάγοι. καὶ οὐκ εἶπε, μετήγαγεν, οὐδὲ μετέθηκε (τὸ μὲν γὰρ ὅλον τοῦ μεταθέντος ἦν, οὐ τοῦ μετατεθέντος) ἀλλὰ μετέστησεν, εἶπεν, ὥστε καὶ ἡμῶν, καὶ αὐτοῦ τοῦτο γενέσθαι. Εἰς τὴν βασιλείαν τοῦ υἱοῦ τῆς ἀγάπης αὐτοῦ. οὐχ ἁπλῶς εἶπε, βασιλείαν οὐρανῶν, ἀλλὰ σεμνότερον εἰργάσατο τὸν λόγον, βασιλείαν υἱοῦ εἰπών. τούτου γὰρ οὐδὲν μεῖζον ἐγκώμιον, ὃ καὶ ἀλλαχοῦ φησιν· Εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν. τῶν αὐτῶν ἠξίωσεν ἡμᾶς, φησι, τῷ υἱῷ. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἡ ἐπίτασις, τῷ ἀγαπητῷ τοὺς ἐχθρούς, τοὺς ἐσχηματισμένους, ἀθρόον που αὐτοὺς μετέστησεν, ἔνθα ὁ υἱός, εἰς τὴν αὐτὴν ἐκείνῳ τιμήν. καὶ οὐδὲ τούτῳ ἠρκέσθη μόνῳ· ἀλλ᾽ ἵνα δείξῃ μέγα τὸ δῶρον, οὐκ ἠρκέσθη τῷ εἰπεῖν, βασιλείαν, ἀλλὰ καὶ τοῦ υἱοῦ προσέθηκε· καὶ οὐδὲ τούτῳ, ἀλλὰ καὶ τοῦ ἀγαπητοῦ· καὶ οὐδὲ τούτῳ, ἀλλὰ καὶ τὸ τῆς φύσεως ἐπίσημον. τί γάρ φησιν; ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου. ἀλλ᾽ οὐκ εὐθέως ἐπὶ τοῦτο ἦλθεν, ἀλλὰ πρότερον ἔδειξε τὴν εὐεργεσίαν τὴν εἰς ἡμᾶς. ἵνα γὰρ μὴ ἀκούων, ὅτι τὸ πᾶν τοῦ πατρός ἐστι, νομίσῃς τὸν υἱὸν ἐκτὸς εἶναι, δίδωσι τὸ πᾶν καὶ τῷ υἱῷ, δίδωσι καὶ τῷ πατρί. ἐκεῖνος μὲν γὰρ μετέθηκεν, ἀλλ᾽ οὗτος τὴν αἰτίαν παρέσχε. τί γάρ φησιν; ὃς ἐρρύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους. ταὐτὸν δέ ἐστι τῷ,

14 Ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν, τὴν ἄφεσιν τῶν ἁμαρτημάτων.

Εἰ γὰρ μὴ ἀφείθημεν τῶν ἁμαρτημάτων, οὐκ ἂν μετέστημεν. ἰδοὺ πάλιν ἐνταῦθα τὸ, ἐν ᾧ. καὶ οὐκ εἶπε λύτρωσιν, ἀλλ᾽, ἀπολύτρωσιν, ὥστε μηδὲ πεσεῖν λοιπόν, μηδὲ γενέσθαι θνητούς.

15 Ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, πρωτότοκος πάσης κτίσεως.

Εἰς ζήτημα ἐμπίπτομεν αἱρετικοί. ἀλλ᾽ ὅμως σήμερον ἀναβαλλόμενοι αὔριον τοῦτο προσθεῖναι δεῖ, ἀκμαζούσαις ὑμῶν ταῖς ἀκοαῖς προσβάλλοντες. Εἰ δὲ δεῖ τι πλέον εἰπεῖν, μεῖζον τοῦ υἱοῦ ἔργον. πῶς; ἐκεῖνο μὲν γὰρ ἀδύνατον γίνεται, τὸ ἐν τοῖς ἁμαρτήμασιν ἀθρόον δοῦναι βασιλείαν· τοῦτο δὲ εὐκολώτερον. ὥστε τὴν δωρεὰν ηὐδοποίησε. τί λέγεις; τῶν ἁμαρτημάτων σε αὐτὸς ἀφῆκεν; οὐκοῦν καὶ αὐτὸς προσήγαγεν. ἤδη προκατέβαλεν τοῦ δόγματος τὴν ῥίζαν.

καὶ μηδαμοῦ ἵστασθαι. καὶ μεταφορικῶς καρποφοροῦντες, καὶ αὐξανόμενοι ἐν τῇ ἐπιγνώσει τοῦ Θεοῦ, ἵνα οὕτω δυναμωθῆτε κατὰ τὴν ἰσχὺν τοῦ Θεοῦ, ὡς ἀνθρώποις δυνατόν ἐστιν. διὰ τοῦ κράτους αὐτοῦ. πολλὴ ἡ περιουσία. οὐκ εἶπε δύναμιν, ἀλλὰ κράτος, ὅπερ μεῖζόν ἐστι. διὰ τοῦ κράτους, φησὶ, τῆς δόξης αὐτοῦ· * ὅτι πανταχοῦ ἡ δόξα αὐτοῦ κρατεῖ. ἤδη παρεμυθήσατο τοὺς ἐν ἐπιβουλαῖς ὄντας. καὶ πάλιν περιπατῆσαι ὑμᾶς ἀξίως τοῦ Κυρίου. περὶ τοῦ υἱοῦ τοῦτό φησι, τὸ πανταχοῦ κρατεῖν αὐτὸν, καὶ ἐν οὐρανῷ, καὶ ἐν γῇ, ὅτι ἡ δόξα αὐτοῦ πανταχοῦ βασιλεύει. οὐχ ἁπλῶς φησι, δυναμοῦσθε, ἀλλ' ὡς εἰκὸς τοὺς οὕτως ἰσχυρῷ δεσπότῃ δουλεύοντας. ἐν τῇ ἐπιγνώσει τοῦ Θεοῦ. ἅμα καὶ περιαιρεῖται τὴν τῆς γνώσεως λόγων. τοῦτο γὰρ πεπλανῆσθαί ἐστι, τὸ μὴ εἰδέναι, ὡς δεῖ, τὸν Θεόν. ἢ ὥστε ἐπιδοῦναι, φησιν, ἐν τῇ ἐπιγνώσει τοῦ Θεοῦ. εἰ γὰρ ὁ τὸν υἱὸν οὐκ εἰδὼς, οὐδὲ τὸν πατέρα ἐπίσταται, εἰκότως δεῖ τῆς ἐπιγνώσεως. οὐδὲν γὰρ ὄφελος βίου ταύτης ἄνευ.

*δηλαδὴ
χ. τὸν ἐν οὐρανοῖς ὄντα

Εἰς πᾶσαν ὑπομονὴν καὶ μακροθυμίαν, φησὶ, μετὰ χαρᾶς

12 Εὐχαριστοῦντες τῷ Θεῷ. Εἶτα μέλλων αὐτοὺς παρακαλεῖν, οὐ μέμνηται τῶν μελλόντων αὐτοῖς ἀποκεῖσθαι· ἀλλὰ τοῦτο μὲν ᾔνιξατο ἐν τῇ ἀρχῇ εἰπὼν, Διὰ τὴν ἐλπίδα τὴν ἀποκειμένην ὑμῖν ἐν τοῖς οὐρανοῖς· ἐνταῦθα δὲ τῶν ἤδη ὑπαρξάντων μέμνηται. ταῦτα γὰρ ἐκείνων αἴτια. καὶ πολλαχοῦ τοῦτο ποιεῖ. τὰ γὰρ ἤδη γεγονότα πλέον πιστοῦται καὶ μᾶλλον αἱρεῖ τὸν ἀκροατήν. μετὰ χαρᾶς, φησιν, εὐχαριστοῦντες τῷ Θεῷ. ἡ ἀκολουθία αὕτη ἐστίν. οὐ παυόμεθα εὐχόμενοι ὑπὲρ ὑμῶν, καὶ εὐχαριστοῦντες ἐπὶ τοῖς προτέροις. ὁρᾷς πῶς ἑαυτὸν ἐμβιβάζει εἰς τὸν περὶ τοῦ υἱοῦ λόγον; εἰ γὰρ εὐχαριστοῦμεν μετὰ χαρᾶς πολλῆς, μεγάλα τὰ λεγόμενα. ἔστι γὰρ εὐχαριστεῖν διὰ φόβον μόνον, ἔστιν εὐχαριστεῖν καὶ ἐν λύπῃ ὄντα, οἷον ὁ Ἰὼβ εὐχαριστεῖ μὲν, ὀδυνώμενος δὲ· διὸ καὶ ἔλεγεν, Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο. μὴ γάρ τις λεγέτω, ὅτι οὐκ ἐλύπει αὐτὸν τὰ γινόμενα, οὐδὲ ἀθυμίαν περιέβαλε· μηδὲ τὸ μέγα ἐγκώμιον ἀφαιρείσθω τοῦ δικαίου. ὅταν δὲ τοιαῦτα ᾖ, οὐ διὰ τὸν φόβον, οὐδὲ διὰ δεσπότην μόνον, ἀλλὰ καὶ δι' αὐτὴν τὴν τῶν πραγμάτων φύσιν, εὐχαριστοῦμεν. Τῷ ἱκανώσαντι ὑμᾶς εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτί. Μέγα ἐφθέγξατο. τοιαῦτά ἐστι τὰ δεδομένα, φησὶν, ὡς μὴ δοῦναι μόνον, ἀλλὰ καὶ ἰσχυροὺς ποιῆσαι πρὸς τὸ λαβεῖν. ὃ οὖν εἶπεν, τῷ ἱκανώσαντι, πολὺ τὸ βάρος ἔδειξεν. οἷον ἐάν τις εὐτελὴς, καὶ βασιλεὺς γένηται, δυνατὸν αὐτῷ εἰς ὑπεροχήν τινα δοῦναι ὃ βούλεται· καὶ τοσοῦτον δύναται μόνον τὸ ἀξίωμα δοῦναι, ἀλλ' οὐχὶ καὶ ἐπιτήδειον ποιῆσαι πρὸς τὴν ἀρχήν. πολλάκις γὰρ τὸν τοιοῦτον καὶ καταγέλαστον ἡ τιμὴ ποιεῖ. ἐὰν μέντοι καὶ τὸ ἀξίωμα δῷ, καὶ ἐπιτήδειον ποιήσῃ πρὸς τὴν τιμὴν, καὶ ἱκανὸν πρὸς τὴν οἰκονομίαν, τότε τίμιον τὸ πρᾶγμά ἐστι. τοῦτο οὖν καὶ ἐνταῦθά φησιν, ὅτι οὐ μόνον ἡμῖν ἔδωκε τὴν τιμὴν, ἀλλὰ καὶ ἰσχυροὺς πρὸς τὸ λαβεῖν ἐποίησε. διπλῆ γὰρ αὕτη τιμὴ τὸ καὶ δοῦναι, καὶ ἐπιτηδείους κατασκευάσαι τῆς δωρεᾶς. οὐκ εἶπε, δόντι, ἁπλῶς, ἀλλ', ἱκανώσαντι εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτί· τουτέστι, τῷ καταταξάντι ὑμᾶς μετὰ τῶν ἁγίων. ἀλλ' οὐχ ἁπλῶς εἶπε, καταταξάντι, ἀλλὰ, καὶ τῶν αὐτῶν ἀπολαῦσαι παρεσχηκότι. ὁ γὰρ μερὶς, ἐκεῖνό ἐστιν ὅπερ ἕκαστος λαμβάνει. ἔστι γὰρ καὶ ἐν τῇ αὐτῇ εἶναι πόλει, καὶ μὴ τῶν αὐτῶν ἀπολαύειν· τὴν δὲ αὐτὴν μερίδα ἔχειν, καὶ μὴ τῶν αὐτῶν ἀπολαύειν, οὐκ ἔστιν. ἔστιν ἐν τῷ αὐτῷ κλήρῳ εἶναι, καὶ μὴ τὴν αὐτὴν ἔχειν μερίδα· οἷον ἐν τῷ κλήρῳ πάντες ἐσμὲν, ἀλλ' οὐ τὴν αὐτὴν ἔχομεν πάντες μερίδα. ἐνταῦθα δὲ οὐ τοῦτό φησιν, ἀλλὰ καὶ τὴν μερίδα μετὰ τοῦ κλήρου. διὰ τί κλῆρον καλεῖ; δεικνὺς ὅτι οὐδεὶς ἀπὸ κατορθωμάτων οἰκείων βασιλείας τυγχάνει· ἀλλ' ὥσπερ ὁ κλῆρος ἐπιτυχίας μᾶλλόν ἐστιν, οὕτω δὴ καὶ ἐνταῦθα. οὐδεὶς γὰρ τοιαύτην ἐπιδείκνυται πολιτείαν ὥστε βασιλείας ἀξιωθῆναι, ἀλλὰ τῆς αὐτοῦ δωρεᾶς ἐστι τὸ πᾶν. διὰ τοῦτό φησιν, Ὅταν πάντα ποιήσητε, λέγετε ὅτι ἀχρεῖοι δοῦ-

Κολοσ. α. ς.

χ. αἴρει

Ἰώβ. α. κα.

ἴσ. τῷ

λοί

φησὶ, τουτέστι, μετὰ πολλῆς τῆς σπουδῆς. τοῦτο γὰρ δείκνυσι τὸ, ἔγνωτε. ἀλλὰ δεῖ τι καὶ ἐπιγνῶναι, εἰς τὸ περιπατῆσαι ὑμᾶς ἀξίως τοῦ Κυρίου. ἐνταῦθα περὶ βίου καὶ τὴν ἔργων φησί. καὶ γὰρ καὶ τοῦτο πανταχοῦ ποιεῖ, ἀεὶ τῇ πίστει συζευγνύει τὴν πολιτείαν. Εἰς πᾶσαν ἀρέσκειαν. πῶς δὲ, παρὰ ἀρέσκειαν; ἐν παντὶ ἔργῳ ἀγαθῷ καρποφοροῦντες, καὶ αὐξανόμενοι ἐν τῇ ἐπιγνώσει τοῦ Θεοῦ· ὥσπερ, φησὶν, ἀφθόνως ὑμῖν ἑαυτὸν ἀπεκάλυψε, καὶ ὥσπερ τηλικαύτην ἐλάβετε γνῶσιν, οὕτω καὶ πολιτείαν ἀξίαν ἐπιδείξασθε τῆς πίστεως. μεγάλης γὰρ αὕτη δεῖται πολιτείας, καὶ πολλῷ μείζονος, ἢ ἡ παλαιά. ὁ γὰρ τὸν Θεὸν εἰδὼς, καὶ τοῦ Θεοῦ δοῦλος εἶναι καταξιωθεὶς, μᾶλλον δὲ καὶ υἱὸς, ὅρα ὅσης δεῖται ἀρετῆς.

11 Ἐν πάσῃ δυνάμει δυναμούμενοι. Ἐνταῦθα περὶ τῶν πειρασμῶν καὶ τῶν διωγμῶν φησιν, εὐχόμεθα ἵνα πληρωθῆτε δυναμούμενοι, ὥστε μὴ ἀκηδιάσαι, μηδὲ ἀπογνῶναι. Κατὰ τὸ κράτος τῆς δόξης αὐτοῦ. Ἵνα, φησὶ, τοιαύτην ἀναλάβητε προθυμίαν, οἵαν πρέπει τῇ ἰσχύϊ τῆς δόξης αὐτοῦ δοῦναι. Εἰς πᾶσαν ὑπομονὴν καὶ μακροθυμίαν. ὃ λέγει, τοιοῦτόν ἐστι. συντόμως εὐχόμεθα, φησιν, ὥστε ἐνάρετον ὑμᾶς βίον ἔχειν καὶ τῆς πολιτείας ἄξιον, καὶ στῆναι βεβαίως, ὡς εἰκὸς τοὺς ἀπὸ Θεοῦ δυναμωθέντας. διὰ τοῦτο πῶς οὐδέπω ἅπτεται δογμάτων, ἀλλ' ἐν τῷ βίῳ στρέφεται, ἔνθα οὐδὲν εἶχεν ἐγκαλέσαι. καὶ ἐπαινέσας ἐφ' οἷς ἐχρῆν, τότε καθίησιν εἰς κατηγορίαν. τοῦτο καὶ πανταχοῦ ποιεῖ· ὅταν γὰρ μέλλῃ τισὶ γράφειν, ἔχων μέν τι ἐγκαλεῖν, ἔχων δὲ καὶ τι ἐπαινέσαι, πρότερον ἐπαινεῖ, καὶ τότε καθίησιν εἰς τὰ ἐγκλήματα. οἰκειοῦται γὰρ πρότερον τὸν ἀκροατὴν, καὶ τὴν κατηγορίαν ἀπαλλάττει πάσης ὑποψίας, καὶ δείκνυσιν ὅτι αὐτὸς μὲν ἐβούλετο διόλου ἐγκωμιάζειν, ὑπὸ δὲ τῆς ἀνάγκης εἰς τούτους ἐμβιβάζεται τοὺς λόγους. τοῦτο καὶ ἐν τῇ προτέρᾳ πρὸς Κορινθίους ποιεῖ. ἐπαινέσας γὰρ αὐτοὺς μυρία ὡς ἀγαπῶντας αὐτὸν, καὶ ἀπὸ τοῦ πεπορευκότος, τότε εἰς κατηγορίαν καθίησιν. ἐν δὲ τῇ πρὸς Γαλάτας, οὐκέτι, ἀλλὰ τοὐναντίον. μᾶλλον δὲ εἴ τις ἐξετάσειε, κἀκείνη ἐξ ἐπαίνου ἡ κατηγορία. ἐπειδὴ γὰρ αὐτὴν οὐδὲν εἶχε κατόρθωμα τότε εἰπεῖν, καὶ σφοδρὸν τὸ ἔγκλημα ἦν, καὶ πάντες διεφθάρησαν, καὶ φέρειν οὐ δυνατὸν ἰσχυρῶς ὄντος, ἀπὸ κατηγορίας ἄρχεται λέγων, Θαυμάζω. ὥστε καὶ τοῦτο ἐγκώμιόν ἐστιν. ὕστερον δὲ αὐτοὺς ἐπαινεῖ, οὐκ ἐπὶ τοῖς παροῦσιν, ἀλλ' ἐπὶ τοῖς παρελθοῦσι, λέγων· ὅτι εἰ δυνατὸν, τοὺς ὀφθαλμοὺς ὑμῶν ἐξορύξαντες, ἂν ἐδώκατέ μοι. καρποφοροῦντές, φησι· τοῦτο περὶ ἔργων. δυναμούμενοι· περὶ πειρασμῶν τοῦτο. Εἰς πᾶσαν ὑπομονὴν καὶ μακροθυμίαν. Μακροθυμίαν πρὸς ἀλλήλους, ὑπομονὴν πρὸς τοὺς ἔξω. μακροθυμεῖ γάρ τις πρὸς ἐκείνους, οὓς δυνατὸν ἀμύνασθαι· ὑπομένει δὲ οὓς οὐ δύναται ἀμύνασθαι. διὰ τοῦτο ἐπὶ μὲν Θεοῦ οὐδέποτε ὑπομονὴ λέγεται, μακροθυμία δὲ πολλαχοῦ. καθὼς αὐτὸς ὁ μακάριος φησὶ γράφων ἀλλαχοῦ· Ἢ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ, καὶ τῆς ἀνοχῆς, καὶ τῆς μακροθυμίας καταφρονεῖς; Εἰς πᾶσαν. μὴ νῦν μὲν, μετὰ ταῦτα δὲ μηκέτι. ἐν πάσῃ, φησὶ, σοφίᾳ καὶ συνέσει πνευματικῇ. ἄλλως γὰρ οὐκ ἔνι τὸ θέλημα αὐτοῦ ἐπιγνῶναι. καίτοιγε ᾤοντο τὸ θέλημα αὐτοῦ ἔχειν, ἀλλ' οὐ πνευματικὴ ἦν ἡ σοφία. Εἰς τὸ περιπατῆσαι ὑμᾶς, φησιν, ἀξίως τοῦ Κυρίου. τοῦτο γὰρ ὁδὸς ἐστὶ τῆς ἀρίστης πολιτείας. ὁ γὰρ τοῦ Θεοῦ τὴν φιλανθρωπίαν καταμαθὼν, καταμανθάνει δὲ, ἂν ἴδῃ τὸν υἱὸν ἐκδεδομένον, μείζονα ἕξει προθυμίαν. καὶ ἄλλως δὲ οὐ τοῦτο εὐχόμεθα μόνον ἵνα μάθητε, ἀλλ' ἵνα καὶ ἐπὶ τῶν ἔργων ἐπιδείκνυσθε. ὁ γὰρ εἰδὼς χωρὶς τοῦ ποιεῖν, καὶ κολάζεσθαι μέλλει. Εἰς τὸ περιπατῆσαι ὑμᾶς, φησι· τουτέστι, ἀεὶ, οὐχ ἅπαξ, ἀλλὰ διηνεκῶς, ὥσπερ τὸ περιπατεῖν ἀναγκαῖον ἡμῖν, οὕτω καὶ τὸ ὀρθῶς βιοῦν. καὶ ἀεὶ περιπατεῖν τὸ τοιοῦτον καλεῖ, εἰκότως, δεικνὺς ὅτι οὗτος ἡμῖν ὁ βίος ἐστὶν ὁ προκείμενος, ἀλλ' οὐχ ὁ κοσμικὸς τοιοῦτος. καὶ πολὺ δὲ τὸ ἐγκώμιον. περιπατῆσαι ὑμᾶς, φησιν, ἀξίως τοῦ Κυρίου, καὶ ἐν παντὶ ἔργῳ ἀγαθῷ, ὥστε ἀεὶ ἐπιδιδόναι,

α Κορ. ι.
Γαλ. α.
Γαλ. α. ς.
Γαλ. δ. ιε.
γ. πανταχοῦ
Ρωμ. β. δ.

ἐστὶν ἐπιτεταμένη γίνεται). ὁ μὲν γὰρ τὰ μὲν ἐνταῦθα, τὰ δὲ ἐκεῖ καταναλίσκων, κἂν πολλὰ δῷ, οὐδὲν μέγα πεποίηκεν· ὁ δὲ πάντα ἐνταῦθα ἀναλίσκων, κἂν ὀλίγα δεδωκὼς ᾖ, τὸ πᾶν εἰργάσατο. Τὸ γὰρ ζητούμενον οὐχὶ πολλὰ δοῦναι, ἢ ὀλίγα, ἀλλὰ τῆς οἰκείας δυνάμεως μὴ ἔλαττον. ἐννοῶμεν τὸν τὰ πέντε τάλαντα, καὶ τὸν τὰ δύο· ἐννοῶμεν τὴν τοὺς δύο ὀβολοὺς καταβαλοῦσαν· ἐννοῶμεν τὴν χήραν τὴν ἐπὶ τοῦ Ἠλία. Οὐκ εἶπεν ἐκείνη ἡ τοὺς δύο ὀβολοὺς καταβαλοῦσα, τί γὰρ βλάπτει, ἂν τὸν μὲν ἕνα ὀβολὸν ἐμαυτῇ κατάσχω, τὸν δὲ ἕνα δῶ; ἀλλ' ὅλον ἔδωκε τὸν βίον· σὺ δὲ ἐν τοσαύτῃ ἀφθονίᾳ ὤν, ἐκείνης φειδωλότερος εἶ. μὴ τοίνυν ἀμελῶμεν τῆς ἑαυτῶν σωτηρίας, ἀλλ' ἐπιδῶμεν τῇ ἐλεημοσύνῃ. οὐδὲν γὰρ ταύτης βέλτιον. καὶ δείξει ὁ μέλλων χρόνος· πῶς δὲ καὶ ὁ παρὼν ἔδειξεν. εἰς δόξαν τοίνυν τοῦ Θεοῦ ζήσωμεν, καὶ τὰ αὐτῷ δοκοῦντα πράττωμεν, ἵνα καταξιωθῶμεν τῶν ἐπηγγελμένων ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν.

Λογ. β 9 ΔΙΑ ΤΟΥΤΟ ΚΑΙ ΗΜΕΙΣ ΑΦ' ΗΣ ΗΜΕΡΑΣ ἠκούσαμεν, οὐ παυόμεθα ὑπὲρ ὑμῶν προσευχόμενοι, καὶ αἰτούμενοι ἵνα πληρωθῆτε τὴν ἐπίγνωσιν τοῦ θελήματος αὐτοῦ ἐν πάσῃ σοφίᾳ καὶ συνέσει πνευματικῇ, 10 Περιπατῆσαι ὑμᾶς ἀξίως τοῦ Κυρίου εἰς πᾶσαν ἀρέσκειαν, ἐν παντὶ ἔργῳ ἀγαθῷ καρποφοροῦντες, καὶ αὐξανόμενοι ἐν τῇ ἐπιγνώσει τοῦ Θεοῦ.

Διὰ τοῦτο, ποῖον; ἐπειδὴ ἠκούσαμεν τὴν πίστιν ὑμῶν καὶ τὴν ἀγάπην· ἐπειδὴ χρηστὰς ἔχομεν ἐλπίδας, εὐέλπιδές ἐσμεν καὶ περὶ τῶν μελλόντων αὐτῶν. καθάπερ γὰρ ἐν τοῖς ἀγῶσιν ἐκείνους μάλιστα διεγείρομεν οὓς ἐγγὺς ὄντας τῆς νίκης· οὕτω δὴ καὶ ὁ Παῦλος τούτους μάλιστα παρακαλεῖ τοὺς τὸ πλέον κατωρθωκότας. ἀφ' ἧς ἡμέρας ἠκούσαμεν, φησίν, οὐ παυόμεθα ὑπὲρ ὑμῶν προσευχόμενοι. οὐ μίαν ἡμέραν ὑπερευχόμεθα, οὐδὲ δύο, οὐ τρεῖς. ἐνταῦθα καὶ τὴν ἀγάπην δείκνυσι, καὶ ἠρέμα αὐτοὺς αἰνίττεται, ὡς οὐδέπω πρὸς τὸ τέλος ἐφθακότας. τὸ γάρ, ἵνα πληρωθῆτε, τοῦτο δηλοῦντός ἐστιν. καὶ ὅρα μοι τὴν σύνεσιν τοῦ μακαρίου τούτου. οὐδαμοῦ τοῦ παντὸς αὐτοὺς ἀπεστερῆσθαί φησιν, ἀλλὰ λείπεσθαι αὐτοὺς πανταχοῦ. τό, ἵνα πληρωθῆτε, τοῦτο δηλοῖ. καὶ πάλιν, Εἰς πᾶσαν ἀρέσκειαν ἐν παντὶ ἔργῳ ἀγαθῷ. καὶ πάλιν, ἐν πάσῃ δυνάμει δυναμούμενοι. καὶ πάλιν, Εἰς πᾶσαν ὑπομονὴν καὶ μακροθυμίαν. τὸ γὰρ πᾶσαν, μαρτυροῦντός ἐστι καί τι τοῖς κατορθοῦσιν, εἰ καὶ μὴ τὸ πᾶν. καὶ ἵνα πληρωθῆτε, φησίν, οὐχ ἵνα λάβητε. ἔλαβον γάρ. ἀλλὰ τὸ λεῖπον, ἵνα πληρωθῆτε. οὕτω καὶ ὁ ἔλεγχος ἀνεπαχθὴς ἐγένετο, καὶ τὸ ἐγκώμιον οὐκ ἀφίει αὐτοὺς καταπεσεῖν καὶ γενέσθαι ὑπτίους ὁλοσχερὲς γινόμενον. τί δέ ἐστιν, ἵνα πληρωθῆτε τὴν ἐπίγνωσιν τοῦ θελήματος αὐτοῦ; τουτέστι, διὰ τοῦ υἱοῦ προσάγεσθαι ὑμᾶς αὐτῷ χρή, οὐκέτι δι' ἀγγέλων. ὅτι μὲν οὖν δεῖ προσάγεσθαι, ἔγνωτε· λείπεται δὲ ὑμῖν ἔτι τοῦτο μαθεῖν καὶ διὰ τί τὸν υἱὸν ἔπεμψεν. Εἰ γὰρ δι' ἀγγέλων ἔδει σώζεσθαι, οὐκ ἂν τὸν υἱὸν ἔπεμψεν, οὐκ ἂν ἐξέδωκεν. ἐν πάσῃ σοφίᾳ, φησί, καὶ συνέσει πνευματικῇ. ἐπειδὴ γὰρ αὐτοὺς οἱ φιλόσοφοι ἠπάτων, βουλόμενος ὑμᾶς ἐν πνευματικῇ, φησί, σοφίᾳ εἶναι, μὴ κατὰ τὴν σοφίαν τῶν ἀνθρώπων. Εἰ δὲ ὥστε τὸ θέλημα Θεοῦ μαθεῖν πνευματικῆς δεῖ σοφίας, ὥστε τὴν οὐσίαν, τί ἐστιν, εὐχῶν διηνεκῶν. καὶ δείκνυσιν ἐνταῦθα, ὅτι ἐξ ἐκείνου ὁ Παῦλος εὔχεται, καὶ οὐδέπω ἰδών τε, καὶ οὐκ ἀπέστη. τὸ γάρ, ἀφ' ἧς ἡμέρας ἠκούσαμεν, τοῦτο δηλοῖ. κατάγνωσιν δὲ αὐτοῖς πολλὴν φέρει, εἰ ἐξ ἐκείνου καὶ εὐχαῖς βοηθούμενοι μὴ ἀνεκτήσαντο ἑαυτούς. καὶ αἰτούμενοι, φησί,

τοῖς ἀνδραπόδοις· καὶ οἱ μὲν οἴχονται ἀναχωροῦσι νήφοντες, οὗτοι δὲ μεθύοντες. ὢ τῆς αἰσχύνης. ἐκεῖ δὲ βιωτικὸν οὐδέν, ἀλλ' εὐεργεσίᾳ τὴν τράπεζαν καταλείσαντες, οὕτως ἀναχωροῦσιν οἴκαδε, ἡδόμενοι καθεύδοντες, ἡδόμενοι ἐγειρόμενοι, πάσης αἰσχύνης ἀπηλλαγμένοι καὶ κατηγορίας. εἰ βούλει καὶ αὐτοὺς τοὺς κεκλημένους ἰδεῖν, ὄψει τούτους μὲν τοιούτους ὄντας ὥσπερ, ὅπερ οὗτοι ἔξω, τυφλούς, ἀναπήρους, χωλούς. καὶ οἷα τούτων τὰ σώματα, τοιαῦται ἐκείνων αἱ ψυχαί, ὕδερῳ καὶ φλεγμονῇ κατειλημμέναι. τοιοῦτον γὰρ ἡ ἀπόνοια. μετὰ γὰρ τὴν τρυφὴν πήρωσις γίνεται. τοιοῦτον γὰρ ἡ πλησμονὴ καὶ ἡ μέθη, χωλοὺς καὶ κυλλοὺς ποιοῦσα. καὶ ὄψει καὶ τούτους τοιαύτας ἔχοντας ψυχάς, οἷα οὗτοι τὰ σώματα, λαμπράς, κεκοσμημένας. οἱ γὰρ ἐν εὐεργεσίᾳ ζῶντες, οἱ τῆς αὐταρκείας μηδὲν πλέον ἐπιζητοῦντες, οἱ φιλοσοφοῦντες οὗτοι εἰσὶν ἐν πάσῃ φαιδρότητι. ἴδωμεν δὲ καὶ ἐνταῦθα καὶ ἐκεῖ τὸ τέλος. ἐκεῖ μὲν ἡδονὴ ἀκόλαστος, γέλως κεχυμένος, μέθη, εὐτραπελία, αἰσχρολογία (ἐπειδὴ γὰρ αὐτοὶ αἰδοῦνται αἰσχρὰ φθέγγεσθαι, διὰ τῶν πορνῶν τοῦτο γίνεται) ἐνταῦθα δέ, φιλανθρωπία, ἡμερότης. ὧν μὲν οὖν ἐκείνοις καλλωπίζει προέστηκε κενοδοξία ὁπλίζουσα αὐτούς· ὧν δὲ ἐνταῦθα φιλανθρωπία καὶ ἡμερότης. ἐκείνην μὲν γὰρ τὴν τράπεζαν φιλανθρωπία συνίστησι, ταύτην δὲ κενοδοξία καὶ ὠμότης ἐξ ἀδικίας καὶ πλεονεξίας. κἀκεῖνη μὲν καταλήγει εἰς ἅπερ εἶπον, εἰς ἀπόνοιαν, εἰς ἔκστασιν, εἰς μανίαν (τοιαύτη γὰρ ἡ τῆς κενοδοξίας βλάβη) αὕτη δὲ εἰς εὐχαριστίαν, καὶ δόξαν Θεοῦ. καὶ ὁ ἔπαινος δὲ ὁ παρὰ ἀνθρώπων, ταύτῃ πλείων. ἐκείνῳ μὲν γὰρ καὶ βασκαίνουσιν, τούτοι δὲ ὡς κοινὸν πατέρα πάντες ἔχουσι καὶ οἱ μὴ παθόντες εὖ. καὶ καθάπερ ἐπὶ τῶν ἠδικημένων καὶ οἱ μηδὲν ἠδικημένοι συναλγοῦσι, καὶ κοινῇ γίνονται πάντες ἐχθροί· οὕτω καὶ ἐπὶ τῶν παθόντων εὖ, καὶ οἱ μὴ παθόντες εὖ, καθάπερ οἱ παθόντες, ἐπαινοῦσι καὶ θαυμάζουσι τῶν πεποιηκότα. κἀκεῖ μέν, πολὺς ὁ φθόνος, ἐνταῦθα δὲ πολλὴ ἡ κηδεμονία, πολλαὶ παρὰ πάντων εὐχαί. καὶ ἐνταῦθα μὲν ταῦτα· ἐκεῖ δέ, ὅταν ὁ Χριστὸς παραγένηται, (ἐκεῖ τῶν μὲν φησί) μετὰ πολλῆς τῆς παρρησίας, καὶ ἀκούσεται ἐπὶ πάσης τῆς οἰκουμένης, Πεινῶντά με εἶδες, καὶ ἔθρεψας, γυμνόν, καὶ ἐνέδυσας, ξένον, καὶ συνήγαγες, καὶ ὅσα τοιαῦτα· ἐκεῖνος δὲ τὰ ἐναντία ἀκούσεται, Πονηρὲ δοῦλε καὶ ὀκνηρέ· καὶ πάλιν, Οὐαὶ οἱ καταπατοῦντες ἐπὶ ταῖς στρωμναῖς αὐτῶν, καὶ οἱ καθεύδοντες ἐπὶ κλινῶν ἐλεφαντίνων, οἱ πίνοντες τὸν διυλισμένον οἶνον, καὶ τὰ πρῶτα μύρα χριόμενοι· ὡς ἑστῶτα ἐλογίσαντο, καὶ οὐχ ὡς φεύγοντα. ταῦτα ἡμῖν οὐχ ἁπλῶς εἴρηται, ἀλλ' ὥστε μεταθέσθαι ὑμῶν τὴν γνώμην, καὶ μηδὲν ὑμᾶς ἀκερδὲς ποιεῖν. τί οὖν, φησι, κἂν ταῦτα, κακὰ ποιῶ; πολὺς ἐστὶν ὁ λόγος παρὰ πᾶσι· καὶ ποία ἀνάγκη, εἰπέ μοι, δέον πάντα χρησίμως ποιεῖν, διαιρεῖν, καὶ τὰ μὲν μὴ μόνον εἰς οὐδὲν δέον, ἀλλὰ καὶ εἰκῇ ἀναλίσκειν, τὰ δὲ χρησίμως; εἰπέ μοι, εἰ σπείρων τὰ μὲν εἰς πέτρας ἔρριπτες, τὰ δὲ εἰς γῆν ἀρίστην, ἆρα ἂν ἀπήρκεσέ σοι τοῦτο, καὶ εἶπες ἄν, τί γὰρ βλάπτει, ἂν τὰ μὲν εἰκῇ, τὰ δὲ εἰς ἀρίστην γῆν ῥίψωμεν; διατί γὰρ μὴ πάντα εἰς ἀρίστην; διατί τὸ κέρδος ἐλαττοῖς; κἂν μὲν συνάγῃς δέον χρήματι, οὐκ ἐρεῖς τοῦτο, ἀλλὰ πάντοθεν συνάγεις, ἐκεῖ δὲ οὐκέτι. κἂν δανείζειν δέοι, οὐκ ἐρεῖς, διατί τὰ μὲν τοῖς ἀπόροις, τὰ δὲ τοῖς εὐπόροις δώσομεν, ἀλλὰ πάντα ἐκείνοις· ἐνταῦθα δέ, ἔνθα τοσοῦτον κέρδος, διατί οὐ λογίζῃ τοῦτο, καὶ παύσῃ ποτὲ τοῦ εἰκῇ δαπανᾶσθαι καὶ μάτην ἀναλίσκειν; ἀλλ' ἔχει καὶ τοῦτο κέρδος, φησί. ποῖον, εἰπέ μοι; τὰς φιλίας αὔξει. οὐδὲν ἀνθρώπων ψυχρότερον ἀπὸ τούτων φίλων γινομένων, ἀπὸ τῆς τραπέζης καὶ πλησμονῆς τῶν παρασίτων· οὐδὲν φιλίας ἀνδιστέρον ἐντεῦθεν τὴν ἀρχὴν λαμβανούσης. μὴ ὑβρίσῃς πρᾶγμα οὕτω θαυμαστόν, τὴν ἀγάπην, μηδὲ ταύτην αὐτῆς εἶναι ῥίζαν φῇς. ὥσπερ ἂν εἴ τις δένδρου χρυσοῦ καὶ λίθους τιμίους φέροντος καὶ ῥίζαν οὐχὶ τοιαύτην ἔλεγεν εἶναι, ἀλλ' ἀπὸ σηπεδόνος τίκτεσθαι· τοῦτο καὶ σὺ ποιεῖς. κἂν γὰρ τεχθῇ φιλία ἐντεῦθεν, οὐδὲν αὐτῆς ψυχρότερον γένοιτ' ἄν. ἀλλ' ἐκεῖναι αἱ τράπεζαι φιλίαν ποιοῦσιν, οὐχὶ πρὸς ἀνθρώπους, ἀλλὰ πρὸς τὸν Θεόν, καὶ ἐπιτεταμένην, ὅταν

Ματθ. κε 35.

Αμως. ς. δ.

κ. καὶ σὺ μὲν χρήματα συνάγων ἐκεῖ ... διατί, ἀλλὰ μόνον πάντοθεν συνάγεις. κἂν δανείζειν δέοι, ἐδανεῖς τοῦτο λέγεις, διατί ... αἱ φιλίαι ἐντεῦθεν ... μόνον;

... γίνεσθαι ... λέγουσιν) ... τοῦ δὲ ... ἐνταῦθα

ὄντως γὰρ τῆς ἐκείνου φορητότερον· ὅτι λιμὸν μὲν ἄν τις καὶ εἴκοσιν ἡμέρας ἐνέγκοι, πλησμονὴν δὲ οὐδὲ δύο μόνας. καὶ τοῦτο μὲν προσταλαιπωροῦντες διηνεκῶς οἱ ἐν τοῖς ἀγροῖς, ἐν ὑγιείᾳ εἰσὶ καὶ οὐ δέονται ἰατρῶν· ταύτην δὲ, τὴν πλησμονὴν λέγω, οὐκ ἂν ἐνέγκοιεν μὴ συνεχῶς καλοῦντες ἰατρούς· μᾶλλον δὲ καὶ τὴν ἐκείνων βοήθειαν ἤλεγξε πολλάκις ἡ ταύτης τυραννίς. καὶ ἡδονῆς μὲν οὖν ἕνεκεν αὕτη τὰ πρωτεῖα ἔχει. εἰ γὰρ ἡ τιμὴ τοῦ ἀτιμάζεσθαι ἡδίων, καὶ τὸ ἐν ἐξουσίᾳ εἶναι τοῦ ὑποτάττεσθαι, καὶ τὸ θαρρεῖν τοῦ τρέμειν καὶ δεδοικέναι, καὶ τὸ τῶν ἀρκούντων ἀπολαύειν τοῦ πέρα τοῦ μέτρου εἰς τὸ τῆς τρυφῆς καταποντίζεσθαι κλυδώνιον, βελτίων ἄρα αὕτη ἐκείνης ἡ τράπεζα καὶ ἡδονῆς ἕνεκεν· καὶ τὰ τῆς δαπάνης δὲ ἐνταῦθα βελτίονα. ἐκείνη γὰρ δαπανηρά, αὕτη δὲ οὐκέτι. ἀλλὰ τί; ἆρα τοῖς ἀνακειμένοις μόνον ἡδίων αὕτη ἡ τράπεζα, ἢ καὶ τῷ καλοῦντι πλείονα αὕτη φέρει τὴν ἡδονὴν ἐκείνης; τοῦτο γάρ ἐστι τὸ μᾶλλον ζητούμενον ἡμῖν. οὐκοῦν ὁ μὲν ἐκείνους καλῶν, πρὸ πλειόνων ἡμερῶν παρασκευάζεται, καὶ πράγματα ἔχειν ἀναγκάζεται καὶ φροντίδας καὶ μερίμνας, οὔτε τὰς νύκτας καθεύδων, οὔτε τὰς ἡμέρας ἡσυχάζων· ἀλλ' ἀναπλάττων ἐν ἑαυτῷ πολλά, μαγείροις διαλεγόμενος, οἰνοποιοῖς, τραπεζοποιοῖς. εἶτα αὐτῆς τῆς ἡμέρας ἐπιστάσης ἴδοι τις ἂν τοῦτον μᾶλλον δεδοικότα, ἢ τοὺς μέλλοντας πυκτεύειν, μή τι παρὰ λόγον γένηται, μὴ βασκανίᾳ βληθῇ, μὴ κατηγόρους ἐκεῖθεν λάβῃ πολλούς· οὗτος δὲ πάσης ταύτης ἀπήλλακται τῆς φροντίδος καὶ τῶν πραγμάτων, αὐτοσχεδιάζων τὴν τράπεζαν, καὶ οὐ πρὸ πολλῶν ἡμερῶν μεριμνῶν. καὶ μετὰ δὴ ταῦτα ἐκεῖνος μὲν εὐθέως τὴν χάριν ἀπώλεσεν, ἐκεῖνος δὲ ἔχει τὸν θεὸν ὀφειλέτην· καὶ χρησταῖς τρέφεται ταῖς ἐλπίσι, καθ' ἑκάστην ἡμέραν διαχεόμενος ἀπ' ἐκείνης τῆς τραπέζης. τὰ μὲν γὰρ σιτία ἀναλίσκεται, ἡ δὲ χάρις οὐκ ἀναλίσκεται, ἀλλὰ καθ' ἑκάστην ἡμέραν μᾶλλον χαίρει καὶ γάννυται ἐκείνων τῶν πλείονος οἴνου ἐμφορηθέντων. οὐδὲν γὰρ οὕτω τρέφει τὴν ψυχήν, ὡς ἐλπὶς ἀγαθὴ καὶ τὸ χρηστὰ προσδοκᾶν. ἀλλὰ δὴ τὰ μετὰ ταῦτα ἴδωμεν. ἐκεῖ μὲν αὐλοὶ καὶ κιθάραι καὶ σύριγγες, ἐνταῦθα δὲ οὐδὲν ἀπηχὲς μέλος. ἀλλὰ τί; ὕμνοι, ψαλμῳδίαι. ἐκεῖ μὲν οἱ δαίμονες ἀνυμνοῦνται, ἐνταῦθα δὲ ὁ πάντων δεσπότης θεός. ὁρᾷς πόσης μὲν αὕτη χάριτος, πόσης δὲ ἀγνωμοσύνης ἐκείνη καὶ ἀναισθησίας γέμει; εἰπὲ γάρ μοι· ὁ θεός σε ἔθρεψεν ἐκ τῶν ἀγαθῶν αὐτοῦ, καὶ δέον αὐτῷ εὐχαριστεῖν μετὰ τὸ τραφῆναι, σὺ δὲ τοὺς δαίμονας ἐπεισάγεις; τὰ γὰρ διὰ τῶν πηκτίδων οὐδὲν ἄλλο, ἢ δαιμόνων ᾄσματα. δέον εἰπεῖν, εὐλογητὸς εἶ, Κύριε, ὅτι ἔθρεψάς με ἐκ τῶν ἀγαθῶν σου, σὺ δέ, καθάπερ τις κύων ἄτιμος, οὐδὲ μέμνησαι, ἀλλὰ τοὺς δαίμονας ἐπεισάγεις; μᾶλλον δὲ οἱ μὲν κύνες λαβόντες, καὶ μὴ λαβόντες σαίνουσι τοὺς οἰκείους, σὺ δὲ οὐδὲ τοῦτο. ὁ κύων καὶ μὴ λαμβάνων σαίνει τὸν δεσπότην, σὺ δὲ καὶ λαβὼν ὑλακτεῖς κατ' αὐτοῦ. πάλιν ὁ κύων καὶ εὐεργετούμενος παρὰ τοῦ ἀλλοτρίου, οὐδὲ οὕτω καταλύει τὴν ἔχθραν τὴν πρὸς αὐτόν, οὐδὲ ἐπισπᾶται πρὸς φιλίαν· σὺ δὲ καὶ μυρία πάσχων κακὰ παρὰ τῶν δαιμόνων, ἐπ' ἀρίστῳ αὐτοὺς εἰσάγεις· ὥστε διπλῇ τοῦ κυνὸς εἶ χείρων. καλῶς δὲ ἀνεμνήσθην νῦν τῶν κυνῶν πρὸς τοὺς τότε μόνον εὐχαριστοῦντας, ὅταν εὖ πάσχωσιν. αἰδέσθητε, παρακαλῶ, τοὺς κύνας. οἱ καὶ λιμώττοντες σαίνουσι τοὺς δεσπότας· σὺ δὲ ἂν ἀκούσῃς, ὅτι ὁ δαίμων τινὰ ἐθεράπευσε, ἀφεὶς εὐθέως τὸν δεσπότην, ὦ κυνῶν ἀλογώτερε. ἀλλ' αἱ πόρναι, φησίν, ἡδονὴν ἔχουσιν ὁρώμεναι. ποίαν ἡδονήν; ποίαν δὲ οὐκ ἀτιμίαν; πορνεῖον γέγονέ σου ἡ οἰκία, μανία καὶ οἶστρος· καὶ οὐκ αἰσχύνῃ ταῦτα ἡδονὴν καλῶν; ἂν μὲν οὖν ἐξῇ χρήσασθαι πάσῃ ἡδονῇ, μείζων ἡ αἰσχύνη καὶ ἡ ἐκ ταύτης ἀηδία. πῶς δαί, οὐ χαλεπὸν τὸ τὴν οἰκίαν πορνεῖον ποιεῖν, καὶ ἥδεσθαι καθάπερ χοίρους ἐγκαλινδουμένους βορβόρῳ; ἂν δὲ μέχρι τοῦ φανῆναι μόνον, ἰδοὺ πάλιν ὀδύνη μείζων. ἡ γὰρ ὄψις οὐχ ἡδονή, ὅταν ἡ χρῆσις μὴ ᾖ· ἀλλὰ καὶ μείζων ἡ ἐπιθυμία, καὶ σφοδροτέρα ἡ φλόξ. ἀλλὰ τὸ τέλος βούλει μαθεῖν; οἱ μὲν τοῖς μαινομένοις καὶ τοῖς παραπλῆξιν ἐοίκασιν ἀπὸ τῆς τραπέζης ἀνιστάμενοι, θρασεῖς, ὀργίλοι, καταγέλαστοι καὶ

τοῖς

χρυσοῦ ἀπολάμποντες τῷ χρυσῷ. ἔσω δὲ τὸ ἡμικύκλιον, ἁπαλῇ στρωμνῇ πάντοθεν ἐστρωμένον. πάλιν ἐνταῦθα μὲν ἔσονται διάκονοι πολλοὶ τῶν ἀνακειμένων οὐχ ἧττον κεκοσμημένοι τοῖς ἱματίοις, καὶ ἐνδεδυμένοι λαμπρῶς, καὶ ἀναξυρίδας ἔχοντες, καλοὶ μὲν ἰδεῖν, αὐτὸ ἄγοντες τῆς ἡλικίας τὸ ἄνθος, σφριγῶντες, καὶ εὐσωματοῦντες. ἐκεῖ δὲ δύο μόνοι ἔσονται διάκονοι, πάντα τὸν τῦφον τοῦτον πεπατηκότες· καὶ ἔσω τοῖς μὲν τὰ ἐδέσματα πολυτελῆ, τοῖς δὲ τοσαῦτα ὅσα σβέσαι τὸν λιμὸν, καὶ εὐφροσύνης ἐμπλῆσαι. ἆρα εἴπομεν ἀρκούντως; καὶ μετὰ ἀκριβείας κατεσκευασμέναι εἰσὶν ἀμφότεραι αἱ τράπεζαι; μή τι ἐνδεῖ; ἐγὼ μὲν οὐκ οἶμαι. καὶ γὰρ τοὺς κεκλημένους ἐπήλθομεν, καὶ τὴν πολυτέλειαν καὶ τῶν σκευῶν, καὶ τῶν στρωμάτων, καὶ τῶν ἐδεσμάτων, πλὴν ἀλλὰ, καὶ εἴ τι παρελίπομεν, ἐπεξαγαγόντες τὸν λόγον εὑρήσομεν. φέρε οὖν, ἐπειδὴ τὸ προσφόρως καλῶς ὑμῖν ἀπέλαβε σχῆμα ἑκάστη τράπεζα, ἴδωμεν ποῦ ὑμεῖς κατακλιθήσεσθε. ἐγὼ μὲν γὰρ ἐπὶ ἐκείνην ἄπειμι τὴν τῶν τυφλῶν, τὴν τῶν χωλῶν· ὑμῶν δὲ τάχα οἱ πλείους ταύτην αἱρήσονται, τὴν τῶν στρατηγῶν, τὴν φαιδρὰν καὶ λαμπράν. ἴδωμεν οὖν ποία πλείονος γέμει τῆς ἡδονῆς. μήπω γὰρ τὰ μέλλοντα ἐξετάσωμεν· ἐν ἐκείνοις μὲν γὰρ αὕτη κρατεῖ ἡ ἐμή. διατί; ὅτι αὕτη μὲν ἔχει τὸν Χριστὸν ἀνακείμενον, ἐκείνη δὲ ἀνθρώπους· αὕτη τὸν δεσπότην, ἐκείνη τοὺς δούλους. ἀλλὰ μήπω ταῦτα, ἀλλ᾽ ἴδωμεν ποία πλείονα ἔχει τὴν ἡδονὴν τὴν ἐν τῷ παρόντι. καὶ κατὰ τοῦτο μὲν οὖν πλείων αὕτη ἡ ἡδονή. ὁ γὰρ μετὰ βασιλέως ἀναπεσὼν, πλείονα φέρει τὴν ἡδονὴν τοῦ μετὰ τῶν οἰκετῶν. ἀλλὰ καὶ τοῦτο ὑπεξέλωμεν, αὐτὸ καθ᾽ ἑαυτὸ τὸ πρᾶγμα ἐξετάσωμεν. οὐκοῦν ἐγὼ, καὶ οἱ σὺν ἐμοὶ ταύτην ἑλόμενοι τὴν τράπεζαν μετὰ πολλῆς τῆς ἐλευθερίας καὶ τῆς θυμηδίας καὶ ἐροῦμεν ἅπαντα, καὶ ἀκουσόμεθα· ὑμεῖς δὲ τρέμοντες καὶ δεδοικότες, καὶ τοὺς ἀνακειμένους αἰδούμενοι, οὐδὲ ἐκτεῖναι χεῖρα τολμήσετε, καθάπερ εἰς παιδαγωγεῖον, ἀλλ᾽ οὐκ εἰς ἄριστον, εἰσελθόντες, καθάπερ δεσπότας δήμιοι(?) τρέμοντες. ἀλλ᾽ οὐκ ἐκεῖνοι οὕτως. ἀλλὰ τὰ τῆς τιμῆς, φησὶ, μεγάλα. καὶ μὲν ἐγὼ ἐν πλείονι εἰμὶ τιμῇ. ὑμῶν μὲν γὰρ ἡ εὐτέλεια μείζων φαίνεται, ὅταν καὶ τῆς αὐτῆς τραπέζης κοινωνοῦντες, δούλων προσβάλλησθε ῥήματα. καὶ γὰρ ὁ δοῦλος τότε μάλιστα φαίνεται, ὅταν μετὰ τοῦ δεσπότου κατακείμενος ᾖ. ἐκεῖνος μὲν γὰρ, ἔνθα μὴ πρόσεστιν αὐτῷ, γοῦν, οὐ τοσαύτην ἀπὸ τῆς οἰκείας ἔχων σεμνότητα, ὅσην τὴν ταπείνωσιν. σφόδρα γὰρ τότε ταπεινοῦται. καὶ τοὺς δούλους ἴδοι τις ἂν λαμπροὺς ὄντας καθ᾽ ἑαυτοὺς, καὶ τοὺς πένητας λαμπροὺς ὄντας καθ᾽ ἑαυτοὺς, μὴ ὅταν μετὰ πλουσίου βαδίζῃ. ὁ γὰρ ταπεινὸς, ὅταν ἐγγὺς ᾖ τοῦ ὑψηλοῦ, τότε φαίνεται ταπεινὸς, καὶ ἡ παράθεσις τοὺς ταπεινοὺς ταπεινοτέρους δείκνυσιν, οὐχ ὑψηλοτέρους. οὕτω καὶ ὑμᾶς εὐτελεστέρους δείκνυσι τὸ μετ᾽ ἐκείνων ἀνακεῖσθαι, ἀλλ᾽ οὐχ ἡμᾶς. δύο μὲν οὖν τούτοις πλεονεκτοῦμεν, τῇ τε ἐλευθερίᾳ, καὶ τῇ τιμῇ, ὧν οὐδὲν ἴσον εἰς ἡδονῆς λόγον ἐστί. βουλοίμην γὰρ ἂν ἔγωγε ἄρτου μεταλαβεῖν μετ᾽ ἐλευθερίας, ἢ μυρίων ἐδεσμάτων μετὰ δουλείας. Κρείσσων γὰρ, φησὶ, ξενισμὸς λαχάνων πρὸς φιλίαν καὶ χάριν, ἢ βοῦς ἀπὸ φάτνης μετ᾽ ἔχθρας. ὅ γὰρ ἂν εἴπωσιν ἐκεῖνοι, ἀνάγκη τοὺς παρόντας ἐπαινεῖν, ἢ προσποιεῖσθαι(?), παρασίτων τάξιν ἀναδεδεγμένους, μᾶλλον δὲ ἐκείνων χείρους ὄντας. τοῖς μὲν γὰρ εἰ καὶ μετ᾽ αἰσχύνης καὶ τοῦ ὑβρίζεσθαι, ὅμως μέτεστι παρρησίας· ὑμῖν δὲ οὐδὲ τούτου. ἀλλ᾽ ἡ μὲν εὐτέλεια τοσαύτη (δεδοίκατε γὰρ καὶ καταπέπληχατε) ἡ δὲ τιμὴ, οὐκέτι. οὐκοῦν πάσης μὲν ἡδονῆς ἀπεστέρηται ἡ τράπεζα ἐκείνη, πάσης δὲ αὕτη γέμει θυμηδίας. ἀλλὰ καὶ αὐτῶν τῶν ἐδεσμάτων τὴν φύσιν ἐξετάσωμεν. ἐκεῖ μὲν γὰρ ἀνάγκη καὶ μὴ βουλομένους διαρρήγνυσθαι τῷ πολλῷ οἴνῳ, ἐνταῦθα δὲ οὐκ ἔνι μὴ βουλόμενοι ἐσθίειν καὶ πίνειν. ὥστε ἐκεῖ μὲν τὴν ἐκ τῆς τῶν σιτίων ποιότητος ἡδονὴν ἡ τε περιλαβοῦσα ἀπειρία ἀφαιρεῖται, καὶ ἡ ἐκ τῆς πλησμονῆς ἀηδία. οὐ γὰρ ἧττον λιμοῦ τὰ σώματα ἡμῶν ἡ πλησμονὴ διαφθείρει καὶ ὀδυνᾷ, ἀλλὰ καὶ πολλῷ χαλεπώτερον· καὶ εἰ ἂν θέλῃς μοι δοῦναι, εὐκολώτερον αὐτὸν διαρρηγνύω τῇ πλησμονῇ, τοῦ λιμοῦ.

οὕτως

γρ. κεχ[illegible]

Παροιμ. 15. 17.

Ρωμ. θ. γ. μείζων ἐκείνης ἐστίν, ἄκουσον Παύλου λέγοντος· Ηὐχόμην ἀνάθεμα εἶναι αὐτὸς ἐγὼ ἀπὸ τοῦ
Φιλιπ. α. κγ. Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου. τίς ἂν τοῦτο ηὔξατο πατήρ, ὥστε ἐν κακοῖς εἶναι; καὶ πάλιν, Τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι, πολλῷ μᾶλλον κρεῖσσον· τὸ δὲ ἐπιμεῖναι ἐν τῇ σαρκί, ἀναγκαιότερον δι' ὑμᾶς. ποία μήτηρ ταῦτα ἂν ἕλοιτο εἰπεῖν, ὥστε τὰ αὐτῆς περιιδεῖν; καὶ πάλιν ἄ-
α. Θεσ. β. ιζ. κουε αὐτοῦ λέγοντος· Ἀπορφανισθέντες γὰρ ἀφ' ὑμῶν πρὸς καιρὸν ὥρας, προσώπῳ, οὐ καρδίᾳ. καὶ ἐνταῦθα μὲν ὁ πατὴρ ὑβρισθεὶς ἔλυσε τὴν φιλίαν, ἐκεῖ δὲ οὐκέτι· ἀλλὰ τοὺς ἀπολιθάζοντας ἀπῄει εὐεργετήσων αὐτούς. οὐδὲν γάρ, οὐδὲν οὕτως ἰσχυρόν, ὡς ὁ τοῦ πνεύματος δεσμός. ὁ μὲν γὰρ διὰ τὸ παθεῖν εὖ φίλος γενόμενος, ἂν μὴ διηνεκῶς τοῦτο γίνηται, ἔσται ἐχθρός· ὁ ἀπὸ συνηθείας ἀδιάφθαρτος ὤν, πάλιν τῆς συνηθείας διακοπείσης, ἔσβεσε τὴν φιλίαν. ἡ γυνὴ πάλιν, ἂν μάχη γένηται, ἀφῆκε τὸν ἄνδρα, καὶ τὸν πόθον ἔλυσεν. ὁ υἱός, ἂν ἐπὶ πολὺ ζῶντα τὸν πατέρα ἴδοι, καὶ βαρύνεται. ἐπὶ δὲ τοῦ πνεύματος, τούτων οὐκ ἔστιν οὐδέν. οὐδενὶ γὰρ τούτων λύεται, ἐπειδὴ μηδὲ ἐκ τούτων συνίστη. οὔτε χρόνος, οὔτε μῆκος ὁδοῦ, οὔτε τὸ κακῶς παθεῖν, οὔτε τὸ κακῶς ἀκοῦσαι, οὐ θυμός, οὐχ ὕβρις, οὐκ ἄλλο οὐδὲν εἰ-
Ἐξοδ. ιζ. σέρχεται, οὐδὲ δύναται αὐτὴν διαλῦσαι. καὶ ἵνα μάθῃς, ἐλιθάζετο ὁ Μωϋσῆς, καὶ ὑπὲρ αὐτῶν ηὔχετο. τίς ἂν τοῦτο εἰργάσατο πατὴρ ὑπὲρ τοῦ λιθάσαντος, ἀλλ' οὐχὶ καὶ αὐτὸν ἂν κατέλυσε; ταύτας δὴ μεταδιώκωμεν τὰς φιλίας τὰς ἀπὸ τοῦ πνεύματος (ἰσχυραὶ γὰρ εἰσὶ καὶ δυσδιάλυτοι) μὴ τὰς ἀπὸ τῶν τραπεζῶν. ἐκεῖ γὰρ καὶ κωλυόμεθα ταύτας εἰσά- γ. τούτους
Λουκ. ιδ. ιγ. γειν. ἄκουσον γὰρ τοῦ Χριστοῦ λέγοντος ἐν τῷ εὐαγγελίῳ· Μὴ καλέσῃς τοὺς φίλους σου, μηδὲ τοὺς γείτονάς σου, ἐὰν ποιῇς δοχήν, ἀλλὰ τοὺς χωλούς, τοὺς ἀναπήρους. εἰκότως. πολὺς γὰρ ὁ ὑπὲρ τούτων μισθός. ἀλλ' οὐ δύνασαι, οὐδὲ ἀνέχῃ μετὰ χωλῶν καὶ τυφλῶν ἑστιᾶσθαι, ἀλλὰ βαρὺ καὶ φορτικὸν ἡγῇ τοῦτο, καὶ παραιτῇ; μάλιστα μὲν οὕτω οὐκ ἔδει, πλὴν ἀλλ' οὐκ ἔστιν ἀνάγκη. κἂν μὴ συγκαθίσῃς αὐτοὺς μετὰ σοῦ, τὰ ἐδέσματα αὐτοῖς ἀπόστελλον τὰ ἀπὸ τῆς τραπέζης. καὶ γὰρ ὁ φίλους καλῶν, οὐδὲν μέγα ἐποίησεν· ἀπέλαβε γὰρ ἐνταῦθα τὸν μισθόν· ὁ δὲ ἀναπήρους καλῶν καὶ πένητας, ἔχει τὸν Θεὸν ὀφειλέτην. μὴ τοίνυν ἀσχάλλωμεν, ὅταν μὴ ἐνταῦθα ἀπολάβωμεν, ἀλλ' ὅταν ἐνταῦθα ἀπολάβωμεν. ἐκεῖ γὰρ οὐκέτι ἀποληψόμεθα. ὁμοίως ἂν ἄνθρωπος ἀποδῷ, Θεὸς οὐκ ἀποδίδωσιν· ἂν οὗτος μὴ ἀποδῷ, τότε ἀποδώσει Θεός. μὴ τοίνυν ἐκείνους ζητῶμεν εὐεργετεῖν τοὺς ἀνταποδοῦναι ἡμῖν δυναμένους, μηδὲ ἐπὶ τοιαύταις αὐτοὺς ἐλπίσιν εὐεργετῶμεν. ψυχρὰ αὕτη ἡ διάνοια. τὸν φίλον ἂν καλέσῃς, μέχρι τῆς ἑσπέρας ἡ χάρις. διὰ τοῦτο τῶν καταβαλλομένων ταχύτερον, ἢ τῶν χαιρῶν, δαπανᾶται φιλία. τὸν μέντοι πένητα καὶ ἀνάπηρον ἂν καλέσῃς, οὐδέποτε ἀπόλλυ-
ται ἡ χάρις. τὸν γὰρ πάντοτε μνημονεύοντα Θεόν, καὶ οὐδέποτε ἐπιλανθανόμενον, ἔχεις αὐτὸν ὀ- γ. πάντα
φειλέτην. πόσης δὲ καὶ βλακείας, εἰπέ μοι, τὸ μὴ δύνασθαι πένησι συγκαθέζεσθαι; τί λέγεις; ἀκάθαρτός ἐστι, φησί, καὶ ῥυπαρός; καὶ λοῦσον αὐτόν, καὶ ἀνάγαγε ἐπὶ τράπεζαν τὴν σήν. ἀλλ' ἱμάτια ἔχει ἐρρυπωμένα; καὶ ἄμειψον, καὶ δὸς καθαρὰν στολήν. οὐχ ὁρᾷς τὸ κέρδος ὅσον; ὁ Χριστὸς δι' αὐτοῦ παραγίνεται, καὶ σὺ ὑπὲρ τούτου μικρολογῇ; τὸν βασιλέα καλῶν ἐπὶ τὴν τράπεζαν, ὑπὲρ τούτων δέδοικας; ἀποκείσθωσαν τράπεζαι δύο, καὶ ἡ μὲν ἐκ τούτων πεπληρώσθω, καὶ ἐχέτω τυφλούς, κυλλούς, χωλούς, τὴν χεῖρα, τὸ σκέλος πεπηρωμένους, ἀνυποδέτους, ἕνα περικειμένους χιτωνίσκον, καὶ τοῦτον ἐκτετριμμένον· ἡ δὲ ἑτέρα ἐχέτω δυνάστας, στρατηγούς, τοπάρχας, ἄρχοντας μεγάλους, ἐνδεδυμένους ἱμάτια πολυτελῆ καὶ ὀθόνας λεπτάς, ἐ-
ζωσμένους χρυσᾶς ζώνας. πάλιν ἐνταῦθα ἐν τῇ τῶν πενήτων τραπέζῃ μήτε ἄργυρος ἔστω, γ. καὶ γὰρ τῆς
μήτε οἶνος πολύς, ἀλλ' ὁ ἀρκῶν καὶ εὐφρᾶναι δυνάμενος· τὰ δὲ ἐκπώματα καὶ τὰ λοιπὰ σκεύη γ. καὶ μηδὲ εἷς
ἀπὸ ὑέλου κατεσκευάσθω μόνης· ἐκεῖ δὲ ἐν τῇ τῶν πλουσίων τραπέζῃ ἔστω μὲν σκεύη τὰ πάν- φερέτω τὸ ἡ-
τα ἐξ ἀργύρου καὶ χρυσοῦ· ἔστω δὲ καὶ φιάλη ὑπόχρυσος σταθμὸν ἡμιτάλαντον ἕλκουσα, μικέκλεον,
ὡς δύο νεανίας μόλις αὐτὴν κινεῖν· καὶ τοὺς ἀμφορεῖς κείσθωσαν ἐφεξῆς πολλῷ ἀμείνους τοῦ ἀρ- ἀλλὰ δύο νε-
ανίαι μόλις
αὐτὸ κινείτω-
σαν.

γύρου

Digitized by Google

πρότερον ἐπαινέσας αὐτοὺς, οὕτω τούτων ἀναμιμνήσκει.

6 Τοῦ παρόντος εἰς ὑμᾶς, καθὼς καὶ ἐν παντὶ τῷ κόσμῳ. Ἤδη στηρίζεται αὐτοῖς. παρόντος δὲ μεταφορικῶς εἶπεν. οὐ παρεγένετο, φησὶ, καὶ ἀπέστη, ἀλλ' ἔμεινε καὶ ἔστιν ἐκεῖ. εἶτα, ἐπειδὴ μάλιστα οἱ πολλοὶ ἐκ τοῦ κοινωνοὺς ἔχειν πολλοὺς τῶν δογμάτων στηρίζονται, διὰ τοῦτο ἐπήγαγε, καθὼς καὶ ἐν παντὶ τῷ κόσμῳ. πανταχοῦ, φησὶ, πάρεστι, πανταχοῦ κρατεῖ, πανταχοῦ ἕστηκε. Καί ἐστι καρποφορούμενον, Καὶ αὐξανόμενον, καθὼς καὶ ἐν ὑμῖν.

Καρποφορούμενον διὰ τὰ ἔργα, αὐξανόμενον τῷ πολλοὺς προσλαμβάνειν, τῷ μᾶλλον στηρίζεσθαι. καὶ γὰρ ἐν τοῖς φυτοῖς τότε πυκνὰ * γίνεται, ὅταν στηριχθῇ τὸ φυτόν. * πάντα

Καθὼς καὶ ἐν ὑμῖν. Προκαταλαμβάνει τὴν ἀκρόασιν τοῖς ἐπαίνοις, ὥστε μηδὲ ἄκοντα ἀποστῆναι. Ἀφ' ἧς ἡμέρας ἠκούσατε. Τὸ θαυμαστὸν, ὅτι ταχέως προσήλθετε καὶ ἐπιστεύσατε, καὶ εὐθέως ἐκ προοιμίων ἐπεδείξασθε τοὺς καρπούς. Ἀφ' ἧς ἡμέρας ἠκούσατε καὶ ἐπέγνωτε τὴν χάριν τοῦ Θεοῦ ἐν ἀληθείᾳ. Οὐκ ἐν λόγῳ, φησὶν, οὐδὲ ἐν ἀπάτῃ, ἀλλ' ἐν αὐτοῖς τοῖς ἔργοις. τοῦτο τοίνυν λέγει, καρποφορούμενον· ἤτοι τὰ σημεῖα καὶ τὰ θαύματα, ὅτι ἅμα ἐδέξασθε, ἅμα ἔγνωτε τὴν χάριν τοῦ Θεοῦ. τὸ τοίνυν εὐθέως ἐπιδειξάμενον τὴν οἰκείαν δύναμιν πῶς οὐ χαλεπὸν νῦν ἀπιστεῖσθαι;

7. Καθὼς καὶ ἐμάθετε ἀπὸ Ἐπαφρᾶ τοῦ ἀγαπητοῦ συνδούλου ἡμῶν. χ. ἐπὶ

Τοῦτον εἰκὸς ἐκεῖ κεκηρυχέναι· ἐμάθετε τὸ εὐαγγέλιον. εἶτα τὸ ἀξιόπιστον δεικνὺς τοῦ ἀνδρὸς, φησὶ, τοῦ συνδούλου ἡμῶν. Ὅς ἐστι πιστὸς ὑπὲρ ὑμῶν διάκονος τοῦ Χριστοῦ,

8 Ὁ καὶ δηλώσας ἡμῖν τὴν ὑμῶν ἀγάπην ἐν πνεύματι. Μὴ ἀμφιβάλλετε, φησὶ, περὶ τῆς μελλούσης ἐλπίδος. ὁρᾶτε τὴν οἰκουμένην ἐπιστρέφουσαν. καὶ τί δεῖ λέγειν τὰ ἐν τοῖς ἄλλοις; τὰ ἐν ὑμῖν αὐτοῖς καὶ χωρὶς τούτων πιστά. ἐπέγνωτε γὰρ τὴν χάριν τοῦ Θεοῦ ἐν ἀληθείᾳ, τουτέστιν, ἐν τοῖς ἔργοις. ὥστε δύο ταῦτα τὰ μέλλοντα βεβαιοῦται, τό τε πάντας πιστεῦσαι, τό τε καὶ ὑμᾶς· καὶ οὐκ ἄλλα μὲν ἐγένετο, ἄλλα δὲ εἶπεν Ἐπαφρᾶς, ὅς ἐστι, φησὶ, πιστὸς, τουτέστιν, ἀληθής. πῶς δὲ ὑπὲρ ὑμῶν διάκονος; τῷ πρὸς αὐτοὺς ἀπελθεῖν, καὶ δηλῶσαι ἡμῖν, φησὶ, τὴν ὑμῶν ἀγάπην ἐν πνεύματι, τουτέστι, τὴν πνευματικὴν τὴν εἰς ἡμᾶς. Εἰ δὲ οὗτος τοῦ Χριστοῦ διάκονος, πῶς δι' ἀγγέλων λέγετε προσάγεσθαι; ὁ καὶ δηλώσας ἡμῖν, φησὶ, τὴν ὑμῶν ἀγάπην ἐν πνεύματι. αὕτη γὰρ θαυμαστὴ καὶ βεβαία ἡ ἀγάπη, ὡς αἵ γε ἄλλαι ὄνομα ἀγάπης ἔχουσι μόνον. Εἰσὶ δέ τινες οὐ τοιαῦται. ἀλλ' ἡ φιλία τούτων· διὸ καὶ ἀδιάλυτος γίνεται.

Πολλαὶ προφάσεις εἰσὶν αἳ φιλίας ποιοῦσαι. καὶ τέως τὰς μὲν αἰσχρὰς παρήσομεν (οὐδεὶς γὰρ ἡμῖν περὶ ἐκείνων αἰτηρεῖ, ὡς πονηρῶν οὐσῶν) ἀλλ', εἰ βούλεσθε, τὰς φυσικὰς καὶ τὰς βιωτικὰς εἰς μέσον παραγάγωμεν. βιωτικαὶ μὲν οὖν εἰσιν αὗται· οἷον εὖ ἔπαθέ τις, ἀπὸ προξενίων ἐκτήσατο φίλον, ἐκοινώνησε τραπέζης ἢ ἀποδημίας, ἢ γείτων ἐστὶ (καλαὶ καὶ αὗται) ἢ ὁμότεχνος γέγονεν. αὕτη μὲν οὖν οὐκ ἔστιν εἰλικρινής· ἔχει γάρ τινα καὶ ζῆλον, καὶ βασκανίαν· αἱ δὲ φυσικαὶ, οἷον παιδὸς πρὸς υἱὸν, υἱοῦ πρὸς πατέρα, ἀδελφοῦ πρὸς ἀδελφὸν, πρὸς ἔκγονον πάππου, μητρὸς πρὸς τέκνα. Εἰ δὲ βούλεσθε, προσθῶμεν καὶ τὴν τῆς γυναικὸς πρὸς ἄνδρα. καὶ γὰρ πᾶσαι αἱ γαμικαὶ εἰσὶ βιωτικαὶ καὶ γήϊναι. αὗται μὲν οὖν ἐκείνων εἶναι δοκοῦσι σφοδρότεραι. δοκοῦσι δὲ, εἶπον, διότι πολλάκις ὑπ' ἐκείνων ἡττήθησαν. καὶ γὰρ φίλοι ἀλλαχοῦ γνησιώτεροι ἐφάνησαν ἀδελφῶν διακείμενοι, καὶ υἱῶν πρὸς πατέρας· καὶ ὁ μὲν γεννηθεὶς οὐκ ἐβοήθησεν· ὁ δὲ μὴ γνοὺς αὐτὸν, παρέστη καὶ ἐβοήθησεν. ἡ δὲ πνευματικὴ ἀγάπη πασῶν ἐστιν ἀνωτέρα, καθάπερ τις βασίλισσα τῶν ἰδίων κρατοῦσα, καὶ λαμπρὸν ἔχει τὸ σχῆμα. οὐδὲν γὰρ γήϊνον αὐτὴν τίκτει, καθάπερ ἐκείνην, οὐ συνήθεια, οὐκ εὐεργεσία, οὐ φύσις, οὐ χρόνος· ἀλλ' ἄνωθεν κάτεισιν ἐκ τοῦ οὐρανοῦ. καὶ τί θαυμάζεις, εἰ εὐεργεσίας οὐ δεῖται πρὸς τὸ συνεστάναι, ὅπου γε οὐδὲ τῷ κακῶς παθεῖν διατρέπεται; ὅτι δὲ αὕτη ΗΘΙΚΟΝ

μείζων

Κολασ. β. α. ε. αὐτούς. καὶ περὶ μὲν ἐκείνων πολλαχοῦ δηλοῖ, περὶ δὲ τούτων ἄκουε αὐτοῦ λέγοντος, Καὶ ὅσοι οὐχ ἑωράκασι τὸ πρόσωπόν μου ἐν σαρκί· καὶ πάλιν, Εἰ καὶ τῇ σαρκὶ ἄπειμι, ἀλλὰ τῷ πνεύματι σὺν ὑμῖν εἰμι. οὕτως ᾔδει μέγα ὂν τὴν παρουσίαν αὐτοῦ πανταχοῦ, καὶ ἀεὶ ἑαυτὸν καὶ ἀπόντα ἐφίστησι· καὶ ὅταν κολάζῃ τὸν πορνεύοντα, ὅρα πῶς ἑαυτὸν ἐφίστησι τῷ δικαστηρίῳ. (α Κορ. ε. α. καὶ δ. ιθ.) Ἐγὼ μὲν γάρ, φησιν, ὡς ἀπὼν τῷ σώματι, παρὼν δὲ τῷ πνεύματι, ἤδη κέκρικα ὡς παρών· καὶ πάλιν, Ἐλεύσομαι πρὸς ὑμᾶς, καὶ γνώσομαι οὐ τὸν λόγον τῶν πεφυσιωμένων, ἀλλὰ τὴν δύναμιν· (Γαλ. δ. ιη.) καὶ πάλιν, Μὴ μόνον ἐν τῷ παρεῖναί με πρὸς ὑμᾶς, ἀλλὰ πολλῷ μᾶλλον ἐν τῷ ἀπεῖναί με. Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος Θεοῦ. ἄξιον δὲ καὶ τὴν ὑπόθεσιν εἰπεῖν, ἣν ἐκ τῆς ἐπιστολῆς εὑρήκαμεν. τίς οὖν ἐστιν αὕτη; δι᾽ ἀγγέλων προσάγεσθαι τῷ Θεῷ, παρατηρήσεις εἶχον πολλὰς καὶ Ἰουδαϊκὰς καὶ Ἑλληνικάς. (χ. προσήγοντο) Ταῦτ᾽ οὖν διορθοῦται. διὰ τοῦτο καὶ ἀρχόμενός φησι, διὰ θελήματος Θεοῦ. ἰδοὺ πάλιν τὸ, διὰ, τέθεικε. καὶ Τιμόθεος ὁ ἀδελφός, φησιν. οὐκοῦν καὶ αὐτὸς ἀπόστολος. εἰκὸς δὲ καὶ τοῦτον αὐτοῖς γνωρίζεσθαι. (χ. ἦν) Τοῖς ἐν Κολασσαῖς ἁγίοις. ἡ πόλις τῆς Φρυγίας ἦν· καὶ δῆλον ἐκ τοῦ τὴν Λαοδίκειαν πλησίον εἶναι. Καὶ πιστοῖς ἀδελφοῖς ἐν Χριστῷ. πόθεν, φησίν, ἅγιος γέγονας, εἰπέ μοι; πόθεν πιστὸς κέκλησαι; οὐχ ὅτι διὰ τοῦ θανάτου ἡγιάσθης τοῦ Χριστοῦ; οὐχ ὅτι εἰς Χριστὸν πιστεύεις; πόθεν ἀδελφὸς γέγονας; οὐ γὰρ ἐν ἔργῳ, οὐδὲ ἐν λόγῳ, οὐδὲ ἐν κατορθώματι πιστὸς ἐφάνης. πόθεν τοσαῦτα ἐπιστεύθης, εἰπέ μοι, μυστήρια; οὐ διὰ Χριστόν; Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν. πόθεν ἡ χάρις ὑμῖν; πόθεν ἡ εἰρήνη; ἀπὸ Θεοῦ, φησι, πατρὸς ἡμῶν. καίτοι ἐν ταύτῃ τὸ τοῦ Χριστοῦ οὐ τέθεικεν ὄνομα. πρὸς τοὺς τὸ πνεῦμα διαβάλλοντας ἐρῶ, πόθεν ὁ Θεὸς πατὴρ τῶν δούλων; ταῦτα τὰ μεγάλα τίς κατώρθωσε; τίς ἁγίους σε ἐποίησε; τίς πιστόν; τίς υἱὸν τοῦ Θεοῦ; ὁ ποιήσας σε ἀξιόπιστον, αὐτὸς καὶ τοῦ πιστευθῆναί σε ἅπαντα αἴτιος. πιστοὶ γὰρ οὐ διὰ τὸ πιστεύειν καλούμεθα μόνον, ἀλλὰ καὶ διὰ τὸ πιστευθῆναι παρὰ τοῦ Θεοῦ μυστήρια, ἅπερ οὐδὲ ἄγγελοι πρὸ ἡμῶν ᾔδεισαν. ἀλλ᾽ ἀδιάφορον τῷ Παύλῳ ὑπὸ ταῦτα τεθεῖναι.

3 Εὐχαριστοῦμεν τῷ Θεῷ τῷ πατρὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἐμοὶ δοκεῖ πάντα ἐπὶ τὸν πατέρα ἀναπεθεῖναι, ὥστε μὴ εὐθέως αὐτοῖς προστεθεῖναι τὸν λόγον. (χ. προσιέναι) Πάντοτε περὶ ὑμῶν προσευχόμενοι. Οὐ διὰ τῆς εὐχαριστίας μόνον, ἀλλὰ καὶ τῆς διηνεκοῦς εὐχῆς, τὴν ἀγάπην δείκνυσιν, ὅτι καὶ οὓς οὐχ ἑώρα, τούτους εἶχε διαπαντὸς ἐν ἑαυτῷ.

[ 4 Ἀκούσαντες τὴν πίστιν ὑμῶν ἐν Χριστῷ Ἰησοῦ. Ἀνωτέρω, τοῦ Κυρίου ἡμῶν, εἰπών, ἐνταῦθα, Ἰησοῦ Χριστοῦ λέγει. αὐτός ἐστι Κύριος, φησιν, οὐχ ὁ δοῦλος Ἰησοῦ Χριστοῦ, καὶ (Ματθ. α. κα.) ταῦτα σύμβολα τῆς εὐεργεσίας. Αὐτὸς γάρ, φησι, σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν.]

Ἀκούσαντες τὴν πίστιν ὑμῶν ἐν Χριστῷ Ἰησοῦ, καὶ τὴν ἀγάπην τὴν εἰς πάντας τοὺς ἁγίους. Ἤδη οἰκειοῦται αὐτούς. Ἐπαφρόδιτός ἐστιν ὁ ταῦτα ἀπαγγέλλων· πέμπει δὲ τὴν ἐπιστολὴν διὰ Τυχικοῦ, ἐκεῖνον παρ᾽ ἑαυτῷ κατασχών. καὶ τὴν ἀγάπην, φησί, τὴν εἰς πάντας τοὺς ἁγίους· οὐκ εἰς τόνδε, καὶ εἰς τόνδε· οὐκοῦν καὶ εἰς ἡμᾶς.

5 Διὰ τὴν ἐλπίδα τὴν ἀποκειμένην ὑμῖν ἐν τοῖς οὐρανοῖς. Τὰ μέλλοντα φησὶν ἀγαθά. τοῦτο πρὸς τοὺς πειρασμούς, ὥστε μὴ ἐνταῦθα ζητεῖν τὴν ἄνεσιν. ἵνα γὰρ μή τις εἴπῃ, καὶ τί τὸ κέρδος τῆς ἀγάπης τῆς εἰς τοὺς ἁγίους, κατασυλωμένων αὐτῶν; χαίρομεν, φησιν, ὅτι μεγάλα ἑαυτοῖς προξενεῖτε ἐν τοῖς οὐρανοῖς. διὰ τὴν ἐλπίδα, φησί, τὴν ἀποκειμένην. (χ. αὐτοῖς προξενεῖται) τὸ ἀσφαλὲς ἔδειξεν. Ἣν προηκούσατε ἐν τῷ λόγῳ τῆς ἀληθείας. Ἐνταῦθα πλήττοντος αὐτούς ἐστι τὸ ῥῆμα, ὅτι πολὺν χρόνον ἔχοντες μετέστησαν. ἣν προηκούσατε, φησιν, ἐν τῷ λόγῳ τῆς ἀληθείας τοῦ εὐαγγελίου. καὶ ἀλήθειαν μαρτυρεῖ τῷ λόγῳ· εἰκότως. οὐδὲν γὰρ ψεῦδος ἐν αὐτῷ. Τοῦ εὐαγγελίου. Οὐ λέγει, τοῦ κηρύγματος, ἀλλ᾽ εὐαγγέλιον καλεῖ, συνεχῶς ἀναμιμνήσκων αὐτοὺς τῆς εὐεργεσίας τοῦ Θεοῦ. καὶ

πρότι

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

# ΙΩΑΝΝΟΥ
# ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ
## ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

γρ. ὑπόμνημα τοῦ Χρυσοστόμου "ἑρμηνεία εἰς τὴν πρὸς
Κολοσσαεῖς ἐπιστολήν.

Λόγ. α. 1 ΠΑΥΛΟΣ ΑΠΟΣΤΟΛΟΣ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ
διὰ θελήματος Θεοῦ, καὶ Τιμόθεος ὁ ἀδελφός,
2 Τοῖς ἐν Κολοσσαῖς
ἁγίοις καὶ πιστοῖς ἀδελφοῖς ἐν Χριστῷ· Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

Πᾶσαι μὲν ἅγιαι αἱ ἐπιστολαὶ Παύλου· ἔχουσι δέ τι πλέον αἱ δεδεμένου αὐτοῦ πεμπόμεναι, οἷα ἐστὶν ἡ πρὸς Ἐφεσίους, οἷα ἡ πρὸς Φιλήμονα, οἷα ἡ πρὸς Τιμόθεον, οἷα ἡ πρὸς Φιλιππησίους, οἷα αὕτη ἡ παροῦσα. καὶ γὰρ καὶ αὕτη δεσμίου ὄντος ἐπέμπετο, καθὼς γράφων
ἔλεγε· Διὸ καὶ δέδεμαι, ἵνα φανερώσω αὐτό, ὡς δεῖ με λαλῆσαι. Κολοσ. δ. δ.
ἀλλ' αὕτη μὲν δοκεῖ τῆς πρὸς Ῥωμαίους ὑστέρα εἶναι. ἐκείνην μὲν
γρ. Ῥωμαίοις γὰρ οὐδέπω ἰδὼν "Ῥωμαίοις ἔγραφε, ταύτην δὲ ἤδη πρεσβύτης, καὶ πρὸς τῷ τέλει τοῦ κη-
ρύγματος ὤν. καὶ δῆλον ἐκεῖθεν. ἐν γὰρ τῇ ἐπιστολῇ φησι τῇ πρὸς Φιλήμονα, Τοιοῦτος ὤν, Φιλημ. θ.
ὡς Παῦλος πρεσβύτης, καὶ ὑπὲρ Ὀνησίμου ἀξιοῖ· ἐν ταύτῃ δὲ αὐτοῖς πέμπει τὸν Ὀνήσιμον,
καθώς φησι, Σὺν Ὀνησίμῳ τῷ πιστῷ καὶ ἀγαπητῷ ἀδελφῷ, πιστὸν καὶ ἀγαπητὸν καὶ ἀδελ- Κολοσ. δ. θ.
φὸν αὐτοῖς καλῶν. διὸ καὶ θαρρούντως λέγει ἐν ταύτῃ τῇ ἐπιστολῇ, Ἀπὸ τῆς ἐλπίδος τοῦ Κολοσ. α. κγ.
εὐαγγελίου, οὗ ἠκούσατε, τοῦ κηρυχθέντος ἐν πάσῃ τῇ κτίσει τῇ ὑπὸ τὸν οὐρανόν. ἤδη γὰρ χρό-
γρ. πρεσβυτέραν νον εἶχε τὸ κήρυγμα. ταύτης οὖν "ὑστέραν οἶμαι τὴν πρὸς Τιμόθεον εἶναι, καὶ πρὸς αὐτῇ τῇ
τελευτῇ λοιπόν· ἐκεῖ γάρ φησιν, Ἐγὼ γὰρ ἤδη σπένδομαι· τῆς μὲν οὖν πρὸς Φιλιππησί- β. Τιμ. δ. ς.
γρ. ἐκεῖ γὰρ ἦν πέπειρ. ους πρεσβυτέρα. "ἐν ἐκείνῃ γὰρ φαίνεται ἀρχὴν ἔχων τῶν δεσμῶν τῶν ἐν τῇ Ῥώμῃ.
Τίνος δὲ ἕνεκεν λέγω πλέον ἔχειν ταύτας τὰς ἐπιστολάς; κατὰ τοῦτο, ὅτι ἐν δεσμοῖς ὢν αὐτὰς
γρ. αἱ ἀμφὶ γρ. ἢ γράφει· ὥσπερ ἂν εἰ ἀριστεὺς σφαγὰς "μεταξὺ, καὶ τρόπαια ἱστὰς ἐπιστέλλει, οὕτω δὴ ἐπειδὴ
καὶ αὐτός. οἶδε γὰρ καὶ αὐτὸς τοῦτο μέγα ὄν. τῷ γὰρ Φιλήμονι γράφων φησίν, Ὃν ἐγέννησα ἐν Φιλημ. ι.
τοῖς δεσμοῖς μου. ταῦτα δὲ εἶπεν, ἵνα μὴ ἀσχάλλωμεν πρὸς τὰ δεινά, ἀλλὰ καὶ χαίρω-
μεν. ἐνταῦθα καὶ παρὰ τούτοις Φιλήμων. καὶ γὰρ ἐκεῖ γράφων φησί, Καὶ Ἀρχίππῳ τῷ συ- Φιλημ. β.
στρατιώτῃ ἡμῶν· καὶ ἐνταῦθα, Εἴπατε Ἀρχίππῳ. δοκεῖ μοι οὗτος ἐγκεχειρίσθαι τινὰ τῆς Κολοσ. δ. ιζ.
ἐκκλησίας. Οὐκ εἶδε δὲ οὔτε τούτους, οὔτε Ῥωμαίους, οὔτε Ἑβραίους, ἡνίκα ἔγραφε πρὸς

σκηνῆς τραγῳδίαι ἀπὸ τῶν βασιλέων ὑφαίνονται, καὶ τῶν μύθων. τὰ γὰρ πλείονα τῶν ἐν τοῖς μύθοις ἀπὸ τῶν γινομένων πέπλασται. οὕτω γὰρ ἐκεῖ καὶ ἡδονὴν οἶδα, τὰ Θυέστεια δεῖπνα, καὶ ὡς πᾶσα ἐκείνη ἡ οἰκία διὰ συμφορῶν κατέστρεψεν. ἀλλὰ ταῦτα μὲν ἀπὸ τῶν παρὰ τῶν ἔξωθεν συντιθέντων ἴσμεν. Εἰ δὲ βούλεσθε, καὶ ἀπὸ τῶν γραφῶν ἐροῦμεν. ὁ Σαοὺλ πρῶτος ἐβασίλευσεν, ἀλλ' ἴστε πῶς καὶ οὗτος ἀπώλετο μυρίων πειραθεὶς κακῶν. μετ' ἐκεῖνον ὁ Δαβίδ, ὁ Σολομῶν, ὁ Ἀβιά, ὁ Ἐζεκίας, ὁ Ἰωσίας ὁμοίως. οὐ γάρ ἐστι θλίψεως χωρὶς, οὐκ ἔστι πόνων χωρὶς, οὐκ ἔστιν ἀθυμίας ἐκτὸς τὸν παρόντα βίον διελθεῖν. ἀλλ' ἡμεῖς ἀθυμῶμεν μὴ ὑπὲρ τῶν τοιούτων* [* πραγμάτων], ὑπὲρ ὧν οἱ βασιλεῖς, ἀλλ' ὑπὲρ τοιούτων, ὑπὲρ ὧν καὶ κέρδος ἐστὶ μέγα. [β. Κορ. ζ. ι.] Ἡ γὰρ κατὰ Θεὸν λύπη, μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργάζεται. ὑπὲρ τούτων χρὴ λυπεῖσθαι, ὑπὲρ τούτων ἀλγεῖν, ὑπὲρ τούτων δάκνεσθαι. [β. Κορ. β. δ.] οὕτως ἐλυπεῖτο Παῦλος ὑπὲρ τῶν ἁμαρτανόντων, οὕτως ἐδάκρυεν. Ἐκ γὰρ πολλῆς θλίψεως, φησὶ, καὶ συνοχῆς καρδίας ἔγραψα ὑμῖν διὰ πολλῶν δακρύων. ἐπειδὴ γὰρ ὑπὲρ οἰκείων οὐκ εἶχε πενθεῖν, ὑπὲρ τῶν ἀλλοτρίων τοῦτο ἐποίει· μᾶλλον δὲ καὶ ταῦτα οἰκεῖα ἡγεῖτο κατὰ τὸν τῆς πίστεως λόγον. ἕτεροι ἐσκανδαλίζοντο, καὶ αὐτὸς ἐπυροῦτο· ἕτεροι ἠσθένουν, καὶ αὐτὸς ἠσθένει. ἀγαθὸν ἡ τοιαύτη λύπη, πάσης κρείττων αὕτη χαρᾶς κοσμικῆς. τὸν οὕτω πενθοῦντα ἐγὼ πάντων τῶν ἀνθρώπων προκρίνω· μᾶλλον δὲ καὶ αὐτὸς τοὺς οὕτω πενθοῦντας μακαρίζει ὁ Κύριος, τοὺς συμπαθεῖς. οὐχ οὕτως αὐτὸν ἐπὶ τοῖς κινδύνοις θαυμάζω (μᾶλλον δὲ οὐχ ἧττον αὐτὸν τῶν κινδύνων θαυμάζω, ὑφ' ὧν καθ' ἑκάστην ἡμέραν ἀπέθνησκεν) ἀλλὰ τοῦτό με μᾶλλον αἱρεῖ. ἀπὸ γὰρ ψυχῆς φιλοθέου καὶ φιλοστόργου ἐγίνετο, ἀπὸ ἀγάπης, ἣν αὐτὸς ὁ Χριστὸς ἐζήτει, ἀπὸ συμπαθείας ἀδελφικῆς καὶ πατρικῆς, μᾶλλον δὲ καὶ τούτων ἀμφοτέρων μείζονος. οὕτω διακεῖσθαι χρὴ, οὕτω δακρύειν. τὰ τοιαῦτα δάκρυα πολλῆς ἐστιν εὐφροσύνης μεστά· τὸ τοιοῦτον πένθος ὑπόθεσις χαρᾶς ἐστι. καὶ μή μοι εἴπῃς, τί πλέον ἐκ τοῦ θρηνεῖν, ὑπὲρ ὧν τοῦτο ποιεῖς; κἂν μηδὲν ὀνήσωμεν τοὺς θρηνουμένους, ἀλλὰ πάντως ἡμᾶς αὐτοὺς ὠφελήσομεν [χ. ὠφελοῦμεν]. ὁ γὰρ ὑπὲρ τῶν ἀλλοτρίων οὕτως ἀλγῶν, πολλῷ μᾶλλον ὑπὲρ τῶν ἰδίων [χ. οἰκείων] τοῦτο ποιήσει· ὁ ἐπὶ τοῖς ἑτέρων οὕτω δακρύων, οὐκ ἀδακρυτὶ τὰ οἰκεῖα παρελεύσεται πλημμελήματα· μᾶλλον δὲ οὐδὲ ἁμαρτήσει ταχέως. τὸ δὲ δεινὸν, ὅτι κελευσθέντες οὕτως ἐπὶ τοῖς ἁμαρτάνουσι θρηνεῖν, οὐδὲ ἐπὶ τοῖς οἰκείοις ἵνα ἐπιδεικνύμεθα μετάνοιαν, ἀλλ' ἀναλγήτως παίζοντες [χ. παίουσιν] διακείμεθα, καὶ πάντων μᾶλλον φροντίζομεν, καὶ πάντα λογιζόμεθα μᾶλλον, ἢ τὰ οἰκεῖα ἁμαρτήματα. διὰ τοῦτο χαιρόμενοι χαρὰν τὴν ἀνόητον, τὴν τοῦ κόσμου, τὴν εὐθέως σβεννυμένην, τὴν μυρίας τίκτουσαν λύπας. λυπηθῶμεν τοίνυν λύπην χαρᾶς μητέρα, καὶ μὴ ἡσθῶμεν χαρὰν λύπην τίκτουσαν· ἀφῶμεν δάκρυα σπείροντα πολλὴν ἡδονὴν, καὶ μὴ γελῶμεν γέλωτα βρυγμὸν ἡμῖν ὀδόντων τίκτοντα· θλιβῶμεν θλίψιν, ἀφ' ἧς ἄνεσις βλαστάνει, καὶ μὴ ζητῶμεν τρυφὴν, ἀφ' ἧς πολλὴ θλίψις καὶ ὀδύνη τίκτεται· ἐπὶ τῆς γῆς μικρὸν πονέσωμεν, ἵνα τρυφήσωμεν διηνεκῶς ἐν τοῖς οὐρανοῖς· ἐν τῷ ἐπικήρῳ βίῳ θλίψωμεν ἑαυτοὺς, ἵνα ἐν τῷ ἀπείρῳ τύχωμεν ἀνέσεως· μὴ διαχυθῶμεν ἐν τῷ βραχεῖ τούτῳ, ἵνα μὴ στενάξωμεν ἐν τῷ ἀπείρῳ. οὐχ ὁρᾶτε πόσοι καὶ ἐν ταύτῃ θλίβονται βιωτικῶν ἕνεκεν πραγμάτων; ἐνόησον ὅτι καὶ σὺ εἷς ἐξ ἐκείνων εἶ, καὶ φέρε τὴν θλίψιν καὶ τὴν ὀδύνην, τῇ ἐλπίδι τῶν μελλόντων τρεφόμενος. οὐκ εἶ σὺ τοῦ Παύλου βελτίων, οὐδὲ τοῦ Πέτρου, τῶν οὐδέποτε ἀνέσεως τυχόντων, τῶν ἐν λιμῷ καὶ δίψει καὶ γυμνότητι τὸν πάντα βίον διεξελθόντων. Εἰ βούλει τῶν αὐτῶν ἐκείνοις τυχεῖν, τί τὴν ἐναντίαν ὁδεύεις ὁδόν; Εἰ βούλει πρὸς τὴν πόλιν ἀπαντῆσαι ἐκείνην, ἧς ἐκεῖνοι κατηξιώθησαν, ἐκείνην βάδιζε τὴν ὁδὸν τὴν ἐκεῖ φέρουσαν. οὐ φέρει ἡ τῆς ἀνέσεως ὁδὸς ἐκεῖ, ἀλλ' ἡ τῆς θλίψεως· ἐκείνη εὐρύχωρος, αὕτη στενή. ταύτην βαδίζωμεν, ἵνα τύχωμεν τῆς αἰωνίου ζωῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Digitized by Google

ὑπόθεσις. ἄκουε γὰρ τοῦ Δαβὶδ λέγοντος· Ἀγαθόν μοι, Κύριε, ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου· καὶ πάλιν ἑτέρου προφήτου λέγοντος, Ἀγαθὸν ἀνθρώπῳ, ὅταν ἄρῃ ζυγὸν ἐκ νεότητος αὐτοῦ· καὶ πάλιν, Μακάριος ἄνθρωπος, ὃν ἂν παιδεύσῃς, Κύριε· καὶ ἑτέρου τινὸς λέγοντος, Μὴ ὀλιγώρει παιδείας Κυρίου· καὶ ἀλλαχοῦ, Εἰ προσέρχῃ δουλεύειν Κυρίῳ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν. καὶ ὁ Χριστὸς δὲ πρὸς τοὺς ἑαυτοῦ μαθητὰς ἔλεγεν, Ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε, ἀλλὰ θαρσεῖτε· καὶ πάλιν, Κλαύσετε καὶ θρηνήσετε ὑμεῖς, ὁ δὲ κόσμος χαρήσεται· καὶ πάλιν, Στενὴ καὶ τεθλιμμένη ἡ ὁδός. ὁρᾷς πανταχοῦ τὴν θλῖψιν ἐπαινουμένην; πανταχοῦ παραλαμβανομένην, ὡς ἀναγκαίαν οὖσαν ἡμῖν; εἰ γὰρ ἐν τοῖς ἔξωθεν ἀγῶσιν οὐδεὶς ἂν ταύτης χωρὶς στέφανον λάβοι, εἰ καὶ μὴ πόνοις καὶ σιτίων παραιτήσει καὶ νόμῳ διαίτης καὶ ἀγρυπνίαις καὶ μυρίοις ἑτέροις ἑαυτὸν ὀχυρώσειε, πολλῷ μᾶλλον ἐνταῦθα. τίνα γὰρ βούλει; τὸν βασιλέα εἰπεῖν; ἀλλ' οὐδὲ ἐκεῖνος ἀμέριμνον ζῇ βίον, ἀλλὰ καὶ πολλῶν θλίψεων καὶ φροντίδων γέμοντα. μὴ γὰρ εἰς τὸ διάδημα ἴδῃς, ἀλλ' εἰς τὸν κλύδωνα τῶν φροντίδων, δι' οὗ αὐτῷ ὁ θόρυβος τίκτεται· μηδὲ εἰς τὴν ἁλουργίδα βλέπε, ἀλλ' εἰς τὴν ψυχὴν τὴν μᾶλλον ἐκείνης τῆς ἁλουργίδος μελαινομένην. οὐχ οὕτως ὁ στέφανος δεσμεῖ τὴν κεφαλήν, ὡς τὴν ψυχὴν ἡ φροντίς. μηδὲ εἰς τὸ τῶν δορυφόρων πλῆθος ἴδῃς, ἀλλ' εἰς τὸ τῶν ἀθυμιῶν πλῆθος. οὐδὲ γάρ ἐστιν ἰδιωτικὴν οἰκίαν εὑρεῖν τοσούτων γέμουσαν φροντίδων, ὅσων τὰ βασίλεια. θάνατοι καθ' ἑκάστην ἡμέραν προσδοκώμενοι παρ' αὐτοῖς τούτοις, καὶ παρὰ τῆς τραπέζης τὸ αἷμα ὁρᾶται, καὶ παρὰ τοῦ ποτοῦ. ἐν δὲ ταῖς νυξὶν οὐδὲ εἰπεῖν ἐστιν ὁσάκις ἅλλονται, καὶ ἀναπηδῶσι φαντασιούμενοι. καὶ ταῦτα μὲν ἐν εἰρήνῃ· εἰ δὲ πόλεμος καταλάβοι, ἔτι τὰ τῶν φροντίδων ἐπιτείνεται. τί τοίνυν τοῦ βίου τούτου ἐλεεινότερον γένοιτ' ἄν; τὰ δὲ παρὰ τῶν οἰκείων ὅσα; τῶν ἀρχομένων λέγω. ἀμέλει καὶ συγγενικῶν αἱμάτων ἀεὶ γέμει τὸ ἔδαφος τὸ βασιλικόν. καὶ εἰ βούλεσθε, ἵνα καὶ διηγήσωμαι, καὶ τάχα ἐπιγνώσεσθε ὅτι οὕτως ἔχει· μάλιστα μὲν καὶ τὰ παλαιὰ ἐρῶ, πλὴν ἀλλ' ὅμως ἔτι τῇ μνήμῃ φυλαττόμενα, ἅτε καὶ ἐπὶ τῶν χρόνων γενόμενα τῶν ἡμετέρων. ὁ δεῖνα, φησί, τὴν γυναῖκα ὑποπτεύσας ἐπὶ μοιχείᾳ, γυμνὴν προσδήσας ὄρεσι, καὶ θηρίοις ἐξέδωκεν, ἤδη μητέρα γενομένην αὐτῷ βασιλέων πολλῶν. οἵαν οἴεσθε ζωὴν ζῇν ἐκεῖνον; οὐ γὰρ ἄν, εἰ μὴ σφόδρα κατεπάχη τῷ πάθει, εἰς τοσαύτην ἐξέβη τιμωρίαν. ὁ αὐτὸς δὲ οὗτος τὸν υἱὸν ἀπέσφαξε τὸν αὐτοῦ· μᾶλλον δὲ ὁ τούτου ἀδελφὸς ἑαυτὸν μετὰ τῶν παίδων αὐτοῦ. λέγεται δὲ καὶ τὸν ἀδελφὸν οὗτος ἀνῃρηκέναι τὸν αὐτοῦ. καὶ ὁ μὲν ἑαυτὸν ἀνεῖλεν, ὑπὸ τυράννου καταληφθείς, ὁ δὲ τὸν ἀνεψιὸν τὸν αὐτοῦ κοινωνοῦντα τῆς βασιλείας αὐτῷ, ὃν αὐτὸς ἐνεχείρισεν. ἄλλος τὴν γυναῖκα εἶδεν ὑπὸ πεσσῶν διαφθαρεῖσαν. ὡς γὰρ οὐκ ἔτικτε, γυνή τις ἀθλία καὶ ταλαίπωρος (ἀθλία γὰρ καὶ ταλαίπωρος, ἣ τὸ τοῦ Θεοῦ δῶρον ἤλπισε δι' οἰκείας παρέξειν σοφίας) πεσσοὺς δοῦσα, διέφθειρε τὴν βασιλίδα, καὶ συνδιεφθάρη καὶ αὐτή. ἕτερος πάλιν ὁ μετὰ τοῦτον ὑπὸ δηλητηρίων ἀνῄρητο φαρμάκων, καὶ τὸ ποτήριον ἦν αὐτῷ λοιπὸν οὐκέτι πόμα, ἀλλὰ θάνατος· καὶ ὁ υἱὸς αὐτοῦ τοὺς ὀφθαλμοὺς ἐξωρύττετο φόβῳ τῶν μελλόντων, οὐδὲν ἠδικηκώς. ἄλλος, οὐδὲ εἰπεῖν καλόν, οὐδὲ ὅπως κατέλυσε τὸν βίον ἐλεεινῶς. τῶν δὲ μετὰ τούτους ὁ μὲν κατεκάη, καθάπερ τις ἄθλιος καὶ ταλαίπωρος μετὰ ἵππων, καὶ δούλων, καὶ τῶν ἄλλων ἁπάντων, καὶ τὸ γύναιον ἐν χηρείᾳ. τὰς γὰρ ἐν τῷ ζῆν λύπας οὐδὲ εἰπεῖν ἔνι, ἅς, ὅτε [οὗτος] ἐπολέμει, ἠναγκάζετο ἔχειν. οὗτος δὲ ὁ νῦν κρατῶν οὐχὶ ἐξ οὗ τὸ διάδημα περιέθετο, ἐν πόνοις, ἐν κινδύνοις, ἐν λύπαις, ἐν ἀθυμίαις, ἐν συμφοραῖς, ἐν ἐπιβουλαῖς; ἀλλ' οὐχ ἡ βασιλεία τοιαύτη τῶν οὐρανῶν· ἀλλὰ μετὰ τὸ λαβεῖν αὐτήν, εἰρήνη, ζωή, χαρά, εὐφροσύνη. ἀλλ', ὅπερ ἔλεγον, οὐκ ἔνι βίος ἀταλαιπώρητος. εἰ δὲ ἐν τοῖς βιωτικοῖς καὶ ὁ μάλιστα μακαριώτερος, ὁ ἐν βασιλείᾳ, τοσούτων γέμει συμφορῶν, τί οἴει ἐν τοῖς ἰδιωτικοῖς; καὶ πόσα ἕτερα κακά, οὐδὲ εἰπεῖν ἐστι. πόσοι πολλάκις καὶ μῦθοι ἀπὸ τούτων ἐπλάσθησαν; πᾶσαι σχεδὸν αἱ ἐπὶ τῆς

Ψαλ. ριη. οα.
Θρῆν. γ. κζ.
Ψαλ. ϟγ. ιβ.
Παροιμ. γ. ια.
Σειρ. β. α.
Ιωαν. ις. λγ. κ.
Ματθ. ζ. ιδ.

ἔχει σωτήρειν. καὶ ἐπιδέχεται οὐχ ἁπλῶς ἐν ἀφθονίᾳ εἶναι, ἀλλὰ κατὰ τὸν πλοῦτον αὐτοῦ· ὥστε καὶ τοῦτο συμμεμετρημένως. εἰ μὲν γὰρ κατ' αὐτὸν ἦσαν καὶ οὕτω φιλόσοφοι, καὶ οὕτως ἐσταυρωμένοι, οὐκ ἂν τοῦτο ἐποίησεν. ἐπειδὴ δὲ ἄνδρες ἦσαν χρηστικοί, πένητες, γυναῖκας ἔχοντες, παῖδας τρέφοντες, οἰκίας προεστῶτες, καὶ ἀπὸ ὀλίγων καὶ ταῦτα ἔδοσαν, καί τινα εἶχον ἐπιθυμίαν καὶ τῶν παρόντων, ἐπιδέχεται συγκαταβατικῶς. τοῖς γὰρ οὕτω κεχρημένοις οὐδὲν ἄτοπον ἐπιδέχεσθαι τὴν αὐτάρκειαν καὶ τὴν ἀφθονίαν. ὅρα γοῦν τί καὶ ἐπιδέχεται. οὐκ εἶπεν, ὅτι ποιήσαι πλουσίους, καὶ εὐπόρους σφόδρα· ἀλλὰ τί; πληρώσαι πᾶσαν χρείαν ὑμῶν, ὥστε μὴ εἶναι ἐν ἐνδείᾳ, ἀλλὰ τὰ πρὸς χρείαν ἔχειν. ἐπεὶ καὶ ὁ Χριστὸς ὅρον εὐχῆς ἡμῖν διδοὺς, τοῦτο τῇ εὐχῇ ἐνέθηκε, διδάσκων ἡμᾶς, τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον, λέγειν, δὸς ἡμῖν σήμερον. κατὰ τὸν πλοῦτον αὐτοῦ. τί ἐστι τοῦτο; κατὰ τὴν δωρεὰν αὐτοῦ, τουτέστιν, ὅτι εὔκολον αὐτῷ καὶ δυνατὸν καὶ ταχέως ποιεῖ. καὶ ἐπειδὴ χρείαν εἶπεν, ἵνα μὴ νομίσωσιν, ὅτι στενοχωρήσει αὐτοὺς, διὰ τοῦτο ἐπήγαγε, κατὰ τὸν πλοῦτον αὐτοῦ ἐν δόξῃ ἐν Χριστῷ Ἰησοῦ. οὕτω περισσεύσει ὑμῖν ἅπαντα, φησὶν, ὥστε ἐν δόξῃ αὐτοῦ ἔχειν. ἢ οὕτω τοῦτο λέγει, ὅτι ἐνδόξως ὑστερεῖσθε (Καὶ χάρις γὰρ μεγάλη, φησὶν, ἦν ἐπὶ πάντας αὐτούς· οὐδὲ γὰρ ἐνδεής τις ὑπῆρχεν ἐν αὐτοῖς) ἢ περιττεύειν εἰς δόξαν αὐτοῦ πάντα ποιεῖ· ὡσεὶ ἔλεγεν, ἵνα εἰς δόξαν αὐτοῦ χρῆσθε τῇ περιουσίᾳ.

Ματθ. ς. — γ. μόνον — γ. εἰς δόξαν — Πραξ. δ. λδ.

20 Τῷ δὲ Θεῷ καὶ πατρὶ ἡμῶν ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Αὕτη δὲ ἡ δόξα οὐχὶ τοῦ υἱοῦ μόνον, ἀλλὰ καὶ τοῦ πατρός ἐστιν. ὅταν γὰρ ὁ υἱὸς δοξάζηται, τότε καὶ ὁ πατήρ. ἐπειδὴ γὰρ εἶπεν εἰς δόξαν Χριστοῦ τοῦτο γίνεσθαι, ἵνα μή τις νομίσῃ αὐτοῦ μόνου, ἐπήγαγε, τῷ δὲ Θεῷ καὶ πατρὶ ἡμῶν ἡ δόξα, αὕτη ἡ γινομένη δηλονότι τῷ υἱῷ.

21 Ἀσπάσασθε πάντα ἅγιον ἐν Χριστῷ Ἰησοῦ. Οὐ μικρὸν καὶ τοῦτο· πολλῆς γὰρ εὐμενείας καὶ τὸ διὰ γραμμάτων αὐτοὺς ἀσπάζεσθαι. Ἀσπάζονται ὑμᾶς οἱ σὺν ἐμοὶ ἀδελφοί. Καὶ μὴν ἔλεγες, ὅτι οὐδένα ἔχεις ἰσόψυχον, ὅστις γνησίως τὰ περὶ ὑμῶν μεριμνήσει. πῶς οὖν λέγεις νῦν, οἱ σὺν ἐμοὶ ἀδελφοί; ἢ τοὺς μετ' αὐτοῦ ἀδελφοὺς φησι, δηλῶν ὅτι οὐδένα τῶν μεθ' ἑαυτοῦ ἔχει ἰσόψυχον, οὐ περὶ τῶν ἐν τῇ πόλει λέγων (ποίαν γὰρ ἀνάγκην εἶχον ἐκεῖνοι τὰ τῶν ἀποστόλων ἀναδέχεσθαι πράγματα;) ἢ ὅτι οὐ παραιτεῖται καὶ τούτους ἀδελφοὺς καλεῖν.

Φιλιπ. β. κ.

22 Ἀσπάζονται ὑμᾶς πάντες οἱ ἅγιοι, μάλιστα δὲ οἱ ἐκ τῆς Καίσαρος οἰκίας.

23 Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν. Ἀνέστησεν αὐτοὺς καὶ ἀνέρρωσε, δείξας ὅτι καὶ τῆς βασιλικῆς οἰκίας τὸ κήρυγμα ἥψατο. εἰ γὰρ οἱ ἐν τοῖς βασιλείοις πάντων κατεφρόνησαν διὰ τὸν βασιλέα τῶν οὐρανῶν, πολλῷ μᾶλλον αὐτοὺς χρὴ τοῦτο ποιεῖν. καὶ τοῦτο δὲ τεκμήριον ἦν τῆς Παύλου ἀγάπης, τὸ πολλὰ περὶ αὐτῶν διηγεῖσθαι, καὶ μεγάλα λέγειν. ὅθεν καὶ εἰς πόθον ἦγεν τοὺς ἐν τοῖς βασιλείοις, ὥστε ἀσπάσασθαι αὐτοὺς τοὺς οὐχ ἑωρακότας. μάλιστα μὲν γὰρ, ἐπειδὴ ἐν θλίψει ἦσαν οἱ πιστοὶ τότε, πολλὴ ἦν ἡ ἀγάπη. πῶς; οἱ τε γὰρ ἀλλήλων διεστηκότες, ἀλλήλοις ἦσαν συγκεκολλημένοι· καὶ οἱ πόρρωθεν, ὡς ἐγγὺς ὄντες, ἀλλήλους ἠσπάζοντο, καὶ ὡς περὶ μέλη οἰκεῖα, οὕτω πρὸς ἑαυτοὺς ἕκαστος διετίθετο. καὶ ὁ πένης γὰρ πρὸς τὸν πλούσιον ὁμοίως διέκειτο, καὶ ὁ πλούσιος πρὸς τὸν πένητα· καὶ οὐδεμία ἦν ὑπεροχή, τῷ πάντας ὁμοίως μισεῖσθαι καὶ ἐλαύνεσθαι, καὶ ἐπὶ τοῖς αὐτοῖς. ὥσπερ γὰρ οἱ ἐκ διαφόρων πόλεων αἰχμάλωτοί τινες ἀναστάντες, καὶ εἰς μίαν ἐλθόντες πόλιν, σφόδρα ἀλλήλοις συμπλέκονται, τοῦ κοινοῦ τῆς συμφορᾶς συγκολλῶντος αὐτούς· οὕτω δὴ καὶ τότε, τῆς κοινωνίας τῶν παθημάτων καὶ τῶν θλίψεων συναπτούσης αὐτοὺς, πολλὴν εἶχον πρὸς ἀλλήλους ἀγάπην.

γ. ἐπιρ. — γ. τῇ θλίψει

ΗΘΙΚΟΝ

Δεσμὸς γάρ τίς ἐστιν ἡ θλίψις ἀρραγὴς, ἀγάπης αὔξησις, κατανύξεως καὶ εὐλαβείας ὑπόθεσις.

Digitized by Google

17 Οὐχ ὅτι ἐπιζητῶ, λέγων, τὸ δόμα· Ὅπερ εἶπεν ἄνω, Οὐχ ὅτι καθ' ὑστέρησιν λέγω, τοῦτο αὐτὸ δηλῶν, εἰ καὶ ἐκεῖνο τούτου μεῖζόν ἐστιν. ἔνεστι γὰρ ἐν ὑστερήσει ὄντα μὴ ζητῆσαι, καὶ ἔνεστιν ἐν ὑστερήσει ὄντα μηδὲ νομίζειν ὑστερεῖσθαι. Οὐχ ὅτι ἐπιζητῶ τὸ δόμα, φησὶν, ἀλλ' ἐπιζητῶ τὸν καρπὸν τὸν πλεονάζοντα εἰς λόγον ὑμῶν. Οὐκ ἐμοῦ. ὁρᾷς ὅτι ὁ καρπὸς ἐκείνοις τίκτεται; δι' ὑμᾶς ταῦτα λέγω, φησὶν, οὐ δι' ἐμαυτὸν, εἰς τὴν ὑμετέραν σωτηρίαν. ἐγὼ γὰρ οὐδὲν κερδαίνω λαμβάνων, τῶν διδόντων ἐστὶν ἡ χάρις. τοῖς μὲν γὰρ διδοῦσιν ἐκεῖ φυλάττεται ἡ ἀμοιβή· τοῖς δὲ λαμβάνουσιν ἐνταῦθα ἀναλίσκεται τὰ διδόμενα. πάλιν μετ' ἐγκωμίου καὶ συμπαθείας, καὶ τὸ χρήζειν. ἐπειδὴ γὰρ εἶπεν, οὐ ζητῶ, ἵνα μὴ πάλιν ῥαθυμοτέρους ποιήσῃ, φησὶν, — Φιλιπ. δ. ια.

18 Ἀπέχω δὲ πάντα, καὶ περισσεύω. Τουτέστι, διὰ ταύτης τῆς δόσεως καὶ τὰ παραλειφθέντα ἐπληρώσατε, ὥστε μάλιστα προθυμοτέρους αὐτοὺς ποιῆσαι. ἴσως γὰρ ἂν ὡς φιλοσοφώτεροι, ζητοῦσι καὶ τὰς παρὰ τῶν εὖ παθόντων χάριτας οἱ εὖ ποιοῦντες. ἀπέχω πάντα, καὶ περισσεύω. τουτέστιν, οὐ μόνον ἀνεπληρώσατε τὰ ἐλλειφθέντα ἐν τῷ παρελθόντι χρόνῳ, ἀλλὰ καὶ ὑπερεβάλετε. Εἶτα ἵνα μὴ δόξῃ διὰ τοῦτο ἐγκαλεῖν, ὅρα πῶς ἐπισφραγίζεται. ἐπειδὴ γὰρ εἶπεν, οὐχ ὅτι ἐπιζητῶ τὸ δόμα, καὶ ὅτι, ἤδη ποτὲ, καὶ ἔδειξεν ὅτι ὀφειλή ἐστι τὸ πρᾶγμα (τοῦτο γάρ ἐστιν, ἀπέχω) πάλιν δείκνυσιν ὅτι ὑπὲρ ὀφειλὴν ὑπερέβησαν, καί φησι, Ἀπέχω πάντα, καὶ περισσεύω, πεπλήρωμαι. Οὐχ ἁπλῶς, οὐδὲ ἀπὸ προθέσεως ταῦτα λέγω, ἀλλὰ τί; Δεξάμενος παρὰ Ἐπαφροδίτου τὰ παρ' ὑμῶν, ὀσμὴν εὐωδίας, θυσίαν δεκτὴν, εὐάρεστον τῷ Θεῷ. Βαβαί, ποῦ τὸ δῶρον αὐτῶν ἀνήγαγεν; οὐκ ἐγὼ, φησὶν, ἔλαβον, ἀλλ' ὁ Θεὸς δι' ἐμοῦ. ὥστε, κἂν ἐγὼ μὴ χρήζω, μὴ μελέτω ὑμῖν· ἐπεὶ οὐδὲ ὁ Θεὸς ἐχρῄζε, καὶ ὅμως ἀπεδέξατο οὕτως, ὡς μηδὲ παραιτεῖσθαι εἰπεῖν τὴν θείαν γραφὴν, Ὅτι ὠσφράνθη ὁ Θεὸς ὀσμὴν εὐωδίας, ὅπερ ἐστὶν εὐφράνθη. ἴστε γάρ, ἴστε πῶς διατίθεται ὑμῶν ἡ ψυχὴ ἐπὶ ταῖς εὐωδίαις, πῶς εὐφραίνεται, πῶς γάνυται. οὐ παρῃτήσατο τοίνυν εἰπεῖν περὶ Θεοῦ ἀνθρώπινον οὕτω ῥῆμα καὶ ταπεινὸν ἡ γραφή, ἵνα τοῖς ἀνθρώποις δείξῃ, ὅτι δεκτὰ τὰ παρ' αὐτῶν δῶρα γένοιτο. οὐ γὰρ ἡ κνίσα, οὐδὲ ὁ καπνὸς δεκτὰ ἐποίει, ἀλλ' ἡ προαίρεσις ἡ προσφέρουσα. ἐπεὶ εἰ τοῦτο ἦν, καὶ τὰ παρὰ τοῦ Κάϊν ἂν ἐδέχθη. Εἶπεν οὖν, ὅτι καὶ εὐφραίνεται, καὶ πῶς εὐφραίνεται. οὐ γὰρ ἂν ἄλλως ἔμαθον οἱ ἄνθρωποι. ὁ τοίνυν μὴ ἐν χρείᾳ καθεστὼς λέγει οὕτως εὐφραίνεσθαι, ἵνα μὴ διὰ τὸ ἀνενδεὲς ῥᾳθυμότεροι γένωνται. καὶ ὅτε λοιπὸν τῆς ἄλλης ἀρετῆς ἀμελήσαντες, ταύταις ἐθάρρουν, ὅρα πῶς πάλιν διορθοῦται αὐτοὺς λέγων· Μὴ φάγομαι κρέα ταύρων, ἢ αἷμα τράγων πίομαι; τοῦτο καὶ Παῦλός φησιν, οὐκ ἐπιζητῶ τὸ δόμα. — Γεν. η. κα. — Ψαλ. μθ. ιγ.

Margin: χ. αἰσπ. — γρ. τῆς εὐωδίας.

19 Ὁ δὲ Θεός μου πληρώσει πᾶσαν χρείαν ὑμῶν κατὰ τὸν πλοῦτον αὐτοῦ ἐν δόξῃ, ἐν Χριστῷ Ἰησοῦ. Ὅρα πῶς καὶ ἐπεύχεται, καθάπερ οἱ πένητες. Εἰ δὲ Παῦλος ἐπεύχεται τοῖς διδοῦσι, πολλῷ μᾶλλον ἡμεῖς μὴ αἰσχυνώμεθα λαμβάνοντες τοῦτο ποιεῖν. μὴ δὴ λαμβάνωμεν, ὡς αὐτοὶ χρήζοντες· μηδὲ χαίρωμεν ἡμῶν ἕνεκεν, ἀλλὰ τῶν διδόντων αὐτῶν. οὕτως ἡμῖν ἔσται μισθὸς ἐκ λαμβάνουσιν, ἂν δι' ἐκείνους χαίρωμεν. οὕτως οὐκ ἀγανακτήσομεν, μὴ διδόντων, μᾶλλον δὲ ἀλγήσομεν δι' αὐτούς. οὕτω καὶ προθυμοτέρους ἐργασόμεθα, ἂν διδάσκωμεν, ὅτι οὐχ ἡμῶν ἕνεκεν ταῦτα πράττομεν. ὁ δὲ Θεός μου, φησὶ, πληρώσει πᾶσαν χρείαν ὑμῶν, ἢ πᾶσαν χάριν, ἢ πᾶσαν χαράν. ἀλλ' ἂν μὲν ᾖ, πᾶσαν χάριν, μὴ ταύτην μόνον φησὶ τὴν ἐπὶ γῆς ἐλεημοσύνην, ἀλλὰ πᾶν κατόρθωμα· ἂν δὲ, πᾶσαν χρείαν, ὅπερ οἶμαι καὶ μᾶλλον λέγεσθαι, τοῦτό ἐστιν ὃ δηλοῦν βούλεται. ἐπειδὴ ἔμπροσθεν εἶπεν, ἠκαιρεῖσθε, ἐπάγει ἐνταῦθα, ὅπερ ἐν τῇ πρὸς Κορινθίους ἐπιστολῇ λέγει, Ὁ ἐπιχορηγῶν σπέρμα τῷ σπείροντι, καὶ ἄρτον εἰς βρῶσιν χορηγήσαι, καὶ πληθύναι τὸν σπόρον ὑμῶν, καὶ αὐξήσαι τὰ γεννήματα τῆς δικαιοσύνης ὑμῶν. ἐπεύχεται γὰρ αὐτοῖς, ὥστε εἶναι ἐν ἀφθονίᾳ, καὶ — β. Κορ. θ. ι.

τοὺς θεραπεύει, καὶ πῶς φησιν, ὑμεῖς αἴτιοι, παρὰ τῶν ἄλλων ἐπιτηδεύσαντες τῷ πράγματι, καὶ παρρησίαν ἡμῖν δόντες ὑπὲρ τῶν τοιούτων ὑπομιμνήσκειν ὑμᾶς; καὶ διὰ τὸ σεμνόν. μὴ πέμπουσι μὲν οὐκ ἐγκαλεῖ, ἵνα μὴ δόξῃ τὸ ἑαυτοῦ θεραπεύειν· ἐπεὶ δὲ ἔπεμψαν, τότε ἐπετίμησεν ὑπὲρ τοῦ παρελθόντος χρόνου, καὶ ἐνεγκεῖν. λοιπὸν γὰρ οὐκ ἂν ἔδοξε τὸ αὐτοῦ θεραπεύειν.

15 Οἴδατε, φησὶ, καὶ ὑμεῖς, Φιλιππήσιοι, ὅτι ἐν ἀρχῇ τοῦ εὐαγγελίου, ὅτε ἐξῆλθον ἀπὸ Μακεδονίας, οὐδεμία μοι ἐκκλησία ἐκοινώνησεν εἰς λόγον δόσεως καὶ λήψεως, εἰ μὴ ὑμεῖς μόνοι. Βαβαὶ, ἡλίκον τὸ ἐγκώμιον, εἴγε Κορίνθιοι μὲν ἐκ τοῦ ἀκούειν ἐκεῖνα περὶ αὐτῶν καὶ Ῥωμαῖοι προπέποιται, οὗτοι δὲ οὐδεμιᾶς ἐκκλησίας ἀρξαμένης; καὶ γὰρ ἐν ἀρχῇ τοῦ εὐαγγελίου φησί. Τοσαύτην περὶ τὸν ἅγιον ἐπεδείξαντο σπουδὴν, ὡς μηδὲ παράδειγμα ἔχοντες, αὐτοὶ πρῶτοι τῆς καρποφορίας ἄρξασθαι ταύτης. καὶ οὐκ ἔστιν εἰπεῖν, ὅτι παρακαλοῦντι αὐτῷ, οὐδὲ τὴν πρὸς αὐτὸν ἕνεκεν ταῦτα ἐποίουν. ὅτε ἐξῆλθον γάρ, φησιν, ἀπὸ Μακεδονίας, οὐδεμία μοι ἐκκλησία ἐκοινώνησεν εἰς λόγον δόσεως καὶ λήψεως, εἰ μὴ ὑμεῖς μόνοι. τί ἐστι, λήψεως; τί δέ ἐστιν, ἐκοινώνησε; διατί μὴ εἶπεν, ὅτι οὐδεμία μοι ἐκκλησία ἔδωκεν, ἀλλ', ἐκοινώνησεν εἰς λόγον δόσεως καὶ λήψεως; κοινωνία γὰρ τὸ πρᾶγμά ἐστιν. Εἰ γὰρ ἡμεῖς τὰ πνευματικὰ ὑμῖν, φησιν, ἐσπείραμεν, τί μέγα, εἰ ὑμεῖς τὰ σαρκικὰ ὑμῶν θερίσομεν; καὶ πάλιν, Τὸ ὑμῶν περίσσευμα ἵνα γένηται εἰς τὸ ἐκείνων ὑστέρημα. ὁρᾷς πῶς ἐκοινώνησαν; εἰς λόγον δόσεως τῶν σαρκικῶν, καὶ λήψεως τῶν πνευματικῶν. ὥσπερ γὰρ οἱ πωλοῦντες, καὶ ἀγοράζοντες κοινωνοῦσιν ἀλλήλοις, τὰ παρ' ἀλλήλων ἀντιδιδόντες (τοῦτο γάρ ἐστι κοινωνία) οὕτω δὴ καὶ ἐνταῦθα. οὐ γάρ ἐστιν, οὐκ ἔστι ταύτης τῆς ἀγορασίας καὶ ἐμπορίας τι κερδαλεώτερον. γίνεται μὲν γὰρ ἐν τῇ γῇ, τελεῖται δὲ ἐν τῷ οὐρανῷ. οἱ μὲν ἀγοράζοντες, ἐν τῇ γῇ ἑστήκασιν· ἀγοράζουσι δὲ καὶ συμφωνοῦσι τὰ ἐν τοῖς οὐρανοῖς, γήϊνον καταθέντες τὴν τιμήν. ἀλλὰ μὴ καταγνῷς· οὐ χρημάτων ἐστὶν ὠνητὰ τὰ οὐράνια, οὐ τὰ χρήματα αὐτὰ ἀγοράζει, ἀλλ' ἡ προαίρεσις τοῦ τὰ χρήματα καταβάλλοντος, ἡ φιλοσοφία, τὸ τῶν βιωτικῶν ἀνώτερον εἶναι, ἡ φιλανθρωπία, ἡ ἐλεημοσύνη. ἐπεὶ εἰ τὸ ἀργύριον ἠγόραζεν, ἡ τὰ δύο λεπτὰ καταβαλοῦσα οὐδὲν ἂν ἔλαβε μέγα. ἐπειδὴ δὲ οὐ τὸ ἀργύριον, ἀλλ' ἡ προαίρεσις ἴσχυσεν, ἐκείνη πᾶσαν προαίρεσιν ἐπιδειξαμένη πάντα ἔλαβε. μὴ τοίνυν λέγωμεν, ὅτι ὠνητὴ χρημάτων ἐστὶν ἡ βασιλεία· οὐ χρημάτων, ἀλλὰ προαιρέσεως τῆς διὰ χρημάτων ἐπιδεικνυμένης. οὐκοῦν δεῖ χρημάτων, φησίν. οὐ δεῖ χρημάτων, ἀλλὰ προαιρέσεως. ἂν ταύτην ἔχῃς, δυνήσῃ καὶ διὰ δύο λεπτῶν ἀγοράσαι τὸν οὐρανόν. μὴ οὔσης δὲ ταύτης, οὐδὲ μυρία τάλαντα χρυσοῦ τοῦτο δυνήσεται, ὅπερ τὰ δύο λεπτά. διατί; ὅταν γὰρ πολλὰ ἔχων, ἐλάττονα καταβάλῃς, ἐποίησας μὲν ἐλεημοσύνην, οὐ τοσαύτην δὲ, ὅσην ἡ χήρα. οὐ γὰρ μετὰ τοσαύτης προθυμίας κατέβαλες, μεθ' ὅσης ἐκείνη. πάντων γὰρ ἑαυτὴν ἀπεστέρησε· μᾶλλον δὲ οὐκ ἀπεστέρησεν, ἀλλὰ πάντα ἑαυτῇ ἐθησαύρισεν. οὐ ταλάντων χρυσοῦ, ἀλλὰ ποτηρίου ψυχροῦ τὴν βασιλείαν ὑπέσχετο ὁ Θεὸς, ἀλλὰ προθυμίας· οὐ θανάτου, ἀλλὰ προαιρέσεως· ἐπεὶ οὐδὲ μέγα τί ἐστι. τί γάρ ἐστι μίαν ψυχὴν δοῦναι; ἔδωκεν ἕνα ἄνθρωπον· εἷς δὲ ἄνθρωπος οὐκ ἔστιν ἀντάξιος.

16 Ὅτι καὶ ἐν Θεσσαλονίκῃ καὶ ἅπαξ καὶ δὶς εἰς τὰς χρείας μοι ἐπέμψατε.

Πάλιν μέγα τὸ ἐγκώμιον, εἴγε ἐν τῇ μητροπόλει καθήμενος παρὰ τῆς μικρᾶς ἐπεφέρετο πόλεως. καὶ ὅρα· ἵνα μὴ διαπαντὸς ἐξέλκων ἑαυτὸν τῆς χρείας, ὅπερ εἶπον, παραλαβὼν, ῥαθυμοτέρους ποιήσῃ, διὰ τοσούτων δείξας, ὅτι οὐ δεῖται, ἐν μόνῳ τοῦτο δῆλον ἐποίησεν, εἰπὼν, εἰς τὰς χρείας· καὶ οὐκ εἶπε, τὰς ἐμάς, ἀλλ' ἁπλῶς, τοῦ σεμνοῦ ἐπιμελούμενος· οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ τὸ ἑξῆς. ἐπειδὴ γὰρ συνεῖδε σφόδρα ταπεινὸν ὂν, πάλιν αὐτὸ τῇ ἐπιδιορθώσει ἀσφαλίζεται, λέγων·

17 Οὐχ

α Κορ. θ. ια.
β Κορ. η. ιδ.
Λουκ. κα.
γ. -πες, αὐτοὺς πρώτους γ. ἄρχεσθαι

ἐμαυτοῦ ζητήσας, οὐδὲ διὰ τοῦτο μεμφόμενος, ὡς ἐν ἐνδείᾳ ὤν. οὐδὲ γὰρ διὰ τοῦτο ἐζήτουν. πόθεν δῆλον, ὅτι οὐ κομπάζεις, ὦ Παῦλε; Κορινθίοις μὲν οὕτω φησίν, Οὐ γὰρ ἄλλα γράφομεν ὑμῖν, ἀλλ᾽ ἢ ἃ ἀναγινώσκετε, ἢ καὶ ἐπιγινώσκετε. β. Κορ. α. ιγ. καὶ ἐπὶ τούτων δὲ οὐκ ἄν, ὥστε ἀλαζονεύεσθαι, ἔλεγεν. οὐκ ἄν, εἴ γε ἐκόμπαζε, ταῦτα εἶπε. παρὰ γὰρ εἰδόσιν ἔλεγε, καὶ πλείων ἦν ἡ αἰσχύνη ἀλαζονεύεσθαι. ἐγὼ γὰρ ἔμαθον ἐν οἷς εἰμί, φησίν, αὐτάρκης εἶναι. ἄρα διδασκαλίας ἐστὶ τὸ πρᾶγμα, καὶ γυμνασίας, καὶ μελέτης. οὐ γὰρ εὐκατόρθωτόν ἐστιν, ἀλλὰ καὶ σφόδρα δύσκολον καὶ πόνον ἔχον πολύν. ἐν οἷς εἰμί, φησίν, αὐτάρκης εἶναι, οἶδα καὶ ταπεινοῦσθαι, οἶδα καὶ περισσεύειν. ἐν παντὶ καὶ ἐν πᾶσι μεμύημαι, τουτέστι, καὶ ὀλίγοις κεχρῆσθαι οἶδα, καὶ λιμὸν φέρειν, καὶ ἐνδεῖν, καὶ περισσεύειν, καὶ ὑστερεῖσθαι. ναί, φησίν· ἀλλ᾽ αὐτὸ τοῦτο οὐκ ἔστιν ἐπιστήμης, ὥσπερ οὐδὲ ἀρετῆς τὸ περισσεύειν. καὶ σφόδρα ἀρετῆς, οὐχ ἧττον ἢ ἐκεῖνο. πῶς; ὅτι ὥσπερ ἡ στενοχωρία πολλὰ παρασκευάζει κακὰ ποιεῖν, οὕτω καὶ ἡ πλησμονή. πολλοὶ γὰρ πολλάκις ἐν ἀφθονίᾳ γενόμενοι, ῥᾳθυμότεροι ἐγένοντο, καὶ οὐκ ἔγνωσαν ἐνεγκεῖν τὴν εὐπραγίαν· πολλοὶ πολλάκις ἀφορμὴν ἔλαβον τοῦ μηκέτι ἐργάζεσθαι· ἀλλ᾽ οὐχ ὁ Παῦλος. καὶ γὰρ λαμβάνων εἰς ἄλλους ἀνήλισκε, καὶ εἰς ἄλλους ἐκένου. τοῦτο δέ ἐστιν εἰδέναι καλῶς κεχρῆσθαι τῷ ἔχειν. οὐχὶ διεχεῖτο, οὐδὲ ἔχαιρεν ἐπὶ τῇ περιουσίᾳ αὐτοῦ, ἀλλ᾽ ἴσος ἦν, εἴτε ἐν ἐνδείᾳ, εἴτε πλησμονῇ, οὔτε ἐκεῖθεν πιεζόμενος, οὔτε ἐντεῦθεν χαυνούμενος. καὶ χορτάζεσθαί, φησιν, οἶδα καὶ πεινᾶν, καὶ περισσεύειν καὶ ὑστερεῖσθαι. πολλοὶ οὐκ ἴσασι χορτάζεσθαι, οἷοι οἱ Ἰσραηλῖται· ἐκεῖνοι γὰρ ἔφαγον, καὶ ἀπελάκτισαν. Δευτ. λβ. ιε. ἀλλ᾽ ἐπὶ τῆς αὐτῆς εὐταξίας ἐγὼ μένω. διέκειτο δὲ οὔτε ἴσα ἦν πάθη, οὔτε περιττῶς ἐλυπεῖτο· εἰ δὲ καὶ ἐλυπεῖτο, οὐκ αὐτοῦ ἕνεκεν, ἀλλ᾽ αὐτῶν. αὐτὸς γὰρ ὁμοίως διέκειτο. ἐν παντί, φησί, καὶ ἐν πᾶσι μεμύημαι· τουτέστι, πεῖραν ἔλαβον ἐν τῷ μακρῷ τούτῳ χρόνῳ πάντων, καὶ ταῦτά μοι πάντα κατώρθωται. ἀλλ᾽ ἐπειδὴ μεγαληγορία τὸ πρᾶγμα ἦν, ὅρα πῶς ἐπιλαμβάνεται ταχέως, καί φησι· πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ, φησίν. οὐκ ἐμὸν τὸ κατόρθωμα, ἀλλὰ τοῦ τὴν ἰσχὺν δεδωκότος ἐστίν. ἀλλ᾽ ἐπειδὴ πάλιν οἱ τοιοῦτοι, ὅταν ἴδωσιν οὐ διατιθέμενοι εὖ τὸν λαμβάνοντα, ἀλλὰ καταφρονοῦντα τῶν διδομένων, ῥᾳθυμότεροι γίνονται (αὐτοὶ γὰρ ὡς χαριζόμενοι διέκειντο, καὶ ἀναπαύοντες) ἵνα οὖν μὴ τοῦτο γένηται, μηδέ τις εἴπῃ, ὅτι ἐπεὶ καταφρονεῖ τῆς ἀναπαύσεως Παῦλος, ἀνάγκη τούτους ῥᾳθυμοτέρους γενέσθαι, ὅρα πῶς πάλιν καὶ τοῦτο ἰᾶται. διὰ μὲν γὰρ τῶν εἰρημένων τὸ φρόνημα αὐτοῦ κατέστησε· διὰ δὲ τῶν ἑξῆς τὴν προθυμίαν αὐτῶν ἀναζῆν ποιεῖ, λέγων· πλὴν καλῶς ἐποιήσατε συγκοινωνήσαντές μου τῇ θλίψει. ὁρᾷς καὶ πῶς ἀπέστησεν ἑαυτόν, καὶ πῶς πάλιν ἥνωσε; τοῦτο γνησίας φιλίας ἐστὶ καὶ πνευματικῆς. μὴ γὰρ ἐπειδή φησιν, ἐν χρείᾳ οὐ καθέστηκα, νομίσητε μὴ δεδεῆσθαί με τοῦ πράγματος· δέομαι δι᾽ ὑμᾶς. πῶς οὖν ἐκοινώνησαν αὐτοῦ τῇ θλίψει; διὰ τούτου· ὅπερ καὶ δεσμούμενος ἔλεγε, Συγκοινωνούς μου τῆς χάριτος πάντας ὑμᾶς. Φιλιπ. α. ζ. χάρις γάρ ἐστι τὸ παθεῖν ὑπὲρ τοῦ Χριστοῦ, ὥς που καὶ αὐτός φησιν, Ὅτι ὑμῖν ἐχαρίσθη ἀπὸ Θεοῦ, οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν. ἐπειδὴ γὰρ ἐκεῖνα καταμόνας λεγόμενα ἀλγῆσαι αὐτοὺς ἱκανὰ ἦν, διὰ τούτου θεραπεύει, καὶ ἀποδέχεται, καὶ ἐπαινεῖ πάλιν, καὶ τοῦτο μεμετρημένως. οὐ γὰρ εἶπε, δόντες, ἀλλά, συγκοινωνήσαντες, δεικνὺς αὐτοὺς καὶ κερδαίνοντας, εἴ γε τῶν ἄθλων ἐγένοντο κοινωνοί. οὐκ εἶπεν, ἐπικουφίσαντές μου τὰς θλίψεις, ἀλλά, συγκοινωνήσαντές μου τῇ θλίψει, ὅπερ ἦν σεμνότερον. ὁρᾷς τὸ ταπεινὸν Παύλου; ὁρᾷς τὸ εὐγενές; ὅτε ἔδειξεν οὐδὲν δεόμενον τῶν παρ᾽ ἐκείνων αὐτοῦ ἕνεκεν, τότε λοιπὸν ἀδεῶς καὶ ταπεινὰ φθέγγεται ῥήματα, καὶ ἅπερ οἱ προσαιτοῦντες λέγουσιν, ὡς ἔθος ἔχεις διδόναι. οὐδὲν γὰρ παραιτεῖται ὅτι ποιεῖ, ὅτι λέγει, πρὸς τὸ μόνον, ὃ βούλεται, κατορθῶσαι. τί δὲ τοῦτό ἐστι; μὴ νομίσητε, φησίν, ἀναισχυντίας εἶναι τὰ ῥήματα τὸ ἐγκαλεῖν, καὶ λέγειν, ἤδη ποτὲ ἀνεθάλετε, καὶ τοῦ ἐν χρείᾳ εἶναι. οὐ γὰρ δεόμενος ταῦτα λέγω, ἀλλὰ τί; ἐκ τοῦ σφόδρα θαρρεῖν ὑμῖν· καὶ τούτου δὲ ὑμεῖς αἴτιοι. ὁρᾷς πῶς αὐ-

γρ. τοῦτο
γρ. αὐτὸ διορθοῦται

τοῖς

Πολλάκις εἶπον, ὅτι ἡ ἐλεημοσύνη οὐ τῶν λαμβανόντων ἕνεκεν, ἀλλὰ τῶν διδόντων ἐπινενόηται· καὶ γὰρ ἐκεῖνοί εἰσιν οἱ τὰ μέγιστα κερδαίνοντες. τοῦτο καὶ ἐνταῦθα δείκνυσιν ὁ Παῦλος. πῶς; ἀπέστειλαν αὐτῷ ἵνα διὰ μακροῦ χρόνου Φιλιππήσιοι, αὐτὰ δὴ ταῦτα Ἐπαφροδίτῳ ἐγχειρίσαντες. μέλλων τοίνυν αὐτοῖς πέμπειν τὴν ἐπιστολὴν ἀποκομίζοντα, ὅρα πῶς καὶ ἐπαινεῖ αὐτοὺς, καὶ δείκνυσιν

χ. ἐπικομίζ.

ὅτι οὐ τῆς τῶν λαμβανόντων χρείας, ἀλλὰ τῆς τῶν διδόντων ἕνεκεν τοῦτο γεγένηται. τοῦτο δὲ ποιεῖ, ἵνα μήτε εἰς ἀπόνοιαν αἴρωνται οἱ εὖ ποιοῦντες, καὶ προθυμότεροι γίνωνται περὶ τὸ εὖ ποιεῖν, ἅτε ἑαυτοὺς μᾶλλον ὠφελοῦντες, οἵ τε λαμβάνοντες μὴ ἐπιπέσωσιν ἀδεῶς τῷ λαμβάνειν, ἵνα μὴ κρίμα ἔχωσι.

Πράξ. κ. λε.

Μακάριον γάρ ἐστι, φησὶ, διδόναι [μᾶλλον], ἢ λαμβάνειν. τί οὖν δηλοῖ λέγων, ἐχάρην δὲ ἐν Κυρίῳ μεγάλως; οὐ κοσμικῶς ἐχάρην, φησὶν, οὐδὲ βιωτικῶς, ἀλλ' ἐν Κυρίῳ· οὐχ ὅτι ἀνάπαυσιν ἔσχον ἐγὼ, ἀλλ' ὅτι ὑμεῖς προεκόψατε. ἡ γὰρ ἐμὴ ἀνάπαυσις, αὕτη ἐστί. διὰ τοῦτο καί φησι, μεγάλως· ἐπειδὴ οὐ σωματικὴ ἦν ἡ χαρὰ, οὐδὲ παρὰ τῆς αὐτοῦ ἀναπαύσεως ἔχαιρεν, ἀλλὰ παρὰ τῆς ἐκείνων προκοπῆς. καὶ ὅρα πῶς ἠρέμα ἐπιτιμήσας παρὰ τοῦ παρελθόντος χρόνου, ταχέως αὐτοὺς συνεσκίασε, παιδεύων συνεχῶς καὶ διαπαντὸς ἐν εὐποιΐᾳ εἶναι. ὅτι ἤδη ποτὲ, φησί. τὸ, ἤδη ποτὲ, χρόνον δηλοῦντός ἐστι μακρόν. ἀνεθάλετε· ὡς ἐπὶ δένδρων βλαστησάντων, εἶτα ξηρανθέντων, καὶ πάλιν βλαστησάντων. τοῦτο δὲ δηλοῦντός ἐστιν, ὅτι πρότερον ὄντες ἀνθηροὶ ἐμαράνθησαν· εἶτα μαρανθέντες, πάλιν ἐβλάστησαν· ὥστε καὶ ἐπιτιμητικόν ἐστι καὶ ἐπαινετὸν τὸ, ἀνεθάλετε. οὐ γάρ ἐστι μικρὸν, τὸ μαρανθέντα ἀναθῆλαι. καὶ τὸ πρὶν ἀπὸ ῥαθυμίας αὐτοὺς πεποιηκέναι δείκνυσιν.

χ. φησίν
χ. ξηρανθέντων
χ. ὕστερον

Εἰς τὸ ὑπὲρ ἐμοῦ φρονεῖν, ἐφ' ᾧ καὶ ἐφρονεῖτε. ἐνταῦθα δὲ δηλοῖ, ὅτι ἔθος εἶχον καὶ περὶ τοῦτο ἐν τοῖς τοιούτοις φιλοτιμεῖσθαι. διὰ τοῦτο ἐπήγαγεν, Εἰς τὸ ὑπὲρ ἐμοῦ φρονεῖν, ἐφ' ᾧ καὶ ἐφρονεῖτε. καὶ ἵνα μὴ νομίσῃς καὶ ἐν τοῖς λοιποῖς προθυμοτέρους αὐτοὺς γεγενῆσθαι, καὶ μεμαράνθαι, ἀλλ' ἐν τούτῳ μόνῳ, ὅρα πῶς ἐπήγαγεν, ἤδη ποτὲ ἀνεθάλετε εἰς τὸ ὑπὲρ ἐμοῦ φρονεῖν· ὡσανεὶ ἔλεγεν, εἰς τοῦτό φημι μόνον τὸ ἤδη ποτέ· ἐν γὰρ τοῖς ἄλλοις οὐχ οὕτω.

χ. ῥαθυμοτ.

Πράξ. κ. λδ.
α. Κορ. θ. ιε.

Ζητήσειε δ' ἄν τις ἐνταῦθα, πῶς λέγων, Μακάριόν ἐστι μᾶλλον διδόναι, ἢ λαμβάνειν, καὶ, Αἱ χεῖρές μου ὑπηρέτησαν ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ, καὶ πάλιν πρὸς Κορινθίους γράφων ἔλεγε, Καλὸν γάρ μοι ἀποθανεῖν μᾶλλον, ἢ τὸ καύχημά μου ἵνα τις κενώσῃ, νῦν περιορᾷ κενούμενον ἑαυτοῦ τὸ καύχημα. πῶς; λαβών. εἰ γὰρ τὸ καύχημα τοῦτο ἦν, τὸ μηδὲν λαβεῖν, πῶς νῦν ἀνέχεται; τί οὖν ἐστιν εἰπεῖν; ἐκεῖ εἰκότως οὐκ ἐλάμβανε διὰ τοὺς ψευδαποστόλους,

β. Κορ. ια. ιβ.

Ἵνα ἐν ᾧ καυχῶνται, φησὶν, εὑρεθῶσι καθὼς καὶ ἡμεῖς. καὶ οὐκ εἶπεν, εἰσὶν, ἀλλὰ, καυχῶνται, δηλῶν ἐκ τούτου ὅτι ἐλάμβανον μὲν, λανθανόντως δέ. διὰ τοῦτο εἶπεν, ἐν ᾧ καυχῶνται.

β. Κορ. ια. ι.

ἐλάμβανε δὲ καὶ αὐτὸς, εἰ καὶ μὴ ἐκεῖ. διὰ τοῦτο καὶ αὐτὸς ἔλεγεν· Οὐ φραγήσεται τὸ καύχημά μου. καὶ οὐχ ἁπλῶς εἶπεν, οὐ φραγήσεται, ἀλλὰ τί; Ἐν τοῖς κλίμασι τῆς Ἀχαΐας· καὶ τὸ, Ἄλλας ἐκκλησίας ἐσύλησα, λαβὼν ὀψώνια πρὸς τὴν ὑμῶν διακονίαν, δηλοῦντός ἐστιν, ὅτι ἐλάμβανεν. ἀλλ' ὁ Παῦλος μὲν εἰκότως ἐλάμβανεν, ἔργον ἔχων τηλικοῦτον, εἴ που καὶ ἐλάμβανεν· οἱ δὲ μηδὲν ἐργαζόμενοι, πῶς ἂν δύναιντο λαμβάνειν; ἀλλ' εὐχόμεθα, φησίν. ἀλλ' οὐκ ἔστι τοῦτο ἔργον. τοῦτο γάρ ἐστι καὶ μετὰ ἔργου ποιεῖν. ἀλλὰ νηστεύω. ἀλλ' οὐδὲ τοῦτο ἔργον. ἀλλ' ὅρα οἱ μακάριοι τοῦτον πολλαχοῦ κηρύττοντα, καὶ ἐργαζόμενοι. ἠκαιρεῖσθε δὲ, φησί. τί ἐστιν, ἠκαιρεῖσθε; οὐ τῆς ῥαθυμίας ὑμῶν, φησὶν, ἀλλὰ τῆς ἀνάγκης. οὐκ εἴχετε ἐν χερσὶν, οὐδὲ ἐν ἀφθονίᾳ ἦτε, τοῦτο γάρ ἐστιν, ἠκαιρεῖσθε δέ. ἀπὸ τῆς κοινῆς αὐτὸ συνηθείας ἔλαβεν. οὕτω γὰρ οἱ πλείους λέγουσιν, ὅταν αὐτοῖς μὴ μετὰ ἀφθονίας ἐπιρρέῃ τὰ βιωτικὰ, ἀλλ' ἐν στενοχωρίᾳ ᾖ. οὐχ ὅτι καθ' ὑστέρησιν λέγω. Εἶπον, φησὶν, ἤδη ποτὲ, καὶ ἐπετίμησα, οὐχὶ τὸ

χ. ἀλλ' ἑρμηνεύει καὶ τί, ἐν τοῖς κλίμασι τῆς Ἀχαΐας.
χ. τοιοῦτον,

ἐμαυτοῦ

Digitized by Google

ἐμαυτοῦ ζητήσας, οὐδὲ διὰ τοῦτο μεμφόμενος, ὡς ἐν ἐνδείᾳ ὤν. οὐδὲ γὰρ διὰ τοῦτο ἐζήτουν. πόθεν δῆλον, ὅτι οὐ κομπάζεις, ὦ Παῦλε; Κορινθίοις μὲν οὖν φησιν, Οὐ γὰρ ἄλλα γράφομεν ὑμῖν, ἀλλ' ἢ ἃ ἀναγινώσκετε, ἢ καὶ ἐπιγινώσκετε. β. Κορ. α. ιγ. καὶ ἐπὶ τούτων δὲ οὐκ ἄν, ὥστε ἁλῶναι, ἔλεγεν. οὐκ ἄν, εἴγε ἐκόμπαζε, ταῦτα εἶπε. πρὸς γὰρ εἰδότας ἔλεγε, καὶ πλείων ἦν ἡ αἰσχύνη ἁλῶναι. ἐγὼ γὰρ ἔμαθον ἐν οἷς εἰμί, φησιν, αὐτάρκης εἶναι. ἄρα διδασκαλίας ἐστὶ τὸ πρᾶγμα, καὶ γυμνασίας, καὶ μελέτης. οὐ γὰρ εὐκατόρθωτόν ἐστιν, ἀλλὰ καὶ σφόδρα δύσκολον καὶ πόνον ἔχον πολύν. ἐν οἷς εἰμί, φησιν, αὐτάρκης εἶναι, οἶδα καὶ ταπεινοῦσθαι, οἶδα καὶ περισσεύειν. ἐν παντὶ καὶ ἐν πᾶσι μεμύημαι, τουτέστι, καὶ ὀλίγοις κεχρῆσθαι οἶδα, καὶ λιμὸν φέρειν, καὶ ἔνδειαν, καὶ περισσεύειν, καὶ ὑστερεῖσθαι. καί, φησιν· ἀλλ' ἆρα τοῦτο οὐκ ἔστιν ἐπιστήμης, ὥσπερ οὐδὲ ἀρετῆς τὸ περισσεύειν; καὶ σφόδρα ἀρετῆς, οὐχ ἧττον ἢ ἐκεῖνο. πῶς; ὅτι ὥσπερ ἡ στενοχωρία πολλὰ παρασκευάζει κακὰ ποιεῖν, οὕτω καὶ ἡ πλησμονή. πολλοὶ γὰρ πολλάκις ἐν ἀφθονίᾳ γενόμενοι, ῥαθυμότεροι ἐγένοντο, καὶ οὐκ ἔγνωσαν ἐνεγκεῖν τὴν εὐπραγίαν· πολλοὶ πολλάκις ἀφορμὴν ἔλαβον τοῦ μηκέτι ἐργάζεσθαι· ἀλλ' οὐχ ὁ Παῦλος. καὶ γὰρ λαμβάνων εἰς ἄλλους ἀνήλισκε, καὶ εἰς ἄλλους ἐκένου. τοῦτο δέ ἐστιν εἰδέναι καλῶς κεχρῆσθαι οἷς ἔχει. οὐχὶ διεχεῖτο, οὐδὲ ἔχαιρεν ἐπὶ τῇ περιουσίᾳ αὐτοῦ, ἀλλ' ἴσος ἦν, ἔν τε ἐνδείᾳ, ἔν τε πλησμονῇ, οὔτε ἐκεῖθεν πιεζόμενος, οὔτε ἐντεῦθεν χαυνούμενος. καὶ χορτάζεσθαι, φησιν, οἶδα καὶ πεινᾶν, καὶ περισσεύειν καὶ ὑστερεῖσθαι. πολλοὶ οὐκ ἴσασι χορτάζεσθαι, οἷον οἱ Ἰσραηλῖται· ἐκεῖνοι γὰρ ἔφαγον, καὶ ἀπελάκτισαν. Δευτ. λβ. ιε. ἀλλ' ἐπὶ τῆς αὐτῆς εὐταξίας ἐγὼ μένω. διέκειτο δὲ οὔτε ἐν τῷ πάθει, οὔτε πρότερον ἐλυπεῖτο· εἰ δὲ καὶ ἐλυπεῖτο, οὐκ αὐτοῦ ἕνεκεν, ἀλλ' αὐτῶν. ἀεὶ γὰρ ὁμοίως διέκειτο. ἐν παντί, φησι, καὶ ἐν πᾶσι μεμύημαι· τουτέστι, πεῖραν ἔλαβον ἐν τῷ μακρῷ τούτῳ χρόνῳ πάντων, καὶ ταῦτά μοι πάντα κατώρθωται. ἀλλ' ἐπειδὴ μεγαληγορία τὸ πρᾶγμα ἦν, ὅρα πῶς ἐπιλαμβάνεται ταχέως, καί φησι· πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ, φησιν. οὐκ ἐμὸν τὸ κατόρθωμα, ἀλλὰ τοῦ τὴν ἰσχὺν δεδωκότος ἐστίν. ἀλλ' ἐπειδὴ πάλιν εἰσὶ τοιοῦτοι, ὅταν ἴδωσιν οὐ δεχομένους εὖ τοὺς λαμβάνοντας, ἀλλὰ καταφρονοῦντα τῶν διδομένων, ῥαθυμότεροι γίνονται (αὐτοὶ γὰρ ὡς χαριζόμενοι διέκειντο, καὶ ἀναπαύοντες) ἵνα οὖν μὴ τοῦτο γένηται, μηδέ τις εἴπῃ, ὅτι ἐπεὶ καταφρονεῖ τῆς ἀναπαύσεως Παῦλος, ἀνάγκη τούτους ῥαθυμοτέρους γενέσθαι, ὅρα πῶς πάλιν καὶ τοῦτο ἰᾶται. διὰ μὲν γὰρ τῶν εἰρημένων τὸ φρόνημα αὐτοῦ κατέστησε· διὰ δὲ τῶν ἑξῆς τὴν προθυμίαν αὐτῶν ἀνάζην ποιεῖ, λέγων· πλὴν καλῶς ἐποιήσατε συγκοινωνήσαντές μου τῇ θλίψει. ὁρᾷς καὶ πῶς ἀπέστησεν ἑαυτόν, καὶ πῶς πάλιν ἥνωσε; τοῦτο γνησίας φιλίας ἐστὶ καὶ πνευματικῆς. μὴ γὰρ ἐπειδή, φησιν, ἐν χρείᾳ οὐ καθέστηκα, νομίσητε μὴ δεῖσθαί με τοῦ πράγματος· δέομαι δι' ὑμᾶς. πῶς οὖν ἐκοινώνησαν αὐτοῦ τῇ θλίψει; διὰ τούτου· ὅπερ καὶ δεσμούμενος ἔλεγε, Συγκοινωνούς μου τῆς χάριτος πάντας ὑμᾶς. Φιλιπ. α. ζ. κβ. χάρις γάρ ἐστι τὸ παθεῖν ὑπὲρ τοῦ Χριστοῦ, ὡς που καὶ αὐτός φησιν, Ὅτι ὑμῖν ἐχαρίσθη ἀπὸ Θεοῦ, οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν. ἐπειδὴ γὰρ ἐκεῖνα καταμόνας λεγόμενα ἀλγῆσαι αὐτοὺς ἱκανὰ ἦν, διὰ τοῦτο κεραννύει, καὶ ἀποδέχεται, καὶ ἐπαινεῖ πάλιν, καὶ τοῦτο μεμετρημένως. οὐ γὰρ εἶπε, δόντες, ἀλλά, συγκοινωνήσαντες, δεικνὺς αὐτοὺς καὶ κερδαίνοντας, εἴγε τῶν ἄθλων ἐγένοντο κοινωνοί. οὐκ εἶπεν, ἐπικουφίσαντές μου τὰς θλίψεις, ἀλλά, συγκοινωνήσαντές μου τῇ θλίψει, ὅπερ ἦν σεμνότερον. ὁρᾷς τὸ ταπεινὸν Παύλου; ὁρᾷς τὸ εὐγενές; ὅτε ἔδειξεν οὐδὲν δεόμενον τῆς παρ' ἐκείνων αὐτοῦ ἕνεκεν, τότε λοιπὸν ἀδεῶς καὶ ταπεινὰ φθέγγεται ῥήματα, καὶ ἅπερ εἰσὶ προσαιτοῦντες λέγουσιν, ὡς ἔθος ἔχεις διδόναι. οὐδὲν γὰρ παραιτεῖται ὅτι ποιεῖ, ὅτι λέγει, πρὸς τὸ μόνον, ὃ βούλεται, κατορθῶσαι. τί δέ τοῦτό ἐστι; μὴ νομίσητε, φησιν, ἀναισχυντίας εἶναι τὰ ῥήματα τὸ ἐγκαλεῖν, καὶ λέγειν, ἤδη ποτὲ ἀνεθάλετε, καὶ τοῦ ἐν χρείᾳ εἶναι. οὐ γὰρ δεόμενος ταῦτα λέγω, ἀλλὰ τί; ἐκ τοῦ σφόδρα θαρρεῖν ὑμῖν· καὶ τούτου δὲ ὑμεῖς αἴτιοι. ὁρᾷς πῶς αὐ-

γρ. τοῦτο
γρ. αὐτὸ διορθοῦται

τοῖς

Πολλάκις εἶπον, ὅτι ἡ ἐλεημοσύνη οὐ τῶν λαμβανόντων ἕνεκεν, ἀλλὰ τῶν διδόντων ἐπινενόηται· καὶ γὰρ ἐκεῖνοί εἰσιν οἱ τὰ μέγιστα κερδαίνοντες. τοῦτο καὶ ἐνταῦθα δείκνυσιν ὁ Παῦλος. πῶς; ἀπέστειλαν αὐτῷ ἵνα διὰ μακροῦ χρόνου Φιλιππήσιοι, αὐτὰ δὴ ταῦτα Ἐπαφροδίτῳ ἐγχειρίσαντες. μέλλων τοίνυν αὐτοῖς πέμπειν τὴν ἐπιστολὴν ἀποκομίζοντα, ὅρα πῶς καὶ ἐπαινεῖ αὐτούς, καὶ δείκνυσιν (χ. ἐπικομίζ.) ὅτι οὐ τῆς τῶν λαμβανόντων χρείας, ἀλλὰ τῆς τῶν διδόντων ἕνεκεν τοῦτο γέγονεν. τοῦτο δὲ ποιεῖ, ἵνα μήτε εἰς ἀπόνοιαν αἴρωνται οἱ εὖ ποιοῦντες, καὶ προθυμότεροι γίνωνται περὶ τὸ εὖ ποιεῖν, ἅτε ἑαυτοὺς μᾶλλον ὠφελοῦντες, οἵ τε λαμβάνοντες μὴ ἐπιτρέχωσιν ἀδεῶς τῷ λαμβάνειν, ἵνα μὴ κρίμα ἔχωσι.

Πραξ. κ. λε. Μακάριον γάρ ἐστι, φησί, διδόναι [μᾶλλον], ἢ λαμβάνειν. τί οὖν δηλοῖ λέγων, ἐχάρην δὲ ἐν Κυρίῳ μεγάλως; οὐ κοσμικῶς ἐχάρην, φησίν, οὐδὲ βιωτικῶς, ἀλλ' ἐν Κυρίῳ· (χ. φησιν) οὐχ ὅτι ἀνάπαυσιν ἔσχον ἐγώ, ἀλλ' ὅτι ὑμεῖς προεκόψατε. ἡ γὰρ ἐμὴ ἀνάπαυσις, αὕτη ἐστί. διὰ τοῦτο καί φησι, μεγάλως· ἐπειδὴ οὐ σωματικὴ ἦν ἡ χαρά, οὐδὲ ὑπὲρ τῆς αὐτοῦ ἀναπαύσεως ἔχαιρεν, ἀλλ' ὑπὲρ τῆς ἐκείνων προκοπῆς. καὶ ὅρα πῶς ἠρέμα ἐπιτιμήσας ὑπὲρ τοῦ παρελθόντος χρόνου, ταχέως αὐτοὺς συνεσκίασε, παιδεύων συνεχῶς καὶ διαπρεπεῖς ἐν εὐποιΐᾳ εἶναι. ὅτι ἤδη ποτέ, φησι. τὸ, ἤδη ποτέ, χρόνον δηλοῦντός ἐστι μακρόν. ἀνεθάλετε· ὡς ἐπὶ δένδρων βλαστησάντων, εἶτα ξηρανθέντων, καὶ πάλιν βλαστησάντων. (χ. καρπ.) (χ. ὑστερ.) τοῦτο δὲ δεικνύντος ἐστίν, ὅτι πρότερον ὄντες ἐν ἄνθεσιν ἐμαράνθησαν· εἶτα μαρανθέντες, πάλιν ἐβλάστησαν· ὥστε καὶ ἐπιτιμητικόν ἐστι καὶ ἐπαινετικὸν τὸ, ἀνεθάλετε. οὐ γάρ ἐστι μικρόν, τὸ μαρανθέντα ἀναθῆλαι. καὶ τὸ πρὶν ἀπὸ ῥαθυμίας αὐτοὺς πεπονθέναι δείκνυσιν. εἰς τὸ ὑπὲρ ἐμοῦ φρονεῖν, ἐφ' ᾧ καὶ ἐφρονεῖτε. ἐνταῦθα δὲ δηλοῖ, ὅτι ἔθος εἶχον τὸ περὶ τούτου ἐν τοῖς τοιούτοις φιλοτιμεῖσθαι. διὰ τοῦτο ἐπήγαγεν, εἰς τὸ ὑπὲρ ἐμοῦ φρονεῖν, ἐφ' ᾧ καὶ ἐφρονεῖτε. καὶ ἵνα μὴ νομίσῃς καὶ ἐν τοῖς λοιποῖς προθυμοτέρους αὐτοὺς γεγενῆσθαι, καὶ μεμαράνθαι, (χ. ῥαθυμοτ.) ἀλλ' ἐν τούτῳ μόνῳ, ὅρα πῶς ἐπήγαγεν, ἤδη ποτὲ ἀνεθάλετε εἰς τὸ ὑπὲρ ἐμοῦ φρονεῖν· ὡσεὶ ἔλεγεν, εἰς τοῦτό φημι μόνον τὸ ἤδη ποτέ· ἐν γὰρ τοῖς ἄλλοις οὐχ οὕτω. ζητήσειε δ' ἄν τις ἐνταῦθα, πῶς λέγει, Μακάριόν ἐστι μᾶλλον διδόναι, ἢ λαμβάνειν, καί, (Πραξ. κ. λε. λδ.) Αἱ χεῖρές μου ὑπηρέτησαν ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ, καὶ πάλιν πρὸς Κορινθίους (α. Κορ. θ. ιε.) γράφων ἔλεγε, Καλὸν γάρ μοι ἀποθανεῖν μᾶλλον, ἢ τὸ καύχημά μου ἵνα τις κενώσῃ, νῦν περιορᾷ κενούμενον ἑαυτοῦ τὸ καύχημα. πῶς; λαβών. εἰ γὰρ τὸ καύχημα τοῦτο ἦν, τὸ μηδὲν λαβεῖν, πῶς νῦν ἀνέχεται; τί οὖν ἐστιν εἰπεῖν; ἐκεῖ εἰκότως οὐκ ἐλάμβανε διὰ τοὺς ψευδαποστόλους, (β. Κορ. ια. ιβ.) ἵνα ἐν ᾧ καυχῶνται, φησιν, εὑρεθῶσι καθὼς καὶ ἡμεῖς. καὶ οὐκ εἶπεν, εἰσίν, ἀλλά, καυχῶνται, δηλῶν ἐκ τούτου ὅτι ἐλάμβανον μέν, λανθανόντως δέ. διὰ τοῦτο εἶπεν, ἐν ᾧ καυχῶνται. (β. Κορ. ια. ι.) ἐλάμβανε δὲ καὶ αὐτός, εἰ καὶ μὴ ἐκεῖ. διὰ τοῦτο καὶ αὐτὸς ἔλεγεν· Οὐ φραγήσεται τὸ καύχημά μου. καὶ οὐχ ἁπλῶς εἶπεν, οὐ φραγήσεται, ἀλλὰ τί; Ἐν τοῖς κλίμασι τῆς Ἀχαΐας· καὶ τό, (χ. ἀλλ' ἐρμῶν ἔτι καὶ τὸ, ἐν τοῖς κλίμασι λέγων τῆς Ἀχαΐας.) Ἄλλας ἐκκλησίας ἐσύλησα, λαβὼν ὀψώνια πρὸς τὴν ὑμῶν διακονίαν, δηλοῦντός ἐστιν, ὅτι ἐλάμβανεν. ἀλλὰ Παῦλος μὲν εἰκότως ἐλάμβανεν, ἔργον ἔχων τηλικοῦτον, εἴ που καὶ ἐλάμβανεν· οἱ δὲ μηδὲν ἐργαζόμενοι, πῶς ἂν δύναιντο λαμβάνειν; ἀλλ' εὔχομαι, φησιν. ἀλλ' οὐκ ἔστι τοῦτο ἔργον. τοῦτο γάρ ἐστι καὶ μετὰ ἔργου ποιεῖν. ἀλλὰ νηστεύω. ἀλλ' οὐδὲ τοῦτο (χ. τοιοῦτον,) ἔργον. ἀλλ' ὅρα τὸν μακάριον τοῦτον πολλαχοῦ κηρύττοντα, καὶ ἐργαζόμενον. ἠκαιρεῖσθε δέ, φησι. τί ἐστιν, ἠκαιρεῖσθε; οὐ τῆς ῥαθυμίας ὑμῶν, φησιν, ἀλλὰ τῆς ἀνάγκης. οὐκ εἴχετε ἐν χερσίν, οὐδὲ ἐν ἀφθονίᾳ ἦτε. τοῦτο γάρ ἐστιν, ἠκαιρεῖσθε δέ. ἀπὸ τῆς κοινῆς αὐτὸ συνηθείας ἔλαβεν. οὕτω γὰρ οἱ πλείους λέγουσιν, ὅταν αὐτοῖς μὴ μετὰ ἀφθονίας ἐπιρρέῃ τὰ βιωτικά, ἀλλ' ἐν στενοχωρίᾳ ᾖ. οὐχ ὅτι καθ' ὑστέρησιν λέγω. Εἶπον, φησιν, ἤδη ποτέ, καὶ ἐπετίμησα, οὐχὶ τὸ

ἐμαυτοῦ

Οὐκ ἔστιν ὁ Θεὸς πολέμου καὶ μάχης Θεός. ἐκκόπου κατάλυσον καὶ τὸν πόλεμον, καὶ τὴν μάχην, καὶ τὴν πρὸς αὐτόν, καὶ τὴν πρὸς τὸν πλησίον. Εἰρηνικὸς ἔσο πρὸς πάντας. ἐννόησον ὅσας ὁ Θεὸς σώζει. Μακάριοι οἱ εἰρηνοποιοί, φησιν, ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται. Ματθ. ε. θ. διαπαντὸς τὸν υἱὸν τοῦ Θεοῦ μιμοῦνται οἱ τοιοῦτοι, καὶ μίμησαι καὶ σὺ αὐτόν· εἰρήνευσον. ὅσῳ δ' ἂν σε πολεμῇ ὁ ἀδελφός, τοσούτῳ μείζων ὁ μισθός. ἄκουε γὰρ τοῦ προφήτου λέγοντος, Μετὰ τῶν μισούντων τὴν εἰρήνην ἤμην εἰρηνικός. τοῦτο ἀρετή, τοῦτο μεῖζον ἀνθρωπίνου λογισμοῦ, τοῦτο Θεοῦ ἴσως ἐστὶ ποιεῖν. Ψαλ. ρκ. ε. οὐδὲν οὕτως εὐφραίνει τὸν Θεόν, ὡς τὸ μὴ εἶναι μνησίκακον· τοῦτο ἀφίησί σε τῶν ἁμαρτημάτων, τοῦτό σοι λύει τὰ ἐγκλήματα· ἂν δὲ μαχώμεθα καὶ πυκτεύωμεν, μακρὰν γινόμεθα τοῦ Θεοῦ. ἀπὸ μὲν γὰρ τῆς μάχης ἔχθραι τίκτονται· ἀπὸ δὲ τῆς ἔχθρας μνησικακία. ἔκκοψον τὴν ῥίζαν, καὶ οὐκ ἔσται ὁ καρπός· οὕτω μαθησόμεθα τῶν βιωτικῶν καταφρονεῖν. οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἐν τοῖς πνευματικοῖς μάχη. ἀλλ' ὅπερ ἂν ἴδῃς γινόμενον, ἢ μάχας, ἢ φθόνον, ἢ ὅπερ ἂν εἴποι τις, βιωτικῶν ἕνεκεν ἐστί. ἢ γὰρ πλεονεξίας, ἢ φθόνου, ἢ κενοδοξίας ἔχει ἀρχὴν πᾶσα μάχη. ἂν τοίνυν εἰρηνεύσωμεν, μαθησόμεθα καὶ τῶν ἐν τῇ γῇ καταφρονεῖν. ἥρπασέ τις τὰ χρήματα; ἀλλ' οὐδὲν ἠδίκησεν, μόνον μὴ τὸν ἄνω πλοῦτον ἁρπάσῃ, φησίν. ἐνεπόδισέ σου τῇ δόξῃ; ἀλλ' οὐ τῇ πρὸς Θεόν, ἀλλὰ τῇ οὐδαμινῇ. οὐδὲ γὰρ δόξα αὕτη ἐστίν, ἀλλ' ὄνομα δόξης, μᾶλλον δὲ καὶ ἀδοξία. ἥρπασέ σου τὴν τιμήν; ἀλλ' οὐχὶ τὴν σήν, ἀλλὰ τὴν ἑαυτοῦ. ὥσπερ γὰρ ὁ ἀδικῶν οὐκ ἀδικεῖ, ἀλλ' ἀδικεῖται, οὕτω καὶ ὁ τῷ πλησίον ἐπιβουλεύων, ἑαυτὸν ἀναιρεῖ πρότερον. Ὁ γὰρ ὀρύσσων βόθρον τῷ πλησίον αὐτοῦ, εἰς αὐτὸν ἐμπίπτει. μὴ τοίνυν ἐπιβουλεύωμεν ἑτέροις, ἵνα μὴ ἑαυτοὺς βλάπτωμεν. ὅταν τὴν ἑτέρων δόξαν ὑποσκελίσωμεν, ἐννοήσωμεν ὅτι ἑαυτοὺς βλάπτομεν, ὅτι μᾶλλον ἑαυτοῖς ἐπιβουλεύομεν. ἐκεῖνον μὲν γὰρ ἴσως, κἂν ἰσχύσωμεν, παρὰ τοῖς ἀνθρώποις βλάπτομεν· ἑαυτοὺς δὲ παρὰ τῷ Θεῷ ἀδικοῦμεν, παροξύνοντες αὐτόν. μὴ δὴ βλάπτωμεν ἑαυτούς. ὥσπερ γὰρ εἰ ἀδικοῦμεν τὸν πλησίον, ἑαυτοὺς ἀδικοῦμεν, οὕτως αὐτὸν εὖ ποιοῦντες, ἑαυτοὺς εὖ ποιοῦμεν. ὅταν οὖν σε βλάψῃ ὁ ἐχθρός, ἐννόησας, ὅτι εὐηργέτησέ σε, ἐὰν νήφῃς, μὴ μόνον τοῖς ἴσοις αὐτὸν μὴ ἀμύνῃ, ἀλλὰ καὶ εὐεργέτησον. ἀλλ' ἡ πληγὴ μένει σφοδρά, φησι. τοῦτο τοίνυν ἐννόησον*, ὅτι οὐκ ἐκεῖνον εὖ ποιεῖς, ἀλλ' ἐκεῖνον μὲν κολάζεις, σαυτὸν δὲ εὖ ποιεῖς, καὶ ταχέως ἥξεις πρὸς τὸ εὖ ποιῆσαι. τί οὖν; καὶ σκοπῷ, φησι, τοιούτῳ ποιεῖν δεῖ; οὐ δεῖ μὲν τούτῳ ποιεῖν τῷ σκοπῷ· ὅταν δὲ μὴ φέρῃ ἡ καρδία, καὶ τούτῳ, φησίν, αὐτὴν ἐνάγαγε, καὶ ταχέως αὐτὴν πείσεις ἀφεῖναι τὴν ἔχθραν, καὶ ὡς φίλον εὐεργετήσεις λοιπὸν τὸν ἐχθρόν, καὶ οὕτω τῶν μελλόντων ἀγαθῶν ἐπιτεύξῃ, ὧν γένοιτο πάντας ἡμᾶς τυχεῖν ἐν Χριστῷ Ἰησοῦ.

χ. μάχαις

Λογ. ιε. 10 ΕΧΑΡΗΝ ΔΕ ΕΝ ΚΥΡΙΩ ΜΕΓΑΛΩΣ, ΟΤΙ
ἤδη ποτὲ ἀνεθάλετε τὸ ὑπὲρ ἐμοῦ φρονεῖν· ἐφ' ᾧ καὶ ἐφρονεῖτε, ἠκαιρεῖσθε δέ.
11 Οὐχ ὅτι καθ' ὑστέρησιν λέγω· ἐγὼ γὰρ ἔμαθον, ἐν οἷς εἰμι, αὐτάρ-
κης εἶναι. 12 Οἶδα καὶ ταπεινοῦσθαι, οἶδα καὶ περισσεύειν· ἐν παντὶ καὶ
ἐν πᾶσι μεμύημαι καὶ χορτάζεσθαι καὶ πεινᾶν, καὶ περισσεύειν καὶ ὑστερεῖ-
σθαι· 13 Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ,
14 Πλὴν καλῶς ἐποιήσατε συγκοινωνήσαντές μου τῇ θλίψει.



Digitized by Google

ῥήματος, καὶ σχήματος, καὶ συνουσίας (πάντων γὰρ τούτων χρὴ προνοεῖν τὸν χριστιανόν) συντόμως εἶπε, καὶ ὡς ἐν κεφαλαίῳ, ἐν ἐμοὶ ἠκούσατε καὶ εἴδετε· τουτέστι, περὶ ἐμοί, ὥστε ἔλεγε, καὶ διὰ τῶν ἔργων, καὶ διὰ τῶν ῥημάτων ὑμᾶς ἐνῆγον. Ταῦτα πράσσετε.

Μὴ λέγετε μόνον, ἀλλὰ καὶ πράττετε. Καὶ ὁ Θεὸς τῆς εἰρήνης ἔσται μεθ' ὑμῶν.

χ. Οἰχιλι. γν.

Τουτέστιν, ἐὰν οὕτω φυλάττητε ταῦτα, καὶ πρὸς ἀλλήλους εἰρηνεύητε, ἐν γαλήνῃ ἔσεσθε, ἐν ἀσφαλείᾳ πολλῇ, οὐδὲν πείσεσθε λυπηρόν, οὐδὲ τῶν ἀβουλήτων. ὅταν γὰρ ἡμεῖς εἰρηνεύωμεν πρὸς αὐτόν (εἰρηνεύομεν δὲ διὰ τῆς ἀρετῆς) πολλῷ μᾶλλον αὐτὸς μεθ' ἡμῶν ἔσται. ὁ γὰρ οὕτως ἡμᾶς ἀγαπήσας, ὡς καὶ μὴ βουλομένους προσίεσθαι, ἂν ἴδῃ προσέχοντας, οὐ πολλῷ πλέον αὐτὸς ἐπιδείξεται τὴν φιλίαν;

ΗΘΙΚΟΝ

Οὐδὲν οὕτως ἐχθρὸν τῆς ἡμετέρας φύσεως, ὡς κακία. πῶς δὲ ἐχθρὸν ἡμῶν ἡ κακία, καὶ φίλον ἡ ἀρετή, πολλαχόθεν δῆλον. καί, εἰ βούλεσθε, σκοπήσωμεν τοῦτο πρῶτον ἀπὸ τῶν ἐναντίων ἑνός, τῆς πορνείας. ἡ πορνεία ἐπονειδίστους καθίστησι, πένητας, καταγελάστους, εὐκαταφρονήτους πρὸς πάντας, ταῦτα διατιθεῖσα, ἅπερ ἐχθρῶν ἐστι διατιθέναι· πολλάκις δὲ καὶ νόσοις καὶ κινδύνοις περιέβαλεν αὐτή. πολλοὶ δὲ καὶ ὑπὲρ τὴν πόρνην ἀπώλοντο, καὶ τραύματα ἔλαβον. εἰ δὲ τὸ πορνεύειν ταῦτα παρέξει, τὸ μοιχεύειν πολλῷ μᾶλλον. ἆρα οὖν καὶ ἡ ἐλεημοσύνη οὕτως; οὐδαμῶς· ἀλλ' ὡς μήτηρ φιλόστοργος ἐν κοσμιότητι πολλῇ τὸ παιδίον καθίστησιν, ἐν εὐταξίᾳ, ἐν χρηστῇ δόξῃ, περὶ τὴν τῶν ἀναγκαίων ποιεῖ σχολάζειν διατριβήν. οὐκ ἀφίησιν ἡμᾶς, οὐδὲ ἀπάγει τῶν ἀναγκαίων, ἀλλὰ καὶ τὴν ψυχὴν συνετωτέραν ἐργάζεται. οὐδὲν γὰρ πορνείας ἀσυνετώτερον. ἀλλὰ τί βούλει; τὴν πλεονεξίαν ἰδεῖν; καὶ αὕτη, ἅπερ ἂν ἐχθρὸς ἡμᾶς διέθηκε, διατίθησι. πῶς; μισεῖσθαι καὶ αὕτη ποιεῖ παρὰ πάντων. πάντας ἡμῖν κατεύχεσθαι παρασκευάζει, καὶ τοὺς ἠδικημένους, καὶ τοὺς οὐκ ἠδικημένους, ἐκείνοις μὲν συναλγοῦντας, ὑπὲρ δὲ ἑαυτῶν δεδοικότας. ὡς ἐχθροὺς κοινοὺς πάντες ὁρῶσιν, ὡς θηρία, ὡς δαίμονας· μυρίαι πανταχοῦ κατηγορίαι, ἐπιβουλαί, φθόνοι, ἅπερ ἐστὶν ἐχθρῶν· ἡ δὲ δικαιοσύνη, τοὐναντίον. πάντας φίλους, πάντας συνήθεις, πάντας οἰκείως διατίθησι πρὸς ἡμᾶς· παρὰ πάντων ὑπὲρ ἡμῶν εὐχαὶ γίνονται. ἐν ἀσφαλείᾳ πολλῇ ἐντεῦθεν τὰ καθ' ἡμᾶς, οὐδεὶς κίνδυνος, οὐδεμία ὑποψία, ἀλλὰ καὶ ὁ ὕπνος ἀδεὴς ἕπεται μετὰ ἀσφαλείας, οὐδεμία φροντίς, οὐδεὶς κόπος. ὁρᾷς ὅτι μᾶλλον αὕτη βελτίων; τί δέ, εἰπέ μοι, τὸ φθονεῖν, ἢ τὸ συνήδεσθαι βέλτιον; ταῦτα πάντα ἐξετάσωμεν, καὶ εὑρήσομεν, ὅτι ἡ μὲν ἀρετή, καθάπερ μήτηρ οὕτως φιλόστοργος, ἐν ἀσφαλείᾳ καθίστησιν· ἡ δὲ κακία ἐν κινδύνοις, πρᾶγμα ἐπισφαλὲς ὑπάρχον καὶ ἐπικίνδυνον. ἄκουε γὰρ τοῦ προφήτου

Ψαλ. κδ. ιδ.

λέγοντος, Κραταίωμα Κύριος τῶν φοβουμένων αὐτόν, καὶ ἡ διαθήκη αὐτοῦ τοῦ δηλῶσαι αὐτοῖς. οὐδένα δέδοικεν ὁ μηδὲν ἑαυτῷ συνειδὼς πονηρόν· οὐδενὶ πάλιν θαρρεῖ ὁ ἐν κακίᾳ ζῶν, ἀλλὰ καὶ τοὺς οἰκέτας τρέμει, καὶ μετὰ ὑποψίας ὁρᾷ. τί δὲ λέγω τοὺς οἰκέτας; τοῦ συνειδότος οὐ φέρει τὸ δικαστήριον. οὐχ οἱ ἔξω μόνον, ἀλλὰ καὶ οἱ ἔνδον αὐτὸν κόπτουσι λογισμοί, οὐκ ἀφιέντες αὐτὸν ἠρεμεῖν. τί οὖν φησι; πρὸς ἐπαίνους προσέχοντα δεῖ ζῆν; οὐκ εἶπε, πρὸς ἔπαινον ὅρα, ἀλλὰ καὶ τὰ ἐπαινετὰ ποίει, μὴ πρὸς ἔπαινον μόνον. ὅσα ἀληθῆ· ψευδῆ γὰρ ταῦτα. ὅσα σεμνά· τὸ σεμνόν, τῆς ἔξω ἐστὶ δυνάμεως· τὸ δὲ ἁγνόν, τῆς ψυχῆς. μὴ δίδοτε, φησι, πρόσκομμα, μηδὲ λαβήν. ἐπειδὴ εἶπεν, ὅσα εὔφημα, ἵνα μὴ νομίσῃς, ὅτι τὰ παρὰ ἀνθρώποις ἁπλῶς φησιν, ἐπήγαγεν, εἴ τις ἀρετή, καὶ εἴ τις ἔπαινος, ταῦτα λογίζεσθε, ταῦτα πράττετε. διαπαντὸς βούλεται ἡμᾶς ἐν τούτοις εἶναι, ταῦτα μεριμνᾶν, ταῦτα ἐννοεῖν. εἰ γὰρ μέλλοιμεν πρὸς ἑαυτοὺς εἰρηνεύειν, καὶ ὁ Θεὸς ἔσται μεθ' ἡμῶν· ἂν δὲ πόλεμον ἐγείρωμεν, ὁ τῆς εἰρήνης Θεὸς οὐκ ἔσται μεθ' ἡμῶν. οὐδὲν γὰρ οὕτω πολέμιον τῇ ψυχῇ, ὡς κακία· καὶ οὐδὲν αὐτὴν ἐν ἀσφαλείᾳ καθίστησι πάλιν, ὡς ἡ εἰρήνη, καὶ ἡ ἀρετή· ὥστε τὰ παρ' ἡμῶν ἄρχεσθαι δεῖ, καὶ τότε τὸν Θεὸν ἐπισπασόμεθα.

χ. αὐτοῦ δηλῶσαι



Digitized by Google

εὔχεσθαι, τὸ ἐν παντὶ εὐχαριστεῖν. ὥστε τὰς εὐχὰς οὐ μόνον αἴτησιν εἶναι βούλεται, ἀλλὰ καὶ εὐχαριστίαν ὑπὲρ ὧν ἔχομεν. πῶς γὰρ αἰτήσεις τὰ μέλλοντα, ὁ τῶν προτέρων χάριν οὐκ εἰδώς; ἀλλ' ἐν παντί, φησι, τουτέστι, πράγματι, τῇ προσευχῇ καὶ τῇ δεήσει. ὥστε ὑπὲρ ἁπάντων εὐχαριστεῖν δεῖ, καὶ τῶν δοκούντων εἶναι λυπηρῶν. τοῦτο γὰρ ὄντως εὐχαρίστου. ἐκεῖνο μὲν γὰρ ἡ φύσις τῶν πραγμάτων ἀπαιτεῖ· τοῦτο δὲ ἀπὸ ψυχῆς γίνεται εὐγνώμονος, καὶ σφόδρα διακειμένης πρὸς τὸν Θεόν. ταύτας ἐπιγινώσκει τὰς εὐχὰς ὁ Θεός, τὰς δὲ ἄλλας οὐκ οἶδεν. οὐκοῦν τοιαῦτα εὔχεσθε, ὥστε ἐπιγινώσκεσθαι. πάντα γὰρ ὑπὲρ τοῦ συμφέροντος οἰκονομεῖ, κἂν ἡμεῖς μὴ εἰδῶμεν. καὶ τοῦτο τοῦ σφόδρα συμφέρειν ἡμῖν ἐστι τεκμήριον, τὸ ἡμᾶς μὴ εἰδέναι. καὶ ἡ εἰρήνη τοῦ Θεοῦ ἡ ὑπερέχουσα πάντα νοῦν φρουρήσει τὰς καρδίας ὑμῶν καὶ τὰ νοήματα ὑμῶν ἐν Χριστῷ Ἰησοῦ. τί ἐστι τοῦτο; ἡ εἰρήνη τοῦ Θεοῦ, φησιν, ἣν πρὸς τοὺς ἀνθρώπους εἰργάσατο, πάντα νοῦν ὑπερέχει. τίς γὰρ ἂν προσεδόκησε, τίς δ' ἂν ἤλπισε τοσαῦτα ἔσεσθαι ἀγαθά; ἅπασαν ἀνθρωπίνην ὑπερβαίνει διάνοιαν, οὐχὶ λόγον μόνον· ὑπὲρ τῶν ἐχθρῶν, ὑπὲρ τῶν μισούντων αὐτόν, ὑπὲρ τῶν ἀποστρεφομένων, ὑπὲρ τούτων τὸν υἱὸν ἐκδοῦναι τὸν μονογενῆ οὐ παρῃτήσατο, ὥστε εἰρήνην ποιῆσαι πρὸς ἡμᾶς. αὕτη δὴ οὖν ἡ εἰρήνη, τουτέστιν, ἡ καταλλαγή, ἡ ἀγάπη τοῦ Θεοῦ φρουρήσει τὰς καρδίας ὑμῶν καὶ τὰ νοήματα ὑμῶν. τοῦτο διδασκάλου, μὴ μόνον παραινεῖν, ἀλλὰ καὶ εὔχεσθαι, καὶ διὰ δεήσεως βοηθεῖν, ὥστε μή τι ὑπὸ πειρασμοῦ καταβαπτίζεσθαι, μήτε ὑπὸ ἀπάτης περιφέρεσθαι· ὡς ἂν εἰ ἔλεγεν, ὁ ῥυσάμενος ὑμᾶς οὕτως, ὡς οὐδεὶς νοῦς καταλαβεῖν δύναται, αὐτὸς ὑμᾶς διαφυλάξει, καὶ ἀσφαλίσαιτο, ὥστε μηδὲν παθεῖν. ἢ οὖν τοῦτο δηλοῖ, ἢ ὅτι ἡ εἰρήνη, ἥν φησιν ὁ Χριστός, Εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, αὕτη φρουρήσει ὑμᾶς. ἡ γὰρ εἰρήνη ὑπερέχει πάντα νοῦν ἀνθρώπινον. εἰ δὲ λέγεις, πῶς; ἄκουε. ὅταν λέγῃ πρὸς τοὺς ἐχθροὺς εἰρηνεύειν, πρὸς τοὺς ἀδικοῦντας, πρὸς τοὺς ἐκπεπολεμωμένους καὶ ἀπηχθῶς πρὸς ἡμᾶς ἔχοντας, πῶς οὐχ ὑπὲρ νοῦν ἐστιν ἀνθρώπινον τοῦτο; μᾶλλον δὲ τὸ περιττὸν ἴδωμεν· ἡ εἰρήνη ὑπερέχει πάντα νοῦν. εἰ ἡ εἰρήνη, πολλῷ μᾶλλον αὐτὸς ὁ Θεός, ὁ τὴν εἰρήνην δούς, πάντα νοῦν, οὐ τὸν ἡμέτερον μόνον, ἀλλὰ καὶ τὸν τῶν ἀγγέλων, καὶ τῶν ἄνω δυνάμεων. τί δέ ἐστιν, ἐν Χριστῷ Ἰησοῦ; ἐν αὐτῷ φυλάξει, φησίν, ὥστε μένειν, καὶ μὴ ἐκπεσεῖν αὐτοῦ τῆς πίστεως.

8 Τὸ λοιπόν, ἀδελφοί, ὅσα ἐστὶ σεμνά, ὅσα ἀληθῆ, ὅσα δίκαια.

Τί ἐστι, τὸ λοιπόν; ἀντὶ τοῦ, πάντα ἡμῖν εἴρηται. ἐπειγομένου τὸ ῥῆμά ἐστι, καὶ οὐδὲν κοινὸν ἔχοντος πρὸς τὰ παρόντα. Λοιπόν, ἀδελφοί, ὅσα ἐστὶν ἀληθῆ, ὅσα σεμνά, ὅσα δίκαια, ὅσα ἁγνά, ὅσα προσφιλῆ, ὅσα εὔφημα, εἴ τις ἀρετὴ καὶ εἴ τις ἔπαινος, ταῦτα λογίζεσθε·

9 Ἃ καὶ ἐμάθετε, καὶ παρελάβετε, καὶ ἠκούσατε, καὶ εἴδετε ἐν ἐμοί. Τί ἐστιν, ὅσα προσφιλῆ; προσφιλῆ τοῖς πιστοῖς, προσφιλῆ τῷ Θεῷ. ὅσα ἐστὶν ἀληθῆ. ταῦτα γὰρ ὄντως ἀληθῆ, ἡ ἀρετή, ψεῦδος δὲ ἡ κακία. καὶ γὰρ ἡ ἡδονὴ αὐτῆς ψεῦδος, καὶ ἡ δόξα αὐτῆς ψεῦδος, καὶ πάντα τὰ τοῦ κόσμου ψεῦδος. ὅσα ἁγνά, πρὸς τό, τὰ ἐπίγεια φρονοῦντες. ὅσα σεμνά, πρὸς τό, ὧν ὁ θεὸς ἡ κοιλία. ὅσα δίκαια, ὅσα εὔφημα, ταῦτά ἐστι, φησιν. εἴ τις ἀρετή, καὶ εἴ τις ἔπαινος. ἐνταῦθα βούλεται αὐτοὺς καὶ τῶν πρὸς ἀνθρώπους προνοεῖν. ταῦτα λογίζεσθε, φησιν. ὁρᾷς ὅτι πᾶσαν ἔννοιαν βούλεται ἐξορίσαι πονηρὰν ἐκ τῶν ἡμετέρων ψυχῶν; ἀπὸ γὰρ ἐννοιῶν αἱ πράξεις αἱ πονηραὶ γίνονται. ἃ καὶ ἐμάθετε καὶ παρελάβετε. τοῦτο διδασκαλίας ἀρίστης, τὸ ἐν πάσαις ταῖς παραινέσεσιν ἑαυτὸν παρέχειν τύπον, καθὼς καὶ ἀλλαχοῦ φησι, Καθὼς ἔχετε τύπον ἡμᾶς. καὶ πάλιν ἐνταῦθα, ἃ καὶ ἐμάθετε, καὶ παρελάβετε, τουτέστιν, ἐδιδάχθητε, καὶ ἠκούσατε, καὶ εἴδετε ἐν ἐμοί, καὶ ῥημάτων ἕνεκεν, καὶ πράξεων, καὶ ἀναστροφῆς. ὁρᾷς ὅτι μετὰ παντὸς πράγματος ταῦτα διαπράττεται; ἐπεὶ γὰρ οὐκ ἐνῆν ἀκριβολογεῖσθαι περὶ πάντων, καὶ εἰσόδων, καὶ ἐξόδων, καὶ

ῥήματος,

Marginalia: χ. αἳ — χ. πονηρῶν — χ. εὐχαριστίας — χ. δ — Ἰωάν. ιδ. κζ. — χ. διδασκάλων, ἐν — Φιλιπ. γ. ιζ.

Digitized by Google

Λογ. ιδ. 4 ΧΑΙΡΕΤΕ ΕΝ ΚΥΡΙΩ ΠΑΝΤΟΤΕ, ΠΑΛΙΝ
ἐρῶ, χαίρετε. 5 Τὸ ἐπιεικὲς ὑμῶν γνωσθήτω πᾶσιν ἀνθρώποις. ὁ
Κύριος ἐγγύς. 6 Μηδὲν μεριμνᾶτε, ἀλλ' ἐν παντὶ τῇ προσευχῇ καὶ
τῇ δεήσει μετὰ εὐχαριστίας τὰ αἰτήματα ὑμῶν γνωριζέσθω πρὸς τὸν Θεόν,
7 Καὶ ἡ εἰρήνη τοῦ Θεοῦ ἡ ὑπερέχουσα πάντα νοῦν φρουρήσει τὰς καρδίας
ὑμῶν καὶ τὰ νοήματα ὑμῶν ἐν Χριστῷ Ἰησοῦ.

Ματθ. ε. δ. Λουκ. ϛ. κα. Μακάριοι οἱ πενθοῦντες, καὶ οὐαὶ τοῖς γελῶσι, φησὶν ὁ Χριστός. πῶς οὖν ὁ Παῦλός φησι, χαίρετε ἐν Κυρίῳ πάντοτε; οὐκ ἐναντιούμενος τῷ Χριστῷ μὴ γένοιτο. οὐαὶ γὰρ τοῖς γελῶσιν, εἶπεν ὁ Χριστός, τὸν γέλωτα τοῦ κόσμου τούτου αἰνιττόμενος, τὸν ἐπὶ τοῖς παροῦσι γινόμενον πράγμασι· καὶ τοὺς πενθοῦντας ἐμακάρισεν, οὐ τοὺς ἁπλῶς πενθοῦντας ἐπὶ ταῖς τῶν οἰκείων ἀποβολαῖς, ἀλλὰ τοὺς κατανενυγμένους, καὶ τὰ οἰκεῖα πενθοῦντας κακά, τοὺς τὰ ἑαυτῶν ἁμαρτήματα ἀναλογιζομένους, ἢ καὶ τὰ ἀλλότρια. οὐκ ἔστι δὲ αὕτη ἡ χαρὰ ἐναντία τῷ πένθει ἐκείνῳ· ἀλλὰ γὰρ ἀπ' ἐκείνου τοῦ πένθους καὶ αὕτη τίκτεται. ὁ γὰρ πενθῶν τὰ ἑαυτοῦ κακά, καὶ ἐξομολογούμενος, χαίρει. ἄλλως δέ, ἔνεστι πενθεῖν μὲν ὑπὲρ τῶν οἰκείων ἁμαρτημάτων, χαίρειν δὲ ἐπὶ τῷ Χριστῷ. ἐπειδὴ οὖν

Φιλιπ. α. κθ. συνεθλίβοντο δι' ὧν ἔπασχον (Ἐχαρίσθη γὰρ ὑμῖν, φησίν, οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν) διὰ τοῦτο λέγει, ἐν Κυρίῳ χαίρετε. ταῦτα γὰρ οὐδέν ἐστιν, ἢ ὅτι τοιοῦτον ἐπιδείκνυσθε βίον, ὥστε χαίρειν. ὅταν τοίνυν τὰ κατὰ Θεὸν ὑμῖν μὴ ᾖ ἐμποδιζόμενα, χαίρετε. ἢ τοίνυν τοῦτό φησιν, ἢ τό, ἐν, ἀντὶ τοῦ, σύν, ἐστίν, ὥσπερ ἔλεγε, χαίρετε σὺν Κυρίῳ πάντοτε, πάλιν ἐρῶ, χαίρετε. τοῦτο θαρσοῦντός ἐστι καὶ δυνηθέντος, ὅτι ὁ ἐν Θεῷ ὤν, ἀεὶ χαίρει. κἂν τε θλίβηται, κἂν ὁτιοῦν πάσχῃ, ἀεὶ χαίρει ὁ τοιοῦτος. ἄκουσον γὰρ περὶ τῶν ἀποστόλων τοῦ Λουκᾶ λέγοντος, Ὅτι ὑπέστρεφον ἀπὸ προσώπου τοῦ συνεδρίου χαίροντες, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ μαστιχθῆναι. εἰ μάστιξ, καὶ δεσμά, ἃ πάντων εἶναι δοκεῖ λυπηρότερα, χαρὰν τίκτει, τί τῶν ἄλλων δυνήσεται ἐμποιῆσαι λύπην ἡμῖν; πάλιν ἐρῶ, χαίρετε. καλῶς τὸν λόγον ἐδιπλασίασεν. ἐπειδὴ γὰρ τῶν πραγμάτων ἡ φύσις λύπην ἔτικτε, διὰ τοῦ διπλασιασμοῦ δείκνυσιν, ὅτι πάντως δεῖ χαίρειν. τὸ

Φιλιπ. γ. ιθ. ἐπιεικὲς ὑμῶν γνωσθήτω πᾶσιν ἀνθρώποις. εἶπεν ἀνωτέρω, Ὧν ὁ Θεὸς ἡ κοιλία, καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν, καὶ ὅτι τὰ ἐπίγεια φρονοῦσιν. ἐπεὶ οὖν εἰκὸς αὐτοὺς πρὸς τοὺς πονηροὺς ἀπεχθῶς διακεῖσθαι, παραινεῖ τοίνυν αὐτοῖς μηδὲν ἔχειν πρὸς ἐκείνους κοινόν, ἀλλὰ μετὰ πολλῆς αὐτοῖς κεχρῆσθαι ἐπιεικείας, οὐ μὴν τοῖς ἀδελφοῖς μόνον, ἀλλὰ καὶ τοῖς ἐχθροῖς καὶ τοῖς ἐναντίοις. ὁ Κύριος ἐγγύς, μηδὲν μεριμνᾶτε. τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, ἀλύετε; ὅτι ἀνθίστανται; ὅτι ὁρᾶτε τρυφῶντας αὐτούς; μηδὲν μεριμνᾶτε. ἤδη ἡ κρίσις ἐφέστηκεν· οὐκ εἰς μακρὰν δώσουσι λόγον τῶν πεπραγμένων αὐτοῖς. ἀλλ' ὑμεῖς ἐν θλίψει, ἐκεῖνοι δὲ ἐν τρυφαῖς; ἀλλ' ἤδη ταῦτα λήψεται τέλος. ἀλλ' ἐπιβουλεύουσι, καὶ ἀπειλοῦσιν; ἀλλ' οὐκ εἰς τέλος αὐτοῖς ταῦτα προχωρήσει. ἤδη ἐφέστηκεν ἡ κρίσις, ὅτε πάντων λόγος ἔσται, μηδὲν μεριμνᾶτε· ἤδη τὰ τῆς ἀνταποδόσεως ἐφέστηκε. κἂν ἐπιεικῶς προσενεχθῆτε τοῖς τὰ δεινὰ ὑμᾶς διατιθεῖσι, κἂν πενία, κἂν θάνατος, κἂν ὁτιοῦν ἄλλο δεινὸν ᾖ, πάντα οἰχήσεται. μηδὲν μεριμνᾶτε· ἀλλ' ἐν παντὶ τῇ προσευχῇ καὶ τῇ δεήσει μετὰ εὐχαριστίας τὰ αἰτήματα ὑμῶν γνωριζέσθω

Ματθ. κη. κ. πρὸς τὸν Θεόν. μία μὲν οὖν ἐκείνη παραμυθία, τό, ὁ Κύριος ἐγγύς, καὶ ἐκεῖνο, τό, Ἔσομαι μεθ' ὑμῶν πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος. ἰδοὺ καὶ ἄλλη παραμυθία, καὶ λύπης καὶ ἀθυμίας καὶ παντὸς τῶν ἀηδῶν λυτήριον φάρμακον. ποῖον δὴ τοῦτο; τὸ

εὔχεσθαι,

εὔχεσθαι, ὃ ἐν παντὶ εὐχαριστεῖν. ὥστε τὰς εὐχὰς, οὐ μόνον αἰτήσεις εἶναι βούλεται, ἀλλὰ καὶ [χ. αὖ] εὐχαριστίαν ὑπὲρ ὧν ἔχομεν. πῶς γὰρ αἰτήσει τις τὰ μέλλοντα, ὁ τῶν προτέρων χάριν οὐκ εἰδώς; ἀλλ' ἐν παντὶ, φησὶ, τουτέστι, πράγματι, τῇ προσευχῇ καὶ τῇ δεήσει. ὥστε [χ. πονηρῶν] ὑπὲρ ἁπάντων εὐχαριστεῖν δεῖ, καὶ τῶν δοκούντων εἶναι λυπηρῶν. τοῦτο γὰρ ὄντως εὐχαρίστου. [χ. εὐχαριστίαν] ἐκεῖνο μὲν γὰρ ἡ φύσις τῶν πραγμάτων ἀπαιτεῖ· τοῦτο δὲ ἀπὸ ψυχῆς γίνεται εὐγνώμονος, καὶ σφόδρα διακειμένης πρὸς τὸν Θεόν. ταύτας ἐπιγινώσκει τὰς εὐχὰς ὁ Θεός, τὰς δὲ ἄλλας οὐκ οἶδεν. οὐκοῦν τοιαῦτα εὔχεσθε, ὥστε ἐπιγινώσκεσθαι. πάντα γὰρ ὑπὲρ τοῦ συμφέροντος οἰκονομεῖ, κἂν ἡμεῖς μὴ εἰδῶμεν. καὶ τοῦτο τοῦ σφόδρα συμφέρειν ἡμῖν ἐστι τεκμήριον, τὸ ἡμᾶς μὴ εἰδέναι. καὶ ἡ εἰρήνη τοῦ Θεοῦ ἡ ὑπερέχουσα πάντα νοῦν φρουρήσει τὰς καρδίας ὑμῶν καὶ τὰ νοήματα ὑμῶν ἐν Χριστῷ Ἰησοῦ. τί ἐστι τοῦτο; ἡ εἰρήνη τοῦ Θεοῦ, [χ. ἃ] φησὶν, ἣν πρὸς τοὺς ἀνθρώπους εἰργάσατο, πάντα νοῦν ὑπερέχει. τίς γὰρ ἂν προσεδόκησε, τίς δὲ ἂν ἤλπισε τοσαῦτα ἔσεσθαι ἀγαθά; ἅπασαν ἀνθρωπίνην ὑπερβαίνει διάνοιαν, οὐχὶ λόγον μόνον· ὑπὲρ τῶν ἐχθρῶν, ὑπὲρ τῶν μισούντων αὐτὸν, ὑπὲρ τῶν ἀποστρεφομένων, ὑπὲρ τούτων τὸν υἱὸν ἐκδοῦναι τὸν μονογενῆ οὐ παρῃτήσατο, ὥστε εἰρήνην ποιήσασθαι πρὸς ἡμᾶς. αὕτη δὴ οὖν ἡ εἰρήνη, τουτέστιν, ἡ καταλλαγή, ἡ ἀγάπη τοῦ Θεοῦ φρουρήσει τὰς καρδίας ὑμῶν καὶ τὰ νοήματα ὑμῶν. τοῦτο διδασκάλου, μὴ μόνον παραινεῖν, ἀλλὰ καὶ εὔχεσθαι, καὶ διὰ δεήσεως βοηθεῖν, ὥστε μήτε ὑπὸ πειρασμοῦ καταβαπτίζεσθαι, μήτε ὑπὸ ἀπάτης περιφέρεσθαι· ὡς ἂν εἰ ἔλεγεν, ὁ ῥυσάμενος ὑμᾶς οὕτως, ὡς οὐδεὶς νοῦς καταλαβεῖν δύναται, αὐτὸς ὑμᾶς διαφυλάξει, καὶ ἀσφαλίσαιτο, ὥστε μηδὲν παθεῖν. ἢ οὖν τοῦτο δηλοῖ, ἢ ὅτι ἡ εἰρήνη, ἥν φησιν ὁ Χριστὸς, εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, [Ιωαν. ιδ΄ κζ΄.] αὕτη φρουρήσει ὑμᾶς. ἡ γὰρ εἰρήνη ὑπερέχει πάντα νοῦν ἀνθρώπινον. εἰ δὲ λέγεις, πῶς; ἄκουε. ὅταν λέγῃ πρὸς τοὺς ἐχθροὺς εἰρηνεύειν, πρὸς τοὺς ἀδικοῦντας, πρὸς τοὺς ἐκπεπολεμωμένους καὶ ἀπεχθῶς πρὸς ἡμᾶς ἔχοντας. πῶς οὐχ ὑπὲρ νοῦν ἐστιν ἀνθρώπινον τοῦτο; μᾶλλον δὲ ὃ προειρήκαμεν ἡ εἰρήνη ὑπερέχει πάντα νοῦν. εἰ δὲ εἰρήνη, πολλῷ μᾶλλον αὐτὸς ὁ Θεὸς, ὁ τὴν εἰρήνην δοὺς, πάντα νοῦν, οὐ τὸν ἡμέτερον μόνον, ἀλλὰ καὶ τὸν τῶν ἀγγέλων, καὶ τῶν ἄνω δυνάμεων. τί δέ ἐστιν, ἐν Χριστῷ Ἰησοῦ; ἐν αὐτῷ φυλάξει, φησὶν, ὥστε μένειν, καὶ μὴ ἐκπεσεῖν αὐτοῦ τῆς πίστεως.

8 Τὸ λοιπὸν, ἀδελφοὶ, ὅσα ἐστὶ σεμνὰ, ὅσα ἀληθῆ, ὅσα δίκαια.

Τί ἐστι, τὸ λοιπόν; ἀντὶ τοῦ, πάντα ἡμῖν εἴρηται. ἐπειγομένου τὸ ῥῆμά ἐστι, καὶ οὐδὲν κοινὸν ἔχοντος πρὸς τὰ παρόντα. Λοιπὸν, ἀδελφοὶ, ὅσα ἐστὶν ἀληθῆ, ὅσα σεμνὰ, ὅσα δίκαια, ὅσα ἁγνὰ, ὅσα προσφιλῆ, ὅσα εὔφημα, εἴ τις ἀρετὴ καὶ εἴ τις ἔπαινος, ταῦτα λογίζεσθε·

9 Ἃ καὶ ἐμάθετε, καὶ παρελάβετε, καὶ ἠκούσατε, καὶ εἴδετε ἐν ἐμοί. Τί ἐστιν, ὅσα προσφιλῆ; προσφιλῆ τοῖς πιστοῖς, προσφιλῆ τῷ Θεῷ. ὅσα ἐστὶν ἀληθῆ. ταῦτα γὰρ ὄντως ἀληθῆ, ἡ ἀρετή, ψεῦδος δὲ ἡ κακία. καὶ γὰρ ἡ ἡδονὴ αὐτῆς ψεῦδος, καὶ ἡ δόξα αὐτῆς ψεῦδος, καὶ πάντα τὰ τοῦ κόσμου ψεῦδος. ὅσα ἁγνὰ, πρὸς τὸ, τὰ ἐπίγεια φρονοῦντες. ὅσα σεμνὰ, πρὸς τὸ, ὧν ὁ Θεὸς ἡ κοιλία. ὅσα δίκαια, ὅσα εὔφημα, ταῦτά ἐστι, φησίν. εἴ τις ἀρετὴ, καὶ εἴ τις ἔπαινος. ἐνταῦθα βούλεται αὐτοὺς καὶ τῶν πρὸς ἀνθρώπους προνοεῖν. ταῦτα λογίζεσθε, φησί. ὁρᾷς ὅτι πᾶσαν ἔννοιαν βούλεται ἐξορίσαι πονηρὰν ἐκ τῶν ἡμετέρων ψυχῶν; ἀπὸ γὰρ ἐννοιῶν αἱ πράξεις αἱ πονηραὶ γίνονται. ἃ καὶ ἐμάθετε [χ. διδασκάλου, ἐν] καὶ παρελάβετε. τοῦτο διδασκαλίας ἀρίστης, τὸ ἐν πάσαις ταῖς παραινέσεσιν ἑαυτὸν παρέχειν τύπον, καθὼς καὶ ἀλλαχοῦ φησι, Καθὼς ἔχετε τύπον ἡμᾶς. [Φιλιπ. γ΄ ιζ΄.] καὶ πάλιν ἐνταῦθα, ἃ καὶ ἐμάθετε, καὶ παρελάβετε, τουτέστιν, ἐδιδάχθητε, καὶ ἠκούσατε, καὶ εἴδετε ἐν ἐμοὶ, καὶ ῥημάτων ἕνεκεν, καὶ πράξεων, καὶ ἀναστροφῆς. ὁρᾷς ὅτι μέχρι παντὸς πράγματος ταῦτα διατείνεται; ἐπεὶ γὰρ οὐκ ἐνῆν ἀκριβολογεῖσθαι περὶ πάντων, καὶ εἰσόδων, καὶ ἐξόδων, καὶ ῥήματος,

Λογ. ιδ. 4 ΧΑΙΡΕΤΕ ΕΝ ΚΥΡΙΩ ΠΑΝΤΟΤΕ, ΠΑΛΙΝ
ἐρῶ, χαίρετε. 5 Τὸ ἐπιεικὲς ὑμῶν γνωσθήτω πᾶσιν ἀνθρώποις. ὁ
Κύριος ἐγγύς. 6 Μηδὲν μεριμνᾶτε, ἀλλ' ἐν παντὶ τῇ προσευχῇ καὶ
τῇ δεήσει μετὰ εὐχαριστίας τὰ αἰτήματα ὑμῶν γνωριζέσθω πρὸς τὸν Θεόν,
7 Καὶ ἡ εἰρήνη τοῦ Θεοῦ ἡ ὑπερέχουσα πάντα νοῦν φρουρήσει τὰς καρδίας
ὑμῶν καὶ τὰ νοήματα ὑμῶν ἐν Χριστῷ Ἰησοῦ.

Ματθ. ε. δ. Λουκ. ς. κε. ΜΑκάριοι οἱ πενθοῦντες, καὶ οὐαὶ τοῖς γελῶσι, φησὶν ὁ Χριστός. πῶς οὖν ὁ Παῦλός φησι, χαίρετε ἐν Κυρίῳ πάντοτε; οὐκ ἐναντιούμενος τῷ Χριστῷ μὴ γένοιτο. οὐαὶ γὰρ τοῖς γελῶσιν, εἶπεν ὁ Χριστός, τὸν γέλωτα τοῦ κοσμίου τούτου αἰνιττόμενος, τὸν ἐπὶ τοῖς παροῦσι γινόμενον πράγμασι· καὶ τοὺς πενθοῦντας ἐμακάρισεν, οὐ τοὺς ἁπλῶς πενθοῦντας ἐπὶ ταῖς τῶν οἰκείων ἀποβολαῖς, ἀλλὰ τοὺς κατανενυγμένους, καὶ τὰ οἰκεῖα πενθοῦντας κακά, τοὺς τὰ ἑαυτῶν ἁμαρτήματα ψηλαφίζομένους, ἢ καὶ τὰ ἀλλότρια. οὐκ ἔστι δὲ αὕτη ἡ χαρὰ ἐναντία τῷ πένθει ἐκείνῳ· ἀλλὰ γὰρ ἀπ' ἐκείνου τοῦ πένθους καὶ αὕτη τίκτεται. ὁ γὰρ πενθῶν τὰ ἑαυτοῦ κακά, καὶ ἐξομολογούμενος, χαίρει. ἄλλως δὲ, ἔνεστι πενθεῖν μὲν ὑπὲρ τῶν οἰκείων ἁμαρτημάτων, χαίρειν δὲ ἐπὶ τῷ Χριστῷ. ἐπειδὴ οὖν
Φιλιπ. α. κθ. συνεθλίβοντο δι' ὧν ἔπασχον (Ἐχαρίσθη γὰρ ὑμῖν, φησίν, οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν) διὰ τοῦτο λέγει, ἐν Κυρίῳ χαίρετε. ταῦτα γάρ ἐστιν ἐν ἐπιτιθέντων, ἢ ὅτι τοιοῦτον ἐπιδείκνυσθε βίον, ὥστε χαίρειν. ὅταν τοίνυν τὰ κατὰ Θεὸν ὑμῖν μὴ ᾖ ἐμπεποδισμένα, χαίρετε. ἢ τοίνυν τοῦτό φησιν, ἢ τὸ, ἐν, ἀντὶ τοῦ, σύν, ἐστιν, ὥσπερ ἔλεγε, χαίρετε σὺν Κυρίῳ πάντοτε, πάλιν ἐρῶ, χαίρετε. τοῦτο θαρσοῦντός ἐστι καὶ δεικνύντος, ὅτι ὁ ἐν Θεῷ ὢν, ἀεὶ χαίρει. κἂν τε θλίβηται, κἂν ὁτιοῦν πάσχῃ, ἀεὶ χαίρει ὁ τοιοῦτος. ἄκουσον γὰρ περὶ τῶν ἀποστόλων τοῦ Λουκᾶ λέγοντος, Ὅτι ὑπέστρεφον ἀπὸ προσώπου τοῦ συνεδρίου χαίροντες, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ μαστιγωθῆναι. εἰ μάστιξ, καὶ δεσμά, ἃ πάντων εἶναι δοκεῖ λυπηρότερα, χαρὰν τίκτει, τί τῶν ἄλλων δυνήσεται ἐμποιῆσαι λύπην ἡμῖν; πάλιν ἐρῶ, χαίρετε. καλῶς τὸν λόγον ἐδιπλασίασεν. ἐπειδὴ γὰρ τῶν πραγμάτων ἡ φύσις λύπην ἔτικτε, διὰ τοῦ διπλασιασμοῦ δείκνυσιν, ὅτι πάντως δεῖ χαίρειν. τὸ
Φιλιπ. γ. ιθ. ἐπιεικὲς ὑμῶν γνωσθήτω πᾶσιν ἀνθρώποις. εἶπεν ἀνωτέρω, Ὧν ὁ Θεὸς ἡ κοιλία, καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν, καὶ ὅτι τὰ ἐπίγεια φρονοῦσιν. ἐπεὶ οὖν εἰκὸς αὐτοὺς πρὸς τοὺς πονηροὺς ἀπεχθῶς διακεῖσθαι, παραινεῖ τοίνυν αὐτοῖς μηδὲν ἔχειν πρὸς ἐκείνους κοινόν, ἀλλὰ μετὰ πολλῆς αὐτοῖς κεχρῆσθαι ἐπιεικείας, οὐ μὴν τοῖς ἀδελφοῖς μόνον, ἀλλὰ καὶ τοῖς ἐχθροῖς καὶ τοῖς ἐναντίοις. ὁ Κύριος ἐγγύς, μηδὲν μεριμνᾶτε. τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, ἀλγεῖτε; ὅτι ἀνθίστανται; ὅτι ὁρᾶτε τρυφῶντας αὐτούς; μηδὲν μεριμνᾶτε. ἤδη ἡ κρίσις ἐφέστηκεν· οὐκ εἰς μακρὰν δώσουσι λόγον τῶν πεπραγμένων αὐτοῖς. ἀλλ' ὑμεῖς ἐν θλίψει, ἐκεῖνοι δὲ ἐν τρυφαῖς; ἀλλ' ἤδη ταῦτα λήψεται τέλος. ἀλλ' ἐπιβουλεύουσι, καὶ ἀπειλοῦσιν; ἀλλ' οὐκ εἰς τέλος αὐτοῖς ταῦτα προχωρήσει. ἤδη ἐφέστηκεν ἡ κρίσις, ὅτε πάντα ἀνάγκη στῆναι, μηδὲν μεριμνᾶτε· ἤδη τὰ τῆς ἀνταποδόσεως ἐφέστηκε. καὶ ἐπιεικῶς προσενεχθῆτε τοῖς τὰ δεινὰ ὑμᾶς διατιθεῖσι, καὶ πενία, καὶ θάνατος, καὶ ὁτιοῦν ἄλλο δεινὸν ᾖ, πάντα οἰχήσεται. μηδὲν μεριμνᾶτε· ἀλλ' ἐν παντὶ τῇ προσευχῇ καὶ τῇ δεήσει μετὰ εὐχαριστίας τὰ αἰτήματα ὑμῶν γνωριζέσθω
Ματθ. κη. κ. πρὸς τὸν Θεόν. μία μὲν οὖν ἐκείνη παραμυθία, τὸ, ὁ Κύριος ἐγγύς, καὶ ἐκεῖνο, τὸ, Ἔσομαι μεθ' ὑμῶν πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος. ἰδοὺ καὶ ἄλλη παραμυθία, καὶ λύπης καὶ περιστάσεως καὶ πάντων τῶν ἀηδῶν λυτήριον φάρμακον. ποῖον δὴ τοῦτο; τὸ

εὔχεσθαι,

λέγοι πᾶσαι τὴν ὁδὸν ἐκείνην δι' αὐτὸν πεποιῆσθαι, καὶ τοὺς μὲν εἰς τὰ βασίλεια ἄγοι τὰ ἑαυτοῦ, τοὺς δὲ καταλιμπάνοι, πόσης κολάσεως τοῦτο οὐκ ἄξιον, εἰ καὶ μὴ κολάζονται; εἰ δὲ ἐπ' ἀνθρώπου οὕτω πικρὸν τὸ τῆς δόξης ταύτης ἀποπεσεῖν, [γ. ὀκτ.] πολλῷ μᾶλλον ἐπὶ Θεοῦ, ὅταν αἱ ἄνω δυνάμεις πᾶσαι παρῶσι μετὰ τοῦ βασιλέως, ὅταν οἱ δαίμονες δεδεμένοι καὶ κάτω νεύοντες, καὶ ὁ διάβολος αὐτὸς δέσμιος ἄγηται, καὶ πᾶσα ἰσχὺς ἡ ἀντικειμένη, [γ. ἡλικία] ὅταν αἱ δυνάμεις τῶν οὐρανῶν, ὅταν αὐτὸς ἔρχηται ἐπὶ τῶν νεφελῶν. πιστεύσατέ μοι, ὑπὸ τῆς ὀδύνης τῆς κατεχούσης μου τὴν ψυχὴν τῷ διηγήματι τούτῳ, οὐδὲ ἐξαρκοῦσαν τὸν λόγον δύναμαι. ἐννοήσωμεν πόσης ἀποστερούμεθα δόξης, ἐξὸν μὴ ἀποστερηθῆναι. τὸ γὰρ δεινὸν τοῦτό ἐστιν, ὅτι κύριοι ὄντες τοῦ μὴ ταῦτα παθεῖν, πάσχομεν. ὅταν γὰρ τοὺς μὲν δέχηται καὶ ἀπάγῃ πρὸς τὸν πατέρα εἰς τοὺς οὐρανούς, τοὺς δὲ ἀφίησι, καὶ λαβόντες ἄγγελοί τινες ἕλκωσιν ἄκοντας καὶ δεδακρυμένους καὶ κάτω νεύοντας ἐπὶ τὸ τῆς γεέννης πῦρ, πρὸς τοῖς παραδειγματισθέντας ἐπὶ τῆς οἰκουμένης ἁπάσης, πόσην οἴει τὴν ὀδύνην εἶναι; σπουδάσωμεν οὖν ἕως ἐστὶ καιρός, καὶ πολλὴν τῆς ἑαυτῶν σωτηρίας τὴν φροντίδα ποιώμεθα. πόσα τοιαῦτα ἔχομεν εἰπεῖν οἷα ὁ πλούσιος; εἴ τις ἡμᾶς νῦν συνεχώρει, ἐβουλευσάμεθα ἂν τὰ τῶν συμφερόντων· ἀλλ' οὐδεὶς ἀφίησι. καὶ ὅτι ἐροῦμεν, οὐχὶ ἀπ' ἐκείνου μόνου δῆλον, ἀλλὰ καὶ ἀπὸ ἄλλων πολλῶν. καὶ ἵνα μάθῃς, πόσοι ἐν πυρετῷ ἐγένοντο, καὶ εἶπον, ἐὰν ἀνακτησώμεθα ἑαυτούς, οὐκέτι τοῖς αὐτοῖς περιπεσούμεθα; πολλὰ τοιαῦτα ἐροῦμεν τότε, ἀλλὰ ἀκουσόμεθα ἅπερ ὁ πλούσιος, ὅτι χάσμα ἐστίν, [Λουκ. ιϛ. κϛ.] ὅτι ἀπελάβομεν τὰ ἀγαθὰ ἐνταῦθα. στένωμεν οὖν, παρακαλῶ, πικρόν· μᾶλλον δὲ μὴ μόνον στένωμεν, ἀλλὰ καὶ μετέλθωμεν τὴν ἀρετήν. πενθήσωμεν νῦν ἐπὶ σωτηρίᾳ, ἵνα μὴ τότε πενθήσωμεν εἰκῇ. κλαύσωμεν νῦν, καὶ μὴ τότε κλαύσωμεν ἐπὶ κακίᾳ. οὗτος ὁ κλαυθμός, ἀρετῆς· ἐκεῖνος, ἀνωφελοῦς διανοίας. θλίψωμεν ἑαυτοὺς νῦν, ἵνα μὴ τότε θλιβῶμεν. οὐκ ἔστιν ἴσον ἐνταῦθα θλιβῆναι, κἀκεῖ. ἐνταῦθα μὲν γὰρ πρὸς βραχὺν θλίβῃ χρόνον, μᾶλλον δὲ οὐδὲ αἴσθησιν λαμβάνεις τῆς θλίψεως, εἰδὼς ὅτι ἐπ' ἀγαθῷ θλίβῃ· ἐκεῖ δὲ χαλεπωτέρα ἡ θλίψις, ὅτι οὐκ ἐπ' ἐλπίδι, οὐδὲ ἐπί τινι διεξόδῳ, ἀλλὰ ἄπειρος καὶ διαπαντός ἐστι. γένοιτο δὲ πάντας ἡμᾶς ἀπαλλαγέντας τυχεῖν τῆς ἀνέσεως. ἀλλ' ἐπειδὴ πρὸς τὸ μὴ ταύτης διαμαρτεῖν χρεία συντόνου σπουδῆς καὶ ἀδιαλείπτου εὐχῆς, σπουδάζωμεν, παρακαλῶ. ἂν γὰρ σπουδάζωμεν, καὶ εὐχόμενοι αἰτῶμεν· ἐὰν εὐχώμεθα ἐκτενῶς, δίδωσιν ὁ Θεός. ἂν δὲ μήτε αἰτῶμεν αὐτόν, μήτε ἐνεργῶμέν τι τοιοῦτον μηδὲ ἐργαζώμεθα, πῶς ἔνι κατορθῶσαί ποτε καθεύδοντας; οὐδαμῶς. ἀγαπητὸν γὰρ τρέχοντας καὶ ἐπιτεινομένους καὶ συμμορφουμένους τῷ θανάτῳ αὐτοῦ, ὡς Παῦλος εἶπε, δυνηθῆναι ἐπιτυχεῖν, μήτοιγε δὴ καθεύδοντας. Εἴ πως καταντήσω, φησίν. εἰ δὲ Παῦλος ἔλεγεν, Εἴ πως καταντήσω, τί ἡμεῖς ἐροῦμεν; καθεύδοντας γὰρ οὐδὲ κοσμικὰ πράγματά ἐστιν ἀνύσαί ποτε, μήτοιγε πνευματικά· καθεύδοντας οὐδὲ παρὰ τῶν φίλων ἔστι τι λαβεῖν ποτε, μήτοιγε παρὰ Θεοῦ· καθεύδοντας οὐδὲ πατέρες τιμῶσι, μήτοιγε ὁ Θεός. μικρὸν πονέσωμεν, ἵνα διαπαντὸς ἀναπαυσώμεθα. πάντως θλιβῆναι δεῖ· κἂν μὴ θλιβῶμεν ἐνταῦθα, ἐκεῖ τοῦτο μένει. διατί μὴ αἱρούμεθα ἐνταῦθα θλιβῆναι, ἵνα ἐκεῖ ἀναπαυσώμεθα; γένοιτο δὲ πάντας ἡμᾶς ἀξίως πολιτευσαμένους Χριστοῦ, καὶ τῷ θανάτῳ αὐτοῦ συμμορφωθέντας, τῶν ἀπορρήτων τυχεῖν ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ.



Digitized by Google

γυναῖκες δὲ κεφάλαιον ἦσαν τῆς ἐκκλησίας τῆς ἐκεῖ. καὶ προστίθεται αὐτὰς ἀνδρὶ ἴσως θαυμαστῷ, ὃν καὶ σύζυγον καλεῖ· ᾧ ἴσως εἰώθει προστίθεσθαι, ὡς συνεργῷ, καὶ συστρατιώτῃ, καὶ κοινωνῷ, καὶ ἀδελφῷ· ὅπερ καὶ ἐν τῇ πρὸς Ῥωμαίους ποιεῖ λέγων· Συνίστημι ὑμῖν Φοίβην τὴν ἀδελφὴν ἡμῶν, διάκονον οὖσαν τῆς ἐκκλησίας τῆς ἐν Κεγχρεαῖς. σύζυγε. ἢ ἀδελφόν τινα αὐτῆς, ἢ καὶ ἄνδρα μιᾶς αὐτῶν οὕτω καλεῖ· ὡς ἂν εἰ ἔλεγε· νῦν ἀδελφὸς εἶ γνήσιος, νῦν ἀνὴρ γνήσιος, ὅτι μέρος γέγονας. αἵτινες ἐν τῷ εὐαγγελίῳ συνήθλησάν μοι. οἴκοθεν ἡ προστασία, οὐκ ἀπὸ φιλίας, ἀλλ' ἀπὸ κατορθωμάτων. συνήθλησάν μοι. τί λέγεις; γυναῖκες συνήθλησαν; ναί, φησιν. οὐ μικρὸν καὶ αὗται συνεβάλλοντο μέρος· καίτοι δὲ πολλῶν ὄντων τῶν συνεργούντων αὐτῷ, ὅμως ἐν πολλοῖς καὶ αὗται συνεστρατεύοντο. οὐ μικρῶς οὖν τότε συνεκροτοῦντο αἱ ἐκκλησίαι. τῷ γὰρ τοὺς εὐδοκίμους, εἴτε ἄνδρας, εἴτε γυναῖκας τοσαύτης παρὰ τῶν λοιπῶν ἀπολαύειν τιμῆς, πολλὰ ἐγίνετο τὰ καλά. πρῶτον μὲν γὰρ οἱ λοιποὶ πρὸς τὸν ἴσον ᾔγοντο ζῆλον· δεύτερον δὲ καὶ ἐκέρδαινον διὰ τῆς τιμῆς· τρίτον καὶ αὐτοὺς ἐκείνους προθυμοτέρους ἐποίουν καὶ σφοδροτέρους. διὰ τοῦτο πανταχοῦ ὁρᾷς ἐπιμελούμενον τούτου τὸν Παῦλον, καὶ παρατιθέμενον τοὺς τοιούτους· ὅπερ καὶ ἐν τῇ πρὸς Κορινθίους φησίν, Οἵτινές εἰσιν ἀπαρχὴ τῆς Ἀχαΐας. τινὲς δέ φασιν ὄνομα ἐκείνου κύριον εἶναι τὸ, σύζυγε. πλὴν εἴτε τοῦτο, εἴτε ἐκεῖνο, οὐ σφόδρα ἀκριβολογεῖσθαι δεῖ, ἀλλ' ὅτι πολλῆς κελεύει αὐτὰς προστασίας ἀπολαῦσαι, θαυμάζειν.

Ῥωμ. ις. α.

γρ. αὐτῆς

γρ. ἦτι

γρ. ἦτι

α Κορ. ις ιε.

ΗΘΙΚΟΝ

Πάντα ἡμῖν ἐν οὐρανοῖς ἐστι, καὶ σωτήρ, καὶ πόλις, καὶ ὅ, τι ἂν εἴποι τις· ἐξ οὗ φησι, καὶ σωτῆρα ἀπεκδεχόμεθα Κύριον Ἰησοῦν Χριστόν. καὶ τοῦτο τῆς φιλανθρωπίας αὐτοῦ. αὐτὸς πάλιν ἔρχεται πρὸς ἡμᾶς, οὐχ ἡμᾶς ἕλκει ἐκεῖ, καὶ οὕτω λαβὼν ἡμᾶς ἄπεισι· καὶ τοῦτο πολλῆς τῆς τιμῆς. εἰ γὰρ πρὸς ἐχθροὺς ὄντας ἦλθε, πολλῷ μᾶλλον πρὸς φίλους γενομένους. οὐκ ἐπιτρέπει τοῦτο ἀγγέλοις, οὐδὲ δούλοις, ἀλλ' αὐτὸς ἐπὶ τῶν νεφελῶν ἔρχεται καλέσων ἡμᾶς εἰς τὰ βασίλεια αὐτοῦ. τάχα δὲ καὶ οἱ αὐτοῦ, τιμώμενοι ὑπ' αὐτοῦ, ἀρθήσονται διὰ νεφελῶν. Καὶ ἡμεῖς γάρ, φησιν, ἐν νεφέλαις ἁρπαγησόμεθα οἱ τιμῶντες αὐτόν, καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα. τίς ἄρα εὑρεθῇ ὁ πιστὸς δοῦλος, καὶ φρόνιμος; τίνες ἄρα οἱ καταξιούμενοι τῶν τοσούτων ἀγαθῶν; πῶς ἐλεεινοὶ οἱ ἀποπίπτοντες; εἰ γὰρ τὸν πάντα χρόνον ἐκλαιόμεν τῆς βασιλείας ἀποτυχόντες, ἆρ' ἄν τι ἄξιον ἐποιοῦμεν; εἰ γὰρ μυρίας γεέννας εἴπῃς, οὐδὲν ἴσον ἐρεῖς τῆς ὀδύνης ἐκείνης, ἣν ὑφίσταται τότε ἡ ψυχή, τῆς οἰκουμένης κλονουμένης ἁπάσης, τῶν σαλπίγγων ἠχουσῶν, τῶν ἀγγέλων προτρεχόντων, τῶν πρώτων, εἶτα δευτέρων, εἶτα τρίτων, εἶτα μυρίων ταγμάτων ἐρχομένων εἰς τὴν γῆν, εἶτα τῶν χερουβὶμ (πολλὰ δὲ ταῦτά ἐστι καὶ ἄπειρα) εἶτα τῶν σεραφίμ, αὐτοῦ ἐρχομένου ἐπὶ τῆς δόξης ἐκείνης τῆς ἀφράστου, ἀπαντώντων τῶν ἀφικνουμένων τοὺς ἐκλεκτοὺς ἄχρι εἰς μέσον, εἶτα τῶν περὶ Παῦλον καὶ πάντων, ὅσοι εὐδοκίμησαν κατ' αὐτόν, στεφανουμένων, ἀνακηρυττομένων, τιμωμένων παρὰ τοῦ βασιλέως ἐπὶ πάσης τῆς στρατιᾶς τῆς οὐρανίου. εἰ γὰρ μὴ γέεννα ἦν, τὸ τοὺς μὲν τιμᾶσθαι, ἐκείνους δὲ ἀτιμάζεσθαι, πόσον ἐστί; ἀφόρητος ἡ γέεννα, ὁμολογῶ, καὶ σφόδρα ἀφόρητος· πλὴν ἀφορητοτέρα αὐτῆς, τῆς βασιλείας ἡ ἔκπτωσις. εἰπὲ γάρ μοι· εἴ τις βασιλεύς, ἢ υἱὸς βασιλέως ἀπελθών, καὶ πολέμους κατορθώσας μυρίους, καὶ θαυμασθείς, καὶ ἔχων στρατόπεδον ὁλόκληρον, ἐπιβαίνοι πόλεώς τινος μετὰ τοῦ ζεύγους, μετὰ τροπαίων, μετὰ μυρίων ταγμάτων πάντων χρυσοφορούντων, μετὰ τῶν δορυφόρων τῶν περὶ αὐτὸν ἁπάντων ἀσπίδας ἐχόντων χρυσᾶς, καὶ πᾶσα ἡ πόλις ἐστεφανωμένη εἴη, καὶ πάντες οἱ τῆς οἰκουμένης ἄρχοντες μετ' αὐτοῦ, ἕποιτο δὲ αὐτῷ καὶ πᾶσα ἡλικία ὀπίσω ἀλλογενῶν ἐθνῶν, δεσμωτῶν, ὑπάρχων, σατραπῶν, ὑπάτων, τυράννων, ἀρχόντων· εἶτα ἐπὶ ἁπάσης τῆς λαμπρότητος ἐκείνης, τοὺς ἀπαντῶντας τῶν πολιτῶν δέχοιτο, καὶ καταφιλοίη, καὶ χεῖρα ὀρέγοι, καὶ πάσης μεταδιδοῖ παρρησίας, ἢ καὶ πάντων ἐσώτερον διαλέγοιτο, ὡς πρὸς φίλους, καὶ λέγοι

γρ. κατερχομένων

γρ. τῶν ἀπαιτων

γρ. ὀρχθῶν

γρ. ἤγετο

γρ. εἰσιόντι

γρ. φιλοίη

Digitized by Google

συμφερούσαις. ὧν ὁ Θεὸς, φησὶν, ἡ κοιλία. ἴδωμεν πῶς Παῦλος ἐδούλευσε τῷ Θεῷ· ἴδωμεν πῶς καὶ οἱ γαστρίμαργοι τῇ κοιλίᾳ. οὐχὶ μυρίοις ὑποκεῖνται οὗτοι θανάτοις; οὐχ, ἅπερ ἂν προστάττῃ, δεδοίκασι παρακοῦσαι; οὐχὶ τὰ ἀδύνατα διαγωνίζονται αὐτῇ; οὐχὶ ἀνδραπόδων χείρους εἰσί; ἀλλ' οὐχ ὁ Παῦλος τοιοῦτος· διὸ καὶ ἔλεγεν, Ἡμῶν δὲ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει. μὴ τοίνυν μηδὲ ἡμεῖς ἐνταῦθα ζητῶμεν ἄνεσιν· ἐκεῖ θελήσωμεν γενέσθαι λαμπροὶ, ἔνθα καὶ πολιτευόμεθα. ἐξ οὗ καὶ σωτῆρα, φησὶν, ἀπεκδεχόμεθα Κύριον Ἰησοῦν, ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν εἰς τὸ γενέσθαι αὐτὸ σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ. κατὰ μικρὸν ἀνήγαγεν ἡμᾶς· ἀπ' οὐρανοῦ, φησὶν, ὁ ἡμέτερος σωτὴρ, ἀπὸ τοῦ τόπου, ἀπὸ τοῦ προσώπου τὸ σεμνὸν δεικνύς. ὃς μετασχηματίσει τὸ σῶμα, φησὶ, τῆς ταπεινώσεως ἡμῶν. πολλὰ πάσχει νῦν τὸ ἡμέτερον σῶμα, δεσμεῖται, μαστίζεται, μυρία πάσχει δεινά· ἀλλὰ καὶ τὸ τοῦ Χριστοῦ τοσαῦτα ἔπαθε. τοῦτο γοῦν ᾐνίξατο εἰπὼν, εἰς τὸ γενέσθαι αὐτὸ σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ. ἄρα τὸ αὐτὸ μέν ἐστιν, ἐνδύεται δὲ ἀφθαρσίαν. μετασχηματίσει, φησίν· ἄρα καὶ τὸ σχῆμα ἕτερον, ἢ τὴν μεταβολὴν οὕτω καταπληκτικῶς ἐκάλεσε. σῶμα δὲ ταπεινώσεως ἡμῶν εἶπεν, ὅτι τεταπείνωται νῦν, ὅτι τῇ φθορᾷ ἐστιν ὑποκείμενον, τῇ ἀλγηδόνι, ὅτι δοκεῖ εὐτελὲς εἶναι καὶ οὐδὲν τῶν λοιπῶν ἔχει πλέον. εἰς τὸ γενέσθαι αὐτὸ, φησὶ, σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ. βαβαὶ, ἐκείνῳ τῷ καθημένῳ ἐν δεξιᾷ τοῦ πατρὸς σύμμορφον τοῦτο τὸ σῶμα γίνεται, ἐκείνῳ τῷ προσκυνουμένῳ ὑπὸ ἀγγέλων, ἐκείνῳ, ᾧ παρεστήκασιν αἱ ἀσώματοι δυνάμεις, ἐκείνῳ τῷ ἐπάνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως, ἐκείνῳ σύμμορφον γίνεται; ἄρα ἂν ἡ οἰκουμένη πᾶσα λαβοῦσα δάκρυα, τοὺς ταύτης τῆς ἐλπίδος ἐκπεπτωκότας δακρύῃ, ἀξίως δακρύσει; ὅταν ἐπαγγελίας ἡμῖν κειμένης ἐκείνῳ γενέσθαι σύμμορφοι, μετὰ τῶν δαιμόνων ἀπέρχηται; οὐ μέλει μοι γεέννης λοιπόν· ὅσα ἂν εἴπῃς, * οὐδὲν νομίζω πρὸς τὴν ἔκπτωσιν ταύτην. τί λέγεις, ὦ Παῦλε; ἐκείνῳ σύμμορφον γίνεται; ναὶ, φησίν. εἶτα, ἵνα μὴ ἀπιστήσῃς, καὶ λογισμὸν ἐπήγαγε· κατὰ τὴν ἐνέργειαν, φησὶ, τοῦ δύνασθαι αὐτὸν καὶ ὑποτάξαι ἑαυτῷ τὰ πάντα. δύναμιν ἔχει, φησὶν, ὥστε τὰ πάντα ὑποτάξαι· ὥστε καὶ τὴν φθορὰν καὶ τὸν θάνατον· μᾶλλον δὲ ἀπὸ τῆς αὐτῆς δυνάμεως καὶ τοῦτο ποιεῖ. ποίου γὰρ δυνάμεώς ἐστι μείζονος, εἰπέ μοι, δαίμονας καὶ ἀγγέλους καὶ ἀρχαγγέλους καὶ χερουβὶμ καὶ σεραφὶμ ὑποτάξαι, ἢ σῶμα ποιῆσαι ἄφθαρτον καὶ ἀθάνατον; πολλῷ δὴ μᾶλλον τοῦτο, ἢ ἐκεῖνο. ἔδειξε μείζονα ἔργα τῆς δυνάμεως αὐτοῦ, ἵνα καὶ τούτοις πιστεύσῃς. ὥστε κἂν ὁρᾶτε τούτους χαίροντας, κἂν ὁρᾶτε δεδοξασμένους, στήκετε, μηδὲν παραβλάπτεσθε περὶ αὐτῶν, μηδὲν πλύρεσθε. ἱκαναὶ αὗται αἱ ἐλπίδες καὶ τὸν σφόδρα νωθρὸν καὶ ὕπτιον ἀνορθῶσαι.

κ. ἐπαιδεύσεν

* τὸ τούτου δέξας ... [illegible]

κ. ὥστε

1 Ὥστε, ἀδελφοί μου, φησὶν, ἀγαπητοὶ καὶ ἐπιπόθητοι, χαρά μου καὶ στέφανός μου, οὕτω στήκετε ἐν Κυρίῳ, ἀγαπητοί. Οὕτω, πῶς; * ἀκλινεῖς. ὅρα πῶς μετὰ τὴν παραίνεσιν τὰ ἐγκώμια. χαρὰ καὶ στέφανός μου. οὐχ ἁπλῶς χαρὰ, ἀλλὰ καὶ δόξα, οὐχ ἁπλῶς δόξα, ἀλλὰ καὶ στέφανος· ἧς δόξης οὐκ ἔστιν ἴσον, ὅταν Παύλου στέφανος ὦσιν. οὕτω στήκετε ἐν Κυρίῳ, ἀγαπητοί, τουτέστιν, ἐν τῇ ἐλπίδι τοῦ Θεοῦ. κεφ. δ.

* ἀσάλευτοι

2 Εὐωδίαν παρακαλῶ, καὶ Συντύχην παρακαλῶ τὸ αὐτὸ φρονεῖν ἐν Κυρίῳ.

3 Καὶ ἐρωτῶ καὶ σὲ, σύζυγε γνήσιε, συναντιλαμβάνου αὐταῖς. Τινὲς τὴν γυναῖκα αὐτοῦ παρακαλεῖν ἐνταῦθά φασιν· ἀλλ' οὐκ ἔστιν· ἀλλ' ἄλλην τινὰ γυναῖκα, ἢ καὶ ἄνδρα μιᾶς αὐτῶν. Συναντιλαμβάνου αὐταῖς, φησὶν, αἵτινες ἐν τῷ εὐαγγελίῳ συνήθλησάν μοι, μετὰ καὶ Κλήμεντος, καὶ τῶν λοιπῶν συνεργῶν μου, ὧν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς.

κ. ναὶ

κ. τινά

Ὁρᾷς ὅσην αὐτοῖς ἀρετὴν μαρτυρεῖ; ὅπερ τοῖς ἀποστόλοις εἶπεν ὁ Χριστὸς, Μὴ χαίρετε, ὅτι τὰ δαιμόνια ὑμῖν ὑπακούει, ἀλλ' ὅτι τὰ ὀνόματα ὑμῶν ἐγγεγραμμένα ἐν βίβλῳ ζωῆς, τοῦτο αὐτοῖς μαρτυρεῖ καὶ οὗτος λέγων, ὧν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς. δοκοῦσι δέ μοι αὗται αἱ Λουκ. ι. κ.

Ματθ. ις. κδ. ἐρεῖ ὁ Χριστὸς τὰ πάθη λέγων, ὡς ὅταν λέγῃ· Ἐὰν μή τις αἴρῃ τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθήσῃ μοι, τουτέστιν, ἐὰν μή τις ᾖ παρεσκευασμένος πρὸς θάνατον. οὗτοι δὲ ἀληθῶς ὄντες καὶ φιλόζωοι καὶ φιλοσώματοι, ἐχθροὶ τοῦ σταυροῦ τυγχάνουσι· καὶ πᾶς, ὃς ἂν ᾖ τῆς τρυφῆς φίλος, καὶ τῆς ἐνταῦθα ἀσφαλείας, ἐχθρός ἐστι τοῦ σταυροῦ, ἐν ᾧ Παῦλος καυχᾶται, καὶ περιπλέκεται, ᾧ σπουδάζει συνεσταυρῶσθαι, ὡς ὅταν λέγῃ· Ἐγὼ ἐσταύρωμαι τῷ κόσμῳ, καὶ ὁ κόσμος ἐμοί. νῦν δέ φησι, καὶ κλαίων λέγω. διατί; ὅτι ἐπείγει τὸ κακὸν, ὅτι δακρύων ἄξιοι οἱ τοιοῦτοι. ὄντως δακρύων ἄξιοι οἱ τρυφῶντες, τὸ μὲν περιβόλαιον, τουτέστι, τὸ σῶμα λιπαίνοντες, τῆς δὲ μελλούσης εὐθύνας διδόναι οὐδένα ποιούμενοι λόγον. ἰδοὺ τρυφᾷς, ἰδοὺ μεθύεις, σήμερον καὶ αὔριον, καὶ δέκα ἔτη, καὶ εἴκοσι, καὶ τριάκοντα, καὶ πεντήκοντα, καὶ ἑκατὸν, ὅπερ ἀδύνατον· πλέον δὲ; ἀλλ', εἰ βούλει, θῶμεν· τί τὸ πέρας; τί τὸ κέρδος; οὐδέν. τὸ οὖν; τοιοῦτον βίον ζῆν οὐ δακρύων ἄξιον καὶ θρήνων; ἤγαγεν ἡμᾶς εἰς τὸ στάδιον τοῦτο ὁ Θεὸς, ἵνα στεφανώσῃ, καὶ ἡμεῖς ἄπιμεν μηδὲν ἐργασάμενοι γενναῖον. κλαίει τοίνυν ὁ Παῦλος, ἐφ' οἷς ἕτεροι γελῶσι καὶ σπαταλῶσιν. οὕτως ἐστὶ συμπαθητικὸς, οὕτω φροντίζει πάντων ἀνθρώπων. χ. ποῦ δὲ.

α. Κορ. ιε. λβ. ὧν ὁ Θεὸς, φησὶν, ἡ κοιλία. διὰ τοῦτο ἐστὶ Θεὸς αὐτοῖς. τοῦτό ἐστι, Φάγωμεν καὶ πίωμεν. ὁρᾷς ὅσον ἡ τρυφὴ κακόν; τοῖς μὲν τὰ χρήματα, τοῖς δὲ ἡ κοιλία ὁ Θεός. οὐχὶ εἰδωλολάτραι καὶ οὗτοι, καὶ ἐκείνων χείρους; καὶ ἡ δόξα, φησὶν, ἐν τῇ αἰσχύνῃ αὐτῶν. τινὲς τὴν περιτομήν φασι δηλοῦν διὰ τούτου· ἐγὼ δὲ οὐ τοῦτό φημι, ἀλλὰ τοῦτό ἐστιν· ἐφ' οἷς ἔδει ἐγκαλύπτεσθαι, ἐπὶ τούτοις σεμνύνονται.

Ρωμ. ς. κα. τοῦτό ἐστιν ὅ φησιν ἀλλαχοῦ· Τίνα οὖν μισθὸν εἴχετε τότε, ἐφ' οἷς νῦν ἐπαισχύνεσθε; δεινὸν μὲν γὰρ τὸ αἰσχρὰ πράττειν, τὸ δὲ πράττοντα μὴ αἰσχύνεσθαι, ἐξ ἡμισείας ἐστὶ δεινόν. ὅταν μέντοι τις καὶ ἐγκαλλωπίζηται, ὑπερβολὴ ἀναισθησίας. ἄρα περὶ ἐκείνων μόνον ταῦτα εἴρηται, οἱ δὲ ἀκούοντες ἡμῖν ἐνταῦθα διέφυγον τὸ ἔγκλημα, καὶ οὐδείς ἐστιν ὑπεύθυνος τούτῳ; οὐδεὶς Θεὸν ἔχει τὴν κοιλίαν; οὐδεὶς τὴν δόξαν ἐν τῇ αἰσχύνῃ; βούλομαι, καὶ σφόδρα βούλομαι μηδένα τοιοῦτον εἶναι πρὸς ἡμᾶς, μηδὲ εἰδέναι τινὰ ἔνοχον τοῖς λεγομένοις· δέδοικα δὲ μὴ πρὸς ἡμᾶς μᾶλλον, ἢ τοὺς τότε λέγηται. ὅταν γὰρ πάντα τὸν βίον ἐν πότοις καὶ κώμοις ἀναλίσκῃ τις, καὶ εἰς μὲν πένητας ὀλίγα τινὰ δαπανᾷ, τὰ δὲ πλείονα ἀναλίσκῃ εἰς τὴν κοιλίαν, οὐκ εἰκότως καὶ περὶ αὐτοῦ λεχθήσεται; οὐδὲν ἐντρεπτικώτερον τῆς λέξεως, οὐδὲν πληκτικώτερον, ὧν ὁ Θεὸς, φησὶν, ἡ κοιλία, καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν. χ. ἐμπλεκτ. τίνες οὗτοί εἰσιν; οἱ ἐπίγεια φρονοῦντες, οἱ λέγοντες, οἰκοδομήσωμεν οἰκίας. ποῦ; ἐν τῇ γῇ, φησί· κτησώμεθα ἀγρούς, ἐν τῇ γῇ πάλιν· ἐπιτύχωμεν ἀρχῆς, πάλιν ἐν τῇ γῇ· τύχωμεν δόξης, πάλιν ἐν τῇ γῇ· πλουτήσωμεν, πάντα ἐν τῇ γῇ. οὗτοί εἰσιν ὧν ὁ Θεὸς ἡ κοιλία. οἱ γὰρ μηδὲν πνευματικὸν φρονοῦντες, ἀλλ' ἐνταῦθα πάντα κεκτημένοι, χ. ἐνορῶντες

α. Κορ. ιε. λβ. καὶ ταῦτα φρονοῦντες, εἰκότως τὴν κοιλίαν Θεὸν ἔχουσι, λέγοντες, Φάγωμεν καὶ πίωμεν· αὔριον γὰρ ἀποθνήσκομεν. εἶτα σὺ μὲν περὶ τοῦ σώματος ἀλγεῖς, ὅτι γήϊνόν ἐστι, καίτοι τοῦτό σε οὐδὲν παραβλάπτει εἰς ἀρετῆς λόγον· τὴν δὲ ψυχὴν εἰς γῆν κατασπῶν τῇ τρυφῇ, καὶ μηδένα λόγον τούτου ποιεῖς γελᾷς, εἰπέ μοι, καὶ διακέχυσαι; καὶ ποίας τεύξῃ συγγνώμης διακείμενος ἀναλγήτως, δέον καὶ τὸ σῶμα ποιῆσαι πνευματικόν; ἔξεστι γὰρ, ἂν θέλῃς. κοιλίαν ἔλαβες, ἵνα τρέφῃς, οὐχ ἵνα διαρρήξῃς· ἵνα κρατῇς αὐτῆς, οὐχ ἵνα δέσποιναν ἔχῃς· ἵνα σοι ὑπηρετῇ πρὸς τὴν τῶν λοιπῶν μορίων διατροφὴν, οὐχ ἵνα σὺ αὐτῇ ὑπηρετῇς, οὐχ ἵνα τοὺς ὅρους ἐκβαίνῃς. οὐ τοσαῦτα κακὰ ἐργάζεται ἡ θάλασσα τοὺς ὅρους ὑπερβαίνουσα, ὅσα ἡ γαστὴρ τὸ σῶμα τὸ ἡμέτερον μετὰ τῆς ψυχῆς. πᾶσαν ἐπικλύζει τὴν οἰκουμένην ἐκείνη, καὶ αὕτη ἅπαν τὸ σῶμα. χ. γῆν εἰς ἣν διαχυθῇ ἐκείνη, θὲς αὐτῇ ὅρον τὴν αὐτάρκειαν, καθάπερ ὁ Θεὸς ἔθηκε τῇ θαλάσσῃ τὴν ἄμμον· κἂν κυμαίνῃ, κἂν ἀγριαίνῃ, ἐπιτίμα αὐτῇ τῇ δυνάμει τῇ οὔσῃ ἐν σοί. ὅρα πῶς λόγῳ σε ἐτίμησεν ὁ Θεὸς, ἵνα αὐτὸν μιμῇ· σὺ δὲ οὐ θέλεις, ἀλλ' ὁρῶν αὐτὴν ὑπερβλύζουσαν, χ. ὑπερβαίνουσαν, καὶ πᾶσαν διαφθείρουσαν τὴν φύσιν, καὶ λιμνάζουσαν, οὐ τολμᾷς κατασχεῖν, οὐδὲ σωφρονίσαι.

Digitized by Google

συστέλλεται), τί τῆς ὑγείας ταύτης ἴσον ἂν εἴη; ἀλλ᾽ οὐχ αἱ ἄλλαι ψυχαὶ τοιαῦται, ἀλλὰ τῆς θαλάττης καὶ τοῦ χαμαιλέοντος ποικιλώτεραι πεφύκασιν· ὥστε πολλοὺς ἔστι γελῶντα, ὅταν ἴδῃς τὸν αὐτὸν νῦν μὲν γελῶντα, νῦν δὲ κλαίοντα, νῦν δὲ φροντίζοντα, νῦν δὲ ὑπὸ τοῦ μέτρου ἐκκεχυμένον. καίτοι ὁ Παῦλος οὐδὲ ἄλλο τί φησι, Μὴ συσχηματίζεσθαι τῷ αἰῶνι τούτῳ, [Ῥωμ. ιβ. β.] ἀλλ᾽ ἢ ὅτι ἐν τῷ οὐρανῷ πολιτευόμεθα, ἔνθα οὐκ ἔστι τροπή. ἐπήγγελται ἡμῖν ἔπαθλα οὐ περὶ τῶν μέλλοντα· οὐκοῦν τοιαύτην πολιτείαν ἐπιδειξώμεθα, ἐντεῦθεν ἤδη λάβωμεν τὰ ἀγαθά. τί εἰς κίνδυνον ἑαυτοὺς ῥιπτοῦμεν, καὶ εἰς κλυδώνιον, καὶ εἰς χεῖμα, καὶ εἰς ζάλην; γινώμεθα ἐν γαλήνῃ. οὐ παρὰ τὸν πλοῦτόν ἐστιν, οὐ παρὰ τὴν πενίαν, οὐ παρὰ τὴν δόξαν, οὐ παρὰ τὴν ἀδοξίαν, οὐ παρὰ τὴν νόσον, οὐ παρὰ τὴν ὑγείαν, οὐ παρὰ τὴν ἀσθένειαν, ἀλλὰ παρὰ τὴν ἡμετέραν ταῦτα πάντα ψυχήν. ἂν αὕτη στεῤῥὰ ᾖ καὶ καλῶς πεπαιδευμένη τὴν τῆς ἀρετῆς ἐπιστήμην, πάντα εὔκολα αὐτῇ ἔσται. καὶ ἐντεῦθεν ἤδη τὴν ἀνάπαυσιν ἕξει, καὶ τὸν λιμένα τὸν εὔδιον, καὶ μυρίων ἀπολαύουσα τῶν ἀγαθῶν ἐπιτεύξεται· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν.

γρ. διὰ τοῦτό φησι, μὴ συσχηματίζεσθαι τῷ αἰῶνι τούτῳ. ἐν γὰρ τῷ οὐρανῷ

γρ. πεπαιδευμένη

Λογ. ιγ.

18 ΠΟΛΛΟΙ ΓΑΡ ΠΕΡΙΠΑΤΟΥΣΙΝ, ΟΥΣ πολλάκις ἔλεγον ὑμῖν, νῦν δὲ καὶ κλαίων λέγω, τοὺς ἐχθροὺς τοῦ σταυροῦ τοῦ Χριστοῦ· ὧν τὸ τέλος ἀπώλεια, 19 ὧν ὁ Θεὸς ἡ κοιλία, καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν, οἱ τὰ ἐπίγεια φρονοῦντες. 20 Ἡμῶν γὰρ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει, ἐξ οὗ καὶ σωτῆρα ἀπεκδεχόμεθα Κύριον Ἰησοῦν Χριστόν, 21 Ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν εἰς τὸ γενέσθαι αὐτὸ σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ, κατὰ τὴν ἐνέργειαν τοῦ δύνασθαι αὐτὸν καὶ ὑποτάξαι ἑαυτῷ τὰ πάντα.

Οὐδὲν οὕτως ἀνάρμοστον καὶ ἀλλότριον χριστιανοῦ, ὡς ἄνεσις καὶ ἀνάπαυσιν ζητεῖν· οὐδὲν οὕτω τῆς ἐπαγγελίας καὶ στρατολογίας ἀλλότριον, ὡς τὸ τῷ παρόντι προσηλῶσθαι βίῳ. ὁ δεσπότης σου ἐσταυρώθη, καὶ σὺ ἄνεσιν ζητεῖς; ὁ δεσπότης σου προσηλώθη, καὶ σὺ τρυφᾷς; καὶ ποῦ ταῦτα στρατιώτου γενναίου; διὰ τοῦτο καὶ ὁ Παῦλός φησι, πολλοὶ περιπατοῦσιν, οὓς πολλάκις ἔλεγον ὑμῖν, νῦν δὲ καὶ κλαίων λέγω, τοὺς ἐχθροὺς τοῦ σταυροῦ τοῦ Χριστοῦ. ἐπειδὴ γάρ τινες ἦσαν ὑποκρινόμενοι μὲν τὸν χριστιανισμόν, ἐν ἀνέσει δὲ ζῶντες καὶ τρυφῇ· τοῦτο δὲ ἐναντίον τῷ σταυρῷ· διὰ τοῦτο ταῦτα οὕτως ἔλεγεν. ὁ γὰρ σταυρός, ψυχῆς ἐστι παρατεταγμένης, θανατιώσης, οὐδὲν ἄνετον ἐπιζητούσης. ἐκεῖνοι δὲ ἀπεναντίας πολιτεύονται. ὥστε κἂν λέγωσιν εἶναι τοῦ Χριστοῦ, ἀλλ᾽ [ὡς] ἐχθροί εἰσι τοῦ σταυροῦ. εἰ γὰρ ἂν, εἰ τὸν σταυρὸν ἐφίλουν, ἐσπούδαζον τὸν ἐσταυρωμένον βίον ζῆν. οὐκ ἀνεσκολοπίσθη σου ὁ δεσπότης; μίμησαι σὺ ἄλλως αὐτόν, εἰ μὴ τὸν ἐκείνου δύνασαι τρόπον. σταύρωσον ἑαυτόν, κἂν μηδεὶς σε σταυρώσῃ. σταύρωσόν σε αὐτὸν λέγω, οὐχ ἵνα σεαυτὸν ἀνέλῃς, μὴ γένοιτο (τοῦτο γὰρ ἀσεβές) ἀλλ᾽ ὡς Παῦλος ἔλεγεν· Ἐμοὶ γάρ, φησι, κόσμος ἐσταύρωται, [Γαλ. ϛ. ιδ.] κἀγὼ τῷ κόσμῳ. εἰ φιλεῖς τὸν δεσπότην σου, τὸν θάνατον ἀπόθανε τὸν ἐκείνου. μάθε πόση τοῦ σταυροῦ ἡ ἰσχύς, πόσα κατώρθωσε, πόσα κατορθοῖ, πῶς ἐστιν ἀσφάλεια τοῦ βίου. διὰ τούτου πάντα τελεῖται· βάπτισμα διὰ τοῦ σταυροῦ (δεῖ γὰρ ἀναλαβεῖν τὴν σφραγῖδα) χειροτονία διὰ τοῦ σταυροῦ· κἂν ἐν ὁδοῖς ὦμεν, κἂν ἐν οἰκίᾳ, κἂν ὅπου ἂν ποτε, * μέγα ἀγαθὸν ὁ σταυρός, σωτήριον ὅπλον, ἀσπὶς ἄμαχος, τῷ διαβόλῳ ἀντίπαλος. τούτῳ οὖν ἐχθραίνων βαστάζεις τὸν σταυρόν, μὴ ἁπλῶς σφραγιζόμενος, ἀλλὰ τὰ τοῦ σταυροῦ πάσχων. οἶδε σταυ-

γρ. νεκρῶσαι

γρ. σταυρὸν

γρ. λαβεῖν τὴν σφραγῖδα

γάρ μοι, αἰχμαλωσία τί ἔβλαψεν; οὐδέν. ἐννόει γάρ μοι τὸν Ἰωσὴφ δοῦλον γενόμενον, καὶ τὴν ἀρετὴν διασώζοντα. ἐννόει μοι τὸν Δανιὴλ, καὶ τοὺς τρεῖς παῖδας αἰχμαλώτους γενομένους, καὶ πῶς πολλῷ μᾶλλον ἔλαμψαν. πανταχοῦ γὰρ ἡ ἀρετὴ λάμπει, καὶ ἀκαταγώνιστός ἐστι, καὶ οὐδὲν ταύτην ἐμποδίσαι δύναται. τί λέγω πενίαν, καὶ αἰχμαλωσίαν, καὶ δουλείαν; οὔτε λιμὸς, οὐδὲ ἕλκωσις, οὐδὲ νόσος δύναται βλάψαι. δουλείας γὰρ νόσος χαλεπωτέρα. τοιοῦτος ἦν ὁ Λάζαρος, τοιοῦτος ἦν ὁ Ἰὼβ, τοιοῦτος ἦν καὶ ὁ Τιμόθεος πυκναῖς ἀσθενείαις συνεχόμενος. ὁρᾷς ὅτι τῆς ἀρετῆς οὐδὲν δύναται περιγενέσθαι; οὐ πλοῦτος, οὐ πενία, οὐκ ἀρχὴ, οὐ τὸ ἄρχεσθαι, οὐ τὸ τῶν πραγμάτων περιΐστασθαι, οὐ νόσος, οὐκ ἀδοξία, οὐ τὸ ἀπερρίφθαι· ἀλλὰ ταῦτα πάντα κάτω καὶ ἐπὶ γῆς ἀφεῖσα, φθάνει πρὸς τὸν οὐρανόν. μόνον ἔστω γενναία ψυχὴ, καὶ τὸ κωλῦον οὐδὲν ἔσται ἐνάρετον. ὅταν γὰρ ὁ ἐργάτης ἔρρωται, οὐδὲν τὸ ἔξωθεν ἐμποδίζει. καὶ γὰρ καὶ ἐπὶ τῶν τεχνῶν, ὅταν ὁ τεχνίτης ἔμπειρος ᾖ καὶ καρτερικὸς καὶ πᾶσαν τὴν τέχνην ἐπιστάμενος, κἂν νόσος ἐπέλθῃ, ἔχει αὐτὴν, κἂν πένηται, ἔχει αὐτὴν, κἂν ἔχῃ τὸ ὄργανον μετὰ χεῖρας, κἂν μὴ ἔχῃ, κἂν ἐργάζηται, κἂν μὴ ἐργάζηται, οὐδὲν ἐλάττωται. ἡ γὰρ ἐπιστήμη ἔνεστιν ἐν αὐτῷ. οὕτω καὶ ὁ ἐνάρετος καὶ Θεῷ ἀνακείμενος, κἂν εἰς πλοῦτον αὐτὸν ἐμβάλῃς, ἐπιδείκνυται τὴν ἀρετὴν, κἂν εἰς πενίαν ὁμοίως, κἂν εἰς νόσον, κἂν εἰς ὑγείαν, κἂν εἰς δόξαν, κἂν εἰς ἀδοξίαν. οὐχὶ διὰ πάντων ἦλθον οἱ ἀπόστολοι; Διὰ δόξης, φησὶ, καὶ ἀτιμίας, διὰ δυσφημίας, καὶ εὐφημίας. τοῦτό ἐστι τὸ ποιοῦν ἀθλητὴν, τὸ πρὸς πάντα εἶναι ἐπιτήδειον. τοιαύτη γὰρ καὶ ἡ τῆς ἀρετῆς φύσις. ἂν δὲ εἴπῃς, ὅτι οὐ δύναμαι προΐστασθαι πολλῶν, μονάζειν ὀφείλω, ὕβρισας τὴν ἀρετήν. αὕτη γὰρ πᾶσι κεχρῆσθαι δύναται, καὶ διαφαίνειν· μόνον ἔστω ἐν τῇ ψυχῇ. λιμός ἐστι; πλησμονή ἐστι; αὕτη τὴν ἰσχὺν ἐπιδείκνυται τὴν αὐτῆς, καθὼς Παῦλός φησιν, Οἶδα καὶ περισσεύειν, καὶ ὑστερεῖσθαι. ἔδει ἐργάζεσθαι; οὐκ ἐπῃσχύνθη, ἀλλὰ δύο ἔτη εἰργάζετο. ἔδει λιμῶξαι; οὐκ ἐπάγη, οὐδὲ ἐδίστασεν. ἔδει ἀποθανεῖν; οὐκ ἐγένετο ταπεινὸς, διὰ πάντων τὸ φρόνημα τὸ γενναῖον καὶ τὴν τέχνην ἐπεδείξατο. τοῦτον οὖν ζηλώσωμεν, καὶ οὐκ ἔσται λύπης ἡμῖν ὑπόθεσις. τί γὰρ, εἰπέ μοι, λυπῆσαι δυνήσεται τὸν τοιοῦτον; οὐδέν. ἕως ἂν μὴ ταύτην ἡμᾶς ἀφέληταί τις, πάντων ἀνθρώπων μακαριώτεροι ἐσόμεθα, καὶ ἐνταῦθα, οὐχὶ ἐκεῖ μόνον. ἔστω γὰρ ὁ ἐνάρετος καὶ γυναῖκα ἔχων, καὶ παιδία, καὶ χρήματα, καὶ δόξαν πολλήν. περὶ ταῦτα πάντα ὁμοίως ἐνάρετος μένει. ἄφελε αὐτὰ, καὶ πάλιν ὁμοίως ἐνάρετος ἔσται, οὔτε ὑπὸ τῶν θλίψεων καταβαπτιζόμενος, οὔτε ὑπὸ τῆς εὐπραγίας ὀγκούμενος. ἀλλ' ὥσπερ πέτρα, καὶ κυμαινούσης τῆς θαλάσσης, καὶ γαλήνης οὔσης, ὁμοίως ἕστηκεν ἀπαθὴς, οὔτε ὑπὸ τῶν κυμάτων θρυπτομένη, οὔτε ὑπὸ τῆς γαλήνης ἄλλο τι πάσχουσα· οὕτω καὶ ἡ ψυχὴ ἡ στερρὰ ἕστηκε βεβαία καὶ ἐν γαλήνῃ, καὶ ἐν κύμασι. καὶ καθάπερ τὰ μὲν παιδία ἐν πλοίῳ πλέοντα θορυβεῖται, ὁ δὲ κυβερνήτης κάθηται γελῶν καὶ ἀκλινὴς ὤν, τὸν θόρυβον ἐκείνων ὁρῶν, καὶ τερπόμενος· οὕτω καὶ ψυχὴ φιλόσοφος, πάντων τῶν ἄλλων θορυβουμένων, καὶ γελώντων πάλιν ἀκαίρως ἐν ταῖς τῶν πραγμάτων μεταβολαῖς, αὐτὸς ὥσπερ ἐπί τινος [αἰχένος καὶ] οἴακος * τῆς εὐλαβείας κάθηται ἀκλινής. τί γὰρ, εἰπέ μοι, ταράξαι δύναται ψυχὴν εὐλαβῆ; θάνατος; ἀλλὰ τοῦτο ζωῆς βελτίονος ἀρχὴν οἶδεν. ἀλλὰ πενία; ἀλλὰ τοῦτο συμπράττει αὐτῇ πρὸς ἀρετήν. ἀλλὰ νόσος; ἀλλ' οὐδὲν ἡγεῖται αὐτὴν προδοῦσαν. τί λέγω νόσον; οὐδὲ τὴν ἄνεσιν, οὐδὲ τὴν θλῖψιν. παραλαβοῦσα γὰρ ἑαυτὴν ἔθλιψεν. ἀλλ' ἀδοξία; ἀλλὰ ὅλος ὁ κόσμος αὐτῇ ἐσταύρωται. ἀλλὰ παίδων ἀποβολή; ἀλλ' οὐ δέδοικεν. ὅταν γὰρ περὶ ἀναστάσεως ᾖ πεπληροφορημένη, τί αὐτὴν ἑλεῖν δύναται; οὐδὲν τῶν πάντων. ἀλλὰ πλοῦτος ἐπαίρει; οὐδαμῶς. οἶδε γὰρ ὅτι οὐδέν εἰσι τὰ χρήματα. ἀλλὰ δόξα; ἀλλὰ πεπαίδευται, ὅτι πᾶσα δόξα ἀνθρώπου, ὡς ἄνθος χόρτου. ἀλλὰ τρυφή; ἀλλ' ἤκουσε Παύλου λέγοντος, ὅτι Η σπαταλῶσα ζῶσα τέθνηκεν. ὅταν οὖν μήτε φλεγμαίνῃ, μήτε συστέλληται,

Left margin: β. Κορ. ς. η. — Φιλιπ. δ. ιβ. — Πραξ. κη. λ. — Ησ. μ. ϛ. — α. Τιμ. ε. ϛ.

Right margin: χ. καὶ λιμὸν, καὶ ἕλκωσιν, καὶ νόσον χαλεπήν; — χ. τέχνην — χ. ἐργάσαιτο — χ. ἀθλητὴς — χ. ὅτι τὸ μακαριώτερος — χ. ἔρως — χ. ὥσπερ γάρ τις πέτρα πεδάλιος — χ. γαληνιώσης — * πλοίου — χ. ἀρχή.

ἀλλὰ τούτοις, οὓς δεῖ μιμεῖσθαι λοιπόν. εἴ τις ἡμᾶς μιμεῖσθαι βούλεται, φησίν, εἴ τις τὴν αὐτὴν βαδίζειν ὁδὸν, ἐκείνοις προσεχέτω· εἰ καὶ ἐγὼ μὴ πάρειμι, ἀλλ' ἴστε τῆς ἐμῆς βαδίσεως τὸν τρόπον, τουτέστι, τῆς ἀναστροφῆς τοῦ βίου. οὐ γὰρ διὰ ῥημάτων μόνον ἐδίδασκεν, ἀλλὰ καὶ διὰ πραγμάτων· καθάπερ ἐν χορῷ καὶ στρατοπέδῳ τὸν χορηγὸν καὶ στρατηγὸν δεῖ μιμεῖσθαι τοὺς λοιπούς, καὶ οὕτω βαδίζειν εὐτάκτως. ἔνι γὰρ καὶ ἀπὸ στάσεως διαλυθῆναι τάξιν.

ΗΘΙΚΟΝ

Ἀρχέτυπος ἦσαν οἱ ἀπόστολοι, ἀρχέτυποι ἵνα εἰκόνα διασώζοντες. ἐννοήσατε πῶς αὐτοῖς ὁ βίος ἀπηκριβωμένος ἦν, ὡς ἀρχέτυποι αὐτοὶ καὶ παράδειγμα κεῖσθαι, καὶ νόμους ἐμψύχους. ἅπερ γὰρ τὰ γράμματα ἔλεγε, ταῦτα διὰ τῶν πραγμάτων πᾶσιν ἐδήλουν οὗτοι. τοῦτό ἐστι διδασκαλία ἀρίστη· οὕτω τὸν μαθητὴν ἐνάγειν ὁ διδάσκων δυνήσεται. ἂν δὲ αὐτὸς μὲν λέγῃ καὶ φιλοσοφῇ, τοῖς δὲ ἔργοις τἀναντία ποιῇ, οὔπω διδάσκαλος. τοῦτο γὰρ καὶ τῷ μαθητῇ κοῦφον ἐν λόγοις φιλοσοφεῖν· ἀλλὰ δεῖ τῆς διὰ τῶν ἔργων εὐθεσίας, καὶ τῆς ἀγωγῆς. αὕτη γὰρ καὶ διδάσκαλον αἰδέσιμον ποιεῖ, καὶ μαθητὴν εἴκειν παρασκευάζει. πῶς; ὅταν μὲν γὰρ ἴδῃ ἐν λόγοις φιλοσοφοῦντα, ἐρεῖ, ὅτι ἀδύνατα ἐπιτάττει· ὅτι δὲ ἀδύνατα, πρῶτος αὐτὸς δείκνυσιν ὁ διδάσκαλος μὴ πράττων. ἂν δὲ ἴδῃ διὰ τῶν ἔργων τῆς ἀρετῆς τετελειωμένον, οὐκ ἂν ἔχοι ταῦτα λέγειν. πλὴν ἀλλὰ κἂν ἠμελημένος ὁ τοῦ διδασκάλου βίος ᾖ, ἡμεῖς ἑαυτοῖς προσέχωμεν, καὶ ἀκούωμεν τοῦ προφήτου λέγοντος, Ὅτι ἔσονται πάντες διδακτοὶ Θεοῦ, καὶ οὐ μὴ διδάξωσιν ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ λέγοντες, γνῶθι τὸν Κύριον, ὅτι πάντες εἰδήσουσί με ἀπὸ μικροῦ ἕως μεγάλου αὐτῶν. οὐκ ἔχεις ἐνάρετον διδάσκαλον; ἀλλ' ἔχεις τὸν ὄντως διδάσκαλον, ὃν καὶ μόνον διδάσκαλον χρὴ καλεῖν. ἀπ' ἐκείνου μάνθανε. ἐκεῖνος ἔφησε, Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι. μὴ δὴ προσέχετε τῷ* διδασκάλῳ, ἀλλ' ἐκείνῳ καὶ τοῖς ἐκείνου μαθήμασιν. ἐκεῖθεν λάβε τὸν τύπον· ἔχεις εἰκόνα ἀρίστην· πρὸς ἐκείνην ῥύθμισον σαυτόν. μυρίαι εἰσὶν αἱ εἰκόνες ἐν ταῖς γραφαῖς κείμεναι βίων ἐναρέτων. οἷον, ἐὰν θέλῃς, ἐλθὲ καὶ μετὰ τοὺς διδασκάλους ἐν τοῖς μαθηταῖς· ὁ μὲν δι' ἀκτημοσύνης ἔλαμψεν, ὁ δὲ διὰ χρημάτων· οἷον ὁ Ἠλίας δι' ἀκτημοσύνης, ὁ Ἀβραὰμ διὰ χρημάτων. οἵαν νομίζεις κουφοτέραν, καὶ εὐεπιτηδειοτέραν, ταύτην ἐλθέ. πάλιν ὁ μὲν διὰ γάμου, ὁ δὲ διὰ παρθενίας. ὁ Ἀβραὰμ διὰ γάμου, ἐκεῖνος διὰ παρθενίας. ἣν θέλεις, βάδιζε. ἑκατέρα γὰρ φέρει πρὸς τὸν οὐρανόν. ὁ μὲν διὰ νηστείας ὁ Ἰωάννης, ὁ δὲ χωρὶς νηστείας, ὁ Ἰώβ. πάλιν αὐτὸς οὗτος καὶ γυναικὸς φροντίζων, καὶ παίδων, καὶ θυγατέρων, καὶ οἰκίας, καὶ πολὺν ἔχων πλοῦτον· ὁ δὲ ἄλλος οὐδὲν ἐκέκτητο, πλὴν τοῦ ἱματίου τοῦ τριχίνου. καὶ τί λέγω οἰκίαν, καὶ πλοῦτον, καὶ χρήματα, ὅπου γε καὶ ἐν βασιλείᾳ ὄντα δυνατὸν τῆς ἀρετῆς ἐπιλαβέσθαι; πάσης γὰρ οἰκίας ἰδιωτικῆς ἂν εὑρεθείη πολυπραγμονέστερος ὁ οἶκος ὁ βασιλικός. ὁ τοίνυν Δαβὶδ ἔλαμψεν ἐν βασιλείᾳ, καὶ οὐδὲν αὐτὸν ἐξέλυσεν ἡ ἁλουργὶς καὶ τὸ διάδημα. ἄλλος ὁλοκλήρου δήμου προστασίαν ἐμπιστευθείς, ὁ Μωϋσῆς λέγω, ὅπερ καὶ δυσκολώτερον τυγχάνει. ἐνταῦθα γὰρ μείζων ἡ ἐξουσία ἦν, ὅθεν καὶ πλείων ἡ δυσκολία ἐγίνετο. εἶδες ἐν πλούτῳ εὐδοκιμηκότας, εἶδες καὶ ἐν πενίᾳ, εἶδες ἐν γάμῳ, εἶδες καὶ ἐν παρθενίᾳ. ἴδε τοίνυν τοὺς πάλιν καὶ ἐν γάμῳ καὶ ἐν παρθενίᾳ ἀπολωλότας, καὶ ἐν πλούτῳ, καὶ ἐν πενίᾳ· οἷον ἐν γάμῳ μὲν πολλοὶ τῶν ἀνθρώπων ἀπώλοντο, οἷον Σαμψών, ἀλλ' οὐκ ἀπὸ τοῦ γάμου, ἀλλ' ἀπὸ τῆς ἰδίας προαιρέσεως· ἐν παρθενίᾳ δέ, οἷον αἱ πέντε παρθένοι· ἐν πλούτῳ, ὁ πλούσιος ὁ τὸν Λάζαρον περιορῶν· ἐν πενίᾳ, μυρίοι ἔτι καὶ νῦν πένητες ἀπόλλυνται. ἐν βασιλείᾳ δείκνυμι πολλοὺς ἀπολωλότας, ἐν δημαγωγίᾳ. θέλεις δὲ καὶ ἐν στρατιωτικῇ τάξει ἰδεῖν σωζομένους; ὅρα τὸν Κορνήλιον. καὶ ἐν προστασίᾳ οἰκίας; βλέπε τὸν εὐνοῦχον τῆς Αἰθιοπίσσης. οὕτω πάντοθεν ἐὰν εἰς δέον τῷ πλούτῳ χρώμεθα, οὐδὲν ἡμᾶς ἀπόλλυσιν· ἐὰν δὲ μή, ἅπαντα ἀπόλλυσι, καὶ βασιλεία, καὶ πενία, καὶ πλοῦτος. τὸν μέντοι νήφοντα οὐδὲν βλάψαι δυνήσεται. εἰ γὰρ

Margin notes: γρ. ὅπερ — Ησ. νδ. ιγ. — Ιωαν. ς. με. — Ματθ. ια. κθ. — * ἢ προσέχετε — γρ. ἐπιτηδ. — γρ. Ἰωάννης — γρ. ὁ Κορνήλιος — γρ. ὁ εὐνοῦχος ὁ τῆς

παλαίστρᾳ ὑπὸ παιδοτρίβῃ καὶ νόμῳ; μίμησαι τούτους καὶ σύ, μᾶλλον δὲ καὶ πλείονα ἐπίδειξαι προθυμίαν. οὐ γάρ ἐστι τὸ βραβεῖον· πολλοὶ δὲ οἱ κωλύοντες. νόμῳ ζῇ· πολλά ἐστι τὰ ἐκλύοντα τὴν ἰσχύν. εὐσκελῆ ποίησον αὐτὴν τῷ ποδί. ἔνεστι γάρ. οὐ γὰρ φύσεώς ἐστιν, ἀλλὰ προαιρέσεως. κούφην αὐτὴν ἐργασώμεθα, ἵνα μὴ τῇ βαρύτητι τῶν ποδῶν τὸ λοιπὸν ἄχθος ἐμποδίζῃ. διδαχθῆναι δεῖ τοὺς πόδας ἀσφαλεῖς. πολλοὶ γάρ εἰσιν ὀλισθοί· κἂν καταπίσῃς, πολλὰ ἀπώλεσας. πλὴν κἂν καταπίσῃς, διανάστηθι. ἔνι καὶ οὕτω νικῆσαι. μηδέποτε τοῖς ὀλισθηροῖς ἐπιχείρει πράγμασι, καὶ οὐ καταπίσῃ. ἐπὶ τὰ βεβηκότα τρέχε· ἄνω τὴν κεφαλήν, ἄνω τὸ ὄμμα. τοῦτο καὶ τοῖς τρέχουσιν οἱ παιδοτρίβαι παρακελεύονται· οὕτω διαβαστάζεται ἰσχύς. ἂν δὲ κάτω νεύσῃς, κατέπεσες, ἐξελύθης. ἄνω βλέπε, ὅπου τὸ βραβεῖόν ἐστιν. αὐτὴ τοῦ βραβείου ἡ ὄψις μείζονα ποιεῖ τὴν προαίρεσιν. οὐκ ἀφίησιν αἰσθέσθαι τῶν πόνων ἡ τῆς λήψεως ἐλπίς, τὸ μῆκος μικρὸν ποιεῖ φαίνεσθαι. τί ἐστι τὸ βραβεῖον; οὐ κλάδος φοίνικος, ἀλλὰ τί; βασιλεία οὐρανῶν, ἀνάπαυσις αἰώνιος, δόξα μετὰ Χριστοῦ, κληρονομία, ἀδελφότης, μυρία ἀγαθά, ἃ οὐκ ἔνι εἰπεῖν. οὐκ ἔνι ἐκείνου τοῦ βραβείου τὸ κάλλος διηγήσασθαι· ὁ κρατῶν αὐτοῦ οἶδε μόνος, καὶ ὁ μέλλων αὐτὸ λαμβάνειν. οὐκ ἔστι χρυσοῦν, οὐκ ἔστι διάλιθον· πολλῷ τούτων τιμιώτερον. ὁ χρυσὸς βόρβορος πρὸς ἐκεῖνο τὸ βραβεῖόν ἐστι· λίθοι τίμιοι, πλίνθος πρὸς τὸ κάλλος ἐκεῖνο τοῦ βραβείου. ἂν ἐκεῖνο ἔχων ἀπέλθῃς εἰς τὸν οὐρανόν, μετὰ πολλῆς τῆς τιμῆς ἐκεῖ βαδίζειν δυνήσῃ, καὶ ἄγγελοί σε αἰδεσθήσονται τοῦτο φέροντα τὸ βραβεῖον· πᾶσι μετὰ παρρησίας προσελεύσῃ πολλῆς. ἐν Χριστῷ Ἰησοῦ. ὅρα τὸν εὐγνώμονα. ἐν Χριστῷ Ἰησοῦ τοῦτο ποιῶ, φησίν. οὐ γὰρ ἔνι χωρὶς τῆς ἐκείνου ῥοπῆς τοσοῦτον διελθεῖν διάστημα· πολλῆς δεῖ τῆς βοηθείας, πολλῆς τῆς συμμαχίας. κάτω μέν σε ἀγωνίζεσθαι ἐβουλήθη, ἄνω δὲ στεφανοῖ· οὐχ ὡς ἐνταῦθα, ἔνθα ὁ ἀγών, ἐκεῖ καὶ ὁ στέφανος, ἀλλ' ἐν τῷ λαμπρῷ χωρίῳ ὁ στέφανός ἐστιν. οὐχ ὁρᾶτε καὶ ἐνταῦθα, ὅτι τοὺς μάλιστα εὐδοκιμοῦντας καὶ τῶν ἀθλητῶν καὶ τῶν ἡνιόχων οὐ στεφανοῦσιν ἐν τῷ σταδίῳ κάτω, ἀλλ' ἄνω καλέσας ὁ βασιλεὺς ἐκεῖ στεφανοῖ; οὕτω καὶ ἐνταῦθα, εἰς τὸν οὐρανὸν * λαμβάνεις τὸ βραβεῖον.

χ. παχύτητι. χ. καταπίσῃς. χ. αὖ τῇ. * ἐλάττω, ἔτι

15 Ὅσοι οὖν τέλειοι, φησί, τοῦτο φρονῶμεν· καὶ εἴ τι ἑτέρως φρονεῖτε, καὶ τοῦτο ὁ Θεὸς ὑμῖν ἀποκαλύψει. Ποῖον τοῦτο; ὅτι δεῖ τῶν ὄπισθεν ἐπιλανθάνεσθαι; ὥστε τελείου τὸ μὴ νομίζειν ἑαυτὸν τέλειον εἶναι. πῶς τοίνυν λέγεις, ὅσοι τέλειοι; εἰπὲ γάρ μοι, τοῦτο φρονοῦμεν ὃ σὺ φρονεῖς; εἰ γὰρ μὴ ἔλαβες, μηδὲ τετελείωσαι, πῶς τοὺς τελείους τοῦτο κελεύεις φρονεῖν, ὃ καὶ αὐτὸς φρονεῖς οὔπω τέλειος ὤν; τοῦτο γάρ ἐστι, φησί, τελειότης. καὶ εἴ τι ἑτέρως φρονεῖτε, καὶ τοῦτο ὁ Θεὸς ὑμῖν ἀποκαλύψει· τουτέστιν, εἴ δέ τις νομίζει τὸ πᾶν κατωρθωκέναι. ἀσφαλίζεται αὐτούς, ἀλλ' οὐκ εἶπεν οὕτως, ἀλλὰ τί; καὶ εἴ τι ἑτέρως φρονεῖτε, καὶ τοῦτο ὁ Θεὸς ὑμῖν ἀποκαλύψει. ὅρα πῶς συνεσταλμένως τοῦτό φησιν. ὁ Θεὸς ὑμᾶς διδάξει, τουτέστιν, ὁ Θεὸς ὑμᾶς πείσει, οὐχὶ διδάξει ἁπλῶς. ἐδίδασκε μὲν γὰρ ὁ Παῦλος, ἀλλ' ὁ Θεὸς ἐνῆγε. καὶ οὐκ εἶπεν, ἐνάξει, ἀλλ', ἀποκαλύψει, ἵνα δόξῃ μᾶλλον ἀγνοίας εἶναι τὸ πρᾶγμα. οὐ περὶ δογμάτων ταῦτα εἴρηται, ἀλλὰ περὶ βίου τελειότητος, καὶ τοῦ μὴ νομίζειν ἑαυτοὺς τελείους εἶναι· ὡς ὅ γε νομίζων τὸ πᾶν κατειληφέναι, οὐδὲν ἔχει.

χ. φρονῶμεν

16 Πλὴν εἰς ὃ ἐφθάσαμεν, τῷ αὐτῷ στοιχεῖν κανόνι, τὸ αὐτὸ φρονεῖν.

Πλὴν εἰς ὃ ἐφθάσαμεν, τί ἐστι; τέως, φησίν, ὃ κατωρθώσαμεν, κατέχωμεν, τὸ τῆς ἀγάπης, τὸ τῆς ὁμονοίας, τὸ τῆς εἰρήνης. τοῦτο ἡμῖν κατώρθωται. εἰς ὃ ἐφθάσαμεν, τῷ αὐτῷ στοιχεῖν κανόνι, τὸ αὐτὸ φρονεῖν. εἰς ὃ ἐφθάσαμεν, τουτέστι, τοῦτο ἡμῖν ἤδη κατώρθωται. ὁρᾷς ὅτι κανόνα βούλεται εἶναι τὰ παραγγέλματα; ὁ κανὼν οὔτε πρόσθεσιν, οὔτε ἀφαίρεσιν δέχεται (ἐπεὶ τὸ κανὼν εἶναι ἀπόλλυσι) τῷ αὐτῷ κανόνι, τουτέστι, τῇ αὐτῇ πίστει, τῷ αὐτῷ ὅρῳ.

17 Μιμηταί μου γίνεσθε, ἀδελφοί, καὶ σκοπεῖτε τοὺς οὕτω περιπατοῦντας, καθὼς ἔχετε τύπον ἡμᾶς.

Φιλιπ. γ. c.

Εἶπεν ἀνωτέρω, Βλέπετε τοὺς κύνας, ἀπήγαγεν αὐτοὺς ἐκείνων· προσ-

ἀγ

Οὐδὲν οὕτω κενοῖ κατορθώματα καὶ ἀποφυσᾷ, ὡς μνήμη τῶν εἰργασμένων ἡμῖν ἀγαθῶν. δύο γὰρ τίκτει κακά, ῥᾳθυμοτέρους τε ἐργάζεται, καὶ εἰς ἀπόνοιαν αἴρει. διόπερ ὁ Παῦλος, ἐπειδὴ οἶδεν ὀξύρροπον οὖσαν τὴν ἡμετέραν φύσιν πρὸς ῥᾳθυμίαν, καὶ πολλὰ δὲ τοὺς Φιλιππησίους ἐπῄνεσεν, ὅρα πῶς αὐτῶν καταστέλλει τὸ φρόνημα, διὰ πολλῶν μὲν καὶ ἑτέρων ἀνωτέρω, μάλιστα δὲ διὰ τούτων. τί λέγων; ἀδελφοί, ἐγὼ ἐμαυτὸν οὐ λογίζομαι κατειληφέναι. Εἰ δὲ Παῦλος οὐδέπω κατέλαβεν, οὐδὲ θαρρεῖ περὶ τῆς ἀναστάσεως, οὐδὲ περὶ τῶν λοιπῶν, σχολῇ γ' ἂν ἐκεῖνοι μηδὲ τὸ πολλοστὸν αὐτοῦ μέρος κατωρθωκότες τοῦτο ἂν ἔπραξαν. ὃ δὲ λέγει, τοῦτό ἐστιν· οὐδέπω κατειληφέναι τὴν ἀρετὴν ἅπασαν ἡγοῦμαι, οὕτως εἰπών, ὡς ἂν εἰ ἐπὶ δρομέως εἴποι τις, οὔπω κατέλαβεν. οὐδέπω τὸ πᾶν ἤνυσα, φησίν. Εἰ δὲ λέγει ἀλλαχοῦ, Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, καὶ ἐνταῦθα, οὐδέπω λογίζομαι κατειληφέναι, ἀναγνούς τις ἀμφότερα εἴσεται καλῶς τὴν αἰτίαν καὶ ἐκείνων, καὶ τούτων τῶν ῥημάτων. οὐ γὰρ δεῖ συνεχῶς τὰ αὐτὰ στρέφειν, καὶ ἡμᾶς πάντα διδάσκει. καὶ ὅτι ταῦτα πολὺ περίεστιν ἔλεγεν, ἐκεῖνα δὲ πρὸς τὸ τέλει οὔπω λογίζομαι κατειληφέναι φησίν, ἀλλ' ἑνός εἰμι μόνου, τοῦ τοῖς ἔμπροσθεν ἐπεκτείνεσθαι. τοῦτο γάρ ἐστιν ὅ φησιν, ἕν, τὰ μὲν ὀπίσω ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος, κατὰ σκοπὸν διώκω ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως τοῦ Θεοῦ ἐν Χριστῷ Ἰησοῦ. ὅρα πῶς εἰπὼν τοῦτο, ἐδήλωσε τί ἦν ὃ ἐποίει αὐτὸν τοῖς ἔμπροσθεν ἐπεκτείνεσθαι. ὁ μὲν οὖν ἤδη τετελειῶσθαι νομίζων, καὶ μηδὲν αὐτῷ λείπειν πρὸς ἀρετῆς κατόρθωσιν, κἂν ἐπαύσατο τρέχων, ὡς τὸ πᾶν κατειληφώς· ὁ δὲ ἀφεστάναι τοῦ τέρματος ἔτι νομίζων, οὐδέποτε παύσεται τρέχων. τοῦτο οὖν ἡμᾶς ἀεὶ δεῖ λογίζεσθαι, κἂν μυρία κατορθώσωμεν ἀγαθά. εἰ γὰρ Παῦλος μετὰ μυρίους θανάτους, μετὰ τοσούτους κινδύνους τοῦτο ἐλογίζετο, πολλῷ μᾶλλον ἡμεῖς. οὐ μὴν ἀνέπεσον, φησίν, ἐπειδὴ τοσοῦτον δραμεῖν οὐκ ἴσχυσα, οὐδὲ ἀπέγνων· ἀλλ' ἔτι τρέχω, ἔτι ἀγωνίζομαι. τοῦτο μόνον σκοπῶ, ὅπως ἂν προκόπτοιμι. οὕτω καὶ ἡμᾶς χρὴ ποιεῖν, ἐπιλανθάνεσθαι τῶν κατορθωμάτων, καὶ ἀφιέναι αὐτὰ ὀπίσω. καὶ γὰρ ὁ δρομεὺς οὐχ ὅσους ἤνυσεν ἀναλογίζεται * διαύλους, ἀλλ' ὅσους λείπεται. καὶ ἡμεῖς μὴ ὅσον ἠνύσαμεν τῆς ἀρετῆς ἀναλογιζώμεθα, ἀλλ' ὅσον ἡμῖν λείπει. τί γὰρ ἡμᾶς ὠφελεῖ τὸ ἀνυσθέν, ὅταν τὸ λειπόμενον μὴ προστεθῇ; καὶ οὐκ εἶπεν, ὅτι οὐκ ἀναλογίζομαι, οὐδὲ μέμνημαι, ἀλλ' ἐπιλανθανόμενος, ἡμᾶς προσεκτικωτέρους ποιῶν. οὕτω γὰρ σφοδροὶ γινόμεθα, ὅταν πᾶσαν προθυμίαν εἰς τὸ λοιπὸν ἀναλίσκωμεν, ὅταν ἐκεῖνα λήθῃ παραδῶμεν. ἐπεκτεινόμενος, φησί. πρὶν ἢ παραγενέσθαι, λαβεῖν σπουδάζομεν. ὁ γὰρ ἐπεκτεινόμενος, τοῦτ' ἐστιν, ὁ τοὺς πόδας καίτοι τρέχοντας τῷ λοιπῷ σώματι προλαβεῖν σπουδάζων, ἐπεκτείνων ἑαυτὸν εἰς τὸ ἔμπροσθεν, καὶ τὰς χεῖρας ἐκτείνων, ἵνα καὶ τοῦ δρόμου πλέον τι ἐργάσηται. τοῦτο δὲ ἀπὸ πολλῆς προθυμίας γίνεται, ἀπὸ πολλῆς θερμότητος. οὕτω δεῖ τρέχειν τὸν τρέχοντα, μετὰ τοσαύτης σπουδῆς, μετὰ τοσαύτης προθυμίας, οὐκ ἀναπεπτωκότα. ὅσον δὲ τοῦ οὕτω τρέχοντος καὶ τοῦ ὑπτίου κειμένου τὸ μέσον, τοσοῦτον τοῦ Παύλου καὶ ἡμῶν. καθ' ἡμέραν ἀπέθνησκεν ἐκεῖνος, καθ' ἡμέραν εὐδοκίμει. οὐκ ἦν καιρός, οὐκ ἦν χρόνος, ἐν ᾧ οὐκ ηὔξετο αὐτῷ ὁ δρόμος. οὐ λαβεῖν ἠθέλησεν, ἀλλ' ἁρπάσαι τὸ βραβεῖον. οὕτω γάρ ἐστι λαβεῖν. ἄνω ὁ τὸ βραβεῖον διδοὺς ἕστηκεν, ἄνω κεῖται τὸ βραβεῖον. ὅρα πόσον τὸ διάστημα τοῦτο * διαδραμεῖν· ὅρα πόσον τὸ ὕψος. ἐκεῖ δεῖ πετασθῆναι τοῖς τοῦ πνεύματος πτεροῖς. ἑτέρως γὰρ οὐκ ἔνι τὸ ὕψος τοῦτο τεμεῖν. μετὰ τοῦ σώματος ἐκεῖ δεῖ βαδίσαι· ἔξεστι γάρ. Ἡμῶν γὰρ τὸ πολίτευμα, φησίν, ἐν οὐρανῷ, ἐκεῖ τὸ βραβεῖόν ἐστιν. ὁρᾷς τοὺς τρέχοντας πῶς νόμῳ ζῶσι; πῶς οὐδὲν τῶν ἐκλυόντων τὴν ἰσχὺν προσίενται; πῶς ἀγωνίζονται καθ' ἑκάστην ἡμέραν ἐν παλαίστρᾳ

β. Τιμ. δ. ζ.

Φιλιπ. γ. κ.

γ. ἐμφυσᾷ

γ. οἶδεν

γ. ἀκριβῶς

γ. πολλῷ

γ. τῷ τέλει τῷ

γ. τοῦτο γὰρ αὐτὸ ἐποίει

γ. παύσαιτο

γ. ἔχω ἀεὶ προκόπτειν.

* μόνον

* καὶ

γ. ἐκκλίνων

* διὸ

γ. [illegible]

μῶν κατεχόμενοι, πᾶν εἶδος ἔχοντα νόσου. καὶ γὰρ καὶ πυρετὸς ἠνώχλει (τοῦτο γὰρ ἐπιθυμία πονηρά) καὶ φλεγμοναὶ ἐπέκειντο (τοῦτο γὰρ ἡ ἀπόνοια) καὶ ἡ βουλιμία τις [ἡ λεγομένη] κατεῖχε (τοῦτο γὰρ ἡ πλεονεξία) καὶ σηπεδόνες πανταχόθεν (τοῦτο γὰρ ἡ πορνεία) καὶ πήρωσις ὀφθαλμῶν (τοῦτο γὰρ εἰδωλολατρεία) καὶ κώφωσις, καὶ παραπληξία (τοῦτο γὰρ τὸ προσκυνεῖν λίθοις, καὶ ξύλοις, καὶ ἐκείνοις προσφθέγγεσθαι) καὶ δυσωδία πολλή· τοῦτο γὰρ ἡ κακία, ἀηδής τις, καὶ νόσος χαλεπωτάτη. εἶδε χθὲς πάλιν τῶν μαινομένων φθεγγομένους ἡμᾶς, καὶ τὰ ξύλα Θεὸν καλοῦντας, καὶ τὸν λίθον ὁμοίως· εἶδεν ἐν τοσαύτῃ κακίᾳ, καὶ οὐκ ἐβδελύξατο, οὐκ ἐδυσχέρανεν, οὐκ ἀπεστράφη, οὐκ ἐμίσησε. δεσπότης γὰρ ἦν, καὶ τὸ ἴδιον πλάσμα οὐκ ἂν ἐμίσησεν. ἀλλὰ τί ποιεῖ; καθάπερ ἄριστος ἰατρὸς κατασκευάζει φάρμακα πολλοῦ ἄξια, καὶ πρῶτος αὐτῶν ἀπογεύεται. τὴν γὰρ ἀρετὴν αὐτὸς πρῶτος μετῆλθε, καὶ οὕτως ἡμῖν ἔδωκε. καὶ πρῶτον καθάπερ αὐτόθεν τι φάρμακον ἔδωκε, τὸ λουτρὸν, καὶ οὕτω πᾶσαν ἡμέσαμεν κακίαν, καὶ πάντα ἐφυγαδεύθη ἀθρόον. καὶ ἡ φλεγμονὴ ἐπαύσατο, καὶ ὁ πυρετὸς ἐσβέσθη, καὶ αἱ σηπεδόνες ἐκαύθησαν. πάντα γὰρ καὶ τὰ ἀπὸ πλεονεξίας, καὶ τὰ ἀπὸ θυμοῦ, καὶ τὰ ἄλλα κακὰ ἐκενώθη διὰ τοῦ πνεύματος. ἀνεῴχθησαν οἱ ὀφθαλμοί, διηνοίγη τὰ ὦτα, ἐλάλησεν εὔφημον φωνὴν ἡ γλῶσσα, ἔλαβεν ἰσχὺν ἡ ψυχή, ἔλαβε κάλλος καὶ ἄνθος τὸ σῶμα τοιοῦτον, οἷον εἰκὸς υἱὸν Θεοῦ τεχθέντα κάλλος ἔχειν ἀπὸ τῆς τοῦ πνεύματος χάριτος, οἵαν εἰκὸς δόξαν ἔχειν υἱὸν ἄρτι τεχθέντα βασιλεῖ, καὶ ἐν ἁλουργίδι τρεφόμενον. οἴμοι, πόσην εὐγένειαν ἡμῖν ἐχαρίσατο; ἡμεῖς δὲ περὶ τὸν οὕτως ἡμᾶς φιλήσαντα ἀχάριστοι ἐγενόμεθα. ἐπεχθήσαμεν, ἐτράφημεν, εὐεργετήθημεν. τί πάλιν φαμὲν τὸν εὐεργέτην; ὁ τοίνυν ταῦτα πάντα ποιήσας, καὶ ἰσχὺν δίδωσιν. οὐ γὰρ ἐνῆν κατεχομένους τῷ νοσήματι ἐνεγκεῖν, εἰ μὴ αὐτὸς ἡμῖν ἔδωκε τὴν ἰσχύν. ἔδωκε τῶν ἁμαρτημάτων τὴν ἄφεσιν, ἠθετήσαμεν τὴν δωρεάν· ἔδωκεν ἡμῖν πλοῦτον, ἐσκορπίσαμεν αὐτόν, κατεφάγομεν ἅπαντα· ἔδωκεν ἡμῖν ἰσχύν, ἀνηλώσαμεν αὐτήν· ἔδωκεν ἡμῖν χάρισμα, ἐσβέσαμεν αὐτό. πῶς; ἀνηλώσαμεν εἰς οὐδὲν δέον, ἐχρησάμεθα ἐν οὐδενὶ χρησίμῳ. ταῦτα ἡμᾶς ἀπώλεσε, καὶ τὸ πάντων δεινότερον, ὅτι ἐν ἀλλοτρίᾳ ὄντες, καὶ κεράτια ἐσθίοντες, οὐ λέγομεν, ἐπιστρέψωμεν πρὸς τὸν πατέρα, καὶ εἴπωμεν, ἡμάρτομεν εἰς τὸν οὐρανόν, καὶ εἰς σέ, καὶ πατέρα οὕτως ἔχοντες φιλόστοργον, σφόδρα ποθοῦντα ἡμῶν τὴν ἐπάνοδον. ὡς ἂν μόνον ἀποστῶμεν τῆς κακίας, ἂν πρὸς αὐτὸν ἐπανέλθωμεν μόνον, οὐδὲ ἐγκαλέσαι λοιπὸν ὑπὲρ τῶν προτέρων ἀνέχεται· μόνον ἀποστῶμεν. ἱκανὴ γὰρ ἀπολογία, τὸ ἐπανελθεῖν. τί λέγω, ἐγκαλέσαι οὐκ ἀνέχεται; οὐ μόνον αὐτὸς οὐκ ἐγκαλεῖ, ἀλλὰ κἂν ἕτερος ἐγκαλῇ, ἐπιστομίζεται, κἂν εὐδοκιμηκὼς ᾖ ὁ ἐγκαλῶν. οὐκοῦν ἐπανέλθωμεν· μέχρι τίνος ἀφιστάμεθα; λάβωμεν αἴσθησιν τῆς ἀτιμίας, λάβωμεν αἴσθησιν τῆς εὐτελείας· ἡ κακία χοίρους [illegible]) ποιεῖ. ἡ κακία λιμὸν φέρει τῇ ψυχῇ. ἀνακτησώμεθα ἑαυτούς, καὶ ἀναψύξωμεν, καὶ ἐπανέλθωμεν ἐπὶ τὴν προτέραν εὐγένειαν, ἵνα τύχωμεν τῶν μελλόντων ἀγαθῶν.

Λουκ. 15. 18. (margin)

χ. ἰσοῦσθαι · χ. καίτοι · χ. αὔξεται · χ. λοιμὸν ἐμποιεῖ · χ. ἐπανέλθωμεν σπουδάσωμεν · χ. ἔχω (margin)

Λογ. ιβ. 13 ΑΔΕΛΦΟΙ, ΕΓΩ ΕΜΑΥΤΟΝ ΟΥ ΛΟΓΙΖΟμαι κατειληφέναι. 14 Ἓν δέ, τὰ μὲν ὀπίσω ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος, κατὰ σκοπὸν διώκω ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως τοῦ Θεοῦ ἐν Χριστῷ Ἰησοῦ.



Digitized by Google

οὐδένα ὁρᾷ, πάντας μετὰ πολλῆς τῆς ῥύμης οὐ διακόπτοντας ἀπωθεῖται, καὶ διατείνει καὶ ὄμμα καὶ ἰσχὺν καὶ ψυχὴν καὶ σῶμα συστρέφει, πρὸς ἕτερον μὲν οὐδὲν ὁρῶν, πρὸς δὲ τὸ βραβεῖον μόνον. Εἰ δὲ ὁ διώκων Παῦλος, ὁ τοσαῦτα παθὼν, ἔτι φησὶν, Εἰ καὶ καταλάβω, τί ἂν εἴποιμεν ἡμεῖς οἱ ἀναπεπτωκότες; Εἶτα δεικνὺς, ὅτι ὀφειλῆς τὸ πρᾶγμά ἐστι, φησὶν, ἐφ' ᾧ καὶ κατελήφθην ὑπὸ Ἰησοῦ Χριστοῦ. τῶν ἀπολλυμένων ἤμην, φησὶν, ἐπνιγόμην, ἔμελλον ἀπόλλυσθαι· κατέλαβέ με ὁ Θεός. καὶ γὰρ αὐτὸς ἡμᾶς ἐδίωκε φεύγοντας αὐτὸν μετὰ πολλῆς τῆς σπουδῆς. διὰ τούτου ταῦτα πάντα παρίστησι. τὸ γὰρ εἰπεῖν, ὅτι κατελήφθην, ἔδειξε καὶ τοῦ βουλομένου καταλαβεῖν τὴν σπουδὴν, καὶ ἡμῶν τὴν ἀποστροφὴν τὴν πολλὴν, καὶ τὴν πλάνην, καὶ ὅτι αὐτὸν ἐφεύγομεν.

[ΗΘΙΚΟΝ] Διὸ καὶ δακρύων ἄξιον, ὅτι πάντων εἰς τὴν προτέραν κατάστασιν πάλιν ἐλθόντων, καὶ ὅτι πολλῆς ὀφειλῆς ὄντων ἡμῶν ὑπευθύνων, οὐδεὶς πενθεῖ, οὐδεὶς δακρύει, οὐδεὶς στενάζει. καὶ μὴ καταγνῷς εἰρωνείαν τοῦ λόγου. ὥσπερ γὰρ πρὸ τῆς παρουσίας τοῦ Χριστοῦ τὸν Θεὸν ἐφεύγομεν, οὕτω φεύγομεν αὐτὸν καὶ νῦν. φεύγειν γάρ ἐστι τὸν Θεὸν, οὐ τόπῳ (πανταχοῦ γάρ ἐστι) ἀλλὰ τοῖς ἔργοις. καὶ ὅτι οὐκ ἔστι φεύγειν, ἄκουε τοῦ προφήτου λέγοντος, Ποῦ πορευθῶ ἀπὸ [Ψαλ. ρλη. ς.] τοῦ πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; πῶς οὖν ἐστι φυγεῖν τὸν Θεόν; ὡς ἔστι πόρρω γενέσθαι τοῦ Θεοῦ, ὡς ἔστι μακρυνθῆναι· Οἱ γὰρ μακρύνοντες ἑαυτοὺς, φησὶν, ἀπὸ [Ψαλ. οβ. κζ.] σοῦ, ἀπολοῦνται. καὶ πάλιν, Οὐχὶ τὰ ἁμαρτήματα ὑμῶν διιστῶσιν ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν; [Ησ. νθ. β.] πῶς οὖν γίνεται τὸ μακρυνθῆναι; πῶς γίνεται διάστασις; προαιρέσει καὶ ψυχῇ· τόπῳ γὰρ οὐκ ἔνι. πῶς γὰρ ἄν τις τὸν πανταχοῦ παρόντα φεύγοι; ὁ τοίνυν ἁμαρτωλὸς φεύγει. τοῦτό ἐστιν ὅ φησιν ἡ γραφὴ, Φεύγει ὁ ἀσεβὴς, μηδενὸς διώκοντος. σφόδρα φεύγομεν τὸν Θεὸν, καίτοι ἀεὶ [Παροιμ. κη. α.] διώκοντα ἡμᾶς αὐτόν. ὁ ἀπόστολος ἐδίωκεν, ἵνα ἐγγὺς αὐτοῦ γένηται· ἡμεῖς διώκομεν, ἵνα πόρρω γενώμεθα. ἆρα οὐκ ἄξια ταῦτα θρήνων; ἆρα οὐκ ἄξια δακρύων; ποῦ φεύγεις, ἄθλιε καὶ ταλαίπωρε; ποῦ φεύγεις τὴν ζωὴν καὶ τὴν σωτηρίαν τὴν σήν; ἂν τὸν Θεὸν φύγῃς, πρὸς τίνα καταφεύξῃ; ἂν τὸ φῶς φύγῃς, ποῦ διαβλέψεις; [illegible] ἂν τὴν ζωὴν φύγῃς, πόθεν ζήσῃ λοιπόν; φύγωμεν τὸν ἐχθρὸν τῆς σωτηρίας τῆς ἡμετέρας. ὅταν ἁμαρτάνωμεν, φεύγομεν ἀπὸ τοῦ Θεοῦ, δραπετεύομεν, εἰς ἀλλοτρίαν ἀπερχόμεθα γῆν, καθάπερ ἐκεῖνος ὁ καταφαγὼν τὰ ὑπάρχοντα τὰ πατρῷα, καὶ ἀπελθὼν εἰς ἀλλοτρίαν γῆν, ὁ καταναλώσας πᾶσαν τὴν πατρικὴν οὐσίαν, καὶ ἐν λιμῷ ζῶν. ἔχομεν οὖν πατρικὴν οὐσίαν καὶ ἡμεῖς. ποίαν δὴ ταύτην; ἀπήλλαξεν ἡμᾶς τῶν ἁμαρτημάτων, ἐχαρίσατο ἡμῖν δύναμιν, ἰσχὺν πρὸς τὴν τῆς ἀρετῆς ἐργασίαν, ἐχαρίσατο ἡμῖν προθυμίαν, ὑπομονὴν, ἐν τῷ βαπτίσματι ἐχαρίσατο ἡμῖν πνεῦμα ἅγιον. ἂν ταῦτα καταναλώσωμεν, ἐν λιμῷ λοιπὸν ἐσόμεθα. καθάπερ γὰρ οἱ νοσοῦντες, ἕως μὲν ἂν πυρετοῖς ἐνοχλῶνται καὶ χυμῶν κακίᾳ, οὐδὲ διαστῆναι, οὐδὲ ἐργάσασθαι, οὐδὲ πρᾶξαί τι δύνανται· ἂν δέ τις αὐτοὺς ἀπαλλάξῃ, καὶ εἰς ὑγείαν ἀγάγῃ, εἶτα μὴ ἐργάζωνται, παρὰ τὴν οἰκείαν αὐτῶν τοῦτο γίνεται ῥαθυμίαν· οὕτω δὴ καὶ ἐφ' ἡμῶν. ἐπέκειτο ἡμῖν νόσος χαλεπὴ καὶ πυρετὸς σφοδρός· καὶ ἐκείμεθα οὐκ ἐπὶ κλίνης, ἀλλ' ἐπὶ τῆς κακίας αὐτῆς, καθάπερ ἐν κοπρίᾳ, τῇ πονηρίᾳ ἐρριμμένοι, ἑλκούμενοι, δυσωδίας ἀνάπλεῳ, αὐχμῶντες, κατατετρυχωμένοι, εἴδωλα μᾶλλον ὄντες, ἢ ἄνθρωποι, περιεστήκεσαν ἡμᾶς δαίμονες πονηροὶ, ὁ ἄρχων τοῦ κόσμου τούτου γελῶν, ἐπεμβαίνων. ἦλθεν ὁ τοῦ Θεοῦ μονογενὴς, ἀφῆκε τὰς ἀκτῖνας τῆς παρουσίας αὐτοῦ, καὶ τὸν ζόφον εὐθέως ἀπήλασεν. ἦλθε πρὸς ἡμᾶς ὁ βασιλεὺς ὁ ὢν ἐν τοῖς θρόνοις τοῖς πατρικοῖς, τοὺς θρόνους ἀφεὶς τοὺς πατρικούς. ὅταν δὲ, ἀφεὶς, εἴπω, μὴ πάλιν μετάστασιν νομίσῃς (τὸν γὰρ οὐρανὸν καὶ τὴν γῆν αὐτὸς πληροῖ) ἀλλὰ διὰ τὴν οἰκονομίαν τοῦτό φημι. ἦλθε πρὸς ἐχθροὺς τοὺς μισοῦντας αὐτὸν, τοὺς ἀποστρεφομένους, τοὺς οὐδὲ ἰδεῖν αὐτὸν ἀνεχομένους, τοὺς καθ' ἑκάστην αὐτὸν βλασφημοῦντας τὴν ἡμέραν. Εἶδεν ἐν κοπρίᾳ κειμένους, σκώληξιν ἑλκουμένους, πυρετοῖς, λι-

μῷ

ταῦτα τὴν εἰκόνα δημιουργοῦσιν ἐκείνην τοῦ θανάτου. οὐ γὰρ τὸ ἑαυτοῦ ζητεῖ, ἀλλὰ τὸ τῶν πολλῶν. ὥστε καὶ οἱ διωγμοὶ καὶ αἱ θλίψεις καὶ αἱ στενοχωρίαι οὐ μόνον ὑμᾶς οὐκ ὀφείλουσι θορυβεῖν, ἀλλὰ καὶ εὐφραίνειν, ὅτι διὰ τούτων συμμορφούμεθα τῷ θανάτῳ αὐτοῦ· ὡς ἂν εἰ ἔλεγεν, ἐξεικονιζόμεθα· ὃ καὶ ἀλλαχοῦ λέγει γράφων, Τὴν νέκρωσιν τοῦ Κυρίου Ἰησοῦ ἐν τῷ σώματι περιφέροντες. καὶ τοῦτο δὲ ἀπὸ πίστεως πολλῆς ἐστιν. οὐ γάρ, ὅτι ἀνέστη μόνον, πιστεύομεν, ἀλλ' ὅτι καὶ μετὰ τὴν ἀνάστασιν πολλὴν ἔχει τὴν ἰσχύν. διὰ τοῦτο τὴν αὐτὴν ὁδὸν ὁδεύομεν, ἥνπερ ὥδευσε, τουτέστιν, ἀδελφοὶ γινόμεθα αὐτοῦ καὶ κατὰ τοῦτο· ὡς ἂν εἰ ἔλεγε· χριστοὶ γινόμεθα κατὰ τοῦτο. βαβαί, πόσον τῶν παθῶν τὸ ἀξίωμα; πιστεύομεν ὅτι συμμορφούμεθα τῷ θανάτῳ αὐτοῦ διὰ τῶν παθημάτων. ὥσπερ γὰρ ἐν τῷ βαπτίσματι συνετάφημεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, οὕτως ἐνταῦθα τῷ θανάτῳ συμμορφούμεθα αὐτοῦ. ἐκεῖ εἰκότως εἶπε, τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ. οὐ γὰρ ὅλον τὸν θάνατον ἀπεθάνομεν. οὐ γὰρ σώματι καὶ σαρκὶ ἀπεθάνομεν, ἀλλ' ἁμαρτίᾳ. ἐπεὶ οὖν θάνατος καὶ θάνατος λέγεται, ἀλλ' ἐκεῖνος μὲν ἀπέθανε σώματι, ἡμεῖς δὲ ἁμαρτίᾳ, καὶ ἐκεῖ ὁ ἄνθρωπος ἀπέθανεν, ὃν ἀνέλαβεν αὐτὸς ὁ ἐν σώματι ἡμῶν, ὧδε ὁ ἄνθρωπος τῆς ἁμαρτίας· διὰ τοῦτο ἐκεῖ μέν φησι, τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἐνταῦθα δέ, οὐκ ἔτι ὁμοιώματι θανάτου, ἀλλ' αὐτῷ τῷ θανάτῳ. Παῦλος γὰρ οὐκ ἔτι ἁμαρτίᾳ ἀπέθανεν ἐν τοῖς διωγμοῖς, ἀλλ' αὐτῷ τῷ σώματι· ὥστε τὸν αὐτὸν ὑπέμεινε θάνατον. Εἴ πως καταντήσω, φησίν, εἰς τὴν ἐξανάστασιν τὴν ἐκ νεκρῶν. τί λέγεις; καὶ μὴν πάντες αὐτῆς τυγχάνουσι (Πάντες μὲν γὰρ οὐ κοιμηθησόμεθα, φησί, πάντες δὲ ἀλλαγησόμεθα) καὶ οὐκ ἀναστάσεως μόνης, ἀλλὰ καὶ ἀφθαρσίας πάντες, οἱ μὲν εἰς τιμήν, οἱ δὲ εἰς ἐφόδιον κολάσεως. εἰ τοίνυν πάντες τῆς ἀναστάσεως τυγχάνουσι, καὶ οὐ τῆς ἀναστάσεως μόνης, ἀλλὰ καὶ ἀφθαρσίας, πῶς ὡς μέλλων ἐξαιρέτου τινὸς τυγχάνειν ἔλεγες, Εἴ πως καταντήσω; διὰ τοῦτο ταῦτα πάσχω, φησίν, εἴ πως καταντήσω εἰς τὴν ἐξανάστασιν τὴν ἐκ νεκρῶν. εἰ γὰρ μὴ ἀπέθανες, οὐκ ἀνίστασο. τί οὖν ἐστι; δοκεῖ μέγα τι ἐνταῦθα αἰνίττεσθαι. οὕτω γὰρ μέγα ἦν, ὅτι οὐδὲ ἐθάρρησεν ἀποφήνασθαι, ἀλλά φησιν ἁπλῶς, Εἴ πως. ἐπίστευσα εἰς αὐτὸν καὶ τὴν αὐτοῦ ἀνάστασιν, ἀλλὰ καὶ πάσχω δι' αὐτόν, ἀλλ' οὔπω δύναμαι θαρρῆσαι περὶ τῆς ἀναστάσεως. ποίαν ἐνταῦθα ἀνάστασίν φησι; τὴν πρὸς αὐτὸν ἄγουσαν τὸν Χριστόν. εἶπον ὅτι ἐπίστευσα αὐτῷ καὶ τῇ τῆς ἀναστάσεως αὐτοῦ δυνάμει, καὶ ὅτι κοινωνός εἰμι τῶν παθημάτων αὐτοῦ, καὶ ὅτι συμμορφοῦμαι τῷ θανάτῳ αὐτοῦ· ἀλλ' ὅμως μετὰ ταῦτα πάντα οὔπω θαρρῶ· ὅπερ ἀλλαχοῦ λέγει, Ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ. καὶ πάλιν, Φοβοῦμαι μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι.

β. Κορ. δ. ι. — χ. γινόμενοι — α. Κορ. ιε. να. — χ. δυνάμεθα — α Κορ. ι. ιβ. καὶ θ. κζ.

12 Οὐχ ὅτι ἤδη ἔλαβον, ἢ ἤδη τετελείωμαι, διώκω δὲ εἰ καὶ καταλάβω, ἐφ' ᾧ καὶ κατελήφθην ὑπὸ Χριστοῦ Ἰησοῦ. Οὐχ ὅτι ἤδη ἔλαβον. τί ἐστιν, ἤδη ἔλαβον; τὸ βραβεῖον φησίν. εἰ δὲ ὁ τοσαῦτα παθών, εἰ δὲ ὁ διωκόμενος, εἰ δὲ ὁ τὴν νέκρωσιν ἔχων, οὔπω ἐθάρρει περὶ τῆς ἀναστάσεως ἐκείνης, τί ἂν εἴποιμεν ἡμεῖς; τί ἐστιν, εἰ καταλάβω; ὅπερ πρότερον ἔλεγεν, εἰ καταντήσω εἰς τὴν ἐξανάστασιν τὴν ἐκ νεκρῶν. τὴν αὐτοῦ, φησίν, ἀνάστασιν εἰ καταλάβω, τουτέστιν, ἐὰν δυνηθῶ τοσαῦτα παθεῖν, ἂν δυνηθῶ μιμήσασθαι αὐτόν, ἂν δυνηθῶ σύμμορφος αὐτῷ γενέσθαι. ὅρα, πολλὰ ἔπαθεν ὁ Χριστός, ἐνεπτύσθη, ἐρραπίσθη, ἐμαστιγώθη, ὕστερον ἀπέθανε. τοῦτο στάδιόν ἐστι· διὰ πάντων τούτων δεῖ πρὸς τὴν ἀνάστασιν αὐτοῦ φθάσαι πάντας τοὺς ἄθλους ἐνεγκόντας. ἢ τοίνυν τοῦτό φησιν, ἢ ὅτι ἐὰν καταξιωθῶ τῆς ἀναστάσεως τυχεῖν εὐδοκίμου, παρρησίαν ἐχούσης, εἰς τὴν ἐξανάστασιν φθάνω τὴν αὐτοῦ. ἂν γὰρ δυνηθῶ τοὺς ἀγῶνας πάντας ἐνεγκεῖν, καὶ τὴν ἀνάστασιν αὐτοῦ δυνήσομαι τυχεῖν, καὶ μετὰ δόξης ἀναστῆναι. οὔπω γάρ, φησιν, ἄξιός εἰμι· διώκω δέ, εἰ καὶ καταλάβω. ἔτι ἐναγώνιός μοι ὁ βίος, ἔτι τοῦ τέλους εἰμὶ πόρρω, ἔτι τῶν βραβείων ἀφέστηκα, ἔτι τρέχω, ἔτι διώκω. καὶ οὐκ εἶπε, τρέχω, ἀλλά, διώκω. εἰκότως. ὁ γὰρ διώκων ἴστε μεθ' ὅσου τόνου διώκει·

χ. ἔπαθεν ἀντὶ τοῦ ἔπαθε

οὐδένα

Digitized by Google

αὐτὸν περὶ κοσμικῶν πραγμάτων τοῦτο λέγειν. Εἰπὼν γὰρ, ἅτινα ἦν μοι κέρδη, ταῦτα ἥγημαι διὰ τὸν Χριστὸν ζημίαν, [ἀλλὰ μὲν οὖν καὶ ἡγοῦμαι, φησι, πάντα ζημίαν,] πάντα εἶπε, καὶ τὰ πάλαι, καὶ τὰ παρόντα. Εἰ δὲ βούλει καὶ τὸν νόμον, οὐδὲ οὕτως ὕβρισται. τὸ γὰρ σκύβαλον ἀπὸ τοῦ σίτου ἐστὶ, καὶ τὸ ἰσχυρὸν τοῦ σίτου τὸ σκύβαλόν ἐστι, τὸ ἄχυρον λέγω. ὥστε περὶ τούτου χρήσιμον τὸ σκύβαλον ἦν. μετὰ γὰρ τοῦ σίτου αὐτὸ ἐκλέγομεν, καὶ εἰ μὴ τὸ σκύβαλον ἦν, οὐκ ἂν ὁ σῖτος ἐγένετο· οὕτω καὶ ἐπὶ τοῦ νόμου. ὁρᾷς πῶς πανταχοῦ οὐκ αὐτὸ τοῦτο ζημίαν τὸ πρᾶγμα καλεῖ, ἀλλὰ διὰ τὸν Χριστόν; ἀλλὰ μὲν οὖν καὶ πάντα ἡγοῦμαι ζημίαν. διὰ τί; πάλιν διὰ τὸ ὑπερέχον τῆς γνώσεως, δι' ὃν τὰ πάντα ἐζημιώθην. Εἶτα ἐπάγει, δι' ὃ καὶ ἡγοῦμαι πάντα ζημίαν εἶναι, ἵνα Χριστὸν κερδήσω. ὁρᾷς πῶς ἐπιλαμβάνεται πάντοθεν τοῦ ἐρείσματος τοῦ Χριστοῦ, καὶ οὐκ ἀφίησιν οὐδαμοῦ γυμνωθῆναι τὸν νόμον, οὐδὲ πληγὴν λαβεῖν, ἀλλὰ περιβάλλει πάντοθεν αὐτόν; καὶ εὑρεθῶ ἐν αὐτῷ μὴ ἔχων ἐμὴν δικαιοσύνην τὴν ἐκ τοῦ νόμου. Εἰ ὁ δικαιοσύνην ἔχων, διὰ τὸ μηδὲν αὐτὴν εἶναι, πρὸς ταύτην τὴν δικαιοσύνην ἔδραμεν, οἱ μὴ ἔχοντες πῶς οὐ πολλῷ μᾶλλον ὀφείλουσι προστρέχειν αὐτῇ; καὶ καλῶς εἶπε, μὴ ἔχων ἐμὴν δικαιοσύνην, οὐχ ἣν διὰ πόνων καὶ ἱδρώτων ἐκτησάμην, ἀλλ' ἣν εὗρον ἀπὸ τῆς χάριτος, φησιν. Εἰ τοίνυν ὁ κατορθώσας ἀπὸ χάριτος σώζεται, πολλῷ μᾶλλον ὑμεῖς. ἐπειδὴ γὰρ εἰκὸς ἦν αὐτοὺς λέγειν, ὅτι μείζων αὕτη ἡ δικαιοσύνη ἡ

χ. τῶ

διὰ πόνων, δείκνυσιν ὅτι σκύβαλον αὕτη ἐστὶ πρὸς ἐκείνην. οὐ γὰρ ἄν ποτε ἐγὼ κατορθώσας, αὐτὴν ῥίψας ταύτῃ προσέτρεχον. ποία δέ ἐστιν αὕτη; ἡ ἀπὸ πίστεως τοῦ Θεοῦ, τουτέστι, καὶ αὕτη παρὰ Θεοῦ δέδοται. Θεοῦ ἐστιν αὕτη ἡ δικαιοσύνη· δωρεά ἐστιν αὕτη ὁλόκληρος. τὰ δὲ τοῦ Θεοῦ δῶρα πολλῷ τῷ μέτρῳ ὑπερβαίνει τὴν εὐτέλειαν τῶν κατορθωμάτων τῶν διὰ τῆς ἡμετέρας σπουδῆς γινομένων. τί δέ ἐστιν ἡ πίστις; ἐπὶ τῇ πίστει, φησί, Τοῦ γνῶναι

χ. γάρ;

αὐτόν. Ἄρα διὰ πίστεως ἡ γνῶσις, καὶ πίστεως ἄνευ γνῶναι αὐτὸν οὐκ ἔστι. πῶς δέ; δι' αὐτῆς δεῖ γνῶναι τὴν δύναμιν τῆς ἀναστάσεως αὐτοῦ. ποῖος γὰρ λογισμὸς τὴν ἀνάστασιν ἡμῖν παραστήσει; οὐδεὶς, ἀλλὰ πίστις. Εἰ δὲ ἡ ἀνάστασις τοῦ κατὰ σάρκα Χριστοῦ πίστει γινώσκεται, πῶς ἡ γέννησις τοῦ Θεοῦ λόγου λογισμοῖς καταλαμβάνεται; τῆς γὰρ γεννήσεως ἐλάττων ἡ ἀνάστασις. διὰ τί; ὅτι ἐκείνης μὲν πολλὰ τὰ ὑποδείγματα γέγονε, ταύτης δὲ οὐδὲ ἕν. νεκροὶ μὲν γὰρ ἀνέστησαν πολλοὶ πρὸ τοῦ Χριστοῦ, εἰ καὶ ἐτελεύτησαν ἀναστάντες· ἀπὸ δὲ παρθένου οὐδεὶς ἐτέχθη ποτέ. εἰ τοίνυν ὃ καὶ τῆς κατὰ σάρκα γεννήσεως εὐτελέστερον, τοῦτο πίστει δεῖ παραλαμβάνειν, ὃ πολλῷ μεῖζον, καὶ ἀπείρως μεῖζον καὶ ἀσυγκρίτως, πῶς λογισμῷ καταλαμβάνεται; ταῦτα ποιεῖ τὴν δικαιοσύνην. τοῦτο γὰρ δεῖ πιστεῦσαι, ὅτι ἐδυνήθη· ὃ δὲ πῶς ἐδυνήθη, οὐκέτι ἐστὶ παραστῆσαι. ἀπὸ γὰρ πίστεως καὶ ἡ κοινωνία τῶν παθημάτων. πῶς; εἰ γὰρ μὴ ἐπιστεύομεν, οὐδ' ἂν ἐπάθομεν. Εἰ μὴ ἐπιστεύομεν, ὅτι συνυπομείναντες συμβασιλεύσομεν, οὐδ' ἂν ἐπάθομεν τὰ παθήματα. ἄρα πίστει καὶ ἡ γέννησις, καὶ ἡ ἀνάστασις καταλαμβάνεται. ὁρᾷς ὅτι οὐχ ἁπλῶς δεῖ τὴν πίστιν εἶναι, ἀλλὰ δι' ἔργων; ἐκεῖνος γὰρ μάλιστα πιστεύει, ὅτι ἀνέστη Χριστὸς, ὁ παραβόλως ἑαυτὸν τοῖς κινδύνοις ἐκδιδοὺς, ὁ κοινωνῶν αὐτῷ ἐν τοῖς παθήμασι. ὁ γὰρ ἀναστάντι κοινωνῶν, ὁ ζῶντι. διὰ τοῦτο ἔλεγε·

9 Καὶ εὑρεθῶ ἐν αὐτῷ μὴ ἔχων ἐμὴν δικαιοσύνην τὴν ἐκ τοῦ νόμου, ἀλλὰ τὴν διὰ πίστεως Χριστοῦ, τὴν ἐκ Θεοῦ δικαιοσύνην ἐπὶ τῇ πίστει,

10 Τοῦ γνῶναι αὐτὸν καὶ τὴν δύναμιν τῆς ἀναστάσεως αὐτοῦ, καὶ τὴν κοινωνίαν τῶν παθημάτων αὐτοῦ, συμμορφούμενος τῷ θανάτῳ αὐτοῦ,

11 Εἴ πως καταντήσω εἰς τὴν ἐξανάστασιν τῶν νεκρῶν. Συμμορφούμενος, φησι, τῷ θανάτῳ αὐτοῦ, τουτέστι, κοινωνῶν. καθάπερ γὰρ ἐκεῖνος ὑπὸ τῶν ἀνθρώπων ἔπαθεν, οὕτω κἀγώ. διὰ τοῦτο εἶπε, συμμορφούμενος· καὶ ἀλλαχοῦ πάλιν, Ἀνταναπληρῶ τὰ Κολασ. α. κδ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου, τουτέστιν, οἱ διωγμοὶ καὶ τὰ παθήμα-

γάζω· ἀλλ' ἅτινα ἦν μοι κέρδη, ταῦτα ἥγημαι ζημίαν πάντα εἶναι διὰ τὸ ὑπερέχον τῆς γνώσεως Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μου, δι' ὃν τὰ πάντα ἐζημιώθην, καὶ ἡγοῦμαι σκύβαλα εἶναι, ἵνα Χριστὸν κερδήσω. ἐπιπηδῶσιν ἐνταῦθα οἱ αἱρετικοί. καὶ [γὰρ καὶ] τοῦτο τῆς σοφίας ἐστὶ τοῦ πνεύματος, ἐλπίδας αὐτοῖς ὑποθέσθαι νίκης, ἵνα καταδέξωνται τὴν μάχην. εἰ γὰρ φανερῶς εἴρητο, ὅπερ ἐπὶ τῶν ἄλλων ἐποίησαν, ἐποίησαν ἂν καὶ ἐπὶ τούτων· ἐξήλειψαν ἂν τὰ γράμματα, περιῃρήσαντο τὴν γραφὴν, οὐ δυνάμενοι ὅλως ταύτῃ ἀντιβλέπειν. ἀλλ' ὅπερ ἐπὶ τῶν ἰχθύων γίνεται, τὸ δυνάμενον αὐτοὺς ἑλεῖν κρύπτεται, ὥστε αὐτοὺς ἐπιδραμεῖν, καὶ οὐ πρόδηλον κεῖται· τοῦτο δὴ καὶ ἐνταῦθα συνέβη, τῷ ζημίαν τὸν νόμον παρὰ (χ. ὅπω) Παύλου εἰρῆσθαι. σκύβαλα εἴρηται ὁ νόμος, φησὶ, ζημία εἴρηται· οὐκ ἦν Χριστὸν κερδῆσαι, εἰ μὴ τοῦτον ἐζημιώθην. ταῦτα πάντα ἐπεσπάσατο τοὺς αἱρετικοὺς δέξασθαι τὸ χωρίον, νομίζοντας ὑπὲρ αὐτῶν εἶναι. ἐπεὶ δὲ ἐδέξαντο, τότε αὐτοὺς περιέβαλε τοῖς δικτύοις (χ. δικτύοις) πάντοθεν. τί γάρ φασιν ἐπιπηδῶντες ἐκεῖνοι; ἰδοὺ ζημία ὁ νόμος, ἰδοὺ σκύβαλα εἴρηται. πῶς οὖν αὐτὸν Θεοῦ λέγετε εἶναι; αὐτὰ μὲν οὖν ταῦτα ὑπὲρ τοῦ νόμου ἐστί· καὶ πόθεν, ἐκεῖθεν δῆλον. προσέχωμεν ἀκριβῶς τοῖς λεγομένοις. οὐκ εἶπε, ζημία ἐστὶν ὁ νόμος, ἀλλ', ἥγημαι αὐτὸν ζημίαν. καὶ ὅτε μὲν περὶ κέρδους ἔλεγεν, οὐκ εἶπεν, ἥγημαι, ἀλλ', ἦν κέρδος· ὅτε δὲ περὶ ζημίας, εἶπεν, ἥγημαι, εἰκότως. ἐκεῖνο μὲν γὰρ ἦν φύσει, τοῦτο (χ. ἐκεῖνα) δὲ λοιπὸν γέγονεν ἀπὸ τῆς ἡμετέρας ὑπολήψεως. τί οὖν; οὐκ ἔστι, φησὶ, ζημία ὁ νόμος; ἔστιν· ἀλλὰ διὰ τὸν Χριστόν. ἀλλὰ νῦν κέρδος γέγονεν. οὐκ, ἐνομίζετο κέρδος, εἶπεν, ἀλλ' ἦν, μονονουχὶ λέγων· ἐννόησον ὅσον ἦν ἀνθρώποις ἐκτεθηριωμένοις τὴν φύσιν, εἰς τὸ τῶν ἀνθρώπων σχῆμα καταστῆσαι. εἰ μὴ ὁ νόμος ἦν, οὐδ' ἂν ἡ χάρις ἐδόθη. διὰ τί; ὅτι καθάπερ τις γέφυρα γέγονεν. ἐπειδὴ γὰρ οὐκ ἐνῆν ἀπὸ τῆς πολλῆς ταπεινώσεως εἰς τὸ ὕψος ἀνελθεῖν, γέγονε κλίμαξ. ἀλλ' εἰ καὶ τῆς κλίμακος οὐκέτι δέεται ὁ ἀνελθών· ἀλλ' οὐ μὴν διὰ τοῦτο αὐτὴν ὑποφορᾷ, ἀλλὰ καὶ χάριν αὐτῇ οἶδεν. αὕτη γὰρ αὐτὸν εἰς τὸ μηκέτι δεῖσθαι αὐτῆς κατέστησε· καὶ ὅμως ὑπὲρ τούτου αὐτοῦ, ὅτι οὐ δεῖται αὐτῆς, αὐτῇ χάριν (χ. ταύτῃ) ὁμολογεῖν, φησὶ, δίκαιον. οὐ γὰρ ἂν ἀνέβη. οὕτω καὶ ἐπὶ τοῦ νόμου· ἀνήγαγεν ἡμᾶς εἰς ὕψος. οὐκοῦν κέρδος ἦν· ἀλλὰ λοιπὸν ζημίαν αὐτὸν νομίζομεν. πῶς; οὐκ ἐπειδὴ ζημία ἐστὶν, ἀλλ' ἐπειδὴ πολὺ μείζων ἡ χάρις. ὥσπερ γὰρ ὁ ἐν λιμῷ ὢν πένης, ἕως μὲν ἂν ἔχῃ ἀργύριον, διαφεύγει τὸν λιμόν· ἐπειδὰν δὲ χρυσὸν εὕρῃ, καὶ μὴ ἐξῇ ἀμφότερα κατασχεῖν, ζημίαν ἡγεῖται (χ. χρυσίον) τὸ ἐκεῖνο κατέχειν, καὶ ἀφεὶς αὐτὸ, λαμβάνει τὸ χρυσίον, ἀφίησι δὲ, οὐκ ἐπειδὴ ζημία τὸ ἀργύριον (οὐ γάρ ἐστιν) ἀλλ' ἐπειδὴ οὐκ ἔνι ὁμοῦ τὰ δύο λαβεῖν, ἀλλ' ἀνάγκη τὸ ἓν καταλιπεῖν· οὕτω καὶ ἐνταῦθα. ζημία οὖν οὐχ ὁ νόμος ἐστὶν, ἀλλὰ τὸ τῷ νόμῳ προσκαθῆσθαι, καὶ ἀφίστασθαι τοῦ Χριστοῦ. ὥστε, ὅταν ἀπάγῃ ἡμᾶς τοῦ Χριστοῦ, τότε ζημία· ἂν δὲ παραπέμπῃ, οὐκέτι. διὰ τοῦτό φησι ζημία, τουτέστι, διὰ τὸν Χριστόν. εἰ διὰ τὸν Χριστὸν, οὐ φύσει ζημία. διὰ τί δὲ οὐκ ἀφίησι τῷ Ῥωμ. ι. δ. Χριστῷ προσελθεῖν ὁ νόμος; καὶ μὴν εἰς τοῦτο, φησὶν, ἐδόθη, καὶ πλήρωμα νόμου Χριστὸς, καὶ τέλος νόμου Χριστός. ἀφίησιν, ἐὰν θέλωμεν πεισθῆναι. ὁ τῷ νόμῳ τοίνυν πειθόμενος, αὐτὸν ἀφίησι τὸν νόμον; ἀφίησιν, ἐὰν προσέχωμεν· ἂν μέντοι μὴ προσέχωμεν, οὐκ ἀφίησιν. ἀλλὰ μὲν οὖν καὶ ἥγημαι πάντα ζημίαν εἶναι. τί λέγω, φησὶ, τοῦτο περὶ τοῦ νόμου; οὐχὶ καλὸν ὁ κόσμος; οὐχὶ καλὸν ἡ παροῦσα ζωή; ἀλλ' ἐάν με ἀπαγάγῃ τοῦ Χριστοῦ, ζημίαν ταῦτα τίθεμαι. διὰ τί; διὰ τὸ ὑπερέχον τῆς γνώσεως Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μου. τοῦ γὰρ ἡλίου φανέντος, προσκαθῆσθαι τῷ λύχνῳ ζημία· ὥστε ἀπὸ τῆς παραβολῆς ἡ ζημία γίνεται, ἀπὸ τοῦ ὑπερέχοντος. ὁρᾷς ὅτι σύγκρισιν ποιεῖται; διὰ τὸ ὑπερέχον, φησὶν, οὐ διὰ τὸ ἀλλότριον. τὸ γὰρ ὑπερέχον, τοῦ ὁμογενοῦς ὑπερέχει. ὥστε ἀφ' ὧν ποιεῖται τὴν κατὰ σύγκρισιν ὑπεροχὴν, ἀπὸ τούτων δείκνυσι τὴν οἰκείωσιν τῆς γνώσεως. δι' ὃν τὰ πάντα ἐζημιώθην, καὶ ἡγοῦμαι σκύβαλα εἶναι, ἵνα Χριστὸν κερδήσω. σκύβαλα· οὔπω μὲν δῆλον, εἰ περὶ τοῦ νόμου φησὶ τὰ σκύβαλα. εἰκὸς γὰρ

αὐτὸν

χ. συμβάλλεισι, τῶν μὴ τοιούτων, χρήσιμοι. τῶν μὲν γὰρ καὶ πρὸς οἰκοδομὴν συμβάλλονται, ἐκεῖνοι δὲ πρὸς οὐδέν· καὶ οὗτοι ἐκείνων ἰσχυρότεροι. ἀλλ' ἐκεῖνοι, φησί, κάλλος ἐργάζονται. πῶς; ὑπολήψεώς ἐστι τὸ ἔργον. λευκότεροί εἰσιν; ἀλλ' οὐκ εἰσὶ μαρμάρου τοῦ σφόδρα λευκοῦ λευκότεροι, ἀλλ' οὐδὲ ἴσοι. ἀλλ' ἰσχυρότεροι; ἀλλ' οὐδὲ τοῦτο ἔχοι τις ἂν εἰπεῖν. ἀλλὰ χρησιμώτεροι; ἀλλὰ μείζους; ἀλλ' οὐδὲ τοῦτο. πόθεν οὖν ἐθαυμάσθησαν; ἀλλ' οὐκ ἄλλοθεν, ἀλλ' ἢ ἀπὸ ὑπολήψεως. εἰ γὰρ μήτε καλλίους εἰσὶν (εὑρίσκομεν γὰρ αὐτῶν περιφανεστέρους, λευκοτέρους) μήτε χρήσιμοι, μήτε ἰσχυρότεροι, πόθεν οὕτως ἐθαυμάσθησαν; οὐχὶ ἀπὸ ὑπολήψεως μόνης; τίνος οὖν ἕνεκεν ἔδωκεν αὐτούς; οὐκ αὐτὸς ἔδωκεν, ἀλλὰ σὺ ἐνόμισας μέγα τι εἶναι. τί οὖν, φησίν, ὅτι καὶ ἡ γραφὴ τούτους θαυμάζει; πρὸς τὴν ὑπόληψιν λοιπὸν διαλέγεται τὴν σήν. ἐπεὶ καὶ διδάσκαλος παιδίῳ διαλεγόμενος τὰ αὐτὰ ἐκείνῳ πολλαχοῦ θαυμάζει, ὅταν αὐτὸ βούληται ἐπισπάσασθαι καὶ ὑπαγαγέσθαι. τί κάλλος ἐπιζητεῖς ἱματίων; ἱματίῳ σε περιέβαλε καὶ ὑποδήματι. ἀλλὰ [ταῦτα δὲ ποῦ λόγον ἂν ἔχοι;] ἐπιθυμητὰ ὁ Δαβὶδ ὑπὲρ χρυσίον φησί, καὶ λίθον τίμιον πολὺν τὰ κρίματα τοῦ Θεοῦ. (Ψαλ. ιη. ια.) τότε τις κόσμου, ἐν τούτοις ἀρκοῦ. ταῦτα δὲ ποῦ λόγον ἂν ἔχοι; οὐκ ἔστι ταῦτα, ἀγαπητοί, χρήσιμα. εἰ χρῆμα ἦν, οὐκ ἂν ἐκέλευσεν αὐτῶν καταφρονεῖν· ἀλλὰ πρὸς τὴν ὑπόληψιν τὴν ἡμετέραν φθέγγεται ἡ θεία γραφή. καὶ τοῦτο δὲ τῆς τοῦ Θεοῦ φιλανθρωπίας. τίνος οὖν ἕνεκεν ἔδωκε, φησί, πορφύραν, καὶ ὅσα τοιαῦτα; τῆς τοῦ Θεοῦ μεγαλειότητός ἐστιν ἔργον ταῦτα. καὶ γὰρ καὶ ἀπὸ ἑτέρων τὸν πλοῦτον ἠθέλησε δεῖξαι τὸν αὐτοῦ. ἐπεὶ καὶ σῖτον ἔδωκε μόνον· σὺ δὲ πολλὰ ἀπὸ τούτου κατασκευάζεις, πλακοῦντας, πέμματα διάφορα καὶ παντοδαπά, πολλὴν ἔχοντα τὴν ἡδονήν. ἄλλως δέ, καὶ ἡ κενοδοξία πάντα ταῦτα ἐφεῦρεν. ἔδοξε γάρ σοι πάντων αὐτὰ προέχειν. ἐπεὶ εἴ τις σοι ἔρχοιτο ξένος ἀνὴρ ἢ γεωργὸς καὶ ἄπειρος ὢν αὐτῶν, καὶ ἰδὼν σε θαυμάζοντα εἴποι, διατί ταῦτα θαυμάζεις, τί ἔχεις εἰπεῖν; ὅτι καλὸν ἰδεῖν; ἀλλ' οὐκ ἔστι. παυσώμεθα τοίνυν τῆς τοιαύτης ὑπολήψεως, καὶ τῶν ὄντως ἀληθινῶν ἀντεχώμεθα. ταῦτα γὰρ οὐκ ἔστιν, ἀλλ' ἁπλῶς παρέρχεται μόνον ποταμοῦ δίκην παραρρέοντα. διό, παρακαλῶ, ἐπὶ τῆς πέτρας ἑαυτοὺς στήσωμεν, ἵνα καὶ τὸ εὐκόλως περιτρέπεσθαι φύγωμεν, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν.

χ. δαψιλῶς ἐστὶν ἔργα χ. τὰ σῖτα

χ. οὐχ ὑπο-

Λογ. ια. 7 ΑΛΛ' ΑΤΙΝΑ ΗΝ ΜΟΙ ΚΕΡΔΗ, ΤΑΥΤΑ ἥγημαι διὰ τὸν Χριστὸν ζημίαν· 8 Ἀλλὰ μὲν οὖν καὶ ἡγοῦμαι πάντα ζημίαν εἶναι, διὰ τὸ ὑπερέχον τῆς γνώσεως Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μου, δι' ὃν τὰ πάντα ἐζημιώθην, καὶ ἡγοῦμαι σκύβαλα εἶναι, ἵνα Χριστὸν κερδήσω, 9 Καὶ εὑρεθῶ ἐν αὐτῷ μὴ ἔχων ἐμὴν δικαιοσύνην τὴν ἐκ τοῦ νόμου, ἀλλὰ τὴν διὰ πίστεως Ἰησοῦ Χριστοῦ, τὴν ἐκ Θεοῦ δικαιοσύνην.

χ. πάντα

ΤΟῖς πρὸς τοὺς αἱρετικοὺς ἀγῶσιν ἀκμαζούσαις χρὴ προσβάλλειν ταῖς διανοίαις καὶ συνεχῶς. οὕτω γάρ ἐστι συγχέειν αὐτῶν τὴν παράταξιν, καὶ ἐκ περιουσίας κρατεῖν, μηδεμίαν αὐτοῖς διδόντες σχολὴν ἀναπνεῖν. διὰ τοῦτο βουλόμενος ὑμᾶς ἀπὸ τῶν γραφῶν πρὸς τοὺς τοιούτους ἀγῶνας παρεσκευάσθαι, ἵνα καὶ ἐντεῦθεν ἐπιστομίζειν τοὺς ἀντιλέγοντας δυνῆσθε, ἀπὸ τοῦ τέλους τῆς παρελθούσης διαλέξεως τὴν ἀρχὴν ταύτης τῆς μετὰ χεῖρας ποιοῦμαι. καὶ τί ἦν ἐκείνης τὸ τέλος, φησί; καταλέξας πάντα τὰ καυχήματα τὰ Ἰουδαϊκά, τὰ ἀπὸ φύσεως, τὰ ἀπὸ προαιρέσεως, ἐπή-

τός, φησίν. οὐχ ὁ πλοῦτος τοῦτο ποιεῖ, ἀλλ' ἡ τοῦ κεκτημένου προαίρεσις. ὅτι γὰρ προαίρεσις τοῦτο ποιεῖ, σκόπει ἐντεῦθεν. ἔνεστι καὶ τὸν πάντα κατακληρονομήσαντα τὸν οὐρανόν. ὅπερ γὰρ πολλάκις εἶπον, οὐ τῷ μέτρῳ τῶν διδομένων ὁ Θεὸς προσέχει, ἀλλὰ τῇ προαιρέσει τῶν παρεχόντων.

χ. ἀλλ' ἢ

ἔνεστι καὶ ἐν πενίᾳ ὄντα, καὶ ὀλίγα δόντα, τὸ πᾶν ἀπενέγκασθαι. τὰ γὰρ κατὰ δύναμιν ὁ Θεὸς ἀπαιτεῖ. οὔτε πλοῦτος προξενεῖ τὸν οὐρανόν, οὔτε πενία τὴν γέενναν, ἀλλ' ἑκάτερα προαίρεσις ἀγαθὴ καὶ μοχθηρά. ταύτην οὖν διορθώσωμεν, ταύτην ἀνακτησώμεθα, ταύτην ῥυθμίσωμεν, καὶ πάντα ἡμῖν ἔσται εὔκολα. καθάπερ γὰρ ὁ τεχνίτης, ἄντε σιδηροῦν, ἄντε χρυσοῦν σκέπαρνον ἔχῃ, ὁμοίως ἐργάζεται τὰ ξύλα, μᾶλλον δὲ ἐν τῷ σιδηρῷ πλέον· οὕτω καὶ ἐνταῦθα, εὐκολώτερον μᾶλλον διὰ τῆς πενίας ἡ ἀρετὴ κατορθοῦται.

χ. σιδήρῳ

Marc. 10. κα.

περὶ μὲν γὰρ τοῦ πλούτου φησὶν ὁ Χριστός, Εὐκολώτερόν ἐστι κάμηλον διὰ τρυμαλιᾶς ῥαφίδος εἰσελθεῖν, ἢ πλούσιον εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· περὶ δὲ τῆς πενίας οὐδὲν τοιοῦτον ἀπεφήνατο, ἀλλὰ καὶ τοὐναντίον.

Matth. 19. κα.

Πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ δεῦρο ἀκολούθει μοι, ὡς ἐκ τῆς προαιρέσεως τῆς ἀκολουθούσης οὔσης.

χ. προαιρέσεως

μὴ τοίνυν φεύγωμεν τὴν πενίαν, ὡς πονηρόν (βασιλείας γάρ ἐστι πρόξενος) καὶ πάλιν μὴ διώκωμεν τὸν πλοῦτον, ὡς ἀγαθόν (τοῦτο γὰρ μὴ προσέχοντας ἀπόλλεσι) ἀλλὰ πανταχοῦ τὸ ὄμμα πρὸς τὸν Θεὸν ἀνατείνοντες, χρώμεθα εἰς δέον τοῖς ὑπηργμένοις ἡμῖν παρ' αὐτοῦ, καὶ δυνάμει σώματος, καὶ περιουσίᾳ χρημάτων, καὶ τοῖς ἄλλοις ἅπασιν. ἄτοποι γὰρ ὑπ' αὐτοῦ γινόμενοι, ἑτέροις ταῦτα παρέχειν χρήσιμα, ἀλλὰ μὴ τῷ πεποιηκότι ἡμᾶς. ἐποίησέ σοι ὀφθαλμούς; τούτους αὐτῷ παρέχε χρησίμους, μὴ τῷ διαβόλῳ. πῶς δὲ αὐτῷ παρέξεις; τὰ κτίσματα αὐτοῦ θεωρῶν, καὶ δοξάζων * αὐτόν, καὶ ἀπάγων τῆς τῶν γυναικῶν ὄψεως. ἀλλ' ἐποίησέ σοι χεῖρας;

* καὶ αἰνῶν

ταύτας αὐτῷ κέκτησο, μὴ τῷ διαβόλῳ, μὴ εἰς ἁρπαγὰς καὶ πλεονεξίας, ἀλλ' εἰς ἐντολὰς καὶ εὐποιΐας, καὶ εἰς εὐχὰς ἐκτενεῖς ἀνατείνων αὐτάς, εἰς δὲ τοῖς πεπτωκόσιν ὀρέγειν χεῖρα. ἐποίησέ σοι ὦτα; ταῦτα αὐτῷ παρέχε, ἀλλὰ μὴ τοῖς διακεκλασμένοις μέλεσι, μηδὲ ταῖς αἰσχραῖς ἀκοαῖς·

Σειρ. θ. κ.
Σειρ. ς. λδ.

Πᾶσα γὰρ διήγησίς σου, φησίν, ἐν νόμῳ ὑψίστου ἔστω. καὶ πάλιν, Ἐν πλήθει, φησί, πρεσβυτέρων στῆθι, καὶ εἴ τις σοφός, αὐτῷ προσκολλήθητι. ἐποίησέ σοι στόμα; τοῦτο μηδὲν φθεγγέτω τῶν μὴ δοκούντων αὐτῷ, ἀλλὰ ψαλμῳδίας, ὕμνους, ᾠδὰς πνευματικὰς ᾀδέτω·

Ἐφ. δ. κθ.

χ. Θεῷ

Ἵνα δῷ χάριν, φησί, τοῖς ἀκούουσιν εἰς οἰκοδομήν, καὶ μὴ εἰς καταστροφήν, εἰς εὐφημίαν, καὶ μὴ εἰς κακηγορίαν, μὴ εἰς ἐπιβουλάς, ἀλλὰ πᾶν τοὐναντίον.

χ. κατηγ.

ἐποίησέ σοι πόδας, οὐχ ἵνα τρέχῃς ἐπὶ κακίαν, ἀλλ' ἐπὶ ἀγαθά. ἐποίησέ σοι γαστέρα, οὐχ ἵνα διαρρηγνύῃς αὐτήν, ἀλλ' ἵνα φιλοσοφῇς. ἔθηκεν ἐπιθυμίαν πρὸς παιδοποιΐαν, ἀλλ' οὐ πρὸς πορνείαν, καὶ μοιχείαν. ἔδωκέ σοι νοῦν, οὐχ ἵνα [αὐτὸν] βλασφημῇς, οὐχ ἵνα λοίδορος ᾖς, ἀλλ' ἵνα εὐφημῇς.

χ. [illegible]

ἔδωκε καὶ χρήματα, ἵνα εἰς δέον αὐτοῖς χρώμεθα· καὶ ἰσχύν, ἵνα καὶ ταύτῃ εἰς δέον ὦμεν κεχρημένοι. ἐποίησε τέχνας, ἵνα βίος συνεστήκῃ, οὐχ ἵνα τῶν πνευματικῶν ἀποχωρήσωμεν ἑαυτῶν, οὐχ ἵνα ταῖς βαναύσοις προσέχωμεν τέχναις, ἀλλὰ ταῖς ἀναγκαίαις, ἵνα ἀλλήλοις ὑπηρετῶμεν, οὐχ ἵνα ἀλλήλοις ἐπιβουλεύωμεν.

χ. ἀπαρτίσ.

ἔδωκεν ὄροφον, ἵνα στέγῃ τὸν ὑετὸν [τοσοῦτον μόνον,] οὐχ ἵνα καλλωπίζηται τοῦτο μὲν τῷ χρυσῷ, ὁ δὲ πένης διαφθείρηται τῷ λιμῷ. ἔδωκεν ἱμάτια, ἵνα σκεπώμεθα, οὐχ ἵνα ἐπιδεικνυώμεθα, οὐχ ἵνα ταῦτα μὲν ᾖ πολὺ ἔχοντα χρυσίον, ὁ δὲ Χριστὸς γυμνὸς ἀπολλύηται. ἔδωκε στέγην, οὐχ ἵνα μόνος ἔχῃς, ἀλλ' ἵνα καὶ ἄλλοις παρέχῃς. ἔδωκε γῆν, οὐχ ἵνα σὺ τὸ πλέον αὐτῆς ἀποτιμνόμενος εἰς πόρνας, καὶ ὀρχηστάς, καὶ μίμους, καὶ αὐλητάς, καὶ κιθαρῳδοὺς ἀναλίσκῃς τὰ τοῦ Θεοῦ ἀγαθά, ἀλλ' εἰς πεινῶντας καὶ δεομένους.

χ. ἀποτ.

ἔδωκέ σοι θάλασσαν, ἵνα πλέῃς, ἵνα μὴ κάμνῃς ὁδοιπορῶν, οὐχ ἵνα περιεργάζῃ αὐτῆς τὰ βάθη, καὶ λίθους, καὶ ὅσα τοιαῦτα ἐκεῖθεν ἀναφέρῃς, οὐδ' ἵνα ἔργον τοῦτο ποιῇ. τίνος οὖν ἕνεκεν, φησίν, οἱ λίθοι; εἰπὲ δή μοι μᾶλλον σύ, τίνος ἕνεκεν οἱ λίθοι, καὶ πῶς οὕτως εἰσὶν ἐκεῖνοι βαρύτιμοι; ἆρα τῇ δυνάμει; ἆρα τῇ χρήσει; μᾶλλον μὲν οὖν

οἱ

τῶν ἄλλων καὶ διὸ ὄντως ποιεῖ τὸ πλουτεῖν. τῆς γὰρ αὐτῆς τιμῆς ταῖς τε γυναῖκας ἀξιοῦσι, καὶ τοὺς ἵππους· καὶ εἰς ὁ καλλωπισμὸς ἀμφοτέρων· καὶ ἀπὸ τῶν αὐτῶν βούλονται φαίνεσθαι λαμπρότεροι, ἀφ' ὧν καὶ τὰ ζεύγη, ἀφ' ὧν καὶ τὰ δέρματα τῶν παραπετασμάτων, ἔνθα φέρονται. εἰπὲ, τί τὸ κέρδος, ἡμιόνους ἢ ἵππους τῷ χρυσῷ κατακοσμεῖσθαι; ἡ δὲ γυνὴ τοσοῦτον ὄγκον χρυσίου περικειμένη καὶ λίθων, τί τὸ πλέον ἔχει; ἀλλ' οὐκ ἐκτρίβεται τὰ χρυσία, φησί. μάλιστα μὲν καὶ τοῦτο πάσχει· φασὶ γὰρ οἱ περὶ ταῦτα δεινοί, ὅτι ἐν βαλανείοις, καὶ πολλαχοῦ καὶ λίθοι, καὶ χρυσία πολὺ τῆς τιμῆς ἀπόλλυται. πλὴν ἀλλ' ἔστω τοῦτο, καὶ μηδὲν βλαπτέσθω.

χ. [illegible]

τί τὸ κέρδος, εἰπέ μοι; τί δὲ, ὅταν ἐκπέσῃ, καὶ ἀπόλληται, οὐχὶ ζημία; τί δὲ, ὅταν φθόνον ἐπισπάσηται καὶ ἐπιβουλήν, οὐχὶ ζημία; ὅταν γὰρ ὠφελῇ μὲν μηδὲν τὴν περικειμένην, ἐκκαίῃ δὲ τοὺς τῶν φθονερῶν ὀφθαλμοὺς, καὶ τοὺς λῃστὰς διεγείρῃ μᾶλλον, οὐχὶ ζημία γίνεται; τί δὲ, εἰπέ μοι, ὅταν ἐξὸν τῷ ἀνδρὶ χρήσασθαι τούτοις εἰς πρᾶγμα κέρδος φέρον, μὴ δύνηται δὲ διὰ τὴν τῆς γυναικὸς πολυτέλειαν, ἀλλ' ἀναγκάζηται λιμώττειν καὶ στενοχωρεῖσθαι, κἀκείνην ὁρᾶν χρυσοφοροῦσαν, οὐχὶ ζημία τὸ πρᾶγμα; χρήματα γὰρ διὰ τοῦτο εἴρηται, οὐχ ἵνα οὕτω χρώμεθα αὐτοῖς, καθάπερ αἱ παραθῆκαι τῶν χρυσοχόων, ἀλλ' ἵνα ἐργαζώμεθά τι καλὸν ἐν αὐτοῖς.

χ. ἢ

ὅταν οὖν ὁ τοῦ χρυσοῦ πόθος μὴ ἀφῇ, οὐχὶ ζημία ἐστὶ τὸ πᾶν; ὁ γὰρ μὴ τολμῶν αὐτοῖς χρήσασθαι, ὥσπερ ἀλλοτρίοις, οὐ κέχρηται· καὶ οὐκ ἔστι χρῆσις οὐδαμοῦ.

χ. πρᾶγμα;

χ. ὁρᾷς πῶς οὐδαμοῦ ἐστι τοῦτο χρῆσις;

τί δὲ, ὅταν οἰκίας οἰκοδομῶμεν λαμπρὰς καὶ μεγάλας, καὶ κίοσι καὶ μαρμάροις καὶ στοαῖς καὶ περιπάτοις καὶ παντοίως ταύτας κατακοσμῶμεν, εἴδωλα πανταχοῦ καὶ ξόανα ἱστῶντες; πολλοὶ μὲν οὖν ἀπὸ τούτων καὶ δαίμονας καλοῦσι. πλὴν ἀλλὰ μὴ ταῦτα ἐξετάσωμεν. τί βούλεται καὶ ὁ χρυσοῦς ὄροφος; οὐχὶ τὴν αὐτὴν τῷ μετὰ συμμετρίας οἰκίαν ἔχοντι παρέχεται τὴν χρῆσιν; ἀλλ' ἔχει, φησί, τέρψιν πολλήν. ἀλλὰ μέχρις ἡμέρας μιᾶς καὶ δευτέρας, λοιπὸν δὲ οὐκέτι*. εἰ γὰρ ὁ ἥλιος ἡμᾶς οὐκ ἐκπλήττει διὰ τὸ ἐν συνηθείᾳ εἶναι, πολλῷ μᾶλλον τὰ ἔργα τῆς τέχνης· ἀλλ' ὁμοίως τοῖς πηλίνοις, αὐτοῖς προσέχομεν.

* ἀλλ' ἀηδὲς γίνεται. ἄλλ. ἐξίσταται

τί γὰρ, εἰπέ μοι, εἰς ἀρίστην οἴκησιν κιόνων πλῆθος, καὶ ξοάνων κάλλη, καὶ χρυσὸς τοῖς τοίχοις διεσπαρμένος συμβάλλεται; οὐδέν, ἀλλὰ βλακείας καὶ ὕβρεως καὶ τύφου περιττοῦ καὶ ἀνοίας ἐστί. πανταχοῦ δὲ ἡμᾶς τῶν ἀναγκαίων εἶναι χρὴ καὶ τῶν ἐν χρείᾳ, οὐ τῶν περιττῶν. ὁρᾷς ὅτι ζημία τὸ πρᾶγμα; ὁρᾷς ὅτι περιττὸν καὶ ἀνόητον ἐστιν; εἰ γὰρ μήτε χρείαν παρέχει πλείονα, μήτε τέρψιν (παρασκοπῆς(?) γὰρ τῷ χρόνῳ γίνεται) οὐδὲν ἕτερον ἐστιν, ἢ ζημία. ἀλλ' οὐκ ἀφίησι τοῦτο ὁρᾶν ἡ κενοδοξία κωλύουσα. εἶτα ὁ μὲν Παῦλος ἅπερ ἐνόμιζεν εἶναι κέρδη, ταῦτα εἴασεν· ἡμεῖς δὲ οὐδὲ τὴν ζημίαν ἀφῶμεν διὰ τὸν Χριστόν; μέχρι πότε τῇ γῇ προσηλώμεθα; μέχρι τίνος οὐκ ἀναβλέπομεν εἰς τὸν οὐρανόν; οὐχ ὁρᾶτε τοὺς γεγηρακότας, πῶς οὐδεμίαν τῶν παρελθόντων ἔχουσιν αἴσθησιν; οὐχ ὁρᾶτε τοὺς πλουτοῦντας, τοὺς ἐν γήρᾳ, τοὺς ἐν νεότητι; οὐχ ὁρᾶτε τοὺς ἐν τῷ ζῆν ἀπεστερημένους αὐτῶν; τί τοῖς ἀστάτοις προσεστήκαμεν; τί προσδεδέμεθα τοῖς ἀβεβαίοις; μέχρι τίνος οὐκ ἀπολαμβανόμεθα τῶν μενόντων; τί οὐκ ἂν ἐδεξάμεθα οἱ γέροντες, εἴγε ἐνῆν ἀποξέσαι τὸ γῆρας;

χ. οὐδὲν ζημιούμενοι

χ. ἀποξῦσαι

εἶτα πόσης οὐκ ἔστιν ἀλογίας, βούλεσθαι μὲν ἐπὶ τὴν νεότητα τὴν προτέραν ἐπανελθεῖν, καὶ πάντα εὐκόλως ἂν ὑπὲρ τούτου δοῦναι, ὥστε γενέσθαι νεώτεροι, παρὸν δὲ νεότητα λαβεῖν οὐδέποτε γῆρας ἔχουσαν, καὶ νεότητα μετὰ πλούτου πολλοῦ πολὺ πνευματικωτέραν, μηδὲ μικρὸν βούλεσθαι προσίεσθαι, ἀλλὰ κατέχει τὰ μηδὲν εἰς τὸ παρὸν ὠφελοῦντα; θανάτου σε ἐξελέσθαι οὐ δύναται, νόσου ἀπαλλάξαι οὐκ ἰσχύει, γῆρας κωλῦσαι, οὐδὲν τούτων τῶν ἀναγκαίων καὶ κατὰ τὸν τῆς φύσεως νόμον παραγινομένων· καὶ ἔτι αὐτὸν ἔχῃ; τί τὸ κέρδος, εἰπέ μοι; ἐντεῦθεν μέθη, γαστριμαργία, ἡδοναὶ ἄτοποι καὶ παντοδαπαί, πικρῶν δεσποτῶν μᾶλλον ἡμᾶς κατατείνουσαι.

χ. αὐτίκα

ταῦτα ἀπὸ τοῦ πλούτου κερδαίνειν ἐστὶ μόνον, ἕτερον δὲ οὐδέν, ἐπεὶ οὐ βουλόμεθα· ἐπεὶ εἴγε ἠθέλομεν, τὸν οὐρανὸν ἂν αὐτοὶ ἐκληρονομήσαμεν ἀπὸ πλούτου. οὐκοῦν καλὸν ὁ πλοῦ-

μῆς. Εἶτα, ἐκ γένους Ἰσραήλ. Τὰ ἀμφότερα ἔδειξεν, ὅτι οὐ προσήλυτος, οὔτε ἐκ προσηλύτων. ἀπὸ μὲν γὰρ τοῦ ὀκταήμερος περιτμηθῆναι, οὐχὶ προσήλυτος· ἀπὸ δὲ τοῦ ἐκ γένους Ἰσραήλ, οὐδὲ προσηλύτων γονέων. ἀλλ' ἵνα μὴ νομίσῃς, ὅτι ἐκ γένους Ἰσραήλ, ἐκ τῶν δέκα φυλῶν, φησὶ, Φυλῆς Βενιαμίν· Ὢ πρὸς τοῦ δοκιμωτέρου μέρους. τὰ γὰρ τῶν ἱερέων ἐν τῷ κλήρῳ ταύτης ἦν τῆς φυλῆς. Ἑβραῖος ἐξ Ἑβραίων. Ἐντεῦθεν δείκνυσιν, ὅτι οὐχὶ προσήλυτος, ἀλλ' ἄνωθεν τῶν εὐδοκίμων Ἰουδαίων. ἐκεῖνοι μὲν γὰρ ἦσαν τοῦ Ἰσραήλ, ἀλλ' οὐχ Ἑβραῖοι ἐξ Ἑβραίων. πολλοὶ γὰρ καὶ διέφθειρον ἤδη τὸ πρᾶγμα, καὶ τῆς γλώσσης ἦσαν ἀμύητοι, ἑτέροις μιγνύμενοι ἔθνεσιν. ὁ τοίνυν, ὁ τὴν πολλὴν εὐγένειαν δείκνυσιν ἐντεῦθεν. Κατὰ νόμον Φαρισαῖος. Ἔρχεται λοιπὸν εἰς τὰ τῆς αὐτοῦ προαιρέσεως. ἐκεῖνα γὰρ πάντα ἀπροαίρετα. τὸ γὰρ τὸ περιτμηθῆναι, οὐκ αὐτοῦ, καὶ τὸ ἐκ γένους Ἰσραὴλ, καὶ τὸ ἐκ φυλῆς Βενιαμίν· ὥστε καὶ ἐκ τούτων μᾶλλον πλεονεκτεῖ. Εἰ καὶ τὰ μάλιστα ἐκομπάζοντο αὐτῷ πολλοί. τοῦ οὖν τὸ μᾶλλον; μάλιστα μὲν καὶ ἐν τούτῳ τῷ μὴ προσήλυτοι εἶναι, καὶ τῷ ἐκ τῆς δοκιμωτάτης φυλῆς, καὶ τῷ ἄνωθεν ἐκ προγόνων, ἅπερ οὐ πολλοὶ εἶχον· ἀλλ', ἐπειδὴ πάντα ἀπροαίρετα, ἔρχεται εἰς τὰ τῆς προαιρέσεως, ὅπερ τὸ μάλιστα ἐστι. Κατὰ νόμον Φαρισαῖος,

γρ. ὡσπερεὶ ἔλεγεν, — γρ. κεκλημένοι — γρ. αἱρέσεως — γρ. αἱρέσεως,

6 Κατὰ ζῆλον διώκων τὴν ἐκκλησίαν. Τοῦτό φησι, δι' ὅτι οὐκ ἀρκεῖ δεῖξαι τὸ μᾶλλον μόνον ἐκεῖνο. ἔστι γὰρ καὶ Φαρισαῖον εἶναι, καὶ μὴ σφόδρα ζηλωτὴν κατὰ δικαιοσύνην· ἐπειδὴ εἰσὶ ῥιψοκίνδυνοι εἶναι, ἢ φιλαρχίας ἕνεκεν τοῦτο ποιεῖν, ἀλλ' οὐ τῷ νόμῳ ζηλοῦντα, ὅπερ ἐποίουν οἱ ἀρχιερεῖς. ἀλλ' οὐδεὶς οὐ τοιοῦτος· ἀλλά, Κατὰ δικαιοσύνην τὴν ἐν νόμῳ γενόμενος ἄμεμπτος. Εἰ τοίνυν καὶ εὐγενείας ἕνεκεν, καὶ προθυμίας, καὶ ζήλου, καὶ βίου πάντων ἐκράτουν, τίνος ἕνεκεν τὰ σεμνὰ ἐκεῖνα εἴασε, φησὶν, ἀλλ' ἢ διὰ τὸ μείζονα εὑρεῖν τὰ τοῦ Χριστοῦ, καὶ πολλῷ μείζονα. διὸ ἐπάγει·

7 Ἀλλ' ἅτινα ἦν μοι κέρδη, ταῦτα ἥγημαι διὰ τὸν Χριστὸν ζημίαν.

ΗΘΙΚΟΝ

Παῦλος μὲν πολιτείαν οὕτως ἠκριβωμένην, ἐκ πρώτης ἡλικίας ἀρξαμένην, τοσαύτην εὐγένειαν, τοσούτους κινδύνους, τοσαύτας ἐπιβουλάς, πόνους, σπουδὴν ἔρριψε, καὶ ζημίαν ἡγήσατο, περὶ τὰ ὄντα κέρδη, ἵνα Χριστὸν κερδήσῃ· ἡμεῖς δὲ οὐδὲ χρημάτων καταφρονοῦμεν, ἵνα Χριστὸν κερδήσωμεν, ἀλλ' αἱρούμεθα μᾶλλον ἐκπεσεῖν τῆς μελλούσης ζωῆς, ἢ τῶν παρόντων πραγμάτων· καίτοιγε οὐδὲν ἄλλο τοῦτό ἐστιν, ἢ ζημία. εἰπὲ γάρ μοι, καθ' ἕκαστον ἐξετάσωμεν τὸν τοῦ πλούτου πραγμάτων, εἰ μὴ ζημία τίς ἐστι, πόνον μὲν ἄφατον ἔχουσα, κέρδος δὲ οὐδέν. τί γὰρ, εἰπέ μοι, τὸ ὄφελος ἀπὸ τῶν πολλῶν τῶν ἱματίων καὶ πολυτελῶν; τί κερδαίνομεν κέρδος, ὅταν αὐτὰ ἀεὶ μὲν περικείμενοι; οὐδὲν, ἀλλ' ἢ ζημιούμεθα μόνον. πῶς; ὅτι καὶ ὁ πένης εὐτελὲς καὶ ἐκτετριμμένον φορῶν, ἐν τῷ θάλπει οὐδὲν σοῦ χεῖρον φέρει τὸ καῦμα· μᾶλλον δὲ ἐκεῖνος εὐκολώτερον. τὰ γὰρ ἐκτετριμμένα τῶν ἱματίων καὶ μόνα περικείμενα, μᾶλλον ἀνίησι τὸ σῶμα· τὰ δὲ νεοκατασκεύαστα, κἂν ἀράχνης ᾖ λεπτότερα, οὐχ ὁμοίως. καὶ σὺ μὲν διὰ τὸν τῦφον τὸν περιττὸν καὶ χιτωνίσκους δύο, καὶ τρεῖς, πολλάκις καὶ χλαμύδα, καὶ ζώνην, καὶ ἀναξυρίδας ἔχεις· ἐκεῖνον δὲ οὐδεὶς ἐγκαλεῖ ἕνα περικείμενον χιτωνίσκον μόνον· ὥστε εὐκολώτερον φέρει τὸ καῦμα. ἀπὸ τούτου σὲ μὲν πλουτοῦντα ὁρῶμεν ἱδροῦντα, σὲ δὲ πένητα οὐδέν· τοῦτον πάσχοντα. ὅταν οὖν αὐτῷ τὴν αὐτὴν, ἢ καὶ κρείττονα παρέχηται χρείαν τὰ εὐτελῆ ἱμάτια καὶ τοῦ μηδενὸς πωλούμενα, ἐκεῖνα δὲ τὰ πολὺ καταβάλλειν ἀναγκάζοντα χρυσίον τὸ αὐτὸ ποιῇ, οὐχὶ ζημία τὸ πολὺ καὶ περιττόν; οὐδὲν γὰρ πλέον εἰσήνεγκε κατὰ τὸν τῆς χρείας λόγον καὶ τῆς διακονίας, ἀλλὰ πλέον μὲν χρυσίον κεκένωταί σοι· τὴν αὐτὴν δὲ χρείαν καὶ ὑπηρεσίαν ἔχει. καὶ σὺ μὲν ὁ πλουτῶν ἠγόρασας χρυσίων ἑκατὸν τυχὸν, ἢ καὶ πλειόνων, ὁ δὲ πένης ἀργυρίου ὀλίγου. εἶδες τὴν ζημίαν; ἀλλ' ὁ τῦφος οὐκ ἀφίησιν ἰδεῖν. βούλει καὶ ἐπὶ τῶν χρυσίων, ὧν καὶ τοῖς ἵπποις καὶ ταῖς γυναιξὶ περιτιθέασι, τοῦτον ἐξετάσωμεν τὸν λόγον; μετὰ γὰρ

γρ. ἀρξάμενος — γρ. πάντων — γρ. χρυσίων — γρ. τούτων

τῶν

τοῦ μὲν πράγματος ἀπάγων, τῷ δὲ ῥήματι χλευαζόμενος, μᾶλλον δὲ καὶ τῷ πράγματι σπουδαιότερον. * ἀλλ' ἐπίρρω. ἀλλ' οὐκ ἐπὶ Γαλατῶν οὕτως. ἐπειδὴ γὰρ πολλὴ νόσος ἦν ἐκεῖ, γυμνῇ τῇ κεφαλῇ λοιπὸν μετὰ πολλῆς τῆς αὐθεντίας ἐπάγει τὴν τομήν. ἐνταῦθα δὲ, ἐπειδὴ οὐδὲν τοιοῦτον εἰργάσαντο, αὐτοὺς χλευάζεται τὴν ἀπὸ τῆς προσηγορίας ἡδονήν. κἀκείνους ἐκβάλλει, καὶ τούτους, καί φησι· βλέπετε τὴν κατατομήν. ἡμεῖς γάρ ἐσμεν ἡ περιτομή. πῶς; χ. Θεοῦ οἱ πνεύματι Θεῷ λατρεύοντες, καὶ οὐκ ἐν σαρκὶ πεποιθότες. οὐκ εἶπεν, ὅτι δοκιμάζομεν ἐκείνην τὴν περιτομήν, καὶ ταύτην, τίς ἐστιν ἀμείνων, ἀλλ' οὐδὲ τοῦ ὀνόματος αὐτῇ μετέδωκεν. ἀλλὰ τί φησιν; ἡ περιτομὴ ἐκείνη, κατατομή ἐστι. διὰ τί; οὐδὲν γὰρ ἄλλο ποιοῦσιν, ἢ χ. καὶ τὴν σάρκα κατατέμνουσιν. ὅταν γὰρ μὴ ᾖ νόμιμον τὸ γινόμενον, οὐδὲν ἄλλο, ἢ σαρκὸς τομή ἐστι, καὶ κατατομή. ἢ οὖν διὰ τοῦτο οὕτως αὐτὴν εἶπεν, ἢ ὅτι τὴν ἐκκλησίαν ἐπειρῶντο κατατέμνειν. καὶ ἡμεῖς δὲ κατατομὴν λέγομεν, ἐπὶ τῶν εἰκῇ καὶ ἁπλῶς καὶ ἄνευ τέχνης τὰ τοιαῦτα ποιούντων. εἰ γὰρ δεῖ περιτομὴν ζητῆσαι, φησι, παρ' ἡμῖν ταύτην [ἂν] εὑρήσετε. χ. Θεοῦ οἱ πνεύματι Θεῷ λατρεύοντες, τουτέστι, οἱ πνευματικῶς λατρεύοντες. εἰπὲ γάρ μοι, τί βέλτιον, ψυχὴ ἢ σῶμα; δῆλον ὅτι ψυχή. οὐκοῦν καὶ ἡ περιτομὴ ἐκείνη οὐ βελτίων, ἀλλ' αὕτη μόνη ἐστὶ περιτομή. ἕως μὲν γὰρ ὁ τύπος εἱστήκει, εἰκότως κατὰ σύγκρισιν προσῆγε, Τὸ περιτετμῆσθαι γράφων τὴν ἀκροβυστίαν τῆς καρδίας ὑμῶν. Ιερ. δ. δ. οὕτω καὶ ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ αἴρει αὐτὴν λέγων· Ρωμ. β. κη. Οὐ γὰρ ὁ ἐν τῷ φανερῷ Ἰουδαῖός ἐστιν, οὐδὲ ἡ ἐν τῷ φανερῷ ἐν σαρκὶ περιτομή, ἀλλ' ὁ ἐν τῷ κρυπτῷ Ἰουδαῖος, καὶ περιτομὴ καρδίας ἐν πνεύματι, οὐ γράμματι. λοιπὸν δὲ καὶ τοῦ ὀνόματος αὐτὴν ἀποστερεῖ, οὐδ' ἐστὶ περιτομή, φησι. καὶ γὰρ ὁ τύπος, ἕως ἂν μέλλῃ ἔρχεσθαι ἡ ἀλήθεια, καλεῖται τοῦτο· ἐπειδὰν δὲ ἔλθῃ ἡ ἀλήθεια, οὐκέτι καλεῖται. οἷον ἐπὶ σκιαγραφίας· ὑπέγραψέ τις βασιλέα σκιαγραφῶν· ἕως ἂν οὐκ ἐπάγηται τὰ ἄνθη, οὐ λέγεται βασιλεύς· ἐπειδὰν δὲ ἐπιτεθῇ, κρύπτεται μὲν τῇ ἀληθείᾳ ὁ τύπος, καὶ οὐ φαίνεται· τότε δὲ καὶ λέγομεν, ἰδοὺ ὁ βασιλεύς. καὶ οὐκ εἶπεν, ἐν ἡμῖν γάρ ἐστιν ἡ περιτομή, ἀλλ', ἡμεῖς ἐσμεν· εἰκότως. τοῦτο γάρ ἐστιν ἄνθρωπος, ἡ περιτομὴ ἡ ἐνάρετος, τοῦτό ἐστιν ἀληθῶς ἄνθρωπος. ἐν ἐκείνοις δὲ οὐκ εἶπεν οὕτως, ἀλλά, βλέπετε τὴν κατατομήν. αὐτοὶ γὰρ λοιπὸν ἐν ἀπωλείᾳ ἦσαν, καὶ κακίᾳ. εἶτα δηλῶν, ὅτι οὐκέτι ἐν σώματι γίνεται ἡ περιτομή, ἀλλ' ἐν καρδίᾳ, φησί· Καὶ οὐκ ἐν σαρκὶ πεποιθότες,

χ. τινα 4 Καίπερ ἐγὼ ἔχων πεποίθησιν καὶ ἐν σαρκί. * Τί λέγει ἐνταῦθα πεποίθησιν, τὸ, ἐν σαρκί; καύχησιν, παρρησίαν, σεμνολόγημα. καὶ καλῶς τοῦτο προσέθηκεν. εἰ μὲν γὰρ ἐξ ἐθνῶν ὢν κατηγόρει τῆς περιτομῆς, οὐ τῆς περιτομῆς δὲ μόνον, ἀλλὰ καὶ τῶν ἀκαίρως αὐτὴν μεταχειριζόντων, ἔδοξεν ἄν, ὡς ἀπεστερημένος τῆς τοῦ Ἰουδαϊσμοῦ εὐγενείας, κατατρέχειν αὐτῆς, ὡς οὐκ εἰδὼς τὰ σεμνά, οὐδὲ μετεσχηκὼς αὐτῶν. νῦν δὲ ὁ μετασχὼν καὶ κατηγορῶν, οὐ διὰ τοῦτο κατηγορεῖ, ὡς οὐ μετασχών, ἀλλ' ὡς καταγνωκώς, οὐ δι' ἄγνοιαν, ἀλλὰ δι' ἐπίγνωσιν μάλιστα. ὅρα οὖν τί φησι καὶ ἐν τῇ πρὸς Γαλάτας, ἐμπεσὼν εἰς ἀνάγκην τοῦ μεγάλα περὶ ἑαυτοῦ εἰπεῖν, πῶς καὶ οὕτω τὴν ταπεινοφροσύνην ἐνδείκνυται. Ἠκούσατε γάρ, φησι, Γαλ. α. ιγ. τὴν ἐμὴν ἀναστροφήν ποτε ἐν τῷ Ἰουδαϊσμῷ. καὶ πάλιν ἐνταῦθα· Εἴ τις δοκεῖ ἄλλος πεποιθέναι ἐν σαρκί, ἐγὼ μᾶλλον. καὶ εὐθέως ἐπήγαγεν· Ἑβραῖος ἐξ Ἑβραίων. οὐκ εἶπε τοῦτο προηγουμένως, ἀλλὰ μετὰ τὸ εἰπεῖν, Εἴ τις ἄλλος, δεικνὺς τὴν ἀνάγκην, δεικνὺς ὅτι δι' ἐκείνους ἔλεγεν. Εἰ πεποίθατε, φησι, κἀγὼ μᾶλλον. τοῦτο νῦν λέγω, ἐπεὶ ἐσιώπων. καὶ ὅρα τὸ ἀνεπαχθὲς τῶν ἐλέγχων. τὸ γὰρ μὴ ὀνομαστὶ τοῦτο ποιεῖν, κἀκείνοις ἐδίδου χώραν ἀναδραμεῖν. Εἴ τις δοκεῖ πεποιθέναι. καὶ καλῶς εἶπε, δοκεῖ, ἢ ὡς οὐκ ἐχόντων τοσαύτην πεποίθησιν, ἢ ὡς τῆς πεποιθήσεως ἐκείνης οὐκ ὄντως πεποιθήσεως οὔσης. πάντα γὰρ ἀνάγκης ἦν, οὐ προαιρέσεως.

5 Περιτομῇ ὀκταήμερος. Καὶ πρῶτον τίθησιν ὃ μάλιστα ηὔχουν, τὸ τῆς περιτομῆς.

αἱρεῖται ζῆλον· ὅταν ἴδῃ, ὅτι αὐτὸς ἠξίωται, ταπεινοφρονῇ καὶ μετριάζῃ. ἂν οὕτω ποιῶμεν, καὶ οὕτω τὰ καθ' ἑαυτοὺς οἰκονομῶμεν, δυνησόμεθα τῶν ἐπηγγελμένων τυχεῖν ἀγαθῶν.

κεφ. γ. Λογ. ι. 1 ΤΟ ΛΟΙΠΟΝ, ΑΔΕΛΦΟΙ ΜΟΥ, ΧΑΙΡΕΤΕ ΕΝ Κυρίῳ. τὰ αὐτὰ γράφειν ὑμῖν, ἐμοὶ μὲν οὐκ ὀκνηρὸν, ὑμῖν δὲ ἀσφαλές.
2 Βλέπετε τοὺς κύνας, βλέπετε τοὺς κακοὺς ἐργάτας, βλέπετε τὴν κατατομήν.
3 Ἡμεῖς γάρ ἐσμεν ἡ περιτομὴ, οἱ πνεύματι Θεῷ λατρεύοντες, καὶ καυχώμενοι ἐν Χριστῷ Ἰησοῦ, καὶ οὐκ ἐν σαρκὶ πεποιθότες. [χ. Θεοῦ]

ΑΙ ἀθυμίαι καὶ αἱ φροντίδες, ὅταν πέρα τοῦ μέτρου τὴν ψυχὴν καταπίνωσι, τῆς οἰκείας αὐτὴν * ἀποστεροῦσιν ἰσχύος. διὰ τοῦτο καὶ ὁ Παῦλος τοὺς Φιλιππησίους ἐν πολλῇ ὄντας ἀθυμίᾳ ἀνίησιν. ἦσαν δὲ ἐν ἀθυμίᾳ, διὰ τὸ μὴ γινώσκειν σαφῶς τὰ κατὰ Παῦλον· ἦσαν ἐν ἀθυμίᾳ, διὰ τὸ νομίζειν αὐτὸν ἤδη τετελευτηκέναι, διὰ τὸ κήρυγμα, διὰ Ἐπαφρόδιτον. ὑπὲρ δὴ τούτων ἁπάντων πληροφορῶν αὐτοὺς ἐπάγει· τὸ λοιπὸν, ἀδελφοί μου, χαίρετε. οὐκ ἔχετε, φησὶ, λοιπὸν ἀθυμίας ὑπόθεσιν· ἔχετε Ἐπαφρόδιτον, δι' ὃν ἠλγεῖτε· ἔχετε Τιμόθεον, ἔρχομαι κἀγὼ, τὸ εὐαγγέλιον ἐπιδίδωσι. τί ὑμῖν λείπει λοιπόν; χαίρετε. Γαλάτας μὲν οὕτω τέκνα καλεῖ, τούτους δὲ ἀδελφούς. ὅταν μὲν γὰρ ἢ διορθῶσαί τι βούληται, ἢ φιλοστοργίαν ἐνδείξασθαι, τέκνα καλεῖ· ὅταν δὲ μετὰ πλείονος τιμῆς διαλέγηται, ἀδελφούς. τὸ λοιπὸν, ἀδελφοί μου, φησὶ, χαίρετε ἐν Κυρίῳ. καλῶς εἶπεν, ἐν Κυρίῳ, * οὐ κατὰ τὸν κόσμον. οὐκ ἔστι γὰρ χαρμονὴ τοῦτο. αἱ θλίψεις αὐταὶ, φησὶν, αἱ κατὰ Χριστὸν, ἔχουσι χαράν. τὰ αὐτὰ γράφειν ὑμῖν, ἐμοὶ μὲν οὐκ ὀκνηρὸν, ὑμῖν δὲ ἀσφαλές. βλέπετε τοὺς κύνας. ὁρᾷς πῶς οὐκ ἐν ἀρχῇ τὴν παραίνεσιν εἰσάγει; ἀλλ' ὅτε αὐτοὺς πολλὰ ἐπῄνεσεν, ὅτε ἐθαύμασε, τότε τοῦτο ποιεῖ, καὶ πάλιν ἐπαινεῖ. δοκεῖ γάρ μοι ἐνταῦθα φορτικώτερος εἶναι ὁ λόγος· ὅθεν αὐτὸν πάντοθεν συσκιάζει. τίνας δέ φησι κύνας; ἐνταῦθα ἦσάν τινες, οὓς ἐν πάσαις ταῖς ἐπιστολαῖς αἰνίττεται, Ἰουδαῖοι μιαροὶ καὶ κατάπτυστοι, αἰσχροκερδεῖς καὶ φίλαρχοι, οἱ βουλόμενοι τῶν πιστῶν πολλοὺς περισπάσαι, ἐκήρυττον καὶ τὸν χριστιανισμὸν, καὶ τὸν Ἰουδαϊσμὸν, παραφθείροντες τὸ εὐαγγέλιον. ἐπεὶ οὖν ἦσαν δυσδιάγνωστοι, διὰ τοῦτό φησι· βλέπετε τοὺς κύνας. οὐκέτι τέκνα Ἰουδαῖοι. ποτὲ οἱ ἐθνικοὶ τοῦτο ἐκαλοῦντο, νῦν δὲ ἐκεῖνοι. διὰ τί; ὅτι ὥσπερ οἱ ἐθνικοὶ καὶ τοῦ Θεοῦ καὶ τοῦ Χριστοῦ ἀλλότριοι ἦσαν, οὕτω καὶ οὗτοι γεγόνασι νῦν. καὶ τὸ ἀναιδὲς αὐτῶν καὶ τὸ ἰταμὸν ἐντεῦθεν παρίστησι, καὶ τὴν πολλὴν πρὸς τέκνα διάστασιν. ὅτι γὰρ οἱ ἐθνικοί ποτε κύνες ἐκαλοῦντο, ἄκουσον τῆς Χαναναίας, τί φησί. Ναὶ, Κύριε· καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν. ἵνα δὲ μηδὲ τοῦτο ἔχωσιν, ὅτι καὶ κύνες εἰσὶν ἐπιτραπέζιοι, ἐπάγει, ὅθεν αὐτοὺς καὶ ἀλλοτρίους λέγων· βλέπετε τοὺς κακοὺς ἐργάτας. καὶ θαυμαστῶς εἶπε, βλέπετε τοὺς κακοὺς ἐργάτας. ἐργάζονται μὲν γὰρ, φησὶν, ἀλλ' ἐπὶ κακῷ, καὶ ἀργίας πολλῷ χεῖρον ἔργον, ἀνασπῶντες τὰ καλῶς κείμενα. βλέπετε, φησὶ, τὴν κατατομήν. σεμνὸν ἦν παρὰ Ἰουδαίοις τὸ τῆς περιτομῆς, ἐπειδὴ καὶ ὁ νόμος αὐτῇ ὑπεξίστατο, καὶ τὸ σάββατον ἦν εὐτελέστερον αὐτῆς. ἵνα μὲν γὰρ περιτομὴ γένηται, ἐλύετο σάββατον· ἵνα δὲ σάββατον φυλαχθῇ, οὐδέποτε ἐλύετο ἡ περιτομή. καὶ θέα μοι τὴν τοῦ Θεοῦ οἰκονομίαν. αὕτη ἡ τοῦ σαββάτου αἰδεσιμωτέρα εὑρίσκεται, ἐν τισὶ χρόνοις [μὴ] παραλυθεῖσα. ὅταν οὖν αὕτη λύηται, πολλῷ μᾶλλον τὸ σάββατον. διὰ τοῦτο τὸ ὄνομα αὐτῆς ὁ Παῦλος κατατέμνει, καί φησι· βλέπετε τὴν κατατομήν. καὶ οὐκ εἶπεν, ὅτι κακὸν ἡ περιτομὴ, περιττὸν ἡ περιτομὴ, ἵνα μὴ πλήξῃ τοὺς ἄνδρας, ἀλλὰ σοφώτερον αὐτὸ οἰκονομεῖ,

τοῦ

Marginal notes: Γαλ. δ. ιθ. — Ματθ. ιε. κζ. — * ἰσχύος — * αὐτὸν τὸν — χ. αὐ μοι ἐπιφορ. — χ. σοφ. — χ. τῆς περιτομῆς.

πόρας καὶ ζώνης καὶ ὑποδημάτων, μή τι ὑστέρησεν ὑμῖν; λέγουσιν αὐτῷ, οὔ. οὐκοῦν λοιπὸν κτήσασθε. ἀλλὰ τί ἔδει, εἰπέ μοι; ἕνα χιτῶνα ἔχειν; τί οὖν; εἰ πλυνέσθαι τοῦτον ἔδει, γυμνὸν ἐχρῆν οἴκοι καθέζεσθαι; ἢ γυμνὸν περιιέναι καὶ ἀσχημονεῖν, χρείας καλούσης; ἐννόησον δή μοι Παῦλον τὸν ἐπὶ τοσούτοις κατορθώμασι περιιόντα τὴν οἰκουμένην διὰ ἱματίων ἔνδειαν οἴκοι καθῆσθαι, καὶ τηλικούτοις πράγμασιν ἐμποδίζειν. τί δὲ, εἰ κρυμὸς ἐπετέθη σφοδρὸς, καὶ κατέβρεξεν*, ἢ καὶ ἐπάγωσε, πῶς ξηραίνεσθαι ἐχρῆν; πάλιν γυμνὸν ἐχρῆν καθῆσθαι; τί δὲ, εἰ ψῦχος κατέτηξε τὸ σῶμα; τήκεσθαι ἔδει, καὶ μὴ φθείρεσθαι; ὅτι γὰρ οὐκ ἀδαμάντινα σώματα αὐτοῖς κατεσκεύαστο, ἄκουσον τί φησι περὶ Τιμοθέου· Οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου, καὶ τὰς πυκνάς σου ἀσθενείας· καὶ πάλιν περὶ ἑτέρου, Ἀναγκαῖον ἡγησάμην ἀποστεῖλαι ὑμῖν τὸν ὑμῶν ἀπόστολον καὶ λειτουργὸν τῆς χρείας μου. καὶ γὰρ ἠσθένησε παραπλήσιον θανάτου, ἀλλ' ὁ Θεὸς αὐτὸν ἠλέησεν· οὐκ αὐτὸν δὲ μόνον, ἀλλὰ καὶ ἐμέ. ὥστε ἁλώσιμοι πᾶσιν ἦσαν τοῖς πάθεσι. τί οὖν; ἀπόλλυσθαι ἐχρῆν; οὐδαμῶς. τίνος οὖν ἕνεκεν τότε τοῦτο ἐπέταξε; τὴν δύναμιν αὐτοῦ θέλων δεῖξαι. ὅτι καὶ μετὰ ταῦτα ἐδύνατο οὕτω ποιῆσαι, ἀλλ' οὐκ ἐποίησε. τίνος οὖν ἕνεκεν οὐκ ἐποίησε; πολλῷ τῶν Ἰσραηλιτῶν ἦσαν οὗτοι θαυμασιώτεροι, ὧν τὰ ὑποδήματα οὐ κατετρίβετο, οὐδὲ τὰ ἱμάτια, καὶ ταῦτα ἐκείνην τὴν ἔρημον διοδευόντων, ἔνθα θερμοτέρα ἐπιπίπτουσα ἡ ἀκτὶς ἡ ἡλιακὴ καὶ λίθους αὐτοὺς καταφρύγειν δύναται. τίνος οὖν ἕνεκεν τοῦτο ἐποίησε; διὰ σέ. ἐπειδὴ γὰρ οὐκ ἔμελλες ὑγιαίνειν, ἀλλὰ τραυματίζεσθαι, τῶν φαρμάκων σοι τὴν ὑπόθεσιν παρέσχε. καὶ τοῦτο δῆλον ἐκεῖθεν. εἰπὲ γάρ μοι, οὐκ ἠδύνατο αὐτοὺς αὐτοῖς θρέψαι; εἰ σοὶ τῷ προσκεκρουκότι ἔδωκεν, οὐ πολλῷ μᾶλλον Παύλῳ ἂν ἔδωκεν; ὁ τοῖς Ἰσραηλίταις διδοὺς τοῖς γογγυσταῖς, τοῖς πόρνοις, τοῖς εἰδωλολάτραις, οὐ πολλῷ μᾶλλον ἂν Πέτρῳ τῷ καταλείψαντι ἅπαντα δι' αὐτὸν [ἀφῆκεν]; ὁ μιαροὺς ἀφεὶς ἔχειν ἄνδρας, οὐ πολλῷ μᾶλλον ἂν Ἰωάννῃ ἐχαρίσατο, τῷ καὶ τὸν πατέρα δι' αὐτὸν καταλείποντι; ἀλλ' οὐκ ἠθέλησεν· ἀλλὰ διὰ σοῦ αὐτοὺς τρέφει, ἵνα σὺ ἀγαθυνθῇς. καὶ ἴδε μοι τὴν ὑπερβολὴν τῆς φιλανθρωπίας. εἵλετο τοὺς αὐτοῦ μαθητὰς ἐλαττωθῆναι, ἵνα σὺ μικρὸν ἀναπνεύσῃς. ἀλλ' εἰ ἐποίησεν αὐτοὺς ἀνενδεεῖς, φησι, πολλῷ θαυμαστότεροι ἂν ἦσαν, πολλῷ ἐπιδοξότεροι. ἀλλὰ σοῦ ἡ σωτηρία ἐξεκέκοπτο. οὐχ εἵλετο τοίνυν ἐκείνους γενέσθαι θαυμαστοὺς, ἀλλ' ἐλαττοῦσθαι μᾶλλον, ἵνα σὺ σωθῇς· καὶ ἐλαττωθῆναι ἐκείνους συνεχώρησεν, ἵνα σὺ δυνηθῇς σωθῆναι. οὐ γὰρ ὁμοίως αἰδέσιμός ἐστι διδάσκαλος λαμβάνων, ἀλλ' ἐκεῖνος μάλιστα τιμᾶται ὁ μὴ λαμβάνων· ἀλλ' ὁ μαθητὴς οὐκ ὠφελεῖται, ἀλλὰ τὸν καρπὸν ἐγκόπτεται. ὁρᾷς τὴν σοφίαν τοῦ φιλανθρώπου Θεοῦ; ὥσπερ γὰρ αὐτὸς οὐχὶ τὴν ἰδίαν δόξαν ἐζήτησεν, οὐδὲ τὸ ἑαυτοῦ ἐσκόπησεν, ἀλλὰ ἐν δόξῃ ὢν εἵλετο ἀτιμασθῆναι διὰ σέ, οὕτω καὶ ἐπὶ τῶν διδασκάλων. δυνάμενος αὐτοὺς ποιῆσαι αἰδεσίμους, εἵλετο εἶναι εὐκαταφρονήτους διὰ σέ, ἵνα σὺ ἔχῃς κερδαίνειν, ἵνα σὺ ἔχῃς πλουτεῖν. ἵνα γὰρ σὺ εὐπορῇς ἐν τοῖς πνευματικοῖς, διὰ τοῦτο ἐκεῖνος ἀπορεῖ ἐν τοῖς βιωτικοῖς. ὅτι τοίνυν ἐδύνατο ποιῆσαι αὐτοὺς ἀνενδεεῖς, ἔδειξε διὰ πολλῶν· ὅτι δὲ διὰ σὲ ἀφῆκεν αὐτοὺς ἐν ἐνδείᾳ εἶναι, καὶ τοῦτο δείκνυται ὁμοίως. Ταῦτα οὖν εἰδότες, μὴ πρὸς κατηγορίας, ἀλλὰ πρὸς εὐποιΐας τρεπώμεθα· μὴ τὰ ἑτέρων κακὰ περιεργαζώμεθα, ἀλλὰ τὰ ἡμέτερα αὐτῶν ἀναλογιζώμεθα· τὰ ἑτέρων κατορθώματα ἐννοῶμεν, τὰ δὲ ἡμέτερα ἁμαρτήματα ἀναλογιζώμεθα· καὶ οὕτως εὐαρεστήσομεν τῷ Θεῷ. ὁ μὲν γὰρ τὰ ἑτέρων ἁμαρτήματα ὁρῶν, καὶ τὰ αὐτοῦ κατορθώματα, διπλῇ βλάπτεται· ἀπό τε γὰρ τούτων εἰς ἀπόνοιαν αἴρεται, ἀπό τε ἐκείνων εἰς ῥᾳθυμίαν ἐμπίπτει. ὅταν γὰρ ἐννοήσῃ, ὅτι ὁ δεῖνα ἥμαρτεν, εὐκόλως ἁμαρτήσει καὶ αὐτός· ὅταν ἐννοήσῃ, ὅτι αὐτὸς κατώρθωσεν, εὐκόλως ἀπονοεῖται. ὁ δὲ τὰ μὲν αὐτοῦ κατορθώματα λήθῃ παραδιδοὺς, τὰ δὲ ἁμαρτήματα βλέπων μόνα, καὶ τὰ ἑτέρων ἁμαρτήματα μὴ περιεργαζόμενος, ἀλλὰ τὰ κατορθώματα, πολλὰ κερδαίνει. πῶς; ἄκουε. ὅταν ἴδῃ, ὅτι ὁ δεῖνα κατώρθωσε, πρὸς τὸ ἴσον

αἴρεται

α. Τιμ. ε. κγ.
Φιλιπ. β. κε.

μέρους βουλόμενος, ἀλλ' ὑμῶν φειδόμενος. ἐκεῖνοι μὲν οὖν, ἂν μὲν προσηκόντως καὶ δικαίως
ταῦτα ἀκούωσιν, ἅτε χρηματιζόμενοι, οὐδὲν παρὰ ὑμῶν βλάπτονται· ἀλλ' ἄν τε εἴπητε,
ἄν τε μὴ εἴπητε, λόγον τῷ δικαστῇ διδόασιν ἐκεῖ. ὥστε οὐδὲν αὐτοὺς τὰ ὑμέτερα βλάπτει
ῥήματα. ἂν δὲ καὶ ψευδῆ ᾖ τὰ παρὰ ὑμῶν λεγόμενα, ἐκεῖνοι μὲν οὖν ἐκέρδανον συκοφαντού-
μενοι εἰκῆ, ὑμεῖς δὲ ἑαυτοὺς ἐντεῦθεν βλάπτετε. ἐπὶ δὲ ὑμῶν οὐχ οὕτως ἐστίν· ἀλλ' ἄν τε ἀ-
ληθῆ ᾖ, ἄν τε ψευδῆ τὰ κατ' ″αὐτῶν, λέγοντες αὐτοὺς κακῶς, βλάπτεσθε. τί δήποτε; ἄν τε χ. αὐτοῦ,
γὰρ ἀληθῆ ᾖ, καὶ οὕτω βλάπτεσθε, κρίνοντες τοὺς διδασκάλους, καὶ τὴν τάξιν ἀνατρέποντες. εἰ
γὰρ ἀδελφὸν οὐ δεῖ κρίνειν, πολλῷ μᾶλλον διδάσκαλον. ἂν δὲ ψευδῆ, ἀφόρητος ἡ κόλασις
Ματθ. ιβ. λς. καὶ ἡ τιμωρία. Παντὸς γὰρ ῥήματος ἀργοῦ δώσετε λόγον. ὥστε ὑμῶν ἕνεκεν πάντα ποιοῦ-
μεν καὶ κάμνομεν. ὅπερ δὲ ἔφην, οὐδεὶς ταῦτα ἐξετάζει, οὐδεὶς ταῦτα πολυπραγμονεῖ,
Μαρκ. ι. μγ. οὐδεὶς λέγει πρὸς ἑαυτὸν τούτων οὐδέν. βούλεσθε καὶ ἕτερα παραθῶ; Ἐὰν μή τις ἀποτάξη-
Ματθ. ιθ. κγ. ται, φησὶν ὁ Χριστός, πᾶσι αὐτοῦ τοῖς ὑπάρχουσιν, οὐκ ἔστι μου ἄξιος. τί δὲ ὅταν λέγῃ, Δύ-
Λουκ. ι. κδ. σκολον πλουσίους εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν; τί δὲ ὅταν λέγῃ, Οὐαὶ ὑμῖν
″τοῖς πλουσίοις, ὅτι ἀπέχετε τὴν παράκλησιν ὑμῶν; οὐδεὶς τοῦτο ἐξετάζει, οὐδεὶς τοῦτο ἐν- χ. οἱ πλούσιοι,
νοεῖ, οὐδεὶς πρὸς ἑαυτὸν διαλέγεται, ἀλλ' ἐν τοῖς ἑτέρων σφοδροὶ κάθηνται πάντες ἐξετα-
σταί. ἀλλὰ τοῦτο μέν ἐστι κοινωνοὺς ποιῆσαι τοῦ ἐγκλήματος. ἵνα δὲ καὶ αὐτὴν ἀφαιρῶ φατε τοὺς ἱε-
ρεῖς ὑπευθύνους εἶναι, ἀπαλλάξω δὲ ὑμᾶς ἀκούσατε. τὸ γὰρ περὶ τούτων πεπεῖσθαι,
ὡς παραβαινόντων τῶν νόμων τοῦ Θεοῦ, πολλὴ πρὸς τὸ κακόν ἐστι ῥοπή. φέρε οὖν κἀκεῖνα
Ματθ. ι. θ. ἐξετάσωμεν. Εἶπεν ὁ Χριστός, Μὴ κτήσησθε χρυσόν, μηδὲ ἄργυρον, μηδὲ δύο χιτῶνας,
μηδὲ ὑποδήματα, μὴ ζώνην, μὴ ῥάβδον. τί οὖν, εἰπέ μοι; Πέτρος παρὰ τὸ πρόσ-
ταγμα ἐποίει; πῶς γὰρ οὔ, ὁ καὶ ζώνην ἔχων καὶ ἱμάτιον καὶ ὑποδήματα; ὅτι γὰρ εἶχεν, ἄκουε
Πραξ. ιβ. η. τοῦ ἀγγέλου λέγοντος πρὸς αὐτόν, Περίζωσαι καὶ ὑπόδησαι τὰ σανδάλιά σου· καίτοι οὐ
τοσαύτη χρεία [″τούτων] τῶν ὑποδημάτων ἦν. ἔνεστι γὰρ κατ' ἐκεῖνον τὸν καιρὸν καὶ ἀνυπό- χ. τούτῳ
δετον εἶναι· ἡ δὲ πολλὴ χρεία ἐν τῷ χειμῶνί ἐστιν· ἀλλ' ὅμως εἶχε. τί δὲ ὁ Παῦλος, ὅταν λέ-
β. Τιμ. δ. κα. γῃ Τιμοθέῳ γράφων, Σπούδασον πρὸ χειμῶνος ἐλθεῖν· εἶτα παραγγέλλει καὶ λέγει· Τὸν
ιγ. φελώνην, ὃν ἀπέλιπον ἐν Τρωάδι παρὰ Κάρπῳ, ″ἐρχόμενος φέρε, καὶ τὰ βιβλία, μάλιστα χ. εἰσερχόμ.
τὰς μεμβράνας; ἰδοὺ φελώνην εἶπε· καὶ οὐκ ἂν ἔχοι τις εἰπεῖν, ὅτι καὶ ἕτερον οὐκ εἶχεν,
ὃν ἐφόρει. εἰ μὲν γὰρ μηδὲ ὅλως ἐφόρει, περιττῶς ἐκέλευσε τοῦτον ἀπενεχθῆναι· εἰ
δὲ οὐκ ἐνῆν μὴ φορεῖν, δῆλον ὅτι ἕτερον εἶχε. τί δέ, ὅτι διετίαν ὅλην ἐν οἰκείῳ μισθώμα-
Γαλ. β. κ. τι ἔμενεν; ἆρα παρήκουσε τοῦ Χριστοῦ τὸ σκεῦος τῆς ἐκλογῆς, ὁ λέγων, Ζῶ δὲ οὐκέτι ἐγώ,
Πραξ. θ. ιε. ζῇ δὲ ἐν ἐμοὶ Χριστός; περὶ οὗ ὁ Χριστὸς ἐμαρτύρησε λέγων, ὅτι Σκεῦος ἐκλογῆς μοί ἐστιν οὗτος;
ἔδει ταύτην ἀφεῖναι τὴν ἀμφιβολίαν παρ' ὑμῖν, καὶ μηδεμίαν ἐπαγαγεῖν τῷ ζητήματι λύ-
σιν, ἀλλὰ ταύτην ὑμᾶς δίκην εἰσπράξασθαι τῆς περὶ τὰς γραφὰς ὀλιγωρίας. πάν-
τα γὰρ ταῦτα ἐκ τούτου γέγονε. διὰ τοῦτο καὶ ἐν τοῖς ἑτέρων ἁμαρτήμασιν ἐσμὲν πικροὶ ἐξε-
τασταί, καὶ τῶν ἡμετέρων οὐδένα λόγον ποιούμεθα, ὅτι τὰς γραφὰς οὐκ ἴσμεν, ὅτι τοὺς θείους οὐ
παιδευόμεθα νόμους. ἔδει μὲν οὖν ταύτην ὑμᾶς εἰσπράξασθαι τὴν δίκην. ἀλλὰ τί
πάθω; πατήρ εἰμι· πολλὰ καὶ πέρα τοῦ δέοντος τῶν πατέρες χαρίζονται τοῖς παισί. τῶν ἀπαλ-
γούντων αὐτοῖς διαθρυπτομένων ἐκεῖνοι τῶν πατρικῶν. κἂν ἴδωσι τὸ παιδίον ″κατηφιάσαν, τη- χ. κατηφῆ.
κόμενον, αὐτοὶ μᾶλλον ἐκείνου δάκνονται, καὶ οὐ παύονται, ἕως ἂν τῆς ἀθυμίας τὴν ὑπό-
θεσιν ἀνέλωσι. πλὴν καὶ τοῦτο γινέσθω, κἂν ″κατηφιάσατε ἐπί τινι μὴ λάβετε, ἵνα λά- χ. -φάσατε
βητε καλῶς. τί οὖν ἐστιν εἰπεῖν; οὐκ ἐκωλυτιώθησαν, μὴ γένοιτο, ἀλλὰ καὶ σφόδρα ἠκο-
λούθησαν τοῖς ″ἐπιτάγμασι τοῦ Χριστοῦ. τὰ γὰρ ἐπιτάγματα ἐκεῖνα πρόσκαιρα ἦν, καὶ χ. προστάγ.
οὐ διαπαντός. καὶ τοῦτο οὐ στοχαζόμενος λέγω, ἀλλ' ἀπὸ τῶν θείων γραφῶν. πῶς; φησὶν
Λουκ. κβ. λε. ὁ Λουκᾶς εἰρηκέναι τὸν Χριστὸν τοῖς μαθηταῖς, Ὅτε ἀπέστειλα ὑμᾶς ἄτερ βαλαντίου καὶ

πήρας

Digitized by Google

λεῖς ἐγκαλεῖ. ἀλλ' ἑτέρου δεινὸς ταῦτα λέγεις; χαλεπώτερον τὸ πρᾶγμα, ὅτι οὐδὲ ἴδιος ἐγκαλεῖς ὑπὲρ ὧν ἕτερος ποιεῖ. πόσον οἴει τοὺς ταῦτα ἀκούοντας μισθὸν ἔχειν; διὰ γὰρ τὸν Θεὸν ταῦτα πάσχουσι. πῶς καὶ διὰ τί; ἀξιῶ, εἴγε ἐβούλετο, καπηλικὸν μεταδιῶξαι βίον, εἰ καὶ μὴ ἀπὸ προγόνων εἶχεν. καὶ γὰρ ἀκούω καὶ ταῦτα πολλῶν λεγόντων ἱερέων, ὅταν εἴπωμεν, ὅτι ὁ δεῖνα πένεται. εἰ γὰρ ἐβούλετο, φησιν, ἠδύνατο πλουτεῖν. εἶτα ὑβριστικῶς, ὁ πρόγονος αὐτοῦ, καὶ ὁ πάππος αὐτοῦ, καὶ ὁ δεῖνα, τοιόσδε ἦν· νῦν δὲ τοιαύτην ἐσθῆτα περιβέβληται). ἀλλὰ τί; εἰπέ μοι, γυμνὸν αὐτὸν ἐχρῆν περιιέναι; σὺ μὲν οὖν ὑπὲρ τούτων ἀκριβολογῇ· ὅρα δὲ μὴ κατὰ σαυτοῦ ταῦτα λέγῃς. ἀλλ' ἄκουε τῆς παραινέσεως τοῦ Χριστοῦ τῆς λεγούσης, Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε. (Ματθ. ζ. α.) ἀλλ' ἀξιῶ, εἴγε ἐβούλετο, καπηλικὸν καὶ ἐμπορικὸν βίον ζῆν, καὶ πάντως οὐκ ἂν ἠπόρησεν· ἀλλ' οὐκ ἠθέλησε. τί οὖν ἐνταῦθα κερδαίνει, εἰπέ μοι; σηρικὰ ἱμάτια περίκειται; πλῆθος ἀκολούθων ἔχων σοβεῖ κατὰ τὴν ἀγοράν; ἐπὶ ἵππου φέρεται; οἰκίας οἰκοδομεῖ, ἔχων ὅπου καταμένῃ; ἂν ταῦτα ποιῇ, καὶ ἐγὼ κατηγορῶ, καὶ οὐ φείδομαι, ἀλλ' ἀναξίους αὐτοὺς εἶναι τῆς ἱερωσύνης φημί. πῶς γὰρ ἑτέροις δυνήσεται παραινεῖν μὴ περὶ τὰ περιττὰ ταῦτα ἐσχολακέναι, αὐτὸς ἑαυτῷ παραινέσαι μὴ δυνάμενος; εἰ δὲ ὅτι τῆς ἀναγκαίας εὐπορεῖ τροφῆς, διὰ τοῦτο ἀδικεῖ, ἀλλὰ περιιέναι ἐχρῆν αὐτὸν, καὶ προσαιτεῖν; καὶ οὐκ ἂν σὺ κατῃσχύνθης, εἰπέ μοι, ὁ μαθητής; ἀλλ' ὁ μὲν πατὴρ ὁ σαρκικὸς ἂν τοῦτο ποιῇ, αἰσχύνην τὸ πρᾶγμα ἡγῇ· ἂν δὲ ὁ πνευματικὸς ἀναγκάζηται τοῦτο ποιεῖν, οὐκ ἐγκαλύπτῃ; μᾶλλον οὐδὲ ἡγήσῃ ἄξιον καταδύεσθαι; (χ. εἰ δέοι γε καταδύεσθαι;) Ἀδοξία, φησὶ, πατρὸς, ὄνειδος τέκνων. (Σειρ. γ. ι.) ἀλλὰ τί; ἐχρῆν λιμῷ φθείρεσθαι ἔδει; ἀλλ' οὐδὲ τοῦτο εὐσεβοῦς. οὐ γὰρ βούλεται ὁ Θεός. ἀλλ' ὅταν εἴπωμεν πρὸς αὐτοὺς ταῦτα, εὐθέως φιλοσοφοῦσι. γέγραπται, φησὶ, Μὴ κτήσησθε χρυσὸν, μηδὲ ἄργυρον, μηδὲ δύο χιτῶνας, μηδὲ χαλκὸν εἰς τὰς ζώνας ὑμῶν, μὴ ῥάβδον. (Ματθ. ι. θ.) οὗτοι δὲ καὶ τρία καὶ τέσσαρα ἱμάτια ἔχουσι, καὶ κλίνας ἐστρωμένας. ἐπῆλθέ μοι στενάξαι πικρόν τι νῦν. εἰ δὲ μὴ ἀσχημονεῖν ἔμελλον, κἂν ἐδάκρυσα. (χ. μὴ μὴ ἔμελλον ἀσχημονεῖν,) τί δή ποτε; ὅτι τὸ μὲν τὸ κάρφος τὸ τῶν ἄλλων οὕτως ἐσμὲν ἀκριβεῖς ἐξετάσαι, τὰς δὲ δοκοὺς ἔχοντες αὐτοὶ ἐν τοῖς ὀφθαλμοῖς οὐδὲ αἰσθανόμεθα. εἰπέ μοι, διὰ τί γὰρ σαυτῷ τοῦτο μὴ λέγεις; ὅτι τοῖς διδασκάλοις προστέτακται μόνον, φησίν. ὅταν οὖν ὁ Παῦλος λέγῃ, Ἔχοντες διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα, (α. Τιμ. ϛ. η.) πρὸς τοὺς διδασκάλους λέγει μόνους; οὐδαμῶς, ἀλλὰ πρὸς πάντας ἀνθρώπους. καὶ δῆλον αὐτόθεν τὸ χωρίον διεξιοῦσιν. εἰπὼν γὰρ, Πορισμὸς μέγας ἐστὶν ἡ εὐσέβεια μετὰ αὐταρκείας· εἶτα, Οὐδὲν εἰσηνέγκαμεν εἰς τὸν κόσμον τοῦτον, δῆλον ὅτι οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα, (α. Τιμ. ϛ. ϛ.) εὐθέως ἐπήγαγεν· Ἔχοντες δὲ διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα· οἱ δὲ βουλόμενοι πλουτεῖν, ἐμπίπτουσιν εἰς πειρασμὸν καὶ παγίδα, καὶ ἐπιθυμίας πολλὰς ἀνοήτους καὶ βλαβεράς. εἶδες ὅτι πρὸς πάντας ὁ λόγος εἴρηται; τί δὲ, ὅταν λέγῃ πάλιν, Τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας, (Ρωμ. ιγ. ιδ.) οὐχὶ πᾶσιν ἁπλῶς διαλέγεται; τί δὲ, ὅταν λέγῃ, Τὰ βρώματα τῇ κοιλίᾳ, καὶ ἡ κοιλία τοῖς βρώμασιν· ὁ δὲ Θεὸς καὶ ταύτην, καὶ ταῦτα καταργήσει; (α. Κορ. ϛ. ιγ.) τί δὲ, ὅταν λέγῃ, Ἡ δὲ σπαταλῶσα ζῶσα τέθνηκε, (α. Τιμ. ε. ϛ.) περὶ χήρας διαλεγόμενος; μὴ καὶ ἡ χήρα διδάσκαλός ἐστιν; οὐχὶ αὐτὸς εἶπεν, ὅτι Γυναικὶ διδάσκειν οὐκ ἐπιτρέπω, οὐδὲ αὐθεντεῖν ἀνδρός; (α. Τιμ. β. ιβ.) εἰ δὲ ἡ χήρα, ἔνθα καὶ ἡ ἡλικία γηραλέα (τὸ γὰρ γῆρας πολλῆς δεῖται θεραπείας) καὶ αὐτὴ ἡ φύσις (τὸ γὰρ τῶν γυναικῶν γένος πλείονος δεῖται ἀναπαύσεως, ἅτε ἀσθενὲς ὄν) εἰ τοίνυν, ἔνθα καὶ ἡ ἡλικία καὶ ἡ φύσις κώλυμα, οὐκ ἀφίεται αὐτὴν σπαταλᾶν, ἀλλὰ καὶ τεθνηκέναι αὐτήν φησιν (οὐ γὰρ ἁπλῶς εἶπε μὴ σπαταλᾶν, ἀλλ', ἡ σπαταλῶσα ζῶσα τέθνηκε) καὶ ἐξέκοψεν αὐτήν (ἡ γὰρ τεθνηκυῖα ἐκκέκοπται) ποίας ἔξει συγγνώμης ἂν ἄνθρωπος ταῦτα ποιῶν, ἐφ' οἷς ἡ γυνὴ ἡ γεγηρακυῖα κολάζεται; ἀλλὰ ταῦτα οὐδεὶς οὐδὲ εἰς ἔννοιαν λαμβάνει, ταῦτα οὐδεὶς ἐξετάζει. ἐγὼ δὲ νῦν ταῦτα εἰσφέρειν ἠναγκάσθην, οὐχὶ τοὺς ἱερέας ἀπαλλάξαι ἐγκλη-

μάτων

λει αἱ τοιαῦται, ἢ ἐκεῖναι. ὁ γὰρ ὑπὲρ τοῦ ἐλάττονος καταπολμῶν τοῦ θανάτου, πολλῷ μᾶλλον ὑπὲρ τοῦ μείζονος. ὥστε καὶ ἡμεῖς, ὅταν ἴδωμεν ἁγίους ἐν κινδύνοις, παραβουλευώμεθα. οὐ γὰρ ἔνι μὴ τολμῶντα, γενναῖόν τι πρᾶξαί ποτε, ἀλλ' ἀνάγκη τὸν τῆς ἐνταῦθα ἀσφαλείας περιούμενον ἐκπεσεῖν τῆς μελλούσης. ἵνα ἀναπληρώσῃ, φησί, τὸ ὑμῶν ὑστέρημα τῆς πρός με λειτουργίας. τί ἐστι τοῦτο; οὐ παρῆν ἡ πόλις, ἀλλ' ἐλειτούργησέ μοι δι' ἐκείνου πᾶσαν λειτουργίαν τῷ ἐκεῖνον πέμψαι. τὸ οὖν ὑστέρημα τῆς ὑμετέρας λειτουργίας αὐτὸς ἀνεπλήρωσεν, ὥστε καὶ κατὰ τοῦτο δίκαιος ἂν εἴη ἀπολαῦσαι τιμῆς πολλῆς, ὅτι ὅπερ ἐχρῆν πάντας ποιῆσαι, τοῦτο ἔπραξεν αὐτὸς ὑπὲρ ὑμῶν. καὶ δείκνυσι καὶ πρέπον οὖσαν λειτουργίαν παρὰ τῶν ἐν ἀσφαλείᾳ τοῖς κινδυνεύουσι. τὸ γὰρ ὑστέρημα τῆς λειτουργίας οὕτως εἴρηται, ὡς πρὸς ἐκεῖνον. ὁρᾷς φρόνημα ἀποστολικόν; τοῦτο οὐκ ἐξ ἀπονοίας γέγονεν, ἀλλὰ ἀπὸ πολλῆς κηδεμονίας. ἵνα γὰρ μὴ ἐπαίρωνται, ἀλλὰ μετριάζωσι, μηδὲ μέγα τι παρεσχηκέναι νομίζωσιν, ἀλλὰ ταπεινῶνται, λειτουργίαν τὸ πρᾶγμα καλεῖ καὶ ὑστέρημα.

ΗΘΙΚΟΝ Μὴ τοίνυν μηδὲ ἡμεῖς μέγα φρονῶμεν, τοῖς ἁγίοις παρέχοντες, μηδὲ χαρίζεσθαι αὐτοῖς ἐν τούτῳ νομίζωμεν. καὶ γὰρ ὀφείλεται τοῖς ἁγίοις παρ' ἡμῶν τὸ πρᾶγμα, καὶ οὐδὲν αὐτοῖς χαριζόμεθα. ὥσπερ γὰρ τοῖς ἐν στρατοπέδῳ ἑστῶσι καὶ πολεμοῦσι παρὰ τῶν ἐν εἰρήνῃ ὄντων καὶ μὴ πολεμούντων ὀφείλεται τὰ τελέσματα (ὑπὲρ γὰρ ἐκείνων ἑστήκασιν οὗτοι) οὕτω καὶ ἐνταῦθα. εἰ μὴ γὰρ ἐδίδασκεν ὁ Παῦλος, τίς ἂν αὐτὸν τότε ἐνέβαλεν εἰς δεσμωτήριον; ὥστε λειτουργεῖν χρὴ τοῖς ἁγίοις. πῶς γὰρ οὐκ ἄτοπον τῷ μὲν στρατευομένῳ βασιλεῖ τῷ ἐπιγείῳ πάντα εἰσφέρειν, καὶ ἐνδύματα, καὶ τροφάς, οὐ κατὰ τὴν χρείαν μόνον, ἀλλὰ καὶ κατὰ τὴν περιουσίαν, τῷ δὲ στρατευομένῳ βασιλεῖ τῷ ἐπουρανίῳ, καὶ παρατατομένῳ πρὸς πολλῷ χαλεπωτέρους (Ἡ πάλη γάρ, φησιν, οὐ πρὸς αἷμα καὶ σάρκα) μηδὲ τὴν ἀναγκαίαν χρείαν χορηγεῖν; πόσης ἀγνωμοσύνης; πόσης τοῦτο ἀχαριστίας; πόσης ″μικρολογίας; ἀλλ', ὡς ἔοικε, πλέον ὁ τῶν ἀνθρώπων ἰσχύει φόβος παρὰ τὸν τῆς γεέννης καὶ τῶν μελλουσῶν κολάσεων. διὰ δὴ τοῦτο πάντα ἀνατέτραπται, ὅτι τὰ μὲν πολιτικὰ πράγματα μετὰ πολλῆς τῆς ἀκριβείας καθ' ἑκάστην ἡμέραν λύεται, καὶ ἐλλειφθῆναι οὐκ ἔνι· τῶν δὲ πνευματικῶν οὐδεὶς οὐδαμοῦ λόγος· ἀλλὰ τὰ μὲν μετ' ἀνάγκης ἀπαιτούμενα καὶ βασάνων, καὶ ὡς παρὰ δούλων καὶ ἀκόντων, καταβάλλεται μετὰ πολλῆς τῆς ἀγνωμοσύνης· τὰ δὲ παρὰ ἑκόντων, καὶ ὡς παρὰ ἐλευθέρων, ″πάντα ἐλλιμπάνεται. οὐ κατὰ πάντων λέγω, ἀλλὰ κατὰ τῶν τὰ τελέσματα ταῦτα ἐγκαταλιμπανόντων. μὴ γὰρ οὐκ ἠδύνατο ὁ Θεὸς ἀνάγκῃ ταῦτα ποιεῖν; ἀλλ' οὐ βούλεται. ὑμῶν γὰρ φείδεται μᾶλλον, ἢ τῶν τρεφομένων. διὰ τοῦτο ὑμᾶς οὐκ ἀνάγκῃ βούλεται καταπιθέναι, ἐπεὶ* οὐκ ἔστι μισθός. καὶ ὅμως πολλοὶ τῶν ἐνταῦθα, τῶν Ἰουδαίων εἰσὶ ταπεινότεροι. ἐννόησον ὅσα Ἰουδαῖοι ἐδίδοσαν, δεκάτας, ἀπαρχάς, πάλιν δεκάτας, καὶ πάλιν ἄλλας δεκάτας, καὶ πάλιν ἑτέρας ″τρισκαιδεκάτας, καὶ τὸ σίκλον· καὶ οὐδεὶς ἔλεγεν, ὅτι πολλὰ καταναλίσκουσιν. ὅσῳ ἂν πλείονα λάβωσι, τοσούτῳ καὶ ″πλείων ὁ μισθός. οὐκ ἔλεγον, πολλὰ λαμβάνουσι, γαστρίζονται, ἃ νῦν ἀκούω λεγόντων τινῶν. καὶ οἱ μὲν οἰκοδομοῦντες οἰκίας, καὶ ἀγροὺς ὠνούμενοι, οὐδὲν ἡγοῦνται ἔχειν· ἂν δέ τις τῶν ἱερέων λαμπρότερον ἱμάτιον περιβάλῃ″), ἢ τῆς ἀναγκαίας εὐπορήσῃ τροφῆς, ἢ ἕνα διακονούμενον ἔχῃ, ἵνα μὴ ἀναγκάζηται″) αὐτὸς ἀσχημονεῖν, πλοῦτον τὸ πρᾶγμα τίθεται″). οὕτως πλουτοῦμεν καὶ ἐν τούτοις, καὶ ἄκοντες ὁμολογοῦσιν. ἡμεῖς μὲν γὰρ καὶ μικρὰ ἔχομεν, πλουτοῦμεν· ἐκεῖνοι δὲ καὶ πάντα περιβάλλοντες, πένονται. μέχρι τίνος ἀνοηταίνομεν; οὐκ ἀρκεῖ, τὸ μηδὲν ποιεῖν, εἰς κόλασιν ὑμῖν, ἀλλὰ χρὴ καὶ τὴν ἀπὸ τῆς κατηγορίας προσθεῖναι ζημίαν; εἰ μὲν γὰρ αὐτὸς ἔδωκας αὐτῷ ἅπερ ″κέκτηται, τὸν μισθὸν ἀπώλεσας ὑπὲρ ὧν ἔδωκας ἐγκαλῶν. ὅλως δὲ εἰ σὺ ἔδωκας, τί ἐγκαλεῖς; περίεργοι μὲν οὖν αὐτῷ πενίας ἐμαρτύρεις, λέγων ἅπερ ἔχει δεδωκέναι αὐτός. τί τοίνυν ἐγκαλεῖς; οὐκ ἐχρῆν δοῦναι, εἰπὲ ἔμελ-

Ἐφ. ϛ. ιϛ.

χ. αἰσχροκερδίας;

χ. πάλιν

* τότε

χ. τρισκαιδεκάδας,

χ. πλεῖον

χ. ἐκέκτητο,

ἰσχυροί. ἡ μὲν γὰρ μέλλουσα ζωὴ οὐχὶ πονηροῦ κρείττων (ἐπεὶ οὐκ ἀγαθή) ἀλλὰ καλοῦ κρείττων. Ἵνα μὴ λύπην, φησὶν, ἐπὶ λύπην σχῶ, τὴν ἀπὸ τῆς τελευτῆς ἐπὶ τῇ διὰ τὴν ἀῤῥωστίαν γενομένῃ αὐτῷ. διὰ τούτων δείκνυσιν, ὅσου τιμᾶται τὸν Ἐπαφρόδιτον.

28 Σπουδαιοτέρως οὖν ἔπεμψα αὐτόν. Τί ἐστι, σπουδαιοτέρως; τουτέστιν, ἀνυπερθέτως, χωρὶς μελλήσεως, μετὰ πολλοῦ τοῦ τάχους, κελεύσας πάντα ὑπερθέμενον ἐλθεῖν πρὸς ὑμᾶς, ἵνα τῆς ἀδημονίας ἀπαλλαγῆτε. οὐ γὰρ οὕτω τοὺς ποθουμένους ἀκούοντες ἐν ὑγιείᾳ ὄντας χαίρομεν, ὡς ὅταν ἴδωμεν, καὶ μάλιστα, ὅταν παρ' ἐλπίδας ἐκβῇ τὸ πρᾶγμα· ὅπερ ἐπὶ Ἐπαφροδίτου τότε γέγονε.

28 Σπουδαιοτέρως οὖν, φησιν, ἔπεμψα αὐτὸν, ἵνα ἰδόντες αὐτὸν χαρῆτε, κἀγὼ ἀλυπότερος ὦ. Πῶς ἀλυπότερος; ὅτι ἐὰν ὑμεῖς χαίρητε, κἀγὼ χαίρω, καὶ ὅταν χαίρω ἐπὶ τοιαύτῃ ἡδονῇ, καὶ ἐγὼ ἀλυπότερος ἔσομαι. καὶ οὐκ εἶπεν, ἄλυπος, ἀλλ', ἀλυπότερος, δεικνὺς ὅτι οὐδέποτε ἡ ψυχὴ αὐτοῦ ἦν λύπης ἐκτός. ὁ γὰρ λέγων, Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; πότε λύπης ἐκτὸς ἦν; ὡσανεὶ ἔλεγε, ταύτην ἀποτίθεμαι τὴν ἀθυμίαν. β. Κορ. ια. κθ.

29 Προσδέχεσθε οὖν αὐτὸν ἐν Κυρίῳ μετὰ πάσης χαρᾶς. Ἐν Κυρίῳ, ὅ ἐστι, πνευματικῶς, τουτέστι, μετὰ πολλῆς τῆς σπουδῆς· μᾶλλον δὲ τὸ, ἐν Κυρίῳ, τοῦτ' ἔστι, τοῦ Θεοῦ θέλοντος. ἀξίως τῶν ἁγίων ὑποδέξασθε, καὶ ὥσπερ τοὺς ἁγίους ὑποδέχεσθαι προσήκει, μετὰ πάσης, φησὶ, χαρᾶς. Ταῦτα πάντα ποιεῖ ὑπὲρ αὐτῶν ἐκείνων, οὐχ ὑπὲρ τῶν τιμωμένων. μεῖζον γὰρ τὸ κέρδος τοῖς ποιοῦσι, ἢ τῷ πάσχοντι εὖ. Καὶ τοὺς τοιούτους ἐντίμους ἔχετε.

ἴσ. αὐτοὺς Τουτέστι, προσδέχεσθε" αὐτὸν ἀξίως τῶν ἁγίων.

30 Ὅτι διὰ τὸ ἔργον τοῦ Χριστοῦ μέχρι θανάτου ἤγγισε, παραβουλευσάμενος τῇ ψυχῇ, ἵνα ἀναπληρώσῃ τὸ ὑμῶν ὑστέρημα τῆς πρός με λειτουργίας. Οὗτος κοινῇ παρὰ τῆς πόλεως ἦν ἀπεσταλμένος τῆς Φιλιππησίων, "ὥστε τῷ Παύλῳ διακονεῖν, ἢ καὶ ἴσως τι ἀποκομίζων αὐτῷ ἐληλύθει. ὅτι γὰρ καὶ χρήματα ἐκόμισε, δείκνυσι πρὸς τῷ τέλει λέγων· Δεξάμενος γὰρ παρὰ Ἐπαφροδίτου τὰ παρ' ὑμῶν. Εἰκὸς οὖν αὐτὸν ἐπιστάντα τῇ πόλει Ῥωμαίων, ἐν οὕτω πολλῷ τὸν Παῦλον κινδύνῳ καταλαβεῖν, καὶ σφοδρῷ, ὡς μηδὲ τοὺς πλησιάζοντας αὐτῷ μετὰ ἀσφαλείας δύνασθαι τοῦτο ποιεῖν, ἀλλὰ καὶ αὐτοὺς ἐπισφαλῶς προσιέναι· ὅπερ εἴωθε γίνεσθαι μάλιστα ἐν τοῖς κινδύνοις τοῖς μεγάλοις, καὶ ταῖς ὀργαῖς τῶν βασιλέων ταῖς ὑπερβαλλούσαις (ὅταν γάρ τις βασιλεῖ προσκεκρουκὼς εἰς δεσμωτήριον ἐμβληθῇ, καὶ ἐν πολλῇ γένηται φυλακῇ, τότε καὶ τοῖς οἰκέταις ἡ πρόσοδος ἀποτετείχισται, ὅπερ εἰκὸς τὸν Παῦλον τότε πάσχειν) τὸν δὲ Ἐπαφρόδιτον ἄνδρα γενναῖον ὄντα, πάντων καταφρονῆσαι κινδύνου, ὥστε "προσελθεῖν καὶ ὑπηρετήσασθαι, καὶ πάντα πρᾶξαι, ἅπερ ἐχρῆν. δύο τοίνυν τίθησιν, ἀφ' ὧν ποιεῖ αὐτὸν αἰδέσιμον· ἓν μὲν, ὅτι μέχρι θανάτου ἐκινδύνευσε, φησὶ, δι' ἐμέ· δεύτερον δὲ, ὅτι τὸ πρόσωπον τῆς πόλεως περικείμενος ταῦτα ἔπαθεν, ὡς ἐν τῷ κινδύνῳ ἐκείνῳ τοῖς πέμψασι λογίσασθαι τὸν μισθὸν, ὡς ἂν ἡ πόλις πρεσβευτὴν ἐπέμψεν. ὥστε τὸ μετὰ θεραπείας "ὑποδέξασθαι, καὶ ὑπὲρ τῶν γεγενημένων εὐχαριστῆσαι, μᾶλλόν ἐστι κοινωνῆσαι τοῖς τετολμημένοις. Καὶ οὐκ εἶπε, δι' ἐμὲ, ἀλλ' ἀξιοπιστότερον αὐτὸν ποιεῖ λέγων, ὅτι διὰ τὸ ἔργον τοῦ Θεοῦ. οὐδὲ γὰρ δι' ἐμὲ ποιεῖ, ἀλλὰ διὰ τὸν Θεὸν ἤγγισε μέχρι θανάτου. τί γάρ; εἰ μὴ ἀπέθανε, τοῦ Θεοῦ οἰκονομήσαντος, ἀλλ' αὐτός γε παρεβουλεύσατο, καὶ ἐξέδωκεν ἑαυτὸν, ὡς κἂν ὁτιοῦν δὴ παθεῖν, οὐκ ἀποστησόμενος τῆς πρός με θεραπείας. Εἰ δὲ ὑπὲρ τοῦ Παῦλον θεραπεῦσαι εἰς θάνατον ἑαυτὸν ἐξέδωκε, πολλῷ μᾶλλον ὑπὲρ τοῦ κηρύγματος τοῦτο" ἂν ἔπαθε· μᾶλλον δὲ καὶ τοῦτο ὑπὲρ τοῦ κηρύγματος ἦν, τὸ ὑπὲρ ἐκείνου ἀποθανεῖν. οὐ γὰρ μόνον ὑπὲρ τοῦ μὴ θῦσαι μαρτυρίου στέφανόν ἐστιν ἀναδήσασθαι, ἀλλὰ καὶ αἱ τοιαῦται προφάσεις μάρτυρας ποιοῦσι· καὶ εἰ δεῖ τι θαυμαστὸν εἰπεῖν, πολλῷ μᾶλ-

γρ. ὃν καὶ διακονεῖν Παύλῳ.

Φιλιπ. δ. ιη.

γρ. περιελθεῖν

γρ. δέξασθαι, καὶ ἀποδέξασθαι ὑπὲρ τῶν γεγεν.

γρ. ἐποίησεν ἄν

τὸν μεταξὺ χρόνον ἐν ἀγωνίᾳ. πέποιθα δὲ ἐν Κυρίῳ, φησί· τουτέστιν, ἂν ὁ Θεὸς βούληται. ὅρα πῶς πάντα ἐξαρτᾷ τοῦ Θεοῦ, καὶ οὐδὲν ἐξ οἰκείας φθέγγεται διανοίας.

25 Ἀναγκαῖον δὲ ἡγησάμην Ἐπαφρόδιτον τὸν ἀδελφὸν καὶ συνεργὸν καὶ συστρατιώτην μου.

Καὶ τοῦτον πάλιν μετ' ἐγκωμίων τῶν αὐτῶν, ὧν καὶ τὸν Τιμόθεον, ἀποστέλλει. ἐκεῖνον γὰρ ἀπὸ δύο τούτων συνέστησεν, ὅτι τε αὐτοὺς ἀγαπᾷ, εἰπών, ὅστις γνησίως τὰ περὶ ὑμῶν μεριμνήσει, καὶ ὅτι ἐν τῷ εὐαγγελίῳ εὐδοκίμησε· καὶ τοῦτον ἀπὸ τῶν αὐτῶν πάλιν διὰ τὴν αὐτὴν αἰτίαν, ἣν καὶ ἐκεῖνον, ἐπῄνεσε. πῶς; τὸ γὰρ εἰπεῖν ἀδελφὸν, καὶ συνεργὸν, καὶ μὴ μέχρι τούτου μόνον στῆναι, ἀλλὰ καὶ συστρατιώτην προσθεῖναι, δεικνύντος ἐστὶ τὴν πολλὴν αὐτοῦ κοινωνίαν τὴν ἐν τοῖς κινδύνοις, καὶ τὰ αὐτὰ αὐτῷ μαρτυροῦντος, ἅπερ καὶ ἑαυτῷ. τὸ δὲ συστρατιώτην, πλέον ἐστὶ τοῦ, συνεργόν. ἴσως γάρ τις ἐν μὲν ψιλοῖς πράγμασι συνήργησεν, ἐν δὲ πολέμῳ καὶ κινδύνοις οὐκέτι. διὸ δὲ εἰπεῖν, συστρατιώτην, καὶ τοῦτο ἐδήλωσεν. Ὑμῶν δέ, φησιν, ἀπόστολον, καὶ λειτουργὸν τῆς χρείας μου πέμψαι πρὸς ὑμᾶς. Τουτέστι, τὰ ἡμέτερα ὑμῖν χαρίζομαι, ἤγουν τὸν ὑμέτερον ὑμῖν πέμπομεν, ἢ τὸν ὑμᾶς διδάσκοντα. πάλιν πολλὰ περὶ τῆς ἀγάπης αὐτοῦ προστίθησι λέγων· γρ. ἡμέτερα

26 Ἐπειδὴ ἐπιποθῶν ἦν πάντας ὑμᾶς, καὶ ἀδημονῶν, διότι ἠκούσατε, ὅτι ἠσθένησε.

27 Καὶ γὰρ ἠσθένησε παραπλήσιον θανάτου· ἀλλ' ὁ Θεὸς αὐτὸν ἠλέησεν, οὐκ αὐτὸν δὲ μόνον, ἀλλὰ καὶ ἐμέ, ἵνα μὴ λύπην ἐπὶ λύπῃ σχῶ. Ἐνταῦθα δὲ καὶ ἕτερον κατασκευάζει, δηλῶν ὅτι καὶ αὐτὸς σφόδρα οἶδε, φησιν, ὅτι ἀγαπᾶται παρ' ὑμῶν. οὐ μικρὸν δὲ τοῦτο εἰς τὸ φίλτρον ἐπισπάσασθαι. πῶς; ἠσθένησε, φησι, καὶ ἤλγησε· ὑγίανε, καὶ ἀπήλλαξεν ἡμᾶς τῆς λύπης, ἣν εἴχετε διὰ τὴν ἀσθένειαν αὐτοῦ. οὐ μὴν οὐδὲ οὕτως ἔξω λύπης ἦν, ἀλλ' ἤλγει, διότι ὑγιάνας οὐκ εἶδεν ὑμᾶς. ἐνταῦθα καὶ ἄλλο κατασκευάζει ἀπολογούμενος ὅτι διὰ χρόνου πέμπει πρὸς αὐτούς, οὐ διὰ ῥᾳθυμίαν, φησίν, ἀλλὰ τὸν μὲν Τιμόθεον, διὰ τὸ μηδένα ἔχειν, κατέχει (οὐδένα ἔχω γάρ, φησιν, ἰσόψυχον)· τὸν δὲ Ἐπαφρόδιτον διὰ τὴν ἀσθένειαν. εἶτα δείκνυσιν, ὅτι μακρὰ αὕτη γέγονε, καὶ πολὺν χρόνον ἀνάλωσε, φησί· καὶ γὰρ ἠσθένησε παραπλήσιον θανάτου. ὁρᾷς ὅσην ποιεῖται Παῦλος σπουδὴν ὑπὲρ τοῦ πάσης ῥᾳθυμίας καὶ ὀλιγωρίας πρόφασιν ἐκκόψαι ἐκ τῆς τῶν μαθητῶν διανοίας, καὶ μὴ ὑποπτεῦσαι, ὅτι καταφρονῶν αὐτῶν οὐκ ἦλθεν; οὐδὲν γὰρ οὕτω τὸν μαθητὴν ἐπαγαγέσθαι δύναται, ὡς τὸ πιστεῦσαι καὶ ὅτι φροντίζει αὐτοῦ ὁ προεστώς, καὶ ὅτι ἀδημονεῖ ὑπὲρ αὐτοῦ, ὅπερ ὑπερβαλλούσης ἀγάπης ἐστίν. ἠκούσατε, φησιν, ὅτι ἠσθένησε. καὶ γὰρ ἠσθένησε παραπλήσιον θανάτου. καὶ ὅτι οὐ παραφράζομαι, ἀκούσατε. ἀλλ' ὁ Θεὸς αὐτὸν ἠλέησε. τί λέγεις, ὦ αἱρετικέ; ἐκ ταύτης ἔλεόν φησι τοῦ Θεοῦ εἶναι, τὸ τὸν μέλλοντα ἀπιέναι κατέχεσθαι καὶ * ὑποστρέψαι πάλιν. καὶ μὴν εἰ πονηρὸς ὁ κόσμος, οὐκ ἔλεος τοῦτο ἐστὶ τὸ ἐν τῷ πονηρῷ ἀφίεσθαι. ἀλλὰ πρὸς μὲν τὸν αἱρετικὸν εὔκολον εἰπεῖν, πρὸς δὲ τὸν χριστιανὸν τί ἐροῦμεν; καὶ γὰρ ὁ αὐτὸς ἀμφισβητήσει ἴσως, καὶ ἐρεῖ, εἰ τὸ ἀναλῦσαι σὺν Χριστῷ, πολλῷ μᾶλλον κρεῖσσον, τίνος ἕνεκεν φησὶν αὐτὸν ἐλεεῖσθαι; ἐγὼ δὲ μᾶλλον ἐρήσομαι, τίνος ἕνεκεν ὁ αὐτός φησιν ἀναγκαιότερον εἶναι τὸ ἐπιμένειν δι' ὑμᾶς; ὥσπερ γὰρ αὐτῷ ἀναγκαῖον ἦν ἐκεῖνο, οὕτω καὶ τούτῳ μετὰ πλείονος πλούτου καὶ μείζονος παρρησίας μέλλοντι πρὸς τὸν Θεὸν ἀπιέναι. ἐκεῖνο μὲν γὰρ κἂν μὴ νῦν ἐγένετο, ὕστερον ἔμελλε· τὸ δὲ κερδᾶναι ψυχὰς οὐκ ἔτι λοιπὸν ἀπελθόντα ἐκεῖ. τὰ πολλὰ καὶ κατὰ τὴν κοινὴν συνήθειαν τῶν ἀκουόντων ὁ Παῦλος φθέγγεται, καὶ οὐ πανταχοῦ φιλοσοφεῖ. πρὸς γὰρ ἀνθρώπους κοσμικοὺς ὁ λόγος ἦν αὐτῷ, δεδοικότας ἔτι τὸν θάνατον. εἶτα δείκνυσιν ἐν ὅσῳ λόγῳ ἐστὶν αὐτῷ ὁ Ἐπαφρόδιτος, καὶ ἀπὸ τούτου αἰδέσιμον αὐτὸν ποιεῖ, εἴ γε τὴν ἐκείνου σωτηρίαν οὕτω χρησίμην ἑαυτῷ φησιν εἶναι, ὡς ἠλεῆσθαι καὶ αὐτὸν δι' ἐκεῖνον. ἄλλως δέ, καὶ χωρὶς τούτου καλὸν ἡ παροῦσα ζωή· ἐπεὶ εἰ μὴ καλόν, διὰ τί ἐν τάξει τιμωρίας τίθησι τοὺς
α. Κορ. ια. λ. ἀώρους θανάτους; ὡς ὅταν λέγῃ, Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι, καὶ κοιμῶνται ἱκανοί.

γρ. τὸ ὅτι ἐπιποθῶν δηλοῖ, τὸ καὶ αὐτὸν σφόδρα εἰδέναι, ὅπως ἀγαπᾶται

γρ. ἠσθένησε, φησι, καὶ ἤλγει διότι ἤκουσεν ὑμᾶς, καὶ τῆς λ. ὑμᾶς ἀπήλλαξεν, ἣν εἴχετε διὰ τὴν ἀσθένειαν αὐτοῦ.

γρ. τί λέγοντες ὁ προφάσεις, ἄνευ τῆς ἑξῆς.

* ποιεῖ

γρ. -εῖς

γρ. πρὸς

Digitized by Google

γρ. ἐκεῖνον βούλεται

"ὑμέτερα βούλομαι, φησί, μαθεῖν. πολὺν γὰρ εἰκὸς αὐτοὺς πεποιηκέναι χρόνον περὶ τὸν Παῦλον διὰ τὴν ἀσθένειαν τὴν σωματικήν. ὥστε ἀναγκαίως βούλομαι, φησί, μαθεῖν τὰ καθ' ὑμᾶς. ὅρα πῶς πάντα ἀνατίθησι τῷ Χριστῷ, καὶ τὴν ἀποστολὴν τοῦ Τιμοθέου, λέγων, Ἐλπίζω δὲ ἐν Κυρίῳ Ἰησοῦ, τουτέστι, θαρρῶ, ὅτι ἐξευπορήσει μοι ὁ Θεὸς τοῦτο, ἵνα κἀγὼ εὐψυχῶ, γνοὺς τὰ περὶ ὑμῶν. ὥσπερ ὑμᾶς, φησίν, ἀνεκτησάμην ταῦτα ἀκούσαντας, ἅπερ ηὔχεσθε περὶ ἐμοῦ, ὅτι τὸ εὐαγγέλιον ἐπέδωκεν, ὅτι κατῃσχύνθησαν ἐκεῖνοι, ὅτι δι' ὧν ἐνόμιζον βλάπτειν, διὰ τούτων εὐφραινόμην· οὕτω βούλομαι καὶ τὰ καθ' ὑμᾶς μαθεῖν, ἵνα κἀγὼ εὐψυχῶ, γνοὺς τὰ περὶ ὑμῶν. δείκνυσιν ἐνταῦθα, ὅτι ἐκείνους χαίρειν ἔδει ἐπὶ τοῖς δεσμοῖς, καὶ τούτοις κατακολουθεῖν. πολλὴν γὰρ ἔτικτον αὐτῷ τὴν ἡδονήν. τὸ "γάρ, (γρ. ὃν) ἵνα κἀγὼ εὐψυχῶ, τοῦτό ἐστιν, ὥσπερ ὑμεῖς. βαβαί, πόσον εἶχε τῆς Μακεδονίας πόθον; καὶ Θεσσαλονικεῦσι τὸ αὐτὸ "μαρτυρεῖ, (γρ. λέγει) ὡς ὅταν λέγῃ, Ἡμεῖς δὲ ἀπορφανισθέντες ἀφ' ὑμῶν (α. Θεσ. β. ιζ.) πρὸς καιρὸν ὥρας· καὶ ἐνταῦθα, Ἐλπίζω, φησί, πέμψαι Τιμόθεον, ἵνα γνῶ τὰ περὶ ὑμῶν, ὃ κηδεμονίας ἦν μεγίστης. ὅτε γὰρ αὐτὸς οὐκ ἠδύνατο παραγενέσθαι, τοὺς μαθητὰς ἔπεμπε, μὴ καρτερῶν μηδὲ ὀλίγον χρόνον ἀγνοεῖν τὰ κατ' αὐτούς. οὐ γὰρ δὴ τῷ πνεύματι πάντα ἐμάνθανε· καὶ τοῦτο δὲ εἰκότως ἐγένετο. εἰ γὰρ τοῦτο ἐπείσθησαν οἱ μαθηταί, ἀναίσχυντοι ἂν ἐγένοντο· νῦν δὲ προσδοκῶντες λανθάνειν, κἂν ἐπανορθώσαιντο. καὶ τούτῳ αὐτοὺς μάλιστα ἐπέστρεψε, τῷ εἰπεῖν, ἵνα κἀγὼ εὐψυχῶ, καὶ σπουδαιοτέρους αὐτοὺς ἐποίησεν, ὥστε μὴ ἐλθόντα Τιμόθεον ἄλλα τινὰ εὑρεῖν, καὶ ἀπαγγεῖλαι αὐτῷ. φαίνεται δὲ καὶ αὐτὸς τούτῳ κεχρημένος τῷ τρόπῳ, καὶ διαβαλλόμενος αὐτοῦ τὴν παρουσίαν, ὥστε μεταβάλλεσθαι Κορινθίους. διὰ τοῦτο καὶ ἔγραφε· Φειδόμενος ὑμῶν οὐκέτι ἦλθον εἰς Κόρινθον. (β. Κορ. α. κγ.) οὐ γὰρ τούτῳ μόνον ἡ ἀγάπη δείκνυται, τῷ τὰ οἰκεῖα ἀπαγγέλλειν, ἀλλὰ καὶ τῷ τὰ ἐκείνων ζητεῖν μαθεῖν. μεριμνώσης γὰρ τοῦτο ψυχῆς καὶ πεφροντισμένης καὶ ἀεὶ ἐναγωνίου οὔσης. ἅμα δὲ καὶ τιμᾷ αὐτούς, Τιμόθεον πέμπων. τί λέγεις; Τιμόθεον πέμπεις; τί δήποτε; ναί, φησιν. οὐδένα γὰρ ἔχω ἰσόψυχον, τουτέστι, τῶν ὁμοίως μοι μεριμνώντων, ὅστις γνησίως τὰ περὶ ὑμῶν μεριμνήσει. οὐδένα οὖν οὐκ εἶχε τῶν μετ' αὐτοῦ ἰσόψυχον; οὐδένα. τί δὲ τοῦτό ἐστιν; ἀντὶ τοῦ, ὁμοίως ἐμοὶ κηδόμενον ὑμῶν καὶ φροντίζοντα. οὐκ ἄν τις εὐκόλως εἵλετο, φησί, ταύτης ἕνεκεν τῆς αἰτίας ὁδοιπορίαν τοσαύτην ποιήσασθαι. ὁ φιλῶν ὑμᾶς μετ' ἐμοῦ, Τιμόθεός ἐστιν. ἐνῆν μὲν γὰρ καὶ ἄλλους πέμψαι, ἀλλ' οὐδεὶς τοιοῦτός ἐστιν. ἄρα τοῦτο ἰσοψύχου ἐστί, τὸ τοὺς μαθητευομένους αὐτῷ ὁμοίως φιλεῖν. ὅστις, φησί, γνησίως τὰ περὶ ὑμῶν μεριμνήσει· τουτέστι, πατρικῶς. οἱ πάντες γὰρ τὰ ἑαυτῶν ζητοῦσιν, οὐ τὰ Ἰησοῦ Χριστοῦ· τουτέστι, τὴν οἰκείαν ἀνάπαυσιν καὶ τὸ ἐν ἀσφαλείᾳ εἶναι. τοῦτο καὶ Τιμοθέῳ γράφων λέγει. τί δήποτε δὲ ἀποδύρεται ταῦτα; παιδεύων ἡμᾶς τοὺς ἀκούοντας μὴ τοῖς αὐτοῖς περιπεσεῖν, παιδεύων τοὺς ἀκούοντας μὴ ζητεῖν ἄνεσιν. ὁ γὰρ ἄνεσιν ζητῶν, οὐ ζητεῖ τὰ Χριστοῦ, ἀλλὰ τὰ ἑαυτοῦ. δεῖ γὰρ παρεσκευάσθαι πρὸς πάντα πόνον, πρὸς πᾶσαν ταλαιπωρίαν.

22 Τὴν δὲ δοκιμὴν αὐτοῦ, φησί, γινώσκετε, ὅτι ὡς πατρὶ τέκνον, σὺν ἐμοὶ ἐδούλευσεν εἰς τὸ εὐαγγέλιον. (γρ. αἴτιν) Καὶ ὅτι οὐχ ἁπλῶς λέγω, ὑμεῖς, φησίν, "αὐτοὶ ἐπίστασθε. ὅτι, ὡς πατρὶ τέκνον, σὺν ἐμοὶ ἐδούλευσεν εἰς τὸ εὐαγγέλιον. παρατίθεται ἐνταῦθα τὸν Τιμόθεον, εἰκότως, ὥστε πολλῆς ἀπολαῦσαι παρ' αὐτῶν τιμῆς. τοῦτο καὶ πρὸς Κορινθίους ἐπιστέλλων ποιεῖ λέγων, Μή τις αὐτὸν καταφρονήσῃ· τὸ γὰρ ἔργον Κυρίου ἐργάζεται, ὡς καὶ ἐγώ· οὐκ ἐκείνου (α. Κορ. ιϛ. ι.) κηδόμενος, ἀλλὰ τῶν δεχομένων αὐτόν, ὥστε πολὺν ἀπενέγκασθαι τὸν μισθόν.

23 Τοῦτον μὲν οὖν, φησίν, ἐλπίζω πέμψαι, ὡς ἂν ἀπίδω τὰ περὶ ἐμέ, ἐξαυτῆς. Τουτέστιν, ὅταν ἴδω ἐν τίνι ἕστηκα, καὶ ποῖον ἕξει τέλος τὰ κατ' ἐμέ.

24 Πέποιθα δὲ ἐν Κυρίῳ, ὅτι καὶ αὐτὸς ταχέως ἐλεύσομαι πρὸς ὑμᾶς. Οὐ διὰ τοῦτο πέμπω αὐτόν, ὡς μὴ ἐλευσόμενος, ἀλλ' ἵνα εὐψυχῶ, γνοὺς τὰ περὶ ὑμῶν, ἵνα μηδὲ τὸν ἐν

μαι. καὶ παραμυθούμενος αὐτοὺς ἐπὶ τῇ οἰκείᾳ τελευτῇ, καὶ παιδεύων ἀσμένως φέρειν τὸν ὑπὲρ Χριστοῦ θάνατον, ὥσπερ σπονδὴ καὶ θυσία, φησὶ, γίνομαι. ὢ μακαρίας ψυχῆς, θυσίαν καλεῖ τὴν προσαγωγὴν αὐτήν. ἆρα πολλῷ βέλτιον τοῦ βοὸς προσενέγκαι τὴν ψυχὴν προσενεγκεῖν. ἀντὶ τοίνυν πρὸς τῇ προσφορᾷ ταύτῃ καὶ ἐμαυτὸν ἐπιδῶ, φησιν, ὥσπερ σπονδὴν, χαίρω, φησὶ, τῷ θανάτῳ τῷ ἐμῷ. τοῦτο γὰρ αἰνίττεται λέγων· Ἐπὶ τῇ θυσίᾳ καὶ λειτουργίᾳ τῆς πίστεως χαίρω, καὶ συγχαίρω πᾶσιν ὑμῖν·

18 Τὸ αὐτὸ δὲ καὶ ὑμεῖς χαίρετε καὶ συγχαίρετέ μοι. Τί συγχαίρεις; ὁρᾷς πῶς δείκνυσιν ὅτι δεῖ χαίρειν αὐτούς; χαίρω μὲν οὖν, φησιν, ὅτι σπονδὴ γίνομαι· συγχαίρω δὲ, ὅτι θυσίαν προσενεγκεῖν. τὸ δὲ αὐτὸ καὶ ὑμεῖς χαίρετε καὶ συγχαίρετε, ὅτι προσηνέχθην. συγχαίρετέ μοι, φησὶ, χαίροντι ἐπὶ τῷ ἐμῷ θανάτῳ. οὐκ ἄρα δακρύων ἄξια ἡ τελευτὴ τῶν δικαίων, ἀλλὰ χαρᾶς. εἰ αὐτοὶ χαίρουσι, συγχαίρειν αὐτοῖς δεῖ. καὶ γὰρ ἄτοπον, ἐκείνων χαιρόντων, κλαίειν ἡμᾶς. ἀλλὰ τὴν συνήθειαν ἐπιζητοῦμεν, φησί. σκῆψις ταῦτα, καὶ πρόφασις. ὅρα γοῦν τί παραγγέλλει Φιλιππησίοις, συγχαίρετέ μοι καὶ χαίρετε· καὶ σὺ συνήθειαν ἐπιζητεῖς; εἰ μὲν ἔμελλες αὐτὸς ἐκεῖσε ἀπελθεῖν, εἰκότως λέγεις· εἰ δὲ μικρὸν ὕστερον καταλήψῃ τὸν ἀπελθόντα, ποίαν συνήθειαν ζητεῖς; συνήθειαν γὰρ ἐπιζητεῖ τις, ὅταν διαπαντὸς ᾖ τις διεσπασμένος. εἰ δὲ τὴν αὐτὴν ὁδὸν σοι προβέβηκε, ποίαν συνήθειαν ἐπιζητεῖς; ἐὰν ἐν ἀποδημίαις ὦσι, διὰ τί μὴ δακρύωμεν; οὐχὶ μικρὸν δακρύσαντες, ἀθρόως μετὰ τὴν ἑορτὴν ἢ δευτέραν παυόμεθα; εἰ συνήθειαν ἐπιζητεῖς, τοσοῦτον κλαῦσον μόνον, ὅσον ἐπιδεῖξαι τὴν φύσιν· τὸ δὲ μετὰ τοῦτο χαῖρε, καθάπερ λέγει ὁ Παῦλος, οὐδὲν πάσχω δεινὸν, ἀλλὰ καὶ χαίρω πρὸς τὸν Χριστὸν ἀπερχόμενος· καὶ ὑμεῖς χαίρετε. συγχαίρετέ μοι, φησί. χαίρωμεν τοιγαροῦν καὶ ἡμεῖς, ὅταν ἴδωμεν δικαίους τελευτῶντας, μᾶλλον δὲ καὶ ὅταν τινὰ τῶν ἀπεγνωσμένων. ὁ μὲν γὰρ ἄφεσιν μισθῶν ἀπολαμβάνων τῶν πόνων, ὁ δὲ ἐνέκοψέ τι τῶν ἁμαρτημάτων αὐτοῦ. ἀλλ' ἴσως δεῖ, φησι, μεταβάλετο ζῶν. ἀλλ' οὐκ ἂν αὐτὸν ἔλαβεν ὁ Θεὸς, εἴγε μεταβαλέσθαι ἔμελλεν. ὁ γὰρ πάντα ὑπὲρ σωτηρίας ἡμῶν οἰκονομῶν, τίνος ἕνεκεν αὐτὸν οὐκ εἴασι μέλλοντα διαρέσειν; εἰ τοὺς μὴ μεταβαλλομένους ἀφίησι, πολλῷ μᾶλλον τοὺς μεταβαλλομένους. πάντοθεν οὖν ἡμῖν ὁ κοπετὸς ἐκκεκόφθω, πάντοθεν ὁ θρῆνος λυέσθω· ἐπὶ πᾶσιν εὐχαριστῶμεν τῷ Θεῷ, χωρὶς γογγυσμῶν πάντα ποιήσωμεν, εὐφραινώμεθα, εὐάρεστοι ἐν πᾶσιν αὐτῷ γινώμεθα, ἵνα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν.

χ. ἀπολαμβάνων

Λογ. θ. 19 ΕΛΠΙΖΩ ΔΕ ΕΝ ΚΥΡΙΩ ΙΗΣΟΥ ΤΙΜΟΘΕΟΝ ταχέως πέμψαι ὑμῖν, ἵνα κἀγὼ εὐψυχῶ, γνοὺς τὰ περὶ ὑμῶν. 20 Οὐδένα γὰρ ἔχω ἰσόψυχον, ὅστις γνησίως τὰ περὶ ὑμῶν μεριμνήσει. 21 Οἱ πάντες γὰρ τὰ ἑαυτῶν ζητοῦσιν, οὐ τὰ τοῦ Χριστοῦ Ἰησοῦ.

Φιλιπ. α. ιβ. καὶ β. ιζ.

Εἶπεν, ὅτι τὰ κατ' ἐμὲ εἰς προκοπὴν τοῦ εὐαγγελίου ἐλήλυθεν, ὥστε τοὺς δεσμούς μου φανερούς γενέσθαι ἐν ὅλῳ τῷ πραιτωρίῳ· εἶπεν, ὅτι εἰ καὶ σπένδομαι ἐπὶ τῇ θυσίᾳ καὶ λειτουργίᾳ τῆς πίστεως ὑμῶν· ἐσήμηξεν αὐτοὺς διὰ τούτων. ἴσως δεῖ ὑπὲρ ὧν ἐθλίβοντο τὰ ὕστερα παραμυθίας ἕνεκεν εἰρῆσθαι. τί οὖν ποιεῖ, καὶ πῶς λύει τὴν ὑποψίαν; Τιμόθεον πέμπω πρὸς ὑμᾶς, φησι. καὶ γὰρ ἐπόθουν πάντα ἀκοῦσαι τὰ κατ' αὐτόν. καὶ τίνος ἕνεκεν οὐκ εἶπεν, ἵνα γνῶτε τὰ περὶ ἐμοῦ, ἀλλ', ἵνα γνῶ τὰ ὑμέτερα; τὰ μὲν γὰρ αὐτοῦ Ἐπαφρόδιτος περὶ Τιμοθέου ἔμελλεν ἀπαγγέλλειν. διὸ περὶ οὗ φησιν, Ἀναγκαῖον δὲ ἡγησάμην Ἐπαφρόδιτον τὸν ἀδελφὸν πέμψαι πρὸς ὑμᾶς· τὰ δὲ

χ. ἐφοβοῦντο

Φιλιπ. β. κε.

ὑμέτερα

Ἵνα τί με φοβεῖς ἐνυπνίοις, καὶ ἐν ὁράμασί με καταπλήσσεις; ἐὰν γένηται πρωΐ, λέγω, πότε ἑσπέρα; καὶ τοιαῦτα πάσχων οὐκ ἐξέλυσεν. οὐ τοῦτο δὲ μόνον ἦν τὸ δεινὸν, ἀλλὰ καὶ ἡ παρὰ τῶν πολλῶν πονηρὰ δόξα. ὡς γὰρ μυρίων ἔνοχοι κακῶν εἶχον λοιπὸν, ἀφ᾽ ὧν ἔπασχε. τοῦτο γοῦν καὶ οἱ φίλοι αὐτοῦ ἔλεγον, οὐκ ἄξια ὧν ἡμάρτηκας μεμαστίγωσαι. διὸ καὶ αὐτὸς ἔλεγε· Καὶ νουθετοῦσί με ἐλάχιστοι, οὓς οὐκ ἀξίους ἡγησάμην κυνῶν τῶν ἐμῶν νομάδων. πόσων τοῦτο θανάτων οὐ χεῖρον; ἀλλὰ τοσούτῳ κλύδωνι πανταχόθεν βαλλόμενος, καὶ πανταχόθεν αἰρομένου τοῦ χειμῶνος χαλεποῦ, σκοτεινείας, ζάλης, σκηπτῶν, ἑλίκων, στροβίλων, ἔμενεν αὐτὸς ἀκλινὴς, καθάπερ ἐν γαλήνῃ καθήμενος τῷ κλύδωνι τῷ τοσούτῳ, τῷ οὕτω χαλεπῷ, καὶ οὐκ ἐξέλυσεν. καὶ ταῦτα πρὸ τοῦ νόμου, πρὶν ἢ περὶ ἀναστάσεώς τι λεχθῆναι, πρὶν ἢ περὶ γεέννης καὶ κολάσεως καὶ τιμωρίας. ἡμεῖς δὲ καὶ προφητῶν, καὶ ἀποστόλων, καὶ εὐαγγελιστῶν ἀκούοντες, καὶ μυρία ὁρῶντες παραδείγματα, καὶ τοὺς περὶ ἀναστάσεως μαθόντες λόγους, ἀγαλλόμεθα ἔτι, καίτοι οὐδεὶς ἂν ἔχοι λέγειν ἑαυτῷ τοσαῦτα συμπεπτωκότα. εἰ γὰρ καὶ χρήματά τις ἀπώλεσεν, ἀλλ᾽ οὐ παῖδας καὶ θυγατέρας τοσαύτας, καὶ εἰ ἀπώλεσεν, ἴσως ἀμφοτέρων· ἐκεῖνος δὲ ἐξαίφνης ἐν μέσαις ταῖς θυσίαις, ἐν μέσῃ τῇ θεραπείᾳ τῇ πρὸς τὸν Θεόν. καὶ εἰ παῖδας καὶ χρήματα ὁμοῦ τοσαῦτα, ὅπερ ἀδύνατον, ἀλλ᾽ οὐχὶ καὶ ἕλκωτο διαπαντὸς, καὶ ἰχῶρας ἔζεεν. εἰ δὲ καὶ τοῦτο, ἀλλ᾽ οὐχὶ τοὺς ἐπεμβαίνοντας εἶχε καὶ ὀνειδίζοντας· ὅπερ μάλιστα πάντων δάκνειν ἡμᾶς εἴωθεν, ἢ αἱ συμφοραί. εἰ γὰρ τοὺς παρακαλοῦντας ἔχοντες ἐν τοῖς κακοῖς καὶ παραμυθουμένους καὶ ἐλπίδας ἡμῖν ὑποτείνοντας χρηστὰς, οὕτως ἀλυόμεθα, ἐννόησον τί ἦν ὀνειδίζοντας ἔχειν. εἰ δὲ, Ὑπέμεινα συλλυπούμενον, καὶ οὐχ ὑπῆρξε, καὶ παρακαλοῦντας, καὶ οὐχ εὗρον, δεινὸν καὶ ἀφόρητον, τὸ ἀντὶ τῶν παρακαλούντων ὀνειδίζοντας εὑρεῖν πόσον κακόν; Παρακλήτορες, φησὶ, κακῶν πάντες. εἰ ταῦτα διαπαντὸς ἐστρεφόμεθα, εἰ ταῦτα ἐλογιζόμεθα, οὐκ ἂν ἡμᾶς ἐλύπησέ τι τῶν παρόντων εἰς ἐκεῖνον ὁρῶντας τὸν ἀθλητὴν, εἰς τὴν ἀδαμαντίνην ψυχὴν, εἰς τὴν ἄρραγῆ καὶ χάλκεον διάνοιαν. ὥσπερ γὰρ χαλκοῦν ἢ λίθινον περικείμενος σῶμα, αὐτὸς ἅπαντα ἔφερε γενναίως καὶ καρτερικῶς. ταῦτα ἐννοοῦντες, πάντα ποιῶμεν χωρὶς γογγυσμῶν καὶ διαλογισμῶν. ποιεῖς τι ἀγαθὸν, καὶ γογγύζεις; διὰ τί; ἀνάγκη γάρ σοι ἐπίκειται; οἶδα, φησὶν, ὅτι πολλοὶ πλησίον ἀναγκάζουσιν ὑμᾶς γογγύζειν. τοῦτο γὰρ ᾐνίξατο εἰπὼν, τὸ, Ἐν μέσῳ γενεᾶς σκολιᾶς καὶ διεστραμμένης. ἀλλὰ τοῦτό ἐστι τὸ θαυμαστὸν, τὸ καὶ παροξυνόμενον μηδὲν πάσχειν τοιοῦτον. καὶ γὰρ οἱ ἀστέρες ἐν νυκτὶ λάμπουσιν, ἐν σκότῳ φαίνουσι, καὶ οὐδὲν εἰς τὸ οἰκεῖον παραβλάπτονται κάλλος, ἀλλὰ καὶ λαμπρότεροι φαίνονται· ὅταν δὲ φῶς ᾖ, οὐχ οὕτω φαίνονται· οὕτω καὶ σὺ, ὅταν μετὰ σκολιῶν ὢν, εὐθὺς μένῃς, μᾶλλον ἀπολάμπεις. τὸ θαυμαστὸν τοῦτό ἐστι, τὸ ἀμέμπτους γενέσθαι. ἵνα γὰρ μὴ τοῦτο λέγωσι, προλαβὼν αὐτὸς τοῦτο τέθεικε. Τί ἐστι, λόγον ζωῆς ἐπέχοντες; τουτέστι, μέλλοντες ζήσεσθαι, τῶν σωζομένων ὄντες. ὅρα πῶς εὐθέως τίθησι τὰ ἔπαθλα. Οἱ φωστῆρες, φησὶ, λόγον φωτὸς ἐπέχουσιν· ὑμεῖς λόγον ζωῆς. Τί ἐστι, λόγον ζωῆς; σπέρμα ζωῆς ἔχοντες, τουτέστιν, ἐνέχυρα ζωῆς ἔχοντες, αὐτὴν κατέχοντες τὴν ζωὴν, τουτέστι, σπέρμα ζωῆς ἐν ὑμῖν ἔχοντες, τοῦτο λέγει λόγον ζωῆς. ἄρα οὖν οἱ ἄλλοι πάντες νεκροί. τοῦτο γὰρ εἰπὼν οὕτως ἐδήλωσεν. εἰ γὰρ ἂν καὶ οἱ ἄλλοι λόγον ζωῆς ἐπεῖχον. εἰς καύχημα ἐμοὶ, φησί. Τί ἐστι τοῦτο; καὶ ἐγὼ κοινωνῶ, φησὶ, τῶν ὑμετέρων ἀγαθῶν. τοσαύτη ὑμῶν ἡ ἀρετὴ, ὡς μὴ ὑμᾶς σώζειν μόνον, ἀλλὰ καὶ ἐμὲ λαμπρὸν ποιεῖν. ποῖον καύχημα, ὦ μακάριε Παῦλε; μαστίζῃ, ἐλαύνῃ, ὑβρίζῃ δι᾽ ἡμᾶς. διὰ τοῦτό φησιν, Εἰς ἡμέραν Χριστοῦ, ὅτι οὐκ εἰς κενὸν, φησὶν, ἔδραμον, οὐδὲ εἰς κενὸν ἐκοπίασα·

Ἀλλ᾽ ἀεὶ ἔχω καυχᾶσθαι, φησὶν, ὅτι οὐ μάτην ἔδραμον.

17 Ἀλλ᾽ εἰ καὶ σπένδομαι. Οὐκ εἶπεν, ἀλλ᾽ εἰ καὶ ἀποθνήσκω, ὥσπερ οὐδὲ Τιμοθέῳ γράφων. καὶ γὰρ καὶ ἐκεῖ τῷ αὐτῷ κέχρηται λόγῳ λέγων, Ἐγὼ γὰρ ἤδη σπένδομαι.

Ἰωβ ζ. ιδ.

Ἰωβ ια.

Ἰωβ λ. α.

γ. ἐξῆχεν

Ψαλ. ξη. κ.

Ἰωβ ιϛ. β.

γ. αὐτό

β. Τιμ. δ. ϛ.

νοῦν, φησὶν, ὅτι σαυτῷ πονεῖς, ὅτι σαυτῷ συνάγεις. ἐκείνων ἴδιον δὲ γογγύζειν ἐστὶν, ὅταν ἑτέροις πονῶσιν, ὅταν ἑτέροις κάμνωσιν. ὁ δὲ ἑαυτῷ συλλέγων, τίνος ἕνεκεν γογγύζει; ὅτι ὁ πλοῦτος αὐτοῦ οὐκ αὔξεται; ἀλλ' οὐκ ἔστι τοῦτο. ὁ ἑκόντι καὶ μὴ κατ' ἀνάγκην ποιῶν, τίνος ἕνεκεν γογγύζει; βέλτιον μηδὲν ἐργάσασθαι, ἢ μετὰ γογγυσμοῦ. ἀπόλλυται γὰρ καὶ αὐτὸ τὸ γινόμενον. ἢ οὐχ ὁρᾷς, ὅτι καὶ ἐν ταῖς οἰκίαις ταῖς ἡμετέραις ταῦτα λέγομεν ἀεὶ, βέλτιον ταῦτα μὴ γενέσθαι, ἢ μετὰ γογγυσμοῦ; καὶ πολλάκις εἰλόμεθα τῆς διακονίας ἀποστερηθῆναι τῆς ἡμετέρας, ἢ γογγύζοντος ἀνασχέσθαι. δεινὸν γὰρ, δεινὸν ὁ γογγυσμός· ἐγγὺς βλασφημίας ἐστίν. ἐπεὶ τίνος ἕνεκεν τοσαύτην ἐκεῖνοι ἔδωκαν δίκην; ἀχαριστία δὲ τὸ πρᾶγμά ἐστιν. ὁ γογγύζων ἀχαριστεῖ τῷ Θεῷ· ὁ δὲ ἀχαριστῶν τῷ Θεῷ, ἄρα βλάσφημος. μάλιστα μὲν γὰρ τότε πειρασμοὶ συνεχεῖς ἦσαν, καὶ ἐπάλληλοι κίνδυνοι, οὐδεμία ἀνάπαυσις, οὐδεμία ἄνεσις, μυρία πάντοθεν ἐπέρρει δεινά· νῦν δὲ εἰρήνη βαθεῖα, νῦν εὐημερία. τίνος οὖν ἕνεκεν γογγύζεις; ὅτι πένῃ; ἀλλ' ἐννόει τὸν Ἰώβ. ἀλλ' ὅτι νοσεῖς; τί οὖν, εἰ τοσαῦτα συνειδὼς ἀγαθὰ σαυτῷ καὶ κατορθώματα, ὅσα ὁ ἅγιος ἐκεῖνος, ἐνόσησας; ἐννόει πάλιν ἐκεῖνον, ὅτι ἐκεῖνος ἐπὶ πολὺν χρόνον σκώληκας βρύων, καὶ ἐπὶ τῆς κοπρίας καθήμενος, καὶ τὸν ἰχῶρα ξέων διετέλει. Χρόνου γὰρ, φησὶ, πολλοῦ προβεβηκότος, εἶπε πρὸς αὐτὸν ἡ γυνή· μέχρι τίνος καρτερήσεις, λέγων, ἀναμενῶ χρόνον ἔτι μικρόν; εἰπόν τι ῥῆμα πρὸς Κύριον, καὶ τελεύτα. ἀλλὰ παῖς σου ἀπέθανε; τί οὖν, εἰ πάντας ἀπέβαλες, καὶ θανάτῳ πονηρῷ, ὥσπερ ἐκεῖνος; ἴστε γὰρ, ἴστε ὅτι πολλὴν ἔχει παραμυθίαν τὸ παρακαθῆσαι νοσοῦντι, τὸ συμβαλεῖν στόμα, τὸ μῦσαι ὀφθαλμοὺς, τὸ ἅψασθαι γενειάδος, τὸ τὰ τελευταῖα ἀκοῦσαι ῥήματα. ἀλλ' οὐδενὸς τούτων ἠξιώθη ὁ δίκαιος, ἀλλὰ πάντες ὁμοῦ κατεχώσθησαν. καὶ τί ταῦτα λέγω; εἰ προσέταγης αὐτὸς σφάξαι τὸν υἱόν σου καὶ καταθῦσαι, καὶ καυθέντα ἰδεῖν, καθάπερ ὁ μακάριος ἐκεῖνος ὁ πατριάρχης, τί ἂν ἐποίησας; ἐκεῖνος δὲ πῶς ἄρα ἦν τὸ θυσιαστήριον οἰκοδομῶν, τὰ ξύλα ἐπιτιθεὶς, συμποδίζων τὸ παιδίον; ἀλλ' ὀνειδίζουσί σε τινες; τί ἂν οὖν ἦς, εἰ παρὰ φίλων ἐπὶ παραμυθίαν ἡκόντων ἤκουες ταῦτα; νῦν μὲν γὰρ ἁμαρτήματα ἔχομεν πολλὰ, καὶ ὀνειδιζόμεθα εἰκότως· τότε δὲ ἐκεῖνος ὁ ἀληθινὸς, ὁ δίκαιος, ὁ θεοσεβὴς, ὁ ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος, τἀναντία τούτων ἤκουε παρὰ τῶν φίλων. τί δὲ, εἰπέ μοι, εἰ τῆς γυναικὸς ὀνειδιζούσης ἤκουες λεγούσης, Ἐγὼ πλανῆτις καὶ λάτρις, τόπον ἐκ τόπου, καὶ οἰκίαν ἐξ οἰκίας περιερχομένη, προσδεχομένη τὸν ἥλιον πότε δύσει, καὶ ἀναπαύσομαι τῶν περιεχουσῶν με ὀδυνῶν; τίνος ἕνεκεν ταῦτα λέγεις, ὦ ἀνόητε; μὴ γὰρ ὁ ἀνήρ σοι τούτων αἴτιος; οὐχ οὗτος, ἀλλ' ὁ διάβολος. Εἰπόν τι ῥῆμα πρὸς Κύριον, φησὶ, καὶ τελεύτα. εἶτα ἂν ὁ κείμενος εἴπῃ καὶ τελευτήσῃ, σὺ ῥάων γένοιο; οὐκ ἔστι νόσος ἐκείνης χαλεπωτέρα, κἂν μυριάκις εἴπῃς. τοιαύτη ἦν, ὡς μηδὲ ἐν οἰκίᾳ, καὶ ὑπωρόφιον εἶναι δύνασθαι· τοιαύτη ἦν, ὡς πάντας ἀπαγορεύειν. οὐ γὰρ δὴ, εἰ μὴ ἀνίατα ἐνόσησεν, ἔξω τῆς πόλεως ἐκάθητο, τῶν ἐλέφαντι κατεχομένων χεῖρον ὤν. οὗτοι μὲν γὰρ καὶ εἰς οἰκίας εἰσίασι, καὶ συναγελάζονται ἀλλήλοις· ἐκεῖνος δὲ αἴθριος διενυκτέρευεν ἐπὶ τῆς κοπρίας γυμνὸς, οὐδὲ ἱμάτιον περιβαλέσθαι ἠδύνατο. πῶς γάρ; ἴσως δὴ καὶ προσετίθη ἄλγος ταῖς ἀλγηδόσι. Τήκω γὰρ βώλακας γῆς, φησὶν, ἀπὸ ἰχῶρος ξέων. ἰχῶρας αὐτοῦ αἱ σάρκες καὶ σκώληκας ἔτικτον, καὶ τοῦτο διηνεκῶς. ὁρᾷς πῶς ἕκαστος ὑμῶν ναρκᾷ ταῦτα ἀκούων; εἰ δὲ ἀκοῦσαι οὐκ ἀνεκτὰ ταῦτα, ἰδεῖν ἀνεκτά; εἰ δὲ ἰδεῖν οὐκ ἀνεκτὰ, πολλῷ μᾶλλον παθεῖν. ἀλλ' ὅμως ἔπαθεν ὁ δίκαιος, καὶ οὐκ ἐπὶ δύο ἡμέρας, ἢ τρεῖς, ἀλλ' ἐπὶ χρόνῳ πολλῷ, καὶ οὐχ ἥμαρτεν, οὐδὲ ἐν τοῖς χείλεσιν αὐτοῦ. ποίαν ἔχεις μοι τοιαύτην νόσον εἰπεῖν, ὀδύνας ἐχούσας πολλάς; πηρώσεως γὰρ οὐ χεῖρον τοῦτο ἦν· Βρῶμον γὰρ ὁρῶ, φησὶ, τὰ σιτά μου. καὶ οὐδὲ τοῦτο μόνον, ἀλλ' οὐδὲ ὃ τοῖς ἄλλοις ἀνάπαυσίς ἐστιν ἡ νὺξ καὶ ὁ ὕπνος, τοῦτο ἐκείνῳ παραμυθίαν τινὰ ἔφερεν, ἀλλὰ χαλεπωτέρα ἦν πάσης βασάνου. καὶ ἄκουε αὐτοῦ λέγοντος·

Marginal notes: γρ. ἐργάζονται — Ιωβ. β. θ. — γρ. προβεβηκότος — γρ. ἀναμένω — Ιωβ. β. θ. — Ιωβ. ζ. ε. — γρ. βρῶμον — Ιωβ. ς. ζ.

Ινα

τὰ ἡμέτερα χαρίσματα εἶναι λέγῃ. ὥσπερ οὖν λέγων αὐτὰ χαρίσματα, οὐκ ἐξωθεῖ ἡμᾶς τοῦ αὐτεξουσίου, ἀλλ' ἀφίησιν ἐν ἡμῖν τὸ αὐτεξούσιον· οὕτως ὅταν λέγῃ ἐνεργεῖν ἐν ἡμῖν τὸ θέλειν, οὐκ ἀφαιρεῖται ἡμᾶς τὸ αὐτεξούσιον, ἀλλὰ δείκνυσιν, ὅτι ἀπὸ τοῦ κατορθοῦν πολλὴν εἰς τὸ θέλειν λαμβάνομεν προθυμίαν. καθάπερ γὰρ τὸ ποιεῖν ἐκ τοῦ ποιεῖν ἐστιν· οὕτως ἐκ τοῦ μὴ ποιεῖν τὸ μὴ ποιεῖν. ἔδωκας ἐλεημοσύνην; μᾶλλον προετράπης δοῦναι. οὐκ ἔδωκας δέ; μᾶλλον ἠργησας. ἐσωφρόνησας μίαν ἡμέραν; ἔχεις προτροπὴν καὶ εἰς τὴν δευτέραν. ἐρρᾳθύμησας; ἐπέτεινας τὴν ῥᾳθυμίαν. Ἀσεβὴς γάρ, φησιν, ἐλθὼν εἰς βάθος κακῶν καταφρονεῖ. ὥσπερ οὖν ὅταν ἔλθῃ εἰς βάθος κακῶν καταφρονεῖ, οὕτως ὅταν ἔλθῃ εἰς βάθος ἀγαθῶν, σπουδάζει. καθάπερ γὰρ ἐκεῖνος ἀπογνοὺς ῥᾳθυμότερος ἐστιν· οὕτως οὗτος ἐννοῶν τὸ πλῆθος τῶν ἀγαθῶν, σπουδαιότερος ἐστι, δεδοικὼς μὴ τὸ πᾶν ἀπολέσῃ. Ὑπὲρ τῆς εὐδοκίας, φησί· τουτέστι, διὰ τὴν ἀγάπην, διὰ τὴν ἀρέσκειαν αὐτοῦ, ἵνα τὰ δοκοῦντα αὐτῷ γένηται, ἵνα κατὰ τὴν θέλησιν αὐτοῦ. ἐνταῦθα δείκνυσι, καὶ ποιεῖ θαρρεῖν, ὅτι πάντως ἐνεργεῖ. θέλει γὰρ ἡμᾶς, ὡς αὐτὸς βούλεται, ζῆν. εἰ δὲ βούλεται, πρὸς δὲ τοῦτο αὐτὸς ἐνεργεῖ, καὶ τοῦτο πάντως ἐνεργήσει. θέλει γὰρ ἡμᾶς ὀρθῶς ζῆν. ὁρᾷς πῶς οὐκ ἀφαιρεῖται τὸ αὐτεξούσιον; Ταῦτα πάντα ποιεῖτε, φησί, χωρὶς γογγυσμῶν καὶ διαλογισμῶν. ὁ διάβολος ἐπειδὰν μὴ δυνηθῇ ἡμᾶς ἀπαγαγεῖν τοῦ καλῶς ποιεῖν, ἑτέρως βούλεται ἡμῶν κενῶσαι τὸν μισθόν. ἢ γὰρ κενοδοξίαν, ἢ ἀπόνοιαν ἐπεισάγει, ἢ, εἰ μὴ τοῦτο, γογγυσμόν, ἢ, εἰ μηδὲν τούτων, διάκρισιν. ὅρα τοίνυν πῶς αὐτὰ ἐκκαθαίρει ὁ Παῦλος. εἶπε περὶ τῆς ταπεινοφροσύνης ὅσα εἶχεν εἰπεῖν, ἀναιρῶν ἀπόνοιαν· εἶπε περὶ τῆς κενοδοξίας, καταστέλλων τὸ φύσημα· καὶ ἀλλαχοῦ μὲν μου ἐν τῇ παρουσίᾳ μου μόνον· λέγει δὲ ἐνταῦθα περὶ τοῦ γογγυσμοῦ καὶ τοῦ διακριτικοῦ. τί δήποτε δὲ ἐπὶ μὲν τῶν Κορινθίων τοῦτο τὸ πάθος ἀναιρῶν, ἐμνημόνευσε καὶ τῶν Ἰσραηλιτῶν, ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον εἶπεν, ἀλλ' ἁπλῶς ἐπιτάττει; ὅτι ἐκεῖ μὲν γενόμενον ἤδη τοῦτο ἦν (διὸ καὶ σφοδροτέρας ἐδέησεν αὐτοῖς τῆς πληγῆς, καὶ μείζονος τῆς ἐπιτιμήσεως) ἐνταῦθα δέ, ὥστε μὴ γενέσθαι, προλαμβάνει. οὐδέπω οὖν οὐδέπω ἡμαρτηκότας περιττὸν ἦν πληκτικώτερον ἀσφαλίζεσθαι· ἐπεὶ καὶ εἰς ταπεινοφροσύνην ἐνάγων οὐ προέθηκεν ὑπόδειγμα τὸ ἐν τῷ εὐαγγελίῳ, ἔνθα οἱ ἀλαζόνες ἐκολάσθησαν, ἀλλ' ἀπὸ τοῦ Θεοῦ τὴν παραίνεσιν εἰσήγαγε, καὶ ὡς ἐλευθέροις αὐτοῖς διαλέγεται, ὡς τέκνοις γνησίοις, οὐχ ὡς οἰκέταις. ἐν γὰρ τοῖς ἀγαθοῖς ὁ μὲν εὐγνώμων καὶ εὐγενὴς ἀπὸ τῶν κατορθούντων ἐνάγεται, ὁ δὲ ἀγνώμων οὐκ ἀπὸ τούτων, ἀλλ' ἀπὸ τῶν τιμωρουμένων· ἐκεῖνος ἀπὸ τῆς τιμῆς, οὗτος ἀπὸ τῆς κολάσεως. διὰ τοῦτο καὶ Ἑβραίοις γράφων ἔλεγε, τὸν Ἠσαῦ εἰς μέσον παραγαγών, Ὃς ἀντὶ βρώσεως μιᾶς ἀπέδοτο τὰ πρωτοτόκια· καὶ πάλιν, Ἐὰν ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ. καὶ ἐν τοῖς Κορινθίοις δὲ πολλοὶ ἦσαν οἱ πορνεύσαντες. διὰ τοῦτο ἔλεγε, Μὴ πάλιν ἐλθόντα με πρὸς ὑμᾶς ταπεινώσῃ ὁ Θεός μου, καὶ πενθήσω πολλοὺς τῶν προημαρτηκότων, καὶ μὴ μετανοησάντων ἐπὶ τῇ ἀκαθαρσίᾳ καὶ πορνείᾳ καὶ ἀσελγείᾳ, ᾗ ἔπραξαν. Ἵνα γένησθε, φησίν, ἄμεμπτοι καὶ ἀκέραιοι, τουτέστιν, ἄληπτοι, εἰλικρινεῖς. οὐ μικρὰν γὰρ παράγει κηλῖδα ὁ γογγυσμός. τί δέ ἐστι, χωρὶς διαλογισμῶν; ἆρα καλόν, ἆρα οὐ καλόν; μὴ διαλογίζεσθε, φησί, κἂν πόνος ᾖ, κἂν κάματος ᾖ, κἂν ὁτιοῦν. οὐκ εἶπεν, ἵνα μὴ κολασθῆτε (κόλασις γὰρ ἀπόκειται τῷ πράγματι· καὶ τοῦτο ἐν τῇ πρὸς Κορινθίους ἐδήλωσεν ἐπιστολῇ) ἀλλ' ἐνταῦθα οὐδὲν τοιοῦτον εἶπεν, ἀλλ' ἵνα γένησθε, φησίν, ἄμεμπτοι καὶ ἀκέραιοι, τέκνα Θεοῦ ἀμώμητα ἐν μέσῳ γενεᾶς σκολιᾶς καὶ διεστραμμένης, ἐν οἷς φαίνεσθε, ὡς φωστῆρες ἐν κόσμῳ, λόγον ζωῆς ἐπέχοντες, εἰς καύχημα ἐμοὶ εἰς ἡμέραν Χριστοῦ.

[Margin notes: Παροιμ. ιη. — γρ. τοῦτο δὲ βούλεται — γρ. ποιῆτε — γρ. λογισμοῦ τοῦ διακριτικοῦ — α. Κορ. ι. ι. — Ἑβρ. ιβ. ις. καὶ ι. λη. — β. Κορ. ιβ. κα.]

ΗΘΙΚΟΝ

Ὁρᾷς ὅτι παιδεύει τούτους μὴ γογγύζειν; ὥστε δούλων ἀγνωμόνων καὶ ἀναισθήτων τὸ γογγύζειν. ποῖος γάρ, εἰπέ μοι, υἱὸς ἐν τοῖς τοῦ πατρὸς ποιῶν, καὶ ἑαυτῷ ποιῶν γογγύζει; ἐπό-

πονῶν,

αὐτὸς πάντα ποιεῖ, νυνὶ δὲ ἐν ἐκείνῃ. ἐὰν οὕτω διαχθῆτε, ὅτι νῦν ἐπιτείνατε, δείκνυται ὅτι καὶ τότε οὐ δι' ἐμὲ, ἀλλὰ διὰ τὸν Θεόν. τί βούλει; εἰπέ. οὐχ ἵνα ἐμοῦ ἀκούσητε, ἀλλ' ἵνα μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν κατεργάζησθε. οὐ γὰρ ἔνι τὸν χωρὶς φόβου ζῶντα γενναῖόν τι καὶ θαυμαστὸν ἐπιδείξασθαι. καὶ οὐχ ἁπλῶς εἶπε, φόβου, ἀλλὰ προσέθηκε, καὶ τρόμου, ὅπερ ἐπίτασίς ἐστι τοῦ φόβου, προσεκτικωτέρους ποιῆσαι βουλόμενος. τοῦτον γρ. ὅπερ

1. Κορ. θ. κζ. εἶχε τὸν φόβον ὁ Παῦλος. διὰ τοῦτο καὶ ἔλεγε. Φοβοῦμαι μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι. εἰ γὰρ τὰ βιωτικὰ κατορθῶσαι φόβου χωρὶς οὐκ ἔνι, πόσῳ μᾶλλον τὰ πνευματικά; εἰπὲ γάρ μοι· τίς γράμματα ἔμαθε φόβου χωρίς; τίς τέχνης ἔμπειρος γέγονε φόβου χωρίς; εἰ δὲ ἔνθα οὐκ ἐφεδρεύει ὁ διάβολος, ἀλλὰ ῥᾳθυμία μόνον ἐνοχλεῖ, τοσούτου φόβου ἡμῖν ἐδέησεν, ὥστε ῥᾳθυμίαν ἐπιστρέψαι φυσικὴν μόνον· ἔνθα τοσοῦτος ὁ πόλεμος, τοσαῦτα κωλύματα, πῶς ἔνι φόβου χωρὶς διασωθῆναί ποτε; πῶς δ' ἂν ἐντεῦθεν γένοιτο ὁ φόβος; ἂν ἐννοήσωμεν, ὅτι πανταχοῦ πάρεστιν ὁ Θεὸς, ὅτι πάντα ἀκούει, ὅτι πάντα ὁρᾷ, οὐ τὰ πραττόμενα μόνον καὶ λεγόμενα, ἀλλὰ καὶ τὰ ἐν καρδίαις ἅπαντα, καὶ τὰ ἐν τῷ βάθει τῆς διανοίας. κριτικὸς γάρ ἐστιν ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας. ἂν οὕτω διαθῶμεν ἑαυτοὺς, οὐδὲν πονηρὸν πράξομεν, οὐδὲν ἐροῦμεν, οὐδὲν ἐννοήσομεν. εἰπὲ γάρ μοι, εἰ διαπαντὸς τοῦ ἄρχοντος πλησίον εἱστήκεις, οὐ μετὰ φόβου ἂν εἱστήκεις; καὶ πῶς Θεῷ συμπαρεστὼς γελᾷς, καὶ ἀναπίπτεις, καὶ οὐ δέδοικας, οὐδὲ φρίττεις; μὴ δὴ τῆς αἰσχύνης αὐτοῦ καταφρόνει· πρὸς γάρ μετάνοιάν σε ἄγων μακροθυμεῖ· μηδὲ ποιῶν τι, ἀλλ' ἀεὶ τοῦ νομίζειν ἐν πᾶσι παρεῖναι τὸν Θεὸν, πράττειν ἀνέχου· πάρεστι γάρ. κἂν τοίνυν ἐσθίῃς, κἂν μέλλῃς καθεύδειν, κἂν ὀργίζῃ, κἂν ἁρπάζῃς, κἂν τρυφᾷς, κἂν ὁτιοῦν ποιῇς, νόμιζε παρεστάναι τὸν Θεὸν, καὶ οὐδέποτε εἰς γέλωτα ἐμπεσῇ, οὐδέποτε εἰς ὀργὴν ἐξαφθήσῃ. ἂν τοῦτον ἔχῃς διαπαντὸς τὸν λογισμὸν, διαπαντὸς ἐν φόβῳ ἔσῃ καὶ τρόμῳ, ἅτε τοῦ βασιλέως πλησίον ἑστώς. ὁ οἰκοδόμος, κἂν ἔμπειρος ᾖ, κἂν σφόδρα γρ. τεχνίτης,

ᾖ τεχνίτης, μετὰ φόβου καὶ τρόμου ἕστηκε, δεδοικὼς μὴ καταπέσῃ ἐκ τῆς οἰκοδομῆς. καὶ σὺ ἐπιστεύσας, ἐπράξας ἀγαθὰ πολλὰ, ἀνῆλθες εἰς ὕψος· ἐν ἀσφαλείᾳ κάτεχε σαυτὸν, καὶ φοβοῦ ἑστὼς, καὶ τὸ ὄμμα ἔχε διεγηγερμένον, μὴ καταπέσῃς ἐκεῖθεν. πολλὰ γάρ τὰ πνευματικὰ τῆς πονηρίας, τὰ βουλόμενά σε καθελεῖν. Δουλεύσατε, φησὶ, τῷ Κυρίῳ ἐν φό-

Ψαλ. β. ια. βῳ, καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ. καὶ πῶς ἔνι ἀγαλλίασις μετὰ τρόμου; αὕτη μὲν οὖν ἐστι μόνη ἀγαλλίασις. ὅταν γάρ τι ἀγαθὸν ἐργασώμεθα, καὶ τοιοῦτον, οἷον εἰκὸς, ἐν τρόμῳ τι ποιοῦντας, τότε χαίρομεν μόνον. μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν κατεργάζεσθε. γρ. μάλιστα

οὐκ εἶπεν, ἐργάζεσθε, ἀλλὰ, κατεργάζεσθε, τουτέστι, μετὰ πολλῆς τῆς σπουδῆς, μετὰ πολλῆς τῆς ἐπιμελείας. ἐπειδὴ δὲ εἶπε, μετὰ φόβου καὶ τρόμου, καὶ ἐναγωνίους ἐποίησεν, ὅρα πῶς παραμυθεῖται τὴν ἀγωνίαν. τί γάρ φησιν; ὁ Θεός ἐστιν ὁ ἐνεργῶν ἐν ὑμῖν. μὴ φοβοῦ, ὅτι εἶπον μετὰ φόβου καὶ τρόμου. οὐ διὰ τοῦτο εἶπον, ἵνα ἀπαγορεύσῃς, ἵνα δυσέφικτόν τι εἶναι νομίσῃς τὴν ἀρετὴν, ἀλλ' ἵνα προσέχῃς, ἵνα μὴ διαχέῃς σαυτόν. ἂν τοῦτο ᾖ, ὁ Θεὸς πάντα ἐργάσεται· σὺ θάρσει. ὁ Θεὸς γάρ ἐστιν ὁ ἐνεργῶν ἐν ὑμῖν. εἰ τοίνυν αὐτὸς ἐνεργεῖ, γρ. γε

ἡμᾶς δεῖ τὴν προαίρεσιν παρέχειν συγκεκροτημένην διαπαντὸς, ἐσφιγμένην, ἀδιάχυτον. ὁ Θεὸς γάρ ἐστιν ὁ ἐνεργῶν ἐν ὑμῖν καὶ τὸ θέλειν καὶ τὸ ἐνεργεῖν. εἰ τὸ θέλειν αὐτὸς ἡμῖν ἐνεργεῖ, πῶς ἡμῖν παρακελεύει; εἰ γὰρ καὶ τὸ θέλειν αὐτὸς ποιεῖ, εἰκῆ ἡμῖν λέγεις, ὅτι ὑπηκούσατε (οὐ γὰρ ὑπακούομεν) εἰκῆ λέγεις ἐν φόβῳ καὶ ἐν τρόμῳ. Θεοῦ γὰρ τὸ ὅλον ἐστίν. γρ. παρακαλεῖς

οὐ διὰ τοῦτο εἶπον, αὐτὸς γάρ ἐστιν ὁ ἐνεργῶν καὶ τὸ θέλειν καὶ τὸ ἐνεργεῖν, ἀλλ' ἐκλῦσαι τὴν ἀγωνίαν ὑμῶν βουλόμενος. ἂν θελήσῃς, τότε ἐνεργήσει τὸ θέλειν. μὴ φοβηθῇς, καὶ οὐδὲν κάμνῃς· καὶ προθυμίαν αὐτὸς ἡμῖν δίδωσι καὶ ἐργασίαν. ὅταν γὰρ θελήσωμεν, αὔξει τὸ θέλειν ἡμῶν λοιπόν· οἷον, βούλομαί τι ἀγαθὸν ἐργάσασθαι· ἐνήργησεν αὐτὸ τὸ ἀγαθὸν, ἐνήργησε δὲ αὐτοῦ καὶ τὸ θέλειν. ἢ ἀπὸ πολλῆς εὐλαβείας τοῦτό φησιν. ὥσπερ ὅταν τὰ κατορθώματα

τὰ

Digitized by Google

τὸν βίον. ἐνταῦθα οὐκ ἔχεις πόρνους εἰπεῖν, οὐδὲ μαλακούς, οὐδὲ ἀνδροφόνους· ἀπεχόμεθα γὰρ αὐτῶν. τί δὴ τοῦτό ἐστι; τὸν Θεὸν ἴσμεν, τὴν πρόνοιαν ἐπιγινώσκομεν τὴν αὐτοῦ, περὶ ἀθανασίας φιλοσοφοῦμεν. παραχωρείτω ἐν τούτῳ τὰ ἄλογα. οὐκ ἀμφισβητήσει περὶ τούτων. σωφρονοῦμεν. ἐνταῦθα οὐδὲν τὰ ἄλογα κοινὸν ἔχει. πάντων γὰρ αὐτῶν λειπόμενοι, κρατοῦμεν αὐτῶν. ἐν τούτῳ γὰρ μείζων ἡ ἀρχή, ὅτι λειπόμενοι αὐτῶν, βασιλεύομεν αὐτῶν· ἵνα μάθῃς, ὅτι οὐ σὺ τούτων αἴτιος, ἀλλ' ὁ ποιήσας σε Θεός, καὶ λόγῳ χειρισάμενος. δίκτυα, θήρατρα αὐτοῖς τίθεμεν, καὶ ἐμβάλλομεν αὐτά, καὶ χειρούμεθα. σωφροσύνη παρ' ἡμῖν, ἐπιείκεια, πραότης, χρημάτων ὑπεροψία. ἀλλ' ἐπειδὰν σὺ τῶν ἀπονενοημένων τις ὢν οὐδὲν τούτων ἔχεις, εἰκότως οὐ τῶν ἀνθρώπων μεῖζον φρονεῖς, ἢ καὶ τῶν ἀλόγων ταπεινότερος. τοιαύτη γὰρ ἡ ἀπόνοια, καὶ ἡ θρασύτης· ἢ ἐπαίρεται πέρα τοῦ δέοντος, ἢ ταπεινοῦται πάλιν ὁμοίως, οὐδαμοῦ τὴν συμμετρίαν φυλάττουσα. ἀγγέλων ἐσμὲν ἴσοι κατὰ τοῦτο. βασιλεία ἡμῖν ἐπήγγελται, ἡ μετὰ Χριστοῦ χορεία. ἄνθρωπος μαστίζεται, καὶ οὐχ ὑποπίπτει· ἄνθρωπος θανάτου καταφρονεῖ, οὐ τρέμει, οὐ δέδοικεν, οὐκ ἐφίεται τοῦ πλείονος. ὥστε ὅσοι μὴ τοιοῦτοί εἰσι, τῶν ἀλόγων εἰσὶ χείρους. ὅταν γὰρ ἐν μὲν τοῖς σωματικοῖς πλεονεκτῇ, τὰ δὲ ψυχικὰ πλεονεκτήματα μὴ ἔχῃς, πῶς οὐχὶ τῶν ἀλόγων εἶ χείρων; ἄγε γὰρ εἰς μέσον τινὰ τῶν ἐν κακίᾳ ἀλογωτέρων, τῶν ἐν τρυφῇ ζώντων καὶ πλεονεξίᾳ. ὁ ἵππος αὐτοῦ πολεμικώτερος, ὁ οὗς ἰσχυρότερος, ὁ λαγωὸς ταχύτερος, ὁ ταὼς ὡραιότερος, ὁ κύκνος εὐφωνότερος, ὁ ἐλέφας μείζων, ὁ ἀετὸς ὀξυδερκέστερος, πάντες ὄρνιθες πλουσιώτεροι. πόθεν οὖν ἄξιος εἶ κρατεῖν τῶν ἀλόγων; ἀπὸ τοῦ λόγου; ἀλλ' οὐκ ἔστιν. ὅταν γὰρ μὴ εἰς δέον αὐτῷ κέχρησαι, πάλιν ἐκείνων χείρων εἶ. ὅταν γὰρ λόγον ἔχων ἀλογώτερος ἐκείνων ᾖς, κρεῖττον ἦν εἰ μηδὲ τὴν ἀρχὴν ἐγένου λογικός. οὐ γάρ ἐστιν ἴσον λαβόντα ἀρχὴν προδοῦναι, καὶ τὸ παράπαν μὴ λαβεῖν. ὁ βασιλεύων, καὶ τῶν δορυφόρων χείρων ὤν, κρεῖττον ἦν, εἰ μηδὲ τὴν ἁλουργίδα περιέκειτο. οὕτω δὴ καὶ ἐνταῦθα. εἰδότες οὖν, ὅτι καὶ τῶν ἀλόγων χείρους ἐσμὲν τῆς ἀρετῆς χωρίς, ταύτην ἀσκῶμεν, ἵνα ἄνθρωποι γενώμεθα, μᾶλλον δὲ ἄγγελοι, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν ἀπολαύσωμεν.

χ. γὰρ
χ. μείζω
χ. τοῦτο
χ. ἄνοια
χ. ὅτε
χ. κέχρηται,
χ. δεῖν.
χ. ᾖ,
χ. ἐγένετο

Λογ. η. 12 ΩΣΤΕ, ΑΓΑΠΗΤΟΙ ΜΟΥ, ΚΑΘΩΣ ΠΑΝΤΟΤΕ ὑπηκούσατε, μὴ ὡς ἐν τῇ παρουσίᾳ μου μόνον, ἀλλὰ [καὶ] νῦν πολλῷ μᾶλλον ἐν τῇ ἀπουσίᾳ μου, μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν κατεργάζεσθε. 13 Ὁ Θεὸς γάρ ἐστιν ὁ ἐνεργῶν ἐν ὑμῖν καὶ τὸ θέλειν καὶ τὸ ἐνεργεῖν ὑπὲρ τῆς εὐδοκίας. 14 Πάντα ποιεῖτε χωρὶς γογγυσμῶν καὶ διαλογισμῶν, 15 Ἵνα γένησθε ἄμεμπτοι καὶ ἀκέραιοι, τέκνα Θεοῦ ἀμώμητα ἐν μέσῳ γενεᾶς σκολιᾶς καὶ διεστραμμένης, ἐν οἷς φαίνεσθε, ὡς φωστῆρες ἐν κόσμῳ, 16 Λόγον ζωῆς ἐπέχοντες, εἰς καύχημα ἐμοὶ εἰς ἡμέραν Χριστοῦ.

Τὰς παραινέσεις μετ' ἐγκωμίων δεῖ ποιεῖσθαι. οὕτω γὰρ καὶ εὐπαράδεκτοι γίνονται, ὅταν πρὸς τὸν οἰκεῖον ζῆλον καλῶμεν τοὺς παραινουμένους· ὃ δὴ καὶ Παῦλος ἐνταῦθα ἐποίησε. καὶ θέα πῶς συνετῶς. ὥστε, ἀγαπητοί μου, φησίν. οὐκ εἶπεν ἁπλῶς, ὅτι ὑπακούετε, ἀλλὰ πρότερον ἐπαινέσας καὶ εἰπών, καθὼς πάντοτε ὑπηκούσατε· τουτέστι, μιμεῖσθαι παρακαλῶ οὐχ ἑτέρους, ἀλλ' ὑμᾶς ἑαυτούς. μὴ ὡς ἐν τῇ παρουσίᾳ μου μόνον, ἀλλὰ πολλῷ μᾶλλον ἐν τῇ ἀπουσίᾳ μου. διὰ τί πολλῷ μᾶλλον ἐν τῇ ἀπουσίᾳ μου; ὅτι τότε μὲν ἴσως ἐδόκειτε διὰ τὴν εἰς ἐμὲ τιμὴν καὶ τὴν



Digitized by Google

τὴν ἐπιφάνειαν; δῆλον ὅτι ταῦτα. οὐκοῦν καὶ ἐπὶ τῆς ψυχῆς, ἡ μὴ φλεγμαίνουσα οὐδέπου χεῖρον ἔχει νόσημα· ἡ δὲ κατεσταλμένη πάντως ἀπήλλακται παθῶν. πόσα οὖν τίκτει ἡμῖν ἀγαθὰ ἡ ταπεινοφροσύνη; τί βούλει; τὸ ἀνεξίκακον; τὸ ἀόργητον; τὸ φιλάνθρωπον; τὸ πολιτικόν; τὸ προσηνικόν; πάντα ταῦτα ἀπὸ ταπεινοφροσύνης τὰ καλά, καὶ τὰ ἐναντία ἀπὸ τῆς ἀπονοίας. ἀνάγκη γὰρ τὸν τοιοῦτον καὶ ὑβριστὴν εἶναι, καὶ πλήκτην, καὶ ὀργίλον, καὶ πικρόν, καὶ ἀμειδῆ, καὶ θηρίον μᾶλλον, ἢ ἄνθρωπον. ἰσχυρὸς εἶ, καὶ μέγα φρονεῖς; οὐκοῦν διὰ τοῦτο μᾶλλον ὀφείλεις ταπεινοῦσθαι. διὰ τί ἐπὶ πράγματι μέγα φρονεῖς οὐδαμινῷ; καὶ γὰρ καὶ λέων σου θρασύτερος, καὶ σῦς ἰσχυρότερος, καὶ οὐδὲ χαῖρον εἶ πρὸς αὐτούς. καὶ λῃσταὶ δὲ καὶ τυμβωρύχοι καὶ μονομάχοι καὶ τῶν οἰκετῶν τῶν σῶν, καὶ ἴσως τῶν ἀγρωμονέστεροι, ἰσχυρότεροί σου. τοῦτο οὖν ἄξιον ἐπαίνου; καὶ οὐ κατορύττεις σαυτόν, ἐπὶ τούτῳ μέγα φρονῶν; ἀλλὰ καλὸς εἶ, καὶ ὡραῖος; κορωνῶν τὸ καύχημα. οὐκ εἶ τοῦ ταῶ καλλίων, οὐδὲ ἄνθους ἕνεκεν, οὐδὲ πτερῶν. ἐν τοῖς πτεροῖς τοῦ ὄρνιθος ἡ νίκη, πολύ σε παρελαύνει τῇ κόμῃ, τῷ ἄνθει. καὶ ὁ κύκνος δὲ σφόδρα ἐστὶ καλός, καὶ πολλοὶ τῶν ὀρνίθων ἕτεροι, πρὸς οὓς εἰ παραβληθείης, οὐδὲν ὄψει σαυτόν. πολλάκις δὲ καὶ παιδία εὐτελῆ, καὶ κόραι ἀπειρόγαμοι, καὶ πόρναι γυναῖκες, καὶ ἄνδρες μαλακοὶ τούτου ἔχουσι τὸ καύχημα. τοῦτο οὖν ἄξιον ἀπονοίας. ἀλλὰ πλουτεῖς; πόθεν; τί κεκτημένος; χρυσόν, ἄργυρον, λίθους τιμίους; τοῦτο καὶ λῃστῶν ἐστι, καὶ ἀνδροφόνων τὸ καύχημα, καὶ τῶν τὰ μέταλλα ἐργαζομένων. ὃ τῶν καταδίκων πόνος, τοῦτό σοι καύχημα. ἀλλὰ κ. ἐξετ. κοσμῇ, καὶ καλλωπίζῃ; καὶ ἵππους ἐστὶν ἰδεῖν καλλωπιζομένους· παρὰ δὲ τοῖς Πέρσαις καὶ καμήλους ἴδοι τις ἂν καλλωπιζομένας· ἐπὶ δὲ τῶν ἀνθρώπων, τῶν ἐπὶ σκηνῆς ἅπαντα. οὐκ αἰσχύνῃ οὖν ἐπὶ τούτοις μέγα φρονῶν, ἐν οἷς τὰ ἄλογά σοι κοινωνεῖ, καὶ δοῦλοι, καὶ ἀνδροφόνοι, καὶ μαλακοί, καὶ λῃσταί, καὶ τυμβωρύχοι; ἀλλ' οἰκίας οἰκοδομεῖς λαμπράς; καὶ τί τοῦτο; πολλοὶ κολοιοὶ λαμπροτέρας οἰκοῦσι, καὶ σεμνότερα ἔχουσι καταγώγια. ἢ οὐχ ὁρᾷς τούτους τοὺς περὶ τὰ χρήματα μαινομένους, οἳ ἐν ἀγροῖς καὶ ἐν ἐρήμοις τόποις ᾠκοδόμησαν οἴκους, κολοιῶν καταγώγια; ἀλλὰ φωνῆς ἕνεκα μέγα φρονεῖς; τοῦ κύκνου, καὶ τῆς ἀηδόνος οὐδέποτε σὺ δυνήσῃ ᾆσαι λιγυρώτερον. ἀλλ' ἐπὶ ποικιλίᾳ τέχνης; καὶ τί τῆς μελίττης ἐν τούτῳ σοφώτερον; ποῖος ποικιλτής, τίς ζωγράφος, τίς γεωμέτρης τὰ ταύτης ἔργα μιμήσασθαι δυνήσεται; χ ποῖος ἀλλ' ἐπὶ λεπτότητι ἐσθῆτος; ἀλλ' ἐν ταύτῃ σε ἀράχναι νικῶσιν. ἀλλ' ἐπὶ ταχυτῆτι ποδῶν; πάλιν τὰ πρωτεῖα παρὰ τοῖς ἀλόγοις, λαγωῷ καὶ δορκάδι. καὶ ὅσα τῶν κτηνῶν οὐκ ἀπολείπεται τῇ ταχυτῆτι τῶν ποδῶν. ἀλλ' ἀποδημεῖς; ἀλλ' οὐ μᾶλλον τῶν πτηνῶν. ταῦτα γὰρ εὐκολώτερον τὴν ἀποδημίαν ποιεῖται. οὐκ ἐφοδίων δεῖται, οὐδὲ ὑποζυγίων, ἀλλ' ἀρκεῖ πρὸς πάντα αὐτοῖς τὸ πτερόν. τοῦτο καὶ ναῦς, τοῦτο καὶ ὑποζύγιον, τοῦτο καὶ ὄχημα, τοῦτο καὶ ἄνεμος, καὶ πᾶν ὅ,τι ἂν εἴποις. ἀλλ' ὀξὺ βλέπεις; ἀλλ' οὐχ ὡς δορκάς, οὐδὲ ὡς ἀετός. ἀλλ' ὀξὺ ἀκούεις; ἀλλ' ὁ ὄνος ὀξύτερον. ἀλλ' ὀσφραίνῃ; ἀλλ' ὁ κύων οὐκ ἀφίησί σε αὐτοῦ περιελθεῖν. ἀλλὰ προοριστικὸς εἶ; ἀλλὰ τοῦ μύρμηκος ἀπολείπῃ. ἀλλὰ χρυσοφορεῖς; ἀλλ' οὐχ οὕτως, ὡς οἱ Ἰνδικοὶ μύρμηκες. ὑγείας δὲ ἕνεκεν; πολλῷ βελτίω ἡμῶν τὰ Ματθ. ϛ. κϛ. ἄλογα, καὶ εὐεξίας, καὶ τῆς εὐπορίας· οὐ δέδοικεν ἔνδεια πενίαν. Ἐμβλέψατε γάρ, φησιν, εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν, οὐδὲ θερίζουσιν, οὐδὲ συνάγουσιν εἰς ἀποθήκας. οὐκοῦν, φησίν, ἡμῶν τὰ ἄλογα κρείττονα ἐδημιούργησεν ὁ Θεός; ὁρᾷς πόσον ἐστὶ τὸ ἀπερίσκεπτον; ὁρᾷς τὸ ἀνεξέταστον; ὁρᾷς, ἡ τῶν πραγμάτων ἐξέτασις ὅσον ἡμῖν χαρίζεται; ὁ πάντων ἀνθρώπων μεῖζον φρονῶν, εὑρέθη καὶ τῶν ἀλόγων ταπεινότερος. ἀλλὰ φυσώμεθα αὐτό, καὶ οὐ μιμησώμεθα αὐτούς, οὐδὲ ἐπὶ τῆς ἡμετέρας φύσεως μεῖζον ἐφρόνησαν, καταγαγόντες αὐτὴν ἐπὶ τὴν τῶν ἀλόγων τάξιν ἀφήσωμεν, ἀλλ' ἀναστήσωμεν αὐτὴν ἐκεῖθεν, οὐ δι' αὐτήν (αὐτὸς μὲν γὰρ ἄξιος τοιαῦτα παθεῖν) ἀλλ' ἵνα ἡ τοῦ Θεοῦ φιλανθρωπία καὶ ἡ εἰς ἡμᾶς δειχθῇ τιμή. ἔστι γάρ, ἔστιν ἐν οἷς οὐδὲν ἡμῖν κοινωνεῖ τὰ ἄλογα. ποῖα δὴ ταῦτα; εὐσέβεια, καὶ ὁ κατ' ἀρε-

τὴν

ων, τοσαύτης ἀπολαύοντας δόξης, οὕτως ἀκαθάρτως βιοῦν, τοῦτό ἐστι τὸ πάντων χεῖρον, καὶ ἀφόρητον. εἰπὲ γάρ μοι· ὁ καταισχύνας τὴν ἐσχάτην ὑπὸ ἀνάγκην, διὰ τοῦτο ἔλαβε τὴν ἄνω τιμήν. δοῦλος ἐγένετο, διὰ τοῦτο δεσπότης ἐστὶ πάντων, καὶ ἀγγέλων, καὶ τῶν ἄλλων ἁπάντων. ὥστε καὶ ἡμεῖς μὴ νομίζωμεν κατέρχεσθαι ἀπὸ τοῦ ἀξιώματος, ὅταν ταπεινώσωμεν ἑαυτούς. τότε γὰρ μᾶλλόν ἐστιν ὑψωθῆναι· εἰκότως· τότε μάλιστά ἐστι θαυμασθῆναι. ὅτι γὰρ ὁ ὑψηλὸς ταπεινός ἐστιν, ὁ δὲ ταπεινὸς ὑψηλὸς, ἀρκεῖ μὲν καὶ ἡ τοῦ Χριστοῦ ἀπόφασις τοῦτο λέγουσα. πλὴν ἀλλὰ καὶ αὐτὸ τὸ πρᾶγμα ἐξετάσωμεν. τί ἐστι ταπεινωθῆναι; οὐ τὸ ψέγεσθαι, οὐ τὸ κατηγορεῖσθαι καὶ διαβάλλεσθαι; τί δὲ ὑψωθῆναι; οὐ τὸ τιμᾶσθαι, τὸ ἐπαίρεσθαι, τὸ δοξάζεσθαι; καλῶς. ἴδωμεν οὖν πῶς τοῦτο γίνεται. ἄγγελος ὢν ὁ Σατανᾶς, ὕψωσεν ἑαυτόν. τί οὖν; οὐχὶ πάντων μᾶλλον ἐταπεινώθη; οὐχὶ χώραν ἔχει τὴν γῆν; οὐχὶ ὑπὸ πάντων κατηγορεῖται, καὶ διαβάλλεται; ἄνθρωπος ὢν ὁ Παῦλος, ἐταπείνωσεν ἑαυτόν. τί οὖν; οὐχὶ θαυμάζεται; οὐχὶ ἐπαίρεται; οὐχὶ ἐγκωμιάζεται; οὐχὶ φίλος ἐστὶ τοῦ Χριστοῦ; οὐχὶ μείζονα εἰργάσατο, ὧν ὁ Χριστὸς ἐποίησεν; οὐχ ὡς ἀνδραπόδῳ πολλάκις ἐπέταξε τῷ διαβόλῳ; οὐχ ὡς δήμιον περιέφερεν; οὐχὶ ἔπαιξεν ἐν αὐτῷ; οὐχὶ συντετριμμένην αὐτοῦ τὴν κεφαλὴν εἶχεν ὑπὸ τοὺς πόδας τοὺς αὐτοῦ; οὐχὶ καὶ ἑτέροις μετὰ πολλῆς τῆς παῤῥησίας τοῦτο ἐπηύχετο; τί λέγω ταῦτα; ἐπῆρεν ἑαυτὸν ὁ Ἀβεσσαλὼμ, ἐταπείνωσεν ἑαυτὸν ὁ Δαβίδ. ποῖος οὖν ὑψηλὸς ἐγένετο; τίς ἐπίδοξος; τί γὰρ ταπεινότερον τῶν ῥημάτων τούτων, ὧν ἐπὶ τοῦ Σεμεεὶ ἐφθέγξατο ὁ μακάριος ἐκεῖνος προφήτης, λέγων· Ἄφετε αὐτὸν καταρᾶσθαί με· Κύριος γὰρ ἐνετείλατο αὐτῷ; [καὶ ἐπ' αὐτῶν δὲ τῶν πραγμάτων ἐξετάσωμεν, εἰ δοκεῖ.] ἐταπείνωσεν ἑαυτὸν ὁ τελώνης, καίτοιγε οὐδὲ ταπεινοφροσύνη τὸ πρᾶγμα ἦν· ἀλλ' εὐγνωμόνως ὡς ἔλεγεν, ἅπερ ἔλεγεν. ὕψωσεν ἑαυτὸν ὁ Φαρισαῖος. ἀλλ' εἰ δοκεῖ, ἀφέντες τὰ πρόσωπα, ἐξετάσωμεν τὰ πράγματα. ἔστωσαν δύο τινὲς, ἀμφότεροι καὶ πλουτοῦντες, καὶ μετέχοντες πολλῆς τιμῆς, καὶ ἐπὶ σοφίᾳ, καὶ δυναστείᾳ, καὶ ἐπὶ τοῖς ἄλλοις τοῖς κοσμικοῖς πλεονεκτήμασι μεγαλοφρονοῦντες. εἶτα ὁ μὲν αὐτῶν ζητείτω τὰς παρὰ πάντων τιμὰς, καὶ μὴ λαμβάνων ὀργιζέσθω, καὶ πλείω, ἢ δεῖ, ἀπαιτείτω, καὶ ὑψούτω ἑαυτόν· ὁ δὲ καταφρονείτω τοῦ πράγματος, καὶ πρὸς μηδένα ὑπὲρ τούτου δυσχεραινέτω, καὶ διδομένην τὴν τιμὴν διακρουέσθω. τίς οὖν μείζων; ὁ μὴ λαμβάνων καὶ ζητῶν, ἢ ὁ καὶ διδόντων καταφρονῶν; εὔδηλον ὅτι οὗτος εἰκότως. δόξης γὰρ οὐκ ἔστιν ἄλλως ἐπιτυχεῖν, ἀλλ' ἢ ἐν τῷ δόξαν φεύγειν. ἕως μὲν γὰρ αὐτὴν διώκωμεν, φεύγει ἡμᾶς· ὅταν δὲ αὐτὴν φεύγωμεν, διώκει ἡμᾶς. εἰ βούλει ἔνδοξος εἶναι, μὴ ἐπιθύμει δόξης· εἰ βούλει ὑψηλὸς εἶναι, μὴ γίνου ὑψηλός. καὶ ἄλλως δὲ, τοὺς μὲν μὴ ἐφιεμένους τιμῆς πάντες τιμῶσι· τοὺς δὲ ἐπιζητοῦντας διαπτύουσι. πέφυκε γάρ πως φιλόνεικον εἶναι τὸ τῶν ἀνθρώπων γένος, καὶ ἀντιπαθές. καταφρονῶμεν τοίνυν δόξης· οὕτω γὰρ δυνησόμεθα γενέσθαι ταπεινοὶ, μᾶλλον δὲ ὑψηλοί. μὴ ὕψου σεαυτὸν, ἵνα παρὰ ἑτέρου ὑψωθῇς. ὁ παρ' ἑαυτοῦ ὑψούμενος, παρὰ ἑτέρων οὐχ ὑψοῦται· ὁ παρ' ἑαυτοῦ ταπεινούμενος, παρ' ἑτέρων οὐ ταπεινοῦται. μέγα ἀπόνοια κακόν· μωρὸν εἶναι κρεῖττον, ἢ ἀπονενοημένον. ἐκεῖ μὲν γὰρ ἡ μωρία μόνον παρανοίας ἐστίν· ἐνταῦθα δὲ χεῖρον. μωρία γάρ ἐστι μετὰ μανίας. ὁ ἀνόητος ἑαυτῷ κακόν, ὁ δὲ ἀπονενοημένος καὶ ἑτέροις λύμη. ἀπὸ ἀνοίας τοῦτο τὸ πάθος τίκτεται. οὐκ ἔστιν ὑψηλόφρονα εἶναι μὴ ὄντα μωρόν· ὁ δὲ μωρίας ἔμπλεως, ἐστὶν ἀπονενοημένος. ἄκουε σοφοῦ τινος λέγοντος, Εἶδον ἄνθρωπον δοκοῦντα φρόνιμον εἶναι παρ' ἑαυτῷ· ἐλπίδα δὲ ἔχει μᾶλλον ὁ ἄφρων αὐτοῦ. ὁρᾷς ὅτι οὐκ εἰκῇ ἔλεγον, ὅτι χεῖρον μωρίας τὸ κακόν; ἐλπίδα γάρ, φησι, μᾶλλον ἔχει ἄφρων αὐτοῦ. διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγε, Μὴ γίνεσθε φρόνιμοι παρ' ἑαυτοῖς. ἐπὶ τῶν σωμάτων, εἰπέ μοι, ποῖα φαμὲν ὑγιαίνειν; τὰ ὄγκον ἔχοντα πολὺν, καὶ πολλοῦ πνεύματος ἔνδοθεν γέμοντα καὶ ὕδατος, ἢ τὰ κατεσταλμένα, καὶ τεταπεινωμένην ἔχοντα τὴν

Margin notes: χ. ὢν — ἢ. ἑκάτεροι μὲν — χ. οὗτος — χ. παρανοίᾳ — ϐ. Βασ. ις. ια. — Παροιμ. κϛ. ιϐ. — Ρωμ. ιϐ. ιϛ.

Θεοῦ πατρός. Εἴπωμεν πρὸς τοὺς αἱρετικούς, εἰ περὶ τοῦ μὴ σαρκωθέντος ταῦτα λέγεται, εἰ περὶ τοῦ Θεοῦ λόγου, πῶς αὐτὸν ὑπερύψωσεν, ὡς πλέον τι δεδωκώς; οὐκοῦν ἀτελὴς ἦν κατὰ τοῦτο, καὶ δι᾽ ἡμᾶς ἐγένετο τέλειος. εἰ γὰρ μὴ ἡμᾶς εὐηργέτησεν, οὐκ ἂν ἔτυχε τῆς τιμῆς. καὶ ἐχαρίσατο, φησὶν, ὄνομα. ἰδοὺ, οὐδὲ ὄνομα εἶχε καθ᾽ ὑμᾶς. πῶς δὲ, εἰ ὀφειλὴν ἔλαβεν. εὑρίσκεται χάριτι καὶ δωρεᾷ λαβὼν, καὶ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα; ποῖον δὲ ἴδωμεν [καὶ] ὄνομα, ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ, φησὶ, πᾶν γόνυ κάμψῃ. ὄνομα αὐτοὶ τὴν δόξαν λέγουσιν. αὕτη γοῦν ἡ δόξα ὑπὲρ πᾶσαν δόξαν ἐστί. δόξα δὲ ὅλως ἐστὶ, τὸ προσκυνεῖν αὐτῷ; πόρρω ἀπέχετε τῆς τοῦ Θεοῦ μεγαλειότητος ὑμεῖς, οἱ νομίζοντες εἰδέναι Θεὸν, ὡς αὐτὸς οἶδεν ἑαυτόν. καὶ ἀπὸ τούτου μὲν δῆλον, ὅσον ἀπέχετε τῆς " ἐννοίας τῆς περὶ Θεοῦ. δῆλον δὲ καὶ ἐκ τούτου. αὕτη δόξα ἐστὶν, εἰπέ μοι; οὐκοῦν πρὶν ἢ τοὺς ἀνθρώπους γενέσθαι, πρὶν ἢ τοὺς ἀγγέλους, πρὶν ἢ τοὺς ἀρχαγγέλους, οὐκ ἦν ἐν δόξῃ. εἰ γὰρ " αὕτη ἐστὶν ἡ δόξα, ἡ ὑπὲρ πᾶσαν δόξαν (τοῦτο γάρ ἐστιν, ὑπὲρ πᾶν ὄνομα) εἰ δὲ ἐν δόξῃ ἦν, ἀλλ᾽ ἐν ἐλάττονι ταύτης. οὐκοῦν τοῦτο τὰ ὄντα ἐποίησε, καὶ διὰ τοῦτο, ἵνα ἐν δόξῃ γένηται, οὐκ ἐπ᾽ ἀγαθότητι, ἀλλὰ δεόμενος τῆς παρ᾽ ἡμῶν δόξης. ὁρᾶτε τὴν ἄνοιαν; ὁρᾶτε τὴν ἀσέβειαν; ἂν μὲν οὕτω περὶ τοῦ σαρκωθέντος ταῦτα ἔλεγον, εἶχε λόγον. ἀνέχεται γὰρ ὁ Θεοῦ λόγος περὶ τῆς σαρκὸς ταῦτα λέγεσθαι. οὐ γὰρ τῆς φύσεως ἅπτεται, ἀλλὰ περὶ τὴν οἰκονομίαν τὸ πᾶν ἵσταται. νῦν δὲ περὶ τὴν θεότητα ταῦτα λεγόμενα, οὐδεμία συγγνώμη τοῖς κεχρημένοις καταλιμπάνεται. ὥστε ὅταν εἴπωμεν, ἐποίησεν ἀνθρώπους ἀθανάτους ὁ Θεὸς, κἂν περὶ τοῦ ὅλου εἴπω, οἶδα ὃ λέγω. τί δέ ἐστιν, ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων; τουτέστιν, ὁ κόσμος πᾶς, καὶ ἄγγελοι, καὶ ἄνθρωποι, καὶ δαίμονες· ἢ ὅτι καὶ οἱ δίκαιοι, καὶ οἱ ἁμαρτωλοί. καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται, ὅτι Κύριος Ἰησοῦς Χριστὸς, εἰς δόξαν Θεοῦ πατρός· τουτέστιν, ἵνα πάντες τοῦτο εἴπωσι. τοῦτο δὲ δόξα τοῦ πατρός. ὁρᾷς πανταχοῦ, ὅταν ὁ υἱὸς δοξάζηται, τὸν πατέρα δοξαζόμενον; οὕτω καὶ ὅταν ἀτιμάζηται ὁ υἱὸς, ὁ πατὴρ ἀτιμάζεται. εἰ γὰρ ἐφ᾽ ἡμῶν τοῦτο, ἔνθα πολὺ τοῖς πατράσι πρὸς τοὺς υἱοὺς τὸ μέσον, πολλῷ μᾶλλον ἐπὶ τοῦ Θεοῦ, ἔνθα μέσον οὐδὲν, εἰς αὐτὸν διαβαίνει καὶ ἡ τιμὴ, καὶ ἡ ἀτιμία. ἂν γὰρ ἡ οἰκουμένη ὑποταγῇ τῷ υἱῷ, φησὶ, τοῦτο πατρός ἐστι δόξα. οὐκοῦν καὶ ὅταν λέγωμεν, ὅτι τέλειός ἐστιν, ἀνενδεὴς, ὅτι οὐκ ἐλάττων τοῦ πατρὸς, τοῦτο δόξα τοῦ πατρός. τοῦτο καὶ τῆς δυνάμεως αὐτοῦ τεκμήριον μέγα, καὶ τῆς ἀγαθότητος, καὶ τῆς σοφίας, ὅτι υἱὸν τοιοῦτον ἐγέννησεν, ὅτι οὐδὲν ἐλάττονα, οὐδὲ κατὰ τὴν ἀγαθότητα, οὔτε κατὰ τὴν σοφίαν. ὅταν εἴπω, ὅτι σοφός ἐστιν, ὡς ὁ πατὴρ, καὶ οὐδὲν ἐλάττων, τοῦτο τῆς πολλῆς τοῦ πατρὸς σοφίας τεκμήριον. ὅταν εἴπω, ὅτι δυνατός ἐστιν, ὡς ὁ πατὴρ, τοῦτο τῆς δυνάμεως αὐτοῦ τεκμήριον. ὅταν εἴπω, ὅτι ἀγαθός ἐστιν, ὡς ὁ πατὴρ, τοῦτο τῆς ἀγαθότητος αὐτοῦ δεῖγμα μέγιστον, ὅτι τοιοῦτον ἐγέννησεν οὐδὲν αὐτοῦ λειπόμενον, οὐδὲ ἀποδέοντα. ὅταν εἴπω, ὅτι οὐκ ἐλάττονα κατὰ τὴν οὐσίαν, ἀλλ᾽ ἴσον, οὐδὲ ἑτέρας οὐσίας, καὶ ἐν τούτῳ πάλιν τὸν Θεὸν θαυμάζω, καὶ τὴν δύναμιν αὐτοῦ, καὶ τὴν ἀγαθότητα, καὶ τὴν σοφίαν, ὅτι ἄλλον ἡμῖν τοιοῦτον ἔδειξεν ἐξ αὐτοῦ, πλὴν τοῦ πατέρα εἶναι. ὥστε ὅσα ἂν εἴπω μεγάλα περὶ τοῦ υἱοῦ, ταῦτα εἰς τὸν πατέρα διαβαίνει. εἰ γὰρ τὸ μικρὸν τοῦτο καὶ εὐτελὲς (μικρὸν γάρ ἐστι πρὸς τὴν τοῦ Θεοῦ δόξαν τὸ τὴν οἰκουμένην αὐτῷ προσκυνῆσαι) εἰς δόξαν Θεοῦ γίνεται, πόσῳ μᾶλλον τὰ ἄλλα πάντα;

ΗΘΙΚΟΝ Πιστεύωμεν τοίνυν εἰς δόξαν αὐτοῦ, καὶ βιῶμεν εἰς δόξαν αὐτοῦ· ἐπεὶ οὐδὲν ὄφελος θατέρου. ὥστε ὅταν δοξάζωμεν καλῶς, μὴ " βιῶμεν δὲ καλῶς, τότε μάλιστα ὑβρίζομεν αὐτὸν, ὅτι ἐπιγραφόμενοι αὐτὸν δεσπότην καὶ διδάσκαλον, καταφρονοῦμεν αὐτοῦ, καὶ οὐ δεδοίκαμεν τὸ φοβερὸν " αὐτοῦ κριτήριον. τὸ μὲν γὰρ Ἕλληνας ἀκαθάρτως βιοῦν, θαυμαστὸν οὐδὲν, οὐδὲ τοσαύτης καταγνώσεως ἄξιον· τὸ δὲ χριστιανοὺς τοσούτων μετέχοντας μυστηρίων,

χ. ἐννοίας
χ. αὐτὴ
χ. ζῶμεν
χ. ἐκεῖνο

καὶ πρὸς τοὺς μὴ λέγοντας δὲ ἀνειληφέναι ψυχήν, ἀναγκαῖον εἰπεῖν. Εἰ ἡ μορφὴ τοῦ Θεοῦ, τέλειος Θεός, καὶ ἡ μορφὴ τοῦ δούλου, τέλειος δοῦλος. πάλιν πρὸς Ἀρειανοὺς ὁ λόγος. μορφῇ Θεοῦ ὑπάρχων, φησίν, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ. ἐνταῦθα περὶ τῆς θεότητος, οὐδαμοῦ τὸ, ἐγένετο, οὐδαμοῦ τὸ, ἔλαβεν. ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος. ἐνταῦθα περὶ τῆς ἀνθρωπότητος, τὸ ἔλαβε, καὶ ἐγένετο. τοῦτο ἐγένετο, τοῦτο ἔλαβεν, ἐκεῖνο ὑπῆρχε. μὴ δὴ συγχέωμεν, μηδὲ διϊστῶμεν. Εἷς Θεός, εἷς Χριστός, ὁ υἱὸς τοῦ Θεοῦ. τὸ δὲ, εἷς, ὅταν εἴπω, ἕνωσιν λέγω, οὐ σύγχυσιν, τῆς φύσεως ταύτης εἰς ἐκείνην μεταπιπτούσης, ἀλλὰ ἑνωθείσης. ἐταπείνωσεν ἑαυτόν, ὑπήκοος γενόμενος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. ἰδού, φησιν, ὑπήκοος γέγονεν, οὐκ ἴσος ὢν ᾧ ὑπήκουσεν. οὐδὲν τοῦτο αὐτὸν ἐλαττοῖ, ὦ ἀγνώμονες, καὶ ἀνόητοι· ἐπεὶ καὶ φίλοις πολλάκις ὑπακούομεν ἡμεῖς, καὶ οὐδὲν τοῦτο ἡμᾶς ἐλάττους ποιεῖ. ὡς υἱὸς πατρί, ὑπήκουσεν ἑκών, οὐκ εἰς δουλικὸν ἀξίωμα καταπεσών, ἀλλὰ τούτῳ αὐτοῦ μάλιστα φυλάττων τῆς γνησιότητος τὸ θαῦμα, τῇ πολλῇ περὶ τὸν πατέρα τιμῇ. ἐτίμησε τὸν πατέρα, οὐχ ἵνα σὺ αὐτὸν ἀτιμάσῃς, ἀλλ' ἵνα μᾶλλον θαυμάσῃς, ἵνα καὶ ἀπὸ τούτου μάθῃς, ὅτι γνήσιος υἱός, τῷ μάλιστα πάντων τὸν πατέρα τετιμηκέναι. οὐδεὶς οὕτως ἐτίμησε τὸν Θεόν. ὅσον εἶχε τὸ ὕψος, τοσαύτην ταπείνωσιν ὑπέστη ἀντίρροπον. ὥσπερ πάντων ἐστὶ μείζων, καὶ οὐδεὶς αὐτῷ ἴσος, οὕτω καὶ τῇ περὶ τὸν πατέρα τιμῇ πάντας ἐνίκησεν, οὐκ ἀναγκασθείς, οὐδὲ ἄκων. καὶ τοῦτο τῆς ἀρετῆς αὐτοῦ· ἢ οὐκ ἔχω πῶς εἴπω. Βαβαί, μέγα καὶ τὸ δοῦλον γενέσθαι, καὶ σφόδρα ἄρρητον· τὸ δὲ καὶ θάνατον ὑποστῆναι, πάλιν πολλῷ πλέον. ἀλλ' ἔστι καὶ ἕτερόν τι τούτου μεῖζον καὶ παραδοξότερον. ποῖον δὲ τοῦτο; ὅτι οὐχ ἅπας θάνατος ὅμοιος. οὗτος γὰρ πάντων ἐπονειδιστικώτερος εἶναι ἐδόκει, οὗτος ὁ αἰσχύνης γέμων, οὗτος ὁ ἐπάρατος. Ἐπικατάρατος γάρ, φησι, πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου. διὰ τοῦτο καὶ Ἰουδαῖοι τούτῳ ἐσπούδασαν αὐτὸν ἀνελεῖν, ὥστε καὶ ἐπονείδιστον ἐργάσασθαι, ἵνα εἰ καὶ τῷ ἀναιρεθῆναι μηδεὶς ἀπέχηται αὐτοῦ, ἀλλὰ τῷ οὕτως ἀναιρεθῆναι. διὰ τοῦτο καὶ λῃσταὶ δύο μεταξὺ αὐτοῦ ἐσταυρώθησαν, ἵνα κοινωνήσῃ τῆς δόξης αὐτοῖς, καὶ πληρωθῇ τὸ εἰρημένον, Καὶ μετὰ ἀνόμων ἐλογίσθη. ἀλλὰ τοσούτῳ μᾶλλον ἡ ἀλήθεια λάμπει, τοσούτῳ φαιδροτέρα γίνεται. ὅταν γὰρ τοσαῦτα ᾖ μηχανήματα παρὰ τῶν ἐχθρῶν κατὰ τῆς δόξης αὐτοῦ γινόμενα, διαλάμπῃ δέ, μᾶλλον τὸ θαῦμα μεῖζον δείκνυται. οὐ γὰρ τῷ ἁπλῶς ἀποκτεῖναι, ἀλλὰ καὶ τῷ οὕτως ἀποκτεῖναι ᾤοντο βδελυκτὸν αὐτὸν ἐργάσασθαι, καὶ πάντων ἀποφαίνειν βδελυκτότερον· καὶ οὐδὲν ἴσχυσαν. οὕτω δὲ μιαροί τινες ἦσαν ἀμφότεροι οἱ λῃσταί (ὕστερον γὰρ ὁ εἷς μετεβάλετο) ὅτι καὶ ἐν σταυρῷ ὄντες, ὠνείδιζον αὐτῷ· καὶ οὔτε τὸ συνειδὸς τῶν ἰδίων ἁμαρτημάτων, οὔτε τὸ ἐν κολάσει εἶναι, οὔτε τὸ καὶ αὐτὸν τὰ αὐτὰ πάσχειν, κατέσχεν αὐτῶν τὴν μανίαν· ὅπερ οὖν καὶ ὁ εἷς τῷ ἑνὶ εἶπε, καὶ ἐπιστόμισε λέγων· Οὐδὲ φοβῇ τὸν Θεὸν σύ, ὅτι ἐν τῷ αὐτῷ κρίματι ἐσμέν; τοσαύτην εἶχον τὴν κακίαν. ἀλλ' οὐδὲν πρὸς τὴν οἰκείαν δόξαν παρεβλάβη ἐντεῦθεν. διό φησι, Καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα. ὅταν τῆς σαρκὸς ἐπιλάβηται ὁ μακάριος Παῦλος, πάντα λοιπὸν τὰ ταπεινὰ μετὰ ἀδείας φθέγγεται. ἕως μὲν γὰρ οὐκ ἔλεγεν, ὅτι μορφὴν δούλου ἔλαβεν, ἀλλὰ περὶ τῆς θεότητος διελέγετο, ὅρα πῶς ὑψηλῶς· ὑψηλῶς λέγω κατὰ τὴν δύναμιν. κατὰ γὰρ τὴν αὐτοῦ ἀξίαν οὐ φθέγγεται· οὐδὲ γὰρ δύναται. ἐν μορφῇ, φησι, Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ. ἐπειδὴ δὲ εἶπεν, ὅτι ἐνηνθρώπησεν, ἀδεῶς λοιπὸν τὰ ταπεινὰ φθέγγεται, θαρρῶν ὡς οὐδὲν βλάπτει τὴν θεότητα τὸ ταπεινὰ λέγεσθαι, τῆς σαρκὸς αὐτοῦ δεχομένης ταῦτα. διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα· ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ, ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται, ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν

Δευτ. κα. κγ. Γαλ. γ. ιγ.

Ησ. νγ. ιβ.

γρ. τοσούτῳ μείζον

γρ. εἷς

ἕτερον μορφὴν δούλου λαβεῖν. διὰ τί γὰρ οὐκ εἶπεν, ὅτι ἔργον ἐποίησε δούλου, ὃ σαφέστερον ἦν; οὐδαμοῦ δὲ ἐν τῇ γραφῇ μορφὴ ἀντὶ ἔργου εἴρηται. πολὺ γὰρ τὸ μέσον. τὸ μὲν γὰρ φύσεώς ἐστι, τὸ δὲ ἐνεργείας. καὶ ἐν τῇ συνηθείᾳ δὲ οὐδαμοῦ τὴν μορφὴν ἀντὶ ἔργου λέγοντες λαμβάνομεν. ἄλλως δὲ, οὐδὲ τὸ ἔργον ἐποίησε κατ' ἐκείνους, οὐδὲ μὴν διεζώσατο. (χ. ἔλαβε) εἰ γὰρ φαντασία τὸ πρᾶγμα ἦν, οὐκ ἦν ἀλήθεια. εἰ μὴ χεῖρας εἶχε, πῶς ἔνιψεν; εἰ μὴ ὀσφὺν εἶχε, πῶς λέντιον διεζώσατο; ποῖα δὲ καὶ ἱμάτια ἔλαβεν; Ἔλαβε γὰρ τὰ ἱμάτια αὐτοῦ, φησίν. ὥσπερ οὖν οὐδὲ τὸ ἔργον ἐνταῦθα εὑρίσκεται γενόμενον, ἀλλὰ ἀπάτη ἐστὶ μόνον, οὕτως οὐδὲ ἔνιψε τοὺς πόδας τῶν μαθητῶν. εἰ γὰρ ἡ ἀσώματος φύσις οὐκ ἐφάνη, ἐν σώματι οὐκ ἦν. τίς οὖν τοὺς μαθητὰς ἔνιψε; τί οὖν πάλιν πρὸς Παῦλον τὸν Σαμοσατέα ἐροῦμεν; καὶ τί ἐκεῖνος εἶπε, φησίν; αὐτὸς τὸ αὐτό φησιν. ἀλλ' οὐκ ἔστι τοῦτο κένωσις, τὸ φύσει ὄντα ἄνθρωπον ψιλὸν, νίψαι τοὺς ὁμοδούλους. ἃ γὰρ εἴπομεν πρὸς Ἀρειανοὺς, ταῦτα καὶ πρὸς τούτους ῥητέον· οὐδὲν γὰρ ἀλλήλων διεστήκασιν, ἀλλ' ἢ ὀλίγῳ χρόνῳ. καὶ γὰρ καὶ οὗτοι, κἀκεῖνοι κτίσμα τὸν υἱὸν τοῦ Θεοῦ φασι. τί οὖν ἐροῦμεν πρὸς αὐτούς; εἰ ἄνθρωπος ἀνθρώπους ἔνιψεν, οὐκ ἐκένωσεν, οὐκ ἐταπείνωσεν ἑαυτόν. εἰ ἄνθρωπος ὢν οὐχ ἥρπασε τὸ εἶναι ἴσα Θεῷ, οὐκ ἐπαινετός. τὸ μὲν γὰρ Θεὸν ὄντα ἄνθρωπον γενέσθαι, πολλὴ ταπείνωσις, ἄφατος, ἀνεκδιήγητος· τὸ δὲ ἄνθρωπον ὄντα τὰ τῶν ἀνθρώπων ποιεῖν, ποία ταπείνωσις; ποῦ δὲ μορφὴ Θεοῦ ἔργον Θεοῦ λέγεται; εἰ γὰρ ἄνθρωπος ἦν ψιλὸς, καὶ διὰ τὰ ἔργα λέγεται μορφὴ Θεοῦ, διὰ τί μὴ καὶ ἐπὶ Πέτρου τὸ αὐτὸ λέγομεν; μείζονα γὰρ αὐτοῦ εἰργάσατο. διὰ τί μὴ καὶ ἐπὶ Παύλου λέγεις, ὅτι μορφὴν Θεοῦ εἶχε; διὰ τί μὴ καὶ περὶ ἑαυτοῦ τὸ παράδειγμα (β Κορ. δ. ε.) εἰσήνεγκε Παῦλος, ὁ μυρία πράξας δουλικὰ, καὶ μηδὲν παραιτησάμενος; λέγει γάρ· Οὐ γὰρ ἑαυτοὺς κηρύσσομεν, ἀλλὰ Χριστὸν Ἰησοῦν Κύριον, ἑαυτοὺς δὲ δούλους ὑμῶν διὰ Ἰησοῦν. γέλως ταῦτα, καὶ φλυαρία. ἐκένωσεν ἑαυτὸν, φησί. πῶς ἐκένωσεν, εἰπὲ, καὶ τί ἡ κένωσις, καὶ τί ἡ ταπείνωσις; ἢ ἐπειδὴ θαύματα εἰργάσατο; ἀλλὰ τοῦτο ἐποίησε καὶ Παῦλος, καὶ Πέτρος, ὥστε οὐ τοῦ υἱοῦ τοῦτο ἐξαίρετον. τί οὖν ἐστιν ὅ φησιν, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος; πολλὰ μὲν εἶχεν ἡμέτερα, πολλὰ δὲ οὐκ εἶχεν· οἷον ἀπὸ συνουσίας οὐκ ἐτέχθη, οἷον ἁμαρτίαν οὐκ ἐποίησε. ταῦτα ὑπῆρχεν αὐτῷ, ἃ μηδενὶ τῶν ἀνθρώπων. οὐκ ἦν τὸ φαινόμενον μόνον, ἀλλὰ καὶ Θεός. ἐφαίνετο μὲν γὰρ ἄνθρωπος, οὐκ ἦν δὲ τοῖς πολλοῖς ὅμοιος, εἰ καὶ τὴν σάρκα ὅμοιος ἦν. τοῦτο οὖν λέγει, ὅτι οὐκ ἦν ψιλὸς ἄνθρωπος· διὰ τοῦτό φησιν, ἐν ὁμοιώματι ἀνθρώπων. ἡμεῖς μὲν γὰρ ψυχὴ καὶ σῶμά ἐσμεν· ἐκεῖνος δὲ Θεὸς, καὶ ψυχὴ, καὶ σῶμα. διὰ τοῦτό φησιν, ἐν ὁμοιώματι. ἵνα γὰρ μὴ ἀκούσας, ὅτι ἐκένωσεν ἑαυτὸν, μεταβολὴν νομίσῃς καὶ μετάπτωσιν καὶ ἀφανισμόν τινα, μένων, φησὶν, ὃ ἦν, ἔλαβεν ὃ οὐκ ἦν, καὶ σὰρξ γενόμενος ἔμεινε Θεὸς λόγος ὤν. ὥστε κατὰ τοῦτο ὅμοιος ἀνθρώπῳ, καὶ διὰ τοῦτό φησι, καὶ σχήματι· οὐ τοῦτο λέγων, ὅτι ἡ φύσις μετέπεσεν, οὐδὲ σύγχυσίς τις ἐγένετο, ἀλλὰ σχήματι ἐγένετο. εἰπὼν γὰρ, ὅτι μορφὴν δούλου ἔλαβεν, ἐθάρρησε λοιπὸν καὶ τοῦτο εἰπεῖν, ὡς ἐκείνου πάντας (Ρωμ. η. γ.) ἐπιστομίζοντος. ἐπεὶ καὶ ὅταν λέγῃ, Ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, οὐ τοῦτό φησιν, ὅτι σάρκα οὐκ εἶχεν, ἀλλ' ὅτι ἡ σὰρξ ἐκείνη οὐχ ἥμαρτεν, ἀλλ' ὁμοία ἦν τῇ ἁμαρτωλῷ. κατὰ τί ὁμοία; κατὰ τὴν φύσιν, οὐ κατὰ τὴν κακίαν. διὰ τοῦτο ὁμοία ἁμαρτωλοῦ ψυχῆς. ὥσπερ οὖν ἐκεῖ τὸ ὅμοιον διὰ τὸ μὴ πάντα εἶναι ἴσον, οὕτω (χ. ἴσα) καὶ ἐνταῦθα ὁμοίωμα διὰ τὸ μὴ πάντα εἶναι ἴσα· οἷον τὸ μὴ ἐκ συνουσίας, τὸ χωρὶς ἁμαρτίας, τὸ μὴ ψιλὸν ἄνθρωπον. καὶ καλῶς εἶπεν, ὡς ἄνθρωπος. οὐ γὰρ ἦν εἷς τῶν πολλῶν, ἀλλ' ὡς εἷς τῶν πολλῶν. οὐ γὰρ εἰς ἄνθρωπον μετέπεσεν ὁ Θεὸς λόγος, οὐδὲ οὐσία μετεβλήθη, ἀλλ' ὡς ἄνθρωπος ἐφάνη, οὐ φαντασιοκοπῶν ἡμᾶς, ἀλλὰ παιδεύων εἰς ταπεινοφροσύνην. ὅταν οὖν εἴπῃ, ὡς ἄνθρωπος, τοῦτό φησιν· ἐπεὶ καὶ ἀλλαχοῦ φησιν αὐτὸν ἄνθρωπον, ὅταν (α Τιμ. β. ε.) λέγῃ· Εἷς Θεὸς, καὶ εἷς μεσίτης ἄνθρωπος Χριστὸς Ἰησοῦς. Εἴρηται ἡμῖν καὶ τὰ πρὸς τούτους,

καὶ

χ. τοῦτο ἀπόλλυσι.

ται, ἀθρόως ἀπόλεσε τὸ ὅλον· οἱ δὲ ἐξ ἁρπαγῆς ἔχοντές τι, δεδοίκασιν ἀποθέσθαι, καὶ κρύψαι, καὶ μὴ διαπίπτοντος εἶναι ἐν ἐκείνῳ, ἐν ᾧ εἰσιν. ἀλλ' οὐχ οἱ μὴ ἐξ ἁρπαγῆς ἔχοντες. οἷον ὁ ἄνθρωπος ἀξίωμα ἔχει τὸ εἶναι λογικός. οὐχ εὑρίσκω παράδειγμα. οὐ γάρ ἐστι παρ' ἡμῖν ἀρχὴ φυσική. οὐδὲν γάρ ἐστι τῶν ἀγαθῶν φυσικόν, ἐπειδὴ τῷ Θεοῦ τῇ φύσει πάντα συγκεκλήρωται. τί οὖν φαμεν; ὅτι ὁ τοῦ Θεοῦ υἱὸς οὐκ ἐφοβήθη καταβῆναι ἀπὸ τοῦ ἀξιώματος. οὐ γὰρ ἁρπαγμὸν ἡγήσατο τὴν θεότητα, οὐκ ἐδεδοίκει μή τις αὐτὸν ἀφέληται [τὴν φύσιν, ἢ] τὸ ἀξίωμα. διὸ καὶ ἀπέθετο αὐτό, θαρρῶν ὅτι αὐτὸ ἀναλήψεται· καὶ ἔκρυψεν, ἡγούμενος οὐδὲν ἐλαττοῦσθαι ἀπὸ τούτου. διὰ τοῦτο οὐκ εἶπεν, οὐχ ἥρπασεν, ἀλλ', οὐχ ἁρπαγμὸν ἡγήσατο· ὅτι οὐχ ἁρπάσας εἶχε τὴν ἀρχήν, ἀλλὰ φυσικήν, οὐ δεδομένην, ἀλλὰ μόνιμον καὶ ἀσφαλῆ. διὸ οὐ παραιτεῖται καὶ τὸ τῶν ὑπασπιστῶν ἀναλαβεῖν σχῆμα. ὁ τύραννος δέδοικεν ἐν πολέμῳ ἀποθέσθαι τὴν ἁλουργίδα, ὁ δὲ βασιλεὺς μετὰ πολλῆς αὐτὸ ποιεῖ τῆς ἀσφαλείας. διὰ τί; ὅτι οὐχ ἁρπαγμὸν ἔχει τὴν ἀρχήν. οὐχ ὡς ἁρπάσας οὖν οὐκ ἀπετίθετο, ἀλλ' ὡς

χ. παύσιν

φυσικὴν ἔχων, καὶ οὐδέποτε ἀποστῆναι δυναμένην, ἔκρυψε. τοῦτο δὲ εἶναι ἴσα Θεῷ οὐχ ὡς ἁρπαγμὸν εἶχεν, ἀλλὰ φυσικόν, διὸ ἐκένωσεν ἑαυτόν. ποῦ εἰσιν οἱ λέγοντες, ὅτι ἀνάγκην ὑπέστη, ὅτι ὑπετάγη; ἑαυτόν, φησιν, ἐκένωσεν, ἑαυτὸν ἐταπείνωσεν, ὑπήκοος γενόμενος μέχρι θανάτου. πῶς ἐκένωσε; μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς, ὡς ἄνθρωπος. ἐνταῦθα πρὸς τό, Ἀλλήλους ἡγούμενοι ὑπερέχοντας ἑαυτῶν, τοῦτο εἶπε, τὸ ἑαυτὸν ἐκένωσεν· ἐπεὶ εἰ ὑπετάγη, οὐδὲ ταπεινοφροσύνης ἦν τὸ πρᾶγμα, εἰ μὴ οἴκοθεν τοῦτο εἵλετο, εἰ μὴ παρ' ἑαυτοῦ. εἰ γὰρ οὐκ ᾔδει, ὅτι δεῖ τοῦτο γενέσθαι, ἔσται ἀτελής· εἰ μὴ εἶδε περιμείνας τὸν καιρὸν τοῦ πράγματος, ἔσται καιροῦ οὐκ εἰδώς· ἢ εἰ ᾔδει καὶ ὅτι δεῖ γενέσθαι, καὶ πότε γενέσθαι, τίνος ἕνεκεν ὑποταγῆναι ὑπέμεινεν; ἵνα δείξῃ τὴν

Φιλιπ. β. γ.

χ. -γλιν

τοῦ πατρὸς ὑπεροχήν; τοῦτο οὐ πατρός ἐστι δεῖξαι τὴν ὑπεροχήν, ἀλλ' οἰκείαν εὐτέλειαν. οὐ γὰρ ἱκανὸν τὸ τοῦ πατρὸς ὄνομα δεῖξαι τὰ πρεσβεῖα τοῦ πατρός; χωρὶς γὰρ τούτου πάντα τὰ αὐτά ἐστι τῷ παιδί. ἄλλως δέ, οὐδὲ ἱκανὴ αὕτη ἡ τιμὴ ἀπὸ τοῦ πατρὸς διαβῆναι πρὸς τὸν υἱόν. χωρὶς δὲ τούτου, πάντα τὰ τοῦ πατρὸς κοινά ἐστι τῷ παιδί. ἐνταῦθα ἐπιλαβόμενοι τοῦ ῥητοῦ οἱ ἀπὸ Μαρκίωνος, ἰδού, φασιν, οὐκ ἐγένετο ἄνθρωπος, ἀλλ', ἐν ὁμοιώματι ἀνθρώπου γενόμενος. πῶς δέ ἐστιν ἐν ὁμοιώματι ἀνθρώπων γενέσθαι; σκιὰν περιβαλλόμενοι. οὐκοῦν εἴδωλόν τι τοῦτό ἐστι, καὶ οὐκ ἔστιν ἀνθρώπου ὁμοίωμα. ἀνθρώπου γὰρ ὁμοίωμα, ἄνθρωπος ἕτερος. τί δὲ ἐρεῖς Ἰωάννῃ λέγοντι, Ὁ λόγος σὰρξ ἐγένετο; ἀλλὰ καὶ αὐτὸς οὗτος φησὶν ὁ μακάριος ἀλλαχοῦ, Ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας. Καὶ σχήματι εὑρεθεὶς, ὡς ἄνθρωπος. ἰδού, φησι, καὶ σχήματι, καὶ ὡς ἄνθρωπος. τοῦτο δὲ οὐκ ἔστιν ἄνθρωπος ἀληθῶς, τὸ ὡς ἀνθρώπῳ εἶναι, καὶ τὸ σχήματι εἶναι ἄνθρωπον. τὸ γὰρ σχήματι εἶναι ἄνθρωπον, οὐκ ἔστι φύσει ἄνθρωπον εἶναι. ὁρᾶτε μεθ' ὅσης ἐγὼ εὐγνωμοσύνης τὰ παρὰ τῶν ἐχθρῶν τίθημι· ἡ γὰρ λαμπρὰ νίκη, καὶ ἐκ περιουσίας γινομένη αὕτη ἐστίν, ὅταν τὰ δοκοῦντα αὐτῶν ἰσχυρὰ εἶναι οὐκ ἀποκρύπτωμεν. τὸ γὰρ ἀποκρύπτειν ἀπάτη ἐστὶ μᾶλλον, ἢ νίκη. τί οὖν φασι; πάλιν γὰρ αὐτὰ ἀναλαβῶμεν· τὸ σχήματι, οὐκ ἔστι φύσει, καὶ τό, ὡς ἄνθρωποι εἶναι, καὶ τό, ἐν ὁμοιώματι ἀνθρώπου εἶναι, οὐκ ἔστι τοῦτο ἄνθρωπον εἶναι. ἄρα καὶ τὸ μορφὴν δούλου λαβεῖν, οὐκ ἔστι μορφὴν δούλου λαβεῖν. ἐκεῖνο μάχη ἐνταῦθα. καὶ διὰ τί μὴ ἐκεῖνο σὺ πρότερον λύεις; ὥσπερ γὰρ ταῦτα νομίζεις ἡμῖν ἀντικεῖσθαι, οὕτω καὶ ἡμεῖς φαμεν ἐκεῖνό σοι ἀντικεῖσθαι. οὐ γὰρ εἶπεν, ὡς μορφὴ δούλου, οὐδέ, ἐν ὁμοιώματι μορφῆς δούλου, οὐδέ, ἐν σχήματι μορφῆς δούλου, ἀλλά, μορφὴν δούλου ἔλαβε. τί οὖν ἐστι; καὶ γὰρ μάχη ἐστίν. οὐδεμία μάχη (μὴ γένοιτο) ἀλλά τις ὁ ψυχρὸς αὐτῶν λόγος, καὶ καταγέλαστος. μορφὴν δούλου, φησίν, ἔλαβεν, ὅτι τὸ λέντιον περιζωσάμενος ἔνιψε τοὺς πόδας τῶν μαθητῶν. τοῦτο μορφὴ δούλου ἐστίν; ἀλλ' οὐκ ἔστι τοῦτο μορφὴ δούλου, ἀλλ' ἔργον δούλου. ἕτερον δέ ἐστιν ἔργον εἶναι δούλου, καὶ

Ἰωάν. α. ιδ.

Ρωμ. η. γ.

χ. ἃ κρίνο-μεν. τοῦτο γὰρ

Ἰωάν. ιγ. δ.

γείαν, καὶ καλῶς ἐκπεπορευμένοι κατ' ἐκείνην τὴν ἡμέραν, καθ' ἣν ὁ ποταμὸς τοῦ πυρὸς, ὥστε προσενεγκεῖν μὴ δεόμενοι τῆς ἐκεῖ πυρᾶς. ἂν γὰρ μὴ πυρώσωμεν ὑμᾶς ἐνταῦθα, ἀνάγκη πάντως πυρωθῆναι ἐκεῖ, καὶ οὐκ ἔτι ἄλλως. Ἡ γὰρ ἡμέρα Κυρίου ἐν πυρὶ ἀποκαλύπτεται. κρεῖσσον τοῖς ἡμετέροις λόγοις ὑμᾶς κατακαυθῆναι πρὸς βραχὺ, ἢ διηνεκῶς ἐκείνῃ τῇ φλογί. πάντως γὰρ ὅτι τοῦτο ἔσται, δῆλον, καὶ πολλάκις ὑμῖν εἴπομεν λογισμοὺς ἀναντιρρήτους. ἔδει μὲν γὰρ ἀπὸ τῶν γραφῶν πεῖσαι μόνον· ἐπειδὴ δὲ φιλονείκως τινὲς διάκεινται, καὶ ἀπὸ τῶν λογισμῶν ἐκινήσαμεν πολλά. οὐδὲν δὲ κωλύει καὶ νῦν τὸ αὐτὸ εἰπεῖν. τίνες δὲ ἦσαν; δίκαιός ἐστιν ὁ Θεός. πάντες ὁμολογοῦμεν τοῦτο, καὶ Ἕλληνες, καὶ Ἰουδαῖοι, καὶ αἱρετικοὶ, καὶ Χριστιανοί. ἀλλ' ἐνταῦθα πολλοὶ μὲν τῶν ἡμαρτηκότων ἀπῆλθον μὴ κολασθέντες· πολλοὶ δὲ καὶ τῶν κατορθωσάντων ἀπῆλθον μυρία παθόντες δεινά. Εἰ τοίνυν δίκαιος ὁ Θεός, ποῦ τούτοις τὰ ἀγαθὰ ἀποδώσει, ποῦ ἐκείνοις τὰς τιμωρίας, εἰ γέεννα μή ἐστιν, εἰ ἀνάστασις μή ἐστι; τοῦτον οὖν ἀεὶ καὶ ἐκείνοις, καὶ ἑαυτοῖς τὸν λόγον κατεπᾴδετε, καὶ οὐκ ἀφήσει ὑμᾶς διαπιστῆσαι τῇ ἀναστάσει. ὁ δὲ μὴ ἀπιστῶν τῇ ἀναστάσει, σπουδάσει μετὰ πολλῆς ζῆν τῆς προσοχῆς, ὥστε τῶν αἰωνίων τυχεῖν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν.

κ.-πιπ.α.

α. Κορ. γ. ιγ.

Λογ. ζ. 5 ΤΟΥΤΟ ΓΑΡ ΦΡΟΝΕΙΣΘΩ ΕΝ ΥΜΙΝ Ο
καὶ ἐν Χριστῷ Ἰησοῦ, 6 Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν
ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ· 7 Ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου
λαβὼν, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος. 8 Καὶ σχήματι εὑρεθεὶς, ὡς
ἄνθρωπος, ἐταπείνωσεν ἑαυτὸν, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου
δὲ σταυροῦ. 9 Διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνο-
μα τὸ ὑπὲρ πᾶν ὄνομα, 10 Ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμ-
ψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων. 11 Καὶ πᾶσα γλῶσσα
ἐξομολογήσηται, ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ πατρός.

Εἴρηται ἡμῖν τὰ [περὶ] τῶν αἱρετικῶν· εὔκαιρον δὲ λοιπὸν καὶ τὰ ἡμέτερα εἰπεῖν. ἐκεῖνοι λέγουσιν, ὅτι τὸ, οὐχ ἁρπαγμὸν ἡγήσατο, ἁρπάσαι ἐστίν· ἡμεῖς ἐδείξαμεν, ὅτι πάντη ἕωλον καὶ ἄτοπον τοῦτο, ὅτι οὐδὲ εἷς ταπεινοφροσύνην τις ἐντεῦθεν παρακαλεῖ, οὐδὲ τὸν Θεὸν οὕτω θαυμάζει, ἀλλ' οὐδὲ ἄνθρωπον. τί οὖν ἐστιν, ἀγαπητοί; προσέχετε τοῖς λεγομένοις νῦν. ἐπειδὴ πολλοὶ τῶν ἀνθρώπων νομίζουσιν, ὅταν ταπεινοφρονῶσιν, ἀποστερεῖσθαι τοῦ οἰκείου ἀξιώματος καὶ ἐλαττοῦσθαι καὶ ταπεινοῦσθαι, τοῦτον ἐξαιρῶν τὸν φόβον, καὶ δεικνὺς ὅτι οὐ χρὴ οὕτω διακεῖσθαι, περὶ τοῦ Θεοῦ φησιν, ὅτι ὁ Θεὸς, ὁ μονογενὴς υἱὸς τοῦ πατρὸς, ὁ ἐν μορφῇ Θεοῦ ὢν, ὁ μηδὲν ἔλαττον ἔχων τοῦ πατρὸς, ὁ ἴσος αὐτῷ, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ. τί δὲ τοῦτό ἐστι, μάνθανε. ὅπερ ἂν ἁρπάσῃ τις, καὶ παρὰ τὸ προσῆκον λάβῃ, τοῦτο ἀποθέσθαι οὐ τολμᾷ, δεδοικὼς μὴ ἀπόληται, μὴ ἐκπέσῃ, ἀλλὰ διηνεκῶς αὐτὸ κατέχει· ὁ μέντοι φυσικὸν [τι] ἔχων ἀξίωμα, οὐ δέδοικε καὶ καταβῆναι ἀπ' ἐκείνου τοῦ ἀξιώματος, εἰδὼς ὅτι οὐδὲν τοιοῦτον πείσεται· οἷον ὡς ἐπὶ ὑποδείγματος ἵνα εἴπω. ὁ Ἀβεσσαλὼμ ἥρπασε τὴν τυραννίδα, καὶ ἀποθέσθαι ταύτην οὐκ ἐτόλμα λοιπόν. καὶ ἐπὶ ἄλλο δὲ ἐλευσόμεθα ὑπόδειγμα. ἂν δὲ μὴ ἰσχύῃ τὰ ὑποδείγματα τὸ πᾶν παραστῆσαι, μὴ δυσχεραίνετε. τὰ γὰρ ὑποδείγματα, τοιαῦτά ἐστι· τὸ πλέον ἀφιᾶσι τῇ διανοίᾳ λογίζεσθαι. ἐπανέστη τις βασιλεῖ, καὶ τὴν βασιλείαν ἥρπασεν. οὐκέτι ἀποθέσθαι καὶ κρύψαι τὸ πρᾶγμα οὐ τολμᾷ. ἂν γὰρ ἅπαξ κρύψῃ, εὐθέως ἀπώλεσεν. ἢ καὶ ἐπὶ ἄλλου [τινὸς] ἔλθωμεν ὑποδείγματος. οἷον, ἥρπασέ τίς τι. τοῦτο κατέχει διηνεκῶς. ἂν γὰρ ἀποθῆ-

ται,

γνωρίζουσί ποτε τοῦ Χριστοῦ τὸ πρόσωπον· ἓν τῶν ἀδυνάτων τοῦτο. ῥίζα ἐστὶ τῶν κακῶν. εἰ δὲ οὖν τις ἔχων κακὸν, ἐκπίπτει τῆς δόξης ἐκείνης, ὁ τὴν ῥίζαν ἐπιφερόμενος ποῦ στήσεται; οὐκ ἔστι τῶν χρημάτων ὄντα δοῦλον, δοῦλον εἶναι Χριστοῦ γνήσιον. αὐτὸς ὁ Χριστὸς ἀπεφήνατο, ὅτι τὸ πρᾶγμα ἀδύνατον. Οὐ δύνασθε, φησὶ, Θεῷ δουλεύειν καὶ μαμωνᾷ· καὶ, Οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν. Ματθ. ϛ. κδ. ἐναντία γὰρ ἐπιτάττουσιν. ὁ Χριστὸς λέγει, φεῖσαι τῶν πενομένων· ὁ μαμωνᾶς λέγει, ἀπόδυσον καὶ ἃ ἔχουσιν. γρ. λάβε ὁ Χριστὸς λέγει, κένωσον ἅπερ ἔχεις· ὁ μαμωνᾶς λέγει, λάβε καὶ ἅπερ οὐκ ἔχεις. Εἶδες ἐναντίωσιν, εἶδες πόλεμον. βούλεσθε δείξωμεν πῶς οὐ δύναταί τις ἀμφοτέρων ῥᾳδίως ὑπακοῦσαι, ἀλλ' ἑνὸς δεῖ καταφρονῆσαι; ἢ οὐ δεῖ λόγου; πῶς; ἐν τοῖς ἔργοις οὐχ ὁρῶμεν τοῦτο, τὸν Χριστὸν μὲν καταφρονούμενον, τὸν δὲ μαμωνᾶν τιμώμενον; ὁρᾶτε πῶς καὶ τὰ ῥήματα φορτικά; πόσῳ μᾶλλον τὰ πράγματα; ἀλλ' ἐπὶ τῶν πραγμάτων οὐ φαίνεται φορτικὰ ὁμοίως, ἐπειδὴ τῷ πάθει κατεχόμεθα. νῦν μὲν γὰρ καὶ ὀλίγον [τι] καθαρεύουσα τοῦ πάθους ἡ ψυχὴ, ἕως ἂν ἐνταῦθα ἑστήκῃ, δύναται κρίνειν ὀρθῶς· ἐκεῖ δὲ ἀπελθοῦσα, καὶ καταληφθεῖσα τῷ πυρετῷ, καὶ ἐν τῇ ἡδονῇ τοῦ πράγματος γενομένη, οὐκ ἔχει καθαρὸν τὸ κριτήριον, οὐκ ἔχει τὸ δικαστήριον ἀδέκαστον. ὁ Χριστός φησιν, Ἐὰν μή τις ἀποτάξηται πᾶσι αὐτοῦ τοῖς ὑπάρχουσιν, οὐκ ἔστι μου μαθητής. Λουκ. ιδ. λγ. ὁ μαμωνᾶς φησί· λάβε ἀπὸ τοῦ πεινῶντος τὸν ἄρτον. ὁ Χριστὸς λέγει, περίβαλε τὸν γυμνόν· οὗτος λέγει, τὸν γυμνὸν ἀπόδυσον. ὁ Χριστὸς λέγει, Τοὺς οἰκείους τοῦ σπέρματός σου οὐχ ὑπερόψει· Ησ. νη. ζ. ὁ μαμωνᾶς λέγει, οὐκ ἐλεήσεις τοὺς οἰκείους τοῦ σπέρματός σου, ἀλλὰ κἂν μητέρα ἴδῃς, κἂν πατέρα, καταφρόνει. καὶ τί λέγω πατέρα καὶ μητέρα; καὶ τὴν σαυτοῦ ψυχὴν, καὶ ταύτην ἀπόλλυε· γρ. καὶ τῆς σαυτοῦ ψυχῆς, ἀλλ' ὅμως ἀκούεται. οἴμοι, ὅτι ὠμὰ καὶ ἀπηνῆ καὶ θηριώδη προστάττων ἀκούεται μᾶλλον τοῦ τὰ ἐπιεικῆ καὶ σωτήρια ἡμῖν κελεύοντος. διὰ τοῦτο γέεννα, διὰ τοῦτο πῦρ, διὰ τοῦτο ποταμὸς πυρὸς, διὰ τοῦτο σκώληξ ἀτελεύτητος. οἶδα ὅτι πολλοὶ ταῦτα οὐχ ἡδέως ἀκούουσιν ἡμῶν λεγόντων. οὐδὲ γὰρ ἐγὼ ἡδέως αὐτὰ λέγω. τίς γὰρ χρεία ταῦτα λέγειν; ἐβουλόμην τὰ περὶ βασιλείας ὑμῖν διηγεῖσθαι ἀεὶ, τὴν ἀνάπαυσιν, τὸ ὕδωρ τὸ τῆς ἀναπαύσεως, τὸν τόπον τῆς χλόης. Ἐπὶ ὕδατος γὰρ, φησὶν, ἀναπαύσεως ἐξέθρεψέ με, καὶ εἰς τόπον χλόης ἐκεῖ Ψαλ. κβ. α. με κατεσκήνωσεν. ἐβουλόμην περὶ τοῦ τόπου λέγειν, ἔνθα ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός· ἐβουλόμην διηγεῖσθαι τῆς τοῦ Χριστοῦ συνουσίας τὴν ἡδονήν· καίτοιγε πάντα ὑπερβαίνει λόγον, καὶ πάντα νοῦν· ἀλλ' ὅμως κατὰ δύναμιν ἐβουλόμην ταῦτα λέγειν. ἀλλὰ τί πάθω; οὐκ ἔνι τῷ πυρέττοντι καὶ κακῶς διακειμένῳ περὶ βασιλείας λέγειν· πῶς γὰρ περὶ ὑγείας χρὴ διαλέγεσθαι. οὐκ ἔνι τῷ δίκης ὑπευθύνῳ περὶ τιμῆς διαλέγεσθαι· πῶς γὰρ τὸ ζητούμενον, δίκης ἀπαλλαγῆναι, καὶ τῆς κολάσεως, καὶ τῆς τιμωρίας. ἂν μὴ τοῦτο γένηται, πῶς ἐκεῖνο ἔσται; διὰ τοῦτο ταῦτα λέγω συνεχῶς, ἵνα ἐπ' ἐκεῖνα ἔλθωμεν ταχέως. καὶ γὰρ ὁ Θεὸς διὰ τοῦτο γέενναν ἠπείλησεν, ἵνα μηδεὶς εἰς γέενναν ἐμπέσῃ, ἵνα πάντες βασιλείας ἐπιτύχωμεν. καὶ ἡμεῖς διὰ τοῦτο συνεχῶς γεέννης μεμνήμεθα, ἵνα πρὸς τὴν βασιλείαν ὑμᾶς ὠθήσωμεν, ἵνα τῷ φόβῳ μαλάξαντες ὑμῶν τὴν διάνοιαν, παρασκευάσωμεν ἄξια τῆς βασιλείας ποιεῖν. μὴ τοίνυν δυσχεραίνετε πρὸς τὸ τῶν ῥημάτων βαρύ. τὸ γὰρ βαρὺ τῶν ῥημάτων κούφας ἡμῖν ἐργάζεται ἀπὸ τῶν ἁμαρτημάτων τὰς ψυχάς. γρ. τοῦτο περιφανεῖ ἐργάζεται φυγεῖν ἀπὸ τῶν ἁμαρτημάτων τὰς ψυχάς ἐπεὶ καὶ ὁ σίδηρος βαρύς ἐστι, καὶ ἡ σφῦρα βαρεῖα, ἀλλὰ κατασκευάζει σκεύη εὔχρηστα χρυσᾶ καὶ ἀργυρᾶ, καὶ τὰ διεστραμμένα ὀρθοῖ· ὡς εἰ μὴ βαρεῖα ἦν, οὐκ ἂν ἴσχυσε διορθῶσαι τὴν διεστραμμένην ὕλην. οὕτω καὶ ὁ λόγος ἡμῶν ὁ βαρὺς ῥυθμίσαι τὴν ψυχὴν ἰσχύει. μὴ τοίνυν φεύγωμεν τὴν βαρύτητα τῶν ῥημάτων, μηδὲ τὰς ἀπὸ τούτων πληγάς. οὐχ ἵνα διακλάσῃ, οὐδ' ἵνα διαθρύψῃ τὴν ψυχὴν, καταφέρεται ἡ πληγὴ, ἀλλ' ἵνα διορθώσηται. οἴδαμεν πῶς πλήττομεν, γρ. ἴσμεν πῶς ἐπάγομεν τὴν πληγὴν τῇ τοῦ Θεοῦ χάριτι, ὥστε μὴ συντρῖψαι τὸ σκεῦος, ἀλλ' ὥστε λεᾶναι, ὥστε ὀρθῶσαι, ὥστε ποιῆσαι εὔχρηστον τῷ δεσπότῃ, ὥστε αὐτὸ προσενεγκεῖν ἀποστίλβον τὴν ὑ-

σπλέως ὥσπερ τοῦ ἡμετέρου, συστέλλεται καὶ παιδίου μικροῦ οὐδὲν ἄμεινον διάκειται ἐν τῇ πρὸς ἡμᾶς μάχῃ. ὅταν ἀποστῶμεν αὐτοῦ, μεγάλα φυσᾷ, βρυχᾶται, τρίζει τοὺς ὀδόντας, ἅτε ἐρήμους ἡμᾶς τῆς μεγάλης συμμαχίας λαβών. οὐ γὰρ προσέσται, ἐὰν μὴ συγχωρήσῃ ὁ Θεός. εἰ γὰρ χοίρων ἀγέλαις οὐ κατετόλμησεν ἐπιμβῆναι, μὴ τοῦ Θεοῦ συγχωρήσαντος, πολλῷ μᾶλλον ψυχαῖς ἀνθρώπων. συγχωρεῖ δὲ ὁ Θεός, ἢ παιδεύων, ἢ δίκην ἀπαιτῶν, ἢ δοκιμωτέρους ποιῶν, ὡς τὸν Ἰώβ. ὁρᾷς αὐτοὺς μὴ προσερχομένους, μηδὲ τολμῶντας ἐμβῆναι, ἀλλὰ δεδοικότας καὶ τρέμοντας; καὶ τί λέγω περὶ τοῦ Ἰώβ; τῷ γὰρ Ἰούδᾳ ἐφεδρευόμενος, οὐκ ἐτόλμησεν, ἕως αὐτὸν τοῦ ἱεροῦ χοροῦ ἀπέσχισεν ὁ Χριστός, λαβεῖν ὁλόκληρον, καὶ εἰσελθεῖν εἰς αὐτόν. τότε μὲν οὖν ἔξωθεν προσέβαλλεν, εἴσω δὲ εἰσελθεῖν οὐκ ἐτόλμα. ἐπειδὴ δὲ εἶδεν ἀποσχισθέντα τῆς ἱερᾶς ἀγέλης, παντὸς λύκου σφοδρότερον ἐφήλατο, καὶ οὐ πρότερον ἀπέστη, ἕως αὐτὸν ἀνέβαλε θάνατον διπλοῦν. Ταῦτα πρὸς νουθεσίαν ἡμῶν γέγραπται. ἐπεὶ ποῖον κέρδος τὸ γνῶναι, ὅτι εἷς τῶν δώδεκα προέδωκε; ποία ὄνησις; ποία ὠφέλεια; μεγάλη. ὅταν γὰρ μάθωμεν πόθεν ἐκεῖνος ἐπὶ τὴν ὀλέθριον ἦλθε βουλὴν ταύτην, φυλαξόμεθα ἀπὸ ταύτης καὶ αὐτοὶ μὴ τὰ αὐτὰ παθεῖν. πόθεν οὖν ἦλθεν ἐπὶ τοῦτο; ἀπὸ φιλαργυρίας. κλέπτης ἦν. ἀπὸ ταύτης οὕτως ἐμέθυε τῷ πάθει, ὅτι τὸν τῆς οἰκουμένης δεσπότην τριάκοντα ἀργυρίων προέδωκε. τί τῆς μανίας ταύτης χεῖρον; ὃν οὐδὲν ἀντάξιον, οὐδὲ ἴσον, ᾧ τὰ ἔθνη εἰς οὐδὲν ἐλογίσθη, τοῦτον τριάκοντα ἀργυρίων προέδωκε. χαλεπὴ γὰρ τῆς φιλαργυρίας ἡ τυραννίς· δεινὴ ψυχὴν ἐκστῆσαι. οὐχ οὕτως τις ὑπὸ τῆς μέθης παραπλὴξ γίνεται, ὡς ὑπὸ φιλαργυρίας· οὐχ οὕτως ὑπὸ μανίας καὶ παραπληξίας, ὡς ὑπὸ φιλαργυρίας. διὰ τί γάρ, εἰπέ μοι, προδίδως; ἄσημον ὄντα σε καὶ ἀγνῶτα ἐκάλεσε, καὶ ἕνα τῶν δώδεκα ἐποίησε, διδασκαλίας σοι μετέδωκεν, ὑπέσχετο μυρία ἀγαθά, θαύματά σε ἐργάζεσθαι πεποίηκε, τραπέζης, ὁδῶν, ὁμιλίας, συνουσίας, πάντων ἐκοινώνησας, ὧν καὶ οἱ λοιποί. Ταῦτα οὐκ ἦν ἱκανὰ κατασχεῖν; τίνος οὖν ἕνεκεν προέδωκας; τί ἔχων ἐγκαλεῖν, ὦ μιαρέ; τί δὲ οὐκ εὖ παθών; ᾔδει σου τὴν διάνοιαν, οὐκ ἐπαύσατο τὰ περὶ ἑαυτοῦ εἰσφέρων. πολλάκις εἶπεν, Ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με.

Matth. xxvi. πολλάκις ἔστιξε, καὶ ἐφείσατό σου, καὶ εἰδώς σε τοιοῦτον, οὐκ ἐξέβαλέ σε τοῦ χοροῦ· ἔτι ἐβάσταζεν, ἔτι ὡς γνήσιον καὶ ἕνα τῶν δώδεκα, οὕτως ἐτίμα, οὕτως ἐφίλει. Ὦ ταλαίπωρε, ὦ τῆς μιαρίας, καὶ λέντιον λαβὼν ἔνιψε ταῖς ἀχράντοις ἐκείναις χερσὶ τοὺς μιαρούς σου πόδας, καὶ οὐδὲ τοῦτό σε κατέσχεν. ἔκλεπτες τὰ τῶν πενήτων· καὶ ἵνα μὴ προέλθῃς εἰς μεῖζον κακόν, καὶ τοῦτο ἔφερεν· ἀλλ' οὐδέν σε ἔπεισεν. Εἰ γὰρ θηρίον ἦς, εἰ γὰρ λίθος, οὐ ταῖς εὐεργεσίαις [ταῖς εἰς σέ,] οὐ τοῖς θαύμασιν, οὐ τῇ διδασκαλίᾳ ἔδει μεταβληθῆναι; ἀλλὰ καὶ οὕτως ἐκ τεθηριωμένου ἐκάλει, καὶ διὰ τῶν θαυμασίων ἔργων ἐπήγετό σε τῶν λίθων ἀναισθητότερον. σὺ δὲ οὐδενὶ τούτων γέγονας βελτίων. θαυμάζετε ἴσως τὴν τοσαύτην ἄνοιαν τοῦ προδότου. οὐκοῦν φοβήθητε τὸ ἐκείνου τραῦμα· ἀπὸ φιλαργυρίας τοιοῦτος ἐγένετο, ἀπὸ τοῦ τῶν χρημάτων ἔρωτος. ἐκκόψατε τὸ πάθος (τοιαῦτα γὰρ τίκτει νοσήματα· ἀσεβεῖς ποιεῖ, καὶ τὸν Θεὸν ἀγνοεῖν παρασκευάζει, κἂν μυριάκις εὐεργετηθῶμεν) ἐκκόψατε, παρακαλῶ. οὐκ ἔστι τὸ τυχόν· θανάτους οἶδε τίκτειν ὀλεθρίους μυρίους. εἴδομεν τὸ ἐκείνου πάθος· φοβηθῶμεν μὴ τοῖς αὐτοῖς αὐτοὶ περιπέσωμεν. διὰ τοῦτο γέγραπται, ἵνα μὴ τὰ αὐτὰ πάθωμεν καὶ ἡμεῖς· διὰ τοῦτο πάντες οἱ εὐαγγελισταὶ τοῦτο διηγήσαντο, ἵνα ἡμᾶς σωφρονίσωσι. πόρρωθεν φεύγετε. οὐκ ἔστι τοῦτο μόνον φιλαργυρία, τὸ πολλῶν ἐρᾶν, ἀλλὰ τὸ ὅλως χρημάτων ἐρᾶν. φιλαργυρία δεινή, τὸ πλέον τῆς χρείας αἰτεῖν. μὴ γὰρ τάλαντα χρυσοῦ ἦν τότε τὰ πείσαντα τὸν προδότην; τριάκοντα ἦσαν ἀργύρια· τριάκοντα ἀργυρίων προέδωκε τὸν δεσπότην. ἆρα μέμνησθε, ὅτι ἔλεγον περὶ τούτου, ὅτι οὐκ ἐν τῷ λαμβάνειν πολλὰ ἡ πλεονεξία δείκνυται, ἀλλὰ πολλῷ μᾶλλον ἐν τῷ ὀλίγα; ἰδοὺ ὅσον κακὸν οὗτος εἰργάσατο δι' ὀλίγον χρυσίον· μᾶλλον δὲ οὐ διὰ χρυσίον, ἀλλὰ δι' ἀργύρια. οὐκ ἔστιν, οὐκ ἔστιν ἄνδρα φιλάργυρον

γυρον

γρ. -λῶν
γρ. -εσιῶτας,
γρ. τί οὖν
γρ. μοχθηρία
γρ. μετεβλήθης;

πάλιν σπουδῆς παρακαταθέσθαι. δειχθῶμεν αὐτοῦ, ὥστε καὶ τῆς πίστεως βίον ἄξιον ἡμῖν παρασχεῖν, ἵνα εἰς δόξαν αὐτοῦ ζῶμεν, ἵνα μὴ τὸ ὄνομα αὐτοῦ βλασφημῆται δι' ἡμᾶς. Οὐαὶ γὰρ ὑμῖν, φησι, δι' οὓς τὸ ὄνομα τοῦ Θεοῦ βλασφημεῖται. Ησ. νε. β. Ρωμ. β. κδ. Εἰ γὰρ υἱὸν ἔχοντες (καίτοι τί υἱοῦ γνησιώτερον;) εἰ υἱὸν τοίνυν ἡμεῖς ἔχοντες, ὅταν δι' αὐτὸν βλασφημώμεθα, ἀποκηρύττομεν αὐτὸν, ἀποστρεφόμεθα, οὐ προσιέμεθα· πόσῳ μᾶλλον ὁ Θεὸς δούλους ἔχων ἀγνώμονας, βλασφημοῦντας αὐτὸν καὶ ὑβρίζοντας, οὐκ ἀποστραφήσεται καὶ μισήσει; ὃν δ' ἂν ὁ Θεὸς μισήσῃ καὶ ἀποστραφῇ, τίς προσλήψεται; οὐδεὶς, ἀλλ' ἢ ὁ διάβολος, ἀλλ' ἢ οἱ δαίμονες. ὃν δ' ἂν οἱ δαίμονες λάβωσι, ποίαν ἕξει σωτηρίας ἐλπίδα; ποίαν παραμυθίαν ζωῆς; ἕως ἂν ἐν τῇ χειρὶ ὦμεν τοῦ Θεοῦ, οὐδεὶς ἡμᾶς ἁρπάζειν δύναται· ἰσχυρὰ γάρ ἐστιν· ὅταν δὲ τῆς χειρὸς ἐκείνης ἐκπέσωμεν καὶ τῆς βοηθείας, ἀπολώλαμεν, πᾶσιν ἕτοιμοι προκείμεθα εἰς ἁρπαγὴν, πᾶσιν εἰς καταπάτημα, ὡς τοῖχος κεκλιμένος, καὶ φραγμὸς ὠσμένος. ὅταν γὰρ ᾖ ἀσθενὴς ὁ τοῖχος, εὐεπίβατος ″ἔσται πᾶσι. (γρ. γίνεται) μὴ γὰρ ἐπὶ τῆς Ἱερουσαλὴμ οἴεσθε τοῦτο λέγεσθαι μόνον, ὃ μᾶλλον λέγει, ἀλλὰ καὶ ἐπὶ παντὸς ἀνθρώπου. τί δὲ ἐπὶ τῆς Ἱερουσαλὴμ ἔλεγεν; Ἄσω δὴ τῷ ἠγαπημένῳ ᾆσμα τοῦ ἀγαπητοῦ μου, τῷ ἀμπελῶνί μου. ἀμπελὼν ἐγενήθη Ησ. ε. α. τῷ ἠγαπημένῳ ἐν κέρατι, ἐν τόπῳ πίονι· καὶ φραγμὸν * περιέθηκα, (* αὐτῷ) καὶ ἐχαράκωσα, καὶ ἐφύτευσα ἄμπελον σωρὴχ, καὶ ᾠκοδόμησα πύργον ἐν μέσῳ αὐτοῦ, καὶ προλήνιον ὤρυξα ἐν αὐτῷ, καὶ ἔμεινα τοῦ ποιῆσαι σταφυλὴν, ἐποίησε δὲ ἀκάνθας. καὶ νῦν ἄνθρωπος τοῦ Ἰούδα, καὶ οἱ κατοικοῦντες ἐν Ἱερουσαλὴμ, κρίνατε ἐν ἐμοὶ καὶ ἀνὰ μέσον τοῦ ἀμπελῶνός μου. τί ἔδει ποιῆσαι τῷ ἀμπελῶνί μου, καὶ οὐκ ἐποίησα αὐτῷ; διότι ἔμεινα τοῦ ποιῆσαι σταφυλὴν, ἐποίησε δὲ ἀκάνθας. νῦν δὲ ἀναγγελῶ ὑμῖν τί ποιήσω τῷ ἀμπελῶνί μου. ἀφελῶ τὸν φραγμὸν αὐτοῦ, καὶ ἔσται εἰς διαρπαγὴν, καὶ καθελῶ τὸν τοῖχον αὐτοῦ, καὶ ἔσται εἰς καταπάτημα· καὶ ἀνήσω τὸν ἀμπελῶνά μου, καὶ οὐ μὴ τμηθῇ, οὐδ' οὐ μὴ σκαφῇ· καὶ ἀναβήσονται εἰς αὐτὸν, ὡς εἰς χέρσον, ἄκανθαι· καὶ ταῖς νεφέλαις ἐντελοῦμαι τοῦ μὴ βρέξαι εἰς αὐτὸν ὑετόν. ὁ γὰρ ἀμπελὼν Κυρίου σαβαὼθ, οἶκος τοῦ Ἰσραήλ ἐστι, καὶ ἄνθρωπος τοῦ Ἰούδα, νεόφυτον ἠγαπημένον. ἔμεινα ἵνα ποιήσῃ κρίσιν· ἐποίησε δὲ ἀνομίαν, καὶ οὐ δικαιοσύνην, ἀλλὰ κραυγήν. τοῦτο καὶ ἐφ' ἑκάστης λέγεται ψυχῆς. ὅταν γὰρ πάντα πληρώσῃ, ἃ ἐχρῆν, ὁ φιλάνθρωπος Θεὸς, εἶτα ποιήσῃ ἀκάνθας ἀντὶ σταφυλῆς, ἀφῆκε τὸν φραγμὸν, καὶ ″καθαιρεῖ τὸν τεῖχον, (γρ. καθελεῖ) καὶ ἐσόμεθα εἰς διαρπαγήν. ἄκουε γὰρ πῶς καὶ ἕτερος προφήτης ὀδυρόμενος ἔλεγεν· Ἵνα Ψαλ. οθ. ιγ. τί καθεῖλες τὸν φραγμὸν αὐτῆς, καὶ τρυγῶσιν αὐτὴν πάντες οἱ παραπορευόμενοι τὴν ὁδόν; ἐλυμήνατο αὐτὴν ὗς ἐκ δρυμοῦ, καὶ μονιὸς ἄγριος κατενεμήσατο αὐτήν. ἐκεῖ μὲν οὖν περὶ τοῦ Μήδου, καὶ τοῦ Βαβυλωνίου φησίν· ἐνταῦθα δὲ περὶ τούτου οὐκ ἔστιν εἰπεῖν, ἀλλ' ὗς καὶ μονιὸς, ὁ διάβολός ἐστι, καὶ πᾶσα αὐτοῦ ἡ δύναμις. μονιὸν δὲ αὐτὸν εἴρηκε, τὸ ἄγριον καὶ ἀκάθαρτον αὐτοῦ παραστῆσαι βουλόμενος. ὅταν μὲν γὰρ αὐτοῦ τὸ ἁρπακτικὸν ἡ γραφὴ βούληται δηλῶσαι, φησίν· Ὡς λέων ὠρυόμενος περιέρχεται, ζητῶν τίνα καταπίῃ. ὅταν δὲ τὸ ἰοβόλον, α. Πετ. ε. η. καὶ θανάσιμον, καὶ ὀλέθριον, ὄφιν αὐτὸν καλεῖ καὶ σκορπίον. Πατεῖτε γάρ, φησιν, ἐπάνω ὄφεων, Λουκ. ι. ιθ. καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἀντικειμένου. ὅταν δὲ τὸ ἰσχυρὸν ὁμοῦ καὶ ἰοβόλον, δράκοντα αὐτὸν καλεῖ, ὡς ὅταν λέγῃ, Δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῷ. καὶ δρά- Ψαλ. ργ. κς. κοντα, καὶ ὄφιν σκολιὸν, καὶ ἀσπίδα αὐτὸν καλεῖ πανταχοῦ. πολύπλοκον γὰρ τὸ θηρίον, καὶ ποικίλον, καὶ πολλὴν ἔχει τὴν ἰσχύν. πάντα κινεῖ, πάντα ″θορυβεῖ, πάντα ἄνω καὶ κάτω στρέφει. (γρ. μηχανᾶται) ἀλλὰ μὴ φοβηθῆτε, ἀλλὰ μὴ δείσητε· γρηγορεῖτε μόνον, καὶ ὡς στρουθίον ἔσται. Πατεῖτε γάρ, φησιν, ἐπάνω ὄφεων, καὶ σκορπίων. Λουκ. ι. ιθ. καταπάτημα αὐτὸν τῶν ἡμετέρων ἐποίησε ποδῶν, ἂν βουλώμεθα. ὅρα τοίνυν πόσος γέλως, πόση ἀθλιότης, ὃν ἐλάβομεν πατεῖν, τοῦτον ὁρᾶν ὑπὲρ κεφαλῆς ἑστῶτα τῆς ἡμετέρας. πῶς δὲ τοῦτο γίνεται; παρ' ″ἡμῶν· (γρ. ἡμῖν) ἂν ἡμεῖς βουλώμεθα, μέγας ἐστίν· ἂν ἡμεῖς βουλώμεθα, γίνεται μικρός· ἐὰν προσέχωμεν ἑαυτοῖς, καὶ μετὰ τοῦ βασιλέως

λοιπὸν ὑμᾶς; ὁρᾷς πῶς οὐκ ἀφέστηκε τὰ παραδείγματα; οὐδὲ γὰρ τοσοῦτον ἀφεστάναι δεῖ (καὶ γὰρ καὶ ἡμεῖς οὕτω ποιοῦμεν) ἄλλως δὲ, καὶ ἐνταῦθα οὐδὲ ἐγγύς ἐστι τὸ παράδειγμα. πῶς; ὅτι εἰ δοῦλός ἐστι, καὶ ἐλάττων ἐστὶ καὶ ὑπήκοος τῷ μείζονι. τοῦτο δὲ οὐ ταπεινοφροσύνη ἐστί. τοὐναντίον γὰρ ἔδει ποιῆσαι, μείζονά τινα τῷ ἐλάττονι ὑπακούσαντα δεῖξαι· ἀλλ' ἐπειδὴ τοῦτο οὐχ εὗρεν ἐπὶ Θεοῦ, μείζονα λέγω καὶ ἐλάττονα, τὸ γοῦν ἴσον ἐποίησεν. εἰ δὲ ἐλάττων ἦν ὁ υἱός, οὐχ ἱκανὸν εἰς ταπεινοφροσύνην προτρέψαι. διὰ τί; ὅτι οὐκ ἔστι ταπεινοφροσύνη τὸ τὸν ἐλάττονα μὴ ἐπαναστῆναι τῷ μείζονι, τὸ μὴ ἁρπάσαι τὴν ἀρχήν, τὸ ὑπακοῦσαι μέχρι θανάτου. ἄλλως δὲ, ὅρα καὶ μετὰ τὸ ὑπόδειγμα τί φησι. τῇ ταπεινοφροσύνῃ ἀλλήλους ἡγούμενοι ὑπερέχοντας ἑαυτῶν. ἡγούμενοι, φησίν. ἐπειδὴ γὰρ καὶ κατὰ τὴν οὐσίαν ἴσοι ἐστέ, καὶ κατὰ τὴν τιμὴν τὴν παρὰ τοῦ Θεοῦ, δεῖ λοιπὸν τῆς ὑπολήψεως εἶναι τὸ πρᾶγμα. ἐπὶ δὲ τῶν μειζόνων καὶ ἐλαττόνων οὐκ ἂν τοῦτο εἶπεν, ὅτι ἡγούμενοι, ἀλλὰ τιμᾶτε αὐτοὺς ὑπερέχοντας ὑμῶν, καθὼς καὶ ἀλλαχοῦ φησι· Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν, καὶ ὑπείκετε. (Ἑβρ. ιγ. ιζ.) ἐκεῖ ἐκ τῆς φύσεως τοῦ πράγματός ἐστιν ἡ ὑποταγή· ἐνταῦθα τῆς κρίσεως δεῖ γενέσθαι τῆς ἡμετέρας. τῇ ταπεινοφροσύνῃ, φησίν, ἀλλήλους ἡγούμενοι ὑπερέχοντας ἑαυτῶν, ὥσπερ καὶ ὁ Χριστὸς ἐποίησε. καὶ τὰ μὲν ἐκείνων οὕτως ἀνατέτραπται· τὰ δὲ ἡμέτερα λοιπὸν εἰπεῖν χρή. περιττὸν ἐν κεφαλαίῳ τὰ ἐκείνων εἰπόντα, ὅτι εἰς ταπεινοφροσύνην παρακαλῶν οὐκ ἂν τὰ ἐλάττονα ὄντα καὶ τῷ μείζονι ὑπακούσαντα παρήγαγεν. εἰ μὲν γὰρ δούλους δεσπόταις παρεκάλει ὑπακούειν, εἰκότως· εἰ δὲ ἐλευθέρους ἐλευθέροις, τί τοῦ δούλου πρὸς τῶν δεσποτῶν ὑποταγὴν ἔφερε; τί τοῦ ἐλάττονος πρὸς τὸν μείζονα; μὴ γὰρ εἶπεν, οἱ ἐλάττονες τοῖς μείζοσιν ὑπακουέτωσαν, ἀλλ' ἰσότιμοι ἀλλήλων ὄντες, ὑπακούετε, ἀλλήλους ἡγούμενοι ὑπερέχοντας ἑαυτῶν. διὰ τί δὲ μὴ παρήγαγε καὶ τὸ τῆς γυναικός; ὅτι ὥσπερ ἡ γυνὴ ὑπακούει τῷ ἀνδρί, οὕτω καὶ ὑμεῖς ὑπακούετε. εἰ δὲ ὅπου ἴσον ἐστὶ καὶ ἐλευθερίαν, οὐ παρήγαγεν, ἐπειδὴ ὅλως μικρά τις ἦν ὑποταγή, πόσῳ μᾶλλον τὸ τοῦ δούλου οὐκ ἂν παρήγαγεν; εἴποι φθάσας, ὅτι οὐδεὶς οὕτως ἐπαινεῖ τινα ἀπὸ τῆς τῶν κακῶν ἀποχῆς, οὐδὲ ὅλως αὐτοῦ μέμνηται, οὐδὲ σώφρονα βουλόμενος ἐπαινέσαι τις οὕτως ἐρεῖ, ὅτι οὐκ ἐμοίχευσεν, ἀλλ' ὅτι καὶ τῆς ἰδίας ἀπέσχετο γυναικός. οὐδαμοῦ γὰρ τὴν τῶν κακῶν ἀποχὴν τίθεμεν· γέλως γὰρ τοῦτο. "εἴποι ὅτι ἡ μορφὴ τοῦ δούλου ἀληθής, καὶ οὐδὲν ἐλάττων· οὐκοῦν καὶ ἡ μορφὴ τοῦ Θεοῦ τελεία, καὶ οὐκ ἐλάττων. (χ. εἶπεν) διὰ τί μὴ εἶπεν, ἐν μορφῇ Θεοῦ γενόμενος, ἀλλ', ὑπάρχων; ἴσον ἐστὶ τοῦτο τοῦ εἰπεῖν, ἐγώ εἰμι ὁ ὤν. τὸ ἀπαράλλακτον ἡ μορφὴ δείκνυσι, καθώς ἐστι μορφή. οὐκ ἔστι δὲ ἄλλης οὐσίας ὄντα, τὴν ἄλλης μορφὴν ἔχειν· οἷον οὐδεὶς ἄνθρωπος ἀγγέλου ἔχει μορφήν· οὐδὲ ἄλογον ἀνθρώπου ἔχει μορφήν. πῶς οὖν ὁ υἱός; εἶτα ἐπὶ μὲν ἡμῶν, ἐπειδὴ σύνθετοί ἐσμεν, ἡ μορφὴ τοῦ σώματός ἐστιν· ἐπὶ δὲ τοῦ ἁπλοῦ καὶ ἀσυνθέτου πάντως, τῆς οὐσίας. εἰ δὲ τὸ χωρὶς ἄρθρου εἰρῆσθαι, λέγεις ὅτι οὐ δείκνυσι τὸν πατέρα, "πολλαχοῦ τοῦτο δείκνυται χωρὶς ἄρθρου *εἰρημένον. (χ. πατρὸς, χ. πολλαχόθεν ἐγώ σοι δείξω, * ἀλλαχοῦ) καὶ τί λέγω πολλαχοῦ; ἐν γὰρ αὐτῷ εὐθέως τῷ χωρίῳ τούτῳ, οὐχ ἁρπαγμόν, φησιν, ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ· καὶ οὐκ εἶπε μετὰ τοῦ ἄρθρου, περὶ τοῦ Θεοῦ τοῦ πατρὸς λέγων. βούλομαι καὶ τὰ ἡμέτερα προσθεῖναι, ἀλλὰ δέδοικα μὴ καταχώσωμεν ὑμῶν τὴν διάνοιαν. τέως δὲ τὰ εἰρημένα μέμνησθε πρὸς ἀνατροπὴν ἐκείνων· τέως τὰς ἀκάνθας ἐκτέμωμεν, καὶ τότε τὸν σπόρον "καταβαλοῦμεν τὸν καλὸν μετὰ τὸ τὰς ἀκάνθας ἐκτμηθῆναι, καὶ μικρὸν" ἀναπνεῦσαι τὴν γῆν· (χ. βάλωμεν, χ. παῦσαι) ἵνα πᾶσαν τὴν ἐχθρὰν ἀποθεμένη κακίαν, μετὰ πολλῆς τῆς ἀρετῆς δέχηται τὰ θεῖα σπέρματα.

ΗΘΙΚΟΝ

Εὐχαριστήσωμεν ὑπὲρ τῶν εἰρημένων τῷ Θεῷ· ἀξιώσωμεν αὐτὸν δοῦναι φυλακὴν καὶ διατήρησιν αὐτῶν, ἵνα καὶ ἡμεῖς καὶ ὑμεῖς εὐφρανώμεθα, καὶ οἱ αἱρετικοὶ καταισχύνωνται. παρακαλέσωμεν αὐτὸν καὶ εἰς τὸ ἑξῆς ἡμῖν ἀνοῖξαι στόμα, ὥστε καὶ τὰ ἡμέτερα μετὰ τῆς αὐτῆς

πάλιν

λης βουλῆς ἄγγελος, οὐ μέγας; ὁ ἰσχυρὸς Θεός, οὐ μέγας, ἀλλὰ μικρός; τί οὖν φασιν οἱ αἱρετικοὶ καὶ ἰταμοί, ὅτι μικρὸς ὢν Θεός; λέγω, ἃ λέγουσι, πολλάκις, ἵνα μᾶλλον αὐτοὺς φύγητε. μικρὸς ὤν, φησι Θεός, οὐχ ἥρπασε τὸ εἶναι κατὰ τὸν μέγαν. τί γάρ, εἰπέ μοι (ἀλλὰ μὴ νομίσητε ἡμέτερα εἶναι τὰ ῥήματα) εἰ μικρὸς ἦν κατ' αὐτούς, καὶ πολὺ τῆς δυνάμεως ἀποδέων τῆς τοῦ πατρός, πῶς ἂν ἠδυνήθη ἁρπάσαι τὸ εἶναι ἴσα Θεῷ; φύσις γὰρ ἐλάττων οὐκ ἂν δύναιτο ἁρπάσαι τὸ εἶναι ἐν τῇ μεγάλῃ, οἷον ὁ ἄνθρωπος οὐκ ἂν δύναιτο ἁρπάσαι τὸ εἶναι ἴσος ἀγγέλῳ κατὰ τὴν φύσιν, ὁ ἵππος οὐκ ἂν δύναιτο ἁρπάσαι, κἂν θέλῃ, τὸ εἶναι ἴσος ἀνθρώπῳ κατὰ τὴν φύσιν. χωρὶς δὲ τούτου, κἀκεῖνο ἐρῶ. τί βούλεται κατασκευάσαι ὁ Παῦλος διὰ τούτου τοῦ ὑποδείγματος; εἰς ταπεινοφροσύνην πάντως ἐρεῖς ἐναγαγεῖν τοὺς Φιλιππησίους. τί οὖν, εἰπέ μοι, τοῦτ' ἂν παρήνεγκεν εἰς μέσον; οὐδεὶς γὰρ βουλόμενος προτρέψαι ταπεινοφρονεῖν, τοῦτό φησιν· ἔσο ταπεινός, καὶ ἔλαττον φρόνει τῶν ὁμοτίμων. καὶ γὰρ ὁ δῆτα ὁ δοῦλος οὐκ ἐπολμέσῃ τῷ δεσπότῃ· μιμοῦ τοίνυν ἐκεῖνον. καὶ μὴν τοῦτο οὐκ ἔστι ταπεινοφροσύνης, εἴποι τις ἄν, ἀλλ' ἀπονοίας. μάθετε τί ἐστι ταπεινοφροσύνη ὑμεῖς οἱ τὸν τῦφον ἔχοντες διαβολικόν. τί οὖν ἐστι ταπεινοφροσύνη; τὸ ταπεινὰ φρονεῖν. ταπεινὰ δὲ φρονεῖ, οὐχ ὁ ἀπὸ ἀνάγκης ὢν ταπεινός, ἀλλ' ὁ ἑαυτὸν ταπεινῶν. οἷον τί λέγω· προσέχετε δή. ὅταν τις ὑψηλὰ δυνάμενος φρονῆσαι ταπεινοφρονῇ, οὗτος ταπεινόφρων ἐστίν· ὅταν δὲ παρὰ τὸ μὴ δύνασθαι ταπεινοφρονῇ, οὐκέτι ταπεινόφρων ἐστίν. οἷον ὁ βασιλεὺς ἐὰν ὑπάρχῳ ἂν ὑποτάττηται, ταπεινόφρων ἐστίν, ὅτι ἀπὸ τοῦ ὕψους κατέβη· ὁ μέντοι ὕπαρχος ἐὰν τοῦτο ποιῇ, οὐ ταπεινοφρονεῖ. πῶς γάρ; οὐ γὰρ ἀπὸ τοῦ ὕψους ἐταπείνωσεν ἑαυτόν. οὐκ ἔστι δὲ ἄλλως ταπεινοφρονῆσαι, εἰ μὴ ἐν ἐξουσίᾳ γένοιτο. εἰ γὰρ ἀνάγκη ἐστὶ ταπεινοῦσθαι καὶ ἄκοντα, οὐκέτι τῆς φρονήσεώς ἐστι τὸ κατόρθωμα, οὐδὲ τοῦ βουλήματος, ἀλλὰ τῆς ἀνάγκης. ταπεινοφροσύνη δὲ διὰ τοῦτο λέγεται, ὅτι τοῦ φρονήματός ἐστι ταπείνωσις. εἰπέ μοι, εἴ τις μὴ ἔχων ἐξουσίαν πλεονεκτεῖν, μένοι τὰ ἑαυτοῦ κεκτημένος, τοῦτον ἐπαινεσόμεθα ἐπὶ δικαιοσύνῃ; οὐδαμῶς. διὰ τί; τῇ γὰρ ἀνάγκῃ τὸ τῆς προαιρέσεως ἐγκώμιον ἀφῄρηται. εἰπέ μοι, εἴ τις μὴ δυνάμενος τυραννεῖν καὶ βασιλεύειν, μένοι ἰδιωτεύων, τοῦτον ἐπαινεσόμεθα, ὡς ἀπράγμονα; οὐδαμῶς. οὐκοῦν οὐδὲ ἐνταῦθα. ὁ γὰρ ἔπαινος, ὦ πάντων ὑμεῖς ἀμαθέστατοι, οὐκ ἐν τῇ τούτων ἀποχῇ, ἀλλ' ἐν τῇ τῶν ἀγαθῶν ἐργασίᾳ γίνεται. ἐκεῖνος μὲν γὰρ ψόγου ἀπήλλακται, οὔπω δὲ καὶ ἐπαίνου μετέχει· ὁ δὲ ἐγκωμίων ἄξιός ἐστιν. ὅρα γοῦν καὶ τὸν Χριστὸν οὕτως ἐπαινοῦντα, ὅταν λέγῃ· Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. ἐπείνασα γάρ, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με. οὐκ εἶπεν, ἐπειδὴ οὐκ ἐπλεονεκτήσατε, οὐδὲ ἐπειδὴ οὐχ ἡρπάσατε (μικρὰ γὰρ ταῦτα) ἀλλ' ἐπειδὴ πεινῶντά με εἴδετε, καὶ ἐθρέψατε. καὶ τίς ἂν οὕτως ἐπῄνεσεν ἢ τοὺς φίλους, ἢ τοὺς ἐχθρούς; οὐκ ἂν οὐδὲ Παῦλον. τί λέγω Παῦλον; οὐδὲ τὸν τυχόντα τις ἄνδρα, ὡς σὺ τὸν Χριστὸν ἐπαινεῖς, ἐπῄνεσεν, ὅτι μὴ προσήκουσαν ἀρχὴν οὐκ ἔλαβε. τὸ γὰρ ἐπὶ τοιούτοις θαυμάζειν, πολλήν ἐστι κακίαν μαρτυρούντων. πῶς; ὅτι ἐπ' ἐκείνων τὸ τοιοῦτον ἔπαινός ἐστιν, οἷον ὁ κλέπτων, ἐὰν μηκέτι κλέπτῃ· ἐπὶ δὲ τῶν ἀγαθῶν οὐκέτι. οὐ γάρ, ὅτι οὐχ ἥρπασε μὴ προσήκουσαν ἀρχὴν καὶ τιμήν, ἐπαινετός. καὶ ποίας ταῦτα ἀνοίας; ἄλλως δέ, ἀλλὰ προσέχετε, παρακαλῶ (μακρὸς γὰρ ὁ λόγος) τίς ἂν ἀπὸ τούτων εἰς ταπεινοφροσύνην προέτρεψε; τὰ γὰρ ὑποδείγματα πολλῷ μείζονα δεῖ εἶναι τῆς ὑποθέσεως, εἰς ἣν παρακαλοῦμεν. οὐ γὰρ ἄν τις ἐξ ἀλλοτρίων προτραπείη· οἷον, προετρέψατο ὁ Χριστὸς εὖ ποιεῖν τοὺς ἐχθρούς· ἤνεγκε παράδειγμα μέγα, τὸ τοῦ πατρός, ὅτι ἀνατέλλει τὸν ἥλιον ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους· προέτρεψεν εἰς ἀνεξικακίαν· ἤνεγκε παράδειγμα ἑαυτόν. Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ. καὶ πάλιν, Εἰ ἐγὼ ὁ Κύριος καὶ ὁ διδάσκαλος ταῦτα ποιῶ, πόσῳ μᾶλ-

λον

Margin notes: χ. φιλίαν — χ. ταπεινὰ φρονῇ, ἴσ. λείπει ὑψηλὰ φρονῆσαι χ. ταπεινοφρονῇ. — Ματθ. κε. λδ. — Ματθ. ε. με. — Ματθ. ια. κθ. — Ιωαν. ιγ. ιδ.

Digitized by Google

πεπλασμένος οὐκ ἔστιν ἀγαθὸς, οὐδὲ πατὴρ τοῦ ἀγαθοῦ Χριστοῦ, ἀλλ' ἕτερός τις δίκαιος, καὶ
σάρκα οὐκ ἀνέλαβεν ὑπὲρ ἡμῶν ὁ υἱός. Μάρκελλος δὲ καὶ Φωτινὸς, καὶ Σωφρόνιος τὸν λόγον
ἐνέργειαν εἶναί φασι, τὴν δὲ ἐνέργειαν ταύτην ἐνοικῆσαι τῷ ἐκ σπέρματος Δαβὶδ, οὐκ οὐ-
σίαν ἐνυπόστατον. Ἄρειος υἱὸν μὲν ὁμολογεῖ, ῥήματι δὲ μόνῳ· κτίσμα γὰρ αὐτὸν εἶναί φησι, καὶ
τοῦ πατρὸς ἐλάττονα πολύ. ἕτεροι δὲ οὔ φασιν αὐτὸν ἔχειν ψυχήν. Εἶδες τὰ ἅρματα ἑστῶ-
τα; θεώρει τοίνυν αὐτὰ καὶ τὰ πτώματα, πῶς ὁμοῦ πάντας καταχρούων βάλλει, καὶ μιᾷ πλη-
γῇ καὶ ἀθρόον. πῶς οὖν καταβάλλει; τοῦτο γὰρ φρονείσθω ἐν ὑμῖν, φησιν, ὃ καὶ ἐν Χριστῷ Ἰη-
σοῦ, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ. ἐντεῦθεν καὶ Παῦλος
ὁ Σαμοσατεὺς ἔπεσε, καὶ Μάρκελλος, καὶ Σαβέλλιος. ἐν μορφῇ γὰρ, φησι, Θεοῦ ὑπάρχων. γ. ἔρριπται.
Εἰ ἐν μορφῇ, πῶς οὖν λέγεις, ὅτι ἀπὸ Μαρίας, ὦ μιαρὲ, ἤρξατο, καὶ πρὸ τούτου οὐκ ἦν;
πῶς δὲ πάλιν, ὅτι ἐνέργεια ἦν; ἐν μορφῇ γὰρ Θεοῦ, φησι, μορφὴν δούλου ἔλαβεν. Εἰπὲ γάρ γ. οὐ λέγεις
μοι, ἡ μορφὴ τοῦ δούλου ἐνέργεια δούλου ἐστὶν, ἢ φύσις δούλου; πάντως δὴ που φύσις, ἐρεῖς, δού-
λου. οὐκοῦν καὶ ἡ μορφὴ τοῦ Θεοῦ, Θεοῦ φύσις· οὐκ ἄρα ἐνέργεια. ἰδοὺ καὶ ὁ Μάρκελλος ὁ
Γαλάτης, καὶ Σωφρόνιος, καὶ Φωτινὸς κατέπεσον. ἰδοὺ καὶ Σαβέλλιος· οὐχ ἁρπαγμὸν ἡγήσα-
το, φησὶ, τὸ εἶναι ἴσα Θεῷ. ἴσον δὲ ἐπὶ ἑνὸς οὐ λέγεται προσώπου. τὸ γὰρ ἴσον, τινί ἐστιν ἴσον.
ὁρᾷς δύο προσώπων ὑπόστασιν, οὐχὶ ὀνόματα ψιλὰ χωρὶς πραγμάτων λεγόμενα; ἤ-
κουσας τὴν προαιώνιον ὕπαρξιν τοῦ μονογενοῦς; ἀλλὰ ταῦτα μὲν πρὸς ἐκείνους· τί δὲ οὖν γ. δὲ
πρὸς Ἄρειον εἴποιμεν λοιπὸν, τὸν λέγοντα ἑτέρας εἶναι οὐσίας τὸν υἱόν; Εἰπὲ δή μοι, τὸ, μορ-
φὴν δούλου ἔλαβε, τί ἐστιν; ἄνθρωπος ἐγένετο, φησιν. οὐκοῦν καὶ ἐν μορφῇ Θεοῦ ὑπάρ-
χων, Θεὸς ἦν. μορφὴ γὰρ, καὶ μορφὴ κεῖται. Εἰ τοῦτο ἀληθὲς, κἀκεῖνο. φύσει ἄνθρω-
πος, ἡ μορφὴ τοῦ δούλου· οὐκοῦν φύσει Θεὸς, καὶ ἡ μορφὴ τοῦ Θεοῦ. καὶ οὐ τοῦτο μόνον, ἀλ-
λὰ καὶ τὸ ἴσον αὐτῷ μαρτυρεῖ, ὥσπερ οὖν καὶ Ἰωάννης. καὶ ὅτι οὐδὲν ἐλάττων ἐστὶ τοῦ πατρὸς,
οὐχ ἁρπαγμὸν ἡγήσατο, φησι, τὸ εἶναι ἴσα Θεῷ. ἀλλὰ τί ὁ σοφὸς αὐτῶν λέγει; καὶ μὴν
τοὐναντίον δείκνυσι, φησιν. Εἶπε γὰρ, ὅτι ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἥρπασε τὸ εἶναι ἴ-
σα Θεῷ. καὶ μὴν εἰ ἦν Θεὸς, πῶς εἶχεν ἁρπάσαι; καὶ πῶς οὐκ ἀπερινόητον τοῦτο; τίς
γὰρ ἂν εἴποι, ὅτι ὁ δεῖνα ἄνθρωπος ὢν, οὐχ ἥρπασε τὸ εἶναι ἄνθρωπος; πῶς γὰρ ἄν τις ὅ-
περ ἐστὶν ἁρπάσειεν; οὔ, φησιν· ἀλλ' ὅτι Θεὸς ὢν ἐλάττων, οὐχ ἥρπασε τὸ εἶναι ἴσα τῷ Θεῷ τῷ
μεγάλῳ καὶ μείζονι. καὶ μικρὸς καὶ μέγας Θεός ἐστι; καὶ τὰ ἑλληνικὰ τοῖς τῆς ἐκκλησίας δό-
γμασιν ἐπεισάγετε; μέγας μὲν γὰρ καὶ μικρὸς παρ' αὐτοῖς Θεός· εἰ δὲ καὶ παρ' ὑμῖν, οὐκ οἶ-
δα. παρὰ μὲν γὰρ ταῖς γραφαῖς οὐδαμοῦ εὑρήσεις· ἀλλὰ μέγαν μὲν πανταχοῦ, μι-
κρὸν δὲ οὐδαμοῦ. Εἰ γὰρ μικρὸς, πῶς [καὶ] Θεός; Εἰ μικρὸς οὐκ ἔστιν ἄνθρωπος καὶ μέ- γ. -μοῦ
γας, ἀλλὰ μία φύσις, καὶ εἴ τι οὐκ ἔστι τῆς φύσεως ταύτης τῆς μιᾶς, οὐκ ἄνθρωπος, πῶς
ἂν εἴη μικρὸς Θεὸς καὶ μέγας ὁ μὴ ὢν ἐκείνης τῆς φύσεως; ὁ μικρὸς ὢν, οὐ Θεός. παν-
ταχοῦ γὰρ μέγας λέγεται παρὰ τῇ γραφῇ· Μέγας Κύριος, φησὶν ὁ Δαβίδ, καὶ αἰνετὸς σφόδρα.
Ψαλμ. μζ. α. ἰδοὺ καὶ περὶ τοῦ υἱοῦ (πανταχοῦ γὰρ Κύριον αὐτὸν καλεῖ) καὶ πάλιν, Μέγας εἶ σὺ, καὶ ποιῶν θαυμά-
Ψαλμ. πε. θ. Ψαλμ. ρμδ. γ. σια· σὺ εἶ ὁ Θεὸς μόνος. καὶ πάλιν, Μέγας ὁ Κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ, καὶ τῆς μεγαλω-
σύνης αὐτοῦ οὐκ ἔστι πέρας. ἀλλὰ ταῦτα περὶ τοῦ πατρός· ὁ δὲ υἱὸς, φησι, μικρός. ἀλλ' οὐ τοῦτο
Τιτ. β. ιγ. λέγεις· ἡ δὲ γραφὴ τοὐναντίον· ὥσπερ περὶ τοῦ πατρὸς, οὕτω καὶ περὶ τοῦ υἱοῦ φησιν. ἄκουε γὰρ
Παύλου λέγοντος, Προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ με-
γάλου Θεοῦ. ἀλλ' ἆρα μὴ περὶ τοῦ πατρὸς ἐπιφάνειαν εἶπεν; ἵνα δὲ καὶ μᾶλλον ὑμᾶς ἐ-
λέγξῃ, κατὰ τὴν ἐπιφάνειαν τοῦ μεγάλου Θεοῦ προσέθηκεν. ἆρα οὖν μὴ περὶ τοῦ πα-
τρὸς εἴρηται; οὐδαμῶς. ἡ γὰρ ἐπαγωγὴ οὐκ ἀφίησι λέγουσα, Κατὰ τὴν ἐπιφάνειαν
τοῦ μεγάλου Θεοῦ, καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. ἰδοὺ καὶ ὁ υἱὸς, μέγας. πῶς οὖν λέγεις μι-
Ἱερ. λϐ. ιθ. κρὸν, καὶ μέγαν; ἄκουε καὶ τοῦ προφήτου λέγοντος αὐτὸν μεγάλης βουλῆς ἄγγελον. Ο μεγά-

λης

Digitized by Google

Λογ. ϛ. 5 ΤΟΥΤΟ ΓΑΡ ΦΡΟΝΕΙΣΘΩ ΕΝ ΥΜΙΝ Ο
καὶ ἐν Χριστῷ Ἰησοῦ· 6 Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρ-
παγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, 7 Ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν
δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, 8 Καὶ σχήματι
εὑρεθεὶς ὡς ἄνθρωπος· ἐταπείνωσεν ἑαυτὸν, γενόμενος ὑπήκοος μέχρι θα-
νάτου, θανάτου δὲ σταυροῦ.

Ο Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς πρὸς τὰ μεγάλα προτρέπων τοὺς ἑαυτοῦ μαθητὰς, ἑαυτὸν ὑπόδειγμα τίθησι, καὶ τὸν πατέρα, καὶ τοὺς προφήτας, ὡς ὅταν λέγῃ· Οὕτω γὰρ ἐποίησαν τοῖς προφήταις τοῖς πρὸ ὑμῶν· (Ματθ. ι. ιϛ.) καὶ πάλιν, Εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσι· (Ιωαν. ιε. κ.) καί, Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι· (Ματθ. ια. κθ.) καὶ πάλιν, Οἰκτίρμονες γίνεσθε, ὡς ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς. (Λουκ. ϛ. λϛ.) τοῦτο καὶ ὁ μακάριος Παῦλος "ποιεῖ. (γρ. ἐπιεῖ) προτρέπων γὰρ αὐτοὺς εἰς ταπεινοφροσύνην, τὸν Χριστὸν εἰς μέσον παράγει. καὶ οὐκ ἐνταῦθα μόνον, ἀλλὰ καὶ ὅτε περὶ φιλοπτωχίας διαλέγεται, οὕτω πως φησί· Γινώσκετε γὰρ τὴν χάριν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι δι' ἡμᾶς ἐπτώχευσε πλούσιος ὤν. (β. Κορ. η. θ.) οὐδὲν γὰρ οὕτω τὴν μεγάλην καὶ φιλόσοφον ψυχὴν διανίστησι πρὸς τὴν τῶν ἀγαθῶν ἐργασίαν, ὡς τὸ μαθεῖν, ὅτι τῷ Θεῷ κατὰ τοῦτο ὁμοιοῦται. τί γὰρ ἴσον τούτου εἰς προτροπήν; οὐδέν. ὃ δὴ καὶ Παῦλος εἰδὼς, προτρέπων αὐτοὺς εἰς ταπεινοφροσύνην, πρότερον μὲν παρεκάλεσε, ἱκετηρίαν ἔθηκεν· εἶτα καὶ ἐντρεπτικῶς εἶπεν, Ὅτι ἐν ἑνὶ πνεύματι στήκετε· (Φιλ. α. κζ. κη.) εἶπεν, Ὅτι ἐκείνοις ἔνδειξις ἀπωλείας, ὑμῖν δὲ σωτηρίας. καὶ τοῦτο λοιπὸν τίθησι· τοῦτο γὰρ φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών. πρόσσχετε, παρακαλῶ, καὶ διαναστῆτε. καθάπερ γάρ τις μάχαιρα ὀξεῖα ἑκατέρωθεν ἠκονημένη, ὅπουπερ ἂν ἐμπέσῃ, καὶ εἰς μυρίας φάλαγγας, εὐκόλως αὐτὰς διακόπτει καὶ ἀφανίζει, τῷ πανταχόθεν ὀξεῖαν εἶναι, καὶ μηδὲν τὴν ἀκμὴν αὐτῆς φέρειν· οὕτω δὴ καὶ τὰ τοῦ πνεύματος ῥήματα. διὰ γὰρ τούτων τῶν ῥημάτων καὶ τὸν Ἀρείου τοῦ Ἀλεξανδρέως, καὶ τὸν Παύλου τοῦ Σαμοσατέως, καὶ τὸν Μαρκέλλου τοῦ Γαλάτου, καὶ τὸν Σαβελλίου τοῦ Λίβυος, καὶ τὸν Μαρκίωνος τοῦ Ποντικοῦ, καὶ τὸν Οὐαλεντίνου, καὶ τὸν τοῦ Μάνεντος, καὶ τὸν τοῦ Λαοδικέως Ἀπολιναρίου, καὶ Φωτεινοῦ, καὶ Σωφρονίου, καὶ πάσας ἁπλῶς τὰς αἱρέσεις κατέβαλεν. ὡς οὖν τοιαύτην ὀψόμενοι θέαν, καὶ μιᾷ πληγῇ τοσαύτας φάλαγγας πιπτούσας, διεγέρθητε, ὥστε μὴ τοῦ θεάματος παραδραμεῖν ὑμᾶς τὴν τέρψιν. εἰ γὰρ ἐπὶ τῶν ἁμιλλητηρίων ἁρμάτων ἐν ταῖς τῶν ἵππων ἁμίλλαις οὐδὲν οὕτως ἐστὶ τερπνὸν, ὡς ὅταν ὁλόκληρα ἅρματα μετὰ τῶν ἡνιόχων "κρούσας τις καταβάλῃ, καὶ πολλὰ τέθριππα ὕπτια ῥίψας μετὰ τῶν ἐφεστώτων ἡνιόχων (γρ. παραγ.) παρελάσῃ μόνος πρὸς τὴν νύσσαν καὶ τὸ τέρμα τοῦ ἀγῶνος, καὶ πολὺς πανταχόθεν ὁ κρότος καὶ ἡ κραυγὴ πρὸς οὐρανὸν ἀνίῃ, ὁ δὲ, ὥσπερ πτηνὸς ὑπὸ τῆς χαρᾶς ἐκείνης καὶ τῶν κρότων, οὕτω τὸ στάδιον ἅπαν διατρέχῃ μετὰ τῶν ἵππων· πόσῳ μᾶλλον ἐνταῦθα οὐχὶ πλείων ἔσται ἡ ἡδονή, ὅταν ὁλοκλήρων αἱρέσεων συστήματα καὶ διαβολικὰ ἐργαστήρια μετὰ τῶν ἡνιόχων αὐτῶν καταβάλωμεν τῇ τοῦ Θεοῦ χάριτι πάντα ἀθρόον καὶ ὁμοῦ; καί, εἰ δοκεῖ; προτέρας στήσωμεν τὰς αἱρέσεις αὐτὰς κατὰ τάξιν. βούλεσθε τὴν τῆς ἀσεβείας, ἢ τὴν τῶν χρόνων; ἀλλ' ἴδωμεν τὴν τῶν χρόνων. τὴν γὰρ τῆς ἀσεβείας δύσκολον συνιδεῖν. οὐκοῦν πρῶτος Σαβέλλιος ὁ Λίβυς παρήχθω. (γρ. αὐτὸς) τί οὖν "οὗτός φησιν; ὅτι τὸ πατὴρ, καὶ υἱὸς, καὶ ἅγιον πνεῦμα, ὀνόματά ἐστι ψιλὰ καθ' ἑνὸς προσώπου κείμενα. Μαρκίων δὲ ὁ Ποντικός φησιν, ὅτι ὁ Θεὸς ὁ πάντα συ-

συστησάμενος

τιοῦντες, ἀλλὰ ταπεινόφρονες. κόλακες γάρ εἰσιν οἱ ὕπουλοι· οἷον, ὡς ὅταν λέγωσιν οἱ μάγοι, Βασιλεῦ, ζῆθι εἰς τοὺς αἰῶνας. καὶ ἐπὶ τοῦ Παύλου ἐν ταῖς πράξεσι πολλὰ τοιαῦτα εὑρήσομεν, ὅταν Ἰουδαίοις διαλέγηται, οὐ κολακεύων, ἀλλὰ ταπεινοφρονῶν. οἶδε γὰρ καὶ παρρη-
Πραξ. κη. ιζ. σιάζεσθαι· ὡς ὅταν λέγῃ, Ἄνδρες ἀδελφοί, οὐδὲν ἐναντίον ποιήσας τῷ λαῷ, ἢ τοῖς πατρῴοις ἔθεσι, δέσμιος ἐξ Ἱερουσαλὴμ παρεδόθην. ὅτι γὰρ ταπεινοφροσύνης ἦν τὰ ῥήματα, ἄκουσον πῶς αὐτοῖς ἐπιτιμᾷ διὰ τῆς ἑξῆς οὕτω λέγων· Καλῶς εἶπε τὸ πνεῦμα τὸ ἅγιον, ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε. εἶδες ἀνδρείαν; ὅρα καὶ
Μαρκ. ς. ιη. Ἰωάννου τοῦ Βαπτιστοῦ τὴν ἀνδρείαν, ἣν πρὸς τὸν Ἡρώδην ἐχρήσατο λέγων, Οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ σου. τοῦτο παρρησία, τοῦτο ἀνδρεία· ἀλλ' οὐκ ἐκεῖ-
β. Βασ. ις. νο τὸ τοῦ Σεμεεί, ὅτε ἔλεγεν, Ἔξελθε ὁ ἀνὴρ τῶν αἱμάτων· καίτοι κἀκεῖνος ἐπαρρησιάσατο. ἀλλ' οὐκ ἔστι τοῦτο ἀνδρεία, ἀλλὰ θρασύτης καὶ ὕβρις καὶ γλῶττα ἀκόλαστος. ὕβρισε καὶ Ἰεζά-
δ. Βασ. θ. βελ τὸν Ἰηοῦ λέγουσα, Ὁ φονεὺς τοῦ κυρίου αὐτοῦ· ἀλλὰ θρασύτης ἦν, οὐ παρρησία. ὕ-
γ Βασ. ιη. ιη. καὶ κα. βρισε καὶ ὁ Ἠλίας, ἀλλὰ παρρησία καὶ ἀνδρεία ἦν. Οὐκ ἐγὼ γὰρ διαστρέφω τὸν λαόν, ἀλλὰ σὺ καὶ ὁ οἶκος τοῦ πατρός σου. ἐπαρρησιάσατο πάλιν πρὸς ἐκκλησίαν δήμου ὁ Ἠλίας λέγων· Ἕως πότε χωλανεῖτε ἐπ' ἀμφοτέραις ταῖς ἰγνύαις ὑμῶν; τοῦτο παρρησία καὶ ἀνδρεία. ὃ καθάψασθαι τούτου καὶ οἱ προφῆται ἐποίουν, ἀλλ' ἐκεῖνο θρασύτητος ἦν. θέλεις ἰδεῖν καὶ ταπει-
α Κορ. δ. γ. νοφροσύνης καὶ ″κολακείας ῥήματα; ἄκουε Παύλου λέγοντος· Ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν, ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ, ἢ ὑπὸ ἀνθρωπίνης ἡμέρας· ἀλλ' οὐδὲ ἐμαυτὸν ἀνακρίνω. οὐδὲν γὰρ ἐμαυτῷ σύνοιδα, ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι. τοῦτο φρονήματος χριστιανοῦ πρέ- γρ. ἐλευθερίας
α Κορ. ς. α. ποντος. καὶ πάλιν, Τολμᾷ τις ὑμῶν πρὸς τὸν ἕτερον πρᾶγμα ἔχων κρίνεσθαι ἐπὶ τῶν ἀδίκων, καὶ οὐχὶ ἐπὶ τῶν ἁγίων; βούλει κολακείαν ἰδεῖν τῶν ἀνοήτων Ἰουδαίων; ἄκουε λεγόντων,
Ιωαν. ιθ. ιε. Ἡμεῖς οὐκ ἔχομεν βασιλέα, εἰ μὴ Καίσαρα. βούλει ταπεινοφροσύνην ἰδεῖν; ἄκουε πά-
β Κορ. δ. ε. λιν τοῦ Παύλου λέγοντος· Οὐ γὰρ ἑαυτοὺς κηρύττομεν, ἀλλὰ Χριστὸν Ἰησοῦν Κύριον, ἑαυτοὺς δὲ
α. Βασ. κε. καὶ κγ. δούλους ὑμῶν διὰ Ἰησοῦν. βούλει καὶ κολακείαν ἰδεῖν, καὶ θρασύτητα; θρασύτητα μὲν τὴν τοῦ Νάβαλ, κολακείαν δὲ τὴν τῶν Ζιφαίων; καὶ πῶς ὁ μὲν ὠνείδιζεν, οἱ δὲ προεδεδώκασι τῇ γνώμῃ τὸν Δαβίδ; βούλει φιλοσοφίαν, καὶ οὐ κολακείαν ἰδεῖν τὴν τοῦ Δαβίδ; πῶς εἷλε τὸν Σαοὺλ, καὶ ἐφείσατο; βούλει κολακείαν ἰδεῖν τῶν ἀποκτεινάντων τὸν Μεμφιβοσθέ, οὓς καὶ ἀνεῖλεν ὁ Δαβίδ; ἁπλῶς δὲ, καὶ ὡς [ἐν ὑποτυπώσει,] ἐν κεφαλαίῳ εἰπεῖν, θρασύτης μέν ἐστιν, ὅταν τις ὀργίζηται, καὶ ὑβρίζῃ ἐπὶ μηδενὶ προσήκοντι, ἢ ἑαυτὸν ἐκδικῶν, ἢ ἀδίκως πως θρασυνόμενος· παρρησία δὲ καὶ ἀνδρεία, ὅταν κινδύνων καὶ θανάτου κατατολμᾷ, καὶ φιλίας καὶ ἀπεχθείας ὑπερορᾷ ὑπὲρ τῶν δοκούντων τῷ Θεῷ. πάλιν κολακεία μέν ἐστι καὶ ἀνελευθερία, ὅταν τις θεραπεύῃ τινὰς ἐπὶ μηδενὶ τῶν δεόντων, ἀλλὰ θηρώμενός τι τῶν βιωτικῶν· ταπεινοφροσύνη δὲ, ὅταν τις ὑπὲρ τῶν τῷ Θεῷ δοκούντων τοῦτο ποιῇ, καὶ, ὥστε ἀνύσαι τι μέγα καὶ θαυμαστὸν, ἀπὸ τοῦ ἀξιώματος καταβῇ τοῦ ἑαυτοῦ. ἂν ταῦτα εἰδῶμεν, μακάριοί ἐσμεν,
Ρωμ. β. ιγ. ἐὰν ποιῶμεν αὐτά. οὐ γὰρ ἀρκεῖ τὸ εἰδέναι. Οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου, φησίν, ἀλλ' οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται· μᾶλλον δὲ καὶ κατακρίνει τὸ εἰδέναι, ὅταν χωρὶς τῆς πράξεως ᾖ καὶ τῶν κατορθωμάτων. ἵνα οὖν τὴν κατάκρισιν φύγωμεν, μετέλθωμεν τὴν πρᾶ- γρ. τῆς πράξ.
ξιν, ἵνα τύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν.

Λογ.

Digitized by Google

αὐτῆς ψυχῆς; οὐχ ὁμοίως τετίμηνται παρὰ τοῦ Θεοῦ; ἀλλὰ σοφὸς εἶ; ἐκείνῳ εὐχαριστεῖν, οὐ φυσᾶσθαι ὀφείλεις. πρόσεστιν ἀχαριστία, ἀπόνοια. ἀφαιρεῖται γὰρ τῆς εὐεργεσίας τὸ δῶρον. ὁ γὰρ ἐπαιρόμενος, ὡς αὐτὸς κατορθώσας ἐπαίρεται· ὁ δὲ νομίζων κατορθωκέναι, ἀχάριστός ἐστι περὶ τὸν δεδωκότα τὴν τιμήν. ἔνεστί σοι τι ἀγαθόν; εὐχαρίστει τῷ δεδωκότι. ἄκουσον οὖν φησιν ὁ Ἰωσήφ, τί δὲ ὁ Δανιήλ. τοῦ γὰρ βασιλέως Αἰγυπτίου μεταπεμψαμένου αὐτὸν ἀπὸ τοῦ δεσμωτηρίου, καὶ ἐπὶ πάσης τῆς στρατιᾶς πυνθανομένου ἐπὶ πράγματι, ἐφ' ᾧ πάντες παρεχώρησαν Αἰγύπτιοι τῶν περὶ ταῦτα μάλιστα δεινοί, μέλλων αὐτὸς κατὰ πάντα ὑπεραίρειν, καὶ σοφώτερος φαίνεσθαι [γ. φαίνεσθαι] τῶν ἀστρολόγων, τῶν μάντεων, τῶν γοήτων, τῶν μάγων, πάντων τῶν φιλοσόφων τῶν τότε, [ἀπὸ τῆς αἰχμαλωσίας καὶ δουλείας] παιδίον ὤν (καὶ γὰρ τότε μείζων ἡ δόξα. οὐ γὰρ ἐστιν ἴσον φανότερον λάμψαι, καὶ παρὰ προσδοκίαν. ὥστε καὶ τὸ παρ' ἐλπίδας ἐποίει αὐτὸν θαυμαστότερον) τί οὖν οὗτος προσελθὼν εἶπε τῷ Φαραώ; ὅτι ναί, οἶδα; οὐχ οὕτως· ἀλλὰ τί; οὐδενὸς αὐτὸν ἐλέγχοντος, ἀπὸ πολλῆς τῆς εὐγνωμοσύνης [γ. ταπεινοφροσύνης] οὖν φησιν; Οὐχὶ διὰ τοῦ Θεοῦ ἡ διασάφησις [Γεν. μ. η.] αὐτῶν ἐστιν; ὅρα· τὸν δεσπότην εὐθέως ἐδόξασε· διὰ τοῦτο καὶ αὐτὸς ἐδοξάσθη. οὐ μικρὸν δὲ τοῦτο εἰς δόξης λόγον. τοῦ γὰρ αὐτὸν κατωρθωκέναι τὸ τὸν Θεὸν ἀποκαλύψαι μεῖζον πολλῷ. ἄλλως δὲ καὶ τὰ λεγόμενα ἐντεῦθεν ἀξιόπιστα ἔδειξε, καὶ τοῦτο τῆς οἰκειώσεως τοῦ Θεοῦ τεκμήριον μέγιστον. οὐδὲν γὰρ οὕτως ἀγαθόν, ὡς τὸ οἰκειοῦσθαι τῷ Θεῷ. Εἰ γὰρ ἐξ ἔργων [Ρωμ. δ. β.] ἐδικαιώθη, ἔχει καύχημα, φησίν, ἀλλ' οὐ πρὸς τὸν Θεόν. Εἰ γὰρ ὁ χάριτος [γ. δὲ ὁ ἀχάριστος] ἀξιωθεὶς καυχᾶται ἐπὶ τῷ Θεῷ, ὅτι ἀγαπᾶται, ὅτι συνεχωρήθη αὐτῷ, καὶ ἔχει καύχημα ὁ ἐργαζόμενος, ἀλλ' οὐ πρὸς τὸν Θεόν, ὡς ἐκεῖνος (τῆς γὰρ πολλῆς ἀσθενείας τεκμήριον τοῦτο τῆς ἡμετέρας) ὁ καὶ σοφίαν λαβὼν παρὰ τοῦ Θεοῦ, πόσῳ μᾶλλον ἂν εἴη θαυμαστός; ἐδόξασε τὸν Θεόν, καὶ ἐδοξάσθη ὑπ' αὐτοῦ. Τοὺς δοξάζοντάς [γ. δοξάσαντ.] με γάρ, φησι, δοξάσω. πάλιν ὁ ἀπόγονος ὁ τούτου, [α Βασ. β. λ.] οὗ σοφώτερος οὐδεὶς (μὴ γὰρ σοφώτερος εἶ, φησί, σὺ τοῦ Δανιήλ; ) οὗτος δὴ ὁ Δανιὴλ [Ιεζεκ. κη. γ.] τῶν ἐν Βαβυλῶνι πάντων σοφῶν, καὶ αὐτῶν πάλιν ἀστρολόγων, μάντεων, μάγων, γοήτων, πάσης φιλοσοφίας οὐ μόνον ἐλεγχομένης, ἀλλὰ καὶ ἀναιρουμένης (τὸ γὰρ ἀναιρεῖσθαι τεκμήριον ἦν τοῦ καὶ πρότερον αὐτῶν ἠπατηκέναι) προσελθὼν καὶ μέλλων ἐπιλύεσθαι τὸ ἐρώτημα, οὐδὲ αὐτὸς καλλωπίζεται, ἀλλὰ πρότερον ἀνατίθησι τῷ Θεῷ τὸ πᾶν, καί φησιν· Ἐμοὶ δὲ οὐκ ἐν [Δαν. β. λ.] σοφίᾳ τῇ οὔσῃ ἐν ἐμοὶ παρὰ πάντας ἀνθρώπους ἀπεκαλύφθη, ὦ βασιλεῦ. καὶ προσεκύνησεν αὐτῷ ὁ βασιλεύς, καὶ εἶπε μαννὰ σπεῖσαι. ὁρᾷς ταπεινοφροσύνην; ὁρᾷς εὐγνωμοσύνην; ὁρᾷς ἄτυφον ἦθος; ἄκουε καὶ τῶν ἀποστόλων λεγόντων, ποτὲ μέν, Τί ἡμῖν ἀτενίζετε, ὡς [Πραξ. γ. ιβ.] ἰδίᾳ δυνάμει, ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν; ποτὲ δὲ πάλιν, Ἡμεῖς ὁμοιοπαθεῖς [καὶ ιδ. ιε.] ὑμῖν ἐσμεν ἄνθρωποι. εἰ δὲ ἐκεῖνοι δεδομένας τιμὰς οὕτως ἀπεκρούοντο, ἄνθρωποι μείζονα τοῦ Χριστοῦ διὰ τὴν τοῦ Χριστοῦ ταπεινοφροσύνην ἐργαζόμενοι, καὶ διὰ τὴν αὐτοῦ δύναμιν (Ὁ [Ιωαν. ιδ. ιβ.] γὰρ πιστεύων ἐμοί, φησι, μείζονα ποιήσει ὧν ἐγὼ ποιῶ) πῶς οὐκ ἄθλιοι, καὶ ταλαίπωροι, οἱ μηδὲ κώνωπας σβέσαι δυνάμενοι, μήτιγε δαίμονας, οἱ μηδὲ ἕνα ἄνθρωπον ὠφελῆσαι ἰσχύοντες, μήτι τὴν οἰκουμένην ἅπασαν, καὶ τοσοῦτον φρονοῦντες, ὅσον οὐδὲ αὐτὸς ὁ διάβολος; οὐδὲν οὕτω ψυχῆς ἀλλότριον χριστιανῆς, ὡς ἀπόνοια. ἀπόνοιαν λέγω, οὐ παρρησίαν, οὐδὲ ἀνδρείαν. ἐκεῖνα γὰρ οἰκεῖα. ἕτερον γάρ τι τοῦτό ἐστι, καὶ ἕτερον ἐκεῖνο. ὥστε ἕτερον μὲν ταπεινοφροσύνη, ἕτερον δὲ ἀνελευθερία, καὶ κολακεία, καὶ θωπεία. καί, Εἰ βούλεσθε, πάντων τούτων ὑμῖν τὰ ὑποδείγματα παρέξω. δοκεῖ γάρ πως παρυφεστάναι τὰ ἐναντία, ὥσπερ τῷ σίτῳ τὰ ζιζάνια, καὶ τῷ ῥόδῳ αἱ ἄκανθαι. ἀλλὰ παῖδες μὲν εὐκόλως ἂν ἀπατηθεῖεν, οἱ δὲ ὄντως [γ. ὄντες] ἄνδρες, τῆς πνευματικῆς ὄντες γεωργίας ἔμπειροι, ἴσασι τὰ ὄντως ἀγαθὰ ἀποκρίνειν τῶν κακῶν. φέρε οὖν, ὑμῖν τὰ ὑποδείγματα αὐτῶν ἀπὸ τῶν γραφῶν παραστήσωμεν. τί ποτέ ἐστι κολακεία, καὶ ἀνελευθερία, καὶ θωπεία; ὁ Σιβᾶ τὸν Δαβὶδ ἐκολάκευε παρὰ καιρόν, καὶ [β. Βασ. ιϛ.] τὸν δεσπότην διέβαλε τὸν ἑαυτοῦ· μᾶλλον δὲ ὁ Ἀχιτόφελ τὸν Ἀβεσσαλώμ. ἀλλ' οὐχ ὁ Δαβὶδ

φρονῆτε, τὴν αὐτὴν ἀγάπην ἔχοντες, ἐν ᾗ ἤρξασθε, σύμψυχοι, τὸ ἓν φρονοῦντες. βαβαί, ποσάκις τὸ αὐτὸ λέγει ἀπὸ διαθέσεως πολλῆς; ἵνα τὸ αὐτὸ φρονῆτε, φησί, μᾶλλον δέ, ἵνα τὸ ἓν φρονῆτε. τοῦτο γὰρ περισσότερον ἐδήλωσεν εἰπών, τὸ ἓν φρονοῦντες· ὅ ἐστι, τὸ αὐτό, μεῖζόν ἐστι. τὴν αὐτὴν ἀγάπην ἔχοντες· τουτέστι, μὴ ἁπλῶς περὶ πίστιν μόνον, ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις ἅπασιν. ἔστι γὰρ καὶ τὸ αὐτὸ φρονεῖν, καὶ μὴ ἀγάπην ἔχειν. τὴν αὐτὴν ἀγάπην ἔχοντες, τουτέστιν, ὁμοίως καὶ φιλεῖν, καὶ φιλεῖσθαι. μὴ σὺ μὲν ἀπόλαυε τῆς πολλῆς, ἐλάττονα δὲ τοῖς ἄλλοις παρέχε, ἵνα καὶ ἐν τούτῳ ᾖς πλεονέκτης. εἰ γὰρ ἴσως τοῦτο, ἀλλὰ σὺ μὴ ἀνέχου. σύμψυχοι, φησί· τουτέστι, μιᾷ ψυχῇ τὰ πάντων οἰκειούμενοι σώματα, οὐ τῇ οὐσίᾳ (οὐ γὰρ ἐστι δυνατόν) ἀλλὰ τῇ προαιρέσει καὶ τῇ γνώμῃ· ὡς ἐκ μιᾶς ψυχῆς τὰ πάντα γινέσθω. τί ἐστι, σύμψυχοι; ἐδήλωσεν εἰπών, τὸ ἓν φρονοῦντες· ἓν ἔστω τὸ φρόνημα, ὥσπερ μιᾶς ψυχῆς. μηδὲν κατ' ἐρίθειαν. ἀξιοῖ λοιπόν, καὶ τὸν τρόπον λέγει, πῶς ἂν τοῦτο γένοιτο· μηδὲν κατ' ἐρίθειαν, ἢ κενοδοξίαν, φησίν. ὅπερ ἀεὶ φημί, ὅτι πάντων αἴτιον τῶν κακῶν τοῦτό ἐστιν. ἐντεῦθεν αἱ μάχαι καὶ αἱ ἔρεις· ἐντεῦθεν αἱ βασκανίαι, καὶ φιλονεικίαι· ἐντεῦθεν ἡ τῆς ἀγάπης ψῦξις, ὅταν τις τῆς ἀνθρωπίνης δόξης ἐρᾷ, ὅταν δοῦλος τῆς τῶν πολλῶν ὢν τιμῆς. οὐ γὰρ ἔνι δόξης ὄντα δοῦλον, εἶναι καὶ Θεοῦ δοῦλον γνήσιον. πῶς οὖν τὴν κενοδοξίαν φευξόμεθα, φησί; οὐδέπω γὰρ εἶπας ὁδόν. ἄκουε τῶν ἐπαγομένων. ἀλλὰ τῇ ταπεινοφροσύνῃ, φησίν, ἀλλήλους ἡγούμενοι ὑπερέχοντας ἑαυτῶν. βαβαί, πῶς δόγμα φιλοσοφίας γέμον καὶ πάσης ἡμῖν τῆς σωτηρίας συγκρότημα ἐξέθετο; ἐὰν ὑπολάβῃς, φησίν, ὅτι ὁ δεῖνά σου μείζων ἐστί, καὶ τοῦτο πείσῃς σαυτόν, μᾶλλον δὲ οὐκ ἐὰν εἴπῃς μόνον, ἀλλὰ καὶ πληροφορηθῇς, ἀπονέμεις αὐτῷ καὶ τὴν τιμήν. εἰ δὲ σὺ ἀπονέμεις αὐτῷ τὴν τιμήν, οὐκ ἀγανακτήσεις ὁρῶν αὐτὸν παρ' ἑτέρου τιμώμενον. μὴ τοίνυν ἁπλῶς νόμιζε μείζονά σου εἶναι, ἀλλὰ καὶ ὑπερέχειν (ὅπερ ἐστὶ σφοδρᾶς ὑπερβολῆς) καὶ οὐ ξενισθήσῃ τιμώμενον ὁρῶν, οὐδὲ ἀλγήσεις· κἂν ὑβρίσῃ, οἴσεις γενναίως. μείζονα γὰρ σου αὐτὸν νενόμικας. κἂν λοιδορῇ, πείθῃ· κἂν ποιήσῃ κακῶς, φέρεις σιγῇ. ὅταν γὰρ ἅπαξ πληροφορηθῇ ἡ ψυχή, ὅτι μείζων ἐστίν, οὐκ εἰς ὀργὴν ἐμπίπτει ἐν οἷς ἂν παρ' αὐτοῦ πάθῃ κακῶς, οὐκ εἰς βασκανίαν. τοῖς γὰρ σφόδρα ὑπερέχουσιν οὐδεὶς ἂν φθονήσειε. τῆς γὰρ ὑπεροχῆς τὰ πολλὰ ἡγεῖται. ἐνταῦθα μὲν οὖν τοῦτον παιδεύει οὕτω διακεῖσθαι. ὅταν δὲ κἀκεῖνος ὁ τοσαύτης ἀπολαύων τιμῆς παρὰ σοῦ, φησίν, οὕτω πρὸς σὲ διακέηται, ἐννόησον πῶς τεῖχος ἐστι διπλοῦν ἐπιεικείας. ὅταν γὰρ σὺ τινὸς ἄξιον τιμῆς ἔχῃς, κἀκεῖνος οὕτως, οὐδὲν οὐδέποτε ἔσται λυπηρόν. εἰ γὰρ παρὰ τοῦ ἑνὸς τοῦτο γινόμενον ἀρκεῖ λῦσαι πᾶσαν ἐρεσχελίαν, ὅταν παρὰ ἀμφοτέρων ᾖ, τίς διακόψει ταύτην τὴν ἀσφάλειαν; οὐδὲ αὐτὸς ὁ διάβολος. τριπλοῦν γὰρ ἔσται, καὶ τετραπλοῦν, καὶ πολλαπλάσιον τὸ ὀχύρωμα. πάντων γὰρ τῶν ἀγαθῶν αἰτία ἡ ταπεινοφροσύνη. καὶ ἵνα μάθῃς, ἄκουε τοῦ προφήτου λέγοντος· Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις· θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. οὐχ ἁπλῶς δὲ ταπεινοφροσύνην ἀπαιτεῖ, ἀλλ' ἐπίτασιν ταπεινοφροσύνης. καθάπερ γὰρ ἐπὶ τῶν σωμάτων, τὸ συντετριμμένον οὐκ ἂν ἐπανασταίη ποτὲ τῷ στερρῷ, ἀλλ' ὅσα ἂν πάθῃ δεινά, περιόψεται αὐτὸ ἀπολέσθαι, ἢ ἑτέρῳ ἐπεξελθεῖν)· οὕτω καὶ ἐπὶ τῆς ψυχῆς, αἱρήσεται μᾶλλον κακῶς πάσχουσα διαπαντὸς καὶ ἀποθανεῖν, ἢ ἐπεξελθεῖν καὶ ἀμύνασθαι.

Ψαλ. ν ιη.

ΗΘΙΚΟΝ

Μέχρι τίνος φυσώμεθα φύσημα γέλωτος ἄξιον; ὥσπερ γὰρ τὰ παιδία ὅταν ὁρῶμεν ἀνατεινόμενα καὶ γαυρούμενα, γελῶμεν, ἢ καὶ λίθον αἴροντα καὶ ῥιπτοῦντα πάλιν γελῶμεν· οὕτως ἐστὶν ἡ ἀπόνοια ἡ ἀνθρωπίνη παιδικῆς ἀνοίας καὶ ἁπλοῦς φρενὸς γέννημα. τί γὰρ ὑπερηφανεύεται γῆ καὶ σποδός; μέγα φρονεῖς, ἄνθρωπε; διὰ τί; τί τὸ κέρδος, εἰπέ μοι; πόθεν δὲ καὶ μέγα φρονεῖς κατὰ τῶν ὁμοφύλων; οὐχὶ τῆς αὐτῆς μετέχεις φύσεως; οὐχὶ τῆς

αὐτῆς

γ. αὐτὸς ἐδήλωσεν ἐπαγαγών

γ. ἓν γὰρ τὸ φρόνημα βούλεται πάντων, καὶ ὥσπερ μιᾶς ψυχῆς ἐξηρτῆσθαι

γ. ὑπεροχῆς.
γ. ξενίζῃ
γ. οὐκ ἀγανακτήσεις· κἂν ἀδικῇ κακῶς, οἴσεις σιγῇ.
γ. ἐστίν.

γ. σποδὸς γῆ καὶ σποδὸς, ἄνθρωπε

σπλαγχνισθεὶς συνεχώρησε· καὶ ἐκείνῳ ὠφείλετο παρὰ τοῦ συνδούλου ἑκατὸν δηνάρια, καὶ ἦγχεν αὐτόν· διὰ τοῦτο παρέδωκεν αὐτὸν ὁ Κύριος τοῖς βασανισταῖς, ἕως οὗ ἀποδῷ τὸ ὀφειλόμενον. Ταῦτα ἀκούοντες, ἐλεήμονες ὦμεν περὶ τοὺς ὀφείλοντας ἐν χρήμασιν, ἐν ἁμαρτήμασι. μηδεὶς μνησίκακος ἔστω, εἴγε μὴ βούλοιτο ἑαυτὸν ἀδικεῖν. οὐ γὰρ ἐκεῖνον τοσοῦτον μὴ ἀφιεὶς λυπεῖς, ὅσον ἑαυτὸν ἀδικεῖς. (χ. ἐπεξιὼν) ἐκείνῳ μὲν γὰρ, ἐπεξιόντος σοῦ, οὐκ ἐπεξεῖσιν ὁ Θεός· σοῦ δὲ καταλιπόντος, ἢ ἐπέξεισιν αὐτός, ἢ τὰς ἁμαρτίας σοι ἀφίησι. πῶς δὲ μὴ ἀφιεὶς σὺ τῷ πλησίον, βασιλείαν ζητεῖς; ὅπερ ἵνα μὴ πάθωμεν, πᾶσιν ἀφῶμεν (ἑαυτοῖς γὰρ ἀφίεμεν) καὶ συγχωρήσωμεν, ἵνα ὁ Θεὸς συγχωρήσῃ ἡμῖν τὰ ἁμαρτήματα ἡμῶν, καὶ οὕτω τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν.

Λογ. ϛ. ΕΙ ΤΙΣ ΟΥΝ ΠΑΡΑΚΛΗΣΙΣ ΕΝ ΧΡΙΣΤΩ, ΕΙ κεφ. ϛ.
τι παραμύθιον ἀγάπης, εἴ τις κοινωνία πνεύματος, εἴ τινα σπλάγχνα καὶ οἰκ-
τιρμοί, 2 Πληρώσατέ μου τὴν χαράν, ἵνα τὸ αὐτὸ φρονῆτε, τὴν αὐτὴν
ἀγάπην ἔχοντες, σύμψυχοι, τὸ ἓν φρονοῦντες, 3 Μηδὲν κατ' ἐριθείαν ἢ
κενοδοξίαν, ἀλλὰ τῇ ταπεινοφροσύνῃ ἀλλήλους ἡγούμενοι ὑπερέχοντας ἑαυ-
τῶν· 4 Μὴ τὰ ἑαυτῶν ἕκαστος σκοπεῖτε, ἀλλὰ καὶ τὰ ἑτέρων ἕκαστος.

(χ. πλείονα) (χ. ἐπιδείκνυσι) Οὐδὲν ἄμεινον, οὐδὲν φιλοστοργότερον διδασκάλου πνευματικοῦ· πάντως παντὸς εὔνοιαν ὑπερέρχεται φυσικοῦ. ὅρα γοῦν, ὁ μακάριος οὗτος οἵαν ἔθηκεν ἱκετηρίαν πρὸς Φιλιππησίους ὑπὲρ τῶν ἐκείνοις συμφερόντων. τί γάρ φησι, περὶ ὁμονοίας παρακαλῶν, τῆς πάντων αἰτίου τῶν καλῶν; ὅρα πῶς λιπαρῶς, πῶς σφοδρῶς, πῶς μετὰ συμπαθείας πολλῆς. Εἴ τις οὖν παράκλησις ἐν Χριστῷ, φησί· τουτέστιν, εἴ τινα ἔχετε παράκλησιν ἐν Χριστῷ. ὡς ἂν εἰ ἔλεγεν, εἴ τινά μου λόγον ἔχεις, εἴ τις σοι φροντὶς ἐμοῦ, εἴ ποτε εὖ ἔπαθές τι παρ' ἐμοῦ, τόδε ποίησον. τούτῳ δὲ κεχρήμεθα τῆς διαθέσεως τῷ τρόπῳ, ὅταν ὑπὲρ πράγματος ἀξιῶμεν, ὃ πάντων προτίθεμεν. οὐ γάρ, εἰ μὴ πάντων αὐτὸ προετίθεμεν, πάντων τὴν ἀμοιβὴν ἐν ἐκείνῳ λαβεῖν ἐβουλόμεθα, καὶ δι' ἐκείνου τὸ πᾶν ἐλέγομεν δείκνυσθαι. (χ. λέγομεν) ἡμεῖς μὲν οὖν σαρκικῶν δικαιωμάτων ὑπομιμνήσκομεν· ὡς ἂν εἰ πατὴρ ἔλεγεν, εἴ τις οὖν σοι πατρὸς αἰδώς, εἴ τις ἀνατροφῆς μνήμη, εἴ τις φιλοστοργίας τῆς πρὸς ἐμέ, εἴ τις τιμῆς ἧς ἔτυχες παρ' ἐμοῦ, εἴ τις εὐνοίας, μὴ ἔσο τῷ ἀδελφῷ ἐχθρός· τουτέστιν, ἀντὶ πάντων ἐκείνων ταύτην αἰτῶ τὴν ἀμοιβήν. ἀλλ' οὐχ ὁ Παῦλος οὕτως, οὐδενὸς σαρκικοῦ ὑπομιμνήσκει, ἀλλὰ πάντων πνευματικῶν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· εἴ τινά μοι βούλεσθε παράκλησιν ἐν τοῖς πειρασμοῖς δοῦναι, καὶ προστασίαν ἐν Χριστῷ, εἴ τινα παραμυθίαν ἀγάπης, εἴ τινα κοινωνίαν δεῖξαι τὴν ἐν πνεύματι, εἴ τινα ἔχετε σπλάγχνα καὶ οἰκτιρμούς, πληρώσατέ μου τὴν χαράν. Εἴ τινα σπλάγχνα καὶ οἰκτιρμοί. οἰκτιρμοὺς φησὶν ἑαυτοῦ τῶν μαθητῶν τὴν ὁμόνοιαν ὁ Παῦλος, δεικνὺς ὡς ἐν τοῖς ἐσχάτοις ὁ κίνδυνος, ἐὰν μὴ ὁμονοῶσιν. Εἴ ἐστι φησί, τυχεῖν παρακλήσεως παρ' ὑμῶν, εἴ ἐστι τυχεῖν ἀπὸ τῆς ἀγάπης ὑμῶν παραμυθίας τινός, εἴ ἐστιν ὑμῖν κοινωνῆσαι ἐν πνεύματι, εἴ ἐστι κοινωνῆσαι ὑμῖν ἐν Κυρίῳ, εἴ ἐστιν ἐλεηθῆναι παρ' ὑμῶν καὶ οἰκτειρηθῆναι, πάντων τούτων (χ. ἐφ' τὸ τυχεῖν) τὴν ἀντίδοσιν ἐν τῇ ἀγάπῃ δείξατε· πάντων τούτων ἔτυχον, ἐὰν ἀγαπᾶτε ἀλλήλους. πληρώσατέ μου τὴν χαράν. ὅρα, ἵνα μὴ δόξῃ ἡ παραίνεσις ὡς πρὸς ἐλλείποντας ἐπιγεγενῆσθαι, οὐκ εἶπε, ποιήσατέ μοι, ἀλλά, πληρώσατε· τουτέστιν, ἤρξασθε φυτεύειν ἐν ἐμοί· ἤδη μοι μετεδώκατε τῆς εἰρήνης, ἀλλ' εἰς τέλος ἐπιθυμῶ ἐλθεῖν. τί βούλει, εἰπέ μοι; ἵνα σε κινδύνων ἀπαλλάξωμεν; ἵνα σοί τι χορηγήσωμεν; οὐδὲν τούτων φησίν· ἀλλ', ἵνα ὑμεῖς τὸ αὐτὸ

α. Κορ. ιε. ι. λιν· Περισσότερον αὐτῶν πάντων ἐκοπίασα, οὐκ ἐγὼ δὲ, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοί.
Φιλιπ. β. κζ. καὶ περὶ Ἐπαφροδίτου φησί· Καὶ γὰρ ἠσθένησε παραπλήσιον θανάτῳ, ἀλλ' ὁ Θεὸς αὐτὸν ἠλέ-
β. Κορ. α. η. ησεν, οὐκ αὐτὸν δὲ μόνον, ἀλλὰ καὶ ἐμέ, ἵνα μὴ λύπην ἐπὶ λύπῃ σχῶ. καὶ πάλιν, Ἐβαρήθημεν,
φησιν, ὑπὲρ δύναμιν, ὥστε ἐξαπορηθῆναι ἡμᾶς καὶ τοῦ ζῆν. ἀλλ' αὐτοὶ ἐν ἑαυτοῖς τὸ ἀπό-
κριμα τοῦ θανάτου ἐσχήκαμεν, ἵνα μὴ πεποιθότες ὦμεν ἐφ' ἑαυτοῖς, ἀλλ' ἐπὶ τῷ Θεῷ, ὃς
β. Τιμ. δ. ιζ. ἐκ τηλικούτων θανάτων ἐρρύσατο ἡμᾶς, καὶ ῥύεται. καὶ πάλιν, Ἐρρύσθην ἐκ στόματος λέ- χ. τοῦ θανάτου
οντος, καὶ * ῥύσεταί με ὁ Κύριος. καὶ πανταχοῦ εὑρήσομεν τοῦτο αὐτὸν καυχώμενον, ὅτι ἐλέῳ * ἀλλαχοῦ
ἐσώθη. καὶ Πέτρος δὲ ἀπὸ τοῦ ἐλεηθῆναι τοιοῦτος ἦν. ἄκουε γὰρ τοῦ Χριστοῦ πρὸς αὐτὸν λέ-
Λουκ. κβ. λα. γοντος· Πέτρε, Πέτρε, ἠθέλησεν ὁ Σατανᾶς σινιάσαι ὑμᾶς, ὡς τὸν σῖτον, καὶ ἐδεήθην περὶ
σοῦ, ἵνα μὴ ἐκλείπῃ ἡ πίστις σου. καὶ Ἰωάννης ἐλέῳ τοιοῦτος ἦν, καὶ πάντες δὲ ἁπλῶς οἱ ἀπό-
Ἰωάν. ιε. ιϛ. στολοι. ἄκουε γὰρ τοῦ Χριστοῦ τοῦτο ἀποφαινομένου καὶ λέγοντος· Οὐχ ὑμεῖς με ἐξελέξασθε,
ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς. πάντες γὰρ δεόμεθα τοῦ ἐλέους τοῦ Θεοῦ. Ἔλεος γὰρ Θεοῦ,
φησιν, ἐπὶ πᾶσαν σάρκα. εἰ δὲ οὗτοι ἐδέοντο τοῦ ἐλέους τοῦ Θεοῦ, τί ἄν τις εἴποι περὶ τῶν
λοιπῶν; πόθεν γάρ, εἰπέ μοι, τὸν ἥλιον ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθούς; τί δέ, εἰ μόνον
ἐνιαυτὸν τὸν ὑετὸν ἐπέσχεν, οὐκ ἂν ἅπαντας ἀπώλεσε; τί δέ, εἰ ἐπομβρίαν εἰργάσατο; τί
δέ, εἰ πῦρ ἔβρεξε; τί δέ, εἰ μυίας ἔπεμψεν; ἀλλὰ τί ταῦτα λέγω; εἰ σκότος ἐποίησεν, οὐδὲ
Ψαλ. ε. κ. ποτε, οὐκ ἂν ἅπαντας ἀπώλεσεν; εἰ τὴν γῆν ἐτίναξεν, οὐκ ἂν ἅπαντες ἀπώλοντο; Τί χ. ἅπαντες
ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ, εὐχερὲς εἰπεῖν νῦν. ἂν ἀπειλήσῃ τῇ γῇ μόνον, πάν- ἀπώλοντο
Ἡσ. μ. ιε. τες εἰς ἐγένοντο τάφος. Ὡς σταγὼν ὕδατος ἀπὸ κάδου, φησίν, οὕτω τὰ ἔθνη ἐνώπιον αὐτοῦ,
ὡς σίελος λογισθήσονται, ὡς ῥοπὴ ζυγοῦ. ὡς εὔκολον ἡμῖν τὴν τρυτάνην κινῆσαι, οὕτως αὐ-
τῷ πάντα ἀπολέσαι, καὶ ποιῆσαι πάλιν. ὁ τοίνυν τοσαύτην ἔχων ἐξουσίαν ἡμῶν, καὶ ὁρῶν
ἡμᾶς καθ' ἑκάστην ἁμαρτάνοντας, καὶ μὴ κολάζων, οὐχὶ ἐλέῳ διαβαστάζει; ἔπειτα καὶ τὰ χ. μᾶλλον
Ψαλ. λε. ζ. κτήνη ἐλέῳ ἐστὶ, καὶ σῴζεται. Ἀνθρώπους γάρ, φησι, καὶ κτήνη σώσεις, Κύριε. εἶδεν ἐπὶ
τὴν γῆν, καὶ ἔπλησεν αὐτὴν ζώων. διὰ τί; διὰ σέ. σὺ δὲ διὰ τί ἐποίησεν; ἆρα οὐ δι' ἀγα-
Ἡσ. γ. θότητα; οὐδὲν ἐλαίου χρηστόν. φωτός ἐστιν αἴτιον, καὶ ἐκ φωτὸς αἴτιον. Καὶ ἀνατελεῖ, φησιν χ. ἐλέου
ὁ προφήτης, πρώϊμον τὸ φῶς σου, ἐὰν ποιήσῃς ἔλεον εἰς τὸν πλησίον. καὶ εἰκότως. ὥσπερ * καὶ ἐνταῦθα
τὸ ἔλαιον τοῦτο τὸ φῶς τρέφει τοῖς λαμπάσιν, οὕτως ἡ ἐλεημοσύνη ἐκεῖ φῶς μέγα ἡμῖν
ἐργάζεται καὶ θαυμάσιον. καὶ πολὺς τοῦ ἐλέου τούτου ὁ λόγος τῷ Παύλῳ ἦν. ἄκουε γὰρ αὐτοῦ χ. ἐλαίῳ
Γαλ. β. ι. ποτε μὲν λέγοντος, Μόνον τῶν πτωχῶν ἵνα μνημονεύωμεν. ἄλλοτε δέ, Ἐὰν ᾖ ἄξιον τοῦ κἀμὲ
α. Κορ. ιϛ. δ. πορεύεσθαι. καὶ πανταχοῦ ἄνω καὶ κάτω περὶ τούτου ὁρᾷς αὐτὸν μεριμνῶντα. καὶ πάλιν, Μαν-
Τιτ. γ. ιδ. θανέτωσαν δὲ καὶ οἱ ἡμέτεροι καλῶν ἔργων προΐστασθαι. καὶ πάλιν· Ταῦτα γάρ ἐστι καλά,
Τωβ. δ. καὶ ὠφέλιμα τοῖς ἀνθρώποις. ἄκουε δὲ καὶ ἄλλου τινὸς λέγοντος, Ἐλεημοσύνη ἐκ θανάτου
Ψαλ. ρμε. ῥύεται. καὶ ἄλλου, Ἐὰν δὲ τὸν ἔλεον ἀφέλῃς, Κύριε, Κύριε, τίς ὑποστήσεται; καὶ, Ἐὰν εἰσέλθῃς, φησίν,
Παροιμ. κ. εἰς κρίσιν μετὰ τοῦ δούλου σου. καὶ ἄλλος, Μέγα τι ἄνθρωπος, καὶ τίμιον ἀνὴρ ἐλεήμων. τοῦτο
γὰρ ἄνθρωπος, ἐλεήμων, μᾶλλον δὲ τοῦτο ὁ Θεός, τὸ ἐλεεῖν. ὁρᾷς ὅση τοῦ ἐλέους τοῦ Θεοῦ ἡ ἰ-
σχύς; τοῦτο πάντα ἐποίησε, τοῦτο τὸν κόσμον εἰργάσατο, τοῦτο ἀγγέλους ἐποίησε, δι' ἀγαθό-
τητα μόνον. διὰ τοῦτο καὶ γέενναν ἠπείλησεν, ἵνα βασιλείας τύχωμεν· βασιλείας δὲ τυγχάνο-
μεν δι' ἔλεον. διὰ τί γάρ, εἰπέ, μόνος ὢν ὁ Θεὸς τοσούτους ἐποίησεν; οὐ δι' ἀγαθότητα; οὐ διὰ φι-
λανθρωπίαν; ἂν ἐρωτήσῃς, διὰ τί τόδε καὶ τόδε, πανταχοῦ τὴν ἀγαθότητα εὑρήσεις. οὐκοῦν
ἐλεήσωμεν τὸν πλησίον, ἵνα ἐλεηθῶμεν αὐτοί. οὐκ ἐκείνοις μᾶλλον, ἢ ἡμῖν αὐτοῖς συνάγο-
μεν τὸν ἔλεον τοῦτον ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. ὅταν σφοδρὰ ᾖ τοῦ πυρὸς ἡ φλόξ, τὸ ἔλεος τοῦτο τοῦ χ. τὸ ἔλαιον
μὲν πυρός ἐστι σβεστικόν, ἡμῖν δὲ φωτὸς αἴτιον. ὑπὸ τοῦ πυρὸς τῆς γεέννης διὰ τούτου ἀπαλλαγησό- τοῦτο
μεθα· ἐπεὶ πόθεν σπλαγχνισθήσεται καὶ ἐλεήσει; ἀπὸ τῆς ἀγάπης ὁ ἔλεος γίνεται. οὐδὲν οὕτω πα- χ. ἡμῖν βοη-
ροξύνει τὸν Θεόν, ὡς τὸ ἀνελεήμονα εἶναι. προσπνίγη αὐτῷ τις ὀφείλων μυρία τάλαντα, καὶ θοῦν τὸ ἔλαι-
ον

τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε· τοῖς δέ φησιν, Ὅτι εὐδόκησε Μακεδονία καὶ Ἀχαΐα κοινωνίαν τινὰ ποιήσασθαι εἰς τοὺς πτωχούς· καὶ πάλιν, Ὁ ἐξ ὑμῶν ζῆλος ἠρέθισε τοὺς πλείονας. Ῥωμ. ιε. κϛ. β. Κορ. θ. β.

ΗΘΙΚΟΝ

Ὁρᾷς τὰ ἐγκώμια τῶν τότε ἀνδρῶν; ἡμεῖς δὲ οὐδὲ μέχρι ῥαπισμάτων, οὐδὲ μέχρι πληγῆς φερόμενοι, οὐδὲ ὕβριν, οὐδὲ χρημάτων ζημίαν ὑπομένομεν. ἐκεῖνοι ἤδη ζηλωταί, καὶ μάρτυρες πάντες ἦσαν ἀγωνιζόμενοι· ἡμεῖς δὲ τὴν ἀγάπην ἐψύξαμεν τὴν εἰς τὸν Χριστόν. πάλιν ἀναγκαζόμεθα κατηγορεῖν τῶν παρόντων πραγμάτων. καὶ τί πάθω; οὐκ ἐβουλόμην, ἀλλ' ἀναγκαζόμεθα. εἰ μὲν γὰρ ἦν σιγήσαντα, καὶ μηδὲν εἰπόντα τῶν γινομένων ἀφανίσαι διὰ τῆς σιγῆς ταῦτα γινόμενα, ἔδει σιγᾷν· εἰ δὲ τοὐναντίον γίνεται (οὐ γὰρ μόνον οὐκ ἀφανίζεται, ἡμῶν σιγώντων, ἀλλὰ καὶ χαλεπώτερα γίνεται) ἀναγκαῖον εἰπεῖν. ὁ γὰρ κατηγορῶν τῶν ἁμαρτανόντων, εἰ καὶ μηδὲν ἕτερον, οὐκ ἀφίησι περαιτέρω προελθεῖν. οὐδεμία γάρ ἐστιν οὕτως ἀναίσχυντος ψυχὴ καὶ ἰταμή, ὡς συνεχῶς ἀκούουσα κακιζόντων αὐτὴν τινῶν, μὴ ἐντρέπεσθαι, μηδὲ καθυφεῖναι τῆς κακίας τῆς πολλῆς. ἔνι γάρ, ἔνι καὶ τοῖς ἀναισχύντοις μικρόν τι αἰδοῦς. ὁ Θεὸς γὰρ ἐνέσπειρε τὴν αἰδῶ τῇ φύσει τῇ ἡμετέρᾳ. ἐπειδὴ γὰρ οὐκ ἤρκει ὁ φόβος ῥυθμίσαι ἡμᾶς, [καὶ] πολλὰς ἑτέρας κατεσκεύασεν ὁδοὺς τοῦ μὴ ἁμαρτάνειν· οἷον, τὸ κατηγορεῖσθαι παρὰ ἀνθρώπων, τὸ δεδοικέναι νόμους τοὺς κειμένους, τὸ δόξης ἐρᾶν, τὸ φιλίας ἀντιποιεῖσθαι. πᾶσαι γὰρ αὗται αἱ ὁδοὶ τοῦ μὴ ἁμαρτάνειν εἰσί. πολλάκις γὰρ ἃ διὰ τὸν Θεὸν οὐκ ἐγίνετο, δι' αἰδῶ γέγονε· καὶ ἃ διὰ τὸν Θεὸν οὐκ ἐγίνετο, διὰ φόβον ἀνθρώπων ἐγίνετο. τὸ γὰρ ζητούμενον τοῦτό ἐστι· πρότερον, μὴ ἁμαρτάνειν μαθεῖν· εἶτα, τὸ διὰ τὸν Θεὸν τοῦτο ποιεῖν ὕστερον κατορθώσομεν. ἐπεὶ διὰ τί Παῦλος τοὺς μέλλοντας κρατεῖν τῶν ἐχθρῶν, οὐκ ἀπὸ τοῦ φόβου προτρέπεται τοῦ Θεοῦ, ἀλλὰ καὶ ἀπὸ τοῦ τὴν ἐκδικίαν διαλαμβάνειν; Τοῦτο γὰρ ποιῶν, φησίν, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. πῶς γὰρ τοῦτο βούλεται, κατορθωθῆναι τὴν ἀρετήν. ὅπερ οὖν ἔλεγον, ἔνεστί τι αἰσχυντηρὸν ἐν ἡμῖν. πολλὰ γὰρ καὶ φυσικὰ ἀγαθὰ ἔχομεν πρὸς τὴν ἀρετήν, οἷον πρὸς τὸ ἐλεεῖν ἀπὸ φύσεως κινούμεθα πάντες ἄνθρωποι, καὶ οὐδὲν οὕτως ἀγαθὸν ἐν τῇ φύσει ἡμῶν ἐστιν ἄλλο, ὡς τοῦτο. ὅθεν ἄν τις εἰκότως καὶ ἐξετάσειε, διὰ τί τοῦτο μάλιστα τῇ φύσει ἡμῶν ἐνέσπαρται, τὸ κατακλᾶσθαι λέγω δάκρυσι, τὸ ἐπικάμπτεσθαι, τὸ ἑτοίμους εἶναι πρὸς ἔλεον. οὐδεὶς φύσει ἐστὶν ἀργός, οὐδεὶς φύσει ἐστὶν ἀκενόδοξος, οὐδεὶς φύσει ἐστὶ ζήλου κρείττων, ἀλλὰ τὸ ἐλεεῖν πᾶσιν ἔγκειται φύσει, κἂν ὠμός τις ᾖ, κἂν ἀπηνής. καὶ τί θαυμαστόν, εἰ ἐπὶ ἀνθρώπων τοῦτο ἐπιδεικνύμεθα; καὶ θηρία ἐλεοῦμεν· οὕτως ἐκ περιουσίας ἡμῖν ὁ ἔλεος ἔγκειται. κἂν σκύμνον ἴδωμεν λέοντος, πάσχομέν τι· ἐπὶ δὲ ὁμοφύλου πολλῷ πλέον. ὅσα πόσοι ἀνάπηροι, πολλάκις λέγομεν, εἰδότες ὅτι καὶ τοῦτο ἱκανὸν εἰς ἔλεον ἡμᾶς ἐπαγαγεῖν. οὐδὲν οὕτως εὐφραίνει τὸν Θεόν, ὡς ἐλεημοσύνη. διὰ τοῦτο οἱ ἱερεῖς τούτῳ ἐχρίοντο, καὶ οἱ βασιλεῖς, καὶ οἱ προφῆται. τῆς γὰρ τοῦ Θεοῦ φιλανθρωπίας εἶχον σύμβολον, τὸ ἔλαιον. πάλιν ἐμάνθανον, ὅτι τὸν ἄρχοντα πλέον ἔλεον δεῖ ἔχειν. ἐδήλου ὅτι τὸ πνεῦμα εἰς ἀνθρώπους δι' ἔλεον μέλλει ἔρχεσθαι. ἐπειδὴ ὁ Θεὸς ἐλεεῖ τοὺς ἀνθρώπους, καὶ φιλάνθρωπός ἐστι (Ἐλεεῖς γάρ, φησί, πάντας, ὅτι πάντα δύνασαι) διὰ τοῦτο ἐλαίῳ ἐχρίοντο. καὶ γὰρ καὶ τὴν ἱερωσύνην ἀπὸ ἐλέους ἐποίησε· καὶ οἱ βασιλεῖς ἐλαίῳ ἐχρίοντο. κἂν ἄρχοντά τις ἐπαινῇ, οὐδὲν οὕτως αὐτῷ πρέπον ἐρεῖ, ὡς ἔλεος. τοῦτο γὰρ ἀρχῆς ἴδιον, τὸ ἐλεεῖν. ἐννόησον ὅτι δι' ἔλεον ὁ κόσμος συνεστάθη, καὶ μίμησαι τὸν δεσπότην. Ἔλεος ἀνθρώπου ἐπὶ τὸν πλησίον αὐτοῦ, ἔλεος δὲ Κυρίου ἐπὶ πᾶσαν σάρκα. πῶς ἐπὶ πᾶσαν σάρκα; κἂν ἁμαρτωλοὺς εἴπῃς, κἂν δικαίους εἴπῃς, πάντες τοῦ ἐλέους τοῦ Θεοῦ δεόμεθα· πάντες ἀπολαύομεν αὐτοῦ, κἂν αὐτὸς ᾖ Παῦλος, κἂν Πέτρος, κἂν Ἰωάννης. καὶ ἄκουσον αὐτῶν λεγόντων· οὐδὲν γὰρ δεῖ λόγων τῶν ἡμετέρων. τί γάρ φησιν ὁ μακάριος οὗτος; Ἀλλ' ἠλεήθην, ὅτι ἀγνοῶν ἐποίησα. τί οὖν; μετὰ ταῦτα οὐκ ἐδεῖτο ἐλέους; ἄκουσον τί φησι πά-

Margin notes (left): χ. αὐτά — χ. αἰδώς — χ. ἐγίνετο ἃ — χ. οὐ βουλόμεθα, — χ. καταλιχόμεθα. — χ. κατορθώσομεν. — χ. ἔλεον — χ. ἄλλως δὲ καὶ ὅτι τὸ πνεῦμα εἰς ἄνθρωπον μέλλει ἔρχεσθαι ἐδηλοῦτο ἐκ τούτου — χ. εἰς σύμβολον τὸ ἔλαιον ἐλάμβανον

Margin notes (right): Σοφ. ια. κδ. — Σοφ. α. κδ. — Σειρ. ιη. ιβ. — α. Τιμ. α. ιγ.

Ιωαν. ιγ. λε. — γρ. μοι

τουτέστι, μὴ εἰς τὴν προσδοκίαν τὴν ἐμὴν ἀφορῶντες καθεύδετε, ὅτι προσδοκῶντες ἥξειν εἶτα, ἐπειδὰν ἴδητε μὴ ἐρχόμενον, ἐκλυθῆτε. καὶ γὰρ ἐξ ἀκοῆς εὐφραίνεσθαι δύναμαι ὁμοίως. τί ἐστιν, ἐν ἑνὶ πνεύματι; τουτέστι, τῷ αὐτῷ χαρίσματι, τῷ τῆς ὁμονοίας, τῷ τῆς προθυμίας. ἓν γάρ ἐστι τὸ πνεῦμα, καὶ δείκνυσι τοῦτο, ὃ πολλαχοῦ οὕτως εἴρηται. οὕτω γάρ ἐστι καὶ ἐν μιᾷ ἐστηκέναι ψυχῇ, ὅταν ἓν πνεῦμα τὸ πάντας ἔχωμεν. ἰδοὺ τὸ, μιᾷ, ἐπὶ ὁμονοίας εἴρηται· ἰδοὺ πολλαὶ, μία λέγονται. οὕτως ἦν τὸ παλαιόν. Ἦν ἡ καρδία πάντων, φησί, καὶ ἡ ψυχὴ μία. Συναθλοῦντες τῇ πίστει τοῦ εὐαγγελίου. Ἆρα ὡς τῆς πίστεως ἀθλούσης, συναθλοῦντές φησιν ἀλλήλοις; πῶς ἂν ἔχοι λόγον; μὴ γὰρ πρὸς ἀλλήλους ἐπάλαιον; ἀλλὰ ὃ λέγει, τοῦτό ἐστι· συμπαραλαμβάνετε ἀλλήλους, φησὶν, ἐν τῇ ἀθλήσει τῇ πίστει τοῦ εὐαγγελίου,

Πραξ. δ. λϐ. — ἴσ. πολλαὶ ψυχαὶ, μία

28 Καὶ μὴ πτυρόμενοι ἐν μηδενὶ ὑπὸ τῶν ἀντικειμένων, ἥτις ἐστὶν αὐτοῖς μὲν ἔνδειξις ἀπωλείας, ὑμῖν δὲ σωτηρίας. Πτυρόμενοι καλῶς εἶπε. τοιαῦτα γὰρ τὰ παρὰ τῶν ἐχθρῶν· μόνον πτύρεται. ἐν μηδενὶ οὖν, φησι, κἂν ὁτιοῦν γένηται, κἂν κίνδυνοι, κἂν ἐπιβουλαί. τοῦτο γάρ ἐστι τῶν ὀρθῶς ἑστώτων. ἐκεῖνοι γὰρ οὐδὲν δύνανται, ἀλλὰ πτύρουσι μόνον. ἐπειδὴ εἰκὸς ἦν θορυβεῖσθαι αὐτοὺς, ἅτε τοῦ Παύλου μυρία πάσχοντος, οὐ λέγω, φησὶν, ὅτι μὴ σαλεύεσθε, ἀλλὰ μὴ πτύρεσθε, ἀλλὰ καὶ σφόδρα αὐτῶν καταφρονεῖτε. ἂν γὰρ οὕτω διακέησθε, ἐντεῦθεν ἤδη καὶ τὴν αὐτῶν ἀπώλειαν, καὶ τὴν ὑμετέραν σωτηρίαν δήλην ποιήσετε. ὅταν γὰρ ἴδωσιν, ὅτι μυρία τεχνάζονται, καὶ οὐδὲ πτύρειν ὑμᾶς δύνανται, τεκμήρια λήψονται τῆς ἑαυτῶν ἀπωλείας. ὅταν γὰρ οἱ διώκοντες τῶν διωκομένων μὴ περιγίνωνται, οἱ ἐπιβουλεύοντες τῶν ἐπιβουλευομένων, οἱ κρατοῦντες τῶν κρατουμένων, οὐκ αὐτόθεν ἔσται δῆλον αὐτοῖς, ὅτι ἀπολοῦνται; ὅτι οὐδὲν ἰσχύουσιν; ὅτι τὰ αὐτῶν ψευδῆ; ὅτι τὰ ἐκείνων ἀσθενῆ; Καὶ τοῦτο ἀπὸ Θεοῦ, φησιν,

γρ. ὁ σφόδρα καταφρονοῦντες ἐστί. — γρ. τεκμήριον

29 Ὅτι ὑμῖν ἐχαρίσθη τὸ ὑπὲρ Χριστοῦ, οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν. Πάλιν αὐτῶν παιδεύει τὸ φρόνημα μετριάζειν, τὸ πᾶν ἀνατιθεὶς τῷ Θεῷ, καὶ χάριν εἶναι λέγων, καὶ χάρισμα, καὶ δωρεὰν τὸ πάσχειν ὑπὲρ Χριστοῦ. ὥστε μὴ αἰσχύνεσθε χάρισμα. καὶ γάρ ἐστιν ὄντως τοῦ νεκροὺς ἀνιστᾷν πολλῷ καὶ σημεῖα ποιεῖν θαυμαστότερον. ἐκεῖ μὲν γὰρ ὀφειλέτης εἰμί, ἐνταῦθα δὲ ὀφειλέτην ἔχω τὸν Χριστόν. ὥστε οὐ μόνον αἰσχύνεσθαι οὐ χρή, ἀλλὰ καὶ ἀγάλλεσθαι, ὡς χάρισμα ἔχοντας. τὰς ἀρετὰς χαρίσματα φησιν, οὐχ ὁμοίως μέντοι, ὡς καὶ τὰ ἄλλα. ἐκεῖνα μὲν γὰρ, ὁλόκληρα τοῦ Θεοῦ· ταῦτα δὲ καὶ ἡμῶν. ἀλλ' ἐπειδὴ καὶ ἐνταῦθα τὸ πλέον τοῦ Θεοῦ ἐστι, διὰ τοῦτο ὅλον αὐτοῦ φησιν εἶναι, οὐ τὸ αὐτεξούσιον ἀνατρέπων, ἀλλὰ μετριόφρονας καὶ εὐγνώμονας κατασκευάζων.

30 Τὸν αὐτὸν ἀγῶνα ἔχοντες, οἷον εἴδετε ἐν ἐμοί. Τουτέστι, καὶ τὸ παράδειγμα ἔχετε. πάλιν αὐτοὺς ἐπαίρει ἐνταῦθα. δείκνυσι γὰρ πανταχοῦ τὰ αὐτὰ ἀγωνιζομένους αὐτῷ, τὰ αὐτὰ ἀθλοῦντας, καὶ ἰδίᾳ καὶ καθ' ἑαυτοὺς τῷ συνδιαφέρειν αὐτῷ τοὺς πειρασμούς. οὐκ εἶπεν, ἀκηκόατε, ἀλλ', εἴδετε. καὶ γὰρ ἐκεῖ ἤθλησεν ἐν Φιλίπποις. ἄρα μεγάλη ἀρετὴ τοῦτό ἐστι. διὸ καὶ πρὸς Γαλάτας γράφων ἔλεγε, Τοσαῦτα ἐπάθετε εἰκῇ, εἴγε καὶ εἰκῇ· καὶ Ἑβραίοις πάλιν γράφων ἔλεγεν, Ἀναμιμνήσκεσθε δὲ τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων, τοῦτο μὲν ὀνειδισμοῖς καὶ θλίψεσι θεατριζόμενοι, τοῦτο δὲ κοινωνοὶ τῶν οὕτως ἀναστρεφομένων γενηθέντες. καὶ Μακεδόσι πάλιν [τουτέστι, Θεσσαλονικεῦσι,] γράφων ἔλεγεν· Αὐτοὶ γὰρ περὶ ἡμῶν ἀπαγγέλλουσιν, ὁποίαν εἴσοδον ἔσχομεν πρὸς ὑμᾶς. καὶ πάλιν· Αὐτοὶ γὰρ οἴδατε, ἀδελφοί, τὴν εἴσοδον ἡμῶν τὴν πρὸς ὑμᾶς, ὅτι οὐ κενὴ γέγονε. καὶ πᾶσιν ὁμοίως τὸ αὐτὸ μαρτυρεῖ, ἄθλους καὶ ἀγῶνας. ἀλλ' οὐ νῦν τοῦτο εὑρήσετε παρ' ἡμῖν. νῦν γὰρ ἀγαπητὸν τὸ κἂν ἐν χρήμασί τινά τι παθεῖν. καὶ ἐν χρήμασι δὲ μεγάλα αὐτοῖς μαρτυρεῖ. τοῖς μὲν γάρ φησιν· Ὅτι τὴν ἁρπαγὴν τῶν

Γαλ. γ. δ. — Εϐρ. ι. λϐ. — α. Θεσ. α. θ. καὶ β. α. — Εϐρ. ι. λδ. — γρ. ἀγαπητὸν

κ. καὶ τί λέγω πῶς; ἀρκεῖ — ὁρᾷς τὰς δύο δυνάμεις; καὶ τί λέγω; ἁπλῶς ἀρκεῖ Παῦλον φθέγξασθαι, καὶ τοὺς οὐρανοὺς ἐπὶ τούτῳ σκιρτᾷν καὶ εὐφραίνεσθαι. Εἰ γὰρ, ὅτι ἐξ Αἰγύπτου ἐξήεσαν οἱ Ἰσραηλῖται, Ἐσκίρτησαν τὰ ὄρη, ὡς κριοί, ὅτε ἀπὸ γῆς εἰς οὐρανὸν μετέστησαν ἄνθρωποι, πόσην οἴει εἶναι χαράν; (Ψαλ. ριγ. δ.) διὰ ταῦτα τὸ ἐπιμεῖναι τῇ σαρκὶ ἀναγκαιότερον δι' ὑμᾶς. ποίαν ἕξομεν ἀπολογίαν λοιπὸν ἡμεῖς; πολλάκις γὰρ ἄνθρωπος κλινηρεύεται πόλιν μικρὰν καὶ πενιχράν, καὶ οὐχ αἱρεῖται ἀποδημεῖν ἑτέρωθι, τὴν οἰκείαν προκρίνων ἀνάπαυσιν· πρὸς τὸν Χριστὸν εἶχεν ἀπελθεῖν ὁ Παῦλος, καὶ οὐκ ἠθέλησε τὸν Χριστὸν (Χριστόν, ὃν οὕτως ἐπόθει, ὡς δι' αὐτὸν καὶ γέενναν αἱρεῖσθαι) καὶ ἔμενεν ἔτι ἀγωνιζόμενος διὰ τοὺς ἀνθρώπους. τίς ἔσται ἡμῖν ἀπολογία; ὅλως δὲ μεμνῆσθαι χρὴ Παύλου ἁπλῶς; ὅρα τί εἰργάσατο. ἔδειξεν ὅτι κρεῖσσον τὸ ἀπελθεῖν, πείθων αὐτοὺς μὴ ἀλγεῖν. ἔδειξεν ὅτι καὶ μενεῖ, διὰ τοῦτο μένει, δι' ἐκείνους, ὅτι οὐκ ἀπὸ τῆς πονηρίας τῶν ἐπιβουλευόντων. ἵνα τοίνυν ἀξιοπίστους αὐτοὺς ἐργάσηται, καὶ τὴν αἰτίαν ἔθηκεν. (ἴσ. ἀξιόπιστον ἑαυτὸν) Εἰ γὰρ ἀναγκαῖον τοῦτό ἐστι, πάντως ὅτι μενῶ, καὶ οὐχ ἁπλῶς μενῶ, ἀλλὰ μεθ' ὑμῶν. τοῦτο γάρ ἐστι τό, καὶ συμπαραμενῶ, τουτέστιν, ὄψομαι ὑμᾶς. τίνος ἕνεκεν; εἰς τὴν ὑμῶν προκοπὴν καὶ χαρὰν τῆς πίστεως. ἐνταῦθα αὐτοὺς καὶ διανίστησιν, ὥστε προσέχειν ἑαυτοῖς. Εἰ γὰρ δι' ὑμᾶς, φησί, μενῶ, ὁρᾶτε μὴ καταισχύνητέ μου τὴν παραμονήν. μέλλων Χριστὸν ὁρᾶν, εἱλόμην ἐπὶ τῇ ὑμετέρᾳ προκοπῇ μένειν. ἐπειδὴ ἡ ἐμὴ παρουσία καὶ πρὸς πίστιν ὑμῖν συμβάλλεται, καὶ πρὸς χαράν, διὰ τοῦτο εἱλόμην μένειν. τί οὖν; Φιλιππησίων ἕνεκεν ἔμενε μόνων; οὐκ ἐκείνων ἕνεκεν ἔμενε μόνων· λέγει δὲ τοῦτο, ἵνα αὐτοὺς θεραπεύσῃ. πῶς δὲ ἦν τῇ πίστει προσκόψαι; ὥστε στηριχθῆναι μᾶλλον ὑμᾶς, καθάπερ νεοττοὺς διομένους τῆς μητρός, ἕως ἂν αὐτοῖς παγῇ τὰ πτερά. πολλῆς ἀγάπης τοῦτο τεκμήριον. οὕτω καὶ ἡμεῖς τινας διεγείρομεν, ὡς ὅταν εἴπωμεν· διὰ σὲ ἔμεινα, ἵνα σε ποιήσω χρηστόν. ἵνα τὸ καύχημα ὑμῶν, φησί, περισσεύῃ ἐν Χριστῷ Ἰησοῦ ἐν ἐμοὶ διὰ τῆς ἐμῆς παρουσίας πάλιν πρὸς ὑμᾶς. ὁρᾷς ὅτι τό, συμπαραμενῶ, τοῦτό ἐστιν; ὅρα τὴν ταπεινοφροσύνην. ἐπειδὴ εἶπεν εἰς τὴν ὑμῶν προκοπήν, δείκνυσιν ὅτι καὶ εἰς τὴν αὐτοῦ ὠφέλειαν. ὅπερ καὶ πρὸς Ῥωμαίους γράφων ποιεῖ, λέγων· Τοῦτο δέ ἐστι, συμπαρακληθῆναι ἐν ὑμῖν· (Ῥωμ. α. ιβ.) εἰπὼν πρότερον, Ἵνα τι μεταδῶ χάρισμα ὑμῖν πνευματικόν. τί δέ ἐστιν, ἵνα τὸ καύχημα ὑμῶν περισσεύῃ; ὅταν καὶ τὸ καύχημα ᾖ, τὸ ἐστηρίχθαι ἐν τῇ πίστει. τοῦτο γάρ ἐστι καύχημα ἐν Χριστῷ, τὸ ὀρθῶς βιοῦν. τὸ ὑμῶν καύχημα ἐν ἐμοὶ διὰ τῆς ἐμῆς παρουσίας πάλιν πρὸς ὑμᾶς; ναί, φησί. Τίς γὰρ ἡμῶν ἐλπίς, ἢ στέφανος καυχήσεως; ἢ οὐχὶ καὶ ὑμεῖς; Οὐ καύχημα (α. Θεσ. β. ιθ.) ἡμῶν ὑμεῖς ἐστε, καθάπερ καὶ ἡμεῖς ὑμῶν· (β. Κορ. α. ιδ.) τουτέστιν, ἵνα ἔχω καυχᾶσθαι ἐν ὑμῖν μειζόνως. πῶς; ἵνα περισσεύῃ τὸ καύχημα ὑμῶν. μειζόνως γὰρ ἔχω καυχᾶσθαι, ὑμῶν ἐπιδόντων. Διὰ τῆς ἐμῆς παρουσίας πάλιν πρὸς ὑμᾶς. τί οὖν; ἦλθε πρὸς αὐτούς; τοῦτο ζητητέον, εἰ ἦλθε.

27 Μόνον ἀξίως, φησί, τοῦ εὐαγγελίου τοῦ Χριστοῦ πολιτεύεσθε.

Ὁρᾷς ὅτι διὰ τοῦτο εἶπε πάντα, ἵνα εἰς τοῦτο αὐτοὺς προτρέψῃ ἐπιδοῦναι πρὸς ἀρετήν; μόνον ἀξίως τοῦ εὐαγγελίου τοῦ Χριστοῦ πολιτεύεσθε. τί ἐστι τό, μόνον; τοῦτό ἐστι τὸ ζητούμενον μόνον, καὶ οὐδὲν ἄλλο. ἂν τοῦτο ᾖ, οὐδὲν λυπηρὸν ἡμῖν συμβήσεται.

Ἵνα εἴτε ἐλθὼν, καὶ ἰδὼν ὑμᾶς, εἴτε ἀπὼν ἀκούσω τὰ περὶ ὑμῶν.

Οὐχ ὡς μεταθέμενος, οὐδ' ὡς οὐκέτι ἥξων, ταῦτα λέγει· ἀλλ' ἐὰν τοῦτο γένηται, φησί, καὶ ἀπὼν εὐφραίνεσθαι δύναμαι. Ἐὰν ἀκούσω, ὅτι στήκετε ἐν ἑνὶ πνεύματι, καὶ μιᾷ ψυχῇ. Τοῦτό ἐστιν ὃ μάλιστα συγκροτεῖ τοὺς πιστούς, καὶ τὴν ἀγάπην συνέχει. διὰ τοῦτο, ἵνα ὦσιν ἕν, φησὶν ὁ Χριστός. καὶ γὰρ βασιλεία μερισθεῖσα ἐφ' ἑαυτήν, οὐ σταθήσεται. διὰ τοῦτο πολλὴν ὑπὲρ ὁμονοίας ποιεῖται πανταχοῦ τὴν συμβουλὴν καὶ ὁ Παῦλος. (Ιωαν. ιζ. κα. κα. κς.) διὰ τοῦτο καὶ ὁ Χριστός φησιν, Ἐν τούτῳ γνώσονται πάντες, ὅτι μαθηταί μού ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους· (Ματθ. ιβ. κε.)

τουτέστι,

τούτου τυχεῖν, μέσην ἐν ταύτῃ ἡμῖν· ἀλλ' ἀμφότερα Παύλου, καὶ τῆς ἐκείνου ψυχῆς. τί λέγεις; οἶδας καὶ πέπεισαι, ὅτι μετὰ Χριστοῦ μέλλεις εἶναι, καὶ ἀμφιβάλλεις λέγων, οὐκ οἶδα τί αἱρήσομαι; καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὸ ἐνταῦθα αἱρῇ, τὸ ἐπιμεῖναι λέγω τῇ σαρκί; τί ποτε τοῦτό ἐστιν; οὐχὶ κατάπικρον ἔζης βίον; ἐν ἀγρυπνίαις, ἐν ναυαγίοις, ἐν λιμῷ καὶ δίψει καὶ γυμνότητι, ἐν μερίμναις, ἐν φροντίσι; μετὰ τῶν ἀσθενούντων ἠσθένεις, καὶ ὑπὲρ τῶν σκανδαλι-

β. Κορ. ς. δ. ζομένων ἐπυροῦ· Ἐν ὑπομονῇ πολλῇ, φησιν, ἐν θλίψεσιν, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις, — χ. πυρούμενος

ἐν πληγαῖς, ἐν φυλακαῖς, ἐν ἀκαταστασίαις, ἐν νηστείαις, ἐν ἀγρυπνίαις; πεντάκις τεσσαράκοντα παρὰ μίαν ἔλαβες, τρὶς ἐρραβδίσθης, ἅπαξ ἐλιθάσθης, νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκας· κινδύνοις ποταμῶν, κινδύνοις λῃστῶν, κινδύνοις ἐν πόλει, κινδύνοις ἐν ἐρημίᾳ, κινδύνοις ἐν ψευδαδέλφοις. οὐχὶ ὅτε τὸ Γαλατῶν ἅπαν ἔθνος ἐπὶ τὴν τοῦ νόμου παρατή-

Γαλ. ε. δ. ρησιν ἐπανῆλθεν, ἐβόας λέγων, Οἵτινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσατε; πόσα τότε οὐκ ἐπένθησας, καὶ ἔτι μᾶλλον τοῦτον ποθεῖς τὸν ἐπίπονον βίον; εἰ γὰρ μηδέν σοι τούτων συμβεβήκει, ἀλλὰ πάντα, ἅπερ κατωρθώκεις, κατώρθωσας μετὰ ἀδείας, μετὰ τρυφῆς, οὐκ — χ. πάντα, ὅσα

ἐχρῆν τὸ ἄδηλον τοῦ μέλλοντος δεδοικότα πρός τινα λιμένα σπεύδειν; τίς ἔμπορος, εἰπέ — χ. φθάνειν

μοι, θησαυρῶν μυρίων πλήρη τὴν ὁλκάδα ἔχων, παρὸν εἰς λιμένα καταδραμεῖν καὶ ἀναπαύεσθαι, ἕλοιτο θαλαττεύειν ἔτι; τίς ἀγωνιστὴς, παρὸν στεφανωθῆναι, ἕλοιτο ἀγωνίζεσθαι; τίς πυκτεύων, παρὸν ἀναδήσασθαι τὸν στέφανον, ἕλοιτο πάλιν εἰς τὸν ἀγῶνα εἰσιέναι, καὶ κατακόπτειν τὴν ἑαυτοῦ κεφαλήν; ποῖος στρατηγὸς, δέον ἀπαλλαγῆναι τοῦ πολέμου μετὰ εὐδοξίας καὶ τροπαίων, καὶ μετὰ τοῦ βασιλέως ἐν τοῖς βασιλείοις ἀναπαύεσθαι, καταδέξαιτο ἂν ἔτι καὶ ἱδροῦν καὶ παρατάττεσθαι; πῶς οὖν τὸν οὕτω κατάπικρον ζῶν βίον, ἔτι ἐνταῦθα μένειν

α. Κορ. θ. κζ. βούλει; οὐχὶ σὺ ἔλεγες, Φοβοῦμαι μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι; εἰ καὶ διὰ μηδὲν ἕτερον, διὰ τοῦτο γοῦν ἐχρῆν ἐπιθυμεῖν τῆς ἀπαλλαγῆς. εἰ μυρίων ἦν — χ. τὴν ἀπαλλαγήν.

ἀγαθῶν μεστὰ τὰ παρόντα, διὰ γοῦν τὸν Χριστὸν τὸν ποθούμενον ἔδει ποθεῖν τὴν τούτων ἀπαλλαγήν. βαβαὶ τῆς τοῦ Παύλου ψυχῆς. οὐδὲν ἴσον ἐκείνης γέγονεν, οὐδὲ ἔσται. φοβῇ τὸ μέλλον, μυρίοις ἐνέχῃ δεινοῖς, καὶ οὐ βούλει εἶναι πρὸς τὸν Χριστόν; οὔ, φησι· καὶ τοῦτο διὰ τὸν Χριστὸν, ἵνα οὓς εἰργασάμην αὐτῷ δούλους, εὐσεβεστέρους καταστήσω· ἵνα ὅπερ ἐφύτευσα γεώρ-

α. Κορ. ι. λγ. Ρωμ. θ. γ. γιον, καρποφορῆσαι ποιήσω. οὐκ ἤκουσας μου οὐχὶ τὸ ἐμαυτοῦ ζητοῦντος συμφέρον, ἀλλὰ τὸ τῶν πλησίον; οὐκ ἤκουσας, ὅτι ἀνάθεμα ηὐχόμην γενέσθαι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τοῦ — χ. ἑαυτοῦ

πολλοὺς αὐτῷ προσελθεῖν; ὁ ἐκεῖνο ἑλόμενος, οὐ πολλῷ μᾶλλον τοῦτο αἱρήσομαι, ἡδέως ἐμαυτὸν ζημιῶν διὰ τῆς ἀναβολῆς καὶ ὑπερθέσεως, ἵνα ἐκείνοις γένηταί τις σωτηρία; Τίς λαλήσει τὰς δυναστείας σου, Κύριε, ὅτι Παῦλον οὐκ ἀφῆκας λαθεῖν, ὅτι ἔδειξας τῇ οἰκουμένῃ

Ιωβ. λη. ζ. τοιοῦτον ἄνδρα; Ἤνεσάν σε πάντες ἄγγελοι ὁμοθυμαδὸν, ὅτε τὰ ἄστρα εἰργάσω, οὐκοῦν καὶ ὅτε τὸν ἥλιον· ἀλλ' οὐχ οὕτως, ὡς ὅτε τὸν Παῦλον ἔδειξας ἡμῖν καὶ τῇ οἰκουμένῃ πάσῃ. διὰ τοῦτον λαμπροτέρα γέγονεν ἡ γῆ τοῦ οὐρανοῦ, φαιδρότερος οὗτος τοῦ ἡλιακοῦ φωτὸς, ἀφῆκε λαμπροτέρας τὰς μαρμαρυγάς, φαιδρὰς τὰς ἀκτῖνας ἥπλωσεν. ἡλίκον ἡμῖν οὗτος ἔτεκε τὸν

καρπὸν, οὐκ ἀστάχυς πιαίνων, οὐδὲ ῥοιὰς τρέφων, ἀλλὰ τὸν τῆς εὐσεβείας καρπὸν καὶ — χ. οὐ στάχ.

τίκτων, καὶ εἰς ἀκμὴν ἄγων, καὶ διαπίπτοντα συνεχῶς ἀνακτώμενος; εἰκότως. οὗτος μὲν γὰρ — χ. ῥόας.

ὁ ἥλιος τὸ ἅπαξ διαφθαρὲν τῶν ἀκροδρύων οὐδὲν ἀνῆσαι δυνήσεται· Παῦλος δὲ οὐ μυρίας — χ. -ποντας

ἔχοντας ἐπιδόσεις, ἐξ ἁμαρτημάτων ἀνεκαλεῖτο· καὶ οὗτος μὲν παραχωρεῖ τῇ νυκτί, ἐκεῖνος δὲ τοῦ διαβόλου περιεγένετο. οὐδὲν εἷλεν ἐκεῖνον, οὐδὲν ἐκράτησεν. ἐκεῖνος ἀφ' ὕψους φε-

ρόμενος, κάτω τὰς ἀκτῖνας ἀφίησιν· αὐτὸς δὲ κάτωθεν ἀνατέλλων, οὐχὶ τὸ μέσον οὐρανοῦ καὶ — ἰσ. ἰ

τῆς γῆς τοῦ φωτὸς ἐπλήρωσεν, ἀλλ' ἅμα τὸ στόμα ἀνέῳξε, καὶ τοὺς ἀγγέλους ἐνέπλησε πολλῆς τῆς ἡδονῆς. πῶς; εἰ γὰρ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι χαρὰ γίνεται ἐν τοῖς

Λουκ. ιε. ι. οὐρανοῖς, αὐτὸς δὲ ἐκ πρώτης δημηγορίας πολλοὺς ἐθήρευσε, πῶς οὐκ ἐμπλήσει χα-

ρᾶς

δὸς γινόμενοι, πολλὴν τὴν ὠφέλειαν. ὅταν γὰρ ἑστήκῃ λαὸς ὁλόκληρος χεῖρας ἀνατείνοντες, πλήρωμα ἱερατικόν, καὶ πρόκειται ἡ φρικτὴ θυσία, πῶς οὐ δυσωπήσομεν ὑπὲρ τούτων τὸν Θεὸν παρακαλοῦντες; ἀλλὰ τοῦτο μὲν περὶ τῶν ἐν πίστει προελθόντων. οἱ δὲ κατηχούμενοι οὐδὲ ταύτης καταξιοῦνται τῆς παραμυθίας, ἀλλ' ἀπεστέρηνται πάσης τῆς τοιαύτης βοηθείας, πλὴν μιᾶς τινος. ποίας δὴ ταύτης; ἔξεστι πένησιν ὑπὲρ αὐτῶν διδόναι· ποιεῖ τινα αὐτοῖς παραψυχὴν τὸ πρᾶγμα. καὶ γὰρ παρ' ἀλλήλων ἡμᾶς ὠφελεῖσθαι βούλεται ὁ Θεός. διὰ τί γὰρ ὑπὲρ εἰρήνης, καὶ εὐσταθείας τοῦ κόσμου κελεύσει εὔχεσθαι; διὰ τί ὑπὲρ πάντων ἀνθρώπων; καίτοιγε ἐνταῦθα ἐν πᾶσιν εἰσὶ καὶ λῃσταί, καὶ τυμβωρύχοι, καὶ κλέπται, καὶ μυρίων κακῶν γέμοντες, ἀλλ' ὅμως ὑπὲρ πάντων εὐχόμεθα. ἴσως γὰρ ἔσται τις αὐτῶν ἐπιστροφή. ὥσπερ οὖν ὑπὲρ τῶν ζώντων εὐχόμεθα τῶν οὐδὲν διαλλαττόντων τῶν νεκρῶν, οὕτως ἔξεστι καὶ ὑπὲρ ἐκείνων εὔχεσθαι. ὁ Ἰὼβ ὑπὲρ τῶν παίδων ἐποίει θυσίας, καὶ ἀπήλλαττεν αὐτοὺς τῶν ἁμαρτημάτων· Μήποτε ἐνενόησαν, φησί, τι ἐν τῇ καρδίᾳ αὐτῶν. οὕτω τις προΐσταται παίδων. οὐκ εἶπε, καθάπερ οἱ πολλοὶ τῶν νῦν ἀνθρώπων, καταλείπω αὐτοῖς ὑπάρχοντα· οὐκ εἶπε δῶ αὐτοῖς δόξαν· οὐκ εἶπεν, ἀρχὴν ὠνήσομαι· οὐκ εἶπεν, ἀγροὺς πρίωμαι. ἀλλὰ τί; μήτι ἐνενόησαν ἐν τῇ καρδίᾳ αὐτῶν. τί γὰρ ὄφελος ἐκείνων πάντων ἐνταῦθα μενόντων; οὐδέν. τὸν βασιλέα πάντων ἵλεων ποιήσω, φησίν, αὐτοῖς, καὶ οὐδὲν αὐτοῖς λείπει λοιπόν. Κύριος γάρ, φησι, ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει. οὗτος πλοῦτος μέγας, οὗτος θησαυρός. ἂν τὸν τοῦ Θεοῦ φόβον ἔχωμεν, οὐδενὸς ἡμῖν δεῖ· ἂν δὲ τοῦτον μὴ ἔχωμεν, κἂν τὴν βασιλείαν αὐτὴν ἔχωμεν, πάντων ἐσμὲν πενέστεροι· οὐδὲν ἴσον τῷ φοβουμένῳ τὸν Κύριον. Ὁ φόβος γάρ, φησι, τοῦ Κυρίου πάντα ὑπερέβαλε. τοῦτον κτησώμεθα, ὑπὲρ τούτου πάντα πράττωμεν· κἂν τὴν ψυχὴν ἀποδόσθαι δέῃ, μὴ φεισώμεθα, κἂν τὸ σῶμα κατακόψαι· πάντα πράττωμεν, ἵνα τοῦ φόβου τούτου ἐπιτύχωμεν. οὕτω γὰρ ἐσόμεθα πάντων εὐπορώτεροι, καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ.

γρ. ἀξιοῦνται
γρ. προνοεῖ
Ἰωβ α ε.
Ψαλ. κβ α.
Σειρ. κε. ια.

Λογ. δ. 22 ΚΑΙ ΤΙ ΑΙΡΗΣΟΜΑΙ, ΟΥ ΓΝΩΡΙΖΩ·

23 Συνέχομαι δὲ ἐκ τῶν δύο, τὴν ἐπιθυμίαν ἔχων εἰς τὸ ἀναλῦσαι, καὶ σὺν Χριστῷ εἶναι· πολλῷ γὰρ μᾶλλον κρεῖσσον· 24 Τὸ δὲ ἐπιμένειν ἐν τῇ σαρκί, ἀναγκαιότερον δι' ὑμᾶς. 25 Καὶ τοῦτο πεποιθὼς οἶδα, ὅτι μενῶ, καὶ συμπαραμενῶ πᾶσιν ὑμῖν εἰς τὴν ὑμῶν προκοπὴν καὶ χαρὰν τῆς πίστεως· 26 Ἵνα τὸ καύχημα ὑμῶν περισσεύῃ ἐν Χριστῷ Ἰησοῦ ἐν ἐμοὶ διὰ τῆς ἐμῆς παρουσίας πάλιν πρὸς ὑμᾶς.

γρ. γὰρ

Οὐδὲν τῆς Παύλου ψυχῆς μακαριώτερον, ἐπειδὴ μηδὲ γενναιότερον. ἀλλὰ νῦν τὸ ἐναντίον εὔχομαι εἰπεῖν περὶ πάντων· οὐδὲν ἡμῶν ἀθλιώτερον, οὐδὲ ταλαιπωρότερον. διὰ τοῦτο πάντες πεφρίκαμεν τὸν θάνατον· οἱ μὲν διὰ τὸ τῶν ἁμαρτημάτων πλῆθος, ὧν καὶ αὐτὸς εἷς εἰμι· οἱ δὲ διὰ τὴν φιλοψυχίαν καὶ ταλαιπωρίαν, ὧν μήποτε γενοίμην ἐγώ. ψυχικοὶ γὰρ οἱ τοῦτον δεδοικότες τὸν φόβον. τοῦτο τοίνυν, ὃ πάντες πεφρίκαμεν, ἐκεῖνος ηὔχετο, καὶ πρὸς ἐκεῖνον ἠπείγετο, τὸ ἀναλῦσαι λέγων πολλῷ μᾶλλον κρεῖσσον, καὶ τί αἱρήσομαι, οὐκ οἶδα. τί λέγεις; μέλλων ἐντεῦθεν πρὸς τὸν οὐρανὸν μεθίστασθαι, καὶ μετὰ Χριστοῦ εἶναι, οὐ γνωρίζεις τί αἱρήσῃ; ἀλλὰ πόρρω τῆς Παύλου ταῦτα ψυχῆς. τίνι γὰρ εἴ τις εἶπε τοῦτο καὶ διεβεβαιώσατο, οὐκ ἂν εὐθέως ἥρπασε; ναί, φησιν. ἀλλ' ὥσπερ οὐκ ἔστιν ἡμῶν, τὸ ἀναλῦσαι, καὶ σὺν Χριστῷ εἶναι, οὕτως οὐδὲ τό, παρὰ

τούτου

24 Τὸ δὲ ἐπιμένειν τῇ σαρκὶ ἀναγκαιότερον δι' ὑμᾶς. Ταῦτα πρὸς παραμυθίαν εἴρηται τῆς μελλούσης αὐτοῦ τελευτῆς, ἵνα φέρωσιν αὐτὴν γενναίως· ταῦτα φιλοσοφίας διδασκαλικά. Καλὸν, φησὶ, τὸ ἀναλῦσαι, καὶ σὺν Χριστῷ εἶναι. Καὶ γὰρ ὁ θάνατος τῶν ἀδιαφόρων ἐστίν. Οὐ γὰρ κακὸν ὁ θάνατος, ἀλλὰ κακὸν τὸ ἀποθανόντα κολάζεσθαι· οὐδὲ καλὸν ὁ θάνατος, ἀλλὰ καλὸν τὸ ἀπελθόντα σὺν Χριστῷ εἶναι. * Τὰ μετὰ θάνατον, ἢ καλὰ, ἢ κακά. [* ὅτι]

ΗΘΙΚΟΝ

Μὴ τοίνυν ἐπὶ τοῖς ἀποθνήσκουσι πενθῶμεν ἁπλῶς, μηδὲ ἐπὶ τοῖς ζῶσι χαίρωμεν ἁπλῶς, ἀλλὰ τί; πενθῶμεν τοὺς ἁμαρτωλοὺς, μὴ ἀποθνήσκοντας μόνον, ἀλλὰ καὶ ζῶντας· χαίρωμεν δὲ ἐπὶ τοῖς δικαίοις, μὴ ζῶσι μόνον, ἀλλὰ καὶ τετελευτηκόσιν. Ἐκεῖνοι μὲν γὰρ καὶ ζῶντες τεθνήκασιν· οὗτοι δὲ καὶ ἀποθανόντες, ζῶσιν. Ἐκεῖνοι καὶ ἐνταῦθα ὄντες, ἐλεεινοὶ πᾶσίν εἰσιν, ἐπεὶ Θεῷ προσκρούουσιν· οὗτοι καὶ ἐκεῖ μεταστάντες, μακάριοι, ὅτι πρὸς τὸν Χριστὸν ἀπῆλθον.

α. Κορ. 13. 12.

Οἱ ἁμαρτωλοὶ, ὅπου ἂν ὦσι, πόρρω τοῦ βασιλέως εἰσί· διὰ τοῦτο δακρύων ἄξιοι· οἱ δὲ δίκαιοι, εἴτε ἐνταῦθα, εἴτε ἐκεῖ, μετὰ τοῦ βασιλέως εἰσί, κἀκεῖ μᾶλλον καὶ ἐγγύτερον, οὐ * διὰ " εἰσόδου, οὐ διὰ πίστεως, ἀλλὰ πρόσωπον, φησὶ, πρὸς πρόσωπον. [* διὰ] Μὴ τοίνυν ἁπλῶς κλαίωμεν τοὺς " ἀποθανόντας, ἀλλὰ τοὺς ἐν ἁμαρτίαις. [Ἴσ. ἐπεὶ ὁ] Οὗτοι θρήνων ἄξιοι, οὗτοι κοπετῶν καὶ δακρύων. [χ. ἀπελθόντας] Ποία γὰρ ἐλπὶς, εἰπέ μοι, μετὰ ἁμαρτημάτων ἀπελθεῖν, ἔνθα οὐκ ἔστιν ἁμαρτήματα ἀποδύσασθαι; ἕως μὲν γὰρ ἦσαν ἐνταῦθα, ἴσως ἦν προσδοκία πολλὴ, ὅτι μεταβαλοῦνται, ὅτι βελτίους ἔσονται· ἂν δὲ ἀπέλθωσιν εἰς τὸν ᾅδην, ἔνθα οὐκ ἔστιν ἀπὸ μετανοίας κερδᾶναί τι (Ἐν γὰρ τῷ ᾅδῃ, φησὶ, τίς ἐξομολογήσεταί σοι;)

Ψαλ. 6.

πῶς οὐ θρήνων ἄξιοι; κλαίωμεν τοὺς οὕτως ἀπερχομένους, οὐ κωλύω, κλαίωμεν, ἀλλὰ μὴ ἀσχημόνως, μὴ τρίχας τίλλοντες, μὴ βραχίονας γυμνοῦντες, μὴ " ὄψιν σπαράττοντες, μὴ μελανειμονοῦντες, ἀλλὰ μόνον κατὰ ψυχὴν ἠρέμα δάκρυον ἀφιέντες πικρόν. [χ. ὄψεις] Ἔνεστι γὰρ καὶ ταύτης χωρὶς τῆς πομπῆς κλαῦσαι πικρῶς, καὶ μὴ παίζειν μόνον. Παιγνίων γὰρ οὐδὲν διεστηκότα τὰ ὑπό τινων γινόμενα. Καὶ γὰρ οὐ συμπαθείας ἐκεῖνοι οἱ κοπετοὶ οἱ ἐπ' ἀγορᾶς, ἀλλ' ἐπιδείξεως καὶ φιλοτιμίας καὶ κενοδοξίας εἰσί. Πολλαὶ διὰ τέχνην τοῦτο ποιοῦνται. Κλαῦσον πικρῶς, στέναξον κατ' οἰκίαν, μηδενὸς ὁρῶντος. Τοῦτο συμπαθείας ἐστὶ, τοῦτο καὶ σὲ ὠφελεῖ. Ὁ γὰρ ἐκεῖνον πενθῶν οὕτω, πολλῷ μᾶλλον αὐτὸς σπουδάσει μηδέποτε τοῖς αὐτοῖς περιπεσεῖν· φοβερά σοι ἔσται ἡ ἁμαρτία λοιπόν. Κλαῦσον τοὺς ἀπίστους, κλαῦσον τοὺς οὐδὲν ἐκείνων ἀπέχοντας, τοὺς χωρὶς φωτίσματος ἀπερχομένους, τοὺς χωρὶς σφραγῖδος· οὗτοι ὄντως θρήνων ἄξιοι, οὗτοι ὀδυρμῶν· ἔξω τῶν βασιλείων εἰσὶ μετὰ τῶν καταδίκων, μετὰ τῶν κατεγνωσμένων.

Ιωαν. 3. 5.

Ἀμὴν γὰρ λέγω ὑμῖν, ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Κλαῦσον τοὺς ἐν πλούτῳ τετελευτηκότας, καὶ μηδεμίαν ἀπὸ τοῦ πλούτου παραμυθίαν ταῖς ἑαυτῶν ψυχαῖς ἐπινοήσαντας, τοὺς λαβόντας ἐξουσίαν ἀπολούσασθαι αὐτῶν τὰ ἁμαρτήματα, καὶ μὴ βουληθέντας. Τούτους κλαίωμεν καὶ ἰδίᾳ, καὶ κοινῇ πάντες, ἀλλὰ μετὰ κοσμιότητος, ἀλλὰ μετὰ σεμνότητος, ἀλλὰ μὴ ὥστε παραδειγματίζειν ἑαυτούς. Τούτους κλαίωμεν μὴ μίαν ἡμέραν, μηδὲ δευτέραν, ἀλλὰ τὸν πάντα βίον ἡμῶν. Τοῦτο οὐκ ἔστι πάθους ἀλόγου τὸ δάκρυον, ἀλλὰ φιλοστοργίας· ἐκεῖνο δὲ πάθους ἀλόγου· διὰ τοῦτο καὶ ταχέως σβέννυται. Ὅταν " γὰρ διὰ τὸν τοῦ Θεοῦ φόβον γίνηται, ἀεὶ παραμένει. [χ. 3] Κλαίωμεν οὖν τούτους, βοηθῶμεν αὐτοῖς κατὰ δύναμιν, ἐπινοήσωμεν αὐτοῖς τινα βοήθειαν, μικρὰν μὲν, " βοηθεῖν δὲ ὅμως δυναμένην. [χ. " βοηθεῖν δὲ ὅμως.] Πῶς καὶ τίνι τρόπῳ; αὐτοί τε εὐχόμενοι, καὶ ἑτέρους παρακαλοῦντες εὐχὰς " ὑπὲρ αὐτῶν ποιεῖσθαι, πένησιν ὑπὲρ αὐτῶν διδόντες συνεχῶς. [χ. ἀεὶ] Ἔχει

δ. Βασ. κ. 6.

τινὰ τὸ πρᾶγμα παραμυθίαν. Ἄκουε γὰρ τοῦ Θεοῦ λέγοντος· Ὑπερασπιῶ τῆς πόλεως ταύτης δι' ἐμὲ, καὶ διὰ Δαβὶδ τὸν δοῦλόν μου. Εἰ μνήμη μόνον δικαίου τοσοῦτον ἴσχυσεν, ὅταν καὶ ἔργα γίνηται ὑπὲρ αὐτοῦ, " πῶς οὐκ ἰσχύσει; Οὐκ εἰκῆ ταῦτα ἐνομοθετήθη ὑπὸ τῶν ἀποστόλων, [χ. πόσῳ] τὸ ἐπὶ τῶν φρικτῶν μυστηρίων μνήμην γίνεσθαι τῶν ἀπελθόντων. Ἴσασιν αὐτοῖς πολὺ κέρδος

δος

Digitized by Google

ἐμοὶ ὁ δεῖνα οὐ ζῇ, πάλιν ὁμοίως. ὅτι γὰρ οὐ τὴν φυσικὴν παραιτεῖται ζωήν, φησὶν ἀλλαχοῦ· Ὃ δὲ νῦν ζῶ ἐν σαρκί, ἐν πίστει ζῶ τῇ τοῦ υἱοῦ τοῦ Θεοῦ τοῦ ἀγαπήσαντός με, καὶ παραδόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ, τουτέστι, κατὰ τὴν ἰδίαν ζωὴν ζῶ, ἐξηλλαγμένην. Ταῦτα δὴ πάντα πρὸς παραμυθίαν τῶν Φιλιππησίων λέγει. μὴ νομίσητε, φησιν, ὅτι τῆς ζωῆς ἀποστεροῦμαι ταύτης· ἐπεὶ μηδὲ ζῶ, ταύτην ἔζων τὴν ζωήν, ἀλλ' ἐκείνην, ἣν ὁ Χριστὸς ἐβούλετο. Εἰπὲ γάρ μοι· ὁ χρημάτων καταφρονῶν, ὁ τρυφῆς, ὁ λιμοῦ καὶ δίψης, ὁ κινδύνων, ὁ ὑγείας, ὁ σωτηρίας, ταύτην ζῇ τὴν ζωήν; ὁ μηδὲν ἐνταῦθα ἔχων, ὁ πολλάκις αὐτὴν ῥῖψαι βουλόμενος, ἀνάγκης οὔσης, καὶ μὴ ἀντιποιηθείς, ταύτην ζῇ τὴν ζωήν; οὐδαμῶς. ὡς ἐπὶ ὑποδείγματος δὲ ὑμῖν χρὴ τοῦτο ποιῆσαι φανερόν. οἷον, ἔστω τις ἐν πλούτῳ πολλῷ, καὶ οἰκέτας ἐχέτω, καὶ χρυσίον, καὶ μηδενὶ τούτων κεχρήσθω. ἆρα ὁ τοιοῦτος πλουτεῖ διὰ τὸν πλοῦτον ἐκεῖνον; οὐδαμῶς. ὁράτω δὲ καὶ διασπαθίζοντας τὰ ὑπάρχοντα τοὺς παῖδας, εἰκῇ ῥεμβομένους, καὶ μηδενὸς αὐτῶν φροντιζέτω· εἰ βούλει δέ, καὶ τυπτόμενος μὴ ἀλγείτω· ἆρα φήσομεν αὐτὸν εἶναι ἐν πλούτῳ; οὐδαμῶς· καίτοιγε αὐτοῦ ἐστιν. οὕτω καὶ Παῦλος, ἐμοί, φησι, τὸ ζῆν, Χριστός. Εἰ βούλει τὴν ζωὴν ἐξετάσαι τὴν ἐμήν, ἐκεῖνός ἐστι, καὶ τὸ ἀποθανεῖν, κέρδος. διὰ τί; ὅτι σαφέστερον αὐτῷ συνέσομαι μᾶλλον· ὥστε μᾶλλόν ἐστι ζῆσαι τὸ ἀποθανεῖν. οὐδὲν δὲ ἀδικόν ἐργάσονταί με οἱ ἀποκτιννοῦντές με, τῇ ζωῇ παραπέμποντες τῇ ἐμῇ, καὶ ταύτης τῆς οὐ προσηκούσης ἀπαλλάττοντες. τί οὖν; ἐνταῦθα ὤν, οὐκ ἦς τοῦ Χριστοῦ; καὶ σφόδρα.

22 Εἰ δὲ τὸ ζῆν ἐν σαρκί, τοῦτό μοι καρπὸς ἔργου, καὶ τί αἱρήσομαι, οὐ γνωρίζω.

Ἵνα μή τις εἴποι, εἰ τοίνυν ἐκεῖ ἡ ζωή, τίνος ἕνεκεν ὁ Χριστὸς εἴασέ σε ἐνταῦθα; καρπὸς ἔργου, φησίν, ἐστιν. ὥστε ἔνεστι καὶ τῇ παρούσῃ ζωῇ εἰς δέον χρήσασθαι, μὴ ζῶντας αὐτήν, ὡς οἱ πολλοί. τοῦτό φησιν, ἵνα μὴ νομίσῃς διαβεβλῆσθαι τὴν ζωήν, μηδὲ εἴπῃς· εἰ γὰρ οὐδὲν χρησιμεύομεν ἐνταῦθα, τίνος ἕνεκεν οὐκ ἀναιροῦμεν ἑαυτούς, οὐδὲ ἀποκτείνομεν; μηδαμῶς, φησιν· ἔνεστι καὶ ἐνταῦθα ὄντα κερδαίνειν, ἐὰν μὴ ζῶμεν τὴν ζωὴν ταύτην, ἀλλ' ἑτέραν. ἀλλ' ἴσως ἐρεῖ τις, τοῦτο καρπόν σοι φέρει; ναί, φησι. ποῦ νῦν οἱ αἱρετικοί; ἰδοὺ νῦν τὸ ζῆν ἐν σαρκί, τοῦτό φησι καρπὸν ἔργου. καὶ γὰρ ἔργου, πῶς καρπὸς ἔργου; Ὃ δὲ νῦν ζῶ ἐν σαρκί, ἐν πίστει ζῶ. διὰ τοῦτο καρπὸς ἔργου. καὶ τί αἱρήσομαι, οὐ γνωρίζω. βαβαί, πόση ἦν ἡ φιλοσοφία; πῶς καὶ τὴν ἐπιθυμίαν ἐξέβαλε τῆς παρούσης ζωῆς, καὶ οὐ διέβαλεν αὐτήν; τῷ μὲν γὰρ εἰπεῖν, ὅτι τὸ ἀποθανεῖν κέρδος, τούτῳ τὴν ἐπιθυμίαν ἐξέβαλε· τῷ δὲ εἰπεῖν, ὅτι τὸ ζῆν ἐν σαρκί, καρπὸς ἔργου, τούτῳ ἔδειξε καὶ τὴν παροῦσαν ἀναγκαίαν ζωήν. πῶς; ἐὰν εἰς δέον αὐτῇ χρώμεθα, ἐὰν καρποφορῶμεν· ὡς ἐὰν ἄκαρπος ᾖ, οὐκ ἔστιν ἔτι ζωή. καὶ γὰρ τῶν δένδρων τὰ μὴ φέροντα καρπόν, ὁμοίως τῶν ξηρῶν ἀποστρεφόμεθα, καὶ πυρὶ παραδίδομεν. τὸ γὰρ ζῆν, πάλιν τῶν μέσων ἐστὶ καὶ ἀδιαφόρων· τὸ δὲ καλῶς, ἢ κακῶς, ἐν ἡμῖν ἐστιν. ὥστε οὐ μισοῦμεν τὸ ζῆν· ἔνεστι γὰρ ζῆν καὶ καλῶς. ὡς ἐὰν κακῶς αὐτῷ χρησώμεθα, οὐδὲ οὕτω διαβάλλομεν αὐτό. διὰ τί; ὅτι οὐκ αὐτὸ αἴτιον γέγονεν, ἀλλ' ἡ προαίρεσις τῶν κακῶς χρωμένων αὐτῷ. ὁ μὲν γὰρ Θεός σε ἐποίησε ζῆν, ἵνα αὐτῷ ζῇς· σὺ δὲ ὑπὸ τῆς κακίας τῇ ἁμαρτίᾳ ζήσας, ὑπεύθυνον σαυτὸν πάσης αἰτίας ποιεῖς. τί λέγεις, εἰπέ μοι, ὦ Παῦλε; οὐ γνωρίζεις, τί αἱρήσῃ; ἐνταῦθα μέγα ἀπεκάλυψε μυστήριον, ὅτι κύριος ἦν τοῦ ἀπελθεῖν. ὅταν γὰρ αἵρεσις ᾖ, κύριοί ἐσμεν. τί αἱρήσομαι, φησιν, οὐ γνωρίζω. ἐν σοὶ οὖν ἐστι; ναί, φησιν· εἰ βουλοίμην αἰτῆσαι τὸν Θεὸν χάριν.

23 Συνέχομαι γὰρ ἐκ τῶν δύο, τὴν ἐπιθυμίαν ἔχων. Ὅρα τὴν φιλοστοργίαν τοῦ μακαρίου τούτου· καὶ ταύτῃ αὐτοὺς παραμυθεῖται, ὅταν ἴδωσιν, ὅτι αὐτὸς κύριός ἐστι τῆς αἱρέσεως, ὅτι οὐκ ἀνθρωπίνη πονηρία τοῦτο γέγονεν, ἀλλὰ Θεοῦ οἰκονομία *. τί τοίνυν ἀλγεῖτε, φησιν, ἐπὶ τῷ θανάτῳ; πολλῷ κρεῖττον ἦν πάλαι ἀπελθεῖν. Τὸ ἀναλῦσαι γάρ, φησι, καὶ σὺν Χριστῷ εἶναι, πολλῷ μᾶλλον κρεῖσσον·

γ. ἐπειδὴ

γ. διασκορπίζοντας· ἀλ. διασπαθῶντας

γ. ἀποκτιννῶντ.

γ. τί

γ. τοῦτο

γ. τί

γ. τοῦτο

γ. μισοῦμεν

γ. -σόμ.

γ. μυστήριον διὰ γὰρ τούτου καὶ ὅτι κύριος ἦν τοῦ ἀπελθεῖν δείκνυσιν.

* οὐ μικρὰν ἀφορμὴν πρὸς παραμυθίαν ὁρμῶν.

Γαλ. β. κ.

Γαλ. β. κ.



Digitized by Google

φόβος περιέκοπτέ μου τὴν παῤῥησίαν, αἰσχύνης ἄξιον τὸ ἀποθανεῖν. Εἰ δὲ οὐδὲν τούτων ἐπιλαβὸν ἐφόβησεν, οὐκ αἰσχύνη τοῦτο· ἀλλ' εἴτε ζῶ, διὰ τοῦ ζῆν οὐκ αἰσχυνθήσομαι (κηρύττω γὰρ τὸ κήρυγμα) εἴτε ἀποθάνω, διὰ τοῦ ἀποθανεῖν οὐκ αἰσχυνθήσομαι. οὐ κατέσχε με γὰρ φόβος. [χ. κατέσχε με] τὴν γὰρ αὐτὴν παῤῥησίαν ἐπιδείκνυμαι. μὴ γὰρ, ἐπειδὴ δεσμὰ εἶπον, αἰσχύνην τὸ πρᾶγμα νομίσητε. πολλῶν ἀγαθῶν αἴτιόν μοι γέγονεν, ὅτι καὶ ἑτέροις ἔδωκε θαῤῥεῖν. οὐ γὰρ τὸ δεθῆναι διὰ Χριστὸν, ἀλλὰ τὸ φοβηθέντα τὰ δεσμὰ προδοῦναί τι τῶν τοῦ Χριστοῦ, τοῦτο αἰσχύνη. ὡς ἂν τοῦτο μὴ ᾖ, καὶ παῤῥησίας παρέξει τὰ δεσμά. μὴ ἐπειδὴ πολλάκις διέφυγον κινδύνους (καὶ ἔχω ἐπὶ τούτοις καυχᾶσθαι πρὸς τοὺς ἀπίστους) ἂν μὴ συμβῇ τι τοιοῦτον, ἤδη νομίζητε αἰσχύνεσθαι. [χ. -ζετε] καὶ γὰρ καὶ τοῦτο οὐχ ἧττον ἐκείνου δίδωσιν ὑμῖν τὴν παῤῥησίαν. ὅρα πῶς ἐπὶ τοῦ οἰκείου προσώπου αὐτὸ προάγει· ὅπερ πολλαχοῦ ποιεῖ καὶ ἀλλαχοῦ, καθάπερ ἐπὶ Ῥωμαίων, [Ρωμ. α. ις.] Οὐ γὰρ ἐπαισχύνομαι τὸ εὐαγγέλιον, φησί· καθάπερ ἐπὶ Κορινθίων, [α Κορ. δ. ς.] Ταῦτα δὲ μετεσχημάτισα εἰς ἐμαυτὸν καὶ Ἀπολλώ. Εἴτε διὰ ζωῆς, εἴτε διὰ θανάτου. οὐχ ὡς ἀγνοῶν τοῦτό φησιν (οἶδε μὲν γὰρ, ὅτι οὐκ ἀποθανεῖται τότε, ἀλλὰ μετὰ ταῦτα) πλὴν αὐτὴν παρασκευάζει τὴν ψυχὴν ἤδη.

21 Ἐμοὶ γὰρ, φησὶ, τὸ ζῆν, Χριστὸς, καὶ τὸ ἀποθανεῖν, κέρδος. Καὶ γὰρ ἀποθανὼν, φησὶν, οὐ τεθνήξομαι, τὴν ζωὴν ἔχων ἐν ἐμαυτῷ. τότε με ἀνεῖλον ἄν, εἰ ἴσχυσαν διὰ τοῦ φόβου τὴν πίστιν ἐκβαλεῖν τῆς ἐμῆς ψυχῆς· ἕως δ' ἂν Χριστὸς ᾖ μετ' ἐμοῦ, κἂν θάνατος ἐπέλθῃ, ζῶ. καὶ ἐν τῇ ζωῇ δὲ ταύτῃ, οὐ τοῦτό ἐστί μου τὸ ζῆν, ἀλλ' ὁ Χριστός. εἰ τοίνυν οὐδὲ [Γαλ. β. κ.] ἐν τῇ ζωῇ ταύτῃ τοῦτό ἐστιν· Ὃ δὲ νῦν ζῶ ἐν σαρκὶ, ἐν πίστει ζῶ, τοῦτο κἀκεῖ λέγω. Ζῶ δὲ οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός. τοιοῦτον χρὴ εἶναι τὸν χριστιανόν. οὐ ζῶ, φησὶ, τὴν κοινὴν ζωήν. πῶς οὖν ζῇς, ὦ μακάριε Παῦλε; οὐχὶ τὸν ἥλιον ὁρᾷς; οὐχὶ τὸν κοινὸν ἀέρα ἀναπνεῖς; οὐχὶ ταύταις ταῖς ἁπάντων τρέφῃ τροφαῖς; οὐχὶ τὴν γῆν πατεῖς, ὥσπερ ἡμεῖς; οὐχὶ ὕπνου δέῃ; οὐχὶ ἐνδυμάτων; οὐχὶ ὑποδημάτων; τί λέγεις, οὐ ζῶ; πῶς οὐ ζῇς; τί μεγαλαυχεῖς; οὐκ ἔστι μεγαληγορία ταῦτα. εἰ μὲν γὰρ μὴ τὰ πράγματα ἐμαρτύρει, εἰκότως ἄν τις εἴποι μεγαληγορίαν εἶναι· εἰ δὲ τὰ πράγματα μαρτυρεῖ, ποία μεγαληγορία; πῶς οὖν οὐ ζῇ, μάθωμεν. [Γαλ. ς. ιδ.] καὶ γὰρ ἀλλαχοῦ φησιν· Ἐγὼ τῷ κόσμῳ ἐσταύρωμαι, καὶ ἐμοὶ ὁ κόσμος. πῶς οὖν φησιν, οὐκέτι ζῶ, καὶ πῶς πάλιν, ἐμοὶ τὸ ζῆν Χριστὸς, ἀκούσατε. τὸ τῆς ζωῆς ὄνομα πολυσήμαντόν ἐστιν, ἀγαπητοί, [τουτέστι, πολλὰ σημαίνει,] ὥσπερ καὶ τὸ τοῦ θανάτου. ἔστι ζωὴ αὕτη [Ρωμ. ς. β.] ἡ τοῦ σώματος, καὶ ἔστι ζωὴ ἡ τῆς ἁμαρτίας· καθώς φησιν αὐτὸς ἀλλαχοῦ· Εἰ δὲ ἀπεθάνομεν τῇ ἁμαρτίᾳ, πῶς ἔτι ζήσομεν ἐν αὐτῇ; ἄρα ἐστὶ ζῆν τὴν τῆς ἁμαρτίας ζωήν. προσέχετε ἀκριβῶς, παρακαλῶ, ἵνα μὴ εἰκῇ κοπιώμεθα. ἔστι ζωὴ ἡ ἀΐδιος καὶ ἀθάνατος, [Φιλιπ. γ. κ.] μετὰ δὲ ταύτης ἡ οὐράνιος. Ἡμῶν γὰρ, φησὶ, τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει. [Πράξ. ιζ. κη.] ἔστι ζωὴ ἡ τοῦ σώματος, ἥν φησι, Δι' αὐτοῦ ζῶμεν καὶ κινούμεθα καί ἐσμεν. οὐ τὴν φυσικὴν οὖν φησι μὴ ζῆν ζωὴν, ἀλλὰ ταύτην τὴν τῶν ἁμαρτημάτων, ἣν ἅπαντες ἄνθρωποι ζῶσιν. εἰκότως· ὁ γὰρ μὴ ἐπιθυμῶν τῆς παρούσης ζωῆς, πῶς ταύτην ζῇ; ὁ πρὸς ἑτέραν σπεύδων, πῶς ταύτην ζῇ; ὁ θανάτου καταφρονῶν, πῶς ταύτην ζῇ; ὁ μηδενὸς τῶν ἐνταῦθα [χ. ἐρῶν τῶν ἐν κόσμῳ] ἐπιθυμῶν, πῶς ταύτην ζῇ; ὥσπερ γὰρ εἰ ἐξ ἀδάμαντος συγκείμενος, κἂν μυριάκις πλήττοιτο, οὐκ ἂν ἐπιστραφείη ποτὲ, οὕτως οὐδὲ ὁ Παῦλος. ζῶ δὲ, φησὶν, οὐκέτι ἐγὼ, τουτέστιν, ὁ παλαιὸς ἄνθρωπος. [Ρωμ. ζ. κδ.] καὶ πάλιν ἀλλαχοῦ, Ταλαίπωρος ἐγὼ ἄνθρωπος· τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου; οὕτως ὁ μηδὲν διὰ τροφὴν ποιῶν, ὁ μηδὲν δι' ἔνδυμα, ὁ μηδὲν διά τι τῶν παρόντων. πῶς οὗτος ζῇ; οὗτος οὐδὲ τὴν φυσικὴν ζωὴν ζῇ. ὁ μηδενὸς φροντίζων τῶν βιωτικῶν, οὐ ζῇ. ἡμεῖς ζῶμεν τοῦτον τὸν βίον, τὰ πάντα ὑπὲρ τούτου πράττοντες· ἐκεῖνος δὲ οὐκ ἔζη· οὐδὲν γὰρ ἐπραγματεύετο τῶν ἐνταῦθα. πῶς οὖν ἔζη; οὕτω καὶ ἡμεῖς ἐπί τινων λέγομεν· ἐμοὶ ὁ δεῖνα οὐ πάρεστιν, ὅταν μηδὲν πράττῃ τῶν ἀνηκόντων εἰς ἐμέ·

ἐμοὶ

Digitized by Google

ἔχθρα μου τὸ κήρυγμα ὠφελῇ καὶ ὁ πρὸς ἐμὲ ζῆλος; Διὰ τῆς ὑμῶν δεήσεως, φησί, καὶ ἐπιχορηγίας τοῦ πνεύματος Ἰησοῦ Χριστοῦ κατὰ τὴν ἀποκαραδοκίαν καὶ ἐλπίδα μου. ὅρα τὴν ταπεινοφροσύνην τοῦ μακαρίου τούτου. ἐν τοῖς ἄθλοις ἦν ἀγωνιζόμενος, μυρία κατορθώκει, πρὸς αὐτῷ τῷ τέλει λοιπὸν ἔκειτο. Παῦλος γὰρ ἦν (τί γὰρ ἄν τις εἴποι πλέον;) καὶ Φιλιππησίοις γράφει, ὅτι διὰ τῆς ὑμῶν δεήσεως δύναμαι σωθῆναι, ὁ ἀπὸ μυρίων κατορθωμάτων κεκτημένος τὴν σωτηρίαν. καὶ ἐπιχορηγίας, φησί, τοῦ πνεύματος Ἰησοῦ Χριστοῦ. τί ἐστιν, ἐπιχορηγίας; ἂν διὰ τῶν ὑμετέρων εὐχῶν, φησί, καταξιωθῶ τῆς χάριτος. τὸ γάρ, ἐπιχορηγίας, τοῦτο ἐστιν, ἂν ἐπιχορηγηθῇ, ἂν πλεῖον ἐπιδοθῇ μοι πνεῦμα εἰς σωτηρίαν, τουτέστι, τὴν ἀπαλλαγήν, καὶ τοὺς παρόντας διαφεύξομαι, ὡς τοὺς προτέρους κινδύνους. περὶ τούτου γάρ φησιν, Ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ οὐδείς μοι συμπαρεγένετο· μὴ αὐτοῖς λογισθείη· ἀλλ' ὁ Κύριός μοι παρέστη, καὶ ἐνεδυνάμωσέ με. τοῦτο γοῦν καὶ νῦν ἤδη προφητεύει, διὰ τῆς ὑμῶν δεήσεως, καὶ ἐπιχορηγίας τοῦ πνεύματος Ἰησοῦ Χριστοῦ, λέγων κατὰ τὴν ἀποκαραδοκίαν καὶ ἐλπίδα μου. οὕτω γάρ, φησιν, ἐλπίζω. ἵνα γὰρ πάλιν ἡμεῖς μὴ τὸ ὅλον ταῖς ἐκείνων ἐπιτρέπωμεν εὐχαῖς, αὐτοὶ μηδὲν εἰσφέροντες, ὅρα πῶς τίθησι τὸ αὐτοῦ, τὴν ἐλπίδα, τὴν πάντων αἰτίαν τῶν ἀγαθῶν, καθάπερ ὁ προφήτης φησί· Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σοί· καθάπερ καὶ ἑτέρωθί φησιν, Ἐμβλέψατε εἰς ἀρχαίας γενεάς, καὶ ἴδετε· τίς ἤλπισεν ἐπὶ Κύριον, καὶ κατῃσχύνθη; καὶ πάλιν ὁ μακάριος οὗτος φησίν, Ἡ δὲ ἐλπὶς οὐ καταισχύνει. κατὰ τὴν ἀποκαραδοκίαν, φησί, καὶ ἐλπίδα μου, ὅτι ἐν οὐδενὶ αἰσχυνθήσομαι. [αὕτη ἡ τοῦ Παύλου ἐλπίς, τὸ ἐλπίζειν, ὅτι οὐδαμοῦ αἰσχυνθήσομαι.] ὁρᾷς ὅσον ἐστὶν ἐλπίζειν ἐπὶ τὸν Θεόν; κἂν ὁτιοῦν γένηται, φησίν, οὐκ αἰσχυνθήσομαι· τουτέστιν, οὐ περιέσονται οὗτοι, ἀλλ' ἐν πάσῃ παρρησίᾳ, καθὼς πάντοτε, καὶ νῦν μεγαλυνθήσεται Χριστὸς ἐν τῷ σώματί μου. προσεδόκων ἐκεῖνοι διὰ τῆς παγίδος ταύτης δῆθεν ἑλεῖν μετὰ τὸν Παῦλον, σβέννυσθαι δὲ τὸ κήρυγμα, ὡς τοῦ δόλου τοῦ αὐτῶν ἰσχύοντος. τοῦτο οὖν φησιν, ὅτι οὐκ ἔσται τοῦτο, οὐ νῦν ἀποθανοῦμαι· ἀλλ' ὡς πάντοτε, καὶ νῦν μεγαλυνθήσεται Χριστὸς ἐν τῷ σώματί μου. πῶς; πολλάκις εἰς κινδύνους ἐνέπεσον, ἐν οἷς πάντες ἡμᾶς ἀπηγόρευσαν, μᾶλλον δὲ καὶ ἡμεῖς ἑαυτούς (ἐν ἑαυτοῖς γὰρ τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν) ἀλλ' ἐκ πάντων ἡμᾶς ἐρρύσατο ὁ Κύριος. οὕτω καὶ νῦν μεγαλυνθήσεται ἐν τῷ σώματί μου. ἵνα δὲ μή τις νομίσῃ καὶ εἴπῃ, ἂν σὺ ἀποθάνῃς, οὐ μεγαλυνθήσεται; ναί, φησιν, οἶδα. ἀλλ' οὐ διὰ τοῦτο οὕτως εἶπον, ὅτι ἡ ζωὴ μόνη μεγαλύνει αὐτόν, ἀλλὰ καὶ ὁ θάνατος. πῶς δὲ διὰ ζωῆς φησιν, οὐκ ἀνεῖλόν με, ἀλλὰ καὶ εἰ εἷλόν με, καὶ οὕτω μεγαλυνθήσεται ὁ Χριστός. πῶς; διὰ μὲν ζωῆς, ὅτι ἐξείλετο· διὰ θανάτου δέ, ὅτι οὐδὲ θάνατος ἔπεισέ με ἀρνήσασθαι αὐτόν, ὅτι μοι τοσαύτην προθυμίαν ἐχαρίσατο, καὶ θανάτου ἐποίησεν ἰσχυρότερον· ἐκεῖ μέν, ὅτι με ἀπήλλαξε κινδύνων, ἐν ταύτῃ δέ, ὅτι με οὐκ εἴασε φοβηθῆναι τοῦ θανάτου τὴν τυραννίδα. οὕτω μεγαλυνθήσεται διὰ ζωῆς καὶ θανάτου. ταῦτα δὲ λέγει, οὐχ ὡς μέλλων ἀποθνήσκειν, ἀλλ' ὅταν ἀποθάνῃ, ἵνα μηδὲν ἀνθρώπινον πάθωσιν. ὅτι γὰρ οὐχ ὡς μέλλων ἀποθνήσκειν, ὃ μάλιστα αὐτοὺς ἐλύπει, ταῦτα ἔλεγεν, ὅρα πῶς αὐτοὺς παραμυθεῖται, μονονουχὶ λέγων· ταῦτα δὲ λέγω, φησίν, οὐχ ὡς ἀποθανούμενος. διὰ τοῦτο ἐπήγαγε προϊών· Καὶ τοῦτο πεποιθὼς οἶδα ὅτι μενῶ, καὶ συμπαραμενῶ πᾶσιν ὑμῖν. τὸ δέ, ἐν οὐδενὶ αἰσχυνθήσομαι, τουτέστιν, οὐ φέρει μοι αἰσχύνην τὸ ἀποθνήσκειν, ἀλλὰ καὶ μέγα κέρδος. διὰ τί; οὐ γὰρ ἀθάνατός εἰμι, ἀλλὰ καὶ λαμπρότερος ἔσομαι, ἢ εἰ καὶ ἀθάνατος ἤμην. οὐ γάρ ἐστιν ἴσον ἀθανάτους ὄντας καταφρονεῖν θανάτου, καὶ θνητούς. ὥστε οὐδὲ τοῦτο αἰσχύνη, τὸ νῦν ἀποθανεῖν· πλὴν οὐκ ἀποθανοῦμαι. ἐν οὐδενὶ αἰσχυνθήσομαι, οὔτε ἐν τῷ ζῆν, οὔτε ἐν τῷ ἀποθανεῖν, φησίν· ἀμφότερα γὰρ γενναίως ἐποίησα, εἴτε ζῆν, εἴτε ἀποθανεῖν. καλῶς. τοῦτο χριστιανῆς ψυχῆς. ἀλλ' ἐν πάσῃ, φησί, παρρησίᾳ. ὁρᾷς, πῶς οὐκ αἰσχύνομαι; εἰ μὲν γὰρ ὁ τοῦ θανάτου φόβος

γ. φησὶν

β. Τιμ. δ. ιϛ.

Ψαλ. λβ.

Σειρ. β. ι.

Ρωμ. ε. ε.

γ. αἰσχύνομαι.

β. Κορ. α. ι.

Φιλιπ. α. κε.



Digitized by Google

διηνεκής, τοῦτο φροντίδος ἐλευθερία. ἀλλ' ὅτι καὶ σκεύη, καὶ κλίναι, καὶ ἔπιπλα οὐκ ἔστιν ἐξ ἀργυρείου κατεσκευασμένα σοι; τί γὰρ σὺ πλέον ἔχει κατὰ τὴν ἀπόλαυσιν ὁ ταῦτα κεκτημένος; οὐδέν. τὰ γὰρ τῆς χρήσεως ἴσα, εἴτε ἀπὸ ταύτης, εἴτε ἀπ' ἐκείνης τῆς ὕλης ᾖ. ἀλλ' ὅτι φοβερὸς οὐκ εἶ τοῖς πολλοῖς; μηδὲ γένοιό ποτε. ποία γὰρ ἡδονὴ τρέμειν καὶ δεδοικέναι σέ τινας; ἀλλ' ὅτι ἑτέρους φοβῇ; ἀλλ' οὐκ ἔστι φοβηθῆναι. Θέλεις γὰρ μὴ φοβεῖσθαι τὴν ἐξουσίαν; τὸ ἀγαθὸν ποίει, καὶ ἕξεις ἔπαινον ἐξ αὐτῆς. ἀλλ' ὅτι εὐκαταφρόνητοί ἐσμεν, φησὶ, καὶ πρὸς τὸ παθεῖν ἕτοιμοι κακῶς; μάλιστα μὲν οὐχ ἡ πενία τοῦτο ποιεῖ, ἀλλ' ἡ κακία, ἐπεὶ πολλοὶ πένητες ἀπραγμόνως καὶ πάντα βίον διαγαγόντων, ἀρχόντες, πλουτοῦντες καὶ δυνάσται πάντων κακούργων καὶ λῃστῶν καὶ τυμβωρύχων ἀθλιώτερον ἀπήλλαξαν. ὅσον γὰρ ἐπὶ σοῦ ἡ πενία, τοῦτο ἐπ' ἐκείνου ὁ πλοῦτος ἔχει. ὥσπερ γάρ σε διὰ τὸ καταφρονεῖσθαι ἐνταῦθα ποιοῦσι κακῶς καὶ κακοῦν βουλόμενοι· οὕτως ἐκεῖνον διὰ τὸ φθονεῖν καὶ βασκαίνειν, καὶ μᾶλλον οὗτοι, ἢ ἐκεῖνοι· μᾶλλον αὕτη ἡ ἀνάγκη ἰσχυροτέρα τοῦ κακῶς ποιεῖν. ὁ μὲν γὰρ φθονῶν, ἰσχύϊ πάσῃ καὶ δυνάμει πάντα πράττει, ὁ δὲ καταφρονῶν πολλάκις καὶ ἠλέησε καὶ καταφρονούμενον· καὶ τοῦτο αὐτὸ γέγονεν αὐτῷ αἴτιον ἀπαλλαγῆς, τὸ πένητα εἶναι, τὸ μὴ δύνασθαι ἔχειν ἰσχύν. μεγάλα τὰ κατορθώσεις, λέγοντες πρὸς αὐτὸν, ἐὰν καὶ ἄξια ἀπέλῃς, ἐὰν ἀποκτείνῃς ἕνα πένητα, πόσον οὐκ ἀπολαύσῃ μισθόν, καὶ οὕτως αὐτὸν καὶ θυμὸν χαλῶμεν. ἐπὶ δὲ τῶν πλουτούντων ὁ φθόνος ἐφέστηκεν, οὐ πρότερον λήγων, ἕως ἂν ὅσον βούλεται ἐργάσηται, καὶ τὴν ἰσχὺν ἐκχέῃ τὴν αὐτοῦ. ὁρᾷς ὅτι οὐχ ἡ πενία, οὐδὲ ὁ πλοῦτος ἀγαθὸν, ἀλλ' ἡ ἡμετέρα προαίρεσις; οὐκοῦν ταύτην ῥυθμίζωμεν, ταύτην παιδεύωμεν φιλοσοφεῖν. ἂν αὕτη καλῶς ᾖ διακειμένη, οὔτε πλοῦτος ἡμᾶς ἐκβαλεῖ τῆς βασιλείας δυνήσεται, οὔτε πενία ποιήσει ἔλαττον ἔχειν· ἀλλὰ πράως τὴν πενίαν οἴσομεν, οὐδὲν εἰς τὴν τῶν μελλόντων ἀγαθῶν ἀπόλαυσιν παραβλαπτόμενοι, οὐδὲ ἐνταῦθα· ἀλλὰ καὶ τούτων ἀπολαύσομεν, καὶ τῶν ἐν οὐρανοῖς ἐπιτευξόμεθα ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν.

Ρωμ. ιγ. γ. — χ. γένοιτο — χ. κατορθώσεις — χ. -λαύσεις — χ. ἀγαθῶν

Λογ. γ. 18 ΚΑΙ ΕΝ ΤΟΥΤΩ ΧΑΙΡΩ, ΑΛΛΑ ΚΑΙ χαρήσομαι. 19 Οἶδα γὰρ, ὅτι τοῦτό μοι ἀποβήσεται εἰς σωτηρίαν διὰ τῆς ὑμῶν δεήσεως, καὶ ἐπιχορηγίας τοῦ πνεύματος Ἰησοῦ Χριστοῦ,
20 Κατὰ τὴν ἀποκαραδοκίαν καὶ ἐλπίδα μου, ὅτι ἐν οὐδενὶ αἰσχυνθήσομαι, ἀλλ' ἐν πάσῃ παρρησίᾳ, ὡς πάντοτε, καὶ νῦν μεγαλυνθήσεται Χριστὸς ἐν τῷ σώματί μου, εἴτε διὰ ζωῆς, εἴτε διὰ θανάτου.

ΤΗν μεγάλην καὶ φιλόσοφον ψυχὴν οὐδὲν τῶν ἐν τῷ παρόντι βίῳ λυπηρῶν δύναται δακεῖν, οὐκ ἔχθραι, οὐ κατηγορίαι, οὐ διαβολαὶ, οὐ κίνδυνοι, οὐκ ἐπιβουλαί. ὥσπερ γὰρ εἰς μεγάλην τινὰ ἀκρώρειαν καταφυγοῦσα, ἄληπτος πᾶσίν ἐστι τοῖς κάτωθεν αἰνοῦσιν ἀπὸ τῆς γῆς. τοιαύτη δὲ καὶ ἡ τοῦ Παύλου ψυχὴ, πάσης ἀκρωρείας ὑψηλότερον τόπον τὸν τῆς φιλοσοφίας καταλαβοῦσα τῆς πνευματικῆς, τῆς ὄντως φιλοσοφίας. τὰ γὰρ τῶν ἔξωθεν, ῥήματα μόνον ἐστὶ καὶ παίδων ἀθύρματα. ἀλλ' οὐ περὶ τούτων λόγος νῦν, τὰ δὲ Παύλου φθεγγόμεθα πῶς. ὁ μακάριος ἐκεῖνος καὶ τὸν βασιλέα ἔχων πολεμοῦντα αὐτῷ, πρὸς τούτῳ εἶχε καὶ ἑτέρους ἐχθροὺς διαφόρως αὐτὸν λυποῦντας, καὶ μετὰ πικρᾶς διαβολῆς. καὶ τί φησιν; οὐ μόνον οὐκ ἀλγῶ τούτοις, οὐδὲ καταπίπτω, ἀλλὰ καὶ χαίρω, καὶ χαρήσομαι· οὐ πρὸς καιρὸν, φησὶν, ἀλλ' ἀεὶ ὑπὲρ τούτων χαρήσομαι. οἶδα γὰρ ὅτι τοῦτό μοι ἀποβήσεται εἰς σωτηρίαν τὴν μέλλουσαν. πῶς γὰρ οὐκ ἀποβήσεται, ὅταν καὶ ἡ

χ. ἐχθροὶ καὶ — χ. φθέγματα

ὅτι ἑτέρων ἐνδεὴς γέγονε. παιδίον ἔχει; πλείων ἡ ἐπιθυμία· καὶ τότε δοκεῖ πένης εἶναι. οὐκ ἔχει; μᾶλλον ὀδυνᾶται. τοῦτον οὖν μακαρίζεις τὸν οὐδαμόθεν ἡσυχάσαι δυνάμενον; τοῦτον φθονεῖς τὸν κλυδωνιζόμενον, ἐν λιμένι γαλήνῃ τῇ πενίᾳ ἑστηκώς; οὕτως καὶ τοῦτο ἐλάττωμα τῆς ἀνθρωπίνης φύσεως, τὸ μὴ φέρειν τὰ ἀγαθὰ γενναίως, ἀλλ' εἰς τὰς δυσπραγίας ἐξυβρίζειν. καὶ ταῦτα μὲν ἐν ταύταις. ὅταν δὲ ἀπέλθωμεν ἐκεῖ, ἀκούσον τί φησιν ὁ πλούσιος, ὁ μυρίων ἀγαθῶν κύριος, ὥσπερ σὺ λέγεις (οὐ γὰρ ἂν ἔγωγε ταῦτα εἴποιμι ἀγαθὰ, ἀλλ' ἀδιάφορα) οὗτος τοίνυν ὁ μυρίων ἀγαθῶν κύριος, ἀκούσον τί φησι, καὶ τίνος ἐν χρείᾳ καθέστηκε· Πάτερ, φησὶν, Ἀβραὰμ, πέμψον Λάζαρον, ἵνα ἄκρῳ τῷ δακτύλῳ ἐπιστάξῃ μου τὴν γλῶτταν, ὅτι ἀποτηγανίζομαι. Εἰ γὰρ μηδὲν ὧν εἶπον ἔπαθεν ὁ πλούσιος ἐκεῖνος, εἰ γὰρ ἐν ἀδείᾳ καὶ φροντίδος χωρὶς τὸν ἅπαντα βίον διήγαγε· τί λέγω τὸν ἅπαντα βίον; τὴν μίαν ῥοπὴν ἐκείνην (ῥοπὴ γάρ ἐστιν. ὡς μία γὰρ ῥοπὴ, φησιν, ὁ πᾶς ἡμῶν αἰὼν πρὸς τὸν αἰῶνα τὸν ἄπειρον) εἰ τοίνυν πάντα αὐτῷ κατὰ γνώμην προσεκεχωρήκει, ἆρα οὐκ ἱλεκνὲς ἐστι τούτων τῶν ῥημάτων, μᾶλλον δὲ τούτων τῶν πραγμάτων; οὐχὶ οἴχεται ἐξεκλύζετο σου ἡ τράπεζα; νῦν δὲ οὐδὲ σταγόνος ὕδατος εἶ κύριος, καὶ ταῦτα ἐν χρείᾳ πολλῇ καθεστηκώς. οὐχ ἡλκωμένον ὑπερεώρας τὸν πένητα; νῦν δὲ ἀξιοῖς αὐτὸν ἰδεῖν, καὶ οὐδεὶς δίδωσι. παρὰ τὸν πυλῶνα ἦν τὸν σόν· νῦν δὲ ἐν τοῖς κόλποις τοῦ Ἀβραάμ. ὑπὸ τὰς μεγάλας σου κατέκειτο θύρας· νῦν δὲ ἐν τῷ πυρὶ τῆς γεέννης. ἀκουέτωσαν ταῦτα οἱ πλούσιοι· μᾶλλον δὲ οὐχ οἱ πλούσιοι, ἀλλ' οἱ ἀνελεήμονες. οὐ γὰρ, ἐπειδὴ πλούσιος ἦν, *ἐκολάζετο, ἀλλ' ἐπειδὴ οὐκ ἠλέησεν. ἔνεστι γὰρ πλουτοῦντα καὶ ἐλεοῦντα τυχεῖν πάντων τῶν ἀγαθῶν. καὶ διὰ τοῦτο οὐδένα ἄλλον ὁρᾷ, ἀλλ' ἢ ἐκεῖνον τὸν δεόμενον αὐτοῦ, ἵνα μάθῃ, ὅτι δικαίως ταῦτα ἔπαθεν, εἰς ὑπόμνησιν ἐλθὼν ὧν ἐπεπράγει. μὴ γὰρ οὐκ ἦσαν μυρίοι πένητες δίκαιοι; ἀλλ' ὁ πρὸς τῷ πυλῶνι αὐτοῦ κείμενος, οὗτος αὐτῷ φαίνεται, παιδεύων αὐτὸν καὶ ἡμᾶς, ὅσον ἐστὶν ἀγαθὸν μὴ πεποιθέναι ἐπὶ χρήμασιν. οὐδὲν ἐκεῖνον ἔβλαψεν ἡ πενία πρὸς τὸ βασιλείας τυχεῖν· οὐδὲν τοῦτον ὠφέλησεν ὁ πλοῦτος πρὸς τὸ γέενναν ἐκφυγεῖν. μέχρι πότε πένητες; μέχρι πότε πλούσιοι; οὐκ ἔστιν, οὐκ ἔστι πένης ὁ μηδὲν ἔχων, ἀλλ' ὁ πολλῶν ἐπιθυμῶν· οὐκ ἔστι πλούσιος ὁ πολλὰ κεκτημένος, ἀλλ' ὁ μηδενὸς δεόμενος. τί γὰρ ὄφελος πάσαν μὲν κεκτῆσθαι τὴν οἰκουμένην, τοῦ δὲ μηδὲν ἔχοντος μᾶλλον ἐν ἀθυμίᾳ διάγειν; αἱ προαιρέσεις καὶ οὗτοι πλουτοῦσι, καὶ οὗτοι πενομένους ἐργάζονται, οὐχ ἡ τῶν χρημάτων περιουσία, οὐδὲ ἡ ἔνδεια. βούλει γενέσθαι πλούσιος σὺ ὁ πένης; ἔξεστί σοι βουλομένῳ, καὶ ὁ κωλύων οὐδείς. καταφρόνησον τῶν τοῦ κόσμου χρημάτων· νόμισον εἶναι μηδὲν, ὥσπερ οὖν οὐδέ ἐστιν· ἔκβαλε τὴν ἐπιθυμίαν τοῦ πλούτου, καὶ ἐπλούτησας. οὗτός ἐστιν ὁ πλουτῶν, ὁ μὴ θέλων πλουτεῖν· ὁ μὴ θέλων πένεσθαι, οὗτός ἐστιν ὁ πενόμενος. καθάπερ ἐκεῖνος νοσῶν, ὁ ἐν ὑγείᾳ ἀλύων, οὐκ ἐκεῖνος ὁ πάσης ὑγείας δυσκολώτερον τὴν νόσον φέρων· οὕτω καὶ ἐνταῦθα πένης ἐστὶν, ὁ μὴ δυνάμενος πενίαν ἐνεγκεῖν, ἀλλ' ἐν πλούτῳ τῶν πενομένων μᾶλλον ἡγούμενος εἶναι πένης, οὐκ ἐκεῖνος ὁ τῶν πλουτούντων μᾶλλον τὴν πενίαν εὐκολώτερον φέρων. οὗτος γάρ ἐστι μᾶλλον ὁ πλουσιώτερος. Εἰπὲ γάρ μοι, τὴν πενίαν διὰ τί δέδοικας; διὰ τί τρέμεις; οὐχὶ διὰ λιμόν; οὐχὶ διὰ δίψος; οὐχὶ διὰ ψῦχος; ἢ οὐ διὰ ταῦτα; ἀλλ' οὐκ ἔστιν, οὐκ ἔστιν οὐδεὶς ὁ τούτων ἀπορήσας ποτέ. Ἐμβλέψατε γὰρ εἰς ἀρχαίας γενεὰς, καὶ ἴδετε· τίς ἐπίστευσε τῷ Κυρίῳ, καὶ ἐγκατελείφθη; ἢ τίς ἤλπισεν ἐπ' αὐτὸν, καὶ κατῃσχύνθη; καὶ πάλιν, Ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν, οὐδὲ θερίζουσιν, οὐδὲ συνάγουσιν εἰς ἀποθήκας· καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά. Οὐδένα δὲ ἔχοι τις ἡμῖν δεῖξαι [τινα] ταχέως διὰ λιμὸν καὶ ψῦχος ἀπολωλότα. Τίνος οὖν ἕνεκεν τρέμεις τὴν πενίαν; οὐκ ἔχεις εἰπεῖν. Εἰ γὰρ εὐπορεῖς τῶν ἀναγκαίων, τί δήποτε τρέμεις αὐτήν; ὅτι πλῆθος οὐκ ἔστι σοι οἰκετῶν; τοῦτο δεσποτῶν ἐστιν ἀπαλλαγῆναι, τοῦτο μακαριότης

Margin notes: χ. καθίσαι — χ. κατέψυξε — χ. σαυτῷ — * ἐκεῖνος, — Λουκ. ιϛ. κδ. — Σειρ. β. ια. — Ματθ. ϛ. κϛ.

γὰρ φορτικόν, τί δὲ ἐπαχθὲς τῶν ἐπιταγμάτων τοῦ Χριστοῦ; οὐ δύνασαι παρθενεύειν; ἔξεστί σοι γαμεῖν. οὐ δύνασαι πάντων ἑαυτὸν ἀποστερῆσαι τῶν σῶν; ἔξεστί σοι ἀπὸ τῶν ὄντων χορηγεῖν· Τὸ ὑμῶν περίσσευμα, φησιν, εἰς τὸ ἐκείνων ὑστέρημα. ταῦτα γὰρ εἶναι δοκεῖ φορτικά, χρημάτων λέγω καταφρονεῖν, καὶ ἐπιθυμίας σωματικῆς περιγενέσθαι* · τὰ δὲ ἄλλα οὐδεμιᾶς δεῖται δαπάνης, οὐδεμιᾶς βίας. ποία γάρ, εἰπέ μοι, βία τὸ μὴ κακῶς εἰπεῖν, μηδὲ διαβάλλειν ἁπλῶς; ποία δὲ βία τὸ μὴ βασκαίνειν τοῖς ἑτέρων ἀγαθοῖς; ἢ ποία βία τὸ μὴ δόξης ἁλῶναι; τὸ βασανίζεσθαι, καὶ φέρειν, καρτερίας ἐστὶ· καρτερίας, τὸ φιλοσοφίαν ἀσκεῖν· καρτερίας, τὸ πενίαν διενεγκεῖν· καρτερίας, τὸ λιμῷ προσπαλαῖσαι καὶ δίψῃ. ὅταν δὲ μηδὲν τούτων ᾖ, ἀλλ' ἔξεστιν ἀπολαύοντα τῶν ὄντων, ὡς χρειώδη προσῆκε, μὴ φθονεῖν τοῖς ἑτέρων, ποία βία; οὐδαμόθεν ἄλλοθεν ὁ φθόνος, ἀλλ' ἐκ τοῦ προστετηκέναι τοῖς παροῦσι, μᾶλλον δὲ πάντα τὰ κακά. εἰ γὰρ μηδὲν ἐνόμιζες εἶναι τὰ χρήματα, καὶ τὴν δόξαν τοῦ κόσμου τούτου, οὐκ ἂν τοῖς ἔχουσιν ἐβάσκηνας. ἀλλ' ἐπειδὴ κέχηνας, καὶ θαυμάζεις αὐτὰ καὶ ἐπτόησαι, διὰ τοῦτό σοι καὶ τὰ τῆς βασκανίας ἐνοχλεῖ, διὰ τοῦτο καὶ τὰ τῆς κενοδοξίας· καὶ πάντα ἀπὸ τούτου γίνεται, ἀπὸ τοῦ θαυμάζειν τὰ τοῦ παρόντος βίου. βασκαίνεις, ὅτι ὁ δεῖνα πλουτεῖ; καὶ μὴν ἐλέους καὶ δακρύων ἄξιος ὁ τοιοῦτος. ἀλλ' ἐρεῖς εὐθέως γελῶν, ἐγὼ δακρύων ἄξιος, οὐκ ἐκεῖνος. δακρύων ἄξιος καὶ σύ· οὐχ ὅτι πένῃ, ἀλλὰ διὰ τὸ σαυτὸν ἐλεεινὸν εἶναι νομίζειν. τοὺς γὰρ οὐδὲν ἔχοντας κακὸν καὶ δυσφοροῦντας δακρύομεν, οὐχ ὅτι κακόν τι ἔχουσιν, ἀλλ' ὅτι μὴ ἔχοντες, ἔχειν νομίζουσιν. εἰπὲ γάρ μοι, εἴ τις πυρετοῦ ἀπηλλαγμένος, ἀλύει καὶ περιστρέφεται, ὑγιαίνων ἐπὶ τῆς κλίνης κείμενος, ἆρα τῶν πυρεττόντων μᾶλλον οὐχὶ δακρύων ἄξιος ὁ τοιοῦτος, οὐκ ἐπειδὴ πυρέττει (οὐδὲ γὰρ πυρέττει) ἀλλ' ἐπειδὴ μηδὲν ἔχων δεινόν, ἔχειν τι νομίζει; καὶ σὺ δακρύων ἄξιος διὰ τοῦτο, ὅτι σαυτὸν ἐλεεινὸν νομίζεις, οὐ διὰ τὴν πενίαν. τῆς γὰρ πενίας ἕνεκεν καὶ μακαριστός. τί φθονεῖς τῷ πλουσίῳ; ὅτι φροντίδων ἑαυτὸν ὑπεύθυνον κατέστησε πλειόνων; ὅτι δουλείᾳ χαλεπωτέρᾳ; ὅτι μυρίαις ἁλύσεσι, καθάπερ τις κύων, τοῖς αὑτοῦ δέδεται χρήμασι; κατέλαβεν ἑσπέρα, κατέλαβε νύξ, καὶ ὁ τῆς ἀναπαύσεως καιρὸς αὐτῷ θορύβου καιρὸς καὶ ἀηδίας καὶ λύπης ἐστὶ καὶ μερίμνης. ψόφος ἐγένετο· εὐθέως ἀνεπήδησεν. ὁ δεῖνα ἐσυλήθη; μᾶλλον ἐκείνου φροντίζει τοῦ ἀπολωλεκότος ὁ μὴ ἀπολωλεκώς. ἐκεῖνος μὲν γὰρ ἅπαξ ἀπώλεσε, καὶ λυπηθεὶς ἀπέθετο τὴν φροντίδα· οὗτος δὲ αὐτὴν ἔχει διηνεκῶς. κατέλαβε νύξ, ὁ λιμὴν τῶν ἡμετέρων κακῶν, τὸ παραμύθιον τῶν ἡμετέρων συμφορῶν, τὸ φάρμακον τῶν τραυμάτων. καὶ γὰρ ἡ περιωδυνία τοὺς κατεχομένους, τοῖς φίλοις μὲν καὶ συγγενέσι καὶ οἰκείοις, πολλάκις δὲ καὶ πατράσι παραμυθουμένοις οὐκ εἶξαν, οὐδὲ ὑπεχώρησαν, ἀλλὰ καὶ πρὸς τὰ ῥήματα αὐτὰ ἠγανάκτησαν (πάντως γὰρ καύματος μᾶλλον τὸ πικρὸν τῆς ὀδύνης τὰς ἡμετέρας θλίβει ψυχάς) τῷ δὲ ὕπνῳ κελεύοντι παύσασθαι οὐδὲ ἀντιβλέψαι ἴσχυσαν. καθάπερ ὅταν σῶμα διακαὲς, καὶ θερμοτέρᾳ προσπαλαῖσαν ἀκτῖνι κατατευχόμενον, ὥσπερ τινὶ καταγωγίῳ πολλὰς ἔχοντι πηγὰς καὶ τὴν ἀπὸ τῆς λεπτῆς αὔρας παραμυθίαν, οὕτως ἡ νὺξ τῷ ὕπνῳ παραδίδωσιν ἡμῶν τὴν ψυχήν· μᾶλλον δὲ οὐχ ἡ νύξ, οὐδὲ ὁ ὕπνος τοῦτο ἐργάζεται, ἀλλ' ὁ Θεὸς εἰδὼς τὸ ταλαίπωρον τοῦτο γένος, ἅπαντα ταῦτα εἰργάσατο. ἀλλ' ἡμεῖς οὐκ ἐλεοῦμεν ἑαυτούς, ἀλλ' ἐπινοήσαμεν, καθάπερ ἐχθροὶ ὄντες ἑαυτῶν, τῆς φυσικῆς ἀνάγκης καὶ ἀναπαύσεως μείζονα τυραννίδα, τὴν ἀπὸ τοῦ πλούτου ἀγρυπνίαν. Μέριμνα γάρ, φησι, πλούτου, ἀφιστᾷ ὕπνον. καὶ ὅρα πόση τοῦ Θεοῦ ἡ κηδεμονία. οὐκ ἐπέτρεψε τῇ προθέσει τὴν ἀνάπαυσιν, οὐδὲ προαιρέσει τινὶ τὴν χρείαν τοῦ ὕπνου, ἀλλὰ φυσικῆς αὐτὴν ἀνάγκης κατέδησεν, ἵνα καὶ ἄκοντες εὐεργετώμεθα. τὸ γὰρ καθεύδειν, τῆς φύσεως. ἡμεῖς δὲ ὡς σφόδρα ἑαυτοὺς μισοῦντες, ὡς ἑτέρους πολεμοῦντες καὶ θλίβοντες, τῆς φυσικῆς ταύτης ἀνάγκης μείζονα τὴν ἀπὸ τῶν χρημάτων ἐπενοήσαμεν τυραννίδα. ἡμέρα γέγονε; καὶ δέδοικεν ὁ τοιοῦτος τοὺς συκοφάντας. ἡ νὺξ κατέλαβε; τρέμει λῃστάς. θάνατος ἐπέστη; τοῦ θανάτου μᾶλλον δάκνεται,

Margin notes: β. Κορ. η. ιδ. — χ. ὄντων — * σπουδάζειν — Σιρ. λα. α. — χ. —πλάσαι — χ. ἑτέρως



Digitized by Google

βλάψονταί μοι. ἐὰν γὰρ εὑρεθῶσι πολλοὶ οἱ κατηχηθέντες καὶ πιστεύσαντες, εὔκολός μοι ἡ ἀπολογία ἔσται.

18 Τί γάρ; πλὴν παντὶ τρόπῳ, εἴτε προφάσει, εἴτε ἀληθείᾳ Χριστὸς καταγγέλλεται.

Ὅρα τὸ φιλόσοφον τοῦ ἀνδρός. οὐ σφόδρα αὐτῶν κατηγόρησεν, ἀλλ' εἶπε τὸ γινόμενον. τί γάρ, φησιν, ἐμοὶ διαφέρει, εἴτε οὕτως, εἴτε ἐκείνως; πλὴν παντὶ τρόπῳ, εἴτε προφάσει, εἴτε ἀληθείᾳ Χριστὸς καταγγέλλεται. οὐκ εἶπε, καταγγελλέσθω, νομοθετῶν, ἀλλὰ προφητεύων τὸ συμβαῖνον ἀπήγγειλε. διέπεσε δέ, εἰ καὶ νομοθετῶν ἔλεγεν, οὐδ' οὕτω τὰς αἱρέσεις εἰσῆγεν. ἐξετάσωμεν γάρ, εἰ δοκεῖ, τὸ πρᾶγμα, καὶ εὑρήσομεν ὅτι, εἰ καὶ οὕτως ἐπέτρεπε κηρύττειν, ὡς ἐκεῖνοι, οὐδ' οὕτω τὰς αἱρέσεις εἰσῆγεν. πῶς; ὅτι ἐκεῖνοι ὑγιῶς μὲν ἐκήρυττον, ὁ σκοπὸς δὲ καὶ ἡ διάνοια, μεθ' ἧς ἐποίουν τοῦτο, διέφθαρτο, οὐ τὸ κήρυγμα ἐνήλλακτο. καὶ πολλὴν εἶχον ἀνάγκην οὕτω κηρύττειν. διὰ τί; ὅτι εἰ ἑτέρως ἐκήρυξαν, οὐχ ὡς Παῦλος, εἰ ἑτέρως ἐδίδαξαν, οὐχ ὡς ἐκεῖνος, οὐκ ἂν τὴν τοῦ βασιλέως ὀργὴν ηὔξησαν. νῦν δὲ τῷ τὸ κήρυγμα αὐτοῦ αὔξειν, καὶ ὁμοίως διδάσκειν, καὶ ἴσους αὐτῷ μαθητὰς ποιεῖν, ἴσχυσαν ἐκπολεμῶσαι τὸν βασιλέα, ἅτε πολλοῦ τοῦ πλήθους τῶν μαθητῶν φαινομένου. ἀλλά τις μιαρὸς καὶ ἀναίσθητος ἐπιλαβόμενος τοῦ χωρίου τούτου, φησί· καὶ μὴν τὸ ἐναντίον εἰργάσαντο ἄν, τοὺς ἤδη πεπιστευκότας ἀπήλασαν, οὐχ ἑτέρους πιστοὺς ἐπιδοῦναι ἐποίησαν ἄν, εἴγε δακεῖν αὐτὸν ἐβούλοντο. τί οὖν ἐροῦμεν; ὅτι πρὸς ἓν τοῦτο ἑώρων ἐκεῖνοι, τὸ κινδύνοις αὐτὸν περιβαλεῖν τοῖς μείζοσι, τὸ μὴ ἀφεῖναι διαφυγεῖν· καὶ τούτῳ μᾶλλον ᾤοντο αὐτὸν λυπεῖν, καὶ τὸ κήρυγμα σβεννύναι, ἢ ἐκείνως. ἑτέρως μὲν γὰρ ἂν καὶ ἔσβεσαν τοῦ βασιλέως τὴν ὀργήν, καὶ ἀφῆκεν ἂν ἐξελθεῖν, καὶ πάλιν κηρύξαι· οὕτω δὲ δι' αὐτὸν τὸ πᾶν εἶναι ἐνόμιζον, ἀνελόντες αὐτόν. καὶ τοῦτο οὐκ ἦν τῶν πολλῶν συνιδεῖν, ἀλλὰ πικρῶν τινων καὶ σφόδρα μιαρῶν.

Εἶτα καὶ ἐν τούτῳ, φησί, χαίρω, ἀλλὰ καὶ χαρήσομαι. Τί ἐστιν, ἀλλὰ καὶ χαρήσομαι; κἂν ἐπὶ πλεῖον γένηται, φησιν. ἐμοὶ γὰρ συμπράττουσι καὶ ἄκοντες, καὶ τὴν αὐτοῖς πεποιημένων ἐκεῖνοι μὲν κόλασιν, ἐγὼ δέ, ὁ μηδὲν συμβαλλόμενος, μισθὸν λήψομαι. ἆρ' ἐστί τις τοῦ διαβόλου μιαρώτερος, τοῦ κήρυγμα ἐπινοήσαντος ἀναδέξασθαι κόλασιν τοῖς πειθομένοις προξενοῦν; ὁρᾷς πόσοις κακοῖς τοὺς ἑαυτοῦ περιπείρει; κόλασιν καὶ τιμωρίαν αὐτοῖς ἐκ τοῦ κηρύγματος καὶ τῶν πόνων ἐπινοεῖ τούτων. καὶ ποῖος ἂν ἄλλος ἐχθρὸς καὶ πολέμιος τῆς ἐκείνων σωτηρίας τὸ πᾶν οὕτω διέθηκεν; ὁρᾷς ὅτι ὁ τὴν ἀλήθειαν πολεμῶν οὐδὲν ἰσχύει, ἀλλ' ἑαυτὸν πλήττει μᾶλλον, ὡς ὁ πρὸς κέντρα λακτίζων;

19 Οἶδα γάρ, φησιν, ὅτι τοῦτό μοι ἀποβήσεται εἰς σωτηρίαν διὰ τῆς ὑμῶν δεήσεως, καὶ ἐπιχορηγίας τοῦ πνεύματος Ἰησοῦ Χριστοῦ. Οὐδὲν τοῦ διαβόλου μιαρώτερον. οὕτω πανταχοῦ πόνοις ἀνονήτοις τοὺς ἑαυτοῦ περιβάλλει καὶ διασπᾷ· καὶ οὐ μόνον τῶν ἐπάθλων οὐκ ἀφίησι τυχεῖν, ἀλλὰ καὶ κολάσεως ὑπευθύνους ποιεῖν οἶδεν. οὐ γὰρ μόνον κήρυγμα, ἀλλὰ καὶ νηστείαν τοιαύτην, καὶ παρθενίαν αὐτοῖς νομοθετεῖ, ἣ οὐ μόνον μισθῶν ἀποστερήσει, ἀλλὰ καὶ μέγα κακὸν ἐπάξει τοῖς αὐτὴν μετιοῦσι· περὶ ὧν φησι καὶ ἀλλαχοῦ, Κεκαυτηριασμένοι τὴν ἰδίαν συνείδησιν. α. Τιμ. δ. β.

ΗΘΙΚΟΝ

Διό, παρακαλῶ, ὑπὲρ πάντων εὐχαριστῶμεν τῷ Θεῷ, ὅτι ἡμῖν καὶ τοὺς πόνους ἐπεκούφισε, καὶ τοὺς μισθοὺς ηὔξησεν. ὧν γὰρ οἱ παρ' ἡμῖν γαμοῦντες σωφρόνως ἀπολαύουσι μισθῶν, οὐκ ἀπολαύουσιν οἱ παρθενεύοντες παρ' αὐτοῖς, ἀλλὰ τῇ τῶν πορνευόντων οἱ παρθενεύοντες παρὰ τοῖς αἱρετικοῖς δίκῃ γεγόνασιν ὑπεύθυνοι. τὸ δὲ πᾶν ἐκ τοῦ μὴ ὀρθῷ σκοπῷ τι ποιεῖν, ἀλλ' ἐπὶ διαβολῇ τῶν τοῦ Θεοῦ κτισμάτων, καὶ τῆς ἀπορρήτου σοφίας αὐτοῦ. μὴ δὴ ῥᾳθυμῶμεν· ἔδωκεν ἡμῖν ὁ Θεὸς συμμέτρους ἀγῶνας, οὐδένα πόνον ἔχοντας· ἀλλὰ μὴ καταφρονῶμεν διὰ τοῦτο. εἰ γὰρ οἱ αἱρετικοὶ κατατείνουσιν ἑαυτοὺς πόνοις ἀνονήτοις, τίς ἡμῖν ἔσται ἀπολογία μηδὲ τοὺς ἐλάττονας *, καὶ πλείονα μισθὸν ἔχοντας βουλομένοις ἐνεγκεῖν; τί

χ. ἐνήλλακτο αἵρεσιν
χ. ἀναίσχυντος
ἴσ. ἀφῆκεν
χ. αὐτῶν
ἴσ. ἐπὶ πλεῖον
χ. τοῦ κηρύγματος κόλασιν, καὶ τῶν πόνων τιμωρίαν ἐπινοῆσαι;
χ. -ξιν
χ. πῶς; ἐκ
χ. κατατείνουσιν
* πόνους

ἐπιδίδωσιν; ὥστε τοὺς δεσμούς μου, φησὶ, φανεροὺς γενέσθαι τοὺς ἐν Χριστῷ ἐν ὅλῳ τῷ πραιτωρίῳ. τοῦτο οὐ μόνον οὐκ ἐπεστόμισε τοὺς ἄλλους, οὐδὲ δειλοὺς ἐποίησεν, ἀλλ᾽ αὐτὸ τοῦτο καὶ μᾶλλον παρεθάρρυνεν. Εἰ τοίνυν οἱ πλησίον ὄντες τῶν κινδύνων οὐ μόνον οὐδὲν ἐβλάβησαν, ἀλλὰ καὶ πλέον θάρσος ἔλαβον, πολλῷ μᾶλλον ὑμᾶς θαρρεῖν χρή. Εἰ μὲν γὰρ οὐδεὶς ἀθλίως ἤνεγκε, καὶ ἐσίγησεν, εἰκὸς ἦν καὶ ἐκείνους τὸ αὐτὸ παθεῖν· εἰ δὲ οὐδεὶς πλέον ἐπαρρησίαζεν, μᾶλλον αὐτοῖς θάρσος ἔδωκεν, ἢ εἰ μὴ ἐδέθη. πῶς δὲ εἰς προκοπὴν τοῦ εὐαγγελίου γέγονε τὰ δεσμά; ὁ Θεὸς τοῦτο ᾠκονόμησε, φησιν, ὥστε μὴ λαθεῖν τοὺς ἐμοὺς δεσμοὺς, τοὺς δεσμοὺς τοὺς ἐν Χριστῷ, τοὺς διὰ Χριστὸν ἐν ὅλῳ τῷ πραιτωρίῳ. "τέως γὰρ οὕτως ἐκάλουν τὰ βασίλεια. οὐδὲ ἐν τῷ πραιτωρίῳ μόνον, ἀλλὰ καὶ ἐν τῇ πόλει, φησὶ, πάσῃ.

χ. τοῦτό φησι, διότι οὕτως ἐκηρύττο

14 Καὶ τοὺς πλείονας τῶν ἀδελφῶν ἐν Κυρίῳ πεποιθότας τοῖς δεσμοῖς μου περισσοτέρως τολμᾶν ἀφόβως τὸν * λόγον λαλεῖν. Δείκνυσι τοῦτο, ὅτι καὶ πρότερον ἐθάρρουν, καὶ μετὰ παρρησίας διελέγοντο, νῦν δὲ πολλῷ πλέον. Εἰ ἄλλοι τοίνυν, φησὶ, διὰ τοὺς ἐμοὺς δεσμοὺς θαρροῦσι, πολλῷ μᾶλλον ἐγώ· εἰ ἄλλοις εἰμὶ αἴτιος θάρσους, πολλῷ μᾶλλον ἐμαυτῷ. καὶ τοὺς πλείονας τῶν ἀδελφῶν ἐν Κυρίῳ. ἐπειδὴ μέγα ἦν τὸ εἰπεῖν, ὅτι οἱ ἐμοὶ δεσμοὶ θάρσος αὐτοῖς παρέχουσι, διὰ τοῦτο προσλαβὼν εἶπεν, ἐν Κυρίῳ. ὁρᾷς πῶς καὶ ἀναγκαίαν ἔχων τοῦ μεγαληγορεῖν, τοῦ μετριάζειν οὐκ ἀφίσταται; περισσοτέρως τολμᾶν, φησιν, ἀφόβως τὸν λόγον λαλεῖν. τὸ, περισσοτέρως, δεικνύντος ἐστιν, ὅτι ἤδη ἤρξαντο.

* τοῦ Θεοῦ

χ. ἐμοῦ

15 Τινὲς μὲν καὶ διὰ φθόνον καὶ ἔριν, τινὲς δὲ καὶ δι᾽ εὐδοκίαν τὸν Χριστὸν κηρύσσουσι.

Τί δὲ τοῦτό ἐστιν, ἄξιον μαθεῖν. ἐπειδὴ κατεσχέθη ὁ Παῦλος, τὸν πόλεμον ἐγεῖραι βουλόμενοι σφοδρὸν τὸν παρὰ τοῦ βασιλέως πολλοὶ τῶν ἀπίστων, καὶ αὐτοὶ τὸν Χριστὸν ἐκήρυττον· ὥστε μείζονα γενέσθαι τοῦ βασιλέως τὴν ὀργήν, ἅτε τοῦ κηρύγματος διαχεομένου, καὶ εἰς τὴν τοῦ Παύλου κεφαλὴν τὸ πᾶν ἐλθεῖν τοῦ θυμοῦ. δύο τοίνυν προφάσεων γεγόνασιν οἱ δεσμοὶ αἴτιοι. τοῖς μὲν γὰρ θάρσος παρέχουσι πολύ, τοὺς δὲ εἰς ἐλπίδα ἄγοντες τῆς ἐμῆς ἀπωλείας, παρεσκεύασαν κηρύττειν τὸν Χριστόν. τινὲς μὲν διὰ φθόνον· τουτέστι, φθονοῦντες τῇ δόξῃ τῇ ἐμῇ καὶ τῇ ἐνστάσει, καὶ βουλόμενοί με ἀπολέσθαι καὶ ἐρίζοντές μοι, συμπράττουσιν ἐμοί· ἢ ὥστε καὶ αὐτοὶ τιμᾶσθαι, καὶ οἰόμενοι παρασπᾶν τι τῆς δόξης τῆς ἐμῆς. τινὲς δὲ καὶ δι᾽ εὐδοκίαν· τουτέστι, χωρὶς ὑποκρίσεως, ἀπὸ προθυμίας ἁπάσης.

16 Οἱ μὲν ἐξ ἐριθείας τὸν Χριστὸν καταγγέλλουσιν οὐχ ἁγνῶς· Τουτέστιν, οὐκ εἰλικρινῶς, οὐδὲ δι᾽ αὐτὸ τὸ πρᾶγμα, ἀλλὰ διὰ τί; Οἰόμενοι θλίψιν ἐπιφέρειν τοῖς δεσμοῖς μου. Νομίζοντες γὰρ οὕτω με εἰς μείζονα ἐμπεσεῖσθαι κίνδυνον, θλίψιν ἐπάγουσιν ἐπὶ θλίψει. ὢ τῆς ὠμότητος, ὢ τῆς διαβολικῆς ἐνεργείας. δεδεμένον ἑώρων καὶ ἐμβεβλημένον εἰς δεσμωτήριον, καὶ ἔτι ἐφθόνουν· αὔξειν αὐτῷ τὰ τῆς συμφορᾶς ἤθελον, καὶ μείζονος ὀργῆς ὑπεύθυνον καταστῆσαι. καὶ καλῶς εἶπε τὸ, οἰόμενοι· οὐ γὰρ οὕτως ἐξέβαινεν. ἐκεῖνοι μὲν γὰρ ἐνόμιζόν με τούτῳ λυπεῖν, ἐγὼ δὲ ἔχαιρον ὅτι τὸ κήρυγμα ἐπιδίδου. οὕτως ἔνι ἔργον ποιῆσαι ἀγαθόν, οὐκ ἀπὸ προαιρέσεως ἀγαθῆς· καὶ οὐ μόνον οὐ κεῖται μισθὸς ὑπὲρ τούτου, ἀλλὰ καὶ κόλασις. ἐπεὶ γὰρ μείζοσι κινδύνοις περιβαλεῖν τὸν τοῦ Χριστοῦ κήρυκα βουλόμενοι, τὸν Χριστὸν ἐκήρυττον, οὐ μόνον οὐ λήψονται μισθόν, ἀλλὰ καὶ τιμωρίας ἔσονται ὑπεύθυνοι, καὶ κολάσεως.

17 Οἱ δὲ ἐξ ἀγάπης, εἰδότες ὅτι εἰς ἀπολογίαν τοῦ εὐαγγελίου κεῖμαι.

Τί ἐστιν, ὅτι εἰς ἀπολογίαν τοῦ εὐαγγελίου κεῖμαι; τουτέστι, τὰς εὐθύνας μοι "ὑποτέμνοντες τὰς πρὸς τὸν Θεόν, καὶ συναντιλαμβανόμενοί τι εἰς ἀπολογίαν. ὃ λέγει τοῦτό ἐστι· προσετάγην κηρύξαι· μέλλω διδόναι εὐθύνας, καὶ ἀπολογεῖσθαι ὑπὲρ τοῦ ἔργου, οὗ "προσετάγην. ὥστε οὕτω μοι τὴν ἀπολογίαν γενέσθαι εὔκολον, συναντιλαμ-

χ. [illegible]ζοντες

χ. προστέταγμαι

βάνονται

λόγῳ ἢ πόθον. διὰ τοῦτο τὸν Θεὸν καταλιμπάνω εἰδέναι τὸν τὰς καρδίας ἐμβατεύοντα. οὐκ ἂν δὲ, εἰ ἐκολάκευεν αὐτοὺς, τὸν Θεὸν ἐκάλεσε μάρτυρα. οὐδὲ γὰρ ἀκίνδυνον τοῦτο. καὶ τοῦτο, φησὶ, προσεύχομαι, ἵνα ἡ ἀγάπη ὑμῶν ἔτι μᾶλλον καὶ μᾶλλον περισσεύῃ. καλῶς· ἀκόρεστον γὰρ ἀγαθὸν τοῦτο. ὅρα πῶς φιλούμενος ἔτι μᾶλλον ἐβούλετο φιλεῖσθαι. ὁ γὰρ οὕτω φιλῶν ἢ φιλούμενον, οὐδαμοῦ τῆς ἀγάπης βούλεται ἵστασθαι. οὐ γὰρ ἔνι μέτρον τούτου τοῦ καλοῦ· ὅθεν ἀεὶ αὐτὸ ὀφείλεσθαι βούλεται ὁ Παῦλος, Μηδενὶ, λέγων, μηδὲν ὀφείλετε, εἰ μὴ τὸ ἀγαπᾷν ἀλλήλους. μέτρον ἀγάπης, τὸ μηδαμοῦ ἵστασθαι. ἵνα ἡ ἀγάπη ὑμῶν, φησὶν, ἔτι μᾶλλον καὶ μᾶλλον περισσεύῃ. ὅρα τὴν διάθεσιν τῆς λέξεως· ἔτι μᾶλλον καὶ μᾶλλον, φησὶν, ἵνα περισσεύῃ ἐν ἐπιγνώσει καὶ πάσῃ αἰσθήσει. οὐχ ἁπλῶς τὴν φιλίαν θαυμάζει, οὐδὲ ἁπλῶς τὴν ἀγάπην, ἀλλὰ τὴν ἐξ ἐπιγνώσεως· τουτέστιν, οὐχ ἵνα πρὸς ἅπαντας τῇ αὐτῇ χρήσησθε ἀγάπῃ. τοῦτο γὰρ οὐκ ἀγάπης, ἀλλὰ ψυχρότητος. τί ἐστιν, ἐν ἐπιγνώσει; τουτέστι, μετὰ κρίσεως, μετὰ λογισμοῦ, μετὰ τοῦ αἰσθάνεσθαι. εἰσὶ γάρ τινες ἀλόγως φιλοῦντες, ἁπλῶς καὶ ὡς ἔτυχεν. ὅθεν οὐδὲ σφοδρὰς εἶναι τὰς τοιαύτας φιλίας ἐστίν. ἐν ἐπιγνώσει, φησὶ, καὶ πάσῃ αἰσθήσει, εἰς τὸ δοκιμάζειν ὑμᾶς τὰ διαφέροντα, τουτέστι, τὰ συμφέροντα. οὐκ ἐμοῦ ἕνεκεν ταῦτα λέγω, φησὶν, ἀλλ' ὑμῶν αὐτῶν. δέος γὰρ μή τις παραφθαρῇ ὑπὸ τῆς τῶν αἱρετικῶν ἀγάπης. τοῦτο γὰρ ὅλον αἰνίττεται τῷ οὕτως εἰπεῖν. καὶ ὅρα πῶς αὐτὸ τίθησιν. οὐ δι' ἐμὲ, φησὶ, ταῦτα λέγω, ἀλλ' ἵνα ἦτε ὑμεῖς εἰλικρινεῖς· τουτέστιν, ἵνα μηδὲν νόθον δόγμα τῷ τῆς ἀγάπης προσχήματι παραδέχησθε. πῶς οὖν ἀλλαχοῦ φησιν, Εἰ δυνατὸν, μετὰ πάντων ἀνθρώπων εἰρηνεύετε; εἰρηνεύετε, εἶπεν, οὐχ οὕτως ἀγαπᾶτε, ὥστε ὑπὸ τῆς φιλίας βλάπτεσθαι (Εἰ γὰρ ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζει σε, φησὶν, ἔκκοψον αὐτὸν, καὶ βάλε ἀπὸ σοῦ) ἀλλ' ἵνα ἦτε εἰλικρινεῖς, τὸ κατὰ Θεὸν δηλονότι, καὶ ἀπρόσκοποι, τὸ κατὰ ἀνθρώπους. πολλοὺς γὰρ πολλάκις αἱ φιλίαι βλάπτουσιν. εἰ γὰρ καὶ σὲ οὐδὲν βλάπτει, φησὶν, ἀλλ' ἕτερος προσκόπτει. εἰς ἡμέραν Χριστοῦ· τουτέστιν, ἵνα τότε εὑρεθῆτε καθαροὶ, μηδένα σκανδαλίσαντες. πεπληρωμένοι καρπῶν δικαιοσύνης τῶν διὰ Ἰησοῦ Χριστοῦ, εἰς δόξαν καὶ ἔπαινον Θεοῦ· τουτέστι μετὰ τῶν δογμάτων καὶ βίον ὀρθὸν ἔχοντες. οὐ γὰρ ἁπλῶς ὀρθὸν εἶναι χρὴ, ἀλλὰ πεπληρῶσθαι καρπῶν δικαιοσύνης. ἔστι γὰρ δικαιοσύνη, ἀλλ' οὐ κατὰ Χριστὸν, οἷον βίος ἁπλῶς ἐνάρετος· ἀλλὰ τῶν διὰ Ἰησοῦ Χριστοῦ, φησὶν, εἰς δόξαν καὶ ἔπαινον Θεοῦ. ὁρᾷς ὅτι οὐ τὴν ἐμαυτοῦ δόξαν λέγω, ἀλλὰ τὴν τοῦ Θεοῦ δικαιοσύνην; πολλαχοῦ δὲ δικαιοσύνην καὶ τὴν ἐλεημοσύνην λέγει. μὴ παραβλαπτέτω ὑμᾶς, φησὶν, ἡ ἀγάπη πρὸς τὸ εἰδέναι τὰ συμφέροντα, μηδὲ, ἐπειδὴ ἢ διὰ φιλεῖς, καταπίπτῃς. βούλομαι μὲν αὔξεσθαι τὴν ἀγάπην ὑμῶν, οὐχ οὕτω μέντοι, ὡς καὶ βλάπτεσθαι. καὶ οὐχ ἁπλῶς βούλομαι περιλήψει, ἀλλὰ δοκιμάσαντας, εἰ ἡμεῖς καλῶς λέγομεν. καὶ οὐκ εἶπεν, ἵνα τὰ ἡμέτερα αἱρῆσθε, ἀλλ', ἵνα δοκιμάζητε. καὶ οὐκ εἶπε φανερῶς, μὴ τῷ δέει πλησιάζετε· ἀλλὰ, πρὸς τὸ συμφέρον βούλομαι ὑμῖν τὴν ἀγάπην γίνεσθαι, οὐχ ἵνα ἀναισθήτως διάκεισθε. ἀνόητοι γὰρ, εἰ μὴ διὰ Χριστὸν τὴν δικαιοσύνην ἐργάζεσθε, καὶ δι' αὐτοῦ. ἰδοὺ, τὸ δι' αὐτοῦ, πάλιν. ἆρα οὖν ὑπουργῷ κέχρηται τῷ Θεῷ; ἄπαγε· οὐχ ἵνα ἐγὼ, φησὶν, ἐπαινεθῶ, οὕτως εἶπον, ἀλλ' ἵνα ὁ Θεὸς δοξάζηται.

Ῥωμ. ιγ. η.

γ. χρῆσθε

γ. συμβαίνει

Ῥωμ. ιβ. ιη.

Ματθ. ε. κθ.

γ. καὶ

γ. δικαιοσύνην λέγω, ἀλλὰ τὴν τοῦ Θεοῦ δόξαν.

12 Γινώσκειν δὲ ὑμᾶς βούλομαι, ἀδελφοὶ, ὅτι τὰ κατ' ἐμὲ μᾶλλον εἰς προκοπὴν τοῦ εὐαγγελίου ἐλήλυθεν·

13 Ὥστε τοὺς δεσμούς μου φανεροὺς ἐν Χριστῷ γενέσθαι ἐν ὅλῳ τῷ πραιτωρίῳ, καὶ τοῖς λοιποῖς πᾶσιν. Εἰκὸς ἦν ἀκούσαντας, ὅτι δέδεται, ἀλγεῖν, καὶ νομίζειν ἐγκόπτεσθαι τὸ κήρυγμα. τί οὖν ποιεῖ; εὐθέως ταύτην ἀναιρεῖ τὴν ὑποψίαν, καί φησι, τὰ κατ' ἐμὲ μᾶλλον εἰς προκοπὴν τοῦ εὐαγγελίου ἐλήλυθε. καὶ τοῦτο δὲ φιλοῦντος, τὸ τὰ καθ' ἑαυτὸν δηλοῦν αὐτοῖς, ἅτε μεριμνῶσι. τί λέγεις; δέδεσαι, ἐμποδίζῃ, καὶ πῶς τὸ εὐαγγέλιον ἐπιδίδωσι;

γ. ἐκ.

Digitized by Google

λαμβάνων. ὁρᾷς, ὅτι οὐκ αἰσχροκερδείας ἕνεκεν ἡμῖν ταῦτα λέλεκται, ἀλλὰ τῆς ὑμῶν λυσιτελοῦς ὠφελείας; θρέψον τὸν πεινῶντα, ἵνα μὴ θρέψῃς τὸ τῆς γεέννης πῦρ. ἐκεῖνος ἐσθίων ἀπὸ τῶν σῶν, καὶ τὰ λείψανα ἁγιάζει. ἐννόησον πῶς ἔτρεφε τὸν Ἠλίαν ἡ χήρα· οὐκ ἔθρεψε μᾶλλον, ἢ ἐτράφη· οὐκ ἔδωκε μᾶλλον, ἢ ἔλαβε. τοῦτο καὶ νῦν γίνεται "καὶ πολλῷ μεῖζον. οὐ γὰρ ὑδρία ἀλεύρου, οὐδὲ καμψάκης ἐλαίου, ἀλλὰ τί; ἑκατονταπλασίονα, καὶ ζωὴ αἰώνιος τοῖς τοιούτοις ἡ ἀμοιβή. "ἔλεος ὁ τοῦ Θεοῦ, ἡ τροφὴ ἡ πνευματική. γίνεται ζύμη καθαρά. χήρα ἦν ἐκείνη, λιμὸς ἐπέκειτο, καὶ οὐδὲν τούτων αὐτὴν ἐκώλυσε. παῖδες ἦσαν αὐτῇ, καὶ οὐδ' οὕτως ἐνεποδίσθη. αὕτη τῆς τὰ δύο καταβαλλούσης λεπτὰ ἴση γέγονεν. οὐκ εἶπε πρὸς ἑαυτήν, τί ἀπὸ τούτου λήψομαι; αὐτὸς ἐμοῦ δεῖται· εἰ τινα ἰσχὺν εἶχεν, οὐκ ἂν ἐλίμωξεν, ἔλυσεν ἂν τὸν αὐχμόν, οὐκ ἂν ὑπὸ τὸν θυμὸν ἦν τοῖς αὐτοῖς· προσκεκρουκὼς ἴσως καὶ αὐτὸς τῷ Θεῷ. οὐδὲν τούτων ἐνενόησεν. ὁρᾷς πόσον ἀγαθόν ἐστι μετὰ ἁπλότητος εὖ ποιεῖν, καὶ μὴ σφόδρα περίεργον εἶναι περὶ τὸν εὖ πάσχοντα; εἰ ἤθελε πολυπραγμονῆσαι, ἐδίστασεν ἄν, οὐκ ἂν ἐπίστευσεν. οὕτω καὶ Ἀβραάμ, εἰ ἤθελε πολυπραγμονῆσαι, οὐκ ἂν ἐδέξατο ἀγγέλους. οὐ γάρ ἐστιν, οὐκ ἔστι τὸν ἐν τούτοις ἀκριβολογούμενον ἐπιτυχεῖν ἄν ποτε· ἀλλ' ὁ τοιοῦτος μάλιστα ἐμπίπτει εἰς ἐπιθέτας. καὶ πῶς, ἐγὼ λέγω. ὁ εὐλαβὴς οὐ βούλεται φαίνεσθαι εὐλαβής, καὶ οὐ περιτίθησιν ἑαυτῷ σχῆμα, "κἂν μέλλῃ διαπτύεσθαι· ὁ δὲ ἐπιθέτης, ἅτε τέχνην τὸ πρᾶγμα ἔχων, πολλὴν εὐλάβειαν καὶ δυσφορίαν περιτίθεται. ὥστε ὁ μὲν καὶ τοῖς δοκοῦσιν εὐλαβέσιν εὖ ποιῶν, τοῖς εὐλαβέσι περιπεσεῖται· ὁ δὲ τοὺς νομιζομένους εὐλαβεῖς ἐπιζητῶν, αὐτοῖς πολλάκις [illegible] ἐμπεσεῖται πολλάκις. διό, παρακαλῶ, ἐν ἁπλότητι πάντα πράττωμεν. ἴσμεν γὰρ

Παροιμ. κε. 1. ὅτι καὶ ἐπιθέτης ἐστὶν ὁ προσιών· οὐκ ἐκελεύσθης ταῦτα περιεργάζεσθαι. Παντί γάρ, φησι, τῷ αἰτοῦντί σε δίδου, καὶ ἐκτενεῖ κτεινομένους μὴ φείσῃ· καίτοι τοὺς πλείους τῶν ἀναιρουμένων ἐπὶ κακοῖς ἁλισκομένους τοῦτο ὑπομένουσιν, ἀλλὰ μὴ φείσῃ, φησίν. οὕτω γὰρ ὅμοιοι ἐσόμεθα τῷ Θεῷ, οὕτω θαυμασθησόμεθα, καὶ τῶν ἀθανάτων ἐπιτευξόμεθα ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν.

Λογ. β. 8 ΜΑΡΤΥΣ ΓΑΡ ΜΟΙ ΕΣΤΙΝ Ο ΘΕΟΣ, ΩΣ ἐπιποθῶ πάντας ὑμᾶς ἐν σπλάγχνοις Ἰησοῦ Χριστοῦ· 9 Καὶ τοῦτο προσεύχομαι, ἵνα ἡ ἀγάπη ὑμῶν ἔτι μᾶλλον καὶ μᾶλλον περισσεύῃ ἐν ἐπιγνώσει καὶ πάσῃ αἰσθήσει· 10 Εἰς τὸ δοκιμάζειν ὑμᾶς τὰ "διαφέροντα, ἵνα ἦτε εἰλικρινεῖς καὶ ἀπρόσκοποι εἰς ἡμέραν Χριστοῦ, 11 Πεπληρωμένοι καρπῶν δικαιοσύνης τῶν διὰ Ἰησοῦ Χριστοῦ εἰς δόξαν καὶ ἔπαινον Θεοῦ.

Οὐχ ὡς ἀπιστούμενος μάρτυρα καλεῖ τὸν Θεόν, ἀλλ' ἐκ πολλῆς διαθέσεως τοῦτο ποιεῖ, καὶ τῷ σφόδρα πεπεῖσθαι καὶ θαῤῥεῖν. ἐπειδὴ γὰρ εἶπεν, ὅτι ἐκοινώνησαν αὐτῷ, ἵνα μὴ νομίσωσιν, ὅτι διὰ τοῦτο αὐτὸ ποθεῖ, καὶ οὐχ ἁπλῶς ἐκείνων ἕνεκεν, διὰ τοῦτο ἐπήγαγεν, ὅτι ἐν σπλάγχνοις Χριστοῦ. τί ἐστι τοῦτο; ἀντὶ τοῦ, κατὰ Χριστόν· ἐπειδὴ πιστοί ἐστε, ἐπειδὴ "φιλεῖτε τὸν Χριστόν, διὰ τὴν κατὰ Χριστὸν ἀγάπην. καὶ οὐκ εἶπεν ἀγάπην*, ἀλλ', ὃ θερμότερον ἦν, σπλάγχνα Χριστοῦ, ὡσανεὶ πατὴρ ὑμῶν γεγονὼς διὰ τὴν συγγένειαν τὴν κατὰ Χριστόν. σπλάγχνα γὰρ ἡμῖν αὐτὴ χαρίζεται, σπλάγχνα θερμὰ καὶ διάπυρα. τοῖς γὰρ γνησίοις αὐτοῦ δούλοις σπλάγχνα χαρίζεται. ἐν ἐκείνοις, φησί, τοῖς σπλάγχνοις, ὡσανεί τις εἴποι, φιλῶ ὑμᾶς σπλάγχνοις οὐ φυσικοῖς, ἀλλὰ τοῖς θερμοτέροις, τοῖς τοῦ Χριστοῦ. ὡς ἐπιποθῶ, φησι, πάντας ὑμᾶς· ἐπιποθῶ πάντας, ἐπειδὴ καὶ πάντες τοιοῦτοί ἐστε. οὐ δύναμαι εἰπεῖν πῶς ἐπιποθῶ. οὐ γὰρ δύναμαι παραστῆσαι τῷ λόγῳ

Right-margin notes: χ. ἐν πολλῷ μείζονι. — χ. ἔλεος ὁ τοῦ Θεοῦ ἐπιστροφὴ γίνεται πνευματική, ζύμη καθαρά. — χ. καὶ μέλλῃ — χ. τοῖς αὐλαβέσι — χ. συμφέροντα. — χ. ποθεῖτε — * ἀπλῶς

οὐδεὶς κατὰ Παῦλόν ἐστι, φησίν. ὀρθῶς ἀποφαίνεις, ὀρθῶς κρίνεις. οὐδεὶς κατὰ Παῦλόν ἐστι; κἀγὼ ὁμολογῶ. Ἀλλ' ὁ δεχόμενος, φησί, προφήτην εἰς ὄνομα προφήτου, μισθὸν προφήτου λήψεται. (Ματθ. ι. μα.) μὴ γὰρ ἐκεῖνοι διὰ τοῦτο ἐθαυμάζοντο, ἐπειδὴ Παύλῳ συνέπραττον; οὐ διὰ τοῦτο, ἀλλ' ἐπειδὴ* διαδεξαμένῳ τὸ κήρυγμα. Παῦλος διὰ τοῦτο τίμιος ἦν, ἐπειδὴ ταῦτα ἔπασχε διὰ τὸν Χριστόν. κατὰ Παῦλον μὲν οὐδείς ἐστι. τί λέγω κατὰ Παῦλον; ἀλλ' οὐδὲ κατὰ μικρὸν ἐγγὺς τοῦ μακαρίου ἐκείνου· τὸ δὲ κήρυγμα τὸ αὐτό ἐστιν, ὅπερ καὶ τότε. οὐκ ἐν δεσμοῖς δὲ ὄντι μόνον ἐκοινώνουν αὐτῷ, ἀλλὰ καὶ ἐξ ἀρχῆς. ἄκουε γὰρ αὐτοῦ λέγοντος· Οἴδατε δὲ καὶ ὑμεῖς, Φιλιππήσιοι, ὅτι ἐν ἀρχῇ τοῦ εὐαγγελίου οὐδεμία μοι ἐκκλησία ἐκοινώνησεν εἰς λόγον δόσεως καὶ λήψεως, εἰ μὴ ὑμεῖς μόνοι. (Φιλιπ. δ. ιε.) καὶ χωρὶς πειρασμῶν δὲ ἔχει πολλὴν ὁ διδάσκαλος πόνον, ἀγρυπνίας, κόπον τὸν ἐν λόγῳ, διδασκαλίας, μέμψεις, κατηγορίας, αἰτίας, βασκανίας. μικρὰ ταῦτα,* τὸ μυρίων ἀνέχεσθαι στομάτων, ἐξὸν τὰ αὐτοῦ μεριμνᾶν; οἴμοι, τί πάθω; ἐν μέσῳ δυοῖν ἐναπείλημμαι πραγμάτων ἀπόρων. βούλομαι μὲν γὰρ καὶ προτρέψαι ὑμᾶς, καὶ παρακαλέσαι πρὸς τὴν συμμαχίαν καὶ τὴν ἀντίληψιν τῶν ἁγίων τοῦ Θεοῦ· δέδοικα δὲ μὴ ἔπειτά τις ὑποπτεύσῃ, ὅτι οὐχ ὑμῶν ἕνεκεν, ἀλλ' ἐκείνων ταῦτα λέγω. ἴστε δὲ, ὅτι οὐκ ἐκείνων ἕνεκεν ταῦτα λέγω, ἀλλ' ὑμῶν αὐτῶν. καὶ εἰ βούλεσθε προσέχειν, δι' αὐτῶν τῶν λόγων ὑμᾶς πείθω· οὐκ ἔστιν ἴσον ὑμῖν τὸ κέρδος κἀκείνοις. ὑμεῖς μὲν γὰρ ἐὰν δῶτε, ταῦτα δώσετε, ὧν καὶ μικρὸν ὕστερον καὶ ἑκόντες καὶ ἄκοντες ἀποστήσεσθε, καὶ παραχωρήσετε ἑτέροις· ἃ δὲ λαμβάνετε, πολλῷ μεγάλα ἐστὶ καὶ μείζονα. ἢ οὐχ οὕτω διάκεισθε, ὅτι διδόντες λήψεσθε; εἰ γὰρ μὴ οὕτω διάκεισθε, οὐδὲ δοῦναι ὑμᾶς βούλομαι. οὕτως οὐ τὸν ὑπὲρ ἐκείνων ποιοῦμαι λόγον. εἰ μή τις οὕτω περὶ ἑαυτὸν διέθηκεν, ὡς λαμβάνων μᾶλλον ἢ διδοὺς, ὡς κερδαίνων μυρία, ὡς εὐεργετούμενος ἢ εὐεργετῶν, μὴ διδότω· εἰ ὡς χάριν παρέχων τῷ λαμβάνοντι, μὴ διδότω. οὐ γάρ τοῦτό μοι περισπούδαστον τοσοῦτον* τραφῆναι τοὺς ἁγίους. κἂν γὰρ σὺ μὴ δῷς, ἕτερος δώσει. ὥστε ὃ βούλομαι, τοῦτό ἐστιν, ὑμᾶς τῶν ὑμετέρων ἁμαρτημάτων παραμυθίαν ἔχειν. ὁ δὲ μὴ οὕτω διδοὺς, οὐχ ἕξει παραμυθίαν. οὐ γὰρ τὸ δοῦναι, τοῦτό ἐστιν ἐλεημοσύνην ἐργάσασθαι, ἀλλὰ τὸ μετὰ προθυμίας, τὸ χαίροντα, τὸ χάριν εἰδότα τῷ λαμβάνοντι. Μὴ ἐκ λύπης γάρ, φησι, μηδὲ ἐξ ἀνάγκης· ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ Θεός. (β Κορ. θ. ζ.) εἰ μή τις τοίνυν οὕτω δίδωσι, μὴ διδότω. ζημία γὰρ τοῦτό ἐστιν, οὐκ ἐλεημοσύνη. εἰ τοίνυν ἴστε, ὅτι ὑμεῖς κερδαίνετε, οὐκ ἐκεῖνοι, ἴστε, ὅτι μεῖζον ὑμῖν τὸ κέρδος γίνεται. ἐκείνοις μὲν γὰρ τὸ σῶμα τρέφεται, ὑμῖν δὲ ἡ ψυχὴ εὐδοκιμεῖ· ἐκείνοις οὐδὲν ἀφίεται τῶν ἁμαρτημάτων, ὅταν λάβωσιν, ὑμῖν δὲ τὰ πολλὰ τῶν "προσκρουμάτων" ὑποτέμνεται. χρησώμεθα τοίνυν αὐτοῖς τῶν ἄθλων" τῶν μεγάλων. βασιλέας ὑποποιοῦντές τινες, οὐχ ἡγοῦνται διδόναι μᾶλλον, ἢ λαμβάνειν. ὑποποίησαι σὺ τὸν Χριστόν, καὶ ἕξεις πολλὴν ἀσφάλειαν. βούλει καὶ Παύλῳ κοινωνῆσαι;* τί λέγω Παύλῳ, ὅπου γε Χριστός ἐστιν ὁ λαμβάνων; ἵνα δὲ εἰδῆτε ὅτι ὑμῶν ἕνεκεν πάντα καὶ λέγω, καὶ ποιῶ, οὐ τῆς ἑτέρων ἀναπαύσεως κηδόμενος, εἴ τίς ἐστι τῶν προεστώτων ἐκκλησίας ἐν ἀφθονίᾳ ζῶν, καὶ μηδενὸς δεόμενος, κἂν ἅγιος ᾖ, μὴ δῷς, ἀλλὰ προτίμησον ἐκεῖνον τὸν ἐν ἐνδείᾳ ὄντα, κἂν μὴ οὕτως ᾖ θαυμαστός. τί δήποτε; ὅτι καὶ ὁ Χριστὸς οὕτω βούλεται, ὡς ὅταν λέγῃ· Ἐὰν ποιῇς δεῖπνον, ἢ ἄριστον, μὴ καλέσῃς τοὺς φίλους σου, μηδὲ τοὺς συγγενεῖς, ἀλλὰ τοὺς ἀναπήρους, τοὺς χωλούς, τοὺς τυφλούς, τοὺς μὴ δυναμένους ἀνταποδοῦναί σοι. (Λουκ. ιδ. ιβ.) οὐ γὰρ ἁπλῶς δεῖ τὰς τοιαύτας δεξιώσεις ποιεῖν, ἀλλὰ τοῖς πεινῶσιν, ἀλλὰ τοῖς διψῶσιν, ἀλλὰ τοῖς γυμνητεύουσιν, ἀλλὰ τοῖς ξένοις*. οὐ γὰρ εἶπεν ἁπλῶς, ἐτράφην, ἀλλ', ἐπείνων· Πεινῶντά με γάρ, φησιν, εἴδετε, καὶ ἐθρέψατε. (Ματθ. κε. λε.) διπλοῦν τὸ δικαίωμα*. εἰ δὲ τὸν ἁπλῶς πεινῶντα δεῖ τρέφειν, πολλῷ μᾶλλον, ὅταν καὶ ἅγιος ὁ πεινῶν ᾖ. ἂν τοίνυν ἅγιος μὲν ᾖ, μὴ δέηται δέ, μὴ δῷς. οὐ γὰρ κέρδος τοῦτο. οὐδὲ γὰρ ἐπέταξεν ὁ Χριστός, μᾶλλον δὲ οὐδὲ ἅγιος ἐκεῖνος ὁ ἐν ἀφθονίᾳ ὢν, καὶ λαμβάνων.

* ἐκοινώνουν

* εἰπέ μοι,

* ὅτι

γρ. παραπτωμάτων ἢ κρύπτεται. γρ. ἴσα καὶ τῷ ἐκείνων παραμυθίαν ἐπέθλιψεν.

* ἢ χωλεύω

* ἀλλὰ τοῖς ἀπὸ πλέγε παραχεῦσιν

* καὶ ὅτι ἅγιος, καὶ ὅτι πεινᾷ.

7 Καθώς ἐστι δίκαιον ἐμὲ τοῦτο φρονεῖν ὑπὲρ πάντων ὑμῶν, διὰ τὸ ἔχειν με ἐν τῇ καρδίᾳ ὑμᾶς, ἔν τε τοῖς δεσμοῖς μου, καὶ ἐν τῇ ἀπολογίᾳ μου, καὶ βεβαιώσει τοῦ εὐαγγελίου, συγκοινωνούς μου τῆς χάριτος πάντας ὑμᾶς ὄντας. Πολλὴν τέως δείκνυσιν ἐνταῦθα αὐτοῦ τὸν πόθον, εἴγε ἐν καρδίᾳ αὐτοὺς εἶχε, καὶ ἐν αὐτῷ τῷ δεσμωτηρίῳ * δεδεμένος Φιλιππησίων ἐμέμνητο. οὐ μικρὸν δὲ τῶν ἀνδρῶν τὸ ἐγκώμιον, τὸ μεμνῆσθαι ὑπὸ τοῦ ἁγίου τούτου· ἐπεὶ μηδέ ἐστι προσλήψεως ἡ τοῦ ἁγίου τούτου ἀγάπη, ἀλλὰ κρίσεως, καὶ λογισμῶν ὀρθῶν. ὥστε τὸ ἀγαπᾶσθαι παρὰ Παύλου οὕτω σφοδρῶς, τεκμήριόν ἐστι τινα εἶναι μέγαν καὶ θαυμαστόν. καὶ ἐν τῇ ἀπολογίᾳ, φησὶ, καὶ βεβαιώσει τοῦ εὐαγγελίου. καὶ τί θαυμαστὸν, εἰ ἐν τῷ δεσμωτηρίῳ εἶχεν αὐτούς; οὐδὲ γὰρ κατ' ἐκεῖνον τὸν καιρὸν, φησὶ, καθ' ὃν εἰσῄειν εἰς τὸ δικαστήριον ἀπολογησόμενος, ἐξεπέσατέ μου τῆς μνήμης. οὕτω γάρ ἐστι τυραννικὸν ὁ ἔρως ὁ πνευματικὸς, ὡς μηδενὶ παραχωρεῖν καιρῷ, ἀλλ' ἀεὶ τῆς ψυχῆς ἔχεσθαι τοῦ φιλοῦντος, καὶ μηδεμίαν θλίψιν ἢ ὀδύνην συγχωρεῖν περιγενέσθαι τῆς ψυχῆς. καθάπερ γὰρ ἐπὶ τῆς καμίνου τῆς Βαβυλωνίας, τοσαύτης αἰρομένης φλογὸς, δρόσος ἦν τοῖς μακαρίοις ἐκείνοις παισὶν, οὕτω καὶ φιλία τοῦ ἀγαπῶντος καὶ ἀρέσκοντος Θεῷ τὴν ψυχὴν καταλαβοῦσα, πᾶσαν ἀποτινάσσει φλόγα, καὶ δρόσον ποιεῖ θαυμαστήν. καὶ βεβαιώσει τοῦ εὐαγγελίου, φησίν. ἄρα τὰ δεσμὰ βεβαίωσις τοῦ εὐαγγελίου ἦν, ἄρα ἀπολογία. καὶ πάνυ ὑγιῶς. ὅτι εἰ μὲν παρῃτήσατο τὰ δεσμὰ, ἔδοξεν ἂν εἶναι ἀπατεών· νυνὶ δὲ πάντα ὑπομένων, καὶ δεσμὰ, καὶ θλίψιν, δηλοῖ ὡς οὐκ ἀνθρωπίνης τινὸς αἰτίας ἕνεκεν ταῦτα πάσχει, ἀλλὰ διὰ τὸν Θεὸν τὸν ἀνταποδιδόντα. οὐδεὶς γὰρ ἂν καὶ ἀποθανεῖν εἵλετο καὶ τοσούτους κινδύνους ἀναδέξασθαι, οὐδεὶς ἂν τὸν βασιλέα τοιοῦτον κατεδέξατο προσκροῦσαι, τὸν Νέρωνα λέγω, εἰ μὴ πρὸς ἕτερον ἑώρα βασιλέα πολλῷ μείζονα. ἄρα * βεβαίωσις τοῦ εὐαγγελίου ἦν τὰ δεσμά. ὅρα πῶς ἐκ περιουσίας εἰς τὸ ἐναντίον ἅπαντα περιέτρεψεν. ὃ γὰρ ἐνόμιζον εἶναι ἀσθένειαν καὶ κατήφειαν, τοῦτο βεβαίωσίν φησι. καὶ εἰ μὴ τοῦτο γέγονεν, ἐν ἀσθενείᾳ ἦν. εἶτα δείκνυσιν, ὅτι οὐ προσλήψεως ἡ ἀγάπη, ἀλλὰ κρίσεως. διὰ τί ἔχω ὑμᾶς, φησιν, ἐν τοῖς δεσμοῖς μου, καὶ ἐν τῇ ἀπολογίᾳ; διὰ τὸ συγκοινωνοὺς εἶναι τῆς χάριτος. τί ἐστι τοῦτο; ἡ χάρις τοῦ ἀποστόλου τοῦτο ἦν τὸ δεσμεῖσθαι; τὸ ἐλαύνεσθαι; τὸ μυρία πάσχειν δεινά; ναί. Ἀρκεῖ γάρ σοι, φησιν, ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. Διὸ εὐδοκῶ, φησιν, ἐν ἀσθενείαις, ἐν ὕβρεσιν. ἐπεὶ οὖν ὁρῶ ὑμᾶς διὰ τῶν ἔργων τὴν ἀρετὴν ἐπιδεικνυμένους, καὶ τῆς χάριτος ταύτης ὄντας κοινωνοὺς, καὶ μετὰ προθυμίας, εἰκότως ταῦτα στοχάζομαι. ὁ γὰρ πεῖραν ὑμῶν εἰληφὼς, καὶ μάλιστα πάντων ὑμᾶς εἰδὼς, καὶ τὰ ὑμέτερα κατορθώματα, ὅτι καὶ τοσοῦτον ἡμῶν ἀφεστηκότες βιάζεσθε μὴ ἀπολειφθῆναι ἡμῶν ἐν ταῖς θλίψεσιν, ἀλλὰ τῶν ὑπὲρ τοῦ εὐαγγελίου πειρασμῶν κοινωνῆσαι, καὶ μηδὲν ἔλαττον ἐμοῦ ἔχειν τοῦ εἰς τοὺς ἀγῶνας ἐμβεβηκότος, αὐτοὶ τὸ πόρρωθεν ὄντες, δίκαιός εἰμι ταῦτα μαρτυρεῖν. διὰ τί δὲ οὐκ εἶπε κοινωνοὺς, ἀλλὰ, συγκοινωνούς; καὶ αὐτὸς ἐγὼ, φησιν, ἑτέρῳ κοινωνῶ, ἵνα γένωμαι συγκοινωνὸς τοῦ εὐαγγελίου· τουτέστιν, ἵνα κοινωνήσω τῶν ἀποκειμένων ἀγαθῶν τῷ εὐαγγελίῳ. καὶ τὸ δὴ θαυμαστὸν, τὸ πάντας αὐτοὺς οὕτω διακεῖσθαι, ὥστε συγκοινωνοὺς Παύλου ἀκούειν. συγκοινωνούς μου γὰρ, φησι, τῆς χάριτος πάντας ὑμᾶς ὄντας. ἀπὸ τῶν προοιμίων τοίνυν τούτων πέπεισθε, ὅτι τοιοῦτοι ἔσεσθε μέχρι τέλους. οὐ γὰρ ἦν οὕτω λαμπρὰν ἀρχὴν σβεσθῆναι καὶ λῆξαι, ἀλλὰ μεγάλα δείκνυσι τὰ τέλη.

β. Κορ. ιβ. θ.
α. Κορ. θ. κγ.

χ. ἐμοὶ
* καὶ
χ. εἰς
χ. τοῦ
χ. καὶ
χ. θλίψεις
* καὶ
χ. κοινωνὸς
χ. λῆξαι ἁπλῶς, εἰ μὴ μεγάλα δείξει καὶ τὰ τέλη.
ἴσ. ἑτέρους
χ. βουλ.

ΗΘΙΚΟΝ

Ἐπεὶ οὖν ἔστι κοινωνῆσαι καὶ ἑτέρως χάριτος, καὶ πειρασμῶν, καὶ θλίψεων, κοινωνῶμεν, παρακαλῶ, καὶ ἡμεῖς. πόσοι τῶν ἐνταῦθα ἑστώτων, μᾶλλον δὲ πάντες ἐβούλεσθε κοινωνῆσαι τῷ Παύλῳ τῶν ἀποκειμένων ἀγαθῶν. ἔνεστιν, εἰ βούλεσθε τοῖς τὴν διακονίαν διαδεδεγμένοις τὴν ἐκείνου, τοῖς πάσχουσί τι δεινὸν διὰ τὸν Χριστὸν συμμαχῆσαι, βοηθῆσαι. εἶδες ἐν πειρασμῷ τὸν ἀδελφόν; ὄρεξον χεῖρα. εἶδες τὸν διδάσκαλον ἀγωνιζόμενον; παράστηθι. ἀλλ'

χ. εἰ πάνυ βούλεσθε, ἔνεστι τὸ ἐκείνους ποιεῖν. πῶς; ὅταν τοῖς
χ. συμμαχῆτε προθύμως, βοηθῆτε, χεῖρα ὀρέγητε.
χ. παράστηθι

οὐδεὶς

πολλὰ χρήματα διὰ τὸν Θεὸν, διαπαντὸς ἀνάκειται τῷ Θεῷ, ἀρετὴν ἀσκεῖ μεγάλην, καὶ μέχρι ῥημάτων, καὶ μέχρις ἐννοιῶν, καὶ μέχρι πάντων πολλὴν ἀκρίβειαν φυλάττων· ἔνεστι καὶ σοὶ καὶ μὴ τοσαύτην ἀκρίβειαν ἐπιδειξαμένῳ, τὸν ἐπὶ τούτοις ἀποκείμενον αὐτῷ μισθὸν κοινωνῆσαι. πῶς; ἂν θεραπεύσῃς αὐτὸν καὶ λόγῳ, καὶ ἔργῳ, ἂν παρακαλέσῃς καὶ διὰ τοῦ χορηγεῖν τὰ ἀναγκαῖα, καὶ διὰ τοῦ διακονεῖσθαι πᾶσαν διακονίαν. ὁ γὰρ εὐκολωτέραν ποιῶν τὴν τραχεῖαν ὁδὸν ἐκείνῳ, σὺ ἔσῃ. ὥστε εἰ θαυμάζετε τοὺς ἐν ταῖς ἐρήμοις, τοὺς τὸν ἀγγελικὸν ᾑρημένους βίον, τοὺς ἐν ταῖς ἐκκλησίαις τὰ αὐτὰ ἐκείνοις κατορθοῦντας· εἰ θαυμάζετε καὶ ἀλγεῖτε, ὅτι σφόδρα αὐτῶν ἀπολιμπάνεσθε, ἔνεστιν ὑμῖν ἑτέρως αὐτοῖς κοινωνῆσαι, τῷ διακονεῖν, τῷ θεραπεύειν. καὶ γὰρ καὶ τοῦτο τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἐστὶ, τὸ τοὺς ῥαθυμοτέρους, καὶ τὸν ἀπεσκληκότα βίον καὶ τραχὺν καὶ ἀκριβῆ μὴ δυναμένους ἀναδέξασθαι, καὶ τούτους δι᾽ ἑτέρας ὁδοῦ πάλιν εἰς τὴν αὐτὴν τούτοις τάξιν ἄγειν. καὶ τοῦτό φησιν ὁ Παῦλος κοινωνίαν. Κοινωνοῦσιν ἡμῖν, φησὶν, ἐν τοῖς σαρκικοῖς, κοινωνοῦμεν αὐτοῖς ἐν τοῖς πνευματικοῖς. Εἰ γὰρ ὁ Θεὸς ἀντὶ μικρῶν καὶ μηδαμινῶν βασιλείαν χαρίζεται, καὶ οἱ δοῦλοι αὐτοῦ ἀντὶ μικρῶν καὶ αἰσθητῶν πνευματικὰ μεταδιδοῦσι· μᾶλλον δὲ καὶ ταῦτα, κἀκεῖνα αὐτός ἐστιν ὁ διδοὺς διὰ τούτων. οὐ δύνασαι νηστεῦσαι, οὐδὲ μονωθῆναι, οὐδὲ χαμευνῆσαι, οὐδὲ παννυχίσαι; ἔνεστί σοι τούτων ἁπάντων μισθὸν λαβεῖν, ἂν ἑτέρως τὸ πρᾶγμα μεθοδεύσῃς, τὸν ἐν τούτοις κάμνοντα θεραπεύων, καὶ ἀναπαύων, καὶ ἀλείφων συνεχῶς, καὶ τὸν ἀπὸ τούτων ἐπικουφίζων πόνον. αὐτὸς ἕστηκε μαχόμενος, [αὐτὸς] καὶ τραύματα λαμβάνων· σὺ θεράπευε ἀπὸ τοῦ ἀγῶνος ἐπανιόντα, δέχου ὑπτίαις χερσὶν, ἀπόψηχε τὸν ἱδρῶτα, ἀναπαύων· παρακάλει, παραμυθοῦ, ἀνάκτω τὴν πεπονηκυῖαν ψυχήν. ἂν μετὰ τοσαύτης προθυμίας διακονώμεθα τοῖς ἁγίοις, μερισταὶ τῶν μισθῶν αὐτῶν ἐσόμεθα. τοῦτο καὶ ὁ Χριστός φησι· Ποιήσατε ὑμῖν φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας, ἵνα δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους αὐτῶν σκηνάς. ὁρᾷς πῶς οὗτοι κοινωνοὶ γεγόνασιν; ἀπὸ πρώτης ἡμέρας, φησὶ, μέχρι τοῦ νῦν. διὰ τοῦτο χαίρω, φησὶν, ἐπὶ τῇ κοινωνίᾳ ὑμῶν, καὶ χαίρω οὐχ ὑπὲρ τῶν παρελθόντων μόνον, ἀλλὰ καὶ ὑπὲρ τῶν μελλόντων. ἀπὸ γὰρ τῶν παρελθόντων κἀκεῖνα στοχάζομαι.

Marginal notes, left: γρ. τὴν ὁδὸν τὴν τραχεῖαν ἐκείνην, — γρ. οὐδαμινῶν. Right: Ῥωμ. ιε. κζ. — Λουκ. ις. θ.

6 Πεποιθὼς αὐτὸ τοῦτο, φησὶν, ὅτι ὁ ἐναρξάμενος ἐν ὑμῖν ἔργον ἀγαθὸν, ἐπιτελέσει ἄχρις ἡμέρας Ἰησοῦ Χριστοῦ. Ὁρᾶτε πῶς αὐτοὺς καὶ μετριάζειν διδάσκει· ἐπειδὴ γὰρ μέγα αὐτοῖς ἐμαρτύρησε πρᾶγμα, ἵνα μή τι ἀνθρώπινον πάθωσιν, εὐθέως παιδεύει αὐτοὺς ἐπὶ τὸν Χριστὸν καὶ τὰ παρελθόντα καὶ τὰ μέλλοντα ἀνατιθέναι. πῶς; οὐ γὰρ εἶπε, πεποιθὼς, ὅτι ὡς ἐνήρξασθε, καὶ τελέσετε, ἀλλὰ τί; ὁ ἐναρξάμενος ἐν ὑμῖν ἔργον ἀγαθὸν ἐπιτελέσει. οὔτε ἀπεστέρησεν αὐτοὺς τοῦ κατορθώματος (εἶπε γὰρ, ὅτι τῇ κοινωνίᾳ ὑμῶν χαίρω, δηλονότι, ὡς αὐτῶν κατορθούντων) οὔτε εἶπεν αὐτῶν εἶναι τὰ κατορθώματα μόνον, ἀλλὰ προηγουμένως τοῦ Θεοῦ. θαρρῶ γὰρ, φησὶν, ὅτι ὁ ἐναρξάμενος ἐν ὑμῖν ἔργον ἀγαθὸν ἐπιτελέσει ἄχρις ἡμέρας Ἰησοῦ Χριστοῦ· τουτέστιν, ὁ Θεός. οὐ περὶ ὑμῶν δὲ, φησὶ, μόνον, ἀλλὰ καὶ περὶ τῶν ἐξ ὑμῶν οὕτω διάκειμαι. καὶ τοῦτο γὰρ οὐ μικρὸν ἐγκώμιον, τὸ τὸν Θεὸν ἔν τινι ἐνεργεῖν. Εἰ γὰρ μὴ προσωπολήπτης ἐστὶν, ὥσπερ οὖν οὐδὲ ἐστὶν, ἀλλ᾽ εἰς τὴν πρόθεσιν ὁρῶν, συνεφάπτεται τῶν κατορθωμάτων ἡμῖν, δῆλον ὅτι τοῦ ἐπισπάσασθαι αὐτὸν ἡμεῖς αἴτιοι· ὥστε οὐδὲ οὕτως ἀπεστέρησεν αὐτοὺς τῶν ἐγκωμίων. ἐπεὶ εἰ ἁπλῶς ἐνήργει, οὐδὲν ἂν ἐκώλυσε καὶ Ἕλληνας καὶ πάντας ἀνθρώπους ἐνεργεῖσθαι, εἰ ὡς ξύλα ἡμᾶς ἐκίνει καὶ λίθους, καὶ μὴ τὰ παρ᾽ ἡμῶν ἐζήτει. ὥστε τῷ εἰπεῖν, ὁ Θεὸς ἐπιτελέσει, καὶ τοῦτο πάλιν αὐτῶν ἐγκώμιόν ἐστι, τῶν ἐπισπασαμένων τοῦ Θεοῦ τὴν χάριν συμπράττειν αὐτοῖς εἰς τὸ ὑπερβῆναι τὴν ἀνθρωπίνην φύσιν. καὶ ἑτέρως δὲ ἐγκώμιον, ὅτι τοιαῦτα τὰ κατορθώματα ὑμῶν ἐστιν, ὥστε μὴ εἶναι ἀνθρώπινα, ἀλλὰ τῆς τοῦ Θεοῦ δεῖσθαι ῥοπῆς. εἰ δὲ ὁ Θεὸς ἐπιτελέσει, οὐδὲ πολὺς ἔσται κάματος, ἀλλὰ δεῖ θαρρεῖν, ὡς εὐμαρῶς πάντα διανυόντων, ἅτε ὑπ᾽ ἐκείνου βοηθουμένων.

Marginal note, left: γρ. κινεῖ

7 Καθώς

Tit. a. 6. γράφων φησί, Τούτου χάριν κατέλιπόν σε ἐν Κρήτῃ, ἵνα καταστήσῃς κατὰ πόλιν πρεσβυτέρους, ὡς ἐγώ σοι διεταξάμην· εἴ τις ἀνέγκλητος, μιᾶς γυναικὸς ἀνήρ· ἃ περὶ τοῦ ἐπισκόπου φησί. καὶ εἰπὼν ταῦτα, εὐθέως ἐπήγαγε· Δεῖ γὰρ τὸν ἐπίσκοπον ἀνέγκλητον εἶναι, ὡς χ. γῦν Θεοῦ οἰκονόμον, μὴ αὐθάδη. ὅπερ οὖν ἔφην, καὶ οἱ πρεσβύτεροι τὸ παλαιὸν ἐκαλοῦντο ἐπίσκοποι καὶ διάκονοι τοῦ Χριστοῦ, καὶ οἱ ἐπίσκοποι, πρεσβύτεροι· ὅθεν καὶ νῦν πολλοὶ συμπρεσβυτέρῳ ἐπίσκοποι γράφουσι, καὶ συνδιακόνῳ. λοιπὸν δὲ τὸ ἰδιάζον ἑκάστῳ ἀπονενέμηται χ. ἀπονενέμηνται ὄνομα, ὁ ἐπίσκοπος, καὶ ὁ πρεσβύτερος. συνεπισκόποις, φησὶ, καὶ διακόνοις, χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ. ἐνταῦθα ζητήσειεν ἄν τις εἰκότως, τί δήποτε οὐδαμοῦ τῷ κλήρῳ γράφων ἀλλαχοῦ, οὐκ ἐν Ῥώμῃ, οὐκ ἐν Κορίνθῳ, οὐκ ἐν Ἐφέσῳ, ἀλλὰ κοινῇ πᾶσι τοῖς ἁγίοις, ἢ τοῖς πιστοῖς, ἢ τοῖς ἠγαπημένοις, ἐνταῦθα τῷ κλήρῳ γράφει; ὅτι αὐτοὶ καὶ ἀπέστειλαν, καὶ ἐκαρποφόρησαν, καὶ αὐτοὶ ἔπεμψαν πρὸς αὐτὸν τὸν Ἐπαφρόδιτον.

3 Εὐχαριστῶ τῷ Θεῷ μου, φησὶν, ἐπὶ πάσῃ τῇ μνείᾳ ὑμῶν πάντοτε. Εἶπεν ἀλλαχοῦ γράφων, Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν, καὶ ὑπείκετε, ὅτι αὐτοὶ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες, ἵνα μετὰ χαρᾶς τοῦτο ποιῶσι, καὶ μὴ στενάζοντες. εἰ τοίνυν τὸ στενάζειν, κακίας τῶν μαθητῶν, τὸ μετὰ χαρᾶς τοῦτο ποιεῖν, προκοπῆς. τοῦτο οὖν ἐστιν ὃ λέγει· ὁσάκις ὑμῶν ἀναμνησθῶ, δοξάζω τὸν Θεόν. τοῦτο δὲ ποιεῖ ἐκ τοῦ πολλὰ αὐτοῖς συνειδέναι ἀγαθά. καὶ δοξάζω, φησὶ, καὶ δέομαι· οὐ μὴν, ἐπειδὴ ἐπιδεδώκατε εἰς ἀρετὴν, παύομαι, ἀλλ' ἐπιμένω δεόμενος ὑπὲρ ὑμῶν. χ. ἢ Εὐχαριστῶ, φησὶ, τῷ Θεῷ ἐπὶ πάσῃ τῇ μνείᾳ ὑμῶν,

4 (Πάντοτε, ἐν πάσῃ δεήσει μου ὑπὲρ πάντων ὑμῶν μετὰ χαρᾶς τὴν δέησιν ποιούμενος.) Πάντοτε, οὐχ ὅταν εὔχωμαι μόνον. καλῶς δὲ προσέθηκε, τὸ μετὰ χαρᾶς. ἔστι γὰρ καὶ μετὰ λύπης τοῦτο ποιῆσαι, ὡς ὅταν λέγῃ ἀλλαχοῦ· 2. Κορ. β. δ. Ἐκ γὰρ πολλῆς θλίψεως καὶ συνοχῆς καρδίας ἔγραψα ὑμῖν διὰ πολλῶν δακρύων.

5. Ἐπὶ τῇ κοινωνίᾳ ὑμῶν, φησὶν, εἰς τὸ εὐαγγέλιον ἀπὸ πρώτης ἡμέρας μέχρι τοῦ νῦν. Μέγα αὐτοῖς ἐνταῦθα μαρτυρεῖ, οὐχ ἁπλῶς, ἀλλὰ καὶ σφόδρα μέγα, καὶ ὅπερ ἄν τις ἐμαρτύρησεν ἀποστόλοις καὶ εὐαγγελισταῖς. οὐκ ἐπὶ γὰρ πόλιν ἐνεχειρίσθητε μίαν, φησὶν, ἐκείνης φροντίζετε μόνης, ἀλλὰ πάντα πράττετε, ὥστε μερισταὶ γενέσθαι τῶν ἐμῶν πόνων, πανταχοῦ παρόντες, καὶ συμπράττοντες, καὶ συγκοινωνοῦντές μου τῷ κηρύγματι. οὐχ ἕνα χρόνον, οὐδὲ δεύτερον, οὐδὲ τρίτον, ἀλλὰ πάντοτε, ἐξ οὗ ἐπιστεύσατε μέχρι τοῦ νῦν, ἀποστόλων ἀνειλήφατε προθυμίαν. ὅρα πῶς οἱ μὲν ἐν Ῥώμῃ ὄντες ἀπεστρέφοντο αὐτόν. ἄκουε γὰρ αὐτοῦ λέγοντος, 2. Tim. a. 15. Οἶδας τοῦτο, ὅτι ἀπεστράφησάν με πάντες οἱ ἐν τῇ Ἀσίᾳ· καὶ πάλιν, 2. Tim. δ. 10. Δημᾶς με ἐγκατέλιπε· καὶ, Ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ, φησὶν, οὐδείς μοι συμπαρεγένετο. οὗτοι δὲ καὶ ἀπόντες ἐκοινώνουν αὐτῷ τῶν θλίψεων, πέμποντές τε ἄνδρας πρὸς αὐτὸν, καὶ κατὰ δύναμιν ὑπηρετούμενοι, καὶ οὐδὲν ὅλως ἐλλιμπάνοντες. καὶ τοῦτο ποιεῖτε, οὐ νῦν μόνον, φησὶν, ἀλλ' ἀεὶ παντὶ τρόπῳ συναντιλαμβανόμενοι. ἄρα τὸ συναντιλαμβάνεσθαι, κοινωνία ἐστὶν εἰς τὸ εὐαγγέλιον. ὅταν γὰρ ἐκεῖνος μὲν κηρύττῃ, σὺ δὲ θεραπεύῃς τὸν κηρύττοντα, κοινωνεῖς αὐτῷ τῶν στεφάνων. ἐπεὶ καὶ ἐν τοῖς ἔξωθεν ἀγῶσιν οὐ τοῦ ἀγωνιζομένου μόνου ἐστὶν ὁ στέφανος, ἀλλὰ καὶ τοῦ παιδοτρίβου, καὶ τοῦ θεραπεύοντος, καὶ πάντων ἁπλῶς τῶν ἀσκούντων τὸν ἀθλητήν. οἱ γὰρ ῥωννύντες αὐτὸν, καὶ διακονούμενοι, οὗτοι καὶ τῆς νίκης εἰκότως ἂν γένοιντο μερισταί. καὶ ἐν τοῖς πολέμοις δὲ, οὐχ ὁ ἀριστεὺς μόνος, χ. μόνον ἀλλὰ καὶ πάντες οἱ θεραπεύοντες αὐτὸν εἰκότως ἂν μεταποιοῖντο τῶν ἐπαίνων, καὶ τῆς δόξης μετέχοιεν, ἅτε κοινωνήσαντες αὐτῷ τοῦ ἀγῶνος τῇ θεραπείᾳ. οὐ γὰρ μικρὸν δύναται τὸ θεραπεύειν ἁγίους, ἀλλὰ καὶ μέγα. κοινωνοὺς γὰρ ἡμᾶς ποιεῖ τῶν ἐκείνοις ἀποκειμένων μισθῶν. οἷον, ἐρρίψέ τις

πολλά

Digitized by Google

# ΧΡΥΣΟΣΤΟΜΟΥ
## ΕΙΣ ΤΗΝ ΠΡΟΣ
## ΦΙΛΙΠΠΗΣΙΟΥΣ
ἐπιστολήν.

Λογ. α.

ΠΑΥΛΟΣ ΚΑΙ ΤΙΜΟΘΕΟΣ ΔΟΥΛΟΙ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ, πᾶσι τοῖς ἁγίοις ἐν Χριστῷ Ἰησοῦ τοῖς οὖσιν ἐν Φιλίπποις, συνεπισκόποις καὶ διακόνοις, 2 Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ. κεφ. α.

Ἐνταῦθα ἅτε πρὸς ὁμοτίμους ἐπιστέλλων, οὐ τίθησιν αὐτοῦ τὸ τῆς διδασκαλίας ἀξίωμα, ἀλλ' ἕτερον, καὶ αὐτὸ μέγα. ποῖον δὴ τοῦτο; δοῦλον ἑαυτόν φησι, καὶ οὐκ ἀπόστολον. μέγα γὰρ ὄντως καὶ τοῦτο ἀξίωμα, καὶ τὸ κεφάλαιον τῶν ἀγαθῶν, *δοῦλον εἶναι Χριστοῦ, καὶ μὴ ἁπλῶς λέγεσθαι. ὁ τοῦ Χριστοῦ δοῦλος, οὗτος ὄντως ἐλεύθερός ἐστι τῇ ἁμαρτίᾳ, καὶ γνήσιος ὢν δοῦλος, οὐδενὸς ἄλλου καταδέξεται δοῦλος γενέσθαι· ἐπεὶ πῶς ἂν οὕτω γένοιτο τοῦ Χριστοῦ [δοῦλος.] ἂν ἐξ ἡμισείας; καὶ Ῥωμαίοις μὲν πάλιν ἐπιστέλλων λέγει· Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ· Ῥωμ. α. α. Κορινθίοις δὲ καὶ Τιμοθέῳ ἐπιστέλλων, ἀπόστολον ἑαυτὸν καλεῖ. τίνος οὖν ἕνεκεν τοῦτο ποιεῖ; οὐχ ὅτι Τιμοθέου αὐτοὶ κρείττους· ἄπαγε· ἀλλὰ μᾶλλον ὅτι αὐτοὺς τιμᾷ, καὶ θεραπεύει μάλιστα πάντων, οἷς ἐπέστελλε. καὶ γὰρ καὶ πολλὴν αὐτοῖς ἀρετὴν μαρτυρεῖ. ἄλλως δὲ, ἐκεῖ μὲν οὖν ἔμελλε πολλὰ διατάττεσθαι, (διὰ τοῦτο ἀνέλαβε τὸ τοῦ ἀποστόλου ἀξίωμα) ἐνταῦθα δὲ ἐπιτάττει μὲν αὐτοῖς οὐδὲν, πλὴν ὅσα καὶ ἀφ' ἑαυτῶν συνεώρων. Τοῖς ἁγίοις ἐν Χριστῷ Ἰησοῦ τοῖς οὖσιν ἐν Φιλίπποις. Ἐπειδὴ εἰκὸς ἦν καὶ Ἰουδαίους ἁγίους ἑαυτοὺς καλεῖν ἀπὸ τοῦ πρώτου χρησμοῦ, ἡνίκα ἐλέγοντο Λαὸς ἅγιος, περιούσιος, διὰ τοῦτο προσέθηκε, τοῖς ἁγίοις ἐν Χριστῷ Ἰησοῦ. οὗτοι γὰρ *μόνοι ἅγιοι, ἐκεῖνοι δὲ λοιπὸν βέβηλοι. Συνεπισκόποις καὶ διακόνοις. τί τοῦτο; μιᾶς πόλεως πολλοὶ ἐπίσκοποι ἦσαν; οὐδαμῶς· ἀλλὰ τοὺς πρεσβυτέρους οὕτως ἐκάλεσε. τότε γὰρ τέως ἐκοινώνουν τοῖς ὀνόμασι, καὶ διάκονος ὁ ἐπίσκοπος ἐλέγετο. διὰ τοῦτο γράφων καὶ Τιμοθέῳ ἔλεγε, Τὴν διακονίαν σου πληροφόρησον, ἐπισκόπῳ ὄντι. ὅτι γὰρ ἐπίσκοπος ἦν, φησὶ πρὸς αὐτόν, Χεῖρας ταχέως μηδενὶ ἐπιτίθει· καὶ πάλιν, Ὃ ἐδόθη σοι μετὰ ἐπιθέσεως τῶν χειρῶν τοῦ πρεσβυτερίου· οὐκ ἂν δὲ πρεσβύτεροι ἐπίσκοπον ἐχειροτόνησαν. καὶ πάλιν πρὸς Τίτον α Τιμ. ε. κβ. καὶ δ. ιδ.

χ. μέγα δὲ καὶ αὐτό.

* τὸ

χ. ἐκεῖ μὲν γὰρ

χ. μόνοι

τῷ πλουτοῦντι (πῶς γάρ, ὁ βουλόμενος γενέσθαι πένης;) διακαθαίρει αὐτοῦ τὸ ὄμμα τῆς ψυχῆς. καὶ ταῦτα μὲν ἐνταῦθα· τὰ δὲ ἐκεῖ οὐδέ ἐστιν εἰπεῖν, ὅσων ἐπιτεύξεται ἀγαθῶν. οὐ μένει ἔξω μετὰ τῶν μωρῶν παρθένων, ἀλλὰ μετὰ τῶν φρονίμων εἰσελεύσεται, μετὰ τοῦ νυμφίου, τὰς λαμπάδας ἔχων λαμπράς· καὶ τῶν ἐν παρθενίᾳ ταλαιπωρησασῶν, ὁ μηδὲ γευσάμενος τῶν πόνων ἐκείνων, ἀπὸ ταύτης ἔσται βελτίων. τοσαύτη ἡ τῆς ἐλεημοσύνης ἰσχύς. μετὰ πολλῆς εἰσάγει τῆς παρρησίας τοὺς αὐτῆς τροφίμους. γνωρίμη γάρ ἐστι τοῖς ἐν τῷ οὐρανῷ πυλωροῖς, τοῖς τὰς θύρας κατέχουσι τοῦ νυμφῶνος· οὐ μόνον δὲ γνωρίμη, ἀλλὰ καὶ αἰδέσιμος· καὶ οὓς ἂν ἐπιγνῷ τετιμηκότας αὐτήν, μετὰ πολλῆς εἰσάξει τῆς παρρησίας, καὶ οὐδεὶς ἀντερεῖ, ἀλλὰ πάντες ὑποχωροῦσιν. εἰ γὰρ τὸν Θεὸν εἰς τὴν γῆν κατήγαγε καὶ ἔπεισεν ἄνθρωπον γενέσθαι, πολλῷ μᾶλλον ἄνθρωπον εἰς τὸν οὐρανὸν ἀναγαγεῖν δυνήσεται. μεγάλη γὰρ αὐτῆς ἡ ἰσχύς. εἰ οὖν ἀπὸ ἐλέους καὶ φιλανθρωπίας ὁ Θεὸς ἄνθρωπος ἐγένετο, καὶ ἔπεισεν αὐτὸν δοῦλον γενέσθαι, πολλῷ μᾶλλον τοὺς δούλους εἰς τὴν οἰκίαν εἰσάξει τὴν αὐτοῦ. ταύτην ἀγαπήσωμεν, ταύτην στέρξωμεν, μὴ μίαν ἡμέραν, μηδὲ δευτέραν, ἀλλὰ διὰ παντὸς τοῦ χρόνου, ἵνα ἡμᾶς ἐπιγνῷ· ἂν αὐτὴ ἡμᾶς ἐπιγνῷ, καὶ ὁ κύριος ἐπιγνώσεται· ἂν αὐτὴ ἀγνοήσῃ, καὶ ὁ Κύριος ἀγνοήσει, καὶ ἐρεῖ, οὐκ οἶδα ὑμᾶς. ἀλλὰ μὴ γένοιτο ταύτης ἀκοῦσαι ἡμᾶς τῆς φωνῆς, ἀλλὰ τῆς μακαρίας ἐκείνης· Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ.

χ. φαιδρὰς

χ. αὐτὸ

χ. αὐτὸ

Ματθ. κε λδ.

περὶ ὑμῶν μεμνῆσθαι. καὶ πάλιν· Διὰ τὸ ἔχειν με ἐν τῇ καρδίᾳ ὑμᾶς, ἔν τε τοῖς δεσμοῖς μου.

[ΗΘΙΚΟΝ] Ταῦτα οὖν εἰδότες καὶ ἡμεῖς, καὶ τοσούτους ἔχοντες τύπους ἀγάπης, ἑαυτοὺς παρέχωμεν ἀξίους τῶν τοιούτων ὑποδειγμάτων, περὶ δὲ πάσχειν ὑπὲρ Χριστοῦ ἕτοιμοι γενώμεθα. ἀλλὰ νῦν οὐκ ἔστιν ὁ διωγμός. οὐκοῦν κἂν μηδὲν ἕτερον, μιμώμεθα αὐτῶν τὴν εὐποιΐαν τὴν μετὰ σφοδρότητος, μηδὲ, ἐὰν ἅπαξ δῶμεν καὶ δεύτερον, τὸ πᾶν ἡγώμεθα πεπληρωκέναι. διὰ παντὸς γὰρ τοῦ βίου τοῦτο χρὴ ποιεῖν. οὐ γὰρ ἅπαξ εὐαρεστεῖν δεῖ, ἀλλὰ * διηνεκῶς. [* καὶ] καὶ γὰρ ὁ τρέχων, ἐὰν δέκα δολίχους δράμῃ, τὸν ὕστερον ἀφῇ, τὸ πᾶν ἀπώλεσε· [γρ. δαίλης] καὶ ἡμεῖς, ἐὰν ἀρξάμενοι τῶν ἀγαθῶν ἔργων, ὕστερον ἐκλυθῶμεν, τὸ πᾶν ἀπωλέσαμεν, τὸ πᾶν διεφθείραμεν. ἄκουε τῆς ἐπωφελοῦς παραινέσεως λεγούσης· Ἐλεημοσύναι, φησὶ, καὶ πίστεις μὴ ἐκλειπέτωσάν σε. [Παροιμ. γ. γ.] οὐκ εἶπεν, ἅπαξ ποίησον, οὐδὲ δεύτερον, οὐδὲ τρίτον, οὐδὲ δέκατον, οὐδὲ ἑκατοστὸν, [γρ. δίς] [γρ. τρίς] [γρ. δέκα] [γρ. ἑκατὸν] ἀλλὰ διαπαντὸς μὴ ἐκλειπέτωσάν σε, φησί. καὶ οὐκ εἶπε, μὴ αὐτὸς ἐγκαταλείπῃς, ἀλλὰ αὐταί σε μὴ ἐγκαταλείπωσι, δεικνὺς ὅτι ἡμεῖς αὐτῶν δεόμεθα, οὐχ αὗται ἡμῶν, [γρ. αὐτάς] [γρ. αὗται] καὶ διδάσκων ὅτι πάντα πράττειν ὀφείλομεν, ὥστε αὐτὰς κατέχειν παρ' ἑαυτοῖς. Ἔφαψαι δὲ αὐτὰς, φησὶν, ἐπὶ σῷ τραχήλῳ. ὥσπερ γὰρ τὰ τῶν εὐπόρων παιδία κόσμον ἔχει χρυσοῦν περὶ τὸν τράχηλον, καὶ οὐδέποτε αὐτὸν ἀποτίθεται, ὡς τῆς εὐγενείας δεῖγμα φέροντα· [γρ. περικείμενα] οὕτω καὶ τὴν ἐλεημοσύνην ἀεὶ δεῖ ἑαυτοῖς περιτιθέναι, δεικνύντας ὅτι τοῦ οἰκτίρμονός ἐσμεν παῖδες, τοῦ τὸν ἥλιον ἀνατέλλοντος ἐπὶ πονηροὺς καὶ ἀγαθούς. ἀλλ' οὐ πιστεύουσιν οἱ ἄπιστοι; οὐκοῦν διὰ τούτων πιστεύσουσιν, ἐὰν ἡμεῖς ἐργαζώμεθα ταῦτα. ἐὰν γὰρ ἴδωσιν, ὅτι πάντας ἐλεοῦμεν, καὶ ἐκεῖνον ἐπιγραφόμεθα διδάσκαλον, εἴσονται ὅτι αὐτὸν μιμούμενοι τοῦτο πράττομεν. καὶ τοῦτο οὐχ ἁπλῶς ποιεῖν δεῖ, ἀλλὰ μετὰ προσοχῆς καὶ ἀσφαλείας. ἐλεημοσύνη γὰρ, φησὶ, καὶ πίστις ἔστω σοι ἀληθής. καλῶς εἶπεν, ἀληθής. οὐ γὰρ ἐξ ἁρπαγῆς βούλεται, οὐδὲ ἀπὸ κλοπῆς. τοῦτο γὰρ οὐκ ἔστι πίστις, οὐκ ἔστιν ἀληθὴς ἐλεημοσύνη. [γρ. ἀλήθεια] καὶ γὰρ τὸν κλέπτοντα ψεύδεσθαι ἀνάγκη, καὶ ἐπιορκεῖν δεῖ. σὺ δὲ μὴ οὕτως, ἀλλὰ μετὰ τῆς ἐλεημοσύνης πίστιν ἔχε, φησί. περιθώμεθα τοῦτον τὸν κόσμον· μανιάκην ἐργασώμεθα τῇ ψυχῇ χρυσοῦν, τὴν ἐλεημοσύνην λέγω, ἕως ἂν ἐνταῦθα ὦμεν. ἐὰν γὰρ παρέλθῃ ἡ ἡλικία αὕτη, οὐκέτι αὐτῇ χρησόμεθα. πῶς; οὐκ εἰσὶν ἐκεῖ πένητες, οὐκ ἔστιν ἐκεῖ χρήματα, οὐκ ἔστιν ἐκεῖ πτωχεία. [γρ. πενία.] ἕως ἐσμὲν παῖδες, μὴ ἀποστερήσωμεν ἑαυτοὺς τοῦ κόσμου τούτου. καθάπερ γὰρ ἐπὶ τῶν παίδων, ἐὰν ἄνδρες γένωνται, περιαιρεῖται ταῦτα, καὶ ἐφ' ἕτερον ἄγονται κόσμον· οὕτω καὶ ἐφ' ἡμῶν οὐκέτι ἡ διὰ χρημάτων ἐλεημοσύνη ἐκεῖ ἔσται, ἀλλ' ἑτέρα τις πολὺ μείζων. ὥστε ταύτης ἑαυτοὺς μὴ ἀποστερήσωμεν, ποιήσωμεν καλὴν φαίνεσθαι τὴν ψυχήν. [γρ. καλόν] μέγα ἐλεημοσύνη, καλὸν καὶ τίμιον, δῶρόν ἐστι μέγα, μᾶλλον δὲ μέγα ἀγαθότης. ἐὰν μάθωμεν χρημάτων καταφρονεῖν, καὶ ἕτερα μαθησόμεθα. ὅρα γὰρ ἐντεῦθεν πόσα τίκτεται ἀγαθά. ὁ διδοὺς ἐλεημοσύνην, ὡς χρὴ διδόναι, μανθάνει [τῶν] χρημάτων καταφρονεῖν· ὁ μαθὼν χρημάτων καταφρονεῖν, τὴν ῥίζαν ἐξέκοψε τῶν κακῶν. ὥστε οὐκ εὖ ποιεῖ μᾶλλον, ἢ εὖ πάσχει. οὐ τῷ ὀφειλὴν καὶ ἀμοιβὴν κεῖσθαι μόνον τῇ ἐλεημοσύνῃ, ἀλλὰ καὶ τῷ τὴν ψυχὴν φιλόσοφον γίνεσθαι καὶ ὑψηλὴν καὶ πλουσίαν. ὁ διδοὺς ἐλεημοσύνην παιδεύεται μὴ θαυμάζειν χρήματα, μηδὲ χρυσόν. τοῦτο δὲ παιδευθεὶς τὴν διάνοιαν, ἀρχὴν ἔλαβε μεγίστην ἀνόδου πρὸς τὸν οὐρανὸν, καὶ μάχης καὶ ἔριδος καὶ φθόνου καὶ ἀθυμίας μυρίας ἐξέκοψε προφάσεις. ἴστε γὰρ, ἴστε καὶ ὑμεῖς. ὅτι πάντα τὰ κακὰ διὰ τὰ χρήματα, καὶ μυρίοι πόλεμοι διὰ τὰ χρήματα. [γρ. ἐπεὶ] ὁ δὲ τούτων μαθὼν καταφρονεῖν, ἐν γαλήνῃ κατέστησεν ἑαυτὸν, οὐκέτι ζημίαν δέδοικε. τοῦτο γὰρ ἐπαίδευσεν αὐτὸν ἡ ἐλεημοσύνη. οὐκέτι ἐπιθυμεῖ τῶν τοῦ πλησίον (πῶς γὰρ, ὁ τὰ αὐτοῦ ἀποκτώμενος, καὶ διδούς;) οὐκέτι βασκαίνει

οὐχ ὡς ἤδη τούτου γενομένου, ἀλλ' ὅτι, κἂν ὅταν τοῦτο συμβῇ, χαίρω, φησί, διαπιστῶν αὐτοὺς ἀπὸ τῆς ἀθυμίας τῆς ἐπὶ τοῖς δεσμοῖς. ὅτι γὰρ οὐκ ἔμελλε τότε ἀποθανεῖσθαι, δῆλον ἐξ ὧν φησιν, [Φιλιπ. β. κδ.] ὅτι Ἐλπίζω δὲ ἐν Κυρίῳ, ὅτι καὶ αὐτὸς ταχέως ἐλεύσομαι πρὸς ὑμᾶς· καὶ πάλιν, [Φιλιπ. α. κε.] Καὶ τοῦτο πεποιθὼς οἶδα, ὅτι μενῶ, καὶ συμπαραμενῶ πᾶσιν ὑμῖν. ἦσαν δὲ πέμψαντες πρὸς αὐτὸν οἱ Φιλιππήσιοι τὸν Ἐπαφρόδιτον, χρήματα ἀποίσοντα αὐτῷ, καὶ εἰσόμενοι τὰ κατ' αὐτόν. [Φιλιπ. δ. ιη.] διέκειντο γὰρ σφόδρα περὶ αὐτόν*. ὅτι γὰρ ἔπεμψαν, ἄκουε αὐτοῦ λέγοντος, Ἀπέχω πάντα, καὶ περισσεύω, πεπλήρωμαι, δεξάμενος παρὰ Ἐπαφροδίτου τὰ παρ' ὑμῶν. ἐν ταὐτῷ χρόνῳ ἔπεμψαν καὶ παρακαλέσοντες, καὶ εἰσόμενοι. ὅτι γὰρ καὶ ἔπεμψαν εἰσόμενοι τὰ κατ' αὐτόν, [Φιλιπ. α. ιβ.] δηλοῖ εὐθέως ἐν τῇ ἀρχῇ τῆς ἐπιστολῆς τὰ κατ' αὐτὸν γράφων, καὶ λέγων· Γινώσκειν δὲ ὑμᾶς βούλομαι, ὅτι τὰ κατ' ἐμὲ μᾶλλον εἰς προκοπὴν τοῦ εὐαγγελίου ἐλήλυθε. [Φιλιπ. β. ιθ.] καὶ πάλιν· Ἐλπίζω Τιμόθεον ταχέως πέμψαι ὑμῖν, ἵνα κἀγὼ εὐψυχῶ γνοὺς τὰ περὶ ὑμῶν. τό, ἵνα κἀγώ, δηλοῦντός ἐστιν, ὅτι ὥσπερ ὑμεῖς ὑπὲρ πολλῆς πληροφορίας ἐπέμψατε εἰσόμενοι, οὕτω καὶ ἐγώ, ἵνα εὐψυχῶ γνοὺς τὰ περὶ ὑμῶν. ἐπεὶ οὖν καὶ πολὺν χρόνον ἦσαν μὴ πέμψαντες, ἀλλὰ τότε (τοῦτο γὰρ δηλοῖ διὰ τοῦ εἰπεῖν, [Φιλιπ. δ. ι.] Ἤδη ποτὲ ἀνεθάλετε τὸ ὑπὲρ ἐμοῦ φρονεῖν) καὶ τότε ἤκουον αὐτὸν ἐν δεσμοῖς εἶναι (εἰ γὰρ περὶ Ἐπαφροδίτου ἤκουσαν, ὅτι ἠσθένησεν, οὐκ ὄντος σφόδρα ἐπισήμου, ὡς Παῦλος, πολλῷ μᾶλλον περὶ Παύλου καὶ εἰκὸς ἦν αὐτοὺς θορυβεῖσθαι) διὰ τοῦτο ἐν τοῖς προοιμίοις τῆς ἐπιστολῆς πολλὴν προσάγει παράκλησιν ὑπὲρ τῶν δεσμῶν, δεικνὺς ὅτι οὐ μόνον οὐ χρὴ θορυβεῖσθαι, ἀλλὰ καὶ χαίρειν. εἶτα καὶ περὶ ὁμονοίας συμβουλεύει καὶ ταπεινοφροσύνης, ταύτην εἶναι ἀσφάλειαν αὐτοῖς διδάσκων μεγίστην, καὶ οὕτω τῶν ἐχθρῶν αὐτοὺς εὐκόλως δύνασθαι περιγενέσθαι. οὐ γὰρ τὸ δεσμεῖσθαι λυπηρὸν τοῖς διδασκάλοις ὑμῶν, ἀλλὰ τὸ μὴ ὁμονοεῖν τοὺς μαθητάς. τοῦτο μὲν γὰρ καὶ ἐπίδοσιν τῷ εὐαγγελίῳ δίδωσιν, ἐκεῖνο δὲ διασπᾷ. παραινέσας τοίνυν αὐτοῖς ὁμονοεῖν, καὶ δείξας ὅτι ἀπὸ ταπεινοφροσύνης ἡ ὁμόνοια γίνεται, καὶ διαστειλάμενος πρὸς τοὺς πανταχοῦ τῷ δόγματι λυμαινομένους Ἰουδαίους προσχήματι χριστιανισμοῦ, κύνας τε αὐτοὺς καλέσας καὶ κακοὺς ἐργάτας, καὶ παραινέσας ἀπέχεσθαι αὐτῶν, καὶ πείσας τίσι δεῖ προσέχειν, καὶ περὶ ἠθῶν πολλὰ διαλεχθεὶς, καὶ ῥυθμίσας αὐτοὺς, καὶ ἀνακτησάμενος διὰ τοῦ εἰπεῖν, [Φιλιπ. δ. ε.] Ὁ Κύριος ἐγγύς, μέμνηται μετὰ τῆς προσηκούσης αὐτῷ συνέσεως καὶ τῶν πεμφθέντων, καὶ οὕτω πολλὴν τὴν παράκλησιν προσάγει. φαίνεται δὲ μετὰ πολλῆς αὐτοῖς μάλιστα γράφων τιμῆς, καὶ οὐδὲν [προστίθησιν] ἐπιπληκτικὸν οὐδαμοῦ, ὅπερ ἦν τεκμήριον τῆς ἀρετῆς αὐτῶν, τὸ μηδεμίαν δοῦναι τῷ διδασκάλῳ λαβὴν, μηδὲ ἐν τάξει ἐπιτιμήσεως, ἀλλ' ἐν τάξει παραινέσεως πάντα πρὸς αὐτοὺς ἐπεσταλκέναι. ὅπερ δὲ ἔφην [καὶ] ἐξ ἀρχῆς, τοῦτο καὶ νῦν ἐρῶ, ὅτι ἡ πόλις αὕτη πολλὴν ἐπεδείξατο εἰς τὴν πίστιν ἐπιτηδειότητα, εἴγε ὁ δεσμοφύλαξ (ἴστε δέ, ὅτι πάσης τὸ πρᾶγμα κακίας μεστόν) εὐθέως ἀπὸ ἑνὸς σημείου καὶ προσέδραμε, καὶ ἐβαπτίσθη μετὰ τοῦ οἴκου αὐτοῦ παντός. τὸ μὲν γὰρ γενόμενον σημεῖον εἶδε μόνος αὐτός· τὸ δὲ κέρδος οὐ μόνος ἐκαρπώσατο, ἀλλὰ καὶ μετὰ τῆς γυναικὸς καὶ τοῦ οἴκου παντός. ἀλλὰ καὶ αὐτοὶ οἱ στρατηγοὶ οἱ μαστίξαντες αὐτοὺς εὑρίσκονται ἀπὸ συναρπαγῆς μᾶλλον, καὶ οὐ πονηρίας τοῦτο πεποιηκότες, τῷ τε εὐθέως πέμψαι καὶ ἀφεῖναι αὐτοὺς, καὶ τῷ φοβηθῆναι ὕστερον. μαρτυρεῖ δὲ αὐτοῖς οὐκ ἐν πίστει μόνον, οὐδὲ ἐν κινδύνοις, ἀλλὰ καὶ ἐν εὐποιΐᾳ, δι' ὧν φησιν, [Φιλιπ. δ. ιε. καὶ ι.] Ὅτι καὶ ἐν ἀρχῇ τοῦ εὐαγγελίου καὶ ἅπαξ καὶ δὶς εἰς τὴν χρείαν μου ἐπέμψατε, οὐδενὸς ἑτέρου τοῦτο πεποιηκότος. Οὐδεμία γάρ μοι, φησὶν ἐκκλησία ἐκοινώνησεν εἰς λόγον δόσεως καὶ λήψεως καὶ τὴν ἔλλειψιν δὲ ἀκαιρίας εἶναι μᾶλλον, ἢ προαιρέσεως δείκνυσι λέγων· Οὐχ ὅτι οὐκ ἐφρονεῖτε, φησίν, ὑπὲρ ἐμοῦ, ἠκαιρεῖσθε δέ. τοῦτο δὲ πολὺ πρὸς αὐτοὺς φίλτρον ἔχειν ἐμφαίνει. ὅτι γὰρ ἐφίλει σφόδρα αὐτοὺς, δῆλον. [Φιλιπ. β. κ. α. ιγ.] Οὐδένα γὰρ ἔχω, φησίν, ἰσόψυχον, ὅστις γνησίως τὰ περὶ

[Margin: γ. πέποιθα · * ἀγαπητικῶς · γ. δ · γ. δ · γ. ὑπὸ · γ. περὶ · γ. τοῖς διδασκάλοις · γ. -ομένους · γ. πνεύματι · γ. περιηχήσας · γ. τοιοῦτον · γ. δ · γ. ἐφιλοφρονεῖτο]

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

# ΙΩΑΝΝΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

τοῦ Χρυσοστόμου ἑρμηνεία εἰς τὴν πρὸς Φιλιππησίους ἐπιστολήν.

## ΥΠΟΘΕΣΙΣ.

γ. μιᾶς ἐν Μακεδονίᾳ. ΟΙ Φιλιππήσιοι ἀπὸ πόλεώς εἰσι τῆς Μακεδονίας Φιλίπ- Πραξ. ις. ιδ. κγ.
πων, οὕτω καλουμένης ἀπὸ τοῦ οἰκιστοῦ, πόλεως κολωνίας,
καθὼς ὁ Λουκᾶς φησιν. ἐνταῦθα ἡ πορφυρόπωλις
γ. εὐσεβὴς ἐπίστευσεν, εὐλαβὴς γυνὴ σφόδρα, καὶ προσεκτική·
ἐνταῦθα ὁ ἀρχισυνάγωγος ἐπίστευσεν· ἐνταῦθα
ἐμαστίχθη ὁ Παῦλος μετὰ τοῦ Σίλα· ἐνταῦθα οἱ στρατη-
γ. ἐνταῦθα γοὶ ἠξίωσαν αὐτοὺς ἐξελθεῖν, καὶ ἐφοβήθησαν αὐτούς·
καὶ λαμπρὰν εἶχε τὸ κήρυγμα τὴν ἀρχήν. μαρτυρεῖ
δὲ αὐτοῖς καὶ αὐτὸς πολλὰ καὶ μεγάλα, στεφάνους αὐτοῦ
* καὶ μεγάλα καλῶν αὐτούς, καὶ πολλὰ * πεπονθέναι λέγων. Ὑμῖν Φιλιπ. α. κθ.
γὰρ ἐχαρίσθη, φησίν, ἀπὸ Θεοῦ οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ
πάσχειν. ὅτε δὲ ἔγραφε πρὸς αὐτούς, συνέβη αὐτὸν δεδέσθαι. διὰ τοῦτό φησιν, Ὥστε τοὺς Φιλιπ. α. ιγ.
δεσμούς μου φανεροὺς ἐν Χριστῷ γενέσθαι ἐν ὅλῳ τῷ πραιτωρίῳ· πραιτώριον τὰ βα-
σίλεια τοῦ Νέρωνος καλῶν. ἀλλ' ἐδέθη καὶ ἀφείθη, καὶ τοῦτο πρὸς Τιμόθεον ἐδήλωσε λέ-
γων· Ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ οὐδείς μοι συμπαρεγένετο, ἀλλὰ πάντες με ἐγκατέλι- β. Τιμ. δ. ις.
πον· μὴ αὐτοῖς λογισθείη· ἀλλ' ὁ Κύριός μοι παρέστη, καὶ ἐνεδυνάμωσέ με. τὰ οὖν δεσμά,
γ. ἰδὼν λέγει ἐν οἷς ἦν, πρὸ τῆς ἀπολογίας ἐκείνης δείκνυσιν ὄντα. ὅτι γὰρ οὐ παρῆν Τιμόθεος τότε, δῆ-
λον. Ἐν γὰρ τῇ πρώτῃ μου, φησίν, ἀπολογίᾳ οὐδείς μοι συμπαρεγένετο. καὶ τοῦτο, οὕτω
γράφων, ἐδήλου. οὐκ ἂν οὖν, εἰ ᾔδει τοῦτο, ἔγραψεν αὐτῷ. ὅτε δὲ τὴν ἐπιστολὴν ἔγραφε
ταύτην, μετ' αὐτοῦ Τιμόθεος ἦν. καὶ δηλοῖ ἐξ ὧν φησιν· Ἐλπίζω δὲ ἐν Κυρίῳ Ἰησοῦ Τι- Φιλιπ. β. ιθ.
* ἦν μόθεον ταχέως πέμψαι ὑμῖν· καὶ πάλιν· Τοῦτον μὲν * ἐλπίζω εὐθέως πέμψαι ὑμῖν, ὅταν ἀ- κγ.
πίδω τὰ περὶ ἐμέ, ὡς αὐτός. ἀφείθη γὰρ ἀπὸ τῶν δεσμῶν, καὶ πάλιν ἐδέθη μετὰ τὸ πρὸς
γ. εἰ δὲ αὐτοὺς ἐλθεῖν. εἰ δὲ λέγει, Ὅτι καὶ σπένδομαι ἐπὶ τῇ θυσίᾳ, καὶ λειτουργίᾳ τῆς πίστεως ὑμῶν, Φιλιπ. β. ιζ.



Digitized by Google

Digitized by Google

CATALOGVS TOMI QVARTI.

IN Epistolam ad Philippenses Præfatio. Pag. 1
In eandem Homiliæ xv. 5
In Epistolam ad Colossenses Homil. xij. 89
In priorem ad Thessalonicenses Hom. xj. 161
In posteriorem ad Thessal. Hom. v. 221
In priorem ad Timotheum Præfatio. 249
In eandem Homiliæ xviij. 250
In posteriorem Homiliæ x. 329
In Epistolam ad Titum Hom. vj. 381
In Epistolam ad Philemonem Præf. 411
In eandem Homiliæ iij. 413
In Epistolam ad Hebræos Præfatio. 427
In eandem Homiliæ xxxiiij. 431
In Acta Apostolorum Homiliæ lv. 607
Index Ethicorum locorum in hisce quatuor Tomis contentorum. 921

Digitized by Google

Digitized by Google

# ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ

Πατρὸς ἡμῶν

# ΙΩΑΝΝΟΥ

## ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ

## ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ ΤΩΝ

εὑρισκομένων

ΤΟΜΟΣ ΤΕΤΑΡΤΟΣ,

Δι' ἐπιμελείας καὶ ἀναλωμάτων ΕΡΡΙΚΟΥ τοῦ ΣΑΒΙΛΙΟΥ
ἐκ παλαιῶν ἀντιγράφων ἐκδοθείς.

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE
8 40 M 11



ETONÆ, in Collegio Regali.
Excudebat IOANNES NORTON, in Græcis &c.
*Regius Typographus.*

ANNO cIↃ. IↃC. XII.

Digitized by Google

V. 9. 4

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google